Digitized by Google


600096135U

CON

SUIDAE LEXICON

EX RECOGNITIONE

IMMANUELIS BEKKERI.

BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

A. 1854.

PRAEFATIO EDITORIS.

Quae olim edidi lexica, Segueriana Apollonium Harpocrationem Pollucem ex codicibus sumebam aut novis aut nondum ut par erat exploratis. Suidam Gaisfordi Bernhardique industria ita habemus ornatum ut instrumentum criticae amplius desiderare aliquot locis possimus, sperare in praesentia non possimus. restat ut usu habilis parvoque parabilis reddatur liber et male digestus et insano pretio venire solitus. fiebat autem qualem publica commoda poscunt, si desinebat iterare quae semel posita sufficiunt, si a novata temere litterarum serie ad assuetum nobis omnibus ordinem redibat, si adnotationis nihil nisi brevissimum locorum laudatorum indicem admittebat. itaque trifariam negotium adortus quam commode administratum quatenus confecerim, lectorum erit iudicium. quos ne quid lateat eorum quae ad causam pertinent, infra quas mea ex coniectura mutavi lectiones apposui.

voc. Ἀβοριγῖνες deerat καὶ p. 7 a 39. deerat τὸ πᾶν ἀγαθοεργία versu 3. ὁμοιότατον: legebatur ὁμοιότητα p. 10 b 16. ποίαν: τὸ ποίαν 18. παρουσίᾳ ποιὰ τὰ ποιά: παρουσία τὰ ποιά p. 23 a 16. ἤδη: δεῖν ἄθρες 1. ἓν ἅπαντας: ἅπαν Αἰδεσία 26. ἕως: ὡς ἀκέσασθαι 4. ὡρῶν: ὥραν p. 53 a 10. cf. Pindar. fr. sel. 114 ἀκόλαςον 2. ἥ: ἢ ἀκόλουθον 12. εἶναι τῷ ἕτερον: τῷ ἑτέρῳ ἀκραιφνοῦς 1. ἀβλαβοῦς, οἱονεὶ ἀκηροφανοῦς: ἀκηροφανοῦς, οἱονεὶ ἀβλαβοῦς Ἀλίφειρα 2. ὁ πολίτης: ὄνομα ποταμοῦ ἀμάρυγμα 1. non φόρημα Lobeckius, sed ὅρμημα ἀμύνασθαι 7 et 10. ἀμύναιν: ἀμύναιντο ἀμφίβιον 5. οἷοι: οἷα ἀμφιορκία 8. τινὸς: τινὰς Ἀμφίων 10. deerat ἀλλὰ ἀνάγγελον 1. deerat ὥςε ἀνάγκη 8. deerat τὸ p. 89 a 1. κἂν σφαλλώμεθα: legebatur κοὐ σφαλλόμεθα ἀνάλυσις 4. ἀπὸ: ὑπὸ ἀναπειστηρίαν 15. μαθητῶν ὅσον ὧν: μαθημάτων ὅσων ἀνάργυρος 4. ἀσθενήσας: ἀσθενὴς ἀναφορεύς 1. πληθυντικῶς: πληθυντικὸν Ἀνδρώνιος 2. διὰ: ἢ διὰ ἀνήρτισαν: ἀνήρτησαν ἁπλῷ λόγῳ 8. deerat οὐ ἅποθεν 7. ἢ ὁποθενοῦν: ἰσημέρου ἀποπάτημα 14. πάτος δὲ ἡ ὁδός. haec post 6. κενώσαντες legebantur ἀπόπειρα 5: δὴ ἦν: δι' ἣν 7. νεοπρεπῶς: νεοπρεπεῖς ἀπορρύπτει ἀπονίπτει. haec post ἀπορρυῇ ponebantur. ἀποσμιλεύουσι 4. καὶ — 5. ἀποξύσματα. haec ante 2. ἵνα erant. quanquam transpositiones enumerare longum est. ἀπρόσιτος 3. ὃ ἄν: ὅταν Ἄρατος b 16. θηριακῷ ἐπιτηδείων: θηριακῶν ἐπιτήδεια ἀρήιος 2. πόληος πύργος: πόλεως πύργοι Ἀσκληπιόδοτος 8. γραφικῶν: βαφικῶν ἄτρακτον 9. ἐντείνας: ἐκτείνας βασιλικὴ διαδρομή 1. γινομένη: γενομένη βίος b 3. εὐδαιμονιζομένων: εὐδαιμονιζόντων βίος c 10. οἷος: ὃς γαλεάγρα 2. ἐμβαλόντες: ἐμβάλλοντες γέλως συγκροτούσιος 3. γινόμενος: γενόμενος γεννητική 12. τῆς θνητοῖς: τοῖς θνητοῖς γνωρίζω a 2. εὐεργετεῖ: εὐεργετῇ δαΐς 1. δᾷς δέ: δαΐς p. 274 b 4. προεγίνωσκε θεὸς ὅτι ἃ: ὁ προγινώσκων θεὸς ἃ 6. μετασχόντα: μέλλοντα δικτάτωρ b 18. deerat τῷ διψῶ 4. διψῶ: διψῶν Δομετιανός b 3: ἀριστοπολιτείαν: ἀρίστην πολιτείαν p. 322 a 2. υ':

οἱ υ εἰκάζων 2. ὕφασμα: φάσμα εἰκότων 1. ὅ: εἰ Ἔλεα τὰς: Ἐλεάτας ἐμβαδόν 1. δίχα: διὰ ἐμβατεύων 4. deerat alterum τῶν p. 362 b 12. κοινωνεῖν: ἐκοινώνουν 14. ἐκοινώνουν: κοινωνεῖν ἐξαγώνιος 4. ποιῶσι: ποιεῖν ἐξπλοράτωρ 5. εὐπορεῖται: εὐπορεῖ τε Ἐπίδαμνος 1. ἡ νῦν: τὸ νῦν ἐπικλάσωσιν. omisi alterum exemplum ut repetitum ex v. ἐπικαλέσας Ἐπίκουρος b 22. δίς, ὡς: δισσῶς ἐπιλήψει με 1. καταλάβῃς: καταλάβῃ ἐπιλογισάμενος 1. ἀφ': ἐφ' ἐπίπεμπτον 2. τοῦ: τὸ ἐπίστῃ 1. deerat καὶ ἐπιτρέχειν 4. ἀποδιώκειν: ὑποδιώκειν ἐπλινθεύθησαν 2. περιῳκοδομημένον: περὶ οἰκοδόμημα μόνον ἐπώνυμοι b 8. δ' οὖν: γοῦν p. 417 b 1. νῆας: νέας ἐριπίοις 2. ἐριφθείς: ἐρριφθείς ἔρρε 6. ἔρρετε: ἔρρεσθε Εὐετήριος 5. κατέστησεν? ἐχέγγυος 1. δι' αὐτὸν: διὰ ζωάς 1. τὸ πληθυντικόν, καὶ: καὶ τὸ πληθυντικὸν ζωὸς γενήσῃ 1. λόπον: μόνον ἥ λύκου 5. ἐκληρώθησαν: ἐκλήθησαν ἤστην 3. ἠπατημένω: ἡμαρτημένω Θελξίνοια: Θελξίνεια Θέων g 8. deerat μὲν Θρᾷκες 3. πρεσβευτὴς: πρεσβύτατος θριπήδεστον a: θριπηδέστατον θυμέλη a 1. ἡ αὐλητική: ὁ βωμός, ἀπὸ τοῦ θύειν θυμέλη b 1. ὁ βωμός, ἀπὸ τοῦ θύειν: ἡ αὐλητική θυμηδία 4. θυμηδίαις: θυμηδίας ἴῃ ἔλθῃ: ἔλθοι p. 524 a 36. ἀπεγράφετο: ἐπεγράφετο 525 b 6. ἀπέγραψαν: ἐπέγραψαν 526 a 6. ἀπὸ: ὑπὸ Ἰουστινιανός a 11. αὐτῷ ἐν: ἐν αὐτῷ Ἰφικρατίδες 4. ὑποδεδεμένος: περιδεδεμένος Ἰωάς: Ἰωάννης p. 548 a 18. πολυπλασίω: πολυπλασίως p. 552 a 17. deerat εἰ p. 555 b 6. σημαντικός: σημαντικόν Καῖσαρ 6. deerat ἡ Καλλίας c. deerat ἂν καταβολή c 8. ἐγκλίναντες: ἐκκλίναντες p. 593 b 46. deerat ἡ κέστρος 2. deerat τὸ post βέλος Κλεάνθης 10. μισθοῦ: μισθῷ κύρβεις b 4. ἦν εἰδέναι? λεοντιδεύς: Λεοντίδης Λεόντιος c 31. ἀνδρῶν: ἀνθρώπων Λέπρεον 8. διαφαίνεται: διαφαίνονται λογίαι 3. deerat ἢ Λυκοῦργος b 44. τὸ: τὸν Λυκοῦργος c 36. ἔθεσι: ἤθεσι μὰ Δία 3. οὔ pro μὰ Δία? μακρούς 3. προσήσομαι: προήσομαι Μαξέντιος 14. ψήχων: ψύχων Μάρας 18. μέγιστον: μάλιστα Μαρῖνος b 2. Ἰσιδώρῳ τῷ φιλοσόφῳ? Μασσανάσσης b 7. μὲν ἑστάναι: μεταστῆναι μέγαρον 1. μέλον: μέλει Μέλητος a 1. ἦν νεανίας: ἐρᾷ νεανίου 2. deerant ἦρα δὲ 9. προστάγματα: πράγματα Μελίτη 3. deerat τῆς p. 703 b 23. ὡς δ': ὥστ' μηνίσκους 6. καταποπατεῖν: καταπατεῖν μή ποτ' εὖ 2. μὴ: μήτε μνημεῖον 2. ἐπὶ τοῦ: ἐπὶ τάφου καὶ τοῦ μυστήρια 2. μύειν: μύειν τὸ στόμα νεολαία 3. ἀμάχῳ: ἅμα τῷ Νικόλαος Δαμασκηνός 11. ὅλῃ: ἄλλῃ νῶϊν b. δυϊκῶς: δεικτικῶς Οὐλπιανὸς a 14. καὶ κόσμιος? οὐ μὲν δή ἀντὶ τȣ͂ οὐδαμῶς δή? πάθη a. ἀκολουθεῖν: ἀκόλουθα Παλαμήδης c 5. ἐρρέτω: ἐρρώσθω Παμπρέπιος b 9. δυναμένων: γενομένων c 19. deerat τῶν p. 811 a 7. τȣ͂: τῆς παρέσφηλε παρέφερε, καὶ: παρεμφαίνεται πεπιθημένος πιθήσας: πεπιθήσας πόντος 2. ὁ καὶ Εὔξεινος? ποταμῷ 2. ἔχουσι: οὖσι προαίρεσις b 8. ἐκλογή: ἐπιλογή προσκλήσεις 1. ἃς: πρὸς ἃς Ῥωμαίων ἀρχή 7. μὴ: δὴ p. 941 b 1. ἐνῆν: ἦν σούπερβος 8. γοῦν: οὖν p. 983 b 6. θυσίαν? συλλογισμός 3. καὶ τοὺς: καὶ τοῖς σύμβολον c 4. deerat ἂν σύνδȣλος 1. ὁμοδȣ́λȣς: δȣ́λȣς συνεωσμένȣς 1. ἠπορȣ͂ντο: ἠπόρȣν τὸ Ταρκύνιος 6. μετατιθείς: μεταθείς τὰ τῷ αὐτῷ 3. ἐμοὶ δὴ: ἐπειδὴ τεθμός: τέθμια τετραφάληρον 1. ἔχουσαν: ἔχων τρὶς ἓξ ἢ τρεῖς κύβοι 6. τέτταρα: τέταρτον ὑγεία b 6. τὸ μὲν: τὸ φρεάντλης 3. μισθοῦ: μισθῷ φυγαδεία 5. φυγάς· "τοῦ ἰδίου ἔθνους, οὗ φυγὰς ὀλίγῳ πρότερον ἐγεγόνει, ἀπέδειξε βασίλισσαν: φυγὰς τοῦ ἰδίȣ ἔθνȣς. — οὗ φυγὰς ὀλίγα πόρρωθεν ἐγεγόνει, ἀπέδειξε βασίλισσα p. 1128 a 6. Ὀρέστῃ: Ὀρέστης χρῆμα a 16. ἴστω: ἔστω ὠκινάκης. οὐδαμῶς: οὐδ' ἄλλως ὤσφροντο 2. ὀσφρήσεως: αἰσθήσεως

A = Aristophanes AP = Anthologia Palatina S = Sophocles X = Xenophon

Τὸ μὲν παρὸν βιβλίον Σουίδα, οἱ δὲ συνταξάμενοι τοῦτο ἄνδρες σοφοὶ Εὔδημος ῥήτωρ περὶ λέξεων κατὰ στοιχεῖον, Ἑλλάδιος, ἐπὶ Θεοδοσίου τοῦ νέου, ὁμοίως, Εὐγένιος Αὐγουστοπόλεως τῆς ἐν Φρυγίᾳ, ὁμοίως, Ζώσιμος Γαζαῖος λέξεις ῥητορικὰς κατὰ στοιχεῖον, Καικίλιος Σικελιώτης ἐκλογὴν λέξεων κατὰ στοιχεῖον, Λογγῖνος ὁ Κάσσιος λέξεις κατὰ στοιχεῖον, Λούπερκος Βηρύτιος Ἀττικὰς λέξεις, Ὀυηστῖνος Ἰούλιος σοφιστὴς ἐπιτομὴν τῶν Παμφίλου γλωσσῶν, βιβλίων ἐνενήκοντα ἑνός, Πακᾶτος περὶ συνηθείας Ἀττικῆς κατὰ στοιχεῖον, Πάμφιλος λειμῶνα λέξεων ποικίλων, περιοχὴν βιβλίων ἐνενήκοντα πέντε. ἔστι δὲ ἀπὸ τοῦ ε στοιχείου ἕως τοῦ ω· τὰ γὰρ ἀπὸ τοῦ α μέχρι τοῦ δ Ζωπυρίων πεποίηκε. Πωλίων Ἀλεξανδρεὺς Ἀττικῶν λέξεων συναγωγὴν κατὰ στοιχεῖον.

ἂ ἂ παρ' Ἀριστοφάνει ἐπίρρημα μετ' ἐκπλήξεως καὶ παρακελεύσεως· "ἂ ἂ, τὴν δᾷδα μή μοι πρόσφερε" (Plut. 1052). τὸ ἄ ἄ κατὰ διαίρεσιν ἀναγνωστέον, οὐ καθ' ἕνωσιν. ἀλλὰ καὶ ψιλωτέον ἀμφότερα· εἰ γὰρ ἓν μέρος λόγου ἦν καὶ κατὰ σύναψιν ἀνεγινώσκετο, οὐ χρείαν εἶχε τῶν δύο τόνων ἤτοι τῶν δύο ὀξειῶν. καὶ τοῦτο μὲν ἐκπλήξεως ὂν ψιλοῦται, τὸ δὲ ἃ ἃ θαυμαστικὸν δασύνεται, ὡς ἐν ἐπιγράμματί φησιν Ἀγαθίας (AP 1 34) "ἃ μέγα τολμήεις κηρὸς ἀνεπλάσατο."

ἀαγές ἄθραυστον, ἰσχυρόν.

ἀαδεῖν ὀχλεῖν, ἀδικεῖσθαι, ἀπορεῖν, ἀσιτεῖν.

ἀάλιον ἄτακτον, ἀκρατές. ἅλιον δὲ τὸ μάταιον.

ἄαπτος ἀβλαβής. Ἡρωδιανός φησι περὶ τοῦ ἄαπτος ὅτι γίγνεται ἀπὸ τοῦ ἰάπτω τὸ βλάπτω, καὶ μετὰ τοῦ στερητικοῦ α καὶ κατ' ἔλλειψιν τοῦ ι ἄαπτος, ὃν οὐδεὶς δύναται βλάψαι. ἢ οὐχὶ κατὰ στέρησιν ἐκληπτέον τὸ α, ἀλλὰ κατ' ἐπίτασιν, ἵν' ᾖ ὁ μεγάλα δυνάμενος βλάπτειν. ὥστε τὸ μὲν πρῶτον δηλοῖ πάθος, τὸ δὲ δεύτερον ἐνέργειαν. λέγεται δὲ καὶ ἄαπτος κατὰ στέρησιν ὁ ἄψαυστος.

Ἀαρών ὄνομα κύριον.

ἀάσαι τέσσαρα σημαίνει, κορέσαι καθυπνῶσαι βλάψαι λυπῆσαι.

ἀασάμην ἥμαρτον, ἐσφάλην, ἐβλάβην, ἄτῃ περιέπεσον.

ἀάσχετος ἀκράτητος.

ἄατος ἀβλαβής.

ἄβαζος ἥσυχος, ἤγουν ἐστερημένος τοῦ βάζειν, ὅ ἐστι λέγειν.

ἀβαήρ ὁ λεπτός.

Ἄβαι πόλις Φωκική. ἐκλήθη δὲ ἀπὸ ἥρωος Ἄβα.

Ἀβάκαινον πόλις Σικελίας.

ἀβακήμων ὁ μωρός.

ἀβάκησαν (Hom. δ 249) ἠγνόησαν, ἠσυνέτησαν.

ἀβάλε εἴθε. ἆ βάλε.

Ἀβάντειος ὁ τοῦ Ἄβαντος. καὶ Ἀβαντιάδης.

Ἀβαντίς ἡ Εὔβοια.

ἄβαξι τοῖς παρ' ἡμῖν λεγομένοις ἀβακίοις. ὁ λογοθέτης (Simeon Metaphrasta) ἐν τῷ τῆς ἁγίας Θέκλης μαρτυρίῳ "Τρύφαινα δὲ πάθει ληφθεῖσα νεκροῖς ὁμοία πρὸς τοῖς ἄβαξιν ὡρᾶτο κειμένη."

ἄβαπτος ἀστόμωτος.

Ἄβαρις Σκύθης, Σεύθου υἱός. συνεγράψατο δὲ χρησμοὺς τοὺς καλουμένους Σκυθικοὺς καὶ γάμον Ἕβρου τοῦ ποταμοῦ καὶ καθαρμοὺς καὶ θεογονίαν καταλογάδην, καὶ Ἀπόλλωνος ἄφιξιν εἰς Ὑπερβορέους ἐμμέτρως. ἧκε δὲ ἐκ Σκυθῶν εἰς Ἑλλάδα. τούτου ὁ μυθολογούμενος ὀιστός, τοῦ πετομένου ἀπὸ τῆς Ἑλλάδος μέχρι τῶν ὑπερβορέων Σκυθῶν· ἐδόθη δὲ αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος. τούτου καὶ Γρηγόριος ὁ θεολόγος ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ (or. 20 p. 331) μνήμην πεποίηται. φασὶ δὲ ὅτι λοιμοῦ κατὰ πᾶσαν τὴν οἰκουμένην γεγονότος ἀνεῖλεν ὁ Ἀπόλλων μαντευομένοις Ἕλλησί τε καὶ βαρβάροις τὸν Ἀθηναίων δῆμον ὑπὲρ πάντων εὐχὰς ποιήσασθαι· πρεσβευομένων δὲ πολλῶν ἐθνῶν πρὸς αὐτούς, καὶ Ἄβαριν ἐξ Ὑπερβορέων πρεσβευτὴν ἀφικέσθαι λέγουσι κατὰ τὴν γ' ὀλυμπιάδα.

ὅτι τοὺς Ἀβάρις οἱ Βούλγαροι κατὰ κράτος ἄρδην ἠφάνισαν. ὅτι οἱ Ἀβάρις οὗτοι ἐξήλασαν Σαβίνωρας, μετανάσται γενόμενοι ὑπὸ ἐθνῶν οἰκούντων μὲν τὴν παρωκεανῖτιν ἀκτήν, τὴν δὲ χώραν ἀπολιπόντων διὰ τὸ ἐξ ἀναχύσεως τοῦ ὠκεανοῦ ὁμιχλῶδες γενόμενον καὶ γρυπῶν δὲ πλῆθος ἀναφανέν, ὅπερ ἦν λόγος μὴ πρότερον παύσασθαι πρὶν ἢ βορὰν ποιήσασθαι τὸ τῶν ἀνθρώπων γένος. διὸ δὴ ὑπὸ τῶνδε ἐλαυνόμενοι τῶν δεινῶν τοῖς πλησιοχώροις ἐνέβαλον, καὶ τῶν ἐπιόντων δυνατωτέρων ὄντων οἱ τὴν ἔφοδον ὑφιστάμενοι μετανίσταντο, ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες πρὸς τοῖς Ἀκατίροις Οὔννοις ἐγένοντο (Priscus p. 158 Nieb.). κλίνεται δὲ Ἄβαρις Ἀβάριδος – τοὺς Ἀβάριδας, καὶ κατὰ ἀποκοπὴν Ἀβάρις. ζήτει περὶ τῶν αὐτῶν ἐν τῷ Βούλγαροι.

Ἀβαρνίς ὄνομα πόλεως.

Ἄβας σοφιστής, ἱστορικὰ ὑπομνήματα καὶ τέχνην ῥητορικὴν καταλιπών.

ἀβασάνιστος ἀνεξέταστος, ἢ ἀγύμναστος καὶ ἀδοκίμαστος. εἴρηται δὲ ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου, ἐν ᾗ δοκιμάζουσι τὸ χρυσίον. ἐχρήσατο δὲ Αἰλιανὸς ἐν τῷ περὶ προνοίας τῷ ἀβασάνιστος ἀντὶ τοῦ ἄνευ ὀδύνης.

ἀβάσκανος ἀψευδής, ἀνεπίφθονος· ⟨Ioseph. B. I. 1 7⟩ "ὁ δὲ μάρτυς ἀβάσκανος γίνεται πρὸς Καίσαρα τῶν Ἀντιπάτρε κατορθωμάτων."

ἄβατον ἱερόν, ἀπρόσιτον, ἔρημον. καὶ ὁδὸς ἄβατος ἡ ἀπόρευτος.

ἀβαχθανῆ ⟨Matth. 27 46⟩ λέξις Ἑβραϊκή, ἐγκαταλελειμμένος.

ἀββᾶ ὁ πατήρ. οἱ μὲν παλαιοὶ ἐκάλουν πατέρα τὸν θεὸν ἐξ οἰκείας διανοίας, ὡς Μωυσῆς "θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες" καὶ Μαλαχίας "ὁ θεὸς ὃς ἐγέννησεν ἡμᾶς καὶ πατήρ," οἱ δὲ ἐν χάριτι ὑπὸ πνευματικῆς ἐνεργείας κινούμενοι. ὥσπερ γὰρ πνεῦμα σοφίας ἔστι, καθ' ὃ σοφοὶ οἱ ἄσοφοι ἐγένοντο (καὶ δηλοῦται τοῦτο ἀπὸ τῆς διδασκαλίας), καὶ πνεῦμα δυνάμεως ἔστι, καθ' ὃ οἱ ἀσθενεῖς καὶ νεκροὺς ἤγειραν, καὶ πνεῦμα προφητείας καὶ πνεῦμα γλωσσῶν, οὕτω καὶ πνεῦμα υἱοθεσίας. καὶ ὥσπερ ἴσμεν τὸ πνεῦμα τῆς προφητείας, ἀφ' οὗ ὁ ἔχων αὐτὸ λέγει τὰ μέλλοντα ὑπὸ τῆς χάριτος κινούμενος, οὕτω δὴ καὶ πνεῦμα υἱοθεσίας, ἀφ' οὗ ὁ λαβὼν πατέρα καλεῖ τὸν θεόν, ὑπὸ πνεύματος κινούμενος. ὃ δὴ βουλόμενος δεῖξαι γνησιώτατον ὂν καὶ τῇ τῶν Ἑβραίων ἐχρήσατο γλώττῃ· οὐ γὰρ εἶπε μόνον ὁ πατὴρ ἀλλ' ἀββᾶ ὁ πατήρ, ὅπερ τῶν παίδων μάλιστά ἐστι τῶν γνησίων πρὸς τοὺς πατέρας ῥῆμα. Chrysost. hom. 14 opp. 3 p. 115 Savil.

Ἀββακούμ πατὴρ ἐγέρσεως· τὸ μὲν γὰρ ἀββᾶ σημαίνει πατήρ, τὸ δὲ κούμ ἔγερσις, ὡς καὶ παρὰ τῷ θείῳ εὐαγγελίῳ ⟨Marc. 5 41⟩ "ταλιθὰ κούμ," ἤγουν ἡ παῖς ἐγείρου. ὅθεν δῆλον ὅτι διὰ τῶν δύο β γραπτέον τὸ Ἀββακούμ.

ἄββαλεν ἀντὶ τοῦ ἀπέβαλεν.

ἀβδέλυκτα τὰ μὴ μιαίνοντα, ἃ οὐκ ἄν τις βδελυχθείη καὶ δυσχεράνειεν. τραγικωτέρα δὲ ἡ λέξις. Αἰσχύλος Μυρμιδόσι "καὶ μήν, φιλῶ γάρ, ἀβδέλυκτ' ἐμοὶ τάδε."

Ἄβδηρα θάλασσα, καὶ ὄνομα πόλεως. ὁ πολίτης Ἀβδηρίτης. καὶ Φάληρα καὶ Κύθηρα διὰ τοῦ η, Γάδειρα δὲ καὶ Στάγειρα καὶ Τόπειρα καὶ δότειρα διὰ τῆς ει διφθόγγου.

Ἀβδιού ὄνομα κύριον.

ἀβέβαιος ὁ ἀσταθὴς καὶ εὐμετάτρεπτος.

ἀβέβηλα τὰ μὴ βάσιμα χωρία, ἱερὰ δὲ καὶ ὅσια· βέβηλα γὰρ ἐλέγετο τὰ μὴ ὅσια μηδὲ ἱερά, παντὶ δὲ βάσιμα, καὶ βέβηλοι οἱ μὴ κεκοινωνηκότες ἱερῶν. καὶ λόγοι ἀβέβηλοι οἱ ἀπόρρητοι, καὶ ἀβέβηλος ὁ καθαρός.

Ἀβειρών ὄνομα κύριον.

Ἄβελ υἱὸς Ἀδάμ. οὗτος παρθένος καὶ δίκαιος ὑπῆρχε, καὶ ποιμὴν προβάτων, ἐξ ὧν καὶ θυσίαν τῷ θεῷ προσαγαγὼν καὶ δεχθεὶς ἀναιρεῖται φθονηθεὶς ὑπὸ τοῦ ἀδελφοῦ τοῦ Κάιν. ὁ Κάιν δὲ γεωργὸς τυγχάνων, καὶ μετὰ τὴν δίκην χειρόνως βιώσας, στένων καὶ τρέμων ἦν. ὁ γὰρ Ἄβελ τὰ πρωτότοκα τῷ θεῷ καθιερῶν φιλόθεον μᾶλλον ἢ φίλαυτον ἑαυτὸν καθίστη, ὅθεν καὶ διὰ τὴν ἀγαθὴν αὐτοῦ προαίρεσιν ἀπεδέχθη· ὁ δὲ Κάιν δυσσεβῶς ἑαυτῷ ἀπονέμων τὰ πρῶτα γεννήματα, τῷ θεῷ δὲ τὰ δεύτερα, εἰκότως καὶ ἀπεβλήθη. φησὶ γὰρ ⟨Gen. 4 3⟩ "καὶ ἐγένετο μεθ' ἡμέρας τινάς, προσήνεγκε Κάιν ἀπὸ τῶν καρπῶν τῆς γῆς." ὥστε διὰ τοῦτο Κάιν ἐλέγχεται, ὅτι μὴ τὰ ἀκροθίνια γεννήματα προσήνεγκε τῷ θεῷ, ἀλλὰ τὰ μεθ' ἡμέρας τινὰς καὶ δεύτερα.

ἀβελτεροκόκκυξ ὁ κενὸς καὶ ἀβέλτερος.

ἀβέλτερος ἀνόητος, ἀσύνετος· βέλτερος γὰρ ὁ φρόνιμος. οὐ μὰ Δί' οὐχ ὁ πλεονέκτης καὶ ἀγνώμων, ἀλλ' ὁ ἀνόητος καὶ εὐήθης μετὰ χαυνότητος. Μένανδρος ἐν Περινθίᾳ "ὅστις παραλαβὼν δεσπότην ἀπράγμονα καὶ κοῦφον ἐξαπατᾷ θεράπων, οὐκ οἶδ' ὅ τι οὗτος μεγαλεῖόν ἐστι διαπεπραγμένος, ἐπαβελτερώσας τόν ποτε ἀβέλτερον." λέγουσι δὲ καὶ ἀβελτέριον τὴν ἀβελτηρίαν· Ἀναξανδρίδης Ἑλένῃ "ἄγκυρα, λέμβος, σκεῦος ὅ τι βούλει λέγε. ὦ Ἡράκλεις, ἀβελτερίου τεμενικοῦ. ἀλλ' οὐδ' ἂν εἰπεῖν τὸ μέγεθος δύναιτό τις." καὶ ἀβελτηρία ἡ ἀφροσύνη ἢ ἀνοησία. Μένανδρος ⟨p. 440 Nieb.⟩ "εἰς τοῦτο ἀβελτηρίας ἤλασεν αὐτοῖς ὁ νοῦς ὥστε θάτερον μέρος τὴν κατὰ θατέρου μᾶλλον ἢ τὴν κατὰ τῶν πολεμίων εὔχεσθαι νίκην."

ἀβέλτερος νοῦς χαῦνος, εὐήθης, νέος.

ἀβελτερώτατος. Ἀριστοφάνης ⟨Ran. 989⟩ "τέως δ' ἀβελτερώτατοι κεχηνότες Μαμμάκυθοι Μελητίδαι κάθηνται."

ἀβέρβηλος ὁ ἀκατάστατος. λέγεται δὲ καὶ ἀβύρβηλον, ἀναίσχυντον, ἀπεχθές.

Ἀβεσαλὼμ ὄνομα κύριον, ὃς τοῦ ἰδίου πατρὸς Δαβὶδ κατεξανέστη, καὶ ἀνῃρέθη ἐν τῷ πολέμῳ.

Ἀβηρωθαῖος ὄνομα κύριον.

ἀβής ὁ ἀσύνετος.

Ἀβιά ὄνομα κύριον.

Ἀβιαδηνός ἀπὸ πόλεως Ἀβιαδηνῆς.

Ἀβιάθαρ ὄνομα κύριον.

Ἀβίας υἱὸς Ῥοβοὰμ τοῦ υἱοῦ Σολομῶντος, ὃς ἐπολέμησεν Ἱεροβοὰμ τῷ δούλῳ Σολομῶντος, καὶ ἐν μιᾷ ἡμέρᾳ ἀνεῖλεν ἄνδρας δυνατοὺς αφʹ. cf. 2 Chron. 13.

Ἀβίγας ποταμός.

Ἀβιέζερ ὄνομα κύριον.

Ἄβιλα πόλις Φοινίκης, ἐξ ἧς ἦν Διογένης ὁ διασημότατος σοφιστής. τὸ ἐθνικὸν Ἀβιληνός. Steph. B.

Ἀβίλυξ Ἀβίλυκος τὸ ἀντικείμενον ὄρος ἐκ τῆς Λιβύης τῇ Κάλπῃ, ἥτις ἐστὶν ἐν τῇ Εὐρώπῃ, κατὰ τὸν πορθμὸν τῶν Γαδείρων.

Ἀβιμέλεχ ὄνομα κύριον, υἱὸς Γεδεών. οὗτος ἐπάταξε τοὺς ἀδελφοὺς αὐτοῦ ἐκ τῶν ἐλευθέρων, ἄνδρας ὁ ἐπὶ λίθον ἕνα, ἐξ ὧν οὐκ ἀπελείφθη πλὴν Ἰωάθαμ τοῦ νεωτέρου διαδράντος, ὃς καὶ παραπορευομένου τοῦ Ἀβιμέλεχ μετὰ τοῦ λαοῦ ἀνῆλθεν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἐπάρας τὴν φωνὴν αὐτοῦ ἔφη πρὸς αὐτοὺς παραβολὴν τοιαύτην. "ἀκούσατέ μου ἄνδρες Σικίμων, καὶ ἀκούσεται ὑμῶν ὁ θεός. πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ χρῖσαι βασιλέα ἐφ' ἑαυτῶν, καὶ εἶπον τῇ ἐλαίᾳ 'βασίλευσον ἐφ' ἡμῶν.' καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία 'ἀφεῖσα τὴν πιότητά μου, ἣν ἐδόξασεν ἐν ἐμοὶ ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν ξύλων;' καὶ εἶπον τὰ ξύλα τῇ συκῇ 'δεῦρο, βασίλευσον ἐφ' ἡμῶν.' καὶ εἶπεν αὐτοῖς ἡ συκῆ 'ἀφεῖσα τὴν γλυκύτητά μου καὶ τὸ γέννημά μου τὸ ἀγαθὸν πορευθῶ ἄρχειν τῶν ξύλων;' καὶ εἶπον τὰ ξύλα πρὸς τὴν ἄμπελον 'δεῦρο, βασίλευσον ἐφ' ἡμῶν.' καὶ εἶπεν αὐτοῖς ἡ ἄμπελος 'ἀφεῖσα τὸν οἶνόν μου καὶ τὴν εὐφροσύνην τῶν ἀνθρώπων πορευθῶ ἄρχειν τῶν ξύλων;' καὶ εἶπον πάντα τὰ ξύλα τῇ ῥάμνῳ 'δεῦρο, σὺ βασίλευσον ἐφ' ἡμῶν'. καὶ εἶπεν ἡ ῥάμνος πρὸς τὰ ξύλα 'εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς τοῦ βασιλεύειν ἐφ' ὑμῶν, δεῦτε, ὑπόστητε ἐν τῇ σκιᾷ μου· καὶ εἰ μή, ἐξέλθοι πῦρ ἀπ' ἐμοῦ καὶ καταφάγοι τὰς κέδρους τοῦ Λιβάνου.' καὶ νῦν εἰ ἐν ἀληθείᾳ καὶ ὁσιότητι ἐποιήσατε μετὰ τοῦ πατρός μου καὶ μετὰ τοῦ οἴκου αὐτοῦ, καὶ ἐβασιλεύσατε τὸν Ἀβιμέλεχ υἱὸν τῆς παιδίσκης αὐτοῦ ἐπὶ τοὺς ἄνδρας Σικίμων, εὐφρανθείητε ἐν αὐτῷ, καὶ εὐφρανθείη γε καὶ αὐτὸς ἐν ὑμῖν· εἰ δὲ μή, ἐξέλθοι πῦρ ἐξ Ἀβιμέλεχ καὶ καταφάγοι τοὺς ἄρχοντας ὑμῶν καὶ τοὺς οἴκους αὐτῶν, καὶ ἐξέλθοι πῦρ ἐκ τῶν ἀνδρῶν Σικίμων καὶ καταφάγοι τὸν Ἀβιμέλεχ." καὶ ἀπέδρα Ἰωάθαμ ἀπὸ προσώπου Ἀβιμέλεχ ἀδελφοῦ αὐτοῦ. ὁ δὲ Ἀβιμέλεχ ἦρξεν ἐπὶ τὸν Ἰσραὴλ ἔτη τρία, καὶ ἐξαπέστειλεν ὁ θεὸς πνεῦμα πονηρὸν ἀναμέσον Ἀβιμέλεχ καὶ ἀναμέσον ἀνδρῶν Σικίμων, καὶ ἠθέτησαν οἱ ἄνδρες Σικίμων ἐν τῷ οἴκῳ Ἀβιμέλεχ τοῦ ἐπαγαγεῖν ἀδικίαν καὶ τὸ αἷμα τῶν ὁ υἱῶν Γεδεὼν ἐπὶ τὴν κεφαλὴν Ἀβιμέλεχ. καὶ γὰρ ἀπελθὼν πολεμῆσαι πύργον ὥστε καθελεῖν, καὶ προσεγγίσας τῇ θύρᾳ τοῦ πύργου ἐμπρῆσαι αὐτήν, συνετρίβη τὴν κεφαλήν, κλάσμα μύλου γυναικὸς ἐνεγκούσης κατ' αὐτοῦ. καὶ εἶπε πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ "σπάσον τὴν ῥομφαίαν σου, καὶ θανάτωσόν με, μή ποτε εἴπωσι, γυνὴ αὐτὸν ἀπέκτεινε." καὶ κεντῆσαν αὐτὸν τὸ παιδάριον ἀνεῖλε. καὶ ἐπέστρεψεν ὁ θεὸς τὴν πονηρίαν Ἀβιμέλεχ, ἣν ἐποίησε τῷ πατρὶ αὐτοῦ ἀποκτείνας τοὺς ὁ ἀδελφοὺς αὐτοῦ. καὶ πᾶσαν τὴν πονηρίαν ἀνδρῶν Σικίμων ἐπέστρεψεν ὁ θεὸς εἰς τὴν κεφαλὴν αὐτῶν κατὰ τὸν λόγον καὶ κατὰ τὴν παροιμίαν Ἰωάθαμ. Iudic. 9.

Ἄβιννα ὄνομα πόλεως.

ἄβιος. Ἀντιφῶν τὸν ἄβιον ἐπὶ τοῦ πολὺν τὸν βίον τύττει κεκτημένου, ὥσπερ καὶ Ὅμηρος ⟨Λ 155⟩ τὸ ἄξυλον ἀντὶ τοῦ πολύξυλον. Harp.

Ἀβιούδ ὄνομα κύριον.

Ἀβισάκ ὄνομα κύριον.

Ἀβίσαρος ὄνομα τόπου.

Ἄβιτος ὄνομα κύριον· "Ἄβιτος τὴν ἀσκητικὴν καλύβην ἐπήξατο."

ἀβίωτον κακόν, ἀηδές, ὀδυνηρόν. "ὃ δὲ ἀβιώτως εἶχεν, εἰ μὴ κρατήσει τῆς πόλεως." καὶ ἀβίωτος ὁ μὴ ζῶν.

ἀβλεμέως ἀφροντίστως, παρὰ τὸ μέλειν ἀμελέως, καὶ ἐν ὑπερθέσει, καὶ πλεονασμῷ τοῦ β, ἀβλεμέως. οὕτως Ὠρίων (p. 14).

ἀβλεπτήματι ἁμαρτήματι· "ὃ δὲ φέρων ἐκαρτέρει τὰ τῶν ἰδιωτῶν ἀβλεπτήματα, τὰ δὲ τῶν λογικωτέρων αὐτὸν ἠνία." καὶ ἀβλεπτοῦντες· "οἳ δὲ ἀβλεπτοῦντες καὶ αἰδούμενοι ἀντοφθαλμεῖν πρὸς τὸν Φίλιππον ἐβοήθουν" (Polybius?).

Ἄβληρος ὄνομα κύριον. Hom. Z 32.

ἀβλῆτα βέλη τὰ μὴ πεμφθέντα εἰς τρῶσιν, καὶ ἀβλῆτα ὀιστὸν τὸν κακόβλητον, ἢ τὸν καινὸν καὶ μήπω βεβλημένον, ἀλλὰ νεοπαγῆ καὶ ἀκέραιον τὸν ἰὸν ἐν αὐτῷ ἔχοντα. κλίνεται δὲ διὰ τοῦ τος, οἷον ἀβλής ἀβλῆτος. τὰ γὰρ εἰς σ λήγοντα ὀξύτονα σύνθετα, ἀπὸ ῥημάτων γινόμενα, μίαν συλλαβὴν φυλάττοντα τοῦ παθητικοῦ παρακειμένου, διὰ καθαροῦ τοῦ τος κλίνονται, εἴτε εἰς ως ὦσιν εἴτε εἰς ης εἴτε εἰς ας, οἷον κέκραται-χαλκοκράς χαλκοκρᾶτος ὁ χαλκῷ κεκραμένος, νεοκράς νεοκρᾶτος ὁ νεωστὶ κεκραμένος. βέβληται - ἀβλής ἀβλῆτος ὁ μὴ βληθείς, τέτρωται - ἀτρώς ἀτρῶτος ὁ μὴ τρωθείς, πέπτωται - ἀπτώς ἀπτῶτος ὁ μὴ πεσών, ἔγνωσται - ἀγνώς ἀγνῶτος ὁ ἄγνωστος, τέθνηκα - ἡμιθνής ἡμιθνῆτος ὁ ἡμιθανής.

ἀβληχρὸν ἀσθενές· βληχρὸν γὰρ τὸ ἰσχυρόν. Αἰλιανός "κατέστρεψεν οὖν τὸν βίον πράως καὶ σὺν γαλήνῃ καὶ ἀβληχρῷ θανάτῳ, ὅνπερ οὖν ἐπαινεῖν καὶ Ὅμηρος (λ 135) δοκεῖ μοι."

ἀβολήτωρ καὶ ἄβολις ἢ ἄβολος ὄνος ὁ μηδέπω βεβληκὼς ὀδόντας, ἐξ οὗ γνωρίζεται ἡ ἡλικία τοῦ ζώου. ἐκ δὲ τούτου ὁ νέος, οὐδέπω γνώμονα ἔχων· γνώμονα δε ἔλεγον τὸν βαλλόμενον ὀδόντα, δι' οὗ τὰς ἡλικίας ἐξήταζον. τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον, ἐκ μεταφορᾶς τῶν τετραπόδων. καὶ ἀπογνώμονας τοὺς ἀπογεγηρακότας, οὓς ἐλελοίπει τὸ γνώρισμα. καὶ ἀβόλους τοὺς μηδέπω βεβληκότας ὀδόντας.

Ἀβοριγῖνες ἔθνος Ἰταλικόν. καὶ Ἀβοριγῖνοι δέ.

ἀβουλεί ἀβούλως, ἀφρόνως, ἀμαθῶς· "ὃ δὲ οὐ σφόδρα στοχαζόμενος τῆς τοῦ βασιλέως γνώμης ἀβουλότατα διεπράξατο" (Polybius?).

ἀβουλεῖν μὴ βουλεύεσθαι ἢ μὴ βούλεσθαι Πλάτων (Rp. 4 p. 437).

ἀβούλητον κακὸν ἀθέλητον, ὃ οὐ θέλει τις. καὶ ἀβούλητος ὁ μὴ βουλόμενος. Ἀβούλιτος δὲ ὄνομα κύριον, διὰ τοῦ ἰῶτα.

ἀβουλία ἀπαιδευσία, ἄνοια καὶ μωρία.

ἀβούλως ἀφρόνως, ἀμαθῶς, κακῶς, ἄνευ λόγου.

ἄβρα οὔτε ἡ ἁπλῶς θεράπαινα οὔτε ἡ εὔμορφος θεράπαινα λέγεται, ἀλλ' οἰκότριψ γυναικὸς κόρη καὶ ἔντιμος, εἴτε οἰκογενὴς εἴτε μή. Μένανδρος Ψευδηρακλεῖ "μήτηρ τέθνηκε ταῖν ἀδελφαῖν ταῖν δυοῖν ταύταιν, τρέφει δὲ παλλακή τις τοῦ πατρὸς αὐτάς, ἄβρα τῆς μητρὸς αὐτῶν γενομένη." καὶ Σικυωνίῳ "ἄβραν γὰρ ἀντωνούμενος ἐρωμένην ταύτῃ μὲν οὐ παρέδωκ' ἔχειν, τρέφειν δὲ χωρίς, ὡς ἐλευθέρᾳ πρέπει. ἄπιστον· ᾤμην, εἰ τὸ χρυσίον λάβοι ὁ γέρων, θεράπαιναν εὐθὺς ἠγορασμένην ἄβραν ἔσεσθαι." Ἰάμβλιχος (Babylon.) "ἐπεὶ δὲ τοῦτο χαλεπὸν ἦν καὶ σπάνιόν τι τῆς τε οἰκουροῦ φυλαττούσης καὶ ἄβρας τινὸς ἄλλης συμπαρούσης, ἀναπείθει τὴν κόρην λαθοῦσαν τοὺς γονεῖς ἀποδρᾶναι."

Ἀβραάμ ὁ πρῶτος ἐν πατριάρχαις, εἰς ὃν ἀπεσεμνύνετο δῆμος ὁ τῶν Ἑβραίων τὸ πρότερον, πρὶν ἢ θεοῦ ἀποσκιρτῆσαι καὶ γενέσθαι τούτου ἀλλότριοι καὶ τὸ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ αἷμα ἐφ' ἑαυτοὺς ἐπισπάσασθαι. οὗτος ἐκ μὲν τῆς Χαλδαίων γῆς ὑπῆρχεν ὁρμώμενος, τῶν περὶ τὰ μετέωρα καὶ τοὺς ἀστέρας τὸν βίον ὅλον καταναλισκόντων. ἀσκηθεὶς οὖν κατὰ τὸν πάτριον νόμον τὰς τῶν ἐπουρανίων ἀστέρων κινήσεις, καὶ στοχασάμενος ὡς οὐκ ἐν τούτοις ἵσταται τὸ μεγαλουργὸν τῆς φαινομένης ταυτησὶ κτίσεως, ἀλλ' ἔχει τινὰ τὸν δημιουργὸν καὶ κινοῦντα καὶ διευθύνοντα τὴν ἐναρμόνιον τῶν ἀστέρων πορείαν καὶ τοῦ κόσμου παντὸς τὴν κατάστασιν, καὶ διὰ τοῦ μεγέθους καὶ τῆς καλλονῆς τῶν κτισμάτων τὸν γενεσιουργὸν αὐτῶν, ὡς ἐνῆν, θεωρήσας, οὐκ ἔστη μέχρι τούτων, οὐδὲ τὴν ἔφεσιν εἰς ταῦτα κατεδαπάνησεν, ἀλλὰ τῶν οὐρανίων ἀψίδων ὑπεραρθεὶς καὶ πᾶσαν διαβὰς τήν νοητήν τε καὶ ὑπερκόσμιον σύμπηξιν οὐκ ἀπέστη τοῦ ζητουμένου, ἕως οὗ ὁ ποθούμενος ἑαυτὸν αὐτῷ ἐφανέρωσε τύποις τε καὶ μορφώμασιν, καὶ οἷς ἑαυτὸν ἐμφανίζει ὁ ἀφανὴς καὶ ἀόρατος. καὶ μετανάστην αὐτὸν ἐκ τῆς πατρίδος λα-

βὼν ἐπὶ τὴν Χαναναῖτιν κατέστησε, τὸν ἐνενηκοστόν που καὶ ἔνατον ἤδη χρόνον παρελκοντα· καὶ ἄπαιδα μέχρι τότε τυγχάνοντα γεννήτορα τοῦ θαυμασίου καὶ μάκαρος κατέστησεν Ἰσαάκ, ἵν' ἔχοι μονογενῆ υἱὸν καὶ πρωτότοκον τοῦ μονογενοῦς καὶ πρωτοτόκου μυστικὴν εἰκόνα προδιαγράφοντα, τοῦτο γέρας αὐτῷ κατ' ἐξαίρετον χαρισάμενος, τὸ δοῦλον καὶ φίλον καὶ πατέρα χρηματίσαι τοῦ μονογενοῦς υἱοῦ κατὰ σάρκα, τοῦ τὸν κόσμον ὅλον δημιουργήσαντος. οὗτος εὗρεν ἱερὰ γράμματα, καὶ γλῶσσαν ἐμηχανήσατο ἧς Ἑβραίων παῖδες ἐν ἐπιστήμῃ ἐτύγχανον ὡς ὄντες τούτου μαθηταὶ καὶ ἀπόγονοι. ἐκ τούτου καὶ τὰ Ἑλλήνων γράμματα τὰς ἀφορμὰς ἔλαβε, κἂν ἄλλως ἑαυτοὺς διαπαίζοντες ἀναγράφωσιν Ἕλληνες. καὶ τούτου μαρτύριον ἡ τοῦ ἄλφα φωνὴ τοῦ πρώτου στοιχείου καὶ ἄρχοντος, ἀπὸ τοῦ ἄλεφ Ἑβραϊκοῦ λαβόντος τὴν ἐπίκλησιν τοῦ μακαρίου καὶ πρώτου καὶ ἀθανάτου ὀνόματος. ἐκ τούτου καὶ τὰ ὀνείρων βιβλία ἐσφετερίσαντο Ἕλληνες. καὶ μάρτυς Ἰωσὴφ ὁ πανθαύμαστος, ὁ τούτου ἀπόγονος, ὁ τοῦ Φαραὼ τὰ ἐνύπνια ὡς ἔμελλον ἀποβήσεσθαι διηγούμενος. τοῦτό μοι καὶ Φίλων, ἐξ Ἑβραίων φιλόσοφος, ἐν τῷ τοῦ πολιτικοῦ βίῳ συνεπιμαρτυρήσεται, Φίλων περὶ οὗ ἐρρέθη "Φίλων πλατωνίζει καὶ Πλάτων φιλωνίζει."

ὅτι ἤρξατο ἡ εἰδωλολατρία ἀπὸ Σεροὺχ ἕως τῶν χρόνων Θάρα τοῦ πατρὸς Ἀβραάμ, ὃς Ἀβραὰμ ὑπάρχων ἐτῶν ιδ' καὶ θεογνωσίας ἀξιωθεὶς ἐνουθέτει τὸν πατέρα αὐτοῦ, λέγων "τί πλανᾷς τοὺς ἀνθρώπους διὰ κέρδος ἐπιζήμιον;" τουτέστι τὰ εἴδωλα. "οὐκ ἔστιν ἄλλος θεὸς εἰ μὴ ὁ ἐν τοῖς οὐρανοῖς, ὁ καὶ πάντα τὸν κόσμον δημιουργήσας." ὁρῶν γὰρ τοὺς ἀνθρώπους κτισματολατροῦντας, διήρχετο τὸ πᾶν διαπονούμενος καὶ τὸν ὄντως ὄντα θεὸν ἐκζητῶν ἐκ φιλοθέου καρδίας. ὁρῶν δὲ τὸν οὐρανὸν ποτὲ μὲν λαμπρὸν ποτὲ δὲ σκοτεινόν, ἔλεγεν ἐν ἑαυτῷ "οὐκ ἔστιν οὗτος θεός." ὁμοίως καὶ τὸν ἥλιον καὶ τὴν σελήνην, τὸν μὲν ἀποκρυπτόμενον καὶ ἀμαυρούμενον τὴν δὲ φθίνουσαν καὶ ἀπολήγουσαν, ἔφησεν "οὐδ' οὗτοί εἰσι θεοί." καὶ μέντοι καὶ τὴν τῶν ἀστέρων κίνησιν (ἐκ τοῦ πατρὸς γὰρ ἐπαιδεύετο τὴν ἀστρονομίαν) ἀπορῶν ἐδυσχέραινεν. ὤφθη δὲ αὐτῷ ὁ θεός, καὶ λέγει αὐτῷ "ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου." καὶ λαβὼν τὰ εἴδωλα τοῦ πατρός, καὶ τὰ μὲν κλάσας τὰ δὲ ἐμπυρίσας, ἀνεχώρησε μετὰ τοῦ πατρὸς ἐκ γῆς Χαλδαίων. καὶ ἐλθόντων εἰς Χαρρὰν ἐτελεύτησεν ὁ πατὴρ αὐτοῦ. καὶ ἐξελθὼν ἐκεῖθεν ἐν λόγῳ κυρίου ἦλθε σὺν τῇ γυναικὶ Σάρρᾳ καὶ τῷ ἀνεψιῷ Λὼτ μετὰ πάσης αὐτῶν τῆς ἀποσκευῆς εἰς τὴν ὀφειλομένην γῆν Χαναάν, ἣν οἱ Χαναναῖοι τυραννικῶς ἀφελόμενοι ᾤκησαν. λιμοῦ δὲ γενομένου καταλιπὼν τὴν Χαναναίων γῆν εἰς Αἴγυπτον ἀπῄει, οὗ καὶ γυναῖκα Σάρραν Ἀβιμέλεχ ἥρπασεν ὁ βασιλεύς. τοῦτον ὁ θεὸς ἐκδειματώσας, καὶ πάρεσιν τῶν μελῶν ἐπάξας, "ἀπόδος" ἔφη "τῷ ἀνθρώπῳ τὴν γυναῖκα, ὅτι προφήτης ἐστί, καὶ προσεύξεται περὶ σοῦ καὶ ζήσεις. εἰ δὲ μὴ ἀποδῷς, γνῶθι ὅτι ἀποθανῇ σὺ καὶ τὰ σὰ πάντα." καὶ οὕτως ἀπολαβὼν τὴν γυναῖκα ἀμίαντον καὶ προσευξάμενος ἰαθῆναι ἐποίησε τῆς παρέσεως τὸν Ἀβιμέλεχ καὶ τὸν οἶκον αὐτοῦ. καὶ ἔκτοτε τιμῶν αὐτὸν ὁ βασιλεὺς καὶ προσέχων ἦν τοῖς ὑπ' αὐτοῦ λεγομένοις. διδάσκαλος οὖν ὁ Ἀβραὰμ εὐσεβείας καὶ πολυπειρίας Αἰγυπτίοις ἐγένετο. ὁ αὐτὸς Ἄβραμ ἐπιστρέφων ἐκ τοῦ πολέμου τῆς εὐλογίας τοῦ Μελχισεδὲκ κατηξίωται, τοῦ βασιλέως Σαλήμ, ὃς ἐξήνεγκεν αὐτῷ ἄρτους καὶ οἶνον. ἦν δὲ καὶ ἱερεὺς τοῦ ὑψίστου, καὶ ἔδωκεν αὐτῷ Ἄβραμ δεκάτην ἀπὸ πάντων. ἦν δὲ ὁ Μελχισεδὲκ ἀπάτωρ ἀμήτωρ ἀγενεαλόγητος, ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ. τῷ δὲ Ἄβραμ ἀτεκνίαν ὀλοφυρομένῳ καθ' ὕπνους ἐπιδείξας ὁ θεὸς τοὺς ἀστέρας, κατὰ τὸ πλῆθος αὐτῶν ἔσεσθαί οἱ τὸ σπέρμα προεδήλου. ὁ δὲ ἐπίστευσε τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἡ δὲ Σάρα στεῖρα οὖσα συνεχώρησεν Ἄβραμ ἀπὸ τῆς παιδίσκης παιδοποιήσασθαι, καὶ ἔσχε τὸν Ἰσμαήλ. ἐνενήκοντα δὲ καὶ ἐννέα ἐτῶν ὄντι τῷ Ἄβραμ ἐπιφανεὶς ὁ θεὸς Ἀβραὰμ μετωνόμασεν· Ἄβραμ γὰρ πρώην ὠνομάζετο. ὁμοίως δὲ καὶ τὴν Σάραν Σάρραν, προσθεὶς καὶ ἕτερον ρ. καὶ περιέτεμε τὸν Ἰσμαὴλ καὶ πάντας τοὺς ἐξ αὐτοῦ. κύριος δὲ τῷ Ἀβραὰμ ἐπιξενωθεὶς ἐπηγγείλατο τέξεσθαι Σάρραν αὐτῷ παῖδα. ἡ δὲ ἐμειδίασε, καὶ Ἰσαὰκ τὸ γεννηθὲν προσηγορεύθη φερωνύμως τῷ μεθ' ἡδονῆς γέλωτι κατὰ τὴν Ἑβραΐδα διάλεκτον.

ἁβρὰ βαίνων θρυπτόμενος, βλακευόμενος. "ἐκεῖνος ὄντως ἁβρὰ βαίνων ἐδόκει, ἔχων τὰς ὀφρῦς ὑπερηρμένας ἄνω."

ἁβραῖς ἁπαλαῖς, τρυφεραῖς. Αἰλιανός "ἐπὶ κλίναις μάλα ἁβραῖς καὶ στρωμναῖς ὕφει τινὶ ὑπερηφάνῳ κεκοσμημέναις ἐπιθέντας." cf. v. δᾴς.

Ἀβραμιαῖος ὁ ἀπόγονος Ἀβραάμ. ἢ γιγαντιαῖος, ἱεροπρεπής.

Ἀβρανῖτις χώρα.

Ἀβρέας ὄνομα κύριον.

Ἀβρεττανὴ χώρα ἡ λεγομένη Μυσία, ἀπὸ Βρετίας νύμφης. Steph. B.

Ἀβρηλία χώρα. καὶ Ἀβρηλιανὸς καὶ Ἀβρήλιος ὀνόματα κύρια.

ἀβρικέστερον τὸ ἀληθέστερον.

ἄβρικτον τὸ δύσκωφον ἤτοι ἐκ μέρους ἀκοῦον.

ἀβρίξαι τὸ ἀπὸ βορᾶς νυστάξαι ἢ κοιμηθῆναι.

Ἀβριόριξ ὄνομα κύριον.

Ἀβρογάστης Φράγγος, ὃς κατὰ ἀλκὴν σώματος καὶ θυμοῦ τραχύτητα φλογοειδὴς ἦν, δευτεραγωνιστὴς τυγχάνων Βαύδωνος. ἄλλως τε ἦν καὶ πρὸς σωφροσύνην πεπηγώς τε καὶ διηρθρωμένος, καὶ πρὸς χρήματα πόλεμον πολεμῶν ἄσπονδον· διέφερε γοῦν τῶν εὐτελῶν στρατιωτῶν ὅσον γε εἰς πλοῦτον οὐδέν. καὶ διὰ τοῦτο ἐδόκει τῷ βασιλεῖ Θεοδοσίῳ χρήσιμος, ὅς γε πρὸς τὸν Οὐαλεντινιανοῦ τρόπον, ἀρρενωπὸν ὄντα καὶ δίκαιον, καὶ τὸ παρ' ἑαυτοῦ βάρος ἐπετίθει καθάπερ ὀρθὸν καὶ ἀστραβῆ τινὰ κανόνα τοῖς βασιλείοις, πρὸς τὸ μηδὲν τῶν περὶ τὴν αὐλὴν παραβλάπτεσθαι ἢ ἁμαρτάνεσθαι. Eunap. p. 111 Nieb.

ἁβροδιαίτῃ τρυφερᾷ ζωῇ καὶ ἁπαλῇ. καὶ ἁβροδίαιτος τρυφητής, τρυφερόβιος· "τοῖς δὲ Ῥωμαίοις οὐκ ἐς τὸ ἁβροδίαιτον ὁ βίος· ἄλλως δὲ ὡς φιλοπόλεμοί τέ εἰσι καὶ φερέπονοι" (Menand. Exc. leg. p. 312). σημαίνει δὲ καὶ τὸν πλουσίως ζῶντα. καὶ ἁβρότητι τρυφερότητι, ἁπαλότητι.

Ἄβροι παροξυτόνως ἔθνος πρὸς τῷ Ἀδρίᾳ. Steph. B.

Ἀβροκόμας. οὗτος σατράπης ἦν Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως. Harp.

ἀβρόμιος χωρὶς οἴνου· "ἣν ὀλοοῦ διὰ καῦμα φύγω πυρός, εἰς ἑκατόν σοι ἠελίους δροσερᾶν πίομαι ἐκ λιβάδων ἀβρόμιος καὶ ἄοινος" ἐν ἐπιγράμματι (AP 6 291).

ἄβρομος ὁ θορυβώδης.

ἁβρὸν παρὰ Ἡροδότῳ (1 71, 4 104) καλόν, αὔθαδες, σεμνόν, τρυφερόν.

ἁβρός λαμπρός, τρυφερός, ἁπαλός· ἐν ἐπιγράμματι (AP 6 54) "ἁβρὸν ἐπιτρύζων κιθάρας ὕπερ ἵζετο τέττιξ." "ὅμως δὲ ὁ τρυφερὸς ἐκεῖνος καὶ ἁβρὸς καὶ ὑπὸ μαλακίας τοῦ σώματος κατεαγὼς καὶ λελυγισμένος, καὶ τάς τε κόμας ἀναδούμενος ὥσπερ αἱ τῶν ἑταιρίδων ἀσελγέστεραι, καὶ μυροσταγὲς ἔχων ἀεὶ τὸ μέτωπον καὶ τοὺς βοστρύχους, λαβὼν χρυσίον ἐκ τῶν κοινῶν συμφορῶν ὅσον ἱκανὸν ἦν ἐμπλῆσαι καὶ τὸν ἐκ μύθου Μίδαν, εἰσέρρει πρὸς τὸν βασιλέα" (cf. v. ἐρύθημα). "ἁβρὸς λειμὼν καὶ νοτερὸς καὶ εὐθαλής." "πάντας δὲ ὡς ἁβρότατά τε καὶ ἅμα εἰς ἔκπληξιν κατὰ πλοῦτον, τῷ γε δὴ πλοῦτον θαυμάζοντι, ἐσταλμένους."

ἁβροσύνη φαιδρότης.

ἀβροτάζω ἁμαρτάνω.

ἁβρότερον· "ἀλλ' ἁβρότερον αὐτῶν εἶχον, καὶ Συβάριδος μεστοὶ ἦσαν" (Philostrat. V. A. 4 27).

ἀβρότη ἡ νύξ, παρὰ τὸ ἐστερῆσθαι βροτῶν.

ἀβροτήμων ἁμαρτωλός.

ἄβροτον ἄψυχον, ἀναίσθητον.

ἁβροχίτων τρυφερὰ φορῶν.

ἁβρύνεται κοσμεῖται, θρύπτεται, καυχᾶται.

Ἄβρων Φρὺξ ἢ Ῥόδιος, γραμματικός, μαθητὴς Τρύφωνος, σοφιστεύσας ἐν Ῥώμῃ, γεγονὼς δὲ ἐκ δούλων, ὥς φησιν Ἕρμιππος.

Ἄβρωνος βίος ἐπὶ τῶν πολυτελῶν· Ἄβρων γὰρ παρ' Ἀργείοις ἐγένετο πλούσιος. ἢ καὶ ἀπὸ τοῦ ἁβροῦ. καὶ Ἀβρώνειος.

Ἀβυδηνὸν ἐπιφόρημα. ὅταν ἀκαίρως ἐπιφανέντος τινὸς ἀηδία τις ᾖ, εἰώθαμεν λέγειν "Ἀβυδηνὸν ἐπιφόρημα" διὰ τὸ τοὺς Ἀβυδηνούς, ὅταν τινὰ τῶν πολιτῶν ἢ ξένων ἑστιῶσι, μετὰ τὸ μύρον καὶ τοὺς στεφάνους τὰ παιδία περιφέρειν φιληθησόμενα, τῶν δὲ τιθηνῶν θορυβουσῶν τῶν τε παιδίων κεκραγότων ἐνοχλεῖσθαι τοὺς παρόντας. ἀφ' οὗ εἴθισται λέγειν τὸ προκείμενον.

Ἄβυδος πόλις. ἐπὶ συκοφάντου τάττεται ἡ λέξις διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς

Ἀβυδηνούς. καὶ ἐπίρρημα Ἀβυδόθι ἐν Ἀβύδῳ. καὶ Ἄβυδον φλυαρίαν τὴν πολλήν. καὶ Ἀβυδηνός ὁ ἀπὸ Ἀβύδου.

Ἀβυδών Ἀβυδῶνος χωρίον Μακεδονίας, ὡς Στράβων (7 fr. 23). "τηλόθεν ἐξ Ἀβυδῶνος, ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος" (Hom. B 849).

ἀβύρβηλον ἀναίσχυντον, ἀπεχθές. καὶ ἀβέρβηλος ὁ πολύς, ὁ μέγας, ἢ ὁ καταφορής. λέγεται καὶ ἀβέρβηλος, ὡς καὶ πρὸ ὀλίγου γέγραπται, ὁ ἀκατάστατος.

ἀβυρτάκη ὑπότριμμα βαρβαρικόν, κατασκευαζόμενον διὰ πράσων καὶ καρδάμων καὶ ῥοιᾶς κόκκων καὶ ἑτέρων τοιούτων, δριμὺ δηλονότι. Θεόπομπος Θησεῖ "ἵξει δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων πλείστων ποιεῖται καὶ πράσων ἀβυρτάκη." ἔστι δὲ καὶ ἐν Κεκρυφάλῳ Μενάνδρου τοὔνομα.

ἄβυσσον καλεῖ τὴν ὑγρὰν οὐσίαν ἡ θεία γραφή. ἐπεὶ γοῦν ἡ γῆ πανταχόθεν ὕδασι περιέχεται, μεγάλοις καὶ μικροῖς πελάγεσιν, εἰκότως ἄβυσσον περιβόλαιον αὐτῆς εἴρηκεν ὁ Δαβίδ. καὶ "ἄβυσσος ἄβυσσον ἐπικαλεῖται" ὁ αὐτὸς προφήτης φησίν, τὰ στρατιωτικὰ λέγων τάγματα καὶ τὴν τοῦ πλήθους ὑπερβολὴν τροπικῶς. "ὡς ἐν ἀβύσσῳ τινὶ ὑποβρύχιος ἐγενόμην." ἄβυσσος οὖν ὑδάτων πλῆθος πολύ. Theodoret. in Ps. 103 6 et 41 8.

ἄβυσσος, ἣν οὐδὲ βυθὸς χωρῆσαι δύναται. Ἴωνες δὲ τὸν βυθὸν βυσσόν φασιν, ὅθεν δοκεῖ λέγεσθαι καὶ βυσσοδομεύειν. παρὰ τὸ δύνω τὸ ὑπέρχομαι, κατὰ τροπὴν βύω, βύσω βέβυσμαι βυσσός, καὶ ἄβυσσος, οὗ οὐδεὶς εἰσέρχεται διὰ τὸ βάθος. Ἀριστοφάνης Βατράχοις (137) "εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ ἄβυσσον." καὶ οὐδετέρως φησὶν ὁ αὐτός "ἕως ἂν ᾖ τὸ ἀργύριον τὸ ἄβυσσον παρὰ τῇ θεῷ, οὐκ εἰρηνεύσουσιν·" ἐν γὰρ τῇ ἀκροπόλει χίλια τάλαντα ἀπέκειτο. sch A. Lys. 174.

ἄβυσσος. "ἱερὸν ἦν τῆς Περσεφόνης, πολὺν χρυσὸν ἐκ παντὸς τοῦ χρόνου πεφυλαγμένον ἄθικτον ἔχον, ἐν ᾧ χρυσός τις ἄβυσσος, ἀόρατος τοῖς πολλοῖς κατὰ γῆς κεκρυμμένος." cf. v. Πύρρος.

Ἀβώνου τεῖχος πόλις ἐν τῷ Εὐξείνῳ πόντῳ. καὶ Ἀβωνοτειχίτης τὸ ἐθνικόν.

Ἄβωρα ὄνομα τόπου.

ἀγάγῃς αὐθυπότακτον. καὶ ἀγάγωμεν.

ἀγάζω γενικῇ.

ἀγαθά. ἐπὶ τῶν πρὸς ἀπόλαυσιν καὶ εὐωχίαν σιτίων καὶ ποτῶν ἐχρήσατο Ξενοφῶν (Anab. 4 4 9) τῇ λέξει. καὶ "ἀγαθὰ Κιλίκων·" λείπει τὸ ἔχει, Κιλίκων δὲ ὄνομα κύριον. εὔπορος δὲ ἦν.

Ἀγάθαρχος ὄνομα κύριον. ἦν δὲ ζωγράφος ἐπιφανής, Εὐδήμου υἱός, τὸ δὲ γένος Σάμιος. Harp.

ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτον, ἐπὶ τῶν τὰ δευτερεῖα διδόντων ἢ αἱρουμένων.

ἀγαθῆς τύχης νεώς. οὐκ ἄδηλον τὸ σημαινόμενον. Harp.

Ἀγαθίας σχολαστικὸς Μυριναῖος, ὁ γράψας τὴν μετὰ Προκόπιον ἱστορίαν τὸν Καισαρέα, [τὰ κατὰ Βελισάριον καὶ τὰς ἐν Ἰταλίᾳ καὶ ἐν Λιβύῃ πράξεις] τουτέστι τὰ κατὰ Ναρσῆν ἐν Ἰταλίᾳ καὶ τὰ ἐν Λαζικῇ καὶ Βυζαντίῳ. οὗτος συνέταξε καὶ ἕτερα βιβλία, ἔμμετρά τε καὶ καταλογάδην, τά τε καλούμενα Δαφνιακὰ καὶ τὸν κύκλον τῶν νέων ἐπιγραμμάτων, ὧν αὐτὸς συνῆξεν ἐκ τῶν κατὰ καιρὸν ποιητῶν. συνήκμασε δὲ Παύλῳ τῷ σιλεντιαρίῳ καὶ Μακεδονίῳ τῷ ὑπάτῳ καὶ Τριβουνιανῷ, ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων.

ἀγαθικά τὰ σπουδαῖα.

ἀγαθοεργία. Δαμάσκιος "ὡς δὲ ἑνὶ λόγῳ τὸ πᾶν συλλαβεῖν, ὅπερ ἔφη ὁ Πυθαγόρας ὁμοιότατον ἔχειν τῷ θεῷ τὸν ἄνθρωπον, τοῦτο σαφῶς ἐπὶ τῶν ἔργων αὐτὸς ἐπεδείκνυτο, τὴν ἀγαθοεργὸν προθυμίαν καὶ τὴν ἐς πάντας ἐπεκτεινομένην εὐεργεσίαν, μάλιστα μὲν τὴν ἀναγωγὸν τῶν ψυχῶν ἀπὸ τῆς κάτω βριθούσης παντοίας κακίας, ἔπειτα καὶ τὴν σωτήριον τῶν σωμάτων ἐκ τῆς ἀδίκου ἢ ἀνοσίου ταλαιπωρίας, τὸ δ' αὖ τρίτον ἐπεμελεῖτο τῶν ἔξω πραγμάτων, ὅση δύναμις."

ἀγαθοεργοί αἱρετοὶ κατ' ἀνδραγαθίαν ἐκ τῶν ἱππέων ὑπ' ἐφόρων.

ἀγαθοθέλεια ἡ τῶν ἀγαθῶν ἐκλογή· "οὐκ ἀρκεῖ τοῖς πράγμασιν ἡ ἀγαθοθέλεια μόνον, ἀλλὰ δεῖ καὶ ῥώμης καὶ ἐπιστρεφείας."

ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες, ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον ῥεπόντων.

Ἀγαθοκλῆς. οὗτος ἐγένετο τύραννος, καὶ ὥς φησι Τίμαιος, κατὰ τὴν πρώτην ἡλικίαν κοινὸς πόρνος, ἕτοιμος τοῖς ἀκρατεστάτοις, κολοιός, τριόρχης, πάντων τῶν βουλομένων τοῖς ὄπισθεν ἔμπροσθεν γενόμενος. ὃς ὅτε ἀπέθανε, τὴν γυναῖκά φησι κατακλαιομένην αὐτὸν οὕτω θρηνεῖν, "τί δ' οὐκ ἐγὼ

σέ; τί δ' οὐκ ἐμὲ σύ;" ὅτι δὲ ἐκ φύσεως ἀνάγκη μεγάλα προτερήματα γεγονέναι περὶ τὸν Ἀγαθοκλέα τοῦτον, δῆλον. εἰς γὰρ τὰς Συρακούσας παρεγενήθη φεύγων τὸν τροχόν, τὸν καπνόν, τὸν πηλόν, περί τε τὴν ἡλικίαν ὀκτωκαίδεκα ἔτη γεγονώς, καὶ μετά τινα χρόνον ὁρμηθεὶς ἀπὸ τοιαύτης ὑποθέσεως κύριος μὲν ἐγένετο πάσης Σικελίας, μεγίστοις δὲ κινδύνοις περιέστησε Καρχηδονίους. τέλος ἐγγηράσας τῇ δυναστείᾳ κατέστρεψε τὸν βίον βασιλεὺς προσαγορευόμενος. Polyb. 12 15.

ἀγαθόν. κοινῶς μὲν τό τι ὄφελος, ἰδίως δὲ ἤτοι ταὐτὸν ἢ οὐχ ἕτερον ὠφελείας· ὅθεν αὐτήν τε τὴν ἀρετὴν καὶ τὸ μετέχον αὐτῆς ἀγαθὸν τριχῶς λέγεσθαι. οἷον τὸ ἀγαθὸν ἀφ' οὗ συμβαίνει, ὡς τὴν πρᾶξιν καὶ τὴν ἀρετήν, ὑφ' οὗ δέ, ὡς τὸν σπουδαῖον τὸν μετέχοντα τῆς ἀρετῆς. ἢ οὕτω, τὸ ἀγαθὸν τὸ τέλειον κατὰ φύσιν λογικοῦ ἢ ὡς λογικοῦ. τοιοῦτο δ' εἶναι τὴν ἀρετὴν ὡς μετέχοντάς τε πράξεις τὰς κατ' ἀρετὴν καὶ τὸ σπουδαίους εἶναι, ἐπιγεννήματα δὲ τήν τε χαρὰν καὶ τὴν εὐφροσύνην καὶ τὰ παραπλήσια. ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δὲ ἐκτός, τὰ δὲ οὔτε περὶ ψυχὴν οὔτε ἐκτός, τὰ μὲν περὶ ψυχὴν ἀρετὰς καὶ τὰς κατὰ ταύτας πράξεις, τὰ δὲ ἐκτὸς τό τε σπουδαίαν ἔχειν πατρίδα καὶ σπουδαῖον φίλον καὶ τὴν τούτων εὐδαιμονίαν, τὰ δὲ οὔτε ἐκτὸς οὔτε περὶ ψυχὴν τὸ αὐτὸν ἐν τῷ αὐτῷ εἶναι σπουδαῖον καὶ εὐδαίμονα. ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά, τὰ δὲ τελικὰ καὶ ποιητικά. τὸν μὲν οὖν φίλον καὶ τὰς ὑπ' αὐτοῦ προσγινομένας ὠφελείας ποιητικὰ εἶναι ἀγαθά, θάρσος δὲ καὶ φρόνημα καὶ ἐλευθερίαν καὶ τέρψιν καὶ εὐφροσύνην καὶ ἀλυπίαν καὶ πᾶσαν τὴν κατ' ἀρετὴν πρᾶξιν τελικά· ποιητικὰ δὲ καὶ τελικά, καθὸ μὲν ποιοῦσι τὴν εὐδαιμονίαν, ποιητικά ἐστιν ἀγαθά, καθὸ δὲ συμπληροῦσιν αὐτὰ ὥστε μέρη αὐτῆς γενέσθαι, τελικά, οἷον φίλος καὶ ἐλευθερία καὶ τέρψις. ἔτι τῶν περὶ ψυχὴν ἀγαθῶν τὰ μέν εἰσιν ἕξεις, τὰ δὲ διαθέσεις, τὰ δὲ οὔτε ἕξεις οὔτε διαθέσεις, διαθέσεις μὲν αἱ ἀρεταί, ἕξεις δὲ τὰ ἐπιτηδεύματα, οὔτε δὲ ἕξεις οὔτε διαθέσεις αἱ ἐνέργειαι. κοινῶς δὲ τῶν ἀγαθῶν μικτὰ μέν ἐστιν εὐτεκνία καὶ εὐγηρία, ἁπλοῦν δέ ἐστιν ἀγαθὸν ἐπιστήμη. καὶ ἀεὶ μὲν παρόντα αἱ ἀρεταί, οὐκ ἀεὶ δὲ οἷον χαρά, περιπάτησις. πᾶν δὲ ἀγαθὸν λυσιτελὲς εἶναι καὶ συμφέρον καὶ δέον καὶ χρήσιμον καὶ εὔχρηστον καὶ καλὸν καὶ ὠφέλιμον καὶ δίκαιον καὶ αἱρετόν (Zeno ap. Diog. L. 7 94). ἀγαθὸν δέ ἐστι τὸ πᾶσιν ἐφετόν. καὶ ἔτι ἀγαθόν ἐστιν εἰς ὃ πάντα ἀνήρτηται, αὐτὸ δὲ εἰς μηδέν.

ἀγαθόν. ὁμώνυμός ἐστι φωνή, κατηγορεῖται δὲ τὰ δέκα γένη τοῦ ἀγαθοῦ, τουτέστιν αἱ ι κατηγορίαι. καὶ τὸ μὲν ποιεῖν, ἐπεί ἐστί τινα ἀγαθὰ ὡς ποιητικά. λέγεται γὰρ τὸ ἀγαθοῦ ποιητικὸν ἀγαθόν, οἷον τὸ ὑγιείας ποιητικὸν ἢ ἡδονῆς καὶ ὅλως ὠφέλιμον· τὸ γὰρ ἐν τῷ ἐδέσματι ἀγαθόν, ὡς ποιητικὸν ἀγαθοῦ, ἀγαθόν. τὸ δὲ ποιὸν ὑπὸ τὴν τοῦ ποιοῦ κατηγορίαν. ποτὲ δὲ τὸ ποιὸν ἐπὶ ψυχῆς· ὅταν γὰρ κατηγορήσωμεν τὸ ἀγαθὸν τῆς ψυχῆς, λέγοντες αὐτὴν ἀγαθήν, ποιὰν αὐτὴν εἶναι σημαίνομεν, οἷον σώφρονα ἢ ἀνδρείαν ἢ δικαίαν· ποιότητος δὲ παρουσίᾳ ποιὰ τὰ ποιά. ὁμοίως κἀπ' ἀνθρώπου· ὅταν γὰρ τὸ ἀγαθὸν κατηγορήσωμεν αὐτοῦ, ποιὸν αὐτὸν εἶναι σημαίνομεν, οἷον σώφρονα ἀνδρεῖον δίκαιον φρόνιμον. ἐνίοτε δὲ τὸ ἀγαθὸν τὸ ποτὲ σημαίνει· τὸ γὰρ ἐν τῷ προσήκοντι καιρῷ γινόμενον ἀγαθὸν λέγεται. σημαίνει δὲ ἀγαθὸν καὶ τὸ ποσόν· τὸ γὰρ μέτριον καὶ μὴ ὑπερβάλλον μήτε ἐνδέον εἴη ἂν ποσόν, καθ' ὅσον τοσοῦτόν τι. λέγεται καὶ ὡς οὐσία τι ἀγαθόν, ὡς θεός, νοῦς. λέγεται δὲ καὶ ὡς πρός τι· τὸ γὰρ σύμμετρον οὕτως ἀγαθόν. καὶ ἐν τῷ πάσχειν, ὡς τὸ θεραπεύεσθαι καὶ διδάσκεσθαι. ἔστι τι ἀγαθὸν καὶ ἐν τῷ ποῦ, οἷον τὸ ἐν Ἑλλάδι εἶναι, τὸ ἐν ὑγιεινοῖς χωρίοις εἶναι, τὸ ἐν ἡσυχίαν ἔχουσιν ἢ εἰρήνην. εἴη δ' ἂν καὶ ἐν τῷ κεῖσθαι, ὅταν ᾧ μὲν λυσιτελὲς τὸ καθέζεσθαι καθέζηται, ᾧ δὲ τὸ ἀνακεῖσθαι ἀνάκειται, τῷ πρέποντι φέρε εἰπεῖν.

ἀγαθὸς ὁ φρόνιμος. οὐκ ἐπ' ἴσης δὲ ὁ φρόνιμος καὶ ὁ ἀγαθός· ἐπὶ πλέον γὰρ ὁ ἀγαθός. ἀγαθὸς γὰρ ὁ σώφρων, ὁ ἀνδρεῖος καὶ οἱ λοιποί. ἀγαθοὶ λέγονται καὶ οἱ ἐπιστήμονες· "τοὺς δὲ Δάους ἀγαθοὺς μὲν ἀκοντιστάς, ἀγαθοὺς δὲ καὶ ἐν χερσὶ ποιήσασθαι μάχην."

ἀγαθοῦ δαίμονος. ἔθος εἶχον οἱ παλαιοὶ μετὰ τὸ δεῖπνον πίνειν ἀγαθοῦ δαίμονος, ἐπιρροφοῦντες ἄκρατον, καὶ τοῦτο λέγειν ἀγαθοῦ δαίμονος, χωρίζεσθαι δὲ μέλλοντες Διὸς σωτῆρος. καὶ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνὸς οὕτως ἐκάλουν. καὶ ἐν Θήβαις δὲ ἦν ἡρῷον ἀγαθοῦ δαίμονος.

ὅτι περὶ τἀγαθοῦ βιβλίον συντάξας Ἀριστοτέλης τὰς ἀγράφους τοῦ Πλάτωνος δόξας ἐν αὐτῷ κατατάττει. καὶ μέμνηται τοῦ συντάγματος Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ ψυχῆς ⟨2⟩, ἐπονομάζων αὐτὸ περὶ φιλοσοφίας.

Ἀγάθυρσα πόλις Σικελίας, ὡς Πολύβιος. Steph. B.

Ἀγάθυρσοι ἔθνος ἐνδοτέρω τοῦ Αἵμου, ἢ ἀπὸ Ἀγαθύρσου τοῦ Ἡρακλέους, ἢ ὡς Πείσανδρος ἀπὸ τῶν θύρσων τοῦ Διονύσου. Steph. B.

Ἀγάθων ὄνομα κύριον. ἦν δὲ τραγικός, διεβέβλητο δὲ ἐπὶ μαλακίᾳ. Ἀριστοφάνης ⟨Ran. 83⟩ "Ἀγάθων ποῦ ἔστιν; ἀπολιπών μ' ἀποίχεται. ποῖ γῆς ὁ τλήμων; ἐς μακάρων εὐωχίαν." οὗτος ὁ Ἀγάθων ἀγαθὸς ἦν τὸν τρόπον, ποθεινὸς τοῖς φίλοις καὶ τὴν τράπεζαν λαμπρός. φασὶ δὲ ὅτι καὶ Πλάτωνος συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γέγραπται, πολλῶν ἅμα φιλοσόφων παραχθέντων.

κωμῳδοποιὸς Σωκράτους διδασκάλου. ἐκωμῳδεῖτο δὲ εἰς θηλύτητα.

ἀγαθῶν ἀγαθίδες. τάττεται ἡ παροιμία παρὰ τοῖς κωμικοῖς ἐπὶ τῶν πολλῶν ἀγαθῶν. καὶ ἀγαθῶν θάλασσα ἐπὶ πλήθους ἀγαθῶν, καὶ ἀγαθῶν μυρμηκιὰ ἐπὶ πλήθους εὐδαιμονίας, καὶ ἀγαθῶν σωρὸς ἐπὶ πλήθους ἀγαθῶν καὶ πολλῆς εὐδαιμονίας.

Ἀγαθώνειος αὔλησις ἡ μαλακὴ καὶ ἐκλελυμένη, ἢ ἡ μήτε χαλαρὰ μήτε πικρὰ ἀλλ' εὔκρατος καὶ ἡδίστη.

Ἀγαθώνιος ⟨immo Ἀργανθώνιος⟩ ὄνομα κύριον, ὃς ἐβασίλευσε τῆς Ταρτησσοῦ.

ἀγαίομαι φθονοῦμαι. καὶ ἀγαῖος ὁ ἐπίφθονος.

ἀγακλειτός ὁ ἄγαν ἔνδοξος. καὶ ἀγακλειτή.

ἀγάλακτες ὁμογενεῖς, ὅμαιμοι, ἀδελφοί. ἄλλοι δὲ τοὺς ἱερείων κοινωνοὺς καὶ συγγενεῖς. οἱ δὲ συντρόφους.

Ἀγαλεών ⟨immo Αἰγάλεων⟩ ὄνομα ὄρους. Thuc. 2 19.

ἀγάλλει ποιεῖ, σκευάζει, κοσμεῖ.

ἄγαλμα πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. "καὶ δίδωσιν ἀργύριον, ἵνα ἐκπονήσῃ τὸ ἄγαλμα ἄκρας τέχνης, προσθεὶς τὸ μέγεθος καὶ προσειπὼν τῆς λίθου τὴν φύσιν."

ἄγαλμα Ἀθηνᾶς ἔστιν ἐν τῷ Ἀθηνᾶς, καὶ ἄγαλμα Ἀντιόχου ἐν τῷ βδέλυγμα τῆς ἐρημώσεως, καὶ ἄγαλμα Ἀπόλλωνος ἐν τῷ Ἀπόλλωνος, καὶ ἄγαλμα Διονύσου ἐν τῷ Αὐξέντιος.

ἀγάλματα τὰ τῶν θεῶν μιμήματα, καὶ πάντα τὰ κόσμου τινὸς μετέχοντα. Ὅμηρος ⟨Δ 144⟩ "βασιλῆι δὲ κεῖται ἄγαλμα." καὶ Ἡσίοδος τὸν ὅρμον ἄγαλμα καλεῖ. Πίνδαρος δὲ ⟨Nem. 10 125⟩ τὴν ἐπὶ τάφου στήλην οὕτω καλεῖ, Εὐριπίδης ⟨Alcest. 613⟩ τὸν ἐπὶ νεκροῖς κόσμον. καὶ ἐφ' ᾧ τις ἀγάλλεται. καὶ τὸ εἴδωλον, βρέτας, χάρμα, καλλονή, κόσμος, καύχημα, θαλλοί, ἀνδριάντες, ἐπιγραφαί. ἀγάλματα δὲ καὶ τὰς γραφὰς καὶ τοὺς ἀνδριάντας λέγουσιν. ἀγαλμάτιον δὲ ὑποκοριστικῶς.

ἀγαλματοποιοί, τουτέστι χειρουργοί, οὗτοι ἀκριβεῖς, Λύσιππος Πολύκλειτος Φειδίας. cf. v. χειρουργοί.

ἀγαλματοφορούμενος ἀγάλματα ἤτοι τύπους τῶν νοηθέντων φέρων ἐν ἑαυτῷ. οὕτω Φίλων.

ἀγάλλων ἑαυτὸν σεμνοποιῶν.

ἄγαμαι καρδίας ⟨A. Ach. 464⟩ ἀττικῶς ἀντὶ τοῦ θαυμάζω. Αἰλιανός "ἐπεὶ καὶ τὴν τοῦ Μενέλεω πρὸς τὸν τοῦ Πριάμου Πάριν οὔτε ἐπαινῶ οὔτε ἄγαμαι." ⟨Philostrat. V. A. 4 23⟩ "ἐγὼ δὲ ἄγαμαι καὶ τούσδε τοὺς ἄνδρας, τὸν δὲ Ἀκαρνᾶνα μέγιστον καὶ πρὸ τούτων· ἃ γὰρ πεισομένους ἐγίνωσκε, τούτων ἐπεθύμησε τοῖς ἀνδράσι κοινωνῆσαι."

Ἀγαμέμνων Ἀγαμέμνονος, ὦ Ἀγάμεμνον. καὶ Ἀγαμεμνόνειος οἶκος, καὶ Ἀγαμεμνονεία ναῦς.

ἀγάμενος θαυμάζων. "ἀγάμενοι τοῦτον τῆς εὐψυχίας ἐποχοῦσι τῷ ἵππῳ."

Ἀγαμήδης ὄνομα κύριον. καὶ θηλυκὸν Ἀγαμήδη.

ἄγαν ἐγκεῖσθαι τῷδε, οἷον αἰτιᾶσθαι καὶ ἀποτείνεσθαι.

ἀγάννιφον Ὅμηρος ⟨Α 420⟩ τὸ ὄρος τὸ λίαν χιονιζόμενον.

ἄγανον προπαροξυτόνως τὸ κατεαγὸς ξύλον, ἢ τὸ φρυγανῶδες καὶ ἕτοιμον πρὸς τὸ κατεαγῆναι· οἱ δὲ τὸ ἀπελέκητον. ἀγανὸν δὲ ὀξυτόνως καλὸν ἢ ἀγαθὸν ἢ ἱλαρόν· οἱ δὲ ἀθάνατον. ἔνθεν καὶ ἀγανοφροσύνη. καὶ αὖθις ⟨AP 7 36⟩ "ὡς ἄν τοι ῥείῃ μὲν ἀγανὸς ⟨immo ἀένναος⟩ Ἀτθίδι δέλτῳ κηρός, ὑπὸ στεφάνοις δ' αἰὲν ἔχοις πλοκάμους."

ἀγανόφρονος. "τό τε τῆς ἀγανόφρονος

ἡσυχίας εὐήμερον πρόσωπον" (A. Av. 1310) τῆς πράου καὶ προσηνοῦς.

ἀγανοφροσύνη προσήνεια, πραότης.

ἀγανώπιδος πραέα βλεπούσης.

ἀγανώτερον ποθεινότερον, πραότερον.

ἀγαπᾶν ἀποδέχεσθαι.

ἀγαπᾶν ἀρκεῖσθαί τινι καὶ μηδὲν πλέον ἐπιζητεῖν.

ἀγαπήνορος τὴν ἀνδρείαν ἀγαπῶντος.

ἀγαπησμός. ἀγαπησμὸν λέγουσι καὶ ἀγάπησιν τὴν φιλοφροσύνην. Συναριστώσαις Μένανδρος "καὶ τὸν ἐπὶ κακῷ γινόμενον ἀλλήλων ἀγαπησμὸν οἷος ἦν."

ἀγαπητὰ ἤθη τὰ καλὰ καὶ ἀγαθά.

ἀγαπητόν τὸ ἠγαπημένον ἢ τὸ μονογενές. καὶ ἀγαπητῶς· "οὕτω δὲ ἄρα πολὺ τὸ ἀνόητον ἐν τοῖς ἡγεμόσιν αὐτῶν ἦν, ὥστε ἀγαπητῶς εἶδον εἰ μὴ μετὰ πάντων ἀγωνιοῦνται τῶν συναραμένων τῆς στρατείας."

Ἀγαπητός ἐπίσκοπος Συνάδων, ὃν ἐν ἐπαίνῳ πολλῷ τίθεται Εὐσέβιος ὁ Παμφίλου, καὶ θαυμάτων αὐτοῦ ἐξαισίων μνήμην ποιεῖται, ὀρῶν μεταστάσεις καὶ ποταμῶν καὶ νεκρῶν ἐγέρσεις. καὶ ὅτι στρατιώτην ὄντα ἠβουλήθη Μαξιμῖνος ὡς χριστιανὸν ἀποκτεῖναι διὰ τὸ πυνθάνεσθαι πολλοὺς τὰ παρ' αὐτοῦ τελούμενα ὑπεραγαμένους.

Ἀγάπιος Ἀθηναῖος φιλόσοφος, μετὰ Πρόκλον ἀποιχόμενον ὑπὸ Μαρίνῳ, ὃς ἐθαυμάζετο ἐπὶ φιλομαθίᾳ καὶ ἀποριῶν προβολῇ δυσεπηβόλων.

Ἀγάπιος. οὗτος ἦν Ἀλεξανδρεὺς μὲν τὸ γένος, ἐκ παίδων δὲ λόγοις ἐντραφεὶς ἐλευθερίοις καὶ ἰατρικῶν μαθημάτων ἐξηγητὴς γεγονώς, ἀνελθὼν εἰς τὸ Βυζάντιον διατριβήν τε συνεπήξατο μάλα διαπρεπῆ, φύσεώς τε μεγέθει καὶ δεξιότητι τύχης χρησάμενος, ἔνδοξός τε ἐπὶ τῇ τέχνῃ γέγονε, καὶ χρήματα μεγάλα συνείλοχεν.

ἀγαπῴην εὐκτικῶς.

ἀγάσαιτο θαυμάσειεν. καὶ ἄγασθαι παρ' Ὁμήρῳ ἐπὶ τοῦ θαυμάζειν καὶ φθονεῖν.

ἀγασθέντος ἐκπλαγέντος, θαυμάσαντος· "τοῦ δὲ ἀγασθέντος ἐπὶ τῇ προαιρέσει." καὶ ἀγασθείς· "ὁ δὲ ἀγασθεὶς ἐπί τε τῇ πόλει καὶ τοῖς ἀνθρώποις ἐπέμενε τρεῖς ἡμέρας."

ἀγασθῶ τινί ἀντὶ τοῦ θαυμάσω τινά. Ξενοφῶν (Cyr. 2 4 9) "ὅταν τινὶ ἀγασθῶ τῶν στρατιωτῶν."

Ἀγασικλῆς ὄνομα κύριον, ὃς λέγεται Ἁλιμουσίοις συνδικάσαι, καὶ διὰ τοῦτο ξένος ὢν ἐγγραφῆναι τῇ πολιτείᾳ. Harp.

ἀγάσματα σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται.

ἀγάστονος (Hom. μ 97) πολυστένακτος.

ἀγάστορες ἀδελφοί, ὅμαιμοι, δίδυμοι.

ἀγαστός θαυμαστός· "ἀγαστοῦ θανάτου."

ἀγαυρίαμα ἔπαρμα.

ἀγαυρός ὁ κομψός· οἱ δὲ κακός. ὑπὸ Ἰώνων δὲ ἄπορος, ὑπὸ δὲ Ἀττικῶν τρυφερός.

Ἄγβαρος ὄνομα κύριον, ὁ τῆς Ἐδέσσης βασιλεύς. ἔστιν ἐν τῷ Αὔγαρος.

Ἀγγαῖος ὄνομα κύριον.

ἀγγαρεία. καὶ ἄγγαρος ἐργάτης, ὑπηρέτης, ἀχθοφόρος. ὅθεν ἀγγαρείαν ἀνάγκην ἀκούσιον λέγομεν καὶ ἐκ βίας γινομένην ὑπηρεσίαν.

ἄγγαροι οἱ ἐκ διαδοχῆς γραμματοφόροι. οἱ δὲ αὐτοὶ καὶ ἀστάνδαι. τὰ δὲ ὀνόματα Περσικά. Αἰσχύλος Ἀγαμέμνονι (289) "φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς ἔπεμπε." τίθεται τὸ ὄνομα καὶ ἐπὶ τῶν φορτηγῶν καὶ ὅλως ἀναισθήτων καὶ ἀνδραποδωδῶν, καὶ τὸ ἀγγαροφορεῖν ἐπὶ τοῦ τὰ φορτία φέρειν. καὶ ἀγγαρεύεσθαι καλοῦσιν, ὥσπερ ἡμεῖς νῦν, τὸ εἰς φορτηγίαν καὶ τοιαύτην τινὰ ὑπηρεσίαν ἄγεσθαι. Μένανδρος καὶ τοῦτο ἐν τῷ Σικυωνίῳ παρίστησιν· "ὁ πλείων κατήχθη· κρίνεθ' οὗτος πολέμιος. ἐὰν ἔχῃ τι μαλακόν, ἀγγαρεύεται."

ἄγγαρος. οὕτως ἐκάλουν οἱ Πέρσαι τοὺς βασιλέων ἀγγέλους. "πέμπει τῶν πιστοτάτων ἄγγαρον παρὰ τὸν Βαβυλώνιον διὰ Παρσώνδην τὸν ἄριστον" (Nicol. Dam. Exc. p. 232).

ἄγγαρος. καὶ ἀγγαρεία ἡ δημοσία καὶ ἀναγκαία δουλεία. "ὥσπερ γάρ τι αὐτῷ πάρεργον τὸ ἐσθίειν, τῆς φύσεως αὐτὸν ἀγγαρευούσης περὶ τὰ βρώματα, ἐφαίνετο εἶναι" (Procop. Arc. 13).

ἀγγείδιον τὸ μικρὸν ἀγγεῖον.

ἀγγελιαφόρος πρεσβευτής.

Ἀγγέλιος. οὗτος ἐπὶ Οὐάλεντος ἦν Κωνσταντινουπόλεως ἐπίσκοπος, βίον ἀποστολικὸν βιούς· ἀνυπόδητος γὰρ διόλου διῆγεν, ἑνί τε χιτῶνι ἐκέχρητο, τὸ τοῦ εὐαγγελίου φυλάττων ῥητόν. Socrat. h. eccl. 4 9.

ἄγγελοι. οἱ ἄγγελοι μόνον τῇ τοῦ νοὸς καταλήψει εἰσὶ περιγραπτοί, οὔτε δὲ ἐν τόπῳ

οὐδὲ ἐν σώματι οὐδὲ χρόνῳ· πρὸ γὰρ τοῦ ἡλίου ἡ γένεσις αὐτῶν. ἀγγέλους πονηροὺς τοὺς τῆς τιμωρίας ὑπουργοὺς ἡ γραφὴ καλεῖ, ὥσπερ ἡμέραν πονηρὰν τὴν τῆς τιμωρίας. cf. v. ἡμέραν πονηράν.

ἀγγοπήνια τὰ τῶν μελισσιῶν κηρία.

ἄγγωνες ἐπιχώρια δόρατα παρὰ Φράγγοις. Agath. 2 5.

ἄγε δῆτα, φέρε, κόμιζε, δεῦρο. καὶ ἐπίγραμμα εἰς Διογένην τὸν κύνα "Διόγενες, ἄγε λέγε τίς ἔλαβέ σε μόρος ἐς ἄιδος; ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ" (Diog. L. 6 79). τὸ δὲ ἐπίγραμμα διὰ βραχέων.

ἄγειν καὶ φέρειν τὸ λῃστεύειν καὶ ἁρπάζειν. ἄγειν δὲ καὶ ἀπάγειν χρήματα καὶ ἐπὶ ἀψύχων, καὶ κομίζειν ἀδιαφόρως. "ὃ δὲ ἐπεὶ ἐπεραιώθη εἰς τὸ καταντικρὺ τοῦ ῥείθρου, παραχρῆμα τάς τε κώμας ἐνεπίμπρα τῶν Σκλαβηνῶν καὶ ἐσίνετο τοὺς ἀγρούς, ἦγέ τε καὶ ἔφερεν ἅπαντα, οὐδενός πω τῶν ἐκεῖσε βαρβάρων θαρρήσαντός οἱ εἰς χεῖρας ἐλθεῖν, εἰς τὰ λάσια καὶ κατηρεφῆ τῆς ὕλης καταπεφευγότων" (Menand. Exc. leg. p. 405).

Ἀγείρας ὁ χωλός. Ioseph. B. I. 6 12.

ἀγείρει συνάγει. καὶ ἀγείρουσιν· "ὁ γὰρ τρόπος ἱερὸς ἦν καὶ οὐδὲν ἐοικὼς τοῖς ἀγείρουσιν" (Philostrat. V. A. 4 39). καὶ αὖθις "ὃ δὲ λαθεῖν θέλων ξυρεῖται τὴν κεφαλὴν καὶ τὸ γένειον, καὶ στολὴν Αἰγυπτίαν ἀναλαβών, ἣν οἱ τῆς Ἴσιδος θεραπευτῆρες ἤσθηνται, καὶ σεῖστρον ἐπισείων καὶ πόλιν ἐκ πόλεως ἀμείβων καὶ τῇ θεῷ ἀγείρων, καὶ ἀναγκαίας τροφάς, λιμοῦ φάρμακα, ἀγαπητῶς λαμβάνων."

ἀγελαία σταφυλὴ ἡ εὐτελής. καὶ ἀγελαῖα τὰ οὐ γενναῖα.

ἀγελαίη ἡ Ἀθηνᾶ.

ἀγελαῖοι ἰχθύες οἱ εὐτελεῖς καὶ μικροί.

ἀγέλαιος προπαροξυτόνως μὲν ὁ ἀμαθής, ἀγελαῖος δὲ ὁ ἐκ τῆς ἀγέλης.

ἀγελαῖος ἰδιώτης, ἢ ὁ ἐν ἀγέλῃ διάγων. καὶ ἀγελαίων ἰδιωτῶν, ῥεμβωδῶν· "τῶν ἀγελαίων ἔοικεν ἀνθρώπων εἶναι ὁ τοιοῦτος" ἀντὶ τοῦ εὐτελῶν. καὶ ἀγελαίων τῶν πολλῶν καὶ τυχόντων. εἴη δ' ἂν ἐκ μεταφορᾶς τῶν ἀγελαίων ζώων, ἢ ἀπὸ τῶν ἰχθύων, οὓς βόσκεσθαι ῥύδην καὶ ἀγεληδόν φασιν.

ἀγελαιὼν ὁ τόπος τῆς ἀγέλης.

Ἀγέλαος ὄνομα κύριον.

ἀγελάρχης ὁ τῆς ἀγέλης τῶν βοῶν ἄρχων.

ἀγέλαστα (Hom. Θ 307) τὰ μὴ γέλωτος ἄξια ἀλλ' ἀγανακτήσεως.

ἀγελείη ἡ Ἀθηνᾶ, ἀπὸ τοῦ ἄγειν λείαν, τουτέστι στρατιωτική.

ἀγεληδὸν ἐπίρρημα. Hom. Π 160.

ἀγελήτης βοῦς ὁ ἐξ ἀγέλης.

ἀγέληφι ἐκ τῆς ἀγέλης. Hom. Β 480.

ἀγένεια ἡ δυσγένεια.

ἀγενὴς Ἰσαῖος ἀντὶ τοῦ ἄπαις. Harp.

ἀγεννῶς ἀνάνδρως. καὶ ἀγεννὲς ἐπὶ τοῦ ἀσθενοῦς καὶ ἐπὶ τοῦ δυσγενοῦς, καὶ ἀγεννία ἡ ἀνανδρία καὶ ἡ δειλία. "ἔθεντο οὖν οἱ Ῥωμαῖοι σπονδὰς ἀγεννεῖς διὰ δέος πρὸς Οὔννους."

ἀγέραστος ἄτιμος. Hom. Α 119.

ἀγέροπτος ὁ σπανίως ἐρχόμενος.

ἀγερωχία ὑπερηφανία. "ὅτι οἱ Σκύθαι εἰσὶν ὑπεροπτικοὶ καὶ λίαν ἀγέρωχοι." καὶ ἀγέρωχος ἔντιμος, ἀνδρεῖος· Ἀγαθίας (1 21) "ἵππου ἐπιβὰς εὐηνιωτάτου τε καὶ ἀγερώχου καὶ οἵου οὐκ ἄτακτα ἐξάλλεσθαι καὶ σκιρτᾶν." καὶ αὖθις "ὡς ἂν ἔσοιτο εὐκλεὴς τοῖς μετέπειτα καὶ ἀγέρωχος." ἢ ἀγέρωχος ὁ ἀλαζών.

ἄγεστα πολεμικὸν μηχάνημα ἐκ λίθων καὶ ξύλων καὶ χοῦ ἐγειρόμενον. οἱ δὲ ἔγεστά φασι τὸ τοιοῦτον μηχάνημα. cf. vv. ἄκεσσα et ἔγεστα.

ἄγεται μνηστεύεται, ἐπὶ γάμον λαμβάνει. Αἰλιανός "τὴν δὲ ἀδελφὴν αὐτῷ Ἰόβας ὁ Μαυρούσιος ἄγεται."

ἄγετε τὸ ἡγεῖσθε καὶ οἴεσθε.

Ἄγετος ὄνομα κύριον.

ἄγευστος θοίνης ὁ τῆς εὐωχίας μὴ μετασχών· "ἄγευστος θοίνης ἀστείως βίου ἔχων." καὶ ἄγευστοι ἄπειροι. ἄγευστον τετραχῶς· ἢ γὰρ τὸ ἀχύμιστον μὲν τέως, δυνάμενον δὲ χυμωθῆναι, ὡς τὸ ὕδωρ (ἄποιον γὰρ ὂν δύναται χυμωθῆναι), ἢ τὸ ταῖς ἄλλαις αἰσθήσεσιν ὑποκείμενον, ὡς ὁ ψόφος, ἢ τὸ μικρὰν ἔχον γεῦσιν, ὡς τὰ ὑδαρὰ τῶν ῥοφημάτων, ἢ τὸ κακὴν ἔχον γεῦσιν, ὡς τὰ δηλητήρια. καὶ δῆλον τίνων τούτων ἀντιλαμβάνεται ἡ γεῦσις, καὶ τίνος μή. καὶ ἐπὶ τῶν ἄλλων δὲ αἰσθήσεων τὰ δ' ταῦτα γινώσκεται σημαινόμενα. ἀρχὰς δὲ τῶν γευστῶν τὸ ποτόν φασι καὶ τὸ ἄποτον· εἰς ταῦτα γὰρ πρότερον διαιρεῖται τὸ γευστόν. καὶ γὰρ ἐν τῷ ὑγρῷ μάλιστα καὶ ὁ χυμὸς ἐκ τῆς ἐπιμιξίας τῶν ξηρῶν προσγενόμενος.

καὶ ὥσπερ τὸ ποτὸν πότιμον γίνεται διὰ τὴν ἐπιμιξίαν τοῦ χρηστοῦ χυμοῦ, οὕτω καὶ τὸ ἄποτον διὰ τὴν ἐπιμιξίαν τοῦ ἀπότου χυμοῦ. ἀμφότερα δέ, τό τε ἄποτον καὶ τὸ ποτόν, γευστά. γευστὸν δὲ τὸ ἄποτον οὐχ ὡς τελειωτικὸν ἀλλ' ὡς φθαρτικὸν τῆς γεύσεως διὰ μοχθηρίαν χυμοῦ, τὸ δὲ ποτὸν ὡς σωστικόν τε καὶ τελειωτικὸν τοῦ κατὰ φύσιν γευστικοῦ. ἄρχει οὖν τῶν γευστῶν κατὰ τοῦτον τὸν λόγον τὸ ποτὸν καὶ τὸ ἄποτον. ἐπεὶ δὲ τὸ ποτὸν ὑγρόν, τὸ δὲ ὑγρὸν τῇ ἁφῇ ἀντιληπτόν, ὡς μὲν ὑγρὸν ἁπτόν, ὡς δὲ τοιόνδε χυμὸν ἔχον γευστόν. τοῦτο οὖν κοινὸν ἁφῆς καὶ γεύσεως, τῆς μὲν ἁφῆς ὡς ἴδιον αὐτῆς αἰσθητόν, τῆς δὲ γεύσεως ὡς ὕλη καὶ ὄχημα τῶν γευστῶν. cf. vv. ἀόρατον et φαιόν.

ἄγη θαῦμα, χαρά, ἀπιστία, ζῆλος. παρ' Ἡροδότῳ ⟨6 61⟩ βασκανία, παρ' Ὁμήρῳ ⟨Φ 221⟩ ἔκπληξις. πληγή, θραῦσις, κλάσις, ἀπώλεια. ἔνιοι ἱερεῖα. ἄγη μὲν οὖν παροξυτόνως ἡ ἔκπληξις, ἀγὴ δὲ ἡ κλάσις τοῦ κύματος.

ἀγηγέρατο συνηθροίζοντο.

ἀγῆλαι τιμῆσαι θεόν, ἀγλαῖσαι. οὕτως Εὔπολις Δήμοις· "ἀναθῶμεν νῦν χἠμεῖς τούτοις τασδὶ τὰς εἰρεσιώνας, καὶ προσαγήλωμεν ἐπελθόντες. χαίρετε πάντες. δεχόμεσθα." Ἀριστοφάνης Εἰρήνῃ ⟨400⟩ "καί σε θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαις ἰδίᾳ πάντες ὦ πότνι' ἀγαλοῦμεν ἡμεῖς ἀεί." Ἕρμιππος Ἀρτοπώλισι "φέρε νῦν ἀγήλω τοὺς θεοὺς ἰοῦσ' ἐγὼ καὶ θυμιάσω τοῦ τέκνου σεσωσμένου."

ἀγηλατεῖν διώκειν, φυγαδεύειν, ἐπιτάττειν. Ἡρόδοτος ⟨5 72⟩ ὑβρίζειν.

ἀγηλατεῖν ὡς ἄγος καὶ ἐναγεῖς τινὰς ἀπελαύνειν. ἐὰν μὲν δασέως, τὸ τὰ ἄγη ἀπελάσειν, ἐὰν δὲ ψιλῶς, ἀντὶ τοῦ βασιλεύσειν. "κλαίων δοκεῖς μοι καὶ σὺ χὠ συνθεὶς τάδε ἀγηλατήσειν" ⟨Soph. OR 402⟩. καὶ Ἡρόδοτος ⟨5 72⟩ "ὁ δὲ σὺν μεγάλῃ χειρὶ ἀπικόμενος ἀγηλατέει ἑπτακόσια ἐπίστια Ἀθηναίων."

ἀγηλατοί οἱ κεραυνοί. ἀγηλατεῖ δὲ ῥῆμα, ἄγει, κεραυνοῖ, ἢ διώκει.

ἀγήλειεν τιμήσειεν. "ὅτι Μουκιανὸς ὁ Ῥωμαῖος τιμᾶσθαι ὑφ' ἁπάντων ὑπὲρ πάντας ἤθελε, καὶ ἤχθετο εἰ καὶ ὁστισοῦν οὐχ ὅτι ὑβρίσειεν αὐτόν, ἀλλ' ὅτι μὴ οὐ μεγάλως ἀγήλειεν" ⟨Dio Cass. 66 2⟩.

ἄγημα τὸ προϊὸν τοῦ βασιλέως τάγμα ἐλεφάντων καὶ ἵππων καὶ πεζῶν. οἱ δὲ τὸ ἄριστον τῆς Μακεδονικῆς συντάξεως, κραταιὸν ὁπλίσει καὶ σωμάτων εὐεξίᾳ.

ἀγηνορίη ἡ αὐθάδεια.

Ἀγηνόριον ὄνομα τόπου.

ἀγήνωρ ὁ ἄγαν ἀνδρεῖος, ἢ ἀγαστὸς ἐν ἀνδρείᾳ, παρὰ τὸ ἄγαν τῇ ἠνορέῃ, ὅ ἐστιν ἀνδρείᾳ, χρῆσθαι. σημαίνει δὲ καὶ τὸν ὑπερήφανον καὶ αὐθάδη. ἔστι δὲ καὶ κύριον ὄνομα.

ἀγηοχώς ἐνέγκας.

ἀγήραον ἄφθαρτον.

Ἀγηρηναῖοι ὄνομα ἔθνους.

ἀγήρω τὰ μὴ γηρῶντα, καὶ σὺν τῷ ν ἀγήρων. οἱ δὲ ἄνευ τοῦ ν θηλυκόν φασιν εἶναι. οἱ δὲ τὸ μὲν σὺν τῷ ν τὴν αἰτιατικὴν δηλοῦν πτῶσιν, τὸ δ' ἄνευ τούτου τὴν γενικήν τε καὶ δοτικήν. καὶ ἀγήρως ὁ ἄφθαρτος ἀττικῶς, καὶ οὐδετέρως ἀγήρων.

Ἀγησαγόρας ὄνομα κύριον.

Ἀγησίλαος ὄνομα κύριον. ἦν δὲ Λακεδαιμονίων ἐπιφανὴς καὶ γενναῖος βασιλεύς, καὶ ᾄδεται παρὰ πολλοῖς τῶν ῥητόρων. Harp.

Ἀγήτας ὁ τῶν Αἰτωλῶν στρατηγός.

ἀγητός ὁ θαυμαστός.

ἁγιάσαι καρπῶσαι, καῦσαι ἁγίως.

ἁγιάσατε προετρεπίσατε, κηρύξατε.

ἁγίασμα ὁ θεῖος ναός· Δαβὶδ ⟨Psalm. 114 2⟩ "ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ." καὶ ἁγιαστία ἡ ἁγιωσύνη. ἁγιστεία δὲ ἡ ἱεροτελεστία, δίφθογγον.

ἁγίζων ἁγιάζων. Ἀριστοφάνης ⟨Plut. 681⟩ "ἔπειτα ταῦθ' ἥγιζεν εἰς σάκταν τινά." ⟨Soph. OC 1495⟩ "βούθυτον ἑστίαν ἁγίζων ἵκου." καὶ ἁγισθέντων ἀφιερωθέντων. καὶ ἁγιάζω αἰτιατικῇ.

Ἀγινάρειος ὄνομα κύριον.

ἀγίνεον ⟨Hom. Ω 784⟩ ἔφερον· ἀγινῶ γὰρ ὁ ἐνεστώς.

ἅγιος ἅγιος ἅγιος κύριος. ὅτι τοὺς λέγοντας 'μυριάκις ἐστὶν ἅγιος ὁ θεός' καὶ τοὺς παρερμηνεῦσαι τοῦτο τολμῶντας λαμπρῶς ἐλέγχει τὸ 'ἐξεζήτησα τὸ πρόσωπόν σου· τὸ πρόσωπόν σου κύριε ζητήσω· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ' ⟨Psalm. 26 13⟩. τὴν ἁγίαν ἀνακηρύττει τριάδα καὶ τὸ 'θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου' ⟨ib. 49 14⟩ καὶ τὰ ἑξῆς. καὶ διὰ τούτων καὶ δι' ἄλλων πολλῶν ἡ παλαιὰ κηρύττει ὅτι οὐχ

ἑνὸς προσώπου δεσποτείαν σημαίνει, ἀλλὰ τριῶν μὲν ὑποστάσεων μιᾶς δὲ οὐσίας. οἱ δὲ λέγοντες 'ἅγιος ἀθάνατος ὁ σταυρωθείς' ἐπιστομιζέσθωσαν ἀπὸ τοῦ 'ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα' (ib. 41 2).

Ἄγις Ἄγιδος ὁ Παυσανίου. οὗτος ἐμβαλὼν ποτε εἰς τὴν Μαντινειακὴν αὐτοὺς μὲν κατέκλεισεν, τὸν δὲ παραρρέοντα ποταμὸν εἰς τὸ τεῖχος παρατρέψας παρέλυσεν. ἦν γὰρ ἐξ ὠμῆς πλίνθου, ἥτις πρὸς μὲν τὰς ἑλεπόλεις ἀσφαλεστέρα ἐστὶ τῆς ὀπτῆς καὶ ἐκπηδῶσι τῶν ἁρμονιῶν, ἡ δὲ ὠμὴ πλίνθος οὐχ ὁμοίως πονεῖ, διαλύεται δὲ ὑπὸ ὕδατος οὐχ ἧσσον ἢ ὑπὸ ἡλίου κηρός. cf. Pausan. 8 8.

ἁγίσαι καὶ καθαγίσαι τὸ καρπῶσαι· ἁγίζω γὰρ ὁ ἐνεστώς.

ἁγιστείας ἁγιωσύνης, καθαρότητος, λατρείας.

ἁγιστεύειν ἁγιάζειν. καὶ ἁγιστεύσαντες τὰ τῆς θυσίας ἐπιτελέσαντες.

ἀγκαλίδα μερίδα.

ἀγκάσασθαι ταῖς ἀγκάλαις βαστάσαι.

ἄγκειθ' Ἡφαίστῳ ἀντὶ τοῦ ἀνάκειται (AP 6 117).

ἄγκη καὶ ἄγκεα οἱ φαραγγώδεις καὶ ἀγκυλοειδεῖς τόποι καὶ κοῖλοι, καὶ καταδύσεις ἔχοντες. ἢ ἄγκεσι συνδένδροις καὶ ὑλώδεσι τόποις· ἐν ἐπιγράμματι (AP 6 186) "θηροβόλει· τούτῳ δ' ἄγκεσι θηροτόκοις."

ἀγκιστρεύει δελεάζει.

ἀγκοπήνια τὰ τῶν μελισσῶν κηρία.

ἄγκος ὑψηλὸς τοῦ ὄρους τόπος· "ποσσὶ δ' ἀντλῆσιν ἄγκος ἐς ὑψικάρηνον ἐδίζετο."

ἀγκράτος ἐλαύνοντα Ξενοφῶν (Anab. 1 8 1) ἀντὶ τοῦ πάνυ ἐλαύνοντα.

ἀγκύλη εἶδος ἀκοντίου, καὶ ἠγκυλωμένος ἀγκύλην ἔχων. σημαίνει δὲ καὶ ἔργον τι τῆς σκηνῆς τοῦ Μωυσέως (Exod. 38 17).

ἀγκύλια οἱ κρίκοι τῶν ἁλύσεων.

ἀγκυλομήτης. καὶ ἀγκυλομῆται οἱ σκολιόβουλοι.

ἀγκύλον καμπύλον, ἐπικαμπές.

ἀγκυλοχείλης καὶ ἀγκυλόχειλος σκολιόχειλος. ἐπίθετον τοῦ ἀετοῦ, ἐπικαμπεῖς τὰς χηλὰς ἔχων. ἐπὶ δὲ Κλέωνος, ἀγκύλας τὰς χεῖρας ἔχων πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν. sch A. Eq. 197.

Ἄγκυρα πόλις. καὶ οἱ ἀπ' αὐτῆς Ἀγκυρανοί· "ὅτι οἱ νῦν Ἀγκυρανοὶ Ἑλληνογαλάται πάλαι ἐλέγοντο."

ἄγκυραν. ὅτι Ἀνάχαρσις ὁ Σκύθης φιλόσοφος εὗρεν ἄγκυραν καὶ τὸν κεραμεικὸν τροχόν. ἦν δὲ ἐπὶ Κροίσου. Diog. L. 1 105.

ἀγκυρηβόλιον τὸ σίδηρον τοῦ πλοίου.

Ἀγκύριον πόλις Ἰταλίας. καὶ ὁ πολίτης Ἀγκύριος ἢ Ἀγκυριεύς. Steph. B.

ἀγκύρισμα εἶδος παλαίσματος. καὶ ἀγκυρίσας ἀντὶ τοῦ καταπαλαίσας ἢ τῇ ἀγκύρῃ καταβαλών. ἔστι δὲ ἀγκύρισμα καὶ σκεῦος ἀγρευτικὸν σύκων. Ἀριστοφάνης (Eq. 262) "διαβαλών, ἀγκυρίσας, εἶτ' ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολήβασας," τουτέστι προσέκρουσας ἢ καταπέπωκας, ἀπὸ τοῦ ψωμοῦ, ὃν ἄκολον ἔλεγον.

ἀγκών. "ἐν τῇ βασιλικῇ αὐλῇ τοῦ Γελίμερος οἴκημα ἦν σκότους ἀνάπλεων, ὃ δὴ ἀγκῶνας ἐκάλουν οἱ Καρχηδόνιοι, ἔνθα ἐνεβάλλοντο ἅπαντες οἷς ἂν χαλεπαίνοι ὁ τύραννος. ἐνταῦθα ἐπὶ Βελισαρίου πολλοὶ καθειργμένοι ἐτύγχανον τῶν ἑῴων ἐμπόρων, οὓς μέλλοντας κατ' ἐκεῖνο καιροῦ ἀναιρεῖσθαι ὑπὸ τοῦ τυράννου ὁ φύλαξ τοῦ δεσμωτηρίου ἀπέλυσε" (Procop. Vand. 1 20). "καὶ διετίθει τὰς μηχανὰς ᾗ μάλιστα ἐδόκει καίριον, ἀγκῶνάς τε καὶ τάφρους ἐβάλλετο ἑκατέρωθεν." καὶ ἀγκῶνες μέρος τι τῆς οἰκίας· "ἀγκῶνες δὲ καὶ πάντα τὰ προσπτυσσόμενα κατ' ὄναρ τὸ κόσμιον τοῦ βίου σημαίνει" (Artemid. 1 74). ἀγκῶνες δὲ καὶ αἱ τῶν ποταμῶν ἐξοχαὶ αἱ παρὰ ταῖς ὄχθαις· "ἴσως οὐ δυνατὸν ἦν πρὸς ἐναντίον τὸν ῥοῦν ἀναπλεῖν διὰ τὸ μέγεθος τῶν προσπιπτόντων ἀγκώνων, οὓς ἔδει κάμπτειν παρέλκοντας τὰς ναῦς." καὶ ἀγκῶνας τὰς ἄκρας τῶν ὀρῶν· "οἳ δ' ἑσπερίους ἀγκῶνας, οἳ δ' ἀντηλίους ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν" (Soph. Ai. 805). καὶ παροιμία "τῷ ἀγκῶνι ἀπομυσσόμενοι." Βίων φησὶν ὁ φιλόσοφος "ἐμοῦ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυσσόμενος," διεδήλου δὲ τὸν ταριχέμπορον (Diog. L. 4 46). ἔστι καὶ ἄλλη παροιμία, τὸ γλυκὺς ἀγκών.

ἀγκωνίσκοι σκεύη τιμωρητικά.

ἀγλαΐα λαμπρότης, καὶ ἀγλαΐαις λαμπρότησιν.

ἀγλαϊεῖσθαι (Hom. K 331) καλλωπίσεσθαι, δοτικῇ. ὁ ἐνεστὼς ἀγλαΐζω.

ἀγλαόκοιτος πάνυ τίμιος.

ἀγλαομητία ἡ μεγάλη βουλή.

ἀγλαότιμον λαμπρόν, τετιμημένον.

Ἀγλαοφῶν ὄνομα κύριον.

Ἄγλαυρος ἡ θυγάτηρ Κέκροπος. ἔστι δὲ καὶ ἐπώνυμον Ἀθηνᾶς.

ἀγλευκές τὸ ἀηδὲς Ξενοφῶν εἴρηκεν ἐν τῷ Οἰκονομικῷ ⟨8 3⟩, δοκεῖ δὲ ξενικὸν τὸ ὄνομα, Σικελικόν· πολὺ γοῦν ἐστὶ πάλιν παρὰ τῷ Ῥίνθωνι. καὶ ἀγλευκέστερον ἀντὶ τοῦ ἀηδέστερον Ξενοφῶν Ἱέρωνι ⟨1 21⟩.

ἄγλιθες αἱ κεφαλαὶ τῶν σκορόδων. Ἀριστοφάνης ⟨Ach. 728⟩ "ὡς ἀρουραῖοι μύες ὀρύσσετε πασσάλῳ τὰς ἄγλιθας."

ἀγλωττία ἡσυχία, σιωπή. καὶ ἄγλωσσος ὁ ἄναυδος, ἄφωνος· ⟨AP 7 191⟩ "νῦν εἰς γᾶν ἄγλωσσος ἀναύδητός τε πεσοῦσα κεῖμαι, μιμητὴν ζῆλον ἀνηναμένη."

ἄγμασι κλάσμασι, τροπαῖς· "ἄγματα ἀμφορέων εἰς τὰ ἑλώδη τῶν χωρίων λάθρᾳ ἐβεβλήκεσαν."

ἀγμούς τοὺς ὀρείους καὶ κρημνώδεις τόπους.

ἀγναπτότατος βάτος αὖος, ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον.

ἁγνεία καθαρότης, ἐπίτασις σωφροσύνης.

Ἁγνίας ὄνομα κύριον.

ἁγνίζω αἰτιατικῇ.

ἀγνοεῖ δ' ἀράχνη παῖδας ὡς παιδεύεται· θρέψασα γὰρ τέθνηκε πρὸς τῶν φιλτάτων. ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραγματευομένων.

ἀγνόημα· "ἀγνόημα τοσοῦτον ἠγνοηκότας ὅσον οὐδεὶς ἂν ἠγνόησεν ὀλίγα διαλεκτικῆς ἁψάμενος καὶ ὅσον ἐπαΐειν ὑπὲρ αὐτῆς ἔχων." cf. v. ἐπαΐειν.

ἄγνοια. εἴ τις λέγει ἄγνοιαν εἶναι στέρησιν ἐπιστήμης, ἁμαρτάνει. ἔστι δὲ ἄγνοια ἕξις μοχθηρὰ καὶ ἠπατημένη.

ἄγνος φυτόν, ὃν καὶ λύγον καλοῦσιν. ἔστι δὲ καὶ εἶδος ὀρνέου. ἄγνον, οὐχὶ λύγον καλοῦσιν. καὶ ἀρσενικῶς Χιονίδης· Ἥρωσι "καὶ μὴν μὰ τὸν Δί' οὐδὲν ἔτι γέ μοι δοκῶ ἄγνου διαφέρειν ἐν χαράδρᾳ πεφυκότος." Πλάτων ⟨Phaedro p. 230 B⟩ "ἥ τε γὰρ πλάτανος αὕτη μάλα ἀμφιλαφὴς καὶ ὑψηλή, καὶ τοῦ ἄγνου δὲ τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον." ἁγνὸς δὲ ὀξυτόνως ὁ καθαρός.

ἁγνότερος πηδαλίου ἐπὶ τῶν ἁγνῶς βεβιωκότων, παρ' ὅσον ἐν θαλάσσῃ διὰ παντός ἐστι τὸ πηδάλιον.

Ἀγνούσιος. Ἀγνοῦς δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος, ἧς ὁ φυλέτης Ἀγνούσιος.

ἀγνῦθες οἱ λίθοι τοῦ ἱστοῦ.

ἄγνυται κλᾶται. καὶ ἄγνυτον ὁμοίως. καὶ ἀγνυμενάων συντριβομένων.

ἀγνώμονες ἐναντιογνώμονες, ἀσύγγνωστοι. Σοφοκλῆς ⟨OC 86⟩ "Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες."

ἀγνωμόνως ἀνοήτως ἢ ἀχαρίστως. λέγονται δὲ παρὰ Πλάτωνι ⟨Rp. 5 p. 450 D⟩ ἀγνώμονες οἱ ἀμαθεῖς. καὶ Δημοσθένης ⟨2 26⟩ ἐν τοῖς Φιλιππικοῖς ἀντὶ τοῦ ἀλογίστως καὶ ἀβούλως. καὶ ὁ θεολόγος ⟨Gregor. Naz. or. 42 p. 695 D⟩ "ὦ καὶ Ἰουδαίων ἀγνωμονέστερε" ἀντὶ τοῦ ἀνοητότερε.

Ἀγνώνειος ὁ τοῦ Ἅγνωνος παῖς. καὶ Ἀγνωνίδης.

ἄγνωτα ἀπὸ τοῦ ἄγνωτος· οὐ γὰρ παρασχηματίζει ἀπὸ τοῦ ἀγνώς εἰς οὐδέτερον γένος. "ῥήματα ἄγνωτα τοῖς θεωμένοις" Ἀριστοφάνης ἐν Βατράχοις ⟨957⟩.

ἀγνῶτας μὴ ἐπιγινωσκομένους. "ἀγνῶτα δέ μοι προσεκόμιζεν ἄνθρωπον, ὃς καὶ ἑαυτοῦ ἀγνὼς ἐτύγχανεν ὤν." "οἱ δὲ ἄρτι τῆς γεωργίας ἀφέμενοι ἐς κίνδυνον τοῦ πολέμου κατέστησαν, ἀγνῶτά σφισι τὰ πρότερα ὄντα" ⟨Procop. Pers. 1 18⟩. καὶ αὖθις "φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι" φησὶν Αἰλιανὸς ἐν τῷ περὶ προνοίας ⟨cf. v. παραβαλεῖν⟩· ἀγνὼς γὰρ ἀγνῶτος ὁ ἄγνωστος.

ἄγοι. πολλὰ σημαίνει, Ἰσαῖος δὲ ἀντὶ τοῦ φέρειν καὶ ἐνάγειν καὶ ἕλκειν ἔλαβεν· "ἔβλαψε γάρ με" φησί "Ξενοκλῆς ἀφελόμενος Εὐμάθην εἰς ἐλευθερίαν, ἄγοντος ἐμοῦ εἰς δουλείαν." Ἀντιφῶν δὲ τὸ ἄγοι ἀντὶ τοῦ ἡγοῖτο παρείληφε· φησὶ γὰρ ἐν τῷ περὶ ἀληθείας "τοὺς νόμους μεγάλως ἄγοι." Harp.

Ἀγολαῖος ὄνομα κύριον.

ἀγόμενος διὰ φρατόρων κύων μαστιγοῦται.

ἀγομένων τῶν ἡμετέρων ἀντὶ τοῦ ἁρπαζομένων καὶ λῃστευομένων. ἄγοντες καὶ φέροντες διὰ πάσης ἰδέας λεηλατοῦντες καὶ πορθοῦντες τὴν χώραν. καὶ αὖθις "οὐδενὸς ἀμυνομένου κατὰ πολλὴν ἄδειαν ἄγοντες καὶ φέροντες διετέλεσαν."

ἀγόμφωτον τὸ ἀνήλωτον.

ἀγονία ἀτεκνία, ἀγεννησία. Αἰλιανός (cf. v. νεολαία) "διεφθείρετο ἡ νεολαία, καὶ ἐν ἀγονίᾳ, καὶ μέντοι καὶ γυναικῶν καὶ τῆς ἀγέλης τῆς τετράποδος." ἀγόνων χοῶν ὁ θεολόγος φησί (or. 40 p. 646 D), τουτέστι τῶν ἐπὶ τοῖς νεκροῖς χεομένων καὶ διὰ τοῦτο ἀγόνων. καὶ ἀγονία ἡ ἀφορία· "τὴν Ἄρτεμιν μηνῖσαι, καὶ μετελθεῖν δικαιοῦσαν αὐτὸν γῆς ἀγονίᾳ." cf. v. δικαιοῦσαν.

ἀγορά ἡ ἐκκλησία, ὅθεν ὁ Νέστωρ ἀγορητής. καὶ ὁ τόπος ἔνθα πιπράσκονται τὰ ὤνια, καὶ αὐτὰ τὰ ὤνια.

ἀγορὰ Κερκώπων. οὗτοι ἐν Ἐφέσῳ ἦσαν, οὓς ἔδησεν Ἡρακλῆς Ὀμφάλης κελευούσης· οὓς ἀποκτεῖναι ᾐδέσθη τῆς μητρὸς δεηθείσης. ἡ δὲ παροιμία εἴρηται ἐπὶ τῶν κακοήθων καὶ πονηρῶν ἀνθρώπων.

ἀγοράζειν τὸ ὠνεῖσθαί τι, καὶ τὸ ἐν ἀγορᾷ διατρίβειν. Ἀριστοφάνης ἐν Πλούτῳ (985) ἐπὶ τοῦ συνήθους ἡμῖν, ἀντὶ τοῦ ὠνήσασθαι· "καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον."

ἀγόραιαν δίκην τὴν δικαιολογίαν.

ἀγοραῖος προπερισπωμένως ὁ ἐν τῇ ἀγορᾷ ἀναστρεφόμενος ἄνθρωπος· Δαμάσκιος (cf. v. παρίστασθαι) "ὁ δὲ παρίστατο καὶ ἐξῄτει τοῖς ἀποστεροῦσι μέχρι καὶ δικαστῶν ἀγοραίων." προπαροξυτόνως δὲ ἀγόραιος ἡ ἡμέρα ἐν ᾗ ἡ ἀγορὰ τελεῖται.

ἀγοραῖος νοῦς ὁ πάνυ εὐτελὴς καὶ συρφετώδης καὶ οὐκ ἀπόρρητος οὐδὲ πεφροντισμένος. καὶ ἀγοραῖος Ἑρμῆς· Ἀριστοφάνης (Eq. 297) "νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον κἀπιορκῶ γε βλεπόντων." τουτέστιν ὁ ἐν ἀγορᾷ τιμώμενος.

ἀγορανομίας λογιστίας· εἴρηται δὲ ἐπὶ τῶν ἐπισκοπούντων τὰ τῶν πόλεων ὤνια. καὶ ἀγορανόμοι οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες. Ἀριστοφάνης Ἀχαρνεῦσιν (724) "ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι τρεῖς τοὺς λαχόντας τούσδ' ἱμάντας ἐκ Λεπρῶν," τουτέστι λώρους, φραγγέλια· τὸ γὰρ παλαιὸν φραγγελίοις ἔτυπτον οἱ λογισταὶ τῆς ἀγορᾶς. Λεπρῶν δὲ οἱ μὲν ἀπὸ τοῦ λέπειν, ὅ ἐστι τύπτειν, οἱ δὲ ἀπὸ Λεπρέου πολίσματος τῆς Πελοποννήσου, οὗ μέμνηται καὶ Καλλίμαχος ἐν Ὕμνοις (in Iov. 39) "Καυκώνων πτολίεθρον, ὃ Λέπρειον πεφάτισται." οἱ δὲ ἐκ λεπρῶν βοῶν διὰ τὸ τὰ ἐκ λεπρῶν βοῶν δέρματα ἰσχυρὰ εἶναι. οἱ δὲ ὅτι οἱ Μεγαρεῖς λεπροὶ τὸ σῶμα, πρὸς οὓς σπένδεται. ἄμεινον δὲ λέγειν ὅτι τόπος ἔξω τοῦ ἄστεος Λεπρὸς καλούμενος, ἔνθα τὰ βυρσεῖα ἦν. οὗ καὶ ἐν Ὄρνισι (149) μέμνηται "τί δ' οὐ τὸν Ἠλεῖον Λέπρεον οἰκίζετε;"

ἀγορανομῶ γενικῇ.

ἀγορᾶς ὥραν οὐ τῶν πωλουμένων, ἀλλὰ τῶν ἄλλων πράξεων τῶν κατ' ἀγοράν. ἕωθεν, ἢ καὶ πρὶν ἀγορὰν πεπλῆθέναι. Φερεκράτης "πίνειν ἀεὶ καὶ μεθύειν, πρὶν ἀγορὰν πεπληθέναι."

ἀγοράς Ὑπερίδης ἀντὶ τοῦ συνόδους· λέγει γὰρ ἐν τῷ κατὰ Πολυεύκτου "οὗτοι πολλάκις ἀγορὰς ποιοῦνται." δηλοῖ δὲ καὶ ἄλλα τοὔνομα. Harp.

ἀγοράσαι Ὑπερίδης τὸ ὠνήσασθαι.

ἀγοράσειν λέγουσι, τὸ δ' ἀγορᾶν βάρβαρον. παραδειγμάτων δὲ μεστὰ πάντα, εἰλήφθω δ' ὅμως Ἀριστοφάνους ἐξ Αἰολοσίκωνος· "ἀλλ' ἄνυσον, οὐ μέλλειν ἐχρῆν. ὡς ἀγοράσω ἁπαξάπανθ' ὅσα κελεύεις ὦ γύναι." καὶ ἀγοράσματα αὐτὰ τὰ ἠγορασμένα.

ἀγοράσω ἀντὶ τοῦ ἐν ἀγορᾷ διατρίψω· Ἀριστοφάνης (Lys. 634) "ἀγοράσω τ' ἐν τοῖς ὅπλοις ἑξῆς Ἀριστογείτονι" ἀντὶ τοῦ ἐν τῇ ἀγορᾷ διατρίψω ἐγγὺς Ἀριστογείτονος.

ἀγορῆθεν ἐκ τῆς ἀγορᾶς.

ἀγορὴν ἐκκλησίαν.

ἀγορηταὶ σύμβουλοι, φρόνιμοι.

ἄγος μίασμα. λέγεται δὲ ἄγος καὶ τὸ τίμιον καὶ ἄξιον σεβάσματος, ἐξ οὗ καὶ αἱ ἱέρειαι παναγεῖς καὶ ἄλλα τινά. Θουκυδίδης (1 126) "πέμψαντες οἱ Λακεδαιμόνιοι πρέσβεις ἐκέλευον τοὺς Ἀθηναίους τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ." ἦν δὲ τὸ κατὰ Κύλωνα τὸν ὀλυμπιονίκην τὸν Ἀθηναῖον τὸν πάλαι. "καὶ ἤλασαν τοὺς ἐναγεῖς." ἀγὸς δὲ ὀξυτόνως ὁ ἡγεμών.

ἀγοστῷ τῷ ἀγκῶνι. ἐν ἐπιγράμματι (AP 6 144) "οὐκ ἔλαθε χάριτας οὐδ' Ἀκαδήμειαν πολυγαθέα, τῆς ἐν ἀγοστῷ σὴν εὐεργεσίην τῷ προσιόντι λέγω."

ἄγουσαν ἰσοσταθμοῦσαν. "διόπερ κατασκευάσας νίκην χρυσῆν, ἄγουσαν ὁλκὴν χρυσίων μυρίων, ἐξαπέστειλε πρεσβευτὰς εἰς τὴν Ῥώμην τοὺς ταύτην κομιοῦντας τῷ δήμῳ."

ἄγουσιν ἑορτὴν οἱ κλέπται. χαριεστάτη ἡ σύνταξις καὶ ἱκανῶς πεπαιγμένη κατὰ τὴν κωμῳδικὴν χάριν. σημαίνει δὲ τοὺς ἀδεῶς κλέπτοντας.

ἄγρα Δήμητρος ἱερὸν ἔξω τῆς πόλεως, πρὸς τῷ Ἰλισσῷ.

ἄγραυλοι οἱ ἐν τῷ ἀγρῷ διανυκτερεύοντες ἢ αὐλιζόμενοι.

ἄγραφα ἀδικήματα, οἱονεὶ ὑπὲρ ὧν νόμος οὐ γέγραπται.

ἀγραφίου εἶδος δίκης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ καὶ διὰ τοῦτο ἐγγραφέντων, πρὶν ἢ δὲ ἐκτῖσαι ἐξαλειφθέντων. οὕτω Δημοσθένης ⟨58 51⟩ καὶ Δείναρχος καὶ Λυκοῦργος.

ἀγραφίου δίκη. τῶν ἐκ καταδίκης ὠφληκότων τῷ δημοσίῳ γράφουσι τὰ ὀνόματα ἐν σανίσιν οἱ κατὰ καιρὸν περὶ τούτων διοικοῦντες, προστιθέντες ἀνὰ πόσον ἐστὶ τὸ ὄφλημα. ὅταν δὲ ἀποδιδῷ ἕκαστος, ἐξαλείφεται τῆς σανίδος τὸ ἐπίγραμμα. ἐὰν οὖν τις ἀναγραφῇ μὲν ὠφληκέναι, δόξῃ δὲ μὴ ἀποδεδωκέναι καὶ τὸ ὄνομα αὐτοῦ ἐξηλειμμένον ᾖ ἐκ τῆς σανίδος, συγκεχώρηται τῷ βουλομένῳ τῶν ἀστῶν εἰσάγειν κατ' αὐτοῦ δίκην ἀγραφίου.

ἀγράφου μετάλλου δίκη. οἱ τὰ ἀργύρεια μέταλλα ἐργαζόμενοι ὅπου βούλοιντο καινοῦ ἔργου ἄρξασθαι, φανερὸν ἐποιοῦντο τοῖς ἐπ' ἐκείνοις τεταγμένοις ὑπὸ τοῦ δήμου καὶ ἀπεγράφοντο, τοῦ τελεῖν ἕνεκα τῷ δήμῳ εἰκοστὴν τετάρτην τοῦ καινοῦ μετάλλου. εἴ τις οὖν ἐδόκει λάθρᾳ ἐργάζεσθαι μέταλλον, τὸν μὴ ἀπογραψάμενον ἐξῆν τῷ βουλομένῳ γράφεσθαι καὶ ἐλέγχειν.

ἄγρει ἄγε δή.

ἀγρεία ἀοιδὴ ἡ ἀγροικική· "τὸ σκύλος ἀγρείης τεῖνε κατὰ πλατάνου" ἐν ἐπιγράμματι ⟨AP 6 35⟩. καὶ ἀγρεῖος ὁ ἀγροῖκος, ὁ ἀμαθής, ἢ ἀπὸ τοῦ ἀγροῦ· Ἀριστοφάνης Νεφέλαις ⟨651⟩ "ὡς ἀγρεῖος εἶ καὶ σκαιός." καὶ μέγαν πώγωνα ἔχων· καὶ αὖθις ⟨A. Thesm. 165⟩ "ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν ἀγρεῖον ὄντα καὶ δασύν."

ἀγρεῖφνα γεωργικὸν ἐργαλεῖον, δι' οὗ συνάγουσι τὸν χόρτον· ⟨AP 6 297⟩ "Ἄλκιμος ἀγρεῖφναν κενοδόντιδα, καὶ φιλοδούπου φάρσος ἅμα στελεοῦ χῆρον ἐλαϊνέου."

ἀγρέμιος ὁ ἀπὸ τῆς ἄγρας· ⟨AP 6 224⟩ "ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑράμενος."

ἀγρεσία ἡ ἄγρα. ἐν ἐπιγράμματι ⟨AP 6 13⟩ "οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι, ἀγρότα Πάν, ἄλλης ἄλλος ἀπ' ἀγρεσίης."

ἀγρετὰ ληπτά.

ἀγρεύς ὁ ἐπὶ τῆς θήρας.

ἀγρία μέλιττα, ἐπὶ τῶν σφόδρα πονηρῶν καὶ ὠμῶν.

ἀγρία συκῆ. ζήτει ἐν τῷ ἀνερίναστος.

Ἀγριᾶνες τάξις στρατιωτική.

ἀγρίδιον.

ἀγριόθυμος ὁ ἄγριος τῇ ψυχῇ.

ἄγριον ὑποβλέπει με. μᾶλλον χρηστέον ἢ ὑποβλέπεται. "οἱ δὲ ἐλέφαντες ἀνέτρεχον καὶ ἐβόων ἀγριαίνοντες καὶ ἄγριον ὑποβλέποντες." καὶ αὖθις "ὃ δὲ τὸ θηριῶδες καὶ ἄγριον ὑπεκίνει καὶ διηρέθιζεν, εἴ που κύριος γένηται τοῦ χωρίου."

ἀγριοποιόν ἀγρίους εἰσάγοντα τοὺς ἥρωας. Ἀριστοφάνης περὶ Αἰσχύλου ⟨Ran. 844⟩ "ἐγᾦδα τοῦτον [κἄξεπίσταμαι] καὶ διέσκεμμαι πάλαι, ἄνθρωπον ἀγριοποιὸν αὐθαδόστομον, ἔχοντ' ἀχάλινον ἀκρατὲς ἀθύρωτον στόμα, ἀπεριλάλητον κομποφακελορρήμονα."

Ἄγριος ὄνομα κύριον. καὶ ἄγριος ἄμικτος, ἀνήμερος. λέγεται δὲ καὶ ἐπὶ κακίας ὑπερβολῇ. Αἰλιανός "ἀποστείλας τοὺς ἀγριωτάτους τῶν δορυφόρων ἐξήρπασε τὴν γυναῖκα, καὶ πρὸς βίαν ᾔσχυνε ποτνιωμένην καὶ θρηνοῦσαν." καὶ "ὁ Ἅιδης δημιουργὸς ἄγριος" ⟨Soph. Ai. 1035⟩.

ἀγρίους. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου ⟨52⟩ τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ οὕτως ὠνόμασε. καὶ Μένανδρος δὲ ἄγριον εἶπε κυβευτὴν τὸν λίαν περὶ τὸ κυβεύειν ἐσπουδακότα. Harp.

ἀγρίους καὶ κολλοποδιώκτας ἐκάλουν οἱ παλαιοὶ τοὺς παιδεραστάς.

ἀγριότης ὁρμή· "θαυμαστὴ γάρ τις κίνησις, ὡς ἔοικε, τἀνθρώπου πρὸς τοῦτο τὸ μέρος." ἀγριώτατος ὁ ἀνήμερος.

Ἀγρίππας ὄνομα κύριον.

ἄγριππος ἡ ἀγρία ἐλαία. καὶ παροιμία "ἀκαρπότερος ἀγρίππου."

ἀγρίφη δίκελλα, σκεῦος γεωργικὸν πολύγομφον.

ἀγριωπός· "τὴν ἀγριωπὸν ἀκρατῶς γαυρουμένην." λέγει δὲ τὴν ἁμαρτίαν, [ἐκ τοῦ ὤψ ὠπός, ὃ σημαίνει τὸν ὀφθαλμόν.] τουτέστιν ἡ ἀναιδὴς καὶ ἄγριος.

ἀγροικίζω. καὶ ἄγροικος ἄφρων, δύσκολος, σκληρὸς καὶ ἀπαίδευτος, ἢ ὁ ἐν ἀγρῷ κατοικῶν. κατὰ μεταφορὰν δὲ ὁρίζονταί τινες τὴν ἀγροικίαν σκληρότητα ἤθους· ἡ γὰρ σκληρότης κυρίως ἐπὶ σωμάτων.

ἄγροικος ἐξ ἄστεος (A. Nub. 47). οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο. οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ· ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν· ἀλλὰ πρῶτον μὲν διὰ τούτου λεληθότως τὴν εὐπορίαν παρίστησι τὴν αὐτοῦ. οὐ γὰρ ἄν, εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γενὴ καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ· ἀδοξεῖν γὰρ εἰώθαμεν ἐπὶ τοῖς ἀγροίκοις. ἔπειτα δὲ κἀκείνην θεραπεύει τὴν ἀντίθεσιν τῷ ὑποτετάχθαι αὐτὸν τῇ γυναικί· δεσπόζειν γὰρ εἰώθασιν οἱ ἄνδρες τῶν γυναικῶν, ὃ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο, φήσας ἄγροικον αὐτὸν εἶναι, τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδὲν εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους διὰ τὴν ἐπὶ τῆς ἀγροικίας δίαιταν γέναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο.

ἄγροικος ὀργήν φιλόδικος, ἀκρόχολος, εἰς ὀργὴν εὔκολος. Ἀριστοφάνης (Eq. 41) "νῷν γάρ ἐστι δεσπότης ἄγροικος ὀργήν." καὶ ἀγροιώτης ὁ ἄγριος.

ἀγροίκῳ μὴ καταφρόνει ῥήτορος, ὅτι μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν.

ἀγροιώτης ὁ γεωργικὸς λεώς, ὁ ἐν ἀγρῷ· "ἀγροιῶτα τῷδε μονοστόρθυγγι Πριήπῳ" (AP 6 22). θηλυκῶς δὲ ἀγροιῶτις διὰ τοῦ ι.

ἀγρολέτειρα ἡ Ἄρτεμις.

ἀγρόμενοι συναθροιζόμενοι· (Hom. Y 166) "ἀγρόμενοι πᾶς δῆμος." σύνταξις πρὸς σχῆμα, ὁ δῆμος ἀγρόμενοι, ἐπεὶ ὁ δῆμος πλῆθος σημαίνει.

ἀγρόνομοι οἱ ἐν ἀγροῖς διάγοντες. "ἠχήεις τέττιξ δροσεραῖς σταγόνεσσι μεθυσθεὶς ἀγρόνομον μέλπει μοῦσαν ἐρημολάλον" ἐν ἐπιγράμματι (AP 7 196).

ἀγρότας ἀγροίκους, καὶ ἀγρότης ὁ ἐν ἀγρῷ διαιτώμενος· "ἀλλ' ὡς πάροινος ἀγρότης ἀνεκλίθης" (cf. v. βοῦς ἕβδομος). θηλυκὸν δὲ ἀγρότις· ἐν ἐπιγράμματι (AP 6 57) "ἄνθετο δέρμα λέοντος Τεῦκρος Ἄραψ, καὐτὴν ἀγρότιν αἰγανέαν."

ἀγροτέρας ἀγρίου. ἐν ἐπιγράμματι (AP 6 3) "τοῦτό σοι ἀγροτέρας Διονύσιος αὐτὸς ἐλαίης θῆκε ῥόπαλον."

ἀγροῦ πυγή, ἐπὶ τῶν λιπαρῶν καὶ ἐπιμόνως ᾡτινιοῦν ἔργῳ προσκαθημένων.

ἄγροφον ὀρεινόν.

Ἀγρυλῆθεν. Ἀγρύλη δῆμός ἐστι φυλῆς τῆς Ἐρεχθηίδος. ὁ δὲ δημότης πάλαι ἐλέγετο Ἀγρυλεύς.

Ἀγρωνίδης Ἄγρωνος παῖς.

ἀγρώσσω τὸ ἀγρεύω, καὶ ἀγρῶσται οἱ κυνηγέται, ἀπὸ τοῦ ἀγρώσσω ῥήματος. Ὅμηρος (ε 53) "ἰχθῦς ἀγρώσσων."

ἄγρωστις εἶδος βοτάνης, ἡ κοινῶς ἀγρία.

ἀγυιαί ἄμφοδα, ῥῦμαι, ἢ ἐπιμήκεις ὁδοί, παρὰ τὸ μὴ ἔχειν πως γυῖα καὶ μέλη καὶ κάμψεις· τὰ δὲ ἄμφοδα ἔχουσιν ἑκατέρωθεν διεξόδους, καὶ ταύτῃ διαφέρουσιν. ἀγυιᾶς δὲ ἔνιοι μὲν ὀξύνουσι, θηλυκῶς δὲ χρώμενοι, οἷον τὰς ὁδούς· βέλτιον δὲ περισπᾶν ὡς ἀπὸ τοῦ ἀγυιέως. ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν· ἰδίους δέ φασιν αὐτοὺς εἶναι Ἀπόλλωνος, οἱ δὲ Διονύσου, οἱ δὲ ἀμφοῖν. ἔστιν οὖν τὸ ὁλόκληρον ἀγυιεύς καὶ ἡ αἰτιατικὴ ἀγυιέας, ἐν συναλοιφῇ δὲ ἀγυιᾶς. ἔστι δὲ ἴδιον Δωριέων. εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοί, ὡς Σοφοκλῆς (Laocoont. fr. 1) μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν φησί "λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ σμύρνης σταλαγμούς, βαρβάρους εὐοσμίας." καὶ ἀγυιεὺς ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς κίων, ἱερὸς Ἀπόλλωνος (Harp.). καὶ αὐτὸς θεός· Φερεκράτης Κραπατάλοις "ὦ δέσποτ' ἀγυιεῦ, ταῦτα νῦν μέμνησό μου." ἀγυιὰν τὸν στενωπὸν Ξενοφῶν (Cyr. 2 4 3). καὶ ὅλως πολλὰ τὰ γλωσσηματικὰ παρ' αὐτῷ.

Ἀγύλαιος (an Ἀγυλλαῖος) ὄνομα κύριον.

Ἀγύρηνα πόλις Σικελίας. τὸ ἐθνικὸν Ἀγυρηναῖος. Διονύσιος δὲ τὸ Ἀγύριον ἔφη. Steph. B.

ἄγυρις ἄθροισις, καὶ ἀγυρισμός· "ὁ δὲ ἐσπούδασεν εἰς τὸ δυνατὸν πρὸς ἀγυρισμὸν τῆς ἀπορρήτου τῶν θείων θεραπείας." καὶ ἀγυρμός ἐκκλησία, συναγωγή.

Ἀγύρριος ὄνομα κύριον, ὃς ἐπὶ μαλακίᾳ διεβέβλητο, ὡς καὶ πέρδεσθαι αὐτόν· Ἀριστοφάνης Πλούτῳ (176). ἐκωμῳδεῖτο δὲ καὶ εἰς θρασύτητα. καὶ Ἀγύρριος δημαγωγὸς Ἀθηναίων οὐκ ἀφανής· "Ἀγύρριος τὸν Προνόμου πώγων' ἔχων λέληθεν" (Eccl. 102). ὁ Ἀγύρριος στρατηγὸς θηλυδριώδης, ἄρξας ἐν Λήμνῳ, ὃς τὸν μισθὸν τῶν ποιητῶν συνέτεμεν. ὁ δὲ Πρόνομος αὐλητὴς ἦν μέγαν πώγωνα ἔχων.

ἀγυρτείαν· "ὁμιλίαν οἵαν ἐκεῖνος ἐθηρᾶτο πρὸς ἀγυρτείαν τινὰ θρασυνομένην."

ἀγύρτης πτωχός, ὀχλαγωγός, ἐπαίτης, φιλοκερδὴς ἢ συρφετώδης. ἔστι δὲ καὶ βόλος κυβευτικός, καὶ Γάλλος, καὶ μάντις, ὡς Ἀπίων. ἐν ἐπιγράμματι (AP 6 218) "χειράμενος γονίμην τις ἀπὸ φλέβα μητρὸς ἀγύρτης." καὶ αὖθις (Soph. OR 388) "δόλιον ἀγύρτην, ὅς τις ἐν τοῖς κέρδεσι μόνον δέδορκε." καὶ αὖθις "ἦν γὰρ αὐτὸς ἀγύρτης τῷ ὄντι καὶ φιλομαντευτής."

ἀγύρτης ὁ ἀλαζὼν καὶ ἀπατεών. τὸ δὲ ἀγείρειν καὶ τὸ περιαγείρειν τὸ περιιέναι καὶ περινοστεῖν, ἐπὶ νίκῃ ἤ τινι ἑτέρῳ τοιούτῳ σεμνύνειν. ὁ δὲ ἀγύρτης καὶ κυβευτικοῦ βόλου ὄνομά ἐστιν· "ἐμέμφετο αὐτοῦ τὸ περὶ τὰς μαντείας ἐπτοημένον καὶ βουλόμενον ἀεὶ τοῖς ἀγύρταις ἐπιτρέπειν τὰ οἰκεῖα πράγματα." καὶ ἀγυρτικὰ χυδαῖα ψεύσματα, καὶ ἀγυρτώδη συρφετώδη.

ἀγχαλάσας ἀναχαλάσας, ἀνακουφίσας, ἀναβαστάσας.

ἄγχαυρος ὁ παχνώδης ὄρθρος, παρὰ τὸ ἀγχοῦ ἤτοι πλησίον ἔχειν τὴν αὔραν. Ὅμηρος (ε 469) "αὔρη δὲ ψυχρὴ πνέει ἠῶθι πρό."

ἀγχεῖος ὁ πλησίον.

ἀγχηστῖνοι πυκνοί. καὶ ἀγχηστῖνος ἡ εὐθεῖα.

ἄγχι ἐγγύς.

Ἀγχιάλεια πόλις, καὶ ἀγχίαλος ἡ ἐγγὺς τῆς θαλάσσης. οὐ πάντως δὲ αἱ ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσιν· οἵα ἐστὶν ἡ Ἀλεξάνδρεια, ἀγχίαλος μὲν οὐκ ἀμφίαλος δέ, αἱ δὲ νῆσοι ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι. Σοφοκλῆς (Ai. 134) "Τελαμώνιε παῖ τῆς ἀμφιρύτου Σαλαμῖνος." καὶ αὖθις (AP 7 4) "θεῖον Ὅμηρον κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ."

Ἀγχιάλη πόλις, ἣν ἔκτισεν ἐν μιᾷ ἡμέρᾳ Σαρδανάπαλλος ὁ τῶν Ἀσσυρίων βασιλεύς. ὁμοίως ἔκτισε καὶ τὴν Ταρσὸν ὁ αὐτός.

ἀγχιβαθὴς ὁ ἐγγὺς βάθους.

ἀγχιβατεῖν Ἴωνες τὸ ἀμφισβητεῖν, καὶ ἀγχισβασίην Ἡράκλειτος.

ἀγχίθυρος πλησιαίτατος, γείτων· "ἀγχίθυροί τε καὶ γείτονες ἀλλήλων αἱ δυνάμεις ἐγένοντο" (Theophyl. Sim. 2 8).

ἀγχίμαχος ἐγγύθεν μαχόμενος.

ἀγχίμολον ἐγγὺς ἐλθόν.

ἀγχίνοια σύνεσις, ἢ ἕξις εὑρετικὴ τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα, ἢ εὐστοχία τις ἐν ἀσκέπτῳ χρόνῳ. καὶ ἀγχίνουν· Δαμάσκιος (Phot. p. 337 a) "ὀξεῖαν δὲ καὶ ἀγχίνουν φύσεως δύναμιν, ἐπὶ πολλὰ δι' ὀλίγου φέρεσθαι δυναμένην, ἑτοιμοτάτην συνιέναι καὶ γνωρίζειν τὰ ἴχνη τῶν θηραμάτων." περὶ Ἰσιδώρου ὁ λόγος.

ἀγχίνους συνετός, ὀξὺς τὸν νοῦν. "δημηγορήσαντος τοῦ βασιλέως, τοῦ τε ἱεροῦ ξυλλόγου τὸ ἀγχίνουν τε καὶ βουλευτικὸν τοῦ βασιλέως ἐπαινέσαντος" (Menand. Exc. leg. p. 283). ὅτι τρία μέρη εὐμαθείας, ἀγχίνοια μνήμη ὀξύτης· καὶ μνήμη μέν ἐστι τήρησις ὧν ἔμαθέ τις, ὀξύτης δὲ ἡ ταχύτης τῆς διανοίας, ἀγχίνοια δὲ τὸ ἐξ ὧν ἔμαθε θηρεύειν καὶ ἃ μὴ ἔμαθεν. Phot. bibl. p. 440 extr.

Ἀγχίσειος ὁ τοῦ Ἀγχίσου.

Ἀγχίσης Ἀγχίσου. καὶ Ἀγχισίδης.

ἀγχίσπορος ἐγγὺς γένους. Δαμάσκιος (Phot. p. 338 a) "ἀλλὰ ῥώμῃ γενναίας φύσεως καὶ θεῶν ἀγχισπόρου."

ἄγχιστα ἔγγιστα.

ἀγχιστεία ἡ μετουσία τῆς ὁσίας παρὰ Ἀριστοφάνει ἐν Ὄρνισι (1648) "νόθῳ μὴ εἶναι ἀγχιστείαν." καὶ ἀγχιστεύω ῥῆμα, γενικῇ.

ἀγχιστεύς. καὶ ἀγχιστεία συγγένεια. καὶ ἀγχιστεῖς οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τοῦ τελευτήσαντος. οἱ δὲ ἔξω τούτων συγγενεῖς μόνον. οἱ δὲ κατ' ἐπιγαμίαν μιχθέντες τοῖς οἴκοις οἰκεῖοι λέγονται.

ἀγχιστίνδην τὸ κατὰ ἀγχιστείαν, ὡς ἀπὸ τοῦ ἄριστος ἀριστίνδην καὶ πλοῦτος πλουτίνδην.

ἀγχίστροφοι συστραφέντες, ἢ ταχὺ ἐπιστρεφόμενοι. Προκόπιος (Pers. 1 15) "ἥ τε μάχη καρτερὰ ἐγεγόνει καὶ ἐκ χειρὸς ἦν, ἀγχιστρόφους τε τὰς διώξεις ἐποιοῦντο ἐς ἀλλήλους ἑκάτεροι." καὶ αὖθις "εἶτα ὑμεῖς τὰς φάλαγγας ἐξελίξαντες, ἀγχίστροφοι γενόμενοι, ἀντιμέτωποι γίνεσθε τοῖς διώκουσι." καὶ αὖθις "τῷ ἀγχιστρόφῳ τῆς τύχης." cf. v. Θηραμένης.

ἀγχιτέρμων ὁ γείτων.

ἀγχόνη ὁ βρόχος, τὸ σχοινίον, παροξυτόνως. ἀγχονὴ δὲ τὸ πρᾶγμα ὀξυτόνως.

ἀγχονήσας πνίξας.

ἀγχότερος ἐγγύτερος· Ἡρόδοτος (7 175) "στεινοτέρη ἐφαίνετο καὶ ἀγχοτέρη ἡ εἰσβολή."

ἀγχοῦ ἐγγύς.

ἀγχούροις πλησιοχώροις, παρὰ τὸ ἄγχι τοὺς ὅρους εἶναι.

ἄγχουσα εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρά, ᾗ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖ-

ζις. (A. Eccl. 960) "ἦ ἄγχουσ' ὀδυνήσει καὶ τὸ σὸν ψιμύθιον."

ἀγχώμαλον. καὶ ἀγχωμάλου ἴσης, ἐγγὺς τοῦ ὁμαλοῦ. "συμμίξαντες καὶ ἀγχώμαλα ἀγωνισάμενοι καὶ μήτε ζωγρήσαντές τινα μήτε ἐπὶ τὸ πλέον ἔτι προχωρήσαντες διελύθησαν." καὶ αὖθις "ἱππομαχία γίνεται κρατερὰ καὶ πλήθει τῶν ἀγωνιζομένων ἀγχώμαλος καὶ ἀρεταῖς ἐμφερής."

ἄγχων περισφίγγων, θλίβων. "ὁ δὲ ἄγχων τὴν αὐτῆς δεξιὰν καὶ περιάγων περιαιρεῖται τὸ ξίφος." ἄγχω αἰτιατικῇ.

ἀγωγαῖος· ἐν ἐπιγράμματι (AP 6 35) "ἀγωγαῖόν τε κυνάγχαν."

ἀγωγεύς ὁ ἐνάγων τὴν δίκην, ὁ διώκων. καὶ ἀγωγεὺς ὁ λῶρος, καὶ ἀγωγεῖ τῷ ἱμάντι ᾧ ἄγεται ὁ ἵππος.

ἀγωγή φορά τινῶν· ὃ καὶ παρακομίζειν λέγεται, ὡς λέγεται σίτου ἀγωγὴ ἢ οἴνου. ἀγωγή ἀναστροφή, τρόπος, ἢ ἡ κομιδή. καὶ τὸ ἀγόμενον βάρος. ἀγωγὴ λέγεται καὶ ἡ διὰ τῶν ἠθῶν τοῦ τρόπου κατακόσμησις, ὡς λέγεται παίδων ἀγωγή. καὶ ἡ μεταβολή, ἐφ' ᾧ σημαινομένῳ ὁ ὁριζόμενος οὕτω τὴν γένεσιν (Aristot. Top. 6 2) κέχρηται τῷ τῆς ἀγωγῆς ὀνόματι. Πολύβιος (1 32) "ἧγαγε δὲ ὁ ξενολόγος καὶ Λακεδαιμόνιον ἄνδρα τῆς Λακωνικῆς ἀγωγῆς μετεσχηκότα καὶ τριβὴν ἐν τοῖς πολεμικοῖς ἔχοντα σύμμετρον."

ἀγώγιμον καὶ ἀγώγιμος ἄγων, ἀγόμενος, φερόμενος. καὶ ἀγωγίμων φορτίων ἐμπορικῶν· "αὐτοὺς μὲν τοὺς ἐμπόρους ἀπαθεῖς κακῶν ἀποσῶσαι, τὰ δὲ ἀγώγιμά σφισιν ἀνασώσασθαι."

ἀγώγιον τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. οὕτω Ξενοφῶν (Cyr. 6 1 54).

ἀγωγόν ἐπακτικόν. καὶ Πισίδης "πρὸς τοὺς ἀγωγοὺς ἐτράπη τοῦ Τίγριδος." περὶ Χοσρόου ὁ λόγος. καὶ ἀγωγοὺς προπομπούς.

ἀγώμενος (Hesiod. Θ. 619) θαυμαζόμενος, ἀγόμενος δὲ φερόμενος.

ἀγών ἡ πρὸς τοὺς ἀγῶνας ἄσκησις. ἀγῶνα δὲ Ὅμηρος (Θ 200) τὸν τόπον ἐν ᾧ ἀγωνίζονταί φησιν. Θουκυδίδης πέμπτῃ (50) "προελθὼν ἐς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον."

ἀγωνάρχαι ἀγωνοθέται, ἄρχοντες τῶν ἀγώνων. Σοφοκλῆς (Ai. 572) "καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς θήσουσ' Ἀχαιοῖς μήθ' ὁ λυμεὼν ἐμός." καὶ παροιμία "ἀγὼν οὐ δέχεται σκήψεις." τάττεται ἐπὶ τῶν μηδὲν ὀνιναμένων εἰ σκήψαιντο. καὶ "ἀγὼν πρόφασιν οὐκ ἀναμένει." ἡ παροιμία ἐπὶ τῶν φύσει ῥαθύμων, ἢ ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων.

ἀγωνίᾳ Ξενοφῶν (Cyr. 2 3 15) ἀντὶ τοῦ ἀγῶνι.

ἀγωνιᾶν Ἰσοκράτης (15 183) ἀντὶ τοῦ ἀγωνίζεσθαι.

ἀγώνιος ὁ ἐν ἀγῶνι. καὶ θηλυκὸν ἀγωνία ὁ φόβος. ἀγονία δὲ διὰ τοῦ ο μικροῦ ἡ στείρωσις.

ἀγωνιούμενοι εἰς ἀγῶνας ἐμβαλοῦντες· "τοῖς πολεμίοις ἀγωνιούμενοι ἀποτράποιντο ἀμαχεί."

Ἀγωνίς ὄνομα ἑταίρας.

ἀγώνισμα σπουδήν, ἐπιμέλειαν· "ἀγώνισμα τίθενται συλλαβεῖν αὐτόν." Ἀριστοφάνης (Ran. 282) "ἐγὼ δ' εὐξαίμην ἂν ἐντυχεῖν τινί" λείπει θηρίῳ "λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ" ἔπαθλον.

ἀγωνιῶ κινδυνεύω. καὶ τὸ φοβοῦμαι· Πολύβιος (1 20) "πολλαὶ δὲ πόλεις προσετίθεντο τῶν μεσογαίων τοῖς Ῥωμαίοις, ἀγωνιῶσαι τὰς πεζικὰς δυνάμεις." καὶ ἀγωνιῶν δεδιώς· (id. 3 78) "ἀγωνιῶν δὲ τὴν ἀθεσίαν τῶν Κελτῶν καὶ τὰς ἐπιβουλὰς τὰς περὶ τὸ σῶμα." "ἠγωνία δὲ τοὺς στρατιώτας μὴ ἐπιλείπῃ τὰ ὀψώνια." καὶ ἀγωνιῶντες ἀντὶ τοῦ ἀγωνιζόμενοι Ἰσοκράτης (4 91).

ἀγωνοθέτης ὁ ἐν τοῖς σκηνικοῖς, ἀθλοθέτης δὲ ὁ ἐν τοῖς γυμνικοῖς.

ἀγώνων ἐπιταφίων, ἀγόνων δὲ χοῶν.

ἀδαήμονες ἄπειροι. "ὁ δὲ τὴν τῶν Αἰγυπτίων σοφίαν ἦν ἀδαημονέστερος, ὁ Ἀσκληπιάδης." cf. v. Ἡραΐσκος.

ἀδαῖον ἄκαυστον. καὶ Ἀδαῖος ὄνομα κύριον.

ἀδαϊστί ἀπείρως.

ἄδαιτρον ἀμέριστον.

ἄδακρυς πόλεμος ἐπὶ τῶν ἔξω παντὸς κινδύνου καὶ ῥᾷστα καὶ παρ' ἐλπίδα τὰ πράγματα κατορθούντων.

ἀδακρυτί ἀκλαυστί.

Ἀδαλίδης ὄνομα κύριον.

Ἀδάμ ὁ πρῶτος ἄνθρωπος, ὁ χειρὶ θεοῦ πλασθεὶς καὶ κατὰ τὴν εἰκόνα καὶ ὁμοίωσιν μορφωθεὶς τοῦ δημιουργοῦ τε καὶ κτίσαντος, ὁ καὶ τιμηθεὶς τὴν εἰς παράδεισον οἴκησιν. οὗτος δικαίως ἂν πρῶτος καλοῖτο σοφὸς ὡς πρωτόκτιστον ἄγαλμα καὶ εἰκὼν οὖσα θεό-

γραφος, ὡς τῶν χαρίτων ὅλων ὑπάρχων ἀνάπλεως, καὶ πάντα καθαρὰ καὶ ἀκίβδηλα περιφέρων τὰ τῆς ψυχῆς τε καὶ σώματος αἰσθητήρια· μαρμαρυγαὶ γάρ τινες, ὡς εἰπεῖν, ἐκ τῆς ἐκείνε ψυχῆς ἀπαστράπτουσαι καὶ θείων ἐννοιῶν τε καὶ ἐνεργειῶν πλήθουσαι κατὰ πᾶσαν εἰσέτρεχον φύσιν, εὐστόχως καὶ ἀναμαρτήτως τὸ οἰκεῖον ἑκάστης πλεονέκτημα φθάνουσαι. ὃς οὐ παρὰ ἀνθρώπων ἐδοκιμάσθη τῶν τὰς κρίσεις πολλάκις ἐπισφαλῶς ποιουμένων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων θεοῦ τοῦ πᾶσαν γνῶσιν καὶ κρίσιν ὀρθῶς ποιουμένου, καὶ πρὸ τοῦ τὰς ἐννοίας κινηθῆναι παρὰ τῆς ὠδινούσης τὰ τοιαῦτα ψυχῆς καὶ ἀποτικτούσης νοήματα. καὶ ᾗ φησὶν ἡ γραφή, "ἐποίησεν ὁ θεὸς πάντα τὰ κτήνη καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινά, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά. καὶ ὡς ἐκάλεσεν Ἀδάμ, τοῦτο ὄνομα αὐτῷ." τί τῆς φωνῆς ταύτης καὶ μαρτυρίας ἀριδηλότερον; τί τῆς σοφίας ταύτης καὶ διαγνώσεως ὑψηλότερον; ἐκάλεσεν ὀνόματα, τὴν φύσιν αὐτὴν καὶ τὴν ὑπόστασιν ἑκάστε ζώε ὥσπερ ὑπογραφόμενος, οὐ μελετήσας, οὐ προσκεψάμενος, οὐδέν τι προπεπονθὼς τῶν ὅσα μεταμανθάνεσιν ἄνθρωποι. καὶ πολλῶν καὶ ἀναρίθμων γενεῶν παραδραμουσῶν οὐκ ἴσχυσεν οὐδεὶς ὑπαλλάξαι κἂν τοῦ τυχόντος ζώου τὸ ὄνομα, ἐδὲ τῆς ἐκείνου δράξασθαι μεγαλονοίας καὶ διαγνώσεως· μᾶλλον μὲν ἐν μένεσιν ἅπαντες οἱ κατὰ πᾶσαν ἐσπαρμένοι τὴν γῆν ἄνθρωποι τοῖς ἐκείνου στοιχοῦντες ἀμεταθέτοις θεσπίσμασι. καὶ ἐδὲ μέχρι τέτων ἔστη τοῦ πρωτογόνου ἀνθρώπου τὸ ὑπερβάλλον ἐν πᾶσιν ἀξίωμα, ἀλλὰ καὶ σπερμάτων καὶ φυτῶν διαφορὰς ῥιζῶν τε καὶ βοτανῶν δυνάμεις, καὶ ὅσα εἰς ἀντίληψιν καὶ θεραπείαν ἡ φύσις ἑκάστῳ προσαρμόττει τῶν ζώων, διέκρινέ τε καὶ διεσάφησεν. ὗτος καὶ τὴν γυναῖκα πρῶτος ἰδὼν ἐχ ὥσπερ ἐκ στόματος ἀνθρωπίνου περὶ ταύτης ἐφθέγξατο, ἀλλ᾽ ὡς ἔκ τινος θείας ὀμφῆς ἐνηχούμενος εὐστόχως τὸ πολυύμνητον ἐκεῖνο καὶ θαυμαστὸν ἀπεφοίβασε λόγιον "τῦτο νῦν ὀστῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου. αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη." οὗτος τοίνυν ἐστὶν ὁ δοκιμάσας ἕκαστα καὶ πᾶσι κανόνας καὶ στάθμας ἀκριβεῖς καὶ ὅρους ἀναντιρρήτους ἐναρμοσάμενος. τούτου τέχναι καὶ γράμματα, τούτου ἐπιστῆμαι λογικαί τε καὶ ἄλογοι, τούτου προφητεῖαι ἱερουργίαι καὶ καθαρμοὶ καὶ νόμοι γραπτοί τε καὶ ἄγραφοι, τούτου πάντα εὑρήματα καὶ διδάγματα καὶ ὅσαι κατὰ τὸν βίον ἀναγκαῖαι χρεῖαί τε καὶ δίαιται. οὗτός ἐστιν ὁ πρῶτος ἀνδριάς, τὸ θεόκλητον ἄγαλμα, ἀφ᾽ οὗπερ ἀπευθύνονται πᾶσαι ἀνθρώπων ἀγαλματουργίαι, κἂν πρὸς τὸ ἧττον μᾶλλον καὶ μᾶλλον ἐκπίπτωσιν ἐκείνου τοῦ μακαρίου καὶ θεοειδοῦς ἀπεικάσματος, μηδεμίαν ἔχοντος ἀφορμὴν ἧς ἂν ἐπιλάβοιτο ὁ μετ᾽ ἐκεῖνον διαπλαττόμενος ἢ ζωγραφούμενος, ἕως ὁ παλαμναῖος καὶ ἀποστάτης καὶ πλάνος διάβολος τοῦτον ἐξεκύλισε τῆς οἰκείας ἱδρύσεώς τε καὶ στάσεως καὶ κατὰ τοῦ πρανοῦς εἴασε φέρεσθαι πρὸς βαραθρώδεις τινὰς καὶ ἀλαμπεῖς χώρες καὶ μέχρι τῶν ἀμειδήτων τοῦ ᾅδου κευθμώνων ἐγγίζοντας, κἀντεῦθεν ἤρξατο φύσις ἡ τῶν ἀνθρώπων παραχαράττεσθαι καὶ διακιβδηλεύεσθαι καὶ τυποῦσθαι τοῖς τοῦ τυράννου μορφώμασί τε καὶ σχήμασιν. ἐντεῦθεν ἡ νόθος σοφία τὰς ἀφορμὰς ἔλαβε, τῆς θείας δραπετευσάσης καὶ πρὸς οὐρανὸν ἀναπτάσης, ὅθεν τὸ πρότερον ἦν ἀφορμήσασα. ὅθεν ὁ πλάνος τὸ τοῦ θεοῦ σφετερισάμενος ὄνομα εἰς πολλὰ κατεμέρισε, Κρόνους τε καὶ Ζῆνας καὶ Ποσειδῶνας ἑαυτὸν μετακαλῶν. καὶ τὸ δὴ πάντων ἀνοσιώτατον, εἰς ὀνόματα θήλεά τε καὶ ἄσεμνα τὴν μακαρίαν καὶ ἄρρητον συγκατασπάσαι φύσιν ὁ ἀλιτήριος κατετόλμησεν, εἴς τε τὰς Ῥέας ἐκείνας καὶ Ἀφροδίτας καὶ Ἀθηνᾶς καὶ εἰς ἄλλας μυρίας καὶ ἀλλοκότες ἀλόγων ἰδέας τε καὶ μορφάς, ἃς ὁ κακίας δημιουργὸς καὶ τὴν ἀποστασίαν νοσήσας ἐπέχρωσέ τε καὶ διεχάραξεν. ἐντεῦθεν Αἰγυπτίων τὰ περὶ Ὄσιριν καὶ Τυφῶνα καὶ Ἶσιν μοχθηρὰ διηγήματα, καὶ Περσῶν μαγικὰ μαγγανεύματα, καὶ Βραχμάνων γυμνοσοφιστίαι καὶ ἄκαιροι φαντασίαι, καὶ ἡ θαυμαζομένη Σκυθῶν ῥῆσις, καὶ τὰ Θρακῶν ὄργια, καὶ οἱ Φρυγῶν αὐλοὶ καὶ Κορύβαντες. ἐντεῦθεν ἡ Χαλδαίων ἀστρονομία ἡ σφαλερά τε καὶ πολυώδυνος. ἐντεῦθεν ἡ τοῦ ψεύδους λοχεύτρια ποίησις, ἡ τῶν Ἑλληνικῶν ληρημάτων σεμνομυθία. ἐντεῦθεν Ὀρφεύς τε καὶ Ὅμηρος καὶ ὁ τῶν ἀθεμίτων γονῶν ζωγράφος Ἡσίοδος. ἐντεῦθεν ἡ Θάλητος δόξα, καὶ ὁ κλεινὸς Πυθαγόρας, καὶ ὁ σοφὸς Σωκράτης, καὶ Πλάτων τὸ τῆς Ἀθηναίων Ἀκαδημείας

πολυθρύλητον σεμνολόγημα. ἐντεῦθεν οἱ Παρμενίδαι καὶ Πρωταγόραι καὶ Ζήνωνες, ἐντεῦθεν αἱ στοαὶ καὶ οἱ Ἄρειοι πάγοι καὶ Ἐπικούρειοι. ἐντεῦθεν οἱ τραγῳδῶν θρῆνοι καὶ κοπετοὶ καὶ τὰ κωμικῶν παίγνια καὶ τωθάσματα. ἐντεῦθεν τὰ δολερὰ τοῦ λοξίου καὶ ψευδηγόρου θεσπίσματα, καὶ ἡ λοιπὴ τῶν Ἑλληνικῶν κομψευμάτων ἐρεσχελία καὶ τερατεία. καὶ ἵνα μὴ μακρὸν ἀποτείνω τὸν λόγον, εἰς σαπροὺς τε καὶ ὀδωδότας μύθους ἐνασχολούμενος, πᾶσαν εἰς ἑαυτὸν τὴν κτίσιν ὁ πλάνος ἐμφορτισάμενος, καὶ λαβὼν ὑπὸ χεῖρα τὸν ἄνθρωπον ὡς ἀνδράποδον, καὶ διερχόμενος τὴν ἐπ' οὐρανὸν καὶ περιπατῶν τὴν γῆν, καὶ ὡς ᾠὸν πάντα κατέχων, ὡς αὐτός πού φησιν ἀλαζονευόμενος, ᾤετο ἤδη τὸν ἑαυτοῦ θρόνον θήσειν ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ ἔσεσθαι ὅμοιος τῷ ὑψίστῳ. ἀλλ' ὁ τοῦ θεοῦ μονογενὴς υἱὸς καὶ λόγος ὁ προαιώνιος, οἰκτείρας τὸν ἄνθρωπον ὡς ἠπατημένον ὑπὸ τοῦ δράκοντος, ἐκ τῶν τοῦ πατρὸς κόλπων ἑαυτὸν ἐκένωσεν, καὶ σαρκωθεὶς ἐκ πνεύματος ἁγίου καὶ ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας, καὶ διὰ τοῦ τιμίου σταυροῦ καὶ τοῦ πάθους αὐτοῦ καταβαλὼν τὸν ἀντίπαλον, καὶ καταβὰς εἰς τὰ κατώτατα μέρη τῆς γῆς ἐκεῖθεν εἵλκυσε τὸν παραπεσόντα πρωτόπλαστον, ἀποδοὺς τῇ εἰκόνι τὸ πρῶτον κάλλος καὶ τῇ φύσει τὸ ἀρχαῖον ἀξίωμα. κἀντεῦθεν ἠφάνισται πᾶσα ἡ τοῦ τυράννου δυναστεία καὶ συμμορία, τοῦ τῆς εὐσεβείας φωτὸς διαυγάσαντος πάσῃ τῇ κτίσει τῶν ἡλιακῶν μαρμαρυγῶν τηλαυγέστερον. ἐκ τούτου τοῦ φωτὸς ἡ κατὰ θεὸν σοφία πάλιν διέλαμψε, καὶ γλώσσας ἁλιέων ἐστόμωσε, καὶ τῶν σοφῶν διδασκάλους τοὺς ἀσόφους εἰργάσατο. ἐντεῦθεν ὁ τῆς βροντῆς γόνος τὸ "ἐν ἀρχῇ ἦν ὁ λόγος" ἐξ οὐρανίων νεφελῶν ἀπαστράψας ἐβρόντησε, καὶ πᾶσαν τὴν οἰκουμένην ἐλάμπρυνε. κἀκ τούτου τοῦ φωτὸς Παῦλος εἰς τρίτον οὐρανὸν ἀναφέρεται, καὶ θεᾶται τὰ ἄθέατα, καὶ τῶν ἀρρήτων ὑπακούει λογίων, καὶ διατρέχει πᾶσαν τὴν γῆν ὡς πτηνὸς καὶ ἀέριος, τὸν Ἰησοῦν εὐαγγελιζόμενος. ἐντεῦθεν ὁ Πέτρος τὸν Χριστὸν υἱὸν θεοῦ τοῦ ζῶντος ὠνόμασε, καὶ τὰς κλεῖς τῆς τῶν οὐρανῶν πιστεύεται βασιλείας, ἵνα ἀνοίγῃ μὲν τοῖς πιστοῖς ἀποκλείῃ δὲ τοῖς ἀπίστοις τῶν θείων ἀνακτόρων τὴν εἴσοδον. ἐντεῦθεν ἀγέλαι μαρτύρων καταβάλλουσιν εἴδωλα, καὶ τρέχουσιν ἕτοιμοι πρὸς τὸν θάνατον, ὡς στεφάνους τὰς πληγὰς καὶ ὡς πορφύρας τὰ ἑαυτῶν αἵματα περιφέροντες οἱ καλλίνικοι. ἔστω γοῦν ὁ πρωτόπλαστος ἀρχηγὸς τοῦ γράμματος κατά γε τὸν ἐμὸν ὅρον καὶ λόγον, ὡς ποταμὸς πηγή τε καὶ θάλαττα καὶ ῥίζα καὶ κλάδοι καὶ ὅρπηκες καὶ πάσης ὑπάρχων τῆς ἀνθρωπίνης φύσεως ἀπαρχὴ καὶ πρωτόλειον.

ὅτι ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη ͵βσμβ', ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιίας ἔτη φκέ, ἀπὸ δὲ τῆς πυργοποιίας ἕως τοῦ Ἀβραὰμ ἔτη υκέ, ... ἀπὸ δὲ τοῦ Ἀβραὰμ ἕως τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου ἔτη υλ', ἀπὸ δὲ τῆς ἐξόδου ἕως τῆς οἰκοδομῆς τοῦ Σολομωντείου ναοῦ ἔτη ψνζ', ἀπὸ δὲ τῆς οἰκοδομῆς τοῦ ναοῦ ἕως τῆς αἰχμαλωσίας τοῦ Ἰσραὴλ υκέ, ὁμοῦ ἔτη ͵δωπ'. ἀπὸ δὲ τῆς αἰχμαλωσίας ἕως Ἀλεξάνδρου Μακεδόνος τοῦ βασιλέως τιή, ἀπὸ δὲ Ἀλεξάνδρου ἕως Χριστοῦ τοῦ θεοῦ ἡμῶν τγ', ὁμοῦ ἔτη ͵εφα'. ἀπὸ δὲ τοῦ Χριστοῦ ἕως τοῦ μεγάλου Κωνσταντίνου τιή, ἀπὸ δὲ Κωνσταντίνου μέχρι Μιχαὴλ υἱοῦ τοῦ Θεοφίλου φνέ. ὁμοῦ τὰ πάντα ἔτη ͵ςτοέ ⟨Nicephor. patr. CP. chronogr. compend. p. 753⟩. ἀπὸ δὲ Μιχαὴλ ἕως Ῥωμανοῦ υἱοῦ Κωνσταντίνου τοῦ πορφυρογεννήτου ἔτη εὕρηται ρχ', ἀπὸ δὲ τοῦ πορφυρογεννήτου ἕως τῆς τελευτῆς Ἰωάννου τοῦ Τζιμισκῆ ἔτη κέ. καὶ Ἀδαμιαῖος ἀπὸ Ἀδάμ.

ἀδάμας ὁ λίθος, καὶ ἀδαμάντινα τὰ στερρά. "ὁ δὲ Ἀπολλώνιος ὥσπερεὶ ἑαυτῷ διελέγετο. 'οἶδα' ἔλεγε, καὶ 'δοκεῖ μοι', καὶ 'ποῖ φέρεσθε;' καὶ 'χρὴ εἰδέναι.' καὶ δόξαι βραχεῖαι καὶ ἀδαμάντιναι." cf. v. κατεγλωττισμένον.

ἀδαμαστὶ ἐπίρρημα.

ἀδάμαστος παρθένος, ἄζυξ. Σοφοκλῆς ⟨Ai. 451⟩ "νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάμαστος θεὰ ἔσφηλεν ἐμβαλοῦσα λυσσώδει νόσῳ."

Ἀδαμίθειος.

ἀδαξῆσαι τὸ κνῆσαι, οὐκ ἐν τῷ ο ὀδαξῆσαι. καὶ ἀδαχεῖν τὸ κνήθειν· "ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἄχορ' ἐκλέγει τ' ἀεί" Ἀριστοφάνης.

Ἀδδώ ὄνομα κύριον, ἄδω δὲ ῥῆμα, δοτικῇ.

ἀδεές ἀσφαλές, οὐ φοβερόν, ὡς ἡ παροιμία "ἀδεὲς δέδιας δέος." λεγόμενόν τι ἔστιν

ἐπὶ τῶν τὰ μὴ φοβερὰ φοβουμένων.

ἄδεν ἤρεσκεν. ἐν μύθοις "οὐδέ οἱ οὐδ' αἴθων ἄδε πάρδαλις, οὕνεκα θυμῷ ἐμπλείη."

ἀδέητος ὁ μηδενὸς δεόμενος καὶ πάντα ἔχων. Ἀντιφῶν ἐν α' ἀληθείας "διὰ τοῦτο οὐδενὸς δεῖται, οὐδὲ προσδέχεται οὐδενός τι, ἀλλ' ἄπειρος καὶ ἀδέητος." Harp.

ἄδεια ἄνεσις, ἀφοβία. Ἰώσηπος (B. Iud. 5 2 4) "οἱ δὲ στασιασταὶ τοὺς Ῥωμαίους ὁρῶντες κακῆς ὁμονοίας κατήρχοντο, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, τί μένοιεν, τί παθόντες ἀνέχοιντο τρία ταῖς ἀναπνοαῖς αὐτῶν ἀναφρασσόμενα τείχη. καὶ τοῦ πολέμου μετ' ἀδείας ἀντιπολεμίζοντος ἑαυτόν."

ἄδεια ἡ ἀφοβία. "ἐκέλευον αὐτὸν λέγειν ὅ τι χρῄζει μετ' ἀδείας." "ὁ δὲ τῆς μὲν ἀδείας χάριν ὡμολόγει, τὸ δὲ ἑαυτοῦ πάθος ἐπὶ μέγα ἐξάρας Ῥωμαίοις ἐμέμφετο."

ἀδειάς εἶδος ἐσχάρας.

ἀδειής ἄφοβος. καὶ ἄδειος ὁμοίως.

ἀδείμαντα ἄφοβα. καὶ ἀδείμος ὁ ἄφοβος.

Ἀδείμαντος Κορινθίων στρατηγός, ὃς ἄπολιν εἶπε τὸν Θεμιστοκλέα. ὁ δὲ "τίς" εἶπεν "ἄπολις, ἔχων σ' τριήρεις;"

τούτου καὶ Πλάτων μέμνηται ἐν τῷ Πρωταγόρᾳ (p. 315 E)· ἦν γὰρ τῶν περὶ τοὺς καιροὺς τούτους στρατηγούντων. ἐκωμῳδοῦντο δὲ ἐπὶ πονηρίᾳ Κλεοφῶν Μύρμηξ καὶ Νικόμαχος καὶ Ἀρχέμορος μετ' Ἀδειμάντου τοῦ Λευκολόφου. sch. A. Ran. 1525.

ᾄδειν κελεύονθ' ὥσπερεὶ τέττιγας ἑστιῶντα (A. Nub. 1364), διότι πολύλαλόν ἐστι τὸ ζῷον. ἀδεῖν δὲ ἀρέσαι.

ᾄδεις ὥσπερ εἰς Δῆλον πλέων, ἐπὶ τοῦ ἀφροντίστου καὶ φιληδοῦντος.

ἀδεκάστως ἀμερίστως, δικαίως, ἀδωροδοκήτως, ὀρθῶς.

ἀδεκατεύτους Ἀριστοφάνης (Eq. 301) ἀτελωνήτους· τὰς γὰρ δεκάτας τῶν κοιλιῶν τῶν θυομένων ἐδίδοσαν τὴν δεκάτην μοῖραν ἐν τῷ πρυτανείῳ.

Ἀδεκτώ ὄνομα δαίμονος.

ἀδελφά οἰκεῖα, ἁρμόζοντα, πρέποντα.

ἀδελφειός ὁ ἀδελφός, ἀδελφιδοῦς δὲ ὁ ἀνεψιός, καὶ τὸν ἀδελφιδοῦν. καὶ ἀδελφίζειν ἀντὶ τοῦ ἀδελφὸν καλεῖν· οὕτως Ἰσοκράτης (19 30) καὶ ὁ Μιλήσιος Ἑκαταῖος καὶ Ἀπολλοφάνης ἐχρήσαντο. καὶ τὸ θηλυκὸν ἡ ἀδελφιδῆ.

Ἀδέλφιος ὄνομα κύριον.

ἀδελφὸς παρείη. ὅτι προτιμητέον τοὺς οἰκείους εἰς βοήθειαν ἐν καιρῷ περιστάσεως

ἀδένη ἡ φλύαρος. ἡ δεῖνα.

Ἄδερ ὁ ἀλιτήριος ὁ ἐπαναστὰς Σολομῶντι. παῖς οὗτος ἦν Ἰδουμαῖος, γένος ἐκ βασιλικῶν σπερμάτων. καταστρεψαμένου δὲ τὴν Ἰδουμαίαν Ἰωάβου τοῦ Δαβὶδ στρατηγοῦ καὶ πάντας τοὺς ἐν ἀκμῇ καὶ φέρειν ὅπλα δυναμένους διαφθείραντος μησὶν ἕξ, φυγὼν οὗτος ἧκε πρὸς Φαραὼ τὸν Αἰγύπτου βασιλέα. ὁ δὲ φιλοφρόνως αὐτὸν ὑποδεξάμενος οἶκόν τε αὐτῷ δίδωσι καὶ χώραν εἰς διατροφήν, καὶ γενόμενον ἐν ἡλικίᾳ λίαν ἠγάπα, ὡς καὶ τῆς αὐτοῦ γυναικὸς αὐτῷ δοῦναι πρὸς γάμον τὴν ἀδελφὴν ὄνομα Θαφίνην, ἐξ ἧς υἱὸς αὐτῷ γενόμενος τοῖς τοῦ βασιλέως παισὶ συνανετράφη. ἀκούσας οὖν τὸν Δαβὶδ θάνατον ἐν Αἰγύπτῳ καὶ τὸν Ἰωάβου, προσελθὼν ἐδεῖτο τοῦ Φαραὼ ἐπιτρέπειν αὐτῷ βαδίζειν εἰς τὴν πατρίδα. τοῦ δὲ βασιλέως ἀνακρίνοντος τίνος ἐνδεὴς ὢν ἢ τί παθὼν ἐσπούδακε καταλείπειν αὐτόν, τότε μὲν οὐκ ἀφείθη· ὕστερον δὲ καθ' ὃν ἤδη καιρὸν Σολομῶντι τὰ πράγματα κακῶς εἶχε διὰ τὰς προειρημένας αἰτίας καὶ παρανομίας καὶ τὴν ὀργὴν τὴν ἐπ' αὐτοῖς τοῦ θεοῦ, συγχωρήσαντος τοῦ Φαραὼ ὁ Ἄδερος ἧκεν εἰς τὴν Ἰδουμαίαν, ὃς τῆς Συρίας βασιλεύσας κατέτρεχε τὴν τῶν Ἰσραηλιτῶν χώραν, ἐπιτίθεται δὲ Σολομῶντι. Ioseph. Ant. Iud. 8 7 6.

Ἀδερβός ὄνομα κύριον.

ἀδέρκτως οὐ προσβλέποντες, ἀλλ' ἢ καταμύοντες. "παραμειβόμεσθ' ἀδέρκτως" (Soph. OC 130).

Ἀδέρκων πόλις Ἰβηρίας.

ἀδέψητον τὸ ὠμόν.

ἀδηκότες ταλαιπωρήσαντες.

ἀδήλητος ἀσινής, ἀβλαβής· Ἀγαθίας (1 13) "καὶ ἐπεδείκνυντο σῷοί τε καὶ ἀδήλητοι." δηλῶ γὰρ τὸ βλάπτω.

ἀδηλία ἀοριστία, ἀπειρία· "τῷ δὲ ὑπερηφανίᾳ χρωμένῳ καὶ τὴν τοῦ πολέμου ἀδηλίαν ἥκιστα εἰς νοῦν βαλλομένῳ ἠλπίζετο ῥᾳδίως αἱρήσειν τὸν βάρβαρον." ἀδηλία δὲ καὶ ἡ κρυφιότης.

ἀδηλώσας ἀγνώριστον ποιήσας· "ὁ δὲ ἀδηλώσας ἑαυτὸν πιναρᾷ στολῇ καὶ λαβὼν δρέπανον ὡς ἂν γῆς ἐργάτης."

ἀδημονία ἡ φροντίς.

ἀδημονῶ τὸ λίαν λυποῦμαι. "ὁ δὲ τὸ μὲν πρῶτον ἠδημόνει καὶ ἡσυχίαν εἶχεν ὑπὸ τοῦ παρόντος κακοῦ." καὶ ἀδημονούσης ἀπορούσης.

ἀδημονῶν ἀγωνιῶν, ἀκηδιῶν. καὶ ἀδημονέστερος ἀντὶ τοῦ ἀγωνιστικώτερος· "ὢν δὲ τοῦ προσήκοντος ἀδημονέστερος ἀντεῖχε τούτῳ."

ἅδην ἅλις, ἢ εἰς κόρον, ἱκανῶς, ἀρκούντως, ἢ λάβρως, κατακόρως. ἐν Χαρμίδῃ ⟨p. 153 D⟩ "ἐπεὶ δὲ τῶν τοιούτων ἅδην εἴχομεν." καὶ Ἡρόδοτος ⟨9 39⟩ "ὡς δὲ ἅδην εἶχον κτείνοντες, τὰ λοιπὰ αὐτῶν ἤλαυνον." "ἐπινεμομένου τε ἅδην τοῦ πυρὸς τὰς ἀγχοῦ τειχῶν οἰκίας, ταραχῆς ἐπλήσθη ἡ πόλις." καὶ αὖθις "οἱ δὲ οἴνῳ ἅδην ἐχρῶντο ἑσπέριοι καὶ ἐς νύκτα τελευτῶντες." καὶ αὖθις "οἱ δὲ ἅδην καὶ ἀπείρως σπῶσι τοῦ οἴνου· καὶ ἀνατραπέντες ἔκειντο ὡς ἔτυχον αὐτῶν ἕκαστος εἰκῇ." καὶ αὖθις ⟨Appian. 1 p. 81⟩ "τοῦ δὲ οἴνου καὶ τῶν ἄλλων ἅδην ἐνεπίμπλαντο οἱ Κελτοί, τήν τε φύσιν ὄντες ἀκρατεῖς καὶ χώραν ἔχοντες ὅτι μὴ πρὸς δημητριακοὺς καρποὺς τῶν ἄλλων ἄγονον καὶ ἀφυᾶ. τά τε σώματα αὐτοῖς μεγάλα ὄντα καὶ τρυφηλὰ καὶ σαρκῶν ὑγρῶν μεστὰ ὑπὸ τῆς ἀδηφαγίας καὶ μέθης ἐς ὄγκον καὶ βάρος ἐξεχεῖτο, ἐς δρόμους δὲ καὶ πόνους ἀδύνατα πάμπαν ἐγίγνετο. καὶ ἀπὸ ἱδρῶτος καὶ ἄσθματος, ὅπου τι δέοι κάμνειν, ἐξελύοντο ταχέως." καὶ αὖθις ⟨cf. v. Ζήνων βασιλεύς⟩ "οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι τοῦ ἅδην τὰ δημόσια καταναλίσκειν συβαριτικῶς τὸν νέον κραιπαλᾶν ἐνήργουν."

ἀδηνέως ἁπλῶς καὶ ἀταλαιπώρως, κατὰ στέρησιν τῶν δηνέων καὶ μεριμνῶν.

ἀδήριτος ἀνίκητος, ἄμαχος, ἀκαταπόνητος. "τὴν λείαν τῶν πολεμίων ἤλπισεν ἀδήριτον περιαιρεῖν" ⟨Polyb. 3 93⟩, ἀντὶ τοῦ ἄμαχον. καὶ ἀδηρίτως ἀφιλονείκως.

Ἅδης. ⟨AP 7 221⟩ "Ἅδη δυσκίνητε, τί τὴν ἐπέραστον ἑταίραν ἥρπασας; ἢ καὶ σὴν Κύπρις ἔμηνε φρένα;"

ἀδήσεις ἀρέσεις.

ἀδηφαγία ἡ ἀπληστία, καὶ ἀδηφάγος ἀθρόως ἐσθίων, πολυφάγος, γαστρίμαργος. ἀδηφάγοι τριήρεις λέγοιντ' ἂν αἱ ἐντελόμισθοι καὶ πολλὰ ἀναλίσκουσαι, ἐκ μεταφορᾶς τῶν τελείων καὶ ἀγωνιστῶν ἵππων. Ἀλκαῖος δὲ ἐν τῇ Κωμῳδοτραγῳδίᾳ τοὺς πότας λύχνους ἀδηφάγους εἶπεν. Harp.

ἀδήωτον ἀπόρθητον, ἀπαίδευτον. "οἱ δὲ τὴν γῆν ἀδήωτον ἔχειν ἐθέλοντες ὡμολόγησαν ἀργυρίου σταθμὰ δισχίλια δώσειν."

Ἀδιαβηνή. αὕτη ἡ χώρα κεῖται πρὸ τῆς Μεσοποταμίας ὡς ἐπὶ ἀνατολὴν πέραν τοῦ Τίγρητος, ἐν αὐτῇ δὲ ἔστι καὶ ἡ ἄσφαλτος ἡ λεγομένη νάφθα. λέγεται δὲ Ἀδιαβηνὴ διὰ τὸ εἶναι πλείους ποταμοὺς ἐν αὐτῇ καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν. ἐκεῖ πού ἐστι καὶ ἡ Νινευί. τοσαύτην δὲ ἀσφάλειαν ποιεῖ τοῖς κτίσμασιν ἡ ἄσφαλτος ὥστε ταῖς ὀπταῖς πλίνθοις καὶ τοῖς λεπτοῖς λίθοις συμμιγεῖσα ἰσχυροτέρα γίνεται παντὸς σιδήρου. ἐκεῖσε δὲ ἔστι καὶ τὸ Ἄορνον στόμιον, ἐξ οὗ δεινὸν πνεῦμα ἀναδίδοται, ὥστε πᾶν μὲν ἐπίγειον ζῷον πᾶν δὲ πτηνὸν ἀποφθείρειν, καὶ εἰ πρὸς τὸ τυχὸν ὀσφρήσαιτο. καὶ εἰ ἐσκεδάννυτο, οὐκ ἂν ᾠκίσθη ὁ χῶρος· ἀλλὰ κατ' εὐθεῖαν ἄνεισι, καὶ ὀλίγον ἀνερχόμενον πάλιν ἀντανακλᾶται, καὶ ἐκ τούτου τά τε ἐν ὑψηλοτέρῳ πετόμενα σῴζεται καὶ τὰ πέριξ νεμόμενα. καὶ Ἀδιαβηνός. Dio Cass. 68 27.

ἀδιάδραστον ἄφυκτον· "καταπλαγείη δ' ἄν τις τὸ ἀδιάδραστον τῆς δίκης ἐκ τῆς συμβάσης τούτῳ τιμωρίας."

ἀδιαίτητος ἀλλότριος, ἀήθης.

ἀδιάκριτος ἀδιαχώριστος. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μὴ γινωσκόντων τὰ δέοντα ἢ ἀφρόνως φλυαρούντων.

ἀδιάλειπτον.

ἀδιαλώβητον ἀβλαβές.

ἀδιάρθρωτον ἄσημον, ἀτράνωτον.

ἀδιάσκευον ἀκόσμητον, ἀνεπιμέλητον· "ὁ δὲ λαβὼν ἵππον ἀδιάσκευον καὶ καθοπλισμὸν ἀνεπίφαντον βάδην προσήλαυνε πρὸς τοὺς πολεμίους."

ἀδιάστατον τὸ μήπω διεστηκὸς μηδὲ διακεκριμένον Ἀντιφῶν εἶπεν. Harp.

ἀδιαφορία ἀμέλεια, χωρὶς παρατηρήσεως. τὸ δὲ ἀδιάφορον διχῶς λέγεται, ἅπαξ μὲν τὸ μήτε πρὸς εὐδαιμονίαν μήτε πρὸς κακοδαιμονίαν συνεργοῦν, ὡς ἔχει πλοῦτος δόξα ὑγεία ἰσχὺς καὶ τὰ ὅμοια· ἐνδέχεται γὰρ καὶ χωρὶς τούτων εὐδαιμονεῖν, τῆς ποιᾶς αὐτῶν χρήσεως εὐδαιμονικῆς οὔσης ἢ κακοδαιμονικῆς. ἄλλως δὲ λέγεται ἀδιάφορον τὸ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικόν, ὡς ἔχει τὸ ἀρτίας ἔχειν ἐπὶ τῆς κεφαλῆς τρίχας ἢ περιττάς, ἢ ἐκτεῖναι τὸν δάκτυλον ἢ συστεῖλαι, τῶν προτέρων ἀδιαφόρων οὐκέθ' οὕτως λε-

γομένων· ὁρμῆς γάρ ἐστιν ἐκεῖνα καὶ ἀφορμῆς κινητικά. διὸ τὰ μὲν αὐτῶν ἐκλέγεται, τῶν ἑτέρων ἐπ' ἴσης ἐχόντων πρὸς αἵρεσιν καὶ φυγήν. τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγμένα τὰ δὲ ἀποπροηγμένα, προηγμένα μὲν τὰ ἔχοντα ἀξίαν, ἀποπροηγμένα δὲ τὰ ἔχοντα ἀπαξίαν. ἀξίαν δὲ τὴν μέν τινα σύμβλησιν πρὸς τὸν ὁμολογούμενον βίον, ἥτις ἐστὶ περὶ πᾶν ἀγαθόν, τὴν δὲ εἶναι μέσην τινὰ δύναμιν ἢ χρείαν συλλαμβανομένην πρὸς τὸν κατὰ φύσιν βίον, ὅμοιον εἰπεῖν, ἥντινα εἰσφέρεται εἰς τὸν κατὰ φύσιν βίον πλοῦτος ἢ ὑγεία. τὴν δ' εἶναι ἀξίαν ἀμοιβὴν δοκιμαστοῦ, ἣν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ. ὅμοιον εἰπεῖν, ἀμείβεσθαι πυροὺς πρὸς τὰς σὺν ἡμιόνῳ κριθάς. προηγμένα μὲν οὖν εἶναι ἃ καὶ ἀξίαν ἔχειν, οἷον ἐπὶ μὲν τῶν ψυχικῶν εὐφυΐαν τέχνην προκοπὴν καὶ τὰ ὅμοια, ἐπὶ δὲ τῶν σωματικῶν ζωὴν ὑγείαν ῥώμην εὐεξίαν ἀρτιότητα κάλλος, ἐπὶ δὲ τῶν ἐκτὸς πλοῦτον δόξαν εὐγένειαν καὶ τὰ ὅμοια, ἀποπροηγμένα δὲ ἐπὶ μὲν τῶν ψυχικῶν ἀφυΐαν ἀτεχνίαν καὶ τὰ ὅμοια, ἐπὶ δὲ τῶν σωματικῶν θάνατον νόσον ἀσθένειαν καχεξίαν πήρωσιν αἶσχος καὶ τὰ ὅμοια, ἐπὶ δὲ τῶν ἐκτὸς πενίαν ἀδοξίαν δυσγένειαν καὶ τὰ παραπλήσια. οὔτε δὲ προήχθη οὔτε ἀποπροήχθη τὰ μηδετέρως ἔχοντα. ἔτι τῶν προηγμένων τὰ μὲν δι' αὑτὰ προῆκται, τὰ δὲ δι' ἕτερα, τὰ δὲ καὶ δι' αὑτὰ καὶ δι' ἕτερα, δι' αὑτὰ μὲν εὐφυΐα προκοπὴ καὶ τὰ ὅμοια, δι' ἕτερα δὲ πλοῦτος εὐγένεια καὶ τὰ ὅμοια, δι' ἕτερα δὲ καὶ δι' αὑτὰ ἰσχὺς εὐαισθησία ἀρτιότης, δι' αὑτὰ μὲν ὅτι κατὰ φύσιν ἐστί, δι' ἕτερα δὲ ὅτι περιποιεῖ χρείας οὐκ ὀλίγας. ὁμοίως δὲ ἔχει καὶ τὸ ἀποπροηγμένον κατὰ τὸν ἐναντίον λόγον. Diog. L. 7 104.

ἀδιεξίτητον ἀδιεξέλευστον.

ἀδιή λύπη.

ἀδιήγητον τὸ μὴ δυνάμενον δι' ὑπερβολὴν κακοῦ διηγηθῆναι· "ὥστ' ἀδιήγητον κακὸν γενέσθαι."

ἀδικεῖν, αἰτιατικῇ, τὸ βλάπτειν ἑκόντα. "τὸ δὲ μὴ ἀδικεῖσθαι θεὸν ἔνδοξον καὶ ἐναργές· ὑπ' οὐδενὸς γὰρ θεὸς ἀδικηθήσεται."

ἀδικία παρὰ τῷ ἀποστόλῳ ἡ τῶν εἰδώλων ἀπάτη. ἐκεῖνοι οὖν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχουσιν, ὅσοι τὸ σέβας τοῦ θεοῦ παραπέμπουσιν εἰδώλοις. τὸ δὲ κατεχόντων ἀντὶ τοῦ φυλαττόντων. Oecumen. in ep. ad Rom. 1 18.

ἀδικία. Πλάτων φησὶ ⟨Gorg. p. 477⟩ τὴν ἀδικίαν νόσον ψυχῆς εἶναι. μηδεμία δὲ νόσος ψυχῆς ὠφέλιμός ἐστι, καὶ οὕτως πᾶσα κακία βλαβερά ἐστι τῷ ἔχοντι αὐτήν. ἡ δὲ ἀδικία κακία, οὐκοῦν βλαβερόν. ἡ γὰρ ἀδικία καὶ τὴν φύσιν αὐτὴν ἀδικεῖ, παρ' ὅσον αὕτη σφετερίζεται. ἔστι δὲ καὶ φθαρτική, τοῦτο μὲν τῆς ἐν πόλει κοινωνίας τοῦτο δὲ τῆς πάσης συναλλαγῆς. ἐναντία δὲ καὶ παρὰ φύσιν τοῖς ἀνθρώποις· οἱ γὰρ ἄνθρωποι φύσει κοινωνικοί.

ἀδικίου οἷον ἀδικήματος. ἔστι δὲ ὄνομα δίκης. ἀποτίννυται δὲ τοῦτο ἁπλοῦν, ἐὰν πρὸ τῆς ἐνάτης πρυτανείας ἀποδοθῇ· εἰ δὲ μή, διπλοῦν καταβάλλεται. Harp.

ἀδικοδοξία παράλογος λοιδορία· "ὁ δὲ στρατηγὸς οὐ δυνάμενος ἐνεγκεῖν τὴν ἀδικοδοξίαν τῶν ταῦτα λεγόντων."

ἀδινοί ἀντὶ τοῦ ἀθρόοι, πάντες. ἢ ἀδινῶς οἰκτρῶς. καὶ ἀδινόν τὸ ἀθρόον ἢ γοερόν.

ἄδιον τὸ πλάγιον.

ἀδίοπον ἄναρχον, ἀφύλακτον, ἀπὸ τοῦ διέπω· δίοποι γὰρ ἐλέγοντο οἱ τῆς νεὼς φύλακες.

ἀδιόριστον τὸ ἀδιαχώριστον.

ἀδμεύειν ὑγιαίνειν.

ἀδμήτης ὁ ἀδάμαστος. ἀδμῆτις δὲ γυνή, διὰ τοῦ ι.

Ἄδμητος ὄνομα κύριον.

Ἀδμήτου μέλος καὶ Ἁρμοδίου, ἐπὶ τῶν ῥᾳδίων καὶ εὐκόλων· τοιαῦτα μὲν γὰρ καὶ τὰ σκολιὰ λεγόμενα.

ἀδμωλεῖν ἀγνοεῖν, ἢ ἀγνωμονεῖν, ἢ ἀκηδιᾶν.

ἀδμωλία ἡ ἄγνοια παρὰ Καλλιμάχῳ. καὶ ἀδμωλεί χωρὶς δούλου ἢ δουλείας. καὶ ἀδμωλῶ τὸ ἀκηδιῶ.

ἀδνούμιον ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις. οἱ δὲ ἀνουμῖνος τὸ ἀδνούμιον.

ἀδόκητον διεψευσμένον· "δεδιὼς μὴ ἀφυλάκτοις αὐτοῖς ἐπιπέσοιεν· ὃ δὴ οὐκ ἀδόκητον ἐγεγόνει, ἐπεὶ καὶ ληστήριον αὐτῶν προέβαινε." καὶ ἀδόκητος ἀπροσδόκητος.

ἀδοκίμαστος. δοκιμασθῆναι λέγεται τὸ εἰς ἄνδρας ἐγγραφῆναι. ἀδοκίμαστος ὁ μήπω ἐγγεγραμμένος. Λυσίας οὕτως. Harp.

ἀδόκιμος ἀδοκίμαστος.

ἀδολεσχία ἀκαιρία, φλυαρία, συνέχεια. Ἀττικοὶ ἐκτείνουσι τὸ α. ἀδολεσχία δὲ παρὰ τῇ

γραφῇ ἡ συνεχὴς μελέτη, καὶ ἀδολεσχήσω ἀντὶ τοῦ διηνεκῶς μελετήσω. Theodoret. in Ps. 54 2, 118 15.

ἀδόλως ἁπλῶς, ἀληθῶς. τὸ δὲ ψεῦδος περιπεπλεγμένον καὶ δόλου μεστόν.

ἀδόνητον ἀσάλευτον.

ἄδοξα τὰ παράδοξα, τὰ ἀδύνατα παρὰ Ἀριστοτέλει. ἔστι δὲ παράδοξα τὰ τοῖς ἐνδόξοις ἐναντία, ἃ οὐ πάντως ἤδη καὶ ἀδύνατά ἐστιν.

ἀδοξεῖται οὐ τιμᾶται, οὐκ ἀπόδεκτόν ἐστι· "τὸ νικᾶν παρὰ Ῥωμαίοις ἄνευ παραγγέλματος ἀδοξεῖται" (Ioseph. B. Iud. 6 p. 912).

ἀδορατία ἡ ἀστρατία, κυρίως δὲ ἡ ἀργία.

ἀδορεὶ ἀνεκδαρτί.

ἄδορος κώρυκος. καὶ ἄδορον τὸ ἀνέκδαρτον, καὶ ἀδόροις ἀνεκδάρτοις.

Ἄδου κυνῆν. ἔστιν ἐν τῷ κυνῆ.

Ἀδραμύττειον· οὕτως Εὔπολις. καὶ Ἀδραμυττηνός. καὶ Θουκυδίδης Ἀτραμύττειον.

ἀδρανὲς ἀσθενές. καὶ ἀδρανία, διὰ τοῦ ι, ἀδυναμία, ἀσθένεια· ἐν ἐπιγράμματι (AP 6 29) "ἄνθετο, δειμαίνων γήραος ἀδρανίην." καὶ αὖθις (AP 6 296) "ἐπεὶ παρενήξατο τὸ πλεῦν ἥβης, ἐκ γήρως δ' ἀδρανίῃ δέδεται." σημαίνει δὲ καὶ ὄνομα ποταμοῦ. ἀδράνεια δὲ δίφθογγον ἀπὸ τοῦ ἀδρανὴς ἀρσενικοῦ.

Ἀδράστεια Νέμεσις, ἣν οὐκ ἄν τις ἀποδράσειεν. "Ἀδράστεια αὐτῷ Νέμεσις τιμωρὸς ὑπερόγκων καὶ ἀχαλίνων λόγων ἠκολούθησεν." Ἀδράστεια οὖν Νέμεσις ἀπὸ Ἀδράστου, ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων ὕστερον δὲ δυστυχησάντων· τῶν γὰρ ἐπιγόνων Θηβαίοις ἐπιστρατευσάντων μόνος Αἰγιαλεὺς ἀπώλετο Ἀδράστου παῖς.

Ἀδράστεια. οἱ μὲν τὴν αὐτὴν τῇ Νεμέσει λέγουσι, λαβεῖν δὲ τοὔνομα ἀπὸ Ἀδράστου τινὸς βασιλέως, ἢ ἀπὸ Ἀδράστου τοῦ παλαιοῦ (an Ταλαοῦ), νεμεσηθέντος ἐφ' οἷς τῶν Θηβαίων κατηλαζονεύσατο ἱδρυσαμένων ἱερὸν Νεμέσεως, ὃ μετὰ ταῦτα προσηγορεύθη Ἀδραστείας. Δημήτριος δὲ ὁ Σκήψιος Ἄρτεμίν φησιν εἶναι τὴν Ἀδράστειαν ὡς ὑπὸ Ἀδράστου τινὸς ἱδρυμένην. ὁ δὲ Ἀντίμαχος λέγει "ἔστι δέ τις Νέμεσις μεγάλη θεός, ἣ τάδε πάντα πρὸς μακάρων ἔλαχεν. βωμὸν δέ οἱ εἵσατο πρῶτος Ἄδρηστος, ποταμοῖο παρὰ ῥόον" (Harp.). ἔνιοι μέντοι ὡς διαφέρουσαν συγκαταλέγουσιν αὐτὴν τῇ Νεμέσει, ὡς Μένανδρος καὶ Νικόστρατος.

Ἀδραστίδης ὄνομα κύριον.

Ἀδραστίνη ἡ τοῦ Ἀδράστου θυγάτηρ.

ἄδρησις ἡ ἀπραξία.

Ἀδριανοὶ πόλις Μυσίας τῆς νῦν Βιθυνίας.

Ἀδριανὸς βασιλεὺς Ῥωμαίων, ἦν δὲ τὸ γένος βουλευτοῦ πατρὸς ἐστρατηγηκότος Ἄφρου· οὕτω γὰρ ὠνομάζετο. φύσει δὲ φιλολόγος ἦν ἐν ἑκατέρᾳ τῇ γλώσσῃ, καί τινα πεζὰ καὶ ἐν ἔπεσι ποιήματα παντοδαπὰ κατέλιπε. φιλοτιμίᾳ τε γὰρ ἀπλήστως ἐχρῆτο, καὶ κατὰ τοῦτο καὶ τἆλλα πάντα καὶ τὰ βραχύτατα ἐπετήδευε· καὶ γὰρ ἔπλασσε καὶ ἔγραφε καὶ οὐδὲν ὅτι οὐ καὶ εἰρηνικὸν καὶ πολεμικὸν καὶ βασιλικὸν καὶ ἰδιωτικὸν εἰδέναι ἔλεγε. καὶ τοῦτο μὲν οὐδέν που τοὺς ἀνθρώπους ἔβλαπτεν· ὁ δὲ δὴ φθόνος αὐτῷ δεινότατος ἐς πάντας τούς τινι προέχοντας ὢν πολλοὺς μὲν καθεῖλε συχνοὺς δὲ ἀπώλεσε. βουλόμενος γὰρ πάντων ἐν πᾶσι περιεῖναι ἐμίσει τοὺς ἔν τινι ὑπεραίροντας, κἀκ τούτου καὶ τὸν Γαλάτην Φαβωρῖνον τόν τε Διονύσιον τὸν Μιλήσιον τοὺς σοφοὺς καταλύειν ἐπεχείρει, τοῖς τε ἄλλοις καὶ μάλιστα τῷ τοὺς ἀνταγωνιστάς σφων ἐξαίρειν, τοὺς μὲν μηδενὸς τοὺς δὲ βραχυτάτου τινὸς ἀξίους ὄντας. Dio Cass. 69 3.

οὗτος ἐν ἐπιστολῇ ἔγραψε τά τε ἄλλα μεγαλοφρονησάμενος καὶ ἐπομόσας μήτε τι ἔξω τῶν τῷ δημοσίῳ συμφερόντων ποιήσειν μήτε βουλευτήν τινα ἀποσφάξειν, καὶ ἐξώλειαν ἑαυτῷ, ἂν καὶ ὁτιοῦν αὐτῶν ἐκβῇ, προσεπαρασάμενος. ἀλλ' ὅμως διεβλήθη εἰς πολλά. id. 69 2.

οὗτος ἦν ἡδὺς μὲν ἐντυχεῖν, καὶ ἐπήνθει τις αὐτῷ χάρις, τῇ τε Λατίνων καὶ Ἑλλήνων γλώττῃ ἄριστα χρώμενος· οὐ μὴν ἐπὶ πραότητι τρόπων ἄγαν ἐθαυμάζετο, περί τε τὴν τῶν δημοσίων χρημάτων ἐσπουδακὼς ἄθροισιν. Io. Antioch. in Exc. Peiresc. p. 818.

οὗτος φύσει τοιοῦτος ἦν ὥστε μὴ μόνον τοῖς ζῶσιν ἀλλὰ καὶ τοῖς τετελευτηκόσι φθονεῖν. τὸν γοῦν Ὅμηρον καταλύων Ἀντίμαχον ἀντ' αὐτοῦ εἰσῆγεν, οὗ μηδὲ τὸ ὄνομα πολλοὶ πρότερον ἠπίσταντο. ᾐτιῶντο μὲν δὴ ταῦτά τε αὐτοῦ, καὶ τὸ πάνυ ἀκριβές τό τε περίεργον καὶ πολύπραγμον. ἐθεράπευε δὲ αὐτὰ καὶ ἀνελάμβανε τῇ τε ἄλλῃ ἐπιμελείᾳ καὶ προνοίᾳ καὶ μεγαλοπρεπείᾳ καὶ δεξιότητι, καὶ τῷ μήτε τινὰ πόλεμον ταράξαι καὶ τοὺς ὄντας

παῦσαι, μήτε τινὰ χρήματα ἀδίκως ἀφελέσθαι, καὶ πολλοῖς πολλὰ καὶ δήμοις καὶ ἰδιώταις χαρίσασθαι. Dio Cass. 69 4.

ἦν δὲ περιεργότατος, καὶ μαντείαις καὶ μαγγανείαις παντοδαπαῖς ἐχρῆτο. παιδικά τε αὐτῷ ἐγεγόνει Ἀντίνοός τις· ἔκτισε δὲ πόλιν καὶ συνῴκισεν, ἀπ' αὐτοῦ τε ὠνόμασε. καί τινα ὁρῶντα Ἀντίνοον λέγειν. id. 69 11.

οὗτος ἐς Παννονίαν ἀφίκετο, καὶ τὸν Ἴστρον μετὰ τῶν ὅπλων διενήξατο. καὶ τȣ̃το οἱ παρόντες βάρβαροι ἐξεπλάγησαν. id. 69 9.

Ἀδριανὸς σοφιστής, μαθητὴς Ἡρώδου, ἀκμάσας ἐπὶ Μάρκου Ἀντωνίνου, ἀντισχολαστὴς Ἀριστείδου τοῦ ῥήτορος ἐν Ἀθήναις γενόμενος. ἐσοφίστευσε δὲ καὶ κατὰ τὴν Ῥώμην, καὶ ἀντιγραφεὺς τῶν ἐπιστολῶν ὑπὸ Κομόδου ἐγένετο. ἔγραψε μελέτας καὶ μεταμορφώσεις ἐν βιβλίοις ζʹ, περὶ ἰδεῶν λόγου ἐν βιβλίοις εʹ, περὶ τῶν ἐν ταῖς στάσεσιν ἰδιωμάτων ἐν βιβλίοις γʹ, ἐπιστολὰς καὶ λόγους ἐπιδεικτικούς, Φάλαριν, παραμυθητικὸν εἰς Κέλερα.

Ἀδρίας πέλαγος. ζήτει ἐν τῷ Ἀρέθουσα.

ἀδρὸν πολύ, μέγα, δαψιλές, πλούσιον. καὶ ἀδρότης ἡ ὑψηλότης. "ἀδροῖς μισθοῖς προαγαγὼν εἰς τὸ τόλμημα τȣ̃τον ἀναιρεῖ." καὶ Αἰλιανός "τινὰς παραλαβὼν ἀδρȣ̃ μισθȣ̃ ἐς Βυζάντιον ἐλθεῖν πείθει." καὶ αὖθις "ἑκάστȣ τὴν τέχνην ἐπιδεικνυμένȣ ἐπὶ μισθοῖς ἀδροῖς."

ἀδρύνοιτο αὐξάνοιτο.

ἀδὺ τὸ ἡδύ. Θεόκριτος ⟨1 1⟩ "ἀδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα."

ἀδυναστὶ ἀδυνάτως.

ἀδύνατα εἶναι ἀντὶ τȣ̃ ἀδύνατον· πολλάκις γὰρ κέχρηται Θουκυδίδης τοῖς πληθυντικοῖς ἀντὶ ἑνικῶν, μάλιστα δ' ἐπὶ ταύτης τῆς λέξεως. ἀδύνατον δέ ἐστιν ὃ μή ἐστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι, οἷον ἡ γῆ ἵπταται ⟨Diog. L. 7 75⟩. "ἀδύνατα ἔχοντος τȣ̃ στρατηγοῦ κύβον ἀναρρῖψαι πολέμου τοσούτου."

ἀδύνατα θηρᾶς, παροιμία ἐπὶ τῶν ἐγχειρούντων μείζοσιν ἢ καθ' ἑαυτούς.

ἀδύνατοι οἱ πεπηρωμένοι τὸ σῶμα. ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ἀπὸ τῆς βουλῆς, οἱ μέν φασιν ἑκάστης ἡμέρας ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν. Φιλόχορος δέ φησιν ἐννέα δραχμὰς κατὰ μῆνα. Harp.

ἀδυσώπητον ἀπροσωπόληπτον.

ἄδυτον σπήλαιον, ἢ τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ.

ᾄδων τὴν σπιθαμὴν τȣ̃ βίου πρὸς ἄνηθον, ἐπὶ τῶν γλίσχρων καὶ μικροψύχων.

Ἀδωναΐ ἑβραϊστί.

Ἀδωναῖος ὁ ὑπὸ τὸν ᾅδην.

Ἀδώνειοι κῆποι λέγονται οἱ μετέωροι κῆποι.

Ἀδώνια συνεσταλμένως· "Ἀδώνι' ἄγομεν καὶ τὸν Ἄδωνιν κλάομεν" Φερεκράτης. καλȣ̃σι καὶ τὸ εἴδωλον τȣ̃ Ἀδώνιδος Ἀδώνιον. καὶ Ἀδωνίδειος καρπὸς ὁ τȣ̃ Ἀδώνιδος.

Ἀδώνιδος κῆποι ἐκ θριδάκων καὶ μαράθρων, ὅπερ κατέσπειρον ἐν ὀστράκοις. χρῶνται δ' ἐπὶ τῶν ἐπιπολαίων καὶ κούφων τῇ παροιμίᾳ.

Ἀδώνιδος κῆπος ἐπὶ τῶν ἀώρων καὶ ὀλιγοχρονίων καὶ μὴ ἐρριζωμένων.

Ἄδωνις Ἀδώνιδος ὄνομα κύριον. "καὶ πένθος ἦν ἱερόν, οἷον ἐν Λιβάνῳ τὸ ἐπ' Ἀδώνιδι καὶ Βύβλῳ." cf. v. πένθος.

ἄδωρα κακόδωρα, τὰ ἐπὶ κακῷ διδόμενα. Σοφοκλῆς ⟨Ai. 665⟩ "ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα." ὁ δὲ νοῦς, ὅτι μηδὲ τὰ μέγιστα τῶν ἐχθρῶν ἐφίεσο ἔχειν, τῶν δὲ φίλων καὶ τὰ ἐλάχιστα. καὶ Αἰλιανός "λαβόντες ἑκάτερος τῆς κόρης τὴν ἄδωρον μοῖραν τῷ ἑαυτῶν λέχει, τραγικὸς ἂν εἶπε ποιητής, ἑαυτοὺς κατέσφαξαν."

Ἀδωρεὸς πόλις.

ἀδωρότατος ὁ μὴ δωρολήπτης ὤν.

ἄει πνέει. ἀεὶ δὲ ἀντὶ τȣ̃ ἕως καὶ ἀντὶ τοῦ μέχρι.

ἀεί. εἰώθασι γὰρ τὸ ἀεὶ καὶ ἐπ' ὀλίγου χρόνου τάττειν, ὡς καὶ Ὅμηρος ⟨N 517⟩ "ἔχων κότον ἐμμενὲς αἰεί," καὶ Σοφοκλῆς ⟨OC 1584⟩ "ὡς λελοιπότα κεῖνον τὸν ἀεὶ βίοτον ἐξεπίστασο," τουτέστι τὸ μακρὸν γῆρας τῆς ζωῆς.

ἀεί. τούτου ιαʹ φωναί. "ἀεὶ δὲ χρὴ τὸν σοφὸν εἶναι ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνων, ἐν μακραῖς νόσοις" ⟨M. Anton. 1 8⟩, οἷος ἦν Ἀπολλώνιος ὁ Τυανεύς. καὶ παροιμία "ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι," ἐπὶ τῶν ἀξίως καὶ εἰς πάντα εὐδαιμονούντων· οἱ δὲ ἐπὶ τῶν ἀξίως τιμωρȣμένων.

ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος, ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλάττεσθαι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων.

ἀεί με τοιȣ̃τοι πολέμιοι διώκοιεν, ἐπὶ τῶν ἀνάνδρων καὶ μηδενὸς λόγȣ ἀξίων.

ἀεί τις ἐν Κύδωνος, ἐπὶ τῶν φιλοξένων καὶ πρὸς ὑποδοχὴν ἑτοίμων, παρ' ὅσον Κύδων Κορίνθιος φιλοξενώτατος ἐγένετο.

ἀεὶ τοῖς ἐρῶσι σύνεσμεν Ἀριστοφάνης ⟨Av. 704⟩ περὶ ὀρνίθων, διὰ τὸ τοὺς ἐραστὰς ὄρνιθας εὐγενεῖς χαρίζεσθαι τοῖς ἐρωμένοις. καὶ ἡ σίττη δέ, καὶ εἴ τι τοιοῦτον ὄρνεον, δεξιὰ πρὸς ἔρωτα φαίνεται· "ἐγὼ μὲν ὦ Λευκίππη δεξιὰ σίττη." ἡ νῦν οἶμαι λεγομένη σιταρίς.

ἀειγλήνησιν ταῖς διηνεκέσι ῥυπαρίαις.

Ἀείδαμνα ὄνομα κύριον.

ἄειδε ᾆδε, λέγε.

ἀείδελον ἀόρατον, καὶ ἀηδές λυπηρόν, καὶ ἀειδέστερον ἄμορφον· "τὸν χαλκὸν ἄμορφον παραλαβόντες καὶ ἀειδέστερον εἰς μορφὴν ἐντείνουσι καὶ κατασχηματίζουσι." cf. v. δημιουργός.

ἀειδής ὁ ἀφανής· "ἀειδὴς ψυχή." καὶ ἀειδία ἡ ἀμορφία.

ἀειδίνητος ὁ πάντοτε στρεφόμενος.

Ἀειδώνιος ὄνομα κύριον.

ἀειεστώ Ἀντιφῶν ἐν ἀληθείας β' τὴν αἰδιότητα καὶ τὸ ἐπὶ τῶν αὐτῶν ἀεὶ ἑστάναι, ὥσπερ καὶ εὐεστὼ ἡ εὐδαιμονία καλεῖται. ἡ λέξις παρὰ τῷ Διογενιανῷ. Harp.

ἀειθαλής ἀεὶ θάλλων.

ἀείκεια ἡ ἀπρέπεια.

ἀεικέλιον τὸ ἀπρεπές.

ἀεικέλιος ὁ εὐκαταφρόνητος.

ἄεικες τὸ ἀνόμοιον, ἀεικὲς δὲ τὸ ἀπρεπές. ἐν ἐπιγράμματι ⟨Hom. I 70?⟩ "οὔτι ἀεικές." καὶ αὖθις ⟨Soph. El. 215⟩ "εἰς ἄτας ἐμπίπτεις οὕτως ἀεικῶς."

ἀεικέστερος ἀπρεπέστερος.

ἀεικίας. τὰς ὕβρεις σημαίνει. καὶ ὄνομα κύριον.

ἀεικίσουσιν ὑβρίσουσιν.

ἀεικῶς ἀπρεπῶς, ἀσυνήθως. "οὕτως ἀεικῶς οἰκτρῶς τε θανόντος," οἰκτρῶς μὲν διὰ τὸ βίᾳ ἐπιβουλευθέντα, ἀεικῶς δὲ διότι πελέκει αὐτὸν μεθ' ὕβρεως ἐτίσαντο. sch. Soph. El. 101.

ἀειλογεῖς ἀεὶ λαλεῖς, καὶ ἀειλογία πολυλογία ἢ ταυτολογία, ἢ τὸ διὰ παντὸς ἐξεῖναι λέγειν.

ἀειλογία τὸ ἀεὶ λόγον καὶ εὐθύνας ὑπέχειν. οὕτω Δημοσθένης καὶ Ἰσαῖος. Harp.

ἀείμνηστος.

ἀείνων τὸ ἀένναον.

ἀειπαρθένους τὰς ἐρινῦς. μυθικὸν δέ ἐστι τοῦτο, ὑπονοεῖν δὲ χρὴ τὰς ἀδωροδοκήτους καὶ οὐχὶ χρανθῆναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικούντων. Σοφοκλῆς ⟨Ai. 835⟩ "καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους, σεμνὰς ἐρινῦς τανύποδας."

ἀείπλανα πεπλανημένα, φλύαρα, πλήρη φλυαρίας· "ἀείπλανα χείλεα γρηός."

ἀείραχος ἡ ἔλαφος παρὰ Κρησίν.

ἄειρε πρόσφερε. Ὅμηρος ⟨Z 264⟩ "μή μοι οἶνον ἄειρε μελίφρονα."

ἄειρεν ἔβαλε· "καὶ ἵππια λύματ' ἄειρεν." cf. v. ἵππια.

ἀειρός ὁ ἄπειρος.

ἀείρρυτος ὁ ἀεὶ ῥέων.

ἀείρω τὸ ἐπαίρω καὶ κουφίζω καὶ βαστάζω.

ἀείρων ἀθώπευτος.

ἀείτης ⟨an αἴτης⟩ ὁ ἑταῖρος.

ἀείυπνος ὁ ἀεὶ κοιμώμενος.

ἀείφρουρος.

ἀειφυγία ἡ εἰς ἀεὶ φυγή· "χωρήσειν δ' αὐτοῖς ἅπαντα κατὰ νοῦν, εἰ τὸν αὐτόχειρα ἐλάσουσι τοῦ στρατοῦ ἀειφυγίᾳ," τουτέστιν ἐξορίᾳ.

ἀεκήλια οὐχ ἥσυχα οὐδ' εἰρηναῖα ἀλλὰ ταραχώδη, κατὰ ἀπόφασιν τοῦ ἐκήλου. ἐφ' οἷς οὐχ οἷόν τε ἡσυχάζειν, ἀλλὰ τοὐναντίον ταράσσεσθαι. ἢ ἀεκούσια, ἃ οὐκ ἄν τις ἑκὼν πάθοι. ἢ ἀεικέλια, οἷον ἀπεοικότα. Ὅμηρος ⟨Σ 77⟩ "ἀεκήλια ἔργα."

ἀέκητι τῇ ἀβουλίᾳ.

ἄελλα ἀνέμων συστροφή.

ἀελλόπους ταχεῖα τοὺς πόδας.

ἀελλώδεις ἵπποι αἱ ταχεῖαι. καὶ τοῦτο τραγικόν.

ἀελπέων οὐκ ἐλπίζων.

ἀελπτέοντες ἀνελπιστοῦντες. Ἡρόδοτος ⟨7 168⟩ "ἀελπτέοντες τοὺς Ἕλληνας ὑπερβαλέσθαι."

ἄελπτον ἀνέλπιστον, ἢ σκληρόν, δυσχερές. Σοφοκλῆς ⟨Ai. 648⟩ "οὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται χὠ δεινὸς ὅρκος καὶ περισκελεῖς φρένες." Αἴας λέγει. καὶ ἄελπτα ἀνέλπιστα, ἀπροσδόκητα· Ἀριστοφάνης ⟨Lys. 256⟩ "ἦ πόλλ' ἄελπτ' ἔστιν ἐν τῷ μακρῷ βίῳ."

ἀένναον τὸ ἄπαυστον, καὶ ἀένναος ὁ ἀεὶ ῥέων, ἀπὸ τοῦ νάω, ὅ ἐστι ῥέω. "ὁ δὲ Ἰουστινιανὸς ὥσπερ ποταμὸς ἀένναος ἐς ἡμέραν ἑκάστην ἐδῄου τε καὶ ἐληίζετο τοὺς ὑπηκόους" ⟨Procop. Arc. 19⟩.

ἀέξετο ηὐξάνετο.

ἀέρα δαίρειν.

ἀεργηλὴ ἀργή, ἄπρακτος. ἐν ἐπιγράμματι ⟨AP 6 73⟩ "Δάφνις ὁ συρικτὰς τρομερῷ περὶ γήραϊ κάμνων, χειρὸς ἀεργηλᾶς τάνδε βαρυνομέναν Πανὶ φιλαγραύλῳ νομίαν ἀνέθηκε κορύναν."

ἀεργός ὁ ἀργός.

ἀερέθονται λίαν παροξύνονται.

ἀέριον ὕδωρ τὸ ἐν τῷ ἀέρι, καὶ ἀέριος ὁ ἐν τῷ ἀέρι.

ἄερκτον ἀντὶ τοῦ ἄφρακτον καὶ πανταχόθεν ὁρώμενον Λυσίας ⟨7 28⟩. Harp.

ἀεροβατεῖν εἰς τὸν ἀέρα περιπατεῖν, τῷ ἀέρι ἐπιβαίνειν. ὁ Σωκράτης ἔφη ⟨A. Nub. 226⟩ "ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον, ἵνα μὴ ἕλκῃ τὴν ἰκμάδ' ἐς τὰ κάρδαμα."

ἀερόεν τὸ μέγα.

ἀερονηχεῖς τὰς ἐν τῷ ἀέρι νηχομένας νεφέλας Ἀριστοφάνης ⟨Nub. 336⟩.

Ἀερόπη ὄνομα κύριον.

Ἀέροψ Ἀέροπος.

ἀερσίπους ὁ εἰς ὕψος αἴρων τοὺς πόδας.

ἀέσαμεν ἀνεπαυσάμεθα, ἐκοιμήθημεν· Ὅμηρος ⟨γ 151⟩ "νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες."

ἄεσις πόνος τις.

ἀεσίφρων ματαιόφρων, ἐπηρμένος, ἢ βεβλαμμένος τὴν φρένα, παρὰ τὸ ἄω τὸ πνέω, ἢ ἄσαι τὸ βλάψαι.

ἀετασία λύπη.

ἀέτειον πτερὸν καὶ κρέας.

ἀετιδεῖς οἱ ἀετῶν παῖδες· Αἰλιανός. καὶ πελαργιδεῖς οἱ τῶν πελαργῶν.

Ἀέτιος ἐξ Ἀντιοχείας τῆς Συρίας, διδάσκαλος Εὐνομίου, ἀπὸ πενιχρῶν καὶ εὐτελῶν γονέων τυγχάνων. ὁ δὲ πατὴρ αὐτῷ τῶν ἐν στρατιᾷ δυσπραγέστερον ἐνηνεγμένων γενόμενος ἐτεθνήκει κομιδῇ παῖδα τοῦτον ἀφείς. αὐτὸς δὲ εἰς ἔσχατον ἀπορίας ἥκων ἐπὶ χρυσοχοΐαν ἐχώρησεν, ἀκρότατός τε ἐγένετο. ἐπεὶ δὲ ἡ φύσις αὐτῷ μειζόνων ὠρέγετο μαθημάτων, πρὸς λογικὰς θεωρίας ἐτράπετο. καὶ δῆτα συγγίνεται Παυλίνῳ ἀρτίως ἀπὸ Τύρου εἰς Ἀντιόχειαν ἀφικομένῳ, ἔτι κατὰ τοὺς Κωνσταντίνου χρόνους. τούτου ἠκροᾶτο, πολλὴν ἐπιεικῶς φαίνων τῆς ἀσεβείας τὴν ῥώμην εἰς τὰς πρὸς τοὺς διαφορουμένους ζητήσεις, καὶ οὐχ ὑπόστατος ἤδη τοῖς πολλοῖς ἦν. ἐπεὶ δὲ Παυλῖνος ἐτεθνήκει, Εὐλαλίου τρίτου καὶ εἰκοστοῦ ἀπὸ τῶν ἀποστόλων ἔχοντος τὸν θρόνον, πολλοὶ τῶν ὑπὸ τοῦ Ἀετίου ἐλεγχομένων δεινὸν ποιησάμενοι πρὸς ἀνδρὸς δημιουργοῦ καὶ νέου κατὰ κράτος ἐλαύνεσθαι, συστάντες ἐξήλασαν αὐτὸν τῆς Ἀντιοχείας. ἐξελαθεὶς δὲ εἰς Ἀνάζαρβον ἀφικνεῖται. ὁ δὲ ἤδη τάχιστα δυνάμεως πάσης πιμπλάμενος μείζους ἀεὶ τῶν διδομένων ἀφορμῶν εἰσέφερε τοὺς καρπούς. ὁ δὲ οὐδὲν ἐπαύετο τὰς μὲν διελέγχων, φαύλως δὲ ἀμπισχόμενος καὶ ὡς ἔτυχε ζῶν. Philostorg. 3 15.

οὗτος αἱρεσιάρχης ἦν, ὃς καὶ ἄθεος ἐπεκλήθη, ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου. τὰ αὐτὰ μὲν οὖν ἐφρόνει Ἀρείῳ, καὶ τὴν αὐτοῦ συνεκρότει δόξαν, πρὸς δὲ ἀρειανίζοντας διεκρίνετο. ἦν δὲ καὶ πρότερον αἱρετικὸς ἄνθρωπος Ἀέτιος, καὶ τῷ Ἀρείου δόγματι διαπύρως συνηγορῶν ἔσπευδεν. ἐν γὰρ τῇ Ἀλεξανδρείᾳ μικρὰ παιδευθεὶς ἀναζεύγνυσι, καὶ καταλαβὼν τὴν ἐν Συρίᾳ Ἀντιόχειαν (ἐντεῦθεν γὰρ ἦν) ὑπὸ Λεοντίου τοῦ τότε τῆς Ἀντιοχείας ἐπισκόπου χειροτονεῖται διάκονος. εὐθὺς οὖν ἐξενοφώνει τοὺς ἐντυγχάνοντας ἐκ τῶν Ἀριστοτέλους κατηγοριῶν διαλεγόμενος, τοὺς ἐριστικοὺς κατωρθωκὼς λόγους. ἐπιστολάς τε συνεκάττυεν πρὸς βασιλέα Κωνστάντιον. ἀλλ' εἰ τὰ αὐτὰ τοῖς ἀρειανίζουσιν ἔλεγεν, ὅμως ὑπὸ τῶν οἰκείων, οὐ δυναμένων συνιέναι τὸ περισκελὲς τῶν λογισμῶν, ὡς αἱρετικὸς ὁ ὁμόφρων αὐτοῖς ἐνομίζετο, καὶ διὰ τοῦτο ἐκδιωχθεὶς τῆς αὐτῶν ἐκκλησίας ἔδοξεν αὐτὸς μὴ βούλεσθαι κοινωνεῖν αὐτοῖς. καὶ νῦν εἰσὶν ἐξ ἐκείνου οἱ τότε μὲν Ἀετιανοὶ νῦν δὲ Εὐνομιανοὶ λεγόμενοι· Εὐνόμιος γὰρ ταχυγράφος ὢν ἐκείνου, καὶ ὑπ' αὐτῷ παιδευθεὶς τὴν αἱρετικὴν λέξιν, τοῦ στίφους τούτου προέστη. Socrat. 2 35.

ἀετίτης εἶδος λίθου, ὡς καὶ ἀχάτης καὶ λυχνίτης.

ἀετὸν ἵπτασθαι διδάσκεις, ἐπὶ τῶν ἐπιχειρούντων διδάσκειν τινὰς ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

ἀετὸν κάνθαρος μαιεύσομαι ⟨A. Lys. 695⟩, ἐπὶ τῶν τιμωρουμένων τοὺς μείζονας προκατάρξαντας κακοῦ· λέγεται γὰρ τὰ ᾠὰ τοῦ ἀετοῦ ἀφανίζειν ὁ κάνθαρος.

ἀετὸς ἐν νεφέλαις, ἐπὶ τῶν δυσαλώτων, παρ' ὅσον ἀετὸς ἐν νεφέλαις ὢν οὐχ ἁλίσκεται.

ἀετὸς οἰκοδομημάτων τὸ κατὰ τὸν ὄροφον, ὅ τινες ἀέτωμα καλοῦσιν.

ἀετοῦ γῆρας κορύδου νεότης, παρ' ὅσον καὶ γηράσκων ὁ ἀετὸς ἀμείνων ἐστὶ παντὸς ὄρνιθος.

ἀετώματα. τὰ τῶν ἱερῶν στεγάσματα πτέρυγας καὶ ἀετοὺς καλοῦσιν. Ἀριστοφάνης (Av. 1106) "τὰς οἰκίας ἐρέψομεν πρὸς ἀετόν" ἀντὶ τοῦ στεγάσομεν.

ἀζαίνεσθαι ξηραίνεσθαι.

ἀζαλέας δρῦς (Hom. Λ 494). πρὸς τὸ σημαινόμενον, πότερον ὅτι φυλλορροεῖ κατ' αὐτὴν τὴν ὥραν ξηραινόμενα τὰ δένδρα, ἐκ ῥιζῶν ἀναβαλλόμενα ὑπὸ τῶν χειμάρρων· ἢ ὅτι δρυτόμοι εἰς τὰς ποταμίους ἐμβάλλουσι διώρυχας κόπτοντες, ἵνα συγκαταφέρηται τῷ ὄμβρῳ· ὅπερ ὑγιές.

ἀζαλέη ξηρά.

Ἀζαρίας ὄνομα κύριον.

Ἀζειάδης ὄνομα κύριον. καὶ πατρωνυμικῶς Ἀζείδας.

Ἀζείδης ὄνομα κύριον.

ἀζείρει τὸ ζέει, ἀζήρει δὲ τὸ ξηραίνει.

ἄζειρον ἀποίκιλτον· ζειρὸν γὰρ τὸ ποικίλον. ἢ τὸ ἄχρωστον.

Ἀζειῶται Τρωικὸν ἔθνος.

Ἀζέμιλκος ὄνομα κύριον.

Ἀζήιος ὄνομα κύριον.

ἀζηλόεν τὸ μέλαν.

ἄζηλον ὃ οὐκ ἄν τις ζηλώσειεν· (Soph. Trach. 747) "ἄζηλον οὕτως ἔργον εἰργάσθαι με σῆς." καὶ ἄζηλος βίος ὁ εὐτελής· (id. 284) "ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον χωροῦσι πρὸς σέ."

ἀζήμιθρον ἀζήμιον.

ἀζήμιος ἀβλαβής. κυρίως δὲ ζημία ἡ τῆς ζωῆς μείωσις, ἢ τὸ ἐν ζωῇ μιαρόν. Ἀριστοφάνης Πλούτῳ (271) "μῶν ἀξιοῖς φενακίσας ἡμᾶς ἀπαλλαγῆναι ἀζήμιος;" ἢ ἀζήμιος ὁ ἀληθὴς καὶ μὴ ὑπέχων ζημίαν τοῦ ψεύδους. sch. Soph. El. 1102.

Ἀζημώθ ὄνομα κύριον.

Ἀζηνᾶς ὄνομα κύριον. καὶ Ἀζηνεύς.

Ἀζηνιεύς. Ἀζηνία δῆμός ἐστι φυλῆς τῆς Ἱπποθοωντίδος, ἀφ' ἧς ὁ φυλέτης Ἀζηνιεύς (Harp.). "καὶ Ἀζηνιεῖς καὶ Ἐρχιεῖς καὶ Ἁλιεῖς καὶ πάντα τὰ ὅμοια δασέως φασὶ φθέγγεσθαι τοὺς Ἀττικοὺς τοὺς παλαιούς" Πολέμων ἐν τοῖς πρὸς Ἀδαῖον καὶ Ἀντίγονον.

ἀζήρει τὸ ξηραίνει, ἀζείρει δὲ τὸ ζέει.

ἄζηρος ὁ μὴ ξηρός.

Ἀζησία ἡ κόρη, Ἀμαία δὲ ἡ Δημήτηρ. καὶ παροιμία "ἡ Ἀμαία τὴν Ἀζησίαν μετῆλθεν," ἐπὶ τῶν πολυχρονίοις ζητήσεσι χρωμένων.

ἀζήτητον τὸ ζήτησιν καὶ κατηγορίαν ἔχειν κεκωλυμένον. οὕτως Αἰσχίνης. Harp.

ἀζητός ὁ σεβαστός.

ἀζηχές ἀδιεχές, ἀδιαλείπτως.

Ἀζουρός τις.

ἄζυξ ὁ μὴ συνεζευγμένος γάμῳ, καὶ ὁ κέλης ἵππος.

Ἄζωρος ὄνομα κύριον. σημαίνει δὲ καὶ τὸν εὔκρατον οἶνον.

ἀηδᾶς ὁ δεσπότης.

ἀηδής ὁ ἀνεύφραντος, ὁ δυσειδής. καὶ ἀηδές τὸ ἀνέραστον.

ἀηδία ἡ ἀνορεξία, ἀειδία δὲ ἡ ἀμορφία.

ἀηδίζομαι οὐκ εὐφραίνομαι.

ἀηδόνειος ᾠδή, καὶ ἀηδόνειον μέλος.

ἀηδών καὶ ἀηδοῦς, ὡς Σαπφὼ κατὰ Μυτιληναίους. Σοφοκλῆς (Ai. 630) "οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς ἄσει δύσμορος· ἀλλ' ὀξυτόνους ᾠδὰς θρηνήσει, χερόπληκτοι δὲ στέρνοις πεσοῦνται δοῦποι." καὶ αὖθις "οὐδ' ὅσον ἀηδόνες ὑπνώουσιν" (cf. v. οὐδ' ὅσον ἀ.) ἐπὶ τῶν ἀγρυπνούντων. καὶ αὖθις (Soph. El. 147) "ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρε φρένας, ἃ Ἴτυν αἰὲν Ἴτυν ὀλοφύρεται ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος." Διὸς δὲ ἄγγελος ἡ ἀηδών, ὅτι τὸ ἔαρ σημαίνει, ἢ ὅτι τὴν ἡμέραν. καὶ Ὅμηρος (τ 518) "χλωρηὶς ἀηδών." ἢ ὅτι τὰ ἑαυτῆς ἀγγέλλει κακὰ καὶ τὴν θρυλουμένην ἀγγελίαν καὶ τὸ πάθος. ἢ ἄγγελος, οἷον τέρας τὸ παρ' αὐτῆς γινόμενον εἰς τερατείαν τῆς φύσεως. καὶ Σαπφώ "ἦρος ἄγγελος ἱμερόφωνος ἀηδών." ἀηδὼν δὲ ἀηδόνος συστέλλει.

ἀηδῶς ἀνωφελῶς.

ἀήθεσσον (Hom. Κ 493) ἀήθεις ἦσαν, καὶ ἀηθέσσουσιν ἀσυνήθεις εἰσίν. ἀηθέσσω ἐνεστώς, ἀηδίζομαι ἀίω ἄω, οὐ τρέπουσι τὸ α εἰς η κατὰ τὸν παρατατικόν. καὶ τὸ μὲν ἀήθεσσον καὶ ἀηδιζόμην, ἵνα μὴ εὑρεθῇ ἀλλεπάλληλον τὸ η, τὸ δὲ ἄω τὸ πνέω καὶ ἀίω τὸ ἀκούω, ἵνα μὴ συνεμπέσωσιν ἑτέρῳ σημαινομένῳ· τὸ γὰρ ἀίω συνέπεται τῷ ἤιε τῷ ἐπορεύετο, τὸ δὲ ἄω τῷ ἦε τῷ ὑπῆρχεν.

ἄηκες τὸ μὴ ἠκονημένον ξίφος.

ἄημα ἡ πνοὴ τοῦ ἀνέμου. "δεινόν τ' ἄημα πνευμάτων ἐκοίμισε στένοντα πόντον. ὁ δὲ παγκρατὴς ὕπνος λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει. ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν; ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως ὅτι ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθραντέος ὡς καὶ φιλήσων αὖθις, ἔς τε τὸν φίλον τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι ὡς αἰὲν οὐ μενοῦντα. τοῖς πολλοῖσι γὰρ βροτῶν ἄπιστός ἐσθ' ἑταιρείας λιμήν." Soph. Ai. 674.

ἄημαι. ἐν ἐπιγράμματι ⟨AP 6 124⟩ "ἀσπὶς ἀπὸ βροτέων ὤμων Τιμάνορος ἄημαι ναῷ ὑπωροφίας Παλλάδος ἀλκιμάχας," ἀντὶ τοῦ ἀνάκειμαι.

ἀήμεναι πνεῦσαι.

ἀηνές τὸ ἀίδιον, τὸ λαμπρόν.

ἀηνόβαρβος ὁ χαλκοπώγων.

ἀήπιον τὸ μὴ πρᾶον.

ἀήσσατος ἀήττητος· ⟨AP 6 264⟩ "ἐμμὶ δ' ἀήσσατος πάμπαν ἀφ' οὗ γενόμαν."

ἀήσυλον τὸ ἄδικον, ἁμαρτωλόν.

ἀήσυρον τὸ λεπτόν, τὸ μετέωρον καὶ κοῦφον, τὸ ἐλαφρόν, παρὰ τὸ ἀέρι σύρεσθαι, ἐπὶ ὀρνέων· "ἀήσυρον γόνυ κάμψει."

ἀήτης ὁ ἄνεμος. καὶ ὥσπερ ἠχήσω ἠχητής, ποιήσω ποιητής, οὕτως ἔδει ἄω ἀήσω ἀητής· ἀλλ' ἡμάρτηται. ⟨AP 6 245⟩ "Καρπαθίην ὅτε νυκτὸς ἅλα στρέψαντος ἀήτου."

ἄητον τὸ καταπνεόμενον.

αητος ὁ ἀκόρεστος.

ἀήττητος ὁ ἀκαταπόνητος.

Ἀθαμαντίδης πατρωνυμικόν.

Ἀθάμας ὄνομα κύριον. εἰσάγεται ὁ Ἀθάμας ἐστεφανωμένος ὥσπερ ἱερεῖον, σφαγιασθησόμενος διὰ Φρίξον· καὶ ῥύεται αὐτὸν Ἡρακλῆς, εἰπὼν ζῆν τὸν Φρίξον. παραδείγματι οὖν χρώμενος ὁ Στρεψιάδης δεδιέναι φησὶ τῷ Ἀθάμαντι παραπλήσια μέλλοντι θύεσθαι. sch. A. Nub. 258.

ἀθαμβής ἄφοβος.

Ἀθανάριχος, ὃς ἐβασάνισε τὸν ἅγιον Νικήταν, καὶ μέγαν μάρτυρα Χριστοῦ πεποίηκεν.

ἀθάνατοι μύριοι Περσῶν ἐπίλεκτοι, οὓς Ἀδραβούριος ἐπὶ Θεοδοσίου βασιλέως διέφθειρε καὶ ἠφάνισεν ⟨Socrat. 7 20⟩. οὓς εἶχε Ξέρξης ὁ Δαρείου.

ἀθάνατος. τὸ ἀθάνατος ἐπὶ ἐμψύχων, τὸ δὲ ἄφθιτος ἐπὶ ἀψύχων φιλόσοφοι τάττουσιν. cf. v. ἄφθιτον.

ὅτι ὁ Πλάτων ἀθάνατον λέγων τὴν ψυχὴν ἀθανάτοις ὁμώνυμον εἶναι ἐπιφέρει, διότι τὸ μὲν κυρίως ἀθάνατον καὶ κατ' οὐσίαν καὶ κατ' ἐνέργειάν ἐστιν ἀμετάβλητον, τὴν δὲ ψυχὴν κατ' οὐσίαν μὲν οἶδεν ἀθάνατον, οὐκέτι δὲ καὶ κατ' ἐνέργειαν. οὕτω δ' ἂν εἴποις καὶ τὰ οὐράνια ἀθανάτοις ὁμώνυμα· μεταβάλλει γὰρ καὶ αὐτά, εἰ καὶ μὴ κατ' οὐσίαν, ἀλλὰ κατὰ τόπον.

ὅτι δὲ πάθος τῆς ζωῆς ἡ ἀθανασία καὶ σύμπτωμά τι. ἐπὶ ὑποθέσει γάρ τινι δείκνυται ἐκ θνητοῦ ἀθάνατον γίνεσθαι, οὐ μεταλήψει ἄλλης ζωῆς τὸ θνητὸν ἀθάνατον γίγνεσθαι. ἐγράφη ἐν τῷ π στοιχείῳ περὶ πάθους ⟨cf. v. πάθος⟩. ὁ δὲ τὴν ἀθανασίαν ὁριζόμενος στέρησιν θανάτου ἁμαρτάνει· οὐ γὰρ στέρησις θανάτου ἡ ἀθανασία, ἀλλ' ἐν ἕξει καὶ διαθέσει.

Ἀθᾶνες ὄνομα ἔθνους.

ἀθάρα ἄλευρον ἡψημένον. κλίνεται δὲ παρὰ μὲν Ἀττικοῖς διὰ τοῦ η ἀθάρης, οἱ δὲ κοινοὶ διὰ τοῦ α ἀθάρας. Ἀριστοφάνης Πλούτῳ ⟨672⟩ "ἀλλά με ἀθάρης χύτρα τις ἐξέπληττε, κειμένη ὀλίγον ἄπωθεν τῆς κεφαλῆς τοῦ γρᾳδίου." ἀθάρην, οὐκ ἀθήραν τὴν ἐρεικτὴν καλοῦσι. Κράτης Ἥρωσιν "οὐκοῦν ἔτνους χρὴ δεῦρο τρύβλιον φέρειν καὶ τῆς ἀθάρης."

ἀθαυμαστί χωρὶς θαύματος.

ἄθε εὐχῆς σημαντικόν, ἀντὶ τοῦ εἴθε.

ἀθέατος μὴ τεθεαμένος· "ὢν γὰρ εἰς τέλος ἀθέατος τῆς Ἑλλάδος διὰ τοὺς ἐν Ἰβηρίᾳ πολέμους καὶ τοὺς ἐν Λιγυστικοῖς προῆγεν ἐπὶ τὴν Ἑλλάδα."

ἀθεεί χωρὶς θεοῦ.

ἀθέλδεται παρηθεῖται, διεκλύεται.

ἀθέλιμνος ὁ κακός.

ἀθέμιστα ἄδικα. ἀθέμιστος ἄνομος. λέγεται δὲ καὶ ἄθεσμος ὁ παράνομος· "ἠράσθη Πίασος Θετταλὸς Λαρίσσης τῆς ἑαυτοῦ θυγατρὸς ἔρωτα ἄθεσμόν τε καὶ δυστυχῆ." cf. v. Πίασος.

ἀθέμιτον τὸ ἄδικον, καὶ ἀθεμιτώτατον. διφορεῖται.

ἄθεον. "ἄθεόν ἐστι τὸ μὴ τὴν ἀθανασίαν τῆς ψυχῆς διασώζειν καὶ ἀνάγειν εἰς τὸ θεοειδές, καὶ συνάγειν αὐτὴν πρὸς τὸ θεῖον ἀρρήκτοις καὶ ἀλύτοις δεσμοῖς, ἢ τἀναντία τούτων, τὸ κατασπᾶν καὶ καθέλκειν τὸ ἐν ἡμῖν θεῖον εἰς τὸ γηγενὲς καὶ ἀλιτήριον καὶ γιγαντῶδες ἢ τιτανικὸν δεσμωτήριον."

ἀθεραπευσία ἡ παντελὴς καταφρόνησις· "τὸ δὲ στρατόπεδον ταῖς τῶν σωμάτων ἀθεραπευσίαις κακῶς ἀπήλλαττεν" (Polyb. 3 60).

ἀθέρες εἶδος σπέρματος.

ἀθέρισον ἀποδοκίμασον.

ἀθερώσσει ἀγρυπνεῖ.

ἀθεσίαν παραβασίαν. "ἀγωνιῶν γὰρ τὴν ἀθεσίαν τῶν Κελτῶν καὶ τὰς ἐπιβουλὰς τὰς καὶ ἐπισειομένας" (Polyb. 3 78). "οἱ δὲ Ῥωμαῖοι συλλογισάμενοι τὴν τῶν Γαλατῶν ἀθεσίαν" (id. 2 32). καὶ αὖθις Πολύβιος "ἐπιτρέπειν ἅπασι τὴν ἀθεσίαν αὐτῶν καὶ τὴν ἀβεβαιότητα."

ἀθέσμιον τὸ ἄδικον.

ἀθέτησις ἐκβολή. καὶ ἀθετῶ αἰτιατικῇ. [γενικῇ δὲ ὡς τὸ "κατάρχων μὲν καὶ ἀθετῶν τοῦ τολμήματος."] cf. Etym. Gud. p. 588.

ἀθεωρητί χωρὶς θεωρίας. καὶ ἀθεώρητος ἀθέατος.

ἀθήλυντον ἀδάμαστον, σκληρόν.

Ἀθηνᾶ τὸν αἴλουρον. ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα ἡ παροιμία εἴρηται, ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ συμβάλλει.

Ἀθηναία ἡ θεά, ἡ δὲ γυνὴ ἀστή.

Ἀθηναίας. ὁ Μεγακλείδης οὔ φησι καλεῖσθαι τὰς γυναῖκας Ἀθηναίας ἀλλ' Ἀττικάς, ἐν τοῖς περὶ Ὁμήρου, ἅμα καὶ τὴν αἰτίαν ἀποδιδούς· μόνους γάρ, φησί, τοὺς ἐκεῖθεν ἄνδρας μὲν Ἀθηναίους ὀνομάζουσι, γυναῖκας δὲ Ἀττικάς, ἵνα μὴ τὴν ἄγαμον αἱ γαμούμεναι τῇ προσηγορίᾳ καταισχύνωσιν. ἀλλ' ἰδοὺ Φερεκράτης ἐν Γραυσί φησιν "Ἀθηναίαις αὐταῖς τε καὶ ταῖς συμμάχοις," καὶ Κάνθαρος Τηρεῖ "γυναῖκ' Ἀθηναίαν καλήν τε κἀγαθήν," καὶ Φιλήμων Πτερυγίῳ "τὰς Ἱππονίκας τάσδε καὶ Λυσιστράτας καὶ Ναυσινίκας, τὰς Ἀθηναίας λέγω." οἱ δὲ μὴ δεῖν φάσκοντες Ἀθηναίας λέγεσθαι τὰς Ἀττικὰς τὴν ὁμωνυμίαν αἰτιῶνται ἣν ἐπιδέχονται πρὸς τὴν θεόν· Ἀθηναία γὰρ καὶ ἡ θεὸς καλεῖται. ἀλλ' ἀντὶ τοῦ Ἀθηναίας αὐτάς φασι λέγεσθαι Ἀττικάς. πλὴν πολλή γε ἡ χρῆσις τῆς φωνῆς ἐπὶ τῶν γυναικῶν παρὰ τοῖς ἀρχαίοις, ὡς οἵ τε προειρημένοι ποιηταὶ μαρτυροῦσι καὶ Δίφιλος ἐν Ἀμάστριδι (καὶ γὰρ καὶ τὴν Θεμιστοκλέους θυγατέρα Ἀθηναίαν ξένην φησί) καὶ Πίνδαρος ἐν σκολιοῖς (89). ὁ μέντοι Φρύνιχος ἀνάττικόν φησιν εἶναι τὴν φωνήν, καὶ θαυμάζει πῶς ὁ Φερεκράτης ἀττικώτατος ὢν χρῆται τῇ λέξει.

Ἀθήναιον. ὅτι Ἀπολλώνιον βραχέως τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτω καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. καὶ Ποσειδώνιον τὸ τοῦ Ποσειδῶνος, ὡς Ἀθήναιον τὸ τῆς Ἀθηνᾶς, καὶ Διονύσιον καὶ Δημήτριον καὶ πάντα τὰ τοιαῦτα ὁμωνύμως τοῖς ἀνδρωνυμικοῖς. τὸ δὲ Ποσειδάνειον δῆλον ὅτι Δωριέων ἐστίν.

Ἀθήναιος Ναυκρατίτης γραμματικός, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου, ἔγραψε βιβλίον ὄνομα Δειπνοσοφισταί, ἐν ᾧ (p. 3 D) μνημονεύει ὅσοι τῶν παλαιῶν μεγαλοψύχως ἔδοξαν ἑστιᾶν. ὁ μέγας Ἀλέξανδρος κἀκείνην νικήσας ναυμαχίαν Λακεδαιμονίους, καὶ τειχίσας τὸν Πειραιᾶ καὶ ἑκατόμβην θύσας πάντας εἱστίασεν Ἀθηναίους. καὶ Ἀλκιβιάδης Ὀλύμπια νικήσας τὴν πανήγυριν ἅπασαν εἱστίασε. τὸ αὐτὸ καὶ Λεώφρων ὀλυμπιονίκης. καὶ Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος, Πυθαγορικὸς ὢν καὶ ἐμψύχων ἀπεχόμενος, Ὀλύμπια νικήσας, ἐκ λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν πολυτελῶν ἀρωμάτων βοῦν ἀναπλάσας διένειμε τοῖς εἰς τὴν πανήγυριν ἀπαντήσασι. καὶ ὁ Χῖος Ἴων τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χῖον κεράμιον. καὶ ὁ Ἀκραγαντῖνος Τελλίας φιλόξενος ὢν καταλύσασί ποτε πεντακοσίοις ἱππεῦσιν ὥρᾳ χειμῶνος ἔδωκεν ἑκάστῳ χιτῶνα καὶ ἱμάτιον. ὅτι Χάρμος ὁ Συρακούσιος εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων στιχίδια καὶ παροιμίας ἔλεγε. Κλέαρχος δὲ ὁ Σολεὺς δειπνολογίαν καλεῖ τὸ ποίημα, ἄλλοι ὀψολογίαν, Χρύσιππος γαστρονομίαν, ἄλλοι ἡδυπάθειαν. ὅτι ἐν τῷ συμποσίῳ Πλάτωνος εἰκοσιοκτὼ ἦσαν δαιτυμόνες.

Ἀθηναίων δυσβουλία, ἐπὶ τῶν παρ' ἐλπίδας καὶ ἀναξίως εὐτυχούντων· τὸ γὰρ κακῶς βουλεύεσθαι Ἀθηναίοις ἤσκητο, τὴν δὲ Ἀθηνᾶν παρασχεῖν τὸ κακῶς βουλευθὲν ἀποκλῖναι καλῶς. καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. καὶ Εὔπολις "ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς," καὶ Ἀριστοφάνης ἐν Νεφέλαις (583) "φασὶ γὰρ δυσβουλίαν τῇδε τῇ πόλει προσεῖναι; ταῦτα μέντοι τοὺς θεούς, ἅττ' ἂν ὑμεῖς ἐξαμάρτητ', ἐπὶ τὸ βέλτιον τρέπειν."

Ἀθηνᾶς ἄγαλμα δόρυ κρατεῖ διὰ τὸ σταθερὸν καὶ ἀνδρεῖον. ὁμοίως καὶ ἀσπίδα διὰ τὸ πᾶσαν ἐπιβουλὴν διὰ τῆς σοφίας ἀπω-

θεῖσθαι· ἡ αὐτὴ γάρ ἐστι τῷ νῷ. καὶ περικεφαλαίαν διδόασιν αὐτῇ διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθέατον, καὶ ἐλαίαν ὡς καθαρωτάτης οὐσίας οὔσης· φωτὸς γὰρ ὕλη ἡ ἐλαία. καὶ Γοργόνα διδόασιν ἐπὶ τοῦ στήθους αὐτῇ διὰ τὸ ταχὺ τοῦ νοῦ. Codin. orig. CP p. 13.

Ἀθήνησιν ἐν ταῖς Ἀθήναις. Ἀθήνη δὲ πόλις καὶ τῆς Λακωνικῆς.

Ἀθηνόδωρος. οὗτος ἦν στρατιώτης Ἀθηναῖος. ἔστι δὲ καὶ ἕτερος, μαθητὴς Διονυσίου τȣ̃ Ἀρεοπαγίτου, ἔγραψε δὲ διάφορα. καὶ ἕτερος σοφιστής, ἀδελφὸς Γρηγορίου τȣ̃ θαυματουργοῦ.

Ἀθηνόδωρος στωικὸς φιλόσοφος, ἐπὶ Ὀκταυιανοῦ βασιλέως Ῥωμαίων, ἐφ' οὗ πᾶσα ἀνάγκη κοινὸν εἶναι δυστύχημα τὴν τȣ̃ κράτους ἄλογον ἐξουσίαν, ἐξ οὗ δὴ μάλιστα ταῖς Ἀθηνοδώρου τούτου συμβουλίαις ἐπείσθη. καὶ διαδέχεται Τιβέριος τὴν βασιλείαν. τότε γὰρ οἱ κόλακες παρὰ τοῦ βασιλέως δωρεῶν καὶ τιμῶν ἀξιούμενοι μεγίστων ἀρχῶν ἐπέβαινον, οἵ τε ἐπιεικεῖς καὶ ἀπράγμονες, μὴ τὸν αὐτὸν ἐκείνοις αἱρούμενοι βίον, εἰκότως ἐσχετλίαζον οὐ τῶν αὐτῶν ἀπολαύοντες, ὥστε ἐκ τούτου τὰς μὲν πόλεις στάσεων πληροῦσθαι καὶ ταραχῶν, τὰ δὲ πολιτικὰ κέρδους ἥττοσιν ἄρχȣσιν ἐκδιδόμενα τὸν μὲν ἐν εἰρήνῃ βίον λυπηρὸν καὶ ὀδυνηρὸν τοῖς χαριεστέροις ἐποίουν, τὴν δὲ ἐν τοῖς πολέμοις προθυμίαν ἐξέλυον. κατὰ δὲ τοὺς καιροὺς ἐκείνους καὶ ἡ παντόμιμος ὄρχησις εἰσήχθη, οὔπω πρότερον οὖσα, καὶ προσέτι γε ἕτερα πολλῶν κακῶν αἴτια γεγονότα. Zosim. 1 5.

ὅτι τῷ Ἀθηνοδώρῳ πάντα παρεσκεύαστο πρὸς φιλοσοφίαν, τά τε ἀπὸ τῆς φύσεως καὶ τὰ ἀπὸ τῆς ἐπιεικοῦς προαιρέσεως, ὅ τε Πρόκλος ἔζη καὶ διαφανῶς ἐξηγεῖτο τοῖς πλησιάζουσιν. ὃν ὁ Σαλούστιος θαυμάζων ἐπὶ σπȣδῇ ἔλεγεν ὅτι πυρὶ ἄρα ἐῴκει ὁ ἄνθρωπος ἐξάπτοντι πάντα τὰ παρακείμενα. ἀλλ' ὅμως ἔπεισεν Ἀθηνόδωρον μὴ φιλοσοφῆσαι. Damascius.

ἀθηρηλοιγός (Hom. λ 128) τὸ πτύον τὸ τοὺς ἀθέρας ὀλοθρεῦον.

ἄθηρον τὸ ἀθήρατον.

ἀθησαύριστον ἀνεπιτήδειον εἰς ἀπόθεσιν.

Ἀθιμών.

ἀθλητάς ἀγωνιστάς, ἀσκητάς. Αἰλιανός ... (Theopompus ap. Polyb. 8 11) "τοιγαροῦν οὐ μόνον ταῦτ' ἔχειν αὐτοὺς παρεσκεύαζεν, ἀλλὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλητὰς εἶναι. τί γὰρ τῶν αἰσχρῶν καὶ δεινῶν αὐτοῖς οὐ προσῆν; ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ ἀπῆν;"

ἀθλητής ὁ τοὺς ἄθλους ἐξησκηκώς. "οἱ δὲ Ῥωμαῖοι ἄνδρα πολέμων ἀθλητὴν ὡς τὸν Ἀννίβαν ἐκπέμπουσιν."

ἆθλον ἀγώνισμα, ἡ τιμή, ὁ μισθός, καὶ τὸ τοῦ ἀγῶνος βραβεῖον. καὶ ἆθλος ἀρσενικῶς τὸ ἔργον καὶ τὸ ἀγώνισμα καὶ τὸ ἔπαθλον. διαφέρει δὲ τοῦτο τοῦ οὐδετέρου, ὅτι τὸ μὲν οὐδέτερον δηλοῖ κυρίως τὸ ἔπαθλον, τοῦτο δὲ τὸν ἀγῶνα.

Ἀθμονία δῆμός ἐστι φυλῆς τῆς Κεκροπίδος, ἀφ' οὗ ὁ δημότης Ἀθμονεύς.

Ἀθμωνίς ὄνομα κύριον.

ἀθόλωτος ὁ ἀτάραχος.

ἄθραυστον ἰσχυρόν, ἄκλαστον.

ἄθρει ὅρα, βλέπε. καὶ ἀθρείοντες ἰδεῖν ἐπιθυμοῦντες.

ἀθρεῖν τὸ περισκοπεῖν καὶ μετ' ἐπιτάσεως ὁρᾶν. παραδειγμάτων δὲ πάντα μεστά.

ἀθρέμβολα (an ἀρθρ—) ὄργανα τιμωρητικά, ἄρθροις ὡς ἔοικεν ἐμβαλλόμενα καὶ διασπῶντα καὶ πλήττοντα.

ἀθρήματα δῶρα πεμπόμενα ταῖς γεγαμημέναις.

ἀθρήνη (an ἀνθρ—) εἶδος μελίσσης.

ἀθρηνί χωρὶς θρήνου.

ἀθρήνιον (an ἀνθρ—) ὁ μουσῶν τόπος (Philostrat. iun. Im. 13).

ἀθρήσειεν ἀπίδοι.

Ἀθριβίς πόλις Αἰγύπτου.

ἀθροίζει συνάγει. "τούτους ἀθροίζοντες ἀλλήλȣς παρεκρότȣν" Ἰώσηπος (B. Iud. 6 2).

ἀθροίζω. ἀπὸ τοῦ θροῦς θροός θροΐζω καὶ θροΐζω, καὶ μετὰ τȣ̃ ἐπιτατικȣ̃ α ἀθροΐζω.

ἄθροισμα τὸ σώρευμα.

ἄθροοι καταρρέοντες ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα καὶ δασύνειν τὴν πρώτην συλλαβὴν ἀττικῶς. καταρρέοντες δὲ ἀντὶ τοῦ ἀθρόως κατερχόμενοι. ἡ μεταφορὰ ἀπὸ τῶν ποταμίων ῥευμάτων· Ὅμηρος (Λ 724) "τὰ δ' ἐπέρρεον ἔθνεα πεζῶν" sch. A Ach. 26.

ἀθρόȣς. καὶ ἄθρȣς λέγȣσι δισυλλάβως.

ἄθρους εἰς ἓν ἅπαντας συνηγμένους, ὁμοῦ. καὶ ἀθρόως· "τοιαῦτα μὲν ἐποίκιλλεν ἀθρόως διδισσόμενος" (Ioseph. B. Iud. 4 4).

ἀθρόως ταχέως.

ἄθρυπτος ἀνδρώδης, μὴ βλακεύουσα μηδὲ μαλακιζομένη μηδὲ χαυνουμένη. Δαμάσκιος (Phot. p. 338 b) "τὴν δὲ τροφὴν ἐκληρώσατο μετρίαν τινὰ καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μουσικὴν καὶ τὸν Δώριον τρόπον ὡς ἀληθῶς ἡρμοσμένην."

ἄθυμος ἀντὶ τοῦ ἀθυμήτης· Πλάτων Πολιτείας ε΄ (p. 456 A). ἤγουν ὁ λελυπημένος. "οἱ δὲ στρατιῶται, καίτοι ἄθυμοι δοκοῦντες καὶ τὰ σώματα πονηθέντες ἐν τῇ προτέρᾳ μάχῃ, παρεβάλοντο καὶ ἐνίκησαν," ἀντὶ τοῦ τὴν ψυχὴν κακοί.

ἀθυμότερος ἀψυχότερος, κακοψυχότερος.

ἀθύρειν τὸ παίζειν. Πλάτων Νόμοις (7 p. 796) "ἡ δ' αὖ παρ' ἡμῖν κόρη καὶ δέσποινα, εὐφρανθεῖσα τῇ τῆς χορείας παιδιᾷ, κεναῖς χερσὶν οὐκ ᾠήθη δεῖν ἀθῦραι." ἀθύρω ὁ ἐνεστώς.

ἄθυρμα παίγνιον. Ἰώσηπος (Ant. Iud. 12 4 9) "ὃς ἦν τοῦ βασιλέως ἄθυρμα, καὶ πρὸς τὰ σκώμματα καὶ τοὺς ἐν τοῖς πότοις γέλωτας ἐπεδείκνυτο." καὶ αὖθις "οὐκ ἔστιν ἀνδρῶν ἀθύρμασιν ἐμφιλοχωρεῖν παιδίων." καὶ ἐν ἐπιγράμματι (AP 6 37) "Πανὶ δέ μιν ξέσσαντες ὁδῷ ἔπι καλὸν ἄθυρμα κάτθεσαν" ἀντὶ τοῦ ἄγαλμα. Κρατῖνος Ὀδυσσεῦσι "νεοχμόν τι παρῆχθαι ἄθυρμα."

ἀθύρμιον παίγνιον.

ἀθυρογλωττία ἡ ἀχαλίνωτος γλῶσσα.

Ἄθυρος ὄνομα κύριον.

ἀθύρωτον στόμα. οὕτως ἀθύρωτον, οὐκ ἀπύλωτον, Ἀριστοφάνης ἐν Βατράχοις (846) καὶ Φρύνιχος. οἱ δὲ γράφουσιν ἀπύλωτον, ἀντὶ τοῦ ἠνεῳγμένον καὶ πύλην μὴ ἔχον, τουτέστι μὴ χαλιναγωγούμενον μηδὲ κρατούμενον.

ἀθύτους ἄνευ θυσιῶν. "καὶ γήμας ἀθύτους τε καὶ ἀγάμους γάμους ἐκείνους, ἐφ' οἷς οἶδα καὶ τὸν θεὸν σείσαντα καὶ διοσημίας ἄλλας κατενόησα ὧν ὑφ' ἡλίῳ ἔτι καὶ τυραννῶν" (Aelian. de Provid. cf. v. διαξαίνειν). "ἐδεῖτο μὲν οἱ τὸ σῶμα κρεωφαγίας, ἀθύτου δὲ οὐκ ἠνέσχετο μεταλαβεῖν," Δαμάσκιός φησιν.

Ἄθων τὸ ὄρος σὺν τῷ ν λέγουσιν.

Ἀθωνίς πόλις.

ἀθῷος ὁ ἀζήμιος. παροιμία "ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου" (Ps. 26 6) ἀντὶ τοῦ ἀθῷον ἐμαυτὸν ἐτήρησα, οὐκ ἐκοινώνησα τοῦ κακοῦ. ἀθῷος οὖν ἀναίτιος.

ἀθώπευτον ἀκολάκευτον, ἄσπλαγχνον. ἐν ἐπιγράμματι (AP 6 186) "θηρὸς ἀθωπεύτου Πανὶ καθῆψε δέρας." περὶ κάπρου φησὶ τοῦτο.

Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός, παροιμία ἐπὶ τῶν τινὰς λυπούντων ἢ βλαπτόντων, ἐπειδὴ τὴν βοῦν τὴν ἐν Λήμνῳ λευκοῦ λίθου πεποιημένην ὁ Ἄθως τὸ ὄρος ἐπισκιάζει.

αἰ ψιλούμενον καὶ περισπώμενον τὸ ὄφελον σημαίνει, κατ' ἀποκοπὴν τοῦ αἴθε, δασυνόμενον δὲ ἄρθρον θηλυκὸν καὶ ἀναφορικόν. σημαίνει δὲ καὶ ἐπίρρημα θρηνητικόν, περισπώμενον καὶ ψιλούμενον· ὃ καὶ διπλασιάζεται· (Lycophron 31) "αἶ αἶ τάλαινα θηλαμὼν κεκαυμένη."

αἶα ἡ γῆ.

αἴαγμα θρῆνος. καὶ (an ἔαγμα δὲ) σύντριμμα.

αἰάζειν θρηνεῖν. ἢ τὸ κατοικτείρειν.

αἰαῖ. "αἰαῖ, τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς; νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ καὶ τρίς" ὁ Αἴας φησί (430). τοῦτο ἀρχαιότροπόν ἐστι, τὸ πρὸς τὰς ὀνομασίας ἐκφέρειν τὰς συμφοράς. καλῶς μὲν οὖν πράττων οὐκ ἂν ἐμνήσθη τοῦ ὀνόματος, ἐν συμφορᾷ δὲ ὤν.

Αἰαία (Hom. λ 70) νῆσος.

αἰαιοί οἱ σύγγαμβροι.

Αἰακίδης ὁ τοῦ Αἰακοῦ υἱός.

αἰακίξ εἶδος κύλικος.

αἰανὴς κύκλος σκοτεινός, ἀδιάλειπτος· Σοφοκλῆς (Ai. 672) "νυκτὸς αἰανὴς κύκλος." ἢ αἰανῆς θρηνητικῆς, παρὰ τὸ αἰάζω τὸ θρηνῶ.

Αἰάντειος γέλως, ἐπὶ τῶν παραφρόνως γελώντων. καὶ Αἰάντειος οἶκος ὁ τοῦ Αἴαντος. καὶ Αἰαντὶς φυλή ἡ τοῦ Αἴαντος.

Αἴαξ ὄνομα κύριον.

αἴαψος ὁ ποικίλος.

αἰβάλη ἡ θύρα.

Αἴβηλος ὄνομα κύριον.

Αἰβιωναῖος ὄνομα κύριον.

αἰβοῖ σχετλιαστικὸν ἐπίρρημα. τάττεται δὲ καὶ ἐπὶ ἡδονῆς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν (1331) "αἰβοῖ, οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον."

αἴγαγρος εἶδος ζῴου.

Αἰγαῖον πέλαγος οὕτω καλούμενον ἀπὸ

ἱστορίας. Θησεὺς ὁ Αἰγέως υἱός, βασιλέως τῆς Ἀττικῆς, βασιλεύει Κρητῶν, καὶ διώκει τὸν Μινώταυρον εἰς τὴν Λαβύρινθον χώραν, καὶ κρυπτόμενον αὐτὸν ἐν σπηλαίῳ ἀνεῖλε, καὶ λαμβάνει τὴν Ἀριάδνην γυναῖκα, τὴν ἀπὸ τοῦ Μίνωος τεχθεῖσαν τῇ Πασιφάῃ, καὶ οὕτω κρατεῖ τῆς Κρήτης. εἶτα ᾔτησεν ἀπελθεῖν πρὸς τὸν ἑαυτοῦ πατέρα τὸν Αἰγέα καὶ τὴν ἑαυτῦ νίκην τὴν κατὰ τῦ Μινωταύρου ἀπαγγεῖλαι. ὡς οὖν ἔπλει ἐπὶ τὴν Ἀττικὴν χώραν, προλαβών τις τῶν διὰ θαλάσσης ἐμπορευομένων ἐψεύσατο τὸν τούτου πατέρα, εἰρηκὼς αὐτῷ ὅτι παρέβησαν οἱ Κρῆτες τὸν Θησέα (ἔχουσι γὰρ καὶ ψευδομένων ὑπολήψεις) καὶ προδεδώκασι τῷ Μίνωι τοῦτον εἰς θυσίαν. πιστεύσας δὲ ὁ Αἰγεὺς καὶ κατολιγωρήσας ἔρριψεν ἑαυτὸν ἀπὸ τῆς ἀκρωρείας εἰς τὴν θάλασσαν καὶ ἀπεπνίγη· διόπερ ἐκεῖνο τὸ πέλαγος μέχρι τῆς σήμερον Αἰγαῖον ἐκλήθη. ἐλθὼν οὖν ὁ Θησεὺς εὗρεν αὐτὸν τελευτήσαντα, καὶ καταφρονήσας τῆς βασιλείας τῆς Κρήτης καὶ τῆς ἑαυτοῦ γυναικὸς Ἀριάδνης ἐβασίλευσεν ἀντὶ τοῦ πατρὸς ἐν τῇ Ἀττικῇ. ἐξ αὐτοῦ δὲ καὶ Αἰγαῖος κόλπος. Αἰγαῖον οὖν πέλαγος τὸ φοβερώτατον. ἀττικώτερον δὲ τὸ Αἴγαιον. cf. Malalas p. 87.

Αἰγαίωρος ὄνομα κύριον.

Αἰγαλέως ἐπὶ γενικῆς ἀντὶ τοῦ. . . (cf. v. μᾶσσον.)

αἰγανέα ἀκόντιον ὁλοσίδηρον. ἐν ἐπιγράμματι (AP 6 57) "ἄνθετο δέρμα λέοντος Τεῦκρος Ἄραψ, καὐτὴν ἀγρότιν αἰγανέαν."

αἲ γάρ εἴθε γάρ.

Αἰγάστρη.

αἰγέα τὸ τῆς αἰγὸς δέρμα.

Αἰγέα καὶ Ἐρεχθέα καὶ πάντων τῶν τοιούτων ἐκτείνουσι τὸ τελευταῖον ἄλφα. Ἀριστοφάνης Δαιταλεῦσι "τὸν Ἐρεχθέα μοι καὶ τὸν Αἰγέα κάλει."

Αἰγεία θάλασσα.

Αἰγεῖδαι. Δημοσθένης ἐν τῷ ἐπιταφίῳ (28), εἰ γνήσιός ἐστιν. ἔστι δὲ Αἰγηὶς φυλή, ἀπὸ Αἰγέως τοῦ Πανδίονος, ἧς οἱ φυλέται Αἰγεῖδαι. καὶ **Αἰγείδης** ὁ τοῦ Αἰγέως παῖς.

αἰγεῖον τὸ τῦ Αἰγέως μαντεῖον Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. αἰγεῖόν ἐστιν Αἰγέως ἡρῷον ἐν Ἀθήναις.

αἴγειον μέλος. καὶ τὸ τῆς αἰγὸς δέρμα **αἴγειος ἀσκός.**

αἴγειρος ἡ λεύκη, εἶδος φυτοῦ.

αἰγείρου θέα. αἴγειρος ἦν Ἀθήνησι πλησίον τῦ χωρίου ἔνθα, πρὶν γενέσθαι θέατρον, τὰ ἰκρία ἐπήγνυον· ἀφ' ἧς αἰγείρου οἱ μὴ ἔχοντες τόπον ἐθεώρων. Αἴγειρος δὲ ὄνομα πόλεως.

αἶγες τὰ μεγάλα κύματα ἐν τῇ συνηθείᾳ. καὶ ἐπαιγίζω ἐπὶ τῦ σφοδρῶς πνέω. καὶ **Αἰγαῖον πέλαγος** τὸ φοβερώτατον. Artemid. 2 12.

Αἰγεσταῖος ὄνομα κύριον. **Αἰγεστεύς** δέ.

Αἰγηίς ἡ τοῦ Αἰγέως φυλή.

αἰγιάζειν· "σὺ δ' αἰγιάζειν ἐνθαδὶ καθήμενος."

Αἰγιάλεια ὄνομα κύριον.

Αἰγιαλεύς ὄνομα κύριον.

Αἰγιάλη ὄνομα κύριον.

αἰγιαλῷ λαλεῖς, ἐπὶ τῶν ἀνηκούστων. καὶ **ἀνέμῳ διαλέγῃ.**

αἰγίβοτος γῆ (Hom. δ 606) ἐπιτηδεία αἶγας βόσκειν.

Αἴγιγες ὄνομα ἔθνους.

Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι, ἐπὶ τῶν ἄγαν εὐτελῶν. οἱ γὰρ ἐν Ἄργει Αἰγιεῖς νικήσαντες Αἰτωλοὺς ἠρώτων τὴν Πυθίαν τίνες εἶεν· ἀνεῖλε δὲ αὐτοῖς "Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι."

αἰγίζειν διασπᾶν, ἐκ μεταφορᾶς· παρ' ὃ καὶ τὸ αἰγίζεσθαι, ἀπὸ τῶν καταιγίδων, Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖς καὶ τὰς νεβρίδας οὕτω καλεῖ.

αἰγίθαλος (A Av. 889) τὸ ζῷον, καὶ ἡ ὄρχησις.

Αἰγιλία δῆμος Ἀντιοχίδος, ἧς ὁ δημότης Αἰγιλιεύς. Harp.

Αἰγίλιψ ὄνομα πόλεως (Hom. B 633). σημαίνει δὲ καὶ πέτραν ὑψηλήν· Ὅμηρος (I 15) "ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ." ὥστε ὑπὸ τοῦ ὕψους καὶ τὰς αἶγας λείπεσθαι αὐτῆς ἐπιβαίνειν. ἔστι δὲ καὶ πόλις Κεφαλληνίας οὕτω καλουμένη.

αἴγιλος εἶδος βοτάνης.

αἰγίλουρος.

Αἰγίμιος ὄνομα κύριον.

Αἰγιμιώ ὄνομα πόλεως.

Αἴγινα πόλις. καὶ **Αἰγιναία ναῦς.** καὶ **Αἰγινήτης** ὁ ἀπὸ τῆς Αἰγίνης.

Αἴγινθος ὄνομα κύριον.

Αἴγιον ὄνομα τόπου.

αἰγίοχος ὁ Ζεύς.

αἰγίπλαγκτος. Aeschyl. Ag. 303.

Αἴγιρος ὄνομα πόλεως.

αἰγίς (Herodot. 4 189), ἣν Λίβυες φοροῦσι δοράν.

αἰγίς τὸ ἐκ τῶν στεμμάτων πλέγμα, καὶ τὸ διὰ στεμμάτων πεπλεγμένον δίκτυον, ὡς Λυκοῦργος καὶ Ἡρόδοτος. ἡ δὲ ἱέρεια Ἀθήνησι τὴν ἱερὰν αἰγίδα φέρουσα πρὸς τὰς νεογάμους εἰσήρχετο. ἐπὶ τῶν ἀναίδην ἃν ποιούντων τι τάττεται ἡ παροιμία. καὶ ὁ θώραξ, καὶ ἡ ἐν ταῖς πεύκαις οὐλότης. Νυμφόδωρος δὲ (imo Herodot. 4 189) ταῦτα ὑπὸ Λιβύων αἰγίας φησὶ καλεῖσθαι. Harp.

αἰγίς καταιγίς. Φερεκράτης Μυρμηκανθρώποις "οἴμοι κακοδαίμων, αἰγὶς αἰγὶς ἔρχεται."

Αἴγισθος ὄνομα κύριον.

Αἰγιστεὺς Αἰγιστέως ὄνομα κύριον.

αἴγλη βόλος κυβευτικός. λαμπηδών, αὐγή· Κρατῖνος. καὶ ποπάνου εἶδος δηλοῖ, καὶ θυσίαν, ὥς φησι Λεαγόρας. ἔστι καὶ παιδιά τις. ἀλλὰ καὶ ἡ σελήνη οὕτω καλεῖται, καὶ ὁ Ἀσκληπιός.

αἰγλήεντος (Hom. Α 532) λαμπροῦ. καὶ ἡ εὐθεῖα αἰγλήεις.

Αἴγλης χάριτες. πιθανῶς ἐγενεαλόγησαν τὰς χάριτας Αἴγλης καὶ Ἡλίου, ἐπεὶ τὰς χάριτας λαμπρὰς εἶναι δοκεῖ.

αἰγόκερως εἶδος ζῴου.

αἰγὸς τρόπον, ἐπὶ τῶν ἑαυτοῖς ἐπιφερόντων κακόν, ἀπὸ Κορινθιακῆς παροιμίας, "ἡ αἲξ τὴν μάχαιραν." cf. v. αἴξ.

αἰγοφάγος.

αἰγυπιόν. οὕτως οἱ παλαιοί, ἀλλ' οὐ γῦπα. αἰγυπιῶν δὲ πληθυντικῶς, γυπῶν, Ἡρόδοτος (3 76). ἡ εὐθεῖα αἰγυπιός ὁ γύψ.

Αἰγυπτία κληματίς, ἐπὶ τῶν ἰσχνῶν καὶ ὑπομηκῶν, ὁποῖος ἦν Ζήνων ὁ Κιτιεύς (Diog. L. 7 2). ὅν φασι χρηστηριαζόμενον πῶς ἄριστα βιώσεται, ἀποκρίνασθαι τὸν θεόν, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς· ὅθεν ξυνέντα τὰ τῶν ἀρχαίων ἀναγινώσκειν. cf. v. συγχρωτίζεσθαι.

αἰγυπτιάζειν τὸ πανουργεῖν καὶ κακοτροπεύεσθαι· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι. καὶ παροιμία (Α Αν. 1133) "Αἰγύπτιος πλινθοφόρος." οὗτοι διαβάλλονται ἀεὶ ὡς ἀχθοφόροι ὄντες.

Αἴγυπτος ὄνομα κύριον. καὶ ἡ χώρα τῶν Αἰγυπτίων. ὅτι ὅτε ἀφίκετο Ἑρμῆς ὁ υἱὸς Πίκου τοῦ καὶ Διός, Μεστρὲμ ἐβασίλευε τῶν ἐκεῖ· ὃν μετωνόμασαν Αἴγυπτον, ἀφ' οὗ καὶ Αἴγυπτος ἡ χώρα. τοῦ γένους τοῦ Νῶε. ὅτι ἐν μ' ἡμέραις γεγόνασιν αἱ κατ' Αἴγυπτον πληγαί.

αἰγῶν ὀνόματα, οἷον ἄχρηστα πράγματα· ὅμοιαι γὰρ αἱ αἶγες, ἐπὶ δὲ τοῖς διαφέρουσιν ὡς χαρακτηριστικὰ τίθεται τὰ ὀνόματα.

Αἰγώνεια ὄνομα πόλεως.

Αἰγώνη ὄνομα πόλεως.

ἀίδας ὁ τάφος.

ἀιδές τὸ ἀκατάληπτον.

αἰδέσασθαι ἀντὶ τοῦ μεταπεισθῆναι· οὕτως Λυσίας καὶ Δημοσθένης (38 22). ἐν δὲ τῷ κατὰ Ἀριστοκράτους (72) ἀντὶ τοῦ ἐξιλάσεται καὶ πείσει. Harp.

Αἰδεσία Ἑρμείου γυνή. αὕτη ἦν μὲν προσήκουσα γένει τῷ μεγάλῳ Συριανῷ, καλλίστη καὶ ἀρίστη γυναικῶν τῶν ἐν Ἀλεξανδρείᾳ, τὰ μὲν ἤθη τῷ ἀνδρὶ παραπλησία, ἁπλῆ καὶ γενναία καὶ δικαιοσύνης οὐδὲν ἧττον ἢ σωφροσύνης ἐπιμεληθεῖσα διὰ βίου παντός· τὸ δὲ ἐξαίρετον αὐτῆς φιλόθεον καὶ φιλάνθρωπον. διὰ τοῦτο καὶ παρὰ δύναμιν εὖ ποιεῖν ἐπεχείρει τοὺς δεομένους, ὥστε καὶ τοῦ Ἑρμείου τελευτήσαντος ἐπὶ παισὶν ὀρφανοῖς ἀπολειφθεῖσα τῶν αὐτῶν εἴχετο δαπανημάτων εἰς τὰς εὐποιίας. τοιγάρτοι καὶ ὑπόχρεων τοῖς υἱέσι τὸν βίον ἐποίησεν· ἐφ' ᾧ καὶ μέμψασθαί τινες αὐτὴν ἐπεχείρουν. ἡ δὲ ἕνα θησαυρὸν ἡγουμένη τῆς ἀμείνονος ἐλπίδος, εἴ τις ἐθέλοι τοῖς ἱεροῖς καὶ ἐπιεικέσιν ἀνθρώποις ἐπικουφίζειν τὰ ἄχθη τῆς χρησμοσύνης, οὐδενὸς ἐφείδετο διὰ τὸν ἔλεον τῆς κατὰ τὰ ἀνθρώπεια τύχης. τοιγαροῦν ἠγάπων αὐτὴν καὶ τῶν πολιτῶν οἱ πονηρότατοι. μάλιστα δὲ τῶν υἱέων ἐπεμελεῖτο τὰ περὶ φιλοσοφίαν, ὀρεγομένη τὴν τοῦ πατρὸς ἐπιστήμην αὐτοῖς παραδοῦναι καθάπερ κλῆρόν τινα πατρῴας οὐσίας. ἥ γε καὶ τὴν δημοσίαν τῷ πατρὶ σίτησιν διδομένην τοῖς παισὶ διεφύλαξε νέοις ἔτι οὖσιν, ἕως ἐφιλοσόφησαν· ὅπερ οὐκ ἴσμεν οὐδὲ ἀνδρῶν ἕτερον πεποιηκότα, μήτι γε δὴ γυναικῶν. ἦν γὰρ παρὰ πᾶσι τιμὴ καὶ αἰδὼς οὐκ ὀλίγη τῆς Αἰδεσίας. ἀλλ' ἐπεὶ καὶ συνέπλευσε τοῖς υἱέσιν Ἀθήναζε σταλλομένοις ἐπὶ φιλοσοφίαν, ἐθαύμασαν αὐτῆς τὴν ἀρετὴν ὅ τε ἄλλος χορὸς τῶν φιλοσόφων καὶ ὁ κορυφαῖος Πρόκλος. αὕτη ἐστὶν Αἰδεσία ἣν κόρην οὖσαν ἔτι τῷ Πρόκλῳ κατεγ-

γνήσειν ἔμελλεν ὁ Συριανός, εἰ μὴ θεῶν τις ἀπεκώλυσεν ἐπὶ γάμον ὁρμῆσαι τὸν Πρόκλον, τὰ δὲ πρὸς θεὸν εὐσεβὴς οὕτω καὶ ἱερὰ καὶ τὸ ὅλον φάναι θεοφιλὴς ὥστε πολλῶν ἐπιφανειῶν ἀξιοῦσθαι. ἡ δὲ Αἰδεσία τοιαύτη ἦν, καὶ διεβίω πάντα τὸν βίον ὑπὸ θεοῦ τε καὶ ἀνθρώπων ἀγαπωμένη καὶ ἐπαινουμένη. καὶ ταύτην ἐπίσταμαι γραῦν γυναῖκα, καὶ ἐπ' αὐτῇ τεθνεώσῃ τὸν ἐπὶ τῷ τάφῳ λέγεσθαι νομιζόμενον ἔπαινον ἐπεδειξάμην ἡρωικοῖς ἔπεσι κεκοσμημένον, ἔτι νέος ὢν τότε καὶ κομιδῇ μειράκιον. ταύτης δὲ παῖδες ἀπὸ τοῦ Ἑρμείου νεώτερος μὲν Ἡλιόδωρος πρεσβύτερος δὲ Ἀμμώνιος. οὗτος μὲν οὖν εὐφυέστερος ἦν καὶ φιλομαθέστερος, ὃ δὲ ἁπλούστερος καὶ ἐπιπολαιότερος ἔν τε τοῖς ἤθεσιν ἔν τε τοῖς λόγοις. ἄμφω μὲν γὰρ ἐφιλοσοφησάτην ὑπὸ Πρόκλῳ, μετὰ τῆς μητρὸς ὡς αὐτὸν ἀφικομένω παιδαγωγούσης· καὶ ὁ Πρόκλος αὐτοῖς προσεῖχε τὸν νοῦν ἐπιμελέστερον ὡς παισὶ μὲν Ἑρμείου φίλου τε καὶ ἑταίρου ἀνδρός, παισὶ δὲ Αἰδεσίας τῆς γένει Συριανῷ προσηκούσης καὶ ἅμα σφίσι τὸ τηνικαῦτα παρούσης. ἀφίκετο μὲν δὴ σὺν αὐτοῖς Ἀθήναζε καὶ Ἱέραξ ὁ Συνεσίου ἀδελφός. Damasc. Phot. p. 341 b.

αἰδέσιμον ἀξιοτίμητον, καλόν, ἢ λαμπρόν.

ἀίδηλον πῦρ τὸ ἀφανιστικόν, καὶ **ἀιδήλως** ἀφανιστικῶς.

αἰδημόνως αἰδεσίμως.

αἰδήμων αἰδέσιμος.

Ἀίδης ὁ Ἅδης, κατὰ διάλυσιν. καὶ **Ἀιδωνεῖ** καὶ **Ἀιδωνῆι** τῷ Ἅδῃ.

ἀίδιος αἰώνιος.

ἀιδνής ὁ μὴ βλεπόμενος.

αἰδοῖ εἴκων (Hom. K 238) αἰδούμενος. "καὶ χρυσοῦν στέφανον ἐπέβαλεν, αἰδοῖ τοῦτο δρῶν τῆς περὶ τὸν Μάρκελλον ἀρετῆς."

αἰδοῖον τὸ μόριον.

αἰδοῖος ὁ αἰδοῦς καὶ ἐντροπῆς ἄξιος. Δαμάσκιος (Phot. p. 3) "ὁ δὲ Ἰσίδωρος ἐξεπλήττετο ὁρῶν τὸν Πρόκλον αἰδοῖόν τε καὶ δεινὸν ἰδεῖν, αὐτὸ δοκῶν ἐκεῖνο ὁρᾶν τὸ φιλοσοφίας τῷ ὄντι πρόσωπον."

Ἄιδος κυνῆ, ἐπὶ τῶν ἀποκεκρυμμένων καὶ ἀφανῶν καὶ λανθάνειν βουλομένων.

Ἄιδος κυνῆ παροιμία πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς διὰ τινῶν μηχανημάτων· τοιαύτη γὰρ ἡ τοῦ Ἅδου κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γοργόνα ἐδειροτόμησεν.

Ἄιδος κυνῆ. Ἀριστοφάνης (Ach. 364) "λάβε δ' ἐμοῦ γ' ἕνεκα παρ' Ἱερωνύμου σκοτοδασυπυκνότριχα τὴν Ἄιδος κυνῆν." ἐπὶ τῶν ἀφανῶν εἴρηται ἡ παροιμία, νῦν δὲ ἐπὶ τῶν ἄγαν κομώντων. οὗτος γὰρ ὁ Ἱερώνυμος μελῶν ἦν ποιητὴς καὶ τραγῳδὸς ἀνώμαλος καὶ ἀνοικονόμητος, διὰ δὲ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις καὶ φοβεροῖς προσωπείοις χρῆσθαι ἐδόκει κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν, διόπερ Ἄιδος κυνῆν ἔφη αὐτὸν κωμῳδικῶς ὡς κουριῶντα.

αἰδοῦμαι αἰτιατικῇ.

ἀιδρίη ἡ ἀπειρία.

ἄιδρις ἀμαθής, ἄπειρος. "ἐγὼ δ' ὁ πάντα κωφός, ὁ πάντ' ἄιδρις κατημέλησα." (Soph. Ai. 911), ἀντὶ τοῦ ὁ ἀναίσθητος. ἴδρις γὰρ ὁ ἔμπειρος· ὁ θεολόγος (Gregor. Naz. t. 2 p. 187 Bill.) "γέρων μέν εἰμι καὶ κακῶν πολλῶν ἴδρις."

ἀιδρόν τὸ διαφανές (an **ἀιδνὸν** τὸ ἀφανές).

ἀίδυλος (vel **αἴδυλος**) ὁ θρασύς.

αἰδῶ τὸ αἰδοῖον. καὶ ἡ σελήνη παρὰ Χαλδαίοις. καὶ ἡ ῥιπὴ παρὰ Λάκωσι. καὶ ἡ τροφὸς τῆς Ἀθηνᾶς, ἧς καὶ ὁ βωμὸς ὁ ἐν τῇ ἀκροπόλει.

αἰδώς ἡ ἐπιτιμία (Artemid. 1 27). καὶ παροιμία "αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ προΐκτῃ," ἐπὶ τῶν δι' ἐπιείκειαν βλαπτομένων· Ὅμηρος (ρ 347). καὶ Ἡσίοδος (O. 315) "αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει." καὶ ἑτέρα παροιμία "αἰδὼς ἐν ὀφθαλμοῖς," παρ' ὅσον οἱ κεκακωμένοι τοὺς ὀφθαλμοὺς οὐκ αἰδοῦνται, ἢ ὅτι τοὺς παρόντας ὁρῶντες αἰδοῦνται μᾶλλον οἱ ἄνθρωποι ἢ τοὺς ἀπόντας.

αἰεί ἀντὶ τοῦ ἀεί. "αἰεί με τοιοῦτοι πολέμιοι διώκοιεν," ἐπὶ τῶν εὐκαταφρονήτων. καὶ αὖθις (A Lys. 855) "αἰεὶ γάρ ἡ γυνή σ' ἔχει διὰ στόμα. κἂν ᾠὸν ἢ μῆλον λάβῃ, Κινησίᾳ τουτὶ γένοιτο φησί."

αἰεὶ δὲ γέροντι νέαν ποτιβάλλεο κούρην.

αἰειεστώ Ἀντιφῶν. ἡ λέξις Διογενειανοῦ. cf. v. ἀειεστώ.

αἰεὶ φέρει τι Λιβύη κακόν, ἐπὶ τῶν κακούργων καὶ ἀεί τι κακὸν ἐξευρισκόντων νεώτερον, παρ' ὅσον ἡ Λιβύη πολυποικιλώτατα εἴωθε φέρειν θηρία.

ἀίειν ἀκούειν, αἰσθάνεσθαι.

αἱ ἐμαὶ πόλεις αἱ πόλεις μου.

ἄιεν ⟨Hom. O 252?⟩ ἐξέπνεεν.

αἰένυπνος ὁ θάνατος ὁ ἀεὶ κοιμώμενος. ὑφ' ἓν δὲ ἀναγνωστέον. Σοφοκλῆς ⟨OC 1578⟩ "σέ τοι κικλήσκω τὸν αἰένυπνον."

αἴεσχος ὁ τῆς δάφνης κλάδος.

αἰετός τὸ ὄρνεον. Πισίδης φησὶν "οἷς οὔτε δίψης ἐστὶν ἥττων ἡ φύσις, οὐδ' αὖ κονίστρας ἐνδεὴς ἡ στερρότης, ἀλλ' εἰσὶ δίψης καὶ κρύους ἀνώτεροι."

αἰετὸς ἐν νεφέλαις, ἐπὶ τῶν δυσαλώτων, παρ' ὅσον αἰετὸς ἐν νεφέλαις ὢν οὐχ ἁλίσκεται.

αἰζηός ὁ ἀκμάζων.

Αἰζήρ ὄνομα κύριον.

Αἰήτης ὄνομα κύριον. καὶ Αἰήτειον ἔπος.

αἰθάλη σποδός, τέφρα, τὸ ἐκ καμίνου μέλαν. ἢ αἰθάλη εἶδος καπνοῦ πεπυκνωμένου. αἰθάλη λέγεται καὶ κονιορτός· "ἀσκοὺς πληρώσας κονιορτοῦ, κατὰ τὴν συμπλοκὴν ἐκέλευσε τὰ ταμιεῖα τῆς αἰθάλης μαχαιριδίοις διατιτρᾶν," ἤγουν διατορεῖν, διακόπτειν. cf. v. κονιορτός.

Αἰθαλείδης. δῆμός ἐστιν Αἰθαλεῖδαι τῆς Λεοντίδος φυλῆς, ἧς ὁ φυλέτης ⟨an οὐ ὁ δημότης⟩ Αἰθαλείδης.

αἰθαλόεις θεός ὁ Ἥφαιστος ὡς χαλκεύς. ὁ αὐτὸς δὲ καὶ κλυτοτέχνης λέγεται ὡς ἔνδοξον ἔχων τὴν χαλκευτικήν.

αἰθαλόεν ⟨Hom. B 415⟩ κεκαυμένον.

αἰθαλοκομπίαις καπνοῖς καὶ ψευδολογίαις. sch. A Eq. 693.

Αἴθαλος ὄνομα κύριον. καὶ τόπος.

αἰθαλώδης σκοτώδης.

αἴθε εἴθε.

αἴθειν καίειν· ⟨X Anab. 4 7 20⟩ "ὡς δὲ ἐνέβαλεν εἰς τὴν πολεμίαν, παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν χώραν."

αἰθέρα νήνεμον ἐρέσσεις, ἐπὶ τῶν μάτην πονούντων.

αἰθέριον ὕψος τὸ τοῦ αἰθέρος. καὶ αἰθέριος ὁ ἐν τῷ αἰθέρι.

Αἰθέριος ἐπῶν ποιητὴς ἔγραψε διάφορα, καὶ ἐπιθαλάμιον δι' ἐπῶν εἰς Σιμπλίκιον τὸν ἴδιον ἀδελφόν.

αἰθεροβατεῖν εἰς τὸν αἰθέρα βαίνειν. "καὶ ὁ δοκῶν αἰθεροβατεῖν καὶ αὐτῆς ἧφθαι τῆς οὐρνίας ἁψῖδος καὶ συμπεριπολεῖν τοῖς ἄστροις ἠγνόησε τὸ κρεουργηθῆναι καὶ ὡς μῦσος ἐκριφῆναι."

Αἴθες ἐθνικόν.

αἰθέσι λαμπροῖς.

Αἴθη ὄνομα θηλείας ἵππου. Ὅμηρος ⟨Ψ 295⟩ "Αἴθην τὴν Ἀγαμεμνονέην."

αἰθήρ ὁ ἐν ὕψει ἀήρ, ὁ ἐπάνω τοῦ ἀέρος καιόμενος ἐκ τοῦ ἡλίου. αἰθὴρ θηλυκῶς· Ὅμηρος ⟨Π 365⟩ "αἰθέρος ἐκ δίης," καὶ Πίνδαρος ⟨Ol. 1 10⟩ "ἐρήμας δι' αἰθέρος," διότι πυρώδης ὢν οὐ τρέφει. καὶ αὖθις ⟨Eurip. ap. A Thesm. 1076⟩ "ἀστεροειδέα νῶτα διφρεύουσ' αἰθέρος ἱερᾶς."

Αἴθικες ὄνομα ἔθνους.

Αἰθιόλας ὄνομα κύριον.

Αἰθίοπα σμήχειν, ἐπὶ τῶν μάτην πονούντων.

Αἰθιοπεύς καὶ Αἰθιοπῆας.

Αἰθιοπία χώρα.

Αἰθιόπιον τῆς Εὐβοίας ἐστὶ χωρίον.

αἰθίοψ ὁ μέλας. καὶ ζήτει ἐν τῷ ἁπλῷ λόγῳ.

Αἴθλη ⟨an Αἰθάλη⟩ ἡ Χίος.

αἰθόμενος καιόμενος.

αἴθοπα ἀντὶ τοῦ διάπυρον, φλεγμαίνουσαν. ἐν ἐπιγράμματι ⟨AP 5 218⟩ "μέχρι καὶ αὐτοῦ βλέμματος ἐνστήσας αἴθοπα βασκανίην."

αἴθοπος διαπύρου, θερμοῦ ἐν ταῖς μάχαις. ὁ δὲ Σοφοκλῆς ⟨Ai. 222⟩ ἐπὶ τοῦ παρακεκινηκότος ἐχρήσατο· "οἵαν ἐδήλωσας ἀνδρὸς αἴθοπος ἀγγελίαν ἄτλατον οὐδὲ φευκτήν."

αἶθος ὁ ἐκκαύστης, αἰθός ὁ καιόμενος.

αἴθουσα ἡ στοά.

αἴθ' ὄφελε. παραλλήλως τὰ εὐκτικὰ μόρια κείμενα κατὰ τοῦτο διαφέρουσιν, ὅτι τὸ μέν ἐστιν ἀπαρέμφατον προσώπων, τὸ δὲ ὄφελον τὰ πρόσωπα ἐμφαίνει.

αἴθ' ὄφελες θανέειν, ἢ πανύστατον ⟨an πάννυχος⟩ ὀρχήσασθαι, ἐπειδὴ τὴν γλαῦκα ὅταν λάβωσι τὰ παιδία περιάγουσιν, ἣ δὲ μὴ βλέπουσα δι' ἡμέρας ὥσπερ ὀρχεῖται. ἢ ὅταν πληγῇ τελευτῶσα στρέφεται ὥσπερ ὀρχουμένη. Καλλίμαχος ἐν Ἑκάλῃ λέγει περὶ αὐτῆς.

αἴθοψ ὁ μέλας.

αἰθρεῖ χειμάζει.

Αἴθρη ὄνομα κύριον.

αἰθρηγενέτης ⟨Hom. ε 296⟩.

αἰθρία ἔξω ὑπὸ τὸν ἀέρα. λέγεται δὲ καὶ ὕπαιθρον. καὶ ἡ εὐδία. Ξενοφῶν ⟨Anab. 4

4 14) "οἱ δὲ τὰς οἰκίας ἐμπρήσαντες δίκην ἔδοσαν ὑπὸ τῆς αἰθρίας κακῶς σκηνοῦντες."

αἴθρια στέφη τὰ ἐξ Ὑπερβορέων κομιζόμενα, ὡς ἀεὶ ἐν ὑπαίθρῳ τιθέμενα.

Αἰθριαίνης ὄνομα κύριον.

Αἴθριξ ὄνομα κύριον.

αἴθριον. καὶ αἴθριος ὁ ὑπὸ τὸν ἀέρα.

αἴθριππος ὁ ταχύς.

αἶθρον τὸ καῦμα.

αἴθυγμα ὅρμημα. "ὃ (an ἣ) δὲ βασιλείαν ὠνειροπόλει, καὶ αἴθυγμα ἀμηγέπη καὶ φαντασίαν τινὰ ἀπετέλει μοναρχίας. ταύτῃ τοι καὶ ἐμποδὼν ἐγένετο τῷ ἀνδρὶ ὑπάτῳ γενέσθαι."

αἴθυγμα ἐπὶ πυρός.

αἴθυια (an ἡ θυῖα) ἡ ἴυγξ. καὶ ἡ θαλαττία ὄρνις· "αἰθυίης πτερύγεσσιν ἔλυσαν πείσματα νηός·" αἱ γὰρ αἴθυιαι ὅταν δύνωσι, κάκιστος οἰωνὸς ὑπάρχει τοῖς πλέουσι. τὴν δὲ αἰτίαν λέγουσιν, ὅτι γαλήνης οὔσης οὐ τολμᾷ προϊέναι, φοβουμένη τὰ θαλάσσια ζῷα, χειμῶνα δὲ προορωμένη προέρχεται, τῶν ἄλλων ζῴων ἐν ταῖς καταδύσεσιν ὄντων.

αἰθύξασα κινήσασα· (? Callim. Hec.) "αὐτόθεν ἐξ εὐνῆς ὀλίγον ῥάκος αἰθύξασα."

αἰθύσσω τὸ θερμαίνω, ἐκτείνω· (AP 7 204) "οὐδ' ὑπὸ μαρμαρυγαῖς Φαλερώπιδος ἠριγενείης ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων." καὶ αἰθύσσων διαλάμπων· εἰς Ἀνακρέοντος ἐπίγραμμα (AP 7 27) "αἰθύσσων λιπαρῆς ἄνθος ὕπερθε κόμης."

αἴθω τὸ καίω.

Αἰθώ ὄνομα πόλεως.

αἴθων ὁ βίαιος λιμός, ἀπὸ Αἴθωνος Ἠλείου τινός, ὃς τὸ Δήμητρος ἄλσος κατέκοψε καὶ τιμωρίαν ὑπέστη ἀξίαν, καὶ διὰ τοῦτο ἐλίμωττεν αἰεί.

Αἰθωνίδης ὄνομα κύριον.

αἰκάλλει θωπεύει, κινεῖ, προτρέπεται. λέγεται καὶ ὑπαικάλλειν· "τὴν Ἀντωνίου θεραπεύων καὶ ὑπαικάλλων ἅμα φάτνην." cf. vv. Ἄλβιος, ὑπαικάλλων, φάτνην.

αἰκάλλει σαίνει· (A Thesm. 876) "αἰκάλλει τι καρδίαν ἐμήν."

Αἰκανός ὄνομα ὄρους.

Αἰκατερίνα ὄνομα κύριον.

αἴ κέν πως (Hom. A 66) ἐάν πως.

αἴ κε πάθοι τά γ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο." χρησμὸς δοθεὶς περὶ τῶν Αὐρηλιανοῦ φόνων καὶ ἀδικιῶν.

αἴ κέ ποθι (Hom. A 128) ἐάν ποτε.

ἄικες (Hom. O 709) αἱ ὁρμαί.

αἰκία ὕβρις ἔμπληγος. "καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἡ ἰσομοιρία τῶν κακῶν, ἔχουσά τινα ὅμως τὸ μετὰ πολλῶν κούφισιν, οὐδ' ὡς ῥᾳδία οὐδ' ἐν τῷ παρόντι ἐδοξάζετο."

αἰκία ἡ τρῶσις.

αἰκίας. εἶδος δίκης ἐστὶν ἰδιωτικῆς, ἐπὶ πληγαῖς λαγχανομένης· ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔστιν ὡρισμένον, ἀλλ' ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται ὁπόσου δοκεῖ ἄξιον εἶναι τὸ ἀδίκημα, οἱ δὲ δικασταὶ ἐπικρίνουσιν. Harp. et sch. A Eccl. 659.

αἰκίζει κακοῖ, τύπτει, καθυβρίζει.

αἰκισμός.

αἰκίστρια ἡ αἰκίζουσα. καὶ αἰκίστριος.

Αἶκλος ὄνομα κύριον.

αἶκνον τὸ σύνδειπνον.

Αἰκόλος ὄνομα κύριον. καὶ ὄνομα ὄρους.

αἱ λαχάνων προσθῆκαι, ἐπὶ τῶν μὴ μίαν ὄνησιν ἐμποιούντων.

Αἰλία ὄνομα πόλεως, ἡ Ἱερουσαλήμ.

Αἰλιανός, ἀπὸ Πραινέστου τῆς Ἰταλίας, ἀρχιερεὺς καὶ σοφιστὴς ὁ χρηματίσας Κλαύδιος· ὃς ἐπεκλήθη μελίγλωσσος ἢ μελίφθογγος, καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ αὐτῇ ἐπὶ τῶν μετὰ Ἀδριανὸν χρόνων.

Αἰλιανός. οὗτος ἐπὶ Οὐάλεντος ἐστρατήγησεν, ἦν δὲ ἐκ Συέδρων, ἐλεύθερος δὲ ὢν ἄγαν καὶ ἀνεστηκὼς ἐκ παιδὸς τὴν ψυχὴν γενόμενος ἀφθόνως ἐχορηγήθη τὰ παρὰ τοῦ σώματος· τὰ γὰρ ὄργανα συνεπεπήγει καὶ ἐνέτρεχε τοῖς τῆς ψυχῆς κινήμασιν, ὥσθ' ἅμα τι πρᾶξαι ἐδέδοκτο καὶ ἐπέπρακτο· καὶ παιδείας οὔτε ἐντὸς ἦν οὔτε ἄμοιρος, ἀλλ' ἦν ἀγροικότερος ὅσον θυμοειδέστερος, καὶ τὸ θηριῶδες τοῦ θυμοῦ καὶ ἄγριον οὐκ ἐξημέρωτο καὶ κατείργαστο ὑπὸ τοῦ λόγου. cf. v. ἀνεστηκώς.

αἴλινον εἶδος θρήνου καὶ ᾠδῆς· (AP 6 348) "αἴλινον ὠκυμόρῳ με λεχωίδι τοῦτο κεκόφθαι τῆς Διοδωρείου γράμμα λέγει σοφίης."

αἴλινον. κοινῶς καὶ ἐπὶ θρήνου καὶ ἐπὶ ὕμνου ἐστίν, ἀπὸ Αἰλίνου τοῦ Καλλιόπης.

αἴλινος ὀδυρτική, θρηνητική· (AP 5 248) "οὐκ ἐμάλαξε τεὸν θράσος αἴλινος αὐδή."

Αἴλιος ὄνομα ἐθνικόν.

αἴλουρος τὸ ζῷον.

αἷμα τὸ ζωτικὸν τοῦ ἀνθρώπου.

αἷμα τὸ γένος. (Hom. Z 211) "ταύτης

τω γενῆς τε καὶ αἵματος εὔχομαι εἶναι." καὶ τῶν ἐν ἡμῖν τεσσάρων χυμῶν τὸ καιριώτατον. Σοφοκλῆς δ' ἐν 'Ηλέκτρᾳ ⟨1394⟩ τὴν μάχαιραν αἱμά φησιν.

αἱμαλέας· ⟨AP 6 129⟩ "ὀκτὼ θώρηκας, τόσσας δ' αἱμαλέας κοπίδας."

αἱμασιά τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον ἄνευ πηλοῦ παρὰ 'Ηροδότῳ ⟨1 180⟩· ἤ τινες ὄρπεζον. καὶ Ἴωνες οὕτω χρῶνται· δηλοῖ δὲ 'Ηρόδοτος ἐν τῇ α'. φαύλως δὲ οἱ πολλοὶ τὸ χωρίον τὸ ὑπὸ αἱμασιῶν περιεχόμενον αἱμασιὰν καλοῦσι.

αἱμασιαῖς τοῖς φραγμοῖς, κυρίως τοῖς ἠκανθωμένοις.

αἱμάττη.

αἵματι κλαίειν καθ' ὑπερβολήν, οὐ δάκρυσιν. ἐφ' ὧν μὴ δύναιντο πεῖσαι πάντα πράττοντες, οὕτως ἔλεγον οἱ ἀρχαῖοι, "οὐδ' ἂν πείσειας αὐτὸν οὐδ' αἵματι κλαίων." λέγουσι δὲ καὶ "οὐδ' ἂν αἵματι στένων πείσειεν."

αἱματόεντα αἱματώδη.

αἱματοπώτης ὁ φονεύς. οἰκείως δὲ ἐπὶ τοῦ δράκοντος, αἱματοποτεῖ γὰρ τὸ ζῷον, καὶ ἐπὶ τοῦ ἀλλαντοπώλου· τὰ γὰρ ἔντερα καὶ τοὺς ἀλλᾶντας μετὰ αἵματος καὶ πιμελῆς καὶ ἀλφίτων φυρῶντες πληροῦσιν· αἱματοπώτην οὖν τὸν τὸ αἷμα καταναλίσκοντα καὶ ὥσπερ ἐκροφοῦντα. sch. A Eq. 198.

αἵματος ἆσαι Ἄρηα ⟨Hom. E 289⟩ αἵματος κορέσαι ἢ αἵματι μολῦναι καὶ χρῶσαι· ἄση γὰρ ἡ ῥυπαρία, ὅθεν καὶ ἀσάμινθος ἐν ᾗ τὴν ἄσην μινύθοντες ἐλούοντο, ὅ ἐστι τὴν ῥυπαρίαν μειοῦντες.

αἱματωπός ὁ τοὺς ὦπας ᾑμαγμένους ἔχων.

αἱμηρόν αἵματος πλῆρες.

Αἰμιλία Σκιπίωνος τοῦ μεγάλου γυνή, ᾗ συνέβαινε μεγαλοπρεπῆ τὴν περίστασιν ἔχειν ἐν ταῖς γυναικείαις ἐξόδοις, ἅτε συνηκμακυῖαν τῷ βίῳ καὶ τῇ τύχῃ τοῦ Σκιπίωνος· χωρὶς γὰρ τοῦ περὶ τὸ σῶμα καὶ τὴν ἀπήνην κόσμου, καὶ τὰ κανᾶ καὶ τὰ ποτήρια καὶ τἆλλα τὰ πρὸς θυσίαν ἀργυρᾶ καὶ χρυσᾶ πάντα συνεξηκολούθει κατὰ τὰς ἐπιφανεῖς ἐξόδους αὐτῇ, τό τε τῶν παιδισκῶν καὶ τὸ τῶν οἰκετῶν τῶν παρεπομένων πλῆθος ἀκόλουθον ἦν τούτοις. ταύτην δὴ τὴν περικοπὴν "τουτέστι τὴν ὕπαρξιν" εὐθέως μετὰ τὸν Αἰμιλίας τάφον ἐδωρήσατο τῇ μητρί, ᾗ συνέβαινε κεχωρίσθαι μὲν ἀπὸ τοῦ Λευκίου πρότερον ἤδη πολλοῖς χρόνοις, τὴν δὲ τοῦ βίου χορηγίαν ἐλλιπεστέραν ἔχειν τῆς κατὰ τὴν εὐγένειαν φαντασίας. διὸ τὸν πρὸ τοῦ χρόνον ἀνακεχωρηκυίας αὐτῆς ἐκ τῶν ἐπισήμων ἐξόδων, τότε κατὰ τύχην οὔσης ἐπιφανοῦς καὶ πανδήμου θυσίας, ἐκπορευομένης αὐτῆς ἐν τῇ τῆς Αἰμιλίας περικοπῇ καὶ χορηγίᾳ, καὶ πρὸς τοῖς ἄλλοις καὶ τῶν ὀρεωκόμων καὶ τοῦ ζεύγους καὶ τῆς ἀπήνης τῆς αὐτῆς ὑπαρχούσης, συνέβη τὰς γυναῖκας θεωμένας τὸ γεγονὸς ἐκπλήττεσθαι τὴν Σκιπίωνος χρηστότητα καὶ μεγαλοψυχίαν. Polyb. 32 12.

Αἰμιλιανός ὄνομα κύριον.

Αἰμίλιος ὁ ὕπατος, ὁ τὸν Περσέα τὸν τῶν Μακεδόνων βασιλέα χειρωσάμενος, ἀνὴρ ἦν σώφρων καὶ φέρειν εὐπραγίας εἰδὼς καὶ ἱκανὸς ὤν· ἅμα γὰρ βασιλικῇ θεραπείᾳ τὸν ἄνδρα ὑπεδέξατο, πεσεῖν τε βουληθέντα πρὸς τοῖς γόνασιν αὐτοῦ ἀναστήσας, καὶ ἐπειπών "ἄνθρωπε, τί μου καταβάλλεις τὸ κατόρθωμα;" ἐπί τινος βασιλικοῦ θρόνου πάρεδρον ἑαυτῷ κατεστήσατο. Μακεδόνας δὲ καὶ Ἰλλυριοὺς τῆς πρόσθεν δουλείας ἀπηλλαγμένους ἐλευθέρους εἶναι καὶ αὐτονόμους προστάττει τὸ συνέδριον, δασμόν τε φέρειν βραχὺν καὶ πολλῷ τινὶ τοῦ πάλαι κομιζομένου τοῖς ἑκατέρων βασιλεῦσι καταδεέστερον, ὡς ἂν ὁμολογοῖτο πρὸς ἁπάντων 'Ρωμαίους τῶν ὑπαρξάντων εἰς αὐτοὺς ἀδικημάτων ἤπερ ἐφέσει τῆς Μακεδονικῆς ἡγεμονίας ἐξενηνοχέναι τὸν πόλεμον. ὁ γὰρ Αἰμίλιος ἐς τὴν ἁπάντων τῶν παρόντων ἀκοήν (ἦσαν δὲ πολλοὶ καὶ ἐκ πολλῶν ἐθνῶν συνειλεγμένοι) τὸ τῆς βουλῆς ἐξενεγκὼν δόγμα ἐλευθέρους εἶναι τοὺς ἄνδρας ἀπεφήνατο. τούς τε πρὸς αὐτὸν ἀφικομένους τῶν Εὐρωπαίων πρέσβεις εἱστία πολυτελῶς, τῇ λαμπρότητι τοῦ συμποσίου φιλοτιμούμενος· ἔλεγε γὰρ δὴ τῶν αὐτῶν ἀνδρῶν εἶναι τῷ τε πολέμῳ κρατεῖν καὶ ταῖς παρασκευαῖς τῶν συμποσίων ἐπιμελεῖς τε καὶ φιλοτίμους φαίνεσθαι. Io. Antioch. exc. Peir. p. 790.

Αἴμιλλος ὄνομα κύριον.

αἵμνιον τὸ ἄγγος τὸ αἱμοδόχον. sch. Hom. γ 444.

αἱμοβόρος ὁ αἷμα ἐσθίων.

Αἱμονία ὄνομα κύριον.

Αἱμόνιος 'Ρωμαῖος κατὰ τὸν Περσῶν πρὸς Ἀθηναίους πόλεμον τραυματίας δραμὼν εἰς Ἀθήνας καὶ εἰς τοὺς πρυτάνεις ἐλθὼν

εἶπεν αὐτοῖς "χαίρετε καὶ χαίρομεν," καὶ πισὼν ἀπέθανεν. cf. Plutarch. 2 p. 347 C.

αἱμοπότης ὁ φονεύς.

αἱμόρρους γένος ἔχεως ἐν τοῖς πετρώδεσι χηραμοῖς ἔχον τὰς διατριβάς.

αἱμύλα. καὶ αἱμύλος κόλαξ, ἀπατεών· "τῶν μέν τινες αἱμύλων καὶ κομψῶν οἰήσονταί με παίζειν." παροξυτόνως τὸ αἱμύλος ὡς Τερτύλος Ῥωμύλος Αἰσχύλος. καὶ αἱμυλώτατος.

Αἱμύλιος ὄνομα κύριον.

αἱμωδεῖν τὸ αἱμωδιᾶν καὶ τοὺς ὀδόντας ὀδυνᾶσθαι.

αἱμωδία.

αἱμωπούς αἱματοχαρεῖς· ⟨AP 6 35⟩ "ἅ πάρος αἱμωποὺς ἐστυφέλιξε λύκους·"

αἰναρέτη. καὶ αἰναρέτης ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν κεκτημένος. sch. Hom. Π 31.

Αἰνέας ὄνομα κύριον.

Αἰνειάδες οἱ ἐκ τοῦ Αἰνείου καταγόμενοι, Αἰνιᾶνες δὲ ὄνομα ἔθνους. καὶ Αἰνιεῖς πληθυντικόν.

Αἰνείας. οὗτος ἔγραψε περὶ πυρσῶν, ὥς φησι Πολύβιος ⟨10 44⟩, καὶ περὶ στρατηγημάτων ὑπόμνημα.

Ἄινες ἐθνικόν.

αἰνίγματα ζητήματα.

αἰνίζω καὶ αἰνίσσω τὸ ἐν παραβολαῖς λαλῶ.

Αἴνικος ⟨an Εὔνικος⟩ Ἀθηναῖος κωμικός· ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ Ἄντεια.... ἔστι δὲ καὶ Αἴνιος σοφιστής, οὗ τινὸς βιβλία αἱ Μετάβολοι.

αἰνικτά ἄγνωστα, κεκρυμμένα· "ὡς πάντ' ἄγαν αἰνικτὰ κἀσαφῆ λέγεις" ⟨S. OR. 439⟩.

Αἴνιον καὶ Αἰνίους, πόλις.

αἰνίττεται ἀντὶ τοῦ δηλοῖ· Ἀριστοφάνης ⟨Pac. 47⟩ "δοκέω μὲν ὡς Κλέωνα τοῦτ' αἰνίττεται." καὶ αἰνίττεσθαι δὲ τὸ λεληθότως περί τινος λέγειν.

αἰνοβίας πολεμικός· ⟨AP 7 226⟩ "Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις."

αἰνόθεν αἰνῶς ⟨Hom. Η 97⟩ λίαν δεινῶς, ὡς ἐκ δεινοῦ· τὸ γὰρ αἰνόθεν γενική.

αἰνοίην ἀντὶ τοῦ συγκατένευσα.

αἰνόμορος ⟨Hom. Χ 481⟩ ὁ κακόμορος.

Αἶνος πόλις ἐστὶ τῆς Θρᾴκης, ἣν Ἕλληνες τὰ πρῶτα Ἀλωπεκοννησίοις κατῴκισαν, ὕστερον δὲ ἐκ Μιτυλήνης καὶ Κύμης ἐπηγάγοντο ἐποίκους. καὶ ἐξ αὐτοῦ Αἰνίτης ὁ πολίτης.

αἶνος λόγος παροιμιώδης. ἢ ἔπαινος καὶ ἐγκώμιον. "αἰνός τίς ἐστιν, ὡς ἀνήρ τε κοὐκ ἀνὴρ ὄρνιθα κοὐκ ὄρνιθα ὄρνιθα δ' ὅμως, ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην, λίθῳ τε κοὐ λίθῳ βαλὼν διώλεσεν." sch. Plat. p. 407.

αἶνος διαφέρει μύθου τῷ τὸν αἶνον μὴ πρὸς παῖδας ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι, καὶ μὴ πρὸς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν τινά· βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τι καὶ διδάσκειν, ὅπερ καὶ Ἡσίοδος ⟨O. 200⟩ φαίνεται πεποιηκώς ⟨sch. A Vesp. 1251⟩. αἰνὸς δὲ ὀξυτόνως ὁ δεινὸς ἄνθρωπος. [καὶ αἶνος ἔπαινος, ὕμνος, δόξα.]

αἴνυτο ἀφῄρητο, ἐλάμβανε. καὶ αἴνυσθαι ὁμοίως.

αἰνῶ παραιτοῦμαι, Σοφοκλῆς, καὶ ἐπαινῶ. καὶ αἰνῶ σε.

Αἰνών, ἀπὸ τοῦ εὐαγγελίου· ⟨Io. 3 23⟩ "ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλήμ."

αἴξ αἰγός. καὶ παροιμία "ἡ αἲξ δοῦσα τὴν μάχαιραν." Κορινθίων γὰρ Ἥρᾳ Ἀκραίᾳ θυόντων, ἣν λέγεται ἱδρῦσαι Μήδειαν, οἱ ἐν τῇ παρόχῳ μεμισθωμένοι γῇ κρύψαντες τὴν μάχαιραν ἐσκήπτοντο ἐπιλελῆσθαι, ἡ δὲ αἲξ αὐτὴν τοῖς ποσὶν ἀνεσκάλευσεν.

αἲξ οὐρανία τὰ τοῦ λευκοῦ κυάμου γένη, ᾧ ἐπεψήφιζον καὶ ἐχειροτόνουν. ὁ δὲ Κρατῖνος καθάπερ τοῦ Διὸς αἶγα Ἀμάλθειαν τροφόν, οὕτως καὶ τῶν "δωροδοκούντων αἶγ' οὐρανίαν." οἱ δὲ τὰ εἰς τὸ ἀργυρίζεσθαί τισιν ἀφθόνως ἀφορμὴν παρέχοντα οὕτως εἰώθασι λέγειν κωμῳδοῦντες [καὶ καταλαμβάνειν]. αἲξ οὖν οὐρανία ἐπὶ τῶν τυγχανόντων ὅσων βούλονται· τὴν γὰρ αἶγα τὴν Διὸς τροφὸν κατηστερίσθαι φασί, καί φασι τὸν ἐπιψαυσάμενον ἐπιτέλλουσαν αὐτὴν ἐπιτυγχάνειν ὅσα ἂν εὔξηται.

αἲξ Σκυρία, ἐπὶ τῶν τὰς εὐεργεσίας ἀνατρεπόντων· φασὶ γὰρ αὐτὰς πολὺ γάλα ἐχούσας, ἐπειδὰν ἀμελχθῶσιν, ἀνατρέπειν τὸ ἀγγεῖον.

ἀΐξας ὁρμήσας· ⟨AP 7 210⟩ "ἀΐξας ἔντοσθε νεοσσοκόμοιο καλιῆς νόσφισεν ὠδίνων τετραέλικτος ὄφις."

αἰξωνεία ἡ βλασφημία.

αἰξωνεύεσθαι τὸ κατηγορεῖν βλασφη-

μοῦντα. μετῆκται δὲ ἀπὸ τοῦ δήμου τῶν Αἰξωνέων· ὡς βλάσφημοι γὰρ κωμῳδοῦνται.

Αἰξωνεύς ὁ βλάσφημος. σημαίνει δὲ καὶ τὸν τὰς αἶγας ὠνούμενον.

Αἰξωνῆς. δῆμός ἐστι φυλῆς Κεκροπίδος, ἐκωμῳδοῦντο δὲ ὡς βλάσφημοι, ἀφ' οὗ καὶ τὸ κακῶς λέγεσθαι αἰξωνεύεσθαι ἔλεγον. Harp.

Αἰξωνίδα τρίγλην. δοκοῦσιν αὗται κάλλισται εἶναι καὶ τῶν ἄλλων διαφέρειν ταύτῃ.

αἱ Οἰδίποδος ἀραί, ἐπὶ τῶν μεγάλως δυστυχούντων.

αἰόλαν πηδητικήν· (ARan. 247) "χορείαν αἰόλαν ἐφθεγξάμεσθα βρεκεκέξ."

αἰόλαν σκοτεινήν.

αἰόλη νύξ ἤτοι μέλαινα, ἢ ποικίλη διὰ τὰ ἄστρα. sch. S. Trach. 94.

Αἰόλιος ὄνομα κύριον. Pausan. 6 21.

αἰόλλει ποικίλλει, στρέφει, πλανᾷ.

Αἰολοκένταυρος. Lucian. V. H. 1 42.

αἰολομίτρης (Hom. E 707) ποικίλην ἔχων μίτραν.

αἰολόπωλος (Hom. Γ 185) ποικίλους ἵππους ἔχων.

Αἰόλος ὄνομα κύριον.

αἰόλος εὐκίνητος, ποικίλος, ἢ ταχύς, παρὰ τὴν ἄελλαν, ἥτις ἀπὸ τοῦ ἄειν καὶ εἰλεῖν.

αἰονῶ τὸ βρέχω.

αἶπερ ὥσπερ. sch. A Ach. 730 et 759.

αἰπεῖ (Hom. I 152, 294) τῷ ὑψηλῷ. ἡ εὐθεῖα αἶπος, οὐδετέρως.

Αἴπεια ὄνομα πόλεως.

αἰπεινῇ ὑψηλῇ· "αἰπεινὴν ἐλάτην ἔρις ὤρορεν αἴσυλα φάσθαι" (cf. v. αἴσυλα). καὶ αἰπειναῖς ὑψηλαῖς, μακραῖς. ἐν μύθοις "αἰπειναῖς ἐλάταις ἔρισεν βάτος. ἢ μὲν ἔειπε καὶ ναῦς καὶ νηοὺς τεμνομένη τελέειν."

αἰπεινός ὁ χαλεπός.

αἰπήεσσα ὑψηλή.

αἰπολή.

αἰπόλια αἰγονόμια, καὶ αἰπόλος αἰγονόμος. καὶ αἰπολῶ δοτικῇ.

αἰπύ ὑψηλόν, μέγα. (AP 6 251) "Λευκάδος αἰπὺν ἔχων ναύταις τηλέσκοπον ὄχθον." (S. Ai. 845) "σὺ δ' ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν, ἄγγειλον ἄτας τὰς ἐμάς."

αἰπύκερως ἔλαφος ὑψηλὰ κέρατα ἔχουσα.

αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι" (Hom. N 317), μεταφορικῶς ἀντὶ τοῦ δυσπρόσβατον, δυσχερές.

αἰπύς ὁ ὀλέθριος.

αἶρα ἡ τοῦ σίτου διαφθορά, διὰ διφθόγγου, ἔρα δὲ ἡ γῆ, διὰ τοῦ ε ψιλοῦ. σημαίνει δὲ καὶ τὴν σφῦραν. καὶ ὄνομα πόλεως.

αἴρασθαι προσενέγκασθαι· Κρατῖνος Τροφωνίῳ "οὐ σῖτον αἴρασθ', οὐχ ὕπνου λαχεῖν μέρος."

αἶρε πρόσφερε· Ὅμηρος (Z 264) "μή μοι οἶνον ἄειρε," καὶ Ἀριστοφάνης (Pac. 1) "αἶρ' αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ."

αἶρε δάκτυλον. τίθεται ἐπὶ τῶν ἀπαγορευόντων ἐν τῇ ἀγωνίᾳ· ἐπαίρεσθαι γὰρ τὴν χεῖρα σύμβολον τοῦ νενικῆσθαι. καὶ Πολύβιος "ὁ δὲ προσπεσὼν αἴρεται νίκην εὐτυχεστάτην."

αἶρε μασχάλην, ἐπὶ τοῦ ὀρχήσασθαι.

αἶρε πλῆκτρον, τουτέστιν ὅπλον ἀμυντήριον. ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων· κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα ἐν οἷς μάχονται, ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων, οἱ δὲ πλῆκτρα. πλῆκτρα δέ εἰσι τὰ ἐμβαλλόμενα τοῖς κέντροις τῶν ἀλεκτρυόνων τὰ χαλκᾶ. sch. AAv. v. 760.

αἱρεθέν θεληθέν.

αἱρεῖ ἀναιρεῖ, φονεύει· Σοφοκλῆς (Philoct. 436) "πόλεμος γὰρ οὐδέν' ἄνδρ' ἑκὼν αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί."

αἱρεῖ καταλαμβάνει. καὶ αἱρεῖν κατὰ κράτος τι λαμβάνειν καὶ καταλαμβάνειν.

αἴρειν αὔξειν. αἴρειν δὲ τράπεζαν παρατιθέναι.

αἴρειν. καὶ τὸ προσφέρειν δηλοῖ· "αἶρ' αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ" Ἀριστοφάνης Εἰρήνῃ (1). καὶ μετὰ τῆς προθέσεως Φερεκράτης Πετάλῃ "πρόσαιρε τὸ κανοῦν, εἰ δὲ βούλει, πρόσφερε." ἐτίθεσαν δὲ τὴν λέξιν καὶ ὡς ἡμεῖς ἐπὶ τοῦ παρακειμένην ἀφελεῖν τὴν τράπεζαν. Μένανδρος Κεκρυφάλῳ "εἶτ' εὐθὺς οὕτω τὰς τραπέζας αἴρετε. μύρα, στεφάνους ἑτοίμασον, σπονδὰς ποίει," καὶ Συναριστώσαις "ἂν ἔτι πιεῖν μοι δῷ τις. ἀλλ' ἡ βάρβαρος ἅμα τῇ τραπέζῃ καὶ τὸν οἶνον ᾤχετο ἄρασ' ἀφ' ἡμῶν."

αἴρειν ἔξω πόδα πηλοῦ, ἐπὶ τῶν βουλομένων μὴ ἐν πράγμασιν εἶναι. λέγεται δὲ καὶ αἴρειν ἔξω πόδα αἰτίας.

αἱρεῖς δοξάζεις, ἡγῇ.

αἱρεῖσθαι ἐργάζεσθαι.

αἱρείτω κατασχέτω.

Αἱρέσιος ὄνομα κύριον.

αἵρεσις καταστροφή, κατάλυσις. "διὸ καὶ πρώτῳ τῶν ἄλλων ἐπέθεντο δι' ἐπιβουλῆς, ἵνα σφίσι τὸ λεγόμενον ἐξ ἄκρας ἡ αἵρεσις γένηται τῶν θεοφιλῶν καὶ ἀρχαιονόμων ἠθῶν τε καὶ ἐπιτηδευμάτων."

αἵρεσις ἡ λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσα ἢ δοκοῦσα ἀκολουθεῖν. Ἱππόβοτος δέ θ' φησὶν αἱρέσεις εἶναι τῶν φιλοσόφων καὶ ἀγωγάς, Μεγαρικήν, Ἐρετριακήν, Κυρηναϊκήν, Ἐπικούρειον, Ἀννικέρειον, Θεοδώρειον, Ζηνώνειον τὴν καὶ στωικήν, Ἀκαδημαϊκήν, περιπατητικήν, οὔτε δὲ κυνικὴν οὔτε Ἠλιακὴν οὔτε διαλεκτικήν. τὴν γὰρ Πυρρώνειον οὐδ' οἱ πλείους προσποιοῦνται διὰ τὴν ἀσάφειαν· εἰ γὰρ αἵρεσιν νοοῖμεν πρόσκλισιν ἐν δόγμασιν ἀκολουθίαν ἔχουσαν, οὐκέτ' ἂν προσαγορεύοιτο αἵρεσις ἡ Πυρρώνειος· οὐ γὰρ ἔχει δόγματα. ἔτι δὲ καὶ ἐκλεκτική τις εἰσήχθη ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. κριτήρια δέ φησιν εἶναι τῆς ἀληθείας δύο, τὸ μὲν ὡς ὑφ' οὗ γίνεται ἡ κρίσις, τουτέστι τὸ ἡγεμονικόν, τὸ δὲ ὡς δι' οὗ, οἷον τὴν ἀκριβεστάτην φαντασίαν. ἀρχάς τε τῶν ὅλων τήν τε ὕλην καὶ τὸ ποιοῦν ποιότητά τε καὶ τόπον· ἐξ οὗ γὰρ καὶ ὑφ' οὗ καὶ ποίῳ καὶ ἐν ᾧ. τέλος δὲ εἶναι ἐφ' ὃ πάντα ἀναφέρεται, ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, οὐκ ἄνευ τῶν τοῦ σώματος κατὰ φύσιν ἀγαθῶν καὶ τῶν ἐκτός. Diog. L. 1 19.

αἱρεσιῶτις πολιτεία ἡ τῶν αἱρετικῶν.

αἱρετίζω τὰ τῶν αἱρετικῶν φρονῶ. καὶ αἱρετίζομαι. σημαίνει δὲ καὶ τὸ προαιροῦμαι. ἐξ οὗ καὶ αἱρετισάμενος καὶ ᾑρετίσατο.

αἱρετὸν ἐπιθυμητόν. τοῦτο τριχῶς λέγεται, τὸ καλόν, τὸ ἡδύ, τὸ συμφέρον. ᾧ δὴ ταῦτα πάντα ὑπάρχει, καὶ διὰ πάντα αἱρετόν, τοῦτο τῶν μὴ πάντα ἐχόντων αἱρετώτερον, οἷον ἡ φρόνησις (Alex. Aphrod. in Top. p. 140). καὶ αὖθις "ὁ δὲ Αὐρηλιανὸς ὁ βασιλεὺς μᾶλλον ἀναγκαῖος ἦν στρατηγὸς ἤπερ αἱρετὸς βασιλεύς." cf. v. Αὐρηλιανός.

αἱρετώτερον προκριτώτερον. οὐκ ἐκ παραλλήλου κεῖται τὸ αἱρετώτερον τοῦ βελτίονος, ἀλλ' ἐπὶ πλεῖον τὸ βέλτιον τοῦ αἱρετωτέρου. τὸ μὲν γὰρ αἱρετώτερον ἐν τοῖς αἱρετοῖς καὶ μόνοις, τὸ δὲ βέλτιον καὶ ἐν ἄλλοις· καὶ γὰρ ἐν θεωρητικοῖς καὶ φυσικοῖς καὶ λογικοῖς ἡ ζήτησις ἡ τοῦ βελτίονος. ὁ γὰρ ζητῶν ποτέρα βελτίων οὐσία, ἡ κινουμένη ἢ ἡ ἀκίνητος, φυσικὸν μεταχειρίζεται πρόβλημα, λογικὸν δὲ ὁ ζητῶν πότερον βέλτιον ἐπαγωγὴ ἢ συλλογισμός, θεωρητικὸν δὲ ὁ ζητῶν πότερον ἡ φρόνησις πρακτικωτέρα ἢ θεωρητικωτέρα.

αἱρεύμενος ἀφαιρούμενος.

αἱρῇ βούλει· "ἐπείπερ αὐτὸς αἱρῇ λέγειν." A Ach. 495.

αἱρησαμένων βουλευσαμένων.

αἱρήσασθαι λαβεῖν.

αἱρήσειν κρατήσειν, συλλαβεῖν, ἑλκύσαι, χειρώσασθαι, πορθῆσαι.

αἱρήσεται λήψῃ.

αἱρήσομαι λήψομαι; σκέψομαι, βουλεύσομαι.

αἱρήσω τάχα. οἱ πειρώμενοι μετελθεῖν τινὰς εἰώθασι τοῦτο λέγειν. καὶ "αἱροῦντες ᾑρήμεθα," ἐπὶ τῶν ἐλπισάντων κρατήσειν τινῶν καὶ ὑπ' ἐκείνων ἁλόντων. αἱροῦντες οὖν ᾑρήμεθα, δοκοῦντες κρατεῖν ἐλήφθημεν.

Αἰρισέων ὄνομα ἔθνους. καὶ Αἰρισεύς.

αἰρόμενος φερόμενος.

αἰρόπινον σκοτεινόν. καὶ τὸ κόσκινον, ἐν ᾧ πυροὶ σήθονται ὑπὲρ τοῦ τὰς αἴρας διελθεῖν.

Ἄιρος (Hom. σ 73) ὄνομα κύριον.

αἱρούμενος βουλόμενος. καὶ δεῖπνον αἱρουμένοις ἀντὶ τοῦ ἑλομένοις δειπνεῖν. καὶ αἱρῇ ἀντὶ τοῦ λαμβάνεις, μετέχεις· "σῖτόν τε αἱρῇ τὸν αὐτὸν ἐκείνοις καὶ πόμα παραπλήσιον."

αἴρω καὶ ἐπαίρω αἰτιατικῇ.

Ἄϊς ὁ μὴ βλεπόμενος.

αἶσα ἡ μοῖρα. ἐν ἐπιγράμμασιν (AP 5 295) "οὐ φθονέω· τὴν σὴν ἤθελον αἶσαν ἔχειν." καὶ αἶσα ἡ μανία· (S. Aj. 256) "τὸν αἶσ' ἄπλαστος ἴσχει," τουτέστι μανία.

αἴσακος ὁ κλάδος τῆς δάφνης, ὃν κατέχοντες ὕμνουν τοὺς θεούς.

Αἴσηπος ὄνομα ποταμοῦ.

αἰσθάνεσθαι. τοῦτο δύο σημαίνει, τὸ κατὰ δύναμιν καὶ κατ' ἐνέργειαν. αἰσθάνεσθαι τοίνυν λέγονται οἱ κοιμώμενοι, δύναμιν ἔχοντες τοῦ αἰσθάνεσθαι.

αἴσθεσθαι καὶ *αἰσθάνεσθαι* διαφέρει. τὸ μὲν γὰρ αἴσθεσθαι ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι, τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑπονοεῖν τι. καὶ περὶ μὲν τοῦ αἴσθεσθαι Ἀντιφῶν ἐν προοιμίοις "ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδικημένος ὑπὸ τούτου νὴ Δία πολλά, ἔτι δὲ καὶ πλείω ὑμᾶς ᾐσθημένος ἠδικημένους καὶ τοὺς ἄλλους πολίτας." τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑποπτεύειν, καὶ οὐκ ἐπὶ τοῦ βεβαίως εἰδέναι. Λυσίας ἐν τῷ πρὸς Ἀρχιβιάδην φησὶν "οἶμαι τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀρχιβιάδης οὐκ ἄλλο τι ἔχει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφισβήτει." ἔταξαν δὲ αὐτὸ καὶ ἐπὶ τοῦ εἰδέναι· Ἰσαῖος "τὰ δὲ τοιούτων δὴ μαρτυριῶν οἱ δικάζοντες τὰ μὲν αὐτοὶ συνειδότες, ὅτι ὑγίαινεν ὁ παῖς, τῶν ἑωρακότων αἰσθανόμενοι μαρτυρούντων, τὰ δὲ ἀκοῇ πυνθανόμενοι."

αἰσθήσεις ε̄. ὅτι τρανεστέρα ἡ ὄψις τῆς ἀκοῆς, καὶ αὐτὴ τῆς ὀσφρήσεως, ἡ δὲ ὄσφρησις τῆς γεύσεως καὶ τῆς ἁφῆς. ἡ μέντοι ἁφὴ δοκεῖ μηδὲ αἴσθησις εἶναι. ἑκάστη γὰρ τῶν ἄλλων αἰσθήσεων περὶ μίαν τινὰ τῶν αἰσθητῶν τὴν ἀντίθεσιν ἐνεργεῖ καὶ τὰ ταύτης μεταξύ, οἷον ὄψις μὲν περὶ τὸ μέλαν καὶ τὸ λευκὸν καὶ τὰ τούτου μεταξὺ χρώματα, ἀκοὴ περὶ τὸν βαρὺν καὶ τὸν ὀξὺν φθόγγον καὶ τοὺς μεταξύ, ὄσφρησις περὶ τὸ εὐῶδες καὶ τὸ δυσῶδες, γεῦσις περὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ τὰ τούτου μεταξύ. ἡ μέντοι ἁφὴ περὶ πλείους ἀντιθέσεις ἔχει, οὐκ οὔσας ὑπαλλήλους· περί τε γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρόν, καὶ τὸ σκληρὸν καὶ τὸ μαλακόν, καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον, καὶ τὸ μανὸν καὶ τὰ πυκνόν, ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται ⟨cf. Philopon. in Aristot. de anima 2, *M* 7b⟩. ὅτι αἱ αἰσθήσεις τῶν μειζόνων αἰσθητῶν ἀντιλαμβανόμεναι οὐκέτι μετ' ἐκείνων τῶν ἡττόνων ἀντιλαμβάνεσθαι δύνανται· ὁ γὰρ πληκτικωτέρων χυμῶν γευσάμενος τῶν ἠρεμαιοτέρων οὐκ ἐπαισθάνεται, καὶ ὁ μεγάλων ψόφων ἀκηκοὼς πρὸς τοὺς ἥττους ἐστὶν ἀνεπαίσθητος, καὶ ὁ πρὸς ἥλιον ἀτενίσας ἀναγνῶναι οὐ δύναται, οὐδὲ τῶν ἄλλων ἀκριβῶς ὁρατῶν ἀντιλαμβάνεσθαι. ὁμοίως καὶ ἐπὶ τῆς ἁφῆς. ὁ δὲ νοῦς τούτοις ἐναντίως ἔχει· ὅσῳ γὰρ τῶν μειζόνων νοητῶν ἀντιλαμβάνεται, τοσοῦτον καὶ ἀκριβέστερός ἐστι πρὸς τὴν ἀντίληψιν τῶν ἡττόνων. καὶ τὰς μὲν αἰσθήσεις ὑπερβολαὶ τῶν αἰσθητῶν φθείρουσιν· ὑπερβολὴ γὰρ φωτὸς ἢ ζόφου ἔφθειρε τὴν ὄψιν, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων· τὸν δὲ νοῦν τῶν μειζόνων νοητῶν ἡ ἀντίληψις ὀξυδερκέστερον ποιεῖ ⟨id. *H* 5a⟩. ὅτι κοινὰ αἰσθητὰ ε̄, κίνησις ἠρεμία ἀριθμὸς σχῆμα μέγεθος. κοινὰ δὲ ταῦτα εἶναι λέγονται οὐχ ὅτι ἓν ἕκαστον αὐτῶν πάσαις ταῖς αἰσθήσεσιν ὑποπίπτει, ἀλλ' ὅτι ἕκαστον πλείοσι καὶ οὐ μιᾷ, τινὰ δὲ καὶ πάσαις ἅμα. τὸ μὲν γὰρ μέγεθος κοινόν ἐστιν αἰσθητὸν ὄψεως καὶ ἁφῆς· ὁρῶμεν γὰρ ὅτι μέγας ἐστὶ τυχὸν ὁ ἄνθρωπος, καὶ ἁπτόμενοι αἰσθανόμεθα ὅτι μέγας ἢ μικρὸς ὁ προσπεσὼν ὄγκος καὶ τὸ διάστημα. ἤδη δὲ καὶ ψόφου λέγομεν ᾐσθῆσθαι μεγάλου ἢ μικροῦ. ἀλλ' ἐνταῦθα κατὰ ἀναλογίαν τὸ μέγεθος εἴληπται, οὐ κυρίως· μέγεθος γὰρ νῦν λέγομεν τὸ συνεχὲς τῶν κοινῶν εἶναι αἰσθητῶν, ὁ μέντοι μέγας ψόφος ποιότητός ἐστιν ἐπιτεταμένης καὶ ἀνειμένης δηλωτικός· διὸ τὸ ἀμυδρὸν ἢ σφοδρὸν κυριώτερον ἐπὶ τῶν ψόφων ἁρμόζει λέγειν. τὸ δὲ σχῆμα κοινὸν ὄψεως καὶ ἁφῆς. σχῆμα δὲ οὐ τὸ τρίγωνον ἢ κύκλος (τοῦτο γὰρ λόγου ἐστὶ τὸ εἰπεῖν, ὅτι σχῆμά ἐστι τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον ἢ ὑπὸ τριῶν ἢ ὅσων δήποτε) ἀλλ' ὅ τι ἁπλῶς περιγέγραπται. πᾶσα δὲ περιγραφὴ κατά τι τῶν σχημάτων γίνεται. καὶ τὰ ἄλογα γοῦν, ὅταν ἐπὶ μικρὸν ὕψος καὶ ἐπανάστημα γῆς ἐμπέσωσιν, ἐπιβαίνουσι διελθεῖν, ἅτε δὴ ἐπιστάμενα ὡς περιγέγραπται τὸ μέγεθος καὶ οἷά τε ἐστὶ διελθεῖν· εἰς δὲ ὑψηλὸν καὶ ἀπόκρημνον ἐμπεσόντα οὐκ ἐπιχειρεῖ παρελθεῖν, συναισθόμενα τοῦ μεγέθους τοῦ σχήματος. ὁ δὲ ἀριθμὸς κοινόν ἐστιν αἰσθητὸν πασῶν· ὁρῶμεν γὰρ ὅτι ε̄ τυχὸν ἄνθρωποι, ἀλλὰ καὶ ψηλαφῶντες τοῦτο αὐτὸ ἴσμεν, καὶ μὴν καὶ ἀκούοντες. id. *I* 8.

αἰσθητήριον καὶ *αἰσθητόν.*

αἴσθομαί σου τὸ αἰσθήσεως ἐπιλαμβάνομαι.

αἰσθόμενοι νοήσαντες· ⟨Dio Cass. 38 34⟩ "οἱ δὲ τὴν προθυμίαν τοῦ Καίσαρος ἰδόντες, καὶ τὰ ἔργα ὁμολογοῦντα ταῖς ἐλπίσιν αἰσθόμενοι."

ἀίσθων ⟨Hom. *Π* 468⟩ ἐκπνέων.

αἴσθων αἰσθανόμενος, καὶ βασανιζόμενος, ἢ ἐκπνέων.

αἴσιμα τὰ προσήκοντα, παρὰ τὴν αἶσαν. ἐνίοτε δὲ τὰ καθήκοντα ἢ τὰ ἀγαθά. ἔσθ' ὅτε δὲ τὰ εἱμαρμένα.

αἰσιμία ἡ μαντεία.

Αἴσιμος ὁ χωλὸς καὶ ἄτιμος καὶ ἀμαθής. Ἀριστοφάνης (Eccl. 207) "σκοπεῖσθ' ἕκαστος ὅ τι τις κερδανεῖ· τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται."

αἴσιον τὸ καλόν, μέτριον, δίκαιον. καὶ *ὑπεραίσιον* τὸ ὑπὲρ τὴν μοῖραν, ὑπὲρ τὸ προσῆκον.

αἴσιος ὁ καθήκων, ἀληθής. Μένανδρος (p. 440 Nieb.) "ἀλλ' οὐκ αἰσίως αὐτοῖς ἐπέπνευσεν ἡ τύχη· οἱ γὰρ ἐθελοκακοῦντες οὐχ ὑπεστάλησαν." καὶ αὖθις "καὶ τοῦτο οὐκ αἴσιον δόξαι ἂν βασιλεῖ."

Αἰσούρ ὄνομα κύριον.

ἀίσσουσιν ὁρμῶσι, φοιτῶσι. Πολύβιος (36 6) "ἐν γὰρ τῇ Ῥώμῃ Μάρκον Πόρκιον ἀκούσαντα τὰς ἀριστείας Σκιπίωνος εἰπεῖν [πάλιν ἄλλον πρὸς ἐκεῖνον τί ἀκήκοας;] οἷος πέπνυται, τοὶ δὲ σκιαὶ ἀίσσουσιν."

ἀιστί ἀφανῶς.

ἄιστος ἀνιστόρητος, ἀφανής.

ἀιστωθείη ἀφανισθείη.

αἴστωρ ὁ ἁγνός.

ἀίστωρ ἄπειρος, ἀμαθής.

ἀιστῶσαι ἀφανίσαι.

Αἰσυήταο (Hom. *B* 793, *N* 427) τοῦ Αἰσυήτου.

αἰσυητῆρι (Hom. *Ω* 347) χοιροβοσκῷ.

αἴσυλα παράνομα, ἄδικα. ἐν μύθοις "αἰπεινὴν ἐλάτην ἔρις ὤροεν αἴσυλα φάσθαι."

Αἰσύμη (Hom. *Θ* 304) πόλις. καὶ *Αἰσύμνη* πόλις.

αἰσυμνῆται (Hom. *ϑ* 258) οἱ ἀγωνοθέται οἱ τοῦ ἀγῶνος προεστῶτες. ἢ οἱ νεανίαι. ἢ οἱ νεμηταί, ὅ ἐστι βραβευταί.

αἰσυμνητήρ ὁ βασιλεύς.

αἰσυμνῆτις ἡ δέσποινα.

Αἴσυμνος (Hom. *Λ* 303) ὄνομα κύριον.

αἰσύφηλος ὁ δειλός.

Αἰσχίνης Ἀθηναῖος ῥήτωρ, υἱὸς Ἀτρομήτου καὶ Γλαυκοθέας, μαθητὴς δὲ κατὰ τὴν ῥητορικὴν Ἀλκιδάμαντος τοῦ Ἐλαΐτου. τινὲς δὲ καὶ δούλους τοὺς γονεῖς αὐτοῦ γεγραφήκασιν. οὗτος ἐπειδὴ συναίρων ἐν δίκῃ τινὶ διέφθειρε τοὺς δικαστάς, ἐμβληθεὶς ἅμα αὐτοῖς ἐν τῷ δεσμωτηρίῳ καὶ κώνειον πιὼν ἀπέθανε, καὶ τὰ πράγματα αὐτῶν ὡς ἀτέκνων ἐδημοσιώθη. ᾤκησε μέντοι ἐν Ῥόδῳ καὶ ἐπαίδευσεν, ἡσσηθεὶς ὑπὸ Δημοσθένους τὸν περὶ τοῦ στεφάνου ἀγῶνα. πρῶτος δὲ πάντων τὸ θείως λέγειν ἤκουσε διὰ τὸ σχεδιάζειν ὡς ἐνθουσιῶν. cf. Philostrat. Aesch. p. 509.

Αἰσχίνης Ἀθηναῖος, Ἀτρομήτου γραμματοδιδασκάλου καὶ Λευκοθέας τῆς τελεστρίας, αὐτὸς ὑποκριτής, εἶτα γραμματεύς, εἶτα ῥήτωρ, προδότης ὁ Κερσοβλέπτην καὶ Φωκέας προδούς. γραψάμενος δὲ παρανόμων Κτησιφῶντα, στεφανῶν γράψαντα Δημοσθένην, ἡττήθη καὶ ἔφυγεν εἰς Ῥόδον καὶ ἐπαίδευσεν ἐκεῖ.

Αἰσχίνης ὁ τοῦ Λυσανίου. οὗτος παρὰ Διονύσιον εἰς Σικελίαν ὑπὲρ χρημάτων ᾤχετο. Πλάτων δὲ τρὶς ἀναμετρῆσαι λέγεται τὴν Χάρυβδιν ὑπὲρ πλούτου Σικελικοῦ. Ἀρίστιππος δὲ ὁ Κυρηναῖος καὶ Ἑλίκων ἐκ Κυζίκου καὶ Φοίτων, ὅτε ἔφευγε Ῥήγιον, οὕτω τι ἐς τοὺς Διονυσίου κατέδυσαν θησαυροὺς ὡς μόγις ἀνασχεῖν ἐκεῖθεν. καὶ μὴν καὶ τὸν Κνίδιόν φασιν Εὔδοξον ἐς Αἴγυπτόν ποτε ἀφικόμενον ὑπὲρ χρημάτων τε ὁμολογεῖν ἥκειν καὶ διαλέγεσθαι τῷ βασιλεῖ ὑπὲρ τούτου. καὶ ἵνα μὴ πλείους διαβάλω, Σπεύσιππον τὸν Ἀθηναῖον οὕτω τι ἐρασιχρήματον γενέσθαι φασὶν ὡς ἐπὶ τὸν Κασάνδρου γάμον ἐς Μακεδονίαν κωμάσαι, ποιήματα ψυχρὰ ξυνθέντα, καὶ δημοσίᾳ ταῦθ' ὑπὲρ χρημάτων ᾆσαι. Philostrat. V. A. 1 35.

Αἰσχίνης Χαρίνου ἀλλαντοποιοῦ, φιλόσοφος Σωκρατικός. τινὲς δὲ Λυσανίου παῖδά φασιν, Ἀθηναῖον Σφήττιον. διάλογοι δὲ αὐτοῦ Μιλτιάδης Καλλίας Ῥίνων Ἀσπασία Ἀξίοχος Τηλαύγης Ἀλκιβιάδης, καὶ οἱ καλούμενοι ἀκέφαλοι, Φαίδων Πολύαινος Δράκων Ἐρυξίας, περὶ ἀρετῆς, Ἐρασίστρατος, Σκυθικοί.

αἰσχίους ἄνδρας ἀμόρφους (A Eccl. 621).

αἰσχίω χείρω.

αἶσχος ἀτιμία.

αἰσχρὰ γυνή ἄμορφος. καὶ *αἰσχρόν* ἐπὶ κακοῦ· "ταῦτα αἰσχρὰ μὲν οἱ ἀμφ' αὐτὸν ἐγίνωσκον, καὶ τὴν ἀποχώρησιν οὔτε ἐν τῷ παραυτίκα εὐπρεπῆ οὔτε ἀσφαλῆ ἐς τὰ μέλλοντα."

Αἰσχρίων Μιτυληναῖος ἐποποιός, ὃς συνεξεδήμει Ἀλεξάνδρῳ τῷ Φιλίππου, ἦν δὲ Ἀριστοτέλους γνώριμος καὶ ἐρώμενος, ὡς Νίκανδρος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν Ἀριστοτέλους μαθητῶν.

αἰσχροκερδής καὶ θηλυκῶς *αἰσχροκέρδεια.*

αἰσχρόν. Σοφοκλῆς (Ai. 473) "αἰσχρὸν γάρ ἐστι τοῦ μακροῦ χρῄζειν βίου, κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται." τουτέστιν ὅστις ἀεὶ ἐν κακοῖς ἐξετάζεται.

αἰσχροῦ εἴδη δ', ἄδικον δειλὸν ἄκοσμον ἄμορφον.

Αἰσχύλος Ἀθηναῖος τραγικός, υἱὸς μὲν Εὐφορίωνος, ἀδελφὸς δὲ Ἀμεινίου Εὐφορίωνος καὶ Κυναιγείρου τῶν εἰς Μαραθῶνα ἀριστευσάντων ἅμα αὐτῷ. ἔσχε δὲ καὶ υἱοὺς τραγικοὺς δύο, Εὐφορίωνα καὶ Βίωνα. ἠγωνίζετο δὲ αὐτὸς ἐν τῇ θ' ὀλυμπιάδι, ἐτῶν ὢν κέ. οὗτος πρῶτος εὗρε προσωπεῖα δεινὰ καὶ χρώμασι κεχρισμένα ἔχειν τοὺς τραγικούς, καὶ ταῖς ἀρβύλαις τοῖς καλουμένοις ἐμβάταις κεχρῆσθαι. ἔγραψε δὲ καὶ ἐλεγεῖα καὶ τραγῳδίας ς, νίκας δὲ εἷλεν κή. φυγὼν δὲ εἰς Σικελίαν διὰ τὸ πεσεῖν τὰ ἰκρία ἐπιδεικνυμένου αὐτοῦ, χελώνης ἐπιρριφείσης αὐτῷ ὑπὸ ἀετοῦ φέροντος κατὰ τῆς κεφαλῆς ἀπώλετο, ἐτῶν νή γενόμενος.

αἰσχύνει αἰκίζεται, λυμαίνεται, αἶσχος περιτίθησιν.

αἰσχύνη πόλεως πολίτου ἁμαρτία.

αἰσχύνομαι ταῖς προτέραις ἁμαρτίαις. A Eq. 1360.

αἰσχυνόμενος περιπλέκει τὴν συμφοράν, ἐν συνουσίᾳ.

Αἰσώπειον αἷμα, ἐπὶ τῶν ἀδίκως ἀναιρουμένων· οὐ γὰρ ἐνδίκως ἀπέκτειναν τὸν Αἴσωπον οἱ Δελφοί. Αἰσώπειον οὖν αἷμα ἐπὶ τῶν δυσαπορρύπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων· Δελφοῖς γὰρ συνέβη τὸ δαιμόνιον ὀργισθῆναι ἀδίκως ἀνελοῦσιν Αἴσωπον.

Αἴσωπος Μιθριδάτου ἀναγνώστης ἔγραψε περὶ Ἑλένης, ἐν ᾧ φησὶ Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη, ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται· ποιεῖ δὲ πρὸς φίλτρα. ἔγραψε καὶ Μιθριδάτου ἐγκώμιον.

Αἴσωπος Σάμιος ἢ Σαρδιανός· Εὐγείτων δὲ Μεσημβριανὸν εἶπεν, ἄλλοι Κοτυαέα Φρύγα. ἐγένετο δὲ λογοποιός, ὅ ἐστιν εὑρετὴς λόγων καὶ ἀποκριμάτων. διέτριψε δὲ παρὰ Κροίσῳ φιλούμενος, τοῖς χρόνοις πρὸ Πυθαγόρου, ὃς μεσοῦν ἐπὶ τῆς μ' ὀλυμπιάδος. ἔγραψε τὰ ἐν Δελφοῖς αὐτῷ συμβάντα ἐν βιβλίοις β'. μᾶλλον δέ τινές φασι τὸν Αἴσωπον ἀποκρίματα γεγραφέναι μόνον· ἐν γὰρ Δελφοῖς ἀδίκως ἀπολέσθαι, ὑπ' αὐτῶν κατακρημνισθέντα ἀπὸ τῶν Φαιδριάδων καλουμένων πετρῶν, κατὰ τὴν νδ' ὀλυμπιάδα. οἰκέτην δὲ γενέσθαι Ξάνθου τοῦ Λυδοῦ, ἄλλοι ἀνδρός τινος Σαμίου Ἰάδμονος, οὗ τινὸς καὶ ἡ Ῥοδῶπις δούλη ἦν, ἣν ἑταίραν γενομένην, Θρᾷσσαν τὸ γένος, Χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἔλαβε γυναῖκα, καὶ ἐξ αὐτῆς γεννᾷ...

Αἴσωπος ὁ τῶν μύθων ποιητής, Σάμιος, δοῦλος οὐ τὴν τύχην μᾶλλον ἢ τὴν προαίρεσιν, οὐκ ἄφρων μὲν οὐδὲ κατ' αὐτὸ τοῦτο ἀνήρ. ᾧ γὰρ ὁ νόμος οὐ μετεδίδου παρρησίας, τούτῳ προσῆκον ἦν ἐσκιαγραφημένας τὰς συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ χάριτι παραφέρειν, ὥσπερ καὶ τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι τὸ δέον ἐπιτάττουσι, ἐὰν δέ τις οἰκέτης γένηται τὴν τύχην καὶ τὴν τέχνην ἰατρός, πράγματα ἔχει κολακεύειν ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος (Iulian. or. 7 p. 207). ὅτι Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας, θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων. κἄπειτ' ἐκεῖνος εἶπεν "ὦ κύον κύον, εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκεῖς" (A Vesp. 1392).

αἴτημα ἡ ἐπιθυμία. Δαβίδ (Ps. 105 15) "καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν."

αἰτήσασθαι τὸ χρήσασθαι. Μένανδρος Τίτθῃ "ἣν ἄν τις ὑμῶν παιδίον ᾐτήσατ' ἢ κέχρηκεν, ἄνδρες γλυκύτατοι." καὶ ἐν Ὕμνιδι "οὐ πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπάδ' αἰτούμενος."

αἴτης ὁ ὁρμητικός.

αἰτήσιος ὁ αἰτῶν.

αἴτησις. παρὰ Ἀριστοτέλει αἴτησίς ἐστι τοῦ ἐναντίου ἡ ἐν λόγοις παραγωγή, τὸ λαμβάνειν τι παρὰ τοῦ ἀποκρινομένου, καὶ μετὰ ταῦτα πειρᾶσθαι τὸ ἀντικείμενον αὐτῷ παρ' αὐτοῦ λαμβάνειν, καὶ διὰ τούτου τοῦ τρόπου δεῖξαι τὴν ἐναντιολογίαν τῶν ἀποκρίσεων.

αἰτηταί οἱ παρά τινός τι αἰτοῦντες. "οἱ δὲ Ῥόδιοι τῷ Περσεῖ οὐκ αἰτηταὶ τῆς εἰρήνης μᾶλλον ἢ δόται ὄντες ὑπερήφανα τοῖς Ῥωμαίοις διελέχθησαν" Dio Cass. fr. 66 2.

αἰτία ἡ χορδή.

αἰτία. καὶ Παναιτία.

αἰτίζων ποιητικῶς· (Hom. ρ 222) "αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας."

αἴτιον. ὅτι τετραχῶς τὰ αἴτια, ὡς ὕλη, ὡς εἶδος, ὡς τέλος, ὡς ποιητικόν. καὶ τῶν

αἰτίων τὰ μὲν προκαταρκτικά, τὰ δὲ συνεργὰ ἢ συναίτια, τὰ δὲ τελικά.

αἰτιῶδες ψεῦδος ἤτοι ὃ ἀπὸ ψεύδους ἄρχεται, ἢ μὴ εἰς ἀκόλουθον λήγει, ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀνακόλουθον. οἷον, διότι νὺξ ἐστι, Δίων περιπατεῖ ⟨Diog. L. 7 74⟩. σύνταξις "οἱ δὲ πεφευγότες ἦσαν ἀπὸ τῆς Μυσίας αἰτίαις τοιαῖσδε."

αἰτιῶμαι δοτικῇ· "τί ἡμῖν αἰτιᾷ ὡς αἰτίοις;" αἰτιατικῇ δέ "εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις."

Αἰτναία πῶλος ἡ μεγάλη· ⟨S. OC 312⟩ "Αἰτναίας ἐπὶ πώλου βεβῶσαν."

Αἰτναῖον πῦρ τὸ Σικελικόν, ἐκ τοῦ ὄρους τοῦ λεγομένου Αἴτνη. καὶ αἰτνίζοντος.

Αἰτναῖος κάνθαρος ⟨A Pac. 72⟩ ὁ μέγας, διότι καὶ τὸ ὄρος μέγα. "Ἀρισταῖον μόνον τὸν γίγαντά περισωθῆναί φασι, καὶ οὔτε πῦρ οὐράνιον ἐπ' αὐτὸν ἦλθεν οὔτε Αἴτνη πιέζει αὐτόν."

Αἴτνη ὄρος Σικελίας.

Ἄιτος ὄνομα κύριον.

αἰτούμενος κιχράμενος. Μένανδρος Ὑμνίδι "οὐ πῦρ γὰρ αἰτῶν, ἀλλὰ λοπάδ' αἰτούμενος." τὸ μὲν αἰτῶν εἰσαεὶ ἕξων, τὸ δὲ αἰτούμενος λαβὼν αὖθις ἀποδώσων.

αἰτῶ αἰτιατικῇ. αἰτοῦμαι.

Αἰτωλία χώρα. Αἰτώλιος. Αἰτωλός ὁ ἀπὸ Αἰτωλίας.

αἰ Φηρητιάδαο ⟨Hom. Ψ 376⟩ πατρωνυμικόν.

αἴφνης ἐξαίφνης.

αἰφνίδιον αἰφνιδίως.

αἱ χάριτες γυμναί, ὅτι δεῖ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι, ἢ ὅτι οἱ ἀχάριστοι τὸν ἑαυτῶν κόσμον περιῄρηνται.

ἀιχθήτην ⟨Hom. Ω 97⟩ ὡρμήθησαν.

αἰχμαλωτίζω καὶ αἰχμαλωτεύω αἰτιατικῇ.

αἰχμάλωτος.

αἰχμάσσουσι ⟨Hom. Δ 324⟩ δορατομαχήσουσιν.

αἰχμή ἡ ἐπιδορατίς, ὁ σίδηρος τοῦ δόρατος.

αἰχμητής πολεμικός.

αἶψα θᾶττον· "λάζεο, τιμήεσσα Κυθηριάς, ὑμνοπόλοιο αἶψα τάδε κλειτοῦ δῶρα Λεωνίδεω" ἐν ἐπιγράμμασι ⟨AP 6 190⟩.

αἶψα ἀντὶ τοῦ ταχέως. καὶ Ὅμηρος ⟨τ 360⟩ "αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν."

αἰψηρήν ἀντὶ τοῦ αἰψηρῶς, ταχέως· ⟨Hom. β 257⟩ "λῦσαν δ' ἀγορὴν αἰψηρήν," οὐκ ἐπὶ τῆς ἀγορᾶς. καὶ αἰψηρός ὁ ταχύς, ἀπὸ τοῦ ψαίρειν, ὃ σημαίνει τὸ ταχύνειν.

ἀΐω ἀκούω.

αἰών ὁ νωτιαῖος μυελός, ἢ χρόνος ἀΐδιος. σημαίνει δὲ ἐ. αἰὼν καὶ ὁ παρὼν βίος· Δαβίδ ⟨Ps. 89 8⟩ "ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου."

αἰῶνα ζωήν, βίον· Σοφοκλῆς ⟨Trach. 2⟩ "ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις βροτῶν, πρὶν ἂν θάνῃ τις, οὔτ' εἰ χρηστὸς οὔτ' εἴ τῳ κακός. ἐγὼ δὲ τὸν ἐμὸν καὶ πρὶν εἰς Ἅδου μολεῖν ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρύν."

αἰωνάριος ὁ ἰανουάριος μήν. οὕτως Λογγῖνος αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα. cf. v. ἰανουάριος.

αἰωνίζει διὰ παντὸς μένει.

αἰώρα ἀγχόνη, ὕψωσις, ἔπαρσις. ⟨Babrius 19⟩ "ὡς δ' οὐκ ἐφικνεῖτ', ἀλλ' ἔκαμνε πηδῶσα, οὐδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρας, παρῆλθεν οὕτω βουκολοῦσα τὴν λύπην."

αἰωρηθέντες ⟨Herodot. 6 116⟩ ἀντὶ τοῦ μετεωρισθέντες.

αἰώρημα.

αἰωρήσεις κρεμάσεις.

αἰωροῦνται κρέμανται. "εἰς ὃν τὰ τῶν Καρχηδονίων αἰωρεῖται πράγματα."

Ἀκαδήμεια. γυμνάσιον ἦν ἐν Ἀθήναις, προάστειον ἀλσῶδες, ἐν ᾧ διέτριβε Πλάτων, ἀπὸ Ἑκαδήμου τινὸς ἥρωος ὀνομασθέν. πρότερον δὲ διὰ τοῦ ε Ἑκαδήμεια ἐκαλεῖτο. Ἀριστοφάνης Νεφέλαις ⟨1005⟩ "ἀλλ' εἰς Ἑκαδήμειαν κατιὼν ὑπὸ ταῖς μορίαις ἀποθρέξεις, στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρονος ἡλικιώτου, μίλακος ὄζων καὶ ἀπραγμοσύνης καὶ λεύκης φυλλοβολούσης, ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ."

Ἀκαδήμεια. τρία ὑπῆρχον γυμνάσια, Λύκειον Κυνόσαργες Ἀκαδήμεια. ἐκλήθη δὲ ἀπὸ τοῦ καθιερώσαντος αὐτὴν Ἀκαδήμου. καὶ οὐδετέρως Ἀκαδήμειον. λέγεται δὲ Ἀκαδήμεια ἡ τῶν φιλοσόφων διατριβή.

ἀκαθαίρετος ἀκατάβλητος· "πύργος ἀκαθαίρετος."

ἀκάθαρτος ἁμαρτητικός· ἀκάθαρτος

γὰρ τὴν ψυχὴν ὅ γε κακός, καθαρὸς δὲ ὁ ἐναντίος.

ἀκάθεκτος ἀκατάσχετος· "ἦν γὰρ ἀκάθεκτος ὁρμὴ περὶ αὐτὸν διὰ τὰς τῶν Περσῶν ἐπάρσεις."

ἀκαθοσίωτον ἄνομον, ἄκοσμον, ἀπόβλητον.

ἀκαίη ῥάβδος θαλαττία ⟨an Θεσσαλική⟩.

ἄκαινα μέτρον δεκάπουν. ἔστι δὲ ῥάβδος δι' ἧς κεντοῦσι τοὺς βόας, ὡς τῶν Πελασγῶν τοῦτο εὑρόντων. cf. sch. Apollon. Rh. 3 1323.

ἄκαιρος ὁ μὴ ἔχων καιρόν. καί "ἄκαιρος εὔνοια οὐδὲν ἔχθρας διαφέρει." Ἱππόλυτόν φασι ταύτην εἰπεῖν πρὸς Φαίδραν φάσκουσαν φιλεῖν τε καὶ στέργειν αὐτόν.

Ἀκακήσιον ὄνομα ὄρους.

ἀκάκητα ὁ Ἑρμῆς.

ἀκακία ἡ ἀγαθωσύνη. καὶ ἡ ἰατρικὴ βοτάνη.

a **Ἀκάκιος** ὁ πατριάρχης Κωνσταντινουπόλεως αἰδέσιμος ἦν ὡς οὐκ ἄλλος τις· ὀρφανοτρόφος γὰρ γεγονὼς καὶ καλῶς τὰ τῶν ὀρφανῶν διοικῶν πᾶσιν ἐφαίνετο καθ' ἡδονήν. καὶ δὴ καὶ τῷ βασιλεῖ Λέοντι συνήθης γεγονὼς ὑπερφυῶς ἤρεσκε, καὶ τούτῳ πρώτῳ ἀεὶ πάντα ἀνεκοινοῦτο τά τε κοινὰ καὶ τὰ ἴδια, καὶ ὅτε τὴν βουλὴν ἤθροιζε, συνεκάλει καὶ τοῦτον, καὶ τῆς σκέψεως ἀρχὴν ἐξ αὐτοῦ πάσης ἐτίθετο. ὃς Ἀκάκιος τὴν τοῦ Λέοντος τοῦ Μακέλλη ὠμότητα συνιδὼν πρὸς τούς τι λυπήσαντας, καὶ τὸ ἦθος ἀκριβῶς τὸ ἐκείνου φωράσας, ὅτι τοῖς ἐπαινοῦσι μόνον ὑπάρχει εὐάλωτον, ἐπετήδευε πάντα τὰ ἐκείνου θαυμάζειν. τοιγαροῦν πειθήνιον αὐτὸν εἶχεν ἑτοίμως, τόν τε θυμὸν αὐτοῦ ῥᾳδίως κατέστελλεν, καὶ πολλοῖς προσκεκρουκόσι τὴν σωτηρίαν ἐπραγματεύετο, καὶ τοὺς ἐξορίαν ἀίδιον ἔχοντας ἀνεκαλεῖτο πρὸς τὴν πατρίδα. οὗτος μετὰ θάνατον Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως σπουδῇ Ζήνωνος ἱερᾶσθαι προεβλήθη· ὃς ὢν ἀρχικὸς καὶ πάσας τὰς ἐκκλησίας ὑφ' ἑαυτὸν ποιήσας πεφροντισμένως τῶν ἐν αὐταῖς κεκληρωμένων ἐποιεῖτο τὴν κηδεμονίαν, οἱ εὐχαριστοῦντες ἐν γραφαῖς ἀνέθηκαν αὐτὸν κατὰ τοὺς εὐκτηρίους οἴκους. ἐπείπερ οὖν ἀθρόον ἐν πάσαις ταῖς ἐκκλησίαις ἐδείχθησαν αὐτοῦ εἰκόνες, ᾠήθησάν τινες κενοδοξοῦντα τὴν ἀνάθεσιν προστεταχέναι, οὐ μικρὰν ἔχοντες τῆς ὑπονοίας πίστωσιν τὴν ἐκ ψηφίδων γραφὴν δημιουργηθεῖσαν ἐν τῇ πρὸς τῷ νεωρίῳ ἐκκλησίᾳ. τοῦ γὰρ ἔργου παντὸς ἐπὶ Γενναδίου τελεσθέντος, εἰς τὸν ἐπιφανῆ τόπον ἐξετύπωσαν αὐτὸν τοῦ νεώ, καὶ μεταξὺ τοῦδε τὸν σωτῆρα λέγοντα τῷ Γενναδίῳ 'λῦσον τὸν ναὸν τοῦτον, καὶ ἐπὶ τοῦ μετὰ σὲ ἐγερῶ αὐτόν.' ἐκ τῶν τοιούτων οὖν εἰκόνων Ἀκάκιος, εἰ καὶ εὐμετάδοτος ἦν καὶ προστατικός, ἀλλὰ δοξομανὴς ἔδοξεν ὑπάρχειν.

Ἀκάκιος ῥήτωρ δεινότατος ἐπὶ Ἰου- b
λιανοῦ καὶ Λιβανίου τοῦ σοφιστοῦ, ὃς ἐπεκάλει τὸν Ἰουλιανὸν καὶ διεμέμφετο τὰς κρίσεις αὐτοῦ σὺν Τουσκιανῷ τῷ ἐκ Φρυγίας, καὶ αὐτῷ ῥήτορι ὄντι δεινῷ.

ἀκαλανθίς εἶδος ὀρνέυ. ἢ ὁ κύων, παρὰ τὸ αἰκάλλειν ἴσως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους. sch. A Av. 873, Pac. 1078.

ἀκαλαρρείτης ὁ ἡσύχως ῥέων ποταμός· ⟨Hom. τ 434⟩ "ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο."

ἀκαλήφη ἡ ἄκανθα, ἡ κνίδη· "παυσάμενον τῆς δυσκολίας ἀπὸ τῆς ὀργῆς τὴν ἀκαλήφην ἀφελέσθαι" ⟨A Vesp. 916⟩. ἀκαλήφη ἡ κνίδη, καὶ ἡ χερσαία καὶ ἡ θαλαττία, ἥτις ἐστὶ κογχυλίδιόν τι. Ἀριστοφάνης Φοινίσσαις "εἰκὸς δή που πρῶτον ἁπάντων ἴφυα φῦναι καὶ τὰς κραναὰς ἀκαλήφας." Φερεκράτης Αὐτομόλοις "νὴ τὴν Δήμητρ' ἀνιαρόν γ' ἦν τὸ κακῶς ᾄδοντος ἀκούειν· βουλοίμην γὰρ κἂν ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι." τὰς δὲ θαλαττίας καὶ Ἀριστοτέλης ἀκαλήφας φησὶν ἐν τῷ α' περὶ ζῴων καὶ Θεόφραστος ἐν ζ' φυτικῶν.

ἀκαλλιέρητον θῦμα ἀκόσμητον.

ἀκαλός ἥσυχος, ἀπὸ τοῦ ἦκα τὸ ἠρέμα καὶ ἡσύχως, ὅθεν παράγωγον ἤκαλος ὡς πέμπω πέμπελος, καὶ κατὰ συστολὴν ἄκαλος.

ἀκάμαντα ἀκαταπόνητον· ⟨AP 6 168⟩ "βοτρύινων ἀκάμαντα φυτῶν λωβήτορα κάπρον."

Ἀκαμαντίς. καὶ **Ἀκάμας**. μία τῶν ι' φυλῶν, ἀπὸ Ἀκάμαντος τοῦ Θησέως. Harp.

ἀκάματα ἀντὶ τοῦ ἀκαμάτως καὶ ἀδιαλείπτως. ἢ οὐ κεκμηκότως. Σοφοκλῆς ⟨El. 164⟩ "ὃν ἔγωγ' ἀκάματα προσμένουσ' ἄτεκνος τάλαινα."

Ἀκαμάτιος Ἡλιουπολίτης, ἐπιεικέστερος τῶν ἄλλων πολιτῶν, οὕτω δὲ ἰδιωτικῶς εἶχεν ὥστε οὐδὲν προμαθὼν οὐδὲ ἐπιμαθὼν

τῶν ἐς λόγους ἡκόντων οἵους δή τινας ἠξίου καλεῖσθαι φιλόσοφος, καὶ τῷ ὀνόματι τούτῳ πρὸς ἅπαντας ἑαυτὸν κατεμήνυε. καὶ οὐδὲ τῶν Ἡλιουπολιτῶν ἄλλος οὐδεὶς αὐτὸν ἐπωνόμαζεν ἢ τὸν φιλόσοφον. τοῦτο μὲν τοίνυν ὄνειδος ἔστω τῆς ἀνθρωπίνης ἀπαιδευσίας· παραγεγονότων δὲ ἡμῶν εἰς Ἡλιούπολιν ἀπέσβη τοῦτο σχεδὸν τὸ πλάσμα τῆς Ἀκαματίου φιλοσοφίας. ἠβούλετο δέ τις εἶναι καὶ τῶν ἱεροσκόπων· τοῦτο μέντοι συγγνώμης ἄξιον, ὅτι καὶ ὁπωσοῦν ἠδύνατο τοιαῦτα περιλαβεῖν, ἄλλως τε καὶ πρὸς ἰδιώτας. Damasc.?

ἀκάματον πῦρ σφοδρόν· Ὅμηρος (Ε 4) "δαῖέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ."

ἀκαμπίας ὁ εὐθύδρομος. καὶ ἀκάμπιος δρόμος ὁ μακρὸς καὶ δι' εὐθείας περίπατος.

ἄκανθα τὸ φυτόν, καὶ ἡ ῥάχις τοῦ κήτους· "τὸ δὲ θηρίον ὁρμῇ βιαίᾳ προσπεσὸν διακόπτει τῇ ἀκάνθῃ τοὺς δεσμούς." καὶ ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων παροιμία "Ἀκάνθιος τέττιξ."

ἄκανθα ἡ ἁμαρτία. Δαβίδ (Ps. 32 4) "ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν," ὡς ἄχρηστον βλάστημα καὶ ὡς κεντεῖν πεφυκός.

ἀκανθίας οὐχ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον τέττιγος ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις, ὥσπερ καὶ ὁ ἀχέτας οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον ἀπὸ τοῦ ἠχεῖν.

ἀκαπήλευτον ἄδολον, καθαρόν, ἀρᾳδιούργητον.

ἄκαρ ἀντὶ τοῦ μικρὸν ἢ οὐδέν. οὕτως Ἀντιφῶν.

ἀκαρές βραχύ, ὀξύ, ὃ οὐχ οἷόν τε κεῖραι. Ἀριστοφάνης (Vesp. 719) "οὐκ οἶδ' ὅπῃ ἐγκεκύκλησαι, ὃς πολλῶν ἄρχων οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις ἀκαρές. καὶ τοῦτ' ἐρίῳ σοι ἐνστάζουσιν κατὰ μικρὸν ἀεί, τοῦ ζῆν ἕνεχ', ὥσπερ ἔλαιον· βούλονται γάρ σε πένητ' εἶναι."

ἀκαρῆ ἀκαρῶς, ἐν βραχείᾳ ὥρᾳ, ἐν ἀτόμῳ, ἐπίρρημα. ἐν ἀκαρεῖ δὲ Ἀριστοφάνης Πλούτῳ (244) "γυμνὸς θύραζ' ἐξέπεσον ἐν ἀκαρεῖ χρόνῳ" ἤτοι ἐλαχίστῳ, ὃν οὐχ οἷόν τε διακεῖραι καὶ κόψαι διὰ τὸ βραχὺ τοῦ χρόνου. πεποίηται δὲ ἀπὸ τῶν μικρῶν τριχῶν τῶν διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. ἔστι δὲ ἐπίρρημα τὸ ἀκαρῶς, ἀφ' οὗ τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα.

ἀκαριαῖον μικρόν, βραχύ, ῥοπή. καὶ ἀκαριαῖος ὁ βραχὺς καιρός. ἀκαριαῖον τὸ μὴ δυνάμενον καρῆναι, ἢ τὸ οἷον ἀκέφαλον διὰ σμικρότητα, ἢ ἀδιάστατον κατὰ μέγεθος καὶ οὐδ' ἀρχὴν ἔχον, ὅτι κάρη ἡ κεφαλὴ κατὰ γλῶσσάν τινα, ὅθεν καὶ κέρατα. καρί δὲ τῷ ἐκ Καρίας.

ἀκαριαῖος ὁ βραχύτατος· "ἀκαριαῖος ὁ ἀνθρώπινος βίος, καὶ μετ' ὀλίγον πάντες ἐξετάθημεν" (M. Anton. 11 18).

Ἀκαρνᾶνα· "ἐγὼ δὲ ἄγαμαι τοὺς ἄνδρας, τὸν δὲ Ἀκαρνᾶνα μέγιστον καὶ πρὸ τούτων" (cf. v. ἄγαμαι). καὶ Ἀκαρνᾶνες· ζήτει ἐν τῷ ἀπαλγοῦντες.

ἀκαρπότερος ἀγρίππου, ἐπὶ τῶν πάνυ πενομένων· Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἄγριππον καλοῦσιν.

ἀκαρπότερος Ἀδώνιδος κήπου, ἐπὶ τῶν μηδὲν γενναῖον τεκεῖν δυναμένων. λέγονται δὲ τὰ εἰς τὰ ὄστρακα φυτευόμενα.

Ἄκας ποιητὴς τραγῳδίας. cf. v. Σάκας.

Ἄκαστος. "ὁ δὲ Ἄκαστος λόγον - - - κατέστη." ζήτει ἐν τῷ Ἀταλάντη.

ἀκατάβλητον ἀήττητον, παρὰ τὸ μὴ καταβάλλειν. τουτέστι τὸν μηδενὶ καταβαλλόμενον. Ἀριστοφάνης Νεφέλαις (1229) "οὐ γάρ πω τότ' ἐξηπίστατο Φειδιππίδης μοι τὸν ἀκατάβλητον λόγον."

Ἀκαταῖος ἵππος ὠνομασμένος.

ἀκαταιτίατος ὁ ἀναίτιος.

ἀκαταλήκτως ἀκαταπαύστως.

ἀκαταλλήλως ἀναρμοδίως.

ἀκαταμάχητος ἀκαταπόνητος.

Ἀκάτειρα ὄνομα πόλεως.

ἀκατεύναστος ἀκοίμητος.

ἀκάτιον εἶδος πλοίου ἁλιευτικοῦ.

Ἀκατίροι ἐθνικόν. "ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες κατὰ ζήτησιν πρὸς τοῖς Ἀκατίροις Οὔννοις ἐγένοντο." cf. v. Ἄβαρις.

ἀκατονόμαστος ὁ μὴ ὠνομασμένος.

ἀκαχείατο (Hom. Μ 179) ἐλυποῦντο, καὶ ἀκαχίζεο (Ζ 486) λυποῦ.

ἀκαχημένη λυπουμένη, καὶ ἀκαχήμενον οὐδέτερον.

Ἄκαψις ὄνομα πόλεως.

ἀκεανός εἶδος ὀσπρίου.

ἀκειόμενος θεραπευόμενος.

ἀκειρεκόμης ὁ τὴν κόμην μὴ κειρόμενος.

ἀκεῖσθαι θεραπεύειν.

Ἀκελιμᾶς (an Ἀκέλης ὄνομα ποταμοῦ).

ἀκενόσπουδον. "παρὰ Διογνήτου ἔμαθον τὸ ἀκενόσπουδον καὶ τὸ ἀπιστητικόν" φησὶ Μάρκος ὁ φιλόσοφος βασιλεύς ⟨1 6⟩.

ἀκέραιον ἄκακον, ὁλόκληρον, καθαρόν. σημαίνει δὲ καὶ τὸ ἔξω κήρας, κατὰ τροπὴν τοῦ η εἰς ε.

ἀκέραιον συνειδός τὸ καθαρὸν καὶ εἰλικρινές. Δαμάσκιός φησιν "οὐδὲν γὰρ εἶναι κτῆμα τῶν ἀνθρωπείων ἀκεραίου συνειδότος ἀντάξιον. δεῖ δὲ τὸν εὐσχήμονα τρόπον συνδιαιτᾶσθαι τοῖς πέλας. εἰ καὶ ἐναντίον εἴη τῷ φαινομένῳ τὸ ἀληθινὸν ἀγαθόν, μηδέποτε ἐκεῖνο τούτου ἐπίπροσθεν ἄγειν, μηδὲ ἄλλο ὁτιοῦν περὶ πλείονος ποιεῖσθαι τῆς ἀληθείας, μήτε κίνδυνον ἀγῶνος ἐπιφερομένου μήτε ὄκνῳ ἀποστρεφόμενον ἔργον ἐπίπονον, μηδὲ κέρδος ἐπαίνου ἀδίκου, μηδὲ συνήθειαν φιλίας, μηδὲ συγγενείας τινὸς ἀνάγκην."

ἀκέραιος ὁ ὁλόκληρος. "ἀκέραιοι ὄντες καὶ οὐ προσδεχομένοις ἐπιγινόμενοι τῆς γῆς ἐκράτουν." καὶ αὖθις "τὸ δὲ μέλι, ἅτε οὐκ ἀκέραιον οὔτε ἀπὸ ἀκανθῶν ἀλλ' ἀπὸ ἑρπετῶν συμπεπορισμένον, ἀνέστρεφε τὰ σπλάγχνα." Πολύβιος ⟨15 11⟩ "τοὺς μὲν γὰρ ἀηττήτους ὄντας ἐξ ἀκεραίου διαγωνίσασθαι πρὸς σφᾶς" ἀντὶ τοῦ ἐξ εὐκόλου. ⟨id. 3 70⟩ "θέλων ἀκεραίοις χρήσασθαι ταῖς τῶν Κελτῶν ὁρμαῖς" ἐξ ὁλοκλήρου. καὶ αὖθις "οὐ δυνάμενος δὲ πείθειν ἐξ ἀκεραίου διὰ τὴν εὐλάβειαν καὶ ἀπραγίαν τοῦ προειρημένου βασιλέως, ἠναγκάσθη φ' τάλαντα προτεῖναι. καὶ δὴ συγκατέθετο βοηθήσειν ὁ Σέλευκος." καὶ αὖθις "οἱ βουλόμενοι ἀκέραιον ἐπενεγκεῖν τὴν φήμην αὐτοῦ, ἤρξαντο διασύρειν αὐτόν."

ἀκεραιοσύνη. *ἀκερωσύνη* δέ.

ἀκερδὴς χάρις ἡ μὴ δεόντως διδομένη, ἧς φαῦλον τὸ κέρδος. ⟨Soph. OC 1483⟩ "μηδ' ἄλαστον ἀκερδῆ χάριν ἀντ' ἰδὼν μετάσχοιμί πως."

ἀκερσεκόμης ὁ καὶ ἀκειρεκόμης, ὁ τὴν κόμην μὴ κειρόμενος.

ἄκερως βοῦς ὁ μὴ ἔχων κέρατα. καὶ *ἄκερων* οὐδετέρως, μονόπτωτον.

ἀκέσασθαι καὶ *ἀκέσαι* ἰάσασθαι· ὅθεν Ἀττικοὶ τὴν ἠπήτριαν ἀκέστριαν καλοῦσιν. "ἀνὴρ ἦν ἐν τῇ Γαλειώτιδι δεινὸς λύσεις τε νόσων εἰπεῖν καὶ ὡρῶν ἀκαιρίας ἀκέσασθαι καὶ ἀγονίαις καὶ ἀκαρπίαις διά τινων ἱερουργιῶν ἐπινοῆσαί τε καὶ δοῦναι μεταβολάς καί τινας εἰς εὐπορίαν ἀγαθὰς ὁδούς. τοῦτον ἐς Κρήτην ὁ Μίνως καλεῖ, φασίν, ἐπὶ δώροις, ἵνα τοῦ Γλαύκου τὴν ὑμνουμένην ἀπώλειαν ἀνιχνεύσῃ."

Ἀκεσίας ἰάσατο, ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. ἔοικε δὲ ὁ Ἀκεσίας πρὸς τὸ χεῖρόν τινα θεραπεῦσαι.

Ἀκεσίλαος ὄνομα κύριον.

ἀκέσιμον θεραπευτικόν.

ἄκεσιν ἴασιν.

Ἀκέσιος Ναυατιανῶν ἐπίσκοπος, ὃς παρῆν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου, καὶ ἠρώτα αὐτὸν εἰ δέχεται τὰ τῆς συνόδου, τόν τε ὅρον τῆς πίστεως καὶ τὸν ὁρισμὸν τῆς τοῦ πάσχα ἑορτῆς. ὁ δὲ συγκατέθετο. ἐπανερομένου δὲ τοῦ βασιλέως διὰ τί οὖν χωρίζει, ἐκεῖνος τὰ ἐπὶ Δεκίου γενόμενα κατὰ τὸν διωγμὸν ἐδίδασκε καὶ τὴν ἀκρίβειαν τοῦ αὐστηροῦ κανόνος, ὡς ἄρα οὐ χρὴ τοὺς μετὰ τὸ βάπτισμα ἡμαρτηκότας ἁμαρτίαν ἣν πρὸς θάνατον καλοῦσιν αἱ θεῖαι γραφαί, τῆς κοινωνίας τῶν θείων μυστηρίων ἀξιοῦσθαι, ἀλλ' ἐπὶ μετάνοιαν μὲν αὐτοὺς προτρέπειν, ἐλπίδα δὲ τῆς ἀφέσεως μὴ παρὰ τῶν ἱερέων ἀλλὰ παρὰ τοῦ θεοῦ ἐκδέχεσθαι τοῦ δυναμένου συγχωρεῖν τὰ ἁμαρτήματα. ταῦτα εἰπόντος τοῦ Ἀκεσίου ἐπειπεῖν τὸν βασιλέα "θὲς ὦ Ἀκέσιε κλίμακα, καὶ μόνος ἀνάβηθι εἰς τὸν οὐρανόν." τούτων οὔτε Εὐσέβιος ὁ Παμφίλου οὔτε ἄλλος τις ἐμνημόνευσεν· ἐκεῖνοι γὰρ πολλὰ παραλείπουσιν ἢ προσπάσχοντές τισιν ἢ προσώποις χαριζόμενοι. οὕτω λέγει Σωκράτης ἐν ἐκκλησιαστικῇ ἱστορίᾳ ⟨1 10⟩.

ἀκεσίπονον θεραπευτικόν.

ἀκέσματα ἰάματα, ὑγιάσματα. "ἡ δὲ λαθοῦσα τὰς φυλακὰς ἅμα τῇ θυγατρὶ ἀνέδραμεν, ἄκεσμα τῆς ἐσομένης ἐνδείας ἐπιφερομένη." καὶ *ἀκεσμὸν* ἰατρείαν.

ἄκεσσα Ῥωμαϊκόν τι μηχάνημα, ἐκ δενδροτομίας πρὸς ἐρυμνότητα κατασκευαζόμενον. "οἱ δὲ Ῥωμαῖοι ξυνέθεσαν τὴν λεγομένην ἄκεσσαν τῇ Ῥωμαίων φωνῇ. δενδροτομήσαντες γὰρ ἀλλεπάλληλα στελέχη τῇ ξυνθήκῃ καταστορέσαντες ἀπετείχισαν, ὡς ἐνῆν, τὴν ἐνθένδε πορείαν τῆς πόλεως." cf. v. ἄγεστα.

ἀκέστας ἰατρούς. καὶ *ἀκέστωρ* ἀκέστορος ὁ ἰατρός.

Ἀκεσώ ὄνομα κύριον θηλυκόν.

ἀκεσώδυνον θεραπευτικὸν τῶν ὀδυνῶν.

ἀκέφαλος αἵρεσίς τις, ἧς ἦν Σεβῆρος ἔξαρχος. ἔστιν ἐν τῷ Εὐτυχής.

ἀκέφαλος ὁ ἄτιμος. καὶ παροιμία "ἀκέφαλος μῦθος." ἐπὶ τῶν ἀτελῆ λεγόντων εἴρηται ἡ παροιμία.

ἀκέων ἡσυχάζων. παρ' Ὁμήρῳ κατὰ μεσότητα ἐξήνεγκται, ἀντὶ τοῦ ἐφ' ἡσυχίας. καὶ ἐν ἄλλοις ⟨φ 89⟩ "ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι."

ἀκή ἀκμὴ σιδήρου. καὶ ἀκήν ἡσυχίαν.

Ἀκή πόλις ἐν Φοινίκῃ, ἣν οἱ μὲν τὴν νῦν Πτολεμαΐδα καλουμένην οὕτω πάλαι φασὶν ὀνομάζεσθαι, Δημήτριος δὲ οὐ τὴν πόλιν ἀλλὰ τὴν ταύτης ἀκρόπολιν.

ἀκήδεσεν ⟨Hom. Ξ 427⟩ οὐκ ἐφρόντισεν.

ἀκήδεστοι μηδεμιᾶς φροντίδος τυχόντες, ἢ ἀκήδευτοι καὶ ἄταφοι. καὶ ἀκηδέστως ὁμοίως.

ἀκηδής ἄταφος, ἀμελής· "οἱ δὲ Ῥωμαῖοι τοὺς ἑαυτῶν πολεμίους ἀκηδεῖς οὐχ ὑπέμειναν παριδεῖν." καὶ ἀκηδῶς ἀντὶ τοῦ ἀτάφως· "Ἰδὼν ναυηγοῦ σῶμα ἐρριμμένον ἀκηδῶς καὶ ὀλιγώρως παρελθεῖν οὐκ ἐτόλμησα, ἀλλ' ἔθαψα τὸν τεθνεῶτα, θέαμα τῷ ἡλίῳ οὐδαμῇ φίλον ἀποκρύπτων ἀνθρωπίνῳ θεσμῷ." λέγεται καὶ ἀκηδὲς ἐν μυθικοῖς· "πικρὴ μέν τε λύκοισιν, ἀτὰρ χιμάροισιν ἀκηδής." καὶ αὖθις "διαλύει τὸν τάφον ἀκηδῶς καὶ ἀνοίκτως, καὶ ἀπὸ τῶνδε τῶν λίθων ἀνίστησι πύργον. ἐκεῖθεν ἑάλω ἡ πόλις."

ἀκηδία ἡ ῥαθυμία, ἀχθηδών, λύπη. Δαβίδ ⟨Ps. 142 4⟩ "καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου."

ἀκήκοα, αἰτιατικῇ, ἠνωτίσθην. καὶ εἰσακήκοα.

ἀκήλητον ἄθελκτον, ἀπηνῆ. ἐν ἐπιγράμματι περὶ Ὀρφέως ⟨AP 7 9⟩ "ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρᾳ."

ἀκηλίδωτον ἄσπιλον, ἀκήρατον. ἀκηλιδότερος δέ.

ἀκήματα ἰάματα. καὶ ἄκη πόνων τὰ λουτρά. καὶ κόπον μὲν θαλάττῃ λύουσιν, ἣ μάλιστα τοῖς νεύροις ἐστὶ πρόσφορος, ἀναχαλῶντες δὲ τὰς τῶν μυῶν συντάσεις, εἶτ' ἐπαλείφοντες λίπα πρὸς τὸ μὴ ξηρανθέντος τοῦ ὕδατος ἀπεσκληρυμμένα γίνεσθαι τὰ σώματα. Athen. p. 24 c.

ἀκήν ἡσύχως.

ἀκήρατον ἀκέραιον, ἄφθαρτον, ἀθάνατον. καὶ Ὅμηρος ⟨ι 205⟩ "ἡδύν, ἀκηράσιον, θεῖον ποτόν."

ἀκήρατος ἄφθαρτος, ἀπαθής, ἀκέραιος. ἀκήρωτος δὲ ὁ δίχα κηροῦ.

ἀκηρυκτί ἄνευ κήρυκος· "οἱ δὲ Ῥωμαῖοι τοὺς αἰχμαλώτους λαβόντες ἀκηρυκτὶ πόλεμον αὐτοῖς ἐψηφίσαντο." "ἀκηρύκτως ἐμίγνυντο" παρὰ Θουκυδίδῃ ⟨1 extr.⟩, τουτέστιν ἄνευ κηρυκείου, ὡς πρὸς φίλους δῆθεν· οἱ γὰρ πρὸς τοὺς ἐχθροὺς ἀπιόντες ἀσφαλείας ἕνεκεν, ὅσοι ἐβούλοντο, μετὰ κηρυκείου ἀπῄεσαν, οὓς ἀνόσιον ἡγοῦντο καὶ ἀσεβὲς κακουργεῖν.

ἀκηχέδαται ⟨Hom. P 637⟩ λυποῦνται.

ἀκίβδηλον καθαρόν. "καὶ ἀκιβδήλους φασὶν εἶναι τοὺς σπουδαίους, φυλακτικούς τε εἶναι τοὺς ἐπὶ τὸ βέλτιον τὰ περὶ αὐτοὺς παριστάναι διὰ παρασκευῆς δυναμένους τῆς τὰ φαῦλα μὲν ἀποκρυπτούσης, τὰ δὲ ὑπάρχοντα ἀγαθὰ φαίνεσθαι ποιούσης ἀπλάστως· περιῃρηκέναι γὰρ ἐν τῇ φωνῇ τὸ πλάσμα καὶ τῷ εἴδει." Diog. L. 7 118.

Ἀκιδαλία ὄνομα κρήνης.

ἀκίδας τῶν βελῶν τὰς ὀξύτητας. καὶ ἀκιδωτόν τὸ ἔχον ἀκίδας.

ἀκιδνόν τὸ ἀσθενές. καὶ ἀκιδνότερον· Ὅμηρος ⟨σ 130⟩ "οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο."

ἄκικυς ὁ μὴ ὀξύς. καὶ ἐστερημένος δυνάμεως.

ἄκιμον ἀθεράπευτον.

Ἄκιμος ὄνομα κύριον.

ἀκίναιδος ὁ μὴ κινῶν τὰ αἰδοῖα, ὁ σώφρων. καὶ ἀκίναιδα.

ἀκινάκης μικρὸν δόρυ Περσικόν. Harp.

Ἀκίνασις ὄνομα τόπου.

ἀκινδυνί χωρὶς κινδύνου. καὶ ἀκινδυνότατος.

ἀκινησία ἠρεμία· "καὶ τοὺς ἵππους ἐξελαύνειν προσέταξεν, ὡς διαλύοιτο αὐτοῖς τὸ ὑπὸ τοῦ παράπλου νεναρκηκὸς ὑπὸ ἀκινησίας."

ἀκίνητα κινεῖν, ἐπὶ τῶν καθ' ὑπερβολήν, ὅτι μὴ δεῖ μηδὲ βωμοὺς κινεῖν ἢ τάφους.

ἀκινητίζω μὴ κινεῖσθαι ἐπιθυμῶ.

ἄκιτιν· ἐν ἐπιγράμματι ⟨AP 6 307⟩ "καὶ ψήκτραν ἄκιτιν ⟨immo δονακῖτιν⟩ ἀπέπτυσεν."

ἀκίχητα ⟨Hom. P 75⟩ ἀκατάληπτα.

ἀκίχητος ἀκατάληπτος.

ἀκκιζόμενος προσποιούμενος, γυναικιζόμενος, ἢ μωραίνων, ἀπό τινος γυναικὸς μωρᾶς ἥτις ἐκαλεῖτο Ἀκκώ. σημαίνει δὲ καὶ τὸ ἐθέλοντά τι προσποιεῖσθαι μὴ ἐθέλειν

καὶ Αἰλιανός ⟨cf. v. ὑγρῶς⟩ "οὐδενός τε τῶν ἐπ' ᾄσμασι θαυμαζομένων ἐκρίθη δευτέρα, ἅτε δὴ οὐκ ἄπειρος ἐρωτικῆς περιεργίας, ἀκκιζομένη σὺν καιρῷ καὶ πρὸς ζηλοτυπίαν εὐφυῶς ἄγουσα τὸν ἄνδρα." καὶ παροιμία "ἀκκιζόμενος Σκύθης τὸν ὄνον" ἐπὶ τῶν βδελυττομένων λόγῳ μέν, ἔργῳ δὲ ἐφιεμένων. ἰδὼν γάρ τις νεκρὸν ὄνον ἔφη πρὸς Σκύθην παρόντα "δεῖπνόν σοι ὦ Σκύθα." ὁ δὲ ἐμυσάξατο μέν, ὕστερον δὲ ἐπονεῖτο ⟨an ἐθοινᾶτο⟩. καὶ ἀκκισμούς προσποιήσεις. ἀκκισμὸς δὲ καὶ ἡ μωρία.

Ἀκκώ γυνὴ ἐπὶ μωρίᾳ διαβαλλομένη, ἥν φασιν ἐνοπτριζομένην τῇ ἰδίᾳ εἰκόνι ὡς ἑτέρᾳ διαλέγεσθαι· ὅθεν καὶ τὸ ἀκκίζεσθαι. ταύτην φασὶ καὶ σπόγγῳ πάτταλον κρούειν.

ἀκλαυστί χωρὶς κλαυθμοῦ.

Ἀκλείδης ⟨Aelian. N. A. 8 5⟩ ὄνομα κύριον.

ἀκλειῶς ἀδόξως.

ἀκληρεῖ οὐ μετέχει, οὐ κεκλήρωται.

ἀκληρήμασι συμφοραῖς, δυστυχίαις. "διὰ τοῦτο δοκεῖ μοι μάλιστα περιπεσεῖν τοῖς ἀκληρήμασι, διὰ τὸ πάντων βούλεσθαι στοχάζεσθαι καὶ μερίζεσθαι εἰς διάφορα."

ἀκληρίας δυστυχίας· "ὁ δὲ ᾤετο πόρον ἐξευρεῖν τοῦ διώσασθαι τὰς ἀκληρίας."

ἀκληρούντων δυστυχούντων· "τοὺς ἐν τῷ συνεδρίῳ ἀχανεῖς γενέσθαι καὶ παρεκστῆναι ταῖς διανοίαις, συμπάσχοντας τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ." cf. v. παρεκστῆναι.

ἀκλητί χωρὶς κλήσεως. καὶ παροιμία "ἀκλητὶ κωμάζουσιν εἰς φίλους φίλοι," ὁμοία τῇ "αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἵενται."

ἄκλητον ἀνώνυμον· "δέδωκας σεαυτὸν ἄκλητον τῷ δευτέρῳ" ⟨Iulian. ep. 59⟩ ἀντὶ τοῦ ἀνώνυμον.

ἄκλητος ὁ θεὸς καὶ καλούμενος παρέσται· οὐ παρορᾷ γὰρ ὁ θεὸς τοὺς ἀρετῆς ἀντιποιουμένους. οὕτω γὰρ ἐδόθη χρησμὸς τοῖς Λακεδαιμονίοις ⟨Thuc. 1 118⟩· καλούμενός τε κἄκλητος θεὸς παρέσται. ἔξω πάσης αἰσθήσεως· οὐ γὰρ φωνῆς δεῖται πρὸς τὸ διδάξαι τὰ δέοντα, οὐδὲ ἀκοῆς πρὸς τὸ μαθεῖν. cf. vv. καλούμενος et κλητός.

ἀκλόνητον ἄσειστον, ἀδόνητον.

ἀκμάζει νεάζει. ἀκμάζεις τὰ νέων πράττεις. οὕτως Ὑπερίδης καὶ Λυσίας. Harp.

Ἀκμαιονίδαι ⟨an Ἀλκμαιωνίδαι⟩ ὄνομα ἔθνους.

ἀκμαῖος νεανίσκος, σφριγῶν, ἀκμάζων. καίριος, κατὰ καιρόν, περὶ τὴν ἀκμὴν τοῦ καιροῦ· "ποῦ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι" ⟨Soph. Ai. 921⟩, τουτέστιν εὐκαιρότατος, ἐν ἀκμῇ καιροῦ, ἐν ἀκμῇ καὶ ὀξύτητι κινδύνου. καὶ "ἀκμαιότατος καιρὸς ὁ πρωινός." καὶ ἀκμαίων ἰσχυρῶν, ἀνδρείων, γενναίων.

ἀκμή ὀξύτης, αὐτὴ ἡ ῥοπὴ τῆς τοῦ πράγματος ἐπιτάσεως. καὶ ἡ δύναμις καὶ ἡ νεότης. ἀκμὴ δὲ καιροῦ ἡ εὐτυχία· οὕτως Ἰσοκράτης ⟨2 33⟩ "κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν." λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἔτι· οὕτως Ὑπερίδης, καὶ Σοφοκλῆς ⟨Phil. 12⟩ "ἀκμὴν γὰρ οὐ μακρῶν ἡμῖν λόγων, μὴ καὶ μάθῃ μ' ἥκοντα κἀκχέω τὸ πᾶν σόφισμα" ἀντὶ τοῦ ἔτι. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 252⟩ "ἄσπιλον, ἀρρυτίδωτον, ἰσόχροον, ἀρτιγόνοισιν ἀκμὴν εὐπετάλοις συμφυὲς ἀκρεμόσι." καὶ αὖθις ⟨AP 7 141⟩ "ὅσσος ἐν ἡρώεσσί ποτ' ἦν χόλος, οὗ μέρος ἀκμὴν ἐχθρὸν ἐν ἀψύχοις σῴζεται ἀκρεμόσιν" ἀντὶ τοῦ ἔτι. ἀκμὴ καλεῖ καιρὸς καλεῖ. ἐπὶ οὖν τῆς ὀξύτητος Αἰλιανός φησιν "ἐν ἀκμῇ δὲ ὢν τῆς τότε ὀδύνης καὶ ὧν ἤλγει, οὐκ ᾔδει τὴν ὁδὸν τὴν πορεύουσαν εἰς αὐτοῦ. εἰ δέ τινι καὶ θῦσαι ἐξ ἐνυπνίου ἐκελεύετο, καὶ τούτων ὀλίγωρος ἦν φύσει τε ἀμαθὴς ὢν καὶ φιλοχρήματος." "ἐν ἀκμῇ τοῦ κακοῦ μνήμη τις εἰσῆλθε τῶν Σαμοθρᾴκων· καὶ γὰρ οὖν τετελεσμένω αὐτοῖς ἤστην" ἀντὶ τοῦ ὑπῆρχον, δυϊκῶς. καὶ αὖθις "ὑπὸ πολλῶν δακρύων τὴν ἀκμὴν τῶν ὀμμάτων ἀφῄρημαι." καὶ αὖθις Αἰλιανός "καὶ αὐτὸ τὸ κράτος ἐπὶ ξυροῦ ἀκμῆς ἦν."

ἀκμήν ἔτι. "τὰς δὲ ἀκμὴν ἀνασειομένας πόλεις πρὸς τὴν τῶν Ῥωμαίων ἔχθραν τῷ φόβῳ κατασβεννύων." Προκόπιος ⟨Goth. 4 9 22⟩ "ὁ δὲ τοῦ καιροῦ τὴν ἀκμὴν ἐν τῷ παραυτίκα μεθῆκεν, ἧς γε οὐκέτι ἀντιλαβέσθαι οἷός τε ἐγεγόνει."

ἄκμηνος ἄγευστος· "ἄκμηνος δόρποιο" ⟨Hom. Τ 163?⟩.

ἀκμῆτες μὴ κάμνοντες, καὶ ἀκμής ὁ μὴ κοπιῶν.

ἀκμητί ἀκαμάτως. ζήτει ἐν τῷ ἀπονητί.

ἄκμονος.

ἄκνηστις ἡ ῥάχις, ἣν οὐ δύναταί τις εὐκόλως κνήθεσθαι.

ἀκοή τὸ μέρος τοῦ σώματος. ἔστι δὲ καὶ

ἡ φήμη· "οὐκ ἀγαθὴ ἡ ἀκοὴ ἣν ἀκούω περὶ ὑμῶν" ὁ Ἠλεὶ ὁ ἱερεύς φησι (1 Sam. 2 24) πρὸς τοὺς αὐτοῦ υἱούς. ζήτει περὶ ἀκοῆς ἐν τῷ αἰσθήσεις ἑ.

ἀκοινώνητος ὁ ἀκριβής (an ἀμιγής).

ἀκοίτης ἀρσενικῶς ὁ ἀνήρ, ἄκοιτις δὲ θηλυκῶς ἡ γυνή. καὶ τὸ πληθυντικὸν τὰς ἀκοίτις.

ἀκολασία. καὶ ἀκολασταίνω τὸ μωραίνω.

ἀκόλαστον ἀκρατῆ, θρασύν· "ἀκόλαστον καὶ ὕβριστον πρᾶγμα ἡ ἄνθρωπος." λέγοι δ' ἄν τις καὶ ὑβριστικόν.

ἀκόλαστος κολάσεως ἄξιος· Ἀριστοφάνης Πλούτῳ (1050) "οὐκ, ἀλλ' ἀκόλαστός ἐστιν ἀεὶ τοὺς τρόπους." λέγεται καὶ ὁ τολμηρός. καὶ Ἰάμβλιχος "ὃ δὲ ἐγέλα νῦν μὲν ἰταμόν τε καὶ ἀκόλαστον γέλωτα, νῦν δὲ ἐφθέγγετο ῥήματα αὐθάδη." καὶ Αἰλιανός "ἀνὴρ Ἀρκάς, Εὐτελίδας τοὔνομα, ἀκολάστῳ τῇ γλώττῃ καὶ ἀκράτορι κακῶς πάντας ἀγορεύειν ἀρρώστημα ἔσχεν. ἐμίσει δὲ καὶ τοὺς εὖ πράττοντας."

ἄκολος ὁ μικρὸς ψωμός. καὶ ἀκόλους κλάσματα καὶ θραύσματα ἄρτων, παρὰ τὸ μὴ κολλᾶσθαι. "αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας" Ὅμηρος (ρ 222). καὶ αὖθις (AP 6 176) "τὸν κύνα δ' ὡς ζώοντα πάλιν ποτὶ ταῦλιον ἄξω, ξηρὰς εἰς ἀκόλους ξυνὸν ἔχειν ἕταρον."

ἀκόλουθον ὅμοιον· (Polyb.) "ἀκόλουθον ἀπέβη τὸ τέλος ταῖς προτέραις ἐνεργείαις." καὶ ἀκολουθήσας ὁμοίως διαπραξάμενος· "ὁ δὲ Ῥωμαῖος, ἔτι μετεωρίζοντος τοῦ Κελτοῦ τὸ ὅπλον, ἀκολουθήσας κάτωθεν ὑποφέρει τὸ ξίφος, καὶ διακείρει πᾶσαν ἀπὸ τῦ βουβῶνος ἕως ὀμφαλοῦ τὴν λαγόνα" (Dionys. Hal. fr. 15 2). καὶ Πολύβιος "τὰς δὲ ἐτίμησε χρυσοῖς ὑφάσμασι καὶ λόγχαις, βουλόμενος ἀκόλουθον εἶναι τοῖς ἔργοις τὴν διὰ τῶν λόγων ἐπαγγελίαν."

ἀκόλουθόν ἐστιν ὃ ἀναγκαῖον εἶναι τῷ ἑτέρον εἶναι, μαχόμενον δὲ ὃ ἀναγκαῖον μὴ εἶναι.

ἀκόλῳ τὰ χείλη, οὐ σύκῳ βῦσαι. παρεγγυᾷ ὁ λόγος ἐρρωμένως χρῆσθαι τοῖς πράγμασιν.

ἄκομψον εὐτελές, ἀπάνουργον. "ἄνδρα τὸν τῶν τοῦ πραίτωρος ἐπιβάντα βημάτων. ἀρχὴ δέ τις αὕτη παρὰ Ῥωμαίοις οὐκ ἄκομψος."

ἀκόνη λίθος. καὶ παροιμία "ἀκόνην σιτίζεις" ἐπὶ τῶν τροφῇ μὲν χρωμένων, μηδὲν δὲ εἰς τὸ σῶμα ἐπιδιδόντων.

ἀκονιτί χωρὶς κόνεως, ἄνευ ἀγῶνος καὶ μάχης. ἢ εὐμαρῶς, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν οὕτως εὐμαρῶς περιγινομένων ὥστε μηδὲ κονίσασθαι.

ἀκόνιτον εἶδος βοτάνης φαρμάκου. "ἀλλὰ πιὼν ἀκόνιτον ὑπέκφυγε· τοῦτ' ἀκονιτί" (Diog. L. 5 8), τουτέστι χωρὶς κόπου.

ἀκοντί ἀκουσίως.

ἀκοντίζω ἀκόντιον βάλλω.

ἀκοντιστύς ἡ ἀκόντισις.

ἄκοπος ἀνὴρ ἀντὶ τοῦ οὐδέπω ἠνωχλημένος ὑπό τινος. οὕτως Ἀμειψίας.

ἀκόρεστος ἀπλήρωτος.

ἀκόρητος ἀκαλλώπιστος, ἀκόσμητος· κορεῖν γὰρ τὸ καλλωπίζειν. οὗτος δέ ἐστιν ἀκόρητος, οἱονεὶ πολὺς καὶ μὴ κορούμενος, αὔξων καὶ πληθύνων καὶ τεθηλώς. ἀπὸ δὲ τοῦ συμβεβηκότος παρείληφε πάντα· παρ' οἷς γὰρ ἂν ᾖ στέμφυλα καὶ πρόβατα, ἐξ ἀνάγκης ἐστὶ πολλὰ πάντα. sch. A Nub. 45.

ἄκορον ἰατρικὴ ῥίζα.

ἀκόρυμβοι οἱ ἐπὶ τῶν ἀκρεμόνων βοτρυδὸν μετέωροι κόκκοι, ὡς ἐπὶ τῶν κισσῶν ἔχει.

ἄκος ἴασις, θεραπεία. "δέονται δὴ παρὰ θεοῦ ἄκους, καὶ αὐτοῖς ἐκπίπτει χρησμὸς λέγων δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν." cf. v. χρησμός.

ἄκοσμα ἀπρεπῆ, ἄτακτα.

ἀκοστήσας κριθιάσας. ἢ ἀκολαστήσας κατὰ συγκοπήν. ἢ ἐν ἄχει γενόμενος διὰ τὴν στάσιν. ἢ ἄκος τι καὶ βοήθημα τῆς στάσεως ζητῶν. καὶ ἐν ἐπιγράμματι (AP 1 78) "τὼς τρητὼς δύνακας καὶ ἀκοστὰν σεῖο κορύναν, ὦ Πάν, δέχνυσο δῶρα τὰ Δάφνιδος."

ἀκοστώσαις ἡμιόνοις δι' ἀργίαν καὶ πλησμονήν. οἱ μὲν γλωσσογράφοι κριθιώσαις· ἀκοστὰς γὰρ λέγειν τὰς κριθάς, ἀπὸ τοῦ ἄκος λαμβάνειν, τουτέστιν ἀνάπαυσιν λιμοῦ καὶ δίψης. ὁ δὲ Ἀριστόνικος ἐν ἄχει γενομέναις, εἴγε ἐπιφέρει "δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων." τινὲς δὲ ἄδην πληρωθείσαις.

ἀκουάζεσθε παρ' Ὁμήρῳ (ν 9) ἀντὶ τοῦ αἰσθάνεσθε, ἐπεὶ ἡ ἀκοὴ ὁδός ἐστι τῆς αἰσθήσεως, ὡς τὸ (Λ 532) "οἳ δὲ πληγῆς ἀίοντες."

ἀκούει καλῶς ἀντὶ τοῦ εὐφημεῖται· οὕτως Ἡρόδοτος ⟨3 131⟩.

ὅτι τὸ ἀκούειν γίνεται οὐ κατ' εἴσοδον τοῦ ἐκτὸς ἀέρος εἰς τὸ οὖς, ἀλλὰ κατὰ ἀφὴν πρὸς τὸν ἐγκατῳκοδομημένον ἀέρα ἐν τοῖς ὠσί. τούτου δὲ τεκμήριον τὸ ἐν ὕδατι ἀκούειν ἡμᾶς, οὐκ εἰσιόντος τοῦ ὕδατος εἰς τὸ οὖς. εἰ γὰρ εἰσέλθῃ, φθείρει μὲν καὶ ἐξωθεῖ τὸν ἐγκατῳκοδομημένον ἀέρα, ὃς ὑπηρετεῖ τῇ ἀκοῇ, ἀμέσως δὲ τῆς μήνιγγος ἁπτόμενον βλάπτει αὐτὴν τῇ πληγῇ, καὶ προσέτι ἐναπομένον ἐν ταῖς κοιλότησι φθείρει καὶ βλάπτει τὸ αἰσθητήριον· πολλοὶ γοῦν ἐντεῦθεν ἐβλάβησαν ⟨Philopon. in Arist. de anima 2 8⟩. ἔστιν ἐν τῷ μῆνιγξ πλατύτερον περὶ τῆς ἀκοῆς.

Ἀκουιλία ὄνομα τόπου.

ἄκουρον. "μισόδημε, μοναρχίας ἐραστά, καὶ φορῶν κράσπεδα στεμμάτων, τήν θ' ὑπήνην ἄκουρον τρέφων" Ἀριστοφάνης φησί ⟨Vesp. 432⟩.

ἀκουσίθεον τὸ εἰς θεοῦ ἀκοὰς ἐρχόμενον. ⟨AP 6 249⟩ "ἤν δέ μ' ἀνάψας εὔχηται, λάμψω φέγγος ἀκουσίθεον."

a **Ἀκουσίλαος** Ἀθηναῖος ὤν, Ἀγαθοκλείας. οὗτος ἠράσθη λόγων ἐν Ἀθήναις, καὶ ἐλθὼν εἰς Ῥώμην ἐπὶ Γάλβα διέτριψεν ἐν λόγοις ῥητορικοῖς, καὶ χρηματισάμενος ἐν τῷ τελευτᾶν κατέλιπεν Ἀθηναίοις δέκα μυριάδας ἐκ τόκων.

b **Ἀκουσίλαος** Κάβα υἱός, Ἀργεῖος, ἀπὸ Κερκάδος πόλεως οὔσης Αὐλίδος πλησίον, ἱστορικὸς πρεσβύτατος. ἔγραψε δὲ γενεαλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ ὀρύξαντά τινα τόπον τῆς οἰκίας αὐτοῦ.

ἀκουτίσαι διδάξαι.

Ἄκουφις ὄνομα κύριον.

ἀκούω γενικῇ. αἰτιατικῇ δὲ "πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους" ⟨Matth. 7 24⟩ καὶ "ὁ ἀκούων τὸν λόγον μου καὶ μὴ πιστεύων" ⟨Io. 12 47⟩, τουτέστι διδασκόμενος.

ὅτι τὸ ἀκούω εἰ μὲν σημαίνει τὸ πυνθάνομαι καὶ μανθάνω, μετὰ αἰτιατικῆς συντάσσεται, εἰ δὲ τὸ ἐνωτίζομαι τοῖς ὠσὶ μόνοις, μετὰ γενικῆς. καὶ τοῦ μὲν μανθάνω παράδειγμα τὸ τοῦ θεολόγου Γρηγορίου ⟨or. 4 p.128 c⟩ "ἀκούσατε λόγον ἀνδρὸς οὐ μετρίως τὰ τοιαῦτα πεπαιδευμένου," καὶ ἐν τῷ ἥττημαι ⟨or. 1 p. 32⟩ "τοῦτό με ἵστη κάτω, καὶ εἶναι βέλτιον ἔπειθε φωνὴν ἀκούειν αἰνέσεως ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν." τοῦ δὲ ἐνωτίζομαι παράδειγμα τοῦ αὐτοῦ "ὡς ἐγώ τινος ἤκουσα ἀνδρὸς οὐ μετρίως τὰ τοιαῦτα," καὶ ἄλλα πλεῖστα.

ἄκρα τελεία. "ἧκε παρὰ βασιλέως παῖς Αὐγάρου, καλὸς καὶ μέγας καὶ ἐν ὥρᾳ ἄκρᾳ." Dio Cass. 68 21.

ἄκρα κόρυμβα ⟨Hom. I 241⟩ τὰ ἀκροστόλια τῶν νεῶν, τὰ ἐξέχοντα κατὰ πρύμναν ἢ πρῷραν, ἐν οἷς τὰ σεβόμενα ἐνέγραφον.

Ἀκραγαλεῖς ὄνομα ἔθνους.

ἀκράδαντον ἀσάλευτον, ἀκίνητον.

Ἀκραιβατηνή ὄνομα πόλεως. Ioseph. A. I. 12 8.

ἀκραιφνεί ἀκραιφνῶς, ἐπίρρημα.

ἀκραιφνές καθαρόν, ὑψηλόν, τέλειον. "Φάβιος δὲ κατατιθέμενος τὴν ἀρχὴν παρῄνει τοῖς περὶ τὸν Αἰμίλιον τριβαῖς τοῦ πολέμου μακραῖς τὸ ἀκραιφνὲς καὶ ἀκάθεκτον τῆς τοῦ Ἀννίβου καταναλίσκειν φύσεως."

ἀκραιφνής· "βοήθειά τις παραγίγνεται, καὶ ἀκραιφνὴς γενομένη πολλὴν ἐποίησε τὴν ῥοπήν, τοῖς μὲν Ῥωμαίοις ἐπὶ τὸ ἀθυμότερον, τοῖς δὲ βαρβάροις ἐπὶ τὸ εὐθυμότερον." τουτέστι δυνατή, ὁλόκληρος.

Ἀκραίφνιον ὄνομα πόλεως.

ἀκραιφνοῦς ἀβλαβοῦς, οἱονεὶ ἀκηροφανοῦς· κὴρ γὰρ ὁ θάνατος. "ἐκ πενίης, ὡς οἶσθα, ἀκραιφνέος ἀλλὰ δικαίης Κύπρις ταῦτα δέχευ δῶρα Λεωνίδεω" ἐν ἐπιγράμματι ⟨AP 6 191⟩.

ἄκραν ἐπὶ γύαλον ⟨Soph. OC. 1492⟩ ἐπ' ἄκραν πέτραν.

ἄκραντον ἀπλήρωτον, ἀτελείωτον. ⟨AP 7 92⟩ "τὸν δ' ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ."

ἄκρας νυκτός περὶ τὸν πρῶτον ὕπνον. "κεῖνος γὰρ ἄκρας νυκτός, ἡνίχ' ἕσπεροι λαμπτῆρες οὐκέτ' ᾖθον" ⟨Soph. Ai. 285⟩. ὅτε οὐκ ἔφαινον ἔτι οἱ ἑσπέριοι ἀστέρες, ἢ ὅτε ἐσβέσθησαν οἱ λύχνοι· καιρὸς γὰρ ἐπιβουλῆς καὶ ἐπιθέσεως τότε.

ἀκρασία καὶ ἀκολασία διαφέρει· ἡ μὲν γὰρ κατὰ προαίρεσιν πράττει τὰ αἰσχρά, ἡ ἀκολασία, ἡ δὲ παρὰ προαίρεσιν. λέγεται δὲ καὶ **ἀκράσιος**· "οὕτω τε ἐς πᾶσαν ἀκράσιον ἐκπεπτωκυῖα τρίβον" Procop. Arc. 15.

ἀκρασίας ἀνωμαλίας, παρὰ τὸ μὴ συγκε-

κρᾶσθαι. Ἰώσηπος (B. I. 5 3 4) "οἱ δὲ Ῥωμαῖοι διὰ χειρῶν ἀκρασίαν ἁλίσκονται."

ἀκράτεια.

ἀκρατιεῖσθε. Ἀριστοφάνης Πλούτῳ (295) "τράγοι δ' ἀκρατιεῖσθε," τουτέστιν ἀπεψωλημένοι ἀκρατιεῖσθε, ἀντὶ τοῦ ὡς τράγοι ἀκρατῆ πράξετε. ἐπεὶ μετὰ τὴν συνουσίαν οἱ τράγοι λείχουσι τὸ αἰδοῖον, τὸ ἄκρον λείξετε ὡς τράγοι.

ἀκρατίζω τὸ ἄκρατον πίνω, καὶ ἀκρατισαμένη ἀκράτου σπάσασα· "ἡ δὲ Θεοδώρα ἀκρατισαμένη ἡσυχίαν ἦγεν" (Procop. Arc. 15). ὅτι δεῖπνον τὸ πρωινὸν ἄριστον, ὅπερ ἀκρατισμὸς λέγεται, ζήτει ἐν τῷ δεῖπνον.

ἀκράτισμα ἔμβρωμα.

ἄκρατον διειδῆ, ἀκραιφνῆ. "διαρρεῖ δὲ λόγος ἐκ Μακεδόνων, ὃς λέγει ἀετὸν ἐπιφοιτῶντα καὶ τὰς πτέρυγας ὑπερτείνοντα καὶ ἑαυτὸν αἰωρῶντα ἀποστέγειν αὐτοῦ τὴν ἄκρατον ἀκτῖνα τοῦ ἡλίου καὶ ὅτε ὕοι τὸν πολὺν ὑετόν." cf. v. Λάγος.

ἀκρατοπότης ὁ μέθυσος, ὁ τὸν ἄκρατον οἶνον ἀπλήστως πίνων.

ἄκρατος. Ξενοφῶν (Anab. 4 5 27) "πάνυ δὲ ἦν ὁ οἶνος ἄκρατος, εἰ μή τις ὕδωρ ἐπιχέοι." καὶ αὖθις (AP 7 223) "ἡ τρὶς ἐφεξῆς εἰδυῖ' ἀκρήτου χειλοποτεῖν κύλικα."

ἄκρατος οἶνος ἀγαθοῦ δαίμονος. αἰρομένης τῆς τραπέζης μετὰ τὸ δεῖπνον ἄκρατος οἶνος περιεφέρετο, καὶ ἐκαλεῖτο ἀγαθοῦ δαίμονος. οἱ δέ φασι τὸ πρῶτον ποτήριον ἔτω λέγεσθαι. καὶ ἀκρατότερος. cf. v. ἀγαθοῦ δαίμονος.

ἀκράτου ὑπερζεούσης· "μή ποτε ἀλόγιστος ὄχλος δι' ὀργῆς ἀκράτε λάβῃ τὴν ἀποτυχίαν" Dionys. Hal. 8 54.

ἀκράτωρ ὁ ἀκρατής· "ἦν δὲ οἴνου τε ἀκράτωρ καὶ τῶν ἄλλων ἡδονῶν" καὶ αὖθις (cf. v. κυμαίνει) "ἀκράτωρ ἑαυτοῦ ὢν ἐσήλατο ἐς τὸν νεών." "φιλοχρημάτω τε ἤστην καὶ ἡδονῶν ἀκράτορε." ἀκράτωρ ἀκράτορος συστέλλει.

ἀκρατῶς ἐπιτεταμένως, συντόνως· "ἱππεῖς ἤλαυνον ἀκρατῶς, καὶ ἅμα ἀνεβόων."

ἀκρεμόνες βλαστοί, κλάδοι· "ἰσόχνοον, ἀκμὴν εὐπετάλοις συμφυὲς ἀκρεμόσιν." ὀξύνεται ἀκρεμών ὡς ἡγεμών. cf. v. ἀκμή.

ἀκρήβης ὁ νέος.

ἀκρησία ἡ ἀκρασία.

ἀκριβής. δοκεῖ τὸ ἀκριβὲς καὶ τὸ ἀναγκαῖον σημαίνειν. καὶ εἰ κατασκευάσαι βουλόμεθα ὅτι πᾶσα ὑπόληψις τοῦ σπουδαίου ἀκριβής (ἀκριβὴς γὰρ δοκεῖ εἶναι ἡ δι' ἀναγκαίων γενομένη καὶ ὧν πᾶσα σπουδαίε ὑπόληψις ἔχει· γίνονται γὰρ ὑπολήψεις τῷ σπεδαίῳ καὶ περὶ τῶν ἐνδεχομένων), μεταλαμβάνοντες τὸ ἀκριβὲς εἰς τὸ σαφὲς ἢ εἰς τὸ ἀληθὲς εὐκολώτερον τὸ προκείμενον δείξομεν· πᾶσα γὰρ ἡ τοῦ σπουδαίου ὑπόληψις σαφής τε καὶ διηρθρωμένη καὶ ἀληθής. ὁμοίως καὶ πρὸς τὸν οἰκείαν τινὰ ὑπόληψιν περί τινος ἐκτιθέμενον, οἷον περὶ ἡδονῆς, ὁποία αὐτῷ εἶναι δοκεῖ, ὁ μὲν λέγων ἀκριβῆ αὐτοῦ τὴν ὑπόληψιν εἶναι οὐδέπω γνωρίμως λέγει, εἰ δὲ τὸ ἀκριβὲς εἰς τὸ σαφὲς μεταλάβοι, γνώριμον ἂν ὃ λέγει ποιήσειεν. ἔστι δὲ τὸν μὲν σπουδαῖον φιλοπράγμονα δεῖξαι, μεταλαβόντα τὴν φιλοπραγμοσύνην εἰς πολυπραγμοσύνην (τὸ γὰρ καὶ περὶ τῶν οὐρανίων τε καὶ φύσει συνεστώτων ἐτάζειν τε καὶ ζητεῖν πολυπραγμονεῖν ἐστί, τοιοῦτος δὲ ὁ σπουδαῖος), τὴν δὲ τοῦ σπουδαίου ὑπόληψιν οὐ σαφῆ, μεταλαμβάνοντας τὸ σαφὲς εἰς τὸ ἀκριβές. εἰ γὰρ τὸ μὲν ἀκριβὲς ἀναγκαῖον, οὐ πᾶσα δὲ ὑπόληψις τε σπουδαίε ἀκριβὴς... εἴη, ὥστε οὐδὲ σαφής. Alex. Aphrodis. in Aristot. Top. 2 p. 84.

ἀκριβής βέβαιος· "ἐλέγετο γὰρ ἀκριβὴς ζηλωτὴς τῆς τε Μάνεντος δόξης." καὶ ἀκριβοῦς ἐγνωκέναι τὸ ἀκριβὲς δυναμένου. καὶ ἀκριβοῦν ὁμοίως. καὶ ἀκριβῶς· "θροῦς ἦν οἷα δὴ οὐκ ἀκριβῶς κοιμωμένων" ἀντὶ τοῦ ἀληθῶς.

ἀκριβῶ αἰτιατικῇ. ἀκριβωθήσεται ἀκριβῶς μελετηθήσεται· Ἀριστοφάνης (Eccl. 161) "οὐδ' ἂν προβαίη τὸν πόδα τὸν ἕτερον, εἰ μὴ ταῦτ' ἀκριβωθήσεται."

ἀκρίζω τὸ ἄκρον κόπτω.

ἀκρίς εἶδος ζωυφίου. "ἤσθιε δὲ ἀκρίδας ὁ πρόδρομος, καὶ μέλι ἄγριον, ὅπερ ἀπὸ τῶν δένδρων ἐπισυναγόμενον μάννα τοῖς πολλοῖς προσαγορεύεται."

ἀκρισία ἡ ἀδιακρισία, ἡ κακὴ κρίσις. καὶ Λιβάνιος (ep. 18) "οὐκοῦν ἀκρισία μὲν ἐν ἀμφοῖν, ἔχει δέ τινα τοὐμὸν φιλανθρωπίαν." καὶ ἄλλο κατὰ μετριασμόν.

Ἀκρίσιος ὄνομα κύριον, ὁ ἡμίθεος ἀνήρ. "γυναικός τινος, Δανάης ὄνομα, δυσπειθῶς πρός τινα δίκην ἀπαντώσης, σοφός τις πρὸς αὐτὴν ἀπεφθέγξατο ʻκρίθητι καὶ σύ. οὐκ εἶ

Δανάη ἡ Ἀκρισίου θυγάτηρ." cf. Lucian. Demon. 47.

Ἀκρισιώνη ὄνομα πατρωνυμικόν.

ἄκριτα ἀχώριστα.

ἀκριτί ἄνευ κρίσεως.

ἀκριτόμυθος ⟨Hom. B 246⟩ πολυλόγος, ἀκρίτους ἔχων τοὺς λόγους.

ἄκριτος ἀντὶ τοῦ ἀδιάκριτος. οὕτω Δημοσθένης ⟨18 8⟩. Harp.

ἀκριτόφυλλον ⟨Hom. B 868⟩ σύμφυτον πολλοῖς δένδροις, ὥστε μὴ διακρῖναι αὐτῶν τὰ φύλλα ἃ φέρει. ἢ κατάσκιον.

ἀκροᾶσθαι ἀντὶ τοῦ ὑπακούειν. οὕτως Ἀντιφῶν. Harp.

ἀκροατής καὶ ἀκροᾶσθαι ὁ μαθητὴς καὶ τὸ μανθάνειν. Δαμάσκιος ⟨Phot. p. 337 a⟩ "ὁ δὲ ἠκροᾶτο λόγων γεγηρακότων καὶ σοφίᾳ τινὶ κεκραμένων." καὶ ἀκροαμάτων, τουτέστιν ἀκουσμάτων· "καὶ διαμένει καὶ νῦν παρ' αὐτοῖς πολιτευόμενον τὸ πρᾶγμα ὥσπερ ἄλλο τι τῶν ἀκροαμάτων, αὐλὸς ἢ κιθάρα, τέρψεως ἕνεκα καὶ ψυχαγωγίας" ⟨Iulian. or. 7 p. 206⟩.

ἀκροβελίς εἶδος ἀκοντίου.

ἀκροβολίζεται τὰ ἄκρα τοῦ σώματος βάλλεται. ἀκρωβελίζω δέ.

ἀκροβολισμός ἐρεθισμός. καὶ τὸ ἄκρον βάλλειν. "ὁ δὲ ... γνώμας." cf. v. ἐγνωμάτευεν.

ἀκροβόλοι ἀκοντισταί, τοξόται.

ἀκροβυστία τὸ μὴ περιτετμῆσθαι, περιτομὴ δὲ τὸ περιτετμῆσθαι τὸ ἄκρον.

ἀκρογωνιαῖος.

ἀκρόδρυα καρποὶ δενδρικοί, πάντες οἱ τῶν δένδρων καρποί. "ἐπέρριπτον δὲ αὐτοῖς οἱ μὲν κάνδυν οἱ δὲ ἀκρόδρυα." cf. v. Σκοτιαῖος.

ἀκροθίνια αἱ τῶν ἐνιαυσιαίων καρπῶν ἀπαρχαί. ἀκροθίνια δὲ κυρίως καλοῦσι τὰς ἀπαρχὰς ἃς ἀνατιθέασιν οἱ ἐξ ἐμπορίας, παρὰ τὸ ἀπὸ τοῦ θινός, τουτέστι τοῦ αἰγιαλοῦ, σεσῶσθαι αὐτά. ἄλλοι δὲ τὰ ἀπὸ τῶν πολέμων, παρὰ τὸ σίνεσθαι ἐν τῷ πολέμῳ πολλούς, τουτέστι βλάπτεσθαι. ἢ τὰ ἄκρα τῶν σωρῶν, ἢ τὰ λάφυρα. ὅτι Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς ἔφη "Νικήτης ὁ κεκαθαρμένος," ἀγνοήσας ἀκροθίνια πυγμαίων κολοσσῷ ἐφαρμόζειν ⟨Philostrat. V. Soph. 1 19⟩. παροιμία ἐπὶ τῶν μάτην κοπιώντων.

ἀκροκελαινιόων ⟨Hom. Φ 249⟩ τὸ ἄκρον τοῦ κύματος μελαίνων.

ἀκρόκομοι ⟨Hom. Δ 533⟩ μετρίως κομῶντες, ἢ λίαν, ἢ τὰ ἄκρα τῆς κεφαλῆς κομῶντες.

ἀκροκώλια.

ἀκρόλειον ἀπαρχή, ὥσπερ πρωτόλειον. "Πολυξένην καταθῦσαι τοὺς Ἕλληνας ἀκρόλειον." καὶ αὖθις "ὅσα ἦν θεοῖς ἀναθήματα καὶ ἀκρόλεια."

ἀκρολοφία ἡ κορυφὴ τοῦ λόφου, τουτέστι τοῦ βουνοῦ.

ἄκρον ἐπιλίγδην, μεσότητος ἐπίρρημα, ἀντὶ τοῦ ἐπιψαύδην, ὅσον ἐπιψαῦσαι μόνον. καὶ ὅτι ἐν Ἰλιάδι ἅπαξ ⟨P 599⟩ καὶ ἐν Ὀδυσσείᾳ ἅπαξ ⟨χ 278⟩.

ἄκρον λάβε καὶ μέσον ἕξεις, παροιμία ἐπὶ τῶν δυσφράστων καὶ δυσνοήτων.

ἀκρόνηον τὸ τῆς νεὼς ἄκρον.

ἀκρόνυξ τὸ ἄκρον τῆς νυκτός, καὶ ἀκρονυχία ὁμοίως, διὰ τοῦ ο μικροῦ. ἀκρῶνυξ δὲ καὶ ἀκρωνυχία τὸ ἄκρον τοῦ ὄνυχος καὶ τοῦ ὄρους, διὰ τοῦ ω μεγάλου.

ἀκροποδιτί ἄκροις ποσίν.

ἀκρόπολις. Δαμάσκιος "τὰ γὰρ ἐπιφανέστατα τῶν ὀχυρωμάτων ὡς ἐπίπαν κοινὴν ἔχει τὴν φύσιν. γνοίη δ' ἄν τις τὸ λεγόμενον ἐκ τῶν περὶ τὰς ἀκροπόλεις συμβαινόντων. αὗται γὰρ δοκοῦσι μὲν μεγάλα συμβάλλεσθαι πρὸς ἀσφάλειαν τῶν πόλεων ἐν αἷς ἂν ὦσι, καὶ πρὸς τὴν τῆς ἐλευθερίας φυλακήν, γίνονται δὲ καὶ πολλάκις αἴτιαι δουλείας καὶ κακῶν ὁμολογουμένων, ὥς φησι Πολύβιος."

ἀκροπόλοισιν ⟨Hom. E 523⟩ ἀκρωρείαις.

ἄκρος ἀντὶ τοῦ τέλειος· "εἰς ἄκρον ἐληλακώς."

ἀκροστόλια τὰ ἄκρα τῆς νηός. "τὰ δὲ ἐμπρόσθια τῆς σχεδίας ἠρέμα πρὸς τὸ μετέωρον ἐς πρῴρας τύπον περιαγαγόντες καὶ ὑποκάμψαντες, ὥσπερ ἀκροστόλια νηὸς καὶ προέμβολα ἐκμιμησάμενοι" ⟨Agath. 5 21⟩. καὶ Ἀρριανός "τά τε ἀκροστόλια τῆς βασιλίδος νηὸς χρυσᾶ." cf. v. ναῦς.

ἀκροσφαλεῖς ἄκρως ἐσφαλμένους. "ὁ δὲ ἐκέλευσε χωρεῖν ἐπὶ τὰς ἄποδας καὶ ἀκροσφαλεῖς Οὔννους· ἄνευ γὰρ ἵππων οὐ ῥᾳδίως ἂν Οὖννος τὴν γῆν πατήσειεν."

ἀκροσφαλεῖς ἐν τῷ βαδίζειν σφαλλόμενοι, τουτέστιν οἱ Οὖννοι. Φιλοκτήτῃ ⟨502⟩ "ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα. χρὴ

δ' ἐκτὸς ὄντα πημάτων τὰ δείν' ὁρᾶν, χὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ."

ἀκροτελεύτιον ἔπος κυρίως τὸ ἔσχατον κεφαλαίου τινὸς ποιητικοῦ, χρῶνται δὲ καὶ ἐπὶ τῷ πεζῷ. παρὰ δὲ Θουκυδίδῃ ⟨2 17⟩ τὸ ἄκρον τὸ τέλος τοῦ στίχου. καλεῖται δὲ ἄκρον καὶ ἡ ἀρχὴ τοῦ στίχου.

ἀκρότομος σκληρός, ὑψηλός. ἢ ὀξύτατος λίθος, ὁ τέμνων. καὶ ἀκρότομος πέτρα ἡ σκληρὰ καὶ ἄτμητος. ἀκρότομον δὲ ὄρος τὸ δυνατὸν παρὰ τῷ Ἰὼβ ⟨40 15⟩. "ἐν Αὐρασίῳ τῷ ὄρει πέτρα ἀκρότομος ἦν, κρημνῶν ἐς μέσον ἀνέχουσα· οὗ δὴ πύργον οἱ πάλαι ἄνθρωποι βραχὺν κομιδῇ ποιησάμενοι καταφυγήν τινα ἰσχυρὰν καὶ ἀμήχανον, τῆς τοῦ χωρίου φύσεώς σφισι ξυλλαμβανούσης, ἐδείμαντο." Procop. Vand. 2 20.

ἀκροχειρίζεσθαι πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς, ἢ ὅλως ἄκραις ταῖς χερσὶ μετ' ἄλλου γυμνάζεσθαι. καὶ ἀκροχερσίτης οὕτω καλούμενος· λαμβανόμενος γὰρ ἄκρων τῶν χειρῶν τοῦ ἀνταγωνιστοῦ ἔκλα, καὶ οὐ πρότερον ἠφίει πρὶν αἴσθοιτο ἀπαγορεύσαντος. ἦν δὲ καὶ Λεοντίσκος Μεσσήνιος ἐκ Σικελίας παραπλησίως ἀγωνιζόμενος· οὗτος δὲ ἐπάλαιε ⟨Pausan. 6 4⟩. καὶ ἀκροχειρίς τὸ ἄκρον τῆς χειρός.

ἀκρόχολος ὁ πρὸς ὀλίγον ὀργιζόμενος, ἀκρόχωλος δὲ ὁ πρὸς ὀλίγον χωλεύων.

ἀκρωλένιον τὸ ἄκρον τῆς χειρός.

Ἄκρων Ἀκραγαντῖνος ἰατρός, υἱὸς Ξένωνος, ἐσοφίστευσεν ἐν ταῖς Ἀθήναις ἅμα Ἐμπεδοκλεῖ· ἔστιν οὖν πρεσβύτερος Ἱπποκράτους. ἔγραψε περὶ ἰατρικῆς Δωρίδι διαλέκτῳ, περὶ τροφῆς ὑγιεινῶν βιβλίον ά. ἔστι δὲ καὶ οὗτος τῶν τινὰ πνεύματα σημειωσαμένων. εἰς τοῦτον ἐποίησεν Ἐμπεδοκλῆς τωθαστικὸν ἐπίγραμμα ⟨Diog. L. 8 65⟩ "ἄκρον ἰατρὸν Ἄκρων' Ἀκραγαντῖνον, πατρὸς ἄκρου, κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης." τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται "ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει." τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι.

ἀκρῶνυξ τὸ ἄκρον τοῦ ὄνυχος, καὶ τὸ ἄκρον τοῦ ὄρους. καὶ ἀκρωνυχία ὁμοίως. "ὃ δὲ φυλακῇ τινὶ ἐπὶ τῆς ἀκρωνυχίας ἐντυχὼν ταύτην αἰφνιδίῳ προσβολῇ ἐτρέψατο." ἔστι δὲ ἀκρωνυχία καὶ ἡ ἀκρώρεια τοῦ ὄρους, καὶ Ξενοφῶν ⟨Anab. 3 4 37⟩ "ἐπεὶ δὲ ἑώρα ὁ Χειρίσοφος προκατειλημμένην τὴν ἀκρωνυχίαν ὄρους, ἀφ' ἧς ἡ κατάβασις ἦν εἰς τὸ πεδίον." "ἐνδοτέρω χωρούντων ἀκρωνυχί τοῦ ὄρους ἐπανίστατο."

ἀκρώρεια ἐξοχή, κορυφή. εἰς τρία γὰρ διῄρηται τὸ ὄρος, εἰς ἀκρώρειαν, εἰς ὑπώρειαν, εἰς τέρμα. ἀκρώρεια μέν ἐστιν ἡ κορυφή, ὑπώρεια δὲ τὰ πλευρὰ τοῦ ὄρους, τέρμα δὲ τὰ τελευταῖα καὶ πόδες.

ἀκρωτηριάζω, αἰτιατικῇ, τέμνω τὰ ἄκρα. καὶ ἀκρωτηριασμός.

ἀκρωτήριον.

ἀκταίη ἡ παραθαλασσία. ἐν ἐπιγράμματι ⟨AP 6 33⟩ "δῶρα παρ' ἀκταίης σοι τάδ' ἐπωφελίης," καὶ αὖθις ⟨Babr. 25 6⟩ "καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων."

ἀκταίνειν ἀκολασταίνειν, γαυριᾶν, καὶ ἀτάκτως πηδᾶν, ἢ πρὸς συνουσίαν ὁρμᾶν.

Ἀκταίων Ἀκταίωνος ὄνομα κύριον. καὶ Ἀκταιονίδων· "τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων" ἐν ἐπιγράμματι ⟨AP 7 206⟩. συνέστειλε δὲ τὸ ω διὰ τὸ μέτρον.

ἀκτή αἰγιαλὸς παραθαλάσσιος.

Ἀκτή ἰδίως ἐπιθαλαττίδιός τις μοῖρα τῆς Ἀττικῆς, ὅθεν καὶ ὁ ἀκτίτης λίθος. ἐκάλουν δὲ οὕτως καὶ τὴν Ἀττικήν, οἱ μὲν ἀπό τινος Ἀκταίωνος βασιλέως, οἱ δὲ διὰ τὸ τὴν πλείω τῆς χώρας ἐπιθαλάττιον εἶναι. Harp.

Ἄκτια ἀγὼν παλαιός, ὡς Καλλίμαχος ἐν τῷ περὶ τῶν ἀγώνων δῆλον ποιεῖ. Harp.

Ἀκύλας γραμματικὸς καὶ μουσικός.

Ἀκύλας φιλόσοφος σχόλια λογικὰ γεγραφὼς περὶ συλλογισμῶν.

Ἀκυληία πόλις Ἰταλίας πολυάνθρωπος προκειμένη ἐν θαλάττῃ. καὶ Ἀκυλήσιοι οἱ πολῖται.

Ἀκύλλιος ὄνομα κύριον.

ἄκυλος τῆς πρίνου ὁ καρπός, ἔκυλος δὲ εἶδος βοτάνης.

ἀκύμονα ἀτάραχον. καὶ ἀκύμων μὴ γεννῶσα, ὡς ἐγκύμων ἡ συνειληφυῖα. καὶ ἀκυμότερος.

ἀκωδώνιστον ἀντὶ τοῦ ἀπείραστον ἀβασάνιστον· κωδωνίσαι γὰρ τὸ διαπειραθῆναι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων καὶ κώδωσι διαπειρωμένων εἰ ἐγρηγόρασιν οἱ ἐπὶ ταῖς φυλακαῖς τεταγμένοι. οἱ δὲ ὑπομνηματισταὶ ἀπὸ τῶν ὀρτύγων φασὶ μετῆχθαι τὴν λέξιν.

ἀκωκή ἡ ὀξύτης τοῦ δόρατος, τὸ ὀξὺ τῆς λόγχης. Ἀρριανός ⟨Ind. 24⟩ "λόγχας δὲ εἶχον παχείας, μέγεθος ὡς ἑξαπήχεας, ἀκωκὴ δὲ οὐκ ἐπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐταῖς πεπυρακτωμένον ταὐτὸ ἐποίησεν."

ἅλα θάλασσαν.

ἄλα τὰ κόπρια· ἐν Ὀδυσσείᾳ ⟨ρ 455⟩ "σὺ δ' οὔ κ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἄλα (ἅλα Callistratus) δοίης."

ἀλαβαστοθήκας τὰς θήκας τῶν ἀλαβάστων Δημοσθένης ⟨19 237⟩ λέγει. ἐν τῇ συνηθείᾳ μυροθήκας καλοῦσιν. ἀλάβαστοι δέ εἰσι λήκυθοι, ὧν οὐκ ἔστι λαβέσθαι διὰ λειότητα ⟨Harp.⟩. Ἀριστοφάνης ⟨Ach. 1021⟩ "ἐς τὸν ἀλάβαστον κύαθον εἰρήνης ἕνα," ὡσεὶ λέγει κοχλιάριον ἕν.

ἀλάβαστρον ἄγγος μύρου, μὴ ἔχον λαβάς, λίθινον. ἢ λίθινος μυροθήκη.

ἀλαζονεία ὑπερηφανία. Πολύβιος ⟨11 8⟩ "τοῖς γὰρ πλείστοις ὑπεγεγόνει τις ζῆλος οὐκ εὐτυχὴς ἐκ τῆς τῶν ἄλλων ἀλαζονείας καὶ ἀκαιρίας." παρὰ δὲ τῷ ἀποστόλῳ ⟨Rom. 1 30⟩ τοὺς ἐφ' οἷς οὐκ ἔχουσιν αὐχοῦντας ὡς ἔχοντας, ἀλαζόνας νοητέον. καὶ Ἰώσηπος ⟨B. I. 6 7 2⟩ "ἦν γὰρ αὐτοῖς ἀλαζονεία ὡς ἐπ' ἀγαθοῖς, καιομένης τῆς πόλεως."

ἀλαζονεύεσθαι γενικῇ.

ἀλαζών πλάνος, ὑπερήφανος, ψευδής, παρὰ τὸ ἐν ἄλῃ ζῆν. καὶ ἀλαζονοχαυνοφλίαρος ὁ μέθυσος καὶ λῆρος. ἢ ἀλαζών ἀλόγως ζῶν, ὅ ἐστι ματαίως. ἰδίως δὲ ἀλαζόνας τοὺς ψεύστας ἐκάλουν, ἐπεὶ λέγειν ἐπαγγέλλονται περὶ ὧν μὴ ἴσασιν.

ἀλαζών ὁ ἀλώμενος· οὕτως Ἀλκαῖος. Πλάτων δὲ ἀλαζόσιν ἀντὶ τοῦ ψεύσταις. ἢ ἀλαζὼν ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. "ὁ δὲ πρὸς ἕκαστον τῶν προσιόντων ἠλαζονεύετο, συμπλάττων ἀπὸ τῶν εἰκότων."

Ἁλαιεύς ὄνομα δήμου. Harp.

ἀλαινής ὁ μαινόμενος.

ἀλαλαγμός ἐπινίκιος ὕμνος, ἢ φωνὴ ἀπὸ τῶν θαρραλεωτέρων κατὰ τῶν δειλιώντων. ἀλαλαγμὸς οὖν ὕψωμα φωνῆς. καὶ ἀλαλάξατε κροτήσατε.

ἀλαλαλαὶ ἰὴ παιήων ⟨A Av. extr. Lys. 1294⟩ ἐπιφώνημα χοροῦ.

ἀλάλημαι τεθορύβημαι, πεπλάνημαι. καὶ ἀλαλύκτημαι ⟨Hom. K 94⟩ ὁμοίως.

ἀλαλητόν θόρυβον, κατὰ πλεονασμὸν τοῦ α ἐπιτατικοῦ.

ἀλαλκεῖν ἀποδιῶξαι, ἀποσοβῆσαι· ⟨AP 7 8⟩ "τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν; ἡνίκ' ἀλαλκεῖν τῶν παίδων Ἀίδην οὐδὲ θεοῖς δύναμις."

ἀλαός ὁ τυφλός, κατὰ στέρησιν τοῦ λάειν, ὅ ἐστι βλέπειν. καὶ ἀλαοσκοπιήν· Ὅμηρος ⟨K 515⟩ "οὐδ' ἀλαοσκοπιὴν εἶχε," παροιμιακῶς, ἀντὶ τοῦ οὐ τυφλῶς ἐσκοπίαζεν.

ἀλαοτόκος ὁ τυφλὰ γεννῶν.

ἀλαπάξαι πορθῆσαι, κενῶσαι, ὁμαλίσαι, ἀπὸ μεταφορᾶς λαπάθου βοτάνης, κενωτικῆς γαστρός.

ἅλας ἄγων καθεύδεις, παροιμία ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ῥᾳστωνευομένων· ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺς ἅλας. ὅθεν καὶ ἡ παροιμία "ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη."

ἅλας θυμίτας ⟨A Ach. 1067⟩ ἐκ θύμων κατασκευασθέντας. καὶ ἑτέρα παροιμία "ἅλασιν (an ἀλλᾶσιν) ὕει" ἐπὶ τῆς ἄγαν εὐθηνίας.

ἄλαστε ἀνεπίληστε· "τέκνον ἐμὸν ἄλαστε" ⟨Callim. l. P. 87⟩.

ἀλαστήσειεν ἀνεπιλήστως δεινοπαθήσειεν.

ἀλάστωρ πικρὸς καὶ φονικὸς δαίμων τιμωρῶν καὶ ἀνεπίληστα ἔργα ποιῶν. "ὁ δὲ ἔγραφε πικρῶς καὶ παραστατικῶς, ἀλάστορας ἀποκαλῶν καὶ παλαμναίους διὰ τῆς ἐπιστολῆς, εἰ οὕτως αἰσχρῶς προήσονται τοὺς τόπους μηδὲν παθόντες ἢ ἰδόντες κακόν." ἢ ἀλάστωρ ὁ τοιαῦτα τολμήσας ὧν μὴ ἔστιν ἐπιλαθέσθαι.

ἀλᾶται πλανᾶται, ῥέμβεται.

ἄλβα οἱ μάργαροι.

Ἀλβανοί ὄνομα ἔθνους Ἰταλῶν. τούτων φασὶ τὴν γῆν εὐδαίμονα καὶ καρποὺς ἐνεγκεῖν ὅσαν ἀγαθήν, οἶνον ἡδὺν καὶ πολὺν ἔχουσαν.

Ἄλβιος ὄνομα κύριον. "Ἄλβιος ἐς τὴν ἱππάδα τελῶν, τὴν Ἀντωνίου θεραπεύων καὶ ὑπαικάλλων ἅμα φάτνην."

ἄλγεα κακά, λυπηρά.

ἀλγεῖν τοῦ πονεῖν διαφέρει. ἀλγεῖν μὲν κατὰ σάρκα, πονεῖν δὲ τὸ ἐνεργεῖν.

ἀλγεινός ὁ λυπηρός. καὶ ἀλγινόεις.

ἀλγηδόνες λῦπαι.

ἀλγηρά τὰ λυπηρά.

ἄλγησις ἡ λύπη. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ⟨152⟩ "ὦ πρέσβυ πρέσβυ,

τοῦ φθόνου μὲν τὸν ψόγον ἤκουσα, τὴν δ' ἄλγησιν οὐ παρεσχόμην" ἀντὶ τοῦ οὐκ ἐλυπήθην.

ἀλγητόν καὶ ἀνάλγητον.

ἀλγίστατον· "τοῦτο δ' ἐς ἀλγίστατον ⟨an ἔστ' ἄλγιστον⟩ ἡμῖν." A Vesp. 1156.

ἀλγύνω δοτικῇ. καὶ τὸ ἀλγῦνον.

Ἀλδῆσκος ὄνομα ποταμοῦ.

ἀλδήσκω τὸ αὐξάνω.

ἀλέα θέρμη, ἔλλαμψις· "πυρὰ δὲ ἀνεκαίετο, ὡς ἅμα μὲν φῶς ἅμα δὲ ἀλέα παριοῦσιν ἦν· κρύος γὰρ ἦν" ⟨Priscus Exc. leg. p. 184⟩.

ἀλεάζειν ἐκκλίνειν.

ἀλεαίνοιμι θερμαινοίμην· "ἔπειθ' ἵν' ἀλεαίνοιμι τοῦτ' ἠμπισχόμην" Ἀριστοφάνης ⟨Eccl. 562⟩.

ἀλεαίνωσιν ἀντὶ τοῦ θερμαίνοιντο· "πῦρ ἀνέκαυσαν, ὅπως αὐτοί τε ἀλεαίνωσι καὶ τοῖς Ῥωμαίοις κατὰ χώραν μένειν δόξαν παράσχωσιν."

Ἀλέας πόλις Θεσσαλική. οἱ δὲ πολῖται Ἀλεῖς. Harp.

ἀλέγοις ἀρήγοις, βοηθοίης· "ἀλέγοις δ' ἀνέρι καὶ πενίην" ⟨AP 6 245⟩.

ἀλέγω. σημαίνει καὶ τὸ φροντίζω. Ὅμηρος ⟨Λ 389⟩ "οὐκ ἀλέγω, ὡς εἴ με γυνὴ βάλῃ."

ἀλεεινός θερινός, θερμός. Ξενοφῶν ⟨Anab. 4 4 11⟩ "χιόνος δὲ ἐπιπεπτωκυίας ὄκνος ἦν πολὺς ἀνίστασθαι. κατακειμένων δὲ ἀλεεινὸς ἦν ὁ χειμών, ὅτῳ μὴ παραρρυείη."

ἀλεείνω ἐκκλίνω.

ἀλεία ἡ ἄγρευσις.

ἀλείατα ⟨Hom. υ 108⟩ τὰ ἄλευρα.

ἄλειμμα ἐκ τοῦ ἀλείφω, ἄλιμα δὲ βοτάνη.

ἄλειον τὸ τοῦ ἡλίου ἱερὸν κατὰ Ῥοδίους. σημαίνει δὲ καὶ ὕδωρ. καὶ Ἀλεῖος ὁ Ζεύς.

Ἀλειπής πηγὴ ἐν Ἐφέσῳ.

ἀλεῖπται οἱ πρὸς τοὺς ἀγῶνας ἐπασκοῦντες· ὁ θεολόγος "ἀλεῖπται τῆς ἀρετῆς." καὶ ἀλείπτης ὁ ἀγωνοθέτης ⟨Gregor. Naz. or. 20 p. 319 C⟩.

ἀλειπτόν ἐσκευασμένον θυμίαμα.

ἀλείς ⟨Hom. Π 403⟩ ἀντὶ τοῦ συσταλείς, καὶ ἀλεῖς ἀντὶ τοῦ ἀλέες· "ἀλεῖς σοφιστάς."

ἄλεισον τὸ ποτήριον.

ἀλεῖται πηδήσει· "καὶ χωλὸς ὡς ἔλαφος ἀλεῖται" ⟨Iesaias 35 6⟩.

ἀλειτεία ἡ ἁμαρτία.

ἀλείτης. τὸ μὲν διὰ διφθόγγου σημαίνει τὸν ἁμαρτωλόν, τὸ δὲ διὰ τοῦ η σημαίνει τὸν πλανήτην. ἀλιτρός δὲ διὰ τοῦ ι.

ἀλείφατι ἐλαίῳ, ἢ ἑτέρῳ ἀλείμματι. κανὼν ὅτι τὰ παρὰ τὸ ἀλείφω, εἰ μὲν διὰ τοῦ π ἐκφέρονται, καὶ διὰ διφθόγγου γράφονται, οἷον ἀλειπτόν ἀλείπτης· εἰ δὲ διὰ τοῦ φ, εἰ μὲν ὦσι σύνθετα, διὰ τοῦ ι γράφονται, πισσαλιφής ἀνηλιφής, εἰ δὲ ἁπλᾶ, διὰ τῆς ει διφθόγγου, οἷον ἄλειφαρ.

ἀλείψας, αἰτιατικῇ, διεγείρας, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν. "εἰς καρτερίαν ἀλείφων τοὺς ἀδικουμένους."

ἀλεκινός ⟨an ἄλκιμος⟩ ὁ δυνατός.

ἀλεκτορίδες αἱ θήλειαι ὄρνις. "καὶ τὰς ἀλεκτορίδας δὲ αὐτὰς ἀπέκτειναν τοῦ μὴ κελαδούσας καὶ ᾀδούσας ἐπὶ τοῖς ᾠοῖς μηνῦσαι τὸν μοιχόν." καὶ ἀλεκτοριδεύς ὁ τοῦ ἀλέκτορος.

ἄλεκτρα καὶ ἄνυμφα ἀντὶ τοῦ παράνομα καὶ οὐ νενομισμένα διὰ τὴν μοιχείαν. τουτέστι δύσλεκτρα καὶ κακόνυμφα. Σοφοκλῆς ⟨El. 492⟩ "ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβη μιαιφόνων γάμων ἁμιλλήματα."

ἀλεκτρυόνα ἀθλητὴν Ταναγραῖον. ᾄδονται δὲ εὐγενεῖς οὗτοι. "ἀφίησι τῷ Ἀσκληπιῷ ἀνάθημά τε καὶ ἄθυρμα εἶναι, οἱονεὶ θεράποντα καὶ οἰκέτην περιπολοῦντα τῷ νεῷ, τὸν ὄρνιν ὁ Ἀσπένδιος ἐκεῖνος" ⟨Aelianus?⟩. καὶ παροιμία "ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν. ταχὺ γὰρ καθέψεις τἀργύριον" ⟨A Vesp. 826⟩.

ἀλέκτωρ πίνει καὶ οὐκ οὐρεῖ· μυξὸς οὐ πίνει καὶ οὐρεῖ. λέγεται ἡ ἐπῳδὴ αὕτη εἰς δυσουρίαν ὄνου. cf. v. μύξος.

ἀλέξαι βοηθῆσαι, ἀλλέξαι δὲ ἐπιλέξαι.

Ἀλεξάνδρεια ὄνομα πόλεως. καὶ ὁ πολίτης Ἀλεξανδρεύς. καὶ Ἀλεξάνδρειος.

Ἀλεξανδρέων φονοκτονία. ζήτει ἐν τῷ Ἀντωνῖνος.

Ἀλέξανδρος Αἰγαῖος, φιλόσοφος περιπατητικός, διδάσκαλος Νέρωνος τοῦ βασιλέως ἅμα Χαιρήμονι τῷ φιλοσόφῳ. υἱὸν δὲ ἔσχε Καίλιον ὄνομα. οὗτος ἐκάλει τὸν Νέρωνα πηλὸν αἵματι πεφυρμένον. κακῶν μαθητῶν, ὡς οἶμαι, κακίονες οἱ διδάσκαλοι· διδακτὴ γὰρ ἀρετή, καὶ κακία ἀσκητή. ἔστι δὲ καὶ ἕτερος Ἀλέξανδρος Ἀφροδισιεὺς φιλόσοφος, καὶ ἄλλος ὁ Νουμηνίου σοφιστής, καὶ ἄλλος Κλαύδιος χρηματίσας σοφιστής,

καὶ ἕτερος ὁ Κασίλωνος σοφιστής, ἀδελφὸς Εὐσεβίου τοῦ σοφιστοῦ, μαθητὴς δὲ Ἰουλιανοῦ. καὶ ἄλλος Ἀλέξανδρος Ἀλεξάνδρου δικηγόρου, Κίλιξ Σελευκεύς, σοφιστής, ὃς ἐπεκλήθη πηλοπλάτων.

b Ἀλέξανδρος Αἰτωλὸς ἐκ πόλεως Πλευρῶνος, υἱὸς Σατύρου καὶ Στρατοκλείας, γραμματικός. οὗτος καὶ τραγῳδίας ἔγραψεν, ὡς καὶ τῶν ἑπτὰ τραγικῶν ἕνα κριθῆναι οἵπερ ἐπεκλήθησαν ἡ Πλειάς.

c Ἀλέξανδρος Ἀντιοχείας ἐπίσκοπος, ἐπὶ Ἰωάννου τοῦ Χρυσοστόμου, ὃς συμβαίνουσαν εἶχε τῇ ἀρχιερωσύνῃ τὴν πολιτείαν· ἐν ἀσκητικῇ γὰρ παλαίστρᾳ τὸν πρὸ τῆς ἐπισκοπῆς διατελέσας χρόνον καὶ γυμνασάμενος ἐπὶ πλεῖστον ὤφθη γενναῖος ἀγωνιστής, καὶ λόγῳ παιδεύων καὶ βεβαιῶν τῷ βίῳ τὸν λόγον. ὃς Πορφύριον διεδέξατο. ἐκεῖνος μὲν οὖν τῇ πυκνότητι διέπρεπε τῶν φρενῶν, ὁ δὲ Ἀλέξανδρος ἀσκήσει καὶ φιλοσοφίᾳ καὶ ἀκτήμονι βίῳ καὶ τῷ ῥεύματι τῆς γλώττης καὶ μυρίοις ἑτέροις πλεονεκτήμασι χάριτος. Theodoret. h. eccl. 5 35.

d Ἀλέξανδρος Ἱεραπόλεως ἐπίσκοπος καὶ μάρτυς ἔγραψε, τί καινὸν εἰσήνεγκε Χριστὸς εἰς τὸν κόσμον. κεφάλαια ϑ', λόγος νοημάτων γέμων.

e Ἀλέξανδρος ὁ Μαμαίας σὺν τῇ μητρὶ ἄρξας ὑπ' ἐκείνῃ πάντα διῴκει, ἥτις πανταχόθεν ἐφρούρει τὴν ἀρχήν. δικάζειν τε οὖν αὐτὸν ἔπειθεν ἐπὶ πλεῖστον, ὡς ἂν ἐν τούτοις ἀσχολούμενος μὴ ἔχοι καιρὸν ἐς τὸ ἐπιτηδεύειν τι τῶν ἁμαρτημάτων. ὑπῆρχε δὲ αὐτῷ καὶ φυσικὸν ἦθος πρᾶον καὶ ἥμερον ἔς τε τὸ φιλάνθρωπον πάνυ ἐπιρρεπές. ἐς τεσσαρεσκαιδέκατον οὖν ἔτος ἄρξας τῆς βασιλείας ἀναιμωτὶ ἦρξε, καίτοι τινῶν μεγίσταις αἰτίαις ὑποπεσόντων, ὡς μετὰ τὴν Μάρκου τελευτὴν τὴν βασιλείαν θαυμάζειν Ἀλεξάνδρου. ᾐτιᾶτο δὲ καὶ τὴν μητέρα, καὶ πάνυ ἤσχαλλεν ὁρῶν αὐτὴν φιλοχρήματον οὖσαν καὶ πολλὰ ἐξ ἐπηρειῶν θησαυρίζουσαν. πολλὰ δὲ ἐπ' αὐτῆς ἠναγκάζετο πράττειν· ἦρχε γὰρ αὐτοῦ ὑπερβαλλόντως ἡ μήτηρ, ἥτις ἀπῆγε τῶν αἰσχρῶν καὶ ἀπρεπῶν τοῖς βασιλεῦσιν ἔργων, διδασκάλους τε πάσης παιδείας λάθρᾳ μετεπέμπετο. ὃ δὲ παλαίστραις τε καὶ γυμνασίοις ἔχαιρε, καὶ τοὺς διδασκάλους ἀπεσόβει, ἐς τοσοῦτον δὲ ἐξώκειλεν ὡς δὴ πάντα τὰ ἀπὸ τῆς σκηνῆς καὶ τῶν δημοσίων θεάτρων μεταγαγεῖν ἐπὶ τὰς ἀρχὰς τὰς μεγίστας. διὰ τοῦτο ἐμυσάττοντο αὐτόν. Io. Antioch. Exc. Peiresc. p. 830.

Ἀλέξανδρος ὁ Μιλήσιος, ὃς πολυίστωρ f ἐπεκλήθη καὶ Κορνήλιος, διότι Κορνηλίῳ Λεντούλῳ αἰχμαλωτισθεὶς ἐπράθη καὶ αὐτῷ παιδαγωγὸς ἐγένετο, εἶτα ἠλευθερώθη. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ τῶν Σύλλα χρόνων καὶ ἐπὶ τάδε. ἀνῃρέθη δὲ ἐν Λαυρενταῖς, ὑπὸ πυρὸς τῆς οἰκίας φθαρείσης· καὶ ἡ γυνὴ αὐτοῦ Ἑλένη μαθοῦσα τὸ συμβὰν ἀπήγξατο. ἦν δὲ γραμματικὸς τῶν Κράτητος μαθητῶν. οὗτος συνέγραψε βιβλία ἀριθμοῦ κρείττω, καὶ περὶ Ῥώμης βιβλία πέντε. ἐν τούτοις λέγει ὡς γυνὴ γέγονεν Ἑβραία Μωσώ, ἧς ἐστι σύγγραμμα ὁ παρ' Ἑβραίοις νόμος.

Ἀλέξανδρος ὁ Φιλίππου καὶ Ὀλυμπιάδος, βασιλεύσας Μακεδόνων ἀπὸ ἐνιαυτῶν ιη', τελευτήσας δὲ ἐτῶν λγ' (Arrian. 7 28). g οὗτος ἦν τό τε σῶμα κάλλιστος καὶ φιλοπονώτατος καὶ ὀξύτατος τὴν γνώμην, ἀνδρειότατος καὶ φιλοτιμότατος καὶ φιλοκινδυνότατος καὶ τοῦ θείου ἐπιμελέστατος, ἡδονῶν τε τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης ἐπαίνου μόνου ἀπληστότατος, ξυνιδεῖν δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος, καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος, καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι δαημονέστατος, καὶ πρὸς πᾶν καλὸν ἐπιτηδειότατος. πρὸς τούτοις ἦν ἐπιεικὴς καὶ θεοσεβής· ὀργισθεὶς γάρ ποτε Θηβαίοις ἐπὶ τοσοῦτον ὥστε τοὺς μὲν οἰκήτορας ἐξανδραποδίσασθαι τὴν δὲ πόλιν εἰς ἔδαφος κατασκάψαι, τῆς γε πρὸς τοὺς θεοὺς εὐσεβείας οὐκ ὠλιγώρησε περὶ τὴν κατάληψιν τῆς πόλεως, ἀλλὰ πλείστην ἐποιήσατο πρόνοιαν ὑπὲρ τοῦ μηδ' ἀκούσιον ἁμάρτημα γενέσθαι περὶ τὰ ἱερὰ καὶ καθόλου τὰ τεμένη.

ὅτι τὸ μεγαλήγορον τοῦ Ἀλεξάνδρου οὐχ ὑπέρογκον μᾶλλόν τι ἢ εὐθαρσὲς ἐν τοῖς κινδύνοις ἐφαίνετο. Ῥωξάνης δὲ ἠράσθη τῆς Ὀξυάρτου τοῦ Βακτριανοῦ, ἣν δὴ καλλίστην τῶν Ἀσιανῶν γυναικῶν λέγουσιν ὀφθῆναι οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες μετά γε τὴν Δαρείου γυναῖκα. καὶ ταύτην ἰδόντα Ἀλέξανδρον εἰς ἔρωτα ἐλθεῖν αὐτῆς, ἐρασθέντα δὲ οὐκ ἐθελῆσαι ὑβρίσαι καθάπερ αἰχμάλωτον, ἀλλὰ γῆμαι γὰρ οὐκ ἀπαξιῶσαι. καὶ τοῦτο γὰρ ἐγὼ Ἀλεξάνδρου ἐπαινῶ μᾶλλόν τι ἢ μέμφομαι. καίτοι τῆς

γε Δαρείου γυναικός, ἣ καλλίστη δὴ ἐλέγετο τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν, ἢ οὐκ ἦλθεν εἰς ἐπιθυμίαν, ἢ καρτερὸς αὐτοῦ ἐγένετο νέος τε ὢν καὶ τὰ μάλιστα ἐν ἀκμῇ τῆς εὐτυχίας, ὁπότε ὑβρίζουσιν ἄνθρωποι. ὃ δὲ κατηδέσθη τε καὶ ἐφείσατο, σωφροσύνῃ τε πολλῇ διαχρώμενος καὶ δόξης ἅμα ἀγαθῆς οὐκ ἀτόπῳ ἐφέσει. καὶ τοίνυν καὶ λόγος κατέχει ἀποδράντα ἐλθεῖν πρὸς Δαρεῖον τὸν εὐνοῦχον τὸν φύλακα αὐτῷ τῆς γυναικός· καὶ τοῦτον ὡς εἶδεν ὁ Δαρεῖος, πρῶτα μὲν πυθέσθαι εἰ ζῶσιν αὐτῷ αἱ παῖδες καὶ οἱ υἱοὶ καὶ ἡ γυνὴ καὶ ἡ μήτηρ, ὡς δὲ ζώσας τε ἐπύθετο καὶ βασίλισσαι ὅτι καλοῦνται, καὶ περὶ τῆς θεραπείας, καὶ ὡς σωφρονεῖ ἡ γυνὴ αὐτοῦ, ἐπὶ τούτοις ἀνατεῖναι τὸν Δαρεῖον εἰς τὸν οὐρανὸν τὰς χεῖρας, καὶ εὔξασθαι ὧδε "ἀλλ' ὦ Ζεῦ βασιλεῦ, ὅτῳ ἐπιτέτραπται τὰ βασίλεια πράγματα νέμειν ἐν ἀνθρώποις, σὺ νῦν μάλιστα μὲν ἐμοὶ φύλαξον Περσῶν τε καὶ Μήδων τὴν ἀρχήν, ὥσπερ οὖν καὶ ἔδωκας· εἰ δὲ δὴ ἐγὼ οὐκέτι σοι βασιλεὺς τῆς Ἀσίας, σὺ δὲ μηδενὶ ἄλλῳ ὅτι μὴ Ἀλεξάνδρῳ παραδοῦναι τὸ ἐμὸν κράτος." οὕτως οὐδὲ πρὸς τῶν πολεμίων ἄρα ἀμελεῖται ὅσα σώφρονα ἔργα. οὕτω φησὶν Ἀρριανός ⟨4 19⟩. Νέαρχος δέ φησιν ὅτι χαλεποὶ αὐτῷ τῶν φίλων ἐγένοντο ὅσοι ἐκάκιζον αὐτὸν ἀρρωστοῦντα ὅτι αὐτὸς πρὸ τῆς στρατιᾶς κινδυνεύοι· οὐ γὰρ στρατηγοῦ ταῦτα ἀλλὰ στρατιώτου εἶναι. καί μοι δοκεῖ ἄχθεσθαι Ἀλέξανδρος τοῖσδε τοῖς λόγοις, ὅτι ἀληθεῖς τε ὄντας ἐγίνωσκε καὶ αὐτὸν ὑπαίτιον τῇ ἐπιτιμήσει, καὶ ὅμως ὑπὸ μένους τε τοῦ ἐν ταῖς μάχαις καὶ τοῦ ἔρωτος τῆς δόξης, καθάπερ οἱ ἄλλης τινὸς ἡδονῆς ἐξηττώμενοι, οὐ καρτερὸς ἦν ἀπέχεσθαι τῶν κινδύνων.

ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν θαυμαστὸν βίον ἐβίωσε, πίστιν δὲ τοῖς εἰρημένοις ἐχέγγυον ἡ τῶν ἀγώνων παρέσχε πρᾶξις. οὐδὲ γὰρ ἔστιν εὑρεῖν ἐν παντὶ τῷ τοῦ κόσμου κύκλῳ ἕνα ἄνδρα τοσούτοις κατορθώμασι πλεονεκτοῦντα. τοῖς τε γὰρ ἀρίστοις συμφοιτήσας ἀνδράσιν εἰς λόγους οὐ μείων τῶν εἰς ἄκρον ἐπαινουμένων εὑρέθη, πρός τε τὰ πολέμια διελθὼν θαυμαστὰ μᾶλλον ἢ πειθοῦς ἄξια διεπράξατο. καὶ πρὸς Δαρεῖον τὸν Περσῶν βασιλέα συνάψας πόλεμον τοῦτον κατὰ κράτος νικᾷ, κἀκεῖνος αἰτεῖται εἰς διαλλαγὰς ἐλθεῖν καὶ δοῦναι αὐτῷ καὶ τὴν θυγατέρα Ῥωξάνην πρὸς γάμου κοινωνίαν. ὁ αὐτὸς πάντα τὰ ἔθνη καταστρεψάμενος διεφθάρη τὸν νοῦν καὶ πρὸς τὰς τοῦ σώματος ἡδονὰς διωλίσθησε, Περσικὴν στολὴν ἐνδυσάμενος, μυρίοις δὲ νέοις δορυφορούμενος, τριακοσίαις τε παλλακαῖς χρώμενος, ὡς τὴν Μακεδονικὴν πᾶσαν τῶν βασιλέων συνήθειαν ἐς Πέρσας μεταρρυθμίσαι καὶ τῶν ἰδίων τινὰς διαβληθέντας ἀνελεῖν. ὕστερον δὲ εἰς Ἰνδίαν ἀφικόμενος ὑπὸ Κανδάκης τῆς βασιλίσσης συνελήφθη ἐν ἰδιώτου σχήματι, καὶ εἶπεν αὐτῷ "Ἀλέξανδρε βασιλεῦ, τὸν κόσμον παρέλαβες, καὶ ὑπὸ γυναικὸς συνεσχέθης;" καὶ εἰρήνην πρὸς αὐτὴν ἐποιήσατο, καὶ τὴν χώραν αὐτῆς ἀβλαβῆ διεφύλαξεν. Malalas p. 194.

ὅτι ὁ αὐτὸς ὀκτακοσίοις ἀνδράσιν ἐνέτυχεν ὑπὸ Περσῶν πάλαι ἐν Ἑλλάδι ληφθεῖσιν, ἠκρωτηριασμένοις τὰς χεῖρας, οὓς μεγάλαις δωρεαῖς ἐφιλοφρονήσατο καὶ παρεμυθήσατο. εἰς δὲ τὴν λίμνην τὴν ἐν Ἀλεξανδρείᾳ ⟨Βαβυλῶνι Appian. Syr. 56⟩ ἀφικόμενος τὸ διάδημα ἀπέβαλεν ὄμβρου πολλοῦ καταρραγέντος, καὶ μόλις ἐπὶ τὴν γῆν διενήξατο. καὶ ὑπὸ Κασάνδρου τοῦ ἰδίου στρατηγοῦ φάρμακον δεξάμενος ἐσπαράχθη, καὶ οὕτως ἐπὶ τοσούτοις κατορθώμασι τὸν βίον μετήλλαξεν.

ἀλέξασθαι ἐπαμύνειν. Ξενοφῶν ⟨Anab. 3 4 33⟩ "πολὺ γὰρ διέφερεν ἐκ χώρας ὁρμωμένους ἀλέξασθαι ἢ προπορευομένους ἐπιοῦσι τοῖς πολεμίοις μάχεσθαι."

ἀλέξειν ἀποτρέπειν.

ἀλεξήσοντα ⟨Hom. Z 109⟩ βοηθήσοντα.

ἀλεξητῆρα ⟨Hom. Υ 396⟩ βοηθόν.

ἀλεξιάρη γῆ ἡ τοῖς ἀνδράσι βοηθοῦσα.

ἀλεξιβέλεμνον τὸν τὰ βέλη ἀπερύκοντα. ἐν ἐπιγράμματι ⟨AP 6 81⟩ "καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα."

ἀλεξίκακον ἀλεξιφάρμακον, ἀντιφάρμακον, κακίας καθαρτικὸν καὶ θεραπευτικόν. καὶ ἀλεξίκακε, τουτέστιν ἀποτρόπαιε, ὁ τὰ δεινὰ ἀπείργων.

Ἄλεξις Θούριος κωμικὸς ἐδίδαξε δράματα σμέ, γέγονε δὲ πάτρως Μενάνδρου τοῦ κωμικοῦ, ἔσχε δὲ υἱὸν Στέφανον καὶ αὐτὸν κωμικόν.

ἀλεξιφάρμακα ἀλεξητήρια φαρμάκων. Μένανδρος Παιδίῳ "Ἐφέσια τοῖς γαμοῦσιν οὗτος περιπατεῖ λέγων ἀλεξιφάρμακα."

ἀλεξόμενον ἀμυνοῦντα, τὸν κακῶς ἄρξαντα κακῶσαι θέλοντα· "καθάπερ ἐπὶ τῶν

κατ' ἰδίαν ἀδικημάτων οἱ νομοθέται καὶ διτασταὶ πάσας τὰς τῶν συμβαινόντων βλάβας οὐκ ἐπὶ τὸν ἀλεξόμενον ἀλλ' ἐπὶ τὸν ἄρχοντα χειρῶν ἀδίκων ἀναφέρουσι." καὶ ἀλεξομένους παρὰ Ἡροδότῳ (1 211) ἀντὶ τοῦ ἀμυνουμένας ἢ ἐπιβοηθοῦντας· "τριτημορὶς δὲ τῶν Μασσαγετῶν τοὺς περιλειφθέντας τῆς Κύρου στρατιᾶς ἀλεξομένους ἐφόνευε." καὶ αὖθις "εὔχετο δὲ ὁ Κῦρος τοσοῦτον ὑπερζῆν, ἔστε νικῴη τοὺς εὖ καὶ κακῶς ποιοῦντας ἀλεξόμενος." καὶ ἀλέξασθαι κωλύειν, ἀπείργειν· "οἱ δὲ ἵπποι οὐκ ἦσαν αὐτῷ χρήσιμοι ἐς τὸ φεύγειν σὺν αὐτοῖς ἢ ἐπελαύνοντας ἀλέξασθαι τοὺς πολεμίους" (X Anab. 1 9 11).

ἀλέοιμι ἀντὶ τοῦ θερμαίνοιμι Ἀριστοφάνης.

ἀλετρεύουσιν ἀλήθουσιν.

ἀλετρίβανος οἱ μὲν δασέως, παρὰ τὸ τοὺς ἅλας τρίβειν, οἱ δὲ ψιλῶς, παρὰ τὸ ἀλεῖν. καὶ δοῖδυξ μὲν Ἀττικόν, ἀλετρίβανος δὲ Ἀσιανόν. λέγεται δὲ καὶ ἀλότριψ· (AP 6 306) "καὶ τοῦτον δικάρανον ἀλότριβα." καὶ ἀλετρὶς ἡ μυλωθρὸς παρὰ Καλλιμάχῳ.

Ἀλευάδαι οἱ ἐν Λαρίσῃ τῆς Θετταλίας εὐγενίστατοι, ἀπὸ Ἀλεύου βασιλέως τὸ γένος ἔχοντες.

ἀλευε· Ἴωνες τὸ φύλαξαι οὕτως λέγουσι. καὶ παροιμία "ἄλευ' ἀπὸ μείζονος ἀνδρός."

ἀλεύετο ἐξέφευγεν.

ἀλευρότησις τὸ λεπτὸν τοῦ ἀλεύρου, ἡ πασπάλη παρὰ πολλοῖς λεγομένη.

ἀλεωρή ἔκκλισις καὶ φυλακή· "πολλοὶ δὲ ὑπὸ χιόνος ἀπέθανον, καὶ οὐδ' ἡτισοῦν ἀλεωρὴ ἦν, ἑκάστων ἑαυτοὺς διασώζειν ἱκανὸν ἡγουμένων."

ἄλη ἡ πλάνη· "ὃ δὲ οὐδένα αὐτοῦ ᾤετο··· φράττεσθαι τοῦ οἴκου" (cf. v. Ἁρμάτος). ἐν ἐπιγράμματι (AP 6 90) "ἀλὸς τύραννε σοὶ Πόσειδον Ἀρχικλῆς ἔθηκε, λήξας τῆς ἀπ' ἠόνων ἄλης." καὶ ἀλήτης βίος, διὰ τοῦ η.

ἀλήθεια, καὶ ἀληθής. ἀληθῆ καὶ τὰς ἀληθείας πληθυντικῶς λέγουσι· Μένανδρος Ἀφροδισίῳ "εἰ τὰς ἀληθείας ἁπλῶς τίς σοι λέγει." ἀλήθεια δέ ἐστι θείων τε καὶ ἀνθρωπίνων ἡγεμών.

ἄληθες ἀντὶ τοῦ ὄντως. ἀξιοῦσι δὲ ὀξύνειν τὴν πρώτην, ὅταν τοῦτο δηλοῖ τὸ ἐν ἐπερωτήσει λεγόμενον, οἷον ὄντως. "ἄληθες ὦ παῖ τῆς ἀρουραίας θεοῦ;" Αἰσχύλος φησὶ πρὸς Εὐριπίδην (A Ran. 848). ἀληθὲς δὲ τὸ ἀντιδιαστελλόμενον τῷ ψεύδει.

ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ, παροιμία ἐπὶ τῶν ἀληθῶν μὲν οὐ πιστευομένων δέ. Σάγρα γὰρ τόπος τῆς Λοκρίδος. Λοκροὺς δέ φασι τοὺς ἐπιζεφυρίους πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους· τῶν δὲ στρατὸν μὲν οὐκ ἔχειν φησάντων, διδόναι δὲ αὐτοῖς τοὺς Διοσκόρους, τοὺς Λοκροὺς οἰωνισαμένους τὸ κερτομηθὲν τήν τε ναῦν ἀποστρέψαι καὶ δεηθῆναι τῶν Διοσκόρων συμπλεῖν αὐτοῖς. νικησάντων δὲ αὐτῶν αὐθημερόν, καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην, τὸ μὲν πρῶτον ἀπιστηθῆναι, ἐπεὶ δὲ εὑρέθη ἀληθῆ, ἐπιλέγειν τοῖς ἀληθεστάτοις μὲν οὐ πιστευομένοις δέ. ἀληθέστερα οὖν τῶν ἐπὶ Σάγρᾳ, ἐπὶ τῶν πάνυ ἀληθευόντων. λέγεται γὰρ τὴν περὶ τῆς νίκης φήμην αὐθημερὸν ἀπὸ Ἰταλίας ἐλθεῖν εἰς τὴν Σπάρτην· ὅθεν καὶ εἰς παροιμίαν ἐξενεχθῆναι τὸν λόγον ἐπὶ τῶν ἀληθινῶν πραγμάτων. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ.

ἀληθίζω τὰ ἀληθῆ λέγω. καὶ ἀληθινὸς ὁ ἀληθής.

ἀληθινὸς ἔρως ὁ μὴ περὶ κάλλη σώματος ἐπτοημένος. (Damasc. Phot. p. 346 a) "ἀληθινὸς ἔρως ἐμφύεται αὐτῷ τῆς φιλοσοφίας, καὶ πάντα γηγενῆ δεσμὸν ἀπορρήξας, ἐλπίδας τε πάσας τιμῶν τε καὶ χρημάτων καταπατήσας, ἀφικνεῖται πρὸς Πρόκλον."

ἀλήθω τὸν σῖτον.

Ἀλήιον τὸ πεδίον (Hom. Z 201), καὶ ἀλήιος ὁ πλανητικός.

Ἄληκος ποταμός.

ἄληκτα. τὰ ἀμέριστα μὲν κοινὰ δὲ πρός τινα ὄντα, πρὶν ἢ διανεμηθῆναι, ἄληκτα λέγεται.

ἀληλεσμένον· Θουκυδίδης (4 26) "σῖτόν τε ἀληλεσμένον τὸν βουλόμενον ἀργυρίου πολλοῦ ὠνήσασθαι." καὶ ἀληλεσμένον βίον οἱ μὲν ἐπὶ τῶν βαλανίτῃ βίῳ χρωμένων ἐδέξαντο, οἱ δὲ ἐπὶ τῶν ἀταλαιπώρως βιούντων, οἷον κατειργασμένον, πρὸς τροφὴν ἕτοιμον.

ἀληλεσμένος βίος ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων. ἄλλη δὲ παροιμία φησὶν "οὐ γὰρ ἄκανθαι." ἔοικε δὲ ὑπομιμνήσκειν τὴν τοῦ βίου μεταβολήν, ἀγρίου καὶ ἀκανθώδους πρότερον ὄντος, πρὶν ἐπιμέλειαν

τῆς γῆς καὶ τῶν σπερμάτων γενέσθαι. ὅθεν ἀπὸ τῆς ὕστερον ἐπιμελείας ῥηθῆναι τὸ ἀληλεσμένον βίον. cf. v. βίος ἀκανθώδης.

ἀληλιμμένος ἐκ τοῦ ἀλείφω.

ἄλημα παραλογιστικὸν πανούργημα ἢ ἐπίτριμμα. ⟨S. Ai. 388⟩ "πῶς ἂν τὸν αἱμυλώτατον, ἐχθρὸν ἄλημα, τούς τε δισσάρχας βασιλεῖς ὀλέσας τέλος θάνοιμι καὐτός;" ⟨380⟩ "ὦ τέκνον Λαερτίου, κακοπινέστατόν τ' ἄλημα στρατοῦ, ἦ πȣ πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις." ἀντὶ τοῦ πανοῦργε καὶ περίεργε. κακοπινέστατον δὲ κακόηθες.

ἀλήμεναι συναθροισθῆναι.

Ἄληξ ὄνομα ποταμοῦ.

ἄληπτος ἀκράτητος· ⟨Ioseph. A. I. 5 8 11⟩ "εἰπὼν τὴν αἰτίαν ἀφ' ἧς ἄληπτός ἐστι τοῖς ἐχθροῖς." Ἀριστοφάνης.

ἄληπτος ὁ ἀκατάληπτος. ἀλήπτως δὲ ἀκαταγνώστως.

ἄληστος ἀλάθητος.

ἀλῆται πλανῆται. Αἰλιανός "οἱ δὲ ὑπὸ Ῥωμαίων ἐκτριβέντες διεξάνθησαν, ἀλῆται δεῦρο καὶ ἐκεῖσε τὸ ζῆν τελοῦντες."

ἀλητεύω πλανητεύω, καὶ ἀλητεία ἡ πλάνη.

ἀλήτης ὁ πλανήτης· "ἀλήτην βίον τρίβοντας ἤθροισε," καὶ αὖθις "ἀλήτας καὶ φυγάδας ἀποφήναντες." ἀλῆτις δὲ θηλυκὸν ἡ πλανῆτις.

Ἀλθαία ὄνομα κύριον. κατὰ δὲ ἰατρȣ̀ς ἀγρία μαλάχη.

ἀλθαίνοντα ἰώμενον, θεραπεύοντα· "νοσοῦσαν ἀλθαίνοντα."

Ἄλθαινος ὄνομα ποταμȣ̃. Etym. M. p. 63.

Ἀλθηφιάς ἡ ἄμπελος ἀπὸ Ἀλθηφίου τινός, καὶ Ἀνθηδονιὰς καὶ Ὑπεριὰς ἀπὸ Ὑπέρου καὶ Ἀνθηδόνος. χρησμός "πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις ȣ̓δ' ἱερὰν Ὑπέραν, ὅθι τ' ἄτρυγον οἶνον ἔπινες." Athen. p. 31 B.

ἀλία πορεία.

ἀλιάδας μικρὰ σκαφίδια.

ἁλιακὴ ἁλιευτική.

ἁλίαρος ὁ ἠρτυμένος ἅλατι.

Ἁλιάρτας ἀπὸ Ἁλιαρτίας χώρας.

ἀλίαστος ὁ μὴ ἐκφεύγων.

ἀλίβας ὁ νεκρός, ἢ ποταμὸς ἐν Ἅδου. λέγεται ἀλίβας καὶ τὸ ὄξος, ἀπὸ τοῦ μὴ λείβεσθαι, ὅτι νενεκρωμένος οἶνός ἐστιν.

ἀλιβδύειν κρύπτειν.

ἁλίβρωτος ὁ ἅλας ἐσθίων.

ἁλιγενής ὁ ἐν θαλάσσῃ γεννηθείς.

Ἀλιγέρνης ὄνομα κύριον. "τούτου τοῦ Γότθου βέλη ἀφιέμενα ῥοίζῳ τε πολλῷ καὶ ταχυτῆτι οὐ σταθμητῇ ἐφέρετο, ὡς εἴπερ ἐς λίθον τινὰ ἐμπέσοιεν ἤ ἕτερόν τι σκληρὸν καὶ ἀτέραμνον, διαρρήγνυσθαι ἅπαν τῇ βίᾳ τῆς ῥύμης. Ῥωμαῖον ἄν τινα ἰδὼν τεθωρακισμένον ἀφίησι βέλος αὐτῷ ἐκ τοῦ μετεώρȣ, καὶ αὐτίκα διεπερόνησε τὸν ἄνδρα αὐτῷ θώρακι καὶ ἀσπίδι. οὕτω δή τι δυνάμει τε τῶν πολλῶν περιῆν καὶ καρτεραὶ αὐτῷ ἐρύσαι τόξον αἱ χεῖρες." Ἀγαθίας φησίν ⟨1 9⟩.

ἁλίγκιος ὅμοιος.

ἁλιεύεσθαι τὸ ἁλιεύειν. λέγουσι δὲ καὶ ὡς ἡμεῖς. cf. v. ἀσπαλία.

ἁλιεύς ἁλιέως. καὶ ἁλιεῖς καὶ ἐπὶ ποταμῶν· "ἐκ τῶν πέριξ πόλεων ἐς τὴν τεταγμένην τῇ ἀναγωγῇ ἡμέραν ἠθροισμένοι ἁλιεῖς ἐφειστήκεισαν" Ἀρριανός φησι. καὶ παροιμία "ἁλιεὺς πληγεὶς νοῦν οἴσει." ἁλιεὺς τȣ̀ς ἁλισκομένȣς ἰχθύας μετεχειρίζετο, καί ποτε ὑπ' αὐτῶν πληγεὶς νοῦν οἴσω φησίν. ὁμοία ἐστὶ τῷ "ῥεχθὲν δέ τε νήπιος ἔγνω."

ἁλιζώνου τῆς ὑπὸ θαλάσσης περιεζωσμένης· ⟨AP 7 218⟩ "Λαΐδ' ἔχω πολιῆτιν ἁλιζώνοιο Κορίνθου."

ἀλίζωστις εἶδος βοτάνης θαλασσίας.

ἁλίη ἡ θαλασσία.

ἁλιήτορες οἱ ἁλιεῖς.

ἄλιθον. "ἦν γὰρ οὐ φύσει ἄλιθον οὐδὲ εὔγειον τὸ πεδίον" Ἀρριανός φησιν. cf. v. κολωνός.

Ἁλικαρνασεύς ἀπὸ τόπου.

ἀλικροῦδα παρὰ Ῥωμαίοις ἡ σχεδία τροφὴ καὶ ἄπυρος· κρȣδȣ̀μ γὰρ τὸ ἀνέψητον.

ἀλίμενον τὴν τέλος οὐκ ἔχουσαν οὐδὲ ὅρμον ⟨sch. A Av. 1400⟩.

ἀλιμενότης ⟨X Hell. 4 8 7⟩ τόπος λιμένα μὴ ἔχων.

ἀλίμικτον τὸ πεπασμένον.

ἅλιμον βοτάνη δενδροειδὴς παρὰ θάλασσαν. πληθυντικὰ δὲ τὰ ἅλιμα.

Ἁλιμούσιος. Ἁλιμοῦς δῆμός ἐστι τῆς Λεοντίδος. "λέγεται ὁ Ἀγασικλῆς τοῖς Ἁλιμουσίοις συνδικάσαι, καὶ διὰ τοῦτο ξένος ὢν ἐγγραφῆναι τῇ πολιτείᾳ."

ἁλιμυρήεις ⟨Hom. ε 460⟩ ὁ εἰς θάλασσαν ῥέων.

ἀλινδεῖσθαι κυλίεσθαι, καὶ ἀλινδή-

θρα κυλίστρα, τόπος ἐν ᾧ οἱ ἵπποι κονίονται. Ἀριστοφάνης (Ran. 911) "συσκεδᾶν πολλὰς ἀλινδήθρας ἐπῶν." περὶ Αἰσχύλυ φησίν.

ἀλινήκτειραν τὴν ἐν ἁλσὶ νηχομένην· (AP 6 190) "καὶ ταύτην ἀπέτηλον ἁλινήκτειραν ἐλαίην."

ἀλινηχέος ἐν θαλάσσῃ νηχομένης· ἐν ἐπιγράμματι (AP 6 29) "ἁλινηχέος ὄργανα τέχνης ἄνθετο."

ἀλιξάντοις ταῖς ὑπὸ τῆς ἁλὸς ξαινομέναις· ἐν ἐπιγράμματι (AP 6 89) "ἀκταίης νησῖδος ἁλιξάντοισι χοιράσιν."

ἅλιος ὁ θαλάσσιος, ἢ ὁ μάταιος, ἢ ὁ ἥλιος κατὰ τροπὴν Δωρικήν.

ἀλιπαρῆ ἀντὶ τοῦ αὐχμηράν. ἢ λιπαρῆ, ἐξ ἧς αὐτὸν λιπαρήσομεν· Σοφοκλῆς (El. 450) "κἀμοῦ ταλαίνης μικρὰ μὲν τάδ᾽, ἀλλ᾽ ὅμως ἄχω, δὸς αὐτῷ τήνδ᾽ ἀλιπαρῆ τρίχα καὶ ζῶμα τοὐμόν, οὐ χλιδαῖς ἠσκημένον."

ἀλίπεδον ὁμαλὸν ἔδαφος παρὰ τῇ θαλάσσῃ· τινὲς δὲ τὸν Πειραιᾶ φασίν. ἔστι δὲ καὶ κοινὸς τόπος, ὃς πάλαι μὲν ἦν θάλασσα, αὖθις δὲ γέγονε πεδίον. διὸ καὶ δασυντέον τὴν πρώτην· ἔστι γὰρ οἷον ἁλὸς πεδίον. οἱ δὲ τὸ παραθαλάσσιον πεδίον οὕτω καλοῦσιν. ἄλλοι δὲ παρὰ τὸ δύνασθαι ἐν αὐτῷ ἵππυς ἀλινδεῖσθαι, τουτέστι κονίσασθαι, τὴν ὀνομασίαν λαβεῖν.

ἁλίπλαγκτος. οὕτως καλεῖται ὁ Πάν, ἢ ὅτι ἐβοήθησε τοῖς Ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ, ἢ ὅτι τὸν Τυφῶνα δικτύοις ἤγρευσεν, ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν Πᾶνα ὡς νόμιον θεόν, ἢ ὅτι μεγαλόφωνος ἐν τῇ χορείᾳ ὡς ἁλίβρομος, ἢ ὅτι τῆς Ἠχοῦς ἐρᾷ, πολύηχος δὲ ἡ θάλασσα. ἔστι δὲ ὁ Πὰν χορῶν πρόξενος. sch. S Aj. 695.

ἁλίπλοα ἐν τῇ θαλάσσῃ πλέοντα.

ἁλιρρόθιον κῦμα θαλάσσης· (AP 7 6) "ἀγήραντον στόμα κόσμυ παντὸς ἁλιρροθία, ξεῖνε, κέκευθε κόνις." περὶ Ὁμήρου ὁ λόγος. Ἁλιρρόθιος δὲ υἱὸς Ποσειδῶνος.

ἅλις δαψιλῶς, ἱκανῶς. (Dionys. Hal. fr. 13 2) "ὡς δὲ ἅλις εἶχε ταύτης τῆς τιμωρίας, ἐκέλευσεν αὐτὸν ἄγειν εἰς τὴν πόλιν ὀπίσω τὼ χεῖρε δεδεμένον." Ἀριστοφάνης "ἅλις μοι ἀφύης· παρατέταμαι γὰρ ἐσθίων" ἐν Ταγηνισταῖς φησί. καὶ αὖθις "ἡ δὲ γυνὴ λέγει ἑαυτῇ τῆς τιμῆς καὶ τοῦ γέρως ἅλις ἔχειν."

ἁλίσας συναθροίσας, ἢ κυλίσας, κονίσας. καὶ ἁλίσασα συναθροίσασα· "ἡ δὲ Σεμίραμις ἁλίσασα τὴν δύναμιν τὴν πόλιν αἱρεῖ κατὰ κράτος."

ἀλισγηθὲν ἑστιαθέν, ἢ μισηθέν, ἢ λυπηθέν. καὶ ἀλισγηθεὶς σπιλωθείς.

ἀλισγημάτων (Act. 15 20) μιασμάτων ἐκ μυσαρᾶς τῶν εἰδώλων θυσίας.

ἁλισθεῖεν συναθροισθεῖεν· "ὁ δὲ Πεισίστρατος ἐπιτεχνᾶται ὅπως ἁλισθεῖεν ἔτι οἱ Ἀθηναῖοι" (Herodot. 1 63).

ἁλισθείσης συναθροισθείσης.

ἁλίσκει νικᾷ, καὶ ἁλίσκεται καταλαμβάνεται, κρατεῖται.

ἁλισμένοι παρὰ Ἡροδότῳ (7 208) ἀντὶ τῦ συνηθροισμένοι· "ἠκηκόεε δὲ ὡς ἁλισμένη εἴη ταύτῃ στρατιή."

ἀλιταίνω ἁμαρτάνω.

ἀλιτενής. Ἀππιανός (Pun. 124) "οἱ δὲ Καρχηδόνιοι ἐξέδραμον ἐπὶ τὰ τῶν Ῥωμαίων μηχανήματα, οὐ κατὰ γῆν, οὐ γὰρ ἦν δίοδος, οὐδὲ ναυσίν, ἀλιτενὴς γὰρ ἦν ἡ θάλασσα, ἀλλὰ γυμνοί, οἱ μὲν ἄχρι τῶν μαζῶν βρεχόμενοι, οἱ δὲ διένεον."

ἀλιτεύω τὸ ἁμαρτάνω.

ἀλίτημα ἁμάρτημα, καὶ ἀλιτήμων ὁ ἁμαρτωλός. καὶ συστέλλει.

ἀλιτήμορος παράφρων γεγονώς.

ἀλιτήριοι ἁμαρτωλοί. ἀλιτήριοι δὲ ἐντεῦθεν ἐκαλοῦντο. λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίυς, καὶ οἱ πένητες τὰ τῶν ἀλέντων ἄλευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίυς ἐκάλυν. παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων, ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παραγώγως ἀπὸ τῦ ἀλιτραίνειν, ὅ ἔστιν ἁμαρτάνειν.

ἀλιτήριος ἀνόσιος, ὁ ἐνεχόμενος μιάσματι καὶ ἐξημαρτηκὼς εἰς θεούς. Ἀριστοφάνης Ἱππεῦσιν (448) "ἐκ τῶν ἀλιτηρίων σέ φημι γεγονέναι τῶν τῆς θεοῦ."

ἀλιτηρίους ἀποτυχόντας, ἁμαρτόντας, ἀστοχήσαντας. "οὐ μόνον ἀπράκτους παρεσκευάσας ἐπανελθεῖν, ἀλλὰ καὶ ἀλιτηρίους πάντων τῶν αὐτοῖς ἐντεταλμένων ἀπέδειξας." καὶ αὖθις (Procop. Arc. 12) "ἢ πῶς οὐκ ἔμελλεν ὅδε ὁ ἄνθρωπος δαίμων τις ἀλιτήριος εἶναι;"

ἀλιτηροῦ ἁμαρτωλοῦ, μιαρᾶς· "νῦν δ᾽ ἐκ θεῶν τυ κἀξ ἀλιτηρῦ φρενός" (S OC 371)

ἀλιτόμηνος ὁ τοῦ τελείου μηνὸς διημαρτηκώς, ὁ ἠλιτόμηνος.

ἀλιτρία ἀντὶ τοῦ ἁμαρτία Ἀριστοφάνης (Ach. 907). καὶ ἀλιτρός ἁμαρτωλός.

Ἀλίφειρα ὄνομα πόλεως, καὶ Ἀλιφειρεύς ὁ πολίτης.

ἀλίωσε (Hom. Π 737) μάταιον ἐποίησεν.

ἀλκαία. "ἀλλ' ὁ μὲν δράκων μεγέθει μέγιστος ὢν τῷ οὐραίῳ τὸν λέοντα κατηκίζετο, ὁ δὲ λέων ἤλγει μὲν καὶ τῇ ἀλκαίᾳ πρὸς ἄμυναν διηγείρετο" ὁ λογοθέτης φησὶν ἐν τῷ τοῦ ὁσίου Μαρκέλλου βίῳ.

a Ἀλκαῖος Ἀθηναῖος τραγικός, ὅν τινες θέλουσι πρῶτον τραγικὸν γεγονέναι.

b Ἀλκαῖος Μυτιληναῖος, εἶτα Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας [πέμπτος], υἱὸς δὲ Μίκκου, ἔγραψε δράματα δέκα.

c Ἀλκαῖος Ὀμφάλης καὶ Ἡρακλέος ἐγένετο μέγας καὶ ἰσχυρὸς καὶ τὰ πολέμια γενναῖος.

Ἀλκαμένης ὄνομα κύριον, ὁ Λήμνιος.

Ἀλκάνης ἀνὴρ τῶν ἐν μέσῳ πολιτῶν τῆς Ἐφραῒμ κληρουχίας, Ἀρμαθαὶμ πόλιν κατοικῶν, γαμεῖ δύο γυναῖκας, Ἄνναν τε καὶ Φέανναν. ἐκ δὴ ταύτης καὶ παῖδες αὐτῷ γίνονται· τὴν δ' ἑτέραν ἄτεκνον οὖσαν ἀγαπῶν διετέλει. ἀφικομένου δὲ μετὰ τῶν γυναικῶν τοῦ Ἀλκάνου εἰς Σιλὼ πόλιν θῦσαι (ἐνταῦθα γὰρ ἡ σκηνὴ τοῦ θεοῦ ἐπεπήγει), καὶ πάλιν κατὰ τὴν εὐωχίαν νέμοντος μοίρας κρεῶν ταῖς τε γυναιξὶ καὶ τοῖς τέκνοις, ἡ Ἄννα θεασαμένη τὰς τῆς ἑτέρας παῖδας τῇ μητρὶ περικαθισαμένους εἰς δάκρυά τε πρόπεσε καὶ τῆς ἀπαιδίας αὐτὴν ὠλοφύρετο καὶ τῆς μονώσεως, καὶ τῆς τἀνδρὸς παραμυθίας τῇ λύπῃ κρατήσασα εἰς τὴν σκηνὴν ᾤχετο, τὸν θεὸν ἱκετεύουσα δοῦναι γονὴν αὐτῇ καὶ ποιῆσαι μητέρα, ἐπαγγελλομένη τὸ πρῶτον αὐτῇ γενησόμενον καθιερώσειν ἐπὶ διακονίαν τοῦ θεοῦ, δίαιταν οὐχ ὁμοίαν τοῖς ἰδιώταις ποιησόμενον. εὐχομένης δὲ ἦλθεν Ἠλεὶ ὁ ἀρχιερεὺς καὶ ὡς παροινοῦσαν ἐκέλευσεν ἀπιέναι· τῆς δὲ πιεῖν ὕδωρ φαμένης, λυπουμένην δ' ἐπὶ παίδων ἀπορίᾳ τὸν θεὸν ἱκετεύειν, θαρρεῖν παρεκελεύετο, παρέξειν αὐτῇ παῖδα τὸν θεὸν καταγγέλλων. καὶ γίνεται αὐτῇ παιδίον, ὃν Σαμουὴλ ἐκάλεσαν, θεαίτητον ὡς ἄν τις εἴποι. Ioseph. A. I. 5 10 2.

Ἀλκείδης ὁ Ἡρακλῆς, παππωνυμικῶς· Ἀλκέως γὰρ παῖς Ἀμφιτρύων.

Ἀλκέτας Μολοττῶν βασιλεύς. ἀλλὰ καὶ ὑποστράτηγος ἄλλος Ἀλεξάνδρου.

ἀλκή ἰσχύς, δύναμις. Ἡσίοδος (ap. Nic. Damasc. p. 445) "ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι, νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δέ περ Ἀτρείδῃσι." καὶ Πολύβιος "οἶδε γὰρ καὶ λόγων ἀλκὴ θανάτου καταφρονεῖν."

ἀλκήεντας εὐρώστους, δυνατούς· (AP 6 277) "Ἄρτεμι τόξα λαχοῦσα καὶ ἀλκήεντας ὀιστούς."

Ἄλκηστις ὄνομα κύριον.

Ἀλκιβιάδης υἱὸς Κλεινίου καὶ τῆς ἀδελφῆς Περικλέους, Ἀθηναῖος, φιλόσοφος καὶ ῥήτωρ, μαθητὴς πρῶτον Σοφίλου, εἶτα Σωκράτους, οὗ καὶ ἐρώμενος, ὥς τινές. καὶ ἐκ δούλων δὲ τεχθέντα τινὲς ἱστορήκασιν. οὗτος ἐστρατήγησεν Ἀθηναίων· καὶ λυπηθεὶς διὰ τὸ ἐκπεσεῖν αὐτὸν τῆς στρατηγίας τῆς τῶν Ἑρμῶν ἀποκοπῆς ἕνεκα, καὶ ἀποστὰς πρὸς Τισαφέρνην τὸν Πέρσην καὶ πολέμου αἴτιος γενόμενος Ἀθηναίοις, πάλιν αὐτοῖς εὔνους ἐγένετο. μέλλοντος δὲ Λυσάνδρου αὐτὸν ἀναιρεῖν, παρ' ᾧ διέτριβεν εἰς κώμην τῆς Φρυγίας ἑταίρᾳ συνών, ὄναρ ἦν τεθεαμένος τοιόνδε· ἐδόκει τὴν ἐσθῆτα τῆς ἑταίρας ἔχων καίεσθαι δίχα τῆς κεφαλῆς. οἱ δορυφόροι δὲ ἐπιστάντες ὑφῆψαν τὴν σκηνήν, ὁ δὲ ἐξελθὼν βίᾳ τιτρώσκεται διωχθείς. οἱ δὲ τὴν κεφαλὴν ἀφελόντες αὐτοῦ Φαρναβάζῳ κομίζουσιν.

Ἀλκιδάμας ἀπὸ Ἐλαίας τῆς Ἀσίας, φιλόσοφος, Διοκλέους υἱὸς μουσικὰ γεγραφότος, μαθητὴς Γοργίου τοῦ Λεοντίνου.

ἀλκιμάχη ἡ Ἀθηνᾶ ἡ ἐν πολέμοις κραταιά· (AP 6 124) "νηὸν ὑπωροφίας Παλλάδος ἀλκιμάχας."

Ἀλκίμαχος. στρατηγός ἐστιν οὗτος, Ἀναγυράσιος τῶν δήμων. ἕτερος δέ ἐστιν ὁ Μακεδών, οὗ μνημονεύει Ὑπερίδης. cf. Harp.

Ἀλκιμένης Μεγαρεὺς τραγικός. ἔστι δὲ καὶ ἕτερος Ἀλκιμένης Ἀθηναῖος κωμικός.

ἄλκιμος ἰσχυρός.

Ἀλκίνοος ὁ δυνατός.

Ἀλκίππα μία τῶν Ἀλκυονίδων. καὶ ἔστιν ἐν τῷ ἀλκυονίδες.

Ἀλκίφρων Μάγνης τῆς παρὰ Μαιάνδρῳ Μαγνησίας, φιλόσοφος.

Ἀλκμαιωνίδαι γένος ἐστὶν ἐπιφανὲς Ἀθήνησιν, ἀπὸ Ἀλκμαίωνος.

Ἀλκμαιωνίδαι λαμπροί τινες Ἀθήνησιν, ἀπὸ Ἀλκμαίωνος τοῦ κατὰ Θησέα.

Ἀλκμὰν Λάκων ἀπὸ Μεσσόας, κατὰ δὲ τὸν Κράτητα πταίοντα Λυδὸς ἐκ Σάρδεων, λυρικός, υἱὸς Δάμαντος ἢ Τιτάρου. ἦν δὲ ἐπὶ τῆς κζ' ὀλυμπιάδος, βασιλεύοντος Λυδῶν Ἄρδυος τοῦ Ἀλυάττου πατρός, καὶ ὢν ἐρωτικὸς πάνυ εὑρετὴς γέγονε τῶν ἐρωτικῶν μελῶν. ἀπὸ οἰκετῶν δέ. ἔγραψε βιβλία ς' μέλη, καὶ Κολυμβώσας. πρῶτος δὲ εἰσήγαγε τὸ μὴ ἑξαμέτροις μελῳδεῖν. κέχρηται δὲ Δωρίδι διαλέκτῳ καθάπερ Λακεδαιμόνιος. ἔστι δὲ καὶ ἕτερος Ἀλκμάν, εἷς τῶν λυρικῶν, ὃν ἤνεγκεν ἡ Μεσσήνη.

Ἀλκμανικὸν εἶδος, ὅπερ πεπλεόνακε παρὰ Ἀλκμᾶνι, τὸ κατ' ἀμφότερα ῥῆμα μεταξὺ τῶν ὀνομάτων τετάχθαι. καὶ παρ' Ὁμήρῳ ⟨Ε 774⟩ "ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος."

Ἀλκμήνη ὄνομα κύριον.

ἀλκτῆρες οἱ φύλακες· "θείας ἀλκτῆρες ἱμερτῆς [ἀγητῆρος ἐφαμερίοις Athen. p. 602 C] φιλότητος."

ἀλκτήρια λιμοῦ τὰ δυνάμενα ἀλαλκεῖν καὶ ἀπείργειν τὸν λιμόν.

ἀλκυονίδες ἡμέραι αἱ εὔδιειναί. περὶ τοῦ ἀριθμοῦ διαφέρονται· Σιμωνίδης γὰρ ἐν Πεντάθλοις ιδ' φησὶν αὐτάς, ὡς Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων ⟨5 8 2⟩, Δημαγόρας δὲ ὁ Σάμιος ζ', καὶ Φιλόχορος θ'. τὸν δὲ ἐπ' αὐταῖς μῦθον Ἡγήσανδρος ἐν τοῖς περὶ... ὑπομνήμασι λέγει οὕτως. Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες ἦσαν Φωσθονία Ἄνθη Μεθώνη Ἀλκίππα Παλλήνη Δριμὼ Ἀστερίη· αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Παλλήνης, ἔρριψαν αὑτὰς εἰς τὴν θάλασσαν, Ἀμφιτρίτη δ' αὐτὰς ὄρνιθας ἐποίησε, καὶ ἀπὸ τοῦ πατρὸς ἀλκυόνες ἐκλήθησαν. αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι ἀλκυονίδες καλοῦνται. καὶ ἀλκυόνειος ἡμέρα.

ἀλκυὼν ὄρνεον θαλάσσιον.

ἀλλὰ ἀντὶ τοῦ ὅταν δέ, καὶ ἀντὶ τοῦ γέ.

ἀλλὰ γὰρ ἀντὶ τοῦ δέ. Εὔπολις... ⟨lex. Seg. p. 377 8⟩. "ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔποτε τρόπαιον ἐστήσαντο" ⟨Plato Critia p. 108⟩. ἡ παροιμία ἐπὶ τῶν δι' ἀθυμίαν μηδὲν γενναῖον πράττειν δυναμένων.

ἄλλα δ' ἀλλαχοῦ καλά, παρ' ὅσον τὰς εὐμενίδας ἄλλοι ἄλλως καλοῦσιν. ἄλλα οὖν ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς εὐμενίδας κατ' εὐφημισμὸν τὰς ἐρινύας. sch. S. OC 43.

ἄλλα μὲν ὁ Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων.

ἀλλ' ἀντέπαισε τὴν ἐπ' ἄγκυραν θεός, ἐπὶ τῶν παρ' ἐλπίδα γενομένων, παρ' ὅσον οἱ ναῦται πολλάκις ἡγούμενοι ἄγκυραν βάλλειν ἢ προσορμιεῖσθαι ἐς τοὐπίσω ἔπλευσαν.

ἀλλὰ νῦν. "ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν," ἀντὶ τοῦ διὰ τάχους, ἡ τραγῳδία φησί ⟨S. El. 411⟩.

ἀλλ' ἅπαν γένοιτ' ἂν ἤδη. τὴν παροιμίαν δ' ἐπαινῶ τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ παντί πυ χρὴ μὴ δάκῃ ῥήτωρ ἀθρεῖν" ⟨A. Thesm. 533⟩. ἡ δὲ παροιμία "ὑπὸ παντὶ λίθῳ σκορπίος εὕδει· φυλάσσεο."

ἀλλὰ χρὴ ἔστω. τοῦτο δηλοῖ συγκατάθεσιν, οἷον καὶ μάλα.

ἀλλ' ἐμός γ' οὐκ ἂν ἐκτὸς ἔλθῃ πόκα πορπησάμενος ⟨A. Lys. 105⟩. ὁ ἐμός, φησίν, ἀνὴρ οἷον περονησάμενος, ἀντὶ τοῦ ἀπολαβὼν τὴν ἀσπίδα, ἅμα τῷ παρεῖναι ἄπεισιν εἰς τὸν πόλεμον, καὶ οὐκ ἂν ἀπέλθοι τῆς μάχης.

ἀλλ' ἕπου χώρας τρόποις. ὅτι δεῖ χώρας ἑκάστης, ἐν ᾗ ἄν τις γένηται, μιμεῖσθαι τὰ ἔθη.

ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας, ὡς εἰ εἶπε τὸν πλοῦτον. ἐμφαίνει διὰ τούτων ὅτι οὐδὲν αὐτῷ κατελείφθη εἰ μὴ ἡ αὐλή. ἀντὶ τοῦ τοὺς λίθους τῆς Μεγακλέους οἰκίας· οὗτοι γὰρ μόνοι κατελείφθησαν αὐτῷ πάντα φαγόντι. λέγει δὲ ὁ πρεσβύτης πρὸς τὸν υἱόν. Ἀριστοφάνης ἐν Νεφέλαις ⟨814⟩. ἐπὶ τῶν ἀνειμένως διαιτωμένων ὁ λόγος.

ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία· ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα" Αἴας φησίν ⟨664⟩.

ἀλλ' ἔστιν ἡμῖν Μεγαρική τις μηχανή ⟨A. Ach. 704⟩ ἀντὶ τοῦ πονηρὰ καὶ πανοῦργος μηχανή· διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς, ἄλλα μὲν λέγοντες ἄλλα δὲ ποιοῦντες.

ἀλλ' ἢ ἀντὶ τοῦ εἰ μή, καὶ ἀντὶ τοῦ ἁπλοῦ τοῦ ἤ. τίθεται δὲ ἐνίοτε καὶ ἀντὶ τοῦ ἀλλὰ ἄρα, καὶ ἀντὶ τοῦ ἁπλοῦ τοῦ ἄρα· Πλάτων ⟨Gorg. in.⟩ "ἀλλ' ἢ κατόπιν ἑορτῆς ἥκομεν" ἀντὶ τοῦ ἄρα.

ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι

τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον" Σοφοκλῆς ⟨Ai. 479⟩.

ἀλλ' οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει γυναικῶν οὐδὲν κάκιον εἰς ἅπαντα, πλὴν ἄρ' ἢ γυναῖκες" ⟨A Thesm. 537⟩, τουτέστιν εἰ μὴ ἄλλη γυνή.

ἀλλ' οὐδέ γ' αὐδᾶν ἔσθ' ἃ μηδὲ δρᾶν καλόν ⟨S. OR 1409⟩.

ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι Ἀριστοφάνης Νεφέλαις ⟨126⟩, τουτέστιν οὐ μὴ ἀθυμήσω, οἷον οὐ παραδώσω ἐμαυτὸν ταῖς λύπαις.

ἀλλ' οὐ διὰ τὴν ἐν τῷ ποδὶ πρὸς τὴν λύραν ἀμετρίαν ⟨Plato Clit. p. 407⟩, παροιμία ἐπὶ τῶν ὑπὲρ ἄλλης αἰτίας ὀφειλόντων τιμωρίαν ἢ ἐφ' οἷς αὐτοὶ προβάλλονται οἱ κατηγορούμενοι.

ἀλλ' οὐ θέμις ἀλλ' οὐ δυνατόν· ⟨A Nub. 141⟩ "ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσιν λέγειν." ἐπὶ διασυρμῷ καὶ διαβολῇ ταῦτα παρεισάγει· ἀλλότριον γὰρ τῶν φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν, οἷς τὸ κοινωνεῖν πρέπει πάντων ἀφθόνως.

ἀλλ' οὐκ αὖθις ἀλώπηξ. λείπει τὸ εἰς πάγην. καὶ "ἅπαξ ἀλώπηξ εἰς πάγην."

ἀλλ' ὐκ ἔνεστι συκοφάντȣ δήγματος" ⟨A Plut. 886⟩ ἐπὶ τῶν ἀνηνύτων. λείπει δὲ τὸ φάρμακον. λέγει δὲ ἐν ἤθει ὁ θεράπων ὅτι ὐκ ἔστι τις ἐν τῷ δακτυλίῳ ἐπῳδὴ ἢ φάρμακον πρὸς δῆγμα συκοφάντου, ἐπεὶ εἰώθασι λέγειν οἱ τὰ περίαπτα πωλοῦντες ὅτι χρησιμεύει τόδε πρὸς τόδε. ἄλλως. ἀλεξητήριον τῶν δηλητηρίων δείκνυσιν αὐτῷ καὶ βασκανίας ἀποτρεπτικὸν δακτύλιον, ὃν καλοῦσι φαρμακίτην. φησὶν ὖν, κἂν ἔχῃς φαρμακίτην δακτύλιον, ἀλλ' οὐ πρὸς δῆγμα τοῦ συκοφάντου, ὡς τούτων χειρόνων ὄντων καὶ θηρίων, πρὸς ἃ ὁ δακτύλιος πεποίηται.

ἀλλ' οὐ λαχȣ̃σ' ἔπινες ἐν τῷ γράμματι; Ἀριστοφάνης ⟨Plut. 973⟩, ἀντὶ τȣ̃ ἐδίκαζες. οἱ γὰρ Ἀθηναῖοι κατὰ γράμμα ἐκληροῦντο ἀπὸ τῶν ί φυλῶν. οἷον ἡ πρώτη τὸ α εἶχε σημεῖον, ἡ δευτέρα τὸ β, μέχρι τȣ̃ κ· δέκα γὰρ φυλῶν οὐσῶν δέκα ἐγίνοντο δικασταί. ὁ οὖν λαχὼν τὸ α πρῶτος ἐδίκαζε, καὶ οἱ ἄλλοι ὁμοίως. τάχα ὖν σύ, φησί, λαχȣ̃σα οὐκ ἐδίκαζες ἀλλ' ἔπινες.

ἄλλαγμα. ὁ προφήτης φησὶ ⟨Ps. 43 12⟩ "καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν."

ἀλλαντοπώλης ὁ εἴδη ἐντέρων πωλῶν, ἐντεροπώλης· ἀλλᾶς γὰρ τὸ ἔντερον, ἀλλᾶντος. ⟨Procop. Pers. 2 18⟩ "ἀντὶ τροπαίȣ ἔστησαν τῷ στρατηγῷ σημεῖον, ἀλλᾶντάς τε αὐτοῦ ἀποκρεμάσαντες τοῖς πολεμίοις σὺν γέλωτι ἐπετώθαζον." Ἀριστοφάνης ⟨Ach. 146⟩ "ἤρα φαγεῖν ἀλλᾶντας ἐξ ἀπατουρίων." ἀπατούρια δὲ ἑορτὴ δημοτελὴς ἀγομένη παρ' Ἀθηναίοις.

ἀλλαξάμενος. Ἀππιανός "ὅτι πατρίδα καὶ γένος ἀλλαξάμενος ἥκοι, τὸ μηδὲν ἡγησάμενος, ἢ τὰ τῶν Οὐολούσκων ἀντὶ τῆς πατρίδος αἱρήσεσθαι βουληθείς."

ἀλλαξάμενος προτιμήσας. "ὑπὲρ τοῦ κέρδους ὁ κακοδαίμων τὴν πήρωσιν ἀλλαξάμενος· καὶ ἦν παράδειγμα καὶ παίδευμα πᾶσιν, ὥστε μὴ τολμᾶν μηδὲ κερδαίνειν παραπλήσια."

ἀλλαρίοις σιτηρεσίοις· "ὁ δὲ Μακεδόνιος συνέταξεν ἐκκλησιαστικοῖς ἀλλαρίοις ἀποτρέφεσθαι."

ἀλλᾶς ἀλλᾶντος εἶδος ἐντέρου ἐσκευασμένȣ. καὶ ἀλλαντοπώλης ὁ ταῦτα πωλῶν.

ἀλλαχῇ ἀλλαχοῦ.

ἀλλάχθητε ἀντὶ τοῦ διαλλάχθητε Σοφοκλῆς.

ἀλλαχοῖ καὶ ἀλλαχόσε τὸ εἰς τόπον, ἀλλαχοῦ δὲ καὶ ἀλλαχόθι τὸ ἐν τόπῳ.

ἄλλῃ ἀντὶ τοῦ ἄλλως ἢ κατὰ ἄλλο Θȣκυδίδης.

ἄλλη δόξα ἡλίου ⟨1 Cor. 15 41⟩. ἥλιον λέγει τὴν νέαν διαθήκην ὡς τέλειον φῶς ἔχȣσαν τοῦ ἡλίου τῆς δικαιοσύνης.

ἀλληγορία ἡ μεταφορά, ἄλλο λέγον τὸ γράμμα καὶ ἄλλο τὸ νόημα. καὶ ἀλληγορικοὶ ὄνειροι οἱ ἄλλα δι' ἄλλων ἀγορεύοντες, θεωρηματικοὶ δὲ οἱ τῇ ἑαυτῶν θέᾳ προσεοικότες. Artemid. 1 2.

ἀλλήλοιν δυϊκόν· "ὁρῶσιν ἐν τῇ λάρνακι σώματα ἀλλήλοιν περικείμενα."

ἀλληλούια αἰνεῖτε τὸν κύριον, παρ' Ἑβραίοις, ἤτοι τὸν ὄντα.

ἀλληλουχία ἡ ἀλλήλων κράτησις καὶ κληρονομία.

ἀλλήλων ἀντὶ τοῦ ἑαυτῶν· οὕτως Εὐριπίδης. καὶ Θουκυδίδης ⟨2 70⟩ "καί πȣ τινες ἀλλήλων ἐγεύσαντο" ἀντὶ τοῦ ἑαυτῶν.

ἄλλην ἄλλως ὡς ἔτυχεν.

ἄλλην δρῦν βαλάνιζε, ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων τι, ἢ παρὰ τῶν αὐτῶν ἀεὶ

δανειζομένων. καὶ ἑτέρα παροιμία "ἅλις δρυός," ἐπὶ τῶν δυσχερῶς μέν τι καὶ ἀηδῶς ἐσθιόντων, ἕτερον δὲ βέλτιον εὑρόντων.

ἄλλην μὲν ἐξαντλοῦμεν, ἡ δ' ἐπεισρέει, ἐπὶ τῶν πονούντων καὶ πλέον οὐδὲν ἀνυόντων, ὡς ἐπὶ ἀντλίας νεώς.

Ἀλλίας ὄνομα κύριον.

ἄλλικα χλαμύδα κατὰ Θεσσαλούς· ⟨Callim. fr. 149⟩ "ἄλλικα χρυσείῃσιν ἐεργομένην ἐνετῇσιν." οἱ ἰδιῶται γάλλικα ταύτην φασίν.

ἄλλο γλαύξ, ἄλλο κορώνη φθέγγεται, παροιμία ἐπὶ τῶν ἀλλήλοις οὐ συμφωνούντων.

ἀλλοδαπά ξένα, παντοῖα. καὶ ἡ ἀλλοδαπὴ τῆς ἀλλοδαπῆς κλίνεται.

ἀλλοειδής ὁ ξένον ἔχων εἶδος. Hom. ν 194.

ἄλλο ἕτερον ἐκ παραλλήλου λέγουσιν. Μένανδρος Μέθῃ "εἶτ' οὐκ εἶχεν οὐ πῦρ, οὐ λίθον, οὐκ ἄλλ' ὁτιοῦν ἕτερον." Κράτης Παιδιαῖς "τοῖς δὲ τραγῳδοῖς ἕτερος σεμνὸς πᾶσιν λόγος ἄλλος ὅδ' ἐστίν."

ἀλλοθρόους ⟨Hom. α 183⟩ ἀλλοφώνους.

ἄλλοι κάμον, ἄλλοι ὄναντο, ἐπὶ τῶν παρ' ἐλπίδα κληρονομησάντων.

ἀλλοῖος ⟨Hom. π 181⟩ ὁ παρηλλαγμένος ἢ ἀλλοδαπός. ἀλλοιοφανής.

ἄλλοις μὲν γλῶττα, ἄλλοις δὲ γόμφοι, παροιμία, παρ' ὅσον οἱ μὲν λάλοι οἱ δὲ φάγοι.

ἀλλοίωσις. ἀλλοίωσίς ἐστι μεταβολὴ ἐξ εἰδοπεποιημένου εἰς εἰδοπεποιημένον, τοῦ αὐτοῦ ὑποκειμένου μένοντος. διττοῦ δὲ τοῦ πάθους λεγομένου, τὸ μὲν εἰς φθορὰν ἄγον κυρίως λέγεται πάθος τε καὶ ἀλλοίωσις, τὸ δὲ εἰς τελειότητα οὐ κυρίως λέγεται πάθος οὐδὲ ἀλλοίωσις, ἀλλὰ γένεσις μᾶλλον.

ἀλλόκοτον ἐναντίον, ξένον, ἀλλοφυές, ἐξ ἄλλου ἀσυνάρτητον, ἀλλότριον. ⟨Dio Cass. 55 33⟩ "πόαις γάρ τισιν ἀλλοκότοις καὶ ῥίζαις χρώμενοι διὰ τὸν λιμὸν ἐπεπονήκεσαν." Ἀππιανός ⟨Pun. 94⟩ "οἱ μέντοι ὕπατοι καὶ ὅπως μὴ ἐπιχειρεῖν ἐς ἔργον ἀλλόκοτον· ἔτι δὲ καὶ τὴν πόλιν ἄνοπλον οὖσαν λήψεσθαι ἡγοῦντο."

ἀλλόμενον ὕδωρ ⟨ev. Io. 4 14⟩. καὶ ἀλλόμενοι πηδῶντες.

ἀλλοπρόσαλλος εὐμετάβλητος, ὁ ποτὲ μὲν ἑτέρῳ ποτὲ δὲ ἄλλῳ προσκείμενος. "οὐ γὰρ μόνον δειλὸς ἦν ὁ Προυσίας βασιλεύς, ἀλλὰ καὶ πρὸς τὰς κακοπαθείας ἀλλοπρόσαλλος" ⟨Polyb. 37 2⟩.

ἄλλος ἀντὶ τοῦ ἕτερος· Ὅμηρος ⟨Ι 313⟩ "ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ." τάσσεται δὲ καὶ ἀντὶ τοῦ τίς· ⟨λ 126⟩ "ὁππότε κεν καὶ ἄλλος." καὶ αὖθις ⟨Γ 103⟩ "οἴσετε δ' ἄρν', ἕτερον λευκὸν ἑτέρην δὲ μέλαιναν, γῇ τε καὶ ἠελίῳ, Διὶ δ' ἡμεῖς οἴσομεν ἄλλον." ἑλληνικῶς ἐπὶ μὲν τοῖν δυοῖν τὸ ἕτερον τῷ ἑτέρῳ ἀντιδιέσταλκεν, ἐπὶ δὲ τοῦ τρίτου ἄλλον εἴρηκεν.

ἄλλος ἄλλον ἀντὶ τοῦ ἀλλήλους.

ἄλλος βίος, ἄλλη δίαιτα, παροιμία ἐπὶ τῶν εἰς ἀμείνονα βίον μεταβαλόντων.

ἄλλος οὗτος Ἡρακλῆς, ἐπὶ τῶν βίᾳ τι πραττόντων, παροιμιῶδες, ἐπὶ Θησεῖ λεχθὲν τὸ πρῶτον, ἢ τῷ τῶν Ἰδαίων Δακτύλων Ἡρακλεῖ, ἢ τῷ Ἀλκμήνης διὰ τοὺς παλαιοτέρους.

ἀλλοστρατεῖ στρατεύεται.

ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ, ἐπὶ τῶν ποτὲ μὲν δυσπραγούντων ποτὲ δὲ εὐπραγούντων.

ἄλλο τόσον· Ὅμηρος ⟨Χ 322⟩ "τοῦ δὲ καὶ ἄλλο τόσον." οὕτως εἴωθε λέγειν ἄλλο τόσον, ἐπειδὰν ἀπολίπῃ τι τοῦ ὅλου μικρὸν ἀτελές.

ἀλλότρια βάλλειν, ἐπὶ τῶν ἐν τῷ κυβεύειν διαμαρτανόντων.

ἀλλότριον ἀμᾷς θέρος, ἐπὶ τῶν τὰ ἀλλότρια καρπουμένων.

ἀλλοτριονομοῦντες ἐναλλαγὴν ὀνομάτων ποιοῦντες, ἢ ὅλως τισί τινα μὴ προσηκόντως διανέμοντες.

ἀλλοτριοπραγεῖν ἐχθρῶς βουλεύεσθαι· "ἐσημειοῦντο μηδὲν αὐτὸν ἀλλοτριοπραγεῖν μηδὲ καινοτομεῖν."

ἀλλοτριῶ αἰτιατικῇ.

ἀλλοτρίως πολεμίως. καὶ ὁ Δαβίδ ⟨Ps. 19 13⟩ "καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου," τουτέστι τῶν δυσμενῶν.

ἀλλόφυλος ὁ ἀπὸ ἄλλης φυλῆς, ὁ ἀλλογενής.

ἀλλόφωνος.

ἄλλυτος δυσχερῶς λυόμενος· ἐν ἐπιγράμματι ⟨AP 6 30⟩ "κακοῦ δ' ἐπὶ γῆρας ἡμῖν ἄλλυτος ἡβάσκει γυιοτακὴς πενίη."

ἄλλῳ τῳ ἀντὶ τοῦ ἄλλῳ τινί.

ἄλλως μάτην, ἢ μάλιστα, ἢ κατ' ἄλλον τρόπον. εἴρηται δὲ καὶ τὴν ἄλλως μετὰ τοῦ

ἄρθρον. καὶ ἄλλως τε. "οὐδὲ ὤλισθον ἄλλως αἱ εὐχαὶ καὶ αἱ κατὰ τοῦ θεῷ ἐχθροῦ ἀραί." cf. v. ὤλισθον.

ἄλλως ματαίως· "ἐπόνουν δὲ ἄλλως."

ἄλλως. "οἰόμενος τοῦτο, εἴτε ἄλλως εἴτε καὶ δυνατὸν φανείη, συμφέρον αὐτῷ γενέσθαι," ἀντὶ τοῦ κατὰ ἄλλον τρόπον. ἢ μάτην, ἢ μάλιστα. καὶ αὖθις "ὑπὲρ δὴ τέτων τί φατε οἱ τὴν πρόνοιαν ἀλᾶσθαι ἄλλως καὶ μῦθον εἶναι λέγοντες" (Aelianus?). καὶ αὖθις "τὰ δὲ ἄλλα τοῖς φιλοσόφοις ἐπήρκουν καὶ τοῖς δεομένοις ἄλλως δι' ἐπιείκειαν καὶ ἐλευθέραν προαίρεσιν."

ἄλλως ᾄδεις, ἐπὶ τῶν μάτην πονέντων.

ἄλλως ἀναλίσκεις ὕδωρ, ἐπὶ τῶν μάτην ἐν λόγοις πονούντων. μετήνεκται δὲ ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων.

ἄλλως τε μάλιστα.

ἅλμα πήδημα.

ἁλμάδες κολυμβάδες ἐλαῖαι.

ἅλμη οὐκ ἔνεστ' αὐτῷ, ἐπὶ τῦ ἀγλευκοῦς καὶ ἀηδοῦς.

ἁλμυρόν. ὅτι τὸ ἁλμυρὸν ὕδωρ τοῦ γλυκέος θερμότερον.

ἀλοάων. καὶ ἀλοάσαντα εἶπεν ἐν τῷ α Φερεκράτης Ἰπνῷ· "ὑποζυγίοις ἀλοάσαντ' εὐθὺς ἐκποιῆσαι." τὸ δὲ συγκόψαι πληγαῖς ἀλοῆσαι ἐν τῷ η.

ἀλογεῖν, γενικῇ, ἀφροντιστεῖν· "ὁ δὲ Τάλιγγις ὅπλων μὲν καὶ μαχίμων ἀνδρῶν ἔκρινεν ἀλογεῖν, πόρναις δὲ καὶ ἀθυρογλώττοις ὁμοδίαιτος ὑπάρχειν."

ἀλογῆσαι ἀφροντίσαι, παραλογίσασθαι. καὶ ἀλογήσει, γενικῇ, ἀμελήσει, ἀφροντίσει.

ἀλογία ἡ ἀφροντιστία. Ἡρόδοτος (7 208) "ὁ δὲ κατάσκοπος εὗρε τοὺς Λακεδαιμονίες κτενιζομένες, καὶ ἐθωύμαζεν, ἀλογίης τε ἐνεκύρησε πολλῆς. ὁ δὲ Ξέρξης ἀκούων ταῦτα οὐκ εἶχε συμβαλέσθαι τὸ ἐόν."

ἀλογία ἀταξία (an ἀφασία). (Polyb. 36 5) "οἱ δὲ πάντες ἅμα ἀνακεκραγότες ἐξ αὐτῆς οἱονεὶ παρελύθησαν. ταχὺ δὲ τοῦ λόγου διαδοθέντος εἰς τὸ πλῆθος οὐκέτι συνέβαινε γίνεσθαι τὴν ἀλογίαν, ἀλλ' οἱ μὲν ἐπὶ τοὺς πρεσβευτὰς ὥρμων ὡς αἰτίους σφίσι τῶν κακῶν ὄντας τούτων, οἱ δὲ ἐπὶ τοὺς κατειλημμένους τῶν Ἰταλικῶν, καὶ εἰς τούτους ἀπερείσαντες τὸν θυμόν, οἱ δὲ πρὸς τὰς πύλας τῆς πόλεως." λέγεται δὲ καὶ ἀλογιστία παρὰ Πολυβίῳ.

ἀλογία τὸ μηδένα λόγον ἔχειν, ἀλογιστὶ δὲ πράττειν. οὕτως Δημοσθένης καὶ Πλάτων. Harp.

ἀλογίου δίκη, ἣν φεύγουσιν οἱ ἄρχοντες λόγον οὐ διδόντες τῶν τῆς ἀρχῆς διοικημάτων.

ἀλόγιστα παροίσομεν ἀδιήγητα κακὰ βαστάξομεν· Σοφοκλῆς (OC 1675) "ἐν πυμάτῳ δ' ἀλόγιστα παροίσομεν."

ἀλογιστία. παρὰ Πολυβίῳ "οἱ δὲ πλείονες ἀντέπιπτον, ὧν οἱ μὲν ἀλογιστίαν οἱ δὲ μανίαν ἔφασαν εἶναι τὸ παραβάλλεσθαι καὶ κυβεύειν τῷ βίῳ." καὶ αὖθις (17 15) "τὸ δὲ τῶν ἀνθρώπων γένος οὐχ ἧττον διὰ τὴν ἀλογιστίαν ἢ διὰ τὴν φύσιν ἁμαρτάνει."

ἄλογοι ἐρανισταὶ οἱ μήπω ἐξειλεχότες τὸ ἐπιβάλλον ἑαυτοῖς. καὶ ἄλογοι τῆς ψυχῆς δυνάμεις. ζήτει ἐν τῷ βούλησις.

ἀλόη εἶδος μυρεψικόν.

ἀλοῆος καὶ ἀλοάων. καὶ ἀλοητός ὁ καιρὸς τοῦ θέρους.

ἀλοίη κρατηθείη, καὶ ἀλοῖεν ληφθεῖεν.

ἀλοίτης (Callim. fr. 475).

ἄλοιτο κινοῖτο, ὁρμῷτο· (AP 7 36) "αἰεί τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεις, σκηνίτης μαλακοὺς κισσὸς ἄλοιτο πόδας."

ἀλοιφή τὸ λίπος.

ἀλοιῶν τύπτων, κρούων· "ὁ δὲ ῥοπάλῳ ἀλοιῶν, εἴθ' ἑτέρῳ τρόπῳ τοῦτον ἔκτεινεν." ἔνθεν καὶ πατραλοίας ὁ τὸν πατέρα τύπτων. καὶ ἀλοιῶσα ἡ τύπτουσα. καὶ Ὅμηρος (Δ 522) "ἄχρις ἀπηλοίησεν." ἀλύω δὲ τὸ χαίρω, καὶ ἀλύω τὸ λυποῦμαι, βαρυτόνως.

ἀλοιῶσα ἡ τύπτουσα, καὶ ἀλοιᾶν τύπτειν.

ἄλοκι αὔλακι, τομῇ ἀρότρου.

ἀλοκίζειν· Ἀριστοφάνης (Vesp. 882) "ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον."

Ἀλόννησος νησύδριον ἐν τῷ Αἰγαίῳ πελάγει. Harp.

ἁλόντες ληφθέντες.

ἄλοξ ἡ αὖλαξ.

Ἀλόπη Κερκυόνος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθόων ὁ τῆς Ἱπποθοωντίδος φυλῆς ἐπώνυμος. Harp.

ἄλοπον ἀλέπιστον· (A. Lys. 738) "ἐπὶ τὴν ἀμόργην τὴν ἄλοπον ἐξέρχεται."

ἁλὸς ἄχνη (Hom. Δ 426) ἀφρὸς θαλάσσης.

ἁλοσύδνης τῆς θαλάσσης (Hom. δ 404).

ἁλουργά θαλασσοπόρφυρα· (AP 6 292) "αἱ μίτραι τό θ' ἁλουργὲς ὑπένδυμα οἵ τε Λάκωνες πέπλοι."

ἁλουργίδιον ἀντὶ τοῦ ἁλουργίς Ἀντιφάνης.

ἁλουργίς πορφυρᾶ χλανίς. ἐπειδὴ δὲ τὸ ῥόδον πορφυροῦν, τῷ στεφάνῳ τῶν ῥόδων τὴν ἀλεργίδα ἐπήγαγεν Ἀριστοφάνης. ἀλεργὴς δὲ ἐσθής, τῆς ἁλουργοῦς, τῇ ἀλεργεῖ. ἐσθῆτα ἁλουργῆ.

ἁλουργοπωλική ἡ πορφυροπωλικὴ λεγομένη. οὕτως Ἰσαῖος.

ἄλουτος χωρὶς τοῦ σ· (A. Lys. 280) "ἀπαράτιλτος, ἓξ ἐτῶν ἄλουτος."

ἀλοφάζω σκιρτῶ, παροινῶ.

ἀλόχευτος ἀγέννητος. "ἐξ ἀσπόρου, ἐξ ἀλοχεύτου προελθών, καὶ λοχευθεὶς τὴν πλευράν."

ἄλοχος γαμετή. Εὐριπίδου ἐξ Ἀνδρομέδας "ἄγου με, ὦ ξένε, εἴτε δμωίδ' ἐθέλεις εἴτ' ἄλοχον."

ἀλοῶ τὸ κλῶ. καὶ ἀλοῶν ἔξωθεν ἐν κύκλῳ περιάγων ὡς οἱ ἐν ταῖς ἅλωσιν, ἢ τύπτων, ἀπὸ τῶν κοπτόντων τοὺς στάχυας. Ἀριστοφάνης (Thesm. 2) "ἀπολεῖ μ' ἀλοῶν ἄνθρωπος ἐξ ἑωθινοῦ." Αἰλιανός (cf. v. τριακοντόπους) "οἱ μὲν τινες πυγμαῖς, οἱ δὲ κορύναις, οἱ δὲ λίθοις, οἱ δὲ ὅτι ποτὲ παρέπιπτεν αὐτοῖς ὑποχείριον, ἀλοῶντες αὐτὸν ἀπορραγῆναι τὴν ψυχὴν ἠνάγκασαν." καὶ ἀλοώμενος πατούμενος, συντριβόμενος· "ἐλέφαντι ἡμέρῳ ὑπέκλιναν αὐτόν, ἵνα δεδιὼς ὡς μέλλων ὑπὸ τοῦ θηρὸς ἀλοώμενος ἀποθνήσκειν, ὕπνου μὴ τύχῃ."

Ἄλπειον ὄνομα ὄρους. καὶ Ἄλπεις ὄρη ἐπιμήκη, ἃ ὥσπερ τεῖχος Ἰταλίας ἡ φύσις ἤγειρεν, ὑπερνεφῆ μὲν τὸ ὕψος, ἐπιμηκέστατα δὲ ὡς πᾶσαν Ἰταλίαν διειληφότα καθήκειν. ἃς εἰσβολὰς καλοῦσι. καὶ (Procop. Goth. 228) "Ἄλπεις ὄρη διορίζοντα Γάλλους καὶ Λιγύρους, ἔνθα ξυνέβαινε φρούρια συχνὰ εἶναι, οὗ δὴ Γότθοι ἐκ παλαιοῦ ᾠκημένοι φυλακὴν εἶχον."

ἄλση τεμένη.

ἁλσὶν διασμηχθεὶς ὄναιτ' ἄν οὑτοσί (A Nub. 1238) ἐπὶ τῶν παραπαιόντων, μεταφορικῶς ἀπὸ τῶν κεράμων καὶ τοῦ οἴνου, ὅσοις ἅλες βάλλονται ὑπὲρ τοῦ μὴ ἐξίστασθαι μηδὲ ὀξίζειν εὐχερῶς. ἐπειδὴ τοὺς ὑπὸ μέθης ὥσπερ παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ μεμιγμένῳ. ὡς οὖν τοῦ Στρεψιάδου (an τοῦ δανειστοῦ) μὴ καθεστηκότος ἀλλὰ καὶ παραφρονοῦντος, ὃς ἐπὶ ὡμολογημένοις ἔξαρνός ἐστιν, οὕτω τῇ μεταφορᾷ ἐχρήσατο. φησὶν οὖν, οὐ τὰ τυχόντα οὗτος ὠφεληθείη διαβρεχθεὶς ἁλσίν, ὡς ἐπὶ ἀσκοῦ τὸν λόγον ποιούμενος, οἵτινες σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται. ἅμα δὲ καὶ παραφρονοῦντας βρέχομεν ἐλαίῳ καὶ ἁλσί, καὶ ὠφελοῦνται. ἢ ὡς παχύδερμον αὐτὸν χλευάζει· τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται. ὄναιτ' ἂν οὖν, φησίν, ἀποκαθαρθεὶς τὴν παχύτητα.

ἄλσος ὁ σύνδενδρος τόπος. "αἱ τε νῆες, ἃς ἐπήξαντο ἐκ τῶν Ὀλυμπιακῶν ἀλσέων καὶ τοῦ χώρου τοῦ τῷ Διὶ κομιῶντος, κατεσάπησαν."

Ἀλυάττης Λυδῶν βασιλεύς, ὃς ἦν μὲν τὰ πολέμια γενναῖος, ἄλλως δὲ ἀκόλαστος· καὶ γάρ ποτε τὴν ἑαυτοῦ ἀδελφὴν ᾔσχυνεν. ἐγέννησε δὲ Ἀλυάττην, ὅστις ἕως μὲν νέος ἦν ὑβριστὴς ἦν καὶ ἀκόλαστος, ἐκβὰς δὲ ἐς ἄνδρα σωφρονέστατος καὶ δικαιότατος. ἐπολέμησε δὲ Σμυρναίοις, καὶ εἷλε τὸ ἄστυ. οὗτος δὲ γεννᾷ τὸν Κροῖσον. στρατεύσας δὲ ἐπὶ Καρίαν περιήγγειλε τοῖς αὐτοῦ στρατὸν ἄγειν ἐς Σάρδεις, ἐν οἷς καὶ Κροίσῳ, ὅστις ἦν αὐτοῦ πρεσβύτατος τῶν παίδων, ἄρχων ἀποδεδειγμένος Ἀδραμυττείου τε καὶ Θήβης πεδίου (Nic. Damasc. Exc. Peis. p. 453: cf. v. Κροῖσος b). Ἀλυάττου πολιορκοῦντος Πριήνην φησίν.

Ἀλύβη ὄνομα στήλης.

ἀλύδαινος ὁ κακὸς ἄνεμος.

ἀλύδιμος ἡ οἰκουρός.

ἀλύει ἀδημονεῖ, δυσχεραίνει, ἀθυμεῖ, ἀπορεῖ. "ἀλύουσα καὶ ἀσχάλλουσα παῦσαι." καὶ ἀλύω τὸ χαίρω ἐνίοτε.

ἀλύειν τὸ ἐν ἄλῃ δυσφορεῖν. σημαίνει δὲ ἐνίοτε καὶ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως· Ὅμηρος (σ 333) "ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;" ὅθεν καὶ δασύνεται· Σοφοκλῆς (El. 135) "ἐᾶτέ μ' ὧδ' ἁλύειν." ἐπὶ δὲ τοῦ δυσφορεῖν καὶ ψιλοῦται· Ἀγαθίας (1 10) φησὶν "ἀλύοντι δέ οἱ καὶ γνωματεύοντι ἕκαστα ἔδοξε χρῆναι ἀποπειρᾶσθαι ἀμφιέπη τοῦ φρουρίου." Δίδυμος δὲ ἀμφότερα ψιλῶς· τὸ μὲν γὰρ ἀπὸ τοῦ

ἀλεαίνεσθαί φησιν, τὸ δὲ ἀπὸ τῆς ἄλης. ἀττικώτερον δὲ τὸ ἀμφότερα δασύνειν· καὶ γὰρ τὸ ἁλεαίνεσθαι δασύνουσιν οἱ Ἀττικοὶ καὶ πάντα τὰ τοιαῦτα.

ἀλυκόν δριμύ· "ἀλυκὸν δέ οἱ ἔκπεσε δάκρυ."

ἀλυκρά χλιαρά· "γέντο δ' ἀλυκρά."

ἀλυκτεῖν δυσφορεῖν, ἀγανακτεῖν.

ἄλυκτον τὸ ἄφυκτον.

ἀλυκτοπέδη ἡ χαλεπὴ πέδη.

ἀλυκτοσύνη ἡ ἔκκλισις.

ἀλύξαι ἐκφυγεῖν ἢ καταξῦσαι.

ἀλυπότερος ὁ μὴ λυπούμενος.

ἁλυσείδιον καὶ ἁλυσειδωτὸς θώραξ.

ἅλυσις ἁλύσεως.

ἁλύσιον πλοκίου γένος περὶ τὸν τράχηλον. Μένανδρος Καρίνῃ "περὶ τὸν τράχηλον ἁλύσιόν τίς σοι δότω."

ἀλυσιτελές ἀσύμφορον.

ἀλυσκάζειν περιίστασθαι, ἐκκλίνειν, φεύγειν. ⟨AP 7 70⟩ "εἰ γὰρ φέγγος ἔλειπον ἀλυσκάζουσαι ἰάμβων ἄγριον Ἀρχιλόχου φθέγμα Λυκαμβιάδες."

Ἄλυτα ὄνομα πόλεως.

ἄλφα. ὅτι τὰ ἄκλιτα, οἷον τὸ ἄλφα, χωρὶς ἄρθρου δίδωσιν ὑπόνοιαν εὐθείας, εἰ δὲ σὺν ἄρθρῳ, πλαγίας πτώσεως. cf. v. Ἀβραάμ.

ἀλφάνει εὑρίσκει. Μένανδρος Ὁμοπατρίοις "ἦν δῆλον οὔτι νυμφίος τε ἀλφάνει." Ἀριστοφάνης Θεσμοφοριαζούσαις ⟨β' ?⟩ "οἴμοι κακοδαίμων τῆς τόθ' ἡμέρας, ὅτε εἰπέν μ' ὁ κῆρυξ οὗτος ἀλφάνει." Εὔπολις Ταξιάρχαις "οὐ θᾶττον αὐτὴν δεῦρό μοι τῶν τοξοτῶν ἄγων ἀποκηρύξει τις ὅ τι ἂν ἀλφάνῃ." καὶ ὁ ποιητής ⟨Φ 79?⟩ "ἑκατόμβοιον ὅς τ' ἀλφάνει."

a Ἀλφειός ποταμός. Ὅμηρος ⟨Ε 545⟩ "ὅς τ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης." ὃς "ἐκ τῆς πηγῆς εὐθέως κρύπτεται, καὶ πολὺν ἐνεχθεὶς τόπον ὑπὸ γῆς ἐκβάλλει περὶ Λυκόαν τῆς Ἀρκαδίας. ὁ δὲ ποταμὸς οὐ πολὺν τόπον ἀποσχὼν τῆς πηγῆς καὶ κρυφθεὶς ἐπὶ δέκα σταδίους πάλιν ἐκπίπτει, καὶ τὸ λοιπὸν φερόμενος διὰ τῆς Μεγαλοπολίτιδος τὰς μὲν ἀρχὰς ἐλαφρός, εἶτα λαμβάνων αὔξησιν καὶ διανύσας ἐπιφανῶς πᾶσαν τὴν προειρημένην χώραν ἐπὶ δέκα σταδίους, ἐκφανεὶς γίνεται πρὸς Λυκόαν, ἤδη προσειληφὼς καὶ τὸ τοῦ Λουσίου ῥεῦμα, παντελῶς ἄβατος ὢν καὶ βαρύς" ⟨Polyb. 16 17⟩.

Ἀλφειός ποταμὸς τῆς Ἀρκαδικῆς πό- b
λεως, ὃ κεῖται κατὰ τὴν Πελοπόννησον. δυόμενος δὲ διὰ τῆς Ἀδριάδος θαλάσσης εἰς τὸ πέλαγος, μηδαμῶς τε τῇ ἁλμυρίδι μιγνύμενος, κατὰ τὴν νῆσον ἀναδίδοται Σικελίας περὶ τὴν πηγὴν τὴν λεγομένην Ἀρέθουσαν, ὡς ἂν ταύτης ἐρώμενος. ⟨A Av. 1117⟩ "ἀλλ' οὑτοσὶ τρέχει τις Ἀλφειὸν πνέων." οὕτω συντόνως τρέχει ὡσεὶ Ὀλυμπιακὸς σταδιοδρόμος, ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ.

ἀλφεσίβοια εὑρετικὴ βοῶν.

ἀλφηστής εὑρετής.

ἄλφι ἄλφιτον. τοῦτο δὲ καλεῖται ἀπότρωκτον, ὅ φασι πρῶτον εὑρεῖν Ἐπίχαρμον. cf. Strabo 8 5 3.

ἄλφιτα τὰ ἀπὸ νέας κριθῆς ἄλευρα. "πολλὰ μὲν ἄλφιτα ἀπέκειτο πεφυρμένα, πολλαὶ δὲ κριθαὶ ἀλεῖν· μύλη γάρ τις ἦν αὐτόθι."

ἀλφιταμοιβούς· Ἀριστοφάνης ⟨Eccl. 441⟩ "ἦν δ' ἀποκλίνῃ τὴν θύραν, τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας δεῖπνον παρέχειν ἅπασιν, ἢ κλαίειν μακρά."

ἀλφιτεῖς οἱ τὰ ἄλφιτα ποιοῦντες. Ὑπερίδης.

ἀλφιτόπωλις ἡ τὰ ἄλφιτα πωλοῦσα.

ἀλφιτοσιτῶ· "καὶ γὰρ ὅστις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην ἀεὶ τὴν μᾶζαν ἐσθίει" Ξενοφῶν ⟨Cyr. 6 2 28⟩.

ἀλφοὺς λευκοὺς ἢ λεύκας.

ἅλω. ἡ εὐθεῖα ἡ ἅλω· τὸ γὰρ ἅλως παῖσμα νεωτερικόν.

ἀλῶ ἀντὶ τοῦ ἀλέσω Φιλύλλιος.

ἁλῷ πιεσθῇ, καταγνωσθῇ.

ἁλῷ κατὰ περιποίησιν γενικῇ· "ἐὰν δέ τις ἀπαχθῇ τῶν γονέων κακώσεως ἁλούς," καὶ "ἐὰν δέ τις ἁλῷ παρανόμων ἢ κλοπῆς."

ἁλῶα ἑορτή ἐστιν Ἀττική. Φιλόχορος δέ φησιν ὀνομασθῆναι ἀπὸ τοῦ τότε τοὺς ἀνθρώπους τὰς διατριβὰς περὶ τὰς ἅλως ποιεῖσθαι. Harp.

ἁλωαί ἁλωνίαι, ἢ παράδεισοι.

ἁλωάς ἁλωνίας, τοὺς τόπους ἔνθα ὁ σῖτος ἀλοᾶται. ἔστι δὲ καὶ ἡ δενδροφόρος γῆ. ἀπὸ τοῦ ἀλοιῶ ἐστιν ἀλωή σὺν τῷ ι· ⟨Hom. I 540⟩ "ἔθων Οἰνῆος ἀλωήν." τὸ δὲ ἅλωας ἀπὸ τοῦ ἅλως ἄνευ τοῦ ι.

ἀλώβητον ἄμωμον, ἀβλαβές.

ἀλῷεν ληφθεῖεν, πορθηθεῖεν.

Ἀλωεύς ὄνομα κύριον.

ἀλωή σιτοφόρος χώρα, ἀλόη δὲ τὸ μυρεψικόν.

ἀλώμενος πλανώμενος. "οἱ δὲ Γέπαιδες σποράδην ἀλώμενοι προσεχώρουν αὐτῷ κατ' ὀλίγους." καὶ αὖθις "ὁ δὲ Θεοσυλὴς λιπὼν τὴν πατρίδα καὶ ἀλώμενος ἐτέλει." καὶ αὖθις "ἀλώμενος δ' ἐγὼ μετὰ τὴν ἔφοδον τῶν βαρβάρων ἦλθον εἰς Φαραάν."

ἀλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἴβη, ἐπὶ τῶν καθ' ἑαυτοὺς χρωμένων τοῖς οὖσι καὶ μηδενὶ μεταδιδόντων.

ἁλῶναι ληφθῆναι, συνδεθῆναι· "καὶ ἐπιορκίας ἁλῶναι μάλιστα φυλαττόμενος."

ἀλωνευόμενος. Ἀππιανός "τὸ δὲ λοιπὸν τοῦ θέρους ἀμφότεροι περὶ σιτολογίαν ἐγίνοντο, Περσεὺς μὲν ἐν τοῖς πεδίοις ἀλωνευόμενος, Ῥωμαῖοι δὲ ἐν τῷ στρατοπέδῳ." "ὁ δὲ Περσεὺς ἐμπρήσειν ἐβούλετο διὰ τὰ ἄχυρα."

ἁλώνητον τὸ ὑπὸ ἁλῶν ἐωνημένον, ἴσον τῷ βάρβαρον. καὶ παροιμία "ἁλώνητον ἀνδράποδον" ἐπὶ τῶν οὐδενὸς λόγου ἀξίων, παρ' ὅσον οἱ ἔμποροι κομίζοντες εἰς τὴν μεσόγαιαν ἅλας ἀντὶ τύτυ οἰκέτας ἐλάμβανον. καὶ ἁλώνητος ὁμοίως βάρβαρος· οἱ γὰρ Θρᾷκες ἀνδράποδα ἁλῶν ἀπεδίδοντο.

ἀλωνία ἡ τῆς ἅλωνος, καὶ ἀλωνοτριβῶ ἐπὶ τῆς ἅλωνος διατρίβω.

Ἀλωπεκῆθεν. δῆμός ἐστιν ἡ Ἀλωπεκὴ τῆς Ἀντιοχίδος. καὶ ὁ δημότης Ἀλωπεκεύς. Ἀλωπεκιανός. καὶ ἀλωπεκέα ἡ περικεφαλαία.

ἀλωπεκίζειν ἐπὶ τῶν ἐξαπατᾶν ἐγχειρούντων.

Ἀλωπεκόννησος πόλις ἐστὶ μία τῶν ἐν Χερρονήσῳ.

Ἀλώπηξ ὄνομα κύριον. καὶ παροιμία ἀλώπηξ δωροδοκεῖται, ἐπὶ τῶν μὴ ῥᾳδίως δώροις πειθομένων. Κρατῖνος Νόμοις "ὑμῶν εἷς μὲν ἕκαστος ἀλώπηξ δωροδοκεῖται."

ἀλώπηξ τὸν βοῦν ἐλαύνει. τάττεται ἡ παροιμία ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων.

ἀλωπόχρους ὁ πολιός.

ἀλωρῆται οἱ τὰς ἅλως φυλάσσοντες.

ἅλως τῆς ἅλω κλίνεται ἀττικῶς. λέγεται δὲ καὶ ἅλωνος, καὶ ἅλωνι ἡ δοτική· ⟨AP 7 209⟩ "αὐτοῦ σοι παρ' ἅλωνι, δυηπαθὲς ἐργάτα μύρμηξ, ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμην."

ἁλώσιμα εὔληπτα. Ἀρριανός "ἀπὸ τῶν φρουρίων ὁρμώμενος ἦγέ τε καὶ ἔφερε τῆς ὑπ' ἐκείνῳ οὐκ ὀλίγην, καὶ αὐτὸς οὐδαμῇ ἦν αὐτῷ ἁλώσιμος."

ἁλωτόν τὸ ληφθῆναι δυνάμενον· ⟨S OR 110⟩ "τὸ δὲ ζητούμενον ἁλωτόν, ἐκφεύγει δὲ τἀμελούμενον." καὶ ἁλωτοί ληπτοί, χειρωτοί. καὶ Εὐριπίδης "οὐ μή ποθ' ἁλῶ κακὰ πράσσων." cf. v. παλαμᾶσθαι.

ἅμα δοτικῇ. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε, καὶ ... ἐν τῷ ὑπὲρ τῶν ῥητόρων λόγῳ εἰπὼν "οὐ γὰρ ὁ θάνατος τοῖς εὖ φρονοῦσιν οἰκτρός· τοῦτο γὰρ ἅμα τῷ γενέσθαι πάντων κατέγνωσται." Αἰσχίνης δὲ ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρὸν ἐν τῷ κατὰ Κτησιφῶντος ⟨52⟩· "ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν." καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. καὶ παρὰ τῷ Ἀντιφῶντι δὲ τὸ ἅμα κεῖται ἐπὶ τοῦ αὐτοῦ· φησὶ γὰρ ἐν προοιμίοις "ἀλλ' εἰ τό τε πρᾶγμά μοι κρεῖττον φαίνεται, ἅμα τε μαρτύρια ἀρετῆς παρέξομαι." καὶ παρὰ Δημοσθένει ἐν τῷ περὶ στεφάνου ⟨34⟩ "πάσαις δὲ λοιδορίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένον."

ἅμα δίδου καὶ λάμβανε, παροιμία ἐπὶ τῶν ἀγνωμόνων καὶ ἀπίστων.

Ἀμάδοκος. δύο γεγόνασι, πατὴρ καὶ υἱός, ὃς καὶ Φιλίππῳ συμμαχήσων ἦλθεν εἰς τὸν κατὰ Κερσοβλέπτου πόλεμον.

ἅμα ἔπος ἅμα ἔργον, παροιμία ἐπὶ τῶν ταχέως καὶ ὀξέως ἀνυομένων.

Ἀμαζόνειον ἱεράν, ὃ Ἀμαζόνες ἱδρύσαντο. οὕτως Ἰσαῖος. καὶ Ἀμαζόνειον κέρας. Harp.

ἀμαθεὶ ἀδιδάκτως.

ἀμαθέσιν ἀνηκόοις· "ὃ δὲ ἤλαυνε νυκτός, ἀμαθέσι τῶν ποιουμένων χρῄζων τοῖς πολεμίοις ἐπιπεσεῖν."

ἀμαθέστερος. καὶ ἀμαθής ἀντὶ τοῦ ἀπαίδευτος καὶ ἀκόσμητος Πλάτων. τάσσεται δὲ καὶ ἐπὶ τοῦ δυσμαθοῦς, καὶ ἐπὶ τοῦ μὴ μαθόντος, φύσει δὲ ἐπισταμένου.

ἀμαθής ἀμύητος· "ὃ δὲ ἀκούει ταῦτα, καὶ μὴ ὢν ἀμαθὴς οἰωνῶν τὸν παῖδα ἐπανάγει καὶ ἐκτρέφει ὡς γνήσιον." καὶ "ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων, οὐδ' Αἴσωπον πεπάτηκας" ⟨A Av. 474⟩ ἐπὶ τῶν ἰδιωτῶν. τὸ δὲ πατῆσαι ἴσον ἐστὶ τῷ ἐνδια-

τρῖψαι, ὡς τὸ ἀφικέσθαι που λέγομεν. καὶ αὖθις Ἀριστοφάνης (Ran. 1466) "ἀμαθέστερόν πως εἶπε καὶ σαφέστερον," παρὰ τὴν παροιμίαν "σαφέστερόν μοι κἀμαθέστερον φράσον."

ἀμάθητος ἀδίδακτος· (Procop. Arc. 6) "ὁ δὲ Ἰουστῖνος ἀμάθητος ἦν γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος."

ἀμαθία ἀντὶ τοῦ ἀναισθησία Πλάτων.

ἄμαθος ἡ τῆς πεδιάδος κόνις, ψάμαθος δὲ ἡ τῆς θαλάσσης.

Ἀμαθοῦς πόλις Κύπρου.

Ἀμαία ἡ Δημήτηρ, Ἀζησία δὲ ἡ κόρη. καὶ παροιμία "ἡ Ἀμαία τὴν Ἀζησίαν μετῆλθεν," ἐπὶ τῶν πολυχρονίαις ζητήσεσι χρωμένων.

ἀμαιμακέτου ἀκαταπονήτου· ἐν ἐπιγράμματι (AP 6 115) "οὐ δίχα βύρσας θῆκεν ἀμαιμακέτου κρατὸς ἔρεισμα κέρα."

ἅμα κνέφαι ὄρθρου. καὶ κνεφαῖον λέγουσι τὸν ὄρθριον.

Ἀμαλασοῦνθα. αὕτη μήτηρ Ἀταλαρίχου, ἣ τῆς δικαιοσύνης ἐπὶ πλεῖστον ἐλθοῦσα τῆς τε φύσεως ἐς ἄγαν καὶ τὸ ἀρρενωπὸν ἐπιδεικνυμένη, ὅσον χρόνον τῆς πολιτείας προὔστη, οὐδένα τῶν πάντων Ῥωμαίων ἐς τὸ σῶμα ἐκόλασεν ἢ χρήμασιν ἐζημίωσεν, οὐ μὴν οὐδὲ Γότθοις ξυνεχώρησεν ἐς τὴν ἐς ἐκείνους ἀδικίαν ὀργῶσιν. ἐβούλετο δὲ καὶ τὸν παῖδα τοῖς Ῥωμαίων ἄρχουσι τὰ ἐς τὴν δίαιταν ὁμότροπον καταστήσασθαι, καὶ φοιτᾶν ἐς γραμματιστοῦ ἤδη ἠνάγκαζε, τρεῖς τε ἀπολεξαμένη τῶν ἐν Γότθοις γερόντων, οὕσπερ ἠπίστατο μᾶλλον ἁπάντων ξυνετούς τε καὶ ἐπιεικεῖς εἶναι, ξυνδιαιτᾶσθαι Ἀταλαρίχῳ ἐκέλευσε. Γότθοις δὲ ταῦτα οὐδαμῇ ἤρεσκε· τῇ γὰρ ἐς τοὺς ὑπηκόους ἀδικίας ἐπιθυμίᾳ βαρβαρικώτερον πρὸς αὐτοῦ ἄρχεσθαι ἤθελον. καί ποτε ἡ μήτηρ ἁμαρτάνοντά τι ἐν τῷ κοιτῶνι τὸν παῖδα λαβοῦσα ἐρράπισε, καὶ ὃς δεδακρυμένος ἐς τὴν ἀνδρωνῖτιν ἐνθένδε ἀπῆλθε. Γότθοι δὲ αὐτῷ ἐντυχόντες δεινὰ ἐποιοῦντο, καὶ τῇ Ἀμαλασούνθῃ λοιδορούμενοι ἰσχυρίζοντο βούλεσθαί γε αὐτὴν τὸν παῖδα ἐξ ἀνθρώπων ἀφανιεῖν ὅτι τάχιστα, ὅπως αὐτὴ ἑτέρῳ ἀνδρὶ ἐς κοίτην ἐλθοῦσα ξὺν αὐτῷ ἄρχοι. ξυλλεγέντες δὲ ᾐτιῶντο οὐκ ὀρθῶς σφίσιν οὐδ' ᾗ δεῖ τὸν βασιλέα παιδεύεσθαι· γράμματά τε γὰρ πολὺ κεχωρίσθαι ἀνδρίας, καὶ διδασκαλίαν γερόντων ἀνθρώπων ἔς τε τὸ δειλὸν καὶ τὸ ταπεινὸν ἀποκρίνεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον. δεῖν τοίνυν τὸν ἔν τινι ἔργῳ τολμητήν τε καὶ δόξῃ μέγαν ἐσόμενον, φόβου τοῦ ἐκ διδασκάλων ἀπαλλαγέντα, τὰς ἐν τοῖς ὅπλοις μελέτας ποιεῖσθαι. ἔλεγον δὲ καὶ ὡς ἥνπερ αὐτοῖς τὸ ἀπὸ τοῦ σκύτους ἐπιγένηται δέος, οὐ μήποτε ξίφους ἢ δορατίου ὑπερφρονεῖν ἀξιώσουσιν. οὐκοῦν ὦ δέσποινα, ἔφασαν, παιδαγωγοὺς μὲν τούτους χαίρειν ἔα, σὺ δὲ Ἀταλαρίχῳ παῖδας ὁμοδιαίτους ἥλικας δίδου, οἵπερ αὐτὸν τὰ ἐς τὴν ἡλικίαν ξυνακμάζοντες ἐς τὴν ἀρετὴν κατά γε τὸν βάρβαρον νόμον ὁρμήσουσιν. ἡ δὲ οὐκ ἐπῄνεσε μέν, δείσασα δὲ τὴν ἐξ αὐτῶν ἐπιβουλὴν ξυνεχώρησε πάντα ὅσα οἱ βάρβαροι ἤθελον. Procop. Goth. 1 2.

ἀμαλδυνθήσομαι ἀφανισθήσομαι, καὶ ἀμαλδύνεσθαι ἀφανίζεσθαι.

Ἀμαλήκ ὄνομα κύριον. καὶ ἐξ αὐτοῦ Ἀμαληκίτης.

ἀμάλθακτον ἀνένδοτον, ἑδραῖον, παρὰ τὸ μὴ μαλάσσεσθαι.

Ἀμαλθείας κέρας, ἐπὶ τῶν ἀφθόνως ζώντων καὶ εὐθηνούντων καὶ εὐπραγούντων· ἐν μύθῳ (cf. Babr. 108) "ἔνθ' (an ἔλθ'?) ἵνα μοι βίος ἐστὶν Ἀμαλθείης κέρας αἰγός." Ἀμάλθεια γὰρ ἡ τροφὸς τοῦ Διός.

Ἀμαλκείδης.

ἀμαλλοδετὴρ ὁ τὰ δράγματα συλλέγων.

ἀμάμυξις σταφυλῆς γένος· οἱ δὲ τὴν ἀναδενδράδα οὕτως καλεῖσθαι. ἔστι δὲ καὶ παρ' Ἐπιχάρμῳ καὶ παρὰ Σαπφοῖ τὸ ὄνομα.

Ἀμάν. οὗτος προεστὼς τῶν βασιλικῶν πραγμάτων Δαρείου ὑπέσχετο τῷ βασιλεῖ μύρια τάλαντα εἰσοίσειν, εἰ ἀπολέσοι Ἰουδαίους. ὡς δὲ ἔπεισεν, ἐπεστάλη τοῖς ἔθνεσιν ἐν μιᾷ ἡμέρᾳ πάντας ἐξαφανίσαι. πρὶν δὲ συντελεσθῆναι ταῦτα, Μαρδοχαῖος τὴν κατ' αὐτοῦ ἐπίθεσιν διὰ τῆς Ἐσθὴρ ἐδήλωσε τῷ βασιλεῖ. ὃ δὲ τὰ ἐπισταλέντα ἀνεκαλεῖτο, τόν τε Ἀμὰν ἀνεσταύρωσε μέλλοντα σταυροῦν τὸν Μαρδοχαῖον, πλεῖστοί τε τῶν ἐχθρῶν ὑπὸ Ἰουδαίων ἀπώλοντο. καὶ τὰς ἡμέρας ἐκείνας ἑορτάζουσιν Ἰουδαῖοι. ζήτει ἐν τῷ Ἐσθήρ.

ἀμᾶν θερίζειν, παρὰ τὸ ἅμα. Βάβριος (88 extr.) "νῦν ἔστιν ὄντως, παῖδες, ἐκ τόπων φεύγειν, ὅτ' αὐτὸς ἀμᾷ κοὐ φίλοισι πιστεύει."

Ἀμανῖται ὄνομα ἔθνους. σημαίνει δὲ καὶ τοὺς μύκητας.

ἅμαξα τὸν βοῦν ἕλκει.

ἁμαξεία ὁ τῶν ἁμαξῶν φόρτος.

ἁμαξίς εἶδος πλακοῦντος, ἣν νῦν κοπτὴν φαμεν. Σύμμαχος δὲ καὶ τὸ μικρὸν ἁμάξιον. Ἀριστοφάνης Νεφέλαις (863) "ὅτ' ἐπριάμην σοι διασίοις ἁμαξίδα."

ἁμαξιτὸν ὁδὸν δημοσίαν. Μάλχος (immo X Anab. 1 2 21) "ἡ δὲ εἰσβολὴ τῆς Κιλικίας ἁμαξιτὸς ἦν ὁδός, ὀρθία ἰσχυρῶς καὶ ἀμήχανος εἰσελθεῖν στρατεύματι, εἴ τις ἐκώλυεν."

ἁμαξουργοί. ἁμαξουργοὺς λέγουσι τοὺς ἀγριοπηγούς. εἶδος δὲ οἱ ἀγριοπηγοὶ τεκτόνων, οἳ τὰς ἁμάξας κατασκευάζουσι καὶ πάντων τῶν ἀγρίων ξύλων εἰσὶν ἐργάται. sch. A Eq. 462.

ἀμάρη ἡ ὑδρορρόα.

ἁμαρτάδας ἀπὸ τῆς ἁμαρτάς εὐθείας. Προκόπιος (Arc. 2) "αἱ τῶν γυναικῶν ἁμαρτάδες οὐκ ἐπὶ τοὺς ἄνδρας ἵενται μόνον, ἀλλὰ καὶ παίδων ἅπτονται μᾶλλον, οὕς γε καὶ δόξαν τινὰ φέρεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον συμβήσεται ὡς φύσει τρόπου ταῖς γειναμέναις ἐοίκασιν."

ἁμαρτεῖν γενικῇ καὶ δοτικῇ, ἀποτυχεῖν.

ἁμάρτῃ αὐθυπότακτον, ἁμαρτῇ δὲ ἐπίρρημα. ἁμαρτήσει οὐχ ὑποτάσσεται.

ἁμαρτία ἡ τοῦ ἀγαθοῦ ἀποτυχία, παρὰ τὸ μάρπτω τὸ καταλαμβάνω, ἁμαρπτία τις οὖσα.

ἁμαρτίαν οἱ Ἀττικοί, ἁμαρτάδα Ἡρόδοτος καὶ ἄλλοι Ἴωνες.

ἁμάρτοιν εἴρηκε τὸ ἁμάρτοιμι Κρατῖνος Δραπέτισι· "ποδαπὰς ὑμᾶς εἶναι φάσκων, ὦ μείρακες, οὐκ ἂν ἁμάρτοιν;" καὶ ὅλως σύνηθες αὐτοῖς τὸ τοιοῦτο.

ἀμαρτυρήτους ἀντὶ τοῦ ἀμαρτύρους. οὕτως Ἀντιφάνης.

ἁμαρτωλοὶ οἱ παρανομίᾳ συζῆν προαιρούμενοι καὶ βίον διεφθαρμένον ἀσπαζόμενοι.

ἀμαρυγάς ὄψεις· οἱ δὲ ἀκτῖνας ὄψεως. καὶ ἀμαρυγὴ λαμπηδών. καὶ παρὰ Ἀριστοφάνει (Av. 921) ἡ κίνησις· "ὠκεῖα μουσάων φάτις, οἷά περ ἵππων ἀμαρυγά." τουτέστιν ἡ τῶν μουσῶν φάτις ταχεῖά ἐστιν ὡς ἵππος ὠκεῖα, ἐπεὶ πτερόεντες οἱ λόγοι.

Ἀμαρυγκεύς (Hom. Ψ 630) ὄνομα κύριον. καὶ Ἀμαρυγκείδης (Hom. B 622).

ἀμάρυγμα φόρημα, εἴδωλον, κίνησις. οἱ δὲ λαμπηδόνα.

ἄμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας, παροιμία ἐπὶ τῶν ἄλλα μὲν αἰτούντων, ἄλλα δὲ τῶν αἰτουμένων ἔχειν ἀπαρνουμένων. cf. v. ἄμη.

Ἀμάσεια ὄνομα πόλεως.

Ἄμασις ὄνομα κύριον. (Herodot. 2 extr.) "ὃς εἷλε Κύπρον πρῶτος ἀνθρώπων, καὶ κατεστρέψατο ἐς φόρου ἀπαγωγήν."

ἀμάστης (immo ἀκμαστής)· "πείθουσιν ἄνδρα γενναῖόν τε καὶ ἀμάστην εἰσελθόντα ἀποπνῖξαι τὸν Κόμοδον, ὄνομα Νάρκισσον" (Herodian. 1 extr.).

ἄμαστος ὁ ἀμάσητος, ὡς ἄπαστος ὁ ἄγευστος.

ἁματροχία ἡ ἁρματοτροχία.

ἀμαυρά σκοτεινά. ὅθεν καὶ ἀμαυρὸν τὸ μὴ διαφανές. καὶ Ἀρριανός "ἐξ ὧν καὶ τὰ ὑπόλοιπα δι' ἐλπίδος ἔχω οὐκ ἀμαυρᾶς, ὅτι καλῶς μοι ἕξει."

ἀμαχεὶ ἀμάχως.

Ἀμάχιος. οὗτος ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου ἄρχων ἦν μικρᾶς πόλεως Φρυγίας, Ἕλλην γοργός. τῶν ἱερῶν ἀνοιγομένων Μακεδόνιός τις καὶ Θεόδουλος καὶ Τατιανὸς ζήλῳ τοῦ χριστιανισμοῦ νυκτὸς εἰσπηδήσαντες συντρίβουσι τὰ ἀγάλματα· οἳ πολλὰς αἰκίας καὶ τιμωρίας διὰ τοῦτο ὑπομείναντες ἐσχάραις τε ἐπιτεθέντες καὶ πυρὶ ἐτιμωροῦντο. τὴν δὲ ἀνδρίαν ὑπέδειξαν τηνικαῦτα εἰπόντες "εἰ ἐπεθύμησας ὦ Ἀμάχιε ὀπτῶν κρεῶν ἀπογεύσασθαι, στρέψον ἡμᾶς καὶ εἰς τὰς ἑτέρας πλευράς, ἵνα μὴ εἰς τὴν γεῦσιν ἡμίοπτοι ὀφθῶμέν σοι." καὶ οὕτως ἐτελειώθησαν. cf. Sozom. 5 11.

ἄμαχον δυσκαταμάχητον. Πίνδαρος (Ol. 13 16) "ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος." Αἰλιανός "ἰχθύων δὲ ἀπηνέγκαντο πλῆθος ἄμαχον καὶ ἀνέστησαν τρόπαιον καὶ βωμοὺς ὤρθωσαν." καὶ αὖθις "ἐτίθετο ἕκαστος τὸ ἔργον ἑαυτοῦ ἀποδεῖξαι· ἑώρων γὰρ τὸν βασιλέα σπεύδοντα τοῦτο ἀμάχως." καὶ αὖθις "ἦν δὲ ἱέρεια τῷ θεῷ κάλλος ἄμαχος." καὶ αὖθις "ἀδοκήτου χιόνος καταρρήγνυται πλῆθος ἄμαχον." καὶ αὖθις "οὐ δυναστεία ἄμαχος." καὶ αὖθις "ἐς ὑπεροψίαν δὲ ἐξαφθεὶς ἄμαχον τοῦ μὲν ἔτι ἄνθρωπος εἶναι κατεφρόνει."

ἄμαχος ἀντὶ τοῦ μὴ μαχόμενος Ξενοφῶν (Cyr. 4 1 16). καὶ ἀμάχητοι οἱ μήπω μεμαχημένοι.

ἄμβασις ἀνάβασις· "καὶ ἄμβασις οὔ νύ τις ἦεν." cf. v. ἀπορρῶγας.

ἀμβάτας ἀναβάτας. "οἱ δὲ ἵπποι θνήσκοντες οὐκ ἐλύπουν τοὺς ἀμβάτας· ἤσθιον γὰρ αὐτούς." καὶ αὖθις "οἱ δὲ καὶ τοὺς ἀμβάτας δι' ἔκπληξιν ἀποσεισάμενοι."

Ἄμβενα ὄνομα πόλεως (Ἄβεννα? Eustath. in Dionys. 64).

ἀμβλήδην (Hom. X 476) μεγάλως βοῶσα.

ἀμβλίζω ῥῆμα.

ἀμβλίσιον τὸ μάννα.

ἀμβλίσκουσιν ἀποβάλλουσιν· ὃ συμβαίνει ταῖς διαφθειρούσαις καὶ προβαλλούσαις τὰ κυήματα. Πλάτων Θεαιτήτῳ (p. 149D). καὶ ἀμβλίσκειν καὶ ἐξαμβλοῦν τὸ διαφθείρειν καὶ ἀφανίζειν.

ἀμβλύ· ἐν ἐπιγράμματι (AP 6 36) "ἀλλὰ καὶ αὖτις ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον."

ἀμβλύνω τὸ ἐκλύω· (cf. v. διῆγε) "ὃ δὲ ἐπὶ πολὺ διῆγε τὸν πόλεμον, ἀμβλύνων τὴν τοῦ πολέμου ὀξύτητα χρονίαις τε καὶ μακραῖς τοῦ ἔργου τριβαῖς." καὶ ἀμβλύνεσθαι· (cf v. ἤκμαζεν) "μήθ' ὑπὸ νεότητος θρασύνεσθαι μήθ' ὑπὸ γήρως ἀμβλύνεσθαι."

ἀμβλύς ὁ μὴ ὀξύς, σκοτεινός.

ἀμβλυωπίας ὁ ἀμυδρῶς ὁρῶν.

ἀμβλυώττει τυφλώττει. καὶ ἀμβλυωπέστερον.

ἀμβλωθρίδια ἐκτρώματα, τὰ ἐξημβλωμένα ἔμβρυα. καὶ ἀμβλωθρίδιον αὐτό τε τὸ φθόριον φάρμακον καὶ δὴ καὶ τὸ διαφθαρέν.

ἀμβλώσκειν. καὶ ἀμβλῶσαι καὶ ἐξαμβλῶσαι τὸ ἀτελὲς γεννῆσαι, τὸ φθεῖραι βρέφος.

ἀμβολάδην ἀναβάλλων, Ἡρόδοτος (4 181), καθ' ὑπερβολήν.

ἀμβολὰς γῆ ἡ ὑπὸ τοῦ ὀρύγματος ὑψωθεῖσα. Ξενοφῶν (Cyr. 7 5 12) "ὁ δὲ Κῦρος πύργους ἐποίει ἐπὶ τῆς ἀμβολάδος γῆς, ὅπως ὅτι πλεῖστα φυλακτήρια εἴη."

ἀμβολία ἡ ὑπέρθεσις. ἐν ἐπιγράμματι (AP 5 233) "ἠθάδος ἀμβολίης αἰὲν ἀεξομένης." καὶ ἀμβολιεργὸς ἀνήρ (Hesiod. O. 411) ὁ τὸ ἔργον ἀναβαλλόμενος.

Ἀμβούλιος ὄνομα κύριον.

Ἀμβρακία πόλις ἐστὶν ἐν τῷ Ἀμβρακικῷ κόλπῳ, ἄποικος Κορινθίων. Harp.

ἀμβροσία ξηρὰ τροφή· (Hom. ι 359) "ἀλλὰ τό γ' ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ." νέκταρ δέ, τουτέστι νεόκταρ, τὸ νέους ποιοῦν τοὺς πίνοντας.

ἀμβρόσιαι, ἃς οὐδεὶς δύναται βροτῶν ἔχειν. Ὅμηρος (Α 529) "ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος κρατὸς ἀπ' ἀθανάτοιο."

ἀμβρόσιον θεῖον, ἢ ἀθάνατον, ἢ θαυμαστόν, ἢ ἀκήρατον, ἢ ἄφθαρτον. (AP 6 292) "ἦν γὰρ ἐρώτων καὶ χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος."

ἄμβροτα θεῖα, ἄφθαρτα.

ἀμβωμοῖσι (Hom. Θ 441) περὶ τοὺς βωμούς.

Ἀμεβώνη ὄνομα κύριον.

ἀμείβεσθαι, αἰτιατικῇ, ἀποκρίνεσθαι, καταβάλλεσθαι. "Λεόντιος μὲν τοσαῦτα εἶπε, Θευδίβαλδος δὲ ἀμείβεται ὧδε" (Procop. Goth. 4 24) ἀντὶ τοῦ ἀνταποκρίνεται.

ἀμείβομαί σε τοῦδε· "τούτους ὥσπερ τῆς εὐσεβείας ὁ θεὸς ἀμειβόμενος."

ἀμείβων ἀλλάσσων, καὶ ἀμοιβὴ ἡ ἀντέκτισις.

ἀμειδὲς στυγνόν, σκυθρωπόν, καὶ ἀμειδὴς σκοτεινός. καὶ κλίνεται εἰς ους. "ὀργὴν οὖν πρήυνον ἀμειδέα, μηδ' ἐπιτείνειν κακόν." cf. v. Διογένης f.

ἀμείδητος σκυθρωπός, καὶ ἀμειδήτων σκυθρωπῶν, ἀγελάστων. ἐν ἐπιγράμματι (AP 7 58) "εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις, Περσεφόνη."

ἀμείλικτον ἀπηνῆ, ἀκαμπῆ. καὶ ἀμείλικτος ἀπάνθρωπος. Εὐνάπιος (p. 102 Nieb.) "οὕτως ἀμείλικτοι ἦσαν ἄμφω κατὰ τὴν ἀλήθειαν, καὶ τὸ ἔργον ἐχώρει περιφανέστερον."

ἀμείλιχος σκληρός, ἀκολάκευτος.

Ἀμεινίας ὄνομα κύριον.

Ἀμειψίας Ἀθηναῖος κωμικός.

ἀμειψιρυσμεῖν μεταμορφοῦσθαι.

ἀμειψόμεθα ἀνταποδώσομεν.

ἀμέλγειν. ἰδίως λέγεται ἀμέλγειν τὸ παρὰ τὸν προσήκοντα καιρὸν ἀώρους τοὺς καρποὺς ἀποσπᾶν, ὅπερ οἱ κλέπτοντες ποιοῦσιν. Ἀριστοφάνης (Eq. 326) "ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους."

ἀμέλει τοιγαροῦν. ἀντὶ τοῦ μή σοι μελέτω διὰ τοῦτο.

ἀμέλεια καὶ ἀμελία, ἀμφότερα ἑλλη-

νικά· καὶ γὰρ καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ι γράφεται.

ἀμελεϊστί ⟨an ἀμελλητί⟩ χωρὶς βραδυτῆτος, διαμελεϊστί δὲ ⟨Hom. σ 339⟩ μελεϊστόν, κατὰ μέλος.

ἀμελητέα γενικῇ.

Ἀμέλιος Ἀπαμεὺς φιλόσοφος, μαθητὴς Πλωτίνου, διδάσκαλος Πορφυρίου, συγχρονίσας Ἀμμωνίῳ καὶ Ὠριγένει.

ἀμελλητί ἀνυπερθέτως, ταχέως.

ἀμελῶ σοῦ.

ἀμενηνός ἀσθενής· Ὅμηρος ⟨τ 562⟩ "ἀμενηνῶν ὀνείρων." καὶ ὁ καπνὸς ἀμενηνός.

ἀμενήνωσεν ἀσθενῆ ἐποίησεν. Hom. ν 562.

ἀμενητί χωρὶς τοῦ ἐπιμεῖναι.

ἀμεριμνία ἡ ἄνεσις.

ἀμεριμνηρεί χωρὶς φροντίδος.

ἀμετάκλητον· "ἀμετάκλητον ὁρμὴν ἔσχε τὸ πλῆθος εἰς τὸ μὴ μόνον ἀλλότρια φρονεῖν τοῦ βασιλέως, ἀλλὰ καὶ τιμωρίαν βούλεσθαι παρ' αὐτοῦ λαμβάνειν" ⟨Polyb. 37 2⟩.

ἀμεταποίητον ἀμετάθετον.

ἀμετάπτωτον. κυρίως ἐπὶ σωμάτων λέγεται τῶν δι' ἰσχὺν μὴ τρεπομένων ἢ διὰ ἰδιότητα μὴ μεταβαλλόντων. κατὰ μεταφορὰν δὲ λέγεται ἡ ἐπιστήμη ἀμετάπτωτος.

ἀμεταστρεπτί ἀμελητί, μὴ ἐπιστρεφόμενον εἰς τοὐπίσω. ζήτει ἐν τῷ ἀπονητί.

ἀμετρί χωρὶς μέτρου, καὶ παροιμία "ἀμετρὶ μᾶζαν ἔδοντες." cf. v. μέτρῳ ὕδωρ.

ἀμετροχάκου πλεῖστον πληθυνούσης περὶ κακίαν· "ἐς τοσοῦτον δὲ ἐχώρησεν ἀμετροκάκου πλεονεξίας ὥστε καὶ ἀνδράποδα δημόσια ἀπημπόλα" ⟨Eunap. exc. leg. p. 112⟩.

ἄμη τεκτονικὸν ἐργαλεῖον, ὃ ἡμεῖς πυράμην λέγομεν οὐκ ὀρθῶς. καὶ παροιμία "ἄμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας," ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἕτερα δὲ μὴ ἔχειν ἰσχυριζομένων.

ἀμηγέπη ὁπωσδήποτε, καθ' ὁτιοῦν. λέγεται δὲ καὶ ἀμωσγέπως καὶ ἀμόθεν καὶ ἀμουγέπου καὶ ἀμοιγέποι καὶ ἀμωσγέποι· Ἀριστοφάνης ⟨Ach. 608⟩ "ὑμᾶς μὲν ἐᾶν μισθοφορεῖν ἀμηγέπη" ἀντὶ τοῦ ἁπανταχοῦ, ὅπως ἂν τύχοι, καθ' οἷον δήποτε τρόπον. καὶ αὖθις "ἀλλ' ἀμηγέπη τῶν παρατεθέντων ἀπογευσάμενος ἀωρὶ νύκτωρ περιήρχετο τὴν βασιλικὴν αὐλήν." καὶ ἀμηγέπη Ἀγαθίας φησὶν ⟨1 10⟩· "ἀλύοντι δὲ καὶ ἕκαστα γνωματεύοντι ἔδοξεν οἱ ἀμηγέπη ἀποπειρᾶσθαι τοῦ φρουρίου."

ἄμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις, παροιμία ἐπὶ τῶν εὐεργετουμένων καὶ ταχὺ ἐπιλανθανομένων.

ἀμήν πεπιστωμένως, ἀληθῶς.

ἀμήρυτον ⟨Apollon. Rh. 2 221⟩ πολύ, ἐκτεταμένον, ἀτέλεστον. τουτέστι διηνεκῶς ἐπιμένον, ἀπέραντον.

ἀμησάμενος ἀνορύξας· "ὁ δὲ τὸ χῶμα σείσας καὶ τὴν γῆν ἀμησάμενος ἐζήτει τὸν νεκρόν." καὶ ἀντὶ τοῦ χερσὶ σωρεύσας· ⟨AP 7 241⟩ "πολλὰ τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμήσας ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν."

ἀμήσαντες ⟨Hom. φ 301⟩ ἀντὶ τοῦ ἄμῃ ἀποτεμόντες. καὶ ἀμήσαντι θερίσαντι· ἐν ἐπιγράμματι ⟨AP 6 40⟩ "οὐδέποτ' ἀμήσαντι Κορινθικόν, οὔποτε πικρᾶς γευσαμένῳ πενίης."

Ἀμησός καὶ Ἀμνησός. Ἀμισὸς δὲ καὶ Ἀμισηνός.

ἄμητα. ἄμης εἶδος πλακοῦντος γαλακτώδους· Ἀριστοφάνης Πλούτῳ ⟨1000⟩ "ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονί." οὐ μόνον ὅτι οὐκ ἐδέξατο τὰ δῶρα, ἀλλὰ καὶ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακούντιον πρὸς τούτῳ, ὡς ἂν λέγων μηκέτι πατῆσαι ἐκεῖ με. ἄμης οὖν ὁ πλακοῦς, οὐχ ὁ ἰπνός.

ἀμητῆρες ⟨Hom. Λ 67⟩ θερισταί.

ἀμητός αὐτὰ τὰ τεθερισμένα, ὀξυτόνως, οἷον ὁ στάχυς· καὶ τρυγητός βότρυς ὁ τρυγώμενος. προπαροξυτόνως δὲ ἄμητος ὁ καιρὸς τοῦ θέρους, ἐν ᾧ δεῖ ἀμᾶν, ὡς καὶ τρύγητος ὁ καιρὸς τοῦ τρυγᾶν.

ἀμήχανα. "οἱ δὲ ἐπεὶ τὰ ἀμήχανα τῷ λιμῷ ἔπασχον, ἐκεχειρίαν ὀλίγων τινῶν ἡμερῶν ᾔτουν διαπράξασθαι" Procop. Goth. 3 16.

ἀμηχάνητοι ⟨an ἀμήχανοι⟩ ἀντὶ τοῦ πολλοί Ξενοφῶν ⟨Cyr. 7 5 38?⟩.

ἀμηχανία ἀπορία.

ἀμήχανον ὑπὲρ λόγον, ἢ ἀνεπιχείρητον, ἀδύνατον. "τοῖς δὲ Ῥωμαίοις ἀμήχανος ἡ χαρὰ παρέστη πρὸς τὸ πάθος." καὶ ἀμήχανος, πρὸς ὃν οὐκ ἔστι μηχανήσασθαι. Δαμάσκιος ⟨Phot. p. 338 a⟩ "πόθῳ τε ἀμηχάνῳ τῆς περὶ τὸ θεῖον βακχείας οἷον ἀπομαντευομένῳ ἐῴκει τὴν τῆς ἀληθείας εὕρεσιν."

ἀμίδα οὐρητρίδα, οὐρηρὸν ἀγγεῖον. καὶ ἀμίδας τὰ ὑπηρέσια. Ἀριστοφάνης ⟨Vesp.

839) "ἀμὶς μέν, ἣν οὐρητιάσῃς, αὑτηὶ παρὰ σοὶ κρεμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου. σοφόν γε τουτὶ καὶ γέροντι πρόσφορον ἐξεῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας."

Ἀμίδης ὄνομα κύριον.

ἀμιθρῆσαι μετρῆσαι, ἀριθμῆσαι, παρὰ Καλλιμάχῳ.

ἄμικτος ὁ μὴ μιγνύμενος.

Ἀμίλκας ὁ καὶ Φαβέας (an Ἱμίλκων ὁ καὶ Φαμέας), Καρχηδονίων στρατηγός, ὃς ὑπῆρχε κατὰ μὲν τὴν ἡλικίαν ἀκμάζων καὶ κατὰ τὴν ἕξιν ἐρρωμένος, τὸ δὲ μέγιστον ἐφόδιον πρὸς πολεμικὴν χρείαν, ἱππεὺς ἄγαν ἀγαθὸς καὶ τολμηρός. cf. v. ἄψυχος.

ὅτι τούτῳ τῷ Ἀμίλκου (immo τῷ Βάρκα) παῖδα γεγενῆσθαί φασιν Ἀννίβαν τὸν χρόνοις ὕστερον μακρῷ πολέμῳ τὴν Ἰταλίαν κακώσαντα Ῥωμαίοις τε φοβερὸν ἐς τὰ μάλιστα γενόμενον.

ἅμιλλα ἀνταγώνισμα, φιλονεικία, ἐξίσωσις. "καί ποτε ἀγῶνα ἐπιτελοῦντες τούτω τὼ μειρακίω, ἐς ἅμιλλαν ἀκοντίσεως ἀποδυσαμένω, εἶτα μέντοι τῆς σπουδῆς θερμότερον ὑπεπλήσθησαν· καί πως ὁ Ἀργείου υἱὸς ἀλλαχόσε βουλόμενος βαλεῖν τἀδελφοῦ δυστυχῶς τῶν στέρνων τυγχάνει, καὶ ἀναιρεῖ αὐτόν."

ἁμιλλητήριον τόπος ἐν ᾧ ἁμιλλῶνται.

ἁμιλλῶμαί σοι ἀνταγωνίζομαί σοι.

Ἀμιναδάμ (1 Sam. 7 1) ὄνομα κύριον.

Ἀμινσός ὄνομα πόλεως. οἱ δὲ Ἀμησός διὰ τοῦ η, καὶ Ἀμησηνός.

a ἅμιπποι. ξυνωρίς, φασί, κατὰ τὸ παλαιὸν ἐλέγετο δύο ἵπποι συνεζευγμένοι τῶν τραχήλων· ἦν δ' ἐπὶ μὲν τοῦ ἑτέρου ἡνίοχος, ἐπὶ δὲ τοῦ ἑτέρου ὁπλίτης. καὶ νῦν δὲ χρῶνται περὶ ἀρχῆς Ἀλίβυες οἱ προσαγορευόμενοι Ζευγνῖται. τὸ δὲ αὐτὸ καὶ ἅμιππον καλεῖται. οὕτω Θουκυδίδης.

b ἅμιπποι κατὰ τὸν Ἰσαῖον οἱ σὺν ἵπποις στρατευόμενοι. οἱ δέ φασιν ὅτι ζεύγνυνται μέν τινες ἵπποι, καὶ ὁ ἐπελαύνων αὐτὰς τῷ μὲν ἐποχεῖται τὸν δὲ παρέλκεται, καὶ καλοῦνται οὗτοι ἅμιπποι. πεζοὺς δὲ τοὺς ἁμίππους Θουκυδίδης καὶ Ξενοφῶν ὑποδηλοῦσι. καὶ μή ποτε πρόδρομοί τινές εἰσιν οἱ ἅμα τοῖς ἱππεῦσι τεταγμένοι. Harp.

Ἀμισηνός ἀπὸ τόπου.

ἀμισθί χωρὶς μισθοῦ.

Ἀμισώδαρος ὄνομα κύριον.

ἀμιτροχίτων (Hom. Π 419) ὁ μὴ χρώμενος μίτρᾳ.

ἅμματα δεσμά. ἐν ἐπιγράμματι (AP 5 217) "χρύσεος ἀψαύστοιο διέτμαγεν ἅμμα κορείας Ζεύς, διαδὺς Δανάας χαλκελάτους θαλάμους." καὶ αὖθις (AP 6 219) "ἁβρῶν τε στρεπτῶν ἅμματι κεκρυφάλων." καὶ Πισίδης περὶ Χοσρόου (56) "ἐπεὶ δὲ λοιπὸν ἐντὸς ἦν τῶν ἁμμάτων, δεσμοῦσιν αὐτὸν ἀσφαλεστέρᾳ δέσει."

ἅμματα πλέκεις, ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους, ἀπὸ τῶν ἐν Κασίῳ Πηλουσιωτῶν, οἳ φυσικῇ τέχνῃ ἅμματα ἔπλεκον, δοκὰς ἐπὶ δοκοῖς συνάπτοντες. κασιώτῃ ἴσον.

ἄμμιγα ἀναμεμιγμένως· (AP 7 22) "εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς ἤσκησεν, μουσῶν ἄμμιγα καὶ χαρίτων."

ἀμμοάτιν (an ἀμμοβάτιν) εἶδος ὄφεως. cf. v. διψάς.

ἄμμον μετρεῖν, ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηνύτων.

ἄμμορος ὁ κακόμορος.

Ἄμμων ὄνομα θεοῦ ἑλληνικοῦ. Ἀριστοφάνης Ὄρνισιν (721) "ἐσμὲν δ' ὑμῖν Ἄμμων, Δελφοί, Δωδώνη, Φοῖβος Ἀπόλλων· ἐλθόντες γὰρ πρῶτον ἐς ὄρνις οὕτω πρὸς τἄργα τρέπεσθε."

Ἀμμωνιανός γραμματικός, κοσμούμενος τῇ συγγενείᾳ Συριανοῦ καὶ ἅμα τῇ συμφύτῳ ὁμοιότητι τῶν τε ἠθῶν καὶ τοῦ σώματος, κατὰ τὸν Ὅμηρον "εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ἐῴκει." τό τε γὰρ σῶμα καλός τε καὶ μέγας ἦν ἑκάτερος, ἔτι προσῆν ὑγεία καὶ ἰσχὺς οὐδὲν ἀποδέουσα τῆς ἄλλης εὐφυΐας τοῦ τε ὅλου καὶ τῶν μερῶν· ἥ τε ψυχὴ ἔρρωτο πρὸς τὸ βέλτιστον αὐτοῖς τὸν ὅμοιον τρόπον. ἀλλ' ὃ μὲν θεοφιλέστερος ἦν, ὁ Συριανός, καὶ τῷ ὄντι φιλόσοφος, ὃ δὲ ἠγάπα τὴν ἐπὶ ποιητῶν ἐξηγήσει καὶ διορθώσει τῆς ἑλληνικῆς λέξεως καθημένην τέχνην. οὗτος ἦν Ἀμμωνιανὸς ᾧ κεκτῆσθαι συμβέβηκεν ὄνον σοφίας ἀκροατήν. Damascius Phot. p. 339 b.

Ἀμμώνιος Ἀμμωνίου Ἀλεξανδρεύς, Ἀλεξάνδρου γνώριμος, ὃς καὶ διεδέξατο τὴν σχολὴν Ἀριστάρχου, πρὸ τοῦ μοναρχῆσαι τὸν Αὔγουστον.

Ἀμμώνιος φιλόσοφος Ἀλεξανδρεύς, ὁ ἐπικληθεὶς Σακκᾶς. οὗτος ἀπὸ Χριστιανῶν γέγονεν Ἕλλην, ὥς φησι Πορφύριος.

ἄμναμος ἀπόγονος, κυρίως ἐπὶ τῶν προβάτων, παρὰ τὸ ἀμνός.

Ἀμνειός ὁ ποταμός, καὶ ὁ ἀμνός.

ἀμνημονῶ σου γενικῇ.

Ἀμνησός ὄνομα ὄρους.

ἀμνηστεῖ ἀμνημονεῖ· Σοφοκλῆς (El. 482) "οὐ γάρ ποτ' ἀμνηστεῖ γ' ὁ φύσας, Ἑλλήνων ἄναξ."

ἀμνηστία ἡ λήθη. καὶ ὄνομα κύριον.

ἀμνίον (Hom. γ 444) τὸ αἱμοδόχον ἀγγεῖον.

Ἀμνισός ποταμὸς Κρήτης, διὰ τοῦ ι. τὰ εἰς ος τρισύλλαβα ἐπὶ ποταμῶν ὀξύτονα εἰ μὲν καθαρεύουσι, διὰ τῆς ει διφθόγγου γράφεται, οἷον Ἀλφειός Ὀλμειός, εἰ δὲ μή, διὰ τοῦ ι, οἷον Ἀμνισός Κηφισσός Ἰλισσός.

ἀμνοὶ τοὺς τρόπους (A Pac. 934) ἀντὶ τοῦ πραεῖς, εὐήθεις, ἁπλοῖ, ὡς οἱ κριοί, ἢ μαλακοί· τὸ γὰρ ἄρρεν πρόβατον ὅταν ἔχῃ τὴν μέσην ἡλικίαν, ἀμνὸς καλεῖται. οἱ δὲ τὸν ἐνιαύσιον ἄρνα ἀμνὸν καλοῦσιν.

ἀμνοκῶν προβατώδης, μωρός, εὐήθης· τοιαῦτα γὰρ καὶ τὰ πρόβατα. Ἀριστοφάνης (Eq. 264) "καὶ σκοπεῖς γε τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν, πλούσιος καὶ μὴ πονηρὸς καὶ τρέμων τὰ πράγματα," τουτέστιν εὐλαβούμενος καὶ φοβούμενος καταστῆναι εἰς πράγματα· πολλοὶ γὰρ διὰ δειλίαν καὶ τρόπων ἐπιείκειαν αἱροῦνται ζημιωθῆναι μᾶλλον ἢ χωρῆσαι διὰ δίκης. καὶ τὺς τοιούτους, φησί, συνεπιλεγόμενος ὁ Κλέων, καταστήσας εἰς φόβον τῷ παρέξειν πράγματα, ἐπηρέαζε ῥᾳδίως.

ἀμνόν τὸν ἐνιαύσιον ἄρνα. Ἴστρος ἐν ταῖς Ἀττικαῖς "ἄρνα, εἶτα ἀμνόν, εἶτα ἀρνειόν, εἶτα λιπογνώμονα. μοσχίον δὲ τὸν πρῶτον." καὶ ἀμνὸς ἀρσενικῶς πρόβατον τὸ μέσον τὴν ἡλικίαν, καὶ ἀμνὴ τὸ θῆλυ· τρεῖς γὰρ ἡλικίαι, ἀρνός ἀμνός ἀρνειός. καὶ Ἀμνὼς Ἀμνώ, ἀττικῶς, ὄνομα κύριον.

ἀμογητί (Hom. Λ 637) ἀκόπως.

ἀμόγητοι.

ἀμόθεν (Hom. α 10) ποθέν.

ἀμοιβαδόν ἐξ ἀμοιβῆς, ἐφεξῆς.

ἀμοιβαία ἔκτισις ἀνταπόδοσις, ἢ ἐκ διαδοχῆς ὁμοία. "ὅρκοι δὲ ἐπὶ τῇ ἀμοιβαίᾳ σφῶν ἐδίδοντο πίστει, οὐ μόνον αὐτοῖς ἀλλὰ καὶ τοῖς παραγινομένοις ἐκ τῶν βασιλείων τῶν Ῥωμαίων τῆς διαλλαγῆς ἕνεκα τῶν ἀνδρῶν" Πρίσκος φησίν (p. 222 Nieb.).

ἀμοιβή ἀντέκτισις, ἀνταπόδοσις. "ἀμοιβὴν τοῦ θεοειδεστάτου τρόπου θαυμαστὴν ἐφέρετο· ἔρρει γὰρ οἱ κατὰ πρύμναν τὰ ἐκ τῆς τύχης, καὶ πᾶσιν οἷς ἐπέθετο, τούτων ἥμαρτεν οὐδενός."

ἀμοιβηδίς ὁ ἀντικαταλλάσσων, ἀμοιβαδίς δὲ κατὰ ἐναλλαγήν.

ἀμοιβόν ἀνταποδοτικήν· "πρὶν κακῶν ἔργων ἀμοιβὸν τιμωρίαν ἐκτῖσαι."

ἀμοιρῆσαι, γενικῇ, ἀποτυχεῖν· ἀμοιρῶ γὰρ τὸ οὐ μετέχω. καὶ ἄμοιροι ἀμέτοχοι, ἢ κακόμοιροι· (S. OR 248) "κακὸν κακῶς νιν ἄμοιρον ἐκτρῖψαι βίον" ἀντὶ τοῦ κακόμοιρον, ἢ μηδενὸς τῶν νενομισμένων μετειληφότα, ἀλλ' ἄταφον ἐκβληθῆναι.

ἀμολγός τὸ μεσονύκτιον, ἤτοι καθ' ἣν ὥραν ζῷα οὐκ ἀμέλγονται, ἢ ἀφαιρέσει τοῦ γ, καθ' ἣν οὐδεὶς μολεῖ, ἢ ἀφαιρέσει τοῦ λ, καθ' ἣν οὐδεὶς μογεῖ.

ἀμορβός ὁ ἅμα τινὶ ὁρμῶν, ἁμορμὸς καὶ ἀμορβός.

ἀμόργεια χρώματος εἶδος, ἀπὸ νήσου Ἀμοργοῦντος ὡς θήραια ἀπὸ Θήρας νήσου. sch. A Lys. 150.

ἀμόργη ἡ τρυγία.

ἀμόργινον ὅμοιον βύσσῳ καὶ πολυτελές. λέγεται καὶ ἀμοργίνα θηλυκῶς.

ἀμοργίς κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς γίνεται ἐνδύματα ἀμόργινα λεγόμενα. ἢ ἡ τῷ ἐλαίου ὑποστάθμη, καὶ ἡ τρὺξ τοῦ οἴνου. ἔστι δὲ ἡ ἀμοργὶς ὅμοιον ἀλεπίστῳ λίνῳ. περιλεπίζουσι δὲ αὐτὸ καὶ ἐργάζονται. ἔστι δὲ σφόδρα λεπτὸν ὑπὲρ τὴν βύσσον ἢ τὴν κάρπασον.

ἀμοργοί πόλεως ὄλεθρος· Κρατῖνος Σεριφίοις. καλοῦσι δὲ καὶ μοργούς, τὸ α ἀφαιροῦντες, ὥσπερ καὶ ἐπ' ἄλλων· μαῦρον γὰρ τὸ ἀμαυρὸν καὶ σφόδελον τὸ ἀσφόδελον καλοῦσιν.

Ἀμορῖτις, θηλυκόν, ὄνομα πόλεως.

Ἀμορραῖος. τὸν Σιὼν βασιλέα τῶν Ἀμορραίων (Iosuae 12 2). Ἀμώριον δὲ καὶ ὁ ἐκεῖθεν Ἀμωραῖος διὰ τοῦ ω μεγάλου.

ἄμοτον ἀμότως, ἀκορέστως.

Ἀμοῦς Αἰγύπτιος. οὗτος νέος ὢν παρῃτεῖτο τὸν γάμον. ὡς δέ τινες τῶν προσηκόντων παρῄνουν μὴ καθυβρίζειν τὸν γάμον ἀλλὰ γυναῖκα ἄγεσθαι, πείθεται καὶ ἔρχεται ἐπὶ γάμον. καὶ πολλὰ παραινέσας τῇ παρθένῳ πείθει αὐτὴν πρὸ τοῦ συνελθεῖν ἀποτάξασθαι τῷ βίῳ τῷ κοσμικῷ. καὶ ἀποταξά-

μενοι ἄμφω ἐπὶ τὸ ὄρος τῆς Νιτρίας χωροῦσι, καὶ βραχὺν χρόνον συνασκοῦντες ἰδίᾳ τὴν ἄσκησιν ἐποιήσαντο. τούτου τοῦ Ἀμοῦ τὴν ψυχὴν ἀναλαμβανομένην ὁ Ἀντώνιος ἐθεάσατο. οὗτός ποτε ἑαυτὸν γυμνὸν οὐκ ἐθεάσατο, λέγων ἀπρεπὲς εἶναι τῷ μοναχῷ καὶ τὸ ἑαυτοῦ σῶμα γυμνὸν θεάσασθαι. ἐγένετο δὲ καὶ Δίδυμος ἄλλος μοναχός, ὃς ἐνενήκοντα ἔτη βιοὺς οὐδενὶ ἀνθρώπων συνέμεινεν ἄχρι τῆς τελευτῆς. Socrat. 4 23.

ἄμουσα ἀτερπῆ, ἀηδῆ, ἀπαίδευτα. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ⟨165⟩ "ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν ἀγρεῖον ὄντα καὶ δασύν. σκέψαι δ' ὅτι Ἴβυκος ἐκεῖνος κἈνακρέων ὁ Τήιος" καὶ τὰ ἑξῆς.

ἀμοχθεί χωρὶς κόπου.

ἀμπαλίνορος ἀναστρέφων τὴν αὐτὴν ὁδόν· Φιλέταιρος Μελεάγρῳ "οὐ πρὸς γυναικὸς ὁ κόρος ⟨an χορός⟩. οἴχαδ' ὦ κόρη ἄπιθ' ἀμπαλίνορος."

ἀμπαύσας ἀναπαύσας· "ὁ δὲ ἀμπαύσας αὐτούς, ὅσον τὴν πρώτην φυλακὴν τῆς νυκτὸς προελθεῖν."

ἀμπέλειος βότρυς, δίφθογγον, Ἀμπέλιος δὲ ὄνομα κύριον διὰ τοῦ ι. καὶ θηλυκὸν ἀμπελόεσσα, γῆ ἀμπελόφυτος. καὶ ἀμπελουργεῖον.

ἀμπελεών ἡ ἀμπελόφυτος γῆ· ⟨AP 6 226⟩ "λιτός θ' ὁ σχεδὸν ἀμπελεών."

ἀμπελών ἡ οἰνόφυτος γῆ.

ἀμπεχόμενος περιβαλλόμενος, καὶ ἀμπέχῃ ἀντὶ τοῦ περιβέβλησαι. ⟨A. Ach. 992⟩ "ὦ κακόδαιμον, εἶτα λευκὸν ἀμπέχῃ;" ἐπεί, φησί, τὰς βόας ἀπώλεσας, καὶ λευχειμονεῖς;

ἀμπεχόνη ἄμφιον, ἱμάτιον. καὶ ἀμπεχόνιον λεπτὸν ἱμάτιον, παλλίον. καὶ ἀμπίσχω ἐνδύω.

ἀμπλάκημα ἁμάρτημα, καὶ ἀμπλακίαις ἁμαρτίαις. καὶ ἀμπλακών ἁμαρτήσας· ⟨Damascius⟩ "ἀλλὰ τὸ Ἰβύκου ἔπος αὐτὸν ἐπῄει, μήτι παρὰ θεοῖς ἀμπλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψω." ἔστι δὲ πρὸς ἱερωσύνην συνᾷδον τὸ Ἰβύκειον τουτὶ ῥησείδιον.

ὅτι ἀρέσκει τοῖς στωικοῖς ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα. εἰ γὰρ ἀληθὲς ἀληθοῦς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψευδὲς ψευδοῦς, οὕτως οὐδὲ ἀπάτη ἀπάτης, οὐδὲ ἁμάρτημα ἁμαρτήματος. καὶ γὰρ ὁ ἑκατὸν σταδίους ἀπέχων Κανώβου καὶ ὁ ἕνα, ἐπ' ἴσης οὐκ εἰσὶν ἐν Κανώβῳ. οὕτω καὶ πλέον καὶ ἔλαττον ἁμάρτημα ἐπ' ἴσης οὐκ εἰσὶν ἐν τῷ κατορθοῦν. οἱ δέ φασιν, ὧν καὶ Ἡρακλείδης ὁ Ταρσεύς, ἄνισα εἶναι τὰ ἁμαρτήματα. Diog. L. 7 120.

ἀμπνοὰς ἔχοντα ζῶντα, ἀναπνέοντα.

ἀμπρεύοντες παρακομίζοντες· ἄμπρον γὰρ σχοινός τις, μεθ' οὗ εἰώθασιν ἕλκειν ἤτοι παρακομίζειν μεγάλα φορτία. ἀμπρεύειν δὲ κυρίως τὸ μετὰ ἁμάξης πορεύεσθαι, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωτοφόρων ζῴων λαμβάνεται. ἢ ἀμπρεύειν τὸ τῷ ἕλκοντι ζεύγει βοηθεῖν. καὶ ἄμπρον σχοινίον, ὅπερ διὰ τῶν ζυγῶν διατείνουσι καὶ φορτία ἐφ' ἁμάξης κομίζουσιν, ὥστε ὁμοτόνως ἀπὸ τῶν ζυγῶν ἕλκεσθαι, ἀμπερόν τι ὄν, τὸ διαπερῶν τὸν ζυγὸν δεδεμένον. καὶ "ἐξαμπρεύσομεν ἄνευ κανθηλίου" ⟨A. Lys. 289⟩, ἀντὶ τοῦ ἕλξομεν τὸ ξύλον ἄνευ ὄνου.

ἄμπυκας χαλινούς. ἄμπυξ δὲ δεσμὸς τριχῶν ἢ κόσμος κεφαλῆς. οὕτως Ὅμηρος ⟨X 469⟩.

ἄμπωτις λῆξις, ἡ ξηρασία, ἢ πλημμύρα. "τὸν σπουδαῖον οὐ δεῖ θαυμάζειν τῶν δοκούντων τι παραδόξων, οἷον χαρώνεια καὶ ἀμπώτιδας καὶ πηγὰς θερμῶν ὑδάτων καὶ πυρὸς ἀναφυσήματα. ἀλλὰ μὴν οὐδ' ἐν ἐρημίᾳ βιώσεται ὁ σπουδαῖος, κοινωνικὸς ὢν φύσει καὶ πρακτικός." Diog. L. 7 123.

ἀμυγδαλῆ τὸ δένδρον, ἀμυγδάλη δὲ ὁ καρπός· ⟨AP 6 232⟩ "καὶ δειλαὶ δάκνεσθαι ἀμυγδάλαι."

ἀμυγνόν τὸ μὴ μυσαρὸν ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτω Σοφοκλῆς.

ἄμυδις ὁμοῦ.

ἀμυδρά ἀφανῆ, σκοτεινά. καὶ ἀμυδρῶς σκοτεινῶς, λεπτῶς, ἀσαφῶς.

ἀμύειν ⟨an ἀνύειν⟩ τὸ σπεύδειν παρ' Ἀττικοῖς. καὶ δασύνεται.

ἀμύητος ἄπειρος, ἀτέλεστος.

ἀμύκλαι κόσμιόν τι, ὅπερ ἐν ποσὶν εἶχεν Ἐμπεδοκλῆς. εἶχε γὰρ χρυσοῦν στέμμα ἐπὶ τῆς κεφαλῆς, καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς, καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσίν· καὶ οὕτως ἐπῄει τὰς πόλεις, δόξαν περὶ αὐτοῦ κατασχεῖν ὡς περὶ θεοῦ βουλόμενος. ὃς ἔρριψεν ἑαυτὸν νύκτωρ εἰς τοὺς κρατῆρας τοῦ Αἰτναίου πυρός, ὡς μὴ φανῆναι αὐτοῦ τὸ σῶμα, τοῦ δὲ σανδαλίου αὐτοῦ ἐκβρασθέντος ἐφωράθη. ἐκαλεῖτο δὲ κωλυσανέμας διὰ τὸ πολλοὺς ἀνέμους ἐπιθεμένους τῇ Ἀκράγαντι ἐξελάσαι αὐτόν, δορὰς ὄνων περιθέντα τῇ πόλει. cf. v. Ἐμπεδοκλῆς.

Ἀμυκλαῖος ἀπὸ τόπου.

ἀμύμων ἄψογος, ἄμεμπτος.

Ἀμυμώνειος ἐκ τοῦ Ἀμυμῶνος. καὶ Ἀμυμώνη ὄνομα κύριον.

ἄμυνα καὶ ἐπὶ ἀμοιβῆς καὶ ἐπὶ εἰσπράξεως δίκης.

ἀμύνασθαι Θουκυδίδης μὲν (1 42) ἀντὶ τοῦ ἀμείβεσθαι, Σιμωνίδης δὲ ἀντὶ τοῦ χάριτας ἀποδιδόναι, Σοφοκλῆς δὲ ἀντὶ τοῦ ἀπαλεξῆσαι. ἐπὶ τῶν προηδικημένων τάσσουσιν οἱ ῥήτορες τὸ ἀμύνασθαι, ὅτε οἱ κακόν τι παθόντες ἀντιπράσσουσι τοὺς προδιαθέντας. καὶ ἀμύναιν τὸ ἀμύναιεν Κρατῖνος Πυλαίᾳ· "αὐτοὺς ἐπαίδευσεν ἔθρεψέ τε δημοσίοις χρήμασιν εἰς ἥβην, ἵνα σοί ποτε λοιγὸν ἀμύναιν." καὶ ἀμύνειν παρὰ Θουκυδίδῃ (1 40) τὸ βοηθεῖν, ἀμύνεσθαι δὲ τὸ κολάζειν.

Ἀμυνίας ὄνομα κύριον. ἢ ὁ ἕτοιμος ἀμύνεσθαι. "ἀλλ' Ἀμυνίας ὁ Σέλλου μᾶλλον οὐκ τῶν κρωβύλων" Ἀριστοφάνης (Vesp. 1306).

ἀμυνόμενοι τοὺς κακόν τι πράξαντας ἀντιδιατιθέντες. (Polybius? cf. vv. ἐμβαίνειν, ἀναιρεθείς, πέλας) "οἱ δὲ Ῥωμαῖοι ἔθος εἶχον μὴ ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ' ἀεὶ δοκεῖν ἀμυνόμενοι καὶ κατ' ἀνάγκην ἐμβαίνειν εἰς τοὺς πολέμους." καὶ αὖθις "ὁρῶσι κἀμὲ καὶ σέ, καὶ φρονοῦσ' ὅτι ἔργοις πεπονθὼς ῥήμασιν ἀμύνομαι" (S. OC 872).

ἀμύντης καὶ ἀλκήστης. τραγικὰ καὶ αἰσχυληρὰ τὰ ὀνόματα.

ἀμύντωρ βοηθός.

ἀμύνω σοι βοηθῶ σοι, ἀμύνομαι δέ σε ἀντὶ τοῦ τιμωρῶ σε· (Ps. 117 10) "καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς."

ἀμύξεις λυπήσεις, τρώσεις, πλήξεις. καὶ παροιμία "μηδ' ἄκανθα ἀμύξῃ τοὺς ἀγαθούς." καὶ ἄμυξις σπάραξις, ξέσις· ἀμύσσω γὰρ παρὰ τὸ αἷμα, αἱμύσσω καὶ ἀμύσσω. (AP 7 218) "ἧς ἔπι καλὸν ἄμυξε κατὰ ῥέθος Ἀφρογένεια" ἀντὶ τοῦ ἐσπάραξεν, ἔξεσε. καὶ ἐν ἐπιγράμματι (AP 5 262) "ἵστασο καὶ σκοπίαζε, μάτην δὲ σὸν ἦτορ ἀμύσσου."

Ἄμυρις μαίνεται. ἐπὶ τοῦ φρενήρους λέγεται ἡ παροιμία. θεωρὸς γὰρ ὑπὸ Συβαριτῶν πεμφθεὶς εἰς Δελφοὺς περὶ εὐδαιμονίας, καὶ τοῦ θεοῦ χρήσαντος ἀπώλειαν Συβαριτῶν ἔσεσθαι τότε ὅταν ἀνθρώπους θεῶν προτιμήσωσι, θεασάμενος δοῦλον πρὸς ἱερῷ μαστιγούμενον καὶ προσφυγόντα τῷ ἱερῷ καὶ μὴ ἀπολυόμενον, ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πατρῷον μνῆμα καταφυγόντα ἀπολυθῆναι, συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὰ ἴδια ἀπῆρεν εἰς Πελοπόννησον. ὃ γοῦν λογισμῷ πεποίηκεν Ἄμυρις, τοῦτο εἰς μανίαν Συβαρῖται μετέτρεψαν. ὃ δὲ τῷ χρόνῳ διὰ τὴν προσποίητον μανίαν ἐθαυμάσθη. Athen. p. 520 A.

ἀμύσχαρον τὸ ἁγνόν. cf. v. ἀμυχνόν.

ἀμύσσειν ταράσσειν, ἑλκοῦν, ξέειν, σπαράσσειν. "ποτὲ μὲν τοῖς ὄνυξιν ἀμύττων τὰς παρειάς, ὁτὲ δὲ τῷ ῥύγχει τοὺς ὀφθαλμοὺς ἔκοπτεν" (Dionys. Hal. fr. 15). "ἐπεὶ δὲ προῆλθε - - - ἐπεκλήθη." cf. v. Κελτοί b.

ἀμυστὶ πιεῖν, ἐπίρρημα. λέγεται δὲ ἐπὶ τῶν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πινόντων, οἱονεὶ μηδὲ μυσάντων. τοῦ αὐτοῦ ἔχεται καὶ τὸ ἐξαμυστίσαι. λέγεται δὲ καὶ ἀμυστίζειν καὶ τὰ ἐξ αὐτοῦ. καὶ ἀμυστὶ (an ἄμυστιν) Φερεκράτης εἶπεν. (Dio Cass. 72 18) "ὅτι Κόμοδος ὁ βασιλεὺς Ῥωμαίων ἔπιεν ἐν τῇ ἀγωνίᾳ καμών, κύλικι ῥοπαλωτῇ παρὰ γυναικὸς γλυκὺν οἶνον ἐψυγμένον λαβών, ἀμυστί· ἐφ' ᾧ παραχρῆμα πάντες τοῦτο δὴ τὸ ἐν τοῖς συμποσίοις εἰωθὸς λέγεσθαι ἐξεβόησαν ζήσειας." καὶ Ἀριστοφάνης (Ach. 1190) "ἄμυστιν ἐξέλαψα," οἷον ὁμοῦ καὶ ἀθρόως ἔπιον. ἢ παρὰ τὸ ἀπνευστὶ ἐκπιεῖν, ἢ παρὰ τὸ μὴ μύειν. ἔστι δὲ καὶ εἶδος ποτηρίου φιαλώδους. ἄμυστις γὰρ ἡ ἀπνευστὶ πόσις.

ἀμυχὴ ἐπιπόλαιον ἕλκος.

ἀμυχνόν τὸ μὴ μυσαρὸν ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτω Σοφοκλῆς. γράφεται δὲ καὶ ἀμυχρόν.

Ἀμφάρης ὄνομα κύριον.

ἀμφασία (Hom. P 695) ἀφωνία, ἀλαλία.

ἀμφ' αὐτούς περὶ αὐτούς.

ἀμφέχανε κατέπιωκε· "τοὺς δ' ὁ μέλας ἀμφέχανεν θάνατος" (AP 6 131).

ἄμφηκες ἀμφοτέρωθεν ἠκονημένον, ἀπὸ τῆς ἀμφήκης εὐθείας. "οἷος ἐμοὶ τρέφεται παῖς ἀμφήκει γλώττῃ λάμπων" Ἀριστοφάνης Νεφέλαις (1161).

ἀμφήμερον τὸν ἀμφημερινὸν πυρετόν. Σοφοκλῆς Ποιμέσι "κρυμὸν φέρων γνάθοισιν ἐξ ἀμφημέρου."

ἀμφηρεφές τὸ ἀμφοτέρωθεν ἐστεγασμένον ἢ κατάσκιον.

ἀμφηρικόν· "πέμπει δὲ σκαφίδιον ἀμ-

φηρικόν." καὶ Θουκυδίδης ⟨4 67⟩ "ἀκάτιον ἀμφηρικὸν ὡς λῃσταί, ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν, ἐκόμιζον τὸ πλοῖον ἁμάξῃ."

ἀμφήριστον ⟨Hom. Ψ382⟩ ἴσον, ἀμφίβολον, ἐπιφιλόνεικον. "πολίτης ἀμφήριστος Εὐρυβάτῳ τῷ προεμένῳ Κροῖσον ἐπὶ πονηρίᾳ." καὶ αὖθις "ἤτοι τὸ νικᾶν ἢ τὸ μὴ λειφθῆναι ἀλλ' ἀμφήριστον ἀπολιπεῖν τὸ κράτος ἀφαιρεθέντες." "ἀμφήριστος ἰσχὺν καὶ μέγεθος, φρονήσει δὲ καὶ ἀνδρείᾳ λίαν ὑπερφέρων."

ἀμφί περί, ἐξ ἑκατέρου μέρους.

a ἀμφιανακτίζειν τὸ προοιμιάζειν, διὰ τὸ οὕτω προοιμιάζεσθαι. Τέρπανδρος "ἀμφί μοι αὖτις ἄνακτα," καὶ Ἀριστοφάνης Νεφέλαις ⟨591⟩ "ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ Δήλιε." ἀμφιάνακτας ἔλεγον καὶ τοὺς διθυραμβοποιούς· συνεχῶς γὰρ ἐκεῖνοι ταύτῃ ἐχρῶντο τῇ λέξει.

b ἀμφιανακτίζειν ᾄδειν τὸν Τερπάνδρου νόμον τὸν καλούμενον ὄρθιον, ὃ αὐτῷ προοίμιον ταύτην τὴν ἀρχὴν εἶχεν "ἀμφί μοι αὐτὸν ⟨an αὖτε⟩ ἄναχθ' ἑκατηβόλον ᾀδέτω φρήν ⟨an ἁ φρήν⟩." ἔστι δὲ καὶ ἐν Εὐνικίᾳ καὶ ἐν Ἀναγύρῳ.

Ἀμφιάρεων ἀττικῶς. Ἀμφιάρειον δέ.

ἀμφίας μέτριος οἶνος. Νικόστρατος Οἰνοποιῷ ⟨an Οἰνοπίωνι⟩ καὶ Σωσικράτης.

ἀμφίβιον ἐν ἀμφοτέραις δυνάμενον βιοῦν, θαλάσσῃ καὶ γῇ. καὶ ἀμφίβια ζῷα, ὅσα καὶ ἐν τῷ ὑγρῷ καὶ ἐπὶ τῆς χέρσου βιοῖ, οἷον ἵππος ποτάμιος, κροκόδειλος. δύναται δὲ καὶ ἄνθρωπος· εἰσὶ γὰρ οἷοι ἅμα καὶ ἐν τῷ ὑγρῷ καὶ ἐν τῷ ξηρῷ διαιτᾶσθαι, ὡς ἐν Αἰγύπτῳ καὶ ἄλλῃ πολλαχῇ.

ἀμφίβληστρον τὸ δίκτυον.

ἀμφιβολία λέξις δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως, ὥσθ' ἅμα πλείονα ἐκδέξασθαι κατὰ τὴν αὐτὴν λέξιν, οἷον "αὐλητρὶς πέπτωκε·" δηλοῦται γὰρ δι' αὐτῆς καὶ ὅτι ἡ οἰκία τρὶς πέπτωκε καὶ ὅτι ἡ κιθαρῳδὸς ἡ αὐλοῦσα. Diog. L. 7 62.

ἀμφίβολοι πανταχόθεν βαλλόμενοι ἢ ἀπορούμενοι, διαφόροις συνεχόμενοι λογισμοῖς, ἀγνοίᾳ τοῦ αἱρετοῦ, καὶ εἴτε τοῦτο εἴτε ἐκεῖνο ποιήσουσιν. Ἀρριανός "οἱ δὲ Μάρδοι ἑκατέρωθεν ἤδη ἀμφίβολοι γιγνόμενοι, καὶ ὑπὸ τῶν ἀναβαινόντων παιόμενοι καὶ ὑπὸ τῶν κατὰ νώτου ἐπιθεμένων ὠθούμενοι, ἀπέθνησκον." καὶ αὖθις "ὁ δὲ Παμπρέπιος τούτοις ἀμφίβολος ὀφθεὶς βραχὺ παρεωρᾶτο."

ἀμφίβροχος πανταχόθεν βεβρεγμένος, τουτέστι μεθύων. ⟨AP 7 25⟩ "ἡδὺ μέθυ βλύζων, ἀμφίβροχος εἵματα Βάκχῳ."

ἀμφιγνοεῖ ἀμφιβάλλει. Ἀγαθίας ⟨1 13⟩ "καὶ ὅτου δὴ ἕνεκα τοῦτο δράσειεν ἀμφιγνοούντων" ἀντὶ τοῦ ἀμφιβαλλόντων. ἀμφιγνοεῖν οὖν ἀγνοεῖν ἢ ἐνδοιάζειν.

ἀμφιγυήεις ὁ Ἥφαιστος.

ἀμφιγυίοισιν τοῖς ἐξ ἑκατέρου μέρους πλῆξαι καὶ γυιῶσαι δυναμένοις.

ἀμφιδαής ἡ ἀμφοτέρωθεν κόπτουσα μάχαιρα.

ἀμφίδεα ψέλια.

ἀμφιδέας ἁλύσεις παρ' Ἡροδότῳ ⟨2 69⟩· οἱ δὲ ψέλια.

ἀμφιδέας. περισκελίδες τινές εἰσιν. ἰδίως δὲ Λυσίας ἐν τῷ κατ' Εὐθυδίκου φησὶν "οὐ δυνάμενος ἐκβαλεῖν διὰ τὸ ἀμφιδέαις δεδέσθαι τὰς θύρας." Harp.

ἀμφιδέδηεν ⟨Hom. Z 329⟩ ἐξῆπτο, διεγήγερτο.

ἀμφιδεές περιδεές.

ἀμφιδείελον. ἀμφίδηλον δέ.

ἀμφιδήριτον ἀμφίδοξον, ἰσοστάσιον· "συνέβη γενέσθαι τὴν μάχην ἀμφιδήριτον."

ἀμφίδοξον ἀμφίβολον· "οἱ δὲ οὐκ ᾤοντο δεῖν εἰς ἀμφίδοξον ἀγῶνα συγκαταβαίνειν, δυνάμενοι προδήλως νικᾶν." καὶ ἀμφιδοξούμενα βιβλία, τουτέστιν ἀμφιβαλλόμενα.

ἀμφίδορον τὸ πανταχόθεν περιέχον. ἐν ἐπιγράμματι ⟨AP 6 165⟩ "καὶ σκύτος ἀμφιδόρου στικτὸν ἀχαιινέης," τουτέστιν ἐλάφου δέρμα· ἀχαΐνη γὰρ ἡ ἔλαφος.

ἀμφιδρόμια. τὴν πέμπτην ἄγουσιν ἐπὶ τοῖς βρέφεσιν, ἐν ᾗ ἀποκαθαίρονται τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως, τὸ δὲ βρέφος περιφέρουσι τὴν ἑστίαν τρέχοντες, καὶ δῶρα πέμπουσιν οἱ προσήκοντες, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας καὶ σηπίας. τῇ δεκάτῃ δὲ τοὔνομα τίθενται.

ἀμφίδρομον ἑλικοειδές· ⟨S. Ai. 351⟩ "ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης ἀμφίδρομον κυκλεῖται." ἑλικοειδές, ὃ βαπτίζει τὰς ναῦς.

ἀμφὶ ἓ γιγνώσκων ἑτάρους ⟨Hom. O 241⟩. ἴσον τῷ ἀναλεγόμενος καὶ ἀναμιμνησκόμενος. καὶ κατ' ὀρθὸν τόνον προενεκτέον

τὴν ἀμφὶ ἕ· ἔστι γὰρ εἰς ἑκάτερον ἑαυτοῦ μέρος.

ἀμφιέννυμι αἰτιατικῇ.

ἀμφὶ ἔτει ἐν αὐτῷ τῷ ἔτει.

ἀμφιετηρίς ἑορτὴ κατ' ἔτος γινομένη.

ἀμφιθαλής ἑκατέρωθεν θάλλων. ἀμφιθαλὴς ἔρως ⟨A Av. 1735⟩ ὁ ἀμφοτέροις τοῖς γονεῦσι θάλλων, μηδενὸς ὠρφανισμένος.

ἀμφιθέατρον τόπος πανταχόθεν περισκοπούμενος. Ἀγαθίας ⟨1 14⟩ "ὁ δὲ τῶν Φράγγων ἡγεμὼν ἐς ἀμφιθέατρόν τι· ἀνεῖτο δὲ τοῦτο ἀνδράσιν οἷς ὁ βίος θεωμένου τοῦ δήμου πρὸς θηρία διαγωνίζεσθαι."

ἀμφίθετον φιάλην ⟨Hom. Ψ 270⟩ κατὰ πᾶν μέρος αὐτῆς τιθεμένην, ἀπύθμενον. οὐ τὸ παρ' ἡμῖν ποτήριον, ἀλλὰ γένος λέβητος ἐκ παντὸς μέρους δυνάμενον ἕδραν ἔχειν.

ἀμφίκλαστον πάντοθεν κεκλασμένον. ⟨AP 6 223⟩ "λείψανον ἀμφίκλαστον ἁλιπλανέος σκολοπένδρης."

ἀμφίκοιτος ὁ τάπης.

ἀμφίκορος ὁ μέσος τῶν τριῶν ἀδελφῶν, ἀμφίκουρος δὲ ὃν ἑκατέρωθεν ἄνδρες περιλάβωσιν.

ἀμφίκρημνος περίκρημνος, ἢ βραχυτάτη.

Ἀμφικτύονες οἱ ἐκ πόλεων καὶ ἐθνῶν αἱρετοὶ δικασταί, οἷον ἀμφικτίονες καὶ περίοικοι.

Ἀμφικτύονες. συνέδριόν ἐστιν ἑλληνικόν, συναγόμενον ἐν Θερμοπύλαις. ὠνομάσθησαν δὲ Ἀμφικτύονες ἀπὸ Ἀμφικτύονος τοῦ Δευκαλίωνος· αὐτὸς γὰρ συνήγαγε τὰ ἔθνη βασιλεύων. ταῦτα δ' ἦν δώδεκα, Ἴωνες Δωριεῖς Περραιβοὶ Βοιωτοὶ Μάγνητες Ἀχαιοὶ Φθιῶται Μαλιεῖς Δόλοπες Αἰνιᾶνες Δελφοὶ Φωκεῖς. οἱ δέ φασιν ὠνομάσθαι ἀπὸ τοῦ περιοίκους εἶναι τῶν Δελφῶν τοὺς συναχθέντας ⟨Harp.⟩. καὶ Ἀμφικτυώνειος χώρα, Ἀμφιτρυώνειος δὲ μάχη. Ἀμφικτύων δὲ Ἀμφικτύωνος.

ἀμφιλαφές κατάσκιον, ἀμφοτέρωθεν βοηθούμενον. καὶ θηλυκῶς ἀμφιλάφεια ἡ ἀμφοτέρωθεν βοήθεια.

ἀμφιλαφῆ διπλοῦν, τεχνικόν τε καὶ σοφιστικόν· "ἐμοὶ δὲ ἐξηγεῖτο λόγους Ἰσοκρατείους, ὅτε καὶ εἶδον ἄνθρωπον εὔρουν τε ἅμα καὶ ἀμφιλαφῆ τὴν διάνοιαν πρὸς τὰς πολιτικὰς ἐξηγήσεις" ⟨cf. v. Σεβηριανός⟩. καὶ ἀμφιλαφής μεγάλη, οἷον ἀμφιλαβής, ὅτι ἀμφοτέραις χερσὶ λαμβάνεσθαι αὐτῆς ἔξιν. "οὐχ ἡμάρτανε δὲ οὐδὲ ἀμφιλαφοῦς περιουσίας." ἐν ἐπιγράμματι ⟨AP 6 170⟩ "Ἰτέαι ἢ θ' ἱερὰ κἀμφιλαφὴς πλάτανος."

ἀμφιλεξάντων ἀντὶ τοῦ ἀμφισβητησάντων καὶ διενεχθέντων. οὕτως Ξενοφῶν ⟨Anab. 1 5 11⟩ "ἀμφιλεξάντων δέ τι ἐνταῦθα τῶν τε τοῦ Μένωνος στρατιωτῶν καὶ τοῦ Κλεάρχου."

ἀμφίλογον ἀμφιβαλλόμενον, ἐνδοιάζοντα. Ἀρριανός "Ἀξιδάρην δὲ ὅτι ἄρχειν χρὴ Ἀρμενίας, οὔ μοι δοκεῖ εἶναί σε ἀμφίλογον." cf. v. γνῶσις.

ἀμφιλύκη ἡ νύξ. ἐν ἐπιγράμματι ⟨AP 5 281⟩ "ἀμάθυνε δὲ χαίτην ἣν μόλις ἐς τρισσὴν πλέξαμεν ἀμφιλύκην." ἀμφιλύκη οὖν τὸ τέλος τῆς νυκτός· "ἡμέρα δὲ ὑπέφαινεν ὕπω λαμπρά, ἀλλ' ἔτι πρὸς ἀμφιλύκην ἦν ἡ νὺξ καὶ ἀπέληγεν."

ἀμφιμάσχαλος χειριδωτὸν ἱμάτιον· οἱ δὲ δουλικὸν ἢ μικρὸν χιτωνίσκον. ἦν δὲ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, οὗ τὴν μίαν μασχάλην ἔρραπτον. Ἀριστοφάνης ⟨Eq. 889⟩ "οὐπώποτ' ἀμφιμασχάλου τὸν δῆμον ἠξίωσας."

ἀμφιμάτορας ἀμφοτέρους τοὺς γονεῖς ἔχοντας.

ἀμφιμήτωρ ὁ ἑτερομήτωρ· Αἰσχύλος.

ἀμφίξουν. ἐν ἐπιγράμματι ⟨AP 6 205⟩ "ἀμφίξουν τε σκέπαρνον" τὸ καλῶς ξέον.

ἄμφιον ἱμάτιον, ἔνδυμα. καὶ Ἄμφιος ὄνομα κύριον ⟨Hom. B 830⟩.

ἀμφιορκία, ἐπειδὰν ὅ τε διώκων καὶ ὁ φεύγων ὀμνύωσι, κλοπῆς ἔγκλημά τισιν ἐπιφέροντες. τοῦτο δὲ πολλάκις ὤφθη μάτην γινόμενον. ἔθεντο οὖν Ἀθηναῖοι νόμον κατὰ τῶν ἀπαγόντων εἰς δεσμωτήριόν τινας ἐπὶ δίκῃ κλοπῆς, χιλίας διδόναι δραχμὰς τοὺς ἁλόντας ⟨an τοὺς μὴ ἑλόντας⟩. ἀλλὰ καὶ τὰς οὐσίαν ἀπογράψαντας τῶν πολιτῶν τινὸς ὡς τῷ δήμῳ προσήκουσαν, εἰ συκοφαντοῦντες ἁλοῖεν, καὶ οὗτοι χιλίαις ἐζημιοῦντο.

ἀμφιπάτορες οἱ ἀπὸ τοῦ αὐτοῦ πατρός, ἑτέρας δὲ μητρός.

ἀμφιπλήξ ἡ ἀμφοτέρωθεν ἐλασία, ἡ ἑκατέρωθεν πλήττουσα, ἔκ τε πατρὸς καὶ μητρός. Σοφοκλῆς ⟨OR 417⟩ "καί σ' ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς ἐλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρά," τουτέστιν ἡ διὰ τῶν ποδῶν δέος ἐμποιοῦσα.

Ἀμφίπολις πόλις ἐστὶ τῆς Θρᾴκης, πρότερον δὲ Ἐννέα ὁδοὶ ἐκαλεῖτο. φασὶ δέ τινες αὐτὴν Ἀμφίπολιν ὠνομάσθαι διὰ τὸ περιοικεῖσθαι τὸν τόπον ⟨an ποταμόν⟩. Harp. κλίνεται δὲ Ἀμφίπολις Ἀμφιπόλεως.

ἀμφίπολος θεράπαινα, δούλη. "ἀμφίπολοι στῆθ' οὕτω ἀπόπροθι" ⟨Hom. ζ 218⟩, οὕτως ὡς ἔχετε. καὶ ⟨ρ 447⟩ "στῆθ' οὕτως ἐμῆς ἀπάνευθε τραπέζης."

ἀμφιπρύμναις εἶδος πλοίων· ⟨Menander exc. leg. p. 405⟩ "ἔμπαλιν διελθεῖν παρεσκεύασε τὸν Ἴστρον ἐν ταῖς ἀμφιπρύμναις τῶν νεῶν."

ἀμφίπυρον πανταχόθεν πυρούμενον. Σοφοκλῆς ⟨Ai. 1404⟩ "τοὶ δ' ὑψίβατον τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων θέσθ' ἐπίκαιρον."

ἀμφιρρῶγας πάντοθεν διερρωγότας, ἠνεῳγμένους. ⟨AP 6 109⟩ "κλωβούς τ' ἀμφιρρῶγας."

ἀμφιρύτη περιρρεομένη κύκλῳ. ἐν ἐπιγράμματι ⟨AP 7 588⟩ "ἀμφιρύτη Κῶς, καὶ πάλι πένθος ἔχεις οἷον ἐφ' Ἱπποκράτει."

Ἄμφις κωμικὸς Ἀθηναῖος. ἀμφίς δὲ χωρίς.

ἀμφίσβατα τὰ ἀμφισβητήσιμα Ἑλλάνικος.

ἀμφισβατεῖν ἔνιοι τὸ ἀμφισβητεῖν. Ἴωνες δὲ καὶ ἀγχιβατεῖν, καὶ ἀγχιβασίην Ἡράκλειτος.

ἀμφισβητεῖν μὴ συμφωνεῖν, ἀλλ' οἷον χωρὶς βαίνειν καὶ ἀμφιβάλλειν. "ὁ δὲ Πτολεμαῖος εἰδὼς τοὺς ἑαυτοῦ προγόνους ἐσχηκότας τὴν κοίλην Συρίαν, παρασκευὰς ἐποιεῖτο μεγάλας ἀμφισβητῶν ταύτης· ἤλπιζε γὰρ τὴν ἀδίκῳ πολέμῳ πρότερον ἀνειμένην τότε δικαίως τοῖς αὐτοῖς νόμοις ἀνακτήσασθαι" ⟨Diodor. exc. leg. 18⟩. καὶ Αἰλιανός "ἠμφισβήτουν γὰρ τοὺς ἑτέρους ἕτεροι προβαλλόμενοι." "οὐκέτι οὖν ἦν ἀμφισβητήσιμα τὸ μὴ οὐ τοῦτον ἐκεῖνον εἶναι τὸν τεθνηκότα."

• ἀμφισβητεῖν καὶ παρακαταβάλλειν. οἱ τὸν κλῆρον ἐπιδικαζόμενοι ἀμφισβητεῖν ἢ παρακαταβάλλειν λέγονται, οἱ μὲν φάσκοντες ἐπίδικον εἶναι τὸν κλῆρον ὡς ὄντος παιδὸς τῷ τετελευτηκότι ἢ γόνῳ ἢ ποιήσει, οἱ δέ, ὡς ἄπαιδος τελευτήσαντος, δικαιότερον λέγοντες ἔχειν αὐτοὺς τὸν κλῆρον τοῦ λαβόντος, ἢ συγγενεῖς ὄντες ἢ κατὰ διαθήκας κληρονόμοι. οὕτω Δημοσθένης καὶ Ὑπερίδης περὶ τοῦ παρακαταβάλλειν διεσάφησαν. Harp.

ἀμφισβητεῖν καὶ παρακαταβάλλειν. b ὅταν τελευτήσας τις ἄπαις εἶναι δοκῇ, φάσκῃ δέ τις ἑαυτὸν ἐκείνου υἱόν, οὗτος ἀμφισβητεῖν τοῦ κλήρου λέγεται. εἰ δὲ παῖδα μὲν τοῦ θανόντος ἑαυτὸν μὴ εἰσάγει, λέγει δὲ ἄλλως κατὰ γένος αὐτῷ προσήκειν τὸν κλῆρον, παρακαταβάλλειν αὐτὸν οἱ νόμοι κελεύουσι. πλὴν ἀμφότερα ἐπ' ἀντιλογίας τάσσεται.

ἀμφισβήτησις. "οἱ ἔξω φασίν, ἡ ἀμφισβήτησις κρίσει ἀναρτάσθω, ἡ δὲ κρίσις τοὺς ἐλέγχους βασανιζέτω, ἡ δὲ βάσανος τὸ δέον ὁριζέτω, ὁ δὲ ὅρος γεγράφθω, τὰ δὲ γεγραμμένα κυρούσθω, τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις, καὶ πᾶσα ἀψιμαχία οἰχέσθω, καὶ πάλιν φιλία χορευέτω. καὶ οὐ δεῖ ἀπερισκέπτως ποιεῖσθαι τὰς κρίσεις."

ἀμφισβητῶ καὶ σοὶ καὶ σοῦ.

ἀμφίσκω ἐνδύω.

Ἄμφισσα πόλις ἐστὶ τῆς Λοκρίδος. Ἄμφισσα δὲ ὠνομάσθη διὰ τὸ περιέχεσθαι τὸν τόπον ὄρεσιν.

ἀμφίσταται περιίσταται· "ἀμφίσταται διαπρύσιος ὄτοβος" ⟨S. OC 1478⟩.

Ἀμφιστείδης ὄνομα κύριον. ζήτει περὶ τούτου ἐν τῷ γελοῖος.

ἀμφιστεφέες πάντοθεν πλήρεις, περιπεπλεγμέναι ἀλλήλαις.

ἀμφίστομος αὕτη ἡ φάλαγξ καλεῖται ἡ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι.

ἀμφίταποι τάπητες ἀμφίμαλλοι.

ἀμφὶ τὸ λυκόφως περὶ τὴν αὐγήν.

ἀμφίτρητον τὸ ἐξ ἑκατέρων τῶν μερῶν τετρημένον ἄντρον. Ἀμφιτρίτη δὲ ἡ θάλασσα.

ἀμφιτρυχῆ κατερρωγότα.

Ἀμφιτρύων παῖς Ἀλκέως.

ἀμφιφορεῦσιν κεραμίοις, ἀμφορεῦσιν.

ἀμφιφορῆα ἀγγεῖον. ἐν ἐπιγράμματι ⟨AP 6 257⟩ "τίς με Διωνύσῳ πεπλασμένον ἀμφιφορῆα, τίς με τὸν Ἀδριακοῦ νέκταρος οἰνοδόκον Δηοῦς ἐπλήρωσε; τίς ὁ φθόνος εἰς ἐμὲ Βάκχου, ἢ σπάνις οἰκείου τεύχεος ἀσταχύων; ἀμφοτέρους ἤσχυνε· σεσύληται μὲν ὁ Βάκχος, Δημήτηρ δὲ μέθην σύντροφον οὐ δέχεται."

ἀμφιφῶντες πλακοῦντος εἶδος, οἵτινες ἐγίνοντο ὅτε ὁ ἥλιος καὶ ἡ σελήνη πρωὶ ὑπὲρ γῆς φαίνονται. ἢ ὅτι ἐκόμιζον αὐτὸν δᾳδία ἡμμένα περιπηγνύντες ἐπ' αὐτῷ, ὥς φησιν Ἀπολλόδωρος. cf. v. ἀνάστατοι.

ἀμφίχυτον περικεχωσμένον.

Ἀμφίων. οὗτος παλαιᾶς μουσικῆς εὑρετής, περὶ οὗ λέγει ὁ παραβάτης ἐν ἐπιστολῇ "περίεστι γάρ σοι καὶ σχολή, καὶ φύσεως ἔχεις εὖ, καὶ φιλοσοφίας ἐρᾷς εἴπερ τις ἄλλος τῶν πώποτε, τρία δὲ ἅμα ταῦτα ξυνελθόντα ἤρκεσεν ἀποφῆναι τὸν Ἀμφίονα τῆς παλαιᾶς μουσικῆς εὑρετήν, χρόνος, θεοῦ πνεῦμα, ἔρως ὑμνῳδίας. οὐδὲ γὰρ ἡ τῶν ὀργάνων ἔνδεια πρὸς ταῦτα πέφυκεν ἀντιτάττεσθαι, ἀλλὰ καὶ ταῦτα ῥᾳδίως ἂν ὁ τῶν τριῶν τούτων μέτοχος ἐξεύροι. ἢ γὰρ οὐχὶ τοῦτον αὐτὸν ἀκοῇ παραδεδέγμεθα οὐ τὰς ἁρμονίας μόνον, αὐτὴν δὲ ἐπ' αὐταῖς ἐξευρεῖν τὴν λύραν, εἴτε δαιμονιωτέρᾳ χρησάμενον ἐπινοίᾳ, εἴτε τινὶ θείᾳ δόσει διά τινα συμμαχίαν ἀμήχανον; καὶ τῶν παλαιῶν οἱ πλεῖστοι τοῖς τρισὶ τούτοις ἐοίκασι μάλιστα προσσχόντες οὔτι πλαστῶς φιλοσοφῆσαι, οὐδενὸς ἄλλου δεόμενοι."

ἄμφοδον δίοδον, ῥύμην.

ἀμφόδοντα ζῷα, οἷον ἄνθρωπος ἵππος ὄνος, καὶ ὅσα οὐκ ἐνηλλαγμένους τοὺς ὀδόντας ἔχει· οἷς συμβέβηκε πιμελὴν ἀλλ' οὐ στέαρ ἔχειν. cf. v. πιμελή.

ἀμφοῖν ἀμφοτέρων· "μέσοι δὲ ληφθέντες ἀμφοῖν πολλοὶ διεφθάρησαν." καὶ ἀμφοῖν ποδοῖν ἀντὶ τοῦ παντὶ σθένει. Ἀριστοφάνης Ὄρνισιν ⟨35⟩ "ἀνιπτάμεσθ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν," ἀπὸ μεταφορᾶς τῶν ὀρνέων, ἀμφοῖν πτεροῖν, ἢ ἐκ τῶν νεῶν αἳ οὐριοδρομοῦσαι ἀμφοῖν τοῖν ποδοῖν πλέουσιν, ἢ ἀντὶ τοῦ τελέως, προληπτικῶς τῇ τῶν ὀρνέων χρώμενος μεταφορᾷ.

ἀμφορεαφόρους τοὺς μισθίους τοὺς τὰ κεράμια φέροντας, καὶ ἀμφορεαφόρος ὁ κεράμια μισθοῦ φέρων· "εἶτ' ἀμφορεαφόρος τις ἀποφορὰν φέρων" Μένανδρος Ῥαπιζομένῃ. καὶ Ἀριστοφάνης Ἥρωσι "τρέχ' εἰς τὸν οἶνον, ἀμφορέα κενὸν λαβὼν τῶν ἔνδοθεν καὶ γεῦμα καὶ γευστήριον, κᾆπειτα μίσθου σαυτὸν ἀμφορεαφορεῖν." Εὔπολις Μαρικᾷ "περιήλθομεν καὶ φῦλον ἀμφορεαφόρων."

ἀμφορεὺς οὖν ἀγγεῖον, μέτρον, κεράμιον. σημαίνει καὶ ἀσκόν. ἔστι καὶ ὄνομα κύριον. καὶ ἀμφορεῖς κέραμοι. καὶ Θάσια ἀμφορείδια τὰ κεράμια. Ἰώσηπος ⟨B. I. 2 21 2⟩ "συνωνούμενος δὲ τοῦ Τυρίου νομίσματος, ὃ τέσσαρας Ἀττικὰς δύναται, τέσσαρας ἀμφορεῖς, τῆς αὐτῆς ἐπίπρασκε τιμῆς ἡμιαμφόριον, καὶ πλῆθος συνῆγε χρημάτων." καὶ Ἀριστοφάνης ἀμφορεῖς λέγει τὰ μέτρα· ⟨Pac. 202⟩ "χυτρίδια καὶ σανίδια κἀμφορείδια." καὶ ἀμφορεῖς νενησμένοι κέραμοι σεσωρευμένοι· Ἀριστοφάνης ⟨Nub. 1202⟩ "τί κάθησθ' ἀβέλτεροι πρόβατ' ἄλλως, ἀμφορεῖς νενησμένοι." καὶ ἀμφιφορῆας, καὶ ἀμφορείδια τὰ κεράμια.

ἀμφότερα ἀντὶ τοῦ κατὰ ἀμφότερα Θουκυδίδης ⟨1 13⟩.

ἀμφότεροι. ἀπρόσληπτόν ἐστιν ἄρθρου, ἐπειδὴ τὰ ἄρθρα ἀναπόλησιν δηλοῦσιν ἀγνοουμένου πράγματος, τὸ δ' ἀμφότεροι ὡρισμένα σημαίνει δύο.

ἀμφοτερόπλουν. ὅταν τις ναυτικὸν δανείσῃ δάνειον ἐπὶ τῷ καὶ ἐνθένδε πλεῦσαί ποι κἀκεῖθεν ἐνθάδε, τοῦτο ἀμφοτερόπλουν καλεῖται. οὕτω Δημοσθένης ⟨56 6⟩. Harp.

Ἀμφοῦδις ὄνομα κύριον. Hom. ρ 237?

ἄμφω ἀμφότεροι καὶ ἀμφοτέρους. καὶ αἱ πλάγιαι ἀμφοῖν. καὶ ἄμφω τὼ χεῖρε ἀμφοτέρας τὰς χεῖρας, δυϊκῶς. καὶ ἀμφοῖν ἀμφοτέραις ταῖς χερσίν· "οὐ μιᾷ χειρὶ δωρούμενος ἀλλ' ἀμφοῖν" ⟨cf. v. Θεαγένης⟩, ἐπὶ τῶν ἀφθόνως καὶ δαψιλῶς μεταδιδόντων τοῖς πᾶσιν.

ἀμφῶες, καὶ ἀμφωτίδες. καὶ ἀμφωτίδων τῶν δύο ὦτα ἐχουσῶν. καὶ παροιμία "μέχρι τῶν ἀμφωτίδων" ἐπὶ τῶν ἄγαν πεπληρωμένων, ἀντὶ τοῦ μέχρι τῶν ὤτων.

ἀμώμενοι θερίζοντες, καὶ ἀμῶσιν ὁμοίως. Ἀριστοφάνης ⟨Eq. 391⟩ "τοὺς ἀλλοτρίους ἀμῶν στάχυας τότε ἐν ξύλῳ δήσας ἀφαύει κἀποδόσθαι λέγεται." τουτέστιν ὁ Κλέων τοὺς ἀλλοτρίους καμάτους αὐτὸς καρπούμενος.

ἄμωμον. Ἀρριανός "πέμπει παρὰ βασιλέα ἵππον χρυσοχάλινον καὶ ψέλια καὶ ἀκινάκας καὶ ἄμωμον."

ἄμωμος ὁ καθαρὸς καὶ ἀναίτιος. Δαβίδ ⟨Ps. 63 5⟩ "τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον."

Ἀμωντιανός Ῥωμαῖος, συγκλητικὸς γεγονώς.

Ἀμωρίης Πισαίου νόθος υἱός.

Ἀμώριον καὶ Ἀμωραῖος, Ἀμορραῖος δέ.

ἀμωσγέπως ὁπωσδήποτε, ἑνί γέ τινι τρόπῳ, καθ' ὀντιναοῦν τρόπον.

ἄν σύνδεσμος συνδετικός. Ἀρριανός "καὶ ἂν ἤδη ἀφῖχθαι αὐτὸν παρὰ βασιλέως, εἰ μὴ ἐδεδοίκει Πάρθους."

ἀνά. σημαίνει καὶ τὸ κατά· Ξενοφῶν ⟨Anab. 1 8 1⟩ "ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ."

ἄνα ἀνάστηθι· Ὅμηρος. καὶ Σοφοκλῆς ⟨Ai. 194⟩ "ἀλλ' ἄνα ἐξ ἑδράνων," ἀντὶ τοῦ ἀλλ' ἀνάστηθι ἐκ τῶν θρόνων. καὶ ἄνα ἀντὶ τοῦ ἄναξ, κατὰ ἀποκοπὴν τοῦ ξ.

ἀναβάδην ἐφ' ὕψους, ἄνω τοὺς πόδας ἔχειν καὶ κοιμᾶσθαι. Ἀριστοφάνης ⟨Plut. 1124⟩ "νυνὶ δὲ πεινῶν ἀναβάδην ἀναπαύομαι," ἢ ἐφ' ὑψηλοῦ τόπου καθήμενος. καὶ ἀναβάδην καθῆσθαι μετέωρον καθέζεσθαι.

ἀναβαθμοί ἀναβάσεις. λέγουσι δὲ τὴν ἀπὸ Βαβυλῶνος τοῦ λαοῦ ἐπάνοδον. Theodoret. in Ps. 119.

ἀνάβαινε. ἰστέον ὅτι ἔλεγον οἱ παλαιοὶ τὸ ἐπὶ λόγιον εἰσιέναι ἀναβαίνειν, καταβαίνειν δὲ τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν, ἀπὸ τοῦ παλαιοῦ ἔθους. Ἀριστοφάνης ⟨Eq. 149⟩ "ἀλλαντοπῶλα, δεῦρο δεῦρ', ὦ φίλτατε, ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς."

ἀναβάλλει ἀντὶ τοῦ εἰς ἀναβολὰς καθίστησιν. ἀναβάλλεσθαι δὲ τὸ ἱμάτιον, οὐ περιβάλλεσθαι λέγουσιν.

ἀναβαλλόμενος, αἰτιατικῇ, ὑπερτιθέμενος. ἀναβαλόμενος δὲ δι' ἑνὸς λ ἀντὶ τοῦ προοιμιασάμενος· "ἀναβαλόμενος ἂν ὥσπερ εἰώθει, βραχὺν διεξῆλθεν ὕμνον" ⟨Philostrat. V. A. 4 39⟩. καὶ ἀναβολάς τὰ προοίμια.

ἀναβαλοῦ. περισπῶσιν οἱ Ἀττικοί.

ἀναβάσεις αἱ προκοπαί· εἰς τὸ ἐναντίον δὲ καταβάσεις ⟨Artemid. 4 28⟩. καὶ ἀναβάσεις καρδίας οἱ εὐσεβεῖς περὶ θεοῦ λογισμοί· Δαβίδ ⟨Ps. 83 6⟩ "ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο."

ἀναβεβαμένοι ἀντὶ τοῦ ἀναβάτην ἔχοντες. οὕτω Ξενοφῶν ⟨Hipparch. 1 4⟩.

ἀναβιβάζω αἰτιατικῇ.

ἀναβιβῶμαι ἀντὶ τοῦ ἀναβιβάσομαι Ἀμειψίας.

ἀναβιῶναι ἀναζῆσαι. "ἤδη δέ τινές φασιν ἐς τοσοῦτον ἄρα τὸν Αἴσωπον θεοφιλῆ γενέσθαι ὡς καὶ ἀναβιῶναι αὐτόν, καθάπερ οὖν τὸν Τυνδάρεων καὶ τὸν Ἡρακλέα καὶ τὸν Γλαῦκον." καὶ Πλάτων φησὶν ὁ κωμικός "καὶ νῦν ὀμοσόν μοι μὴ τεθνάναι τὸ σῶμ'. ἐγώ· ψυχὴ δ' ἀπὸ νίκης ⟨ψυχὴν δ' ἐπανήκειν?⟩ ὥσπερ Αἰσώπου ποτέ."

ἀναβιώσκεσθαι ἀναζῆν.

ἀναβιώσκεται καὶ ἀναβιώσκει μᾶλλον ἢ ἀναβιοῖ. λέγουσι δὲ καὶ ἀναζῆν.

ἀναβλυστονῆσαι τὸ ἀναβλύσαι Εὔπολις Δήμοις. πάντα τὰ τοιαῦτα οἱ κωμικοὶ ποιοῦσι παίζοντες. καὶ ἀναβλυστωνῆσαι ἀναβλαστῆσαι.

ἀναβοθρεύουσιν ἀναμοχλεύουσιν.

ἀναβολάς τὰ προοίμια. ⟨A Av. 1371⟩ "καινὰς ἀναβολὰς θέλω λαβεῖν," ἢ τὰς ἀρχὰς τῶν ᾀσμάτων. Ὅμηρος ⟨α 155⟩ "ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν." καὶ Ἀριστοφάνης ⟨Pac. 815⟩ "ξυνελέγοντ' ἀναβολὰς ποτώμεναι," περὶ ψυχῶν λέγων διθυραμβοδιδασκάλων.

ἀναβολεύς ὁ ἐπὶ τὸν ἵππον ἀνάγων· "ὁ δὲ βασιλεὺς τὸν ἀναβολέα προσκαλεσάμενος καὶ ταχέως ἀναβὰς ἐπὶ τὸν ἵππον ᾔτησε πιεῖν, καὶ ἀκράτου σπασάμενος πλεονάκις ἐνέφαινεν ὡς εἰς τοὔμπροσθεν προάξων." ἀναβολεὺς καὶ ἡ παρὰ Ῥωμαίοις λεγομένη σκάλα. καὶ αὖθις ⟨Appian. Pun. 106⟩ "ὁ δὲ Μασσανάσσης γηράσας ἵππου χωρὶς ἀναβολέως ἐπέβαινεν."

ἀναβολή ἀνοχή. Αἰλιανός "Λοξίας δὲ καὶ Ζεὺς πατὴρ ἀναβολὴν θανάτου ἐψηφίσαντο Φαλάριδι ἔτη δύο, ἀνθ' ὧν ἡμέρως Χαρίτωνι καὶ Μελανίππῳ προσηνέχθη." Euseb. Praepar. ev. 5 35. Aelian. V. H. 2 4.

ἀναβράσσουσιν ἀναδιδοῦσιν.

ἀνάβραστα ἑψημένα, ζεστά. Ἀριστοφάνης Βατράχοις ⟨560⟩ "καὶ κρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκοσιν."

ἀναβρυχώμενοι· "ἀλλ' ἦσαν παραπλήσιοι, καθήμενοί τε καὶ ἀναβρυχώμενοι τὸ πάθος, τοῖς ἐπὶ θέᾳ κυνηγεσίων κατακεκλεισμένοις θηρίοις, ὧν ὁ μὲν θυμὸς φλογώδης καὶ τραχὺς ὑφ' ὧν πάσχουσιν, ἡ δὲ ἐνέργεια τῷ κατέχοντι τῆς βίας ἀσθενεστέρα."

ἀναγαγών ἀντὶ τοῦ ἀπαγαγών Ξενοφῶν ⟨Cyr. 7 1 45⟩.

ἀνάγαιον τὸ οἴκημα. ἀνάγαιον καὶ κατάγαιον, διὰ διφθόγγου καὶ ο μικροῦ. ζήτει ἐν τῷ ἀνώγεων σαφέστερον.

Ἀναγαλλίς ἡ Κερκυραία γραμματική, ἥτις τὴν τῆς σφαίρας εὕρεσιν Ναυσικάᾳ τῇ Ἀλκινόῳ θυγατρὶ ἀνατίθησιν. Athen. p. 14 D, ubi Ἀγαλλίς.

Ἀναγάστης ὄνομα κύριον. ζήτει ἐν τῷ ἱστοπάς.

ἀναγγελήσεται διηγηθήσεται.

ἀνάγγελον ὥςε μηδὲ ἄγγελον καταλειφθῆναι. ⟨AP 7 244⟩ "ἔνθα μάχην ἔτλημεν ἀνάγγελον, ἄλλος ἐπ' ἄλλον πίπτοντες."

ἀναγεῖς διὰ μὲν τοῦ α τοὺς ἀνάγνους, διὰ δὲ τοῦ ε τοὺς ἐνόχους ἄγει καὶ μιάσματι. οὕτως Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ⟨110⟩.

ἀνάγεσθαι τὸ ἀπαίρειν. Προκόπιος ⟨Arc. 25⟩ "οὐ γὰρ θέμις τινὰ ἐκ Βυζαντίου ἀνάγεσθαι πρὸς τῶν ἀνδρῶν." καὶ ἀνάγειν τὸ μηνύειν τὸν πεπρακότα καὶ ἐπ' ἐκεῖνον ἰέναι. οὕτω Λυσίας καὶ Δείναρχος.

ἀναγινωσκομένους ἀντὶ τοῦ ἀναπειθομένους. οὕτως Ἀντιφῶν καὶ Ἰσαῖος καὶ Ἡρόδοτος.

ἀναγκαία τράπεζα ἡ εὐτελὴς καὶ πενιχρά. καὶ Σοφοκλῆς φησὶν ⟨Ai. 485⟩ "ὦ δέσποτ' Αἴαν, τῆς ἀναγκαίας τύχης οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν." διπλῶς φασὶ τὸ ἀναγκαῖον, ποτὲ μὲν ἐπὶ τῶν κατὰ φύσιν ἀκολουθίαν τινὰ ἐχόντων, ὡς εἰ εἴποιμεν ἀναγκαίως τὸ πῦρ ξανθὸν καὶ τὸ γάλα λευκόν, ποτὲ δὲ ἐπὶ τοῦ ἐξ ἀνάγκης γινομένου, ὡς καὶ νῦν ἀναγκαίας τύχης τῆς βίας φησί, τουτέστι τῆς δυστυχίας. καὶ Ἰάμβλιχος "τὴν δὲ ἅλυσιν, οὐ γάρ ἐστιν ἡμῖν ἀναγκαία, προσέπεμψά σοι."

ἀναγκαῖον. οὕτω καλεῖται τὸ αἰδοῖον, ὅτι τῆς ἀνάγκης ἐστὶ σύμβολον ⟨Artemid. 1 45⟩. "οἱ δὲ πρὸς ἀλκὴν ἐτράποντο ἐκ τοῦ ἀναγκαίου" ἀντὶ τοῦ δι' ἀνάγκης. Ἰσαῖος δὲ ἀναγκαῖον τὸ δεσμωτήριον καλεῖ· Καλλισθένης δὲ ἀνώγεων εἶπε, καὶ οὕτω δεῖ μᾶλλον λέγεσθαι. Harp.

ἀναγκαῖόν ἐστιν ὅπερ ἀληθὲς ὂν οὐκ ἔστιν ἐπιδεκτικὸν τοῦ ψεῦδος εἶναι· ἢ ἐπιδεκτικὸν μέν ἐστι, τὰ δὲ ἐκτὸς αὐτῷ ἐναντιοῦται πρὸς τὸ ψεῦδος εἶναι, οἷον ἡ ἀρετὴ ὠφελεῖ. οὐκ ἀναγκαῖον δέ ἐστιν ὃ καὶ ἀληθές ἐστι καὶ ψεῦδος οἷόν τε αὐτὸ εἶναι, τῶν ἐκτὸς μηδὲν ἐναντιουμένων, οἷον περιπατεῖ Δίων. Diog. L. 7 75.

ἀναγκαῖον τοῦ ἐκ περιουσίας διαφέρει. καὶ ζήτει ἐν τῷ ἐκ περιουσίας.

ἀνάγκη. ἐν ἐπιγράμματι ⟨AP 6 219⟩ "ἴδ' ὡς ἐδίδαξεν ἀνάγκα πάνσοφος ἐξευρεῖν ἔκλυσιν Ἀίδεω." καὶ παροιμία "ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται." παρεγγυᾷ ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι. ὅμοιον τῷ "ἂν μὴ παρῇ κρέα, ταρίχῳ στερκτέον."

διαιρεῖ δὲ τὰ ὄντα εἰς τὸ εἶναι ἢ ἐξ ἀνάγκης εἶναι, ὡς τὸ τὸν ἄνθρωπον ζῷον εἶναι· ὃ γὰρ παντί τε καὶ ἀεὶ ὑπάρχει, τοῦτο ἐξ ἀνάγκης ἐστίν. ὁμοίως ἀναγκαῖον καὶ τὸ τὸν θεὸν ἄφθαρτον εἶναι. τὰ δὲ ἐνδεχομένως. καὶ τούτων τῶν ἐνδεχομένων τὰ μὲν ὡς ἐπὶ τὸ πλεῖστον, ὡς τὸ τὸν ἄνθρωπον πενταδάκτυλον εἶναι καὶ γηράσκοντα πολιοῦσθαι, τὰ δὲ ἐπ' ἔλαττον, ὡς τὰ τούτοις ἀντικείμενα, τὸ τὸν ἄνθρωπον τετραδάκτυλον ἢ ἑξαδάκτυλον εἶναι (ἔστι γὰρ ἐν τούτοις οὕτω καὶ ταῦτα), ἢ τὸ μὴ πολιοῦσθαι γηρῶντα τὸν ἄνθρωπον, ἢ μὴ ἀποδημεῖν, ἢ λούεσθαι ἢ μή. Alex. Aphrod. in Aristot. Top. 2 p. 95.

ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης φησὶ μηδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, μηδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. καὶ τὰς ἀτόμους δὲ ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος, φέρεσθαι δὲ ἐν τῷ ὅλῳ δινουμένας, καὶ οὕτω πάντα τὰ συγκρίματα γεννᾶν, πῦρ ὕδωρ ἀέρα γῆν. εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινὰ συστήματα, ἅπερ οὖν ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ στερρότητα. πάντα δὲ κατὰ ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην λέγει. Diog. L. 9 44.

ἀνάγκης ἄτρακτον τὸν ἄξονα λέγει ⟨Plato RP 10 p. 616 D⟩.

ἄναγνος μιαρός· "ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν" ⟨S. OR 823⟩.

ἀναγνωσθεὶς ἀναπεισθείς. "ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηραῖος" ⟨Herodot. 4 154⟩.

ἀνάγνωσις ἀναγνώρισις ἢ ἀνάπεισις· Ἡρόδοτος ⟨1 116⟩. καὶ ἀναγινώσκειν παρὰ ῥήτορσιν ἐπὶ τοῦ ἀναπείθειν· ἔστι γὰρ ἀναγινώσκειν τὸ γνῶναι διαλεχθέντα.

ἀνάγραπτον τὸ ἀναγεγραμμένον, ἢ τὸ φανερῶς γεγραμμένον, ἢ τὸ πᾶσιν ἐγνωσμένον. "σφᾶς τε ὑπακούειν κελεύων Ἀβάροις, καὶ ἐς φόρου ἀπαγωγὴν ἔσεσθαι ἀναγράπτους" ⟨Menander exc. leg. p. 406⟩.

Ἀναγυράσιος. δῆμός ἐστιν Ἀναγυροῦς τῆς Ἐρεχθηΐδος φυλῆς, ἧς ὁ δημότης Ἀνα-

γυράσιος. καὶ Ἀναγυράσιος δαίμων, καὶ τέμενος Ἀναγύρου ἐν τῷ δήμῳ τῶν Ἀναγυρασίων.

Ἀναγυράσιος δαίμων, ἐπεὶ τὸν παροικοῦντα πρεσβύτην καὶ ἐκτέμνοντα τὸ ἄλσος ἐτιμωρήσατο Ἀνάγυρος ἥρως. Ἀναγυράσιοι δὲ δῆμος τῆς Ἀττικῆς. τούτου δέ τις ἐξέκοψε τὸ ἄλσος. ὃ δὲ τῷ υἱῷ αὐτοῦ ἐπέμηνε τὴν παλλακήν, ἥτις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα διέβαλεν ὡς ἀσελγῆ τῷ πατρί. ὃ δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν. ἐπὶ τούτοις καὶ ὁ πατὴρ ἑαυτὸν ἀνήρτησεν, ἡ δὲ παλλακὴ εἰς φρέαρ ἑαυτὴν ἔρριψεν. ἱστορεῖ δὲ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδιοποιῶν, ἀπεικάζων τούτοις τὸν Εὐριπίδου Φοίνικα.

Ἀνάγυρος δῆμος τῆς Ἀττικῆς. καὶ ἄνθος ὃ τριβόμενον ὄζει, καὶ παροιμία ἐντεῦθεν "κινεῖς τὸν ἀνάγυρον" ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά. ἔστι δὲ τὸ φυτὸν ὁ ἀνάγυρος ἀλεξίκακον καὶ δυσῶδες. οἱ δὲ ὀνόγυρον αὐτό φασιν.

ἀναγχιππεῖν ἀντὶ τοῦ μετὰ ἀνάγκης ἱππεύειν Εὔπολις.

ἀνάγω τὸ φέρω, αἰτιατικῇ.

ἀναγωγή ὁ τῶν νεῶν ἔκπλους· "καὶ γίνεται ἀναγωγὴ τῶν νεῶν οὐ κατὰ τὸ πλῆθος οὕτω τῆς ἐπιβαινούσης αὐτῶν στρατιᾶς ἢ κατὰ τὴν τῶν ὅπλων λαμπρότητα ἢ τὴν ἄλλην ὑπὲρ τὸ ἀναγκαῖον ἐς κάλλος παρασκευήν." καὶ αὖθις "οἱ δὲ κατασκευψάμενοι τὰ κατὰ τὴν Αἴγυπτον, ἐπὶ Κύπρου κἀκεῖθεν ἐπὶ Συρίας τὴν ἀναγωγὴν ἐποιήσαντο" ⟨Diodor. exc. leg. c. 32⟩.

ἀναγωγία. "ὃ δὲ δι' ἀναγωγίαν ταῦτα ἔπασχε," τουτέστιν ἀπαιδευσίαν. "ἔχων στρατὸν ὑπὸ μέθης καὶ ἀναγωγίας ἠμελημένον καὶ διεφθαρμένον."

ἀνάγωγος ὁ μὴ τυχὼν τῆς δεούσης ἀγωγῆς.

ἀναγωγότερον ἁμαρτητικώτερον, ἀτακτότερον.

ἀναγώγῳ φιληδόνῳ, ἐκλελυμένῳ.

ἀναγώνιστος ὁ μὴ ἀγωνισάμενος· Ξενοφῶν ⟨Cyr. 1 5 10⟩.

ἀναδάσασθαι ἀναμερίσασθαι.

ἀναδεῖ ἀναπλέκει, στέφει. καὶ ἀναδεῖσθαι στεφανοῦσθαι, καὶ ἀναδήσασθαι στεφανώσασθαι, καὶ ἀναδῆσαι τὸ ταινιῶσαι νικῶντα, καὶ ἀναδήσοντες στέψοντες. "ἀναδήσειν στεφάνῳ χρυσοῦ πεποιημένῳ." "καὶ οἱ Σαμοθρᾷκές κηρύττουσι κήρυγμα, τὸν ζῶντα αὐτὸν ἀγαγόντα δύο τάλαντα ἔχειν."

ἀναδέξασθαι ἀναλαβεῖν, ἐκδέξασθαι. a "ὃ δὲ εἰς τὸ τέμενος κατεσκήνωσεν, βουλόμενος ἀναδέξασθαι τὰ μέλλοντα διακομίζειν αὐτὸν πορθμεῖα." καὶ Πολύβιος ⟨1 52⟩ "τούς τε κατὰ πλοῦν ἀφυστεροῦντας ἐκ τῆς Μεσσήνης ἀναδεχόμενος." καὶ αὖθις "πρὶν ἀναδέξασθαι τοὺς ἐσκεδασμένους ἐν ταῖς προνομαῖς."

ἀναδέξασθαι ὑπενεγκεῖν, ὑπομεῖναι. b Πολύβιος ⟨13 5⟩ "πᾶν γὰρ βουληθῆναι τὸν Φίλιππον ἀναδέξασθαι, ἢ καταφανῆ γενέσθαι Ῥοδίοις τὴν ἐν τούτοις αὐτοῦ προαίρεσιν· ἧ καὶ τὸν Ἡρακλείδην ἀπέλυσε τῆς ὑποψίας." καὶ ἀναδέχομαι ἀντὶ τοῦ ἀναλαμβάνω. καὶ ἀναδέχεσθαι τὴν παρουσίαν τῶν πολεμίων ἀντὶ τοῦ προσδοκᾶν

ἀναδέρω ὑπερτίθεμαι, ἀναβάλλομαι.

ἀναδέσμην ὅμοιόν τι διαδήματι· ἢ μίτραν κεφαλῆς.

ἀναδεύειν φυρᾶν, καὶ ἀναδεύσει φυράσει, μαλάξει. Αἰλιανός "εἴπερ οὖν τὰ Ἐπικούρου βιβλία καταφλέξας τῶν ἀθέων τε καὶ ἀσεβῶν καὶ ἐκτεθηλυμμένων στιγμάτων τὴν σποδὸν ἀναδεύσει κηρῷ ὑγρῷ, καὶ ἐπιπλασάμενος τὴν νηδὺν καὶ τὸν θώρακα πάντα καταδήσει ταινίαις."

ἀναδιδάξαι ἀντὶ τοῦ πάνυ διδάξαι· ἐπιτατικὸν γάρ ἐστι νῦν ἡ ἀνά.

ἀναδιδοῦσαν ἀντὶ τοῦ ἀναδιδομένην

ἀνάδικα τὰ ἤδη κριθέντα· "ἀνάδικα τὰ δεδικασμένα ποιῶν, αἰσχροκερδείας ἡσσώμενος" ⟨Procop. Arc. 14⟩.

ἀναδικάσασθαι τὸ ἄνωθεν δικάσασθαι. οὕτως Ἰσαῖος. ἐντεῦθεν καὶ τὸ ἀνάδικοι κρίσεις, αἱ ἄνωθεν δικαζόμεναι, ὅταν ἁλῶσιν οἱ μάρτυρες ψευδομαρτυριῶν. Harp

ἀναδομή ⟨an ἀνανομή⟩ ἀναδασμός.

ἀναδούμενος στέφανον τιθέμενος, καὶ ἀναδουμένην στεφανουμένην. Προκόπιος ⟨Arc. 2⟩ "αἶσχος ἀναδουμένην οὕτω μέγα πρὸς πάντων ἀνθρώπων."

ἀναδούμενος· "ὁ δὲ τρυφερὸς ··· βοστρύχους." cf. v. ἁβρός.

ἀνάδοχον, οὐχ ἀναδοχέα λέγουσιν. Μένανδρος Χήρᾳ "πρὸς τὴν ἀδελφὴν ἀνάδοχον τῶν χρημάτων."

ἀναδρομαί ἀναβάσεις. "ἀναδρομὴ γ

γοιτο κἂν σφαλλώμεθα. δεῖ πρόχειρον ἔχειν ἀεὶ τὸν στίχον τοῦτον. τοῦτο μὴ ποιήσας Λεύκιος ὁ Ῥωμαῖος μεγάλως ἐσφάλη. οὕτω παρ' ὀλίγον σφάλλεται τὰ μέγιςα τῶν πραγμάτων ἀγομένων ἀκρισίᾳ. ἱκανὰ τῶν τοιούτων ὑποδείγματα τοῖς εὖ φρονοῦσιν ἥ τε Πύρρου τοῦ τῶν Ἠπειρωτῶν βασιλέως βία καὶ πάροδος εἰς Ἄργος, ἥ τε Λυσιμάχου ςρατεία διὰ τῆς Θρᾴκης ἐπὶ Δρομιχαίτην τὸν βασιλέα τῶν Ὀδρυσῶν, καὶ πολλὰ δὴ τούτοις ἕτερα παραπλήσια." Polybius?

ἀναδῦναι ἀναχωρῆσαι.

ἀναδύντος.

ἀναδυόμενος φεύγων, ἀναβαλλόμενος. καὶ ἀναδύομαι μεταβουλεύομαι.

Ἀνάζαρβος. "ὅτι Νέρβας βασιλεὺς Ῥωμαίων κατενεχθείσης ὑπὸ σεισμοῦ Διοκαισαρείας τῆς ἐν Κιλικίᾳ κειμένης ἔπεμψε συγκλητικὸν ὀνόματι Ἀνάζαρβον, ὃς ἀνοικοδομήσας αὐτὴν πάλαι λεγομένην Κύινδαν, εἶτα Διοκαισάρειαν, ἐκ τοῦ ἰδίου ὀνόματος ἐκάλεσεν Ἀνάζαρβον." cf. v. Κύινδα.

ἀναζυγαῖς ἀναςροφαῖς, ςρατοπεδείαις. Πολύβιος ⟨5 110⟩ "ὁ δὲ Φίλιππος οὐδενὶ κόσμῳ ποιησάμενος τὴν ἀναζυγὴν καὶ τὸν ἀνάπλουν δευτεραῖος εἰς Κεφαλληνίαν κατῆρεν." "οἱ δὲ Ῥωμαῖοι τῶν γεγονότων οὐδὲν ὅλως εἰδότες περὶ ἀναζυγὴν ἐγένοντο."

ἀναζωπυρῆσαι ἀνανεῶσαι, ἀνεγεῖραι, ζωῶσαι.

ἀνάθεμα καὶ τὸ ἀνατιθέμενον τῷ θεῷ καὶ τὸ εἰς ἀφανισμὸν ἐσόμενον· ἀμφότερα σημαίνει. λέγεται δὲ καὶ ἀνάθημα τὸ τῷ θεῷ ἀνατεθειμένον. καὶ ἀναθεματίζω αἰτιατικῇ.

ἀναθέντας ἀντὶ τοῦ ἐπιθέντας Ξενοφῶν ⟨Anab. 3 1 30⟩.

ἀναθεῖναι καὶ ἐπαναθεῖναι τὸ αὐτό. Ἀραρὼς Ὑμεναίῳ "ὅπως τε τὴν νύμφην, ἐὰν ὁ καιρὸς ᾖ, μετέωρον ἐπὶ τὸ ζεῦγος ἀναθήσεις φέρων."

ἀναθείς ἐπιτρέψας. ἐπὶ ἀψύχων τάττεται τὸ ἀναθείς, Ἀριστοφάνης δὲ ἐν Πλούτῳ ⟨68⟩ ἐπὶ ἐμψύχων ἐχρήσατο αὐτῷ· "ἀπολῶ τὸν ἄνθρωπον ἐπὶ κρημνόν τιν' ἀναθείς."

a ἀναθέσθαι. Ἀντιφῶν ἐν τῷ περὶ προνοίας φησὶν "ἀναθέσθαι ὥσπερ πεττὸν τὸν βίον οὐκ ἔστιν," ἀντὶ τοῦ ἄνωθεν βιῶναι μετανοήσαντας ἐπὶ τῷ προτέρῳ βίῳ. Harp.

ἀναθέσθαι τὸ μεταθέσθαι, ἀπὸ τῶν b πεττευόντων καὶ τὰς κεκινημένας ἤδη ψήφους διορθούντων. οὔτε δὲ τὸ ὑπερθέσθαι σημαίνει ἡ λέξις οὔτε τὸ ἀνακοινώσασθαι, ἀλλὰ τὸ μεταβουλεύσασθαι καὶ μεταγνῶναι. πολύ ἐστι παρὰ Πλάτωνι τῷ φιλοσόφῳ. Μένανδρος Ἀφροδισίῳ "ἐκφυγοῦσα δ' ἣν εἶχεν νόσον, οὐκ ἴσχε τοὺς ῥηθέντας ἀναθέσθαι λόγους."

ἀνάθεσις ἡ ὑπέρθεσις· "τὰ χρήματα δώσειν ὑπέσχοντο, τριῶν ἡμερῶν αἰτήσαντες ἀνάθεσιν" ⟨Herodian. 7 4⟩.

ἀναθεώρησις. "μεγάλης δὲ οὔσης κατὰ τὴν νομοθεσίαν ἀναθεωρήσεως, μισοπόνηρος φαίνεται ὁ ἀνὴρ διὰ τὸ πάντων τῶν νομοθετῶν πικρότατα πρόστιμα θεῖναι" ⟨Diodor. Sic. 13 35⟩.

ἀναθηλήσει ⟨Hom. Α 236⟩ ἀναβλαςήσει.

ἀνάθημα πᾶν τὸ ἀφιερωμένον θεῷ. "αἰτοῦντος τῷ Πέλοπι ἀνάθημα τὴν ἄρνα τὴν χρυσῆν, ἕτερα παρέχοντι κειμήλια ἔχρησεν ὃ βούλομαι δός, μὴ δίδου δ' ὃ μὴ θέλω" ⟨sch. A. Nub. 144⟩. λέγεται δὲ καὶ ἀνάθεμα.

ἀναθολώσει ἀναταράξει· Πλάτων Νόμων ἑβδόμῳ ⟨extr.⟩ "ὅπως ἀναθολώσει." κυρίως δὲ ἐπὶ τῆς σηπίας, ἐπεὶ τὸ μέλαν αὐτῆς θολὸς καλεῖται.

ἀναθορόντος ἀναπηδῶντος.

ἀναθρούμενα ἀνασκοπούμενα.

ἀναθρώσκει ἀναπηδᾷ.

ἀναθύειν ⟨an ἀναθυᾶν⟩ τὸ ἀναλαμβάνειν τὸ πρᾶγμα διὰ χρόνου. Φερεκράτης "πάλιν αὖθις ἀναθύουσιν αἱ γεραίτεραι."

Ἀναία πόλις.

ἀναιδὲς τὸ θρασὺ βλέπειν. καὶ ἀναίδην ἀθρόως, σφοδρῶς, ἀπηρυθριασμένως. καὶ ἀναιδῶς ἀναισχύντως. καὶ ἀναιδής, καὶ ἀναίδεια ἡ ἀναισχυντία.

ἀναίμονες ⟨Hom. Ε 342⟩ ἀναίματοι. καὶ ἄναιμος ὁ μὴ ἔχων αἷμα. καὶ ἀναιμωτὶ ἄνευ αἵματος.

ἀναίνεσθαι κοινῶς μὲν τὸ ἀρνεῖσθαι, ἰδίως δὲ ἐπὶ τῶν κατὰ τοὺς γάμους καὶ τὰ ἀφροδίσια ⟨Harp.⟩. καὶ ἀναίνομαι ἀπαρνοῦμαι, προΐεμαι.

ἀναιρεθείς ἀντὶ τοῦ ἀναληφθείς· οὕτως Ἰσοκράτης ⟨Philipp. 66⟩. καὶ ἀναιρεῖν τὸ ἐν γαςρὶ συλλαβεῖν, καὶ τὸ τεχθὲν ἀνα-

τρέφειν, καὶ τὸ φονεῦσαι, καὶ τὸ ἀναλαβεῖν· ⟨cf. v. σέατα⟩ "ὃ δὲ καθεὶς τὴν χεῖρα εἰς τὴν πήραν ἀναιρεῖται τὴν ἐπιςολήν." καὶ ἔτι τὸ ἀπολλύναι, καὶ τὸ αἴρειν ἢ προσενέγκασθαι. καὶ ἀναίρεσις ἡ ἀνάληψις· "ὃ δὲ τὴν πανοπλίαν ἔρριψεν εἰς ἀναίρεσιν τῷ βουλομένῳ." καὶ ἀναιρεῖται λαμβάνει· "ὃ δὲ ἀναιρεῖται τὸ μεῖζον μέρος τοῦ κρεαδίου." καὶ ἀναιρεῖσθαι ἀναδέχεσθαι, ἀναλαμβάνειν· ⟨Dio Cass. fr. 57 82⟩ "τῷ Σκηπίωνι ἦν τὰ διωμολογημένα πρὸς Καρχηδονίους ὁμήρους σφᾶς δοῦναι καὶ τοὺς ἐλέφαντας καὶ τὰς τριήρεις, καὶ μήτε καταλόγους ποιεῖσθαι μήτε μισθοφόροις χρῆσθαι μήτε πόλεμον πρὸς μηδένα παρὰ τὴν τῶν Ῥωμαίων γνώμην ἀναιρεῖσθαι." καὶ αὖθις ⟨cf. v. ἀμυνόμενοι⟩ "οὐ τὴν τυχῦσαν πρόνοιαν ἐποιοῦντο Ῥωμαῖοι τοῦ μὴ κατάρχοντες φαίνεσθαι μηδ' ἀναιρούμενοι τοὺς πολέμυς." καὶ Ἡρόδοτος ⟨6 69⟩ ἀναιρεόμενον ἀντὶ τοῦ ἐν γαστρὶ συλλαμβανόμενον. καὶ ἀναιρούμενοι ἀναλαμβανόμενοι, ἐπιχειροῦντες.

ἀναισίμου ⟨Herodot. 1 185⟩ ἀνήλισκε, κατεδαπάνα. καὶ ἀναισιμοῦν παρὰ Ἡροδότῳ ⟨1 72⟩ ἀντὶ τοῦ δαπανᾶν, ἀναλίσκειν. ἀναισιμῶσι καταναλίσκωσι· ⟨3 160⟩ "τὰς δὲ γυναῖκας ἀπέπνιξαν, ἵνα μὴ τὸν σῖτον ἀναισιμῶσι."

ἀναίσχυντος καὶ σιδηροῦς ἄνθρωπος ⟨A Ach. 489⟩, ἐπὶ τῶν ἀπηρυθριακότων καὶ μηδεμίαν μεταβολὴν τοῦ τρόπου ποιουμένων.

ἀναίτιος ἐπὶ ἀφροσύνῃ ἀντὶ τοῦ ἀνέγκλητος ἐπὶ ἀφροσύνῃ.

ἄναιτος ⟨immo ἄνατος⟩ ἀβλαβὴς καὶ ἀναιτίατος. Σοφοκλῆς ⟨OC 786⟩ "πόλις δέ σοι κακῶν ἄναιτος τῶνδ' ἀπαλλαχθῇ χθονός."

ἀνακαγχάσας μεγάλως γελάσας.

ἀνακάθαρσις ἐπίλυσις, διευκρίνησις. καὶ ἀνακαθαίρω αἰτιατικῇ.

ἀνακαθιζήσομαι καὶ ἀνακαθίσω.

Ἀνακαίασιν. δῆμος φυλῆς Ἱπποθοωντίδος ἡ Ἀνακαία.

ἀνακαίνισις ἡ ἀνανέωσις. λέγεται δὲ καὶ ἀνακαίνωσις. καὶ ἀνακαινιῶ αἰτιατικῇ.

ἀνάκαιον ⟨ἀναγκαῖον?⟩ τὸ δεσμωτήριον, εἰς ὃ κατετίθεντο τοὺς πονηροὺς δούλους καὶ τῶν ἀπελευθέρων τοὺς ἀφισταμένους. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης "Ἑρμοκράτην δὲ εἰς τὸ ἀνάκαιον ἐνέβαλε, φάσκων ἀπελεύθερον εἶναι, καὶ οὐ πρότερον ἀφῆκε πρὶν λ' δραχμὰς ἐπράξατο."

ἀνακαλούμενος, αἰτιατικῇ, ἀνακτώμενος, πρὸς τὴν προτέραν διάθεσιν ἐπανάγων. "ὃ δὲ ἐσπούδαζεν ἀνακαλεῖσθαι τὰς τῶν ὑποτεταγμένων εὐνοίας καὶ προθυμίας ἐκ τῦ γεγονότος ἐλαττώματος."

ἀνακαλυπτήρια δῶρα διδόμενα ταῖς νύμφαις παρά τε τοῦ ἀνδρὸς καὶ τῶν οἰκείων καὶ φίλων, ὅταν τὸ πρῶτον ἀνακαλύπτωνται ἀνδράσινδρα ὀφθῆναι. ἔςι δὲ ταῦτα καὶ ἐπαύλαια. Harp. cf. v. ἀθρήματα.

ἀνακάψαι ⟨A Av. 582⟩ καταφαγεῖν.

Ἀνάκειον ὄρος ⟨an ἀνάκτορον⟩. ἢ τὸ τῶν Διοσκούρων ἱερόν.

ἀνακεῖσθαι ἐπὶ ἀνδριάντων, κατακεῖσθαι δὲ καὶ κατακεκλίσθαι ἐπὶ τῆς τραπέζης. καὶ ἀνακεῖσθαι πολλάκις ἀντὶ τοῦ κατακεῖσθαι. Athen. p. 23.

ἀνάκειται σκώμμασιν, ἀνάκειται λοιδορίαις, ἀνάκειται πόρνοις κύβοις συμποσίοις. σημαίνει δὲ τὸ οἷον πρόσκειται ἰσχυρῶς.

ἀνακεκώφηκας ἀνεπλήρωσας βοῆς, τὰς ἀκοὰς ἡμῶν κωφὰς εἰργάσω. Ἀριστοφάνης ⟨Eq. 312⟩.

ἀνακεφαλαιοῦται ἀναπληρῦται, ἀνακτίζει. καὶ ἀνακεφαλαίωσις ἡ ἐξ ἀρχῆς ἔρευνα.

ἀνακεχυμένη ἀνειμένη, κεχαυνωμένη, ἀνετή.

ἀνακεχωρηκότων. "ὃ δὲ ἐκτήσατο βιβλίων μυριάδας τρεῖς, καὶ τέτων σπυδαίων καὶ ἀνακεχωρηκότων" ἀντὶ τοῦ ἀποκρύφων. λέγει δὲ περὶ Ἐπαφροδίτου τοῦ Χαιρωνέως. cf. v. Ἐπαφρόδιτος.

ἀνακηκεῖ ἀναπηδᾷ. καὶ ἀνακηκίει ⟨Hom. *N* 705⟩.

ἀνακηρύττω αἰτιατικῇ.

ἀνάκλησις ἡ προσφώνησις, ἀνάκλισις δὲ διὰ τοῦ ι ἡ ἀνάπαυσις.

ἀνακλητικὸν μέλος σάλπιγγος ἀνακαλούσης τὰς ῥαθύμυς εἰς πόλεμον. καὶ Μάρκος Ἀντωνῖνός φησιν ⟨3 5⟩ "ἴσο ἀναμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος μήτε ἀνθρώπου τινὸς μάρτυρος."

ἀνακλῖναι ἀνοῖξαι Ὅμηρος ⟨*E* 751, *Θ* 395⟩. οὕτως καὶ Ἡρόδοτος ⟨5 16⟩. "οἱ δὲ

ἀνοῖξαι μὲν τὴν θύραν οὐ κατετόλμησαν, οὐδ' εἴσω παρελθεῖν ἴσχυσαν."

ἀνακλώμενον τὸ ἀπηχούμενον. ὡς ἐπὶ τοῦ κυροῦ Ῥωμανοῦ τοῦ μελῳδοῦ· σὺ γὰρ ὑπάρχεις τὸ φῶς τὸ ἀπρόσιτον.

ἀνακνῶνται κνήθονται, κατὰ ἰατρούς.

ἀνακογχυλιάσαι ⟨Plato Conviv. p.185⟩ ἀναγαργαρίσασθαι.

ἀνακοινώσασθαι καὶ ἀνακοινῶσαι, ἄμφω λέγουσι. Ξενοφῶν δὲ καὶ ἀνεξυνοῦτο εἴρηκεν ἐν ταῖς Ἑλληνικαῖς ⟨I 1 30⟩.

ἀνακομιδή ἀναγωγή, ἐπάνοδος, ἀναφορά.

ἀνακομῶ τὸ ἀναφύω.

ἀνακράτος, ἐπίρρημα, μετὰ πάσης σπουδῆς· "οἱ δὲ ἔφευγον ἀνακράτος" ⟨Procop. Pers. 2 25⟩.

Ἀνακρέων Τήιος λυρικός, Σκυθίνου υἱός· οἱ δὲ Εὐμήλου, οἱ δὲ Παρθενίου, οἱ δὲ Ἀριστοκρίτου ἐδόξασαν. ἔγραψεν ἐλεγεῖα καὶ ἰάμβους, Ἰάδι πάντα διαλέκτῳ. γέγονε κατὰ Πολυκράτην τὸν Σάμου τύραννον, ὀλυμπιάδι νβ'· οἱ δὲ ἐπὶ Κύρου καὶ Καμβύσου τάττουσιν αὐτὸν κατὰ τὴν νε' ὀλυμπιάδα. ἐκπεσὼν δὲ Τέω διὰ τὴν Ἱστιαίου ἐπανάστασιν ᾤκησεν Ἄβδηρα ἐν Θρᾴκῃ. βίος δὲ ἦν αὐτῷ πρὸς ἔρωτας παίδων καὶ γυναικῶν καὶ ᾠδάς. καὶ συνέγραψε παροίνιά τε μέλη καὶ ἰάμβους καὶ τὰ καλούμενα Ἀνακρεόντεια.

ἀνακρίνω αἰτιατικῇ.

ἀνάκρισις ἐξέτασις ὑφ' ἑκάστης ἀρχῆς γινομένη πρὸ τῶν δικῶν περὶ τῶν συντεινόντων εἰς τὸν ἀγῶνα. ἐξετάζουσι δὲ καὶ εἰ ὅλως εἰσάγειν χρὴ ταύτας. Harp.

ἀνακροτῆσαι ἐπαινέσαι, ὑμνῆσαι· ⟨Ioseph. A. I. 12 4 9⟩ "ὁ δὲ Πτολεμαῖος πάντας ἐκέλευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχόμενος αὐτόν."

ἀνακρουόμεθα ⟨Plato Phileb. p.13 D⟩ οἷον ἀναπροοιμιαζόμεθα.

ἀνακρούσασθαι ἐπὶ ναυμαχίας τὸ συμβάλλειν καὶ πάλιν ἀναδύεσθαι.

ἀνακτᾶσθαι Θουκυδίδης ἀντὶ τοῦ θεραπεύειν. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ τὸ προαπολωλὸς αὖθις κτήσασθαι καὶ ἀπολαβεῖν.

ἄνακτες οἱ θεοί, καὶ ἀνάκτορα τὰ ἱερά.

ἄνακτες καὶ ἄνασσαι. Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ φησὶ "καλοῦνται δὲ οἱ μὲν υἱοὶ καὶ ἀδελφοὶ τοῦ βασιλέως ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι" ⟨Harp.⟩. καὶ ἀνάκτορα τὰ ἱερά. καὶ ἀνακτορίαν δεσποτείαν. καὶ ἀνακτόριον ἱερόν, καὶ ἀνακτόρων ἱερατειῶν.

ἀνακυκλήιον τὸν ὀρθόν ⟨ἀνακύκλει ἀνόρθου Hesychius⟩.

Ἀνακυνδάραξος βασιλεὺς Νίνου Περσικῆς χώρας.

ἀνακῶς παρὰ Ἡροδότῳ ⟨1 24, 8 109⟩ ἀντὶ τοῦ ἐπιμελῶς, φυλακτικῶς, ἢ βασιλικῶς. καὶ ἀνακῶς ἔχειν φροντίζειν· "προειρημένον τούτοις ὅπως ἀνακῶς ἕξουσιν, εἴ τι ἐκ τῶν πολεμίων κατὰ τὸ ἀφανέστατον πειράζοιτο."

ἀνακωχεύει παρὰ Σοφοκλεῖ ⟨El. 732⟩ τὸ ἀνασειράζει. ἀνακωχεύειν δὲ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος ἐν πελάγει σείλαντες τὰ ἄρμενα σαλεύωσιν αὐτόθι, μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς ἂν ἐπὶ τοῦ ἅρματος εἴρηκεν, ὅτι οὐ διημιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα καὶ ἠρέμα ἤλαυνεν. sch. S. El. 732.

ἀνακωχή ἀνάπαυσις, ἢ εἰρήνη πρόσκαιρος πόλεμον ὠδίνουσα.

ἀνακωχῆς ἀναπαύσεως, ἐνδόσεως, τῆς πρὸς μικρὸν ἐν πολέμῳ εἰρήνης. ἀνακωχὴ δὲ εἴρηται παρὰ τὸ ἄνω τὰς ἀκωκὰς ἔχειν.

ἀναλαβεῖν ἐνθυμηθῆναι. "μηδ' εἰς ἐσχάτην ἀναλαβεῖν ἐλπίδα, μήποτε διὰ ταύτης πολέμιος ἐπ' αὐτοὺς ἀναβῇ στρατός."

ἀναλαμβάνειν αἰτιατικῇ ἐπὶ τοῦ ἀνέχειν. ὅτι ἔμελε τοῖς φιλοσόφοις καὶ τοῦ κοσμίως ἀναλαμβάνειν τὴν ἐσθῆτα, καὶ τοὺς μὴ τοῦτο ποιοῦντας ἔσκωπτον. Πλάτων ἐν Θεαιτήτῳ ⟨p.175 E⟩ "πάντα δυναμένης ὀξέως τε καὶ τορῶς διακονεῖν, ἀναλαβέσθαι δ' οὐκ ἐπισταμένους ἐπιδέξι' ἐλευθέρως, οὐδὲ ἁρμονίαν λόγων λαβόντας ὑπαντῆσαι θεόν." Ἄλεξις δέ φησι περὶ ἐσθῆτος οὕτως· "ἐν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων εἶναι, τὸ βαδίζειν ἀρρύθμως ἐν ταῖς ὁδοῖς, ἐξὸν καλῶς. οὗ μήτε πράττεται τέλος, μηδὲν γὰρ ἡμᾶς, μήτε δι' ἑτέρων λαβεῖν τιμὴν δόντας, φέρει δὲ τοῖς μὲν χρωμένοις δόξης τιν' ὄγκον, τοῖς δ' ὁρῶσιν ἡδονήν, κόσμον δὲ τῷ βίῳ. τὸ τοιοῦτον γέρας τίς οὐκ ἂν αὑτῷ κτῷτο, φάσκων νοῦν ἔχειν;" Athen. p.21 B.

ἀναλαμβάνειν ἀντὶ τοῦ ἀνακτᾶσθαι. Ἀππιανός "τότε δὲ ἔθει τις δρόμῳ δηλῶ-

σων τῷ Πέρσῃ λουομένῳ καὶ τὸ σῶμα ἀναλαμβάνοντι. ὃ δὲ ἐξήλατο τοῦ ὕδατος, βοῶν ὅτι ἑαλώκοι πρὸ τῆς μάχης."

ἀναλγησία ἀναισθησία.

ἀνάλγητος καὶ δυσανάλγητος παρὰ Σοφοκλεῖ, τουτέςι δυσμετάκλαςος, ἀναλγής, ἀπαθής, ἀνηλεής, σκληρός· (OR 12) "δυσανάλγητος γὰρ ἂν εἴην, τοιάνδε μὴ οὐ κατοικτείρων ἕδραν." καὶ ἀναλγήτως ἀναισθήτως, ἀπόνως. καὶ ἀναλγήτων ἀσυμπαθῶν, ἢ τῶν μηδ' ὅλως ἀλγούντων ἐπί τινι, ἢ πολυαλγήτων, τῶν εἰς πολλὰ ἄχη ἡμᾶς ἐκβεβληκότων. Σοφοκλῆς (Ai. 946) "ὤμοι ἀναλγήτων δισσῶν ἐθρόησας ἄναυδον ἔργον Ἀτρειδῶν τῷδ' ἄχει," τουτέςι τῇ παρούσῃ συμφορᾷ.

ἀναλέγεται, αἰτιατικῇ, ἀναμφιβόλως ἔχει, ἐννοεῖται. "εἰ μέν τις ἀναλέγεται τοῦτο, ὅτι κρατήσομεν ἐξ ἐφόδου τῶν πολεμίων."

ἀναλεξάμενος ἀναγνούς, νοήσας· "ὁ δὲ ἀναλεξάμενος τὴν ἐπιστολήν." καὶ ἀναλεξαμένων ἑαυτοὺς συναγαγόντων· "μόλις δὲ τῶν Καρχηδονίων ἀπὸ τῆς καταπλήξεως ἀναλεξαμένων, μόνος ὁ Βλάνων καλούμενος οἰκείαν τῆς περιστάσεως φωνὴν προέμενος εἶπε" (Diodor. Sic. exc. leg. 27). καὶ αὖθις "καὶ τὸ τοῦ Ἀλεξάνδρου μνημεῖον συνέκλεισεν, ἵνα μηδεὶς ἔτι μήτε τὸ τούτου σῶμα ἴδῃ μήτε τὰ ἐν ἐκείνοις γεγραμμένα ἀναλέξηται" (Dio Cass. 75 13).

ἀνάλημμα ὕψωμα, ςήριγμα. "κατανοήσας τὸ βάρος τῶν ἀναλημμάτων, καὶ ὡς ἀδύνατόν ἐστι σαλεῦσαι τὰ τείχη, ἐκ χειρὸς τὴν μάχην ἐποίησεν."

ἀναλήψεσθαι, αἰτιατικῇ, ἀνακτήσεσθαι. (Ioseph. B. I. 5 3 4) "ὁ δὲ ἔλεγεν ἀναλήψεσθαι τὸ παρὸν πταῖσμα ταῖς εἰς τὸ μέλλον ἀρεταῖς."

ἀνάληψις ἀνάρρωσις. "σπουδὴν ἐποιεῖτο ὑπὲρ ἀναλήψεως καὶ θεραπείας τῶν ἀνδρῶν, οὐχ ἧττον δὲ καὶ τῶν ἵππων" (Polyb. 3 87).

Ἀναλιβόζωρα ὄνομα τόπου.

ἀναλίσκειν καὶ ἀναλοῦν, ἑκατέρως. Ἀριςοφάνης Πλούτῳ (247) "χαίρω τε γὰρ φειδόμενος ὡς οὐδεὶς ἀνήρ, πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ." Δαιταλεῦσιν "εἰς τὰς τριήρεις δεῖ μ' ἀναλοῦν ταῦτα καὶ τὰ τείχη." ἐν δὲ τῷ παρεληλυθότι καὶ διὰ τοῦ η ἀδιαφόρως, οἷον ἀνήλισκον καὶ ἀνάλισκον. καὶ αὖθις "εἰς οἷ' ἀνάλου οἱ πρὸ τοῦ τὰ χρήματα."

ἄναλκις ἀδύνατος, ἀσθενής. "οὐ γὰρ μόνον ὁ μέγας κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει, ὡς λέγει Πίνδαρος, ἀλλὰ καὶ ὁ μέγας ἀνὴρ οὐδένα μικρὸν ἀγῶνα προσίεται, ἀλλ' ὅπου φυγάδες ἄλλοι δι' ἀνανδρίαν ἀποδιδράσκουσιν, ἐνταῦθα καταβαίνει παραβαλλόμενος" (Damasc. Phot. p. 337 a). καὶ αὖθις ἡ τραγῳδία (S El. 301) φησὶ περὶ Αἰγίσθου "ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη, ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος·" συνεργούσης γὰρ τῆς Κλυταιμνήςρας ἀνεῖλε τὸν Ἀγαμέμνονα.

ἀναλλοίωτος ὁ ἀεὶ αὐτὸς ὢν καὶ μὴ δεχόμενος ἀλλοίωσιν.

ἀναλογεῖον, ἐν ᾧ τίθενται τὰ βιβλία.

ἀνάλογον. ἀναλόγου ὁρισμός ἐςιν οὗτος· ἀνάλογον ἔχει μεγέθη πρὸς ἄλληλα, ὧν ἡ αὐτὴ ἀνθυφαίρεσις. ὁ δὲ Ἀριςοτέλης τὴν ἀνθυφαίρεσιν ἀνταναίρεσιν εἴρηκεν. τὰ δ' ἀνάλογον ἔχοντα πρὸς ἄλληλα καὶ ὁμοίως ἔχειν πρὸς ἄλληλα λέγεται (Alex. Aphrod. in Top. p. 206). ἀνάλογον δὲ ἀντὶ τοῦ ὁμοίως. καὶ ἀναλόγως ἴσως. καὶ ἀναλογώτερον τὸ ὑψηλότερον, τὸ σοφώτερον, τὸ ἀναλογικώτερον.

ἀναλογῶ ἐπὶ τοῦ ἁρμόζω, δοτικῇ· "οἰκοδόμοι μεγέθη δωμάτων ἐφ' ὕψους αἴροντες, τῷ ὕψει τοὺς θεμελίους ἀναλογοῦντας ὑποβάλλουσι." καὶ ἐπὶ τοῦ ἀπεικάζω καὶ ὁμοιῶ· "ὁ αὐλαίαν εἶχεν ἀναλογοῦσαν σκηνῇ οὐρανίῳ." καὶ αὖθις "οἱ δὲ ςρατιῶται γενναῖοι ὀφθῆναι καὶ τῷ ἴσῳ ἀξιώματι ἀναλογοῦντες."

ἀναλοῦντες ἀντὶ τοῦ ἀναιροῦντες Θουκυδίδης (4 48). καὶ ἀναλῶν, καὶ ἀναλοῦν τὸ ἀναιρεῖν.

ἄναλτον Ὅμηρος (ρ 228) καὶ Κρατῖνος ἀντὶ τοῦ ἀπλήρωτον, Δείναρχος δὲ ἀντὶ τοῦ χωρὶς ἁλῶν.

ἀναλύζουσα ςενάζουσα, λυγκαίνουσα. ἔςι δέ τι πάθος γινόμενον τοῖς μετὰ συμπαθείας πολλῆς κλαίουσιν.

ἀναλυθῆναι τὸ καθαρμῷ τινὶ χρήσασθαι φαρμάκων. Μένανδρος Ἥρωι "πεφαρμάκευσ' ὦ γλυκύτατ' ἀναλυθεὶς μόλις."

ἀνάλυσις ἐξάπλωσις. "ὅρος γάρ ἐςι λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος τοῦ ὁριςικοῦ κεφαλαιωδῶς." ἀνάλυσις ἡ ἀπὸ σχήματος ἐπὶ σχῆμα τῶν τρόπων ἀνακύκλησις· ἀναλύειν γὰρ λέγεται τὸ τοὺς συνθέτους συλλογισμοὺς ἀνάγειν εἰς τοὺς ἁπλοῦς

καὶ εἰς τὰς προτάσεις, ἐξ ὧν αὐτοῖς τὸ εἶναι. κατὰ γοῦν τὸ σημαινόμενον τῆς ἀναλύσεως Ἀναλυτικὰ γέγραπται τὰ τοῦ Ἀριστοτέλους.

ἀναλφάβητος· "ἀμάθητος γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος." cf. v. ἀμάθητος.

ἀνάλφιτον Φιλύλλιος Αἰγεῖ.

ἀναλώθησαν ἠφανίσθησαν· "οὐδὲ γὰρ ἀναλώθησαν ἄλλως αἱ εὐχαί· θηρίον γάρ τι αὐτοῖς πομπῇ κρείττονι ἐντυγχάνει." καὶ ἀνάλωμα καὶ προανάλωμα.

ἀναμάθω ἐξ ἀρχῆς μάθω.

ἀναμαλάττεσθαι ἀναφυρᾶν. καὶ ἀναμάττεσθαι ὁμοίως.

ἄναμμα· "τρέφεσθαι δὲ τὰ ἔμπυρα καὶ τὰ ἄλλα ἄστρα, τὸν μὲν ἥλιον ἐκ μεγάλης θαλάττης, νοερὸν ὄντα ἄναμμα, τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν καὶ πρόσγειον οὖσαν." Diog. L. 7 145.

ἀναμασώμενοι ἀντὶ τοῦ ἀνερευνῶντες. "μόλις τὸ πρᾶγμ' ἔγνωσαν ἀναμασώμενοι" οἱ κριταί· Ἀριστοφάνης (Vesp. 815). καὶ ἀναματτόμεναι ἀναμασσόμεναι.

ἀναμαχούμενον ἐκ δευτέρου μαχεσόμενον. "ὃ δὲ ἐκέλευεν αὐτὸν αὖθις ἥκειν ἀναμαχούμενον τὴν πρώτην ἧσσαν."

ἀναμείνω αἰτιατικῇ.

ἀναμέλποντες ἀνυμνοῦντες.

ἀναμετρήσαιμι (Hom. μ 428) διεκπεράσαιμι. "μήποτε εἰς Ῥήγιον ἐκπλεῖν, μήτε τὴν πολλὴν θάλασσαν ἀναμετρεῖν."

ἀναμηρύσασθαι ἀνατεῖναι.

ἀναμίλλητον ἀφιλόνεικον.

ἀναμίξ ἀναμίγδην, ἀναμεμιγμένως.

ἀνάμνησις. ἀνάμνησίς ἐστι φαντάσματος εὕρεσις. ἀρξαμένη δὲ ἀπὸ τῆς ψυχῆς διαβαίνει ἐπὶ τὸ ἐζῳωμένον σῶμα· ἀναμνησθέντες γὰρ φοβεροῦ τινὸς ἡμῖν γενομένου ὠχριάσαμεν, καὶ τοῦ πλοῦ ἀναμνησθέντες ἐναυτιάσαμεν. πῶς δὲ λέγομεν ἀπὸ τῆς ψυχῆς ἄρξασθαι τὴν κίνησιν ἐπὶ τῆς ἀναμνήσεως; οὐχ ὡς ἐκείνης αὐτῆς ἀναμιμνησκομένης, ἀλλ' ὥσπερ ἐπὶ τῶν αἰσθήσεων λέγομεν (ἀρξαμένη γὰρ ἡ κίνησις ἐκ τῶν αἰσθητῶν διέβη μέχρις ἐκείνου ἐν ᾧ ἡ κριτικὴ καὶ αἰσθητικὴ δύναμις· τοῦτο δέ ἐστι τὸ πνεῦμα), οὕτω καὶ ἐπὶ τῆς ἀναμνήσεως λέγομεν ὅτι ἀπὸ τοῦ πνεύματος, ἐν ᾧ ἡ ψυχή, καὶ ἡ ἀρχὴ τῆς κατὰ τὴν ἀνάμνησιν κινήσεως γέγονεν, ἀνάπαλιν ἢ ἐπὶ τῆς αἰσθήσεως. εἰς ὃ γὰρ τελευτᾷ ἡ αἴσθησις, ἐκεῖθεν ἡ ἀρχὴ τῆς ἀναμνήσεως. ἡ γὰρ ἀνάμνησις φαντάσματός ἐστιν εὕρεσις ὅ ποτε ἐγένετο ἐν τῷ πνεύματι· ἐν τούτῳ γὰρ γίνεται τὰ φαντάσματα, ἐν ᾧ καὶ ἡ αἰσθητικὴ ψυχὴ ἵδρυται. ἀπὸ τούτων οὖν τῶν ἐν τῷ πνεύματι ἐν ᾧ ἐστιν ἡ ψυχὴ ἐγκαταλειμμάτων, ἅπερ φαντάσματα καλοῦμεν, ἅπερ ἐγκαταλείμματα ἐκ τῶν κατὰ τὰς αἰσθήσεις ἀντιλήψεων ἔσχεν, ἀπὸ τούτων ἡ ἀρχὴ τῆς κατὰ τὴν ἀνάμνησιν κινήσεως γίνεται. ἐπιβάλλουσα οὖν πάλιν τῷ φαντάσματι ὃ πρὶν ἔσχε, τουτέστι τῷ ἐγγενομένῳ πρότερον ἐν τῷ πνεύματι τύπῳ, ἀναμιμνήσκεται καὶ δι' οὗ αἰσθητηρίου ᾔσθετο αὐτό, καὶ οὕτως συνδιατίθεται τῷ αἰσθητηρίῳ τὸ σῶμα. Philopon. in Ar. de anima E 4 2.

ἀναμοχλευόντων ἀνορυττόντων, ἀνακινούντων· "βιαζομένων δὲ αὐτῶν καὶ τὰς θύρας ἀναμοχλευόντων δράκοντες ἄρα μέγιστοι τὸ μέγεθος ἀνέστελλον αὐτούς."

ἀναμύειν ἀναβλέπειν.

ἀναμφήριστον ἀναμφίβολον, καὶ ἀναμφήριστος ὁ ἀναμφισβήτητος.

ἂν ἀμφοῖν. εἰς τὸ τέλος τοῦ βίου τοῦ ὁσίου Εὐθυμίου ἐν τῇ μεταφράσει.

ἀνανέμειν ἴσον τῷ ἀναγινώσκειν Ἐπίχαρμος. Ἡρόδοτος δὲ (1 173) ἀνανέμεσθαι ἐπὶ τοῦ καταλέγειν τέθεικεν.

ἀνανεοῦσθαι, ὡς ἡμεῖς, Θουκυδίδης ἑ (18) καὶ Πλούτοις Κρατῖνος.

ἀνανεωσάμενος ἀνακαινίσας καὶ ἀνεγείρας. ἢ ἀναμνησθείς, εἰς ἔννοιαν ἐλθών. "ὁ δὲ Μάρκος προσανανεωσάμενος τὴν τοῦ τείχους ταπεινότητα, ἐπεβάλετο καταπειράζειν τῆς ἐλπίδος" (Polyb.).

Ἄνανος ὄνομα κύριον. "ἀποκλείσας τοὺς ζηλωτὰς εἰς τὸ ἱερὸν καὶ φρουρὰν αὐτοῖς ἐπιστήσας παρεκάθητο."

ἄναντα (Hom. Ψ 116) ἀνωφερῆ, δυσχερῆ.

ἀνανταγώνιστος ἀκαταμάχητος. "ἀνανταγώνιστος ἦν ἡ Ῥωμαίων ὁρμὴ καὶ δυσάντητος τοῖς ἐντυγχάνουσιν" (Theophyl. Sim. 2 6).

ἄναντες ἀνωφερές. ὅτι ταὐτόν ἐστιν ἄναντες καὶ πρόσαντες. καὶ εἴ τι μὲν ἄναντες, τοῦτο καὶ πρόσαντες, οὐκέτι δὲ τὸ ἀνάπαλιν· τὸ γὰρ πρόσαντες ἀπότομον καὶ μὴ παρεῖκον, μηδὲ ἀποδεχόμενον τὸν ἀναβῆναι βουλόμενον. τῷ δὲ ἀνάντει καὶ προσάντει ἐναντίον τὸ κάταντες. καὶ τὰ μὲν ἠδέα καὶ

τερπνὰ λέγομεν ῥᾶςα καὶ ῥάω, τὰ δὲ λυπηρὰ προσάντη καὶ ἀνάντη καὶ δυσχερῆ. καὶ ἀνάντης ἡ δύσβατος ὁδός. καὶ κλίνεται εἰς ους.

ἀναντίρρητον τὸ ἀντιλογίαν μὴ ἐπιδεχόμενον.

ἄναξ θηλυκῶς. οὕτως Αἰσχύλος. cf. Orion p. 26.

a Ἀναξαγόρας σοφιςής, Ἡγησιβούλου υἱός, Κλαζομένιος. νοῦς δὲ ἐπεκαλεῖτο, ἐπειδὴ ὕλην καὶ νοῦν πάντων φρουρὸν εἶπεν. ὗτός ἐςιν ὁ τὸν ἥλιον εἰπὼν μύδρον διάπυρον (Harp.), τουτέστι πύρινον λίθον. ἔφυγε δὲ ἐξ Ἀθηνῶν Περικλέους αὐτῷ συνειπόντος, καὶ ἐλθὼν ἐν Λαμψάκῳ ἐκεῖσε καταςρέφει τὸν βίον ἀποκαρτερήσας. ἐξήγαγε δὲ τοῦ ζῆν ἑαυτὸν ἐτῶν ο', διότι ὑπ' Ἀθηναίων ἐνεβλήθη ἐν δεσμωτηρίῳ οἷά τινα καινὴν δόξαν τοῦ θεοῦ παρεισφέρων.

b ὅτι Ἀναξαγόρας Ὀλυμπίασιν, ὁπότε ἥκιστα ὗοι, προελθὼν ὑπὸ κωδίῳ ἐς τὸ ςάδιον, ἐπὶ προρρήσει ὄμβρου λέγεται τοῦτο πεπραχέναι, καὶ ἄλλα δὲ πλεῖστα προλέγων. ὗτος Κλαζομένιος ὢν ἀγέλαις τε καὶ μήλοις τὰ ἑαυτοῦ ἀνῆκε. περὶ τούτου ἔφη Ἀπολλώνιος ὁ Τυανεὺς προβάτοις μᾶλλον ἢ ἀνθρώποις φιλοσοφῆσαι. ὁ δὲ Θηβαῖος Κράτης κατεπόντωσε τὴν οὐσίαν, οὔτε προβάτοις ποιήσας ἐπιτήδειον οὔτε ἀνθρώποις. Philostrat. V. A. 1 2 et 13.

Ἀναξανδρίδης Ἀναξάνδρου, Ῥόδιος ἐκ Καμείρου, γεγονὼς ἐν τοῖς ἀγῶσι Φιλίππου τοῦ Μακεδόνος, ὀλυμπιάδι ρα'. κατὰ δέ τινας Κολοφώνιος. ἔγραψε δὲ δράματα ξε', ἐνίκησε δὲ ι'. καὶ πρῶτος οὗτος ἔρωτας καὶ παρθένων φθορὰς εἰσήγαγεν.

ἀναξία ἀξίαν οὐκ ἔχουσα, ἀλλ' ἄτιμος· "ἀλλ' ἅπερ εἴτις ἔποικος ἀναξία οἰκονομῶ θαλάμους πατρός" (S. El. 189). ἔποικος δὲ ἀντὶ τοῦ μέτοικος, οἰκονομῶ δὲ ἀντὶ τοῦ διαιτῶμαι.

Ἀναξίβιος Λακεδαιμονίων ςρατηγός.

Ἀναξίλας κωμικὸς ποιητής.

a Ἀναξίμανδρος Ἀναξιμάνδρου Μιλήσιος, ὁ νεώτερος, ἱστορικός. γέγονε δὲ κατὰ τοὺς Ἀρταξέρξου χρόνους τοῦ μνήμονος κληθέντος. ἔγραψε συμβόλων Πυθαγορείων ἐξήγησιν, οἷόν ἐστι τὸ ζυγὸν μὴ ὑπερβαίνειν, μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, ἀπὸ ὁλοκλήρου ἄρτου μὴ ἐσθίειν, καὶ τὰ λοιπά.

Ἀναξίμανδρος Πραξιάδου Μιλήσιος φιλόσοφος, συγγενὴς καὶ μαθητὴς καὶ διάδοχος Θάλητος. πρῶτος δὲ ἰσημερίαν εὗρε καὶ τροπὰς καὶ ὡρολογεῖα, καὶ τὴν γῆν ἐν μεσαιτάτῳ κεῖσθαι. γνώμονά τε εἰσήγαγε, καὶ ὅλως γεωμετρίας ὑποτύπωσιν ἔδειξεν. ἔγραψε περὶ φύσεως, γῆς περίοδον, καὶ περὶ τῶν ἀπλανῶν, καὶ σφαῖραν, καὶ ἄλλα τινά.

Ἀναξιμένης Ἀριστοκλέους Λαμψακηνὸς ῥήτωρ, μαθητὴς Διογένους τοῦ κυνὸς καὶ Ζωίλου τοῦ Ἀμφιπολίτου γραμματικοῦ τοῦ κακίζοντος Ὅμηρον, διδάσκαλος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος. εἵπετο δὲ αὐτῷ ἐν τοῖς πολέμοις. οὗτος βασιλέα Ἀλέξανδρον, θυμῷ χρώμενον ἐς Λαμψακηνούς, τέχνῃ περιῆλθε τοιᾷδε. φρονούντων Λαμψακηνῶν τὰ Περσῶν, ὑπερζέων τῷ θυμῷ Ἀλέξανδρος ἠπείλει τὰ μέγιςα κακὰ ἐργάσασθαι. οἱ δὲ ἅτε περὶ γυναικῶν καὶ παίδων καὶ τῆς πατρίδος θέοντες ἀποςέλλουσιν Ἀναξιμένην ἱκετεύσοντα. Ἀλέξανδρος δὲ γνοὺς καθ' ἥντινα αἰτίαν ἥκοι, κατωμόσατο θεοὺς ἦ μὴν αὐτῷ ταῖς δεήσεσι τἀναντία ἐργάσεσθαι. Ἀναξιμένης δὲ "χάρισαί μοι" ἔφη "ὦ βασιλεῦ τὴν χάριν, γυναῖκας καὶ τέκνα Λαμψακηνῶν ἐξανδραποδίσασθαι καὶ τὰ ἱερὰ ἐμπρῆσαι καὶ τὴν πόλιν ἐς ἔδαφος καταβαλεῖν." Ἀλέξανδρος δὲ οὐκ ἔχων τι πρὸς τοῦτο σοφίσασθαι ἢ ἀντιμηχανήσασθαι, καὶ ἐνεχόμενος τῇ ἀνάγκῃ τοῦ ὅρκου, συγγνώμην ἔνειμεν ἀκ ἐθέλων Λαμψακηνοῖς. ἠμύνατο δὲ καὶ Θεόπομπον τὸν Δαμοςράτου ἐχθρὸν ὄντα Ἀναξιμένης οὐκ ἀμαθέςατα ἀλλ' ἐπιφθονώτατα. σοφιςὴς γὰρ ὢν καὶ σοφιςῶν λόγους μιμούμενος γράφει βιβλίον, ἐς Ἀθηναίους καὶ ἐπὶ Λακεδαιμονίους συγγραφὴν λοίδορον, ἐς τὸ ἀκριβέςατον μιμησάμενος, καὶ ἐπιγράψας Θεοπόμπου τὸ ὄνομα ἔπεμπεν ἐς τὰς πόλεις. καὶ ἐκ τούτου τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ηὔξετο. οὐ μὴν οὐδὲ εἰπεῖν τις αὐτοσχεδίως Ἀναξιμένους πρότερός ἐςιν εὑρηκώς. Pausan. 6 18.

Ἀναξιμένης Εὐρυςράτου Μιλήσιος φιλόσοφος, μαθητὴς καὶ διάδοχος Ἀναξιμάνδρου τοῦ Μιλησίου· οἱ δὲ καὶ Παρμενίδου ἔφασαν. γέγονεν ἐν τῇ νε' ὀλυμπιάδι, ἐν τῇ Σάρδεων ἁλώσει, ὅτε Κῦρος ὁ Πέρσης Κροῖσον καθεῖλεν. b

ἀναξιοπαθοῦντες οὐκ ἄξιον ἡγούμε-

τοι· "οἱ δὲ Κρῆτες ἀναξιοπαθοῦντες οὐκ ἐδέξαντο αὐτὸν ὡς μοιχογέννητον."

Ἀνάξιππος κωμικὸς τῆς νέας κωμῳδίας, ἤκμασεν ἐπὶ Ἀντιγόνου καὶ Δημητρίου τοῦ πολιορκητοῦ.

ἀνάξοιτο ⟨an ἀνέξοιτο⟩ ἀνασχήσοιτο· Ξενοφῶν ⟨Hell. 2 1 22⟩.

ἀναξυρίδας φιμινάλια, βρακία, ἢ τὰ βαθέα καὶ ἄβατα ὑποδήματα. "καίπερ τῷ Θεοδοσίῳ ἐκλελυμένον τὸν ἱμάντα τὸν ἀμφὶ τὰ αἰδοῖα τὰς ἀναξυρίδας δέοντα" ⟨Procop. Arc. 1⟩.

ἀνὰ οὐλαμόν ⟨Hom. Δ 251⟩ κατὰ τὸ ἄθροισμα.

ἀνάπαιστοι κυρίως τὰ ἐν ταῖς παραβάσεσι τῶν χορῶν ᾄσματα, ἰδίως δὲ τὰ τῶν ῥυθμῶν. πᾶσαν δὲ παράβασιν ἀναπαίστους καλοῦσιν· "αὐτὸν ἐπῄνει πρότερον παραβὰς ἐν τοῖς ἀναπαίστοις" φησὶν Ἀριστοφάνης ἐν Εἰρήνῃ ⟨734⟩. "γραφαί τε παιγνιώδεις εἰς τοῦτο καὶ ἀνάπαιστα ᾖδοντο κατὰ Ῥωμαίων." σημαίνει δὲ ἀνάπαιστος καὶ εἶδος μέτρου στίχων.

ἀναπάλλει ἀναπηδᾷ, ἀνασείει.

ἀναπανδήτως.

ἀνάπαυλαν ἀνάπαυσιν. ἀνάπαυσις δὲ ὁ μέλλων βίος. "σὺν ἑτέροις ἀξιολογωτάτοις ἀνδράσι τῷ πολέμῳ δοὺς τὴν ἀνάπαυλαν." Μένανδρος ⟨p. 440⟩ "ὧδε γὰρ Οὔννων ἡγεμὼν μέγιστος ἔτυχεν ἀναπαύλης," τουτέστιν ἀπέθανε. καὶ ἀναπαύλας πέμψεις πρὸς τοὺς νεκρούς· ⟨A Ran. 186⟩ "τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;" κηρύσσει ὁ Χάρων, καὶ ὡς τόπους καταλέγει.

ἀναπαύσασθαι τὸ κατακλίνεσθαι ὡς πρὸς ὕπνον.

ἀνάπειρα. "κατασπᾶν τὰς ναῦς, τὰς ὑπηρεσίας ἐμβιβάζειν καὶ τῆς εἰρεσίας ἀνάπειραν λαμβάνειν, παρέλκοντα τὸν χρόνον ἐπίτηδες ἕως τὰ παρὰ Ῥωμαίων αὐτῷ γένηται φανερά."

ἀναπείραις. Πολύβιος ⟨10 20⟩ "τῶν δὲ ναυτικῶν δυνάμεων κατὰ θάλατταν ταῖς ἀναπείραις καὶ ταῖς εἰρεσίαις [ἐγύμναζον]."

ἀναπείρατε. "ἀναπείρατε τὰς κίχλας," τουτέστι πήξατε, κεντήσατε. Ἀριστοφάνης ⟨Ach. 975⟩ "φέρε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας."

ἀναπείσητε ἀντὶ τοῦ δώροις πείσητε· διαβάλλει δὲ αὐτὸν ὡς δωροδοκούμενον. Ἀριστοφάνης ⟨Eq. 68⟩ "εἰ μή μ' ἀναπείσητ', ἀποθανεῖσθε σήμερον."

ἀναπειστηρίαν δυναμένην πείθειν τοὺς ἀκούοντας. Ἀριστοφάνης ⟨Nub. 873⟩ "πῶς ἂν μάθοι πόθ' οὗτος ἀπόφευξιν δίκης ἢ κλῆσιν ἢ χαύνωσιν ἀναπειστηρίαν; καίτοι ταλάντου τοῦτ' ἔμαθεν Ὑπέρβολος." κλῆσιν, τουτέστι μαρτυρίαν. χαύνωσιν λύσιν τῶν δικῶν, οἷον ἀπάτην, διὰ κενῶν ῥημάτων ἀναπειθόντων τοὺς ἀκούοντας. ἢ ἀναπειστηρίαν, ὥστε χαυνῶσαι καὶ ἀναπεῖσαι τοὺς ἀντιδίκους, παρὰ τὸ πείθειν τὴν δίκην. ὁ δὲ Ὑπέρβολος ἐκωμῳδεῖτο ὡς ἀπαίδευτος καὶ ὀψιμαθής. ἀξιοπιστεύονται δὲ οἱ διδάσκαλοι λέγοντες "ἔλαττον τοσοῦδε οὐ λαμβάνω ἐπὶ τούτῳ τῷ ἀναγνώσματι," καὶ ἐπαγγέλλονται προνοήσεσθαι τῶν καινῶν μαθητῶν ὅσον ὧν προνοοῦσι μάλιστα.

ἀναπεμπάζειν ἀνανεοῦσθαι, ἀναμιμνήσκεσθαι. πεποίηται ἀπὸ τῶν τοῖς πέντε δακτύλοις τῆς χειρὸς συνεχὲς ἀριθμούντων καὶ ἐπαναλαμβανόντων, οἱονεὶ κατὰ πεντάδα ἀριθμέντων. καὶ ἀναπεμπαζόμενοι ἀναριθμούμενοι, σκεπτόμενοι.

ἀναπεποιημένης ἀναπεφυρμένης, ἀνεζυμωμένης.

ἀναπεπταμένα χωρία πεδία, κάμποι.

ἀναπεπτωκώς ῥαθυμῶν, ἀφροντιστῶν, ἀμελῶν· "ὁ δὲ ἐν τῷ πολέμῳ ἀναπεπτωκώς τε οὐδενὶ λόγῳ καὶ τὴν τῶν ἔργων παρασκευὴν ὀκνηρῶς ἄγαν διὰ φιλοχρηματίαν ποιούμενος" ⟨Procop. Arc. 18⟩.

ἀναπετῶ ἀναπετάσω· Μένανδρος Ἁλιεῦσιν "ἀναπετῶ τοντὶ προσελθών, κοὐκ ἀνέξομ' οὐκέτι." καὶ ἐν Συνεριώσῃ καὶ ἑτέραις.

ἀναπέφηνα ἀπεδείχθην, καὶ οὐχὶ ἐναπέφηνα.

ἀναπηδῶν καὶ οὐδετέρως διὰ τοῦ ω μεγάλου.

ἀναπήλας ἀνακινήσας. "ὁ δὲ διὰ τοῦ κοντοῦ ὅσον πρὸς τῇ ἀκωκῇ ἀναπήλας ἐς ὕψος, καὶ περιενεγκὼν ὡς ἄν τις δόρυ τὸ κουφότατον περιφέρῃ, τῇ αἰχμῇ διαπείρων τὸ μετάφρενον κατεργάζεται."

ἀναπηνίζω ἀναλέγομαι, ἐκλύω, ανακυκλίω.

ἀναπηρίαν. οὕτως Ἀριστοφάνης Πλούτῳ ⟨α' ?⟩.

ἀνάπηρον ψυχὴν τὴν ἐπιβλαβῆ, μὴ ὑγιαίνουσαν ἀλλὰ σεσινωμένην καὶ ἀχρείαν.

Ἀμωρίης Πισαίου νόθος υἱός.

Ἀμώριον καὶ Ἀμωραῖος, Ἀμορραῖος δέ.

ἀμωσγέπως ὁπωσδήποτε, ἐνί γέ τινι τρόπῳ, καθ' ὁντιναοῦν τρόπον.

ἄν σύνδεσμος συνδετικός. Ἀρριανός "καὶ ἂν ἤδη ἀφῖχθαι αὐτὸν παρὰ βασιλέως, εἰ μὴ ἐδεδοίκει Πάρθους."

ἀνά. σημαίνει καὶ τὸ κατά· Ξενοφῶν (Anab. 1 8 1) "ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ."

ἄνα ἀνάστηθι· Ὅμηρος. καὶ Σοφοκλῆς (Ai. 194) "ἀλλ' ἄνα ἐξ ἑδράνων," ἀντὶ τοῦ ἀλλ' ἀνάστηθι ἐκ τῶν θρόνων. καὶ ἄνα ἀντὶ τοῦ ἄναξ, κατὰ ἀποκοπὴν τοῦ ξ.

ἀναβάδην ἐφ' ὕψους, ἄνω τοὺς πόδας ἔχειν καὶ κοιμᾶσθαι. Ἀριςοφάνης (Plut. 1124) "νυνὶ δὲ πεινῶν ἀναβάδην ἀναπαύομαι," ἢ ἐφ' ὑψηλοῦ τόπου καθήμενος. καὶ ἀναβάδην καθῆσθαι μετέωρον καθέζεσθαι.

ἀναβαθμοί ἀναβάσεις. λέγουσι δὲ τὴν ἀπὸ Βαβυλῶνος τοῦ λαοῦ ἐπάνοδον. Theodoret. in Ps. 119.

ἀνάβαινε. ἰστέον ὅτι ἔλεγον οἱ παλαιοὶ τὸ ἐπὶ λόγιον εἰσιέναι ἀναβαίνειν, καταβαίνειν δὲ τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν, ἀπὸ τȣ̃ παλαιȣ̃ ἔθȣς. Ἀριστοφάνης (Eq. 149) "ἀλλαντοπῶλα, δεῦρο δεῦρ', ὦ φίλτατε, ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς."

ἀναβάλλει ἀντὶ τοῦ εἰς ἀναβολὰς καθίστησιν. ἀναβάλλεσθαι δὲ τὸ ἱμάτιον, οὐ περιβάλλεσθαι λέγουσιν.

ἀναβαλλόμενος, αἰτιατικῇ, ὑπερτιθέμενος. ἀναβαλόμενος δὲ δι' ἑνὸς λ ἀντὶ τȣ̃ προοιμιασάμενος· "ἀναβαλόμενος ἂν ὥσπερ εἰώθει, βραχὺν διεξῆλθεν ὕμνον" (Philostrat. V. A. 4 39). καὶ ἀναβολάς τὰ προοίμια.

ἀναβαλοῦ. περισπῶσιν οἱ Ἀττικοί.

ἀναβάσεις αἱ προκοπαί· εἰς τὸ ἐναντίον δὲ καταβάσεις (Artemid. 4 28). καὶ ἀναβάσεις καρδίας οἱ εὐσεβεῖς περὶ θεοῦ λογισμοί· Δαβίδ (Ps. 83 6) "ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο."

ἀναβεβαμένοι ἀντὶ τοῦ ἀναβάτην ἔχοντες. οὕτω Ξενοφῶν (Hipparch. 1 4).

ἀναβιβάζω αἰτιατικῇ.

ἀναβιβῶμαι ἀντὶ τοῦ ἀναβιβάσομαι Ἀμειψίας.

ἀναβιῶναι ἀναζῆσαι. "ἤδη δέ τινές φασιν ἐς τοσοῦτον ἄρα τὸν Αἴσωπον θεοφιλῆ γενέσθαι ὡς καὶ ἀναβιῶναι αὐτόν, καθάπερ οὖν τὸν Τυνδάρεων καὶ τὸν Ἡρακλέα καὶ τὸν Γλαῦκον." καὶ Πλάτων φησὶν ὁ κωμικός "καὶ νῦν ὄμοσόν μοι μὴ τεθνάναι τὸ σῶμ'. ἐγώ· ψυχὴ δ' ἀπὸ νίκης (ψυχὴν δ' ἐπανήκειν?) ὥσπερ Αἰσώπου ποτέ."

ἀναβιώσκεσθαι ἀναζῆν.

ἀναβιώσκεται καὶ ἀναβιώσκει μᾶλλον ἢ ἀναβιοῖ. λέγουσι δὲ καὶ ἀναζῆν.

ἀναβλυστονῆσαι τὸ ἀναβλύσαι Εὔπολις Δήμοις. πάντα τὰ τοιαῦτα οἱ κωμικοὶ ποιοῦσι παίζοντες. καὶ ἀναβλυστωνῆσαι ἀναβλαςῆσαι.

ἀναβοθρεύουσιν ἀναμοχλεύουσιν.

ἀναβολάς τὰ προοίμια. (A Av. 1371) "καινὰς ἀναβολὰς θέλω λαβεῖν," ἢ τὰς ἀρχὰς τῶν ᾀσμάτων. Ὅμηρος (α 155) "ἤτοι ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν." καὶ Ἀριςοφάνης (Pac. 815) "ξυνελέγοντ' ἀναβολὰς ποτώμεναι," περὶ ψυχῶν λέγων διθυραμβοδιδασκάλων.

ἀναβολεύς ὁ ἐπὶ τὸν ἵππον ἀνάγων· "ὁ δὲ βασιλεὺς τὸν ἀναβολέα προσκαλεσάμενος καὶ ταχέως ἀναβὰς ἐπὶ τὸν ἵππον ᾔτησε πιεῖν, καὶ ἀκράτου σπασάμενος πλεονάκις ἐνέφαινεν ὡς εἰς τοὔμπροσθεν προάξων." ἀναβολεὺς καὶ ἡ παρὰ Ῥωμαίοις λεγομένη σκάλα. καὶ αὖθις (Appian. Pun. 106) "ὁ δὲ Μασσανάσσης γηράσας ἵππου χωρὶς ἀναβολέως ἐπέβαινεν."

ἀναβολή ἀνοχή. Αἰλιανός "Λοξίας δὲ καὶ Ζεὺς πατὴρ ἀναβολὴν θανάτου ἐψηφίσαντο Φαλάριδι ἔτη δύο, ἀνθ' ὧν ἡμέρως Χαρίτωνι καὶ Μελανίππῳ προσηνέχθη." Euseb. Praepar. ev. 5 35. Aelian. V. H. 2 4.

ἀναβράσσουσιν ἀναδιδοῦσιν.

ἀνάβραστα ἑψημένα, ζεστά. Ἀριστοφάνης Βατράχοις (560) "καὶ κρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκοσιν."

ἀναβρυχώμενοι· "ἀλλ' ἦσαν παραπλήσιοι, καθήμενοί τε καὶ ἀναβρυχώμενοι τὸ πάθος, τοῖς ἐπὶ θέᾳ κυνηγεσίων κατακεκλεισμένοις θηρίοις, ὧν ὁ μὲν θυμὸς φλογώδης καὶ τραχὺς ὑφ' ὧν πάσχουσιν, ἡ δὲ ἐνέργεια τῷ κατέχοντι τῆς βίας ἀσθενεστέρα."

ἀναγαγών ἀντὶ τοῦ ἀπαγαγών Ξενοφῶν (Cyr. 7 1 45).

ἀνάγαιον τὸ οἴκημα. ἀνάγαιον καὶ κατάγαιον, διὰ διφθόγγου καὶ ο μικροῦ. ζήτει ἐν τῷ ἀνώγεων σαφέστερον.

ἄναρκτον ⟨Aeschyl. Eum. 520⟩ τὸ ἀνυπότακτον.

ἀνάρμοστος ἀνακόλουθος, μηδενὶ ἁρμοζόμενος.

ἀνάρπαστοι ⟨immo ἀνοργίαστοι⟩ οἱ ἀμύητοι, οἷς τελεταὶ καὶ ὄργια οὐκ ἐγένοντο.

ἀναρρηγνύς πλάττων, κατασκευάζων, συντιθείς· Ἀριστοφάνης ⟨Eq. 623⟩ "ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη." ἔχεται δὲ καὶ τοῦτο ἐμφάσεώς τινος μείζονος.

ἀναρρηθῆναι ἀνακηρυχθῆναι, καὶ ἀνάρρημα κήρυγμα, καὶ ἀνάρρησις ἀναγόρευσις· "τοὺς μὲν ἀναρρήσεων καὶ στεφάνων ἀξιοῖ, τοὺς δὲ διηνεκεῖ παραπέμπει τιμωρίᾳ."

ἀναρριπτεῖν ἀναλαμβάνειν· ⟨Dionys. Hal. 9 3⟩ "ὥστε πρὸς τῇ αἰσχύνῃ, ἣν πρὸ τοῦ καταλιπεῖν τὸν χάρακα ἠνέγκαντο, καὶ κίνδυνον οὐ τὸν ἐλάχιστον αὐτοὺς ἀναρρῖψαι, σκοτίους ἀπιόντας διὰ τῆς πολεμίας." καὶ ἀναρρίπτειν ⟨an ἀναπίπτειν⟩ μεταμελεῖσθαι, μετατίθεσθαι.

ἀναρριχᾶσθαι τὸ πρὸς ἄναντες ἐκβαίνειν ἅμα ταῖς χερσὶν ἀντιλαμβανόμενον καὶ στηριζόμενον. Ἀριστοφάνης Εἰρήνῃ ⟨69⟩ "ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος πρὸς ταῦτ' ἀνερριχᾶτ' ἂν εἰς τὸν οὐρανόν." καὶ ἀναρριχώμενος δρασσόμενος. cf. v. ἀνερριχῶντο.

ἀναρροιβδεῖν ἀναρροφεῖν.

ἀνάρροπον ὀπισθόρμητον· "ἡ δὲ Φραγγικὴ δύναμις τοῖς Ῥωμαίοις ξυρραγεῖσα ἐξωθεῖ τε καὶ ἀνάρροπον τίθησι τὴν πεζικὴν στρατιάν." καὶ Μένανδρος ⟨p. 440 Nieb.⟩ "καιόντων τῶν Ἀβάρων κατ' ὀλίγους, οἱ στρατηγοὶ γνώμῃ ἐχρῶντο παραχρῆμα ἐπιθέσθαι σφίσι, κἀκ τούτου ἀνάρροπον τιθέναι τὴν τῶν Ἀβάρων κατάβασιν."

ἀναρρύει ἀντὶ τοῦ θύει καὶ σφάττει Εὔπολις. καὶ ἡ θυσία δὲ ἐπανάρρυσις. καὶ ἀνάρρυσις κυρία τῶν ἀπατουρίων ἡμέρα· ἀπατούρια δὲ ἑορτὴ παρ' Ἀθηναίοις, τὸ συμβὰν δηλοῦσα τῇ προσηγορίᾳ. καὶ ἀναρρύειν τὸ ἐπιθύειν, ἀντὶ τοῦ θυσίαν ἐπιτελεῖν. τρεῖς δὲ ἦσαν αἱ ἡμέραι τῶν ἀπατουρίων, δόρπεια κουρεῶτις ἀνάρρυσις. sch. A Pac. 890.

ἀνάρσια, ἃ οὐκ ἄν τις ἄραιτο, ἄδικα· "ὃν ἦν καταψευσάμενος ἔναγχος καὶ μεγάλα ἀνάρσια ἀνῃρημένος ἐκδίκως."

ἀνάρτησις ἡ ἐπὶ ξύλου καθήλωσις. καὶ ἀνάρτησον κρέμασον, καὶ ἀναρτώμενος κρεμάμενος. Προκόπιος ⟨Goth. 2 26⟩ "ὁ δὲ ἐπανῆκεν ἐπιστολὴν ἔχων ταῖς ὁμοίαις ἐλπίσιν αὐτοὺς ἀναρτῶσαν."

ἀναρύτειν ἀναντλεῖν, ἀπὸ τοῦ ἀρύεσθαι. Κρατῖνος Διδασκαλίαις "ὅτε σὺ τοὺς καλοὺς θριάμβους ἀναρύτουσ' ἀπηχθάνου."

ἀνασείειν ἐκτινάσσειν, ὡς καὶ ἡμεῖς· "οὐ γὰρ ἀνασείων ἠκολούθει καλαμίδα." καὶ ἀνασείω ἀναπείθω, ἢ πρὸς μάχην ἐρεθίζω· ⟨Diodor. Sic. 14 10⟩ "ὁ δὲ τοὺς Συρακουσίους ἀνασείων, καὶ τὴν ἐλευθερίαν ἀποκαταστήσειν ἐπαγγειλάμενος." καὶ ἀνασείσας ἀπειλησάμενος· Δημοσθένης κατὰ Ἀριστογείτονος ⟨25 47⟩.

ἀνασειράζει ἀνθέλκει, ἀνατρέπει. ἐν ἐπιγράμματι ⟨AP 5 241⟩ "ἄψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω." ἀνασειράζω οὖν ἀναχαλινῶ.

ἀνασεσυρμένην ἄκοσμον, ἀπρεπῆ· "κωμῳδίαν ἀνασεσυρμένην καὶ πλημμελῆ" ⟨Synes. ep. 67⟩. "καλοῦσι δὲ τὸν μὲν σκωπτικὸν ἐπίχαριν, τὸν δὲ εὐτράπελον ἐπιδέξιον, τὸν δ' ἀνασεσυρμένον ἄπλαστον καὶ ἁπλοῦν. οἷς ἐπακολουθεῖ καὶ τὸν αὐστηρὸν ἄγροικον ἡγεῖσθαι, τὸν δὲ δίκαιον οὐ πολιτικὸν οὐδ' ἥμερον."

ἀνασηκῶσαι ἀνταποδοῦναι, ἢ ἀναλαβεῖν, ὥσπερ οἱ ἱστάντες. οἷον ἐξισῶσαι τῷ λείποντι ἢ πλεονάζοντι. οὕτως Ἀριστοφάνης.

ἀνάσιλλος ἀναφαλαντίας.

ἀνάσιμον ἄμορφον. "καὶ μηδὲν πρότερον διασποδῆσαι ἀνάσιμον ἢ πρεσβύτερον· οὐ γὰρ ἀνασχετὸν τοῦτό γ' ἐλευθέρῳ" ⟨A Eccl. 970⟩.

ἀνασκαλεύων ἀνακινῶν, ἀδημονῶν, ἀναλογιζόμενος.

ἀνασκευασάμενοι ἀπάραντες.

ἀνασκευασθείσης τῆς τραπέζης φησὶ Δημοσθένης ⟨33 9⟩, οἷον ἀναστάτου γενομένης.

ἀνασκινδαλευθῆναι ἀνασκολοπισθῆναι, ἀνασταυρωθῆναι.

ἀνασοβηθείς διαταραχθείς· "ὁ δὲ πρὸς τὴν ἀγγελίαν ἀνασοβηθεὶς ματαίως ἀνίσταται εὐθύς." καὶ αὖθις "τοὺς δὲ ἵππους εἶναι ἀγρίους, ὑπό τε τῷ ἀήθει τοῦ δεσμοῦ καὶ ὑπὸ τοῦ ἀπηρτημένου βάρους ἔτι μᾶλλον ἀνασοβηθέντας διαφορῆσαι αὐτόν."

ἀνὰ σοὶ τάδε πάντα λέπαργε, ἐπὶ τῶν οὐδὲ μετὰ τὸν κάματον ἀνιεμένων, ἐκ

μεταφορᾶς τῶν βοῶν· ἐπειδὰν γὰρ ἀπολυθῶσι τοῦ ἔργου, εἰώθασιν οἱ γεωργοὶ τῷ δυνατωτέρῳ ἐπιτιθέναι τὸν ζυγὸν καὶ τὰ σκεύη.

ἀνασπᾷ ἀντὶ τοῦ καταλύει ἢ ἀναιρεῖ Θουκυδίδης (4 97?). ἢ ἀνασπᾶν τὸ ἀντλεῖν ὕδωρ· "κάδους ἀνασπῶν" φησὶ Φερεκράτης. καὶ ἀνασπῶν, οὐδετέρως, διὰ τοῦ ω μεγάλου.

ἄνασσα βασίλισσα.

ἀνασταδόν (Hom. *I* 671) ἀνιστάμενοι.

Ἀναστάσιος Ῥωμαίων βασιλεύς. οὗτος ἐπὶ τὸ χεῖρον τραπεὶς πᾶσαν ὁμοῦ τὴν βασιλείαν εἰς ἀριστοκρατίαν μετέστησε, τὰς μὲν ἀρχὰς ἁπάσας ἀπεμπολῶν καὶ τοῖς ἀδικοῦσι συγχωρῶν, καὶ πρός γε χρημάτων ἀκόρεστον ἐπιθυμίαν τραπείς, ὡς κενὰς ἐντεῦθεν γενέσθαι καταλόγων τὰς ἐπαρχίας, καὶ πρὸς τὸ ἀηθες καὶ ξένον καταπεπλῆχθαι τοὺς ἄνδρας· οὐδὲ γὰρ ὅπλοις τοὺς ἐπιόντας βαρβάρους ἠμύνετο, ἀλλὰ χρήμασι τὴν εἰρήνην ἐξωνούμενος διετέλει. πρὸς δέ γε τούτοις καὶ τὰς τῶν τελευτώντων οὐσίας ἐπολυπραγμόνει, κοινὴν ἅπασι δωρούμενος τὴν πενίαν. ὧν γὰρ αὐτὸς ἐλάμβανε τὰς οὐσίας, τούτοις μετ' ὀλίγον διεδίδου τῷ τῆς εὐσεβείας τρόπῳ· καὶ ὧν ἐγύμνου πόλεων τοὺς ἐνοικοῦντας, τὰς οἰκοδομὰς ἀνενέου, ὡς καὶ τὴν ἐνεγκαμένην ἐπιμελῶς κοσμῆσαι καὶ τρισὶ περιβαλεῖν στεφάνοις. ἐπὶ δὲ τούτου δειναὶ ταῖς κατὰ Λιβύην πόλεσιν ἐπέσκηψαν θλίψεις ὑπὸ τῶν καλουμένων Μαζίκων. ἐδέδοντο γὰρ θυγατριδῷ Μαρίνου εἰς ἡγεμονίαν, ἀνδρὶ νέῳ καὶ πολὺ τὸ κοῦφον κεκτημένῳ, καὶ μετ' ἐκεῖνον αὖθις Βασσιανῷ τῷ παιδί. ὃ δὲ οἷς ἔπραξε παντοίως τὰς τοῦ πρὸ αὐτοῦ ἄρξαντος ὑπερβαλλόμενος ἀσελγείας, ἔδωκε Λίβυσιν αἱρεῖσθαι τὰ πρότερα, καὶ ταῦτα τοῖς μὲν πενίας τοῖς δὲ θανάτου μνήμην καταλείψαντα. οὕτως, εἰ δέοι εἰπεῖν, οἵ τε ἀφ' αἵματος καὶ ἁπλῶς τὴν Μαρίνου παρευτυχήσαντες εὔνοιαν τοῖς Λιβύων διαφερόντως καὶ Αἰγυπτίων ἐνεφορήθησαν κτήμασιν. Exc. Peiresc. p. 853.

ὅτι ἐπὶ Ἀναστασίου τοῦ βασιλέως ἦν ὁ ἅγιος Θεοδόσιος ὁ κοινοβιάρχης. αἱρετικὸς δὲ ἦν οὗτος ὁ Ἀναστάσιος.

ὅτι Ἀναστάσιος ὁ βασιλεὺς ἔκτισε τὸ μακρὸν τεῖχος πρὸ μιλίων τῆς πόλεως ξ', διατείνας ἐκ τῆς κατὰ ἄρκτον θαλάσσης ἐς μεσημβρίαν μῆκος μὲν μιλίων ν', **εὖρος** δὲ ποδῶν κ'· καὶ τῷ Ἰουλιανοῦ λιμένι προβόλους τίθησιν. ὁ αὐτὸς κτίζει καὶ τὸν μέγαν τρίκλινον τὸν ἐν Βλαχέρναις, ὃς Ἀναστασιακὸς μέχρι τῆς δεῦρο λέγεται, καὶ τὴν κιστέρναν τὴν Μωκισίαν.

ἀνάστασις. ἐπειδὴ ὁ θάνατος παρὰ φύσιν εἰσῆλθεν, ἡ δὲ ἀνάστασις κατὰ φύσιν· ὁ γὰρ πρωτόπλαστος πρὸ τῆς παραβάσεως ἀθάνατος ἦν. ἀνάστασις δὲ λέγεται, ἐπειδὴ τὸ φθαρὲν πλάσμα διὰ τῆς ἁμαρτίας ὀρθοῦται διὰ δικαιοσύνης· εἰ γὰρ παρέμεινεν ὁ Ἀδὰμ τῇ ἐντολῇ, ἔμεινεν ἂν ζῶν. ἀνάστασις οὖν ἡ δευτέρα στάσις καὶ ἡ τῆς μακροθυμίας τοῦ θεοῦ παῦλα.

ἀνάστασις ἀντὶ τοῦ ἀναστάτωσις. Πολύβιος b (Appian. Lib. 106) "Μασσανάσσην δὲ Καρχηδόνι αἴτιον τῆς ἀναστάσεως γενέσθαι, πάμπαν αὐτὴν ἀσθενῆ Ῥωμαίοις ὑπολιπόντα." cf. v. Μασσανάσσης a.

ἀνάστατοι πλακοῦντος εἶδος. οὗτοι δὲ αὐταῖς ταῖς ἀρρηφόροις ἐγίνοντο. ἐλέγοντο δέ τινες πλακοῦντες καὶ χαρίσιοι, οὗτοι δὲ ἀπὸ τῶν καταλειπομένων συμμιγνύμενοι ἐγίνοντο· καὶ δημιουργοὶ πλάσσουσιν. Ἀριστοφάνης Δαιταλεῦσι "πέμψω πλακοῦντας ἑσπέρας χαρισίους." οἱ δὲ ἀμφιφῶντες γίνονται μουνυχιῶνος μηνὸς ἕκτῃ ἐπὶ δέκα, οἳ καὶ εἰς τὸ Μουνυχίας ἱερὸν τῆς Ἀρτέμιδος κομίζονται. ὀνομάζονται δὲ ἀμφιφῶντες, ὡς μέν τινες, ὅτι τότε γίνονται ὅτε ἥλιός τε καὶ σελήνη πρωὶ ὑπὲρ γῆς φαίνονται, ὡς δὲ Ἀπολλόδωρος, ὅτι κομίζουσιν αὐτοὺς δᾳδία ἡμμένα παραπηγνύντες ἐπ' αὐτῶν. φθοῖς δέ εἰσι πέμματα ἃ τοῖς θεοῖς καὶ μετὰ τῶν σπλάγχνων ἔθυον. αἱ δὲ σελῆναι πέμματά εἰσι πλατέα κυκλοτερῆ, πέλανοι δὲ τὰ εἰς θυσίαν πέμματα, πόπανα δὲ ... καὶ ἐν Ἐρεχθεῖ τὰς σελήνας πελάνους εἴρηκεν Εὐριπίδης· "καί μοι, πολὺν γὰρ πέλανον ἐκπέμπεις δόμων, φράσον σελήνας τάσδε πυρίνα χλόης." ἐπὶ δὲ ἓξ σελήναις βοῦν ἕβδομον ἔπεττον, κέρατα ἔχοντα κατὰ μίμησιν τῆς πρωτοφυοῦς σελήνης. ἔθυον μὲν οὖν καὶ ἐπὶ τέτταρσι ποπάνοις τοῦτον τὸν βοῦν, καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν, μᾶλλον δὲ ἐπὶ ταῖς ἓξ ἕβδομον βοῦν. cf. v. βοῦς ἕβδομος.

ἀνάστατος κατεσκαμμένος, καὶ ἀναστάτως πεπορθημένως. ὁ διά τινα συμφορὰν ἢ δίκην καταλιπὼν τὴν οἰκείαν καὶ ἐν τῇ

ἀλλοδαπῇ διαγενόμενος. εἴρηται δὲ καὶ ἐπὶ πόλεων ἑαλωκυιῶν καὶ οἴκων ἐξερημωθέντων τὸ ἀνάςατον.

ἀναςεῖλαι ἀντὶ τοῦ ἀνασχέσθαι.

ἀνάςημα ἡλικίας εὐθύτης· "θαυμαζων ὁ θεὸς τῷ Μωυσεῖ τὸ τῆς ἡλικίας ἐξῆρεν ἀνάςημα" (Ioseph. A. I. 2 9 6). καὶ ἀνάςημα ψυχῆς τὸ πρὸς ἀρετὰς ἐπιτεταμένον καὶ σύντονον ἰδίωμα.

ἀναςήσας ἀναςάτους ποιήσας καὶ μετοικίσας· "ἀναςήσασα ἐκ τοῦ ἱεροῦ τὸν ἄνθρωπον αἰκίαις καθυπέβαλε," καὶ αὖθις "τὴν δὲ καταφυγοῦσαν εἰς τὸ ἱερὸν ἀναςῆσαι οὐκ ἐτόλμησε." καὶ "ἀναςήτω ὁ θεός" (Ps. 67 1).

ἀναςοιχειοῖ ἀναπλάττει, ὡς μεταςοιχειοῖ μεταπλάττει.

ἀναςροφάδην φασίν, ὅταν ὁ ἐγκαλῶν (ἀδικῶν?) τῷ ἠδικημένῳ ἐγκαλῇ. καὶ ἀναςροφὴ ἡ ἀποκατάςασις τῆς ἐπιςροφῆς εἰς τὴν προτέραν χώραν. λέγεται καὶ ἡ ἀνταπόδοσις· "καὶ μὴ ἂν ἀναςροφὴν εἶναι αὐτοῖς πταίσματός τινος γενομένου κατ' ἐκείνους ἀκμῇ πληθύι χρώμενον."

ἀνάςρῳ ἀφεγγεῖ· "ἆρά γε ὀρθῶς ζῶμεν καὶ ὑπὸ φωτὶ δέ, ἢ ἐν ἀσελήνῳ καὶ ἀνάςρῳ πλέομεν;"

ἀναςύψαι ἀνασπάσαι.

ἀνασυντάξας ἀντὶ τοῦ ἄνωθεν συντάξας Ὑπερίδης κατὰ Πολυεύκτου. Harp.

ἀνασύνταξις. τὰ διαγεγραμμένα τιμήματα ταῖς συμμορίαις ὅταν δόξῃ τῷ δήμῳ χρῄζειν προσθήκης ἢ ἀφαιρέσεως καὶ ἔλωνται τοὺς τοῦτο πράξοντας, τοῦτο ἀνασύνταξιν καλοῦσιν. cf. v. διάγραμμα b.

ἀνασφήλας ἀνανήψας, ἑαυτὸν ἀναςήσας, ἀναλυβών, ἀνενεγκών.

ἀνασχοῦσα ἀναδῦσα, καὶ ἀνασχὼν ἀνατείλας, φανείς, ἐξελθών, ἀναδύς. "ὁ δὲ πρῶτος ἀνασχὼν ἐκ τοῦ ὀρύγματος ἦν Μάγνος, ἀνδρώδης τε καὶ διαφερόντως τολμητής."

ἀνασώσων, αἰτιατικῇ, ἀνακτησόμενος. (Polyb. 3 77) "τήν τε χώραν καὶ τὰς πόλεις, ἃς ὑπὸ Ῥωμαίων ἀπολωλεκότες ἔκαςοι τυγχάνουσιν, ἀνασώσων," τουτέςιν ἀναλαβών. καὶ Αἰλιανὸς "οὔτι προσδοκῶν τὸν τόπον τὸν προειρημένον δυνήσεσθαι αὐτοὺς ἀνασῶσαι καὶ ταμιεύσασθαι· πόθεν; ἀλλ' ἵνα ὑπὲρ ὧν ἐπλημμέλησαν κακίᾳ φθάνοντες, ἐν τῷ δευτέρῳ κινδύνῳ τε ἰσωθῶσι κολασθέντες." cf. v. ἐπλημμέλησαν.

ἀναταθεὶς ἐπαπειλήσας· "οἷς δὲ ἀναταθεὶς καὶ τὸν ἐξ αὐτῶ φόβον ἐπικρεμάσας." καὶ ἀνατατικῶς κελεύων ἀντὶ τοῦ προςακτικῶς, ἐμβριθῶς.

ἀνατάξασθαι εὐτρεπίσασθαι.

ἀνατάσεις ἐπαπειλήσεις ὑπερηφάνους· "τὰ μὲν φιλάνθρωπα παρεσιώπων, τὰς δὲ ἀνατάσεις καὶ ἀπειλήσεις ἔλεγον." καὶ ἀνάτασις ἡ μετὰ πικρίας καὶ θρασύτητος ἀπειλή· Πολύβιος "οἱ μὲν οὖν περὶ Μητρόδωρον καταπλαγέντες τὴν ἀνάτασιν Φιλίππου τοῦ βασιλέως ἐπανῆλθον."

ἀνατεῖλαι, δοτικῇ, ἀνθῆσαι, ἐκ μεταφορᾶς τῶν βοτανῶν.

ἀνατεινάμενος ἐπαπειλήσας· "ὁ δὲ βασιλεὺς πολλὰ τοῖς εἰς τὴν πρᾶξιν ὑπουργηκόσιν ἀνατεινάμενος οὐδὲν ἔδρασεν." καὶ αὖθις "οἱ δὲ Αἰγύπτιοι ἀνατεινάμενοι καὶ κατακαγχάσαντες ἐν ὄψει τοσούτων ἀνδρῶν καὶ γυναικῶν εἴκοσιν ἀποδέοντας πεντακοσίους ἀπέκτειναν." ἀνατεινάμενοι οὖν μεθ' ὕβρεως ἀπειλήσαντες. καὶ ἀνατείνας τὴν ψυχὴν ἐπὶ τὰ ἄνω τρέψας καὶ ἐπὶ τὴν τῶν θείων θέαν.

ἀνατετυρβακὼς ἀνataράξας. τυρβάσαι δὲ κυρίως λέγεται τὸ τὸν πηλὸν ταράξαι. Ἀριςοφάνης (Eq. 311) "τὴν πόλιν ἅπασαν ἡμῶν ἀνατετυρβακώς."

ἀνατὶ ἀβλαβῶς, καὶ ἄνευ τίσεως καὶ τιμωρίας, ὥσπερ καὶ τὸ ἀνουτητί.

ἀνατίθεμαι ἀθετῶ.

ἀνατιναγμός.

ἀνατλάντες ὑπομείναντες, καὶ ἀνάτλημα ὑπομονή, καὶ ἀνατλῆναι ὑπομεῖναι.

ἀνά τοί με πείθεις· ἀλλ' ἐκεῖν' οὔπω λέγεις (Vesp. 784) ἀντὶ τοῦ ἀναπείθεις τοιγαροῦν με.

ἀνατολίη ἡ ἀνατολή. λέγεται δὲ καὶ ἀντολίη.

Ἀνατόλιος μάγιςρος Θεοδοσίου τοῦ βασιλέως, ὃς ἦν φιλότιμος, προσῆν δὲ αὐτῷ καὶ τὸ μὴ φείδεσθαι χρημάτων, τὸ παρὸν διαθεῖναι ἐσπουδακότι.

ἀνατραπέντες σκελισθέντες, συμπεσόντες· "οἱ δὲ σπῶσι τοῦ οἴνου ἄδην καὶ ἀπείρως, καὶ ἀνατραπέντες ἔκειντο ὡς ἔτυχον αὐτῶν ἕκαςοι εἰκῇ" (cf. v. ἄδην). καὶ ἀνατρέπω αἰτιατικῇ.

ἀνατρέχω ἀντὶ τοῦ ἀναλύω Μένανδρος.

ἀνατρητοὺς ἐμβάδας ⟨Synes. ep. 52⟩ τὰ διακεκομμένα καὶ τετρυπημένα ὑποδήματα. "τὰ δ' ἐμβάδια; καὶ ταῦτα συνεχειμάζετο" Ἀριςοφάνης ⟨Plut. 848⟩.

ἀνατυπῶσαι ἀντὶ τοῦ ἀνατρέψαι Ἀντίμαχος. καὶ ἀνατύπωσις διανόησις.

ἄναυδος ἄφωνος· "ὃς ὑπ' αἰσχύνης τῦ πάθους περιρρεόμενος δάκρυσιν ἄναυδος ἦν, ἐξειπεῖν αἰδούμενος τὸ πάθος." καὶ ἀναύδητον ἄλεκτον, ἀπόρρητον, ἀνέλπιςον· ⟨S Ai. 715⟩ "κοὐδὲν ἀναύδητον φατίξαιμ' ἄν."

ἀναυλεί χωρὶς ναύλου.

ἀναυμαχίου. ὡς τοῦ μὴ ςρατεύεσθαι καὶ τοῦ λιπεῖν τὴν τάξιν καὶ τοῦ τὰ ὅπλα ἀποβαλεῖν ζημίαι ἦσαν ὡρισμέναι ἐκ τῶν νόμων, οὕτω καὶ τοῦ μὴ ναυμαχῆσαι. τῦτο τὸ ὄφλημα ἀναυμαχίου ἐκαλεῖτο, ὡς Ἀνδοκίδης ⟨1 74⟩ "οὕτω δὲ δεῖ καὶ αὐτοὺς καὶ τοὺς ἐξ αὐτῶν ἀτίμους εἶναι...

ἀναυσία τὸ μὴ ναυτιᾶν.

ἀναφαίνεις ⟨Hom. A 87⟩ φανερὰ ποιεῖς.

ἀναφαιρέτους μὴ ἀφαιρουμένους.

ἀναφαλαντίαν, οὐκ ἀναφάλαντον λέγουσι. καὶ ἀνάσιλλον τὸ αὐτό.

ἀναφανδόν φανερῶς.

ἀναφῆναι ⟨Hom. δ 254⟩ ἐκφῆναι.

ἀναφλασμόν τὰ ἀφροδίσια Εὔπολις Αὐτολύκῳ. καὶ ἀναφλᾶν ἔλεγον τὸ μαλάττειν τὸ αἰδοῖον.

Ἀναφλύςιοι δῆμος τῆς Ἀντιοχίδος. ἔνιοι μέντοι τῶν ἱςορικῶν ὡς πόλεως τῆς Ἀναφλύςου μνημονεύουσιν. Harp.

ἀναφοιτῆσαι ἀνελθεῖν.

ἀναφοράν τὸ ἀναφέρειν τὴν αἰτίαν τῶν ἁμαρτηθέντων ἐπ' ἄλλους Δημοσθένης ὑπὲρ Κτησιφῶντος ⟨219. Harp.⟩. καὶ ἀναφορᾶς· "τὸ κελευόμενον ὑπὸ θατέρου κοινῇ δοκεῖν κελεύεσθαι, μηδεμιᾶς εἰς τὸν ἕτερον ὑπολειπομένης ἀναφορᾶς" ἤτοι συμβουλίας.

ἀναφορεύς ὁ λῶρος. καὶ πληθυντικῶς ἀναφορεῖς οἱ ἀνέχοντες, οἱ ἀναβαςάζοντες.

ἀνάφορον ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαςάζουσιν ⟨sch. A Ran. 8⟩. Ἀριςοφάνης ⟨Eccl. 828⟩ "φέρε σὺ τἀνάφορον ὁ παῖς." ἢ ἀμφίκυρτον γραπτέον, ὅπερ καὶ ἀληθές.

ἀναφρονήσαντες ἀνανήψαντες, μεταγνόντες· "οὐκοῦν οἱ πλεῖςοι ἀναφρονήσαντες ἐγνωσιμάχουν καὶ μετεβάλλοντο."

ἀναχάζοντες ἀναχωροῦντες· Ξενοφῶν ⟨Anab. 4 1 16⟩ "ἐπιδιώκοντες καὶ πάλιν ἀναχάζοντες," ὀπίσω πορευόμενοι.

ἀναχαιτίζει ἀναποδίζει, ἐγκόπτει. ἀναχαιτίζειν Σοφοκλῆς τὸ ἀπειθεῖν καὶ ἀντιτείνειν.

Ἀνάχαρσις Γνύρου, μητρὸς δὲ Ἑλληνίδος, Σκύθης φιλόσοφος, ἀδελφὸς Καδουΐα τοῦ Σκυθῶν βασιλέως, ἔγραψε νόμιμα Σκυθικὰ δι' ἐπῶν, περὶ εὐτελείας τῶν εἰς τὸν ἀνθρώπινον βίον, ἔπη πάντα ὀκτακόσια. εὗρε δὲ οὗτος ἄγκυραν καὶ τὸν κεραμικὸν τροχόν. ἦν δὲ ἐπὶ Κροίσου, καὶ τετελεύτηκεν Ἑλληνικὰς τελετὰς ἐπιτελῶν ἐν Σκύθαις, ἐπιβουλεύσαντος αὐτῷ τοῦ ἀδελφοῦ, κατὰ δέ τινας, ἐν γήραι βαθεῖ καὶ μέχρις ἐτῶν ἑκατόν. Diog. L. 1 101.

ἀναχάσκει, ὃ ἡμεῖς ἀνέχασκεν.

ἀναχαυνῶ ἀναλύω.

ἀνὰ χθόνα ἐπὶ τὴν γῆν.

ἀναχρέμπτω τὸ ἀναπέμπω.

ἀνάχυσιν βλακείαν, ἔκλυσιν.

ἀναχωρίζει ἀντὶ τοῦ ἀναχωρεῖν ποιεῖ Ξενοφῶν ⟨Anab. 5 2 10⟩.

ἀναψηφίσασθαι τὸ μεταψηφίσασθαι. Δουλοδιδασκάλῳ Φερεκράτης "κἀναψηφίσασθ' ἀποδοῦναι πάλιν τὰ χρυσία."

ἀναψυχῆναι τὸ ἀναψῦξαι λέγουσιν. Ἀμειψίας Μοιχοῖς "καὶ σὺ μὲν ἦλθες καββαλῶν τριώβολον, καί τί πυ κἀμαρτύρησας ψεῦδος, ὡς' ἀνεψύχης."

ἀναψῦχον ἀντὶ τοῦ ἀναπνοὴν διδοῦν, καὶ ἀναψυχομένη ἀντὶ τοῦ ἀναπαυομένη. καὶ ἐκτεταμένως λέγουσιν οἱ Ἀττικοί.

ἀνδάνει ἀρέσκει, μέλει· "ἵππων χρεμετισμὸς ἀνδάνει" ⟨A Eq. 556⟩.

ἄνδηρα. τὰ χείλη τῶν ποταμῶν ἄνδηρα a λέγουσι διὰ τὸ εἶναι ἔνικμα καὶ διερά. Ὑπερίδης δὲ τὰ ἀναχώματα λέγει διὰ τὸ ὑπεράνω εἶναι τῶν διερῶν. Harp.

ἄνδηρα μέρος τι τοῦ κήπου, ὥσπερ ἡ b πρασιὰ καὶ ὁ ὀχετός· Δίδυμός φησιν. "ὅπως τὸ ἀνώμαλον τοῦ χωρίου τῇ τῶν ἀνδήρων καὶ ὀχετῶν ἀφαιροῖτο κατασκευῇ."

ἄνδιχα διχῶς· Ὅμηρος ⟨Σ 511⟩ "ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάσασθαι." ἰςέον ὅτι οἱ πολιορκύμενοι ἐξίσυσαν τὺς πολεμίυς, ἐπιμεριζόμενοι τὰ χρήματα. καὶ ἀντὶ τῦ χωρίς· ⟨AP 7 27⟩ "εἴης ἐν μακάρεσσιν, Ἀνάκρεον, μήτ' ἐρατῶν κώμων ἄνδιχα μήτε λύρης."

Ἀνδοκίδης Ἀθηναῖος, ῥήτωρ τῶν πρωτευόντων δέκα εἷς, υἱὸς Λεωγόρου, ἀπόγονος Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Ναυσικάας, ὥς φησιν Ἑλλάνικος.

ἄνδρα τὸν φύσει. Ἀρριανός "ἄνδρα κατὰ νεότητα θρασύν, κατὰ ἀπειρίαν πραγμάτων ἀνόητον, καὶ διὰ ῥώμην σώματος καὶ τὸ ἐς τὰς μάχας προπεσὸν τῷ πλήθει πιθανόν· οὐδὲ τὰς ὑπὲρ τῶν μεγίστων βουλὰς ἐν ὀλίγοις τοῖς μάλιστα προσιοῦσιν αὐτῷ, ἀλλ' ἐν παντὶ τῷ πλήθει γίνεσθαι· τὸ πέρα δὲ ἀντιτείνοντας ξυνδεῖν, καὶ δεδεμένους μηδὲν μεῖον ἕπεσθαι."

ἀνδραγαθιζομένη ἀνδριζομένη. ἀνδραγαθῶ δέ.

ἀνδράγρια (Hom. Ξ 509) σκῦλα ἐξ ἀνδρῶν.

ἄνδραγχος ἀντὶ τοῦ δήμιος, ὁ τοὺς ἄνδρας ἄγχων.

Ἀνδραιμονίδης ὁ Ἀνδραίμονος παῖς (Hom. Η 168).

ἀνδρακάδα. ἀνδρακάς κατ' ἄνδρα, χωρίς· Κρατῖνος Βουκόλοις. τὸ ἴσον καὶ ἀντικείμενον καλεῖ Θουκυδίδης. ἢ ἀνδρακάς κατὰ δέκα ἄνδρας.

ἀνδραποδίζω· "τὰς συνθήκας συνέχεον οἱ βάρβαροι, τήν τε ὁμαιχμίαν εἰς τὸ φανερὸν ἀνδραποδίζονται." καὶ ἀνδραποδισμός αἰχμαλωσία. καὶ ἀνδραποδιστής. διαβάλλονται δὲ οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ καὶ ἄπιστοι· δῆλον δὲ καὶ ἀπὸ Ἰάσονος, ὃς ἠνδραπόδισε τὴν Μήδειαν. Εὐριπίδης "πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστοι Θετταλοί." εἴρηται δὲ ἀνδραποδιστὴς παρὰ τὸ ἀποδίδοσθαι ἄνδρα, τουτέστι πωλεῖν, ὁ τοὺς ἐλευθέρους καταδουλούμενος. sch. A Plut. 521.

ἀνδραποδοκάπηλος μεταβολεὺς ἀνδραπόδων. ἀνδράποδον δὲ εἴρηται ὁ ποῦς ὁ ἐν ἀνδράσιν, ἀπὸ τοῦ ὑποκειμένου μέρους τῷ ὅλῳ· ὑπόκειται γὰρ τῷ δεσπότῃ ὁ οἰκέτης καθάπερ ὁ ποῦς τῷ ὅλῳ καὶ ἀνωτέρῳ σώματι (sch. A Plut. 521). "ὥσπερ, οἶμαι, τὰ τῶν ἀνδραπόδων ἀπιστότερα, ἐκ χρόνου καιροφυλακοῦντες πολλοῦ δραπετεῦσαι μὲν τῆς τῶν κεκτημένων χειρός, νέους δέ τινας καὶ ἀγνῶτας αὐτοῖς δεσπότας εὑρεῖν." ἀνδραποδοκάπηλος οὖν ὁ σωματέμπορος, παρὰ τὸ καπηλεύειν τὰ ἀνδράποδα, ὅ ἐστι πιπράσκειν (Harp.).

ἀνδραποδώδεις δουλοπρεπεῖς, δουλογνώμονας. καὶ ἀνδραποδώδης θρὶξ ἐπὶ τῶν ἠλιθίων. Πλάτων φησὶν (Alc. 1 p. 120) "ἔχων τὰς ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑπὸ ἀμουσίας."

ἀνδραποδώδη τρίχα τὴν τῶν ἀνδραπόδων ἰδίως κουράν, ἣν ἀπελευθερωθέντες ἤλλασσον Ἀθήνησιν αἱ δοῦλαί τε καὶ οἱ δοῦλοι. "καὶ ἦν ταῦτα ἀκούειν πολλῶν συνειλεγμένων ἀνδρῶν οὐδὲ τὰ πάθη κατεσταλμένων, ἀλλ' ἔτι τὴν ἀνδραποδώδη τρίχα, φασίν, ἐπιδεικνυμένων."

ἀνδράριον ὑποκοριστικῶς ἄνδρα. "θαυμάζειν δὲ τοὺς Γότθους, εἰ πεφρίκασιν ἀνδράριόν τι θαλαμηπόλον, σκιατραφές τε καὶ ἁβροδίαιτον καὶ πόρρω τοῦ ἀρρενωποῦ τεταγμένον" (Agath. 1 7).

ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν (A Ach. 688), τουτέστιν ὑπεράγαν γεγηρακότα, ἀπὸ Τιθωνοῦ τοῦ πάνυ γηράσαντος καὶ μεταβληθέντος εἰς τέττιγα.

ἀνδράχλη, διὰ τοῦ λ ἑνικῶς, ἀντὶ τοῦ αἴθρανος· "γυναιξὶν ἐπικαθίζειν ἀνδράχλης."

Ἀνδρέας ὄνομα κύριον.

ἀνδρεία ἡ τῶν ἀνδρῶν ἡλικία· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας (Harp.). καλεῖται δὲ πρός τινων ἀνδρεία καὶ τὸ αἰδοῖον (Artemid. 1 45).

ἀνδρείκελον ὅμοιον ἀνδρί. σημαίνει δὲ καὶ τὸ μῖγμα τῶν ζωγράφων, ὃ καλεῖται χρωμάτων κρίσις (an κρᾶσις).

ἀνδρεῖος ἀνὴρ ὁ ἄφοβος· ὁμαρτάνει οὖν ὁ λέγων τὴν ἀνδρείαν ἐγκράτειαν φόβων. καὶ ἀνδρειφόντης ὁ ἀνδροφόνος.

ἀνδρεών ὁ μέγας οἶκος παρ' Ἡροδότῳ (1 34).

ἀνδρηλατεῖν ἄνδρας ἐξελαύνειν καὶ φυγαδεύειν.

ἀνδρία οὐχ ἡ πολιτικὴ ἀρετή, ἀλλ' ἡ μείζων ταύτης, τῷ αὐτῷ ὀνόματι χρωμένη, περιγινομένη τοῦ θυμουμένου τῆς ψυχῆς. ἀνδρεία δὲ ψυχὴ διὰ διφθόγγου, ἀπὸ τοῦ ἀνδρεῖος.

ἀνδριάντα γαργαλίζειν, ἐπὶ τῶν ἀδυνάτων.

ἀνδρίζω τὸ ἀνδρός τι ποιῶ.

ἀνδρικῶς. Ἀριστοφάνης (Pac. 1299) "ἀνδρικῶς ἐμβάλλετον, καὶ σμώχετ' ἀμφοῖν τοῖν γνάθοιν· οὐδὲν γὰρ ὦ πόνηροι λευκῶν ὀδόντων ἔργον ἐστ', ἢν μή τι καὶ μασῶνται." καὶ ἀνδρικώτερος ὁ ἀνδρειότερος.

ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν· ὃ δὲ ἐξελθὼν ἐπρίατο ⟨Dio Chrys. 43 1⟩, ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων. cf. v. πράγματα a.

Ἄνδριοι ἐκ τῆς Ἄνδρου.

ἀνδρὶ πεινῶντι κλέπτειν ἔξ' ἀναγκαίως ἔχον, ἐπὶ τῶν ἐξ ἀνάγκης τι ποιούντων.

ἀνδροβόρων ἀνθρωποφάγων· ⟨AP 7 206⟩ "ἀνδροβόρων ὁμότεχνε κυνῶν, αἴλουρε κακίστη, τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων."

Ἀνδρόγεως καὶ Ἀνδρόγεων [οὐδετέρως].

ἀνδρόγυνος ὁ Διόνυσος, ὡς καὶ τὰ ἀνδρῶν ποιῶν καὶ τὰ γυναικῶν πάσχων. ἢ ἄνανδρος καὶ ἑρμαφρόδιτος. καὶ ἀνδρογύνων ἀσθενῶν, γυναικῶν καρδίας ἐχόντων.

ἀνδρόδομος ὁ τρίκλινος.

Ἀνδροκλείδης ὁ τοῦ Συνεσίου τοῦ Λυδοῦ τοῦ Φιλαδελφέως υἱός. οὗτος δὲ ἐπὶ Πορφυρίου τοῦ φιλοσόφου ἐδίδασκεν, ἐπειδὴ μέμνηται αὐτοῦ ἐν τῷ περὶ τοῦ ἐμποδὼν τεχνολογῶν.

Ἀνδρόκλειος.

ἀνδρόκμητος ⟨Hom. Λ 371⟩ τάφος.

ἀνδροκόβαλος ὁ κακοῦργος.

ἀνδροκτασιάων ⟨Hom. E 909⟩ ἀνδροφονιῶν.

ἀνδροληψία καὶ ἀνδρολήψιον. ἐὰν ἔξω τῆς Ἀττικῆς ἀνὴρ Ἀθηναῖος ἐτελεύτησε, καὶ μὴ ἐξεδίδοσαν οἱ ἐν ἐκείνῃ τῇ πόλει ἐν ᾗ τὸ ἔργον ἐπράχθη τὸν δοκοῦντα ἐν τῇ αἰτίᾳ εἶναι, ἐφεῖτο ἐκ τοῦ νόμου τρεῖς τῶν ἐκείνου πολιτῶν ἄγειν ἐς Ἀθήνας δίκην ὑφέξοντας τοῦ φόνου· καὶ τοῦτο ἀνδρολήψιον ἐκαλεῖτο. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους ⟨82⟩ "πρὸς δὲ τούτοις ὁ νόμος, ἐὰν μήτε δίκας ὑπόσχωσι παρ' οἷς ἂν τὸ πάθος γένηται, μήτε τοὺς δεδρακότας ἐκδιδῶσι, κελεύει κατὰ τούτων εἶναι μέχρι τριῶν τὸ ἀνδρολήψιον" ⟨sch. Dem.⟩. ἀνδροληψία οὖν τὸ ἁρπάζειν ἄνδρας ἔκ τινος πόλεως· ἠνεχύραζον γὰρ τὴν ἔχουσαν πόλιν τὸν ἀνδροφόνον καὶ μὴ προϊεμένην αὐτὸν εἰς τιμωρίαν, καὶ τοῦτο ἐκαλεῖτο ἀνδροληψία ⟨Harp.⟩.

Ἀνδρόμαχος Νεαπολίτης ἐκ Συρίας, σοφιστής, υἱὸς Ζωνᾶ ἢ Σαβίνου, παιδεύσας κατὰ Νικομήδειαν ἐπὶ Διοκλητιανοῦ βασιλέως.

ἀνδρομέοιο ⟨Hom. P 571⟩ ἀνθρωπείου κρέατος.

ἀνδρόπαις ὁ ἤδη ἀνδρούμενος παῖς.

ἀνδροπλήθεια πλῆθος ἀνδρῶν.

ἀνδροσάθων μεγάλα ἔχων αἰδοῖα.

ἀνδρὸς γέροντος ἀσαφὶς τὸ κρανίον, ἀπὸ μέρους, ἐπὶ τῶν μηδαμοῦ χρησιμευόντων, παρ' ὅσον ὅλον τὸ σῶμα ἀσθενές. καὶ "ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρία," ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων. καὶ "ἀνδρὸς γέροντος μήποτ' ἐς πυγὴν ὁρᾶν," ἐπὶ τῶν πρὸς ἔνια μὴ χρησίμων. καὶ "ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι," ἐπὶ τῶν ἐν τοῖς κακοῖς μηδεμίαν εὑρισκόντων παρὰ τῶν φίλων ὠφέλειαν.

Ἀνδροτίων Ἄνδρωνος Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, μαθητὴς Ἰσοκράτους.

ἀνδροφόνος. οὕτω λέγεται κἂν γυναῖκά τις κτείνῃ.

Ἄνδρων εἷς ἦν τῶν ι'. Harp.

ἀνδρῶνα οἶκον, ἔνθα οἱ ἄνδρες εἰώθασιν ἀθροίζεσθαι. Ἀριστοφάνης ⟨Eccl. 672⟩ "τὰ δικαστήρια καὶ τὰς στοὰς ἀνδρῶνας πάντα ποιήσω."

Ἀνδρώνιος ⟨an Ἀντρ-⟩ ὄνος, ἐπὶ τῶν παμμεγέθη καὶ νωθρὰ σώματα ἐχόντων, διὰ τὸ ἐκεῖσε παμμεγέθεις καὶ νωθροὺς ὄνους γίνεσθαι.

ἀνδρωνῖτις. "καὶ τὸ λεγόμενον, ἐκνεύσας τὴν ἀνδρωνῖτιν εἰς τὴν γυναικωνῖτιν κωμάσαι, διὰ τὸ δοκεῖν τὸν στρατηγὸν βραχὺν χρόνον πρότερον ὑπὸ τῶν Λυσιτανῶν ἡλαττῶσθαι." cf. v. κωμάσαι.

ἀνέβαλλεν· Ξενοφῶν ⟨Anab. 4 4 4⟩ "ὁ a
δὲ Τηρίβαζος φίλος ἦν τῷ βασιλεῖ, καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν" ἀντὶ τοῦ ἀνεβίβαζεν.

ἀνέβαλλεν ἀναβολὴν ἐδίδου.

b
ἀνεβάλλετο ⟨Hom. α 155⟩ προοιμιάζετο, ἀνεκρούετο, ἐνήρχετο. καὶ ἀντὶ τοῦ ὑπερετίθετο· Ἀρριανός "ἀνεβάλλετο τὴν τῆς ἄλλης χώρας δῄωσιν, οἰόμενος ἐνδώσειν Ἀθηναίους." ἀναβολὰς γὰρ καὶ τὰς ἀνακρούσεις καὶ τὰς ἀρχάς· ὅθεν καὶ τὸ ἤρχετο καὶ ἀπήρχετο. καὶ ἀνεβάλλοντο ἀντὶ τοῦ ἐσχηματίζοντο.

ἀνέβησεν ἀντὶ τοῦ ἀνεβίβασεν Ἡρόδοτος ⟨1 80⟩.

ἀνεβίω ἀνέζησεν, καὶ ἀνεβιωσάμην ἀντὶ τοῦ ἀναβιῶναι ἐποίησα Κράτης.

ἀνεβόησεν οὐράνιον (ARan. 781) ἀντὶ τοῦ μέγα καὶ οὐρανοῦ ἐφικνούμενον.

ἀνεβορβόρυξαν ἀνέκραγον. sch. A Eccl. 433.

ἀνεβρύαξαν ἀνεθορύβησαν, ἀνέκραγον. sch. A Eq. 599.

ἀνεγνάμφθη (Hom. Γ 348) ἀνεκάμφθη.

ἀνέγνωσαν ἀνέπεισαν, ἀνεδίδαξαν, ἠρέθισαν. Ἡρόδοτος (1 128) "τοὺς ὀνειροπόλους ἀνεσκολόπισεν; οἵ μιν ἀνέγνωσαν μετεῖναι τὸν Κῦρον."

ἀνέγρετον ἀνυπόστροφον.

ἀνεδείματο ἀνῳκοδόμησε, κατεσκεύασεν.

ἀνεδέχετο προσεδέχετο, ἐξυπέμεινεν· "ὁ δὲ ἀνεδέχετο τὴν Ἀσδρούβου παρουσίαν." καὶ ἀντὶ τοῦ ἐξήνεγκεν· "ὃ δὲ τούτοις πιστεύων ἀνεδέχετο τὸν πρὸς Ἀριαράθην πόλεμον."

ἀνέδην δαψιλῶς, ἀκωλύτως, κατακόρως, ὡς ἔτυχεν· Ἀρριανός "οἱ δὲ τοῖς φρέασι φύλακας ἐπέστησαν, ὡς μὴ ἀνέδην ὅπως τις ἐθέλοι ὑδρεύεσθαι, ἀλλ' εἰς τὸ κοινὸν ξυλλέγεσθαι πᾶν ὅσον περ ἀνιμῷτο τοῦ ὕδατος, ἐκεῖθεν δὲ διανομὴν γίνεσθαι τὴν ἴσην ἑκάστοις." καὶ αὖθις (AP 6 172) "τὸ δίθυρσον τὸ λογχωτὸν καὶ τὸ περισφύριον, οἷς ἀνέδην βάκχευεν ὅτ' ἐς Διόνυσον ἐφοίτα." καὶ αὖθις "τὸ ἱερὸν περιστοιχίσαντες οὐκ εἴων τοὺς βουλομένους καὶ δεομένους τοῦ Πυθίου ἀνέδην παριέναι" ἀντὶ τοῦ ἀκωλύτως. καὶ αὖθις "ἀνέδην ἐξεπόρθουν μετὰ ἀγριότητος ἅπαντες." καὶ αὖθις "ὁ δὲ ἀνέδην διῃτᾶτο."

ἀνεδήσατο ἀπηνέγκατο· (Agath. 2 22) "ὁ δὲ τὰ πρακτέα ὀρθῶς διατάττων πολλὰς ἀνεδήσατο νίκας."

ἀνεδίδοτο ἀνεπέμπετο, καὶ ἀνεδίδου συνεβούλευεν· (Polyb. 5 102) "ὁ δὲ συναθροίσας τοὺς φίλους ἀνεδίδου διαβούλιον, τί δέον εἴη πράττειν."

ἀνέδουν ἀνεδέσμευον· "προσιόντες δὲ αὐτῷ ἐταινίαζον οἱ νησιῶται καὶ ἀνέδουν." cf. v. ταινιοῦντες.

ἀνέδραμεν ἀντὶ τοῦ ηὐξήθη Ἡρόδοτος (1 66, 7 156).

ἀνεζεύγνυ ἀνέστρεφεν· Ἀππιανός "ὁ δὲ μετὰ πολλῆς λείας ἀνεζεύγνυ."

ἀνεζωπυρήθη διεθερμάνθη.

ἀνέηκεν (Hom. Ε 882) ἀνέπεισεν.

ἀνέθει ἀνέτρεχε.

ἀνεθουσία (an ἐνεθουσία) ἐμαίνετο.

ἀνεθυμιᾶτο ἀνενεοῦτο· (Polyb. 15 25) "καὶ πρῶτον μὲν ἀρτῦσαι φόνον Λυσιμάχῳ, ὃς ἦν υἱὸς Ἀρσινόης. μετὰ ταῦτα πολλῆς ἐπαγομένης ὕβρεως, ἀνεθυμιᾶτο πάλιν ἐν τοῖς πολλοῖς τὸ προϋπάρχον μῖσος." cf. v. Σωσίβιος.

ἀνείδεος ὁ ἀσχημάτιστος.

ἀνεικάσασθε ἀνασκώψατε Δραπέτισι Κρατῖνος.

ἀνείκαστος ὁ εἰκασμῷ τινι μὴ ὑποβαλλόμενος.

ἀνειλείθυιαν ἄτοκον Εὐριπίδης (Ion. 453).

ἀνεῖλεν ἀντὶ τοῦ ἐμαντεύσατο· διαφορεῖται γὰρ ἡ λέξις. "Λακεδαιμόνιοι ἐτείχιζον τὸν Ἰσθμόν. Ἀθηναίοις δὲ ὁ θεὸς τὰ μὲν πρῶτα χρωμένοις ἀνεῖλε φεύγειν, λιπαροῦσι δὲ ἔχρησε 'τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς μοῦνον ἀπόρθητον τελέθειν, τό σε τέκνα τ' ὀνήσει. μηδὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα πολλὸν ἀπ' ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ὑποχωρεῖν νῶτον ἐπιστρέψας· ἔτι τοί ποτε κἀντίος ἔσσῃ. ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν ἤπου σκιδναμένης Δημήτερος ἢ συνιούσης.' ταῦτ' ἐξηγήσατο Θεμιστοκλῆς ὁ Νεοκλέους, ὃς δι' ἐλευθεριότητα ἀπεκηρύχθη, τεῖχος μὲν ξύλινον τὰς ναῦς εἰπών, τὴν δὲ Σαλαμῖνα θείαν οὐκ ἂν ὀνομάσειν τὸν θεόν, εἰ τὰ τέκνα τῶν Ἑλλήνων ἔμελλεν ἀπολέσειν. συνεβούλευσε δὲ περὶ τὴν Σαλαμῖνα ναυμαχῆσαι (καὶ σοφὸς ἐκλήθη διὰ τοῦτο, καὶ στρατηγὸς ἀπεδείχθη), καὶ τὴν πρὸς Αἰγινήτας ἔχθραν ἀποθέσθαι, καὶ τὴν πόλιν ἐκλιπεῖν, καὶ τὰ γένη Τροιζηνίοις καὶ Αἰγινήταις παρακαταθέσθαι." καὶ αὖθις "ἔπεμψαν οἱ Σπαρτιᾶται χρησόμενοι, τῆς μήνιδος ἄκος λαβεῖν γλιχόμενοι· καὶ ἀνεῖλεν οὕτως 'ἰσόν τοι Δῆλόν τε Καλαυρίην τε τίθημι Πυθώ τ' ἠγαθέην καὶ Ταίναρον ἠνεμόεσσαν." ἐπεὶ ἔστιν ὅτε τὸ ἀνεῖλεν ἀντὶ τοῦ ἐφόνευσε λαμβάνεται. ἀνελεῖν δὲ τὸ μαντεύεσθαι ἢ ἀπὸ τοῦ ἄνωθεν λαμβάνειν τὸ πνεῦμα καὶ πληροῦσθαι τοῦ θεοῦ, ἢ ἀπὸ τοῦ ἀνελεῖν τὴν ἄγνοιαν. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ φονεύειν φαμέν. ἀνελεῖν ἢ ἀπὸ τοῦ ἄνω λαμβάνειν τὸ ἐν βάθει πνεῦμα τοῦ ἀνδρός, ἢ ἐκ τοῦ ἐναντίου ἀπὸ τοῦ ἀνελεῖν τὴν γνῶσιν. λέγεται δὲ ἀνελεῖν καὶ τὸ ἀναλαβεῖν τὰ ἔκθετα

βρέφη καὶ τρέφειν, καὶ ἁπλῶς ὅπερ ἄν τις ἀναλαμβάνοιτο.

ἀνείλλεσθαι συστρέφεσθαι καὶ ἀλλήλους τοῖς δόρασι τύπτειν. καὶ ἀνείλλεται ἀνειλεῖται. καὶ ἀνείλετο ἀνέλαβεν.

ἀνειλόμην. ⟨S OR 1035⟩ δύο δηλοῖ, τό τε ἔθρεψα καὶ τὸ ἐβάστασα.

ἀνειλυσπῶ ἀνέβαινες.

ἀνειμέναι ἐκλελυμέναι, παρειμέναι. καὶ παρὰ Σοφοκλεῖ ⟨El. 516⟩ ἀνειμένη ἀντὶ τοῦ ἄνεσιν ἔχουσα πανταχόθεν· "ἀνειμένη μέν, ὡς ἔοικας, αὖ στρέφῃ· οὐ γὰρ πάρεστ' Αἴγισθος." καὶ ἀνειμένον ἄλσος τὸ τῷ θεῷ ἀφιερωμένον καὶ τὸ ἠνεῳγμένον. καὶ τὸ ῥαθύμως τι ποιεῖν. "ἀδύνατόν τε ἦν αὐτοῖς οὕτως ἀνειμένα πως καὶ πονουμένοις ἐπικρατήσειν." καὶ "ἀνειμένων πόλοιο παμφαῶν πτυχῶν" ἀντὶ τοῦ ἀνεῳγμένων.

ἀνείμονες ἀνίματοι, ἄνευ ἱματίων.

ἀνεῖν· Ξενοφῶν ⟨Cyr. 5 4 17⟩ "ἐν γὰρ τοῖς τοιούτοις οἱ ἀγαθοὶ ἐπιπονεῖν ἐθέλουσι καὶ ἀνεῖν" ⟨immo ἀνιώμενος⟩.

ἀνεῖναι ἀφεῖναι. καὶ ἀνεῖναι κύβον ἀντὶ τοῦ ἀναρρῖψαι κύβον.

ἀνεῖπεν ἀνεκήρυξεν, ἀνηγόρευσεν· Ἀριστοφάνης ⟨Ach. 11⟩ "ὅ δ' ἀνεῖπεν, εἴσαγ' ὦ Θέογνι τὸν χορόν."

ἀνεῖργεν, αἰτιατικῇ, ἀπεκώλυε, καὶ ἀνεῖρξαν ἀπεκώλυσαν· ⟨Dio Cass. 71 11⟩ "ἀργύριον αἰτοῦντα, ἀπειλοῦντά τε πολεμήσειν εἰ μὴ λάβοι, οἱ Ῥωμαῖοι ἀνεῖρξαν."

ἀνείρηκε τὸν χρησμόν. καὶ τὸν κήρυκα ἀνειπεῖν λέγουσι.

ἀνεῖρπεν ἐσύρετο.

ἀνειρύσω ἀνειλκύσω· ⟨AP 6 300⟩ "ἦν δέ με χὡς ἐκ νούσου ἀνειρύσω, ὧδε καὶ ἐχθρᾶς ἐκ πενίης ῥύσῃ, δέξο χιμαιροθύτην."

ἀνείς ἀφείς, καὶ ἀνεῖσα ἀφεῖσα.

ἀνεῖσθαι λελύσθαι.

ἀνείσθω συγχωρείσθω.

ἄνεισιν ἀνέρχεται.

ἀνεῖται παρεῖται, καὶ ἀνεῖται ἀπολέλυται. "ἀνεῖτο δὲ αὐτῷ ἡ κόμη, καὶ ποτὸν ὕδωρ ἦν" ⟨Ioseph. A.I. 5 10 3⟩, ἀντὶ τοῦ ἀπολελυμένη ἦν. περὶ Σαμουὴλ τοῦ προφήτου φησίν. ἀνεῖτο δὲ ἀντὶ τοῦ ἀνέκειτο· "ἐπεὶ δὲ ὁ Ναρσῆς ὁ τῆς Ἰταλίας στρατηγὸς ἐς πάντα ξυγκατεμίγνυε τῷ μεγαλουργῷ τὸ συνεχές, καὶ ἐκοινώνει αὐτῷ τῆς φρονήσεως ἡ ῥώμη, καὶ ἅπας τῷ κρείττονι ἀνεῖτο, ταύτῃ τοι οὐ πρὸς τὸ ἐκμελὲς ἐκκλίνας αὐτίκα καὶ ὅγε ἐπεραιώθη τὸ ῥεῖθρον σὺν τῷ ῥείθρῳ."

ἀνεῖχεν ἐκώλυε· ⟨Eunap. p. 106 Nieb.⟩ "Χαριέττων μὲν οὖν καὶ πρὸ τούτου φανερός τις ὢν καὶ ἀνυπόστατος, τῷ τε πλεονάζοντι τοῦ δραστηρίου φοβῶν, ἀνεῖχεν ἀπὸ λῃστείας ἅπαντας." ἢ ἀνεῖχε παρεδέχετο· "τὸ μὲν πρῶτον οὐδεὶς ἐπίστευεν, οὐδ' ἀνεῖχε τὸν λόγον."

ἀνέκαθεν κατὰ τὴν ἄνωθεν ἀκολουθίαν. ἢ ἀνέκαθεν μακρόθεν. "τοιοῦτος οὖν εἰς ἡμᾶς κατήντηκε λόγος, ἀνέκαθεν ἐκ πατρὸς παιδὶ παραδεδομένος περὶ τοῦ ἁγίου Διονυσίου." cf. v. Διονύσιος ὁ Ἀρεωπαγίτης b.

ἀνεκαλάμησεν ἀντὶ τοῦ ἀνεθέρισεν.

ἀνεκαλέσατο.

ἀνεκαλοῦντο εἰς δίκην ἦγον· ⟨Polyb. 4 4⟩ "οἱ δὲ ἔφοροι ἀνεκαλοῦντο αὐτὸν εἰς τὰς συναρχίας, ὡς ἂν τὰ ἀπολωλότα τοῖς Μεσσηνίοις ἀποκαταστήσῃ."

ἀνεκάς ψιλῶς τὸ ἄνω λέγουσι, καὶ ἀνέκαθεν τὸ ἄνωθεν. Εὔπολις Αὐτολύκῳ "ἀνεκάς τ' ἐπήρω καὶ βδελυρὸς σὺ τὸ σκέλος." Κράτης Ἥρωσι "τὸν αὐχέν' ἐκ γῆς ἀνεκὰς εἰς αὐτοὺς βλέπων."

ἀν' ἑκάστην καθ' ἑκάστην· "ὅτι Φαμέας τις Καρχηδόνιος δεινὰ διατίθησι Ῥωμαίους ἀν' ἑκάστην" ἡμέραν.

ἀνεκήκιεν ⟨Hom. Η 262⟩ ἀνεφέρετο.

ἀνεκλίθη ἀνέπεσεν ἐν τῇ τραπέζῃ.

ἀνέκραγεν, οὐκ ἀνεκραύγασεν. καὶ ἀνακραγεῖν καὶ πάντα τὰ ὅμοια οὕτως.

ἀνεκρούετο ἀνέκοπτεν, ἀνέστελλεν.

ἀνεκτά. Ἀγαθίας φησὶ περὶ Θευδερίχου ⟨1 4⟩ "πρόσοικα ἔθνη συνέλεξεν· οὐ γὰρ ᾤετο ἀνεκτὰ εἶναι" ἀντὶ τοῦ ἀνέσεως ἄξια. καὶ Πολύβιος "διόπερ οὔτε τὸ λαθεῖν κατὰ τούτους τοὺς καιροὺς εἰσβάλλοντας εἰς Μακεδονίαν τοὺς Ῥωμαίους ἀνεκτὸν ἦν" ἀντὶ τοῦ δυνατόν. καὶ Πισίδης "οὐκ ἦν ἀνεκτὴ τοῖς παροίκοις ἡ βλάβη" ἀντὶ τοῦ ὑπομονῆς ἄξια.

ἀνεκτησάμην ἀνωρθωσάμην, ἀνελαβόμην.

ἀνεκυμβαλίαζον ⟨Hom. Π 379⟩ κτύπον ἐποίουν, ἐκρότουν.

ἀνεκώχευον ἀνεχώρουν· Ἡρόδοτος ⟨7 168⟩ "ἀνεκώχευον τὰς νέας, καραδοκέοντες καὶ οὗτοι τὸν πόλεμον ᾗ πεσέεται," ἀντὶ τοῦ τὰ ὀθόνια στείλαντες ἐσάλευον.

ἀνελέγετο ἀνεπόλει, ἐξησκεῖτο. "ὁ δὲ Σιμωνίδης μνημονικός τις ἦν, εἴπερ τις ἄλλος. τούτῳ δ' ἦν ἐοικὼς Ἀπολλώνιος ὁ Τυανεύς, ὃς τὴν - - - μνημοσύνης εἶναι." cf. v. Ἀπολλώνιος Τυανεύς (d).

ἀνελεήμων. ὅτι ἀςόργους τοὺς ἀπηνεῖς καὶ ἀφίλους φασίν, ἀσπόνδους δὲ τοὺς ἀδιαλλάκτους καὶ μνησικάκους, ἀνελεήμονας δὲ τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ἔλεον" Rom. 1 31⟩.

ἀνελεῖν ἀνατρέψαι· "πρεσβεύονται πρῶτον τὸ κατὰ Μεγαρέων ψήφισμα ἀνελεῖν κελεύοντες καὶ τοὺς Ἕλληνας αὐτονόμους ἀφιέναι." cf. v. ἀνεῖλεν extr.

ἀνελεύθερος ὁ μικρολόγος, ἢ ὁ ἐκτὸς τῆς ἀληθείας ποιῶν τι. "οἱ δὲ ἐς ἀταξίαν ἰδόντες καὶ ἀνάςατοι γενόμενοι ἀγεννῆ καὶ ἀνελευθέραν ἐποιήσαντο τὴν ἀναχώρησιν, οἴκαδε ἀπονοςήσαντες."

ἀνέλῃ παρὰ Ἡροδότῳ ⟨1 13⟩ ἀντὶ τοῦ χρήσει, καὶ ἀνεῖλεν ἀντὶ τοῦ ἔχρησεν, ὅ ἐςιν ἐχρησμοδότησεν.

ἀνελκυσθῆναι ἀναχθῆναι εἰς ὕψος· "ἕτερόν τε πρὸς τούτῳ ἰςίον μετὰ τάχους ἀνελκυσθῆναι ἐγκελευσάμενος."

ἀνελλιπής ἀνενδεής.

ἀνελοῦσα γὰρ τὸν νόμον ἐχειροτόνησεν αὐτῇ. τοῦτο τὸ χωρίον Δημοθένης μὲν ἐν τῷ κατ' Ἀνδροτίωνος ⟨20⟩ εἶπε, διττὴ δὲ φέρεται ἡ γραφή, ἣ μὲν ὡς προγέγραπται, ἣ δὲ ἀντὶ τοῦ αὐτῇ αὐτήν λέγει κατ' αἰτιατικήν. καὶ ἡ μὲν κατ' αἰτιατικὴν προαγομένη τοιοῦτον ἔχει τὸν νοῦν· ἀνελοῦσα τοῦτον τὸν νόμον, ἤτοι παραβᾶσα, διαχειροτονίαν περὶ ἑαυτῆς ἔδωκεν, ὅτι χρὴ ςεφανοῦν αὐτήν. ἡ δὲ κατὰ δοτικήν· ἀνελοῦσα τοῦτον τὸν νόμον ἐχειροτόνησεν ἐκεῖνον ἑαυτῇ. Harp.

ἀνέλπιςον βίον τὸν κάλλιςον εἰρήκασιν Ἀττικοί, ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἐπτόηνται, ἀλλὰ πάρεςιν ἤδη τὰ ἀγαθά.

ἀνεμάξατο· "πάντα ὅσα ἔδρασεν ἀνεμάξατο καὶ ἔτισε τῇ ἑαυτοῦ κεφαλῇ." οὕτως Αἰλιανὸς ἐν τῷ περὶ θείων ἐναργειῶν.

ἀνέμβατος δυσχερῶς δεχόμενος, δυσπειθής· ⟨AP 5 234⟩ "γυιοβόροις βελέεσσιν ἀνέμβατος ὁ πρὶν ἐρώτων."

ἀνεμεςώθη ἀντὶ τοῦ ἀνεπληρώθη τῶν γραμματεύειν βουλομένων καὶ μὴ ςρατεύεσθαι. ἢ ἐπὶ κακοπραγμοσύνῃ τοὺς γραμματεῖς διαβάλλει. Ἀριςοφάνης Βατράχοις ⟨1095⟩ "ἐκ τούτων ἡ πόλις ἡμῶν ὑπὸ γραμματέων ἀνεμεςώθη."

ἀνέμητα ἀμέριςα.

ἀνεμοκοῖται οἱ ἀνέμους κοιμίζοντες. γένος δέ φασι τοιοῦτον ὑπάρχειν ἐν Κορίνθῳ.

ἄνεμος τὸ πνεῦμα τοῦ ἀνέμου. καὶ τὸ ςοιχεῖον ἐν ᾧ πνέει ὁ ἄνεμος. καὶ ἀνεμίδιον· Πλάτων ἐν Θεαιτήτῳ ⟨p. 151 E⟩ "γόνιμον ἀνεμίδιον τυγχάνει." sch. A Av. 696.

ἀνεμοτρεφές ⟨Hom. Λ 256⟩ τὸ ἐν εὐηνέμοις τόποις τεθραμμένον· εὔτονον γὰρ τοῦτο καὶ εὐαυξές. ἢ ἀνεμοτρεφὲς τὸ ὑπὸ ἀνέμων περιςρεφόμενον.

ἀνέμου παιδίον, ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

ἀνέμους γεωργεῖς, ἐπὶ τῶν πονούντων καὶ μηδενὸς μετεχόντων· καὶ γὰρ ὁ ἄνεμος πάντα μὲν φύει καὶ αὔξει, οὐδὲν δὲ ἕτερον ἢ μόνην ἄχνην ἀποφέρεται, ὥςε οὐδενὸς μεταλαμβάνει.

ἀνεμοφθορία ⟨Amos 4 9⟩ ἡ πληγὴ τῶν ἀνέμων.

Ἀνεμύτας Θηβαῖος τὸ γένος. Harp.

ἀνεμώκεος ὁ ταχύς.

ἀνεμώλιος ὁ μάταιος.

ἀνεμώνη εἶδος βοτάνης.

ἀνενδοίαςον τὸ ἀναμφίβολον.

ἀνενεγκών ἀνανήψας· "ὁ δὲ ἀνενεγκὼν ἠρώτα πόθεν ἧκον." καὶ αὖθις "ὁ δὲ ἐλιποψύχησεν. ἀνενεγκόντα δὲ αὐτὸν ἀράμενοι οἱ φύλακες παρὰ τὸν βασιλέα φέρουσιν," ἐκ τῆς νόσου περισωθέντα. καὶ ἀνενείκατο ⟨Hom. Τ 314⟩ καὶ ἀνένεικεν ⟨λ 625⟩, ὁμοίως ἀνήνεγκεν.

ἀνενεοῦτο ἀνεμιμνήσκετο· "ὁ δὲ βασιλεὺς ἐπῄνει τε αὐτούς, καὶ ἀνενεοῦτο τὸ μέγεθος τοῦ κατειργασμένου πολέμου."

ἀνενεχθείσας ἀνενεγκούσας.

ἀνεννόητον ἀδίδακτον, ἀμελέτητον, ἀνάσχητον· ⟨cf. v. ἀλογιςία⟩ "οὐ δεῖ παραβάλλεσθαι καὶ κυβεύειν τῷ βίῳ, τὸ παράπαν ἀνεννόητον ὄντα τῆς μάχης καὶ τῆς βαρβαρικῆς χρείας." ἢ ἀνεννόητοι μηδεμίαν ἔννοιαν περὶ τούτου ἔχοντες· Πολύβιος ⟨11 8⟩ "πάντων δὲ ἦσαν τούτων οἱ ςρατηγοὶ ἀνεννόητοι."

ἀνέντες ἐνδόντες, ἀνατείναντες· "οἱ δὲ ἔπλεον τὰ ἱςία τοῖς ἀνέμοις ἀνέντες."

ἀνεξάλειπτος ὁ μὴ ἐξαλειφόμενος, ὁ μὴ ἐπιλείπων.

ἀνεξέλεγκτος ἀβασάνιςος, ἀγύμναςος, ἀδόκιμος.

ἀνεξεπίμονον τὸ μὴ ὑπερμένον.

ἀνεξερεύνητον ⟨Rom. 11 33⟩ τὸ μὴ ἐπιδεχόμενον ἔρευναν.

ἀνεξίτητον ἀνεξέλευςον, ἀδιόδευτον.

ἀνεξιχνίαςον ἀνεξερεύνητον, οὗ μηδὲ ἴχνος ἔςιν εὑρεῖν.

ἀνεξυνοῦτο ἀνεκοινοῦτο Ξενοφῶν ⟨Hell. 1 1 30⟩.

ἀνεπάγγελτος ἄκλητος. Κρατῖνος Διονυσαλεξάνδρῳ "[τῶν] βδελλολαρύγγων ἀνεπαγγέλτων [αὐτῷ] φοιτήσας ⟨φοιτησάντων?⟩ ἐπὶ δεῖπνον."

ἀνεπαίσθητον οὗ αἴσθησις οὐκ ἔςιν.

ἀνέπαλτο ⟨Hom. Θ 85, Υ 424⟩ ἀνεπήδησεν.

ἀνεπαρίασαν εἰς μετάμελον ἦλθον, ἐπειδὴ οἱ Πάριοι πολεμούμενοι ὑπὸ Ἀθηναίων, ἀνοχὰς τὸ πρῶτον αἰτήσαντες ἐπὶ τῷ δοῦναι τὴν πόλιν, εἶτα συμμαχίαν ποθὲν προσδοκήσαντες ἔλυσαν τὰ ὁμολογηθέντα.

ἀνεπάτησας ἀντὶ τοῦ κατεπάτησας.

ἀνέπαφον ἀνεύθυνον, καθαρόν, ἀθιγές, ἀψηλάφητον. Μένανδρος Περινθίᾳ "τὰ δ' ἄλλ' ἀνέπαφα σώματ' οὐδέλη."

ἀνεπαφρόδιτος ὁ μὴ ἐπίχαρις καὶ ἀηδής.

ἀνεπίδικα. τῶν μὴ θεμένων διαθήκας ἐπιδικάζεσθαι τοῖς κλήροις ὁ νόμος συγχωρεῖ τοὺς ἐγγυτάτω γένους. ὅσα ὡς υἱός τις ἢ υἱιδοῦς τοῦ τετελευτηκότος ἀξιοῖ κατέχειν, ταῦτα ἀνεπίδικα λέγεται. cf. v. ἐπίδικα.

ἀνεπιεικές ἀνοίκειον, ἀπρεπές. Ἀρριανός ⟨Exp. Al. 4 21 16⟩ "ὁ δὲ Ἀλέξανδρος τοσοῦτον ἐδέησεν ἀνεπιεικές τι ἐς τοῦτον ἀποδείξασθαι ὥςε καὶ αὐτὸ τὸ χωρίον ἐκείνῳ ἐπιτρέψαι."

ἀνεπικλήτως μηδὲν ἐγκληθέντες. Θουκυδίδης ⟨1 92⟩ "οἵ τε πρέςβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως." καὶ Ἰώσηπος ⟨A. I. 18 9 4⟩ "ἄξιος δ' εἰμὶ τυγχάνειν σοῦ χρηςοῦ, ἀνεπίκλητόν σοι παρασχόμενος τὴν ἐμαυτοῦ πίςιν."

ἀνεπίληπτον ἄμεμπτον, καὶ **ἀνεπιλήπτως** ἀκαταγνώςως ἢ ἀνεπιπλήκτως.

ἀνεπίπληκτος, ᾧ οὐδεὶς ἐπιπλήττει ἁμαρτάνοντι, Εὔπολις.

ἀνεπισήμαντον ἀκλεᾶ, ἄδοξον· Πολύβιος ⟨11 2⟩ "οὐκ ἄξιον ἀνεπισήμαντον παραλιπεῖν τὸν Ἀσδρούβαν, ἄνδρα ἀγαθὸν γενόμενον."

ἀνεπιςαθμεύτους ςαθμὸν μὴ δεχομένους, ἤτοι ἀγγαρείαν. Πολύβιος ⟨15 24⟩ "συγχωρεῖν τὸν βασιλέα Φίλιππον Θασίους ἀφρουρήτους ἀφορολογήτους ἀνεπιςαθμεύτους." ἢ ςαθμὰ μὴ δεχομένους, τουτέςι ζυγοςατουμένους.

ἀνεπιςάτητον ἀφύλακτον, καὶ **ἀνεπιςάτως** ἄνευ ἐπιςασίας· "οὐκ ἄξιον ἀνεπιςάτως παραδραμεῖν περὶ τῶν τοιούτων" ⟨Polybius?⟩.

ἀνεπιφάτως ἀπροσδοκήτως, ἀμιγῶς, καταμόνας· "ἐντειλάμενος ἀνεπιφάτως ἐντυχεῖν τῷ βασιλεῖ καὶ ἀναδοῦναι τὴν ἐπιςολήν." ἢ ἀφθόνως.

ἀνεπόλει ἀνέπραττεν, ἀνέςρεφεν εἰς ἑαυτὸν τὰ μαθήματα.

ἀνεπόπτευτον τὸ μὴ ἐποπτεῦον· οὕτως Ὑπερίδης. τὸ δὲ ἐποπτεῦσαι δηλοῖ Φιλόχορος, λέγων "ἀδικεῖ πάντα τά τε μυςικὰ καὶ τὰ ἐποπτικά." καὶ πάλιν "Δημητρίῳ μὲν οὖν ἴδιόν τι γέγονε παρὰ τοὺς ἄλλους, τὸ μόνον μυηθῆναί τε ἅμα καὶ ἐποπτεῦσαι καὶ τοὺς πατρίους χρόνους τῆς τελετῆς μετακινηθῆναι." Harp.

ἀνεπόψιος ὁ ἀθεώρητος.

ἀνεπτεροῦτο ἐλπίσι χρηςαῖς ἤρετο· ⟨cf. v. ἑρμαῖον b⟩ "ὁ δὲ Νεμεσίων ἀνεπτεροῦτο καὶ μετέωρος ἦν ταῖς ἐλπίσι, καὶ ἐδόκει ἑρμαίῳ ἐντετυχηκέναι ἐμοὶ περιτυχών." καὶ **ἀνεπτερῶσθαι τὴν ψυχήν**, οἷον ἀνασεσοβῆσθαι, Κρατῖνος.

ἄνερ παρὰ Ἀριςοφάνει ἐν Πλούτῳ ⟨1026⟩ "φίλτατ' ἄνερ." [χρῆσις τοῦ ἄνερ] οὐκ ἐπὶ τοῦ ἀνδρὸς τῆς γυναικὸς εὑρέθη ἡ κλητική, ὥσπερ ἐκεῖ ἔςι παρὰ τῷ ποιητῇ ⟨Ω 725⟩ "ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο."

ἀνεργήσει ἀναρτήσει καὶ οἷον κολάσει.

ἀνερίναςος, παροιμία ἐπὶ τῶν ἅπερ ἂν λάβωσι μὴ διακατεχόντων. καὶ **ἀνερίναςος συκῆ** ᾗ μὴ προβέβληνται οἱ ἐρινεοί. ἐρινεὸς δέ ἐςι τῆς ἀγρίας συκῆς ὁ καρπός, ὃν καὶ ἀπαρτῶσι ταῖς ἡμέροις, ὡς ἂν οἱ ἐξ αὐτῶν καλούμενοι ψῆνες εἰς τοὺς ὀλύνθους μεταςάντες τελεσφορηθῆναι τούτους παρασκευάσωσι. τοῦτο δὲ ἐρινάζειν λέγεται. οἱ δὲ τὸ ἀνερίναστος ἀντὶ τοῦ μαλακὸς καὶ ἄγονος.

ἀνέριςα ἀφιλονείκητα.

ἀνερμάτιςον ἀςήρικτον, ἄοπλον, ἀπαρασάλευτον.

ἀνερρίπιζεν ἀνεκίνει, ἐτάρασσεν, ἀνήγειρεν.

ἀνέρριπτον ἀνελάμβανον. καὶ ἀνέρριπται κύβος, οἷον ἀποκεκινδύνευται· ⟨Lex. Seg. p. 398 26⟩ "φράζε τοίνυν, ὡς ἐγώ σοι πᾶς ἀνέρριμμαι κύβος."

ἀνέρριψαν ἀνέβαλον, ἢ ἀπηρνήσαντο, ἢ ἀνεβάλοντο. "οἱ δ' ἅμα πάντες ἀναρρίψαντες ὄλεθρον" ⟨Hom. κ 130⟩.

ἀνερριχῶντο χερσὶ καὶ ποσὶ δρασσόμενοι ἀνήρχοντο. κυρίως τὸ τοῖς ποσὶ καὶ χερσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν ἀναρριχᾶσθαι ἔλεγον· Ἑλλάνικος "ἀναρριχᾶται δὲ ὥσπερ πίθηκος ἐπ' ἄκρα τὰ δένδρα." τουτέςι πρὸς ὕψος ἀνέβαινε, πρὸς δένδρα καὶ τοίχους. εἴρηται δὲ ἀπὸ τῶν ἀρρίχων· εἶδος δέ ἐςι κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν. ἢ ἀπὸ τῶν ἀραχνῶν, καὶ ἔςιν οἷον ἀραχνᾶσθαι· αἱ γὰρ ἀράχναι νήθουσι κατὰ τὰς ἐναερίους ὁδούς. Ἀριςοφάνης ⟨Pac. 70⟩ "πρὸς ταῦτ' ἀνερριχᾶτ' ἂν ἐς τὸν οὐρανόν," περὶ τοῦ κανθάρου λέγων.

ἀνέρρωσεν ὑγιᾶ εἰργάσατο· "ὁ δὲ Νικάνωρ ἐνόσησε, καὶ πολλάκις ὁ θεὸς ἀνέρρωσεν αὐτόν."

ἄνες δυτικῇ.

ἀνέσαιμι ⟨Hom. Ξ 209⟩ ἀναπείσαιμι.

ἀνέσαντες ⟨Hom. Ν 657⟩ ἀνακαθίσαντες.

ἀνέσειον ἐτάραττον, ἀνεκίνουν· ⟨Diodor. Sic. t. 2 p. 632⟩ "οἱ δὲ Κρῆτες φοβούμενοι μή τι τιμωρίας τύχωσιν, ἀνέσειον τὰ πλήθη, παρακαλοῦντες τὴν ἐξ αἰῶνος παραδεδομένην ἐλευθερίαν διαφυλάττειν."

ἀνεσίαν τὴν ἄνεσιν καὶ τὴν ἄδειαν Κρατῖνος Βουκόλοις.

ἀνεσκευάσαντο τὸ ἀνας άτους γενέσθαι καὶ οἷον ἀπείπασθαι. καὶ ἀνεσκευασμένοι τὰ ὅπλα ἐνδυσάμενοι.

ἀνεσκολοπισμένον ἀνεσταυρωμένον· σκόλοπες γὰρ τὰ ὀρθὰ ξύλα ἢ κάλαμοι.

ἀνεσόβησαν διήγειραν· ⟨Menand. Exc. leg. p. 406⟩ "οἱ δὲ Ἄβαροι τῷ σκληρά τε καὶ ὀγκώδη φρονήματα ἔχειν τὴν ὡς ἀλλήλους ἀνεσόβησαν ἔριν."

ἀνέσπακε [Θουκυδίδης] ἀνεύρηκεν, εἵλκυκεν. Μένανδρος Ῥαπιζομένῃ "πόθεν γάρ, ὦ φίλοι θεοί, τούτους ἀνεσπάκασιν οὗτοι τοὺς λόγους;"

ἀνεςάλη ἐσείσθη, μετεκινήθη.

ἀνεςαυρώθη ἀνεσκολοπίσθη.

ἀνέςελλον ἀπεῖργον, ἐκώλυον· "δράκοντες ἄρα μέγιςοι τὸ μέγεθος ἀνέςελλον αὐτούς." cf. v. ἀναμοχλευόντων.

ἀνεςηκώς ἀνάςημα ἔχων· Εὐνάπιος ⟨p. 101 Nieb.⟩ "ἐλεύθερος δὲ ὢν καὶ ἀνεςηκὼς ἐκ παιδὸς τὴν ψυχὴν γενόμενος." cf. v. Αἰλιανός.

ἀνέςησαν μετῴκισαν· ⟨Menand. Exc. leg. p. 393⟩ "νεμεσᾷ τε καὶ ἀγανακτεῖ ὁ Καῖσαρ ὅτι μὴ ἀνέςησαν ἁπαξάπαντας Σαβείρους τε καὶ Ἀλβανούς."

ἀνέςιος ἄοικος. ⟨A Eq. 1272⟩ "μηδὲν εἰς Λυσίςρατον, μηδὲ Θούμαντιν τὸν ἀνέςιον αὖ λυπεῖν ἑκούσῃ καρδίᾳ." οὗτοι ὡς πένητες διεβάλλοντο.

ἀνεςομώθησαν ἀνεκρέσθησαν, ἢ ἐπληρώθησαν.

ἀνεσύρατο ἐγύμνωσεν.

ἀνέσφηλεν ἀνέζησεν.

ἀνέσχετο ⟨Hom. Ε 655⟩ ἀνέτεινεν.

ἀνεσχήκει ἀνέτειλε· "καὶ ἡ σελήνη ἀνεσχήκει λαμπρά, οἷα δὴ οὐ πολὺ πανσελήνου ἀποδέουσα."

ἀνεσώσατο ἀνεκτήσατο· "ὃ δὲ ἐκςρατείαις χρώμενος φρούρια ἀνεσώσατο τοῖς Ῥωμαίοις."

ἄνετέ μ', ἄνετε παράγοροι· τάδε γὰρ ἄλυτα κεκλήσεται. οὐδέποτ' ἐκ καμάτων παύσομαι, ἀνάριθμος ὧδε θρήνων." Σοφοκλέους ἐξ Ἠλέκτρας ⟨229⟩ πρὸς τὸν χορόν, ἀντὶ τοῦ ἐάσατε, παύσασθέ με παραμυθούμεναι, ὃ ἔςιν ἐπιτρέπετε ὀδύρεσθαι, καὶ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν. τὸ γὰρ θρηνεῖν τὸν πατέρα ἄλυτόν μοι ἔςαι· ὅ ἐςιν, οὐδέποτε παύσομαι, ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι. οἷον οὐκ ἀριθμοῦσα αὐτούς, ἀλλὰ δαψιλῶς χρωμένη. ἐν ὑπομνήματι δὲ κεῖται ἀείνομος οἷον ἀεὶ νεμομένη ἐν αὐτοῖς καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ ἀνάριθμος, τουτέςιν ἐν θρήνοις ἀριθμηθήσομαι, ἀεὶ θρηνοῦσα.

ἀνετίμων· ⟨Dio Cass. 49 13⟩ "τὸν πόλεμον τὸν πρὸς Ἀντώνιον ἐσόμενον ὑπετόπευν καὶ διὰ τοῦθ' ἑαυτοὺς ἀνετίμων οἱ στρατιῶται."

ἀνέτλη ἔπαθεν, ὑπέμεινεν· "παραβὰς δὲ τὰς ἀρὰς ἀνέτλη." καὶ αὖθις "ἀνέτλησαν γοῦν πολλὰ καὶ ποικίλα, καὶ πανδημεὶ καὶ ἰδίᾳ ἕκαςος."

ἄνετον Ὑπερίδης τὸ ἀνειμένον θεῷ ἱερόν ⟨Harp.⟩. λέγεται δὲ καὶ ἄνετος βίος ὁ ἀνειμένος καὶ μαλακός.

ἀνετύφετο ὑπεκαίετο, διηγείρετο· "καὶ γὰρ ἀπαραίτητόν τι μέγεθος αὐτοῖς ὑπετύφετο φιλοτιμίας, λαβεῖν τὸν ἀρχιληςήν."

ἀνευάσαι τὸ εὐοῖ ᾆσαι. ἔςι δὲ τοῦτο ὕμνος εἰς Διόνυσον.

ἀνευθέτου ἀχρήςου.

ἀνεύθυνος ἀκατάκριτος· "ὃ δὲ ἀνεύθυνον ἐπ᾽ αὐτοῖς τὴν ἐξουσίαν λαβών."

ἄνευ ξύλου μὴ βαδίζων ⟨A Ran. 725⟩. περὶ Κλεομένυς λέγει, ὃς ςρατηγὸς ὢν Ἀθηναῖος προσεποιεῖτο πρὸς τοῖς ἄλλοις κακοῖς καὶ μανίαν, εἰδὼς ὅτι μισεῖται παρὰ τῶν πολιτῶν. διὸ καὶ βακτηρίαν ἔχων περιῄει, δι᾽ ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ.

ἀνευφήμησεν ἀντὶ τοῦ ἐθρήνησε Πλάτων ⟨Phaed. p. 60 A⟩.

ἀνέφαινον φανερὸν ἐποίουν.

ἀνέφαπτον ἀψηλάφητον· "ἀλλ᾽ ὥσπερ τι ἐξ οὐρανοῦ πάθος ὅλῳ τῷ γένει ἐπιπεσόν, ἀνέφαπτον οὐδένα παντελῶς εἴασεν."

ἀνέφελον ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον. Σοφοκλῆς ⟨El. 1246⟩ "ἀνέφελον ἐπέβαλες ὄποτε καταλύσιμον, οὐδέποτε λησόμενον ἁμέτερον οἷον ἔφυ κακόν." ἀντὶ τῦ ὃ καταλυόμενον, λήθης τυχεῖν μὴ δυνάμενον.

a ἀνέφερε διεδείκνυτο, ἀνήγετο· "ὃ δὲ πρῶτος εἰσελαύνει, θρασὺν ἵππον ἔχων καὶ γενναῖον, καὶ μόλις ἀνέφερεν ὑπὲρ τοῦ κλύδωνος." καὶ αὖθις "τὰ μὲν αἶνος ἦν ὑπὸ τῦ φόβου, τὰ δὲ ἀνέφερεν αὐτὸν ἡ ἐκ τοῦ θεῦ πρόςαξις."

b ἀνέφερε παρεμυθεῖτο, παρεκάλει.

c ἀνέφερεν ἀνέπεμπεν· "ὅς γε οὐ πρὸς τὴν παρατρέχουσαν καὶ κενὴν δόξαν ἀνέφερε τὸν ἑαυτοῦ βίον, ἀλλὰ πάντα εἰς τὸ θεῖον ὑπερτιθεὶς ἐκεῖθεν πάντα ἔπραττεν."

ἀνέφερον ἀνεμιμνήσκοντο· "ἀνέφερον τοὺς ἐπιτηδείους, ὅπυ τις ἂν εἶεν." ἢ ἀνέφερον ἑαυτὸν ἀνεκτώμην· "διὰ ταῦτα ῥᾴων ἦν καὶ ἀνέφερον" ἀντὶ τοῦ ἤμην. καὶ αὖθις "διὰ δὲ τὸ βάρος τῶν ὅπλων ἐκ τῶν καταδυομένων ἀνέφερεν οὐδὲ εἷς."

ἀνέφικτον ἀκατάληπτον.

ἀνεφρόνησεν ἐκ τῆς μέθης ἀνένηψεν· "ἐπεὶ δ᾽ ἀνεφρόνησε καὶ τὸ τολμηθὲν ἐσκοπεῖτο καὶ ἐνενόει τὸ ἀσέβημα, διπλαῖ ἔννοιαι τοῦτον εἰσῄεσαν."

ἀνέφυ ἀνέζησεν.

ἀνεφυσῶντο ⟨X Hell. 7 1 24⟩ ἀντὶ τοῦ μετεωρίζοντο.

ἀνεχαίτισεν ἀντὶ τοῦ ἀνέκοψεν, ἢ ἀνέτρεψεν. Harp.

ἄνεχε ἀντὶ τοῦ πάρεχε. Θεόπομπος ["ἄνεχε μοι τὴν χεῖρα"].

a ἀνέχει σώζει, οὐχ ὥς τινες ἀντὶ τῦ ἐπέχει. καὶ Θουκυδίδης ⟨I 141⟩ "αἱ περιουσίαι τῶν χρημάτων τοὺς πολέμυς ἀνέχυσιν" ἀντὶ τοῦ σώζουσι. καὶ αὖθις "τὴν ποθουμένην ἀνέχουσι σιγήν." ἢ ἀνέχειν βαςάζειν· "ὡς τὸν πηλὸν ἐς ἀχανὲς ἐκπίπτειν βάθος, καὶ μηδὲν ἐπιπολῆς ἀνέχειν δύνασθαι."

b ἀνέχει ἀνυψοῖ, τιμᾷ. Σοφοκλῆς ⟨Ai. 211⟩ "ἐπεί σε λέχος δοριάλωτον ςέρξας ἀνέχει θούριος Αἴας," ἀντὶ τοῦ ἐπεί σε τιμᾷ ὁ Αἴας δοριάλωτον ςέρξας τὸ λέχος σου. ἢ οὕτως· ἀλλ᾽ ἐπεί σε ἀνέχει ὁ Αἴας δοριάλωτον λέχος σου ςέρξας. πρὸς Τέκμησσαν δὲ ὁ λόγος, γυναῖκα Αἴαντος αἰχμάλωτον. ἢ ἀνέχει ἀντὶ τοῦ ὑπέρκειται· "μέχρι ἐς τὸ ὄρος ὃ ταύτης ἀνέχει." ⟨Herodian. 2 9⟩ "καὶ πόνοις τε ἀνέχων ῥᾷςα, καὶ σκληρῷ βίῳ καὶ τραχεῖ ἐνειθισμένος." καὶ Σοφοκλῆς ⟨OR 174⟩ "οὐκ ἀνέχουσι τῶν πόνων," ἀντὶ τοῦ οὐ περιγίνονται τῶν πόνων. ἢ ἀνέχειν ἀντὶ τοῦ ἐπέχειν, κωλύειν· "ἀνέχειν τε αὐτοῦ τὰς ἐπὶ πλεῖον ὁρμὰς καὶ ἐκδρομάς, καὶ πρὸς ἑαυτὸν τὴν σχολὴν ἄγειν."

ἀνέχομαι μετὰ γενικῆς· "ἀνέχομαί σου τοῦ θράσους." καὶ ἀνέχομεν ἀντὶ τοῦ αὐξάνομεν· Ἀριςοφάνης ⟨Thesm. 956⟩ "ὅταν ὄργια σεμνὰ θεαῖν ἱεραῖς ὥραις ἀνέχωμεν." ὅταν τὰ μυςήρια, φησίν, αὔξωμεν τῶν θεῶν, Δημήτρας καὶ Περσεφόνης. ὅταν τὰς τελετὰς αὔξωμεν· τοῖς γὰρ ὕμνοις ἐπαίρομεν αὐτάς. τουτό ἐςι τὸ ἀνέχομεν.

ἀνεχρήσαντο διέφθειραν· οὕτω Θουκυδίδης. σημαίνει δὲ καὶ τὸ εἰς χρείαν τινὰ παρειλήφασιν.

ἀνεχύθη μετωχετεύθη, ἐπέρρευσε· ⟨cf. v. σκότος⟩ "καὶ χάλαζα ἰσχυρὰ ἀνεχύθη, καὶ διὰ πάσης ἡμέρας σκότος ἦν βαθύτατος." καὶ ἀνεχύθησαν ἐπλήμμυραν· "καὶ οἱ ποταμοὶ πληρωθέντες ἀνεχύθησαν."

ἀνεψύχησαν, ὅπερ ἐν τῇ συνηθείᾳ ἀνέψυξαν.

ἀνεῴγεισαν ἠνοίχθησαν. καὶ ἀνέῳγεν, οὐχὶ ἤνοιγε, καὶ ἀνεῴγετο. λέγει καὶ

Ἀμειψίας Μοιχοῖς καὶ οἱ νεώτεροι πολλαχοῦ. "ἤδη δ' ἀνέῳγε τὴν θύραν." Θετταλῇ "καὶ τὸ κεράμιον ἀνέῳχας." Εὔπολις Πόλεσιν "ἣν οὐκ ἀνέῳξα πώποτ' ἀνθρώποις ἐγώ." καὶ Φιρεκράτης Κραπατάλοις "οὐδεὶς γὰρ ἐδέχετ', οὐδ' ἀνέῳγέ μοι θύραν."

ἀνεῳγμέναι μουσῶν θύραι, ἐπὶ τῶν ἐξ ἑτοίμου μεταδιδόντων ἢ λαμβανόντων τὰ κάλλιστα τῶν ἐν παιδείᾳ.

ἄνεως ὁ ἄφωνος. ἐν μυθικοῖς "ὣς φάσαν, οὐδὲ ἄναξ ἄνεως ἦν."

ἀνηβητηρίαν πᾶν ἀνελῶν νεότητος. sch. Eur. Androm. 552.

ἄνηβος ὁ ἀνήλικος, ὁ μήπω τὴν ὀφειλομένην ἡλικίαν ἐπιφθάσας· ἥβη γὰρ ἡ ἀκμή. καὶ ἀνηβῶν ἀνανεάζων.

ἀνηγμένος ηὐξημένος.

ἀνῆγον· "οἱ δὲ ὡς ἐπὶ μεγίστην ἑορτήν, ἣν τότε ἀνῆγον, συνεληλύθεισαν αὐτοὶ ἕκαστος."

ἀνήειμεν ἀνηρχόμεθα.

ἄνηθον εἶδος βοτάνης ἀρτυματικῆς.

ἀνήιξεν ἀνώρμησεν.

ἀνήκει Ἀντιφῶν ⟨3 γ 7⟩ ἀντὶ τοῦ καθήκει. Ἀμειψίας δὲ ἀνῆκα ἀντὶ τοῦ ἀναβέβηκα ἔφη, Θουκυδίδης δὲ ⟨3 45⟩ ἀνήκουσιν ἀντὶ τοῦ τελευτῶσι, λήγουσι, καὶ Δημοσθένης ἀνήκοντος ἀντὶ τοῦ διαφέροντος. καὶ ἀνήκοντες ἀνελθόντες· "τῆς μὲν ἐν τῷ λέγειν δυνάμεως οὐκ ἐπὶ τοσοῦτον ἀνήκοντες --- περιεβάλοντο" ⟨cf. v. Ἐλεύσιος⟩. ἀνῆκον δὲ τὸ πρέπον.

ἀνῆκεν ⟨Hom. Β 71⟩ ἀφῆκεν.

ἀνήκεστον ἀνίατον, ἀθεράπευτον· ⟨S El. 887⟩ "ἐς τί μοι βλέψασα θάλπη τῷδ' ἀνηκέστῳ πυρί;" ἀντὶ τοῦ παρακόπτῃ τὰς φρένας ὡς ἐν πυρετῷ. ἀνηκέστῳ δὲ πυρί, ἀνελπίστῳ προσδοκίᾳ.

ἀνηκόντιζεν ⟨Hom. Ε 113⟩ ἀνεφέρετο.

ἀνήκοος. ⟨Procop. Pers. 1 24⟩ "λόγων ἐλευθερίων καὶ παιδείας ἀνήκοος ἦν· οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματιστοῦ φοιτῶν ἔμαθεν ὅτι μὴ γράμματα, καὶ ταῦτα κακὰ κακῶς γράψαι." cf. v. Ἰωάννης ὁ ἐκ Καππαδοκίας.

ἀνηκούστησεν ⟨Hom. Ο 236⟩ οὐκ εἰσήκουσεν, παρήκουσεν· "ὃ δὲ μὴ ἀνηκουστῆσαι τοῦ ὑπάτου κατατολμήσας ἀφίκετο." καὶ Ἡρόδοτος ⟨6 14⟩ "οἱ δὲ ἐμάχοντο ἀνηκουστήσαντες τοῖσι στρατηγοῖσι."

ἀνήλατος ὁ μηδέπω δαμασθείς.

ἀνηλεής ὁ ὠμός.

ἀνήλειπτός ἐστι τὸ ἑλληνικόν, οὐχὶ ἀνάλειπτος, οὐδὲ ἕτερον τοιοῦτον οὐδέν.

ἂν ἡ λεοντῆ μὴ ἐξικνῆται, πρόσαπτε καὶ τὴν ἀλωπεκῆν." ὁ νοῦς· ἐὰν μὴ φανερῶς ἀμυνόμενος ἀντέχῃς, πανουργίᾳ χρῆσαι. καὶ Ὅμηρος ⟨ι 406⟩ "ἢ δόλῳ ἠὲ βίηφι;" ⟨τ 299⟩ "ἢ ἀμφαδὸν ἠὲ κρυφηδόν."

ἀνήλιπος ὁ ἀνυπόδητος.

ἀνήλωται πεφόνευται.

ἀνήμερος ἄγριος.

ἀνημιωβολιαῖα ἀντὶ τοῦ ἕκαστον αὐτῶν ἥμισυ ὀβολοῦ, ἄξιον ἡμιωβολίου. ἀπὸ δὲ συντάξεως ὀνόματα γίνεται, καλὸς καὶ ἀγαθός - καλοκαγαθία, θεοῖς ἐχθρός - θεοεχθρία. οὕτως ἀν' ἡμιωβόλιον - ἀνημιωβολιαῖα. sch. A Ran. 561.

ἀνημμένος ἐξηρτημένος, ἢ καιόμενος.

ἀνήνασθαι ἀπαρνήσασθαι· Ὅμηρος ⟨Η 93⟩ "αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι." καὶ Αἰλιανός "οἱ δέ, οὐδὲ γὰρ ἔσχον ἀνήνασθαι τὸ πρόσταγμα, ἐπ' Ἀντιγόνῳ τίθενται τὴν κρίσιν ὑπὲρ τοῦ τίνα χρὴ Λοκρικὴν πόλιν πέμπειν δασμόν."

ἀνηνέγκατο ἐκ βάθους ἐβόησεν· Αἰλιανὸς περὶ Κροίσου "ὃ δὲ ἀνηνέγκατο ἄρα στενάξας, καὶ ἐς τρὶς ἐκάλεσε τὸν Σόλωνα."

ἀνηνείκαντο, γενικῇ, ἀντὶ τοῦ ἀνεμνήσθησαν.

ἀνήνιος ἄνευ ἀνίας καὶ λύπης.

ἀνήνοθεν ⟨Hom. Λ 266, ρ 270⟩ ἀνήρχετο.

ἀνήνυτον ἄμετρον, πολύ· Πολύβιος ⟨9 24⟩ "μεγίστης προφαινομένης δυσχρησίας περὶ τὰς τροφάς, ὅτε κατὰ τὸ μῆκος ἀνήνυτον ἔχειν τι δοκούσης τῆς ὁδοῦ." καὶ "ἀνήνυτα τὴν ἀρετὴν μετιόντων," δεδυστυχηκότων ὅτι μάλιστα. "τὸν ἀνήνυτον οἶτον ἔχουσα κακῶν," τὸν ἀτελείωτον μόρον, ἡ Ἠλέκτρα φησί ⟨167⟩. καὶ ἀνήνυτος ἀναρίθμητος, πολύς, ἀπλήρωτος, ἄπρακτος, ἀτέλεστος· "ὅπλα τε χαλκευόμενος, καὶ βελῶν ἀνήνυτον ἀριθμὸν κατασκευάζειν προστάττων."

ἀνῆπται ἐξῆπται.

ἀνὴρ ἀνδρὸς διαφέρει· τὸ γὰρ Λευκούλλου στράτευμα στασιάζον ἀεὶ τούτῳ παραλαβὼν ὁ Πομπήιος οὐδ' ὁπωσιοῦν στασιάζοντας ἔσχεν" ⟨Dio Cass. 36 18⟩.

ἀνὴρ δὲ φεύγων οὐ μένει λύρας κτύπον, παροιμία ἐπὶ τῶν ὀξέως καὶ ταχέως ὀφειλόντων ἕκαστα πράττειν.

ἀνήρεαι (an ἀνείρεαι), ποιητικῶς, ἀνερωτᾷς.

ἀνὴρ ἔοικε ναῦς ἱκετεύειν πέτραν, παροιμία ἐπὶ τῶν ἀναισθήτων, ἀπὸ μεταφορᾶς τῆς ἐποκελλούσης νεώς.

ἀνηρέθιζεν ἐπί τι παρώτρυνε καὶ παρέθηγεν· Εὐνάπιος "ὁ δὲ τά τε φρονήματα καὶ τοὺς θυμοὺς τῶν ςρατιωτῶν ἀνηρέθιζεν." cf. v. διαχχενίζεσθαι.

ἀνηρείψαντο (Hom. Υ 234) ἀνήρπασαν.

ἀνήρετο ἀνέλαβεν.

ἀνῄρηκεν ἀντὶ τοῦ ἐκποδὼν ἐποιήσατο Δημοσθένης (19 2).

ἀνῃρημένος ἀναλαβών, ἑλόμενος, ἀπενεγκάμενος· "ὁ δὲ βασιλεὺς τοσαύτην νίκην ἀδάκρυτον καὶ ἀναίμακτον ἀνῃρημένος ἐς τὰς Σάρδεις ὑπέςρεψεν." καὶ αὖθις "ὁ δὲ ἀνάρσια ἀνῃρημένος ἐκδίκως." cf. v. ἀνάρσια.

ἀνῃρῆσθαι πεφονεῦσθαι.

ἀνήριθμος ἐν οὐδενὶ ἀριθμῷ ταττόμενος, ἀλλὰ περιερριμμένος. sch. S Ai. 603.

ἀνὴρ κόπριος (A Eq. 895) ὡς ἀπὸ δήμου. λέγει δὲ τὸν κοπρολόγον ἢ κηπουρόν, παρὰ τὴν κόπρον.

ἀνήροτον ἀγεώργητον.

ἀνήρρησεν ἀνεφθάρη· "ὡς μόλις ἀνήρρησ', οὐδέν ἐσμεν οἱ σαπροί" Εὔπολις Πόλεσιν.

ἀνηρτημένοι ἐπηρμένοι· (Diodor. Sic. t. 2 p. 628) "οἱ δὲ ταῖς ψυχαῖς ἀνηρτημένοι κατεφρόνησαν μὲν τῶν κοινῶν τῆς ἱκεσίας νόμων, παρ' οὐδὲν δὲ ἡγήσαντο τὴν τῶν συγγενικῶν ἀφιδρυμάτων καὶ θεῶν εὐσέβειαν."

ἀνήρτισαν ἀνεποίησαν, ἀνεκαίνισαν.

ἀνηριώτιζεν ἀντὶ τοῦ ἀνηριώτα Τηλεκλείδης.

ἀνήσει καταλείψει.

ἄνησις ὁ μὴ γεγευμένος. καὶ ἄνησις ὁ νῆςις παρὰ Κρατίνῳ ἐν Διονυσαλεξάνδρῳ· "ὃ γὰρ σύ γε πρῶτος ἄκλητος φοιτᾷς ἐπὶ δεῖπνον ἄνησις."

ἀνήφθη ἐξήφθη, ἐκρεμάσθη. ἢ ἀνεφλέχθη ὑπὸ πυρός.

ἀνήχθημεν ἀνεπλεύσαμεν.

ἀνῆψεν ἀνεκρέμασε θεοῖς Εὐνάπιος (p. 106 Nieb.).

ἄνθεια ἐπίθετον Ἥρας.

Ἄνθεια πόλις, καὶ ὄνομα ἑταίρας. τινὲς δὲ ἀντὶ τοῦ θ διὰ τοῦ τ Ἄντεια γράφουσιν. Athen. p. 586.

ἀνθείλοντο προέκριναν.

ἀνθεινός ὁ ἐξ ἀνθέων. καὶ ὁ καιρός.

ἀνθεμίδων· (AP 6 267) "ἄλσος δ', Ἄρτεμι, τοῦτο καὶ ἂν χαρίτεσσι θεούσαις εἴη ἐπ' ἀνθεμίδων σύμβολα κοῦφα βαλεῖν," ἀντὶ τοῦ ἀνθέων. καὶ Ἀνθεμίδης (Hom. Δ 488) πατρωνυμικόν.

ἀνθέμιον (Eccles. 12 6) τὸ χρυσίον τὸ ἐκλεκτόν. καὶ Ἀνθέμιος ὄνομα κύριον.

ἀνθεμόεντα (Hom. Ψ 885) ἀναθεματικόν, διηνθισμένον, ποικίλον. καὶ ἀνθεμόεις λειμών (Hom. B 467) ὁ ἔχων ἄνθη. καὶ Ἀνθεμοείσιος ὄνομα κύριον.

Ἀνθεμόκριτος Ἀθηναῖος μὲν ἦν κῆρυξ, ἀπεσφάγη δὲ ὑπὸ Μεγαρέων, ἀπαγορεύων αὐτοῖς τὴν ἱερὰν ὀργάδα μὴ ἐργάζεσθαι. Harp.

Ἀνθεμοῦς πόλις ἐςὶ Μακεδονική. cf. v. ὑφηγήσονται.

ἀνθέμων ῥόδων· Ἀριςοφάνης (Ach. 991) "πῶς ἂν ἐμὲ καὶ σέ τις ἔρως ξυναγάγοι λαβών, ὥσπερ ὁ γεγραμμένος ἔχων ςέφανον ἀνθέμων," τουτέςι ῥόδων. Ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἔγραψεν ἔρωτα ὡραιότατον, ἐςεμμένον ῥόδοις.

Ἀνθεμωνίδης πατρωνυμικόν.

ἀνθέξεται ἀντιλήψεται· (Deuteronom. 32 41) "καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου."

ἀνθερεών ὁ ὑπὸ τὸ γένειον τόπος, λάρυγξ.

ἀνθέρικες αἱ τῶν ςαχύων προβολαί, τὰ ἄκρα. Ἡρόδοτος δὲ (4 190) τοὺς καυλοὺς φησι τῶν ἀσφοδέλων· εἰσὶ δὲ ἀθέρες. ἢ ἀνθερίκων (Hom. Υ 227) ἀνθηρῶν ἢ λαμπρῶν.

ἀνθ' ἕρματος πολλὰς καταπεπωκὼς δίκας (A Av. 1429), ἀντὶ λίθου, ἐπεὶ αἱ γέρανοι πετόμεναι ἐν τῷ ςόματι ψήφους φέρουσι ςηρίγματος ἕνεκα, πρὸς τὸ μὴ παραφέρεσθαι ἀνέμοις.

ἀνθ' Ἑρμιόνος, ἐπὶ τῶν ὁμοίως ἱερὰ διασωζόντων· Ἑρμιόνη γὰρ ἐν Πελοποννήσῳ πόλις κόρης καὶ Δήμητρος ἄσυλος, ὥςε σκέπην παρέχειν τοῖς ἱκετεύουσιν.

ἀνθεςηριών ὄγδοος μήν ἐςι παρ' Ἀθηναίοις, ἱερὸς Διονύσου. κεκλῆσθαι δὲ αὐτὸν οὕτω διὰ τὸ πλεῖςα τῶν ἐκ γῆς ἀνθεῖν τότε. Harp.

ἀνθέων τὴν γενικὴν ὁμοίως τοῖς Ἴωσιν οἱ Ἀττικοί. Ἕρμιππος Ἀθηνᾶς γοναῖς "καὶ

ῥαπάθητον ἀνθέων ὕφασμα καινὸν ὡρῶν," καὶ ἐν τοῖς ἑξῆς "λεπτοὺς διαψαίρουσα πέπλους ἀνθέων γέμοντας." καὶ Ἀρισταγόρας Μαμμακύθῳ. οὕτως δὲ καὶ βελέων καὶ ὀρέων καὶ ἕτερα πλείονα Ξενοφῶν διαιρεῖ.

Ἄνθη μία τῶν Ἀλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

Ἀνθηδόνιος ἀπὸ Ἀνθηδόνος οἶνος.

ἀνθήλιος ἡ σελήνη, καὶ τὸ ἀποσκίασμα τῆς τοῦ ἡλίου ἀνταυγείας, ἐνίοτε δὲ καὶ τὸ μίμημα ἢ ἀντάλλαγμα, ὡς Θεόπομπος. σημαίνει δὲ καὶ τὰ ἐπισκοτοῦντα τῷ ἡλίῳ νέφη, ἃ καὶ ἀνθήλια καλεῖται.

ἀνθηρά· Ξενοφῶν (Cyr. 1 6 38) "ὥσπερ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ τὰ ἀνθηρὰ εὐδοκιμεῖν." "τῶν ὀρνέων τὰ μὲν χρήσιμα καὶ ἀνθηρὰ κατὰ τοὺς οἴκους ἀνατρέφομεν, τὰ δὲ μὴ ἀνθηρὰ ἐσθίομεν." Ἀριστοφάνης Ἀχαρνεῦσιν (973) "εἶδες, ὦ πᾶσα πόλι, τὸν φρόνιμον ἄνδρα, τὸν ὑπέρσοφον, οἷον ἔχει σπεισάμενος ἐμπορικὰ χρήματα διεμπολᾶν· ὧν τὰ μὲν ἐν οἰκίᾳ χρήσιμα, τὰ δ' αὖ πρέπει χλιαρὰ κατεσθίειν."

ἀνθηρημένος ἀντιλαμβανόμενος, ἢ προκεκριμένος.

ἄνθης ἀνθήσεως.

ἀνθίας ὄνομα ἰχθύος.

Ἀνθίνη πόλις, καὶ ἡ ἐπωμίς. καὶ ἀνθινὸν ἀνθηρόν, βαπτόν. καὶ ἀνθινὸς χιτών. καὶ ἡ τροφή (Hom. *l* 84).

ἀνθιππασία ὁ ἱππικὸς ἀγών.

ἀνθιππασία καὶ διιππασία τῶν ἵππων ἅμιλλα, ὥσπερ δὴ διωμοσία καὶ ἀντωμοσία τὸ αὐτὸ ἄμφω δηλοῖ.

ἀνθίσασθαι μουσικῆς. καὶ ἠνθισμένοι μουσικῆς οἱ ἠθροικότες τὰ ἄνθη τῆς μουσικῆς.

ἀνθίσαμαι δοτικῇ.

ἀνθομολογησόμεθα ἀντὶ τοῦ εὐχαριστήσομεν· Δαβίδ (Ps. 79 13) "ἀνθομολογησόμεθά σοι ὁ θεός," ὑπὲρ τῆς εὐεργεσίας ὁμολογοῦμεν χάριτας, καὶ ἀναγράπτους ταύτας ποιήσομεν. καὶ ἀνθωμολογεῖτο διηγεῖτο· (Polyb. 29 6) "ὁ δὲ ἀνθωμολογεῖτο πρός τινας τῶν ἐν Ῥώμῃ μετὰ ταῦτα μηδὲν ἑωρακέναι φοβερώτερον καὶ δεινότερον φάλαγγος Μακεδονικῆς." καὶ αὖθις "ταῦτα μὲν ἀνθωμολογήσαντο πρὸς ἀλλήλους" ἀντὶ τοῦ συνέθεντο, συνεφώνησαν. καὶ αὖθις (Diog. L. 2 40) "περὶ Σωκράτους τάδε ἐγράψατο καὶ ἀνθωμολογήσατο Μέλητος."

ἄνθος λέγεται καὶ ἡ λευκὴ θρίξ· ἔνθεν καὶ φάλανθος ὁ φαλακρός.

ἀνθοσμίας εὐώδης οἶνος, εὔοσμος, ἀπὸ a
τόπου Ἀνθοσμίου, ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου· ἢ ὁ ἡδὺς καὶ περίοσμος καὶ ἀνθηρός. sch. A Plut. 808.

ἀνθοσμίας εὐώδης οἶνος, ἐγκειμένου b
τοῦ ἄνθους καὶ τῆς ὀσμῆς, παραγώγως ἀνθόσμιος ἀνθοσμίας. τὸν δὲ χυδαῖον οἶνον καρηβαρίτην ἔλεγον. Ἀριστοφάνης Βατράχοις (1150) "Διόνυσε, πίνεις οἶνον οὐκ ἀνθοσμίαν," ἀντὶ τοῦ μεθύεις, κραιπαλᾷς σκληρὸν οἶνον πίνων.

ἀνθ' ὅτου ἀνθ' οὗ τινός.

ἄνθρακες ὁ θησαυρὸς ἦσαν, παροιμία ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθά, κακουμένων δὲ ἀφ' ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς.

ἀνθρακιά πεπυρακτωμένοι ἄνθρακες. Ὅμηρος (I 213) "ἀνθρακιὴν στορέσας, ὀβελοὺς ἐφύπερθε τάνυσσε." καὶ ἐν ἐπιγράμματι (AP 6 105) "τρῖγλαν ἀπ' ἀνθρακιῆς καὶ φυκίδα σοὶ λιμενῖτιν, Ἄρτεμι, δωρεῦμαι." καὶ ἀνθρακίδες λεπτοὶ ἰχθύες ὀπτοί· καὶ πάντα τὰ ἐπ' ἀνθράκων ὀπτώμενα οὕτω λέγεται. καὶ ἀνθράκιον βραχὺ τριποδίσκιον παρὰ Ἀλέξιδι.

ἀνθρήνη. εἶδος σφηκὸς ἡ ἀνθρήνη, καταχρῶνται δὲ οἱ ποιηταὶ καὶ ἐπὶ μελισσῶν. καὶ ἀνθρήνια· (A Vesp. 1075) "ἐξελεῖν ἡμῶν πρὸς βίαν τἀνθρήνια," τὰς μελίσσας δηλονότι. (Nub. 947) "τὠφθαλμὼ κεντούμενος ὥσπερ ὑπ' ἀνθρηνῶν ὑπὸ τῶν γνωμῶν ἀπολεῖται." συγγενής ἐστι τῇ μελίσσῃ ἡ ἀνθρήνη, σφηκὶ παραπλησία· καὶ τὸ πλάσμα ἀνθρήνιον.

ἄνθρυσκα ἄγρια λάχανα παραπλήσια ἀνήθοις, οἷα καὶ τὰ μάραθρα.

ἀνθρωπαρέσκεια ἡ πρὸς ἀνθρώπους σπουδή.

ἀνθρωπεία φύσις (Thuc. 2 50).

ἀνθρωπείως ἀντὶ τοῦ συμμέτρως παρὰ Ἀριστοφάνει ἐν Βατράχοις (1069). καὶ ἀνθρωπίνως ἀντὶ τοῦ καρτερικῶς, ὑπομονητικῶς· Πολύβιος (18 16) "συμβέβηκε τὰς μὲν ἐν ταῖς ἐπιτυχίαις ἐξουσίας μὴ δύνασθαι φέρειν ἀνθρωπίνως, ἐν δὲ ταῖς περιπετείαις εὐλαβῶς ἵστασθαι καὶ νουνεχῶς."

ἀνθρωπίζω τὰ τῶν ἀνθρώπων φρονῶ.

ἀνθρώπινον· ⟨Diog. L. 4 7⟩ "δῆθεν διωκομένην ὑπό τινων τὴν ἑταίραν καταφυγεῖν εἰς τὸ οἰκίδιον, τὸν δὲ ἕνεκα τοῦ ἀνθρωπίνου εἰσδέξασθαι αὐτήν." καὶ ἀνθρωπινώτερος.

ἀνθρωποδαίμονες· ⟨Procop. Arc. 12⟩ "δαίμονες ὄντες ἀνθρώπειόν τε ἠμπέσχοντο σῶμα, καὶ ἀνθρωποδαίμονες γεγενημένοι τῷ τρόπῳ τούτῳ ξύμπασαν κατέσεισαν τὴν οἰκουμένην."

ἀνθρωπόλεθρος ὁ φονεύς.

a ἄνθρωπος τὸ προσηγορικόν. καὶ "Ἄνθρωπος ἴδιον ὄνομα τοῦ ὀλυμπιονίκου πύκτου οὗ ἐν Ἠθικοῖς Ἀριστοτέλης μνημονεύει" ⟨Alex. Aphr. in Top. 1 p. 61⟩. "ἀλλ' ἔγωγε, ἔφην, ταύτης μόνης ἐπιδεῖσθαι νομίζω τῆς μαντικῆς τοὺς ἀνθρώπους εἶναι βουλομένους καὶ μὴ δίκην θηρίων ἔξω κεχηνέναι ἐς προνομὰς ἀπεράντους." οὕτω φησὶ Δαμάσκιος ὁ φιλόσοφος.

b ἄνθρωπος. ⟨Polyb. 17 15⟩ "τὸ τῶν ἀνθρώπων γένος, δοκοῦν πανουργότατον εἶναι τῶν ζῴων, πολὺν ἔχει λόγον τοῦ φαυλότατον ὑπάρχειν· τὰ μὲν γὰρ ἄλλα ζῷα ταῖς τοῦ σώματος ἐπιθυμίαις αὐταῖς δουλεύοντα διὰ μόνας ταύτας σφάλλεται, τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ προσδεδοξοποιημένον οὐχ ἧττον διὰ τὴν ἀλογιστίαν ἢ διὰ τὴν φύσιν ἁμαρτάνει."

ἄνθρωπος ἀνθρώπου δαιμόνιον, παροιμία ἐπὶ τῶν ἀπροσδοκήτως ὑπὸ ἀνθρώπου σωζομένων καὶ δι' αὐτοῦ εὐδοκιμούντων. καὶ ἄνθρωπος εὔριπος, τύχη εὔριπος, διάνοια εὔριπος, ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων.

ἄνθρωπος αὐτὸς ἑαυτοῦ βελτίων γίνεται κατὰ τρεῖς τρόπους, πρῶτον μὲν ὁμιλίᾳ τῇ πρὸς θεόν· ἀνάγκη γὰρ τὸν προσιόντα αὐτῷ κατ' ἐκεῖνο καιροῦ χωρίζεσθαι πάσης κακίας, εἰς δύναμιν ὁμοιοῦντα ἑαυτὸν τῷ θεῷ. δεύτερον ἐν τῷ εὖ ποιεῖν· θεοῦ γὰρ τοῦτο καὶ θείας μιμήσεως. τρίτον ἐν τῷ ἀποθνήσκειν· εἰ γὰρ κατὰ ποσόν τι ἡ ψυχὴ τοῦ σώματος ἐν τῷ ζῆν τὸ ζῷον χωριζομένη βελτίων γίνεται ἑαυτῆς, ἔν τε τοῖς ὕπνοις κατὰ τοὺς ὀνείρους καὶ ἐν ταῖς ἐκστάσεσι τῶν νόσων μαντικὴ γίνεται, πολλῷ μᾶλλον βελτιοῦται ὅταν τέλεον χωρισθῇ ἀπὸ τοῦ σώματος. Vita Pythagorae ap. Phot. p. 439 a.

ἄνθρωπος λυπησιλόγος. σημαίνει μὲν ὁ λυπῶν διὰ τὸ λέγειν τοὺς πέλας. Κρατῖνος.

ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ πατρός, πλὴν ὅσον εἰκάσαι, ἀπὸ θυννοσκοπείου ἐπὶ τὴν ἡγεμονικὴν ἀπήνην ἁλάμενος. Synes. ep. 57.

ἄνθρωπος πρόδοξος ὁ πρὶν ἢ σαφῶς ἐξετάσαι δοξάζων.

ἄνθρωπος φιλοπραγματίας ἐπὶ πολυπράγμονος.

ἀνθυπουργῆσαι τὸ ἀνταποδοῦναι χάριν. Σοφοκλῆς Κολχίσιν "ἦ φῂς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν;"

ἀνθυπωμοσία ἀντὶ τοῦ ὑπειπεῖν τῇ ὑπωμοσίᾳ. οὕτω Δημοσθένης κατὰ Ὀλυμπιοδώρου ⟨25⟩. Harp.

ἀνθῶ ἀεί.

ἀνία λύπη. τὸ νι μακρόν. ⟨S Ai. 972⟩ "Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἔστιν, ἀλλ' ἐμοὶ λιπὼν ἀνίας καὶ γόους διοίχεται."

ἀνιαθείς λυπηθείς.

Ἀνιακκάς ᾠδῆς ὄνομα, ὡς Περιμανὼς καὶ Μανέρως· Εὔβουλος Καμπυλίωνι. cf. v. Μανέρως.

ἀνιαρόν λυπηρόν, καὶ ἀνιαρότερον. λέγεται καὶ ἀνιγρόν.

ἀνιγρός ὁ φαῦλος λέγεται, καὶ ἀνιγρὸν τὸ ἀνιαρόν.

ἀνιδιτί καὶ ἀνιδρωτί χωρὶς ἱδρῶτος. ⟨Theophyl. Sim. p. 47⟩ "οὐ γὰρ ἀνιδρωτὶ καὶ ἀπεριμερίμνως τάδε παρεστήσαντο τὰ πολίσματα." καὶ αὖθις ⟨X Cyr. 2 29⟩ "ἀνιδρωτὶ πρὸς τὸ ἄριστον οὐκ ἤρχοντο οἱ τοῦ Κύρου στρατιῶται διὰ τὸ ἡδέως ἐσθίειν καὶ ὑγιαίνειν." καὶ ἄλλα πλεῖστα.

ἀνίδρυτοι ἀστήρικτοι. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ⟨α' 52⟩ ἀντὶ τοῦ ἀνεξίλαστος.

ἀνίει ἠφίει, ἐνεδίδου, ἐχαυνοῦτο· "οὐδέν τι πλέον ἀνίει ὁ νεανίας," καὶ αὖθις "ὁ δὲ οὐκ ἀνίει τοῦ δρόμου." καὶ ἀντὶ τοῦ ἔληγεν· "ὁ δὲ ἱκετεύων ὑπὲρ πάντων οὐκέτι ἀνίει," καὶ αὖθις "ὁ δὲ ζητῶν οὐκ ἀνίει καὶ λαμβάνων οὐκ ἐνεπίμπλατο," καὶ αὖθις "οἱ δὲ τὸ πολὺ τῆς τόλμης παρελύθησαν, οὐ μὴν ἀνίεσάν γε, ἀλλὰ παρακελευόμενοι σφίσιν αὐτοῖς πάσῃ δυνάμει προσέκειντο τῇ πολιορκίᾳ." καὶ αὖθις "μήτε νύκτωρ μήτε μεθ' ἡμέραν ἔτι ἀνιέντι τοῦ πλοῦ."

ἀνιείς ἀφιείς, ἢ παρορμῶν.

ἀνιεμένη κόλπον ⟨Hom. Χ 80⟩ ἀνέλκουσα καὶ ἀναχαλῶσα τὸν πέπλον, ἀπογυμνοῦσα τὸ κατὰ τοὺς μαστοὺς κόλπωμα. καὶ ⟨β 300⟩ "αἶγας ἀνιεμένους."

ἀνιέντα ἐνδόντα.

ἀνιέρειος ᾧ ἱερεῖα μὴ θύεται, καὶ ἀνίερος ὁ ἱερῶν μὴ μετέχων.

ἀνιερώσαντες ἀναθέντες.

ἀνιηθέντα ⟨Hom. Β 291⟩ λυπηθέντα.

ἀνιηρέστερος λυπηρότερος.

ἀνίησι καταλιμπάνει.

ἀνίησιν ἐνδίδωσιν.

ἄνιθι ἄνελθε.

ἀνιλλομένη καθυποκρινομένη. κυρίως δὲ ἀνίλλεσθαι τὸ ἀπαξιοῦν.

ἀνιμᾶσθαι ἀντλεῖν, ἀρύεσθαι, ἀναφέρειν, καὶ ἀνιμώμενος ἀντλῶν, ἀνέλκων· ἱμονιὰ γὰρ τὸ ἀντλητήριον, ἀπὸ τοῦ ἱμάς, καὶ ἱμητὸν τὸ ἀντλητόν. καὶ ἀνιμῆσθαι διὰ τοῦ η.

ἀνίμων τοῖς δόρασιν ⟨X Anab. 4 2 8⟩ ἀντὶ τοῦ ἀνεῖλκον.

ἄνιππος ἵππων ἐστερημένος· Ἀριστοφάνης Νεφέλαις ⟨124⟩ "ἀλλ᾽ οὐ περιόψεταί μ᾽ ὁ θεῖος Μεγακλέης ἄνιππον."

ἀνίπτοις ποσὶν ἀντὶ τοῦ ἀνετοίμως καὶ χωρίς τινος παρασκευῆς. παροιμία "ἀνίπτοις ποσὶν ἀναβαίνων ἐπὶ τὸ τέγος" ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα καὶ πράξεις ἀφικνουμένων. καὶ Ὅμηρος ⟨Π 235⟩ "ἀνιπτόποδες χαμαιεῦναι."

ἄνισον τὸ μὴ ὂν ἴσον. σημαίνει δὲ καὶ εἶδος βοτάνης. καὶ ἀνισοφυές ἀνόμοιον. ἰστέον ὡς ἔνια τῶν ἐναντίων στερήσει θατέρου λέγεται, οἷον ἄνισον ἐναντίον μέν ἐστι τῷ ἴσῳ, στερητικὸν δὲ ὄνομα. οὐ γὰρ οἰκείαν τινὰ φύσιν σημαίνει, ὥσπερ τὸ κακὸν ἐναντίον τῷ ἀγαθῷ ὄν, ἀλλὰ σημαίνει ἀπόφασιν τοῦ ἐναντίου ἐν τῷ πεφυκότι δέχεσθαι ἀμφότερα· τὸ γὰρ ἄνισον οὐκ ἴσον ἐστὶν ἐν τοῖς ποσοῖς, ἃ πέφυκε δέχεσθαι καὶ ἰσότητα. ὁμοίως καὶ τὸ ἀνόμοιον οὐχ ὅμοιον ἐν τοῖς ὁμοιότητος δεκτικοῖς. τοιοῦτον δ᾽ ἡ στέρησις· ἀπόφασις γάρ ἐστιν ἐν τοῖς τὴν ἕξιν πεφυκόσι δέχεσθαι. οὐ μὴν ἄντικρυς στέρησις τὸ ἄνισον καὶ τὸ ἀνόμοιον, ἀλλ᾽ ἐναντία, τὸ μὲν τῷ ἴσῳ, τὸ δὲ τῷ ὁμοίῳ. διαφορὰ δ᾽ αὐτῶν πρὸς τὰς κυρίως στερήσεις, ὅτι ἀπὸ μὲν τῆς στερήσεως οὐκ ἔστιν ἐπάνοδος πρὸς τὴν ἕξιν, ταῦτα δὲ μεταβάλλειν οἷά τε ἐπὶ τὰ ἀντικείμενα· καὶ γὰρ τὸ ἄνισον ἴσον ἂν γένοιτο καὶ τὸ ἀνόμοιον ὅμοιον."

ἀνιστάμεναι αἰχμαλωτιζόμεναι.

ἀνίστη ἀντὶ τοῦ ἐφίστη. καὶ ἀνίστω ἀντὶ τοῦ ἀνίστασο Ἀμειψίας.

ἀνίσχαδον τὴν ἄτοκον καὶ ἀθήλαστον. cf. v. σχαλίσαι.

ἀνίσχων ἀνατέλλων, καὶ ἀνίσχουσα ἀναδύνουσα.

ἀνίτω ἀναδιδόσθω.

ἀνιχνεύω σε.

ἀνιώμενος ⟨X Anab. 4 2 8⟩ λυπούμενος.

ἀνιωχμός ⟨Hom. Θ 21⟩ ἡ μάχη.

ἂν μὴ παρῇ κρέα, ταρίχει στερκτέον. παρεγγυᾷ ἡ παροιμία ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

ἄννηττον τὸ ἄννησον διὰ δύο ν καὶ διὰ δύο τ.

Ἀννίβας ὁ Καρχηδόνιος οὕτως ἐκαλεῖτο ⟨Appian. Ib. 6⟩ "οἱ γὰρ Καρχηδόνιοι στρατηγὸν ἀπέφηναν Ἀσδρούβαν τὸν τοῦ Βάρκα κηδεστήν. ὁ δὲ Ἀννίβαν τὸν οὐ πολὺ ὕστερον ἀοίδιμον ἐπὶ στρατηγίαις, παῖδά τε ὄντα τοῦ Βάρκα καὶ τῆς γυναικός οἱ γινόμενον ἀδελφόν, ἔχων ἐν Ἰβηρίᾳ νέον ὄντα καὶ φιλοπόλεμον καὶ ἀρέσκοντα τῷ στρατῷ ὑποστράτηγον ἀπέφηνε, καὶ τῆς τε Ἰβηρίας τὰ πολλὰ προσηγάγετο πιθανὸς ὢν ὁμιλῆσαι, ἔς τε τὰ βίας δεόμενα τῷ μειρακίῳ χρώμενος.

φύσει δὲ φιλοπόλεμος ἦν ὁ Ἀννίβας, καὶ οὔποτε ἀργίαν ἔφερεν ⟨Appian. 7 17⟩. ὕστερον δὲ ἐπὶ τρυφῆς ἦν οὐ συνήθους, ἐρωμένην τε εἶχεν ἄγριος ἀνήρ, καὶ εὐθὺς αὐτῷ κατ᾽ ὀλίγον ἐτρέπετο πάντα ⟨7 43⟩.

φησὶ δὲ Πολύβιος ⟨3 15⟩ ὡς Ἀννίβας νέος μὲν ἦν, πλήρης δὲ πολεμικῆς ὁρμῆς, ἐπιτυχὴς δὲ ἐν ταῖς ἐπιβολαῖς, πάλαι δὲ παρωρμημένος πρὸς τὴν κατὰ τῶν Ῥωμαίων ἔχθραν.

ὅτι Ἀννίβᾳ τῷ Καρχηδονίων στρατηγῷ ἐδηλώθη παρὰ Ἄμμωνος ὡς ἀποθανὼν γῇ καλυφθήσεται Λιβύσσῃ. καὶ ὁ μὲν ἤλπισεν ἀρχὴν τῶν Ῥωμαίων καθαιρήσειν καὶ ἐν Λιβύῃ τελευτήσειν, Φλαμινίου δὲ τοῦ Ῥωμαίων στρατηγοῦ σπουδὴν ποιουμένου λαβεῖν αὐτὸν ζῶντα ἀφίκετο παρὰ Πρυσίαν ἱκέτης, καὶ ἀπωσθεὶς ἀπ᾽ αὐτοῦ ἀνεπήδα τε ἐπὶ τὸν ἵππον καὶ γυμνωθέντος τοῦ ξίφους τιτρώσκεται τὸν δάκτυλον, προελθόντι δὲ οὐ στάδια πολλὰ πυρετὸς ἀπὸ τοῦ τραύματος καὶ ἡ τελευτὴ τοῦ βίου συνέβη· τὸ δὲ χωρίον ἔνθα συνέβη ἀποθανεῖν, ἐκάλουν οἱ Νικομη-

δεῖς Λίβυσσαν. καὶ Ἀθηναίοις δὲ μάντευμα ἦλθεν ἐκ Δωδώνης Σικελίαν οἰκίζειν, καὶ οὐ πόρρω τῆσδε λόφος ἐςὶν ἡ Σικελία οὐ μέγας. οἱ δὲ οὐ συμφρονήσαντες τὸ εἰρημένον ἔς τε ὑπερορίους ςρατείας προήχθησαν καὶ ἐς τὸν Συρακουσίων πόλεμον. Pausan. 8 11 6.

ὅτι θαυμαςόν ἐστι καὶ μέγιστον σημεῖον γεγονέναι τῇ φύσει τὸν ἄνδρα τοῦτον ἡγεμονικὸν καὶ πολύ τι διαφέροντα τῶν ἄλλων πρὸς τὸν πραγματικὸν τρόπον· ιζ´ γὰρ ἔτη μείνας ἐν τοῖς ὑπαίθροις, πλεῖςά τε ἔθνη καὶ βάρβαρα διεξελθὼν καὶ πλείςοις ἀνδράσιν ἀλλοφύλοις χρησάμενος συνεργοῖς πρὸς ἀπηλπισμένας καὶ παραδόξους ἐπιβολάς, ὑπ᾽ οὐδενὸς ἑκουσίως ἐγκατελείφθη τῶν ἅπαξ αὐτῷ κοινωνησάντων καὶ δόντων ἑαυτοὺς εἰς χεῖρας. ὅπερ καὶ τὰ νῦν ἐμπολιτεύεται. Polyb. 24 9.

ὅτι τὸ μέγεθος τῆς τοῦ Ἀννίβου νίκης τῆς πρὸς Ῥωμαίους καὶ τῆς τῶν ἐναντίων συμφορᾶς ὑπ᾽ ὄψιν ἀγαγεῖν τοῖς Καρχηδονίοις μηχανώμενος, τρεῖς μεδίμνους Ἀττικὰς πλήρεις χρυσῶν δακτυλίων εἰς τὴν Λιβύην ἀπέπεμψεν, οὓς ἄρα τοὺς ἱππικοὺς καὶ βουλευτικοὺς ἄνδρας σκυλεύσας ἀνῄρητο. Dio Cass. fr. 57 28.

ὅτι ἄνδρες τινὲς Καρχηδονίων ἐπὶ κατασκοπῇ τῶν ἐναντίων ςαλέντες ὑπὸ Ἀννίβου τοῖς Ῥωμαίοις περιπίπτουσιν· οὓς ἀχθέντας ὡς αὐτὸν ὁ Πόπλιος κακὸν μὲν οὐδὲν εἰργάσατο, περινοςῆσαι δὲ κελεύει τὸ ςρατόπεδον, καὶ δεῖπνον ἑλομένυς ἀποχωρεῖν σώυς, ἀπαγγελοῦντας Ἀννίβᾳ τὰ περὶ τὴν ςρατιὰν ὡς ἔχει Ῥωμαίοις. cf. Polyaen. 8 16 8.

Ἀννίκερις Κυρηναῖος φιλόσοφος, ὃς Ἐπικούρειος ἐγένετο, καίτοι ὢν Παραβάτου γνώριμος τοῦ Ἀριςίππου ἀκηκοότος. ἦν δὲ τῷ Ἀννικέριδι καὶ ἀδελφὸς Νικοτέλης ὄνομα, φιλόσοφος, μαθητὴς δὲ αὐτοῦ ἐπιφανὴς Ποσειδώνιος. ἐκ τούτου αἵρεσις ἡ καλουμένη Ἀννικέρειος. ἦν δὲ ἐπὶ Ἀλεξάνδρου. cf. Diog. L. 2 86.

Ἄννος κρίβανον, παροιμία ἐπὶ τῶν καινόν τι ἐφευρηκότων· Ἄννος γὰρ Αἰγύπτιος ἐς τὴν τῶν ἄρτων ὄπτησιν ἐπενόησε τὸν κρίβανον. sch. A Ach. 86.

ἀννουμῖνος ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις. οἱ δὲ ἀδνούμιόν φασιν. cf. v. ἀδνούμιον.

ἀνοδίᾳ ἐπίρρημα τοπικόν. ⟨Polyb. 3 19⟩ "οἱ δὲ πλείους ἀνοδίᾳ καὶ κατὰ τὰς νήσους διεσπάρησαν."

ἄνοδον ἀδιέξοδον· Ξενοφῶν ⟨Anab. 4 8 10⟩ "τῇ μὲν γὰρ ἄνοδον τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος."

ἀνόδοντον. Κοριαννοῖ Φερεκράτης "ἀνὴρ γέρων ἀνόδοντος ἀλήθει."

ἀνόητα τὰ ἀφροδίσια καὶ ἡ λαγνεία, τουτέςι μωρά· μωραίνειν γὰρ τὸ ἀφροδισιάζειν ἔλεγον. Ἀριςοφάνης ⟨Nub. 416⟩ "οἴνου τ᾽ ἀπέχῃ καὶ γυμνασίων καὶ τῶν ἄλλων ἀνοήτων," τουτέςι μωρῶν. ἢ ἀνοήτων ἀνεπιςημόνων.

ἀνόθευτον γνήσιον, ἀπαραποίητον, καθαρόν.

ἄνοια ἡ ἀναισθησία.

ἀνοίγει καὶ **ἀνοίγνυσι**, διχῶς. ἀνοίγω γὰρ τὸ διαχωρίζω, καὶ "ἀνοιγομένοις τοῖς κτήνεσιν" ἀντὶ τοῦ σχιζομένοις Ἡρόδοτος ⟨4 58⟩. "ἀνοιγνυμένων δὲ τῶν τάφων ὑφ᾽ ἡλίῳ μάρτυρι, καὶ τῶν ὀςῶν ἀτίμως ἐκκομιζομένων ἐς ταφὰς ἰδιώτιδας."

ἀνοιδήσας ἀναφλεγμήνας, ἀναφυσηθείς· "ὁ δὲ ἀνοιδήσας ὀργῇ εἶπε, κακὸς κακῶς ὑμᾶς διολῶ."

ἀνοίκειος ἀντὶ τοῦ ἀπρεπής.

ἀνοικίσαι τὴν πόλιν ἀντὶ τοῦ ἀνακτίσαι.

ἀνοίκτως σκληρῶς, ἀνελεημόνως.

ἀνοιμωκτὶ ἀςενάκτως. καὶ **ἀνοιμώξατε** ἀλαλάξατε.

ἀνοινάριος ⟨i. e. ἀννωνάριος⟩, ὡς ἡ κοινὴ συνήθεια.

ἄν οἶνον αἰτῇ, κονδύλους αὐτῷ δίδου, παροιμία ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων κακὰ δὲ λαμβανόντων. ἡ ἱςορία ἀπὸ τῦ Κύκλωπος οἶνον αἰτήσαντος καὶ τυφλωθέντος. cf. v. κόνδυλον.

ἄνοις ἀντὶ τοῦ ἀνύοις Φρύνιχος.

ἀνοῖσαι κομίσαι, καὶ **ἀνοιςέον** δεῖ κομίζειν. καὶ "ἀνοίσω σοι βόας" ἀνενέγκω, φέρω.

ἄνοισις ἀνακόμισις.

ἀνομβροῦσαι ἀναβλύζουσαι.

ἀνομείτω παρανομείτω.

ἀνομένης παυομένης, ἀνυομένης.

ἀν᾽ ὅμιλον ⟨Hom. Γ 449⟩ κατὰ τὸ πλῆθος.

ἄνομος ὁ παράνομος, ἄνωμος δὲ διὰ τοῦ ω μεγάλου ὁ μὴ ἔχων ὦμον, ἐξ οὗ καὶ ἄνωμοι Πελοπίδαι οὕτω καλούμενοι.

ἀνόνητα ἀνωφελῆ· "τὰ γὰρ περιττὰ κἀνόνητα σώματα πίπτει βαρείαις πρὸς θεῶν δυσπραξίαις" (S Ai. 58), οἷον ὁ Αἴας.

ἄνοντος ἀνύοντος.

ἀνόπαια (Hom. α 320) εἶδος ὄρνιθος.

ἀν' ὄπιν εἰς πρόσωπον.

ἄνοπτοι ἀθέατοι· "οἱ δὲ Ἕλληνες ἐπὶ θάτερα τῆς νήσου ὥρμησαν ἄνοπτοι τοῖς πολεμίοις."

ἀνοργίας ἀμυησίας· ὄργια γὰρ τὰ μυστήρια. καὶ ἀνοργιάστοις τῶν μυστηρίων ἀπείροις· (A Lys. 898) "τὰ τῆς Ἀφροδίτης ἀνοργίαστά σοί ἐστιν" ἀντὶ τοῦ οὐκ ὠργίασας τῇ Ἀφροδίτῃ· ἀτέλεστά σοι ἐστίν.

ἄνοργοι ἀντὶ τοῦ ἄνευ ὀργῆς Κρατῖνος.

ἀνόρεκτος ὁ μὴ ὀρεγόμενός τινος, ὁ πρὸς τὰ προσφερόμενα βρώματα ἀηδῶς διακείμενος.

ἀνορταλίζειν. καὶ ἀνωρτάλιζες κάπρος ὀρχοῦ, ἐπῄρου, καὶ ταχέως ἐπίστευες πρὶν δοκιμάσαι. ὀρταλίζειν δὲ λέγεται ἐπὶ τῶν ἀρχομένων ἀναπτεροῦσθαι ὀρνέων. Ἀριστοφάνης (Eq. 1341) "τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις, ἀνωρτάλιζες κἀκερουτίας" ἀντὶ τοῦ μετεωρίζου καὶ μέγα ἐφρόνεις. ἀπὸ δὲ τῶν κερατοφορούντων ἡ λέξις.

ἀνορωρυγμένον, οὐχὶ ἀνωρυγμένον λέγουσιν. Μένανδρος Ὑδρίᾳ "εὐθὺς καταχρήσασθαι τὸν ἀνορωρυγμένην ταύτην ἰδόντα."

ἀνόσιον βέβηλον, ἀνίερον, ἄθυτον. Αἰλιανός "ὁ δὲ τἄλλα ὢν ἀνόσιος τοῦτο γοῦν πείθεται τῷ θεῷ." καὶ ἀνοσιώτατος ἀνοσίως.

ἀνόστους ἀνεπιστρέπτους· νόστος γὰρ ἡ εἰς τὰ οἰκεῖα ἐπάνοδος, παρὰ τὸ τῆς πατρίδος ἡδύ. Αἰλιανός "ὁ δὲ τοὺς θεοσύλας ἀπέπεμψε καὶ ἔθηκεν ἀνόστους, τοῦτο δὴ τὸ Ὁμηρικόν."

Ἀνουβίδειον τόπος τις.

ἀν' οὖς ἔχων (Aeschyl. Lycurgo) ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων. καὶ Σοφοκλῆς (OC 674) "τὸν οἰνῶπ' ἀνέχουσα κισσόν" ἀντὶ τοῦ ἄνω ἔχουσα.

ἀνουτητί (Hom. Χ 371) ἄνευ τρώσεως.

ἀνοχή ἡ ὑπομονή.

ἀνοχλίσας ἀνακινήσας.

ἀνοψία σπάνις τῶν ὄψων.

ἀντ' ἀγαθῶν ἀγαθίδες, παροιμία ἐπὶ τῶν εὖ πασχόντων ἀνθ' ὧν εὐεργέτησαν πρότερον.

ἀνταγωνιστής πολέμῳ καὶ μάχῃ ἰσοστάδην· "ἀφ' οὗ δὴ καὶ ἀνταγωνιστὴς ἀξιόμαχος ἐπὶ πολὺ τοῖς Ῥωμαίοις ἐγένετο" (Dio Cass. 67 6). cf. v. δεινός b.

ἀνταία ἡ Ῥέα. καὶ Ἀνταῖος ὄνομα κύριον.

ἀνταίρω, δοτικῇ, φιλονεικῶ.

ἀντάλλαγμα οἱ κατὰ σάρκα πρόγονοι τοῦ Χριστοῦ, οὓς ἴχνη καὶ ἀντάλλαγμα ἐκάλεσαν οἱ ἑβδομήκοντα ἑρμηνευταί. Theodoret. in Ps. 88 52. cf. v. ἴχνη.

ἀντάλλαγον καλοῦσι τὸν ἀντὶ ἑτέρου ἠλλαγμένον, οὐχὶ ἄνταλλον. Μένανδρος Κανηφόρῳ "ἐδεῖτο χρῆσαι τὴν σεαυτῆς θυγατέρα ἀντάλλαγον." Χήρᾳ "ἐκοῦσα δ' ἀδελφὴ ποιήσει τοῦτό σοι ἀντάλλαγόν γ' ἔξουσα τούτῳ διδομένη." καὶ ἐν Ἁλιεῖ "ἐκλελάκτικεν ὁ χρηστὸς ἡμῖν μοιχός, ἀλλ' ἀντάλλαγος."

ἀντ' ἄλλης ἀρχῆς ἐστὶ τοῦτο δρᾶν (A Eccl. 614), τουτέστιν ἀντὶ τοῦ ἄρχειν τὸ καινοτομεῖν, τῶν δὲ ἀρχαίων ἀμελεῖν.

ἀνταμείρομαι.

ἀνταναιρεῖται κτείνεται, καὶ ἀνταναιρέθη ἀντεφονεύθη.

ἀντανακλωμένη (Sap. Salom. 17 19) κατὰ ἀνάκλασιν ἀπό τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ὅταν ἀντηχῇ, καὶ ἐπὶ φωτὸς ἡλιακοῦ, ὅταν λείῳ τινὶ ἢ λαμπροτάτῳ ὕδατι προσπέσῃ.

ἀντανήγοντο ἀντιπαρετάσσοντο, ἀντεφέροντο. "ἀντανήγοντο οὖν καὶ οἱ βάρβαροι, καὶ τὴν τοῦ Παχύνου παρέπλεον ἀκτήν, κατὰ β' στοιχηδὸν ταξάμενοι τὰς ναῦς." καὶ αὖθις "οἱ γὰρ ἐνταῦθα ὑπὲρ ἐλευθερίας ἀποθανόντες ἀντανήγοντο τῇ Οἴτῃ."

ἀντανίσχομεν προβαλλόμεθα. καὶ ἀντανίσχοντο ἀντιπαρετάσσοντο.

ἀνταπαιτῆσαι κἀπαιτῆσαι Θουκυδίδης τρίτῃ (58) καὶ τετάρτῃ (5 17, an 4 19), καὶ ἀνταποδοῦναι καὶ ἀνταπολαμβάνειν Δημοσθένης ἐν τῷ κατὰ Λεπτίνου (46).

ἀντάρης νυκτερὶς ὄψεσι φησὶ Σοφοκλῆς.

ἀνταυγεῖς κόρας· "στρέψον ἀνταυγεῖς κόρας" (A Thesm. 909) ἀντὶ τοῦ τὰς κόρας σου ἀντιπροσώπους μοι στρέψον. "καὶ δι' ἀνταύγειαν χιόνος καὶ σκληρότητα τῆς ἀναβαλλομένης ἀνακλάσεως ἐφθείροντο" (Diodor. Sic. 17 82).

Ἀντέας ὄνομα κύριον.

ἀντεγκλήμασι· "ταύτῃ καὶ τοῖς ἀντεγκλήμασι τοῖς περὶ τῶν δώρων οὐκ ἀπεκρινάμην."

Ἄντεια ὄνομα κύριον ἑταίρας ⟨Demosth. 59 19⟩. τινὲς δὲ Ἄνθεια γράφουσιν.

ἀντελαμβάνοντο· "ὕπνοι τε αὐτῆς ἀεὶ μακρότατοι ἀντελαμβάνοντο" ἀντὶ τοῦ διεδέχοντο, "ἡμερινοὶ μὲν ἄχρι πρώτων νυκτῶν, νυκτερινοὶ δὲ ἄχρις ἡλίȣ ἀνίσχοντος."

ἀντεμήνισεν ἀντωργίσθη· "ὃ δὲ παθὼν ἀνήκεςα καὶ τῆς πατρῴας ἑςίας διωχθεὶς παρὰ τὴν δίκην, ὅμως οὐκ ἀντεμήνισεν."

ἀντεμπλήσαντες ἀνταποδόντες· Ξενοφῶν ⟨Anab. 4 5 28⟩ "οἱ δὲ θαρρεῖν ἐκέλευον, λέγοντες ὅτι οὔτε τέκνων ςερήσοιτο, τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων."

ἀντεξάγειν ἀντιπαρατάσσεσθαι, ἀντεπιέναι.

ἀντεπεξελθεῖν δοτικῇ. καὶ *ἀντεπεξέρχομαι.*

ἀντεπῄει ⟨Polyb. 11 1⟩ ἀντεπήρχετο.

ἀντεπιτίθησι ἀντὶ τοῦ ἀντεπιστέλλει Ἰσαῖος. Harp.

ἀντεπιχειρεῖν. παρὰ Ἀριςοτέλει ⟨Top. 8 3⟩ ἀντεπιχειρεῖν λέγεται. ἔςι δὲ ἀντεπιχειρεῖν τὸ πρὸς τὰ λεγόμενα μὲν μὴ φέρειν ἔνςασιν, ἐπιχειρεῖν δὲ δι' ἄλλων τινῶν καὶ αὐτὸν πάλιν συλλογίζεσθαι ὅτι μὴ ἀληθὲς τὸ δεικνύμενον. ὁ γὰρ πρὸς μὲν τὸν δεικνύντα λόγον ὅτι ἡ ψυχὴ οὐκ ἀθάνατος διὰ τὸ εἶδος αὐτὴν ἔνυλον εἶναι, μηδὲν δ' ἔνυλον εἶδος χωριςὸν εἶναι τῆς ὕλης, μὴ ἐνιςάμενος, δεικνύναι δὲ πειρώμενος δι' ἄλλων τινῶν πάλιν αὐτὴν ὅτι ἔςιν ἄφθαρτος, ἤτοι διὰ τοῦ λαμβάνειν ὅτι αἱ μαθήσεις ἀναμνήσεις ἢ ὅτι αὐτοκίνητος, ἀντεπιχειρεῖ, οὐκ ἐνίςαται. Alex. Aphrod. p. 266.

ἀντερεῖ ἀντιλέξει.

ἀντερείδει ἀντὶ τοῦ οὐχ ὑπείκει.

ἀντερώμενος ἀντεπιθυμῶν.

Ἀντέρως ὁ καὶ Ἀπολλώνιος, Ἀλεξανδρεὺς γραμματικός, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Κλαυδίου τοῦ μετὰ Γάιον βασιλεύσαντος, ἐφ' οὗπερ καὶ Ἡρακλείδης ὁ Ποντικὸς γέγονεν· ἀκουςὴς δὲ ἦν Ἀπίωνος τοῦ μόχθου. φέρονται αὐτῷ βιβλία περὶ γραμματικῆς δύο. "καὶ τοῦτο δὴ τὸ ὑμνούμενον ὄνομα ἀντέρως ἐν τοῖσδε τοῖς γενναίοις ἐσώζετο," ἀντὶ τοῦ ἀλλήλους ἠγάπων· "Χαρίτων γὰρ καὶ Μελάνιππος εἰς ἔρωτα ἀλλήλοιν συνεπνευσάτην, καὶ ὁ μὲν Χαρίτων ἐραςὴς ἦν, Μελάνιππος δὲ τὴν ψυχὴν ὁ ἐρώμενος ἐς τὸν φίλον τὸν ἔνθεον ἀναφλεχθεὶς ἰσότιμον τὸ τοῦ πόθου κέντρον ἀνεδείκνυτο." cf. vv. ἀναβολή et συνεπνευσάτην.

ἀντέσχε γενναίως ἔφερεν· "καὶ πρότερον ληφθείς τις ἀπὸ τῶν Ἰουδαίων πρὸς πᾶσαν αἰκίαν βασάνων ἀντέσχεν." Ioseph. B. I. 3 7.

ἀντετόρησεν ⟨Hom. E 337⟩ εἰς τὸ ἐναντίον ἦλθε τιτρώσκων, διεπέρασε· τορῶ γὰρ τὸ τρυπῶ.

ἀντ' εὐεργεσίης Ἀγαμέμνονα τῖσαν Ἀχαιοί. ἡ παροιμία κατὰ τῶν τοὺς εὐεργέτας προπηλακιζόντων ἤγουν ὑβριζόντων.

ἀντεύφρασμα τὸ ἐναντίον τῇ εὐφροσύνῃ Ἀγάθων.

ἀντεφέροντο ⟨Hom. E 701⟩ ἠναντιοῦντο.

ἀντεφιλοτιμοῦντο ἀντὶ τȣ ἡμιλλῶντο καὶ ἤριζον καὶ ἀντηγωνίζοντο. τοῦτο δὲ τὸ ἀντιφιλοτιμεῖσθαι πρώτης ἐςὶ συζυγίας τῶν περισπωμένων καὶ μόνον. ἔςι δέ τινα ῥήματα ἃ δύο συζυγιῶν εὑρέθη, οἷον σκηνῶ σκηνεῖς καὶ σκηνᾷς, καὶ ἀτολμῶ ἀτολμεῖς καὶ ἀτολμᾷς.

ἀντεφοδεύω. καὶ *ἀντεφώδευκα* ἀντὶ τοῦ ἀντεπέτρεχον.

ἀντέχει, δοτικῇ, ἀντὶ τοῦ ἐξαρκεῖ. Δείναρχος δὲ ἀντὶ τοῦ σώζεται, Δημοσθένης καὶ Ὑπερίδης ἀντὶ τοῦ ἀντιλαμβάνεται. "καὶ οἱ ἵπποι αὐτοῖς μηδὲ πρὸς τὸ φεύγειν ὑπὸ τοῦ πηλοῦ ἔτι ἀντεῖχον." καὶ αὖθις "ἀμελετήτους ὄντας κρύει ἀντέχειν" ἀντὶ τοῦ ὑπομονητικῶς ἔχειν. καὶ αὖθις "ταῖς ἐπιθυμίαις ἀντέχων." καὶ αὖθις "ἡ σύγκλητος ὑπολαβοῦσα τοὺς Αἰτωλοὺς ἀντέχειν ταῖς κατὰ τὸν Ἀντίοχον ἐλπίσιν, ἀπράκτους ἀπέςειλεν εἰς τὴν Ἑλλάδα" ⟨Diodor. t. 2 p. 621⟩. καὶ *ἀντεχόμενος* ἀντιλαμβανόμενος.

ἀντεχειροτόνησεν ἀντέλεγεν· ⟨A Eccl. 444⟩ "εἰ δὲ κἀκεῖνα προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἄν."

Ἀντήνωρ ὄνομα κύριον. καὶ συςέλλει. καὶ *Ἀντηνορίδης* ὁ τοῦ Ἀντήνορος παῖς.

ἀντήρεις ἀντιθέτους, ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις. μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσι καὶ μὴ εἰς θάτερον περιωθῆται ἡ ναῦς. ἀντήρεις οὖν ἀντικτυ-

τοῦσας τοῖς θρήνοις· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον Ἠλέκτρα. ⟨S El. 89⟩ "πολλὰς δ' ἀντήρεις ᾔσθου στέρνων πληγὰς αἱμασσομένων." ἀντῆρις δὲ ἀντήριδος, καὶ σημαίνει τὴν θυρίδα.

ἀντήρχουν ἐξίσχυον, ἠδύναντο· "πρὸς τὰς παρατάξεις ἀντήρχουν μόλις."

ἀντιάζει ἐναντιοῦται.

ἀντιάνειραι ⟨Hom. Γ 189⟩ ἴσανδροι, ἐναντιούμεναι τοῖς ἀνδράσιν.

ἀντιάσας μετασχών. ἐν ἐπιγράμματι ⟨AP 6 28⟩ "δῶρα φέρει τρομεροῦ γήραος ἀντιάσας." καὶ αὖθις Σοφοκλῆς ⟨El. 1009⟩ "ἀλλ' ἀντιάζω πρὶν πανωλέθρους τὸ πᾶν ἡμᾶς τ' ὀλέσθαι κἀξερημῶσαι γένος."

Ἀντιάτας τοὺς ἀπὸ Ἀντίου πόλεως, ἣ ἀπέχει Ῥώμης τ' σταδίους. Harp.

ἀντιβληθέντος ἀντὶ τοῦ ὑπαγορευθέντος Δείναρχος λέγει. Harp.

ἀντιβόλησις καὶ ἀντιβολία παράκλησις, ἱκετηρία· Θουκυδίδης ⟨7 75⟩ "πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες." καὶ ἀντιβολῆσαι ἀπαντῆσαι, μετασχεῖν. καὶ ἀντιβολῶ τὸ ἱκετεύω. πεποίηται δὲ παρὰ τὸ ἄντομαι καὶ βάλλω.

ἀντιβολῶ δοτικῇ· "φωναὶ δὲ παρὰ πάντων οἰκτραὶ ἀντιβολοῦσαι καὶ ἀντηχοῦσαι αὐτοῖς." αἰτιατικῇ δέ ⟨Demosth. 21 188⟩ "ὑμεῖς δὲ τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖσθε παρεστάναι καὶ τὸν ὅρκον ὃν ὀμωμόκατε, τούτοις ἀξιοῦντα καὶ ἀντιβολοῦντα ἕκαστον ὑμῶν."

Ἀντιγενίδης Σατύρου Θηβαῖος μουσικός, αὐλῳδὸς Φιλοξένου. οὗτος ὑποδήμασι Μιλησίοις πρῶτος ἐχρήσατο, καὶ κροκωτὸν ἐν τῷ Κωμαστῇ περιεβάλετο ἱμάτιον. ἔγραψε μέλη.

Ἀντιγόνη ὄνομα κύριον. καὶ Ἀντιγόνειος. καὶ Ἀντιγόνειος κλίνη τοῦ Ἀντιγόνου.

Ἀντίγονος. οὗτος ἐκλήθη εὐεργέτης καὶ σωτὴρ παρὰ πᾶσι τοῖς Ἕλλησι ⟨Polyb. 5 9⟩. "νικήσας γὰρ μάχῃ Κλεομένην τὸν τῶν Λακεδαιμονίων βασιλέα ἐγκρατὴς ἐγένετο καὶ τῆς Σπάρτης, αὐτός τε ὢν κύριος ὅ βούλοιτο χρῆσθαι καὶ τῇ πόλει καὶ τοῖς ἐμπολιτευομένοις, τοσοῦτον ἀπεῖχε τοῦ κακῶς ποιεῖν τοὺς γεγονότας ὑποχειρίους ὡς ἐκ τῶν ἐναντίων ἀποδοὺς τὸ πατρικὸν πολίτευμα καὶ τὴν ἐλευθερίαν, καὶ τῶν μεγίστων ἀγαθῶν αἴτιος γενόμενος καὶ κοινῇ καὶ κατ' ἰδίαν Λακεδαιμονίοις... καὶ οὐ μόνον ἐκρίθη παρ' αὐτὸν τὸν καιρὸν εὐεργέτης, ἀλλὰ καὶ μεταλλάξας σωτήρ."

ἀντιγόχνοιαι ⟨an ἀντύγων χνόαι⟩ οἱ τροχοὶ τοῦ ἅρματος.

ἀντιγραφεὺς ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι αὐτά. οὕτω Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος ⟨70⟩, ἀλλὰ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ⟨25⟩. δύο δὲ ἦσαν, ὃ μὲν τῆς διοικήσεως, ὃ δὲ τῆς βουλῆς. Harp.

ἀντιγραφή. ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων διαδικασίαις, ὅταν τις ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον· ἐπὶ τῶν τοιούτων γὰρ λέγεται ἀντιγραφή. κοινῶς δὲ τὰ ἐν ταῖς δημοσίαις δίκαις τῶν δικαζομένων γράμματα, καὶ λέγεται ὁμοίως τά τε τοῦ διώκοντος καὶ τὰ τοῦ φεύγοντος ἀντιγραφή. λέγεται δὲ οὕτω καὶ τὰ μαρτύρια. Πλάτων μέντοι ἐν τῇ Σωκράτους ἀπολογίᾳ ⟨p. 27 C⟩ ἀντωμοσίαν καὶ ἀντιγραφὴν τὸ αὐτὸ λέγει. Harp.

ἀντιδιαστέλλεται ἀντιδιίστησιν.

ἀντίδορον τὸ τοῦ δέρματος δέρμα· ἐν ἐπιγράμματι ⟨AP 6 22⟩ "καὶ κάρυον χλωρῆς ἀντίδορον λεπίδος."

ἀντίθεσις σχῆμα λέξεώς ἐστι, καθ' ἣν ἀντιτιθέασιν ἀλλήλοις τὰ ἐναντία ἢ κατὰ μέρος ἢ ἀθρόα. οὕτως Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ ⟨1⟩. Harp.

ἀντικάθηται ἀντὶ τοῦ ἐναντιοῦται. καὶ ἀντικαθίσταται ὁμοίως· "οὐ δυνάμενος τῷ πλήθει ἀντικαθίστασθαι."

ἀντὶ κακοῦ κυνὸς σῦν ἀπαιτεῖς, παροιμία ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀπαιτούντων.

ἀντικαταλλαττόμενος. οὐ μόνον ὅταν σπένδηταί τις ἢ εἰς φιλίαν ἔρχηται πρὸς ὃν γέγονεν αὐτῷ διαφορά, τῷ καταλλαττόμενος ἐχρήσαντο οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀμείβοντος χρυσίον ἐν τῷ δήμῳ πολλάκις. Δημοσθένης ⟨19 114⟩ "ἀλλὰ καὶ ἐδείκνυεν ὑμᾶς τυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων κἂν μὴ χειροτονῆτε ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος ἐπὶ ταῖς τραπέζαις."

ἀντικατέστησαν ἠναντιώθησαν· Διόδωρος ⟨t. 2 p. 645⟩ "οἱ δὲ ὑπολειφθέντες ἀντικατέστησαν ἀλλήλοις."

ἀντικατηγορεῖσθαι. τὸ ἴδιον ἀντικατηγορεῖται τοῦ πράγματος καὶ μόνῳ ὑπάρχει καὶ ἀεί, ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικόν. καὶ τοῦτό ἐστιν ἀντικατηγορεῖσθαι, τὸ μόνῳ καὶ πάντη ὑπάρχειν.

ἀντικείμενα. τὰ ἀντικείμενα τετραχῶς ἀντίκειται· ἢ γὰρ ὡς κατάφασις καὶ ἀπόφασις, ἢ ὡς τὰ ἐναντία, ἢ ὡς ἕξις καὶ στέρησις, ἢ ὡς τὰ πρός τι. καὶ καθ' ἑκάστην ἀντίθεσιν οἰκεία τις ἀκολουθία, ἀφ' ἧς ἀκολουθίας ὑπογράφει πῶς οἷόν τε ὁρμωμένους κατασκευάζειν τι καὶ ἀνασκευάζειν. ἀλλ' οὐκ ἐπὶ πασῶν τῶν ἀντιθέσεων ἡ ἀκολούθησις ὁμοίως, ἀλλ' ἐπὶ μὲν τῆς ἀντιφάσεως ἀνάπαλιν ἡ γινομένη ἀκολούθησις ἔχει· εἰ γὰρ τὸ καλὸν ἡδύ, τὸ οὐχ ἡδὺ οὐ καλόν, ἀλλ' οὐχὶ τὸ οὐ καλὸν οὐχ ἡδύ. καὶ τὰ λοιπὰ ἐπὶ τοῖς τόποις. Alex. Aphrod. in Aristot. Top. 2 p. 101.

Ἀντικλείδης. οὗτος ἔγραψε περὶ Νόστων.

ἀντίκρισις ἀντὶ τοῦ ἀπόκρισις. οὕτως Ἀναξίλας.

ἀντικρύ κατέναντι, ἐξ ἐναντίας. ἄντικρυς δὲ διόλου ἢ παντελῶς ἢ φανερῶς, δι' ἐναντίας. ὁ δὲ ποιητὴς ⟨Γ 359⟩ ἐκτεταμένως λέγει καὶ δίχα τοῦ σ· "ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα." ἢ ἄντικρυς ἀντὶ τοῦ αὐτίκα, φανερῶς· "ὑποβλήτους ἂν εἴποι τις αὐτοὺς εἶναι καὶ νόθους ἄντικρυς" ⟨cf. v. ὑπόβλητος⟩ ἀντὶ τοῦ ἀληθῶς. "εἶδον δὲ καὶ τὴν εἰκόνα αὐτοῦ ἄντικρυς ἀπαγγέλλουσαν τὴν τοῦ ἀνδρὸς ὄψιν, οἷος ἦν τὴν φύσιν." καὶ ὁ κανών· τὰ εἰς υς ἐπιρρήματα εἰ λέγοιτο ἄνευ τοῦ σ, ἰσοχρονεῖν θέλει, μεσηγὺς μεσηγύ. τὸ μέντοι ἀντικρὺ μεταβαλὸν τὸν τόνον μετέβαλε καὶ τὸν χρόνον.

ἄντικρυς κατέναντι, ἐξ ἐναντίας. οἱ δὲ γλωσσογράφοι καὶ Ἀπολλόδωρος ὁ Κυρηναῖος καὶ ἕτερά φασι δηλοῦν· καὶ γὰρ διαμπερές, καὶ ἰθύς, καὶ εὐθύς, καὶ ἐπ' εὐθείας, καὶ ἰσχυρῶς, καὶ σαφῶς, καὶ ἀκριβῶς, καὶ ἁπλῶς. οἱ δέ φασιν, ἀκριβέστερον οἶμαι λέγοντες, ὅτι μετὰ τοῦ σ λεγόμενον τὰ εἰρημένα δηλοῖ, ἄνευ δὲ τοῦ σ, οἷον ἀντικρύ, τὸ κατέναντι μόνον καὶ ἐξ ἐναντίας.

Ἀντίκυρα ὄνομα χωρίου τινός.

ἀντικυρίας σοι δεῖ ⟨an Ἀντικύρας⟩ ἀντὶ τοῦ ἐξουσίας.

ἀντιλαμβανόμενοι κρατοῦντες, ἐξεχόμενοι· "μεῖναί τε αὐτὸν ἠξίουν καὶ κατέχειν ἀντιλαμβανόμενοι ἐτόλμων."

ἀντιλέγειν ἀντὶ τοῦ ἴσα λέγειν Πλάτων ⟨Criton. p. 50E⟩.

ἀντίληψις ἀντὶ τοῦ ἐπίληψις Πλάτων ⟨Phaed. p. 87A⟩. ἀντιλήπτωρ δὲ ὁ ἀντιλαμβανόμενος.

ἀντιλογιῶν Θουκυδίδης δ' ⟨59⟩. καὶ ἀντιλογῆσαι Νεφέλαις ⟨320⟩ Ἀριστοφάνης.

Ἀντίμαχος Κολοφώνιος, υἱὸς Ὑπάρχου, γραμματικὸς καὶ ποιητής. τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι· ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου. γέγονε δὲ πρὸ Πλάτωνος.

Ἀντίμαχος ἕτερος, Ἡλιοπολίτης ἀπ' Αἰγύπτου, ὃς ἔγραψε κοσμοποιίαν ἐν ἔπεσιν ἡρωικοῖς γψ'.

Ἀντίμαχος ὁ ψεκάδος. οὗτος μελῶν ἦν ποιητής, ψεκὰς δὲ ἐκλήθη ἐπειδὴ προσέρραινε τοὺς ὁμιλοῦντας διαλεγόμενος. ἦν δέ τις καὶ Ὀλυμπικὸς καλούμενος ψεκὰς διὰ τοῦτο. ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεποιηκέναι, μὴ δεῖν κωμῳδεῖν ἐξ ὀνόματος· καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον ληψόμενοι τὸν χορόν, καὶ δῆλον ὅτι πολλοὶ τῶν χορευτῶν ἐπείνων. οἱ δὲ λέγουσιν ὅτι ποιητὴς ὢν καλός, χορηγῶν μικρολόγως τοῖς χορευταῖς ἐχρήσατο. sch. A Ach. 1150.

Ἀντιμάχου καταπυγοσύνης ἀναπλήσει ⟨A Nub. 1023⟩ ἀντὶ τοῦ μαλακίας· οὗτος γὰρ εἰς θηλύτητα καὶ εὐμορφίαν κωμῳδεῖται. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος, καὶ τρίτος ὁ ψεκάδος λεγόμενος, καὶ τέταρτος τραπεζίτης, οὗ μνημονεύει καὶ Εὔπολις ἐν Δήμοις. πέμπτος ἱστοριογράφος.

ἀντιμίσιον παρὰ Ῥωμαίοις τράπεζα πρὸ τοῦ δικαστηρίου κειμένη.

ἀντινομῶ δοτικῇ.

ἀντί νυ πολλῶν λαῶν ἐστὶν ἀνὴρ ὅντε Ζεὺς κῆρι φιλήσει" ⟨Hom. I 116⟩. ἴσος ἐστὶν ὁ εἷς ἀνὴρ πολλοῖς, ὅταν ᾖ θεοφιλής.

ἀντίξοον ἐναντίον, πολέμιον. Ἡρόδοτος ⟨6 7⟩ "καὶ στρατὸν συλλέγειν ἀντίξοον Πέρσῃσι." καὶ ἀντίξουν ἐναντίον· Ἀγαθίας ⟨1 14⟩ "ὁ δὲ ἐχώρει οὐδὲν ἀντίξουν ἔσεσθαι ὑποτοπήσας."

Ἀντιόπη θυγάτηρ Νυκτέως, ἣν ἔφθειρέ τις τῶν πολιτῶν. ὁ δὲ πατὴρ πέμπει αὐτὴν

τῷ ἀδελφῷ κολάσαι, ὃ δὲ ἔγκυον αὐτὴν θεασάμενος ᾤκτειρεν. ἣ δὲ γεννᾷ Ζῆθον καὶ Ἀμφίονα, οὓς εἰς ὄρος ἔρριψεν ὁ θεῖος. εἶχε δὲ γυναῖκα ὀνόματι Δίρκην, ἥτις ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκον φιλεῖν τὴν Ἀντιόπην, ἀνάγει αὐτὴν εἰς ὄρος, καὶ δήσασα αὐτὴν ἀπὸ τραχήλου ταύρου καὶ ἀνάψασα δᾷδας ἀπὸ τῶν αὐτοῦ κεράτων ἔμελλεν αὐτὴν ἀπολλύειν. ἣ δὲ ἐθρήνει, καὶ θορύβου γενομένου ἠθροίσθη πλῆθος γεωργῶν, σὺν οἷς καὶ Ζῆθος καὶ Ἀμφίων. καὶ γνωρίσαντες τὴν μητέρα ἐρρύσαντο αὐτήν, τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρίᾳ. Ζῆθος δὲ καὶ Ἀμφίων κτίζουσι Θήβας καὶ βασιλεύουσι, καὶ τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ Ἰοκάστου τοῦ μετακληθέντος Οἰδίποδος. cf. Arsen. p. 61.

ἀντίος ὁ κατέναντι· "ἧκε δ' αὐτοῦ ἀντίος."

Ἀντιόχεια ἡ πόλις. πεποίηται μὲν ὑπὸ Σελεύκου, ὠνόμασται δὲ ἀπὸ τοῦ παιδὸς Ἀντιόχου. καὶ Ἀντιοχίς ὄνομα φυλῆς.

a Ἀντίοχος ὁ αὐτόμολος Κίλιξ μὲν ἦν τὸ γένος, ὃς φιλοσοφεῖν κυνηδὸν τὰ πρῶτα ἐπλάττετο, καὶ πλεῖστά γε ἐκ τούτου τοὺς στρατιώτας ἐν τῷ πολέμῳ ὠφέλησεν· ἀπαλγοῦντας γὰρ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπερρώννυεν, ἔς τε τὴν χιόνα ῥιπτῶν ἑαυτὸν καὶ ἐν αὐτῇ καλινδούμενος· ὅθεν περ καὶ χρημάτων καὶ τιμῶν παρὰ τοῦ Σευήρου καὶ τοῦ Ἀντωνίνου ἔτυχεν. ἐπαρθεὶς δὲ ἐπὶ τούτοις τῷ Τηριδάτῃ συνεξητάσθη, καὶ μετ' αὐτοῦ πρὸς Πάρθους ηὐτομόλησεν. Dio Cass. 77 19.

b Ἀντίοχος ὁ βασιλεύς. οὗτος ἐδόκει κατὰ τὰς ἀρχὰς γεγονέναι μεγαλεπήβολος καὶ τολμηρὸς καὶ τοῦ προτεθέντος ἐξεργαστικός, προβαίνων δὲ κατὰ τὴν ἡλικίαν ἐφάνη πολὺ καταδεέστερος αὐτοῦ καὶ τῆς τῶν ἐκτὸς προσδοκίας. Polyb. 15 extr.

ἐκ γὰρ τῶν παίδων τοῦ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐξῆλθε ῥίζα ἁμαρτωλός, οὗτος ὁ ἐπιφανής, υἱὸς Σελεύκου τοῦ φιλοπάτορος, ὃς ὑπάρχων δεινὸς ἀνὴρ καὶ πλεονέκτης καὶ πολλὰς ἁρπαγὰς καὶ λεηλασίας ποιήσας συνῆξε χρήματα πολλά, καὶ ἐκ πολλῆς ἀκολασίας καὶ οἰστρηλασίας εἰς μίμους ἑαυτὸν καθεὶς ἐν ὄψει πάντων ταῖς γυναιξὶν ἐπεμαίνετο. καὶ καταλαβὼν τὴν Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ καὶ ἅρμασι καὶ ἐλέφασι καὶ στόλῳ μεγάλῳ ταύτης ἐκράτησεν. ὑποστρέψας δὲ μετὰ ἀπονοίας εἷλε καὶ τὴν Ἱερουσαλὴμ δοριάλωτον, καὶ κατέσφαξε μυριάδας ιη'. κατατολμήσας οὖν καὶ εἰς τὸ ἁγίασμα εἰσελθὼν καὶ στήσας βωμὸν καὶ εἴδωλον βδέλυγμα ἐρημώσεως καὶ τὸν ναὸν μιάνας δι' ἀκαθάρτων θυσιῶν, ἱερὸν Διὸς Ὀλυμπίου προσηγόρευσεν. οὕτω τε ἐφ' ὑψηλοῦ καθίσας, καὶ τῶν στρατιωτῶν αὐτοῦ κύκλῳ παρεστηκότων ἐνόπλων, ἐκέλευσε τοῖς δορυφόροις ἕνα ἕκαστον Ἑβραῖον ἐπισπάσασθαι καὶ κρεῶν χοιρείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι, εἰ δὲ μὴ θέλοιεν μιαροφαγῆσαι, ἀναιρεῖσθαι τροχισθέντας. πολλῶν οὖν συναρπασθέντων, καὶ Ἐλεάζαρ τις τῶν πρώτων γραμματέων, ἤδη προβεβηκὼς τὴν ἡλικίαν, μὴ μιαροφαγήσας, μαστιγωθεὶς ἀναιρεῖται σὺν ἑπτὰ παισὶ μετὰ μητρὸς Σολομωνίδος· περὶ ὧν καὶ ὁ θεολόγος ἐν τῷ "τί δὲ οἱ Μακκαβαῖοι" ⟨or. 22⟩ μνημονεύει. ἐκπλαγεὶς δὲ ὁ τύραννος καὶ μᾶλλον ἐκμανείς, καὶ τὰ ἱερὰ σκεύη πάντα λαβὼν καὶ πᾶσαν τὴν πόλιν λαφυραγωγήσας καὶ τὰ κτήνη κρεουργήσας καὶ φονοκτονίαν ποιήσας καὶ μεγαλορρημονήσας ἀνεχώρησεν εἰς Ἀντιόχειαν. καὶ μετὰ δύο ἔτη κατὰ Περσῶν ἐπιστρατεύσας ἀπέστειλεν ἄρχοντα φορολογῆσαι τὰς πόλεις Ἱερουσαλήμ, ὃς παραγενόμενος καὶ λαλήσας εἰρηνικοὺς λόγους πρὸς τὴν Ἱερουσαλὴμ καὶ εἰσελθὼν ἐπάταξεν αὐτὴν πληγῇ μεγάλῃ, καὶ καθελὼν τὰ τείχη πᾶσαν αὐτὴν ἐνέπρησε, καὶ τὸ ἱερὸν μιάνας καὶ πολλοὺς ἀνελὼν καὶ αἰχμαλωτεύσας ἀπῄει, ἄρχοντα καταλιπὼν εἰς τὸ βασανίζειν τοὺς Ἰουδαίους. Ματθίας δέ τις ἱερεύς, ἔχων υἱοὺς πέντε ἀφ' ὧν Ἰούδας ὁ Μακκαβαῖος ἐτύγχανε, ζήλου πλησθεὶς καὶ ὁρμήσας κατὰ τοῦ ἄρχοντος ἀνεῖλεν αὐτὸν καὶ σκάπτει τοὺς τῶν Ἑλλήνων βωμούς. ἐπέρχεται οὖν αὐτῷ Ἀντίοχος μετὰ πολλῆς δυνάμεως. ὡς δὲ ἐπέτεινεν ὁ πόλεμος, Ἐλεάζαρ ἀδελφὸς Ἰούδα ἀριστεύσας συντρίβεται ὑπὸ ἐλέφαντος· ὑπεισῆλθε γὰρ τὸν ἐλέφαντα, καὶ ξίφει τὴν γαστέρα αὐτοῦ ἔτυψεν, ἐλπίσας ἐπάνω αὐτοῦ τὸν τύραννον φέρεσθαι. ἐκστρατεύσας οὖν ὁ Ἀντίοχος κατὰ Περσῶν ὑπέστρεψεν ἡττημένος, καὶ κακῶς τὸν βίον ἀπαλλάττει. cf. Cedren. p. 162.

ὅτι ὁ αὐτὸς Ἀντίοχος τὸ τῶν Ἰουδαίων ἔθνος στασιάσαν πρὸς τὸν συνήθη φόρον αὖθις κατεδούλωσε. συλήσας τε τὰ τοῦ ἱεροῦ ἀναθήματα καὶ διερευνήσας ἅπαντα εὗρεν ἀγαλμάτιον [illegible] ἐν ταῖς χερσὶ κατέχον

πώγωνά τε ἐπιφερόμενον βαθύν, ᾧ δὴ καὶ λυχνίδιον παρεισήκει διάχρυσον. ταῦτα χοιρείοις αἵμασιν ἀναλαβὼν ἐν τῷ ἱερῷ κατέλιπε, καὶ πολλοῖς ταλάντοις ζημιώσας πρὸς ὑπαγωγὴν φόρου τοὺς ἐνοικοῦντας Ἰουδαίους ἐπὶ τὴν Συρίαν ἐπανῆλθεν.

o Ἀντίοχος ὁ πραιπόσιτος. οὗτος διαβληθεὶς Θεοδοσίῳ τῷ μικρῷ καθῃρέθη τῆς τιμῆς, καὶ δημοσιευθεὶς ἐν τοῖς ἱερεῦσι κατετάγη, διατάξεως ἐκφωνηθείσης παρὰ τοῦ βασιλέως εὐνοῦχον ἐν τοῖς πατρικίοις μὴ τελεῖν. cf. v. ὕπατοι extr.

ἀντιοώντων (Hom. Ψ 643) ἀπαντώντων.

ἀντιπάθεια.

ἀντίπαις ὁ ἐγγὺς ὢν τοῦ ἴουλος γενέσθαι, ὁ τὸν πώγωνα ἐκφύων. ὁ δὲ Ἀριςοφάνης ὁ πρόσηβος καὶ ἀνδρόπαις εἶπεν.

ἀντίπαλον. τρία σημαίνει, τὸ ἐναντίον καὶ τὸ ἰσόπαλον καὶ τὸ ἰσόρροπον. "οὐ γὰρ ἐξ ἀντιπάλου τῆς δυνάμεως ὁ ἀγὼν ἔςαι."

ἀντιπαράκλησις· "εἰς τοιαύτην προθυμίαν παρέςη τὸ πλῆθος ὥςε παραπλησίαν ἐνθουσιασμῷ τὴν ἀντιπαράκλησιν γίνεσθαι τῶν δυνάμεων" (Polyb. 11 12).

ἀντιπαράτουρα ἀντικόσμησις, ἢ ἄλλη εὐπρέπεια· παρᾶτον γὰρ ἡ παρασκευὴ παρὰ Ῥωμαίοις.

ἀντιπαρεξάγειν ἀντιτάσσειν.

a Ἀντίπατρος. οὗτος ἐπεὶ διεδέξατο τὴν ἀρχὴν τῶν Μακεδόνων, ἐπολιορκήθη μὲν ἐν Λαμίᾳ τῆς Θεσσαλίας ὑφ' Ἑλλήνων, ἀναχωρησάντων δὲ τῶν Αἰτωλῶν, εἶτα τῶν ἄλλων ἐσώθη. νικήσας δὲ ᾔτει τοὺς δέκα ῥήτορας, οὓς ἐξέδοσαν Ἀθηναῖοι, Δημοσθένην Ὑπερίδην Λυκοῦργον Πολύευκτον Ἐφιάλτην Θρασύβουλον Χάρητα Χαρίδημον Διότιμον Πατροκλέα [Κάσανδρον].

b Ἀντίπατρος Ἰολάου, πόλεως δὲ Παλιούρας τῆς Μακεδονίας, ςρατηγὸς Φιλίππου, εἶτα Ἀλεξάνδρου, καὶ διάδοχος βασιλείας, μαθητὴς Ἀριςοτέλους, κατέλιπεν ἐπιστολῶν σύγγραμμα ἐν βιβλίοις δυσί, καὶ ἱστορίαν, τὰς Περδίκκου πράξεις Ἰλλυρικάς. καὶ ἐπετρόπευσε μὲν τὸν υἱὸν Ἀλεξάνδρου τὸν Ἡρακλέα κληθέντα, μόνος δὲ τῶν διαδόχων θεὸν καλέσαι Ἀλέξανδρον οὐχ εἵλετο, ἀσεβὲς τοῦτο κρίνας. ἐβίω δὲ ἔτη οθ', καὶ κατέλιπεν υἱὸν καὶ διάδοχον Κάσανδρον τὸν τὴν μητέρα Ἀλεξάνδρου ἀνελόντα Ὀλυμπιάδα.

ὅτι τῶν Ἀθηναίων τὰς Ἀθήνας Ἀντιπάτρῳ τῷ Μακεδόνι παραδόντων, ἐν δέει ὄντες οἱ δημαγωγοί, πρὸς τὴν ἐπανάστασιν τοὺς Ἀθηναίους ἐπάραντες, μὴ τὴν αἰτίαν ἐπ' αὐτοὺς ἐνέγκωσιν, ἔφυγον. οἱ δὲ Ἀθηναῖοι θανάτῳ ἐρήμην τούτους κατεδίκασαν· ὧν ἦν Δημοσθένης ὁ ῥήτωρ καὶ Ὑπερίδης καὶ Ἱμεραῖος, τὴν τοῦ θανάτου εἰσήγησιν εἰσενεγκόντες. "ἐγεγόνει γὰρ εἰς οὐδὲν μετριώτερος τῇ γνώμῃ, διότι μηδὲ ἔστι φύσεως μεταβολὴ κακίᾳ συνελθούσης, ἡττᾶται δὲ αὐτῆς καὶ νόμου ἐπίταξις μὴ παντελῶς κολάζουσα, καὶ ἰσχὺς αὐτῇ ἀνανταγώνιστος ἐφ' ὅπερ ἂν ῥέψῃ· καὶ οὔτε φόβῳ ἀποτρέπεται τὸ θρασύνεσθαι, οὔτε αἰδὼς ἐξείργουσα παραπεῖσαι ἱκανή ἐστιν ἐς τὸ τῷ νόμῳ ὑπήκοον."

c Ἀντίπατρος Νικολάου τοῦ Δαμασκηνοῦ πατὴρ τοῦ ἱστορικοῦ, ὃς ἔσχε Στρατονίκην γυναῖκα, τὴν μητέρα Νικολάου· οἳ διαφανεῖς ἦσαν ἐν Δαμασκῷ κατά τε σωφροσύνην καὶ ἄλλην λαμπρότητα. πλούτῳ τε γὰρ πολλῷ διαφέροντες ἥκιστα ἐπ' αὐτῷ ἐμεγαλύνοντο, εὐδοξίας τε οὐ τὰ δεύτερα φερόμενοι βραχὺ τοῦτο ἐλογίζοντο. ὁ δὲ δὴ Ἀντίπατρος καὶ λόγου δεινότητι προέχων ἔβλαψε μὲν οὐδ' ὁντινοῦν, ὤνησε δὲ μυρία τούτῳ οὐ τὸ κοινὸν μόνον ἀλλὰ καὶ τῶν ἀςῶν συχνούς· δικαιοσύνην γὰρ ἀσκῶν εἴπερ τις ἕτερος, πλεῖςα μὲν διῄτησε νείκη τοῖς πολίταις πρὸς ἀλλήλους, πλεῖςα δὲ τῇ πατρίδι πρὸς τοὺς ἐν κύκλῳ δυνάςας. καὶ ἐτιμᾶτο ὑπὸ πάντων διὰ τοῦτο, πλείςας δὲ ἐπιςεύθη πρεσβείας καὶ ἐπιτροπάς, ἀρχάς τε πάσας διεξῆλθε τὰς ἐγχωρίους. τελευτῶν τε τὸν βίον οὐκ ἔςιν ὅ τι ἐπέσκηψε Νικολάῳ τῷ υἱεῖ καὶ Πτολεμαίῳ τῷ τούτου ἀδελφῷ ἢ τῷ Διὶ θυμιατήριον, ὅπερ ἔφθη αὐτὸς προϋπεσχημένος τῷ θεῷ, κατασκευάσαι ἐπειδὰν τελευτήσῃ, δηλῶν (οἶμαι) ὅτι τὸ πρὸς θεοὺς ὅσιον δεῖ καὶ τελευτῶντας φυλάττειν, καὶ μηδὲν ἔτι ἀπολαύσεσθαι τοῦ βίου μέλλοντας.

ἀντιπελαργεῖν παροιμία ἐπὶ τῶν τὰς χάριτας ἀντιδιδόντων. καὶ ἀντιπελάργωσις. φησὶν Ἀριςοτέλης (H. A. 9 14) ἀληθῆ εἶναι τὸν περὶ τῶν πελαργῶν λόγον· ὁμοίως δὲ αὐτοῖς ποιεῖν φησὶ καὶ τοὺς ἀερόποδας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ποτάμιον ἵππον, δηλοῦντες ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ· οἱ γὰρ πελαργοὶ δικαιοπραγεῖς ὄντες

ἐπὶ τῶν πτερύγων βαϛάζουσι τοὺς γεγηρακότας, οἱ δὲ ἱπποπόταμοι ζῷον ἀδικώτατον. sch. A Av. 1354.

ἀντιπεποιημένοι· (Polyb. 1 24) "οἱ δὲ Ῥωμαῖοι ἀντιπεποιημένοι τῆς κατὰ θάλατταν ἐλπίδος, διπλασίως ταῖς ὁρμαῖς πρὸς τὸν πόλεμον ἐχρῶντο."

ἀντιπεπονθότως ἀντικειμένως, ἐναντίως.

ἀντιπέρας παροξυτόνως ἀναγνωστέον· ὄνομα γάρ ἐϛι θηλυκόν, γενικῆς πτώσεως, σύνθετον. "ὅτι ἀντιπέρας Θάσου μέταλλα ἐϛὶ χρυσοῦ" (Thuc. 1 100).

ἀντιπερίσπασμα ἐμπόδιον· (Polyb. 3 106) "ἐξαπέϛειλαν ϛρατηγόν, βουλόμενοι ἀντιπερίσπασμα ποιεῖν τοῖς Κελτοῖς τοῖς μετὰ Ἀννίβου."

ἀντὶ πέρκης σκορπίον, παροιμία ἐπὶ τῶν τὰ χείρω αἱρουμένων ἀντὶ τῶν βελτιόνων.

Ἀντιπέ⟨ά?⟩τρεια ὄνομα πόλεως.

ἀντιπέτρου βήματος· ἀντὶ γὰρ πέτρας χαλκοῦς ἦν. ἢ ἰσοπέτρου βήματος, τοῦ κατ' ἴσον βεβηκότος τῷ πέτρῳ. χαλκοῦς δὲ ἦν ὁ ὀδός. Σοφοκλῆς (OC 192) "μηκέτι τοῦδ' ἀντιπέτρου βήματος ἔξω πόδα κλίνῃς."

ἀντιπίπτω δοτικῇ.

ἀντιπνέω δοτικῇ.

ἀντιποιηθέντα φιλονεικήσαντα· (Synes. ep. 116) "δεῖ γὰρ ἀντιποιηθέντα σοῦ πρότερον χαρίσασθαι θελήσαντι." καὶ ἀντιποιούμενον ἐπιμελῶς διακείμενον· Πολύβιος (2 47) "ὁ δὲ Ἄρατος κατανοῶν τὸν Ἀντίγονον πρᾶξιν ἔχοντα καὶ σύνεσιν καὶ πίϛεως ἀντιποιούμενον, τοὺς δὲ βασιλεῖς φύσει μὲν οὐδένα νομίζοντας οὔτ' ἐχθρὸν οὔτε πολέμιον, ἐπεβάλετο λαλεῖν πρὸς τὸν εἰρημένον βασιλέα καὶ συμπλέκειν τὰς χεῖρας." "ἀντιποιούμενοι τῆς ἀρχῆς τῷ βασιλεῖ" Ξενοφῶν Anab. 2 3 23). καὶ αὖθις "οὐδὲν ἀντιποιησάμενοι τῆς ἐκείνου δεήσεως."

ἀντιπολεμῶ δοτικῇ.

ἀντίπροικα ὅμοια· "ἀντίπροικα ὁ δῆμος ἠγανάκτησε, καὶ θροῦς ὑπεξήφθη." cf. v. τονθορύζει.

ἀντιπροκλήσεις ἀντιλογίας, ἀντεγκλήματα.

ἀντίρροπον ἰσόρροπον· "τῇ τε γὰρ Κράσσου καὶ τῶν ἀμφ' αὐτὸν φθορᾷ ἀντίρροπον γενέσθαι τὴν Πακόρου καὶ τῆς ξὺν αὐτῷ δυνάμεως ἀπώλειαν."

ἀντισήκωσις (Herodot. 4 50) ἡ ἀνταπόδοσις.

Ἀντισθένης Ἀθηναῖος, ἀπὸ ῥητόρων φιλόσοφος Σωκρατικός, ὅϛις περιπατητικὸς ἐκλήθη πρῶτον, εἶτα ἐκύνισεν, υἱὸς δὲ ὢν ὁμωνύμου πατρός, μητρὸς δὲ τὸ γένος Θρᾴσσης. οὗτος συνέγραψε τόμους δέκα, πρῶτον μαγικόν· ἀφηγεῖται δὲ περὶ Ζωροάϛρου τινὸς μάγου, εὑρόντος τὴν σοφίαν. τοῦτο δέ τινες Ἀριϛοτέλει, οἱ δὲ Ῥοδίωνι ἀνατιθέασιν. οὗτος οὖν καὶ τῆς κυνικῆς κατήρξατο φιλοσοφίας, ἥτις οὕτως ἐκλήθη διὰ τὸ ἐν Κυνοσάργει τῷ γυμνασίῳ διδάξαι αὐτόν. καὶ Διογένους δὲ καθηγητὴς γέγονε τοῦ κυνὸς καὶ τῶν λοιπῶν.

ὅτι ἀρρωϛοῦντι Ἀντισθένει μακρὰν καὶ δυσανάκλητον ἀρρωϛίαν ὁ Διογένης ξιφίδιον ἐπέδωκεν, εἰπὼν 'εἰ φίλου χρῄζεις ὑπουργίας.' οὕτως ᾤετο ἐκεῖνος οὐδὲν ἀλγεινὸν τὸν θάνατον ὥϛε γίνεσθαι τὴν ἀρρωϛίαν τρυφὴν αὐτόχρημα," ἀντὶ τοῦ παντελῶς ὅμοιον (Iulian. or. 6 p. 181).

ἀντισπᾶν ἐναντιοῦσθαι.

Ἄντισσα μία πόλις τῶν ἐν Λέσβῳ. Harp.

ἀντιϛηρίζει (Ps. 36 25) ἀντιλαμβάνεται.

ἀντιϛοιχοῦντες· "ἔϛησαν ὥσπερ μάλιϛα χοροὶ ἀντιϛοιχοῦντες ἀλλήλοις, ἔχοντες γέρρα πάντες βοῶν λευκῶν" (X Anab. 5 4 12).

ἀντιϛρόφους ἀντὶ τοῦ ἰσοϛρόφους. καὶ Ἀριϛοτέλης (Rhet. 1 1) τὴν διαλεκτικὴν ἀντίϛροφόν φησιν εἶναι τῇ ῥητορικῇ, ἐπειδὴ κἀκείνη περὶ τὰ πιθανά, ἃ τῷ ἔνδοξα εἶναι καὶ αὐτά ἐϛι τοιαῦτα. τὸ γὰρ ἀντίϛροφον ἀντὶ τοῦ ἰσόϛροφον καὶ περὶ τὰ αὐτὰ ϛρεφομένην καὶ καταγινομένην λέγει. Alex. Aphrod. in Top. p. 4.

ἀντισχεῖν ὑπομεῖναι· "ἀντισχεῖν τῷ δίψει μὴ δυνηθέντες ἐπεκηρυκεύσαντο" (cf. v. ἐπεκήρυξαν). καὶ ἀντίσχωμαι, αὐθυπότακτον, ἀντιλάβωμαι.

ἀντιτείνω δοτικῇ.

ἀντιτεχνῶμαι δοτικῇ.

ἀντιτορήσας (Hom. K 267) διατρήσας, τοιχωρυχήσας· "ἐπεὶ δ' ἀντιτορήσαντες κατά τι μέρος τὸν λόφον ἑώρων, δέος εἰσῄει σφᾶς."

ἀντιτυπῆσαι ἀντιπαθῆσαι. καὶ ἀντιτυπία ἐναντίωσις, σκληρότης· λαμβάνεται δὲ καὶ ἐπὶ ὁμοιότητος. ἐν ἐπιγράμματι (AP 6 27) "καὶ λίθον ἀντιτύπῳ χρούματι πυρσο-

τόκον." καὶ ἀντίτυπον· (Philopon. in 2 de anima M 8) "πάσης αἰσθήσεως περὶ ἕν τι γένος ἐχούσης, ἡ ἁφὴ οὐκ ἔχει περὶ ἓν κοινὸν γένος τῶν ἁπτῶν. φησὶν Ἀριςοτέλης ὅτι καὶ αὐτὴ καταγίνεται περὶ ἕν τι γένος τῶν ἁπτῶν, ἀλλ' οὐκ ἔςιν εὔδηλον τὸ ἓν γένος τὸ τῇ ἁφῇ ὑποκείμενον. διὰ δὲ τούτου ἐσήμανεν ὅτι ἔστι μέν, οὐ φανερὸν δέ. τί οὖν τοῦτό ἐστι; λέγομεν ὅτι τὸ ἀντίτυπον. ἀντίτυπον δὲ λέγω οὐ τὸ ἀντικείμενον τῷ μαλακῷ καὶ μὴ ὑπεῖκον τῇ ἁφῇ, ἀλλὰ πᾶν σῶμα φυσικὸν τὸ προσπῖπτον καὶ θιγγάνον τῆς ἁφῆς, πρὸς ἀντιδιαστολὴν τῶν μαθηματικῶν σωμάτων, ἃ οὐ θιγγάνει οὐδὲ ἀντιβαίνει τῇ ἁφῇ. τὸ οὖν ὁπωσοῦν ἀντιβαῖνον τῇ ἁφῇ τοῦτό φαμεν ἀντίτυπον, καὶ κοινὸν εἶναι γένος τῶν ἁπτῶν." καὶ ἀντιτύπους ἀνθρώπους (Plat. Theaet. p. 156 A) σκληροὺς καὶ ἀνενδότους, μεταφορικῶς ἀπὸ τοῦ ἄκμονος καὶ τῆς σφύρας. "καὶ τύπος ἀντίτυπος" φησὶν ὁ χρησμός (Herodot. 1 67).

a Ἀντιφάνης Ἀθηναῖος κωμικός, νεώτερος τοῦ Παναιτίου. ἔστι δὲ καὶ ἕτερος Ἀντιφάνης, Καρύστιος τραγικός, κατὰ Θέσπιν γεγονὼς τοῖς χρόνοις. καὶ Ἀντιφάνειος κωμῳδία τοῦ Ἀντιφάνους.

b Ἀντιφάνης Δημοφάνους, οἱ δὲ Στεφάνου καὶ μητρὸς Οἰνόης, Κιανός, ὡς δέ τινες Σμυρναῖος, κατὰ δὲ Διονύσιον Ῥόδιος, κωμικὸς τῆς μέσης κωμῳδίας, ἀπὸ δούλων, ὥς τινες. γέγονε δὲ κατὰ τὴν ςγʹ ὀλυμπιάδα, καὶ ἔγραψε κωμῳδίας τξεʹ, οἱ δὲ σπʹ· νίκας δὲ εἷλε ιγʹ. παῖδά τε ἔσχε Στέφανον, καὶ αὐτὸν κωμικόν. τελευτᾷ δὲ ἐν Κίῳ οδʹ ἐτῶν ὑπάρχων, κατά τινα τύχην ἀπίῳ βληθείς.

Ἀντιφάτης ὄνομα κύριον.

ἀντιφερίζειν (Hom. Φ 357) ἐξισοῦσθαι.

ἀντιφερίζεις ἐρίζεις· "Θεμιςοκλεῖ ἀντιφερίζεις; ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεςήν, εὑρὼν ἐπιχειλῆ" Ἀριςοφάνης φησίν (Eq. 820).

ἀντιφέρονται ἐναντιοῦνται.

ἀντιφῄς ἀντὶ τοῦ ἀντιλέγεις.

ἀντιφθέγγομαι δοτικῇ.

ἀντίφθογγον ὅμοιον· (AP 7 191) "ἡ πάρος ἀντίφθογγον ἀποκλάγξασα νομεῦσι πολλάκι καὶ δρυτόμοις κίσσα καὶ ἰχθυβόλοις."

ἀντιφιλοτιμεῖται ἀντιθεραπεύει.

Ἄντιφος (Hom. B 678) ὄνομα κύριον.

a Ἀντιφῶν Ἀθηναῖος τερατοσκόπος καὶ ἐποποιὸς καὶ σοφιςής, ἐκαλεῖτο δὲ λογομάγειρος.

Ἀντιφῶν Ἀθηναῖος ὀνειροκρίτης περὶ b
κρίσεως ὀνείρων ἔγραψεν.

Ἀντιφῶν Σωφίλου Ἀθηναῖος, τῶν δή- c
μων Ῥαμνούσιος. διδάσκαλος δὲ αὐτοῦ οὐδεὶς προγινώσκεται, ἀλλ' ὅμως ἦρξε τοῦ δικανικοῦ χαρακτῆρος μετὰ Γοργίαν, λέγεται δὲ καὶ Θουκυδίδου γενέσθαι διδάσκαλος. ἐκαλεῖτο δὲ Νέςωρ.

ἀντιφωνῶ σοι ἐγγυῶμαί σοι. σημαίνει δὲ καὶ τὸ ἀντιλέγω σοι.

ἀντίχορδα σύμφωνα.

ἀντιωρήσας.

ἀντλεῖν ἀμφοτέραις. λείπει χερσί. παροιμία ἐπὶ τῶν σπουδῇ τι ποιούντων.

ἀντλία τὸ τοῦ πλοίου εἰσρέον ὕδωρ. a
Ἀριςοφάνης (Pac. 17) "οὐ γάρ ἔθ' οἷός τ' εἴμ' ὑπερέχειν τῆς ἀντλίας," ἀντὶ τοῦ ἀντέχειν καὶ περιγίνεσθαι τοῦ πράγματος.

ἀντλία ἡ σκάφη· (A Pac. 18) "αὐτὴν b
ἄρ' οἴσω συλλαβὼν τὴν ἀντλίαν." ἀπὸ μεταφορᾶς τῶν πλοίων· λέγεται γὰρ ἀντλία καὶ ἡ τοῦ πλοίου ἐκροή. καὶ Πισίδης (c. Sever. 621) "ἐκ τῶν ἐχόντων τὰς δυσώδεις ἀντλίας." καὶ ἄντλος ἡ συγκομιδὴ τῶν ἀςαχύων ἐν τῇ ἅλῳ· (AP 6 258) "σοὶ ταύτας ἐφ' ἅλωος, ἐφ' ᾧ πολὺν ἔβρασεν ἄντλον Κρίθων καὶ λιπαρὰν εἶδε γεωμορίην."

ἀντομένη (Hom. Θ 412) συναντήσασα, καὶ ἀντόμενοι συμβάλλοντες.

ἀντονομάζει (A Thesm. 60) ὀνόματα ἀντὶ ὀνομάτων τίθησι.

ἄν τε ἄν τινος· "οἱ δὲ τῷ συνεδρίῳ τὰ μὲν ἀκούσαντες τὰ δὲ παρακούσαντες ἀπέςειλαν, φήσαντες, ἄν τε δέωνται, πέμψειν πρὸς αὐτάς."

ἀντοφθαλμῶ ἀντιβλέπω ἐξ ἐναντίας.

ἄντρα νύχια σκοτεινὰ σπήλαια.

ἀντριάσι ταῖς τοῖς ἄντροις φιλοχωρούσαις· (AP 6 224) "ὄφρ' εἴην λιπαρῶν παίγνιον Ἀντριάδων."

ἄντρον σπήλαιον, καὶ ἀντρώδη σπηλαιώδη.

Ἀντρῶνες πόλις ἐν Θετταλίᾳ. καὶ Ἀντρώνιος ὄνος ὡς μεγίςων γινομένων ἐν Ἀντρῶσιν.

ἄντυγες περιφέρειαι τῶν ἁρμάτων. (S Ai. 1029) "Ἕκτωρ μέν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα, ζωςῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων ἐκνάπτετ' αἰέν, ἔς' ἀπέψυξεν βίον."

Ἄντυλλος ῥήτωρ.

ἀντῳδή παρὰ τοῖς κωμικοῖς ἡ ἀντιςροφή. καὶ ἀντῳδόν κατάλληλον· ⟨AP 7 191⟩ "πολλάκι δὲ κρέξασα πολύθροον, οἷά τις ἠχώ, κέρτομον ἀντῳδοῖς χείλεσιν ἁρμονίαν, νῦν ἐς γᾶν ἄγλωσσος ἀναύδητός τε πεσοῦσα κεῖμαι, μιμητὰν ζῆλον ἀνηναμένα."

ἀντωμοσία γραφὴ κατά τινος ἔνορκος, περὶ ὧν ἠδικῆσθαι φησί. διωμοσία δὲ ὁ ἑκατέρωθεν γινόμενος ὅρκος ὑπὸ τῶν διαδικαζομένων, τοῦ μὲν ὡς πράξαντα διώκει, τοῦ δὲ ὡς οὐκ ἔπραξεν. ἐξωμοσία δὲ ἄρνησις σὺν ὅρκῳ ὡς ἀδυνατοῦντος ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν. Timaeus.

ἀντωμοσία. γράμματά τινα γράψαντες περὶ ὧν ἡ δίκη, ὅ τε κατηγορούμενος καὶ ὁ κατηγορῶν ἀποφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυεν, ὃ μὲν τἀληθῆ κατηγορήσειν, ὃ δὲ τἀληθῆ ἀπολογήσεσθαι. Harp.

ἀντωμοσία ἡ τοῦ ἀντιδίκου, ὑπωμοσία δέ, ὅταν τις σκήπτηται κάμνειν ἢ τι τοιοῦτον. παράςασις δὲ ἡ διδομένη τῷ γράμματι δι' οὗ τὸ ἔγκλημα γέγραπται, ὅπως ἐγγραφῇ εἰς τὰ ἐγκλήματα. πρυτανεῖα δὲ τῷ ταμίᾳ ἃ καταβάλλει ἕκαςος, ὅπως εἰσαχθῇ ἡ δίκη. Lex. Seg. p. 409.

Ἀντωνία πόλις.

ὅτι Ἀντωνῖνος ὁ βασιλεὺς ἄριςος ἦν, καὶ μάλιςα Νουμᾷ κατὰ τὰ τῆς ἡγεμονίας ὁμοιότροπον ἄξιος παραβάλλεσθαι, καθάπερ δὴ Ῥωμύλῳ Τραϊανὸς ὤφθη παραπλήσιος. τόν τε γὰρ ἰδιώτην ὁ Ἀντωνῖνος ἄριςα καὶ ἐντιμότατα διετέλεσε βίον, καὶ κατὰ τὴν ἡγεμονίαν ἀμείνων ἔδοξεν εἶναι καὶ σωφρονέςερος, οὐδενὶ τραχὺς οὐδὲ φορτικὸς ἀλλὰ πρὸς ἅπαντας χρηςός τε καὶ ἤπιος ὤν. ἔν γε μὴν τοῖς πολεμικοῖς ἀπὸ τοῦ δικαίου μᾶλλον ἢ τοῦ κερδαλέου δόξαν θηρώμενος, φυλάττειν οἵους ἦπερ εἰς μέγεθος ἐκφέρειν τοὺς τῆς ἀρχῆς ἐγίνωσκεν ἄνδρας, ὡς ἔνι μάλιςα πλείςην τοῦ δικαίου ποιούμενος ἐπιμέλειαν - - - ταῖς τῶν δημοσίων ἐφιςὰς διοικήσεσι, τοὺς μὲν ἀγαθοὺς τῶν ἡγεμόνων ταῖς παρ' αὐτοῦ τιμαῖς ἀμειβόμενος, τούς γε μὴν φαύλους δίχα τινὸς τραχύτητος τῶν κοινῶν ἀπελαύνων πραγμάτων. οὐκ οὖν ὑπὸ τῶν οἰκείων μόνον ἀλλ' ἤδη καὶ πρὸς τῶν ἀλλοφύλων ἐθαυμάζετο, ὡς τῶν προσοίκων τινὰς βαρβάρων, τὰ ὅπλα κατατιθεμένους, ἐπιτρέποντας τῷ βασιλεῖ τὰς δίκας διαλύεσθαι ταῖς ἐκείνου ψήφοις. αὐτὸς δὲ παρὰ τὸν ἰδιώτην βίον πολύ τι πλῆθος χρημάτων κεκτημένος, ἐπειδὴ παρῆλθεν εἰς τὴν ἡγεμονίαν, τὴν μὲν ἑαυτοῦ περιουσίαν εἴς τε τῶν ςρατιωτῶν καὶ τῶν φίλων ἀπανάλωσε δωρεάς, τῷ δὲ δημοσίῳ θησαυρῷ πλῆθος παντοδαπῶν ἀπέλιπε χρημάτων, τήν τε τοῦ εὐσεβοῦς ἐπίκλησιν ἐκ τοῦ ἤθους πρῶτος ἀπηνέγκατο. Io. Antioch. p. 818.

Ἀντωνῖνος βασιλεὺς Ῥωμαίων, ὁ Σε- b
βήρου. πρὸς τοῖς ἄλλοις κακοῖς καὶ ταῖς μιαιφονίαις καὶ οἱ ςρατιῶται, τοῦ βιάζεσθαι καὶ ἁρπάζειν λαβόντες ἐξουσίαν, οὐκέτι κατ' οὐδὲν διεκρίνοντο. τοιαῦτα δὲ πράττων, ὑπό τε τῶν ἔργων ⟨an ἐρινύων⟩ ἐλαυνόμενος καὶ πρὸς τὴν ἐν τῇ πόλει διατριβὴν ἀπεχθῶς ἔχων ἀπεδήμει τῆς Ῥώμης ὡς δὴ καὶ τὰ ςρατόπεδα διοικήσων καὶ τὰ ἔθνη ἐποψόμενος. ἐπεὶ δὲ τὸν Ἴςρον κατέλαβε, καὶ τοὺς ἐκεῖσε Γερμανοὺς ἐφιλοποιήσατο, ὡς καὶ συμμάχους παρ' αὐτῶν λαβεῖν καὶ τοῦ σώματος φρουρούς, καὶ ταῖς φορεσίαις αὐτῶν χρῆσθαι. οὕτω τε καὶ ὑπὸ τῶν βαρβάρων καὶ ὑπὸ τῶν ςρατιωτῶν ἠγαπᾶτο, κοινὸς ὢν πρὸς ἅπαντας, ὡς συςρατιώτης μᾶλλον ἢ βασιλεὺς παρ' αὐτῶν χαίρειν λεγόμενος. ἐπεὶ δὲ καὶ ἐς τὴν Μακεδονίαν ἀφίκετο, Ἀλέξανδρον ἑαυτὸν ὠνόμασεν, ἐκεῖθέν τε εἰς Πέργαμον παραγέγονε καὶ ἐπὶ τὸν Ἀχιλλέως τάφον, καὶ ςεφάνοις κοσμήσας καὶ ἄνθεσι τὸν Ἀχιλλέα ἐμιμεῖτο. καὶ διὰ τῆς Ἀσίας καὶ τῶν ἄλλων ἐθνῶν εἰς Ἀντιόχειαν ἀφίκετο, καὶ διατρίψας χρόνον τινὰ ἐπὶ τὴν Ἀλεξάνδρειαν ἐςέλλετο, πρόφασιν ποιούμενος ποθεῖν τὴν Ἀλεξάνδρου πόλιν. ὡς δὲ ἐσήλασεν ἐν αὐτῇ σὺν παντὶ τῷ ςρατῷ, ὑπεδέχθη παρὰ τῶν Ἀλεξανδρέων ὡς οὔπω τις βασιλέων πρότερον. καὶ ἐλθὼν εἰς τὸ Ἀλεξάνδρου μνῆμα, τήν τε χλαμύδα ἣν ἐφόρει καὶ τὸν δακτύλιον καὶ τὴν ζώνην, καὶ εἴ τι πολυτελές, περιελόμενος ἐπέθηκε τῇ ἐκείνου σορῷ. ὁ δὲ δῆμος ἔχαιρεν, οὐκ εἰδὼς τὴν τούτου λανθάνουσαν γνώμην. ἔγνω γὰρ ὅτι πολλὰ ἐς αὐτόν τε καὶ τὴν μητέρα ἀπέσκωψαν. διὰ δὲ προγράμματος τὴν νεολαίαν εἴς τι πεδίον κελεύει συνελθεῖν, φήσας εἰς τὴν Ἀλεξάνδρου τιμὴν φάλαγγα βούλεσθαι συςήσασθαι· οἱ δὲ συνῆλθον ἀγαθαῖς ἐλπίσι. ςιχηδὸν δὲ ἑςῶτας ἰδὼν αὐτὸς μὲν ἐξῆλθεν, ἐπαφῆκε δὲ τοὺς ςρατιώτας καὶ πάντας συνέκοψαν. τοσοῦτος δὲ ἐγένετο φόνος ὥςε τὸν

Νεῖλον φοινιχθῆναι. Io. Antioch. exc. Peir. p. 825.

ὅτι Σεβῆρος καὶ πάνυ πᾶσι τοῖς εἰς ἀρετὴν τείνουσι καὶ κατὰ τὸ σῶμα καὶ κατὰ ψυχὴν ἤσκησε τὸν Ἀντωνῖνον, ὥςε καὶ αὐτοκράτορα ἤδη ὄντα καὶ διδασκάλοις συνεῖναι καὶ τὸ πολὺ τῆς ἡμέρας φιλοσοφεῖν. ἐξηραλοίφει τε καὶ ἵππευε καὶ ἐς ν' καὶ ψ' ςαδίυς, καὶ προσέτι καὶ νήχεσθαι καὶ ἐν κλύδωνι ἠσκεῖτο. ὃ δὲ ἐκ μὲν τούτων τρόπον τινὰ ἐρρώσθη, τῆς δὲ δὴ παιδεύσεως ὡς οὐδὲ τοὔνομα αὐτῆς πώποτε ἀκηκοὼς ἐπελάθετο. οὐ μέντοι καὶ κακορρήμων ἢ κακογνώμων ἦν, ἀλλὰ καὶ συνίει πολλὰ ὀξύτατα καὶ ἔφραζεν ἑτοιμότατα· τῇ τε γὰρ ἐξουσίᾳ καὶ τῇ προπετείᾳ, τῷ πάνθ' ὁμοίως τὰ προσιςάμενά οἱ ἀπερισκέπτως ἐκλαλεῖν καὶ τῷ μηδὲν αὐτῶν ἐκφαίνειν αἰσχύνεσθαι, ἐπιτυχίᾳ τινὶ πολλάκις περιέπιπτεν. Dio Cass. 77 11.

Ἀντώνιος Ἀλεξανδρεύς, ὃς ἐνδεέστερον ἔχων πρὸς τοὺς λόγους οὐ πάνυ τις ἦν ἀκριβής, πρὸς δὲ ἀλήθειαν ἱερώτατος ἐγεγόνει, καὶ λίαν ἔρρωτο τὴν ψυχὴν πρὸς θεῦ θεραπείαν τήν τε δημοτελῆ τήν τε ἀπορρητοτέραν, ὥςε καὶ τὴν Γάζαν ἀπέφηνεν ἱερωτέραν πολλῷ μᾶλλον ἢ πρότερον ἦν. ἐμβὰς δὲ εἰς πολιτικὰς ὑποθέσεις καὶ δικασάμενος ὑπὲρ τῆς ἀδελφῆς προίξη αὐτῆς ἐκθυμότερον τοῦ μετρίυ, καὶ ὑπερεδικάσατο κατὰ τὸ καρτερώτατον, οὔτε χρόνου φειδόμενος εἰς οὐδὲν δέον δαπανωμένου, οὔτε δόξης ἀμείνονος ἐπιςροφήν τινα ποιησάμενος. ἤκουσε γὰρ κακῶς ὑπὸ τῶν τότε ἀνθρώπων οὐχ ὡς ἀδικῶν ἀλλ' ὡς φιλοδικῶν· ἀνέβη γὰρ καὶ εἰς τὸ Βυζάντιον ἐπὶ τῇ δίκῃ, καὶ σφόδρα φιλόνεικος ἔδοξέ τις εἶναι. περιγενόμενος δὲ τῶν ἀντιδίκων ταύτην μὲν ἐξέδωκεν ἑτέρῳ ἀνδρί, αὐτὸς δὲ ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ τὸ λοιπὸν τοῦ βίου διετέλει, ὀλίγα μὲν ἐν φιλοσοφίᾳ, τὰ δὲ πλείω διαιτώμενος ἐν τοῖς ἱεροῖς. ἁπλοῦς δὲ ἦν τὸ ἦθος καὶ ἕτοιμος εἰς εὐεργεσίας, ἄλλως τε καὶ τὰς τῶν ἱερῶν. ἔγωγε οὖν καὶ αὐτὸς ὁμολογῶ τῷ ἀνδρὶ μεγίςην ἀτεχνῶς τὴν χάριν, ἣν ἀμείψασθαι αὐτὸν εὔχομαι τοὺς θεοὺς ἐν μακάρων νήσοις ἤδη συζῆν ἠξιωμένον. ⟨Damascius?⟩. καὶ Ἀντωνίειος κλίνη τοῦ Ἀντωνίου.

ὅτι Ἀντώνιος Σατουρνῖνος ἐπίρρητος καὶ βδελυρὸς παρὰ Οὐεσπασιανοῦ ἐς τὴν βουλὴν ἐνεγράφη, Οὐεσπασιανοῦ σοφισαμένυ γελοιότατα τοῦτο· ἀξιώσει γὰρ αὐτὸν περιέβαλε, κακίᾳ δὲς ἀκερδὲς μὲν σεμνὸν δὲ ὅμως τόδε ἆθλον. cf. v. ἀξίωσιν.

ἀντωπεῖ, δοτικῇ, ἀντοφθαλμεῖ· ἐξ οὗ καὶ "ἀντώπησαν οἱ ὀφθαλμοί." καὶ ἀντωπὸν ἀντὶ τοῦ κατὰ πρόσωπον, ἀπέναντι· Ἀγαθίας ⟨I 15⟩ "ὃ δὲ οὐκ ἀνίει, νῦν μὲν ἀθρόον ἐπιών, νῦν δὲ ἀντωπὸς ἠρέμα εἰς τοὐπίσω ὑποχαζόμενος." καὶ αὖθις ⟨AP 7 169⟩ "οὐδ' ἀπ' ἐμεῖο κλήζεται ἀντωπὸν Βοσπόριον πέλαγος."

ἀνυδρεύσασθαι ἀντλῆσαι ὕδωρ· "κατάχεον αὐτῆς κἀνύδρευσαι τὸν κάδον" Κοριαννοῖ Φερεκράτης.

ἀνύειν τελεῖν, πράττειν.

ἀνυμέναιος ἡ μὴ ἔχουσα ἄνδρα, ἄνυμφος δὲ ὁ μὴ ἔχων γυναῖκα.

ἀνυπαίτιος ἀναίτιος.

ἀνύπαρκτον τὸ μὴ ὑπάρχον, πρὸς τὸ Πινδαρικὸν ⟨Pyth. 8 135⟩ "τί δέ τις; τί δ' οὔτις; σκιᾶς ὄναρ ἄνθρωποι," ἀντὶ τοῦ ἀπεικάσματα ἀνυπάρκτων ἀνυπαρκτότερα. ἐνταῦθα δέ ἐςιν ὁ λόγος ἐγγυτέρω τῆς ἀληθείας ἤπερ τὸ Πινδαρικόν· ὁ μὲν γὰρ Πίνδαρος ἐν τοῖς ἀσυςάτοις πεποίηται τὴν ὑπερβολήν, ὃ δὲ ἐν τοῖς φαινομένοις καὶ δοκοῦσιν, οὐχ ὑπάρχουσι δὲ κατὰ ἀλήθειαν. καὶ Ὅμηρος δι' ἑνὸς αὐτάρκως τοῦτο δεδήλωκεν ⟨σ 130⟩ "οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο." sch. S Ai. 125: cf. v. εἴδωλον b.

ἀνύπεικτον τὸ ἀνένδοτον, ἐκ τοῦ εἴκω τὸ ὑποτάσσομαι.

ἀνυπέρβλητον προὖχον.

ἀνύπηνος ὁ ἀγένειος.

ἀνυπόδητος γυμνόπους. ἐν τῷ η λέγεται, οὐχὶ ἀνυπόδετος.

ἀνύποιςον ἀβάςακτον, ἀνυπομόνητον.

ἀνυπόςατον ἀντὶ τοῦ ἀφόρητον.

ἀνύσασθαί τι παρὰ τοῖς ἄρχουσι διαπράξασθαι. καὶ ὁμοίως πάλιν τὸ τοὺς ἄρχοντας προστάξαι τοῖς ὑπηκόοις. καὶ ἀνύσαι τελειῶσαι.

ἀνυσίμως ἐνεργῶς, πρακτικῶς, τελείως. καὶ ἀνυσιμώτατος. ἄνυσις γὰρ ἡ τελείωσις.

ἄνυςαι ἤνυςαι, καὶ ἀνυςέον δεῖ ἀνύειν.

ἀνυςικωτέρα ἀντὶ τοῦ ἐνεργητικωτάτη. Πολύβιος ⟨8 5⟩ "μία ψυχὴ τῆς ἁπάσης πολυχειρίας ἐν ἐνίοις καιροῖς ἀνυςικωτέρα," ὡς Ἀρχιμήδης ἐν Συρακούσαις μόνος πολλῶν Ῥωμαίων.

a *ἀνύτειν* πληροῦν, ἐνεργεῖν. "ἐπεὶ δὲ οὐδέν τι πλέον εἶχον ἀνύτειν οἱ βάρβαροι, ὅτε ὡς ἐν πολιορκίᾳ ἐφεδρεύοντες τῷ ἐρύματι οὔτε πρὸς τειχομαχίαν ἐγκείμενοι, ἔγνωσαν τρόπου ἑτέρου αὐθάδους τε καὶ γενναίου καὶ φιλοκινδύνου ἀποπειραθῆναι." "ὁ δὲ Νῖνος ἐν ἀμηχανίᾳ ἦν, μηδὲν δυνάμενος ἀνύτειν," τουτέςι πράττειν.

b *ἀνύτειν* οἱ Ἀττικοὶ ὅπερ ἡμεῖς ἀνύειν. *ἁνύειν* δὲ τὸ σπεύδειν· δασεῖα ἡ πρώτη. καὶ *ἀνύτουσι* τελοῦσιν, ἀνύουσι. καὶ Ὅμηρος δὲ ⟨Δ 56⟩ τὸ ἀνύειν ὡς ἡμεῖς· "ὀκ ἀνύω φθονέουσα." καὶ *ἀνύοι* εὐκτικῶς.

Ἄνυτος Ἀνθεμίωνος Ἀθηναῖος ῥήτωρ.

ἄνω ἀντὶ τοῦ ἀνά. Ὅμηρος ⟨Ω 544⟩ "ὅσ' ὅσα Λέσβος ἄνω μακάρων ἕδος ἐντὸς ἐέργει." καὶ τὴν πρόθεσιν κολλητέον τῷ ἐέργει, ἵνα ᾖ ἀνείργει, ἀναςέλλει, ὃ καταςρέφει εἰς τὸ περιορίζει.

ἀνώγαιον τὸ ὑπερῷον οἴκημα Ξενοφῶν ἐν Κύρου ἀναβάσει ⟨5 4 29⟩ καὶ τῶν κωμῳδοποιῶν οἱ περὶ Ἀντιφάνην.

ἄνωγε παρεκελεύσατο.

ἀνώγεων οἴκημα, *ἀνώγειον* δέ. ἀνάγαιον καὶ κατάγαιον διὰ διφθόγγου καὶ ο μικροῦ. τὸ δὲ ἀνώγεων καὶ κατώγεων εἰ τάχα καὶ οἱ κανόνες διὰ τοῦ ω μεγάλου καὶ ε ψιλοῦ γράφουσιν, ἀλλ' οὖν ὁ τῶν λέξεων θηρατὴς καὶ τῶν τούτων ἀντιςοίχων ἀκριβὴς ὀρθογράφος Καπρογένειος ὁ μαΐςωρ διὰ τῦ ε ψιλοῦ καὶ ο μικροῦ ἐξέδοτο ταῦτα γράφεσθαι, τὸ δὲ μεσόγειον μόνον διὰ διφθόγγου εἴασεν, ἐπειδὴ εὕρηται μεσογεία γῆ καὶ μεσόγειος γῆ.

ἀνωγή παρακέλευσις.

ἀνωδύρετο ἐθρήνει, ἔκλαιεν· "ὃ δὲ ἀνωδύρετο τὴν συμφοράν, ἐπιδακρύων τῷ πάθει."

ἄνωθεν ἐκ τόπου ἢ χρόνου. Βάβριος ⟨S El. 1058⟩ "τί τοὺς ἄνωθεν φρονιμωτάτυς οἰωνοὺς ἐσορώμενοι τροφῆς κηδομένους ἀφ' ὧν τε βλάςωσιν ἀφ' ὧν τ' ὄνησιν εὕρωσι, τάδ' οὐκ ἐπ' ἴσης τελοῦμεν;" τουτέςιν ἄνωθεν ἐκ φύσεως, ἢ τοὺς ἐν τῷ ἀέρι.

ἀνωθῆσαν ἐπὶ τὰ ἄνω κινῆσαν· "ἀνωθῆσαν δὲ ἑαυτὸ τὸ θηρίον καὶ ἔξαλον γενόμενον ἀπεσείσατο ἐς τὴν νῆξιν ἀπολῦσαν τὸν ἄνθρωπον."

ἀνώϊςος ⟨Herodot. 6 66⟩ ὁ ἀνυπονόητος, καὶ *ἀνωϊςί* ἀνυπονοήτως.

ἄνω καὶ κάτω τὸ πάντα λίθον κινεῖν.

ἀνῳκισμένος ἐν τοῖς ἀνωτάτω γενηθείς, ἢ ἄνω ὤν. καὶ *ἀνῳκίσθαι*.

ἀνωμαλία ἡ τραχύτης.

ἄνωμος ὁ μὴ ἔχων ὦμον, ἐξ οὗ καὶ ἄνωμοι Πελοπίδαι οὕτω καλούμενοι. καὶ *ἀνωμότερος*.

ἀνώμοτος χωρὶς ὅρκου· "ὁ δὲ ἀνὴρ καὶ ἀνώμοτος πιςεύειν ἄξιος." καὶ αὖθις ⟨Eur. Hippol. 612⟩ "ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος."

ἀνῴμωξεν ἐςέναξεν.

ἀνωνόμαςος ⟨A Av. 1712⟩ ὁ μὴ ἔχων ὄνομα.

ἄνω ποταμῶν χωροῦσι πηγαί ⟨Eur. Med. 410⟩, παροιμία ἐπὶ τῶν ὑπεναντίως γινομένων ἢ λεγομένων, οἷον ὁ πόρνος τὸν σώφρονα εἰ λέγει πόρνον, ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσι. τουτέςιν ἐπὶ τῶν τὰ ἑαυτοῖς προσόντα ἐλαττώματα ἑτέροις προσανατιθεμένων.

ἀνωρθίαζον Ἀνδοκίδης ⟨1 29⟩ ἀντὶ τῦ ὄρθιον βοῶντες ἔλεγον.

ἀνωρθιασμένον τὸ ὀρθότατον. καὶ *ἀνωρθιασάμην*.

ἀνώφλιον τὸ ὑπέρθυρον.

ἄνωχθι κέλευσον.

ἄξεςος. Ξενοκλῆς ὁ Καρκίνου ἐκωμῳδεῖτο ὡς ἄξεςος ποιητὴς καὶ ἀλληγορικός. sch. A Ran. 86.

ἀξιάγαςος ἀξιοθαύμαςος, ἀξιόχρεως.

ἀξία ἡ κύων τοῦ βρώματος, ἐπὶ τῶν κατ' ἀξίαν τινὸς τυγχανόντων.

ἀξιαπηγητότατα ⟨Herodot. 1 16 et 177⟩ ἀντὶ τοῦ ἄξια τοῦ ἀφηγεῖσθαι.

ἀξιεπαίνετος ὁ ἄξιος ἐπαίνων.

ἀξιέραςον ἄξιον ἐρασμοῦ, ἐπέραςον.

ἀξινάριον ἡ ἀξίνη, καὶ *ἀξινίδιον* ὑποκοριςικῶς.

ἀξιοζήλως ἐπαινετῶς· "ὃ δὲ ἐν ὀφθαλμοῖς τῶν ἁπάντων ἑαυτὸν διεχρήσατο οὐκ ἀξιοζήλως." καὶ *ἀξιοζήλωτος* ὁ ἄξιος ζηλοῦσθαι.

ἀξιοῖ Ἀντιφῶν καὶ Λυσίας ἀντὶ τοῦ νομίζει. Harp.

ἀξιόλογα βάρη· "ὡς ἂν ἀπὸ τῶν πύργων πέμπωμεν ἐκηβολώτατα ἀξιόλογα λίθων βάρη." καὶ "ἀξιολόγοις καταςρώσας λίθοις τὰς ὁδούς." καὶ "εἰλήμασιν ἀξιολόγοις τοὺς ὑδροςατουμένους γεφυρώσας," τουτέςιν εὐ-

πρεπέσι, μεγίστοις. καὶ αὖθις "τὸν Μερμερόην ἡμῖν σημᾶναι ὡς οὐκ ἔστιν ἀξιόλογος ἡ χώρα, οὐδὲ μὴν περιμάχητος, οὐδὲ βασιλικῆς ἔργον ἐκστρατείας, ἀλλ' ἓν ὑπάρχει τῶν ἐθνῶν τῶν περὶ τὸν Καύκασον."

ἀξιόμαχος δυνατὸς μάχεσθαι, ἰσοδύναμος· ⟨Procop. Goth. 3 16⟩ "οὔτε ἀνδρῶν πλήθει οὔτε ἄλλῳ τῶν ἁπάντων οὐδενὶ ἀξιόμαχοι πρὸς ἡμᾶς ὄντες."

a ἄξιον. οἱ ῥήτορες ἐπὶ τοῦ εὐλόγου καὶ δικαίου ἐκλαμβάνουσι. Δημοσθένης "διὰ γὰρ τοῦτο μάλιστα ἄξιόν ἐστι σιωπᾶν, ὅτ' ἔτ' ἔστιν ὁ καταπλήσσων οὔθ' ὁ κολάσων ὑμᾶς." τάσσουσι δὲ τὸ ἄξιον καὶ ἐπὶ τῶν ὠνίων, ὅταν εὔωνόν τι πιπράσκηται. Λυσίας ἐν τῷ κατὰ τῶν σιτοπωλῶν ⟨11⟩ "ἐροῦσιν ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως ὠνοῦνται τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ἡμῖν πωλῶσιν." καὶ πάλιν ⟨22⟩ "ἐὰν οὖν αὐτῶν καταψηφίσησθε, τά τε δίκαια ποιήσετε καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε, εἰ δὲ μή, τιμιώτερον."

b ἄξιον ἐπὶ τοῦ δικαίου τέτακται· οὕτω Δημοσθένης. καὶ ἄξιον ξύλον εὖ καὶ καλῶς εἰργασμένον, εὐθές, καλόν. Ἀριστοφάνης ⟨Ran. 747⟩ "κἄν τι σφαλῇτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου," παρὰ τὴν παροιμίαν "ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι." θέλει οὖν λέγειν ὅτι βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις· κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ ἢ φαύλου πάσχειν. ἄξιον δὲ παρὰ Ἀττικοῖς τὸ εὔωνον· "καυλὸν σιλφίου τὸν ἄξιον," τουτέστι τὸν εὔωνον.

ἀξιοπιστία ἡ πίστωσις. καὶ ἀξιόπιστος οὐχὶ ὁ κατάπλαστος λέγεται ὑπὸ τῶν παλαιῶν καὶ τερατείᾳ χρώμενος, ἀλλ' ὁ πιστὸς καὶ δόκιμος καὶ ἀξιόχρεως.

ἀξιόπιστος πιθανός· ⟨Diog. L. 4 7⟩ "ἦν δὲ ἀξιόπιστος σφόδρα, ὥστε, μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι."

ἄξιος ὁ εὔωνος· Φερεκράτης Ἰπνῷ "ὅδ' ἔστ' ἐφ' οὗ ποτ' ἦν ὁ πυρὸς ἄξιος."

Ἀξιός ὄνομα κύριον.

ἄξιος λαβεῖν ὁ μισθός. τοῦτο τῶν εἰς κάλλος ἠσκημένων, σημαῖνον τοιόνδε τι· ἄξιός ἐστιν ὁ μισθὸς ὥστε λαβεῖν αὐτόν. ἔστι δὲ παρὰ Κρατίνῳ. Ὅμηρος δὲ πρῶτον ἐχρήσατο τῷ σχήματι τούτῳ· ⟨Ω 243⟩ "ῥηΐτεροι γὰρ ἔσεσθε κείνου τεθνηῶτος ἐναιρέμεν," καὶ πάλιν ⟨M 63⟩ "ἣ δὲ μάλ' ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῇ." καὶ Σοφοκλῆς ⟨Eur. Med. 319⟩ "γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ, ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός." ὁ δὲ νοῦς· ῥᾷον ἄν τις φυλάξαιτο τὸν ὀξύθυμον ἢ τὸν κρύπτοντα διὰ σιγῆς τὴν ὀργήν. καὶ ἄξιος τριχὸς ἐπὶ τοῦ εὐτελοῦς καὶ τυχόντος, παρ' ὅσον ἡ θρὶξ οὐδενὸς ἀξία ἐστίν· Ἀριστοφάνης ⟨Ran. 626⟩ "ἤκλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός," ἀντὶ τοῦ τὸ τυχόν. καὶ ἄξιος οὐδὲ ἑνὸς μόνου ⟨Plat. Theaet. p. 162E⟩ ἀντὶ τοῦ οὐδενός· ἔστι δὲ ἀπὸ τῶν κύβων εἰρημένον. καὶ παροιμία ἄξιος ὀβελίσκου καὶ ἀπὸ ὀβελίσκου, [παροιμία] ἐπὶ τῶν σφόδρα τιμίων. καὶ ἄξιος τοῦ παντός.

ἀξιοῦμαι γενικῇ.

ἀξιουμένου τυγχάνοντος· ⟨Dio Cass. fr. 36 8⟩ "ἀνδρὸς τὰ πρῶτα παρ' αὐτοῖς ἀξιουμένου." ἀξιοῦσι δὲ ἀντὶ τοῦ παρακαλοῦσι· Πολύβιος ⟨13 9⟩ "οἱ δὲ Γερραῖοι ἀξιοῦσι τὸν βασιλέα μὴ καταλῦσαι τὰ παρὰ τῶν θεῶν αὐτοῖς δεδομένα, τουτέστιν ἀΐδιον εἰρήνην καὶ ἐλευθερίαν. ὃ δὲ ἑρμηνευθείσης οἱ τῆς ἐπιστολῆς ἔφη συγχωρεῖν τοῖς ἀξιουμένοις."

Ἀξίοχος. Αἰσχίνῃ τῷ Σωκρατικῷ διάλογος ἐγράφη Ἀξίοχος καλούμενος. Harp.

ἀξιόχρεων ἐν τῷ ω μεγάλῳ λέγουσι, καὶ οὐδετέρως ὁμοίως· τὸ δὲ ἀξιόχρεον βάρβαρον. ἀξιόχρεως ὢν ἱκανός, ἐχέγγυος, ἀξιόπιστος.

ἀξιῶ ὑπολαμβάνω. Ἀριστοφάνης ⟨Eq. 182⟩ "οὐκ ἀξιῶ γ' ἐμαυτὸν ἰσχύειν μέγα," ἀντὶ τοῦ οὐχ ὑπολαμβάνω, οὐκ ἄξιον νομίζω. σημαίνει δὲ καὶ τὸ ἱκετεύω, αἰτιατικῇ. ἀξιῶ σε.

ἀξίωμα βούλημα· ⟨S OC 1459⟩ "τί δ' a
ἐστὶ τἀξίωμ' ἐφ' ᾧ καλεῖς." ⟨Damasc. ap. Phot. p. 346 a⟩ "μὴ διωθεῖσθαι τὴν πατρικὴν ἐπίταξιν, μηδὲ τὸ τοῦ Πλάτωνος ἀξίωμα ἀτιμάζειν," τουτέστι βούλημα. ⟨Diog. L. 4 33⟩ "ὁ δὲ Ἀρκεσίλαος ἦν ἀξιωματικώτατος καὶ συνηγμένος."

ἀξίωμα ἡ ἱκεσία· Δαβίδ ⟨Ps. 118 169⟩ b
"εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, κύριε."

ἀξίωμα. τοῦτο ἐκ κατηγορήματος ὀρθοῦ ἢ πλαγίου ἔχει τὴν γένεσιν. ἀξίωμα δέ ἐστι τοῦτο ὅ ἐστιν ἀληθὲς ἢ ψευδές· ἢ πρᾶγμα αὐτοτελὲς ἀποφαντόν, ὅσον ἐφ' ἑαυτῷ, ἢ καταφαντόν, οἷον ἡμέρα ἐστί, Δίων περιπατεῖ. ὠνόμασαι δὲ ἀξίωμα παρὰ φιλοσόφοις

ἀπὸ τοῦ ἀξιοῦσθαι ἢ ἀθετεῖσθαι· ὁ γὰρ λέγων ἡμέρα ἐστίν, ἀξιοῦν δοκεῖ τὸ ἡμέραν εἶναι. οὔσης μὲν οὖν ἡμέρας ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα, μὴ οὔσης δὲ ψεῦδος. διαφέρει δὲ ἀξίωμα καὶ ἐρώτημα καὶ πύσμα. ἔστι γὰρ προσακτικὸν ὁρκικὸν ἀρατικὸν ὑποθετικὸν προσαγορευτικόν. ἀξίωμα μὲν γάρ ἐστιν ὃ λέγοντες ἀποφαινόμεθα, ἢ ἀληθὲς ἢ ψευδές. ἐρώτημα δέ ἐστι πρᾶγμα αὐτοτελὲς μέν, ὡς καὶ τὸ ἀξίωμα, αἰτητικὸν δὲ ἀποκρίσεως, οἷον ἆρά γε ἡμέρα ἐστί; τοῦτο δὲ οὔτε ἀληθές ἐστι οὔτε ψευδές. ὥστε τὸ μὲν "ἡμέρα ἐστίν;" ἀξίωμα, τὸ δὲ "ἆρά γε ἡμέρα" ἐρώτημα. πύσμα δέ ἐστι πρᾶγμα πρὸς ὃ συμβολικῶς οὐκ ἔστιν ἀποκρίνασθαι, ὡς ἐπὶ τοῦ ἐρωτήματος ναί, ἀλλὰ εἰπεῖν, οἰκεῖ ἐν τῷδε τῷ τόπῳ ⟨Diog. L. 7 65⟩. τὰ δὲ λοιπὰ δῆλα.

ἀξιώματα. οὕτω λέγει Ἀριστοτέλης καὶ τὰς δεομένας ἀποδείξεως προτάσεις καὶ τὰς ἀναποδείκτους, ὡς ἔθος αὐτῷ.

ἀξιῶν ἀντὶ τοῦ νομίζων, ὑπολαμβάνων Λυσίας καὶ Πλάτων. καὶ ἀντὶ τοῦ παρακαλῶν, λιπαρῶν.

ἀξίωσιν τιμήν. "αὐτὸν δὲ βασιλέα ὄντα κατ' ἀξίωσιν μὲν τῆς τρίτης μοίρας, μεγέθει τε χώρας καὶ πλήθει τῶν ὑπηκόων." "ἀπῆγε δὲ αὐτὴν τῆς δίκης κατάπλασος σωφροσύνη καὶ ἀξίωσις ὑπέρογκος καὶ ἡ τῶν συναδικόντων παρασκευή." "καὶ ἀξιώσει τοῦτον περιέβαλε, κακίᾳ δοὺς ἀκερδὲς μὲν σεμνὸν δ' ὅμως τόδε ἆθλον" Αἰλιανός φησιν, ἀντὶ τοῦ τιμῇ.

ἀξιώτερος εὐωνότερος, καὶ ἀξιωτέρας ὁμοίως εὐωνοτέρας· ⟨A Eq. 642⟩ "οὐ πώποτ' ἀφύας εἶδον ἀξιωτέρας." [εὐωνοτέρας] τῆς ἀξίας τιμῆς· ἄξιον γὰρ παρὰ Ἀττικοῖς τὸ εὔωνον.

ἄξονες. οὕτως ἐκάλεσαν Ἀθηναῖοι τοὺς Σόλωνος νόμους διὰ τὸ ἐγγραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν. ἦσαν δὲ τετράγωνοι τὸ σχῆμα. μέμνηται τῆς λέξεως Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους ⟨28⟩. Harp. ἄξονες δὲ καὶ κύρβεις διαφέρει. ἄξονα δὲ λέγει Ὅμηρος τὸν τῆς ἁμάξης.

ἄξοον τὸ ἄτμητον.

ἀξυλία ἡ ἔνδεια τῶν ξύλων, ἀξύλῳ δὲ ⟨Hom. Λ 155⟩ ἀντὶ τοῦ πολυξύλῳ.

ἀξύμμετρον τὸ ὑπὲρ τὸ μέτρον· "οὐκ ἐξικνεῖτο δὲ τὰ βέλη διὰ τὸ τοῦ ποταμοῦ ῥεῦμα ἀξύμμετρον ὂν αὐτοῖς ἐς τὰς βολάς."

ἀξυνεσία Θουκυδίδης γ' ⟨42⟩.

ἄξυνος ὁ ἀκοινώνητος.

ἀξύστατον. περὶ Αἰσχύλου λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ οὐ ξυνεστῶτα οὐδὲ πυκνὸν ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει καὶ κομπώδη. ἢ ἀδιάθετον, ἢ ἀπιθάνως συντιθέντα. sch. A Nub. 1370.

ἄξω καὶ ἐνταῦθα καὶ ἐκεῖσε, ἀπάξω δὲ τὸ ὀπίσω ἄξω.

ἄοζοι πολύοζοι, πολλὰ ξύλα καίοντες, ἤγουν οἱ μάγειροι.

ἀοιδή ᾠδή.

ἀοίδιμος ὑμνητός.

ἀοιδός ὁ μελῳδὸς καὶ ὁ ποιητής.

ὅτι τὸ τῶν ἀοιδῶν γένος σῶφρον ἦν τὸ παλαιόν, καὶ φιλοσόφων διάθεσιν ἔχον. Ἀγαμέμνων γὰρ τῇ Κλυταιμνήστρᾳ σωφρονιστῆρα τοῦτον ἀφίησιν, ὃς πρῶτον ἀρετὰς γυναικῶν διερχόμενος ἐνέβαλλέ τινα φιλοτιμίαν εἰς καλοκαγαθίαν, εἶτα διατριβὴν παρέχων ἡδεῖαν ἀπεπλάνα τὴν διάνοιαν φαύλων ἐννοιῶν· διόπερ Αἴγισθος οὐ πρότερον διέφθειρε τὴν γυναῖκα πρὶν τὸν ἀοιδὸν ἀποκτεῖναι. ὁ δὲ Δημόδοκος ᾄδει τὴν Ἀφροδίτης καὶ Ἄρεος συνουσίαν οὐ διὰ τὸ ἡδὺ καὶ τὸ ἀποδέχεσθαι τοῦτο τὸ πάθος, ἀλλ' ἀποτρέπων αὐτοὺς παρανόμων ὀρέξεων, εἰδὼς ἐν τρυφερῷ βίῳ τεθραμμένους (αἰεὶ γὰρ αὐτοῖς δαῖς τε φίλη κίθαρίς τε), ὁμοιότατα τοῖς τρόποις αὐτῶν τὰ πρὸς ἀνάπαυσιν φέρων. καὶ τὸν Φήμιον ποιεῖ ᾄδοντα πρὸς τὴν βουλὴν αὐτῶν. καὶ αἱ Σειρῆνες δὲ ᾄδουσι τῷ Ὀδυσσεῖ τὰ μάλιστα αὐτὸν τέρψοντα καὶ τὰ οἰκεῖα τῇ φιλοτιμίᾳ αὐτοῦ καὶ πολυμαθείᾳ, λέγουσι δὲ ὅτι πᾶς ὁ τῆς ᾠδῆς κατακούσας τερψάμενος νεῖται καὶ πλείονα εἰδώς. Athen. p. 14.

ἄοινος ἐπὶ τῶν μὴ γευομένων οἴνου, καὶ ἐπὶ τῶν μὴ ἐχόντων οἶνον.

ἀοῖον ἑῷον ἀστέρα. οὕτως Ἀριστοφάνης ⟨Pac. 822⟩.

ἀολλεῖ ποιεῖ, συνάγει. καὶ ἀολλήσασα ⟨Hom. Z 270⟩ ἀθροίσασα. καὶ ἀολλισθῆναι ⟨O 588⟩.

ἄοπτα Ἀντιφῶν ἀντὶ τοῦ ἀόρατα καὶ οὐκ ὀφθέντα μέν, δόξαντα δὲ ὁρᾶσθαι.

ἄορ τὸ ξίφος. καὶ κλίνεται ἄορος ἄορι. ⟨AP 9 397⟩ "ὑπαντιάσασα δὲ μήτηρ εἶπε, κατὰ στέρνων ἄορ ἀνασχομένη."

ἀόρατον τετραχῶς λέγεται, ἢ τὸ καθάπαξ ἀδύνατον ὁραθῆναι, οἷον ὡς καὶ τὰ ὑποκείμενα ἄλλῃ αἰσθήσει· καὶ γὰρ ἡ φωνὴ

ἀόρατος καὶ ἡ ὀσμὴ καὶ τὰ ὅμοια. ἢ τὸ πεφυκὸς μὲν εἶναι ὁρατόν, μὴ ὁρώμενον δέ, ὅπερ ἐστὶ τὸ ἐν στερήσει, ὡς τὸ δυνάμει διαφανὲς φωτὸς μὴ παρόντος. ἢ τὸ οὕτω λεγόμενον ἀόρατον ὡς φαύλως ὁρατόν· τοιοῦτον δέ ἐστιν ἢ τὸ δι' ὑπερβολὴν λαμπρότητος φθαρτικὸν τῆς ὄψεως, ἢ δι' ἀμυδρότητα μὴ ποιοῦν εἰς τὴν αἴσθησιν. ἀντιλαμβάνεται τοίνυν τοῦ ἀοράτου ἡ ὄψις, οὐ τοῦ μὴ πεφυκότος ὁρᾶσθαι· ταῦτα γὰρ ὅτε μὴ ὁρᾶται, ὁ λόγος ἐστὶν ὁ κρίνων δι' ὀργάνου τῆς αἰσθήσεως, οὐ μέντοι γε ἡ αἴσθησις· ἀλλὰ τοῦ κατὰ στέρησιν ἀοράτου ἡ αἴσθησίς ἐστιν ἀντιληπτική. κρίνει γὰρ καὶ τὰ ἄλογα ταῖς ὄψεσιν ὅτι σκότος, κατὰ συμβεβηκὸς τῷ μὴ πάσχειν ὑπὸ τῶν ὁρατῶν, διὸ καὶ εἰς τοὺς φωλεοὺς ἠρεμεῖ. μήποτε δὲ καὶ τὸ κατὰ στέρησιν ἀόρατον ἡ φαντασία ἐστὶν ἡ κρίνουσα καὶ οὐχ ἡ ὄψις, εἴγε αἱ μὲν αἰσθήσεις ἐν τοῖς πάσχουσι τὴν κρίσιν ἴσχουσι, μὴ πάσχουσι δὲ ἐν τῷ σκότῳ ἀνενέργητοί εἰσι. διὸ κατὰ τὴν ἕξιν μόνην θεωροῦνται. μὴ ἐνεργοῦσαι δέ πῶς ἂν κρίνοιεν; Philopon. in 2 de anima.

ἀόργητος ὁ μὴ ὀργιζόμενος.

ἄορες αἱ γυναῖκες. sch. Hom. ρ 222.

ἀόριστος γῆ ἡ μὴ ἔχουσα ὅρους μηδὲ σπειρομένη· ἡ γὰρ σπειρομένη ὅρους ἔχει ἅτε οὖσα μεμερισμένη, ἕως οὗ ἐστὶν ἑκάστου τὸ δίκαιον τῆς διακρατήσεως. sch. Thuc. 1 139.

Ἄορνος πέτρα ἐν τῇ Ἰνδικῇ. Ἀρριανός ⟨Exp. Alex. 4 28⟩ "μέγα γάρ τι χρῆμα πέτρας ἐν τῇ χώρᾳ ταύτῃ ἐστίν." ἔστι δὲ καὶ λίμνη οὕτω καλουμένη. "ταύτην Ἀλέξανδρος εἷλεν, ἣ τῷ Ἡρακλεῖ ἄπορος ἐγένετο ἡ πέτρα ⟨ib. 30⟩."

ἀορτήν. λέγουσιν οἱ πολλοὶ νῦν ἀβερτήν. Μακεδονικὸν δὲ καὶ τὸ σκεῦος καὶ τὸ ὄνομα.

ἀορτήρ ⟨Hom. λ 609⟩ ὁ λῶρος τῆς σπάθης. καὶ ἀορτήρεσσιν ⟨Λ 31⟩.

ἀοσσητήρ ὁ βοηθός.

ἄπαγε παῦσαι, μὴ γένοιτο. ἢ ἄπαγε ἀντὶ τοῦ χρῶ τῇ ἀπαγωγῇ· οὕτω Δημοσθένης ⟨22 26⟩. καὶ παροιμία "ἄπαγε ξένον ἐν χειμῶνι" ἐπὶ τῶν ὀχληρῶν.

ἄπαγέ με εἰς τὰς λατομίας, παροιμία ἐπὶ τῶν μὴ ὑποφερόντων τὰ ἀνάξια. φασὶ γὰρ ὅτι Φιλόξενος ὁ διθυραμβοποιὸς Διονυσίῳ τῷ τυράννῳ συνῆν, ἕωλα δὲ αὐτοῦ ποιήματα ἀναγινώσκοντος οὐκ ἐπῄνει· ἐφ' οἷς ὀργισθεὶς ἐκέλευσεν αὐτὸν ἀπαχθῆναι εἰς τὰς λατομίας. εἶτα πάλιν μετεκαλέσατο αὐτόν, ἐλπίζων ἐπαινέσαι αὐτοῦ τὰ ποιήματα. ὃ δὲ μὴ θέλων ἐπαινεῖν ἔλεγε τὸ προκείμενον. cf. vv. εἰς λατομίας et Φιλοξένου γραμμάτιον.

ἄπαγε μόθων' ἀπὸ κώπης, παροιμία ἐπὶ τῶν ὀχληρῶν καὶ παρὰ καιρὸν τοῖς σπουδάζουσιν ἐνοχλούντων.

ἀπάγεια ἡ μήπω συμπαγεῖσα.

ἀπάγειν ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι. τούτων ἕκαστον ἐπὶ τῶν ἑτέρους κατηγορούντων λέγεται, ἀλλ' ἐὰν μὲν πρὸς διαιτητὴν ἡ διαδικασία γίνηται, καλεῖται δικάζεσθαι. καὶ ἀπάγοντες ἀπωθοῦντες, ἀπελαύνοντες· ⟨A Ach. 57⟩ "τὸν ἄνδρ' ἀπάγοντες."

ἀπαγορεύει ἀποτρέπεται, ἀρνεῖται· "ἀπαγορεύουσι τῷ Φιλίππῳ, καὶ τὸν Δέκιον ἀναγορεύουσιν." ἢ ἀπαγορεύειν ἀντὶ τοῦ κάμνειν καὶ ἀδυνάτως ἔχειν· "ἐγὼ μὲν ἀπαγορεύω τῷ πόνῳ," καὶ αὖθις Εὐνάπιος ⟨p. 104 Nieb.⟩ "πρὸς τὸ ἀφανὲς καὶ ἀόριστον τῆς χώρας ἐκπεσόντες, πρὸς τοὺς φόνους καὶ πρὸς τὴν λείαν ἀπαγορεύοντες."

ἀπαγορεύω δοτικῇ· "ἀπαγορεύων τοῖς ἄρχουσι διαρρήδην τῆς φιλαργυρίας ἀπέχεσθαι." "ἀλλὰ μόναις ταύταις ἀπαγορεύουσιν οἱ νόμοι ταῖς γυναιξίν" ⟨Demosth. 59 86⟩. αἰτιατικῇ δέ "ἀπηγόρευσας ἡμᾶς τῆς ἀπωλείας," καὶ "ἀπαγορεύεις, Σίμων Πέτρε, ὅπερ πείσῃ τάχος."

ἀπάγου ἀντὶ τοῦ πρὸς σαυτὸν ἄπαγε Εὐριπίδης. καὶ ἀπάγω αἰτιατικῇ.

ἀπαγχονίσαι πνῖξαι.

ἀπαγωγάς αἰχμαλωσίας, ἀδυνατίας. καὶ ἀπαγωγή μήνυσις ἔγγραφος διδομένη τῷ ἄρχοντι περὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν δεῖνα· "ἐνταῦθα ὁ Λικίνιος κατὰ πρόφασιν ἀπαγωγῆς ἀφικόμενος" ⟨cf. v. Αὐξέντιος⟩. τὸ οὖν ἀπαγωγὴ δίκης ἐστὶν εἶδος, ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν, ἀπήγοντο δὲ οἱ κακοῦργοι πρὸς τοὺς ἕνδεκα.

ἀπᾴδει ἀπαρέσκει, καὶ ἀπᾷδον οὐ συνᾷδον, ἀπαρέσκον. ⟨Theophyl. Sim. p. 58⟩ "τὰς σπονδὰς ἀποπέμπεσθαι ὡς ἀπᾳδούσας τῆς Ῥωμαίων μεγαλειότητος" ἀντὶ τοῦ ἀναξίους οὔσας, ἀπαρεσκούσας. καὶ "Στησίχορος δὲ οὐκ ἀπᾴδει αὐτῶν."

ἀπαθέστατα ἐκτὸς πάθους. ⟨M. Antonin. 1 9⟩ "εὐμενῆ δεῖ εἶναι καὶ ἀνεκτικὸν τῶν ἰδιωτῶν καὶ ἀθεώρητον οἰομένων, πρὸς πάντας εὐάρμοστον, ὥστε κολακείας πάσης προσηνεστέ-

ραν εἶναι τὴν ὁμιλίαν, προσηνῆ καὶ αἰδέσιμον πᾶσι· μηδὲ ἔμφασίν ποτε ὀργῆς παρασχεῖν, εὐστοργότατον καὶ εὐφημότατον ἀψοφητί."

ἀπαθῆ ἄλυπον. ὁ δὲ Ἀντιφῶν ἀπαθῆ πληθυντικῶς τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη. καὶ ἀπαθής· (Diog. L. 7 117) "καὶ ἀπαθῆ φασὶν εἶναι τὸν σοφὸν διὰ τὸ ἀνέμπτωτον εἶναι. εἶναι δὲ καὶ ἄλλον ἀπαθῆ, τὸν φαῦλον, ἐν ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ ἀτέγκτῳ." καὶ ἀπαθὴς ὁ μὴ πεῖραν κακῶν εἰληφώς· "οἱ δὲ κακῶν παντάπασιν ἀπαθεῖς ἔμειναν." καὶ ἀπαθές· "τὸ ὑγιαίνειν ἐν τῷ τεθνάναι μᾶλλον ἢ ἐν τῷ ζῆν." cf. v. θάνατος.

ἀπ' ἀκροφυσίων λόγους ἐπιδεικνύναι, οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης "ῥήματά τε κομψὰ καὶ παίγνι' ἐπιδεικνύναι, πάντ' ἀπ' ἀκροφυσίων κἀπὸ κιναβευμάτων." λέγει γὰρ διὰ μὲν τοῦ ἀπ' ἀκροφυσίων καινῶς εἰργασμένα καὶ οἷον ἐκ πυρός, διὰ δὲ τοῦ ἀπὸ κιναβευμάτων οἷον καινῶς πεπλασμένα καὶ διάθεσιν ἔχοντα· κίναβος γὰρ τὸ εἴδωλον πρὸς ὃ οἱ πλάσαι καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. κέχρηνται πολλοί.

ἀπ' αἰγείρου θέα, καὶ παρ' αἴγειρον, ἡ ἀπὸ τῶν ἐσχάτων· αἴγειρος γὰρ ἐπάνω ἦν τοῦ θεάτρου, ἀφ' ἧς οἱ μὴ ἔχοντες τόπον ἐθεώρουν.

ἀπ' αἰγίλιπος πέτρης (Hom. N 63) ἀπὸ ὑψηλῆς πέτρας.

ἀπαίδευτοι ἀνόητοι, ἄτακτοι. καὶ "ἀπαιδευτότερος Φιλωνίδου τοῦ Μελιτέως." οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀμαθὴς καὶ ὑώδης. κωμῳδεῖ δὲ αὐτὸν Ἀριστοφάνης ὡς παρασίτους ἔχοντα καὶ διὰ τὸν Λαΐδος ἔρωτα ἐν Κορίνθῳ διάγοντα. κωμῳδεῖται δὲ καὶ ὡς συώδης σὺν τοῖς ἑταίροις αὐτοῦ, οὓς κάπρους εἶπε, τὴν δὲ Λαΐδα Κίρκην, ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν. sch. A Plut. 303.

ἀπαιδίᾳ ἡλικίᾳ ἐλάσσονι χρόνου τοῦ συμπληροῦντος τὸν παῖδα. ἢ ἀγονίᾳ. καὶ ἄπαιδος ὁμοίως, τοῦ μὴ ἔχοντος παῖδα.

ἀπαιδοτρίβητοι ἀγύμναστοι, ἀπαίδευτοι.

ἀπαιθριάζει ἀντὶ τοῦ εὐδίαν ἄγει. καὶ ὑπαιθριάζει. συννεφεῖ δὲ συνάγει τὰ νέφη· Ἀριστοφάνης (Av. 1488) "τί γὰρ ὁ Ζεὺς ποιεῖ; ἀπαιθριάζει τὰς νεφέλας ἢ ξυννεφεῖ;"

ἀπαινύμενον (Hom. Λ 582) ἀφαιρούμενον.

ἀπαιόλημα (A Nub. 726) ἀπάτημα.

ἄπαιρε, ὃ οἱ πολλοὶ ἆρον λέγουσιν. καὶ ἀπαίρειν ἀντὶ τοῦ παραγενέσθαι Ἀριστοφάνης. καὶ ἀπαίροντες μεθιστάμενοι.

ἀπαίσιον ἀπρεπές, βλάσφημον, ἀσύμβολον, ἀσινές, ἢ δυσοιώνιστον. (Menand. p. 381) "ἀνεφάνησαν δὲ τοῦ αὐτοῦ φύλου τῶν Τούρκων, οὓς ἔφασαν τῶν ἀπαισίων ἐλατῆρας εἶναι."

Ἀπαισός (Hom. B 828) ὄνομα πόλεως.

ἀπαιτοῦμαι αἰτιατικῇ. καὶ ἀπαιτητέα καὶ ἀπαιτητέον ἀντὶ τοῦ δεῖ ἀπαιτεῖν.

ἀπαιωρούμενον κρεμάμενον.

ἀπάκτου· Σοφοκλῆς (Ai. 578) "ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου, καὶ δῶμ' ἀπάκτου."

ἀπάλαμνος (Hom. E 597) ἄπειρος.

ἀπαλγήσαντας παρὰ Θουκυδίδῃ (2 62) ἀντὶ τοῦ παυσαμένους ἀλγεῖν, ὥσπερ τὸ ἀπολοφυράμενοι.

ἀπαλγοῦντες ἀπογινώσκοντες. Πολύβιος (9 40) "οἱ δὲ Ἀκαρνᾶνες πυνθανόμενοι τὴν τῶν Αἰτωλῶν ἔφοδον ἐπὶ σφᾶς, τὰ μὲν ἀπαλγοῦντες ταῖς ἐλπίσι τὰ δὲ καὶ θυμομαχοῦντες ἐπί τινα παράστασιν κατήντησαν." καὶ αὖθις "ἀπαλγοῦντας δὲ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπερρώννυεν" (cf. v. Ἀντίοχος a).

ἀπαλέξασθαι ἀντιτάξασθαι· Σοφοκλῆς (Ai. 165) "οὐδὲν σθένομεν πρὸς ταῦτ' ἀπαλέξασθαι σοῦ χωρίς, ἄναξ." καὶ ἀπαλεξῆσαι κωλῦσαι, καὶ ἀπαλέξοντες ὁμοίως.

ἀπαληθεύειν τὸ τἀληθὲς ἐξευρίσκειν, καὶ ἀπαληθεύω τὸ τὴν ἀλήθειαν ἐκφαίνω· "ὃ δὲ χρόνῳ ὕστερον ἐφωράθη τῷ πάντα ἐκκαλύπτοντι καὶ ἀπαληθεύοντι." τούτου τὸ δολερὸν ἀναφαίνεται.

ἀπαλθήσεσθαι θεραπευθήσεσθαι.

ἀπαλλάξας ἀντὶ τοῦ πείσας ἀποστῆναι Κρατῖνος καὶ Δημοσθένης καὶ ἄλλοι. καὶ ἀπαλλάξωμεν ἀντὶ τοῦ ἀφανίσωμεν· Ξενοφῶν (Anab. 3 2 28) "τῶν ἄλλων σκευῶν τὰ περισσὰ ἀπαλλάξωμεν." καὶ ἀπαλλάξαι ἀντὶ τοῦ φυγαδεῦσαι· "ἐδεῖτο δὲ τὸ πλῆθος προσωτάτω Ἀρμενίας ἀπαλλάξαι Ἰωτάμην, ὡς οὔποτ' ἂν ἀποσχόμενον τοῦ νεωτερίζειν, εἰ τύχοι ὢν ἔνδημος." ἀπαλλάξειεν μετακινήσειεν· Ἀριστοφάνης (Pac. 572) "πῶς καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον." καὶ

ἀπαλλαξείοντες ἐπιθυμίαν ἔχοντες ἀπαλλαγῆναι (Thuc. 1 95).

ἀπάλλεις ἀποπέμπεις.

ἀπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις, ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαρρεόντων.

ἀπαμβλύνει ἐκκαθαίρει σκότους καὶ ἀλλοιώσεως.

ἀπαμείρεται ἀποστερεῖ.

ἀπαμυνεῖ ἀποτρέψει.

ἀπαμφιέσαντες ἐκδύσαντες. καὶ ἀπαμφιεῖ ἀποκαλύψει· Μένανδρος Μισουμένῳ "ἀπαμφιεῖ γάρ τὸ κατάπλαστον τοῦτό σου καὶ λανθάνειν βουλόμενον ἡ μέθη ποτέ." καὶ ἀπαμφίσκων ἀποκαλύπτων.

ἅπαν. οἱ μὲν Ἴωνες συστέλλουσι, καὶ ὁ ποιητής (Υ 156) "τῶν δ' ἅπαν ἐπλήσθη πεδίον·" οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι τὴν ὑστέραν. καὶ τὸ παράπαν ὁμοίως, καὶ ἅπαντα τὰ τοιαῦτα.

ἀπαναίνομαι ἀρνοῦμαι.

ἀπανάστασις ἀποικία, μετάστασις.

ἀπανθήσαντα ξηρανθέντα. "μακαριωτάτη ἐγώ, ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν ἀγαθοῖσιν· ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον, τὰ δ' ἄλλ' ἀπανθήσαντα πάντ' ἀπέπτατο." Ἀριστοφάνης φησίν (Eccl. 1151). ἀπανθῶ γὰρ τὸ ἀποβάλλω· καὶ ὁ Θεολόγος (or. 19 p. 291) "τῶν ἐκ γένους τοῖς ἀπανθήσασιν." ἀπανθίζω δὲ τὸ τὰ ἄνθη συλλέγω.

ἅπανθ' ὅμοια καὶ Ῥοδῶπις ἡ καλή. σημαίνει δὲ ὅτι ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί.

ἀπανθρακίζομεν ἀντὶ τοῦ ἄνθρακας ἐσθίομεν· ἔστι δὲ εἶδος ἰχθύων, ὃ παροπτῶντες ἐσθίουσιν. ἢ ὀπτὰς ἐσθίομεν. ἢ ἄνθρακας ζωπυροῦμεν. sch. A Av. 1545.

ἀπανθρωπία ἡ κακία. ὅταν τις μὴ κατὰ ἄνθρωπον ποιῇ, τοῦτο ἀπανθρωπία.

ἅπαντα γάρ τοι βρωτὰ πολιορκουμένοις. ἐπὶ τοῦ ἀναγκαίου ὁ λόγος· οἱ γὰρ πολιορκούμενοι πολλάκις καὶ ὧν οὐ δεῖ ἅπτονται.

ἀπαντᾶν καὶ συναντᾶν λέγουσιν ἑκατέρως τὸ παραγίνεσθαι εἴς τινα τόπον. καὶ ἀπαντήσαντος γενέσθαι φθάσαντος· Αἰλιανός "ἀνεσταύρωτο δὲ ὁ πολιορκῶν, καὶ ἐς τοῦτό οἱ τὸ τοῦ χειμῶνος τοῦ μὴ καθ' ὥραν ἀπαντήσαντος τὸ τέλος ὡρμήσατο." καὶ ἀπαντῶσιν ἀντὶ τοῦ παραγίνονται· "ἅμα τῷ περὶ ὄρθρον εἰς τοὺς τῶν δεσποτῶν οἴκους ἀπαντῶσι." καὶ ἀπαντωμένων ἀντὶ τοῦ συμβαινόντων, γιγνομένων· (Polyb. 10 13) "οὐ μὴν ἀλλὰ τοιούτων ἀπαντωμένων οὐδὲν ἱκανὸν ἦν πρὸς τὸ κωλύειν τὴν ὁρμὴν τῶν Ῥωμαίων."

ἅπαντα τόλμης πλέα κἀναισχυντίας (A Thesm. 709), ἐπὶ τῶν ἰταμῶν καὶ ἀναιδῶν.

ἁπανταχοῦ.

ἀπαντῶ ἐπὶ δικαστηρίου, ὑπαντῶ δὲ ἐπὶ τῆς ὁδοῦ.

ἅπαξ. "ἐπεὶ δὲ ἅπαξ ἐκ τοῦ φρουρίου αὐτοὺς ἐκπεπτωκέναι ἔμαθεν, ἀφικνεῖται πρὸς αὐτούς." καὶ Ἰώσηπος "ἅπαξ δὲ καταστάντες εἰς ταραχάς," ἀντὶ τοῦ διόλου, ὁλοσχερῶς.

ἁπαξάπαντα ἀπὸ μικροῦ ἕως μεγάλου· a
(Procop. Pers. 1 25) "καὶ τὰ χρήματα ἁπαξάπαντα λόγῳ οὐδενὶ ληιζόμενος, τὴν δίκην ὀρθῶς καὶ δικαίως τῆς ἐς τὴν δίαιταν παρανομίας ἐξέτισε." καὶ ἁπαξάπαντες ἀντὶ τοῦ ὁμοῦ πάντες· τὸ γὰρ ἅπαξ ἐπὶ ἐπιτάσεως λαμβάνεται. "ὁ δὲ Καῖσαρ νεμεσᾷ καὶ ἀγανακτεῖ ὅτι ἁπαξάπαντας μὴ ἀνέστησαν."

ἁπαξάπαντα. οὐδὲν πλέον σημαίνει τὸ b
ἅπαξ προσκείμενον. καὶ ἁπαξαπλῶς ἀντὶ τοῦ καὶ ὡς εἰπεῖν.

ἅπαξ ἐλάλησεν ὁ θεός (Ps. 61 11) ἀντὶ τοῦ ἀποφαντικῶς ἢ παντελῶς. τὸ ἅπαξ ἐλάλησεν ὁ θεός οὐκ ἐπὶ ἀριθμοῦ, ἀλλ' ἐπὶ τοῦ πάντως ἐσομένου. καὶ παροιμία "ἅπαξ πυρρὸς καὶ μὴ δέκατον χλωρός" ἐπὶ τῶν δανειζόντων. cf. v. ἀπερυθριᾶσαι.

ἀπαξιῶν ἀνάξιον ἡγούμενος· Ἀππιανός "ὁ δὲ δῆμος τὸν Μάρκιον μετιόντα τὴν ὑπατείαν οὐκ ἐχειροτόνησεν, οὐ τὸν ἄνδρα ἀπαξιῶν, ἀλλὰ τὸ φρόνημα δεδιὼς αὐτοῦ."

ἀπαξίωσις· Πολύβιος "ὁ δὲ Φίλιππος ἐδυσχέραινεν ἐπὶ τῇ τῶν Κερκυραίων ἀπαξιώσει," τουτέστι καταφρονήσει.

ἀπάξω ἐκεῖθεν ἄξω.

ἀπαράβλητος ἀσύγκριτος, ἀνόμοιος.

ἀπαραγγέλτως ἀκελεύστως· Πολύβιος "καὶ πανταχόθεν ἀπαραγγέλτως ἠθροίζοντο."

ἀπαραιτήτως ἀσυγχωρήτως· "πάντας δὲ τοὺς παρατυγχάνοντας ἀπαραιτήτως ἀπέκτεινον διὰ τὴν ὀργήν."

ἀπαράκλητοι αὐτόματοι· Θουκυδίδης (2 98) "πολλοὶ τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν."

ἀπαράξειεν ἀποσπάσειεν, ἀποχωρίσειεν· "ὡς εἰ τούτους ἀπαράξειε τοῦ λόφου καὶ γένοιτο τῶν ἄκρων ἐγκρατής, θᾶττον κατεργασόμενος τοὺς ἐν τῷ πεδίῳ."

ἀπαραπόδιςα ἀπλανῆ.

ἀπαραποίητον ἄπλυςον.

ἀπαράτιλτος ἀντὶ τοῦ δασὺς καὶ ἀκόσμος τὰς τρίχας, "ἓξ ἐτῶν ἄλουτος" (A. Lys. 279).

ἀπαργμάτων ὡρίων καιριώτερον φησὶν ὁ Θεολόγος ἐν τῷ "χθὲς τῇ λαμπρᾷ" (or. 40 p. 646), ἀντὶ τοῦ ἐναγισμάτων, ἃ εἰς τοὺς τάφους ἔβαλλον. τὸ δὲ καιριώτερον ἀναγκαιότερον.

ἀπαριθμησόμενος ἀποδώσων, καταβαλούμενος· "ὁ δὲ Γέτης ἀφίκετο ὡς ἀπαριθμησόμενός τι τῶν ἐνιαυσιαίων χρημάτων πρὸς τὸν ςρατηγὸν τῶν Ῥωμαίων." καὶ ἀπαριθμῶν ἀντὶ τοῦ ἀποπληρῶν ἀριθμὸν Ἰσοκράτης (Philipp. 27). καὶ ἀπαριθμῶ σε, αἰτιατικῇ.

ἄπαρνος ὁ ἀρνούμενος καθόλου. καὶ ἀπαρνοῦμαι αἰτιατικῇ.

ἀπαροῦντα ἀποχωρήσοντα· "οἱ δὲ Καρχηδόνιοι προσεδόκων ἀν' ἑκάςην ἡμέραν ἀπαροῦντα τὸν ςόλον εἰς τὴν οἰκείαν."

ἀπάρσεως ἀναχωρήσεως· (Dionys. Hal. 9 4) "τῆς δὲ ἀλόγου ταύτης ἀπάρσεως ἢ φυγῆς τὸ πρὸς τὸν ἡγεμόνα ἐκ τοῦ δήμου μῖσος αἴτιον ἦν."

ἀπαρτῆσαι τὸ κρεμάσαι, ἀπαρτίσαι δὲ τὸ τελειῶσαι.

ἀπαρτί. ἐπίρρημά ἐςιν, ὡς ἀμογητί, παρὰ τὸ ἀπηρτισμένον καὶ πλῆρες. Ἡρόδοτος (2 158) "ἀπὸ τούτου εἰσὶ ςάδιοι ὁ ἀπαρτί." καὶ Φερεκράτης ἐν Κραπατάλοις "φράσον μοι. ἀπαρτὶ δήπου προσλαβεῖν." καὶ Ἀριςοφάνης Πλούτῳ (388) "ἔγωγε καὶ τοὺς δεξιοὺς καὶ σώφρονας ἀπαρτὶ πλουτῆσαι ποιήσω."

ἀπαρτίαν ἀποσκευήν, τέλος ἀπαρτισμοῦ. καὶ ἀπαρτιζόντως τὸ (an ὥςε) μήτε ὑπερβάλλειν μήτε ἐνδεῖν· "ὅρος γάρ ἐςι λόγος κατ' ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος" (cf. v. ἀνάλυσις). καὶ ἀπαρτιλογία ἀπηρτισμένος καὶ πλήρης ἀριθμὸς καὶ λόγος· οὕτω Λυσίας. Ἡρόδοτος δὲ ζ' (29) (λέγει δὲ Ξέρξης πρὸς Πύθιον τὸν Λυδόν) "ἵνα μή τοι ἐπιδεεῖς ἔωσιν αἱ τετρακόσιαι μυριάδες ἑπτὰ χιλιάδων, ἀλλ' ἡ τοι ἀπαρτιλογίη ὑπ' ἐμέο πεπληρωμένη."

ἀπαρυςέον ἀφαιρετέον, ἀπὸ τοῦ ἀρύω. sch. A Eq. 917.

ἀπάρχεσθαι τὸ τοῖς ἀγύρταις ἀργύριον ἐμβάλλειν. καὶ ἀπάρχου ἀρχὴν βάλλε, ἢ ἀπαρχὰς πρόσφερε. καὶ ἀπαρξόμεθα ἀντὶ τοῦ ἀπαρχὰς προσοίσομεν· (AP 6 238) "εἰ μηδ' ἐξ ὀλίγων ὀλίγη χάρις· εἰ δὲ διδοίης πλείονα, καὶ πολλῶν, δαῖμον, ἀπαρξόμεθα."

ἅπασαν τὴν οὐσίαν ἠμφίαςαι, ἐπὶ τῶν μηδ' ὁτιοῦν ἄλλο κεκτημένων ἢ ὅπερ ἀμπίσχονται.

ἅπας ἐχῖνος τραχύς, παροιμία ἐπὶ τῶν δυσκόλων καὶ δυςρόπων.

ἀπασκαρίζειν. Ἀριςοφάνης Ταγηνιςαῖς "ἀπασκαρίζειν ὡσπερεὶ πέρκην χαμαί." Μένανδρος "ἀπασκαριῶ δ' ἐγὼ γέλωτι τήμερον."

ἀπαςία ἀτροφία, νηςεία, παρὰ τὸ πάσασθαι. καὶ ἄπαςος (Hom. Γ 346) ἄγευςος, οἷον ἄμαςος, ἀμάσητος.

ἀπαταγί ἄνευ ψόφου.

ἀπατεῶνος ψεύςου.

ἀπατηλός ἀπατητικός.

ἀπατήσει, αἰτιατικῇ, ἀντὶ τοῦ παραλογιεῖται Τηλεκλείδης.

ἀπατούρια ἑορτὴ δημοτελής. ἤγετο δὲ παρ' Ἀθηναίοις ἐπὶ τρεῖς ἡμέρας· ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκου τοῦ Θρᾳκῶν βασιλέως. καλοῦσι δὲ τὴν μὲν πρώτην δόρπειαν, ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο, τὴν δὲ δευτέραν ἀνάρρυσιν ἀπὸ τοῦ θύειν (ἔθυον δὲ Διὶ φρατρίῳ καὶ Ἀθηνᾷ), τὴν δὲ τρίτην κουρεῶτιν ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας. ἡ δὲ αἰτία· πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Κελαινῶν, ὃ ἦν χωρίον ἐν μεθορίοις, Ξάνθιος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. οὐ δεξαμένου δέ, Μέλανθος ἐπιδημῶν, Μεσσήνιος γένος ἀπὸ Περικλυμένου τοῦ Νηλέως, ὑπέςη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δὲ ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξανθίου τραγῆν ἐνημμένος μέλαιναν. ἔφη οὖν ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα. ὁ δὲ ἐπεςράφη. ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ ἀπατούρια, καὶ Διονύσου μελαναιγίδος ἐδομήσαντο. οἱ δέ φασιν ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφὰς οἷον ὁμοπατόρια λέγεσθαι τὴν ἑορτήν. ὁποίῳ τρόπῳ λέγομεν ἄλοχον τὴν ὁμόκοιτον καὶ ἄκοιτιν, οὕτω καὶ

ὁμοπατόρια ἀπατόρια. καὶ Ἀριστοφάνης ⟨Ach. 146⟩ "ἦρα φαγεῖν ἀλλᾶντας ἐξ ἀπατουρίων."

ἀπαύγασμα καὶ ἀπαυγάζω, καὶ ἀπαυγή ἡ ἔκλαμψις.

ἀπαυδῶ ἀπαγορεύω, ἀπολέγομαι· Ἀριστοφάνης ⟨Ran. 362⟩ "τούτοις αὐδῶ, καὖθις ἀπαυδῶ, καὖθις τὸ τρίτον μάλ' ἀπαυδῶ."

ἀπαυθαδιάζοντας μεγαλοφρονοῦντας.

ἀπαυθημερίζειν αὐθημερὸν ἐπανέρχεσθαι· Ξενοφῶν ⟨Anab. 5 2 1⟩ "ἐπεὶ δὲ τὰ ἐπιτήδεια οὐκ ἦν λαμβάνειν ὥστε ἀπαυθημερίζειν ἐπὶ τὸ στράτευμα."

ἀπαυτοματισθεῖσα οὐκ ἀφ' ἑαυτῆς τελειωθεῖσα.

ἀπαυτομολῆσαι ἀναχωρῆσαι, φεύξασθαι. "ἔφερον δὲ τὰ σφέτερα αὐτῶν σιτία, οἳ μὲν ἀπορίᾳ ἀκολούθων οἳ δὲ ἀπιστίᾳ· ἀπηυτομολήκεισαν γὰρ οἱ πλεῖστοι."

ἀπαυχενίζειν ἀφηνιᾶν, ἀτακτεῖν. ἢ τὸν αὐχένα συντρίβειν.

ἀπαφίσκω ἀπατῶ.

ἀπαχθῆναι ἀπενεχθῆναι, ἀναιρεθῆναι.

ἀπέβη ἀπέθανε. καὶ ἀπεβίω ὁμοίως.

ἀπέβλισεν ἀφείλετο. ἡ μεταφορὰ ἢ ἀπὸ τῶν κηρίων ἢ ἀπὸ τῶν τὸ γάλα ἀμελγόντων. Ἀριστοφάνης Ὄρνισι ⟨498⟩ "λωποδύτης παίει ῥοπάλῳ με τὸ νῶτον, κἀγὼ πίπτω, μέλλω τε βοᾶν· ὃ δ' ἀπέβλισε θοἰμάτιόν μου."

ἀπέβριξεν ἀφύπνωσεν.

ἀπεγένετο ἀντὶ τοῦ ἀπέθανεν. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης ⟨2 34, 51, 98⟩.

ἀπεγνωκὼς ἀντὶ τοῦ ἀποδοκιμάσας Δημοσθένης. καὶ ἀπέγνωσαν τὸ ἐναντίον τῷ κατέγνωσαν.

ἄπεδα τὰ ἰσόπεδα. Κλείδημος "καὶ ἠπέδιζον τὴν ἀκρόπολιν, περιέβαλλον δὲ ἐννεάπυλον τὸ Πελασγικόν."

ἀπέδει ἐνέλειπεν· ⟨Pausan. 8 49⟩ "ὁ δὲ Φιλοποίμην ὁ Ἀρκὰς μέγεθος μὲν δὴ καὶ σώματος ῥώμην ἀπέδει Πελοποννησίων οὐδενός, τὸ δὲ εἶδος ἦν τοῦ προσώπου κακός."

ἀπεδειλία ἐδεδίει· Πολύβιος ⟨29 6⟩ "ὁ δὲ Περσεὺς μίαν ἔχων πρόληψιν ἢ νικᾶν ἢ θνήσκειν" ἀντὶ τοῦ ἔννοιαν "τότε οὐχ ὑπέμεινε τῇ ψυχῇ, ἀλλ' ἀπεδειλία καθάπερ οἱ προόπται τῶν ἱππέων."

ἀπέδειξεν ἀντὶ τοῦ παρέδωκε Ξενοφῶν ⟨Rp. Lac. 15 3⟩.

ἀπεδήδοκε ⟨A Ran. 1015⟩ κατέφαγεν.

ἀπεδημηκότες ἀντὶ τοῦ ἀποδεδημηκότες Ἕρμιππος Φορμοφόροις.

ἀπεδοκίμαζεν ἀτίμως ὕβριζεν, ἐξεφαύλιζε. ⟨Polyb. 8 11⟩ "καὶ καθόλου τοὺς μὲν κοσμίους τοῖς ἤθεσι καὶ τῶν ἰδίων βίων ἐπιμελομένους ἀπεδοκίμαζεν, τοὺς δὲ πολυτελεῖς καὶ ζῶντας ἐν μέθαις καὶ κύβοις ἐτίμα καὶ προῆγεν."

ἄπεδον τὸ ἰσόπεδον καὶ τὸ ὁμαλόν· Θουκυδίδης ⟨7 78⟩ "οἱ δὲ Ἀθηναῖοι κατέβησαν εἰς χωρίον ἄπεδόν τι καὶ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἔκ τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον."

ἀπέδοξεν ἀντὶ τοῦ οὐκ ἔδοξεν.

ἀπέδοσθε ἀπημπολήσατε. καὶ ἀπέδοτο ἐκδέδωκε, παρέδωκεν.

ἀπέδρα, καὶ τὸ πρῶτον πρόσωπον ἀπέδραν. "τί οὐκ ἐπανεχώρησα δεῦρο κἀπέδραν;" Φερεκράτης Ἰπνῷ. Μένανδρος Θετ-τάλῃ "εἶτ' ἀπέδραν μόνος."

ἀπέθανεν ἀπῆλθεν ὅθεν ἦν ⟨Plutarch. cons. Apoll. p. 110 A⟩. καὶ ἔστιν ἐν τῷ ἀποθανεῖν.

ἀπεθέρισεν ἀπέκειρεν, ἀπέκοψε. καὶ ἀπέθρισε τὸ αὐτό· ⟨AP 7 204⟩ "σὴν κεφαλὴν αἴλουρος ἀπέθρισεν, ἄλλα τε πάντα ἥρπασε, καὶ φθονερὴν οὐκ ἐκόρεσσε γένυν."

ἄπει ἀντὶ τοῦ ἀπελεύσῃ Σοφοκλῆς ⟨Ant. 244, OR 431, Ph. 1067⟩.

ἀπεῖδεν· "ὁ δὲ στρατηγὸς ἐπεὶ ἀπεῖδεν εἰς αὐτὸν ὀργῇ διακεκαυμένος, θανάτῳ τὸν Γέτην ἐκόλασεν," ἀντὶ τοῦ μετὰ δριμύτητος ἐθεάσατο.

ἀπειθεῖν, δοτικῇ, ἀπιστεῖν. καὶ ἀπειθὴς οὐ μόνον ἐπὶ τοῦ δυσπειθοῦς ἀνθρώπου ἀλλὰ καὶ ἐπὶ τόπου· Αἰλιανός "οἱ γὰρ Ῥωμαῖοι ἔνθα ἂν τοῖς ἐχθροῖς ἐνέτυχον, ἐνταῦθα δήπου καὶ ἠγωνίζοντο, εἴτε εἶεν ἀπειθεῖς οἱ τόποι καὶ τραχεῖς, εἴτε καὶ εὐφυεῖς δέξασθαι ὁπλίτας καὶ εὐήλατοι." ἀπιθῶ δέ, ὡς τὸ ⟨AP 7 9⟩ "ᾧ δρύες οὐκ ἀπίθησαν, ὅτῳ σὺν ἅμ' ἕσπετο πέτρη ἄψυχος."

ἀπεικάζω δοτικῇ.

ἀπείκασμα ὁμοίωμα.

ἀπεικὸς ἄτοπον, ἀπρεπές. ἀπεικότως δέ.

ἀπειλὴ ἡ ὀργή.

ἀπειλημμένος κεκρατημένος.

ἀπειλητῆρες ⟨Hom. H 96⟩ καυχηταί, καὶ ἀπειλῶν, δοτικῇ, καυχώμενος.

ἀπείπατο ἀπηρνήσατο· "ὁ δὲ τὴν πατρίδα ἀπείπατο καὶ Θούριος ἀνερρήθη." καὶ

ἀπεῖπεν ἀπηγόρευσεν, ἀπεφήνατο· "ὃ δὲ ἀπεῖπεν ἅπασι μήτε ἄριςον αἱρεῖσθαι μήτε ἀποδαρθεῖν μήτε ἀποθωρακίσασθαι τῶν πάντων οὐδένα." καὶ ἀπειπεῖν ἀντὶ τοῦ κελεῦσαι μὴ πράττειν· Λυσίας ⟨fr. 152⟩ ἐν τῷ κατὰ Κτησιφῶντος "καὶ τοὺς μὲν τῶν ἄλλων Ἀθηναίων παῖδας, ὧν οἱ πατέρες βοηθήσαντες ὑμῖν ἔτι ζῶσι, ἀπειπεῖν ἐν τοῖς νόμοις μήτε ἄδικον μήτε δίκαιον λέγειν." καὶ ἀπειπεῖν ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι. ἢ ἀπειπεῖν ἀπαρνήσασθαι, ἀποποιήσασθαι φιλίαν· "καὶ ἀπειπάμενοι τὴν χάριν καὶ τὴν δωρεὰν διὰ τὸ γεγονὸς παρασπόνδημα."

a ἀπειπὼν ἐντειλάμενος· "ἀπειπὼν μηδενὶ φράζειν τὸ γεγονός." καὶ Αἰλιανός "ὀλίγοι μὲν ἀπεῖπον πεμφθῆναί οἱ τὸν θρίαμβον." ἢ ἀπειπὼν ἀποκαμών, ἀπαγορεύσας· "ὀρρωδοῦντες μή τις αὐτῶν ἀπειπὼν τοῖς παροῦσι, κίνδυνον ἀναρρίψας ὑπαναφῆναι δυνηθῇ τρίτος, ὅσπερ ἔμελλε δικαιώσειν αὐτούς."

b ἀπειπὼν ἀπαρνησάμενος, παραιτησάμενος. "οὐκ ἂν ἔφησεν ἅψασθαι τροφῆς, εἰ μὴ τὸν φόνον τὸν βαρβαρικὸν ἰσορήσειεν. ὃ δὲ ἀπειπὼν τὴν εὐωχίαν συνηπείγετο πρὸς τὴν θέαν."

ἀπειραίη ⟨Hom. η 8⟩ ἡ ἄποθεν παροῦσα, Ἠπειρωτική.

ἀπείρατον ἀδοκίμαστον· "οὐκ ἀπείρατον αὐτῷ ἔδοξεν ἐκλιπεῖν, εἴ πῃ Ὀσρόης γνωσιμαχήσας ὑποδύσεται τοῖς ἐκ Ῥωμαίων τε καὶ ἑαυτοῦ ξὺν δίκῃ ἀξιουμένοις" ⟨cf. v. γνωσιμαχῆσαι⟩.

ἀπειργάσθαι ἀντὶ τοῦ ἀποδεδεῖχθαι Ξενοφῶν ⟨Cyr. 8 extr.⟩.

ἀπειρέσια ἄπειρα τῷ πλήθει.

ἀπείρηκα, δοτικῇ, κέκμηκα. "ὃ δὲ ἀμφὶ τὴν ἐσχάτην πορείαν τοῦ βίου ὢν ἐγεγηράκει, καὶ ἀπειρηκέναι τοῖς πόνοις ἐδόκει" ⟨Agath. 5 14⟩. καὶ αὖθις "διά τοι τοῦτο ἀπειρήκασι Μῆδοι τῶν εἰρηναίων σπονδῶν, καὶ πάλιν αὐτοῖς ἀναζωπυρεῖται τὸ φιλοπόλεμον" ⟨Theophyl. Sim. 3 15⟩.

ἀπειρήκει καὶ ἀπειρήκειν ἀπηγορεύκει· ἔςι γὰρ καὶ πρῶτον πρόσωπον. καὶ ἀπειρηκυῖα ἀπαγορεύσασα. καὶ ἀπειρήκεσαν.

ἀπείρητος ὁ ἀπείρασος, ὁ ἄπειρος. ἀπείριτος δὲ ἡ ἄπειρος καὶ πολλή.

ἀπεῖρξεν ⟨S Ai. 1280⟩ ἐκώλυσεν.

ἄπειροι ⟨an ὕπερ οἱ⟩ γῦπες, ἐπὶ τῶν διὰ κληρονομίαν ἢ διὰ κέρδος προσεδρευόντων τινί, παρ' ὅσον οἱ γῦπες τοῖς θνησιμαίοις παρεδρεύουσιν.

ἀπειροκαλία ἀμετρία τοῦ καλοῦ. "οἱ δὲ Ῥωμαῖοι ἤδη κεκρατηκότες ἐπηρμένοι ἦσαν εἰς ἀπειροκαλίαν, καὶ τὰς σφῶν αὐτῶν ἐξέτειναν δυνάμεις ἀνὰ τὴν ἐκείνου Λιβύην." καὶ αὖθις "ἀλλ' εἰμὶ λίαν ἀπειρόκαλος ὡς διαβεβοημένα ἐπιδιηγούμενος."

ἄπειρος ὁ ἀμαθής, ἢ ὁ ... "ἀθαλάττωτος, ἀσαλαμίνιος" Ἀριςοφάνης ⟨Ran. 206⟩ διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν. ἢ ὅτι ἡ ἑτέρα τῶν ὑπηρετίδων νεῶν ἐκαλεῖτο Σαλαμινία, ἡ δὲ ἑτέρα Πάραλος.

ἄπεισιν ἀπέρχεται.

ἀπείσομαι ἀντὶ τοῦ ἄπειμι.

ἀπεῖχε πόρρω ἦν· "ὅσον δὴ ἀπεῖχε τοῦ ἐκπεπλῆχθαι βασιλέα τε καὶ ὄγκον, ἐδήλου τῷ μηδὲ ὀφθαλμῶν ἄξια ἡγεῖσθαι τὰ τοιαῦτα."

ἀπεκάθητο ἐκαθέζετο· "ὁ δὲ Σκηπίων ἀπεκάθητο πρός τινι πυραμίδι, θεωρῶν τοὺς αὐτομόλους καὶ τὴν τούτων ἀπόνοιαν."

ἀπεκαίνυτο ⟨Hom. θ 127⟩ ἐνίκα.

ἀπεκάλει ἀντὶ τοῦ ἐνεκάλει. μετεπέμπετο Ξενοφῶν ⟨Cyr. 1 4 25, 4 5 12⟩.

ἀπεκαρτέρησεν ἑαυτὸν διεχρήσατο. "ὁ δὲ Λυκοῦργος ἐλθὼν εἰς Κρήτην ἀπεκαρτέρησεν, ἵνα μὴ λύσῃ τοὺς νόμους οὓς ἔθηκεν." cf. vv. ἀποκαρτερήσαντα et Λυκοῦργος.

ἀπεκαύθησαν· ⟨X Anab. 7 4 3⟩ "πολλοὶ δὲ ὑπὸ κρύους ἀπεκαύθησαν χεῖρας καὶ πόδας."

ἀπέκειντο ἐταμιεύοντο· ⟨X Anab. 2 3 15⟩ "αἱ δὲ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν τοῖς Ἕλλησιν ἔςιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο, αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι."

ἀπέκνισε ξύλον ⟨2 Regg. 6 6⟩ ἀπέκοψεν.

ἀπεκομίσθη ἀπηνέχθη.

ἀπεκόμπασεν· ἐν ἐπιγράμματι ⟨AP 6 54⟩ "βραγχὸν τετριγυῖα λύρας ἀπεκόμπασε χορδά."

ἀπεκόπησαν ἀντὶ τοῦ ἀνεβλήθησαν Ξενοφῶν ⟨Anab. 4 2 17⟩.

ἀπεκορύφου προφανῶς ἔλεγεν. Ἡρόδοτος ⟨5 73⟩ "Ἀρταφέρνης ὁ Ὑςάσπεος, Σαρδίων ὕπαρχος, ἀπεκορύφου σφι τάδε. εἰ μὲν διδοῦσι βασιλεῖ Δαρείῳ Ἀθηναῖοι γῆν τε καὶ ὕδωρ, ὃ δὲ συμμαχίην σφι συνετίθετο· εἰ δὲ μὴ διδοῦσιν, ἀπαλλάσσεσθαι αὐτοὺς ἐκέλευεν."

ἀπεκράνιξε τῆς κάρας ἀπεχώρισεν, ἀπέκοψεν· ⟨AP 6 255⟩ "ὃ δὲ ῥοπάλῳ γυρὸν ἀπεκράνιξε βοὸς κέρας."

ἀπεκρίθη ἀφωρίσθη.

ἀπεκτάγκασι καὶ ἀπεκτόνασι· "μισοῦσι μέν, ὦ πάτερ, Θράσωνα, ἀπεκτάγκασι δ' οὔ." cf. v. ἀποκτιννύναι.

ἀπεκτήτου ἀκτενίστου· ἐν ἐπιγράμματι ⟨AP 5 270⟩ "οὐδὲ κομίζει χρυσὸς ἀπεκτήτου σῆς τριχὸς ἀγλαΐην."

ἀπέλα ⟨X Cyr. 8 3 32⟩ ἀντὶ τοῦ ἀπέλαυνε.

ἀπελαύνομαι· "ὡς οἱ τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα τῶν ψυχῶν ἀπελάσαντες."

ἀπέλεθρον ⟨Hom. E 245⟩ πολλήν, ἀμέτρητον.

ἀπελεύθερος ὁ ἐλευθερωθείς.

ἀπεληλαμένος ἀποφεύγων.

ἀπέλθῃ ἀντὶ τοῦ ἐπανέλθῃ Θουκυδίδης. Δημοσθένης δὲ ἀντὶ τοῦ ἀποδρᾶναι.

ἀπελλαῖος παρὰ Μακεδόσιν ὁ δεκέμβριος μήν.

Ἀπελλῆς Κολοφώνιος, θέσει δὲ Ἐφέσιος, ζωγράφος, μαθητὴς Παμφίλου τοῦ Ἀμφιπολίτου, πρότερον δὲ Ἐφόρου τοῦ Ἐφεσίου, υἱὸς Πυθέου, ἀδελφὸς Κτησιόχου καὶ αὐτοῦ ζωγράφου.

ἀπελογίζετο ἀπηριθμεῖτο· "ὃ δὲ εἰσελθὼν ἀπελογίζετο τὰς αἰτίας δι' ἃς πεφευγὼς εἴη τὸν Φίλιππον."

ἄπελος τὸ ἕλκος, διὰ τὸ μὴ πελάζειν ἀλλὰ διίστασθαι.

ἀπελπίζω αἰτιατικῇ.

ἀπελυμαίνοντο ⟨Hom. A 314⟩ ἀπεκαθαίροντο.

ἀπέλυσεν ⟨Hom. A 95⟩ ἐλυτρώσατο. Πολύβιος "ἣ καὶ τὸν Ἡρακλείδην ἀπέλυσε τῆς ὑποψίας" ⟨cf. v. ἀναδέξασθαι⟩.

ἀπελωβήθη ἐφύβρισα εἴργασαι. ἢ οὕτως· ἐνυβρίσθη καὶ λωβητὸς γέγονε. Σοφοκλῆς ⟨Ai. 216⟩ "μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς νύκτερος Αἴας ἀπελωβήθη."

ἀπεμορξάμην ἀπεψησάμην, ἐδάκρυσα· ⟨A Ach. 672⟩ "ὥς ἐγὼ μὲν ἠλέησα κἀπεμορξάμην, ἰδὼν ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον." ἀπὸ τοῦ παρακολουθοῦντος· παρέπεται γὰρ τοῖς δακρύουσιν ἀπομάττεσθαι. ἢ ἀπεμόρξατο ἐξωμοιώσατο· ⟨AP 6 217⟩ "ὑετὸν ἄρτι κόμης ἀπεμόρξατο, τοῦ δὲ κατ' ἴχνος βουφάγος εἰς κοίλην ἀτραπὸν ἵκτο λέων." καὶ ἀπεμόρξατο ⟨Hom. B 269⟩ ἀπεβάλετο, ἀπεσμήξατο.

ἀπεμπολή ἀπόστασις, ἡ μετὰ ἀπάτης πρᾶσις καὶ ἐμπορία. καὶ ἀπεμπολήσας πεπρακώς, ἀποκτησάμενος.

ἀπεμυθήσω ἀντὶ τοῦ ἀπελογίσω Στράττις.

ἀπεμφαίνει ἀπείρηκεν ⟨an ἀπέοικεν⟩.

ἀπενεγκάμενος κτησάμενος.

ἀπενιαυτίσαι ἐνιαυτῷ φυγεῖν τὴν πατρίδα ἐπί τισιν ἀδικήμασιν. ⟨Philostrat. V. A. 1 13⟩ "Ἀπολλώνιόν φασι τὸν Τυανέα ἀπενιαυτίσαι εἰς τὸ Σκυθῶν ἔθνος, διαμαρτίᾳ ἐρωτικῇ χρησάμενον." καὶ αὖθις περὶ Ἡρακλέους "ἀπενιαυτίσαντα, ὡς νόμος, ἔξω καὶ καθηράμενον ἐπανελθεῖν εἰς Ἀθήνας."

Ἀπεννῖνα ὄρη.

ἀπεξεσμένον ἠκριβωμένον.

ἀπεοικός ἀπρεπές.

ἀπέπαρδε ⟨A Eq. 636⟩ καὶ ἀποπαρδεῖν. ἔπραδεν δέ, προτεταγμένου τοῦ ρ.

ἀπεπίστευον ἤλπιζον· ⟨Polyb. 3 71⟩ "οἱ γὰρ Ῥωμαῖοι πρὸς τοὺς ὑλώδεις τόπους ὑπόπτως εἶχον πρὸς ἐνέδραν, ἐν δὲ τοῖς ἐπιπέδοις καὶ ψιλοῖς ἀπεπίστευον."

ἀπεπλίξατο. Ἀριστοφάνης Ἀχαρνεῦσιν ⟨217⟩ "οὐκ ἂν ἐλαφρῶς ἀπεπλίξατο" ἀντὶ τοῦ εὐχερῶς καὶ μετὰ ῥᾳστώνης ἀπεσείσατο καὶ ἀπέφυγε. πλὶξ γὰρ τὸ βῆμα, καὶ πλίγματα τὰ πηδήματα. ἔνθεν καὶ τὸ περιβάδην ἀμφιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ, καὶ Ὅμηρος ⟨ζ 318⟩ "αἱ δ' εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσιν." ἔλεγον δὲ πλὶξ καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα, καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν.

ἀπεπόνουν τοῦ πόνου ἔληγον· ⟨Theophyl. Sim. 2 7⟩ "ἀλλ' ὅτε οἱ Ῥωμαῖοι ἀπεπόνουν ἐρεβοδιφῶντες τὰ ὑποχθόνια, στρατοπεδεύουσιν ἀμφὶ τὸ φρούριον τὸ Χλομαρῶν."

ἀπεπυδάρισα μόθωνα περιεκόκκυσα ⟨A Eq. 697⟩ ἀντὶ τοῦ ἀπέπαρδον. μόθων δὲ εἶδος ὀρχήσεως φορτικῆς. περιεκόκκυσα οὖν κόρδακα ὠρχησάμην.

ἀπέρατον ἄπειρον, μέγα, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσιν. Ἀριστοφάνης Νεφέλαις ⟨2⟩ "τὸ χρῆμα τῶν νυκτῶν ὅσον ἀπέρατον." καὶ αὖθις ⟨Procop. Pers. 2 5⟩ "ὁ δὲ Χοσρόης τὴν ἀπέρατον καλουμένην εἰρήνην λαμπρῶς παρέλυσεν."

ἀπεργασάμενος ἀντὶ τοῦ ἀποδοὺς ἐξ ὧν εἰργάσατο· οὕτως Ἰσαῖος ἐν τῷ πρὸς

Ἀπολλόδωρον. καὶ ἀπεργάσασθαι ἀντὶ τοῦ ἀποπληρῶσαι Ἀριςοφάνης ⟨Av. 1150⟩.

ἀπερείδομαι τὸν πόκον ἀντὶ τῦ ἀποτίθημι, ἀκουμβίζω. καὶ ἀπερείσασθαι ἐκβαλεῖν, ἐκκενῶσαι· "ὥσπερ εἰς ἐκείνυς βυλόμενοι ἀπερείσασθαι τὸν θυμόν," καὶ Ἰώσηπος ⟨B. I. 2 21 10⟩ "πρὸς τὸν αἴτιον ἀπερείσασθαι ἔλεγε τὴν ὀργήν." ἀπερείσασθαι οὖν ἐκκενῶσαι, καταθαρρῆσαι, ἐπιβῆναι· "πρὸς ἵνα καιρὸν ἀπερείσασθαι τὰς ἐλπίδας οὐδαμῶς ἔκρινε συμφέρειν."

ἀπερείσια ἄπειρα· Ὅμηρος ⟨A 13⟩ "ἀπερείσι' ἄποινα." καὶ ἀπερείσιος ἄπειρος, πολύς.

ἀπερεύγομαι αἰτιατικῇ.

ἀπερίβλεπτον ἀνυπονόητον.

ἀπερίγραπτον ἀπεριόριςον. "ὅτι τὸ ἀπερίγραπτον τριττόν, τόπῳ χρόνῳ καταλήψει. ὁ μὲν θεὸς κατὰ πᾶν εἶδος ἀπερίγραπτος, τὰ δὲ αἰσθήσει καταληπτὰ καὶ περιγραπτά." καὶ ἀπερίγραπτοι ἀπερίσκοποι.

ἀπερικτύπητον ἀτάραχον, ἀνενόχλητον.

ἀπεριλάλητον ἤτοι οὐκ εἰδότα λαλεῖν, ἢ οἷον ὀκ ἄν τις περιλαλήσαι. sch. A Ran. 863.

ἀπερισάλπιγκτοι ἀπεριήχητοι, ἀκατήχητοι.

ἀπερίτροπος ἀνεπίςροφος· ⟨S El. 182⟩ "οὔτε γὰρ Ἀγαμεμνονίδης παῖς ἀπερίτροπος, οὐθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων." ἀπὸ κοινοῦ τὸ ἀνεπίςροφος τῦ τοὺς ἐχθρὺς μετελθεῖν, ἀλλ' ἔχει ἐπιςροφὴν καὶ ἐπιμέλειαν ποιεῖται. ἢ ἀνεπέλευςος, ἔνθεν καὶ τὸ ⟨Hom. B 295⟩ "περιτροπέων ἐνιαυτός."

ἀπεροῦντα κωλύοντα, ἀποτρέποντα· "ςέλλεται ἐκ βασιλέως γράμματα ἀπεροῦντα τὴν τῶν βαρβάρων ἐπίθεσιν." καὶ ἀπερῦσιν ἀπαγορεύσουσι καὶ παύσονται τοῦ πολέμου· ⟨A Lys. 164⟩ "ἀμέλει ταχέως πάνυ ἀπεροῦσιν."

ἀπερράπισεν ἀπεφίμωσεν, ἀπεςόμισεν.

ἄπερρε ἀντὶ τοῦ φθείρου, πορεύυ μετὰ φθορᾶς. Ἀριςοφάνης Νεφέλαις ⟨782⟩ "ὑθλεῖς, ἄπερρε." ἄπερρε οὖν ἀποφθάρηθι. καὶ ἔρρων φθειρόμενος· "ζητῶ περιέρρων αὐτὸν ἐξ ἑωθινοῦ" Κραπατάλοις Φερεκράτης.

ἀπερρίφη, γενικῇ, ἐξεβλήθη. ἀπορρίπτω δὲ αἰτιατικῇ.

ἀπέρριψεν. "ὁ δὲ ἐπιτηρήσας τῷ δοκεῖν ὑπὲρ τούτων ἀπέρριψε λόγους," τυτέςι παρενέβαλεν. ἢ ἀπέρριψεν ἐφλυάρησεν· ⟨Menand. Exc. p. 284⟩ "ὁ δὲ ςωμύλος τε ὢν καὶ ὑψαγόρας ἀπέρριψε ῥήματα ὑπερήφανά πως καὶ θρασύτερα."

ἀπέρρωγεν, ὀκ ἀπέρρηκται. καὶ ἀπερρώγει, καὶ σὺν τῷ ν ἀπερρώγειν, τὸ τρίτον πρόσωπον· "κἆτ' ἀπερρώγειν ὁ πούς." καὶ ἀπερρωγότες κατεσχισμένοι ἢ ἀπεσχισμένοι.

ἅπερ σύ ⟨A Ran. 947⟩ ἀντὶ τῦ ὥσπερ σύ.

ἀπερυθριᾶσαι ἀπαναισχυντῆσαι. Ἀριςοφάνης ⟨Nub. 1218⟩ "κρεῖττον ἦν τότ' εὐθὺς ἀπερυθριᾶσαι ἢ χρήσαντά με σχεῖν πράγματα." τῷ πράγματα οὐκ ἐπὶ κακοῦ χρῶνται. ὁ δὲ λόγος εἴρηται ἐπὶ τῶν δανειζόντων. καὶ αὖθις "ἅπαξ πυρρὸς καὶ μὴ δέκατον χλωρός."

ἀπερύκοι ⟨Hom. P 562⟩ ἀπεκωλύθη.

ἀπερωεύς κωλυτής· Ὅμηρος ⟨Θ 361⟩ "ἐμῶν μενέων ἀπερωεύς."

ἀπέσβη ἐσβέσθη, ἢ ἐπαύσατο, τέθνηκεν.

ἀπέσβηκε λέγουσι τὸ ἀπέσβεςαι οἵ τε ἄλλοι καὶ Πλάτων Πολιτικῷ ⟨p. 269 B⟩.

ἀπεσείσατο ἀπέβαλεν.

ἀπεσκέδασε ⟨Hom. T 309⟩ διεσκόρπισεν.

ἀπεσκευάζετο τὴν ςολὴν ἀπετίθει, καὶ ἀπεσκευασάμεθα ἀπεβάλομεν. κυρίως δὲ ἀποσκευάσασθαί ἐςι τὸ ἀπορρῖψαι τὰ σκεύη καὶ τοῖς πολεμίοις ἀκολουθεῖν. "τὰ δὲ πολλῦ ἄξια μετὰ πλείςων ἀνθρώπων ἐκεῖσε ἀπεσκευάσατο" ἀντὶ τοῦ ἀπέθηκεν."

ἀπεσκληκώς ἀναισθήτως ἔχων. καὶ ἀπεσκληρυμμένος ἐξηραμμένος.

ἀπεσκοτωμένα ἐσκιαγραφημένα, κεχρωσμένα· τὰς γὰρ χρίσεις σκότη καλοῦσιν οἱ ζωγράφοι. οὕτως Ἀριςοφάνης. cf. v. ἀπόμακτρα.

ἄπεσομαι ἀπέρχομαι, ἀναχωρῶ, παρὰ Ἀριςοφάνει ἐν Νεφέλαις ⟨887⟩.

ἀπέσπασε μετὰ βίας ἐξείλετο. "οἱ δὲ Σπαρτιᾶται ⟨an Εἵλωτες⟩ ἐκάθηντο τοῦ θεῦ ἱκέται εἰς Ταίναρον καὶ ᾔτουν σωτηρίαν. οἱ δὲ ἀπέσπασαν ἀφειδῶς καὶ μάλα ἀπέκτειναν αὐτούς."

ἀπεσπούδαζεν ἠμέλει, κατεφρόνει· ⟨Philostrat. V. A. 1 7⟩ "οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπούδαζεν ὁ Ἀπολλώνιος." cf. v. Εὐθύδημος.

ἀπέσσυτο ἐξέλιπε. σεύω τὸ ὁρμῶ, καὶ σύω, ἀφ' οὗ τὸ σῦμι, ἔνθεν τὸ ἔσσυτο καὶ ἀπέσσυτο καὶ ἀπόσσυτος.

ἀπεςάτει ἀπεῖχεν, ἀπεχωρίζετο. Εὐνά-

πιος ⟨p. 103 Nieb.⟩ "καὶ γὰρ οὐκ ἀπεστάτει τῆς τοῦ Λέοντος ἐπωνυμίας· οὕτω γὰρ καὶ τὸ ζῷον ποιεῖν εἴωθεν." οὐκ ἀπεστάτει οὐ παρήλλαττεν· Σοφοκλῆς ⟨OR 742⟩ "μέγας, χνοάζων ἄρτι λευκανθὲς κάρα, μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ." περὶ Λαΐου φησὶν Ἰοκάστη.

ἀπεσταύρουν σταυροῖς ἔφραττον· Θουκυδίδης ⟨4 69⟩ "λίθοις δὲ καὶ πλίνθοις χρώμενοι καὶ κόπτοντες δένδρα καὶ ὕλην ἀπεσταύρουν, εἴ πη δέοιτό τι."

ἀπέστησεν ἐκώλυσεν, ἐπέσχε. Πολύβιος "ἐκεῖνον γὰρ οὔτε σκότος οὔτε χειμῶνος μέγεθος ἀπέστησεν οὐδέποτε τῆς προθέσεως, ἀλλὰ καὶ ταῦτα διωθούμενος καὶ τὰς ἀρρωστίας ἐκπονῶν καθῆστο καὶ διευτυχήκει πάντα τὸν χρόνον." καὶ αὖθις Πολύβιος "ἀποσχόντες τῆς ἰδίας παρατάξεως ἐφ' ἱκανόν τινα τόπον οἱ μὲν πλείους ἀπέστησαν, δύο δὲ ἐπὶ πολὺ προῆλθον," ἀντὶ τοῦ ἐπέσχον τὸν δρόμον.

ἄπεστιν ἀντὶ τοῦ ἀφέστηκεν, μακράν ἐστιν· Ἀριστοφάνης ⟨Lys. 103⟩ "ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτην." οὗτος ἦν στρατηγὸς Ἀθηναίων, ὁ καλούμενος στύππαξ, δωροδόκος καὶ προδότης, ὃς ἀπώλετο ὑπὸ τῶν τριάκοντα. οἱ δὲ ὡς πιὼν κώνειον.

ἀπεστομάτισαν ἀπεφθέγξαντο.

ἀπεστυφέλιξεν ⟨Hom. Π 703⟩ ἐκίνησεν, ἔσεισεν.

ἀπεστώ, ὥσπερ Σαπφώ, παρὰ Καλλιμάχῳ ἡ ἀποδημία.

ἀπέστω οἰχέσθω, διωκέσθω· ⟨A Nub. 701⟩ "ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων." ἐπὶ τῶν βουλομένων φιλοσοφεῖν ὁ Σωκράτης φησίν.

ἀπεσφακέλισεν. οἱ μὲν ἰατροὶ ἐσάπη, ἀπεσφενδόνησε· σημαίνει δὲ καὶ τὸ ἀπεκάκησεν, ἔτι τὸ ἐξαίφνης ἀπέθανεν. ὁ δὲ Ἀριστοφάνης ⟨Ὁλκάσιν⟩ ἀντὶ τοῦ ἀπεσπάσθη.

ἀπέσφηλεν ἀποτυχεῖν ἐποίησεν.

ἀπέσχαζεν Πλάτων Πρέσβεσι. καὶ σχᾶν τὸ σχάζειν.

ἀπεσχεδιάζετο ἡτοιμάζετο.

ἀπεσχοίνισεν ἀπεχώρισεν, καὶ ἀπεσχοινισμένος ἀπεστερημένος. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ⟨α 28⟩ ἀντὶ τοῦ ἀποκεκλεισμένος.

ἀπετάφρευον. Μένανδρος ⟨p. 440 Nieb.⟩ "οἱ Ῥωμαῖοι γὰρ οὐκ ἀπετάφρευον τὸ πρότερον, οὔτε μὴν ἐν ἐπιστήμῃ πάμπαν τὸ τοιόνδε εἶχον πρότερον ἢ Μαυρίκιον τὸν Παύλου ἡγήσασθαι τοῦ ἑῴου πολέμου. ἐπειδὴ δὲ ὅδε τὴν στρατηγίαν εἶχεν ἡγεμονεύουσαν αὐτῷ τῆς ἐπὶ τὴν βασιλείαν ἀτραποῦ, τὸ τοιόνδε ῥᾳθυμίᾳ παροφθὲν ἐς τὸ δέον ἐπανήγαγε. Ῥωμαίοις γὰρ μὴ βουλομένοις ἦν τὸ χρῆμα, καὶ εἰς λήθην κατώλισθεν· πόνος γὰρ ὄκνῳ πολέμιος."

ἀπετείχιζον ⟨Thuc. 7 78⟩ ἀπεχώριζον, ἀπεκώλυον.

ἀπετέμετο περιέκοψε, διεχώρισε· "κατανύσας ἐπὶ τὸν ἰσθμὸν τῶν Σινωπέων ἀπετέμετο τοὺς ἐν τῇ χώρᾳ πάντας."

ἀπετιμήσατο ἀντὶ τοῦ ἀποτίμημα ἔλαβεν· οὕτως Δημοσθένης ⟨30 29⟩. καὶ ἀποτίμησις τὸ ἀποτίμημα.

ἀπετίννυον ⟨Ps. 68 4⟩ ἀπεδίδουν.

ἀπέτισεν ἀπέδωκεν· "μοσχείω δ' ἀπέτισεν ὁ θὴρ ἀνθ' αἵματος αἷμα βληθείς" ⟨AP 6 263⟩.

ἀπετμήθη ἀπεκόπη.

ἀπετρίψαντο ἀπελογίσαντο· "οἱ δὲ πρὸς ἕκαστον τῶν ἐγκαλουμένων οὐ μόνον ἀπετρίψαντο τὰς διαβολάς, ἀλλὰ καὶ τιμηθέντες ἐπανῆλθον εἰς τὴν οἰκείαν" ⟨Diodor. Sic. t. 2 p. 625⟩.

ἀπετρύετο κατεδαπανᾶτο· "καὶ παρὰ τὰς τῶν δείπνων παρασκευὰς τὸ πολὺ τῶν δημοσίων ἀπετρύετο" ⟨cf. v. Βιτέλλιος⟩. καὶ αὖθις "εἰ τοῦτον τὸν ἆθλον προὔτεινεν Εὐρυσθεὺς Ἡρακλεῖ, σφόδρα ἂν αὐτὸν ἀπέτρυσεν" ⟨Nic. Damasc. p. 421⟩.

ἀπευήκασιν ἀπεξηραμμέναι εἰσίν.

ἀπευθέες ἄπειροι, ἀπαίδευτοι. καὶ ἀπευθής ⟨Hom. γ 88⟩ ἄφημος.

ἀπευθύνει κολάζει, καὶ ἀπευθύνοντα τιμωρίαν ἀπαιτοῦντα· Σοφοκλῆς ⟨Ai. 72⟩ "δεσμοῖς ἀπευθύνοντα."

ἀπεύχομαι αἰτιατικῇ. καὶ ἀπευκταῖον καὶ εὐκταῖον διὰ διφθόγγου. ἀπευκτὸν δὲ μισητόν.

ἀπέφησεν ἀντὶ τοῦ ἀντεῖπε Μένανδρος.

ἀπέφθου χρυσίου, τουτέστι τοῦ πολλάκις ἑψηθέντος ὥστε γενέσθαι ὄβρυζον ⟨sch. Thuc. 2 13⟩. "χρυσί' ἔστ' ἄπεφθα τοῖς Παταικοῖς ἐμφερῆ."

ἀπεφλαύριζεν ἐκάκιζεν· "ὁ δὲ τούτοις ἀντέπραττε καὶ ἀπεφλαύριζε τὰ λεγόμενα." καὶ αὖθις ⟨Menand. exc. leg. p. 291⟩ "περιεφρόνησε δὲ ὅμως αὐτὸν καὶ ἀπεφλαύριζεν."

ἀπέφρησαν ἀφεῖσαν.

ἀπεφρύγοντο· "οἱ δὲ ὑφ' ἡδονῆς ἀπεφρύγοντο, πρός τε τὸ μέλος καὶ τὴν συνθήκην κακῶς ἑαυτοὺς ἐπιτρίβοντες." "φληνάφους διαπλέκοντες καὶ ἀποπεραίνοντες ὑφ' ἡδονῆς ἀπεφρύγοντο" (cf. v. ἀποπεραίνοντες).

ἀπεχειρίσθη τὴν χεῖρα ἀφῃρέθη· "ὃς μετὰ πολλὰς αἰκίας καὶ στρεβλώσεις ἀπεχειρίσθη τὴν δεξιάν."

ἀπεχθάνομαί σοι. καὶ ἀπεχθάνοντο ἐμισοῦντο. καὶ ἀπέχθεσθαι· λέγουσι δέ ποτε καὶ ἀπεχθάνεσθαι.

ἀπέχθεια μῖσος, καὶ ἀπεχθὴς ἐχθρός, μισητός. καὶ ἀπεχθησόμενος ἀντὶ τοῦ ἐχθρὸς γενησόμενος· "ᾔδει γὰρ ὁ Ἀντήνωρ ἀπεχθησόμενος τῷ τοῦ βασιλέως υἱεῖ." καὶ ἀπεχθήρω (Hom. Γ 415) μισήσω.

ἀπ' ἐχθρῶν πολλὰ μανθάνουσιν οἱ σοφοί. ἡ γὰρ εὐλάβεια σώζει πάντα. παρὰ μὲν οὖν φίλου οὐ μάθοις ἂν τοῦθ', ὁ δ' ἐχθρὸς αὐτὸς ἐξηνάγκασε" (Α Αν. 273). καὶ Μένανδρος "οὐχ ὅθεν ἀπωλόμεσθα σωθείημεν ἄν;" παρὰ τῶν ἐχθρῶν· φοβούμενοι γὰρ τοὺς ἐχθροὺς ὠφελούμεθα παρ' αὐτῶν, ἔκ τε τῶν ἐχθρῶν πολλὰ χρήσιμα διδασκόμεθα πρὸς φυλακὴν καὶ πρόνοιαν. "αὐτίχ' αἱ πόλεις παρ' ἀνδρῶν ἔμαθον ἐχθρῶν κοὐ φίλων ἐκπονεῖν θ' ὑψηλὰ τείχη ναῦς τε κεκτῆσθαι μακράς. τὸ δὲ μάθημα τοῦτο σώζει παῖδας οἶκον χρήματα" (Α Αν. 374).

ἀπεχρᾶτο Ἡρόδοτος μὲν (1 102) ἀντὶ τοῦ ἀρκεῖν ἡγεῖτο, Θουκυδίδης δὲ ἀπεχρῶντο ἀντὶ τοῦ ἀνῄρουν.

ἀπέχρη ἤρκει.

ἀπεχρήσατο ἀπέκτεινε, καὶ ἀπεχρήσαντο διεχρήσαντο, ἀπέκτειναν· Λημνίαις Ἀριστοφάνης "τοὺς ἄνδρας ἀπεχρήσαντο τοὺς παιδοσπόρους." ἀπέχρησε δὲ ἐχρησιμοδότησεν· "καὶ τρίς, οὐχ ἅπαξ ἀπέχρησεν οἱ Τερίοις εἰπεῖν ἀποστῆναι τῶν ἀμφὶ Δαρεῖον." σημαίνει δὲ τὸ ἀπέχρησε καὶ τὸ ἐξήρκεσεν· "εἶτα οὐκ ἀπέχρησέν οἱ κρατῆσαι τῶν ἐχθρῶν, ἀλλὰ καὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος ἐσύλησε." καὶ αὖθις "ἀπέχρησε μὲν οὖν καὶ ταῦτα κάκιστα ἀνθρώπων ἀπολέσαι αὐτόν."

ἀπέχω, αἰτιατικῇ, ἀντὶ τοῦ ἀπέλαβον· "ὡς ἀπέχομέν γε τὴν χάριν, εἰ δή τις ὀφείλεται καὶ νεωτέρῳ παρὰ ἀδελφοῦ πρεσβυτέρου τοῦ πείθεσθαι χάρις." καὶ αὖθις ἐν ἐπιγράμματι (AP 6 147) "τὸ χρέος ἀπέχεις, Ἀσκληπιέ, τὸ πρὸ γυναικὸς Δημοδίκης." καὶ "ἀπέχω τὰ τροφεῖα."

ἀπεψησάμην κατεμαξάμην· ἀποψᾶν γὰρ λέγουσι τὸ ἐκμάσσειν. καὶ ἀπέψησαν ἀπετίναξαν· "εἰ δέ πω πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινί, τοῦτ' ἀπεψήσαντ' ἄν" (Α Eq. 574). τοῦτο ψευδόπτωμα λέγεται, ὅταν οἱ πεσόντες ἐξαναστάντες ἀποψῶσι τὴν κόνιν, ἵνα μὴ ἔλεγχον τοῦ πτώματος ἔχοιεν. καὶ ἐν Πλούτῳ (818) "ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι." καὶ ἀπεψήσας (an ἀφεψήσας) ἑφθὸν ποιήσας, ἢ ἀντὶ τοῦ καινουργήσας· Ἀριστοφάνης (Eq. 1326) "τὸν δῆμον ἀπεψήσας ὑμῖν καλὸν ἐξ αἰσχροῦ πεποίηκα," ἀντὶ τοῦ ἐκαινούργησα, ὥσπερ ἡ Μήδεια λέγεται τὰς τροφοὺς τοῦ Διονύσου ἀπεψήσασα ἀνανεάσαι ποιῆσαι.

ἀπεψηφίσατο, τουτέστι κατεδίκασεν· "ἡ δὲ βουλὴ τὴν διάγνωσιν ποιουμένη τῶν πεπραγμένων ἀπεψηφίσατο τοῦ ἀνθρώπου, ἐπεὶ αὐτοῦ οὐκ ἐπελθόντος ἀλλ' ἀμυνομένου τὸ μίασμα γέγονε." καὶ αὖθις "τῶν δὲ στρατηγῶν δύο μὲν ἔφυγον πρὸ κρίσεως, Κόνωνος δὲ ἀπεψηφίσαντο," ἀντὶ τοῦ ἀπεδοκίμασαν. καὶ ἀπεψηφισμένοι. ἐπὶ τοῖς δήμοις ἀποψηφίσεις ἐγίνοντο τῶν γεγραμμένων μὲν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, οὐκ ὄντων δὲ ἀστῶν ἀλλὰ παρεγγεγραμμένων εἰς τὴν πολιτείαν· καὶ οὗτοι ἐλέγοντο ἀπεψηφισμένοι, ἐπειδὴ ψήφου αὐτοῖς ἐπαχθείσης οὐκέτι μετεῖχον τῆς πολιτείας. Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονα "ὅπως πρῶτον μὲν μυριάδας πλείους ἢ δεκαπέντε τοὺς ἐκ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοὺς κατὰ τὴν ἄλλην χώραν, ἔπειτα τοὺς ὀφείλοντας τῷ δημοσίῳ καὶ τοὺς ἀτίμους καὶ τοὺς ἀπεψηφισμένους καὶ τοὺς ἀποίκους."

ἀπέψον τὸ ἕψιον διὰ τοῦ ο μικροῦ, ἀπέψων δὲ τὸ ἀπεσπόγγιζον διὰ τοῦ ω μεγάλου.

ἀπεώσατο ἀπετινάξατο. καὶ ἀπεωσμένον, καὶ ἀπωσμένον ὁμοίως. ἀπέωσο δὲ ἐπορθεῖτο.

ἀπηγγέλη ἐμηνύθη.

ἀπῆγεν ἐκώλυεν, ἀπέτρεπε. Δαμάσκιος "ὁ δὲ Σαλούστιος ἀπῆγε τοὺς νέους τῆς φιλοσοφίας, δυοῖν τὰ ἕτερα πεπονθώς, ἢ προσκρούσων τοῖς καθηγουμένοις, ἔχθρᾳ τῇ πρὸς ἐκείνους ἐπιβουλεύων ταῖς φιλοσόφοις διατριβαῖς, ἢ τὸ μέγεθος τοῦ ἐπιτηδεύματος

ἐκλογιζόμενος, ⟨ὡς⟩ οἴεσθαι πάντας ἀνθρώπους ἀναξίους εἶναι αὐτοῦ."

ἀπηγμένȣς ⟨Genes. 39 22⟩ ἀπαγομένȣς.

ἀπήγξατο βρόχον ἧψεν.

ἀπηγόρευον ἀπέκαμνον, ἐταλαιπώρȣν· "ἡνίκα γὰρ ἀπηγόρευον τῷ πόνῳ, πάλιν ἑαυτοὺς ἀνελάμβανον."

ἀπηγορήσομαι ἀπολογήσομαι.

ἀπήεσαν ἀπήρχοντο, καὶ ἀπήει ἀπήρχετο, ἀνεχώρει. εἴω τὸ πορεύομαι, διαλέσει εἴω, ἦιον ἤιες, ἤικα ἦια ἠίειν, καὶ ἐν συνθέσει ἀπηίειν, καὶ ἐν συναιρέσει ἀπῄειν.

ἀπῆκτο ⟨Genes. 40 3⟩ ἀπῆλθε. καὶ ἀπηκτός ὁ πορευόμενος.

ἀπήλαυσε μετέσχεν. "οὔτε Κλέων οὔτε Βρασίδας ὁ τῆς συμφορᾶς αἴτιος ἀπήλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου" Μαρκελλῖνός φησι περὶ Θουκυδίδου ⟨p. 5 17⟩.

ἀπήλγησαν· ⟨Procop. Arc. 16⟩ "ὁ δὲ δῆμος ἅπας ἀπήλγησαν τὸ πάθος εὐθύς, καὶ ξὺν οἰμωγῇ ἀνέκραγον οὐράνιον ὅσον," ἀντὶ τοῦ ᾠκτίσαντο.

ἀπηλεγής ὁ ἀπότομος, καὶ ἀπηλεγέως ⟨Hom. I 309⟩ σκληρῶς.

Ἀπηλιανός ὄνομα κύριον.

ἀπηλιαςής μισόδικος παρὰ Ἀριςοφάνει ⟨Av. 110⟩.

ἀπηλιώτης ὁ ἄνεμος, ἐν τῷ π, καὶ ἀντήλιος, καὶ πάντα τὰ ὅμοια ψιλῶς. καὶ ἡ ἔπηλις ἔςι παρὰ Ποσειδίππῳ.

ἀπηλλάγησαν ἐτελεύτησαν, ἤ τινος ἐςερήθησαν· "ἀπηλλάγημεν πολυχέσȣ νοσήματος."

ἀπηλοημένος ὁ ἀπὸ τῆς ἅλω συγκεκομισμένος μετὰ τὸ ἀλοηθῆναι, ὅ ἔςι πατηθῆναι. οὕτω Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον ⟨6⟩. Harp.

ἀπηλοίησεν ⟨Hom. Δ 522⟩ ἀπέκοψεν, ἀπηλλοίωσε δὲ ἀλλοῖον ἐποίησεν.

ἀπήμαντον ἀβλαβές.

ἀπήμαρτεν ἀπέτυχεν.

ἀπημείφθη ἀντὶ τοῦ ἀπεκρίνατο ⟨X Anab. 2 5 15⟩.

ἀπήμονα ἀβλαβῆ. Ὅμηρος ⟨N 761⟩ "τȣ̀ς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους." συλληπτικῶς πέφρακεν ἀντὶ τοῦ τοὺς μὲν μὴ ἀπήμονας, τοὺς τετρωμένους, τȣ̀ς δὲ μὴ ἀνολέθρȣς τούς, ἀνῃρημένȣς. πῆμα δὲ ἡ βλάβη, παρὰ τὸ πήθω τὸ πανθάνω.

τὰ δὲ εἰς α λήγοντα οὐδέτερα τετραχῶς συντίθεται. ἢ γὰρ φυλάσσȣσι τὸ αὐτὸ τέλος, ὡς τὸ δῆμα διάδημα· ἢ ἀπὸ γενικῆς παράγονται, ὡς γράμμα γράμματος ἐγγράμματος· ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς ςόμα χρυσόςομος· ἢ τρέπουσι τὸ τέλος εἰς ων, ὡς τὸ εἷμα λευχείμων καὶ πῆμα ἀπήμων.

ἀπήνεια ἡ ἀπανθρωπία.

ἀπηνέμους μὴ ἔχοντας ἀνέμους.

ἀπηνέςερον ἀποτομώτερον.

ἀπηνεώθη ⟨Daniel. 4 16⟩ ὠμὸς ἐγεγόνει.

ἀπήνη ἡ ἅμαξα.

ἀπηνήνατο ἀπηρνήσατο, παρῃτήσατο, οὐκ ἠθέλησεν.

ἀπηνής ὁ σκληρός. λέγεται δὲ καὶ ὁ ἄποθεν τοῦ αἰνεῖσθαι. "οὐκ ἔςιν ἀπηνὲς ȣ̓δὲ μὴν σφαλερὸν ἐφ' ἑαυτοῦ τὸ πήδημα. καὶ ἔδρασεν ὅπερ εἶπεν."

ἀπηνθράκιζεν ὤπτα· τὰ γὰρ ἐξ ἀνθράκων γινόμενα καλὰ γίνεται. Ἀριςοφάνης ⟨Ran. 508⟩ "βȣ͂ν δ' ἀπηνθράκιζ' ὅλον."

ἀπήντα, καὶ ἀπήντηκα πέφθακα. καὶ ἀπήντησεν ἐτελέσθη, ἐξέβη· "πάντα αὐτῷ κατὰ τὰς προφητείας ἀπήντησεν" ἀντὶ τοῦ ἐγένετο. ὁ δὲ θεολόγος ὅτε λέγει ⟨or. 20 p. 317⟩ "εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος καὶ μετὰ τοσούτους ἐπαινέτας," ἀντὶ τοῦ ἧκον εἰς τὸ ἐγκωμιάζειν. καὶ Αἰλιανὸς περὶ τῆς ἐν Κάνναις τῶν Ῥωμαίων ἥττης "τοσȣ͂τον ἄρα αὐτοῖς ἀπήντησε τὸ πταῖσμα." καὶ αὖθις "μέγιςον δὲ πάθος τῇ Λακεδαίμονι τοῦτο ἀπήντησε." καὶ αὖθις "οὐ μὴν ἀπήντησέν οἱ τὰ τῆς ἐλπίδος."

ἀπῆξεν ἀφώρμησεν.

ἀπηξιωμένων ἀτίμων, ἀναξίων· "Τιγράνης ὄνομα, τῶν ȣ̓κ ἀπηξιωμένων μ' παρθένων, εὐνοῦχος δέ." καὶ ἀπαξιώσας ἀντὶ τοῦ τὴν ἀξίωσιν παρωσάμενος· ⟨Theophyl. Sim. 3 17⟩ "τοῦ Χοσρόȣ τὸ Δάρας οὐκ ἀπαξιώσαντος ἀποκαταςῆσαι Ῥωμαίοις." καὶ ἀπηξίωσεν οὐχ ἡγήσατο ἄξιον, οὐκ ἀπηξίωσε δὲ ἡγήσατο ἄξιον. καὶ αὖθις "τὸ γὰρ πρὸς ἀλκὴν τραπέσθαι πρὸς πάντων τῶν μετασχόντων τῆς βουλῆς ἀπηξιοῦτο."

ἄπηρα τὰ ἀβλαβῆ.

ἀπήραξεν ⟨Hom. Ξ 497⟩ ἀπέκοψεν.

ἀπηρείσατο ἠκούμβισεν, ἀπετινάξατο, ἔπηξεν, ἀπέθετο· Πολύβιος "ὁ δὲ ἀπορῶν τοῖς ὅλοις, πέρας ἐπί τινα τοιαύτην ἐλπίδα κατὰ τὸ παρὸν ἀπηρείσατο τὴν ἐνεςῶσαν

ἀπορίαν." ἀπηρίσατο δὲ ἀντὶ τοῦ ἐφιλονίκησε, διὰ τοῦ ι.

ἀπῆρεν ὕψωσεν.

ἀπηρκότος ἀναχωρήσαντος· (Iamblich. Babylon.) "ἄρτι δὲ ἀπηρκότος τοῦ Σοραίχυ ἡ Σινωνὶς ἐφίσταται."

ἄπηρος ὁ μὴ ἔχων μαρσίπιον.

ἀπήροσεν ἀπηροτρίασεν.

ἀπήρτα ἐκώλυε, διατριβὴν παρεῖχεν. Ἀρριανός "ὁ δὲ ναυτικὸς ςρατός, ἵνα περ μὴ ἄκρα ἐπὶ πολὺ ἀνέχουσα τοῦ ποταμοῦ ἀπήρτα τὸν πλοῦν τῆς ὁδοῦ, ξυμπαρέπλει τῇ ςρατιᾷ."

ἀπηρτημένας ἀπῃωρημένας.

ἀπήρυκεν ἀπεκώλυεν· "ὁ δὲ μόνος ὑφίςατο καὶ ἀπήρυκε τὸ θηρίον." καὶ αὖθις "καὶ βάρη συνεχῆ ἐπιβάλλοντες ἀπήρυκον τοῦ λυμαίνεσθαι τὸ τεῖχος."

ἀπήςραψεν ἀπέλαμψεν.

ἀπήτει ἐξήτει.

ἀπηύρα ἀφείλετο.

ἀπηυτομόλησε προσπέφευγε τοῖς ἐναντίοις.

ἀπήχεια ἀντὶ τοῦ ἀπέχθεια. οὕτω Λυσίας καὶ Δείναρχος. Harp.

ἀπηχές κυρίως τὸ σκληρόν, ψευδές, δύσφορον, ἀηδές, ἐχθρόν, οὗ καὶ τὸν ἦχον ἀποςρεφόμεθα. (M. Anton. 1 10) "μὴ ὀνειδιςικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον ἢ σόλοικόν τι ἢ ἀπηχὲς προενεγκαμένων." "καινότατον δὴ περιμένων καὶ ἀπηχῆ θάνατον."

ἀπηχημένον ἀπόβλητον, ξένον τοῦ κατὰ πάντων ἤχου.

ἀπήχθετο (Hom. Γ 454) ἐμισεῖτο.

ἀπήχθη ἀπεκομίσθη, ἢ παρετράπη· "ὁ δὲ Ἀπολλώνιος τὴν γλῶτταν ἀττικῶς εἶχεν, οὐδὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους ἐς Ταρσοὺς τῆς Κιλικίας ἀναςρεφόμενος" (Philostrat. V. A. 1 7).

ἀπηχθημένον ἀπόβλητον, ἀπηχθισμένον δὲ βεβαρημένον.

ἄπια εἶδος ὀπώρας. ἀπίως εἴρηκε Πλάτων ἐν Νόμοις (8 p. 845). ἔςι καὶ παρὰ Ἀλέξιδι καὶ ἐν Ἀγρίοις Φερεκράτους· "πρὶν ἀνακυκῆσαι τὰς ἀπίους ἁρπάζετε." sch. A Eccl. 355.

ἀπ' Ἰδαίων ὀρέων (Hom. Θ 170) ἀπὸ τῶν τῆς Ἴδης ὀρῶν.

Ἄπιδες θεοὶ ἦσαν τιμώμενοι παρ' Αἰγυπτίοις, σημεῖον ἔχοντες περὶ τὴν οὐρὰν καὶ τὴν γλῶσσαν δηλοῦν εἶναι αὐτοὺς Ἄπιδας. οἷς γενομένοις διὰ χρόνου, ὡς ἔλεγον, ἐκ τοῦ σέλαος τῆς σελήνης ἑορτὴν μεγάλην ἦγον, καὶ ἱερεῖς τινὲς περὶ τὸν τεχθέντα βοῦν ἱερῶντο, παρατιθέντες πανδαισίαν ὡς εὐωχοῦντες αὐτούς.

ἀπίδω θεάσομαι.

ἀπίη ἡ ἀλλοδαπή.

ἀπίθανον ἄπιςον. καὶ ἀπίθησαν, διὰ τοῦ ι, ἀπὸ τοῦ πιθῶ περισπωμένου· "ὦ δρύες οὐκ ἀπίθησαν, ὅτῳ σὺν ἅμ' ἕσπετο πέτρη ἄψυχος" (AP 7 9).

ἀπιθής ὁ δυσχερὴς καὶ δυσανάβατος τοῖς βαίνειν ἐθέλουσιν. "Ἀλαλκομεναὶ πόλις ἐςί· καὶ ἀκούω αὐτὴν μήτ' ἐφ' ὑψηλοῦ κεῖσθαι καὶ ἀπιθοῦς λόφου, μήτε τειχῶν περίβολον ἔχειν." cf. v. ἀπειθεῖν.

ἄπιθ' οὐ γάρ (A Eq. 1205) ἀντὶ τοῦ καὶ γάρ.

Ἀπίκιος Ῥωμαῖος ἱκανὰς μυριάδας ἀργυρίου καταναλώσας ἐς τὴν γαςέρα, ἐν Μιντούρναις τῆς Γαλατίας πολλὰς καρίδας ἐσθίων (μέγιςαι γάρ εἰσι τῶν ἐν Σμύρνῃ) καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ ἀςακούς. ἀκούσας οὖν ἐν Λιβύῃ γίνεσθαι καρίδας πολλὰς καὶ μεγίςας, ἐξέπλευσεν οὐδὲ μίαν ἡμέραν ἀναμείνας. θεασάμενος δὲ αὐτὰς μικρὰς ἐκέλευσε τῷ κυβερνήτῃ τὴν αὐτὴν ὁδὸν αὖθις ἐπ' Ἰταλίαν ἀναπλεῖν, μηδὲ προσπελάσας τῇ γῇ. cf. Athen. p. 7.

Ἀπίκιος Μάρκος, οὗ διαρρεῖ μυρίον ὄνομα ἐπί τε ἀσωτίᾳ καὶ πολυτελείᾳ καὶ ῥᾳςωνεύσει βίῳ καὶ κακοδαιμοσύνῃ λοιπῇ. ὑπάτω δὲ ἤςην Ἰούνιος Βλαῖσος καὶ Λεύκιος (an Λέντλος). ὁ τοίνυν Βλαῖσος ἐπὶ τὴν θοίνην κληθεὶς οἷον ἐφολκίδα ἄκλητον ἐπάγεται Ἀσκώνιον Παιδιανόν· ἐξῆν γὰρ καὶ ἐπικλήτους οἱονεὶ σκιὰς ἑαυτοῖς παρακαλεῖν τινάς, καὶ ἔδει τὸν Ἀπίκιον καὶ φίλοις καὶ ἀγνῶσι τὴν οὐσίαν ῥίπτειν τὴν ἑαυτοῦ. πέπυσμαι δὴ ἐν τῷδε τῷ συνδείπνῳ γενέσθαι καὶ Ἰσίδωρον ὄνομα, τῶν ἐκ παλαίςρας κατατριβέντων, ἄνδρα παλαιὸν μὲν ἤδη καὶ πολὺν τῷ χρόνῳ, ἔν τε καὶ ς ἔτη γεγονότα, εὐπαγῆ δὲ καὶ εὐμελῆ, καὶ βαθὺν μὲν τὰς πλευράς, γενναῖον δὲ τὼ βραχίονε καὶ τὼ χεῖρε ἄκρω, βλέπειν τε ὀξὺν καὶ ἀκούειν ῥᾷςα, ὡς μὴ ἂν πιςεύειν πέρα ξ' ἐτῶν εἶναι αὐτόν, σκύφων δὲ πιτύλοις ἁμιλλᾶσθαι διαπίνοντα πρὸς τοὺς νέους, καὶ μέντοι καὶ ὑπὲρ πολυδαισίας καὶ

πολυποσίας ἐρίσαι καὶ νεάζειν ταῦτα. ἐνὶ δὲ ἡττηθῆναί φασιν αὐτόν· ἀπελθεῖν γὰρ τοῦ συνδείπνου θᾶττον. γέροντες δὲ ἄλλοι τε ἔλεγον ἐπὶ τέχνῃ παλαιςρικῇ, καὶ μέντοι καὶ Ἰούνιος Βλαῖσος. καὶ ὅτε ταῦτα ἔλεγεν, ἔτη γεγόνει ξ΄, φασί. μακρὸν δὲ τὴν ζωὴν γενέσθαι πέπυσμαι Σερβίλιον ὕπατον· ἔτεσι γὰρ τοῖς ϛ ὁμοῦ τε ἐβίωσε, καὶ πάντα, ὡς λόγος, τὰ τοῦ σώματος ἀπαθὴς ἦν, καὶ μέντοι καὶ διεσώσατο τὰς αἰσθήσεις ἁπάσας εὐμοιρίᾳ ἀξιοζήλῳ τε καὶ σοβαρᾷ. Aelianus?

ἀπίμελος ὁ μὴ ἔχων πιμελήν.

ἄπιμεν ἀπερχόμεθα.

ἀπινής ὁ καθαρός.

ἀπινύσσω ἐκπνέω. πονῶ πονύω πνύω πνέω πνεύω. ἀπὸ τοῦ πνύω πεπνυμένος καὶ ἀμπνυνθῆναι. ἀπὸ τοῦ πνεύω πνευςὸς καὶ ἄμπνευςος. τὸ πνύω κατὰ ἀνάπτυξιν πινύω· ἔνθεν πινυτή, κατὰ δὲ μεταπλασμὸν πινυτά. ὃν δὲ τρόπον ἀπὸ τοῦ ἀφύω ἀφύσσω, ὀδύω ὀδύσσω, οὕτως πινύω ἀπινύσσω.

a Ἆπις θεὸς Αἰγυπτίων. ὅτι ὁ Ἆπις ὁ Αἰγύπτιος τὴν ἰατρικὴν πρῶτος εἰς τὴν Ἑλλάδα μετακομίσαι λέγεται. cf. Aeschyl. Suppl. 262.

b Ἆπις. οὗτος ὁ Ἆπις θεὸς Αἰγύπτιος. τοῦτον Αἰγύπτιοι σελήνῃ τιμῶσι, καὶ ἱερὸς ἦν ὅδε ὁ βοῦς τῆς σελήνης ὥσπερ ὁ Μνεῦις τοῦ ἡλίου. Ὦχος τὸν Ἆπιν ἀποκτείνας ἐβούλετο αὐτὸν τοῖς μαγείροις παραβαλεῖν, ἵνα αὐτὸν κρεουργήσωσι καὶ παρασκευάσωσιν ἐπὶ δεῖπνῳ.

ἀπιςεῖν, δοτικῇ, τὸ ἀπειθεῖν. λέγουσι δὲ καὶ ἀπιςίαν τὴν ἀπείθειαν, καὶ ἄπιςος ὁ μὴ πειθόμενος. οὕτως Πλάτων.

ἀπιτέα δεῖ ἀπέρχεσθαι, καὶ ἄπιτε ἀπέλθετε.

Ἀπίων ὁ Πλειςονίκου, ὁ ἐπικληθεὶς μόχθος, Αἰγύπτιος, κατὰ δὲ Ἑλικώνιον Κρής, γραμματικός, μαθητὴς Ἀπολλωνίου τοῦ Ἀρχιβίου. ἠκηκόει δὲ καὶ Εὐφράνορος γηραιοῦ καὶ ὑπὲρ ἑκατὸν ἔτη γεγονότος, Διδύμου δὲ τοῦ μεγάλου θρεπτός. ἐπαίδευσε δὲ ἐπὶ Τιβερίου Καίσαρος καὶ Κλαυδίου ἐν Ῥώμῃ. ἦν δὲ διάδοχος Θέωνος τοῦ γραμματικοῦ, καὶ σύγχρονος Διονυσίου τοῦ Ἁλικαρνασσέως. ἔγραψεν ἱςορίαν κατ᾽ ἔθνος καὶ ἄλλα τινά.

ἀπιὼν ᾤχετο φεύγων, ἀποδιδράσκων· "ὃ δὲ τὴν Πελοπόννησον καταλιπὼν ἐς Αἰτωλίαν ᾤχετο ἀπιών." συνήθης ὁ πλεονασμὸς τοῖς Ἀττικοῖς.

ἁπλᾶ καὶ διπλᾶ καὶ πολλαπλᾶ, καὶ πάντα τὰ τοιαῦτα περισπῶσιν οἱ Ἀττικοί. ἀργυρᾶ χρυσᾶ. κεραμεᾶ ἀπὸ τοῦ κεραμεῶν, καὶ φοινικιᾶ ἀπὸ τοῦ φοινικιοῦν.

ἀπλάνεια. καὶ ἡ ἀπλανὴς τῆς ἀπλανοῦς.

ἁπλᾶς. Καλλίςρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτω καλεῖσθαι. Harp.

ἄπλαςος ἀληθινός, ἄδολος· "καὶ ἅμα αὐτοῖς ἐπιθέουσα σεμνότης ἡδεῖα καὶ ἄπλαςος αἰδὼς ἐπέςρεφεν ἱκανῶς τὸν φιλόσοφον, καὶ ἤδη γνώριμον ἐποίει αὐτῷ τὸν νεανίσκον" (Damasc. Phot. p. 341 b 31). ἄπλαςος δὲ ἡ μεγάλη· "τὸν αἰσ᾽ ἄπλαςος ἴσχει" (S Ai. 256), τουτέςι μανία.

ἄπλετον ἄπειρον, ἀχώρητον.

ἀπλήγιος, δασέως, ἁπλοῦς· καὶ Εὔπολις Πόλεσιν "οὐ γὰρ πολυπράγμων ἐςὶν ἀλλ᾽ ἀπλήγιος." καὶ ἀπληγίς ἱματίδιον σύμμετρον· Ἀναγύρῳ Ἀριςοφάνης "ἐκ δὲ τῆς ἐμῆς χλανίδος τρεῖς ἀπληγίδας ποιῶν."

ἀπληκεύω. καὶ ἄπληκτον τόπος ἔνθα καταλύουσι τῆς ὁδοιπορίας τὰ ςρατόπεδα.

ἀπλήξ ὁ μὴ πεπληγμένος.

ἀπληςία ἡ ἀδηφαγία. καὶ παροιμία "ἄπληςος πίθος" ὁ ἐν Ἅιδου, ὁ τετρημένος, ἐπὶ τῶν πολλὰ ἐσθιόντων, ἀπὸ τοῦ περὶ τὰς Δαναΐδας μύθου, παρ᾽ ὅσον ἀνιμῶσαι ἐκεῖναι ὕδωρ εἰς πίθον ἔβαλλον τετρημένον. πάσχουσι δὲ περὶ τοῦτον τὸν πίθον αἱ τῶν ἀμυήτων ψυχαί.

ἄπλητον ἀπλήρωτον.

ἁπλοΐδας ἁπλᾶς χλανίδας· ἐν ἐπιγράμματι (AP 5 294) "οἷα δὲ πυρὶ ἔσκεπε τὴν κούρην ἁπλοῒς ἐκταδίη." καὶ ἁπλοϊκός ὁ ἁπλοῦς καὶ ἀπέριττος. καὶ ἁπλοϊκώτερος.

ἄπλοοι ἀδύνατοι πλέειν.

ἁπλότης διττή, ἡ μὲν ἔμφρων καὶ δικαία, ἡ δὲ ἀνόητος καὶ ἄδικος. ἔπειτα καὶ τὴν νῦν ποικιλίαν ἐμφύεσθαι τοῖς μὲν μετὰ δικαιοσύνης καὶ φρονήσεως τοῖς δὲ μετὰ ἀδικίας καὶ ἀμαθίας. εἶναι γὰρ δὴ πάλαι καὶ τὰ κακὰ τὸν θνητὸν τόπον περιπολοῦντα ἐξ ἀνάγκης, ὥς φησι Πλάτων (Theaet. p. 176 A), ἀλλ᾽ ἧττον κακοήθη ὡς νῦν ἐςί, καὶ ἁπλούςερα, καὶ οὐκ ἐν βάθει τινὶ ταῖς ψυχαῖς ἐγκεκαυμένα ἀνίατα. πολλὴ γάρ ἐςιν ἡ διαφορὰ τῶν πάλαι κακῶν πρὸς τὰ νέα, καὶ οὐ ποσότητι μόνον κρειττόνων τε καὶ χειρόνων, ἀλλὰ καὶ ποιότητι τρόπων.

ἁπλοῦν θύλακον πάτει, ἐπὶ τῶν εὐκαταφρονήτων.

ἁπλοωτέρας Θουκυδίδης (7 60) λέγει ναῦς ἃ τὰς ἅπλους παντελῶς, ἀλλὰ τὰς διὰ πληρώματος ἔνδειαν ἁπλόους ἱςαμένας.

ἄπλυτον πώγωνα σκώπτων εἶπε.

ἁπλῷ λόγῳ τῷ χωρὶς προσθήκης. καὶ ἁπλῶς παρὰ Ἀριςοτέλει λέγεται ὃ χωρὶς προσθήκης λεγόμενον ἀληθές ἐςιν. ὁ γὰρ Αἰθίοψ πῇ λευκὸς ὤν, κατὰ γὰρ τοὺς ὀδόντας, οὐκέτι καὶ ἁπλῶς ἐςὶ λευκός. ὃ δὲ δεῖται προσθήκης πρὸς τὸ ἀληθὲς εἶναι, τοῦτο οὐκ ἔςιν ἁπλῶς· ὁ γὰρ Αἰθίοψ οὐκ ἔςι λευκός, διότι ἃ χωρὶς προσθήκης. προστεθέντος δὲ τοῦ κατά τι ἀληθὲς γίνεται· κατὰ γὰρ τὰς ὀδόντας. ἀλλὰ καὶ σπουδαῖοί τινες κατά τι (Alex. Aphrod. in Top. 2 p. 113). λέγεται δὲ καὶ οὕτως, οὐ τὸν ἁπλοῦν τρόπον. ἀντὶ τοῦ παραυτίκα παρὰ τοῖς παλαιοῖς. καὶ αὖθις (Dio Cass. 62 23) "οὐδὲ γὰρ ἁπλῶς λόγους τινὰς ἐποιήσαντο, ἀλλὰ καὶ βῆμα ὑψηλὸν ἠγέρθη, καὶ ἐπ' αὐτοῦ εἰκόνες τοῦ Νέρωνος ἐτέθησαν."

a ἁπλῶς ἐξ ἀνάγκης· ἢ ὡς πρῶτον, καὶ μὴ κατ' ἄλλο. "ἁπλῶς δὲ οὐδὲν εἶδος τῶν μελλόντων ἔγνωσαν, ἐξ αὐτῆς δὲ τῆς ἐμφάσεως τῶν πρέσβεων ὀττευόμενοι εἰς παντοδαπὰς οἰμωγὰς ἐνέπιπτον."

b ἁπλῶς χωρὶς προσθήκης. Πολύβιος "ὁ καιρὸς ἀφυέςερος οὐ γέγονεν ἁπλῶς," ἀντὶ τοῦ ἐξ ἀνάγκης, ἢ ὡς πρῶτον.

ἄπλωτα πελάγη τὰ Ἀτλαντικὰ καὶ ἑσπέριος ὠκεανὸς καὶ ἑῷος· ἄπλωτον γὰρ τὸ ἄπλευςον.

ἀπνευςί.

ἄπνους. φασὶν Ἐμπεδοκλέα Πανσανίᾳ ὑφηγήσασθαι τὸν ἄπνουν, εἶναι δὲ τὸν ἄπνουν τοιοῦτον ὡς λ' ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσιτον τὸ σῶμα. ἦν δὲ οὗτος καὶ γόης, καὶ φησὶ περὶ ἑαυτοῦ "φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ πεύσῃ, ἐπεὶ μόνῳ σοὶ ἐγὼ κρανέω τάδε πάντα. παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵτ' ἐπὶ γαῖαν ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἄρουραν, καὶ πάλιν, ἢν κ' ἐθέλῃσθα, παλίντονα πνεύματ' ἐπάξεις. σήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου ῥεύματα δενδρεόθρεπτα, τά τ' ἐν θέρει ἀήσαντα. ἄξεις δ' ἐξ Ἀΐδαο καταφθιμένου μένος ἀνδρός." καί ποτ' ἐτησίων σφοδρῶς πνευσάντων ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκὸς ποιῆσαι περὶ τὸς λόφυς καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα. λήξαντος δὲ κωλυσάνεμον κληθῆναι. Diog. L. 8 60.

ἄπο πόρρω, μακράν· "ἐν τοῖς Οὔσβαις τῦ κινδύνυ ἄπο ἐγένετο, ἀποδράσας τὰ ξίφη."

ἀποβαδίζειν οὐδὲν πλέον τοῦ βαδίζειν δηλοῖ.

ἀποβάθρας καὶ τὰ λάσανα, ἃ λέγονται καὶ χυτρόποδες, καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα.

ἀποβαίη, καὶ ἀποβαίνει γενικῇ, ὡς τὸ "ἀποβάντες τῶν ἵππων."

ἀπὸ βαλβῖδος ἀπ' ἀρχῆς.

ἀποβαλεῖν αἰτιατικῇ.

ἀποβάτης καὶ ἀποβαίνειν καὶ ἀποβατικοὶ τροχοί. ἀποβάτης μὲν ἱππικόν τι ἀγώνισμά ἐςι, καὶ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην, ἀποβατικοὶ δὲ τροχοὶ οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος. Harp.

ἀποβεβιωκέναι ἀποθανεῖν· "ἀνάγκη μὴ ἀποκρύπτειν, ὡς ἂν μὴ ὑπόνοια γένηταί σφισι τοῦ ἀποβεβιωκέναι αὐτόν."

ἀποβλεπόμενοι ἀντὶ τῦ θαυμάζοντες. οὕτως Αἰσχίνης.

ἀπόβλεπτον ἔνδοξον· "ἄνδρα τῇ Περσικῇ πολιτείᾳ διὰ τὴν ἀξίαν ἀπόβλεπτον" (Theophyl. Sim. 3 15).

ἀποβλίσαι ἀποπιέσαι.

ἀποβλύζων (Hom. I 491) ἀναβάλλων.

ἀποβουκολίσας ἐξαπατήσας· "οἱ δὲ τοὺς ἁλόντας ἀποβουκολίζουσιν, ἀποσκευάζονταί τε τὸν κίνδυνον" (Theophyl. Sim. 3 7).

ἀπὸ βραδυσκελῶν ὄνων ἐφ' ἵππυς, ἐπὶ τῶν ἀπὸ εὐτελῶν ἐπὶ μείζονα μεταπηδώντων. cf. v. ἀπὸ ἵππων.

ἀποβράσματα τὰ πίτυρα. παρὰ Καλλιμάχῳ "τῆς οὐδὲν ἀπέβρασε φαῦλον ἀλετρίς." cf. v. εἰκαία.

ἀποβύσαντες ἀποκλείσαντες.

ἀπογαλακτίζω.

ἀπὸ γὰρ ὀλοῦμαι, ὑπερβατόν, ἀπολῦμαι γάρ. Ἀριςοφάνης (Nub. 791) "ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοςροφεῖν."

ἀπογειῶσαι ἀποθεμελιῶσαι.

ἀπογενέσθαι. ἢ ὑςερῆσαι σημαίνει ἢ ἀποθανεῖν. ἄμφω τὰ σημαινόμενα Θουκυδίδης.

ἀπογινώσκω γενικῇ καὶ αἰτιατικῇ, ὡς "ἀπογνοὺς τὰ τῶν Καρχηδονίων πράγματα ὁ Φαίδων" ⟨Dio Cass. fr. 71 2⟩, καὶ "τέλεον ἀπογνοὺς τὸν Φιλήμονα," καὶ "ἀπογνόντες τῆς σωτηρίας."

ἀπόγνοια ἀπόγνωσις· Θουκυδίδης ⟨3 85⟩ "ἐνέπρησαν δὲ τὰ πλοῖα, ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς."

ἀπογνούς Δημοσθένης μὲν ἀντὶ τοῦ ἀπελπίσας, Δείναρχος δὲ ἀντὶ τοῦ ἀποψηφισάμενος.

ἀπογνωστέον δεῖ ἀπογινώσκειν.

ἀπόγονοι οἱ ἔκγονοι, ἀπώγωνες δὲ οἱ μὴ ἔχοντες πώγωνα.

ἀπὸ γραμμῆς οἷον ἀπ' ἀρχῆς, ἐκ μεταφορᾶς τῆς τῶν δρομέων ἀφετηρίας καὶ γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβῖδα καλοῦσιν.

ἀπογράφειν καὶ ἀπογραφή. οἱ τῷ δήμῳ χρήματα ὀφείλοντες ἐκ καταδίκης, καὶ μὴ ἀποδιδόντες μέχρι τῆς ἐνάτης πρυτανείας, ἐς τὸ δεσμωτήριον ἀπεκλείοντο, μήτ' ἐγγυητὰς καταστῆσαι δυνάμενοι τοῦ ὀφλήματος.

ἀπογραφή. ἐπειδάν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλεως, ὁ ἐναγόμενος ἀπογραφὴν ποιεῖται, δηλῶν ὅσα τε ἔχει καὶ ὅθεν τὰ χρήματα. μήποτε καὶ εἶδός τινός ἐστι δίκης ἡ ἀπογραφή· εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ἀπογραφῆς ἐκρίνετο ὡς οὐκ ὀρθῶς γεγενημένης τῆς ἀπογραφῆς. οὕτω Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος ⟨54⟩. Harp. καὶ ἀπογραφὴ ἡ ἀπαρίθμησις· "ὁ δὲ Καῖσαρ Αὔγουστος ὁ μοναρχήσας εἴκοσιν ἄνδρας τοὺς ἀρίστους τὸν βίον καὶ τὸν τρόπον ἐπιλεξάμενος ἐπὶ πᾶσαν τὴν γῆν τῶν ὑπηκόων ἐξέπεμψε, δι' ὧν ἀπογραφὰς ἐποιήσατο τῶν τε ἀνθρώπων καὶ οὐσιῶν, αὐτάρκη τινὰ προστάξας τῷ δημοσίῳ μοῖραν ἐκ τούτων εἰσφέρεσθαι. αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο, τῶν πρὸ αὐτοῦ τοῖς κεκτημένοις τι μὴ ἀφαιρουμένων, ὡς εἶναι τοῖς εὐπόροις δημόσιον ἔγκλημα τὸν πλοῦτον."

ἀπόγραφος· "ὁ δὲ Ὀνησίκριτος ὡς ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει" ⟨Diog. L. 6 84⟩, τουτέστι τοῦ Ξενοφῶντος.

ἀπογράφω αἰτιατικῇ· "σὺ δὲ ἀπόγραφε δικαίως ἡμᾶς."

ἀπογράψαι τὸ γράψαι καὶ ὑπογράψαι καὶ οἷον σημειώσασθαι δηλοῖ.

ἀποδαρθεῖν ἀποκοιμηθῆναι.

ἀποδασμόν μοῖράν τινα· "ὁ δὲ στρατηγὸς ἀποδασμόν τινα τοῦ στρατοῦ ἀπολέξας ἐκελεύετο προπορεύεσθαι." καὶ αὖθις "ἐκ τῶν Σαρακηνῶν ἀποδασμὸς εἰς τὴν Περσίδα χωρήσας μέρη τινὰ τῆς Βαβυλωνίας προενομεύσατο" ⟨Theophyl. Sim. 8 1⟩.

ἀποδάσομαι ἀπομερίσομαι.

ἀποδείκνυμί σοι χελιδόνα ἴσον τῷ μαρτύρομαι.

ἀποδείξασθαι τὰ ἐν διδασκάλου μαθήματα ἅ τις ἔμαθε λέγειν.

ἀπόδειξις. ἀπόδειξις ὅρου διαφέρει. δεῖ πρῶτον ζητῆσαι περὶ ὅρου, ἆρα μία ἐστὶ μέθοδος καθ' ἣν πάντων τῶν ὄντων δυνατὸν τοὺς ὅρους ἀποδοῦναι, ἢ πολλαί, καὶ εἰ μία, τίς αὕτη, εἰ δὲ πολλαί, πόσαι τὸν ἀριθμὸν καὶ ποῖαι. καὶ ὅταν εὕρωμεν τοσάσδε καὶ τοιάσδε ὑπογραφῇ ἢ ὁρισμῷ, ἄλλη πάλιν ἡμᾶς διαδέχεται ζήτησις, ποίαις τῶν μεθόδων ἐπὶ ποίων πραγμάτων χρηστέον. καὶ ὅταν εὕρωμεν τοῦτο, ἐπειδὴ ὁ ὁρισμὸς ἐκ γενῶν ἐστὶ καὶ διαφορῶν, τί τοῦ προκειμένου πράγματος τὸ γένος καὶ τίνες αἱ διαφοραί, ἵνα συμπλέξαντες τὰς συστατικὰς διαφορὰς τῷ γένει ἀποδῶμεν αὐτοῦ τὸν ὁρισμόν. ἔστι δὲ καὶ ἑτέρα χαλεπότης. ᾧ τινὶ γὰρ πρώτως τι ἐνυπάρχει, τοῦτο καὶ καθ' αὑτὸ ὑπάρχει, καθ' αὑτὸ δέ ἐστι τὸ κατ' οὐσίαν. οὐκέτι δὲ καὶ εἴ τι καθ' αὑτὸ ὑπάρχει, τοῦτο καὶ πρώτως ὑπάρχει· τὸ γὰρ ζῷον τῷ ἀνθρώπῳ καθ' αὑτὸ μὲν ὑπάρχει, οὐ πρώτως δέ. διὸ κἂν μὴ ᾖ ἄνθρωπος, ζῷόν ἐστιν, ὥστε οὐ πρώτως τῷ ἀνθρώπῳ τὸ ζῷον ὑπάρχει. ὁμοίως δὲ καὶ τὸ σχῆμα τῷ τριγώνῳ καθ' αὑτὸ μέν, οὐ μέντοι πρώτως. ἡ δὲ κυρίως ἀπόδειξις ἐκ τῶν καθ' αὑτὸ καὶ πρώτως ὑπαρχόντων γίνεται, καὶ ἁπλῶς ἡ ἐκ τῶν αἰτίων τὰ αἰτιατὰ πιστωμένη καὶ ἐκ τῶν καθόλου τὰ μερικώτερα. ἡ δὲ ἐκ τῶν αἰτιατῶν τὰ αἴτια πιστουμένη τεκμηριώδης ἀπόδειξις λέγεται, οἷον τὸ δεῖξαι ἐκ τῶν φωτισμῶν τῆς σελήνης ὅτι σφαιρική. εἰ γὰρ ἐδείκνυτο, διότι σφαιρική, διὰ τοῦτο φωτίζεσθαι οὕτως, τοῦτο ἂν εἴη κυρίως ἀπόδειξις· ἐκ γὰρ τοῦ αἰτίου τὸ αἰτιατὸν ἐδείκνυτ' ἄν. ὁ κεχρήμεθα δὲ ἐνταῦθα τῇ δείξει ταύτῃ, διότι τὸ αἰτιατὸν πρὸς ἡμᾶς σαφέστερόν ἐστι τοῦ αἰτίου. τεκμηριώδης δὲ ἀπόδειξις καὶ τὸ ἐκ τοῦ καπνοῦ τὸ πῦρ εὑρεῖν καὶ κατανοῆσαι. καὶ ἂν μὲν πάντως ἕπηται τὸ αἰτιατὸν τῷ αἰτίῳ, τεκμήριον τοῦτο λέγεται, τεκμήριον δέ ἐστι τὸ ἄλυτον σημεῖον· ἂν δὲ

μὴ πάντως ἕποιτο, σημεῖον μὲν ἂν λέγοιτο, τεκμήριον δὲ οὐκέτι, διότι μηδὲ ἄλυτόν ἐςιν, οἷον ὡς τὸ "ὠχρά ἐςιν, ἐπειδὴ τέτοκεν·" οὐ πάντως γὰρ τῇ ὠχρότητι παρακολουθεῖ τὸ τετοκέναι. ἀπόδειξις δέ ἐςι μέθοδος διὰ συλλογισμῶν συλλογιςική, ὅταν ἐξ ἀληθῶν καὶ πρώτων ὁ συλλογισμὸς γίνηται. Philopon. in 1 de anima A 7.

ἀποδειροτομεῖ ἀποκόπτει τὰς αὐχένας.

ἀποδέκται ἀρχή τις ἐςὶ παρ' Ἀθηναίοις. δέκα δὲ ἦσαν, οἳ παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βελῆς ἐναντίον ἐν τῷ βελευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ. Harp.

ἀποδέον τὸ ἀπαρέσκον. καὶ ἀποδεόντων λειπόντων, ἀπολειπομένων. καὶ ἀποδεῖν τὸ ἀπολείπεσθαι· Ἰώσηπος (B. I. 3 5 5) "ὡς ὀλίγον ἀποδεῖν τῶν ἀχθοφορούντων ὀρέων τὸν πεζὸν ἄνδρα." "τόσον δὲ ἀποδεῖν τοῦ τὴν πεπορισμένην ἤδη αὐτῷ καὶ ἀπὸ γένες προσήκουσαν βασιλείαν ἀφελέσθαι."

ἀποδέχομαι ὁμολογῶ. "ἀποδέχομαί σε τῶν τρόπων," καὶ "ἀποδέχομαί σου τὸν τρόπον."

ἀπὸ δή. "ἀπὸ δὴ τούτων πάντων ἀναπιθόμενος τῶν πλεονεκτημάτων, πάντα τὸν ἀνθιςάμενον τιθεὶς ἐν δευτέρῳ, εὐθαρσῶς ἐςέει. συνηνεχθήτην δὴ ἄμφω ἀλλήλοιν." Δέξιππος (p. 35 Nieb.).

ἀποδημεῖν, γενικῇ, μὴ παρεῖναι· Ἀριςοφάνης Νεφέλαις (370) "ἐχρῆν αἰθρίας οὔσης ὕειν αὐτόν, ταύτας δ' ἀποδημεῖν."

ἀποδιατρίψουσιν ἐγχρονίσουσι, χρονοτριβήσουσιν.

ἀποδιδόμενοι Ἀντιφῶν ἀντὶ τοῦ ἀποδιδόντες, καὶ ἀποδιδόμεθα ἀντὶ τῦ ἀποδίδομεν ἢ πιπράσκομεν. Harp.

ἀποδιδράσκω αἰτιατικῇ.

ἀποδικεῖν ἀντὶ τοῦ ἀπολογεῖσθαι. οὕτως Ἀντιφάνης.

ἀποδιοπομπεῖσθαι, αἰτιατικῇ, ἀποπέμπεσθαι πρὸς τὸν προςρόπαιον Δία, καὶ οἱονεὶ καθαίρεσθαι ἢ ἱλάσκεσθαι. "τοὺς νυκτικόρακας εἰς τὰς ὄρνεις ἀποδιοπομπῦνται." καὶ ἀποδιοπομπείσθω ἀποδιωκέσθω.

ἀπὸ δὶς ἑπτὰ κυμάτων, ἐκ μεταφορᾶς τῶν ἐπὶ φόνοις καθαιρομένων· ἤτοι γὰρ δὶς ἑπτὰ κύμασι πλύνουσι τὰ ἱμάτια.

ἀποδοκιμάσας ὡς ἄχρηςον ἐκφαυλίσας· (Polyb. 18 24) "ὁ δὲ Ἀννίβας ἀποδοκιμάσας τὸν ἐξ ἀρχῆς ὑπάρχοντα αὐτοῖς καθοπλισμόν, ἅμα τῷ νικῆσαι τῇ πρώτῃ μάχῃ παραχρῆμα τοῖς Ῥωμαίων ὅπλοις καθώπλισε τὰς δυνάμεις."

ἀπὸ δόξης (Hom. K 324) ἀπὸ εἰκασμῦ.

ἀποδόσθαι πωλῆσαι, καὶ ἀπόδυ ἀπόλυσον.

ἀποδράς ἀποφυγών. καὶ ἀποδρᾶναι.

ἀποδρέψεσθε ἀποτρυγήσετε· (AP 6 303) "οὗ καὶ πίονα τυρὸν ἀποδρέψεσθε."

ἀποδρύφω ἐκδέρω.

ἀποδύντες ἀντὶ τῦ ἀποδυσάμενοι, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν, οἳ ἀποδύονται τὴν ἔξωθεν ςολήν, ἵνα εὐτόνως χορεύωσιν. Ἀριςοφάνης (Ach. 627) "ἀλλ' ἀποδύντες τοῖς ἀναπαίςοις ἐπίωμεν."

ἀποδυσπετεῖ ἀποδύρεται· "δυσθετούμενοι τοῖς συμβαίνουσιν ἀποδυσπετεῖν ἀναγκάζονται."

ἀπὸ ἕθεν (Hom. Z 62) ἀπὸ ἑαυτοῦ.

ἀπόειπε (Hom. Γ 406) ἀπάρνησαι.

ἀποζῆν τὸ εὐτελῶς ζῆν, ζῆν δὲ τὸ μετὰ τρυφῆς καὶ πολυτελείας. "τοσαῦτα ἀγαθὰ ἀγαπῶν κεκτῆσθαι ὅσα ἀποζῆν ἀπ' αὐτῶν," ἀντὶ τοῦ μέτρια.

ἀπόζων ἀποπνέων.

ἀποθανεῖν. "ἐάν τις αὐτὸ μόνον εἰδῇ, καὶ τῷ μερισμῷ τῆς ἐννοίας διαλύσῃ τὰ ἐμφανταζόμενα αὐτῷ, οὐκέτι ἄλλο τι ὑπολήψεται αὐτὸ εἶναι ἢ φύσεως ἔργον. φύσεως δὲ ἔργον εἴ τις φοβεῖται, παιδίον ἐςί. τῦτο μέντοι οὐ μόνον φύσεως ἔργον ἐςίν, ἀλλὰ καὶ συμφέρον αὐτῇ. πῶς ἅπτεται θεῦ ἄνθρωπος, καὶ κατὰ τί ἑαυτοῦ μέρος" (M. Anton. 2 12).

ἀποθάνω αὐθυπότακτον, καὶ ἀποθάνωμεν ὁμοίως. καὶ σύνταξις "ἀποθανόντος αὐτῷ τῦ πατρὸς ἀπέτισε πολλὰ χρήματα."

ἀποθέμενος αἰτιατικῇ.

ἄποθεν χωρίς, ἢ πόρρωθεν· "ῥινῦ χερμαςῆρος ἐΰςροφα κῶλα τιταίνων Ἀλκιμένης πτανῶν εἶργον ἄπωθε νέφος" (AP 7 172). καὶ αὖθις "Ῥουφῖνος δέ οἱ μεταξὺ ἐπανήκων ἐνέτυχε, πόλεως Νισίβιδος οὐ μακρὰν ἄποθεν." καὶ ἄποθεν (an ἀμόθεν) γέ ποθεν ἀπό τινος μέρους ἢ ὁποθενοῦν.

ἀποθέσθαι ἀποθησαυρίσαι, ἀποταμιεῦσαι. "ὁ δὲ βουλόμενος μηδένα χρόνον ἀργὸν ποιεῖν προέθετο τὸ τοῦ χειμῶνος ἄπρακτον εἴς τινας χρείας ἀποθέσθαι."

ἀποθεσπίσαι δογματίσαι, ἐκθέσθαι, εἰπεῖν.

ἀπόθετον τὸ ἀποτεθησαυρισμένον.

ἀποθήκην ἀντὶ τῦ ἀποςροφὴν Φίλιςος.

ἀπόθητος ὁ μὴ ποθούμενος.

ἀποθνήσκοντας ἐν πολέμοις ὁρῶ τὺς περὶ πλείςου ποιυμένους τὸ ζῆν, καὶ ζῶντας ὅσοι τοῦ ζῆν ἀπεγνώκεσαν. κἀγὼ μαχήσομαι ὡς ἀποθανούμενος, καὶ οἶδ' ὅτι περιέσομαι. Λάκων γάρ εἰμι ἄνωθεν, καὶ οἶδα τὴν πρὸς Λεωνίδαν ἐπιςολὴν τῶν τελῶν "μαχέσθων ὡς τεθναξόμενοι, καὶ οὐ τεθνάξονται." Synes. ep. 113.

ἀπόθου ἀποβαλῦ, ἀπωθῦ δὲ ὤθησον.

ἀποθρανσθῇς ἐκπέσῃς· "μηδ' εἰς ὀρχηςρίδος εἰσάττης," τουτέςιν εἰσέλθῃς, "μήποτε τῆς εὐκλείας ἀποθρανσθῇς" (A Nub. 993).

ἀποθρέξεις συναποτροχάσεις. οὕτω Πλάτων.

ἀποθρώσκοντα ἀποπηδῶντα.

ἀποθύμια (Hom. Ξ 261) λυπηρά, τὰ μὴ καταθύμια.

ἀπὸ θυμοῦ· "δείσας ἂν μὴ ἀπὸ θυμῦ γένηται τῷ βασιλεῖ μὴ θαρσήσας αὐτόν, ἐπιβαίνει τοῦ πορθμείου." καὶ αὖθις "τοῖς μὲν ὀλίγοις τε καὶ ὧν ὄφελός τι ἐν παντὶ ἔθνει ἀπὸ θυμοῦ εἶναι τὰς ληλασίας." καὶ ἀπὸ θυμοῦ μισητός· "ἐπεὶ δὲ οὐκ ἀπὸ θυμοῦ ἦν αὐτοῖς ἄρχων ὁ Ἄβγαρος."

ἀποθυνίζω τὸ ἀποπέμπομαι καὶ παραλογίζομαι.

ἀποθώμεθα αὐθυπότακτον, ἀντὶ τοῦ ἀποβάλωμεν.

ἀποίκησις ἡ μετοίκησις, ἀποικίζω δὲ τὸ ῥῆμα. καὶ ἀποικίσαι κτίσαι πόλιν ἐν ἐρήμῳ, καὶ ἄποικοι οἱ ἐν ἐρήμῳ τόπῳ πεμπόμενοι οἰκῆσαι. ἔποικοι δὲ οἱ ἐν πόλει παρὰ Θουκυδίδῃ (2 27).

ἀποικοδομεῖς ἀντὶ τοῦ ἀποφράττεις· οὕτω Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα. Harp.

ἀποίμωξόν με τῦ τριωβόλυ τὸν ζῶντα μᾶλλον· τἀμὰ γὰρ διοίχεται" (A Eccl. 314) ἀντὶ τοῦ ἀπόλωλα. καὶ Αἰσχύλος ἐν Μυρμιδόσιν "Ἀντίλοχ', ἀποίμωξόν με τῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον."

ἄποινα λύτρα, ἃ δίδωσί τις ὑπὲρ φόνυ ἢ σώματος· οὕτω Σόλων ἐν νόμοις.

ἄποιος ὁ δίχα ποιοῦ, ἄπυος δὲ διὰ τῦ υ ψιλοῦ ὁ δίχα ἕλκους.

ἀπὸ ἵππων ἐπ' ὄνους, ἐπὶ τῶν κατὰ τὸ χεῖρον τρεπομένων.

ἀποίσετε ἀνενέγκατε.

ἀποιχόμενα παρερχόμενα. Ἀριςοφάνης (Pac. 648) "παῦε παῦε·" νεκρὸν γὰρ ὄντα ἐλοιδόρει, ἔθος δὲ ἦν τοῖς ἀρχαίοις τοὺς ἀποιχομένους μὴ λοιδορεῖν.

ἄποκα πρόβατα ἄκουρα.

ἀποκαθεύδουσιν ἀντὶ τοῦ ἀποκοιτοῦσιν Εὔπολις. τουτέςι γυναῖκα χωρίζεσθαι ἀνδρὸς καὶ ἀφίςασθαι.

ἀποκαθιςῶν διδούς, χαριζόμενος· (Ps. 15 5) "σὺ εἶ ὁ ἀποκαθιςῶν τὴν κληρονομίαν μου ἐμοί," τουτέςι τὴν τῶν ἐθνῶν βασιλείαν. τὴν προτέραν δεσποτείαν ἀποδιδούς.

ἀπὸ καλοῦ ξύλυ κἂν ἀπάγξασθαι. cf. v. ἄξιον.

ἀποκαραδοκία προσδοκία, καὶ ἀποκαραδοκῶν προσδοκῶν· "ὁ δὲ καθῆςο ἐν τῇ παρεμβολῇ, ἀποκαραδοκῶν ὅποι καὶ τύχης χωρήσοι τὰ πράγματα." σημαίνει δὲ καὶ τὴν ἀνελπιςίαν.

ἀποκαρτερήσαντα ἑαυτὸν λιμῷ ἢ ἀγχόνῃ τοῦ βίου ἐξαγαγόντα. "Λυκοῦργον τὸν Λακεδαιμόνιον νομοθέτην μετὰ τὸ θεῖναι τοὺς νόμους ἐλθόντα εἰς Κρήτην ἀποκαρτερῆσαι, ὅπως μὴ αὐτοὺς ἀναγκασθείη λῦσαι." καὶ αὖθις "ὁ δὲ Ἀναξαγόρας ἐλθὼν ἐν Λαμψάκῳ καὶ ἀποκαρτερήσας τὸν βίον καταςρέφει."

ἀπὸ καταδυομένης. λείπει, ὅ τι ἂν λάβῃς, κέρδος. ἀπὸ τῶν ἐμπόρων ἡ μεταφορά, οἳ καταδυομένης τῆς νεὼς ὅ τι ἂν λάβωσι κέρδος ἡγοῦνται.

ἀποκαταλλάξαι φιλοποιῆσαι.

ἀποκατέςη ἀπεδόθη· "ἀποκατέςη τοῖς περὶ τὸν Ζὶχ τὰ ὀφειλόμενα χρήματα τῶν ζ ἐνιαυτῶν" (Menand. p. 365 Nieb.).

ἀποκεκλήκαμεν ἀπηγορεύσαμεν. καὶ Ἀριςοφάνης Ὄρνισιν (1254) "ἀποκεκλήκαμεν διογενεῖς θεοὺς μηκέτι τὴν πόλιν διαπερᾶν."

ἀποκεκραιπαλισμένος τῆς κραιπάλης ἀπαλλαγεὶς καὶ μέθης.

ἀποκεκρουσμένον οἷον ἠκρωτηριασμένον, ἀποκεκλασμένον καὶ κεκολοβωμένον. "δός μοι κυλίσκιον χεῖλος ἀποκεκρουσμένον," ποτήριον, Ἀριςοφάνης Ἀχαρνεῦσιν (433).

ἀποκεκύφαμεν· Ἀριστοφάνης (Lys. 1002) "οἱ γὰρ ἄνδρες, ὥσπερ λαμπροφόροι ὄντες, ἀποκεκύφαμεν·" οἱ γὰρ λυχνοφοροῦντες κεκύφασι διὰ τὸν ἄνεμον.

ἀποκείλαντες ἀποκλίναντες.

ἀποκείραντες καὶ κείραντες, ἑκατέρως λέγουσιν.

ἀποκεῖσθαι πόρρω ἀτιμάζεσθαι. ὅτω Κρατῖνος.

ἀποκηδήσαντες ἀντὶ τῦ ἀποκακήσαντες Ὅμηρος (Ψ 413). παρὰ δὲ Σώφρονι ἀποκαδήσαντες ἀφροντιστήσαντες. καὶ ἀποκηδήσονται τὴν λύπην ἀφαιρήσονται.

ἀποκήρυκτον ἀλλότριον. ὅτι ὁ λέγων τοὺς ἀποκηρύκτυς φαύλους εἶναι ἁπλῶς δόξαι ἂν λέγειν ἐξ ἀνάγκης τοιούτους αὐτοὺς εἶναι· οὐ μὴν οὕτως ἔχει. ἐνδέχεται γάρ τινα μὴ τοιοῦτον εἶναι ἀποκήρυκτον γενόμενον· Θεμιςοκλέα γῦν ἀποκήρυκτόν φασι γενέσθαι, οὐ μὴν φαῦλος ἦν (Alex. Aphrod. in Top. 2 p.96). καὶ ἀποκηρύττοντες ἀντὶ τοῦ πιπράσκοντες· οὕτω Δημοσθένης (23 201) καὶ Πλάτων. Harp.

ἀποκινδυνεύοντες ἀποτολμῶντες, ἀποδειλιῶντες. "ὁ δὲ Σερτώριος ὁ τῶν Ῥωμαίων ςρατηγός, καίπερ θρασέως τῶν Ἰβήρων ἐκ τοῦ τὰ πλείω κατορθοῦν ἐχόντων, οὐκ ἀποκινδυνεῦσαί ποτε ἐτόλμησεν."

ἀποκινεῖν τὸ ἀπέρχεσθαι καὶ ἀποτρέχειν. λέγεται καὶ ἐπὶ πλοίων καταγομένων καὶ ὁρμιζομένων ἀποκινεῖν ταῖς κώπαις.

ἀπόκινος εἶδος ὀρχήσεως.

ἀποκλήρωσις μέρος. "εἰς ἀμείνονα λῆξιν ἀποκληρῶσαι θεοποιῷ φροντίδι οὐδὲν ὤκνησε." λῆξις δέ ἐςι μερίς, παῦσις, κληρονομία.

ἀπόκλητοι κεκλημένοι. (Polyb. 4 5) "οὔτε κοινὴν προσδεξάμενοι σύνοδον οὔτε τοῖς ἀποκλήτοις συμμεταδόντες, τὰς αὐτῶν κρίσεις διαλαβόντες πόλεμον ἐξήνεγκαν." καὶ αὖθις Πολύβιος (20 1) "τριάκοντα τῶν ἀποκλήτων προεχειρίσαντο τοὺς συνεδρεύοντας μετὰ τῦ βασιλέως." καὶ αὖθις "ὃ δὲ συνῆγε τὺς ἀποκλήτους, καὶ διαβούλιον ἀνεδίδου περὶ τῶν ἐνεςώτων."

ἀπόκλιμα τῶν ὀρέων ἀντὶ τοῦ ἀπόνευμα.

ἀποκλίνω αἰτιατικῇ.

ἀποκναίει διαφθείρει, ἀποκόπτει, ἀπολλύει, λυπεῖ, ὀδυνᾷ.

ἀποκναίειν ἐνοχλεῖν, παρεκτείνειν. "τί οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν" Μένανδρος Μισουμένῳ. "οὐ γὰρ ἀποκναίω τῷ μεγέθει τῆς ἀρετῆς τὸν ἄνδρα, λέγω δὴ τὸν Ἡρακλέα, ἐν δευτέροις τιθείς, εἰ καὶ τῷ παραλλήλῳ λειπόμεθα" φησὶ Σιμόκατος Θεοφύλακτος (2 18: cf. v. Σάπειρ). καὶ αὖθις (Procop. Arc. 12) "οἱ ἄνθρωποι ἐπὶ Ἰουςινιανοῦ ὑπὸ τῶν φορολόγων ἀγχόμενοι καὶ ἀποκναιόμενοι τόκοις ὀφλημάτων ἀειρύτοις τισὶ δυσθανατοῦντες ἀκούσιοι διεβίωσαν."

ἀπόκνιζε ἀπόσκαλλε, ἀπότιλλε.

ἀπόκοιτος πόρρω τῆς κοίτης· "ὃ δὲ τῇ δοκήσει κατεπαννυχίζετο τῆς δειλίας ἀπόκοιτος" (Theophyl. Sim. 5 1).

ἀποκοπῆναι τῶν ἰχνῶν τὴν κύνα λέγουσιν, ὅταν μηκέτι εὑρίσκῃ τὰ ἴχνη.

ἀποκόπους ἐκτομίας. καὶ ἀντὶ τῦ ἀσθενεῖς κεῖται.

ἀποκραιπαλισμός τῆς κραιπάλης ἀπαλλαγὴ καὶ μέθης.

ἀπόκριμα κατάκριμα.

ἀπόκριναι, δοτικῇ, ἀποκρίθητι· Δημοσθένης (19 120?) "ἀπόκριναι δεῦρό μοι παρελθών." ἀποκρινεῖται δὲ λέγουσι μᾶλλον ἢ ἀποκριθήσεται· Μένανδρος Κανηφόρῳ "ἃ δ' ἀποκρινεῖται, κἂν ἐγὼ λέγοιμί σοι," Ὑποβολιμαίῳ "ὡς μηδὲν ἀποκρινουμένῳ δ' οὕτω λαλεῖν." καὶ ἀπόκρισις ἡ ἀπολογία· οὕτω Λυσίας καὶ Ἀντιφῶν. ἀλλὰ καὶ Δημοσθένης ὁμοίως λέγει ἐν τῷ κατ' Αἰσχίνου "ἀπόκριναι δεῦρό μοι παρελθών."

ἀποκρότῳ τραχείᾳ· "οἱ δὲ ἀπεχωλῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ συνεχῶς ταλαιπωρῦντες" (Thuc. 7 27).

ἀποκρούεσθαι, αἰτιατικῇ, ἀποβάλλεσθαι.

ἀποκτείνω, αἰτιατικῇ, φονεύω, καὶ ἀποκτεῖναι φονεῦσαι. καὶ ἀποκτείνῃς αὐθυπόταχτον.

ἀποκτιννύναι φονεῦσαι. ἀποκτίννυσι λέγουσι μᾶλλον ἢ ἀποκτιννύει· Κρατῖνος Βουκόλοις "καὶ πρὸς τὸν οὐρανὸν σκιαμαχῶν ἀποκτίννυσι ταῖς ἀπειλαῖς." καὶ ἀπεκτόνασιν, οὐκ ἀπεκτάγκασι· "μισοῦσι μὲν ὦ πάτερ Θράσωνα, ἀπεκτάγκασι δ' οὔ."

ἀποκυηθέν τεχθέν, καὶ ἀποκυΐσκω τὸ ἀπογεννῶ.

ἀπολαβόντες ἐναποκλείσαντες· "οἱ δὲ τὴν ςρατιὰν αὐλῶσι ςενοῖς καὶ δυσεμβόλοις ἀπολαβόντες ἐς διαλλαγὰς ἐλθεῖν αἰσχρὰς ἠνάγκασαν." καὶ Ἰώσηπος "διώξαντες ἀπολαμβάνουσι τοὺς πολεμίους ἐν κοίλῳ χωρίῳ, καὶ πάντας κτείνουσι." καὶ αὖθις (Dio Cass.

62 23) "τὸ γὰρ χωρίον ἀμφοτέροις ἤρεσε, τῷ μὲν ὅτι ἀπολαβόντες εἰς αὐτὸ τοὺς Ῥωμαίους ὑποσπόνδους ἀφῆκαν, πρὸς ἔνδειξιν ὧν εὐεργέτηντο."

ἀπολακτίζω. ⟨Deuteronom. 32 15⟩ "καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος," τουτέστιν ἀπεσκίρτησεν.

ἀπολαύειν. ἀπολαύειν οὐκ ἐπὶ τῶν ἡδέων μόνον ἀλλὰ καὶ ἐπὶ τῶν ἐναντίων τάττουσιν, ὡς Ἰσοκράτης ⟨8 81⟩ "δέδοικα μή τι κακὸν ἀπολαύσαιμι." καὶ Μαρκελλῖνος περὶ Θουκυδίδου φησὶν "οὔτε Κλέων οὔτε Βρασίδας, ὁ αἴτιος τῆς συμφορᾶς, ἀπέλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου."

a ἀπολαχεῖν τὸ διανείμασθαι τὰ πατρῷα καὶ ἄλλα κοινὰ δόντα πρός τινας, καὶ ἀπολαβεῖν. διαλαχεῖν δὲ τὸ διανεμεῖσθαι οἱ ῥήτορες εἰρήκασιν· Ἀντιφῶν "ὁπότ' ἄνθρωποι βούλοιντο χρήματα διαλαγχάνειν."

b ἀπολαχεῖν ἀντὶ τοῦ διαλαχεῖν· οὕτω Λυσίας καὶ Ἀριστοφάνης καὶ Ἀντιφῶν. Harp.

ἀπολάψεις. ἐὰν διὰ τοῦ ε ἀπολέψεις, τουτέστιν ἀπολεπίσεις· "ἀπολέψαντα τὸ λέμμα" ⟨A Av. 678⟩ ἀπολεπίσαντα ὥσπερ ᾠοῦ. ἐὰν δὲ ἀπολάψεις, ἐκπίῃς· ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ καὶ ὅσα λάπτοντα πίνει. καταστρέφει δὲ εἰς τὸ ἀποκερδανεῖς, ἀφαρπάσεις, ἀποσπάσεις. Ὅμηρος ⟨Π 161⟩ "λάψοντες γλώσσῃσι," καὶ Ἀριστοφάνης Νεφέλαις ⟨810⟩ "γνοὺς ἀπολάψεις ὅ τι πλεῖστον δύνασαι ταχέως."

ἀπολεγόμενος παραιτούμενος· Πολύβιος "ὁ δὲ παρῃτεῖτο τοὺς Ἀχαιοὺς ἀπολεγόμενος τὴν ἀρχήν." καὶ ἀπολέγοντα ἀπαγορεύοντα, ἀποτρέποντα· "γράμματά τε ἄντικρυς ἀπολέγοντα τοῖς πρέσβεσιν ἔγραφε μηδαμῶς προΐεσθαι τὰ φρούρια Πέρσαις" ⟨Procop. Pers. 1 22⟩.

ἀπολείπουσιν. ἀλλὰ καὶ ἀπολιμπάνουσι παρὰ Λυσίᾳ.

ἀπόλεκτοι ἐξαίρετοι· Ξενοφῶν "αἱ δὲ εἰς τοὺς δεσπότας ἀποκείμεναι ἀπόλεκτοι ἦσαν." cf. v. ἀπέκειντο.

ἀπολελοιπότες ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων· οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους. οὕτως Ἰσοκράτης ἐν Παναθηναϊκῷ ⟨41⟩ καὶ Πανηγυρικῷ ⟨50⟩. Harp.

ἀπολέμητον ἀνενόχλητον· "κατάραντες εἰς χώραν εὐδαίμονα καὶ πολλῶν χρόνων ἀπολέμητον" ⟨Polyb. 3 90⟩.

ἀπόλεμος ὁ μὴ ἰσχύων ἢ ὁ μὴ εἰδὼς πολεμεῖν· "ἀπόλεμος γὰρ ἦν, καὶ ὑπὸ νόσου ποδάγρας οὔτε οἱ πόδες οὔτε αἱ χεῖρες ἐτύγχανον ἄρτιοι." τίθεται δὲ καὶ ἐπὶ τῶν μηδεμίαν πρόφασιν ἐχόντων πολέμου, δρασάντων δὲ τὰ πολεμίων.

ἀπολέξαι.

ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι· "τοῖς οὖν ἐν τῷ τοιῷδε πλέουσιν ἀπὸ λεπτοῦ μίτου φασὶν ἠρτῆσθαι τὸ ζῆν." ἡ παροιμία ἐπὶ τῶν ἐν ἐσχάτοις κινδύνοις ὄντων. cf. v. μίτος.

ἀπόληγε παύου.

ἀπολιβάξεις συντόμως ἀναχωρήσεις· λιβὰς γὰρ ἡ σταγών, ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. Ἀριστοφάνης ⟨Av. 1467⟩ "οὐκ ἀπολιβάξεις, ὦ κάκιστ' ἀπολούμενος;" cf. v. οὐκ ἀπολιβάξεις.

ἀπολιγαίνει θορυβεῖ, ὀξέως βοᾷ, παρὰ τὸ λιγύ. Ἀριστοφάνης ⟨Ach. 967⟩ "ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ," ἀντὶ τοῦ τοὺς ἱμάντας οὓς οἱ ἀγορανόμοι ἔχοντες ἔτυπτον.

ἀπόλιδας ἀγεννεῖς, ὡς μὴ οἰκοῦντας ἐν πόλει, ἀπαιδεύτους.

Ἀπολινάριος Λαοδικεὺς τῆς Συρίας, a
γεγονὼς ἐν ἡμέραις Κωνσταντίου καὶ Ἰουλιανοῦ τοῦ παραβάτου καὶ ἕως τῆς ἀρχῆς Θεοδοσίου τοῦ μεγάλου, σύγχρονος Βασιλείου καὶ Γρηγορίου τῶν ἐκ Καππαδοκίας θαυμαζομένων. ἐγένετο δὲ γνώριμος ἀμφοτέρων καὶ Λιβανίου τοῦ σοφιστοῦ καὶ ἄλλων τινῶν. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλείω καὶ ἐς φιλοσοφίαν ἐξήσκητο καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην κατὰ Πορφυρίου τοῦ δυσσεβοῦς τόμους λ', καὶ δι' ἡρῴων ἐπῶν πᾶσαν τὴν τῶν Ἑβραίων γραφήν· ἔγραψε δὲ καὶ ἐπιστολάς, καὶ ἄλλα πολλὰ εἰς τὴν γραφὴν ὑπομνήματα. τοῦ δέ γε Ἀπολιναρίου καὶ Φιλοστόργιος ⟨8 11⟩ μνήμην πεποίηται ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ, καί φησιν "Ἀπολινάριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας, καὶ Βασίλειος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, καὶ Γρηγόριος ἐν τῇ Ναζιανζῷ· σταθμὸς δὲ οὗτος ὁ τόπος ἐστὶ τῆς αὐτῆς Καππαδοκίας. τρεῖς δὴ οὗτοι ἄνδρες τότε τοῦ ὁμοουσίου προυμάχουν κατὰ τοῦ ἑτεροουσίου, μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς

αὐτῆς αἱρέσεως προσιόντας, ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον· τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπὶ πλεῖστον οὗτοι προεληλύθεισαν, καὶ τῶν ἱερῶν γραφῶν, ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἐτέλει, πολλὴν εἶχον τὴν ἐμπειρίαν. καὶ μάλιστά γε αὐτῶν ὁ Ἀπολινάριος· οὗτος γὰρ δὴ καὶ τῆς ἑβραΐδος διαλέκτου ἐπαΐειν οἷός τ' ἦν. καὶ μὴν καὶ συγγράφειν ἕκαστος αὐτῶν ἐς τὸν ἑαυτοῦ τρόπον ἦν ἱκανώτατος· τῷ μέν γε Ἀπολιναρίῳ τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως μακρῷ ἄριστα εἶχε, Βασίλειος δὲ πανηγυρίσαι λαμπρότατος ἦν· τῷ δέ γε Γρηγορίῳ καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος, καὶ ἦν εἰπεῖν Ἀπολιναρίου μὲν ἁδρότερος Βασιλείου δὲ σταθερώτερος. τοσαύτης δὲ αὐτοῖς ἐν τῷ λέγειν καὶ γράφειν δυνάμεως οὔσης, καὶ τὸ ἦθος οὐδὲν ἧττον οἱ ἄνδρες παρείχοντο πρὸς τὴν τῶν πολλῶν θέαν ἐπαγωγότατον. ὥστε καὶ οἷς ὡρῶντο καὶ οἷς ἔλεγον καὶ ὁπόσα γράφοντες διεδίδοσαν, διὰ πάντων ᾕρουν εἰς τὴν ἑαυτῶν κοινωνίαν τοὺς καθ' ὁτιοῦν αὐτῶν εὐμαρέστερον ἁλίσκεσθαι δυναμένους." τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος ὁ Ἀρειανὸς ἔγραψεν.

b Ἀπολινάριος. οὗτος ἀνεφάνη μετὰ Παῦλον τὸν Σαμοσατέα, πρόεδρος Λαοδικείας τῆς Συρίας, ματαιοφροσύνης ἑτέρας ἡγησάμενος. τῶν γὰρ Ἀρειανῶν ἄψυχον πάντῃ λεγόντων τὴν τοῦ κυρίου σάρκα, αὐτὸς ἔφη ὅτι σάρκα μὲν ἐψυχωμένην ψυχῇ ζωτικῇ ἀνέλαβεν ὁ κύριος, νοῦν δὲ τὸν ἡμέτερον οὐ προσήκατο· μηδὲ γὰρ δεηθῆναί φησι τὴν σάρκα ἐκείνην ἀνθρωπείου νοός, ἡγεμονευομένην ὑπὸ τοῦ αὐτὴν ἐνδεδυκότος θεοῦ λόγου, ἀλλὰ μηδὲ χωρεῖν αὐτὴν ἄλλην νοερὰν δύναμιν παρὰ τὴν θείαν. ταῦτα ὑποθέμενος διατείνεται μίαν εἶναι φύσιν τοῦ λόγου καὶ τῆς σαρκός, ἅτε τῆς σαρκὸς ἀτελοῦς οὔσης εἰς τὸ εἶναι ἄνθρωπον ὅλον, καὶ διὰ τοῦτο μὴ ἀξίαν φύσιν ὀνομάζεσθαι (Theodor. presb. de incarn.). μεθ' ὃν ἀναφαίνεται Θεόδωρος ὁ Μοψουεστίας πρόεδρος τῆς Κιλικίας. cf. v. Θεόδωρος ς.

ἐγένοντο δὲ Ἀπολινάριοι δύο, πατὴρ καὶ υἱός, ὁ μὲν πατὴρ Ἀλεξανδρεύς· γήμας δὲ εἰς Λαοδίκειαν τῆς Συρίας ἴσχει υἱὸν Ἀπολινάριον. ἄμφω δὲ συνήκμαζον Ἐπιφανίῳ τῷ σοφιστῇ, ὃν ἀκμάζοντα τότε ἠσπάζοντο. Θεόδοτος δὲ ὁ τῆς Λαοδικείας ἐπίσκοπος μηδενὶ τρόπῳ ἀποσπάσαι αὐτοὺς ἐξ αὐτοῦ δυνηθεὶς ἄμφω τῆς κοινωνίας ἐζημίωσεν. ὕβριν τε ἡγεῖται ὁ παῖς Ἀπολινάριος τὰ γενόμενα, καὶ τῇ εὐροίᾳ τοῦ σοφιστικοῦ λόγου θαρρῶν καινοτομεῖ καὶ αὐτὸς αἵρεσιν, ἣ νῦν ἐπιπολάζει τὸ ὄνομα τοῦ εὑρόντος ἔχουσα. οἱ δέ φασι διενεχθῆναι αὐτοὺς πρὸς Γεώργιον· ἑώρων γὰρ αὐτὸν ἀλλόκοτα δογματίζοντα. Socrat. h. eccl. 2 46.

οὗτος δὲ ὁ Ἀπολινάριος βαθμοὺς ἐπὶ τῆς θείας φύσεως δοξάζειν ἐτόλμησε, καὶ μύθους τινὰς ταῖς θείαις ἐπαγγελίαις συνέζευξεν.

ἀπολιταργιεῖς ἀποδραμῇ, ἀποσκιρτήσεις ἀπὸ τῆς θύρας. ἔνεστι δὲ ἐν τῇ λέξει τὸ ἀργόν, ὅπερ ἐστὶ τὸ ταχύ, καὶ τὸ λίαν. οὐ ταχέως οὖν, φησίν, ἀποδραμῇ; λιταργισμοὺς δὲ ἐκάλουν καὶ τὰ σκιρτήματα. Ἀριστοφάνης Νεφέλαις (1255) "οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς ἀπὸ τῆς θύρας;" ἔστι δὲ καὶ ἀπολιταργεῖν.

Ἀπολλόδωρος Ἀθηναῖος κωμικὸς ἐ- a
ποίησε δράματα μζ', ἐνίκησεν ε'.

Ἀπολλόδωρος Ἀσκληπιάδου γραμμα- b
τικός, εἷς τῶν Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, Ἀθηναῖος τὸ γένος· ἦρξε δὲ πρῶτος τῶν καλουμένων τραγιάμβων.

Ἀπολλόδωρος Γελῷος κωμικός, σύγ- c
χρονος τοῦ κωμικοῦ Μενάνδρου. δράματα αὐτοῦ Ἀποκαρτερῶν ἢ Φιλάδελφοι, Δευσοποιός, Ἱέρεια, Γραμματειδιοποιός, Ψευδαίας, Σίσυφος, Αἰσχρίων.

Ἀπολλόδωρος Ταρσεὺς τραγικός. δρά- d
ματα αὐτοῦ Ἀκανθοπλήξ, Τεκνοκτόνος, Ἕλληνες, Θυέστης, Ἱκέτιδες, Ὀδυσσεύς.

Ἀπολλοκράτης ὄνομα κύριον.

Ἀπολλοφάνης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. δράματα αὐτοῦ Δαλίς, Ἰφιγέρων, Κρῆτες, Δανάη, Κένταυροι.

ἀπολλύειν καὶ ἀπολλύναι διττῶς λέγουσι, καὶ ἀποδεικνύειν καὶ ἀποδεικνύναι, καὶ πάντα τὰ ὅμοια.

Ἀπόλλων Ἀπόλλωνος, καὶ ἡ κλητικὴ ὦ Ἄπολλον. ὅτι ὁ Ἀπόλλων ὑποφήτης ἐστὶ τοῦ πατρός, καὶ παρ' ἐκείνου λαμβάνει τὰς μαντείας καὶ τοῖς ἀνθρώποις ἐκφέρει. καὶ ζήτει ἐν τῷ Διὸς φήμη.

Ἀπολλώνεια ἔργα τὰ τοῦ Ἀπόλλωνος.

Ἀπολλωνιὰς Ἀττάλου τοῦ πατρὸς Εὐμε-

νοῦς τοῦ βασιλέως γαμετή, ἥτις δημότις οὖσα βασίλισσα ἐγεγόνει, καὶ ταύτην διεφύλαξε τὴν ὑπεροχὴν μέχρι τῆς τελευταίας ἡμέρας, οὐχ ἑταιρικὴν προσφερομένη πιθανότητα, σωφρονικὴν δὲ καὶ πολιτικὴν σεμνότητα καὶ καλοκαγαθίαν· τέτταρας γὰρ υἱοὺς γεννήσασα πρὸς πάντας τούτους ἀνυπέρβλητον ἐφύλαξεν εὔνοιαν καὶ φιλοστοργίαν μέχρι τελευτῆς, καίτοι χρόνον οὐκ ὀλίγον ὑπερβιώσασα τἀνδρός. πλὴν οἵ γε περὶ τὸν Ἄτταλον ἐν τῇ παρεπιδημίᾳ καλὴν περιεποιήσαντο φήμην, ἀποδιδόντες τῇ μητρὶ τὴν καθήκουσαν χάριτα καὶ τιμήν· ἄγοντες γὰρ ἐξ ἀμφοῖν ταῖν χεροῖν μέσην αὐτῶν τὴν μητέρα περιῄεσαν τά θ' ἱερὰ καὶ τὴν πόλιν μετὰ τῆς θεραπείας. ἐφ' οἷς οἱ θεώμενοι μεγάλως τοὺς νεανίσκους ἀπεδέχοντο καὶ κατηξίουν, καὶ μνημονεύοντες τῶν περὶ Κλέοβιν καὶ Βίτωνα συνέκρινον τὰς αἱρέσεις αὐτῶν, καὶ τὸ τῆς προθυμίας τῆς ἐκείνων λαμπρὸν τῷ τῆς ὑπεροχῆς τῶν βασιλέων ἀξιώματι συναναπληροῦντες. ταῦτα ἐτελέσθη ἐν Κυζίκῳ μετὰ τὴν διάλυσιν τὴν πρὸς Προυσίαν τὸν βασιλέα. Polyb. 23 18.

Ἀπολλωνιὰς λίμνη. ὅτι Ἄτταλος ὁ τῆς Ἀσίας βασιλεὺς Νικομήδει τῷ μονόδοντι πολεμήσας ἐκράτησε τῆς αὐτοῦ χώρας. ἀλλ' ὁ μὲν Ῥωμαίους ἐπικαλεσάμενος ἀνέλαβε τὴν ἀρχήν, Ἄτταλος δὲ τὴν ἑαυτοῦ μητέρα Ἀπολλωνιάδα μεταλλάξασαν κατὰ τὸ μέγιστον ἱερὸν Περγάμου κατέθετο, ὅπερ αὐτὸς ἐδείματο, τήν τε γείτονα λίμνην αὐτῇ προσωνόμασεν. Polybius?

Ἀπολλωνιάτης, καὶ Ἀπολλωνιᾶτις χώρα.

ἀπολλώνιον, βραχέως, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτω καὶ παρὰ Θουκυδίδῃ ⟨2 91⟩ ἀναγνωστέον. καὶ ποσειδώνιον τὸ τοῦ Ποσειδῶνος, ὡς ἀθήναιον τὸ τῆς Ἀθηνᾶς, καὶ διονύσιον καὶ δημήτριον καὶ πάντα τὰ τοιαῦτα ὁμώνυμα τοῖς ἀνδρωνυμικοῖς. τὸ δὲ ποσειδώνειον δῆλον ὅτι Δωριέων.

a Ἀπολλώνιος Ἀλεξανδρεὺς ἐπῶν ποιητής, διατρίψας ἐν Ῥόδῳ, υἱὸς Σιλλέως, μαθητὴς Καλλιμάχου, σύγχρονος Ἐρατοσθένους καὶ Εὐφορίωνος καὶ Τιμάρχου, ἐπὶ Πτολεμαίου τοῦ εὐεργέτου ἐπικληθέντος, καὶ διάδοχος Ἐρατοσθένους γενόμενος ἐν τῇ προστασίᾳ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης.

b Ἀπολλώνιος Ἀλεξανδρεὺς ὁ κληθεὶς δύσκολος, πατὴρ Ἡρωδιανοῦ τοῦ τεχνογράφου γραμματικοῦ· ὃς ἔγραψε τάδε, περὶ μερισμοῦ τῶν τοῦ λόγου μερῶν βιβλία δ', περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν δ', περὶ ῥήματος ἤτοι ῥηματικὸν ἐν βιβλίοις ε, περὶ τῶν εἰς μι ληγόντων ῥημάτων παραγώγων βιβλίον α', περὶ ὀνομάτων ἤτοι ὀνοματικὸν α', περὶ ὀνομάτων κατὰ διάλεκτον, περὶ τῆς ἐν θηλυκοῖς ὀνόμασιν εὐθείας α', περὶ παρωνύμων α', περὶ συγκριτικῶν, περὶ διαλέκτων Δωρίδος Ἰάδος Αἰολίδος Ἀτθίδος, περὶ σχημάτων Ὁμηρικῶν, περὶ κατεψευσμένης ἱστορίας, περὶ παθῶν, περὶ τόνων κατηναγκασμένων βιβλία β', περὶ τόνων σχολιῶν βιβλίον α', περὶ προσῳδιῶν ε, περὶ στοιχείων, περὶ προθέσεων, περὶ τῶν Διδύμου πιθανῶν, περὶ συνθέσεως, περὶ διφορουμένων, περὶ τοῦ τίς, περὶ γενῶν, περὶ πνευμάτων, περὶ κτητικῶν, περὶ συζυγίας.

Ἀπολλώνιος Ἀρχεβούλου ἢ Ἀρχεβίου. c
ἔγραψε περὶ λέξεων Ὁμηρικῶν κατὰ στοιχεῖον.

Ἀπολλώνιος Ἀφροδισιεὺς ἀρχιερεὺς καὶ d
ἱστορικὸς γέγραφε Καρικά, περὶ Τράλλεων, περὶ Ὀρφέως καὶ τῶν τελετῶν αὐτοῦ.

Ἀπολλώνιος Τυανεὺς φιλόσοφος, υἱὸς e
Ἀπολλωνίου καὶ μητρὸς πολίτιδος τῶν ἐπιφανῶν, ὃν κύουσα ἡ μήτηρ ἐπιστάντα δαίμονα ἐθεάσατο, λέγοντα ὡς αὐτὸς εἴη ὃν κύει· εἶναι δὲ Πρωτέα τὸν Αἰγύπτιον, ὅθεν ὑπειλῆφθαι αὐτὸν Πρωτέως εἶναι υἱόν. καὶ ἤκμαζε μὲν ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος καὶ μέχρι Νέρβα, ἐφ' οὗ καὶ μετήλλαξεν, ἐσιώπησε δὲ κατὰ Πυθαγόραν πέντε ἔτη, εἶτα ἀπῆρεν εἰς Αἴγυπτον, ἔπειτα εἰς Βαβυλῶνα πρὸς τοὺς μάγους, κἀκεῖθεν ἐπὶ τοὺς Ἄραβας, καὶ συνῆξεν ἐκ πάντων τὰ μυρία καὶ περὶ αὐτοῦ θρυλούμενα μαγγανεύματα. συνέταξε δὲ τοσαῦτα, τελετὰς ἢ περὶ θυσιῶν, διαθήκην, χρησμούς, ἐπιστολάς, Πυθαγόρου βίον. εἰς τοῦτον ἔγραψε Φιλόστρατος ὁ Λήμνιος τὸν φιλοσόφῳ πρέποντα βίον.

ὅτι Ἀπολλώνιος ὁ Τυανεὺς ἐς σωφροσύνην - - - ἡττήθη τούτων. cf. v. Σοφοκλῆς b.

ὅτι Φιλόστρατος ⟨1 1—2⟩ λέγει περὶ Ἀπολλωνίου θειότερον ἢ ὁ Πυθαγόρας τῇ σοφίᾳ προσελθεῖν, τυραννίδων τε ὑπεράραντα καὶ γενόμενον κατὰ χρόνους οὔτ' ἀρχαίους οὔτ' αὖ νέους. ὃν οὔπω οἱ ἄνθρωποι γινώσκουσιν ἀπὸ τῆς ἀληθινῆς φιλοσοφίας, ἣν φιλοσόφως τε καὶ ὑγιῶς ἐπήσκησεν, ἀλλ' ὃ μὲν τὸ ὃ δὲ τὸ

ἐπαινεῖ τἀνδρός. οἱ δέ, ἐπειδὴ μάγοις Βαβυλωνίων καὶ Ἰνδῶν Βραχμᾶσι καὶ τοῖς ἐν Αἰγύπτῳ Γυμνοῖς συνεγένετο, μάγον ἡγῦνται αὐτὸν καὶ διαβάλλυσιν ὡς μὴ σοφόν, κακῶς γινώσκοντες. Ἐμπεδοκλῆς τε γὰρ καὶ Πυθαγόρας αὐτὸς καὶ Δημόκριτος, ὁμιλήσαντες μάγοις καὶ πολλὰ δαιμόνια εἰπόντες, οὔπω ὑπήχθησαν τῇ τέχνῃ. Πλάτων δὲ βαδίσας ἐς Αἴγυπτον καὶ πολλὰ τῶν ἐκεῖ προφητῶν τε καὶ ἱερέων ἐγκαταμίξας τοῖς ἑαυτῦ λόγοις, καὶ καθάπερ ζωγράφος ἐσκιαγραφημένοις ἐπιβαλὼν χρώματα, ὅπω μαγεύειν ἔδοξε, καίτοι πλεῖςα ἀνθρώπων φθονηθεὶς ἐπὶ σοφίᾳ. ὐδὲ γὰρ τὸ αἰσθέσθαι πολλὰ καὶ προγνῶναι διαβάλλοι ἂν τὸν Ἀπολλώνιον ἐς τὴν σοφίαν ταύτην· ἢ διαβεβλήσεται καὶ Σωκράτης ἐφ' οἷς πρὔλεγε, καὶ Ἀναξαγόρας ὁ Ὀλυμπίασιν, ὁπότε ἥκιςα ὗοι, προελθὼν ὑπὸ κωδίῳ ἐς τὸ ςάδιον ἐπὶ προρρήσει ὄμβρυ. καὶ ἄλλα τινὰ ὑπὲρ Ἀναξαγόρυ προτιθέντες, ἀφαιροῦνται τὸν Ἀπολλώνιον τὸ κατὰ σοφίαν προγινώσκειν. δοκεῖ οὖν μοι μὴ περιιδεῖν τὴν τῶν πολλῶν ἄγνοιαν, ἀλλ' ἐξακριβῶσαι τὸν ἄνδρα τοῖς τε χρόνοις καθ' ὓς εἶπέ τι ἢ ἔπραξε, τοῖς τε σοφίας τρόποις ὑφ' ὧν ἔψαυσε τοῦ δαιμόνιός τε καὶ θεῖος νομισθῆναι. ξυνείλεκται δέ μοι τὰ μὲν ἐκ πόλεων, ὁπόσαι αὐτῦ ἤρων, τὰ δὲ ἐξ ἱερῶν, ὁπόσα ὑπ' αὐτῦ ἐπανήχθη παραλελυμένα τὺς θεσμὺς ἤδη, τὰ δὲ ἐξ ὧν ἕτεροι πρὸς αὐτὸν ἢ αὐτὸς πρὸς ἄλλυς ἔγραφεν. ἐπέςελλε δὲ βασιλεῦσι σοφιςαῖς φιλοσόφοις, Ἠλείοις Δελφοῖς Ἰνδοῖς Αἰγυπτίοις, ὑπὲρ θεῶν, ὑπὲρ ἠθῶν, ὑπὲρ νόμων, παρ' οἷς ὅ τι ἂν πράττοι. τὰ δὲ ἀκριβέςερα παρὰ Δάμιδος ἀκηκοώς.

ὗτος ὁ Ἀπολλώνιος ὁ Τυανεὺς διαμνημονητικός τις ἦν εἴπερ τις ἄλλος, ὃς τὴν μὲν φωνὴν σιωπῇ κατεῖχε, πλεῖςα δὲ ἀνελέγετο, καὶ τὸ μνημονικὸν ἑκατοντύτης γενόμενος ἔρρωτο ὑπὲρ τὸν Σιμωνίδην. καὶ ὕμνος αὐτῷ τις ἔςιν εἰς μνημοσύνην, ὃν ᾖδεν, ἐν ᾧ πάντα μὲν ὑπὸ τοῦ χρόνυ μαραίνεσθαί φησιν, αὐτόν γε μὴν τὸν χρόνον ἀγήρω τε καὶ ἀθάνατον ὑπὸ τῆς μνημοσύνης εἶναι. id. 1 14.

ὅτι Ἀπολλώνιος ὗτος τάδε περὶ Ἀναξαγόρυ ἔφη· καὶ γὰρ Κλαζομένιον ὄντα, καὶ ἀγέλαις καὶ καμήλοις τὰ ἑαυτῦ ἀναθέντα, εἰπεῖν προβάτοις μᾶλλον ἢ ἀνθρώποις φιλοσοφῆσαι. ὁ δὲ Θηβαῖος Κράτης κατεπόντωσε τὴν ὐσίαν, ὗτε προβάτοις ποιήσας ἐπιτήδειον ὗτε ἀνθρώποις. cf. v. Ἀναξαγόρας.

Ἀπολλώνιος ἕτερος Τυανεύς, φιλόσοφος νεώτερος, γεγονὼς ἐπὶ Ἀδριανῦ τῦ βασιλέως, ὡς Ἀγρέσφων ἐν τῷ περὶ ὁμωνύμων.

Ἀπόλλωνος ἄγαλμα. κιθάραν ἐπὶ χειρῶν ἔχον πλάττυσι τὸ Ἀπόλλωνος ἄγαλμα, οἱονεὶ τὸν ἥλιον, τὴν τῦ παντὸς ἁρμονίαν· κιρνώμενος γὰρ τοῖς λοιποῖς ἀςράσι καὶ κτίζει καὶ ζωογονεῖ.

Ἀπολλῶς Ἀπολλῶ ὄνομα κύριον, ἀττικῶς (Act. Apost. 18 24).

ἀπολογίζω τὸ ἀποδιώκω καὶ ἀποβάλλω, ὅπερ ὐ προσδέχομαι. σημαίνει δὲ καὶ τὸ ἀπολογαριάζω. καὶ ἀπολογίσασθαι τὸ ἐπεξελθεῖν ἕκαςα Δημοσθένης (24 108).

ἀπολογισμός· Πολύβιος (1 32) "ὁ δὲ Ξάνθιππος παραγενόμενος εἰς χεῖρας ἔφερε τοῖς ἄρχυσι τὺς ἀπολογισμύς, παρὰ τί νῦν σφαλείησαν, καὶ πῶς δύναιντο τὺς ἐναντίυς νικᾶν."

ἀπόλογος Ἀλκίνυ, ἐπὶ τῶν φλυαρόντων καὶ μακρὸν ἀποτεινόντων λόγον.

ἀπολογῦμαί σοι, δοτικῇ.

ἀπολοίμην εὐκτικῶς, καὶ ἀπόλοιντο· "ὡς ἀπόλοιτο ἡ κακία."

ἀπὸ λύκυ θύρας, ἐπὶ τῶν ἀπράκτως εὐθὺς ἀπιόντων. οἱ δὲ ἐπὶ τῶν ἀπηνῶν καὶ ἀγρίων.

ἀπολυμαίνεσθαι (Hom. Α 313) ἀποκαθαίρεσθαι.

ἀπολυόμενος ὑπεραπολογύμενος· "ὁ δὲ πρεσβείας διεπέμπετο, ἀπολυόμενος τὰς διαβυλὰς ὓς κατ' αὐτῦ γίνεσθαι ἐπυνθάνετο."

ἀπολύων τῷ θανάτῳ παραπέμπων· Δαβίδ (16 14) "κύριε, ἀπολύων ἀπὸ γῆς διαμέρισον αὐτὺς ἐν τῇ ζωῇ αὐτῶν." ἄλλος δὲ ἑρμηνεὺς ἀπὸ ὀλίγων φησίν.

ἀπολώλαμεν καὶ ἀπολώλασιν ἀττικῶς. ἀπολώλεισαν δὲ ὑπερσυντελικός.

ἀπολωλεκὼς ἀπολέσας. καὶ ἀπολώλεκεν.

ἀπομαγδαλία τὸ ςαῖς ᾧ ἀπομάττονται οἱ μάγειροι, ὅπερ ἐκάλυν χειρόμακτρον, ὃ μετὰ τὴν ἐργασίαν ἀπέρριπτον τοῖς κυσίν. ἢ ἡ τῶν κυνῶν τροφή, ἥτις ἦν ςαῖς καὶ λίπος, ὡς καὶ ὁ ποιητής (κ 217) "αἰεὶ γάρ τε φέρει μειλίγματα θυμῦ." μετὰ γὰρ τὸ δεῖπνον εἰς τὸ ςαῖς ἀπεψῶντο τὸ λίπος, καὶ τοῖς κυσὶν ἐρρίπτυν. καὶ αὖθις Ἀριςοφάνης (Eq. 412) "ὑπερβαλεῖσθαί σ' οἴομαι τούτοι-

σιν· ἢ μάτην γ᾽ ἂν ἀπομαγδαλίας σιτούμενος τοσοῦτος ἐκτραφείην."

ἀπόμακτρα σκυτάλων ἀπεσκοτημένα δὲ ἐσκιοτροφημένα. cf. v. ἀπεσκοτωμένα.

ἀπομάττεσθαι ἀναλαβεῖν, μιμεῖσθαι καὶ ἀποτυπῶν. καὶ ἀπομάττων Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (259). οἱ μὲν ἀντὶ τοῦ ἀποψῶν, ἄλλοι δὲ ἀντὶ τοῦ περιπλάττων τὸν πηλὸν καὶ τὰ πίτυρα τοῖς τελουμένοις, ὡς λέγομεν ἀπομάττεσθαι τὸν ἀνδριάντα τῷ πηλῷ.

ἀπόμαχος ὁ ἐκτὸς τοῦ πολέμου γεγονώς· (Agath. 5 23) "ὁ δὲ πλήττεται βέλει τὸν μηρόν, ὡς μικροῦ δεῖν μελλῆσαι ἀπόμαχος ἔσεσθαι." καὶ αὖθις (Theophyl. Sim. 2 9) "ὁ δὲ ὑπὸ τῆς λύπης κατακλυζόμενος ἀπόμαχος ἦν." καὶ ἀπόμαχοι οἱ μὴ ἐξισχύοντες μάχεσθαι· "οἱ μὲν ἀπόμαχοι ἑαυτοὺς κατεχρήσαντο, οἱ δὲ ἐν τῇ ἡλικίᾳ ἐς τοὺς ἐναντίους ἀθρόοι ὥρμησαν καὶ προθύμως κατεκόπησαν." ἢ οἱ ἔξω τῆς μάχης· "ὡς δὲ αὐτῷ ἐξηγγέλλετο ὡς ἔσοιτο ὁ Θεοδώριχος ἠπατημένος ἀπόμαχος, ὀπίσω ἀναχωρεῖ." καὶ ἀπομαχομένου ἀνθισταμένου, παραιτουμένου· "ἀπομαχομένου δὲ τοῦ Φαβίου καὶ πολλὰς ποιουμένου δεήσεις, ἵνα τῆς ἀρχῆς ἀπολυθείη."

ἀπομάχομαι δοτικῇ.

ἀπομηνίσας (Hom. *B* 772) ἀποχωρήσας δι᾽ ὀργήν, ἢ παυσάμενος τῆς ὀργῆς.

ἀπὸ μηχανῆς, ἐπὶ τῶν παραδόξων καὶ παραλόγων. οἱ γὰρ τῶν τραγῳδιῶν ποιηταὶ ὅταν εἰσήγαγον εἰς τὴν σκηνὴν φοβερά τινα, ὥστε συγχυθῆναι τοὺς θεατὰς πρὸς τὰ εἰρημένα καὶ ἐλεεῖν τοὺς ἠτυχηκέναι δόξαντας ὡς ἀνάξια πεπονθότας, ἢ μισῆσαι τοὺς πεποιηκότας ἢ παρανομήσαντας, εἰώθασι θεοὺς εἰσάγειν, οὐκ ἀπ᾽ αὐτῆς τῆς σκηνῆς ὁρμωμένους ἀλλ᾽ ἐξ ὕψους ὑπό τινος μηχανῆς, ἣν ἔβλεπον μὲν πρότερον οἱ θεαταί, κατ᾽ ἐκείνην δὲ τὴν ἡμέραν στρεφομένη ἐδείκνυε τὸ τοῦ θεοῦ πρόσωπον. καὶ τοῦτο καταστολὴν εἶναι τοῦ δράματος. ἐλέγετο δὲ θεὸς ἀπὸ μηχανῆς.

ἀπόμισθος ἄμισθος, ὁ μισθοῦ ἔργον τι διαπραξάμενος καὶ ἄμισθος ἀφειμένος. κεῖται ἡ λέξις παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Καλλικλέα. ἀπόμισθοι δὲ παρὰ Δημοσθένει (4 46) οἱ μισθὸν μὴ λαβόντες.

ἀπόμοιρα μέρος· "ἀπόμοιρα δὲ τῆς στρατιᾶς ἀσκοὺς ἐπιφερόμενοι σποδιᾶς καὶ τέφρας πεπληρωμένους, ξιφιδίοις τούτους διέρρηξαν καὶ τὸν ἀέρα ἐθόλωσαν." καὶ Ἀγαθίας (1 17) "ἀπόμοιρα δὲ ἦν τῶν Φράγκων, καὶ ἀνὰ τὰ τῇδε πεδία ἐφοίτα χιλοῦ ἕνεκα."

ἀπομορξάμενον (A Ach. 695) ἀποπαυσάμενον.

ἀπομόσαι καὶ κατομόσαι, τὸ μὲν ἀρνητικόν, τὸ δὲ καταφατικόν.

ἀπομυρίζω ἀποσομίζω.

ἀπομώμοκα (A Lys. 902) ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς τὰς γυναῖκας πεποίηκα. καὶ ἀπομωμοκότας ἀποταξαμένους· "πολλοὺς δὲ ἀπομωμοκότας παῖδας πρὸς τέρμασιν ὥρας διεμήρισαν ἄνδρες ἐρασταί" Ἀριστοφάνης Ὄρνισιν (706).

ἀπόν ἀπρεπές. σημαίνει δὲ καὶ τὸ μὴ παρόν.

ἀπὸ Ναννάκου, ἐπὶ τῶν σφόδρα παλαιῶν καὶ ἀρχαίων.

ἀπόνασθαι κατατρυφᾶν, ἢ ὠφελεῖσθαι. "οὐ μὴν ἀπόνασθαί γε ξυνέβη τῆς βασιλείας αὐτῷ· τελευτᾷ γὰρ νόσῳ ἑπτὰ ταῖς πάσαις ἡμέραις."

ἀπόνειμαι ἀπόδος.

ἀπονέμου τῆς ἁμάξης, τῶν δ᾽ ὄνων οὐδὲν μέλει", παροιμία ἐπὶ τῶν τὰ οἰκεῖα τημελούντων, τῶν δὲ ἀλλοτρίων ἀμελούντων, παρ᾽ ὅσον οἱ ἰδίαν ἔχοντες ἅμαξαν, ὄνους δὲ μισθούμενοι ἀμελοῦσιν αὐτῶν.

ἀπονεύειν ἐκκλίνειν, τρέπεσθαι· "συνέβαινε τοὺς Αἰνίους πάλαι μὲν στασιάζειν, προσφάτως δὲ ἀπονεύειν τοὺς μὲν πρὸς Εὐμενῆ τοὺς δὲ πρὸς Μακεδονίαν."

ἀπονητί ἄνευ πόνου. ἀπνευστί ἀνιδρωτί ἀκμητί ἀμεταστρεπτί· πάντα ταῦτα καὶ ἐκτείνεται καὶ συστέλλεται. λέγεται δὲ καὶ ἀπονητότατα.

ἀπόνιπτρον· Ἀριστοφάνης (Ach. 616) "ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἑσπέρας." εἰώθασι δὲ οἱ ἀρχαῖοι, εἴ ποτε ἐκχέοιτο ἀπόνιπτρον ἀπὸ τῶν θυρίδων, ἵνα μή τις βραχῇ τῶν παριόντων, λέγειν ἐξίσω. καὶ ἀπονίψασθαι μετὰ τὸ δεῖπνον ἔλεγον· πρὸ τοῦ δείπνου δὲ κατὰ χειρός.

ἀπόνοια ἄνοια, ὕβρις. Προκόπιος (Arc. 7) "ἀδικούμενοι εἰώθασιν εἰς ἀπόνοιαν τρέπεσθαι οἱ ἄνθρωποι, ὅπερ ἔπαθον καὶ οἱ Βένετοι ἐπὶ Ἰουστινιανοῦ. καὶ πρῶτα μὲν τοῖς στασιώταις τὰ ἀμφὶ τὴν κόμην ἐς νεώτερόν τινα μεταβέβληται τρόπον. ἀπεκείροντο γὰρ αὐτὴν οὐδὲν ὁμοίως τοῖς ἄλλοις· τοῦ μὲν γὰρ

μέσακος καὶ τῶ γενείω ἐδαμῆ ἥπτοντο, ἀλλ' αὐτὸν κατακομᾶν ἐπὶ πλεῖςον ὥσπερ οἱ Πέρσαι ἐς ἀεὶ ἤθελον, τῶν δὲ ἐν τῇ κεφαλῇ τριχῶν τὰ ἔμπροσθεν ἄχρις ἐς τοὺς κροτάφους ἀποτεμόμενοι, τὰ ὄπισθεν ἀποκρέμασθαί σφισιν ἐπὶ μακρότατον λόγῳ οὐδενὶ εἴων ὡς οἱ Μασσαγέται, διὸ καὶ Οὐννικὸν ἐκαλεῖτο τὸ αὐτὸ εἶδος. καὶ τὰ ἱμάτια εὐπάρυφα ἠξίουν εἶναι." καὶ αὖθις Ἰουλιανός "τὸ μὴ προϊδέσθαι τό τε δυνατὸν καὶ τὸ ἀδύνατον ἐν πράγμασι τῆς ἐσχάτης ἀπονοίας ἐςὶ σημεῖον."

ἀπονομή ἡ ἀπόμοιρα, ὡς μέρος τι τῶν περιγινομένων ἐκ τῶν μετάλλων λαμβανέσης τῆς πόλεως. ἢ ὡς διαιρουμένων εἰς πλείους μισθωτάς, ἵν' ἕκαςος λάβῃ τι μέρος. Harp.

ἀπονοςήσει ἐπανελεύσεται.

ἀπονοσφίζεσθαι ἀποχωρίζεσθαι.

ἀπ' ὄνου καταπεσών, παροιμία ἀπὸ τῶν ἱππικῇ ἐπιχειρέντων, μὴ δυναμένων δὲ μηδὲ ὄνοις χρῆσθαι· Ἀριςοφάνης Νεφέλαις (1275) "τί δῆτα ληρεῖς ὥσπερ ἀπ' ὄνε καταπεσών;" ὁ δὲ φιλόσοφος Πλάτων (Legg. 3 p.701 C), ὡς ἐκ ἀπὸ τῶ ζώου τὴν παροιμίαν λέγεσθαι ἀλλ' ἀπὸ τῶ νῶ, ὅτως· "καὶ μὴ καθάπερ ἀχάλινον κεκτημένον τὸ ςόμα, βίᾳ ὑπὸ τῶ λόγε φερόμενον, κατὰ τὴν παροιμίαν ἀπό τινος νῶ καταπεσεῖν."

ἀπονυχιῶ σου τὰν πρυτανείῳ σιτία (A Eq. 716) ἀντὶ τῶ ἀφαιρήσομαι, ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων· ἀφαιρήσομαι γάρ φησι τὴν σίτησιν. ἀπονυχίσαι μᾶλλον λέγουσιν ἢ ὀνυχίσαι.

ἀποξένοισιν ἀντὶ τοῦ ἀξένοις.

ἀποξύονται ἀποτίθενται.

ἀπὸ ξυςοῦ. ὁ δὲ Ὅμηρος ἀπὸ ξυςοῦ εἶπεν.

ἀποξυςρῶνται ἐπικάμπτονται καὶ ἐπιςρέφονται. Πολύβιος (2 33) "αἱ γὰρ μάχαιραι τῶν Γαλατῶν ταῖς κατασκευαῖς μίαν ἔχουσιν τὴν πρώτην καταφορὰν καιρίαν. ἀπὸ δὲ ταύτης εὐθέως ἀποξυςρῶνται καμπτόμεναι κατὰ μῆκος καὶ πλάτος, ἐπὶ τοσοῦτον ὥςε, ἂν μὴ δῷ τις ἀναςροφὴν τοῖς χρωμένοις ἐρείσαντας πρὸς τὴν γῆν ἀπευθῦναι τῷ ποδί, τελέως ἄπρακτον εἶναι τὴν δευτέραν αὐτῶν πληγήν."

ἀποπάλλω γενικῇ.

ἀπὸ παραγγέλσεως· (X Anab. 4 1 5) "οἱ δὲ ἀπὸ παραγγέλσεως πορευόμενοι ἀφικνοῦνται ἅμα ἡμέρᾳ πρὸς τὸ ὄρος."

ἀποπάτημα αὐτὸ τὸ σκύβαλον· Εὔπολις Χρυσῷ γένει "τί γὰρ ἐς' ἐκεῖνος; ἀποπάτημ' ἀλώπεκος." Κρατῖνος Δραπέτισι "τὸν Κερκύονά θ' ἕωθεν ἀποπατοῦντ' ἐπὶ τοῖς λασάνοις εὑρὼν ἀπέπνιξα." καὶ ἀποπατησόμενοι τὴν κόπρον κενώσοντες· Ἀριςοφάνης (Plut. 1184) "οὐδεὶς θύει τὸ παράπαν, οὐδ' εἰσέρχεται, πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι." ἀπόπατος γὰρ ἡ κένωσις τῆς γαςρός, καὶ Ἀριςοφάνης περὶ Κλεωνύμε φησίν (Ach. 81) "εἰς ἀπόπατον ᾤχετο ςρατιὰν λαβών, κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν. πόσε δὲ τὸν πρωκτὸν χρόνε ξυνήγαγε; τῇ πανσελήνῳ." πάτος δὲ ἡ ὁδός.

ἀπόπατον καὶ κοπριῶνα λέγεσιν, ὁ δ' ἀφεδρῶν καὶ λυτρῶν βάρβαρα.

ἀπόπειρα δοκιμασία. Δαμάσκιος "τῷ γὰρ ὄντι συνέβαινε τὲς τῷ ὄντι φιλοσοφίας ἐρῶντας τῶν νέων ὥσπερ ἐν πυρὶ χρυσὸν δοκιμάζεσθαι. εἰ δὲ μὴ ὡμολόγει τὴν ἀπόπειραν, αὐτὸ τοῦτο μάλιςα δὴ ἦν ἡ ἀπόπειρα, σπεδή τις εἶναι προσποιεμένη καὶ ἐλλοχῶσα τὰς νεοπρεπῶς ἀττέσας κινήσεις. ἐμὲ γοῦν διεκώλυεν ὡς χαλεπωτάτε ὄντος τῶ πράγματος." καὶ ἀποπειρῶμαι γενικῇ.

ἀποπέμψατ' ἐφ' ἕνδεκα κώπαις, ἀπὸ τῶν ναυτικῶν· κέλευσμα γάρ ἐςι ναυτικὸν ἐφ' ἕνδεκα κώπαις λεγόμενον. Ἀριςοφάνης φησίν (Eq. 543).

ἀπὸ πέντε ἅλλεσθαι πετρῶν ἐς κῦμα, ἐπὶ τῶν δι' ἃ πάσχεσιν αἱρεμένων μᾶλλον ἑαυτὲς ἐμβάλλειν εἴς τινα δυσκολίαν.

ἀποπεπιςευκότες εἰς πίςιν ἐλθόντες· "ἤδη πάντες ἀναπεπτώκασι διὰ τὴν ὑποκειμένην ἑορτὴν ἀποπεπιςευκότες τοῖς εἰσιοῦσιν," ἀντὶ τῶ θαρρήσαντες, βεβαιωθέντες.

ἀποπεπόνηκας (A Thesm. 252) τῶν πόνων ἔληξας.

ἀποπερατοῦσαν συμπληροῦσαν. καὶ ἀποπεραίνοντες τελειοῦντες· "παιδαρίων τε καὶ γυναικῶν φληνάφες διαπλέκοντες καὶ ἀποπεραίνοντες." cf. v. ἀπεφρύγοντο.

ἀποπεφασμένον ἀπειρημένον. ἢ ἀντὶ τῶ ἀποδεδειγμένον καὶ πεφανερωμένον. ὅτω Δείναρχος καὶ Λυσίας (10 19) καὶ Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας (67).

ἀποπεφοίτηκεν ἀπῆλθεν.

ἀποπηδῶ γενικῇ. καὶ αἰτιατικῇ δέ· "ἀποπηδᾶν λόγον σοφὸν μὴ δυνάμενον παρὰ δῆμον."

ἀποπλανῶ γενικῇ.

ἀποπληξία θλῖψις, μανία, ἄνοια. "ὅτι Μάρκος Βῆρος Ἀντωνίνου ἀδελφός, βασιλεὺς Ῥωμαίων, ἀδοκήτως διαφθείρεται, πλήθους ἰχῶρός τε καὶ πνεύματος ἐπισχόντος οἱ τὴν πνοήν· ὃ δὴ πάθος ἀποπληξίαν παῖδες ἰατρῶν ὀνομάζουσι." καὶ ἀπόπληκτος ὁ πεπονθώς.

ἀποπλήσας· "ἐνί γέ τῳ τρόπῳ τὸν προσδιαλεγόμενον ἀποπλήσας ἐξέπεμπεν."

ἀποπομπαῖος ὁ χίμαρος, ὁ τράγος. καὶ ἀποπομπαῖοι θεοί τινες οὕτως ἐκαλοῦντο. καὶ ἀποπομπή ἀντὶ τῦ ἀποτροπή.

ἀποπορεία ἡ ἀπαναχώρησις· "ἐκκελεύσασθαι δὲ τοῖς ἑπομένοις οἰκέταις ἐπιταχῦναι τὴν ἀποπορείαν," τὴν ἀποςροφήν, τὴν ἐπάνοδον. Προκόπιος ⟨Pers. 2 12⟩ "ὁ δὲ Χοσρόης οὐκ ἐβούλετο τὴν ἀποπορείαν, ᾗπερ ἐληλύθει, ποιήσασθαι," τουτέςι τὴν ἐπάνοδον.

ἀποπορευτέα· Ἀγαθίας ⟨2 22⟩ "τοιγαροῦν ἀποπορευτέα αὐτῷ ἐδόκει ἐπὶ Φᾶσιν ποταμὸν καὶ τὴν ἐκείνῃ δυσχωρίαν" ἀντὶ τῦ ἐπανακτέον, ὑποςρεπτέον.

ἀποπρεσβεύει ἀπαγγέλλει πρεσβείαν.

ἀποπρίω ⟨A Ran. 1257⟩ ἀντὶ τῦ ὤνησαι καὶ ἀπόδος ἀντὶ τῆς ἀπολωλυίας.

ἀποπταίη πετασθῇ.

ἀπόπτολις ἔρημος, ἄπολις. sch. S OC 207.

ἄποπτον πόρρωθεν ὁρώμενον. ἢ ἀθεώρητον, ὑψηλότατον. ⟨S OR 760⟩ "ἐξικέτευσε, τῆς ἐμῆς χειρὸς θιγών, ἀγρούς σφε πέμψαι κἀπὶ ποιμνίων νομάς, ὡς πλεῖςον εἴη τοῦδ' ἄποπτος ἄςεος." ἄποπτος γὰρ ὁ ἀθεώρητος· Σοφοκλῆς ⟨Ai. 15⟩ "ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς ὅμως, φώνημ' ἀκούω."

ἀποπτύω αἰτιατικῇ.

ἀποπυργίζοντας λόγους, ὓς ἔγραψε Διαγόρας ὁ ἄθεος, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης. cf. vv. Διαγόρας et πυργίσκοι.

ἀπορεῖν καὶ σφακελίζειν τῷ δεινῷ. τὸ μὲν σφακελίζειν φλεγμαίνειν ἐςὶ καὶ διὰ τοῦτο σπᾶσθαι. Κρατῖνος.

ἀπορησία ἀντὶ τοῦ ἀπορία· ὕτως Εὔβουλος. καὶ ἀπόρρησιν ἀπαγόρευσιν· "ὃ δὲ οὐκ ἤνεγκε τὴν ἀπόρρησιν, ἀλλὰ θυμοῦ πληρωθεὶς ἔφη," καὶ αὖθις "τὴν γενομένην ἀπόρρησιν τῦ γάμυ." σημαίνει δὲ καὶ ἀποκήρυξιν παιδός.

ἄπορος χώρα ἀντὶ τῦ ἀπόρευτος. λέγεται δὲ ἄπορος καὶ ὁ μὴ δυνάμενος μηχανήν τινα εὑρεῖν, ὁ ἐνδεής.

ἀποροῦντι ἐρωτῶντι· "ἀποροῦντι δὲ αὐτῷ τίνι μηχανῇ ἀνεβίω, τόνδε φάναι."

ἀπορραγείς ἀντὶ τοῦ ἀποκοπείς. καὶ παροιμία "ἀπορραγήσεται τεινόμενον τὸ καλώδιον" ἐπὶ τῶν βίᾳ τι καὶ ἀνάγκῃ ποιούντων.

ἀπορρέξαντες ἀπομερίσαντες, ἀπόμοιραν δόντες.

ἀπορρήγνυμι γενικῇ.

ἀπορρηθέν ἀπαγορευθέν, ἐπὶ τοῦ κελεύειν τι μὴ γενέσθαι. καὶ ἀπορρηθῇ ἀντὶ τοῦ ἀποκηρυχθῇ Πλάτων ⟨Legg. 11 p. 929 A⟩.

ἀπορρῆξαι τὴν ψυχήν ἐκπνεῦσαι· "ἀπορρῆξαι τὴν ψυχὴν διψῶντα, μόλις καὶ ὀψὲ τούτου τυχόντα" ⟨cf. v. τηκεδόνι⟩. καὶ ἀπορρήξουσι λαλήσυσι· Πισίδης "ὓς εἰ σιωπήσαιμεν, οἱ λίθοι τάχα φωνὰς ἀπορρήξυσι τῶν πεπραγμένων."

ἀπόρρητα ἀκατάληπτα, ἀπόκρυφα. ἀπόρρητα ἔλεγον τὰ ἀπειρημένα ἐξάγεσθαι, οὐ μόνον τὰ ἀπηγορευμένα. "ἀπόρρητά τε τοῖσιν ἐχθροῖσι τοῖς ἡμετέροισι λέγουσιν" Ἀριςοφάνης Θεσμοφοριαζύσαις ⟨370⟩. ἀπόρρητα τὰ ἀπειρημένα ἐν τοῖς νόμοις· οὕτω Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨123⟩. πάντα τὰ ἀπειρημένα καὶ ἀπηγορευμένα λέγυσιν· Ἀριςοφάνης "ὕτω τι τἀπόρρητα δρᾶν ἐτημέλει." διόπερ καὶ τὰ μὴ ἐξαγώγιμα ὀνομάζουσιν οὕτως.

ἀπορριπτεῖ, αἰτιατικῇ, ἀποβάλλει. καὶ ἀπορρίπτεσθαι αἰτιατικῇ.

ἀπορροῆς ςαγόνος.

ἀπόρροια ἡ ἀπορροὴ τοῦ ὕδατος.

ἀπορρυῇ καὶ ἀπορρυήσεται ἀντὶ τῦ ἀποπεσεῖται.

ἀπορρύπτει ἀπονίπτει.

ἀπορρυφθείς ἀντὶ τοῦ ἀπονιφθείς.

ἀπορρύψαι καὶ ἀπορρυφθῆναι.

ἀπορρῶγας ἐξοχὰς ἀπεσχισμένας· "ἐπειδή τινας ἀπορρῶγας εὗρε πάροδον διδύσας, καὶ αὐτὰς ἀπέκλεισεν ὁ Διοκλητιανός." καὶ ἀπορρώξ ἀπόσπασμα ὄρους, καὶ γένυς ἀπογονή· "οὗτος δὲ ἦν ἄρα ἐρινύων ἀπορρώξ." "πᾶσα δ' ἀπορρὼξ πέτρη ἔην ὑπένερθε, καὶ ἄμβασις οὔ νύ τις ἦεν." ⟨A Lys. 809⟩ "Τίμων ἦν τις ἀίδρυτος ἀβάτοισιν ἐν σκώλοισι περιειργμένος, ἐρινύων ἀπορρώξ," ὁ λεγόμενος μισάνθρωπος, ὅν φησι Νεάνθης

ἀπὸ ἀχράδος πεσόντα χωλὸν γενέσθαι, μὴ χρωσάμενον δὲ ἰατροὺς ἀποθανεῖν σαπέντα, καὶ μετὰ τὴν τελευτὴν αὐτȣ̃ τὸν τάφον ἄβατον γενέσθαι, ὑπὸ θαλάσσης περιρραγέντα, ἐν ὁδῷ τῇ ἐκ Πειραιῶς εἰς Σούνιον φερȣ́σῃ. ἀβάτοις δὲ ἀντὶ τοῦ ἄβατος καὶ ἄϛατος καὶ οἷον ἀκάνθαις τετριχωμένος καὶ σκληρός, ἢ σκόλοψι καὶ παττάλοις ἠφανισμένος. ἀντὶ τοῦ σκυθρωπὸς καὶ μισάνθρωπος.

ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι ἀποβλέπων εἰς τὸν ἀγρόν." γράφω μὲν ἀντὶ τοῦ καταγράφω καὶ ζωγραφῶ ἐπὶ τῆς γῆς, ξύω τῷ δακτύλῳ καί τινι τοιούτῳ παιδιάς τινας· παρατίλλομαι δέ, τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας ἢ τῶν μασχαλῶν. ταῦτα δὲ πάντα ποιοῦσιν οἱ προσδεχόμενοί τι, τὸν δὲ χρόνον δαπανῶντες εἰς ἀπορίας καὶ ἀμηχανίας, μὴ τυγχάνοντες τȣ̃ προσδεχομένȣ λογισμοῦ. ὅτε γὰρ αὐτοὶ ἐφ᾽ ἑαυτῶν διατίθενται, ἀλύοντες ἐπιγράφȣσιν. εἰς τὸν ἀγρὸν δὲ ἀποβλέπουσιν ἐπιθυμȣ̃ντες ἐν αὐτῷ εἶναι. sch. A Ach. 31.

ἀπορῶ πλȣ́τȣ καὶ χρημάτων, γενικῇ.

ἀπορώτατος ἀντὶ τοῦ πρὸς ὃν οὐδένα πόρον ἐϛὶν εὑρεῖν. οὕτως Ἰσαῖος ἐν τῷ ὑπὲρ τῆς Μνησαίου θυγατρός. Harp.

ἀποσαλεύσας παρὰ Θȣκυδίδῃ ἀντὶ τȣ̃ ἀποφυγὼν ἐκ τοῦ λιμένος καὶ σάλῳ ὁμιλήσας, τουτέϛι τῷ ἀλιμένῳ τόπῳ ἔνθα σάλος γίνεται. sch. Thuc. 1 127.

ἀποσάξαντα Δείναρχος ἀντὶ τȣ̃ φράξαντα τὸ τρῆμα. Harp.

ἀποσαφȣ̃ντες διαρρήδην κηρύττοντες· ⟨Damasc. Phot. p. 341 b⟩ "οἵ τε ὀφθαλμοὶ Ἰσιδώρου τὸ τῆς διανοίας εὔτροχον ἀποσαφȣ̃ντες."

ἀποσείομαι αἰτιατικῇ.

ἀποσεμνύνει, αἰτιατικῇ, γεραίρει. ἀποσεμνυνεῖται δὲ ἀπονοεῖται σιωπῶν, ὑπερηφανεῖ· σεμνότητος γὰρ ἕνεκα ἐπὶ πολὺ ἐσιώπα Αἰσχύλος, ἐν τοῖς θεάτροις εἰσιών, καὶ ἐν ταῖς ἀρχαῖς τῶν δραμάτων ἐτερατεύετο. καὶ Ἀριϛοφάνης Βατράχοις ⟨856⟩ "ἀποσεμνυνεῖται πρῶτον, ἅπερ ἑκάϛοτε ἐν ταῖς τραγῳδίαισιν ἐτερατεύετο."

ἀποσημήνασθαι ἀφομοιοῦσθαι. καὶ ἀποσημήνασα φανερώσασα, ἐξειποῦσα· Ἰώσηπος ⟨A. I. 5 8 11⟩ "ἀποσημήνασα δὲ τοῖς ἄρχουσι τῶν Παλαιϛίνων, ἐνήδρευε ϛρατιώτῶν ἔνδον τινάς."

ἀποσιμῶσαι τὸ ἐπικῦψαι καὶ τὴν πυγὴν προθεῖναι γυμνὴν Φίλιππος. Θȣκυδίδης δὲ ⟨4 25⟩ τὸ μετεωρίσαι τὰς ναῦς.

ἀπόσιτος ἄσιτος, ἄτροφος· ⟨Procop. Arc. 13⟩ "ὃ δὲ ἀπόσιτος ἡμέρας τε καὶ νύκτας δύο πολλάκις ἔμενε, καὶ ταῖς τȣ̃ πάσχα ἡμέραις ἀπόσιτος ἦν, ὕδατι βραχεῖ ἀποζῶν." καὶ ἀποσιτῶ τὸ καταλιμπάνω τὸν σῖτον.

ἀποσιώπησις σχήματος εἶδος, ὡς παρὰ Ἀριϛοφάνει ⟨Ach. 333⟩ "ὦ μηδαμῶς." ἔϛι δὲ καὶ παρὰ Δημοσθένει ⟨18 22⟩ τὸ ὅμοιον· "ἀλλ᾽ ὦ τί ἂν σέ τις προσειπὼν ὀρθῶς προσείποι;" εἰρηκότος γὰρ αὐτȣ̃ μηδαμῶς, εἶπεν ὦ μηδαμῶς.

ἀποσκευαζόμενος ἀποβαλλόμενος, ἀπορριπτῶν, ἀπογυμνῶν· "ὃ δὲ γράφει παντὶ τρόπῳ τὸν Ἀλκιβιάδην ἀποσκευάσασθαι." καὶ ἀποσκευαζόμενοι ἀποτιθέμενοι βάρος καὶ ἀποβάλλοντες, ἐκ μεταφορᾶς τῶν διὰ τὴν ζάλην τῆς θαλάσσης ναυτῶν τὰ σκεύη νηὸς ἀπορριπτέντων. καὶ αὖθις ⟨Theophyl. Sim. 3 7⟩ "ἀποσκευάζονταί τε τὸν κίνδυνον, εἶναι Ῥωμαῖοι βεβαιωσάμενοι."

ἀποσκευάζοντες ἀποφέροντες. "καὶ γὰρ κινδυνεύσειν ἔμελλεν, εἰ μὴ φθάσας τὸ μειράκιον ἀποσκευάσαιτο" ἀντὶ τȣ̃ ἀποθοῖτο ἀνελών. καὶ ἀποσκευάσαι τὴν τράπεζαν καθαρὰν ποιῆσαι.

ἀποσκευὴ ἡ τῶν ἐπιτηδείων κομιδή, τὸ παρ᾽ ἡμῖν λεγόμενον τοῦλδον, τὰ σαγμάρια. ⟨Polyb. 3 79⟩ "μετὰ δὲ τὰς δυνάμεις πάσας συνέταξε τȣ́τοις καὶ τὴν ἀποσκευήν, ἵνα πρὸς τὸ παρὸν εὐπορῶσι τῶν ἐπιτηδείων. πρὸς γὰρ τὸ μέλλον ἀφροντίστως εἶχε περὶ τῶν σκευοφόρων, λογιζόμενος ὡς, ἐὰν ἅψηται τῆς πολεμίας, ἡττηθεὶς μὲν ȣ̓ προσδεήσεται τῶν ἀναγκαίων, κρατῶν δὲ τῶν ὑπαίθρων οὐκ ἀπορήσει τῶν ἐπιτηδείων."

ἀποσκιρτᾷ ἀποπηδᾷ.

ἀποσκλαίη ἀποθάνοι, καὶ ἀποσκλῆναι ἀποθανεῖν.

ἀποσκοπεῖσθαι λέγȣσιν, ȣ̓ σκοπεύειν.

ἀπὸ σκοποῦ μάτην, ἢ περιττῶς, ἢ ἐναντίως.

ἀποσκορακίζει εὐτελίζει, ἐξορίζει, διώκει. οἱ δὲ εἶπον ἀντὶ τοῦ ἀπορρίψει. Δαβὶδ ⟨Ps. 26 15⟩ "βοηθός μȣ γενοῦ, μὴ ἀποσκορακίσῃς με." ἀπὸ ἱϛορίας· τὸ γὰρ ἐς κόρακας ὕβρις ἦν παρὰ τοῖς παλαιοῖς.

ἀποσκυδμαίνω ὀργίζομαι.

ἀποσκυθίσαι κυρίως μὲν τὸ ἐπιτεμεῖν τὸ ἐπικεφάλαιον δέρμα σὺν θριξί, καταχρηςικῶς δὲ τὸ ἀποκεῖραι. cf. v. ἀπεσκύθιζον.

ἀποσμήχει, αἰτιατικῇ, ἀποκαθαίρει.

ἀποσμιλεύϋσι τῇ σμίλῃ ξέϋσιν, ἐκκαθαίρϋσιν· "ἵνα μὴ εὐθύνας ὑπόσχω τοῖς πανδέκταις τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα" ⟨cf. v. πανδέκται⟩. καὶ ἀποσμιλεύματα τὰ τῇ σμίλῃ ἐκβαλλόμενα ἀποξύσματα.

ἀποσοβεῖ, αἰτιατικῇ, ἀποδιώκει· ⟨Dio Cassius: cf. v. ἀμύσσειν⟩ "ὃ δὲ ἀνέςη ὡς ἀποσοβήσων τῆς κεφαλῆς αὐτὸν ἐπιπετόμενον." καὶ ἀποσοβῶμεν ἀποτρέχωμεν Μένανδρος.

ἄποσον τὸ ἄμετρον, ἄπωσον δὲ διὰ τοῦ ω μεγάλου τὸ ἔκπεμψον.

ἀποσπάδας καὶ ἀποσπάδοντας. ἀποσπάδας μὲν τοὺς ἀποσπασθέντας, ἀποσπάδοντας δὲ τοὺς ἀποκοπέντας.

ἀποσπάσας· "ὃ δὲ καὶ ἐντεῦθεν ἀποσπάσας ἔξαινε κατ' αὐτϋ πληγάς." καὶ ἀποσπάσαι.

ἀποσπεύδοντας κωλύοντας, καὶ ἀποσπευδούσης κωλυούσης, ἐμποδιζούσης· "ἀποσπευδϋσης δὲ καὶ τῆς γυναικὸς καὶ τῶν παίδων· καὶ γὰρ οὗτοι συνῆσαν αὐτῷ." "ὃ δὲ τὴν Ἑλένην ἀπέσπευδε τους Τρῶας ἀποδοῦναι."

ἀποσποδῆσαι ἀφανίσαι, ἀπὸ τῆς σποδοῦ· αὕτη γὰρ ἀφανίζει τὴν προϋπάρξασαν ὕλην τῶν ξύλων. ἢ ἀποκρϋσαι καὶ ἀφανίσαι καὶ τυπτόμενον ἐκβαλεῖν· Ἀριςοφάνης Ὄρνισιν ⟨8⟩ "ἀποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων."

ἀπόσπονδον ἐχθράν, μισητήν· Πισίδης "ταύτην ἀφέντες τὴν ἀπόσπονδον μέθην καὶ πᾶσαν ἰλὺν ἀλλοφύλων ᾀσμάτων."

ἀποσπουδάζων παυόμενος τῆς σπουδῆς, ἀμελῶν.

ἀποσπώντων βιαίως ἑλκόντων. "αἳ δὲ καταφεύγουσιν ἐπὶ τὴν Ἄρτεμιν, βαρβάρου πικρῶς ἐγκειμένου καὶ τῶν δορυφόρων ἀποσπώντων· κἀκείνων ἀπρὶξ ἐχομένων διασπᾶται ὁ κατὰ τοῦ τραχήλου ὅρμος."

ἀπόςα, ὃ μόνον ἀπόςηθι λέγϋσιν. ἀλλὰ καὶ παράςα. Μένανδρος Παιδίῳ "ἐνταῦθ' ἀπόςα μικρόν," Δὶς ἐξαπατῶντι "ἐμοὶ παράςα· τὴν θύραν κόψας ἐγὼ καλῶ τιν' αὐτῶν."

ἀποςαίην μακρὰν γενοίμην.

ἀποςασίου δίκη τίς ἐςι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιςῶνται ἀπ' αὐτῶν, ἢ προςάτην ἕτερον ἐπιγράφωνται, καὶ ἃ κελεύϋσιν οἱ νόμοι μὴ ποιῶσι. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλϋς εἶναι, τοὺς δὲ νικήσαντας τελέως λοιπὸν ἐλευθέρους. Harp.

ἀποςασίου δίκη, ὅταν δοῦλος ὑπὲρ ἐλευθερίας ἐνίςαται, φάσκων μὴ προσήκειν τοῖς δοῦλον αὐτὸν ἀντιποιουμένοις. ἀπροςασίου δέ· τῶν μετοίκων ἕκαςος προςάτην ἔχει κατὰ νόμον ἕνα τῶν ἀςῶν, καὶ δι' αὐτϋ τό τε μετοίκιον τίθεται κατὰ ἔτος καὶ τὰ ἄλλα διοικεῖται. ὅταν οὖν τις δοκῶν εἶναι μέτοικος προςάτην μὴ ἔχῃ, ἢ μὴ δῷ τὸ μετοίκιον, ἢ ἀςὸς εἶναι φάσκῃ παρεγγεγραμμένος εἰς τὴν πολιτείαν, ὁ βϋλόμενος δίκην εἰσάγει πρὸς αὐτόν, ἥτις λέγεται ἀπροςασίϋ.

ἀπόςασις ἀποχώρησις ἐκ διαςήματος· Πολύβιος "οὐδενὸς ἐπεγνωκότος τῶν πολιτῶν τὸ συμβαῖνον διὰ τὴν ἀπόςασιν, ἅτε μεγάλης οὔσης τῆς πόλεως." ἀπόςασις καὶ ἡ ἀποςασία ἀπό τινος πρός τινα· "ὃ δὲ ἀμείβεται τὸν εὐεργέτην ἀποςάσει." καὶ ἀποςασίου δίκη ἡ κατὰ τῶν ἀπελευθέρων, ὅταν ἀποςῶσι τῶν ἀπελευθερωσάντων.

ἀποςατήσω, γενικῇ, ἀποχωρισθῶ· Ἀρριανός ⟨Alex. 5 23⟩ "ἀποςατήσω οὐδὲ ἐγὼ τϋ ἔργϋ." καὶ αὖθις "ϋκ ἔςιν ὅςις ἀποςατῆσαι τοῦ τείχους ἐλέγετο."

ἀποςαυρϋντες ςαυροῖς περικλείοντες· ⟨Polyb. 4 56⟩ "κύκλῳ τὸ νησίζον τῆς χερρονήσϋ ὠχύρουν ἀποςαυρϋντες καὶ περιχαρακοῦντες."

ἀποςέγειν· "μήτε μὴν τειχῶν ἔχειν περίβολον οἷον ἀποςέγειν καὶ ἀναςέλλειν τοὺς πολεμίϋς καρτερόν," οἷον ἀπερύκειν, κωλύειν.

ἀποςέρησις τὸ τὰ ἀλλότρια λαβόντας κατέχειν. "καὶ ὅταν ἐλεημοσύνην μὴ παράσχωμεν, ἐν ἴσῳ τοῖς ἀποςερϋσι κολαζόμεθα."

ἀποςερητρίδα· Ἀριςοφάνης Νεφέλαις ⟨728⟩ "οἴμοι, τίς ἂν δῆτ' ἐπιβάλοι ἐξ ἀρνακίδων γνώμην ἀποςερητρίδα;" ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι, παρονομάσας ἀπὸ τῶν ἀρνῶν καὶ τϋ ἀρνεῖσθαι. τὸ δὲ ἀποςερητρίδα ἅμα μὲν ἀπὸ τϋ ἀποςερεῖν τϋς δανειςάς, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον.

ἀποςέρξας, αἰτιατικῇ, καρτερικῶς ὑπομείνας· "ὃ δὲ τροφὴν οὐ προσέμενος, ἀλλ' ἀποςέρξας εὐγενῶς τὸν βίον κατέςρεψεν."

ἀπόςηθι ἀποχώρει, καὶ ἀποςῆναι ἀποχωρισθῆναι. ⟨A Vesp. 1497⟩ "τὸ γὰρ ἀποςῆναι χαλεπὸν ἀεὶ φύσεως, ἣν ἔχει τις ἀεί. καίτοι πολλοὶ ταῦτ' ἔπαθον· ξυνόντες γνώμαις ἑτέρων μετεβάλοντο τὺς τρόπυς."

ἀποςησάμενον ἀντὶ τοῦ πρὸς ςαθμὸν παραλαβόντα Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον ⟨52⟩. καὶ ἀποςήσωνται ⟨Hom. N 745⟩ οἷον ςαθμῷ λάβωσιν ἴσον. καὶ ἀποςήσασθαι ἀποδοῦναι χρέος.

ἀποςολαί ἀποπέμψεις, δῶρα. καὶ ἀπόςολος ὁ ἀποςελλόμενος μετὰ στρατιᾶς εἰς πόλεμον καὶ παρασκευῆς. ⟨Diodor. Sic. 13 67⟩ "τῶν δὲ πλοίων τὰ μὲν συντριβόμενα ταῖς ἀποςολαῖς," τουτέςι ταῖς ἀποπέμψεσι. καὶ ἀποςελλόμενοι ὐ μόνον οἱ πεμπόμενοι ἐκ προςαγμάτων τῶν ἀπολυόντων, ἀλλὰ καὶ οἱ παραπεμπόμενοι ἀποδημεῖν μέλλοντες ἀποςελλόμενοι ἐλέχθησαν. καὶ ἀποςολεῖς οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι, ἀπόςολοι δὲ αἱ τῶν νεῶν ἐκπομπαί. οὕτω Δημοσθένης, τὸ μὲν ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨107⟩, τὸ δὲ ἐν πρώτῳ Φιλιππικῶν ⟨35⟩.

ἀποςολικὴ πολιτεία, τυτέςιν ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια, σώματος δυλαγωγία, φρόνημα ταπεινόν, ἐννοίας καθαρότης, ὀργῆς ἀφανισμός. ἀγγαρευόμενος προςίθει, ἀποςερύμενος μὴ δικάζυ, μισύμενος ἀγάπα, διωκόμενος ἀνέχυ, βλασφημύμενος παρακάλει, νεκρώθητι τῇ ἁμαρτίᾳ, συςαυρώθητι τῷ Χριςῷ. ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν κύριον. Basilius M. 1 p. 484, 2 p. 120.

ἀποςοματίζειν ἀπὸ μνήμης λέγειν. καὶ ἀπὸ ςόματος ἄνευ γραμμάτων· "ὃ δὲ κελεύει ἀπὸ ςόματος φράζειν τοῖς ἡγεμόσι τῶν Μάρδων." καὶ ἀπὸ ςόματος, ὡς ἡμεῖς, τὸ μὴ διὰ γραμμάτων ἀλλ' ἀπὸ μνήμης· Φιλήμων Νεμομένοις "ἀπὸ ςόματος ἅπαντ', ἐὰν βόληςθ', ἐρῶ." Κρατῖνος δὲ ταὐτὸ τῦτ' ἀπὸ γλώττης, Νόμοις· "ἀλλὰ μὰ Δί' ὐκ οἶδ' ἔγωγε γράμματ' οὐδ' ἐπίςαμαι, ἀλλ' ἀπὸ γλώττης φράσω σοι· μνημονεύω γὰρ καλῶς." Θυκυδίδης ζ' ⟨10⟩ "καὶ ἥκοντες εἰς τὰς Ἀθήνας οἱ ἀπὸ τῦ Νικίυ, ὅσα τε ἀπὸ γλώττης εἴρητο αὐτοῖς εἶπον." Πλάτων Θεαιτήτῳ ⟨p. 142 extr.⟩ "ἀτὰρ τίνες ἦσαν οἱ λόγοι; ἔχοις ἂν διηγήσασθαι; ὐ μὰ τὸν Δί' ὔκυν ὕτω γε ἀπὸ ςόματος. ἀλλ' ἐγραψάμην μὲν τότ' εὐθὺς οἴκαδ' ἐλθὼν ὑπομνήματα." καὶ ἀποςοματίζειν φασὶ τὸν διδάσκαλον, ὅταν κελεύῃ τὸν παῖδα λέγειν ἄττα ἀπὸ ςόματος.

ἀποςομοῦν ἀποφράττειν· "προέθεντο τὰς διώρυγας ἀποςομῦν τὰς ἐπιφανεςάτας."

ἀποστρακισθῆναι ἐξορισθῆναι· ἐν ὀςράκοις γὰρ τὸ πρὶν ἐγράφοντο αἱ ἐξορίαι. "ὅτι ἀποςρακισθῆναί φασι Κίμωνα, τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθέντα, ὑπὸ Ἀθηναίων" ἀντὶ τῦ ἐξορισθῆναι. cf. v. Κίμων.

ἀποςρέφομαι αἰτιατικῇ.

ἀποςροφή ἀντὶ τοῦ καταφυγή.

ἀποςυγῦντες μισῦντες· Ἰώσηπος "Ἀντίοχος ἀποςυγήσας." "Φαβρίκιος ἡγεμὼν καθίςαται τῦ πρὸς τὸν Πύρρον πολέμυ. ἀντικαθεζομένων ··· τὸν ἥλιον." cf. v. Φαβρίκιος.

ἀποσυκάζεις συκοφαντεῖς, δοκιμάζεις· ἀποσυκάζειν γὰρ τὸ τὰ πέπειρα σῦκα διαλέγειν. διόπερ προσέθηκε πιέζων· ἐκθλίβοντες γὰρ δοκιμάζομεν τὰ σῦκα, εἰ πέπειρά ἐςιν ἢ μή. ἐπεὶ τοίνυν συκάζειν λέγεται καὶ τὸ συκοφαντεῖν καὶ τὸ σῦκα κλέπτειν, ἅπαξ εἰπὼν τὸ συκάζεις ἐπήνεγκε τὸ πιέζων, ἅμα μὲν ὡς ἐπὶ σύκων, ἅμα δὲ ἐπεὶ καὶ αὐτὸς θλίβει τὺς συκοφαντυμένους καὶ πιέζει δωροδοκῶν καὶ διασείων τὺς ὑπευθύνυς, τουτέςι τὺς μὴ λογισμὺς παρεσχηκότας τῆς ἀρχῆς ἧς ἐπιςεύθησαν. ἐχρήσατο οὖν τῇ λέξει, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις ἦν τὰ σῦκα, καὶ εἴ τις διεβλήθη κλέπτων σῦκα, ἐκολάζετο. φαίνειν δὲ ἔλεγον τὸ κατηγορεῖν. sch. A Eq. 259.

ἀποσυςῆσαι. ὐδὲν πλέον τοῦ συςῆσαι σημαίνει.

ἀποσφαλείς παρατραπείς, ὀλισθήσας, τῆς εὐθείας ἐκτραπείς.

ἀποσφαλμήσας ἀποπηδήσας, ἀποσκιρτήσας· Πολύβιος ⟨35 5: cf. v. ὑπεραλγής⟩ "ὁ δὲ ἵππος ἀπὸ τῆς πληγῆς ἀποσφαλμήσας ἐφέρετο ῥύδην διὰ τοῦ μεταξὺ τόπου τοῦ ςρατοπέδυ." ἢ ἀντὶ τῦ σφαλείς. καὶ ἀλλαχῦ "ὁ δὲ ἵππος ὁ τοῦ Σκιπίωνος ἐδυσχρήςησε μὲν ἀπὸ τῆς πληγῆς, οὐ μὴν ὁλοσχερῶς ἐσφάλμησε· διόπερ ὀρθὸς ἀπέπεσεν ἐπὶ τὴν γῆν ὁ Σκιπίων" Πολύβιος.

ἀπὸ σφείων ⟨Hom. Δ 535⟩ ἀφ' ἑαυτῶν.

ἀποσφήλωσις ἡ ἀποτυχία.

ἀποσφύδου καρτερεῖν.

ἀποσχεδιάζειν εἰκῇ καὶ παραχρῆμα λέγειν. καὶ ἀποσχεδιάσας συντομεύσας, ἢ ψευσάμενος. καὶ ἀποσχεδιάζουσιν ἀντὶ τοῦ ἐκ τοῦ παρατυχόντος λέγουσιν· ⟨Theophyl. Sim. 1 13⟩ "καὶ μέντοι ὠμοτάτην κατὰ τῶν αἰχμαλώτων ἀποσχεδιάζουσι ψῆφον, καὶ πάντας ἀνεῖλον ἄρρενάς τε καὶ θηλείας. τοὺς δὲ παῖδας διέσωζον διὰ τὸ ἄωρον τῆς ἡλικίας."

ἀπόσχῃ ⟨Hom. Z 96⟩ αὐθυπόταχτον, ἀντὶ τοῦ ἀποσχέσθαι ποιήσῃ. καὶ ἀπόσχω γενικῇ.

ἀποσχῆναι ἀπενεχθῆναι.

ἀποσχοινίσαντες ἀποστερήσαντες.

ἀποταμιεύεται ἀποκλείει.

ἀπόταξις τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑπηρετεῖν τὸν ὡρισμένον φόρον. Ἀντιφῶν ἐν τῷ ὑπὲρ τοῦ Σαμοθρᾳκῶν φόρου. Harp.

ἀποτάσσομαι δοτικῇ.

ἀποταυρούμενος θρασυνόμενος.

ἀπόταφος ὁ ἀπεστερημένος τῶν προγονικῶν τάφων. οὕτω Δείναρχος. Harp.

ἀποτεθρίακεν ἀντὶ τοῦ ἔτιλεν, ψιλὸν εἰργάσατο. κυρίως δὲ ἀπεφύλλισε συκῆς· θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. Ἀριστοφάνης ⟨Ach. 157⟩ "τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν;" Ὀδόμαντες δὲ ἔθνος Θρᾳκικόν, ἐλεαίνοντο δὲ καὶ ἀπετίλλοντο οἱ Θρᾷκες τὰ αἰδοῖα, καὶ ἀποσεσυρμένα εἶχον αὐτά. φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι. καὶ ἀποτεθρυωμένοι ἀπηγριωμένοι. εἴρηται δὲ κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν θρύων, ἅπερ ἐστὶν ἄγρια καὶ ἄγονα φυτά.

ἀποτείνεται ἐκτείνεται, φιλονεικεῖ.

ἀποτειχίζων ἀποφράσσων· "ἀποτειχίσας δὲ τὴν γαστέρα, οὐδενὶ τῶν φαρμάκων ἔτι εἰμὶ ἁλώσιμος, οὐδ' ἂν ἄδην ἐμφορῶμαι τοῦ φαρμάκου." καὶ ἀποτειχίσαι τὸ ἀπολαβεῖν τείχει καὶ ἀποκλεῖσαι τῆς ἐξόδου, καὶ ἀποτετειχισμένος ὁ ἀπειλημμένος, ὁ ἀποκεκλεισμένος τῷ τείχει· οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης ⟨1 64 et 65, 8 26⟩. καὶ ἀποτείχισις ἡ τῶν τειχῶν ἀφαίρεσις. Harp.

ἀποτέλειοι οἱ κατὰ πόλεις ἡγεμόνες τῶν Ἀχαιῶν. Polyb. 16 36.

ἀποτεμεῖται ἀποχωρίσει.

ἀποτέμνω, αἰτιατικῇ, τὸ ἀποκόπτω.

ἀποτετικέναι ἀποδοῦναι.

ἀποτεύξεσθαι ἀποτυχεῖν.

ἀπὸ τῆς ἴσης· Θουκυδίδης ⟨1 15⟩ "οὐδ' αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς στρατείας ἐποιοῦντο," οἷον ἀπὸ τῆς ἰδίας ἕκαστος οὐσίας τὸ φθάνον.

ἀποτίθημι αἰτιατικῇ.

ἀποτίμησιν τέλος ἢ φόρον.

ἀποτιμηταὶ καὶ ἀποτίμημα καὶ ἀποτιμᾶν καὶ τὰ ἀπ' αὐτῶν. οἱ μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ ἄρχοντος ἐνέχυρα τῆς μισθώσεως παρείχοντο, ἔδει δὲ τὸν ἄρχοντα πέμπειν τινὰς ἀποτιμησομένους τὰ ἐνέχυρα· καὶ ἐλέγοντο τὰ μὲν ἐνέχυρα ἀποτιμήματα, οἱ δὲ ἀποτιμησάμενοι ἀποτιμηταί, τὸ δὲ ἔργον ἀποτιμᾶν. καὶ οἱ προῖκα γυναικὶ γαμουμένῃ δόντες ᾔτουν παρὰ τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικὸς ἐνέχυρον, οἰκίαν ἢ χωρίον ταύτης ἄξιον· ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς ἀποτιμᾶν, ὁ δὲ λαβὼν ἀποτιμᾶσθαι. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων, ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος δευτέρῳ ⟨26⟩. Harp.

ἀπότιμος. οὕτω Σοφοκλῆς ⟨OR 215⟩ ἀπότιμον θεὸν τὸν λοιμόν, τουτέστι τὸν μὴ μετέχοντα τῆς τιμῆς τῶν θεῶν· θεῶν γάρ ἐστι τὸ εὐεργετεῖν τοὺς ἀνθρώπους, ὁ δὲ φθείρει καὶ ἀπόλλυσιν.

ἄποτις ἀπότιδος.

ἀποτίσεις χοῖρε γίγαρτα, οἷον ὧν κατέφαγες ἀποδώσεις πλείονα, ἐπὶ τῶν μείζονα τιμωρίαν ὧν ἥμαρτον διδόντων.

ἀποτολμᾷ αἰτιατικῇ.

ἀποτομία τραχύτης, ἐναντίωσις· ⟨Diodor. Sic. t. 2 p. 620⟩ "οἱ δὲ διὰ τὴν ἀποτομίαν τῆς ἀποκρίσεως οὐ τὸ τυχὸν δέος εἶχον περὶ αὐτούς." καὶ ἀπότομον σκληρόν.

ἄποτον. ζήτει ἐν τῷ ἄγευστος θοίνης.

ἀπὸ τουδὶ ἀπὸ τοῦ νῦν Ἀριστοφάνης Νεφέλαις ⟨430⟩.

ἀπὸ τοῦ κρατίστου μετὰ δυνάμεως· "ἅτε πεπειθαρχηκότων Καρχηδονίων ἀπὸ τοῦ κρατίστου πᾶσι τοῖς ἐπιταττομένοις." καὶ Πολύβιος "καὶ τὸ μὲν παλαιὸν ἀπὸ τοῦ κρατίστου ἐγένετο παρὰ Ῥωμαίοις ἡ μονομαχία, ἐν δὲ τοῖς καθ' ἡμᾶς πολλαὶ ὁδοὶ εὕρηνται."

ἄπο τοῦ πράγματος ἀντὶ τοῦ ἄποθεν. Harp.

ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας, τουτέστι τὴν φρόνησιν αὐτῶν ἀφελόμενος ⟨A Ran. 972⟩.

ἀποτραχηλίζοντες ἀπάγχοντες· Εὐνάπιος ⟨p. 104 Nieb.⟩ "καὶ οἱ μὲν αὐτοὺς διέφθειρον σχοινίοις ἀποτραχηλίζοντες." καὶ αὖθις ⟨A Lys. 705⟩ "οὐ μὴ παύσησθε τῶν ψη-

ισμάτων, πρὶν ἂν τϋ σκέλυς ὑμᾶς λαβών τις ἐκτραχηλίσῃ."

ἀποτραχύνεται θρασύνεται.

ἀπότριψις μέλλησις ἀπάγγελσις ἀγώνισις προάγγελσις τέκμαρσις κάθεξις πλάνησις ἀμειξις ἐφόρμησις ὅπλισις ξένισις κύφισις ψις ἐπαίνεσις ψόφησις διάρπασις γυναίκος λάλησις, ὁμοιοκατάληκτα ὀνόματα. καὶ ἀποτριβόμενος ἀντὶ τϋ ἐμποδίζων, ἀπείργων· ⟨Polyb. 3 102⟩ "ὁ δὲ Ἀννίβας ἐν κακοῖς ὢν ἔμενε, τὺς πολεμίυς ἀποτριβόμενος."

ἀποτρόπαιοι φευκτοί, μισεῖσθαι ἄξιοι· ἢ ἀποτρέποντες τὰ κακά. ⟨Menand. Exc. p. 381⟩ "ὅτω γὰρ ἐδόκυν ἀποτρόπαιοί τινες εἶναι καὶ ἀλεξίκακοι."

ἀποτροπιαζόμενοι ἀποτρεπόμενοι καὶ ἀποςρεφόμενοι καὶ μισῦντες. εἰώθασι τῶν ἀναιρυμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ ⟨cf. v. μασχαλισθῆναι⟩. καὶ ἀποτροπίασμα ἐξίλασμα ἀποτρέπον τὰ μὴ προσήκοντα. ἢ τὸ ἀποτροπῆς ἄξιον, οἷον ἀποτρόπαιον.

ἀποτρόφους τοὺς μὴ ὄντας τροφίμυς τῆς φιλοσοφίας.

ἀποτρύειν. Σοφοκλῆς ⟨Trach. 124⟩ "ὐκ ἀποτρύειν ἐλπίδα τὴν ἀγαθὴν χρῆναί σ'· ἀνάλγητα γὰρ οὐδ' ὁ πάντα κραίνων βασιλεὺς ἐπέβαλε θνητοῖσι Ζεύς."

ἀποτυμπάνισον ἀνηλεῶς φόνευσον. ξιν ἐν τῷ τυμπανίζεσθαι.

ἀπὸ τῶν οὐχ ὁμοίων ἐξ ἀνομοίων· ἀμυνόμενοι ἀπὸ τῶν οὐχ ὁμοίων ὅπλων, ὅμως τῇ οἰκείᾳ ἀλκῇ θαρροῦντες."

ἀπ' οὔατος ἄγγελος ἔλθοι, παρὰ Καλλιμάχῳ. τυτέςι δύσφημος, μὴ ἄξιος τϋ ἀκυσθῆναι.

ἀπουργοὶ γωνίαι εὐτελεῖς, εἰς ἃς τὰ σαρώματα συνῆγον.

ἀπουρία ἡ ἐξ ἀνίσων γάμων σπορά, ἀπὸ δύλης ἢ δύλυ γεννωμένη.

ἀπυρώσαντας· Πολύβιος ⟨16 15⟩ "τότε μὲν ἐς τὴν Μυνδίαν ἀπυρώσαντας καθορμισθῆναι," μὴ χρωμένυς ὐρίῳ πνεύματι.

ἀπουσιάσει· ⟨Artemid. 1 78⟩ "ὃ δὲ εἰς τὴν ἑαυτοῦ θυγατέρα ἀπυσιάσει," τῆς ὐσίας μέρος δώσει.

ἀποφαίνει φανεροποιεῖ. ἀποφένει δὲ διὰ τοῦ ε ψιλοῦ ἀντὶ τοῦ φονεύει.

ἀποφαντικός. σημαίνει κυρίως τὸν ἐκφαίνοντά τι νόημα, εἴτε διὰ καταφάσεως εἴτε δι' ἀποφάσεως. σημαίνει δὲ ἰδικῶς καὶ τὸν μὴ συγκατατιθέμενον.

ἀπόφασις· Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον ⟨1⟩. τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος ὁπόσην οὐσίαν ἔχει, ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιςα γίνεται. καλεῖται δὲ αὐτὸ καὶ ἀπογραφή.

ἀποφάσκει ἀπαγορεύει, ἢ ἀποφαντικῶς λέγει τι.

ἀποφέρειν ἀποδιδόναι· Ἀριστοφάνης ⟨Eccl. 470⟩ "καὶ ταῦτ' ἀποφέρειν πάντα κὐκ ἀποςερεῖν," τὰ δεδανεισμένα.

ἀποφεύγειν αἰτιατικῇ. καὶ ἀποφυγγάνειν ἐν τῷ κατὰ Ἀριςοκράτυς Δημοσθένης ⟨74⟩.

ἀπόφημι ἀποφαίνομαι, καὶ ἀποφῆναι ἀποδεῖξαι.

ἀπόφημον δύσφημον· "ἡ γλῶττα ἡ ἀπαίδευτος καὶ ἀμαθὴς τῇ τε ἄλλῃ καὶ ταύτῃ ἐπίσπυςα παλαμᾶται, καὶ μέντοι καὶ ἐς τὸ ἀπόφημόν τε καὶ βλάσφημον κατολισθάνει."

ἀποφθεγγόμενος μαντευόμενος.

ἀποφθίμενον ἀποθανόντα· "δέξαι μ' ἀποφθίμενον τὸν κύνα Διογένη" ⟨cf. v. βάρεις⟩. καὶ ἀποφθίσειν ἀνελεῖν, θανατῶσαι. Τεῦκρός φησι πρὸς τὸν νεκρὸν τϋ Αἴαντος ⟨1026⟩ "εἶδες ὡς χρόνῳ ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν."

ἀποφοιβάζων ἀποκαθαίρων. ἢ χρησμῳδῶν, μαντευόμενος.

ἀποφοιτᾶν ἀποπηδᾶν, ἀναχωρεῖν.

ἀποφορὰν ἀντὶ τϋ ἀπενεγκεῖν καὶ διάςημα ποιῆσαι μεταξύ· οὕτως Ἰσαῖος. καὶ ἀποφορὴ παρὰ Ἡροδότῳ ⟨2 109⟩ ἡ τελυμένη παρὰ τῶν δύλων τοῖς δεσπόταις.

ἀποφορτίσασθαι ἀποβαλεῖν φορτίον.

ἀποφράδες ἡμέραι ἐν αἷς τοῖς κατοιχομένοις χοὰς ἐπιφέρυσιν, ἢ αἱ πρὸς πράξεις ἀνεπιτήδειοι. Ἀππιανός ⟨cf. v. ἐλεεινός⟩ "μέγα τοῦτο Ῥωμαίοις πάθος ἐγένετο καὶ πλήθυς ἕνεκα καὶ ἀξιώματος εὐγενῦς οἴκυ καὶ πανωλεθρίας, καὶ τὴν ἡμέραν ἀποφράδα τίθενται." ἢ ἀποφράδες μιαραὶ ἡμέραι, μάλιςα ἐν αἷς τὰ ἐναγίσματα.

ἀποφροντίζω αἰτιατικῇ.

ἀποφυσήσας τὴν σποδὸν τῶν ἐγκρυβομένων ὠπτημένων· Σφηξὶν Ἀριστοφάνης ⟨349⟩ "κᾆπειτ' ἀνελών μ' ἀποφυσήσας εἰς ὀξάλμην ἔμβαλε θερμήν."

ἀποφώλιοι ξένοι οἱ φυλὴν μὴ νέμοντες· οὕτως Αἰσχύλος. ἢ ἀπαίδευτοι· φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες.

ἀποχειροβίων τῶν ἐκ χειρῶν ζώντων καὶ ταῖς τέχναις προσκαθημένων.

ἀποχειροτονηθῆναι, γενικῇ, ἀποςραφῆναι, ἀποδοκιμασθῆναι· Ἀριςοφάνης ⟨Pac. 667⟩ "σπονδῶν φέρουσα τῇ πόλει κίςην πλέαν ἀποχειροτονηθῆναι τρὶς ἐν τῇ ἐκκλησίᾳ." ἐπὶ Κλεωνύμου γὰρ πρεσβευσαμένων Λακεδαιμονίων ἐςασίασαν ἐν τῇ ἐκκλησίᾳ, ἀντειπόντος Κλέωνος. καὶ αὖθις ⟨Theophyl. Sim. 3 5⟩ "ὁ δὲ Φιλιππικὸς ἀποχειροτονεῖται παραυτίκα, καὶ Κομεντίολον ὁ βασιλεὺς ςρατηγὸν ἀνίςησιν."

ἀποχετεύονται μεταφέρονται.

ἀποχρᾶν ἐξαρκεῖν Ἡρόδοτος. καὶ ἀποχρῶν ἐξαρκῶν· "τοῖς τε ἄλλοις ἐπάρας, καὶ ὅτι ἀποχρῶν ἔςαι τοῖς ἀμφ' αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς" ⟨cf. v. ἐπάρας⟩. καὶ ἀποχρώσης ἀρκούσης· Ἀριςοφάνης Ταγηνιςαῖς "ἀλλὰ ςεφάνωσαι· καὶ γὰρ ἡλικίαν ἔχεις ἀποχρῶσαν ἤδη."

ἀπόχρη, δοτικῇ, ἀρκεῖ.

ἀποχρησάμενος· ⟨Io. Antioch. p. 838⟩ "τῶν βαρβάρων ἐξαίτησιν σπονδῶν ποιησαμένων, ὧν μεταδοὺς, οὐκ ἀποχρησάμενος τοῖς προτερήμασι, μεγίςην παρὰ τοῖς βαρβάροις δικαιοσύνης ἀπέλιπε δόξαν" ἀντὶ τοῦ οὐ καταπαρθείς. καὶ αὖθις "οἱ δὲ περὶ Πόπλιον ἠπείγοντο σπεύδοντες συνάψαι καὶ συναποχρήσασθαι ταῖς τῶν βαρβάρων ὁρμαῖς."

ἀποχρώντως αὐτάρκως, ἱκανῶς· ⟨Agathias 1 p. 8⟩ "οὗ δὲ ἦν δεινὸς ἀνὴρ καὶ παιδείας ἀποχρώντως ἔχων."

ἀποχώρησις ἀντὶ τοῦ ἀποςροφή.

ἀποχωρίζομαι γενικῇ, καὶ ἀποχωρῶ γενικῇ.

ἀποψηφίζονται Δείναρχος ἐν τῷ κατὰ Ἀρχεςράτου ἀντὶ τοῦ καταδικάζουσιν αὐτὸν μὴ εἶναι πολίτην, καὶ τὸ πρᾶγμα δὲ Δημοσθένης ⟨57 2⟩ ἀποψήφισιν καλεῖ. Harp.

ἀποψηφίζω γενικῇ· "ἀλλὰ νομίζεις ἡμᾶς ἀποψηφιεῖσθαί σου" ⟨Demosth. 21 204⟩.

ἀποψηφισθέντα. εἴ τις ξένος ἔδοξεν εἶναι καὶ οὐ πολίτης, τοῦτον ἐν ταῖς διαψηφίσεσι τῶν δήμων ἀπεψηφίζοντο οἱ δημόται, καὶ ἐλέγετο ἀπεψηφισμένος. εἶτα εἰσήγετο εἰς τὸ δικαστήριον καὶ ἐκρίνετο ξενίας, καὶ εἰ μὲν ἑάλω, ἐπιπράσκετο ὡς ξένος, εἰ δὲ ἐκράτει, ἀνελαμβάνετο εἰς τὴν πολιτείαν. οὕτως Δημοσθένης ⟨18 132⟩· "τίς γὰρ ὑμῶν οὐκ οἶδεν ἀποψηφισθέντα Ἀντιφῶντα;" ζήτει ἐν τῷ διαψήφισις.

ἀποψοφεῖν τὸ πέρδεσθαι, εὐσχήμως λέγων. εὐσχημονέςερον δὲ διαπνεῖν καὶ ἀποπνεῖν.

ἀποψύχειν τὸ ἀποθνήσκειν ἐν πρώτῃ Θουκυδίδης ⟨1 134⟩. σημαίνει δὲ καὶ τὸ ξηραίνειν, ὡς τὸ "ἀποψύχειν ἐν τῷ κλιβάνῳ λίνα τὰ ὑγρανθέντα."

ἀποψώμενον. καὶ ἀποψώμεθα καθαίρομεν τὴν πυγήν· Ἀριςοφάνης Πλούτῳ ⟨818⟩ "ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι ἀλλὰ σκοροδίοις," τουτέστι τοῖς τῶν σκορόδων φύλλοις.

ἀππαπαῖ συγκαταθετικὸν ἐπίρρημα. εἰρηκότος γὰρ τοῦ Ἡρακλέους ⟨A Ran. 57⟩ "ἀνδρὸς ἠράσθης;" τοῦτο ἐπεφθέγξατο.

Ἀππιανός ὄνομα κύριον. οὗτος ὁ Ἀππιανὸς ἔγραψε Ῥωμαϊκὴν ἱςορίαν, τὴν καλουμένην βασιλικήν. καὶ αἱ μὲν τρεῖς βίβλοι Ἀππιανοῦ αἱ πρῶται περιλαμβάνουσιν ὅσα Ῥωμαίοις ἀγωνιζομένοις ἐς Ἰταλιώτας ἔτι περὶ ἀρχῆς καὶ ἡγεμονίας ἐπράχθη· ὅσα δ' ἀμφὶ τὴν Ἰταλίαν ἄλλα Κελτοί τε καὶ Λίβυες ἔδρασάν τε καὶ ἔπαθον, καὶ εἴ τί που καὶ τῆς Ἰταλίας μέρος ἀνάγκαις ἢ ἐνέδραις ἢ πλάναις ἐς αὐτοὺς μετέθετο, ἐν τοῖς περὶ Κελτῶν καὶ Λιβύων. συγγέγραπται δ' ἐφ' ἑαυτῶν ὅσα καὶ ἐς τὰς ἐμφυλίους Ῥωμαίων ςάσεις ἡ Ἰταλία διῃρεῖτο. ἔτι τὰς πρὸς Κελτούς, τουτέςι Γερμανούς, οἳ ἀμφὶ τὸν Ῥῆνον ποταμόν εἰσιν, καὶ τοὺς Γαλάτας, τουτέςι Γάλλους, πολέμους, καὶ τὰς αἰτίας αὐτῶν, ὅσαι τε συνθῆκαι καὶ συνθηκῶν παραβάσεις ἢ ἐπαναςάσεις ἐγένοντο Κελτῶν ἕως ἐπὶ τοῦ Γαΐου, ἡ τετάρτη βίβλος περιέχει συλλαβοῦσα. εἰ δέ τί που Κελτοὶ μὴ κατὰ πρόφασιν οἰκείαν ἀλλὰ συμμαχοῦντες Ἰταλῶν τισὶν ἢ μισθοφοροῦντες ἔπραξαν, ἐν τοῖς περὶ ἐκείνων συγγέγραπται· καὶ ὅσον εἰς γνώρισμα μόνον αὐτῶν μέμνηται Ἀππιανός. ἔγραψε δὲ Ῥωμαϊκὰ λόγους θ'. οἱ δὲ διὰ τοῦ ἑνὸς π γράφουσιν Ἀπιανός.

Ἀππία ὁδός. οὕτως ἐκαλεῖτο ἀπὸ Ἀππίου Ῥωμαίου τιμητοῦ, ὃς λίθῳ μυλίᾳ ταύτην κατέςρωσε καὶ ὕδατος ὀχετοὺς κατεσκεύασεν.

Ἄππιος φόρος ὄνομα τόπου, ἀπὸ τοῦ Ἀππίου Ῥωμαίου.

ἀπραγμάτευτον ἀνεπινόητον· "δείσαντες οὖν τὸ ἀπραγμάτευτον, λυπρᾶς οὔσης αὐτῶν τῆς γῆς καὶ πάσης ἀθρόον ἀγορᾶς διακλεισθέντες, ἐν ἀκαρεῖ χρόνῳ ἐκινδύνευον διαφθαρῆναι." cf. v. ἐδωδίμων.

ἀπραγμόνως ἐλευθέρως, ἄνευ τινὸς ἐξετάσεως· Ἰάμβλιχος "εἶτα ἐάσετε οὕτως ἀπραγμόνως ἀποθανεῖν;"

ἀπραγμοσύνη ἡ καταφρόνησις, ἡ ἀμέλεια· (Procop. Goth. 4 18) "ὁ δὲ Ἰουστινιανὸς ἄδικον αὐτῶν ἀπεκάλει τὴν ἐς Κουτριγούρους ἀπραγμοσύνην." καὶ ἀπραγμοσύνη εἶδος ἄνθους· Ἀριστοφάνης Νεφέλαις (1007) "μίλακος ὄζων καὶ ἀπραγμοσύνης," ἀντὶ τοῦ πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ οὐ πολυπραγμονῶν. οἱ δὲ ὅτι ἀπραγμοσύνη φυτὸν ἐν Ἀκαδημείᾳ φυόμενον.

ἀπράγμων ἄπονος. (Diog. L. 7 118) "ἀπράγμονας δεῖ εἶναι τοὺς σπουδαίους, ἐκκλίνειν τε τὸ πράττειν τι παρὰ τὸ καθῆκον. καὶ οἰνωθήσεσθαι μέν, οὐ μεθυσθήσεσθαι δέ. ἔτι οὐδὲ μανήσεσθαι, προσπεσεῖσθαι μέντοι αὐτῷ φαντασίας ἀλλοκότους διὰ μελαγχολίαν ἢ λήρησιν, οὐ κατὰ τὸν τῶν αἱρετῶν λόγον ἀλλὰ παρὰ φύσιν." ἀπράγμων οὖν ἐπιεικής, μέτριος τοὺς τρόπους, οἷον οὐ φιλόνεικος ἢ φιλοπράγμων ἢ ἀνειμένος ἢ μωρός.

ἀπραγούντων μηδὲν ἐνεργούντων· (Polyb. 3 70) "καὶ τὴν ἡσυχίαν ἀναγκαζομένων ἄγειν, ἀλλὰ καινοτομήσειν τι πάλιν κατ' ἐκείνων."

ἀπραίδευτοι, τουτέστιν ἀζήμιοι.

ἄπρακτα ἀνεκδίκητα, ἀτιμώρητα. "ἀλλὰ ταῦτα μὲν οὐχ οἷά τε εἶναι ἄπρακτα γενέσθαι, ἐπείπερ οἱ θεοὶ ἀτιμώρητα αὐτὰ περιεῖδον ἐκ σφῶν γενόμενα."

ἀπριάτην (Hom. *Α* 99) ἄνευ πράσεως.

a *ἀπρὶξ* ὕλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς.

b *ἀπρὶξ* προσπεφυκότως, ὃ οὐχ οἷόν τε πρῖσαι διὰ τὴν σύμφυσιν.

ἀπροβούλευτον τὸ μὴ πρότερον εἰς τὴν βουλὴν ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα. οὕτω Δημοσθένης (22 5).

ἀπροθέτως ἄνευ προθέσεως· Πολύβιος (9 11) "τὰ μὲν οὖν ἀπροθέτως ἐν τοῖς πολεμικοῖς συμβαίνοντα πράξεις μὲν οὐδαμῶς ἁρμόζει λέγειν, περιπετείας δὲ καὶ συγκυρήσεις μᾶλλον."

ἀπροϊδὴς ἀπροόρατος· (AP 7 213) "Ἅιδος ἀπροϊδὴς ἀμφεκάλυψε μυχός." λέγεται καὶ ἀπροϊδὴς ὁ ἀπρόοπτος· ἐν ἐπιγράμματι (AP 6 72) "ἀγρονόμῳ δ' ἀγόρευσα, καὶ ἔδρακεν· ἀπροϊδὴς δὲ ἐγκέφαλον πλήξας ἐξεκύλισε λίθῳ."

ἄπροικον τῇ προσῳδίᾳ ὡς ἄνθρωπον οἱ Ἀττικοί.

ἀπρόϊτος ὁ τῆς οἰκίας μὴ ἐξερχόμενος.

ἀπροόπτως ἀπροοράτως, ἀπροσδοκήτως· "οἱ δὲ κατάσκοποι ὑπὸ τοῦ ἀπροόπτου ἁλίσκονται."

ἀπρόσβλητον γενναῖον, ᾧ οὐδεὶς δύναται προσβαλεῖν, οὐκ ἔχοντα λόγον μεθοδικόν.

ἀπροσδεὴς ὁ μηδενὸς ἐνδεής.

ἀπροσέλευστος ἀπροσπέλαστος, ἀδιεξίτητος· "τὸ γὰρ ἐξόπισθεν καὶ ἀπροσέλευστον ἦν διὰ τὸν παραρρέοντα ποταμόν."

ἀπροσήγορος ἄνθρωπος, ὃν οὐχ οἷόν τε προσαγορεῦσαι διὰ τρόπου τραχύτητα.

ἀπρόσιτος ἀπροσπέλαστος. "ἀπρόσιτον ἀκαταλήπτου διαφέρει· ἀκατάληπτον γάρ ἐστιν ὃ ἂν ἐρευνηθὲν καὶ ζητηθὲν μὴ καταληφθῇ παρὰ τῶν ζητούντων αὐτό, ἀπρόσιτον δέ ἐστιν ὃ μηδὲ ἐρεύνης ἀνέχεται τὴν ἀρχήν. ἀκατάληπτον γὰρ πέλαγος καὶ τὸ βάθος, ἀπρόσιτον δὲ ὃ μηδὲ τὴν ἀρχὴν δυνατὸν ἐρευνηθῆναι, οἷον περὶ θεοῦ οὐσίας" (Io. Chrysost. t. 6 p. 404).

ἀπρόσκλητον τὴν οὐ προσκεκλημένην, *ἀπρόσκλιτον* δὲ τὸ ἀπροσπαθές.

ἀπρόσκοπος (Act. 24 16).

ἀπρόσμαχοι ἀκαταγώνιστοι· "καὶ Ῥωμαίους ἐν πεδίοις ἀναπεπταμένοις καὶ ἐν τῇ ἐκείνων οἰκείᾳ γῇ αἰσθέσθαι ὅτι οὐκ ἀπρόσμαχοι εἶεν Πάρθοι."

ἀπροστασίου εἶδός ἐστι δίκης κατὰ τῶν μὴ νεμόντων προστάτην μετοίκων· καὶ γὰρ ἕκαστος αὐτῶν ᾑρεῖτό τινα τῶν πολιτῶν τὸν προστησόμενον αὐτῷ περὶ πάντων τῶν ἰδίων καὶ τῶν κοινῶν (Harp.). ζήτει ἐν τῷ *ἀποστασίου*.

ἀπρόσωπον δυσειδές, κακόμορφον. "ὁ δὲ πρὸς τὸ κέρδος ἀπιδὼν καὶ τυφλώττων πρὸς τὸ εὐσεβές, ἀπρόσωπον μὲν ὅσα ἰδεῖν, μικρὸν δὲ τὸ μέγεθος, λίθου δὲ μὴ κεκριμένης τὸ ἄγαλμα ποιεῖ" ἀντὶ τοῦ ἐκλελεγμένης.

ἀπρότων. Δείναρχος ἐν τῷ κατὰ Πυθέου "ἐμπεπηδηκότων τῶν ῥητόρων ὥσπερ ἀπρότων εἰς τὸ ἐμπόριον." ἔν τισι δὲ "ὥσπερ παρνόπων" γέγραπται· οἱ δὲ πάρνοπες εἶδος ἀκρίδος. Harp.

ἄπταιςος.

ἀπτέα ἀντὶ τοῦ ἐπιχειρητέον· "τούτῳ δὲ ἐδόκει ἀπτέα τοῦ ἔργου, πρὶν καὶ τῶν λοιπῶν ἐπαρθῆναι εἰς τὸ νεωτερίζειν τὰς γνώμας."

ἅπτει καὶ τὰ ἄλλα τὰ ἐπὶ τοῦ ἐνεςῶτος χρόνου διὰ τοῦ ει λεγόμενα τῶν νεωτέρων μᾶλλον Ἀττικῶν ἐςίν.

ἅπτεσθαι λαμβάνεσθαι.

ἀπτῆσι ⟨Hom. I 323⟩ τοῖς μὴ πετομένοις.

ἀπτοεπής. ⟨Hom. Θ 209⟩ ἀπτόητος ἐν τῷ λέγειν.

ἀπτὸν ψηλαφητόν, ἅπτων δὲ δεσμεύων ἢ κρατῶν.

ἄπτωτος ὁ ἄφοβος.

ἄπυρα σῖτα· ⟨Diodor. Sic. 19 96⟩ "ὁ δὲ παρήγγειλε τοῖς Μακεδόσι τριῶν ἡμερῶν σῖτα παρασκευάζειν ἄπυρα." καὶ ἄπυρος τροφὴ ἡ δι' ὀπώρας καὶ λαχάνων· ⟨Diog. L. 7 26⟩ "ὁ δὲ Ζήνων ἀπύρῳ τροφῇ ἐκέχρητο καὶ τρίβωνι λεπτῷ." καὶ ἄπυρος οἶνος ὁ μὴ ἑφθὸς καὶ ὁ ἀναδενδρίτης ⟨Athen. p. 31⟩.

ἄπυςα ἀνήκουςα. καὶ ἄπυςοι ⟨an ἄπυγοι: cf. sch. A Eq. 1365⟩ οἱ Ἀθηναῖοι ἀπὸ Θησέως.

ἀπφὰ ἀδελφῆς καὶ ἀδελφοῦ ὑποκόρισμα. καὶ ἀπφῦς ὑποκοριςικῶς ὁ πατήρ, παπῦς τις ὢν καὶ ἀπφῦς.

ἀπφιὼ ἀντὶ τοῦ νῦν. ἀπφιῶ, ὃ σημαίνει τοῦ ἀποκρύφου ἢ τοῦ ἀποκρυβέντος. Ἐλισσαῖος ὁ προφήτης φησί ⟨2 Regg. 2 14⟩ "ποῦ ἐςὶν ὁ θεὸς Ἡλιοῦ ἀπφώ; ἐπάταξε γὰρ τὰ ὕδατα τῇ τοῦ Ἡλιοῦ μηλωτῇ, καὶ οὐ διῃρέθη."

ἀπώγωνες οἱ μὴ ἔχοντες πώγωνα. cf. v. ἀπόγονοι.

ἀπῳδὸν μέλος τὸ μὴ ἀρέσκον, τὸ τῆς ᾠδῆς ἀλλότριον. καὶ ἀπῳδὸς ὁ κακόηχος, ὁ ἀπὸ τῆς ᾠδῆς.

ἀπώθησαν ἐξέβαλον.

ἀπώθητον τὸ ἐξωθούμενον. καὶ ἀπωθοῦ, περισπωμένως, ἀντὶ τοῦ ὤθησον. ἀπόθου δὲ ἀντὶ τοῦ ἀποβαλοῦ, διὰ τοῦ ο μικροῦ.

ἀπῴκισμαι γενικῇ.

ἀπώλεια ἡ διαφθορά.

ἀπώλεσας τὸν οἶνον, ἐπιχέας ὕδωρ, ἐπὶ τῶν τὰ καλῶς πρότερον γενόμενα ὕςερον μικροῦ τινὸς ἕνεκεν κακοῦ ἀνατρεπόντων. ἢ ἐπὶ τῶν ἃ χαρίζονται δολούντων καὶ μὴ ἀκέραια παρεχομένων. αὕτη δὲ ἡ παροιμία γέγονεν ἐκ τοῦ Ἀριςίου Κύκλωπος, ὥς φησι Χαμαιλέων ἐν τῷ περὶ Σατύρων.

ἀπωλεύτων ἄνευ πώλων· "τὰ τέκνα αὐτῶν ἀθροίσαντες εἴς τινα ἅλω, καὶ ἱππαγέλην ἐπελάσαντες ἀπωλεύτων, μάλα ἀνοίκτως ἀλοῶντες διέφθειραν."

ἀπωλλύμην παρατατικός. ἀπωλώλεκει.

ἀπ' ὤμοιιν ⟨Hom. Θ 194⟩ ἀπὸ τῶν ὤμων.

ἀπώμοτον ἀπηγορευμένον, φευκτόν, καὶ ἀποίητον· "τί δ' ἔςʼ Ἀθηναίοισι πρᾶγμ' ἀπώμοτον;" Εὔπολις ἐν ταῖς Πόλεσι. καὶ "ἀπώμοσα μὴ γίνεσθαι." καὶ ἐξόμνυσθαι.

ἀπώνατο εὐεργετεῖτο, ὠφελεῖτο· Ἀγαθίας ⟨1 4⟩ "ἀπώνατο οὖν τῆς προπετείας οὐκ ἐν καλῷ" περὶ Θευδιβέρτου λέγων τοῦ Φράγγων βασιλέως. καὶ ἀπώνητο ὠφελείας ἔτυχεν, ἀπήλαυσεν, ὠφελήθη· Αἰλιανός· "οὐ μὴν ἀπώνητο οὐδέν, ἀλλὰ ἐξέζεσε ζῶν κακοῖς θηρίοις, οἱ μὲν εὐλαῖς, οἱ δὲ ὅτι οὐ ταύταις, φθειρσί γε μήν."

ἀπωξύνθαι.

ἄπωσον τὸ δίωξον, ὤθησον. καὶ ἀπῶσμαι· "κἀγὼ εἶπον ἀπῶσμαι."

ἀπωςὸς ἐκδεδιωγμένος· Σοφοκλῆς ⟨Ai. 1019⟩ "τέλος δ' ἀπωςὸς γῆς ἀπορριφθήσομαι, δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς." Τεῦκρός φησιν Αἴαντος ἀναιρεθέντος. καὶ αὖθις "ἀπωςὸς πρότερον ὑπὸ Θησέως ἐξ Ἀθηνῶν γενόμενος." καὶ ἀπωςὸν τὸ ἀπωθητόν.

ἀπωτέρω πόρρω, μακράν. ⟨S OR 137⟩ "ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων, ἀλλ' αὐτὸς αὑτοῦ τοῦτ' ἀποσκεδῶ μύσος· ὅςις γὰρ ἦν ἐκεῖνον ὁ κτανών, τάχ' ἂν κἄμ' ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι." τουτέςιν, οὐ μόνον ὑπὲρ τοῦ ἀνῃρημένου βασιλέως ἄξιον ποιήσασθαι τὴν ἀναζήτησιν, ἀλλὰ καὶ αὐτοῦ ἐμοῦ· ὁ γὰρ ἐκείνῳ ἐπιχειρήσας ἴσως κἀμοὶ ἐπιβουλεύσει. καὶ ἀπώτερος ὁ μακρότερος.

ἆρα συλλογιςικὸς σύνδεσμος. καὶ ἀντὶ τοῦ δή καὶ ὡς ἔοικε καὶ ὡς φαίνεται. οὕτω Πλάτων.

Ἄραβες ὄνομα ἔθνους.

ἀραβίζω τὰ τῶν Ἀράβων φρονῶ, ἀράβησε δὲ ἀντὶ τοῦ ἤχησεν.

Ἀράβιος ἄγγελος. Μένανδρος ἐν Ἀνατιθεμένῃ ἢ Μεσσηνίᾳ "Ἀράβιον ἄρ' ἐγὼ κεκίνηκ' ἄγγελον;" παρὰ τὴν παροιμίαν Ἀράβιος αὐλητής. τίθεται δὲ ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων. τὸ παλαιὸν δέ φασι τοὺς ἐλευ-

θέροις μὴ μανθάνειν αὐλεῖν διὰ τὸ βάναυσον, τῶν δὲ ἀνδραπόδων τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια· ἐφ' ὧν ἐλέχθη παροιμία "δραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται." καὶ Ἀράβιος αὐλητὴς ἐπὶ τῶν ἀκαταπαύστων· Κάνθαρος Μηδείᾳ "κιθαρῳδὸν ἐξήγειρ' Ἀράβιον τὸν χορὸν τοῦτον."

ἆρά γε τοῦτ' ἄρ' ἐγώ ποτ' ἐπόψομαι; ⟨A Nub. 465⟩ ἀντὶ τοῦ εὐδαιμονήσω.

ἀραιὴν χεῖρα ⟨Hom. E 425⟩ τὴν ἀσθενῆ. καὶ δασύνεται.

Ἀραῖνος ὄνομα ποταμοῦ.

ἀραῖος ἀρᾷ ὑποκείμενος· ⟨S OR 644⟩ "μή νυν ὀναίμην, ἀλλ' ἀραῖος, εἴ σέ τι δέδρακ', ὀλοίμην," καὶ ⟨Trach. 1203⟩ "εἰ δὲ μή, μενῶ σ' ἐγὼ καὶ νέρθεν ὢν ἀραῖος, εἰσαεὶ βαρύς." ὁ Ἡρακλῆς φησὶ τελευτῶν πρὸς τὸν υἱὸν αὐτοῦ. ἀραιός δὲ ὁ ἀσθενής. ἀραιῶς δὲ, ἐπιρρηματικῶς, μὴ ἡρμοσμένως· "εὗρον δὲ τὴν θύραν τοῦ μνήματος ἀραιῶς ἐπικειμένην."

ἀραῖς κατάραις. "οὐ μὴν ἔμελλον αἱ ἀραὶ λήθῃ δοθήσεσθαι· λοιμὸς γὰρ τῇ τῶν Ἐφεσίων πόλει ἐνήκμαζεν οἷος βαρύτατος." καὶ αὖθις "ἐν ἀρᾶς ἔθηκε μέρει· συριττοίμην ὡς ἐκεῖνος."

ἄραιτο λάβοι, κομίσειεν· Εὐριπίδης ⟨Or. 1⟩ "οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος, οὐδὲ πάθος, οὐδὲ ξυμφορὰ θεήλατος, ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις." καὶ αὖθις ⟨A Ran. 1426⟩ "οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι." πολλαχοῦ ὡς ἀχθοφορούντων Αἰγυπτίων μέμνηνται.

ἀράμενοι ἐπάραντες, καὶ ἀραμένη ⟨A Lys. 332⟩ ἀντὶ τοῦ ἐπάρασα τὴν ὑδρίαν.

ἄραντες παρὰ Θουκυδίδῃ ⟨2 25⟩ ἐπὶ θαλάσσης εἴρηται. ἔστι δὲ ὅτε καὶ ἐπὶ γῆς.

Ἀράξης Ἀράξου ὄνομα ποταμοῦ. καὶ ἀράξαι συντρῖψαι.

ἄραρε κέκριται, οἷον βεβαίως οὕτως ἔχει καὶ ἀμετακινήτως. καὶ ἄραρον ἥρμοσαν, καὶ ἀραρίσκω ἁρμόζω, καὶ ἀραρυῖαν ἡρμοσμένην.

ἄραρέ με ἤρεσέ μου ταῖς φρεσίν, ἀντὶ τοῦ σύμφωνα πράσσομεν ἐγώ τε καὶ ἡ ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. οἷον ἥρμοσαί με ταῖς φρεσίν. sch. S El. 147.

Ἀραρὼς Ἀθηναῖος, υἱὸς Ἀριστοφάνους τοῦ κωμικοῦ, καὶ αὐτὸς κωμικός, διδάξας τὸ πρῶτον ὀλυμπιάδι ρά. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ Καινεύς, Καμπυλίων, Πανὸς γοναί, Ὑμέναιος, Ἄδωνις, Παρθενίδιον.

ἀραρὼς πάγιος ἢ βέβαιος.

ἄρασθαι ἀπενέγκασθαι, ἢ λαβεῖν, φορτίσασθαι. ⟨Damasc. Phot. p. 346 a⟩ "ὅσῳ δὲ ηὔξετο τῆς διαδοχῆς τὸ μέγεθος ἐν τῷ λόγῳ, τοσούτῳ μᾶλλον οὗτος πρὸς τὴν πειθὼ συνεστέλλετο, μεῖζόν γε ὂν ἢ καθ' ἑαυτὸν ἄρασθαι φορτίον. καὶ γὰρ εἴ τίς με, ἔφη, πρὸς ἱερωσύνην ἐκάλει, ὁμολογῶν εἶναι τὸ χρῆμα θεοφιλέστατόν τε καὶ ὁσιώτατον, ὅμως τὸ ἐμαυτοῦ δέος ὡμολόγησα ἂν τῆς ἀσθενείας, ὑποκατακλινόμενός τε καὶ δυσωπούμενος πρὸς τὸ μέγα τοῦτο καὶ πάμμεγα τῆς ἱερωσύνης. ἀφίξομαι κατὰ Πίνδαρον ⟨Ol. 1 83⟩, οὐ μέντοι τοῦ χείρονος ὡς ἐκεῖνος, ἀλλὰ τοῦ κρείττονος κατ' ἐμαυτόν."

ἀράσιμος ὁ καταράσιμος.

ἀρασσόμενα προσρηγνύμενα, προσκρουόμενα. ἐν ἐπιγράμματι ⟨AP 5 248⟩ "νῦν θαμινοῖς πατάγοισι μάτην τὸ μέτωπον ἀράσσεις."

ἀρᾶται εὔχεται, ἢ καταρᾶται· Φερεκράτης Μυρμηκανθρώποις "ὕστερον ἀρᾶται κἀπιθεάζει τῷ πατρί."

Ἄρατος στρατηγός, ὥς φησι Πολύβιος a ⟨4 8⟩, ὃς ἦν τὰ μὲν ἄλλα τέλειος ἀνὴρ εἰς τὸν πραγματικὸν τρόπον· καὶ γὰρ εἰπεῖν καὶ διανοηθῆναι καὶ στέξαι τὸ κριθὲν δυνατός, καὶ μὴν ἐνεγκεῖν τὰς πολιτικὰς διαφορὰς πρᾴως, καὶ φίλους ἐνδήσασθαι καὶ συμμάχους προσλαβεῖν οὐδενὸς δεύτερος, ἔτι δὲ πράξεις ἀπάτας ἐπιβαλὰς συστήσασθαι κατὰ τῶν πολεμίων, καὶ ταύτας ἐπὶ τέλος ἀγαγεῖν διὰ τῆς αὐτοῦ κακοπαθείας καὶ τόλμης δεινότατος. ὁ δ' αὐτὸς οὗτος ὁπότε τῶν ὑπαίθρων ἀντιποιήσασθαι βουληθείη, νωθρὸς μὲν ἐν ταῖς ἐπινοίαις, ἄτολμος δὲ ἐν ταῖς ἐπιβολαῖς, ἐν ὄψει δ' οὐ μένων τὸ δεινόν. διὸ καὶ τροπαίων ἐπ' αὐτὸν βλεπόντων ἐπλήρωσε τὴν Πελοπόννησον, καὶ τῇδέ πῃ τοῖς πολεμίοις ἀεί ποτ' ἦν εὐχείρωτος. οὕτως αἱ τῶν ἀνθρώπων φύσεις οὐ μόνον τοῖς σώμασιν ἔχουσί τι πολυειδές, ἔτι δὲ μᾶλλον ταῖς ψυχαῖς, ὥστε τὸν αὐτὸν ἄνδρα μὴ μόνον ἐν τοῖς διαφέρουσι τῶν ἐνεργημάτων πρὸς ἃ μὲν εὐφυῶς ἔχειν πρὸς ἃ δὲ ἐναντίως, ἀλλὰ περί τινα τῶν ὁμοειδῶν πολλάκις τὸν αὐτὸν καὶ συνετώτατον εἶναι καὶ βραδύτατον, ὁμοίως δὲ καὶ τολμηρότατον καὶ δειλότατον. οὐ πα-

ράδοξα ταῦτά γε, συνήθη δὲ καὶ γνώριμα τοῖς βυλομένοις συνεφιςάνειν. τινὲς μὲν γὰρ ἐν ταῖς κυνηγίαις εἰσὶ τολμηροὶ πρὸς τὰς τῶν θηρίων συγκατασπάσεις, οἱ δ' αὐτοὶ πρὸς ὅπλα καὶ πολεμίους ἀγεννεῖς, καὶ τῆς πολεμικῆς χρείας τῆς κατ' ἄνδρα μὲν καὶ κατ' ἰδίαν εὐχερεῖς καὶ πρακτικοί, κοινῇ δὲ καὶ μετὰ πολεμικῆς ἐνίων συντάξεως ἄπρακτοι.

b Ἄρατος Σολεὺς τῆς Κιλικίας (ἔςι γὰρ καὶ ἐν Κύπρῳ πόλις Σόλοι), υἱὸς Ἀθηνοδώρου· ἀδελφοὶ δὲ αὐτοῦ Μύρις Καλώνδας Ἀθηνόδωρος. ἀκουςὴς δὲ ἐγένετο γραμματικοῦ μὲν τοῦ Ἐφεσίου Μενεκράτους, φιλοσόφου δὲ Τίμωνος καὶ Μενεδήμου, γεγονὼς ἐν τῇ ρκδ' ὀλυμπιάδι, ὅτε ἦν Ἀντίγονος βασιλεὺς Μακεδονίας, υἱὸς Δημητρίου τοῦ πολιορκητοῦ, ὁ Γονατᾶς κληθείς· καὶ συνῴκει τε αὐτῷ καὶ παρ' αὐτῷ ἐτελεύτησε. σύγχρονος Ἀνταγόρᾳ τῷ Ῥοδίῳ καὶ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ, ἐποποιός. συνέταξε δὲ βιβλία ταῦτα, τὰ φαινόμενα, ὧν θαυμάσιος ἡ εἰσβολὴ καὶ ὁ ζῆλος Ὁμηρικός, ὕμνους εἰς Πᾶνα, σπονδοφόρους, παίγνια, ἀςρολογίαν καὶ ἀςροθεσίαν, σύνθεσιν φαρμάκων θηριακῷ ἐπιτηδείων, ἀνθρωπογονίαν, ἐπιθυτικόν, εἰς Θεόπροπον, εἰς Ἀντίγονον, ἠθοποιίας, ἐπιςολάς, ἐπιγράμματα εἰς Φίλαν τὴν θυγατέρα Ἀντιπάτρου γυναῖκα δὲ Ἀντιγόνυ, ἀνατομήν, εἰς Παυσανίαν τὸν Μακεδόνα, ἐπικήδειον Κλεομβρότου, διόρθωσιν Ὀδυσσείας, ἐπιςολὰς ὁμοίως καταλογάδην.

Ἀραφήνιος δῆμος Αἰγηίδος. Harp.

ἀραχὶ καὶ ἀρχὶ ἐπιρρήματα.

ἀράχνειον νῆμα. καὶ ἀραχναῖος μίτος ὁ λεπτότατος· ἐν ἐπιγράμματι (AP 6 39) "ἀραχναίοιο μίτυ πολυδινέα λάτριν ἄτρακτον."

ἀράχνη θηλυκῶς τὸ ὕφασμα, ἀράχνης δὲ ἀρσενικῶς τὸ ζωΰφιον, παρὰ τὸ ἀραιὰ ἴχνη ἔχειν· (AP 6 174) "τρισσαὶ θῆσαν ἅλικες, ἶσον ἀράχνᾳ τεῦξαι λεπταλέον μῖτον ἐπιςάμεναι." εἴρηται δὲ ἀράχνης καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ καὶ παρὰ Καλλίᾳ. λέγυσι δὲ καὶ ἀραχνικὰ ἀπὸ τῆς ἀράχνης ὀρθῆς· Καλλίας Κύκλωψιν "ὥσπερ ἀραχνικὸς τὴν ὁδὸν προφορουμένω." θηλυκῶς δὲ Σοφοκλῆς Ἰνάχῳ "πάντα δ' ἐρίθων ἀραχνᾶν βρίθει." Καλλίμαχος "ἔργον ἀράχνα." Κρατῖνος δὲ Πυτίνῃ "ἀραχνίων μεςὴν ἔχεις τὴν γαςέρα." Φερεκράτης Τυραννίδι "ἀρ' ἀράχνι' ὥσπερ ταῖς σιπύαισι ταῖς κεναῖς;" Νικοφῶν Ἀφροδίτης γοναῖς "ἀρ' ἀράχνιόν τι φαίνετ' ἐμπεφυκέναι;"

Ἀραχώσιοι ἐθνικόν, καὶ Ἀραχωσία χώρα.

Ἀρβαζάκιος Ἴσαυρος, ἐπὶ Ἀρκαδίου τοῦ βασιλέως, ὃν Ἀρπαζάκιον ἐκάλυν διὰ τὸ πλεονεκτικόν. ἦν μὲν γὰρ ἐξ Ἀρμενίας, τοῖς τρισὶν ἅμα συγκατειλημμένος πάθεσιν ὥσπερ Ἡφαιςείοις δεσμοῖς ἀρρήκτοις ἀλύτοις, καὶ ἔμενέ γε ἐν αὐτοῖς ἔμπεδον· ταῦτα δὲ ἦν ἐρωτομανία καὶ μέθη καὶ πλεονεξία. ὅτω δὲ εἰς ἔσχατον ὅρον τὰς ἑαυτῷ δοκούσας ἀρετὰς ἐπετήδευεν, ὥςε οὐκ ἄν τις ἐπίςευσε πειραθεὶς ὅτι τὰς τρεῖς ἐκείνας οὕτως εἰς ἄκρον ἐξήσκησε. μεσεργοῖς μὲν γὰρ συνέζη τοσαύταις ὅσας οὔτε ἐκεῖνος ἀριθμεῖν εἶχεν οὔτε ἕτερός τις τῶν διακονυμένων. καὶ οἵ γε προσήκοντες αὐτῷ λογιςαὶ τῶν ςρατιωτικῶν ἔργων τὸν μὲν ἀριθμὸν τῶν ςρατιωτῶν ᾔδεσαν, τὸ δὲ πλῆθος τῶν ἑταιρῶν καὶ τὸν ἐκ τῶν χειρῶν ἀριθμὸν αὐτῦ διέφυγεν. ὥσπερ ὖν Ὀρόντην τὸν Πέρσην φασὶν εἰπεῖν ὅτι τῶν δακτύλων ὁ μικρότατος καὶ μύρια σημαίνει καὶ ἕνα ἀριθμόν, ὅτω κἀκεῖνοι τὰς ἑταίρας κατὰ μονάδας καὶ μυριάδας ἠρίθμουν. Eunap. p. 117 Nieb.

Ἀρβάκης βασιλεὺς Μήδων ἐπὶ Σαρδαναπάλλυ, ἀνὴρ τόν τε βίον σώφρων καὶ πραγμάτων, εἰ δή τις, ἔμπειρος, τετριμμένος τε ἐν κυνηγεσίοις καὶ πολέμοις, καὶ πολλὰ μὲν πάλαι γενναῖα ἐξειργασμένος, μείζω δὲ τότε διανοούμενος. ὅτος ἀκηκοὼς τόν τε βίον καὶ τὰ ἤθη οἷς χρῆται βασιλεύς, ἐς νῦν ἐνεβύλετο καὶ ἐνεθυμήθη ἄρα ὅτι ἀπορίᾳ γενναίυ ἀνδρὸς ὅτος ἔχοι τὰ τῆς Ἀσίας κράτη· καὶ βυλὴν συντίθεται περὶ ὅλης ἀρχῆς. Nic. Damasc. p. 425.

Ἄρβελαι. πόλισμα Σικελικὸν ἡ Ἀρβέλη, οἱ δὲ ἐνοικῦντες ἐκεῖσε ἐδόκυν εὐεξαπάτητοι εἶναι. καὶ παροιμία "τί οὐ γενήσῃ ἰὼν ἐς Ἀρβέλας;"

Ἄρβηλα ὄνομα τόπου, καὶ Ἄρβηλος Ἀθμονεύς. ἀρβύλη δὲ τὸ ὑπόδημα.

Ἀργαῖον τὸ Καισαρείας ὄρος.

ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν (Theogn. 625) Εὐριπίδυ λόγος Βάκχαις (385). καὶ ἀργαλέον χαλεπόν· εἴρηται δὲ ἀπὸ τῦ ἄλγυς, ἀλγαλέον, καὶ τροπῇ τῦ λ εἰς τὸ ρ. ἢ ἔργον παρὰ τοῖς παλαιοῖς

τὸ δυσχερές· ἐκ τύτε παρώγωγον ἐργαλέον, καὶ τροπῇ, ὡς ἀπὸ τῦ ἔπω ἀπύω τὸ φωνῶ. ἀργαλέον δὲ δύσκολον, δυσχερές. καὶ ἀργαλέως ἐπιρρηματικόν. καὶ ἀργαλεώτερον.

Ἀργανθώνη ὄνομα κύριον. καὶ Ἀργανθώνειος κρήνη. καὶ Ἀργανθώνειον ὄρος τῆς Κίυ νήσυ.

ἀργὰ ῥήματα, ὅσα ὄνησιν οὐ φέρει ψυχῆς.

Ἀργαριζὶν ὄνομα ἔθνυς.

ἀργάς. ὁ δεινότατος παρ' ἡλικίαν ἀργὰς καλεῖται· τύτῳ ἀφομοιῦσθαι ὑπὸ Αἰσχίνου (2 99) τὸν Δημοσθένην. ἄλλοι δὲ τὸν δεινότατον καὶ θηριώδη τὸν τρόπον, καὶ μάλιςα Ἀργεῖοι τὸν ὄφιν ἀργὰν ἐκάλυν. Τίμαρχος (an Τιμαχίδας) δὲ ὁ Ῥόδιος οὐ κατὰ γλῶττων ὕτως καλεῖσθαι φησίν, ἀλλὰ γένος εἶναι ὄφεων τὺς ἀργάς.

Ἀργεία Ἥρα. ἢ ἡ τῶν Ἀργείων γῆ.

ἀργεινός ὁ λαμπρός. ἀργινόεις.

ἀργειάδους ὁ λευκοὺς ὀδόντας ἔχων.

Ἀργεῖοι φῶρες, ἐπὶ τῶν προδήλως πονηρῶν· οἱ γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ κωμῳδῦνται. Ἀριςοφάνης Ἀναγύρῳ.

Ἀργείους ὁρᾷς, παροιμία ἐπὶ τῶν ἀτενῶς καὶ καταπληκτικῶς ὁρώντων.

ἀργειφόντης ὁ Ἑρμῆς.

Ἀργείων ὄνομα κύριον. καὶ Ἀργεῖοι οἱ Ἕλληνες.

ἄργελλα οἴκημα Μακεδονικόν, ὅπερ θερμαίνοντες λύονται.

ἀργελόφους· Ἀριςοφάνης (Vesp. 692) "σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς τὺς ἀργελόφυς περιτρώγων."

ἀργεννῇσι (Hom. Γ 141) λευκαῖς.

ἀργήεις ὁ λευκός.

ἀργής ὁ κεραυνός. καὶ Ἀργῆσκος ὄνομα κύριον.

ἀργιλλώδης ὁ ῥυπαρός. ἢ ἀργιλλώδης γῆ ἡ λευκὴ καὶ καθαρά. (AP 7 194) "ἀκρίδα Δημοκρίτυ μελεσίπτερον ἅδε θανῦσαν ἄργιλλος δολιχὰν ἀμφὶ κέλευθον ἔχει."

Ἀργίνη ὄνομα πόλεως.

Ἀργίννουσα νῆσος.

ἀργινόεις ἀργινόεντος λευκῦ· (AP 7 23) "πηγαὶ δ' ἀργινόεντος ἀναθλίβοιντο γάλακτος."

ἀργιόδοντα (Hom. Ι 539) λευκόν, ἢ ὀξυόδοντα.

ἀργίποδες ταχεῖς, ὀξύποδες.

ἀργόλαι εἶδος ὄφεων, ὃς ἤνεγκε Μακεδὼν Ἀλέξανδρος ἐκ τῦ Ἄργυς τῦ Πελασγικῦ εἰς Ἀλεξάνδρειαν, καὶ ἐνέβαλεν εἰς τὸν ποταμὸν πρὸς ἀναίρεσιν τῶν ἀσπίδων, ὅτε μετέθηκε τὰ ὀςᾶ Ἱερεμίυ τῦ προφήτυ ἐξ Αἰγύπτυ εἰς Ἀλεξάνδρειαν· ὃς ὁ αὐτὸς προφήτης ἀπέκτεινεν. ἀργόλαι ὧν ἐκ τῦ Ἄργυς λαιοί.

ἀργοναῦται οἱ ἐν τῇ Ἀργοῖ νηὶ πλέοντες.

ἀργὸν ἔτος κατὰ ἑπταετίαν ἤγετο παρὰ Ἰυδαίοις, ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις. καὶ ἀργός ἐπὶ θηλυκῦ· Ἀριςοφάνης Νεφέλαις (53) "ὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα."

Ἄργουρα πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη.

ἀργυραμοιβός ὁ κέρμα ἀντὶ ἀργύρου ἀλλασσόμενος, ὁ τραπεζίτης, ὁ ἀργυροπρώτης, κολλεκτάριος.

ἀργυρέα ἀργυρᾶ. καὶ παροιμία "ἀργυρέαις λόγχαισι μάχυ, καὶ πάντα κρατήσεις," ἐπὶ τῶν δώροις τινὰ πείθειν πρὸς τὰ δυσκατόρθωτα παραινέντων. τῦτον γὰρ τὸν χρησμὸν ἡ Πυθία ἔχρησε Φιλίππῳ, αἰνιττομένη διὰ προδοσίας περιέσεσθαι τῆς Ἑλλάδος.

ἀργύρειος ςατήρ. ἀργυρίδιον δὲ ὡς ἡμεῖς Εὔπολις Δήμοις· "ἐγὼ δὲ συμψήσασα τἀργυρίδιον." ἀργύριον δὲ τὸ λεπτὸν νόμισμα καλῦσιν, ὡς Ἀριςοφάνης Δαναΐσιν.

Ἀργυρῖνοι ὄνομα ἔθνυς.

ἀργυρὶς θήκη. διττὰ ἦν γραμματείδια οἷς ἐχρῶντο Ἀθηναῖοι, τὰ μὲν ὥςε γράφειν μόνον ἑαυτοῖς, τὰ δὲ ὥςε καὶ ἀργυρίδιον κατατίθεσθαι, ἃ καὶ κιβώτια ἐκάλυν· τὰ δ' ἄλλα μαρσύπια. Harp.

ἀργυρῖται ἐλέγοντο οἱ ἀργυρίυ εὐποροῦντες. καὶ ἀργυρῖτις γῆ καὶ χρυσῖτις ἡ ἐργαζομένη χρυσὸν καὶ ἄργυρον.

ἀργυρογνώμων δοκιμαςής.

ἀργυροδίνης (Hom. Φ 130) καλὰς δίνας ἔχων. δῖναι δὲ αἱ τῶν ὑδάτων συςροφαί.

ἀργυρόηλον (Hom. Β 45) τὸ ἀργυρῦς ἥλυς ἔχον.

ἀργυροκοπεῖον ἐν ᾧ κόπτεται τὸ νόμισμα· ὃ νῦν τινὲς σημαντήριον καλῦσιν.

ἀργυρόπεζα ἡ ἀργυρῦς πόδας ἔχυσα· πέζα γὰρ ὁ πῦς. καὶ ἀργυρόποδα δίφρον· ὁ Ξέρξυ δίφρος, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο, ἀνέκειτο δὲ εἰς τὸν παρθενῶνα τῆς Ἀθηνᾶς.

ἀργύρου κρῆναι λαλοῦσιν, ἐπὶ τῶν ἀπαιδεύτων μέν, διὰ δὲ πλοῦτον ὑπερβολὴν παρρησιαζομένων καὶ λαλούντων.

ἀργυροῦν καὶ χρυσοῦν· τὸ δ' ἀργύρεον καὶ χρύσεον Ἰακά, τὸ δὲ χρύσειον κτητικόν. Θουκυδίδης (2 55) "μέχρι Λαυρίου, οὗ τἀργύρεια μέταλλα ἐστὶν Ἀθηναίοις." χρῆσιν τ' ἔχει τῶν χρυσείων μετάλλων, ὥσπερ καὶ ἀργύρεια λέγεται β'.

ἀργυρώματα καὶ χρυσώματα ὁμοίως ὡς ἡμεῖς Λυσίας.

ἀργυρώνη καὶ ἀργυρώνητος δοῦλος.

ἀργύφεον τὸ μέλαν, ἢ τὸ λαμπρόν.

Ἀρδαβούριος υἱὸς Ἄσπαρος, γενναῖος τὸν θυμὸν καὶ τοὺς τὴν Θρᾴκην πολλάκις καταδραμόντας βαρβάρους εὐρώστως ἀποκρουσάμενος. τούτῳ οὖν γέρας ἀριστειῶν ὁ βασιλεὺς Μαρκιανὸς παρέσχετο τὴν ἑῴαν στρατοπεδαρχίαν. καταλαβὼν δὲ ἐν εἰρήνῃ ταύτην ὁ στρατηγὸς πρὸς ἄνεσιν ἐτράπη καὶ ῥᾳστώνην θηλυδριῶτιν· ἔχαιρε γὰρ μίμοις καὶ θαυματοποιοῖς καὶ πᾶσι σκηνικοῖς ἀθύρμασι, καὶ τοῖς τοιούτοις διημερεύων αἰσχροῖς ἠλόγει πάμπαν τῶν πρὸς εὔκλειαν τεινόντων. Priscus p. 227 Nieb.

Μαρκιανοῦ δὲ τοῦ βασιλέως χρηστοῦ μὲν γεγονότος, θᾶττον δὲ ἐκβεβιωκότος, αὐτοκελεύστῳ γνώμῃ Ἄσπαρ Λέοντα διάδοχον αὐτοῦ γενέσθαι παρεσκεύασεν. Candidus p. 472 Nieb.

ἀρδάνιον κεράμιον, γάστρα, ὅθεν τὰ θρέμματα πίνει. καὶ εἴρηται παρὰ τὸ ἄρδειν. ἐτίθετο δὲ καὶ πρὸ τῆς θύρας τῶν τετελευτηκότων τοῖς εἰσιοῦσι καὶ ἐξιοῦσιν, ἵνα περιρραίνωνται. ἐχρῶντο δὲ καὶ αἱ γυναῖκες τῷ ἀρδανίῳ αἱ τὴν κρόκην τρίβουσαι ἐπ' αὐτοῦ.

Ἀρδεᾶται ὄνομα ἔθνους.

ἄρδην κατὰ δύναμιν τῆς λέξεως ἀντὶ τοῦ ἀθρόους· τὸ γὰρ ἄρδην ὅμοιόν ἐστι τῷ φοράδην ἐνέγκαι. ἡ γὰρ ἄρσις τοῦτο δηλοῖ. ἀντὶ τοῦ πάντας ὁμοῦ αἴρω. sch. A Thesm. 274.

Ἀρδήττης Ἀρδήττου ὄνομα κύριον. καὶ Ἀρδηττός τόπος ἐστὶν Ἀθήνησιν, ἐν ᾧ πάντες Ἀθηναῖοι δημοσίᾳ ὤμνυον τὸν ὅρκον τὸν ἡλιαστικόν. Θεόφραστος δὲ ἐν τοῖς περὶ νόμων καταλελύσθαι τὸ ἔθος τοῦτο λέγει. Harp.

Ἀρδιαῖος ὄνομα ἔθνους.

ἄρδιν ἀκίδα βέλους, ἢ τὰ ἐκ χειρὸς ὅπλα, Ἡρόδοτος (4 81). καὶ ἄρδις πληθυντικῶς ἀντὶ τοῦ φαρέτρας (1 215).

ἀρδομένην (A Nub. 283) ποτιζομένην. καὶ ἄρδω αἰτιατικῇ.

Ἀρεάδνη ὄνομα κύριον.

Ἀρέθουσα πηγὴ κατὰ τὴν νῆσον Σικελίας, ἐν ᾗ εἰσβάλλει Ἀλφειὸς ποταμὸς τῆς Ἀρκαδικῆς πόλεως, δυόμενος διὰ τῆς Ἀδριάδος θαλάσσης τὸ πέλαγος καὶ μηδαμῶς τῇ ἁλμυρίδι μιγνύμενος, ὡς ἂν τῆς τοιαύτης πηγῆς ἐρώμενος. cf. v. Ἀλφειός.

Ἀρειανοί. ἰστέον ὅτι ἐγένοντο καὶ ἐν Ἀρειανοῖς διαιρέσεις δι' αἰτίαν τοιαύτην. καθ' ἑκάστην παρ' αὐτοῖς ἐριστικαὶ ζητήσεις εἰς ἄτοπά τινα τοὺς λόγους αὐτῶν προήγαγον. ἐπεὶ γὰρ ἐν τῇ ἐκκλησίᾳ πιστεύεται ὁ θεὸς πατὴρ εἶναι τοῦ υἱοῦ τοῦ λόγου, ζήτημα ἐνέπεσεν εἰς αὐτούς, εἰ δύναται καὶ πρὸ τοῦ ὑποστῆναι τὸν υἱὸν ὁ θεὸς καλεῖσθαι πατήρ· ἐπεὶ γὰρ τὸν τοῦ θεοῦ λόγον οὐκ ἐκ πατρὸς γεννᾶσθαι ἀλλ' ἐξ οὐκ ὄντων ὑποστῆναι ἐδόξαζον, περὶ τὸ πρῶτον καὶ ἀνωτάτω κεφάλαιον σφαλέντες εἰκότως περὶ ψιλοῦ ὀνόματος εἰς ἄτοπον φιλονεικίαν ἐξέπεσον. Δωρόθεος μὲν ἐκ τῆς Ἀντιοχείας ὑπ' αὐτῶν μετασταλεὶς ἔλεγε μὴ δύνασθαι πατέρα εἶναι ἢ καλεῖσθαι μὴ ὑφεστῶτος υἱοῦ· Μαρῖνος δέ, ὃν ἐκ Θρᾴκης πρὸ Δωροθέου κεκλήκεισαν, καιροῦ δραξάμενος ἀφορμῆς (ἐλυπεῖτο γὰρ ὅτι αὐτοῦ Δωρόθεος προεκέκριτο) τοῦ ἐναντίου λόγου προΐστατο. καὶ γίνεται εἰς αὐτοὺς διαίρεσις διὰ τὸ προλεχθὲν λεξείδιον, καὶ κατ' ἰδίαν ἑκάτερος τὰς συναγωγὰς ἐποιοῦντο, λέγοντες τὸν πατέρα εἶναι πατέρα καὶ μὴ ὑφεστῶτος υἱοῦ. ἐκαλοῦντο δὲ οὗτοι Ψαθυριανοί, ὅτι Θεόκτιστός τις ψαθυροπώλης Σύρος διαπύρως τῷ λόγῳ τῷδε συνίστατο. ἐπηκολάθησε δὲ αὐτοῖς καὶ Σελενᾶς ὁ τῶν Γότθων ἐπίσκοπος. καὶ οὗτοι μικρὸν ὕστερον διῃρέθησαν, Μαρίνου πρὸς Ἀγάπιον διενεχθέντος, ὃν αὐτὸς εἰς ἐπίσκοπον Ἐφέσου προεβέβλητο. οὗτοι δὲ οὐ περὶ θρησκείας ἀλλὰ περὶ προεδρίας μικροψυχήσαντες ἐπολέμουν ἀλλήλοις. ἐχωρίζοντο δὲ ἀλλήλων ἐπὶ ἔτη λε', ἕως τοῦ νέου Θεοδοσίου. Socrat. 5 23.

Ἀρειανός καὶ ἀρειανίζω καὶ ἀρειανίσαι καὶ τὰ τούτοις ὅμοια ἀπὸ Ἀρείου τοῦ αἱρεσιάρχου, ὃς ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐν τοῖς ἱερωμένοις πρεσβυτέροις τεταγμένος, ἐπειδὴ τὰ πάντα συγχεῖν ἐβούλετο, καταδικασθεὶς ὑπὸ τῆς ἐν Νικαίᾳ τῶν τιη' ἁγίων πατέρων συνόδου, διεφθάρη ἀήθει καὶ καινῷ τοῦ θανάτου τρόπῳ· ἐν γὰρ τῷ τῆς πόλεως

φόρῳ ἐπειχθείσης οἱ τῆς γαςρὸς ἀποκλίνας εἰς ἀπόπατον ἅμα σὺν τοῖς διαχωρήμασι πάντων ἐκενώθη τῶν ἐντὸς ἀναγκαίων. καὶ ἐξ αὐτοῦ καὶ ἀρειόφρονες.

ἀρειή ἡ ἀπειλή. ἢ ἀσθενής, ὃ καὶ δασύνεται.

ἀρειμάνιος ὁ ἐν τῷ Ἄρει μαινόμενος. Ἀρειμάνης δὲ ὄνομα κύριον.

Ἄρειος πάγος· δικαςήριον Ἀθήνησιν. ἐν αὐταῖς βουλαὶ δύο, ἡ μὲν τῶν φ' καθ' ἕκαςον ἐνιαυτὸν κληρουμένη βουλεύειν, ἡ δὲ εἰς βίον τῶν Ἀρεοπαγιτῶν. ἐδίκαζε δὲ καὶ τὰ φονικά, καὶ τὰ ἄλλα πολιτικὰ διῴκει σεμνῶς. ἐκλήθη δὲ καὶ Ἄρειος πάγος ἤτοι ὅτι ἐν πάγῳ ἐςὶ καὶ ἐν ὕψει τὸ δικαςήριον· Ἄρειος δέ, ἐπεὶ τὰ φονικὰ δικάζει, ὁ δὲ Ἄρης ἐπὶ τῶν φόνων. ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ ἐν τῇ πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιρροθίȣ δίκῃ, ὅτε ἀπέκτεινεν αὐτὸν βιασάμενον Ἀλκίππην τὴν αὐτȣ̃ καὶ Ἀγραύλȣ τῆς Κέκροπος θυγατρός, ὥς φησιν Ἑλλάνικος ἐν ά. καὶ ἄρειον τεῖχος, καὶ ἀρειοπαγίτης.

Ἀρεόβινδος ὄνομα κύριον.

Ἀρεοπαγίτης. διφορεῖται. καὶ παροιμία "Ἀρεοπαγίτης," ἐπὶ τῶν σκυθρωπῶν καὶ ὑπερσέμνων καὶ σιωπηλῶν. καὶ "Ἄρεος νεοττός" καὶ "Ἄρεος παιδίον" ἐπὶ τῶν θρασυτάτων. κέχρηται τῷ μὲν πρώτῳ Πλάτων Πεισάνδρῳ, τῷ δὲ δευτέρῳ Ἀναξανδρίδης Πανδάρῳ.

ἀρέσκεια. καὶ ἀρέσκω. πρὸς αἰτιατικὴν συντάσσουσι καὶ Σοφοκλῆς ⟨Ai. 585⟩ καὶ Ἀριςοφάνης ⟨Ran. 103⟩· "σὲ δὲ ταῦτ' ἀρέσκει;"

ἀρεςήρ πόπανον τὸ ἐν ταῖς θυσίαις ἐπιτιθέμενον, παρὰ τὸ ἀρεςόν.

ἄρ' ἔςιν; οὐκ ἔνεςιν; ἡ γνώμη πλανᾷ· καὶ φημὶ κἀπόφημι, κοὐκ ἔχω τί φῶ." S OC 316.

ἀρετή Ἀνδοκίδης καὶ Θȣκυδίδης ⟨1 33⟩ ἀντὶ τοῦ εὐδοξία.

ἀρετή διάθεσις ὁμολογουμένη καὶ αὐτὴ δι' αὐτὴν οὖσα αἱρετή, οὐ διά τινα φόβον ἢ ἐλπίδα ἤ τι τῶν ἔξωθεν. ἐν αὐτῇ τε ἔςιν εὐδαιμονία, ἅτε ȣ̓̃ση ψυχῇ πεποιημένῃ πρὸς τὴν ὁμολογίαν παντὸς τȣ̃ βίȣ. διαςρέφεσθαι δὲ τὸ λογικὸν ζῷον ὁτὲ μὲν διὰ τὰς τῶν ἔξωθεν πραγματειῶν πιθανότητας, ὁτὲ δὲ διὰ τὴν κατήχησιν τῶν συνόντων, ἐπεὶ ἡ φύσις ἀφορμὰς δίδωσιν ἀδιαςρόφȣς. ἡ ἀρετὴ δὲ τέλειός ἐςιν ὥσπερ ἀνδρία, καὶ ἢ ἀθεώρητος ὥσπερ ὑγεία, ἢ θεωρηματικὴ ὡς φρόνησις. καὶ ἐπιςημονικαὶ μέν εἰσι καὶ θεωρηματικαὶ αἱ ἔχȣσαι σύςασιν ἐκ θεωρημάτων, ὡς φρόνησις καὶ δικαιοσύνη, ἀθεώρητοι δὲ αἱ κατὰ παρέκτασιν θεωρȣ́μεναι ταῖς ἐκ τῶν θεωρημάτων συνεστηκυίαις, καθάπερ ὑγεία καὶ ἰσχύς· τῇ γὰρ σωφροσύνῃ τεθεωρημένῃ ὑπαρχούσῃ συμβαίνει ἀκολουθεῖν καὶ παρεκτείνεσθαι τὴν ὑγείαν, καθάπερ τῆς ψαλίδος οἰκοδομίᾳ τὴν ἰσχὺν ἐπιγίνεσθαι. καλȣ̃νται δὲ ἀθεώρητοι, ὅτι μὴ ἔχουσι συγκαταθέσεις ἀλλ' ἐπιγίνονται, ὡς ὑγεία καὶ ἀνδρία. τεκμήριον δὲ τȣ̃ ὑπαρκτὴν εἶναι τὴν ἀρετὴν τὸ γενέσθαι ἐκ προκοπῆς τοὺς περὶ Σωκράτην Διογένην Ἀντισθένην. εἶναι δὲ καὶ τὴν κακίαν ὑπαρκτὴν διὰ τὸ ἀντικεῖσθαι τῇ ἀρετῇ. διδακτήν τε εἶναι τὴν ἀρετήν, καὶ δῆλον ἐκ τοῦ γίνεσθαι ἀγαθοὺς ἐκ φαύλων. εἰσὶ δὲ δύο ἀρεταί, θεωρητικὴ καὶ πρακτική. οἱ δὲ τρεῖς, λογικὴν φυσικὴν ἠθικήν. οἱ δὲ περὶ Ποσειδώνιον δ', οἱ δὲ πλείονας, οἱ δὲ μίαν, τὴν φρόνησιν. πρώτας δὲ ἀνδρίαν φρόνησιν δικαιοσύνην σωφροσύνην, τὰς δὲ λοιπὰς ὑποτεταγμένας ταύταις, μεγαλοψυχίαν ἐγκράτειαν καρτερίαν ἀγχίνοιαν εὐβουλίαν. ἀνάλογοι δὲ καὶ αἱ κακίαι. Diog. L. 7 89.

τὸν δὲ ἐνάρετον χρὴ θεωρητικὸν εἶναι καὶ πρακτικὸν τῶν ποιητέων. τὰ δὲ ποιητέα καὶ αἱρετέα ἐςὶ καὶ ὑπομενετέα καὶ ἐμμενετέα, ὥςε εἰ τὰ μὲν αἱρετῶς ποιεῖ τὰ δὲ ὑπομονητικῶς τὰ δὲ ἐμμενετικῶς, φρόνιμός τέ ἐςι καὶ ἀνδρεῖος καὶ δίκαιος καὶ σώφρων. κεφαλαιοῦσθαι δὲ ἑκάςην τῶν ἀρετῶν περί τι ἴδιον κεφάλαιον, οἷον τὴν ἀνδρίαν περὶ τὰ ὑπομενετέα, τὴν φρόνησιν περὶ τὰ ποιητέα καὶ μὴ καὶ οὐδέτερα. ὁμοίως καὶ τὰς ἄλλας περὶ τὰ οἰκεῖα τρέπεσθαι. Diog. L. 7 125.

ἀρετὴ δέ ἐςι βελτίςη ἕξις· ἢ ἕξις ἀφ' ἧς αὐτό τε τὸ οὗ ἐςὶν ἄριςόν ἐςι, καὶ τὰς ἐνεργείας τὰς οἰκείας ἄριςα ἀποδίδωσιν.

ἀρετὴ κατὰ φύσιν, κακία παρὰ φύσιν.

ὅτι οὐ πᾶσα ἀρετὴ ἐπιςήμη· ἔςι γὰρ ἡ μὲν διανοητικὴ ἡ δὲ ἠθική, αἱ δὲ ἠθικαὶ ȣ̓κ ἔχουσιν ἐν τῇ γνώσει τὸ εἶναι.

ὅτι φασὶν οἱ ςωικοὶ μηδὲν μεταξὺ εἶναι ἀρετῆς καὶ κακίας, οἱ δὲ περιπατητικοὶ μεταξὺ λέγουσιν εἶναι τὴν προκοπήν. ὡς γὰρ δεῖν φασὶν οἱ ςωικοὶ ἢ ςρεβλὸν εἶναι ξύλον ἢ ὀρθόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον, ȣ̓̃τε δὲ

δικαιότερον οὔτε ἀδικώτερον. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Diog. L. 7 127.

ὅτι πολιτικαὶ ἀρεταὶ κατακοσμοῦσιν ἡμᾶς καὶ ἀμείνους ποιοῦσιν, ὁρίζουσαι καὶ μετροῦσαι τὰς ἐπιθυμίας, καὶ ὅλως τὰ πάθη μετροῦσαι καὶ ψευδεῖς δόξας ἀφαιροῦσαι, τῷ ὅλως ἀμείνονι καὶ τῷ ὡρίσθαι καὶ τῶν ἀμέτρων καὶ ἀορίστων ἔξω εἶναι. τὰς δὲ πολιτικὰς ἀρετὰς ὁ Πλάτων ἀλλαχοῦ καθάρσεις λέγει.

τέσσαρες ἀρεταί. ὅτι ἕπεται τῇ φρονήσει εὐβουλία καὶ σύνεσις, τῇ δὲ σωφροσύνῃ εὐταξία καὶ κοσμιότης, τῇ δὲ δικαιοσύνῃ ἰσότης καὶ εὐγνωμοσύνη, τῇ δὲ ἀνδρείᾳ ἀπαραλλαξία καὶ εὐτονία. Diog. L. 7 126.

ὅτι ἀποβλητὴ ἡ ἀρετὴ διὰ μέθην ἢ μελαγχολίαν, ἀναπόβλητος δὲ διὰ βεβαίαν κατάληψιν. καὶ αὐτάρκη δὲ αὐτήν φασιν εἶναι· οἱ δὲ οὐκ αὐτάρκη εἶναι, ἀλλὰ χρεία ἐστὶν ἰσχύος καὶ ὑγείας καὶ χορηγίας. Diog. L. 7 127.

ὅτι ἡ ἀρετὴ τῶν ἀντικειμένων ἐςίν. ἀντικείμενα δέ εἰσιν ὅσα τῇ ἀναιρέσει τῶν ἐναντίων συνίςαται, τυφλότης ὄψις, κατάφασις ἀπόφασις, καὶ τὰ ὅμοια.

ἀρετῆς κτῆμα· "ὅταν ἀπίδῃ τις εἰς τὴν Ῥωμαίων εὐταξίαν, ἐπιγνώσεται εἶναι ἀρετῆς κτῆμα, ὁ τύχης δῶρον" (Ioseph. B. I. 3 5 1).

ἀρετῶ τὸ ἀρετῆς ἐπιμελοῦμαι· Προκόπιος (Goth. 4 extr.) "ἀμφότεροι δέ, οἱ μὲν θανατῶντες οἱ δὲ ἀρετῶντες, θυμῷ ἐπὶ τὰς πέλας πολλῷ ἵεντο."

Ἀρζανηνή τόπος.

ἀρήγω τὸ βοηθῶ.

ἀριδηλος ὁ φανερός.

ἀρηΐθοος ὁ ἐν πολέμῳ ταχύς.

Ἀρηΐλυκος ὄνομα κύριον. καὶ Ἀρηϊλύκοιο (Hom. Ξ 451).

ἀρήϊος ὁ πολεμικός. καὶ ἀρήϊοι· Ἀλκαῖος "ἄνδρες πόληος πύργος ἀρήϊοι." καὶ ἀρηΐοις τοῖς τοῦ πολέμου· "εἶναι ἔλεγε νεότητα ἐπίλεκτον, καὶ ἀρηΐοις ὅπλοις πεφράχθαι."

ἀρηΐφατος ὁ ἐν πολέμῳ ἀνῃρημένος.

ἀρηΐφιλος ὁ φίλος τοῦ Ἄρεος.

ἀρημένος ὁ βεβλαμμένος. καὶ ἀρήμεναι (Hom. χ 322).

Ἀρήνη ὄνομα πηγῆς.

ἀρήνωρ ὁ φύλαξ.

ἀρήρει (Hom. Γ 338) εὖ ἥρμοστο. καὶ ἀρηρός τὸ εὐάρμοστον, ἀρηρὼς δὲ ὁ ἡρμοσμένος.

ἀρηρομένη (Hom. Σ 548) ἠροτριασμένη.

Ἄρης κυρίως ὁ σίδηρος· (AP 7 531) "βαψαμένη κοίλων ἐντὸς Ἄρη λαγόνων." σημαίνει δὲ καὶ τὸν πόλεμον. παρὰ τὸ ῥῶ τὸ λέγω ὁ μέλλων ῥήσω, ῥῆς, καὶ μετὰ τοῦ ςερητικοῦ α Ἄρης· ἐν γὰρ πολέμῳ οὐ λόγων ἀλλ' ἔργων χρεία, καὶ Ὅμηρος (Π 630) "ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ." τὸ α καὶ μακρὸν καὶ βραχύ· Ὅμηρος (Ε 31) "Ἆρες Ἄρες βροτολοιγέ." κλίνεται δὲ Ἄρης Ἄρου, καὶ Ἄρης Ἄρητος, καὶ Ἄρης Ἄρεως· Ἄρης γὰρ ἔςι, καὶ ταράττει τὴν κλίσιν.

Ἄρης τύραννος, ἐπὶ τῶν μετὰ βίας τι διαπραττομένων.

ἀρήσασθαι (Hom. Ζ 115) εὔξασθαι.

Ἀρήτη ὄνομα κύριον.

ἀρητήσιον πεδίον. cf. Etym. M. p. 140.

Ἀρήτιον. Ἀρητῖνοι ὄνομα ἔθνους.

ἀρητόν τὸ βλαβερόν. ἄρρητον δὲ λόγον κακόφημον, μὴ ῥηθῆναι ὀφείλοντα· Σοφοκλῆς (Ai. 214) "πῶς δῆτα λέγω λόγον ἄρρητον." (Iulian. or. 7 p. 210) "ἀρρήτων ἀρρητότερον καὶ κακῶν πέρα" γεγραφὼς ἢ καὶ πεπραχώς. "τίς οὖν οὐ μισήσειεν ὑπερβολὴν ἀρρητουργίας ἑταίραις μὴ ἀπολελεῖφθαι;" λαμβάνεται δὲ ἡ λέξις καὶ ἐπὶ ἀκαταληψίας, ὡς τὸ "ἄρρητον τὸ θαῦμα τῆς σῆς κυήσεως, μητροπάρθενε."

Ἄρητος ὄνομα κύριον.

ἄρθμια φίλια· Ἡρόδοτος (9 9) "Ἀθηναίων μὴ ἐόντων ἡμῖν ἀρθμίων, τῷ δὲ βαρβάρῳ συμμάχων." καὶ ἀρθμήσαντες (Hom. Η 302) φίλοι γενόμενοι.

ἀρθρέμβολα ὄνομα βασανιςηρίων, παρὰ τὸ ἐξαρθροῦν τὸν ἐμβαλλόμενον.

ἀρθροπέδαν· (AP 6 297) "ἀρθροπέδαν ςεῖμόν τε καὶ ὠλεσίβωλον ἀρούρης σφῦραν."

Ἀρία ὄνομα πόλεως.

Ἀριαῖος ὄνομα κύριον.

Ἀριάδνη γυνὴ τοῦ Θησέως. καὶ ζήτει ἐν τῷ Αἰγαῖον πέλαγος.

Ἀριαμένης ὄνομα κύριον.

Ἀριαράθης ὄνομα κύριον.

ἀρίβαλλος οὐ μόνον παρὰ Στησιχόρῳ καὶ ἄλλοις Δωριεῦσιν, ἀλλὰ καὶ ἐν Ἱππεῦσιν Ἀριςοφάνης (1100) "εἶτα κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀριβάλλῳ."

Ἀριβαρζάνης ὄνομα κύριον.

Ἀριγνώτη μαθήτρια Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς, Σαμία, φιλόσοφος Πυθαγορική, συνέταξε τάδε, βακχικά· ἔστι δὲ περὶ τῶν Δήμητρος μυστηρίων, ἐπιγράφεται δὲ καὶ ἱερὸς λόγος. ἔγραψε δὲ καὶ τελετὰς Διονύσου καὶ ἄλλα φιλόσοφα.

ἀρίγνωτος ὁ εὐδιάγνωστος.

Ἀριδαῖος ὄνομα κύριον.

ἀριδείκετος ⟨Hom. Λ 248⟩ ὁ διάδηλος καὶ ἔνδοξος. **ἀρίδηλος** δὲ ὁ διάδηλος καὶ φανερός.

ἀρίδες. ἡ εὐθεῖα ἀρίς, τὸ τεκτονικὸν ἐργαλεῖον· ⟨AP 6 103⟩ "καὶ γυρὰς ἀμφιδέτους ἀρίδας," καὶ αὖθις ⟨AP 6 205⟩ "αἵ τ' ἀρίδες ξεστῆρ τε." **ἄρις** δὲ ὁ μὴ ἔχων ῥῖνα.

ἀριζήλη ⟨Hom. Σ 219⟩ ἡ διάδηλος καὶ φανερά. καὶ **ἀρίζηλος** ἀρσενικόν.

ἀριήκοον ὀξυήκοον, εὐπειθῆ.

ἀριθμῷ αἰτιατικῇ. καὶ **ἀριθμοῦντα** κατατάττοντα· "καὶ ἀριθμοῦντά τινας τοῖς δορυφόροις."

Ἄριμα ὄρη. καὶ **Ἀριμάνιος** θεὸς παρ' Αἰγυπτίοις.

Ἀριμάσπειος τόπος. καὶ **Ἀριμασπός** ἐθνικόν.

Ἀριματθαῖος ἀπὸ τόπου.

Ἀρίμινον ὄνομα πόλεως, καὶ **Ἀριμίνιος** ὄνομα ἐθνικόν.

Ἀριοβαρζάνης ὄνομα κύριον.

ἀριπρεπής ὁ διάδηλος.

ἄρις ὁ μὴ ἔχων ῥῖνα.

Ἀρίσβη πόλις τῆς Βοιωτίας.

ἀρίσημος φανερὸς ἐν πολέμοις.

ἄριστα κάλλιστα. καὶ παροιμία "ἄριστα χωλὸς οἰφεῖ," ἐπὶ τῶν τὰ οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων ἢ τὰ ἀλλότρια ἀγαθά.

Ἀρισταίνετος ὄνομα κύριον.

Ἀρίσταινος. Φιλοποίμην καὶ Ἀρίσταινος οἱ Ἀχαιοὶ συνέβησαν οὐ τὴν φύσιν μίαν σχεῖν οὔτε τὴν αἵρεσιν τῆς πολιτείας. ἦν γὰρ ὁ μὲν Φιλοποίμην εὖ πεφυκὼς πρὸς τὰς πολεμικὰς χρείας καὶ κατὰ σῶμα καὶ κατὰ ψυχήν, ὁ δ' ἕτερος πρὸς τὰ πολιτικὰ καὶ λογικὰ τῶν διαβουλίων. τῇ δ' αἱρέσει κατὰ τὴν πολιτείαν τοῦτο διέφερον ἀλλήλων. τῆς γὰρ Ῥωμαίων ὑπεροχῆς ἤδη τοῖς Ἑλληνικοῖς πράγμασιν ἐμπλεκομένης ὁλοσχερῶς κατά τε τοὺς Φιλιππικοὺς καὶ Ἀντιοχικοὺς καιροὺς Ἀρίσταινος ἦγε τὴν ἀγωγὴν τῆς πολιτείας οὕτως ὥστε πᾶν τὸ πρόσφορον μὲν Ῥωμαίοις ἐξ ἑτοίμου ποιεῖν, ἔνια δὲ καὶ πρὶν ἢ προστάξαι ἐκείνους, ἐπειρᾶτο μέντοι γε τῶν νόμων ἔχεσθαι δοκεῖν καὶ τὴν τοιαύτην ἐφείλκετο φαντασίαν, εἴκων ὁπότε τούτων ἀντιπίπτοι τις προδήλως τοῖς ὑπὸ Ῥωμαίων γραφομένοις. ὁ δὲ Φιλοποίμην, ὅσα μὲν εἴη τῶν προκαλουμένων ἀκόλουθα τοῖς νόμοις καὶ τῇ συμμαχίᾳ, πάντα συγκατήνει καὶ συνέπραττεν ἀπροφασίστως, ὅσα δὲ τούτων ἐκτὸς ἐπιτάττοιεν, οὐχ οἷός τ' ἦν ἐθελοντὴς συνυπακούειν, ἀλλὰ τὰς μὲν ἀρχὰς ἔφη δεῖν δικαιολογεῖσθαι, μετὰ δὲ ταῦτα πάλιν ἀξιοῦν, εἰ δὲ μηδ' οὕτως πείθοιεν, τέλος οἷον ἐπιμαρτυρομένους εἴκειν, καὶ τότε ποιεῖν τὸ παραγγελλόμενον. Polyb. 25 9.

Ἀρισταῖος εἷς τῶν γιγάντων, ὃς περιεσώθη ⟨cf. v. δικαίωσις⟩. **Ἀριστεὺς** δὲ Ἀριστέως ὄνομα κύριον, καὶ **Ἀριστίων** ὡσαύτως. ἔστι δὲ Σάμιος μὲν ἢ Πλαταιεύς, ἐκ μειρακυλλίου δὲ ἑταῖρος Δημοσθένους, ἐπέμφθη δὲ ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν. μνημονεύει αὐτοῦ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους. Harp.

Ἀρίσταιχμος ὄνομα κύριον.

Ἀρίσταρχος Ἀλεξανδρεὺς θέσει, τῇ δὲ a
φύσει Σαμοθρᾷξ, πατρὸς Ἀριστάρχου. γέγονε δὲ κατὰ τὴν ρνϛ' ὀλυμπιάδα, ἐπὶ Πτολεμαίου τοῦ φιλομήτορος, οὗ καὶ τὸν υἱὸν ἐπαίδευσεν. λέγεται δὲ γράψαι ὑπὲρ ω' βιβλία ὑπομνημάτων μόνων. μαθητὴς δὲ γέγονεν Ἀριστοφάνους τοῦ γραμματικοῦ, καὶ Κράτητι τῷ γραμματικῷ Περγαμηνῷ πλεῖστα διημιλλήσατο ἐν Περγάμῳ. μαθηταὶ δὲ αὐτοῦ γραμματικοὶ περὶ τοὺς μ' ἐγένοντο. τελευτᾷ δὲ ἐν Κύπρῳ, ἑαυτὸν ὑπεξαγαγὼν ἐνδείᾳ τροφῆς, νόσῳ τῇ ὕδρωπι ληφθείς. ἔτη δὲ αὐτοῦ τῆς ζωῆς οβ'. καὶ παῖδας μὲν κατέλιπεν Ἀρίσταρχον καὶ Ἀρισταγόραν, ἄμφω δὲ ἐγένοντο εὐήθεις, ὥστε καὶ ἐπράθη ὁ Ἀρίσταρχος· Ἀθηναῖοι δὲ ἐλθόντα παρ' αὐτοῖς ἐξωνήσαντο.

Ἀρίσταρχος Τεγεάτης ὁ τῶν τραγῳδιῶν b
ποιητὴς νοσεῖ τινα νόσον, καὶ ἰᾶται αὐτὸν ὁ Ἀσκληπιός, καὶ προστάσσει χαριστήρια τῆς ὑγείας. ὁ δὲ ποιητὴς τὸ δρᾶμα τὸ ὁμώνυμόν οἱ νέμει. θεοὶ δὲ ὑγείας μὲν οὐκ ἄν ποτε μισθὸν αἰτήσαιεν, οὐδ' ἂν λάβοιεν. ἢ πῶς ἄν, εἴγε τὰ μέγιστα ἡμῖν φρενὶ φιλανθρώπῳ καὶ ἀγαθῇ παρέχουσι προῖκα, ἥλιόν τε ὁρᾶν καὶ τοῦ θεοῦ τοῦ τοσούτου τῆς παναρκοῦς ἀμισθὶ μεταλαμβάνειν ἀκτῖνος, καὶ χρῆσιν ὕδα-

τος, καὶ πυρὸς συντέχνου μυρίας ἐπιγονὰς καὶ ποικίλας ἅμα καὶ συνεργοὺς ἐπικουρίας, καὶ ἀέρος σπᾶν, καὶ ἔχειν τροφὴν ζωῆς τὸ ἐξ αὐτοῦ πνεῦμα. ἐθέλουσι δὲ ἄρα ἐν τοῖσδε τοῖς μικροῖς μήτε ἀχαρίςους εἶναι μήτε ἀμνήμονας ἡμᾶς, καὶ ἐν τούτοις ἀμείνονας ἀποφαίνοντες. cf. v. Θεόπομπος.

οὗτος δὲ ὁ Ἀρίςαρχος σύγχρονος ἦν Εὐριπίδῃ· ὃς πρῶτος εἰς τὸ νῦν αὐτῶν μῆκος τὰ δράματα κατέςησεν. καὶ ἐδίδαξε μὲν τραγῳδίας ο', ἐνίκησε δὲ β', βιοὺς ὑπὲρ ἔτη ρ'.

c Ἀρίςαρχος. οὗτος τὴν ἐν Ἐφέσῳ μόναρχον εἶχεν ἐξουσίαν ἐκ τῶν Ἀθηνῶν ἥκων κλητός· ἐκάλουν δὲ ἄρα αὐτὸν οἱ προσήκοντες, ὅτι ἐμμελῶς τε καὶ σὺν κηδεμονίᾳ αὐτῶν ἦρξεν ἔτεσιν ε'. ὑπανέςη δὲ ἐκ τῶν Ἀθηνῶν, ὅτε Ἅρπαγος Κῦρον τὸν Καμβύσου παῖδα ἐπὶ τὴν σὺν Πέρσαις ἀπόςασιν ἐπάρας ἔτυχεν.

Ἀριςέας Δημοχάριδος ἢ Καϋςροβίου, Προκοννήσιος ἐποποιός, τὰ Ἀριμάσπεια καλούμενα ἔπη· ἔςι δὲ ἱςορία τῶν ὑπερβορέων Ἀριμασπῶν, βιβλία γ'. τοῦτον φασὶ τὴν ψυχήν, ὅτε ἐβούλετο, ἐξιέναι καὶ ἐπανιέναι πάλιν. γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, ὀλυμπιάδι ν'. ἔγραψε δὲ οὗτος καὶ καταλογάδην Θεογονίαν, εἰς ἔπη ᾳ.

a Ἀριςείδης Ἀδριανεὺς σοφιςής (Ἀδριανοὶ δὲ πόλις Μυσίας τῆς νῦν Βιθυνίας), Πολέμωνος τοῦ Σμυρναίου ῥήτορος μαθητής, υἱὸς Εὐδαίμονος φιλοσόφου τε καὶ ἱερέως γενομένου τοῦ ἐν τῇ πατρίδι αὐτοῦ ἱεροῦ τοῦ Διός· οἱ δὲ Εὐδαίμονα τὸν πατέρα αὐτοῦ γράφουσιν. ἠκροάσατο δὲ Ἡρώδου κατὰ τὰς Ἀθήνας καὶ ἐν Περγάμῳ Ἀριςοκλέους, γεγονὼς ἐπί τε Ἀντωνίνου τοῦ Καίσαρος, καὶ διατείνας μέχρι Κομόδου. τῶν δὲ λόγων αὐτοῦ παρ' οὐδενὶ πέρας εὕροι τις ἄν, ἄλλως δὲ ἄλλοις ἐπιτευχθέντας.

b Ἀριςείδης ὁ Λυσιμάχου πένης ὢν διὰ τὸν τρόπον ἄνευ ὅρκων ἐπιςεύετο. καὶ Καλλίου ποτὲ κρινομένου παρελθὼν εἶπεν "ἐμοὶ τὸν ἄνδρα χαρίσασθε" καὶ ἔτυχε. τοῦ δὲ χρυσίον ἀντιπέμψαντος παρῃτήσατο, εἰπὼν "ὁ μὲν Καλλίου βίος τῆς Ἀριςείδου χρῄζει πενίας, ἡ δὲ Ἀριςείδου πενία καταφρονεῖ τοῦ Καλλίου πλούτου." οὗτος Θεμιςοκλεῖ ποτὲ ἀντεπολιτεύσατο, συμπρεσβεύων δὲ αὐτῷ "τὴν ἔχθραν" εἶπεν "ἔσω τῶν ὁρίων ἀφῶμεν, ὁμονοῶμεν δὲ ὑπὲρ τῆς πόλεως." οὕτω δὲ ἦν δίκαιος ὡς μέλλοντος αὐτοῦ ἐξοςρακίζεσθαι ἀπὸ τῆς ἀγροικίας τις ὄςρακον αὐτῷ ἐπιδιδούς (ἠγνόει δὲ τὸν ἄνδρα) γράφειν ἠξίου τὸν ἐξοςρακισμόν, τοῦ δὲ ἐρωτήσαντος τί Ἀριςείδης αὐτὸν λυποίη, πάνυ δίκαιος ὢν ἔφη. καὶ γελάσας ὁ Ἀριςείδης ἔγραψε ψῆφον. ὁ αὐτὸς διέτριψεν ἐν Αἰγίνῃ φυγών, Ξέρξου δὲ ὡς αὐτὸν ἐν τῇ φυγῇ πρεσβευσαμένου καὶ τρισχιλίους δαρεικούς, ὅτε ἐπῄει τὴν Ἑλλάδα, διδόντος, οὐδὲν ἐπιςρέφεσθαι ἔφη τοῦ Περσικοῦ πλούτου τοιαύτῃ χρώμενος διαίτῃ· ἔτυχε δὲ οὐκ ἐπιμελῆ τὸν ἄρτον προσφερόμενος Ἀριςείδης. καὶ Μιλτιάδῃ μάλιςα ᾤκει. ἑκάτερος τούτων ἄριςος ἐγένετο· Ἀριςείδης μὲν δίκαιος, ὁ δὲ Μιλτιάδης ἐν Μαραθῶνι ἐςρατήγησε. τοῦ δὲ ἐν Μαραθῶνι πολέμου μέμνηται, διότι τὰ μὲν ἄλλα κατορθώματα κοινῇ πᾶσα ἡ Ἑλλὰς πεποίηται, τὸ δὲ ἐν Μαραθῶνι μόνοι οἱ Ἀθηναῖοι. sch. A Eq. 1322. 1331.

ἀριςεῖον τὸ τοῖς ἀριςεύσασι διδόμενον ἔπαθλον.

ἀριςερά τὰ μωρά, δεξιὰ δὲ τὰ συνετά. Σοφοκλῆς περὶ Αἴαντός φησιν ⟨Ai. 183⟩ "οὔποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριςερά, παῖ Τελαμῶνος, ἔβης."

ἀριςήσασθε γεύσασθε. ἀρίςισον δὲ διὰ τοῦ ι· Ἀριςοφάνης Ὄρνισι ⟨660⟩ "τοῦτον μὲν ἄγων μετὰ σοῦ ἀρίςισον εὖ."

ἀριςίνδην κατ' ἐκλογὴν καὶ αἵρεσιν τῶν ἀρίςων· Νόμων θ' ⟨p. 855⟩.

Ἀριςίου Κύκλωψ. μέμνηται τούτου Χαμαιλέων ἐν τῷ περὶ Σατύρων. cf. v. ἀπώλεσας.

Ἀρίςιππος Ἀριτάδου ἀπὸ Κυρήνης, a
φιλόσοφος, Σωκράτους ἀκουςής· ἀφ' οὗπερ ἡ Κυρηναϊκὴ κληθεῖσα αἵρεσις ἤρξατο. πρῶτος δὲ τῶν Σωκρατικῶν μισθοὺς ἐπράξατο. Ξενοφῶντι δὲ εἶχε δυσμενῶς. καὶ ἦν ἱκανὸς ἁρμόσασθαι καὶ χρόνῳ καὶ τόπῳ, καὶ τῶν μὲν παρόντων ἀπέλαυε καὶ ἡδονὴν μετεδίωκε, πόνῳ δὲ ἀπόλαυσιν οὐδεμίαν ἐθήρα τῶν οὐ παρόντων· ὅθεν Διογένης βασιλικὸν κύνα αὐτὸν ἐκάλει. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖςα καὶ ἄριςα. διήκουσε δὲ αὐτοῦ ἡ θυγάτηρ Ἀρήτη, ἀφ' ἧς ὁ παῖς αὐτῆς ὁ νέος Ἀρίςιππος, ὃς ἐκλήθη μητροδίδακτος. οὗ Θεόδωρος ὁ ἄθεος ἐπικληθείς, εἶτα θεός· τοῦ δὲ Ἀντίπατρος, τοῦ δὲ Ἐπιτιμίδης ὁ Κυρηναῖος, τοῦ δὲ Παραιβάτης, τοῦ δὲ Ἡγησίας ὁ πεισιθάνατος,

τοῦ δὲ Ἀννίκερις ὁ Πλάτωνα λυτρωσάμενος. cf. Diog. L. 2 65.

Ἀρίσιππος Σωκράτους ὁμιλητής, ἐν πᾶσι τὴν ἡδονὴν ἀσπασάμενος καὶ ἐπίχαρις. λέγεται δὲ ὅτι καὶ τοῦ παιδὸς αὐτῷ φέροντος ἀργύριον καὶ ἀχθομένου τῷ βάρει "τὸ βαροῦν ἀπόβαλε" ἔφη. ἐπιβουλευόμενος δὲ ἐν πλῷ δι' ἃ ἐπήγετο, εἰς τὴν θάλασσαν ἐξέβαλεν αὐτά· "ἡ γὰρ τούτων" ἔφη "ἀπώλεια ἐμοὶ σωτηρία." ἐπέσκωπτε δ' Ἀντισθένην ἀεὶ διὰ τὴν ςρυφνότητα. καὶ πρὸς Διονύσιον τὸν Σικελίας τύραννον ἐλθὼν καὶ πίνων ἐνίκα, καὶ ὀρχήσεως τοῖς ἄλλοις κατῆρξεν, ἐνδὺς ἐσθῆτα ἁλουργῆ. Πλάτων δὲ προσκομιζομένης αὐτῷ τῆς ςολῆς εἶπεν Εὐριπίδου (Bacch. 834) ἰαμβικά "οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι ςολὴν ἄρρην πεφυκὼς καὶ γένους ἐξ ἄρρενος." Ἀρίσιππος δὲ δεξάμενος καὶ γελάσας εἶπε τοῦ αὐτοῦ ποιητοῦ (Bacch. 317) "καὶ γὰρ ἐν βακχεύμασιν ὁ νοῦς ὁ σώφρων οὐ διαφθαρήσεται." ὑπὲρ φίλου δὲ ἀξιῶν καὶ μὴ τυγχάνων, τῶν ποδῶν ἥψατο καὶ ἔπεισε, καὶ "οὐ ταύτης ἐγὼ τῆς κολακείας αἴτιος" εἶπεν, "ἀλλὰ Διονύσιος ὁ ἐν γόνασι τὰς ἀκοὰς ἔχων."

Ἀριςογείτων Κυδιμάχου ἢ Λυσιμάχου, Ἀθηναῖος ῥήτωρ, μητρὸς δὲ ἀπελευθερικῆς· ὅςις ἐπεκαλεῖτο κύων διὰ τὴν ἀναίδειαν αὐτοῦ, ἐφονεύθη δὲ ὑπὸ Ἀθηναίων, λόγους ποιήσας, ἀπολογίαν πρὸς Δημοσθένην τὸν ςρατηγόν, πρὸς Λυκοῦργον, κατὰ Τιμοθέου, κατὰ Τιμάρχου, κατὰ Ὑπερίδου, κατὰ Θρασύλλου, ὀρφανικόν.

Ἀριςογείτων Σκυδίμου συκοφάντης. τούτου ὁ πατὴρ ὀφλήσας τῷ δημοσίῳ τελευτᾷ ἐν τῷ δεσμωτηρίῳ, καὶ αὐτὸς Ἀριςογείτων μετὰ ταῦτα ὡς κληρονόμος τοῦ ὀφλήματος ἐδέθη· ἡ δὲ μήτηρ ἐπράθη ὑπὸ τοῦ δήμου. ἐν δὲ τῷ δεσμωτηρίῳ κλέψας γραμματεῖον κατεγνώσθη ὑπὸ τῶν δεσμωτῶν, καὶ τὴν ῥῖνα οὗ τὸ γραμματεῖον ἔκλεψεν ἔφαγεν. καὶ Ζωβίαν ὑποδεξαμένην αὐτὸν φυγόντα, ἀξιοῦσαν εὖ παθεῖν ὅτε ἴσχυεν, ἐπὶ τὸ τοῦ μετοικίου πωλητήριον ἤγαγεν, καὶ τὴν ἀδελφὴν ἐπ' ἐξαγωγῇ πέπρακεν. Ὑπερίδην δὲ ἐγράψατο παρανόμων ἐπὶ τῷ μετὰ Χαιρώνειαν ψηφίσματι, καὶ οὐχ εἷλεν. Demosth. 25 54.

Ἀριςογένης Θάσιος ἰατρὸς ἔγραψε βιβλία κδ'· ἐκρίθη δὲ περὶ διαίτης α', περὶ δυνάμεως α', περὶ δακέτων α', περὶ σπέρματος α', ὑγιεινὸν α', ἐπιςολικά, ἐπιτομὴν φυσικῶν βοηθημάτων πρὸς Ἀντίγονον.

Ἀριςογένης Κνίδιος ἰατρός, δοῦλος b Χρυσίππου τοῦ φιλοσόφου, ἰάτρευσεν Ἀντιγόνῳ τῷ ἐπικληθέντι Γονατᾷ.

Ἀριςόδημος Ἀριςοκράτους, Κύμης τῆς a Ἰταλιώτιδος τύραννος, ἀνὴρ οὐ τῶν ἐπιτυχόντων ἕνεκα γένους· ὃς ἐκαλεῖτο μαλακὸς ὑπὸ τῶν ἀςῶν, καὶ σὺν χρόνῳ γνωριμωτέραν τοῦ ὀνόματος ἔσχε τὴν κλῆσιν, εἴθ' ὅτι θηλυδρίας ἐγένετο παῖς ὢν καὶ τὰ γυναιξὶν ἁρμόττοντα ἔπασχεν, εἴθ' ὅτι πρᾶος ἦν φύσει καὶ μαλακὸς εἰς ὀργήν. Dionys. H. 7 2.

Ἀριςόδημος ἐπιτομὴν τῆς καθόλου b Ἡρωδιανοῦ ἔγραψε πρὸς Δαναόν.

Ἀριςοκλῆς Λαμψακηνός, φιλόσοφος a ςωικός, ἔγραψεν ἐξήγησιν τῶν Χρυσίππου περὶ τοῦ πῶς ἕκαςα λέγομεν καὶ διανοούμεθα, βιβλία δ'.

Ἀριςοκλῆς Μεσσήνιος τῆς Ἰταλίας, φι- b λόσοφος περιπατητικός, συνέταξε περὶ φιλοσοφίας βιβλία ι', πότερον σπουδαιότερος Ὅμηρος ἢ Πλάτων· καταλέγει δὲ ἐν τούτοις πάντας φιλοσόφους καὶ δόξας αὐτῶν. ἔγραψε δὲ καὶ τέχνας ῥητορικάς, περὶ Σαράπιδος, ἠθικὰ βιβλία θ'. cf. v. Σωτάδας.

Ἀριςοκλῆς Περγαμηνὸς σοφιςής, γεγο- c νὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ, τέχνην ῥητορικήν, ἐπιςολάς, περὶ ῥητορικῆς βιβλία ε', μελέτας, πρὸς τὸν βασιλέα ἐπὶ τῇ διανεμήσει τοῦ χρυσίου.

Ἀριςοκράτης Ῥοδίων ςρατηγός, ὃς ἦν κατὰ τὴν ἐπιφάνειαν ἀξιωματικὸς καὶ καταπληκτικός· διόπερ ἐκ πάντων τούτων ὑπέλαβον οἱ Ῥόδιοι τελέως ἀξιόχρεων ἡγεμόνα καὶ προςάτην ἔχειν τοῦ πολέμου. διεψεύσθησαν δὲ τῶν ἐλπίδων· ἐλθὼν γὰρ εἰς τὰς πράξεις ὥσπερ ἐς πῦρ, καθάπερ τὰ κίβδηλα τῶν νομισμάτων, ἀλλοῖος ἐφάνη. Polyb. 33 9.

ἀριςοκρατία ἡ κράτησις τῶν ἀρίςων.

Ἀριςομάχη ὄνομα κύριον.

Ἀριςομένης Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας, οἳ ἦσαν ἐπὶ τῶν Πελοποννησιακῶν, ὀλυμπιάδι πζ'. ἐπεκλήθη θυροποιός.

ἄριςον περὶ ὥραν τρίτην, παρὰ τὸ εἰς ἀριςείαν προέρχεσθαι. καὶ ἔςιν ἐν τῷ δεῖπνον.

Ἀριςόνικος Ἀλεξανδρεὺς γραμματικὸς a ἔγραψε περὶ τῶν σημείων τῶν ἐν τῇ θεογο-

νίᾳ Ἡσιόδε καὶ τῶν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας, ἀσυντάκτων ὀνομάτων βιβλία ς′. cf. v. Πτολεμαῖος Ἀριςονίκου.

b Ἀριςόνικος ὁ τοῦ Πτολεμαίε τε̃ βασιλέως Αἰγύπτου εὐνοῦχος μὲν ἦν, ἐκ παιδίε δ' ἐγεγόνει σύντροφος τῷ βασιλεῖ, τῆς δ' ἡλικίας προβαινούσης ἀνδρωδεςέραν εἶχεν ἢ κατ' εὐνοῦχον τόλμαν καὶ προαίρεσιν· καὶ γὰρ φύσει ςρατιωτικὸς ἦν καὶ τὴν πλείςην διατριβὴν ἐποιεῖτο ἐν τούτοις καὶ περὶ ταῦτα. παραπλησίως δὲ καὶ κατὰ τὰς ἐντεύξεις ἱκανὸς ὑπῆρχε, καὶ τὸν κοινὸν νε̃ν εἶχεν, ὃ σπάνιόν ἐςι. πρὸς δὲ τούτοις πρὸς εὐεργεσίαν ἀνθρώπων ἐπεφύκει καλῶς. Polyb. 23 17.

ἀριςονομία ἡ διανομὴ τῶν ἀρίςων.

a Ἀριςόξενος Κυρηναῖος, ὅςις ὑπὸ τῆς ἀνυπερβλήτου τρυφῆς τὰς ἐν τῷ κήπῳ θρίδακας οἰνομέλιτι ἑσπέρας ἐπότιζε, καὶ χλωροὺς πλακοῦντας ἔλεγεν ἀναπέμπεσθαι αὐτῷ. Athen. p. 7.

b Ἀριςόξενος υἱὸς Μνησίε τε̃ καὶ Σπινθάρε, μουσικε̃, ἀπὸ Τάραντος τῆς Ἰταλίας. διατρίψας δὲ ἐν Μαντινείᾳ φιλόσοφος γέγονε, καὶ μουσικῇ ἐπιθέμενος οὐκ ἠςόχησεν, ἀκουςὴς τοῦ τε πατρὸς καὶ Λάμπρου τοῦ Ἐρυθραίε, εἶτα Ξενοφίλε τοῦ Πυθαγορείε, καὶ τέλος Ἀριςοτέλους, εἰς ὃν ἀποθανόντα ὕβρισε, διότι κατέλιπε τῆς σχολῆς διάδοχον Θεόφραςον, αὐτοῦ δόξαν μεγάλην ἐν τοῖς ἀκροαταῖς τοῖς Ἀριςοτέλους ἔχοντος. γέγονε δὲ ἐπὶ τῶν Ἀλεξάνδρου καὶ τῶν μετέπειτα χρόνων, ὡς εἶναι ἀπὸ τῆς ριά ὀλυμπιάδος, σύγχρονος Δικαιάρχῳ τῷ Μεσσηνίῳ. συνετάξατο δὲ μουσικά τε καὶ φιλόσοφα καὶ ἱςορίας καὶ παντὸς εἴδους παιδείας· καὶ ἀριθμοῦνται αὐτοῦ τὰ βιβλία εἰς υνγ′.

a Ἀριςοτέλης υἱὸς Νικομάχου καὶ Φαιςιάδος (ὁ δὲ Νικόμαχος ἰατρὸς ἦν τοῦ τῶν Ἀσκληπιαδῶν γένους, ἀπὸ Νικομάχου τοῦ Μαχάονος) ἐκ Σταγείρων πόλεως τῆς Θρᾴκης, φιλόσοφος, μαθητὴς Πλάτωνος, τραυλὸς τὴν φωνήν. καὶ ἀδελφὰς μὲν ἔσχεν Ἀρίμνηςον καὶ Ἀριμνήςην, θυγατέρα δὲ ἀπὸ Πυθιάδος τῆς θυγατρὸς Ἑρμείε τε̃ εὐνέχε, ὃς καὶ θλαδίας ὢν αὐτὴν ἔσπειρε. γημαμένη δὲ τρισὶν ἡ Ἀριςοτέλους θυγάτηρ, τεκνώσασα προετελεύτησεν Ἀριςοτέλους τοῦ πατρός. ἔσχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρπυλλίδος παλλακῆς, ἣν ἠγάγετο μετὰ Πυθιάδα παρ' Ἑρμείε τοῦ εὐνούχου, ὅςις ἦν ἄρχων Ἀταρνέως· χώρα δὲ αὕτη Τρωάδος, Εὐβούλε δὲ τοῦ Βιθυνε̃ δοῦλος γεγονὼς ἔλαβε, καὶ αὐτοῦ Ἑρμείου παιδικὰ γενομένου Ἀριςοτέλους. ἦρξε δὲ ἔτη ιγ′ τῆς περιπατητικῆς κληθείσης φιλοσοφίας διὰ τὸ ἐν περιπάτῳ ἤτοι κήπῳ διδάξαι ἀναχωρήσαντα τῆς Ἀκαδημείας, ἐν ᾗ Πλάτων ἐδίδαξεν. ἐγεννήθη δὲ ἐν τῇ ϟθ′ ὀλυμπιάδι, καὶ ἀπέθανεν ἀκόνιτον πιὼν ἐν Χαλκίδι, διότι ἐκαλεῖτο πρὸς εὐθύνας, ἐπειδὴ ἔγραψε παιᾶνα εἰς Ἑρμείαν τὸν εὐνε̃χον. οἱ δέ φασι νόσῳ αὐτὸν τελευτῆσαι βιώσαντα ἔτη ο′.

b Ἀριςοτέλης. Τίμαιός φησι κατὰ Ἀριςοτέλες εἶναι αὐτὸν εὐχερῆ θρασὺν προπετῆ, ἀλλ' οὐ σοφιςὴν ὀψιμαθῆ καὶ μισητὸν ὑπάρχοντα, καὶ τὸ πολυτίμητον ἰατρεῖον ἀποκεκλεικότα, καὶ πρὸς πᾶσαν αὐλὴν καὶ σκηνὴν ἐμπεπηδηκότα, πρὸς δὲ γαςρίμαργον ὀψαρτυτήν, ἐπὶ ςόμα φερόμενον ἐν πᾶσι. δοκεῖ δή μοι τὰ τοιαῦτα μόλις ἄνθρωπος ἀγύρτης καὶ προπετὴς ἐπὶ δικαςηρίε ῥιψολογῶν ἀντικτὸς φανῆναι. Polyb. 12 9.

ὅτι Ἀριςοτέλης τῆς φύσεως γραμματεὺς ἦν, τὸν κάλαμον ἀποβρέχων εἰς νοῦν· ὃν οὐδὲν ἴσως ἐχρῆν τῶν χρησίμων, εἰ καὶ τεχνικώτερόν ἐςι καὶ περιττότερον ἐξειργασμένον, παραιτεῖσθαι. καὶ Ἀριςοτέλειος λόγος.

ἀριςοτόκεια (Tryphiodor. 401) ἡ ἀρίςους γεννῶσα.

a Ἀριςοφάνης Βυζάντιος γραμματικός, υἱὸς Ἀπελλοῦ ἡγουμένου ςρατιωτῶν, μαθητὴς Καλλιμάχου καὶ Ζηνοδότου· ἀλλὰ τοῦ μὲν νέος τοῦ δὲ παῖς ἤκουσε, πρὸς δὲ τούτοις καὶ Διονυσίου τοῦ Ἰάμβου καὶ Εὐφρονίδα τοῦ Κορινθίου ἢ Σικυωνίου. γέγονε δὲ κατὰ τὴν ρμδ′ ὀλυμπιάδα.

βασιλεύοντος Πτολεμαίε τοῦ φιλαδέλφε καὶ τοῦ μετ' αὐτὸν τοῦ φιλοπάτορος· καὶ προέςη τῆς τοῦ βασιλέως βιβλιοθήκης μετὰ Ἀπολλώνιον, ἔτος ἄγων ξβ′. διασκευασθεὶς δὲ ὡς βελόμενος πρὸς Εὐμενῆ φυγεῖν, ἐφυλάχθη ἐν εἱρκτῇ χρόνον τινά. ἠφείθη δὲ καὶ ὑπὸ ςραγγουρίας τελευτᾷ, ἔτη βεβιωκὼς οζ′. συγγράμματα δὲ αὐτοῦ πάνυ πολλά.

b Ἀριςοφάνης Ῥόδιος ἤτοι Λίνδιος (οἱ δὲ Αἰγύπτιον ἔφασαν, οἱ δὲ Καμιρέα), θέσει δὲ Ἀθηναῖος (ἐπολιτογραφήθη γὰρ παρ' αὐτοῖς), κωμικός, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ τὴν ριδ′ ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρε καὶ ὀκταμέτρε, παῖδας σχὼν Ἀραρότα Φίλιππον Φιλέταιρον κωμι-

νής. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱσορήκασι. δράματα δὲ αὐτοῦ μδ΄· ἅπερ δὲ πεπράχαμεν Ἀρισοφάνους δράματα, ταῦτα, Ἀχαρνῆς Βάτραχοι Εἰρήνη Ἐκκλησιάζουσαι Θεσμοφοριάζουσαι Ἱππεῖς Λυσιςράτη Νεφέλαι Ὄρνιθες Πλοῦτος Σφῆκες.

ἀρισόχειρ ὁ γενναῖος περὶ τὰ ἀριςεῖα. καὶ ἀρισόχειρ ἀγών (sch. S Ai. 935).

Ἀρίςρατος ὄνομα κύριον.

Ἀρίςυλλος αἰσχροποιὸς ἦν. Ἀριςοφάνης (Eccl. 642) "τοῦτ᾽ ἤδη δεινὸν ἀκοῦσαι, εἴ σε φιλήσειεν Ἀρίςυλλος, φάσκων αὐτοῦ πατέρ᾽ εἶναι." καὶ Ἀρίςυλλος κεχηνώς· Ἀριςοφάνης (Plut. 314) "σὺ δ᾽ Ἀρίςυλλος ὑποχάσκων ἐρεῖς, ἕπεσθε μητρὶ χοῖροι." οὗτος αἰσχροποιός, ὃς διὰ τὴν αἰσχρουργίαν αὐτῷ ἀεὶ κεχήνει.

Ἀρίςων ὁ Πλάτωνος πατήρ. "τῶν τε Πλάτωνος τῶ Ἀρίςωνος ἀναπέπλησαι δογμάτων, καὶ οὔτε ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἄν, ἐν ᾧ καὶ σφόδρα γραμμικῇ θεωρίᾳ πεποίηται καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις, οὔτε ὁ Φαίδων οὔτε ὁ Γοργίας, οὐμενοῦν οὐδὲ ἄλλος τις τῶν γλαφυρῶν καὶ ἀγκυλωτέρων διαλόγων, ὁποῖος ὁ Παρμενίδης."

Ἀρισώνυμος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐςὶν Ἥλιος ῥιγῶν, ὡς Ἀθήναιος ἐν Δειπνοσοφιςαῖς (p. 284 et 287).

Ἀριφράδης. οὗτος λοιδορεῖται ἀεὶ γυναιξὶ συνών, κιθαρῳδὸς δὲ ἦν. Ἀριςοφάνης (Eq. 1281) "Ἀριφράδης πονηρός. ἀλλὰ τῦτο μὲν καὶ βούλεται. ἔςι δ᾽ οὐ μόνον πονηρός (οὐ γὰρ ὀδ᾽ ἂν ᾐσθόμην) ὀδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξεύρηκέ τι· τὴν γὰρ αὐτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται." τουτέςι τὸ αἰδοῖον τῶ ἀνθρώπω καὶ τὸ σπέρμα. Ἀριφράδης δὲ Πολύμνηςος καὶ Οἰώνιχος ἑρητοποιοί. καὶ Πολυμνήςεια καὶ αὐτὴ κωμῳδεῖται ἐπ᾽ αἰσχρότητι. "εἴ τις οὖν τοιῦτον ἄνδρα μὴ σφόδρα φυλάττεται, μήποτ᾽ ἐκ τοὐτοῦ μεθ᾽ ἡμῶν πίεται ποτηρίω." καὶ αὖθις (Eccl. 129) "Ἀρίφραδες, παῦσαι ληρῶν."

Ἀρίων Μηθυμναῖος λυρικός, Κυκλέως υἱός, γέγονε κατὰ τὴν λή ὀλυμπιάδα. τινὲς δὲ καὶ μαθητὴν Ἀλκμᾶνος ἱςόρησαν αὐτόν. ἔγραψε δὲ ᾄσματα, προοίμια εἰς ἔπη β΄. λέγεται καὶ τραγικοῦ τρόπυ εὑρετὴς γενέσθαι, καὶ πρῶτος χορὸν στῆσαι καὶ διθύραμβον ᾆσαι, καὶ ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τῶ χοροῦ, καὶ Σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας. φυλάττει δὲ τὸ ω καὶ ἐπὶ γενικῆς.

Ἀρκάδας μιμούμενοι, παροιμία ἐπὶ τῶν ἑτέροις πονέντων· οἱ γὰρ Ἀρκάδες μαχιμώτατοι Ἑλλήνων γενόμενοι ἰδίᾳ μὲν οὐδένα ἐνίκησαν, ἑτέροις δὲ συμμαχῶντες πολλούς. ταύτῃ δὲ τῇ παροιμίᾳ κέχρηται Πλάτων ἐν Πεισάνδρῳ· διὰ γὰρ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν, Ἀρκάδας μιμεῖσθαι ἔφη. Ἀρκὰς οὖν Ἀρκάδος Ἀρκάδι.

Ἀρκαδία χώρα, καὶ ὄνομα κύριον. ὅτι Ἀρκαδίας τῆς δευτέρας γυναικὸς Ζήνωνος ςήλη ἐςὶν ἐν Ἀρκαδιαναῖς, ἐν τοῖς πλησίον μέρεσι τῶν βάθρων τῶν λεγομένων Τόπιων, ἐν τῷ τοῦ ἀρχιςρατήγυ, ἔνθα Ζήνων ἔκρινε τοὺς μετὰ Βασιλίσκυ, καὶ Σέκρετον τὸν τόπον ἐποίησεν. τῆς δὲ ἑτέρας αὐτοῦ γυναικὸς πρώτης Ἀριάδνης καὶ αὐτοῦ Ζήνωνος ἐν τῇ βασιλικῇ πύλῃ (Codin. orig. CP p. 19). καὶ παροιμία (Herodot. 1 66) "Ἀρκαδίην μ᾽ αἰτεῖς; μέγα μ᾽ αἰτεῖς· ὃ τοι δώσω," ἐπὶ τῶν τὰ μεγάλα καὶ μὴ συμφέροντα αἰτούντων.

Ἀρκάδιος γραμματικὸς Ἀντιοχεὺς ἔγραψε περὶ ὀρθογραφίας, περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν, ὀνοματικὸν θαυμάσιον.

Ἀρκαῖος ὄνομα κύριον.

ἀρκεῖν βοηθεῖν· "γέγονε γὰρ οὗτος οὐδαμῶς εὐκαταφρόνητος, ἀλλ᾽ ἱκανὸς ἀρκεῖν (an ἄρχειν) καὶ προςατεῖν πραγμάτων."

ἄρκειος κεφαλή, καὶ ἄρκειον κρέας. ἄρκιον δὲ τὸ ἱκανὸν καὶ ὠφέλιμον.

Ἀρκεσίλαος ὄνομα κύριον, φιλόσοφος. καὶ ἔςιν ἐν τῷ φημί.

ἀρκούντως ἔχειν (Thuc. 6 100) ἀπηρτισμένως εἶναι.

ἄρκου παρούσης τὰ ἴχνη ζητεῖς, ἐπὶ τῶν τὰ παρόντα ζητεῖν προσποιεμένων.

ἀρκτέον δεῖ ἄρχεσθαι.

ἀρκτεῦσαι. Λυσίας τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένους τῇ Ἀρτέμιδι ἀρκτεύειν ἔλεγε· καὶ γὰρ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, ὡς Εὐριπίδης καὶ Ἀριςοφάνης δηλοῖ. Harp.

Ἀρκτῖνος Τήλεω τοῦ Ναύτεω ἀπόγονον, Μιλήσιος ἐποποιός, μαθητὴς Ὁμήρου, ὡς λέγει ὁ Κλαζομένιος Ἀρτέμων ἐν τῷ περὶ Ὁμήρου, γεγονὼς κατὰ τὴν θ΄ ὀλυμπιάδα, μετὰ τετρακόσια ἔτη τῶν Τρωικῶν.

ἄρκτος τὸ ζῷον καὶ τὸ ἀεικίνητον ἄςροθέτημα. ἀρκτοῦρος δὲ λέγεται καὶ αὐτὸς

ὅλος ὁ Βοώτης, ἰδίως δὲ καὶ ὁ ὑπὸ τὴν ζώνην αὐτȣ̃ ἀςήρ. καὶ ἀρκτῷος ὁ ἀνατολικός.

ἄρκτος ἢ Βραυρωνίοις ⟨A Lys. 646⟩. ἀρκτευόμεναι γυναῖκες τῇ Ἀρτέμιδι ἑορτὴν ἐτέλουν, κροκωτὸν ἠμφιεσμέναι, οὔτε πρεσβύτεραι ι' ἐτῶν ὄτε ἐλάττους ε', ἀπομειλισσόμεναι τὴν θεόν, ἐπειδὴ ἄρκτος ἀγρία ἐπιφοιτῶσα διέτριβεν ἐν τῷ δήμῳ Φιλαϊδῶν· καὶ ἡμερωθεῖσαν αὐτὴν τοῖς ἀνθρώποις σύντροφον γινέσθαι, παρθένον δέ τινα προσπαίζειν αὐτῇ, καὶ ἀσελγαινούσης τῆς παιδίσκης παροξυνθῆναι τὴν ἄρκτον καὶ καταξέσαι τῆς παρθένου· ἐφ' ᾧ ὀργισθέντας τὰς ἀδελφὰς αὐτῆς κατακοντίσαι τὴν ἄρκτον, καὶ διὰ τȣ̃το λοιμώδη νόσον τοῖς Ἀθηναίοις ἐμπεσεῖν. χρηςηριαζομένοις δὲ αὐτοῖς εἶπε λύσιν τῶν κακῶν ἔσεσθαι, εἰ τῆς τελευτησάσης ἄρκτου ποινὰς ἀρκτεύειν τὰς ἑαυτῶν παρθένȣς ἀναγκάσουσι. καὶ ἐψηφίσαντο οἱ Ἀθηναῖοι μὴ πρότερον συνοικίζεσθαι ἀνδρὶ παρθένον, εἰ μὴ ἀρκτεύσειε τῇ θεῷ.

ἄρκυς τὸ θηρευτικὸν δίκτυον, τὰ λίνα ἃ ἱςᾶσι πρὸς ἄγραν τῶν λεόντων, παρὰ τὸ ἕλκω, τροπῇ τȣ̃ λ εἰς ρ, ἢ παρὰ τὸ ἀγρεύειν, ἢ παρὰ τὸ εἴργειν τὸ κωλύειν. τοῦ δὲ ἄρκυς ἐκτείνεται ἡ ὑςέρα συλλαβή, ὁμοίως ἐπί τε τῆς ὀρθῆς καὶ τῆς αἰτιατικῆς πτώσεως· αἱ ἄρκυς γὰρ καὶ τὰς ἄρκυς. καὶ ἀρκυωρός ὁ φύλαξ ὁ τὰς ἄρκυς, τουτέςι τὰ λίνα, φυλάττων· ἔςι δὲ ταῦτα τὰ κυνηγετικὰ πάντα λίνα. καὶ ἀρκυωρεῖν τὰς ἄρκυς τηρεῖν, αἵ εἰσι θηρευτικὰ λίνα.

ἀρκῶ, δοτικῇ, ἰσχύω, ὑπομεῖναι δύναμαι· ⟨S El. 184⟩ "ὁ πολὺς ἤδη βίοτος ἀπολέλοιπεν, οὐδ' ἔτ' ἀρκῶ."

Ἅρμα τόπος τῆς Ἀττικῆς. καὶ παροιμία "ὅταν δι' Ἅρματος ἀςράψῃ" ἐπὶ τῶν χρονίως γινομένων. cf. Strabo p. 404.

Ἀρμαθαίμ τόπος. Herodian. Epimer. p. 106.

ἁρμαλιά ἡ τροφή· ⟨AP 6 302⟩ "ὧν ἄπο πλειοτέρην οἴσεαι ἁρμαλιήν."

ἁρμάτειος τροχός. ἁρμάτειος δὲ νόμος καὶ ἁρμάτειον μέλος, ἀπὸ ἅρματος.

ἁρματηλάτης ὁ ἡνίοχος.

Ἁρμάτιος. οὗτος μέγιςον ἴσχυσε παρὰ τῇ Ζηνωνίδι τῇ βασιλίσσῃ καὶ αὐτῷ Βασιλίσκῳ, ἐσφάγη δὲ ὑπὸ Ζήνωνος τοῦ βασιλέως, καὶ ὑπερήσθησαν οἱ πολῖται τῇ τȣ́τȣ σφαγῇ· ἐπὶ γὰρ Λέοντος πρὸς τοὺς ςασιάζοντας ὅσους λάβοι τῶν Θρᾳκῶν τὰς χεῖρας ἐκτέμνων ἀπέπεμπεν. Ὀνόουλφος δὲ αὐτὸν διεχρήσατο, ὅντινα ὁ Ἁρμάτιος πένητα καὶ ἄρτι ἐκ βαρβάρων ἥκοντα προσλαβὼν φιλοφρόνως τὸ μὲν πρῶτον κόμητα ἐποίησεν, ἔπειτα καὶ ςρατηγὸν Ἰλλυριῶν, καὶ εἰς ἑςίασιν ἔχειν πολὺν ἄργυρον παρέσχεν. ἀντέδωκε δὲ τούτῳ τὴν βαρβαρικὴν ἀπιςίαν μετὰ χειρὸς μιαιφόνου. Malchus p. 274 Nieb.

Ἁρμάτος. ὅτι Βασιλίσκος ὁ βασιλεὺς ἐπείπερ ὡς συγγενεῖ τῷ Ἁρμάτῳ ἀδεῶς ἐπέτρεπεν ἐντυγχάνειν Ζηνωνίδι τῇ βασιλίδι, τριβομένης σφίσι τῆς ὁμιλίας καὶ τοῦ κάλλους αὐτῶν οὐκ εὐπαροδεύτου ὄντος, ἄμφω ἀλλήλων ἐκτόπως ἤρων. ῥίψεις ἂν ὀμμάτων ἐπ' ἀλλήλους ἐγίνοντο καὶ παρεκςροφαὶ συνεχεῖς προσώπων καὶ μειδιαμάτων μεταδόσεις, πόνος τε μετὰ ταῦτα ἔρωτος ὑπ' ὄψιν ςεγομένου. ἐπεὶ δὲ κοινωσάμενοι τὸ πάθος Δανιὴλ εὐνούχῳ καὶ Μαρίᾳ μαίᾳ ἰάσαντο τȣ̃το μόλις τῇ τῆς μίξεως ἰατρείᾳ, Ζηνωνὶς Βασιλίσκον διὰ θωπείας ἦγε τȣ̃ τὸν ἐραςὴν ἔχειν ἐν τῇ πολιτείᾳ τὰ πρωτεῖα. ὁρῶν δὲ Θεοδώριχος τιμώμενον ἐκ πάντων Ἁρμάτον, ἤσχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέȣ τρυχῶν μόνον καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας. ὁ δ' Ἁρμάτος ἔκ τε φορᾶς χρημάτων καὶ τιμῆς ἀπλέτȣ τυφωθεὶς οὐδένα αὐτοῦ ᾤετο διοίσειν ἐπ' ἀνδρείᾳ. καὶ τοσοῦτον αὐτȣ̃ ἦδε ἡ ἄλη ἐκράτει ὡς σκευὴν ἀναλαμβάνειν Ἀχιλλέως, οὕτω τε περιβαίνειν εἰς ἵππον, καὶ κατὰ τὸν ἱππόδρομον φρυάττεσθαι τοῦ οἴκȣ. ἐξῆρε δὲ τȣ̃τον πλείω πρὸς τοιαύτην δόξαν μαίνεσθαι τὸ ὑπὸ δήμου σύρφακος ἐν εὐφημίαις ἀνακαλεῖσθαι Πύρρον. ὃς εἰ μὲν οὕτως ἐβόα διὰ τὸ ἐρυθροπρόσωπον εἶναι, ἔλεγεν εἰκότα, εἰ δ' ὡς πρὸς ἔπαινον ἀνδρείας, ἔθελγεν ὡς νέον· οὐ γὰρ ἥρωας ἔβαλλεν ὡς Πύρρος, ἀλλὰ γυναιμανὴς ἦν ὡς Πάρις. Malchus p. 272 Nieb.

ἁρματωλία ἡ τῶν ἁρμάτων ἡνιοχεία· ⟨A Pac. 415⟩ "καὶ τȣ̃ κύκλου παρέτραγον ὑφ' ἁρματωλίας," ἀντὶ τοῦ φειδόμενοι τῶν ἁρμάτων αὐτῶν. ἁρματροχία δὲ ἡ ἐγχάραξις τοῦ ἅρματος. ἔςι καὶ ἁματροχία.

ἅρμενα ἁρμόδια, ἐπιτήδεια· ἐν ἐπιγράμματι ⟨AP 6 14⟩ "Πανὶ τάδ' αὔθαιμοι τρισσοὶ θέσαν ἅρμενα τέχνας." καὶ ἅρμενον τὸ ἱςίον.

ἁρμογή εὐταξία· "μαθόντες δὲ τὴν τῶν πολεμίων ἁρμογὴν τῆς πορείας."

ἁρμογή, ὡς ἡμεῖς, Εὔπολις Αἰξί· "ταύτην ἐγὼ ἐζήτουν πάλαι τὴν ἁρμογήν."

ἁρμόδιοι ἀρεστοί. καὶ παροιμία "Ἁρμοδίου μέλος" ἐπὶ τῶν δυσκόλων· τὰ γὰρ εἰς Ἁρμόδιον μέλη τοιαῦτά ἐστιν. Ἁρμόδιος καὶ Ἀριστογείτων ἐπέθεντο τοῖς τυράννοις, καὶ τὸν Ἱππίαν ἀπέκτειναν Ἀθηναῖοι. cf. v. πάροινος.

ἁρμοζόμενος ἐπιτηδείως διατιθέμενος· "ὁ δὲ νυκτὸς ἐποίει τὰς εἰσόδους ἁρμοζόμενος πρὸς τὴν ὑποκειμένην πρόθεσιν" ⟨Polyb. 8 20⟩.

ἁρμοῖ που ἀρτίως, νεωστί. οὕτω Καλλίμαχος ἐν Ἑκάλῃ· "ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχεν ἁβρὸς ἴουλος."

ἁρμονίαν τὸ εὖ καὶ ἐπισταμένως εἶναι τὴν πυρὰν ἐν τοῖς κρούμασι τῶν ᾀσμάτων. sch. A Eq. 990.

ὅτι ἡ ἁρμονία ἐπιγίνεται τοῖς ἡρμοσμένοις· δεῖ γὰρ εἶναι τὰς χορδάς, εἶτα τοιῶσδε ἐπιταθῆναι, καὶ οὕτως ἐπιγενέσθαι τὴν ἁρμονίαν. οὐ μάχεται δὲ τοῖς ἡρμοσμένοις ἀλλ' ἕπεται, οὕτως ἔχουσα ὡς ἂν ἔχῃ τὰ ἡρμοσμένα. ἔστι δὲ ἁρμονία συμφωνία τῶν χορδῶν. ἀναρμοστία δέ ἐστι τοῦ ἐμψύχου σώματος νόσος καὶ ἀσθένεια καὶ αἶσχος, ὧν τὸ μὲν ἀσυμμετρία ἐστὶ τῶν στοιχείων ἡ νόσος, τὸ δὲ τῶν ὁμοιομερῶν ἡ ἀσθένεια, τὸ δὲ τῶν ὀργανικῶν τὸ αἶσχος. ἁρμονία δέ ἐστι λόγος τῶν μιχθέντων ἢ σύνθεσις. λέγεται δὲ διχῶς. κατὰ πρῶτον μὲν λόγον ἡ σύνθεσις τῶν σωμάτων, ὅταν οὕτω παρατεθῇ ὡς μὴ δύνασθαι ἄλλον ἐμβληθῆναι μεταξὺ λίθον ἤ τι τῶν συγγενῶν βαρέων σωμάτων. ἐκ δὲ τούτων μεταφέρομεν τὸ τῆς ἁρμονίας ὄνομα καὶ ἐπὶ τὸν λόγον τῶν μεμιγμένων, οἷον ἔν τε τοῖς κεκραμένοις καὶ ἐν τοῖς κατὰ μουσικήν· τὸν γὰρ λόγον τῶν μιχθέντων τὸν ἡμιόλιον ἢ τὸν ἐπίτριτον ἤ τινα ἄλλον λέγομεν ἐκ τῶν συνθέτων κατὰ μεταφορὰν ἁρμονίαν. κατὰ δὲ λόγον ἡ ἁρμονία ἐπὶ τῆς παραθέσεως λέγεται, ἐπειδὴ γνωριμωτέρα ἡμῖν ἐστίν. οὔτε σύνθεσιν οὖν οὔτε μῖξιν εὔλογον ποιεῖν τὴν ψυχήν. Philopon. in 1 de anima E.

ἐπὶ οὖν τῶν ποιητικῶν δεῖ καὶ ποιᾶς ὕλης ἤγουν οὐσίας· ἄλλως γὰρ χαλκὸς ἠχεῖ καὶ ἄλλως σίδηρος καὶ ἄλλως μόλυβδος καὶ ξύλον. διὸ καὶ τὰ ὀξύβαφα εἰώθασιν ἐκ διαφόρου κατασκευάζειν ὕλης, ἵνα τῇ διαφορᾷ τῶν ἀπηχήσεων τὴν ἁρμονίαν ἀποτελέσωσιν. ἡ γὰρ ἁρμονία πολυμιγέων ἐστὶ καὶ δίχα φρονεόντων ἕνωσις. διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γενέσθαι ψόφον.

ἁρμονίαι δὲ λέγονται καὶ τὰ συμπησσόμενα τῶν κραβάτων μέρη· "τῶν ἁρμονιῶν διαχασκουσῶν." τροπικῶς δὲ τὰ ποιήματα. Ἀριστοφάνης ⟨Eq. 530⟩.

Ἁρμονίδης ὄνομα κύριον.

ἁρμοσταί οἱ ἀπὸ βασιλέως στελλόμενοι εἰς ἔθνη· "οἱ δὲ Φαλίσκοι οὐδενὶ προσεῖχον τῶν ἐπιχωρίων ἁρμοστῇ, πάντας ὑφορώμενοι." ἁρμοσταὶ οὖν οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι. cf. v. ἐπίσκοπος.

ἁρμόττων, δοτικῇ, συνάπτων. καὶ ἁρμόζων δοτικῇ.

Ἀρναῖος ⟨Hom. σ 5⟩ ὄνομα κύριον.

ἀρνακίδα. ἀρνακὶς τὸ τοῦ ἀρνὸς κώδιον, τὸ μετὰ τῶν ἐρίων δέρμα. Ἀριστοφάνης Νεφέλαις ⟨727⟩ "οἴμοι, τίς ἂν δῆτ' ἐπιβάλοι ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα;" ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι, παρονομάσας ἀπὸ τῶν ἀρνῶν καὶ τοῦ ἀρνεῖσθαι. τὸ δὲ ἀποστερητρίδα ἅμα μὲν ἀπὸ τοῦ ἀποστερεῖν τοὺς δανειστάς, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον. cf. v. ἀποστερητρίδα.

ἀρνευτήρ κυβιστητήρ.

Ἄρνη πόλις Βοιωτίας ⟨Hom. B 507⟩.

ἀρνίον σοι λελάληκεν. ἐν Αἰγύπτῳ, ὥς φασιν, ἀνθρωπείᾳ φωνῇ ἐλάλησεν. εὑρέθη δὲ ἔχον βασίλειον δράκοντα ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ πτερωτόν, ἔχοντα μῆκος πήχεων δ', καί τινι λελάληκε τὰ μέλλοντα.

Ἄρνουφις. οὗτος Αἰγύπτιος ἦν φιλόσοφος, ὃς συνὼν Μάρκῳ τῷ βασιλεῖ Ῥωμαίων τῷ φιλοσόφῳ, δίψει ποτὲ καμνόντων τῶν Ῥωμαίων, ἐξαίφνης ποιῆσαι νέφη τε ἀγερθῆναι ζοφώδη καὶ ὄμβρον ἀφεῖναι λάβρον ἅμα βρονταῖς τε καὶ σέλασιν ἐπαλλήλοις· καὶ τοῦτο σοφίᾳ τινὶ ἐργάσασθαι Ἄρνουφιν. οἱ δέ φασιν Ἰουλιανὸν τὸν Χαλδαῖον τοῦτο πεποιηκέναι τὸ θαυμάσιον.

ἀρνυμένη ἀντικαταλλάσσουσα· ⟨AP 6 174⟩ "ζώειν γὰρ δίχα παντὸς ὀνείδεος ἤθελ' ἑκάστα, ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον." καὶ ἄρνυσθαι ἀντὶ τοῦ καταλλάσσεσθαι, ὅθεν καὶ τὸ μισθαρνεῖν τὸ μισθὸν ἀντί τινος λαμβάνειν λέγεται. λαμβάνεται δὲ ἀντὶ τοῦ περιποιούμενος καὶ ἀντὶ τοῦ φυλάττων· οὕτω Πλάτων ⟨Leg. 12 p. 944 C⟩.

ἄρομα τὸ ἀροτρίασμα, *ἄρωμα* δὲ διὰ τοῦ ω μεγάλου τὸ μυρεψικόν. καὶ *ἀρόσιμον κλίμα* τὸ ἀροτριούμενον.

ὅτι ἡ *ἄρουρα* πόδας ἔχει ν'.

ἀρουραία μάντις, ἐπὶ τῶν νωθρῶν καὶ ἀπράκτων. ἔςι δὲ ἀκρὶς δυσκίνητος χλωρά, καλουμένη μάντις, ἧς τινὲς προσέχοντες ταῖς κινήσεσι μαντεύονται.

ἀροῦσιν ἐπάρωσιν, ὑψώσουσιν.

ἁρπάζω αἰτιατικῇ.

ἁρπαλέος ὁ ἐπιθυμητικός. καὶ *Ἁρπάλεια χρήματα.*

Ἁρπάληξ ὄνομα κύριον.

ἁρπαςόν καὶ *σφαῖρα* εἴδη παιδιᾶς. Artemid. 1 55.

ἁρπεδόνες τὰ σχοινία. *ἁρπεδόνη* ἡ διὰ σπάρτου θήρα· ἐν ἐπιγράμματι ⟨AP 5 194⟩ "καὶ πολλοὺς ὀιςοὺς τόξου πορφυρέης ἧκεν ἀφ' ἁρπεδόνης."

ἁρπεδόσι τοῖς ἱςοῖς. ⟨AP 6 206⟩ "καλύπτειραν δὲ προσώπου, ἔργον ἀραχναίοις νήμασιν ἰσόμορον," καὶ αὖθις ⟨AP 6 207⟩ "τὸ δὲ προκάλυμμα προσώπου τευχθὲν ἀραχναίης εἴκελον ἁρπεδόσιν."

ἅρπη τὸ δρέπανον, καὶ κλίνεται ἅρπης· *ἅρπις* δὲ διὰ τοῦ ι τὸ ὑπόδημα, καὶ κλίνεται ἅρπιδος. καὶ *ἁρπηφόρος* ὁ δρεπανηφόρος. καὶ *ἁρπήνη.*

Ἁρπήνουσα ὄνομα νήσου.

Ἁρποκρᾶς. οὗτος συνήθης ἦν Ἀμμωνίῳ, ἀνὴρ Αἰγύπτιος, γραμματικός, ἐπὶ Ζήνωνος τοῦ βασιλέως· ὃν ἀκούσας ὁ Νικομήδης τὰ ἀμφὶ τὸν Ἀμμώνιον ἐπίςασθαι συλλαβεῖν ἠπείγετο. ὁ δὲ τὰ μέλλοντα ἀπ' ἀρχῆς εἰκάσας ἢ καὶ προπυθόμενος εὐθὺς ἀφανὴς ἐγεγόνει. cf. v. Ὡραπόλλων.

a *Ἁρποκρατίων* ὁ Αἴλιος χρηματίσας, σοφιςής, ἔγραψε περὶ τῶν δοκούντων τοῖς ῥήτορσιν ἠγνοῆσθαι, καὶ ὑποθέσεις τῶν λόγων Ὑπερίδου, περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου ἱςορίαν, περὶ τῶν παρὰ Ξενοφῶντι τάξεων, περὶ τέχνης ῥητορικῆς, περὶ ἰδεῶν.

b *Ἁρποκρατίων* Ἀργεῖος, Πλατωνικὸς φιλόσοφος, συμβιωτὴς Καίσαρος, ἔγραψεν ὑπόμνημα εἰς Πλάτωνα ἐν βιβλίοις κδ', λέξεις Πλάτωνος ἐν βιβλίοις β'.

c *Ἁρποκρατίων* ὁ Βαλέριος χρηματίσας, ῥήτωρ Ἀλεξανδρεύς, λέξεις τῶν ι' ῥητόρων, ἀνθηρῶν συναγωγήν.

d *Ἁρποκρατίων* ὁ Γάιος χρηματίσας, σοφιςής, ἔγραψε περὶ τῶν Ἀντιφῶντος σχημάτων, περὶ τῶν Ὑπερίδου καὶ Λυσίου λόγων, καὶ ἕτερα.

ἅρπυιαι ἁρπακτικαὶ δαίμονες.

ἀρραβών ἡ ἐν ταῖς ὠναῖς παρὰ τῶν ὠνουμένων διδομένη πρώτη καταβολὴ ὑπὲρ ἀσφαλείας.

ἄρραιςος ὁ ἄφθαρτος.

ἄρρατον ἰσχυρόν, ςερεόν· οὕτως Πλάτων. *ἀράττων* δὲ πλήττων, κρούων.

Ἀρραχίων ὄνομα κύριον.

ἄρρεν καὶ *ἀρρενικῶς.* καὶ ἡμίανδρος καὶ ἡμιγύναιξ, καὶ διγενής, καὶ θηλυδρίας, καὶ ἑρμαφρόδιτος, καὶ ἶθρις, οὗ ἡ ἰσχὺς τεθέρισαι. καὶ ἀρρενωπὸς ὁ ἀνδρόγυνος καὶ ὁ ςερρός· λέγουσι δ' οὕτω τοὺς τὰ μὲν ἄλλα γύνιδας, ἔχοντας δέ τι ἀνδρόμορφον. Ἱππῶναξ δὲ ἡμίανδρον τὸν οἷον ἡμιγύναικα. λέγεται δὲ καὶ ἀπόκοπος καὶ βάκηλος καὶ ἀνδρόγυνος καὶ γάλλος καὶ γύννις καὶ Ἄττις καὶ εὐνουχώδης.

Ἀρρήσιος μοναχός, ὃς τοὺς νέους πταίσαντας οὐκ ἀφώριζεν, ἀλλὰ τοὺς προκόψαντας, λέγων ὅτι ὁ νέος ἀφορισθεὶς καταφρονητὴς γίνεται, ὁ δὲ προκόψας τῆς ἐκ τοῦ ἀφορισμοῦ ὀδύνης ταχεῖαν λαμβάνει τὴν συναίσθησιν. Socrat. 4 23.

ἀρρητοποιία ἀσέλγεια, αἰσχρουργία.

ἀρρηφορεῖν. τέσσαρες μὲν ἐχειροτονοῦντο τῶν εὐγενῶν, δύο δὲ ἐκρίνοντο, αἵτινες ἦρχον τῆς ὑφῆς τοῦ πέπλου καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δὲ ἐσθῆτα ἐφόρουν. εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνετο. Harp.

ἀρρηφορία θυσία. εἰ μὲν διὰ τοῦ α, ἀρρηφορία, ἐπειδὴ τὰ ἄρρητα ἐν κίςαις ἔφερον τῇ θεῷ αἱ παρθένοι· εἰ δὲ διὰ τοῦ ε, ἑρσεφορία, τῇ γὰρ Ἕρσῃ ἐπόμπευον τῇ Κέκροπος θυγατρί ⟨sch. Α Lys. 643⟩. καὶ *ἀρρηφόροις.* καὶ *ἀρρηφόροι* αἱ τὰ ἄρρητα φέρουσαι μυςήρια· "ἀρρηφόροι καὶ παναγεῖς γυναῖκες." cf. v. παναγές.

Ἀρριανός ἐποποιός, μετάφρασιν τῶν a γεωργικῶν τοῦ Βεργιλίου ἐπικῶς ποιήσας, Ἀλεξανδριάδα (ἔςι δὲ τὰ κατὰ τὸν Μακεδόνα ἐν ῥαψῳδίαις κδ'), εἰς Ἄτταλον τὸν Περγαμηνὸν ποιήματα.

Ἀρριανός Νικομηδεύς, φιλόσοφος Ἐπι- b κτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ καὶ Μάρκου καὶ Ἀν-

τωνίου τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν Ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα. ἔγραψε δὲ βιβλία παμπληθῆ.

ἀρρίχους θηλυκῶς, τὰς ἀρρίχους, ἡ ἀρρίχη. ἐξηγοῦνται δέ τινες κόφινον. ἡγητέον δὲ ἐκ μὲν τοῦ αὐτοῦ γένους εἶναι, διάφορον δέ τι. λέγουσι δὲ καὶ νῦν ἔτι σωράκων τι εἶδος ἀρρίχους. sch. A Av. 1309.

ἄρρυθμος ἀδιατύπωτος, ἀκανόνιστος, μὴ ἔχων ῥυθμόν· ῥυθμὸς γὰρ ὁ τύπος. καὶ ἀρρύθμως.

ἀρρύπωτος.

ἀρρυτίδωτον τὸ μὴ ἔχον ῥυτίδας, αἵ εἰσι γραμμαὶ γήρως σημαντικαί.

ἀρρωδία ὁ φόβος· Ἡρόδοτος ⟨7 173⟩ "ἀρρωδία ἦν τὸ πεῖθον."

Ἄρρωλος ὄνομα πόλεως.

ἀρρώστημα νοσήματος διαφέρει· ἀρρώστημα μὲν γάρ ἐστι νόσημα μετὰ ἀσθενείας, τὸ δὲ νόσημα οἴησις σφοδρὰ δοκοῦντος αἱρετοῦ. καὶ ὡς ἐπὶ τοῦ σώματος εὐεμπτωσίαι τινὲς λέγονται, οἷον κατάρρους διάρροια, οὕτω καὶ τῆς ψυχῆς εἰσὶν εὐκαταφορίαι, οἷον φθονερία ἐλεημοσύνη καὶ τὰ παραπλήσια ⟨Diog. L. 7 115⟩.

ἀρρωστία ἡ ἀσθένεια. ἀρρωστία δὲ τοῦ στρατεύειν ἀντὶ τοῦ ἀπροθυμία· Θουκυδίδης ⟨3 15⟩.

a Ἀρσάκης Πάρθων βασιλεύς, ὃς δόρατι πληγεὶς ἐν τῇ μάχῃ κατὰ τὴν πλευρὰν θνήσκει, ἀνὴρ γενόμενος τό τε σῶμα κάλλιστος καὶ περιβλεπτότατος καὶ τὴν ψυχὴν βασιλικώτατος καὶ τοῖς ἐς πόλεμον ἔργοις δαιμονιώτατος, καὶ ἐς μὲν τὸ ὑπήκοον πᾶν πρᾳότατος, εἰς καθαίρεσιν δὲ τοῦ ἀνθισταμένου ἐρρωμενέστατος. καὶ τοῦτον Παρθυαῖοί τε ἐς τὰ μάλιστα ἐπόθησαν, καὶ Ἀρσακίδαι οἱ Περσῶν βασιλεῖς.

b Ἀρσάκης ὁ Παρθυαῖος τοὺς Μακεδόνας κρατήσαντας τῆς Περσῶν ἀρχῆς ἔτη σϛγ′ ἐκβαλὼν Πάρθοις τὴν βασιλείαν παραδέδωκεν· ἔνθεν Ἀρσακίδαι ἐκλήθησαν οἱ Περσῶν βασιλεῖς.

ἄρσενι βοᾷ δοκίμῳ ⟨A Thesm. 131⟩ τῇ θαυμαστῇ φωνῇ καὶ δεδοκιμασμένῃ.

ἀρσίων βασταγμάτων.

Ἀρσινόη ὄνομα κύριον.

ἀρτᾷ ἐπικρέμαται.

ἀρτάβη μέτρον Μηδικὸν σίτου, Ἀττικὸς μέδιμνος.

ἀρτάρια παρ' ἡμῖν οἱ τῶν ποδῶν πῖλοι.

Ἀρτασήρας ὄνομα κύριον.

Ἀρταφέρνης ἡγεμὼν Περσῶν.

ἀρτεμής ὁλόκληρος, σῶος, ὑγιής. Ἄρτεμις δὲ ἡ θεός.

Ἀρτεμίδωρος Δαλδιανός (πόλις δέ ἐστι a Λυδίας ἡ Δάλδις) φιλόσοφος ἔγραψεν ὀνειροκριτικὰ ἐν βιβλίοις δ′, οἰωνοσκοπικὰ καὶ χειροσκοπικά.

Ἀρτεμίδωρος ὁ ψευδοαριστοφάνειος ὁ b ὀψαρτυτικὰς λέξεις συναγαγών. cf. v. Τιμαχίδας.

Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος, βασιλεὺς Ῥωμαίων, αἰσθόμενος στόλον Σαρακηνῶν ἔρχεσθαι κατὰ τῆς πόλεως Ἰωάννην ἐφίστησιν ἡγεμόνα τοῦ πολέμου, διάκονον τῆς μεγάλης ἐκκλησίας καὶ λογιστὴν τῶν φόρων, ὃν γενικὸν καλοῦσιν· ὃς πρὸς τῇ Ῥόδῳ γενόμενος, καταστασιασθεὶς ὑπὸ τοῦ πλήθους ἀναιρεῖται.

Ἀρτεμισία. αὕτη ἠρίστευσε μετὰ Περσῶν· δι' ἣν εἶπεν ὁ βασιλεὺς ⟨Herodot. 8 88⟩ ὡς οἱ ἄνδρες γυναῖκες γεγόνασιν, αἱ δὲ γυναῖκες ἄνδρες. Ἀρτεμισίαι δὲ δύο γεγόνασι, Καρικαὶ γένος καὶ βασιλίδες ἀμφότεραι· ὧν ἡ μὲν πρώτη γέγονε κατὰ τὰ Περσικά, ἡ δὲ νεωτέρα, ἧς καὶ Δημοσθένης ἐν τῇ περὶ τῆς Ῥοδίων ἐλευθερίας μνημονεύει, θυγάτηρ μὲν ἦν Ἑκατόμνου γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου. Harp.

ἀρτεμίσιος παρὰ Μακεδόσιν ὁ μάιος. καὶ ἀρτεμίσιον ἰδίως μὲν Ὑπερίδης πολλάκις ὠνόμασε τὸ τῆς Ἀρτέμιδος ἄγαλμα, λέγεται δὲ καὶ ἀκρωτήριον τῆς Εὐβοίας, οὗ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨208⟩ μνημονεύει.

ἀρτήρ ὑποδήματος γένος· Φερεκράτης Γραυσίν.

ἀρτησάμενος κρεμάσας, καὶ ἀρτῆσαι ὁμοίως. ἀρτίσαι δὲ τὸ τελειῶσαι καὶ ἀπαρτίσαι διὰ τοῦ ι.

ἄρτι τὸ μέρος τοῦ παρεληλυθότος τὸ a συνάπτον τῷ νῦν, ἐναντίως ἔχον τῷ αὐτίκα· τοῦτο γὰρ τὸ μέλλον συνάπτει τῷ νῦν. Ἀριστοφάνης Νεφέλαις ⟨145⟩ "ἀνήρετ' ἄρτι" ἀντὶ τοῦ ἐξ ὑπογύου, ἵνα αὐτοσχεδιάζειν δοκῶσι καὶ πάντα ἐξ ὑπογύου λέγειν.

ἄρτι τοῦ ἀρτίως διαφέρει παρὰ τοῖς b Ἀττικοῖς. ἄρτι μὲν ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ ἀντὶ τοῦ πρὸ ὀλίγου· "ἐκεῖνον εἶφ' ὃν ἀρτίως

εἰσήγαγες" ὁ Στρεψιάδης φησὶ πρὸς Σωκράτην (1149). καὶ ἀντὶ τοῦ νῦν τὸ ἀρτίως· "ἔτι περαιουμένοις καὶ ἀρτίως ἀποβαίνȣσιν ἐπιτίθεσθαι" Κρίτων ἐν Γετικοῖς.

ἄρτια ἡρμοσμένα, τέλεια, ὑγιῆ. λέγεται δὲ ταῦτα καὶ ἄρμενα. καὶ ἀρτιάζειν τὸ παίζειν ἄρτια ἢ περιττά· "ςατῆρσι δ' ἀρτιάζομεν" Ἀριςοφάνης (Plut. 817). καὶ ἀρτιάκις ἄρτιος ἀριθμός ὁ λβ', ἀρτιοπέριττος δὲ ὁ διχοτομούμενος εὐθέως εἰς περισσὸν ἀριθμόν, οἷον ὁ τῶν ιδ'· τούτου γὰρ τὸ ἥμισυ ζ'.

ἀρτιδαεῖ ἀρτιμαθεῖ· "ἀργύρεόν σοι τόνδε γενέθλιον εἰς τεὸν ἦμαρ πέμπω, ἀρτιδαεῖ σύμπνοον ἐργασίῃ" (AP 6 227).

ἀρτίδιον μικρὸς ἄρτος· "ὃ δέ τινα τῶν βασιλικῶν παίδων αἰτήσας ἀρτίδιον κατεχρήσατο."

ἀρτιεπής ἀπηρτισμένος ἐν τῷ λέγειν. οὐκ ἐν ἐπαίνῳ τὸ ἀρτιεπής, κατὰ τὸ ἐναντίον τοῦ ἁμαρτάνειν, ἀλλ' ὁ λάλος καὶ ἀπηρτισμένος τῷ λόγῳ. sch. Hom. X 281.

ἀρτιζόμενοι· "οἱ δὲ ἀρτιζόμενοι διεῖλον τὴν δύναμιν." "ὃ δὲ πανοῦργος ὢν καὶ πρὸς τὸ τῆς τύχης ἄδηλον ἀρτισάμενος" (Diodor. Sic. 14 20).

ἀρτιθαλῆ νεόφυτα.

ἀρτικροτεῖσθαι συμφωνεῖσθαι· "ἀρτικροτοῦνθ' οἱ γάμοι" φησὶ Μένανδρος.

ἄρτι μῦς πίττης γεύεται (Demosth. 50 26), ἐπὶ τῶν ὀψὲ εἰς αἴσθησιν ἐρχομένων ἐν οἷς εἰσίν.

ἄρτιος. καὶ ἄρτιοι τέλειοι, ὑγιεῖς· "ὑπὸ νόσου ποδάγρας οὔτε αἱ χεῖρες οὔτε οἱ πόδες ἄρτιοι ἐτύγχανον οὖσαι."

ἀρτίπους ὑγιεῖς τοὺς πόδας ἔχων. cf. v. ἔσθενε.

ἀρτίςομος ὁ σαφὴς καὶ ὁ ἡδὺ φθεγγόμενος. οὕτω Διονύσιος· "ὃ δὲ ἦν κάτοινος ἤδη καὶ οὐκ ἀρτίςομος ἔτι." cf. v. παιᾶνας.

ἀρτίτομος προπαροξυτόνως ὁ τεμνόμενος νεωςί, ἀρτιτόμος δὲ ὁ νεωςὶ τέμνων.

ἀρτιχανῆ ῥοιάν τε καὶ ἀρτίχνουν τόδε μῆλον" ἐν ἐπιγράμματι (AP 6 22).

ἀρτίως τελείως, ὑγιῶς. οὐ μόνον ἄρτι τὸ πρὸ ὀλίγου· Φερεκράτης Μυρμηκανθρώποις "ξένη γυνὴ γραῦς ἀρτίως ἀφιγμένη." καὶ ἀντὶ τοῦ γνησίου· (S Ai. 941) "τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου."

ἀρτοπωλεῖον τὸ μαγκιπεῖον ἐν ᾧ οἱ ἄρτοι γίνονται. ἀρτοπώλιον δὲ ὁ τόπος ἔνθα οἱ ἄρτοι πιπράσκονται.

ἄρτος ὁ ψωμός. ἔςι δὲ καὶ ὄνομα τυράννȣ Μεσσαπίων (Thuc. 7 33), ὃν καὶ πρόξενον Ἀθηναίȣς ποιήσασθαί φησι Πολέμων.

ἀρτοσιτεῖ ἄρτον ἐσθίει· Ξενοφῶν (Cyr. 6 2 28) "ὅςις δὲ ἀρτοσιτεῖ, ὕδατι δεδευμένον τὸν ἄρτον."

ἀρτύειν σκευάζειν, καὶ ἀρτύοντες παρασκευάζοντες. καὶ ἀρτύναντες (Hom. M 43).

ἀρτῶ τὸ κρεμῶ.

Ἀρτώριος ὄνομα κύριον. ad Dion. Cass. 47 41.

ἀρύβαλλος. πλεκτόν τι βαλλάντιον ὁ ἀρύβαλλος, παρὰ τὸ ἀρύειν καὶ βάλλειν· ἢ μαρσίπιον. χεῖσθαι δὲ λέγεται οὐ μόνον τὰ ὑγρὰ ἀλλὰ καὶ τὰ ςερεά, ὥσπερ νῦν ἐπὶ τῆς ἀμβροσίας· "εἶτα καταςπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ ἀμβροσίαν κατὰ σοῦ, κατὰ τούτου δὲ σκοροδάλμην" (A Eq. 1092).

Ἀρύβας Ἀλκέτου μὲν ἦν υἱός, Μολοττῶν δὲ βασιλεύς. Harp.

ἀρυσάμενος ἀντλήσας.

ἀρύςιχος σκευάριόν τι.

ἀρυςρίς· (AP 6 306) "ζωμοῦ τ' ἀμφ' ὀβελοῖσιν ἀρυςρίδα."

ἀρύταινα χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς τοὺς λύχνους. sch. A Eq. 1089.

ἀρύτεσθαι σὺν τῷ τ λέγουσιν, οὐκ ἀρύεσθαι· Ἀριςοφάνης Νεφέλαις (273) "εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέαις ἀρύτεσθε πρόχουσιν," καὶ Πλάτων Νόμοις (1 p. 636 D) "ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δεῖ καὶ ὁπόσα καὶ ὁπότε."

Ἀρυώτης ὄνομα κύριον.

ἀρχαῖα τὰ κεφάλαια τῶν χρεῶν· Ἀριςοφάνης Νεφέλαις (1150) "αὐτοί τε καὶ τἀρχαῖα καὶ τόκοι τόκων."

"παλαιὸς γάρ τις καὶ ἀρχαΐζων λόγος," ἁπλοῦς καὶ ἀποίκιλος.

ἀρχαϊκόν· "οἱ δὲ τοῦ μέρους τῆς εὐσεβείας τὸ ἁπλοῦν τῷ Σπυρίδωνι καὶ ἀρχαϊκὸν συνειδότες, προσέτι δὲ καὶ τὸ τῆς ἑλληνικῆς παιδείας καθαρῶς ἄγευςον, ἐκώλυον εἰς μέσον ἐλθεῖν καὶ τῷ σοφιςῇ συμβαλεῖν ἐπὶ συνόδου." cf. v. Σπυρίδων.

Ἀρχαιόγονος. ἀρχεγόνος δέ.

ἀρχαῖον. ἐχρήσαντο οἱ ῥήτορες τῷ ἀρχαίῳ ἐπὶ τοῦ δανειζομένου ἀργυρίου, ὅπερ

ἔνιοι κατά τινα συνήθειαν κεφάλαιον ὀνομάζουσιν. Δημοσθένης ἐν τῷ κατὰ Νικοστράτου (20) "δανείσας ἀργύριον Ἀρχεπόλιδι οὐχ οἷός τε ἦν αὐτὸ ἀπολαβεῖν, οὔτε τόκον οὔτε τὸ ἀρχαῖον." παρείληπται δὲ καὶ ἐπὶ τοῦ παλαιοῦ· Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου (183) "ὁ δὲ Σόλων ὁ τῶν νομοθετῶν μάλιστα εὐδοκιμῶν γέγραφεν ἀρχαίως," καὶ πάλιν (25) "οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς, ὁ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης." τάττεται δὲ παρὰ κωμικοῖς καὶ ἐπὶ τοῦ εὐήθους.

ἀρχαῖον τὸ κιθαρίζειν (A Nub. 1361), τουτέστιν οὐδενὸς λόγου ἄξιον, ληρῶδες, ἀνόητον.

ἀρχαῖος ὁ παλαιός. Ἰσοκράτης μὲν ἐν τῷ Πανηγυρικῷ (8) τὸ ἀρχαιοτρόπως εἰπεῖν, τουτέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι· Δημοσθένης δὲ (9 48) ἐν τοῖς Φιλιππικοῖς εἰπὼν "οὕτω δὲ ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς" ἀντὶ τοῦ ἁπλῶς ἔλαβεν. Harp.

ἀρχαῖος ἀντὶ τοῦ εὐήθης Πλάτων (Euthydem. p. 295) ἢ λῆρος. ἀρχαίως δὲ ἀπραγμόνως, ἀπαρατηρήτως· ἢ καὶ ἠλιθίως, εὐήθως. "μινυρίζοντες μέλη ἀρχαιομελησιδωνοφρυνιχήρατα" (A Vesp. 219).

ἀρχαιότερα τῆς διφθέρας λέγεις, ἐπὶ τῶν σαθρὰ καὶ παλαιὰ λεγόντων· ἡ γὰρ διφθέρα παμπάλαιος, ἐν ᾗ δοκεῖ ὁ Ζεὺς ἀπογράφεσθαι τὰ γενόμενα. cf. v. Ζεύς extr.

ἀρχαιότυπος ὁ παλαιὸς νόμος.

ἀρχαιρεσία περὶ ἀρχῶν ἐκλογή. καὶ ἀρχαιρεσίη τὸ πρὸς χάριν τῶν πολλῶν ζῆν, ἢ τὸ ἐπιδόσεις χρημάτων ποιεῖσθαι· Ἡρόδοτος (6 58).

ἀρχαιρεσιάζειν Δείναρχος τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα.

ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος (Hom. Φ 439). πολέμου γὰρ ἄρχεσθαι δικαιοῖ τὸν νέον, φιλοφροσύνης δὲ τὸν πρεσβύτην.

ἀρχέγονος· "οὐκ ἠξίωσαν ταφῆς ἣν ἡ ἀρχέγονος φύσις νομοθετεῖ."

a Ἀρχέδικος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶ Θησαυρὸς καὶ Διαμαρτάνων, ὡς Ἀθήναιός φησιν ἐν τοῖς Δειπνοσοφισταῖς (p. 292 et 467).

b Ἀρχέδικος κωμῳδιογράφος, ὃς κατὰ Δημοχάρους ἔγραψε τοῦ ἀνεψιαδοῦ Δημοσθένους. Polyb. 12 13.

ἀρχεῖα, ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται, χαρτοφυλάκια· ἢ τὰ χωρία τῶν κριτῶν· ἢ ἀρχαῖα ὡς Ξενοφῶν ἱστοριῶν ἡ (Cyr. 8 5 17 an 6 10) "τὰς δὲ νίκας περιῆγεν ἐς τὴν ἐς τάχος γράψασαν μοῖραν τῆς περὶ τὰ ἀρχαῖα διακονίας." cf. v. γράφειν ἐς τάχος.

ἄρχειν. κοινότερον καὶ τὰς μικρὰς ἐπιστασίας καὶ λειτουργίας ἀρχὰς ἔλεγον, καὶ τὸ βουλεῦσαι ἄρξαι· ψιλὴ γὰρ ἐπιστασία. Ἀριστοφάνης (Plut. 917) "οὐκοῦν δικαστὰς ἐξεπίτηδες ἡ πόλις ἄρχειν καθίστησιν."

Ἀρχέλαος Ἀπολλοδώρου ἢ Μίδωνος, Μιλήσιος φιλόσοφος, φυσικὸς τὴν αἵρεσιν κληθείς, ὅτι ἀπὸ Ἰωνίας πρῶτος τὴν φυσιολογίαν ἤγαγεν, Ἀναξαγόρου μαθητὴς τοῦ Κλαζομενίου· τοῦ δὲ μαθητὴς Σωκράτης, οἱ δὲ καὶ Εὐριπίδης φασίν. συνέταξε δὲ φυσιολογίαν, καὶ ἐδόξαζε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι ἀλλὰ νόμῳ. συνέταξε καὶ ἄλλα τινά.

Ἀρχέμορος ὄνομα κύριον.

ἀρχέπλουτον ἄρχοντα πλούτου καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον· Σοφοκλῆς (El. 72) "καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς, ἀλλ' ἀρχέπλουτον."

Ἀρχέστρατος καὶ Ἀρχεστράτειος.

ἀρχέτυπον πρωτότυπον. καὶ ἀρχέτυπος ὁ τὴν ἀρχὴν διδούς.

ἀρχὴ ἡ μὲν φυσικὴ ὡς λέοντος ἐν ζῴοις a
καὶ ἀετῶν ἐν ὀρνέοις, ἡ δὲ χειροτονητὴ ὡς ἐπὶ βασιλέως ἀνθρώπων. Μαρῖνός φησι (V. Procli 34) "γέγονε δὲ ἡμῖν ἡ ἀρχὴ οὐκ ἀρχὴ μόνον, οὐδὲ κατὰ τὴν παροιμίαν ἥμισυ τοῦ παντός, αὐτὸ δὲ ὅλον τὸ πᾶν."

ἀρχή. ἀρχαὶ τῶν ὅλων δύο, τὸ ποιοῦν b
καὶ τὸ πάσχον· τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν, τὴν ὕλην, τὸ ποιοῦν δὲ τὸν ἐν αὐτῇ λόγον, τὸν θεόν. διαφέρουσι δὲ ἀρχαὶ καὶ στοιχεῖα· τὰς μὲν γὰρ εἶναι ἀγενήτους καὶ ἀφθάρτους, τὰ δὲ στοιχεῖα κατὰ τὴν ἐκπύρωσιν φθείρεσθαι. ἀλλὰ καὶ ἀσωμάτους εἶναι τὰς ἀρχὰς καὶ ἀμόρφους, τὰ δὲ μεμορφῶσθαι. Diog. L. 7 134.

ἀρχὴ ποιητικὴ εἰδικὴ τελική. ὁ δὲ Ἀρι- c
στοτέλης φησὶν ὅτι ἡ ψυχὴ οἷον ἀρχὴ τῶν ζῴων ἐστίν, ὡς ποιητικὴ τελικὴ εἰδική· αὗται γάρ εἰσιν αἱ κυρίως ἀρχαί. ὡς μὲν οὖν ποιητική, ὅτι αὕτη κινεῖ τὸ ζῷον μόνῃ τῇ βουλήσει καὶ οὐ δεῖται μοχλείας τινός, ὡς εἰδικὴ δέ, ὅτι αὐτή ἐστιν ἡ εἰδοποιοῦσα τὸ ζῷον καὶ ἁπλῶς τὰ ἔμψυχα. λέγεται γὰρ τὰ ἔμψυχα εἴδη αὐτὸ τοῦτο εἶναι κατὰ τὴν ψυχήν· τὸ

γὰρ κρεῖττον ἐν ἑκάςῳ τῶν φυσικῶν εἶδός ἐςιν ἑκάςου, κρεῖττον δὲ ἐν τοῖς ἐμψύχοις ἡ ψυχή. ὡς τελικὸν δέ, ὅτι αὐτῆς ἕνεκα τὸ σῶμα· ἐςι γὰρ τὸ μὲν σῶμα ἕνεκά τȣ, αὐτὴ δὲ οὗ ἕνεκα. ὅθεν καὶ ἡ διοργάνωσις τῶν ζῴων ἄλλη καὶ ἄλλη πρὸς τὴν ἰδιότητα τῆς ἐν ἑκάςῳ ψυχῆς. ἀλλ' ἡ μὲν ψυχὴ τῶν ζῴων πορρωτέρω ἀρχή, ἡ δὲ φύσις προσεχής. τῶν δὲ ἐξ ἀνάγκης ἑπομένων τῇ ψυχῇ τὰ μὲν αὐτῇ ἀκολουθεῖ τὰ δὲ ὅλῳ τῷ ζῴῳ, λέγω δὴ τὸ ἐκ τῆς ζωῆς καὶ σώματος. καὶ τὰ μὲν τῆς ψυχῆς πάθη ἡ νόησις· τȣ̃το γὰρ αὐτῆς ἴδιον. τὰ δ' ἄλλα πάθη, τὸ αἰσθάνεσθαι, τὸ φαντασιοῦσθαι θυμȣ̃σθαι ἐπιθυμεῖν καὶ εἴ τι τοιοῦτον, κοινά ἐςι τοῦ συναμφοτέρȣ. Philopon. in 1 de anima, A 6.

ὅτι ε' γένη ἔλεγεν εἶναι ἀρχὰς πάντων τῶν ὄντων, οὐσίαν ταυτότητα ἑτερότητα κίνησιν ςάσιν. γένη δὲ ταῦτα ἔλεγεν ȣ̓χ ȣ῞τως ὥσπερ τὰ παρὰ τοῖς περιπατητικοῖς, ἅτινα διῄρηται ὑπ' ἀλλήλων, καὶ ἀφ' ἑκάςου σειρά τις ἐκδίδοται τῶν ὑπαλλήλων γενῶν τε καὶ εἰδῶν, ἀλλ' ὡς διὰ πάντων τῶν ὄντων διήκοντα. ἐςι γὰρ ἐν πᾶσι καὶ οὐσία, καθ' ἣν ἑκάςου ἐςὶ τὸ εἶναι, καὶ ἔςι ταυτότης, καθὸ ἐκ μιᾶς τῆς τῶν ὄντων ἐσμὲν ἀρχῆς. ἔχομεν δὲ καὶ ἑτερότητα, ἐπειδὴ καὶ πλῆθός ἐςι τὰ ὄντα· ὅπου δὲ πλῆθος, ἐκεῖ ἑτερότης. ἔςι δὲ καὶ κίνησις ἐν πᾶσι τοῖς οὖσι. κίνησιν δὲ λέγω ȣ̓ τὴν ἀτελῆ ἐνέργειαν, ἀλλὰ τὴν ἐνεργῆ τὴν ἑκάςȣ. πάντα γὰρ ἔχει οἰκείαν ἐνέργειαν, καὶ αὐτὰ τὰ ἄψυχα· ἢ γὰρ θερμαίνουσιν ἢ ψύχουσι τὰ παρακείμενα, ἢ ὑγραίνουσιν ἢ ξηραίνουσιν, ἢ ἄλλο τι τοιȣ̃τον ποιοῦσι. καὶ ἡ ςάσις δὲ ἐπὶ πάντων θεωρεῖται. καὶ γὰρ τὰ ἀεικίνητα ςάσεως μετέχει, οὐ μόνον τῷ τὴν ὁλότητα ἑςάναι, ἀλλὰ καὶ αὐτὸ τὸ μένειν ἐπὶ τῆς ἀεικινησίας ςάσις ἐςί. καθὸ ȣ̓̃ν μένουσι κινούμενα τὰ κινούμενα, ἢ ἀεὶ ἢ ἐπί τινα χρόνον, κατ' αὐτὸ τοῦτο ςάσεως μετέχει. id. C 1.

ἀρχὴ ἄνδρα δείκνυσιν, ἐπὶ τῶν πρὸ μὲν τῆς ἀρχῆς ἐπιεικῶν, ἐν αὐτῇ δὲ τῇ ἀρχῇ βιαίων γενομένων. Σόλωνος δὲ εἶναί φασιν αὐτὸ ἀπόφθεγμα, Ἀριςοτέλης δὲ καὶ Θεόφραςος Βίαντος. Harp.

ἀρχὴ ἥμισυ παντός ⟨Hesiod. O. 40⟩ ἐπὶ τῶν τινὸς ἀρχομένων καὶ προκοπτόντων.

ἀρχηγέτης ἡγεμών.

ἀρχήν τὰ πρῶτα, παρευθύ· "Ναρσῆν μὲν γὰρ ȣ̓δὲ τὴν ἀρχὴν ὑποςήσεσθαι ᾤοντο."

ἀρχὴν ἰᾶσθαι πολὺ λώιον ἠὲ τελευτήν". δηλοῖ δὲ ἡ παροιμία ὡς ἀρχομένȣ τινὸς καὶ πάθους καὶ ἄλλου τινὸς δεινοῦ μᾶλλον ἔςι κωλύειν ἢ ἐνακμάσαντος καὶ τελειωθέντος. Harp.

ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριςον, μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίȣ, φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι" ⟨Theognis 425⟩ ἐπὶ τῶν δυςυχῶς βεβιωκότων.

ἀρχήσαντος ἄρξαντος.

ἀρχὴ Σκυρία, ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, παρ' ὅσον πετρώδης καὶ λυπρὰ καὶ διὰ τȣ̃το πενιχρὰ ἡ Σκῦρος, οὐδὲν φέρουσα λόγου ἄξιον. οἱ δὲ ἀπὸ Θησέως, ὅτι ἐπιθέμενος τῇ Λυκομήδους ἀρχῇ καὶ πειρῶν τὴν γυναῖκα αὐτοῦ κατακρημνισθείη. ὀςρακισθῆναι δὲ πρῶτον Ἀθήνησι Θησέα ἱςορεῖ Θεόφραςος ἐν τοῖς πρώτοις καιροῖς.

Ἀρχιάδας. οὗτος οἷος ἦν τὴν ψυχὴν ἀπεδείκνυτο. πλείςων γὰρ αὐτῷ χρημάτων διηρπασμένων, ἐπειδὴ ᾔσθετο Θεαγένη ἔτι παιδίον ὄντα λυπȣ́μενον ἐπὶ τοῖς ἀπολωλόσι καὶ πεπορθημένοις, "ὦ Θεάγενες" ἔφη, "θαρρεῖν ἤδη σε χρὴ καὶ τοῖς θεοῖς ὁμολογεῖν σωτηρίȣς χάριτας ὑπὲρ τῶν σωμάτων, ὑπὲρ δὲ τῶν χρημάτων οὐκ ἀθυμητέον. εἰ γὰρ Ἀθηνᾶ ἡ πολιὰς ἐκέλευσεν αὐτὰ ἀναλῶσαι παναθηναίοις, πόσου ἂν ἐπριάμεθα τὴν δαπάνην ταύτην; ἀλλὰ τὸν παρόντα ἀγῶνα καὶ παναθηναίων ἡγεῖσθαι δεῖ καὶ παντὸς ἑτέρου λαμπρότερόν τε καὶ εὐσεβέςερον." cf. Damascius Phot. p. 349 a.

Ἀρχίας. οὗτος βουλόμενος τὴν Κύπρον a
προδοῦναι Δημητρίῳ καὶ φωραθεὶς καὶ ἐς κρίσιν ἀχθεὶς καλωδίῳ τῶν ἐκ τῆς αὐλαίας παραπεπετασμένων ἑαυτὸν ἀπεκρέμασε. τῷ γὰρ ὄντι διὰ τὰς ἐπιθυμίας κενοὶ κενὰ λογίζονται, κατὰ τὴν παροιμίαν· καὶ γὰρ ἐκεῖνος δόξας φ' τάλαντα προσλήψεσθαι, καὶ τὰ προϋπάρχοντα χρήματα καὶ τὸ πνεῦμα προσαπέβαλεν. Polyb. 33 3: cf. v. αὐλαία.

Ἀρχίας Συρακούσιος καὶ Μύσκελλος b
Ἀχαιὸς ἧκον ἐς Δελφοὺς ἐν τῷ αὐτῷ τοῦ χρόνου, καὶ ᾔτουν ἄρα ὑπὲρ ὧν ἔμελλον οἰκίζειν πόλεων φήμην ἀγαθὴν λαβεῖν, τὸν ἐπινησθέντα αὐτοῖς τε καὶ ταῖς πόλεσιν αὐτῶν βίον. λέγει δὲ ἡ Πυθία "χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες ἥλθετ' ἐρησόμενοι Φοῖ-

βον, τίνα γαῖαν ἵκησθε. ἀλλ' ἄγε δὴ φράζεσθ' ἀγαθῶν πότερόν κεν ἕλοισθε, πλοῦτον ἔχειν κτεάνων ἢ τερπνοτάτην ὑγίειαν." ἐπεὶ τοίνυν ταῦτα ἠκουσάτην, Ἀρχίας ὢν φιλοχρήματος πλούτου περιβολὴν αἱρεῖται. οὐδὲ ἐψεύσθη τῆς ἐλπίδος· παμπλούσιος γοῦν Συρακουσίων ἡ πόλις κατὰ τὴν φήμην τὴν Πυθιάδα ἐγένετο. Μύσκελλος δὲ αἱρεῖται αὐτός τε ὑγιαίνειν καὶ ἡ πόλις. καὶ ἀπώνητο ὧν ᾔτησε· δεῖγμα γοῦν τῆς ἐν Κρότωνι ὑγιείας, ῥωμαλέοι τέ εἰσιν οἱ οἰκήτορες καὶ ἀθλητῶν ἡ πόλις πολλῶν καὶ ἀγαθῶν μήτηρ ἐγένετο. πλοῦτος ἄρα καὶ ὑγίεια δῶρα ἄμφω ἐστόν, ῥῶσις δὲ ἐρρωμένη καὶ διάνοια ὑγιαίνουσα αἱρεῖται τὰ βελτίω. καὶ ἀπέφηναν καὶ οὗτοι ὁ μὲν συνετώτερος ὤν, ὁ δὲ οὐ πάντη ἐλευθέρως· τῶν γὰρ οὖν ἀγαθῶν τῶν ἀνθρωπίνων τὸ μὲν πρεσβύτερον τὸ δὲ δεύτερον, ὡς καὶ Πλάτων ⟨Gorg. p. 451 E⟩ φησὶ καὶ τὸ σκολιὸν ᾄδει. cf. v. ἐπινησθέντα et sch. A Eq. 1089.

a Ἀρχίβιος Ἀπολλωνίου γραμματικὸς τῶν Καλλιμάχου ἐπιγραμμάτων ἐξήγησιν.

b Ἀρχίβιος Πτολεμαίου Λευκάδιος ἢ Ἀλεξανδρεύς, γραμματικὸς τῶν ἕως Τραϊανοῦ τοῦ Καίσαρος ἐν Ῥώμῃ παιδευσάντων.

Ἀρχιγένης Φιλίππου Ἀπαμεὺς Συρίας, ἰατρός, μαθητὴς Ἀγαθίνου, ἐπὶ Τραϊανοῦ ἰατρεύσας ἐν Ῥώμῃ, βιοὺς ἔτη ξγ' καὶ συγγράψας πολλὰ ἰατρικά τε καὶ φυσικά.

Ἀρχιδάμιος πόλεμος. τοῦ Πελοποννησιακοῦ πολέμου τὰ πρῶτα ἔτη Ἀρχιδάμιος ἐκλήθη πόλεμος ἀπὸ τοῦ Ἀρχιδάμου εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν. Harp.

ἀρχίδιον ὑποκορισικῶς ἡ ἀρχή· Ἀριστοφάνης ⟨Av. 1107⟩ "κἂν λαχόντες ἀρχίδιον εἶτα βούλησθ' ἁρπάσαι τι."

ἀρχιειρεσία κωπηλασία.

ἀρχίκλοπος ὁ ἀρχαῖος κλέπτης.

Ἀρχίλοχος. ⟨Aelianus?⟩ ὅτι τῶν σπουδαίων οὐδὲ θανόντων οἱ θεοὶ λήθην τίθενται. Ἀρχίλοχον γοῦν ποιητὴν γενναῖον τἄλλα, εἴ τις αὐτοῦ τὸ αἰσχροεπὲς καὶ τὸ κακορρῆμον ἀφέλοι καὶ οἱονεὶ κηλῖδα ἀπορρύψαι, ὁ Πύθιος ἠλέει τεθνεῶτα, καὶ ταῦτα ἐν τῷ πολέμῳ, ἔνθα δήπου ξυνὸς Ἐνυάλιος. καὶ ὅτε ἧκεν ὁ ἀποκτείνας αὐτόν, Καλώνδας μὲν ὄνομα Κόραξ δὲ ἐπώνυμον, τοῦ θεοῦ δεόμενος ὑπὲρ ὧν ἐδεῖτο, οὐ προσήκατο αὐτὸν ἡ Πυθία ὡς ἐναγῆ, ἀλλὰ ταῦτα δήπου τὰ θρυλούμενα ἀνεῖπεν. ὁ δὲ ἄρα προεβάλλετο τὰς τοῦ πολέμου τύχας, καὶ ἔλεγεν ὡς ἧκεν εἰς ἀμφίβολον ἢ δρᾶσαι ἢ παθεῖν ὅσα ἔπραξε, καὶ ἠξίου μὴ ἀπεχθάνεσθαι τῷ θεῷ εἰ τῷ ἑαυτοῦ δαίμονι ζῇ, καὶ ἐπηρᾶτο ὅτι μὴ τέθνηκε μᾶλλον ἢ ἀπέκτεινε. καὶ ταῦτα ὁ θεὸς οἰκτείρει, καὶ αὐτὸν κελεύει ἐλθεῖν εἰς Ταίναρον, ἔνθα Τέττιξ τέθαπται, καὶ μειλίξασθαι τὴν τοῦ Τελεσικλείου παιδὸς ψυχὴν καὶ πραῧναι χοαῖς. οἷς ἐπείσθη, καὶ τῆς μήνιδος τῆς ἐκ τοῦ θεοῦ ἐξάντης ἐγένετο. καὶ παροιμία "Ἀρχίλοχον πατεῖς" ἐπὶ τῶν κακηγόρων καὶ λοιδόρων.

Ἀρχιμήδης Τραλλιανὸς φιλόσοφος ὑπόμνημα εἰς Ὅμηρον, καὶ μηχανικά.

Ἀρχίου τοῦ ἐπικληθέντος φυγαδοθήρα.

Ἄρχιππος Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. ἐνίκησεν ἅπαξ ἐπὶ τῆς ϙα' ὀλυμπιάδος.

ἀρχισυνάγωγος ὁ ἀρχηγός.

ἀρχιτεκτονῶ αἰτιατικῇ.

Ἀρχύτας Ταραντῖνος, Ἑστιαίου υἱὸς ἢ Μνησάρχου ἢ Μνασαγέτου ἢ Μνασαγόρου, φιλόσοφος Πυθαγορικός. οὗτος Πλάτωνα ἔσωσε μὴ φονευθῆναι ὑπὸ Διονυσίου τοῦ τυράννου. τοῦ κοινοῦ δὲ τῶν Ἰταλιωτῶν προέστη, στρατηγὸς αἱρεθεὶς αὐτοκράτωρ ὑπὸ τῶν πολιτῶν καὶ τῶν περὶ ἐκεῖνον τὸν τόπον Ἑλλήνων. ἅμα δὲ καὶ φιλοσοφίαν ἐκπαιδεύων μαθητάς τ' ἐνδόξους ἔσχε καὶ βιβλία συνέγραψε πολλά. τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους. καὶ παροιμία "Ἀρχύτου πλαταγή," ὅτι Ἀρχύτας πλαταγὴν εὗρεν, ἥτις ἐστὶν εἶδος ὀργάνου ἦχον καὶ ψόφον ἀποτελοῦντος.

ἄρχω σου, γενικῇ.

ἄρχων. ἄρχοντες οἱ ἐννέα τίνες; θεσμοθέται ἕξ, ἄρχων, βασιλεύς, πολέμαρχος. καὶ πρὸ μὲν τῶν Σόλωνος νόμων οὐκ ἐξῆν αὐτοῖς ἅμα δικάζειν, ἀλλ' ὁ μὲν βασιλεὺς καθῆστο παρὰ τῷ καλουμένῳ βουκολείῳ (τὸ δὲ ἦν πλησίον τοῦ πρυτανείου), ὁ δὲ πολέμαρχος ἐν Λυκείῳ καὶ ὁ ἄρχων παρὰ τὰς ἐπωνύμους, οἱ δὲ θεσμοθέται παρὰ τὸ θεσμοθέσιον. κύριοί τε ἦσαν ὥστε τὰς δίκας αὐτοτελεῖς ποιεῖσθαι. ὕστερον δὲ Σόλωνος οὐδὲν ἕτερον αὐτοῖς τελεῖται ἢ μόνον ἀνακρίνουσι τοὺς ἀντιδίκους.

ἄρχων χρόνος ἀρχηγός, προηγός· "ἄρχων χρόνος πημάτων" ⟨S Ai. 934⟩. "τὸν ἄρχοντα τῶν ἀρχομένων εἵνεκα πάντα διαπράτ-

τεσθαι δεῖν. ὁ δὲ Ἡγίας ἠξίου οὐ μόνον τὸν ἄρχοντα τῶν ἀρχομένων τίθεσθαι πρόνοιαν, ἀλλὰ καὶ αὐτοῦ πρὸ ἐκείνων· ἑκάστῳ γὰρ εἶναι τὴν ἔφεσιν τοῦ ἀγαθοῦ πρὸς ἑαυτὸν μᾶλλον ἢ πρὸς ἕτερον. ὁ δὲ Ἰσίδωρός φησι τὸν ἄρχοντα ᾗ ἄρχοντος ἀκούειν, εἰ δὲ καὶ ἑαυτοῦ φροντίδα ποιοῖτο, ὡς ἑνός γε καὶ ἑαυτοῦ τῶν ἀρχομένων καὶ δεομένων προνοίας· τὸν γάρ τοι ἄρχοντα τῷ ἀκριβεῖ λόγῳ δεῖσθαι μηδενός, ᾗ δὲ ἄνθρωπος ὁ τεχνίτης, δέοιτο ἄν, οἷον ἰατρὸς τῆς ἰατρικῆς, εἰ νοσήσειεν· ἰατρικὴ δὲ οὐκ ἄν ποτε νοσήσειεν· οὐ τοίνυν οὐδὲ ὁ κατὰ τὴν ἰατρικὴν ἐστὼς ἰατρός· οὐ τοίνυν οὐδὲ ὁ κατὰ τὴν ἀρχικὴν ἐπιστήμην ἄρχων ὁρώμενος. λογικώτερον δὲ εἰπεῖν ἐπιχειρητέον ὡς τὰ πρός τι οὐ λέγεται μόνον ἀλλὰ καὶ ἔστι πρὸς ἄλληλα. ἄρχων ἄρα πρὸς ἀρχομένους καὶ ἀρχόμενος πρὸς ἄρχοντα καὶ λέγονται καὶ εἰσίν, ὥστε εἴ τι τὸ ἄρχειν ὠφελεῖ τοὺς ἀρχομένους, ὠφελήσει πρὸς ὃς καὶ τὸ ἄρχειν προβέβληται" (Damascius).

ἀρωγή ἡ βοήθεια, καὶ ἀρωγός βοηθός, ὠφέλιμος.

ἄρωμα θυμίαμα πυρεψικόν. ἀρώματα οὖν οὐ τὰ θυμιάματα οἱ Ἀττικοὶ καλοῦσιν, ἀλλὰ τὰ ἐσπαρμένα.

ἆσαι κορέσαι, ἢ ψᾶλαι.

Ἀσαία ὄνομα ὄρους. καὶ Ἀσαῖος ὄνομα κύριον.

ἀσάμινθος ἡ πύελος, ἡ σκάφη, ἐν αἷς οἱ ἀρχαῖοι ἐλούοντο· οὐκ ᾔδεσαν γὰρ βαλανεῖα (Artemid. 1 56). παρὰ τὸ τὴν ἄσην μινύθειν.

Ἀσαμωναῖος ὄνομα κύριον.

ἄσαρ εἶδος λαχάνου, ᾧ κέχρηνται οἱ ἰατροὶ εἰς θεραπείαν τῶν νοσούντων.

ἄσατο ἐκορέσθη, ἐνεφορήθη. περὶ Ὤχου τοῦ Πέρσου "τὸν ἐν Μένδῃ τράγον Πανὸς ἱερὸν κατέθυσέ τε, καὶ σκευάσας ποικίλως ταύτην ὁ δυστυχὴς ἄρα τὴν δαῖτα ἄσατο· Αἰγυπτίων τε λεὼν πάμπολυν ἀποσπάσας γαμετῶν καὶ τέκνων ἐς Πέρσας ἤγαγεν ἀνοίκτως." cf. vv. Ἆπις et κακοῖς.

ἀσαφείᾳ νυκτὸς ἀπολλύμενος, ὑπὸ σκοτεινοτάτης δηλαδὴ νυκτός, καθ' ἣν τίς τινα ἀναγνωρίσαι οὐ δύναται. ὅθεν καὶ τὸ "σελήνης τὸν ζόφον διασαφούσης." οὕτω γέγραπται ἐν τῷ μαρτυρίῳ τῶν ἁγίων δισμυρίων.

ἀσαφές ἀνόητον, ἄδηλον.

Ἀσβαμαῖον ὕδωρ οὕτω καλέμενον. Philostrat. V. A. 1 4.

ἄσβεστος ἀκατάπαυστος.

ἀσβόλη καὶ ἄσβολος ἡ αἰθάλη τοῦ πυρός, ἡ στακτή. "φεῦ, ἰοὺ τῆς ἀσβόλου" (A Thesm. 2 51).

a Ἀσδρούβας ὁ Καρχηδονίων στρατηγὸς κενόδοξος ἦν καὶ ἀλαζὼν καὶ πολὺ κεχωρισμένος τῆς πραγματικῆς καὶ στρατηγικῆς δυνάμεως. σημεῖα δὲ τῆς ἀκρισίας αὐτοῦ ὅτι παρῆν ποτε ἐν πανοπλίᾳ πορφυρίδα θαλαττίαν ἐπιπεπορπημένος, ἡνίκα Γολόσσῃ συνεγίνετο τῷ Νομάδων βασιλεῖ μετὰ μαχαιροφόρων δέκα, καὶ ὅσον εἴκοσι πόδας ἀπέστη προβεβλημένος τάφρον καὶ χάρακα, καὶ κατένευε τῷ βασιλεῖ προσιέναι πρὸς αὐτόν, καθῆκον γίνεσθαι τοὐναντίον. οὐ μὴν ἀλλ' ὁ Γολόσσης ἀφελῶς ἔχων Νομαδικῷ τινὶ τρόπῳ μόνος προσῄει πρὸς αὐτόν, καὶ προσεγγίσας ἤρετο τίνα φοβούμενος τὴν πανοπλίαν ἔχων ἥκει. τοῦ δ' εἰπόντος ὅτι Ῥωμαίους "οὐκ ἂν ἄρ'" ἔφησεν ὁ Γολόσσης "ἔδωκας σαυτὸν εἰς τὴν πόλιν, μηδεμίαν ἔχων ἀνάγκην." Polyb. 39 1.

ἦν μὲν οὖν καὶ φύσει σάρκινος, βαλὼν δὲ τὴν πανοπλίαν καὶ κοιλίαν εἰλήφει, καὶ τῷ χρώματι παρὰ φύσιν ἐπικεκαυμένος ἦν, ὥστε δοκεῖν ἐν πανηγύρει που διαιτᾶσθαι παραπλησίως τοῖς σιτευτοῖς βουσίν, ἀλλὰ μὴ τηλικούτων καὶ τοιούτων κακῶν προστατεῖν ὧν οὐδ' ἂν ἐφίκοιτο τῷ λόγῳ διεξιὼν οὐδείς. ὥσθ' ὅτε μὲν ἐς τὰς ἀποφάσεις αὐτοῦ τις βλέψειε, θαυμάζειν τὸν ἄνδρα καὶ τὸ μεγαλόψυχον τῶν λόγων, ὅτε δὲ ἐς τὸν χειρισμὸν τῶν πραγμάτων, τὴν ἀγεννίαν καταπλήττεσθαι καὶ τὴν ἀνανδρίαν. id. 39 2.

b Ἀσδρούβας Καρχηδονίων στρατηγός. οὗτος κατὰ τὴν τοῦ πολέμου συμβολὴν χαλεπῶς ἔχων τῆς ἐπὶ τὰ Μέγαρα ἐπιχειρήσεως, ὅσα Ῥωμαίων εἶχεν αἰχμάλωτα ἐπὶ τὸ τεῖχος ἀγαγών, ὅθεν εὐσύνοπτα Ῥωμαίοις ἔμελλε τὰ δρώμενα ἔσεσθαι, τῶν μὲν ὀφθαλμοὺς ἢ γλώττας ἢ νεῦρα ἢ αἰδοῖα σιδηρίοις ἐξεῖλκε καμπύλοις, τῶν δὲ ὑπέτεμνε τὰ πέλματα καὶ τοὺς δακτύλους ἐξέκοπτεν, ἢ τὸ δέρμα τοῦ λοιποῦ σώματος ἀπέσπα, καὶ πάντας ἔμπνους ἔτι κατεκρήμνιζεν, ἀδιάλλακτα Καρχηδονίοις τὰ ἐς Ῥωμαίους ἐπινοῶν. καὶ ὃ μὲν αὐτοὺς οὕτως ἠρέθιζε τὴν σωτηρίαν ἔχειν ἐν μόνῃ τῇ μάχῃ, περιέστη δ' αὐτῷ ἐς τὸ ἐναντίον ὧν

ἐπενόει· ὑπὸ γὰρ τοῦ συνειδότος οἱ Καρχηδόνιοι τῶνδε τῶν ἀθεμίςων ἔργων περιδεεῖς ἀντὶ προθύμων ἐγίγνοντο καὶ τὸν Ἀσδρούβαν ὡς τὴν συγγνώμην σφῶν ἀφῃρημένον ἐμίσουν, καὶ μάλισθ' ἡ βουλὴ αὐτοῦ κατεβόα ὡς ὠμὰ καὶ ὑπερήφανα δεδρακότος ἐν συμφοραῖς οἰκείαις τοσαῖσδε. ὃ δὲ τῶν βουλευτῶν τινὰς ἔκτεινε, καὶ ἐς πάντα ὢν ἤδη περιδεὴς ἐς τυραννίδα μᾶλλον ἢ ςρατηγίαν περιῆλθεν, ὡς ἐν τῷδε μόνῳ τὸ ἀσφαλὲς ἕξων, εἰ φοβερὸς αὐτοῖς εἴη καὶ διὰ τοῦτο δυσεπιχείρητος. Appian. Lib. 118.

ἀσεβεῖς οἱ πολυθεΐαν ἢ ἀθεΐαν θρησκεύοντες.

ἀσεβῶ αἰτιατικῇ.

ἀσεβῶν παρὰ τῷ Δαβὶδ (Ps. 1), τῶν τὸν θεὸν ἀγνοούντων.

ἀσέλγεια ἀντὶ τοῦ πολυτέλεια· οὕτως Αἰσχίνης. ἡ *ἀσέλγεια* πορνεία, ἀκαθαρσία, μωρία. παρῆκται δέ, ὥς φασιν, ἐξ αἰτίας τοιαύτης· Σέλγη πόλις ἐςὶ τῆς Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι καὶ ἀλλήλοις ἐκοινώνουν. κατ' ἐπίτασιν οὖν τὸ ἀσελγαίνειν. καὶ ἀσελγὲς οὐ μόνον ἐπὶ τοῦ ἀκολάςου ἔταττον οἱ παλαιοί, ἀλλ' ἔςιν ὅτε καὶ ἐπι τοῦ μεγάλου· καὶ γὰρ ἄνεμον ἀσελγῆ λέγουσι, καὶ ἀσελγόκερως τράγος ὁ μέγας. ἡ ἀσελγόκερως ὁ κυρίττων. "πίονές εἰσιν ἀσελγῶς" Ἀριςοφάνης φησὶν ἐν Πλούτῳ (560) ἀντὶ τοῦ καταφερεῖς. "θορυβούμενοι καὶ κεκραγότες μετὰ ἀσελγείας, οἷον οἱ κόρακες λαρυγγίζουσιν" (cf. v. λαρυγγίζουσιν), ἀντὶ τοῦ μεγάλως φωνοῦσι. καὶ ἀσελγὴς ἐπὶ ἀνέμου ὁ σφοδρῶς πνέων· "πολὺς δὲ καὶ ἀσελγὴς τίκτεται ἐκεῖθι" φησὶν Αἰλιανὸς ἐν τῷ περὶ ποικίλης ἀφηγήσεως· "γένεσις δὲ αὐτῷ αὐλῶνες βαθεῖς καὶ φάραγγες, δι' ὧν ὠθούμενος ἐκπνεῖ λαβρότατος."

ἄση ῥύπος. καὶ κλίνεται ἄσης. ἢ λύπη· "καὶ τοσαύτης ἄσης ὑποπίμπλαμαι καὶ ναυτίας σῶμά τε καὶ ψυχήν, ὥςε καὶ εἰς ἐμέτους ἐμοὶ τὴν ἀχθηδόνα προπίπτειν," τουτέςι ῥύπου.

ἀσηκόρος ὁ ἀκηδιαςής.

ἀσήμαντα τὰ λεγόμενα ἀσφράγιςα· καὶ γὰρ σημεῖα τὰς σφραγῖδας ἔλεγον. καὶ *ἀσημάντοις* (Hom. K 485) ἀφυλάκτοις, οὐκ ἔχουσι σημάντορας τοὺς ἐπιςάτας. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν σφραγίδων.

ἄσημον τὸ δυσγενές, καὶ τὸ μηδὲν σημαῖνον. καὶ *ἄσημος* ὁ ἀγεννής.

Ἀσηρώθ ὄνομα κύριον.

ἄσητος ὁ μὴ ἔχων σκώληκας.

ἀσθένεια ταλαιπωρία, νόσος, ἀδυναμία. καὶ *ἀσθενοῦντας* ἀντὶ τοῦ ἐν ἐνδείᾳ ὄντας· τὴν γὰρ τύχην ἰδίως νόσον φασίν. Ἀριστοφάνης (Pac. 637) "τοὺς πένητας ἀσθενοῦντας."

ἆσθμα πνοή. καὶ *ἀσθμάζειν* ἀντὶ τοῦ ἀσθμαίνειν, τουτέςι πνευςιᾶν· Βάβριος (103 3) "οἷά τις νούσῳ κάμνων ἐβέβλητ', οὐκ ἀληθὲς ἀσθμαίνων."

Ἀσία χώρα, ἡ τῆς ἀνατολῆς. καὶ *Ἀσιάδος κρούματα* τῆς κιθάρας· οὕτως Ἀριςοφάνης (Thesm. 126)· ἢ *Ἀσιάτιδος* κρούματα. καὶ *Ἀσιῆτις* γῆ, τῆς Ἀσίας.

Ἀσίνιος Πωλίων Ῥωμαῖος ἱςορίας Ῥωμαϊκὰς συνέταξεν ἐν βιβλίοις ιζ΄. οὗτος πρῶτος ἑλληνικὴν ἱςορίαν ῥωμαϊκῶς συνεγράψατο. cf. v. Πωλίων a.

Ἄσιος ὄνομα κύριον. cf. v. παλλάδιον.

ἀσιτῶ ἄρτον οὐκ ἐσθίω.

Ἀσιχίνη ὄνομα κύριον.

Ἀσιών τὸ ὄρος.

ἀσκαλαβώτης ὁ γαλεώτης. οὐχὶ καλαβώτην λέγουσι, μᾶλλον δὲ γαλεώτην· Μένανδρος "οὑτοσὶ δὲ γαλεώτης γέρων."

ἀσκάλαφος παρὰ τὸ ἀσκελὲς τῆς ἁφῆς, ὁ λίαν σκληρός.

Ἀσκαλωνίτης ὄνομα κύριον.

ἀσκαμωνία εἶδος βοτάνης ἰατρικῆς.

ἄσκαντος ἡ μικρὰ κλίνη, τὸ πτωχὸν κλινίδιον. ἢ *ἀσκάντης* κλίνη μὴ ἔχουσα κάνητα· κάνης δὲ ὁ ψίαθος. ἢ ὁ σκίμπους, ἢ δίφρου τι εἶδος· οἱ δὲ τὸν κράββατον. Ἀριςοφάνης Νεφέλαις (633) "ἕξει τὸν ἀσκάντην λαβών."

ἀσκαρδαμυκτί χωρὶς τοῦ μύειν, ὅ ἐςιν ἀγρίως βλέπειν. καὶ *ἀσκαρδάμυκτον*· Ἀριςοφάνης (Eq. 292) "βλέψον εἰς μ' ἀσκαρδάμυκτον," τουτέςι μὴ μύσας τοὺς ὀφθαλμούς. τὸ δὲ σκαίρειν καὶ μύειν τοὺς ὀφθαλμοὺς καὶ πυκνῶς βλεφαρίζειν σκαρδαμύσσειν λέγεται καὶ ἰλλωπεῖν. *ἀσκαρδαμυκτεῖν* οὖν τὸ ἄνω βλέπειν. οἷον ἀτενὲς βλέψον εἰς ἐμέ.

ἀσκελές (Hom. α 68) ἀδιαλείπτως.

ἀσκέπαρνον ἄξεςον, ἄγλυφον, ἀπελέκητον, οὐκ εἰργασμένον· Σοφοκλῆς (OC 101) "κἀπὶ σεμνὸν ἑζόμην βάθρον τόδ' ἀσκέπαρνον."

ἀσκέραι ὑποδήματα Ἀττικά. ἡ εὐθεῖα ἀσκέρα.

ἄσκευον ἀντὶ τοῦ ἀπαράσκευον, ἄνευ ὅπλων. καὶ ὁ θεολόγος ⟨or. 20 p. 357 B⟩ "βίον ἄσκευον καὶ ἀπέριττον."

ἀσκηθής ⟨Hom. K 212⟩ ἀβλαβής, ὑγιής.

ἀσκήσασα ⟨Hom. Ξ 179⟩ κοσμήσασα, μετ' ἐπιμελείας ὑφάνασα.

ἄσκησιν ἀγωνίαν, καὶ ὡς ἡμεῖς τὸ δεδιέναι καὶ προσδοκᾶν τὸ μέλλον λέγομεν. οἱ παλαιοὶ καὶ Πλάτων καὶ ἀσκητὰς καὶ ἀθλητὰς λέγουσιν.

ἄσκησις ἐγκράτεια.

ἀσκητικόν μέγα· Ἀριστοφάνης ⟨Lys. 1087⟩ "καὶ μὴν ὁρῶ" τὰς Ἀθηναίας "ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων θἰμάτι' ἀποστέλλοντας, ὥστε φαίνεται ἀσκητικόν τι χρῆμα τοῦ νοσήματος." καὶ ἀσκητικὸς φιλομαθής, φιλόσοφος.

ἀσκητός μετ' ἐπιμελείας κεκοσμημένος· ⟨AP 6 219⟩ "θηλυχίτων ἀσκητὸς ἐνσπείροισι κορύμβοις."

a Ἀσκληπιάδης Διοτίμου Μυρλεανός (πόλις δέ ἐστι Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη· τὸ δὲ ἄνωθεν γένος ἦν Νικαεύς)· γραμματικός, μαθητὴς Ἀπολλωνίου. γέγονε δὲ ἐπὶ τοῦ Ἀττάλου καὶ Εὐμενοῦς τῶν ἐν Περγάμῳ βασιλέων. ἔγραψε φιλοσόφων βιβλίων διορθωτικά.

b ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου τοῦ μεγάλου, καὶ ἐν Ἀλεξανδρείᾳ ἐπὶ τοῦ δ' Πτολεμαίου νέος διέτριψεν. ἔγραψε πολλά.

ἀσκληπίειον φάρμακον, ἀσκληπιεῖον δὲ ἱερόν. καὶ Ἀσκληπιάδαι οἱ ἰατροί, ἀπὸ Ἀσκληπιοῦ, οὗτος δὲ παρὰ τὸ ἀσκελῆ καὶ ἤπια φυλάττειν τὰ σώματα. καὶ Αἰλιανός "ὃ δὲ ἀθλίως νόσῳ (περιπνευμονίαν καλοῦσιν Ἀσκληπιαδῶν παῖδες αὐτήν) πιεζόμενος τὰ μὲν πρῶτα ἐδεῖτο τῆς ἀνθρώπων ἰατρικῆς."

Ἀσκληπιόδοτος. οὗτος ἐκ παίδων εὐθὺς ὡμολογεῖτο ὀξύτατος καὶ πολυμαθέστατος εἶναι τῶν ἡλικιωτῶν, ὥστε καὶ πολυπραγμονῶν οὐδὲν ἐπαύετο περὶ ἑκάστου τῶν παραπιπτόντων, ὧν ἥ τε φύσις ἀπεργάζεται θαυμασίων καὶ τέχνη ἑκάστη παρέχεται δημιουργημάτων. ἐν γοῦν ὀλίγῳ χρόνῳ παντάπασι κατανενοήκει τῶν τε γραφικῶν χρωμάτων τὰς μίξεις ἁπάσας καὶ τῶν περὶ ἐσθῆτα κοσμουμένων βαμμάτων παντοδαπῶν, ἔτι δὲ τῶν ξύλων τὰς μυρίας διαφορότητας, ὅπως αὐτῶν αἱ ἶνες ἔχουσιν εὐθύτητος πέρι καὶ διαπλοκῆς. ἀλλὰ μέντοι λίθων καὶ βοτανῶν αἱ ποικίλαι δυνάμεις τε καὶ ἰδέαι, τῶν τε ἐν ποσὶ κειμένων καὶ τῶν σπανιωτάτων, ἀνεζητοῦντο καὶ εὑρίσκοντο πάσῃ μηχανῇ. ὄχλον δὲ παρείχετο πολὺν τοῖς περὶ ἕκαστα διατρίβουσι, παρακαθήμενός τε συχνὰ καὶ περὶ ἑκάστου ἀνερωτῶν ἐς τὸ ἀκριβέστατον. τὴν δὲ περὶ φυτῶν ἱστορίαν ἐπὶ μείζονος ἠγάπα τιμῆς, καὶ ἔτι μᾶλλον τὴν περὶ ζῴων, τά τε ἐνόντα διὰ τῆς ὄψεως ἀνακρίνων καὶ τὰ μὴ δυνατὰ διὰ τῆς ἀκοῆς ἐξετάζων ἐπὶ τὸ μακρότατον, ὅσα τε τοῖς πρεσβύταις ἀναγέγραπται περὶ τούτων ἀναλεγόμενος. ἦν δὲ Ἀλεξανδρεὺς τὸ γένος. τοῦτον οὖν ἐπίσταμαι διὰ πείρας συχνῆς εὖ μάλα τήν τε ἀγαθοειδῆ προαίρεσιν προβεβλημένον, καὶ τοῦ πατρὸς οὐ πολύ τι λειπόμενον κατὰ τὴν εὐσεβῆ προθυμίαν καὶ τὴν πρὸς τὸ θεῖον ἀναγομένην ἐλπίδα σύντονόν τε καὶ ἐρωτικήν, φιλοσοφοῦντα μέντοι ὑπὲρ ἐκεῖνον καὶ τῇ ἄλλῃ προπαιδείᾳ κεκοσμημένον. τοιγαροῦν ἀνέθηκεν ἐπ' αὐτοῦ ἡ πόλις τῆς Ἀφροδίτης εἰς τὸ ἱερώτερον. ἤδη δὲ καὶ ἐς τὰς ὑπερορίας ἀπῴκισε τὴν ἀπόρρητον θέμιν, ἔς τε Ἀλεξάνδρειαν τὴν ὁσιάζουσαν καὶ τῆς ἔξω πολλαχῇ τὴν μαγεύουσαν. γενόμενος δὲ πρὸς τῷ σεμνῷ καὶ εὐτράπελος ἡδίστην παρείχετο τοῖς ἐντυγχάνουσι τὴν αὐτοῦ συνδιαίτησιν. εὐφυὴς δὲ ἐκ παίδων γεγονὼς ἄχρι γήρως πολλὰ συνεισήνεγκεν εἰς τὰ ἱερὰ τῆς οἰκείας φύσεως ἔκγονα μηχανήματα, ἀγάλματά τε διακοσμῶν καὶ ὕμνους προστιθεὶς ἔστιν οἷς. οἰκονομικὸς δὲ ὢν καὶ γεωργικὸς ἀποθανόντος αὐτῷ τοῦ πατρὸς ἀπέτισε χρέα πολλά. ἐν χρηματισμῷ δὲ δικαίῳ καταστάς, ὅμως ἐν δαπανήμασι μεγάλοις ἐγένετο τῆς τε ἱερᾶς εἵνεκα προαιρέσεως καὶ τῆς ἄλλης πολιτικῆς φιλοτιμίας ἀναγκαίας εἶναι δοκούσης καὶ τῷ οἴκῳ συνήθους, ὥστε ἠναγκάσθη καὶ αὐτὸς ὕστερον ὑπόχρεων τὴν οὐσίαν καταλιπεῖν ταῖς θυγατράσι. ταῦτα ἀναγεγράφθω μοι χαρίσια ὀλίγα ἀντὶ πολλῶν ἀποδιδόντι. ἔστιν ἐν τῷ δεισιδαιμονία. Damasc. Phot. p. 343 b.

ἀσκὸν δέρειν ⟨A Nub. 441⟩ ἐπὶ τῶν καθ' ὑπερβολὴν ἐπαγγελλομένων πράττειν τι. τὸ δέρμα μου εἰς ἀσκὸν ἐκδερματίζειν. ὑπὲρ τοῦ πιστευθῆναι αὐτὸν ἐμμένειν τοῖς ὑποκειμένοις

προσέθηκε πλέον ἢ ἐκεῖνοι ἐπέταξαν, καὶ λέγει καταφρονεῖν ἐκδερομένου τοῦ δέρματος· ὁ γὰρ τὰ μείζω ἐπαγγελλόμενος ὑπομένειν εὐχερῶς ἂν τὰ ἥττονα ὑπενέγκοι.

ἀσκοπήρα τὸ μαρσίπιον, ἤτοι τὸ σακκοπάθνιον.

ἄσκοπον ἀντὶ τοῦ ἀπροσδόκητον. καὶ ἄσκοπος λώβη ⟨S El. 864⟩ ἀπροόρατος· τουτέστιν ὁ θάνατος.

ἀσκὸς ἐν πάχνῃ. ὁ Δαβὶδ λέγει ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ. ὁ ἀσκὸς θερμαινόμενος χαυνοῦται καὶ φυσώμενος ἐξογκοῦται, ἐν δὲ τῇ πάχνῃ σκληρύνεται καὶ πήγνυται. οὕτω καὶ τοῦ σώματος ἡ φύσις χαυνοῦται μὲν τῇ τρυφῇ καὶ ἐξογκοῦται, τῇ δὲ ἀσκητικῇ ἀγωγῇ ταπεινοῦται καὶ πιέζεται. καὶ τούτου μάρτυς ὁ Παῦλος, βοῶν ⟨1 Cor. 9 27⟩ "ἀλλ' ὑποπιέζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι." τοιγάρτοι καὶ ὁ προφήτης, ἐπειδὴ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ κρείττων ἦν τῶν παθῶν, εἰρήνης δὲ ἀπολαύσας τοῖς ἀπὸ τῆς τρυφῆς ἐβλάβη σκιρτήμασι, ταπεινώσας τὸ σῶμα τῶν θείων νόμων τὴν μνήμην ἀνενεώσατο. Theodoret. in Ps. 118 83.

ἀσκὸς Κτησιφῶντος. Ἀριστοφάνης ⟨Ach. 968⟩ "κατὰ τὰ πάτρια τὰς χόας πίνειν ὑπὸ τῆς σάλπιγγος. ὃς δ' ἂν ἐκπίῃ πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται." ἐν γὰρ ταῖς χοαῖς ἀγὼν ἦν περὶ τοῦ ἐκπιεῖν πρῶτόν τινα χόα, καὶ ὁ νικῶν ἐξέφετο φυλλίνῳ στεφάνῳ καὶ ἀσκὸν οἴνου ἐλάμβανε. πρὸς σάλπιγγας δὲ ἔπινον. ὁ δὲ Κτησιφῶν ὡς παχὺς καὶ προγάστωρ ἐσκώπτετο. ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν χοῶν ἑορτῇ, ἐφ' οὗ τοὺς πίνοντας πρὸς ἀγῶνας ἑστάναι· τὸν προπιόντα δὲ ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δὲ μέτρον τι οἷον χοῦ.

ἀσκούμενος κατασκευάζων, κοσμῶν.

ἀσκοφορεῖν. ἐν ταῖς διονυσιακαῖς πομπαῖς τὰ μὲν ὑπὸ τῶν ἀστῶν ἐπράττετο, τὰ δὲ τοῖς μετοίκοις ποιεῖν ὑπὸ τῶν νομοθετησάντων προστετάκτο. οἱ μὲν οὖν μέτοικοι χιτῶνας ἐνεδύοντο χρῶμα ἔχοντας φοινικοῦν καὶ σκάφας ἔφερον, ὅθεν σκαφηφόροι προσηγορεύοντο· οἱ δὲ ἀστοὶ ἐσθῆτα εἶχον ἣν ἐβούλοντο, καὶ ἀσκοὺς ἐπ' ὤμων ἔφερον, ὅθεν ἀσκοφόροι ἐκαλοῦντο. καὶ παροιμία "ἀσκῷ μορμολύττεσθαι" ἐπὶ τῶν εἰκῇ καὶ διὰ κενῆς δεδιττομένων.

Ἀσκραῖος ὁ Ἡσίοδος.

ἀσκῶ αἰτιατικῇ.

ἀσκωλιάζειν. ἑορτὴν οἱ Ἀθηναῖοι ἦγον τὰ ἀσκώλια, ἐν ᾗ ἥλλοντο τοῖς ἀσκοῖς εἰς τιμὴν τοῦ Διονύσου. δοκεῖ δὲ ἐχθρὸν εἶναι τῇ ἀμπέλῳ τὸ ζῷον· ἀμέλει γοῦν καὶ ἐπίγραμμα φέρεται ⟨AP 9 75⟩ πρὸς τὴν αἶγα οὕτως ἔχον "κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δ' ἔτι καρποφορήσω ὅσσον ἐπιλεῖψαι σοὶ τράγε θυομένῳ." ἀσκωλίαζε δὲ ἀντὶ τοῦ ἅλλου. κυρίως ἀσκωλιάζειν ἔλεγον τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι ἕνεκα τοῦ γελωτοποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ὠλίσθαινον, καθάπερ Εὔβουλος ἐν Δαμαλίᾳ φησὶν οὕτω· "καὶ πρός γε τούτοις ἀσκὸν εἰς μέσον καταθέντες εἰσάλλεσθε, καὶ καγχάζετε ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος" ⟨sch. A Plut. 1130⟩. καὶ ἀσκωλιάζοντες ἐφ' ἑνὸς ποδὸς ἐφαλλόμενοι, ἢ ὑστερούμενοι τῶν κατὰ φύσιν. "ὃ δὲ ἐμοὶ δοκεῖν ὁρμῇ τῇ παρὰ τοῦ Ἀσκληπιοῦ ἐς τὸν δεσπότην ἀσκωλιάζων θάτερον τῶν ποδῶν ἔρχεται, καὶ ὄρθριον ᾀδομένου τοῦ παιᾶνος τῷ Ἀσκληπιῷ ἑαυτὸν ἀποφαίνει τῶν χορευτῶν ἕνα, καὶ ἐν τάξει στὰς ὥσπερ οὖν παρά τινος λαβὼν χοροδέκτου τὴν στάσιν, ὡς οἷός τε ἦν, συνᾴδειν ἐπειρᾶτο τῷ ὀρνιθείῳ μέλει" ⟨cf. vv. βουλυτός, ἔσθενε, Κυλλοῦ πήραν, συνῳδά⟩. καὶ ἀσκωλιασμός ὁμοίως τὸ ἐφ' ἑνὸς ποδὸς βαίνειν.

ἄσκωλον τὸ λεῖον.

ἀσκώματα τὰ ἐν ταῖς κώπαις σκεπαστήρια ἐκ δέρματος, οἷς χρῶνται ἐν ταῖς τριήρεσι, καθ' ὃ τρῆμα ἡ κώπη βάλλεται. εἰς διφθέρας γὰρ τὰς διανοίας τὰς ἑαυτοῦ γράψας ὁ Θωρυκίων ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ Λακωνικῇ. sch. A Ran. 366.

ᾆσμα τὸ μέλος, ἡ ᾠδή. σημαίνει δὲ καὶ τὸ δίασμα, καὶ Σώφρων ἄττεσθαι, ὃ ἡμεῖς διάζεσθαι. μεταβολῇ τῶν δύο σ εἰς τὸ ζ ἐγένετο.

ἀσμενίζω· ⟨Theophyl. Sim. 3 7⟩ "οἱ μὲν οὖν τὸν ὄλεθρον ἀσμενίσαντες καὶ παρακρουσθέντες ὑπὸ τῆς ὑποσχέσεως ἥλωσαν ὑπὸ τοῦ Περσικοῦ."

ἄσμενος χαίρων, ἡδέως, προθύμως. καὶ ἀσμενέστατα ἀντὶ τοῦ προθυμότατα· "ἀσμενέστατα τὴν πρόκλησιν ἀποδεδεγμένοι." λέγεται καὶ ἀσμεναίτατα.

ἀσολοίκως τὸ ἀφελῶς.

ἀσπάζεσθαι αἰτιατικῇ, καὶ τὸ προσαγορεύειν, ὡς ἡμεῖς, καὶ τὸ χαίρειν τινὶ ἁπλῶς καὶ ἀγαπᾶν καὶ φιλοφρονεῖσθαι. καὶ ἀσπαζόμεσθα σὺν τῷ σ· "ἀσπαζόμεσθ' ἐρέτμια καὶ σκαλμίδια" φησὶν ὁ κωμικός. καὶ πάντα τὰ ὅμοια διττῶς λέγουσιν.

ἀσπάζου· Ἀριστοφάνης ⟨Eccl. 964⟩ "ἄνοιξον· ἀσπάζου με. διά τοι σὲ πόνους ἔχω."

ἀσπαίροντες ⟨Hom. μ 255⟩ σκαρίζοντες, κινοῦντες.

ἀσπαλία ἁλιέως ἐργασία, καὶ ἀσπαλιεύς ὁ ἁλιεύς, ἀπὸ τοῦ σπᾶν τὴν ἄγραν. καὶ ἀσπαλιεύεσθαι παρὰ ῥήτορσι τὸ ἁλιεῦσαι παρ' ἡμῖν.

Ἄσπαρ πατὴρ Ἀρδαβουρίου.

Ἀσπασία. πολυθρύλητος γέγονεν αὕτη, ἦν δὲ γένος Μιλησία, δεινὴ δὲ περὶ λόγους. Περικλέους δέ φασιν αὐτὴν διδάσκαλον ἅμα καὶ ἐρωμένην εἶναι. δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ τοῦ Πελοποννησιακοῦ. δοκεῖ δὲ καὶ ἐξ αὐτῆς ἐσχηκέναι Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον. Harp.

ὅτι Ἀσπασίαι δύο ἑταῖραι, τῇ δὲ μιᾷ τούτων ἐκέχρητο ὁ Περικλῆς· δι' ἣν ὀργισθεὶς ἔγραψε τὸ κατὰ Μεγαρέων ψήφισμα, ἀπαγορεῦον δέχεσθαι αὐτοὺς εἰς τὰς Ἀθήνας. ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν Ἀθηνῶν προσέφυγον τοῖς Λακεδαιμονίοις. ἡ δὲ Ἀπασία σοφίστρια ἦν καὶ διδάσκαλος λόγων ῥητορικῶν. ὕστερον δὲ καὶ γαμετὴ αὐτοῦ γέγονεν. sch. A Ach. 526.

a Ἀσπάσιος Βύβλιος σοφιστής, συγχρονῶν Ἀριστείδῃ καὶ Ἀδριανῷ, ἔγραψε περὶ Βύβλου, περὶ στάσεων ἐσχηματισμένων, μελέτας, τέχνας, ὑπομνήματα, λαλιάς, ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα καὶ εἰς ἄλλους τινάς.

b Ἀσπάσιος Δημητριανοῦ τοῦ κριτικοῦ μαθητής, Ῥαβενναῖος σοφιστής, γεγονὼς ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας, πρὸς τοὺς φιλολοιδόρους καὶ πρὸς Ἀρίστωνα, λόγους διαφόρους. ἠκροάσατο δὲ Παυσανίου καὶ Ἱπποδρόμου, καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ, διαπρέψας μέχρι πολλοῦ. cf. Philostrat. V. S. 2 33.

c Ἀσπάσιος Τύριος σοφιστής, ἱστορικός, ἔγραψε περὶ Ἠπείρου καὶ τῶν ἐν αὐτῇ ἱστορίαν σύμμικτον ἐν βιβλίοις κ', περὶ τέχνης ῥητορικῆς, καὶ ἄλλα.

ἀσπασίως ἡδέως, προσηνῶς, φιλοφρόνως.

ἀσπασμός ἡ εὐχὴ παρὰ τῷ ἀποστόλῳ Παύλῳ ⟨1 Cor. 16 21⟩· "ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί."

ἀσπαστοί ἄσμενοι, θεοειδεῖς. παρὰ δὲ Καλλιμάχῳ ⟨fr. 427⟩ ἀσπαστύς ἀσπαστύος, τουτέστι προσηγορία φιλία.

ἄσπειστον ἔχθραν ἄσπονδον μῖσος.

ἀσπιδηφόροι οἱ πολεμισταί. καὶ ἀσπιδιώτης ὁ ἀσπίδα κινῶν. καὶ ἀσπιδόν, ἐπίρρημα, δίκην συνασπισμοῦ. καὶ ἀσπιδοπηγεῖον ἐν ᾧ ἡ ἀσπὶς πήγνυται, ὅπερ ἐστὶν ὅπλον σκουτάριον. καὶ ἡ τάξις· Ἀριστοφάνης ⟨cf. sch. Lys. 282⟩ "ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας." καὶ ἀσπιστῆρες φυλακτῆρες· Σοφοκλῆς ⟨Ai. 565⟩ "ἀλλ' ἄνδρες ἀσπιστῆρες ἐνάλιος λεώς, ὑμῖν τε κοινῇ τήνδ' ἐπισκήπτω χάριν."

ἄσπιλος ὁ μὴ ἔχων σπίλον τινά· ἐν ἐπιγράμματι ⟨AP 6 252⟩ "μῆλον ἐγὼ στρούθειον ἄσπιλον ἀρρυτίδωτον."

ἄσπλαγχνος ἄτολμος, ταπεινός, δειλός, ψυχρός· Σοφοκλῆς ⟨Ai. 472⟩ "μή τοι φύσιν ἄσπλαγχνος ἐκ κείνου γεγώς." φύσιν δὲ ἀσθενῆ καὶ ἀλλοίαν παρὰ τὴν τοῦ πατρός.

ἀσπονδεί ἄνευ φιλίας, ἢ χωρὶς θυσίας. καὶ ἄσπονδοι ἐχθροί ἀδιάλλακτοι. Θουκυδίδης "οἱ δὲ τοὺς νεκροὺς ἀσπόνδους ἀπέδοσαν."

ἀσπουδεί χωρὶς σπουδῆς. ἀσπουδῆ δέ, διὰ τοῦ η, χωρὶς κακοπαθείας, ὡς τὸ "μὴ μὰν ἀσπουδῆ γε" ⟨Hom. Χ 304⟩.

ἄσσα. ὅτε σημαίνει τὸ ὅσα καὶ ἅτινα, δασύνεται, ὅτε δὲ τὸ τινά, ψιλοῦται. ⟨Lycophron. 8⟩ "τῶν ἅσσα θυμῷ καὶ διὰ μνήμης ἔχω." καὶ ἄσσα γελωτοποιεῖν ἀντὶ τοῦ τινὰ σκώπτειν. cf. v. ἄστειος extr.

ἀσσάρια οἱ ὀβολοί. Νουμας ὁ πρῶτος βασιλεὺς μετὰ Ῥωμύλον Ῥωμαίων γεγονὼς ἀπὸ σιδήρου καὶ χαλκοῦ πεποιημένα πρῶτος ἐχαρίσατο Ῥωμαίοις, τῶν πρὸ αὐτοῦ πάντων διὰ σκυτίνων καὶ ὀστρακίνων τὴν χρείαν πληρούντων· ἅπερ ὠνόμασεν ἐκ τοῦ ἰδίου ὀνόματος νουμμία, ὥς φησι Τραγκύλλιος. Cedren. p. 148.

Ἀσσυρίηθεν ἀπὸ τῆς Ἀσσυρίας.

Ἀσσύριοι. οὗτοι ἐκλήθησαν ἀπό τινος a
γίγαντος ὄνομα Ἀσσύρου, ἐξ οὗπερ ἔλαβε τὴν ἐπωνυμίαν ἡ χώρα. ἀπὸ δὲ Ἀσσυρίων καὶ Σύροι προσηγορεύθησαν. ἢ ἀπὸ τοῦ Ἀσσοὺρ τοῦ υἱοῦ Σὴμ τοῦ υἱοῦ Νωέ, ὅστις Ἀσσοὺρ

ἔκτισε πρῶτος πόλιν μεγάλην τὴν μετονομασθεῖσαν Νινευί. οἱ δὲ Ἀσσυρίους φασὶ τοὺς Πέρσας.

b **Ἀσσύριοι** τὸ ἔθνος. "ἀτρεμούντων πάντων οὐδὲν ἐμποδὼν ἦν αὐξηθῆναι αὐτοὺς ἐπὶ πλεῖστον. μετὰ δὲ ταῦτα πολλοὶ καὶ συνεχεῖς πόλεμοι γενόμενοι ἐπαναστάσεις τε ἑτέρων ἐφ' ἑτέρους μυρίαι καὶ πόλεμοι πρὸς ἀλλήλους συνερράγησαν." ταῦτα ἐπὶ Καίσαρος.

Ἀσσυρίων ἀρχὴ παλαιὰ καὶ ἐς τοὺς μυθικοὺς ἀναγομένη χρόνους ὀλίγου τινὸς ἐκράτησε τῆς Ἀσίας μέρους. εἶτα ἡ Μηδικὴ καθελοῦσα τὴν Ἀσσυρίων χρόνον οὐ πολὺν κατέσχεν, ἀλλὰ κατελύθη ἐπὶ τῆς δ' γενεᾶς. Πέρσαι δὲ Μήδους καταγωνισάμενοι χρόνων οὐ πολλῷ πλέον διακοσίων ἔμειναν ἐπὶ τῆς ἀρχῆς. ἡ δὲ Μακεδόνων δυναστεία τὴν Περσῶν καθελοῦσα, μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐπὶ τὸ χεῖρον ἤρξατο φέρεσθαι, καὶ ἐπὶ τῶν διαδόχων αὐτὴ καθ' ἑαυτὴν ἐξησθένησεν, ὑπὸ Ῥωμαίων καταλυθεῖσα. τὰς γὰρ Ἑλληνικὰς δυνάμεις οὐκ ἄξιον αὐταῖς ἀντιπαρεξετάζειν· Ἀθηναῖοι γὰρ μόνης ἦρξαν τῆς παραλίου ο' δυοῖν δέοντα ἔτη, Λακεδαιμόνιοι δὲ Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος κρατοῦντες οὐδ' ὅλα λ' ἔτη ἐπαύθησαν ὑπὸ Θηβαίων. ἡ Ῥωμαίων δὲ πόλις ἁπάσης γῆς, ὅση μὴ ἀνέμβατός ἐστι, ε' καὶ μ' πρὸς τοῖς ψ' ἔτεσιν εἰς ὑπάτους Κλαύδιον Νέρωνα τὸ δεύτερον καὶ Πίσωνα Καλπούρνιον, οὐδὲν ἀντίπαλον ἔχουσα. Dionys. Hal. 1 p. 2.

ἀσταγὲς ὕδωρ τὸ πολυσταγές.

ἀσταθμεύτους· "συγχωρεῖν τὸν βασιλέα Θασίους ἀφρουρήτους ἀφορολογήτους ἀνεπισταθμεύτους νόμοις χρῆσθαι τοῖς ἰδίοις." cf. v. ἀνεπισταθμεύτους.

ἀστάθμητον· "τὸ ἄδηλόν τε καὶ ἀστάθμητον τῆς τύχης οὐχ ὑφορώμενοι." καὶ **ἀστάθμητος** ἄνισος, ἄστατος· "καὶ δὴ καὶ τὴν ἄλλην ἀρετὴν ἀστάθμητος, ὡς εἰπεῖν, ὁ ἄνθρωπος οὗτος ἦν." "οἱ δὲ ἐπετόλμησαν τῇ θαλάττῃ διὰ τὴν ἀνάγκην, τὸ τέως ἀστάθμητον στοιχεῖον ἡγούμενοι τῆς γῆς πιστότερον ἔσεσθαί σφισιν ἐν τῇ βίᾳ τῇ τότε" "καὶ τὸ ποιητικὸν εἰπεῖν, ἔσσεται ἦμαρ ὅταν πότ' ὀλώλῃ Ἴλιος ἱρή· καὶ τοῦτο εἰπεῖν τὸ τῶν ἀνθρώπων ἀστάθμητον εἶναι λογιζόμενος" (Polyb. 39 3). καὶ **ἀσταθμητότατον**, περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμήρασθαι οὐδὲ σταθμήσασθαι, τί ποτε διανοεῖται ἢ τί πράξει· Δημοσθένης ἐν τῷ παραπρεσβείας (136).

ἀστακτί πολυστακτί, πολυδακρύτως· "τὸν νεκρὸν παραπέμπων ἔκλαιεν ἀστακτί." καὶ αὖθις "ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις στένοντες ὡμαρτοῦμεν" (S OC 1646).

Ἀστάρτη ἡ παρ' Ἕλλησιν Ἀφροδίτη λεγομένη, ἐκ τοῦ ἄστρου τὴν ἐπωνυμίαν πεποιηκόσιν· αὐτῆς γὰρ εἶναι τὸν ἑωσφόρον μυθολογοῦσιν. cf. v. Σολομών.

ἀσταφίς· "καὶ σταφυλὴ γραίη, χὼ μελίπνους λίβανος" (AP 6 231). καὶ παροιμία "ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον."

ἄσταχυς καὶ **ἀσταφίς** καὶ ὅλως τὸ πλεονάζειν τὸ α ἐν ἀρχῇ τῶν τοιούτων ὀνομάτων Ἀττικόν. (Hom. B 148) "ἐπί τ' ἠμύει ἀσταχύεσσιν."

ἄστεα πόλεις. καὶ ἄστεϊ ἡ δοτική, καὶ ἄστεος, καὶ τὸ πληθυντικὸν τῶν ἄστεων. καὶ **ἄστεος στέφανος** τὸ τεῖχος.

ἄστεγος ὁ μὴ ἔχων στέγην. λέγεται δὲ καὶ φλύαρος καὶ ἀνυπομόνητος.

ἀστεῖα λέγεις. καὶ **ἀστεῖον** τὸ πολιτικόν· (A Ran. 930) "ἀστεῖόν τι καὶ κατερρινημένον εἰπεῖν." κωμικὴ ἡ συμπλοκή, σημαίνει δὲ τὸ κατερρινημένον τὸ ἄκρως διειργασμένον. ἐν συνουσίᾳ χρῶ.

ἀστεϊζόμενος ἀγλαϊζόμενος, ὡραϊζόμενος, κομψευόμενος. καὶ **ἀστεϊσμὸς** τὸ συμπολιτεύεσθαι.

ἀστεῖος εὐσύνετος, εὐπρόσωπος, χαρίεις, καλός, γελοιώδης. καὶ **ἀστειοτέρῳ** ἀντὶ τοῦ συνετωτέρῳ· "ὃ δὲ καιρὸν εὑρὼν τῷ ἀστειοτέρῳ δράματι πλανῆσαι τὸν ἠπατηκότα." καὶ **ἀστείους** ἀστεϊζομένους, πολιτευομένους. εὐφημότερον **ἀστεΐζεσθαι** τὸ ὡραΐζεσθαι, γελωτοποιεῖν, ἅτινα σκώπτειν. καὶ **ἀστείως** πρεπόντως, φρονίμως.

ἀστεμφέα ἀμετακίνητον, βέβαιον· ἢ ἀντὶ τοῦ ἀστεμφῆ· (AP 6 296) "ἀστεμφῆ ποδάγρην καὶ δόνακας ἀντυκτῆρας." καὶ αὖθις "οἱ δὲ ἀστεμφεῖς οὗτοι καὶ ὑπερόπται ῥητορικῆς καὶ ποιήσεως οὔ μοι δοκοῦσιν ἑκόντες εἶναι συνέσεσθαι θεῷ καὶ ἀνθρώποις, πενίᾳ δὲ φύσεως μηδὲ τὰ σμικρὰ ἱκανοί" (Synes. Dion. p. 43).

ἀστενακτί ἄνευ στεναγμοῦ· Ἀριστοφάνης (Eccl. 464) "σὺ δ' ἀστενακτὶ περδόμενος οἴκοι μενεῖς."

ἀστέρειος κτητικόν. καὶ **ἀστερόεντα** ἤτοι ἀστέρας ἐμπεποικιλμένους ἔχοντα. καὶ

ἀςέρων τέθριππος (Eur. Troad. 855) τὸ ἅρμα τοῦ ἡλίου. καὶ *ἀςεροπητής* (Hom. Α 580) ὁ ἀςραπτικός.

Ἀςεροπαῖος ὄνομα κύριον.

ἄςηνοι οἱ δυςυχεῖς, οἱ πένητες, οἱ ςάσιν καὶ οἴκησιν μὴ ἔχοντες.

a *ἀςήρ.* ὅτι τοῦ ἀςέρος τῆς αἰγὸς λάμψαντος σφοδροὶ πνέουσιν ἄνεμοι, ἔνθεν καὶ Ὅμηρος (Β 148) "λάβρος ἐπαιγίζων."

b *ἀςὴρ* ἄςρου διαφέρει, ὅτι ὁ μὲν ἀςὴρ ἕν τί ἐςι, τὸ δὲ ἄςρον ἐκ πολλῶν συνέςηκεν. ὃ καὶ ἀςροθέςημα καλεῖται.

ἀςιβὲς ἄλσος (S OC 126) ἀδιόδευτον, ἀκαταμάχητον, ἀπροσπέλαςον. καὶ *ἀςιβῆ* ἄβατον ποσίν. Αἴας φησί (657) "μολὼν τε χῶρον ἔνθ' ἂν ἀςιβῆ κίχω, κρύψω τόδ' ἔγχος τοὐμόν, ἔχθιςον βελῶν, γαίας ὀρύξας ἔνθα μή τις ὄψεται· ἀλλ' αὐτὸ νὺξ Ἅδης τε σωζόντων κάτω." εὑρήσω, φησί, τόπον οὗ οὐδεὶς ἐπιβήσεται. ὁ Αἴας φησὶν ἵνα μή τις αὐτῷ ἀκολουθήσῃ. καὶ *ἀςιβής* ὁ ἄβατος ἢ ἀσφαλής. καὶ *εὐςιβής* ὁ καλὴν βάσιν ἔχων· "εὐςιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας" ἐν ἐπιγράμματι (AP 6 23). καὶ *ἀςίβητος* ἀδιόδευτος τρίβος.

ἄςικτον χωρίον τὸ μὴ ὑποκείμενον δανειςῇ· ὅταν γὰρ ὑποκέηται, αὐτὸ τοῦτο ὁ δανείσας διὰ γραμμάτων δηλοῖ ἐπικειμένων τῷ χωρίῳ. τὸ δὲ αὐτὸ καὶ ἐπὶ οἰκίας γίνεται. Harp.

ἀςικῶς εὐσυνέτως, ἐμφρόνως· "ὃ δὲ πάντων ἀςικῶς τὴν πρόθεσιν κατανοήσας, διχῇ διεῖλε τοὺς προσχωρήσαντας." λέγεται δὲ *ἀςικὸς* καὶ ὁ πολιτικός· καὶ "τοὺς ἀςικοὺς ὁ ἄγροικος" ὁ θεολόγος φησίν.

ἄςιπτος ἄβατος, ἀδιόδευτος· Σοφοκλῆς (Philoct. 1) "ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονὸς Λήμνου, βροτοῖς ἄςιπτος, οὐδ' οἰκουμένη."

ἀςισμός πιθανολογία· "ἀποςῆναι ῥητορικῆς καὶ ποιητικῆς καὶ ἀςισμῶν."

ἄςομοι ἵπποι σκληρόςομοι· "ἄςομοι πῶλοι βίᾳ φέρουσιν" (S El. 724).

ἀςόργους τοὺς ἀπηνεῖς - - - ἔλεον. cf. v. ἀνελεήμων.

ἀςός πολίτης.

ἀςοχῶ γενικῇ.

ἀςράβη ὄνος ἢ ἡμίονος, ὡς Δημοσθένης κατὰ Μειδίου (133). τάχα δὲ καὶ πᾶν ὑποζύγιον, ἐφ' οὗ οἱ ἄνθρωποι ὀχοῦνται, οὕτως ἐκαλεῖτο (Harp.). ἢ ἀςράβη τὸ ἐπὶ τῶν ἐφίππων ξύλον, ὃ κρατοῦσιν οἱ καθεζόμενοι, καὶ *ἀςραβηλάτης* ὁ ἡνίοχος. ἢ καὶ αὐτὸ τὸ νωτοφόρον ὑποζύγιον. οἱ δὲ τὸν σωματηγὸν ἡμίονον ἀςράβην λέγουσιν.

ἀςράγαλος κυρίως τὸ συνήθως λεγόμενον, καὶ ὁ σπόνδυλος τοῦ τραχήλου, καὶ ὁ πεττικός. καὶ βοτάνη δὲ οὕτω καλεῖται. καὶ ἀςράγαλος, ὃν ἐθεάσατο Βαλτάσαρ ὁ υἱὸς Ναβουχοδονόσορ ἐν τῷ δείπνῳ ἀνακείμενος κατέναντι τοῦ τοίχου ὡς ἀςράγαλον χειρὸς ἀνθρώπου, γράφοντα τῇ Ἑβραΐδι γλώττῃ ἃ μηδεὶς ἠδύνατο γνῶναι. μεταςειλάμενος δὲ τὸν Δανιὴλ παρεκάλει ἑρμηνεῦσαι αὐτῷ ταῦτα. ὃ δὲ εἶπεν αὐτῷ "τὸν ἀςράγαλον ὃν εἶδες, χείρ ἐςι θεοῦ ζῶντος, καὶ ἔγραψεν ὅτι ἐμέτρησε καὶ ἐπλήρωσε τὴν βασιλείαν σου." ἀκούσας οὖν ὁ Βαλτάσαρ ἐθλίβη, καὶ μετ' ὀλίγον ὑπὸ Δαρείου τοῦ Μήδου ἀνῃρέθη. καὶ *ἀςραγαλίζω.*

Ἀςράμψυχος, ὃς βιβλίον ἰατρικὸν εἰς ὄνων θεραπείαν πεποίηκε, καὶ ὀνειροκριτικόν.

ἀςραπή ἔξαψις νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος (Diog. L. 7 153). καὶ παροιμία "ἀςραπὴ ἐκ πυελίου" ἐπὶ τῆς οὐδενείας, παρ' ὅσον οὐδὲν δύνανται αἱ ἐκ τῶν κρηνῶν καὶ πυέλων μαρμαρυγαί.

ἀςράπτω δοτικῇ.

ἀςρατεία ἡ εἰρήνη, ἐπεὶ ἐν εἰρήνῃ οὐ ςρατεύονται.

ἄςριες οἱ ἀςράγαλοι· "δέκα δ' ἄςριας αἴνυτο λάτρον" παρὰ Καλλιμάχῳ (fr. 238).

ἀςρόβαχος (? Herodot. 6 69) ὁ ἀςρονόμος.

ἀςρονομία ἡ τῶν ἄςρων διανομή. πρῶτοι Βαβυλώνιοι ταύτην ἐφεῦρον διὰ Ζωροάςρου, μεθ' ὃν καὶ Ὀςάνης· οἳ ἐπέςησαν τῇ οὐρανίᾳ κινήσει τὰ περὶ τοὺς τικτομένους συμβαίνειν· ἀφ' ὧν Αἰγύπτιοι καὶ Ἕλληνες ἐδέξαντο, καὶ τοὺς γεννωμένους ἀναφέρουσιν εἰς τὴν τῶν ἀςέρων κίνησιν. καὶ *ἄςροις τεκμαίρεσθαι* (S OR 795) ἐπὶ τῶν μακρὰν καὶ ἔρημον ὁδὸν πορευομένων καὶ ἄςροις σημειουμένων τὰς θέσεις τῶν πατρίδων. καὶ *ἀςρῷος* ὁ ἐκ τῶν ἄςρων.

ἄςυ ἄςεος. οὐκέτι δὲ ἀνάλογον *ἥμισυ* ἡμίσεος, ἀλλὰ καὶ ἡμίσεως.

Ἀςυάγης γραμματικὸς τέχνην γραμματικήν, περὶ διαλέκτων, περὶ μέτρων, κανόνας

ὀνοματικός, καὶ εἰς Καλλίμαχον τὸν ποιητὴν ὑπόμνημα.

Ἀστυάναξ ὄνομα κύριον. καὶ Ἀστυανάκτειος.

Ἀστυάνασσα Ἑλένης τῆς Μενελάου θεράπαινα, ἥτις πρώτη τὰς ἐν τῇ συνουσίᾳ κατακλίσεις εὗρεν, καὶ ἔγραψε περὶ σχημάτων συνουσιαστικῶν· ἣν ὕστερον παρεζήλωσαν Φιλαινὶς καὶ Ἐλεφαντίνη αἱ τὰ τοιαῦτα ἐξορχησάμεναι ἀσελγήματα.

ἀστυβοώτης ὁ κῆρυξ ἐπιθετικῶς, ἀπὸ τοῦ ἐν ἄστει βοᾶν. Καλήτορα δὲ τὸν αὐτὸν ἀπὸ τοῦ καλεῖν φασί. sch. Hom. Ω 577 et 701.

ἀστυγείτων πλησιόχωρος.

a Ἀστυδάμας ὁ πρεσβύτης, υἱὸς Μορσίμου τοῦ Φιλοκλέους, τραγικῶν ἀμφοτέρων, Ἀθηναῖος τραγικός, ἔγραψε τραγῳδίας σμ', ἐνίκησε ιε'. ἀκροασάμενος δὲ ἦν Ἰσοκράτους, καὶ ἐτράπη ἐπὶ τραγῳδίαν.

b Ἀστυδάμας ὁ νέος, υἱὸς τοῦ προτέρου, τραγικὸς καὶ αὐτός. δράματα αὐτοῦ Ἡρακλῆς σατυρικός, Ἐπίγονοι, Αἴας μαινόμενος, Βελλεροφόντης, Τυρώ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης.

ἀστυδρόμια παρὰ Λίβυσιν οἱονεὶ τῆς πόλεως γενέθλια, καὶ Θεοδαίσια ἑορτὴ ἐν ᾗ ἐτίμων Διόνυσον καὶ τὰς νύμφας, ἐμοὶ δοκεῖν, νηφάλιόν τε καὶ τὴν ἀγαθὴν κρᾶσιν αἰνιττόμενοι.

Ἀστύνιον.

ἀστυνόμος. δέκα ἦσαν ἀστυνόμοι, πέντε μὲν ἐν Πειραιεῖ πέντε δὲ ἐν ἄστει, οἷς ἔμελε περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ κοπρολόγων καὶ τῶν τοιούτων. Harp.

Ἀστύνοος ὄνομα κύριον.

Ἀστυόχεια ὄνομα πόλεως.

Ἀστυπαλαιεύς ὄνομα κύριον.

ἄστυρον πόλιν· "ὅς τ' ὤκιστος ἐς ἄστυρον ἀγγελιώτης" Καλλίμαχος (fr. 288).

ἀστυφέλικτον ἀτίνακτον.

ἀσύγχυτον· "ἡ γὰρ φύσις τοῦ ἀσυγχύτου οὔτε σιδήρου ὑφίσταται κατάλυσιν οὔτε μὴν πάλιν τὴν διὰ πυρὸς λύσιν."

ἄσυλον ἱερὸν τὸ τίμιον καὶ τηροῦν τοὺς ἱκέτας. καὶ ἀσυλία τὸ πρᾶγμα· (Diodor. Sic. t. 2 p. 631) "τοῦ δὲ ἀγῶνος ὄντος δημοσίου καὶ μεγάλου διὰ τὴν τῶν πρεσβευτῶν ἀσυλίαν καὶ τὴν συνήθη παρὰ τῶν Ῥωμαίων ὑπὲρ τῶν πρεσβειῶν μισοπονηρίαν." συλῶ δὲ τὸ συ μακρόν.

ἀσύμβατον ἀφιλίωτον.

ἀσυμφανῶς ἐπικεκαλυμμένως, ἀδήλως.

ἀσυμφυῆ ἀνοίκεια, ἀνόμοια· "ἦ πετρῶδες τὸ ἔδαφος τοῦ ῥείθρου ἦν, ὑπό τε ἀνωμαλίας καὶ τοῦ ἀσυμφυῆ τὰ ὑποκείμενα ἔσεσθαι τοῖς ὑποτιθεμένοις."

ἀσυνάρτητον ἀσυνάρμοσον.

ἀσυνδύαστος ἀσύμπλοκος, ἀσύζευκτος.

ἀσυνέτους τοὺς ἀσυνειδήτους· ὧν οὐδὲν ἀφρονέστερον παρὰ τῷ ἀποστόλῳ (Rom. 1 31) νοητέον. καὶ ἀσυνετῶ τὸ μωραίνω.

ἀσυνήθης ἀσυνήθους κλίνεται.

ἀσυνθεσία παράβασις συνθηκῶν.

ἀσύνθετος ἀσύμφωνος, ἄμικτος. ἀσυνθέτους δὲ τοὺς ταῖς συνθήκαις μὴ ἐμμένοντας, ἃς ἂν πρός τινας σύνθωνται.

ἀσυνθετώτατον. Δημοσθένης ἐν τῷ παραπρεσβείας (136) ἐπὶ ὄχλου τάττει τὸ ὄνομα, ἀντὶ τοῦ ἀπιστότατον καὶ ἀβεβαιότατον καὶ πίστεις διὰ τὸ ἀβέβαιον οὐ τιθέμενον. ἢ ἀνομόλογον καὶ ἀσύμφωνον· ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον. Ὅμηρος δὲ ἀντὶ τοῦ ὃ μὴ δύναταί τις συνιέναι, τί ποτε φρονεῖ· φησὶ γὰρ (Z 334) "σὺ δὲ σύνθεο, καί μευ ἄκουσον." Harp.

ἀσύντακτον μὴ συντεταγμένον, μὴ συμφραξάμενον.

ἀσυντελής ἀσύμφορος, ἀχρήσιμος.

ἀσύστατον cf. v. ἀξύστατον.

ἀσύφηλον (Hom. I 643) ἀπαίδευτον, ἀνόητον.

ἀσφαδάστῳ ἀσκαρίστῳ, σπασμὸν μὴ ἔχοντι. ἀντὶ τοῦ συντόμως, ὅπως καιρίας πληγῆς γενομένης μὴ προσγενέσθαι σπασμὸν μηδὲ πολλὴν ἐν τῷ θανάτῳ διατριβήν. σφαδάζειν λέγεται τὸ σπᾶσθαι καὶ σφακελίζειν. Σοφοκλῆς (Ai. 832) "πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ." παραδεδομένον δὲ καθ' ἱστορίαν ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην μόνην τρωτός, διὰ τὸ τῇ Ἡρακλέους λεοντῇ σκεπάσαντα τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι διὰ τὸ περικεῖσθαι ἐκεῖσε τὸν γωρυτόν.

ἀσφάλισαι φύλαξαι σαυτόν· ἀσφαλίζω γὰρ τὸ φυλάττω.

ἀσφαλτῖτις λίμνη, ἔνθα ἡ ἄσφαλτος γίνεται. ἄσφαλτος δὲ ξηρίον ἐστὶ πίττῃ ὅμοιον,

χρῶνται δὲ ταύτῃ καὶ οἱ ἰατροί. καὶ ἀσφάλτωσις ἡ πίσσωσις.

ἀσφάραγον φάρυγγα, ςόμαχον, λαιμόν. λέγεται καὶ τὸ ἀκανθῶν ἀποφυόμενον βλάςημα. ἔςι δέ τι καὶ βοτάνης εἶδος ἀσπάραγος, πρὸς τὰς καθάρσεις ἐπιτήδειον. οὕτω μὲν οἱ Ἀττικοὶ διὰ τοῦ φ τὴν λέξιν προφέρουσιν· οἱ δὲ πολλοὶ μὴ ἀκριβοῦντες διὰ τοῦ π λέγουσι. καὶ ἁπλῶς τὰ τῶν λαχάνων ὄρμενα ἀσπαράγους καλοῦσι.

ἀσφόδελος σκιλλῶδες φυτόν, φύλλα ἔχον μακρὰ καὶ ἀνθέρικον ἐσθιόμενον· καὶ τὸ σπέρμα δὲ αὐτοῦ φρυγόμενον καὶ ἡ ῥίζα κοπτομένη μετὰ σύκων πλείςην ὄνησιν ἔχει. Περσεφόνης καὶ χθονίων ἱερόν· καὶ Ῥόδιοι τὴν κόρην καὶ τὴν Ἄρτεμιν ἀσφοδέλῳ ςέφουσι. προπαροξυτόνως δὲ ἀναγνωςέον· "οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ" (Hesiod. O. 41). τὸν δὲ τόπον ἐν ᾧ φύεται ὀξυτονητέον, ὡς καὶ παρ' Ὁμήρῳ (λ 538) "κατ' ἀσφοδελὸν λειμῶνα."

ἀσχαλίδασμα.

ἀσχάλλων ἀδημονῶν, λυπούμενος, χαλεπαίνων. "ὁ δὲ ἤσχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέου τριχῶν μόνων καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας" (cf. v. Ἁρμᾶτος). καὶ αὖθις "ὁ δὲ ἀσχάλλων τῇ ἀτιμίᾳ καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις, ᾗ ποδῶν εἶχεν ἀνέθορε" (cf. v. Μέλητος). καὶ ἀσχαλόωντα (Hom. Χ 412) ἀδημονοῦντα.

ἄσχετον ἀκράτητον, καὶ ἀσχέτως ἀμέτρως.

ἄσχολος ὁ μὴ εὐκαιρῶν· σχολὴ γὰρ ἡ ἐν τῇ συνηθείᾳ λεγομένη εὐκαιρία. (M. Anton. 1 12) "μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα, ἢ ἐν ἐπιςολῇ γράφειν, ὅτι ἄσχολός εἰμι, μηδὲ διὰ τοιούτου τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεςῶτα πράγματα." καὶ ἀσχολοῦμαι καὶ ἀσχολεῖται καὶ ἀσχολεῖσθαι. πάντα ταῦτα Μένανδρος λέγει, Φιλήμων δὲ καὶ ἀσχολεῖ.

ἀσώματον. ὅτι διττόν, τὸ μὲν τῷ ἀριθμῷ, ὡς οἱ ἄγγελοι, οἷον Μιχαὴλ Γαβριήλ· ἀριθμῷ γάρ· τὰ δὲ οὔ, ὡς τὰ καθόλου.

Ἀσωπόδωρος καὶ Διδυμαχίας ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ σμικρότητι σώματος διεβέβληντο. sch. A Av. 17.

Ἀσωπός ποταμὸς Θηβῶν.

ἀσωτία ἡ ἁμαρτία. ἑκάτερον ὁμοίως ἀποςρέφεσθαι, τό τε δέον μὴ ποιεῖσθαι ἀνάλωμα καὶ τὸ μὴ δέον ποιεῖσθαι, ὡς τοῦτο μὲν ἀσωτίαν οὖσαν, εἴτε μείζω εἴτε φαυλοτέραν, ἐκεῖνο δὲ σμικρολογίαν. καὶ ἄσωτος ὁ ἐξώλης, ὁ σώζεσθαι μὴ ὀφείλων· Σοφοκλῆς (Ai. 190) "ἢ τῆς ἀσώτου Σισυφιδῶν γενεᾶς." καὶ ἀσώτως αἰσχρῶς.

Ἀσωχαῖος ὄνομα κύριον. καὶ θηλυκὸν Ἀσωχή ὄνομα πόλεως. καὶ Ἀσωχίς ὄνομα κύριον. καὶ Ἀσωχίν ὄνομα πόλεως. Ioseph. de vita sua 41 et 45.

ἀτάκτημα ἀταξία· "τοῦ μηδὲν ἀτάκτημα γενέσθαι περὶ τὴν ἀρχήν." καὶ ἄτακτοι. ἐν τῇ τῶν πλειόνων συνηθείᾳ οἱ περίεργοι καὶ παρὰ τὸ προσῆκόν τι ποιοῦντες ἄτακτοι προσαγορεύονται· οἱ ῥήτορες δὲ καὶ τοὺς ἐν πολέμῳ συμβολῆς γενομένης μὴ κατὰ τάξιν τὴν συμβολὴν ποιήσαντας, ἀλλ' ὡς ἔτυχεν, εἰκῇ καὶ φύρδην. cf. Lex. Seg. p. 216 12.

ἀταλαίπωρον ἄπονον. ἢ τὸ ἐξ ἑτοίμου λεγόμενον καὶ οὐ μετὰ ἀποδείξεως. ἢ τὸ εὐχερὲς καὶ φανερόν. Αἰλιανός "εἴ τι τοῦ προτέρου λόγου ὑγιὲς ἦν, ἀλλ' ἐκεῖνός γε ἀβασανίςῳ γραφῇ τε καὶ ἀταλαιπώρῳ τῆς ἀληθείας ἀκοῇ διεσπαρμένος ἐς τὸ πλῆθος ἀλᾶται ἄλλως. ὁ δέ μοι ἀληθὴς ὤν." καὶ ἀταλαιπώρως ῥαθύμως, ὀλιγώρως· Ἀριςοφάνης Δαναΐσιν "οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο."

Ἀταλάντη Ἀκάςου γυνή, ἥτις Πηλέως ἐρασθεῖσα λόγους ὑπὲρ μίξεως εἰσφέρει, ἀναινομένου δὲ δείσασα μή μιν κατείποι πρὸς τὸν ἄνδρα, ὑποφθάσασα αὐτὸν προσδιαβάλλει ὡς εὐνηθῆναί οἱ ἐθέλοντα. ὁ δὲ λόχον ὑφείσας ἐπεβούλευσε Πηλεῖ. καὶ ὃς αἰσθόμενος εἰς πόλεμον κατέςη πρὸς αὐτόν, ἐπικαλεσάμενος βοηθοὺς τούς τε Τυνδαρίδας καὶ Ἰάσονα ἐχθρὸν ὄντα ἐκείνῳ, φίλος αὐτὸς ὢν διὰ τὸ σύμπλους ἐν τῇ Ἀργοῖ γεγονέναι· καὶ τήν τε Ἰωλκὸν αἱρεῖ, καὶ τὴν Ἀκάστου γυναῖκα σφάττει. Nicol. Dam. p. 446.

ἀτάλαντον ἴσον, παραπλήσιον.

ἀταλὰ φρονέων (Hom. Σ 567) νήπια, ἁπαλά.

ἀταλῆσιν (Hom. Υ 222) ἁπαλαῖς, νεογναῖς. καὶ ἀταλόψυχος· ἐν ἐπιγράμματι (AP 5 297) "ἠιθέοις οὐκ ἔςι τόσος πόνος ὁππόσος ἡμῖν ταῖς ἀταλοψύχοις ἔχραε θηλυτέραις."

ἀτάλλων τρέφων· Σοφοκλῆς ⟨Ai. 558⟩ "κούφοις πνεύμασιν βόσκου, νέαν ψυχὴν ἀτάλλων." Αἴας φησὶ πρὸς τὸ ἴδιον τέκνον. σημαίνει δὲ καὶ τὸ σκιρτῶν.

ἀταμίευτον ἀδιοίκητον καὶ ἀφύλακτον, ἢ οὗπερ οὐκ ἔςι ταμιεῖον. λέγεται δὲ οὕτως καὶ τὸ πρόχειρον καὶ ἐν ἑτοίμῳ.

ἀτάρ καὶ δή, ἢ πλήν, ἅτε δή. ἢ ὅμως. ἢ ἀντὶ τοῦ δέ.

ἀτάρβητος ἄφοβος, ἄτρομος. καὶ ἀταρβήτως ἀντὶ τοῦ ἀνειμένως παρὰ Σοφοκλεῖ· (Ai. 197) "ἐχθρῶν δ' ὕβρις ἀταρβήτως ὁρμᾷ."

ἀτὰρ δή πλὴν ὅμως.

Ἀταρνεύς πολίχνιόν τι καταντικρὺ Λέσβου κείμενον. καὶ Ἀταρνείτης.

ἀτὰρ οὖν διὰ τοῦτο οὖν.

ἀτὰρ ὥς εἶτα δή, ὅμως.

ἀτάσθαλα ἄδικα, ἁμαρτωλά. καὶ ἀτασθαλία· ⟨cf. v. παρείκοι⟩ "ὁ δὲ Τραϊανὸς ἤτω μέν, εἰ παρείκοι, ἐξελεῖν τὸ ἔθνος, εἰ δὲ μή, ἀλλὰ συντρίψας γε παῦσαι τῆς ἄγαν ἀτασθαλίας." καὶ ἀτάσθαλον ἄδικον, παράνομον· Εὐνάπιος ⟨p. 99 Nieb.⟩ "γυναικῶν δὲ ὕβρις καὶ τὸ ἀτάσθαλον εἰς παῖδας εὖ γεγονότας συνεκυρώθη καὶ νόμος εἶναι."

ἀτασθαλία ἡ φρενοβλάβεια. "τῶν τις νεωςὶ καταλεγέντων ςρατιωτῶν ὑπὸ νεότητος καὶ ἀτασθαλίας ἐπιθυμεῖ τῶν ἄρτων." Αἰλιανός "ὁ δὲ Σερουίλιος πολλὰ καὶ ἀτάσθαλα ἐθρασύνετο κατὰ τοῦ Παύλου."

ἀταυρώτη ἀντὶ τοῦ ἁγνὴ καὶ ἄμικτος· ταῦρος γὰρ τὸ αἰδοῖον τοῦ ἀνδρός, καὶ διὰ τοῦτο ἀταυρώτη ἡ ἁγνή. ἢ ἄζευκτος γάμου καὶ ἀζυγής· καὶ βοῶπις ἡ Ἥρα καὶ ζυγία καὶ γαμηλία. ἐπειδὴ οἱ ταῦροι κατωφερεῖς. "οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον" ⟨A Lys. 217⟩.

ἅτε ὡς ἄν.

ἄτεγκτος ἄνθρωπος παρηγορήμασιν ὁ μὴ βρεχόμενος μηδὲ προσιέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡς ἡ πέτρα ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ ὕδατος βρέχεσθαι. Σοφοκλῆς ⟨OR 336⟩ "ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανείς" ἀντὶ τȣ̃ ἀσυμπαθής, ἀδάκρυτος· τέγγειν γὰρ τὸ βρέχειν. ἀτελεύτητος δὲ δυσαξίωτος, δυσπαράκλητος, ἀμείλιχος. καὶ αὖθις ⟨Dionys. Hal. 8 45⟩ "ὁ δὲ Μάρκιος ἄτεγκτος ὢν καὶ ςερρός, οἷος ἅπασι τοῖς ἀνιαροῖς ἀντέχειν, ᾤχετο φερόμενος ὑπὸ τῶν παθῶν ἐπὶ τὸ ἀνθρώπινον." καὶ αὖθις "λίθους τῶν ποδῶν ἐξαρτήσαντες ἔρριψαν εἰς τὸ πέλαγος ἀτέγκτως καὶ ἀφειδῶς." ἀτέγκτοις τοῖς μήτε δακρύουσι μήτε ἱδροῦσιν, ἀβρόχοις· Αἰλιανός "ἐς οἰκτόν γε μὴν καὶ δάκρυα ἐμβαλοῦσα πάντας, ὡς καὶ τοὺς ἀτέγκτους τε καὶ ἀτεράμονας τέγξαι." καὶ ἀτέγκτως ἐσχάτως· "καὶ τὰ μὲν πρῶτα ἱέρειαι ἐπειρῶντο αὐτὸν πραΰνειν καὶ ἀντέχειν τῆς ὁρμῆς· βιαίως δὲ καὶ ἀτέγκτως διακειμένῃ, τῶν μὲν ἀπορρήτων καὶ ἃ μὴ ἰδεῖν λῷον ἦν, τούτων οὐκ ἐκοινώνουν οἱ, τῶν δὲ πρώτων καὶ ἐξ ὧν οὔτε τοῖς θεασαμένοις οὔτε τοῖς δείξασιν ἔμελλέ τι ἀπαντήσεσθαι δεινόν, παρεῖχόν οἱ βλέπειν ταῦτα." καὶ αὖθις ⟨cf. v. Ἐπίκτητος⟩ "ἱκανὰ πείθειν καὶ δυσωπεῖν τὰς ψυχὰς τῶν μὴ παντάπασιν ἀτέγκτους καὶ ἀτεράμονας ταύτας ἐχόντων." Αἰλιανός "ἦν δὲ ἄτεγκτος ὅδε ὁ παῖς καὶ ἀμείλικτος, καί οἱ ἐπέταττεν ἐπίπονα καὶ κινδύνων ἐχόμενα τῶν ἐσχάτων" ⟨cf. v. Μέλητος⟩. ἀτέγκτου· ⟨cf. v. κωμάσαι⟩ "ἀλλ' ἦν τῆς ἀγροικοτέρας τε καὶ ἀτέγκτου μοίρας."

ἅτε δή ὡς δή.

ἀτέκμαρτον ἀτελείωτον, ἀκατασόχαςον. Ἀριςοφάνης Ὄρνισιν ⟨169⟩ "ἄνθρωπος ἀςάθμητος πετόμενος ἀτέκμαρτος," οἷον σημεῖον διὰ τῆς πτήσεως οὐκ ἐμφαίνων· περὶ τοῦ Τελέου φησίν. Εὐνάπιος δὲ λέγει ⟨p. 48 Nieb.⟩ "τῷ τε ἀξιώματι τῶν συνιόντων ἐθνῶν καὶ τοῖς μεγέθεσι τῶν παρασκευῶν ἐπὶ μέγα προβήσεσθαι πολυτρόπων συμφορῶν καὶ ἀτεκμάρτου τύχης προσδοκηθείς," ἀκατανοήτȣ.

ἀτεκνία ἡ λήθη· Δαβίδ "ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου," ὡς διὰ τῶν τέκνων φυλαττομένης τῆς μνήμης. Theodoret. in Ps. 34 12.

ἀτεχνῶ αἰτιατικῇ.

ἀτέλεια ἀλειτουργησία.

ἀτέλεςος ἀμύητος, βέβηλος, ἀνοργίαςος, τελετὰς μὴ πεποιημένος. Αἰλιανός ⟨cf. vv. ἐξεφοίτα et λίχνος⟩ "μυςηρίων τελουμένων τοῖν θεοῖν ἀτέλεςος μὲν ἄνθρωπος ἀνόσιος δὲ ȣ̓κ ἐβουλήθη μυηθῆναι κατὰ τȣ̀ς νόμȣς, ἀλλὰ δοῦναι πολυπραγμοσύνης δυςυχȣ̃ς ἀρρωςήματι χάριν, καὶ ἐπί τινος ἀνελθὼν λίθȣ ἑώρα τὰ γινόμενα· ἐκ γάρ τοι τοῦ λίθȣ κατώλισθε, καὶ βιαίᾳ τῇ πληγῇ περιπεσὼν ἀπέθανεν."

ἀτελεύτητον ἀτελείωτον.

ἀτελῆ ἀδάπανα, ὡς πολυτελῆ τὰ πολυδάπανα.

ἀτενές εὐθύ, συνεχές, παντελῶς, καθόλου, παραχρῆμα, ἄγαν, ἰσχυρῶς, ἀφελῶς. ἢ πάνυ προσεχῶς.

ἄτερ ἐκτός, χωρίς.

ἄτερα θάτερα.

ἀτέραμνον ⟨Hom. ψ 167⟩ σκληρόν, δυσμετάβλητον.

ἀτεράμονες, οὐχὶ ἀτέραμνοι, καὶ τὸ ἑνικὸν ἀτεράμων, οὐχὶ ἀτέραμνος, καὶ ὄσπρια ἀτεράμονα, οὐχὶ ἀτέραμνα. Ἀριςοφάνης Ἀχαρνεῦσιν ⟨181⟩ "ἀτεράμονες, μαραθωνομάχοι, σφενδάμνινοι." καὶ ἀτεράμων ἀκαταπόνητος, σκληρός· Αἰλιανός "ὁ δὲ ἀτεράμων ὢν ἀπειώσατο ἄρα τὸ δῶρον." "οὐδεὶς δὲ ἦν οὕτως ἀτεράμων ··· ῥέουσι λόγοις" ⟨cf. v. Ὄλυμπος⟩.

ἀτεράμων λίαν σκληρός, μὴ τειρόμενος, ἀνένδοτος. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγονται, οἷον οὐχ ἁπαλά.

ἀτερμάτιςος ⟨an ἀνερμ-⟩ ἀβέβαιος, ἀθεμελίωτος.

ἄτερος ὁ ἕτερος· "καὶ τούτων ἄτερος τῶν ἀνδρῶν." ⟨Procop. Pers. 2 7⟩ "ὁ δὲ Ἰουλιανὸς τῶν πρέσβεων ἄτερος ἀπεῖπεν ἅπασι μὴ διδόναι χρήματα τοῖς πολεμίοις."

ἀτέχνοις ἀπανούργοις, ἢ ἀπείροις. καὶ ἀτέχνως βαρυτόνως ἀντὶ τοῦ ἄνευ τέχνης, ἀμαθῶς, ἀμελῶς. ἐπὶ δὲ τοῦ περισπωμένου ἀτεχνῶς ἀντὶ τοῦ ἀληθῶς· τέχνη γὰρ ὁ δόλος· "δεῖται τοῦ θεοῦ συμβουλὴν ἀτεχνῶς ἱερὰν παρασχεῖν αὐτῇ καὶ διδάξαι περὶ τῶν πρακτέων."

ἀτεχνῶς περισπωμένως ἀντὶ τοῦ ἀληθῶς, ἁπλῶς, χωρὶς πανουργίας, σαφῶς. ἢ βεβαίως. ἢ ἀσφαλῶς. ἢ φανερῶς, οἱονεὶ ἀτενῶς, περισσοῦ ὄντος τοῦ χ. ἢ ἀντὶ τοῦ τελείως, καὶ ἀντὶ τοῦ ἰσχυρῶς, καὶ ἀντὶ τοῦ καθάπαξ, καὶ ἀντὶ τοῦ παντελῶς. οὕτω Πλάτων ⟨sch. p. 326⟩. "εὐδαιμονῶν ἀτεχνῶς τὴν Ἀριςοτέλους εὐδαιμονίαν." καὶ αὖθις "οὐκ ἂν διαλεχθείην ἀτεχνῶς τοῖς ἄλλοις, οὐδ' ἂν ἁπάντων" ⟨A Nub. 424⟩. ἢ ἀτεχνῶς ἀντὶ τοῦ ὅλως καὶ συνόλως, οἷον ἀδόλως· τέχνας γὰρ ἔλεγον τοὺς δόλους. Ὅμηρος ⟨θ 296⟩ "ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχυντο."

ἄτη ἡ βλάβη. Ὅμηρος ⟨T 126⟩ "αὐτίκα δ' εἷλ' ἄτην κεφαλῆς λιπαροπλοκάμοιο." ἀπὸ τῆς ἑαυτοῦ κεφαλῆς εἷλε τὴν ἄτην, ἢ "κατ' ἀνδρῶν κράατα βαίνει" ⟨ib. 93⟩. ἄτη δὲ ὁ διάβολος, ὁ ἀντικείμενος. Σοφοκλῆς ⟨El. 233⟩ "ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ, μήτηρ ὡς εἴ τις πιςή, μὴ τίκτειν ἄτην ἄταις." καὶ αὖθις Σοφοκλῆς ⟨Ai. 121⟩ "ἐγὼ μὲν οὐδέν' οἶδ', ἐποικτείρω δέ νιν δύςηνον ἔμπης, καίπερ ὄντα δυσμενῆ, ὁθούνεκ' ἄτῃ συγκατέζευκται κακῇ."

ἀτημελία ἡ καταφρόνησις, ἡ ἀμέλεια. Ἀγαθίας ⟨5 13⟩ "τὰ γὰρ μακρὰ τείχη πολλαχοῦ ὑπὸ χρόνου καὶ ἀτημελίας ἐπεπτώκει, καὶ διελέλυτο ἡ τοῦ μεγίςου ἐρύματος οἰκοδομία." καὶ ἀτημελήτους ⟨Aeschyl. Ag. 891⟩ ἀπρονοήτους, λίαν ἠμελημένους.

ἀτηρότατον Σφηξί ⟨1339⟩. Πλάτων δ' ἐν Φάωνι ἀτηρίας. καὶ ἀτηρὸν Ἀριςοφάνης· "οὐ γὰρ ὁ γέρων ἀτηρὸν ἦν κακόν;" καὶ αὖθις "οἱ δὲ ἐγέλων γέλων ἀτηρόν," βλαβερόν.

ἀτίθασον ἀνήμερον.

ἀτιμαγέλου μὴ συναγελαζομένου· ⟨AP 6 255⟩ "κέρας βουμολγὸς ταύρου κλάσσεν ἀτιμαγέλου."

ἀτιμάζω τὸ καταφρονῶ, τὸ ἀναδύομαι· Αἰλιανός "ταῦτά τοι οἱ Διόσκουροι οὐκ ἠτίμασάν οἱ φανῆναι πάλιν." καὶ ἀτιμῆσαι ἀτίμως ὑβρίσαι· "ὁ δὲ Δημοσθένης ἐδέετο συγγνῶναι τῷ παιδὶ καὶ μὴ αὐτὸν ἀτιμῆσαι."

ἀτίμητος ἀγών, ἐφ' ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐ κεῖται, ἀλλ' οἱ δικάζοντες ἐτιμῶντο τί δεῖ παθεῖν ἢ ἀποτῖσαι. ὁ δὲ τιμητός, ᾧ πρόσεςιν ἀπὸ τῶν νόμων ὡρισμένον τίμημα. Harp.

ἄτιμος ἀνήκουςος· "καί μ' ὁ Φοῖβος ἄτιμον ἐξέπεμψεν" ⟨S OR 789⟩· περὶ ὧν γὰρ ἀπῆλθεν, οὐκ ἤκουσεν. ἰδίᾳ Δημοσθένης ἐν Φιλιππικοῖς ⟨9 42⟩ τὸν ἀτιμώρητον λέγει, τουτέςιν ὃν ἄν τις ἀποκτιννὺς οὐχ ὑπόκειται ἐπιτιμίῳ, ἀλλ' ἔςι καθαρὸς αἰτίας, οἷον ὁ τὸν ἄτιμον ἑλών. Harp.

ἀτιμότερον ἀντὶ τοῦ εὐτελέςερον, ἀτεχνότερον. "μηδένα μηδ' ὁτιοῦν τῶν ἐρέσθαι δεομένων εἴπῃς μηδέν, ἕς' ἂν ἀφίκωμαι. εἰ δὲ μή μοι προσέξεις, ἐρεῖς δὲ ἄκοντος, ἀτιμότερόν με θήσεις." ⟨AP 7 727⟩ "εἰν Ἀΐδῃ γὰρ Μίνω Θερσίτης οὐδὲν ἀτιμότερος."

ἀτιμώρητος ἀβοήθητος, ἢ θαυμαςός ⟨an ἀκόλαςος⟩, ἔςι δ' ὅτε καὶ ὁ κακός. ἐπὶ οὖν τοῦ ἀβοηθήτου Αἰλιανός "οὐ μὴν ἀτιμωρήτους ἐγένετο μεῖναι τοὺς παῖδας τοὺς

ἀλωθέντας· ἑτεραλκὴς γὰρ ἡ νίκη γενομένη τῶν πλησίον ἦν."

Ἀτλαντικὰ πελάγη ἑσπέριος ὠκεανὸς καὶ ἑῷος καὶ πάντα τὰ ἄπλωτα πελάγη. καὶ Ἀτλαντὶς θάλαττα ὁ ὠκεανός.

Ἄτλας ὁ μυθευόμενος τὴν γῆν καὶ τὸν οὐρανὸν βαστάζειν· (AP 6 256) "καὶ σιδηρέους Ἄτλαντος ὤμους." καὶ παροιμία "Ἄτλας τὸν οὐρανόν" (λείπει ὑπεδέξω), ἐπὶ τῶν μεγάλοις πράγμασιν ἐπιβαλλομένων καὶ κακοῖς περιπιπτόντων.

ἀτλήτῳ (Hom. I 3) ἀνυπομονήτῳ· ἐν ἐπιγράμματι (AP 6 74) "παίγνιον ἀτλήτου θηρὸς ἔχουσα χάρη." καὶ ἀτλητῶν μὴ καρτερῶν, μὴ φέρων, δυσανασχετῶν· (S OR 515) "πάρεστ' ἀτλητῶν."

ἀτμίς ἀναθυμίασις, ἄκρον πυρός. καὶ ἀτμῶν ἀναθυμιάσεων.

ἄτολμοι δειλοί, κατεπτηχότες· (Babrius 25 3) "οὕνεκ' εἰσὶν ἀδρανέστατοι ζῴων, ψυχὰς ἄτολμοι, μοῦνον εἰδότες φεύγειν." καὶ αὖθις "ἐπεὶ τοίνυν ὑπ' ἀτολμίας οὗτος τῷ θεῷ ἠπείθησε, τῶν παρόντων παίδων οἱ φασὶ τὸν πρεσβύτερον ἔργον τῆς παρούσης νόσου γενέσθαι" (cf. Cic. de div. 1 26).

ἄτομα λεπτότατα, τὰ μὴ δυνάμενα διὰ τὴν ἄκραν λεπτότητα τέμνεσθαι.

ὅτι ἄτομα ὠνόμασαν οἱ Ἕλληνες καὶ ἀμερῆ σώματα διὰ τὸ ἀπαθὲς ἢ σμικρὸν ἄγαν, ἅτε μὴ τομὴν ἢ διαίρεσιν δέξασθαι δυνάμενα. ὅτι δὲ καλοῦσι τὰ λεπτότατα καὶ σμικρότατα σώματα, ἃ διὰ τῶν φωταγωγῶν εἰσβαλλόμενα ὁ ἥλιος δείκνυσιν ἐν ἑαυτῷ ἄνω καὶ κάτω παλλόμενα.

ἀτοπίας πλέων πρᾶγμα (A Ran. 1419) ἀντὶ τοῦ θαύματος. "δελεάσαντος αὐτὸν ἐς τοῦτο ἀτοπίας ἐλθεῖν Χοσρόου" ἀντὶ τοῦ ἀνοίας, ἀβουλίας. καὶ αὖθις "θαυμάσαι ἄν τις τὴν ἀτοπίαν τοῦ ἀνδρός, ὅς γε χωρὶς ὅπλων τετόλμηκε καὶ ταῦτα λέγειν." καὶ αὖθις (Dio Cass. 75 2) "ἐπεὶ δὲ ἀνεφάνη ὕδωρ, ἐξ ἴσου τῷ μὴ εὑρεθέντι ἀρχὴν ὑπὸ ἀτοπίας ἦν," τουτέστι κακίας. καὶ ἄτοπον ἀντὶ τοῦ ἄλογον, θαυμάσιον, παράδοξον, ξένον, κακόν, μοχθηρόν. καὶ ὃ μὴ ἔχει τόπον. καὶ τὸ ἀνυπονόητον, οἷον ὃ μὴ ἔστι τοπάσαι· Ἀριστοφάνης (Eccl. 951) "ἄτοπος δ' ἔγκειταί μοί τις πόθος, ὅς με διακναίσας ἔχει." καὶ αὖθις "ἀτοπίαν ὑποτοπάσας τινά."

ἀτραβατικάς. ἐν ταῖς ἑορταῖς καὶ τοῖς ἐπινικίοις, καὶ παρόντων πρέσβεων, ἐνεδύοντο χιτῶνας καὶ χλαμύδας ποικίλας, ἀπὸ χρυσοῦ καὶ πορφύρας καὶ ἄλλως πως πολυτελεῖς, ἐν δὲ ταῖς κοιναῖς συνόδοις ξηραμπελίνας τὸ χρῶμα, ἃς ἐκάλουν ἀτραβατικὰς ἀπὸ τοῦ χρώματος· τὸ γὰρ μέλαν ἄτρον καλοῦσιν. ἢ ὅτι μετὰ τραβέας ταύταις εἰώθεσαν χρῆσθαι· τραβέαι δὲ λέγονται αἱ πολυτελεῖς χλαμύδες. Codin. orig. CP p. 16.

ἄτρακτον βέλος, μεταφορικῶς· Σοφοκλῆς (Phil. 289) "πρὸς δὲ τοῦθ' ὅ μοι βάλοι νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας εἰλυόμην δύστηνος ἐξέλκων πόδα." καὶ Προκόπιος "τινὸς τῶν ἐν ταῖς ἐπάλξεσιν ἀμυνομένων εὐστοχώτατα ἀφιέντος τὸν ἄτρακτον ἀνῄρηται βλαβείς." καὶ Μένανδρος (p. 441 Nieb.) "ὁ δὲ ἐπετοξάζετο κατὰ τοῦ βαρβάρου, καὶ μάλα εὐστοχώτατα τὸ κέρας ἐντείνας ἀφίησι τὸν ἄτρακτον κατὰ τοῦ Κώχ." καὶ ἐν ἐπιγράμματι (AP 5 188) "θερμὸν δ' ἐπὶ θερμῷ λάλλει ἄτρακτον." ἄτρακτος καὶ τὸ γυναικεῖον ἐργαλεῖον· (AP 6 39) "ἀραχναίοιο μίτου πολυδινέα λάτριν ἄτρακτον, δολιχᾶς οὐκ ἄτερ ἀλακάτας." καὶ αὖθις (AP 6 247) "καὶ δακτυλότριπτον ἄτρακτον, σπονδυλοδινήτῳ νήματι νηχόμενον." καὶ αὖθις (AP 6 160) "τόν τε καρηβαρέοντα πολυρροίβδητον ἄτρακτον, κλωστῆρα στρεπτᾶς εὔδρομον ἁρπεδόνας."

Ἀτραμύττειον Θουκυδίδης (8 108).

ἀτραπιτός ἡ ὁδός, καὶ ἀτραπούς ὁδοὺς τετριμμένας.

ἀτράφαξυς εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. sch. A Eq. 627.

Ἀτρέα καὶ καθόλου τὰς ἀπὸ τῶν εἰς ευς συμφώνῳ παραληγομένων αἰτιατικὰς μηκύνουσι, τὰς δὲ καθαρὰς τοῦ ευς συναιροῦσι, χοᾶ καὶ Μηλιᾶ καὶ Σουνιᾶ. Ἴωνες δὲ συστέλλουσι τὰς προτέρας, Ἀτρέα καὶ Πηλέα βραχέως λέγοντες. διὸ καὶ παρὰ τοῖς τραγικοῖς οὐκ ἀναγκαῖον ἐκτείνειν, εἰ μὴ μέτρον ἀναγκάζει. καὶ τὰς ἀπὸ τῶν εἰς ης ὁμοίως· τὸ γὰρ συστέλλειν Ἰακόν. Ἀριστοφάνης Γεωργοῖς "Καχέτας καὶ Μεγακλέας καὶ μαλακέας" (an Λάχητας M. καὶ Λαμάχους).

Ἀτρείδης καὶ Ἀτρείδα καὶ Ἀτρείδαιν. τὴν γενικὴν περισπᾶν ἀξιοῦσιν οἱ ἀναλογικοί, τὴν δὲ δοτικὴν βαρυτονεῖν.

ἀτρεκές ἀληθές, ἀκριβές, καὶ ἀτρεκεῖ ἀληθεῖ, ἀκριβεῖ.

ἀτρέμας ἠρέμα, καὶ ἀτρεμία ἡσυχία καὶ ἀτρεμίζων ἑδράζων.

ἀ τ ρ έ π τ ω ς ὀρθῶς· *Αἰλιανός* "ὑπὲρ τῶν μελλόντων ἀτρέπτως τε καὶ παναληθῶς προθεσπίζουσα."

ἄ τ ρ ε ς ο ς· ⟨AP 7 117⟩ "ἐνηθλήσω δὲ προνοίᾳ αἵρεσιν ἀτρέςῳ μητέρ' ἐλευθερίης." καὶ ἀ τ ρ έ ς ω ς ἀφόβως. ἀνελεημόνως· "οἱ δὲ ἀτρέςως πάντας ἐφόνευσαν."

Ἀ τ ρ έ ω ς ὄ μ μ α τ α, οἷον ἄτρεπτα καὶ σκληρά. εἴρηται δὲ ἀπὸ τῆς Ἀτρέως παρανομίας, ὃς ὑπονοήσας ἐκ διαβολῆς τὸν ἀδελφὸν Θυέςην μοιχεύειν Ἀερόπην τὴν γυναῖκα αὐτοῦ, τὰ τέκνα τοῦ Θυέςου συγκόψας καὶ ἑψήσας δειπνοῦντι παρέθηκε τῷ πατρί, αἴσθησιν παρασχὼν τῆς συμφορᾶς ἐκ τοῦ τελευταῖα τὰ ἄκρα παραθεῖναι.

ἄ τ ρ ι ψ ἀμαθής, ἀτριβής· "οὐδὲ γὰρ ἦν οὐδὲ τούτων ἄτριψ ὁ Παπίριος," καὶ αὖθις "ἄτριψ γὰρ ἦν τῆς ὁδοῦ ταύτης."

Ἀ τ ρ ό μ η τ ο ς ⟨Demosth. 18 130⟩ ὄνομα κύριον. καὶ ὁ ἄφοβος· ἐν ἐπιγράμματι ⟨AP 6 256⟩ "ταύρου βαθὺν τένοντα, καὶ σιδηρέους Ἄτλαντος ὤμους, καὶ κόμην Ἡρακλέους σεμνάν θ' ὑπήνην, καὶ Λέοντος ὄμματα Μιλησίου γίγαντος οὐδ' Ὀλύμπιος Ζεὺς ἀτρόμητος εἶδεν." καὶ ἀ τ ρ ο μ ή τ ω ς ἀφόβως· "φεύγων ἀτρομήτως καὶ τρέχων ὑποςρέφει" περὶ τοῦ Πέρσου Πισίδης.

ἄ τ ρ υ τ ο ς ἀκαταπόνητος· ⟨Damasc. Phot. p. 345b⟩ "φιλολογίᾳ τε καὶ ἀτρύτοις πόνοις ἐγκείμενος εὐφυεςέρων καὶ πρεσβυτέρων κατέχωσε δόξας τῷ ἑαυτοῦ ὀνόματι." καὶ αὖθις "ταῖς δὲ ἡμέραις ἀτρύτοις πόνοις ἑαυτὸν πρὸς γεωργίαν ἐξεδίδου." "δίκη γὰρ πάντα ἐφορῶσα ἄγρυπνός ἐςι φύσει καὶ θεία καὶ ἄτρυτος." καὶ αὖθις ⟨Damasc. p. 337a 25⟩ "φιλοπονίαν ἔχειν ἄτρυτον."

ἀ τ ρ ύ φ ε ρ ο ς. ἡ λέξις ἐν Βάπταις Εὐπόλιδος· "ὅτι οὐκ ἀτρύφερος οὐδ' ἄωρός ἐς' ἀνήρ."

ἄ τ ρ ω τ ο ς ἀσινής, ἀπαθής· "ἀλλ' ἔμενεν ἄτρωτος ὑπὸ τῶν τοιούτων παθῶν ἢ ὁ Αἴας ὑπὸ σιδήρου."

ἄ τ τ α. τέσσαρα σημαίνει. ἀντὶ μὲν τοῦ ὅσα ἢ ἅτινα παρὰ Ἀντιφῶντι, ἀντὶ δὲ τοῦ τινὰ ἢ ποιά τινα παρὰ Δημοσθένει ἐν Φιλιππικοῖς ⟨Ol. 1 28⟩. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα. ⟨Harp.⟩ ἐν δὲ τῷ παραπρεσβείας ⟨304⟩ Δημοσθένης ἐπὶ τοῦ ὅσα ἔλαβε τὴν λέξιν. τῶν δὲ κωμικῶν τις τὸ ἄττα ἐπὶ ἀριθμοῦ ἔταξεν, ἕτερος δὲ ἐπὶ χρόνου. ἄττα τινὰ ἢ ἅτινα ἢ παραπλήσια ὀλίγα. Ἀντιφῶν τῷ ἅττα κέχρηται ἀντὶ τοῦ ἅτινα ἐν τῇ ἀπολογίᾳ τοῦ Μύρρου· "ἃ γὰρ ἐγὼ ἐπεπόνθειν ταῦτα ἅττα νῦν πέπονθα ὑπὸ τούτου," καὶ αὖθις "οἱ γὰρ ἄνθρωποι ἅττα ἂν ὁρῶσι τῇ ὄψει, πιςότερα ἡγοῦνται ἢ οἷς εἰς ἀφανὲς ἥκει ὁ ἔλεγχος τῆς ἀληθείας." *Δαμάσκιος* ⟨Phot. p. 339a⟩ "ὁ δὲ Ἰσίδωρος ἐμελέτα ἄττα τῶν ποιητικῶν, οὐχ ὅσον δυνάμεως ἀλλ' ὅσον ὀρέξεως εἶχεν. εἶχε δὲ ἐπ' ἐλάχιςον τῆς πρὸς αὐτὰ συμπαθείας, ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς ἀλλὰ μέχρι φαντασίας καὶ γλώττης ἱςάμενα."

ἄ τ τ α προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον. ⟨AP 8 89⟩ "ἄττα γέρον, δοιός με καλεῖ γάμος. ἡ μία μὲν δὴ νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ, ἡ δ' ἑτέρη προβέβηκε. τί λώιον; εἰ δ' ἄγε σύμ μοι βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω."

ἀ τ τ α γ ᾶ ς εἶδος ὀρνέου, ὃ τὰ λιμνώδη καὶ ἕλεια χωρία καταβόσκεται. διὸ καὶ Μαραθῶνά φησιν αὐτὸν ἔχειν Ἀριςοφάνης ⟨Av. 250⟩· ἐκεῖ γὰρ πολὺ τὸ ὄρνεον. καὶ ὁ ἀτταγᾶς ἴτω ὁ ἔχων τὸν λειμῶνα τοῦ Μαραθῶνος. ἔςι δὲ ὁ ἀτταγᾶς κατάςικτος ποικίλοις πτεροῖς. λέγεται δὲ ἐπὶ δούλων κατεςιγμένων, ἐπειδὴ καὶ τὸ ὄρνεον κατάςικτον. "τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων" ⟨Ar. Vesp. 257⟩. τοῦτον τὸν ἀτταγᾶν ἡ συνήθεια ταγηνάριον καλεῖ.

ἀ τ τ α γ ᾶ ς ν ο υ μ η ν ί ῳ, παροιμία ἐπὶ τῶν . . . cf. Diogenian. 8 18.

Ἄ τ τ α λ ο ς βασιλεύς, ἀδελφὸς Εὐμενοῦς, ᾧ ἄλλο οὐδὲν ἐφόδιον ὑπῆρξε πρὸς βασιλείαν τῶν ἐκτός, πλοῦτος δὲ μόνον, ὃς μετὰ νοῦ μὲν καὶ τόλμης χειριζόμενος ἀληθῶς μεγάλην παρέχεται χρείαν πρὸς πᾶσαν ἐπιβολήν, ἄνευ δὲ τῶν προειρημένων τοῖς πλείςοις κακῶν παραίτιος πέφυκε γίνεσθαι καὶ συλλήβδην ἀπωλείας· καὶ γὰρ φθόνους γεννᾷ καὶ ἐπιβουλάς, καὶ πρὸς διαφθορὰν σώματος καὶ ψυχῆς μεγάλας ἔχει ῥοπάς. ὀλίγαι δέ τινες εἰσὶ ψυχαὶ αἱ ταῦτα δυνάμεναι διωθεῖσθαι τῇ τοῦ πλούτου δυνάμει. ὃ δὲ πρὸς οὐδὲν ἄλλο ἐπεβάλετο χρήσασθαι τοῖς χορηγίοις ἀλλ' ἢ πρὸς βασιλείας ἀνάκτησιν, οὗ μεῖζον οὐδὲ κάλλιον οὐδὲν οἷόν τ' ἐςὶν εἰπεῖν. ὃς τὴν ἀρχὴν ἐνεςήσατο τῆς προειρημένης ἐπιβολῆς οὐ μόνον διὰ τῆς εἰς τοὺς φίλους εὐεργεσίας καὶ χάριτος, ἀλλὰ καὶ διὰ τῶν κατὰ

πόλεμον ἔργων. βασιλεύσας γὰρ καὶ βιώσας ἔτη β' πρὸς τοῖς ο', τύτων δὲ βασιλεύσας μ' καὶ δ', σωφρονέςατα μὲν ἐβίωσε καὶ σεμνότατα πρὸς γυναῖκα καὶ τέκνα, διεφύλαξε δὲ τὴν πρὸς πάντας συμμάχους καὶ φίλυς πίςιν, ἐναπέθανε δὲ ἐν αὐτοῖς τοῖς καλλίςοις ἔργοις, καὶ οὕτως ἡρμόσατο τὴν ἀρχὴν ὥς παισὶ παίδων ἀςασίαςον παραδοθῆναι τὴν βασιλείαν. Polyb. 18 24.

οὗτος ὁ Ἄτταλος παραλαβὼν τὴν ἐξουσίαν πρῶτον ἐξήνεγκε δεῖγμα τῆς αὐτῦ προαιρέσεως καὶ πράξεως τὴν Ἀριαράθυ καταγωγὴν ἐπὶ τὴν βασιλείαν. id. 32 23.

ὅτι Ἄτταλος ὁ Ἀπολλωνίας ἀνὴρ βασιλεὺς Ἀσίας μεταλλάττει τὸν βίον, πληρωθείσης ἐπ' αὐτῷ τῆς Πυθίας, ἥτις χρηςηριαζομένῃ Ἀττάλῳ τῷ μεγάλῳ ἔφη "θάρσει, ταυρόκερως. ἕξεις βασιληΐδα τιμήν, καὶ παίδων παῖδες· τούτων γε μὲν οὐκέτι παῖδες."

ἄττει ὁρμᾷ, βαδίζει, ἐγγίζει. τὸ δὲ ἄττω ἀπὸ τοῦ ἀίσσω ἀίττω ἄττω.

ἀττέλεβος ἀκρίς τις.

Ἀττήλας ὁ τῶν Σκυθῶν ἡγεμών.

Ἀττικάς ἀντὶ τοῦ ὑςεριζούσας τῦ καιροῦ, βραδυνούσας. Ἀριςοφάνης ⟨Lys. 56⟩ "ἀλλ' ὄψει σφόδρα αὐτὰς Ἀττικάς," οἷον μελλούσας ἐν τῷ πράγματι.

Ἀττικὴ πίςις, ἐπὶ τῶν βεβαίαν φυλαττόντων πίςιν. καὶ Ἀττικὸς μάρτυς.

ἀττικισμός ἡ πρὸς τοὺς Ἀττικοὺς οἰκειότης καὶ εὔνοια, ὡς λακωνισμὸς ἡ πρὸς τοὺς Λάκωνας. καὶ Ἀττικοῖς γράμμασι Δημοσθένης κατὰ Νεαίρας ⟨76⟩ ἀντὶ τοῦ παλαιοῖς· τὴν γὰρ τῶν κδ' ςοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι. Harp.

Ἀττικὸς ἐπίσκοπος Κωνςαντινυπόλεως μετὰ Ἀρσάκιον τὸν ἀπὸ τοῦ Χρυσοςόμου ἐπιτροπεύσαντα, τὸ μὲν γένος ἦν ἐκ Σεβαςείας τῆς Ἀρμενίας, ἐκ νέου δὲ φιλοσοφεῖν ἐπαιδεύθη ὑπὸ μοναχοῦ τῆς Μακεδονίυ αἱρέσεως. οἱ δὲ τότε ἐν φιλοσοφίᾳ διαπρέποντες ἀνὰ τὴν Σεβάςειαν ἐκ τῆς Εὐςαθίυ διατριβῆς ἦσαν, ὃν ἐπίσκοπον καὶ ἡγεμόνα τῶν ἐνθάδε ἀρίςων μοναχῶν ἔγνωμεν. ἤδη δὲ εἰς ἄνδρας τελῶν πρὸς τὴν καθολικὴν ἐκκλησίαν μετέθετο. φύσει δὲ μᾶλλον ἢ μαθήσει φρόνιμος ὢν ἐγένετο τῶν πρακτέων ἐπήβολος, ἐπιβυλεύειν τε καὶ πρὸς ἐπιβυλὰς ἀντισχεῖν ἱκανός, τὸ δὲ ἦθος ἐπαγωγός, ὡς πολλοῖς κεχαρισμένος εἶναι. μέτριος δὲ πρὸς τοὺς ἐπ' ἐκκλησίας λόγους, ὡς μήτε γραφῆς ἀξίους νομίζεσθαι τοῖς ἀκροαταῖς μήτε παιδείας παντελῶς ἀμοίρους· ἐμμελὴς γὰρ ὤν, εἴ πῃ καιρὸν ἦγε, τοὺς παρ' Ἕλλησιν εὐδοκιμωτάτυς συγγραφέας ἤσκεῖτο, καὶ τῷ δοκεῖν ἰδιώτης εἶναι περὶ τούτων διαλεγόμενος καὶ τοὺς ἐπιςήμονας πολλάκις ἐλάνθανεν. ἐλέγετο δὲ πρὸς τοὺς ὁμοδόξους σπυδαῖος εἶναι, τοῖς δὲ ἑτεροδόξοις φοβερός, καὶ ῥᾳδίως μὲν αὐτοῖς, ἡνίκα βούλοιτο, δέος ἐμποιεῖν, αὖθις δὲ μεταβαλλόμενος πρᾶος φαίνεσθαι. καὶ τῦτον μὲν τοιόνδε γενέσθαι φασίν. Sozom. h. eccl. 8 27.

οὗτος ὁ Ἀττικὸς μετὰ τοῦ πεπαιδεῦσθαι εὐλαβής τε καὶ φρόνιμος ἦν. διὸ καὶ τὰς ἐκκλησίας ἐπ' αὐτοῦ συνέβη εἰς μέγα ἐπιδῦναι· οὐ γὰρ μόνον τοὺς οἰκείους τῆς πίςεως συνεκρότει σφόδρα, ἀλλὰ καὶ τοὺς αἱρεσιώτας τῇ φρονήσει κατέπληττε, καὶ σκύλλειν μὲν αὐτοὺς οὐδαμῶς ἡρεῖτο, φοβῶν δὲ πάλιν ἐπράυνεν. ἀλλὰ μὴν οὔτε λόγων ἠμέλει· ἐπόνει γὰρ περὶ τὰ τῶν παλαιῶν ἀναγνώσματα, διανυκτερεύων ἐν αὐτοῖς, διὸ καὶ ὐκ ἐξενοφωνεῖτο παρὰ τῶν φιλοσόφων ἢ σοφιςῶν. ἦν δὲ τοῖς ἐντυγχάνυσι χαρίεις καὶ ἐπαγωγός, καὶ τοῖς λυπυμένοις συνεςύγναζε, καὶ κατὰ τὸν ἀπόςολον τοῖς πᾶσι τὰ πάντα ἐγίνετο. καὶ πρεσβύτης μὲν ὢν ἐκμαθὼν οὓς καὶ ἐπόνει λόγους, ἐπ' ἐκκλησίας ἐδίδασκε, μετὰ δὲ ταῦτα σὺν τῇ φιλοπονίᾳ καὶ παρρησίαν κτησάμενος ἐξ αὐτοσχεδίου καὶ πανηγυρικώτατα ἐδίδασκε, καὶ χαίρειν τῇ γραμματικῇ φράσας ἐπὶ τὸν ἀσκητικὸν ἐτράπη βίον. οὐ μὴν τοιῦτοι ἦσαν οἱ λόγοι ὡς παρὰ τῶν ἀκροατῶν σπυδάζεσθαι ἢ γραφῇ παραδίδοσθαι. Socrat. h. eccl. 7 2.

Ἄττιν, οὐχὶ Ἄττιν. Δημοσθένης ⟨18 260⟩ "κατάρχεις τοῖς Σάβοις Ἄττις Ὕις Ἄττις." Θεόπομπος Καπηλίσι "κολάσομαί σ' ἐγὼ καὶ τὸν σὸν Ἄττιν."

Ἄττις παρὰ Φρυξὶ μάλιςα τιμᾶται ὡς πρόσπολος τῆς μητρὸς τῶν θεῶν. Harp.

ἀτυζομένη ἐκπληττομένη τοῖς συμβεβηκόσι καὶ ὀδυρομένη. Ἠλέκτρα φησί ⟨S El. 145⟩ "νήπιος ὃς τῶν οἰκτρῶς οἰχομένων γονέων ἐπιλάθεται. ἀλλ' ἐμέ γ' ἁ ςονόεσσ' ἄραρεν φρένας, ἃ Ἴτυν αἰὲν ὀλοφύρεται, ὄρνις ἀτυζομένα Διὸς ἄγγελος." τὸ δὲ ἄραρεν ἀντὶ τοῦ ἤρεσέ μου ταῖς φρεσί. τουτέςιν, ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἴτυν ςενάζουσαν.

ἀτυφία ταπεινοφροσύνη. καὶ ἄτυφον ἐν Φαίδρῳ τὸ ἀβλαβές, ἐπεὶ τὸ τῦφον βλάπτει. καὶ ἐπιτεθυμμένον ὁμοίως· τὸ γὰρ θύψαι ἐπικαῦσαι, καὶ θυμάλωπες οἱ ἀπολελειμμένοι τῆς θύψεως ἄνθρακες, οἱ ἡμίκαυτοι. καὶ "ἀτύφȣ μοίρας" ⟨Plato Phaedro p. 230⟩ τῆς ἀβλαβοῦς ὑπὸ τύφου. "ἄτυφόν φασιν εἶναι τὸν σοφόν· ἴσως γὰρ ἔχει πρός τε τὸ ἔνδοξον καὶ ἄδοξον. εἶναι δὲ καὶ ἄλλον ἄτυφον, κατὰ τὸν εἰκαῖον τεταγμένον, ὃ ἔϛι φαῦλον" ⟨Diog. L. 7 117⟩. "οἳ δὲ εἰρηναίως ἐϛαλμένοι ἄνευ δορυφόρων ἄγοντες τὴν ἱερουργίαν ἧκον ἀτυφότατα ἐκεῖνοι" Αἰλιανός φησιν.

ἀτυχῆσαι μὴ τυχεῖν.

ἀτώμενος ἄτης πεπληρωμένος· "ἴδοιμί νιν ὧδ' ἀτώμενος" Σοφοκλῆς ⟨Ai. 384⟩.

αὖ δή, ἢ πάλιν.

αὖ. ποτὲ μὲν ἀντὶ τοῦ πάλιν, ποτὲ δὲ ἐκ περιττοῦ τιθέασιν.

αὑαίνεται ξηραίνεται· αὗοι γὰρ οἱ ξηροί. καὶ αὑασμός ξηρασία. ἡ πρώτη δασύνεται. καὶ Ἀριϛοφάνης "ἐνταῦθα δὴ παιδάριον ἐξαυαίνεται." καὶ ἑτέρωθι "ὡϛ ἔγωγ' ηὐαινόμην θειώμενος." καὶ αὑαίνοιτο ξηραίνοιτο, ἀφανιζέσθω· ἐν ἐπιγράμματι ⟨AP 6 116⟩ "ὁ φθόνος αὑαίνοιτο, τεὸν δ' ἔτι κῦδος ἀέξοι." καὶ Αὑαίνου λίθος ⟨A Ran. 195⟩ ἀπὸ τοῦ αὔȣς τȣ̀ς νεκρȣ̀ς εἶναι. Αὑαίνου λίθος ἦν Ἀθήνησιν.

αὑάνθη ἐξηράνθη.

αὐγάζω αἰτιατικῇ.

Αὔγαρος Ἐδέσσης βασιλεύς, ὅϛις ἐπὶ Τραϊανοῦ βασιλέως ἦν καὶ δῶρα αὐτῷ προσῆξεν ἐκεῖσε ἀφιγμένῳ. ζήτει ἐν τῷ Φυλάρχης.

Αὐγέας Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ Ἄγροικος, Πορφύρα, Δὶς κατηγορούμενος. ἔϛι δὲ τῆς μέσης κωμῳδίας.

αὐγοειδής. "ἔφασκε δ' οὖν παρ' ἐκείνου καὶ ἐκεῖνο ἀκηκοέναι ὁ Ἰσίδωρος, ὡς ἔχει τι ἡ ψυχὴ αὐγοειδὲς ὄχημα λεγόμενον, ἀϛροειδές τι καὶ ἀίδιον. καὶ τοῦτο μέντοι τῷ σώματι τῷδε ἀποκέκλειται, ἐνίοις μὲν εἴσω τῆς κεφαλῆς, ἐνίοις δὲ εἴσω τοῦ δεξιοῦ ὤμου· ὅπερ οὐδεὶς φαίνεται ἄλλος ἱϛορήσας" ⟨Damascius⟩.

ὅτι Αὐγουϛεῖον ἐκλήθη, διότι τῇ ἑ τȣ̃ ὀκτωβρίου μηνὸς οἱ ῥεγεωνάρχαι καὶ σεβαϛοφόροι ἐχόρευον ἐν τῷ Αὐγουϛείῳ, οἷον ἐν τῷ ὀψοπωλίῳ, εἰς τιμὴν Τιβερίου· τὸν δὲ τοιοῦτον τόπον οὕτως ἐκάλεσαν ἀπὸ τȣ̃ Αὐγούϛου. ἔϛησε δὲ καὶ ὁ μέγας Κωνϛαντῖνος εἰς τὸ ἄσκεπον τῆς δάφνης ϛήλην τῆς ἑαυτοῦ μητρός, ἐξ ἧς ὠνόμασε τὸν τόπον Αὐγουϛεῖον. Io. Lydus de mens. p. 286.

Αὔγουϛος Καῖσαρ, ὁ καὶ Σεβαϛὸς καὶ Ὀκταβιανὸς ἐπικληθείς, ἔγραψε περὶ τȣ̃ ἰδίȣ βίου καὶ τῶν πράξεων βιβλία ιγ' καὶ τραγῳδίαν Αἴαντός τε καὶ Ἀχιλλέως.

ὅτι Αὔγουϛος Καῖσαρ δόξαν αὐτῷ πάντας τοὺς οἰκήτορας Ῥωμαίων κατὰ πρόσωπον ἀριθμεῖ, βουλόμενος γνῶναι πόσον ἐϛὶ πλῆθος. καὶ εὑρίσκονται οἱ τὴν Ῥωμαίων οἰκοῦντες νί μυριάδες καὶ χίλιοι ιζ' ἄνδρες.

Αὔγουϛος ὁ Καῖσαρ ἀνεψιὸς Ἰȣλίȣ Καίσαρος· ἀφ' οὗ καὶ ὁ μὴν αὔγουϛος ἐπικέκληται. αὔγουϛα δὲ λέγονται τὰ τίμια καὶ μεγάλα καὶ ἐπίσημα· ἐπ' αὐτοῦ γὰρ ὁ κύριος Ἰησȣ̃ς Χριϛός, ὁ θεὸς καὶ σωτὴρ ἡμῶν, τὴν σάρκα ἀνείληφεν ἐκ τῆς ἁγίας θεοτόκȣ καὶ ἀειπαρθένου Μαρίας.

ὅτι Αὐγούϛȣ Καίσαρος ἀποθανόντος Τιβέριος καὶ Δροῦσος προηγοῦντο τȣ̃ πένθȣς, τοῦ νεκροῦ παντελῶς μὴ ἁπτόμενοι· οὐ γὰρ ἐξὸν τοῖς μοναρχοῦσιν. τὰς δὲ διαθήκας αἱ ἑϛιάδες εἶχον, ἃς διέθετο.

ὅτι Αὔγουϛος Καῖσαρ θυσιάσας ἤρετο τὴν Πυθίαν τίς μετ' αὐτὸν βασιλεύσει· καὶ εἶπε "παῖς Ἑβραῖος κέλεταί με, θεοῖς μακάρεσσιν ἀνάσσων, τόνδε δόμον προλιπεῖν καὶ Ἀίδην αὖθις ἱκέσθαι. λοιπὸν ἄπιθι σιγῶν ἐκ βωμῶν ἡμετέρων." καὶ ἐξελθὼν ἐκ τοῦ μαντείου ὁ Αὔγȣϛος ἔϛησεν ἐν τῷ Καπιτωλίῳ βωμόν, ἐν ᾧ ἐπέγραψε Ῥωμαϊκοῖς γράμμασιν "ὁ βωμὸς οὗτός ἐϛι τοῦ πρωτογόνου θεοῦ."

αὖδα λέγε, καὶ αὐδήσας βοήσας, φωνήσας.

αὐδὴ ἡ φωνή. καὶ αὐδήεσσα ὀνομαϛή, ἔνδοξος, ἢ αὐδωμένη, εἰς ὁμιλίαν καὶ φωνὴν ἀνθρώπων ἀφικνουμένη. καὶ αὐδήεις φωνητικός.

αὐδηναῖος ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ Ἰανουάριος.

Αὐδώδ κριτὴς τοῦ Ἰσραήλ, ἐκ τῶν ἀλλοφύλων ἐν ἡμέρᾳ μιᾷ ἐν τῷ ἀροτρόποδι τῶν βοῶν ἐπάταξεν ἄνδρας χ' ⟨Iud. 3 extr.⟩.

αὔεις φωνεῖς, λαλεῖς. "Ζήνων γὰρ ὁ Κιτιεὺς ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε. παίσας δὲ τὴν γῆν

τῇ χειρὶ φησὶ τὸ ἐκ τῆς Νιόβης 'ἔρχομαι, τί μ' αὔεις.' καὶ παραχρῆμα ἐτελεύτησεν ἀποπνίξας ἑαυτόν, βιοὺς δὲ ἔτη ϙ ἄνοσος· οἱ δὲ ἑνὸς δέοντα ξ' ζῆσαι αὐτὸν ἔτη φασίν" ⟨Diog. L. 7 28⟩.

αὖ ἐρύσαι εἰς τοὐπίσω ἑλκύσαι· ἐν ἐπιγράμματι ⟨AP 5 248⟩ "ἀπρὶξ δραξαμένη βόστρυχον αὖ ἐρύσαι."

αὐήνας ξηράνας· ⟨AP 6 169⟩ "αὐήνας δ' ἀνέθηκε φιλακρήτῳ Διονύσῳ τὸν τὰ Διωνύσου δῶρα λεϊζόμενον." περὶ ἐχίνυ φησίν. ἐκ τοῦ αὐαίνω ῥήματος. ⟨Babrius 24 6⟩ "εἰ γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὐαίνει, τί μὴ πάθωμεν τῶν κακῶν, ὅταν γήμας ὅμοιον αὐτῷ παιδίον τι γεννήσῃ;"

αὐθάδεια, καὶ **αὐθαδία** διὰ τοῦ ι. καὶ **αὐθάδης** αὐτάρεσκος, θυμώδης, θρασύς, ἑτερόπτης. καὶ κλίνεται αὐθάδους, ὡς ὠζώδης ὀζώδους. καὶ αὐθάδες ἡ κλητική· περίλογον δὲ τὸ αὔθαδες.

αὔθαιμοι οἱ ἀδελφοί· ἐν ἐπιγράμματι ⟨AP 6 14⟩ "Πανὶ τάδ' αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνης."

αὐθαίρετος αὐτεπάγγελτος.

αὐθέκαστα αὐτὰ τὰ γενόμενα, οἷον ἀκριβῶς καὶ συντόμως καὶ ἀποτόμως. ἢ τὰ ἁπλᾶ καὶ ἀληθῆ αὐτοακριβῶς. καὶ **αὐθέκαστος** ἀκριβής, καὶ αὐστηρὸς τῷ λόγῳ καὶ ἀπαρέγκλιτος τῷ τρόπῳ, ἀπαρακάλυπτος· "οἱ τούτων ἀπεχθανόμενοι πρὸς αὐτὸν διὰ τὸ αὐθέκαστον τῶν νόμων καὶ ἄμικτον λαμβάνονταί τε καὶ ἐπ' αὐτοφώρῳ ἁλόντα παρανομοῦντα ἐδείκνυσαν."

αὐθέντης ὁ αὐτόχειρ, ἢ ὁ αὐτὸν ἀναιρῶν. διὰ παρ' Ἰσοκράτει αὐθέντης. Λυσίας ἰδίως αὐτὸ ἔταξεν ἐπὶ τῶν λ'· καίτοι δι' ἑτέρων εἰργάζοντο τοὺς φόνους· ὁ γὰρ αὐθέντης ἀεὶ τὸν αὐτόχειρα σημαίνει. καὶ **αὐθεντήσαντα** κύριον γενόμενον· "μὴ ὀφείλειν αὐτὸν αὐθεντήσαντα τοὺς ὑπὸ ζώνην ⟨cf. v. ζώνη⟩ συνέχειν." "ὅτι Μιθριδάτης διετάξατο τοὺς Ῥωμαίους ἀναιρεῖν, καὶ ἔπεμψε γράμματα εἰς τὰς πόλεις τὸ βασιλικὸν σφράγισμα ἔχοντα, μιᾷ τε ἡμέρᾳ τάξας ἀναγνῶναι καὶ παραχρῆμα τὰ γεγραμμένα πρᾶξαι, ὅπως μὴ προμαθόντες τινὲς φυλάξωνται. ἀποκτεῖναι γὰρ αὐτοῖς ἐκέλευσε πάνθ' ὅντινα Ῥωμαῖον εὕρωσι· καὶ ἆθλα οὐ μόνον τοῖς αὐτοένταις σφῶν ἐσομένοις, ἀλλὰ καὶ τοῖς δήμιοις παρ' οἷς ἂν ἀποθάνωσι, πρὸς τὸ πλῆθος τῶν τελευτησάντων ἔθηκε, τιμωρίαν τε τοῖς φεισομένοις τινὸς αὐτῶν μεγάλην ὥρισεν." παράγεται δὲ αὐθέντης οὕτως. ἔςι ῥῆμα φῶ τὸ φονεύω, ἐξ οὗ καὶ φόνος. ἐκ τούτου κατὰ παραγωγὴν φένω διὰ τοῦ ε ψιλοῦ, ἀφαιρέσει τοῦ φ ἕνω. ἐξ αὐτῦ ἕντης, καὶ μετὰ τῆς αὐτὸ ἀντωνυμίας αὐτοέντης, καὶ ἐπεὶ ψιλὰ ψιλῶν ἡγεῖται καὶ δασέα δασέων, τροπῇ τῦ τ εἰς θ αὐθέντης ὁ αὐτόχειρ. ἐπεκράτησε δὲ ἡ συνήθεια, καὶ κέχρηται τῷ ὀνόματι ἀντὶ τοῦ δεσπότης· ὅπερ ἐςὶν ἀκυρολεξία.

αὐθημερὸν ἐν αὐτῇ τῇ ἡμέρᾳ.

αὖθι αὐτόθι.

αὐθιγενὴς αὐτόχθων, γνήσιος· ⟨AP 7 162⟩ "Πέρσης εἰμὶ καὶ ἐκ πατέρων Πέρσης αὐθιγενής, καὶ δέσποτα· πῦρ δὲ μιῆναι ἡμῖν τοῦ χαλεποῦ πικρότερον θανάτου."

αὖθις ἐξ ἀρχῆς, πάλιν, ἐκ δευτέρυ. ἐκ παραλλήλου τιθέασι καὶ τοῦτο καὶ πάλιν. σημειωτέον δὲ ὅτι τὸ μὲν αὖθις Ἀττικόν, τὸ δὲ αὖτις Ὁμηρικόν. αὖτις εἰς τοὐπίσω, αὖθις χρονικόν. ⟨S Phil. 952⟩ "ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν εἴσειμι πρὸς σὲ ψιλός, οὐκ ἔχων τροφήν." αὖθις αὖ πάλιν ἐξ ἀρχῆς δὴ πάλιν, ἢ ἐκ δευτέρου δὴ πάλιν.

αὐθωρήτους συντόμους.

αὐθωρὸν αὐτῇ τῇ ὥρᾳ.

αὐλαία τὸ τῆς σκηνῆς παραπέτασμα· κέχρηται δὲ αὐτῷ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. Πολύβιος "ἀκούων ταῦτα πάντα διὰ τῆς αὐλαίας ἐγέλα ὁ βασιλεύς." καὶ αὖθις ⟨cf. v. Ἀρχίας⟩ "ὁ δὲ λαβὼν ἐκ τῆς παραπεπετασμένης αὐλαίας καλώδιον ἑαυτὸν ἀπεκρέμασε."

αὖλαξ ἡ ἐπιμήκης τομὴ τῆς γῆς ἐξ ἀρότρυ.

αὔλειος ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. καὶ **αὐλείους θύρας**. καὶ ἐνικὸν αὔλειον λέγουσιν ὡς ἡμεῖς· Ἀριςοφάνης Δαναΐσιν "πρὸς τὸν ςροφέα τῆς αὐλείας σχίνου κεφαλὴν κατορύττειν." αὔλιον δὲ καὶ προαύλιον οὐδετέρως.

αὔλειος θύρα καὶ **προαύλειος**.

αὐλὴ τὸ νῦν ἀρχεῖον λεγόμενον, ὅπου ἀπήγοντο οἱ κατάκριτοι. καὶ τὺς ἐκεῖσε ὑπηρέτας αὐλικοὺς ὠνόμαζον. καὶ παροιμία "εἴποις τὰ τρία τὰ παρὰ τῇ αὐλῇ" ⟨cf. v. εἴποις τὰ τρία⟩. καὶ αὐ[illegible]ταντας δεδιὼς τοὺς περὶ τὴν αὐ[illegible] Φίλιππον, οὕτω πεποι[illegible]." καὶ αὐλὴ ἡ τοῦ βασι[illegible]

αὐλητοῦ βίον ζῆς, ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων, παρ' ὅσον ἐπιτηροῦντες οἱ αὐληταὶ τοὺς θύοντας ἐξ ἀτελείας ζῶσιν.

αὐλία θύρα πυλών. καὶ ἡ αὔλειος.

αὔλια ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ τὰς μικρὰς αὐλάς. οὕτω Λυσίας καὶ Αἰσχίνης (Harp.). "τῶν τε αὐλίων καὶ σταθμῶν τὰς θύρας ἐξέκοψαν."

αὐλίζεται κοιμᾶται, φυλάττει, παρεμβάλλει. καὶ αὐλιζόμενοι Ἀντιφῶν ἀντὶ τοῦ κοιμώμενοι.

αὐλίκουροι (an αὔλουροι αὐλικοί) φύλακες, καὶ αὐλικοὺς κιθαρῳδούς.

αὖλις ἡ κοίτη, Αὐλὶς δὲ πόλις Βοιωτίας.

αὐλίσκοι.

Αὖλος Ποσόμιος οἰκίας μὲν ἦν καὶ γένους πρώτου, κατὰ δὲ τὴν ἰδίαν φύσιν στωμύλος καὶ λάλος καὶ πέρπερος διαφερόντως. ἐπιθυμήσας δ' εὐθέως ἐκ παίδων τῆς ἑλληνικῆς ἀγωγῆς καὶ διαλέκτου πολὺς μὲν ἦν ἐν τούτοις καὶ κατακορής, ὥστε δι' ἐκεῖνον καὶ τὴν αἵρεσιν τὴν ἑλληνικὴν προσκόψαι τοῖς πρεσβυτέροις καὶ τοῖς ἀξιολογωτάτοις τῶν Ῥωμαίων, τέλος δὲ καὶ ποίημα γράφειν καὶ πραγματικὴν ἱστορίαν ἐνεχείρησεν· ἐν ᾗ διὰ τοῦ προοιμίου παρεκάλει τοὺς ἐντυγχάνοντας συγγνώμην ἔχειν, εἰ Ῥωμαῖος ὢν μὴ δύνηται κατακρατεῖν τῆς ἑλληνικῆς διαλέκτου καὶ τῆς κατὰ χειρισμὸν οἰκονομίας. ὅπερ ἐστὶ πάσης ἀτοπίας σημεῖον, καὶ παραπλήσιον ὡς ἂν εἴ τις ἐς τοὺς γυμνικοὺς ἀγῶνας ἀπογραψάμενος πυγμὴν ἢ παγκράτιον, παρελθὼν ἐς τὸ στάδιον, ὅτε δέοι μάχεσθαι, παραιτοῖτο τοὺς θεωμένους συγγνώμην ἔχειν, ἐὰν μὴ δύνηται τὸν πόνον ὑπομένειν μήτε τὰς πληγάς. δῆλον γὰρ ὡς εἰκὸς γέλωτα τὸν τοιοῦτον ὀφλεῖν καὶ τὴν δίκην ἐκ χειρὸς λαμβάνειν. ὅπερ ἔδει καὶ τοὺς τοιούτους ἱστοριογράφους, ἵνα μὴ κατετόλμων τοῦ καλῶς ἔχοντος. ἦν δὲ καὶ φιλήδονος καὶ φυγόπονος. Polyb. 40 6.

αὐλὸς ὁ εἰς εὐθὺ ἐξακοντισμὸς τοῦ αἵματος (Hom. χ 18). καὶ περόνης μέτρον (Hom. τ 227), καὶ μουσικῆς τι ὄργανον. καὶ αὐλὸς ὁ ἐπιμήκης φυσητήρ· ἐν ἐπιγράμματι (AP 6 92) "αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον."

αὐλῶνες φάραγγες, ἢ τόποι πλατεῖς περὶ τὰ ὄρη. (Polyb. 11 30) "ὁ δὲ κατεστρατοπέδευσε, λαβὼν αὐλῶνά τινα μεταξὺ τῆς αὐτοῦ καὶ τῶν πολεμίων στρατοπεδείας." καὶ αὐλωνίζουσα ἐν αὐλῶνι διάγουσα.

Αὐξέντιος Μοψουεστίας ἐπίσκοπος, ὃς ἦν τῶν ὁμολογητῶν ὀνομαζομένων. ἦν δὲ παρὰ τῶν ἐπιφανῶς τῷ βασιλεῖ Λικινίῳ στρατευσαμένων, τῶν ὑπογραφέων τούτου γενόμενος, οὓς δὴ νοταρίους Ῥωμαῖοι καλοῦσι. τὸ δὲ τῆς ὁμολογίας τοιόνδε γέγονεν εἶδος. ἦν ἔν τινι τῆς βασιλικῆς ἑστίας αὐλῇ κρήνη τε ὕδατος καὶ ἐπ' αὐτῇ Διονύσου ἄγαλμα, καὶ ἄμπελος μεγάλη περικειμένη καὶ σκιερὸν ἐπιεικῶς καὶ συνηρεφῆ τὸν ἅπαντα τόπον ἐργαζομένη. ἐνταῦθα ὁ Λικίνιος κατὰ πρόφασιν ἀπαγωγῆς ἀφικόμενος, τοῦ τε Αὐξεντίου αὐτῷ καὶ ἄλλων πολλῶν ἐκ τῆς θεραπείας παρεπομένων, εἰς τὴν ἄμπελον ἀνιδὼν ἐθεάσατο βότρυν ὡραῖόν τινα καὶ μέγαν τῶν κλημάτων ἀπαιωρούμενον. τοῦτον προσέταξε τῷ Αὐξεντίῳ τεμεῖν. ὁ δὲ αὐτίκα τὸ προσηρτημένον ταῖς ἀναξυρίσιν αὐτοῦ μαχαίριον ἀφελόμενος ἔτεμε μηδὲν ὑπιδόμενος. ὁ οὖν Λικίνιος πρὸς αὐτόν "θὲς τοίνυν τὸν βότρυν" ἔφη "πρὸς τοῖς τοῦ Διονύσου ποσίν." ὁ δὲ "μὴ ὦ βασιλεῦ" ἀπεκρίνατο· "χριστιανὸς γάρ εἰμι." κἀκεῖνος "οὐκοῦν ἐκποδὼν οἰχήσῃ τῆς στρατείας ἀποπαυσάμενος; θάτερον γὰρ τοῖν δυοῖν ἀνάγκη ποιεῖν." ὁ δὲ μηδὲν μελλήσας τήν τε ζώνην ἑαυτοῦ λύεται καὶ ἄσμενος ἐξεχώρησεν, ὡς εἶχε, τῶν βασιλείων. καὶ αὐτὸν οἱ ἔφοροι μετά τινα χρόνον ὕστερον ἐπίσκοπον ἐστήσαντο τῆς Μοψουεστίας. τούτου δὲ ἀδελφὸς νεώτερος Θεόδωρος ἦν, ἀνὴρ τῶν Ἀθήνησι παιδευθέντων, ὃς καὶ αὐτὸς χρόνῳ ὕστερον ἐπισκοπὴν τῆς Ταρσοῦ ἐκκλησίας ἔτυχε κληρωσάμενος. ὁ γὰρ δὴ Ἀέτιος τὰ πρότερα δι' ἑαυτοῦ τόν τε Εὐδόξιον αὐτὸν καὶ ἄλλους τοὺς πλείστου λόγου ἀξίους διδάσκων, ἐπειδὴ τὸν Εὐνόμιον εἰς τὸ τῆς διδασκαλίας προυβίβασεν ἔργον, τούτῳ ἤδη κατὰ τὸ κρεῖσσον ἀνθ' ἑαυτοῦ διδασκάλῳ ἐχρῆτο πρὸς τοὺς ἄλλους καὶ τοὺς μάλιστα τελεωτέρας μαθήσεως δεομένους· καὶ γὰρ ἐκεῖνος μὲν ἦν ἀρχὰς παρασχεῖν ἄριστος, οὗτος δὲ τὰς δοθείσας ἐργάσασθαι καὶ σαφῶς τε ἅμα καὶ μεγαλοπρεπῶς ἑρμηνεῦσαι παρὰ πολὺ δυνατώτερος. Philostorg. 5 2, 8 18.

αὔξη αὔξησις· "μὴ ἐφιέναι αὐτοῖς ἐπὶ a μέγα δυνάμεως αἰρομένοις, ἀλλὰ παντὶ σθένει τὴν αὔξην αὐτῶν κολούειν" (Agath. 1 5).

αὔξη ἡ βλάστησις. "τρέφεσθαι καὶ αὔξε- b σθαι λέγεται ἐκεῖνα τὰ κατὰ πᾶν μόριον τρε-

φόμενα καὶ αὐξόμενα. τὰ δὲ κατὰ πρόσθεσιν αὔξεσθαι δοκοῦντα οὐ κατὰ πᾶν μόριον ἑαυτῶν αὔξονται, διὸ οὐδὲ αὔξησις ἐπ' ἐκείνων λέγεται ἀλλὰ πρόσθεσις· ἐὰν γὰρ ἐπὶ σωρὸν σίτου προσθήσω ἕτερον σῖτον, οὐ δι' ὅλων τῶν μορίων τοῦ σωροῦ ἡ πρόσθεσις γέγονεν, ἀλλ' ἐφ' ἑνός, καθ' ὃ ἡ πρόσθεσις ἐγένετο" (Philopon. in 2 de anima, G 6 1).

λέγεται δὲ τοῦτο καὶ ἐπὶ λίθων, ὥσπερ ἂν εἰ καὶ τὸ πῦρ αὔξεσθαι λέγοι τις ξύλων πλειόνων προσιθεμένων. οὕτω καὶ τὰ μέταλλα αὔξεται ὑγρᾶς οὐσίας ἔξωθεν περιπαγείσης, ἐξ ἧς συνεστήκασι, καὶ ταύτης μεταβαλλούσης ἐπὶ τὴν αὐτὴν οὐσίαν ὑπὸ τῆς ἐν τῇ γῇ φυσικῆς δυνάμεως ἐκ τοῦ παντός. ὥστε ἐπὶ τῶν ἐμψύχων καὶ ἐχόντων μόρια λέγεται τὸ αὔξεσθαι. id. H 8 1.

αὔξω αἰτιατικῇ.

αὖον ξηρόν· Ἡσίοδος ⟨O. 743⟩ "αὖον ἀπὸ χλωροῦ τάμνειν," καὶ ἐν ἐπιγράμματι ⟨AP 6 105⟩ "καὶ τρύφος ἄρτου αὖον ἐπιθραύσας, τὴν πενιχρὴν θυσίαν." καὶ αὖθις ⟨cf. v. ἀνέφερε⟩ "καὶ τὰ μὲν αὖος ὑπὸ τοῦ φόβου ἦν, τὰ δὲ ἀνέφερεν ἡ ἐκ τοῦ θεοῦ πρόσταξις τὸν ἄνδρα." αὔω γὰρ τὸ ξηραίνω, παρὰ τὸ ὕω τὸ βρέχω, ἀύω μετὰ τοῦ στερητικοῦ α, καὶ κράσει αὔω.

αὔραν πνοήν. ⟨Theophyl. Sim. 1 3⟩ "ὁ δὲ Χαγάνος τοὺς ὅρκους ταῖς αὔραις φέρειν ἐδίδου, ἀθρόον τε τὴν πολέμῳ φίλην ἀράμενος σάλπιγγα τὰς δυνάμεις ἤθροιζεν."

Αὐρηλιανὸς βασιλεὺς Ῥωμαίων τὰ πολέμια δεινῶς ἠσκημένος, ἀκάθεκτος δὲ περὶ τὴν γνώμην καὶ πολὺ πρὸς ὠμότητα ῥέπων, τῶν τε κατὰ τὴν πόλιν ἐπισήμων θανάτῳ πολλοὺς ἐζημίωσεν ὑπὸ Ζηνοβίας ἐλεγχθέντας, χαλεπός τις καὶ φονικὸς ὑπάρχων, καὶ μᾶλλον ἀναγκαῖος στρατηγὸς ἤπερ αἱρετὸς βασιλεύς, ἐν παντὶ δὲ καιρῷ δυσχερὴς καὶ ἀπρόσιτος ὡς μηδὲ τῶν οἰκείων αἵματος διαμεῖναι καθαρός· τὴν γὰρ τοῦ παιδὸς γαμετὴν καὶ ἀνέγκλητον διεχρήσατο. τοῦ δὲ τῶν στρατιωτῶν τάγματος καὶ τῶν ἐξιτήλων καὶ διαλελυμένων ἠθῶν ὡς ἐπίπαν γενναῖος ἦν ἐπανορθωτής. Io. Antioch. Exc. Peir. p. 834.

ἀυσάντων ⟨Hom. B 334⟩ βοησάντων, φωνησάντων, κραξάντων.

Αὐσόνιος σοφιστὴς γεγραφὼς ἐπιστολὰς καὶ ἄλλα τινὰ πρὸς Νόννον.

Αὐσονίων Ἰταλῶν. καὶ αὔσονες οἱ βασιλεῖς, παρὰ τὸ αὔσω τὸ τολμῶ, οἱ πάντα ἐπιτολμῶντες τῷ προσάγματι. καὶ Αὐσόνιος πόντος ἡ Σικελικὴ θάλασσα, ἀπὸ Αὔσονος τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς υἱοῦ ἐκεῖ βασιλεύσαντος.

αὐστηρός. αὐστηροὺς εἶναί φασι πάντας τοὺς σοφοὺς καὶ σπουδαίους τῷ μήτε αὐτοὺς πρὸς ἡδονὴν ὁμιλεῖν μήτε παρ' ἄλλων τὰ καθ' ἡδονὴν παραδέχεσθαι. καὶ ἄλλον δὲ εἶναι αὐστηρόν, παραπλησίως λεγόμενον τῷ αὐστηρῷ οἴνῳ, ᾧ κατὰ μὲν φαρμακοποσίας χρῶνται, πρὸς δὲ πρόποσιν οὐ πάνυ. Diog. L. 7 117.

αὐτάγγελος ἡ ἀφ' ἑαυτῆς ἀπαγγέλλουσα. "αὐτάγγελος γὰρ ἡ δρῦς αὐτή σοι φράσει·" ἔχει γὰρ γράμματα. καὶ αὖθις "ἦλθεν ἂν παρὰ βασιλέως αὐτάγγελος τούτων, εἰ μὴ νόσῳ μακρᾷ καὶ χαλεπῇ ἔκαμνε." καὶ αὖθις "ξυλληφθέντα δὲ εἰρχθῆναι κελεύει, ὡς μὴ ἐπανελθόντα εἰς τὸ στρατόπεδον αὐτάγγελον γενέσθαι τῶν ξυμφορώτερον ἂν κρυπτομένων."

αὐταῖς ἀμάλαις, ἐπὶ τῶν πανωλεθρίᾳ διαφθειρομένων, οἱονεὶ αὐτοῖς βάθροις, αὐταῖς ῥίζαις· ἀμάλη γὰρ ὁ καρπός.

αὐταῖσι διαβολαῖς ⟨A Eq. 6⟩ Ἀττικὴ σύνταξις, ὡς εἰ λέγοιμεν, αὐτοῖς ὅπλοις τὰ ἅρματα, αὐτοῖς ἵπποις· λείπει ἡ πρόθεσις. τοῦτο δὲ εἶπεν, ἐπεὶ διαβάλλων ὁ Κλέων τοὺς ἄλλους στρατηγοὺς καὶ προσκρούων τῷ δήμῳ εἰς ἑαυτὸν βλέπειν τοὺς Ἀθηναίους ἐποίησεν. τῶν ἄλλων δὲ Παφλαγόνων, ὡς πάντων μὲν ὄντων πονηρῶν, ἐξαιρέτως δὲ τοῦ Κλέωνος.

αὐτάρκεια. Πολύβιος ⟨immo Dionys. Hal. 5 12: cf. v. Πόπλιος Οὐαλέριος⟩ "ἄξιος μὲν ὁ ἀνὴρ ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι, μάλιστα δὲ τῆς αὐταρκείας τοῦ βίου, ἣ φιλοσοφία τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτόν, ἣν ἐν πολλοῖς ἐπεδείξατο πράγμασι." καὶ αὐταρκῶ δοτικῇ.

αὖτε μετὰ ταῦτα.

αὐτερέται οἱ ἐλαύνοντες καὶ μαχόμενοι, οἱ αὐτοὶ καὶ ἐρέται καὶ ὁπλῖται.

αὐτὴ ἐκείνη, αὕτη δὲ δεικτικῶς. καὶ ⟨Ps. 117 24⟩ "αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος."

αὕτη ἐστὶ τὸ κυριακὸν πάσχα, μαρτίου κε. εἰ οὖν τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη ὁ Χριστός, ὡς αὐτὸς ἔλεγε "δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται," διὰ τί ὀγδόη λέγεται ἡ ἀνάστασις τοῦ κυρίου;

καὶ τρίτη μὲν εἴρηται ὡς ἀπὸ τοῦ πάθους καὶ τοῦ ϛαυροῦ, ὀγδόη δὲ ὡς ἀπὸ τῆς δημιουργίας καὶ τῆς ἀναϛάσεως· ἡ ἀρχὴ γὰρ τοῦ φαινομένου κόσμου ἐν αὐτῇ γέγονεν, καὶ τὸ ἀληθινὸν φῶς ὁ Χριϛὸς ἐν αὐτῇ ἀνέϛη.

αὕτη γε χρηϛῶν ἐϛὶν ἀνδρῶν ἡ νόσος" ⟨A Vesp. 80⟩ ἐπὶ τῶν ἐν ψόγου τάξει λεγόντων τι κατά τινος, ὅπερ ἐϛὶν ἄξιον ἐπαινεῖσθαι.

αὐτὴ κάμινος, αὐτὸς εἵλκυσεν καπνός ἢ τροχός, ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια διαπραττομένων.

αὐτήκοοι οἱ μὴ ἐπιτασσόμενοι, αὐτοὶ δὲ ἑαυτῶν ἀκούοντες.

αὐτῆμαρ ⟨Hom. Α 81⟩ αὐτῇ τῇ ἡμέρᾳ.

αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν ⟨A Th. 935⟩ παροιμία ἐπὶ τῶν μηδενὸς τυγχανόντων. ἡ μεταφορὰ ἀπὸ τῶν ἁλιέων.

ἀυτὴν βοήν, μάχην.

αὐτὴ νῦν ἡ σοφία ζῇ, ἐπί τινος εὐδοκιμοῦντος. καὶ αὐτὴ νῦν ἀνθεῖ ἡ μοῦσα· ὅμοιον τῷ προτέρῳ καὶ πολιτικώτερον.

αὐτίκα μετ' οὐ πολύ, εὐθέως, παραχρῆμα, συντόμως, πρὸς ὀλίγον, ἢ μικρὸν ὕϛερον. τὸ δὲ αὐτίκα μάλα ἀντὶ τοῦ εὐθύς. καὶ παροιμία "αὐτίκα καὶ φυτὰ δῆλα ἃ μέλλει κάρπιμ' ἔσεσθαι," ἐπὶ τῶν εὐθὺς ἀπὸ πρώτης ἀρχῆς πρὸς ἀγαθὸν τέλος ἀποβλεπόντων.

αὖτις καὶ αὖθις, ἑκατέρως λέγουσιν.

αὐτίτην τὸν αὐθιγενῆ οἶνον Ἀμφικτύοσι Τηλεκλείδης.

αὐτό. αὐτὸ ἔλεγον οἱ φιλόσοφοι τὸ κυρίως λεγόμενον. καὶ τὴν ἰδέαν διὰ τοῦ αὐτὸ ἐδήλουν, αὐτοάνθρωπος λέγοντες καὶ αὐτοδόξαϛον τὸ κυρίως καὶ μᾶλλον δοξαϛόν, καὶ αὐτοαληθῶς, ὅ ἐϛι μᾶλλον ἀκριβῶς. ὥϛε ἐϛὶν αὐτοδόξα. ἐν ᾧ γὰρ τὸ αὐτό, ἐν τούτῳ μάλιϛα καὶ ἀκριβέϛερον.

αὐτοαπλότης. "ἀλλ' ὅ τε βασιλεὺς τὸν τρόπον ἦν αὐτοαπλότης καὶ σιωπῶσά τις ἐπιείκεια, καὶ πρὸς τὰς δωρεὰς ὑγρὸς καὶ καταφερής, καὶ πρὸς τὰς πράξεις βαρὺς καὶ συντεταμένος." cf. v. ὑγρῶς.

αὐτοβοᾷς ὅμοιος ὢν τῷδε. ἀττικῶς πάνυ συμπέπλεκται, σημαίνει δέ, οἷον αὐτὸς ἑαυτῷ μαρτυρεῖς κεκραγὼς ὅμοιος εἶναι τῷδε.

a αὐτοβοεὶ ἐν αὐτῇ τῇ μάχῃ· Ἀγαθίας ⟨2 p. 58⟩ "πῶς γὰρ ἐνῆν αὐτοὺς ὀλίγους ὄντας ἐνεγκεῖν τὰ πλήθη τῶν πολεμίων, καὶ μὴ οὐχὶ αὐτοβοεὶ διαφθαρῆναι ὑπὸ δέος;" καὶ αὖθις "ἐκκλησιασθέντες ἐδογμάτιζον αὐτοβοεὶ παραδώσειν τὴν πόλιν" ἀντὶ τοῦ αὐθημερόν, οἱονεὶ ἔναυλον. ἢ ἔτι τῶν βοῶν ἐν ζυγῷ ὄντων.

αὐτοβοεὶ τὸ παραχρῆμα συντελεσθῆναι b
ἐν πολεμικοῖς ἔργοις, οἷον ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλάγματι. οὕτω Θουκυδίδης ⟨2 81, 3 74, 8 23⟩. παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτος.

αὐτογένεθλον αὐτογέννητον.

αὐτοδαῆ τὰ ἐκ φύσεως καὶ μὴ ἐκ διδαχῆς· ⟨S Ai. 699⟩ "αὐτοδαῆ ὀρχήματα."

αὐτοδὰξ τρόπον, τουτέϛι τὸν δάκνοντα, τὸν ἐμπεσόντα. ἢ αὐθάδη καὶ ὀργίλον, ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοῖς ὀδοῦσιν. Ἀριϛοφάνης ⟨Pac. 606⟩ "τὰς φύσεις ὑμῶν δεδοικὼς καὶ τὸν αὐτοδὰξ τρόπον." καὶ αὖθις ⟨Lys. 688⟩ "ἵν' ὄζωμεν γυναικῶν αὐτοδὰξ ὠργισμένων" ἀντὶ τοῦ πάνυ. αὐτοδὰξ καὶ τὸ παραχρῆμα ἀποδεδώκασιν.

αὐτὸ δείξει, παροιμία. ἐλλείπει τὸ ἔργον.

αὐτοδίκη, ὅταν αὐτὸς δι' ἑαυτοῦ τις δικάζηται καὶ αὐτομαχῇ. καὶ αὐτοδικεῖν Δείναρχος ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν.

αὐτόετες ⟨Hom. γ 322⟩ σὺν αὐτῷ τῷ ἔτει.

αὐτόθεν ἀντὶ τοῦ ἐντεῦθεν. "οὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν" Ἀριϛοφάνης Ἀχαρνεῦσι ⟨116⟩. καὶ αὖθις "ἀλλὰ χρῆναι γὰρ αὐτόθεν, ὡς ἔχουσιν, ἀντεπεξελθόντας ἐν χερσὶ ϛήσασθαι τὸ τέλος τοῦ πολέμου." ἢ αὐτόθεν ἀντὶ τοῦ οἴκοθεν, ἔνδοθεν· "ὁ δὲ αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται," καὶ Ἰώσηπος "δῶρα δὲ αὐτόθεν μὴ πέμπειν τῷ βασιλεῖ" ἀντὶ τοῦ οἴκοθεν. ἢ αὐτόθεν ἐκεῖθεν, ἢ ἀπὸ τοῦ παρόντος χρόνου· "οἱ δὲ Ῥωμαῖοι αὐτόθεν ἐλπίσαντες ἤδη τὴν παρεμβολὴν αἱρήσειν" ἀντὶ τοῦ ἐκ τοῦ παραχρῆμα. καὶ Θουκυδίδης ⟨6 71⟩ "χειμὼν ἦν, καὶ τοῖς Ἀθηναίοις τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι οὔπω ἐδόκει."

αὐτοῖς ταλάροις ἐσθίεις τὸν τυρόν ⟨A Ran. 568⟩. σύντροφον Ἀθηναίοις ἄνευ τῆς σὺν προθέσεως λέγειν αὐτοῖς ὅπλοις, αὐτοῖς ταλάροις.

αὐτόκακον ἔοικε τῷδε ἄκρως καὶ καθ' ὑπερβολὴν ἔοικε τῷδε. εὔνους.

αὐτοκέλευσος αὐθόρμητος· Ἀρριανός

⟨6 4 extr.? cf. v. παράγγελμα⟩ "κρότος τε ἀθρόως οὐκ ἐκ παραγγέλματος ἀλλ' αὐτοκέλευσος ὡρμήθη."

αὐτοκέρασον, οἷον εὐκέρασον, συμμέτρως κεκραμένον.

αὐτοκίνητον αὐτοφυές· "τῷ δὲ Ἑρμείᾳ τῷ φιλοσόφῳ τὸ αὐτοκίνητον οὐ προσῆνθει τῇ πολυμαθείᾳ" ⟨Damasc. Phot. p. 341 a⟩.

Αὐτοκλείδης. Κηδωνίδης καὶ Αὐτοκλείδης καὶ Θέρσανδρος ὡς παιδερασταὶ σφοδροὶ διεσύροντο. Harp.

αὐτοκόμου. Ἀριστοφάνης Βατράχοις ⟨830⟩ περὶ Αἰσχύλου "φρίξας δ' αὐτοκόμου λοφιᾶς λασιαύχενα χαίτην," ὡσεὶ εἶπεν ὀργισθεὶς ὥσπερ σῦς. "πᾶν τὸ ἐπισκύνιον κάτω ἕλκεται" ⟨Hom. P 136⟩.

Αὐτοκράτης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. τῶν δραμάτων αὐτοῦ Τυμπανισταί. ἔγραψε καὶ τραγῳδίας πολλάς.

αὐτοκράτορα πάντα τὸν ἀνυπεύθυνον.

αὐτοκράτορες ἀντὶ τοῦ τούτων τῶν δογμάτων κρατοῦντες· Ἀριστοφάνης Ὄρνισι ⟨1594⟩ "τούτων πέρι πάντων αὐτοκράτορες ἥκομεν."

αὐτοκράτωρ δεσπότης, ἄρχων. ἑλληνικὴ ἡ φωνή, τάττεται δὲ ἐπὶ παντὸς τοῦ καταπολεμήσαντος καὶ κρατήσαντος τῶν ἐναντίων, καὶ ἦν κοινὸν πρόσρημα ἐπί τε στρατηγῶν καὶ ὑπάτων.

αὐτοκτόνα. ⟨AP 7 152⟩ "οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπετο δῶρα, ἐν χάριτος προφάσει μοῖραν ἔχοντα μόρου." περὶ Αἴαντος καὶ Ἕκτορος.

αὐτολήκυθοι Δημοσθένης κατὰ Κόνωνος ⟨14⟩. ἤτοι ἀντὶ τοῦ εὐζώνους τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν, ἢ ἀντὶ τοῦ πένητας, μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους. ἢ αὐτουργούς. ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας. ἢ τοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις· καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύρια. καὶ λύσαντες δὲ πολλάκις τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν. Harp.

αὐτολόχευτος αὐτογέννητος, ὁ θεὸς ὁ ἀγέννητος.

Αὐτόλυκος. Ἀρεοπαγίτης οὗτος ἦν, καὶ τοὺς οἰκείους ὑπεκτιθέμενος ἐν τοῖς Χαιρωνικοῖς ἑάλω, καὶ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί. Harp.

αὐτοματίζουσιν αὐτόματοι παραγίνονται. ⟨Theophyl. Sim. 2 7⟩ "αὐτοματίζουσι δύο τινές (ἀδελφὼ δὲ ἤστην καὶ γένος καὶ προαίρεσιν) καὶ χώρους τινὰς ἀσύλους ὑποδεικνύουσι διὰ τὸ ἔρμα τοῦ ὀχυρώματος."

αὐτομαχεῖν τὸ δι' ἑαυτοῦ δικάζεσθαι, ἀλλὰ μὴ δι' ἑτέρου ⟨Harp.⟩. καὶ αὐτομαχῆσαι. ὅταν ἀντιποιῆταί τις οἰκίας ἢ χωρίου, καὶ εἴη ὁ πεπρακὼς μὲν ἀξιόχρεως ὥστε δοκεῖν ἀποτῖσαι τὴν ζημίαν καὶ συνίστασθαι τὴν δίκην πρὸς τὸν ἀντιποιούμενον, βούλοιτο δὲ ὁ διακατέχων τὴν οἰκίαν ἢ τὸ χωρίον ἴδιον αὐτῷ γενέσθαι ἀγῶνα πρὸς τὸν ἀμφισβητοῦντα, τοῦτο αὐτομαχῆσαι καλεῖται.

αὐτομόλως προδοτικῶς. καὶ αὐτομολῆσαι ἐστὶ τὸ προδοῦναι τοὺς ἰδίους καὶ ἐάσαι, καὶ ἀπελθεῖν πρὸς τοὺς ὑπεναντίους ἐπὶ συμμαχίᾳ. αὐτόμολος δὲ ὁ πρόσφυξ.

αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας, ἐπὶ τῶν ἀληθευόντων, οἷον ἐπ' αὐτὴν ἐλήλυθας τὴν ἀλήθειαν. cf. v. βατήρ.

αὐτονομουμένη πόλις ἡ τοῖς αὐτῆς νόμοις χρωμένη καὶ οὐχ ὑπακούουσα ἑτέροις.

αὐτὸν οὐ τρέφων κύνας τρέφεις, ἐπὶ τῶν ἀπορούντων μέν, ἑτέρους δὲ τρέφειν ἐπαγγελλομένων.

αὐτονυχὶ αὐτῇ τῇ νυκτί.

αὐτοπαθῶς· Πολύβιος ⟨8 19⟩ "ὁ δὲ ἀνακρινόμενος ὑπὲρ ἑκάστου ἀπεδίδου λόγον. οὐ μὴν ἀλλ' αὐτοπαθῶς καὶ γενναίως ὑπέμενε τοὺς ἐλέγχους." καὶ αὖθις "ὁ δὲ Ἀννίβας δόξας αὐτοπαθῶς ἅμα καὶ ἀληθῶς εἰρηκέναι πιστεύεται." αὐτοπαθῶς οὖν, οἴκοθεν, ἐξ ἰδίας προαιρέσεως ⟨Polyb. 3 12⟩. "ὁ μὲν οὖν Ἀντίοχος δόξας αὐτοπαθῶς ἅμα καὶ ἀληθῶς εἰρῆσθαι παρὰ τοῦ Ἀννίβου κατὰ Ῥωμαίων, πάσης τῆς προϋπαρχούσης ὑποψίας ἀπέστη."

αὐτόπρεμνον δύσκολον, πρόρριζον, αὐτόρριζον, ἢ μέγα. Ἀριστοφάνης περὶ Αἰσχύλου ⟨Ran. 911⟩ "αὐτοπρέμνοις τοῖς λόγοισιν ἐμπεσόντα, συσκεδᾶν πολλὰς ἀλινδήθρας ἐπῶν."

αὐτὸς ἀντὶ τοῦ ἐγώ· "καὶ ἦλθον ἡμέραις αὐτὸς μὲν μ΄" ἀντὶ τοῦ ἐγὼ ἀττικῶς. a

αὐτὸς ἐπὶ σώματος· διορίζουσι γὰρ τὰς ψυχὰς πρὸς τὰ σώματα. Ὅμηρος ⟨A 3⟩ "πολλὰς δ' ἰφθίμους ψυχάς," εἶτα "αὐτοὺς δ' ἑλώρια." καὶ Ἀριστοφάνης ⟨Ach. 373⟩ "ὁ νοῦς μὲν ἔξω, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ τραγῳδίαν." cf. v. οὐκ ἔνδον. b

αὐτός ἀντὶ τοῦ ὁ δεσπότης· Ἀριςοφάνης Βατράχοις ⟨522⟩ "φράσον ταῖς ὀρχηςρίσιν ὅτι αὐτὸς εἰσέρχομαι."

αὐτὸς αὐτὸν αὐλεῖ, ἐπὶ τῶν ἑαυτοὺς δεικνυόντων ἐν τοῖς πράγμασιν, ὁποῖοί τινές εἰσιν.

αὐτὸς γὰρ εὗρε τοῦ κακοῦ τὴν πητύαν ἤτοι τὴν πηγήν, ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων. cf. v. πητύα.

αὐτόσε ἐκεῖσε. λέγεται δὲ καὶ αὐτοῦσε· "διάβασις δὲ οὐκ ἔςιν αὐτοῦσε, ὅτι μὴ τῷ ζεύγματι."

αὐτὸς ἔφα. τοῦτο παροιμιακὸν ἐπὶ Πυθαγόρου τοῦ φιλοσόφου εἰσῆλθεν εἰς τὸν βίον. οὗτος γὰρ ἀποσεμνύνων τὸν ἑαυτοῦ λόγον καὶ βίον ἐν ταῖς ὁμιλίαις ἔλεγεν "αὐτὸς ἔφα" ἀντὶ τοῦ εἶπεν. οὐκ ἐμὸς ὁ λόγος, φησίν, ἀλλὰ τοῦ θεοῦ.

αὐτόσιτος ὁ οἰκόσιτος.

αὐτός τι νῦν δρῶν, εἶτα τοὺς θεοὺς κάλει. ὁμοία τῇ "σὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει," ἐπὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένους ἀργεῖν. τίθεται δὲ ἐπὶ γυναικῶν, καὶ μάλιςα ὀφειλουσῶν ἐργάζεσθαι. cf. v. τὴν χεῖρα προσφέροντα.

αὐτόςοιχος αὐτὸς ἑαυτῷ προσέχων· "ὁ βουλόμενος ἐν τῷδε τῷ βίῳ ἀβέβηλον βίον πολιτεύεσθαι αὐτόςοιχος ἐθέλει εἶναι."

αὐτοσφαγῆ τὸν ὑφ' ἑαυτοῦ ἀναιρούμενον. Αἴας φησί ⟨839⟩ "καί σφας κακοὺς κάκιςα καὶ πανωλέθρους ξυναρπάσειαν, ὥσπερ εἰσορῶσ' ἐμὲ αὐτοσφαγῆ πίπτοντα· τὼς αὐτοσφαγεῖς πρὸς τῶν φιλίςων ἐκγόνων ὀλοίατο." Σοφοκλῆς φησίν.

αὐτοσχέδιον ἐκ τοῦ σύνεγγυς τόπου. ἢ τὸ ἐκ συντόμου. καὶ αὐτοσχεδίως αὐτομάτως, συντόμως. καὶ αὐτοσχεδιάζωσιν αὐτομάτως πράττωσιν· Αἰλιανός "Ῥωμαῖοι δὲ εὐπραγίαν παράνομον οὔτε νίκην τελεσθεῖσαν, ἧς ὁ ἄρχων μὴ ἐκοινώνησεν, ἠσπάζοντο, ἵνα μὴ αὐτοσχεδιάζωσιν ἐν ταῖς πράξεσιν οἱ ὑπήκοοι." καὶ αὖθις "ὑπὲρ μεγάλων ἥκειν καὶ ἀδυνάτων αὐτοσχεδιασθῆναι."

αὐτότατος· Ἀριςοφάνης Πλούτῳ ⟨83⟩ "ἐκεῖνος αὐτός; αὐτότατος." ἀντωνυμία. πέπαικται δὲ κωμικῶς· τὰ γὰρ ἀόριςα τῶν πραγμάτων ἀνεπίτατα. εἰ οὖν ἀντωνυμία ἐπὶ οὐσίας παραλαμβάνεται, κατὰ τοῦτο ἐπίτασιν οὐ δέχεται ὡς τὰ ἄλλα μέρη.

αὐτοτελής ἱκανός, τέλειος. Πολύβιος "ταῦτα εἰρήσθω χάριν τῆς Ῥωμαίων εὐβουλίας καὶ τῆς ἀνοίας τῶν ὀλιγωρούντων τῆς τῶν ἐκτὸς συγκαταθέσεως, αὐτοτελεῖς δὲ νομιζόντων εἶναι πρὸς τὸ κατορθοῦν τὰς σφετέρας δυνάμεις." καὶ αὐτοτελὴς δίκη, ἀφ' ἧς οὐκ ἔςιν ἐκκαλέσασθαι ἐφ' ἑτέραν. καὶ αὐτὸ τὸ κύριον ἁπλῶς.

αὐτοῦ ἐπὶ τόπου· Ὅμηρος ⟨Z 80⟩ "ςῆτ' αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων." καὶ αὖθις ⟨AP 7 153⟩ "αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται."

αὐτούργητον αὐτοφυές· ἐν ἐπιγράμματι ⟨AP 6 33⟩ "καὶ αὐτούργητον ἐρείκης βάθρον."

αὐτοφόνῳ ἑαυτὸν ἀνελόντι· ⟨AP 7 149⟩ "τόσσης γὰρ χρόνος ἄλλον ἐπάξιον ἀνέρα τόλμης οὐχ εὑρὼν παλάμῃ θῆκεν ὑπ' αὐτοφόνῳ." περὶ Αἴαντος ὁ λόγος.

αὐτοφυέςατον· "μὴ ἐπίπλασον ἔχουσαν κάλλος αὐτοφυέςατον, καὶ οἷον γένοιτο φιλοθήρου κόρης."

αὐτόχειρες οἱ ἑαυτοὺς φονεύοντες.

αὐτοχειρίᾳ.

αὐτόχθονες οἱ Ἀθηναῖοι ἢ ἐπεὶ τὴν χθόνα, τουτέςι τὴν γῆν, ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο, ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας. αὐτόχθονες δὲ καὶ Ἀρκάδες καὶ Αἰγινῆται καὶ Θηβαῖοι ἐκαλοῦντο. Harp.

αὐτόχθων τῆς αὐτῆς πόλεως.

αὐτόχρημα ὅμοιον παντελῶς ὅμοιον. Αἰλιανός "αὐτόχρημα πηδῶν ὑπὲρ τὰ ἐσκαμμένα, τὴν ναῦν Ἀσδρούβα φεύγειν ἐπειγομένην, τὰς χεῖρας ἐπιβαλὼν εἴχετο ἐρρωμένως τῆς πρύμνης ὁ Κλάτιος ὄνομα." καὶ Ἀριςοφάνης ⟨Eq. 74⟩ "τὸν Παφλαγόνα λαθεῖν οὐχ οἷόν τε. ἐφορᾷ γὰρ αὐτὸς πάντ'· ἔχει γὰρ τὸ σκέλος τὸ μὲν ἐν Πύλῳ τὸ δ' ἕτερον ἐν τἠκκλησίᾳ. τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος, ὁ πρωκτός ἐςιν αὐτόχρημ' ἐν Χάοσιν" ἀντὶ τοῦ πάνυ ἀληθῶς, ἀψευδῶς. Χάονες δὲ ἔθνος Ἠπειρωτικόν.

αὔτως ὡς ἔτυχεν, ἢ ματαίως.

αὐτῷ ςεφάνῳ σὺν αὐτῷ τῷ ςεφάνῳ· ⟨A Eccl. 718⟩ "ὥςε μεθυσθεὶς αὐτῷ ςεφάνῳ πᾶς τις ἄπεισιν τὴν δᾷδα λαβών."

αὐχεῖ καυχᾶται, καὶ αὔχει καυχῶ.

αὔχημα σεμνολόγημα, ὕψωμα. ⟨Dionys. Hal. 8 48⟩ "καὶ ὅτι τοῦ τε αὐχήματος, ἐφ' ὧ νῦν εἰσίν, ἑκόντες ὑποβήσονται, καὶ ποιήσο-

σιν ἐξουσίαν σοι πράττειν ὅ τι ἂν αὐτοῖς ἐπιλαμβάνῃς συνοίσειν." καὶ αὖθις (Thuc. 7 75) "ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτυ εἰς οἵαν τελευτὴν καὶ ταπεινοφροσύνην ἀφῖκτο."

αὐχμεῖς αἰσχρῶς (A Nub. 920) ῥυπαρὸς εἶναι δοκεῖς, ὡς τοῦ δικαίυ παρεωραμένου. ὃ δὲ ἀντεῖπε "σὺ δέ γ' εὖ πράττεις." καὶ αὐχμοί (Thuc. 1 23) ἀνομβρίαι. καὶ Ἀριςοφάνης (Plut. 840) "αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων ἀπώλεσεν," ἀντὶ τοῦ ἀπώλεσέ με ὁ ὢν αὐχμὸς τῶν σκευαρίων, μετωνυμικῶς. καὶ αὐχμώδους ξηροῦ, ῥυπῶντος. καὶ αὐχμῶντες ςυγνοί.

αὐχμηρὰ τράπεζα ἡ ξηρὰ καὶ πενιχρά. καὶ αὐχμηρόν ςυγνόν, ἢ σκοτεινόν.

αὐχοῦντες καυχώμενοι.

ἀφαγνίσαι ἀποδοῦναι, καθιερῶσαι. λέγεται δὲ καὶ τὸ συλῆσαι.

ἀφ' αἵματος, τουτέςι συγγενῶν. "ὃ δὲ πολλοὺς ἐφόνευσεν, ἐφείδετο δὲ οὐδὲ τῶν ἀφ' αἵματος."

ἀφαιρεῖν κροκύδας, ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολακείας. ἄλλοι τε χρῶνται καὶ Ἀριςοφάνης· "εἴ τις κολακεύει παρὼν καὶ τὰς κροκύδας ἀφαιρῶν." καὶ ἀφαιρεῖ ὠτὸς ἢ ῥινός· ἀττικῶς ἡ σύνταξις.

ἀφαίρεμα ἀνάθημα, δῶρον ἢ ξένιον. καὶ ἀφαίρεσιν Ὑπερίδης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει.

ἀφαῖς πληγαῖς, ἢ χερσίν.

ἀφαλόν τε καὶ ἄλοφον (Hom. *K* 257), ἵνα λανθάνοι· φάλοι γὰρ τὰ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρὰ ἀσπιδίσκια, λόφοι δὲ αἱ τριχώσεις.

ἀφαμαρτούσῃ (Hom. *Z* 411) ἀποτυχούσῃ, ςερηθείσῃ.

ἀφανές τὸ σκοτεινόν. καὶ ἀφανέςερα· "τότε δὴ καὶ μεσημβρίας ἐπεχούσης πάντα ἦν νυκτὸς ἀφανέςερα."

ἀφανὴς οὐσία λέγεται ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύεσι, φανερὰ δὲ ἡ ἔγγειος. οὕτω Λυσίας. Harp. cf. v. οὐσία φανερά.

ἀφανίσαι. οὐ τὸ μολῦναι καὶ χρῶναι δηλοῖ, ἀλλὰ ὅλως τὸ ἀνελεῖν καὶ ἀφανὲς ποιῆσαι.

ἄφαντον φῶς τὸ ἐκ πυρίτυ λίθυ. Σοφοκλῆς Φιλοκτήτῃ (296) "ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων μόλις ἔφην' ἄφαντον φῶς, ὃ καὶ σώζει μ' ἀεί· οἰκουμένη γὰρ οὖν ςέγη πυρὸς μέτα πάντ' ἐκπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμέ."

ἀφάπτειν. Ἀππιανός (Lib. 41) "ἴση δὲ προμάχους ξύλα παχέα ἔχοντας διπήχεα σεσιδηρωμένα, ἃ ἔμελλον ὡς καταπέλτας ἐκ χειρὸς ἐς τοὺς ἐλέφαντας προσκολλᾶν."

ἀφαρεὶ ἐσπυδασμένως καὶ ἀπερισκέπτως τι ποιεῖν.

Ἀφαρεύς Ἀθηναῖος ῥήτωρ, υἱὸς τοῦ σοφιςοῦ Ἱππίου καὶ Πλαθάνης, πρόγονος δὲ Ἰσοκράτυς τοῦ ῥήτορος, ἀκμάσας κατὰ τὴν ϛε' ὀλυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόσοφος.

ἄφαρον τὴν λιπαρὰν γῆν, τὴν πολλὰ μήπω ἀροτριωθεῖσαν. ἀφαρόωσι δὲ ἀντὶ τοῦ ἀροτριῶσιν.

ἀφαρπάζω αἰτιατικῇ.

ἀφάρτεροι ταχύτεροι, ἀπὸ τοῦ ἄφαρ, ὃ σημαίνει τὸ εὐθέως. "ἵπποι δέ τοι ἔασιν ἀφάρτεροι οἳ τὸ πάρος περ" Ὅμηρος (Ψ 311 et 480?).

ἀφασία ἀφωνία.

ἀφὰς λύχνων Ἡρόδοτος λέγει (7 215).

ἀφάσσων ψηλαφῶν Ἡρόδοτος (3 69).

ἄφατοι μεγάλαι, ἢ καταπληκτικαί· ἐν ἐπιγράμματι (AP 6 112) "τρεῖς ἄφατοι κεράεσσιν ὑπ' αἰθούσαις τοι Ἄπολλον ἄγκειν ται κεφαλαὶ Μαιναλίων ἐλάφων."

ἀφαυανθήσομαι (A Eccl. 146) ξηρανθήσομαι. καὶ ἀφαύει· Ἀριςοφάνης (Eq. 391) "τοὺς ἀλλοτρίους ἀμῶν ςάχυς τούτους ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται," τουτέςιν ὁ Κλέων τοὺς ἀλλοτρίους καμάτυς αὐτὸς γεωργῶν καὶ καρπούμενος. αἰνίττεται δὲ πρὸς τὴν Πύλον, ὅτι τοῦ Δημοσθένους προπεπονηκότος αὐτὸς τὴν νίκην ἐπιγράφεται περὶ τῶν ἐν Σφακτηρίᾳ. "νῦν δὲ τοὺς ςάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν, ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται," ἐπὶ τῶν αἰχμαλώτων. ἀπὸ τοῦ ἀμητοῦ ςάχυς εἶπεν, οὓς ζῶντας ἄξειν κατεπαγγειλάμενος ὁ Κλέων ἐμπροθέσμως ἤγαγε. φησὶν οὖν· ἐκείνους οὓς δήσας ἤγαγεν, ἀπολῦσαι διανοεῖται. καὶ ἀφαύειν καίειν· (Thesm. 222) "ἀποξυρεῖν ταδί, τὰ κάτω δ' ἀφαύειν."

ἀφαυροτέροις ἀσθενεςέροις. "οὐ γὰρ ἀφαυρὸς ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης" (AP 6 267). καὶ ἀφαυροῦ ἀσθενοῦς.

ἀφάψαι προσκολλῆσαι.

ἀφ' ἑδρῶν ἀπὸ τῶν ἑδρῶν· ἕδραι γὰρ λέγονται αἱ σέλλαι, σελλάρια, σωτήρια. ἔςι

δὲ καὶ εὐθεῖα ὁ ἀφεδρών, καὶ σημαίνει τὸ μέρος τοῦ σώματος τὸ περὶ τὴν ἔξοδον.

ἀφειδήσας ἀμελήσας. "καὶ τὸν τρόπον ἀφειδεστάτω ἤστην καὶ φονικωτάτω." καὶ ἀφειδία καρτερία. καὶ ἀφειδῶς ἀπρομηθεύτως, ἀβούλως· Ἀγαθίας ⟨5 23⟩ "ὃ δὲ νεώτατος ὢν καὶ οὔπω ἐντελῶς τὰς τῆς φύσεως ὁρμὰς ἐπέχειν καὶ ἐγκαθείργειν δυνάμενος, ἀλλὰ πλέον τοῦ προμηθοῦς καὶ βεβηκότος τῷ φιλοδοξοῦντι τοῦ τρόπου πέρα τοῦ μετρίου ἐγκείμενος, ἀφειδῶς ἐπῄει τοῖς πολεμίοις."

ἀφεῖκα τὸ Ἀττικόν. τὸ δὲ ἀφέωκα Δώριον, κέχρηνται δὲ καὶ Ἴωνες, ὡς Ἡρόδοτος.

ἀφείλετο ἥρπασεν, ἀνέσπασε. λέγεται δὲ καὶ ἀφείλατο.

ἀφεῖνται προεῖνται, ἠμέληνται· "ποῖ φέρομαι; πάντῃ δὲ φρενῶν οἴακες ἀφεῖνται" ⟨AP 5 190⟩.

ἀφεὶς καὶ ἀπαλλάξας. τὸ μὲν ἀφεὶς ἐστιν, ὅταν ἀπολύσῃ τις τῶν ἐγκλημάτων ὧν ἐνεκάλει αὐτῷ, τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι καὶ μηκέτι ἐγκαλεῖν. οὕτω Δημοσθένης ⟨36 25⟩ καὶ Ἰσαῖος. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὡς ἀφίησί τις μόνων ἐκείνων ὧν ἐγκαλεῖ, ἀπαλλάττει δὲ ὅταν μηδὲ ἄλλον τινὰ ὑπολίπηται αὐτῷ λόγον πρὸς τὸν ἐγκαλούμενον. ἔστι δὲ καὶ τοῦτο παρὰ τῷ Δημοσθένει ⟨36 2⟩. Harp.

καὶ παροιμία "ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει." ἡ παροιμία παρὰ Ὑπερίδῃ, ἐπὶ τῶν παρέντων μὲν τὰ σπουδαιότερα, περὶ δὲ τὰ φαῦλα διατριβόντων. ὑπέραι δ' εἰσὶ ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ κέρας. Harp.

καὶ ἀφεῖσθαι παίζειν λέγεται ἐπὶ τῶν ἐν ταῖς ἑορταῖς ἀργούντων καὶ πρὸς παιδιὰν ἀφειμένων, μάλιστα δὲ ἐπὶ παίδων ἀφειμένων παίζειν.

ἀφεκτέον γενικῇ.

ἀφέλεια. Δαμάσκιός φησιν ⟨Phot. p. 336 b 21⟩ ὡς Ἰσίδωρος πρὸς τῇ ἀφελείᾳ καὶ ἀψεύδειαν ἠγάπα διαφερόντως καὶ ἀπεδέχετο, ὥστε καὶ εὐθύγλωττος εἶναι πέρα τοῦ δέοντος, καὶ οὐδ' ὁτιοῦν ἔχειν ἐν ἑαυτῷ προσποιούμενον. καὶ ἀφελὴς ἐπὶ τοῦ ὑγιὴς καὶ ὁλόκληρος, ἢ μέγας καὶ ἀνεπικώλυτος. καὶ ἀφελὲς ὁμοίως. "μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν" ⟨AP 5 42⟩ ἐπὶ τῆς ἀπονήρου καὶ δωσιπύγου. καὶ ⟨M. Anton. 1 7⟩ "τὰ ἐπιστόλια ἀφελῶς γράφειν." καὶ ἀφελῶν πεδίων Ἀριστοφάνης περὶ Κρατίνου ⟨Eq. 529⟩ "ὃς πολλῷ ῥεύσας πότ' ἐπαίνῳ διὰ τῶν ἀφελῶν πεδίων ἔρρει," τουτέστιν εὐδοκιμήσας πολλάκις. ὁ γὰρ Κρατῖνος ἑαυτὸν ἐπῄνεσεν ἐν Πυτίνῃ, λέγων "ἄναξ Ἄπολλον, τῶν ἐπῶν τοῦ ῥεύματος. καναχοῦσι πηγαί, δωδεκάκρουνον τὸ στόμα. Ἰλισσὸς ἐν τῇ φάρυγι. τί ἂν εἴποιμί σοι; εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα, κατακλύσει ποιήμασιν."

ἀφελές. ⟨Agath. 3 6⟩ "ὃ δὲ ἐπιφθέγγεται βαρβαρικὸν μέν τι καὶ ἀφελές, ἐνεργὸν δὲ ὅμως καὶ χρήσιμον, ὡς δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας, καὶ ἔπειτα τὸ μέλι σχολαίτερον ἀναιρεῖσθαι."

ἀφέλῃς αὐθυπότακτον. καὶ ἀφέλωνται, αἰτιατικῇ.

ἀφελχθείη κωλυθείη· "ξυμβουλεύειν ἐδόκει, εἴ ποι ἀφελχθείη τῆς ὁρμῆς ταύτης."

ἄφεμα· "ὧν καὶ τὸ ἄφεμα μετὰ ῥώμης ἦν."

ἀφέμενον ἀποστάντα, ἀντιλέγοντα.

ἄφενος πλοῦτος. τὸ ἄφενος οὐδετέρως.

ἀφέντες τὴν ὑπέραν τὸν πόδα διώκουσιν, ἐπὶ τῶν τὰ ἀναγκαῖα μὲν παραλιμπανόντων, τὰ περιττὰ δὲ προτιμωμένων. παρὰ Ὑπερίδῃ. cf. v. ἀφείς.

ἀφέξει ἀποκωλύσει, ἀποστήσει. καὶ ἀφέξομαι παύσομαι, ἀποστήσομαι.

ἀφερπύσαι βαδίσαι, ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν. ἐκ τούτου δὲ τὴν ἥσυχον κλοπὴν τὴν ἐπὶ τὴν χύτραν δηλοῖ. Ἀριστοφάνης ἐν Πλούτῳ ⟨675⟩ "ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἀφερπύσαι."

ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί ⟨A Eq. 1156⟩, τουτέστιν ἀπὸ κανόνων· βαλβὶς γὰρ ἡ ἄφεσις τῶν δρόμων.

ἀφέσθαι ἀποσχέσθαι.

ἀφ' ἑστίας ἀπὸ τῆς οἰκίας. καὶ ἀφ' ἑστίας μυεῖσθαι. ὁ ἀφ' ἑστίας μυούμενος Ἀθηναῖος ἦν. Harp.

Ἀφεταί τόπος Ἀθήνησιν, ἔνθα ὁ στόλος Ξέρξου τὸ πρῶτον ἐδυστύχησε διὰ λιμένων ἀνεπιτηδειότητα. ὅθεν τὸν Βορέαν Ἀθηναίων σύμμαχον εἶναι νομίζουσιν. χρήσας δ' ἦν ὁ θεὸς καὶ ἀνέμῳ συγγενεῖ θύειν, εἶναι δὲ συγγενὴς λέγεται διὰ τὴν Ὠρείθυιαν. cf. v. γαμβρὸς Ἐρεχθῆος.

ἀφετηρία ἀρχή, θύρα τοῦ ἱπποδρομίου. ἀφετήρια δὲ ὄργανα τὰ πολιορκητικά· "τὰ δὲ ἀφετήρια ὄργανα διέστησεν ἐπὶ τοῦ τείχους."

ἄφευε τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας ⟨A Pac. 1136⟩.

ἀφευθεὶς τὸν πρωκτόν, Ἀριστοφάνης ⟨Thesm. 244?⟩ ἀντὶ τοῦ φλογισθείς.

ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου ⟨Matth. 9 2⟩ αὐθυπότακτον.

ἀφή χροιὰ λέπρας ⟨Levit. 13⟩. λέγεται δὲ καὶ ἡ ψηλάφησις, καὶ αὐτὴ ἡ αἴσθησις.

ἁφή μία τῶν πέντε αἰσθήσεων, ἀπὸ τοῦ ἁφῶ ῥήματος δευτέρας συζυγίας, ἐξ οὗ παράγωγον γέγονε τὸ ἀφάσσω. ἡ δὲ ἁφὴ δύναται καὶ ἀπὸ τοῦ ἀφῶ περισπωμένου γεγονέναι καὶ ἀπὸ τοῦ ἄφω βαρυτόνου.

ἀφηβηκότι γηράσαντι, ὑπερβεβηκότι τὴν ἥβην, τουτέστι τὴν νεότητα.

ἀφηλικέστερος. ⟨Dio Cass. 53 26⟩ "ὁ δὲ Καῖσαρ τοὺς μὲν ἀφηλικεστέρους ἀφῆκε τῶν στρατιωτῶν, τοῖς δὲ τὴν στρατεύσιμον ἡλικίαν ἔχουσι θέατρα τέθεικεν." Ἀρριανός "παιδὸς γὰρ ἐκείνου ἀφήλικος ἐπιτροπεύσειν τε αὐτοὶ ἔμελλον, καὶ ὑπὸ τῷ ἐκείνου προσχήματι πᾶν ὅτιπερ καθ' ἡδονὴν σφισι πράξειν ἐς τοὺς ὑπηκόους." καὶ αὖθις "τὸν μὲν νεανίαν, τὸν δὲ ἀφηλικέστερον." καὶ ἀφήλικα τὸν πρεσβύτην. τινὲς δὲ χρῶνται τῇ λέξει ἐπὶ τοῦ μηδέπω τῆς ἐννόμου ἡλικίας παιδός, ὅπερ δεῖ φυλάττεσθαι· ἐπὶ γὰρ τοῦ πρεσβυτέρου λέγεται.

ἄφημος ἀπευθής.

ἀφηνιαστής ἀνυπότακτος, ὑπερήφανος. "οἱ δὲ ἀφηνίασαν μὲν αὐτὸν τῆς φιλίας, ἐβουλήθησαν δὲ διαμαρτύρασθαι τοῦτο τρόπον τινά. τὴν γοῦν εἰκόνα Φιλίππου, ὡς ἀνάθημα κειμένην, κατέσπασαν."

ἀφήτορος ⟨Hom. *I* 404⟩ οὐ κοινότερον, ἀλλὰ τοῦ Πυθίου, οἷον ὁμοφήτορος, διὰ τὸ οἷον εἰς λόγους ἔρχεσθαι τοῖς χρησμῳδουμένοις.

ἀφθαρτοδοκητής, ἀπὸ αἱρέσεώς τινος.

Ἀφθάς ὁ Διόνυσος. τὸ α ἐπιτατικόν, ὡς ἔσχυς. καὶ παροιμία "ὁ Ἀφθάς σοι λελάληκεν." ἦν δὲ χρησμολόγος.

ἄφθιτον ἄφθαρτον. ὅτι τὸ ἄφθιτος ἐπὶ ἀψύχων φιλόσοφοι τάττουσι, τὸ δὲ ἀθάνατος ἐπὶ ἐμψύχων. sch. Hom. *B* 186.

ἄφθονα πολλά.

Ἀφθόνιος σοφιστὴς ἔγραψεν εἰς τὴν Ἑρμογένους τέχνην προγυμνάσματα.

ἀφῖγμαι παραγέγονα. Αἰλιανός "ὁ δὲ ὄναρ εἶδε τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, καὶ ἠντιβόλει ῥυόμενος τὴν πήρωσιν τῆς ὄψεως, λέγων, ἀφίξομαι ὑμῖν δύο ἡμερῶν ὕστερον. οὐδὲ ἐψεύσατο· ἀνῃρέθη γοῦν μετὰ τοσαύτας ἡμέρας."

ἀφιδρύματα τὰ τῶν θεῶν ἀγάλματα. ⟨Diodor. Exc. leg. p. 628⟩ "εὐθὺς οὖν ἱκετηρίαν ἐκόμιζον οἱ πρεσβύτατοι τὰ παλαιότατα τῶν κατὰ πόλιν ἀφιδρυμάτων."

ἀφίει ἀπέπεμπεν.

ἀφίεμαι γενικῇ ἐπὶ τῶν παθητικῶν· ἐπὶ δὲ τῶν ἐνεργητικῶν δοτικῇ. ⟨Matth. 6 12⟩ "ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις."

ἀφ' ἱερᾶς. παροιμία "κινήσω τὸν ἀφ' ἱερᾶς." λέγεται δέ τις παρὰ τοῖς πεσσεύουσιν ἱερὰ γραμμή. οὕτως Ἐπίχαρμος. cf. v. τὸν ἀφ' ἱερᾶς.

ἀφιζάνει ἀπανίσταται τῆς καθέδρας.

ἀφίημι δοτικῇ. καὶ μετὰ αἰτιατικῆς "ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας" ⟨Io. 20 23⟩.

ἀφίκετο ἐλήλυθεν, ἦλθεν. "ὁ δὲ στρατὸς ἀφίκετο τῆς Ἀττικῆς εἰς Οἰνόην, ᾗπερ ἔμελλον εἰσβαλεῖν." οὕτω φησὶ Θουκυδίδης ⟨2 18⟩ τὴν σύνταξιν. καὶ ἀφῖχται παραγέγονεν.

ἀφιλότιμος ταπεινός, παρὰ τὸ μὴ φιλεῖν τιμήν. ἢ ὁ πρὸς μηδὲν ἀξιόλογον ἐπεστραμμένος. καὶ ὁ φειδωλὸς παρ' ἐνίοις. "οὐδεὶς ἦν ἀφιλότιμος οὕτως ὡς Μωυσῆν θεασάμενος μὴ ἐκπλαγείη τῆς εὐμορφίας" ⟨Ioseph. A. I. 2 9 6⟩.

ἀφιματῶσαι ἀποδῦσαι.

ἄφιππα χωρία, ἐν οἷς ἂν μὴ ἔστιν ἱππάσασθαι· "ὁ δὲ ἐκκλίνει πρὸς τὰ δύσχωρά τε καὶ ἀνάντη καὶ ἄφιππα." καὶ ἄφιπποι χωρὶς ἵππων· "περιδεεῖς δὲ ἦσαν ὡς ἐν ἐρημίᾳ, τά τε ἄλλα καὶ ἄφιπποι γενόμενοι" ἀντὶ τοῦ πεζοί.

ἀφίστασθαι τῆς ἀρχῆς. σύνταξις. ἀποχωρίζεσθαι, ἀλλοτριοῦσθαι· "βουλομένοις ἦν τῶν Μακεδόνων ἀφίστασθαι."

ἀφίστων ἀπέτρεπον, ἀπεκώλυον· "τοὺς δὲ βαρβάρους τῆς πολιορκίας ἀφίστων οἱ Ῥωμαῖοι."

ἀφῖχθαι.

ἄφλαστον τὸ ἄκρον τῆς πρύμνης.

ἀφλοισμός ἀφρός.

ἀφνειός ὁ πλούσιος. ὁ ἐξ ἑνὸς ἐνιαυτοῦ λέγεται ἄφενος, πλοῦτος δὲ ὁ ἐκ πολλῶν χρόνων. Ὅμηρος ⟨*A* 171⟩ "ἄφενος καὶ πλοῦτον ἀφύξειν." καὶ ἀλλαχοῦ ⟨ρ 423⟩ φησὶν ὁ αὐτός "οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέον-

ται," ὡς μόνον αὐτῶν καλεμένων ἀφνειῶν, οὐκ ὄντων δὲ κατὰ ἀλήθειαν.

ἀφοβόσπλαγχνος ⟨A Ran. 498⟩ ὁ τολμηρός. καὶ ἀφόβοις τοῖς μὴ φόβον ἐμποιοῦσι, τυτέςι τοῖς προβάτοις· "τὸν ἐν δαΐοις ἄτρεςον μάχαις ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας" (S Ai. 365).

ἀφοδεῦσαι Πλάτων Ἀδώνισι. καὶ ἄφοδος ὁ ἀπόπατος, ἐξ οὗ καὶ ἀφοδεύειν. καὶ ἄφοδον ἀναχώρησιν, ὥσπερ καὶ ἔφοδον τὴν ἐπέλευσιν.

ἀφοπλίζειν τῶν ὅπλων ἀφαιρεῖσθαι· "αὐτὸν δὲ τρόπον τινὰ ἀφοπλίζειν τῶν ἀναγκαίων ἀνδρῶν ὑπέβαλλον." καὶ ἀφωπλίζοντο ἀπετίθεντο τὰ ὅπλα.

ἀφόρητον ἀβάςακτον.

ἀφορμή, ἀφ' ἧς ὁρμώμενός τις σώζεται. ἰδίως παρὰ τοῖς Ἀττικοῖς, ὅταν τις ἀργύριον δώσει ἐνθήκην, ἀφορμὴ καλεῖται.

ἀφοσιούμεθα τὸ ὅσιον προσποιούμεθα δῆθεν. καὶ ἀφοσιούμενος πληροφορῶν, ποιήσας τὴν ὁσίαν· ⟨Herodot. 4 154⟩ "ὁ δὲ ἀφοσιεύμενος τὴν ἐξόρκωσιν τοῦ ἐπάρχυ ἐμηχανᾶτο τοιάδε." καὶ ἀφοσιούμενοι ἀντὶ τοῦ τιμῶντες, ἢ "τὸ ὅσιον ποιοῦντες καὶ καθαρὸν καὶ τὸ ὀφειλόμενον. διὰ τῦτο καὶ τὴν ὁσίαν ἐπὶ τῶν ἀπελθόντων φαμέν· τυτέςιν, οὐδὲν ὀφείλομεν αὐτοῖς λοιπόν, οὐκ ἐσμὲν ὑπεύθυνοι. οὕτως ἡμῖν ἔθος λέγειν καὶ τὸ ἀφοσιώσασθαι, καὶ ὅσα τοιαῦτα, τουτέςιν οὐκ εἰμὶ ὑπεύθυνος ⟨Chrysost. hom. 14 in ep. ad Ephes. 4 24⟩. καὶ ἀφοσιῶ ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω· Αἰσχίνης ⟨3 120⟩. τὸ δὲ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ' οἷον ἀπάρξασθαι ἢ σχηματίσασθαι, Ἰσαῖος λέγει ⟨Harp.⟩. καὶ ἀφοσιώσας καθάρας, ἢ ξενώσας· ἢ τὴν ὁσίαν ποιῶν, τουτέςι κηδείαν ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην. καὶ ἀφοσιῶσαι καθαίρειν. καὶ ἀφοσιώσεται ἀπάρξεται. καὶ ἀφοσιοῦσθαι ἀποκαθαίρεσθαι ὁσίας, καὶ τὸ μὴ περιεργάζεσθαι μηδὲ φιλοτιμεῖσθαι. ὅσια δὲ λέγεται ἄλφιτα δεδευμένα ἐλαίῳ καὶ οἴνῳ, καὶ κύρια καὶ δίκαια. καὶ ἀφοσίωσις ἀνάθεσις. καὶ ἀφοσιωσάμενοι δικαιωσάμενοι. καὶ ἀφοσιούμενοι τιμῶντες, ἢ ἀπαρχόμενοι. "ὡς δὲ ᾔσθετο σαφῶς ἀποσειόμενον καὶ μόνον ἀφοσιούμενον τὸν Ἰσίδωρον, ᾤχετο ἀπιὼν καὶ οὐκέτι προσῄει." Damascius.

Ἀφουσία νῆσός τις, ἐν ᾗ ὑπερόριοι ἐγένοντο ὁ κύριος Θεοφάνης ὁ ποιητὴς καὶ ὁ ἀδελφὸς αὐτοῦ Θεόδωρος ὁ γραπτός, ἀμφότεροι ὁμολογηταί.

ἀφραδέως ⟨Hom. Γ 436⟩ ἀνοήτως, ἀπείρως.

ἀφραίνει παρανομεῖ, μωραίνει, παραφρονεῖ.

ἄφρακτος φίλων οὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε. sch. S Ai. 910.

ἄφραςον ἄρρητον.

ἀφραςύες ἀσυνεσίαι· "σχέτλιαι ἀνθρώπων ἀφραςύες.

Ἀφρικανός. Καρχηδὼν ἡ καὶ Ἀφρικὴ καὶ Βύρσα λεγομένη, μετὰ τὸν πρῶτον ἀνοικισμὸν κρατήσασα ἔτη ψ' τῶν περιοίκων Λιβύων, ἀνῄρητο, Σκιπίων δὲ τὴν αὐτὴν Σκιπίωνι τῷ Ἀφρικανῷ πάππῳ λαβὼν ἐπίκλην Ἀφρικανὸς τὸ ἐντεῦθεν διά τε τὴν ἀρετὴν καὶ τὸ τῶν κατορθωμάτων ὁμοιότροπον ἐπωνομάσθη.

Ἀφρικανὸς ὁ Σέξτος χρηματίσας, φιλόσοφος Λίβυς, ὁ τοὺς Κεςοὺς γεγραφὼς ἐν βιβλίοις κδ'. εἰσὶ δὲ οἱονεὶ φυσικά, ἔχοντα ἐκ λόγων τε καὶ ἐπαοιδῶν καὶ γραπτῶν τινῶν χαρακτήρων ἰάσεις τε καὶ ἀλλοίων ἐνεργειῶν. κατὰ τούτυ ἔγραψεν Ὠριγένης, ἔνςασιν ποιησαμένου περὶ τοῦ τῆς Σωσάννης βιβλίου τοῦ εἰς τὸν Δανιήλ.

ἀφριόεν ἀφρῶδες· ⟨AP 7 531⟩ "ἀφριόεν κοναβηδὸν ἐπιπρίουσα γένειον."

ἀφροδίσιον ἔργον Ἀφροδίτης. λαμβάνεται δὲ ἐπὶ τῶν λάγνων τῶν ἐρωτικῶς περὶ τὴν συνουσίαν καὶ σφοδρῶς διακειμένων.

ἀφροδίσιον ἰδίως τὸ τῆς Ἀφροδίτης ἕδος. "ὁ δὲ διῆλθε τῷ λόγῳ φιλοτίμως τι καὶ σὺν Ἀφροδίτῃ οὐ μάλα περιττῇ" Αἰλιανός. καὶ παροιμία "ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος" ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων.

Ἀφροδίτη. ταύτης τὸ ἄγαλμα πλάττυσι κτένα φέρον, ἐπειδὴ συνέβη ποτὲ ταῖς τῶν Ῥωμαίων γυναιξὶ κνήφην λοιμώδη γενέσθαι, καὶ ξυρουμένων πασῶν γεγόνασιν αὐταῖς οἱ κτένες ἀχρεῖοι. εὐξαμένας δὲ τῇ Ἀφροδίτῃ ἀνατριχωθῆναι, τιμῆσαί τε αὐτὴν ἀγάλματι, κτένα φέρουσαν καὶ γένειον ἔχουσαν, διότι καὶ ἄρρενα καὶ θήλεα ἔχει ὄργανα. ταύτην γὰρ λέγουσιν ἔφορον γενέσεως πάσης, καὶ ἀπὸ τῆς ὀσφύος καὶ ἄνω λέγουσιν αὐτὴν

ἄρρενα, τὰ δὲ κάτω θήλειαν. πλάττουσι δὲ αὐτὴν καὶ ἔφιππον, ὅτι Αἰνείας ὁ υἱὸς αὐτῆς πλεύσας μέχρι τῆς δύσεως μετὰ τοῦτο ἵππῳ ἐπέβη, καὶ τὴν μητέρα ἐτίμησε τοιούτῳ ἀγάλματι. Codin. orig. CP p.14.

Ἄφροι ὄνομα ἔθνους, οἱ Καρχηδόνιοι, ἀπὸ Ἄφρου τοῦ τῆς Λιβύης βασιλεύσαντος, τοῦ υἱοῦ τοῦ Κρόνȣ, ἐκ Φιλύρας γεγονότος.

ἀφρουρήτους. ⟨Polyb. 15 24⟩ "Θάσιοι εἶπον πρὸς Μητρόδωρον τὸν Φιλίππȣ ϛρατηγὸν παραδοῦναι τὴν πόλιν, εἰ διατηρήσοι αὐτοὺς ἀφρουρήτους ἀφορολογήτους ἀνεπιϛαθμεύτȣς, νόμοις χρῆσθαι τοῖς ἰδίοις. ἐπισημηναμένων δὲ μετὰ κραυγῆς πάντων τὰ ῥηθέντα, παρήγαγον τὸν Φίλιππον εἰς τὴν πόλιν," ἀντὶ τοῦ βεβαιωσάντων.

ἄφρων καὶ ἄνους. διαφέρει ἄφρων καὶ ἄνους. ἀνόητόν φασι τὸν καλούμενον σοφὸν ὡς συνιέναι τὸ δέον ȣ̓κ ἐθελήσαντα, ἀμαθῆ δὲ τὸν τῆς μὲν σοφίας ἀμύητον, κακίᾳ δὲ ὅμως συζήσαντα. ὁ Δαβὶδ δὲ ἔφησεν "ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνȣς ἀπολȣ̃νται." Theodoret. in Ps. 48 11.

ἀφύα ἐς πῦρ. ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων ἡ παροιμία, παρ' ὅσον καὶ τὴν ἀφύαν τάχιϛα ἕψεσθαι συμβαίνει. ἑνικῶς δὲ παρὰ Ἀριϛοφάνει λέγεται ἐν Ταγηνιϛαῖς ἀφύη· ἀλλ' ἀεὶ πληθυντικῶς τὰς ἀφύας. λέγεται δὲ καὶ ἀφρὸς διὰ τὴν λευκότητα, ἔϛι δὲ ἡ παρὰ πολλῶν λεγομένη ἔγγραυλις. καὶ ἀφύων τιμὴ τὸ ἔλαιον, ἐπεὶ ἐν αὐτῷ ἕψονται. καὶ ἀφύας Φαληρικάς ⟨A Av. 76⟩ τὰς μεγάλας· Φάληρον δὲ λιμὴν Ἀττικῆς. πληθυντικῶς δὲ λέγεται, σπανιώτατα δὲ ἀφύην. Ἀριϛοφάνης ⟨Ach. 640⟩ "εὕρετο πᾶν ἂν διὰ τὰς λιπαράς, ἀφύων τιμὴν περιάψας." ἔϛι δὲ γένη πλείονα, ἣ μὲν ἀφρῖτις λεγομένη, ἥτις οὐ γίνεται ἀπὸ γόνου ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάττῃ ἀφροῦ. ἑτέρα δέ ἐϛιν ἡ λεγομένη κωβῖτις, ἣ γίνεται ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ φερομένων κωβιῶν. ἐξ αὐτῆς δὲ ἕτεραι αἳ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη ἥτις ἐϛὶ γόνος μαινίδων, καὶ ἄλλη ἐκ τῆς μεμβράδος, καὶ ἄλλη ἐκ τῶν μικρῶν κεϛρέων. ἔϛι δὲ προηγȣμένη ἡ ἀφρῖτις. Athen. p.284.

ὅτι Νικομήδει τῷ Βιθυνῶν βασιλεῖ ἀφύης ἐπιθυμήσαντι καὶ μακρὰν ὄντι τῆς θαλάττης Ἀπίκιος ὁ ὀψοφάγος, μιμησάμενος τὸ ἰχθύδιον, παρέθηκεν ὡς ἀφύας. ἡ δὲ κατασκευὴ ἦν αὕτη· θήλειαν λαβὼν γογγυλίδα, ταύτην ἔτεμεν εἰς μακρὰ καὶ λεπτά, τὴν ὄψιν τῆς ἀφύης μιμούμενος, ἀποζέσας δ' ἔλαιον, ἐπιχέας ἅλας, μήκωνας ἐπιπάσας, ἔλυσε τὴν ἐπιθυμίαν. id. p.7.

Ἀφύας ὀνόματα ἑταιρῶν ἀδελφῶν δύο παρὰ Ὑπερίδῃ.

ἀφυής ἀμαθής, ἄπειρος· "ὃ δὲ ἦν οὐκ ἀφυὴς συνιδεῖν πραγμάτων ϛρατηγίας." καὶ Πολύβιος "οὗ καιρὸς ἀφυέϛερος οὐ γέγονεν ἁπλῶς."

ἀφυΐα ἡ πρὸς τὰ προκείμενα μαθήματα σκληρότης.

ἄφυκτα ἀναπόδραϛα, ἀναγκαῖα. καὶ ἄφυκτον ὃ οὐκ ἔϛιν ἐκφυγεῖν.

ἀφυσμός ἀπάντλησις.

ἀφύσσων ⟨Hom. A 598⟩ ἀπαντλῶν, ἀρυόμενος.

ἀφ' ὑψηλοῦ μου καταγελᾷς, οἱονεὶ πάνυ μȣ καταφρονεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν ἀφ' ὕψους διαλεγομένων.

ἀφώρισαι πεπεράτωται· "ἐνταῦθά που τῆς συγγραφῆς ἀφώρισαι τὸ πραχθέν."

Ἀχαάβ ὄνομα κύριον.

Ἄχαζ βασιλεὺς Ἱερȣσαλήμ. οὗτος τὸ ἐν τοῖς θησαυροῖς ἀργύριον ἔπεμψε Θεγλαφαλασὰρ τῷ Ἀσσυρίων βασιλεῖ, δεόμενος ῥυσθῆναι Σύρων τε καὶ Ἰσραηλιτῶν. κἀκεῖνος αὐτῷ βοηθῶν ἐπεϛράτευσε Δαμασκῷ. ἐνταῦθα αὐτῷ συντυχὼν Ἄχαζ ἐθεάσατο θυσιαϛήριον, καὶ ἀρεσθεὶς αὐτῷ μέτρα τε αὐτοῦ λαβὼν ἀπέϛειλεν εἰς Ἱερȣσαλήμ, κελεύσας Οὐρίᾳ τῷ ἱερεῖ τοιοῦτον αὐτόθι οἰκοδομῆσαι. καὶ ἀναζεύξας ἔθυσεν ἐπ' αὐτῷ τοῖς Σύρων θεοῖς, τὸν ναὸν ἀποκλείσας τοῦ θεοῦ. τȣ́τȣ δὲ τελευτήσαντος ὁ υἱὸς αὐτοῦ Ἐζεκίας ἐκ Ῥαβούα τῆς Ζαχαρίȣ θυγατρὸς βασιλεύει ἐν Ἱερȣσαλὴμ ἁπάντων εὐσεβέϛερος. 2 Regg. 16.

Ἀχαΐα ἡ Ἑλλάς. Μόμμιος γὰρ ὕπατος ἐπὶ τοὺς Κορινθίȣς ϛαλεὶς τὸν Μέτελλον ἐν χερσὶν οὖσαν τὴν νίκην ἀφείλετο, ἐπιγενόμενος δὲ πεπονηκόσι τοῖς Ἀχαιοῖς περὶ τὸν Ἰσθμὸν κατηγωνίσατο, καὶ τὴν Κόρινθον εἷλεν αὐτοβοεί, πρωτεύȣσαν παντὸς κατὰ τȣ̃το τοῦ Ἑλληνικοῦ. ὅθεν δοκȣ̃σι καὶ νῦν Ἀχαΐαν ὀνομάζειν τὴν Ἑλλάδα. Ῥωμαῖοι δὲ ἐς τὸ χειρωθὲν ἔθνος, ὃ προεϛὼς ἦν τότε τῆς Ἑλλάδος, τὴν ὅλην μεταβαλόντες τῆς χώρας ἐπωνυμίαν, ἀφίκοντο." καὶ Ἀχαϊκὸν βέλος ἐπὶ τῶν εὐϛόχως βαλλόντων, παρ' ὅσον

πάντων ἐπιτηδειότατόν ἐστι τὸ τοιοῦτον βέλος πρὸς πολιορκίαν, τὸ τῶν ἐξ Ἀχαΐας σφενδονητῶν βέλος.

Ἀχαία ἡ Δημήτηρ· Ἀριστοφάνης ⟨Ach. 709⟩ "οὐδ' ἂν τὴν Ἀχαίαν κατεδέξατο." οὕτω δὲ αὐτὴν ἐκάλουν ἀπὸ τοῦ κτύπου τῶν κυμβάλων καὶ τυμπάνων τοῦ γενομένου κατὰ τὴν ζήτησιν τῆς κόρης, ἢ ἀπὸ τοῦ περὶ τὴν θυγατέρα ἄχους, ἢ ἀπὸ τοῦ ἤχου ὃν παρεῖχε τοῖς περὶ τὴν Γέφυραν εἰς Ἀθήνας ἀπιοῦσιν. ὁ δὲ νοῦς, οὐκ ἠνέσχετο ἂν οὐδὲ τὴν Ἀχαίαν αὐτήν.

Ἀχαιίδα Ἑλληνίδα.

ἀχαιίνη ἡ ἔλαφος· ἐν ἐπιγράμματι ⟨AP 6 165⟩ "καὶ σκύτος ἀμφιδόρου στικτὸν ἀχαιίνεω." καὶ Βάβριος ⟨95 87⟩ "τοιαῦτα κωτίλλουσα τὴν ἀχαιίνην ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς Ἅδην."

a Ἀχαιός Πυθοδώρου ἢ Πυθοδωρίδου, Ἐρετριεὺς τραγικός, γέγονε κατὰ τὴν οδ' ὀλυμπιάδα, καὶ δράματα ἐδίδαξε μδ'· οἱ δὲ λ' ἱστορήκασιν, ἄλλοι κδ'. ἐνίκησε δὲ ἕν. ἦν δὲ νεώτερος Σοφοκλέους ὀλίγῳ τινί, ἐπεδείκνυντο δὲ κοινῇ σὺν καὶ Εὐριπίδῃ ἀπὸ τῆς πγ' ὀλυμπιάδος.

b Ἀχαιός Συρακούσιος, τραγικὸς νεώτερος, ἔγραψε τραγῳδίας ι.

ἀχανὲς πέλαγος καὶ πεδίον τὸ ἐπὶ πολὺ κεχηνός· "τέλματα δύσπορα διαδέχεται, καὶ ἐπὶ τούτοις ἀχανὲς καὶ ἀνέξοδον πεδίου βάθος, ἐν ᾧ μυρῖκαί τε δένδρων μείζους ἐπεπήγεσαν καὶ τὸ συνεχὲς τῆς ὕλης φοβερώτατον." καὶ ἀχανεῖς ἀφανεῖς, ἀφεγγεῖς. καὶ ἀχανής ὁ μὴ κεχηνὼς καὶ ἄφωνος, ὁ ἐντός, ὁ ἐκπεπληγμένος σιωπῇ.

ἀχάνη μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρὰ Αἰγυπτίοις. ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς με', ὡς μαρτυρεῖ Ἀριστοτέλης. οἱ δέ φασιν ὅτι κίστη ἐστίν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι. sch. A Ach. 108.

a ἄχαρι χαλεπόν, κακόν. Ἀρριανός "ὁ δὲ πίστιν ἔδωκε τοῖς κατοικοῦσι μηδὲν ἄχαρι πείσεσθαι ἐκ βασιλέως." καὶ αὖθις "οὐδὲν πείσεσθαι ἄχαρι πρὸς αὐτῶν."

b ἄχαρι λυπηρόν. "ὁ δὲ τοὺς αἰχμαλώτους ἀφεὶς ἐξιόντας τοῦ τείχους παρεφύλαττεν ἐφεστηκώς, μή τι ὑπὸ τῶν στρατιωτῶν πάθωσιν ἄχαρι μίσει τῷ πρὸς Παρθυαίους." καὶ αὖθις "ὁ δὲ ἐδεῖτο μηδὲν περὶ οὗ ἄχαρι πιστεύειν βασιλέα τοῖς ἑαυτοῦ ἐχθροῖς." καὶ αὖθις ⟨Procop. Pers. 1 2⟩ "ὁ Περσῶν βασιλεὺς εἰσῆλθεν εἰς τὴν Ῥωμαίων γῆν, οὐδὲν δὲ ἔδρασεν ἄχαρι." "ἀχαρίστῳ νοσήματι τῷ θυμῷ χαριζόμενος, λύμαις ὅσαις ἐδύνατο παντοδαπαῖς τὸ σῶμα λυμηνάμενος." cf. v. χαρίζεσθαι.

ἀχαριστεῖν μὴ χαρίζεσθαι, καὶ ἀχαρίστως ἔχειν τὸ μὴ εὐχαριστεῖν· Ξενοφῶν ⟨Anab. 2 3 18⟩ "οἶμαι γὰρ οὐκ ἂν ἀχαρίστως ἐμοὶ ἔχειν οὔτε πρὸς ὑμῶν οὔτε πρὸς τῆς ἄλλης πάσης Ἑλλάδος." a

ἀχαριστεῖν ἀντὶ τοῦ μὴ χαρίζεσθαι· οὕτως Ἀντιφῶν. καὶ ἀχαριστῆσαι τὸ μὴ χαρίσασθαι μηδ' ὑπουργῆσαι. Harp. b

ἀχαρίστως· Ξενοφῶν ⟨Cyr. 7 4 14⟩ "Κῦρος δὲ ἦγε Λυδῶν αἰχμαλώτους, καὶ οὓς μὲν ἑώρα καλλωπιζομένους καὶ πειρωμένους αὐτῷ χαρίεσθαι, τούτους εἴα σὺν τοῖς ὅπλοις, οὓς δὲ ἑώρα ἀχαρίστως ἐπιμένοντας, τούτων τοὺς ἵππους παρέδωκε τοῖς Πέρσαις, τὰ δὲ ὅπλα κατέκαυσεν." ἀχαρίστως οὖν ἄνευ χάριτος.

Ἀχαρνείτης Ἀχαρνῆθεν. ⟨AP 7 21⟩ "πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς βλαισὸς Ἀχαρνείτης κισσὸς ἔρεψε κόμην."

ἄχειρος ὁ χειρὸς ἐστερημένος κατὰ μεταπλασμόν. Πισίδης ⟨Heracl. 1 45⟩ "ἄπους ἄχειρος οὐ βαρεῖ τὸν αὐχένα· πλήρεις ἑκάστῳ τῶν μελῶν αἱ συνθέσεις." περὶ τῆς Χοσρόου ὠμότητός φησιν.

ἀχείρωτον ἄμωμον.

ἀχερδος· Σοφοκλῆς ⟨OC 1596⟩ "κοίλης τ' ἀχέρδου, κἀπὸ λαΐνου τάφου."

Ἀχέρων ποταμὸς ἐν Ἅδου μεμυθευμένος, παρὰ τὸ ἄχη ῥεῖν. καὶ Ἀριστοφάνης ἐν Βατράχοις ⟨473⟩ ἐκφοβῆσαι θέλων φησὶν "Ἀχερόντιός τε σκόπελος αἱματοσταγής" διὰ τὸν Διόνυσον. a

Ἀχέρων. τόπος τις μέσος τοῦ παντός, ἐν ᾧ ἀνίμησίς ἐστιν ὑδάτων καὶ κατάποσις ἄχρι τοῦ τέρματος τοῦ παντός, σκοτεινός τις καὶ ἀφεγγής. ὁ δὲ Ἀχέρων καθαρσίῳ ἔοικε καὶ οὐ κολαστηρίῳ, ῥύπτων καὶ σμήχων τὰ ἁμαρτήματα τῶν ἀνθρώπων. b

ἀχέτας. οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον τέττιγος, ὥσπερ καὶ ὁ ἀκανθίας ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις.

ἀχέων μετοχή ἐστιν, ἀντὶ τοῦ δυσφορῶν ἐπὶ τῷ κεκρύφθαι. Σοφοκλῆς ⟨El. 159⟩ "κρυ-

πτῷ τ' ἀχέων ἐν ἥβᾳ" ἀντὶ τοῦ ἐν ἥβῃ κρυπτῇ λυπούμενος.

ἀχηνία ἀπορία, πενία· Ἀριστοφάνης Ἀμφιαράῳ "νόσῳ βιασθεὶς ἢ φίλων ἀχηνίᾳ."

ἀχθεινή λυπηρά, ὀλεθρία. ⟨AP 6 263⟩ "ἀχθεινὰν δ' εἶδε βοοκτασίαν." καὶ ἀχθεινός ὁ ἐπίπονος.

ἀχθέσῃ λυπηθήσῃ· ⟨A Nub. 864⟩ "τῷ χρόνῳ πότ' ἀχθέσῃ," ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ τοῦδε τοῦ πράγματος γενομένου.

ἄχθεται λυπεῖται, καὶ ἀχθεσθείς λυπηθείς· "ὃ δὲ ἀχθεσθεὶς τοῖς ἐπιτάγμασι πολλὰ καὶ δεινὰ ἀπεκρίνατο."

ἀχθηδών λύπη.

ἄχθομαι βαροῦμαι, ἀγανακτῶ· Ἀριστοφάνης ⟨Ach. 63⟩ "ἄχθομαι τοῖς ταῶσι τοῖς τ' ἀλαζονεύμασιν" ἀντὶ τῶ τοῖς κόλποις τοῖς πεποικιλμένοις, ἐπεὶ ὁ ταὼς ποικίλος. ἢ ὅτι πιφέραις ἐχρῶντο καὶ τιάραις. καὶ "ἄχθομαι αὐτοῦ τῷ ῥύπῳ" ἀντὶ τοῦ τῇ ἀνελευθερίᾳ καὶ μικρολογίᾳ· τὸν γὰρ ῥύπον ἐπὶ τῶν γλίσχρων καὶ ἀνελευθέρων ἐτίθεσαν· οὕτω γοῦν ῥυποκονδύλους λέγουσι τοὺς τοιούτους. καὶ Ἀριστοφάνης ⟨Ach. 1068⟩ "κρομμύοις γὰρ ἄχθομαι," καὶ Ἰώσηπος ⟨A. I. 6 7 4⟩ "ὁ δὲ θεὸς ἄχθεται τῇ τε τοῦ βασιλέως τῶν Ἀμαληκιτῶν σωτηρίᾳ καὶ τῇ τῶν βοσκημάτων διαρπαγῇ τοῦ πλήθους, ὅτι μὴ συγχωρήσαντος αὐτοῦ ταῦτ' ἐπράχθη." καὶ ἀχθόμενοι βαρούμενοι, πιεζόμενοι· "ἀμφί τε ἡμέραν μέσην τῷ ἡλίῳ ἀχθόμενοι τὰ ὅπλα κατέθεντο." καὶ ἄχθος βάρος, λύπη.

ἀχθοφόρον βαστάζοντα. καὶ παροιμία ⟨A Ran. 1426⟩ "οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι." πολλαχοῦ γὰρ ἀχθοφοροῦντας τοὺς Αἰγυπτίους μέμνηνται. cf. v. ἄραιτο.

ἄχι ἀντὶ τοῦ ῥᾳδίως.

Ἀχίας. προφήτης οὗτος ἐπὶ Ἱεροβοὰμ βασιλέως τῶν Ἑβραίων ἦν. κάμνοντος δ' αὐτῷ κατ' ἐκεῖνον καιρὸν τοῦ παιδός, τὴν γυναῖκα αὐτοῦ προσέταξεν ἥκειν ἔνθα διέτριβεν ὁ Ἀχίας, περὶ τῆς τοῦ παιδὸς ὑγείας, μετασχηματισαμένην τὴν στολήν. μελλούσης δὲ αὐτῆς εἰς τὴν οἰκίαν εἰσιέναι τὰς ὄψεις ἠμαυρωμένου διὰ τὸ γῆρας, ἐπιφανεὶς ὁ θεὸς ἀμφότερα αὐτῷ μηνύει, τήν τε τοῦ Ἱεροβοὰμ γυναῖκα καὶ τί μέλλει λέγειν αὐτῇ. καὶ παριούσης ὡς ξένης ἀνεβόησεν "εἴσελθε ὦ γύναι· τί κρύπτεις σαυτήν; τὸν γὰρ θεὸν οὐ λανθάνεις. ἄπελθε δὲ πρὸς τὸν ἄνδρα. τάδε λέγει κύριος· ἐπεί σε μέγαν ἐκ μικροῦ καὶ μηδενὸς ὄντος ἐποίησα, καὶ ἀποσχίσας τὴν βασιλείαν ἀπὸ τοῦ Δαβὶδ γένους σοὶ ταύτην ἔδωκα, σὺ δὲ τούτων ἠμνημόνησας καὶ τὴν ἐμὴν θρησκείαν καταλιπὼν χωνευτοὺς θεοὺς κατεσκεύασας καὶ τούτους τιμᾷς, σὲ πάλιν καθαιρήσω, καὶ πᾶν ἐξολοθρεύσω σου τὸ γένος καὶ κυσὶ καὶ ὄρνισι βορὰν γενέσθαι ποιήσω. μεθέξει δὲ τῆς τιμωρίας καὶ τὸ πλῆθος, ἐκπεσὸν τῆς ἀγαθῆς γῆς καὶ διασπαρὲν εἰς τοὺς πέραν Εὐφράτου τόπους, διότι τοῖς σοῖς ἀσεβήμασι κατηκολούθησε. τὸν δὲ σὸν υἱὸν καταλήψῃ τεθνηκότα." ὅπερ καὶ γέγονεν.

Ἀχίλλειος εὐχή· "ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν" ⟨Hom. Α 240⟩. "ὁ Κάμιλλος ὁ Ῥωμαίων στρατηγὸς εὔξατο τὴν Ἀχίλλειον εὐχήν, ἐπιποθῆσαι Ῥωμαίους Κάμιλλον ἐν καιρῷ. ἀπήντησε δὲ αὐτῷ οὐ πολὺ ὕστερον· Κελτῶν γὰρ τὴν πόλιν καταλαβόντων ὁ δῆμος ἐπὶ Κάμιλλον κατέφυγε καὶ δικτάτορα αὖθις εἵλετο, ὡς ἐν ταῖς Κελτικαῖς πράξεσιν ἀναγέγραπται" ⟨Appian. t. 1 p. 39⟩.

Ἀχιλλείων, τουτέστι κριθῶν καθαρῶν καὶ εὐγενῶν, οὕτω καλουμένων. Ἀριστοφάνης ⟨Eq. 826⟩ "Ἀχιλλείων ἀπομάττῃ" ἀντὶ τοῦ σιτήσεως τῆς ἐν πρυτανείῳ μετέχεις. ἢ Ἀχίλλειοι κριθαὶ αἱ εὐτελεῖς.

Ἀχιλλεὺς Στάτιος Ἀλεξανδρεύς, ὁ γράψας τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα καὶ ἄλλα ἐρωτικὰ ἐν βιβλίοις η΄. γέγονεν ἔσχατον Χριστιανὸς καὶ ἐπίσκοπος. ἔγραψε δὲ περὶ σφαίρας καὶ ἐτυμολογίας, καὶ ἱστορίαν σύμμικτον πολλῶν καὶ μεγάλων καὶ θαυμασίων ἀνδρῶν μνημονεύουσαν. ὁ δὲ λόγος αὐτοῦ κατὰ πάντα ὅμοιος τοῖς ἐρωτικοῖς.

ἀχλύς σκότος, ὁμίχλη, ζόφος, ἀμβλυωπία. καὶ "ἠέρος ἀχλύσαντος" ἀντὶ τοῦ σκοτισθέντος.

ἄχναι λεπτὰ ἄχυρα, ἢ ἀκαθαρσίαι. καὶ ἄχνη ἁλός ⟨Hom. Δ 426⟩ τὸ λεπτότατον τοῦ ὕδατος, ὁ ἀφρὸς τῆς θαλάσσης. ἐν ἐπιγράμματι ⟨AP 6 102⟩ "μῆλόν θ' ἡδύπνουν λεπτῇ πεποκωμένον ἄχνῃ." καὶ ἄχνη πυρός ὁ καπνός, καὶ ἄχνη ὕπνου. ὁ δ' Ἱπποκράτης φησὶ καὶ ἄχνη λίνου, δηλοῖ δὲ καὶ λεπτὸν ξύσμα.

ἄχνους ἀγένειος· ⟨AP 6 259⟩ "τίς τὸν ἄχνουν Ἑρμῆν σε παρ' ὑσπλήγεσσιν ἔθηκεν;"

ἀχνύμενος λυπούμενος.

ἄχος λύπη σιωπὴν ἐπιφέρουσα· παρὰ

τοῦτο καὶ ἀχνύμενος, τουτέςι λυπούμενος. ⟨S OC 1722⟩ "λήγετε τοῦδ' ἄχυς· κακῶν γὰρ δυσάλωτος οὐδείς" ἀντὶ τῦ δύσληπτος, ἀλλ' εὐάλωτος. "ἡ δὲ σύγκλητος ὥσπερ ἄχει τινὶ πεπληγμένη ἐξῃπορεῖτο."

ἄχραντον ἄψαυσον, κυρίως οὗ χεὶρ οὐχ ἥψατο, ἀμόλυντον.

ἀχράς εἶδος ἀπίου· Ἀριςοφάνης ⟨Eccl. 376⟩ "ἀχράς τις ἐγκλείσασ' ἔχει τὰ σιτία. μῶν ἦν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς;" ἡ ἀχρὰς ἐπέχει τὴν γαςέρα. οὗτος δὲ ὁ Θρασύβουλος ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίοις πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας ἀχράδας προσεποιήσατο βεβρωκέναι καὶ μὴ δύνασθαι λέγειν.

ἀχρειόγελως ἄνθρωπος ὁ ἐπὶ τοῖς ἀχρήςοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

ἄχρειον τῷ τόνῳ ὡς ἄμεινον.

ἄχρηςα. καὶ παροιμία "εἰς ἄχρηςα μὴ ἀναλίσκειν." "μήποτ' εὖ ἔρδειν γέροντα, μὴ παῖδα βάσκανον, μήτε γυναῖκα λάλον, μήτε παῖδα νήπιον μήτε γείτονος κύνα, μὴ λάλον κωπηλάτην." cf. v. μήποτ' εὖ ἔρδειν.

ἀχρηςία. Ἀππιανός ⟨t. 1 p. 28⟩ "ὁ δὲ Ὁράτιος λελωβημένος ἦν τὰ σκέλη, ὑπατείας τε οὐκ ἔτυχεν οὔτε ἐν πολέμῳ οὔτε ἐν εἰρήνῃ διὰ τὴν ἀχρηςίαν τῶν ποδῶν."

ἄχρι, ἄχρις ἀντὶ τῦ μέχρις, ἕως. ἔςι δὲ καὶ ἄχρις ἀντὶ τοῦ καθόλου, διόλου· καὶ Ὅμηρος ⟨Δ 521⟩ "ἀμφοτέρω δὲ τένοντε καὶ ὀςέα λᾶας ἀναιδὴς ἄχρις ἀπηλοίησε." καὶ ἄχρι κόρου παροιμία ἦν, ὅτι "ἄχρι κόρου ἐκεῖνος ἀναίσθητός ἐςι," καὶ "οὗτος ἄχρι κόρου ἐφενάκισεν."

Ἀχρυλὶς ἡ Φρυγίη ⟨AP 6 173⟩.

ἄχρωμος. ⟨Artemid. 4 42⟩ "ἦν δὲ ἡ ἐργασία αὐτοῦ ἄχρωμος" τουτέςιν ἀναιδής· "ἐπὶ πορνείου γὰρ ἐκαθέζετο." καὶ ἀχρώματος ἀναιδής.

ἀχυρμιαί ⟨Hom. E 502⟩ οἱ τόποι εἰς οὓς τὰ ἄχυρα ἀποφέρεται λικμώμενα. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 173⟩ "καὶ τριβόλους ὀξεῖς ἀχυρότριβας."

ἄχω ἀντὶ τοῦ ἃ ἔχω· Σοφοκλῆς ⟨El. 450⟩ "χἀμοῦ ταλαίνης σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως ἄχω."

ἀχὼν ἄμπελος.

ἀχώρ τὸ πιτυρῶδες τῆς κεφαλῆς, παρὰ τὸ ἄχνη ἀχνώρ, καὶ ἀποβολῇ τοῦ ν ἀχώρ. κλίνεται δὲ ἀχῶρος, διὰ τοῦ ω μεγάλου, ὡς ἰχῶρος τοῦ σεσηπότος αἵματος.

ἄψ πάλιν.

ἀψάλακτος ⟨A Lys. 275⟩ ἀπαθής, ἀτιμώρητος· ἀψάλακτον γὰρ τὸ ἄθικτον. οὕτω Κρατῖνος. cf. v. διαψαλάττεσθαι.

ἀψαμένη ⟨Hom. λ 278⟩ ἐξαρτήσασα. καὶ ἅψασθαι παρὰ πᾶσιν ἐπὶ τῦ προσάψασθαι καὶ θιγεῖν τάσσεται. καὶ ἅψαι προσάψαι.

ἀψαύςως ἀνεπάφως. Ἀππιανός ⟨t. 1 p. 87⟩ "ὁ δὲ τοῖς σώμασι τῶν Κίμβρων ἀψαυςεῖν ἐκέλευεν ἕως ἡμέρα γένηται, πολύχρυσα εἶναι δοκῶν."

ἀψεύδεια ἡ ἀλήθεια. λέγεται δὲ καὶ ἀψευδεῖν καὶ ἀψευδές.

ἀψήκτῳ κοθόρνῳ ⟨A Lys. 658⟩ ἀκαταμάκτῳ σκληρῷ ἀμαλάκτῳ ὑποδήματι πατάξω τὴν γνάθον.

ἀψήφιςον· "ὁ κατέχων τὸ ἀψήφιςον ἐν γνώσει ἐπιτελεῖ πᾶσαν τὴν γραφήν." cf. v. ψῆφος.

ἀψῖδες καμάραι.

ἀψικάρδιος· "εἰ δὲ ἰδιωτικὸν παράπηγμα ἀψικάρδιον ἐθέλεις, ἐρήσεται ἂν ταχέως" ⟨M Anton. 9 3⟩. τῆς καρδίας ἀπτόμενον. cf. v. παράπηγμα.

ἀψίκορος εὐμετάβλητος· ἢ ὁ ταχέως καὶ ἅμα τῷ ἅψασθαι κορεννύμενος. ⟨Polyb. 14 1⟩ "εἰδὼς τῶν Νομάδων τὴν ἀψικορίαν καὶ τὴν ἀθεσίαν τὴν πρὸς ἀνθρώπους." καὶ αὖθις ⟨M. Anton. 1 16⟩ "συντηρητικὸν δεῖ εἶναι πρὸς τὰς φίλας καὶ μηδαμῦ ἀψίκορον."

ἀψιμαχία συναφὴ μάχης· Ἀππιανός ⟨t. 3 p. 14⟩ "τὸ μὲν πρῶτον ἔριδες ἦν καὶ ἀψιμαχίαι σμικραί, μετὰ δὲ συμβολαί τε ἐς τὴν ἀλλήλων."

ἀψιμισία πρὸς ὀλίγον διαφορά.

Ἀψίνης Ἀθηναῖος σοφιςής, Ὀνασίμου a πατὴρ τοῦ σοφιςοῦ τοῦ πατρὸς Ἀψίνου.

Ἀψίνης Γαδαρεὺς σοφιςής, σπαρεὶς ὡς b λόγος ἐκ Πανός, μαθητεύσας δὲ ἐν Σμύρνῃ Ἡρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ἐν Νικομηδείᾳ, ἐσοφίςευσεν Ἀθήνησι βασιλεύοντος Μαξιμίνου, ὑπατικοῦ λαβὼν ἀξίωμα. cf. vv. Μαΐωρ et Φρόντων Ἐμεσηνός.

Ἀψίνης Ὀνασίμου τοῦ σοφιςοῦ Ἀθη- c ναῖυ, σοφιςὴς νεώτερος τῦ Γαδαρέως Ἀψίνυ.

ἄψορροι ὀπισθόρμητοι. "οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμεῖ πόδα;" Αἴας λέγει ⟨369⟩ πρὸς Τέκμησσαν τὴν αἰχμάλωτον γυναῖκα.

ἀψοφητί ἠρέμα.

Ἄψυρτος Προυσαεὺς ἢ Νικομηδεύς, στρατιώτης στρατευσάμενος ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως ἐν Σκυθίᾳ παρὰ τὸν Ἴστρον. ἱππιατρικὸν βιβλίον οὗτος ἔγραψεν, καὶ φυσικὸν περὶ τῶν αὐτῶν ἀλόγων, καὶ ἕτερα. ἔγραψε καὶ Κίμων (an Σίμων coll. v. τρίλλη) Ἀθηναῖος ἱπποσκοπικὸν βιβλίον θαυμάσιον.

ἄψυχος. (Polyb. 36 6) "τὰς προφυλακὰς βλέπων ὁ Φαμέας, ὧν οὐκ ἄψυχος, ἐξέκλινε τὰς πρὸς τὸν Σκιπίωνα συμπλοκάς. καί ποτε συνεγγίσας ταῖς ἐφεδρίαις, προβαλόμενος ὀφρὺν ἀπότομον ἀπέστη καὶ πλείω χρόνον."

ἀώρησις (immo αἰώρησις) ἡ κρέμασις.

ἀωρίᾳ ἀντὶ τοῦ ἀκαίρως καὶ παρὰ τὸν δέοντα καιρόν· ἄωρα γὰρ τὰ παρὰ τὸν καιρὸν τρυγώμενα. Ἀριστοφάνης (Ach. 23) "οὐδ' οἱ πρυτάνεις ἥκουσιν, ἀλλ' ἀωρίᾳ." "οὐκ ἔξεστι γὰρ Βαβυλωνίοις ἀωρίᾳ τάφον ὑπερβῆναι." σημαίνει δὲ καὶ τὴν σκοτίαν· Αἰλιανός "ἐπεὶ δὲ ἀωρία ἦν, ὃ μὲν ἐπὶ τὸν φόνον ὑπεθήγετο." καὶ "ἀωρὶ τῶν νυκτῶν."

ἀωρόλειος ὁ παρὰ τὴν ὥραν καὶ τὴν ἡλικίαν λειαινόμενος καὶ φαλακριῶν. τὸ αὐτὸ καὶ ὠμογέρων, ὁ παρ' ἡλικίαν γηράσας.

ἄωρον ἀπρεπές, ἄχαρι, ἄκαιρον. ἔνιοι δὲ ἀντὶ τοῦ ἀνοίκειον καὶ ἀσύμφορον. καὶ ἄωρος ὁ ὠμός. καὶ ἀωρότερον.

ἄωρτο (Hom. Γ 272) ἐκρέματο. ὀρῶ ὄρσω ὦρκα ὤρμαι ὦρσο ὦρτο καὶ ἄωρτο.

ἀωρῶ τὸ ἀλογῶ.

ἀωτεύειν ὑφαίνειν.

ἄωτον ἄνθος, κόσμος, στέφανος, περιβόλαιον ἐξ ἁπαλῶν ἐρίων. καὶ ἀώτῳ (Hom. N 599) ἡ δοτική. ἄωτον δὲ ἀγγεῖον τὸ μὴ ἔχον ὦτα. καὶ ῥῆμα ἀωτῶ τὸ ἀπανθίζω.

Βαάλ.

βαβαὶ θαυμαστικὴ φωνή.

βαβαὶ Μύξος, ἐπὶ τῶν κομπαζόντων καὶ μεγαλαυχούντων· Μύξος γὰρ ἐγένετο τῆς Ἀρτέμιδος ἱερεύς, ἀξιός τις καὶ μεγάλαυχος.

βαβακατρεῦ. βάρβαρός ἐστι φωνή, συγκατατίθεται δὲ ὁ βάρβαρος θεός· αἱ γὰρ ἄσημοι φωναὶ ἀντὶ συγκαταθέσεώς εἰσι. sch. A Av. 1614.

βαβάκινος εἶδος χύτρας.

βαβάκτης ὁ ὀρχηστής.

Βαβοῦς (an Βαυβοῦς) ὄνομα κύριον.

Βαβρίας ἢ Βάβριος μύθους ἤτοι μυθιάμβους· εἰσὶ γὰρ διὰ χωλιάμβων ἐν βιβλίοις ί. οὗτος ἐκ τῶν Αἰσωπείων μύθων μετέβαλεν ἀπὸ τῆς αὐτῶν λογοποιίας εἰς ἔμμετρα ἤγουν τοὺς χωλιάμβους.

βαβύλας πηλός, βάθρον, βῆμα.

Βαβυλᾶς ἐπίσκοπος Ἀντιοχείας. οὗτος, φασί, Νουμεριανῷ, οἱ δὲ Δεκίῳ, κατὰ δή τινα δαίμονα εἰσελθεῖν ἐς πληθύουσαν τὴν ἐκκλησίαν προθυμουμένῳ στὰς πρὸ τῶν θυρῶν ἀντέσχε, φάσκων εἰς δύναμιν μὴ περιόψεσθαι λύκον τῷ ποιμνίῳ ἐπεισερχόμενον. τὸν δὲ παραυτίκα μὲν ἀνακρουσθῆναι τῆς εἰσόδου, εἴτε στάσιν τοῦ ὄχλου ὑπιδόμενον, εἴτε καὶ ἄλλως αὐτῷ μεταβουλευθέν· ἐν χαλεπῷ μέντοι τὴν ἀντίστασιν τοῦ ἐπισκόπου ποιησάμενον, ἐπειδὴ ὡς ἑαυτὸν ἐπὶ τὰ βασίλεια ἀπηλλάγη, παραστήσασθαί τε αὐτόν, καὶ πρῶτα μὲν τὴν αἰτίαν τῆς κωλύσεως ἐγκαλεῖν, ἔπειτα μέντοι κελεύειν αὐτὸν τοῖς δαίμοσι θύειν, εἰ βούλοιτό γε τὴν ἐπὶ τῷ ἐγκλήματι δίκην διαφυγεῖν. τὸν δὲ πρὸς τὴν ἐπέγκλησιν ἀπολογήσασθαι καὶ τὴν πρόκλησιν διακρούσασθαι, τὴν μὲν φήσαντα ποιμένι ὄντι ἑαυτῷ πάντα προσήκειν ὑπὲρ τοῦ ποιμνίου προθυμεῖσθαι, τὴν δέ, μὴ ἂν ἑλέσθαι τοῦ ὄντως ἀποστάντα θεοῦ ψευδωνύμοις καὶ ὀλετῆρσι δαίμοσι θύειν. εἶθ' ὃ μὲν ὡς ἑώρα μὴ πειθόμενον, προσέταξεν αὐτὸν ἁλύσεσι καὶ πέδαις ἐνδησαμένους τὴν ἐπὶ θανάτῳ ἄγειν, τῆς κεφαλῆς ἀφαιρήσοντας· ὃ δὲ ἐπειδὴ ἤγετο τεθνηξόμενος, ταύτας ἀναλαβὼν ᾖδε τὰς τοῦ ψαλμοῦ ῥήσεις "ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐεργέτησέ σε." φασὶ δὲ καὶ τρεῖς παῖδας ἀδελφοὺς τὸ γένος, κομιδῇ νέους ὑπ' αὐτῷ ἀνατρεφομένους, ἁρπαγῆναί τε αὐτοὺς ὑπὸ τοῦ βασιλέως, καὶ ὡς οὐδ' αὐτοὶ θύειν ἤθελον καίτοι παντοίας ἀνάγκης αὐτοῖς προσαγομένης, καὶ αὐτοὺς ἐκέλευσε τῶν κεφαλῶν ἀφαιρεῖν. οὕς, ἐπειδὴ ἧκον εἰς τὸ προκείμενον χωρίον, ὁ Βαβυλᾶς ἑαυτοῦ προστησάμενος προτέρους προσῆγε τῷ ξίφει, τῷ μή τινα τρέσαντα αὐτῶν ἀναδῦναι τὸν θάνατον. καὶ ἀποτεμνομένων ταύτην ἀνειπὼν τὴν φωνήν "ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός," ἔπειτα αὐτὸς προύτεινε τὸν αὐχένα τῷ ξίφει, ἐντειλάμενος τοῖς τὸ σῶμα αὐτοῦ συλλεξομένοις τὰς ἁλύσεις καὶ τὰς πέδας αὐτῷ συνθάψαι, ἵν' ᾖ μοι ταῦτα, φησί, κειμένῳ κόσμος. καὶ νῦν μετ' αὐτοῦ, ὥς φασι, ταῦτα τυγχάνει κείμενα. Philostorg. 7 8.

Βαβυλωνία κάμινος, καὶ *Βαβυλώνιοι παῖδες*.

Βαγαῖος ὄνομα κύριον· "παλλομένων δὲ λαγχάνει ἐκ πάντων Βαγαῖος" (Herodot. 3 128).

βαγεύει πλανητεύει.

βάγιον μέγα.

Βαγώας ὄνομα κύριον, ὃς ἦν εὐνοῦχος. cf. v. λαβαῖς.

βαδδίν στολὴ ἱερά. Δανιήλ (10 5) "ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἦν ἀνὴρ ἐνδεδυμένος βαδδίν."

βάδην περιπάτῳ ἐρχόμενος. "τοὺς μὲν προαπέστειλεν, αὐτὸς δὲ ἐν πλινθίῳ τὴν στρατιὰν ἐπαγόμενος ἐχώρει βάδην" (cf. v. πλινθίον). καὶ αὖθις "βάδην καὶ σχολαίως ἀκολουθῶν." Ἀριστοφάνης (Ach. 534) "Μεγαρεῖς ὅτ' ἐπείνων βάδην, Λακεδαιμονίων ἐδέοντο" ἀντὶ τοῦ ἐλίμωττον, ὑπὸ λιμοῦ διεφθείροντο. βάδην ἀντὶ τοῦ κατὰ βραχὺ αὐξανομένου τοῦ λιμοῦ καὶ ἐπίδοσιν λαμβάνοντος, προϊόντος ἐπὶ τὸ μεῖζον.

βάδιζε. καὶ *βαδίζου* ἀντὶ τοῦ βάδιζε Κρατῖνος.

Βάδιλλος.

βάδιος υἱός. σημαίνει δὲ καὶ ἵππου χροιάν.

βαδιστέα ἀντὶ τοῦ πορευτέον· (Philostrat. V. A. 1 18) "ἐμοὶ δὲ βαδιστέα οἷ σοφία καὶ δαίμων με ἄγει."

βαδιστικοῦ ὀξύποδος· Ἀριστοφάνης (Ran. 128) "ὡς ὄντος γε μὴ βαδιστικοῦ."

βάδος ἡ βάδισις· Ἀριστοφάνης Ὄρνισι (42) "διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν." ἐν παιδιᾷ παρεσχημάτισται· ὡς γὰρ ἀπὸ τοῦ πατεῖν πάτος (Ὅμηρος (Ζ 202) "πάτον ἀνθρώπων ἀλεείνων"), οὕτως ἀπὸ τοῦ βαδίζειν βάδος.

Βαήλ.

Βαθάλη ὄνομα κύριον.

βαθεῖα κόμη ἡ δασεῖα. "ἀπεκείρατο τὴν κόμην· ἦν δὲ πολλὴ καὶ ξανθὴ καὶ βαθεῖα." "βαθείᾳ τῇ τριχὶ κομῶντα, καὶ γηραιὸν πολιᾷ."

βαθεῖαν αὔλακα (Aeschyl. Sept. 599), ὅπερ ἐστὶ στίχος γῆς ὑπὸ ἀρότρου. μεταφορικῶς ἀπὸ τούτου βαθείας φρένας καὶ κεχρυμμένας σημαίνει.

βαθμίδος.

βάθος. βάθος ἐστὶ φάλαγγος τὸ μετὰ τὸ μέτωπον ἅπαν. καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος κατὰ βάθος λέγεται.

βάθρα. "χθὲς μὲν καὶ πρώην δεδρακότες τοῦ καπηλείου καὶ τοῦ τὰ βάθρα καλλύνειν καὶ τοὔδαφος κορεῖν, ἄρτι δὲ χλαμύδας τὰς εὐπαρύφους ἐνδεδυκότες καὶ περόναις χρυσαῖς διαπεπερονημένοι καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι" (cf. v. Ῥουφῖνος). καὶ *βάθρα* ἀγάλματα. καὶ *βάθρον* θεμέλιον· "ἀπολυομένου δὲ αὐτοῦ τοὺς βλαυτίας, καὶ πρὸς βάθρον προσηρεικότος τὸν ἕτερον πόδα, προσδραμών τις τῶν στρατιωτῶν μετ' ἐγχειριδίου τοῦτον ἀπέτεμεν." καὶ Σοφοκλῆς (Ai. 135) "Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου," τουτέστι τὸ θεμέλιον, τὸ ἕδρασμα· δι' ὃν ἵσταται ἡ Σαλαμίς. βάθρον καὶ ἐφ' οὗ κάθηνται ἐν τοῖς συλλόγοις.

βαθύγλωσσοι ἐλλόγιμοι, εὔγλωττοι.

βαθυγνώμων ἄνθρωπος καὶ κρυψίνους. Ῥουφῖνος καὶ Στελίχων ἐπίτροποι Θεοδοσίου τοῦ βασιλέως. cf. v. Ῥουφῖνος.

βαθυδίνης ἐν βάθει ἔχων τὰ ῥεύματα.

βαθυκαμπῆ ἐπὶ πολὺ καμπτομένην· (AP 6 306) "καὶ βαθυκαμπῆ κλεῖδα συῶν."

βαθυλήιον σιτοφόρον πεδίον.

βαθυπέπλων μεγάλων, ἐκ τοῦ παρακολουθοῦντος.

βαθύπλουτος πολὺν πλοῦτον ἔχουσα. "εὐδαίμονα καὶ βαθύπλουτον εἶναι τὴν Λαφρίαν Ἄρτεμιν."

βαθυρρείτης (Hom. Φ 195) ὁ βαθέα ῥεύματα ἔχων.

βαθύς ἀντὶ τοῦ πονηρός. οὕτω Μένανδρος.

βαθύστρωτος κοίτη. (Babrius 32 7) "τὸν δὲ τῆς βαθυστρώτου καταβᾶσα κοίτης ἐπεδίωκεν ἡ νύμφη" ἀντὶ τοῦ πολυτελοῦς.

βαθύσχοινον ὑψηλὰς σχοίνους φέροντα.

βαθύτατα παχέα. Αἰλιανός "αἰθρίας γὰρ οὔσης καὶ πανηλίῳ ἡμέρᾳ ἄφνω καὶ ἀδοκήτως νέφη συνδραμεῖν οἷα δή που βαθύτατα, καὶ καταρρῆξαι πάμπολυν ὑετόν."

βαιαὶ μικραί. καὶ *βαιός* ἰδίως ἀντὶ τοῦ εἷς Σοφοκλῆς (OR 750) "πότερον ἐχώρει βαιὸς ἢ πολλοὺς ἔχων ἄνδρας λοχίτας;" καὶ ἐν Αἰχμαλωτίσιν "ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα." καὶ αὖθις (Ai. 292) "ὃ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα· γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. κἀγὼ μαθοῦσ' ἔληξ', ὃ δ' ἐσσύθη μόνος."

βαίτη διφθέρα. "βαίτη δὲ κὰν θέρει καὶ ἐν χειμῶνι ἀγαθόν," ἐπὶ τȣ̃ κατὰ τὴν χρείαν προσφόρου.

βακάντης ὁ σχολαϛής.

βακαντῖβος σχολαϛής, μὴ παραμένων τῷ πράγματι αὐτοῦ.

βάκηλος μέγας μέν, ἀνόητος δὲ καὶ γυναικώδης. βάκηλος εὐνοῦχος, ἀπόκοπος. καὶ παροιμία "βάκηλος εἶ" κατὰ τῶν ἐκλύτων καὶ ἀνάνδρων· τοιοῦτοι γὰρ οἱ ἀπόκοποι.

Βάκις ἐπίθετον Πεισιϛράτȣ· ἦν δὲ χρησμολόγος. Φιλητᾶς δὲ ὁ Ἐφέσιός φησι τρεῖς Βάκιδας· ὃ μὲν ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὃ δὲ Ἀθηναῖος, ὃ δὲ Ἀρκὰς ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης. Θεόπομπος δὲ ἐν τῇ θ' τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱϛορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. sch. A Pac. 1671.

Βακκαῖοι, ὥσπερ Ἐσσαῖοι. ἔϛι δὲ ἔθνος Ἰϛρικόν.

βακτηρεύειν ϛηρίζεσθαι.

βακτηρία καὶ σύμβολον. οἱ λαχόντες δικάζειν ἐλάμβανον παρὰ τῶν δημοσίων ὑπηρετῶν σύμβολον καὶ βακτηρίαν, καὶ οὕτως ἐδίκαζον. τὴν χρόαν ὁμοίαν εἶχε τῇ βακτηρίᾳ τὸ δικαϛήριον. τὸ μέντοι σύμβολον μετὰ τὴν κρίσιν ἀποδιδόντες ἐκομίζοντο τριώβολον· ὅπερ καὶ δικαϛικὸν γέγονεν. cf. v. σύμβολον.

βακτηρία καὶ σχῆμα καὶ τριβώνιον, ἢ τριώβολον. τȣ̃το ἐπὶ τῶν σκωπτόντων τοὺς δικαϛὰς τοὺς Ἀθήνησιν.

βάκτρον ῥάβδος· ⟨AP 6 81⟩ "γηραλέον τὸν ἀντὶ κανοπλίης βάκτρον ἀμειψάμενος." λέγεται καὶ σκηπάνιον· ⟨AP 6 83⟩ "ἀντὶ δὲ τῆς κιρου σκηπανίῳ τρομερὰς χεῖρας ἐρεισάμεθα."

Βάκχαι καὶ Σάτυροι καὶ Πᾶνες καὶ Σιληνοὶ ὀπαδοὶ Διονύσου.

βακχέβακχον ᾆσαι ἀντὶ τοῦ εὐφημῆσαι τὸν Διόνυσον· Βάκχος γὰρ ὁ Διόνυσος. sch. A Eq. 406.

βακχεία ποιμαντική. καὶ βακχεῖος.

βακχευούσας σὺν τῷ μέλει τῷ βακχείῳ τε καὶ ἐνθέῳ.

βακχεύων μαινόμενος. καὶ κατεβακχεύοντο, τουτέστιν ἐνεθουσίων ἐπιπνοίας τινὸς πληρωθέντες· "ἐπ' αὐτήν ··· ἐξοιϛρώμενοι." cf. v. τελεσιουργήσας.

Βάκχης τρόπον, ἐπὶ τῶν ἀεὶ ϛυγνῶν καὶ σιωπηλῶν, παρ' ὅσον αἱ Βάκχαι σιγῶσιν.

Βακχίδης ὁ τοῦ Διονύσου υἱός.

Βάκχος. οὕτως οὐ μόνον τὸν Διόνυσον ἐκάλουν, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια, οὐ μὴν ἀλλὰ καὶ τοὺς κλάδȣς ȣ̃ς οἱ μύϛαι φέρουσιν. ἔϛι δὲ καὶ ϛεφάνȣ εἶδος· "βάκχοισιν κεφαλὰς πολυανθέσιν ἐϛέψαντο" ⟨sch. A Eq. 406⟩. καὶ Πισίδης "πολλοὺς δὲ Βάκχους ἦν ὁρᾶν ἀκȣσίως τὴν ἐσχάτην ὄρχησιν ἐξορχουμένους."

Βακχυλίδης Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰȣλίδος (ἔχει γὰρ πόλεις δ', Ἰουλίδα Καρθαίαν Κορεσσίαν Ποιήεσσαν), Μέδωνος υἱὸς τοῦ Βακχυλίδου τοῦ ἀθλητȣ̃ παιδός, συγγενὴς Σιμωνίδȣ τοῦ λυρικȣ̃, καὶ αὐτὸς λυρικός.

Βάκχυρις ἐπὶ τῶν δικαιοτάτων· τοιοῦτος γὰρ οὗτος, βασιλεὺς Αἰγύπτου.

βαλανάγρα ἡ κλείς, παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. βάλανος δέ ἐϛι τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον· καὶ βάλανοι τὰ μάγγανα τῆς κλειδώσεως. καὶ βεβαλάνωται ⟨A Av. 1159⟩ ἀντὶ τȣ̃ κεκλείδωται.

βαλανειομφάλους τὰς φιάλας οἱ κωμικοὶ καλȣ̃σι. βαλανεῖον δὲ ἐκλήθη, διότι τὰς βαλάνους ἐσθίοντες τὰ κελύφη ἔκαιον. λέγουσι δὲ ὅτι οἱ πολλοὶ ἐλαττȣ̃σι τὸν ἀέρα τῷ λουτρῷ, εἰς ἑαυτοὺς αὐτὸν ἕλκοντες. καὶ βαλανείτης ὁ παρὰ τοῖς πολλοῖς καλȣ́μενος περιχύτης. ⟨Artemid. 1 64⟩ "ἔϛι δὲ τὸ βαλανεῖον ὁδὸς ἐπὶ τρυφήν."

βαλανεύς, ἐπὶ τοῦ πολυπράγμονος καὶ περιέργου.

βαλανεώτης.

βαλανίς ἡ τοῦ βαλανέως γυνή.

βάλανος τὸ αἰδοῖον, καὶ τὸ ψέλιον. καὶ βάλανοι φοινίκων· ⟨Xen. Anab. 1 5 10⟩ "οἶνον ἔπινον ἀπὸ τῆς βαλάνου τῆς ἀπὸ τοῦ φοίνικος."

βαλβίς βαλβῖδος βάσις ταπεινή, ἡ ἀφετηρία, καὶ ὁ καμπτός· "ὥσπερ ἐκ βαλβῖδός τινος οἱ τὰ τέθριππα ἀφιέντες ἀναπετασθείσης τῆς πύλης." καὶ βαλβῖσιν ἀντὶ τοῦ ταῖς ἀρχαῖς. εἴρηται δὲ ἀπὸ τῶν δρομέων· ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμή, διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας,

βαλβὶς καλεῖται. ἀπὸ τοῦ ἅλλομαι ἁλμίς ἀλβίς, ὑπερβιβασμῷ βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω. sch. A Eq. 1156.

βάλε βάλε τὸ τρίτον εἴη ἀντὶ τοῦ εἴθε μοι. cf. v. κηρύλος.

βαλεῖν τὸ πόρρωθεν πέμψαι, οὐτάσαι δὲ καὶ νύξαι καὶ τύψαι τὸ ἐκ χειρὸς τρῶσαι. βάλλειν παρ' Ὁμήρῳ ⟨E 51⟩ καὶ ἐπὶ τοῦ τυγχάνειν· "βάλεν ἄγρια πάντα."

βαλίαν τὴν ἔλαφον τὴν κατάστικτον. καὶ βαλίων ἀνέμων· "λήγετε πνοιαὶ βαλίων ἀνέμων," τουτέστι σφοδρῶς πνεόντων, παρὰ Συνεσίῳ τῷ Κυρηναίῳ ⟨hymn. 3 76⟩. καὶ αὖθις ⟨AP 7 203⟩ "θηρεύων βαλίους συνομήλικας ἐν νομῷ ὕλης· ᾤχεο γὰρ πυμάτην εἰς Ἀχέροντος ὁδόν."

Βαλιαρίδων νήσων σφενδονῆται εὔστοχοι.

Βαλίος ⟨Hom. Π 149⟩ ἵππος.

βαλλάντιον μάρσιπος. Εὐνάπιος ⟨p. 103 Nieb.⟩ "εἴτε φιλοχρήματος εἴη καὶ δοῦλος τῶν βαλλαντίων. καὶ ταῦτα σαφῶς ἐκπυνθανόμενοι πρὸς ταῦτα διεστρατήγουν τὸν πόλεμον."

βαλλαντιοτόμος κλέπτης. καὶ βαλλαντιοτόμοι· ⟨Philostrat. V. A. 4 22⟩ "χρημάτων τε μεγάλων ἐωνημένοι ἤγοντο μοιχοὶ πόρνοι τοιχωρύχοι βαλλαντιοτόμοι ἀνδραποδισταὶ καὶ τὰ τοιαῦτα ἔθνη." βαλλαντιοτόμοι δὲ οἱ τὰ βαλλάντια κλέπτοντες.

βάλλειν μήλοις, ἐπὶ τῶν τυγχανόντων ὧν ἐρῶσι. "τοὺς πόρρωθεν βάλλων τοξεύμασι τοῖς ἐκ μέλανος." καὶ "τόνδ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα" ⟨Hom. Θ 299⟩.

βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην, ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους.

βάλλ' εἰς Μακαρίαν, οἷον εἰς Ἅδου· Μακαρία γὰρ ἡ Ἡρακλέους, ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις, ἑαυτὴν ἐπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. τὸ δ' αὐτὸ τοῦτο καὶ οὕτω λέγουσιν, εἰς Μακαιρίαν, καὶ ἐς Μακαρίαν.

βάλλ' ἐς κόρακας, τουτέστιν ἄπιθι ἐς ἀπώλειαν καὶ φθόρον, ἀπὸ ἱστορίας ἐν ταῖς παροιμίαις κειμένης.

βάλλ' ἐς Μακαρίαν, ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ' ἀρετὴν διδόντων.

βάλλ' εἰς ὕδωρ, ὅτι καταπόντισον.

βάλλεται πλήττεται, πυρπολεῖται. "βάλλεται δὲ ἡ ναῦς σκηπτῷ, καὶ ἦν δέος ἐξαφθῆναί τε καὶ καταδῦναι τὸ σκάφος."

βάλλων Σωκράτη καὶ Ζήνωνα τοῖς ἐκ Διονυσίων σκώμμασι, καὶ τοὺς ἀπ' αὐτῶν ἀξιῶν πάσης ἐλαύνεσθαι γῆς καὶ θαλάττης ὡς ὄντας κῆρας πόλεών τε καὶ πολιτείας, νῦν δὲ στεφανῶν αὐτοὺς καὶ παράδειγμα τιθέμενος βίου γενναίου καὶ σώφρονος. Synes. Dion. p. 38.

βαλμὸς στῆθος.

Βαλτάσαρ. οὕτως ἐπεκλήθη ὁ Δανιὴλ εἰς τιμὴν τῆς τῶν ἀπορρήτων σαφηνείας.

βαλὼν φεύξεσθαι οἴει ⟨Plat. Conv. p. 189 B⟩, πρὸς τοὺς κακόν τι δράσαντας καὶ οἰομένους ἐκφεύγειν.

βαμβαίνει διστάζει, τρέμει τοῖς ποσί, καὶ τῇ γλώττῃ ἀσήμως φθέγγεται.

βάμμα Κυζικηνικόν ⟨A Pac. 1176⟩ τὴν ἀκάθαρτον ἀσχημοσύνην Ἀττικοὶ λέγουσι. καὶ ἑτέρα παροιμία, βάμμα Σαρδιανικόν ⟨A Ach. 112⟩, ἀντὶ τοῦ μή σε ἐρυθρὸν ποιήσω· οἷον ἵνα μή σε φοινίξω· νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ, ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξύτεται. βούλεται οὖν δηλοῦν, ἵνα μή σοι πληγὰς ἐντρίψω.

βάναυσος πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος· βαῦνος γὰρ ἡ κάμινος. ⟨Polyb. 1 40⟩ "καὶ τοῖς ἐκ τῆς ἀγορᾶς βαναύσοις φέρειν προσέταξε βέλη, καὶ παραβάλλειν ἔξω παρὰ τὸν θεμέλιον τοῦ τείχους." a

βάναυσος. ⟨Polyb. 12 13⟩ "ἐπὶ τούτοις σεμνύνεται κατὰ τὴν πολιτείαν, ἐφ' οἷς ἂν καὶ τελώνης σεμνυνθείη ἢ βάναυσος· ἐπὶ γὰρ τῷ πολλὰ καὶ λυσιτελῶς πωλεῖσθαι κατὰ τὴν πόλιν καὶ δαψιλῆ τὰ πρὸς βίον ὑπάρχειν πᾶσιν, ἐπὶ τούτοις μεγαλαυχεῖ." b

βάνδον. οὕτω καλοῦσι Ῥωμαῖοι τὸ σημεῖον τὸ ἐν πολέμῳ.

βάξιν φήμην· Σοφοκλῆς ⟨OR 515⟩ "εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς ταῖς νῦν νομίζει πρός γ' ἐμοῦ πεπονθέναι λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην φέρον, οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος φέροντι τήνδε βάξιν," ἀντὶ τοῦ οὐ βούλομαι ζῆν ἐπὶ ταύτῃ τῇ φήμῃ.

βαπτά. βαπτὰ ἱμάτια ἐφόρουν οἱ νυμφίοι πρὸς τὸ φαίνεσθαι τεκμήριον τῆς φθορᾶς. Ἀριστοφάνης Πλούτῳ ⟨530⟩ "οὔθ' ἱματίων δαπάναις κοσμῆσαι ποικιλομόρφων" ἀντὶ τοῦ ἑτεροχρόων.

βαπτίζω αἰτιατικῇ.

βάπτουσι πλύνουσιν. Ἀριστοφάνης ⟨Eccl. 215⟩ "πρῶτα μὲν γὰρ τἄρια βάπτουσι θερμῷ

κατὰ τὸν ἀρχαῖον νόμον," ἀντὶ τοῦ οὐδὲν καινοτομοῦσι.

a βάραθρον χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τὰς κακούργους ἔβαλλον. ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὄγκινοι, οἱ μὲν ἄνω οἱ δὲ κάτω. ἐνταῦθα τὸν Φρύγα τὸν τῆς μητρὸς τῶν θεῶν ἐνέβαλον ὡς μεμηνότα, ἐπειδὴ προέλεγεν ὅτι ἔρχεται ἡ μήτηρ εἰς ἐπιζήτησιν τῆς κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα ἀκαρπίαν ἔπεμψε τῇ χώρᾳ· καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμοῦ τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ θεὸν θυσίαις ἵλεων ἐποίησαν. sch. A Plut. 431: cf. v. μητραγύρτης.

b βάραθρον τόπος βαθὺς ὅπȣ οἱ κακοῦργοι ἐμβάλλονται Ἀθήνησι καὶ οἱ ἐπὶ θανάτῳ, ὥσπερ εἰς τὸν Κεάδαν οἱ Λακεδαιμόνιοι. cf. v. Κεάδας.

c βάραθρον ὄρυγμά ἐϛιν εἰς ὃ ὁ τῆς Ἱπποθωντίδος δῆμος τοὺς ἐπὶ θανάτῳ καταγνωσθέντας ... (read: κατακρίτους) ἐνέβαλλον. ἐν δὲ Φιλιππικοῖς (8 45, 10 135) ὁ Δημοσθένης τὴν λέξιν οὐ κυρίως εἶπεν ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ. Harp.

βαρακηνίς ἡ ἄκανθα.

βαρβαρίζει ἀντὶ τȣ̃ τὰ τῶν βαρβάρων φρονεῖ· οὕτω Πλάτων (Alc. 1 p. 120B). "ἔϛι δὲ βαρβαρισμὸς ἐκ τῶν κακιῶν λέξις παρὰ τὸ ἔθος τῶν εὐδοκιμούντων Ἑλλήνων. σολοικισμὸς δέ ἐϛι λόγος ἀκαταλλήλως συντεταγμένος, ὡς τὸ ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσεν" (Diog. L. 7 59).

βαρβάρους ἀντὶ τοῦ ἀφώνους, ἢ ἀνηκόους ἀνθρώπων καὶ μὴ εἰδότας αὐτῶν τὴν φωνήν. Ἀριϛοφάνης Ὄρνισιν (199) "ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ ἐδίδαξα τὴν φωνήν, συνὼν πολὺν χρόνον." περὶ τῶν ὀρνίθων λέγει ὁ ἔποψ.

Βάρβιος Φιλιππικός. οὗτος ἐπὶ τῶν τριῶν τυράννων ἦρχε, θέραψ δὲ ἦν τὸν τρόπον καὶ κολακικός, καὶ μέντοι καὶ τῷ περὶ τὸν Ἀντώνιον θιάσῳ κατείλεκτο· καὶ αὐτήν γε τὴν ἀρχὴν ἦρχε τὴν ἐκείνου χάριν. τȣ̃τον οὖν τὸν τότε σοβαρὸν καὶ ποσφροῦν τῇ τιμῇ καὶ ἐν ἀγορᾷ τῇ Ῥωμαίων ὑψηλὸν διάγοντα καὶ δικάζοντα ὁ δεσπότης ἀνέγνω ἐλθών, πρότερον μὲν ἀποδράντα, ἐν ἐκείνῳ δ' οὖν τοῦ καιροῦ πομπεύοντα ἁβρὸν καὶ κυδρούμενον καὶ σὺν τῇ ἀρχῇ θρυπτόμενον. καὶ προσελθὼν ἡσυχῇ κατόπιν, θοἰματίου λαβόμενος, "χαῖρε" εἶπε, τὸ ὄνομα προσθεὶς τὸ ἀρχαῖόν τε καὶ δοῦλον. καὶ ἐκεῖνος ἐκπλήττεται ῥᾳδίως τὸν δεσπότην γνωρίσας, καὶ δεῖται σιωπᾶν, καὶ εἰς τὸ οἰκεῖα ἄγει, καὶ καταβαλὼν πάμπλειϛα εἶτα μέντοι ἑαυτὸν ἐλύσατο, καὶ αἰδοῖ Ἀντωνίȣ τῇ κηλῖδι τῇδε σιγὴ κατεχύθη ἀργυρώνητος. ἔκρινα δὴ καὶ ταύτην τῆς τύχης μὴ σιγῆσαι τὴν παιδιάν. Aelianus?

βάρβιτον ψαλτήριον, κιθάρα, εἶδος ὀργάνου μουσικοῦ. (AP 7 23) "ὦ τὸ φίλον ϛέρξας, φίλε, βάρβιτον·" περὶ Ἀνακρέοντος ὁ λόγος. παροιμία ἐπὶ τῶν ἀνομοίων· Ἀριϛοφάνης (Thesm. 142) "τίς ἡ ϛολή; τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος λαλεῖ κροκωτῷ, τί δὲ λύρα κεκρυφάλῳ; τί λήκυθος καὶ ϛρόφιον; ὡς ἀξύμφορον. τίς δαὶ κατόπτρȣ καὶ ξίφους κοινωνία;"

βάρβιτος εἶδος ὀργάνου μουσικοῦ.

Βαργαδώθ υἱὸς λύπης. 1 Sam. 4 21.

βαρδίσαγνος ὁ τὰς γυναῖκας βιαζόμενος.

βάρδισοι βραδύτατοι.

βαρεῖα χείρ ἡ δυνατή· "συνέϛη δὲ πλῆθος ἱκανὸν καὶ βαρεῖα χεὶρ καὶ παράδοξος."

βάρεις πλοῖα, τείχη, ϛοαί, αὐλαί, πύργοι, σφαῖραι. "ὁ δὲ ἐπεμέλετο βαρῶν" (cf. v. Μουσώνιος b), τουτέϛι τειχῶν. (AP 7 67) "δέξαι μ', εἰ καί σοι μέγα βρίθεται ὀκριόεσσα βᾶρις, ἀποφθίμενον τὸν κύνα Διογένη."

βάρεις ἐλεφάντιναι (Ps. 44 9) αἱ πανταχοῦ τῆς γῆς ἐκκλησίαι, μία δὲ τῇ πίϛει, ἐν αἷς γεραίρεται ὁ θεός. καὶ βάρεων ἡ γενικὴ τῶν πληθυντικῶν. βᾶρις δὲ ϛοὰ καὶ πόλις.

βαρέων βαϛαγμάτων.

Βαρθολομαῖος ὄνομα κύριον.

Βαρκαίοις Λιβυκοῖς· Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαῒς καλουμένη.

Βάρνη υἱὸς ἀλλόμενος.

βαρόεις.

βάρος ἐπὶ τῶν μεγίϛων πόλεων· "ἡ δὲ a Καπύη μεταθεμένη πρὸς τοὺς Καρχηδονίȣς τῷ βάρει συνεπεσπάσατο καὶ τὰς ἄλλας πόλεις." cf. v. Καπύη.

βάρος. περὶ Πολέμωνος (Diog. L. 4 19) b "ἦν δὲ καὶ τὸ βάρος οἱονεὶ Δώριός τις οἰκονομία." "προορώμενος δὲ καὶ κατορρωδῶν τὸ βάρος καὶ τὸ φιλόνεικον τῶν ἀνθρώπων" ἀντὶ τοῦ τὸ πλῆθος, τὴν ἰσχύν, Πολύβιός φησι. καὶ αὖθις (Polyb. 30 15) "ἐπισημηνά-

μενος δὲ τοῦ Σικυῶνος τὴν ὀχυρότητα, καὶ τὸ βάρος τῆς τῶν Ἀργείων πόλεως, ἦλθεν εἰς Ἐπίδαυρον." καὶ αὖθις ⟨Diodor. t. 2 p. 630⟩ "ἐπολυπραγμόνησαν ἀκριβῶς τῆς πόλεως τὴν θέσιν καὶ τὸ βάρος." ⟨S OC 1142⟩ "βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει· οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις."

Βάρρων ἱςορικὸς ἐπιτομὴν τῶν κατ' Ἀλέξανδρον τὸν Μακεδόνα.

βαρύβρομος βαρύηχος. "καὶ πόντον βαρύβρομον" ⟨A Nub. 283⟩ διὰ τὸν τῶν κυμάτων ψόφον.

βαρυδαίμων ἀτυχής.

βαρυηχέος τοῦ μέγα ἠχοῦντος· οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες μέγαν ἦχον ἀπεργάζονται. Ἀριςοφάνης Νεφέλαις ⟨277⟩ "ἀπ' ὠκεανοῦ βαρυηχέος."

βαρύμηνις μνησίκακος.

βαρυνόμενος καταπονούμενος· Πολύβιος "ὁ δὲ ἐξαναςὰς προῆγε, τὰ μὲν ὑπὸ τῆς ἀρρωςίας τὰ δὲ ὑπὸ τῆς ἡλικίας βαρυνόμενος· εἶχε γὰρ ἑβδομηκοςὸν ἔτος."

βαρυπήμων ἄθλιος, βεβαρημένος, κακός.

βαρυπρεπής πολυτελής· "καὶ τὸ μέσον τῆς ἡμέρας εὐωχία περιεκέχυτο βαρυπρεπὴς τῷ Λέοντι, καὶ πρὸς ἑαυτὴν ἐκάλει."

βαρυσυμφορώτατος δυςυχής· "νομίζων ἑαυτὸν βαρυσυμφορώτατον γεγονέναι πάντων ἀνθρώπων." Herodot. 1 45?

βαρῶ αἰτιατικῇ.

βασάν αἰσχύνη. "εἶπε κύριος, ἐκ βασὰν ἐπιςρέψω" Δαβίδ φησι ⟨Ps. 67 23⟩.

βασανίζειν. οὐ τὸ αἰκίζεσθαι καὶ τιμωρεῖσθαι καὶ μαςιγοῦν σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων, ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου μεταφορικῶς· καὶ Πολύβιος "τότε νομίσας τὴν ἐκ πυρὸς ἔχειν βάσανον, ἀπελύθη τῆς ὑποψίας." καὶ βασανίσας ἀντὶ τοῦ δοκιμάσας. κέχρηνται ἅπαντες οἱ ἀξιόλογοι. ὁ δὲ Ἀριςοφάνης ⟨Ran. 628⟩ οὕτω· "βασάνιζε τουτονὶ λαβών· κἄν ποτέ μ' ἕλῃς ἀδικοῦντ', ἀπόκτεινόν μ' ἄγων. καὶ πῶς βασανίζω; πάντα τρόπον, ἐν κλίμακι δήσας, κρεμάσας, ὑςριχίδι μαςιγῶν, δέρων, ςρεβλῶν, ἔτι δ' εἰς τὰς ῥῖνας ὄξος ἐγχέων, πλίνθους ἐπιτιθείς, πάντα τἄλλα· πλὴν πράσῳ μὴ τύπτε τοῦτον, μηδὲ γητείῳ νέῳ," ἐπειδὴ οἱ ἐλεύθεροι πρὸ τέτων ἐδαίροντο πράσοις καὶ σκορόδοις. βασάνιζε αὐτὸν πανταχῶς, μὴ ἐν παιδιᾷ, μηδὲ ὡς τὰς ἐλευθέρους παῖδας τῷ ἐκκαυλήματι τῦ πράσου ἢ τοῦ γητείου, τουτέςιν ἀμπελοπράσου ἢ ὥς τινες πράσου φύλλῳ.

Βασανῖτις χώρα.

βάσανος λίθος ἐςὶν ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζυσα. οὕτως Ἀντιφῶν καὶ Πίνδαρος καὶ Σοφοκλῆς. Ὑπερίδης δὲ τὰ ἐν ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων καὶ ἀναγραφέντα βασάνους ὠνόμασε ⟨Harp.⟩. καὶ παροιμία "βάσανος λίθος" ἐπὶ τῶν ἐξεταζόντων ἐν λόγοις ἢ ἔργοις, παρ' ὅσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει.

βασιλεία τὸ ἀξίωμα, καὶ τὸ ἔθνος τὸ βασιλευόμενον, οἷον Περσῶν Ἰνδῶν Ἀράβων. βασιλεία ἐςὶν ἀνυπεύθυνος ἀρχή.

βασιλεία. "οὔτε φύσις οὔτε τὸ δίκαιον ἀποδιδοῦσι τοῖς ἀνθρώποις τὰς βασιλείας, ἀλλὰ τοῖς δυναμένοις ἡγεῖσθαι ςρατοπέδου καὶ χειρίζειν πράγματα νουνεχῶς, οἷος ἦν Φίλιππος καὶ οἱ διάδοχοι Ἀλεξάνδρου. τὸν γὰρ υἱὸν κατὰ φύσιν ὐδὲν ὠφέλησεν ἡ συγγένεια διὰ τὴν τῆς ψυχῆς ἀδυναμίαν. τοὺς δὲ μηδὲν προσήκοντας βασιλεῖς γενέσθαι σχεδὸν ἁπάσης τῆς οἰκουμένης."

βασιλεία. ὅτι ἡ βασιλεία κτῆμα τῶν κοινῶν, ἀλλ' οὐ τὰ δημόσια τῆς βασιλείας κτήματα. διὸ τὰς ἐξ ἀνάγκης καὶ μεθ' ὕβρεως εἰσπράξεις ὥσπερ τυραννικὰς ἀκολασίας μισεῖν δεῖ, τὰς δὲ σὺν λόγῳ καὶ φιλανθρωπίᾳ τῶν εἰσφορῶν ἀπαιτήσεις ὥσπερ κηδεμονίαν τιμᾶν.

βασιλείδης ὁ τοῦ βασιλέως ⟨Plato Critia p. 116⟩.

βασίλειοι παῖδες ἑξακισχίλιοι, οἵτινες κατὰ πρόςαξιν Ἀλεξάνδρου τοῦ Μακεδόνος τὰ πολέμια ἐξήσκουν ἐν Αἰγύπτῳ.

Βασίλειος Ἀγκυρανός, ἐπίσκοπος τῆς αὐτῆς πόλεως, ἰατρὸς τὴν τέχνην. οὗτος ἔγραψε κατὰ Μαρκέλλου, καὶ περὶ παρθενίας, καὶ ἕτερα οὐκ ὀλίγα ἄλλα. βασιλεύοντος Κωνςαντίου Μακεδονιανῆς θρησκείας ἅμα Εὐςαθίῳ Σεβαςηνῷ ἦρξε. Sophronius 89 p. 179 Fabr.

Βασίλειος ἕτερος, ἐπίσκοπος Εἰρηνουπόλεως τῆς Κιλικίας, ἐπὶ Ἀναςασίου βασιλέως, τὴν φρένα καὶ τὴν ἄσκησιν τῷ ὁμωνύμῳ Βασιλείῳ Καισαρείας ἐοικώς, ἔγραψε κατὰ Ἀρχελάου πρεσβυτέρου Κολωνείας.

c Βασίλειος Καισαρείας τῆς Καππαδοκῶν ἐπίσκοπος, ἥτις πρώην Μάζακα ἐκαλεῖτο, ἑταῖρος Γρηγορίου τοῦ Ναζιανζοῦ ἐπισκόπȣ. γέγονε δὲ γονέων περιφανῶν, Βασιλείου τε καὶ Ἐμμελείας, ὧν ἄνωθεν ἡ συγγένεια, ἀνὴρ ἐλλογιμώτατος καὶ πάσης παιδείας εἰς ἄκρον ἐληλακώς. οὗτος ἔγραψε πλεῖϛα, ἐν οἷς θαυμάζεται τὰ εἰς τὴν ἑξαήμερον. καὶ κατ' Εὐνομίου δὲ ἐξαιρέτους συνέταξε λόγους, καὶ περὶ τοῦ ἁγίου πνεύματος τεῦχος, καὶ τὰς εἰς τὴν ἑξαήμερον ὁμιλίας ἐννέα, ἕτερον τεῦχος ἀσκητικόν, περὶ παρθενίας ἄλλο, ἔπαινον εἰς τοὺς μ' μάρτυρας, ἕτερον εἰς Γόρδιον, ἄλλον εἰς Βαρλαάμ, ἕτερον εἰς Ἰȣλίτταν. εἰς διαφόρους ψαλμοὺς ἠθικοὶ λόγοι διάφοροι. ἐπιϛολαί, ὧν οὐδὲν ἄμεινον, πρός τε τὸν σοφιϛὴν Λιβάνιον καὶ πρὸς τὸν φίλον Γρηγόριον καὶ εἰς ἄλλους πλείονας ⟨cf. v. Ἀπολινάριος⟩. τελευτᾷ δὲ Βασίλειος Γρατιανοῦ τὰ Ῥωμαίων σκῆπτρα διέποντος.

ὅτι ὁ μέγας Βασίλειος ἀδελφοὺς εἶχε δ', τόν τε Γρηγόριον τὸν Νύσσης ἐπίσκοπον, καὶ Πέτρον καὶ αὐτὸν ἐπίσκοπον, καὶ ἑτέρους δύο μονάσαντας.

d Βασίλειος. τὰ διὰ τοῦ ιος ὀνοματικὰ διὰ τοῦ ι γράφονται, πλὴν δ', Ἄρειος Ἡράκλειος Βασίλειος.

βασίλειος ϛοά. δύο εἰσὶ ϛοαὶ παρ' ἀλλήλας, ἥ τε τοῦ ἐλευθερίου Διὸς καὶ ἡ βασίλειος. ἔϛι δὲ καὶ τρίτη, ἣ πάλαι μὲν Πεισιανάκτειος ἐκαλεῖτο, νῦν δὲ μετωνομάσθη ποικίλη. Harp.

βασιλειῶντα κτείνει ⟨Ioseph. B. I. 1 4⟩ ἐπιθυμοῦντα βασιλεῦσαι.

βασιλεὺς μέγας ὁ τῶν Περσῶν· τοῖς δὲ ἄλλοις προσετίθεσαν καὶ τῶν ἀρχομένων τὰ ὀνόματα, οἷον Λακεδαιμονίων Μακεδόνων. διαφέρει βασιλεὺς τυράννου· βασιλεὺς μὲν γὰρ ὁ ἀπὸ προγόνων κατὰ διαδοχὴν τὴν ἀρχὴν ἐπὶ ῥητοῖς λαβὼν γέρασι, τύραννος δὲ ὃς βιαίως τὴν ἀρχὴν σφετερίζεται. χρῶνται δὲ ἀδιαφόρως ἑκατέροις ὀνόμασιν· Ἱέρωνα γὰρ βασιλέα Πίνδαρος καλεῖ τύραννον ὄντα, καὶ Διονύσιον, καὶ Εὔπολις Πεισίϛρατον βασιλέα καλεῖ, καὶ τοὺς βασιλεῖς τυράννους. sch. A Ach. 61.

βασιλήιος.

βασιλική. ὅτι ἐν τῇ βασιλικῇ ὀπίσω τȣ͂ μιλίου ἵϛατο ἀνδρείκελον ἄγαλμα χρυσέμβαφον, ἔνθα ἦν καὶ τὸ ἔξαμον ἕως Ἡρακλείȣ τοῦ βασιλέως, γονυκλινὲς Ἰουϛίνου τοῦ τυράννου. ἐκεῖ ὁ Τέρβελις ἐδημηγόρησεν· ἐν οἷς ἐλέφας ἵϛατο παμμεγέθης, ὑπὸ Σεβήρου κατεσκευασμένος. ἔνθα ἦν καὶ σχολὴ φυλαττόντων τὴν πόλιν. ἔμενε δὲ ἐκεῖσε ἀργυροκόπος ἐν πλασοῖς ζυγοῖς τὴν πρᾶσιν ποιούμενος, καὶ τοῦ οἰκήματος αὐτοῦ πορθουμένου ἠπείλει τῷ τὸν ἐλέφαντα φυλάττοντι θάνατον, εἰ μὴ τοῦτον κρατήσειεν. ὁ δὲ θηροκόμος οὐκ ἐνεδίδου· ὃν φονεύσας ὁ ζυγοπλάϛης δέδωκε βορὰν τῷ ἐλέφαντι. τὸ δὲ θηρίον ἀτίθασον ὂν καὶ αὐτὸν ἀνεῖλε. καὶ ὁ Σεβῆρος ἀκούσας τῷ θηρίῳ θυσίαν ἤνεγκεν. ἐν αὐτῷ δὲ τῷ τόπῳ παρευθὺ ἀνετυπώθησαν τό τε θηρίον καὶ ὁ θηροκόμος. ἔνθα καὶ Ἡρακλῆς ἐλατρεύθη, πολλὰς θυσίας δεξάμενος, ὃς ἐν τῷ ἱπποδρομίῳ μετετέθη. ἐπὶ δὲ Ἰουλιανοῦ ὑπατικοῦ ἀπὸ Ῥώμης ἦλθεν εἰς τὸ Βυζάντιον, καὶ εἰσήχθη ἐν ἀπήνῃ καὶ νηὶ καὶ ϛῆλαι δέκα. Codinus orig. CP p. 22.

βασιλικὴ διαδρομή. ἡ γινομένη τοῦ βασιλέως παρόντος διαδρομή (ἔϛι δὲ οὗτος εἷς τῶν Ἀθήνησιν ἐννέα ἀρχόντων) βασιλικὴ διαδρομὴ καλεῖται.

Βασιλικὸς σοφιϛὴς περὶ τῶν διὰ τῶν λέξεων σχημάτων, περὶ ῥητορικῆς παρασκευῆς ἤτοι περὶ ἀσκήσεως, περὶ μεταποιήσεως, καὶ ἄλλα τινά.

βασιλίνδα τὴν βασιλείαν ⟨an βασιλίδα τὴν βασίλειαν cum sch. S Ant. 941⟩.

βασιλὶς ἡ τοῦ βασιλέως γυνή, ὡς καὶ βαλανὶς ἡ τοῦ βαλανέως.

Βασιλίσκος, Βηρίνης ἀδελφὸς τῆς βα- a
σιλίδος, ἐπὶ Λέοντος τοῦ βασιλέως ἀντὶ Ῥȣσικίου ϛρατοπεδάρχου ᾑρέθη, εὐεπίτευκτος μὲν ὢν ἐν μάχαις, βραδύνους δὲ καὶ φεναχίζουσιν ὑπαγόμενος ῥᾳδίως. Malchus p. 274.

Βασιλίσκος. ὅτι Βασιλίσκος ὁ Ῥω- b
μαίων τῶν ἑῴων βασιλεὺς τῶν ἐκκλησιῶν τοὺς ἐπισκόπους εἰσέπραττε χρήματα, καὶ Ἀκάκιον τὸν Κωνϛαντινουπόλεως ἐπίσκοπον μικροῦ δεῖν ἀπώσατο, εἰ μὴ τῷ πλήθει τῶν λεγομένων μοναχῶν ἀπεκρούσθη. πολύς τε ἦν πρὸς ἐπιθυμίαν χρημάτων, ὡς μηδὲ αὐτῶν τῶν τὰς εὐτελεῖς καὶ βαναύσους μετιόντων ἐπιϛήμας ἀπέχεσθαι. καὶ ἦν ἅπαντα μεϛὰ δακρύων τῇ τῶν τοιούτων εἰσφορῶν εἰσπράξει. καὶ ἔϛιν ἐν τῷ Ἀρμάτος.

βάσιμος πορευτική, εὐεπίβατος. καὶ βάσιμοι τόποι οἱ πορεύσιμοι.

βάσις βάδισις· (S Ai. 8) "κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις."

βασκαίνει ἀντὶ τοῦ αἰτιᾶται καὶ μέμφεται καὶ συκοφαντεῖ. οὕτω Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (189). καὶ ἐν τοῖς ἑξῆς (108) "βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες οὐδέν ἐςι πολίτευμα ἐμόν" φησίν, ἀντὶ τοῦ φιλαίτιον καὶ συκοφαντικόν.

βασκανία καὶ *βάσκανος*. ὅτι τὸ βάσκανος ἁπλῶς ἐπὶ λοιδορίας τιθέασιν· (A Plut. 571) "οὐ ψεύδει καίπερ σφόδρα βάσκανος οὖσα."

βασμοί βαθμοί.

βασσαρικὰ ἤτοι διονυσιακὰ ἔγραψε Σωτήριχος, γεγονὼς ἐπὶ Διοκλητιανοῦ. καὶ *βασσαρικοῦ*· ἐν ἐπιγράμματι (AP 6 165) "ςρεπτὸν βασσαρικοῦ ῥόμβον θιάσοιο μύωπα," τουτέςι πορνικοῦ.

βασσαρίς ἑταίρα, πόρνη· ἐν ἐπιγράμματι (AP 6 74) "βασσαρὶς Εὐρυνόμη σκοπελοδρόμος, ἥ ποτε ταύρων πολλὰ τανυκραίρων ςέρνα χαραξαμένη."

βάσσαρος ἀλώπηξ κατὰ Ἡρόδοτον (4 192).

Βάσσος Κορίνθιος. Ἀπολλώνιος πρὸς τοῦτον διηνέχθη· πατραλοίας μὲν γὰρ ἦτος ἐδόκει καὶ ἐπεπίςευτο, σοφίαν δὲ ἑαυτῷ κατεψεύδετο, καὶ χαλινὸς οὐκ ἦν ἐπὶ τῇ γλώττῃ. λοιδορούμενον δὲ αὐτὸν ἐπέσχεν ὁ Ἀπολλώνιος οἷς τε ἐπέςειλεν οἷς τε διελέχθη κατ' αὐτοῦ. πᾶν γὰρ ὅπερ ὡς ἐς πατραλοίαν ἔλεγεν, ἀληθὲς ἐδόκει· μὴ γὰρ ἄν ποτε τοιόνδε ἄνδρα ἐς λοιδορίαν ἐκπεσεῖν, μηδὲ ἂν εἰπεῖν τὸ μὴ ὄν. Philostrat. V. A. 4 26.

βαςάζω αἰτιατικῇ. "ὁ δὲ Κρὴς ὑπάρχων καὶ φύσει ποικίλος πᾶν ἐβάςαζε πρᾶγμα καὶ πᾶσαν ἐπίνοιαν ἐψηλάφα," ἀντὶ τοῦ διεσκέπτετο.

βαςάσας ἀντὶ τοῦ δοκιμάσας· Εὔπολις "ἄγε δή, πότερα βούλεσθε τὴν νῦν διάθεσιν ᾠδῆς ἀκούειν ἢ τὸν ἀρχαῖον τρόπον; ἀμφότερ' ἐρεῖς, ἐγὼ δ' ἀκούσας τὸν τρόπον ὃν ἂν δοκῇ μοι βαςάσας αἱρήσομαι." "πᾶν τὸ συμβησόμενον ἐπὶ λόγον ἄγων καὶ βαςάζων" ἀντὶ τοῦ δοκιμάζων. καὶ *βάςαγμα*· (Polyb. 36 4) "δῆλον ἐγένετο διότι μέγα τὸ βάςαγμα τῆς πόλεως ἦν· πλείονα γὰρ κ' μυριάδων ὅπλα παρέδωκαν Ῥωμαίοις καὶ καταπέλτας β'." καὶ *βαςάσαι* οὐ τὸ ἆραι δηλοῖ παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ ψηλαφῆσαι καὶ διασηκῶσαι καὶ διασκέψασθαι τῇ χειρὶ τὴν ὁλκήν.

βαςαχθείη ἀρθείη, κλαπείη. (Diog. L. 4 59) "ὁ δὲ Λακύδης σφραγισάμενος διὰ τῆς ὀπῆς τὸν δακτύλιον ἐρρίπτει, ὡς μηδέποτε αὐτοῦ περιαιρεθείη καί τι βαςαχθείη τῶν ἀποκειμένων."

βατὰ βάσιμα· Ἀρριανός (4 21 5) "πάντα δὲ τῷ Ἀλεξάνδρῳ βατά τε καὶ ἐξαιρετέα εἶναι ἐδόκει."

Βάτα Κάρας, ἐπὶ τῶν παχέων καὶ δυνατῶν. κατὰ διαςολὴν δὲ ἀναγνωςέον.

βάταλος βδελυρός, αἰσχρός.

Βάταλος. οὕτως ἐκλήθη ὁ Δημοσθένης νέος ὤν, ὡς γυναικώδης· γηράσας δὲ Ἀργάς, ἀπὸ ὄφεως οὕτω καλουμένου. Aeschin. 2 99.

Βαταναία χώρα.

βατήρ ἡ ἀρχὴ τῶ τῶν πεντάθλων σκάμματος. "αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου," φησί τις, οἷον τὸ ἐπικαιρότατον καὶ τὸ πρῶτον. Aelius Dionys. ap. Eustath. α p. 1404.

βατίς εἶδος ἰχθύος, καὶ *βατιδοσκόποι* οἱ ὀψοφάγοι.

βατὸς ὁ βάσιμος τόπος.

βατράχειον εἶδος χρώματος. ἀπὸ τέτε καὶ *βατραχίς* ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα. καὶ *βατραχίς* εἶδος ἐσθῆτος ἀνθίνης, ὅμοιον τῷ ὀνόματι ἐχέσης τὸ χρῶμα. καὶ *βατράχειος μοῖρα*.

βάτραχος ἐκ Σερίφου, ἐπὶ τῶν ἀφώνων, παρ' ὅσον οἱ ἐν Σερίφῳ βάτραχοι κομισθέντες εἰς Σκῦρον οὐκ ἐφθέγγοντο.

βατράχῳ ὕδωρ, ὡς γαλῇ ςέαρ, ἐπὶ τῶν ταῦτα διδόντων οἷς χαίρουσιν οἱ λαμβάνοντες. καὶ *βατράχοις οἰνοχοεῖς*, ἐπὶ τῶν ταῦτα παρεχόντων ὧν οὐ χρήζουσιν οἱ λαμβάνοντες.

βατταρισμοί φλυαρίαι.

βαττολογία ἡ πολυλογία, ἀπὸ Βάττου τινὸς μακροὺς καὶ πολυςίχους ὕμνους ποιήσαντος ταυτολογίας ἔχοντας.

Βάττος ὄνομα κύριον, ἰσχνόφωνος καὶ τραυλός. πόλις ἦν Κρητικὴ Ὀαξός, ἐν τῇ Ἐτέαρχος βασιλεύς, ὃς ἐπὶ θυγατρὶ ἀμήτορι, τῇ οὔνομα ἦν Φρονίμη, ... παρέχουσά τε κακὰ καὶ πᾶν ἐπ' αὐτῇ μηχανωμένη, καὶ τέλος μαχλοσύνην ἐπενεγκοῦσά οἱ πείθει τὸν ἄνδρα ταῦτα ἔχειν οὕτως. ὁ δὲ ἀναγνωσθεὶς

ὑπὸ τῆς γυναικὸς ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηραῖος ἔμπορος ἐν τῇ Ὀαξῷ· τοῦτον ὁ Ἐτέαρχος παραλαβὼν ἐπὶ ξεινίᾳ ἐξορκοῖ ἦ μέν οἱ διηκονήσειν ὅ τι ἂν δεηθείη. ἐπεί τε δὴ ἐξώρκωσεν, ἀγαγών οἱ παραδιδοῖ τὴν ἑαυτοῦ θυγατέρα, καὶ ταύτην ἐκέλευε καταποντῶσαι ἀπαγαγόντα. ὁ δὲ Θεμίσων περιημεκτήσας ἐν τῷ πελάγει, καὶ ἀφοσιούμενος τὴν ἐξόρκωσιν τοῦ Ἐτεάρχου, σχοινίοις αὐτὴν διαδήσας καθῆκεν εἰς τὸ πέλαγος, ἀνασπάσας δὲ ἀφίκετο ἐς τὴν Θήραν. ἐντεῦθεν δὲ τὴν Φρονίμην παραλαβὼν Πολύμνηστος, ἐὼν τῶν Θηραίων ἀνὴρ δόκιμος, ἐπαλλακεύετο. χρόνου δὲ περιιόντος ἐξεγένετό οἱ παῖς ἰσχνόφωνος καὶ τραυλός, τῷ ὄνομα ἐτέθη Βάττος. Herodot. 4 154.

a Βάττου σίλφιον, ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον, καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν. οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου.

Βάττου σίλφιον. Ἀριςοφάνης Πλούτῳ ⟨926⟩ "οὐδ' ἂν δοίης γέ μοι καὶ τὸ Βάττου σίλφιον," τὸ ἐν τῇ Λιβύῃ, ὃ θεραπεύει πολλά. εὔοσμόν ἐςι καὶ πολύτιμον. Βάττος γὰρ τὴν Κυρήνην κτίζει.

Βάτων κωμικός. δράματα αὐτοῦ Συνεξαπατῶν Ἀνδροφόνος Εὐεργέται.

βαΰζων ὑλακτῶν· Ἀριςοφάνης ⟨Th. 180⟩ "βαΰζων καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν," ἀντὶ τοῦ ἤμην.

βαυκαλᾶν τιθηνεῖσθαι μετ' ᾠδῆς τὰ παιδία.

βαῦνος κάμινος. ἐξ οὗ καὶ βάναυσοι οἱ διὰ πυρὸς ἐργαζόμενοι τεχνῖται.

βάψας τὴν κώπην, πλεύσας, ἐλθών, πρὸς τοὺς ναυτοδίκας, οἳ τὰς τῆς ξενίας ἐδίκαζον. ἢ ἀπὸ τῶν φαρμακοποιούντων· λέγουσι γὰρ τὸ βάψας ποιήσω μέλαν. Harp. cf. v. ναυτοδίκαι.

βδέλλα. ὁ Σολομών φησι ⟨Prov. 30 15⟩ "τῇ βδέλλῃ ἦσαν τρεῖς θυγατέρες ἀγαπήσει ἀγαπώμεναι, καὶ αἱ τρεῖς αὗται οὐκ ἐνεπίμπλαντο, καὶ ἡ τετάρτη οὐκ ἠρκέσθη εἰπεῖν ἱκανή." βδέλλα ἡ ἁμαρτία, θυγάτηρ αὐτῆς πορνεία φθόνος εἰδωλολατρία, αἳ οὐκ ἐμπίπλανται διὰ τῶν ἀτόπων πράξεων. ἡ τετάρτη ἡ πονηρὰ ἐπιθυμία.

βδέλλεται ἀμέλγει. Πλάτων εἰς τὸν Θεαίτητον βδάλλεται ⟨p. 174 D⟩ λέγει.

βδέλυγμα. πᾶν εἴδωλον καὶ πᾶν ἐκτύπωμα ἀνθρώπου οὕτως ἐκαλεῖτο παρὰ Ἰουδαίοις.

βδέλυγμα ἐρημώσεως τὸν Ἀδριανοῦ a τοῦ βασιλέως ἀνδριάντα. ὁ γὰρ Ἀδριανὸς καθεῖλε τὴν πόλιν ἄρδην. μετὰ γὰρ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν, ἐπὶ Ἀδριανοῦ ςυςάντες οἱ Ἰουδαῖοι ἐσπούδαζον ἐπὶ τὴν προτέραν ἐπανελθεῖν πολιτείαν. ςασιάσαντες οὖν εἰς παντελῆ ἐρήμωσιν ἑαυτοὺς κατέςησαν. καὶ τὸ ἑαυτοῦ ὄνομα ἐπέθηκε τοῖς λειψάνοις τῆς πόλεως, Αἰλίαν αὐτὴν προσαγορεύσας· Αἴλιος γὰρ Ἀδριανὸς ἐκαλεῖτο. Io. Chrysost. t. 1 p. 434.

βδέλυγμα ἐρημώσεως σημεῖον τῆς b ἐρημώσεως. ἦσαν δὲ εἰκόνες τινὲς ἀπηγορευμέναι τῷ νόμῳ, εἰς τοῦτον εἰσκομιζόμεναι. ὃ δὴ Πιλᾶτος πεποίηκε, νύκτωρ ἐς τὸν ναὸν τοῦ βασιλέως εἰκόνα εἰσαγαγών.

βδέλυγμα ἐρημώσεως. ὅτι Ἀντίοχος c ὁ ἐπιφανής, υἱὸς Σελεύκου τοῦ φιλοπάτορος, ἀνὴρ ὑπάρχων δεινὸς καὶ πλεονέκτης, παραλαβὼν τὴν πόλιν δοριάλωτον ἀνεῖλε μυριάδας ιη. κατατολμήσας οὖν καὶ εἰς τὸ ἁγίασμα εἰσελθὼν ἐν ὑπερηφανίᾳ πολλῇ, καὶ ςήσας βωμὸν καὶ εἴδωλον βδέλυγμα ἐρημώσεως, καὶ τὸν ναὸν μιάνας δι' ἀκαθάρτων θυσιῶν, ἱερὸν Διὸς Ὀλυμπίου προσηγόρευσεν, καὶ τοὺς μὴ ἀπογευομένους τῶν χοιρείων κρεῶν ἀνῄρει. ἐφ' οὗ καὶ οἱ ἅγιοι Μακκαβαῖοι ἀνῃρέθησαν. οἱ δὲ λέγουσιν Ἀδριανὸν ςῆσαι τὸν ἀνδριάντα. cf. v. Ἀντίοχος.

βδελυγμία. ὁ Χρυσόςομος ἐχρήσατο τῇ λέξει ταύτῃ ἐν τῇ κατὰ Ἰωάννην ἑρμηνείᾳ τοῦ εὐαγγελίου.

βδελυρός αἰσχροποιός. Αἰλιανός "καὶ ἥ γε πασῶν βδελυρωτέρα καὶ τὸν παναγέςατον παρθενῶνα τῶν ἑαυτῆς ἐνέπλησε κακῶν." καὶ βδελυρία ἡ ἀκολασία.

βδελύττεσθαι μυσάττεσθαι, ναυτιᾶν, ἀποςρέφεσθαι. Ἀπολλόδωρος Κυρηναῖος μισεῖν. ἀπὸ τούτου καὶ ἡ βδελυγμία ἐπὶ τοῦ μύσους, καὶ ἡ βδελυρία. καὶ ⟨A Av. 150⟩ "βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου." cf. v. Λέπρεος.

βδέννυσθαι ἐκκενοῦσθαι τὴν κοιλίαν σημαίνει, οὐ τὸ πέρδεσθαι. ὃ καὶ ἐπιχωριάζει μέχρι τοῦ νῦν· βδέει γὰρ λέγομεν.

βδύλλει καταπέπληγε, βδελύττεται, μισεῖ. ⟨A Eq. 224⟩ "ὅ τε πένης βδύλλει λεώς."

βδύλλετε εὐτελίζετε, φοβεῖσθε καὶ τρέμετε· Ἀριστοφάνης ⟨Lys. 354⟩ "τί βδύλλεθ' ἡμᾶς; οὔτι που πολλαὶ δοκοῦμεν εἶναι; καὶ μὴν μέρος γ' ἡμῶν ὁρᾶτ' οὔπω τὸ μυριοστόν."

βεβαιῶ αἰτιατικῇ.

βεβαιώσεως δίκης ἐστὶν ὄνομα, ἣν δικάζονται οἱ ὠνησάμενοί τι.

βεβαλανωμένον ἀντὶ τοῦ κατεχόμενον ὑπὸ τῆς κόπρου· Ἀριστοφάνης ⟨Eccl. 390⟩ "μή με περιίδης διαρραγέντα μηδὲ βεβαλανωμένον."

βέβηκεν ἕστηκεν, ἐπέπηκτο.

βεβηκός ἀσφαλές.

βέβηλος τόπος ὁ βατὸς πᾶσι καὶ ἀκάθαρτος, καὶ βέβηλος ἀνήρ ὁ ἀμύητος καὶ μιαρός· Εὐριπίδης ⟨Protesil. 1⟩ "οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων," καὶ "ἀείδω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι." καὶ βεβηλοῦνται μιαίνονται.

βέβριθε ⟨Hom. Π 384⟩ βαρύνεται.

βεβριθυῖα ⟨Hom. Φ 385⟩ βαρεῖα, ἰσχυρά.

βέβρυχεν ⟨Hom. Ρ 264⟩ ἠχεῖ.

βεβυσμένα λαθραῖα, ἢ πεπληρωμένα, καὶ βεβυσμένον πεπληρωμένον, κεκαλυμμένον· Ἀριστοφάνης ⟨Ach. 462⟩ "δός μοι χυτρίδιον σπογγίῳ βεβυσμένον." ἢ ὅτι χύτραν ἔφερον ἐν ᾗ ἦν σπόγγος πεπληρωμένος μέλιτος, ἣν ἐτίθεσαν ἐν τῷ στόματι τῶν παίδων διὰ τὸ ἐκμυζᾶν· ἢ ὅτι οἱ πένητες τὰ τρήματα τῆς χύτρας σφηνοῦσι σπόγγοις. ἢ τετρημένον πανταχοῦ.

βέβυσο ἐπεπλήρωσο· "βέβυσο δὲ πᾶσα χόλοιο."

Βεελφεγώρ. Βέελ ὁ Κρόνος, Φεγώρ ὁ τόπος ἐν ᾧ ἐτιμᾶτο. Theodoret. in Ps. 105 28.

βείδιος ὁ ἔνδοξος.

βειέλοπες οἱ λῶροι.

a βεκκεσέληνε ἤτοι ἀπόπληκτε καὶ σεληνόπληκτε· ἢ τὰ δύο σύγκειται ὡς ἕν, τὸ βέκκος καὶ ἡ σελήνη. ἀρχαῖα δὲ ἀμφότερα. ἢ ὅτι τὸν ἄρτον βέκκος ἐκάλουν οἱ Φρύγες, διεβάλλοντο δὲ ὡς ἀνόητοι. ἀπὸ οὖν τῆς διαλέκτου σκώπτει αὐτούς. ἡ δὲ περὶ τοῦ βέκκε ἱστορία, ἥ ἐστι φωνὴ Φρυγῶν σημαίνουσα τὸν ἄρτον, παρὰ Ἡροδότου φανερά ἐστιν ἐν δευτέρᾳ ⟨2⟩.

b βεκκεσέληνε ἀρχαῖε, τουτέστιν ἀνοητότατε. παρῆκται δὲ ἀπὸ τοῦ προσέληνε· τοὺς γὰρ Ἀρκάδας ἀρχαιοτάτους καὶ πρὸ τῆς σελήνης φάσκοντας γεγονέναι προσελήνους ἐκάλουν. βεκκεσέληνε οὖν ὡς προσέληνε. ἔχεται δὲ καὶ αὐτὸ καθ' αὑτὸ τὸ βεκκεσέληνε ἱστορίας τοιαύτης. Ψαμμήτιχος Αἰγυπτίων βασιλεύσας ἠθέλησε γνῶναι τίνες πάντων ἀνθρώπων πρεσβύτεροι καὶ πρῶτοι γένοιντο. ὡς δὲ πάνυ πολυπραγμονῶν οὐχ οἷός τε ἦν ἀνευρεῖν τὸ ἀκριβὲς διὰ τὸ πολλοὺς περὶ τούτου φιλονεικεῖν, μηχανᾶταί τι τοιοῦτο. λαβὼν οὖν ἀρτίτοκα δύο παιδία εἰς οἴκημα κατέκλεισεν ἀνακεχωρηκὸς παντάπασι· καὶ οἱ μὲν λέγουσιν ὡς αἶγας ὑπέπεμπεν αὐτοῖς, ἃς θηλάζοντα ἐτρέφετο τὰ παιδία, οἱ δὲ ὡς τροφοὺς παρέστησε τὰς γλώσσας αὐτῶν ἐκτεμών, ὥστε τῆς φωνῆς αὐτῶν μὴ ἀκούειν τὰ παιδία. ταῦτα δὲ ὁ Ψαμμήτιχος ἐποίει βουλόμενος εἰδέναι τίνα ποτὲ τὰ παιδία πρώτην προήσουσι φωνήν, ἀπαλλαγέντα τῶν ἀσήμων κνυζημάτων. ὡς οὖν τριετὴς αὐτοῖς ἐγεγόνει χρόνος τῆς τοιαύτης τροφῆς, εἰσέπεμψεν εἰς τὸν οἶκον τινὰ τῶν φιλτάτων, ἐντειλάμενος σιωπῇ παρελθεῖν. τοῦ δὲ ἀνεώξαντος τὰς θύρας, ὀρέγοντα τὰς χεῖρας τὰ παιδία βέκκος ἐκάλουν. Φρύγας δὲ τὸν ἄρτον οὕτω καλεῖν. καὶ οὕτω μὲν Ψαμμήτιχον εὑρεῖν τε καὶ πιστεῦσαι γεγονέναι πρώτους Φρύγας. εἰ δὲ ὁ πρῶτος λόγος ἀληθής, ὅτι ἐξέθρεψαν τὰ παιδία αἱ αἶγες καὶ οὐ γυνή, θαυμαστὸν οὐδὲν κατακούοντα τῆς αἰγὸς μιμήσασθαι τὴν ἐκείνης φωνήν, συμπεσεῖν δὲ καὶ παρὰ Φρυξὶ τὸ τοιοῦτον ῥῆμα. οὕτως οὖν καὶ τὸ βεκκεσέληνε τὸ ἀρχαῖον δηλοῖ, συγκειμένης τῆς λέξεως ἐκ τοῦ βέκκος διὰ τὴν εἰρημένην ἱστορίαν καὶ τοῦ προσέληνε διὰ τὸ τοὺς Ἀρκάδας προσελήνους καλεῖσθαι. sch. A Nub. 397.

βέλεμνα βέλη.

Βελεστίχη.

Βελισάριος ὁ στρατηγὸς ἦν μὲν τὸ σῶμα καλός τε καὶ μέγας, καὶ εὐπρόσωπος πάντων μάλιστα, οὕτω δὲ πρᾶόν τε καὶ εὐπρόσοδον παρεῖχεν ἑαυτὸν τοῖς ἐντυγχάνουσιν ὥστε ἀνθρώπῳ πένητί τε λίαν καὶ ἀδόξῳ ἐμφερῆ εἶναι. ἔρως δὲ αὐτοῦ τῆς ἀρχῆς πρός τε στρατιωτῶν ἀεὶ καὶ ἀγροίκων ἄμαχός τις ἐγένετο, ὅτι δὴ ἐς μὲν τοὺς στρατιώτας φιλοδωρότατος ἐγεγόνει ἀνθρώπων ἁπάντων· τῶν τε γὰρ ἐν ξυμβολῇ ἠτυχηκότων χρήμασι μεγάλοις παρεμυθεῖτο τὰ τραύματα, καὶ τοῖς εὐδοκιμήσασι ψέλιά τε καὶ στρεπτοὺς ἆθλα παρεῖ-

χετο, ἵππου δὲ ἢ τόξου ἢ ἄλλου ὁτουῦν στρατιώτη ἐν τῇ μάχῃ ἀπολωλότος ἕτερον ἀντ' αὐτοῦ πρὸς Βελισαρίου αὐτίκα ὑπῆρχεν· ἐς δὲ τοὺς ἀγροίκους ὅτι δὴ τοσαύτῃ φειδοῖ τε καὶ προνοίᾳ ἐχρῆτο ὥστε βιασθῆναι μὲν αὐτοὺς οὐδὲν πώποτε στρατηγοῦντος Βελισαρίου τετύχηκεν, ... ἀπεδίδοντο γὰρ αὐτοῖς κατὰ γνώμην τὰ ὤνια πάντα. καὶ ἡνίκα ἀκμάζοι τὰ λήια, εἰς τὸ ἀκριβὲς διεφύλασσε μή τινι παριοῦσα ἡ ἵππος λυμήνηται, τῶν δὲ ὡραίων ἐν τοῖς δένδροις ὄντων ἅψασθαι αὐτῶν οὐδενὶ τὸ παράπαν ἐξῆν. ἦν δὲ καὶ σώφρων καὶ λίαν ἐνάρετος. Procop. Goth. 3 1.

βελονοπώλης. οὗτος παράσιτος ἦν, ὥς φησιν Ἀριστοφάνης (Plut. 175).

βέλος καὶ τὸ τραῦμα, ὁμωνύμως τῷ τιτρώσκοντι, παρ' Ὁμήρῳ (Θ 513).

βέμβηξ ὁ ξύλινος στρόμβος. (AP 7 89) "οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβηκας ἔχοντες ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ." Ἀριστοφάνης (Av. 1461) "βέμβηκος οὐδὲν διαφέρειν δεῖ," ἀντὶ τοῦ εὐκίνητον καὶ εὔστροφον εἶναι δεῖ. ἔστι δὲ βέμβηξ ἐργαλεῖον ὃ μάστιγι στρέφουσιν οἱ παῖδες, ἢ παίγνιον τῶν παίδων ὡς τροχός, ὃς μάστιγι διωκόμενος στρέφεται. καὶ βεμβηκιᾶν τὸ περιστρέφεσθαι. καὶ βεμβηκίζωσιν· Ἀριστοφάνης (Vesp. 1508) "ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβηκίζωσιν ἑαυτούς."

Βενεβεντός ὄνομα πόλεως Καλαβρίας, ἣν κτίζει Διομήδης· εἰς γὰρ τὸν ἀπόπλουν καταχθεὶς εἰς τὰ ἴδια οὐκ ἐδέχθη, ἀλλὰ διωχθεὶς ἀπῆλθεν εἰς Καλαβρίαν, καὶ κτίζει πόλιν, ἣν ἐκάλεσεν Ἀργυρίππην, τὴν μετονομασθεῖσαν Βενεβεντόν.

Βενετιανός ὄνομα κύριον.

Βενιαμίν. ἐπὶ Σαμψὼν κρίνοντος τὸν Ἰσραήλ, διὰ τὴν παράνομον μῖξιν τοῦ Βενιαμὶν π' καὶ ζ' κατηναλώθησαν χιλιάδες. ζήτει ἐν τῷ Σαμψών.

βέρεθρον βάθος· (AP 7 70) "νῦν πλέον ἢ τὸ πάροιθε πύλας κρατεροῖο βερέθρου ὄμμασιν ἀγρύπνοις τρισσὲ φύλασσε κύον."

βερέσχεθοι οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις παρὰ Ἀριστοφάνει (Eq. 632).

Βεροιαίοις.

Βεσπασιανός βασιλεὺς Ῥωμαίων οὕτως ἦν ἤπιος καὶ προσηνὴς ὡς μηδὲ τὰς εἰς αὐτόν τε καὶ τὴν βασιλείαν γινομένας ἁμαρτίας πέρα τιμωρεῖσθαι φυγῆς. τάς τε γὰρ ἀπεχθείας καὶ τὰ προσκρούματα τῆς διανοίας ταχέως ἀπεσείετο, καὶ σκώμματα ῥητόρων, ὑφ' ὧν ἠφίετο, καὶ δήμων ἐς αὐτὸν ἀπορριπτούμενα κούφως τε καὶ γαληνῶς ἔφερεν. ἔς τε τὰς ἐντεύξεις κοινὸς καὶ δημοτικὸς ὢν ἀπεσχήνου μὲν ἐς τὰ πολλὰ τῶν βασιλείων. Io. Antioch. exc. Peir. p. 817.

οὗτος τοῖς ἀρίστοις τῶν πώποτε βασιλέων παραβάλλεσθαι ἄξιος ἦν, ὅς γε καὶ τὸν ἰδιώτην ἑαυτοῦ βίον ἐπίδοξον πολλοῖς τε καὶ μεγάλοις ἀπετέλεσε κατορθώμασι· Κλαυδίῳ γὰρ τῷ βασιλεῖ στρατηγῶν ἐπὶ Γερμανοὺς καὶ Βρετανούς λ' καρτερὰς μάχας πρὸς τοὺς πολεμίους ἀντιπαρεστήσατο. εἰς δὲ τὴν ἡγεμονίαν παρελθὼν μετρίως τε καὶ σωφρόνως τὴν ἀρχὴν διῴκητο, ἐπιθυμητικῶς μὲν δοκῶν ἔχειν χρημάτων, οὐ μὴν ὥστε παρὰ δίκην ἀφαιρεῖσθαί τινα τῶν οἰκείων. καὶ τὸν πλοῦτον οὐκ ἐς τὰς ἡδονὰς ἀλλ' ἐς τὰς δημοσίας χρείας ἐποιεῖτο. οὐκ ἂν εὕροι τις ἂν ἕτερον πρὸ τοῦδε βασιλέα οὔτε δαψιλέστερον οὔτε πρὸς τὸ ἴσον τε καὶ δίκαιον ἐξητασμένον τὴν πρὸς τὰς δωρεὰς ἐλευθεριότητα. Eutropius.

βεστιάριον παρὰ Ῥωμαίοις τόπος ἔνθα ἡ ἀναγκαία ἀπόκειται ἐσθής.

βῆ τὸ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς, οὐχὶ βαὶ λέγουσιν Ἀττικοί. Κρατῖνος Διονυσαλεξάνδρῳ "ὁ δ' ἠλίθιος ὥσπερ πρόβατον βῆ βῆ λέγων βαδίζει."

βῆ δὲ ἐπορεύθη δέ.

Βηθανία πόλις Παλαιστίνης. ὃ δὲ λέγει ὁ εὐαγγελιστὴς Ἰωάννης (1 28), ὅτι ταῦτα ἐν Βηθανίᾳ ἐγένετο, ἐσφαλμένως γέγραπται· ἡ γὰρ Βηθανία ἔνθεν ἐστὶ τοῦ Ἰορδάνου, ἡ δὲ Βηθαβαρά, ὅπου ἦν Ἰωάννης βαπτίζων, πέραν ἐστὶ τοῦ Ἰορδάνου. γραπτέον οὖν ὀρθῶς οὕτως, ὅτι ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο, ἀλλ' οὐκ ἐν Βηθανίᾳ.

Βηθσαϊδᾶ ὄνομα πόλεως.

βηθύλος εἶδος ὀρνέου.

Βηθφαγή ὁμοίως.

βηλός βαθμὸς θύρας. ἢ οὐρανός (Hom. Α 591).

βῆμα ὁ λίθος τοῦ δικαστηρίου· Ἀριστοφάνης (Eccl. 673) "τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται; τοὺς κρατῆρας καταθήσω καὶ τὰς ὑδρίας." a

βῆμα δικαστικὴ τράπεζα· "οὐ μακρὰν δὲ τῶν πυλῶν τὸ δικαστικὸν βῆμα προσέταξε δοθῆναι." b

Βημάρχιος Καισαρεὺς ἐκ Καππαδοκίας, σοφιστής. οὗτος ἔγραψε τὰς Κωνσταντίνου τοῦ βασιλέως πράξεις ἐν βιβλίοις ι', μελέτας τε καὶ λόγους διαφόρους.

βὴξ ἀντὶ πορδῆς, ἐπὶ τῶν ἐν ἀπορίᾳ προσποιουμένων τι πράττειν, παρ' ὅσον οἱ πέρδοντες λανθάνειν πειρώμενοι προσποιοῦνται βήττειν. καὶ παροιμία νέα "ἀπορία ψάλτου βήξ."

Βηρῖνα. Βηρίνης τῆς γυναικὸς τοῦ μεγάλου Λέοντος δύο στῆλαι ἦσαν, μία μὲν βορειοτάτη τοῦ ἁγίου Ἀγαθονίκου, μετὰ τὴν ἄνοδον τῶν ἀναβαθμῶν, ἑτέρα δὲ κατὰ τὸ μέρος τῆς ἁγίας Βαρβάρας. καὶ ἡ μὲν τοῦ ἁγίου Ἀγαθονίκου γέγονεν ἔτι ζῶντος τοῦ Λέοντος, ἡ δὲ ἄλλη μετὰ τὴν τελευτὴν αὐτοῦ, ἡνίκα ἔστεψε Βασιλίσκον τὸν ἀδελφὸν αὐτῆς, φυγόντος Ζήνωνος τοῦ γαμβροῦ αὐτῆς. Codin. orig. CP 37.

Βῆρος στρατηγὸς Ῥωμαίων. οὗτος οὐκ ἦν κατεσπουδασμένος ἀλλὰ μέθης νόσῳ ἀνειμένος ἐκ τοῦ ἐπὶ πλεῖστον, καὶ ἀπ' αὐτοῦ θράσει ἀπερισκέπτῳ ἐσαεὶ εἴχετο. Procop. Goth. 3 27.

Βηρούνιον ὄνομα πόλεως. Νωρικοὶ γὰρ ἔθνος, ἔνθα συὸς χρῆμα θεόπεμπτον τὴν χώραν ἐλυμαίνετο, καὶ αὐτῷ πάντες ἐπιχειροῦντες οὐδὲν ἤνυον, μέχρι τις ἀνὴρ τὸν σῦν περιτρέψας ἐπὶ τοὺς ὤμους ἀνέθετο, οἷόν τι καὶ περὶ Καλυδῶνος μυθεύεται. οἱ δὲ Νωρικοὶ ἐπεβόησαν "εἷς ἀνήρ" τῇ ἰδίᾳ φωνῇ, τουτέστι βηρούνους. ὅθεν ἡ πόλις Βηρούνιον ἐκλήθη.

Βησᾶς ἕστηκεν οἷον ἀχανής. οὗτος ἕστηκεν ἀχανὴς καὶ παταγώδης καὶ ὑπόμωρος.

Βησσηίς. δῆμός ἐστι τῆς Ἀντιοχίδος Βῆσσα. Harp.

βία ἡ ὁρμή, ἢ ῥύμη. "ὁ δὲ τῇ βίᾳ τοῦ σώματος ἐξωθεῖ τὰς πύλας ἐς τὸ ἔσω."

βιάζω αἰτιατικῇ.

βίαιοι οὗτοι ἐγίνοντο, Φάλαρις Ἔχετος Διονύσιος καὶ ὁ Κασανδρέων τύραννος, ὑπερβαλὼν παρανομίᾳ. καὶ Λίγγις ἀδελφὸς Ἴλλου νόθος, καὶ οὗτος βίαιος.

βιαιότερον ἐπικρατέστερον· "τῆς τῶν ἰατρῶν ἐπιστήμης βιαιότερον ἦν τὸ νόσημα."

βιαίων ὄνομα δίκης ἐστὶ κατὰ τῶν βίᾳ πραττόντων ὁτιοῦν· ὁ δὲ ἁλοὺς ἀποτίνει εἰς τὸ δημόσιον ἴσον τῷ ἑλόντι. Δημοσθένης κατὰ Μειδίου (44). εἰσὶ δὲ καὶ ἐν τοῖς Λυσιακοῖς φερόμενοι λόγοι βιαίων. καὶ δῆλον ὅτι οὐκ ἐπὶ φθορᾷ παρθένων οὔτε τὸ ὄνομα οὔτε ἡ δίκη ἐλέγετο, ἀλλὰ καὶ ἐπ' ἄλλων. Harp.

Βίαντος Πριηνέως δίκη. οὗτος εἷς τῶν ζ' σοφῶν. λέγεται δὲ τὰς δίκας δεινότατος γεγονέναι εἰπεῖν, ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύι ἐχρῆτο. Ἱππῶναξ (70) "δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρείσσων."

βιαρκέος τῆς εἰς τὸ ζῆν ἐπαρκούσης· ἐν ἐπιγράμματι (AP 6 179) "βιαρκέος ἄλλος ἀπ' ἄλλης αὔθαιμοι τρισσοὶ δῶρα λινοστασίης."

βιβάζει συζεύει, ὀχεύει.

βιβλιαφόρος γραμματοφόρος· "ὁ δὲ πέμπει βιβλιαφόρον, μὴ θορυβεῖσθαι παρακελευόμενος." καὶ πᾶσα γραφὴ βιβλιαφόρος λέγεται.

Βίβλινος οἶνος ἀπὸ χωρίου οὕτως ἐκλήθη.

βιβλίον ἡ ἐπιστολή.

βίβλοι θεοῦ ἡ γνῶσις αὐτοῦ καὶ ἡ ἄληστος μνήμη. Δαβίδ (Ps. 138 15) "καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται."

βιζακίων μικρῶν λίθων.

Βιζύη πόλις Θρᾳκική.

Βίθας ὄνομα κύριον. cf. v. διέπεσεν.

βίκος τὸ ἀγγεῖον. καὶ βικίδιον, διὰ τοῦ ι, ἡ παράδοσις. Ξενοφῶν (Anab. 1 9 25) "Κῦρος γὰρ ἔπεμπε βίκους ἡμιδεεῖς οἴνου."

βινεῖν τὸ συνουσιάζειν· ἢ τὸ πιπίζειν. a
ἐν ἐπιγράμματι (AP 5 29) "ἁδὺ τὸ βινεῖν ἐστί· τίς οὐ λέγει; ἀλλ' ὅταν αἰτῇ χαλκόν, πικρότερον γίνεται ἐλλεβόρου."

βινεῖν περαίνειν· (A Eccl. 1125) "βινεῖν b
δεῖ με διαλελημμένον." καὶ βινήσομεν· Ἀριστοφάνης (Lys. 1094) "ὡς εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχύ, οὐκ ἔσθ' ὅπως μὴ Κλεισθένη βινήσομεν." οὗτος ἐπὶ θηλύτητι ἐκωμῳδεῖτο.

βιοδώρα ἡ γῆ.

βιοῖο (Hom. Α 49) τῆς τοῦ τόξου νευρᾶς.

βίολα πέδιλα, ὑποδήματα. cf. sch. Hom. Α 591.

βίος. σημαίνει δ', παροξυτόνως. βιὸς a
δὲ τοῦ τόξου ἡ νευρά.

βίος ποτὲ μὲν ἡ οὐσία τῶν κτημάτων, b
ποτὲ δὲ αὐτὸ τὸ ζῆν. καὶ παροιμία "βίον μεμαγμένον" ἐπὶ τῶν εὐδαιμονιζομένων ἐπὶ πολυτελεῖ καὶ ἡδεῖ βίῳ. καὶ παροιμία "βίον ἀληλεσμένον" ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων.

c βίος. ἐκ τῶν Φίλωνος ⟨cf. v. Εὐσέβιος c⟩. ὅτι ἡ τοῦ Χριςοῦ ἐκκλησία δύο βίους νομοθετεῖ καὶ τρόπους, τὸν μὲν ὑπερφυῆ καὶ τῆς ἀνθρωπίνης πολιτείας ἐπέκεινα, οὐ γάμους, οὐ παιδοποιίας, οὐ περιουσίας ὕπαρξιν παραδεχόμενον, ἀλλ' ὅλον διόλȣ τῆς κοινῆς καὶ συνήθους τῶν βιωτικῶν ἀνθρώπων ἀγωγῆς παρηλλαγμένον. καὶ μετ' ὀλίγα "ὁ δὲ δεύτερος ὑποβεβηκὼς ἀνθρωπινώτερος καὶ τοῦ πρώτου λίαν ἀσύγκριτος, οἷος καὶ γάμοις συγκατιέναι σώφροσι καὶ παιδοποιίαις, οἰκονομίας τε τῆς κατὰ τὸ δίκαιον ἐπιμελεῖσθαι, καὶ ςρατευομένοις τὰ πρακτέα ὑποτίθεσθαι, ἀγρῶν τε καὶ ἐμπορίας καὶ τῆς ἄλλης πολιτικωτάτης ἀγωγῆς μετὰ τȣ͂ θεοσεβοῦς φροντίζειν· οἷς καὶ ἀσκήσεως καιροὶ μαθητείας τε καὶ τῶν θείων λογίων ἀκροάσεως ἀφωρίσθησαν, καὶ δεύτερος εὐσεβείας ἀπενεμήθη βαθμός, κατάλληλον τῷ τοιῷδε βίῳ παρέχων τὴν ὠφέλειαν."

τοῦ ἁγίου Ἀθανασίȣ. "δύο εἰσὶν ὁδοὶ ἐν τῷ βίῳ καὶ δύο πολιτεῖαι, ἣ μὲν μετριωτέρα καὶ βιωτική, φέρουσα καρπὸν ἐν λ', ἣ δὲ ἀγγελικὴ καὶ ἀποκόσμιος, φέρουσα καρπὸν τὸν τέλειον ἐν ρ'. ὡσαύτως καὶ ὁ παλαιὸς βίος εἰς δύο διῃρεῖτο, εἰς τὸν Φαρισαϊκὸν καὶ ὑψηλόν, καὶ εἰς τὸν ὑποδεέςερον τὸν κοσμικόν." cf. Cedren. p.201.

κατὰ δὲ φιλοσόφους βίων αἱρέσεις τρεῖς ἠθικαί, θεωρητικὴ πρακτικὴ λογική.

βίος ἀκανθώδης ὁ τραχὺς καὶ σκληρὸς καὶ παλαιός. καὶ βίος ἀληλεσμένος ὁ εὐχερὴς καὶ ἡδύς, ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων. καὶ βίος ἐξηυλημένος ἐπὶ τῶν ἀχρήςων, ἐκ μεταφορᾶς τῶν ἀχρείων αὐλῶν. καὶ βίος μεμαγμένος ἐπὶ τῶν ἐξ ἑτοίμου καὶ ἀπόνως τρεφομένων.

βιοςερῆ ἐνδεᾶ· ⟨S OC 746⟩ "κἀπὶ προσπόλου μιᾶς βιοςερῆ χωροῦντα."

βιοτεύω, βιοτεία, καὶ συμβιοτεύω.

βιοτὴ καὶ βίοτος ζωή, καὶ τὰ πρὸς τὸ ζῆν, καὶ ἡ οὐσία. ἐν ἐπιγράμμασι ⟨AP 7 6⟩ "Ἑλλήνων βιοτῇ δεύτερον ἠέλιον."

βιοῦται ἀντὶ τοῦ ζῇ ἢ ζήσεται. οὕτως Ἡρόδοτος ⟨2 177⟩.

βίρρον ἱμάτιον Ῥωμαϊκόν.

βιςάκια τὰ παρ' ἡμῖν πιςάκια λεγόμενα. Athen. p.649.

Βιςονία ἐπίθετον τῆς γεράνου· ⟨AP 7 171⟩ "ἁρπάκτειραν ἐρύκων σπέρματος ὑψιπετῆ Βιςονίαν γέρανον."

Βιτέλλιος βασιλεὺς Ῥωμαίων, ὁ Γάλβαν διαδεξάμενος, πᾶν αἶσχος ἀναδεδειγμένος ἔν τε τοῖς ἄλλοις τοῖς κατὰ τὸν βίον καὶ ȣ̓χ ἥκιςα τῷ κατὰ γαςρὸς ἀκρατῶς τε καὶ ἀκορέςως ἔχειν. πολλάκις γὰρ οὐ μόνον τῆς ἡμέρας ἀλλὰ καὶ τῆς νυκτὸς σῖτον ᾑρεῖτο, καὶ παρὰ τὰς δείπνων παρασκευὰς τὸ πολὺ τῶν δημοσίων ἀπετρύετο· δέκα γὰρ δὴ μυριάδας ἀργυρίου ἐπὶ δισχιλίαις καὶ πεντακοσίαις ἐς τὰ δεῖπνα δεδαπανηκέναι ἱςόρηται, συνεχῶς μὲν καὶ ἀπλήςως ἐμφορούμενος, συνεχῶς δὲ ἅπαντα ἀπερευγόμενός τε καὶ ἐξεμῶν· ᾧ δὴ καὶ μόνῳ διεγένετο, ἐπεὶ οἵ γε σύσσιτοι αὐτοῦ καὶ πάνυ κακῶς εἶχον. Βίβιος γȣ͂ν Κρίσπος, διὰ νόσον χρόνου τινὸς ἀπολειφθεὶς τοῦ συμποσίου, μάλα ςωμύλως ἔφη "εἰ μὴ ἐνενοσήκειν, ἀπωλόμην ἄν" ⟨Io. Antioch. exc. Peir. p.814⟩. ἐς τόδε γοῦν καὶ τὸ παρὰ τῷ ἀδελφῷ δεῖπνον τοῦ Βιτελλίου ἐπίσημον γεγονὸς διαμνημονεύεται, καθ' ὅ φασι δίχα τῆς λοιπῆς πολυτελείας δισχιλίȣς μὲν ἰχθῦς ἑπτακισχιλίους δὲ ὄρνις ἐπὶ τὴν θοίνην παρενεχθῆναι. ἐπῄνει δὲ καὶ τὰ Νέρωνος, καὶ τὸν νεκρὸν τȣ͂ Νέρωνος ἐς κοῖλόν τινα καὶ ἀφανῆ τάφον κατακείμενον ἀπεσέμνυνε. πρὸς δὲ τῶν ςρατηγῶν Οὐεσπασιανοῦ, μεταποιουμένου τῆς βασιλείας ἤδη, κατακτείνεται. Eutrop. 7 18.

Βίτιννα· ⟨AP 6 206⟩ "σάνδαλα μὲν τὰ ποδῶν θαλπτήρια ταῦτα Βίτιννα, εὐτέχνων ἐρατὸν σκυτοτόμων κάματον."

Βιττίον· ⟨AP 6 286⟩ "τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ Βιττίον εἰργάσατο." πέζα γὰρ ὕφασμα.

βιῶναι ζῆσαι.

βιώνης ὁ τὰ δημόσια ἀγοράζων.

βιῶνται μετὰ βίας εἰσελεύσονται· "προδήλου δ' οὔσης τοῖς Καρχηδονίοις τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς, ὅτι βιῶνται διὰ τȣ͂ πτώματος τοῦ τείχους, παρεσκευάζοντο πρὸς τὴν χρείαν." Polybius?

βιώσιμος ἐλπίδα ἔχων τοῦ ζῆσαι· "ὃ a
δὲ ἀνέβλεψέ τε καὶ ἔφη ὅτι βιώσιμος εἴη."

βιώσιμος ὁ ζῆσαι ἐν βίῳ δυνάμενος. b

βιώτω ⟨Hom. Θ 429⟩ ζησάτω.

βλάβη, καὶ βλάβος οὐδετέρως, τὸ ἁμάρτημα Ἀριςοφάνης Βατράχοις ⟨1162⟩.

βλαισὸς παραλυτικός. διαφέρει βλαισὸς καὶ ῥαιβός· ὃ μὲν ἀπὸ τῶν γονάτων διεςραμμένος τοὺς πόδας, ὃ δὲ αὐτὰς τὰς κνήμας.

⟨AP 7 21⟩ "πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς βλαισὸς Ἀχαρνείτης κισσὸς ἔρεψε κόμην." καὶ βλαισοπόδης βάτραχος.

βλᾶκα, αἰτιατική, τὸν εὐήθη καὶ ἀνόητον. εἴρηται δὲ ἀπὸ ἰχθύος τινὸς ὁμοίου σιλούρῳ, ἀχρήςου δὲ οὕτως ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι. Πολιτείας δ' ⟨p.432 D⟩ "βλακικόν τε ἡμῶν τὸ πάθος," ὡς εἰ λέγοι τις πνευμονίαν, ἀπὸ τοῦ θαλαττίου ζῴου ὄντος ἀναισθήτου. οἱ δ' ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου τῆς Βλακείας, οὗ μνημονεύει καὶ Ἀριςοτέλης. καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλακεννόμιον, ὃ οἱ ἀςρολόγοι τελοῦσι, διὰ τὸ τοὺς μωροὺς εἰσιέναι πρὸς αὐτούς ⟨Etym. M. p.199 5⟩. "ἐλινύοντα καὶ βλακεύοντα κλάειν ἐῶσι." καὶ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν βλᾶκας. ἔςι δὲ μωρός τις, μὴ εἰδὼς τὰ πράγματα διακρῖναι.

a βλακεία ὑπεροψία, μωρία· "οἱ ςράτορες τριώβολον ἐλάμβανον βλακείας χάριν." sch. A Ran. 140?

b βλακεία ῥᾳςώνη, ἔκλυσις, χαυνότης. "ὁ γὰρ ςρατηγῶν βλακείαις ἢ φιλοψυχίαις τὰ πράγματα ἐπέτρεψεν, ἀλλ' αὐτὸς ἐπὶ τὸν πόλεμον ἑαυτὸν ἀναδείξας ςρατηγὸν ἐξώρμησε."

βλακεύεται καὶ βλακεύει μαλακίζεται. Δαμάσκιος ⟨Phot. p.350 a⟩ "καὶ παροξύνων τῷ λόγῳ τοὺς ἐν ἔργῳ βλακεύοντας. οὐδεμιᾶς γοῦν ἐτίθετο κακίας ἐλάττω τὴν ῥᾳθυμίαν, ἁπασῶν δὲ σχεδὸν τὴν μεγίςην." καὶ Ξενοφῶν ⟨Anab. 2 3 11⟩ "εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν, ἐκλεγόμενος τὸν ἐπιτήδειον ἔπαιεν ἂν τῇ βακτηρίᾳ."

βλακικῶς ἀντὶ τοῦ βραδέως· ⟨A Av. 1312⟩ "ὡς βλακικῶς διακονεῖς."

βλάξ μαλακός, χαῦνος, ἐκλελυμένος, ἢ μωρός.

βλάπτω αἰτιατικῇ.

βλάςη βλάςημα. καὶ ἡ αἰτιατικὴ τὴν βλάςην.

βλάσφημος ὁ εἰς θεὸν ἐξυβρίζων. καὶ βλασφημῶ· αἰτιατικῇ συντάσσεται. Ἀππιανός ⟨t.1 p.27⟩ "οἱ δὲ ἐβλασφήμουν αὐτὸν ὡς κακῶς ἐπὶ τρισὶν ἀνδράσι τὰ πάντα θέμενον."

βλαύτη εἶδος ὑποδήματος. Σοφοκλῆς ⟨cf. v. σπεύδειν⟩ "σπεύδειν ἀπὸ ῥυτῆρος," τουτέςιν ἀπὸ βλαύτης, ὡς ἔχει σχήματος. καὶ αὖθις ⟨AP 6 293⟩ "ὁ σκίπων καὶ ταῦτα τὰ βλαυτία, πότνια Κύπρι, ἄγκειται κυνικοῦ σκῦλ' ἀπὸ Σωχάρεος."

βλαυτίοις σανδαλίοις· Ἀριςοφάνης ⟨Eq. 884⟩ "ὅπερ πίνων ἀνὴρ πέπονθ', ὅταν χεσείῃ, τοῖς τρόποισι τοῖς σοῖσιν ὥσπερ βλαυτίοις χρήσομαι." ἐπειδὴ εἰώθασιν οἱ πίνοντες τοῖς τῶν ἄλλων ὑποδήμασι χρῆσθαι, εἰ ἐπείγοιντο πρὸς λάσανον. λάσανα δὲ οἱ χυτρόποδες, τὰ μαγειρεῖα, ἔνθα τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα. sch. A Pac. 893.

βλεπεδαίμων ὁ διεςραμμένος τὰς ὄψεις καὶ οἷον ὑπὸ δαίμονος πεπληγώς.

βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη" ⟨A Plut. 328⟩ ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει πράττειν καὶ συνάρασθαι πρὸς βοήθειαν. δόξεις με, φησίν, Ἄρεα ὁρᾶν κατορθωτικὸν καὶ πρακτικόν.

βλέποντες ἀντὶ τοῦ ζῶντες. οὕτω Σοφοκλῆς ⟨Ai. 961⟩ "οἱ δ' οὖν γελώντων, κἀπιχαιρόντων κακοῖς τοῖς τοῦδ'. ἴσως τοι, κεἰ βλέποντα μὴ 'πόθουν, θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός."

βλέπος. Ἀριςοφάνης Νεφέλαις ⟨1177⟩ a
"ἐπὶ τοῦ προσώπου τ' ἐςὶν Ἀττικὸν βλέπος," ἀντὶ τοῦ κακοῦργον βλέμμα καὶ δραςικόν· οἱ γὰρ Ἀττικοὶ ἐπὶ ἀναιδείᾳ διεβάλλοντο.

βλέπος ἀντὶ τοῦ βλέμμα. οὕτως Ἀριςο- b
φάνης.

Βλήδας ὄνομα Σκύθου. cf. v. Ζέρκων.

βλήτυρι. οὕτω λέγουσι καὶ σκινδαψόν. εἰσὶ δὲ παραπλήρωμα λόγων μὴ ἔχοντα λόγον. Ἰόβας δὲ τὸν σκινδαψὸν ὄργανον μουσικὸν ἀποδίδωσι, τὸ δὲ βλήτυρι χορδῆς μίμημα.

βληχὴ καὶ βληχήματα φωναὶ προβάτων. καὶ βληχώμενοι παρὰ Ἀριςοφάνει ἐν Πλούτῳ ⟨293⟩, τουτέςι ποιᾷ φωνῇ χρώμενοι· βληχᾶσθαι γὰρ τὸ τὰ πρόβατα ποιᾷ κεχρῆσθαι φωνῇ. καὶ αὖθις "βληχητὰ τέκνα κοὐδαμῶς τοῦ τρόπου."

βληχρὸν ἀσθενὲς παρὰ Ὁμήρῳ καὶ Ἀλκαίῳ. Πίνδαρος δὲ ἀντὶ τοῦ ἰσχυροῦ αὐτὸ λέγει.

βληχώδης προβάσι τὸν νοῦν ὅμοιος· ⟨Babr. 93 5⟩ "μωρὸς δὲ ποιμὴν καὶ τὰ πάντα βληχώδης πέμπειν ἔμελλεν."

βλήχων ἡ γλήχων. οὕτως λέγεται παρὰ Ἀττικοῖς. ἔςι δὲ εἶδος βοτάνης. καὶ τὸ ἐφήβαιον Ἀριςοφάνης οὕτως ὀνομάζει ⟨Lys. 89⟩.

βληχωνία. Ἀριςοφάνης ⟨Pac. 711⟩ "ἆρ' ἂν βλαβῆναι διὰ χρόνȣ τί σοι δοκῶ, ὦ δέσποθ' Ἑρμῆ, τῆς ὀπώρας κατελάσας; οὐκ ἤν κυκεῶν' ἐπιπίοις βληχωνίαν." καὶ γὰρ οἱ διὰ χρόνȣ ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται, καὶ οἱ συνȣσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἐδόκει ἡ ὀπώρα καὶ πόρνη, πρὸς ἀμφότερα ἔπαιξε. διὰ τοῦ β βληχωνίαν. οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν βληχωνίαν πίνωσιν, οὐ βλάπτονται διὰ τὸ ὑπὸ τοῦ ὀποῦ κατεσθίεσθαι τὴν καρδίαν. ἵνα οὖν ἡ δριμύτης ἀποςυφῆ, βλήχωνος ἐλάμβανον. καὶ βληχωνία κυκεών.

1 βλιμάζειν κυρίως τὸ τοῦ ὑπογαςρίου καὶ τοῦ ςήθους ἅπτεσθαι, ὅπερ ἐποίουν οἱ τὰς ὄρνιθας ὠνούμενοι· οἱονεὶ θλιβάζειν. οἱ δὲ βλιμάζοντες ἀντὶ τοῦ κακοῦντες· ἀποτίλλουσι γὰρ καὶ κατεσθίȣσι ⟨sch. A Av. 530⟩.

2 βλιμάζειν τὸ ταῖς χερσὶ διαθλίβειν· καὶ τὸ τὰ κηρία θλῖψαι βλίσαι λέγεται. καὶ βλιμάζων ἀποςάζων τὸ μέλι τοῦ κηρίου. καὶ βλιμάττομεν ψηλαφῶμεν, ἐπιθυμῶμεν.

βλιτάδας οἱ παλαιοὶ τὰς εὐτελεῖς γυναῖκας.

βλιτομάμμας. ⟨A Nub. 997⟩ "καί σε καλοῦμεν βλιτομάμμαν," τουτέςι μωρόν· καὶ γὰρ τὸ βλίτον μωρόν ἐςι λάχανον.

βλίτος εἶδος βοτάνης.

βλίττειν ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων, πειράζειν, καὶ τὸ ψηλαφᾶν, καὶ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν ἢ θλίβειν. "ἀλλὰ καθείρξας αὐτὸν βλίττεις·" οὕτως Ἀριςοφάνης ⟨Eq. 791⟩.

βλοσυρός ἀξιωματικός, καταπληκτικός, φοβερός, σεμνός.

βλωθρή ⟨Hom. N 390⟩ χλωρά, ἁπαλή, εὐαξής. ⟨AP 7 174⟩ "οὐκέτι συρίγγων νόμιον μέλος ἀγχόθι ταύτας ἁρμόζει βλωθρᾶς, Θηρίμαχε, πλατάνου."

βοαδρόμος ὁ βοηθός· ⟨AP 7 231⟩ "ὧδ' ὑπὲρ Ἀμβρακίας ὁ βοαδρόμος ἀσπίδ' ἀείρας τεθνάμεν ἢ φεύγειν ἤθελεν."

Βοανεργές ⟨Marc. 3 17⟩ υἱοὶ βροντῆς.

βοάσομαι τὰν ὑπέρτονον βοάν Ἀριςοφάνης ⟨Nub. 1153⟩. εἰ ȣ̋τω, φησὶ Στρεψιάδης, ὁ παῖς ἐκπεπαίδευται, μέγιςον ὑπὸ τῆς χαρᾶς βοήσομαι.

βόεια μεγάλα· "ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν" Ἀριςοφάνης Βατράχοις ⟨934⟩.

βοείας ⟨Hom. Λ 843⟩ βύρσας.

βοηδρομεῖν μετὰ σπουδῆς παραγίνεσθαι. Κᾶρες δὲ ἀντὶ τȣ̃ βοηθεῖν. "καὶ βοηδρομέντων ἐπὶ τȣ́τω τῶν δημοτῶν ἄλλος τις παρῶν βάρβαρος ἔτρωσε τὸν ἕτερον ἐπιόντα, καὶ διεκέκριτο ȣ̓δέν."

βοηδρομία. βοηδρομεῖν μὲν τὸ βοηθεῖν ὠνομάζετο, τȣτέςιν ἐπὶ μάχην δραμεῖν· ἔςι δὲ ἡ βοηδρομία ἑορτή τις Ἀθήνησι καλȣμένη, καθ' ἣν ἡμέραν ἐβοήθησεν ὁ Ξȣ̂θȣ σπȣδῇ πολλῇ πολεμουμένοις Ἀθηναίοις ὑπὸ Εὐμόλπȣ τȣ̃ Ποσειδῶνος. Ἐρεχθεὺς δὲ τότε Ἀθηναίων ἐβασίλευεν. Harp.

βοήθεον ἀντὶ τȣ̃ ἐν μάχῃ ἔτρεχον. ἀλλ' ȣ̓χὶ τὸ ἐβοήθουν, τȣτέςι συνεμάχυν. καὶ βοηθεῖ ἀντὶ τȣ̃ μάχεται· ⟨A Lys. 353⟩ "ἐσμὸς γυναικῶν ȣ̓τοσὶ θύρασι βοηθεῖ."

βοηθῷ δοτικῇ. καὶ βοηθοίης εὐκτικόν.

βοήν μάχην, καὶ μεγάλην φωνήν.

βόθυνος τόπος τις ἰδίως ȣ̋τω καλȣ́μενος ἐν τῇ ἱερᾷ ὁδῷ· οὗ μνήμην Ἰσαῖος καὶ Καλλισθένης ποιεῖται. Harp.

βοίδιον βοΐδιον· ⟨AP 7 169⟩ "βοίδιον δὲ καλεύμην τότε ἐγώ, νῦν δὲ Χάρητος εὐνέτις."

Βοιωτία. καὶ Βοιώτιος νόμος, ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων.

Βοιωτία ὗς, ἐπὶ τῶν ἀναισθήτων καὶ ἀπαιδεύτων.

βολβός. Ἀριςοφάνης ⟨Eccl. 1084⟩ "καταφαγὼν βολβῶν χύτραν," ἐπὶ τῶν λαγνιςάτων· ἐπιτήδειοι γὰρ εἰς συνȣσίαν οἱ βολβοί. ἔςι δὲ εἶδος ὀσπρίȣ ἢ καὶ κρομμύȣ.

βολεῶνας. ȣ̋τως οἱ Ἀττικοὶ καλȣ̃σιν ὃ ἡ κόπρος τῶν βοῶν καὶ τῶν ὑποζυγίων καὶ τῶν προβάτων βάλλεται. Harp.

βολίς βέλος, ἀκόντιον, λογχάριον. καὶ βόλος τὸ βαλλόμενον εἰς ἄγραν ἰχθύων· ἐν ἐπιγράμμασι ⟨AP 6 184⟩ "Πίγρης μὲν πταναῖσιν ἐφεὶς βόλον, ἐν δ' ἁλίοισι Κλίτωρ, ἐν θηρσὶν Δᾶμις ἐρημονόμοις." καὶ αὖθις ⟨AP 6 23⟩ "εὐςιβὲς αἰθυίαις ἰχθυβόλοισι λίνας." καὶ βόλος· ἐν ἐπιγράμμασι ⟨AP 6 192⟩ "καὶ φελλὸν κρυφίων σῆμα λαχόντα βόλων."

βόλιτος. Ἀττικοὶ ȣ̋τω λέγȣσι χωρὶς τȣ̃ β ὅπερ ἡμεῖς βόλβιτον· Ἀριςοφάνης ⟨Ach. 1025⟩ "ἐτρεφέτην ἐν πᾶσι βολίτοις," τȣτέςιν ἐν πάσῃ τρυφῇ καὶ πᾶσιν ἀγαθοῖς. βολίτοις δέ, ὅτι περὶ βοῶν ὁ λόγος. ȣ̋τω δὲ λέγονται οἱ σπέλεθοι τῶν βοῶν.

βολίτȣ δίκην πρὸς τὰς ἐπὶ μικροῖς δίκας ὑπέχοντας· ὁ γὰρ Σόλωνος νόμος καὶ τὰς βόλιτον ὑφελομένȣς κολάζει. sch. A Eq. 655.

βομβάζειν φθέγμα ἐπὶ τῷ διασύρειν καὶ τωθάζειν λεγόμενον.

βομβαύλιοι ἀντὶ τοῦ αὐληταί. τὸ δὲ βομβύλιος ἐν προσθέσει τȣ̃ α εἶπε βομβαύλιος, παίζων παρὰ τὸν αὐλόν. sch. A Ach. 866.

βομβεῖ καὶ περιβομβεῖ· Σιμοκάτης ⟨2 2⟩ "ὡς δὲ τὸ Περσικὸν περιεβόμβει τρανέςερον, παρεδριμύττετο τὸ πολέμιον." *βόμβος* δὲ ὁ ἦχος τῶν μελισσῶν. *βόμβος* ψόφος τις.

βόμβησεν ⟨Hom. Θ 190⟩ ἐψόφησέ πως.

βομβοῦσιν αἱ μέλισσαι, ὅταν τις προσίῃ μύρȣ ὄζων· Πολιτείας Θ' ⟨p. 573 A⟩. "καὶ οἱ περὶ τὴν Διονυσίȣ βομβȣ̃ντες τράπεζαν καὶ οἱ περὶ τὴν Ἀλεξάνδρȣ μεμηνότες δαῖτα καὶ χεῖρα, καὶ ἄλλοι δὲ καὶ ἄλλοι ὧν εἶπον, Ὀρέςης, Μαρψίας, Καλλίας τȣ̃ Ἀθηναίȣ κόλακες σὺν ἑτέροις, καὶ ὅδε παρὰ Ῥωμαίοις Ἄλβιος ὄνομα." Aelianus? cf. v. διώνυμοι.

a *βομβυλιός* ζῷον, ἢ τὸ βησίον λεγόμενον. καὶ εἶδος μελίσσης ἐκ πηλȣ̃ τὰ κηρία πλαττȣ́σης. βομβυλιὸς ζῷόν ἐςι παραπλήσιον μελίττῃ, ὠνομασμένον ἀπὸ τȣ̃ βόμβȣ ὃν ἐκεῖνο βομβεῖ.

b *βομβυλιός* εἶδος μελίσσης. καὶ εἴρηται παρὰ τὸ βομβεῖν. καὶ παροιμία "βομβυλιὸς ἄνθρωπος" ἐπὶ τȣ̃ ἀκάρπȣ, παρ' ὅσον καὶ βομβυλιός ἐςι μελίσσης εἶδος ἐκ πηλȣ̃ πλαττȣ́σης τὰ κηρία. cf. Zenob. 2 80.

βομβύλιον σκεῦος ςρογγυλοειδές.

βόμβυξ.

βοοβοσκός.

βοοθύτης ὁ τȣ̀ς βόας βάλλων πελέκει.

βοὸς κέρας· Ὅμηρος ⟨Ω 81⟩ "ἥτε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα." κατεσκεύαζον γὰρ σύριγγα ἐκ κέρατος βοείȣ, ἣν περιετίθεσαν τῇ ὁρμιᾷ, ἵνα μὴ οἱ ἰχθύες ἀποτρώγωσι τὸ λίνον.

βοπόρȣς παρὰ Ἡροδότῳ ⟨2 135⟩ ὀβελȣ̀ς μεγάλȣς.

βορᾶς βρώσεως ἢ τροφῆς. *Βορρᾶς* δὲ ὁ ἄνεμος. καὶ κλίνεται Βορρᾶ. ἡ εὐθεῖα τῶν πληθυντικῶν Βορραῖ· "σκληροὶ Βορραῖ ἐπιπνεύσαντες." καὶ Βορέας Βορέȣ. καὶ *βορραίῃ*· ⟨AP 6 245⟩ "λαίλαπι Βορραίῃ κλασθὲν ἐπέληκε."

βορβόροπιν κῆπον. σημαίνει καὶ τὸ μόριον. cf. v. μυσάχνη.

βορβοροτάραξι Ἀριςοφάνης ἀντὶ τȣ̃ ταραχωδέςατε, ταράττων ἡμῶν τὴν πόλιν καὶ θορυβῶν ὥσπερ βόρβορον. θορύβȣ πληρώσας τὴν πόλιν καὶ βορβόρȣ. καὶ παροιμία ⟨Aeschyl. Eum. 694⟩ "βορβόρῳ ὕδωρ λαμπρὸν μιαίνων ὕποθ' εὑρήσεις ποτόν," ἐπὶ τῶν τὰ κάλλιςα μιγνύντων αἰσχίςοις.

βορβορυγμός ὁ ἦχος τȣ̃ ὕδατος ἐπιφερόμενος· "ἡ φάρυγξ ἐκελάρυζε, καὶ πολὺς ἐν τῷ ςόματι ἦν βορβορυγμός," ἦχος ἐκ τȣ̃ ςόματος. σύνθημα δὲ ἐςι ταῖς καμήλοις τοῦ καθέζεσθαι ὁ τοιȣ̃τος ἦχος.

Βορίανθος ⟨an Βιρίαθος⟩. ὅτι βάρβαροί τινες κτείνȣσι Βορίανθον τυραννήσαντα, ταύτῃ προσάγεσθαι τὸν τῶν Ῥωμαίων ςρατηγὸν ἡγȣ́μενοι ἐς εὔνοιαν. καὶ δὴ ἀφικόμενοι τῶν τȣ̃ Βοριάνθȣ αὐθεντῶν τινὲς ἆθλα τῶν περὶ τὸν ἄνδρα πεπραγμένων ἠξίȣν παρὰ Σκιπίωνος ⟨an Καιπίωνος⟩ κομίζεσθαι. ὁ δὲ Σκιπίων ἀποκρίνεται μηδαμῶς εἶναι Ῥωμαίοις ἔννομον ἐν ἐπαίνῳ ποιεῖσθαι τὰς κατὰ τῶν ςρατηγῶν τοῖς ἀρχομένοις ἐπιχειρȣμένας ἐπιβȣλάς. Eutropius?

βορὸν βρωτικόν, ὀξυτόνως· Ἀριςοφάνης ⟨Pac. 38⟩ "μιαρὸν τὸ χρῆμα καὶ κάκοσμον καὶ βορόν." καὶ ὕδωρ βορόν, ἀγρυπνίῃ βορόν. ζήτει ἐν τῷ ὕδωρ βορόν.

βόσιν τροφήν.

βοσκήσομεν θρέψομεν, καὶ *βόσκουσαν* τρέφȣσαν. Σοφοκλῆς περὶ Οἰδίποδος ⟨R 1424⟩ "ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ' ἔτι γένεθλα, τὴν γȣ̃ν πάντα βόσκȣσαν φλόγα αἰδεῖσθ' ἄνακτος ἡλίȣ, τοιόνδ' ἄγος ἀκάλυπτον ȣ̃τω δεικνύναι, τὸ μήτε γῆ μήτ' ὄμβρος ἱερὸς μήτε φῶς προσδέξεται."

βοσὸρ τὸ ἱμάτιον τὸ ἀπὸ κόκκȣ βεβαμμένον κατὰ Ἑβραΐδα διάλεκτον. Iesaiae 63 1.

Βόσποροι δύο, ὁ μὲν κατὰ τὴν Προποντίδα, ὁ δὲ Θρᾳκικός, ὥς φησι Φιλέας. sch. S Ai. 884.

Βόσπορος πόλις περὶ τὸν Ἑλλήσποντον, ἣν Βωχάνος ὁ Τȣ̃ρκος ἐπὶ Ἰȣςινιανȣ̃ βασιλέως ἐπόρθησε.

βόςρυχος πλέγμα τριχῶν γυναικεῖον· ἐν ἐπιγράμμασιν ⟨AP 5 228⟩ "εἰπέ, τίνι πλέξεις ἔτι βόςρυχον;" Ἀριςοφάνης ⟨Eccl. 949⟩ "πάνυ γάρ τις ἔρως με δονεῖ τῶνδε βοςρύχων." ⟨Synes. p. 85⟩ "ἐναλείφειν τὰς τρίχας

καὶ διατιθέναι κατὰ βοςρύχους, εὐθὺς ἅπασι πρόχειρον λέγειν ὅτι ἄνθρωπος ὗτος τῇ Χίων θεῷ καὶ τοῖς ἰθυφάλλοις ὠργίακεν."

βοτά βοσκήματα, καὶ βοτάνη ὁ χόρτος· "Καδμείων τινὲς ἱπποβοσκοὶ περὶ βοτάνης πρός τινας τῶν Μινυῶν ἤριζον." (Dionys. Hal. 9 20) "τὰς πλησίον ὑπερβαλόντες λόφους μεςὸν εὑρήσουσι τὸ πεδίον παντοίων βοτῶν."

βοτήρ καὶ δοτήρ, δώτωρ δὲ καὶ βώτωρ.

βοτηρικὰ κύπελλα ἐν ἐπιγράμμασι (AP 6 170). καὶ βοτῆρες ποιμένες.

βοτός τροφὴ ἢ βοσκή. καὶ βροτός ἄνθρωπος.

βοτρυδόν (Hom. B 89) ἐπαλλήλως, ἡ ἑτέρα τῆς ἑτέρας ἐχομένη ὡς ῥᾶγες τῶν βοτρύων.

βότρυν τὸν ὀπώραν, οὐχὶ τὴν ςαφυλὴν μόνην. καὶ μήποτε τὴν βοτρυΐαν ὀπώραν.

βοτρυόδωρος ἡ εἰρήνη, ἐπεὶ αἱ ἄμπελοι ἐν εἰρήνῃ φύονται· Ἀριςοφάνης (Pac. 524) "ὦ πότνια βοτρυόδωρε." καὶ παροιμία "βότρυς πρὸς βότρυν πεπαίνεται," ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.

βοτρυοςαγῆ ἔρνη (Athen. p. 29).

(Polyb. 12 13) "ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδεύμασι τὰ Βότρυος ὑπομνήματα καὶ τὰ Φιλαινίδος καὶ τῶν ἄλλων ἀναισχυντογράφων."

βούβοτον Ὀρβηλοῖο παρὰ σφυρόν" (AP 6 114). καὶ βούβοτος ἡ πολλὴν τροφὴν ἔχουσα.

βουβωνιῶ φλεγμαίνω τοὺς βουβῶνας. (A Ran. 1311) "ἐγὼ μὲν οὖν εἰς τὸ βαλανεῖον βούλομαι·" λείπει ἀπελθεῖν· "βουβωνιῶ γὰρ τὼ πηρὼ ὑπὸ τῶν κόπων."

βουγάιος. τὸ βου κατ' ἐπίτασιν, ὡς ἐν τῷ βούπεινα ἡ μεγάλη πεῖνα, καὶ βούγλωσσοι. cf. v. βουλιμιᾷ.

βουδόρῳ νόμῳ, ἐπὶ τῶν ἀξίων οὕτω δέρεσθαι ὡς οἱ βόες.

βουζύγης ὁ Ἡρακλῆς. καὶ βουθοίνας ὁ Ἡρακλῆς· Ὕλλου γὰρ τοῦ υἱοῦ αὐτοῦ πεινάσαντος, ἕνα τῶν ἀροτήρων βοῶν Θεοδάμαντος θοινήσας ἔφαγεν.

Βοῦθος περιφοιτᾷ. ἐπὶ τῶν ἀσυνέτων καὶ παχυφρόνων εἴρηται.

βουθυτεῖ· Ἀριςοφάνης Πλούτῳ (820) "ὁ δεσπότης ἔνδον βουθυτεῖ." καταχρηςικῶς εἴρηται ἡ βουθυσία, δηλοῦσα τόν τε ὄγκον τοῦ μεγέθους καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσι καὶ τριττύν.

Βουκάρας ποταμός· Πολύβιος (1 75) "κατὰ τὴν εἰς θάλασσαν ἐκβολὴν τοῦ Βουκάρα ποταμοῦ."

βουκολήσας ἀπατήσας, καὶ βουκόλημα τὸ θέλγητρον· (Babr. 135 2) "ὅπως ἔχῃ τι βουκόλημα τῆς λύπης, ἐνέθηκε τοίχοις ποικίλας γραφὰς ζῴων."

βουκόρυζαν τὴν μεγάλην κόρυζαν, καὶ κορυζᾶν τὸν ἰσχυρῶς κορυζῶντα, Μένανδρος.

βουλαία· Δείναρχος "μαρτύρομαι τὴν Ἑςίαν τὴν βουλαίαν," οἷον τὴν ἐν τῇ βουλῇ ἱδρυμένην. Harp.

Βούλγαροι. ὅτι οἱ Βούλγαροι ἠρέσθησαν εἰς τὴν ςολὴν τῶν Ἀβάρων, καὶ μετημφιάσαντο αὐτήν, καὶ ἕως νῦν περιβέβληνται.

ὅτι ἐπὶ Ἰουςινιανοῦ τοῦ ῥινοτμήτου ἤκμαζεν ὁ Τέρβελις ὁ τῶν Βουλγάρων ἀρχηγός· καὶ ὁ αὐτὸς Ἰουςινιανὸς καὶ Κωνςαντῖνος ὁ Ἡρακλείου υἱὸς ὑπόφοροι τούτῳ ἦσαν. τὴν γὰρ ἀσπίδα ἣν εἶχεν ἐν πολέμῳ, ὑπτίαν ἔθηκε, καὶ τὴν ἑαυτοῦ μάςιγα ᾗ ἐχρῆτο ἐπὶ τοῦ ἵππου, καὶ ἕως οὗ ἐσκέπασεν ἀμφότερα, χρήματα ἐνετίθει. καὶ τὸ δόρυ ἐν τῇ γῇ παρεκτείνας, μέχρι τῶν περάτων καὶ ἐς ὕψος πολὺ σηρικὴν ἐσθῆτα ἐτίθει, καὶ κιβώτια πλήσας χρυσοῦ καὶ ἀργύρου τοῖς ςρατιώταις ἐδίδου, τὴν μὲν δεξιὰν χρυσίου πληρῶν, τὴν δὲ λαιὰν ἀργυρίου.

ὅτι τοὺς Ἀβάρεις κατὰ κράτος ἄρδην ἠφάνισαν οἱ αὐτοὶ Βούλγαροι. ἠρώτησε δὲ Κρέμ τοὺς τῶν Ἀβάρων αἰχμαλώτους "πόθεν συνίετε ὅτι ἀπώλετο ὁ ἄρχων ὑμῶν καὶ τὸ ἔθνος ὅλον." καὶ ἀπεκρίθησαν "ὅτι ἐπλήθυναν αἱ κατ' ἀλλήλων κατηγορίαι, καὶ ἀπώλεσαν τοὺς ἀνδρειοτέρους καὶ φρονιμωτέρους. εἶτα οἱ ἄδικοι καὶ οἱ κλέπται κοινωνοὶ τοῖς κριταῖς ἐγένοντο. εἶτα ἡ μέθη· πληθυνθέντος γὰρ τοῦ οἴνου πάντες ἐγένοντο μέθυσοι. εἶτα ἡ δωροδοκία. εἶτα ἡ πραγματεία· πάντες γὰρ ἐγένοντο ἔμποροι καὶ ἀλλήλους δολιούμενοι. καὶ ἡ ἀπώλεια ἡμῶν ἦλθεν ἐκ τούτων." ὁ δὲ ταῦτα ἀκούσας συνεκαλέσατο τοὺς Βουλγάρους πάντας, καὶ διετάξατο νομοθετῶν "ἐάν τις κατηγορήσῃ τινός, μὴ ἀκουέσθω πρότερον ἢ δεθεὶς ἐξετασθῇ· καὶ εἴγε συκοφαντῶν εὑρεθήσεται καὶ ψευδόμενος, ἀναιρείσθω. μηδὲ ἐξέςω τινὶ κλέπτοντι μεταδοῦναι τροφῆς· ἢ τάχα τοῦτο τολμῶν τις δημευέσθω. καὶ τοῦ κλέπτου μὲν συγκλᾶν τὰ σκέλη, τοὺς δὲ ἀμπε-

λῶνας πάντας ἐκριζῶσαι ἐκέλευσε· τῷ δὲ αἰτᾶντι παντὶ μὴ ἁπλῶς διδόναι, ἀλλὰ τὴν αὐτάρκειαν αὐτᾶ, ὡς μὴ καὶ αὖθις αὐτὸν δέεσθαι· ἢ τάχα δημευέσθω ὁ μὴ ὅτω ποιῶν." τὰς δὲ Ἀβάρεις πάντας, ὡς λέλεκται, ἄρδην ἠφάνισαν.

βελεία τὸ χρηματίζοντά τινα τῆς βουλῆς πράττειν ἃ τοῖς βελευταῖς προσήκει. ὅτω Δείναρχος καὶ Ἀριςοφάνης (Th. 815). Harp.

βελείαν τὸ βουλεύειν καὶ οἱ δικανικοὶ καλᾶσι συνήθως καὶ Ἀριςοφάνης· φησὶ γάρ (Thesm. 815) "τίς βουλευτὴς ἐςι, παραδοὺς ἑτέρῳ τὴν βελείαν;" τὸ βελεῦσαι βελείαν ἔλεγον οἱ παλαιοί.

βέλευμα τὸ ἴδιον, βέλημα δὲ τὸ δημόσιον. Ἀριςοφάνης Πλέτῳ (493) "τᾶτ' ἂν ἡμεῖς ἐπιθυμᾶντες, μόλις εὕρομεν ὥςε γενέσθαι βέλημα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον." Ἀρριανός "οἱ γράψαντες οὐ μόνον τὰ ἔργα Τραϊανᾶ ἀλλὰ καὶ τὰ βελεύματα." καὶ αὖθις "τᾶτο δὲ γέγονε βελήσει κρείττονι καὶ ἀνθρωπίνῃ γνώμῃ ἐδαμῶς συμβλητῇ." cf. v. συμβλητῇ.

βελεύομαί σοι τάδε.

βελεύοντι ἀντὶ τᾶ συμβελεύοντι Θουκυδίδης.

βελεύσας ἀντὶ τᾶ βεληθείς· "βελεύσας δὲ ὅπως τὴν βασιλέως διάνοιαν πολλῷ ἔτι μᾶλλον ἐξελεῖν δύνηται."

βελεύσεως ἐγκλήματός ἐςιν ὄνομα, ἐπὶ δυοῖν πραγμάτοιν ταττόμενον. τὸ μὲν γάρ ἐςιν ὅταν ἐξ ἐπιβελῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβελευθεὶς ἐάν τε καὶ μή· τὸ δὲ ἕτερον ὅταν τις ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ δικάζηταί τινι ὡς ἐ δικαίως αὐτὸν γεγραφότι. καὶ Ἰσαῖος μὲν ἐπὶ Παλλαδίῳ λέγει εἰσάγεσθαι τῶν δύο τὸ πρῶτον ἔγκλημα, ὡσαύτως καὶ Ἀριςοτέλης, Δείναρχος δὲ ἐν Ἀρείῳ πάγῳ. περὶ δὲ τᾶ ἑτέρε ἐγκλήματος Δημοσθένης ἐν τῷ κατὰ Ἀριςογείτονος πρώτῳ (28) λέγει. ὁ μέντοι Ὑπερίδης ἰδίως τὸ τῆς βελεύσεως ὄνομα ἐπὶ ἐνέδρας καὶ ἐπιβελῆς τῆς εἰς χρήματα λαμβάνει. Harp.

βελευτικός. τόπος οὗτος τᾶ θεάτρου ἀνειμένος τοῖς βελευταῖς, ὡς καὶ τοῖς ἐφήβοις ἐφηβικός (sch. A Av. 795).

βελή τάξις παρὰ Ῥωμαίοις. "Ἀντώνιος Σατορνῖνος ἐπίρρητος καὶ βδελυρὸς παρὰ Οὐεσπασιανᾶ ἐς τὴν βελὴν ἐνεγράφη, Οὐεσπασιανᾶ σοφισαμένε γελοιότατα τᾶτο· ἀξιώσει γὰρ αὐτὸν περιέβαλε, κακίᾳ δὲς ἀκερδὲς μὲν σεμνὸν δὲ ὅμως τόδε ἆθλον." cf. v. Ἀντώνιος Σατορνῖνος.

βελὴ ἁγίων (Ps. 88 7) τῶν ἁγίων ὁ σύλλογος.

βελῆς βελῆντος κλίνεται παρὰ Θεκυδίδῃ (3 70). σημαίνει δὲ τὸν βελευτήν.

βελήσεται κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὧν μᾶλλον ἢ κρῖναι κακῶς" (A Nub. 1132), ὡς ἐπὶ κατάρας, ἐπεὶ ὡς λῃςευομένη διεβάλλετο ἡ Αἴγυπτος. ἢ βέλεται ὅτι πορρωτάτω εἶναι, ὅπε αὐτὸν ἐδὲν βλάψει ὑετός, ἐπεὶ ἐν Αἰγύπτῳ δοκεῖ μὴ ὕειν, ὡς Ἡρόδοτος (3 10) "ὕσθησαν γὰρ τότε Θῆβαι ἐδαμὰ πρότερον ὑσθεῖσαι."

βέλησις. ὅτι πρακτικαὶ δυνάμεις εἰσὶ τῆς ψυχῆς βέλησις καὶ προαίρεσις. καὶ ἡ μὲν βέλησις αὐτῆς καθ' ἑαυτήν ἐςι τῆς λογικῆς ψυχῆς, ἡ δὲ προαίρεσις τῆς συμπεπλεγμένης τῇ ἀλογίᾳ. ὅτε μὲν γάρ ἐςιν ἔξω τῆς γενέσεως ἡ ψυχή, κατὰ βέλησιν μόνην ἐνεργεῖ· ἐν μόνῳ γάρ ἐςι τῷ ἀγαθῷ· ὅταν δὲ γένηται ἐν τῇ γενέσει, ἐπειδὴ συμπλέκονται αὐτῇ αἱ ἄλογοι δυνάμεις, τότε τῇ ἐπιπλοκῇ τῆς ἀλόγε ἴσχει τὴν προαίρεσιν, διότι ποτὲ μὲν πρὸς τῆς ἀλογίας ποτὲ δὲ πρὸς τᾶ λόγου γίνεται καὶ αἱρεῖται τόδε πρὸ τοῦδε. αὗται αἱ ἄλογοι τῆς ψυχῆς δυνάμεις. Philopon. in A. de anima, A 11.

βεληφόρος πρόβελος, ἀρχίβελος.

βελιμιᾷ λιμώττει, πεινῇ λίαν, ἀπὸ τοῦ βε ἐπιρρήματος, ὅπερ ἐπιτάσεώς ἐςι δηλωτικόν, ὡς καὶ ἐν τῷ βέπεινα ἡ μεγάλη πεῖνα, καὶ βεγάιος καὶ βέγλωσσος. τινὲς δὲ εἶδος νόσε φασίν, ἐν ᾗ πολλὰ ἐσθίοντες ἐ πληρᾶνται. sch. A Plut. 874?

βελιμιᾶν τὸ παρ' ἡμῖν. Ξενοφῶν δὲ (Anab. 4 5 8) βελιμιᾶν λέγει τὸ τὸν ςόμαχον ἐπιδάκνεσθαι ὑπὸ λιμοῦ. "συμπίπτει τε τὸ τῆς βελιμιάσεως πάθος χιόνος ἔσης πονᾶσι καὶ κτήνεσι καὶ ἀνθρώποις, εἴτε τοῦ θερμᾶ διὰ περίψυξιν καὶ πύκνωσιν, ὅταν ἐντὸς ἅπαν καθειρχθῇ, τὴν τροφὴν ἀθρόως ἀναλίσκοντος, εἴτε δριμεῖα καὶ λεπτὴ τῆς χιόνος διαδιδομένης ἰοῦσα πνοὴ τέμνει τὸ σῶμα καὶ διαφθείρει τὸ θερμὸν ἔξω αὖθις διαδιδόμενον."

βέλιμος, ἀρσενικῶς, ἡ ἐπιτεταμένη λιμός. "ἐπὶ δὲ τῆς ὁδᾶ πολλοὶ ἔπεσον ὑπὸ τᾶ

βαλίμα, καὶ χεῖρας καὶ πόδας ἀπεκαύθησαν." cf. v. ἀπεκαύθησαν.

Βοῦλις καὶ Σπέρχις Ἀθηναῖοι, οἳ αὐθαίρετοι ἐς Πέρσας ἀνῆλθον, δώσοντες δίκας ὑπὲρ τῶν κηρύκων Ξέρξου. cf. Herodot. 7 134.

βυλομένῳ γλιχομένῳ, ἐπιθυμοῦντι· "ὁ δὲ ἔφη θαυμάζων, ἐθελήσεις τί μοι μαντεύσασθαι; πάνυ γε, ἔφην, εἴ σοι βυλομένῳ ἐςίν." Ἀριςοφάνης (immo S Phil. 94) "βούλομαι δ', ἄναξ, καλῶς δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς."

βουλυτός ἡ δειλινὴ ὀψία, ὅτε οἱ βόες ἀπολύονται τῶν ἔργων. Ἀρριανός "γίνεται μάχη καρτερὰ ἔςε ἐπὶ βυλυτὸν ἀγχώμαλος." καὶ αὖθις Αἰλιανός (cf. v. ἀσκωλιάζειν) "καὶ ὁ μὲν ἔδρασε τὸ προςαχθέν, ὁ δὲ ὄρνις πρὸ βυλυτῦ ἐπ' ἀμφοῖν βαδίζων καὶ τὼ πτέρυγε κρύων καὶ βαίνων μακρὰ καὶ αἴρων τὸν τράχηλον καὶ τὸν λόφον ἐπισείων, οἷον ὁπλίτης γαῦρος, τὴν ἐς τὰ ἄλογα προμήθειαν ἀπεδείκνυτο."

βουμολγός ὁ τὰς βοῦς ἀμέλγων· (AP 6 255) "κέρας βυμολγὸς ταύρυ κλάσσεν ἀπὸ μαγέλου."

βοῦν ἐν γνάθοις φέρει, ἐπὶ τῶν πολυφάγων.

ἐπίγραμμα εἰς βοῦν καὶ τράγον ἐπὶ πίνακος ἀργυρῦ ἐγκεκολαμμένυς (AP append. 311) "πῶς βῦς ὑπάρχων αὔλακας γῆς ὐ τέμνεις, ἀλλ' ὡς πάροινος ἀγρότης ἀνεκλίθης; πῶς οὐχὶ καὶ σὺ πρὸς νομὰς ἀποτρέχεις, ἀλλ' ἀργυροῦν εἴδωλον ἕςηκας, τράγε; ἕςηκα τὴν σὴν ἐξελέγχων ἀργίαν."

βυνιτῆσι τοῖς βυκόλοις, τοῖς βοηλάταις. Callimachus.

βύνομοι ἐπιςροφαί (A Ran. 1429) ἤγυν ὑπὸ βοῶν κατανεμόμεναι.

βυνόμον τὴν βοῶν θρεπτικήν· (S El. 181) "βυνόμον ἔχων ἀκτάν."

Βυολῦσκοι. ὅτι Βυυολοῦσκοι πόλεμον κατὰ Ῥωμαίων ἐξήγειραν, καὶ πολλοῖς ζημιοῦνται σώμασι, καὶ πόλεις ἐπιφανεςάτας τῦ σφετέρυ γένυς ἀποβάλλυσι, Μαρκίυ νέυ παρὰ Ῥωμαίοις ἐπιφανῦς ὠσαμένυ ἐς μέσυς τὺς πολεμίυς, συνεισπεσόντος δὲ πυλῶν ἐντὸς τοῖς φεύγυσι, καὶ ἀναπετάσαντος τοῖς οἰκείοις τὴν εἴσοδον. ἐφ' οἷς πολλοῖς μὲν χρήμασι πολλοῖς δὲ σώμασιν αἰχμαλώτοις πρὸς τῦ μονάρχυ τιμώμενος τὰ μὲν ἄλλα διωθήσατο, ἠρκέσθη δὲ ςεφάνῳ τε ἀριςείῳ καὶ ἵππῳ πολεμιςηρίῳ, καὶ τῶν αἰχμαλώτων ἕνα τὸν αὑτοῦ φίλον αἰτήσας ἀφῆκεν ἐλεύθερον.

βύπαις ὁ νέος, ἐφῆλιξ, βυκόλος. καὶ αἱ μέλισσαι, ὅτι βοηγενεῖς εἰσίν· (AP 7 36) "αἰεί τοι βύπαισι περιςάζοιτο μελίσσαις τύμβος, Ὑμηττείῳ λειβόμενος μέλιτι." (Nicand. Th. 741) "ἵπποι γὰρ σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν."

Βύπαλος ὄνομα. Ἀριςοφάνης (Lys. 360) "εἰ νὴ Δία τις τὰς γνάθυς τύτων δὶς ἢ τρὶς ἔκοψεν ὥσπερ Βυπάλυ, φωνὴν ἂν ὐκ εἶχον." παρὰ τῷ Ἱππώνακτι "λάβετέ μυ θοἰμάτιον, κόψω Βυπάλυ τὸν ὀφθαλμόν" (cf. v. κόπτω).

βυπλὴξ πέλεκυς, μάςιξ, βούκεντρον... καὶ αὖθις "κέντρα τ' ὀπισθονυγῆ, καὶ βυςρόφα δεσμὰ τενόντων" (AP 6 104).

Βυργαὼν ὄρος περὶ τὴν ἑσπέραν, ἔνθα Βελισάριος διαφόρυς πολέμυς διήνεγκεν. cf. Procop. Vand. 2 12.

βῦς ἕβδομος, ἐπὶ τῶν ἀναισθήτων. οἱ a γὰρ πένητες ἔμψυχον μὴ ἔχοντες θῦσαι ἔπλαττον ἐξ ἀλεύρου. θυομένων δὲ τῶν ἓξ ἐμψύχων, προβάτυ ὑὸς αἰγὸς βοὸς ὄρνιθος χηνός, ἐθύετο ἕβδομος ὁ ἐξ ἀλεύρυ, καὶ διὰ τὸ εἶναι αὐτὸν ἄψυχον ἐξεδόθη εἰς παροιμίαν.

βῦς ἕβδομος πέμματα κέρατα ἔχοντα b κατὰ μίμησιν τῆς πρωτοφαῦς σελήνης. ἐκάλυν δὲ αὐτὸ βῦν, προςιθέντες καὶ τὸ ἕβδομον, ὅτι ἐπὶ ἓξ ταῖς σελήναις ἐπεθύετο ὗτος ἕβδομος, ὡς Εὐθυκλῆς ἐν Ἀταλάντῃ. ὁμοίως δὲ καὶ αἱ σελῆναι πέμματα πλατέα κυκλοτερῆ, ἃ καὶ ὗτως ἐκάλυν· ἔςι δὲ παρὰ Εὐριπίδῃ ἐν Ἐρεχθεῖ καὶ παρ' Ἀχαιῷ ἐν Ἴριδι. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἄγαν ἀναισθήτων. cf. v. ἀνάςατοι.

βῦς ἐν αὐλίῳ κάθῃ, παροιμία ἐπὶ τῶν ἀχρήςων.

βῦς ἐπὶ γλώττης, ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι, ἢ διὰ τὴν ἰσχὺν τῦ ζῴυ, ἢ διὰ τὸ τῶν Ἀθηναίων νόμισμα βῦν ἔχειν ἐγκεχαραγμένον, ὅπερ ἐκτίνειν ἔδει τὺς παρρησιαζομένους.

βῦς ἐπὶ σωρῷ, ἐπὶ τῶν ἡδυπαθύντων, ἢ ἐπὶ τῶν ἀλοώντων καὶ διὰ φιμῦ ἐσθίειν κωλυομένων. καὶ βῦς εἰς ἄμητόν, ἐπὶ τῶν μετ' ὠφελείας καμνόντων.

βῦς Κύπριος, ἐπὶ τῦ χυδαίυ καὶ ἀναισθήτου· φασὶ γὰρ τοὺς Κυπρίους βόας κοπροφαγεῖν.

βοῦς ὁ Μολοττῶν, ἐπὶ τῶν εἰς πολλὰ διῃρημένων καὶ κατακοπτομένων πράγματα· οἱ γὰρ Μολοττοὶ ἐν τοῖς ὁρκωμοσίοις κατακόπτοντες εἰς μικρὰ τὰς βοῦς τὰς συνθήκας ἐποιοῦντο.

βοῦς ὑπὸ ζυγόν, ἐπὶ τῶν ἀεὶ μοχθέντων.

βούσταθμον καὶ *βουστάδιον* τὸ βοοστάσιον.

Βουτάδης. δῆμός ἐστι τῆς Οἰνηΐδος Βουτία, ἀφ᾽ ἧς Βουτάδαι οἱ δημόται. Harp.

Βουταλίων καὶ Κόροιβος καὶ Μελητίδης ἐπὶ μωρίᾳ διεβέβληντο· Ἀριστοφάνης ⟨Ran. 999⟩ "τέως δ᾽ ἀβελτερώτατοι κεχηνότες Μαμμάκυθοι Μελητίδαι κάθηνται."

βούτας βοονόμος. ⟨AP 6 255⟩ "αὐτὰρ ὃ βούτεω ἀντίος ἐκ πλαγίων ἵεθ᾽· ὃ δὲ ῥοπάλῳ γυρὸν ἀπεκράνιξε βοὸς κέρας."

Βούτης. οὗτος τὴν ἱερωσύνην ἔσχε, καὶ οἱ ἀπ᾽ αὐτοῦ Βουτάδαι ἐκλήθησαν. καλοῦνται δὲ καὶ Ἐτεοβουτάδαι οἱ ἀπόγονοι τοῦ Βούτου· τὸ γὰρ ἐτεὸν τὸ ἀληθὲς δηλοῖ. Harp.

βούτομον φυτάριον παραπλήσιον καλάμῳ, ὅπερ ἐσθίουσιν οἱ βόες. sch. A Av. 663.

βουτόροις ⟨an βουπόροις⟩ τοῖς πλήττουσι τοὺς βόας· "Μαυρούσιοι ἔχουσι δόρατα βουτόροις ὀβελοῖς ἴσα."

βουτύπος βουθύτης, ὁ τοὺς βόας βάλλων πελέκει.

a *βουφόνια* ἑορτὴ παρὰ Ἀθηναίοις πάνυ ἀρχαία· ἐν γὰρ τοῖς διιπολείοις φασὶ τὸν βοῦν τὸ πόπανον φαγεῖν τὸ παρεσκευασμένον εἰς τὴν θυσίαν, Θαύλωνα δέ τινα, ὡς εἶχε, τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν, ὡς καὶ Ἀνδροτίων φησί. cf. v. Θαύλων.

b *βουφόνια* ἑορτὴ παλαιά, ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια· ὅτε καὶ τὸν βοῦν ἔθυον εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος ἐν ἀκροπόλει βοός, ἁψαμένου τοῦ πελάνου ἐν τῇ θυσίᾳ τῶν διιπολείων.

βουφόρτων πολυφόρτων· ⟨AP 6 222⟩ "μέγα πλευρὸν ἀνῆψαν δαίμοσι βουφόρτων κοίρανοι εἰκοσόρων."

βουχανδὴς βοῦν χωρῶν· ἐν ἐπιγράμμασι ⟨AP 6 153⟩ "βουχανδὴς ὁ λέβης, ὁ δὲ θεὶς Ἐριασπίδα υἱὸς Κλεύβοτος."

Βούχετα πόλις ἐστὶ τῆς Ἠπείρου, οὐδετέρως καὶ πληθυντικῶς λεγομένη· ἥν φησι Φιλόχορος ⟨an Φιλοστέφανος⟩ ὠνομάσθαι διὰ τὸ τὴν Θέμιν ἐπὶ βοὸς ὀχουμένην ἐλθεῖν ἐκεῖ κατὰ τὸν Δευκαλίωνος κατακλυσμόν.

βουχίλου· ⟨AP 6 108⟩ "πᾶνες βουχίλου κράντορες Ἀρκαδίης," τουτέστιν εὐτρόφου.

βοῶμεν ὀμόσωμεν, καὶ *βοώμενον* ἐπικαλούμενον.

βοώνης. οὗτος παρὰ τῆς πόλεως ᾑρεῖτο, ἵνα βοῦς αὐτῇ πρίηται πρὸς τὰς θυσίας. ἦν δὲ λαμπρὸν τὸ βοώνην γενέσθαι, ἐπειδὴ στρατηγούς φασι βοώνας μάλιστα χειροτονεῖσθαι.

βοῶπις μεγαλόφθαλμος, εὐόφθαλμος.

Βοώτης ἄστρον πλησίον τῶν ἄρκτων. ὁ a
δ᾽ αὐτὸς καὶ ἀρκτοφύλαξ καλεῖται.

Βοώτης. αἱ μέγισται ἀρχαὶ παρὰ Ἀθη- b
ναίοις ἀπὸ τούτων ἐχειροτονοῦντο.

βοωτίαις· "καὶ τινῶν βοωτίαις ἐφεστώτων, τῶν δὲ ἄλλων τῶν περὶ βασιλέα τοῖς ἐρύμασι νενεμημένων" Κρίτων ἐν τοῖς Γετικοῖς.

βραβεῖς οἱ ἐν τοῖς ἀγῶσι κήρυκες· Σοφοκλῆς ⟨El. 690⟩ "ὅσων γὰρ εἰσεκήρυξαν βραβεῖς δρόμων διαύλων πένταθλ᾽, ἃ νομίζεται."

βραβεύει, δυτικῇ, ἐπιψηφίζεται, διανέμει. "καλῶς δέ σφισι τοῦ δαιμονίου βραβεύσαντος τὰ κατὰ τὸν πλοῦν."

βραβευτὴς διοικητής, κριτής, ὁριστής. καὶ *βραβεῖον* ἐπινίκιος ἀμοιβή.

Βραγχίδαι. ὅτι οἱ ἐν Διδύμοις τῆς Μιλησίας οἰκοῦντες Ξέρξῃ χαριζόμενοι τὸν νεὼν τοῦ ἐπιχωρίου Ἀπόλλωνος τοῖς βαρβάροις πρόδοσαν, καὶ ἐσυλήθη τὰ ἀναθήματα πάμπλειστα ὄντα. δεδιότες οὖν οἱ προδόται τὴν ἐκ τῶν νόμων καὶ τῶν ἐν ἄστει τιμωρίαν, δέονται Ξέρξου μισθὸν λαβεῖν τῆς κακίστης ἐκείνης προδοσίας μετοικισθῆναι ἐν χώρῳ τινὶ Ἀσιανῷ. ὁ δὲ πείθεται, καὶ ἀνθ᾽ ὧν εἶχε κακῶς καὶ ἀσεβῶς, ἔδωκεν αὐτοῖς οἰκεῖν ἔνθεν οὐκ ἔμελλον ἐπιβήσεσθαι τῆς Ἑλλάδος ἔτι, ἀλλ᾽ ἔξω τοῦ δέους ἔσεσθαι τοῦ κατειληφότος αὐτοί τε καὶ τὸ ἐκείνων γένος. κᾆτα λαχόντες δὴ τὸν χῶρον ἐν οἰωνοῖς οὐδαμῇ χρηστοῖς πόλιν ἐγείρουσι, καὶ τίθενται Βραγχίδας ὄνομα αὐτῇ, καὶ ᾤοντο μὴ μόνους ἀποδρᾶναι Μιλησίους ἀλλὰ καὶ τὴν δίκην αὐτήν. οὐ μὴν ἐκάθευδεν ἡ τοῦ θεοῦ πρόνοια· Ἀλέξανδρος γὰρ ὅτε τὸν Δαρεῖον νικήσας τῆς Περσῶν ἀρχῆς ἐγκρατὴς ἐγένετο, ἀκούσας τὰ τολμηθέντα καὶ μισήσας αὐτῶν τὴν τοῦ γένους διαδοχήν, ἀπέκτεινε πάντας, κακοὺς εἶναι κρίνων τοὺς τῶν κακῶν ἐκγόνους, καὶ τὴν ψευδώνυμον πόλιν κατέσκαψε, καὶ ἠφανίσθησαν." Aelianus?

βραδύς ὁ μὴ ἀγχίνους. "κἀπιλήσμων καὶ βραδύς" Ἀριστοφάνης Νεφέλαις (129)· οὐ γὰρ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληπται νῦν, ἀλλὰ τὸ μὴ ἀγχίνουν καὶ νωθὲς τῆς διανοίας θέλει δηλοῦν.

βράχανα ἄγρια καὶ δύσπλυτα λάχανα.

Βρασίδας ὁ Τέλλιδος, Λακεδαιμόνιος στρατηγός, Μεθώνην ἀποστᾶσαν πρὸς Ἀθηναίους πολεμήσας ἀνεκαλέσατο. ἠρίστευσε δὲ καὶ περὶ Πύλον στρατηγῶν, πρῶτος τῆς νηὸς ἐκπηδήσας· οὗ καὶ ἐτρώθη καὶ τὴν ἀσπίδα ἀπώλεσεν. ἐπὶ τούτοις σπονδαὶ ἐγένοντο ἐνιαύσιοι, ἃς Ἀθηναῖοι λύειν ἤρξαντο. περὶ δὲ Ἀμφίπολιν καὶ Θρᾴκην εὐδοκιμοῦντα αὐτὸν οἰκιστὴν ἀντὶ Ἅγνωνος ἐπεγράψαντο. ὁ δὲ πόλεμος ὁ μέχρι τῆς Βρασίδου καὶ Κλέωνος τελευτῆς ἔτη ἐπέσχε δέκα, ἐκλήθη δὲ Ἀρχιδάμιος. "αἰτίας" δὲ περὶ αὐτοῦ "προστιθέντες ὡς φρονεῖ τὰ Βρασίδα" (A Pac. 641) ἀντὶ τοῦ τὰ Λακεδαιμονίων.

βρασμὸς γῆς, ὅταν καχλάζῃ μετὰ κινήματος, ἐκτιναγμὸς δέ, ὅταν ἀναρριπτῆται.

βράσσει ζέει, ἀναβάλλει.

Βραυρὼν τόπος τῆς Ἀττικῆς, ἐν ᾧ τὰ Διονύσια ἤγοντο καὶ μεθύοντες πολλὰς πόρνας ἥρπαζον. καὶ Ἀριστοφάνης (Pac. 863) "ὦ δέσποτα, ὅσην ἔχει τὴν πρωκτοετηρίδα." εἴρηται δὲ διὰ τὸ διὰ πενταετηροῦς χρόνου ἄγεσθαι τὰς θεωρίας τῶν Διονυσίων. ἔστιν ἐν τῷ ἄρκτος.

βραχίων τροπικῶς ἡ δύναμις, ἐπειδὴ δι' αὐτοῦ ἐργάζεσθαι πεφύκασιν οἱ ἄνθρωποι. Δαβὶδ "ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται." Theodoret. in Ps. 36 18.

Βραχμὰν βασιλεὺς ὁ καὶ τῇ χώρᾳ δοὺς τὴν προσηγορίαν, ἔγραψε νόμους Βραχμάνων καὶ πολιτείαν τοῦ αὐτοῦ ἔθνους ἰδίᾳ διαλέκτῳ.

ὅτι οἱ Βραχμᾶνες ἔθνος ἐστὶν εὐσεβέστατον καὶ βίον ἀκτήμονα σφόδρα κεκτημένον, ἐς νῆσον τοῦ ὠκεανοῦ κατοικοῦν, καὶ τὸν κλῆρον τοῦτον ἐκ τῶν τοῦ θεοῦ κριμάτων κληρωσάμενον. ἐν ᾧ τόπῳ παραγενόμενος Ἀλέξανδρος ὁ Μακεδὼν καὶ στήσας στήλην ἐπέγραψεν "ἐγὼ μέγας Ἀλέξανδρος βασιλεὺς ἔφθασα μέχρι τούτου." ἐν ᾗ νήσῳ κατοικοῦσιν οἱ μακρόβιοι· ζῶσι γὰρ ρν' ἔτη διὰ τὴν πολλὴν καθαρότητα καὶ εὐκρασίαν τοῦ ἀέρος. παρ' οἷς οὐδὲν τετράποδον ἐστίν, οὐ γεώργιον, οὐ σίδηρος, οὐκ οἰκοδομή, οὐ πῦρ, οὐ χρυσός, οὐκ ἄργυρος, οὐκ ἄρτος, οὐκ οἶνος, οὐ κρεωφαγία, ἀλλ' ἔχοντες τὸν ὑγρὸν καὶ γλυκὺν καὶ εὔκρατον ἀέρα καὶ πάσης ἀρρωστίας καὶ φθορᾶς ἀπηλλαγμένον, καὶ σμικρᾶς ὀπώρας καὶ διειδεστάτου ὕδατος ἀπολαύοντες, σέβονται γνησίως θεὸν καὶ ἀδιαλείπτως προσεύχονται. καὶ οἱ μὲν ἄνδρες πρὸς τὸ μέρος τοῦ ὠκεανοῦ προσπαροικοῦσιν, αἱ δὲ γυναῖκες ἐντεῦθέν εἰσι τοῦ Γάγγου παραρρέοντος εἰς τὸν ὠκεανὸν ἐπὶ τὸ μέρος τῆς Ἰνδίας. οἱ οὖν ἄνδρες περῶσι πρὸς τὰς γυναῖκας Ἰουλίῳ καὶ Αὐγούστῳ μηνί· παρ' οἷς ὑπάρχουσι ψυχρότεροι, τοῦ ἡλίου πρὸς ἡμᾶς καὶ βορρᾶν ὑψωθέντος. οἵγε καὶ εὐκαρπότεροι γινόμενοι πρὸς οἶστρον αὐτοὺς κινεῖν λέγονται. ὅπερ δὴ καὶ τὸν Νεῖλόν φασιν οὐ κατὰ ταὐτὸν τοῖς ἄλλοις ποταμοῖς πλημμυρεῖν, ἀλλὰ μεσοῦντος τοῦ θέρους ἐπικλύζειν τὴν Αἴγυπτον, ὡς τοῦ γε παντὸς ἡλίου τὴν βορειοτέραν διαθέοντος ζώνην, καὶ τοῖς ἄλλοις μὲν παρενοχλοῦντος ποταμοῖς καὶ συγκρύβοντος, τούτου δὲ πλεῖστον ἀπέχοντος. καὶ ποιήσαντες μετὰ τῶν γυναικῶν ἡμέρας μ' πάλιν ἀντιπερῶσι. τῆς δὲ γυναικὸς δύο παῖδας γεννησάσης οὐκέτι ὁ ἀνὴρ ἀντιπερᾷ πρὸς αὐτήν· οὔτε μὴν ἐκείνη πλησιάζει ἄλλῳ διὰ πολλὴν εὐλάβειαν. εἰ δὲ συμβῇ στεῖραν ἐν αὐταῖς εὑρεθῆναι, μέχρι πενταετίας διαπερῶν ὁ ἀνὴρ αὐτῆς καὶ συγγινόμενος αὐτῇ, ἐὰν οὐ τέκῃ, οὐκέτι πλησιάζει αὐτῇ. διὰ τοῦτο οὐδὲ πολυάνθρωπός ἐστιν αὐτῶν ἡ χώρα, διὰ τὴν ὀλιγοδεΐαν. cf. Pallad. de Brachman. p. 7.

βραχυμυθίας βραχυλογίας. καὶ βραχέσιν ἀντὶ τοῦ εὐτελέσι.

βραχυτελῆ σύντομον, μικρόν.

βραχυφεγγίτης ὁ ὀλιγοφαής· (AP 6 251) "καὶ βραχυφεγγίτου λύχνου σέλας."

βρέβιον, βραβεῖον δέ.

βρέγμα καὶ βρεγμὸν τὸ ὑπερμετώπιον μέρος· "πλήξας αἰγανέᾳ βρέγμα κυναγέτιδι" ἐν ἐπιγράμμασι (AP 6 115).

βρεκεκὲξ κοὰξ κοὰξ ἐφύμνιον παρὰ Ἀριστοφάνει ἐν Βατράχοις (210), μίμημα φωνῆς βατράχων.

βρέμει ταράσσει, ἠχεῖν ποιεῖ.

βρενθύεσθαι διὰ θυμὸν μετεωρίζεσθαι, ἢ προσποιεῖσθαι ὀργίζεσθαι· (Theophyl. Sim. 1 3) "ὁ δὲ σοβαρευόμενος πολλῷ μᾶλλον κατεβρενθύετο." καὶ βρενθύεται ἐπαίρεται. βρένθος δὲ εἶδος μύρου, ᾧ χριόμεναι αἱ γυναῖκες μέγα φρονοῦσι. καὶ βρενθύῃ

σεμνύνῃ καὶ μέγα φρονεῖς ἐφ' ἑαυτῷ. οἱ γὰρ ἀποδεδωκότες ἑαυτοῖς σοβαρῶς τε βαδίζουσιν, ὡς τοῦ μὲν Προδίκου ὄντος σοφοῦ, τῦ δὲ Σωκράτους κενὴν μόνον ἐπὶ σοφίᾳ δόξαν καρπουμένου. Ἀριςοφάνης Νεφέλαις (361)· "βρενθύῃ ἐν ταῖσιν ὁδοῖς καὶ τὠφθαλμὼ παραβάλλῃ." ἀποσεμνύνεις σεαυτὸν τῷ σχήματι, καὶ ταυρηδὸν ὁρᾷς, ἢ ἀλαζονικῶς. ἡ μεταφορὰ ἀπὸ βρενθείου μύρου. καὶ βρενθυόμενος ἐπαιρόμενος, μέγα φρονῶν· Ἀγαθίας (5 16) "οἱ δὲ μειζόνως ἤπερ ἐχρῆν ἐπὶ τοῖς φθάσασι βρενθυόμενοι τῶν ἐν ποσὶ κατωλιγώρυν," καὶ αὖθις (Menand. p. 291 Nieb.) "ὃ δὲ εἰς τὴν βασιλίδα ἐπορεύετο ἐξωγκωμένος καὶ μάλα βρενθυόμενος."

βρέτας εἴδωλον, ἄγαλμα, παρὰ τὸ βροτῷ ἐοικέναι. (A Eq. 31) "προσπεσεῖν ποι πρὸς βρέτας" πρὸς τέμενος ἢ πρὸς ἕδος ἢ πρὸς ἄγαλμα θεῶν ἱκέτας γενέσθαι.

βρέχειν ἐπὶ τῦ πίνειν λέγεται. καὶ ὑποβεβρεγμένος ὁ μεμεθυσμένος. Athen. p. 23.

Βρῆννον. "ὡς ἂν ··· Φεβρυάριον." cf. v. Φεβρυάριος.

Βριάρεω.

βριαροί βαρεῖς, ἄγριοι, ςερεοί, φοβεροί.

βριθομένη (Hom. Θ 307) βαρυνομένη διὰ πλῆθος ὧν ἔφερεν. ἐν ἐπιγράμμασι (AP 6 27) "γήραϊ νουσοφόρῳ βριθομένης παλάμης."

βρῖθον (Hom. ι 219) ἀντὶ τῦ ἔβριθον.

βρῖθος βάρος· "τὺς πύργυς ἀμήχανον ἑλεῖν, μήτε ἀνατραπῆναι ῥαδίως διὰ τὸ βρῖθος μήτ' ἐμπρησθῆναι διὰ τὸν σίδηρον." καὶ αὖθις (A Ran. 1422) "σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον."

βρίθων, γενικῇ καὶ δοτικῇ, εὐθηνῶν ἢ βαρῶν· "τεῖχος ἀνδρῶν τε καὶ ὅπλων βρῖθον."

βριμάζων τῇ τῦ λέοντος χρώμενος φωνῇ.

βριμήσαιο ὀργισθείης· "ὡς εἰ σὺ βριμήσαιο ὀςρακίνδα, νύκτωρ κατασπάσαντες ἂν τὰς ἀσπίδας τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν" (A Eq. 851), ἀντὶ τῦ, εἰ βεληθείης αὐτὸν ἐξορίσαι, τὰ σιτοφυλακεῖα κατάσχοιεν.

βριμύμενος ὀργιζόμενος· (Aelianus: cf. v. ἐθέλγετο) "ὁ μὴν ἐθέλγετο ὁ ὕπατος τοῖς ὑπηρέταις σὺν ὀργῇ βριμύμενος." καὶ βριμῦται ἀπειλεῖ. καὶ βριμυμέναις ἦχον ἀποτελέσαις· "μύλη γάρ τις ἦν αὐτόθι. ὁπότε ὂν οἱ ἄνω ςρατιῶται τὸ αὐτὸ ποιεῖν ἤρχοντο, τότε κἀκεῖνοι ἔσειον τὴν μύλην· ὑπὸ γὰρ ταῖς πολλαῖς μύλαις βριμυμέναις ὁ τῆς μιᾶς ψόφος ῥᾳδίως ἐλάνθανεν." cf. v. ἄλφιτα.

βρόγχος καταπότης, ὁ λάρυγξ.

Βρόμιος ὁ Διόνυσος, ὁ γενεσιυργὸς τῶν καρπῶν, παρὰ τὸ βορὰ βόριμος, καὶ ὑπερθέσει βρόμιος.

βρόμος ἦχος πυρὸς κυρίως. "καὶ κούφοιο βαρὺν τυπάνου βρόμον" ἐν ἐπιγράμματι (AP 6 165), καὶ αὖθις (AP 7 8) "οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν."

βροντή νεφῶν ψόφος ἐκ παρατρίψεως ἢ ῥήξεως (Diog. L. 7 153). ἔςι δὲ καὶ μηχάνημά τι ὃ ἐκαλεῖτο βροντεῖον, ὑπὸ τὴν σκηνὴν δὲ ἦν ἀμφορεὺς ψηφῖδας ἔχων θαλαττίας· ἦν δὲ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψῆφοι κατήγοντο, καὶ κυλιόμεναι ἦχον ἀπετέλουν ἐοικότα βροντῇ. sch. A Nub. 294.

βροτοειδέσιν ἀνθρωπίναις.

βροτόεντα (Hom. Z 480) ᾑμαγμένα.

βροτολοιγός ὁ ὀλέθριος, ὁ τοὺς βροτοὺς ὀλοθρεύων. ἐν ἐπιγράμματι (AP 6 91) "Ἄρες βροτολοιγέ, σκῦλα φέρειν δῄοις πᾶσιν ἀπ' ἀντιπάλων."

βροτολοιγός ὁ τοὺς βροτοὺς διαφθείρων· (Procop. Arc. 12) "ὥσπερ οἱ ποιηταὶ λέγουσι, βροτολοιγὼ ἤςην."

βροτός φθαρτὸς ἄνθρωπος, βρότος δὲ τὸ μετὰ κονιορτοῦ αἷμα.

βρουμάλια. ταῦτα ἐπενόησε Ῥῶμος, ἐπειδὴ αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ Ῥῆμος ἐκ πορνείας γενόμενοι ἐξερρίφησαν καὶ παρὰ γυναικὸς ἀνετράφησαν. ὄνειδος δὲ ἦν Ῥωμαίοις τὸ ἐξ ἀλλοτρίων ἐσθίειν. ἕκαςος ἐν τοῖς συμποσίοις τὸ ἴδιον βρῶμα καὶ πόμα ἐκόμιζε πρὸς τὸ μὴ ἀκούειν ἀλλοτριοφάγοι. οὗ δὴ χάριν ἐπενόησε Ῥῶμος τὰ βρυμάλια, εἰρηκὼς ἀναγκαῖον εἶναι τρέφειν τὸν βασιλέα τὴν ἑαυτοῦ σύγκλητον ἐν τῷ χειμῶνι, ὅτε ἠρεμοῦσιν ἐκ τοῦ πολέμου, ἀρξάμενος ἀπὸ τοῦ α ἕως τοῦ ω, κελεύσας καὶ τὴν σύγκλητον καλεῖν τοὺς ςρατιώτας. καὶ μέλλοντες οἱ ςρατιῶται ἀπιέναι ηὔλουν ἀφ' ἑσπέρας πρὸς τὸ γνῶναι ὅπου τραφήσονται. καὶ τῦτο ἐπενόησε πρὸς τὸ ἀπαλλαγῆναι τῆς ὕβρεως αὐτοῦ ὁ Ῥῶμος, καλέσας τὸ ὄνομα τῦ ἀρίςου Βρουμαλιούμ, ὃ ἔςι ῥωμαϊςὶ ἐκ τῶν ἀλλοτρίων τραφῆναι. Malalas p. 179.

Βρούτιδες γυναῖκες οὕτω καλούμεναι, οἱονεὶ Σίβυλλαι καὶ προφήτιδες. πάσας δὲ τὰς ἐνθουσιώσας Σιβύλλας ἐκάλουν.

Βροῦτος στρατηγὸς Ῥωμαίων ἔγραψεν ἐπιστολὰς καὶ τῶν Πολυβίου τοῦ ἱστορικοῦ βίβλων ἐπιτομήν. θαυμάζεται δὲ εἰς τὴν τῶν ἐπιστολῶν ἰδέαν ἤγουν χαρακτῆρα.

βροῦχος ἡ κάμπη.

βρόχοις σχοινίοις· "οἳ μὲν οὖν βρόχοις τισὶν ἐνάψαντες νύκτωρ ἀπὸ τοῦ περιβόλου καθῆκαν," καὶ αὖθις "διὰ τῶν βρόχων ἐς τὰς ἐπάλξεις ἀνέβαινον."

βρόχος τὸ τῆς ἀγχόνης σχοινίον. "ὃ δὲ ἤδη μεμηχανημένος ἀγχόνην, τὸν βρόχον ἐνδεδυμένος." καὶ αὖθις "ἣ δὲ ὑπὲρ τῆς ἀσεβοῦς μίξεως ἀλλαξαμένη βρόχον."

βρυάζει θάλλει, τρυφερῶς διάκειται, εὐφραίνεται.

βρυγμός τρισμὸς ὀδόντων, ἢ μυλῶν ἀλόησις.

a **βρύει** δοτικῇ· "δέδοικα μὴ βρύων ἕλκεσιν εἰσάγῃς τὸ ἀνιάτρευτον." καὶ μετὰ γενικῆς "βρύει φυτῶν καὶ ἀνθέων."

b **βρύει** ἀνθεῖ, τέθηλεν· "ὃ δὲ εὐθὺ Λιβάνου τοῦ ὄρους ἀνέδραμεν, καὶ τὸ ὑποκείμενον πεδίον στάχυσι βρύον τοξεύει πυρί, καὶ τὸ λήιον πᾶν τέφραν ᾤετο γεγονέναι." cf. v. κατὰ σπουδήν.

βρύκοντα τρώγοντα, κατεσθίοντα· (AP 6 263) "ἄρτι καταβρύκοντα τὸν εὐθηλήμονα μόσχον."

a **βρύκουσα** τοὺς ὀδόντας τρίζουσα· "εἶπεν ὀδόντα ὀξὺν ἐπιβρύκουσ', οἷα Λάκαινα γυνή" (AP 7 433).

b **βρύκουσα** ἐσθίουσα, δάκνουσα, παρὰ τὴν βοράν, οἱονεὶ βορύκουσα· "βρύκουσ' ἀπέδεσθαί φησί με τοὺς δακτύλους" Ἀριστοφάνης Ὄρνισι (26), καὶ ἀλλαχοῦ (Lys. 367) "βρύκουσά σου τοὺς πλεύμονας καὶ τἄντερ' ἐξαμήσω."

βρύλλων ὑποπίνων, ἀπὸ τοῦ τοῖς παιδίοις λεγομένου. Ἀριστοφάνης (Eq. 1123) "βρύλλων τὸ καθ' ἡμέραν. κλέπτοντά τε βούλομαι τρέφειν ἕνα προστάτην. τοῦτον δ', ὅταν ᾖ πλέως, ταπεινώσας ἐπάταξα." Φαεινὸς ἀντὶ τοῦ ὅταν γένηται πλήρης, τουτέστιν ὅταν ηὐξῆσθαι δοκῇ καὶ μέγας εἶναι, τοῦτον ταπεινὸν ἐποίησα. τουτέστιν, ἐάσας πληθῆσαι δημεύσω.

βρύσις.

βρύτια τὰ τῆς σταφυλῆς πιέσματα, ἅ τινες στέμφυλα λέγουσιν. Athen. p. 56.

Βρυτίδαι ὄνομα γένους Ἀττικοῦ.

βρύχιος βυθιζόμενος ὕδατι. "ἐπὶ Ἡρακλείου βασιλέως σ' χιλιάδες ἀνδρῶν διεφθάρησαν ἐν τῷ πρὸς Ἰσαύρους πολέμῳ. ὁ δὲ βασιλεὺς Ἡράκλειος χρήματα πλεῖστα καὶ χρυσὸν καὶ ἄργυρον καὶ λίθους πολυτελεῖς πέμπει, ἅπερ βρύχια γέγονεν ἐπὶ Σεργίου πατριάρχου" (Nicephor. brev. p. 19). καὶ **ἔμβρυον** τὸ ἐγγάστριον βρέφος. καὶ **ἐμβρυοῖκος** ἡ ἄγκυρα ἡ τὸν βυθὸν οἰκοῦσα· ἐν ἐπιγράμματι (AP 6 90) "ἄγκυραν ἐμβρυοῖκον ἐρυσινηΐδα."

βρυώδης δυσώδης.

βρωμᾶσθαι τὸ ὀγκᾶσθαι πεινῶντα ὄνον (sch. A Vesp. 615). καὶ **βρῶμα** ἡ φωνή. καὶ **βρωματίζω** αἰτιατικῇ.

βρώμης (Hom. κ 177) βρώσεως, τροφῆς.

βρωτόν βρῶσιν, τροφήν· Ξενοφῶν (Anab. 4 5 8) "ὃ δὲ περιιὼν ἐπὶ τὰ ὑποζύγια, εἴ τί που ὁρῴη βρωτόν, ἐδίδου τοῖς βουλιμιῶσι."

βύας εἶδος ὀρνέου νυκτερινοῦ. καὶ "βύας ὤφθη" καὶ "βύαι ὤφθησαν" Δίων ἐν Ῥωμαϊκοῖς, ἐν τέρατος λόγῳ τοῖς Ῥωμαίοις ταῦτα ἐπιφαίνεσθαι πολλάκις λέγων. σημαίνει δὲ συμφοράς.

Βύβλις ὄνομα κύριον, ἀδελφὴ Καύνου· ἀμφότεροι δυστυχήσαντες.

βύβλον πάπυρον. Αἰλιανός (cf. v. φάκελλον) "κελεύει τὸν μὲν ἀποδόσθαι τῷ Νικάνορι φάκελλον βύβλου τετρακοσίων χρυσῶν, ἐὰν δὲ μὴ ἐθέλῃ, ἀεὶ προσεπιτιμᾶν καὶ ἐπαιτεῖν τοῦ χρυσίου προστιθέντα, ἕως ἂν ἀπειπὼν δῷ ὅσον ἂν αἰτηθεὶς τύχῃ τῇ ἐπὶ πάσαις φωνῇ." καὶ παροιμία (Aeschyl. Suppl. 768) "βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν μέγαν," ἐπὶ τῶν οὐ δυναμένων τοῖς ἰδίοις χρῆσθαι καλοῖς, παρ' ὅσον ἀσθενὴς οὖσα ἡ βύβλος οὐ δύναται μέγαν φέρειν καρπόν.

Βυζάντιον. ὅτι τὸ Βυζάντιον ἐπὶ Σεβήρου τοῦ βασιλέως Ῥωμαίων τετείχιστο γενναίῳ τείχει, πεποιημένῳ μυλίτῃ λίθῳ, ἐς τετράγωνον εἰργασμένῳ (Herodian. 3 1 6). ἑπτὰ μὲν γὰρ ἦσαν ἀπὸ τῶν Θρᾳκίων πυλῶν πύργοι πρὸς τὴν θάλασσαν καθήκοντες· τούτων δὲ ἤν τις τῷ πρώτῳ ἐνεβόησέ τι ἢ λίθον ἔρριψεν, αὐτός τε ἤχει καὶ ἐλάλει καὶ τῷ δευτέρῳ τοῦτο ποιεῖν παρεδίδου, καὶ οὕτως διὰ πάντων ἐχώρει (Dio Cass. 74 14).

βύζην ἀθρόως, πυκνῶς, ἐπαλλήλως, πεπυκνωμένως· Ἀρριανός (1 19) "κατὰ τὸ σόμα τοῦ λιμένος, ᾗ σενώτατον ἦν, βύζην τὰς τριήρεις ὁρμίζοντες." "ὁ δὲ τὰ φρέατα φορυτῷ καὶ τῇ ἐπιτυχούσῃ ὕλῃ βύζην ἐνέπλησε."

βυθίζω αἰτιατικῇ.

βυκάνη ὄργανον μυσικόν. καὶ βυκάνην ἐξ ἀργύρυ εὗρε Μωυσῆς. ἐγένοντο δύο, καὶ τῇ μὲν πρὸς παρακέλευσιν καὶ συλλογὴν ἐχρῶντο, τῇ δὲ συνελθεῖν ἀρχάς. Ioseph. A. I. 3 12 6.

βύουσι φράττουσι, καλύπτουσιν· ἔνθεν καὶ ἀκρόβυσος ὁ τὸ ἄκρον βεβυσμένον ἔχων. Πισίδης "ἐρῶ δέ σοι νῦν, εἴπερ οὐ βύειν θέλεις."

βυρσαίετος ὁ Κλέων. συντέθειται δὲ ἡ λέξις ἀπὸ τῆς βύρσης καὶ τοῦ ἀετοῦ. ἅμα μὲν ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα καὶ ὡς κλέπτην καὶ ἅρπαγα τῶν κοινῶν· ἁρπακτικὸν γὰρ τὸ ζῷον ὁ ἀετός. σκυτοδέψης Ἀττικόν, βυρσοδέψης δὲ Ἀσιανόν. ἢ Παφλαγὼν βυρσεύς. σημαίνει δὲ τὸ ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα καὶ πλείοσιν ἡμέραις ἐᾶν αὐτὰ εἰς τὸ φάρμακον, ἵνα διαλάβοιεν, ἀπὸ τῆς ὀσμῆς τοῦ ὕδατος καὶ τῶν δερμάτων μολυνομένων ἄχαρι ὀδωδέναι. διαβάλλει ὖν ὡς δύσοσμον, ἄλλως τε καὶ τὴν εὐτέλειαν δεικνὺς Κλέωνος, ἀφ' οἵας τύχης ὁρμώμενος πρωτεύει τῶν Ἀθηναίων. sch. A Eq. 197 et 44.

βυρσοδέψης σκυτοτόμος, ὁ τὰς βύρσας θεραπεύων.

βυσαύχην ὁ τοὺς ὤμους συνέλκων ἐπὶ τὸν τράχηλον.

βύσσινον βύσσῳ βεβαμμένον· (AP 6 265) "δέξαι βύσσινον εἷμα, τό τοι μετὰ παιδὸς ἀγαυᾶς ὕφαινε."

βυσσοδομοῦντες ἐκ βάθυς σκεπτόμενοι. καὶ βύσσωμα· (AP 6 33) "θύννων εὐκλώσοιο λίνυ βυσσώμασι ῥόμβον ῥάξαντες γλαυκαῖς ἐν παρόδοις πελάγευς."

βυσσόν βάθος, ὀξυτόνως. βαρυτόνως δὲ σημαίνει βαφὴν ἐκ πορφύρας. καὶ βυσσός βυθὸς παρὰ Ἡροδότῳ (2 28).

Βῶλις ὄνομα κύριον.

a Βῶλος Δημοκρίτειος φιλόσοφος ἱσορίαν καὶ τέχνην ἰατρικήν· ἔχει δὲ ἰάσεις φυσικὰς ἀπό τινῶν βοηθημάτων τῆς φύσεως.

b Βῶλος Μενδήσιος Πυθαγόρειος περὶ τῶν ἐκ τῆς ἀναγνώσεως τῶν ἱσοριῶν εἰς ἐπίςασιν ἡμᾶς ἀγόντων, περὶ θαυμασίων, φυσικὰ δυναμερά (ἔχει δὲ περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν λίθων κατὰ ςοιχεῖον), περὶ σημείων τῶν ἐξ ἡλίου καὶ σελήνης καὶ ἄρκτυ καὶ λύχνου καὶ ἴριδος.

βῶλος ἀρούρῃ, ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων. ὁμοίως τῇ "θαλάττῃ ἐκ χαράδρας ὕδωρ." βόλος δὲ ἡ δρόσος.

βωμακεύματα.

βῶμαξ βωμολόχος, ὁ ἀπὸ τῶν βωμῶν, πρὶν καρπωθῆναι, αἴρων. τάσσεται δὲ καὶ ἐπὶ τῶν μαλακιζομένων.

βωμολοχεύεσθαι. βωμολόχοι κυρίως ἐλέγοντο οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμὺς καθίζοντες καὶ μετὰ κολακείας προσαιτοῦντες, ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταὶ καὶ μάντεις. ἐκ μεταφορᾶς δὲ τούτων ἐλέγοντο βωμολόχοι καί τινες εὔκολοι καὶ ταπεινοὶ ἄνθρωποι, καὶ πᾶν ὁτιῦν ὑπομένοντες ἐπὶ κέρδει διὰ τοῦ παίζειν τε καὶ σκώπτειν. ὥςε τοὔνομα τρία σημαίνει. Harp.

βωμολοχεύμασι (A Eq. 902) πανουργεύμασι.

βωμολοχεύσαιτο ἀντὶ τῦ ἀγοραῖόν τι εἴποι ἢ εὐτελές. Ἀριςοφάνης Νεφέλαις (969) περὶ διαφθορᾶς ἁρμονικῶν "ἐντειναμένους τὴν ἁρμονίαν ἣν οἱ πατέρες παρέδωκαν. εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέν τινα καμπήν," οἱονεὶ κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προενέγκοιτο, "οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτυς, ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς μούσας ἀφανίζων." καὶ αὖθις (Aelianus?) "πολλὰ μὲν οὖν καὶ ἄλλα τῆς τούτυ βωμολοχίας τε καὶ αἱμυλίας μαρτύρια διαρρεῖ, ἐν δὲ τοῖς ἄρα καὶ ἐκεῖνο."

βωμολόχος ὁ περὶ τὺς βωμὺς λοχῶν a ὑπὲρ τοῦ λαβεῖν τι παρὰ τῶν θυόντων, μεταφορικῶς δὲ καὶ ὁ παραπλησίως τύτῳ ὠφελείας ἕνεκά τινας κολακεύων. καὶ βωμακεύματα καὶ βωμολοχεύματα. Ἀπολλόδωρος Κυρηναῖος ὁ εὐτράπελος καὶ γελωτοποιός. τινὲς τὸν μετά τινος εὐτραπελίας κόλακα. καὶ τὸν πανοῦργον δὲ καὶ συκοφάντην.

βωμολόχος ὁ κακοῦργος, ἀσεβής, παρὰ b τὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα, ἢ τὺς θύοντας, ἵνα αἰτήσαντες λάβωσί τι (sch. A Nub. 910). καὶ βωμολόχοις

ὅπεσι τοῖς πρὸς χάριν καὶ ἀπὸ κολακείας. ἀπὸ δὲ τῶν λοχώντων περὶ τὰς βωμὰς καὶ βουλομένων τι λαβεῖν μετήνεκται ἡ λέξις· οὗτοι γὰρ ἐπὶ τῶν βωμῶν πολλὰ ἐλιπάρουν κολακεύοντες λαβεῖν τι τῶν θυόντων (sch. A Ran. 360). Ἀγαθίας (1 13) "ὁ γὰρ σύνηθές μοιγε, ὁ Ναρσῆς ἔφη, βωμολοχίαις τε καὶ γλίσχραις ἐλπίσιν ἐγκαλλωπίζεσθαι." καὶ περὶ Ἰσιδώρου Δαμάσκιος "ὁ δὲ ἐπίχαρις ἦν, εὐτραπελίας μὲν καὶ βωμολοχίας ὅτι πορρωτάτω."

βωμοί. οὕτως λέγονται αἱ βάσεις, στιβάδες.

βωμὸν σαπίδα (an σιβάδα) Λάκωνες.

βωμός τέμενος, καὶ τόπος ἀνάβασιν ἔχων πρὸς τὸ λέγειν ἐπήκοα· ἐφ' ὃν Κράτης ἀναβὰς "Κράτης ἀπολύει τὰ Κράτητος" εἴρηκε. καὶ Ἀριστοφάνης (Pac. 933) "ὁ γὰρ βωμὸς θύρασι καὶ δή" ἀντὶ τοῦ ἔξ ἑτοίμου ἐστὶ παρεσκευασμένος.

βῶν ἀσπίδα Ἀργεῖοι, ἀντὶ τοῦ βοῦν, ἤτοι βύρσαν.

Βῶνος στρατηγὸς τῆς Μυσίας τῆς παρὰ τῷ Ἴστρῳ ποταμῷ παρατεταμένης, ἀνὴρ συνέσεως ἐς ἄκρον ἥκων καὶ λίαν ἀγαθὸς τά τε πολιτικὰ καὶ πολέμια. ἦν ἐπὶ Ἰουστινιανοῦ. cf. Agath. 1 19.

βώνυσοι ἄποικοι, βουκόλοι.

βῶξ.

βῶροι ὀφθαλμοί.

Βῶρος ὄνομα κύριον (Hom. E 44, Π 177).

βῶς βύρσα, ἀσπίς.

βωσόμεθα καλέσομεν, μαρτυρόμεθα.

βῶσον βόησον. Κρατῖνος.

βωστρεῖν καλεῖν, βοᾶν· Ἀριστοφάνης (Lys. 686) "ποιήσω τοὺς δημότας βωστρεῖν σ' ἐγὼ πεκτούμενον."

Βωτεῖν ἀροῦν. Λάκωνες.

βωτιάνειρα (Hom. A 155) ἡ βόσκουσα τοὺς ἄνδρας.

Βώτιον τόπος.

βώτορες βοτῆρες, νομεῖς. ἐν ἐπιγράμματι (AP 6 262) "τὸν νομίην καὶ ἔπαυλα βοῶν καὶ βώτορας ἄνδρας σινόμενον, κλαγγάν τ' οὐχὶ τρέσαντα κυνῶν πέφνε, καὶ ἐκ ταύτης ἐκρέμασεν πίτυος."

Βώχανος ὄνομα κύριον. ἦν δὲ Τούρκων ἀρχηγός, ὃς ἐπὶ Ἰουστινιανοῦ τὸν Βόσπορον ἐπόρθησε. ζήτει ἐν τῷ Βόσπορος.

Γαβαώ πόλις, καὶ *Γαβαωνῖται* οἱ ἀπὸ τῆς χώρας.

Γαβίνιος ὄνομα κύριον Ῥωμαϊκόν.

Γαβριήλ ὄνομα κύριον, καὶ *Γαβριηλᾶς* ὄνομα κύριον.

Γάγγης βασιλεὺς Αἰθιόπων, ὃν ἀπέκτεινεν Ἀλέξανδρος, δεκάπηχυς τὸ μῆκος, τὴν δὲ ὥραν οἷος οὔπω τις ἀνθρώπων, ποταμοῦ δὲ Γάγγου παῖς. τὸν δὲ πατέρα τὸν ἑαυτοῦ τὴν Ἰνδικὴν ἐπικλύζοντα αὐτὸς ἐς τὴν Ἐρυθρὰν ἔτρεψε, καὶ διήλλαξεν αὐτὸν τῇ γῇ· ὅθεν ἡ γῆ ζῶντι μὲν ἄφθονα ἔφερεν, ἀποθανόντι δὲ ἐτιμώρει. ἐπεὶ δὲ τὸν Ἀχιλλέα Ὅμηρος ἄγει μὲν ὑπὲρ Ἑλένης ἐς Τροίαν, φησὶ δὲ αὐτὸν ιβ' μὲν πόλεις ἐκ θαλάττης ᾑρηκέναι πεζῇ δὲ ια', γυναῖκα δὲ ὑπὸ τοῦ βασιλέως ἀφαιρεθέντα εἰς μῆνιν ἀπενεχθῆναι, ὅτε δὴ ἀτεράμονα καὶ ὠμὸν δόξαι, σκεψώμεθα τὸν Ἰνδὸν πρὸς ταῦτα. πόλεων μὲν τοίνυν ξ' οἰκιστὴς ἐγένετο, αἵπερ εἰσὶ δοκιμώταται τῶν τῇδε· τὸ δὲ πορθεῖν πόλεις ὅστις εὐκλεέστερον ἡγεῖται τοῦ ἀνοικίζειν πόλιν, οὐκ ἔστιν. Σκύθας δὲ τοὺς ὑπὲρ Καύκασον στρατεύσαντάς ποτε ἐπὶ τήνδε τὴν γῆν ἀπώσατο· τὸ δὲ ἐλευθεροῦντα τὴν ἑαυτοῦ γῆν ἄνδρα ἀγαθὸν φαίνεσθαι πολλῷ βέλτιον τοῦ δουλείαν ἐπάγειν τῇ πόλει. Philostrat. V. A. 3 20.

Γάγγρα πόλις.

γάγγραινα εἶδος πάθους.

Γαδαρηνός ἀπὸ τόπου.

Γάδειρα τόπος κατὰ τὴν ἑσπερίαν μοῖραν, ἀποτελεύτησις τῆς θαλάσσης, καὶ οἷον ἐκροὴ ἀπὸ τῆς πρὸς ἡμᾶς εἰς τὴν Ἀτλαντίδα θάλασσαν, τὸν ὠκεανόν, ἣν διεκπλεῦσαι οὐκ ἐνῆν βραχώδη καὶ σκοτοειδῆ τυγχάνουσαν. Γάδειρα δὲ παρὰ τὴν γῆν καὶ τὴν δειρήν, ὅ ἐστι τράχηλος. μέχρι τούτων ἐλθὼν ὁ Ἡρακλῆς, καὶ μὴ δυνάμενος διελθεῖν, στήλας παρὰ τῶν ἐγχωρίων λαβὼν ἱδρύσατο, δηλῶν δι' αὐτῶν ἄχρι τῶν τῇδε βατὴν εἶναι τὴν γῆν καὶ τὴν θάλασσαν. sch. Gregor. Naz.

γάζα. καὶ *γαζοφυλάκιον* θησαυροφυλάκιον· γάζα γὰρ θησαυρός. "πολλὴν δὲ εὗρεν ἀφθονίαν τροφῆς καὶ γάζαν βαρβαρικήν, ἀργυρίου δὲ τάλαντα γ'." "ὁ δὲ Πτολεμαῖος τὰ βασίλεια περιάγων ἐπεδείκνυτο καὶ τὴν ἄλλην τὴν βασιλικὴν γάζαν" Διόδωρός φησι (t. 2 p. 629).

γαῖα χάνοι (Hom. Z 282) καταπίοι αὐτὸν ἡ γῆ.

Γαϊανός Ἀράβιος σοφιστής, μαθητὴς Ἀψίνου τοῦ Γαδαρέως· ἦν δὲ ἐπί τε Μαξι-

μίνῳ καὶ Γορδιανῷ. περὶ συντάξεως βιβλία ί, τέχνην ῥητορικήν, μελέτας. ἐσοφίςευσεν ἐν Βηρυτῷ.

Γαίειος ὄνομα κύριον.

γαιήιος (Hom. η 324) ὁ γήινος, ὁ τῆς γῆς υἱός.

γαιήοχος ὁ Ποσειδῶν.

γαιοδότης ὁ ἀπεμπολῶν γῆν.

Γάιος Ῥωμαίων βασιλεὺς τὸ μὲν πρῶτον μεγαλοφρόνως διεῖπε τῆς βασιλείας τὰ πράγματα καὶ πᾶσι τοῖς ὑπηκόοις καθηκόντως ἐχρῆτο, μετὰ δὲ δύο χρόνους ἐκςὰς τῆς ἀνθρωπίνης φύσεως κατὰ μίμησιν τοῦ πατρὸς ἑαυτὸν ἀπεθέωσε, καὶ ἀνδριάντα ἑαυτῷ κατὰ πόλιν ἐν τοῖς ναοῖς ἀπέςειλε καθιδρύσασθαι, καὶ εἰς τὸν τῶν Ἱεροσολύμων ναὸν θεσπίσας νέου Γαΐου ἱερὸν προσέταξεν ὀνομάζεσθαι. καὶ δουλοκρατίαν νομοθετήσας ἐπέτρεψε κατηγορεῖν τῶν δεσποτῶν, εἴ τι συνειδεῖεν αὐτοῖς πλημμέλημα· κἀντεῦθεν δεινὴ συμφορὰ κατειλήφει τὴν οἰκουμένην πᾶσαν, τῶν οἰκετῶν μεγάλαις τιμωρίαις ὑποβαλλόντων τοὺς δεσπότας· ἕκαςος γὰρ ἀμύνεσθαι ἐβούλετο τὸν ἴδιον δεσπότην ὑπὲρ ὧν παρ' αὐτοῦ βασάνων προέπασχεν. ὁ μὴν δὲ ἀλλὰ καὶ εἰς μανίαν τραπεὶς ἄθεσμον ςολὰς γυναικείας ἠμφιέννυτο, καὶ τὴν κόμην πλοκάμοις καὶ πλοκῇ τινὶ περιςέλλων, καὶ γυναικιζόμενος καὶ πᾶσαν αἰσχρουργίαν διαπραττόμενος, τελετὰς ἐπενόει καὶ ξένα μυςήρια ἐπετέλει. καὶ δὴ λαβών ποτε τὴν ἰδίαν θυγατέρα, καὶ ἐς τοὺς κόλπους τοῦ ἀγάλματος θέμενος αὐτήν, ἔφη "σὺ ταύτην γεγέννηκας, καὶ πατὴρ αὐτῆς ἔννομος ὑπάρχεις."

οὗτος μιαρώτατός τε καὶ ἀνοσιώτατος ἐγένετο, καὶ τοσοῦτον ὁρμαθὸν κακῶν συνειληφὼς ἐπεκάλυψε τὰ τοῦ Τιβερίου μειονεκτήματα. ὅσα γὰρ τῷ Αὐγούςῳ ἐν πολλῷ χρόνῳ περιεποιήθη, οὗτος ἐν μιᾷ ἡμέρᾳ ἀπεκτήσατο. μοιχικώτατός τε ἀνθρώπων γενόμενος, καὶ γυναῖκας ἡρμοσμένας καὶ γεγαμημένας ἐλάμβανε. τήν τε ἑαυτοῦ τιθήνην (an τήθην) ἐπιτιμήσας ἀνοίας ἐς ἀνάγκην ἑκουσίου θανάτου κατέςησεν. ἐχρῆτο δὲ καὶ ταῖς ἀδελφαῖς καὶ παρανόμων ἐκοινώνει μίξεων, ὡς καὶ πατὴρ ἀνοσίας καταςῆναι γονῆς ἐκ μιᾶς αὐτῷ τῶν ἀδελφῶν ἀπογεννηθείσης. ναούς τε καὶ θυσίας ὡς ἡμιθέῳ γίνεσθαι παρεσκεύαζε. τοιούτῳ αὐτοκράτορι οἱ Ῥωμαῖοι παρεδόθησαν, ὥςε τὰ τοῦ Τιβερίου ἔργα, καίπερ χαλεπώτατα δόξαντα γεγονέναι, τοσοῦτον τὰ Γαΐου, ὅσον τὰ τοῦ Αὐγούςου παρ' ἐκείνῳ παρήνεγκαν. Io. Antioch. exc. Peir. p. 802.

οὗτος μετὰ Τιβέριον ἐβασίλευσε Καλλιγόλας ὀνομαζόμενος.

Γάιος Ἰούλιος Καῖσαρ ὁ πρῶτος μοναρχήσας. οὗτος ἔγραψε μετάφρασιν τῶν Ἀράτου φαινομένων, καὶ τέχνην γραμματικὴν ῥωμαϊκῶς, καὶ περὶ τοῦ ἰδίου βίου.

Γάιος Καῖσαρ, ὃς ἐπεκλήθη Καλλιγόλας, ῥητορικὴν τέχνην ῥωμαϊκῶς.

Γάιος Λαιτώριος, Μέργος ἐπίκλησιν. ἐκ τούτου δείκνυται τὸ μισοπόνηρον τῶν Ῥωμαίων καὶ τὸ πρὸς τοὺς παραβαίνοντας τὰ κοινὰ καὶ νόμιμα τῆς ἀνθρωπίνης φύσεως ἀμείλικτον. οὗτος γὰρ χιλίαρχος ἀποδειχθεὶς ἐν τῷ Σαυνιτικῷ πολέμῳ νεανίαν τινὰ τῶν ὁμοσκήνων, διαφέροντα τὴν ὄψιν ἑτέρων, μέχρι μέν τινος ἔπειθεν ἑαυτῷ χαρίσασθαι τὴν τοῦ σώματος ὥραν ἑκόντα, ὡς δ' οὔτε δωρεαῖς οὔτ' ἄλλῃ φιλανθρωπίᾳ τὸ μειράκιον ἡλίσκετο, κατέχειν τὴν ἐπιθυμίαν ἀδύνατος ὢν βίαν προσφέρειν ἐπεβάλετο. περιβοήτου δὲ τῆς ἀκοσμίας τοῦ ἀνδρὸς ἅπασι τοῖς ἐπὶ ςρατοπέδου γενομένης, κοινὸν ἀδίκημα τῆς πόλεως εἶναι νομίσαντες οἱ δήμαρχοι γραφὴν ἀποφέρουσι κατ' αὐτοῦ δημοσίᾳ, καὶ ὁ δῆμος ἁπάσαις ταῖς ψήφοις τοῦ ἀνδρὸς κατέγνω, τίμημα δίκης ὁρίσας θάνατον, οὐκ ἀξιῶν εἰς ἐλεύθερα σώματα καὶ προπολεμοῦντα τῆς τῶν ἄλλων ἐλευθερίας τοὺς ἐν ταῖς ἄλλαις ὄντας ἀρχαῖς ὑβρίζειν τὰς ἀνηκέςους καὶ παρὰ φύσιν τοῖς ἄρρεσιν ὕβρεις. ἄλλο θαυμασιώτερον, καίτοι περὶ δοῦλον σῶμα γενομένης τῆς ὕβρεως. ἑνὸς γὰρ τῶν παραδόντων Σαυνίταις τὸ ςρατόπεδον χιλιάρχων καὶ ὑπὸ ζυγὸν ὑπελθόντων Ποπλίου υἱὸς ὤν, ἐν πολλῇ καταλειφθεὶς πενίᾳ, δάνειον ἠναγκάσθη λαβεῖν ὡς ἐρανισθησόμενος ὑπὸ τῶν συγγενῶν, διαψευσθεὶς δὲ τῆς ἐλπίδος ἀπήχθη πρὸς τὸ χρέος τῆς προθεσμίας διελθούσης, κομιδῇ νέος ὢν καὶ τῇ ὄψει ὡραῖος. οὗτος τὰ μὲν ἄλλα ὑπηρετῶν, ὅσα δούλους δεσπόταις νόμος ἦν, ἠνείχετο, τὴν δὲ τοῦ σώματος ὥραν χαρίσασθαι κελευόμενος ἠγανάκτει καὶ μέχρι παντὸς ἀπεμάχετο. πολλὰς δὲ διὰ τοῦτο μαςίγων λαβὼν πληγὰς ἐξέδραμεν ἐς τὴν ἀγοράν, καὶ ςὰς ἐπὶ μετεώρου τινὸς τήν τε ἀκολασίαν τοῦ δανειςοῦ διηγήσατο

καὶ τῶν μαςίγων τοὺς μώλωπας ὑπέδειξεν. ἀγανακτήσαντος δὲ τοῦ δήμȣ καὶ δημοσίας ὀργῆς ἄξιον ἡγησαμένου τὸ πρᾶγμα, κατηγορούντων τὴν εἰσαγγελίαν τῶν δημάρχων ὦφλε θανάτου δίκην. καὶ δι' ἐκεῖνο τὸ πάθος ἅπαντες οἱ δουλωθέντες πρὸς τὰ χρέα Ῥωμαῖοι νόμῳ κυρωθέντι τὴν ἀρχαίαν ἐλευθερίαν ἐκομίσαντο. Dionys. Hal. Exc. Peir. p. 537.

γαιοῦχος ὁ τὴν γῆν ὀχῶν.

γαῖσα, καὶ γαισός κοντός, εἶδος ἀμυντηρίου, οἷον δόρατος.

Γαιών ὄνομα ποταμοῦ. Γαιὼν καὶ Φεισὼν ὀνόματα ποταμῶν. Genes. 2 11.

γαλαθηνός ὁ ὑποτίτθιος ἤγουν ὁ ὑπομάζιος.

Γαλακτίων ὄνομα κύριον.

γαλακτοπότης ὁ γάλα πίνων.

γαλαξίας τὸ ἐν τῷ οὐρανῷ φῶς, ὅπερ ἐςὶν ἀντανάκλασις φωτὸς ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἀςέρων. Diog. L. 2 9.

γάλα ὀρνίθων, ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων. ἢ ἐπὶ τῶν σπανίων· τὰ σπάνια γάρ, φησί (A Av. 734), καὶ δυσεύρετα τῶν ἀγαθῶν παρέξομεν· "ὥςε παρέσαι κοπιᾶν ὑμῖν ὑπὸ τῶν ἀγαθῶν." τουτέςιν ἐν πλησμονῇ γενόμενοι τῶν ἀγαθῶν ἀπειρηκέναι μέλλετε. "οὕτω πλουτήσετε πάντες."

Γαλάται. ὅτι ἐπὶ Σκιπίωνος τοῦ Ῥωμαίων ςρατηγοῦ καὶ Ἀννίβου τοῦ Καρχηδονίου Ῥωμαῖοι Γαλάτας τὰς ἐν τῇ Ἀσίᾳ κατεςρέψαντο. οὗτοι δ' ἦσαν τῶν ἑσπερίων Γαλατῶν μοῖρα. ἀναςάντες γάρ ποτε τῆς οἰκίας οἱ Γαλάται ἅμα Βρέννῳ ςρατηγῷ προῆλθον εἰς λ' μυριάδας ἀριθμούμενοι. ἐντεῦθεν διακριθέντες οἱ μὲν ἐπὶ τὴν εἴσω Πυλῶν Ἑλλάδα, οἱ δὲ ἐπὶ Θρᾴκην καὶ τὴν Ἀσίαν ἐτράποντο, ἀμφὶ τὰς δύο μάλιςά που μυριάδας καὶ αὐτοὶ ὄντες. καὶ κρατήσαντες τῷ πολέμῳ πάντων μικροῦ τῶν ἐπὶ τάδε τοῦ Ταύρου Ἀσιανῶν γενῶν τοὺς μὲν ἄλλους ὑποτελεῖς ἐποιήσαντο φόρȣ, αὐτοὶ δὲ τὰ περὶ τὸν Ἅλυν ποταμὸν χωρία κατασχόντες ἐνέμοντο τὰ μεταξὺ Βιθυνῶν τε καὶ Καππαδοκῶν κείμενα. ἐφ' οὓς ἐςρατεύσαντο Ῥωμαῖοι κοινωνήσαντας Ἀντιόχῳ τῆς ἐπὶ τῷ Σιπύλῳ μάχης, καὶ συμπεσόντες αὐτοῖς περὶ πόλιν Ἄγκυραν, Μαλλίου σφῶν ἡγουμένου, μυρίους μὲν τῆς μαχίμου ἡλικίας καταβάλλουσι, τοὺς δὲ λοιποὺς ὑποκῦψαί σφισιν, ἀποςάντας ὧν ἦρχον ἐθνῶν, κατηνάγκασαν.

Γαλάτεια ὄνομα θεᾶς, Γαλατία δὲ χώρα. καὶ Γαλατίας ὄνομα κύριον.

γαλέα ὁ ἰχθῦς. καὶ γαλεός ὁμοίως.

γαλεάγρα ὄργανον τιμωρητικόν. "καὶ τελευτῶντες εἰς γαλεάγραν ἐμβαλόντες περόναις σιδηραῖς διειργμένην πᾶσαν, ἐν δυσχωρίαις ἐκύλιον." καὶ αὖθις "ὃ δὲ ἐν γαλεάγρᾳ σιδηρᾷ βαλὼν ἀπέκτεινεν."

γαλερόν φαιδρόν.

Γαλεώτης ὄνομα κύριον.

γαλεώτης καὶ ἀσκαλαβώτης, ἑκατέρως. ἐν τῷ ἀσκαλαβώτης.

γαλῆ τὸ ζῷον. καλεῖται δὲ πρὸς τινῶν κερδὼ καὶ ἱλαρία. ἔςι δὲ ὄνομα ἰσόψηφον δίκῃ καὶ γαλῇ· ἀπὸ γὰρ τῶν αὐτῶν σύγκειται γραμμάτων (Artemid. 3 28). καὶ γαλῆ Ταρτησσία· ἡ Ταρτησσὸς πόλις ἔξω τῶν Ἡρακλείων ςηλῶν πρὸς τῷ ὠκεανῷ, ἔνθα μέγιςαι γίνονται γαλαῖ.

γαληνιᾶν γάννυσθαι, χαίρειν, διαχεῖσθαι.

Γαληνός ὁ διασημότατος ἰατρός, Περγαμηνός, γεγονὼς ἐπὶ Μάρκου καὶ Κομόδȣ καὶ Περτίνακος τῶν Καισάρων ἐν Ῥώμῃ, υἱὸς Νίκωνος γεωμέτρου καὶ ἀρχιτέκτονος, πολλὰ συντεταχὼς ἰατρικά τε καὶ φιλόσοφα, ἔτι τε γραμματικὰ καὶ ῥητορικά, ἅτινα διὰ τὸ πᾶσιν εἶναι γνώριμα καταλέγειν ἄκαιρον ἡγησάμην ἐν τῷ παρόντι. ἐβίω ἔτη ό. σημαίνει δὲ καὶ τὸν ἡσύχιον.

γαληνῶ ἢ γαληνιῶ.

Γαλήσιον ὄνομα τόπου.

γαλῆ χιτών. αὕτη ἐπὶ τῶν ἀδίκων τάσσεται καὶ μηδὲν ἀνιέντων. ὁμοία ἐςὶ τῇ "ȣ̓ πρέπει γαλῇ κροκωτός."

Γαληψός ὄνομα κύριον. ἔςι δὲ πόλις τῆς Θρᾴκης. ὠνομάσθη δὲ ἀπὸ Γαληψȣ̃ τȣ̃ ἐκ Θάσου καὶ Τηλέφης. Harp.

Γαλλαίῳ τῷ τῶν Γάλλων· (AP 6 173) "Γαλλαίῳ Κυβέλης ὀλολύγματι πολλάκι δῦσα τὸν βαρὺν εἰς ἀκοὰς ἦχον ἀπὸ ςομάτων, τάσδε θεῇ χαίτας περὶ δικλίδι θῆκεν ὀρείᾳ, θερμὸν ἐπεὶ λύσσης ὧδ' ἀνέπαυσε πόδα."

Γαλλογραικία ἡ τῶν Βουκελλαρίων χώρα. οἱ αὐτοὶ καὶ Ἑλληνογαλάται ὀνομάζονται.

γάλλος ἀπόκοπος· ἐν ἐπιγράμματι (AP 6 234) "γάλλος ὁ χαιτήεις ὁ νεήτομος, ὃς

ποτε Τμώλῳ Λύδιος ὀρχηςὰς μάκρ' ὀλολυζόμενος." καὶ γάλλοι οἱ ἀπόκοποι. (? Polyb. 22 20) "Γναῖος ὁ ὕπατος Ῥωμαίων διερχόμενος ἐγεφύρωσε τὸν Σαγγάριον ποταμὸν τελέως κοῖλον ὄντα καὶ δύσβατον· καὶ παρ' αὐτὸν τὸν ποταμὸν ςρατοπεδευσάμενος, παραγίνονται γάλλοι παρὰ Ἄττιδος καὶ Βαττάκου τῶν ἐκ Πεσσινοῦντος ἱερέων τῆς μητρὸς τῶν θεῶν, ἔχοντες προςηθίδια καὶ τύπους, φάσκοντες προσαγγέλλειν τὴν θεὸν νίκην καὶ κράτος. οὓς ὁ Γναῖος φιλανθρώπως ὑπεδέξατο." καὶ αὖθις "ἀπέςειλε νεανίσκους διασκευάσας εἰς γάλλους, μετ' αὐλητῶν ἐν γυναικείαις ςολαῖς ἔχοντας τύμπανα καὶ τύπους, ἐπὶ τοὺς προκαθημένους τῆς χώρας." "ὅτι γάλλοι μὲν γίνονται ἐξ ἀνδρῶν, ἐκ δὲ γάλλων ἄνδρες ὀ γίνονται" (Diog. L. 4 43).

Γάλλος ὄνομα ποταμοῦ.

γαλόῳ (Hom. Γ 122). γάλως γάλῳ, καὶ πλεονασμῷ τοῦ ο γαλόῳ, ἀνδραδέλφῳ. καὶ γαλοώνη ὁμοίως ἡ ἀνδράδελφος.

γάμβορος ὁ ἀμέτοχος.

γάμβρειος ςολή.

γαμβρὸς Ἐρεχθῆος ὁ Βορρᾶς· τὴν γὰρ Ὠρείθυιαν θυγατέρα αὐτοῦ ἔγημεν, ἐξ ἧς τίκτεται Ζήτης καὶ Κάλαϊς.

γαμέτης ὁ ἀνήρ, ὁ σύζυγος· "ἡ δὲ σὺν τῷ κουριδίῳ γαμέτῃ ἐς Ἔφεσον ἦλθεν."

γαμηλία ἡ διδομένη τοῖς φράτορσιν ἐπὶ γάμοις. ἢ τῶν γυναικῶν ἡ εἰς τοὺς φράτορας εἰσαγωγή. οὕτως Δίδυμος ὁ γραμματικός. καὶ παροιμία "γαμηλίαν εἰσενεγκεῖν." ὅταν τις ἠγάγετο γυναῖκα, πρὶν γενέσθαι παῖδα, οὗτος μαρτυράμενος περὶ τοῦ γάμου κατὰ τοὺς γάμους ἀπεδίδου τι τοῖς φράτορσιν εἰς λόγον εὐωχίας, καὶ τοῦτό ἐςι γαμηλίαν εἰσενεγκεῖν. μέμνηται τοῦ λόγου Δημοσθένης ἐν τῷ πρὸς Εὐβουλίδην λόγῳ (69)· "καὶ γὰρ ὅτι ὁ πατήρ μου κατὰ τοὺς νόμους ἔγημε καὶ γαμηλίαν τοῖς φράτορσιν εἰσενήνοχε μεμαρτύρηται."

γαμηλιῶνος τοῦ μηνός.

γαμησείειν Ἀττικοί φασι.

γαμφηλή ἡ σιαγών.

γαμψόν ἐπικαμπές· "καὶ γαμψὸν χαίτῃσιν ἐφ' ἱππείῃσι πεδηθὲν ἄγκιςρον, χρυφίην εἰναλίοισι πάγην" ἐν ἐπιγράμματι (AP 6 192). "γαμψόν τε δρέπανον, ςαχυητόμον ὅπλον ἀρούρης" (AP 6 95). καὶ αὖθις (AP 6 104) "γαμψὰς πυρολόγους δρεπάνας."

γαμψούς τὰς καμπτούσας καὶ πλαγίους νεφέλας, ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας· γαμψοὺς γὰρ ἐκάλουν τὰς ὄρνιθας. Ἀριςοφάνης Νεφέλαις (336).

γαμψωλή ἡ ἐπίκαμψις.

γαμψώνυχος ἐπικαμπεῖς ἔχοντος τοὺς ὄνυχας. καὶ γαμψώνυχα ζῷα, ὅσα τῶν πτερωτῶν τὴν ἐπιρυγχίδα γεγάμψωκεν ὑπὸ τὴν γένυν, οἷός ἐςιν ἀετὸς ἱέραξ κεγχρηὶς ἄλλα τε τὰ μὴ πίνοντα. cf. Aelian. N. A. 11 37.

Γάνδειρον ὄνομα τόπου.

γαννυμένη χαίρουσα· γάννυμαι γὰρ ὁ ἐνεςώς. καὶ γάννυσθαι φαιδρύνεσθαι, χαίρειν καὶ διαχεῖσθαι.

γάνος ὁ οἶνος· (AP 6 158) "Πὰν ἀγέλην, νύμφαι πίδακα, Βάκχε γάνος." καὶ (A Ran. 1327) "γάνος ἀμπέλου" ὁ οἶνος "βότρυος ἕλικα παυσίπονον." Γάνος δὲ θηλυκῶς τὸ πρὸς τῇ Θρᾴκῃ ὄρος, ἡ Γάνος.

Γάνος καὶ Γανιάδα χωρία ἐςὶ Θρᾳκικά.

γανόων λελαμπρυσμένος.

γαργαλίζει κινεῖ, ὑποσαίνει, προτρέπει, ἐρεθίζει. "ὡς ἐμοῦ γ' ἀκροωμένου" τοῦ μέλους "ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος" Ἀριςοφάνης (Thesm. 138). γαργαρίζει δὲ ἐρεθίζει, ἀπὸ τοῦ ςόματος, ὥςε ἐμέσαι.

γαργαρισμός.

Γαργηττός ὄνομα κύριον τόπου.

Γαριζεὶν ὄρος. Ioseph. A. I. 5 1 19.

Γάρμος ὄνομα κύριον. "ὁ δὲ ἕτερος ταῦρος ἐμυκήσατο κακὸν φώνημα Γάρμῳ." Iamblichus Phot. p. 74 a. cf. v. φάσμα.

γάρος ἀρσενικῶς λέγεται. ἔςι δὲ οὐδὲν ἄλλο ὁ γάρος ἢ σηπεδών. Artemid. 1 66.

γαςήρ ἡ κοιλία. Ὅμηρος διὰ παντὸς γαςέρας καλεῖ, οὐ κοιλίας. καὶ παροιμία "γαςέρα μοι προφέρεις, κάλλιςον ὄνειδος ἁπάντων· ἢ πλήρης μὲν ἐλαφροτέρη, κενὴ δὲ βαρεῖα" ἐπὶ τῶν γαςριμάργων. γαςέρα δὲ ὁ Δαβὶδ τὸ τῶν λογισμῶν ταμεῖον ἐκάλεσεν· "ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαςήρ μου." Theodoret. in Ps. 30 p. 50.

γαςρίζεσθαι λαμπρότερον τρέφεσθαι.

γαςρίζομαι τύπτομαι εἰς τὴν γαςέρα· Ἀριςοφάνης (Eq. 273) "ὦ πόλις, ὑφ' οἵων θηρίων γαςρίζομαι."

γαςριμαργία. καὶ γαςρίμαργος ὁ ἄπληςος, καὶ γαςριμάργως ἀπλήςως.

γάσρις ὁ περὶ γασέρα ἀκρατής. καλῦσι δ' οὕτω καὶ τὸν ἕλμινθας ἔχοντα.

γαῦλος ὁ εὐαπάτητος. ἢ πλοῖόν τι φορτηγὸν Φοινικικόν, ἢ ἄκατος. γαυλὸς δὲ ὀξυτόνως τὸ ποιμενικὸν ἀγγεῖον, ὃ δέχεται τὸ γάλα· Ἡρόδοτος ⟨6 17⟩ "γαυλός τε ἐνταῦθα καταδύσας." ἢ γαυλὸς ὁ τῦ φρέατος ἀντλητήρ. ἢ οἰνηρὸν ἀγγεῖον, ἐκ ξύλων κατεσκευασμένον, ἣν Ἰταλοὶ μαγγάναν ὀνομάζουσιν. ἐπὶ δὲ τῶν γαλακτοδόχων ἀγγείων "γαυλούς τε γλαγοπῆγας" ἐν ἐπιγράμμασι ⟨AP 6 35⟩.

γαυνάκας ἀμπεχόμενον. cf. v. καυνάκης.

γαυριᾷ ἀγάλλεται, ἐπαίρεται, θρασύνεται.

γαυροειδής ὁ ὑπερήφανος.

γαῦρον σερρόν, μέγα, ἀκλινές, ἀκατάπληκτον· Ἀρισοφάνης Βατράχοις ⟨283⟩ "οὐδὲν γὰρ οὕτω γαῦρόν ἐσθ' ὡς Ἡρακλῆς." Ἀγαθίας ⟨5 15⟩ "ὁ δὲ Βελισάριος τὴν ἐγχείρησιν μείζονα ἔδειξε καὶ γαυροτέραν, καὶ περιχαρής γε τὴν νίκην." καὶ αὖθις "ὁ δὲ γαῦρος ὥσπερεὶ κινούμενος."

γαῦρος. "ὃ δὲ γαῦρός τε ὢν ··· Παμφυλίας ἀνέσρεψε." Τιμάσιος οὗτος ἦν, ὃν Εὐτρόπιος ἤγαγεν. cf. v. Τιμάσιος.

γεγαννυμένος ἐπαγαλλόμενος· "πῶς δὲ ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγαννυμένος, δίαιτάν τε λαχὼν βαρβαρωτάτην, οὕτω διατεθῆναι" ⟨Agath. 2 p. 67⟩.

γεγανωμένος λελαμπρυσμένος, ἐσκεπασμένος. "τὸ περιέχον τῷ κονιορτῷ γεγανωμένον ἐν χώρῳ βοτανώδει," τουτέσι λελευκασμένον.

γέγειαι βόες αἱ ἀρχαῖαι.

γέγηθε χαίρει.

γεγηροτροφηκὼς ἐν γήραι θρέψας.

γέγονεν ἐν καλῷ καλλίσως ἔσχε.

γεγράψομαι δεήσομαι· "ὥς' οὐ Κρέοντος προσάτου γεγράψομαι" Σοφοκλῆς φησί ⟨OR 411⟩.

γεγωνέναι καὶ γεγωνεῖν ἐξάκουστον βοῆσαι.

γεγωνοκῶμαι γυναῖκες αἱ τὰς κώμας ἐμπιπλᾶσαι βοήσεων.

γεγωνόν ἐξάκουσον, λαμπρὸν φθέγμα. καὶ γεγωνίσκειν τὸ φθέγγεσθαι ἐξάκυσον, καὶ γεγωνότερον τρανότερον, καὶ γεγωνὼς βοήσας.

γεγώς τις.

Γεδεών σρατηγὸς τῶν Ἑβραίων. Μαδιανίταις σὺν τοῖς Ἄραψι καὶ Ἀμαληκίταις μέλλοντος πολεμεῖν, ὁ θεὸς συνεβούλευεν ἐπισὰς περὶ μέσην ἡμέραν, ἐν ἀκμῇ τοῦ καύματος ὄντος, ἀγαγεῖν τὸν σρατὸν εἰς τὸν ποταμόν, καὶ τοὺς μὲν κατακλιθέντας καὶ ὕτω πίνοντας εὐψύχους εἶναι ὑπολαμβάνειν, ὅσοι δ' ἂν ἐσπευσμένως καὶ μετὰ θορύβου πίνοιεν, τούτους δὴ νομίζειν ὑπὸ δειλίας τῦτο πάσχειν, καταπεπληγότας τὺς πολεμίυς. καὶ εὑρέθησαν τ' ταῖς χερσὶ τεταραγμένως πίνοντες ⟨Ioseph. A. I. 5 6 3⟩.

Γεδεών κριτὴς τοῦ Ἰσραὴλ ἐπάταξε τὸν Μαδιὰμ μετὰ τῶν λαψάντων ἐν τῷ πίνειν, καὶ τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμωνᾶν, τοὺς ἄρχοντας αὐτῶν· τόν τε πύργον τοῦ Φανουὴλ κατέσρεψε, καὶ τοὺς ἄρχοντας αὐτῶν ἠλόησεν ἐν ταῖς ἀκάνθαις, θλίψαντας τὸν Ἰσραὴλ ἔτη ζ.

γέεννα ἡ καταδίκη.

γεηρόν τὸ γήινον.

γειναμέναις γεννηθείσαις· "δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ μοῖραι ἐπέκλωσαν δὴ τότε γειναμέναις" ⟨Diog. L. 3 30⟩.

γείνατο ἐγέννησε, καὶ γείνεται γεννᾷ.

γειοκόμον τὸ γειτνίαμα.

γείσιον καὶ γεῖσος τὸ ἄκρον τοῦ τείχους, ἢ σεφάνωμα οἴκου. καὶ γεῖσα τειχῶν ἄκρα. ἢ γεῖσος ὁ γεωργός.

γεισίπυς καὶ γεισιπόδισμα καὶ γεισιποδίζειν. τὸ ἐξέχον τῆς δοκοῦ, ἐφ' ὃ τὸ γεῖσόν ἐσι, γεισίπους καλεῖται καὶ γεισιπόδισμα, γεισιποδίζειν δὲ τὸ ποιεῖν τῦτο. Harp.

γειτνιάζω δοτικῇ.

γειῶραι οἱ τὴν γῆν φυλάσσοντες. cf. vv. γεῶρες et γηῶραι.

γειωρῆσαι.

Γέλα καὶ Καμάρινα πόλεις Σικελίας.

Γελάδας ⟨an Ἀγε-⟩ ἀγαλματοποιός, διδάσκαλος Φειδίου.

γελασείοντα γελασικῶς ἔχοντα, γελάσαι θέλοντα.

γελασείω ἐπιθυμητικῶς ἔχω τῦ γελᾶν. Δαμάσκιος "νῦν δὲ καὶ τῷ μὴ πάνυ γελασείοντι γέλωτα παρέξει γενναῖον ἡ τῦ ἔργυ διέξοδος."

γελασίνοις γραμμαῖς ταῖς ἐκ τῦ γελᾶν γινομέναις. ἐν ἐπιγράμματι ⟨AP 5 35⟩ "καί ῥ' ἣ μὲν τροχαλοῖς σφραγιζομένη γελασίνοις, λευκὴ ἀπὸ γλουτῶν ἤνθεεν εὐαφίην."

γελαςής ὁ ἐπεγγελῶν. "οὐθ' ὡς γελαςής, Οἰδίπους, ἐλήλυθα, οὐθ' ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν" ὁ Κρέων φησί ⟨S OR 1422⟩.

γελγέλ ὁ τροχὸς ὀνομάζεται. καθάπερ οὖν ἐξ ὄρους ὑψηλοῦ τοῦ σωτηρίȣ ςόματος προενεχθέντα ταῦτα τὰ ῥήματα δίκην τροχοῦ κατὰ τὴν οἰκουμένην ἐκυλίσθη καὶ πᾶσαν ἐπέδραμε, καὶ ἐβαπτίσθησαν πάντες κατὰ ἔθνη καὶ πόλεις. διὸ καὶ Γαλιλαία κατακυλιςὴ λέγεται τῇ Ἑλλάδι γλώσσῃ.

γέλγιθες σκορόδων κεφαλαί· ⟨AP 6 232⟩ "καὶ πότιμοι γέλγιθες ἠδέ τε ὄγχναι, δαψιλῆ οἰνοπόταις γαςρὸς ἐπεισόδια."

Γελίμερις ὄνομα κύριον.

Γελλοῦς παιδοφιλωτέρα. αὕτη ἄωρος ἐτελεύτησε, καὶ τὸ φάντασμα αὐτῆς ἐδόκουν ἐπὶ τὰ παιδία καὶ τοὺς ἀώρους θανάτους ἰέναι.

γελοῖον γέλωτος ἄξιον.

γέλοιος ὁ καταγέλαςος, προπαροξυτόνως, γελοῖος δὲ ὁ γελωτοποιός. καὶ παροιμία ⟨Iulian. or. 3 p. 111⟩ "γελοιότερον ἀπεργάζῃ τῶν τὰς κέγχρους ἀποτορεύειν ἐπιχειρούντων, καθάπερ φασὶ τὸν Μυρμηκίδην ἀντιπραττόμενον τῇ Φειδίȣ τέχνῃ." καὶ ἑτέρα παροιμία "γελοιότερον Μελητίδου," ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβλημένων· Μελητίδης γὰρ ἀνὴρ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ, κατὰ ταὐτὰ τῷ Ἀμφιςείδῃ. τοῦτον δέ φασιν ἀριθμῆσαι μὲν πολλὰ παθόντα μέχρι τῶν πέντε, καὶ πέρα μηκέτι δύνασθαι, γήμαντα δὲ τῆς νύμφης μὴ ἅψασθαι· φοβεῖσθαι γὰρ μὴ αὐτὸν ἡ παῖς τῇ μητρὶ διαβάλλῃ. ὁ δὲ Ἀμφιςείδης ἠγνόει ἐξ ὁποτέρου γονέων ἐτέχθη. cf. v. Μαργίτης.

Γέλων ὄνομα κύριον. γέλων δὲ τὸν γέλωτα. καὶ γελῶ σε.

Γελῷος ἐθνικόν, καὶ Γελῴων. καὶ γέλως ἡ χαρμονή.

γέλως Μεγαρικός· ἤκμασε γὰρ ἡ Μεγαρικὴ κωμῳδία ἀώρως, ἣν Ἀθηναῖοι καταμωκώμενοι ἐγέλων. cf. sch. A Vesp. 57.

γέλως πλατύς. "ὁ δὲ Πέρσης ἐς τοσȣ̃τον ἐληλάκει φρυάγματος ὡς γέλωτα τῶν ἀγγελλόντων καταχέειν πλατύν" Σιμοκάτης φησί ⟨2 2⟩.

γέλως συγκροτούσιος ὁ ἄτακτος καὶ ἄσεμνος, ἐκ μεταφορᾶς τοῦ μετὰ κρότȣ χειρῶν καὶ ποδῶν γινομένου γέλωτος.

γεμίζω τὸ ἀντλῶ.

Γεμίνιος ὄνομα κύριον.

γέμω τὸ πλήθω· "ὁ δὲ Σκιπίων πυνθανόμενος τὸν ἀδελφιδοῦν γέμειν ἀργίας καὶ ςάσεως καὶ τρυφῆς, ἔφη μὴ κρατήσειν πολεμίων πρὶν κατασχεῖν τῶν ἰδίων ἐγκρατῶς" ⟨Appian. Iber. 84⟩.

γενάρχου πατρός.

γενεὰ κατ' ἐνίους μὲν ἔτη ζ', ὅθεν καὶ λέγουσιν οἱ ἰατρικοὶ τὸν δύο γενεῶν μὴ δεῖν φλεβοτομεῖν, τὸν τεσσαρεσκαιδεκαετῆ λέγοντες ὡς ἔτι προσδεόμενον αἵματος καὶ ἀδέπω ἔχοντα περισσὸν αἷμα· κατ' ἐνίȣς δὲ λ', ὅθεν καὶ τὸν Νέςορα βούλονται ἐνενηκονταετῆ γεγονέναι. Artemid. 2 70.

γενεαῖς γενεῶν, τȣτέςιν ἀπείροις τισὶ γενεαῖς.

γένεθλα γεννήματα.

γενέθλια ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τȣ̃ τεχθέντος ἑορτή. καὶ γενεθλιαλογία μαντεία περὶ τῆς γεννήσεως.

Γενέθλιος Γενεθλίου, Παλαιςῖνος ἐκ Πετρῶν, σοφιςής, μαθητὴς Μινουκιανȣ̃ καὶ Ἀγαπητȣ̃, ἀντιπαιδεύσας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ, δεξιὸς τὴν φύσιν, καὶ ὅλην μελέτην ἀπομνημονεύσας ἐν μιᾷ ἀκροάσει. τελευτᾷ δὲ νέος ἐτῶν κη'. ἔγραψε δὲ λαλιὰς ἤτοι διαλέξεις καὶ μελέτας, ὧν ἐςὶν ὁ ἄπολις ἑαυτὸν ἀποκηρύττων μετὰ τὴν τῶν Θηβῶν κατασκαφήν, προπεμπτικὸν πρὸς τοὺς ἑαυτοῦ ἑταίρους Δᾳδοῦχον καὶ Ἀσκληπιάδην, πανηγυρικούς.

γενειάς αἱ τρίχες, γένειον ὁ τόπος, τὸ μέρος τȣ̃ σώματος. ⟨S Trach. 13⟩ "ἐκ δὲ δασκίȣ γενειάδος κρȣνοὶ διερραίνοντο κρηναίȣ ποτοῦ."

γενέσια ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεθνεῶτος μνήμη.

γένεσις ὁ κόσμος· "περὶ τὴν γένεσίν τε a
πλανᾶται λήθῃ βαρούμενος καὶ κακίᾳ."

γένεσις ἡ τȣ̃ παντὸς διακόσμησις· ⟨Da- b
mascius⟩ "ὁ δὲ Ἰσίδωρος διαπτύων τὴν γένεσιν ἀεὶ πρὸς θεὸν ἐτέτατο τὴν ψυχήν, καὶ οὐδὲν ἦν ἰδεῖν ἢ ἀκοῦσαι φθεγγόμενον ἢ τὰ αὐτὰ περὶ τῶν αὐτῶν, ἢ περὶ ἀρετῆς καὶ κακίας."

γένεσις. γένεσις λέγεται καὶ ἡ εἱμαρμένη· c
"ἔςι δὲ πρεσβύτερον τῆς γενέσεως ἔννοια καὶ αὐτεξουσιότης." γένεσις καὶ ἡ ἀρχή· Αἰλιανός "ἔνθεν οἱ καὶ τὸ ἀρρώςημα ἦν τὴν γένεσιν λαβόν."

γενέτειραν μητέρα, ποιητικῶς.

γενετή πατριά. ἢ γενέσια.

γενέτης ὁ πατήρ.

γενετικόν ἡ γέννησις.

γενετυλλίς δαίμων περὶ τὴν Ἀφροδίτην γενέσεως αἴτιος, ἀπὸ τῆς γενέσεως τῶν παίδων ὠνομασμένη. πεποίηται δὲ τὸ ὄνομα παρὰ τὴν γένεσιν. οἱ δὲ περὶ τὴν Ἄρτεμίν φασι τῶν τοκετῶν ἐφόρους, καὶ πάλιν παρὰ τὴν γένεσιν. Ἀριστοφάνης ⟨Th. 130⟩ "ὡς ἡδὺ τὸ μέλος, ὦ πότνιαι γενετυλλίδες, καὶ θηλυδριῶδες καὶ κατεγλωττισμένον καὶ μανδαλωτόν."

Γεννησαρέτ ὄνομα τόπου.

γεννάδας γενναῖος, εὐγενέστατος.

Γεννάδιος πατριάρχης Κωνσταντινουπόλεως νύκτωρ εἰσελθὼν εἰς τὸ ἅγιον θυσιαστήριον προσεύξασθαι, εἶδέ τι φάσμα δαιμόνιον, καὶ ἤκουσε κράζοντος ὡς αὐτοῦ μὲν ζῶντος ἐνδίδωσιν, ὕστερον δὲ κρατήσει πάντως τῆς ἐκκλησίας. Theodotus Lector 1 p. 555.

γενναῖος ὁ εὖ γεγονώς. καὶ "γενναῖος εἰ ἐκ βαλλαντίου" ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων. ὅτι χρημάτων κρείττων ὁ γενναῖος ἀνήρ.

γενναιότατος· "ὤμοι τάλαινα, ὡς κακῶς διάκεισαι γενναιότατος περὶ ἐμὲ γενόμενος καὶ θανάτου με ῥυσάμενος."

γέννησιν τὴν τῶν ἀφροδισίων μῖξιν.

a γεννῆται οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλ' οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας. οὗτοι δέ εἰσι καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ δὲ γένος ἔχει ἄνδρας λʹ. αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττῦς, ὅτι τεσσάρων φυλῶν οὐσῶν εἰς τρία ἑκάστην διεῖλον μέρη, τὰς μὲν φυλὰς τέσσαρας ποιήσαντες, ἀπομιμησάμενοι τὰς τοῦ ἐνιαυτοῦ ὥρας, τὰς δὲ φρατρίας καὶ τριττῦς ιβʹ, καθάπερ οἱ μῆνες, τὰ δὲ γένη λʹ ἐν ἑκάστῃ φρατρίᾳ, καθάπερ αἱ ἡμέραι τξʹ. sch. Plat. p. 382.

b γεννῆται οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες. καὶ γὰρ διῄρηντο κατὰ μέρη οἱ τῶν Ἀθηναίων πολῖται, καὶ τὰ μὲν μέγιστα μέρη φυλαὶ ὠνομάζοντο, ἑκάστη δὲ φυλὴ πάλιν εἰς τρία διῄρητο, ὧν ἕκαστον μέρος τριττὺς καὶ φρατρία ὠνομάζετο. πάλιν δὲ τῶν φρατριῶν ἑκάστη εἰς γένη διῄρητο λʹ, ἐξ ὧν αἱ ἱερωσύναι αἱ ἑκάστοις προσήκουσαι ἐκληροῦντο. καὶ γεννῆται οἱ ἐκ τοῦ αὐτοῦ καὶ πρώτου γένους τῶν λʹ γενῶν, οὓς καὶ πρότερόν φησι Φιλόχορος ὁμογάλακτας καλεῖσθαι. Ἰσαῖος μέντοι τοὺς γεννήτας ἁπλῶς τοὺς ἐξ αἵματος συγγενεῖς ὀνομάζει. cf. Harp.

γεννητική. ὅτι κρείσσων πασῶν καὶ τιμιωτέρα τῶν τῆς ψυχῆς φυσικῶν δυνάμεων ἡ γεννητική, δεύτερον δὲ ἡ αὐξητική, καὶ τρίτον ἡ θρεπτική. τῆς μὲν γὰρ θρεπτικῆς ἔργον ἐστὶ τὸ σώζειν τὸ εἶδος (μέχρι γὰρ τοσούτου σωζόμεθα ἕως ἂν τρεφώμεθα), τῆς δὲ αὐξητικῆς τὸ εἰς τέλειον καὶ κατὰ φύσιν μέτρον ἀγαγεῖν, εἰς ὃ γενόμενα τά τε ζῷα καὶ τὰ φυτὰ ἐπὶ τὸ σκοπιμώτατον τῆς φύσεως τέλος, λέγω δὴ τὴν γεννητικὴν δύναμιν, παραγίνεται· οὗτος γὰρ τῆς φύσεως ὁ τελικώτατος σκοπὸς διὰ τὴν ἔφεσιν τῆς ἀιδιότητος τῆς θνητοῖς ζῴοις ἐπισκευαστῆς τῇ διαδοχῇ γινομένης. ὥστε ἡ μὲν αὐξητικὴ ὕλης ἐπέχει λόγον πρὸς τὴν γεννητικήν, πρὸς δὲ τὴν αὐξητικὴν ἡ θρεπτική.

ὅτι Μέλισσος ᾤετο τὸ μὴ γενόμενον οὐκ ἔχειν ἀρχήν. ψεῦδος δέ ἐστι· πολλὰ γὰρ ἀγέννητα ὄντα ἀρχὰς ἔχει.

γεννικῶς γενναίως, ἰσχυρῶς.

γεννούσης οἷον γεννήτης, ἢ συγγενής, ἢ ἔγγονος. τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον. sch. Plat. p. 382.

γενόμενα καὶ γινόμενα διαφέρει· τὰ μὲν γὰρ γενόμενα πάντως ἀπέβη, τὰ δὲ γινόμενα ἤτοι ἀποβαίνει ἢ οὔ.

γενόμενος ἐξ ὀφθαλμῶν φυγών, ἀποδράσας· "ὁ δὲ γενόμενος ἐξ ὀφθαλμῶν αὐτὸς εἶχε τἀπίχειρα τῆς ἀγνοίας." γεννώμενος δὲ διὰ δύο ν ὁ τικτόμενος.

γέντα τὰ μέλη· "γέντα βοὸς μέλδοντες" Καλλίμαχος ⟨fr. 309⟩.

γένυς τὰ γένεια. a

γένυς εἶδος πελέκεως. ⟨S El. 196⟩ "ὅτε b
σοι παγχάλκων ἀνταία γενύων ὡρμάθη πλαγά."

γένυσι σιαγόσιν· ἐν ἐπιγράμματι ⟨AP 6 218⟩ "χῶ μὲν ἐνέκλεισεν φονίαν γένυν, ἐκ δὲ τενόντων ἔνθους ῥομβητὴν ἐστροφάλιζε φόβην."

γένωμαι γενικῇ, αὐθυπότακτον. γεννῶ δὲ αἰτιατικῇ.

γεοῦχος ὁ Ποσειδῶν ὁ τὴν γῆν ἔχων.

γέρα, οὐδετέρως, τιμαί· "ἐπειδὴ κεκάθαρτο τῷ βασιλεῖ ὁ στρατός, καὶ τὰ γέρα σὺν δίκῃ νενέμητο ἑκάστοις, τηνικαῦτα ἔγνω ἐξελαύνειν ἐπὶ πόλεμον."

γεραία ἡ γραῦς, καὶ *γεραιαί* αἱ τῷ Διονύσῳ ἱερώμεναι γυναῖκες.

γεραιός ἔντιμος, καὶ ὁ ῥυτίδων ἀνάπλεως. ἐν ἐπιγράμματι ⟨AP 6 102⟩ "ῥοιὴν ξανθοχίτωνα γεραιόφλοιά τε σῦκα." καὶ αὖθις ⟨AP 7 24⟩ "ἧς ὁ γεραιὸς λαρότερον μαλακῶν ἔπνεεν ἐκ ςομάτων."

γεραίρειν τιμᾶν, δοξάζειν. καὶ *γέραιρε* δόξαζε, τίμα· καὶ παροιμία "γέραιρε σαυτόν" ἀντὶ τοῦ εὔφραινε σαυτὸν μεγαλορρημονῶν.

Γεραιςός ὄνομα λιμένος.

γεραίτερος παλαιότερος· "λόγος γέ τοί τίς ἐςι τῶν γεραιτέρων, ὅσ' ἂν ἀνόητ' ἢ μῶρα βουλευσώμεθα, ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν" ⟨A Eccl. 494⟩. Ποσειδῶν γὰρ καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς, καὶ νικῆσαι τὴν Ἀθηνᾶν. ἡττηθέντα δὲ τὸν Ποσειδῶνα καὶ λυπηθέντα καταράσασθαι τῇ πόλει, καὶ λέγειν αὐτὸν ὅτι γένοιτο τὰς Ἀθηναίους ἀεὶ κακῶς βουλεύεσθαι. ἀκούσασαν δὲ τὴν Ἀθηνᾶν τῆς κατάρας προσθεῖναι ὅτι κακῶς βουλεύεσθαι καὶ ἐπιτυγχάνειν. cf. v. Ἀθηναίων δυσβουλία.

γεράνδρυον μεταφυτευόμενον, ἐπὶ τοῦ ἀδυνάτυ. παρεγγυᾷ μὴ δεῖν τοὺς παρηβηκότας προσάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.

Γεράνεια ὄρος τῆς Μεγαρίδος.

Γεράνεια πόλις.

γέρανοι λίθους καταπεπωκυῖαι, ἐπὶ τῶν προνοητικῶς τι ποιούντων. αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει πέτεσθαι, καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι, λίθους βαςάζουσιν, ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτοιεν, καὶ αἴσθοιντο πότερον ἐπὶ γῆς ἢ θαλάττης φέρονται. καὶ εἰ μὲν ἐπὶ θαλάττης ἤκοι ὁ λίθος, ἀνύυσι τὴν ὁδόν, εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται. τοῦτό φησιν Ἀριςοφάνης ⟨Av. 1137⟩ "γέρανοι λίθους καταπεπωκυῖαι."

γέρανος τὸ ὄρνεον. ἐπίκοινον τῷ γένει. Βάβριος ⟨143⟩ "Λίβυσσα γέρανος ἠδὲ ταὼς εὐπήληξ χλωρὴν ἀεὶ βόσκοντο χείματος ποίην."

γεραρόν ⟨Hom. Γ 170⟩ ἔντιμον, ἢ πρεσβύτερον.

γέρας ἀμοιβαί, τιμαί, ἀνταποδόσεις.

γεργέριμον" τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλαίαν "πίτυρίν τε καὶ ἣν ἀπεθήκατο λευκήν," τουτέςι τὴν συνθλασθεῖσαν καὶ οὕτως ἀποτεθεῖσαν ἐλαίαν. "εἰν ἁλὶ" δὲ "νήχεσθαι φθινοπωρίδα" τὴν κολυμβάδα λέγει. cf. Athen. p. 56.

Γεργεσαῖος ἀπὸ τόπου, καὶ *Γεργεσηνός*.

Γέργηθες ὄνομα πόλεως. ἢ ἡ *τύρβη*. καὶ οἱ χειρώνακτες ὅτω καλῦνται παρὰ τοῖς Μιλησίοις τοῖς ἐν περιβολῇ, τυτέςι τοῖς πλυσίοις. cf. v. περιβολή.

γέρδιος ὑφάντης. καὶ παρ' ἡμῖν ἡ *γερδία*.

Γερήνιος ἔντιμος γέρων. ἢ ἐν τῇ *Γερήνῃ*.

Γέρης ὄνομα πένητος καὶ φαλακροῦ, ἔθνυς Χαόνων. διεβάλλετο δὲ εἰς μαλακίαν. καὶ Ἀριςοφάνης ⟨Eccl. 932⟩ "σοὶ δὲ φίλος τίς ἐςιν ἄλλος ἢ Γέρης;" οὐκ ἔςι δὲ παρὰ τὸ γῆρας.

Γερμανικός ὁ Φράγγος.

γερούσιον ⟨Hom. Δ 259⟩ ἔντιμον.

γέρρα παρὰ Σικελοῖς τὰ γυναικεῖα καὶ a
ἀνδρεῖα αἰδοῖα.

γέρρα. Περσικὰ μέν ἐςιν ὅπλα κυρίως b
τὰ γέρρα, καταχρηςικῶς δὲ καὶ ἅπαν σκέπασμα εἴτε δερμάτινον εἴτε ἄλλης τινὸς ὕλης γέρρον ἐλέγετο· διὸ καὶ Δημοσθένης τὰ τῶν σκηνῶν σκεπάσματα καὶ περικαλύμματα ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨169⟩ γέρρα καλῶν ἐμπίπρασθαι λέγει. λέγοιτ' ἂν ὁμοίως γέρρα καὶ τὰ τῶν σχηνῶν περιφράγματα. Harp.

γερράδια ςρωτηρίδια.

γέρρον ὅπλον· Ξενοφῶν ⟨Cyr. 2 1 9⟩ a
"γέρρον ἐς τὴν ἀριςεράν, κοπὶς ἢ σάγαρις εἰς τὴν δεξιάν," καὶ αὖθις ⟨Anab. 4 7 22⟩ "οἱ δὲ γέρρα ἔλαβον δασέων βοῶν ὠμοβόεια ἀμφὶ τὰ εἴκοσι." γέρων γέροντος· ἡ κλητικὴ ὦ γέρον. καὶ παροιμία "γέροντι μηδὲν μή ποτε χρηςὸν ποίει." παρεγγυᾷ μὴ ἀκρίτως εὐεργετεῖν.

γέρρον ἐπὶ ςαυροῦ φησὶν Εὔπολις. καὶ b
Δημοσθένης ⟨18 169⟩ "τὰ γέρρα ἐνεπίμπρασαν." καὶ οἱ τόποι οἱ παραπεφραγμένοι, καὶ ἀσπίδες Περσικαὶ ἐκ λύγων. καὶ γέρρα τὰ σκεπάσματα πάντα Ἀττικοί. τινὲς δὲ δερμάτινα σκεπάσματα καὶ Περσικά, οἷς ἀντ' ἀσπίδων ἐχρῶντο· Ἡρόδοτος ⟨9 61⟩. ⟨X Cyr. 2 1 21⟩ "Κῦρος περιελὼν τὰ πολλὰ τῶν πολεμικῶν, κατέλιπε μόνον τὸ συνὸν τοῖς ςρατιώταις, μαχαίρᾳ καὶ γέρρῳ καὶ θώρακι μάχεσθαι." καὶ αὖθις ⟨Anab. 1 8 9⟩ "καὶ γερρο-

φόροι ὁπλῖται ἐχόμενοι τούτων, σὺν ποδήρεσι καὶ ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι δὲ οὗτοι ἐλέγοντο." σημαίνει δὲ καὶ πᾶν αἰδοῖον.

γέρων ἀλώπηξ οὐχ ἁλίσκεται πάγῃ," ἐπὶ τῶν διὰ χρόνου πλῆθος ἐμπείρων καὶ δυσαλώτων. καὶ "γέρων βοῦς ἀπένθητος δόμοισιν" ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων. "γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ. ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται." ἐπὶ τῶν ἅπαξ δυστυχησάντων ⟨Diog. L. 5 93⟩.

Γεσᾶται ἐθνικόν.

Γέσιος ἐπὶ Ζήνωνος ἦν λαμπρυνόμενος ἐπὶ τέχνῃ ἰατρικῇ, Πετραῖος τὸ γένος. καθελὼν δὲ τὸν ἑαυτοῦ διδάσκαλον Δόμνον τὸν Ἰουδαῖον, καὶ τοὺς ἑταίρους πρὸς ἑαυτὸν μεταστησάμενος ὀλίγου πάντας, πανταχοῦ ἐγνωρίζετο καὶ μέγα κλέος εἶχεν οὐ μόνον ἰατρικῆς ἕνεκα παρασκευῆς, τῆς τε διδασκαλικῆς καὶ τῆς ἐργάτιδος, ἀλλὰ καὶ τῆς ἄλλης ἁπάσης παιδείας· φιλότιμος γὰρ καὶ φιλόπονος ὢν ὁ ἀνὴρ ἄλλην τε πολλὴν ἐν πολλῷ χρόνῳ μελέτῃ καὶ οὐ φύσει προσπεριεβάλετο δοξοσοφίαν, καὶ τὴν τῶν ἰατρικῶν ἔργων τε καὶ λόγων ἀκριβεστέραν τῶν καθ' ἑαυτὸν πάντων ἰατρῶν τε καὶ ἰατροσοφιστῶν κατώρθωσε τέχνην. βραδέως δὲ ἀρξάμενος ἐπιδεικνύναι δημοσίᾳ τὴν ἐπιστήμην, ταχέως ἀνέδραμέ τε καὶ ηὐδοκίμησεν ἐπ' αὐτῇ, πομπικὸς ὢν καὶ ἐπιδεικτικός, φιλοσοφίας μὲν ἐπ' ὀλίγον ἥκων, ἰατρικῆς δὲ ἐπὶ πλεῖστον. ὅθεν καὶ χρημάτων μεγάλων ἐγένετο κύριος καὶ Ῥωμαϊκῶν ἔτυχεν ἀξιωμάτων οὐ τῶν τυχόντων. ἀποδέχομαι δὲ τὸ ἀνδρεῖον παράστημα τῆς ἀγαθῆς ψυχῆς· τόν τε γὰρ Ἡραΐσκον ἐπιζητούμενον ὑπὸ Ζήνωνος βασιλέως οἴκῳ τῷ ἰδίῳ κατέκρυψε, παραβαλλόμενος πρὸς τὸν κίνδυνον, καὶ ἐπειδὴ ἐν τῇ φυγῇ νοσήσας ἀπηλλάγη τοῦ σώματος, εὖ τε περιστείλας καὶ τὰ νομιζόμενα θεραπεύσας. ὁ δὲ ἀποσταλεὶς Βασιλικὸς Ἀγάπιον καὶ τοὺς ἄλλους φιλοσόφους κατασχὼν εἰς τὸ ἀρχεῖον ἀπήγαγε. Damasc. Phot. p. 352 b.

γεσοί. "οἱ Ῥωμαῖοι πήξαντες τοὺς γεσοὺς καὶ τὰς περικεφαλαίας τούτοις ἐπιθέντες φαντασίας παρέσχοντο τοῖς ἐκ διαστήματος ὡς μένοντες ἐπὶ τοῦ λόφου." ἔστι δὲ ὅπλον. ὅτι ὁ γέσος ἐστὶ μακροκέντης ἢ κοντός. ὅτι Κρίτων ἔγραψεν ἐν τοῖς Γετικοῖς.

γεύομαι γενικῇ.

γευστὴ γλῶττα. ζήτει ἐν τῷ γλῶττα.

γεφυρίζων χλευάζων, ἐξευτελίζων. Πολύβιος "ὁ δὲ Σύλλας πορθήσας τὰς Ἀθήνας ἐδέησε μικροῦ διαφθεῖραι τὴν πόλιν θυμῷ διὰ τὰ σκώμματα, ἃ δὴ πολλὰ κατ' αὐτοῦ γεφυρίζων καὶ ἐπικερτομῶν ὁ Ἀριστίων παρ' ὅλην ἀπέρριπτε τὴν πολιορκίαν."

Γεφυρίς ξένη καὶ ἐπείσακτος· οἱ γὰρ Γεφυραῖοι ξένοι καὶ ἐπήλυτοι ὄντες Ἀθήνησιν ᾤκησαν. οὕτως Ἡρόδοτος ⟨5 57⟩.

γεωγραφία ἡ περιήγησις.

γεώδης ὁ ἐκ τῆς γῆς.

γεώλοφον ὀρεινόν, ὄρος, ὕψωμα γῆς. καλοῦσι δ' οὕτως καὶ τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον. ⟨AP 6 98⟩ "πέπατο γὰρ οὐ μέγα τοῦτο κλῃρίον ἐν λυπρῇ τῇδε γεωλοφίῃ."

γεωμέτρης ὁ τὴν γῆν μετρῶν.

γεωμετρία. γεωμετρία ἐστὶν ἐπιστήμη ἐπιστητοῦ ἢ ὑποληπτοῦ· ἐπιστητὰ γὰρ καὶ ὑποληπτὰ καὶ τὰ ὧν ἐστὶν ἡ γεωμετρία ἐπιστήμη. ταύτην δὲ τὴν ἐπιστήμην ἐφεῦρον Αἰγύπτιοι, ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χώρων προδιδαχθέντες, εἶτα καὶ συγγράψαντες.

γεωμόριον γεώργιον. ἐν ἐπιγράμμασι ⟨AP 6 258⟩ "ἐφ' αἷς πολὺν ἔβρασεν ἄντλον Κρίθων, καὶ λιπαρὰν εἶδε γεωμορίην." cf. v. ἀντλία.

γεωμόρος ὁ περὶ τὴν γῆν κοπιῶν.

γεωπεῖναι οἱ μικρὰν καὶ λυπρὰν ἔχοντες γῆν. παρὰ δὲ Ἡροδότῳ ⟨2 6⟩ οἱ γῆς πεινῶντες καὶ ἀπορούμενοι.

γεωπείνης καὶ γεωπόνος ὁ τὴν γῆν πεινῶν καὶ ἐργαζόμενος.

γεωπόνος ὁ γεωργός.

Γεώργιος διάκονος τῆς μεγάλης ἐκκλησίας καὶ χαρτοφύλαξ, τὸ ἐπίκλην Πισίδης, ἐξαήμερον δι' ἰάμβων εἰς ἔπη τρισχίλια, εἰς Ἡράκλειον τὸν βασιλέα καὶ εἰς τὸν κατὰ Περσῶν πόλεμον, ἔτι τε Ἀβαρικά, καὶ καταλογάδην ἐγκώμιον εἰς τὸν μάρτυρα Ἀναστάσιον.

γεωργῶ αἰτιατικῇ.

γεῶρες οἱ γεωφύλακες.

γεωφάνιον χωρίον ἐν ᾧ μέταλλον. Harp.

γηγενεῖς οἱ ἐκ τῆς γῆς γεγονότες Ἀδὰμ a καὶ Εὔα, ἐπεὶ οὐκ ἐκ συνουσίας ἐγένοντο, κυρίως· καταχρηστικῶς δὲ πᾶς ἄνθρωπος. Theodoret. in Ps. 48 2.

γηγενεῖς ὠχροὺς καὶ νεκρώδεις. ἢ ἀσε- b βεῖς καὶ θεομάχους διὰ τοὺς Γίγαντας. οὕτω διαβάλλει τοὺς φιλοσόφους Ἀριστοφάνης Νε-

φέλαις ⟨851⟩· "ταῦτ' ἔμαθες τὰ δεξιὰ εἴσω παρελθὼν ἄρτι παρὰ τοὺς γηγενεῖς;" καὶ ⟨Ran. 845⟩ "γηγενεῖ φυσήματι" ἀντὶ τȣ̃ μεγάλῳ, ὥςε σεισμὸς ποιεῖν· ἀρχαία γὰρ ὑπόνοια τὸ ὑπὸ πνευμάτων κατεχομένην σείεσθαι τὴν γῆν· Ἀριςοφάνης. λέγονται καὶ γηγενεῖς οἱ τὰ γήινα φρονοῦντες.

γηγενέτης ὁ γηγενής.

γήδιον μικρὰ γῆ· "ὑπεδέξατο αὐτοὺς ἄγροικος πένης, γήδιον λεπτὸν κακῶς γεωργῶν."

γῆ ζώντων ὁ προσδοκώμενος βίος, ὡς τοῦ θανάτȣ κεχωρισμένος καὶ ἐλεύθερος λύπης. Δαβίδ ⟨Ps. 26 13⟩ "ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν."

γῇ θάλατταν συναναμίγνυσιν. ἐπὶ τῶν σφόδρα ὀργιζομένων ἡ παροιμία.

γήθειν χαίρειν.

γηθοσύνη χαρά, καὶ γηθοσύνως μετὰ χαρᾶς.

γηθόσυνοι χαίροντες, καὶ γήθω ῥῆμα.

γηθυλλίς λάχανον πράσῳ ὅμοιον, ὅ τινες ἀμπελόπρασον λέγουσιν.

γήινος ὁ φθαρτός.

γῆ κληρουχική. οἱ Ἀθηναῖοι λαμβάνοντες πολεμίαν πόλιν καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, πολίτας ἑαυτῶν ἀποςέλλοντες κλήρῳ τὴν γῆν αὐτοῖς διένεμον. sch. A Nub. 203.

γήλοφος ὁ ὑψηλὸς τόπος.

γήμας ὁ ἀνήρ. καὶ γήμω αἰτιατικῇ.

γῆμ' ἐπῆρε γῆμαι ἀνέπεισε. κυρίως δὲ τὸ ἐπῆρεν ἀντὶ τοῦ ἐχαύνωσε καὶ ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα, οἰκουρὸν φάσκουσα εἶναι, μὴ οὕτως ἐχούσης. Ἀριςοφάνης Νεφέλαις ⟨42⟩ "ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα."

γῆν ἰλλομένην ⟨Plat. Tim. p. 403⟩ συγκεκλεισμένην καὶ περιειλημμένην· ἰλλάδες γὰρ οἱ δεσμοί.

Γήπαιδες ὄνομα ἔθνους.

γήπεδον τὸ χωρίον, ὥσπερ καὶ οἰκόπεδον τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον. Harp.

γηραιός παλαιός, προβεβηκώς. "ὃ δὲ γηραιός τε ὢν ἤδη καὶ ἐκ πλείςȣ ἄμφω τὼ πόδε πεπηρωμένος καὶ οἷος μὴ ἐφ' ἵππου ὀχεῖσθαι, ὅμως ὥσπερ τις νεανίας ῥωμαλεώτατος οὐκ ἀπηγόρευε πρὸς τȣ̀ς πόνȣς, ἀλλὰ φοράδην εἰς τὰς παρατάξεις ἐφοίτα" ⟨Agath. 2 22⟩.

γηραλέα ἡ γραῖα, καὶ γηραλέος ὁ γέρων.

γηρᾶναι γηράσαι. καὶ παροιμία "γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος," ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων.

Γήρειον τόπος.

γηροβοσκῶ γηροτροφῶ. Σοφοκλῆς ⟨Ai. 570⟩ "ὅπως γένηται γηροβοσκὸς εἰσαεί, μέχρις ἂν μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ."

γῆρυν φωνήν· ἐν ἐπιγράμματι ⟨AP 6 68⟩ "σὺν καλάμοις ἄγγος τε μελανδόκον, οἷσι φυλάσσει αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων."

Γηρυόνεια δένδρα ⟨Philostrat. V. A. 5 5⟩ καὶ Γηρυόνειον νῆμα.

Γηρυόνης ὄνομα κύριον. Ἀριςοφάνης ⟨Ach. 1081⟩ "βούλει διαμάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;" ἀντὶ τοῦ τετρακεφάλῳ. αἰνίττεται δὲ τὴν τοῦ Λαμάχου περικεφαλαίαν τρεῖς λόφȣς ἔχουσαν, ἀπὸ τῶν περικειμένων αὐτῇ πτίλων. ὃ δὲ λέγει, τοιȣ̃τον ἐςί· βȣ́λει πρός τινα ἀκαταμάχητον μάχεσθαι; ὁ γὰρ Γηρυόνης τρικέφαλος ὢν πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ.

Γηρυόνος ὄνομα κύριον.

γῆρυς ⟨Hom. Δ 437⟩ ἡ φωνή.

γηρωκομεῖον. γηροτροφεῖον δέ.

γῆς ἄγαλμα. γυναῖκα πλάττουσι τὴν Ἑςίαν, οἱονεὶ τὴν γῆν, τύμπανον βαςάζȣσαν, ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει. Codin. orig. CP p. 15.

γῆς βάρος, ἐπὶ τῶν εἰς μηδὲν συντελούντων. καὶ ἑτέρα παροιμία "γῆς ἔντερα," ἐπὶ τῶν μηδενὸς ἀξίων.

γῆς ὀμφαλός ὁ νεὼς τοῦ Ἀπόλλωνος. ⟨S OR 895⟩ "εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι, τί δεῖ με χορεύειν; οὐκέτι τὸν ἄθικτον εἶμι γῆς ἐπ' ὀμφαλὸν σέβων." τȣτέςιν ȣ̓κέτι ἄπειμι πρὸς τὸν Ἀπόλλωνα, οὐδὲ πρὸς τὸν ἄχραντον καὶ σεβάσμιον καὶ ἀπροσπέλασον αὐτοῦ νεών.

γήσεια κρόμμυα.

γήτεια εἶδος βοτάνης παρεοικὸς πράσῳ ⟨sch. A Vesp. 494⟩.

γήτειον τὸ ἀμπελόπρασον· Ἀριςοφάνης ⟨Ran. 637⟩ "τύπτε τȣ̃τον γητείῳ." ⟨AP 7 195⟩ "δῶρα δέ σοι γήτειον ἀειθαλὲς ὀρθρινὰ δώσω, καὶ δροσερὰς ςόμασι σχιζομένας ψεκάδας." καὶ αὖθις Ἀριςοφάνης ⟨Vesp. 495⟩ "ἡ λαχανόπωλις παραβλέψασά φησι θατέρῳ· εἰπέ

μοι, γήτειον αἰτεῖς; πότερον ἐπὶ τυραννίδι;" ζήτει ἐν τῷ βασανίσας.

Γηών ποταμός.

γηῶραι ἐπίμικτοι, τηρηταὶ τόπων.

γιγαντιᾷ τὰ τῶν Γιγάντων φρονεῖ. Πισίδης ⟨Heracl. 1 30⟩ περὶ Χοσρόυ "γιγαντιᾷ δὲ καὶ τυραννῆσαι θέλει." καὶ γιγαντιαῖον ὄνομα τὸ μέγα. καὶ γιγαντολέτειρα ἡ τοὺς Γίγαντας ὀλοῦσα, καὶ γιγαντολέτις ὁμοίως θηλυκῶς, καὶ γιγαντολέτωρ.

γιγαντώδης· "ἐδόκει γὰρ τό τε σῶμα γιγαντώδης εἶναι καὶ τὸν θυμὸν θηριώδης, καὶ ἐς ἀγχίνοιαν τῶν συλληςευόντων ἁπάντων πολυπλοκώτερος."

γίγαρτα τῶν ςαφυλῶν ὁ καρπός. Ἀριςοφάνης ⟨Pac. 635⟩ "ὧν ἄνευ γιγάρτων καὶ φιλῶν τὰς ἰσχάδας·" οἱ γὰρ ἀγροῖκοι κόπτοντες τὰ γίγαρτα μετὰ τῶν ἰσχάδων ἤσθιον.

Γίγις Γίγιδος ὄνομα κύριον. Plutarch. Artax. 19.

γιγλισμός κιχλισμός, ἀπὸ χειρῶν γέλως, γαργαλισμός.

γίγλυμοι ἀντεμβολαὶ τινῶν ἐξοχῶν πρὸς κοιλότητας, οἵαπερ ἡ κατὰ τὸν πῆχυν πρὸς τὸν βραχίονα συμβολή.

γίγνω καὶ γιγνόμενος. καὶ "γίνομαί σοι Μωυσῆς" δοτικῇ.

Γιεζῆ ὄνομα κύριον. Regg. 4 4.

γίνεται ἐπὶ τοῦ τελειοῦται, διὰ τοῦ ι, ἐπὶ δὲ τοῦ γεννᾶται διὰ διφθόγγου.

τὰ δὲ γινόμενα κατὰ τρεῖς τρόπυς γίνεται, κατ' οἰκονομίαν, κατ' εὐδοκίαν, κατὰ συγχώρησιν.

γινώσκω, αἰτιατικῇ, γνωρίζω· "ἤδη γάρ σε γινώσκω, καὶ ὧν εἶπας ἀκούσασα καὶ τὴν ὄψιν ἰδοῦσα."

Γίσχαλα ὄνομα τόπου.

Γιώρας ὄνομα κύριον.

γλάγος ⟨Hom. Β 471⟩ γάλα. καὶ γλαγερῶν ἀντὶ τοῦ λευκῶν· ἐν ἐπιγράμμασι ⟨AP 6 109⟩ "ἄρκυν τε γλαγερῶν λαιμοπέδαν γεράνων."

a γλάμων ὁ λημῶν τοὺς ὀφθαλμοὺς καὶ διύγρους αὐτοὺς ἔχων, ὡς Χάρων. sch. A Ran. 595.

b γλάμων ὁ ἀκάθαρτος. καὶ Σοφοκλῆς ἐπὶ ὀρνέου "τοὺς γλαμυροὺς κατὰ φορβάν." Ἀριςοφάνης Βατράχοις ⟨595⟩ "κἈρχέδημος ὁ γλάμων."

γλάνις εἶδος ἰχθύος. καὶ χρησμολόγος, Βάκιδος ἀδελφός. sch. A Eq. 1000.

γλαῦκα εἰς Ἀθήνας, ἐπὶ τῶν ἀχρήςυς ἐμπορίας ἀγόντων, ἐπειδὴ τὸ ζῷον τῦτο σφόδρα ἐπιχωριάζει ταῖς Ἀθήναις. καὶ γλαύκειον ᾠόν.

γλαυκός λευκός, κυάνεος. Γλαῦκος δὲ ὄνομα κύριον, γένος Καρύςιος, πύκτης κε' ὀλυμπιάδι στεφανωθείς, καὶ Πύθια τρίς, Ἴσθμια δεκάκις, γενναῖος ὅλῳ τῷ σώματι.

Γλαῦκος Καρύςιος. τούτου γῆν ἐργαζομένυ ἐπειδὴ συνέβη τὴν ὕνιν ἐκ τῦ ἀρότρυ πεσεῖν, καθήρμοσε τῇ χειρὶ ἀντὶ σφύρας. ἰδὼν δὲ τὸ ποιηθὲν ὁ πατὴρ ἤγαγεν αὐτὸν εἰς Ὀλυμπίαν πυκτεύσοντα. ὃ δὲ ἅτε ὐκ ἐμπειρίως ἔχων ἐτιτρώσκετο ὑπὸ τῶν ἀνταγωνιςῶν, καὶ ἀπαγορεύειν ἔμελλεν ὑπὸ τῶν πληγῶν. φασὶ δὲ τὸν πατέρα βοῆσαι "παῖε τὴν ἐπ' ἀρότρυ." ὃ δὲ βιαιότερον ἐπενεγκὼν πρὸς τὸν ἀνταγωνιζόμενον εἶχε τὴν νίκην. σκιαμαχοῦντος δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι ὁ Γλαῦκος ἦν ἐπιτηδειότατος χειρονομεῖν. Pausan. 6 10.

γλαῦξ ἵπταται. ἡ πτῆσις τῆς γλαυκὸς εἰς νίκης σύμβολον ἐλογίζετο. καὶ ἑτέρα παροιμία "γλαῦκες Λαυριωτικαί," ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων, παρ' ὅσον ἐν Λαυρίῳ τῆς Ἀττικῆς γίνονται χρύσεια μέταλλα, ἐνεχάραττον δὲ γλαῦκας ἐν τοῖς χρυσοῖς νομίσμασι. καὶ ἑτέρα παροιμία "Γλαύκυ τέχνη," ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων, ἀπὸ Γλαύκου τινὸς Σαμίου, ὃς πρῶτος σιδήρυ κόλλησιν ἐξεῦρεν. λέγεται δὲ ἡ γλαῦξ χαλκίς. sch. A Eq. 1091.

γλαφυρόν ἡδύ, κοῖλον, βαθύ, σοφόν, ἔμπειρον, ἀκριβές, λαμπρόν.

γλεῦκος τὸ ἀποςάλαγμα τῆς ςαφυλῆς, πρὶν πατηθῇ. καὶ ἡ τραγῳδία φησὶ περὶ Αἴαντος ⟨966⟩ "ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκύς."

γλήνεα ⟨Hom. Ω 192⟩ ἀξιοθέατα.

γλήνη κόρη ὀφθαλμοῦ, ἢ ὅρη, παρὰ τὸ ὁρᾶν. γλίνη δὲ ὁ ῥύπος, διὰ τοῦ ι.

γληχώ θηλυκῶς Ἀττικοὶ τὴν ὀρίγανον. οἱ δὲ βληχώ φασι. λέγεται δὲ καὶ γλήχων γλήχωνος. Γλίχων δὲ ὄνομα κύριον, διὰ τοῦ ι.

γλισχραντιλογεξεπιτρίπτου. ἐκ τῦ γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος καὶ ἐπιτρίπτυ σύγκειται, οἷον τοῦ δυναμένυ ἐπιτρῖψαι. Ἀριςοφάνης Νεφέλαις ⟨1004⟩ "οὐδ' ἐλ-

κόμενος περὶ πραγματίου γλισχραντιλογεξεπιτρίπτου."

γλίσχρον τὸ λαίμαργον καὶ ἡδύ, ἢ κολλῶδες. καὶ γλίσχρος φειδωλός, σκνιφός, πάνυ ῥυπαρός. "ἀλλ' ἐγώ τις ἄρα δυσαπάλλακτος ἦν ἀπὸ τῶν τοιούτων, καὶ γλίσχρως ἔτι εἰχόμην τῆς αὐτῆς ἀληθείας, ἅτε ὡς ἀληθῶς ὄναρ πλουτήσας." "κατέβη ἐκ χωρίων γλίσχρων καὶ μηδ' ἐν εἰρήνῃ τρέφειν ἱκανῶν ὄντων," τουτέςι τροφῆς σπανιζόντων.

ὅτι τὸ γλίσχρον ἐπὶ δυςυχίᾳ ἔλεγον οἱ Ἀττικοί. Ἀριςοφάνης Εἰρήνῃ (192) "ὦ γλίσχρων, ὁρᾷς ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος," ἀντὶ τοῦ ὦ ἐπιθυμητά, παρὰ τὸ γλίχεσθαι. πρὸς Ἑρμῆν ὁ λόγος. καὶ αὖθις Ἀριςοφάνης Εἰρήνῃ (485) "ἕλκουσιν δ' ὅμως γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια." καὶ Ἀρριανός "τὰ ἐπιτήδεια γλίσχρως τῇ ςρατιᾷ ἐπορίζοντο" ἀντὶ τοῦ φειδομένως.

γλίσχρος ταπεινός, κόλαξ· "γενοῦ γλίσχρος, προσαιτῶν λιπαρῶν τ' Εὐριπίδην" (A Ach. 427). καὶ γλίσχρων ὁ ἐπιθυμητής, παρὰ τὸ γλίχεσθαι. καὶ γλίσχρως ὀλισθηρῶς.

γλίχεται λίαν ἔχεται, ἐπιθυμεῖ. καὶ γλιχόμενος ἐπιθυμῶν. κατ' αἰτιατικὴν δέ· "καὶ ταῦτα ἦν ἃ ἐγλίχετο."

γλοιός. τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθάνειν πέφυκε. τοιοῦτος οὖν καὶ οὗτος εὔχεται γενέσθαι τοὺς τρόπους, ἵν' ὥσπερ διολισθάνειν καὶ φεύγειν δύνηται τοὺς δανειςάς. καὶ μέχρι δεῦρο δὲ τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν ςαθερὸν φρονοῦντας, καὶ ἄλλα μὲν ἐπαγγελλομένους ἄλλα δὲ φρονοῦντας καὶ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιςον γλοιοὺς καλοῦμεν. ἄλλως. ἐπὶ τοῦ μιαροῦ καὶ ῥυπαροῦ καὶ μικρολόγου παραλαμβάνεται· καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγύς πώς ἐςι τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸν μοχθηρὸν δηλοῖ ἢ ὀλισθηρὸν καὶ εὐμετάβολον. sch. A Nub. 448.

γλοιώδης ὁ ῥυπαρός.

γλουτόν τὸ σφαίρωμα τῆς κοτύλης.

γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος", ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀλλότρια καρπουμένων.

Γλυκέρα ἑταίρα τις.

γλυκίδιον τὸ γλυκύ. καὶ γλύκιον τὸ γλυκύτερον.

γλυκυδερκής ἡδὺς ἐν τῷ ὁρᾶν.

γλυκύθυμος ἁπαλόψυχος.

γλυκὺ μέλι καὶ πνιξάτω. Τερπάνδρου ᾄδοντος καὶ κεχηνότος πρὸς τὴν ᾠδήν, ἐμβαλών τις εἰς τὸν φάρυγγα σῦκον ἀπέπνιξε. cf. AP 9 488.

γλυκὺς ἀγκών. οὐ κατ' ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλόμενος εἰπεῖν "ὦ γλυκέα ἤθη." ἔςι δὲ παροιμία, ὡς ἐπιφωνούμενον. οὕτως ἐχρήσατο Πλάτων ὁ κωμικὸς ἐν τῷ Φάωνι· γέρων δ' αὐτῷ ὑπόκειται ἐρῶν αὐλητρίδος· "ὦ χρυσοῦν ἀνάδημα, ὦ τοῖσιν ἐμοῖς τρυφεροῖσι τρόποις, ὦ γλυκὺς ἀγκών." ὡς εἴ τις λέγοι ὦ γλυκὺς πῆχυς.

γλυκὺς ἀπείρῳ πόλεμος, ἐπὶ τῶν ὑπὸ ἀπειρίας πρὸς τὰ ἐπικίνδυνα προθυμουμένων.

γλυπτόν παρὰ τῷ Δαβὶδ τὸ εἴδωλον.

γλυφεῖον ἐκ τοῦ γλύφω.

γλυφίδας τὰς χηλὰς τῆς ἀκίδος, αἷς τὴν νευρὰν προσάγομεν, παρὰ τὸ ἐγγεγλύφθαι, ὅ ἐςι κεκοιλάνθαι.

Γλώνυς ὄνομα κύριον.

γλωσσαλγίαν (Eurip. Med. 525) ἀργολογίαν.

γλῶσσαν μὲν ἀργόν, χεῖρα δ' εἶχον ἐργάτιν. νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς γλῶσσαν οὐχὶ τἄργ' εἰς πάνθ' ἡγουμένην" (S Philoct. 96). οὕτω γραπτέον· "ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ γλῶσσαν μὲν ἀργόν" καὶ τὰ ἑξῆς.

γλῶσσα ποῖ πορεύῃ; πόλιν ἀνορθώσουσα καὶ πόλιν καταςρέψουσα; ἡ παροιμία ἐπὶ τῶν διὰ λόγων ἢ ὠφελούντων ἢ βλαπτόντων.

γλώσσαργον ἦθος ἀντὶ τοῦ ταχὺ καὶ ςωμύλον.

γλῶσσα ταμιείου, ἣν ἔσχε Κυρῖνος ὁ σοφιςὴς ἐκ βασιλέως (Philostrat. V. S. 2 29). "ὁ δὲ Φῆσος ὁ ἀνθύπατος πέμπεται ἐς Ἀσίαν, ὃς τὴν βασιλικὴν γλῶσσαν ἐπεπίςευτο." ἤκμαζε περὶ τοὺς χρόνους Οὐάλεντος. cf. v. Φῆσος.

γλωσσηματικά εἶδος διαλέκτου.

γλώσσῃ σὺ δεινός. ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ δίκαιον, ὅςις ἐξ ἅπαντος εὖ λέγει" (S OC 806), οἷον βουλόμενος ἐκ παντὸς δοκεῖν δίκαια λέγειν.

γλωσσόκομον θήκη λειψάνων ξυλίνη (Eunap. p. 110 Nieb.).

γλῶττα. ὅτι αυτη ὑπὸ μὲν τῶν πλειόνων χυμῶν ὑγραίνεται, ὑπ' ἐνίων δὲ καὶ ξηροτέρα γίνεται, ὡς ὑπὸ πεπέρεως καὶ ταρίχου καὶ μυρίων ἄλλων καίτοι γευςῶν ὄντων ξηραίνεται, οὐχ ὡς ἐγχύμων, ἀλλὰ διά τινα ἁπτὴν ποιότητα, οἷον ξηρότητα ἢ θερμότητα. οὐδὲ γὰρ ὁ ξηρὸς ἄρτος ξηραίνει, ἢ εἰ τύχοι τρωγάλια καὶ τὰ ὅμοια· ἀλλὰ τῷ ξηρὰ εἶναι ἢ θερμὰ ἐξικμάζει τὴν ἐν τῇ γλώττῃ ὑγρότητα. Philopon. in 2 de anima, M 7.

σημεῖον δὲ τοῦ δεῖν τὴν γλῶτταν δυνάμει μὲν ὑγρὰν εἶναι ἐνεργείᾳ δὲ οὔ· ὅσοι τὴν γλῶτταν ἀμέτρως ἢ ξηρὰν ἔχουσιν ἢ ὑγράν, οὗτοι οὐκ ἀντιλαμβάνονται τῶν γευςῶν. καὶ διὰ τοῦτο οὐκ ἀντιλαμβάνεται ἡ λίαν ὑγρὰ γλῶττα τῶν χυμῶν, διότι ἡ ἐν αὐτῇ ὑγρότης ἔγχυμος οὖσα, καὶ πρώτη αὐτῇ προσβάλλουσα, γίνεται γλώττης ἁφή, αὐτὴ ἑαυτῆς ἀντίληψιν παρέχουσα, καὶ ταύτῃ οὐκ ἐῶσα ἀντιλαβέσθαι τῆς ἔξωθεν. σημεῖον δὲ τούτου, ὅτι οἱ προγευσάμενοι ἄλλου χυμοῦ, καὶ μάλιςα σφοδροτέρου, οὐκέτι τῶν δευτέρων ὁμοίως αἰσθάνονται.

ὅτι τὴν γλῶτταν ἐποίησεν ἡ φύσις πρὸς δύο ἔργα, ὧν τὸ μὲν εἰς τὸ εἶναι συμβάλλεται τοῖς ἔχουσιν, ὅπερ ἐςὶν ἡ γεῦσις καὶ κρίσις ἡ περὶ τοὺς χυμούς, τὸ δὲ εἰς τὸ εὖ εἶναι, οἷον πρὸς τὴν διάλεκτον. οὕτω καὶ ἐπὶ τῆς ἀναπνοῆς δύο ἐποίησεν ἔργα, τὸ μὲν πρῶτον πρὸς τὸ εἶναι (πρὸς γὰρ τὴν τοῦ ἐντὸς θερμοῦ κατάψυξιν συμβάλλεται, ὅπερ ἐςὶν ἀναγκαῖον ἔργον τῆς φύσεως, καὶ διαμονῆς αἴτιον), τὸ δὲ λοιπὸν πρὸς τὸ εὖ εἶναι, οἷον διάλεκτον. τῆς δὲ φωνῆς ὕλη ὁ ἐκπνεύμενος ἀήρ, ποιητικὸν δὲ αἴτιον φύσις, ὀργανικὸν δὲ τραχεῖα ἀρτηρία· οἷον γὰρ αὐλός ἐςιν. ἀμέλει οἱ μὲν νέοι εὐφωνότεροί εἰσιν ὡς λείαν ἔχοντες αὐτήν, οἱ δὲ γέροντες κακοφωνότεροι ὡς τραχυτέραν αὐτὴν ἔχοντες. τελικὸν δὲ ἡ σημασία· τέλος γὰρ τῷ ζώῳ τῆς φωνῆς τὸ σημαίνειν δι' αὐτῆς τὰς τῆς ψυχῆς διαθέσεις. τῆς διαλέκτου ὕλη μὲν ἡ φωνή, ποιητικὸν δὲ αἴτιον ἡ λογικὴ ψυχή, ὀργανικὸν δὲ γλῶττα καὶ ὑπερῷα καὶ ὀδόντες, τελικὸν δὲ ἡ σημασία τῶν νοημάτων. ὄργανον δὲ τῆς φωνῆς ὁ φάρυγξ. idem M 1.

ὅτι τῶν πτηνῶν ὅσα παραπλησίαν ἔχει τὴν γλῶτταν καὶ τὴν τῶν γενύων διάθεσιν ταῖς τῶν ἀνθρώπων, δύναται μιμεῖσθαι διάλεκτον, οἷον κίτται καὶ ψιττακοὶ καὶ τὰ ὅμοια. id. M.

γλώττῃ πολεμίζων ⟨A Nub. 418⟩ οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ τῇ γλώττῃ καθάπερ ὅπλῳ χρώμενος.

γλωττοςροφεῖν τὴν γλῶτταν ςρέφειν καὶ ποικίλον ἐν τῷ λέγειν καθεςηκέναι· ἢ ἐκςρέφειν τὰ πράγματα καὶ εὐπορεῖν ἐν τῷ λέγειν. Ἀριςοφάνης Νεφέλαις ⟨791⟩ "ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοςροφεῖν."

γλωχῖνας γωνίας· ⟨Agath. 5 22⟩ "ὑπὸ τὴν ἔνδον παρατεινομένην τῆς θαλάσσης γλωχῖνα ὡς εἰς ἐνέδραν καθορμίσας τὰς ἐπακτρίδας ἐνέκρυψε." ⟨AP 6 334⟩ "καὶ σὺ τετράγλωχιν μηλοσσόε, Μαιάδος Ἑρμᾶ, ὅς τε τὸν αἰγιβόταν, Πάν, κατέχεις σκόπελον."

Γνάθαινα ὄνομα κύριον, καὶ Γναθαίνιον.

γνάθους· ⟨A Vesp. 940⟩ "ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης· ἀπόπληκτος ἐγένετο τὰς γνάθους."

Γναθωνίδης πατρωνυμικόν.

γναμπτή ἡ καμπτή.

γνάφαλοι· "ἔδοξέ τις ἐν τῇ τύλῃ πυροὺς ἔχειν ἀντὶ γναφάλων," πτίλων τῶν ὑπὸ γνάθοις κειμένων ⟨Artemid. 5 8⟩.

γναφεύς κοινῶς διὰ τοῦ γ, ἀττικῶς δὲ διὰ τοῦ κ. κνάφος δέ ἐςιν ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια, παρὰ τὸ κνῶ, ὃ ἔστι ξύω. sch. A Plut. 166.

γνόντες γνωρίσαντες.

γνόφος σκότος βαθύ.

γνύξ ἐπὶ γόνατα.

γνῶθι σαυτόν, ἀπόφθεγμα Χίλωνος. a τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ὑπὲρ ὅ εἰσι κομπαζόντων.

γνῶθι σαυτόν, καὶ "τὸ νόμισμα παραχάραξον," παραγγέλματα Πυθικά. τουτέςι b τῆς τῶν πολλῶν δόξης ὑπερόρα, καὶ παραχάραττε μὴ τὴν ἀλήθειαν ἀλλὰ τὸ νόμισμα.

γνῶμα. "ὀλίγον ἐξωτέρω τῆς ςρατηγίδος σκηνῆς χωρίον τι ὥσπερ ἀγορὰ ἀπεδέδεικτο, ὃ δὴ γνῶμα προσηγορεύετο. ἐκεῖσε δὲ αἱ πρεσβεῖαι καὶ αἱ ἀγγελίαι καὶ ὅλα ἐγίνοντο."

γνωματεύων διακρίνων, διαγινώσκων ἀκριβῶς. ἢ γνωματεύω τὸ βουλεύομαι· "ἕτερα διαλεγόμενοι ἕτερα γνωματεύουσι." Menand. Exc. leg. p. 285.

γνώμη ἡ συνείδησις. a

b γνώμη σκέψις, ποιά τις διάθεσις. καὶ γνώμων ὁ συνετός. λέγεται δὲ καὶ γνώμων κανόνιόν τι μηχανικόν, καὶ δὴ καί τι σχῆμα γεωμετρικόν, καὶ διοπτρικοῦ ὀργάνου μέρος, καὶ δὴ καὶ ἀστρονομικοῦ. ἀλλὰ καὶ τὸ ἐν τοῖς γνωμονικοῖς ὀργάνοις μάλιστα λαμβανόμενον.

c γνώμη ἡ βουλὴ καὶ ἡ προαίρεσις· "ὅτῳ θεία μὲν ἡ γνώμη περιόντι, εἰς θεοὺς δὲ ἡ μεταχώρησις" Ἀρριανός. γνώμη καὶ τὸ σκέμμα· Ἀριστοφάνης Νεφέλαις ⟨170⟩ "πρῴην δέ γε γνώμην μεγάλην ἀφῃρέθη ὑπ' ἀσκαλαβώτου." καὶ τὴν δημηγορίαν ὁ αὐτός ⟨431⟩· "ἀπὸ τουδὶ ἐν τῷ δήμῳ γνώμας οὐδεὶς νικήσει πλείονας ἢ σύ."

d γνώμη. παρὰ Σοφοκλεῖ ἐν Αἴαντι μαστιγοφόρῳ ⟨52⟩ "γνώμας βαλοῦσα τῆς ἀνηκέστου χαρᾶς ἐπ' ὄμμασι." χαράν φησι τὴν ἐπὶ τῷ δοκεῖν τοὺς Ἕλληνας ἀνῃρῆσθαι. ταύτης οὖν τῆς χαρᾶς ἀπεῖρξα, δυσφόρους γνώμας ἐμβαλοῦσα τοῖς ὄμμασιν. οὐκ ἔκλεψά φησι τὴν ὄψιν ὥστε μὴ ὁρᾶν, ἀλλ' ἐπ' αὐτῇ δύσφορον γνώμην ἐπέβαλον ὡς οἴεσθαι ἰδεῖν τὰ μὴ ὄντα· τοῦτο δὲ οὐ τῶν ὀφθαλμῶν ἁμάρτημα, ἀλλὰ πολὺ πρότερον τῆς διανοίας.

γνώμην ἐμήν ⟨A Eccl. 349⟩ ἀντὶ τοῦ κατὰ τὴν ἐμὴν γνώμην καὶ οἴησιν.

γνώμην ἐμοί (an ἐμήν) ὡς ἐμοὶ δοκεῖ.

γνωμίδιον τὸ μικρὸν ἐνθύμημα.

γνωμοδοτῶ γνώμην δίδωμι.

γνώμονα ἔλεγον τὸν βαλλόμενον ὀδόντα τῷ ὄνῳ, δι' οὗ τὰς ἡλικίας ἐξήταζον. τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον. cf. v. ἀβολήτωρ.

γνωμοτυπικῶς γνωμολογικῶς.

γνώμων τὸ ἐν τοῖς ἡλιοτροπίοις πηγνύμενον· ὅπερ ἐφεῦρεν Ἀναξίμανδρος, καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων. Diog. L. 2 1.

a γνωρίζω δοτικῇ. αἰτιατικῇ δὲ "ἵνα μή τι ἄλλο ἢ ἐξ ὧν εὐεργετεῖ γνωρίσῃς θεόν."

b γνωρίζω γινώσκω, ἱστορῶ. "εἰ γὰρ ἐγώ σοι νῦν αὐτὸν γνωρίζω, πέπονθα τὸ τῆς παροιμίας, τὸ σὸν ὄναρ σοι διηγούμενος" ⟨Plato RP 8 p. 564: cf. v. ταὐτὸν πέπονθα⟩.

γνώριμοι φοιτηταί· "Πυθαγόρας ὁ Σάμιος γνωρίμους ἔσχε πλεῖον ἢ ἑξακοσίους."

γνωριμώτερον. τοῦτο διχῶς λέγεται, ἢ ἁπλῶς, οἷον τὸ πρότερον τοῦ ὑστέρου, ἢ ἡμῖν ὃ ἔστι τῇ φύσει ἔσχατον, τουτέστι τὸ σύνθετον.

γνωσιμαχῆσαι μετανοῆσαι, μεταγνῶναι τὸ δίκαιον καὶ πρέπον. ἢ τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν καὶ τῶν ἐναντίων τὴν ἰσχύν. "οὐκοῦν οἱ πλεῖστοι ἐγνωσιμάχουν καὶ μετεβάλλοντο" ⟨cf. v. ἀναφρονήσαντες⟩. Ἀρριανός "εἴ πῃ Χοσρόης γνωσιμαχήσας ὑποδύσεται τοῖς ἐκ Ῥωμαίων ξὺν δίκῃ ἀξιουμένοις." cf. v. ἀπείρατον.

a γνῶσις. ὅτι πάντων ἡ γνῶσις ἢ ὁμοιότητί τινι καὶ ταυτότητι γίνεται, ἢ ἀνομοιότητι καὶ ἑτερότητι. τὸ γὰρ λευκὸν καὶ τῇ τοῦ λευκοῦ παραθέσει γνωρίζομεν, διότι ὅμοιον, καὶ τῇ τοῦ μέλανος· τὸ γὰρ ἐναντίον τῷ μέλανι λευκόν. καὶ τήν γε φύσιν τοῦ ταὐτοῦ καὶ τοῦ ἑτέρου ἐν τῇ συστάσει ταύτης μεμῖχθαι φασί.

b γνῶσις ἀντὶ τοῦ κρίσις, ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ⟨α 28⟩.

c γνῶσις. Ἀρριανὸς ἐν Παρθικοῖς "περὶ Παρθαμασίρου δὲ οὐχὶ Ἀξιδάρου εἶναι ἀλλὰ τὴν ἑαυτοῦ γνῶσιν, ὅτι πρῶτος παραβαίνων τὰ ξυγκείμενα ἔτυχε τῆς δίκης" ἀντὶ τοῦ τὴν αἰτίαν, τὴν ἀφορμήν. cf. Fronto p. 248.

γνωστοὶ φίλοι.

γνωτός ἀδελφός, καὶ γνωτή ἀδελφή. Σοφοκλῆς Οἰδίποδι "γνωτὰ κοὐκ ἄγνωτά μοι προσήλθεθ' ἱμείροντες. εὖ γὰρ οἶδ' ὅτι νοσεῖτε πάντες· καὶ νοσοῦντες ὡς ἐγὼ οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ. τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν' ἔρχεται μόνον καθ' αὑτόν, κοὐδέν' ἄλλον· ἡ δ' ἐμὴ ψυχὴ πόλιν τε κἀμὲ καὶ σ' ὁμοῦ στένει." καὶ ἐν ἐπιγράμματι ⟨AP 6 12⟩ "γνωτῶν τρισσατίων ἐκ τρισσατίης λίνα θήρης δέξνυσο Πάν."

γογγύλον στρογγύλον. καὶ γογγυλίζει ἀντὶ τοῦ μεταστρέφει. Ἀριστοφάνης ⟨Pac. 28⟩ "ὥσπερ γυναιξὶ γογγύλην μεμαγμένην." αἱ γὰρ γυναῖκες ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι, ὀλιγοφαγίας δόξαν ἐμφαίνουσι, στρογγύλας ποιοῦσαι τὰς μάζας.

Γοδολίας ὄνομα κύριον. καὶ μήν.

γοερόν θρηνῶδες, λυπηρόν, κατανυκτικόν. καὶ "γοεροῖο γόοιο."

γόης γόητος κόλαξ, περίεργος, πλάνος, ἀπατεών.

a γοητεία μαγεία.

b γοητεία μαγεία καὶ φαρμακεία διαφέρει· ὅπερ ἐφεῦρον Μῆδοι καὶ Πέρσαι. μαγεία μὲν οὖν ἐστιν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ τινὸς σύστασιν, ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θε-

ταίσματα, γοητεία δὲ ἐπὶ τῷ ἀνάγειν νεκρὸν δι' ἐπικλήσεως· ὅθεν εἴρηται ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων· φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον δοθῇ τινὶ διὰ ςόματος. μαγεία δὲ καὶ ἀςρολογία ἀπὸ Μαγουσαίων ἤρξατο· οἱ γάρ τοι Πέρσαι Μαγῶγ ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται, καὶ Μαγυσαῖοι οἱ αὐτοί. καὶ γοητεύω αἰτιατικῇ.

Γολγοθά τόπος.

Γολιάθης. οὗτος Παλαιςῖνος ἦν ἀνὴρ παμμεγεθέςατος, πηχῶν τεσσάρων καὶ σπιθαμῆς, ὅπλα τῇ φύσει τοῦ σώματος ἀναλογοῦντα περικείμενος. Ioseph. A. I. 6 9.

Γολόη ὄνομα τόπου.

γομόρ εἶδος μέτρου Ἑβραϊκοῦ.

Γόμορα τόπος τῶν Σοδόμων.

γομφιασμός ὁ συγκλασμός.

γομφίυς ὀδόντας, κλειδώσεις. καὶ γομφιόδουπα χαλινά, ἐν ἐπιγράμματι (AP 6 233), τὰ εἰς τοὺς γομφίους κτυποῦντα, τυτέςι τὰς σιαγόνας.

a γομφίυς τὺς προσθίυς ὀδόντας· (Babr. 92 8) "ὁ δ' ὠχριήσας γομφίους τε συγκρύσας μή μοι χαρίζου φησί."

b γόμφοι μύλοι, σφῆνες, δεσμά, ἄρθρα, σύνδεσμοι ὀδόντων.

γομφοπαγῆ ῥήματα ἀντὶ τοῦ ἀκριβέςατα, πολυσύνθετα. περὶ Αἰσχύλου Ἀριςοφάνης (Ran. 843).

γονεία ἡ γέννησις.

γονεῦσιν ἀπειθεῖς τοὺς καὶ μέχρι γονέων ἀγνώμονας παρὰ τῷ ἀποςόλῳ (ad Rom. 1 30).

γονορρυής ὁ νοσῶν. cf. Herodian. Epimer. p. 16.

γόνυ γόννος.

γονυκλινής ἐπὶ γόνυ πεσών· "τήν τε γυναῖκα τοῦ βαρβάρου γονυκλινὴς ὢν ἐθεράπευσεν."

γόνυ κνήμης ἔγγιον, ἐπὶ τῶν ἑαυτὺς μᾶλλον ἑτέρων ἀγαπώντων. ἔνιοι δὲ ἐπὶ τῶν ὀφειλόντων παρέχειν τοῖς προσήκουσιν, ἐπεὶ ἐγγύτερον τὸ γόνυ.

γονυπετῆσαι προσκυνῆσαι.

γονύων γονάτων. Ξενοφῶν (Anab. 4 5 26) "ἐνῆσαν δὲ καὶ κάλαμοι γόνατα οὐκ ἔχοντες".

γόον θρῆνον.

Γόρβορα τόπος τις.

γόργεια παρὰ Δωριεῦσι τὰ τῶν ὑποκριτῶν προσωπεῖα, τῶν ἀπὸ τῆς σκηνῆς τραγῳδιῶν.

Γοργίας Χαρμαντίδυ Λεοντῖνος ῥήτωρ, μαθητὴς Ἐμπεδοκλέους, διδάσκαλος Πώλου Ἀκραγαντίνου καὶ Περικλέους καὶ Ἰσοκράτους καὶ Ἀλκιδάμαντος τοῦ Ἐλαΐτυ, ὃς αὐτοῦ καὶ τὴν σχολὴν διεδέξατο· ἀδελφὸς δὲ ἦν τοῦ ἰατροῦ Ἡροδίκυ. Πορφύριος δὲ αὐτὸν ἐπὶ τῆς π' ὀλυμπιάδος τίθησιν· ἀλλὰ χρὴ νοεῖν πρεσβύτερον αὐτὸν εἶναι. οὗτος πρῶτος τῷ ῥητορικῷ εἴδει τῆς παιδείας δύναμίν τε φραςικὴν καὶ τέχνην ἔδωκε, τροπαῖς τε καὶ μεταφοραῖς καὶ ἀλληγορίαις καὶ ὑπαλλαγαῖς καὶ καταχρήσεσι καὶ ὑπερβάσεσι καὶ ἀναδιπλώσεσι καὶ ἐπαναλήψεσι καὶ ἀποςροφαῖς καὶ παρισώσεσιν ἐχρήσατο. ἔπραττε δὲ τῶν μαθητῶν ἕκαςον μνᾶς ρ'. ἐβίω δὲ ἔτη ρθ', καὶ συνεγράψατο πολλά.

γοργολόφα (A Eq. 1178) ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργῦς τὴν περικεφαλαίαν ἔχυσα, ἡ Ἀθηνᾶ.

γοργόνειον ἀντὶ τοῦ προσωπεῖον. καὶ Γοργόνη ἡ Γοργώ.

Γοργόνες τρεῖς γυναῖκες, αἳ τοσοῦτον εἶχον φοβερὰ τὰ πρόσωπα ὡς τοὺς ὁρῶντας θνήσκειν· ὧν μίαν ἀνελεῖν λογχοδρεπάνῳ τὸν Περσέα. Nonn. in Greg. Naz. 1 76 p. 153.

Γοργόνες Τιθράσιαι (A Ran. 480). Τίθρασος ποταμὸς ἢ τόπος Λιβύης, ἔνθα αἱ Γοργόνες διέτριβον. ἢ ἀπὸ δήμυ τῆς Ἀττικῆς κακοπράγμονος. cf. v. Τίθρασος.

Γοργόνη. Ἀριςοφάνης (Ach. 1180) "καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος," ὡς εἰ ἔλεγεν, οἴδημα ἐποίησεν ἐπὶ τῆς κεφαλῆς, παρ' ὑπόνοιαν· θέλων γὰρ εἰπεῖν, καὶ ἀπὸ τῆς πληγῆς κορδύλην ἐποίησεν, ἔφη Γοργόνα ἐξήγειρε. καὶ σκώπτων ὁ αὐτὸς Μόρσιμον καὶ Μελάνθιον φησὶ (Pac. 810) Γοργόνες, ἀντὶ τοῦ φοβεροὶ εἰς γαςριμαργίαν. καὶ Αἰλιανός "καὶ ἐνέκειντο αὐτῷ τὴν ἐξ αὐτοῦ προφέροντες καὶ προσειόντες ὡς εἰπεῖν Γοργόνα, καὶ κατεσίγασαν τὴν ἄλλως πρόλαλον ὄντα καὶ ἰταμόν." λέγει δὲ περὶ Διοπείθους τοῦ Ἀθηναίου, ὃς νόμον εἰσάγει, τὸν ἀπὸ τοῦ ἄςεος ἐν Πειραιεῖ μείναντα, τοῦτον τεθνάναι. οὗτος ὢν ὠψίσθη ποτὲ ἄκων καὶ κατέμεινεν ἐν τῷ Πειραιεῖ, καὶ αὐτὸν οἱ ἐχθροὶ εἰς δίκην ὑπάγυσι. διὰ τῦτο λέγει προσειόντες Γοργόνα.

γοργόνωτον ⟨A Ach. 1123⟩ περιφραστικῶς τὴν ἀσπίδα τὴν ἔχουσαν Γοργόνα.

γοργός ἀντὶ τοῦ φοβερός· "Ἀμάχιος ἐπὶ Ἰουλιανοῦ ἤκμαζεν, ἄρχων μικρᾶς πόλεως, Ἕλλην γοργός." cf. v. Ἀμάχιος.

Γόργος ὁ Μεσήνιος οὐδενὸς ἦν δεύτερος Μεσηνίων πλούτῳ καὶ γένει, διὰ δὲ τὴν ἄθλησιν κατὰ τὴν ἀκμὴν πάντων ἐνδοξότατος ἐγεγόνει τῶν περὶ τοὺς γυμνικοὺς ἀγῶνας φιλοςεφανούντων· καὶ γὰρ κατὰ τὴν ἐπιφάνειαν καὶ κατὰ τὴν τοῦ λοιποῦ βίου προςασίαν, ἔτι δὲ κατὰ τὸ πλῆθος τῶν ςεφάνων, οὐδενὸς ἐλείπετο τῶν καθ' αὑτόν. καὶ μὴν ὅτε καταλύσας τὴν ἄθλησιν ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὸ πράττειν τὰ τῆς πατρίδος ὥρμησε, καὶ περὶ τοῦτο τὸ μέρος οὐκ ἐλάττω δόξαν ἐφέρετο τῆς πρότερον ὑπαρχούσης αὐτῷ, πλεῖςον μὲν ἀπέχειν δοκῶν τῆς τοῖς ἀθληταῖς παρεπομένης ἀναγωγίας, πρακτικώτατος δὲ καὶ νουνεχέςατος εἶναι νομιζόμενος περὶ τὴν πολιτείαν. Polyb. 7 10 2.

γόργυρα τὸ κατὰ γῆς ὄρυγμα. οὕτως Δείναρχος καὶ Ἡρόδοτος καὶ ἄλλοι. Harp.

γοργύρη δεσμωτήριον ὑπόγειον. Herodot. 3 145.

γοργῶπις ⟨S Ai. 450⟩ γοργόφθαλμος.

γοργωπὸν ἕδραν ⟨Eur. Rhes. 8⟩ φοβερὰν καθέδραν.

Γορδίειον πόλις. καὶ Γορδιηνός ὄνομα κύριον.

γορπιαῖος μὴν ὁ σεπτέμβριος κατὰ Μακεδόνας.

Γορτύνη πόλις, καὶ Γορτύνιος ἀπὸ τόπου.

Γόρτυς ὄνομα νήσου.

Γοτθοί.

γουνάσομαι λιτανεύσω, παρακαλέσω· ⟨AP 5 2⟩ "οὐκέτι γουνάσομαι τὴν βάρβαρον, οὐδ' ἐπ' ἐμαυτῷ κλαύσομαι."

γοῦνδας τὸ παρ' ἡμῖν λεγόμενον γουνδίον.

γραῖα ἡ παλαιά.

Γραικοί οἱ Ἕλληνες, ἀπὸ κώμης τινός, ἢ ἀπὸ Γραικοῦ τινός. ἐκ τοῦ Γραῒξ Γραικός.

γραιοσόβαι ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραΐδας, ὡς μὴ ἀγοράζειν. ἢ γραΐσι συγκοιμώμενοι· σοβάδες γὰρ αἱ πόρναι. sch. A Pac. 812.

γραιούδια οἱ παρ' ἡμῖν ἑφθοὶ ὄμφακες.

γράμματα. ὅτι τὰ γράμματα Φοίνικες ἐφεῦρον πρῶτοι, ἔνθεν καὶ Φοινίκεια ἐκλήθησαν· καὶ τὸν Κάδμον φασὶ πρῶτον εἰς τὴν Ἑλλάδα κομίσαι. ἰατρικὴν δὲ ὁ Ἆπις ὁ Αἰγύπτιος· ὁ δὲ Ἀσκληπιὸς ηὔξησε τὴν τέχνην. cf. v. Ἆπις.

γραμματείδιον καὶ γραμματεῖον τὸ συμβόλαιον, γραμμάτιον δὲ τὸ μικρὸν γράμμα. "ἔνθεν μὲν χρυσόν τε καὶ ἄργυρον καὶ γραμματεῖα βασιλικά, τὴν τῶν πατρικίων τιμὴν δωρούμενα."

γραμματείου διδασκαλείου· "ἅτε προηγμένος ἀνελπίςως ἐκ τοῦ γραμματείου καὶ τῆς τοιαύτης διαθέσεως, πολὺς ἐπέπνει."

γραμματεύς. οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ πραττόμενα. ὁ δ' ἀντιγραφεὺς καὶ οὗτος ἀπὸ τοῦ γράφειν τὰ παρὰ τῇ βουλῇ ὠνόμαςαι. a

γραμματεὺς ὁ νοτάριος. τὸν τῶν ἀπορρήτων γραμματέα ἀσηκρῆτις καλοῦσι τὸ ἀξίωμα Ῥωμαῖοι ⟨cf. Procop. Pers. 2 7⟩. κληρωτοὶ δὲ ἦσαν, τὸν ἀριθμὸν τρεῖς, γράφοντες τὰ δημόσια. οὐδενὸς δὲ ἦσαν οἱ γραμματεῖς οὗτοι κύριοι ἀλλ' ἢ τοῦ γράφειν καὶ ἀναγνῶναι. b

γραμματίας ἐξαριθμήσεις. Δαβὶδ ⟨Ps. 70 16⟩ "ὅτι οὐκ ἔγνων γραμματίας· ὅμως εἰσελεύσομαι ἐν δυναςείᾳ κυρίου."

γραμματιςής ὁ τὰ πρῶτα ςοιχεῖα διδάσκων. γραμματικὴ δέ ἐςιν ἐπιςήμη τοῦ ἀναγινώσκειν καὶ γράφειν. ⟨Procop. Pers. 2 6⟩ "ὃ δὲ ἐς γραμματιςοῦ ἐφοίτησε παρὰ Ἀντιοχεῦσιν." καὶ αὖθις ⟨Io. Antioch. p. 841⟩ "οὐδὲ τὰ πρῶτα παρὰ τοῖς γραμματιςαῖς ἐκμεμαθηκὼς ςοιχεῖα." καὶ αὖθις ⟨Procop. Pers. 1 24⟩ "οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματιςοῦ φοιτῶν ἔμαθεν ὅτι μὴ γράμματα, καὶ ταῦτα κακῶς, γράψαι."

γραμματοκύφων ἀντὶ τοῦ ταπεινὲ γραμματεῦ· κυρίως γὰρ κύφων τὸ ξύλον καλεῖται. Δημοσθένης ⟨18 209⟩ καὶ ἄλλα σκώπτει τὸν Αἰσχίνην καὶ γραμματοκύφωνα, ὃν καὶ υἱὸν εἶναί φησιν ὄνομα μὲν Τρόμητος, διδασκάλου δὲ τῶν πρώτων γραμμάτων.

γραμμή. γραμμή ἐςιν ἐπιφανείας πέρας, ἢ μῆκος ἀπλατές, τὸ μῆκος μόνον ἔχον ⟨Diog. L. 7 135⟩. καὶ ἡ ἀρχή, ἡ ἀφετηρία, ἡ βαλβίς· Ἀριςοφάνης ⟨Ach. 458⟩ "γραμμὴ δ' αὐτηί" ἀντὶ τοῦ ἀρχή, ἀφετηρία, ἡ λεγομένη βαλβίς, ἐκ μεταφορᾶς τῶν δρομέων. "πρόβαινε νῦν ὦ θυμέ· γραμμὴ δ' αὐτηί."

γραός.

γράσος ἡ δυσοσμία τῶν τράγων. καὶ γράσων ἄνθρωπος ὁ δύσοσμος· ⟨M. Anton. 5 28⟩ "τῷ γράσωνι μὴ ὀργίζου."

Γρατιανός. οὗτος ὡς ἐπύθετο τὴν τοῦ Οὐάλεντος τοῦ θείου τελευτήν, αὐτίκα πρὸς τὴν ἑώαν Ῥώμην διέθει, καὶ καταγνοὺς τῆς τοῦ θείου Οὐάλεντος περὶ τοὺς χριστιανοὺς ὠμότητος τοὺς μὲν ὑπ' ἐκείνου ἐξορισθέντας διὰ ταχέων ἀνεκαλεῖτο, οὐσίας τε αὐτοῖς ἀποδιδοὺς καὶ θεραπεύων τὰς βλάβας, πᾶσί τε νόμον παρεῖχεν ἀδεῶς καὶ ἀδηρίτως ἐν ταῖς ἰδίαις ἐκκλησίαις συνάγεσθαι, μόνους δὲ τῶν εὐκτηρίων εἴργεσθαι Εὐνομιανοὺς Φωτεινιανοὺς Μανιχαίους. Io. Antioch. p. 846.

ὅτι ἐν τῷ περιπάτῳ ἔφιπποι στῆλαι ἵσταντο Γρατιανοῦ καὶ Οὐαλεντινιανοῦ καὶ Θεοδοσίου, καὶ κυρτοῦ Φιρμιλιανοῦ πρὸς γέλωτα.

γραῦς καὶ ἡ ἄνθρωπος, καὶ ὁ ἀνώτατος ἀφρὸς ἐν τῷ ὑπερζεῖν τὰ ὄσπρια γινόμενος· Ἀριστοφάνης Πλούτῳ ⟨1205⟩ "πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία αὗται ποιοῦσι." ποιητικῶς δὲ γρῆυς λέγεται· "ἡ γρῆυς ἡ χερνῆτις, ἡ γυρὴ πόδας, πύσιν κάτ' ἐσθλὴν ὕδατος παιωνίου ἦλθέν ποθ' ἑρπύζουσα σὺν δρυὸς ξύλῳ" ⟨AP 6 203⟩.

γραῦς ὥς τις ἵππος τὸν χαραδραῖον τάφον ἕξεις," ἐπὶ τῶν ἀξίως τὰ ἔσχατα πασχόντων, παρ' ὅσον οἱ γεγηρακότες ἵπποι εἰς τὰς χαράδρας κρημνίζονται καὶ ἐμβάλλονται.

γραῦς σέριφος ἡ ἐν παρθενίᾳ γεγηρακυῖα, ἀπὸ μεταφορᾶς τῆς ἀρουραίας ἀκρίδος, ἣν καλοῦσι γραῦν σερίφην καὶ μάντιν.

γραῦς χορεύει, ἐπὶ τῶν παρ' ὥραν τι διαπραττομένων· ταῖς γὰρ νέαις πρέπει τὸ χορεύειν. καὶ γραῶν ὕθλοι· ἡ παροιμία ἐπὶ τῶν μάτην ληρούντων.

γραφάς δικαστήρια, κατηγορίας.

γραφείδιον καὶ γραφεῖον.

γράφειν ἐς τάχος. οὕτω λέγεται κατὰ διαστολήν· Προκόπιος "τὴν ἐς τάχος γράφουσαν μοῖραν." cf. v. ἀρχεῖα.

γράφεται ἀντὶ τοῦ γράφει ἢ κατηγορεῖ.

γραφεύς ὁ ζωγράφος. "οὓς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους" ⟨A Eccl. 1031⟩· τοιαῦτα γὰρ ἐν τοῖς μνήμασιν ἔγραφον. καὶ Δημοσθένης ⟨25 52⟩ γράφειν τὸ ζωγραφεῖν.

a γραφή ζωγραφία, κατηγορία. καὶ ἡ ἐπὶ γράμματος· "ἀπορῶ, γράφω" ⟨A Ach. 31⟩. γράφω μὲν ἀντὶ τοῦ καταγράφω ἢ ζωγραφῶ ἐπὶ τῆς γῆς, ξύω τῷ δακτύλῳ καί τινι τοιούτῳ παιδιάς τινας. cf. v. ἀπορῶ.

γραφή ἡ περὶ τῶν δημοσίων ἀδικημά- b
των κατηγορία καὶ περὶ ἄλλων ἁμαρτημάτων. γίνονται δὲ γραφαὶ καὶ νόμων καὶ ψηφισμάτων οὐκ ἐπιτηδείων εἰσκομίζεσθαι δοκέντων· αἵτινες γραφαὶ παρανόμων καλοῦνται.

γραφή δημοσίου τινὸς ἐγκλήματος ὄνομα. c
οὐ μόνον δὲ ὅταν ψηφίσματος ἢ νόμου κατηγορῇ τις, παρανόμων γραφὴν ἀποφέρεσθαι καὶ γράφεσθαι λέγεται, ἀλλὰ καὶ ἐπ' ἄλλοις πολλοῖς δημοσίοις ἀδικήμασι. πολλὴ δὲ ἡ χρῆσις τοῖς ῥήτορσιν. Harp.

γραφὴ καὶ ἐγκλήματα κατηγορία καὶ ἐγκλήματα.

γραφή τε καὶ Λευκαῖος οὐ ταὐτόν, ἐπὶ τῶν ἀνόμοια γραφόντων.

γράφω τὸ ἐπιστέλλω, δοτικῇ. ἰστέον ὅτι τὸ γράφω πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὴν σύνταξιν. καὶ εἰ μὲν γράφω σοι ἐστί, δοκεῖ σημαίνειν τὸ ἐπιστέλλω σοι· εἰ δὲ γράφω σε, σημαίνει τὸ ἐκτύπωμά σου ποιῶ, ὡς τὸ "οἱ τὰς μορφὰς γράφοντες καὶ τὰ γράμματα." εἰ δὲ γράφομαί σε, σημαίνει τὸ κατὰ σοῦ ἐγγραφὰς ποιῶ, εἰς δικαστήρια ἐκτίθεμαι, ὡς τὸ "γράφομαί σε φόνων καὶ παρανόμων ἐπὶ τοῦ Ῥαδαμάνθυος."

γράψαι κοιλᾶναι, διασκάψαι.

γράψομαι κατηγορήσω· Ἀριστοφάνης ⟨Pac. 106⟩ "γράψομαι Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα."

Γρηγόριος ἀδελφὸς Ἑρμείου τοῦ φιλο- a
σόφου, ὃς ἅπαν τοὐναντίον ἦν τῷ Ἑρμείᾳ, ὀξύτατος μὲν εἰς ὑπερβολὴν καὶ εὐκίνητος ἐπί τε τὰς ζητήσεις καὶ τὰς μαθήσεις, ἄλλως δὲ οὐχ ἡσύχιος οὐδὲ γαλήνην ἐν τοῖς ἤθεσι φέρων τινά, ἀλλά τι καὶ παρακεκινηκώς. ἐπεὶ δὲ Ἀθήνηθεν ἧκον εἰς Ἀλεξάνδρειαν, ὕστερον ὁ Γρηγόριος ἑάλω τῇ νόσῳ ἐπὶ τὸ πλέον, ὥστε δύσχρηστον αὐτῷ καὶ πολλαχῇ παραλλάττον γενέσθαι τὸ ὄργανον. οὕτω φησὶ Δαμάσκιος εἰς τὴν φιλόσοφον ἱστορίαν. Phot. p. 341 a.

Γρηγόριος ὁ καὶ Θεόδωρος, ὁ θαυμα- b
τουργός, Νεοκαισαρείας τῆς ἐν τῷ Πόντῳ ἐπίσκοπος, νέος κομιδῇ διὰ τὴν παίδευσιν Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν γραμμάτων ἀπὸ τῆς Καππαδοκίας εἰς Βηρυτὸν κἀκεῖθεν εἰς Καισάρειαν τὴν τῆς Παλαιστίνης διέβη, ἅμα Ἀθηνοδώρῳ ἀδελφῷ· οὓς καὶ κατὰ μέρος

εἰς τὴν τοῦ Χρισοῦ πίςιν εἰσάγων Ὠριγένης ζηλωτὰς ἰδίους κατέςησεν. ἐπὶ πέντε τοίνυν παρ' αὐτοῦ παιδευθέντες ἐνιαυτὸς πρὸς τὴν πατρίδα ἀποπέμπονται· ἀφ' οὗ ὁ Γρηγόριος ἀποδημῶν πανηγυρικὸν εὐχαριςίας τῷ Ὠριγένει ἔγραψε λόγον, καὶ συγκαλεσάμενος πάντας τοὺς ἐπιχωρίυς, αὐτοῦ τε τοῦ Ὠριγένυς παρόντος, τοῦτον ἀνέγνω τὸν λόγον, ὅςις ἄχρι τοῦ παρόντος ὑπάρχει. ἔγραψε δὲ καὶ μετάφρασιν εἰς τὸν ἐκκλησιαςήν, ἐλάχιςον μὲν πάνυ δὲ θαυμαςὸν λόγον. καὶ ἄλλας δὲ πολλὰς καὶ ποικίλας ἐπιςολὰς καὶ λόγυς συνεγράψατο, ποιήσας τε σημεῖα καὶ θαύματα ὑπὲρ ἄνθρωπον, ἡνίκα ἐπίσκοπος ἐτύγχανεν, ἐτελεύτησεν ἐπ' Αὐρηλιανοῦ. Sophronius.

c Γρηγόριος Ναζιανζοῦ ἐπίσκοπος (ςαθμὸς δέ ἐςιν οὗτος Καππαδοκίας), ἀνὴρ ἐλλογιμώτατος, ἀναγκαῖος δὲ φίλος Βασιλείου τοῦ τῆς Καισαρείας ἐπισκόπου τῆς ἐν Καππαδοκίᾳ. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλεῖον καὶ εἰς φιλοσοφίαν ἐξήσκητο καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην πολλά· εἰς γὰρ τρεῖς μυριάδας ςίχων τὰ συντάγματα αὐτοῦ συνέθηκεν· ἀφ' ὧν εἰσὶ τάδε, περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρίου, ἐπιτάφιος εἰς τὸν ἑαυτοῦ πατέρα, ἕτερος εἰς τὴν ἀδελφὴν Γοργονίαν, περὶ φιλοπτωχίας, ἐπαίνους τῶν Μακκαβαίων, ἐπαίνους Κυπριανοῦ, ἐπαίνους Ἀθανασίυ, ἐπαίνυς Ἥρωνος φιλοσόφυ, κατὰ Ἰυλιανοῦ τοῦ βασιλέως λόγοι β', κατὰ Εὐνομίου λόγοι β', περὶ θεολογίας ά, περὶ υἱοῦ λόγοι β', περὶ τῦ ἁγίου πνεύματος λόγος α', πανηγυρικοὶ λόγοι ί, καὶ ἕτεροι πλεῖςοι καὶ πᾶσι γνώριμοι. ἠκολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι τῦ Λαοδικέως τοῦ σοφιςεύσαντος ἐν Σμύρνῃ, ὃς ἐγεγόνει διδάσκαλος Ἀριςείδου τοῦ ῥήτορος. ἐγράφη δὲ αὐτῷ καὶ ἑτέρα βίβλος δι' ἐξαμέτρων, παρθενίας καὶ γάμου καθ' ἑαυτοὺς διαλεγομένων, καὶ εἰς ἑτέρας ὑποθέσεις ἐν παντοίοις καὶ διαφόροις μέτροις, ἅτινα συνάγονται εἰς ἐπῶν μυριάδας τρεῖς. τοῦ δὲ Γρηγορίυ τούτου καὶ Φιλοςόργιος ὁ Ἀρειανὸς ἐν τῇ κατ' αὐτὸν ἱςορίᾳ μνήμην πεποίηται, καί φησι ··· Φιλοςόργιος, καὶ ταῦτα Ἀρειανὸς ὢν ἔγραψεν (cf. v. Ἀπολινάριος). ἔτι γοῦν περιὼν εἰς τὸν οἰκεῖον τόπον ὁ Γρηγόριος ἐπίσκοπον καταςήσας ἐν τῇ λαχούσῃ αὐτὸν ἐκκλησίᾳ, αὐτὸς ἐν ἀγρῷ τινὶ βίον μοναδικὸν ἀπηνέγκατο. ἐλάσας δὲ περὶ τὰ ϛ ἔτη καὶ ἐπέκεινα, Θεοδοσίου τρίτον καὶ δέκατον ἔτος ἄγοντος καταλύει τὸν βίον, ἀνάξιον τοῦτο τῆς αὐτοῦ παθὼν ἀρετῆς, τὸ τῆς καθέδρας ἀποκρουσθῆναι τῆς βασιλευούσης τῶν πόλεων, καὶ προκριθῆναι μᾶλλον τοὺς φαυλοτέρυς ἢ τὸν ἐπ' ἀρετῇ καὶ λαμπρότητι βίυ πάντων μᾶλλον ὑπερανέχοντα.

Γρηγόριος Νύσσης ἐπίσκοπος, ἀδελφὸς a Βασιλείου τοῦ Καισαρέως, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος καὶ πάσης ὑπάρχων παιδείας ἀνάπλεως, προσκείμενος δὲ μᾶλλον τοῖς τῇ ῥητορικῇ χαίρουσι· καὶ γοῦν εὐδόκιμος ἐν ταύτῃ γεγένηται καὶ λαμπρός, εἴ τις ἄλλος τῶν πάλαι ταύτῃ γεγενημένων. οὗτος συνέταξε κατ' Εὐνομίυ λόγον ἐξαίρετον, καὶ τεῦχος θαυμάσιον εἰς τὴν τοῦ ἀνθρώπου κατασκευήν, ἄλλας τε πυκνὰς καὶ συνεχεῖς ὁμιλίας, εἴς τε τὰ ᾄσματα τῶν ᾀσμάτων καὶ εἰς τὸν ἐκκλησιαςήν, καὶ πρὸς τὴν ἀδελφὴν Μακρῖναν μακρόν τινα καὶ περικαλλῆ περὶ ψυχῆς συνέθηκε λόγον. ἄλλα τε πολλὰ γεγραφήκει, καὶ τὸν πολυθαύμαςον ἔπαινον τῦ πρώτου τῶν μαρτύρων Στεφάνου. καὶ βίον δὲ συνέταξε Γρηγορίου τῦ ἐν θαύμασι διαλάμψαντος.

Γρήνικος ποταμός.

γρῆυς ἀνακροτέουσα πολὺν κονιορτὸν ἐγείρει", ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.

Γρίος ὄνομα κύριον.

γριπεύς ἰχθύων θηρευτής· (AP 6 28) "γριπεύς, Ἐριούνιε, σοὶ τάδε δῶρα φέρει." καὶ γριπηὶς τέχνη· (AP 6 223) "Ἑρμῶναξ δ' ἐκίχανεν, ὅτε γριπηίδι τέχνῃ εἷλκε τὸν ἐκ πελάγευς ἰχθυόεντα βόλον."

γρῖφος τὸ δίκτυον. λέγεται δὲ καὶ ὁ a δύσκολος καὶ συμπεπλεγμένος λόγος, ὁ ἔχων πάθος ἐν ἑαυτῷ μὴ φαινόμενον.

γρῖφος ὁ ἀσαφὴς λόγος· (AP 7 1) "Ἰῶ b ἐνὶ παῖδες Ὅμηρον ἤκαχον, ἐκ μουσῶν γρῖφον ὑφηνάμενοι." καὶ γριφώδης λόγος.

γρομφὶς ὗς ἡ παλαιὰ σκρόφα.

γρύ βραχύ. ἔνιοι δὲ τὸν ἀπὸ τῶν ὀνύχων ῥύπον. Ἀριςοφάνης Πλούτῳ (17) "καὶ ταῦτ' ἀποκρινομένυ τὸ παράπαν οὐδὲ γρύ." τινὲς παρὰ τὸν γρυλισμόν, τουτέςι τὴν φωνὴν τῶν χοίρων. ἢ εἶδος μικροῦ νομίσματος. ἢ τὸ τυχόν, τὸ μικρότατον. ὅθεν καὶ γρύτη καὶ γρυτοπώλης· ὅπερ οὐκ εἴρηται, ἀλλὰ ῥω-

ποπώλης. καὶ παροιμία "τὸ Δίωνος γρύ" ἐπὶ τοῦ μικροῦ καὶ τυχόντος. cf. v. τὸ Δίωνος γρύ.

γρύζω θρηνῶ.

γρυκτόν· ⟨A Lys. 657⟩ "ἆρα γρυκτόν ἐστιν ὑμῖν;" τουτέστιν ἆρα γρύξαι ὀφείλετε, ἢ παρρησίαν ἄγειν;

Γρύλλος. Ξενοφῶντος τοῦ Σωκρατικοῦ υἱοὶ Γρύλλος καὶ Διόδωρος. καὶ γρύλλος ὁ χοῖρος.

γρυμαία ἡ σκευοθήκη.

γρύξαι φθέγξασθαι, κράξαι.

γρυπάνιον. γρυπαίνειν τὸ γρυποῦσθαι λέγουσιν, οἷον ἐπὶ τῶν ἁπαλῶν ξυληφίων, ὅταν κάμψαντες ἀφῶμεν αὐτά. Ἀντιφῶν δέ φησιν ἐν ἀληθείας δευτέρῳ "καίων γὰρ τὴν γῆν καὶ συντήκων γρυπάνιον ποιεῖ." καὶ Μελάνθιος "σεισμὸς" φησὶ "γέγονε, καὶ ἐγρύπανεν ἡ γῆ." Harp.

Γρῦπος. τῶν ἐπὶ μαλακίᾳ διαβαλλομένων οὗτος ἦν. οἱ δὲ Γρύττον λέγουσι, διὰ τοῦ τ· ὃς ἦν καταπύγων. Ἀριστοφάνης ⟨Eq. 884⟩ "ἔπαυσα τοὺς βινουμένους, τὸν Γρῦπον ἐξαλείψας."

γρυπός ὁ καμπυλόρριν.

γρώνη πέτρα.

γύαλον τὸ κοῖλον.

Γύγης Λυδός. "ἐσέβαλε μέν νυν στρατιὴν καὶ οὗτος, ἐπείτε ἦρξεν, ἔς τε Μίλητον καὶ Σμύρνην, καὶ Κολοφῶνος τὸ ἄστυ εἷλεν· ἀλλ' οὐδὲν μέγα ἀπ' αὐτοῦ ἄλλο ἔργον ἐγένετο, βασιλεύσαντος δυοῖν δέοντα μ' ἔτεα. τοῦτον μὲν παρήσομεν τοσαῦτα ἐπιμνησθέντες, Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι. οὗτος Πριηνέας τε εἷλεν εἰς Μίλητόν τε ἐσέβαλεν. ἐπὶ τούτου τυραννεύοντος Σαρδίων Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν νομάδων ἐξαναστάντες ἀπίκοντο ἐς τὴν Ἀσίην, καὶ Σάρδεις πλὴν τῆς ἀκροπόλεως εἷλον. Ἄρδυος δὲ βασιλεύσαντος ἑνὸς δέοντα ν' ἔτεα ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος, καὶ ἐβασίλευσεν ἔτη ιβ'. Σαδυάττεω δὲ Ἀλυάττης. οὗτος δὲ Κυαξάρῃ τε τῷ Δηιόκεω ἀπογόνῳ ἐπολέμησε καὶ Μήδοισι, Κιμμερίους τε ἐκ τῆς Ἀσίης ἐξήλασε, Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν ἐξεῖλεν, εἰς Κλαζομενάς τε ἐσέβαλεν. ἀπὸ μέν νυν τούτων οὐχ ὡς ἤθελεν ἀπήλλαξεν, ἀλλὰ προσπταίσας μεγάλως· ἄλλα δὲ ἔργα ἀπεδέξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε. ἐπολέμησε Μιλησίοισι, παραδεξάμενος τὸν πόλεμον ἀπὸ τοῦ πατρός. ἐπελαύνων γὰρ ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ τοιῷδε. ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρός, τηνικαῦτα ἐσέβαλλε τὴν στρατιήν. ἐστρατεύετο δὲ ὑπὸ συρίγγων τε καὶ πηκτίδων καὶ αὐλοῦ γυναικηίου τε καὶ ἀνδρηίου. ὡς δὲ ἐς τὴν Μιλησίην ἀπίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν ἀγρῶν οὐ κατέβαλλεν οὔτε ἐνεπίμπρη, οὔτε θύρας ἀπέσπα, ἔα δὲ κατὰ χώρην ἑστάναι· ὃ δὲ τά τε δένδρεα καὶ τὸν καρπὸν τὸν ἐν τῇ γῇ ὅκως διαφθείρειεν, ἀπαλλάσσετο ὀπίσω. τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεστάτεον, ὥστε ἐπέδρης μὴ εἶναι τὸ ἔργον τῇ στρατιῇ. τὰς δὲ οἰκίας οὐ κατέβαλλεν ὁ Λυδὸς τῶνδε εἵνεκα, ὅκως ἐντεῦθεν ὁρμώμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι ἔχοιεν οἱ Μιλήσιοι, αὐτὸς δὲ ἐκείνων ἐργαζομένων ἔχοι τι καὶ σίνεσθαι ἐσβάλλων. ταῦτα ποιέων ἐπολέμεεν ἔτεα ια', ἐν τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο, ἔν τε Λιμενηίῳ χώρης τῆς σφετέρης μαχεσαμένων καὶ ἐν Μαιάνδρου πεδίῳ." Herodot. 1 14.

Γύγου δακτύλιος, ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων. Γύγης γὰρ βουκόλος ὤν, τῆς γῆς ὑπὸ σεισμοῦ ῥαγείσης, νεκρὸν εὑρὼν φοροῦντα δακτύλιον τοῦτον περιεῖλεν. ὃ δὲ εἶχε φύσιν ὥστε κατὰ τὰς στροφὰς τῆς σφενδόνης ὁρᾶσθαι καὶ μή. δι' αὐτοῦ κτείνας τὸν πρὸ αὐτοῦ ἐβασίλευσεν.

γύης μέρος ἀρότρου. καὶ παροιμία "γύης οὐκ ἔνεστ' αὐτῷ" ἐπὶ τῶν ἔν τινι ἀχρήστων, ἐκ μεταφορᾶς τοῦ ἀρότρου.

γυῖα μέλη, ἢ πόδες τοῦ σώματος. ⟨AP 6 71⟩ "γυιοτακὴς δὲ λιπὼν τάδε σύμβολα κώμων, μέμφεται ἀστρέπτου κάλλεϊ θηλυτέρης."

γυλιαύχενας ⟨A Pac. 788⟩ τοὺς μακροτραχήλους.

γύλιος πλέγμα στρατιωτικὸν σκευοφόρον, ἐπίμηκες, εἰς ὀξὺ λῆγον πρὸς τὸ μὴ κατάγνυσθαι, ἐν ᾧ κατετίθεντο τυρὸν καὶ ἐλαίας καὶ κρόμμυα. ἡ λεγομένη στρατιωτικὴ ὀψοθήκη. ἔστι δὲ καὶ ζῷον ὁ καλούμενος χοιρογρύλλιος. λέγεται δὲ καὶ ὁ Ἡρακλῆς Γύλιος. καὶ **γύλιον** ἀγγεῖον πλεκτόν.

Γύλιππος ὄνομα κύριον.

Γύλων. οὗτος αἰτίαν ἔχων ἐπὶ τῇ τοῦ Νυμφαίου τοῦ ἐν Πόντῳ χωρίου προδοσίᾳ ἔφυγεν, ἐλθὼν δὲ εἰς Σκυθίαν ἔγημε, δύο δὲ ἔχων θυγατέρας ἔπεμψεν εἰς τὴν πατρίδα,

Digitized by Google

ὧν τὴν μὲν μίαν ἔγημε Φιλοχάρης τὴν δὲ ἑτέραν Κλεόβουλος ⟨an Κλεοβούλην Δημοσθένης⟩.

γυμνασία ἡ τριβή.

ὅτι ἡ διαλεκτικὴ πρὸς τρία ἐςὶ χρήσιμος, πρὸς γυμνασίαν, πρὸς τὰς ἐντεύξεις, πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιςήμας. γυμνασίαν δὲ λέγει ἤτοι τὴν γινομένην ἐν τῷ διαλέγεσθαι πρός τινας· δεχόμενοι γάρ τινα προβλήματα παρὰ τῶν προσδιαλεγομένων πειρῶνται τούτοις συμπαρίςασθαι, δι' ἐνδόξων τὰς ἐπιχειρήσεις ποιούμενοι. ἢ γυμνασίαν λέγοι ἂν τὴν εἰς ἑκάτερον μέρος ἐπιχείρησιν. ἦν δὲ σύνηθες τὸ τοιοῦτον εἶδος τῶν λόγων τοῖς ἀρχαίοις, καὶ τὰς συνουσίας τὰς πλείςας τοῦτον ἐποιοῦντο τὸν τρόπον, οὐκ ἐπὶ βιβλίων ὥσπερ νῦν (ὀ γὰρ ἦν τότε τοιαῦτα βιβλία), ἀλλὰ θέσεώς τινος τεθείσης εἰς ταύτην γυμνάζοντες αὐτῶν τὸ πρὸς τὰς ἐπιχειρήσεις εὑρετικὸν ἐπεχείρυν, κατασκευάζοντες καὶ ἀνασκευάζοντες δι' ἐνδόξων τὸ κείμενον. καὶ ἔςι βιβλία τοιαῦτα Ἀριςοτέλει τε καὶ Θεοφράςῳ γεγραμμένα, ἔχοντα τὴν εἰς τὰ ἀντικείμενα δι' ἐνδόξων ἐπιχείρησιν. πρὸς δὴ τὴν τοιαύτην γυμνασίαν χρήσιμον εἶναί φησι τὴν διαλεκτικήν· μέθοδον γάρ τινα εὑρετικὴν τῶν ἐπιχειρημάτων ἔχοντες (αὕτη δέ ἐςιν ἡ τῶν τόπων γνῶσις) ῥᾷον ἐπιχειρεῖν δυνησόμεθα. ὡς γὰρ ἐν τοῖς ῥητορικοῖς γυμνάσμασιν οἱ διαιρεῖν δυνάμενοι τὰ προβλήματα καὶ τὴν τάξιν τῶν κεφαλαίων συνορῶντες ῥᾷον ἐπιχειροῦσιν, οὕτω καὶ ἐν τοῖς διαλεκτικοῖς οἱ τὴν μέθοδον εἰδότες ῥᾷον ἐπιχειρημάτων εὐπορῦσι πρὸς τὰ προκείμενα. χρήσιμος δὲ ἡ τοιαύτη γυμνασία, ἡ κατὰ τοὺς λόγους, πρὸς εὕρεσιν τῶν ζητουμένων τε καὶ ἀληθῶν· προπαρασκευάζει γὰρ τὴν ψυχὴν πρὸς φιλοσοφίαν. ὡς γὰρ τὰ τῦ σώματος γυμνάσια γινόμενα κατὰ τέχνην εὐεξίαν περιποιεῖ τῷ σώματι, οὕτω καὶ τὰ τῆς ψυχῆς ἐν λόγοις γυμνάσια, κατὰ μέθοδον γινόμενα, τὴν οἰκείαν εὐεξίαν τῆς ψυχῆς περιποιεῖ. οἰκεία δὲ εὐεξία ψυχῆς λογικῆς ἡ δύναμις καθ' ἣν εὑρετική τε τοῦ ἀληθοῦς καὶ κριτικὴ γίνεται. δεύτερον τρόπον τῆς ὠφελείας ἐκτίθεται πρὸς τὰς ἐντεύξεις· καὶ ἔςιν ἐν τῷ ε ςοιχείῳ περὶ ἐντεύξεως. Alex. Aphrod. in Aristot. Top. p.16.

γυμνάσια ἀλειπτήρια, ἢ βαλανεῖα, ἢ λουτρά. τρία γυμνάσια τῆς Ἀττικῆς, Ἀκαδήμεια Λύκειον Κυνόσαργες.

Γυμνάσιος Σιδώνιος σοφιςής, ἐπὶ τῶν Κωνςαντίνου τοῦ βασιλέως χρόνων, ἔγραψε μελέτας, καὶ εἰς Δημοσθένην ὑπόμνημα, καὶ ἄλλα τινά.

γυμνῆται. ἡ εὐθεῖα ὁ γυμνήτης, καὶ οἱ γυμνῆται. τάξις πεζῶν· Ξενοφῶν ⟨Anab. 4 1 6⟩ "ὁ δὲ Χειρίσοφος ἡγεῖτο τῦ ςρατεύματος, λαβὼν τὸ ἀμφ' αὐτόν, τοὺς γυμνήτας ἅπαντας· οὐδεὶς γὰρ κίνδυνος ἐδόκει εἶναι." καὶ γυμνήτης ὁ γεγυμνωμένος· ⟨AP 7 65⟩ "ὅς ποτε θυμῷ ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον." λέγεται καὶ γυμνῆτος ὁπλίτου· καὶ αὖθις "εἵποντο δὲ καὶ γυμνῆτες ἐς ὑ ἀποκεκριμένοι, ὡς ὁδοποιεῖν τὰ ἄβατα."

γυμνητεύω γυμνὸς διατελῶ.

γυμνικοὶ ἀγῶνες· "ὁ δὲ Ἰουλιανὸς ἐν Πέρσαις ὧν γυμνικοὺς ἀγῶνας ἦγε," τουτέςιν ὅσους γυμνούς. cf. v. ἦγεν.

Γύμνις ⟨an Ὕμνις⟩ ὄνομα κύριον. καὶ κλίνεται Γύμνιδος.

γυμνοπαιδία ἡ παλαίςρα, ἣ τὺς ἐφήβους Λυκοῦργος ἠνάγκαζε... ⟨cf. v. Λυκῦργος⟩. καὶ γυμνοπαιδία χοροὶ ἐκ παίδων ἐν Σπάρτῃ τῆς Λακωνικῆς εἰς θεοὺς ὕμνυς ᾄδοντες, εἰς τιμὴν τῶν ἐν Θυρέαις ἀποθανόντων Σπαρτιατῶν. καὶ Ἰώσηπος ⟨B. I. 6 7 2⟩ "τόπος δ' ἐπὶ τῆς πόλεως οὐδεὶς γυμνὸς ἦν, ἀλλὰ πᾶς λιμοῦ νεκρὸν εἶχεν ἢ ςάσεως."

γυμνοπόδης ὁ ἀνυπόδητος, καὶ γυμνοποδῶ γυμνὸς βαίνω.

γυμνορρύπαροι οἱ σοφιςαί· "ἦσαν δὲ περὶ αὐτὸν γυμνορρύπαροί τινες" ⟨Diog. L. 7 16⟩.

γυμνοσοφιςαί παρὰ Βαβυλωνίοις οἱ φιλόσοφοι, καὶ παρὰ Ἀσσυρίοις.

γυμνότερος ἰαλέμου. ὁ ἰάλεμος ἐπίρρημα θρήνου· τάσσεται δὲ ἐπὶ τῶν οἰκτρῶν. καὶ γυμνότερος ὑπέρυ καὶ λεβηρίδος. Ἀριςοφάνης δὲ τυφλότερος· ἔςι δὲ τὸ σῦφαρ καὶ ἔκδυμα τῦ ὄφεως καὶ τῦ τέττιγος, παρὰ τὴν λεπίδα, κυρίως δέ, ᾧ περιέχεται τὸ ἔμβρυον τοῦ βοός. ἔςι δὲ τοῦτο καὶ τυφλόν· τὰς γὰρ ὀπὰς μόνας ἔχει τῶν ὀφθαλμῶν. τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, τυφλότερος, κενώτερος, καὶ γυμνότερος.

γυμνότερος παττάλου, ἐπὶ τῶν σφόδρα ἀπορωτάτων.

γυμνῷ φυλακὴν ἐπιτάττεις, ἐπὶ τῶν ἀδυνάτως ἐχόντων τὰ προσεταγμένα πληρῦν διὰ τὰ ἀναγκαῖα.

ὅτι τὸ γυμνῶ μετὰ γενικῆς. μετὰ αἰτιατικῆς δέ, ὡς τὸ "γυμνώσαντες αὐτὸν ἐξήγαγον ἔξω" καὶ "γυμνῶν τὰ ἐσφραγισμένα."

γυναικεία φύσις. γυναικίας δὲ ἀνὴρ ὁ θηλυμανής, διὰ τοῦ ι. καὶ γυναικιζόμενος ὁ θηλυνόμενος.

γυναίκισις ἡ γυναικεία μίμησις· ⟨A Thesm. 870⟩ "πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην."

γυναικοϊέρακες οἱ περὶ ἔρωτας ἐπτοημένοι· "δεινοὶ γὰρ οἱ γυναικοϊέρακες εὐπρεπεῖς αἰτίας εὑρίσκειν ἐς ἄγραν τῶν θηλειῶν." cf. v. Λογγῖνος.

γυναικὸς ἄρ' ἀντετέτυξο ἀντὶ τοῦ ἴσος γυναικὶ κατεσκευάσθης, παρ' Ὁμήρῳ ⟨Θ 163⟩.

γυναικὸς ὄλεθρος ἐπὶ τῶν οἰκτρῶς ἀναιρουμένων, παρ' ὅσον πολλοὶ δεινῶς ὑπὸ γυναικῶν ἀπώλοντο. καὶ γυναικὸς πυγὴ ἐπὶ τῶν ἀργῶν, ἢ ὅτι χρὴ τὰς γυναῖκας οἴκοι μένειν.

γυναικωνῖτις οἰκία τῶν γυναικῶν· "γυναικωνῖτιν φάλαγγα τῶν εὐνούχων Θάλεντος." cf. v. θλαδίας.

γυναιμανής ἐπὶ γυναιξὶ μαινόμενος, ὁ ἀκόλαςος.

γύνανδρος κίναιδος· "ὁ γύνανδρός τε καὶ μάλθων τύραννος" ἀντὶ τοῦ ἔκλυτος.

γυνὴ εἰς Ἡρακλέυς οὐ φοιτᾷ, πρὸς τοὺς ἀναξίυς τῶν πράξεων, παρ' ὅσον Ἡρακλῆς ἐδούλευσεν Ὀμφάλῃ. καὶ γυνὴ ςρατηγεῖ, ἐπὶ τοῦ παραδόξου.

γύννις ἀνδρόγυνος, μαλακός· ⟨A Thesm. 143⟩ "ποδαπὸς ὁ γύννις; τίς πάτρα;" "κατὴν σοφίαν μετιών, καὶ τοὺς ἀθέους Ἐπικούρου λόγους καὶ γύννιδας ἐπασκῶν, κὰκ τῆς ἡδονῆς, ἣν ἐκεῖνος ὕμνει ὁ χλούνης τε καὶ γύννις." cf. vv. δᾳδουχήσας et χλοῦναι.

γυπαρίοις ἀντὶ τοῦ ἐν φωλεοῖς καὶ καλιαῖς καὶ ςενοῖς χωρίοις. Κράτης δέ φησιν ὅτι πᾶσαν ςενὴν κατάδυσιν γῦπας ὠνόμαζον. Ἀριςοφάνης ⟨Eq. 790⟩ "οἰκοῦντα τοῦτον ἐν πιθάκναις καὶ γυπαρίοις καὶ πυργιδίοις." καὶ γυπαιετούς.

γυπὸς σκιά, ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων.

γύργαθος. καὶ παροιμία "γύργαθον φυσᾷς" ἐπὶ τῶν μάτην πονούντων. γύργαθος οὖν κλίνη ἐν ᾗ τοὺς παρέτυς καὶ δαιμονιώδεις ςροβοῦσι.

γυρίς περιφεροῦς· "ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦλθον γυρίης." καὶ Ὅμηρος ⟨τ 246⟩ "γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος" περὶ Ὀδυσσέως.

γυρόν κυρτόν, ςρογγύλον· ἐν ἐπιγράμματι ⟨AP 6 64⟩ "γυρὸν κυανέης μόλιβον σημάντορα γραμμῆς."

γυρῶν περιφερῶν, κεκαμμένων· ἐν ἐπιγράμματι ⟨AP 6 5⟩ "γυρῶν τ' ἀγκίςρων λαιμοδακεῖς ἀκίδας."

γυῶ, ἐξ οὗ καὶ τὸ ⟨Hom. Θ 402⟩ "γυώσει μὲν σφῶιν."

Γώβαρις ὄνομα κύριον.

Γωβρύας ὄνομα κύριον.

γωνία ἡ τοῦ οἴκου. καὶ γωνιασμός· Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ ἔςι γνήσιος, "κάμψαντί" φησι "τῦ τείχυς, ὦ βυλή, ἔςι γωνιασμὸς ἐν ἀριςερᾷ καὶ εὐρυχωρία πάνυ πολύς." καὶ γωνιασμοὺς ἀποφυγάς, ἀπαγωγάς· Ἀριςοφάνης ⟨Ran. 985⟩ "ἔδειξα τυτυσὶ λεπτῶν κανόνων εἰσβολὰς ἐπῶν τε γωνιασμούς." Harp.

γωνίᾳ ἀπορθῶσαι τὸ ἐν γωνίᾳ ὑπό τινος περανθῆναι.

γώνυμος ⟨an ἐπώνυμος⟩ ὁ φερώνυμος.

γωρυτός θήκη τόξων. ⟨Ioseph. B.I. 3 5 5⟩ "καὶ κατὰ γωρυτοῦ παρηρτημένοι τρεῖς ἢ πλείους ἄκοντες, πλατεῖς μὲν αἰχμάς, οὐκ ἀποδέοντες δὲ δοράτων μέγεθος." καὶ αὖθις "καὶ γωρυτοὺς πλήρεις οἰςῶν."

Δάα.

Δάβαινα ὄνομα τόπου. καὶ ὁ Δαβαινίτης.

Δαβίδ προφήτης, προπάτωρ τοῦ κυρίυ καὶ θεοῦ ἡμῶν· ὃς μετὰ τὸ βασιλεῦσαι ἐπορεύετο μεγαλυνόμενος, καὶ κύριος παντοκράτωρ ἦν μετ' αὐτῦ. εἶχε δὲ δυνατὺς ἄνδρας λζ, ὧςε τὸν μικρὸν αὐτῶν ποιεῖν πρὸς ρ', τὸν δὲ μέγαν πρὸς χιλίους ἄνδρας. δυνατοὶ δὲ καὶ ἀκαταγώνιςοι ἦσαν πρὸς τοὺς ἐναντίους, θυρεοὺς αἴροντες καὶ δόρατα μέγιςα, κῦφοι τοῖς ποσὶν ὡς δορκάδες ἐπὶ τῶν ὀρέων τρέχοντες. ἡ κατασκευὴ αὐτῶν ἔκπληκτος, τὰ πρόσωπα αὐτῶν ὡς λεόντων. τοὺς δὲ πολεμιςὰς οὓς εἶχε Δαβίδ μετ' αὐτοῦ, μυριάδες τλβ', καθὼς ἠριθμήθη ὑπὸ Ἰωὰβ τοῦ ἀρχιςρατήγυ αὐτοῦ. καὶ τοῦτο πονηρὸν ἐφάνη ἔναντι κυρίου, καὶ ἀπέςειλε κύριος Γὰδ τὸν προφήτην πρὸς Δαβίδ [illegible] "τάδε λέγει κύριος ὁ θ[illegible]

γενέσθαι σοι ἓν τῶν τριῶν, ἢ τρία ἔτη λιμὸν ἐν τῇ γῇ, ἢ μῆνας τρεῖς φεύγειν ἔμπροσθεν τῶν ἐχθρῶν σου, ἢ τρεῖς ἡμέρας θάνατον ἐν τῇ γῇ σου." καὶ εἶπε Δαβὶδ "στενά μοι πάντοθεν τὰ τρία· πλὴν ἐμπεσοῦμαι εἰς χεῖρας κυρίου." καὶ ἐξελέξατο τὸν θάνατον, καὶ ἀπέθανον ἀπὸ πρωίθεν μέχρις ὥρας ἀρίστου χιλιάδες ό. καὶ εἶπε Δαβὶδ "ἐγώ εἰμι ὁ ποιμὴν ὁ κακοποιήσας, οὗτοι τὰ πρόβατα· γενέσθω δὴ ἡ χείρ σου ἐπ' ἐμοί." καὶ παρακληθεὶς ὁ κύριος ἀπέστρεψε τὴν χεῖρα αὐτοῦ, καὶ συνέσχεν ἡ θραῦσις, καὶ ᾠκοδόμησεν ἐκεῖ Δαβὶδ θυσιαστήριον. Cedren. p.86.

b Δαβὶδ βασιλεὺς Ἰσραήλ. διώκοντος αὐτὸν τοῦ Σαούλ, ἐμπεσόντος δὲ τοῦ Σαοὺλ εἰς τὰς χεῖρας τοῦ Δαβὶδ καὶ ἅπαξ καὶ δίς, καὶ μηδὲν ἀδικηθέντος, ἔφη Δαβὶδ ὁ πραότατος πρὸς Σαοὺλ τὸν ἀπανθρωπότατον "ἵνα τί καταδιώκεις, ὦ βασιλεῦ, τοῦ καταλαβεῖν τὴν ψυχήν μου; δικάσαι κύριος ἀναμέσον ἐμοῦ καὶ σοῦ, καὶ ἐκδικήσει με ἐκ χειρός σου. ἡ δὲ χείρ μου οὐκ ἔσται ἐπὶ σέ, καθὼς λέγεται ἐν τῇ ἀρχαίᾳ παραβολῇ ὅτι ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια". καὶ ὁ μὲν οἶκος Δαβὶδ ἐπορεύετο καὶ ἐκραταιοῦτο, ὁ δὲ οἶκος Σαοὺλ ἐπορεύετο καὶ ἠσθένει. εἶτα τῶν ἀλλοφύλων κατὰ Σαοὺλ ἐστρατοπεδευκότων, τοῦ δὲ πρὸς τὴν ἐγγαστρίμυθον ἀπελθόντος καὶ τὴν ἀπόφασιν δεξαμένου, προθύμως εἰσῆλθεν εἰς τὸν πόλεμον, καὶ τοξευθεὶς τὰ ὑποχόνδρια ἐτελεύτησεν. cf. Cedren. p.85.

οὗτος ἐν πολέμοις ἄριστος ἦν καὶ τῶν νόμων ἀκριβὴς φύλαξ, καὶ πάντας τοὺς πολεμίους ἐχειρώσατο. ὀλίγοις τέ τισι πταίσμασι τὸ σῶμα πιεσθεὶς θείαις ἐπαιδεύετο μάστιξι· πρὸς γὰρ τῶν ἑαυτοῦ παίδων μικροῦ δεῖν τῆς βασιλείας ἐξέπεσε, γέλως τε τοῖς πολεμίοις ἀπεδείχθη. καὶ ταῦτα μετανοίαις καὶ δάκρυσιν ἐθεράπευσεν. Io. Antioch. p.781.

ἦν δὲ ὁ Δαβὶδ ἐνάρετος καὶ ἀνδρεῖος ὡς οὐκ ἄλλος τις. ἐν δὲ τοῖς ὑπὲρ τῶν ὑπηκόων ἀγῶσι πρῶτος ἐπὶ τοὺς κινδύνους ὥρμα, τῷ πονεῖν καὶ μάχεσθαι παρακελευόμενος τοὺς στρατιώτας ἐπὶ τὰς πράξεις, ἀλλ' οὐχὶ τῷ προστάττειν ὡς δεσπότης. νοῆσαί τε καὶ συνιδεῖν περὶ τὰς τῶν μελλόντων καὶ τῶν ἐνεστηκότων οἰκονομίας ἱκανώτατος, σώφρων, ἐπιεικής, χρηστὸς πρὸς τοὺς ἐν συμφοραῖς ὑπάρχοντας, μὴ ἐξαμαρτὼν εἰ μὴ περὶ τὴν τοῦ Οὐρίου γυναῖκα. κατέλιπε δὲ πλοῦτον ὅσον οὐκ ἄλλος βασιλεὺς οὔτε Ἑβραίων οὔτε ἄλλων ἐθνῶν. Ioseph. A. I. 7 15 2.

ὅτι ὁ Δαβὶδ εἰς βασιλέα τρίτον ἐχρίσθη.

Δαβίδειος σορός. καὶ Δαβίδειον μέλος τὸ τοῦ Δαβίδ.

Δαβίδης ὄνομα κύριον.

Δαγίσθαιος ὄνομα κύριον.

Δαγών ⟨1 Sam. 5 2⟩ εἴδωλον ὑπὸ τῶν ἀλλοφύλων θεραπευόμενον, ᾧ τὴν κιβωτὸν λαβόντες ἀνέθεσαν.

δᾷδες λαμπάδες. καὶ δᾳδίον παρὰ πολλοῖς. cf. v. δαλίον.

δᾳδουχεῖ φαίνει. καὶ δᾳδουχήσας Ἀθήνησιν. "ὡς Ἀθηναίων φασὶν οἱ ταῦτα ἀκριβοῦντες δόκιμοι· εὔξαντο δὲ καὶ τῇ βουλῇ καὶ τῇ κόρῃ διά τε τῶν ἱεροφαντῶν καὶ τοῦ δᾳδούχου σωτηρίαν αὐτοῖς." καὶ δᾳδουχήσας λαμπαδηφορήσας· "ὁ πρὸ Στρατοκλέους Ἀθήνησι δᾳδουχήσας, ἐκ τῆς ἡδονῆς ἣν ἐκεῖνος ὕμνει ὁ χλούνης τε καὶ γύννις." cf. v. γύννις.

Δάειρα ὄνομα κύριον.

δᾶερ ⟨Hom. Z 355⟩ ἀνδράδελφος, ἐπὶ κλητικῆς. ἡ δὲ εὐθεῖα δαήρ.

δαημονέστατος ἐμπειρότατος· ⟨Arrianus: cf. v. Ἀλέξανδρος⟩ "ἦν δὲ ὁ Ἀλέξανδρος καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι δαημονέστατος." ⟨cf. v. Ἐπιφάνιος καὶ Εὐπρέπιος⟩ "ἦσαν δὲ καὶ τελετῶν ἀμφότεροι δαημονέστατοι." καὶ δαημονεστάτων ἐμπείρων, ἐπιστημόνων· "οἷα δὴ δαημονεστάτων τὰ πολέμια." "πέμπει δὲ πρεσβευτὴν τῆς τε Ἑλλήνων φωνῆς δαήμονα καὶ τῆς Ῥωμαίων οὐ πάντη ἀνήκουσον, ὡς καὶ τοῦ πολίτην Ῥωμαίων κατὰ ποίησιν γενέσθαι μὴ δόξαι ἀνάξιον."

δαημονέστεροι ἐμπειρότεροι.

δαΐ τῇ μάχῃ· ἐν ἐπιγράμμασι ⟨AP 6 159⟩ "ἁ πάρος αἱματόεν πολέμου μέλος ἐν δαΐ σάλπιγξ καὶ γλυκὺν εἰράνας ἐκπροχέουσα νόμον."

δαΐαν ὁδὸν ἀγωνιστικήν, ἢ ἔμπειρον, ἀπὸ τοῦ δαῆναι, ὅ ἐστι μαθεῖν. ἢ ἀντὶ τοῦ φιλόνεικον ⟨sch. A Ran. 925⟩. "ὁ δέ, καίτοι δράσας κακὸν δάιον, ἐλεγχόμενος ὅμως ἦγε τὴν ἡσυχίαν."

δαιδάλεον τῇ κατασκευῇ ποικίλον. ⟨AP 6 275⟩ "κεκρύφαλον τόνδε λαβεῖν Σαμύθας· δαιδάλεός τε γάρ ἐστι, καὶ ἁδύ τι νέκταρος ὄζει." καὶ δαιδαλόεις ὁ ποικίλος.

δαιδάλλω ῥῆμα.

δαίδαλον ποικίλον κατασκεύασμα, ἀπὸ Δαιδάλου τινὸς μηχανοποιοῦ, ὃς κατασκευάσας διάφορα μηχανήματα γέγονε περιβόητος. "οὐκοῦν διαλαθὼν ἐπὶ τῷ βωμῷ κατέπηξε τὰ δαίδαλα τῶν τριπόδων, ἃ ἐπήγετο."

Δαιδάλου ποιήματα, ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας, ἐπειδὴ οἱ παλαιοὶ δημιουργοὶ συμμεμυκότας τὺς ὀφθαλμὺς ἐποίουν, ὁ δὲ Δαίδαλος ἀνεπέτασεν αὐτοὺς καὶ τοὺς πόδας διέςησε. καὶ Ὅμηρός φησιν ⟨E 60⟩ "ὃς χερσὶν ἐπίςατο δαίδαλα πάντα τεύχειν· ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη· ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐίσας."

Δαιδάλου πτερά, ἐπὶ τῶν δι' ἀπορίαν προσθήκῃ χρωμένων παρελκούσῃ.

δαιδαλόχειρ ὁ ποικίλα καὶ ἐξαίσια ταῖς χερσὶν ἐργαζόμενος. ⟨AP 6 204⟩ "Δῆρις ὁ δαιδαλόχειρ τῇ Παλλάδι πῆχυν ἀκαμπῆ ἄνθετο." καὶ αὖθις Αἰλιανός "ἦν δὲ τὰ λυχνία ἀργύρου πεποιημένα καὶ τέχνης θαυμαςῆς δαίδαλα." καὶ Ἀριςοφάνης ⟨Eccl. 965⟩ "ὦ χρυσοδαίδαλτον ἐμὸν μέλημα, Κύπριδος ἔρνος."

δαίει καίει. καὶ **δαιομένη** μερίζουσα, διαιροῦσα· δαίω γὰρ καὶ τὸ μερίζω, ἐξ οὗ καὶ δαιτυμών, καὶ δαὶς δαιτός ἡ εὐωχία.

δαΐζων διακόπτων. ἢ παρὰ τὴν δάιν τὴν μάχην, καταμαχόμενος.

δαϊκταμένοις ⟨Hom. Φ 146⟩ ἀναιρουμένοις.

δαίμονα ἐκςατικόν. "φασὶ δὲ οἱ φιλόσοφοι δαίμονας εἶναί τινας ἀνθρώπων συμπάθειαν ἔχοντας" ⟨Diog. L. 7 151⟩.

δαιμονᾶν ὑπὸ δαίμονος κατέχεσθαι καὶ μαίνεσθαι. καὶ **δαιμονήσας**· "ὃ δὲ ἐξέλιπε τὸν βίον δαιμονήσας διὰ τὸ γενέσθαι τινὰς ἐπισημασίας τοῦ δαιμονίου διὰ τὴν περὶ τὸ ἱερὸν παρανομίαν" ⟨Polyb. 31 11⟩.

δαιμονίᾳ δαιμονίως.

δαιμόνιε μακάριε.

δαιμόνιος ὁρμή ⟨Herodot. 7 18⟩ τοῦ δαίμονος, ἢ τοῦ θεοῦ.

δαιμονίως παραδόξως. "ἐθεραπεύθη δὲ ἔφη δαιμονίῳ τρόπῳ." ⟨Procop. Arc. 12⟩ "ὃ δὲ ἐς τὰ ἀφροδίσια δαιμονίως ἐσπουδακώς" ἀντὶ τοῦ παραδόξως, ὑπερφυῶς.

δαΐμονος τοῦ δαίμονος.

δαίμων ἡ ἑκάςου τύχη. Ἀριςοφάνης ἐν Πλούτῳ ⟨6⟩ "τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον." καὶ Σοφοκλῆς ⟨OC 76⟩ "γενναῖος ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος," τουτέςι τῆς τύχης. ⟨M. Anton. 2 13⟩ "οὐδὲν ἀθλιώτερον τῦ πάντα κύκλῳ περιερχομένου, καὶ τὰ νέρθεν γῆς, φησίν, ἐρευνῶντος, καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεων ζητῦντος, μὴ αἰσθανομένου ὅτι ἀρκεῖ πρὸς μόνῳ τῷ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι καὶ τοῦτον γνησίως θεραπεύειν. θεραπεία δὲ αὐτοῦ, καθαρὸν πάθους διατηρεῖν καὶ εἰκαιότητος καὶ δυσαρεςήσεως τῆς πρὸς τὰ ἐκ θεοῦ καὶ ἀνθρώπων γινόμενα. τὰ μὲν γὰρ ἐκ θεοῦ καὶ ἀνθρώπων φίλια διὰ συγγένειαν. ἔςι δ' ὅτε καὶ τρόπον τινὰ δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν ἐλάττων ἡ πήρωσις αὕτη τῆς ςερισκούσης τὰ λευκὰ καὶ μέλανα."

δαίνυ εὐώχει· Ὅμηρος ⟨I 70⟩ "δαίνυ δαῖτα γέρουσι." καὶ **δαινύμενος** εὐωχούμενος.

δαΐξας διακόψας.

δαΐον τέρας ⟨Eur. Phoen. 1030⟩ πολεμικόν.

δαίρω τὸ τύπτω.

δαίς ἡ εὐωχία. καὶ **δαῖτα θάλειαν** ὅτε φησί, ςοιχείου μεταθέσει δίαιτάν φασι λέγεσθαι. τὸ δὲ ἀπο τοῦ δαίσασθαι λέγειν βιαιότερον. Athen. p. 24.

δαΐς ἡ μάχη. **δᾴς** δέ. ⟨A Vesp. 1363⟩ "ἐν ἀγορᾷ τοῖς θεοῖς δᾲς καίεται. δᾲς ἥδε; δᾲς δῆτ'· οὐχ ὁρᾷς ἐςιγμένην; τί δαὶ τὸ μέλαν τοῦτ' ἐςὶν αὐτῆς ἐν μέσῳ; ἡ πίττα δήπυ καομένης ἐξέρχεται."

δαιταλεῖς δαιτυμόνες, καὶ θιασῶται, καὶ συμπόται καὶ οἷον συνδαιταλεῖς· οὕτως Ἀριςοφάνης. ⟨Theophyl. Sim. 5 5⟩ "ἐπιδείπνιον ὁ βασιλεὺς θέαν τοῖς δαιταλεῦσιν ὥσπερ ἀξιόλογον χαριζόμενος τοῦτ' ἐδείκνυε."

δαῖτας εὐωχίας. ⟨AP 6 251⟩ "Φοῖβε, δέξαι πλωτήρων μάζης χειροφυρέα δαῖτα." καὶ ⟨Polyb. 5 2⟩ "οἵους Ἡσίοδος παρεισάγει τὺς Αἰακίδας, πολέμῳ κεχαρηότας ἠύτε δαιτί."

δαιτή, ἐπ' εὐθείας διὰ τῦ η, ἡ εὐωχία. ἐπὶ δὲ δοτικῆς **δαιτί** τῇ εὐωχίᾳ, ἐκ τῦ δαὶς δαιτός δαιτί.

δαιτὸς ἐίσης ἐξ ἴσου μεριζομένης εὐωχίας. Ζηνόδοτος δὲ τῆς ἀγαθῆς φησίν, ἐπειδὴ ἡ τροφὴ τῷ ἀνθρώπῳ ἀγαθόν. ἐπειδὴ οἱ πρῶτοι ἄνθρωποι, οἷς δὴ ὑ παρῆν ἄφθονος ἡ τροφή, βίᾳ ἥρπαζον καὶ ἀφῃροῦντο τοὺς ἔχοντας, καὶ μετὰ τῆς ἀκοσμίας ἐγίνοντο καὶ

φόνοι, ἐξ ὧν λεχθῆναι τὴν ἀτασθαλίαν· ἐν γὰρ ταῖς θαλίαις ἡμάρτανον τὰ πρῶτα οἱ ἄνθρωποι. ὕστερον δὲ διένεμον, καὶ ἦλθεν εἰς κόσμον τὰ δόρπα. ἔνθεν καὶ δαιτρός, καὶ δαὶς ἡ εὐωχία, καὶ δαιτυμόνες. ὅτι ἐπὶ ἀνθρώπων λέγεται δαίς, ἐπὶ δὲ θηρίων οὔ· ἀγνοῶν δὲ Ζηνόδοτος τῆς φωνῆς ταύτης τὴν δύναμιν ἔφη "ἑλώρια τεῦχε κύνεσσιν οἰωνοῖσί τε δαῖτα." Athen. p. 12.

δαιτρεύειν μερίζειν.

δαιτρόν μεριστήν, μάγειρον.

δαιτρός προσδιαιρῶν ἐλάχιστα τοῖς ἑστιωμένοις· οὕτως γὰρ εἱστιῶντο, μεριζόμενοι τά τε πρόβατα καὶ τὸν πότον. παρ' ὃ καὶ λέγει (Hom. *I* 225) "δαιτὸς ἐίσης," ἰσομοίρου τροφῆς. ἢ δαιτρὸς ὁ διαιρῶν καὶ διανέμων τὰ κρέα.

ὅτι Τίμαιός φησι τοὺς ποιητὰς καὶ τοὺς συγγραφεῖς διὰ τῶν ὑπεράνω πλεονασμῶν ἐμφαίνειν τὰς ἑαυτῶν φύσεις, λέγων ἐκ τοῦ δαιτρεύειν τὸν ποιητὴν πολλαχοῦ τῆς ποιήσεως γαστρίμαργον παρεμφαίνειν, τὸν δὲ Ἀριστοτέλην ὄψα ἀρτύοντα ὀψοφάγον εἶναι καὶ λίχνον. τὸν δὲ Διονύσιον τὸν τύραννον κλινοκοσμοῦντα καὶ τὰς τῶν ὑφασμάτων ἰδιότητας καὶ ποικιλίας ἐξεργαζόμενον συνεχῶς ἀνάγκη τὴν ἀκόλουθον ποιεῖσθαι διάληψιν, καὶ δυσαρεστεῖσθαι κατὰ τὴν προαίρεσιν. Polyb. 12 24.

δαιτυμόνες ἀρισταί, εὐωχούμενοι.

δαΐφρονος συνετοῦ, ἢ πολεμικοῦ.

δαίω τὸ μανθάνω. δαίσω δαΐσκω, καὶ ἀποβολῇ τοῦ ι δάσκω, ἐπειδὴ τὰ εἰς σκω κοινολεκτούμενα οὐ θέλουσι δίφθογγον ἔχειν· ἀναδιπλασιασμῷ διδάσκω, καὶ ἐξ αὐτοῦ διδάσκαλος.

Δάκες οἱ νῦν Πατζινακῖται λεγόμενοι.

δάκη καὶ δάκετα θηρία ἰοβόλα ἑρπετά. ἡ εὐθεῖα δάκος, τῷ δάκει.

δάκης αὐθυπότακτον.

Δακία χώρα, ἣν ὁ Τραϊανὸς ἐν τοῖς πέραν τοῦ Ἴστρου χωρίοις κατῴκισε. καὶ ταύτην Αὐρηλιανὸς ἀπέλιπε κεκακωμένης τῆς Ἰλλυριῶν τε καὶ Μυσῶν χώρας, ἡγούμενος ἀδύνατος ἔσεσθαι τὴν πέραν ἐν μέσοις τοῖς ποταμοῖς ἀπειλημμένην διασώζεσθαι. ἐξαγαγὼν οὖν τοὺς ἐκεῖσε Ῥωμαίους ἀπῳκισμένους ἔκ τε τῶν πόλεων καὶ τῶν ἀγρῶν ἐν μέσῃ τῇ Μυσίᾳ καθίδρυσε, τὴν χώραν ὀνομάσας Δακίαν· ἣ νῦν ἐν μέσῳ τῶν δύο Μυσιῶν κειμένη διαιρεῖ αὐτὰς ἀπ' ἀλλήλων. Eutrop. 9 15.

δακνόμενος ἐνοχλούμενος, ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμάτων κατεσθιόμενος· δοκεῖ γὰρ δαπανηρὸν εἶναι τὸ ἵππους τρέφειν. ὅπερ καὶ τῇ Λακωνικῇ προσέζευκται κατάρᾳ· καὶ γὰρ δὴ τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει. ἔστι δὲ αὕτη· "οἰκοδομά σε λάβοι καὶ ἀμβολά, ὁ δὲ ἵππος, καὶ ἁ γυνά τοι μοιχὸν ἔχοι," ὡς τούτων πάντων δαπανηρῶν ὄντων καὶ ἐπιζημίων. τὸ δὲ δακνόμενος εἶπεν ἀπὸ τοῦ αὐτὸν κατακεκλεῖσθαι ἔσω τῶν στρωμάτων. sch. A Nub. 12.

δακρυόεντα μετὰ δακρύων.

δακρῦσαι αἰτιατικῇ.

δακτυλήθρα ἡ τοῦ δακτύλου σφενδόνη· "καὶ δακτυλήθρας ἔχων ἐσθίειν λέγεται τὸ ὄψον, ἵν' ὡς θερμότατον ἀναδιδῷ τῇ γλώττῃ" (Athen. p. 6).

δακτύλιος ἡ σφραγίς. (Appian. Hann. 50) "ὁ δὲ Ἀννίβας ὁ Καρχηδονίων στρατηγὸς Μαρκέλλου τοῦ ὑπάτου ἀποθανόντος ἐπιστὰς τῷ σώματι αὐτοῦ, ὡς εἶδε τὰ τραύματα πάντα ἐπὶ τοῦ στέρνου, ἐπῄνεσε μὲν ὡς στρατιώτην, ἐπέσκωψε δὲ ὡς στρατηγόν, καὶ τὸν δακτύλιον αὐτοῦ περιελὼν ἐτύπωσεν ἐπιστολήν." (Artemid. 2 5) "σύκινοι καὶ ἐλεφάντινοι δακτύλιοι γυναιξὶν εἰσι σύμφοροι."

δάκτυλοι παρὰ πολλοῖς αἱ βάλανοι τῆς φοίνικος. καὶ παροιμία "Δακτύλου ἡμέρα" ἐπὶ τῶν εὐημερούντων· Δάκτυλος γάρ τις ἀνὴρ γέγονεν Ἀθήνησι μεγίστων λαχὼν τιμῶν.

Δάλδις πόλις Λυδίας.

δαλίον. οὕτως οἱ κωμικοὶ διὰ τοῦ λ. (A Pac. 949) "φέρε δὴ τὸ δαλίον τόδ' ἐμβάψω·" ἐδόκουν γὰρ καθαίρειν ἀποβάπτοντες τοῦ πυρός. οἱ δὲ δᾳδίον γράφουσι.

δαλός λαμπάς, ἢ ξύλον ἀπόκαυμα, ἢ δᾳδίον ἡμίφλεκτον. καὶ παροιμία "δαλὸς εἰς πῦρ."

Δαμαίων κύριον.

δάμαλις ζῷον.

Δαμαλίτης ὄνομα κύριον.

δάμαρτος γυναικός.

δαμασίφρων ὁ ἀπατῆσαι δυνάμενος· Πίνδαρος (Ol. 13 111) "δαμασίφρονα χρυσόν."

Δαμασκηνός ἀπὸ τόπου.

Δαμάσκιος στωικὸς φιλόσοφος, Σύρος, Σιμπλικίου καὶ Εὐλαλίου τῶν Φρυγῶν ὁμι-

ιπὶ, ἤκμαζεν ἐπὶ τῶν Ἰεσινιανοῦ χρόνων. γέγραπται αὐτῷ ὑπομνήματα εἰς Πλάτωνα, καὶ περὶ ἀρχῶν, καὶ φιλόσοφος ἱςορία.

Δάμασος Ῥώμης ἐπίσκοπος, εἰς ἐποποιίαν εὐφυής, πολλὰ καὶ σύντομα ἡρωικῷ μέτρῳ ἐξέδωκε, καὶ ὀγδοηκοντούτης ἐπὶ Θεοδοσίου βασιλέως ἐτελεύτησεν. ἔγραψε καὶ ἄλλα πολλά. Sophronius p. 192.

Δαμάςης Σιγειεὺς ἀπὸ Σιγείου τῆς Τρῳάδος, Διωξίππου υἱός, γεγονὼς πρὸ τῶν Πελοποννησιακῶν, σύγχρονος Ἡροδότῳ, τῶν πλουσιωτάτων, ἱςορικός, γέγραφε περὶ τῶν ἐν Ἑλλάδι γενομένων, περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον ςρατευσαμένων βιβλία β' (cf. v. Πῶλος), ἐθνῶν κατάλογον καὶ πόλεων, περὶ ποιητῶν καὶ σοφιςῶν, καὶ ἄλλα πολλά. γέγονε δὲ Ἑλλανίκου μαθητής.

δαμάτειρα ἡ δαμάςρια.

δαμέντα δαμασθέντα, ἢ φονευθέντα. καὶ δαμῆναι δαμασθῆναι.

Δαμιανὸς Ἐφέσιος σοφιςής, ὃς καὶ ἐν ὑπάτοις ἐνεγράφη ὑπὸ τοῦ βασιλέως Σευήρου, καὶ Βιθυνίας ἦρξε, καὶ τὴν ςοὰν τὴν ἐκτὸς Ἐφέσου ἀποτεινομένην εἰς τὸ ἱερὸν θολικὴν κατεσκεύασε. cf. Philostrat. V. S. 2.

Δάμις ἀνὴρ οὐκ ἄσοφος, τὴν ἀρχαίαν οἰκῶν Νίνον. οὗτος τῷ Ἀπολλωνίῳ προσφιλοσοφήσας ἀποδημίας τε αὐτοῦ ἀναγέγραφεν, ὧν κοινωνῆσαι καὶ αὐτός φησι, καὶ γνώμας καὶ λόγους καὶ ὁπόσα ἐς πρόγνωσιν εἶπεν (Philostrat. V. A. 1 3). ὁ γὰρ Ἀπολλώνιος ἀπὸ Ἀντιοχείας ἧκεν εἰς Νίνον, προσεφοίτησε δὲ αὐτῷ Δάμις ὁ Νίνιος, καὶ συνῆν αὐτῷ, ὅ τι μάθοι μνημονεύων. φωνὴ δὲ ἦν τῷ Ἀσσυρίῳ ξυμμέτρως πράττουσα· τὸ γὰρ λογοειδὲς οὐκ εἶχεν ἅτε παιδευθεὶς ἐν βαρβάροις, διατριβὴν δὲ ἀναγράψαι καὶ ξυνουσίαν, καὶ ὅ τι ἤκουσεν ἢ εἶδεν ἀνατυπῶσαι, καὶ ὑπομνήματα τοιάδε ξυνθεῖναι σφόδρα ἱκανὸς ἦν. id. 1 19.

οὐ μὴν ὡς δυοῖν γε ἀμελῆσαι τούτοιν, τῆς τε ἀνδρίας, ᾗ χρώμενος Ἀπολλώνιος διεπορεύθη βάρβαρα ἔθνη καὶ λῃςρικά, οὐδ' ὑπὸ Ῥωμαίους πω ὄντα, τῆς τε σοφίας, ᾗ τὸν Ἀράβιον τρόπον ἐς ξύνεσιν τῆς τῶν ζῴων φωνῆς ἦλθεν. ἔμαθε δὲ τοῦτο διὰ τουτωνὶ τῶν Ἀράβων πορευόμενος. id. 20.

δάμνα (Hom. Π 130) ἐδάμαζε.

δάμνημι δαμάζω.

Δαμοίτης κύριον.

Δαμόκριτος ἱςορικὸς τακτικὰ ἐν βιβλίοις β', περὶ Ἰουδαίων· ἐν ᾧ φησὶν ὅτι χρυσῆν ὄνου κεφαλὴν προσεκύνουν, καὶ κατὰ ἑπταετίαν (al. τριετίαν) ξένον ἀγρεύοντες προσέφερον καὶ κατὰ λεπτὰ τὰς σάρκας διέξαινον καὶ οὕτως ἀνῄρουν.

Δαμόξενος Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ Σύντροφοι, ὡς Ἀθήναιος λέγει ἐν γ' Δειπνοσοφιςῶν (p. 101 F), καὶ Ἑαυτὸν πενθῶν, ὡς πάλιν ὁ αὐτὸς ἐν τῷ ια'.

Δαμόςρατος ἱςορικὸς ἁλιευτικὰ ἐν βιβλίοις κ', καὶ περὶ τῆς ἐνύδρου μαντικῆς, καὶ ἕτερα σύμμικτα ἐχόμενα ἱςορίας.

Δαμόφιλος φιλόσοφος, σοφιςής, ὃν ἀνεθρέψατο Ἰουλιανὸς ὁ ἐπὶ Μάρκου τοῦ βασιλέως ὕπατος, γράψας πάμπολλα, ἐξ ὧν ταῦτά μοι εὕρηται ἐπὶ ταῖς τῶν βιβλίων θήκαις, Φιλόβιβλος ἢ περὶ ἀξιοκτήτων βιβλίων, πρὸς Λόλλιον Μάξιμον, περὶ βίου ἀρχαίων, καὶ ἕτερα πάμπολλα.

δαμώματα τὰ δημοσίᾳ ᾀδόμενα· Ἀριςοφάνης (Pac. 790) "τοιάδε χρὴ χαρίτων δαμώματα καλλικόμων τὸν σοφὸν ποιητὴν ὑμνεῖν."

Δάμων ὄνομα κύριον.

δανά τὰ ξηρὰ ξύλα. τὸ δα μακρόν· Καλλίμαχος (Hom. ο 322) "ξύλα δανὰ κεάσσαι," τουτέςι σχίσαι.

Δανάη ὄνομα κύριον, ἡ Ἀκρισίου. "κρίθητι καὶ σύ· οὐκ εἶ Δανάη ἡ Ἀκρισίου." ταύτης γὰρ δυσπειθῶς πρός τινα δίκην ἀπαντώσης, σοφός τις πρὸς αὐτὴν ἀπεφθέγξατο "κρίθητι καὶ σύ· οὐκ εἶ Δανάη ἡ Ἀκρισίου θυγάτηρ" (cf. v. Ἀκρίσιος). (AP 5 217) "καὶ Δανάης ἐλύγωσεν ὅδε φρένα," τουτέςιν ὁ χρυσός.

Δαναΐς Δαναΐδος καὶ Δαναΐδων.

δανάκη. τοῦτο νομίσματός ἐςιν ὄνομα, ὃ τοῖς νεκροῖς ἐδίδοσαν πάλαι συγκηδεύοντες· (Callim. fr. 110) "νεὼς Ἀχερουσίας ἐπίβαθρον." Ἀχερουσία δέ ἐςι λίμνη ἐν Ἅιδου, ἣν διαπορθμεύονται οἱ τελευτῶντες, τὸ προειρημένον νόμισμα τῷ πορθμεῖ διδόντες. cf. v. καρκάδονα.

δανεῖσαι. τούτου τὸ χρῆσαι αἱρετώτερον· τὸ μὲν γὰρ χρῆσαι ἐπὶ φίλων, τὸ δὲ δανεῖσαι πρὸς τοὺς τυχόντας. καὶ δανειςής ὁ δανείζων.

δανότατα ξύλα ξηρότατα.

δαξησμός· "ὑπὸ δὲ πόνου τινὸς δαξησμοῦ τῆς καρδίας παύσασθαι ἱπτάμενον." cf. v. ὀδαξησμός.

Δάοχος. εἷς ἐστὶν οὗτος τῶν προεμένων Φιλίππῳ τὰ Θετταλῶν πράγματα. Harp.

δαπανᾶν οὐ τὸ ἀναλίσκειν ἁπλῶς, ἀλλὰ τὸ λαμπρῶς ζῆν καὶ σπαθᾶν καὶ δαπανᾶν τῇ ἀσωτίᾳ· οὕτω Δημοσθένης (40 51). καὶ οἱ ἄλλοι δικανικοὶ οὕτως χρῶνται τῷ ὀνόματι. Θουκυδίδης δὲ (4 3) τὴν πόλιν δαπανᾶν φησὶν ἀντὶ τοῦ εἰς ἀναλώματα μεγάλα ἐμβάλλειν.

δάπεδον ἔδαφος· Ὅμηρος (Δ 1) "οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο χρυσέῳ ἐν δαπέδῳ."

δάπιδας. τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δάπιδας λέγουσι. καὶ δάπισι τοῖς τάπησιν· οὕτω γὰρ Ἀττικοί. Ἀριστοφάνης ἐν Πλούτῳ (527) "οὐδ' ἐν δάπισιν ἕξαι καταδαρθεῖν."

δάπτω τὸ μετὰ σπαραγμοῦ ἐσθίω, ὅπερ καὶ δαρδάπτω λέγεται. Βάβριος (95 92) "καὶ σπλάγχνα δάπτων."

Δαρδανεύς ὄνομα ἔθνους. καὶ Δαρδάνιοι.

δαρδάπτω τὸ μετὰ σπαραγμοῦ ἐσθίω.

δαρεικός νόμισμά τι ἦν χρυσοῦν, ὅπερ Δαρεῖος πρῶτος ἐπενόησεν. τούτου τοῦ Δαρείου ἠριθμήθη ὁ στρατός, καὶ εὑρέθησαν μυριάδες, χωρὶς τοῦ ναυτικοῦ, σὺν ἱππεῦσιν ο'. νῆες δὲ χ' συνελέγησαν ἐπὶ Σκύθας.

δαρεικούς. εἰσὶ μὲν χρυσοῖ στατῆρες οἱ δαρεικοί, ἠδύνατο δὲ ἕκαστος αὐτῶν ὅπερ καὶ ὁ παρὰ τοῖς Ἀττικοῖς ὀνομαζόμενος χρυσοῦς. οὐκ ἀπὸ Δαρείου τοῦ Ξέρξου πατρός, ἀλλ' ἀφ' ἑτέρου τινὸς παλαιοτέρου βασιλέως ὠνομάσθησαν. λέγουσι δέ τινες δύνασθαι τὸν δαρεικὸν δραχμὰς ἀργυρίου κ', ὡς τοὺς ε' δαρεικοὺς δύνασθαι μνᾶν ἀργυρίου. sch. A Eccl. 598.

Δαρεῖος. ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν πρὸς Δαρεῖον τὸν Περσῶν βασιλέα συνάψας πόλεμον τοῦτον κατὰ κράτος νικᾷ, καὶ αἰτεῖται εἰς διαλλαγὴν ἐλθεῖν, καὶ δοῦναι αὐτῷ καὶ τὴν θυγατέρα Ῥωξάνην πρὸς γάμου κοινωνίαν.

ὅτι αὐτὸς Δαρεῖος ὑπὸ τοῦ ἰδίου σατράπου ἀναιρεῖται, Βῆσσος ὄνομα· καὶ προσάγει τὴν κεφαλὴν Ἀλεξάνδρῳ τῷ Μακεδόνι.

Δαρετίου· (AP 6 214) "τὸν τρίποδ' ἀνθέμεναι, ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων Δαρετίου χρυσοῦ, τᾶς δεκάτας δεκάταν."

δᾴς λαμπάς. "πῦρ τε ἐν δᾳσὶ καὶ φακέλλους πίσσῃ κεχρισμένους κομίζοντες τὴν πλάτην ἀνάπτουσι." καὶ αὖθις "τὰ ἡμίτομα ἐπὶ κλίναις βεβλημένα μάλα ἁβραῖς, καὶ στρωμναῖς ὕφει τινὶ ὑπερηφάνῳ κεκοσμημέναις ἐπιτεθέντα, ὑπὸ δᾳσὶν ἐπακμαζούσαις τῷ πυρί, καὶ τὸν ὑμέναιον ᾀδουσῶν γυναικῶν, ἐκέλευσεν ἐκκομισθῆναι μετὰ χορείας γαμηλίου τε καὶ κερτόμου." cf. vv. κερτόμιος, ὑπερήφανος, ὑπὸ δᾳσίν.

δάσασθαι διαμερίσασθαι· Ἡρόδοτος (7 121) "ἐς τρεῖς μοίρας ὁ Ξέρξης δασάμενος πάντα τὸν πεζὸν στρατόν."

δασέως καὶ δασεῖα.

δάσιος (an λάσιος) ὁ δασύς.

δάσκιος ὁ πολύσκιος.

δασμολογία φορολογία, καὶ δασμολόγοι φορολόγοι.

δασμολογῶ συνάγω. "Πλάτων μὲν ἀτελεῖς φόρων τοὺς παρ' αὐτὸν φοιτῶντας ἐποίει· σὺ δὲ δασμολογεῖς, καὶ παρ' ἑκόντων καὶ ἀκόντων λαμβάνεις" (Diog. L. 4 2).

δασμός μερισμός, φόρου ἀπαγωγή. Ξενοφῶν (Anab. 4 5 24) "εὗρον δὲ καὶ πώλους εἰς δασμὸν βασιλεῖ τρεφομένους ιζ'." καὶ αὖθις "Ἀθηναῖοι δὲ δείσαντες τὸν Μίνωος στόλον, ὑπέστησαν δασμὸν οἴσειν εἰς Κρήτην, ὅντινα ἂν ἐκεῖνος δικαιώσειεν." cf. v. Μίνως.

δάσονται διασπάσονται, κατὰ μέρη φαγοῦνται καὶ μεριοῦνται.

δασπλῆτα τὴν ἐπὶ κακῷ προσπελάζουσαν· ἐν ἐπιγράμματι (AP 5 241) "σὴν γὰρ ἐγὼ δασπλῆτα διάστασιν οἷά τε πικρὴν νύκτα καταπτήσσω τὴν Ἀχεροντιάδα." δασπλῆτις γὰρ ἡ ἐρινύς (Hom. ο 234).

δασύπους λαγώς. καὶ παροιμία "πρότερον χελώνη παραδραμεῖται δασύποδα" ἐπὶ τοῦ ἀδυνάτου.

δασύπους κρεῶν ἐπιθυμεῖ. λέγεται ἐπὶ τοῦ ἐπιθυμοῦντος παρ' ἄλλῳ γενέσθαι τὰ ὄντα παρ' ἑαυτῷ.

δατεῖσθαι καὶ δατηταί. δατεῖσθαι μὲν τὸ μερίζεσθαι, δατηταὶ δὲ οἱ μερισταί. τὸ δὲ εἰς δατητῶν αἵρεσιν εἶδός ἐστι δίκης· ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις, καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινὰ οἱ δὲ μή, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις εἰς δατητῶν αἵρεσιν. οὕτω Λυσίας καὶ Ἀριστοτέλης. δατηταὶ κυρίως οἱ τὰ κοινὰ διανέμοντες τοῖς μὴ βουλομένοις. Harp.

Δᾶτις. (Herodot. 6 118) "ἔτος εἶδεν ὄψιν a

ὀνείρου, καὶ ἥτις ἦν ἡ ὄψις, οὐ λέγεται. ὁ δέ, ὡς ἡμέρη τάχιςα ἐπέλαμψεν, ζήτησιν ἐποίεε τῶν νεῶν, εὑρὼν δὲ ἐν Φοινίσσῃ ἄγαλμα Ἀπόλλωνος κεχρυσωμένον, ἐπυνθάνετο ὁκόθεν εἴη σεσυλημένον. πυθόμενος δὲ ἐξ οἵου ἦν ἱεροῦ, ἔπεμπε τῇ ἑωυτοῦ νηὶ ἐς Δῆλον, καὶ κατατίθεται εἰς τὸ ἱερὸν τὸ ἄγαλμα, καὶ ἐντέλλεται τοῖσι Δηλίοισιν ἀπαγαγεῖν τὸ ἄγαλμα." ὃς ἑλληνίζειν βουλόμενος εἶπεν ἥδομαι καὶ χαίρομαι καὶ εὐφραίνομαι.

b *Δᾶτις Πέρσης*, ὃς ἐπετήδευσεν ἑλληνίζειν· ὃν λέγουσι φάναι χαίρομαι ἀντὶ τῦ εἰπεῖν χαίρω. καὶ ἔςι δατισμός. sch. A Pac. 288.

Δᾶτις καὶ Ἀρταφέρνης, Περσῶν καθηγεμόνες, μετὰ τὴν καθαίρεσιν Μαρδονίȣ ἀπέςειλαν εἰς τὴν Ἑλλάδα, καταπειράσοντες τὰς πόλεις καὶ γῆν καὶ ὕδωρ αἰτήσοντες. οἱ δὲ νησιῶται πάντες ἔδωκαν. Ἀθηναῖοι δὲ βαρέως ἐνεγκόντες τὲς πρεσβευτὰς ἐξεκήρυξαν. οἱ Λακεδαιμόνιοι δὲ ἀμφότερα δώσειν ἐπηγγείλαντο, καὶ ἐμβαλόντες αὐτοὺς εἰς φρέατα καὶ καταχώσαντες ἀπεφήναντο δεδωκέναι τὴν τῶν αἰτουμένων χάριν. cf. Herodot. 6 94.

δατοῖς δόλοις, πανουργεύμασιν. "ἐσκόπησαν ἐγγράφοις προσρήμασι διαμαρτύρασθαι αὐτούς. ἀλλ' ἐπεὶ τῦτο οὐχ ἁπλῶς καὶ ὡς ἔθος ἐνεχώρει γενήσεσθαι διὰ τὸν τῦ βασιλέως φόβον, δατοῖς οὐκ ἔξω δεινότητος τεχνασθεῖσιν ἐχρήσαντο."

δατόν παρὰ Ῥωμαίοις σημασία τῆς ἡμέρας καὶ τοῦ καιροῦ, ὅτε τις ἢ ἐκ πόλεως ἢ ἔκ τινος τόπου ἀποςαλῇ. [μήποτε τοῦτό ἐςιν ὃ καὶ νῦν συνήθως λέγεται, τί δατὸν ἔχεις; οἱ δὲ ζάκανον.]

a *Δάτος* πόλεως ὄνομα, ἐν ῃ καὶ χρύσεια μέταλλα. καὶ *Δάτος ἀγαθῶν*.

b *Δάτος* πόλις Θρᾴκης σφόδρα εὐδαίμων, ἀφ' ἧς καὶ ἡ παροιμία "Δάτος ἀγαθῶν." ταύτην δὲ τὴν πόλιν καὶ τὴν παρακειμένην χώραν καὶ θηλυκῶς καὶ ἀρσενικῶς ὀνομάζουσι. Harp.

δαυλόν τὸ δασύ, καὶ *δαυλία κορώνη* ἡ ἀηδών, τουτέςιν ἡ δασεῖα.

Δαφίδας Τελμισεὺς γραμματικός, γεγραφὼς περὶ Ὁμήρου καὶ τῆς αὐτοῦ ποιήσεως ὅτι ἐψεύσατο· Ἀθηναῖοι γὰρ ὐκ ἐςράτευσαν ἐπὶ Ἴλιον. ἦν δὲ οὗτος λοιδορȣ́μενος παντί, καὶ μέχρις αὐτῶν μὴ φειδόμενος τῶν θεῶν. καὶ Ἄτταλον μὲν τὸν βασιλέα Περγάμου διὰ τοῦτο ἔχειν αὐτῷ ἐπιβȣλεύοντα, εἰς δὲ τὴν Πυθίαν ἐλθόντα ποτὲ σκώπτειν εἰς τὸ μαντεῖον, καὶ ἐπιγελῶντα ἐρέσθαι εἰ τὸν ἵππον εὑρήσει. χρησθῆναι δὲ αὐτῷ εὑρήσειν ταχέως. εἶτα ἐκεῖνον διαθρυλῆσαι τοῦτο, ὅτι μηδὲ ἦν αὐτῷ ἵππος, μηδὲ ἀπώλετο. ἀναχωρήσαντα δὲ συλλαβόμενος Ἄτταλος ἐπέταξε κατακρημνισθῆναι· ἐν ᾧ δὲ τόπῳ τῦτο ἐγένετο, ἐκαλεῖτο Ἵππος ὁ τόπος, καὶ ἔγνω πρὸς τῷ θανάτῳ μὴ ἐψεῦσθαι τὸ λόγιον. οὕτως οὖν ἐνυβρίσας κακῶς ἀπώλετο.

δαφνίνην φορῶ βακτηρίαν. τοῦτο λέγειν εἰώθασιν οἱ ὑπό τινων ἐπιβουλευόμενοι, παρ' ὅσον ἀλεξιφάρμακον ἡ δάφνη.

δαφοινόν τὸ πάνυ φοινίσσον· ⟨AP 7 208⟩ "σᾶμα τόδε φθιμένου μενεδαΐȣ εἵσατο Δᾶμις ἵππου, ἐπεὶ ςέρνον τοῦδε δαφοινὸς Ἄρης τύψε."

δάψατο· ⟨AP 7 241⟩ "ἁ μεγάλα δ' Αἴγυπτος ἑαν ᾧ δάψατο ⟨an ἑὰν ὠλόψατο⟩ χαίτην."

δαψίδων ⟨an δαψιλῶν⟩· Πολύβιος ⟨9 19⟩ "οἵων γὰρ ἂν δέκα συμβαίνῃ τὸ τοῦ τείχȣς ὕψος, τοιούτων δώδεκα δεήσει τὰς κλίμακας δαψίδων ὑπάρχειν."

δαψίλεια ἡ πολυτέλεια, καὶ *δαψιλής* ὁ πολύς.

δαψιλέςατος πολυτελέςατος. λέγεται δὲ καὶ ἐπὶ ῥευμάτων καὶ ἐπὶ τῶν μεγαλοψυχούντων.

δέ ἀντὶ τοῦ γάρ· "μισθοφορεῖ δέ." περὶ Ἀπόλλωνός φησιν Ἀριστοφάνης ἐν Ὄρνισι ⟨587⟩.

Δεββώρα ὄνομα κύριον, ἡ προφῆτις καὶ ἀρρενόφρων.

δεδαϊγμένος ἀνῃρημένος.

δέδαςαι μεμέρισαι. καὶ *δεδαίαται* μεμέρισαι.

δέδειεν φεύγει, ἢ φλέγει.

δεδειχότας δείξαντας, *δεδηχότας* δὲ δακόντας.

δέδεμαι δοτικῇ.

δέδευκε πεφύρακε.

δέδηγμαι τὴν καρδίαν ⟨A Ach. 1⟩ ἠνίαμαι, λελύπημαι. καὶ Ὅμηρος ⟨E 493⟩ "δάκε δὲ φρένας Ἕκτορι μῦθος" καὶ ⟨Θ 185⟩ "θυμοδακὴς μῦθος." καρδίαν δὲ εἶπε, παρ' ὅσον περὶ τὴν καρδίαν συνίςαται τὰ τῦ θυμοῦ καὶ τὰ τῆς ἡδονῆς. παρ' Ὁμήρῳ Ὀδυσσεὺς ⟨υ 17⟩ "ςῆθος πλήξας κραδίην ἠνίπαπε μύθῳ, τέτλαθι κραδίη" φάσκων.

δέδηε φλέγει.

δεδημευμέναι ἀπηγορευμέναι.

δεδήσεται δεθήσεται.

δεδηχότας δακόντας.

δέδια φοβοῦμαι.

δέδιθι φοβήθητι.

δεδιξάμενοι φοβηθέντες.

δεδίξασθαι ἐκφοβῆσαι, διῶξαι. "ἦχον ἐγεῖραι συμμιγῆ τε καὶ ἄγριον, καὶ σὺν τῷ ἀλαλάγματι ἐπιδουπῆσαι τοῖς τυμπάνοις, ὡς καταπλῆξαι καὶ δεδίξασθαι τὸ Ῥωμαϊκόν." Menander: cf. v. ἐπιδουπῆσαι.

δεδιότες. καὶ δεδιώς φοβούμενος. "οἱ δὲ ἀμφὶ τοῖς οἰκείοις δεδιότες ἐνταῦθα πρῶτον ἠξίουν ἰέναι."

δεδίσσω ἐκφοβῶ. τὰ δὲ διὰ τοῦ σσ ῥήματα ἓξ φωνήεντα παραλαμβάνει, α, ἄλλος ἀλλάσσω. ε, πῦρ πυρός πυρέσσω. η, πτήσσω. ι, δεδίσσω καὶ δειδίσσω. υ, ἀφύσσω τὸ ἀπαντλῶ· τὸ γὰρ ὕσσω ἐκ τοῦ ὕπτω ἐστὶ μετηλλαγμένον. ω, ὀνειρώσσω, ἀγρώσσω.

δεδιττόμενος ἐκφοβῶν.

δεδμήμεθα ⟨Hom. E 878⟩ ὑποτετάγμεθα.

δεδμημένοι ⟨Hom. Z 245⟩ δεδαμασμένοι. καὶ δέδμηνται· ἐν ἐπιγράμματι ⟨AP 6 131⟩ "οἱ δὲ χαλινοὶ στοιχηδὸν ξεστοί τ' ἀμφίβολοι κάμακες δέδμηνται, ποθέουσαι ὁμῶς ἵππους τε καὶ ἄνδρας, Παλλάδι."

δέδοικα φοβοῦμαι. ⟨S Ai. 278⟩ "δέδοικα μὴ 'κ θεοῦ πληγή τις ἥκῃ· πῶς γάρ; εἰ πεπαυμένος μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται." ἀντὶ τοῦ πῶς γὰρ οὐ θεῖόν τι εἴη τὸ κατὰ τὸν Αἴαντα, εἰ πεπαυμένος τοῦ κακοῦ μᾶλλον ἐν ἀνίᾳ διάγει.

δεδοκημένος ⟨Hom. O 730⟩ ἐκδεχόμενος, ἐνεδρεύων, δοκεύων καὶ ἐπιτηρῶν.

δεδοκιμασμένα κεκριμένα· "ἔγραψε δὲ Εὐσέβιος καὶ ἄλλα ὑπομνήματα δεδοκιμασμένα." cf. v. Εὐσέβιος.

δεδοξοποιημένον δόξῃ κοσμούμενον. Πολύβιος "τὰ μὲν γὰρ ··· ἁμαρτάνει." cf. v. ἄνθρωπος.

δέδορκεν ὁρᾷ, βλέπει.

δέδοται καὶ κακοῖσιν ἄγρα, ἐπὶ τῶν παρ' ἀξίαν εὐπραγούντων.

δεδουπώς πεπτωκώς, τεθνηκώς.

δεδρασμένος πεπραγμένος.

δέδυκα ὑπεισῆλθον. δέδυκε δὲ εἰσῆλθε.

δέει τὸ δεῖ, τὸ ὁριστικὸν δηλονότι. δέει δὲ φόβῳ· "ὁ δὲ Νικόμαχος ὡς πεφωραμένος ἐν παντὶ ἦν δέει."

δεεινός ὁ δεινός.

δέημα· ⟨A Ach. 1057⟩ "ὡς γελοῖον, ὦ θεοί, τὸ δέημα τῆς νύμφης, ὃ δεῖταί μου σφόδρα."

δεῆσαν χρείας γενομένης.

δεήσεις ἀντὶ τοῦ ἐνδείας Ἀντιφῶν Ἀληθείας α'. Harp.

δεθμός νόμος ἢ δεσμός.

δεῖ πρέπει. δ' ἔχει τὰ σημαινόμενα. ἀντὶ τοῦ χρή. καὶ ἀντὶ τοῦ χρεία ἐστί· "δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων" ⟨Demosth. 1 20⟩. καὶ ἀντὶ τοῦ δεσμεῖ καὶ δέει ἐν διαλύσει. ἀντὶ τοῦ ἀπέχει. καὶ παρὰ Ἀριστοφάνει ⟨Lys. 435⟩ δεῖ ἀντὶ τοῦ δῆσον· "ὀπίσω τὼ χεῖρε δεῖ."

δεῖγμα κυρίως μὲν τὸ δεικνύμενον ἀφ' a
ἑκάστου τῶν πωλουμένων· ἔστι δὲ καὶ τόπος τις ἐν τῷ Ἀθήνησιν ἐμπορίῳ, εἰς ὃν τὰ δείγματα ἐκομίζετο, καλούμενος οὕτως. Ἀττικὸν δὲ ἔθος ἐστὶ τὸ καλεῖν ἀπὸ τῶν ἐν τῷ τόπῳ καὶ αὐτοὺς τοὺς τόπους. Harp.

δεῖγμα τόπος ἦν ἐν Πειραιεῖ, ἔνθα πολ- b
λοὶ συνήγοντο ξένοι καὶ πολῖται καὶ ἐλογοποίουν. τὸ δὲ τῶν δικῶν προσέθηκεν Ἀριστοφάνης ⟨Eq. 975⟩, ἵνα δείξῃ καὶ διαβάλῃ τοὺς Ἀθηναίους ὡς φιλοδίκους· "οἵων ἀργαλεωτάτων ἐν τῷ δείγματι τῶν δικῶν ἤκουσ' ἀντιλεγόντων."

δεῖγμα καὶ ἡ ἔνδειξις· Ἀριστοφάνης ⟨Ach. c
986⟩ "τοῦ βίου δ' ἐξέβαλε δεῖγμα τὰ πτερὰ πρὸ τῶν θυρῶν." οἷον τῆς παρ' αὐτῷ ἔνδον τρυφῆς σημεῖον καὶ ἀπόδειξιν πρὸ τῶν θυρῶν αὐτοῦ τὰ τῶν ὀρνίθων πτερὰ τιλθέντων καὶ τυθέντων πρὸς εὐωχίαν προέβαλε.

δειδέχατ' ἀλλήλους Ὅμηρος ⟨Δ 4⟩.

δειδία ἡ σκοτία νύξ, δείδια δὲ φοβοῦμαι καὶ δείδιεν ἐφοβεῖτο. δείω δεδίω ὡς πείθω πεπίθω. δεδίω δέδια, πλεονασμῷ τοῦ ι δείδια. καὶ δείδιθι φοβήθητι, καὶ δειδιώς φοβούμενος.

δειδίσκω δεικνύω.

δειδίσσω ἐκφοβῶ.

δείδω τὸ φοβοῦμαι.

δειελινόν τὸ δειλινόν. καὶ δείελον τὸ δειλινόν.

δείκελον εἴδωλον, ἄγαλμα, ἢ ὁμοίωμα. ἐν ἐπιγράμμασι ⟨AP 5 260⟩ "Ῥείης πυργοφόρου δείκελον εἰσορόων."

δείκηλα μιμήματα, εἰκάσματα. τὸ δει

δίφθογγον. κυρίως τὸ ὁμοίωμα καὶ εἴκελον τῷ Διί, καταχρηστικῶς δὲ πᾶν ὁμοίωμα.

δεικνύντα καὶ δεικνύμενον καὶ δεικνῦσα.

δείλαιος ἄθλιος.

δειλάκρα· Ἀριστοφάνης Πλούτῳ ⟨974⟩ "ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα." σκώπτει καπρῶσαν τὴν γραῦν. δειλάκρα δὲ ἄκρως ἀθλία. καὶ δειλακρίων ὁ ἄκρως δειλός, ὁ ἐλεεινός, ὁ ταλαίπωρος· ἢ ὁ ἐπίπονος. ὁ αὐτὸς Ἀριστοφάνης ⟨Pac. 193⟩ "ὦ δειλακρίων, ὦ γλίσχρων, ὁρᾷς ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος." δειλακρίων ὁ Ἑρμῆς ἐλέγετο ὡς λίχνος· κρεαδίων γὰρ ἐπιδεικνυμένων αὐτῷ κατήρχετο αὐτίκα.

δειλανδρία καὶ δειλανδρῶ.

δείλη ὀψία ἡ περὶ δύσιν ἡλίου. δείλη πρωία ἡ πρὸ ἀρίστου ὥρα, ἢ μετὰ τὸ ἄριστον. Ξενοφῶν ⟨Anab. 1 8 8⟩ "ἡνίκα δὲ δείλη ἐγίγνετο, ἐφάνη κονιορτός." καὶ κλίνεται δείλης.

δείλης πρωίας καὶ δείλης ἑσπέρας. οὕτω λέγουσιν οἱ Ἀττικοί.

a δειλία ὁ φόβος.

b δειλία ἐστὶ κακία ἐν ἐνδείᾳ τῇ περὶ τάδε τινὰ τὰ πάθη, ἐναντία τῇ ἀνδρίᾳ καὶ τῇ θρασύτητι. καὶ κατὰ μὲν τὸ κακία εἶναι καὶ ἀσυμμετρία, περὶ δὲ τὰ πάθη ἐναντία ἐστὶ τῇ ἀνδρίᾳ, κατὰ δὲ τὸ ἐν ἐνδείᾳ περὶ τάδε εἶναι, τῇ θρασύτητι. οὔτε γὰρ τῇ θρασύτητι ἐναντία ἡ δειλία κατὰ τὸ κακία εἶναι (κοινωνεῖ γὰρ αὐτῇ τούτου) οὔτε τῇ ἀνδρίᾳ κατὰ τὸ ἐνδεία εἶναι κατὰ τάδε· οὐ γάρ ἐστιν ἐναντίον τὸ περὶ τάδε ἐνδεὲς τῷ περὶ τὰ αὐτὰ μέσῳ.

δειλινήσας δείλης τοῦτο ποιήσας. καὶ δειλινὸν δείλης.

δειλοκοπήσας ἐξαπατήσας Ἕρμιππος.

δειλότερος τοῦ παρακύπτοντος, ἐπὶ τῶν σφόδρα δειλῶν. ἀνὴρ γάρ τις ἐγένετο δειλός, ὃς παρακύψας ἐκ σπηλαίου καὶ ἰδὼν τὸν Ἡρακλέα κατέδυ εἰς σπήλαιον καὶ διὰ δειλίαν ἀπέθανεν. καὶ ἑτέρα παροιμία δειλότερος Πεισάνδρου. cf. v. Πεισάνδρου δειλότερος.

Δεῖλοψ ὄνομα ἔθνους.

δεῖμα φόβος· Ἀρριανός "τοσόνδε αὐτοὺς δεῖμα ὡς προσαγόντων δεινῶν κατέσχεν ὥστε μὴ δύνασθαι ἀποστῆσαι τῆς ἐκπλήξεως."

δειμαίνει φοβεῖται. Προκόπιος ⟨Arc. 1⟩ "οὐδέ τι πρὸς τοῦ ξυνοικοῦντος δειμαίνουσα δέος, οὔτε αἰδῶ τινὰ ἔργου ἐλάμβανε πώποτε." "πάντες δειμαίνοντες τοῦ εὐνούχου Εὐτροπίου τὴν ἀκοὴν ἐξεστήκεσαν, καθάπερ οἱ μνηστῆρες τὸν Ὀδυσσέα γυμνωθέντα τῶν ῥακέων ἰδόντες." καὶ δειμαίνοντα φοβούμενον. "οἱ δὲ μάλιστα μὲν καὶ ὣς ἀμφὶ τῷ περιβόλῳ δειμαίνοντες, χώραν περιβεβλημένῳ πολλήν."

δειμαλέος εὐλαβής. καὶ ὁ δειλίας καὶ φόβου ἐμποιητικός· ⟨AP 7 69⟩ "Κέρβερε δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων, ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν."

δειμάμενοι οἰκοδομήσαντες, καὶ δείμασθαι οἰκοδομεῖν. καὶ δεῖμαι ὁμοίως.

δειματώδης ὁ φοβερός.

δειματῶν φοβῶν, καὶ δειματοῦται φοβεῖται.

Δεῖμος καὶ Φόβος καὶ Κυδοιμὸς ὑπηρέται τοῦ Ἄρεος, υἱοὶ τοῦ πολέμου· οἳ καὶ αὐτοὶ συμπεπόνθασι τῷ Ἄρει, τοῦ Ἡφαίστου αὐτοὺς μὴ φοβηθέντος. sch. Gregor. Naz. or. 4.

δείμωμεν δειμάμενοι οἰκοδομοῦμεν.

δεῖν δεσμεύειν. καὶ δεῖν Ἀριστοφάνης ⟨Ran. 618⟩ ἀντὶ τοῦ δεῖσθαι· "δεῖν δ' ἔοικε." καὶ ἀντὶ τοῦ ὀφείλειν. καὶ μικροῦ δεῖν ἀντὶ τοῦ παρ' ὀλίγον.

δεῖν ᾠήθην δέον εἶναι ὑπέλαβον, ἀναγκαῖον ἐνόμισα.

δεινά· ⟨A Ran. 625⟩ "οὐχὶ δεινὰ ταῦτα, τύπτειν τουτονί" ἀντὶ τοῦ μεγάλα. καὶ Σοφοκλῆς ⟨El. 731⟩ "γνοὺς δ' ὁ ἐξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος ἔξω παρασπᾷ κἀνακωχεύει," ἀντὶ τοῦ ἔμπειρος. ⟨OR 483⟩ "δεινὰ μὲν οὖν δεινὰ ταράσσει σοφὸς οἰωνοθέτας, οὔτε δοκοῦντ' οὔτ' ἀποφάσκονθ'· ὅ τι λέξω δ' ἀπορῶ. πέτομαι δ' ἐλπίσιν, οὔτ' ἐνθάδ' ὁρῶν οὔτ' ὀπίσω." δοκοῦντα δὲ καὶ ἀποφάσκοντα, οὔτε πιστὰ οὔτε ἄπιστα.

Δείναρχος Κορίνθιος ῥήτωρ, τῶν μετὰ Δημοσθένους ἐγκριθέντων εἷς. υἱὸς τίνος ἐστὶν οὐχ ἱστόρηται. γράψας κατὰ μέν τινας λόγους τοὺς πάντας ρξ', κατὰ δὲ τὸ ἀληθέστερον μόνους ξ', τοὺς πάντας δικανικούς, ὧν οἱ μὲν εἰσι δημόσιοι οἱ δὲ ἰδιωτικοί. ἐτελεύτησε δὲ οὗτος ἐπιμελητὴς Πελοποννήσου καταστὰς ὑπὸ Ἀντιπάτρου, μετὰ τὸ τελευτῆσαι Ἀντίπατρον Πολυσπέρχοντος αὐτῷ ἐπιβουλεύσαντος.

δεινῆς ἀνάγκης οὐδὲν ἰσχυρότερον· ἀνάγκη γὰρ καὶ θεὸς βιάζεται, καὶ Πλάτων φησὶν ἀνάγκην δὲ οὐδὲ θεοὺς βιάζεσθαι.

Δεινιάδαι ὄνομα πόλεως ἢ τόπου.

Δεινίας ὄνομα κύριον.

δεινοί φοβεροί, ἔμπειροι, σοφοί. ⟨Procop. Arc. 2⟩ "διὸ ἄμφω ἅπαντας ἀλλήλοιν ὠμοσάτην ὅσοι δὴ ἐν χριςιανοῖς δεινότατοι ὅρκοι εἰσί τε καὶ ὀνομάζονται, μή ποτε ἀλλήλων καταπροήσεσθαι ἄχρι τῶν ἐς τὸν ὄλεθρον φερόντων κινδύνων."

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι, ἐπὶ τῶν σφόδρα κακουργοτάτων· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι. καὶ Ὅμηρος ⟨Ο 626⟩ "δεινὸς ἀήτη" ὡς ⟨Β 742⟩ "κλυτὸς Ἱπποδάμεια."

Δεινοκράτης Μεσσήνιος, οὐ μόνον κατὰ τὴν τριβὴν ἀλλὰ καὶ κατὰ τὴν φύσιν αὐλικὸς καὶ ςρατιωτικὸς ἄνθρωπος. τὸν δὲ πραγματικὸν τρόπον ἐπέφαινε μὲν τέλειον, ἦν δὲ ψευδεπίγραφος καὶ ῥωπικός. ἔν τε γὰρ τοῖς πολεμικοῖς κατὰ μὲν τὴν εὐχέρειαν καὶ τὴν τόλμαν πολὺ διέφερε τῶν ἄλλων, καὶ λαμπρὸς ἦν ἐν τοῖς κατ' ἰδίαν κινδύνοις· ὁμοίως δὲ καὶ κατὰ τὴν ἄλλην διάθεσιν ἐν μὲν ταῖς ὁμιλίαις εὔχαρις καὶ πρόχειρος ἦν, παρά τε τὰς συνουσίας εὐτράπελος καὶ πολιτικός, ἅμα δὲ τούτοις φιλέραςος· περὶ κοινῶν δὲ ἢ πολιτικῶν πραγμάτων ἀτενίσαι καὶ προϊδέσθαι τὸ μέλλον ἐμφρόνως, ἔτι δὲ παρασκευάσασθαι καὶ διαλεχθῆναι πρὸς πλῆθος ἐς τέλος ἀδύνατος. καί ποτε κεκινηκὼς ἀρχὴν μεγάλων κακῶν τῇ πατρίδι τελείως οὐδὲν ᾤετο ποιεῖν, ἀλλὰ τὴν αὐτὴν ἀγωγὴν ἦγε τοῦ βίου, προορώμενος οὐδὲν τῶν μελλόντων, ἐρῶν δὲ καὶ κωθωνιζόμενος ἀφ' ἡμέρας καὶ τοῖς ἀκροάμασι τὰς ἀκοὰς ἀνατεθεικώς. βραχεῖάν τέ τινα τῆς περιςάσεως ἔμφασιν ὁ Τίτος αὐτὸν ἠνάγκασε λαβεῖν· ἰδὼν γὰρ αὐτὸν παρὰ πότον ἐν μακροῖς ἱματίοις ὀρχέμενον παραυτὰ μὲν ἐσιώπησε, τῇ δ' αὔριον ἐντυγχάνοντος αὐτοῦ καί τι περὶ τῆς πατρίδος ἀξιοῦντος "ἐγὼ μὲν ὦ Δεινοκράτη πᾶν" ἔφη "ποιήσω τὸ δυνατόν, ἐπὶ δὲ σοῦ θαυμάζω πῶς δύνῃ παρὰ πότον ὀρχεῖσθαι, τηλικούτων πραγμάτων ἀρχὴν κεκινηκὼς ἐν τοῖς Ἕλλησι." δοκεῖ δὲ τότε βραχύ τι συςαλῆναι, καὶ μαθεῖν ὡς ἀνοίκειον ὑπόθεσιν τῆς ἰδίας αἱρέσεως καὶ φύσεως ἀποδέδωκε. πλὴν τότε παρῆν εἰς τὴν Ἑλλάδα μετὰ τοῦ Τίτου, πεπεισμένος ἐξ ἐφόδου τὰ κατὰ τὴν Μεσσήνην χειρωθήσεσθαι κατὰ τὴν αὐτοῦ βούλησιν. Polyb. 24 5.

Δεινόλοχος Συρακούσιος ἢ Ἀκραγαντῖνος, κωμικός. ἦν ἐπὶ τῆς ογ' ὀλυμπιάδος, υἱὸς Ἐπιχάρμου, ὡς δέ τινες, μαθητής. ἐδίδαξε δράματα ιδ' Δωρίδι διαλέκτῳ.

Δεινομάχη ὄνομα κύριον. καὶ *Δεινόμαχος* ὄνομα κύριον.

δεινομένην πατουμένην· ⟨Callim. fr. 51⟩ "δεινομένην ὑπὸ βουσὶν ἐμὴν ἐφύλασσον ἅλωα."

δεινόν· ⟨S OC 510⟩ "δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακόν, ὦ ξεῖν', ἐπεγείρειν." τουτέςι τὸ ἐπεγείρειν καὶ ἀνακινεῖν τὰ πάλαι συμβάντα δυσχερές· ὅμως δὲ μαθεῖν ἐπιθυμῶ τὴν αἰτίαν τῆς πηρώσεως. καὶ Καλλίμαχος ⟨fr. 273⟩ "τί δάκρυον εὔδον ἐγείρεις;" Ἀριςοφάνης ⟨Ach. 351: cf. v. ὀμφακίαν⟩ "δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι τὸν θυμὸν ἀνδρῶν, ὥςε βάλλειν καὶ βοᾶν ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον."

δεινοπαθεῖ δεινῶς ἔχει, χαλεπὰ πάσχει.

δεινόπους ἀρὰ ἡ διὰ ποδῶν δέος ἐμποιοῦσα. sch. S OR 418.

δεινός πανοῦργος, ἱκανός, ἀκολάκευτος, a σοφός, ἔμπειρος. ⟨S OR 545⟩ "λέγειν σὺ δεινός, μανθάνειν δ' ἐγὼ κακὸς σοῦ· δυσμενῆ γὰρ καὶ βαρύν σ' εὕρηκ' ἐμοί." ὁ νοῦς· σὺ μὲν δεινὸς ἐν τῷ λέγειν, ἐγὼ δὲ οὐ μετ' εὐνοίας σου ἀκούω διὰ τὴν δυσμένειαν. καὶ αὖθις "ἀνθρώπους ἐσθίειν βλέποντας καὶ δεινοὺς κατὰ γαςέρα· λέγω δὴ Κλεισόφους τε καὶ Θήρωνας καὶ Στρουθίας καὶ Χαιρεφῶντας." cf. v. Κλεισοφος.

δεινός. ὅτι Δεκέβαλος ὁ τῶν Δακῶν β b ασιλεὺς δεινὸς μὲν ἦν συνεῖναι τὰ πολέμια, δεινὸς δὲ καὶ πρᾶξαι καὶ ἐπελθεῖν εὔςοχος, ἀναχωρῆσαι καίριος, ἐνέδρας τεχνίτης, μάχης ἐργάτης· καὶ καλῶς μὲν νίκῃ χρήσασθαι, καλῶς δὲ ἧτταν διαθέσθαι ἠπίςατο. ἀφ' οὗ δὴ καὶ ἀνταγωνιςὴς ἀξιόμαχος ἐπὶ πολὺ τοῖς Ῥωμαίοις ἐγένετο. Dio Cass. 67 6.

δεινὸς λέγεται καὶ κατὰ τὴν τῶν λόγων c δύναμιν.

δεῖνος προπερισπωμένως ὁ ψυκτήρ, ὃ παρ' ἡμῖν ψυκτρίον λέγεται.

δεινότητα. τήν τε τῶν λόγων δύναμιν δηλοῖ τήν τε πανουργίαν.

Δείνων ὄνομα κύριον.

δεινωποί δειματώδεις, φοβεροί.

δείνωσις δεινότης, σκότωσις.

δείξαντες ⟨an ᾄξαντες⟩. "οἱ δὲ αἰφνιδίως ἐπεκθέουσι τῷ τάγματι, καὶ διὰ τῆς φάραγγος δείξαντες προσπίπτουσι τοῖς Ῥωμαίοις."

δείξεις· ⟨Diog. L. 4 38⟩ "ὁ δὲ Ἀρκεσίλαος ἐς τὰς ἀργυρικὰς δείξεις ἀπήντα πρῶτος, συχνοῖς τε ἐπήρκει καὶ συνηράνιζε."

δειπνητός ὁ καθ' ἡμᾶς ἀρίςυ καιρός.

δειπνίζω ἕτερον, **δειπνῶ** δὲ ἐγὼ αὐτός. καὶ δειπνεῖν. ⟨Athen. p. 9⟩ "καίτοι τὸν Ἀγαμέμνονα ἐποίησεν Ὅμηρος δειπνίζοντα τοὺς ἀρίςους." καὶ αὖθις "ὑπόδεξαι ἡμᾶς καὶ δείπνισον."

δειπνολόχον κλεπτοτρόφον.

δεῖπνον τὸ πρωινὸν ἄρισον, ὅπερ ἀκρατισμὸς λέγεται. εἶτα περὶ ὥραν τρίτην ἄρισον, παρὰ τὸ εἰς ἀριςείαν προέρχεσθαι. καὶ δεῖπνος, μεθ' ὃν δεῖ πονεῖν. εἶτα τὸ ἑσπερινὸν δόρπος, παρὰ τὸ δόρυ παύειν. καὶ Ἀριςοφάνης ⟨Ran. 107⟩ "δειπνεῖν με δίδασκε" ἐπὶ τῶν ἀδηφάγων.

δειπνοσοφισαί. βιβλίον ἐςὶν οὕτως ἐπιγραφόμενον (Ἀθήναιος δὲ ὁ γεγραφὼς ὄνομα), ὃ ἐςιν ἐπωφελές. cf. v. Κειτούκειτος.

δειπνοφόροι αἱ φέρουσαι τοῖς κατακεκλιμένοις ἐν τῷ τῆς Ἀθηνᾶς ἱερῷ τὰ δεῖπνα. Harp.

δειρά καὶ **δειράδες** οἱ τραχώδεις τόποι τῶν ὀρῶν. ⟨AP 6 115⟩ "τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον."

Δειραδιώτης. δῆμός ἐςι τῆς Λεοντίδος Δειράδες, ἀφ' οὗ ὁ δημότης Δειραδιώτης. Harp.

δειραχθές τὸ τὴν δειρὴν ἀλγῦνον· ⟨AP 6 179⟩ "δειραχθὲς εὔβροχον ἅμμα πετεινῶν."

δειρή ὁ τράχηλος.

δεῖσα ἡ ὑγρασία.

δεισαλέα κοπρώδη· δεῖσα γὰρ ἡ κόπρος.

δείσαντες φοβηθέντες, καὶ **δείσας** φοβηθείς. Ἡρόδοτος ⟨7 163⟩ "ὁ δὲ δείσας περὶ τοῖς Ἕλλησι, μὴ οὐ δύνωνται τὸν βάρβαρον ὑπερβαλέσθαι." καὶ Ἀππιανός ⟨t. 1 p. 91⟩ "δείσας ὁ Καῖσαρ περὶ τῷ Κικέρωνι ὑπέςρεφεν εἰς τοὐπίσω." καὶ αὖθις "ὁ δὲ δείσας περί τε οἷ αὐτῷ καὶ τῇ πόλει." καὶ αὖθις "ὁ δὲ δείσας μὴ περὶ τῶν ὅλων -- τὴν χώραν ἐκλείπειν ἔγνω."

δεισιδαιμονία εὐλάβεια περὶ τὸ θεῖον, δειλία, ἀμφιβολία περὶ τὴν πίςιν. καὶ **δεισιδαίμων** οἱονεὶ δεδοικώς. ὁ ἀπόςολος ⟨Act. 17 22⟩ "ἄνδρες Ἀθηναῖοι, ὡς δεισιδαιμονεςέρους ὑμᾶς θεωρῶ" ἀντὶ τοῦ θεοσεβεῖς. καὶ Κρίτων ἐν τοῖς Γετικοῖς φησὶν "οἱ δὲ βασιλεῖς τῶν Γετῶν ἀπάτῃ καὶ γοητείᾳ δεισιδαιμονίαν καὶ ὁμόνοιαν ἐνεργασάμενοι αὐτοῖς μεγάλων ἤδη ἐφίενται." καὶ Πολύβιος ὁ Μεγαλοπολίτης ⟨12 24⟩ περὶ Τιμαίου φησίν "οὗτος γὰρ ἐν μὲν ταῖς τῶν πέλας κατηγορίαις πολλὴν ἐπιφαίνει δεινότητα καὶ τόλμαν, ἐν δὲ ταῖς ἰδίαις ἀποφάσεσιν ἐνυπνίων καὶ τεράτων καὶ μύθων ἀπιθάνων καὶ συλλήβδην δεισιδαιμονίας ἀγεννοῦς καὶ τερατείας γυναικώδους ἐστὶ πλήρης." ⟨Damascius⟩ "ὅτι Ἀσκληπιόδοτος ὅσιος ἦν καὶ εὐσεβής, καὶ τὰ μὲν πρῶτα δεισιδαίμων ἐγεγόνει καὶ εὐλαβὴς οὕτω σφόδρα ὥςε μήτε θύειν ἀνέχεσθαι μήτε τινὸς ἀπορρήτου μηδενὸς ἀκούειν· οὐ γὰρ εἶναι ταῦτα τῆς γενέσεως ἄξια, ἀλλὰ τοῦ Ὀλύμπυ καὶ τῶν ἐν Ὀλύμπῳ διαζῆν ἡγουμένων." ὅτι ἡ εὐσέβεια μέση τυγχάνει ἀσεβείας καὶ δεισιδαιμονίας. ὅτι δεισιδαιμονία ἡ ἄκαιρος παρρησία. ⟨Appian. t. 1 p. 70⟩ ὁ Πύρρος γὰρ συλῶν τὰ χρήματα τῆς Περσεφόνης ἐπισκώψας ἔφη "ἡ ἄκαιρος θεοσέβεια δεισιδαιμονία ἐςί, καὶ τὸ συλλέξαι πλοῦτον ἄπονον εὐβουλία."

δεισιδαίμων θεοσεβής· ἢ ἀμφίβολος περὶ τὴν πίςιν καὶ οἱονεὶ δεδοικώς. καὶ **δεισιδαιμονίας** ἀντὶ τοῦ θεοσεβείας, εὐλαβείας περὶ τὸ θεῖον ἢ δειλίας. "ὁρῶν δὲ τὲς ςρατιώτας δεισιδαιμονοῦντας ἐπὶ τοῖς σημείοις, ἐφιλοτιμεῖτο διὰ τῆς ἰδίας ἐπινοίας καὶ ςρατηγίας μεταθεῖναι τὰς τοῦ πλήθους εὐλαβείας."

δεῖ σοι πρέπει.

δεῖται προσδεσμεύεται. ἢ χρήζει.

δέκα καὶ **δεκαδοῦχος.** δέκα μὲν ἦρχον μετὰ τοὺς λ' καταςάντες, ἐκαλεῖτο μέντοι τούτων ἕκαςος τῶν ἀρχόντων δεκαδοῦχος, ὡς δηλοῖ Λυσίας. Harp.

δεκαδαρχίαι. τὰς ὑπὸ Λακεδαιμονίων καταςαθείσας ἐν ταῖς πόλεσι δεκαδαρχίας συνεχῶς ὀνομάζουσιν οἱ ἱςορικοί. καὶ Φίλιππος μέντοι παρὰ Θετταλοῖς δεκαδάρχην κατέςησεν, ὡς Δημοσθένης ἐν ἕκτῳ Φιλιππικῶν ⟨6 22⟩. Harp.

δεκάζεσθαι. ἐρρήθη μὲν ἀπὸ τῦ κατὰ a
δέκα φθείρεσθαι δώροις· ὅτε γὰρ βέλοιντό τινες ἀρχῆς τυχεῖν ἢ ἄλλο τι ἀνύσασθαι, κατὰ δέκα ἀνθρώπους ἐδίδοσάν τινα, ὅπως συμπράττωσιν αὐτοῖς. ἐξ ἐκείνυ δὲ ἤδη τὸν λαμβάνοντα ἕνεκα τοῦ συμπράττειν μὴ ἀπὸ παντὸς τῦ βελτίςυ δεκάζεσθαί φασιν. ὅμοιον καὶ τὸ ἐριθεύεσθαι τῷ δεκάζεσθαί ἐςιν· καὶ

γὰρ ἡ ἐριθεία εἴρηται ἀπὸ τῆς τοῦ μισθοῦ δόσεως.

b δεκάζεσθαι δωροδοκεῖσθαι, καὶ δεκάζειν διαφθείρειν χρήμασιν ἢ δώροις. Αἰλιανός "πολλοὺς διέφθειρε Νομάδων δεκάσας εἰς προδοσίαν." καὶ δεκάζων. τὸ σημαινόμενον δῆλον, ἐποιήθη δὲ τὸ ὄνομα ἐντεῦθεν. Λύκος μέν ἐϛιν ἥρως μορφὴν ἔχων τοῦ θηρίου, πρὸς δὲ τοῖς ἐν Ἀθήναις ἀνεϛήλωται δικαϛηρίοις· πρὸς ὃν οἱ δωροδοκοῦντες κατὰ δέκα γινόμενοι ἀνεϛρέφοντο. ἔνθεν καὶ ἡ παροιμία "Λύκου δεκάς." ἐξ οὖν τῆς δεκάδος τὸ δεκάζειν καὶ δεκάζεσθαι. cf. Harp.

δεκαμναιαῖον δέκα μνᾶς. ⟨Polyb. 13 2: cf. v. Σκόπας⟩ "Σκόπας Αἰτωλῶν ϛρατηγός, ὃς ἀποτυχὼν τῆς ϛρατηγίας νόμους ἔγραφε. καὶ ὀψώνιον ἐξέθηκεν αὐτῷ ὁ βασιλεὺς ἑκάϛης ἡμέρας δεκαμναιαῖον, τοῖς δὲ ἐπί τινος ἡγεμονίας τεταγμένοις μναιαῖον. ἀλλ' ὅμως ὀκ ἠρκέσθη τέτοις, καὶ φθονηθεὶς τὸ πνεῦμα προσαπέθηκε τῷ χρυσίῳ." ἑκατὸν δὲ δραχμαὶ ποιοῦσι μνᾶν.

δεκάπαλαι τὸ πρὸ πολλοῦ πάνυ λέγεσιν Ἀττικοί. A Eq. 1159.

δεκάπουν σκιάν. Ἀριϛοφάνης ⟨Eccl. 648⟩ "σοὶ δὲ μελήσει, ὅταν ᾖ δεκάπουν τὸ ϛοιχεῖον, λιπαρῶς χωρεῖν ἐπὶ δεῖπνον." περὶ ἡλιοτροπίου φησί. τουτέϛι τοῦ ἡλίου ἡ σκιὰ ὅταν ᾖ δέκα ποδῶν, ἤγεν ὅτε γίνεται ὀψινόν.

δεκάπους σκιά. τὸ παλαιὸν καλοῦντες ἐπὶ δεῖπνον καὶ καλούμενοι παρεσημαίνοντο τὴν σκιάν, καὶ ἕτως οἱ μὲν ἔμενον τὲς κληθέντας, οἱ δὲ ἀπῄεσαν ἐπὶ τὰς ἑϛιάσεις, οὐδέπω τηρήσεως οὔσης ἑτέρας ἀφ' ἧς οἷόν τε ἦν τεκμήρασθαι εἰς πόσας ὥρας προήκει.

δεκάσκαλμος ναῦς. cf. v. ἐπίκωπος.

δεκασμός δωροδοκία.

δεκαταῖος δέκατος.

a δεκατεύειν δεκάτην δοῦναι. "ἐφ' οὓς οἱ Ἕλληνες ὤμοσαν, εἰ νικήσειαν, ϛρατεύσειν καὶ δεκατεύσειν ἅπαντας τῷ Πυθίῳ." ⟨A Av. 494⟩ "ἐς δεκάτην παιδαρίε κληθεὶς ὑπέπινον ἐν ἄϛει·" τὴν δεκάτην γὰρ εἱϛίων ἐπὶ τοῖς τικτομένοις, καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισίν. Εὐριπίδης Αἰγεῖ "τίς σε μάτηρ ἐν δεκάτᾳ τόκου ὠνόμαζεν;" ὁ δὲ Ἀριϛοτέλης ⟨H. A. 7 12⟩ ἐν ταῖς ζ' φησὶν ἐπιτίθεσθαι τὰ ὀνόματα, γράφων ἕτως "πλεῖϛα δὲ ἀναιρεῖται πρὸς τὴν ζ', διὸ καὶ τὰ ὀνόματα τότε τίθενται."

δεκατεύειν ἀντὶ τοῦ δεκάτην εἰσπράττεσθαι καὶ λαφυραγωγεῖν. τὰ δ' ἐκ τῶν πολεμίων ληφθέντα ἐδεκατεύοντο θεοῖς· διὸ κυρίως δεκατεῦσαι τὸ καθιερῶσαι, κατὰ μεταφορὰν δὲ καὶ τὸ δεκάτην ὁπωσοῦν λαβεῖν καὶ ἀπαιτῆσαι. Harp. b

δεκατευτάς τοὺς τελώνας τοὺς τὴν δεκάτην ἐκλέγοντας καὶ συλλέγοντας· οὕτως Ἀντιφῶν. καὶ δεκατηλόγοι οἱ αὐτοί. εἴρηται δὲ καὶ θηλυκῶς τὴν δεκατηλόγον.

δεκατευτήριον τὸ ἐν τῇ Ἀβύδῳ πορθμεῖον. ⟨Agath. 5 12⟩ "ὡς εὐθὺς τὴν Ἄβυδον λυμανεῖται καὶ τὸ ἐν αὐτῇ δεκατευτήριον."

δεκατηλόγους τοὺς τὴν δεκάτην ἐκλέγοντας. ταὐτὸν ἄρα τοῖς δεκατευταῖς.

δεκάτην ἑϛιᾶσαι. ἔθος ἦν παίδων γεννωμένων τοῖς Ἀθηναίων ἀϛοῖς τῇ δεκάτῃ τῶν νυκτῶν ἀπὸ τῆς γενέσεως συγκαλεῖσθαι τὲς πρὸς πατρὸς καὶ μητρὸς οἰκείους καὶ τοὺς ἐγγυτάτω φίλους, καὶ παρόντων ἐκείνων τά τε ὀνόματα τοῖς παισὶ τίθεσθαι καὶ καλλιερεῖσθαι τοῖς θεοῖς, ἔπειτα εὐωχεῖσθαι τοὺς συνεληλυθότας· καὶ τῦτό ἐϛιν ἡ δεκάτη. καὶ δεκατῶ ῥῆμα, ὡς τὸ "ὁ λαμβάνων δεκάτας δεδεκάτωται" ⟨ad Hebr. 7 9⟩.

δεκάχοια δεκαπλάσια.

Δεκέβαλος ὁ τῶν Δακῶν βασιλεύς. cf. v. δεινός b.

Δεκέλεια τόπος.

Δεκελεικός ὁ Πελοποννησιακὸς πόλεμος, ἀπὸ μέρους τοῦ τελευταίου. Harp.

δεκέτης ὁ δεκαετής. θηλυκῶς δὲ δεκέτις, διὰ τοῦ ι.

Δέκιος Ῥωμαίων βασιλεύς, Φιλίππου διάδοχος, ὃς βασιλικῷ θεσπίσματι τοὺς τὰ χριϛιανῶν δοξάζοντας ἐθανάτου καὶ τὲς ὀ θεοὺς προσκυνεῖν ἠνάγκαζε.

δεκτέον δεῖ δέχεσθαι.

δεκτῆρες ὑποδοχεῖς.

δελεάζοντες ἐπικρύπτοντες. ⟨Ioseph. B. I. 2 18 3⟩ "οἱ δὲ Σκυθοπολῖται δύο ἡμέρας ἠρέμησαν, τὴν πίϛιν αὐτῶν δελεάζοντες· τῇ δὲ τρίτῃ νυκτὶ παρατηρήσαντες κοιμωμένους ἀνεῖλον."

δέλεαρ ἀπάτη, δόλος. "τοῦ δὲ προθύμως συγκαταθεμένε δελέατος προσετίθει τὸ ἀκόλουθον, παρακαλῶν πλεῦσαι πρὸς τὸν Δημήτριον."

δελεασμός καὶ δελεάσμασι.

δελέασρα παγίδες.

δέλτα τὸ τέταρτον στοιχεῖον. σημαίνει δὲ καὶ τὸ γυναικεῖον αἰδοῖον· ⟨A Lys. 151⟩ "δέλτα παρατετιλμέναι."

δέλτος πινακίδιον, τιτλάριον, σχεδάριον. ⟨Diog. L. 7 37⟩ Ζήνων ὁ Κιτιεὺς Κλεάνθην τὸν αὐτοῦ διάδοχον ἀφωμοίου ταῖς σκληροκήροις δέλτοις, αἳ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα.

δέλφακας καὶ δελφάκιον τοὺς μεγάλους χοίρους· οἱ δὲ καὶ τοὺς μικρούς. Ὅμηρος ⟨ξ 80⟩ "ἔσθιε νῦν, ὦ ξεῖνε, τάτε δμώεσσι πάρεστι χοίρε᾽· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι." δέλφακος ἄρρενος λίθῳ τὴν κεφαλὴν παίοντες ἀρῶνται. ⟨A Ach. 752⟩ "νέα γάρ ἐστιν, ἀλλὰ δελφακουμένη ἕξει μεγάλην τε καὶ παχεῖαν κέρκον."

δελφάκιον ὁ μικρὸς χοῖρος. Ἀριστοφάνης ⟨Thesm. 244⟩ "οἴμοι κακοδαίμων, δελφάκιον γενήσομαι." τοῦτο εἴρηκεν ἀφευθεὶς τὸν πρωκτόν· μετὰ γὰρ τὸ τυθῆναι τὰ δελφάκια φλογίζονται, ἵνα ψιλωθῶσι.

δελφῖνα νήχεσθαι διδάσκεις, ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδοτριβούντων ἐν οἷς ἤσκηται. καὶ "δελφῖνα πρὸς τὸ οὐραῖον δεῖς" ἐπὶ τῶν ἀδυνάτων διὰ τὸ εὐκίνητον καὶ ὀλισθηρόν.

Δελφίνιον ἔστι μέν τι χωρίον ἐν Χίῳ, ἔστι δὲ καὶ ἐν Ἀθήνησιν ἱερὸν Ἀπόλλωνος οὕτω καλούμενον, ἔνθα ἦν τὸ ἐν Δελφινίῳ δικαστήριον. Harp.

a δελφίς πρὸς ναυμαχίαν πολεμιστήριον ὄργανον, ὅθεν καὶ δελφινοφόρον ναῦν Θουκυδίδης ἐν τῇ ζ´ ⟨41⟩ φησίν· "ἔπειτα αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν ἔσπλων αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι ἐκώλυον."

b δελφίς ὁ ἰχθῦς. καὶ ὄργανον ναυτικὸν σιδηροῦν ἢ μολύβδινον· Ἀριστοφάνης ⟨Eq. 758⟩ "πρὶν ἐκεῖνον προσικέσθαι σοι, πρότερον τοὺς δελφῖνας μετεωρίζου καὶ τὴν ἄκατον παραβάλλου." δελφὶν σιδηροῦν κατασκεύασμα ἢ μολύβδινον, εἰς δελφῖνα ἐσχηματισμένον· τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ ἠφίεσαν εἰς τὰς τῶν πολεμίων, καὶ κατεδύοντο. δελφινοφόρος τε ἡ ναῦς. τὴν ἄκατον δὲ παραβάλλου ἀντὶ τοῦ ἕτοιμον ποίει, ὡς εἴ τις κίνδυνος ἐκ τοῦ ἀνέμου, ἐς αὐτὴν ἐμβησόμενος.

Δελφοί τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτω δὲ ἐκλήθη διὰ τὸ τὸν Δελφύνην δράκοντα ἐκεῖ εὑρεθῆ[illegible]ν ἀπέκτεινεν ὁ Ἀπόλλων, Πυθὼ δὲ δια[illegible] ἐκεῖ σαπῆναι. καὶ Δελφίς ἡ Δελφικὴ ἡ τοῦ Ἀπόλλωνος· ⟨AP 7 154⟩ "Δελφὶς γὰρ φάμα τόδ᾽ ἐθέσπισεν, ὄφρα γενοίμαν τᾶς κείνου νύμφας σῆμα καὶ ἱστορίη."

Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχει, δίψει δ᾽ ἀπόλωλεν" ⟨sch. A Eq. 531⟩, ἐπεὶ οὗτοι διὰ τὸ ἱερᾶσθαι τῷ θεῷ ἐστεφανωμένοι, τῶν δὲ ἐπιτηδείων ἀποροῦντες οὐκ ἀπαλλάσσουσι.

δελφύς μήτρα. ἔνθεν ἀδελφός ὁ ἐκ τῆς αὐτῆς μήτρας.

δέμας σῶμα· ⟨Hom. Σ 1⟩ "δέμας πυρός." λείπει τὸ ὡς, ἵν᾽ ᾖ ὡς πῦρ.

δέμνια ἐγκοίτεια στρώματα. καὶ φυγοδέμνιος ἡ παρθένος.

δέμοιμι οἰκοδομοίην· "οἰκίον εὖτε δέμοιμι."

δέμω οἰκοδομῶ.

δενδίλλων ⟨Hom. I 180⟩ τοῖς ὄμμασι νεύων.

δένδρει τῷ δένδρῳ.

δενδροκόμους τὰς κομώσας τοῖς δένδροις· Ἀριστοφάνης Νεφέλαις ⟨279⟩ "δενδροκόμους κορυφάς."

δενδρότης ἡ τῶν δένδρων αὔξησις.

δενδρυάζειν εἰς δρῦς καταδύεσθαι κυρίως, ἀπὸ τῶν παλαιῶν, ταῖς δρυσὶ σκέπῃ χρωμένων πρὶν τὰς οἰκήσεις εὑρεθῆναι. καὶ τὸ καθ᾽ ὕδατος δύεσθαι καὶ ἀποκρύπτειν ἑαυτόν.

δεννάζων βλασφημῶν· ⟨S Ai. 243⟩ "κακὰ δεννάζων ῥήματα."

Δεντᾶτος ὄνομα κύριον.

δεξαμενή. ⟨Procop. Arc. 3⟩ "εἰς τὸ ἱερὸν τῆς Σοφίας ἥκων ἐς αὐτήν που τὴν θείαν δεξαμενὴν ἐξαπιναίως ἐκάθισεν. ἀλλὰ κἀνθένδε ἀφέλκειν αὐτὸν ἴσχυσε." τουτέστιν ἡ τράπεζα ἡ τὰ θεῖα δεχομένη.

δεξάμενος ἀντὶ τοῦ λαβών Ἡρόδοτος ⟨3 54⟩.

δεξιὰ ἔλεγον οἱ παλαιοὶ τὰ συνετά, ἀριστερὰ δὲ τὰ μωρά· Σοφοκλῆς ⟨Ai. 183⟩ "οὔποτε γὰρ φρενόθεν γ᾽ ἐπ᾽ ἀριστερά, παῖ Τελαμῶνος, ἔβης."

δεξιὰ κυρίου ⟨Ps. 88 14⟩ ἡ ἄνωθεν ῥοπὴ καὶ ἡ ἀγαθὴ ἐνέργεια παρὰ τῇ θείᾳ γραφῇ.

δεξιάς συνθήκας· ⟨Ioseph. B. I. 3 8 1⟩ "ὁ δὲ πέμπει χιλίαρχον, δεξιὰς τῷ Ἰωσήπῳ δοῦναι κελεύσας." καὶ Ἀρριανός "ὁ δὲ παρὰ Μάννου ἀπεχώρησε, δεξιάς τε παραβὰς ἃς βασιλεῖ ἔδωκε, καὶ ὅρκους πατήσας οὓς ὤμοσε." "ὁ δὲ φίλος γέγονε τούτῳ, καὶ δεξιάν τε ἐνέ-

βαλεν αὐτῷ καὶ ἑςιᾶν ἔμελλεν." καὶ Ἰώσηπος "ὃ δὲ ἐζήτει ἐπὶ δεξιᾷ καταβῆναι," τουτέςιν ἐπὶ συνθήκῃ.

δεξίδωροι δωροδόκοι.

Δεξικράτης. οὗτος Ἀθηναῖος κωμικός. δράματα αὐτοῦ εἰσὶν Ὑφ' ἑαυτῶν πλανώμενοι, ὡς Ἀθήναιός φησιν ἐν γ' Δειπνοσοφιςῶν (p.124B).

δεξιμήλων θεῶν, ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα.

δεξιολάβος παραφύλαξ. Act. 23 23.

δεξιὸν εἰς ὑπόδημα, ἀριςερὸν εἰς ποδονίπτραν, Ἀριςοφάνης, ἐπὶ τῶν ἁρμοδίως τοῖς πράγμασι κεχρημένων.

a δεξιός εὔνους, ἀγαθός, ἐπιτήδειος. καὶ δεξιώτερος ἀντὶ τοῦ ἀγαθός· "καὶ τούτων ὅςις δεξιώτερος καὶ φιλοικτίρμων θαρρεῖν ἐπεκέλευε." δεξιοὺς δὲ τοὺς πεπαιδευμένους ἔλεγον· "ζητῶν δεξιὸς εἶναι" Ἀριςοφάνης Νεφέλαις (427).

b δεξιός ὁ εὐπαίδευτος, καὶ δεξιοί οἱ εὐπαίδευτοι. Ἀριςοφάνης (Ran. 542) "τὸ δὲ μεταςρέφεσθ' ἀεὶ πρὸς τὸ μαλθακώτερον δεξιοῦ πρὸς ἀνδρός ἐςι καὶ φύσει Θηραμένους." οὗτος ὁ Θηραμένης τῶν τὰ πολιτικὰ πραττόντων ἦν· σκώπτει δὲ αὐτὸν ὡς εὐμετάβολον ὄντα καὶ πρὸς τὸν καιρὸν ἁρμόζοντα. ὁ δὲ Θηραμένης οὗτος διδάσκαλος Ἰσοκράτους, Ἅγνωνος παῖς, Στειριεὺς τῶν δήμων. τούτῳ πολλὰ μὲν καὶ ἄλλα παρανενόμηται, δύο δὲ τὰ μέγιςα καὶ σχετλιώτατα, ἥ τε τῶν ἐν Ἀργινούσαις ςρατηγῶν ἀπαγωγή, ἣν αὐτὸς συνεςήσατο μετὰ Καλλιξένου, καὶ ἡ τῶν λ' ἐπὶ καταλύσει τοῦ δήμου κατάςασις. τοιγάρτοι τῆς τοῦ βίου προαιρέσεως ἐπαξίως τῆς τελευτῆς ἔτυχεν· ὑπὸ γὰρ αὐτῶν τῶν λ' ἀνῃρέθη, Κριτίου κρίναντος αὐτόν. ἔνιοι δέ φασι καὶ καταφυγόντα ἐπὶ τὴν ἑςίαν ἀποσπασθῆναι. τοῦτον διὰ τὴν ποικιλίαν τοῦ ἤθους κόθορνον ἀπεκάλουν, ἐπειδὴ ἑκατέρᾳ ςάσει τῇ τῶν ἀντιπολιτευομένων ἑαυτὸν παρετίθει, καθομιλῶν πρὸς τοὺς καιροὺς καὶ τὸ συμφέρον ἑαυτῷ τοῦ πιςοῦ προτάσσων, ἐπειδὴ καὶ ὁ κόθορνος ἀνδράσι καὶ γυναιξὶ πρὸς τὰς ὑποθέσεις ἁρμόττει. δοκεῖ δὲ οὗτος καὶ τὰ τρία ψηφίσασθαι ἐπιζήμια, ἢ δεσμεύεσθαι ἐν τῷ ξύλῳ ἢ πιεῖν κώνειον ἢ ἐκφυγεῖν. δοκεῖ δὲ οὗτος ἀπὸ Κέω τῆς νήσου εἶναι, οὐκ εἶναι δὲ γνήσιος ἀλλὰ ποιητὸς υἱὸς τοῦ Ἅγνωνος. ὁ δὲ Θουκυδίδης (8 68) αὐτὸν ἐπαινεῖ.

δεξιὸς καὶ ὁ εὐχερής. "ἐπὶ Ἰουςινιανοῦ c
Πέτρος τις ἦν Βαρσύμης οὕτω καλούμενος ... δεξιὸς γὰρ ἦν κλέψαι" (cf. v. Θεόδοτος). καὶ αὖθις "ὁ δὲ δεξιᾷ χρησάμενος τύχῃ ἐκυρίευσε Ῥώμης." "ὅτι πρώτῳ Ποπλίῳ ἐλλοχήσεως ἀμοιβὴ δεξιῶς γενομένης ὑπὸ Ῥωμαίων ἐδόθη ςέφανος ἀγριώςεως χλωρᾶς," ἀντὶ τοῦ ἁρμοδίως.

δεξιοὺς ἔλεγον οἱ παλαιοὶ καὶ τοὺς ἐςρατευμένους καὶ ἐπαίνου ἀξίους, τοὺς δὲ διαδιδράσκοντας ςρατιώτας φιλοδίκους καὶ συκοφάντας. sch. A Ran. 1145.

δεξιοῦται προσάγεται, ξενοδοχεῖ, φιλοφρονεῖται.

Δέξιππος Δεξίππου ὁ Ἐρέννιος χρημα- a
τίσας, Ἀθηναῖος ῥήτωρ, γεγονὼς ἐπὶ Βαλεριανοῦ καὶ Γαλιήνου καὶ Κλαυδίου δευτέρου καὶ Αὐρηλιανοῦ τῶν βασιλέων Ῥωμαίων.

Δέξιππος Κῷος ἰατρός, Ἱπποκράτους b
μαθητής, ὃς μεταπεμφθεὶς ὑπὸ Ἑκατόμνου τοῦ Καρῶν βασιλέως ἰάσασθαι αὐτοῦ τοὺς παῖδας ἀπογνωσθέντας Μαυσωλὸν καὶ Πιξώδαρον, ἐπὶ ὑποσχέσει ἰάσατο τοῦ παῦσαι τὸν πρὸς Κᾶρας τότε αὐτῷ ἐνεςῶτα πόλεμον. ἔγραψεν ἰατρικὸν βιβλίον α', καὶ περὶ προγνώσεων β'.

δεξίωσις ὑποδοχή.

δέοιτο χρῄζοι.

δέομαι γενικῇ. αἰτιατικῇ δὲ (Demosth. 23 19) "τοῦτο τοίνυν ἐροῦμεν, ἃ δὴ δέομαί τε καὶ ἀντιβολῶ."

δέον. ὅτι εἰ κείμενόν ἐςι τὸν σπουδαῖον a
πολιτεύεσθαι, χρὴ -- διελομένους τὸ δέον παρ' ἑαυτοῖς, ὅπερ σημαίνει καὶ τὸ καλὸν καὶ τὸ συμφέρον καὶ τὸ ἀναγκαῖον, τὸ μὲν ἀναγκαῖον, ὅταν λέγωμεν πᾶν τὸ γενόμενον δέον εἶναι καὶ φθαρῆναι, τὸ δὲ συμφέρον, ὅταν λέγωμεν δέον εἶναι περιπάτοις χρῆσθαι ἢ διαίτῃ τοιαύτῃ, τὸ δὲ καλόν, ὅταν λέγωμεν δέον εἶναι τὰ δίκαια ποιεῖν ἢ πείθεσθαι τοῖς νόμοις ἢ τοῖς γονεῦσι. τρία οὖν σημαίνει.

δέον· (A Nub. 857) "ὥσπερ Περικλέης εἰς b
τὸ δέον ἀνάλωσα." Περικλέης Ἀθηναίων ςρατηγὸς λόγον ἀπαιτούμενος ὑπὲρ χρημάτων Κλεάνδρῳ τῷ ἁρμοςῇ Λακεδαιμονίων ἐπὶ προδοσίᾳ, τοῦτο οὐκ ἐδήλου, ἀλλ' εἰς τὸ δέον ἔλεγεν ἀναλῶσαι αὐτά. οἱ δὲ ἄλλως φασί· πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει εἰς τὸν πόλεμον τὰ πλεῖςα ἀνάλωσε, καὶ λογ-

σμοὺς διδοὺς ν' ταλάντων ἁπλῶς εἶπεν εἰς τὸ δέον ἀνηλωκέναι. μετὰ δὲ ταῦτα μαθόντες Λακεδαιμόνιοι Κλεανδρίδην μὲν ἐδήμευσαν, Πλειςοάνακτα δὲ ε' ταλάντοις ἐζημίωσαν, ὑπολαβόντες δωροδοχήσαντας αὐτοὺς φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, καὶ τὸν Περικλέα, ἵνα μὴ γυμνῶς εἴπῃ ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι ταῦτα, οὕτως αἰνίξασθαι.

δέον τὸ πρέπον, ὅτι συνέχει ἐν οἷς χρή (Diog. L. 7 99). Προκόπιος (Pers. 2 7) "μίαν πηγὴν οὖσαν, οὐ δέον αὐτὴν ἐκπεπωκότων ἀποξηρανθῆναι."

δέοντο (Hom. Σ 553) ἐδεσμεύοντο.

δέος φόβος.

δέπας τὸ ποτήριον. καὶ δεπάεσσι σὺν τοῖς ποτηρίοις.

δεραγχέας πάγας (AP 6 107) τὰς τὴν δέρην ἀγχούσας.

δέραια ἐπιτραχήλιος κόσμος.

δεραιοπέδη τὸ ἴζευτικὸν λίνον· ἐν ἐπιγράμματι (AP 6 14) "τῶνδε πετηνῶν ἄρρηκτον Πίγρης τάνδε δεραιοπέδην." λέγεται δὲ καὶ δαιμοπέδην.

δέρας τὸ χρυσόμαλλον δέρας, ὅπερ ὁ Ἰάσων διὰ τῆς Ποντικῆς θαλάσσης σὺν τοῖς Ἀργοναύταις εἰς τὴν Κολχίδα παραγενόμενοι ἔλαβον, καὶ τὴν Μήδειαν τὴν Αἰήτου τοῦ βασιλέως θυγατέρα. τοῦτο δὲ ἦν οὐχ ὡς ποιητικῶς φέρεται, ἀλλὰ βιβλίον ἦν ἐν δέρμασι γεγραμμένον, περιέχον ὅπως δεῖ γίνεσθαι διὰ χημείας χρυσόν. εἰκότως οὖν οἱ τότε χρυσοῦν ὠνόμαζον αὐτὸ δέρας διὰ τὴν ἐνέργειαν τὴν ἐξ αὐτοῦ. Io. Antioch.

δέργμα τὸ βλέμμα, ἐκ τοῦ δέρκω τὸ βλέπω.

δέρη τράχηλος. λέγεται καὶ δειρή.

δέρκειν βλέπειν, καὶ δερκομένων βλεπόντων.

Δερκυλλίδας ὄνομα κύριον, βασιλεὺς Λακεδαιμονίων.

δερματικόν Λυκοῦργος λέγει τὸ ἐκ τῶν δερματίων τῶν πιπρασκομένων περιγινόμενον ἀργύριον. Harp.

Δέρμη (an Δέρβη) πόλις.

δερμιςής. Λυσίας μὲν τὸν σκώληκά φησιν οὕτω λέγεσθαι, Ἀρίςαρχος δὲ τὸν ὄφιν. εἴη δ' ἂν μᾶλλον ὁ δέρματα ἐσθίων ἐτυμώτερον οὕτω καλούμενος. Harp.

δερμόπτερα ζῷα, οἷον νυκτερίς, ἥτις μόνη τῶν πτητικῶν ζῴων καὶ γάλα ἔχει ἐν μαςοῖς καὶ θηλάζει εὐθέως τὸ γεννώμενον.

δερμύλλοντα.

δέρος. αἱ τοιαῦται εὐθεῖαι ἤτοι Ἰωνικαί εἰσιν ἢ Δωρικαί, δέρος, κῶος· ἀπὸ γὰρ τοῦ δέρας καὶ κῶας πεποίηνται.

δερρίδιον σκιάδειον δερμάτινον.

δέρρις δέρμα, βύρσα· ἢ τρίχινον παραπέτασμα.

δέρτρον (Hom. λ 577) ἐπίπλουν. ὁ δὲ Ἀρίςαρχος τὸ δέρμα καὶ πάντα τὸν χρῶτα τὸν πρὸ τοῦ ἥπατος. ἄμεινον δὲ τὸ ῥάμφος, ἀπὸ τοῦ δέρειν, ὅπερ ἐςὶ κρούειν· τούτῳ δὲ διαρρήσσουσιν ἃ ἂν ἐσθίωσιν οἱ γῦπες, τῇ κρούσει τοῦ ῥάμφους. καὶ ἔςι τὸ ὄνομα ῥηματικόν· ὡς παρὰ τὸ πλήσσω πλῆκτρον, οὕτω καὶ παρὰ τὸ δέρω δέρτρον.

δερῶ σε θύλακον κλοπῆς (A Eq. 369) ἀντὶ τοῦ ἐκδερῶ σε, ὥςε ἀπὸ τοῦ σώματος θύλακον ποιῆσαι εἰς ὑποδοχὴν κλεμμάτων.

δέσιος παρὰ Μακεδόσιν ὁ μὴν ὁ Ἰούνιος.

δεσμὰ τῆς ψυχῆς αἱ φλέβες καὶ αἱ ἀρτηρίαι καὶ τὰ νεῦρα. ὅταν δὲ καθ' ἑαυτὴν ἠρεμῇ, δεσμὰ γίνεσθαι αὐτῆς πρὸ τοῦ λόγου καὶ τὰ ἔργα. Diog. L. 8 31.

δεσμοὶ Τυρρηνοί, οἷς ἐχρῶντο κατ' ἐκεῖνο καιροῦ εἰς τὰς τῶν δεσμωτῶν κακουχίας.

δεσμωτήριον ἡ φυλακή.

δεσμώτης καὶ αὐτὸς ὁ δέσμιος, ὡς ὁ δεσμώτης Προμηθεύς, καὶ ὁ δεσμῶν. Κρατῖνος ἐν Πυτίνῃ ἐπὶ τῶν δεσμοφυλάκων "ὄψει γὰρ αὐτὴν ἐκτὸς οὐ πολλοῦ χρόνου πρὸς τοῖσι δεσμώταισι καταπιττουμένην" (sch. S Ai. 105).

δεσπόζω γενικῇ.

δεσπόσυνος παῖς τοῦ δεσπότου.

δεσποτεία ἡ κυρίευσις.

δεσπότου κεκαρμένου πενθοῦντος.

δεύειν φυρᾶν καὶ δέδευκε πεφύρακεν. ἔςι δὲ καὶ τὸ φυρᾶν Ἑλληνικόν.

δευθέντα βραχέντα, καὶ δευόμενος βρεχόμενος. Αἰλιανός "αἵματί τε δευόμενοι οἱ τοῖχοι τῶν δωματίων, καὶ ἐκ τῶν δαπέδων ἀνέβρυε λύθρον, καὶ πάντων τὰς διανοίας ἐξέπληττον."

Δευκαλίων ὄνομα κύριον.

δεῦρ' ἀεὶ [illegible] τοῦ ἕως τούτου· Πλάτων Νόμων [illegible] "πρὸς τοὺς λόγους οὓς [illegible] μ[illegible] διεληλύθαμεν."

[illegible]

δεῦρ' ἧξα θᾶσσον ἢ καθ' ἡδονὴν ποδός" (S OC 890) ἀντὶ τοῦ ταχύτερον ἢ ὡς ἔδει βαδίζειν.

δεῦρ' ἴθι. Ἀριςοφάνης (Nub. 58) "δεῦρ' ἴθ' ἵνα κλάῃς," ἐπὶ τῶν ἐπὶ κακῷ τινὰ ἐπισπωμένων. τὸν παῖδά φησι πλησίον ἐλθεῖν τῆς κλίνης, ἐφ' ἧς ἀνέκειτο ὁ δεσπότης, τύψειν αὐτὸν ἀπειλῶν.

a δεῦρο ἐνθάδε, ἐπὶ τοῦ παρόντος. καὶ δεῦρο ἀεί ἀντὶ τοῦ μέχρι τοῦ παρόντος. σημαίνει δὲ καὶ τὸ ἐλθέ· (A Eq. 8) "δεῦρό νυν πρόσελθε," ἀντὶ τοῦ πλησίασον, ἐγγὺς ἐλθέ. καὶ παρ' Ὁμήρῳ (Γ 130) "δεῦρ' ἴθι." λέγεται δὲ καὶ δευρὶ παρὰ Ἀριςοφάνει (Ran. 1529) "ταχέως ἥκειν ὡς ἐμὲ δευρί, καὶ μὴ μέλλειν. κἂν μὴ ταχέως ἥκωσιν, ἐγὼ μὰ τὸν Ἀπόλλω κατὰ γῆς ἀποπέμψω."

b δεῦρο. τοῦτο τὸ ἐπίρρημά τινες ἐπὶ χρόνου τετάχθαι νομίζουσιν· οἱ δὲ ῥήτορες ἐπὶ τόπου πάντες αὐτῷ χρῶνται, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου (174) "καὶ παρασχεῖν τῷ μὲν φεύγοντι θαρρεῖν, ὅταν αὐτὸς δεῦρο παρέλθῃ," καὶ Ἀντιφῶν ἐν τῇ παρανόμων κατηγορίᾳ "ναυμάχους ὡς περὶ δωρεῶν μὲν εἰπεῖν κατάγειν δεῦρο," καὶ Δείναρχος ἐν τῷ κατὰ Λεωχάρους "περὶ τοῦ ταλαιπώρου Διδύμου νῦν πρὸς ὑμᾶς ἐρῶ. καί μοι δεῦρο αὐτοῦ τὸ παιδίον κάλεσον." καὶ Δημοσθένης (19 120) "ἀπόκριναι γὰρ δεῦρο ἀναςάς μοι." καὶ ἄλλοι ἕτεροι.

δεύσας βρέξας· "ὁ δὲ δεύσας τοῦ αἵματος τοὺς δακτύλους προσέγραψεν."

a δευσοποιός βαφεύς. σημαίνει δὲ καὶ τὸν ἔμμονον καὶ δυσαπόπλυτον.

b δευσοποιός. κυρίως μὲν ἐπὶ τῆς πορφύρας λέγεται τὸ ὄνομα τῆς ἔμμονον καὶ ἀνέκπλυτον ἐχούσης τὸ ἄνθος τῆς βαφῆς, ἐκ μεταφορᾶς δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων τῶν ἐχόντων τὸ χρῶμα ἔμμονόν τε καὶ πολυχρόνιον (Harp). καὶ δευσοποιὸς πονηρία. μετῆκται ἡ λέξις ἀπὸ τῶν καταβεβαμμένων ἐρίων, σημαίνει δὲ τὸ βέβαιον καὶ ἀνέκπλυτον τοῦ χρώματος. οἱ συγγραφεῖς δὲ ὅταν ἀμετακίνητόν τι δηλῶσαι βούλωνται, καταχρῶνται τῇ λέξει καὶ ἐπ' ἄλλων. δύναται οὖν ἡ δευσοποιὸς πονηρία ὑπερβάλλουσα εἶναι, καὶ ἧς οὐχ οἷόν τε ἦν περιγενέσθαι.

δεύτατος (Hom. Τ 51) ὁ ἔσχατος, ἀπὸ τοῦ δεύεσθαι καὶ ἐνδεῖν.

δεῦτε παρακελεύσεως ἐπίρρημα.

δευτεριάζειν· (A Eccl. 661) "ἐγὼ ἤδη διαπραξάμενος παραδῶ σοι δευτεριάζειν" τὸ ὕςερον διαπράττεσθαι.

δεύτερος πλοῦς, ὅτε ἀποτυχών τις οὐρίου κώπαις πλεῖ.

δέφειν τὸ τοῦ αἰδοίου τινὰ ἅπτεσθαι. καὶ δεφόμενος (A Eq. 24, Pac. 289) ἀντὶ τοῦ ἀποδέρων τὸ αἰδοῖον.

δέφεσθαι· Ἀριςοφάνης (Eccl. 703) "ὑμᾶς δὲ θρῖα λαβόντας διφόρου συκῆς ἐν τοῖς προθύροις δέφεσθαι," ἵνα κνησμὸν αὐτοῖς τὸ φύλλον ἐμποιῇ.

δέχεται καὶ βῶλον Ἀλήτης. ἐπὶ τῶν πάντα πρὸς τὸ κρεῖττον ἐκδεχομένων τάττεται, ἢ ἁπλῶς ἐπὶ τῶν μηδένα προσιεμένων.

δέω μικροῦ μικροῦ γε ἔχομαι.

δή ἀντὶ τοῦ νῦν· Ἀριςοφάνης Νεφέλαις (700) "φρόντιζε δὴ καὶ διάθρει." Σωκράτης λέγει πρὸς τὸν πρεσβύτην. τὸ δή ἰσοδύναμον τῷ νῦν.

Δηβελτός πόλις Θρᾳκική.

δήεις εὑρήσεις· ἐν ἐπιγράμματι (AP 6 126) "γραψάμενος δήεις."

δήετε (Hom. Ι 418) εὑρήσετε.

δηθά ἐπὶ πολὺν χρόνον.

δηθαίωνες οἱ μακρόβιοι.

δηθάκις πλειςάκις.

δῆθεν ὡς δή φησι. τοῦτο δὲ προσποίησιν ἀληθείας ἔχει, δύναμιν δὲ ψεύδους. λαμβάνεται δὲ τὸ θεν ὡς παραπληρωματικόν. "ὁ δὲ Σερτώριος παρῄνει ὡς δῆθεν αὐτοῖς παραδοῦναι τὴν πόλιν." "ὁ δὲ Κῦρος ὡς ἐπὶ Πισίδας δῆθεν ἐπορεύετο, ἐφ' οὓς ςρατεύειν προεφασίζετο." καὶ αὖθις "προέτεινε τὰς χεῖρας ἱκετεύων δῆθεν." καὶ αὖθις "ἄλλως δὲ τῇ καθ' ἡμᾶς πολιτείᾳ χαίρειν ἐθέλοντα δῆθεν."

δηθύνω ἐγχρονίζω, βραδύνω.

δηία καταπεπολεμημένη, κατακεκομμένη· ἢ δήια πεπονθυῖα. κοινῶς πολεμία, ἀττικῶς δύσηνε. Σοφοκλῆς (Ai. 784) "ὦ δηία Τέκμησσα, δύσμορον γένος."

Δηιάνειρα ὄνομα κύριον.

Δηιδάμεια ὄνομα κύριον.

Δηιονεύς ὄνομα κύριον.

Δηιονίτης (Hom. Λ 420) ὄνομα κύριον.

Δήιος ὄνομα κύριον.

δηιοτῆτος μάχης.

δηιόων διακόπτων.

Δηίπυλος ὄνομα κύριον.

Δηίπυρος ὄνομα κύριον.

Δηίφοβος ὄνομα κύριον.

Δηιώ ὄνομα κύριον.

δηλαδή φανερῶς.

δηλαϊςή (Ezechiel. 5 15) ἐλεεινή, ἀθλία.

δηλάτωρ ὁ κατήγορος. καὶ δηλάτωρες. ὅτι Ἀναςάσιος ὁ βασιλεὺς Ῥωμαίων τὸ τῆς δηλατωρίας πάθος τιμωρεῖται πρὸς τοῖς ἄλλοις ἔργοις.

δηλατωρίαι αἱ τῆς καταςάσεως τοῦ δημοσίου φόρου ἀποδείξεις παρὰ Ῥωμαίοις, αἱ εἰσαγγελίαι.

δηληγατίων κατὰ Ῥωμαίους ἡ ἐκταγὴ τοῦ σιτοπομπείου καὶ ἡ ἀννονῶν μετακομιδή.

δήλημα βλάβη.

δηλήμων ὁ βλαπτικός.

δηλήσεται (Hom. Ξ 102) βλάψει, διαφθερεῖ. καὶ δήλησις ἡ βλάβη· "ληςὰς ἐπελθόντας ἐπὶ δηλήσει τῶν βοῶν Θεσπιάδου."

δηλητήριον φάρμακον.

Δήλια. καὶ Δηλιάς.

Δηλιάς ἡ ναῦς, καὶ ἡ Δημήτηρ. καὶ κύριον ὄνομα.

δηλιαςαί οἱ εἰς Δῆλον ἐξελθόντες θεωροί. οὕτω Λυκοῦργος. Harp.

Δήλιος ὁ ἀπὸ τῆς Δήλου· Δῆλος γὰρ ἡ νῆσος τοῦ Ἀπόλλωνος.

Δηλίου κολυμβητοῦ. τοῦτο ἐρρήθη εἰς βίβλον Ἡρακλείτου (Diog. L. 9 11) διὰ τὸ δυσνόητον, Δηλίου τινὸς δεῖσθαι κολυμβητοῦ, ὃς οὐκ ἀποπνιγήσεται ἐν αὐτῷ. ἐπιγράφουσι δὲ αὐτὸ οἱ μὲν μούσας οἱ δὲ περὶ φύσεως, Διόδοτος δὲ ἀκριβὲς οἰάκισμα πρὸς ςάθμην βίου, ἄλλοι γνώμην ἠθῶν, κόσμον τρόπων ἑνὸς τῶν ξυμπάντων. ἢ οὕτως. Δηλίου κολυμβητοῦ, ἐπὶ τῶν ἄκρως νηχομένων· Σωκράτει γὰρ δόντος τοῦ Εὐριπίδου Ἡρακλείτου τοῦ σκοτεινοῦ σύγγραμμα, ἐρέσθαι τί δοκεῖ; τὸν δὲ φάναι "ἃ μὲν συνῆκα, γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα. πλὴν Δηλίου δεῖται κολυμβητοῦ εἰς τὸ μὴ ἀποπνιγῆναι ἐν αὐτῷ." καὶ παροιμία "Δήλιος κολυμβητής" ἐπὶ τῶν πάνυ ἐμπείρων νήχεσθαι.

δηλονότι.

δήλων ὁράσεων, καὶ δῆλοι ὁράσεις, ἐνύπνια. 70 interpr.

δημαγωγεῖ ςρατηγεῖ, ἄρχει τοῦ δήμου· (A Ran. 418) "ὃς ἑπτέτης ὢν οὐκ ἔφυσε φράτορας, νυνὶ δὲ δημαγωγεῖ." τουτέςιν οὐκ ἐνεγράφη εἰς τοὺς φράτορας. καὶ αὖθις "ἐκδημαγωγηθέντας εἰς παρρησίαν."

δημαγωγικός ςρατηγικός. Πολύβιος (15 21) "Μολπαγόρας ἀνὴρ λέγειν καὶ πράττειν ἱκανός, κατὰ δὲ τὴν αἵρεσιν δημαγωγικὸς καὶ πλεονέκτης· ὃς μοναρχικὴν ἐξουσίαν ἑαυτῷ περιποιησάμενος ἀνῃρέθη παρά τινων." καὶ αὖθις "ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ ἔτ' ἐςὶν ἀνδρός, οὐδὲ χρηςοῦ τοὺς τρόπους, ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν" Ἀριςοφάνης φησί (Eq. 191).

δημαγωγός. "ἀνδρὸς δημαγωγοῦ μεταπείσαντος αὐτόν," τουτέςι τοῦ δήμου ἄρχοντος. (Polyb. 3 80) "ὁ Φλαμίνιος ὀχλοκόπος καὶ δημαγωγὸς τέλειος, πρὸς ἀληθινῶν δὲ καὶ πολεμικῶν πραγμάτων χειρισμὸν οὐκ εὐφυής."

Δημάδης Ἀθηναῖος, ῥήτωρ καὶ δημα- a
γωγὸς πανοῦργος καὶ εὐτυχής, πρότερον ναύτης ὤν, ἔγραψεν ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας, ἱςορίαν περὶ Δήλου καὶ τῆς γενέσεως τῶν Λητοῦς παίδων. οὗτος κατέλυσε τὰ δικαςήρια καὶ τοὺς ῥητορικοὺς ἀγῶνας. τελευτᾷ δὲ ἐπὶ Ἀντιπάτρου.

Δημάδης Λακιάδης Ἀθηναῖος ῥήτωρ. b
τοῦτον εἰσεποίησεν ὁ πρότερος Δημάδης ὁ καὶ δημαγωγὸς ἀπὸ αὐλητρίδος τεχθέντα. πατὴρ δὲ καὶ αὐτὸς Δημέου τοῦ ῥήτορος γέγονε, καὶ ἀπώλετο ῥιφεὶς εἰς τὴν Ἀμφιπόλεως λίμνην ὑπὸ Κασάνδρου τοῦ Ἀντιπάτρου πατρὸς διαδόχου... μετ' Ἀντίπατρον βασιλεύσας Θήβας ἀνέςησε.

Δημέου ναύτου, ναύτης καὶ αὐτός, ναυπηγὸς καὶ πορθμεύς. ἀποςὰς δὲ τούτων ἐπολιτεύσατο, καὶ ἦν προδότης, καὶ ἐκ τούτου εὔπορος, καὶ κτήματα ἐν Βοιωτίᾳ παρὰ Φιλίππου δωρεὰν ἔλαβεν. οὗτος Δημοσθένει λέγοντι ὑπὲρ Ὀλυνθίων ἀντέλεγεν, Εὐθυκράτη δὲ τὸν Ὀλύνθιον, ἀτιμωθέντα παρὰ Ἀθηναίοις, ἐψηφίσατο ἐπίτιμον εἶναι καὶ πρόξενον Ἀθηναίοις. λόγους δὲ διδοὺς ἀρχῆς θορυβηθεὶς ἀπεδήμησεν, "οὔτε ἑαυτῶν" εἰπών "ἐςὲ κύριοι οὔτε ἐμοῦ." ἐπέςελλε δὲ Φιλίππῳ, καὶ τὸν υἱὸν ἔπεμπε πρὸς αὐτόν. ἱπποτρόφει δὲ καὶ ἠγωνίζετο Ὀλυμπίασι, καὶ ἐνίκα. ἔγραψε δὲ καὶ ψήφισμα τῷ Φιλίππῳ τοὺς Ἕλληνας ὑπακούειν. ἐν Χαιρωνείᾳ δὲ αἰχμάλωτος γενόμενος ἀφείθη, καὶ πρεσβευτὴς ὑπὲρ τῶν αἰχμαλώτων ἀπεςάλη, οὓς ἀνῆκε Φίλιππος. δὶς δὲ παρανόμων ἑάλω. ἐπολιτεύσατο δὲ καὶ ἐπ' Ἀλεξάνδρου.

Δημαίνετος ὄνομα κύριον.

Δημάρατος Προκλέους ἀπόγονος, ὑπὸ Κλεομένους τοῦ Εὐρυσθέως ἀπογόνου, ὃς Ἱππίαν καθεῖλε συμβασιλεύων, ἐκβέβληται ὡς νόθος, διότι τεχθέντος αὐτοῦ καὶ ἀγγελθέντος Ἀρίζωνι τῷ πατρί, λογισάμενος ὁ πατὴρ τὸν ἀπὸ γάμων χρόνον ἐλάττονα δέκα μηνῶν ὄντα, "οὐκ ἐμὸς ὁ παῖς" ἔφη. ἐκπεσὼν δὲ εἰς Πέρσας ἀνῆλθε, καὶ τελευτήσαντος Δαρείου συμπράξας εἰς τὴν βασιλείαν τῷ Ξέρξῃ, ἐπὶ τὴν Ἑλλάδα ςρατεύειν αὐτὸν ἔπεισεν.

Δημάρητος ὄνομα κύριον, οἱονεὶ Δημάρατος.

δημαρχία, ὅτε δῆμος ἄρχει. καὶ ὄνομα ἀξιώματος.

δήμαρχοι. ὅτι ὁ δῆμος εἰς τὴν προτέραν ἐπανελθὼν εὐκοσμίαν δημάρχους εἵλετο Σικίννιον καὶ Βροῦτον, οἳ τοῖς ὑπάτοις εἰς τὸ αὐτὸ τῆς δυνάμεως καθιςάμενοι, ἐνιαυτῷ τε ταύτην καρπούμενοι τὴν ἐξουσίαν, ἐδημαγώγουν τὸ πλῆθος τοῖς καθ' ἡδονὴν πολιτεύμασιν. cf. Dionys. Hal. 6 89.

ὄνομα δὲ πολιτείας οἱ δήμαρχοι παρὰ τοῖς Ἀθηναίοις, οἱ πρῴην ναύκραροι καλούμενοι· οἷς ἐξῆν ἐνεχυράζειν. καὶ Φερεκράτης "ὑπέλυσε δήμαρχός τις ἐλθὼν εἰς χορόν." οἱ κατὰ δῆμον ἄρχοντες· οὗτοι δὲ διεκόσμουν τὴν ἑορτὴν τῶν Παναθηναίων.

δήμαρχος. ἑκάςου δήμου τῶν ἐν Ἀθήναις ὁ κατάρχων δήμαρχος ἐλέγετο. οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν προσόντων ἑκάςῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν. ἀλλὰ καὶ συνῆγον τοὺς δήμυς ὁπότε δεήσειε, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν, καὶ ἐνεχύραζον δὲ οὗτοι. Harp.

δημελέητος ἐλεεινός.

δημεύσας δημοσιεύσας.

δημηγόρος ἐπὶ τοῦ δήμου λαλῶν.

Δημήτηρ ἐςὶν ἡ γῆ, οἱονεὶ γημήτηρ τις οὖσα. ἐπεὶ δὲ ἕδρα πάσης πόλεως ἡ γῆ ἐςίν, ὡς βαςάζυσα τὰς πόλεις, πλάττεται πυργοφόρος (Codin. orig. CP. p. 14). καὶ αὖθις "ᾤκουν δὲ γῆν εὐδαίμονα μάλιςα καὶ καρποὺς ἐνεγκεῖν οὖσαν ἀγαθήν, οἶνον ἡδὺν καὶ πολὺν ἔχουσαν."

Δήμητρα ὄνομα θεᾶς.

Δημήτρειος καρπὸς ὁ τῆς Δήμητρος.

a *Δημήτριος* ὁ Ἀντιγόνου καὶ Πτολεμαῖος ὡμολόγησαν φιλίαν σφίσιν ἔνσπονδον εἶναι ἐπ' ἐλευθερώσει τῆς πάσης Ἑλλάδος καὶ ἐπὶ τῷ τῇ ἀλλήλων ἐπιμαχεῖν· καὶ ἅμιλλα ἦν αὐτοῖν, πότερος μᾶλλον τὰ δόξαντα ἔργῳ ἐμπεδώσει. καὶ ὁ Μακεδονικὸς ἄρχων ἐ διὰ σχολαιότητος ἀφικνεῖται, καὶ τήν τε εἰς Μυνυχίαν οὖσαν φρουρὰν ἐκβάλλει, καὶ Διονύσιον τὸν ἐπιτεταγμένον αὐτῇ [illegible], καὶ Δημήτριον τὸν Φαληρέα μεθίςησιν, ὃς δὴ τὰ Ἀθήνησιν ἦγεν εἰς ὀλιγαρχίαν, καὶ αὐτονομεῖσθαι καθότι πάτριον Ἀθηναίοις τε καὶ Μεγαρεῦσιν ἔδωκε, φυλάττειν τε ὅσα ἦν σφίσιν ἐκ τῆς εἰς τὸ ἀρχαῖον πολιτείας νόμιμα. ὁ δὲ Πτολεμαῖος, ἅτε διαφερόντως τρόπου πραότητα καὶ φιλανθρωπίαν ἔργοις δηλώσας, ἐπῆρε τοὺς Ἕλληνας τῇ τοῦ ἐλευθεροῦσθαι ἐλπίδι ἐνδιδόναι σφᾶς ἐπὶ μᾶλλον, ἐπεὶ καὶ τὰ ἐφολκὰ τῶν λόγων καὶ ὧν ἔπραττε θαρσεῖν ἐποίει, πιςεύοντας ὡς ἐπὶ σαφεῖ τῶν Ἑλλήνων ἐλευθερώσει καὶ ὐκ ἀρχῆς ἐπιθυμίᾳ τὰ πραττόμενα γίγνοιτο. αὐτονόμους τε δὴ τὰς πλείςας τῶν Ἑλληνίδων πόλεων ἀφίησι, καὶ τὰς Ἰσθμιάδας σπονδὰς ἐπήγγελε, κελεύων οἷα ἐπ' ἐλευθερώσει θαλλοφοροῦντας θεωρεῖν εἰς τὰ Ἴσθμια. ἄρας δὲ ἐντεῦθεν ἀπέπλευσεν ἐπ' Αἰγύπτυ, Λεωνίδην ἐπὶ τῇ Ἑλληνικῇ ἀρχῇ ἐπιςήσας, καὶ Λιβύης πάσης ἐκράτησεν, Ὀφέλλα τοῦ Κυρηναίυ δυνάςυ πρὸς Ἀγαθοκλέους κατὰ Σικελίαν ἀναιρεθέντος δόλῳ. διέμεινε δὲ ἄρα οὐκ ἐπὶ πολὺ Πτολεμαίῳ καὶ Δημητρίῳ ἡ ὁμολογία τῆς ξυμβάσεως πέρι.

τοῦ πατρὸς δὲ ἤδη γεγηρακότος, αἱ τῆς βασιλείας ἐλπίδες ἐς τὴν τούτου διαδοχὴν ἦγον ἅμα τὴν ἀρχὴν καὶ τὴν τῶν ὄχλων εὔνοιαν. ἦν δὲ τῷ κάλλει καὶ μεγέθει διάφορος· ἔτι δὲ καὶ κεκοσμημένος ὅπλοις βασιλικοῖς εἶχε πολλὴν ὑπεροχὴν καὶ κατάπληξιν, δι' ἧς εἰς ἐλπίδας ἁδρὰς ἦγε τοὺς πολλούς. πρὸς δὲ τούτοις πραότης τις ἦν περὶ αὐτόν, ἁρμόζουσα νέῳ βασιλεῖ, δι' ἧς εἰς προθυμίαν ἐξεκαλεῖτο πάντας, ὥςε καὶ τοὺς ἐκτὸς τάξεως συνδραμεῖν ἐπὶ τὴν ἀκρόασιν, συναγωνιῶντας τῇ νεότητι καὶ τῇ μελλύσῃ γίνεσθαι κρίσει διὰ τῆς παρατάξεως. Diodor. Sic. 19 81.

Δημήτριος ὁ ἐπίκλην Ἰξίων, γραμματικὸς Ἀδραμυττηνός, γεγονὼς κατὰ τὺς Αὐγούςου τοῦ Καίσαρος χρόνους· ὃς διέτριψεν ἐν Περγάμῳ. ἐπεκλήθη δὲ τοῦτο, ὡς μέν τινες, διότι λεπίδας χρυσᾶς κλέπτων τοῦ ἐν b

Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη, ὡς δὲ ἄλλοι, ὅτι ἀπεσύλησεν Εὐριπίδειον Φιλότιμον τὸ δρᾶμα ἔχον τὸν Ἰξίονα· ἕτεροι δὲ ὅτι τῷ διδασκάλῳ Ἀριστάρχῳ ἀντήρισεν, ὥσπερ ὁ Ἰξίων εὐεργετήσασιν αὐτὸν τοῖς θεοῖς ἀχαριστεῖν ἐπεχείρησεν. ἔγραψε δὲ πολλὰ περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, καὶ ἄλλα περὶ ἀντωνυμιῶν, εἰς Ὅμηρον ἐξήγησιν, εἰς Ἡσίοδον ὁμοίως.

c Δημήτριος Φανοστράτου Φαληρεύς (Φάληρον δὲ λιμὴν τῆς Ἀττικῆς), ὃς τὸ πρῶτον Φανὸς ἐκαλεῖτο, φιλόσοφος περιπατητικός, γέγραφε φιλόσοφά τε καὶ ἱστορικὰ καὶ ῥητορικὰ καὶ πολιτικὰ καὶ περὶ ποιητῶν. ἠκροάσατο δὲ Θεοφράστου, καὶ δημαγωγὸς Ἀθήνησι γέγονε. συνέγραψε δὲ συχνὰ βιβλία. οὕτω δὲ ἦν σφόδρα εὐπρεπὴς ὡς καὶ διαβολὴν λαβεῖν ὅτι γέγονεν ἐρώμενος νέος ὤν, καὶ προσαγορευθῆναι ὑπό τινων αὐτὸν Λαμπετὼ καὶ Χαριτοβλέφαρον. εἰς μέγα δὲ ἀρθεὶς δόξης καὶ ἐπικρατείας ὑπὸ τοῦ φθόνου κατεστρατηγήθη, καὶ ἐξελαθεὶς ὑπὸ Ἀθηναίων εἰς Αἴγυπτον ἦλθεν, καὶ παρὰ τῷ σωτῆρι Πτολεμαίῳ διατρίβων δηχθεὶς ὑπὸ ἀσπίδος ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ Βουσιρίτῃ νομῷ, πλησίον Διοσπόλεως τῆς ἐν τοῖς ἕλεσι. cf. Diog. L. 5 75.

d Δημήτριος ὄνομα κύριον. διμίτριος ὁ ἔχων δύο μίτρας.

δήμιον δημόσιον.

δημιόπρατα ἃ ὁ δῆμος πιπράσκει, τὰ δημοσίᾳ πιπρασκόμενα, ἐκ δημεύσεως καὶ τῶν δημοσιουμένων διὰ Κλέωνα. Ἀριστοφάνης (Eq. 103) "ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος."

δήμιος ὁ κολάζων τοὺς παρανόμους.

δημιουργεῖ τὰ μὴ ὄντα ποιεῖ. καὶ δημιουργία.

δημιουργοὶ οἱ κεραμεῖς, οἱ σκευοποιοί. δημιουργοὺς ἐκάλουν καὶ τὰς νῦν λεγομένας ὑπονυμφίδας, τουτέστι τὴν παρεστῶσαν τῇ νύμφῃ γυναῖκα· ὅθεν ἔστι καὶ Μενάνδρῳ Δημιουργός. κοινῶς δὲ ἔλεγον δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους, ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας· Ἀριστοφάνης ἐν Εἰρήνῃ (296). καὶ δημιουργικῶς (428) ἀντὶ τοῦ τεκτονικῶς· δημιουργοὶ γὰρ οἱ τέκτονες. sch. A Eq. 647.

δημιουργός χειροτέχνης, ὁ τὰ μὴ ὄντα ποιῶν, δημώδη ἐργαζόμενος. (S Ai. 1035) "Ἅιδης δημιουργὸς ἄγριος." (Thuc. 1 56) "καὶ μηκέτι δέχεσθαι τοὺς κατ' ἔτος ἐκπεμπομένους Κορινθίων ἐπιδημιουργοὺς κελεύοντες." "ἑαυτόν τε παρέχων ὑπόδειγμα, ὥσπερ οἱ πλαστικώτεροι τῶν δημιουργῶν τὸν χαλκὸν ἄμορφον παραλαβόντες καὶ ἀειδέστερον εἰς μορφὴν ἐντείνουσι καὶ κατασχηματίζουσι."

δημοβόρος (Hom. Α 231) ὁ τὰ δημόσια ἐσθίων.

δημογέροντες (Hom. Γ 149) οἱ τοῦ δήμου ἐντιμότατοι.

δημόθοινα καὶ δημοθοινία τοῦ δήμου εὐωχία ἢ θυσία.

Δημοκήδης Καλλιφῶντος ἱερέως ἐν Κνίδῳ γενομένου Ἀσκληπιοῦ, Κροτωνιάτης ἰατρός, ὃς ἐν Αἰγίνῃ ἰάτρευσέ τε καὶ ἔγημε, καὶ Πολυκράτην τὸν Σάμου τύραννον ἰάτρευσεν ἐπὶ χρυσίου ταλάντοις δύο, καὶ ὑπὸ Δαρείου τοῦ Πέρσου μετεπέμφθη, καὶ συνεγένετο αὐτῷ χρόνον ἱκανόν. ἔγραψεν ἰατρικὸν βιβλίον.

ὅτι Δαρεῖος ὁ βασιλεὺς ἐν ἄγρῃ θηρῶν ἀποθρώσκων ἀπὸ ἵππου ἐστράφη τὸν πόδα, καὶ κως ἰσχυροτέρως· ὁ γάρ οἱ ἀστράγαλος ἐξεχώρησεν ἐκ τῶν ἄρθρων. νομίζων δὲ καὶ πρότερον περὶ ἑωυτὸν ἔχειν τοὺς δοκέοντας Αἰγυπτίων εἶναι πρώτους τὴν ἰατρικήν, τούτοισιν ἐχρῆτο. οἳ δὲ στρεβλοῦντες καὶ βιώμενοι τὸν πόδα κακὸν μεῖζον ἐργάζοντο. ἐφ' ἑπτὰ μὲν δὴ ἡμέρας καὶ ἑπτὰ νύκτας ὑπὸ τοῦ παρεόντος κακοῦ ὁ Δαρεῖος ἀγρυπνίῃσιν εἴχετο· τῇ δὲ δὴ ὀγδόῃ ἡμέρῃ ἔχοντί οἱ φλαύρως, παρακούσας τις πρότερον ἔτι ἐν Σάρδισι τοῦ Κροτωνιήτεω Δημοκήδεος τὴν τέχνην ἀγγέλλει τῷ Δαρείῳ. ὃ δὲ ἄγειν μιν τὴν ταχίστην παρ' ἑωυτὸν ἐκέλευε. τὸν δὲ ὡς ἐξεῦρον ἐν τοῖσιν Ὀροίτεω ἀνδραπόδοισιν ὅκου δὴ ἀπημελημένον, παρῆγον εἰς μέσον πέδας τε ἕλκοντα καὶ ῥάκεσιν ἐσθημένον. σταθέντα δὲ ἐς μέσον ἠρώτα ὁ Δαρεῖος, τὴν τέχνην εἰ ἐπίσταιτο. ὃ δὲ οὐκ ἀπεδέχετο, ὀρρωδέων μὴ ἑωυτὸν ἐκφήνας τὸ παράπαν τῆς Ἑλλάδος ᾖ ἀπεστερημένος. κατεφάνη τε τῷ Δαρείῳ τεχνάζειν ἐπιστάμενος, καὶ τοὺς ἀγαγόντας αὐτὸν ἐκέλευσε μάστιγάς τε καὶ κέντρα παραφέρειν εἰς τὸ μέσον. ὃ δὲ ἐν ἑωυτῷ δὴ ὢν ἐκφαίνει, φὰς ἀτρεκέως μὲν οὐκ ἐπίστασθαι, ὁμιλήσας δὲ ἰητρῷ φλαύρως ἔχειν τὴν τέχνην. μετὰ δὲ ὡς ἐπέτρεψεν, Ἑλληνικοῖσι ἰήμασι χρεώμενος καὶ ἠπιάματα τὰ ἰσχυρὰ προσάγων ὕπνου τε μεταλαγχάνειν ἐποίεε καὶ ἐν χρόνῳ

ὀλίγῳ ὑγιέα μιν ὄντα ἀπέδεξεν, οὐδαμὰ ἔτι ἐλπίζοντα ἀρτίπουν ἔσεσθαι. οὕτω φησὶν Ἡρόδοτος ὁ λογοποιός ⟨3 129⟩.

ὅτι καὶ Ἄτοσσα, ἡ Κύρου μὲν θυγάτηρ Δαρείου δὲ γυνή, ἐπὶ τοῦ μαστοῦ ἔσχε φῦμα· μετὰ δὲ ἐκραγὲν ἐνέμετο πρόσω. ὅσον μὲν δὴ χρόνον ἦν ἔλασσον, ἣ δὲ κρύπτουσα καὶ αἰσχυνομένη ἔφραζεν οὐδενί· ἐπεί τε δὲ ἐν κακῷ ἦν, μετεπέμψατο τὸν Δημοκήδην καί οἱ ἐπέδειξεν. ὃ δὲ φὰς ὑγιέα ποιήσειν, ἐξορκοῖ μιν ἦ μέν οἱ ἀντυπουργήσειν ἐκείνην τοῦτο ὃ ἂν αὐτῆς δεηθῇ· δεήσεσθαι δὲ οὐδενὸς τῶν ὅσα ἐς αἰσχύνην φέρει. καὶ ᾐτήσατο τὴν εἰς Ἑλλάδα ἄφιξιν ⟨id. 133⟩.

Δημοκλείδας ξένους καὶ μοιχούς. τοιοῦτος ὁ Δημοκλῆς.

δημόκοινον δημόσιον, τὸ τοῦ δημοσίου. καὶ *δημόκοινος* δημόσιος βασανιστής, ἢ ὁ δήμιος. Harp.

δημόκομπος ὁ στωμύλος.

δημοκοπεῖν καὶ ἑλληνοκοπεῖν. Πολύβιος ⟨26 5⟩ "ὁ δὲ Περσεὺς τὴν πρὸς Ῥωμαίους φιλίαν ἀνανεωσάμενος ἑλληνοκοπεῖν ἐπεβάλετο." λέγεται καὶ *δημοκοπία* καὶ *δοξοκοπία*· ⟨Appian. Hann. 7 17⟩ "ὑπάτους αἱροῦνται, ἐκ δόξης πολεμικῆς Λεύκιον, ἐκ δὲ δημοκοπίας Τερέντιον."

δημοκρατία. ὅτι Πολύβιός φησιν ⟨11 11⟩ ὡς δημοκρατία ἐπανελομένη τοὺς ἐπιβουλεύοντας οὐκέτι μισθοφόροις τηρεῖ τὴν ἑαυτῆς ἐλευθερίαν.

Δημόκριτος Ἡγησιστράτου (οἱ δὲ Ἀθηνοκρίτου ἢ Δαμασίππου), γεγονὼς ὅτε καὶ Σωκράτης ὁ φιλόσοφος, κατὰ τὴν οζ' ὀλυμπιάδα (οἱ δὲ κατα τὴν π' φασίν), Ἀβδηρίτης ἐκ Θρᾴκης, φιλόσοφος, μαθητὴς κατά τινας Ἀναξαγόρου καὶ Λευκίππου, ὡς δέ τινες, καὶ Μάγων καὶ Χαλδαίων Περσῶν· ἦλθε γὰρ καὶ εἰς Πέρσας καὶ Ἰνδοὺς καὶ Αἰγυπτίους, καὶ τὰ παρ' ἑκάστοις ἐπαιδεύθη σοφά. εἶτα ἐπανῆλθε, καὶ τοῖς ἀδελφοῖς συνῆν Ἡροδότῳ καὶ Δαμάστῃ. ἦρξε δὲ ἐν Ἀβδήροις διὰ τὴν ἑαυτοῦ σοφίαν τιμηθείς. μαθητὴς δὲ αὐτοῦ διαφανὴς ἐγένετο Μητρόδωρος ὁ Χῖος, οὗ πάλιν ἀκρουταὶ Ἀνάξαρχος καὶ Ἱπποκράτης ὁ ἰατρός. ἐπεκλήθη δὲ σοφία ὁ Δημόκριτος, καὶ γελασῖνος δὲ διὰ τὸ γελᾶν πρὸς τὸ κενόσπουδον τῶν ἀνθρώπων. γνήσια δὲ αὐτοῦ βιβλία εἰσὶ δύο, ὅ τε μέγας διάκοσμος καὶ τὸ περὶ φύσεως κόσμου. ἔγραψε δὲ καὶ ἐπιστολάς.

ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης οὐκ ἦλθεν εἰς Ἀθήνας, ἀλλὰ τοσαύτης πόλεως ὑπερεφρόνησεν, οὐκ ἐκ τοῦ τόπου δόξαν λαβεῖν βουλόμενος, ἀλλὰ τῷ τόπῳ δόξαν περιθεῖναι προελόμενος ⟨Diog. L. 9 37⟩.

ὅτι ἐλθόντα Ἱπποκράτην πρὸς Δημόκριτον κελεῦσαι κομισθῆναι γάλα, καὶ θεασάμενον τὸ γάλα εἰπεῖν αἰγὸς εἶναι πρωτοτόκου καὶ μελαίνης· καὶ τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. ἀλλὰ καὶ τὴν κόρην τὴν μετὰ Ἱπποκράτους πρὸς αὐτὸν ἐλθοῦσαν τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι οὕτω "χαῖρε κόρη," τῇ δὲ ἐχομένῃ "χαῖρε γύναι·" καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη. ἤδη δὲ ὑπεργήρων ὄντα πρὸς τῷ καταστρέφειν εἶναι· τὴν οὖν ἀδελφὴν λυπεῖσθαι ὅτι ἐν τῇ τῶν θεσμοφορίων ἑορτῇ μέλλοι τεθνήξεσθαι καὶ τῇ θεῷ τὸ καθῆκον αὐτὴ οὐ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν, καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὁσημέραι. τούτους δὴ ταῖς ῥισὶ προσφέρων διεκράτησεν ἑαυτὸν τὴν ἑορτήν. ἐπειδὴ δὲ παρῆλθον αἱ ἡμέραι (τρεῖς δὲ ἦσαν), ἀλυπότατα τὸν βίον προήκατο. id. 42.

Δημονιάδης ὄνομα κύριον.

δημοποίητος ὁ ὑπὸ τοῦ δήμου εἰσποιηθεὶς καὶ γεγονὼς πολίτης. "Περικλῆς γὰρ ὁ Ξανθίππου νόμον γράψας τὸν μὴ ἐξ ἀμφοῖν ἀστοῖν πολίτην μὴ εἶναι, οὐ μετὰ μακρὸν τοὺς γνησίους ἀποβαλών, ἄκων καὶ στένων καὶ λύσας τὸν ἑαυτοῦ νόμον καὶ ἀσχημονήσας ἐλεεινῶς ἅμα καὶ μισητῶς ἔτυχεν ὧν ἠβούλετο. ὅμως γε μὴν ἀντιβολοῦντος καὶ δεκάσαντος τοὺς ἐντεῦθεν ζῶντας, ὀψὲ καὶ μόλις τὸν νόθον οἱ παῖδα τὸν ἐξ Ἀσπασίας τῆς Μιλησίας ἐποίησε δημοποίητον." δ[illegible]ποίητος οὖν ὁ φύσει μὲν ξένος, ὑπὸ δὲ τ[illegible]μου πολίτης γεγονώς.

δῆμος παρὰ Ἀριστοφάνει ⟨Ach. 235⟩ ἡ κώμη, ἢ ἡ νῆσος. σημαίνει δὲ καὶ τὸν τῶν Ἀθηναίων δῆμον. "ἕκτῳ σ' ἔτει προσεῖπον ἐς τὸν δῆμον ἐλθών."

δημός τὸ λίπος. "δημοῦ βοείου θρῖον ἐξωπτημένον" ⟨A Eq. 950⟩ σκεύασμά τι μετὰ ἐγκεφάλου γινόμενον ἐν τοῖς θρίοις, τουτέστι τοῖς φύλλοις τῆς συκῆς.

Δημοσθένης Ἀθηναῖος, υἱὸς Δημοσθένους καὶ Κλεοβούλης, ῥήτωρ, τῶν δήμων Παιανιεύς, ἐπιμελὴς μᾶλλον ἢ εὐφυής, ὡς

Ἕρμιππος ἱστορεῖ, καὶ πρὸς τὰς ἡδονὰς ἀκόλαστος, ὡς καὶ τοῦτό φησιν ὁ αὐτός. ὅθεν καὶ νέος μὲν ὢν Βάταλος ἐκλήθη ὡς καὶ γυναικείᾳ ἐσθῆτι πολλάκις χρησάμενος, Ἀργᾶς δὲ μετὰ τὸ εἰς ἄνδρας τελέσαι, ὅπερ ἐστὶν ὄνομα ὄφεως. ἐπεθύμησε δὲ ῥητορικῆς Καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ Ὠρωπίων λέγοντα. διήκουσε δὲ Ἰσαίου τοῦ Ἰσοκράτους μαθητοῦ, καὶ τοῖς λόγοις ἐχρῆτο Ζωίλου τοῦ Ἀμφιπολίτου σοφιστεύοντος ἐν Ἀθήναις, καὶ Πολυκράτους, καὶ Ἀλκιδάμαντος τοῦ Γοργίου μαθητοῦ, καὶ αὐτοῦ μέντοι Ἰσοκράτους. συνεφιλολόγησε δὲ Αἰσίωνι τῷ Ἀθηναίῳ καὶ Θεοπόμπῳ τῷ Χίῳ φιλοσόφῳ, διηκροάσατο δὲ καὶ Εὐβουλίδου τοῦ διαλεκτικοῦ καὶ Πλάτωνος. ἐτελεύτησε δὲ φυγὼν εἰς Καλαυρίαν ἐν τῷ τοῦ Ποσειδῶνος ἱερῷ διὰ τὸν Μακεδόνα Ἀντίπατρον, προσενεγκάμενος φάρμακον τὸ ἐν τῷ δακτυλίῳ, ἔτη βιώσας ξζ΄.

b Δημοσθένης ὁ ῥήτωρ ἀνὴρ ἦν γνῶναί τε καὶ εἰπεῖν, ὅσα ἐνθυμηθείη, δυνατώτατος γενόμενος, ὅθεν καὶ δεινότατος ἔδοξε τῶν καθ' αὑτόν, οἷα δὴ ἱκανώτατος τὸ ἀφανὲς εἰκάσαι καὶ τὸ γνωσθὲν ἐξηγήσασθαι. καὶ ἐν οἷς ὑπὲρ τῶν κοινῶν λέγειν τι ἢ πράττειν ἐπεχείρησε, καιρῷ μὲν ἐπιτηδείῳ οὐ μάλα ἐχρήσατο ἐς δόξαν τῶν δημαγωγούντων, πλεῖστα δὲ εἷς ἀνὴρ οὗτος τῶν καθ' αὑτὸν Ἀθηναίων τοῖς Μακεδόνων τυράννοις σὺν παρρησίᾳ ἀντειπὼν παρὰ τοῖσδε ἀδωρότατος ἔδοξεν εἶναι, ὅτε δὴ συνέβαινε τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν, οἷα δὴ τῶν κερδῶν ἐφιεμένους μᾶλλον ἢ τοῦ ἐς τὸ κοινὸν λυσιτελοῦντος, ἐξωνηθέντας χρημάτων δόσει τὰ κατὰ σφᾶς, ὡς ἐδόκουν, ἐν τῷ παραυτίκα κέρδους τοῦ σφετέρου εἵνεκα πρὸ τοῦ ἐς τὰ κοινὰ συμφέροντος τίθεσθαι. ὅθεν αὐτῷ καὶ ἐφ' οἷς ὕστερον ᾐτιάθη συγγνόντες οἱ Ἀθηναῖοι κατεδέξαντό τε αὖθις καὶ ἐς πάντα συμβούλῳ ἐχρήσαντο. καὶ αὐτῷ ἡ τελευτὴ γενναία ἐπιγενομένη μάλιστα ἐς μεταμέλειαν ἤγαγεν αὐτοὺς οὐκ ἀφανῆ τῶν γνωσθέντων. οὐ πολλῷ γοῦν ὕστερον ἢ ἐξαγγελθῆναι τεθνηκότα Δημοσθένην, μετεγίνωσκον ἐφ' οἷς δέει τῶν Μακεδόνων μᾶλλον ἢ γνώμῃ τῇ δικαιοτάτῃ ἔκριναν, καὶ ἀτέλειάν τε τῷ πρεσβυτάτῳ γένους τοῦ Δημοσθένους ψηφίζονται, καὶ χαλκοῦν στῆναι αὐτὸν ἐν ἀγορᾷ, καὶ ἐλεγεῖον τῇ βάσει τοῦ ἀνδριάντος ἐπέγραψαν "εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες, οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών."

Δημοσθένης μαχαιροποιὸς Παιανιεύς, c
οὗ Δημοσθένης ὁ ῥήτωρ, ὃς ὀρφανὸς καταλειφθεὶς ἐπιτρόπους ἔσχε τρεῖς, Ἄφοβον Δημοφῶντα Θηριππίδην, ὧν ἀμελούντων αὐτοῦ καὶ τῆς οὐσίας αὐτὸς αὑτὸν ἐνεχείρισε διδασκάλῳ Ἰσαίῳ. φιλόπονος δὲ οὕτως ἦν ὥστε φασὶν ἑαυτὸν οἴκοι καθείρξαντα ἑαυτοῦ ξυρῆσαι τῆς κεφαλῆς μέρος, ἵνα μήτε προΐοι μήτε δέχοιτό τινα. παιδευθεὶς δὲ εἷλε τῆς ἐπιτροπῆς τοὺς ἐπιτρόπους. σοφιστεύειν βουληθεὶς ἀπέστη, διαβληθεὶς ἐπὶ Μόσχῳ μειρακίῳ τῶν εὐγενῶν. λογογραφεῖν δὲ ἀρξάμενος διεβλήθη πάλιν ὡς ἐναντίους λόγους ἐκδοὺς Ἀπολλοδώρῳ καὶ Φορμίωνι. καὶ τούτου οὖν ἀποστὰς ἦρξατο πολιτεύεσθαι. τραυλὸς δὲ ὢν καὶ τὸν ὦμον ἀπρεπῶς ἐκίνει, καὶ τὴν ἀκοὴν ἀσθενὴς καὶ τὸ πνεῦμα οὐ διαρκής· ἅπερ ἀσκήσει διωρθώσατο. τήν τε ὑπόκρισιν οὐκ ὢν ἄκρος ὑπ' Ἀνδρονίκῳ καὶ ταύτην ἐξήσκησεν. ἐχορήγησε δὲ καὶ ἐτριηράρχησε καὶ αἰχμαλώτους ἐλύσατο καὶ θυγατέρας συνεξέδωκεν. ὅτε δὲ ἐχορήγει, τυπτηθεὶς ὑπὸ Μειδίου τρισχιλίαις, ὥς φασιν, ἐπείσθη. καὶ Δημαίνετον ἀνεψιὸν γραψάμενος τραύματος, ὥς φασιν, διελύσατο. αἰτησάμενος δὲ Χαβρίου τοῦ στρατηγοῦ γυναῖκα, Χαβρίου τελευτήσαντος Κτησίππου θυγατέρα ἔγημεν. ἐπολιτεύσατο δὲ κατὰ Φιλίππου, οὗ Θηβαίοις ἐπιόντος πείθει συμμαχῆσαι· καὶ κατὰ Χαιρώνειαν ἡττῶνται, χιλίων ἀποθανόντων καὶ μ΄, καὶ δισχιλίων αἰχμαλώτων. ἀγαπητὴν δὲ σχὼν θυγατέρα τελευτήσασαν ἐπένθει, καὶ ἑβδομαίου τοῦ πάθους ὄντος, ἀγγελθέντος ἀνῃρῆσθαι Φίλιππον ὑπὸ Παυσανίου, μετημφιάσατο καὶ τοῖς θεοῖς ἔθυσεν. ἐπολιτεύσατο δὲ καὶ κατὰ Ἀλεξάνδρου τοῦ Φιλίππου, οὗ Ἅρπαλος πολλὰ νοσφισάμενος χρήματα ὡς Ἀθηναίους κατέφυγεν· ὧν καὶ Δημοσθένης εἰληφέναι μέρος ἔδοξε, καὶ ἔφυγεν εἰς Τροιζῆνα. Ἀλεξάνδρου δὲ ἐν Βαβυλῶνι τελευτήσαντος ὁ Δημοσθένης κατῆλθε κληθείς. Ἀντίπατρος δὲ ἄρξας τῶν Ἑλλήνων πέμψας ἐξαιτεῖ τοὺς δέκα ῥήτορας. ἐκδόντων Ἀθηναίων ὁ Δημοσθένης εἰς Καλαυρίαν ἔφυγεν. Ἀρχίας δὲ ὁ ὑποκριτὴς ἀποσταλεὶς ἐπ' αὐτὸν ὑπ' Ἀντιπάτρου βίᾳ ἀποσπᾷ ἀπὸ τοῦ ἱεροῦ Ποσειδῶνος, ὃ ἦν ἄσυλον. ὁ δὲ ὑπὸ τῇ σφραγῖδι φάρμακον ἔχων μυζήσας ἀπέθανε.

d Δημοσθένης Θρᾷξ. οὗτος ἔγραψε μετάφρασιν Ἰλιάδος πεζῷ λόγῳ, ἐπιτομὴν τῶν Δαμαγήτου τοῦ Ἡρακλεώτȣ, περὶ διθυραμβοποιῶν, μετάφρασιν εἰς τὴν Ἡσιόδȣ θεογονίαν.

δημοσιεύω δωρεὰν ἐργάζομαι. Ἀριϛοφάνης ⟨Ach. 1029⟩ "ἀλλ' ὦ πόνηρ', οὐ δημοσιεύων τυγχάνω." οἱ γὰρ δημοσίᾳ χειροτονούμενοι ἰατροὶ καὶ δημόσιοι προῖκα ἐθεράπευον. οἷον ȣ̓ κοινῇ ἐσπεισάμην ἀλλ' ἐμαυτῷ μόνῳ, καὶ ἀμισθὶ οὐ μεταδίδωμί σοι.

δημόσιον τὸ τοῦ δήμου.

δημόσιος. δημοσίους λέγουσι τοὺς τῆς πόλεως δούλους. Harp.

δημοσίων πραγμάτων διοικητής, οἷον φροντιϛὴς χορηγίας τριηραρχίας καὶ τῶν τοιούτων. ἰδίων δέ, οἷον εἰ ἀδικοῖτό τις καὶ δικάζοιτο πρός τινα, αὐτὸς ἐφρόντιζεν. ἀπεχθάνῃ δέ, διότι οἱ ἀλλοτρίοις πράγμασιν ἐπιχειροῦντες μισοῦνται. sch. A Plut. 908 et 911.

δημοσιώνης εὐτελής· "οἱ μὲν ἄλλοι ἀποδοχῆς ἐτύγχανον, οὗτος δὲ δοκῶν εἶναι δημοσιώνης παρεθεωρεῖτο."

δημοτελῆ δημοσίαν. δημοτελῆ καὶ δημοτικὰ ἱερὰ διέφερον ἀλλήλων καὶ τῶν ὀργεωνικῶν καὶ τῶν γενικῶν. Harp.

δημοτελῶς παντὶ τῷ δήμῳ.

δημοτευόμενος μετὰ τῶν δημοτῶν· φησὶ Δημοσθένης. δημοτεύεσθαί ἐϛι τὸ τοῦδέ τινος δήμȣ κοινωνεῖν καὶ χρηματίζειν ἀπ' αὐτοῦ. Harp.

δημότης πολίτης.

δημοτικά τὰ τοῖς πολλοῖς ἐμπρέποντα. ⟨A Eccl. 432⟩ "ὃ δὲ ἔλεξε δημοτικωτάτȣς λόγους· ὁρᾶτε μέν με σωτηρίας δεόμενον."

δημοῦσθαι δημοκοπεῖν. καὶ ἀντὶ τοῦ παίζειν.

Δημοφάνης ὄνομα κύριον.

Δημόφιλος, ἐπίσκοπος Κωνϛαντίνȣ πόλεως, ἄνθρωπος ἦν οἷος ἐμπεσὼν ὁμοῦ σύμπαντα φύρειν ἀκόσμῳ φορᾷ, καθάπερ ἄτακτος χειμάρρους, πολὺν ἐν τοῖς λόγοις τὸν συρφετὸν ἄγων, ὡς εἴσεταί τις ἐκ γοῦν τῆς ἐν τοῖς ἔτι σωζομένοις ὑπομνήμασιν αὐτοῦ γεγονυίας δημηγορίας, ἔνθα καὶ μᾶλλον εἰκὸς ἦν ἀσφαλείας αὐτὸν φροντίδα θέσθαι τινὰ ὡς ἐγγράφοις μνήμαις ἀναλαμβανομένων τῶν λεγομένων. ἐν τούτοις γοῦν ἄλλα τε πολλὰ διείλεκται ἄναρθρα, διαρρήδην τε ἐν τοῖς περὶ πατρὸς καὶ υἱȣ̃ λόγοις. φησὶ γάρ "υἱὸς μὲν πατρὸς θελήσει γεγέννηται μόνου ἀχρόνως ἀμεσιτεύτως, ἵνα διάκονος γένηται καὶ ὑπηρέτης τῶν βελημάτων τȣ̃ πατρός. ἐπειδὴ γὰρ προεγινώσκε θεὸς ὅτι ἃ ἔμελλε πράττειν ἀδύνατα ἦν τῆς ἀκρατήτου τάξεως τȣ̃ μέλλοντος αὐτὰ ποιεῖν θεȣ̃ ἐν τῷ γενέσθαι μετασχόντα· ἢ γὰρ ἔδει αὐτὰ πάντα θεοὺς γενέσθαι πρὸς ἀξίαν τοῦ ποιοῦντος, καὶ ἐκ τȣ́των ἔμελλον εἶναι θεοί, ἢ ἔδει αὐτὰ γενόμενα λύεσθαι ὥσπερ κηρὸν πυρὶ θερμῷ προσαγόμενον· γέγονε μὲν οὖν μεσίτης τῶν τε ἐσομένων καὶ τοῦ γεγεννηκότος αὐτὸν θεοῦ ὁ υἱός, ἵνα συντάξας ἑαυτὸν καὶ συγκαταβαίνων τοῖς γινομένοις ἀποτελέσειε τὸ βȣ́λημα τοῦ πατρός, καὶ μεσίτης γεγέννηται τȣ̃ θεȣ̃ καὶ ἡμῶν τῶν δι' αὐτοῦ γενομένων." ἐλάνθανε δὲ διὰ τούτων τοῦ τε θεοῦ τῶν ὅλων ἀσθένειαν καὶ βασκανίαν καταψευδόμενος, καὶ τὸν υἱὸν πάντων τῶν κτισμάτων ἀποφαίνων καταδεέϛερον. ὃ μὲν γὰρ ἀσθενὴς ἂν ἦν κατὰ Δημόφιλον, εἰ βεληθεὶς ἔπειτα ἀπόρως εἶχε τοῖς πᾶσι τὸ εἶναι δωρήσασθαι. φθόνου δ' οὐκ ἀπήλλακτο ἄν, εἰ ἐξὸν αὐτῷ θεοὺς τὰ πάντα ποιεῖν, ὃ δὲ ἐφαίνετο μηχανώμενος ὅπως μὴ ταύτης αὐτῷ τύχῃ τὰ γενησόμενα τῆς ἀξίας. τȣ̃ δέ γ' αὖ παιδὸς ȣ̓κ ἦν τῶν κτισμάτων ȣ̓δὲν ὃ μὴ ἄμεινον ὑπάρχειν ἐδείχθη ἄν, εἴπερ γε μὴ δι' ἑαυτὸν ἐκεῖνος ἔτυχε γεγονώς, ἀλλὰ διὰ σκοπὸν καὶ χρείαν τῆς τούτων γενέσεως· ἅπαν γάρ τοι τὸ δι' ἑτέρων γινόμενον χρείαν ἔλαττον ὑπάρχειν ἐκείνων ἀνάγκη δι' ἃ τȣ̃ εἶναι τυγχάνει. καὶ ἄλλα δὲ ἐληρώδει πολλά. Philostorgius?

Δημοφῶν ὄνομα κύριον.

Δημοχάρης ἀδελφιδοῦς Δημοσθένȣς, περὶ ȣ̃ Τίμαιός φησιν ⟨ap. Polyb. 12 13⟩ ἡταιρηκέναι μὲν τοῖς ἄνω μέρεσι τοῦ σώματος, ȣ̓κ εἶναι δὲ ἄξιον τὸ ἱερὸν πῦρ φυσᾶν, ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδεύμασι τὰ Βότρυος ὑπομνήματα καὶ τὰ Φιλαινίδος καὶ τῶν ἄλλων ἀναισχυντογράφων. Πολύβιος δὲ λέγει πρὸς Τίμαιον "ταύτην δὲ τὴν λοιδορίαν καὶ τὰς ἐμφάσεις ȣ̓χ οἷον ἄν τις διέθετο πεπαιδευμένος ἀνήρ, ἀλλ' οὐδὲ τῶν ἀπὸ τέγους ἄχρι τοῦ σώματος εἰργασμένων οὐδείς. ὃ δ' ἵνα πιϛὸς φανῇ κατὰ τὴν αἰσχρολογίαν καὶ τὴν ἄλλην ἀναισχυντίαν, καὶ προσκατέψευϛαι τἀνδρός, κωμικόν τινα μάρτυρα προσεπισπασάμενος ἀνώνυμον. ἠξιώθη δὲ ὁ Δημοχάρης καὶ ϛρατηγίας παρ' Ἀθηναίοις καὶ

τῶν ἄλλων τιμῶν, ὧν οὐδὲν αὐτῷ συνεξέδραμε τοιαύταις ἀτυχίαις παλαίοντι." cf. v. ᾧ τὸ ἱερὸν πῦρ.

Δημώ ὄνομα κύριον· "ἐξένισεν ἡ Βαβὼ τὴν Δημώ." δημῷ δὲ τῷ λίπει.

δημωδέστερος ἀσχημονέστερος, διὰ τὸ ἐν ὄψει πάντων γινόμενον, διὰ τὸν δῆμον.

Δημῶναξ ὄνομα κύριον.

δημωφελής δῆμον ὠφελῶν.

δήν ἐπίρρημα.

δηναδίπτρα κατὰ Ῥωμαίους δωρεὰ βασιλικὴ στρατιώταις.

δηναιόν τὸ ἐνιαύσιον, τὸ μακροχρόνιον. καὶ δηναιὸν ἐπὶ πολὺν χρόνον. δήνεον δὲ τὸ βούλευμα.

δηνάριον εἶδος ἀργυρίου, ὁλοκοτίνου ἴσην ἔχον ἰσχύν.

δήομεν (Hom. δ 544) εὑρήσομεν.

δῃοῦν πολεμεῖν, πορθεῖν. δηίουν δὲ διέκοπτον, ἐτίτρωσκον.

δήπου ὡς δή.

δήπουθεν δηλονότι, ἢ ἔκ τινος τόπου. "καὶ χρὴ πείθεσθαι δήπουθεν." "καὶ τὴν στολὴν δήπουθεν ἐκείνην ἐπαινῶν."

δηριάασθον (Hom. M 421).

δηριγευόμενος ὀψικευόμενος. ἔστι δὲ ἡ λέξις Ῥωμαϊκή.

δῆρις δήρεως δήρει. καὶ δῆριν μάχην ἢ φιλονεικίαν· ἐν ἐπιγράμματι (AP 6 127) "μέλλον ἄρα στυγερὰν κἀγώ ποτε δῆριν Ἄρηι ἐκπρολιποῦσα χορῶν παρθενίων ἀίειν," καὶ αὖθις (AP 9 397) "φεῦγε Λάκων ποτὲ δῆριν, ἐπαντιάσασα δὲ μάτηρ."

δηρόν ἐπὶ πολύ.

δήσαντες δεσμεύσαντες.

δῆτα οὕτως.

δηφενσίων ὁ ἔκδικος χάρτης, καὶ δηφένσωρ ὁ ἔκδικος.

Δήφηλα πόλις παρὰ Ἰωσήπῳ.

Δηώ Δηοῦς κλίνεται. ἡ Δημήτηρ.

δηώσας πραιδεύσας, ἀνελών, κατεκτονώς.

δι ἐπέκτασις.

Δία τὸν Δία, δῖα δὲ ἡ ἔνδοξος, καὶ δῖος ὁ ἔνδοξος.

διαβάλλειν τὸ ἐξαπατᾶν καὶ παραλογίζεσθαι Θουκυδίδης ά (3 109?) καὶ Κράτης. καὶ διαβάλλειν τὸ πέλαγος τὸ διεκπερᾶν· "ἐντεῦθεν ἐνόει διαβάλλειν τὸ ἐν μέσῳ πέλαγος καὶ λῃστεύειν τὰς νήσους," καὶ Ἀρριανός (Anab. 1 11) "αὐτόν τε κυβερνῶντα τὴν στρατηγίδα ναῦν διαβάλλειν," καὶ (3 29) "διαβάλλειν ἐπιχειροῦντι Ἀλεξάνδρῳ τὸν Ὦξον ποταμόν" ἀντὶ τοῦ περᾶν. καὶ διαβάλλω αἰτιατικῇ· (Dio Cass. 46 8) "διαβάλλει τὸν ἀεὶ προτετιμημένον."

διαβάλλεται. χρῶνται ἐπὶ τοῦ ἐξαπατᾶν. Ἄρχιππος "τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον," καὶ Ἀριστοφάνης (Av. 1647) "διαβάλλεταί σ' ὁ θεῖος, ὦ πόνηρε σύ."

διαβάσης ἐπελθούσης· "Ῥωμαϊκῆς δυνάμεως ἐπ' αὐτοὺς διαβάσης."

διαβασιλίζεται τῆς βασιλείας ἀντιποιεῖται.

διαβάσκει (A Av. 486) περιέρχεται, περιέπει.

Διαβηνός (an Ἀδιαβηνός) ὄνομα κύριον.

διαβησείοντας ἐρωτικῶς ἔχοντας διαβῆναι. Ἀγαθίας (2 4) "ὃ δὲ πύργους ἐποίησεν ἀπερύκειν τοὺς Ῥωμαίους διαβησείοντας."

διαβήτης. ἐργαλεῖον ὁ διαβήτης εὔχρηστον τέχναις πολλαῖς, τῷ λάμβδα στοιχείῳ παρεοικός. τοῦτον τὸ ἓν μέρος ἐντιθέντες, τὸ δὲ ἕτερον περιάγοντες κύκλους ποιοῦσι. σημαίνει δὲ καὶ ὄργανον καιροῦ παραστατικόν. sch. A Nub. 178.

διαβιασάμενος παραναγκασθείς· Πολύβιος "διαβιασάμενος δὲ τὴν ἀσθένειαν τῇ συνηθείᾳ τῇ πρὸ τοῦ, παρῆν ἐξ Ἄργους εἰς Μεγαλόπολιν αὐθημερόν."

διαβούλιον ὁ διαλογισμός· Δαβίδ (Ps. 9 23) "συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται." καὶ διαβούλια τὰ ἐκ λογισμῶν ἀτόπων πταίσματα.

διαβούλομαι ἀναπείσω Θουκυδίδης.

διὰ βραχέος ἐν συντόμῳ.

διάβροχος οἰνωμένος· "ὡς δὲ ἐμέθυεν ὁ πορνοβοσκὸς καὶ διάβροχος ἦν πάνυ, τί μέλλομεν ἔφη."

διὰ γὰρ μαχαιρῶν καὶ πυρὸς ῥίπτειν δεῖ" ἐπὶ τῶν παραβαλλομένων καὶ ῥιψοκίνδυνα ποιούντων.

διαγγέλλων δοτικῇ. καὶ διαγγελλομένους παρακελευομένους· Ξενοφῶν (Anab. 3 4 36) "ἐγίνωσκον αὐτοὺς ἀπιέναι βουλομένους καὶ διαγγελλομένους." ἢ ἀντὶ τοῦ φανερουμένους, δήλους γινομένους.

διαγεγονότος παρελθόντος· "μετὰ τὸν πρῶτον ἀνοικισμὸν τῆς πόλεως ἔτους διαγε-

γονότος." διαγινώσκειν δὲ ἐστι τὸ δι' ἀκριβείας ἐπιστημονικῆς τὸ πρᾶγμα εἴσεσθαι μετὰ προλαβοῦσαν γνῶσιν.

διαγέγραπται κατέξυσται, ἀνῄρηται ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἀνεγράφοντο καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν. Ἀριστοφάνης Νεφέλαις ⟨772⟩ "ἥδομαι ὅτι πεντετάλαντός μοι διαγέγραπται δίκη."

διάγειν· "οὐδὲ διῆγε τοὺς λόγους, οὐδὲ λεπτολογίᾳ ἐδίδου, οὐδὲ εἰρωνευομένου τις ἤκουσε." περὶ Ἀπολλωνίου φησὶ Φιλόστρατος ὁ Λήμνιος ⟨1 13⟩.

διαγελῶ αἰτιατικῇ.

διαγκωνισάμενος ἐπ' ἀγκῶνος καθίσας· "ὁ δὲ διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος, ἀποβλεψάμενος εἰς τὸ ἄγαλμα τοῦ Ἀσκληπιοῦ, εἶπεν ὦ δέσποτα, τί ἐκέλευσας;" cf. v. Δομνῖνος.

διαγνώμη διάγνωσις καὶ διάκρισις, ὥσπερ καὶ καταβοή. ἡ λέξις εἰδικὴ Θουκυδίδου ⟨1 87⟩.

διαγνώμων διακρίνων, διαγινώσκων· "ὁ μὲν δὴ Ἡραΐσκος αὐτοφυὴς ἐγένετο διαγνώμων τῶν τε ζώντων καὶ τῶν μὴ ζώντων ἱερῶν ἀγαλμάτων." cf. v. Ἡραΐσκος.

a Διαγόρας ὁ Μήλιος, ἐπὶ τῶν ἀθέων καὶ ἀπίστων καὶ ἀσεβῶν. οὗτος γὰρ μετὰ τὴν ἅλωσιν Μήλου ᾤκει ἐν Ἀθήναις, τὰ δὲ μυστήρια οὕτως ηὐτέλιζεν ὡς πολλοὺς ἐκτρέπειν τῆς τελετῆς. τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι, καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν τῷ μὲν ἀποκτείναντι τάλαντον λαμβάνειν, τῷ δὲ ἄγοντι δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο, κοινοποιῶν αὐτὰ καὶ μικρὰ ποιῶν, καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων. φησὶν οὖν Ἀριστοφάνης ἐν Ὄρνισι ⟨1068⟩ "τῇδε μέντοι θἠμέρᾳ μάλιστ' ἐπαναγορεύεται· ἣν ἀποκτείνῃ τις ὑμῶν Διαγόραν τὸν Μήλιον, λαμβάνειν τάλαντον, ἤν τε τῶν τυράννων τίς τινα τῶν τεθνηκότων ἀποκτείνῃ, τάλαντον λαμβάνειν." τεθνηκότων, τουτέστι τῶν ἐπὶ θανάτῳ φευγόντων. ἐν ὑπερβολῇ δὲ εἴρηται τοὺς τεθνηκότας ἀποκτείνειν.

b Διαγόρας Τηλεκλείδου ἢ Τηλεκλύτου Μήλιος, φιλόσοφος καὶ ᾀσμάτων ποιητής, ὃν εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδηρίτης ὠνήσατο αὐτὸν δοῦλον ὄντα μυρίων δραχμῶν, καὶ μαθητὴν ἐποιήσατο. ὁ δὲ καὶ τῇ λυρικῇ ἐπέθετο, τοῖς χρόνοις ὢν κατὰ Πίνδαρον καὶ Βακχυλίδην, Μελανιππίδου δὲ πρεσβύτερος· ἤκμαζε τοίνυν οη' ὀλυμπιάδι. ἐπεκλήθη δὲ ἄθεος διότι τοῦτο ἐδόξαζεν ἀφ' οὗ τις ὁμότεχνος, αἰτιαθεὶς ὑπ' αὐτοῦ ὡς δὴ παιᾶνα ἀφελόμενος ὃν αὐτὸς ἐπεποιήκει, ἐξωμόσατο μὴ κεκλοφέναι τοῦτον, μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν εὐημέρησεν. ἐντεῦθεν οὖν ὁ Διαγόρας λυπηθεὶς ἔγραψε τοὺς καλουμένους ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης. κατοικήσας δὲ Κόρινθον ὁ Διαγόρας αὐτόθι τὸν βίον κατέστρεψε.

διαγορεύων ἀντὶ τοῦ διάφορα καὶ οὐ τὰ αὐτὰ λέγων· οὕτως Ἰσαῖος. τὸ δὲ ἐναντίον συναγορεύειν, ὥσπερ ἐναντίον καὶ τὸ συμφέρεσθαι πρὸς τὸ διαφέρεσθαι καὶ τὸ συμφωνεῖν πρὸς τὸ διαφωνεῖν.

διάγραμμα τὸ μίσθωμα· διέγραφον a
γὰρ οἱ ἀγορανόμοι ὅσον ἔδει λαμβάνειν τὴν ἑταίραν ἑκάστην.

διάγραμμα τὸ ταττόμενον ἐν ταῖς συμ- b
μορίαις, ὁπόσον ἕκαστον εἰσφέρειν δεῖ. ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τιμὴν τῆς οὐσίας. διαγραφεὺς μέντοι ἐστὶν ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις ἐπὶ τῷ διακρῖναι πόσον ἕκαστος εἰσενεγκεῖν ὀφείλει. Harp.

διαγράμματα. ὅταν εἰσφορᾶς δεήσειεν εἰς τὸ κοινὸν πολέμου ὄντος, τὸ ἑκάστῳ ἐπιγραφόμενον ἀργύριον διάγραμμα καλεῖται.

διαγραφή ἡ διατύπωσις τῶν πιπρα- a
σκομένων μετάλλων, δηλοῦσα διὰ γραμμάτων ἀπὸ ποίας ἀρχῆς μέχρι πόσου πέρατος πιπράσκεται. Harp.

διαγραφή. καὶ τοῦτο ἐπὶ Ἰουστινιανοῦ b
ἐγένετο, ζημίαις πολλαῖς καθυποβάλλεσθαι τὴν πόλιν.

διαγραφὴ δίκης. ὅταν ἀπαλλαγῇ τοῦ ἐγκλήματος ὁ φεύγων, ἤτοι κατὰ συγχώρησιν τοῦ διώκοντος ἢ κατὰ διάγνωσιν τυχόντος, καὶ μηκέτι παρὰ μηδενὸς ἐγκαλῆται, διαγραφὴ δίκης λέγεται.

διαγράψαντος. τινὲς μὲν ἀντὶ τοῦ καταβαλόντος καὶ καταθέντος, ἔνιοι δὲ ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ. Harp.

διαγράψασθαι ἀντὶ τοῦ ἀνελέσθαι τὸ ἔγκλημα. καὶ διαγράφω σε αἰτιατικῇ.

διαγωνιάσαντες διενθυμηθέντες. ⟨Polyb. 11 32⟩ "οἱ δὲ διαγωνιάσαντες μὴ διὰ τὸ

προηττῆσθαι δόξωσι καταπεπλῆχθαι τοῖς ὅλοις, ἐξῆγον ἅμα φωτί" ἀντὶ τοῦ εὐλαβηθέντες.

διὰ δακτυλίου δεῖ σε ἑλκυσθῆναι, ἐπὶ τῶν διὰ νόσον ἢ λύπην λεπτῶν καὶ ἰσχνῶν γινομένων. A Plut. 1037.

διαδέχομαι αἰτιατικῇ.

διάδημα τὸ βασιλικὸν ἔνδυμα, τὸ ςέμμα.

διαδιδράσκει διαφεύγει.

διαδικασάμενος ὀνειδίσας, διελέγξας· "ὃς διαδικασάμενος αὐτῷ περὶ τῆς ἀποςασίας, ἀπέκτεινεν αὐτοῦ τοὺς παῖδας."

διαδικασία. διαδικασία ἐςὶν ἣν ποιοῦνταί τινες τοῖς μέλλουσι χορηγεῖν, οὓς ἂν ὁρισθῆναι βούλωνται πότε χρὴ λειτουργεῖν αὐτούς.

διαδορατίζω.

διαδόσεις τὰς ἐκ διαιρέσεως ἴσης ἐπιβαλλούσας δόσεις Λυσίας. Harp.

διαδρᾶναι διαφυγεῖν.

διαδρασιπολίτας (A Ran. 1046) ἀντὶ τοῦ δειλός, ἀποδιδράσκοντας τὴν πολιτείαν.

διαδρομαί ἐπὶ τῶν ἐπὶ παρατάξει κινημάτων. "καὶ ἥ γε ἵππος παρήλασε πρώτη εὐτάκτως τε καὶ σὺν κόσμῳ· εἶτα διῃρέθησαν, καὶ ἀλλήλοις ἀντιπρόσωποι ςάντες μαχομένων σχήματα ἐπεδείξαντο. κᾆτα ἐνόπλιοι διαδρομαί τινες ἐγίνοντο καὶ ἐξελίξεις καὶ περίοδοι."

διαείδεται γνωρίζεται, φαίνεται. "ἔνθ' ἀρετὴ διαείδεται ἀνδρῶν κατὰ τὸν ποιητὴν (N 277)· μᾶλλον δέ, ὅπου ζητεῖται τὸ μέγεθος τῆς ἀρετῆς" (Damasc. Phot. p. 337 a).

διαζεύγνυμι γενικῇ.

διαζηλοτυπούμενοι φθονερῶς διακείμενοι· "οἱ δὲ διαζηλοτυπούμενοι πρὸς τὸν Σκιπίωνα ἐπεβάλοντο διασύρειν τὰς πράξεις αὐτοῦ" (Polybius?).

διάζομαι τὸν ςήμονα.

διάζωμα τὸ περὶ τὰ αἰδοῖα σκέπασμα.

διαζωννύω αἰτιατικῇ.

διαήσει διαπέμψει. διάησι δὲ διέρχεται παρ' Ἡσιόδῳ (O. 512).

διαθείη διαπράξαι.

διαθέουσα διατρέχουσα.

a διαθέσεις οὐ μόνον αἱ ἐπιςῆμαι καὶ αἱ τέχναι, ἀλλὰ καὶ αἱ ἀρεταί. ὑπάρχει δὲ τῇ τέχνῃ τὸ φαῦλον καὶ σπουδαῖον· τῶν γὰρ τεχνῶν αἳ μὲν εἰσι φαῦλαι αἳ δὲ σπουδαῖαι. τῷ δὲ τῆς ἐπιςήμης ὀνόματι Ἀριςοτέλης ἀντὶ τῆς τέχνης χρῆται κοινότερον. ὑπάρχοι δ' ἂν καὶ τῇ διαθέσει, γένος οὔσῃ τέχνης, τὸ φαῦλόν τε καὶ σπουδαῖον.

διαθέσεις λέγονται ἃ ἐςιν εὐκίνητα καὶ b ταχὺ μεταβάλλονται, οἷον θερμότης καὶ ψῦξις καὶ νόσος καὶ ὑγεία. διάκειται μὲν γάρ πως κατ' αὐτὴν ὁ ἄνθρωπος, ταχὺ δὲ μεταβάλλει ἐκ θερμοῦ εἰς ψυχρὸν καὶ ἐκ τοῦ ὑγιαίνειν εἰς τὸ νοσεῖν, εἰ μή τις διὰ χρόνϐ πλῆθος ἤδη πεφυσιωμένη ἀνίατός ἐςιν ἢ δυσκίνητος· ἣν ἄν τις ἴσως ἕξιν ἤδη προσαγορεύοι. καὶ διαφέρει ἕξις διαθέσεως· ἡ μὲν γὰρ ἕξις δυσκίνητος, ἡ δὲ διάθεσις εὐκίνητος. Aristot. Categ. 6.

διαθέσθαι ἀντὶ τοῦ ἀποδόσθαι.

διάθεσις. ὅτι ἐπειδὴ οὐκ ἄσχετός ἐςιν a ὁ δεσμὸς τῆς ψυχῆς πρὸς τὸ σῶμα, ἀλλὰ συμπαθής· διαβαίνει γοῦν ἐκ τῶν τῆς ψυχῆς κινημάτων ἴχνη πρὸς τὸ σῶμα, καὶ ἐκ τοῦ σώματος πρὸς τὴν ψυχήν· ἄλλο γοῦν τὸ εἶδος τοῦ διανοουμένου καὶ ἄλλο τοῦ λυπουμένου, καὶ ἐπὶ τῶν λοιπῶν ἐμφαίνεται ἴχνος ἐν τῷ σώματι τῆς κινήσεως τῆς ψυχῆς. ὅθεν καὶ οἱ φυσιογνώμονες ἐκ τῆς τοῦ σώματος ἰδέας τεκμαίρονται τὰς τῆς ψυχῆς διαθέσεις. ὅτι δὲ καὶ ἐκ τῶν παθῶν τϐ σώματος διαβαίνει τι καὶ πρὸς τὴν ψυχήν, πρόδηλον· ἀλγοῦντι γὰρ συναλγεῖ καὶ εὐθυμοῦντι συνήδεται. ὅτι δὲ καὶ ἐμποδίζει αὐτῇ τὸ σῶμα τοίως ἢ τοίως διακείμενον, οὐδεὶς ἀγνοεῖ. ὅπερ οὐκ ἂν ἐγένετο, τὸ ἐμποδίζεσθαι αὐτὴν ὑπ' αὐτοῦ, εἰ μὴ διέβαινεν ἀπὸ τῆς πρὸς αὐτὸ σχέσεως συμπάθειά τις ἐπὶ τὴν ψυχήν, οὕτως ὡς τοῦ ἐγκεφάλου κοιλίας μὲν παθούσης τῆς ὄπισθεν τὸ μνημονευτικὸν πάσχειν, ἄλλης δὲ αὐτὸ τὸ λογιςικόν, καὶ τοίως μὲν διακειμένϐ ἀφάνταςον εἶναι τὴν ψυχήν, τοίως δὲ δυσφάνταςον. καὶ αἱ διάφοροι δὲ τῶν ψυχῶν ἐπιτηδειότητες καὶ τὸ εἰς τάδε ἢ τάδε τὰ πάθη ἐπιρρεπῶς ἔχειν ἐκ τῆς πρὸς τὸ σῶμα σχέσεως καὶ συμπαθείας παραγίνεται. ὅθεν καὶ νενομίκασί τινες ταῖς τϐ σώματος κράσεσιν ἕπεσθαι τὰς τῆς ψυχῆς δυνάμεις. Philopon. in 1 de anima, E 4.

διάθεσις Ἰσοκράτης (11 14) ἀντὶ τοῦ b πρᾶσις, Ἀντιφῶν δὲ ἀντὶ τοῦ διοίκησις· καὶ διαθέσθαι ἐπὶ τοῦ διοικῆσαι. παραλαμβάνεται δὲ τὸ διαθέσθαι καὶ ἀντὶ τϐ συνθέσθαι, ὡς Ὑπερίδης καὶ Δημοσθένης. Harp.

διάθεσις καὶ διατίθεσθαι. ἑκάτερον

αὐτῶν κεῖται ἐπὶ τοῦ διαθήκας γράφειν. Ἰσαῖος ἐν τῷ πρὸς Ἀριςογείτονα "μετὰ ταύτην τοίνυν τὴν ἀπόκρισιν ἑτέραν διαθήκην ἐκόμισαν, ἣν ἔφασαν Ἀρχέπολιν ἐν Λήμνῳ διαθέσθαι," καὶ Λυσίας ἐν τῷ πρὸς Τιμωνίδην "πῶς δ' ἂν τῆς διαθέσεως τοῦ τετελευτηκότος ἀμελήσαιμεν, ἣν ἐκεῖνος διέθετο οὐ παρανοῶν οὐδὲ γυναικὶ πεισθείς." ἐχρήσαντο δὲ καὶ ἐπὶ τοῦ πωλεῖν ἑκατέρῳ αὐτῶν. παρ' Ἰσοκράτει δὲ ἐπὶ τοῦ πάσχειν κεῖται τὸ διατίθεσθαι· ὥς φησιν ἐν Ἑλένης ἐγκωμίῳ (55) "γνοίη δ' ἄν τις κἀκεῖθεν ὅσον διαφέρει τῶν ὄντων, ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαςον τῶν καλῶν." Ἀντιφῶν δὲ τῇ διαθέσει ἐχρήσατο ἐπὶ γνώμης ἢ διανοίας. ὁ αὐτὸς καὶ ἐπὶ τοῦ διαθεῖναι λόγον, τουτέςιν ἐπὶ τοῦ ἐξαγγεῖλαί τι. ἐν τῷ δευτέρῳ τῆς Ἀληθείας ὁ αὐτὸς κέχρηται αὐτῷ καὶ ἐπὶ τῆς διακοσμήσεως.

διαθέτης διοικητής, ἐπιμελητής. "ἦν δὲ καὶ τἆλλα σοφὸς οἴκου διαθέτης, καὶ πολύ τι τῆς ἡμέρας μέρος εἰς ταῦτα ἀνήλισκε, τὰ μὲν αὐτουργῶν τὰ δὲ διατάττων" (Damasc. Phot. p. 336 b).

a διαθήκη. διττῶς ἐκφωνεῖται, ἡ μὲν ἐπὶ θνησκόντων, διατάξεως καὶ ἐνταλμάτων χαρακτῆρα φέρουσα· θατέρα δὲ διαθήκη καὶ ἡ θεοῦ πρὸς Ἀβραὰμ καὶ τοὺς λοιποὺς προπάτορας γενομένη ἐπαγγελία, ἐκ τοῦ σπέρματος αὐτῶν ἀναςήσειν τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριςόν. καὶ παρὰ Ἀριςοφάνει (Av. 442) διαθήκη ἡ συνθήκη· "ἢν μὴ διάθωνται διαθήκην ἐμοί." καὶ διατίθεμαι ἀντὶ τοῦ συντίθεμαι.

b διαθήκη καὶ ὁ νόμος· Δαβὶδ (Ps. 54 21) "ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ." εἴρηκε γὰρ "ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν," οἱ δὲ οὐκ ἤκουσαν αὐτοῦ.

διαθήκην διαθώμεθα ἣν διέθετο πίθηκος τῇ γυναικί (A Av. 442), ἀντὶ τοῦ συνθήκην· αἰσχρὸς γάρ τις τὴν ὄψιν συνεχῶς τῇ γυναικὶ διαπληκτιζόμενος, διέθετο ἐπὶ φίλων μήτε τύπτειν μήτε τύπτεσθαι, μήτε δάκνειν ὡς αὐτὸν φιλοῦντα μήτε δάκνεσθαι. οἷον, σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν. ἔοικε δὲ τὸν Παναίτιον κωμῳδεῖν, ὡς καὶ ἐν Νήσοις "καταλιπὼν Παναίτιον πίθηκον," ἔνθα καὶ μαγείρου πατρὸς εἶναι λέγει αὐτόν. πίθηκον μὲν διὰ τὸ πανοῦργον, μαχαιροποιὸν δὲ τὸν μαχαίραις ἐργαζόμενον ὡς μάγειρον. αὐτόθεν οὖν φησὶν αὐτὸν μαχαιροποιόν· ὁ γὰρ Παναίτιος μάγειρος μικροφυὴς ἦν. διαβάλλει δὲ αὐτὸν Ἀριςοφάνης ὡς καταλαβόντα τὴν γυναῖκα αὐτοῦ μοιχευομένην· ἐδυναςεύετο γὰρ ὑπ' αὐτῆς μεγάλης οὔσης.

διαθλοῦντες πονοῦντες. καὶ διαθλῶ αἰτιατικῇ.

διάθρυπτε.

διαθρύπτεται χαυνοῦται, διαλύεται.

διαίνεσθαι βρέχεσθαι· διαίνω γὰρ τὸ ὑγραίνω.

διαίρεσις ἡ διαχώρισις.

διαιρῶν ἀναπτύσσων, δοκιμάζων, καὶ διακρίνων τὰ πράγματα, καὶ οἷον διαίρεσιν αὐτῶν ποιῶν. sch. A Nub. 740.

δίαιτα ἡ καθ' ἑκάςην ἡμέραν τροφή· "διαίτης οὖν ἐν ἡδονῇ καὶ τύφῳ τιθεμένης τὸ καλὸν ἐθὰς γενόμενος" (cf. v. Ζήνων βασιλεύς). καὶ ἡ κρίσις· "τὴν τῶν ἐγκλημάτων δίαιταν ἐπίτρεψον ἄλλοις."

διαίταις ταῖς χωρὶς δικαςηρίου κρίσεσι.

διαιτῆσαι κρῖναι, γνῶναι. καὶ διαιτητής ὁ κριτής.

διαιτηταῖς. ἕτεροι παρὰ τοὺς δικαςάς εἰσιν οἱ διαιτηταί· οἱ μὲν γὰρ ἐν δικαςηρίοις ἐδίκαζον καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων διῄτων. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίςεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. Harp.

διαιτητάς. τοὺς ὑπὲρ ν' ἔτη γεγονότας καὶ καθαροὺς πάσης αἰτίας ὑπειλημμένους ἀπὸ τοῦ ληξιαρχικοῦ γραμματείου κληρώσαντες, τὰ τῶν πολιτῶν διαιτᾶν ἐποίουν. ξένοις μέντοι γε ἐπὶ τούτους ἐλθεῖν οὐ συγκεχώρητο. ἔξεςι δὲ τοῖς μεμφομένοις δίαιταν ἐκκαλεῖσθαι τὸ δημόσιον δικαςήριον.

διαιτητήριον ἐν ᾧ διαιτῶνται.

διαιτῶν δικάζων.

δι' αἰφνιδίου ὀπός, τουτέςι τῆς ἐνθουσιαςικῆς.

διαιωνιεῖ δι' αἰῶνος παραμενεῖ.

διακαυνίσασθαι διακληρώσασθαι.

διακεκαυμένον πῦρ ἐν ἑαυτῷ ἔχον·

Ἀριστοφάνης (Ach. 452) "δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ. τί δ' ὦ τάλας σε τοῦδ' ἔχει πλέκους χρέος; χρέος μὲν οὐδέν, βούλομαι δ' ὅμως λαβεῖν." οἱ γὰρ πρεσβύτεροι διὰ τὸ μόλις βαδίζειν ἐν σπυρίδι ἔκρυπτον τὸν λύχνον, ὥστε σώζειν τὸ πῦρ.

διακεκναισμένη διεφθαρμένη, καὶ διακεκναισμένος (A Nub. 120) ἠμαυρωμένος. εἰ γενοίμην ὠχρὸς ὡς οἱ περὶ τὸν Σωκράτην, καὶ ἀνυπόδετος καὶ ῥυπῶν· οἱ γὰρ ἱππεῖς εὔχροι καὶ ὑποδεδεμένοι καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι καὶ παλαίστραις. καὶ ἐν Ἱππεῦσι (583) "μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις," τουτέστι λιπῶσι. τοῦτο οὖν καὶ νῦν ὁ νεανίσκος δεδοικέναι φησί, τὸ ἀπεχθέσθαι τοῖς περὶ τὴν ἱππικὴν ἔχουσιν, εἰ καταλιπὼν τὸ κοσμεῖν τὸ σῶμα καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα τὰ τῶν φιλοσόφων μετέλθω. καὶ ἐν Νεφέλαις "οὐ γὰρ ἂν τλαίην ἰδεῖν τοὺς ἱππέας, τὸ χρῶμα διακεκναισμένος."

διακέκοπται, οἷον ἀδόκιμόν ἐστι· διέκοπτον γὰρ τὸ ἀδόκιμον νόμισμα οἱ παλαιοί.

διακεκορῆσθαι διαπεπαρθενεῦσθαι, τετμῆσθαι τῇ μίξει.

διακεκριμένως διακεχωρισμένως.

διακελεύω δοτικῇ.

διακενῆς ἄνευ τινὸς προφάσεως· Δαβὶδ (Ps. 24 3) "αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς."

διάκενος ἡ κενή.

διακεχαραγμένος ξίφεσι πεπληγμένος· "ὃ δὲ διεσώθη εἰς τὸν Ναρσῆν διακεχαραγμένος τὸ σῶμα."

διακεχείρικε γενικῇ· "ὥσθ' ἅπαντα τὸν βίον ὑπεύθυνον εἶναι ὁμολογῶ ὧν διακεχείρικα ἢ πεπολίτευμαι παρ' ἡμῖν." διαχειρίζω δὲ αἰτιατικῇ· (Demosth. 18 111) "καὶ αὐτὸς ἑαυτὸν διεχείρισε." "καὶ διαχειρίσας ὀρθῶς τὴν οὐσίαν παρέδωκε τοῖς υἱέσι."

διακεχρημένον ἀντὶ τοῦ κατὰ μέρος δεδανεισμένον Δημοσθένης (27 11). Harp.

διακεχυμένοι ἐκλελυμένοι τὴν ψυχὴν ὑπὸ χαρᾶς· "τινὲς δὲ τῶν νεανίσκων ἀπήντων πρὸς Γάιον διακεχυμένοι καί τι καὶ προσπαίζοντες ἀλλήλοις" (Polyb. 8 22).

διακλεισθέντες ἐξαπορήσαντες, κωλυθέντες, εἰρχθέντες· "καὶ πάσης - - - διαφθαρῆναι." cf. v. ἐδωδίμων.

διακλιμακίσας διαπαλαίσας· κλῖμαξ γὰρ καὶ κλιμακισμὸς πάλαισμα ποιόν.

διακλῶν διαθρύπτων.

διακναιόμενος ξεόμενος ἢ λυπούμενος. Ἀριστοφάνης (Eccl. 951) "ἄτοπος δ' ἔγκειταί μοί τις πόθος, ὅς με διακναίσας ἔχει."

διακναισθήσεται (A Pac. 250) διαφθαρήσεται. διακναίειν ἐστὶ κυρίως τὸ ξύειν τυρὸν τῇ κνήστι.

διακομισθεὶς διελθών.

διακόνιον οἱ μὲν τὴν τοῦ πλακοῦντος κρηπῖδα, Μενεκλῆς δὲ ἐν τῷ Γλωσσοκόμῳ ταῦτα εἴρηκε περὶ αὐτοῦ "Ἀθηναῖοι τῷ Ἀπόλλωνι τὴν καλουμένην εἰρεσιώνην ὅταν ποιῶσι, πλάττοντες λύραν τε καὶ κοτύλην καὶ κλῆμα καὶ ἄλλ' ἄττα κυκλοτερῆ πέμματα, ταῦτα καλοῦσι διακόνιον." [λέγεται δ' ἐπί τινος ἐγκρατοῦς.] ὁμοίως δὲ καὶ Ἀμερίας διακόνια τὰ κατὰ τὴν εἰρεσιώνην τῷ Ἀπόλλωνι πλασσόμενα πέμματα. τινὲς δὲ λέγουσι ζωμὸν ποιόν, τινὲς δὲ μᾶζαν.

διάκονος. μακρὸν τὸ α. "ὁ δὲ ἦν ἱερεύς, διάκονος τὴν τιμήν." καὶ Φιλοκτήτης (497) "ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων, ὡς εἰκὸς οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρος ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον." καὶ διακονῶ.

διακορεῖς πεπληρωμένους· "ἰδὼν αὐτοὺς διακορεῖς μέθης ὄντας."

διακορεῦσαι διαπαρθενεῦσαι, οἱονεὶ διατεμεῖν.

διακορὴς μεμεστωμένος.

διακορῶ κόρην διαφθείρω.

διακόσμησις τοῦ παντὸς ἡ διάθεσις. "μέση ἡ γῆ, κέντρου λόγον ἔχουσα. μεθ' ἣν τὸ ὕδωρ σφαιροειδές, ἔχον τὸ αὐτὸ σχῆμα τῇ γῇ, ὥστε τὴν γῆν ἐν ὕδατι εἶναι. μετὰ τὸ ὕδωρ δὲ ἀέρα ἐσφαιρωμένον. κύκλους δὲ εἶναι ἐν τῷ οὐρανῷ πέντε" (Diog. L. 7 155).

διακουράζεσθαι ἀτενὲς βλέπειν, διὰ τὸ τοὺς ὀφθαλμοὺς κόρας λέγεσθαι.

διακούω γενικῇ. "διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρίνετε δικαίως" ὁ Μωσῆς φησὶν ἐν τῷ Δευτερονομίῳ (1 16).

διακραδαίνων σείων.

διακριδὸν διακεκριμένως.

διακριθὲν διαχωρισθέν, διυλισθέν· (Artemid. 5 5) "καὶ μέντοι διακριθὲν πρότερον ὑπὸ τοῦ λεγομένου ἠθμοῦ."

διακρίνεται ἀμφιβάλλει, ἀπιστεῖ, δια-

χωρίζεται. καὶ διακρίνομαι τὸ χωρίζω δοτικῇ.

διακρούεσθαι ἐξωθεῖν· ἢ ὑπερτίθεσθαι καὶ ἄλλοτε ἄλλως διαναβάλλεσθαι. καὶ διακρούω αἰτιατικῇ.

διάκτωρ διάκονος, ἄγγελος, ἀπαγγέλλων.

διακυβιςῶ αἰτιατικῇ.

διακυκῶσι διαταράττουσι.

διακωδωνίζω διαφημίζω, καὶ διακωδωνισθέντες διαφημισθέντες. ὡς ἐπὶ πλεῖςον δὲ ἐπὶ τῶν διαπαιζομένων λαμβάνεται.

διακωδωνίσαντες δοκιμάσαντες. ⟨Philostrat. V. S. 2 27 5⟩ "διακωδωνίσας δὲ ὁ παιδευτὴς τὰ μειράκια, λέγε, ἔφη, ὅ τι βούλει" πρὸς Ἱππόδρομον διαλεγόμενος τὸν σοφιςήν.

διακωδωνίσω οἷον δοκιμάσω Ἀριςοφάνης ⟨Ran. 78⟩, διότι τινὰ τῶν ὀρνέων δοκιμάζεται τῷ τοῦ κώδωνος ψόφῳ. καὶ τοὺς ἵππους οὕτως ἐδοκίμαζον κώδωσιν, εἰ ψοφοδεεῖς εἶεν. ἢ ἀπὸ τῶν ὀρτύγων· οἱ γὰρ ὑπομένοντες τὸν ἦχον τοῦ κώδωνος ἐπιτηδείως ἔχουσι πρὸς μάχην. τινὲς δὲ ἀπὸ τῶν ἀγγείων τῶν σαθρῶν, ἐπεὶ οὕτως δοκιμάζουσι διακρούοντες. τινὲς δὲ ἀπὸ τῶν φυλακῶν. βέλτιον δὲ τὸ ἐπὶ τῶν ἵππων καὶ τῶν ἀγγείων· τὰ δ' ἄλλα ἐσχεδίαςαι. τὸ δὲ τοὺς φύλακας ἐγρηγορέναι κώδωσι διεσήμαινον, ὅπως ἀντιφθέγγωνται. καὶ Ἰάμβλιχος ⟨Babylon.⟩ "ἐπειδὴ διακωδωνίζων ἕκαςον τῶν ποιμένων οὐχ οἷός τε ἦν ἀκοῦσαι καὶ μαθεῖν οἵτινες ἦσαν οἱ παῖδες." cf. v. ὑπεξέπεμψεν.

διακωχή διάλειψις.

a διαλαβὼν διαδεξάμενος· "καὶ διαλαβόντες, ὅσα χρυσοῦ καὶ ἀργύρου εἴχετο συγχωνεύσαντες, ἐξῆλθον νυκτός."

b διαλαβὼν προκατασχών· "ὁ δὲ διαλαβὼν τὰς ὁδοὺς φυλακαῖς" ⟨Polyb. 4 67⟩.

διαλαγχάνειν διαμερίζεσθαι, διακληροῦσθαι.

διὰ λαίλαπος.

διαλαμβάνει ὑπονοεῖται· "ἡ δὲ εὐμηχάνως διαλαμβάνει, καὶ δεῖται τῶν Καβείρων τιμωρῆσαι αὐτῇ καὶ μετελθεῖν τὸν ἐπίορκον" ⟨Aelianus?⟩.

διαλαμβάνων ὑπομνηματίζων, συγγράφων.

διαλέγεσθαι τὸ συνουσιάζειν.

διαλέγοιντο γυναιξὶν ὁμιλοῖεν ἢ συνουσιάζοιεν. οὕτως Ἱεροκλῆς.

διαλέγουσαν ⟨A Lys. 721⟩ διοικοδομοῦσαν· λέγειν γὰρ τὸ οἰκοδομεῖν. καὶ διαλέγου διορύττου Θουκυδίδης.

διάλειμμα διάςημα, καὶ διαλείποντα τὰ διαχωρήματα· Ἀρριανός "φυλακαὶ δὲ ἐπὶ τὰ διαλείποντα τῆς τάφρου ἐτετάχατο."

διαλείμματος διαχωρισμοῦ.

διαλείπουσαι ἀλλήλων ἀπέχουσαι· Ἀρριανός ⟨Anab. 5 11⟩ "διαλείπουσαι ὅσον ξύμμετρον εἰς τὸ συνορᾶν τε ἀλλήλους καὶ κατακούειν εὐπετῶς."

διαλειπούσῃ διακοπτομένῃ· "ὑφειμένῃ ἂν καὶ διαλειπούσῃ πολλαχῇ τῇ φωνῇ ἐδεῖτο ξυγγνῶναί οἱ βασιλέα."

διαλεκτική ἡ ἀποδεικτική· "ὀλίγα διαλεκτικῆς ἁψάμενος." διαλεκτική ἐςιν ἐπιςήμη ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων, τυγχάνει δ' αὐτὴ περὶ σημαίνοντα καὶ σημαινόμενα. ἢ οὕτως· μέθοδος δι' ἐνδόξων περὶ παντὸς τοῦ προκειμένου συλλογιςική. καλεῖται δὲ διαλεκτικὴ ἀπὸ τοῦ διαλέγεσθαι, τὸ δὲ διαλέγεσθαι ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει. Diog. L. 7 42. Alex. Aphrod. in Top. p. 4.

ὅτι διάλογος λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος, περί τινος τῶν φιλοσοφουμένων καὶ πολιτικῶν, μετὰ τῆς πρεπούσης ἠθοποιίας τῶν παραλαμβανομένων προσώπων καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς. διαλεκτικὴ δέ ἐςι τέχνη λόγων, δι' ἧς ἀνασκευάζομέν τι ἢ κατασκευάζομεν ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τῶν προσδιαλεγομένων. τοῦ δὲ λόγου τοῦ Πλάτωνος δύο εἰσὶ χαρακτῆρες οἱ ἀνωτάτω. Diog. L. 3 48.

διάλεξις· Ἀριςοφάνης Νεφέλαις ⟨316⟩ "διάλεξιν ἡμῖν παρέχουσιν," τουτέςι λόγων ἐμπειρίαν, "καὶ νοῦν," τουτέςι τὰ νοηθέντα φράζειν. διαφέρει δὲ διάλεξις διαλέκτου, ὅτι διάλεκτος μέν ἐςι φωνῆς χαρακτὴρ ἐθνικός, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐκτροπὴ ἐπὶ τὸ σεμνότερον καὶ ἀγροικότερον.

διαλεπτολογοῦμαι διαλέγομαι. ὥσπερ καὶ ὁ Σωκράτης ἔφη ⟨Nub. 225⟩ "ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον," οὕτω καὶ ὁ πρεσβύτης ⟨1500⟩ "διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας."

διάληξις. διαλαγχάνειν μέν ἐςι τὸ διαιρεῖσθαι κλήρῳ, διάληξις δὲ τὸ πρᾶγμα. Harp.

διάληψις ἐνθύμησις, ἢ γνῶσις· Πολύβιος ⟨8 20⟩ "διὰ γὰρ τὴν ὑπερβάλλουσαν ἐπὶ τοῦτο τὸ μέρος ἐπιθυμίαν ἦν ὑπὲρ αὐτοῦ

διάληψις ὡς οὐδὲν προυργιαίτερον ποιεμένε κατὰ τὸν βίον τε̃ κυνηγετεῖν." ⟨id. 21 5⟩ "οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων ἐκ ἐκ τῶν κατὰ λόγον ἀλλ' ἐκ τῶν συμβαινόντων ἀγαθοὶ ποιεῖσθαι τὰς διαλήψεις" τὰς τοῦ νοὸς ὁρμάς· "ἄρτι γὰρ δι' αὐτὸ τοῦτο προκεχειρισμένοι τὸν Πανσίςρατον, διὰ τὸ πρᾶξιν ἔχειν τινὰ καὶ τόλμαν, παραχρῆμα μετέπιπτον ἐς τἀναντία ταῖς γνώμαις διὰ τὴν περιπέτειαν." καὶ αὖθις "παραπλησίως καὶ τὰ πλήθη ὁμοίας τέτοις ἔχει τὰς διαλήψεις ὑπὲρ τῶν κοινῶν, τῆς φύσεως αὐτοὺς διδασκούσης." καὶ Πολύβιος ⟨2 33⟩ "οἱ δὲ Ῥωμαῖοι οὐκ ἐκ καταφορᾶς ἀλλ' ἐκ διαλήψεως χρώμενοι ταῖς μαχαίραις, πρακτικοῦ τοῦ κεντήματος περὶ αὐτὰς ὑπάρχοντος, τύπτοντες ἐς τὰ ςέρνα καὶ ἐς τὰ πρόσωπα διέφθειραν πάντας."

διαλλαγή εἰρήνη· ⟨A Ach. 987⟩ "ὦ Κύπριδι τῇ καλῇ καὶ χάρισι ταῖς φίλαις ξύντροφε διαλλαγή," ἐπειδὴ γάμοι καὶ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται. ἢ ὅτι ἡδίςη καὶ ἐπίχαρίς ἐςι.

διαλλαγῆναι τὸ δι' αὐτοῦ τοῦ ἐχθρε̃ παρακληθῆναι καὶ φιλιωθῆναι. ἐναλλαγῆναι δὲ τὸ ἀπὸ φιλίας εἰς φιλίαν ἄλλε μεταπηδῆσαί τινος, ἐχθροῦ ὄντος τῷ πρότερον. sch. Thucyd. 1 120.

διαλλακτής φιλιωτής. Ἀριςοφάνης ⟨Av. 1667⟩ "διαλλάττεσθε καὶ ξυμβαίνετε" ἀντὶ τοῦ φιλιοῦσθε.

διαλλάττειν· ⟨A Lys. 629⟩ "καὶ διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσιν Λακωνικοῖς, οἷσι πιςὸν οὐδέν, εἰ μή περ λύκῳ κεχηνότι." ἡ παροιμία ἐπὶ τῶν τὰ ἀλλότρια διαρπαζόντων. ὃν γὰρ τρόπον λύκοις οὐκ ἔςι πίςις, οὐδὲ τούτοις. τὸ δὲ κεχηνότι ἐπὶ τῶν μάτην χαινόντων.

διαλογή διάλεξις, ὁμιλία· Δαβίδ ⟨Ps. 103 34⟩ "ἡδυνθείη αὐτῷ ἡ διαλογή μου."

διαλοιδορεῖται. δοτικῇ συντάσσεται· "ὁ γὰρ Ἀριστοφάνης ⟨Nub. 359⟩ οὐ φιλῶν Πρόδικον ταῦτά φησιν, ὅσον μισῶν Σωκράτην· ἐν γὰρ τοῖς Ὄρνισι ⟨693⟩ διαλοιδορεῖται Προδίκῳ."

διαλύω αἰτιατικῇ· ⟨1 Regg. 19 11⟩ "πνεῦμα μέν ἐςιν, ἀλλὰ διαλύον ὄρη."

διαμαδῶντες διαβρέχοντες.

διαμαρτία ἡ ἀποτυχία, καὶ διαμάρτοι ἀποτύχοι. μέλλοντος σημασία "διαμάρτῃ ἐκεῖνος," αὐθυπόταχτον.

διαμάρτυραι βεβαίωσαι. καὶ διαμαρτυρεῖν τὸ προλέγειν τῆς ἀπειθείας τὴν τιμωρίαν καὶ τῆς εὐπειθείας τὴν ὠφέλειαν. Theodoret. in Ps. 80 9.

διαμαρτυρία καὶ διαμαρτυρεῖν. τρόπος τις ἦν ἡ διαμαρτυρία παραγραφῆς· πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαςήριον ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι ὡς εἰσαγώγιμός ἐςιν ἡ δίκη ἢ οὐκ εἰσαγώγιμος. διαφέρει δὲ τῆς παραγραφῆς τῷ τὴν μὲν διαμαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων ἀλλὰ καὶ ὑπὸ τῶν διωκόντων. καὶ πρότερόν γε ὁ διώκων προβάλλετό τινα μαρτυροῦντα εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ περὶ τούτε πρῶτον ἐγίνετο ἡ κρίσις πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξ ἀρχῆς δικαζόμενον. εἰ δὲ μὴ προβάλλοιτο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προσαγαγεῖν τινὰ μαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην· καὶ πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο. ἐπεσκήπτοντο δὲ ψευδομαρτυριῶν καὶ ταῖς διαμαρτυρίαις ὥσπερ ταῖς μαρτυρίαις. τάχα δὲ ἐπὶ μὲν ταῖς τοῦ ἀποςασίου δίκαις ἐκεκώλυτο τὸ διαμαρτυρεῖν, ἐν δὲ ταῖς τε̃ ἀπροςασίου οὐκέτι. Harp.

διαμαρτυρομένους προλέγοντας, ἀποτρέποντας· "ἀπέςειλαν πρεσβευτὰς διαμαρτυρομένες μήτε τὴν πόλιν οἰκίζειν μήτε παρὰ τὰς συνθήκας ποιεῖν μηδέν." καὶ διαμαρτύρασθαι βεβαιῶσαι· "ἐβουλήθησαν οὖν καὶ διαμαρτύρασθαι τοῦτο τρόπον τινά."

διαμαρτύρωμαί σοι ἀντὶ τοῦ βεβαιώσω σε. μέλλοντα σημαίνει. ἐπὶ δὲ ἐνεςῶτος διὰ τε̃ ο μικροῦ, ὡς ἐν τῷ ⟨Ps. 49 7⟩ "ἄκυσον λαός με, καὶ λαλήσω σοι Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι."

διὰ μαχαιρῶν καὶ πυρὸς ῥιπτεῖν χρή, ἐπὶ τῶν παραβόλως τι ποιούντων. cf. v. διὰ γὰρ μαχαιρῶν.

διὰ μάχης ἐλθεῖν· "οὐδενὸς τὸ παράπαν θαρρήσαντος διὰ μάχης αὐτοῖς ἐλθεῖν, οὔτε μὴν ἀντιτάξασθαι ἐς τὸ παντελές."

διαμείνῃς αὐθυπόταχτον.

διαμέλλει ἀναβολῇ χρῆται· "ὁ δὲ πρὸς ὀργὴν ὑπεριδὼν καὶ μὴ πάνυ πιςεύσας διεμέλλησεν."

διαμεμετρημένη ἡμέρα. μέτρον τί ἐςιν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάςημα ῥέον. ἐμετρεῖτο δὲ τῷ ποσειδεῶνι μηνί.

πρὸς δὴ τῦτο ἠγωνίζοντο οἱ μέγιςοι καὶ περὶ τῶν μεγίςων ἀγῶνες. διενέμετο δὲ τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσιν. ἐπισκεπτέον δὲ τῷ παρ' Ἰσαίῳ, ὃς μεμετρημένης ἡμέρας ὁτὲ μὲν χωρὶς ὕδατός φησι γίνεσθαι τοὺς ἀγῶνας, ὁτὲ δὲ πρὸς ὕδωρ. Harp.

διὰ μέσου τείχους. τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, τοῦ βορείου καὶ τοῦ νοτίου καὶ τοῦ Φαληρικῦ, διὰ μέσυ τῶν παρ' ἑκάτερα τὸ νότιον ἐλέγετο, ὃ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ ⟨p. 455 E⟩. Harp.

διάμετρος γεωμετρικόν τι εἶδος· Εὐνάπιος ⟨p. 105 Nieb.⟩ "ὡς κατά τινας διαμέτρυς κεραίας κεχύσθαι τὴν γλῶτταν ταῖς ἀντιτύποις συμβολαῖς τῶν ἀκίδων." Δείναρχος δὲ διάμετρον λέγει τὸ ἐλλεῖπον ἀπὸ τοῦ δικαίως μετρηθέντος.

διαμῆσαι διακόψαι.

διαμησάμενος διορύξας· "διαμησάμενος γὰρ πᾶσαν τὴν ὑπὸ τὰ κράσπεδα τοῦ Ὀλύμπου ἄμμον, ὕδωρ πολὺ καὶ πότιμον εὗρε." καὶ αὖθις ⟨Polyb. 3 55⟩ "διαμησάμενος τὴν χιόνα τὴν ἐπ' αὐτῇ, ἐξῳκοδόμει τὸν κρημνόν."

διαμνημονεύω. αἰτιατικῇ συντάσσεται· "οὓς καὶ διαμνημονεῦσαι καθ' ἕκαςον ὁ λόγος διὰ τὸ πλῆθος καὶ πρὸς ὄνομα διελθεῖν παρῃτήσατο."

διαμοιρωμένη διαιρῦσα καὶ μερίζυσα. ἢ τὰς μοίρας μεμφομένη.

διαμπάξ διόλου, διὰ παντός.

διαμπερές διόλου διῆκον· ⟨Iamblichus Phot. p. 74 a⟩ "ὃ δὲ διῆγεν αὐτὺς ἐπί τι ὄρυγμα, ὃ διαμπερὲς μὲν ἦν ὀρωρυγμένον ἐπὶ ςαδίους λ', εἶχε δὲ ἔξοδον ἐπὶ θάτερα τοῦ ὀρύγματος."

διαμπερέως.

διαμυδαίνεται ἀντὶ τοῦ διαπηδᾷ καὶ διαρρεῖ καὶ διηθεῖται.

διαμυλλαίνῃ αἰσχρῶς πράττεις. "ὗτος δὲ διεμύλλαινεν ὡς δὴ δεξιός" Ἀριςοφάνης φησί ⟨Vesp. 1355⟩.

διαμώμενος θερίζων, καὶ διαμώμενοι διασκάπτοντες, ζητοῦντες. Θουκυδίδης ⟨4 26⟩ "διαμώμενοι τὸν κάχληκα ἐπὶ τῇ θαλάσσῃ ἔπινον οἷον εἰκὸς ὕδωρ." καὶ αὖθις "οἱ δὲ ἐσκήνουν ἐπὶ τῆς χιόνος, διαμώμενοι καὶ μεταξὺ ἐκκαθαίροντες."

διάνδιχα διχῶς.

διανεῖμαι μερίσαι.

διανείμῃς αὐθυπότακτον.

διανενεύκαμεν ἀντὶ τῦ ἐπεραιώθημεν.

διανεῦσαι διακολυμβῆσαι· "διανεῦσαι ἐθελήσαντες ἐβαπτίζοντο ὑπὸ τῆς πανοπλίας."

διανηξάμενος διακολυμβήσας.

διανθίζω τὸ τὰ ἄνθη συλλέγω. καὶ διηνθισμένας.

διανίζεται διανίπτεται, καθαρίζεται.

διανοεῖσθαι. τοῦτο ἐνέργειά ἐςι καὶ διέξοδος τῆς ψυχῆς. ἐπίςασθαι μὲν γὰρ πολλὰ δυνατὸν εἶναι, διανοεῖσθαι δὲ ἅμα πολλὰ ἀδύνατον· πᾶς γὰρ ὁ διανοούμενος ἕν τι διανοεῖται. ὡς γὰρ ἀδύνατον ἅμα λέγειν πολλὺς λόγους, οὕτως διανοεῖσθαι ἅμα πολλά· λόγος γάρ τις ἡ διάνοια, αὐτῆς τῆς ψυχῆς ἐφ' αὐτῆς λεγύσης. Philopon. in Aristot. de anima.

διανταίᾳ πληγῇ· "τοῦ γὰρ περὶ τὸν βραχίονα τραύματος διανταίᾳ πληγῇ καταβαροῦντος, κατεξανέςη τῶν ἀλγηδόνων."

διανυσθῆναι τελειωθῆναι.

διανύω αἰτιατικῇ.

διαξαίνειν ἀναιρεῖν, διακόπτειν· "ὃ δὲ ἑάλω, καὶ ἔμελλεν ὁ δῆμος διαξαίνειν αὐτόν. ὃ δὲ οὐκ ἀφῆκεν, ἀλλ' εἴασεν αὐτὸν γῆν πρὸ γῆς ἀπιέναι" ⟨cf. v. πρὸ γῆς⟩. καὶ αὖθις "ὁ δὲ φόνους ἐργασάμενος ἐναγεῖς, καὶ διαρρήξας καὶ διαξήνας τοὺς νόμους, καὶ τὴν ἀνδρῶν ἀπειπάμενος φύσιν, καὶ γήμας ἀθύτυς τε καὶ ἀγάμους ἐκεῖνος γάμους" ⟨cf. v. ἀθύτους⟩.

διαξῆναι διαλῦσαι· Ἀριςοφάνης ⟨Lys. 578⟩ "ἐπὶ ταῖς ἀρχαῖς διαξῆναι." τῶν γὰρ ἐρίων οἱ μαλλοὶ ἔχουσι τὰς ἀρχὰς καὶ τὰς κορυφὰς πεπιλημένας· καὶ ἐπὰν τιλθῶσι, διαλύεται ὁ μαλλός. πρὸς ἑκάτερον οὖν, καὶ τὰς κορυφὰς τοῦ ἐρίου πεπιλημένας ἐν τῷ πόκῳ καὶ τὰς κεφαλὰς τῶν πονηρῶν συνιςαμένων τοῖς πράγμασι, διαλῦσαι χρή.

διαπαίζω δοτικῇ.

διαπαλαίω δοτικῇ.

διαπαρατριβαὶ ἐνδελέχειαι.

διαπαρθενεῦσαι μιγῆναι παρθένῳ. ἐλέγετο δὲ οὕτως καὶ τὸ παρθενοτροφῆσαι καὶ διαφυλάξαι παρθένον.

διαπατταλευθήσῃ χαμαί ⟨A Eq. 370⟩ ἀπὸ τῶν τὰς βύρσας διατεινόντων. σημαίνει δὲ τὸ διερευνᾶν καὶ ζητεῖν ἐπιμελῶς. διαπατταλευθήσῃ ἀντὶ τῦ ἐκταθήσῃ χαμαί· τὰς γὰρ βύρσας ἐκτείνοντες ἐπὶ τῆς γῆς, ἵνα

μὴ συνάγοιντο καὶ συςέλλοιντο ἐκ τῆς τοῦ ἡλίου καύσεως, κατὰ τὰ ἄκρα παττάλοις καταχρούοντες ἐκτείνουσι.

διαπεινῶμεν ἀεὶ πρὸς τὸ πῦρ ⟨A Ach. 717⟩ παρὰ προσδοκίαν, ὡς εἰ ἔφη διαπίνομεν ἀεὶ πρὸς τὸ πῦρ· ὃ δὲ εἶπε διαπεινῶμεν. οἱ γὰρ πότοι χειμῶνος πρὸς τὸ πῦρ γίνονται. εἴρηκε δὲ οὕτω διὰ τὸν λιμόν. τουτέςιν ἐσχάτως πεινῶμεν, ὥςε καὶ τὰ ἱμάτια ἀποδυόμενοι καθεζόμεθα πρὸς τὸ πῦρ διὰ τὸ ῥῖγος. ἢ διαπύρως καὶ ἐκτόπως πεινῶμεν· ὃ καὶ βέλτιον.

διὰ πείρας συχνῆς ἀντὶ τοῦ κατ' ἀκρίβειαν· "τοῦτον ἐπίςαμαι διὰ πείρας συχνῆς μάλα τήν τε ἀγαθοειδῆ προαίρεσιν προβεβλημένον, καὶ τοῦ πατρὸς οὐ πολύ τι λειπόμενον κατὰ τὴν εὐσεβῆ προθυμίαν." cf. v. Ἀσκληπιόδοτος.

διαπειρωμένη ἀπόπειραν ποιουμένη. "ὁ δὲ ἐξώρκισεν αὐτήν, εἰ ταῦτα οὕτως ἐγνωκυῖα λέγει ἢ διαπειρωμένη αὐτοῦ. ἡ δὲ ὤμοσεν ἦ μὴν τῷ ὄντι καὶ φρονεῖν ταῦτα καὶ λέγειν."

διαπεπαρθενεῦσθαι τετμῆσθαι τῇ μίξει.

διαπεπονημένης κατορθωθείσης.

διαπερᾶναι τελειῶσαι.

διαπεράναντες διακεντήσαντες.

διαπέσοιμι, οἷον διαμαρτήσαιμι τῆς ἐλπίδος· Ἀριςοφάνης ⟨Eq. 701⟩ "εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν ἐμῶν ψευσμάτων ἐνείη, διαπέσοιμι πανταχῇ."

διαπεσούσης ἀποτυχούσης· "ἔδοξεν οὖν αὐτῷ ἐπισφαλὲς ἔχειν τι τὸ κοινωνῆσαι αὐτοῖς τῆς πράξεως καὶ διαπεσούσης καὶ συντελεσθείσης τῆς ἐπιβουλῆς." καὶ διαπίπτων ἀποτυγχάνων.

διαπεφώνηκεν ἀντὶ τοῦ ἐσχάτην καὶ τελευταίαν φωνὴν ἀφῆκε, τουτέςιν ἀπέθανεν. ὅτε δὲ λέγει ⟨Num. 31 49⟩ ὅτι διαπεφώνηκε δὲ τούτων οὐδὲ εἷς, περὶ τῆς ὁμοφωνίας τῶν τεσσάρων εὐαγγελιςῶν φησὶν ὁ Χρυσόςομος.

διαπηδῶ αἰτιατικῇ.

διαπηνικίσαι ἐξαπατῆσαι· πηνίκην γὰρ οἱ ἀρχαῖοι Ἀττικοὶ τὴν ἐκ τῶν τριχῶν περιθετὴν κόμην. καὶ τὸ φενακίσαι τινὲς ἀπὸ τούτου εἰρῆσθαι λέγουσιν.

διαπιθηκίσαι τὸ διαπαῖξαι, ἀπὸ τῶν πιθήκων· φιλοπαιγμονέςατον γὰρ τὸ ζῷον.

διαπλέκειν διαποικίλλειν, διάγειν· Ἀριςοφάνης Ὄρνισιν ⟨755⟩ "εἰ μετ' ὀρνίθων τις ὑμῶν βούλεται διαπλέκειν ζῶν ἡδέως τὸ λοιπόν, ὡς ἡμᾶς ἴτω."

διαπλέων αἰτιατικῇ.

διαπληκτίζονται διαμάχονται.

διαπλώσας διαπλεύσας, διελθών· ⟨AP 7 23⟩ "ὦ σὺν ἀοιδᾷ πάντα διαπλώσας καὶ σὺν ἔρωτι βίον."

διαπολεμῶ δοτικῇ.

διὰ πολλοῦ χρόνου· ⟨A Vesp. 1467⟩ "ὁ γὰρ γέρων ὡς ἔπιε διὰ πολλοῦ χρόνου ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται τἀρχαῖ' ἐκεῖν', οἷς Θέσπις ἠγωνίζετο."

διαπονεῖν ἀσκεῖσθαι.

διαπορεία ἡ διαπόρευσις, διαπορία δὲ ἡ ἀμφιβολία.

διαπορηθέντες διαποροῦντες.

διαπορήσω ζητῶ, ἀμφιβάλλω.

διαπορθμεύεται διακομίζεται, διαπερᾷ.

διαπορθμεύσων διαπεράσων, διακομίσων.

διαπραξάμενον ἐλευθερίαν κατασκευασάμενον.

διαπρέπειν διαφαίνεσθαι, διαφέρειν.

διαπρεπής ἔκδηλος, ἐπίσημος.

διαπρήσσει διανύει, τελειοῖ.

διαπρύσιον διὰ παντὸς διεξιόν, μέγα ἐξάκουςον, διαβόητον.

διαπτύω αἰτιατικῇ.

διαπυνθάνεται ἐρωτᾷ.

διαπυρώτατος ὁ θερμός.

διαράμενον· ⟨Synes. p. 30 D⟩ "ὡς οὐκ εἰκός τε αὐτὸν διαράμενον βλοσυροῖς ὀφθαλμοῖς ἀντιβλέψαι χρυσίῳ. τοὐναντίον μὲν οὖν."

διάρας" διατείνας "τὸ ὄμμα εἰς οὐρανούς.

διάργεμοι πῇ μὲν λευκοὶ πῇ δὲ μέλανες· ⟨Babrius 85 14⟩ "ἀλλ' οἳ μὲν ὑμῶν μέλανες, οἳ δὲ τεφρώδεις, ἕτεροι ξανθοὶ καὶ διάργεμοι ςήθη."

διαρθρώσας διατυπώσας.

διαρκῶς καρτερῶς, δαψιλῶς· Αἰλιανός "ὁ δέ (οὐ γὰρ ἐλελήθει τὰ ἔνδον) ὑπερήδετο, καὶ τὴν ἐλπίδα ὑπὲρ τῶν παρόντων ἐλάμβανεν ἐς τὸ κρεῖττον, καὶ ἔτι μᾶλλον τῇ πολιορκίᾳ διαρκῶς ἐνεκαρτέρει."

δίαρμα· Πολύβιος ⟨10 8⟩ "ἅμα δὲ πρὸς

Digitized by G

τὸν ἀπὸ Λιβύης πλοῦν καὶ πελάγιον δίαρμα λίαν εὐφυῶς ἔκειτο τοῖς Καρχηδονίοις ἡ πόλις." καὶ αὖθις "ἦν μὲν γὰρ ἀπὸ τοῦ χάρακος ἐπὶ θάλατταν ρκ' ϛάδια, τὸ δὲ δίαρμα βραχὺ πλεῖον ξ', καὶ διὰ τοῦτο ἦν ἀδηλότης καὶ συνέχεια τῆς ἐπιφάσεως." καὶ αὖθις "εἶδον ὄψιν γεγεφυρωμένου τοῦ θαλαττίου διάρματος ἀπὸ τοῦ Βυζαντίου ἕως Καλχηδόνος."

διαρραῖσαι ⟨Hom. Β 473⟩ διαφθεῖραι.

διαρρεῖν διαχεῖσθαι, χαυνοῦσθαι. ⟨cf. v. Κορνοῦτος⟩ "οὗ διαρρεῖ πολὺ καὶ κλεινὸν ὄνομα" ἀντὶ τοῦ εὐφημία γεραίρει.

διαρρέουσα τρυφηλή.

διαρρήδην σαφῶς, φανερῶς· "διαρρήδην ἀπειπὼν μήτε μάχην συνάπτειν μήτε περαιτέρω ἰέναι μήτε ἄλλο πράττειν μηθέν."

διαρρήξωμεν διακόψωμεν.

διάρροια πάθος περὶ τὰς ὗς γινόμενον. τρία δέ εἰσι πάθη, βράγχη κραῦρα διάρροια. ἡ μὲν οὖν βράγχη μέρους τινὸς τοῦ σώματος, ἡ δὲ κραῦρα πυρετὸς σὺν κεφαλῆς πόνῳ· σημειοῦται δὲ τοῦτο τῷ καταβεβλῆσθαι τὰ ὦτα καὶ κατηφῆ εἶναι τὰ ὄμματα. ἡ μὲν ὖν διάρροιά ἐϛιν ἀθεράπευτος, τὴν δὲ κραῦραν οἱ νομεῖς ἐγχυματίζουσι. τῆς δὲ βράγχης περιτέμνουσι τὰ σεσηπότα τῶν σαρκιδίων. cf. Aristot. H. A. 8 21.

διαρρυῆναι φθαρῆναι.

δίαρσις ἔπαρσις εἰς ὕψος. Πολύβιος ⟨2 33⟩ "οἱ δὲ Ῥωμαῖοι συνδραμόντες ἐς τὰς χεῖρας τοὺς Κελτοὺς ἀπράκτους ἐποίησαν, ἀφελόμενοι τὴν ἐκ διάρσεως αὐτῶν μάχην· ὅπερ ἐϛὶν ἴδιον Γαλατικῆς χρείας διὰ τὸ μηδαμῶς κέντημα τὸ ξίφος ἔχειν."

διαρτᾶν κυρίως ἀντὶ τοῦ διαιρεῖν. καὶ τὸ ἀρτῆσαι ἐπὶ τοῦ ἀνακρεμάσαι.

διαρτῆσαι τὸ ἐξαπατῆσαι· οὕτως Μένανδρος. διαρτίσαι δέ, διὰ τοῦ ι, ἀναπλάσαι, καταρτίσαι· διαρτίζω γὰρ πλάττω καὶ τελειῶ, διαρτῶ δὲ τὸ κρεμῶ.

διαρτία ἡ διάπλασις.

διαρτίζεται ὁρμᾷ.

διαρτώμενος· ⟨Dionys. Hal. 1 39⟩ "ὁ δὲ Ἡρακλῆς τοῖς μὲν ἴχνεσι διαρτώμενος" τουτέϛιν ἐξαπατώμενος, "οὐδὲν δὲ ἧττον οἰόμενος εἶναι διερευνήσασθαι τὸν χῶρον." καὶ αὖθις "πολλαχόθεν ἀκροβολισμοῖς χρώμενοι, ἵνα διαρτώμενοι τῇ δοκήσει τῶν κατὰ πρόσωπον ἐπιόντων μηδεμίαν αἴσθησιν λάβωσι τῶν ὑπὲρ κεφαλῆς." καὶ διαρτῶ τὸ κρεμῶ. καὶ διαρτωμένων καταρτιζομένων.

διὰ ῥωπήια. ⟨Hom. Ψ 122⟩ τὰ παρ' ἡμῖν ῥωπάκια.

διασαλακωνίσαι διαθρύψασθαι· ⟨A Vesp. 1208⟩ "ὡδὶ προβὰς τρυφερόν τι διασαλακώνισον."

διασαφηνίζειν τὸ τῇ γλώττῃ ἀκριβοῦν.

διασαφῆσαι ἑρμηνεῦσαι.

διασείϛους ⟨Aeschin. 1 59⟩. ἐοίκασιν ὠνομάσθαι οἱ διάσειϛοι παρὰ τὸ κινεῖσθαι καὶ διασείεσθαι πρότερον, εἶτα βάλλεσθαι, ἵνα ἀκακούργητοι μᾶλλον ὦσι. Harp.

διασείων τοὺς ὑπευθύνους, εἰ πέπων ἢ μὴ πέπων ⟨A Eq. 259⟩, ἀντὶ τοῦ ἁπαλὸς καὶ ῥᾳδίως διασεισθῆναι δυνάμενος. μεταφορικῶς δὲ ἀπὸ τοῦ συκάζειν κέχρηται τοῖς ὀνόμασιν Ἀριϛοφάνης. ὥσπερ οὖν ἐπὶ τῶν καρπῶν ἐκ μὲν τῶν πεπόνων ἔϛι δρέψασθαι καὶ φαγεῖν, ἐκ δὲ τῶν ἀώρων οὐκέτι, οὕτω, φησί, καὶ ἐπὶ τῶν ἀνθρώπων ὁ Κλέων διελογίζετο καὶ διέκρινε τίς ἐπιτήδειος διασεισθῆναι καὶ τίς σκληρὸς καὶ δυσκαταμάχητος. ἀντὶ δὲ τοῦ εἰπεῖν πένης ἢ πλούσιος, ἐνέμεινε τῇ μεταφορᾷ ὡς ἐπὶ σύκων.

διασήθειν διαξύειν, ἀπαλείφειν, παράπτεσθαι.

διάσημος ὁ λαμπρός. καὶ διασημότατος.

διάσια ἑορτὴ Ἀθήνησι μειλιχίου Διός· προσαγορεύεται δὲ διάσια ἀπὸ τοῦ διαφυγεῖν αὐτοὺς εὐχαῖς τὰς ἄσας. καὶ Ἀριϛοφάνης ⟨Nub. 861⟩ "ὅτ' ἐπριάμην σοι διασίοις ἁμαξίδα."

διασκανδικίσῃς ⟨A Eq. 19⟩ μὴ ἀποδειλιάσῃς, μὴ εὐριπιδίσῃς, μὴ ἀμελήσῃς. σκώπτει δὲ τὸν Εὐριπίδην ὡς λαχανοπώλιδος υἱόν· σκάνδιξ γὰρ εἶδος λαχάνου λεπτοῦ. καὶ ἀλλαχοῦ ⟨Ach. 477⟩ "σκάνδικά μοι δὸς μητρόθεν δεδεγμένος."

διασκεδαννύουσι διασκορπίζουσι. λέγεται δὲ καὶ διασκίδνησιν· Ἰώσηπος ⟨B. I. 3 5 1⟩ "οὔτε γὰρ ἀταξία διασκίδνησιν αὐτοὺς τῆς συντάξεως τῆς ἐν ἔθει."

διασκευαζόμενος· "Εὔπολις Ἀθηναῖος κωμικὸς ἔγραψε τόσα καὶ ἄλλα διασκευαζόμενος."

διασκευάσασθαι ἀντὶ τοῦ συσκευάσασθαι Ἰσαῖος. Harp.

διασκευή· "ἀπὸ τῆς κλίνης σοι γέγρα-

φα, μόλις ἀνερχόμενος εἰς διασκευὴν τῶν γραμμάτων" τουτέστι συνθήκην.

διασκηνητέον καταλυτέον· Ξενοφῶν (Anab. 4 4 14) "ἐδόκει διασκηνητέον εἶναι εἰς τὰς κώμας, εἰς στέγας."

διασμ⟨ή⟩χων διαξύων, διακαίων.

διασμώμενος ἐρευνῶν.

διασπαθᾶν ἀφειδῶς δαπανᾶν.

διασπείρω αἰτιατικῇ.

διασπεύσας διεγείρας, παρορμήσας· "τοὺς μὲν στρατιώτας διασπεύσας, τοὺς δὲ χιλιάρχους παρακαλέσας ἅψασθαι τῆς πράξεως" (Polybius?).

δι' ἀσπιδέος πεδίοιο (Hom. Λ 753). οἱ μὲν διὰ τὸ πολλὰς ἀσπίδας ἐν αὐτῷ ἐρρῖφθαι, οἱ δὲ ἀσπιδοειδοῦς, διὰ τὸ τοῦ πεδίου περιφερές· οἱ δὲ ἀπὸ μήκους.

διασπώμενος συντρίβων καὶ κατακλῶν.

διάστασις Ἀντιφῶν ἀντὶ τοῦ διακόσμησις. Harp.

διαστείχειν διέρχεσθαι.

διαστείχοντας διαπορευομένους, καὶ διαστείχουσαν διερχομένην.

διαστελλόμενος διαχωριζόμενος.

διαστῆσαι ἀντὶ τοῦ διαταράξαι καὶ οἷον ἀδύνατον ποιῆσαι. Harp.

διαστήτην (Hom. Α 6) ἐχωρίσθησαν.

διαστολή διαχώρισις, ἐξοχή· (Polyb. 36 6) "οὐ χρὴ θαυμάζειν εἰ φιλοτιμότερον ἐξηγούμεθα τὰ κατὰ τὸν Σκιπίωνα, καὶ πᾶν τὸ ῥηθὲν ὑπ' αὐτοῦ μετὰ διαστολῆς ἐξαγγέλλομεν."

διαστύρω αἰτιατικῇ.

διασφάξ διατομὴ ὄρους, καὶ διασφάγες διεστῶσαι πέτραι.

διασχών διελθών, διαστήσας· Πολύβιος "ὁ δὲ διασχὼν τῶν πολεμίων ὡς τρία στάδια κατεστρατοπέδευσε, μεταξὺ λαβὼν τὸν ποταμόν."

διατάγματα· "ὁ δὲ διατάγματα προθεὶς ἱκέτευε τὸν δῆμον εἰς διαλλαγὰς ἐλθεῖν, καὶ αὐτοῖς ἀμνηστίαν ὑπισχνεῖτο," ἀντὶ τοῦ λήθην τῶν ἐπταισμένων.

διατατικώτερον (an διατακτικώτερον)· Πολύβιος "τοῦτ' ἄμεινον ὑπολαμβάνοντες εἶναι καὶ διατατικώτερον, τὸ μήτε τῷ καιρῷ μήτε ταῖς ἐκκλησιαστικαῖς καὶ παραστατικαῖς διαθέσεσι περιγίνεσθαι τῶν ἐναντίων."

διαταφρεύει διασκάπτει.

διατεθρυλημένος τὰ ὦτα (Plat. RP p. 358 C) οἷον κατηδολεσχημένος, ἢ οἷον πλειστάκις καὶ περὶ τῶν αὐτῶν πλεῖστα ἀκηκοώς.

διατεθρυμμένος διακεκλασμένος.

διατεθώκηται τεθρόνισται, διακεχώρισται.

διατείνεται διαβεβαιοῦται.

διατεκμαίρεται στοχάζεται.

διατερσαίνω ξηραίνω.

διατίθεται πράττει.

διατιμᾶται δοκιμάζεται.

διατιμητικός δοκιμαστικός.

διατιτρᾶν διατρυπᾶν. "ἐς τὰ ἀποκρημνότατα ἄνω διατιτράντες." καὶ αὖθις "μαχαιριδίοις διατιτρᾶν τοὺς ἀσκούς." cf. v. αἰθάλη.

διατοιχεῖ ἀντὶ τοῦ ποτὲ μὲν ἐπὶ τοῦ δεξιοῦ τοίχου τοῦ πλοίου ποτὲ δὲ ἐπὶ τοῦ ἀριστεροῦ γίνεται.

διατορηθῆναι· "δύο δὲ τῶν ὀρυγμάτων ὑπόβρυχα καὶ κατωτέρω τοῦ χάρακος διατορηθῆναι τὴν γῆν, ὑπὸ τὸν περίβολον αὐτὸν ἐξηνεχθήτην." διατορηθῆναι οὖν ἀντὶ τοῦ διακοπῆναι, τρυπηθῆναι.

διάτορον ἐξάκουστον, ὀξύτερον, μεγαλόφωνον.

διατορώτατον τρανότατον.

διὰ τοῦ τοίχου λαλεῖν, ἐπὶ τῶν ἀναισθήτως τι διαπραττομένων.

διατρέχοντες οἱ διάττοντες ἀστέρες, οἱ ἀποσπινθηρίζοντες. sch. A Pac. 838.

διατριβή τόπος ἐν ᾧ τινὲς μανθάνουσιν, ἢ καιρὸς καθ' ὃν ἀναστρεφόμεθα περί τι, ἢ διάλεξις φιλόσοφος. σημαίνει δὲ καὶ τὸ ἐπιτήδευμα καὶ τὸ ἀσχόλημα, δίαιταν, διαγωγήν, πρόφασιν ἀφ' ἧς μέλλομεν περὶ τὰ πράγματα διατρίβειν· Ἀριστοφάνης Πλούτῳ (924) "εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ." καὶ ἡ ἀργία· "ἐγίνετο δὲ αὐτῷ ἑκούσιος ἡ διατριβὴ καὶ τῆς ἐφόδου ἡ σχολαιότης τοῦ τε ἀτάκτου ἕνεκα καὶ τοῦ ἐς τὸ ἀποβησόμενον προμηθοῦς."

διατροπή συμπάθεια, οἶκτος· (Diodor. t. 2 p. 627) "τῶν δὲ Καρχηδονίων πολὺν κλαυθμὸν μετὰ δακρύων προϊεμένων διατροπὴ μεγάλη τὸ συνέδριον ἐπέσχεν."

διαττᾶν σήθειν.

διάττειν ὁρμᾶν, διατρέχειν. ἢ δάκνειν.

διατυπῶν διατιθέμενος ἐπὶ τὸ βέλτιον· (Theophyl. Sim. 3 12) "διατυπῶν τὸ ἀτύπωτον καὶ μεταπλάττων πρὸς εὐσχημοσύνην τὸ ἄτακτον."

διαυανθῆναι ξηρανθῆναι.

διαύγεια ἡ ἔλλαμψις.

διαυγία· ὁ θεολόγος ⟨Greg. Naz. or. 17 p. 275 sive 34 p. 555⟩ "μὴ λίθων διαυγίαις." τοῦτο διὰ τοῦ ι γράφεται καὶ παροξύνεται, προπαροξύνεται δὲ ἐν τῷ ἀττικίζειν. εἰ δὴ ὁ παρὼν λόγος ἀττικίζει, προπαροξύνειν ὀφείλομεν, διαύγειαν λέγοντες ὡς ἀμέλειαν.

διαύλειον προσαυλεῖ τις. τοῦτο παρεπιγραφή. φασὶ δὲ διαύλειον λέγεσθαι, ὅταν ἡσυχίας πάντων γινομένης ἔνδον ὁ αὐλητὴς ᾄση. Ἀριστοφάνης Βατράχοις ⟨1282⟩.

διαυλίζων βαθύνων, ἢ μηκύνων.

δίαυλος ὁ διςάδιος τόπος, ἢ μέτρον πήχεων σ'. δίαυλος καὶ ἡ μακρὰ περίοδος ⟨sch. A Av. 293⟩· "τούτους δὴ τοὺς μακροὺς διαύλους ποιεῖσθαι" ⟨Procop. Arc. 12⟩. δίαυλος ὁ διττὸν ἔχων τὸν δρόμον ἐν τῇ πορείᾳ, τὸ πληρῶσαι τὸ ςάδιον καὶ ὑποςρέψαι. δολιχοδρόμοι δὲ οἱ ζ' τρέχοντες. διὸ καὶ δολιχοδρόμοι· οἱ γὰρ ςαδιοδρόμοι διπλοῦν ἐποίουν τὸν δρόμον. ὁπλίτης δὲ δρόμος, ὅταν μεθ' ὅπλων ἀγωνίζωνται. ὀκτὼ δέ εἰσιν ἀγωνίσματα, ςάδιον δίαυλος δόλιχος ὁπλίτης πυγμὴ παγκράτιον πάλη καὶ ἅλμα. sch. A Av. 293.

διαυλωνίζειν τὸ διὰ ςενοῦ ῥεῖν.

διαυχενίζεσθαι· ⟨Eunap. p. 105 Nieb.⟩ "ὃ δὲ τὰ φρονήματα καὶ τοὺς θυμοὺς τῶν ςρατιωτῶν ἀνηρέθιζε, καὶ διαυχενίζεσθαι πρὸς τὸ ἀγέρωχον ταῖς μελέταις ἐξεκάλει καὶ φιλοκίνδυνον," ἀντὶ τοῦ ὑψοῦ τὸν αὐχένα ἔχειν. cf. v. διηυχενίζετο.

διαφαίνει διαδείκνυσιν.

διαφανές. διαφανές φασιν εἶναι φύσιν τινὰ ἐν πλείοσιν ὑπάρχουσαν, διαπορθμευτικὴν τῶν χρωμάτων· ἥτις φωτὸς μὲν μὴ παρόντος δυνάμει ἐςὶν αὐτὸ τοῦτο διαφανές, ἐνεργείᾳ δὲ γίνεται διαφανὲς φωτὸς παρόντος. ἔςι δὲ διαφανῆ οὐκ ἀὴρ μόνον καὶ ὕδωρ, ἀλλὰ καὶ πολλὰ τῶν ςερεῶν σωμάτων, οἷον φεγγῖται λίθοι, κέρατα ὕελος γύψος καὶ ἕτερα. ἔςιν οὖν τοῦ διαφανοῦς ἡ φύσις, ἥτις ἐν πλείοσιν οὐσίαις ὑποκειμέναις ἔχει τὸ εἶναι, ἑτέρα αὐτῶν οὖσα, ὥσπερ καὶ ἐπὶ τῶν ἑτέρων ποιοτήτων ὁρῶμεν. μετέχει δὲ τῆς διαφανείας καὶ τὸ ἀίδιον τὸ ἄνω σῶμα, οἷον τὸ χῦμα τῶν σφαιρῶν. διαφανὲς γὰρ ἅπαν· καὶ γὰρ ὁρῶμεν τὰ ἐν τῇ ἀπλανεῖ ἄςρα διὰ τούτου. καὶ αἱ μὲν σφαῖραι διαφανεῖς εἰσί, τὰ ἄςρα δὲ οὐκέτι. ὅθεν καὶ ἐπιπροσθοῦσιν ἀλλήλοις. ἐντεῦθεν γοῦν ἡ τοῦ ἡλίου ἔκλειψις, ἐπιπροσθουμένου ὑπὸ τῆς σελήνης, ἐναργῶς φαίνεται γίνεσθαι. Philopon. in 2 de anima.

διαφανῆ χιτώνια οὐ τὰ λαμπρά, ἀλλὰ τὰ ἰσχνά, δι' ὧν διαφαίνεται τὰ σώματα τῶν γυναικῶν. καὶ Ἡσαΐας ὁ προφήτης ⟨3 21⟩ "καὶ τὰ διαφανῆ Λακωνικά."

διαφανῶς σαφῶς, ἢ συμφώνως.

διαφεῖναι διαλῦσαι, καὶ διαφείς ἀντὶ τοῦ ἀπολύσας, ὁρίσας· ⟨Polyb. 8 28⟩ "ὃ δὲ διαφεὶς τοὺς ἡγεμόνας ἐκίνει τὴν πρωτοπορείαν."

διαφέρει μοι ἀντὶ τοῦ ἐμόν ἐςι.

διαφέρεσθαι ἐρίζειν, φιλονεικεῖν· "τοῦτον οὖν ὁμόδουλος κύων ὑπέρ τινος παραπεσόντος ἐδέσματος οἰηθεῖσά οἱ διαφέρεσθαι, προσπαίζοντος ἄλλως, ἣ δὲ ἠγανάκτησεν."

διαφερόντως ἐξαιρέτως.

διαφερούσῃ πληθυούσῃ· "ὃ δὲ ἐςρατοπέδευσεν ἐν χώρᾳ πάντα τὰ γεννήματα διαφερούσῃ."

διαφεριώμεθα φιλονεικήσωμεν.

διαφέρων παρασκευάζων· "παρέργως τὰ πρότερα τὸν πόλεμον διαφέρων Ἰουςινιανὸς ἀξιολογωτάτην αὐτοῦ πεποίηται τὴν παρασκευήν." καὶ διαφερόντων ἀντὶ τοῦ ἐπιλέκτων· ⟨Polyb. 3 18⟩ "πυνθανόμενος τὴν πόλιν ὠχυρῶσθαι καὶ πλῆθος ἀνθρώπων διαφερόντων εἰς αὐτὴν ἠθροῖσθαι."

διαφεύγω αἰτιατικῇ.

διαφημίζω ἀεί.

διαφθείρω αἰτιατικῇ. οἱ δὲ νεώτεροι διαφθεῖραι καὶ βιάσασθαι ἐπὶ τοῦ αὐτοῦ τάττουσιν ἀδιαφόρως.

διαφθονούμενος· "ὃ δὲ διαφθονούμενος Ζήνωνι ἐν ἡσυχίᾳ ἔμενεν."

διάφορα ἀναλώματα Θουκυδίδης.

διαφορά ἔχθρα. a

διαφορά τὸ ἐν τῇ συνηθείᾳ, ἡ παραλ- b
λαγὴ καὶ ἀνομοιότης.

διαφορηθῶ ⟨A Av. 355⟩ διασπασθῶ, καὶ διαφορηθῆναι ⟨338⟩ ἀντὶ τοῦ διασπασθῆναι.

διαφόρημα τὸ παίγνιον, καὶ διαφορήσει διάφορος γενήσεται.

διαφορῆσαι· Ἀρριανός "τοὺς ἵππους ... διαφορῆσαι αὐτόν." cf. v. ἀνασοβηθείς.

διάφοροι ἐχθροί, παρὰ τὸ διαφορεῖσθαι τὰς γνώμας. λέγεται δὲ καὶ διάφορον πρᾶγμα

τὸ τίμιον· (Polyb. 4 18) "ἐξέβλωσαν δὲ πολλοὺς τούτων, οἷς ἠπίςησαν ἔχειν κεκρυμμένον διάφορον ἢ κατασκεύασμα ἢ ἄλλο τι τῶν πλείονος ἀξίων."

διαφορότης ἡ διαφορὰ παρ' Αἰλιανῷ (V. H. 2 21).

διαφορουμένης τῆς κρόκης ὑπὸ τῶν ἀλεκτρυόνων (A Lys. 896), ἀντὶ τοῦ διασπωμένης.

διαφρήσετε διαφορήσετε, διαπέμψετε. sch. A Av. 193.

διὰ φροντίδος ἦν αὐτῷ ἀντὶ τῷ ἐβουλεύετο, ἐσκέπτετο. Αἰλιανός "ὁ δὲ θεὸς λέγει ἐκείνους μὴ πολυπραγμονεῖν· αὐτῷ γὰρ εἶναι διὰ φροντίδος."

διαφρυκτοῦν διαψηφίζειν, διακληροῦν· τὸν γὰρ κύαμον ἐκάλουν φρυκτόν, ἀντὶ δὲ ψήφων κυάμους ἐφόρουν οἱ τῶν Ἀθηναίων δικαςαί.

διαχειρίσαι φονεῦσαι·

διαχειροτονία διάκρισίς τις χειροτονίας ἐν πλήθει γινομένης. τοῦτο Δημοσθένης (22 9 et 24 25). Harp.

διαχεῖται χαίρει, διαχέεται.

διὰ χρόνου ἀντὶ τοῦ μετὰ πολὺν χρόνον· (A Pac. 711) "ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ, ὦ δέσποθ' Ἑρμῆ, τῆς ὀπώρας κατελάσας;" cf. v. βληχωνία.

διάχυσις χαρά, τέρψις.

διαχώρους τὰ διαςήματα τῶν λόχων· "οὕτω τε ἀνεπλήρωσε τῇ πυκνότητι τῷ ςρατοῦ τοὺς διαχώρους."

διαψαίρουσι (A Av. 1714) διαπνέουσι· ψαίρειν γὰρ τὸ πνεῖν οἱ ναυτικοὶ λέγουσι.

διαψαλάττεσθαι τὸ διαςέλλεσθαι εἰς ἔρευναν· τὸ γὰρ ἀψάλακτον ἄθικτον. ὅτως Κρατῖνος. cf. v. ἀψάλακτος.

διάψαλμα μέλους ἐναλλαγή.

διαψᾶν διορύττειν, διασκαλεύειν· "κελεῦσαι πάντας διαψᾶν τὴν ἄμμον καὶ ποιεῖν βοθύνους εὐμεγέθεις."

διαψεύδονται ἐκπίπτουσιν, ἀποτυγχάνουσιν· "διὸ τοῦ μὲν καλοῦ διαψεύδονται, τοῦ δὲ παρ' αὐτοῖς συμφέροντος ὡς ἐπίπαν οὐκ ἐπιτυγχάνουσι."

διαψήφισις καὶ ἀποψήφισις. οἱ πολῖται συνίασιν ἕκαςοι κατὰ τοὺς αὐτῶν δήμους, καὶ περὶ τῶν αἰτίαν ἐχόντων ἢ παρεγγεγραμμένων εἰς τὴν πολιτείαν ψῆφον φέρουσι κρύβδην, οἷον Ἀχαρνεῖς περὶ Ἀχαρνέων, καὶ περὶ Ἐλευσινίων οἱ Ἐλευσίνιοι, καὶ οἱ λοιποὶ δημόται παραπλησίως· καὶ τοῦτο διαψήφισις καλεῖται. οἱ μὲν οὖν πλειόνων ψήφων τυγχάνοντες ἀναμφισβητήτως τὴν πολιτείαν ἔχουσιν, ὅσοι δ' ἂν ἐλάττονας ψήφους λάβωσιν, οὐκέτι νομίζονται· καὶ τοῦτό ἐςιν ἡ ἀποψήφισις.

διαψήφισις ἰδίως ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γίνονται περὶ ἑκάςου τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης καὶ δημότης ἐςὶν ἢ ξένος ὢν παρεγγέγραπται. Harp.

διβητήσια διαβίκια.

διγῆρες οἱ λαμπροί, ἢ οἱ ςρουθοί.

δίγλωσσος ὁ δύο γλώσσας ἐπιςάμενος. (Diog. L. 1 101) "Ἀνάχαρσις Σκύθης ἦν, μητρὸς δὲ Ἑλληνίδος, διὸ καὶ δίγλωττος ἦν· ὃς ἔθηκε νόμους Σκύθαις."

δίγνωμος ὁ ἐπαμφοτερίζων τῇ γνώμῃ.

διδαξάμενος τελέσας τι ὑπὲρ ἑτέρου διδασκάλῳ.

διδάξομαι· Ἀριςοφάνης Νεφέλαις (127) "ἀλλ' εὐξάμενος τοῖσιν θεοῖς διδάξομαι" ἀντὶ τοῦ διδαχθήσομαι. νῦν μὲν παθητικὸν ἀποδεκτέον, τουτέςι διδαχθήσομαι, ἔςι δὲ τῶν μέσων· παθητικὸν μὲν γὰρ ἔχει τὸν σχηματισμόν, ἐνέργειαν δὲ δηλοῖ. εἴποι γὰρ ἄν τις διδάξομαι τὸν υἱὸν φιλοσοφεῖν κυριώτερον ἢ διδάξω· διδάξω μὲν γὰρ ὁ διδάσκαλος ἐρεῖ, διδάξομαι δὲ ὁ πατὴρ καὶ πᾶς ὁ παραδιδοὺς ἕτερον μανθάνειν. δυνατὸν οὖν καὶ νῦν μὲν εἶναι τὸ αὐτό, ἵν' ᾖ νοούμενον, διδάξομαι, ἐπεὶ οὐ τὸν υἱόν, ἐμαυτόν. τοῦ μέτρου οὐκ ἐπιτρέποντος εἰπεῖν ἐμαυτόν, διδάξομαι, ἔφη, αὐτὸς βαδίζων εἰς τὸ φροντιςήριον.

διδασκαλεῖον τὸ σχολεῖον, διδασκάλιον δὲ αὐτὸ τὸ μάθημα.

διδάσκαλον. ἰδίως διδασκάλους λέγουσι τοὺς ποιητὰς τῶν διθυράμβων ἢ τῶν κωμῳδιῶν ἢ τῶν τραγῳδιῶν (Harp.). καὶ Σοφοκλῆς (Phil. 387) "οἱ δ' ἀκοσμοῦντες βροτῶν διδασκάλων λόγοισι γίγνονται κακοί."

διδάσκω αἰτιατικῇ.

διδαχὴ ἀντὶ τοῦ διδασκαλία Ἡρόδοτος γ' (134).

δίδημι τὸ δεσμεύω.

Διδίας ὄνομα κύριον.

δίδραχμον συντέλεσις, εἰσφορά, λειτουργία. ἔχει δὲ τὸ δίδραχμον οὐγγίας ς'· κ' ὀβολοί, γράμματα ς'. cf. Levit. 27 25.

Διδυμαῖος.

δίδυμοι συνήθως ἡμῖν, καὶ οἱ συμφυεῖς ἰδίως Ὁμήρῳ. ἢ δισσοί, ὡς καὶ "αὐλοῖσιν διδύμοισι" (Hom. τ 227).

δίδυμον ξύλον ἡ παρὰ Ῥωμαίοις φοῦρκα. "εὑρὼν δὲ Ἴλλοῦς τὸν φθορέα ἐκρέμασεν ἐπὶ διδύμου ξύλου." "οὓς δὲ ζῶντας ἐκ διδύμων ξύλων ἀπαρτῶν."

a Δίδυμος Ἀλεξανδρεὺς γεωργικὰ ἐν βιβλίοις ιε'.

b Δίδυμος Ἀτήιος ἢ Ἄττιος (an Ἀρεῖος) χρηματίσας, φιλόσοφος Ἀκαδημαϊκός, πιθανῶν καὶ σοφισμάτων λύσεις ἐν βιβλίοις β', καὶ ἄλλα πολλά.

c Δίδυμος Διδύμου ταριχοπώλου, γραμματικὸς Ἀριστάρχειος, Ἀλεξανδρεύς, γεγονὼς ἐπὶ Ἀντωνίου καὶ Κικέρωνος καὶ ἕως Αὐγούστου, χαλκέντερος κληθεὶς διὰ τὴν περὶ τὰ βιβλία ἐπιμονήν· φασὶ γὰρ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια καὶ πεντακόσια βιβλία.

d Δίδυμος ὁ τοῦ Ἡρακλείδου, γραμματικός, ὃς διέτριψε παρὰ Νέρωνι καὶ ἐχρηματίσατο· μουσικός τε ἦν λίαν καὶ πρὸς μέλη ἐπιτήδειος.

e Δίδυμος ὁ Κλαύδιος χρηματίσας, γραμματικός, περὶ τῶν ἡμαρτημένων παρὰ τὴν ἀναλογίαν Θουκυδίδῃ, περὶ τῆς παρὰ Ῥωμαίοις ἀναλογίας, ἐπιτομὴν τῶν Ἡρακλέωνος, καὶ ἄλλα τινά.

f Δίδυμος νέος Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ. ἔγραψε πιθανά, περὶ ὀρθογραφίας, καὶ ἄλλα πλεῖστα καὶ ἄριστα.

g Δίδυμος καὶ ὁ ἀπόστολος Θωμᾶς.

δίδωμί σοι παρέχω σοι.

διέβαλεν ἐξηπάτησεν. καὶ Θουκυδίδης οὕτως κέχρηται καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις (1220)· "διέβαλέ μ' ἡ γραῦς" ἀντὶ τοῦ ἐξηπάτησε.

διεγγύησιν ἀντὶ τοῦ κατάστασιν ἐγγυητῶν Δημοσθένης (24 73).

διεγείρωμεν παροτρύνωμεν.

διέγνωκα κέκρικα.

διεδοιδύκισε διέγραψε τῇ χειρί, στρογγύλην αὐτὴν ποιήσας ὡς δοίδυκα.

διέδριον· "ὡς δὲ οὐκ ἴσχυον τῇ εἰσόδῳ χρήσασθαι, ἄραντες αὐτὸν διεδρίῳ κατὰ τοὺς οἴκους τῶν λεγομένων σχολῶν εἰσεκόμιζον."

δίεδρος.

διέζευξε διεχώρισε. καὶ παρὰ τοῖς μουσικοῖς διεζευγμένον λέγεται τὸ τετράχορδον. καὶ συνεζεῦχθαι λέγουσι τὸ ἐν τῷ αὐτῷ εἶναι.

διέθει διέτρεχε.

διεθρόησαν· Θουκυδίδης (6 46) "οἱ δὲ πρέσβεις τῶν Ἀθηναίων διεθρόησαν ὡς χρήματα πολλὰ ἴδοιεν" ἀντὶ τοῦ διελάλησαν, διεθορύβησαν.

διειδές λαμπρόν, διαυγὲς καὶ καθαρὸν ὕδωρ.

διεῖλεν ἐχώρισε.

δίειμι διέρχομαι.

διεῖπε διῴκει, περιήρχετο.

διειργάσατο ἐφόνευσεν, ἀπέκτεινεν· "ὃ δὲ καὶ τῶν ἄλλων ἑκάτερον διειργάσατο."

διείργω γενικῇ· "οὔτε ἡ ἀρχὴ τῷ ἀρχὴ εἶναι τοῦ ἀνάρχου διείργεται." αἰτιατικῇ δέ (Greg. Naz. or. 44 p. 714) "οὐ μόνον πλοῦτον διείργων τῶν ὀρεκτῶν κόλπων τοῦ Ἀβραάμ."

διείρεο (Hom. Α 550).

διείρουσι τὸ ἐπιβάλλουσι.

διειρωνόξενοι (A Pac. 622) ἐξαπατῶντες τοὺς ξένους καὶ ψευδόμενοι δι' εἰρωνείας καὶ ὑποκρίσεως· οἱ Λάκωνες, παρ' οἷς καὶ ὁ τῆς ξενηλασίας ἔκειτο νόμος. ὅτι δὲ αἰσχροκερδεῖς καὶ μικρολόγοι οἱ Λάκωνες, δηλοῖ ὁ χρησμός· "ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν." ἦσαν δὲ καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι· καὶ οὐκ ἐξῆν ξένῳ τινὶ ἀεὶ τῆς Σπάρτης ἐπιβαίνειν, ἀλλ' ὡρισμέναις ἡμέραις.

διείς ἐκτείνας, ἁπλώσας· (Deuteronom. 32 11) "διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς."

δίεισι διέρχεται.

διέκδυσιν διεξέλευσιν. "τῶν δὲ δεσμωτῶν εἷς ἀπορρήξας τὰ δεσμὰ καὶ διεκδὺς εἶτα καταφεύγει ἐπὶ τὰ τῆς Δήμητρος πρόθυρα" ἀντὶ τοῦ ὑπεξελθών, ἐκφυγών.

διεκερμάτισε τὴν δραχμὴν ἐν τοῖς ἰχθύσιν (A Vesp. 820) ἀντὶ τοῦ …

διεκόρησας τὴν παῖδα διεπαρθένευσας.

διεκορκορύγησε. κορκορυγεῖν λέγουσι τὸ λαλεῖν τὴν γαστέρα. ἐμιμήσατο δὲ τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον. Ἀριστοφάνης Νεφέλαις (386) "εἶτ' ἐταράχθης τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορκορύγησε." κλόνος δὲ στρόφος, ἴλιγξ.

διεκοσμήθησαν διετάχθησαν.

διεκπαίσαντες διεκτρυπήσαντες, διεκδραμόντες.

διεκπατῆσαι τοῦ πάτου παρεξελθεῖν· "λέγουσιν Ἐπιμενίδην χρόνον ἕνα διεκπατῆσαι, ἀσχολούμενον περὶ ῥιζοτομίαν" (Diog. L. 1 112).

διέκπλοι τὸ ἐμβάλλειν καὶ διασχίζειν τὴν τῶν ἐναντίων τάξιν καὶ πάλιν ὑποςρέφειν καὶ αὖθις ἐμβάλλειν. ἀναςροφαὶ δέ εἰσιν αἱ εἰς τοὐπίσω ὑποχωρήσεις. sch. Thuc. 1 49, 2 89.

διέκυψαν· "χόρτῳ παραπλησίως ἀπὸ τῆς γῆς διακύψαντες ἤνθησαν."

διεκωδώνισεν ἀντὶ τοῦ διεπείρασε καὶ ἐξήτασεν. ἡ δὲ μεταφορὰ ἡ ἀπὸ τῶν περιπολούντων τοῖς κώδωσι νυκτὸς τὰς φυλακάς, ἢ ἀπὸ τῶν δοκιμαζόντων τοὺς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος. Harp.

διέλιπεν ἀφῆκε.

διεμήρισαν ἄνδρες ἐρασταί (A Av. 707). καὶ διαμηρίζοιμι ἀντὶ τοῦ συνουσιάζοιμι· Ἀριςοφάνης (Av. 1254) "τῆς διακόνου πρώτης ἀνατείνας τὼ σκέλη διαμηριῶ."

διεμπολᾶν τὰ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν. sch. A Ach. 972.

διενέγκαντες ὑπερενέγκαντες. (A Eq. 599) "πολλὰ γὰρ δὴ πράγματα διήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας." καὶ αὖθις "ἕως δὲ διενέγκαντός μου ἐπὶ μῆνα ἡμέρως."

διενεγκεῖν ἀγαγεῖν· Εὐνάπιος (p. 105 Nieb.) "κατὰ τούτους τοὺς χρόνους ὑπὸ τῆς ἀνδρώδους γυναικὸς ἔργον τι κατετολμήθη καὶ συνεπράχθη γενναῖον οὕτω καὶ ἀνδρῶδες ὥςε ἄπιςον εἶναι διενεγκεῖν εἰς τὴν διήγησιν." καὶ διενέγκω δοτικῇ. καὶ διενέγκης αὐθυπότακτον.

διενήνοχα διαφέρω.

δι' ἐνιαυτοῦ ἀντὶ τοῦ δι' ὅλου τοῦ ἐνιαυτοῦ. καὶ δι' ἡμέρας ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας.

διντέρευμα (A Nub. 166) τὸ ἐρώτημα.

διεξάγοντας διοικοῦντας· (Polyb. 4 57) "μεθυσκομένους καὶ ῥᾳδίως διεξάγοντας τὰ κατὰ τὴν φυλακήν."

διέξειν ἀπείρξειν· "οὕτω γὰρ διέξειν τὰς χεῖρας καὶ φροντιεῖν τοῦ μηδὲν ἀδίκημα ποιήσειν τὸν Προυσίαν εἰς αὐτούς" (Polybius?).

διεξέπεσε· "τὰ ὅπλα ἀνελόμενος διεξέπεσε διὰ τῶν πολεμίων," τουτέςι διήλασε, διῆλθε, διέφυγεν.

διεξήεσαν.

διέξιν διεξέλευσιν.

διεξιφίσω (A Eq. 778) διεμαχέσω περὶ τῆς χώρας. ἐν Μαραθῶνι πολεμήσας πρὸς τοὺς Μήδους τοῖς ξίφεσι κατ' αὐτῶν ἐχρήσω. Μαραθὼν δὲ τόπος τῆς Ἀττικῆς, εἰς ὃν ἐνωρμίσαντο Δᾶτις καὶ Ἀρτάβαζος Μηδικοὶ σατράπαι, πεμφθέντες ὑπὸ Δαρείου βασιλέως καταδουλώσασθαι τὴν Ἑλλάδα· ἔνθα συμβαλόντες αὐτοῖς οἱ Ἀθηναῖοι Μιλτιάδου ςρατηγοῦντος, μόνων Πλαταιέων συμμαχησάντων αὐτῷ χιλίοις ἀνδράσι, καὶ οὕτω πληρωθέντος τοῦ ἀριθμοῦ τῆς Ἑλληνικῆς δυνάμεως, τοῖς Ἕλλησι τῆς ἐλευθερίας αἴτιοι κατέςησαν, μόνοι ἐξ ἁπάντων τῶν Ἑλλήνων τὸν πρῶτον τῶν Περσῶν διαφθείραντες.

διεξοδικούς. περὶ διαλεκτικῆς φησὶν ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος (in Top. 1 p. 5) ὅτι διαφέρει ἡ διαλεκτικὴ τῆς ῥητορικῆς τῷ τὴν διαλεκτικὴν περὶ πᾶσαν ὕλην τῇ δυνάμει χρῆσθαι, καὶ μὴ διεξοδικοὺς ποιεῖσθαι τοὺς λόγους ἀλλ' ἐν ἐρωτήσει καὶ ἀποκρίσει (ἀπὸ γὰρ τούτου καὶ ὅλον τὸ ὄνομα αὐτῇ), καὶ καθολικωτέρας καὶ κοινοτέρας τὰς ἀποφάσεις ποιεῖσθαι· τὴν δὲ ῥητορικὴν μήτε περὶ πᾶσαν ὕλην ὁμοίως εἶναι τῇ διαλεκτικῇ (περὶ γὰρ τὴν πολιτικὴν μᾶλλον ὁ ῥήτωρ) καὶ διεξοδικῶς γε ὡς ἐπὶ τὸ πλεῖςον χρῆσθαι λόγῳ, καὶ περὶ τῶν καθ' ἕκαςα μᾶλλον λέγειν, καὶ πρὸς περιςάσεις καὶ τύχας καὶ καιροὺς καὶ τὰ πρόσωπα καὶ τοὺς τόπους καὶ τὰ τοιαῦτα τοὺς λόγους σχηματίζειν, ἅπερ ἐν τοῖς καθ' ἕκαςά ἐςι· περὶ τοιούτων γὰρ αἵ τε συμβουλαὶ καὶ τὰ ἐγκώμια καὶ αἱ δίκαι. διεξοδικοὺς οὖν ἀντὶ τοῦ πλατυτέρους καὶ καθολικωτέρους, διεξωδηκὸς δὲ τὸ διωγκωμένον.

διεξοδικῶς λεπτομερῶς, καὶ διεξοδικώτερον λεπτομερέςερον.

διέξοδοι ἐκπνοαί, ἐκκρίσεις· "λήθουσι γάρ τοι κἀνέμων διέξοδοι θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ." ἔςι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου Σοφοκλέους.

διεξόδους ὑδάτων ἀντὶ τοῦ κρουνηδὸν ἐφέροντο τὰ δάκρυα· Δαβίδ "διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου." διέξοδοι οὖν ὑδάτων οἱ ὀχετοί. Theodoret. in Ps. 118 136

διέπει ἐνεργεῖ, διοικεῖ, καθίςαται.

διεπεραιώθη διειλκύσθη, διῆλθε· (S Ai. 730) "κολεῶν ἐρυςὰ διεπεραιώθη ξίφη"

ἀντὶ τοῦ ἐγυμνώθη. εἰ μὴ γὰρ εἰς πέρας ἑλκυσθῇ, οὐκ ἐξέρχεται.

διέπεσεν ἀπέτυχε· "καὶ ἡ μὲν κατὰ τὸν Βιθύαν ἐλπὶς τούτῳ τῷ τρόπῳ διέπεσεν." cf. v. Βιθύας.

διέπτυξε διεσαφήνισε.

διεπυνθάνετο ἠρώτα.

διεργάζεται ἀναιρεῖ, κτείνει· Ἰώσηπος ⟨B. I. 3 7 35⟩ "πλήξας δὲ αὐτὸν κάτωθεν ἐπὶ τὸν βεβῶνα δόρατι παραχρῆμα διεργάζεται." καὶ διεργασθείς ἀναλωθείς.

διερειδόμεθα ςηριζόμεθα.

διερέττοντα διακωπηλατοῦντα.

διερευνᾷ αἰτιατικῇ.

διερήν δίυγρον, καὶ διερός ὁ ὑγρός.

διερμηνεύω δοτικῇ.

διέρρει. δύο σημαίνει, τὸ διεφθείρετο, καὶ ἀντὶ τοῦ ἐπεφήμιςο· "διέρρει δὲ φήμη λέγουσα καὶ εὐπατρίδην αὐτὸν εἶναι."

διερρικνοῦντο διεκαμπυλοῦντο.

διέρριψαν· ⟨Dio Cass. fr. 36 8⟩ "τήν τε οὐσίαν καὶ τὰ ὀςᾶ αὐτοῦ, ἐπειδὴ φθάσας ἑαυτὸν προαπεχρήσατο, διέρριψαν."

διερρύη διέδραμε, διῆλθε· "τὸ γάρ τοι κλέος τῶν τετολμημένων διερρύη πολύ." λέγεται καὶ διέρρει· Αἰλιανός "διέρρει τοίνυν ὑπὲρ τῆς ἀνθρώπε κλέος σοβαρώτατον" ἀντὶ τοῦ λαμπρόν, ἐπηρμένον.

διερρυηκόσιν· ⟨A Nub. 871⟩ "ἠλίθιον ἐφθέγξατο καὶ τοῖσι χείλεσιν διερρυηκόσι," τετέςι μωρῶς καὶ ἀνοήτως καὶ ἀπαιδεύτως, καὶ τοῖς χείλεσι κεχαλασμένοις καὶ κεχηνόσιν, ἀντὶ τοῦ οὐ συνεςραμμένοις.

διερρωγώς διεσχισμένος, καὶ διερρωγότα.

διεσαρδάνισε διεγέλασεν, οὐκ ἐπὶ διαχύσει ἀλλ' οἷον σαρδάνιον γέλωτα.

δίεσιν διαχωρισμόν. καὶ ἡ πρὸ μουσικῆς ᾠδῆς κίνησις. "δίεσις λέγεται τὸ ἐλάχιςον μέτρον τῶν ἐναρμονίων διαςημάτων, ὅπερ ἀπολωλὸς ἐκ τῆς ἡμετέρας αἰσθήσεως καὶ τὸ ἐναρμόνιον προσαπώλεσεν, ἀγυμνάςε πρὸς αὐτὸ τῆς ἀκοῆς ἀπολελειμμένης" ⟨Damasc. Phot. p. 344 b⟩.

δίεσις τὸ χώρισμα. ἢ ἄνεσις.

διεσκαριφησάμεθα ἀντὶ τοῦ διελύσαμεν· σκάριφον γάρ ἐςι τὸ κάρφος καὶ φρύγανον, ἔςι δὲ τὰ τοιαῦτα εὐδιάλυτα καὶ εὐφύσητα. οὕτως Ἰσοκράτης ⟨7 12⟩. σκαριφήσασθαί ἐςι τὸ ἐπισεσυρμένως τι ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν. Harp. et sch. A Ran. 1545.

διεσκεδασμένον ⟨an διεσκευασμένον⟩ διατετυπωμένον. καὶ διεσκέδασε διεσκόρπισεν.

διεσκευασμένην μετὰ δόλου γεγραμμένην· Πολύβιος "ἐκπέμπουσι τῶν Κρητῶν τινὰς ὡς ἐπὶ ληςείαν, δόντες ἐπιςολὴν διεσκευασμένην."

διεσκήριπτεν ἐπεςήριζεν· ⟨AP 6 203⟩ "ἦλθέν ποθ' ἑρπύζεσα σὺν δρυὸς ξύλῳ, τό μιν διεσκήριπτε τὴν τετρωμένην."

διεσκίαςαι ἀποκέκρυπται.

διεσμιλευμένον διεσχισμένον, ἠκριβωμένον, ἐξεσμένον, περικεκαθαρμένον.

διεσπαθηκότα διερριφότα.

διεσπευσάμην ἀντὶ τοῦ διὰ σπουδῆς ἐποιησάμην, ἢ ἀντὶ τοῦ διεπραξάμην.

διεσπλεκωμένη· Ἀριςοφάνης Πλούτῳ ⟨1083⟩ "οὐκ ἂν διαλεχθείην διεσπλεκωμένῃ ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων." τὸ σπλεκοῦν ἐπὶ τοῦ συνουσιάζειν τάττεσιν, ἐχ ὡς προηγεμένως τἕτο σημαῖνον, ἀλλ' ὁμοίως πολλοῖς συμβολικοῖς ὀνοματοποιοῦντες, καὶ μάλιςα ἐν οἷς τὸ εὐθυρρημονεῖν ἐνίςαται.

διέςειλεν ἀντὶ τοῦ οὐκ ἀναμφιβόλως ἐχρήσατο τοῖς λόγοις. περὶ Μωσέως δέ ἐςι. Δαβίδ "καὶ διέςειλεν ἐν τοῖς χείλεσιν αὐτῶν." Theodoret. in Ps. 105 33.

διεσφαιρίσθη ὥσπερ σφαῖρα κατηνέχθη.

διεσφηκωμένον ⟨A Vesp. 1110⟩ διαδεδεμένον.

διέσχε διῆλθεν. Ἀρριανός ⟨Anab. 1 13⟩ "οἱ μὲν γὰρ διέσχον τὴν φάλαγγα" ἀντὶ τε διεχώρισαν· "τῶν δὲ ὑπερκυλισθεῖσαι αἱ ἅμαξαι ὀλίγα ἔβλαψαν."

δίεται διέρχεται.

διέτεινε διαρρήδην εἶπεν.

διετείνοντο ἰδίως Ἀντιφῶν ⟨5 46⟩ ἀντὶ τε διὰ συντόνε σπεδῆς ἀπηρνήσαντο. Harp.

διετής διετοῦς· "ἀπὸ διετοῦς καὶ κατωτέρω" ὁ εὐαγγελιςής ⟨Matth. 2 16⟩.

διετίτρη· ⟨Appian. Lib. 122⟩ "τῶν Λιβύων τὰ σκάφη μικρὰ ὄντα ταῖς Ῥωμαϊκαῖς ναυσὶν ὑποτρέχοντα διετίτρη τὰς πρύμνας καὶ τὰ πηδάλια ἐξέκοπτεν."

διευθετῶ τὸ καλῶς διατίθεμαι.

διευκρινῆ σαφῆ, καὶ διευκρίνησις ἡ σαφήνεια.

διευκρινούμενοι διακρίνοντες, καὶ διευκρινήσας καλῶς διαχωρίσας· "τοὺς ἀλκιμωτάτους τοῦ πλήθους διευκρινήσας" ⟨Theophyl. Sim. 2 10⟩.

διευφημιῶ, διαφημίζω δέ.

a διέφερον· Ἀππιανός "οἱ δὲ Κελτοὶ ἐς Ῥωμαίους τι μήνιμα ἐκ πολλοῦ διέφερον" ἀντὶ τοῦ εἶχον, ἐνεκότουν.

b διέφερον παρὰ Θουκυδίδῃ ⟨1 11⟩ ἀντὶ τοῦ διήνυον ἢ ὑπέμενον ἢ ἐπιμελῶς ἐξήνυον· "οἱ δὲ Ἀθηναῖοι τὸν πόλεμον διέφερον."

διεφθαρμένος τοῦ πρέποντος παρατραπεὶς τὸν νοῦν· "ἤδη γὰρ Ἀντώνιος τῷ Κλεοπάτρας ἔρωτι διεφθαρμένος ἥττων ἦν ἐν πᾶσι τῆς ἐπιθυμίας."

διεφορήθη· "χρημάτων δὲ ἄπιστον πλῆθος διεφορήθη" ἀντὶ τοῦ ἐξηνέχθη, ἐξεκομίσθη.

διεφόρησαν μετεκόμισαν· "τάς τε καταλειφθείσας ἐν τῷ χάρακι κατασκευάς (πολλαὶ δ' ἦσαν ὡς εἰς χρόνιον πολιορκίαν) διεφόρησαν."

δι' ἔχθρας γενήσομαι ἀντὶ τοῦ ἐχθρὸς ἔσομαι. Ἀριστοφάνης ⟨Ran. 1432⟩ "οὐ γὰρ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι· τὸν μὲν γὰρ ἡγοῦμαι σοφόν, τῷ δ' ἥδομαι." τὸν Αἰσχύλον σοφόν, ἥδομαι δὲ τῷ Εὐριπίδῃ.

διέχουσαν ἀπῳκισμένην οὖσαν· ⟨Procop. Pers. 2 11⟩ "ἐς Σελεύκειαν πόλιν ἐπιθαλασσίαν ἀφίκετο, Ἀντιοχείας ρ' καὶ λ' σταδίους διέχουσαν."

διεψευσμένοι ἠγνοηκότες· Πολύβιος "πάντων τούτων ἦσαν διεψευσμένοι οἱ Αἰτωλοί." καὶ αὖθις ⟨id. 3 16⟩ "διεψεύσθησαν δὲ τοῖς λογισμοῖς· κατετάχησε γὰρ αὐτοὺς Ἀννίβας ἐξελὼν τὴν πόλιν."

διζημένη. καὶ διζήμενος ζητῶν.

διῆγε παρεξέτεινεν· Ἰωάννης Ἀντιοχείας "ὡς ἐρυμνὰ χωρία κατειληφὼς ἐπὶ πολὺ διῆγε τὸν πόλεμον, ἀμβλύνων τὴν τοῦ Ἀννίβου ὀξύτητα χρονίαις διατριβαῖς."

διηγκυλημένον τὸ ἀκόντιον μεταχειριζόμενον, ἀντὶ τοῦ ἐν μασχάλῃ κρατῶν τὸ δόρυ. Ξενοφῶν ⟨Anab. 5 2 12⟩ "ὁ δὲ πᾶσι παρήγγειλε διηγκυλημένους ἰέναι, ὡς, ὁπόταν σημήνῃ, ἀκοντίζειν δεήσον, καὶ τοὺς τοξότας ἐπιβεβλῆσθαι ἐπὶ ταῖς νευραῖς, ὡς, ὁπόταν σημήνῃ, τοξεύειν δεήσον, καὶ τοὺς γυμνῆτας λίθων ἔχειν μεστὰς τὰς διφθέρας."

διηθεῖν διυλίζειν, καὶ διηθεῖται ἀφυλίζεται, καὶ διήθησις ἡ διύλισις.

διῆκαν διέπεμψαν.

διήκει διέρχεται· "ὁ δὲ εἶπεν, ἀλλὰ πιστεύω· πάνυ γάρ σου κλέος ἐπ' ἀρετῇ διήκει."

διήκουσαν διελθοῦσαν, διερχομένην.

διήκουσεν ἠκροάσατο.

διήλλαξεν ἀντὶ τοῦ μετήλλαξεν, ἐτελεύτησεν ⟨Harp.⟩. ἢ ἀντὶ τοῦ ἤμειψεν.

διήλυσις ὁ χωρισμός.

διήνεγκαν, γενικῇ, ὑπέμειναν, ἐκαρτέρησαν· Προκόπιος ⟨Pers. 1 18⟩ "Ῥωμαίων δὲ ἱππεῖς ἦσαν ἄρχοντες ἱππέων, οἳ τὰ πρότερα τὴν ἐς Δάρας μάχην διήνεγκαν," τουτέστιν ὑπερήνεγκαν ἢ διεπράξαντο. καὶ αὖθις "ἐπ' ἐννέα διήνεγκε τὴν πολιορκίαν ἔτη."

διηνέχθη ⟨2 Maccab. 3 4⟩ ἐμαχέσατο.

διηρέθιζεν ἀνεκίνει, ἀνετάραττεν, ἀνερρίπιζεν· "ὁ δὲ τὸ θηριῶδες καὶ ἄγριον ὑπεκίνει καὶ διηρέθιζεν, εἴ που κύριος γένηται τοῦ χωρίου."

διήρει διέτεμνε, διεμέριζεν· "ὁ δὲ πρεσβύτης ὢν διήρει τὰς μοίρας τῶν κρεῶν."

διῆρες πλοῖον.

διήρηκε διεχώρισεν.

διήρης ναῦς ὑπὸ δύο ἐρετῶν ἐλαυνομένη.

διήρησαι δέδεσαι.

διηρθρωμένον δεδηλωμένον, ἠκριβωμένον.

διήρκεσε διέμεινε, παρέμεινεν· "αἱ δὲ ἐντολαὶ ἃς τοῖς βασιλεῦσιν ἐνετείλατο, καὶ τὰ ἐπεσταλμένα τοῖς Κελτοῖς εἰς τοσόνδε διήρκεσεν εἰς ἐπανόρθωσιν τῶν ἀδικημάτων, ὥστε ἀπέδοσαν μὲν τὰ ἁρπασθέντα," καὶ τὰ λοιπά.

διῆρξα ἀντὶ τοῦ διὰ τέλους ἦρξα Λυσίας. Harp.

διήρτησεν ἐξηπάτησεν, ἐπλάνησεν.

διήσειν διαφήσειν· ⟨Dio Cass. 71 11⟩ "οὓς οὔτε δέξεσθαι οὔτε διήσειν διὰ τῆς χώρας ὡμωμόκεσαν."

διηύθυνεν ἐκόλασε.

διηυχενίζετο ὑψηυχένει· "ἕτερα δὲ οὐ πολύ τι μείω ἀνωρθοῦτο καὶ διηυχενίζετο, ἀλλὰ τούτων βαρύτερα καὶ κεραυνῷ προσεμφερῆ." cf. v. διαυχενίζεσθαι.

διηυχενίζετο. τὸν αὐχένα ὄρθιον εἶχεν· b Εὐνάπιος ⟨p. 103 Nieb.⟩ "ὁ δὲ ἐπὶ τὰ λειπόμενα τῶν πραγμάτων διεξανιστάμενος ἀνωρθοῦτο καὶ διηυχενίζετο πρὸς τὸν λεγόμενον Λέοντα, ὅπως αὐτὸν φονεύσειεν."

διήφυσεν ⟨Hom. τ 450⟩ διέκοψεν.

διηχὴ ἡ τῶν ἤχων διαπορθμευτικὴ δύναμις, ἣ διὰ τῶν μηνίγγων καὶ τοῦ ἔνδοθεν πνεύματος ἐνεργεῖται. Philopon. in 2 de anima. cf. v. μῆνιγξ.

διθυραμβοδιδάσκαλοι περὶ τῶν μετεώρων καὶ περὶ τῶν νεφελῶν λέγουσι πολλά, καὶ συνθέτους δὲ λέξεις ἐποίουν, καὶ ἔλεγον ἐνδιαεριαυερινηχέτους· οἷος ἦν Ἴων ὁ Χῖος ὁ ποιητής. ἐποίησε δὲ ποίημα οὗ ἡ ἀρχὴ "ἀοῖον ἠεροφοίταν ἀστέρα μείνομεν ἀελίου λευκῇ πτέρυγι πρόδρομον." παίζων δὲ Ἀριστοφάνης ἀοῖον αὐτὸν ἀστέρα φησὶ κληθῆναι. περιβόητος δὲ ἐγένετο, ἔγραψε δὲ κωμῳδίας καὶ ἐπιγράμματα καὶ καταλογάδην πρεσβευτικὸν λεγόμενον. καὶ Σωκράτους τοῦ φιλοσόφου ἔστι λόγος εἰς αὐτόν. καὶ Καλλίμαχος ἐν χωλιάμβοις μέμνηται αὐτοῦ, ὅτι πολλὰ ἔγραψε. sch. A Pac. 820.

διθύραμβος ὕμνος εἰς Διόνυσον. ⟨cf. v. κατεγλωττισμένον⟩ "ὁ δὲ Ἀπολλώνιος λόγων ἰδέαν ἐπήσκει οὐ τὴν διθυραμβώδη καὶ φλεγμαίνουσαν ποιητικοῖς ὀνόμασι."

διθυράμβων νοῦν ἔχεις ἐλάττονα, ἐπὶ τῶν ἀδιανοήτων. sch. A Av. 1392.

διθύροις διπτύχοις, διπλαῖς θύραις.

διιείς διαπέμψας.

διιέναι διέρχεσθαι.

διιέντα ἐκπέμψαντα.

διίεται διέρχεται.

διίημι διέρχομαι. καὶ διίησι.

διιθύντης ὁ διευθύνων.

διικνείσθω, γενικῇ, φθασάτω. καὶ διικνούμενος διερχόμενος.

Δίιος ὀργή, καὶ Δίιος βωμός.

διιπετέος τοῦ ὑπὸ Διὸς πληρουμένου.

διιπόλεια, ἑορτή τις Ἀθήνησι τὰ διιπόλεια. ⟨A Nub. 980⟩ "καὶ διιπολιώδη καὶ τεττίγων ἀνάμεστα."

διιπόλια τὰ λεγόμενα διάσια. ἑορτὴ οὕτως ἐλέγετο, διότι τῷ πολιεῖ Διὶ ἐθύετο. Harp.

διιππασία καὶ ἀνιππασία τῶν ἵππων ἅμιλλα, ὥσπερ δὴ διωμοσία καὶ ἀντωμοσία τὸ αὐτὸ ἄμφω δηλοῖ.

διίπταται αἰτιατικῇ.

διισθμίσαντα τὸν ἰσθμὸν διαβιβάσαντα· ⟨Polyb. 4 19⟩ "παρεκάλει αὐτὸν βοηθεῖν, τοὺς λέμβους διισθμίσαντα."

διισθμονίσαι τὸ διὰ τοῦ ἰσθμοῦ ἕλκειν τὴν ναῦν, ὅπερ ἐποίουν ἐν τῷ Ἰσθμῷ οἱ Κορίνθιοι.

διιστάς διαχωρίζων.

διίσταται, γενικῇ, διαχωρίζεται.

διισχυρίζομαι ἀνθίσταμαι, ἀμφιβάλλω· "περὶ τούτων οὐδὲν διισχυρίζομαι."

διισχύω σου, γενικῇ, τὸ κρατῶ σου καὶ ἄρχω σου.

Διιτρέφης ἀνεπτέρωκεν, ἐπὶ τῶν ἀναπειθόντων ἐπί τι πρᾶγμα. Ἀριστοφάνης ⟨Av. 1429⟩ "δεινῶς τέ μου τὸ μειράκιον ἀνεπτέρωκεν ὥσθ' ἱππηλατεῖν." οὗτος γὰρ πρότερον πυτινοπλόκος ἦν, ἔπειτα ἐγένετο φύλαρχος καὶ ἵππαρχος.

Διιτρέφης πυτιναῖα ἔχων πτερά ⟨A Av. 799⟩. οὗτος πολυπράγμων ἐγένετο· ὃς θάλλινα ποιῶν ἀγγεῖα ἐπλούτησε καὶ ἱππάρχησε καὶ ἐφυλάρχησεν. Εὐφρόνιος δὲ τὰ περὶ τῷ τραχήλῳ τῆς πυτίνης κρεμάμενα ἱμαντάρια ἑκατέρωθεν πτερὰ καλεῖσθαι· καὶ ὅτι οὗτος πυτίνας ἔπλεκε. τινὲς δὲ ἐς πένητα εἰρῆσθαι διὰ τὸ ἀνυπόκριτον, ὡς εἰ ἔφη, μηδὲν ἄλλο ἔχων ἀλλ' ἢ πίθου πόδας καὶ χύτρας ὀμφαλούς. οὗτος δὲ ἦν νεόπλουτος καὶ ἅρπαξ καὶ πονηρός. Πλάτων ἐν Ἑορταῖς "καὶ ξένον τὸν μαινόμενον, τὸν Κρῆτα, τὸν μόγις Ἀττικόν." πυτίνη δέ ἐστι πλέγμα. ὃς "ᾑρέθη φύλαρχος, ἵππαρχος, εἶτ' ἐξ οὐδενὸς μεγάλα πράττει, κἄστι νῦν ξουθὸς ἱππαλεκτρυών," ἀντὶ τοῦ ἤδη μέγας ὄρνις γέγονε καὶ οὐχ ὁ τυχών. ἢ βουλευτής. ὁ γὰρ ἀλεκτρυὼν ἐν τοῖς ὄρνισιν ἐντιμότερος.

διῖχθαι διέρχεσθαι.

δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρείσσων, καὶ Πριηνία δίκη, ἐπὶ τῶν ἰσχὺν ἐχόντων ἐν τῷ δικάζεσθαι. cf. Diog. L. 1 84 et v. Βίαντος.

δικάζω, δοτικῇ, τὸ ἐγκαλῶ· ⟨Demosth. 19 335⟩ "καὶ στρατηγῷ δικάζομεν."

Δικαιάρχεια πόλις, δικαιαρχία δὲ ἡ δικαίως ἄρχουσα.

Δικαίαρχος Λακεδαιμόνιος γραμματικός, ἀκροατὴς Ἀριστάρχου. a

Δικαίαρχος Φειδίου, Σικελιώτης ἐκ πόλεως Μεσσήνης, Ἀριστοτέλους ἀκουστής, φιλόσοφος καὶ ῥήτωρ καὶ γεωμέτρης, καταμετρήσεις τῶν ἐν Πελοποννήσῳ ὀρῶν, Ἑλλάδος βίον ἐν βιβλίοις γ'. οὗτος ἔγραψε τὴν πολιτείαν Σπαρτιατῶν· καὶ νόμος ἐτέθη ἐν Λακεδαίμονι καθ' ἕκαστον ἔτος ἀναγινώσκεσθαι b

τὸν λόγον εἰς τὸ τῶν ἐφόρων ἀρχεῖον, τοὺς δὲ τὴν ἡβητικὴν ἔχοντας ἡλικίαν ἀκροᾶσθαι. καὶ τοῦτο ἐκράτησε μέχρι πολλοῦ.

δικαϊκόν· ⟨M. Anton. 9 22⟩ "τρέχε ἐπὶ τὸ σεαυτοῦ ἡγεμονικόν, ἵνα νοῦν δικαϊκὸν αὐτὸ ποιήσῃς."

Δικαιογένης ὄνομα κύριον, ὃς τραγῳδίας καὶ διθυράμβους ἔγραψεν.

δικαιοδοσία· Πολύβιος "ὅταν ᾖ τὸ δίκαιον ἐκλαβεῖν παρὰ τῶν ἀδικησάντων ἢ κατὰ νόμους ἢ κατά τινας ἄλλας ὑποκειμένας δικαιοδοσίας" ἀντὶ τῦ εὐλόγυς ἀφορμάς.

δικαιοδότης ὁ δικαςής.

δίκαιον πρᾶγμα, ὅτι τῷ νόμῳ ἐςὶ σύμφωνον καὶ κοινωνίας ποιητικόν.

Δικαιόπολις πόλις ἐν Θρᾴκῃ, πλησίον Ἀβδήρων.

δικαιοπραγεῖν· ⟨Polyb. 8 28⟩ "καὶ μηδὲν δικαιοπραγεῖν παρὲξ τῶν προσαττομένων."

a δίκαιος· "κατὰ τὸν Αἰσχύλον, ὃ δοκεῖν δίκαιος ἀλλ' εἶναι θέλων, βαθεῖαν τῷ ὄντι καὶ αὐτὸς αὔλακα διὰ φρενῶν καρπούμενος" ⟨Damasc. Phot. p. 337 b⟩.

b δίκαιος. "δοκῶ δὲ ἐγὼ τοῦτον δειλιᾶν τῷ ξυνειδέναι· οὐ δίκαιος ὢν περὶ βασιλέα, ὧν ἐπάξιος τυχεῖν ἦν, ταῦτα ὡς καὶ πεισόμενος ἤδη δειμαίνει."

c δίκαιος. ὅτι ἔφη τις τῶν ὁσίων "ἄλλυς μὲν γὰρ οὐ πάντες ἀπαιτύμεθα σῶσαι, ἑαυτοὺς δὲ πάντες πάντως," καὶ ἄλλος ⟨Gen. 19 17⟩ "σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν." καὶ ὁ προφήτης ⟨Ezech. 18 24⟩ ὡς ἐκ Θεοῦ "ἐν τῷ ἀποςρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτῦ ποιῆσαι ἀδικίαν, πᾶσαι αἱ δικαιοσύναι αὐτῦ, ἃς ἐποίησεν, ὐ μὴ μνησθῶσιν· ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται." καὶ ⟨id. 33 12⟩ "δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτόν, ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ."

a δικαιοσύνη ἐπιςήμη ὧν αἱρετέον καὶ φευκτέον καὶ οὐδετέρων. Diog. L. 7 92.

b δικαιοσύνη οὖν ἡ κοινὴ ἀρετή, καὶ ἡ ἀντιδιαιρουμένη ταῖς ἄλλαις ἀρεταῖς ὁμωνύμως. διαφέρει δὲ ἀνδρία καὶ δικαιοσύνη, ὁμογενεῖς οὖσαι ὑπὸ τὸ αὐτὸ γένος, τὴν ἀρετήν· οἷον ἄλλως μὲν ἡ ἀνδρία μεσότης, ἄλλως δὲ ἡ δικαιοσύνη. ἣ μὲν γὰρ δυο κακιῶν, θρασύτητος καὶ δειλίας, ἣ δὲ πλεονεξίας καὶ μειονεξίας, ἐξ ὧν ἡ ἀδικία· ἐν γὰρ τούτοις τῇ ἀδικίᾳ τὸ εἶναι. καὶ περὶ ἄλλα μὲν ἡ ἀνδρία· περὶ γὰρ τὰς τῶν κινδύνων ὑπομονάς· περὶ ἄλλα δὲ ἡ δικαιοσύνη· περὶ γὰρ τὸ ἴσον, τό τε ἐν διανομῇ καὶ τὸ ἐν τοῖς συναλλάγμασι. καὶ οὕτω μὲν τὰ ὁμογενῆ.

δικαιοσύνη οὐχ ἡ πολιτικὴ ἀρετή, ἀλλ' c ἡ μείζων, τῷ δὲ αὐτῷ ὀνόματι χρωμένη. δικαιοσύνην δὲ τὴν ἑκάςῃ τῶν λοιπῶν ἀρετῶν οἰκειοπραγίαν ἀρχῆς πέρι καὶ τοῦ ἄρχεσθαι. καὶ δικαιοσύνη ἀποχὴ κερδῶν.

δικαιοσύνη καὶ ἡ τελεία ἀρετὴ καὶ ἡ d δικαία αἴτησις, ὡς ὁ ψάλλων ⟨16 1⟩ "εἰσάκουσον κύριε δικαιοσύνης μου."

δικαιότερον ςαχάνης, ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων· ςαχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν, ἴσως παρὰ τὴν ςάσιν. καὶ ἑτέρα παροιμία "δικαιότερος τρυτάνης."

δικαιούμενος κολαζόμενος, δίκης τυγχάνων.

δικαιοῦν. δύο δηλοῖ, τό τε κολάζειν καὶ τὸ δίκαιον νομίζειν· οὕτως Ἡρόδοτος. "δικαιῶν τοῖς αὐτοῖς ἀμύνεσθαι τοὺς Σκύθας, οἷς δὴ καὶ αὐτοὶ ἐς Ἀθηναίων τοὺς ἐνδόντας τὴν ἄκραν ὑπῆρξαν παρασπονδήσαντες." καὶ αὖθις Ἀππιανός ⟨t. 1 p. 27⟩ "ξυμβάσεις ποιεῖν ἐφ' οἷς ἂν Γάβιοι δικαιῶσιν" ἀντὶ τῦ δίκαιον εἶναι νομίζωσι. καὶ Ἰώσηπος ⟨A. I. 18 91⟩ "οἱ δὲ ἐφ' ὕβρει τὴν δικαίωσιν λογιζόμενοι, κατασπάσαντες τῶν ὅπλων πολλὰ ᾤχοντο εἴς τι χωρίον."

δικαιοῦσαν, αἰτιατικῇ, καταδικάζυσαν· "ὑπὲρ δὴ τούτων τὴν Ἄρτεμιν μηνῖσαι καὶ μετελθεῖν δικαιοῦσαν αὐτοὺς τῆς γῆς ἀγονίᾳ" ⟨cf. v. ἀγόνων⟩.

δικαίωμα. ὅτι οὐδὲν δικαίωμα τῶν ὅπλων ἰσχυρότερον· πᾶς γὰρ ὁ δυνάμει προέχων δικαιότερα ἀεὶ καὶ πράττειν καὶ λέγειν δοκεῖ. Dio Cass. 61 1.

δικαιώματα εὐλόγους ἀφορμάς· "ἐάν τε γὰρ νικῶμεν ἡμεῖς, ἕξεις πρὸς ἐμὲ δικαιώματα μεγάλα, διότι κεκοινώνηκας ἡμῖν τῶν μεγίςων κινδύνων."

δικαιώματα, νόμος, ἐντολαί, κρίματα. νόμον καλεῖ τὸν ὑπὸ τοῦ Θεοῦ διὰ τοῦ Μωσέως δεδομένον, ἐντολὰς δὲ καὶ προςάγματα πάλιν τὸν αὐτὸν ὡς βασιλικῶς ἐνταλθέντα καὶ προςαχθέντα, δικαιώματα ὡς δικαιοῦν τὸν κατορθῦντα δυνάμενα, κρίματα δὲ ὡς τὰς θείας ψήφυς ὑποδεικνύντα καὶ τὰς ἀξίας ἀντιδόσεις τῶν τε ἐννόμως καὶ παρανόμως βιούντων, μαρτύρια δὲ ὡς

διαμαρτυρούμενον καὶ δεικνύντα οἵαις ὑποβληθήσονται τιμωρίαις οἱ ταῦτα παραβαίνοντες. δικαιώματα δὲ καὶ αἱ κατακρίσεις. Theodoret. in Ps. 118 2. cf. v. νόμος.

δικαίως κἀδίκως ἀντὶ τοῦ παντὶ τρόπῳ· Ἀριςοφάνης Πλούτῳ ⟨231⟩ "ἡ γὰρ οἰκία αὕτη 'ςίν, ἣν δεῖ χρημάτων σε τήμερον μεςὴν ποιῆσαι καὶ δικαίως κἀδίκως," τουτέςι πάσῃ τέχνῃ.

δικαιώσεις Λυσίας τὰς δικαιολογίας, Θουκυδίδης δὲ τὰς κολάσεις λέγει. Harp.

δικαίωσις κατάκρισις· "οὐ γάρ τί που μετὰ μακρὸν ἐκολάσθη δικαιώσει." "δικαιωθέντων πάντων τῶν ἀδελφῶν Ἀριςαίου τοῦ γίγαντος δικαίωσιν τὴν πρεπωδεςάτην." cf. v. λύμη.

δικαιωτήρια οἷον δικαςήρια.

δικασπόλοι ⟨Hom. Α 238⟩ δικαςαί.

δίκας πραττόμενοι ἀντὶ τῦ τιμωρίαν ἐπιζητοῦντες.

δίκελλα γεωργικὸν ἐργαλεῖον· "οὐ βϐσὶ καὶ δικέλλῃ πορίζομένοις τὸν βίον, ἀλλ' ἵππῳ καὶ μαχαίρᾳ." καὶ δικελλίτης.

δικέραιον δύο κέρατα ἔχουσαν· ἐν ἐπιγράμματι ⟨AP 6 111⟩ "δέρμα δὲ καὶ δικέραιον ἀπὸ ςόρθυγγα μετώπων σπασσάμενος κούρᾳ θῆκε παρ' ἀγρότιδι."

a δίκη ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων συνιςαμένη κατηγορία, καὶ ἧς τὸ τίμημα ὡριςαι τοῖς νόμοις. "ὃ δὲ δίκην ἄδικον δικάσας καὶ διαφυγὼν μὴ ἀπολέσθαι πρότερον, τούτων περιῆν καὶ δίκην γενέσθαι ἀνάδικον." αἱ τοιαῦται δίκαι οὕτω λέγονται, αἱ εἰς ἀκέραιον ἀποκαθιςάμεναι ἤτοι διὰ πολιτικὴν αἰτίαν ἢ τῶν μαρτύρων ἁλόντων ψευδομαρτυριῶν. cf. v. ἀναδικάσασθαι.

b δίκη κρίσις. σημαίνει μὲν καὶ ἄλλα, ἰδίως δὲ ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων λέγεται, ὡς Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος ⟨1⟩ δῆλον ποιεῖ. Harp.

δίκη δίκην ἔτικτε καὶ βλάβη βλάβην, παροιμία ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις. καὶ "δίκην ὑφέξει, κἂν ὄνος δάκῃ κύνα," ἐπὶ τῶν ἐπὶ μικροῖς συκοφαντουμένων.

δίκην τρόπον· "καὶ ὃ μὲν ἐξετρίβη πίτυος δίκην, ῥιφεὶς εἰς θάλασσαν, καὶ δίδωσι δίκας αὐτῷ γένει."

δίκης δικαιοσύνης, ἢ τιμωρίας· "ἥξομεν κομιούμενοι παρ' ἀνδρῶν ἀνοσίων καὶ ψευδόρκων δίκας." ὅτι τὴν δίκην φασὶν οἱ παλαιοὶ εὐθεῖάν τε εἶναι καὶ ἀκλινῆ καὶ ἄτρεπτον· καὶ τοῦτο ᾄδουσι μὲν πλεῖςοι, ἤδη δὲ καὶ ἀνάγκη· φύσιν γὰρ δήπου τὸ δίκαιον τοιαύτην εἴληχεν. Ἡσίοδος δὲ ⟨O. 254⟩ αὐτὴν λέγει καὶ παρθένον ἀδιάφθορον τῇ τε ἄλλῃ καὶ μέντοι καὶ ὑπ' εὐνῆς ἀφροδισίου, αἰνιττόμενος ὅτι μὴ χρὴ δολῦν τὸ δίκαιον μήτε ἄλλως πεισθέντα μήτε λέχει παρατραπέντα. φησὶ δὲ ⟨ib. 236⟩ καὶ μετιέναι αὐτὴν τιμωρουμένην τούτους οἷσπερ οὖν ὕβρις μέμηλε κακὴ καὶ σχέτλια ἔργα. τοῖς γε μὴν ἐκείνην σέβουσι τήν τε γῆν τὰ οἰκεῖα βρύειν φησὶν ἀγαθά, καὶ τὴν θάλατταν χορηγεῖν ὅσα τίκτει καὶ τρέφει μάλ' ἀφθόνως. ἀκούω δὲ αὐτὴν καὶ παρ' αὐτῦ Διὸς καθῆσθαι θρόνῳ, καὶ κοινωνὸν τῶν ἀρίςων βϐλευμάτων εἶναι. καὶ Ὅμηρος δὲ ⟨Π 385⟩ μέγα αὐτῆς τὸ κράτος ὑμνεῖ, καὶ λέγει τοῖς ἀτιμάζουσιν αὐτὴν μηνιᾶν τὸν θεόν, καὶ λάβρους καταντλεῖν ὑετοὺς αὐτῶν, καὶ χειμάρρους ἐπ' αὐτοὺς ὠθεῖσθαι, καὶ ἀφανίζειν πόλεις αὐτῶν καὶ ἔργα καὶ ποίμνας, καὶ ταύτῃ κολάζεσθαι τῇ τιμωρίᾳ ὕβρεως καὶ ἀτασθαλίας ἔργα ὑπομένοντας πρεπωδέςερα, καὶ ἕτερα ἄττα.

δίκης ἀνάκρισις. οὐ πάσας δίκας κελεύουσιν οἱ νόμοι εἰσάγεσθαι, ἀλλ' ὅταν ὁ φεύγων ἀντιλέγῃ καὶ παραγράφηται, λέγων εἰσαγώγιμον μὴ εἶναι αὐτήν, πρότερον ἐπὶ τούτῳ γίνεται κρίσις, ἥτις δίκης ἀνάκρισις λέγεται.

δίκης δικαιότερος, καθ' ὑπερβολὴν ἐπὶ τῶν σφόδρα δικαίων.

δίκης ὀφθαλμός· ⟨Polyb. 24 8⟩ "ὥς καὶ πάντας ἀνθρώπους ὁμολογῆσαι διότι κατὰ τὴν παροιμίαν ἔςι δίκης ὀφθαλμός, ἧς μηδέποτε καταφρονεῖν ἀνθρώπϐς ὑπάρχοντας."

δικηλιςῶν καὶ μιμηλῶν. εἶδός ἐςι κωμῳδίας, ὥς φησι Σωσίβιος ὁ Λάκων.

δικητροπεῖ φυγαδεύει. "ἀλλ' ἔςιν ἔνθα χἠ δίκη βλάβην φέρει" ⟨S El. 1042⟩ ἀντὶ τῦ καταδίκην.

δικιδίοις ⟨A Nub. 1107⟩ ὑποκοριςικῶς ταῖς δίκαις.

δικλίς δικλίδος καὶ δικλίδας. δίθυρον. ἐν ἐπιγράμματι ⟨AP 5 256⟩ "δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις."

δίκορος. ὅτι Ἀναςάσιος ὁ τῶν Ῥωμαίων βασιλεὺς δίκορος ἐλέγετο.

δικορραφεῖν ⟨A Av. 1435, Nub. 1485⟩

δίκας συρράπτειν, ἐν τοῖς δικαςηρίοις ἀναςρέφεσθαι.

δίκορσον δικόρυφον.

δικραές δικέφαλον.

δίκραιρος· "δικραίρῳ δικέρωτα, δασυκνάμῳ δασυχαίταν" ἐν ἐπιγράμματι ⟨AP 6 32⟩.

δίκρανα· "παρεσκεύαςο δὲ καὶ δίκρανα, ὥςε ἀπωθεῖσθαι τὴν τῶν λεγομένων σκαλῶν προσαγωγήν."

δικροῖς διφυέσι ξύλοις, δικρανίοις· Ἀριςοφάνης ⟨Pac. 636⟩ "δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασι," τὴν εἰρήνην λέγων. ἔδει δὲ εἰπεῖν ξύλοις, καὶ εἶπε κεκράγμασιν, ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι εἰρήνην.

δίκροτα διήρη· ⟨Dio Cass. 74 11⟩ "πλοῖα μονήρη, ἔςιν ἃ καὶ δίκροτα κατεσκευάσαντο. τινὰ δὲ καὶ ἐκ τῆς πρύμνης καὶ ἐκ τῆς πρῴρας ἑκατέρωθεν πηδαλίοις ἤσκηντο, ὅπως αὐτοί τε μὴ μεταςρεφόμενοι καὶ ἐπιπλέωσι καὶ ἀναχωριῶσι, καὶ τοὺς ἐναντίους ἐν τῷ πρόσπλῳ καὶ ἀπόπλῳ αὐτῶν σφάλλωσιν."

Δικταῖον σπήλαιον.

δικτατορεία ἀρχὴ ἀνυπεύθυνος.

a δικτάτωρ ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων, ὃς παρὰ Ῥωμαίοις δισύπατος καλεῖται. ἀρχὴ δ' ἦν πρόσκαιρος, οὐ διὰ βίȣ, καὶ ἀνεύθυνος. ἢ ὁ μονάρχης πάντων κρατῶν.

b δικτάτωρ. ἐπειδὴ Μάλιος ⟨an Μαμίλιος⟩, ἀνὴρ Λατῖνος μὲν γένος καὶ μέγα παρὰ τοῖς ὁμοφύλοις δυνάμενος, ἀναςήσας πανδημεὶ τὸ Λατίνων γένος χεῖρά τε μισθοφόρων πολλὴν ἀγείρας τιμωρεῖν τοῖς κηδεςαῖς ἀτίμως παρεωσμένοις ἠξίου τῆς δυναςείας, ἡ βουλὴ καταδείσασα τὸ πλῆθος τοῦ πολεμίου νέφȣς καινὸν ἡγεμονίας εὑρίσκει γένος, προχειρισαμένη τότε πρῶτον δικτάτωρα, ὃς καθ' Ἑλλάδα γλῶτταν κληθείη ἂν εἰσηγητὴς τῶν λυσιτελῶν, ὑπερέχων μὲν τῆς τῶν ὑπάτων ἀρχῆς, τοῖς δὲ βασιλεῦσι προσφερέςατος· ἀνυπεύθυνόν τε γὰρ τῶν ὅλων εἶχε τὸ κράτος καὶ ἰσοτύραννον ἐν τῷ καθεςηκότι χρόνῳ τὴν ἐξουσίαν. τοιγαροῦν Γάιος Καῖσαρ πρότερον, καὶ μετὰ τοῦτον Αὔγουςος Ὀκτάβιος, ὧν ὕςερον κατὰ τοὺς οἰκείȣς χρόνους μνημονεύσομεν, ὑπὸ τῷδε τῷ ὀνόματι τῆς μοναρχίας ἀντιλαμβάνεσθαι διέγνωσαν.

δικτυεύς ὁ ἁλιεύς. τῷ δικτυεῖ.

δίκτυον. καὶ παροιμία "δικτύῳ ἄνεμον θηρᾷς," ἐπὶ τῶν μάτην καὶ ἀνοήτως τι ποιούντων. καὶ "δίκτυον φυσᾷς" ὁμοίως.

Δίκτυς ἱςορικὸς ἔγραψεν ἐφημερίδα (ἔςι δὲ τὰ μεθ' Ὅμηρον καταλογάδην ἐν βιβλίοις θ'), Ἰταλικά, Τρωικοῦ διακόσμου. οὗτος ἔγραψε τὰ περὶ τῆς ἁρπαγῆς Ἑλένης καὶ περὶ Μενελάȣ καὶ πάσης Ἰλιακῆς ὑποθέσεως.

ὅτι ἐπὶ Κλαυδίου τῆς Κρήτης ὑπὸ σεισμȣ̃ κατενεχθείσης, καὶ πολλῶν τάφων ἀνεωχθέντων, εὑρέθη ἐν ἑνὶ τȣ́των τὸ σύνταγμα τῆς ἱςορίας Δίκτυος, τὸν Τρωικὸν περιέχον πόλεμον, ὅπερ λαβὼν Κλαύδιος ἐξέδωκε γράφεσθαι.

δικτυωτή ⟨Polyb. 15 30⟩ καγκελλωτή, καὶ δικτυωτός ὁ πολύπλοκος.

δίκυμα τὰ διδυμοτόκα πρόβατα.

δίλημμα τὸ δισσῶς λαμβανόμενον φρόνημα.

διλήμματον διχῶς νοούμενον.

Διλιμνῖται ⟨Agath. 3 17⟩.

διλοχία δύο λόχοι. καὶ ὁ ἡγούμενος αὐτῶν διλοχίτης.

διμήτωρ ὁ Διόνυσος.

διμοιρίτης. τȣ̃το ἐνίοτε τριώβολον ἀποδεδώκασιν, ἐπειδὴ τοῦτο δίμοιρόν ἐςι δραχμῆς· ὁ οὖν τοῦτο λαμβάνων ςρατιώτης διμοιρίτης ἐλέγετο. ἔςι δέ τις καὶ ςρατιωτικὴ ἀρχή, ὡς λοχαγός, διὰ τὸ παρ' ἄλλους ςρατιώτας δύο μοίρας λαμβάνειν. οἱ δὲ διμοιρίαν καὶ ἡμιλοχίαν ταὐτό φασι, καὶ διμοιρίτης καὶ ἡμιλοχίτης ὁ ἄρχων τῆς διμοιρίας καὶ τῆς ἡμιλοχίας.

δῖναι αἱ τῶν ὑδάτων συςροφαί· Ἀρριανός "δῖναί τε ἔςιν ὅπῃ ἀτόπως ἐπιςρέφουσαι, ὡς μὴ πρόσθεν ἐμπίπτειν χρῆναι τὴν ἑπομένην τῇ προπλεούσῃ νηὶ ἢ τὴν φθάνουσαν τῇ ἄγαν εἰρεσίᾳ ἐκ τῆς δίνης ἐξελαθεῖσαν εἰς εὐθὺ τȣ̃ πλοῦ καταςῆναι." καὶ δίνης τῆς συςροφῆς τῶν ὑδάτων.

δινεύοντες ⟨Hom. Σ 543⟩ ςρέφοντες.

δινήεντος δίνας ἔχοντος, συςροφὰς ὕδατος περιφερεῖς τινὰς πεποιημένας.

δινήσας ςρέψας.

δῖνος ἡ περιδίνησις ἡ αἰθερία, ἡ συςροφή· Ἀριςοφάνης Νεφέλαις ⟨379⟩ "ἀλλ' αἰθέριος δῖνος." οἱ δὲ ὅτι κεραμεοῦν ἐςὶν ἀγγεῖον. τουτέςι βαθὺ ποτήριον, ὃ καλεῖται δῖνος, Δῖνόν φησιν Ἀριςοφάνης, καὶ τὰς νεφέλας θεούς.

δινωτήν ⟨Hom. Ν 407, τ 56⟩ περιφερῆ.

δινωτοῖς ⟨Hom. Γ 391⟩ λιθοςρώτοις.

διὸ σύνδεσμος.

διόβλητοι οὐρανόθεν βαλλόμενοι· "σκηπτοί τε κατωλίσθανον καὶ ἐγίνοντο διόβλητοι ἅπαντες."

διόβλητος ὁ ὑπὸ κεραυνοῦ βληθείς· "ὁ δὲ τοῦ τολμήματος ἡγεμὼν διόβλητος γενόμενος εἶτα κατεπρήσθη."

a Διογενειανὸς Ἡρακλείας Πόντου, γραμματικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ βασιλέως.

b Διογενειανὸς Ἡρακλείας ἑτέρας, οὐ τῆς Πόντου, γραμματικός, γεγονὼς καὶ αὐτὸς ἐπὶ Ἀδριανοῦ βασιλέως. ἐπιστατέον δὲ μήποτέ ἐστιν ὁ ἐκ τῆς Ἀλβάκης Ἡρακλείας τῆς ἐν Καρίᾳ ἰατρός· ἦν γὰρ οὗτος παντοῖος λόγοις. οὐ γὰρ εὗρον ῥητῶς τὸ ἐξ Ἡρακλείας αὐτὸν εἶναι τῆς ἐν Πόντῳ, ἀλλ' οὕτω παρά τισι δεδόξασται. ἔστιν αὐτῷ βιβλία ταῦτα, λέξις παντοδαπὴ κατὰ στοιχεῖον ἐν βιβλίοις έ (ἐπιτομὴ δέ ἐστι τῶν Παμφίλου λέξεων βιβλίων ἐ καὶ ϛ καὶ τῶν Ζωπυρίωνος), ἐπιγραμμάτων ἀνθολόγιον, περὶ ποταμῶν λιμνῶν κρηνῶν ὀρῶν ἀκρωρειῶν. περὶ ποταμῶν κατὰ στοιχεῖον ἐπίτομον ἀναγραφήν. συναγωγὴν καὶ πίνακα τῶν ἐν πάσῃ τῇ γῇ πόλεων, καὶ τὰ λοιπά.

διογενές εὐγενέστατε.

a Διογένης Ἀντισθένους ὁμιλητής, ὃς πρῶτος Κλέων (an κύων) ἐπεκλήθη, ἐν πίθῳ δὲ διέτριβεν. ἐρομένῳ δὲ αὐτῷ πῶς ἂν πρωτεύσειεν (ἐπολιτεύετο δέ) ὁ θεὸς ἀνεῖλεν εἰ παραχαράξειεν· ὃ δὲ τὸ νόμισμα παρεχάραξεν, ἐφ' ᾧ φυγὼν ἦλθεν εἰς Ἀθήνας, ἐντυχὼν δὲ Ἀντισθένει κατὰ δόξης διαλεγομένῳ ἐφιλοσόφησε. πλέων δὲ ὑπὸ καταποντιστῶν ληφθεὶς ἐπράθη, κηρυττόμενος δὲ καὶ ἐρωτώμενος τί εἰδείη, ἄρχειν ἀνθρώπων ἔφη, καὶ θεασάμενος Κορίνθιον πλέσιον ἄσωτον "τούτῳ με" ἔφη "πώλησον· δεσπότου γὰρ δεῖται." ὃ δὲ ὠνεῖται καὶ εἰς Κόρινθον ἄγει καὶ τῶν παίδων ἀποδείκνυσι παιδαγωγόν, ἔλεγε δὲ δαίμονα ἀγαθὸν εἰς τὴν οἰκίαν εἰσεληλυθέναι.

b Διογένης Ἱκεσίου υἱὸς τραπεζίτου, Σινωπεύς, ὃς φυγὼν τὴν πατρίδα διὰ τὸ παρακόψαι νόμισμα ἦλθεν εἰς Ἀθήνας, καὶ Ἀντισθένει παραβαλὼν τῷ κυνικῷ ἠράσθη τοῦ ἐκείνου βίου καὶ τὴν κυνικὴν φιλοσοφίαν ἠσπάσατο, πολλῆς οὔσης αὐτῷ ὑπεριδὼν οὐσίας. γηραιὸς δὲ ὢν ὑπὸ πειρατοῦ Σκιρτάλου ἐλήφθη, καὶ πραθεὶς ἐν Κορίνθῳ Ξενιάδῃ τινὶ παρὰ τῷ πριαμένῳ διέμεινεν, οὐχ ἑλόμενος λυθῆναι ὑπὸ Ἀθηναίων ἢ τῶν οἰκείων καὶ φίλων. ἐπὶ δὲ τῆς ριγ' ὀλυμπιάδος κατέστρεψε τὸν βίον δηχθεὶς ὑπὸ κυνὸς τὸ σκέλος καὶ θεραπείας ὑπεριδών, κατὰ τὴν αὐτὴν ἡμέραν ὅτε καὶ ὁ Μακεδὼν Ἀλέξανδρος ἐν Βαβυλῶνι ἀπέθανεν.

c Διογένης ὄνομα φιλοσόφου τοῦ καὶ κυνός. "τί χρὴ περὶ τῆς ἀνδρίας Διογένους λέγειν, τῆς πραότητος Ξενοκράτους, τῆς Ἀριστοτέλους εὐμουσίας, τῆς Θεοφράστου βαρύτητος, Ζήνωνος τῶν αὐστηρῶν καὶ γενναίων τρόπων, Πλάτωνος σεμνότητος, Πολέμωνος ἐγκρατείας; τούτων γὰρ οὐκ ἔστιν ὅστις οὐ πάντα ἀγαθὸς ὢν διέφερεν ὅμως τοῦ πλησίον κατὰ πολύ."

d Διογένης ἢ Οἰνόμαος Ἀθηναῖος τραγικὸς γέγονεν ἐπὶ τῆς τῶν λ' καταλύσεως. δράματα αὐτοῦ Ἀχιλλεύς, Ἑλένη, Ἡρακλῆς, Θυέστης, Μήδεια, Οἰδίπους, Χρύσιππος, Σεμέλη.

e Διογένης ἢ Διογενειανὸς Κυζικηνὸς γραμματικὸς ἔγραψε πάτρια Κυζίκου, περὶ τῶν ἐν τοῖς βιβλίοις σημείων, περὶ ποιητικῆς, περὶ στοιχείων.

f Διογένης. ὅτι Διογένης εἶχεν ἐρῶντα παῖδα, καὶ πικρὸς ὢν πατὴρ οὐ συνεγίνωσκε νέᾳ ῥαθυμίᾳ, ἀλλὰ ἀνείργων αὐτὸν καὶ ἀναστέλλων τοῦ πόθου μᾶλλόν οἱ τὸ πάθος παρώξυνε. καὶ ἦν τοῦ κακοῦ δεινὴ ἐπίτασις· ἐξερριπίζετο γὰρ ὁ ἔρως ἐμποδὼν ἑσταμένου τοῦ Διογένους, καὶ ἐς τὴν παροῦσαν νόσον μᾶλλον ἐξήπτετο ὁ νέος. ἧκεν οὖν εἰς Δελφούς, ὡς ἑώρα φιλόνεικον ὂν τὸ κακόν, καὶ δυσανασχετῶν τε ἅμα καὶ περιαλγῶν ἐρωτᾷ εἴ οἱ πεπαύσεται νοσῶν ποτὲ ὁ παῖς. ἡ δὲ ὡς εἶδεν οὐ πάντῃ φρενήρη γέροντα οὐδὲ ἐρωτικαῖς συγγνώμονα ἀνάγκαις, λέγει ταῦτα· "λήξει παῖς σὸς ἔρωτος, ὅταν κούφῃ νεότητι Κύπριδος ἱμερόεντι καταφλεχθῇ φρένας οἴστρῳ. ὀργὴν οὖν πρήυνον ἀμειδέα, μηδ' ἐπιτείνειν κωλύων· πράσσεις γὰρ ἐναντία σοῖσι λογισμοῖς. ἢν δ' ἐφ' ἡσυχίην ἔλθῃς, λήθην τάχος ἕξει φίλτρων, καὶ νήψας αἰσχρᾶς καταπαύσεται ὁρμῆς." ἀκούσας τοίνυν ὁ Διογένης ταῦτα τὸν μὲν θυμὸν κατεστόρεσεν, ἐλπίδος δὲ ὑπεπλήσθη χρηστῆς, ἔχων τῆς τοῦ παιδὸς σωφροσύνης ἐγγυητὰς ἀξιόχρεως· καὶ ἐν ταὐτῷ βελτίων ἐγένετο ὁ πατήρ, ἡμερωθείς τε καὶ πραϋνθεὶς τὸν τρόπον. τοῦτό τοι

καὶ ὁ τραγικὸς Αἵμων ὁ τοῦ Σοφοκλέους ἀπεδείξατο, τῆς Ἀντιγόνης ἐρῶν καὶ πικρῷ ξιφομαχῶν πατρὶ τῷ Κρέοντι· καὶ γάρ τοι καὶ ἐκεῖνος ὁμοίως ἐλαυνόμενος, ξίφει πρὸς τὸν ἔρωτα καὶ τὸν πατέρα τὴν νόσον διελέσατο.

Διόγνητος ὄνομα κύριον.

διοδεία ἡ διέλευσις.

δίοδοι αἱ ὁδοί, ἀπὸ τοῦ διοδεύειν. Ἀριστοφάνης ⟨Eccl. 720⟩ "αἱ δὲ γυναῖκες κατὰ τὰς διόδους προσπίπτουσαι τοῖς ἀπὸ δείπνυ τάδε λέξυσιν· δεῦρο παρ' ἡμᾶς, ἐνθάδε μεῖραξ ἔσθ' ὡραία."

a Διόδωρος καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐςὶν Αὐλητρίς, ὡς Ἀθήναιος ἐν τῷ ι τῶν Δειπνοσοφιςῶν λέγει ⟨p. 431⟩. ἐν δὲ τῷ ιβ' φησὶν ὅτι καὶ Ἐπίκληρος καὶ Πανηγυριςαί.

b Διόδωρος μονάζων, ἐν τοῖς χρόνοις Ἰυλιανοῦ καὶ Οὐάλεντος ἐπισκοπήσας Ταρσῶν τῆς Κιλικίας. οὗτος ἔγραψεν, ὥς φησι Θεόδωρος ἀναγνώςης ἐν τῇ ἐκκλησιαςικῇ ἱςορίᾳ, διάφορα. εἰσὶ δὲ τάδε, ἑρμηνεῖαι εἰς τὴν παλαιὰν πᾶσαν, γένεσιν ἔξοδον καὶ ἐφεξῆς, εἰς ψαλμοὺς καὶ εἰς τὰς δ' βασιλείας, εἰς τὰ ζητούμενα τῶν παραλειπομένων, εἰς τὰς παροιμίας, τίς διαφορὰ θεωρίας καὶ ἀλληγορίας, εἰς τὸν ἐκκλησιαςήν, εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων, εἰς τοὺς προφήτας. χρονικὸν διορθούμενον τὸ σφάλμα Εὐσεβίου τοῦ Παμφίλου περὶ τῶν χρόνων. εἰς τὰ δ' εὐαγγέλια, εἰς τὰς πράξεις τῶν ἀποςόλων, εἰς τὴν ἐπιςολὴν Ἰωάννου τοῦ εὐαγγελιςοῦ. περὶ τῦ εἷς θεὸς ἐν τριάδι. κατὰ Μελχισεδεκιτῶν, κατὰ Ἰυδαίων. περὶ νεκρῶν ἀναςάσεως. περὶ ψυχῆς, κατὰ διαφόρων περὶ αὐτῆς αἱρέσεων. πρὸς Γρατιανὸν κεφάλαια, κατὰ ἀςρονόμων καὶ ἀςρολόγων καὶ εἱμαρμένης. περὶ σφαίρας καὶ τῶν ζ' ζωνῶν καὶ τῆς ἐναντίας τῶν ἀςέρων πορείας. περὶ τῆς Ἱππάρχου σφαίρας. περὶ προνοίας. κατὰ Πλάτωνος περὶ θεοῦ καὶ θεῶν. περὶ φύσεως καὶ ὕλης, ἐν ᾧ τί τὸ δίκαιόν ἐςι. περὶ θεῦ καὶ ὕλης Ἑλληνικῆς πεπλασμένης. ὅτι αἱ ἀόρατοι φύσεις οὐκ ἐκ τῶν ςοιχείων ἀλλ' ἐκ μηδενὸς μετὰ τῶν ςοιχείων ἐδημιυργήθησαν, πρὸς Εὐφρόνιον φιλόσοφον, κατὰ πεῦσιν καὶ ἀπόκρισιν. κατὰ Ἀριςοτέλους περὶ σώματος οὐρανίου. πῶς θερμὸς ὁ ἥλιος. κατὰ τῶν λεγόντων ζῷον τὸν οὐρανόν. περὶ τοῦ πῶς ἀεὶ μὲν ὁ δημιουργός, οὐκ ἀεὶ δὲ τὰ δημιουργήματα. πῶς τὸ θέλειν καὶ τὸ μὴ θέλειν ἐπὶ θεοῦ ἀιδίου ὄντος. κατὰ Πορφυρίου περὶ ζῴων καὶ θυσιῶν.

Διόδωρος ὁ Οὐαλέριος ἐπικληθείς, φι- c
λόσοφος, μαθητὴς Τηλεκλέυς, Ἀλεξανδρεύς, υἱὸς Πωλίωνος τοῦ φιλοσόφου τοῦ γράψαντος τὴν Ἀττικὴν λέξιν, γεγονὼς ἐπὶ τῦ Καίσαρος Ἀδριανοῦ.

Διόδωρος Σικελιώτης ἱςορικὸς ἔγραψε βιβλιοθήκην· ἔςι δὲ ἱςορία Ῥωμαϊκή τε καὶ ποικίλη ἐν βιβλίοις μ'. γέγονε δὲ ἐπὶ τῶν χρόνων Αὐγούςου Καίσαρος καὶ ἐπάνω.

διοιγνύντες ἀνοίγοντες.

διοιδούντων ἐκφυσώντων.

διοιδοῦσα ἀντὶ τοῦ ὀγκουμένη.

διοικεῖν ἀντὶ τοῦ διαιρήσειν, ὥςε μὴ ἐν ταὐτῷ πάντας οἰκεῖν, ἀλλὰ χωρὶς καὶ κατὰ μόνας. Harp.

διοικίζω τὸ διαχωρίζω, καὶ διοικίζεσθαι χωρίζεσθαι. διοικῶ δὲ τὸ τελειῶ.

διοιμώζειν.

διοίσασα διαπεράσασα.

διοίσειν διαφέρειν. "πίςεις τε ἔδοσαν ὡς καὶ προθύμως σφίσι τὸν πόλεμον διοίσοντες" ἀντὶ τοῦ συνδιενεγκόντες. "τὸν πίθον οὔτ' ἐπιεικὲς διοίσειν οὔτε ἀσφαλὲς καινὸν ὄντα" ἀντὶ τοῦ ἀνοῖξαι. καὶ παροιμία ⟨A Nub. 503⟩ "οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν," ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν, ἐπεὶ τοιοῦτος ὁ Χαιρεφῶν τὴν φύσιν καὶ τὴν ἰδέαν ἅτε σοφίᾳ συντετηκώς· ὅθεν καὶ νυκτερὶς ἐκαλεῖτο. καὶ Ἀριςοφάνης ⟨Plut. 384⟩ "οὐδὲν διοίσοντ' ἄντικρυς τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν τῶν Παμφίλου." οὗτος τραγῳδιοποιὸς ἐγένετο, καὶ ἔγραψε τὰ συμβάντα τοῖς Ἡρακλείδαις.

διοίσεται διαφορὰν σχῇ. a

διοίσεται· Σοφοκλῆς ⟨Ai. 512⟩ "τροφῆς b
ςερηθεὶς σοῦ διοίσεται μόνος," ἀντὶ τῦ διάξει, βιώσεται.

διοίσομαι ἀμφιβαλῶ· "οὐ μὴν κατὰ τοῦτο διοίσομαι οὐδέν."

Διοκαισάρεια ἡ νῦν λεγομένη Ἀνάζαρβα, πόλις ἐν Κιλικίᾳ. πρότερον δὲ Κύινδα ἐλέγετο. cf. v. Ἀνάζαρβος.

Διοκλῆς Ἀθηναῖος ἢ Φλιάσιος, ἀρχαῖος κωμικός, σύγχρονος Σαννυρίωνι καὶ Φιλυλλίῳ. δράματα αὐτοῦ Θάλαττα, Μέλιτται, Ὄνειροι, Βάκχαι, Θυέςης β'. τοῦτον δὲ φα-

σιν εὑρεῖν καὶ τὴν ἐν τοῖς ὀξυβάφοις ἁρμονίαν, ἐν ὀστρακίνοις ἀγγείοις, ἅπερ ἔκρουεν ἐν ξυληφίῳ. τὸ δὲ Θάλαττα ἑταίρας ὄνομά ἐστιν, ὡς Ἀθήναιός φησιν ⟨p. 567⟩.

Διοκλητιανός βασιλεὺς Ῥωμαίων. ἐπὶ τούτου καὶ Μαξιμιανοῦ γαμβροῦ αὐτοῦ διωγμὸς κατὰ Χριστιανῶν ἐκινήθη φρικωδέστατος. προσέταξαν γὰρ κατὰ χώραν καὶ πόλιν τὰς Χριστοῦ ἐκκλησίας καταστρέφεσθαι καὶ τὰς θείας αὐτῶν γραφὰς κατακαίεσθαι, τοὺς δὲ Χριστιανοὺς εὑρισκομένους ἀναγκάζεσθαι θύειν τοῖς δαίμοσιν. ἡττηθέντες δὲ τῷ πλήθει τῶν ἀναιρουμένων Χριστιανῶν ἐξέθεντο δόγμα ὥστε τοὺς εὑρισκομένους Χριστιανοὺς ἐξορύττεσθαι τὸν δεξιὸν ὀφθαλμόν, οὐ μόνον διὰ τὸ ὀδυνηρόν, ἀλλὰ καὶ διὰ τὸ ἄτιμόν τε καὶ πρόδηλον καὶ τῆς τῶν Ῥωμαίων πολιτείας ἀλλότριον. οὓς ἡ θεία δίκη ἐνδίκως μετελθοῦσα δικαίως ἐξέκοψε, καὶ ὃ μὲν ἐσφάγη ὑπὸ τῆς συγκλήτου, ὃ δὲ ἀπήγξατο.

οὗτος ὁ ἄνους καὶ μισόχριστος μνήμῃ καὶ ὀργῇ τῶν περὶ τὴν ἀρχὴν νεωτερισθέντων περὶ τὴν Αἴγυπτον οὐ μετρίως οὐδὲ ἡμέρως τῷ κρατεῖν ἀπεχρήσατο, ἀλλὰ προγραφαῖς τε καὶ φόνοις τῶν ἐπισήμων μιαίνων ἐπῆλθε τὴν Αἴγυπτον, ὅτε δὴ καὶ τὰ περὶ χημείας ἀργύρου καὶ χρυσοῦ τοῖς παλαιοῖς αὐτῶν γεγραμμένα βιβλία διερευνησάμενος ἔκαυσε πρὸς τὸ μηκέτι πλοῦτον Αἰγυπτίοις ἐκ τῆς τοιαύτης περιγίνεσθαι τέχνης, μηδὲ χρημάτων αὐτοὺς θαρροῦντας περιουσίᾳ τοῦ λοιποῦ Ῥωμαίοις ἀνταίρειν. ἦν δὲ τὸ ἦθος ποικίλος τις καὶ πανοῦργος, τῷ δὲ λίαν συνετῷ καὶ ὀξεῖ τῆς γνώμης ἐπεκάλυπτε πολλάκις τὰ τῆς οἰκείας φύσεως ἐλαττώματα, πᾶσαν σκληρὰν πρᾶξιν ἑτέροις ἀνατιθείς. ἐπιμελὴς δὲ ὅμως καὶ ταχὺς ἐν ταῖς τῶν πρακτέων ἐπιβολαῖς. καὶ πολλὰ τῶν τῆς βασιλικῆς θεραπείας ἐπὶ τὸ αὐθαδέστερον παρὰ τὰ καθεστηκότα Ῥωμαίοις πάτρια μετεσκεύασεν. Io. Antioch. p. 834.

ὅτι Διοκλητιανὸς καὶ Μαξιμιανὸς τὴν βασιλείαν ἀφέντες τὸν ἰδιώτην μετῆλθον βίον, καὶ ὃ μὲν ἐς Σάλωνας πόλιν Ἰλλυρικήν, ὃ δὲ ἐς τὴν Λευκανῶν ἀφίκετο. καὶ ὁ μὲν Μαξιμιανὸς πόθῳ τῆς ἀρχῆς ἐς μεταμέλειαν ἦλθε, Διοκλητιανὸς δὲ ἐν ἡσυχίᾳ κατεγήρα ἐν ἔτεσι τρισίν, ὑπερβάλλουσαν ἀρετὴν ἐνδειξάμενος, τῆς δὲ Ἑλληνικῆς θρησκείας οὐδ' ὅλως ἀποστάς.

διοκωχή ἀνακωχὴ χρόνου· "ἐν μάχαις τισὶν αὐτοὺς νικήσας καὶ διοκωχὴν αἰτήσασιν ἔδωκε."

διολισθαίνω. καὶ διολισθεῖν ἐκφυγεῖν· "ὥστε τοὺς χρήστας διολισθεῖν" ⟨A Nub. 433⟩, τουτέστι τοὺς δανειστὰς ἐκφυγεῖν.

διολκή.

διόλου, ἐπίρρημα, δι' ὅλου τοῦ καιροῦ.

Διομεῖς δῆμος τῆς Αἰγηίδος φυλῆς, ἀπὸ Διόμου ἐρωμένου τοῦ Ἡρακλέους. Ἀριστοφάνης ⟨Ran. 663⟩ "ἐφρόντισα ὁπόθ' Ἡράκλεια τἀν Διομείοις γίνεται." τὸ δὲ Ἡράκλειον ἱερὸν Ἡρακλέους. καὶ διομειαλαζόνας λέγει ⟨Ach. 606⟩, ἀπὸ Διομέων τοῦ δήμου, ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου.

Διομήδεια ἡ νῆσος.

Διομήδειον ἔπος.

Διομήδειος ἀνάγκη, παροιμία, ἀπὸ τοῦ Τυδέως, ἢ ἀπὸ τοῦ Θρᾳκός, ὃς ἠνάγκαζε τοὺς ξένους αἰσχραῖς οὔσαις ταῖς θυγατράσιν αὐτοῦ μίσγεσθαι, ἃς καὶ ἵππους ἀλληγορεῖ, εἶτα ἀνῄρει. οἱ δὲ ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ παλλάδιον κλέψαντες νυκτὸς ἐπανῄεσαν, ἑπόμενος δὲ ὁ Ὀδυσσεὺς τὸν Διομήδην ἐβουλήθη ἀποκτεῖναι, ἐν τῇ σελήνῃ δὲ ἰδὼν τὴν σκιὰν τοῦ ξίφους ὁ Διομήδης δείσας τὸν Ὀδυσσέα ἐποίησε προάγειν, παίων αὐτοῦ τῷ ξίφει τὸ μετάφρενον. τάττεται δὲ ἐπὶ τῶν κατ' ἀνάγκην τι πραττόντων. διὰ τοῦτο λέγει ⟨A Eccl. 1021?⟩ ὅτι ἵππους ἀνθρωποφάγους εἶχεν ὁ Διομήδης.

διόμνυται ὀμνύει.

διομολογῶ αἰτιατικῇ.

δῖον ἔνδοξον.

διονύσια ἑορτὴ παρ' Ἀθηναίοις. καὶ παροιμία "ἐξ αὐτοῦ σχεδὸν τοσοῦτον ὅσον ἐκ διονυσίων" ⟨A Thesm. 754⟩. ἔθος ἦν Ἀττικοῖς λέγειν τὰ ἔτη καὶ τὸν ὑπερπίπτοντα ἀριθμὸν ἀπὸ τῶν διονυσίων. καὶ αὖθις ⟨Ach. 194⟩ "ὦ διονύσια, αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος." εἴρηται ἐπὶ τῶν ἀποδοχῆς ἀξίων.

Διονυσιάδης Φυλαρχίδου Μαλλώτης τραγικός. ἦν δὲ οὗτος τῶν τῆς Πλειάδος, καὶ γέγραπται αὐτῷ μεταξὺ ἄλλων καὶ Χαρακτῆρες ἢ Φιλοκώμῳδοι, ἐν ᾧ τοὺς χαρακτῆρας ἀπαγγέλλει τῶν ποιητῶν.

a Διονύσιος Ἀλεξανδρείας, οὗ εὗρον ὑπόμνημα εἰς τὸν ἐκκλησιαστὴν Σολομῶντος λίαν εὐφραδές.

b Διονύσιος Ἀλεξανδρεύς, ὁ Γλαύκȣ υἱός, γραμματικός, ὅϛις ἀπὸ Νέρωνος συνῆν καὶ τοῖς μέχρι Τραϊανοῦ, καὶ τῶν βιβλιοθηκῶν προύϛη, καὶ ἐπὶ τῶν ἐπιϛολῶν καὶ πρεσβειῶν ἐγένετο καὶ ἀποκριμάτων. ἦν δὲ καὶ διδάσκαλος Παρθενίου τοῦ γραμματικοῦ, μαθητὴς δὲ Χαιρήμονος τοῦ φιλοσόφου, ὃν καὶ διεδέξατο ἐν Ἀλεξανδρείᾳ.

c Διονύσιος Ἀλεξανδρεύς, Θρᾷξ δὲ ἀπὸ τοῦ πατρὸς Τήρου τοὔνομα κληθείς, Ἀριϛάρχȣ μαθητής, γραμματικός, ὃς ἐσοφίϛευσεν ἐν Ῥώμῃ ἐπὶ Πομπηΐȣ τοῦ μεγάλȣ, καὶ ἐξηγήσατο Τυραννίωνι τῷ προτέρῳ. συνέταξε δὲ πλεῖϛα γραμματικά τε καὶ συνταγματικὰ καὶ ὑπομνήματα.

d Διονύσιος Ἀλεξάνδρȣ Ἁλικαρνασσεύς, ῥήτωρ καὶ παντοίως λόγιος· γέγονε δὲ ἐπὶ Καίσαρος τοῦ σεβαϛοῦ, πρόγονος τοῦ ἐπὶ Ἀδριανοῦ γεγονότος ἀττικιϛοῦ.

e Διονύσιος Ἁλικαρνασσεύς, γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος, σοφιϛής, καὶ μȣσικὸς κληθεὶς διὰ τὸ πλεῖϛον ἀσκηθῆναι τὰ τῆς μουσικῆς. ἔγραψε δὲ ῥυθμικῶν ὑπομνημάτων βιβλία κδʹ, μȣσικῆς ἱϛορίας βιβλία λϛʹ· ἐν δὲ τούτοις αὐλητῶν καὶ κιθαρῳδῶν καὶ ποιητῶν παντοίων μέμνηται. μουσικῆς παιδείας ἢ διατριβῶν βιβλία κβʹ. τίνα μȣσικῶς εἴρηται ἐν τῇ Πλάτωνος πολιτείᾳ, βιβλία εʹ.

f Διονύσιος ὁ Ἀρεωπαγίτης, ἐπίσκοπος Ἀθηνῶν, ἀνὴρ ἐλλογιμώτατος καὶ τῆς Ἑλληνικῆς παιδείας εἰς ἄκρον ἐληλακώς, ἀκουϛὴς Παύλου πρὸς τὴν τοῦ χριϛιανισμȣ̃ θρησκείαν, καὶ ὑπ᾽ αὐτοῦ καταϛαθεὶς εἰς αὐτὰς τὰς Ἀθήνας ἐπίσκοπος. πρὸς δὲ τὴν πάτριον τῶν Ἑλληνικῶν μαθημάτων ἄσκησιν πάντων προυκέκριτο· ἑκάϛης γὰρ ὡς εἰπεῖν αἱρέσεως τῆς ὑπ᾽ αὐτῶν πρεσβευομένης ἐν πολλῇ καθεϛήκει τῇ πείρᾳ. οὗτος ἤκουσε Παύλȣ δημηγοροῦντος ἐν Ἀθήναις καὶ τὸν Χριϛὸν καὶ τὴν ἀνάϛασιν μετὰ παρρησίας τοῖς Ἕλλησιν εὐαγγελιζομένου. καὶ πιϛεύσας τῷ Παύλου κηρύγματι ὑπ᾽ αὐτοῦ καὶ τῆς πόλεως ἐπισκοπεῖν τάττεται. κατὰ γοῦν τὴν ἀρχὴν Τιβερίου Καίσαρος, ὅτε δὴ καὶ τὴν ἡλικίαν ἤκμαζεν, ἀπῆρεν εἰς Αἴγυπτον, τοῖς ἐκεῖσε σοφοῖς ὁμιλῆσαι γλιχόμενος. συνῆν δὲ αὐτῷ καὶ Ἀπολλοφάνης ἐκεῖνος ὁ σοφιϛής, ȣ̔̃ Πολέμων ὁ Λαοδικεὺς ἐν Σμύρνῃ διήκουσεν, ὁ διδάσκαλος Ἀριϛείδȣ. κατὰ γοῦν τὸν καιρὸν τοῦ σωτηρίȣ πάθους τοῦ δεσπότου Χριϛοῦ ἄμφω ἤϛην ἐν Ἡλιουπόλει τῇ ἐν Αἰγύπτῳ, καὶ δὴ τῆς ἡλιακῆς ἐκλείψεως οὐ κατὰ φύσιν γεγενημένης (οὐ γὰρ ἦν συνόδȣ καιρός) εἰπεῖν λέγεται πρὸς τὸν μακάριον Διονύσιον τὸν σοφιϛὴν Ἀπολλοφάνην ταῦτα "ὦ καλὲ Διονύσιε, ἀμοιβαὶ θείων πραγμάτων." μνημονεύει δὲ τούτων ἁπάντων ὁ αὐτὸς Διονύσιος ἐν τῇ πρὸς τὸν Πολύκαρπον τὸν μέγαν ἐπιϛολῇ, τὸν Σμύρνης ἐπίσκοπον· ἦν γὰρ ὁ Ἀπολλοφάνης τῷ Διονυσίῳ τȣ̃ χριϛιανισμȣ̃ ἕνεκα διαλοιδορούμενος, καί φησι "σὺ δὲ φὴς λοιδορεῖσθαί μοι τὸν σοφιϛὴν Ἀπολλοφάνην, καὶ πατραλοίαν ἀποκαλεῖν, ὡς τοῖς Ἑλλήνων ἐπὶ τοὺς Ἕλληνας οὐχ ὁσίως χρωμένῳ. καίτοι πρὸς αὐτὸν ἡμᾶς ἦν ἀληθέϛερον εἰπεῖν ὡς Ἕλληνες τοῖς θείοις οὐχ ὁσίως ἐπὶ τὰ θεῖα χρῶνται, διὰ τῆς σοφίας τοῦ θεοῦ τὸ θεῖον ἐκβάλλειν πειρώμενοι σέβας." καὶ μετὰ μικρὸν "ἀλλὰ καὶ αὐτὸς Ἀπολλοφάνης οὐχ ὁσίως τοῖς θείοις ἐπὶ τὰ θεῖα χρῆται· τῇ γὰρ τῶν ὄντων γνώσει, καλῶς λεγομένῃ πρὸς αὐτοῦ φιλοσοφίᾳ καὶ πρὸς τοῦ θείȣ Παύλȣ σοφίᾳ θεοῦ κεκλημένῃ, πρὸς τὸν αἴτιον καὶ αὐτῶν τῶν ὄντων καὶ τῆς γνώσεως αὐτῶν ἐχρῆν ἀνάγεσθαι τοὺς ἀληθεῖς φιλοσόφȣς." καὶ μετὰ βραχέα "ἔδει συνιδεῖν Ἀπολλοφάνην σοφὸν ὄντα μὴ ἄν ἄλλως ποτὲ δυνηθῆναι τῆς οὐρανίας τι παρατραπῆναι τάξεως καὶ κινήσεως, εἰ μὴ τὸν τȣ̃ εἶναι αὐτὴν καὶ συνοχέα καὶ αἴτιον ἔσχεν εἰς τοῦτο κινȣ̃ντα, τὸν ποιȣ̃ντα πάντα καὶ μετασκευάζοντα κατὰ τὸν ἱερὸν λόγον." καὶ αὖθις μετὰ μικρὸν "εἰπὲ δὲ αὐτῷ, τί λέγεις περὶ τῆς ἐν τῷ σωτηρίῳ ϛαυρῷ γεγονυίας ἐκλείψεως; ἀμφοτέρω γὰρ τότε κατὰ Ἡλιούπολιν ἅμα παρόντε καὶ συνεϛῶτε παραδόξως τῷ ἡλίῳ τὴν σελήνην ἐμπίπτȣσαν ἑωρῶμεν (ȣ̓ γὰρ ἦν συνόδȣ καιρός), αὖθίς τε αὐτὴν ἀπὸ τῆς ἐνάτης ὥρας ἄχρι τῆς ἑσπέρας εἰς τὸ τȣ̃ ἡλίȣ διάμετρον ὑπερφυῶς ἀντικαταϛᾶσαν. ἀνάμνησον δέ τι καὶ ἕτερον αὐτόν· οἶδε γὰρ ὅτι καὶ τὴν ἔμπτωσιν αὐτὴν ἐξ ἀνατολῶν ἑωράκαμεν ἀρξαμένην καὶ μέχρι τοῦ ἡλιακοῦ πέρατος ἐλθοῦσαν, εἶτα ἀναποδίσασαν, καὶ αὖθις οὐκ ἐκ τοῦ αὐτȣ̃ καὶ τὴν ἔμπτωσιν καὶ τὴν ἀνακάθαρσιν ἀλλ᾽ ἐκ τοῦ κατὰ διάμετρον ἐναντίου γεγενημένην. τοσαῦτα τοῦ τότε καιροῦ τὰ ὑπερφυῆ καὶ μόνῳ Χριϛῷ τῷ παναιτίῳ δυνατά, τῷ ποιȣ̃ντι μεγάλα καὶ ἐξαίσια, ὧν οὐκ ἔϛιν ἀριθμός. ταῦτα, εἴ σοι θεμιτὸν καὶ

δυνατόν, Ἀπολλόφανες, ἐξέλεγχε καὶ πρὸς ἐμὲ τὸν τότε συμπαρόντα σοι καὶ συνεωρακότα καὶ συνανακρίναντα πάντα καὶ συναγάμενον. ἀμέλει καὶ μαντείας τότε, οὐκ οἶδ' ὅθεν, ὁ Ἀπολλοφάνης ἀπάρχεται, καὶ πρὸς ἐμὲ ὥσπερ τὰ γινόμενα συμβάλλων ἔφη ταῦτα· ὦ καλὲ Διονύσιε, θείων ἀμοιβαὶ πραγμάτων." τοσαῦτα ὡς κατ' ἐπιςολὴν εἴρηκεν ὁ μέγας Διονύσιος πρὸς τὸν θεοφόρον Πολύκαρπον. τῆς δέ γε σοφίας αὐτοῦ καὶ τῆς εὐγλωττίας ἔνδειξις ἀκριβὴς ἡ τῶν παρ' αὐτῷ γραφεισῶν βίβλων ἀνυπέρβλητος φράσις. τῇ τε γὰρ παρὰ τῶν ἔξωθεν καλουμένῃ παιδείᾳ τῇ τε θείᾳ καὶ ἡμετέρᾳ πολλὴν εἶχε τὴν ἐπιςήμην ἐν ἑκατέρᾳ. εἰ γάρ τις ἀπίδοι πρὸς τὰ κάλλη τῶν αὐτοῦ λόγων καὶ τὰ βάθη τῶν νοημάτων, οὐκ ἀνθρωπίνης φύσεως ταῦτα νομίσει γεννήματα, ἀλλά τινος ἀκηράτου καὶ θείας δυνάμεως. καὶ τοίνυν αὐτῷ γέγραπται τάδε, πρὸς Τιμόθεον ἐπίσκοπον Ἐφέσου, καὶ αὐτὸν μαθητὴν Παύλου τυγχάνοντα, περὶ θείων ὀνομάτων βιβλία ιβ', περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας, περὶ τοῦ τίς ἡ τῆς εὐχῆς δύναμις, καὶ περὶ τοῦ μακαρίου Ἱεροθέου· περὶ εὐλαβείας καὶ συγγραφῆς θεολογικῆς· περὶ ἀγαθοῦ, φωτός, καλοῦ, ἔρωτος, ἐκςάσεως, ζήλου, καὶ ὅτι τὸ κακὸν οὔτε ὂν οὔτε ἐξ ὄντων οὔτε ἐν τοῖς οὖσι· περὶ τοῦ ὄντος, ἐν ᾧ καὶ παραδείγματα· περὶ ζωῆς· περὶ σοφίας, νοῦ, λόγου, ἀληθείας, πίςεως· περὶ δυνάμεως, δικαιοσύνης, σωτηρίας, ἀπολυτρώσεως· περὶ μεγάλου καὶ μικροῦ, ταὐτοῦ ἑτέρου, ὁμοίου ἀνομοίου, ςάσεως κινήσεως, ἰσότητος· περὶ παντοκράτορος, παλαιοῦ ἡμερῶν, ἐν ᾧ καὶ περὶ αἰῶνος καὶ χρόνων· περὶ εἰρήνης, καὶ τί βούλεται αὐτὸ τὸ αὐτοεῖναι· περὶ ἁγίου ἁγίων, βασιλέως βασιλέων καὶ κυρίου κυρίων καὶ θεοῦ θεῶν. ἑτέρα βίβλος πρὸς τὸν αὐτὸν Τιμόθεον, περὶ ἐκκλησιαςικῆς ἱεραρχίας, περιέχουσα κεφάλαια ιε'. ἑτέρα βίβλος πρὸς τὸν αὐτὸν Τιμόθεον, περὶ τῆς οὐρανίου ἱεραρχίας, περιέχουσα καὶ αὐτὴ κεφάλαια ιε'. ἄλλη πρὸς τὸν αὐτὸν Τιμόθεον βίβλος, περὶ μυςικῆς θεολογίας, περιέχουσα κεφάλαια ε'. φέρονται δὲ αὐτοῦ καὶ ἐπιςολαὶ πρὸς Γάιον θεραπευτὴν δ', πρὸς Δωρόθεον λειτουργὸν α', πρὸς Σώπατρον ἱερέα α', πρὸς Πολύκαρπον ἱεράρχην Σμύρνης α', πρὸς Δημόφιλον θεραπευτὴν α', πρὸς Ἰωάννην τὸν θεολόγον τὸν ἀπόςολον καὶ εὐαγγελιςὴν α'. ἰςέον δὲ ὥς τινες τῶν ἔξω σοφῶν καὶ μάλιςα Πρόκλος θεωρήμασι πολλάκις τοῦ μακαρίου Διονυσίου κέχρηται, καὶ αὐταῖς δὲ ξηραῖς ταῖς λέξεσι· καὶ ἔςιν ὑπόνοιαν ἐκ τούτου λαβεῖν ὡς οἱ ἐν Ἀθήναις παλαιότεροι τῶν φιλοσόφων, σφετερισάμενοι τὰς αὐτοῦ πραγματείας, ὧν αὐτὸς μνημονεύει πρὸς Τιμόθεον γράφων, ἀπέκρυψαν, ἵνα πατέρες αὐτοὶ ὀφθῶσι τῶν θείων αὐτοῦ λόγων. ὁ τοίνυν θεοφάντωρ Διονύσιος ἤδη που μακρὸν ἐλάσας χρόνον καὶ πλήρης ἡμερῶν γεγονὼς τῷ τοῦ πνεύματος μαρτυρίῳ τῷ ὑπὲρ Χριςοῦ τελειοῦται ἐπὶ Τραϊανοῦ Καίσαρος, ὅτε καὶ ὁ θεοφόρος Ἰγνάτιος ἐν Ῥώμῃ τὸν τῆς ἀθανασίας διήθλησεν ἀγῶνα.

ὅτι εἰς τὸν μέγαν Διονύσιον ἔγραψεν ἐγκώμιον Μιχαὴλ σύγκελλος Ἱεροσολύμων, ἐν ᾧ φησὶν "ὅσα δὲ δι' ἀγράφου παραδόσεως ἢ ἐγγράφως παρειλήφαμεν, ἥκομεν ὑμῖν τοῖς φιλακροάμοσι παραθησόμενοι. τοιοῦτος οὖν εἰς ἡμᾶς κατήντηκε λόγος, ἀνέκαθε πρὸς πατρὸς παιδὶ παραδεδομένος, ὡς ὁ μέγας Διονύσιος οὗτος κατὰ τὸν τοῦ σωτηρίου πάθους καιρόν, ἡνίκα μεσούσης ἡμέρας ὁ ἥλιος ἐκρύπτετο, ἐπὶ τῷ παραδόξῳ σφόδρα τεθηπὼς καὶ τὴν ἀνθρωπείαν ὑπερβεβηκὼς γνῶσιν, κατανοήσας τὸ γεγονός, 'ἄγνωςος' ἔφη 'πάσχει θεός, δι' ὃν τόδε τὸ πᾶν ἐζόφωταί τε καὶ σεσάλευται.' καὶ παραχρῆμα τὸν χρόνον καθ' ὃν τουτὶ τὸ παγκόσμιον ἐτετέλεςο τερατούργημα τεκμηριωσάμενος ἐτήρει παρ' ἑαυτῷ, τοὐντεῦθεν διαγγελούμενον καραδοκῶν. μέμνηται μέντοι καὶ αὐτὸς ἐν τῇ πρὸς Πολύκαρπον ἐπιςολῇ τῆς ἡλιακῆς ἐκλείψεως ἐκείνης τῆς φρικωδεςάτης. Ἀπολλοφάνους γὰρ ἀνδρὸς φιλοσόφου, τὴν θρησκείαν Ἕλληνος τυγχάνοντος, νεμεσῶντός τε καὶ λοιδορουμένου τῷ τρισολβίῳ τούτῳ ὡς ἑταίρῳ δῆθεν ὄντι φιλτάτῳ καὶ ὁμογενεῖ, τὰ πατρῷα μὲν μυσαττομένῳ σεβάσματα, τὴν δὲ τῶν Χριςιανῶν προτιμῶντι καὶ ἀσπαζομένῳ πίςιν καὶ ταύτης ἀγωνιςικώτατα προασπίζοντι καὶ τοῖς Ἑλλήνων κατὰ τῶν Ἑλλήνων χρωμένῳ, τὴν λοιδορίαν καὶ τὴν νέμεσιν ἀνασκευάζειν πειρώμενος, μᾶλλον δὲ ὑποτιθέμενος τῷ Πολυκάρπῳ, πρὸς ὃν καὶ ὁ συςρατιώτης ἐποιεῖτο τὰ σκώμματα, τάδε φησί 'σὺ δὲ φῂς λοιδορεῖσθαί μοι τὸν σοφιςὴν Ἀπολλοφάνην, καὶ πατραλοίαν ἀποκαλεῖν' καὶ τὰ ἑξῆς.

Διονύσιος Βυζάντιος ἐποποιὸς περιήγησιν τοῦ ἐν τῷ Βοσπόρῳ ἀνάπλου. περὶ

θρήνων· ἔςι δὲ ποίημα μεςὸν ἐπικηδείων. ὑπολαμβάνω ὅτι Διονύσιος ὁ περιηγητὴς Βυζάντιος ἦν, διὰ τὸν ποταμὸν Ῥήβαν.

h **Διονύσιος** Κορίνθιος ἐποποιὸς ὑποθήκας, αἴτια ἐν βιβλίῳ ά, μετεωρολογούμενα, καὶ καταλογάδην ὑπόμνημα εἰς Ἡσίοδον. οἰκουμένης περιήγησιν δι᾽ ἐπῶν. ταῦτα δὲ εὗρον καὶ ἐν Διονυσίῳ τῷ τὰ Λιθιακὰ γράψαντι· πότερος οὖν αὐτῶν οὐκ οἶδα.

i **Διονύσιος** Μιλήσιος ἱςορικὸς τὰ μετὰ Δαρεῖον ἐκ βιβλίοις έ, περιήγησιν οἰκυμένης, Περσικὰ Ἰάδι διαλέκτῳ, Τρωικῶν βιβλία γ΄, μυθικά, κύκλον ἱςορικὸν ἐν βιβλίοις ζ.

k **Διονύσιος** Μιτυληναῖος ἐποποιός. ὗτος ἐκλήθη σκυτοβραχίων καὶ σκυτεύς. τὴν Διονύσου καὶ Ἀθηνᾶς ςρατείαν, Ἀργοναῦται ἐν βιβλίοις ϛ΄· ταῦτα δέ ἐςι πεζά. μυθικὰ πρὸς Παρμένοντα.

l **Διονύσιος** Μουσωνίου, Ῥόδιος ἢ Σάμιος, ἱςορικός· ἦν δὲ καὶ ἱερεὺς τοῦ ἐκεῖσε ἱερῦ τῦ ἡλίυ. ἱςορίας τοπικὰς ἐν βιβλίοις ϛ΄, οἰκουμένης περιήγησιν, ἱςορίας παιδευτικῆς βιβλία ι.

m **Διονύσιος** Σικελίας τύραννος ἔγραψε τραγῳδίας καὶ κωμῳδίας καὶ ἱςορικά.

ὅτι καὶ ἕτεροι ἐτυράννησαν, ἀλλ᾽ ἡ τελευταία καὶ μεγίςη κάκωσις πάσαις ταῖς πόλεσιν ἡ Διονυσίου τυραννὶς ἐγένετο.

n **Διονύσιος** υἱὸς τοῦ Σικελίας τυράννυ, καὶ αὐτὸς τύραννος καὶ φιλόσοφος, ἐπιςολάς, καὶ περὶ τῶν ποιημάτων Ἐπιχάρμου.

διονυσίων σκωμμάτων· "ποτὲ μὲν βάλλων καὶ σκώπτων τοῖς ἐκ διονυσίων σκώμμασι" ⟨cf. v. βάλλων⟩. ἑορτὴ δὲ ἦν τὰ διονύσια. "ὃς λοξὰ βλέπων καὶ δεδορκὼς ἄλλο μὲν ἔκευθε φρεσὶν ἄλλο δὲ ἔφασκεν· ὗ ἀρᾶς καὶ πικρίας καὶ δόλου τὸ ςόμα ἔγεμεν· ὃν ἐνδίκως ἡ δίκη δικάσασα κατεδίκασεν· ὃς κατὰ τὸν ποιητὴν ⟨Σ 104⟩ ἐτώσιον ἄχθος ἀρούρης ἐτύγχανεν ὤν. ἀλλ᾽ ἐς κόρακας βέβληται, καὶ οἴχεται ἄιςος ἄπυςος, γιγλύμου πολυςροφώτερος ἐν τοῖς πρακτέοις ἀποδεικνύμενος. ἐρρέτω, οἰχέσθω, μηδ᾽ ἐν περιδείπνῳ ἐπαινεθησόμενος ⟨cf. v. ὐκ ἐπαινεθείης⟩, ὁ τρισβδέλυρος καὶ κυκῶν καὶ φύρδην καὶ μίγδην ποιῶν ἅπαντα, τὸ κυκλώπειον τέρας, ὁ εἰδεχθὴς καὶ ἐμβρόντητος καὶ πλουτίνδην ᾑρημένος βιῶναι, θεῦ ὄπιν οὐκ ἀλέγων ⟨Π 388⟩, οὐδὲ κατεπτηχὼς Ἀδράςειαν ἄφυκτον, ὁ βωμολοχεύων ἀεὶ καὶ πέρπερα γλισχρευόμενος, ὁ κυνῶν κύντερος καὶ δαιμόνων ἀργαλεώτερος."

Διονυσόδωρος ὄνομα κύριον.

Διόνυσος ὁ Σεμέλης υἱός, παρὰ τὸ διανύειν ἕκαςα τοῖς τὸν ἄγριον βίον ζῶσι.

δι᾽ ὀξείας δραμεῖν, ἐπὶ τῶν διακινδυνευόντων· ὀξεῖαν γὰρ λέγυσι τὴν λόγχην.

Διοπείθης ὄνομα κύριον, καὶ κλίνεται εἰς ους. cf. v. Γοργόνη.

διοπετές ἐξ οὐρανοῦ κατερχόμενον.

ὅτι οἱ παρ᾽ Ἕλλησι τὰ ξόανα κατασκευάζοντες, φόβον ἐμποιῆσαι βουλόμενοι τοῖς ὁρῶσιν, ἔφασκον ὅτι τὸ ἄγαλμα ἐξ οὐρανῦ παρὰ τῦ Διὸς ἐπέμφθη καὶ κατέπτη, κρεῖττον ὑπάρχον πάσης ἀνθρωπίνης χειρὸς καὶ ἀνάλωτον· ὅθεν καὶ διοπετὲς αὐτὸ καὶ ὐράνιον βρέτας ἐκάλουν, παρὰ τὸ βροτῷ ἐοικέναι. ὅπερ οὐχ οὕτως ἦν, ἀλλὰ τοὺς ἀγαλματοποιοὺς ἢ ἀποκτείνοντες ἢ φυγαδεύοντες, ἵνα μηδένες εἰπεῖν ἔχοιεν ὅτι χειροποίητόν ἐςι τὸ ξόανον, φήμην πλάσαντες ἐν ταῖς ἀκοαῖς τῶν πεφεναkισμένων ἠφίεσαν, ἥτις καὶ τὴν Ἐφεσίων ἐπλάνα πόλιν. ὅτι δὲ ἀληθές ἐςι τοῦτο, μαρτυρεῖ τὸ ἐν Ἀλεξανδρείᾳ γενόμενον· Πτολεμαῖος γὰρ συναγαγὼν τεχνίτας ὥςε τὸν τῆς Ἀρτέμιδος ἀνδριάντα ποιῆσαι, μετὰ τὸ ἔργον βόθρον μέγαν ὀρύξας καὶ τὸν δόλον κρύψας ἐκέλευσε τὺς τεχνίτας ἐν αὐτῷ δειπνῆσαι, οἵτινες δειπνοῦντες ἐκεῖσε κατεχώσθησαν καὶ ἀπέθανον, ἄξιον μισθὸν τῆς κακουργίας κομισάμενοι. Isidor. Pelus. ep. 4 207.

διοπομπεῖσθαι ἀποτροπιάζεσθαι καὶ ἀποκαθαίρεσθαι. καὶ **ἀποδιοπομπεῖσθαι**.

δίοπος ὁ διέπων καὶ ἐποπτεύων, ὁ τῆς νεὼς ἐπιμελητής. καὶ **δίοποι** οἱ βασιλεῖς, παρὰ τὸ διέπειν ἢ διοπτεύειν.

διοπτεύσων διοψόμενος, κατασκοπήσων.

διοπτῆρα ⟨Hom. K 562⟩ κατάσκοπον, οἰκονόμον. διοπτὴρ καὶ μηχανικόν τι ὄργανον, δι᾽ οὗ ἐςοχάζοντο ὕψος ἐπάλξεων. ἢ διόπτρα.

διοπτῆρες οἱ ἐπιτηρηταί, οἱ προφύλακες· "καταχεομένου τοῦ ἐξ ἐπιτεχνήσεως ὄμβρου τῶν Ἀβάρων, καὶ συννεφοῦς ὄντος τῦ ἀέρος καὶ ἐσέτι σκοτώδους, οὐχ οἷοίτε ἐγένοντο οἱ διοπτῆρες διαγνῶναι ἐπιόντας τοὺς δυσμενεῖς."

διόπτης· ⟨A Ach. 434⟩ "ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ." ταῦτά φησιν ἐπειδὴ

πολύτρητα ἦν τὰ ῥάκη, δι' ὧν ἦν πάντα ἐπισκοπῆσαι. ἀντὶ τοῦ παντεπόπτα.

διόπτρα μηχανικὸν τεχνούργημα, δι' ὃ οἱ γεωμέτραι ἀπηκρίβουν τὴν τῶν ἐπάλξεων ἐκ διαστήματος ἀναμέτρησιν. Πισίδης "ταῦτα πρὸ πολλοῦ τῇ διόπτρᾳ σου βλέπεις."

διορθοῦμαι αἰτιατικῇ.

διορία προθεσμία. εἰ δὲ διὰ τοῦ ω μεγάλου, καιρὸν δηλοῖ, διωρία γραφόμενον.

διορίζω δοτικῇ, διορῶ δὲ αἰτιατικῇ.

διορίσκος.

διοριστέον διαχωριστέον.

διορυγὴ ἡ ὄρυξις. διῶρυξ δὲ διώρυγος.

δῖος ὄνομα μηνὸς παρὰ Μακεδόσιν. ὁ ἔνδοξος. σημαίνει δὲ καὶ ὄνομα τόπου.

Διὸς ἄνθος φυτὸν ἀκανθῶδες.

Διὸς ἐγκέφαλος τὸ κάλλιστον βρῶμα. οὕτω λέγουσιν οἱ Πέρσαι ἐπὶ τῶν ἡδυπαθούντων. ἢ βασιλέως ἐγκέφαλος.

διοσημία θεομηνία. "παρῆσαν δὲ οἱ χίλιοι Σκύθαι πάσης ὀξύτεροι διοσημίας, ἤτοι ἀστραπῆς ἢ πρηστῆρος ἢ κεραυνοῦ ἢ σκηπτοῦ ἢ διάττοντος ἀστέρος." ἡ διοσημία ἐστὶν ὁ παρὰ καιρὸν χειμών. Ἀριστοφάνης (Ach. 171) "διοσημία ἐστί, καὶ ῥανὶς βέβληκέ με. τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ' εἰς ἕνην· οἱ γὰρ πρυτάνεις λύουσι τὴν ἐκκλησίαν." ἐπὶ τῶν ἀναβαλλομένων. παρεφυλάττοντο δὲ Ἀθηναῖοι τὰς διοσημίας, καὶ διέλυον τὰς ἐκκλησίας διοσημίας γενομένης, ἢ ἄλλο τι μέλλοντες ἀνύειν. καὶ Εὐνάπιός φησι (p. 100 Nieb.) περὶ Καρίνου τοῦ βασιλέως "καὶ πάντα ἦν αὐτοῦ βαρύτερα διοσημίας, καὶ ἐλύττα ἐν μέσοις τοῖς ὑπηκόοις" (cf. v. Καρῖνος).

Διοσκορίδης Ἀναζαρβεὺς ἰατρός, ὁ ἐπικληθεὶς φακᾶς διὰ τοὺς ἐπὶ τῆς ὄψεως φακούς. συνῆν δὲ Κλεοπάτρᾳ ἐπὶ Ἀντωνίου, καὶ γέγραπται αὐτῷ βιβλία κδ' τὰ πάντα ἰατρικὰ περιβόητα.

Διὸς Κόρινθος, ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων παροιμία. ἐρρέθη δὲ δι' αἰτίαν τοιαύτην. Μεγαρεῖς ὑπακούοντες Κορινθίοις ἐβαροῦντο τοῖς ἐπιτάγμασι, καὶ φανεροὶ δυσανασχετοῦντες ἦσαν ἐπὶ τούτῳ. Κορινθίων δὲ πρέσβεις ἦλθον εἰς τὰ Μέγαρα, καὶ τοῦ δήμου μὴ προσέχοντος αὐτοῖς ἀγανακτοῦντες ἐβόων "οὐκ ἀνέξεται ταῦτα ὁ Διὸς Κόρινθος." φασὶν οὖν τοὺς Μεγαρεῖς ἐκβάλλοντας αὐτοὺς παίειν, καὶ λέγειν "παῖε τὸν Διὸς Κόρινθον." cf. v. ὁ Διὸς Κόρινθος.

Διοσκόριος Μυραῖος γραμματικός, ὕπαρχος πόλεως καὶ πραιτωρίων, ὁ διδάξας τὰς θυγατέρας Λέοντος τοῦ βασιλέως ἐν Βυζαντίῳ. cf. v. Νικόλαος b.

Διόσκουροι Κάστωρ καὶ Πολυδεύκης. Αἰλιανός "καὶ μέντοι καὶ Διοσκούρων ἦν ἀγάλματα δύο, νεανίαι μεγάλοι, γυμνοὶ τὰς παρειὰς ἑκάτεροι, ὅμοιοι τὸ εἶδος, καὶ χλαμύδας ἔχοντες ἐπὶ τῶν ὤμων ἐφημμένην ἑκατέραν· καὶ ξίφη ἔφερον τῶν χλαμύδων ἠρτημένα, καὶ λόγχας εἶχον παρεστώσας, ἐν αἷς ἠρείδοντο, ὃ μὲν κατὰ δεξιὰν ὃ δὲ κατὰ λαιάν."

Διὸς κῴδιον, οὗ τὸ ἱερεῖον Διὶ τέθυται. θύουσί τε τῷ τε μειλιχίῳ καὶ τῷ κτησίῳ Διί, τὰ δὲ κῴδια τούτων φυλάσσουσι, δῖα προσαγορεύοντες. χρῶνται δ' αὐτοῖς οἵ τε σκιροφορίων τὴν πομπὴν στέλλοντες καὶ ὁ δᾳδοῦχος ἐν Ἐλευσῖνι καὶ ἄλλοι τινὲς πρὸς τοὺς καθαρμούς, ὑποστορνύντες αὐτὰ τοῖς ποσὶ τῶν ἐναγῶν.

δίοσμος ἡ διαπορθμευτικὴ δύναμις τῶν ὀσφραντῶν παρὰ Θεοφράστῳ. οὐκ ἔστι δὲ ἡ ῥὶς τὸ αἰσθητήριον, ἀλλ' ἡ μαστοειδὴς τοῦ ἐγκεφάλου ἀπόφυσις. Philopon. in 2 de anima, M 3 b.

Διὸς φήμη ἡ μαντεία· ὁ γὰρ Ἀπόλλων ὑποφήτης τοῦ πατρός, καὶ παρ' ἐκείνου λαμβάνει τὰς μαντείας καὶ τοῖς ἀνθρώποις ἐκφέρει (sch. S OR 151). καὶ Ὅμηρος (B 93) "Διὸς ἄγγελος ὄσσα δεδήει."

Διὸς ψῆφος. οὕτως καλεῖται ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίθησαν. Κρατῖνος Ἀρχιλόχοις "ἔνθα Διὸς μεγάλου θᾶκοι πεσσοί τε καλοῦνται." ὁ γὰρ τόπος ἐν ᾧ ἐκρίθησαν, Διὸς ψῆφος καλεῖται. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων.

διότι. ἔσθ' ὅτε καὶ ἀντὶ τοῦ ὅτι λαμβάνεται· οὕτω γὰρ ἄλλοι τε πολλοὶ καὶ Ἱεροκλῆς.

ὅτι κατὰ τρεῖς τρόπους τὸ σαφέστερον ἡμῖν θεωρεῖται. καθ' ἕνα μὲν τὸ ὅτι τοῦ διότι· σαφέστερον γὰρ ἡμῖν καὶ πρῶτον εἰς γνῶσιν. καὶ γὰρ ὅτι ἔχομεν ψυχὴν καὶ ὅτι ἀθάνατος, προχειρότερον εἰς νόησιν τοῖς πολλοῖς μᾶλλον ἢ τὸ προχωρῆσαι καὶ ἐπιβάλλειν τῷ λόγῳ τῷ ταῦτα κατασκευάζοντι. δεύτερον τὸ καθόλου καὶ συγκεχυμένον τοῦ μερικοῦ καὶ διῃρημένου, οἷον τὸ εἰδέναι ἁπλῶς ὅτι σῶμα ἢ ὅτι τοιόνδε σῶμα, τουτέστιν οὐράνιον ἢ γήινον ἢ τοιῶσδε ἢ τοιῶσδε κεκραμένον. τρίτον

τὸ ὡς πρὸς ἡμᾶς μὲν πρῶτον, ὕϛερον δὲ τῇ φύσει· τῶν γὰρ ἁπλουϛέρων, ἅπερ ἐϛὶ τῇ φύσει πρῶτα ἡμῖν, τὰ συνθετώτερα γνωριμώτερα. Alex. Aphrodis. in Top.

Διότιμος ὄνομα κύριον.

διοτρεφὴς ὑπὸ Διὸς τεθραμμένος.

Διοφάνης. οὗτος Μεγαλοπολίτης ἦν, ὃς μεγάλην ἕξιν εἶχεν ἐν τοῖς πολεμικοῖς διὰ τὸ πολυχρονίου γεγονότος τοῦ πρὸς Νάβιν πολέμου τοῖς Μεγαλοπολίταις ἀϛυγείτονος, πάντα συνεχῶς τὸν χρόνον ὑπὸ τὸν Φιλοποίμενα τεταγμένος τριβὴν ἐσχηκέναι τῶν κατὰ πόλεμον ἔργων ἀληθινήν. χωρίς τε τούτων κατὰ τὴν ἐπιφάνειαν καὶ κατὰ τὴν σωματικὴν χρείαν ἦν ὁ ἀνὴρ δυνατὸς καὶ καταπληκτικός. τὸ δὲ κυριώτερον, πρὸς πόλεμον ὑπῆρχεν ἀνὴρ ἀγαθός, καὶ τοῖς ὅπλοις ἐχρῆτο διαφερόντως. Polyb. 21 7.

Διόφαντος ὄνομα κύριον. Harp.

δι' ὄχλου ἐπιβαρές· Ἀριϛοφάνης (Eccl. 883) "κεἰ δι' ὄχλου τοῦτ' ἐϛὶ τοῖς θεωμένοις, ὅμως ἔχει τερπνόν τι καὶ κωμῳδικόν."

διοχλῶ δοτικῇ, διοχλοῦμαι δὲ αἰτιατικῇ.

δίπαλτος ἀμφοτέραις ταῖς χερσίν, οἷον περιδεξίως, παντὶ σθένει· Σοφοκλῆς (Ai. 408) "πᾶς δὲ ϛρατὸς δίπαλτος ἄν με χειρὶ φονεύοι." ἢ οὕτως· ὁ ϛρατός με φονεύοι, λαβὼν τὰ δίπαλτα δοράτια.

διπλαῖ τὸ θηλυκὸν πληθυντικόν.

διπλασιάσαι. διχῶς λέγεται· ἢ γὰρ τὸν τόπον ἐν ᾧ ἡ φάλαγξ, μένοντος τοῦ πλήθους τῶν ἀνδρῶν, ἢ ἀριθμὸν αὐτόν. γίνεται δὲ ἑκάτερον διχῶς, ἢ κατὰ λόχους ἢ κατὰ ζυγά, ταὐτὸν δὲ εἰπεῖν κατὰ μῆκος ἢ κατὰ βάθος. κατὰ μῆκος μὲν οὖν γίνεται διπλασιασμὸς ἀνδρῶν, ὅταν μεταξὺ τῶν προϋπαρχόντων λόχων παρεμβάλλωμεν ἢ παρεμπλέκωμεν ἄλλους αὐτοῖς ἰσαρίθμους, τὸ μῆκος φυλάττοντες τὸ αὐτὸ τῆς φάλαγγος, ὥϛε πύκνωσιν γενέσθαι μόνον ἐκ τῆς τῶν ἀνδρῶν διπλασιάσεως· κατὰ βάθος δέ, ὅταν μεταξὺ τῶν προϋπαρχόντων ζυγῶν παρεμβάλλωμεν ἢ παρεμπλέκωμεν ἄλλα αὐτοῖς ἰσάριθμα, ὥϛε κατὰ βάθος πύκνωσιν εἶναι μόνον. κατὰ μῆκος δὲ τόπου γίνεται διπλασιασμός, ὅταν τὴν προειρημένην κατὰ μῆκος πύκνωσιν ματότητι μετατάττωμεν, ἢ οἱ παρεντεθέντες ἐξελίξωσι κατὰ μῆκος. ἔνιοι δὲ τοὺς τοιούτους ἀποδοκιμάζουσι, καὶ μάλιϛα ἐγγὺς ὄντων τῶν πολεμίων, ἐφ' ἑκάτερα δὲ τῶν κεράτων τοὺς ψιλοὺς καὶ τοὺς ἵππους ἐπεκτείνοντες τὴν ὄψιν τοῦ διπλασιασμοῦ χωρὶς ταραχῆς τῆς φάλαγγος ἀποδιδόασι. cf. Aelian. Tact. 28.

διπλόη ἡ ἀπάτη· Πισίδης "ἐπέσχεν ὑμῶν a
τὴν βολὴν ἠπειγμένην ἡ τοῦ χιτῶνος ἐμπεσοῦσα διπλόη." τάττεται δὲ ἡ λέξις καὶ ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους.

διπλόη ἡ ἔξωθεν ἀρετὴ φαινομένη, ἔσω- b
θεν δὲ γέμουσα κακίας. καὶ οἱ φιλίαν μὲν ὑπισχνούμενοι, προϊέμενοι δὲ αὐτὸν τοῖς πολεμίοις.

διποδία εἶδος ὀρχήσεως· Ἀριϛοφάνης (Lys. 1245) "ἵν' ἐγὼ διποδιάξω γε κἀείσω καλὸν ἐς τοὺς Ἀσαναίους τε κἠς ἡμᾶς ἅμα" ἀντὶ τοῦ Ἀθηναίους.

διπτύχια δύο περιβόλαια ἔχοντα, ὡς τὸ μὲν ὑπεϛρῶσθαι τὸ δὲ ἕτερον ἐπιβεβλῆσθαι.

δίπυρος ἄρτος ὁ παρὰ Ῥωμαίοις λεγόμενος παξαμᾶς. (Procop. Arc. 6) "σισύρας ἐπὶ τῶν ὤμων φέροντες, ἐν αἷς δὴ ἄλλο οὐδὲν ὅτι μὴ διπύρους ἄρτους οἴκοθεν ἐμβεβλημένοι ἀφίκοντο."

Δίρκη ἡ πηγή.

δὶς ἑπτὰ πληγαῖς πουλύπους πιλούμενος, ἐπὶ τῶν κολάσεως ἀξίων, παρ' ὅσον ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις πρὸς τὸ πέπων γενέσθαι. καὶ ἑτέρα παροιμία "δὶς καὶ τρὶς τὸ καλόν·" οὕτω χρὴ τὸ καλὸν πολλάκις λέγειν. καὶ "δὶς παῖδες οἱ γέροντες," ἐπὶ τῶν πρὸς τὸ γῆρας εὐηθεϛέρων εἶναι δοκούντων. καὶ "δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον," ἐπὶ τῶν ἐκ δευτέρου τοῖς αὐτοῖς ἀτοπήμασι περιπιπτόντων.

δισκεύων ἐκδεχόμενος, ἢ κυλίων.

δίσκος ὁ σόλος. καὶ ἐν ἐπιγράμματι (AP 5 19) "καὶ νῦν δίσκος ἐμοὶ κρόταλον."

διϛάζω αἰτιατικῇ.

διτάλαντον· "καταϛήσαντες διτάλαντον πετροβόλον, τὰ μὲν κατέβαλλον τῶν τειχῶν τὰ δὲ διέσειον."

δίυγρος.

διυπνίζω ἐξανιϛῶ, καὶ διύπνισεν ἐξύπνισεν.

διφαλαγγαρχία αἱ δύο φαλαγγαρχίαι ἄνδρες ͵ηρϛβ'. τοῦτο δὲ καὶ μέρος ὑπ' ἐνίων καλεῖται. ἀλλὰ καὶ κέρας, καὶ ὁ ἡγούμενος κεράρχης.

διφαλαγγία ἀντίϛομος, ἣ τοὺς μὲν

ἡγεμόνας ἔχει μέσους τεταγμένους, τοὺς δὲ οὐραγοὺς ἔξω ἔχουσα ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους. ἀμφίςομος δὲ διφαλαγγία, ἥτις ἐν τῇ πορείᾳ τοὺς ἡγεμόνας ἔχει ἐξ ἑκατέρων τῶν μερῶν ἐν ἐπαγωγαῖς τεταγμένους, οὓς μὲν ἐν δεξιᾷ ὃς δὲ ἐν εὐωνύμῳ, τοὺς δὲ οὐραγοὺς ἐν μέσῳ τεταγμένους. cf. Aelian. Tact. 40.

διφασία ἡ διλογία.

διφθέρα ποιμενικὸν περιβόλαιον ἐκ δερμάτων.

διφρεία ἡ τοῦ ἅρματος περιφέρεια.

διφρηλατῶν ἁρματηλατῶν· Σοφοκλῆς ⟨Ai. 845⟩ "σὺ δ' ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμόν." ὁ Αἴας φησί. καὶ διφρηλάτης.

διφρίσκος τὸ σκεῦος ἐν ᾧ ἐφεςῶτες οἱ ἡνίοχοι ἐλαύνουσιν. ὑποκοριςικῶς δὲ εἶπε διὰ τὸ κούφους εἶναι καὶ μικροὺς τοὺς ἀγωνιςικούς. sch. A Nub. 31.

δίφρον σελλίον, ἅρμα, ἢ καθιςήριον· "καὶ τεθέντος αὐτῷ δίφρου τινὸς ἱζήσας κήρυκας διεπέμπετο, τοῖς ἐν τῷ τείχει σφᾶς ἐκδιδόναι παραινῶν." καὶ διφροφόρος ἡ τὸ σελλίον βαςάζουσα. Ἀριςοφάνης ⟨Av. 1539⟩ "δίφρον διφροφόρει·" ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἠκολούθει τις ἔχουσα. καὶ διφροφορουμένους Ἡρόδοτος ⟨3 146⟩ παρὰ Πέρσαις φορείοις φερομένους.

δίφρος καὶ τὸ ἅρμα, παρὰ τὸ δύο φέρειν, τὸν παραβάτην καὶ τὸν ἡνίοχον. ἐξ οὗ καὶ διφρηλάτης.

διφροφόροι Στράττις ἐν Ἀταλάνταις.

διφυᾶ δύο φύσεις ἔχοντα.

διφῶν ⟨Hom. Π 747⟩ ζητῶν, ἐρευνῶν.

δίχα.

διχαζούσης κλινούσης· "ἤδη δὲ τοῦ καύματος ἀκμάζοντος, καὶ διχαζούσης τῆς ἡμέρας."

διχῇ διχῶς.

δίχηλα ζῷα βοῦς ἔλαφος δόρκων, οἷς συμβέβηκεν ἐν τοῖς ὀπισθίοις ποσὶν ἀςραγάλους ἔχειν.

διχόθεν ἀπὸ τῶν δύο μερῶν.

διχομηνία τοῦ μηνὸς τὸ ἥμισυ. καὶ διχομηνιαία πεντεκαιδεκαταία τοῦ μηνὸς ἡ τῆς σελήνης.

διχοτομία φάλαγγος ἡ εἰς δύο ἴσα τομή. ταύτης δὲ τὰ μέρη καλεῖται κέρατα, ὧν τὸ μὲν εὐώνυμον κέρας λέγεται καὶ οὐρά, τὸ δὲ ἕτερον δεξιὸν κέρας καὶ κεφαλὴ καὶ δεξιὸν ἀκρωτήριον καὶ δεξιὰ ἀρχή. ἄραγος καὶ ὀμφαλὸς καὶ συνοχή, φράγμα, ὥς ἔνιοι, καὶ ςόμα, ὥς ἕτεροι, ἡ διχοτομία καλεῖται. καὶ διχοτομῶ αἰτιατικῇ. cf. Aelian. Tact. 7.

διψάς εἶδος ὄφεως. ἔςι δὲ ἔχεως ὀλιγωτέρα, ἀποκτεῖναι δὲ ὀξυτέρα. οἱ δὲ δηχθέντες ἐξ αὐτῆς ἐξάπτονται εἰς δίψος ὥςε ῥήγνυσθαι. λευκὴ δέ ἐςι, καὶ ἔχει ἐν τῇ οὐρᾷ γραμμὰς β'. πρηςῆρα δὲ αὐτήν τινες καλοῦσιν, καύσωνα δὲ ἄλλοι. γίνεται δὲ ἐν Λιβύῃ καὶ Ἀραβίᾳ μᾶλλον. καλοῦσι δὲ αὐτὴν καὶ μελάνουρον καὶ ἀμμοβάτιν καὶ κεντρίδα. cf. Aelian. N. A. 6 51.

διψῶ τὸ ἐπιθυμῶ· "θεῷ γὰρ βούλομαι ἀρέσκειν καὶ πρὸς ἐκεῖνον ὁρᾶν, καὶ τῇ ἐκείνου βουλήσει ἕπεσθαι, τῷ οἴακι τῷ ἐκείνου, διψῶ." καὶ δίψα ἡ ἐπιθυμία.

διψῴης εὐκτικόν.

διώβολον καὶ τριώβολον, καὶ ἡμιωβόλιον ὁμοίως.

διωγκωμένον πεφυσημένον.

διῴδει ἐφλέγμαινε.

διῳδηκότα ἐξωγκωμένον· "ὅσοι γὰρ ἐκ τῆς αὐτῆς σπορᾶς γεγόνασι, κάτω τὸν πόδα τὸν δεξιὸν ἔχουσι διῳδηκότα καὶ βάδισιν ἀσθενῆ τε καὶ νωθῆ." καὶ διῳδηκώς ὁμοίως.

διωθεῖτε ἀποςρέφετε. καὶ διωθούμενοι ἀνατρεπόμενοι, ἐκβαλλόμενοι.

δίωκε ἀρετήν ζῆλου, ἐπιτήδευε.

διώκειν εἰς ἀγορὰν ἄγειν. τοῦτο λέγεται ὅταν προϋποφύγῃ τις. τάττεται δὲ καὶ ἐπὶ τοῦ συντόνως ἐλαύνειν. καὶ διωκόμεθα ἀντὶ τοῦ κατηγορούμεθα.

διώκειν ἐπὶ τοῦ ἄγειν εἰς κρίσιν καὶ κατηγορεῖν, καὶ ἐπὶ τοῦ ἐπιθυμεῖν καὶ ὀρέγεσθαι· διώκειν γάρ φαμεν ἀρετήν. καὶ ἐπὶ τοῦ διελθεῖν· "αἱ δὲ νῆες ἐς φυγὴν καταςᾶσαι πολλοὺς μετεδίωξαν τόπους· αἱ μὲν γὰρ εἰς Ἰόνιον κόλπον ἐξέπλευσαν, αἱ δὲ ἄλλῃ."

διῳκίσατο διεχώρισεν, ἀπ' ἀλλήλων ἐποίησε. "διῳκίσατο τοὺς ἀνθρώπους ἀπὸ θεοῦ ἡ ἀνοσιότης. ὅςις δὲ δι' ἀρετῆς καὶ ὁσιότητος ἀπάγων ἑαυτὸν ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων καὶ σπουδασμάτων ἐπ' αὐτὸν τὸν θεόν, καὶ ζῶν τυγχάνει παρόντος καὶ τελευτήσας μετῳκίσατο πρὸς αὐτόν."

διῳκισμένος κεχωρισμένος.

διώκω σε ἐλαύνω σε. τὸ δὲ κατηγορῶ γραφῇ· (Demosth. 18 59) "ὁ γὰρ διώκων τὸ ψηφίσματος" καὶ (id. 56) "ἃ μὲν διώκει τῶν ψηφισμάτων, ταῦτά ἐςιν."

διωλύγιον μέγα. καὶ παροιμία "διωλύγιον κακόν" ἐπὶ τῶν μέγα τι καὶ δεινὸν ὑφιςαμένων· διωλύγιον γάρ ἐςι τὸ μέγα καὶ ἐπὶ πολὺ διῆκον. "οὕτως δνοπαλίζεις διωλύγιος φλυαρία" Πλάτων (Theaet. p. 162 A?). καὶ Δαμάσκιος "ταῦτα οὐ διωλύγιος φλυαρία δόξειεν ἂν εἶναι; καὶ δικαίως ὁ κατὰ γραῶν ὕθλον λεγόμενον, ἀλλὰ πέρα τοῦ μεγίστου φληνάφου."

διώμνυτο παρατατικός.

διωμοσία ὅρκοι οἱ ὑπὸ τῶν δικαζομένων γινόμενοι, τῷ μὲν ὀμνύντος ὅτι παθὼν ἐγκαλεῖ, τῷ δὲ ἄρα ὅτι ὀκ ἐποίησε. Timaeus.

ὅτι ὁ Σιμόκατος (7 6) ἐπὶ τῷ ὅρκῳ ἐχρήσατο τῷ διωμοσία, λέγων "οἱ Μαυρούσιοι διωμοσίαν κατὰ τῶν Ῥωμαίων ἐποιήσαντο."

διωμοσία καὶ ἀντωμοσία. ὅταν οἱ κατηγοροῦντες ὀμνύωσιν ὡς ἀληθῶς κατηγοροῦσι, τοῦτο διωμοσία· ὅταν δὲ οἱ κατηγορούμενοι ὀμνύωσι τὸν αὐτὸν ὅρκον, διαλυόμενοι τὰ ἐγκλήματα, τοῦτο ἀντωμοσία.

διώμοτος. (Procop. Arc. 26) "διωμότως ἀντίςασθαι τοῖς διαφερομένοις ἐκέλευε τοὺς ῥήτορας," τουτέςι τοὺς συνηγόρους.

Δίων Ἱππαρίνου Συρακούσιος, φιλόσοφος Πλατωνικός, τῷ Σικελίας τυράννου Διονυσίου τοῦ προτέρου τῆς γαμετῆς Ἀριςομάχης ἀδελφός, ὃς καὶ ἐκράτησε τῆς Σικελίας τυραννίδος, ἐκβαλὼν τὸν τοῦ προτέρου Διονυσίου υἱὸν Διονύσιον, οὗ πάλιν ἀδελφὸς Νισαῖος ἐξέβαλε Δίωνα τοῦτον. ἔγραψεν ἐπιςολὰς πρὸς Πλάτωνα καὶ ἄλλους τινάς.

Δίων ὁ Κάσσιος χρηματίσας, ὁ ἐπίκλην Κοκκήιος (οἱ δὲ Κοκκηιανός), Νικαεύς, ἱςορικός, γεγονὼς ἐπὶ τῶν χρόνων Ἀλεξάνδρου τοῦ Μαμαίας, ἔγραψε Ῥωμαϊκὴν ἱςορίαν ἐν βιβλίοις π' (διαιροῦνται δὲ κατὰ δεκάδας), Περσικά, Γετικά, ἐνόδια, τὰ κατὰ Τραϊανόν, βίον Ἀρριανοῦ τοῦ φιλοσόφου.

Δίων ὁ Πασικράτους Προυσαεύς, σοφιςὴς καὶ φιλόσοφος, ὃν χρυσόςομον ἐκάλεσαν. ἀντεποιεῖτο δὲ σεμνότητος, ὡς καὶ λεοντῆν φορῶν προϊέναι. ἦν δὲ λεπτὸς τὸ σῶμα, καὶ διέτριψε τὸ πλεῖςον παρὰ Τραϊανῷ τῷ Καίσαρι, ὡς καὶ συγκαθέζεσθαι ἐν τῷ βασιλικῷ ὀχήματι. ἔγραψεν, εἰ φθαρτὸς ὁ κόσμος, ἐγκώμιον Ἡρακλέους καὶ Πλάτωνος, ὑπὲρ Ὁμήρου πρὸς Πλάτωνα δ', περὶ τῶν Ἀλεξάνδρου ἀρετῶν ή.

Διωναία ἡ Ἀφροδίτη, καὶ Διώνη ἡ αὐτή.

Διώνασσα ὄνομα κύριον.

διώνυμον διαβόητον, ὀνομαςόν, περίφημον. "διώνυμοι ἐν τοῖς Ἕλλησι." "διώνυμοι κόλακες καὶ κεκηρυγμένοι περιηχοῦσιν ἡμᾶς, Κλείσοφοί τε (cf. v. Κλείσοφος) καὶ Στρουθίαι καὶ Θήρωνες, καὶ οἱ περὶ τὴν Διονυσίου βομβοῦντες τράπεζαν, καὶ οἱ περὶ τὴν δαῖτα Ἀλεξάνδρου μεμηνότες."

διωξικέλευθα κέντρα.

Διώξιππος Ἀθηναῖος κωμικός. δράματα αὐτοῦ Ἀντιπορνοβοσκός, Φιλάργυρος, Ἱςοριογράφος, Διαδικαζόμενοι.

διώξομαί σε δειλίας (A Eq. 368) ἀντὶ τοῦ κατηγορήσω σου. "ἐς δικαςὰς αὐτὸν ἀγαγόντες ἐδίωξαν τυραννίδος."

Διώρης (Hom. B 622) ὄνομα κύριον.

διώρθου ὑπερσυντελικός· "διώρθου ἐκεῖνος τὰ πράγματα."

διωρία ἀνακωχή· (Ioseph. B. I. 5 9) "δόξαν δ' ἐπανεῖναι τὴν πολιορκίαν καὶ διωρίαν βουλῆς τοῖς ςασιαςαῖς παρασχεῖν."

διώροφον τὸ οἴκημα τὸ δύο ἔχον ςέγας.

διῶρυξ διώρυγος.

διωρυχή διάνοιξις τοίχων ἢ χωμάτων, διορυγὴ δὲ ἡ ὄρυξις.

διωσόμεθα ἀπωσόμεθα καὶ ἀποπεμψόμεθα.

διωςῆρσιν (Exod. 38 11) ἀναφορεῦσι τοῖς ἀναβαςάζουσι.

δμηθέντα (Hom. Δ 99) δαμασθέντα, ὑπείξαντα. καὶ δεδμηκότες δαμάσαντες.

δμῆσις (Hom. P 476) ἡ δάμασις.

δμωίς ἡ δούλη.

δμώς ὁ δοῦλος. καὶ δμωός.

δνοπαλίξεις (Hom. ξ 512) τουτέςι διὰ τῶν χειρῶν κινήσεις καὶ ἐντινάξεις. ἡ εὐθεῖα δνοπάλιξις.

δνοφερόν μέλαν, σκοτεινόν· (AP 7 241) "ὀλοφύρατο, χερσὶν ἀμήσας ἀνδροφόνοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν."

δοάζω ἀμφιδοξῶ.

Δόβηρα ὄνομα πόλεως.

δογματίζει θεολογεῖ, φυσιοῖ. δογματίζειν ἐςὶ τὸ δόξαν τιθέναι, ὡς τὸ νομοθε-

τεῖν νόμυς τιθέναι. δόγματα δὲ ἑκατέρως καλεῖται, τό τε δοξαζόμενον καὶ ἡ δόξα αὐτή· τύτων δὲ τὸ μὲν δοξαζόμενον πρότασίς ἐςιν, ἡ δὲ δόξα ὑπόληψις. ὁ τοίνυν Πλάτων περὶ μὲν ὧν κατείληφεν ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. καὶ περὶ τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεσσάρων προσώπων, Σωκράτους, Τιμαίου, τῦ Ἀθηναίυ ξένυ, τῦ Ἐλεάτυ ξένυ. εἰσὶ δ' οἱ ξένοι ὐχ ὥς τινες ὑπέλαβον, Πλάτων καὶ Παρμενίδης, ἀλλὰ πλάσματά ἐςιν ἀνώνυμα ⟨Diog. L. 3 52⟩.

περὶ δογμάτων. οἱ μὲν γεννητὸν οἱ δὲ ἀγέννητον, καὶ οἱ μὲν ἔμψυχον οἱ δὲ ἄψυχον. Ἀναξαγόρας δὲ καὶ Πυθαγόρας εἰς Αἴγυπτον ἀφικόμενοι, καὶ τοῖς Αἰγυπτίων καὶ Ἑβραίων αὐτόθι σοφοῖς ὁμιλήσαντες, τὴν περὶ τῶν ὄντων γνῶσιν ἠκουτίσθησαν. ὕςερον δὲ καὶ Πλάτων, ὡς Πλύταρχος ἐν τοῖς Παραλλήλοις ⟨Solon. 2⟩ φησίν. οὐ μὴν δὲ ἀλλὰ καὶ θεὺς Αἰγύπτιοι πρῶτοι τὸν ἥλιον καὶ τὴν σελήνην ὠνόμασαν, καλέσαντες τὸν μὲν ἥλιον Ὄσιριν τὴν δὲ σελήνην Ἶσιν, ἅτε ὁρῶντες αὐτοὺς δρόμῳ ἰόντας καὶ θέοντας, θεὺς ἐκ τῦ θέειν καὶ ἰέναι.

δοθιῆνι σκορόδῳ ἠμφιεσμένῳ ἔοικεν ⟨AVesp. 1167⟩.

δοθιών φῦμα φλυκταίνῃ ἐοικός· "ἔχουσα δοθιῶνα ὑποφυόμενον ἄρτι."

δοιά ⟨Hesiod. O. 432⟩ δύο· "δοιὰ δὲ θέσθαι ἄροτρα πονησάμενος."

δοιδυκοποιός ὁ τὰ κοχλιάρια ποιῶν.

δοῖδυξ ὁ ἀλετρίβανος· Ἀριςοφάνης ⟨Eq. 987⟩ "ὡς εἰ μὴ 'γένεθ' οὗτος ἐν τῇ πόλει μέγας, ὐκ ἂν ἤςην σκεύη δύο χρησίμω, δοῖδυξ" καὶ ἀλετρίβανος.

δοίημεν παράσχοιμεν.

δοιοί ἀντὶ τῦ δύο, ὡς τὸ "δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς ὔδει" ⟨Hom. Ω 527⟩.

δοκεύει ⟨Hom. Θ 340⟩ ἐπιτηρεῖ.

δόκησις ὑπόνοια. ἢ τὸ μὴ ὄν, νομιζόμενον δέ, ὅ ἐςι φαντασία καὶ σκιὰ καὶ ὄναρ.

δόκησις ἀληθείας περιφραςικῶς ἡ ἀλήθεια παρὰ Θυκυδίδῃ ⟨2 35⟩.

δοκησίσοφος ἀντὶ τῦ φρόνιμος· Ἀριςοφάνης ⟨Pac. 44⟩ "νεανίας δοκησίσοφος."

δοκίδες ἀςέρων ὄνομα.

δοκιμάσας κρίνας. καὶ δοκιμασθείσαις σπονδαῖς κριθείσαις, βεβαιωθείσαις· ⟨Menand. exc. leg. p. 391⟩ "μαθὼν ὡς ταῖς ἤδη ὑπὸ Ζαχαρίυ δοκιμασθείσαις σπονδαῖς ὓ ςέργουσι Ῥωμαῖοι, ἐπαφίησι τὸν Ταγχοσδρὼ κατὰ τῆς Ῥωμαίων ἐπικρατείας."

δοκιμασθείς Δημοσθένης μὲν ἀντὶ τῦ εἰς ἄνδρας ἐγγραφείς ⟨30 6⟩. λέγει δὲ καὶ ἐπὶ τῶν ἀρχόντων τὸ δοκιμασθῆναι ⟨57 25⟩. ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων τὸ δοκιμασθῆναι, εἰ καὶ μηδ' ἥντινα ἦρχον ἀρχήν· ἐνίοτε δὲ καὶ αὐτῶν ἐξητάζετο ὁ βίος. Λυκῦργος δὲ γ' δοκιμασίας φησὶ κατὰ τὸν νόμον γίνεσθαι· καὶ γὰρ μία μέν ἐςιν ἣν οἱ θ' ἄρχοντες δοκιμάζονται, ἄλλη δὲ ἣν οἱ ῥήτορες, τρίτη δὲ ἣν οἱ ςρατηγοί. λέγει δὲ ἐν τῷ αὐτῷ λόγῳ καὶ ἱππέων δοκιμασίαν. Harp.

δοκιμασίαν ἐπαγγεῖλαι τὸ δίκην ἑταιρήσεώς τινα καταγγεῖλαι. γίνεται δὲ ἡ τῆς ἑταιρήσεως δοκιμασία οὐ πᾶσιν ἀλλὰ πολιτευομένοις ῥήτορσι καὶ ψηφίσματα γράφυσι.

δοκιμαςῆρες οἱ ἐταςαί.

δόκιμος· "ὃ δὲ ὢν καὶ πρότερον ἔν γε Ἰταλιώταις πᾶσι δόκιμος, μεῖζον ὡς τὸ εἰκὸς ἐπὶ φιλανθρωπίᾳ κλέος ἀπήνεγκε." καὶ "δοκίμων δοκιμώταται" τῶν πόλεων.

δοκός τὸ μέγα ξύλον.

δοκῦντα ἀντὶ τῦ ἀρέσκοντα· "πολλὰ λέγει παράδοξα καὶ δοκῦντα τοῖς φιλοσόφοις, πολλὰ τῶν καθ' Ἅδυ, ὔπω τινὰ ἀκοὴν φέροντι τῷ Ἰσιδώρῳ τοσούτων ἀκουσμάτων" ⟨Damascius?⟩.

δολιχά μακρά, πολλά. δόλιχος τὸ ἱπποδρόμιον, ἀπὸ τοῦ κάμπτειν, ςάδιον δὲ ὁ ὀρθὸς δρόμος. cf. v. δίαυλος.

δολιχεύουσι περιοδεύουσιν. Αἰλιανός "Διονύσιος τὔνομα, ἔμπορος τὸ ἐπιτήδευμα, δολιχεύσας πολλὰς πολλάκις πλῦς περιβάλλεται πλῦτον εὖ μάλα ἁδρόν." cf. v. κύφη.

δολιχόν μακρόν, ἢ πολύ· "ἔχειν δὲ δόρυ ὐ κατὰ τὸν ἐξ ἵππυ μαχόμενον δολιχόν, ἀλλ' ὥςε μόνον τὴν ἐπιδορατίδα ὑπερέχειν ἐς ὕψος."

δόλιχος τὸ ὄσπριον καὶ τὸ ὄνομα τοῦ δρόμυ προπαροξυτόνως, δολιχός δὲ τὸ ἐπίθετον, ὁ μακρός, ὀξυτόνως. ἔςι δὲ ὁ δόλιχος κ' ςάδια.

δολιχόσκιον τὸ μακροπόρευτον.

Δολίωνος ὄνομα κύριον.

Δολοβέλλας ὄνομα κύριον.

δολόμητις δολιόβυλος.

δόλος ἡ ἐπὶ λύμῃ τῶν ἀδελφῶν ἐπιβολή τε καὶ μηχανὴ παρὰ τῷ ἀποςόλῳ ⟨1 Petri 2 1, 3 10⟩.

Δόλοψ ὄνομα κύριον.

Δόλων. οὕτω καλεῖται ὁ παρὰ τοῖς Κυζικηνοῖς τὴν Ἄρτεμιν θεραπεύων γυναικεῖος θίασος, ὥς φησιν Αἰλιανός. καὶ Δόλων ὁ παρὰ Ὁμήρῳ. καὶ φυλάττει ω.

Δολώνεια πόλις.

δόλωνες τὰ μικρὰ ἱστία. "χαλάσαντας τὰ μεγάλα ἄρμενα, τοῖς μικροῖς, ἃ δὴ δόλωνας καλοῦσιν, ἕπεσθαι." καὶ αὖθις ⟨Procop. Vandal. 1 17⟩ "προβαλόμενος τοῦ παντὸς στόλου ναῦς ὀλίγας, ταύταις τοὺς δόλωνας ἐπαράμενος ἔπλει." "οἱ δὲ Ῥωμαῖοι πλησίον γενόμενοι καθεῖλον τοὺς δόλωνας."

δόμα τὸ διδόμενον δῶρον.

δομέστικοι οἱ τῶν Ῥωμαίων ἱππεῖς, ἢ κατὰ Ῥωμαίους οἰκειακοὶ στρατιῶται.

a *Δομετιανός* βασιλεὺς Ῥωμαίων, ἀδελφὸς Τίτου νεώτερος, Νέρωνι καὶ Καλλιγόλᾳ καὶ Τιβερίῳ τοῖς αἴσχιστα καὶ φαυλότατα προστᾶσι τῆς ἡγεμονίας ἤπερ τῷ πατρὶ καὶ τἀδελφῷ προσεοικὼς τὸν τρόπον. μετρίοις γὰρ δὴ τῆς ἀρχῆς προοιμίοις χρησάμενος εὐθὺς εἰς πλείονά τε καὶ ἄτοπα γνώμης ἐκπίπτει μειονεκτήματα, πλεονεξίαν τε νοσῶν ἄμετρον καὶ ἀσέλγειαν, θυμοῦ τε ἀκρατὴς ὢν καὶ ἀπαραίτητος ἐν ταῖς κολάσεσι φιλαπεχθήμων τε καὶ φιλάργυρος, εἰ καί τις ἕτερος. ταχέως οὖν τὸ πρὸς ἁπάντων μῖσος ἐφειλκύσατο, ὥστε τό τε τοῦ ἀδελφοῦ καὶ τοῦ πατρὸς ἀποσβέσαι κλέος· σφαγαῖς τε γὰρ τῶν ἐπισήμων τῆς βουλῆς ἑκάστης ἡμέρας ἐμίαινε τὴν πόλιν, τάς τε ἴσας τοῖς κρείττοσι μεταδιώκων τιμὰς οὐχ ὑπέμεινεν ἑτέρων αὐτοῦ γενέσθαι κατὰ τὸ Καπιτώλιον ἀνδριάντων στάσιν ἢ ἐκ χρυσοῦ τε καὶ ἀργύρου πεποιημένων. ἀπείχετο δὲ οὐδὲ τοῦ τῶν συγγενῶν φόνου, ἀλλ' ἐπὶ πάντας τοὺς ἀφ' αἵματος τὴν ἀνοσίαν ἤγαγε δεξιάν, οὔτε θεοὺς ὁμογνίους οὔτε δίκην αἰδούμενος, ἀλλ' ὁμοῦ τά τε θεῖα περιφρονῶν καὶ τὰ ἀνθρώπινα. Io. Antioch. p. 817.

b *Δομετιανός* βασιλεὺς Ῥωμαίων, ἀδελφὸς Τίτου, οὗ διάδοχος γενόμενος οὐ τὴν πατρικὴν καὶ ἀδελφικὴν ἐζήλωσεν ἀριστοπολιτείαν, ἀλλὰ τὴν Τιβερίου καὶ Νέρωνος ἀνοσιουργίαν ἐκ διαμέτρου. καὶ δὴ πᾶν εἶδος κακίας ἐπελθών, μιαιφονίας τε καὶ γυναικομανίας ἅμα καὶ ἀνδρομανίας ἀνάπλεως γενόμενος, ἑαυτὸν ὁ ἄθεος τελευταῖον ἀπεθέωσε. κἀντεῦθεν οὖν ἔχθιστον ἅπασι καὶ ἀπόβλητον διὰ τὸ φονικόν τε καὶ θηριῶδες τῆς μιαρᾶς γνώμης ἑαυτὸν ὁ τάλας ἀποφήνας, εἰκότως μάλα τὰ ἐπίχειρα τῆς οἰκείας δυσμενείας κομισάμενος, αἰσχίστῳ μόρῳ τὸν μυσαρὸν καὶ βέβηλον καταστρέφει βίον. Cedrenus p. 244.

οὗτος σὺν τῷ βασκάνῳ δαίμονι νεμεσήσας τῷ ἀδελφῷ, τοῦτον ἀναιρεῖ φαρμάκῳ ἔρωτι τῆς ἀρχῆς. καὶ πονηρῶς τὰ πράγματα Ῥωμαίων διαθεὶς οὐδὲν ὠμότητος οὐδὲ πλεονεξίας οὐδὲ φονικῆς ἐνεργείας ἢ ἑτέρου τινὸς ··· παραλέλοιπεν εἶδος ἢ σπούδασμα, μετὰ καὶ τοῦ ἀκρατὴς εἶναι καὶ ἀκόλαστος τὰ περὶ τὸ σῶμα. οὗτος καὶ Νέρβαν μετέστησεν ὡς ἐπιβουλεύοντα τῇ βασιλείᾳ, καὶ Ἀπολλώνιον τὸν Τυανέα ὡς φίλον Νέρβᾳ συλλαβὼν ἀπέκειρε καὶ δέσμιον εἰς δικαστήριον ἤγαγεν. καὶ ἐπεὶ ὁ φιλόσοφος οὐκ ἐνεδίδου, ἐπεγγελῶν τὰ γινόμενα παρ' αὐτοῦ καὶ ἐπιπλήττων τοῖς πραττομένοις, αἰσχυνθεὶς ἀφῆκεν αὐτόν. τότε φασὶ καὶ τὸ πολυθρύλητον ἔπος εἰπεῖν τὸν Ἀπολλώνιον "οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι," καὶ ἄφαντον γενέσθαι παραχρῆμα. cf. v. μόρσιμος.

οὗτος καὶ τοὺς φιλοσόφους καὶ μαθηματικοὺς ἐφυγάδευσεν ἀπὸ Ῥώμης. ἐπὶ τούτου καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς εἰς Πάτμον ἐξορίζεται. καὶ τοὺς ἀπὸ τοῦ γένους Δαβὶδ ἀναιρεῖσθαι προσέταξε, καὶ Χριστιανοὶ πολλοὶ ἐπ' αὐτοῦ μαρτυροῦσι. Νέρβας δὲ ἀπολύει τῆς ἐξορίας Ἰωάννην τὸν θεολόγον. Ἀδριανὸς δὲ πολλὰ ἀνορθώσας καὶ Λαζοῖς ἤτοι Κόλχοις βασιλέα ἐπέστησεν, οὐκ εὐβούλως δὲ τῆς Μεσοποταμίας παραχωρεῖ Πέρσαις δεηθεῖσιν αὐτοῦ, κτηθείσης ὑπὸ Τραϊανοῦ, καὶ τὸν Εὐφράτην ὅρον ποιεῖται τῆς ἀρχῆς Ῥωμαίων.

οὗτος διὰ τὸ φονικὸν καὶ θηριῶδες ἔχθιστος ὢν πρὸς τῶν οἰκείων συστάντων ἐπ' αὐτῷ κατακτείνεται· καὶ παρασκευασαμένους εἰσπέμψαι σὺν ξιφιδίῳ Στέφανον τὸν ἀπελεύθερον, καὶ τοῦτον προσπεσόντα Δομετιανῷ καθεύδοντι τὸ μεθημερινὸν πατάξαι μέν, οὐ μὴν καιρίαν, ἀναπηδήσαντος γοῦν ἐκείνου.

Δομέτιος ὄνομα κύριον.

Δομιτία ὄνομα κύριον.

Δομνῖνος φιλόσοφος, Σύρος τὸ γένος ἀπό τε Λαοδικείας καὶ Λαρίσσης πόλεως Συρίας, μαθητὴς Συριανοῦ καὶ τοῦ Πρόκλου συμφοιτητής, ὥς φησι Δαμάσκιος, ἐν μὲν τοῖς μαθήμασιν ἱκανὸς ἀνήρ, ἐν δὲ τοῖς ἄλλοις φιλοσοφήμασιν ἐπιπολαιότερος. διὸ καὶ πολλὰ τῶν Πλάτωνος οἰκείοις δοξάσμασιν

διέτρεψε. καὶ διαλυμηνάμενος ἀποχρώσας ὅμως εὐθύνας τῷ Πρόκλῳ δέδωκε, γράψαντι πρὸς αὐτὸν ὅλην πραγματείαν, καθαρτικήν, ὥς φησιν ἡ ἐπιγραφή, τῶν δογμάτων τοῦ Πλάτωνος. ἦν δὲ οὐδὲ τὴν ζωὴν ἄκρος, οἷον ἀληθῶς φιλόσοφον εἰπεῖν. ὁ γὰρ Ἀθήνησιν Ἀσκληπιὸς τὴν αὐτὴν ἴασιν ἐχρησμῴδει Πλουτάρχῳ τε τῷ Ἀθηναίῳ καὶ τῷ Σύρῳ Δομνίνῳ, τούτῳ μὲν αἷμ᾽ ἀποπτύοντι πολλάκις καὶ τοῦτο φέροντι τῆς νόσου τὸ ὄνομα, ἐκείνῳ δὲ οὐκ οἶδα ὅ τι νενοσηκότι. ἡ δὲ ἴασις ἦν ἐμπίπλασθαι χοιρείων κρεῶν. ὁ μὲν δὴ Πλούταρχος οὐκ ἠνέσχετο τῆς τοιαύτης ὑγιείας, καίτοι οὐκ οὔσης αὐτῷ παρανόμου κατὰ τὰ πάτρια· ἀλλὰ διαναστὰς ἀπὸ τοῦ ὕπνου καὶ διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος, ἀποβλέπων εἰς τὸ ἄγαλμα τοῦ Ἀσκληπιοῦ (καὶ γὰρ ἐτύγχανεν ἐγκαθεύδων τῷ προδόμῳ τοῦ ἱεροῦ) "ὦ δέσποτα" ἔφη, "τί δὲ ἂν προσέταξας Ἰουδαίῳ νοσοῦντι ταύτην τὴν νόσον; οὐ γὰρ ἂν καὶ ἐκείνῳ ἐμφορεῖσθαι χοιρείων κρεῶν ἐκέλευσας." ταῦτα εἶπεν, ὁ δὲ Ἀσκληπιὸς αὐτίκα ἀπὸ τοῦ ἀγάλματος ἐμμελέστατον δή τινα φθόγγον, ἑτέραν ὑπεγράψατο θεραπείαν τῷ πάθει. Δομνῖνος δὲ οὐ κατὰ θέμιν πεισθεὶς τῷ ὀνείρῳ, θέμιν τοῖς Σύροις πάτριον, οὐδὲ παραδείγματι τῷ Πλουτάρχῳ χρησάμενος, ἔφαγε τότε καὶ ἤσθιεν ἀεὶ τῶν κρεῶν. λέγεταί που, μίαν εἰ διέλειπεν ἡμέραν ἄγευστος, ἐπιτίθεσθαι τὸ πάθημα πάντως ἕως ἀνεπλήσθη. τούτῳ οὖν ἤδη γεγηρακότι νεώτερος ὢν ἐντυχεῖν ὁ Ἀσκληπιόδοτος λέγεται, ἰδεῖν δὲ ἄνθρωπον ἔχοντά τι περιττὸν καὶ ἀστεμφές, οὐκ ἀξιοῦντα λόγου πολλοῦ τοὺς ἐντυγχάνοντας ἰδιώτας ἢ ξένους, ἄλλως τε καὶ τοὺς ἐπὶ τῷ διαφέρειν αὐχοῦντας. ἀμέλει καὶ αὐτῷ προσενεχθῆναι τραχύτερον. ἐπεὶ δὲ περὶ ἀριθμητικοῦ ὁτουδὴ θεωρήματος οὐκ ἠξίου ὁμολογεῖν πρὸς αὐτὸν οἷα δὴ νέος ὤν, οὐδὲ ἐνδιδόναι τι μαλθακόν, ἀλλὰ διελέγχειν τὸν λόγον οὕτω θρασέως ὥστε τὸν Δομνῖνον μηκέτι προσίεσθαι αὐτὸν εἰς ὁμιλίαν. Damascius.

Δόμνος ὄνομα κύριον. cf. v. Γέσιος.

Δόμορ.

δόμος οἶκος.

δόνακες κάλαμοι ἁλιευτικοί, ἢ αὐλοί. ἡ εὐθεῖα δόναξ.

Δονᾶτος ὄνομα κύριον.

δονεῖται κλονεῖται, σαλεύεται. Ἀριστοφάνης ⟨Eccl. 949⟩ "πάνυ γάρ τις ἔρως με δονεῖ τῶνδε βοστρύχων," ἀντὶ τοῦ κινεῖ, ἐρεθίζει.

δόξα ὑπόνοια, ὑπόληψις. δόξα δέ ἐστιν a ὁ παρὰ τῶν πολλῶν ἔπαινος· εἰ δὲ τῶν πολλῶν, ὅτι τῶν οὐκ εἰδότων.

δόξα. τὸ λογικὸν καὶ γνωστικὸν μέρος τῆς b ψυχῆς διαιρεῖται εἰς νοῦν διάνοιαν δόξαν. ἡ μὲν οὖν δόξα καταγίνεται περὶ τὸ καθόλου ἐν τοῖς αἰσθητοῖς. οἶδε γὰρ ὅτι τὸ λευκὸν διακριτικὸν ὄψεως, καὶ ὅτι πᾶς ἄνθρωπος δίπους. ἔτι γε μὴν τῶν διανοητῶν οἶδεν ἄνευ λόγου τὰ συμπεράσματα, οἷον ὅτι ἡ ψυχὴ ἀθάνατος οἶδε, διὰ τί δὲ οὐκέτι· διανοίας γὰρ ἔργον ἐστὶ τοῦτο. ὥστε δοξαστά ἐστι τό τε ἐν τοῖς αἰσθητοῖς καθόλου καὶ τῶν διανοητῶν τὰ συμπεράσματα. ὅθεν καὶ καλῶς ὁρίζεται τὴν δόξαν Πλάτων ἐν τῷ Σοφιστῇ ⟨p. 264 A⟩, διανοίας λέγων ἀποτελεύτησιν· τῆς γὰρ διανοίας συλλογισαμένης ὅτι ἀθάνατος ἡ ψυχή, τὸ συμπέρασμα μόνον οἶδεν ἡ δόξα. διανοίας δέ ἐστι τὸ οἷον ὁδόν τινα διανύειν μεταβαίνουσαν ἀπὸ προτάσεως εἰς συμπέρασμα· ἐξ οὗ καὶ τὴν κλῆσιν εἵλκυσε. Philopon. in 1 de anima, A 1.

δόξα. Σοφοκλῆς ⟨OC 258⟩ "τί δῆτα δό- c ξης ἢ καλῆς μοι κληδόνος μάτην ῥεούσης ὠφέλημα γίνεται, εἰ τάς τ᾽ Ἀθήνας φασὶ θεοσεβεστάτας εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον σώζειν οἵας τε καὶ μόνας ἀρκεῖν ἔχειν, κἄμοιγε ποῦ ταῦτ᾽ ἐστιν;"

δόξα θεοῦ παρὰ τῷ ἀποστόλῳ ⟨ad Rom. 1 23⟩ τὸ δημιουργικὸν καὶ τὸ προνοητικόν. ταύτην τοιγαροῦν προσεκύρωσαν εἰδώλοις ἐν ὁμοιώματι ἀνθρώπων καὶ πετεινῶν καὶ τῶν λοιπῶν.

δόξαν ἀρέσαν, βεβουλευμένον· "δόξαν δὲ τοῖς Αἰγυπτίοις τὸν μὲν ἕτερον αὐτόθι μένειν, τὸν δὲ ἕτερον εἰς τὰς προσχώρους πόλεις ἀφικόμενον, ἐφ᾽ οἷς ποιήσεται εἰρήνην, ὁρίσαι." καὶ Σοφοκλῆς ⟨OR 911⟩ "δόξα μοι παρεστάθη ναοὺς ἱκέσθαι δαιμόνων, τάδ᾽ ἐν χεροῖν στέφη λαβούσῃ." Σοφοκλῆς ⟨Ai. 492⟩ "σοὶ μὲν δοκεῖν ταῦτ᾽ ἔστ᾽, ἐμοὶ δ᾽ ἄγαν φρονεῖν," οἷον σοὶ μὲν ταῦτα ἐν δόξῃ καταλαμβάνεται, ἐγὼ δὲ σαφῶς ἐπίσταμαι.

δοξάριον δόξα, ὑποκοριστικῶς.

δοξάσαι ὑπονοῆσαι, εἰκάσαι· Ἀριστοφάνης ⟨Pac. 118⟩ "δοξάσαι ἔστι, κόραι, τὸ δ᾽ ἐτήτυμον οὐκ ἔχω εἰπεῖν." ὅτι τὸν σπουδαῖον οὐ δεῖ δοξάσαι, τουτέστι ψεύδει μὴ συγκατατίθεσθαι ⟨Diog. L. 7 121⟩. καὶ αὖθις ⟨Polyb.

3 82) "δοξάζων ἑαυτὸν ὑπὸ τῶν ἐναντίων καταφρονεῖσθαι."

δοξασίας δόξης, ὑπολήψεως· Δίων ἐν Ῥωμαϊκῶν ιγʹ (19) "προσεῖναι δὲ καὶ τῆς ἐμῆς δοξασίας."

δόξης· "οἱ δὲ σὺν τῷ Φαβίῳ μέγα ἐκβοήσαντες οὐκέτι δόξης ἀλλὰ πολέμου ἔργα παρείχοντο."

δοξοκοπία κενοδοξία. Ἀππιανός (Hannib. 9) "ὁ δὲ Φλαμίνιος ἐς τὴν ἀρχὴν ἀπὸ δοξοκοπίας ᾑρημένος ἠπείγετο Ἀννίβᾳ συμπλακῆναι." cf. v. δημοκοπία.

δοξολογῶ σε ὑμνῶ σε.

δορά τὸ δέρμα. cf. v. Ἐμπεδοκλῆς.

δόρατα λογχάρια.

δοράτιον μικρὸν δόρυ.

δορί τῷ δόρατι.

δοριάλωτον αἰχμάλωτον.

δορίκλυτος περὶ τὸ δόρυ ἔνδοξος.

δορίκτητος πλοῦτος ὁ ἀπὸ πολέμου.

δόριλλος τὸ γυναικεῖον αἰδοῖον, ἐφ' ὕβρει τοῦ τραγῳδιοποιοῦ Δορίλλου.

Δορίσκος χωρίον Θρᾳκικόν.

δορκαλίδες ὄργανόν ἐστι κολαστικόν τι, ἢ μάστιγες αἱ ἀπὸ ἱμάντων δορκάδων.

δορκάς. καὶ παροιμία "μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης," ἐπὶ τῶν τὴν ἰσχὺν ἀνίσων.

Δόρκων ὄνομα τόπου. καὶ ὁ ἔλαφος.

δοροδόκος τὸ ξύλον τὸ ὑποδεχόμενον τῆς οἰκίας τὸν ὄροφον.

δορός δόρατος. (S Ai. 963) "ἴσως τοι, κεἰ βλέποντα μὴ 'πόθουν, θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός." Τέκμησσά φησι γυνὴ Αἴαντος, περὶ Ἀγαμέμνονος.

δόρπεια ἡ πρώτη ἡμέρα ἡ τῶν ἀπατουρίων. ἡ δ' ἑξῆς ἀνάρρυσις, κουρεῶτις δὲ ἡ τρίτη. καὶ πλατύτερον ἐν τῷ ἀπατούρια.

δορπήσας (Hom. η 215) δειπνήσας.

δόρπιστος δείπνου ὥρα.

δόρπος ὁ δεῖπνος. καὶ δορπωρή ὁ αὐτός. δόρπος οὖν τὸ ἑσπερινὸν δεῖπνον, παρὰ τὸ τὸ δόρυ παύειν. καὶ ἐν τῷ δεῖπνος.

δόρυ τὸ ἀκόντιον.

δόρυ καὶ κηρύκειον παροιμία ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων. οἱ δεκατευθέντες εἰς Δελφοὺς ὑπ' Ἀθηναίων Γεφυραῖοι, λαβόντες χρησμὸν "ἀνδρὶ Γεφυραίῳ φίλος οἶκος," ἀκολουθοῦντες βουσὶν ἕως ἂν οὗ ἐκεῖνοι κοπιάσωσιν, ὡς ὁ θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι, πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου ἐπὶ τὴν Τάναγραν καλουμένην ὥδευσαν, δόντες μὲν τῷ προηγουμένῳ κηρύκειον, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους.

Δορυλάειον τόπος. καὶ Δορύλαιον τόπος.

Δορυμέδων ὄνομα κύριον.

δορυμήσορος τοῦ ἐπιστημόνως πολεμοῦντος.

δορύξενος ὁ ἐκ τῶν πολεμίων φίλος, ὡς Γλαῦκος καὶ Διομήδης. ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖέν τινες. δορυξένους ἐκάλουν καὶ τοὺς ὁπωσοῦν ἐπιξενωθέντας. "ἀνδρὸς τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορύξενος κοινὴ παρ' ἡμῖν αἰέν ἐστιν ἑστία" (S OC 632). ἢ ἐπιτατικῶς νῦν, ἀντὶ τοῦ ἡ καὶ πολεμίοις φίλη.

δορυξός· Ἀριστοφάνης (Pac. 451) "κεἴ τις δορυξὸς ἢ κάπηλος ἀσπίδων, ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν, ληφθεὶς ὑπὸ λῃστῶν ἐσθίοι κριθὰς μόνας."

δορυσσόντων μόχθων (S Ai. 1188), τουτέστι τῶν κατὰ πόλεμον μόχθων, ἐξ οὗ πολεμικῶν.

δορυφορεῖ τιμὴν περιποιεῖ.

δορυφόροι φύλακες, ὑπηρέται βασιλέως, ὁπλοφόροι, ὑπασπισταί.

δός, δότε. "καὶ δός πᾶς ὁ βίος· λάβε δ' οὐδ' ἐπὶ νησσὶν ἀκέσαις."

Δοσίθεος ὄνομα κύριον.

δόσις ἰδίως λέγεται παρὰ τοῖς ῥήτορσι συμβόλαιον γραφόμενον, ὅταν τις τὰ αὑτοῦ διδῷ διὰ τῶν ἀρχόντων. Harp.

δοσοληψία.

δότε μοι λεκάνην (A Nub. 907), ἐπὶ τῶν ὀργιζομένων καὶ προσποιουμένων ὑπὸ χολῆς ἐμεῖν.

δότειρα, δοτήρ, δότης. δότης δότου.

δουλαγωγῶ αἰτιατικῇ.

δουλεία κατὰ τρεῖς τρόπους, τὸν κατὰ τὴν δημιουργίαν, καθά φησιν (Ps. 118 91) "ὅτι τὰ σύμπαντα δοῦλα σά," τὸν παρὰ τῆς πίστεως, ὡς εἴρηται (Rom. 6 18) "ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας ἐδουλώθητε τῇ δικαιοσύνῃ," τρίτον ἀπὸ τῆς πολιτείας κατὰ τὸ εἰρημένον (Ios. 1 2) "Μωυσῆς ὁ θεράπων μου." Chrysost. hom. 1 in ep. ad Rom. p. 5.

δουλεύω σοι.

δούλιον ἦμαρ (Hom. ρ 323).

Δυλίχιον νῆσος.

δυλιχοδείρων (Hom. B 460) μακροτραχήλων.

δῦλοι πάντες μὲν φύσει θεοῦ, διαθέσει δὲ οἱ τύτυ τὴν δεσποτείαν ἀσπασίως αἱρούμενοι.

ὅτι δοῦλοι οἱ φαῦλοι τῶν κακῶν, οἱ δὲ σπυδαῖοι ἐλεύθεροι. εἶναι δὲ καὶ ἄλλην δυλείαν τὴν ἐν ὑποτάξει, καὶ τρίτην ἐν κτήσει τε καὶ ὑποτάξει· ᾗ ἀντιτίθεται ἡ δεσποτεία, φαύλη ὖσα καὶ αὐτή. ὐ μόνον δὲ ἐλευθέρυς εἶναι τὺς σπυδαίυς, ἀλλὰ καὶ βασιλέας· ἡ γὰρ βασιλεία ἀρχὴ ἀνυπεύθυνος, ἥτις περὶ μόνυς ἂν τὺς σοφὺς συςαίη. Diog. L. 7 121.

δῦλος ὢν κόμην ἔχεις (A Av. 908), ἐπὶ τῶν παραλόγως τι πραττόντων, παρ' ὅσον ἐλευθέρων τὸ κομᾶν. λέγεται καὶ δυλότερος κατὰ σύγκρισιν.

δυλοσύνη· (Herodot. 1 164) "οἱ δὲ Φωκέες περιημέκτεον τῇ δουλοσύνῃ" ἀντὶ τοῦ ἐδυσφόρυν.

δυλῶ δοτικῇ.

δύλων πόλις ἐν Λιβύῃ· Ἔφορος έ. καὶ ἑτέρα ἱεροδύλων, ἐν ᾗ εἷς ἐλεύθερός ἐςιν. ἔςι δὲ καὶ ἐν Κρήτῃ Δυλόπολις, ὡς Σωσικράτης ἐν τῇ ά τῶν Κρητικῶν. ἔςι δέ τις καὶ περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασι συνοικίσαι, τὺς ἐπὶ πονηρίᾳ διαβαλλομένυς αὐτόθι συναγαγόντα, συκοφάντας ψευδομάρτυρας καὶ τὺς συνηγόρυς καὶ τὺς ἄλλυς πονηρὺς ὡς δισχιλίυς, ὡς Θεόπομπος ἐν ιγ' τῶν Φιλιππικῶν φησί.

δύπησεν ἔπεσεν ὥςε ψόφον ἀπετέλεσε.

δῦπον ψόφον. καὶ δῦπος θάνατος μετὰ ψόφου.

Δύπων ὄνομα κύριον.

δυράτειος ἵππος καὶ δυράτεος.

δύρειος ὁ ξύλινος ἵππος τῶν Ἑλλήνων· Ἀριςοφάνης (Av. 1128) "μέγεθος ὅσον ὁ δύρειος, ὑπὸ τῦ πλάτυς ἂν παρελασαίτην, τὸ δὲ μῆκος ἑκατοντόργυιον."

δυρὶ καὶ δορὶ τῷ δόρατι.

δυρίληπτος αἰχμάλωτος.

Δῦρις ὄνομα ποιητῦ.

δυροδόκης (Hom. α 128) τῆς τὰ δόρατα δεχομένης.

δοχμή σπιθαμή, παλαιςή. Ἀριςοφάνης (Eq. 318) "πρὶν ἡμέραν φορῆσαι, μεῖζον ἦν δυοῖν δοχμαῖν." λέγει δὲ πρὸς τὸν βυρσοδέψην περὶ τῦ δέρματος.

δόχμιον πλάγιον.

δρᾶ ἀντὶ τῦ πρᾶττε, προςακτικῶς· Ἀριςοφάνης Ὄρνισι (1159) "σὺ δ' αὐτὸς ἤδη τἄλλα δρᾶ."

δρᾷ ποιεῖ, ἢ πορίεῖ.

δράγματα ἀπαρχαί· (AP 6 44) "Ἡρῦναξ πρῶτα δράγματα φυταλιῆς, τρισσῶν οἰνοπέδων τρισσοὺς ἱερώσατο τούσδε κάδυς."

δραγμὴ χαλαζῶσα. ἐπὶ Διοφάντυ τὸ θεωρητικὸν ἐγένετο δραγμή. ἐπεὶ δὲ ἐπέσχε χάλαζα τότε ἀπὸ τοῦ ἀέρος, δραγμὴν αὐτὴν χαλαζῶν ἐπέσκωπτον. Zenob. 3 27.

δράκαινα.

Δράκαυλος· Σοφοκλῆς Τυμπανισταῖς. ἐπεὶ ἡ Ἀθηνᾶ δοκεῖ παρ' αὐταῖς αὐλίσαι τὸν δράκοντα ταῖς Κέκροπος θυγατράσιν. ὅτι συναυλίζονται κατὰ τὸ εἰκὸς Κέκροπι ὄντι διφυεῖ. ὅτι συναυλίζεται μία τῶν ἐν τῇ ἀκροπόλει δράκοντι, προσημερεύυσα τῇ θεῷ.

Δρακοντίδης εἷς τῶν τριάκοντα.

Δράκων Ἀθηναῖος νομοθέτης. ὗτος εἰς Αἴγιναν ἐπὶ νομοθεσίαις εὐφημούμενος ὑπὸ τῶν Αἰγινητῶν ἐν τῷ θεάτρῳ, ἐπιρριψάντων αὐτῷ ἐπὶ τὴν κεφαλὴν πετάσους πλείονας καὶ χιτῶνας καὶ ἱμάτια, ἀπεπνίγη, καὶ ἐν αὐτῷ ἐτάφη τῷ θεάτρῳ. γέγονε δὲ τοῖς χρόνοις κατὰ τοὺς ζ' σοφύς, ἢ μᾶλλον καὶ πρεσβύτερος· τῇ γοῦν λθ' ὀλυμπιάδι τοὺς νόμυς ἔθετο γηραιὺς ὢν τοῖς Ἀθηναίοις. ἔγραψεν ὑποθήκας εἰς ἔπη τρισχίλια. a

Δράκων Στρατονικεὺς γραμματικὸς τεχνικά, ὀρθογραφίαν, περὶ τῶν κατὰ συζυγίαν ὀνομάτων, περὶ ἀντωνυμιῶν, περὶ μέτρων, περὶ σατύρων, περὶ τῶν Πινδάρυ μελῶν, περὶ τῶν Σαπφοῦς μέτρων, περὶ τῶν Ἀλκαίου μελῶν. b

Δράκων υἱιδοὺς Ἱπποκράτυς τοῦ διασήμου ἰατροῦ, ἀπὸ Θεσσαλῦ, πατὴρ δὲ Ἱπποκράτους, οὗ πάλιν γέγονε Δράκων, ἰατρὸς καὶ αὐτός, ὃς Ῥωξάνην ἰάτρευσε συνοικοῦσαν Ἀλεξάνδρῳ τῷ Μακεδόνι. cf. v. Ἱπποκράτης. c

ὅτι δράκων τὸ θηρίον διπλῆν ἔχει τὴν γλῶσσαν, ὁμοίως καὶ ὁ ῥήτωρ. (Artemid. 4 69) φασὶν ὅτι δράκων, ἐὰν ἁλῷ, εἰς τὴν κεφαλὴν παιόμενος ἀποθνήσκει.

δρᾶμα ποίημα, πρᾶγμα, ὡς καὶ δρᾶσαι πρᾶξαι. λέγεται δὲ δρᾶμα καὶ τὰ ὑπὸ τῶν θεατρικῶν μιμηλῶς γινόμενα ὡς ἐν ὑποκρίσει. "ὃ δὲ ἐβουλεύσατο ἀςειοτέρῳ δράματι

πλανῆσαι τὸν ἠπατηκότα," τουτέςι πράξει. Εὐνάπιος ⟨p. 77 Nieb.⟩ "καὶ τέτῳ ὥσπερ δράματι μεγάλῳ καὶ τραχεῖ τὸ κατὰ Μεσώνιον ἐπεισόδιον οὐκ ἔλαττον ὁ δαίμων ἐπήνεγκε."

δραματουργήσας συνθείς.

δράμης αὐθυπότακτον.

Δράος καὶ Σάος ποταμοὶ περιλαμβάνοντες τὴν δευτέραν Παιονίαν εἰς τὸν ποταμὸν Ἴςρον καταφέρονται.

δραπετεύσας φυγών.

δραπέτης ὁ ἀποδρὰς τῆς δουλείας, ὁ τὸ δρᾶν πετεύων, ὃ ἐςι φεύγων. δραπέτης, τὸ δρα μακρόν.

δραπέτης κλῆρος ὁ μετὰ πανουργίας γινόμενος. τοῦτο δὲ ἱςόρηται περὶ Κρεσφόντου καὶ τῶν Ἀριςοδήμου παίδων, ὅτι πανούργως ὁ Κρεσφόντης βῶλον ὑγρὰν εἰς τὴν ὑδρίαν ἐνέβαλε κληρουμένων περὶ Μεσσήνης. Σοφοκλῆς ⟨Ai. 1285⟩ "οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθείς, ἀλλ' ὃς εὐλόφου κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν." καὶ **δραπέτιδι**, θηλυκῶς, παρὰ Κρατίνῳ.

Δράπων ὄνομα κύριον.

δράσας ποιήσας.

δρασείεις δρᾶν διανοῇ· "ὦ Ζεῦ, τί δρασείεις ποθ' ἡμῶν τὸν λεών" Ἀριστοφάνης ⟨Pac. 61⟩. καὶ **δρασείοντες** ἐπιθυμοῦντες πρᾶξαί τι.

δρασμός φυγή.

δρᾶσον· Ἀριςοφάνης Ὄρνισιν ⟨54⟩ "ἀλλ' οἶσθ' ὃ δρᾶσον; τῷ σκέλει θένε τὴν πέτραν," ἀττικῶς.

δράσσομαι γενικῇ.

δραςηρίοις πρακτικωτάτοις.

δραςήριον. "τὸ κόσμιον καὶ ἡσύχιον μετὰ τοῦ δραςηρίου αὐτῷ ἐτέτακτο καὶ τοῦ ἀνδρώδους· ἐπιεικὴς γὰρ ὢν καὶ πρός γ' ἔτι ἀπράγμων, ὅμως εἰς ἀγῶνα πραγμάτων ἐμβεβηκὼς ἐξ ἀνάγκης οὐδενὸς ἐλείπετο τῶν περὶ ταῦτα καλινδουμένων" ⟨Eunapius?⟩.

δραςήριος ὁ περίεργος.

a **δραχμή**. αἱ ρ' δραχμαὶ ποιοῦσι μίαν μνᾶν. δραχμὴ δὲ ⟨an δὲ χρυσίου⟩ ὁλκὴ νομίσματος εἰς ἀργυρίου δραχμὰς ι'.

b **δραχμή** ἓξ ὀβολῶν. καὶ Ἀριςοφάνης ⟨Pac. 373⟩ "εἰς χοιρίδιον δάνεισόν μοι τρεῖς δραχμάς," ἐπὶ τῶν μελλόντων ἀποθνήσκειν ἢ μυεῖσθαι, ἐπεὶ οἱ μυούμενοι χοῖρον ἔθυον. ἐδόκουν δὲ οἱ μυούμενοι ἐς τοὺς εὐσεβεῖς τάττεσθαι.

δρεπανηφόρα τέθριππα. "ἦν δὲ τῷ Δαρείῳ ὑπ' Ἀλεξάνδρου πολεμουμένῳ τέθριππα δρεπανηφόρα κατεσκευασμένα τὸν τρόπον τῦτον. τῶν τροχῶν ἦσαν εἰς τὸν κύκλον περικεχαλκευμένα δρέπανα, συνέβαινέ τε ἐπερχομένων τὰς τάξεις ἀναιρεῖσθαι καὶ τὰς ἐμπίπτοντας οἰκτρῶς ἀπόλλυσθαι· ἐλαυνομένων γὰρ τῶν δρεπάνων οἱ μὲν τῶν ποδῶν, οἱ δὲ τῶν χειρῶν, οἱ δὲ ἐκ τῶν ὅπλων κρατούμενοι ἐσύροντο ἐπὶ πολὺ καὶ ἀνῃροῦντο."

δρεπανηφόρος ξιφηφόρος. καὶ **δρεπανηφόρα**· Ξενοφῶν ⟨Anab. 1 8 10⟩ "τὰ δὴ δρεπανηφόρα καλούμενα εἶχον δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν ὅτῳ ἐντύγχανον."

δρέπεται θερίζεται, τρυγᾶται, ἀπανθίζεται. ⟨AP 7 218⟩ "ἐφ' ἧς μνηςῆρες ἀγαυοὶ πλείονες ἢ νύμφης εἵνεκα Τυνδαρίδος, δρεπτόμενοι χάριτάς τε καὶ ὠνητὴν ἀφροδίτην."

δρέπομαι γενικῇ· "τῶν αὐτῶν σοι λόγων ἐδρεψάμην κἀγώ." αἰτιατικῇ δέ "πονηρὸν πονηρᾶς δόξης καρπὸν δρεπόμενος," καὶ "τὰ κάλλιςα δρεπόμενος τῆς φιλίας ἄνθη."

δρέπου τρύγα. Ἡρόδοτος ⟨8 115⟩ "τῶν δένδρων τὸν φλοιὸν περιλέποντες καὶ τὰ φύλλα καταδρέποντες ἤσθιον."

δρεφθῆναι ἀποδρεπανισθῆναι.

δρησμός.

Δρῆσος ⟨Hom. Z 20⟩ ὄνομα κύριον. καὶ ὄνομα ποταμοῦ.

δρῆςαι οἱ οἰκέται.

δρηςοσύνη ⟨Hom. υ 321⟩.

δριμέα τὰ δριμύτατα, καὶ **δριμεῖα** ἡ δριμυτάτη.

δρίος σύνδενδρος τόπος· ⟨AP 7 203⟩ "οὐκέτ' ἀν' ὑλῆεν δρίος εὔσκιον, ἀγρότα πέρδιξ, ἠχήσεις ἀνιεὶς γῆρυν ἀπὸ ςόματος."

Δρογγίλον χωρίον Θρᾳκικόν.

δρομαῖος ἐπὶ ἑνικοῦ, **δρομαίως** δὲ ἐπιρρηματικῶς πληθυντικῶς, ὡς τὸ "δρομαίως ἦλθον οἱ ἄνδρες," "δρομαῖος" δὲ "ἦλθεν ὁ ἀνήρ." **δρομεύς** δὲ δρομέως.

Δρομιχαίτης ὄνομα κύριον, ὁ βασιλεὺς τῶν Ὀδρυσῶν.

δρόμοις τοῖς γυμνασίοις, κατὰ Κρῆτας. ⟨S El. 686⟩ "δρόμῳ δ' ἰσώσας τῇ φύσει τὰ τέρματα, νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας." περὶ Ὀρέςου φησίν, οἷον οὐκ ἐλλείπων κατὰ

τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασιν. ἀντὶ τῦ ἴσος καὶ τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι ὡς ἐπὶ τῇ μορφῇ. τουτέςιν ὡς θαυμαςὸς ἐπὶ τῇ μορφῇ, ὅτω καὶ ἐπὶ τῷ ἔργῳ ἐφάνη. ὡς ἐπὶ τῷ εἴδει, οὕτω καὶ ἐπὶ τῷ ἔργῳ.

δρομοκήρυκες οἱ ἀγγελιαφόροι παρὰ Δίωνι ⟨78 35⟩.

δρυαχαρνεῦ δρύινε Ἀχαρνεῦ, ἀναίσθητε· ἐκωμῳδοῦντο γὰρ οἱ Ἀχαρνεῖς ὡς ἄγριοι καὶ σκληροί, Ποτάμιοι δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράφους, Θυμοιτάδαι καὶ Προσπάλτιοι ὡς δικαςικοί.

Δρυίδαι παρὰ Γαλάταις οἱ φιλόσοφοι καὶ σεμνόθεοι. Diog. L. prooem.

δρύινος ξύλινος, ὡς ἂν τις εἴποι λίθινος· πᾶν γὰρ ξύλον δρῦς καλεῖται κατὰ τὸ γενικόν. ἀπὸ τούτου καὶ τὰ ἀκρόδρυα καὶ δρύφακτοι καὶ δρυμοὶ καὶ δόρατα, καὶ δέρειος ἵππος καὶ δρυπέπεις ἐλᾶαι.

Δρυμός ἐν τῷ παραπρεσβείας Δημοσθένυς ⟨326⟩ πόλις ἐςὶ μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς.

δρυμός ὁ σύνδενδρος τόπος· "ἐν τοῖς δρυμοῖς αὐτόματος ἐξάπτεται φλόξ, τῶν δένδρων ὑπὸ σφοδροῦ πνεύματος κινουμένων καὶ ἀλλήλοις ἐντριβομένων."

δρυοκοίτης. ⟨AP 7 190⟩ "ἀκρίδι τῇ κατ' ἄρουραν ἀηδόνι, καὶ δρυοκοίτῃ τέττιγι ξυνὸν τύμβον ἔτευξε Μυρώ, παρθένιον ςάξασα κόρη δάκρυ."

Δρύοπες ἔθνος περὶ τὴν Πυθῶνα ἄδικον, ὃ Ἡρακλῆς μετῴκισεν· ὅτε γὰρ τὸν Ἐρυμάνθιον κάπρον ἔφερεν, ἐξήτει αὐτοὺς τροφήν, οἱ δὲ οὐκ ἔδωκαν.

δρύοχοι πάτταλοι οἱ ἐντιθέμενοι ναυπηγουμένης νεώς. καταχρηςικῶς δὲ τὰ προοίμια· Ἀριςοφάνης ⟨Thesm. 57⟩ "Ἀγάθων ἄρχεται δρυόχους τιθέναι δράματος ἀρχάς, κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν, τὰ δὲ τορνεύει, τὰ δὲ κολλομελεῖ καὶ γνωμοτυπεῖ κἀντονομάζει καὶ κηροχυτεῖ καὶ γογγυλίζει καὶ χοανεύει καὶ λαικάζει." ἐν ἐπιγράμματι ⟨AP 6 16⟩ "τὸν δ' ἔτι θείης εὔςοχον ἐν πόντῳ, τὸν δὲ κατὰ δρυόχους." δρυόχους Πλάτων ἐν Τιμαίῳ ⟨p. 81 B⟩ καλεῖ τὰ ςηρίγματα τῆς πηγνυμένης νεώς. "ςόλυ δ' ἐκ δρυόχων ναυπηγουμένου καθ' ἕνα καιρὸν λαθεῖν ἀδύνατον."

δρυπέπης ὁ πέπειρος καρπὸς τῶν δένδρων, ἡ ἐπὶ τῶν δένδρων πεπανθεῖσα ἐλαία· ὡσαύτως καὶ ἡ ἰσχάς. καὶ δρύπεπα· ⟨AP 6 191⟩ "τήν θ' ἁλίπαςον δρύπεπα," τυτέςιν ἐλαίαν.

δρυπολεῖν τὸ ξύλοις πολιορκεῖν.

δρύππα· ⟨AP 6 299⟩ "ἅ τ' ἐφιελκὶς δρύππα καὶ τυροῦ δρύψια κυκλιάδων," τουτέςιν ἐλαία καὶ τυροῦ ξύσματα περιφεροῦς.

Δρῦς. ἔςι μὲν πόλις ἐν Ἠπείρῳ, ἔςι δὲ καὶ ἑτέρα ἐν Θρᾴκῃ. δρῦς τὸ δένδρον, τὸ δρυ βραχύ· ⟨AP 7 8⟩ "οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας ἄξεις." καὶ Ὅμηρος ⟨Ψ 328⟩ "ἢ δρυὸς ἢ πεύκης, τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ."

δρυτόμος ⟨Hom. Λ 86⟩ ὑλοτόμος, δενδροτόμος.

δρύφακτοι ξύλινοι θώρακες, τὰ διαφράγματα, ἢ τὰ περιτειχίσματα, ἢ κιγκλίδες, περιφράγματα, τὰ νῦν ταβλωτὰ καλούμενα, τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα ⟨sch. A Vesp. 385, Eq. 672⟩. "ὃ δὲ τετρακοσίας φορτίδας νῆας συσχών, δρυφάκτους τε ταύταις πηξάμενος ἐν κύκλῳ."

δρύφη ξέσματα. καὶ δρύφοι.

δρύψαι ἀποξέσαι.

δρώμενα πραττόμενα, ἐνεργούμενα. καὶ δρωμένων πραττομένων.

δρώντων ἀντὶ τοῦ δράτωσαν, χρήσθων ἀντὶ τοῦ χρήσθωσαν. Ἀττικὴ δὲ ἐςὶν ἡ σύνταξις, ὥσπερ ποιούντων ἐκεῖνοι ἀντὶ τοῦ ποιείτωσαν, φρονούντων ἀντὶ τοῦ φρονείτωσαν, καὶ νοούντων νοείτωσαν. sch. A Nub. 440.

δρωπακίζειν παρ' ἡμῖν τὸ μετ' ἀλοιφῆς τινὸς χρίεσθαι τὸ σῶμα πρὸς ψίλωσιν τῶν τῆς σαρκὸς τριχῶν καὶ μερικήν τινα κένωσιν τῶν ταύτῃ προσγινομένων αἰτιῶν, ἀπὸ τοῦ μυζᾶν αὐτάς.

δρωπακίζω συνάγω, τρυγῶ· δρωπτὰ γὰρ τὰ δρεπτά, τὰ δρέπανα.

δρῶπαξ ὁ κεκαλλωπισμένος ἀνήρ. ⟨Synes. p. 75⟩ "πολλοὺς ὁρῶ διὰ τὴν ὑγίειαν ἐπὶ τὸν ξυρὸν καὶ τὸν δρώπακα καταφεύγοντας."

Δρωπίδης ὄνομα κύριον.

δυάζει ⟨an φλυάζει⟩ φλυαρεῖ, ἀλογεῖ.

δυεῖν· Πολύβιος "ἀπελθεῖν εἰς πόλιν ἢ δυεῖν μὲν ἡμερῶν ἀπεῖχε." καὶ αὖθις "δυεῖν προελέσθαι θάτερον, ἢ τὸ ἢ τό."

δυερόν βλαβερόν, ἐπιβλαβές.

δύη ἡ κακοπάθεια, ἡ δυςυχία. ὅθεν καὶ

δοῦλος, δύηλός τις ὤν. Καλλίμαχος (fr. 302) "δύην ἀπόθεσον ἀλάλκοι," ἣν οὐδεὶς ποθεῖ. ἐν μύθοις "τοὔνεκα τὴν ἰδίην οὔτις ὄπωπε δύην."

δυηπαθής ὁ καρτερικός. (ΔΡ 7 209) "αὐτοῦ σοι παρ' ἅλωνι, δυηπαθὲς ἐργάτα μύρμηξ, ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμαν."

δῦθι (Hom. Π 64) ἔνδυσαι.

δῦναι κατελθεῖν, ἢ εἰς δύσιν ἀπελθεῖν.

a δύναμις ὁ ςρατός. "συναχθείσης δυνάμεως θαυμαςῆς ἡλίκης τὸ μέγεθος," καὶ αὖθις "πλείςης ὅσης," κατὰ Ἀττικὴν σύνταξιν, ἀντὶ τοῦ πολλῆς τὸ πλῆθος.

b δύναμις λέγεται καὶ ἡ ἰσχὺς καὶ ὁ ςρατός· "τῷ ἀνὰ τοὺς ἑώους πολέμȣς τὰς Ῥωμαίων τετράφθαι δυνάμεις." δύναμις καὶ ἡ ἰσχύς· Δαμάσκιος περὶ Ἰσιδώρου "ὃ δὲ ἐμελέτα ἄττα τῶν ποιητικῶν, οὐχ ὅσον δυνάμεως ἀλλ' ὅσον ὀρέξεως εἶχε."

c δύναμις. εἴ τις τῶν φευκτῶν τινὸς τὴν δύναμιν ἀποδοίη, οἷον ἄν τις τὸν κλέπτην ἢ σοφιςὴν ἢ διάβολον ὁριζόμενος λέγῃ τὸν μὲν διάβολον τὸν δυνάμενον διαβάλλειν καὶ ἐχθροὺς ποιεῖν τοὺς φίλους, τὸν δὲ κλέπτην τὸν δυνάμενον λάθρᾳ τὰ ἀλλότρια ἀφαιρεῖσθαι, τὸν δὲ σοφιςὴν τὸν δυνάμενον ἀπὸ φαινομένης σοφίας χρηματίζεσθαι. οὐδεὶς γὰρ τούτων τοιȣ̃τός ἐςι τῷ δύνασθαι, ἀλλὰ τῷ προαιρεῖσθαι τοιαῦτα. δύναμιν μὲν γὰρ καὶ οἱ ἀγαθοὶ ἔχουσι τοῦ τὰ φαῦλα δρᾶν, ἀλλ' οὐ δρῶσιν αὐτὰ τῷ μὴ προαιρεῖσθαι. Alex. Aphrod. in Top. p. 175.

ἔςι δὲ δύναμις ὀργανικὸν ἀγαθὸν δι' ἄλλο αἱρετόν. id. p. 176.

δυνάμει ἢ ἐνεργείᾳ ἢ ἐντελεχείᾳ. ἀντὶ μὲν τοῦ σώματος ἐχρήσατο ὁ Ἀριςοτέλης τῇ δυνάμει, ἀντὶ δὲ τοῦ ἀσωμάτου τῇ ἐντελεχείᾳ, περὶ ψυχῆς τὸν λόγον διαιρῶν. καὶ γὰρ τῶν σωμάτων τὰ μὲν ἐν γενέσει καὶ φθορᾷ δυνάμει ἐςὶ καὶ κατ' οὐσίαν καὶ κατὰ ποιότητα καὶ ποσότητα καὶ τὴν ἐκ τόπȣ εἰς τόπον μεταβολήν. δυνάμει γάρ ἐσμεν ἄνθρωποι ἐν τῷ σπέρματι καὶ ἐν τῷ καταμηνίῳ, καὶ δυνάμει παῖδες ὄντες ἔχομεν τὸ τȣ̃ ἀνδρὸς μέγεθος. ὁμοίως καὶ ἐπὶ τοῦ ποιȣ̃, δυνάμει ψυχροί ἐσμεν θερμοὶ ὄντες, καὶ δυνάμει κινούμεθα καθήμενοι. τὰ δὲ οὐράνια ἐν τῇ κατὰ τόπον μεταβολῇ μόνον ἔχουσι τὸ δυνάμει· ἀνατέλλων γὰρ ὁ ἥλιος δυνάμει μεσουρανεῖ, καὶ μεσουρανῶν δυνάμει δύνει. καὶ ἐπὶ τῆς ἄλλης αὐτοῦ κινήσεως καὶ τῶν ἄλλων ἀςέρων ἐν τῇ κατὰ τόπον μεταβολῇ τὸ δυνάμει ἔςι θεωρεῖν. Philopon. in 1 de anima, A 8 a.

ὅτι αἱ δυνάμεις τῷ χρόνῳ μὲν τῶν ἐνεργειῶν πρότεραι, τῷ λόγῳ δὲ δεύτεραι. πρότεραι μὲν γὰρ τῇ διδασκαλίᾳ καὶ σαφέςεραι ἡμῖν εἰσὶν εἰς γνῶσιν αἱ ἐνέργειαι τῶν δυνάμεων τῇ τελειότητι. τελειότης γὰρ τȣ̃ δυνάμει ἡ ἐνέργεια· ταύτης γὰρ ἕνεκα ἡ δύναμις, τὸ δὲ οὗ ἕνεκα πρότερον τοῦ ἕνεκά τȣ. καὶ παντὸς δὲ τὸ μὲν τέλος τῷ χρόνῳ ὕςερον, τῷ δὲ λόγῳ πρότερον· προτιθέμενοι γὰρ τῷ λόγῳ τὸ τέλος, οὕτω τὰ πρὸς αὐτὸ ζητοῦμεν καὶ παρασκευαζόμεθα.

δυνάμεις γεωμετρικαὶ πέντε· Πισίδης "τὰς πέντε δυνάμεις Ἀρχιμήδους εἰς μίαν ὁλκὴν συνάψας, εἰς τὸ κινῆσαι μόλις τῶν δυςραχήλων ἐξ ὀχῶν τὰ φορτία."

ὅτι Φίλων ἔφη δύο δυνάμεις εἰς πᾶσαν ψυχὴν συνέρχεσθαι, σωτήριόν τε καὶ φθοροποιόν. οὐδ' ὄναρ οὗτος τῆς σωτηρίȣ ἐπήσθετο, ἀλλ' ὅλος ἄκρατος ἐκ τῆς φθοροποιȣ̃ ὑπέςη.

δυναςεία ἡ ἰσχύς.

δυναςεύω τὸ ἄρχω γενικῇ.

δυνάςην ἡ θεία γραφὴ τὸν διάβολον ἐκάλεσε· φησὶ γὰρ ὁ Δαβὶδ "ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάςȣ," τȣτέςι τὴν ἀνθρωπείαν φύσιν ὡς ἔρημον γεγενημένην τηνικαῦτα θεȣ̃. Theodoret. in Ps. 71.

δυνατὴν ἐνδεχομένην· Ξενοφῶν ἔφη (Anab. 4 1 24) "ἡγήσασθαι δυνατὴν ὑποζυγίοις πορεύεσθαι ὁδόν."

δύνωμαι. γίνεται ἐκ τοῦ δύνημι δύναμαι· τὸ ὑποτακτικὸν ἐὰν δύνωμαι. πᾶν δὲ ὑποτακτικὸν ἔχον ἐνεργητικὸν περισπώμενον προπερισπᾶται, ἱςῶ-ἐὰν ἱςῶμαι. ἐὰν δὲ οὐκ ἔχῃ ἐνεργητικόν, προπαροξύνεται, δύνωμαι δύνωνται.

καὶ Ὅμηρος (Ξ 196) "εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐςί·" περιώρικε γὰρ τὸν ἐπιδεχόμενον τελέσαι δυνατὸν εἶναι δεῖν, καὶ αὐτὸ τὸ πρᾶγμα εὔθετον εἶναι πρὸς τὴν τελείωσιν.

δύο ἐτῶν ἐν τοῖς Ἕλλησι καταμείνας τῆς ἀδίκου φυγῆς ὤνητο.

δυοῖν ἀντὶ τοῦ δύο. (S OR 640) "δυοῖν ἀποκρίνας κακοῖν," ἀντὶ τȣ̃ ἓν τῶν δύο ποιήσας "ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών."

δυοκαιδεκάτη καὶ δυοκαιδέκατος, δυωδεκάτη δὲ καὶ δυώδεκα.

δύο τοίχους ἀλείφεις. λέγεται ἐπὶ τῶν ἐπαμφοτεριζόντων καὶ διὰ μέσυ χωρούντων ἐν μάχαις ἢ φιλίαις. εἴρηται δὲ ἴσως ἀπὸ τῶν δύο τοίχους εὐφεγγέας ποιούντων.

Δυρράχιον πόλις τὸ πάλαι Ἐπίδαμνος καλουμένη.

δυσαιάκτου δυσθρηνήτου.

δυσάλγητος ⟨S OR 12⟩ ἀσυμπαθής.

δυσαλθές δυσίατον.

δυσάλωτον δύσληπτον.

δυσανάγωγος δυσχερής, ἀπειθής.

δυσανασχετοῦσι βαρέως οἴσουσι, παραιτοῦνται. ⟨Diodorus 4 36⟩ "δυσανασχετῶν δὲ τῇ συμφορᾷ ἐκ Καλυδῶνος ἐξεχώρει μετὰ τῆς Δηιανείρας."

δυσανασχέτως ὀκνηρῶς, ἀπειθῶς· ⟨Theophyl. Sim. 7 15⟩ "ὁ δὲ δυσανασχέτως εἶχε δέξασθαι τὰ βασιλικὰ δῶρα."

δυσάνιος, Ἀντιφῶν, ὁ ἐπὶ παντὶ ἀνιώμενος, κἂν μικρὸν καὶ εὐκαταφρόνητον ᾖ. Harp.

δυσάντητον δυσχερές, δυσαπάντητον.

δυσαρεςόμενος μὴ ἀρεσκόμενος. ⟨Diodor. t. 2 p. 622⟩ "οἱ δὲ Ῥωμαῖοι ἔφασαν τὴν σύγκλητον δυσαρεςεῖσθαι τῇ τῶν ἐν Λακεδαίμονι τειχῶν καθαιρέσει." καὶ αὖθις ⟨A Eccl. 180⟩ "χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέςους νουθετεῖν, εἰ τοὺς φιλεῖν μὲν βουλομένους δεδοίκατε, τοὺς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖθ' ἑκάςοτε."

δυσαριςοτόκεια ⟨Hom. Σ 54⟩ δυςυχῶς ἄριςον τεκοῦσα. ἢ διὰ τὴν ἀριςείαν δύςηνον.

Δυσαύλης. οὗτος αὐτόχθων μὲν ἦν, συνῴκησε δὲ Βαυβοῖ, καὶ ἔσχε παῖδας Πρωτονόην τε καὶ Νῆσαν. Harp.

δυσαχθές βαρύ, ἀβάςακτον.

δυσαῶν ἀνέμων τῶν σφοδρῶς πνεόντων· "πνευμάτων ἐπελαυνόντων δυσαῶν αὐτοῖς ἀνδράσι κατέδυσαν." cf. v. Χάρυβδις.

δυσβῆρες οἱ δύσβατοι τόποι.

δυσβουλία κακοβουλία.

δυσβράκανος δυσκατανόητος· βράκανα γὰρ ἄγρια λάχανα δύσπλυτα.

δυσγάργαλις δυσυπότακτος· γαργαλίζειν γὰρ τὸ εἰς γέλωτα ἄγειν καὶ πείθειν.

δυσγενής ὁ ἐκ κακοῦ γένυς. καὶ δυσγένεια ὁμοίως.

δυσδιάλλακτον ⟨an δυσαίακτον⟩ δυσθρήνητον.

δυσδιάφευκτον δυσχερῶς λανθάνον.

δυσδιόρθωτος ὁ ἀδιόρθωτος.

δυσειδής ὁ ἄμορφος.

δυσείκαςον ἀπρεπῶς εἰκασθέν.

δυσείμων ὁ ἀχίτων.

δυσειρεσία τὸ κακῶς ἐρέττειν.

δυσέκβατον.

δυσεκλογίςων δυσαρίςων, δυσδιαγνώςων· "ἀδήλων δὲ ὄντων καὶ δυσεκλογίςων τῶν κατὰ πόλεμον ἔργων."

δυσέκλυτα δυσχερῶς λυόμενα.

δυσέκτων δυσγνώμων.

δυσέμβολος δυσεπιχείρητος. καὶ δυσεμβολώτατον· "φρούριον Ἀρμενίας ἀπόρθητον ὑπάρχειν δοκοῦν διὰ τὸ δυσεμβολώτατον." "πρὸς ἄφιππα χωρία καὶ δυσεμβολώτατα προελθόντες οὐδενὸς κωλύοντος τῶν πολεμίων, ἀπεκόπησαν πολὺ τῶν ὁμαλῶν καὶ ὑπτίων."

δυσέντευκτος δυσομίλητος.

δυσέξιτος τόπος ἀδιόδευτος.

δυσέξοιςον δυσεκκόμιςον.

δυσεπήβολος.

δύσεργον δυσχερές, δύσκολον· "ἐπ' ἄμφω τὰ πλευρὰ τοῦ δόρατος μεταλαμβανομένυ, ὃ δὴ δύσεργον ἦν τοῖς ἀρρωςοτέραν ἔχουσι τὴν ἑτέραν."

δύσεριν φιλόνεικον, παρὰ τὸ δυς, ὅ ἐςι κακόν, καὶ τὴν ἔριν.

δυσερμίας κακῆς ἀποτυχίας· εὐερμίαν γὰρ τὴν ἐπιτυχίαν καλοῦσι. cf. v. εὐερμία.

δύσερμος ὁ δύσελπις.

δύσερως ὁ σφόδρα κακῶς ἐρῶν, ἢ ὁ ἐπὶ κακῷ ἐρῶν. "ἀποσφαγεῖσαν γὰρ αὐτὴν ὑπὸ ἐραςοῦ δυσέρωτος" ⟨Iamblichus Phot. p. 245?⟩.

δύσζηλοι ⟨Hom. η 307⟩ φθονερώτατοι.

δυσηλεγής κακόηχος, χαλεπός.

δυσήνεμον τὸ κακοὺς ἀνέμους ἔχον, δυστάραχον.

δυσηνίους δυσπειθεῖς, ἀνυποτάκτους, δυσαγώγους, δυσκατόχους, ἐκ μεταφορᾶς τῶν ἵππων· ἡνίαι γὰρ τὰ λῶρα.

δυσήνυςον δυσκατόρθωτον.

δυσῆρες δυσχερές.

δυσηχής ὁ κακόηχος. ἐν ἐπιγράμματι ⟨6 141⟩ "ῥυσαμένη Πύθωνα δυσηχέος ἐκ πολέμοιο ἀσπὶς Ἀθηναίης ἐν τεμένει κρέμαται."

δυσθανατῶντα βιαίως τὸν βίον κατα-

ςρέφοντα· ⟨Theophyl. Sim. 2 6⟩ "ἐν δέ τινι μοίρᾳ τῆς ἀτραποῦ δυσθανατῶντα ςρατιώτην Ῥωμαῖον περιεβλέψαντο, τέτρασι βολαῖς τὸ σῶμα κοσμούμενον."

δύσθεος ἀσεβής. ⟨S El. 289⟩ "ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ τέθνηκε;"

δυσθετήσας. ⟨Polybius?⟩ "ὁ δὲ Νάβις δυσθετήσας ταῖς συνθήκαις ἐ προσέσχε τοῖς γραφεῖσιν," ἀντὶ τοῦ μὴ ςέρξας ταῖς συνθήκαις, μὴ ἐμμείνας. καὶ δυσθετούμενοι ἀντὶ τοῦ κακῶς διατιθέμενοι· "καὶ δυσθετούμενοι τοῖς συμβαίνεσιν ἀποδυσπετοῦσι." cf. v. ἀποδυσπετεῖ.

δυσθήρατος ὁ δυσεύρετος.

δύσθυμος κακόβουλος· Σοφοκλῆς ⟨El. 549⟩ "ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις δύσθυμος. εἰ δὲ σοὶ δοκῶ φρονεῖν κακῶς γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε."

δυσίατον ἀθεράπευτον, καὶ δυσιατότερον ὁμοίως.

δυσιθάλασσα τὰ εἰς τὴν θάλασσαν ἐμβαλλόμενα· ⟨AP 6 38⟩ "δίκτυα δυσιθάλασσα."

δυσίτητος.

δυσκάθεκτον δυσνόητον, ἀκατάληπτον.

δυσκελάδου ⟨Hom. Π 357⟩ κακοήχου.

δυσκίνητε ἀμείλικτε, δυσμετάθετε· ⟨AP 7 221⟩ "Ἅδη δυσκίνητε, τί τὴν ἐπέρασον ἑταίϱην ἥρπασας; ἢ καὶ σὴν Κύπρις ἔμηνε φρένα;"

δυσκλέα. Ὅμηρος κατὰ συςολὴν ἐκφέρει τὰ τοιαῦτα· "δυσκλέα Ἄργος ἱκέσθαι" ⟨B 115⟩ καὶ ἀκλέα ⟨δ 728⟩ ἀντὶ τοῦ ἄδοξον. οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι.

δυσκλεές ἄδοξον, ἄτιμον, ἀπρεπές. "μὴ γὰρ οὕτως ὑφ' ἡλίῳ δυσκλεὴς εἴην ὥςε τὸν ἐμὲ σώσαντα μὴ ἀντισῶσαι."

δυσκληδόνιςον δυσφήμιςον, δυσκλυδώνιςον δὲ δυσέκβατον.

δυσκολαίνειν. λέγει Ἀριςοτέλης ⟨Top. 8 3⟩ "δυσκολαίνει γὰρ ὁ μὴ διὰ προσηκουσῶν ἀποκρίσεων φθείρων καὶ κωλύων γίνεσθαι συλλογισμόν. δυσκολία δ' ἐςὶν ἀπόκρισις παρὰ τὰς διαλεκτικὰς ἀποκρίσεις, συλλογισμοῦ φθαρτική."

δυσκολοκάμπτους ᾠδάς τὰς κεκλασμένας· Ἀριςοφάνης ⟨Nub. 967⟩ "εἰ δέ τις ἐπικάμψειέν τινα καμπὴν οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους, ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς μούσας ἀφανίζων." cf. v. βωμολοχεύσαιτο.

δύσκωφος ὁ ἐκ μέρους ἀκούων.

δυσλόγιςον. ὅμοιον τῷ πρᾶγος ἄσκοπον.

δύσλοφα χαλεπῶς φερόμενα.

δυσλυτώτατος ὁ δύσλυτος.

δυσμαῖς βίου τῷ τέλει τῆς ζωῆς.

δυσμένεια ἔχθρα, κακόνοια. καὶ δυσμενής ὁ πολέμιος.

δύσμηνις βαρύθυμος, ὀργίλος, μνησίκακος.

δύσμητις ὁ κακόβουλος.

δυσμικῶν τῶν τῆς δύσεως· "προνοήσας δὲ καὶ τὰς τῶν δυσμικῶν ὁμαιχμίας, ἔπεισε κοινοπραγῆσαί τινας τῶν δυναςῶν."

δυσμίσητος ὁ πάνυ ἀπεχθανόμενος· ⟨AP 7 141⟩ "δένδρεα δυσμίσητα, καὶ ἤν ποτε τεῖχος ἴδωσι Τρώϊον, αὐαλέαν φυλλοχοεῦσι κόμην."

δύσμορος δυςυχής, κακοθάνατος· ⟨AP 9 397⟩ "ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μήτηρ μὲν ἀκούσω δύσμορος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένη."

δύσνους ἐχθρός· "ὃ δὲ ἦν δύσνους βασιλεῖ καὶ Ῥωμαίοις."

δυσξύμβολα δυσνόητα.

δυσοδία ἡ κακὴ ὁδός.

δύσοδος τραχεῖα, δυσχερῆ διάβασιν ἔχουσα.

δυσοίκτου δυσθρηνήτου.

δύσοιμος δύσοδος, οἷον ἐπὶ κακῷ ἄγεσα.

δύσοιςος δυσφόρητος.

δυσόμοια ἀνόμοια Στράττις.

δύσοργος ὀξύχολος· Σοφοκλῆς ⟨Ai. 1017⟩ "τοιαῦτ' ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρὺς ἐρεῖ, πρὸς οὐδὲν εἰς ἔριν θυμούμενος." πρὸς οὐδέν ἀντὶ τοῦ ἀληθές, ἢ αἴτιον ἐμοί. καὶ αὖθις ⟨Phil. 377⟩ "ὃ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὤν, δηχθεὶς πρὸς ἃ 'ξήκουσεν ὧδ' ἠμείψατο."

δυσόριςον.

δυσόρφναια ⟨Eur. Phoen. 329⟩ μέλανα.

δύσοσμος δυσώδης.

δυσπαίπαλος τραχεῖα.

δυσπάλαιςος δυσκαταγώνιςος· οὕτως Εὐριπίδης ⟨Alc. 892⟩. καὶ δυσπαλές δυσχερές, δυσκαταγώνιςον.

Δύσπαρι ⟨Hom. Γ 39⟩ ἐπὶ κακῷ ὠνομασμένε, οἷον ζήσας ὡς Πάρις, δυσώνυμε.

δυσπάριτον δυσπόρευτον· Ξενοφῶν

(Anab. 4 1 25) "ἐρωτώμενος δ' εἰ εἴη δυσπάριτόν τι χωρίον," τὸ ἄβατον.

δυσπειθής καὶ δυσπείθεια.

δυσπέμφελον δυστάραχον.

δυσπετής δυσχερής.

δυσπετοῦντα κακῶς πάσχοντα.

δυσπινῆ τὰ ἐρρυπωμένα, τὰ ῥυπαρά· πίνος γὰρ ὁ ῥύπος. Ἀριστοφάνης (Ach. 401) "ἀλλ' ἢ τὰ δυσπινῆ θέλεις πεπλώματα;" καὶ αὖθις (S OC 1597) "εἶτ' ἔλυσε δυσπινεῖς στολάς."

δυσπλῆτις (an δασπλῆτις).

δυσπόριστον δυσεύρετον.

δυσποτμότερον ἀθλιώτερον. καὶ δυσποτμία Οἰδίποδος ἡ δυστυχία. καὶ Πολύβιος "ἐς παραπλησίαν διάθεσιν ἦλθον τοῖς ἐν ταῖς πολυχρονίοις ἀρρωστίαις δυσποτμοῦσι."

δυσπρόσιτα δυσχερῆ ἐγγισθῆναι.

δυσπροσπέλαστος.

δυσριγότατος ὁ φρικωδέστατος.

δυστέκμαρτον δυσκατέργαστον, δυσζήτητον, δυσεύρετον, δυσκατάληπτον. (S OR 108) "ποῦ τόδ' εὑρεθήσεται ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας;" καὶ δυστεκμαρτότερον δυσκαταληπτότερον.

a δύστηνος ταλαίπωρος, δυστυχής, ἄθλιος. τάττεται δὲ παρὰ Σοφοκλεῖ (El. 121) δυστηνοτάτη ἐπὶ τοῦ ἐξωλεστάτη, οὐκ ἐπὶ τοῦ οἴκτου, ἐν οἷς φησὶν "ἰὼ παῖ δυστανοτάτας Ἠλέκτρα μητρός." οὐ γὰρ ἔστι νῦν ἐπὶ οἴκτου.

b δύστηνος ἐπὶ τοῦ ἀθλίου παρὰ Σοφοκλεῖ (Ai. 849) "τῇ τε δυστήνῳ τροφῷ. ἦ που τάλαινα τήνδ' ὅταν κλύῃ φάτιν, ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει."

δυστόπαστος κακοϋπονόητος, παρὰ τὸ τοπάζω.

δυστοπώτατα δυσχερέστατα.

δυστραπελία καὶ δυστράπελος δύστροπος, ἄμορφος, δυσμετάθετος.

δυστράπελος δυσκίνητος, ἀμετάτρεπτος, δυσμετάθετος, ὃς οὐκ εὗρεν ἐκφυγεῖν τὸ πάθος. οὕτω λέγουσι καὶ δυστράπελον ὄρυγμα τὸ οὐκ εὐδιάλυτον. ἢ ὁ ἀμετακίνητος ὀργῇ ἢ διαθέσει ἢ φιλαργυρίᾳ. τὸν αὐτὸν δὲ καὶ ἀτράπελον. Σοφοκλῆς (Ai. 913) "κεῖται ὁ δυστράπελος", τουτέστιν ὁ δύσκολος.

δύστρητος ὁ ἄχρηστος μαργαρίτης.

δυστροπία ἡ κακότροπος γνώμη.

δύστροπον σκολιόν, δυσάρεστον· "οἰκέτην δύστροπον δεσμοῖς περιβαλών, ἄγριος ὢν καὶ ἀπαραίτητος τὴν ὀργήν."

δύστρος ὁ μάρτιος μὴν παρὰ Μακεδόσιν.

δυσύποιστος ὁ δυσυποχώρητος.

δυσφημία κακὴ ἀγγελία· "ὁ δὲ στρατηγὸς θεωρῶν τὴν περὶ τὸ στρατόπεδον δυσφημίαν ἐταράττετο."

δύσφορα χαλεπά, δυσύποιστα· (S OR 87) "λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι κατ' ὀρθὸν ἐξιόντα, πάντ' ἂν εὐτυχεῖν." ὅ ἐστι, καὶ τὰ χαλεπὰ κατ' ὀρθὸν προϊόντα εὐτυχεῖν ἡμᾶς λέγω. καὶ αὖθις (El. 140) "ἀλλ' ἀπὸ τῶν μετρίων ἐπ' ἀμήχανον ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι, ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία· τί μοι τῶν δυσφόρων ἐφίῃ;" ἀντὶ τοῦ ἐπιθυμεῖς. τί μοι, φησί, τούτων γλίχῃ ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, θρήνου καὶ πένθους.

δυσφώρατος δυσκόλως ἐλεγχόμενος. ἢ a
ὁ κακῶς ὑφορώμενος καὶ ὑπονοῶν.

δυσφώρατος μόλις φωραθῆναι δυνά- b
μενος.

δυσχείμερος.

δυσχέραινε λυποῦ.

δυσχερασμάτων ἀτυχημάτων· (Damasc. Phot. p. 340) "ὃ δὲ ἐπὶ τὸν ἀπράγμονα βίον ἐτράπετο μίσει τῶν ἐν πολιτείᾳ δυσχερασμάτων."

δυσχέρεια· "εἰ γάρ πού τι καὶ εὑρίσκετο ὕδωρ, ἄποτον ὑπὸ δυσχερείας ἦν." καὶ δυσχερής.

δυσχρηστούμενος κακῶς διατιθέμενος· (Polyb. 1 18) "ὁ δὲ Ἀννίβας δυσχρηστούμενος ἤδη τοῖς πράγμασι διεπέμπετο ἐς Καρχηδόνα, ταύτην τὴν περίστασιν διασαφῶν."

δυσώδης. καὶ δυσωδία ἡ πνοή.

δυσώνυμος κακώνυμος.

δυσωπεῖσθαι ὑφορᾶσθαι καὶ ὑπόπτως ἔχειν, φοβεῖσθαι μεθ' ὑπονοίας· "ὁρῶν δὲ τὸν ἀδελφὸν πάντα δυσωπούμενον καὶ οὐδὲν ἔτι τῶν ὄψων οὐχ ὑφορώμενον." καὶ ἐπὶ τοῦ κακῶς πάσχειν ὑπὸ τοῦ ἡλίου τὰς ὄψεις· "ὡς ἂν καταλάμποντος τοῦ ἡλίου δυσωπεῖν τοὺς ἐχθρούς." ἔνιοι δέ, εἰ καὶ μὴ τῶν Ἀττικῶν, ἀντὶ τοῦ αἰδεῖσθαι. ἡ δὲ συνήθεια καὶ ἐπὶ τοῦ ἱκετεύειν καὶ παρακαλεῖν κέχρηται.

δυσωπία.

δυσωποῦμαι Δημοσθένης ἐν Φιλιππικοῖς (9 65) καὶ Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν (2 1 4) ἀντὶ τοῦ φοβοῦμαι.

δυσωπῶ ἱκετεύω. δυσωπῶ καὶ ἐπὶ τοῦ

παρακαλῶ καὶ ἐπὶ τοῦ ἐντρέπομαι· "τοὺς Ἰουδαίους ἐλπίσας δυσωπήσειν ἐν τῷ κακῶν ἔξω μὴ θέλειν" (Ioseph. B. I. 5 8 1).

δυσωρήσονται (Hom. K 183) δυσφυλακτήσουσι.

Δύσωρον (Herodot. 5 17) ὄνομα ὄρους.

δυωδεκάτη καὶ δυωδέκατος.

δῶ κατὰ ἀποκοπήν, δῶμα, ὁ οἶκος.

δωδεκάβοιον (Hom. Ψ 703) δώδεκα βοῶν ἄξιον.

δωδεκαδώρῳ δώδεκα παλαιςῶν ὄντι· δῶρον γὰρ ἡ παλαιςή. ἐν ἐπιγράμματι (AP 6 96) "Κυλληνίῳ αὐερύσαντες ἔρρεξαν, καὶ οἱ δωδεκάδωρα κέρα ὅλῳ μακροτένοντι ποτὶ πλατάνιςον ἔπαξαν."

δωδεκάκρουνον ςόμα· ὁ γὰρ Κρατῖνος ἑαυτὸν ἐπήνεσεν ἐν Πυτίνῃ λέγων "ἄναξ Ἄπολλον, τῶν ἐπῶν τῦ ῥεύματος. καναχῦσι πηγαί, δωδεκάκρουνον τὸ ςόμα. Ἰλισσὸς ἐν τῇ φάρυγι. τί ἂν εἴποιμί σοι; εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτῦ τὸ ςόμα, ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν."

δωδεκάκρουνος κρήνη Ἀθήνησιν ἦν. Θουκυδίδης (2 15) Ἐννεάκρουνον.

δωδεκαμήχανον, ἐπὶ τῶν παντοδαποῖς καὶ ποικίλοις χρωμένων ἤθεσιν· Κυρήνη γάρ τις ἐπίσημος γέγονεν ἑταίρα, δωδεκαμήχανος ἐπικαλουμένη διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔςι δὲ παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου "ἀνὰ τὸ δωδεκαμήχανον ἄςρον" (sch. A Ran. 1363). καὶ δωδεκαμήχανος πόρνη, ιβ' σχήμασι χρωμένη, Κυρήνη τοὔνομα.

δωδεκατημόριον ἡ δωδεκάτη μοῖρα.

δωδεκίδες θυσίαι δώδεκα ἱερείων, ὡς τριττὺς ἡ ἐκ τριῶν.

Δωδωναῖον χαλκεῖον, ἐπὶ τῶν μακρολογούντων. Δήμων γάρ φησιν ὅτι τὸ τῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησιν ἐν κύκλῳ περιείληπται, τούτους δὲ ψαύειν ἀλλήλους, καὶ κρουσθέντος τοῦ ἑνὸς ἠχεῖν ἐκ διαδοχῆς πάντας, ὡς διὰ πολλοῦ χρόνου γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. Ἀριςοτέλης δὲ ὡς πλάσμα διελέγχων δύο φησὶ ςύλους εἶναι, καὶ ἐπὶ μὲν τοῦ ἑτέρυ λέβητα, ἐπὶ θατέρυ δὲ παῖδα κρατοῦντα μάςιγα, ἧς τὰς ἱμάντας χαλκέυς ὄντας σειομένυς ὑπ' ἀνέμυ τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον ἠχεῖν (sch. Hom. Π 233 p. 449 46). κέχρηται δὲ τῇ παροιμίᾳ Μένανδρος Αὐλητρίδι. πρὸς Δήμωνα. εἰ δὲ πολλοὶ ἦσαν, οὐκ ἂν ἑνικῶς ἐλέγετο ἡ παροιμία.

Δωδωναῖος ὁ Ζεύς, παρ' ὅσον ἐν Δωδώνῃ τῆς Θεσπρωτίας ἐτιμᾶτο.

Δωδώνη πόλις ἐν τῇ Θεσπρωτίδι Πελασγίᾳ, ἐν ᾗ ἵςατο δρῦς, ἐν ᾗ μαντεῖον ἦν γυναικῶν προφητίδων. καὶ εἰσιόντων τῶν μαντευομένων ἐκινεῖτο δῆθεν ἡ δρῦς ἠχῦσα· αἱ δὲ ἐφθέγγοντο ὅτι τάδε λέγει ὁ Ζεύς. καὶ ἀνδριὰς ἵςατο ἐν ὕψει ῥάβδον κατέχων, καὶ παρ' αὐτὸν λέβης ἵςατο, καὶ ἔπαιεν ὁ ἀνδριὰς τὸν λέβητα, ἐξ οὗ ἠχός τις ἐναρμόνιος ἀπετελεῖτο. αἱ δὲ τῶν δαιμόνων φωναὶ ἄναρθροί εἰσι. sch. Hom. Π 233 p. 449 33.

Δωήκ (1 Sam. 22 9) ὄνομα κύριον, ὁ Σύρος.

δῶμα ὁ οἶκος. καὶ δωμάτιον οἴκημάτιον.

δωνατική διάδοσις ἡ διδομένη παρὰ τοῦ βασιλέως τοῖς ςρατευόμασι.

δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας. οἱ μὲν Ἡσιόδειον οἴονται τὸν ςίχον, εἴρηται δὲ καὶ Πλάτωνι ἐν τρίτῃ Πολιτείᾳ (p. 390 E).

δῶρα καὶ δωρεαὶ διαφέρει. δωρεαὶ μὲν γὰρ αἱ σιτήσεις καὶ αἱ προεδρίαι καὶ αἱ ἀτέλειαι καὶ τὸ ἱερᾶσθαι, καὶ ὅσα ἄλλα λαμπρύνει ἄνδρας, δῶρα δὲ χρυσὸς ἄργυρος ἵπποι ἀνδράποδα, καὶ ὅσα ἑρμηνεύει πλοῦτον (Philostrat. V. S. 2 10 4). ἀπὸ τοῦ δῶρα οὖν δωρά, καὶ πλεονασμῷ τῦ ε δωρεά. ἢ οὕτως· δῶρα μὲν τὰ ἐπὶ δωροδοκίᾳ διδόμενα, δωρεὰ δὲ ἐπὶ τιμῇς. sch. A Av. 510.

δωρεὰ δόσις ἀναπόδοτος. ἔςι δὲ ἡ δόσις γένος τῆς δωρεᾶς.

Δωρὴχ ὄνομα κύριον.

δωρησάμενος χρήμασι μεγάλοις ἀντὶ τοῦ δωροδοκήσας.

δωρητὸν τὸ ὡς δῶρον διδόμενον· ἡ τραγῳδία (S OR 382) "ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται, εἰ τῆσδέ γ' ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις δωρητὸν οὐκ αἰτητὸν εἰσεχείρισε, ταύτης Κρέων ὁ πιςός, οὐξ ἀρχῆς φίλος, λάθρᾳ μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται."

δωρητὸς ὁ δῶρα λαμβάνων.

δωριάζειν παραγυμνοῦσθαι· Δωρικὸν γὰρ ἐςι τὸ παραφαίνειν τὸ σῶμα διὰ τὸ μηδὲ ζώνας ἔχειν, τὸ πολὺ δὲ χιτῶνας φορεῖν, ἐν δὲ Σπάρτῃ καὶ τὰς κόρας γυμνὰς φαίνεσθαι.

Δωριεὺς καὶ Δωριεῖς.

Digitized by Google

Δωρικόν.

Δώριος ὄνομα κύριον. καὶ Δώριος οἰκονομία· ⟨Diog. L. 4 19⟩ "τήν τε ἀκακίαν καὶ τὸν αὐχμὸν ὁ Πολέμων ἐνεδέδυτο Ξενοκράτους καὶ τὸ βάρος, οἱονεὶ Δώριος οἰκονομία." καὶ Δώριον μέλος.

Δώριος αὔλησις μουσική, ὥσπερ καὶ Λύδιος καὶ Φρύγιος. ⟨Damasc. Phot. p. 339⟩ "τὴν δὲ τροφὴν ἐκληρώσατο μετρίαν τινὰ καὶ ἄθρυπτον, ὅτε κακουργοῦσαν διὰ πενίαν οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μουσικήν, τὸν Δώριον τρόπον τῆς ψυχῆς ἀληθῶς ἡρμοσμένην." καὶ παροιμία ἀπὸ Δωρίου ἐπὶ Φρύγιον· ⟨Synes. calv. p. 66 D⟩ "οὐ φανοῦμαι ϛρογγύλλων λογάρια, αὐτὰς δὲ τὰς φάσεις τῶν νοημάτων εἰς μέσον τιθέμενος, μόνον εἰ τῆς γλώττης τὸν τόνον ἀπὸ τῆς διαλέξεως εἰς ἐπιϛροφὴν μεθαρμόσαιμι, ἀπὸ Δωρίου φασὶν ἐπὶ Φρύγιον."

Δωρίς Δωρίδος, ὦ Δωρί.

δωριϛί, τουτέϛι δωροδοκιϛί· Ἀριϛοφάνης ⟨Eq. 985⟩ "τὴν δωριϛὶ μόνην ἁρμονίαν ἁρμόττεσθαι θαμὰ τὴν λύραν, ἄλλην δ' οὐκ ἐθέλειν λαβεῖν."

δωροδοκηθέντα.

δωροδοκήσαντα. οὐ μόνον δῶρα διδόναι καὶ ἀναπείθειν, ἀλλὰ καὶ τὸ λαμβάνειν. "δωροδοκήσαντ' ἐκ Μιτυλήνης πλεῖν ἢ μνᾶς ἕξ" ⟨A Eq. 831⟩.

δωροδοκήσας δῶρα λαβών.

δωροδόκος δῶρα δεχόμενος.

δῶρον ἡ παλαιϛή. καὶ Ὅμηρος ⟨Δ 109⟩ "ἑκκαιδεκάδωρα πεφύκει."

δῶρον ὃ διδοῖ τις, ἐπαινεῖ.

δωροξενία. ὅταν τις γραφεὶς ξενίας καὶ δῶρα δοὺς ἐκφύγῃ τὴν συκοφαντίαν, δωροξενία λέγεται. Harp.

Δῶρος ὁ ἀπὸ τῆς Ἀραβίας, ὅν φησι Δαμάσκιος εἰς τὴν φιλόσοφον ἱϛορίαν δεινότατον εἶναι ζητητὴν τῆς ἀληθείας. τῦτον Ἰσίδωρος ὁ φιλόσοφος ᾐσθάνετο μὲν τὴν ἀρχὴν ἔτι ταῖς Ἀριϛοτέλους ὑποθέσεσιν ἐνδεδεμένον ὅτε ἐκ παίδων ἐν αὐταῖς τεθραμμένον πορρωτέρω τῆς ἡλικίας, καὶ διὰ τὴν ἀήθειαν τῆς Πλάτωνος μεγαλοπρεποῦς ἐπιϛήμης οὐ δυνάμενον ἀναπτῆναι πρὸς τὰ ὑψηλὰ καὶ λαμπρὰ τῶν νοημάτων· ὅτω δὲ ἔχοντα καταμαθὼν ἀνεκαλέσατό τε κατὰ βραχὺ καὶ ἀνεπέτασεν αὐτοῦ τὴν ψυχὴν εἰς τὸ μέγα πέλαγος τῆς ἀληθείας, ὥϛε ἀποσκευασάμενον τὴν τὰ μικρὰ συλλογιζομένην ἀκρίβειαν περιπατητικὴν εἰς τὴν διὰ Προμηθέως τινὸς ἅμα φανοτάτῳ πυρὶ καταπεμφθεῖσαν διαλεκτικήν, αὐτοψίαν γε καθαρωτάτην οὖσαν νῦ καὶ φρονήσεως, ἀναδραμεῖν τε καὶ ἐν αὐτῇ εἰσοικίσαι τὰς τοῦ βίου φιλοσόφους ἐλπίδας.

δωροῦμαι δοτικῇ, αἰτιατικῇ δέ "δωρῦμαί σε χρήμασιν."

δώρων γραφή. ὅταν τις αἰτίαν ἔχῃ τῶν πολιτευομένων δῶρα λαβεῖν, τὸ ἔγκλημα τὸ κατ' αὐτοῦ διχῇ ἐλέγετο, δωροδοκία τε καὶ δώρων γραφή. Harp.

δώρων δόκησιν τὴν δωροδοκίαν Θουκυδίδης ⟨5 16⟩.

δώς ἡ δόσις, ἡ δωρεά· ⟨Hesiod. O. 354⟩ "δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα." καὶ Αἰλιανὸς Ποικίλῃ ἱϛορίᾳ περὶ τῶν Ῥωμαίων γυναικῶν "αἱ δεξάμεναι παρὰ Πύρρυ τὰ δῶρα ἔφασαν, ἡ δὼς αὐταῖς πρέπειν καὶ ἀξία εἶναι τοῦ πέμψαντος Πύρρυ, ἀνόσιον δὲ εἶναι αὐταῖς φορεῖν."

Δωσιάδης ὄνομα κύριον. καὶ Δωσίδας.

δωσιδίκους ἐκδότους τῇ δίκῃ· ⟨Polyb. 4 4⟩ "περὶ δὲ τῶν τεθνεώτων δωσιδίκυς παράσχοι τὺς ἠδικηκότας."

Δωσίθεος ὄνομα κύριον.

Δώσων ὄνομα κύριον.

δωτίνη ἡ δωρεά.

δωτύς δωτύος τῆς τροφῆς.

Δωτώ ὄνομα κύριον.

δώτωρ.

ἔα συγχώρει.

ἐάγη ⟨Hom. Γ 367⟩ ἐθραύσθη, ἐκλάσθη.

ἔα δή ἄγε δή.

ἑαδότα ἀρέσκοντα. ἥδω ἥσω ἧδα, διαλύσει ἕαδα, ἑαδὼς ἑαδότος ἑαδότα. Ἡρόδοτος ⟨6 106⟩ "τοῖσι δὲ ἕαδε μὲν βοηθέειν, ἀδύνατα δέ σφι ἦν."

ἐακότες παρῃτημένοι, ἀποπεπαυκότες.

ἑάλω ἥλω, ἐκρατήθη. καὶ ἑάλωκεν ἐλήφθη. καὶ ἑαλωκὼς καὶ ἑαλωκότων καὶ ἑάλωσαν.

ἐάν ὁλοκλήρως οἱ περὶ Θουκυδίδην τότε λέγουσιν ὅτε προτέτακται ὁ ἤ· ὅταν δὲ μὴ οὕτως ἔχῃ τάξεως, συνῃρημένως λέγει. ἐν δευτέρᾳ ⟨24⟩ "ἢ ἐὰν οἱ πολέμιοι νηίτῃ ϛρατῷ ἐπιπλέωσιν." ⟨3 47⟩ "ἢ ἐὰν βιασθῇ, ὑπάρχει τοῖς ἀποϛήσασι πολέμιος."

ἑανὸν τὸ λεπτόν.

ἑανῷ λιτί (Hom. Σ 352). οὕτω κέκληκε τὸν λεπτόν. καὶ αὖθις "ἁ μεγάλα δ' Αἴγυπτος ἑανῷ δάψατο (immo ἑὰν ὠλόψατο) χαίταν." cf. v. δάψατο.

ἔαρ εὐκρασία τοῦ ἀέρος. ὥρα τοῦ ἔτυς κατὰ τὴν πρὸς ἡμᾶς τῦ ἡλίου πορείαν. κλίνεται δὲ ἔαρος, καὶ κράσει ἦρος· καὶ ἡ δοτικὴ ἔαρι, καὶ κράσει ἦρι. ἔαρ λέγεται καὶ τὸ αἷμα διὰ τὸ ἐν τῷ ἔαρι πλεονάζειν· "ἦχι κονίςραι ἄξεινοι λύθρῳ τε καὶ εἴαρι πεπλήθασι," πλεονασμῷ τοῦ ι.

ἐαρινῇ καὶ ἐαρινῆσι τοῦ ἔαρος.

ἐαρινός ὁ κατὰ τὸν καιρὸν τοῦ ἔαρος.

ἔαρος χρήζει, ἐπειδὴ παλαιὸν χιτῶνα ἔχει. καὶ Ἀριςοφάνης (Av. 1404) "δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων·" μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ.

ἕαται. ἑῶ ἕημι ἕεμαι ἧμαι, κάθημαι, ηνται ἕαται Ἰωνικῶς, καὶ πλεονασμῷ εἵαται, ὡς μέμνηνται μεμνέαται.

ἑαυτούς ἀντὶ τοῦ ἀλλήλους οἱ Ἀττικοὶ λέγουσιν.

ἑαυτῷ ἐπὶ γ' προσώπου. οἱ Ἀττικοὶ δὲ ἐπὶ β' προσώπου κέχρηνται.

ἑάφθη ἐπηκολούθησεν. ἕπω ἕψω ἧφα ἧμμαι ἥφθην, καὶ διαλύσει ἑάφθην· τὸ τρίτον ἑάφθη.

ἔβα με κατέλαβέ με· Ἀριςοφάνης Νεφέλαις (30) "τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;"

ἐβαρύνετο κυριώτερον· οὐ δεῖ γὰρ λέγειν ἐβαροῦντο ἢ βαροῦμαι ἢ βαρούμενος, οὐδὲ ἄλλην τινὰ κλίσιν ποιεῖσθαι τοῦ βαρῦμαι ῥήματος, ἀλλὰ βαρύνομαι καὶ βαρυνόμενος (sch. Thuc. 2 16). καὶ αὖθις "ὁρῶν δὲ τοῦτο βαρυνομένην τὴν σύγκλητον."

ἐβαρυώπησαν βαρεῖς ἔσχον τὰς ὀφθαλμούς.

ἔβασον ἔασον.

ἐβάςασεν ἀντὶ τῦ ἐδοκίμασεν. (A Thesm. 442) "πάσας δ' ἰδέας ἐξήτασε, πάντα δ' ἐβάςασε φρενί, πυκνῶς τε ποικίλυς λόγυς ἀνεῦρεν."

ἐβδελύχθησαν (Ps. 13 1, 52 1) ἀπερρίφησαν.

ἑβδομαῖος ἕβδομος.

ἑβδομάτη ἑβδόμη.

ἑβδομευόμενα. τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδομάδας καὶ τὰς δεκάτας ἦγον, καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς οἱ μὲν τῇ ἑβδόμῃ οἱ δὲ τῇ δεκάτῃ. Harp.

ἔβελος τὸ μέλαν ξύλον. καὶ ἔβενος ὁμοίως.

ἐβιάζοντο καὶ ἐπὶ τῶν πασχόντων Θουκυδίδης (5 3).

ἐβληχῶντο ἐπὶ τῶν προβάτων.

ἐβόησεν ἐφώνησεν.

ἐβόμβησεν ἤχησεν (Ierem. 38 35).

ἐβουλιμίασαν λίαν ἐπείνησαν.

ἐβόων ἔκραζον.

ἐβραγχίασε (Ps. 68 4) κεκοπίακεν.

Ἑβραῖοι ἀπὸ Ἕβερ υἱοῦ Σάλα, ὃς ἐμέρισε τοῖς ἔθνεσι τὴν γῆν, τοὺς προσοίκους ὀνομάσας Ἑβραίους. οὗτος οὐ συνεπόνησε τοῖς πυργοποιοῖς, καὶ διέμεινεν ἡ διάλεκτος αὐτοῦ ἀμετάβλητος.

ἔβρασεν ἐκ τῆς θαλάσσης εἰς τὴν γῆν ἔρριψεν· (AP 6 222) "μυριόπουν σκολόπενδραν ὑπ' Ὠρίωνι κυκηθεὶς πόντος Ἰαπύγων ἔβρασ' ἐπὶ σκοπέλους."

ἐβρόμησεν ἤχησεν.

ἐβρόντησεν ἤχησεν.

Ἕβρος ποταμὸς Θρᾴκης, τὰ ῥεύματα ἔχων ἐκ Ῥοδόπης τοῦ Θρᾳκικοῦ ὄρους. sch. A Av. 775.

ἐβρυάζοντο εὐφραίνοντο.

ἐβύνουν ἐπλήρουν, ἔφραττον· Ἀριςοφάνης (Pac. 644) "χρυσίῳ τούτων ἐβύνουν τὸ ςόμα," τουτέςι τῶν ῥητόρων.

ἔβωσεν ἔκραξεν.

ἐγανώθην ἐχάρην, εὐφράνθην, ἀπὸ τῦ γάνυμαι. Ὅμηρος (N 493) "γάνυται δέ τε φρένα ποιμήν," ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων. sch. A Ach. 7.

ἐγγαςρίμυθος ἐγγαςρίμαντις, ὃν νῦν τινὲς Πύθωνα, Σοφοκλῆς δὲ ςερνόμαντιν, Πλάτων ὁ φιλόσοφος Εὐρυκλέα, ἀπὸ Εὐρυκλέους τοιϋτυ μάντεως· Ἀριςοφάνης Σφηξί (1014) "μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν." Φιλόχορος δ' ἐν γ' περὶ μαντικῆς καὶ γυναῖκας ἐγγαςριμύθυς. αὗται τὰς τῶν τεθνηκότων ψυχὰς ἐξεκαλῦντο. μιᾷ δὲ αὐτῶν ἐχρήσατο Σαούλ, ἥτις ἐξεκαλέσατο τὴν ψυχὴν Σαμυὴλ τῦ προφήτυ. 1 Reg. 28.

ἐγγείνωνται γεννήσωσιν· Ὅμηρος (T 26) "εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν."

ἔγγειον χέρσον, ξηράν. Πισίδης "ταύτην, κράτιςε, τὴν ἀπεξενωμένην ὁδὸν περάσας ὥσπερ ἔγγειον δρόμον." a

b ἔγγειον. "ὃ δὲ κατεκληρούχει τὴν χώραν, διδοὺς ἑκάςῳ ταλάντειον κλῆρον, οὕτως ὑπολαμβάνων ςῆναι τὰ κατὰ τὴν πόλιν, προσδεθέντων τῶν ἀνθρώπων ταῖς ἐγγείοις κτήσεσι." τινὲς ἐπὶ τοῦ ἐγγυτέρω, οὐχ οὕτως δὲ οἱ ῥήτορες ἔτασσον, ἀλλ' ὅταν τὸ ἐν γῇ θέλωσι δηλῶσαι, ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἀπατούριον ⟨3⟩ "οὐκ ὄντος ἐμοὶ πρὸς τοῦτον οὔτε ναυτικοῦ οὔτε ἐγγείου συμβολαίου," καὶ Λυσίας "τοῦ νόμου κελεύοντος τοὺς ἐπιτρόπους τοῖς ὀρφανοῖς ἔγγειον τὴν οὐσίαν καθιςάναι, οὗτος δὲ ναυτικοὺς ἡμᾶς ἀποφαίνει." ἔγγιον δὲ διὰ τοῦ ι τὸ ἐγγύτερον.

ἔγγειον κτῆσιν τὴν ἐπὶ γῆς.

ἐγγελῴη γελάσοι.

ἔγγεον τὸ ἀσφαλές.

ἐγγίζω σοι δοτικῇ.

ἔγγιον ἐγγύτερον, διὰ τοῦ ι. ἔγγιςα.

ἐγγλωττογάςωρ. ἐγγλωττογάςορες ⟨A Av. 1695⟩ οἱ ἀπὸ τῆς γλώττης βιοτεύοντες, ὡς ἐγχειρογάςορες οἱ ἀπὸ τῶν χειρῶν.

ἐγγλωττοτυπεῖν τὴν γλῶτταν ψοφεῖν τὰ κατορθώματα, καὶ σεμνολογεῖν τὰ ἐκείνων καὶ ἀεὶ ἐπὶ τῆς γλώττης ἔχειν. sch. A Eq. 779.

a ἐγγύη ἡ ἀσφαλὴς ἀντιποίησις καὶ ςαθηρά, ἀπὸ τοῦ γῇ γύη καὶ ἐγγύη· καὶ γὰρ ἡ γῆ τῶν ἄλλων ςοιχείων παγιωτέρα.

b ἐγγύη ἡ περί τινος ἀναδοχή.

ἐγγυήσασθαι μνηςεύσασθαι. καὶ ἐγγυητὴ γυνὴ ἡ μεμνηςευμένη. Προκόπιος ⟨Arc. 1⟩ "ἡ δὲ ἐγγυητὴ ὕςερον Βελισαρίῳ γυνὴ γέγονεν, ἤδη παίδων μήτηρ γενομένη πολλῶν. εὐθὺς οὖν ἠξίου μοιχεύτρια τὸ ἐξῆς εἶναι."

ἐγγύθετος ὁ προσεδρεύων τόπος.

ἐγγυθήκη σκεῦός τι πρὸς τὸ κρατῆρας ἢ λέβητας ἤ τι τοιοῦτον οὐκ ἀλλότριον ἐπικεῖσθαι ἐπιτήδειον. Harp.

ἔγγυον ἀσφαλές, καὶ ἔγγυος ὁ ἐγγυητής, καὶ ἐγγυωμένη ἀσφαλιζομένη· Πισίδης ⟨Heracl. 1 6⟩ "νῦν πανσέληνος ἡ σελήνη λαμπέτω, τοῦ Χοσρόου λήγοντος, ἐγγυωμένη Πέρσας τὸ λοιπὸν μὴ θεουργεῖν τὴν κτίσιν."

ἐγγυῶ ἐκδίδωμι.

ἐγγυώμεθα ἀντιφωνοῦμεν.

ἐγγώνιος τράπεζα ἡ μὴ ςρογγύλη καὶ μὴ ἄγαν περιφερής. "ἐν τῷ συνδείπνῳ τῷ τοῦ Μαικήνα τράπεζα ἐγγώνιος ἦν ὑπὸ τῇ κλισίᾳ, τὸ μέγεθος μεγίςη καὶ κάλλος ἅμαχος, καὶ οἷα εἰκὸς ἐπῄνουν ἄλλοι ἄλλως αὐτήν. ὁ δὲ Ἰόρτιος οὐκ ἔχων ὅτι παρ' ἑαυτοῦ τερατεύσασθαι, σιγῆς γενομένης 'ἐκεῖνο δὲ οὐκ ἐννοεῖτε, ὦ φίλοι συμπόται, ὡς ςρογγύλη ἐςὶ καὶ ἄγαν περιφερής.' ἐπὶ τοίνυν τῇ ἀκράτῳ κολακείᾳ, ὡς τὸ εἰκός, γέλως κατερράγη." Πλούταρχος.

ἐγεγήθει ἔχαιρεν.

ἔγειραι. ἔγειραι σὺ αὐτός διὰ διφθόγγου ἀντὶ τοῦ ἐγέρθητι, ἔγειρε δὲ τὸν λίθον διὰ τοῦ ε ψιλοῦ· ἐνέργειαν γάρ τινα σημαίνει.

ἐγείρεται τῆς νυκτός ⟨A Nub. 9⟩. οὕτως οἱ Ἀττικοί.

ἐγείρω αἰτιατικῇ.

ἐγένετο ἐγεγώνει. ἐγεγώνει δὲ διὰ τοῦ ω μεγάλου ἀντὶ τοῦ ἐβόησεν.

ἐγένετο καὶ Μάνδρωνι συκίνη ναῦς. λέγεται ἐπὶ τῶν παρ' ἐλπίδα καὶ παρ' ἀξίαν εὐτυχησάντων, εἶτα θρυπτομένων ἐπὶ τοῖς παροῦσιν· ὁ γὰρ Μάνδρων παρ' Ἀθηναίοις ναύαρχος ᾑρέθη ἀνάξιος ὢν τῆς ἀρχῆς. ἡ δὲ συκίνη ναῦς τὸ εὐτελὲς δηλοῖ.

ἐγενήθη ἐπὶ τῆς ποιήσεως δι' ἑνὸς ν, ἐπὶ δὲ τῆς κυήσεως διὰ δύο. καὶ Δαβὶδ ⟨Ps. 41 3⟩ "ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος," τουτέςιν, οἱόν τινα τροφὴν ποιοῦμαι τὰ δάκρυα.

ἔγεςα πολεμικὸν μηχάνημα, ἐκ λίθων καὶ ξύλων καὶ χοῦ ἐγειρόμενον. τοῦτο δὲ οἱ ἐργαζόμενοι προκάλυμμα τιθέασιν ἐξ αἰγείων τριχῶν τῶν λεγομένων κιλικίων. ἃ δὴ πάχυς τε καὶ μήκους διαρκῶς ἔχοντα ἀναρτήσαντες ἐκ ξύλων μακρῶν ἐπίπροσθεν ἐτίθεντο· ἐνταῦθα γὰρ οὔτε πυρφόροι ὀιςοὶ οὔτε ἄλλα βέλη ἐξικνεῖσθαι εἶχον, ἀλλ' αὐτοῦ ἐπὶ τῶν προκαλυμμάτων ἔμενον ⟨Procop. Pers. 2 26⟩. οἱ δὲ διὰ τοῦ α ἄγεςά φασι τὸ τοιοῦτον μηχάνημα.

ἐγήγαρτος ⟨an ἐπίχαρτος⟩ ὁ ἐπιχαρής.

ἐγηγερμένος διανιςάμενος.

ἐγκαθειργνύντες ἀποκλείοντες.

ἐγκάθετος δόλιος, κατάσκοπος. καὶ ἐγκάθηνται ἀντὶ τοῦ ἐγκεκρυμμένοι εἰσίν· οἱ γὰρ κρυπτόμενοι ὑποκάθηνται. ⟨A Ach. 342⟩ "μὴ τοῖς τρίβωσιν ἐγκάθηνταί που λίθοι." καὶ ἐγκάθηται ἐνεδρεύει· Δαβὶδ ⟨Ps. 9 30⟩ "ἐγκάθηται ἐνέδρα μετὰ πλουσίων."

ἐγκαθιέμενοι ἀφιέντες.

ἐγκαθίζουσιν ἐνεδρεύουσιν· "οἱ δὲ ἐγκαθίζουσι λόχους ἐν τοῖς ἐπικαίροις τῶν χωρίων τόποις."

ἐγκαίνια ⟨Io. 10 22⟩ ἑορτὴ καθ' ἣν ἐκαινουργήθη τι.

ἐγκαλινδεῖσθε σωματικοῖς πάθήμασι.

ἐγκαλλωπισαμένε ἐναβρυνομένε· "εἴτε τε βασιλέως τῷ ψεύσματι ἐγκαλλωπισαμένου."

ἐγκαλῶ δοτικῇ.

ἐγκάναξον ἔνσεισον, προσένεγκε, ἔγχεον· πεποίηται δὲ ἡ λέξις. Ἀριςοφάνης ⟨Eq. 105⟩ "ἴθι νῦν ἄκρατον ἐγκάναξόν μοι πολύν." ἔλκυσον, ἐκρόφησον, ἔκπιε.

ἔγκαρπον ἔγκυον· "ὁ δὲ Φίλιππος Ἀρσινόῃ ὁμιλήσας, εἶτα ἐξ ἑαυτοῦ κατέλιπεν ἔγκαρπον, καὶ ὅγε τὴν Ὀλυμπιάδα ἄγεται."

ἐγκάρσιον πλάγιον.

ἔγκασιν ⟨Hom. Λ 438⟩ ἐγκάτοις, ἐντέροις.

ἐγκαταζεύξας συνθείς, συναρμόσας· "νέας βαλὰς νέοισιν ἐγκαταζεύξας τρόποις" Σοφοκλῆς ⟨Ai. 736⟩.

ἐγκατειλεγμένος τεταγμένος.

ἐγκατειλημμένην ληφθεῖσαν.

ἐγκατελέγησαν λίθοι ⟨Thuc. 1 93⟩ ἀντὶ τοῦ ἐγκατῳκοδομήθησαν. καὶ Ὅμηρος ⟨σ 358⟩ "αἱμασιάς τε λέγων."

ἐγκατέσκηψαν ἐφώρμησαν, ἐπέδραμον, ἐπεδράξαντο. "τὰ Αἰγυπτίων κακὰ τὰ ἐν τῇ Ἀλεξάνδρε πόλει ἐγκατέσκηψε καὶ τῇ Ῥώμῃ" Βάρων φησίν. cf. v. Βάρρων.

ἐγκαυχῶμαι δοτικῇ.

ἐγ Κεγχρεαῖς.

ἔγκειται ἐπίκειται, λίαν ἐπιθυμητικῶς ἔχει. "Λαχάρης δὲ ὁπηνίκα ἀπέδρα ἁλώσεσθαι μέλλων, τῶν δαρεικῶν κατ' ὀλίγες τοῖς ἐγκειμένοις μεθεὶς τελεώτατα τῷ δελεάσματι ἐξέφυγε τὸ δυσχερές" ⟨Polyaen. 3 7⟩.

ἐγκεκοισυρωμένην ⟨A Nub. 48⟩ ἀντὶ τοῦ περιττῶς κεκοσμημένην, τὰ Κοισύρας φρονοῦσαν. ἔςι δὲ Ἐρετριακὸν τὸ ὄνομα, ὅτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη Πεισιςράτῳ ἐπιχειρήσαντι τυραννεῖν. λέγει δὲ τὴν περιεργίαν τῆς κομμωτικῆς· πολλοῖς γὰρ οἷα εἰκὸς ἐκέχρητο καλλωπίσμασιν, τουτέςι νίμμασι καὶ τοῖς τῆς κεφαλῆς πλέγμασι, καὶ τοῖς ἄλλοις οἷς κοσμεῖσθαι γυναῖκας ἔθος. ἐγκεκοισυρωμένη οὖν οἷον τρυφῶσα, ἀπὸ Κοισύρας γυναικὸς πλεσίας, Ἀλκμαίωνος γαμετῆς.

ἐγκεκορδυλημένος ⟨A Nub. 10⟩ ἐντετυλιγμένος, ἐγκεκαλυμμένος καὶ συνεςραμμένος, ὥςε μὴ ἀνθρώπε σχῆμα δηλῶν, ἀλλ' ἐξοχὴν φαίνεσθαι τῶν ςρωμάτων· κορδύλη γὰρ ἰδίως λέγεται τὸ ἐν τῇ κεφαλῇ ἐξέχον οἴδημα, ὑπὸ πληγῆς εἰς ὕψος καὶ ὄγκον ἀρθέν, ὃ καλοῦμεν κόνδυλον. Κρέων δὲ ἐν τῷ ά τῶν ῥητορικῶν κορδύλην φησὶ καλεῖσθαι παρὰ Κυπρίοις τὸ κεφαλῆς περιείλημα, ὃ δὴ παρ' Ἀθηναίοις καλεῖται κρωβύλον, παρὰ δὲ Πέρσαις κιδάριον. ὅτι δὲ νῦν παρὰ Ἀριςοφάνει ἐγκεκορδυλημένος ἀντὶ τε ἐνειλημένος καὶ ἐγκρύψας ἑαυτόν, δῆλον ἐκ τῶν ἐπιφερομένων "ἀλλ' εἰ δοκεῖ ῥέγκωμεν ἐγκεκαλυμμένοι." ψῦχος γὰρ ἦν, ὡς εἰκός, καὶ περιεκαλύπτοντο. ὅθεν καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱὸν εἶπεν.

ἐγκεκύκλησαι ἀνέςραψαι· Ἀριςοφάνης ⟨Vesp. 697⟩ "οὐκ οἶδ' ὅπῃ ἐγκεκύκλησαι."

ἐγκέλευςοι μετὰ προςάξεως· Ξενοφῶν ⟨Cyr. 5 5 39⟩ "προσῆγον τῷ Κυαξάρει δῶρα οἱ μὲν καθ' ἑαυτούς, οἱ δὲ ὑπὸ Κύρε ἐγκέλευςοι."

ἐγκενίδες μέρος τι τοῦ πλοίου· ⟨Agath. 5 21⟩ "ξύλα ἰθυτενῆ καθάπερ ζυγὰ καὶ ἐγκενίδας ὕπερθε κατὰ τὸ ἐγκάρσιον ἐνθέντες, οὐ διὰ παντὸς ἀλλὰ μόνον ἀμφὶ τὰ ἄκρα, καὶ τὸ μεσαίτατον δεσμοῖς περισφίγξαντες."

ἐγκεντρωθεὶς ἀσφαλισθείς.

ἐγκεχείρικε πάντα Τιμολέοντι.

ἐγκέχοδα ἀπεπάτησα διὰ φόβον τινά, ἔχεσον· Ἀριςοφάνης Βατράχοις ⟨481⟩. "κάλει θεόν" εἰς βοήθειαν.

ἐγκιλικίζεται κακοηθεύεται, κακοποιεῖ· διεβέβλητο γὰρ ἐπὶ πονηρίᾳ οἱ Κίλικες. ἐντεῦθεν λέγεται καὶ Κιλίκιος ὄλεθρος. ἐγκιλικίζειν γὰρ τὸ κακοηθίζεσθαι.

ἐγκισσήσωσι ⟨Gen. 30 38⟩ συλλάβωσιν, ἐπιθυμήσωσιν.

ἔγκλητον ⟨an ἐκκλ-⟩. ἔγκλητον λέγοντες δικαςήριον καὶ δίκην ἔγκλητον, ἐγκαλέσασθαι δὲ οὐ λέγουσι.

ἐγκλῖναι αἰτιατικῇ.

ἔγκλισις. Ἀναξαγόρας φησὶν ⟨Diog. L. 1 9⟩ ὥςε κατὰ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶναι πόλον, ὕςερον δὲ τὴν ἔγκλισιν λαβεῖν, τουτέςι παρατροπήν.

ἐγκολεήσατο καθῆκεν εἰς τὸν κολεὸν τὸ ξίφος.

ἐγκολπίζονται· ⟨Theophyl. Sim. 3 5⟩

Digitized by Google

"οἱ δὲ βάρβαροι τὸ πόλισμα ἐγκολπίζονται, προσχωρήσειν Ῥωμαίοις ὑποκρινάμενοι, ὑ τὸν ἀριθμόν."

ἐγκομβώσασθαι ⟨ep. Petri 1 5⟩. Ἀπολλόδωρος Καρύσιος Ἀπολιπούσῃ "τὴν ἐπωμίδα πτύξας διπλῆν ἄνωθεν ἐνεκομβωσάμην." Ἐπίχαρμος "εἴγε μὲν ὅτι κεκόμβωται καλῶς" Ἀμύκῳ.

ἔγκομμα τὸ πρόσκομμα.

ἐγκόνει ἀντὶ τȣ̃ σπεῦδε· μέλλοντας γὰρ ἐσθίειν ἐπέχεις, ⟨A Ach. 1087⟩ "δειπνεῖν κατακωλύεις πάλαι." καὶ ἐγκονεῖν ἐνεργεῖν.

ἐγκονεῖτε ἐνεργεῖτε, ταχύνατε. ἢ ἐπεὶ οἱ τρέχοντες κόνεως πληροῦνται, ἢ ἀπὸ τῶν ἀθλητῶν· ἐν κόνει γὰρ ἐκείνων τὸ ἔργον, ἢ ὅτι πρὸ τοῦ τῆς κόνεως ἅψασθαι νικῶσιν. Ἀριςοφάνης Πλούτῳ ⟨255⟩ "ἴτ', ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν, ἀλλ' ἔς' ἐπ' αὐτῆς τῆς ἀκμῆς."

ἐγκονέουσα διεγείρουσα, ἐποτρύνουσα· ⟨AP 6 268⟩ "δεινὸν μαιμώσαις ἐγκονέουσα κυσίν."

ἐγκονητί ⟨Pindar. Nem. 3 60⟩.

ἐγκονίδες αἱ ὑπηρέτιδες.

ἐγκοπεύς ἐργαλεῖον λιθοξόον.

ἐγκοπή ἔνεδρον, ἐμπόδιον· "χωρὶς ἐγκοπῶν καὶ κλιμακτήρων οὐκ ἦν ἐπιβῆναι τῆς πέτρας."

ἐγκορδυλῶ δοτικῇ.

ἔγκοτον ⟨Herodot. 3 59⟩ ἔχθραν ἐνδιάθετον. καὶ ἐγκότως ὀργίλως. ⟨AP 7 40⟩ "τίς φθόνος αἰὲν Θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει;"

ἐγκοτῶ σοι· "ἐνεκότει Ἡσαῦ Ἰακὼβ" τῷ ἀδελφῷ αὐτοῦ. Gen. 27 41.

ἐγκραγγάνειν ἐμβοᾶν.

ἐγκραγών λόγοις κατεξανας άς, διαλοιδορησάμενος. δοτικῇ συντάσσεται.

a ἐγκράτεια διάθεσις ἀνυπέρβατος τῶν κατ' ὀρθὸν λόγον. ἢ ἕξις ἀήττητος ἡδονῶν. Diog. L. 7 93.

ὅτι ἔςι δεικνύναι ὡς ποτὲ μὲν ὁ σπουδαῖος οὐ σώφρων, μεταλαβόντας τὸν σώφρονα εἰς τὸν ἐγκρατῆ. εἰ γὰρ τȣ̃ μὲν ἐγκρατοῦς οὐ συμφωνεῖ τὰ μέρη τῆς ψυχῆς πρὸς ἄλληλα, τοῦ δὲ σπουδαίου συμφωνεῖ, ȣ̓κ ἂν εἴη ὁ σπȣδαῖος ἐγκρατής· ὥςε ȣ̓δὲ σώφρων, εἰ ταὐτὸν ἡ σωφροσύνη τῇ ἐγκρατείᾳ. πάλιν δ' αὖ δύναταί τις δεικνύναι τὸν σπουδαῖον ἐγκρατῆ, μεταλαβὼν τὴν ἐγκράτειαν εἰς τὴν σωφροσύνην, εἴγε ὁ μὲν σπουδαῖος ἐν ὁμολογίᾳ τῶν τῆς ψυχῆς δυνάμεων πρὸς ἀλλήλας εἴη, ἡ δὲ τῶν τῆς ψυχῆς δυνάμεων ὁμολογία πρὸς ἀλλήλας σωφροσύνη. οὕτω καὶ ὁ Δημοσθένης κατασκευάσαι βουληθεὶς ὅτι μὴ δεῖ χάριν ἔχειν Φιλίππῳ ὑπὲρ ὧν ἔδωκεν, μετέλαβε τὸ ἔδωκεν εἰς τὸ ἀπέδωκεν· καὶ ὁ Θουκυδίδης βȣληθεὶς παροξῦναι τοὺς Ἀθηναίους πρὸς τοὺς Μιτυληναίȣς, τὴν ἀπόςασιν αὐτῶν εἰς τὴν ἐπανάςασιν μετέλαβε. καὶ ἡ συνήθεια δὲ πλήρης τῆς τοιαύτης χρήσεως, μεταλαμβάνοντες ἀεὶ τὰ ὀνόματα πρὸς τὰ ἐμφαντικώτατα, τὸ τέμνειν εἰς τὸ κατατέμνειν, τὸ ἐσθίειν εἰς τὸ κατεσθίειν, τὸ μειδιᾶν εἰς τὸ γελᾶν. μεταλαμβάνουσι δὲ καὶ τὸν πανȣ̃ργον εἰς τὸν φρόνιμον, τὸν δὲ τολμηρὸν εἰς τὸν ἀνδρεῖον, τὸν πρᾶον εἰς τὸν ἀργὸν καὶ ἀκίνητον, τὸν ἐλευθέριον εἰς τὸν ἄσωτον, τὸν οἰκονομικὸν εἰς τὸν ἀνελεύθερον. οὕτω καὶ Καλλικλῆς ἐν τῷ Γοργίᾳ ⟨p. 491 E⟩ παρὰ τῷ Πλάτωνι τοὺς σώφρονας εἰς ἠλιθίους μεταλαμβάνει. Alex. Aphrod. in Top. p. 84.

δεῖξαι δὲ θέλοντες ὅτι ὁ σώφρων ȣ̓κ ἔςιν ἐγκρατής, μεταληψόμεθα τὸν ἐγκρατῆ εἰς τὸν αὑτοῦ κρατȣ̃ντα (τȣ̃το γὰρ σημαίνει τὸ ὄνομα), καὶ δείξαντες ὅτι ἔνθα τὸ κρατȣ̃ν, ἐνταῦθα καὶ κρατούμενόν τι ἔςαι, τὸ δὲ κρατȣ́μενον ἀντισπῶν καὶ μαχόμενον κρατεῖται, ἔνθα τὸ μὲν κρατοῦν τὸ δὲ κρατούμενον ἔςι τῆς ψυχῆς, ȣ̓κ ἔςιν ἐνταῦθα ὁμολογία. ὁ δὲ σώφρων ὁμολογȣ̃ντα ἔχει τὰ τῆς ψυχῆς μέρη πρὸς ἄλληλα. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τȣ̃ ἀκρατοῦς καὶ ἀκολάςου. id. p. 94.

ἐγκράτεια σωφροσύνης διαφέρει· ἡ μὲν b γὰρ σωφροσύνη ἠρεμαίας ἔχει τὰς ἐπιθυμίας, ἡ δὲ ἐγκράτεια σφοδράς.

ἐγκράτεια ἡ τῶν κακῶν ἀποχή. c

ἐγκρατέςερος. Θȣκυδίδης ⟨1 118⟩ "τήν τε ἀρχὴν ἐγκρατεςέραν" ἐποίησαν καὶ "κατεςήσαντο, καὶ αὐτοὶ ἐπὶ μέγα δυνάμεως ἐχώρησαν."

ἐγκρατὴς λέγεται οὐ κατὰ ἀπάθειαν, a ἀλλὰ διὰ τὸ πάσχειν μέν, μὴ ἄγεσθαι δὲ ὑπὸ τῶν παθῶν ⟨Alex. Aphrod. in Top. p. 176⟩. καὶ ἐγκρατὴς ὁ ἐπικρατέςερος.

ἐγκρατής. "ὃ δὲ πολλάκις ἐνόσησε, καὶ b ἀνέρρωσεν αὐτὸν ὁ θεός. ἐπεὶ δὲ ἐγκρατὴς ἐγένετο ἑαυτοῦ καὶ τῆς ὑγιείας, τȣ̃ σωτῆρος οὐδεμίαν ὥραν ἐτίθετο." καὶ αὖθις "ἔλεγε

δὲ ὁ λειωργὸς τῶν φθανουσῶν ἰάσεων τύχῃ μᾶλλον ἢ βελήσει θεῦ ἐγκρατὴς γεγονέναι."

ἐγκρίνει συντάττει· "οὔτι πω τοὺς μὲν ἐγκρίνει τοὺς δὲ ἀποκρίνει."

ἐγκρίς γλύκασμα ἐξ ἐλαίου ὑδαρές.

ἔγκρισις ἱερὸς ἀγών. Artemid. 1 59.

ἐγκρυφῆ.

ἐγκρυφίας ἄρτος (Genes. 18 6) ἐν σποδῷ κεκρυμμένος. τὰ δὲ γ' μέτρα τῆς σεμιδάλεως, ἐξ ὧν ὁ ἐγκρυφίας ἐγίνετο, τὴν τριήμερον τοῦ ἄρτου τῆς ζωῆς ταφὴν ὑπαινίττεται.

ἐγκύκλιον ἁπανταχοῦ, καθολικόν. Εὐνάπιος περὶ Καρίνου φησίν "ἀλλ' ἦν ἐγκύκλιον αὐτῷ καὶ πρόχειρον τὸ τὰ τοιαῦτα ἁμαρτάνειν," τουτέςιν εἰς παῖδας ὑβρίζειν. cf. v. ὕβρις.

οἱ δὲ ἀξιώματος ἀντιποιούμενοι τὴν ἐγκύκλιον ἐπαιδεύοντο παιδείαν. ἡ δὲ ἐγκύκλιος παιδεία διὰ πάσης ἐχώρει παιδεύσεως καὶ ῥυθμῦ καὶ παντὸς κινήματος. sch. A Eq. 189.

ἐγκύκλιος ἡ ἐτήσιος τῶν χρημάτων δόσις. (Theophyl. Sim. 1 8) "τοῦ δὲ χαγάνυ τῦ ἡγεμόνος τῶν Ἀβάρων ἐξαιτῦντος τὸν ἐγκύκλιον πλοῦτον, ὃν ἀν' ἔτος ἕκαςον παρὰ Ῥωμαίων ἐλάμβανον." καὶ αὖθις "ὁ δὲ ςρατηγὸς τὰς ἐγκυκλίους διανομὰς τῶν χρημάτων αὐτοῖς ἐποιήσατο" Θεοφύλακτος Σιμοκάττης (66). καὶ αὖθις (id. 1 8) "ἡ ἐγκύκλιος τῶν χρημάτων ἐπίδοσις τῷ Ῥωμαϊκῷ ἔκειτο συντάγματι." ἐγκύκλια λέγεται καὶ τὰ ποιητικά.

ἔγκυκλον ἱμάτιον· Ἀριστοφάνης (Lys. 113) "ἐγὼ δ' ἂν κἂν εἴ με χρείη τὤγκυκλον τυτὶ καταθεῖσαν," καὶ ἀλλαχῦ (Thesm. 267) "φέρ' ἔγκυκλον. τυτὶ λάβ' ἀπὸ τῆς κλινίδος." καὶ δῆλον ὡς τὸ μὲν ἔγκυκλόν ἐςιν ἱμάτιον, ὁ δὲ κροκωτὸς (260) ἔνδυμα.

ἐγκύμονος ἐγκύου οὔσης. καὶ ἔγκυος γυνή.

ἐγκυρῆσαι ἀντὶ τοῦ ἐντυχεῖν· οὕτω Κρατῖνος.

ἐγκύρτια τὰ ἐν τοῖς κύρτοις ἐνυφάσματα. Πλάτων δὲ χρῆται ἐν Τιμαίῳ (p.78) ἐπὶ τῆς φάρυγγος τῇ λέξει.

ἐγκυτί ἀντὶ τῦ ἐγγύς· οὕτω Καλλίμαχος.

a ἐγκώμιον (Hes. O. 344) ἔνδημον· κώμη γὰρ τὰ τοῦ δήμου συςήματα.

b ἐγκώμιον ἐπαίνυ διαφέρει· ἔπαινος μὲν γάρ ἐςι λόγος ἐπαινετικὸς μίαν πρᾶξιν ἐπαινῶν, ἐγκώμιον δὲ λόγος ἐγκωμιαςικὸς πολλὰς ἐν ἑαυτῷ πράξεις περιλαμβάνων. καὶ ἐπιςολὴ ἡ μίαν πρᾶξιν ἐπαινῦσά τινος ἐπαινετικὴ καλεῖται, ἡ δὲ πολλὰς ἐγκωμιαςική.

ἐγκώπαια τὰ περιδέρραια.

ἐγλιξάμην ἐπεθύμησα· ὕτως Πλάτων.

ἔγνω ἀντὶ τοῦ ἔκρινεν· "ἔγνω οὖν αὐτὸς ὁ βασιλεὺς ἀδικεῖν, οἱ δὲ φεύγουσιν." καὶ ἔγνωσαν ἀντὶ τοῦ ἔκριναν· "καὶ τὸν Μαγκῖνον ἐκδοθῆναι τοῖς Νομαντίνοις ἔγνωσαν" (Dio Cass. fr. 79).

ἐγνώκειτε.

ἐγνωμάτευεν. "ὁ δὲ τῶν βαρβάρων ἡγούμενος ἐγνωμάτευε ξὺν τῷ ἀδελφῷ, καὶ ἔλεξεν ὡς ἐγὼ μὲν ἐνέδραν ποιήσομαι, σὺ δὲ χρῶ ἀκροβολισμοῖς καὶ τοξεύμασιν," ἀντὶ τῦ βουλὰς ἐδίδου καὶ γνώμας. καὶ αὖθις (Menand. p.297 Nieb.) "ὁ δὲ ἐγνωμάτευε πάντῃ ἀξύμφορον εἶναι Πέρσαις φιλίαν θέσθαι ὡς πρὸς Τούρκους."

ἐγνωσμένον βεβυλευμένον· "ὃ δὲ φράζει ὡς ἐγνωσμένον αὐτῷ εἴη ἔτι νυκτὸς ἐμβαλεῖν εἰς τοὺς πολεμίους." a

ἐγνωσμένον κεκριμένον. Ἀρριανός "ἐγνωσμένον δὲ εἶναι σφίσιν, ἐπειδὰν ἐλάσωσιν ἐπ' αὐτοὺς οἱ Μαυρούσιοι, τοὺς μὲν κατὰ πρόσωπον αὐτῶν φεύγειν ὡς πεφοβημένους, τοὺς δὲ ἐφ' ἑκάτερα τεταγμένυς ἐς τὰ πλάγια ἐμβάλλειν τῶν διωκόντων." b

ἐγρήγορεν ἔνηφεν.

ἐγρήγοροι ἄγγελοι, οἱ τοῦ Σὴθ υἱοί. Cedren. p.8.

ἐγρήγορος ὁ νηφαλέος.

ἐγρηγορώς ἄγρυπνος διατελῶν.

ἐγχανών ἀντὶ τοῦ καταγελάσας· Ἀριςοφάνης Νεφέλαις (1440) "σὺ δ' ἐγχανὼν τεθνήξῃ," καὶ αὖθις (Eq. 1310) "οὐ γὰρ ἡμῶν γε ςρατηγῶν ἐγχανεῖται τῇ πόλει, ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας."

ἔγχεα δόρατα.

ἔγχει ἔμβαλε.

ἐγχεία· (AP 6 81) "ἀντιβίων τε πολλάκις ἐγχείην γευσαμένην χολάδων."

ἐγχεῖν ἐγκεράσαι· Ξενοφῶν (Anab. 4 3 13) "ὁ δὲ τοῖς νεανίσκοις ἐγχεῖν ἐκέλευσεν, εὔχεσθαί τε τοῖς θεοῖς." ἢ ἀντὶ τῦ σπεῖσαι.

ἐγχειρίδιον ξίφος, τμητικὸν ὄργανον.

ἐγχειρογάςορες οἱ ἀπὸ χειρῶν ζῶντες.

ἐγχειρῶ ἐγώ δοτικῇ, ἐγχειρίζω δὲ ἕτερον.

ἐγχέλεις θηρώμενος ⟨A Eq. 860⟩ ἐπὶ τῶν διὰ κέρδος ἴδιον ταραχὰς ποιούντων· ὅταν γὰρ τὸ ὕδωρ καταςῇ, οὐδὲν λαμβάνουσιν, ὅταν δὲ ἄνω καὶ κάτω τὸ ὕδωρ ταράξωσιν, αἱροῦσι καὶ λαμβάνουσιν. οὕτω καὶ οὗτοι ταράττοντες τὴν πόλιν. cf. v. ταὐτὸν ἐποίησε.

ἔγχελυς ἀττικῶς. παρὰ Βοιωτοῖς δὲ ἔγχελις. sch. A Ach. 889.

ἐγχεσίμωρος ὁ πολεμιςής.

a ἔγχος δόρυ· Ὅμηρος ⟨Θ 494⟩ "ἔγχος ἔχ' ἑνδεκάπηχυ·" τὸ γὰρ διπλάσιον "δυωκαιεικοσίπηχυ" ⟨Ο 678⟩.

b ἔγχος ἀλληγορικῶς παρὰ Σοφοκλεῖ ⟨OR 170⟩ ἡ βοήθεια, παρὰ τὸ ἔχεσθαι. "οὐδὲ νῷ φροντίδος ἔγχος," οἷον οὐκ ἔςι τῷ νῷ φροντίδος ἔγχος, τουτέςι βουλῆς καὶ προμηθείας ἔργον.

ἐγχρίπτεται ἐγγίζει. "τοῖς δὲ κριοῖς, ὁπότ' ἐπιφέροιντο, ἐπέβαλλον βάρη, ὡς ἐγχριπτομένοις ὀλλύοιτο ἡ βία."

ἐγχρίπτων προσπελάζων, προςρίβων.

ἐγχριφθεῖσα προσπελασθεῖσα. καὶ ἐγχρίψαι παρ' Ἡροδότῳ ⟨2 60⟩ ἐμπεσεῖν, προσπελάσαι.

ἐγχρόνων οὐ πρὸ πολλοῦ χρόνου συντεθεισῶν· Ἀππιανός "κατεφρόνει τῶν σπονδῶν ἔτι ἐγχρόνων οὐσῶν."

ἐγχυτρίςριαι αἱ τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφέρουσαι· Μίνως ἢ περὶ νόμου ⟨p. 315 D⟩. ἔλεγον δὲ καὶ τὸ βάψαι καταχυτρίσαι, ὡς Ἀριςοφάνης. ἐγχυτριςρίας δὲ λέγεσθαι καὶ ὅσαι τοὺς ἐναγεῖς καθαίρουσιν αἷμα ἐπιχέουσαι ἱερείου, καὶ τὰς θρηνητρίας, ἔτι γε μὴν καὶ τὰς μαίας τὰς ἐκτιθείσας ἐν χύτραις τὰ βρέφη. sch. A Vesp. 288.

ἐγχώριον οἰκεῖον. ⟨Polyb. 9 25⟩ "ἐγχώριοι γὰρ οὐ μόνον τὰς τῶν ἀνέμων ςάσεις κατὰ τὴν παροιμίαν, ἀλλὰ καὶ τὰ τῶν ἐγχωρίων ἀνθρώπων ἤθη κάλλιςα γινώσκουσιν."

ἔγωγε. κατὰ ε' τρόπους διαιρεῖται σύνθεσις ἀπὸ παραθέσεως, κατὰ τόνον, κατὰ γραφήν, κατὰ πνεῦμα, κατὰ εἰσβολὴν μορίου, κατὰ διάλεκτον, κατὰ τόνον ὥσπερ τὸ πάροδος, κατὰ γραφὴν ὥσπερ τρισχίλιοι, κατὰ πνεῦμα ὡς ἔνεςι καὶ ἔξεςι, κατὰ εἰσβολὴν μορίου ὡς τὸ ὡσεὶ χνοῦς, κατὰ διάλεκτον ὥσπερ ἔγωγε.

ἐγώγυον ἀρχαῖον. ὠγύγιον τὸ ἀρχαῖον.

ἐγᾦδα ἐγὼ γινώσκω· περὶ Αἰσχύλου ⟨A Ran. 844⟩ "ἐγᾦδα τοῦτον καὶ διέσκεμμαι πάλαι, ἄνθρωπον ἀγριοποιόν."

ἐγὼ δὲ καὶ σὺ ταὐτὸν ἕλκομεν ζυγόν, ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων. cf. v. τὴν ἐμὴν κάμνει νόσον.

ἐγᾦμαι ἀντὶ τοῦ ἐγὼ οἶμαι.

ἐγὼ μὲν ἐκ τοῦ καλοῦ εἰς καλὸν μετήνεγκα ⟨A Ran. 1305⟩, ἐκ τοῦ κιθαρῳδικοῦ καλοῦ ὄντος εἰς τὸ τραγικόν. ἐπὶ τῶν ὁμοίως τι πραττόντων.

ἐγὼ ποιήσω πάντα κατὰ Νικόςρατον. ὁ Νικόςρατος οὗτος κωμῳδίας ἦν ὑποκριτής, δοκῶν κάλλιςα ὑποκεκρίσθαι.

ἐγώ σου ὀναίμην ⟨Paulus ad Philem. 20⟩ ἐγώ σου ἀπολαύσω.

ἐδάισεν ἐμέρισεν.

ἔδαισεν ⟨Herodot. 1 162⟩ εὐώχησεν.

ἐδαίσατο κατέφαγεν.

ἐδάμη ἐδαμάσθη.

ἐδάσαντο διεμερίσαντο.

ἔδαφος γῆ.

ἐδέατρος. τὸ μὲν ὄνομα Ἑλληνικόν, ἡ δὲ χρεία Περσική. ἦν δὲ προγεύςης τὸ πρῶτον, καὶ προῄσθιε τοῦ βασιλέως εἰς ἀσφάλειαν. ὕςερον δὲ ἐνομίσθη ἐδέατρον καλεῖν τὸν ἐπιςάτην τῆς ὅλης διακονίας καὶ παρασκευῆς. Aelius Dionysius ap. Eustath. in Od. p. 1403 40.

ἐδεδίεσαν ἐφοβήθησαν. καὶ ἐδεδίειν.

ἐδεδίξατο ἐφοβήθη.

ἐδεδίσκετο ἐξεφόβει.

ἐδέδμητο ᾠκοδόμητο.

ἔδεθλον ἕδρασμα.

ἔδει ἔπρεπεν.

ἐδεικανόωντο ⟨Hom. Ο 86⟩ ἐδεξιοῦντο.

ἔδειμαν ⟨Hom. Η 436⟩ ᾠκοδόμησαν.

ἐδείματο ⟨Hom. ζ 9⟩ κατεσκεύασεν.

ἐδειμάτουν ἀντὶ τοῦ ἐξεφόβουν, εἰς πτοίαν ἦγον καὶ δέος· "δράκοντες δὲ μεγέθει μέγιςοι ἀνέςελλον αὐτοὺς καὶ ἐδειμάτουν, τὰ οὐραῖα μέρη ἐς σπείρας ἑλίξαντες." cf. vv. ἀναμοχλευόντων, ἀνέςελλον, οἷον.

ἐδείναζον δεινῶς ἔφερον.

ἐδεινολόγουν ἐσχετλίαζον· "οἱ δὲ ἐδεινολόγουν ἐπὶ τῇ τοῦ βασιλέως ῥᾳθυμίᾳ." καὶ ἐδεινοπάθουν ἀντὶ τοῦ δεινὰ πεπονθέναι ἔλεγον· "διὸ πρὸς ἀλλήλους ἐδεινοπάθουν, εἰ γυναικῶν τρόπον γυμνώσουσιν ἑαυτοὺς ὅπλων."

ἔδειξεν ὑπέδειξεν.

ἔδειραν ⟨Hom. *Α* 459⟩ ἐξέδειραν. ἔδηραν δὲ ἀντὶ τοῦ ἔτυψαν, διὰ τοῦ η.

ἔδεισα ἐφοβήθην.

ἐδεῖτο ἐδέετο τοῦ θεοῦ. σημαίνει δὲ καὶ τὸ ἐδεσμεῖτο.

ἐδέκαζε πολλοὺς ἐδωροδόκει πολλούς.

ἕδεσιν ἱεροῖς, ἐκ τῆς ἕδος εὐθείας.

Ἔδεσσα πόλις Συρίας, εἰς ἣν ἀφικομένῳ Τραϊανῷ ὑπαντιάζει πρὸ τῆς πόλεως Αὔγαρος, ἵππους τε δῶρ' ἄγων ν' καὶ σ', καὶ τοὺς καταφράκτους θώρακας ἱππεῦσι καὶ τοῖς ἵπποις ν' καὶ σ', καὶ βέλη ἐξακισμύρια. ὁ δὲ Τραϊανὸς τρεῖς λαβὼν θώρακας, τἆλλα ξύμπαντα αὐτὸν ἔχειν ἐκέλευσεν. Arrianus?

Ἐδεσσηνός ἀπὸ πόλεως Ἐδέσσης.

ἐδεστὰ κρέατα τὰ τρωγόμενα.

ἐδεστή βρωτή.

ἐδεύετο ἐνδεὴς ἐγίνετο. ἐν ἑτέρῳ ἐχορίννετο, εὐφραίνετο, ἐβρέχετο.

ἕδη τὰ ἱερά, τὰ ἐδάφη, ἐκ τοῦ ἕδος.

ἐδηδοκώς ⟨A Eq. 361⟩ καταφαγών, καὶ ἐδήδοκα. καὶ ἐδηδώς ⟨Hom. *Ρ* 542⟩.

ἐδηλήσαντο ⟨Hom. *Α* 156⟩ ἔβλαψαν.

ἐδήμευσαν δημόσιον ἐποίησαν· "καὶ ἐκράτησεν ὁ φθόνος, καὶ τὴν οὐσίαν ἐδήμευσαν αὐτῷ. ὃ δὲ ὑπεξαιρεῖται χρυσίου δέκα τάλαντα."

ἐδημοσίωσαν δημόσιον ἐποίησαν. "ὁ δὲ Θευδέριχος ἐπὶ Ζήνωνος ἐδημοσιώθη, χιλίας καμήλους προπέμψας χρυσίου καὶ ἀργυρίου" ⟨Malchus?⟩.

ἐδημώθη ἐν τῷ δήμῳ διεδόθη, δῆλος πᾶσιν ἐγένετο. οὕτω Δίων ἐν Ῥωμαϊκῶν ιζ' "καί τις λόγος περὶ αὐτῶν τοιόσδε ἐδημώθη."

ἔδηξεν ἔδακεν.

ἐδῄουν παρὰ Θουκυδίδῃ ⟨2 12⟩ ἀντὶ τοῦ διέκοπτον, διέφθειρον· "ἅπασαν κατεδῄουν τὴν ἀνατολικὴν χώραν." καὶ ἐδῄωσαν ⟨Thuc. 2 23⟩ ὁμοίως.

ἔδησα ἐδέσμευσα.

ἐδητύος ⟨Hom. *Α* 469⟩ βρώσεως.

ἐδιδαξάμην ἐπαίδευσα δι' ἑτέρου, αὐτὸς ἐπιμεληθεὶς τούτου. παθητικὸν ἀντὶ ἐνεργητικοῦ. δύναται εἶναι μεσότητος ἀττικῶς ἀντὶ τοῦ ἐξεπαίδευσα. sch. A Nub. 1341.

ἐδίδαξεν ἔπεισεν, ἠρέθισεν· ⟨X Anab. 3 4 32⟩ "ἐδίδαξεν αὐτοὺς ἀνάγκη κατασκηνῆσαι οὗ πρῶτον εἶδον κώμας."

ἐδίδη ἐδέσμευεν.

ἐδικαίου δίκαιον εἶναι ἔλεγεν· "καὶ εἰ μὴ τὴν βασιλείαν ἑαυτῷ ἀποδίδωσί τις, ἀλλὰ τοῦ γε ἀπαλλάσσεσθαι κύριος ἐδικαίου εἶναι αὐτός." Ἀππιανός ⟨Pun. 17⟩ "Σύφαξ δὲ τῶν γινομένων πυνθανόμενος ἐπεχείρει διαιτᾶν διαλύσεις, καὶ ἐδικαίου μήτε Ῥωμαίους Λιβύης μήτε Καρχηδονίους Ἰταλίας ἐπιβαίνειν ἐπὶ πολέμῳ. ἢν δέ τις ἀπειθῇ, τοῖς πειθομένοις ἔφη συμμαχήσειν." καὶ αὖθις "ὁ δὲ Μάρκιος ἀντιλέγειν μὲν πρὸς οὐδὲ ἓν αὐτῶν ἐδικαίου." ἐδικαίου τοίνυν ἀντὶ τοῦ ἔκρινε, δίκαιον εἶναι ἐνόμιζεν.

ἐδικαιώθησαν δίκαιοι ἐκρίθησαν. σημαίνει δὲ καὶ τὸ ἐναντίον, κατεδικάσθησαν δικαίως. Δίων ἐν Ῥωμαϊκῶν ιε' ⟨fr. 57 46⟩ "ἔκ τε γὰρ τῆς ἀπὸ τοῦ πάνυ ἀρχαίου ἀξιώσεως καὶ ἐκ τῆς παλαιᾶς πρὸς τοὺς Ῥωμαίους φιλίας οὐκ ἤνεγκαν δικαιωθέντες, ἀλλ' ἐπεχείρησαν καὶ οἱ Καμπανοὶ τοῦ Φλάκκου καὶ οἱ Συρακούσιοι τοῦ Μαρκέλλου κατηγορῆσαι, καὶ ἐδικαιώθησαν ἐν τῷ συνεδρίῳ." πολλαχοῦ δὲ οὗτος κέχρηται τῇ λέξει ταύτῃ ἐπὶ τοῦ εἰρημένου σημαινομένου, ὡς καὶ ἐν τῷ ις' "πάντες ἀποθανεῖν ἐστὲ ἄξιοι· οὐ μέντοι καὶ ἐγὼ πάντας ὑμᾶς θανατώσω, ἀλλ' ὀλίγους μὲν οὓς καὶ συνείληφα ἤδη δικαιώσω, τοὺς δὲ ἄλλους ἀφίημι." καὶ ἀλλαχοῦ δὲ πολλαχοῦ ὁμοίως.

ἐδικαίωσαν ἀντὶ τοῦ κατέκριναν· "οἱ δὲ Ῥωμαῖοι καταγαγόντες αὐτὸν ἐδικαίωσαν θανάτῳ."

ἐδίνευον ⟨Hom. *Σ* 606⟩ κύκλῳ περιήεσαν, ὠρχοῦντο.

ἐδίψησαν ἐπεθύμησαν· "ὁ δὲ ἐλευθερῶσαι τὴν πατρίδα ἐδίψησεν."

ἐδίωσεν ⟨an διέωσεν⟩ ἐξέωσεν, ἐδίωξεν.

ἕδνα τὰ διδόμενα δῶρα ὑπὸ τοῦ γαμοῦντος τῇ γαμουμένῃ.

ἐδναία ⟨an ἑδραία⟩ ἡ καθέδρα.

ἐδοκίμαζεν ἔκρινε· "σιωπηλὸς ἦν ἐπὶ τούτοις ἃ ἀποκρύπτειν ἐδοκίμαζεν." καὶ Ἀππιανός "ὁ δὲ ἐπὶ τὰς οἰκίας χωρῶν συνελάμβανεν ὅσους ἐδοκίμαζεν," ἀντὶ τοῦ ἔκρινεν ἐτάσεως εἶναι ἀξίους.

ἐδοκίμασαν προέκριναν, ἐκύρωσαν· "πολλῶν δὲ ῥηθέντων εἰς ἑκάτερα λόγων οἱ πλείους γνώμην τὴν προτέραν ἐδοκίμασαν."

ἔδοξεν εἰς ὑπόληψιν ἦλθε.

ἕδος τὸ ἄγαλμα, καὶ ὁ τόπος ἐν ᾧ ἵδρυται.

ἕδος ἔδαφος, ἕδρασμα, ἱερόν, ναός· "τὸ

τε τῆς τύχης ἕδος τὸ πάτριον προσκυνήσας τὴν ἐπάνοδον αἰτεῖ."

ἐδός ὁ φαγᾶς.

ἔδοσαν δίκην.

Ἔδουοι ὄνομα ἔθνους.

a ἕδρα βάσις, καθέδρα. ἕδρα καὶ ἡ προεδρία παρὰ Ἀριςοφάνει ⟨Eq. 1409⟩ "καί σ' ἀντὶ τέτων εἰς τὸ πρυτανεῖον καλῶ, εἰς τὴν ἕδραν θ' ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός." καὶ Ἀρριανός "ὅτι με καὶ ὄμμασι καὶ φωνῇ καὶ ἕδρᾳ ἐτίμησας," ἀντὶ τοῦ καθέδρᾳ.

b ἕδρα καὶ ὁ σφιγκτὴρ τῶν ἀνθρώπων. καὶ τἕτό φησιν ἡ προφητεία· "καὶ ἐπάταξε τὲς ἐχθροὺς αὐτἕ εἰς τὰ ὀπίσω," τῆς ἕδρας τὸ πάθος σημαίνουσα. σεμνότερον δὲ τἕτο εἴρηκεν, εἰπὼν εἰς τὰ ὀπίσω. Theodoret. in Ps. 6 66.

ἑδραῖος. καὶ ἑδραίωμα.

ἕδραν τὴν μονὴν εἴρηκεν ε ⟨7⟩ Θουκυδίδης. καλοῦσι δὲ καὶ τὸ μέρος τοῦ σώματος ὡς ἡμεῖς ἕδραν.

ἑδράνων θρόνων· Σοφοκλῆς ⟨Ai. 194⟩ "ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι ςηρίζῃ σχολῇ." καὶ ἐν ἐπιγράμματι ⟨AP 6 28⟩ "νηῶν θ' ἕδρανον ἀςαθέων ἄγκυραν" ἀντὶ τοῦ ἕδρασμα.

ἕδρασεν ἐποίησεν, ⟨ἕδρασεν⟩ ἐκάθισεν.

ἑδριόωντο ⟨Hom. K 198⟩ ἐκαθέζοντο.

ἑδρῖται οἱ ἱκέται, ἀπὸ τοῦ καταφεύγειν ἐπὶ τὴν ἑςίαν.

ἐδωδή βρῶσις, τροφή.

ἐδωδίμων βρωσίμων. "ἐπείπερ ἓν τὴν προπαρασκευὴν αὐτοῦ ἀγνοοῦντες ἑδὲν ἐδώδιμον ἐποίησαν ἐν ἀποθέτῳ, λυπρᾶς οὔσης αὐτῶν τῆς γῆς, καὶ πάσης ἀθρόον ἀγορᾶς διακλεισθέντες." cf. v. ἀπραγμάτευτον.

ἑδώλια τὰ σανιδώματα κυρίως τῶν πλοίων, ἐφ' ὧν οἱ ἐρέται καθέζονται· καθέδραι, ἢ ἑδράσματα. Σοφοκλῆς ⟨El. 1393⟩ "ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια" ἀντὶ τοῦ ἀρχαῖα οἰκήματα. καὶ ἑδωλίοισι παρὰ Ἡροδότῳ ⟨1 24⟩ ὑποςρώμασι νηός· Σοφοκλῆς ⟨Ai. 1277⟩ "ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις πυρὸς φλέγοντος."

ἑδωλιάσαι συγκαθίσαι.

ἑδωλιάσαι καὶ ἰκριῶσαι. ἑκατέρῳ αὐτῶν ἐχρήσαντο. τὸ μὲν ἓν ἑδωλιάσαι οἷον συνθεῖναι ἐκ τινῶν ξύλων ἁπλῶς πρὸς τόπον τινὰ συντεθέντων, τὸ δὲ ἰκριῶσαι δύναιτ' ἂν καὶ ὡς κοινότερον λεχθὲν νοεῖσθαι· πολλοὶ γὰρ τῶν ἰδιωτῶν ἰκρία καλοῦσι τὰς ἐκ τῶν μακρῶν ξύλων συντιθεμένας ςέγας ὑπὸ ςέγαις ἑτέραις.

Ἐδώμ ὄνομα κύριον.

ἔδων ⟨Hom. ι 297⟩ ἐσθίων.

ἐδωρεῖτο δώροις ἐτίμα· "ἐδωρεῖτο δ' ἐσθῆτι καὶ τοῖς ἄλλοις κειμηλίοις." cf. v. Ἰώσηπος extr.

ἐδωρήσατο ἐφιλοφρονήσατο. "τὰ περιττὰ τῶν ὅπλων τοῖς ἐπιτηδείοις προσανέδωκε, τισὶ δὲ τῶν ἡγεμόνων σκηνὰς ἐδωρήσατο τῶν ἐπιτηδείων· καθόλου δὲ πᾶν τὸ πρόσφορον ἐπειρᾶτο ποιεῖν ἑκάςοις."

ἒ ἔ· ἐπίρρημα σχετλιαςικόν.

ἐεδνωτής ὁ προικιςής, ὁ πενθερός.

ἐεικόσορος ναῦς. καὶ "ἐεικοσόροιο νηός" ⟨Hom. ι 322⟩ τῆς εἰκοσακώπου.

ἐεισάμενος ⟨Hom. B 22⟩ ὁμοιωθείς.

ἐέλδωρ ⟨Hom. Α 41⟩ ἐπιθύμημα, βούλημα.

ἔεςο ⟨Hom. M 464⟩ ἐνεδέδυτο.

ἐέσχατος ὁ ἔσχατος.

ἐετῶς εὐχερῶς.

ἔζει ἔβραζεν. ἔζη δὲ διὰ τοῦ η ἀντὶ τἕ ζῶν ἦν.

Ἐζεκίας βασιλεὺς Ἱερουσαλήμ, υἱὸς Ἄχαζ, ἁπάντων εὐσεβέςερος. οὐ γὰρ μόνον τὰ εἴδωλα κατέσκαψε καὶ τὰς ςήλας αὐτῶν συνέτριψεν, ἀλλὰ καὶ τὰ ἐν τοῖς ὑψηλοῖς καθεῖλε, καὶ τὰ ἄλση κατέκοψε, καὶ τὸν ὄφιν ὃν ἐκρέμασε Μωυσῆς (ἔτι γὰρ αὐτῷ πάντες ἐθυμίων) μετὰ τῶν λοιπῶν βδελυγμάτων ἠφάνισε, τούς τε Ἰουδαίους εἰδωλολατροῦντας ἐτιμωρεῖτο, ἐκκόπτων τὰ μνημόσυνα καὶ λείψανα τῆς ἀθεότητος· τοσοῦτον γὰρ θεοσεβείας ἀφεςήκεσαν ὡς ὄπισθεν τῶν θυρωμάτων ζωγραφεῖν τὰ εἴδωλα καὶ προσκυνεῖν, ἵν', εἴ τινες τῶν παρ' Ἐζεκίᾳ ἐρευνῷεν, ἀνοιγνυμένων τῶν θυρῶν σκέποιτο τὰ βδελύγματα. καὶ μόνος ἐβασίλευσεν Ἰουδαίας κατὰ προαίρεσιν θεοῦ. φέρεται δέ τι καὶ τοιἕτον. ἦν Σολομῶνι βίβλος ἰαμάτων πάθες παντός, ἐγκεκολαμμένη τῇ τοῦ ναοῦ φλιᾷ. ταύτην ἐξεκόλαψεν Ἐζεκίας, οὐ προσέχοντος τἕ λαἕ τῷ θεῷ διὰ τὸ τὰς θεραπείας τῶν παθῶν ἐνθένδε τοὺς πάσχοντας αὐτοὺς κομίζεσθαι, περιορῶντας αἰτεῖν τὸν θεόν. ἐπολέμησε δὲ καὶ μέχρι Γάζης τοῖς ἀλλοφύλοις, Ἀσσυρίων ἀποςάς, πρότερον ὑπήκοος ὤν.

ἕζεσθαι καθέζεσθαι. καὶ ἕζετο.

ἐζήλωσεν ἐπεθύμησεν.

ἐζημίωσεν ἀνεῖλεν. "ὁ δὲ Αὐρηλιανὸς ὁ βασιλεὺς τῶν πολιτῶν θανάτῳ πολλοὺς ἐζημίωσεν" ἀντὶ τοῦ κατέκρινε, κατεδίκασεν. cf. v. Αὐρηλιανός.

ἐζυγοστατεῖτο ἐφ' ἑκάτερα ῥοπὰς ἐλάμβανε· Πολύβιος (1 20) "ἐζυγοστατεῖτο τοῖς Ῥωμαίοις ὁ πόλεμος."

ἔζων ἀντὶ τοῦ ζῶν ἦν.

ἐζωσμένοι ἐνδεδυμένοι.

ἔηκα συνεχώρησα.

ἐήλακεν (an ἑάλωκεν) ἐλήφθη.

ἐῆος τοῦ ἀγαθοῦ. "ἀνδρὸς ἐῆος" Ὅμηρός φησιν.

ἐθαγενής ὁ ἐγχώριος, ὁ ἐν τόπῳ ἰδίῳ γεγεννημένος.

ἐθάδας συνήθεις, φίλους. ἐθάς ἡ εὐθεῖα.

ἐθανατώθη (X Anab. 2 6 4) ὡς ἔνοχος θανάτου ἐκρίθη.

a ἔθει ἔτρεχεν· "ὁ δὲ ἐξελθὼν ἐκ τῆς πόλεως ἔθει δρόμῳ."

b ἔθει ἔτρεχεν, ἔπλεεν· "ὁ δὲ ἄνεμος τὰ ἱστία ἐπλήρου, ἡ δὲ ναῦς ἔθει καλῶς."

ἔθειρ ἡ θρίξ. ἡ αἰτιατικὴ ἔθειρα.

ἔθειραι αἱ ἐξ ἔθους ἐπιμελούμεναι τρίχες. (AP 6 279) "πρώτας ὁππότ' ἔπεξε καλὰς Εὔδοξος ἐθείρας" ἀντὶ τοῦ ἐκτένισε. καὶ ἐν ἐπιγράμματι (AP 5 230) "χρυσῆς εἰρύσσασα μίαν τρίχα Δωρὶς ἐθείρης."

ἐθείρει (Hom. Φ 347) ἐξ ἔθους ἐπιμελεῖται.

ἐθέλγετο ἐπείθετο, ἐθηλύνετο. Αἰλιανός "οὐ μὴν ἐθέλγετο ὁ ὕπατος τοῖς ὑπηρέταις σὺν ὀργῇ βριμούμενος."

ἐθελημός ἥσυχος.

ἐθελῆσαι ἀντὶ τοῦ ἐθελήσειεν.

ἐθελήσει δυνηθείη. Ὅμηρος (Φ 366) "οὐδ' ἔθελε προρέειν," καὶ Ἀριστοφάνης (Av. 582) "οὐδ' ἐθελήσει μαθεῖν" ἀντὶ τοῦ δυνηθῇ.

ἐθελοδουλία.

ἐθελοθρησκεῖ ἰδίῳ θελήματι σέβει τὸ δοκοῦν.

ἐθελοκακῆσαι ἑκουσίως ἑλέσθαι τὸ κακόν, καὶ ἐθελοκακοῦντα ἑκουσίως τὸ κακὸν αἱρούμενον· "ἐθελοκακοῦντα αὐτὸν περὶ τὴν πορείαν, καὶ καταληφθῆναι περιμένοντα."

ἐθελοκακία.

ἐθελοκάκως ἑκουσίως τὸ κακὸν ἐκλεγόμενον. Ἀππιανός (t. 1 p. 37) "τῷ δὲ στρατηγῷ στρατὸς ἦν δυσπειθὴς ὑπὸ μνησικακίας, ἐθελοκάκως τε ἠγωνίζοντο, καὶ ἔφευγον ἐπιδησάμενοι τὰ σώματα ὡς τετρωμένοι, καὶ τὰς σκηνὰς διέλυον, καὶ ἀναχωρεῖν ἐπεχείρουν, ἀπειρίαν ἐπικαλοῦντες τῷ στρατηγῷ." καὶ αὖθις "ἐθελοκακοῦντες αὐτῷ διὰ πλείους αἰτίας." cf. v. αἴσιος.

ἐθελοκώφων μὴ βουλομένων ἀκούειν, θελήσει παρακουόντων.

ἐθελονταί φερωνύμως ἐκλήθησαν οἱ δοῦλοι οἱ στρατευθέντες ἑκουσίως ὑπὲρ τῶν δεσποτῶν τῶν ἐν Κάνναις τελευτησάντων.

ἐθελοντηδόν Θουκυδίδης η' (98).

ἐθελοντήν ἐπίρρημα· "τοὺς παραβόλους κινδύνους ἐθελοντὴν ἀναδεδεγμένος." καὶ Πολύβιος "τοῖς βουλομένοις πάντα κίνδυνον ἐθελοντὴν ὑπομένειν," καὶ αὖθις (Polyb. 1 49) "ἐκ παντὸς ἐπέλεξε τοῦ στρατεύματος ἐθελοντὴν τοὺς ἀρίστους."

ἐθελοντής βουλόμενος. ἢ χωρητός. Ξενοφῶν (Anab. 4 1 26) "διερωτᾶν εἴ τις ἔστιν ὅστις ἀνὴρ ἀγαθὸς ἐθέλοι ἂν γενέσθαι, ὑποστὰς ἐθελοντὴς πορεύεσθαι." (27) "προσλαβὼν ἐθελοντὰς ἐκ παντὸς τοῦ στρατεύματος." λέγεται καὶ ἐθελοντίους· "προσεδόκησεν ἐθελοντίους τοὺς Ἀραβίους ὁμολογήσειν."

ἐθελοντί ἐπίρρημα.

ἐθελοπρόξενος ὁ ἀφ' ἑαυτοῦ γενόμενος καὶ μὴ κελευσθεὶς ἐκ τῆς πόλεως· οἱ γὰρ πρόξενοι κελευόμενοι ἐκ τῆς ἑαυτῶν πόλεως ἐγίνοντο. sch. Thuc. 3 70.

ἐθελουργός ἕτοιμος.

ἐθελυμνοί (an προθέλυμνοι) πυκνοί.

ἐθέμην ἔκρινα, ἐνόμισα. "κἀγὼ ταύτην γνώμην ἐθέμην," οἷον κἀμοὶ τοῦτο δοκεῖ σύμφορον, τὸ μὴ εἶναι δικαστήρια. Ἀριστοφάνης (Eccl. 654).

ἔθεσαν ἐποίησαν.

ἐθηήσαντο ἐθαύμασαν.

ἔθηκεν ἐποίησεν. καὶ κυρίως. "ὁ δὲ Ἰουλιανὸς ἱππικὸν ἀγῶνα ἔθηκεν." cf. vv. γυμνικούς et ἦγεν.

ἐθηλύνθην ἐκηλήθην· (S Ai. 651) "βαφῇ σίδηρος ὣς ἐθηλύνθην στόμα." ἐν τῇ βαφῇ οὐκ ἀνίεται ὁ σίδηρος ἀλλὰ σκληρύνεται. οὕτως οὖν διαστaλτέον· κἀγὼ γάρ, φησίν, ὃς ἠπείλουν καὶ ἔζεον καὶ ἐβόων ὡς ἐν βαφῇ σίδηρος, νῦν ἐθηλύνθην ὑπὸ τῶν λόγων τῆς γυναικός. ἢ ὅτι δισσῶς βάπτεται ὁ σίδηρος· εἰ μὲν γὰρ μαλθακὸν βούλονται αὐτὸν εἶναι, ἐλαίῳ βάπτουσιν, εἰ δὲ σκληρόν, ὕδατι.

ἐθημοσύνη συνήθεια, ἐθισμός. ἔθιμος καὶ ἐθιμοσύνη.

ἐθνῖται οἱ ἐκ τοῦ αὐτοῦ ἔθνους.

a ἔθνος τὸ πλῆθος· ⟨Philostrat. V. A. 4 22⟩ "ἤγοντο μοιχοὶ πόρνοι τοιχωρύχοι βαλαντιοτόμοι καὶ τὰ τοιαῦτα ἔθνη."

b ἔθνος οὐ μόνον τὸ μέγα καὶ πολυάνθρωπον γένος, ἀλλὰ καὶ ἰδίως μέρος τι τῆς πόλεως. οὕτω Δημοσθένης ἐν τῷ κατὰ Ἀριςοκράτους ⟨146⟩ καὶ ἐν τῷ θ' τῶν Φιλιππικῶν ⟨3 26⟩. Harp.

ἐθοινήσαντο εὐωχήθησαν.

ἔθος ἀντὶ τοῦ σημεῖον. ἢ νόμος ἄγραφος. νόμος δὲ ἔθος ἔγγραφον. Artemid. 4 3.

ὅτι τὸ ἔθος οὐκ ἔςιν εὕρεμα ἀνθρώπων ἀλλὰ βίου καὶ χρόνου. καὶ ὁ μὲν νόμος εἴκασαι τυραννίδι· φόβῳ γὰρ ἕκαςα καὶ μετὰ προςάγματος διαπράττεται· τὸ δὲ ἔθος μᾶλλον τῇ φιλανθρωπίᾳ τῆς βασιλείας· βουλόμενοι γὰρ αὐτῷ πάντες δίχα ἀνάγκης ἕπονται. καὶ ὁ νόμος τοσαύτης δικαιοσύνης καὶ φιλανθρωπίας μεςὸς ὥςε καὶ τοῖς ἀτυχοῦσι χρησιμώτερος καθέςηκε τῶν γένει προσηκόντων, καὶ τοῖς ἀδικουμένοις ἰσχυρότερος τῆς αὐτῶν ἐκείνων ῥώμης, καὶ πατράσιν υἱέων εὐνούςερος καὶ παισὶ γονέων καὶ ἀδελφοῖς ἀδελφῶν· πολλοὶ γὰρ ὑπὸ τῶν φίλων ἀδικούμενοι πρὸς τοῦτον καταφεύγουσι. καὶ ἄλλα πλείονά εἰσι περὶ νόμου.

ἐθρίγκωσε ⟨Hom. ξ 10⟩ περιετρόχωσε, περιεχαράκωσε.

ἔθρισεν ἐκ τοῦ θερίζω.

ἐθρυλίχθη ἐταράχθη.

ἔθυσας, ἀντιθύσῃ. τοῦτο παρὰ Φιλοξένῳ ὁ Κύκλωψ λέγει πρὸς τὸν Ὀδυσσέα. ἀπεκδέχονται γὰρ τὸ ⟨Hom. ι 231⟩ "ἔνθα δὲ πῦρ κείαντες ἐθύσαμεν" παρὰ τῷ ποιητῇ εἰρῆσθαι ἐπὶ τῶν ἀρνῶν, οὐχὶ δὲ τὸ ἀπεθύσαμεν ⟨an ἐθυμιάσαμεν⟩ νοεῖσθαι.

ἔθω τὸ ἐξ ἔθους τι διαπράττομαι, ὡς τὸ ⟨Hom. Ι 536⟩ "ἔθων Οἰνῆος ἀλωήν."

ἐθώπευον ἐκολάκευον.

ἐθωύμαζον ἀντὶ τοῦ ἐθαύμαζον.

ει ει ει ει ει ει. ἡ ἐπέκτασις τοῦ εἱλίσσετε κατὰ μίμησιν εἴρηται τῆς μελοποιίας παρὰ Ἀριςοφάνει ἐν Βατράχοις ⟨1321⟩.

εἶ εὐκτικόν. καὶ κατ' ἐπέκτασιν εἴθε. Πισίδης "εἶ γὰρ ἂν τὸ Περσίδος ἔσβεςο θράσ"

εἶα παρακελεύσεως ἐπίρρημα.

εἶα συνεχώρει.

εἶα χόρτος, ἧια δὲ βρώματα.

εἱαδότα ἀρέσκοντα.

εἱαμενή ⟨Hom. Δ 483⟩ ὁ κάθυγρος τόπος.

εἱανόν τὸ λεπτόν.

εἶαρ τὸ ἔαρ.

εἰαρινὸν ἄνθος ⟨Hom. Β 89⟩ τὸ κατὰ τὸν καιρὸν τοῦ ἔαρος.

εἴασεν ἀφῆκεν.

εἵατο ἐκάθηντο. ἥμην ὁ παρατατικός, ἧντο, ἰωνικὸν ἕατο, ποιητικῶς εἵατο. ἄλλως. ἑῶ ἕημι ἕεμαι ἧμαι κάθημαι, ἧνται, ἕαται ἰωνικῶς, καὶ πλεονασμῷ εἵαται, ὡς μέμνηνται μεμνέαται.

εἴβεσθαι δακρύειν, ςάζειν. καὶ εἴβει ςάζει· ⟨AP 6 253⟩ "σπήλυγγες νυμφῶν εὐπίδακες, αἱ τόσον ὕδωρ εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος."

εἰ γάρ εἴθε γάρ.

εἴ γ' ἐθέλεις εἰ γνώμην ἔχεις, εἰ φρόνιμος εἶ καὶ συνετός.

εἰ δ' ἄγε νῦν διὸ δή.

εἰδαλίμας ⟨Hom. ω 279⟩ συνετάς.

εἰδάλιμον τὸ εὐειδές.

εἶδαρ ἔδεσμα, καὶ εἴδατα τὰ βρώματα.

εἴδαυλος συνετὸς λογισμός.

εἰδέα ἡ μορφή· "καλὸς τὴν εἰδέαν, εἴ a
τις καὶ ἄλλος."

εἰδέα. ⟨Diog. L. 3 63⟩ Πλάτων διαφόροις b
ὀνόμασιν ἐπὶ τοῦ αὐτοῦ σημαινομένου χρῆται. τὴν γοῦν εἰδέαν εἶδος ὀνομάζει καὶ γένος καὶ παράδειγμα καὶ ἀρχὴν καὶ αἴτιον, καὶ οὔτε κινούμενον οὔτε μένον, καὶ ταὐτὸ καὶ ἓν καὶ πολλά. καὶ πάλιν ἓν ὄνομα ἐν διαφόροις σημαινομένοις. οἷον τοῦ φαῦλον, ὃ σημαίνει τὸ ἁπλοῦν καὶ εὐχερές, ὡς Εὐριπίδης ἐν τῷ Λικυμνίῳ "φαῦλον, ἄκομψον, τὰ μέγις' ἀγαθόν," ἁπλοῦν καὶ ἀπόνηρον λέγων. ἔςι δ' ὅτε τίθεται καὶ ἐπὶ κακοῦ καὶ τοῦ τυχόντος· Πλάτων ἐν τῷ περὶ ψυχῆς "φαῦλον πρᾶγμα, ἔφη, Κέβης, ζητεῖς."

εἰ δεῖ ἐὰν χρῇ.

εἰδεῖεν γινώσκοιεν, καὶ εἰδείη γινώσκοι, ἐπίςαιτο· Ἀριςοφάνης ⟨Vesp. 1422⟩ "ἔρδοι τις ἣν ἕκαςος εἰδείη τέχνην."

εἰδείην εὐκτικῶς, ἀντὶ τοῦ γνοίην. ἔςιν εἰδὼς εἰδότος· καὶ τὸ εὐκτικὸν ὤφειλεν εἶναι εἴδοιμι ἀλλ' οὐκ εἰδείην, ἐπειδὴ τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ ὀξύτονον διὰ τοῦ ντ κλινομένην, εἰς ην ἔχουσι τὸ εὐκτικόν, οἷον τυ-

φθεὶς τυφθείην, αὐτὸ δὲ οὐ κλίνεται διὰ τῦ ντ, καὶ ὐκ ὤφειλεν εἶναι εἰδείην. ἀλλ' ὥσπερ τροπῇ τῆς μι εἰς ην καὶ τοῦ ο εἰς ε εἰδείην, καὶ ἐπειδὴ εἰς ην καθαρόν ἐςι τὸ εὐκτικόν, ... ἡνίκα ὦσι μετὰ περισπωμένα ἐνεςῶτος, οἷον ποιῶ ἐὰν ποιῶ, ἢ ἐὰν ἔχωσι τὴν μετοχὴν εἰς σ μετὰ ὀξείας διὰ τῦ ντ κλινομένην, δαρεὶς δαρῶ. ἐν οἷς οὖν τοῦτο οὔτε μετὰ περισπωμένου τόνου ἐςὶ τοῦ ἐνεςῶτος, οὔτε ἔχει τὴν μετοχὴν εἰς σ ὀξύτονον διὰ τοῦ ντ κλινομένην (εἰδώς γὰρ εἰδότος), οὐκ ὤφειλε περισπᾶσθαι. ἀλλὰ περιεσπάσθη, ὡς εἴρηται, ἐπειδὴ ἐγένετο τὸ εὐκτικὸν εἰς ην καθαρόν.

εἰ δέ τῳ εἰ δέ τινι.

εἰδεχθές ἄμορφον, ἀπρεπές, μυσαρόν, σεσαπρισμένον, σικχαντόν. καὶ θηλυκὸν εἰδέχθεια.

εἴδη. ὅτι ἀρχὰς τῶν εἰδῶν ἔλεγον οἱ Πυθαγόρειοι τὴν μονάδα καὶ δυάδα καὶ τριάδα καὶ τετράδα, διότι οἱ ἀπὸ μονάδος συντιθέμενοι μέχρι τῆς τετράδος ποιοῦσι τὸν δέκα, ὃς αὐτοῖς καὶ τέλειος ἐνομίζετο καὶ δεκὰς ἐπωνομάζετο. εἶναι οὖν ἔλεγον τὰς τετραδικὰς ταύτας ἀρχὰς καὶ κοινῶς ἐν πᾶσι καὶ ἰδίᾳ ἔν τε τοῖς νοητοῖς καὶ ἐν τοῖς φυσικοῖς καὶ ἐν τοῖς αἰσθητοῖς. κοινῶς μὲν οὖν ἐπὶ πάντων μονὰς μὲν τὰ νοητά· ἀμερὴς γὰρ ἐκείνων οὐ μόνον ἡ οὐσία, ἀλλὰ καὶ ἡ ἐνέργεια ἐν ςάσει καὶ ἀκινησίᾳ θεωρουμένη. δυὰς δὲ ἡ ἐπιςήμη ἢ τὰ ἐπιςημονικά. ὡρισμένως γὰρ τὸ ἀπό του ἐπί τι ἔρχεται· ἡ γὰρ ἐπιςήμη μετάβασίς ἐςιν ἐξ ὡρισμένων εἰς ὡρισμένα. οὐκ ἔςι γὰρ ἐπιςήμη ἀόριςος· ἔνθεν γὰρ καὶ ἐπιςήμη ἐκλήθη, παρὰ τὸ ἐπὶ ςάσιν ἡμᾶς ἄγειν. τριὰς δὲ τὰ δοξαςὰ καὶ φυσικά. φυσικὰ δέ φημι τὰ καθόλου τὰ ἐν τοῖς φυσικοῖς, ἀλλ' οὐ τὰ καθ' ἕκαςα. τῶν γὰρ καθόλου φυσικῶν ἡ δόξα. τριὰς οὖν ἡ δόξα διὰ τὸ ὁρμᾶν μὲν ἀπό του, μὴ ὡρισμένως δὲ ἐπί τι φέρεσθαι, ἀλλ' ἢ ὧδε ἢ ὧδε. Philopon. in 1 de anima.

εἰδημονικῶς ἐμπείρως.

εἰδήμονος ἐπιςήμονος.

εἰδῇς γνῷς.

εἰδήσεις μάθῃς, ἐπιγνῷς· (AP 7 18) "εἰδήσεις Ἀλκμᾶνα, λύρης ἐλατῆρα Λακαίνης ἔξοχον, ὃν μουσῶν ἐννέ' ἀριθμὸς ἔχει." καὶ εἰδῇς ἐπὶ τοῦ αὐτῦ σημαινομένυ, ἐπιγνῷς, μάθῃς· Ὅμηρος (Α 516) "ὄφρ' εὖ εἰδῇς ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι."

εἴδησις ἡ γνῶσις. ὅτι ἡ εἴδησις τριττή. ἡ γὰρ ἐπιςήμη λέγεται εἴδησις, ὥς φησιν ὁ Πλάτων ἐν τῷ Φαίδωνι "τὸ γὰρ εἰδέναι τοῦτό ἐςι, τὸ λαβόντα του ἐπιςήμην ἔχειν καὶ μὴ ἀποβεβλῆσθαι." ἢ ἡ ὁλοσχερεςέρα γνῶσις, ἢ ἁπλῶς ἢ κοινοτέρα καὶ τοῦτο ἑκάτερον περιέχουσα, ὥς φησιν Ἀριςοτέλης ἐν τοῖς Φυσικοῖς "ἐπειδὴ καὶ τὸ εἰδέναι καὶ τὸ ἐπίςασθαι περὶ πάσας τὰς ἐπιςήμας·" διὰ μὲν γὰρ τοῦ εἰδέναι τὴν ὁλοσχερῆ γνῶσιν σημαίνει, διὰ δὲ τῦ ἐπίςασθαι τὴν ἀκριβῆ. ἢ τὴν κοινῶς ἐπὶ πάσης γνώσεως λεγομένην, ἣν ἐν τοῖς μετὰ τὰ φυσικὰ παρέλαβε. Philopon. in 1 de anima.

Εἰδοθέα ὄνομα κύριον.

εἰδοὶ τοῦ μηνός.

εἴδομεν ἐθεασάμεθα.

εἰδομένη (Hom. Β 280) ὁμοιωθεῖσα.

εἰδοποιῶ αἰτιατικῇ.

εἶδος μορφή· "ὁ δὲ Πρόκλος ἐθαύμαζε τοῦ Ἰσιδώρου τὸ εἶδος ὡς ἔνθεον καὶ πλῆρες εἴσω φιλοσόφου ζωῆς" (Damasc. Phot. p. 350 b 19. cf. v. αἰδοῖος). καὶ τὸ ὑπὸ τὸ γένος, οἷον ὑπὸ τὸ ζῷον ὁ ἄνθρωπος παρὰ φιλοσόφοις.

εἰδυλίς ἡ ἐπιςήμων.

εἴδω τὸ κτίζω, εἴσω ὁ μέλλων. εἴδω δὲ τὸ γινώσκω αἰτιατικῇ.

εἰδωλεῖον ὁ ναὸς τῶν εἰδώλων, εἰδώλιον δὲ τὸ ὁμοίωμα τοῦ εἰδώλου. σημαίνει δὲ καὶ τὸν ζυγὸν τῆς νεώς.

εἰδωλολάτρης ὁ τῶν εἰδώλων θεραπευτής.

εἰδωλολατρία ἡ τῶν εἰδώλων σπουδή.

εἴδωλον σκιῶδες ὁμοίωμα, ἢ φαντασία σώματος, σκιά τις ἀερυειδής. καὶ Βακχυλίδης "μελαμβαφὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου." καὶ ὁ ποιητὴς ἐπὶ τῆς Ἀντικλείας (λ 206) "τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον." αὐτὸς δὲ ἡ ὑπόςασις ἡ ἀληθής. δεῖ οὖν νοεῖν ὡς φαντασίαν σωμάτων παρέχουσι τοῖς ὁρῶσιν, οὐ μὴν καὶ ὑπόςασιν ἀληθῆ. a

"κελεύει ἡ Πυθία εἴδωλόν τι πεπλασμένον εἰς ὄψιν γυναικὸς μετέωρον ἐξαρτᾶν· καὶ ἀνερρώσθη ἡ πόλις." καὶ αὖθις "ἦν δὲ ἄρα εἴδωλα ταῦτα ὥνπερ οὐ μετὰ μακρὸν ἔμελλε πείσεσθαι ὁ δυςυχὴς νεκρὸς ἐκείνου," ἀντὶ τοῦ ὁμοιώματα. καὶ ἡ γραφὴ λέγει "ὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ πᾶν ὁμοίωμα" ὡς διαφορᾶς ὔσης μεταξὺ εἰδώλυ καὶ ὁμοιώ-

ματος· εἴδωλα μὲν γὰρ τὰ τῶν οὐχ ὑφεστώτων μιμήματα, οἷον Τρίτωνες καὶ Σφίγγες καὶ Κένταυροι, ὁμοιώματα δὲ τὰ τῶν ὑφεστώτων εἰκάσματα, οἷον θηρίων ἢ ἀνθρώπων. τούτοις κελεύει μήτε προσκυνεῖν μήτε λατρεύειν. διαφέρει δὲ προσκυνῆσαι τοῦ λατρεῦσαι· συμβαίνει μὲν γὰρ διὰ φόβον προσκυνῆσαι, οὐ μὴν δὲ λατρεῦσαι κατὰ ψυχήν. ἑκάτερον δὲ ἀσεβὲς καὶ θεοστυγές ⟨Theodoret. in Exod. 38⟩. Σοφοκλῆς ⟨Ai. 125⟩ "ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν εἴδωλα," ἀντὶ τοῦ ἀπεικάσματα ἀνυπάρκτων ἀνυπαρκτότερα. καὶ Δαμάσκιός φησιν "ὅταν ἀντὶ πραγμάτων γεγενημένων εἴδωλα ἄττα ἀναγραφώμεθα, σκιὰν ὀνειράτων κατὰ Πίνδαρον" ⟨Pyth. 8 136⟩. καὶ "οἱ τοῦ Ἐφραὶμ υἱοὶ εἰδώλων θεραπευταὶ ἐτύγχανον ὄντες."

b εἴδωλον ὁμοίωμα εἴδους. Σοφοκλῆς "ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν."

εἰδώς μαθών.

a εἶεν ἄγε δή. συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα.

b εἶεν. τῦτο καλεῖται ἀπόθεσις λόγυ. ἀντὶ τοῦ ταῦτα μὲν δὴ οὕτως.

εἴη ὑπάρχοι.

εἶθαρ ⟨Hom. E 337⟩, χρονικόν, ἀντὶ τοῦ εὐθέως ἢ εὐθύς. τὸ δὲ ἰθύς ὡς ἐπὶ τὸ πολὺ ἐπ' εὐθείας.

εἴθε εὐκτικὸν ἐπίρρημα. καὶ εἴ ὁμοίως.

Εἰκάδιος ὄνομα κύριον.

εἰκάζων οἰόμενος, ἢ ὁμοιῶν. "εἶχε δὲ προκάλυμμα τοῦ προσώπȣ ὕφασμα μικρόν, ὡς εἰκάζεσθαι μᾶλλόν τι ἢ ἀτρεκέως καθορᾶσθαι τὴν μορφὴν αὐτῆς." καὶ αὖθις "δεινότατος ἔδοξε τῶν καθ' αὐτόν, οἷα δὴ ἱκανώτατος τὸ ἀφανὲς εἰκάσαι." cf. v. Δημοσθένης.

a εἰκάθειν εἴκειν, κατὰ παραγωγήν.

b εἰκάθειν ὑποχωρεῖν, ὑπείκειν· Σοφοκλῆς ⟨El. 1014⟩ "ἀλλὰ τῷ χρόνῳ σθένουσα μηδὲν τοῖς κρατοῦσιν εἰκάθειν."

εἰκαία ὀλίγη, ὡς ἔτυχε. Καλλίμαχος ⟨fr. 232⟩ "εἰκαίην, τῆς οὐδὲν ἀπέβρασε φαῦλον ἀλετρίς," τατέξιν ἐς τὰ ἀποβράσματα, ἤγȣν τὰ πίτυρα, οὐκ ἀπέκρινεν οὐδὲ ἀπεκάθηρεν ἡ μυλωθρός. ἀντὶ τοῦ ἄσηστον τὸ ἄλευρον.

εἰ καὶ λύχνου ἐμνήσθης. τοῦτο λέγεται ἐπὶ τῶν, ἂν μνησθῇ τις, καὶ εὐθὺς παραγινομένων.

εἰκαιοβουλία ματαιοφροσύνη.

εἰκαιομυθεῖ φλυαρεῖ, καὶ εἰκαιομυθία ἡ φλυαρία.

εἰκαῖον μάταιον, ἀνωφελές. ⟨M. Anton. 2 13⟩ "θεραπεία δὲ τοῦ ἐν ἑκάστῳ ἡμῶν δαίμονος, τοῦτον καθαρὸν πάθους διατηρεῖν καὶ εἰκαιότητος καὶ δυσαρεστήσεως τῆς πρὸς τὰ ἐκ θεοῦ καὶ ἀνθρώπων γινόμενα." καὶ αὖθις "μηδὲν γὰρ εἰκαῖον Πλάτων λέγειν φησίν."

εἰκαιορημονῶ ματαίως λέγω.

εἰκαιορημοσύνη ματαιολογία.

εἰκαῖος μάταιος. καὶ εἰκαιότης.

εἰκάκεισαν ὑπερσυντελικὸς ἐκ τοῦ εἰκάζω.

εἴκασεν ὡμοίωσεν.

εἰκασία ὁ εἰκασμός.

εἰκάσμεθα παρὰ Ἀριστοφάνει ⟨Av. 811⟩ ἀντὶ τȣ ἐσκέμμεθα· "ταυτὶ γὰρ εἰκάσμεσθα κατὰ τὸν Αἰσχύλον."

εἰκασμένος ὅμοιος.

εἴκελος ὅμοιος. διφορεῖται κατὰ τὴν γραφήν.

εἰκῆ μάτην. παροιμία "μὴ εἰκῆ τὴν Ἄβυδον." λείπει παραπλεῖν ἢ διαφοιτᾶν. λέγεται δὲ ἐπὶ τῶν διακινδυνευόντων.

εἰκῆ ῥαψῳδεῖ ἀντὶ τȣ φλυαρεῖ. "ὃ δὲ σκήπτεται μανίαν, καὶ εἰκῆ καὶ ὡς ἔτυχεν ἄλλα ἐπ' ἄλλοις ἐλάλει, καὶ ἀκόλουθον τῷ προτέρῳ δεύτερον οὐδέν."

εἰκῆ τῷ Ἡρακλεῖ, ἐπὶ τῶν ἀλήπτως τὰ πράγματα ἐπιτελούντων ⟨al. ἐπὶ τῶν ἀσυκοφαντήτως πάντα τελούντων⟩.

εἰκοβολεῖν εἰκάζειν. ἢ εἰκῆ καὶ μάτην βάλλειν. "φῶς ἑαυτοῖς παρεσκεύαζον εἰς τὸ μήτε σφάλλεσθαι μήτ' εἰκοβολεῖν." Πολύβιός φησιν.

εἴκομεν ὑποχωροῦμεν. καὶ εἴκοντες ὁμοίως.

εἰκονίζειν καὶ χαρακτηρίζειν ταὐτόν ἐστιν· ἀπὸ γὰρ τοῦ σχήματος κυρίως ἄμφω λαμβάνεται.

εἰκός πρέπον, ἢ ἀκόλουθον, εὔλογον. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ τάχα. ⟨Dio Cass. 49 4⟩ "τῶν τοῦ Καίσαρος κρατησάντων οὐκ ἐπεδίωξάν τινα, ὡς μὲν ἐμοὶ δοκεῖ καὶ τὸ εἰκὸς συμβάλλεται, ὅτι μὴ καταλαβεῖν αὐτὸς ἐδύναντο ἢ ἐφοβήθησαν ἐξοκεῖλαι εἰς τὰ βράχη." καὶ αὖθις "ταῦτά τε ἐπὶ τοῖς πρόσθεν ἐξηγγέλθη αὐτῷ, καὶ ἄμφω τῷ εἰκότι

ἐδόκει ξυμβαίνειν." καὶ αὖθις "καὶ ἦν τῇ τε ἄλλῃ ἀγαςὸς ἀρετῇ καὶ ταύτῃ, διότι κἂν ταῖς εὐπραγίαις τῷ τῆς φύσεως θεσμῷ τὸ εἰκὸς ἀποδιδοὺς οὐ πέρα τοῦ νενομισμένου τῇ εὐτυχίᾳ ἐπεξῄει." ⟨S El. 1026⟩ "εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς" παρὰ τὸ Πινδαρικὸν ⟨Nem. 4 52⟩ "ῥέζοντά τι καὶ παθεῖν κακόν." καὶ Ἡρόδοτος ⟨7 239⟩ "ὡς μὲν ἐγὼ δοκέω, καὶ τὸ εἰκὸς ἐμοὶ συμμάχεται, οὐκ ἦν εὔνοος Λακεδαιμονίοισι." "τῶν μηχανημάτων δ' αἱ πληγαὶ φερόμεναι πρὸς τὸ εἰκὸς ἐξελύοντο."

εἴκοσιν ὁ ἀριθμός. καὶ εἰκοσάκωπον πλοῖον, καὶ εἰκοσινήριτον, καὶ εἰκοσάριθμον.

a εἰκότα τὰ ἐςοχασμένα. ⟨Polyb. 3 93⟩ "συλλογιζόμενος ἐκ τῶν εἰκότων τὸ συμβησόμενον." "δόξα γάρ τις ὑπῆλθεν ἐκ τῶν εἰκότων λογισμῶν γενομένη, διεφθάρθαι τὴν ςρατιὰν ἅπασαν."

b εἰκότα· "τοῦτο δὲ πρότερον αὐτοὶ κατεδόξαζον ἐκ τῶν εἰκότων."

εἰκοτολογῆσαι ἐςοχασμένως εἰπεῖν.

εἰκότων ὁμοίων· "ὃ δὲ ὅ τι τύχοι πρὸς ἕκαςον τῶν προσιόντων ἠλαζονεύετο, συμπλάττων ἀπὸ τῶν εἰκότων." τουτέςιν ἐψεύδετο.

εἰκότως δικαίως, πρεπόντως.

ἔικτον τὸ ὅμοιον.

εἴκω, δοτικῇ, τὸ ὑποτάττομαι. καὶ ὁμοιῶ.

εἰκῶ τὴν εἰκόνα κατὰ ἀποκοπήν. καὶ εἰκοῦς τὰς εἰκόνας. Ἀριςοφάνης Νεφέλαις ⟨559⟩ "τὰς εἰκοῦς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι."

a εἰκὼν τὸ ὁμοίωμα, παρὰ τὸ εἴκω τὸ ὁμοιῶ. "Ἰςέον δὲ ὅτι φασὶν οἱ ἀκριβέςατοι τῶν ἱςορικῶν ὡς τὸ οὖλον καὶ ὀλιγότριχον οἰκειότερόν ἐςι γράφειν ἐπὶ τῆς εἰκόνος τοῦ Χριςοῦ."

b εἰκὼν εἰκόνος ὁμοίωμα. Δαβίδ ⟨72 20⟩ "κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις." ἡ γὰρ εἰκὼν πρόσκαιρον ἔχει τὸ ἄνθος. "εἰκόνας δύο κειμένας τῆς πόλεως ἐν πάνυ καλῷ."

εἴκων ὑποχωρῶν, καὶ εἴκοι ὑποχωροίη.

εἰλαδὸν κατὰ συςροφήν.

εἰλαπινάζων ⟨Hom. Ξ 241⟩ εὐωχούμενος, καὶ εἰλαπιναςής ⟨P 577⟩ συμπότης.

εἰλαπίνη ἑορτή, εὐωχία, ἀπὸ τοῦ δαψιλῶς δαπανᾶν· λάπτειν γὰρ τὸ ἐκκενοῦν.

εἶλαρ ἀσφάλεια.

εἰλάρχας ταξιάρχας.

εἴλας ἀγέλας.

εἰλατίνοις ⟨Hom. Ξ 289⟩ τοῖς ὄζοις.

εἰλεδανός ὁ δεσμός.

εἰλείθυιαι αἱ ἐπὶ τῶν τικτουσῶν θεαί.

εἶλεν ἔλαβεν, ἀνεῖλεν, ἐνίκησεν, ἐκράτησεν.

Εἰλενία πόλις.

εἰλεός ἡ μαγειρικὴ τράπεζα. σημαίνει δὲ καὶ τὴν νόσον.

Εἰλέσιον ⟨Hom. B 499⟩ τόπος.

εἵλετο ἠθέλησεν.

εἴλη ἐπὶ τοῦ τάγματος. καὶ τοῦ πλήθους συςροφή· Ξενοφῶν. καὶ εἴλη ἡ ὀπή, ἐξ οὗ καὶ εἰλεός ἡ κατάδυσις.

εἵλη ἡλίου ἀλέα, αὐγή.

εἰληδόν συνεςραμμένως.

εἰληθερούμενος θερμαινόμενος. τὸ ῥῆμα εἰληθερῶ.

εἴληθρα. εἴληθρον τὸ ...

εἰλήλουθα καὶ εἰληλούθειν.

εἰλήσας συςρέψας.

εἴλησις ἔκκαυσις.

εἴληφεν ἡ παγὶς τὸν μῦν, ἐπὶ τῶν ἀξίως ἑαλωκότων.

εἴληχεν ἔλαχεν, εἴληφεν.

εἰλιγγιῶ. τὸ μὲν ῥῆμα διὰ διφθόγγου, ἀντὶ τοῦ σκοτοδινιῶ. τοῦτο δὲ οἱ Συρακούσιοι σίκλον λέγουσι. τὸ δὲ ὄνομα ἴλιγγος διὰ τοῦ ι. "ὑπὸ τοῦ δέους γὰρ εἰλιγγιῶ" ⟨A Ach. 581⟩.

εἴλιγγον σκότωσιν.

εἰλικοειδές τὸ κυκλοειδὲς καὶ ὁμαλόν.

εἰλικρινές τὸ καθαρὸν καὶ ἀμιγὲς ἑτέρȣ.

εἰλικρινής. καὶ εἰλικρίνεια ἡ καθαρότης. καὶ οὐδέτερον εἰλικρινοειδές.

εἰλίπους βοῦς ὁ τοὺς πόδας ἑλίσσων ἐν τῇ πορείᾳ.

εἷλκον ἔσυρον. καὶ εἱλκύσθη.

εἴλλειν εἴργειν, κωλύειν. παλαιὰ ἡ λέξις. Ἀριςοφάνης Νεφέλαις ⟨759⟩ "μὴ νῦν περὶ σαυτὸν εἶλλε τὴν γνώμην ἀεί," ἀντὶ τȣ̃ ἀπόκλειε, ἔφελκε. ἔνθεν καὶ τὸ ἰλλάσιν ⟨Hom. N 572⟩· καὶ ἐν συνθέσει ἐνείλλειν παρὰ Θȣκυδίδῃ ⟨2 76⟩· "οἱ δὲ Πελοποννήσιοι ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐσέβαλλον εἰς τὸ διῃρημένον τοῦ τείχους."

εἵλομεν ἐπορθήσαμεν.

εἰλόμενον συνελαυνόμενον, συγκλειόμενον.

εἰλομένων ⟨Hom. Θ 215⟩ συνεσταλμένων, συγκεκλεισμένων.

εἰλόμην προέκρινα, ἠθέλησα.

εἰλούμενος συστρεφόμενος.

εἰλυθμός ἡ κατάδυσις.

εἴλυμα ⟨Hom. ζ 179⟩ τὸ ἱμάτιον.

εἰλυμένος ⟨Hom. Ε 186⟩ ὁ κεκαλυμμένος. καὶ εἰλύω ὁ ἐνεστώς, καλύπτω.

εἰλυφάζω τὴν φλόγα ⟨Hom. Υ 492⟩ συστρέφω.

εἰλυφόωσι εἰλοῦσι, συνάγουσι.

εἵλως εἵλωτος ὁ δοῦλος. καὶ τὸ ἐθνικὸν Εἵλωτες, παρὰ Λακεδαιμονίοις οἱ νόθοι καὶ οἱ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι, ἀπὸ τοῦ Ἕλους· Ἕλος δὲ πόλις ἐν Πελοποννήσῳ ⟨sch. Plat. p. 399⟩. οἱ οὖν Λακεδαιμόνιοι διὰ τὸ ἀεὶ διαφόρους εἶναι ἀλλήλοις, τοὺς δούλους αὐτῶν ἐκάλουν Εἵλωτας κατὰ ἀτιμίαν καὶ ὕβριν. sch. Thuc. 1 101.

εἱλωτεία ἡ δουλεία.

εἱλωτεύειν δουλεύειν· Εἵλωτες γὰρ οἱ μὴ γόνῳ δοῦλοι Λακεδαιμονίων, ἀλλ' οἱ πρῶτοι χειρωθέντες τῶν Ἕλος τὴν πόλιν οἰκούντων. Harp.

εἱλωτίς ἡ δούλη.

εἷμα ἱμάτιον, ἔνδυμα. καὶ διὰ τοῦτο ἐν ἐπιγράμματι ⟨AP 6 136⟩ "Πραξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις εἷμα τόδε· ξυνὴ δ' ἀμφοτέρων σοφίη." καὶ αὖθις ⟨6 265⟩ "δέξαι βύσσινον εἷμα." καὶ λευχείμων.

a εἱμαρμένη γένεσις.

ὅτι εἰρηκὼς Σοφοκλῆς περὶ Αἴαντος ⟨753⟩ "εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε Αἴανθ' ὑπὸ σκηναῖσιν" ἀνατρέπει τὴν εἱμαρμένην.

οἱ φιλόσοφοι ἕνα φασὶν εἶναι θεόν, καὶ νοῦν καὶ εἱμαρμένην καὶ ἄλλαις ὀνομασίαις ὀνομάζεσθαι.

ἔστι δὲ εἱμαρμένη αἰτία τῶν ὅλων εἰρομένη, ἢ λόγος καθ' ὃν ὁ κόσμος διεξάγεται. Diog. L. 7 149.

ἢ εἱρμός τις καὶ ἐπισύνδεσις ἀπαράβατος δι' αἰτίαν ἀναπόδραστον, ἢ δύναμις κινητικὴ τῆς ὕλης. οἱ δὲ Χριστιανοὶ θεὸν ὁμολογοῦμεν διοικεῖν τὰ πάντα.

b εἱμαρμένη. τὰ μετὰ τὴν σελήνην τέσσαρσιν αἰτίαις διάκειται, κατὰ θεόν, καθ' εἱμαρμένην, κατὰ προαίρεσιν ἡμετέραν, κατὰ τύχην. οἷον τὸ μὲν εἰσελθεῖν εἰς τὴν ναῦν ἐφ' ἡμῖν ἐστί, τὸ μέντοι ἐν εὐδίᾳ καὶ χειμῶνα καὶ ζάλην ἐξαίφνης ἐπιγενέσθαι κατὰ τύχην ἐστί, τὸ μέντοι βαπτιζομένην τὴν ναῦν παρ' ἐλπίδα σωθῆναι προνοίας θεοῦ. τῆς δὲ εἱμαρμένης πολλοί εἰσι τρόποι. vita Pythagorae ap. Phot. p. 439 b.

ὅτι εἱμαρμένην ἀναγκαστικὴν δύναμιν εἶπον εἶναι καὶ τῆς ὕλης κινητικήν. τὴν δὲ τύχην ὁ Πλάτων αἰτίαν λέγει κατὰ συμβεβηκὸς γινομένην, ἢ σύμπτωμα φύσεως ἢ προαιρέσεως. καὶ Δημόκριτος εἶπε "τὰ μὲν ἐκ θεοῦ πάντες ἔχομεν, τὰ δὲ ἐκ τῆς εἱμαρμένης καὶ τῆς τύχης καὶ τῶν σμικροτάτων ἐκείνων σωμάτων τῶν προδήλως φερομένων ἄνω καὶ κάτω παλλομένων τε καὶ περιπλεκομένων καὶ διισταμένων καὶ περιφερομένων ἐξ ἀνάγκης," ἀφ' ὧν οὐ μόνον πλοῦτον καὶ πενίαν καὶ νόσον καὶ ὑγείαν καὶ δουλείαν καὶ ἐλευθερίαν καὶ πόλεμον καὶ εἰρήνην διανέμειν, ἀλλὰ καὶ ἀρετὴν καὶ κακίαν ἀποκληροῦν ἔφη. καὶ ἄλλοι ἄλλα εἰπόντες ἀντιπαρετάξαντο ἀλλήλοις.

εἱμένος ἐνδεδυμένος.

εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακά, αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἐμνήσθην φίλου· νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται, ὅστις ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον νόμον" ⟨A Eq. 1273⟩. παρὰ τὸ λεγόμενον "εἴ τις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν." οἱ δὲ λέγουσιν Ἀρίγνωτον κιθαρῳδόν, ὃς ᾖδε τὸν ὄρθιον καλούμενον νόμον καὶ τὸν λευκόν, οἵτινες ἐθαυμάζοντο κατ' ἐκεῖνον τὸν χρόνον. ὁ δὲ Ἀριστράδης παρὰ φύσιν ἐνησέλγαινε ταῖς γυναιξίν.

εἰ μὴ δύναιο βοῦν, ἔλαυνε ὄνον. παροιμία ἐπὶ τῶν ὃ κατὰ δύναμιν ἔχουσι πράττειν παραινούντων.

εἰ μὴ κατένιψε τὴν Θρᾴκην χιόνι πολλῇ καὶ τοὺς ποταμοὺς ἔπηξ' ὑπ' αὐτὸν τὸν χρόνον, ἡνίκα Θέογνις ἠγωνίζετο" ⟨A Ach. 138⟩. οὗτος τραγῳδίας ἦν ποιητὴς ψυχρός. κωμῳδῶν οὖν αὐτὸν παρίστησιν ἡμῖν τὴν πολλὴν χιόνα διὰ τῆς τούτου περὶ τὰ ποιήματα ψυχρότητος.

εἰ μὴ πατὴρ ἦσθα ⟨S Antig. 735⟩ κατ' ἀποκοπήν. τὸ δὲ πλῆρες, εἶπον ἄν σε οὐκ εὖ φρονεῖν.

εἰ μὴ ταχέως ἀπωλόμεθα, οὐκ ἂν ἐσώθημεν. ἅπαντες δὲ τότε τὴν παροιμίαν διὰ στόματος εἶχον οἱ χρηματιζόμενοι. Exc. Peir. p. 189.

εἶμι πορεύομαι, εἰμί ὑπάρχω. τοῦτο μέλλοντα οὐκ ἔχει. τοῦ δὲ εἶμι τοῦ πορεύομαι τὰ πληθυντικὰ διὰ τοῦ ι, καὶ τὰ δυϊκά, ἴμεν ἴτε. Ὅμηρος ⟨Ξ 200⟩ "εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης." Αἴας φησὶν ⟨654⟩ "ἀλλ' εἶμι πρός τε λουτρὰ καὶ παρακτίους λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ μῆνιν βαρεῖαν ἐξαλεύσωμαι θεᾶς."

εἶναι, τόθ' εἶναι καὶ σὺ σαυτόν ⟨A Ran. 133⟩ ἀντὶ τοῦ ἀφεῖναι τοὺς δρομεῖς. τινὲς δὲ γράφουσιν εἴητε ἀντὶ τοῦ ἀφίετε, οἱ δρομεῖς δηλονότι. τοῦτο γνωριμώτερον ἔχει τὸν νοῦν· ἐπειδὰν οἱ θεώμενοι εἴπωσιν ἀφίετε, δηλονότι οἱ τρέχοντες, καὶ σὺ σαυτὸν ῥῖψον κάτω. γράφεται δὲ ἐν πολλοῖς ἕναι ἀντὶ τοῦ ἵητε. μήποτε δὲ τὸ δεύτερον εἶναι τὸ ἕς καὶ σὺ σαυτόν, ἁμαρτανομένου τοῦ προτέρου. λέγοι δ' ἄν τις καὶ τοῦτο λόγον ἔχειν, ὡς τῶν θεωμένων ἐπικελευόντων τῷ τὸ σημεῖον ἀφιέντι κατὰ τὸ ἀρχαῖον σχῆμα οὕτως, εἶναι.

εἶναι ὑπάρχειν· "εἶναι μὲν ὅσπερ εἰμί, φαίνεσθαι δὲ μή" ⟨A Ach. 440⟩, τουτέστι μὴ ἀλλάξαι τὴν φύσιν ἀλλὰ τὴν μορφήν.

εἰνάλιος δαίμων θαλάσσιος.

εἰνάνυχες ⟨Hom. I 466⟩ ἐπὶ ἐννέα νύκτας.

εἰν Ἀρίμοις ⟨Hom. B 783⟩.

εἰνάτηρ ἡ νύμφη.

εἰν ἐλεοῖσι ⟨Hom. I 215⟩ τοῖς μαγειρικοῖς τραπεζίοις.

εἰνοδίους κώμας τὰς ἐν τῇ ὁδῷ.

εἰνοσίφυλλον ἔνθα κινοῦνται τὰ φύλλα· ⟨AP 6 268⟩ "εἴτε κατ' εἰνοσίφυλλον ὄρος ποσὶ πότνια βαίνεις." ἔνοσις γὰρ ἡ κίνησις, καὶ ἐνοσίχθων ὁ σεισίχθων.

εἴνυον ἔφερον.

εἴξασαν ὑποχωρήσασαν.

εἴξασι καὶ εἴκασι λέγει Πλάτων ἀντὶ τοῦ ἐοίκασι. καὶ Ἀριστοφάνης Νεφέλαις ⟨342⟩ "εἴξασιν δ' οὖν ἐρίοισιν πεπταμένοισι." περὶ τῶν νεφελῶν λέγει.

εἶξεν ὑπετάγη.

εἷο ⟨Hom. Δ 400⟩ ἑαυτοῦ.

εἴπατε λέξατε. καὶ εἰπέ.

εἴπερ· ⟨A Ach. 404⟩ "ὑπάκουσον, εἴπερ δή ποτ' ἀνθρώπων τινί." λείπει τὸ ὑπήκουσας.

εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην" Ἀριστοφάνης ⟨Eq. 1307⟩, ὡσανεὶ ἔλεγεν, εἴπερ ἐξ ἀνθρώπων εἰμὶ κἀγώ. σωματοποιεῖ γὰρ τὰς ναῦς, καὶ τὰς μὲν παλαιὰς καλεῖ γραίας, τὰς δὲ μὴ πλευσάσας παρθένους. τῷ ψυχρῷ οὖν τὸ ψυχρὸν παρέβαλε πάνυ χαριέντως.

εἴπῃς αὐθυπότακτον.

εἴποις τὰ τρία παρὰ τῇ αὐλῇ. τοῖς ἐπὶ θάνατον ἀγομένοις παρρησία ἐξῆν, σίτου καὶ οἴνου πληρωθεῖσι τρία λέγειν ἃ βούλοιντο· μεθ' ἃ φιμωθέντες ἀπήγοντο τὴν πρὸς θάνατον. τὸ δὲ νῦν ἀρχεῖον καλούμενον αὐλὴ ἐκαλεῖτο.

εἶπον ἀντὶ τοῦ εἰπέ, προστακτικόν.

εἵποντο ἠκολούθουν.

εἶρ λαῖλαψ, ἢ λαμπηδών.

εἰραφιώτης ὁ Διόνυσος, παρὰ τὸ ἐρράφθαι ἐν τῷ μηρῷ τοῦ Διός.

εἰργασμένος πλοῦτος· "πολλοὺς ὄψει πλοῦτον εἰργασμένον αἰσχυνομένους."

εἴργεσθαι κωλύεσθαι. τὸ εἴργομαι γενικῇ· "ἐπείσθη γὰρ ὁ θεός, εἰ καὶ βασκαίνεται τοῦ τῆς γνώσεως ξύλου τέως εἴργοντος." ἐπὶ δὲ τῶν ἐνεργητικῶν αἰτιατικῇ· "ὁ δὲ ζῆλος διωθήσατο τοὺς εἴργοντας αὐτὸν Βιθυνῶν."

εἴργου φυλάττου, χωρίζου. sch. S OC 836.

εἴρει λέγει.

εἴρερος ⟨Hom. Θ 529⟩ ἡ δουλεία.

εἰρεσίας ⟨S Ai. 249⟩ κωπηλασίας.

Εἰρέσιον πόλις Βοιωτίας. cf. v. Ἐλλέσιον.

εἰρεσιώνη θαλλὸς ἐλαίας, ἐστεμμένος ἐρίοις καὶ προσκρεμαμένους ἔχων παντοδαποὺς τῶν ἐκ γῆς καρπῶν. τοῦτον δὲ ἐκφέρει παῖς ἀμφιθαλής, καὶ τίθησι πρὸ τῆς θύρας τοῦ Ἀπόλλωνος ἱεροῦ τοῖς πυανεψίοις. λέγεται γὰρ Θησέα, καθ' ὃν καιρὸν εἰς Κρήτην ἔπλει, προσσχόντα Δήλῳ διὰ χειμῶνα εὔξασθαι τῷ Ἀπόλλωνι καταστέψεσθαι κλάδοις ἐλαίας, ὅταν σωθῇ τὸν Μινώταυρον ἀποκτείνας, καὶ θυσιάσειν· καὶ τὴν ἱκετηρίαν ταύτην καταστέψας ἑψῆσαι χύτρας ἀθάρης καὶ ἔτνος, καὶ βωμὸν ἱδρύσασθαι. διὸ καὶ πυανέψια δοκεῖ λέγεσθαι, οἷον κυαμέψια· τὸ γὰρ πρότερον τοὺς κυάμους πυάνους ἐκάλουν. ἦγον δὲ ἔσθ' ὅτε ἐπὶ τῇ ἀποτροπῇ λοιμῶν. ᾖδον δὲ παῖδες οὕτως· "εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀποψήσασθαι, καὶ κύλικ' εὔζωρον, ὅπως μεθύουσα καθεύδῃς." μετὰ δὲ τὴν ἑορτὴν ἔξω τῶν ἀγρῶν τιθέασι παρ' αὐτὰς τὰς θύρας. Κράτης δὲ ὁ Ἀθηναῖος ἐν τῷ περὶ

τῶν Ἀθήνησι θυσιῶν, ἀφορίας ποτὲ κατασχέσης τὴν πόλιν, θαλλόν φησι καταστέψαντας ἐρίοις ἱκετηρίαν ἀναθεῖναι τῷ Ἀπόλλωνι. καὶ παροιμία ⟨Pausan. ap. Eustath. p. 1283⟩. "ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ λάβῃ ὥσπερ παλαιὰν εἰρεσιώνην, καύσεται" ⟨A Plut. 1054⟩ ἀντὶ τοῦ καύσει. εἰρεσιώνη δὲ θαλλὸς ἐλαίας ἢ δάφνης, ἐξ ἐρίων πεπλεγμένος, ἔχων ἄρτον ἐξηρτημένον καὶ κοτύλην, ὅ ἐστιν ἡμίξεστον, καὶ σῦκα καὶ πάντα τἀγαθά. ταύτην δὲ πρὸ τῶν οἰκημάτων ἐτίθεσαν, καὶ κατ' ἔτος αὐτὴν ἤλλαττον. sch. A Plut. 1055.

ἄλλως. εἰρεσιώνη κλάδος ἦν ἐλαίας ἐρίοις πεπλεγμένος, ἐξήρτητο δὲ αὐτοῦ τὰ ὡραῖα πάντα. ἵστασαν δὲ αὐτὴν πρὸ τῶν θυρῶν κατὰ παλαιὸν χρησμόν. οἱ μὲν γάρ φασιν ὡς λοιμοῦ πᾶσαν τὴν γῆν κατασχόντος ὁ θεὸς εἶπε προηρόσια τῇ Δηοῖ ὑπὲρ πάντων θῦσαι θυσίαν Ἀθηναίους· ὃ ἕνεκεν χαριστήρια πανταχόθεν ἐκπέμπουσιν Ἀθήναζε τῶν καρπῶν τὰς ἀπαρχάς.

ἄλλως. πυανεψίοις καὶ θαργηλίοις ἡλίῳ καὶ ὥραις θύουσιν Ἀθηναῖοι, φέρουσι δὲ οἱ παῖδες τὰ προκατειλεγμένα ἀκρόδρυα, καὶ ταῦτα πρὸ τῶν θυρῶν κρεμῶσι. κατά τι δὲ χρηστήριον πρὸς ἀποτροπὴν λοιμοῦ ταύτην ἐποίουν τὴν ἀνάρτησιν. εἰρεσιώνη δὲ λέγεται διὰ τὰ ἔρια.

εἴρετο ἠρώτα, ἔλεγεν.

εἰρηκώς εἰπών.

εἰρημένον λελεγμένον. "εἰρημένον αὐτοῖς ἀπαντᾶν ἐνθάδε" ἀττικῶς, ἀντὶ τοῦ εἰρημένου ἔρχεσθαι, "οὐ περὶ φαύλου πράγματος" ⟨A Lys. 12⟩ ἀντὶ τοῦ εὐτελοῦς.

εἴρην εἴρενος.

Εἰρηναῖος ὁ καὶ Πακᾶτος κληθεὶς τῇ Ῥωμαίων διαλέκτῳ, μαθητὴς Ἡλιοδώρου τοῦ μετρικοῦ, γραμματικὸς Ἀλεξανδρεύς, περὶ τῆς Ἀθηναίων προπομπίας, περὶ τῆς Ἀλεξανδρέων διαλέκτου, ὅτι ἐστὶν ἐκ τῆς Ἀτθίδος, βιβλία ς'. Ἀττικῶν ὀνομάτων βιβλία γ', Ἀττικῆς συνηθείας τῆς ἐν λέξει καὶ προσῳδίᾳ κατὰ στοιχεῖον βιβλία γ', κανόνας ἑλληνισμοῦ βιβλίον ά, περὶ ἀττικισμοῦ βιβλίον ά, καὶ ἄλλα πολλά. cf. v. Πακᾶτος.

εἰρηναίως φιλικῶς· "ἦσαν γὰρ εἰρηναίως ἐσταλμένοι ἄνευ δορυφόρων ἄγοντες τὴν ἱερουργίαν."

εἰρηνεύω αἰτιατικῇ.

Εἰρήνη ὄνομα κύριον.

εἰρηνήσειν συζυγίας πρώτης τῶν περισπωμένων· "ἐλπίδα τε γὰρ μεγάλην εἶχον εἰρηνήσειν." "ὁ δὲ Καῖσαρ ἐξὸν αὐτῷ εἰρηνεῖν πόλεμον εἵλετο" ⟨Dio Cass. 37 52⟩.

Εἰρηνόδικος ὄνομα κύριον.

εἰρήσθω λεγέσθω.

εἴρια μαλλία· ⟨AP 6 250⟩ "εἴριά τε ῥοδόεντα δέχευ," τουτέστιν ἔρια.

εἱρκτή φυλακή.

εἱρμολόγιον βιβλίον τι.

εἵρξας ἀποκλείσας. δασέως δὲ τὸ εἵρξας Ἀττικοί. τὸ μέντοι παρ' Ὁμήρῳ ⟨Φ 282⟩ "ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ" ψιλῶς. τὸ δὲ ἔρξας τὸ πράξας δασέως ἀναγινώσκομεν· ⟨Hom. σ 197⟩ "ἡ μὲν ἄρ' ὣς ἔρξασ' ἀπεβήσατο δῖα θεάων." τὸ δὲ ἐπὶ τῆς εἱρκτῆς ψιλῶς Ἀττικοί. sch. A Ach. 329.

εἰροκόμῳ ⟨Hom. Γ 387⟩ ἐριουργῷ, ἐπιμελεῖ.

εἰρόμενος ⟨Hom. Η 127⟩ ἀντὶ τοῦ ἐρωτῶν.

εἰροπόκοις ⟨Hom. Ε 137⟩ ἐρίων πόκους ἔχουσι. πόκοι δὲ εἴρηνται παρὰ τὸ πέκειν, ὅ ἐστι ξαίνειν.

εἰροπόνος ὁ περὶ τὰ ἔρια πονῶν.

εἷρπον ⟨Hom. μ 395⟩ μετὰ σχολῆς ἐβάδιζον.

εἴρυντο ⟨Hom. Μ 454⟩ ἐφύλασσον.

εἰρύοντο εἷλκυον.

εἰρύσασθαι ⟨Hom. Α 216⟩ φυλάξαι.

εἰρύσατο ⟨Hom. Δ 186⟩ εἵλκυσεν, ἔλαβεν· "ὃς ἔχαιρεν ἐπὶ ταῖς Ἐπικούρου φλυαρίαις καὶ ἐξ ἐκείνων κακὰ εἰρύσατο δύο, ἄθεός τε καὶ ἀκόλαστος εἶναι."

εἰρυσμένους εἱλκυσμένους· "ἡ δὲ θεράπαινα ἑώρα τὰ ξίφη εἰρυσμένους, ὡς αὐτοὺς διαχρήσαιντο."

εἰρχθέντες πνιγέντες.

εἴρω συνάπτω. ὅθεν εἱρμός.

εἴρων ὁ πάντα παίζων καὶ διαχλευάζων a καὶ εἰρωνευόμενος διὰ λόγων, παρὰ τὸ εἴρω τὸ λέγω. ἀπατεὼν καὶ ὑποκριτής.

εἴρων ὁ δυνάμενος μὲν ποιῆσαί τι, λέ- b γων δὲ μὴ δύνασθαι. ἀλαζὼν δὲ ὁ τούτῳ ἐναντίος, ὁ ὑπερήφανος. "οὐκ εἶδεν αὐτὸν παρεκβαίνοντα τὸ ἀληθὲς ἔργῳ ἢ λόγῳ ἤτοι πρὸς τὸ εἰρωνικώτερον ἢ ἀλαζονέστερον." cf. v. ἥκιστα.

εἰρωνεία χλεύη ἢ ὑπόκρισις. διαιρεῖται εἰς δ', εἰς χλεύην μυκτηρισμὸν σαρκασμὸν ἀστεϊσμόν.

εἰρωνευόμενοι χλευάζοντες· ⟨Menand. p. 400 Nieb.⟩ "πάντα τὰ ἔθνη ῥημάτων τε ποικιλίᾳ καὶ τῷ δολερῷ τῆς διανοίας εἰρωνευόμενοι." καὶ **εἰρωνεύεται** καθυποκρίνεται, προσποιεῖται.

εἰρωνεύσεται καθυποκρινεῖται. λέγεται γὰρ ἐπὶ τοῦ διάπειραν λαμβάνοντος ὑπούλως καὶ καθυποκρινομένου τὸν μὴ γινώσκοντα περὶ ὅτου ποτὲ τὸν λόγον ποιῆσαι.

εἷς ὁ ἀριθμός.

εἰσαγγελεύς ὁ τῶν δημοσίων καὶ μεγάλων μηνυτής.

εἰσαγγελία δηλατορία. εἰσαγγελία δὲ καὶ γραφὴ διαφέρει· εἰσαγγελία μὲν γὰρ ἐπὶ τῶν μεγάλων καὶ δημοσίων ἀδικημάτων γίνεται, γραφὴ δὲ καὶ ἐπὶ μικρῶν. καὶ κυρίως γραφὴ ἐπὶ τῶν τὰ παράνομα γραφόντων.

b **εἰσαγγελία** κυρίως ἡ περὶ κοινῶν καὶ δημοσίων ἀδικημάτων εἰσαγομένη δίκη ὑπὸ τῶν πρυτάνεων, περὶ ὧν διαρρήδην μὲν οὐδὲν λέγουσιν οἱ νόμοι, συγχωροῦσι δὲ κρίσεις γενέσθαι. καὶ τοῦτό ἐστιν οἷον τὸ ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς μελετώμενον, τὸ τῶν ἀγράφων ἀδικημάτων.

c **εἰσαγγελία** δημοσίου δίκης ὄνομα. τρία δέ ἐστιν εἴδη εἰσαγγελιῶν, ἣ μὲν ἐπὶ δημοσίοις ἀδικήμασι μεγίστοις καὶ ἀναβολὴν μὴ καταδεχομένοις, καὶ ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε μήτε νόμοι κεῖνται τοῖς ἄρχουσι καθ' οὓς εἰσάξουσιν, ἀλλὰ πρὸς τὴν βουλὴν ἢ τὸν δῆμον ἡ πρώτη κατάστασις γίνεται· καὶ ἐφ' οἷς τῷ μὲν φεύγοντι, ἐὰν ἁλῷ, μέγισται ζημίαι ἐπίκεινται, ὁ δὲ διώκων, ἐὰν μὴ ἕλῃ, οὐδὲν ζημιοῦται, πλὴν ἐὰν τὸ ε' μέρος τῶν ψήφων μὴ μεταλάβῃ· τότε γὰρ χιλίας ἐκτίνει· τὸ δὲ παλαιὸν καὶ οὗτοι μειζόνως ἐκολάζοντο. ἑτέρα δὲ εἰσαγγελία λέγεται ἐπὶ ταῖς κακώσεσιν· αὗται δέ εἰσι πρὸς τὸν ἄρχοντα, καὶ τῷ διώκοντι ἀζήμιοι, κἂν μὴ μεταλάβῃ τὸ ε' μέρος τῶν ψήφων. ἄλλη δὲ εἰσαγγελία ἐστὶ κατὰ τῶν διαιτητῶν· εἰ γάρ τις ὑπὸ διαιτητοῦ ἀδικηθείη, ἐξῆν τοῦτον εἰσαγγέλλειν πρὸς τοὺς δικαστάς, καὶ ἁλοὺς ἠτιμοῦτο. Ἰσαῖος μέντοι περὶ τοῦ Ἁγνίου κλήρου τὸ αὐτὸ πρᾶγμα εἰσαγγελίαν καὶ γραφὴν ὠνόμασε ⟨Harp.⟩. "τουτὶ τὸ πρᾶγμα κατὰ τὸ Καννώνου σαφῶς ψήφισμα, βινεῖν δεῖ με διαλελημμένον" ⟨A Eccl. 1124⟩. οὗτος γὰρ ψήφισμα ἐγεγράφει κατεχόμενον ἑκατέρωθεν ἀπολογεῖσθαι τὸν κατ' εἰσαγγελίαν κρινόμενον. καὶ αὖθις "τίμημα τῆς εἰσαγγελίας ἐχούσης χρηματικὸν ε' μυριάδας ἀργυρίου."

εἰς ἀγορὰν ὑφαίνειν τὸ εἰς τὴν ἀγορὰν ἐκφέρειν τὰ ὑφαινόμενα. οὕτω Μένανδρος.

εἰσάγω αἰτιατικῇ.

εἰσαγωγεύς ὁ εἰσάγων πρός τινα ἄνθρωπον. ⟨Procop. Arc. 12⟩ "εὐνοῦχον μὲν οὖν τὸν εἰσαγωγέα καὶ τοὺς τῇδε παρόντας πολλὰ τὸν ἄνθρωπον λιπαρεῖν ἐπίπροσθεν βαίνειν."

εἰσακούω γενικῇ.

εἰσάμενος ὁμοιωθείς.

εἶσαν ⟨an εἶξαν⟩ ὑπετάγησαν, ἢ ⟨ᾖσαν⟩ συνῆκαν.

εἷς ἀνὴρ οὐδεὶς ἀνήρ, παρ' ὅσον ὑφ' ἑνὸς οὐδὲν κατορθοῦται.

εἰς ἀρχαίας φάτνας, ἐπὶ τῶν ἀπολαύσεώς τινος ἐκπεσόντων, πάλιν δὲ εἰς αὐτὴν ἐπανελθόντων.

εἰς ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθα, ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων.

εἵσατο ἀνέθηκε· ⟨AP 6 268⟩ "τοῦτό τοι, a Ἄρτεμι δῖα, Κλεώνυμος εἵσατ' ἄγαλμα."

εἵσατο κατέθετο· ἐν ἐπιγράμματι ⟨AP 6 b 189⟩ "ὃς τάδε καλὰ εἵσαθ' ὑπαὶ πιτύων ὔμμι, θεαί, ξόανα." καὶ ἀντὶ τοῦ περιέθηκε, περιέβαλεν.

εἴσατο ἐφάνη καὶ ὡμοιώθη, Ὅμηρος ⟨B 791⟩.

εἰσάττειν εἰσελθεῖν· Ἀριστοφάνης ⟨Nub. 992⟩ "μηδ' εἰς ὀρχηστρίδος εἰσάττειν, ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς μήλῳ βληθῇς."

εἰσβαλεῖτε. εἰσβαλεῖν ἐστὶ τὸ τινὰς ἐν ἀγρῷ εἰσελθόντας ἐκκόψαι πάντα τὰ ἐν αὐτῷ. Ἀριστοφάνης ⟨Ach. 762⟩ "οὐκ εἰσβαλεῖτε." κυρίως δὲ εἰσβαλεῖν ἐστὶ τὸ πολεμίους τινὰς εἰσελθεῖν εἰς τὴν πόλιν. sch. A Pac. 745.

εἰσβολάς. εἰσβολὰς λέγουσι χώρας τοὺς a τόπους δι' ὧν εἰσβάλλουσιν εἰς τὴν πολεμίαν, εἰσβολὰς δὲ ἀλφίτων τὰ σιτοφυλάκια, τὰς ἀποθήκας. sch. A Eq. 853.

εἰσβολάς. τὰς ἐπὶ τὴν τῶν πολεμίων b χώραν ἐφόδους ἐκάλουν εἰσβολάς. sch. A Eq. 594, Ach. 1074.

εἰσβολή. ἐπὶ τοῦ νοὸς τρία θεωρεῖται, εἰσβολή παραδοχή συγκατάθεσις· τοῦτο καὶ παρὰ τῷ Δαβὶδ εἴρηται ἐνώτισις σύνεσις προσοχή· ⟨Ps. 5 1⟩ "τὰ ῥήματά μου ἐνώτισαι" καὶ τὰ ἑξῆς. καὶ ἐνώτισις μέν ἐστι σύνοψις τῶν ῥημάτων, σύνεσις δὲ ἐπίληψις τῶν

πραγμάτων, προσοχὴ δὲ τελείωσις τῆς ἐφέσεως.

εἰς δέον. "πατρόθεν αὐτὸν καλέσας ὁ ἥρως, εἰς δέον σε εὗρον, φησί· βούλομαι γὰρ καλέσαι σ' ἐς πανθοινίαν," ἀντὶ τοῦ εὐκαίρως σε εὗρον. καὶ παροιμία "εἰς δέον." ὅταν τις θέλῃ μὴ φανερῶς εἰπεῖν ὅπου τι πολλάκις ἀνάλωσε, λέγει εἰς δέον. cf. εἰς τὸ δέον.

εἰσδέχομαι αἰτιατικῇ.

εἴσειμι εἰσέρχομαι.

εἰσεκώμασεν εἰσῆλθεν.

εἰς ἐμφανῶν κατάςασιν. δίκης ἐςὶν ὄνομα ὑπὲρ τοῦ τὰ ἀμφισβητούμενα ἐν φανερῷ ποιῆσαι. Harp.

εἶσεν ἔκτισεν.

εἰς ἓν ἦλθον ἀντὶ τοῦ ὡμονόησαν. Harp.

εἰς ἓν ἰόντα ὁμοῦ πορευόμενον.

εἰσεπόδιζον ἀντὶ τοῦ εἰσέβαινον τοὺς πόδας τοῦ χωρίου. Harp.

εἰσεποιεῖτο ἀντὶ τοῦ ὑπετίθει. "ὁ δὲ πόρος ἐφράττετο (an Πῶρος ἐφρυάττετο) καὶ μεγάλας ἐλπίδας εἰσεποιεῖτο τῶν ἐπιφερομένων."

εἰσεποιήθη εἰσεκρίθη· "ἐνιαύσιος ἦν ἡμέρα ἐν ᾗ Τραϊανὸς ἐπὶ διαδοχῇ τῆς Ῥωμαίων ἀρχῆς ὑπὸ τοῦ πατρὸς Νέρβα εἰσεποιήθη."

εἰσέφρησα εἰσέδυσα ἑαυτόν, καὶ εἰσέφρησας εἰσήγαγες, καὶ εἰσφρήσας εἰσελθών, καὶ ἐκφρησθέντα ἀντὶ τοῦ ἐκδιωχθέντα· "οἳ δὲ χαρᾶς ὑπεπλήσθησαν τῷ μὴ ἐκφρησθῆναι ἐκφαυλισθέντα καὶ ἀτιμασθέντα ὑπὸ τοῦ θεοῦ αὐτόν."

εἰσέφρουν εἰσεδέχοντο· (Demosth. 20 53?) "οἳ δὲ τὰς πύλας ἀνοίξαντες εἰσέφρουν τὸ ςράτευμα."

εἰσεχέοντο εἰσήρχοντο.

εἰς ἕω ἀντὶ τοῦ εἰς ἀρχομένην ἡμέραν.

εἴση ἡ ἴση. καὶ εἴσας ναῦς.

εἴσῃ μαθήσῃ, καὶ εἰσόμενον μαθησόμενον· "ἐντολὰς δοὺς κατασκέψασθαι τί πράττουσιν οἱ πολέμιοι καὶ τί διανοοῦνται εἰσόμενον."

εἰσήγγειλεν ἐσυκοφάντησεν· "ὁ Δωὴκ τὸν Ἀχιμέλεχ εἰσήγγειλε παρὰ τῷ Σαὺλ, καὶ εἰς μιαιφονίαν τῶν ἱερέων ἐξέμηνεν." ἔςι δὲ διώνυμος· λέγεται γὰρ καὶ Ἀβιμέλεχ.

εἰσηγήσαιντο. Ἡρόδοτός φησι (1 133) περὶ Περσῶν, τοῦτον βουλεύεσθαι τὸν τρόπον· εἰ μὲν οὖν εἰσηγήσαιντό τι νήφοντες, βουλεύεσθαι περὶ τούτου ἐν μέθῃ, εἰ δὲ εἰσηγήσαιντο ἐν μέθῃ, τοῦτο κυροῦν νήφοντας. sch. A Eq. 91.

εἰσηγορία καὶ ἐπηγορία καὶ κατηγορία ἀντὶ τοῦ μέμψις καὶ λοιδορία.

εἰσηγούμενος, δοτικῇ, διδάσκων.

εἰσήεις εἰσήρχου.

εἰσήλατο εἰσεπήδησεν.

εἰσήρετο εἰσεφέρετο· Ἀριστοφάνης Βατράχοις (521) "χὴ τράπεζ' εἰσήρετο."

εἰσήρρησεν εἰσεφθάρη· Ἀριςοφάνης (Eq. 4) "ἀφ' οὗ γὰρ εἰσήρρησεν εἰς τὴν οἰκίαν," ἀντὶ τοῦ εἰσῆλθεν, εἰσεπήδησεν, ὡς βίᾳ καὶ ἀναιδῶς αὐτοῦ τῇ πολιτείᾳ προσελθόντος. καὶ αὖθις (Menand. p. 133) "ὁ δὲ προτερήσας εἰσήρρησεν αὐτόθι." γράφεται δὲ καὶ εἰσέφρησε, δηλούσης τῆς λέξεως τὸ ἐπιπηδῆσαι. σημαίνει δὲ καὶ τὸ μετὰ φθορᾶς εἰσελθεῖν· καὶ Σιμόκαττος (5 6) "λόγος εἰσήρρησε τοῖς τὴν γείτονα πόλιν οἰκοῦσιν ὡς ἥλω ἡ πόλις." καὶ εἰσεφθαρμένου ἀντὶ τοῦ εἰσπηδήσαντος ἐπὶ λύμῃ καὶ καταφθορᾷ· "εἰσεφθαρμένου δὲ αὐτοῖς οὐκ ὀλίγου συντάγματος, ᾧ τινὲς καὶ τοῦ πολιτικοῦ συνενόσουν."

εἰς θεῶν ὦτα ἦλθεν, ἐπὶ τῶν οὐ λανθανόντων ἐφ' οἷς ἔπραξαν.

εἰσθορόντα εἰσπηδήσαντα· "ὅταν ἴδωσιν αὐτὸν εἰσθορόντα τοῖς πολεμίοις φονῶντα, καὶ πεφονευμένον θεάσωνται."

εἶσι πορεύεται.

εἴσιθι εἴσελθε. καὶ "εἴσιμεν μόνοι."

εἰσίθμη (Hom. ζ 264) ῥύμη.

εἰσίν ὑπάρχουσιν.

εἰσιτήρια. ἡμέρα ἑορτῆς, ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες προΐασιν, οὕτως ἐκαλεῖτο. ταύτην δὲ τὴν ἡμέραν πρώτην τοῦ ἔτους Ἀθηναῖοι νενομίκασι. Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας (190) "ἡ βουλὴ τὰ εἰσιτήρια ἔθυσεν, συνεςιάθησαν δὲ καὶ τῶν ἱερῶν ἐκοινώνησαν οἱ ςρατηγοὶ καὶ σχεδὸν εἰπεῖν αἱ ἀρχαὶ πᾶσαι."

εἰσιτήριος ὁ εἰσόδιος λόγος.

εἰσιτητός ὁ πορευτός.

εἰς καιρόν ἐγκαίρως.

εἰς καλόν εὐκαίρως.

εἰσκεκριμένον ἐπείσακτον, καὶ εἰσκριθείς εἰσελθών.

εἰσκεκύκληκεν εἰσήνεγκεν, εἰσήγαγεν· Ἀριςοφάνης (Vesp. 1465) "νὴ τὸν Διόνυσον,

ἄτοπά γ' ἡμῖν πράγματα δαίμων τις εἰσεκύκλησεν εἰς τὴν οἰκίαν. ὁ γὰρ γέρων ὡς ἔπει διὰ πολλοῦ χρόνου ἤκουσέ τ' αὐλῶ, περιχαρὴς ἦν τῷ πράγματι."

εἰσκηρύττεται ⟨A Ach. 135⟩ καλεῖται ὑπὸ τοῦ κήρυκος.

εἰς κόλπον πτύειν. τοῦτο ἐν ἴσῳ τῷ οὐ μεγαλορρημονῶ εὐλαβούμενος.

εἰς κόπρον θυμιᾷς, ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται ὑπὸ τῶν Ἀττικῶν.

εἰς κόρακας εἰς τὸ σκότος, εἰς ὄλεθρον. cf. v. ἐς κόρακας.

εἰσκριθείς ἀντὶ τοῦ εἰσελθών, ἐναρίθμιος γενόμενος· "ὃ δὲ εἰς τὸ ἄντρον εἰσκριθεὶς ἐπίπονον βίον συνεςήσατο καὶ θηριώδη." cf. v. ἔφεδρος.

εἰσκρίνειν εἰσχωρίζειν.

εἰσκυκλεῖ εἰσφέρει καὶ ἐπισυνάπτει. καὶ ἐπεισκυκλεῖ. καὶ εἰσκυκλεῖσθαι κυκλοειδῶς τρίβεσθαι.

εἰς Κυνόσαργες. εἴρηται ἐπὶ ὕβρει καὶ ἀρᾷ. ἔςι δὲ τόπος ἐν τῇ Ἀττικῇ ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον. ὠνόμαςαι δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέςι λευκοῦ ἢ ταχέος· καὶ γὰρ Ἡρακλεῖ θυόντων κύνα λευκὸν ἢ ταχὺν ἀετὸν ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία αὐτῷ καταθεῖναι, καὶ ἐπερωτήσαντας τοὺς θεοὺς λαβεῖν χρησμόν, ἱερὸν Ἡρακλέους ἱδρῦσαι ἐν τῷ τόπῳ. ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν ἴσα θεοῖς ἐτιμήθη. cf. vv. ἐς Κυνόσαργες et Κυνόσαργες.

ἐΐσκω ⟨Hom. Γ 197⟩ εἰκάζω.

εἰς λατομίας. Φιλόξενος ὁ διθυραμβοποιὸς οὐκ ἀνεχόμενος τῶν Διονυσίου τοῦ τυράννου ποιημάτων ὡς φαύλων, ποτὲ πέμψαντος αὐτὸν εἰς λατομίας τοῦ Διονυσίου, τὸ δὲ ὕςερον αὐτὸς ἐκὼν ἐξανέςη· τοῦ δὲ ἐπερομένου τὴν αἰτίαν τοῦτο εἰπεῖν, ὡς κρεῖττον εἶναι ἐκεῖ διατρίβειν ἢ τῶν αὐτοῦ ποιημάτων ἀνέχεσθαι, τοῦτο ἐπειπών "οἶκος φίλος, οἶκος ἄριςος·" ὅπερ ἐςὶ τῆς χελώνης. cf. vv. ἄπαγέ με et Φιλοξένου γραμμάτιον.

εἰς λῆξιν εἰς τελειότητα.

εἰς μελίττας γ' ἐκώμασας, παροιμία ἐπὶ τῶν παρὰ δόξαν κακουμένων ἀθρόως.

εἰς νέωτα εἰς τοὐπιόν· "καὶ ὃ μὲν ὧδε τὰ καθ' ἑαυτὸν διετίθει ὡς πολεμήσων εἰς νέωτα," καὶ αὖθις "ἀνάζευξίς τε παρηγγέλλετο ὡς ἐς νέωτα παρεσομένων αὖθις ἐν τοῖς ὅπλοις."

εἴσοδος εἰσφορά.

εἴσομαι. ⟨S Ai. 666⟩ "τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν."

εἰς ὀρθὸν ἀποδοῦναι τὸ ἐπὶ τὴν ἐξ ἀρχῆς θέσιν ἀποκαταςῆσαι ἄνδρα ἕκαςον, ὥςε εἰ ἐπὶ δόρυ κλίνειν ἐκ τῶν πολεμίων κελεύοιντο, εἶτα αὖθις εἰς ὀρθὸν ἀποδοῦναι, δεήσει ἐπὶ τοὺς πολεμίους πάλιν τρέπεσθαι. καλεῖται δὲ τοῦτο καὶ ἐπ' ὀρθὸν καταςῆσαι. cf. Aelian. Tact. 32.

εἰσορόων ⟨Hom. E 183⟩ βλέπων, καὶ εἰσορόωντες ⟨Δ 4⟩.

εἰς ὅ τε δή ἕως ἄν.

εἰς οὐρανὸν τοξεύειν, ἐπὶ τῶν διακενῆς κατ' αὐθάδειάν τι ποιούντων.

εἰς πάγας ὁ λύκος, ἐπὶ τῶν πονηρῶν, ὅταν εἰς προὖπτον ἐμπέσωσι κίνδυνον.

εἰς παραβολήν ⟨Ps. 43 16, 68 14⟩ εἰς γέλωτα, εἰς διήγημα.

εἰσπεπαίκασιν εἰσπεπηδήκασιν.

εἰσπιπλάς· Ξενοφῶν ⟨Anab. 1 7 8⟩ "ὁ δὲ Κῦρος εἰσπιπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπεν."

εἰσποίητον θετόν, ὃ γνήσιον. καὶ εἰσεποιεῖτο ἀντὶ τοῦ ὑπετίθει. καὶ εἰσποιῶ τὸ καλλωπίζω, δοτικῇ.

εἰσπομπή εἰσβολή· Εὐνάπιος ⟨immo Theophyl. Sim. 2 6⟩ "περιεφέρετο δὲ ὁ ἀριςεὺς καὶ δόρατος εἰσπομπὴν ἐπὶ τοῦ εὐωνύμου βραχίονος."

εἴσπραξις ἀπαίτησις. καὶ εἰσπράττω αἰτιατικῇ.

εἰς πῦρ ξαίνειν παροιμιακόν, ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων μάτην ἢ λεγόντων. ὁμοία τῇ κατὰ πετρῶν σπείρειν.

εἰς τετρημένον πίθον ἀντλεῖν. εἴρηται ἡ παροιμία ἀπὸ τοῦ περὶ τὰς Δαναΐδας μύθου, παρ' ὅσον ἀνιμῶσαι ἐκεῖναι ὕδωρ εἰς πίθον ἔβαλλον. πάσχουσι δὲ περὶ τοῦτον τὸν πίθον αἱ τῶν ἀμυήτων ψυχαί. cf. v. εἰς τὸν τετρημένον.

εἰς τέφραν γράφειν, ἐπὶ τῶν ἀδυνάτων· "ἐγὼ δὲ τοὺς ὅρκους αὐτοῦ, τὸ τῆς παροιμίας, οἶμαι δεῖν εἰς τέφραν γράφειν" ⟨Iulianus p. 525⟩.

εἰςήκειμεν ἀντὶ τοῦ ἑςηκότες ἦμεν.

εἰςήκεισαν.

εἰςία ἐκάλει· "ὁ δὲ εἰςία τὸν ςρατὸν ἡμερῶν ἓξ εἰς πανθοινίαν." καὶ εἰςιᾶτο ἐτρέφετο. καὶ εἰςίων. cf. v. ἑςιῶν.

εἰς τὸ δέον, καὶ ἐς τὸ δέον. Περικλῆς δῶρα δοὺς τοῖς πολεμίοις τοῖς περὶ Κλεανδρίδαν, ἵνα μὴ δηώσωσι τὴν χώραν, κε' τάλαντα ἀνήνεγκε τὸ ἀνάλωμα τοῖς Ἀθηναίοις, οὕτω πως ἀπογράψας "εἰς τὸ δέον." Ἀριστοφάνης Νεφέλαις "ὥσπερ Περικλέης εἰς τὸ δέον ἀπώλεσα." καὶ Μένανδρος ἐν Ἐπαγγελλομένῃ. μέμνηται δὲ καὶ ἑτέρωθι. cf. vv. δέον et ἔφοροι.

εἰς τὸν ἀγρὸν ἀποβλέπων Ἀριστοφάνης ⟨Ach. 32⟩· οἱ γὰρ πολεμούμενοι καὶ πολιορκούμενοι ἐπὶ τὸν ἀγρὸν ἀποβλέπουσιν, ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι.

εἰς τὸν τετρημένον. λείπει, πίθον ἀντλεῖν. τάσσεται δὲ ἐπὶ τῶν εἰς κενὸν πονούντων· καὶ γὰρ μυθεύουσιν ἐν Ἅιδου τοὺς ἀσεβεῖς εἰς πίθον τετρημένον ἀντλεῖν.

εἰς τοὔμπαλιν εἰς τοὐναντίον.

εἰς Τροιζῆνα δεῖ βαδίζειν. ἐπὶ τῶν κακογενείων καὶ σπανοπωγώνων εἴρηται· Πώγων γὰρ ἐστι λιμὴν εἰς Τροιζῆνα. cf. v. Πώγων.

εἰς Τροφωνίου μεμάντευται. ἐπὶ τῶν σκυθρωπῶν καὶ ἀγελάστων ἡ παροιμία τάττεται· οἱ γὰρ καταβαίνοντες εἰς Τροφωνίου λέγονται τὸν ἑξῆς χρόνον ἀγέλαστοι εἶναι. τὸν δὲ Τροφώνιόν φασιν ἔχοντα τὴν κεφαλὴν τοῦ ἀδελφοῦ αὐτοῦ Ἀγαμήδους, καὶ διωκόμενον ὑπὸ Αὐγέου, εὐξάμενον εἰς χάσμα ἐμπεσεῖν, οὗ δὴ καὶ τὸ μαντεῖόν ἐστιν.

εἰστρυπᾶν τὸ παρεισέρχεσθαι.

εἰς ὕδωρ σπείρειν, ἐπὶ τῶν μάτην πονούντων, ὡς τὸ καθ' ὕδατος γράφειν.

εἰσφθαρείς τὸ ἐπὶ κακῷ εἰσελθεῖν πυ. ἐκφθαρεὶς δὲ ἐξελθών. οὕτω λέγεται τὸ ἐπὶ κακῷ ἐξελθεῖν. cf. v. ἐκφθαρείς.

εἴ σφιν εἰ ἑαυτοῖς.

εἰσφορά τέλεσμα.

εἰσφρήσασθαι εἰσδέξασθαι. Εὐνάπιος ⟨immo Theophyl. Sim. 2 6⟩ "ἕτερος δὲ Μηδικὸς οἰστὸς ἐπὶ θάτερον χεῖλος ἔνερθεν εἰσφρήσας ἀντιθέτως πως ἀνετείνετο," ἀντὶ τοῦ εἰσδύς, εἰσελθών.

εἰσφρήσειν εἰσάξειν, εἰσδέξασθαι. πολὺ τοὔνομα παρὰ τοῖς ῥήτορσιν.

εἰσφρήσωσιν ἀντὶ τοῦ εἰσδεχθῶσιν· "εἴσω τῶν ἱερῶν εἰσφρήσωσιν."

εἴσω· "τὸ τοῦ Ἰσιδώρου πρόσωπον καὶ εἶδος ὡς ἔνθεον ἦν καὶ πλῆρες εἴσω φιλοσόφου ζωῆς" ⟨cf. v. εἶδος⟩.

εἴσω ἁλός ⟨Hom. Φ 125⟩. ἰσοδυναμεῖ τὸ εἴσω τῇ εἰς, οἷον εἰς ἁλός. καὶ παρὰ τοῖς ῥήτορσιν ⟨Demosth. 19 255⟩ εἴρηται εἴσω τὴν χεῖρα ἔχειν. ὅπερ ἔνιοι ἁμάρτημα ἔδοξαν εἶναι· ἀλλ' ἐπλανήθησαν, ἀγνοοῦντες ὅτι ὥσπερ ἔνδον εἴποιμεν, δηλοῖ δὲ καὶ τὸ ἔν τινι καὶ τὸ ἔς τινα, οὕτω καὶ τὸ εἴσω ἐφ' ἑκάτερα παραλαμβάνεται.

εἰσωθεῖν καὶ εἰσωθοῦμεν.

εἰσωποί ⟨Hom. Ο 653⟩ ἀντιπρόσωποι.

εἰσωχέτευσαν ἔνδον μετέφερον.

εἴτ' ἐφ' ὕδωρ κακός. ἐπὶ τῶν δυσκληρούντων ἡ παροιμία εἴρηται· ἐν γὰρ τοῖς δικαστηρίοις τὸ φαυλότατον ἔργον ἦν ὕδωρ διαμετρεῖν τοῖς δικαζομένοις. ἐγένετο δὲ τοιοῦτος ὁ ἀπόκληρος.

εἴ τι Πεισάνδρου βδελύττῃ τοὺς λόφους καὶ τὰς ὀφρῦς" ⟨Α Pac. 399⟩. οὗτος ἐπὶ δειλίᾳ ἐσκώπτετο παρὰ τοῖς πολλοῖς, φιλοπόλεμος δὲ ἦν καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκεν. ἦν δὲ καὶ δειλός, ἐχρῆτο δὲ τριλοφίᾳ καὶ ὅπλοις ἐπισήμοις ὑπὲρ τοῦ δοκεῖν ἀνδρεῖος εἶναι μὴ ὤν. καὶ ἐν ἄλλοις ἐπαχθῶς αὐτοῦ ἐπιλαμβάνεται.

εἴ τις ἐν Αἰγύπτῳ σῖτον ἄγει καὶ ἐν Κιλικίᾳ κρόκον. ὅμοιόν ἐστι τῷ γλαῦκα Ἀθήναζε, ἐπὶ τῶν μάτην σωρευόντων τινὰ προϋπάρχοντα.

εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς. εἴ τοι νομίζεις ἄνδρα συγγενῆ κακῶς δρῶν οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς." Σοφοκλῆς ⟨OR 549⟩.

εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος. Αἰσώπῳ τῷ μυθογράφῳ χρωμένῳ περὶ πλούτου ὁ θεὸς ἀνεῖλε τὸ λόγιον τοῦτο· εὔφορος γὰρ αὕτη ἡ χώρα. καὶ χρησμὸς ἐδόθη παρὰ Βάκιδος τοῦ χρησμολόγου "ἀλλ' ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι ἐν ταὐτῷ τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος." ἠνίξατο τοῦτο ὅτι καὶ ἡ πόλις μεταξὺ οὐρανοῦ καὶ γῆς ἵδρυται ἡ Νεφελοκοκκυγία. sch. Α Av. 968.

εἴτω πορευέσθω, συγχωρείσθω. σημαίνει καὶ τὸ ἐάν τινι.

εἰ φίλου χρῄζεις ὑπουργίας, ἐπὶ τῶν γενναίαν ψυχὴν ἐχόντων. ἀρρωστοῦντι γὰρ Ἀντισθένει ξιφίδιον δέδωκε Διογένης, εἰπὼν τοιοῦτον λόγιον. cf. v. Ἀντισθένης.

εἶχεν ἐγεγαμήκει. cf. v. ἔχει.

εἶχον καὶ εἰχέτην.

εἶψα ἠκολούθησα.

εἴωθεν καὶ εἰώθειν καὶ εἰώθεισαν.

Ἑκάβη ἡ ἔκαθεν βεβηκυῖα πρὸς τὸν ἄνδρα· ὁ γὰρ πατὴρ Δύμας ὁ Φρὺξ εἰς Ἴλιον Πριάμῳ ἐξέδοτο. ὅθεν Πρίαμος Φρυξὶ συμμαχεῖ· "ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν" Ὅμηρος ⟨Γ 184⟩.

ἔκαθεν πόρρωθεν.

ἔκαινον ἔκοπτον.

ἐκαλαμήσαντο ⟨Iudic. 20 45⟩ ἀπεθέρισαν.

Ἑκάλη ὄνομα κύριον, ἡ ἡρωὶς ἡ παρὰ Καλλιμάχῳ, ἡ πρὸς ἑαυτὴν καλοῦσα· "ἔχε γὰρ ςἶγος ἀκλήιςον."

ἐκαλίςρουν. Ἰακὸν ἐςιν. Harp.

Ἑκαμήδη ⟨Hom. Λ 623⟩ ἡ Νέςορος παλλακίς, παρὰ τὸ ἑκὰς μήδεσθαι, ὃ ἐςι βουλεύεσθαι.

ἔκαμον ⟨Hom. Δ 244⟩ ἐκοπίασαν.

ἐκαπήλευσεν ἐδόλωσεν.

ἐκάπυσεν ⟨Hom. Χ 467⟩ ἐξέπνευσεν, ἐκ τοῦ κάπω τὸ πνέω, ἀφ' οὗ καπύω.

ἐκαραδόκησεν ἀπέβλεψεν. ἣ ἐμοὶ προσέθετο τὴν κεφαλὴν μετεωρίσας, παρὰ τὸ Ὁμηρικὸν ⟨Σ 488⟩ "καί τ' Ὠρίωνα δοκεύει." sch. A Eq. 660.

ἐκαρπώσαντο μετειλήφασιν· "οἱ ἡσσηθέντες φυγῇ ἐκαρπώσαντο τὸ εἶναι."

ἑκὰς πόρρω· "ὅτι μέντοι οὐχ ἑκὰς οὐδὲ ἀπὸ σφῶν τὸν κίνδυνον ἡγοῦντο, εἰ οἱ πολέμιοι κρατήσειαν, συνηγείροντο ἑκούσιοι καὶ οὐκ ἐπίκλητοι."

ἑκαςάτω πορρωτάτω· Προκόπιος ⟨Vand. 1 2⟩ "ἑκαςάτω τῆς τοῦ βαρβάρου ἐπιβολῆς ὄντες."

ἑκαςαχῇ ἀντὶ τοῦ πανταχοῦ· "ταῦτα μὲν οὖν ἑκαςαχῇ ἐπράσσετο."

ἑκάςοτε ἀντὶ τοῦ ἀεί· οὐ γὰρ λέγεται πάντοτε. Βάβριος ⟨22 8⟩ "τῶν οὖν τριχῶν ἑκάςοθ' ἡ μὲν ἀκμαία ἔτιλλεν ἃς εὕρισκε λευκανθιζούσας." καὶ αὖθις ⟨A Eccl. 181⟩ "τὰς μὲν φιλεῖν βουλομένους δεδοίκατε, τὰς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖθ' ἑκάςοτε" ἀντὶ τῦ ἀεί.

a Ἑκαταῖος Ἀβδηρίτης φιλόσοφος, ὃς ἐπεκλήθη καὶ κριτικὸς γραμματικός, οἷα γραμματικὴν ἔχων παρασκευήν. γέγονε δὲ ἐπὶ τῶν διαδόχων. βιβλία αὐτῦ ταῦτα, περὶ τῆς ποιήσεως Ὁμήρυ καὶ Ἡσιόδυ. cf. v. παρασκευή.

b Ἑκαταῖος Ἡγησάνδρου Μιλήσιος γέγονε κατὰ τοὺς Δαρείου χρόνους τοῦ μετὰ Καμβύσην βασιλεύσαντος, ὅτε καὶ Διονύσιος ἦν ὁ Μιλήσιος, ἐπὶ τῆς ξέ ὀλυμπιάδος, ἱςοριογράφος. Ἡρόδοτος δὲ ὁ Ἁλικαρνασεὺς ὠφέληται τούτου νεώτερος ὤν. καὶ ἦν ἀκυςὴς Πρωταγόρου ὁ Ἑκαταῖος. πρῶτος δὲ ἱςορίαν πεζῶς ἐξήνεγκε, συγγραφὴν δὲ Φερεκύδης· τὰ γὰρ Ἀκουσιλάου νοθεύεται.

ἑκάτειον Ἑκάτης ἄγαλμα. καὶ παροιμία "Θεαγένους ἑκάτειον," οὗ ἐπυνθάνετο πανταχοῦ ἀπιών. ὃς καπνὸς ἐκαλεῖτο. ἦσαν δὲ Θεαγένεις ἄλλοι β', ὁ περὶ Ὁμήρυ γράψας καὶ ὁ ἐπὶ μαλακίᾳ διαβεβλημένος. A Lys. 63.

ἑκατηβελέτης ὁ Ἀπόλλων. ὁ αὐτὸς καὶ ἑκατηβόλος.

a Ἑκάτην. ἀπὸ ταύτης ἔςι μαθεῖν ⟨A Plut. 594⟩ "εἴτε τὸ πλυτεῖν εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ αὕτη τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν' ἀποπέμπειν, τὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι." ἔθος γὰρ ἦν ἄρτους καὶ ἄλλα τινὰ κατὰ μῆνα τιθέναι τῇ Ἑκάτῃ τὺς πλυσίους, λαμβάνειν δὲ ἐξ αὐτῶν τὺς πένητας.

b Ἑκάτην οἱ μὲν τὴν Ἄρτεμιν, οἱ δὲ τὴν σελήνην, ἐν φάσμασιν ἐκτόποις φαινομένην τοῖς καταρωμένοις. τὰ δὲ φάσματα αὐτῆς δρακοντοκέφαλοι ἄνθρωποι καὶ ὑπερμεγέθεις, ὡς τὴν θέαν ἐκπλήττειν τοὺς ὁρῶντας.

Ἑκάτης νήσου. πρὸ τῆς Δήλου κεῖταί τι νησύδριον, ὃ ὑπ' ἐνίων Ψαμίτη καλεῖται. καλεῖσθαι δὲ οὕτως φασὶν αὐτὴν διὰ τὸ τοῖς ψαμίτοις τιμᾶσθαι τὴν θεόν· ψάμιτον δέ ἐςι ψαιςῶν τις ἰδέα. Harp.

ἑκατομβαιὼν μὴν Ἀθηναῖος. ἐκλήθη δὲ οὕτως ἀπὸ τοῦ πλεῖςας ἑκατόμβας θύεσθαι τῷ μηνὶ τούτῳ. Harp.

Ἑκάτομνος ὄνομα κύριον. Harp.

ἑκατόμπεδος νεὼς ὁ Ἀθήνησι παρθενών. καὶ ἑκατόμπεδον. Λυκοῦργος. ὁ παρθενὼν ὑπό τινων ἑκατόμπεδος ἐκαλεῖτο διὰ κάλλος καὶ εὐρυθμίαν, οὐ διὰ μέγεθος. Harp.

ἑκατοςὺς ὁ ἀριθμός.

ἐκβακχευθεὶς ἐκμανείς· "ὁ δὲ Θάλης ἐκβακχευθεὶς ἐπὶ τοὺς πολεμίυς ἀθρόαν παρήγγειλεν ἔξοδον."

ἐκβεβόλβιςαι ἐξορώρυκται.

ἐκβῇς ἐξέλθῃς.

ἐκβιαςής. ⟨Pisides c. Sev. 652⟩ "ἄμφω γὰρ ὄντες ἐκβιαςαὶ τῆς δίκης νύττυσιν ἡμᾶς πρὸς τὸ τῆς δίκης πέρας." περὶ Γρηγορίου καὶ Βασιλείου φησίν.

ἐκβιβάσας ἐξαγαγών· ⟨Δ Av. 664⟩ "τὴν δ' ἡδυμελῆ ξύμφωνον ἀηδόνα μούσης κατάλειφ' ἡμῖν, δεῦρ' ἐκβιβάσας, ἵνα παίσωμεν μετ' ἐκείνης" ἀντὶ τοῦ χορεύσωμεν.

ἐκβρασθῇ ἐκβληθῇ, ἐκριφῇ. λέγεται δὲ καὶ ἐπὶ τῶν ὑπὸ τῆς θαλάσσης ἐκριπτουμένων. λέγεται δὲ καὶ "ἐξεπτύσθη ὑπὸ τῆς θαλάσσης."

ἐκγαμηθῆναι. ὅταν εἰς ἕτερον γένος ἐκδοθῇ παρθένος, οἱονεὶ τοῖς μὴ προσήκουσι, τοῦτο ἐκγαμεῖσθαι λέγεται.

ἐκγεγάμεν· Ὅμηρος ⟨E 248⟩ "εὔχεται ἐκγεγάμεν" ἀντὶ τοῦ γεγεννῆσθαι. ἀπὸ τοῦ γῶ γήσω γέγημι, ἀπαρεμφάτως γεγάναι, καὶ δωρικῶς γεγάμεν, ὡς τιθέναι τιθέμεν.

ἐκ γειτόνων· ⟨Synes. p. 278 D⟩ "ἐκ γειτόνων τῆς μεγαλοφροσύνης παροικοῦσαν τὴν ἀλαζονείαν ἐκφεύγει" ἀντὶ τοῦ γειτνιῶσαν.

ἐκδεδαρμένον δέρεις, ἐπὶ τῶν μάτην πονούντων.

ἐκδεές ἀτελές, ἐλλιπές· "ἔδοξε δὲ αὐτοῖς πρότερον, ὡς μηδὲν ἐκδεὲς εἴη τῶν θείων λογίων, εἰς τὴν πόλιν εἰσελθεῖν, ὅπως τὸ ἄγαλμα, εἰ δύναιντο, κλέψειαν τῆς Ἀθηνᾶς."

ἔκδεια ἡ κεχρεωσημένη λοιπάς. ἔκδεια γάρ ἐστι τὸ μέρος καταβαλεῖν ὧν ὀφείλει τις, εἰ καὶ μὴ πάντα· ἔνδεια δὲ τὸ μηδὲν ὅλως καταβαλεῖν. ἢ ἔκδεια μέν ἐστι τὸ ἔχοντα μὴ καταβαλεῖν, ἔνδεια δὲ τὸ μηδὲν ἔχειν, ὡς εἶναι τὸ μὲν ἑκούσιον τὸ δὲ ἀκούσιον. ἔκδεια μέν ἐστιν ἑκούσιος στέρησις χρημάτων, ἔνδεια δὲ ἀκούσιος.

ἐκδειματοῦντες ἐκφοβοῦντες.

ἔκδεξαι ⟨Ps. 118 122⟩ ἀντὶ τοῦ ἀληθεύων οὐ ψεύδομαι, πίστευσον ὑποσχομένῳ τῷ δούλῳ σου, αὐτὸς ἐγγυητὴς γενοῦ τῆς ἐμῆς ὑποσχέσεως.

a ἐκδέξασθαι οὐκ ἐπὶ τοῦ ἀναμεῖναι, ἀλλ' ἐπὶ τοῦ ἀναδέξασθαι καὶ ἀναλαβεῖν.

b ἐκδέξασθαί ἐστι τὸ παρ' ἑτέρου λαβόντα αὐτὸν ἐγχειρεῖν τὸ δεύτερον. ἐπισκεπτέον δὲ τὸ ἐν τῷ ε' Φιλιππικῷ ⟨5 18⟩ ληφθὲν "καὶ τὸ δοκεῖν ἐκδέχεσθαι τῶν ἐκείνῳ πεπραγμένων." Harp.

ἐκδέχεσθαι ἀπείργειν, κωλύειν· "γέρρα τε παρατεταμένα ἦν εἰς τὸ ἐκδέχεσθαι τὰ τῶν βαρβάρων τοξεύματα."

ἐκδέχῃ νοεῖς, ὑπολαμβάνεις· Πολύβιος ⟨10 18⟩ "οὐκ ὀρθῶς, ὦ στρατηγέ, τοὺς ἡμετέρους ἐκδέχῃ λόγους." καὶ ἐκδέχομαι αἰτιατικῇ.

ἐκδιαιτηθῆναι διαστραφῆναι.

ἐκδιαίτησις ἡ τρυφή. "ὁ δὲ τρυφαῖς μαλακαῖς καὶ ἐκδιαιτήσεσι διαλυθεὶς ἐπανήει, νωθείᾳ τε καὶ μαλακίᾳ καὶ ἀβουλίᾳ τὰς τῆς ἀρχῆς ἡνίας ἀφίησι." καὶ αὖθις "ἀπαγορεύει πρὸς τοὺς πόνους πόθῳ τῆς ἐν Συρίᾳ ἐκδιαιτήσεως." καὶ αὖθις "τὴν Νέρωνος ἐς τρυφὴν ἐκδιαίτησιν."

ἐκ διαμέτρου.

ἐκδιήτησε κακῶς διῴκησεν.

ἐκδικάσασθαι Ἰσαῖος ἀντὶ τοῦ ἀνάδικον ἐκπρᾶξαι διὰ τὸ δικάσασθαι. Harp.

ἔκδικον τὸ ἔξω τοῦ δικαίου· Αἰλιανός "τετόλμητο μὲν αὐτῷ τὸ ἔκδικον ἐκεῖνο καὶ παράνομον ἔργον."

ἐκδίκους ἀδίκους καὶ ἔξω τοῦ δικαίου ὄντας. "ὁ δὲ ἦν ἔκδικός τε καὶ ἔκνομος" ἀντὶ τοῦ ἄδικος. Σοφοκλῆς ⟨OC 920⟩ "Θῆβαι δ' οὐκ ἐπαίδευσαν κακόν· οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν. σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν τὴν αὐτὸς αὐτοῦ, καί σ' ὁ πληθύων χρόνος γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν."

ἐκδίκως· "δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν" ⟨cf. v. ἄχος⟩. καὶ αὖθις "καὶ μεγάλα ἀνάρσια ἀνῃρημένος ἐκδίκως" ⟨cf. v. ἀνάρσια⟩.

ἐκ Διός.

ἔκδοσις τὸ ναυτικὸν δάνεισμα, οἱονεὶ ἔξω δόσις. οὕτως Δημοσθένης κατὰ Ἀφόβου πρώτῳ ⟨11⟩. Harp.

ἔκδοτος προδεδομένος.

ἐκδοχεῖον τὸ ταμιεῖον.

ἐκ δυεῖν τρία βλέπεις, ἐπὶ τῶν διὰ γῆρας ἢ ἄλλο τι πάθος οὐκ ὀξυδορκούντων οὐδὲ εἰλικρινεῖς ἐχόντων τὰς ὁράσεις.

ἐκεῖ ἐκεῖσε ἐκεῖθεν. ἐκεινόθι, ἐκεινόθεν, καὶ κατὰ συγκοπὴν ἐκεῖθεν. τὴν ἐν τόπῳ σχέσιν δηλοῖ.

ἐκείνῃ, ἐπίρρημα, ἀντὶ τοῦ τὰς αὐτόθι· "τὰς ἐκείνῃ νάπας διεξελθών," καὶ αὖθις "τοῖς τε Γέταις καὶ τοῖς ἐκείνῃ βαρβάροις." a

ἐκείνῃ τὰ ἐκεῖσε· "εἰς Παρθυαίαν ἐμβάλλειν, καὶ τὰ ἐκείνῃ ἄγειν καὶ φέρειν, καὶ τῇ στρατιᾷ σῖτα παρέχειν." b

ἐκεῖνος καὶ κεῖνος καὶ τὸ αὐτός ἀντὶ τοῦ ὀνόματος παραλαμβάνουσιν οἱ ποιηταί. Ἀριστοφάνης Νεφέλαις ⟨195⟩ "ἀλλ' εἴσιθ', ἵνα μὴ κεῖνος ἡμῖν ἐπιτύχῃ." καὶ Ὅμηρος

⟨Ω 90⟩ τὴν Θέτιν παρεισάγει λέγουσαν "τίπτε μ' ἐκεῖνος ἄνωγε μέγας θεός;" καὶ τὸ "αὐτὸς ἔφα" παρὰ τοῖς Πυθαγορείοις.

ἐκεκράγεισαν ἔκραζον.

ἐκενώθησαν ἠρημώθησαν.

ἐκεράιζον κατέτρεχον, ἐληίζοντο, ἐπόρθουν.

ἐκεροντίας τὴν κεφαλὴν ἀνέτεινες δίκην τῶν κερατοφορούντων ζώων, ὅτι εὐειδὴ γίνεται μετεωρίζοντα τὴν κορυφήν. δηλοῖ δὲ τὸ γαυριᾶν. ὡς ἔλαφος, φησίν, ἠγάλλα τοῖς κέρασιν. "ἀνωρτάλιζες κἀκεροντίας" ⟨A Eq. 1341. cf. v. κάκεροντίας⟩.

ἐκεύθανον ⟨Hom. Γ 453⟩ ἔκρυπτον.

ἐκεχειρία ἄνεσις, ἀργία, συνθήκη, ἔνδοσις, ἀνοχὴ πολέμȣ, ἡ πρὸς ὀλίγον χρόνον τοῦ πολέμου ἀναβολὴ καὶ ἡσυχία, παρὰ τὸ ἴχειν τὰς χεῖρας, ἐχεχειρία τις οὖσα. Ἰώσηπος ⟨B. I. 3 5 1⟩ "ὥσπερ τοῖς ὅπλοις συμπεφυκότες οὐδέποτε τῆς ἀσκήσεως λαμβάνουσιν ἐκεχειρίαν."

ἐκζεσις ἐκβρασμός. "φασὶ δὲ αὐτὸν φθειρσὶν ἐκζέσαι" ⟨Diog. L. 4 1: cf. v. λείβει⟩.

ἐκζωπυρῆσαι ἀνάψαι. κυρίως τὸ ἐκ μικροῦ φυσῶντα μεγάλην φλόγα κινῆσαι. ἡ μεταφορὰ ἀπὸ τῶν ἀνθράκων. sch. A Pac. 309.

ἔκηαν ἔκαυσαν.

ἐκηβολία.

Ἐκηβόλιος σοφιςὴς Κωνςαντινȣπόλεως. οὗτος ἐπὶ Κωνςαντίȣ διαπύρως χριςιανίζειν ὑποκρινόμενος, ἐπὶ Ἰουλιανοῦ ἄλογος Ἕλλην ἐφαίνετο· ῥίψας γὰρ ἑαυτὸν πρὸ τῆς πύλης τοῦ εὐκτηρίου οἴκου "πατήσατέ με" ἐβόα, "τὸ ἅλας τὸ ἀναίσθητον." τοιοῦτος ἦν κοῦφος καὶ εὐχερὴς Ἐκηβόλιος καὶ πρότερον καὶ ὕςερον. Socrat. h. eccl. 3 13.

ἐκηβόλος ὁ Ἀπόλλων.

ἐκήδευσαν κατ' ἐπιγαμίαν συνήφθησαν· "ἐκήδευσάν τε αὐτοῖς δόντες γυναῖκας καὶ αὐτοὶ παρ' ἐκείνων λαβόντες."

ἐκήκιεν ⟨Hom. ε 455⟩ ἀνεφέρετο.

ἐκήλει σὺν ἡδονῇ ἔτερπε· κηλῶ γὰρ τὸ ὑπ' αὐλὸν ᾄδομαι. "οὕτω μὲν ὁ κατάρατος συνήθως τὸν ἄνθρωπον ἐκήλει," καὶ αὖθις "ὁ δὲ διηγεῖτο μυρία ὅσα, δι' ὧν ἐκήλει τὰς ἀκούοντας."

ἔκηλος ἥσυχος.

ἐκηριώθην ⟨Ps. 21 14⟩ ἐσκοτώθην, ἢ διὰ τὸ δέος κήρινος ἐγενόμην.

ἔκητι ἀντὶ τȣ̃ ἕνεκα. σημαίνει καὶ χωρίς. ἔκθαμβος.

ἐκθανεῖν ἀποθανεῖν.

ἐκθεατρίζουσιν ἐκπομπεύουσιν, ἐκφαυλίζουσιν, ἐξελέγχουσιν. ⟨Polyb. 11 8⟩ "οἱ γὰρ πολλοὶ τὰ μὲν ἔργα τῶν εὐτυχούντων ȣ̉ πειρῶνται μιμεῖσθαι, τὰ δὲ πάρεργα ζηλοῦντες ἐκθεατρίζουσι τὴν ἑαυτῶν ἀκρισίαν."

ἐκθεῖ ἔξεισιν, ἐξέρχεται· Ἀριςοφάνης ⟨Eq. 280⟩ "ἐσδραμὼν ἐς τὸ πρυτανεῖον κενῇ τῇ κοιλίᾳ, ἐκθεῖ πλέᾳ." τουτέςιν ἔξεισιν ἐκ τῆς πόλεως γενόμενος πλούσιος, . . . προσελθὼν τῇ πολιτείᾳ. ἐμφαντικῇ δὲ λέξει κέχρηται, ἵνα δείξῃ αὐτὸν ἐπιπεπηδηκότα ἀναισχύντως τῇ πολιτείᾳ.

ἐκθειάσαι θεοποιῆσαι.

ἔκθεσμον παράνομον.

ἔκθετα ἐκριπτούμενα.

ἐκθορεῖν ἐκδραμεῖν, ἐκφυγεῖν.

ἔκθορεν ἐξεπήδησεν· Βάβριος ⟨82 3⟩ "φρίξας δὲ χαίτην ἔκθορε φωλάδος κοίλης."

ἐκθρώσκειν ἐκπηδᾶν.

ἐκθυμία ἡ προθυμία· "ἐπεὶ δ' ἔλαβε καιρὸν τῆς ἐκείνων ἐκθυμίας κατὰ τὴν μάχην πρὸς τὰς πολεμίας, παρέσφαξεν αὐτάς."

ἐκθύμως προθύμως· "ὁ δὲ ἠγωνίζετο πεζὸς ἐκθύμως."

ἐκθύσασθαι ⟨Herodot. 6 91⟩ τὸ ἐξιλεώσασθαι καὶ ἐκμειλίξασθαι.

ἐκίσσησεν ἐν γαςρὶ ἔσχε, μεθ' ἡδονῆς συνέλαβεν, ἐγέννησεν.

ἐκκαιδεκάδωρα ⟨Hom. Δ 109⟩ ἐκκαίδεκαπαλαιςῶν· δῶρον γὰρ χαλεῖται ἡ παλαιςή.

ἐκκαίομαί σου ἐρῶ σου.

ἐκκακῶ ἀπειροκακῶ. "πλειςάκις τοῦτο ποιῶ." cf. Luc. 18 1, 2 Cor. 4 1.

ἐκκαλαμᾶται· ⟨A Vesp. 605⟩ "ἡ θυγάτηρ παππίζουσ' ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἐκκαλαμᾶται."

ἐκκαλεῖται προκαλεῖται. ⟨Polyb. 1 40⟩ "ὁ δὲ Καικίλιος θεωρῶν αὐτὸν κατατεθαρρηκότα, βουλόμενος ἐκκαλεῖσθαι τὴν ὁρμὴν αὐτοῦ συνεῖχε τὰς ςρατιώτας ἐντὸς τῶν πυλῶν" ἀντὶ τοῦ προκαλεῖσθαι. καὶ ἐκκαλέμενοι προκαλούμενοι, ἢ προθυμοποιούμενοι· "τῆς δὲ βουλῆς οὐδὲν προθυμουμένης, εἴτε τὴν καθ' αὐτῶν ἐκκαλούμενοι διαβολήν, ἵνα μὴ δοκοῖεν αὐτοὶ Μάρκιον ἐπάγειν ἐπὶ τὴν πόλιν, εἴτε τῷ δήμῳ φιλονεικῶντες, καὶ ἐθίζοντες αὐτὸν μὴ ῥᾳδίως ἀνδρὸς πατρικίου καταδικάζειν."

ἐκκαλέσασθαι παραθῆξαι, παρορμῆσαι· ⟨Polyb. 3 69⟩ "ἐκκαλέσασθαι σπουδάζων τοὺς ἐπὶ πραγμάτων ταττομένους πρὸς τὰς τῶν Ῥωμαίων ἐλπίδας."

ἐκκαπηλεύειν δολοῦν, πανουργεῖν.

ἐκκαρπωσάμενοι προσόδους μεγάλας λαβόντες. sch. Thuc. 5 28.

ἐκ καταλόγου τῶν εἰς ϛρατιώτας τελούντων· "τὴν γάρ τοι πληθὺν καὶ τοὺς ἐκ καταλόγου ἐῶ νῦν" Αἰλιανός φησιν.

ἐκκαυλίζων ἀποκλῶν, ἀνασπῶν, ἐκ μεταφορᾶς τῶν τὰ λάχανα ἀνασπώντων. sch. A Eq. 822.

ἐκκείμεθα. ⟨Synes. ep. 95⟩ "μόνῳ σοι τῶν ζώντων ἐκκείμεθα." ⟨id. p. 52⟩ "οὐ γάρ ἐϛιν ἡ ἀλήθεια πρᾶγμα ἐκκείμενον, οὐδὲ καταβεβλημένον, οὐδὲ θατέρῳ ληπτέον," ἀντὶ τοῦ καταπεφρονημένον.

ἐκκέκοφθ' ἡ μουσική. φασὶν ὅτι τῶν παλαιῶν ἐν τοῖς συμποσίοις φιλολόγῳ ζητήσει χρωμένων οἱ ὕϛερον τὰς μεσεργοὺς καὶ κιθαριϛρίας καὶ ὀρχηϛρίας ἐπεισήγαγον· ὅθεν τὴν καινοτομίαν τινὲς αἰτιώμενοι τῇ παροιμίᾳ ἐχρῶντο.

ἐκκεκρικῶς ἐκκεχωρικώς.

ἐκκεκυμασμένους ὑπὸ τῶν κυμάτων ἐκβρασθέντας· "ὃ δὲ κατέλαβε τοὺς περὶ τὸν ἀδελφὸν νεκροὺς παρὰ τὸν αἰγιαλὸν ἐκκεκυμασμένους."

ἐκκέλευϛος· "καὶ κατήγορος ἐκκέλευϛος· ὃς δ' ἂν μὴ γράψηται παρανόμων, ἑάλωκεν" ⟨Synes. ep. 73 p. 221 B⟩.

ἐκκεχιλωμένην ἐψυγμένην. ἢ κεχερσωμένην, ὅτι ὁ χιλὸς ἐν χέρσῳ φύεται· τοῦτο δέ ἐϛι χόρτος. οἷον ἐξημελημένην.

ἐκκήρυκτον ἀπόβλητον. καὶ ἐξεκήρυξαν ἀντὶ τοῦ ἀπεσκοράκισαν.

ἐκκλείεται ἐμποδίζεται· "ἐκκλείεται ἡ πάροδος ἡ εἰς τὴν Χερρόνησον διὰ τῆς πόλεως ταύτης."

ἐκκλείουσι κωλύουσιν, εἴργουσιν· Πολύβιος "ἐπεὶ τὸν Φίλιππον ἐκκλείουσιν οἱ καιροί, βούλεσθαι τὸν βασιλέα τὴν ἐπιγραφὴν τῆς πράξεως ἐκείνῳ περιποιῆσαι, ὡς ἐν εὐεργεσίᾳ προφέρων τούτῳ τοὺς λόγους."

ἐκκλήσεις· "πρόδηλος γὰρ ἐγένετο φυγὴ καὶ τῶν ὑπεναντίων ἐκκλήσεις πρὸς ἐπίθεσιν" ⟨Polybius?⟩.

ἐκκλησία κυρία. οὕτω λέγεται ἐν ᾗ ἐκύρουν τὰ ψηφίσματα. εἰσὶ δὲ νόμιμοι ἐκκλησίαι, αἱ λεγόμεναι κύριαι, τρεῖς τοῦ μηνὸς Ἀθήνησιν, ἡ πρώτη καὶ ἡ δεκάτη καὶ ἡ τριακάς. εἰσὶ δὲ καὶ πρόσκλητοι συναγόμεναι κατά τινα ἐπείγοντα πράγματα. αἱ μὲν οὖν νόμιμοι καὶ ὡρισμέναι κύριαι καλοῦνται, αἱ δὲ πρὸς τὸ κατεπεῖγον συναγόμεναι σύγκλητοι. sch. A Ach. 19.

ἐκκλησιάζων εἰς ἐκκλησίαν συγκαλῶν· "ἡνίκα ἐκκλησιάζων ἐδίδου τὸ παράγγελμα."

ἐκκλησίαν συναγωγὴν ὄχλου. Ἀριϛο- a
φάνης Πλούτῳ ⟨171⟩ "ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;" ἐκκλησιάζομεν γὰρ ἢ τῶν ἰδίων τι σῶσαι βουλόμενοι ἢ τῶν ἀλλοτρίων τι σφετερίσασθαι. διαβάλλει δὲ τὸ ἐπὶ φιλοδικίᾳ τῶν Ἀθηναίων τριώβολον.

ἐκκλησίαν. "σῶμα ἑαυτοῦ τὴν ἐκκλη- b
σίαν καλεῖ ὁ Χριϛός, καὶ διὰ ταύτης ἱερατεύει ὡς ἄνθρωπος, δέχεται δὲ τὰ προσφερόμενα ὡς θεός. προσφέρει δὲ ἡ ἐκκλησία τὰ τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος σύμβολα, πᾶν τὸ φύραμα διὰ τῆς ἀπαρχῆς ἁγιάζουσα."

ἐκκλητεύειν τὸ εἰς κρίσιν ἄγειν, ἵνα ἐπάναγκές τις μαρτυρῇ. οὕτως Αἰσχίνης ⟨2 68⟩. Harp.

ἐκκλητευθῆναι. τῶν ἐγκαταλιπόντων μαρτυρίαν τὰ ὀνόματα ἐν τῷ δικαϛηρίῳ κηρύσσεται· ὅπερ ἔλεγον ἐκκλητευθῆναι.

ἐκκλητικῶς ἐκκαλούμενος.

ἔκκλητον τὴν ἐπὶ συνόδῳ παραίτησιν.

ἐκκλίνω αἰτιατικῇ.

ἐκκοκκίσας ἐρημώσας, ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν τῶν τοὺς κόκκους ἐκβαλλουσῶν· ὥσπερ γὰρ αἱ πόλεις σκέπαι τῶν ἀνθρώπων εἰσίν, οὕτω καὶ αἱ ῥοιαὶ τῶν κόκκων. ἐχρήσατο δὲ τῇ μεταφορᾷ ὁ ἄγροικος. Ἀριϛοφάνης ⟨Pac. 63⟩ "ὦ Ζεῦ, λήσεις σεαυτοῦ τὰς πόλεις ἐκκοκκίσας."

ἐκκομιδὴν ἐκφοράν.

ἔκκοπος κατάκοπος· "ὃ δὲ διανύσας τετρακοσίους ϛαδίους καὶ γενόμενος ἔκκοπος ἐπέμεινεν."

ἐκκόπτω αἰτιατικῇ.

ἐκκορακίζειν ἀποδιώκειν.

ἐκκορηθείης παντελῶς ἀφανισθείης· Μένανδρος "ἐκκορηθείης σύ γε." cf. v. κόρημα.

ἐκκόψαι ἀντὶ τοῦ νικῆσαι· οὕτως Ἄλεξις. καὶ ἐπὶ τοῦ πηρῶσαι τὸν ὀφθαλμόν. καὶ ἐξεκόπη ⟨A Nub. 24⟩ ἐπὶ τοῦ ἐπηρώθη.

ἐκκόψαντες αὐτοῦ τὰς ὀφθαλμὰς, τουτέστι πηρώσαντες, τυφλώσαντες.

ἐκκραγγανομένων μετὰ κραυγῆς λεγομένων.

ἐκκρεμαννύμενοι ἀπηρτημένοι· Θουκυδίδης ⟨7 75⟩ "τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι."

ἐκκρίνειν δοκιμάζειν.

ἐκκρίνεται ἐκρίπτεται, ἐκρέει. λαμβάνεται δὲ ἐπὶ τῆς ἀνθρωπίνης γονῆς, ἔτι γε μὴν καὶ τῆς τῶν κτηνῶν.

ἔκκριτον ἐπίλεκτον, προκεκριμένον. "οὐδενὶ δὲ ὅπλῳ διαλλάττουσιν οἱ περὶ τὸν στρατηγὸν ἔκκριτοι τῶν ἐν ταῖς ἴλαις ἱππέων."

ἐκκρούομαι αἰτιατικῇ.

ἐκκρουόμενος παρεκτείνων, παρατρέπων. ⟨Procop. Goth. 31⟩ "ὃ δὲ ἴσῃ ἐν μεταιχμίῳ οὐ μονομαχήσων, ἀλλὰ τὸν καιρὸν τοῦτον τοῖς ἐναντίοις ἐκκρουόμενος."

ἐκκυβεύειν ῥιπτεῖν ἑαυτὸν εἰς κίνδυνον· ⟨Polyb. 3 94⟩ "οἰσάμενος κατὰ τὸν ποιητὴν δόλον εἶναι, οὐδαμῶς ἔκρινεν ἐκκυβεύειν οὐδὲ παραβάλλεσθαι τοῖς ὅλοις, ἦγε δὲ τὴν ἡσυχίαν ἐπὶ τῷ χάρακι." καὶ αὖθις "ἔδοξε τοῖς Καρχηδονίοις ἐκκυβεύειν καὶ παραβάλλεσθαι." ἔστι δὲ καὶ παροιμία "ἐρρίφθω κύβος."

ἐκκυκλεῖ ἐκκαλύπτει, καὶ ἐκκυκλούμενος ἐκκύκλημα ἔχων.

ἐκκυκλήθητι. εἰ μὴ σχολὴν ἔχεις κατελθεῖν, ἐκκυκλήθητι, τουτέστι συστράφηθι. ἐκκύκλημα δὲ λέγεται μηχάνημα ξύλινον τροχοὺς ἔχον, ὅπερ περιστρεφόμενον τὰ δοκοῦντα ἔνδον ὡς ἐν οἰκίᾳ πράττεσθαι καὶ τοῖς θεαταῖς ἐδείκνυεν. λέγει οὖν ὅτι κἂν φανερὸς γενοῦ. sch. A Ach. 407.

ἐκκυμανθῆναι ἐκ τοῦ κύματος τῷ λιμένι προσορμισθῆναι.

ἐκλαβεῖν ἀπολαβεῖν· Πολύβιος "ὅταν ᾖ τὸ δίκαιον ἐκλαβεῖν παρὰ τῶν ἀδικησάντων ἢ κατὰ νόμους ἢ κατ' ἄλλας τινὰς ὑποκειμένας δικαιοδοσίας." cf. v. δικαιοδοσία.

ἔκλαγξαν ⟨Hom. *A* 46⟩ ἤχησαν.

ἐκλεγόμενος προκρίνων, προτιμῶν. "ὃ δὲ καταπιστεύων τοῖς πράγμασιν ἔσπευδε δι' αὐτοῦ κρῖναι τὰ ὅλα· διόπερ οὐ τὸν τῶν πραγμάτων ἐκλεγόμενος καιρὸν ἀλλὰ τὸν ἴδιον ἔμελλε τοῦ δέοντος σφαλήσεσθαι" ⟨Polyb. 3 70⟩.

ἐκλέγοντες ἀπαιτοῦντες.

ἐκλειπία ἡ συγχώρησις· ⟨Ioseph. A. I. 19 4 6⟩ "ἄδικον ἡγεῖτο τὴν ἐκλειπίαν τῆς πρὸς τοὺς συνομωμοκότας πίστεως, καὶ σφάζει ἑαυτόν."

ἔκλειψις καὶ ἐξέλιπεν. ἑκάτερον αὐτῶν τέτακται ἐπὶ τῶν διαψηφίσεων τῶν γινομένων ἐν τοῖς δήμοις περὶ τῶν ἐγγεγραμμένων εἰς τὸ ληξιαρχικὸν γραμματεῖον. ὅσοι μὲν ἐγκαλούμενοι ὅτι μή εἰσιν ἀστοὶ ἀπαντῶσι πρὸς τὰ ἐγκλήματα, περὶ τούτων οἱ δημόται ψῆφον φέρουσιν· ὅστις δὲ μὴ παρεγένετο κριθησόμενος, ἐξέλιπεν οὗτος τὴν περὶ αὐτοῦ διάγνωσιν, καὶ τοῦτο ἔκλειψις καλεῖται. cf. v. διαψήφισις.

ὅτι ἡ τοῦ ἡλίου ἔκλειψις ἐπιπροσθουμένου ὑπὸ τῆς σελήνης ἐναργῶς φαίνεται γίνεσθαι. ζήτει ἐν τῷ διαφανές.

ἐκλεκτός ὀξυτόνως, ἐπίλεκτος δὲ προπαροξυτόνως, διότι τὸ μὲν ἐκ τοῦ ῥήματος τὸ δὲ ἐκ τοῦ ὀνόματος συντέθειται. ὁ δὲ Σολομῶν φησὶ ⟨Prov. 12 24⟩ "χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς." τὸ μὲν γὰρ κρατεῖν ἐστὶν ἴσως καὶ τῶν ἐπὶ πλεῖστον φαύλων, ἢ φόβῳ ἢ αἰσχύνῃ τὴν διὰ τοῦ σώματος ἐνέργειαν κωλυόντων μετὰ πολλῆς τῆς ἀνάγκης· τὸ δὲ ἔρωτι τῶν ἄνω μὴ ἡττηθῆναι τοῖς κάτω μόνων ἐστὶ τῶν φιλοθέων, καὶ οὓς ἡ γραφὴ ἐκλεκτοὺς ὠνόμασεν.

ἐκλελάκτικεν ἀποβέβληκεν, ἀπέφυγεν. cf. v. ἀντάλλαγον.

ἐκληδονίζετο ⟨4 Regg. 21 6⟩ ἐμαντεύετο.

ἐκληπτέον δεῖ λαμβάνειν.

ἐκλήτευσεν ἐκάλεσεν.

ἐκλιπαρεῖ παρακαλεῖ.

ἐκλογεῖον ἡ ἐκλογάς.

ἐκλογεῖς. οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ ἐκλογεῖς ⟨Harp.⟩. ὁπότε δέοι χρήματα τοὺς πολίτας εἰσφέρειν, τούτους κατὰ δύναμιν οἱ καλούμενοι ἐκλογεῖς διέγραφον. ἀλλὰ καὶ οἱ τοὺς φόρους ἀπὸ τῶν ὑπηκόων ἀθροίζοντες πόλεων οὕτως ἐλέγοντο. cf. v. διάγραμμα.

ἐκλογιστίαν ⟨Tob. 1 21⟩ ἀρίθμησιν. καὶ "ἐκλογιζόμενος τὸ πλῆθος τοῦ στρατοῦ" ἀντὶ τοῦ ἀριθμῶν. καὶ ἀντὶ τοῦ διανοούμενος· ⟨Polyb. 3 33⟩ "ἐμπείρως καὶ φρονίμως ἐκλογιζόμενος." "ὃ δὲ καὶ ἐκλογισμοῖς καθυπεβάλλετο."

ἐκλόνησεν ἐτάραξεν. ἐκλώνισε δὲ κλῶνας ἔκοψεν.

ἔκλυεν ὑπήκουσεν, ἐκέλευσεν.

ἐκ λύκου στόματος, ἐπὶ τῶν ἀνελπίστως

παρά τινῶν τι λαμβανόντων, κατὰ τὸν μῦθον τοῦ λύκου καὶ τῆς γεράνου.

ἐκλῦσαι.

ἐκλώζετε. κλωσμὸν ἔλεγον τὸν γινόμενον ἐν τῷ σόματι ψόφον, ᾧ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ἀκροαμάτων ὧν οὐχ ἡδέως ἤκουον. Harp.

ἐκλώπευον ἀντὶ τοῦ ἔκλεπτον Ξενοφῶν ἐν τῇ Ἀναβάσει ⟨6 1⟩.

ἐκλωπίζω ἐκδέρω.

ἐκμαγεῖον ἐκτύπωμα καὶ ἀποσφράγισμα. "ξυνειληθέντα τε καὶ κατασφαλισθέντα ἐκμαγείοις κηρίνοις καὶ ἐκτυπώμασι δακτυλίων ἐπεδόθη" ⟨Menander p. 364 Nieb⟩.

ἐκμαγῆσαι ἐκτυπῶσαι.

ἐκμαίνω αἰτιατικῇ.

ἐκμαλθακῶσαι ἐκμαλάξαι, χαυνῶσαι· "ἄλλα τε πλεῖςα ἐκμαλθακῶσαι οἷά τε ὄντα ἀλαζονείας ἀνάπλεα φρονήματα" ⟨Menander p. 283 Nieb⟩.

ἐκμαρτυρεῖν φασὶ τὸ λέγειν οὐχ ἅπερ αὐτὸς οἶδεν, ἀλλ' ἅπερ ἑτέρων ἤκουσε λεγόντων. ἐκμαρτυρία δὲ γεγραμμένη ἀναγινώσκεται, ὅταν τις ἢ τελευτήσῃ ἢ ᾖ ὑπερόριος.

ἐκμαρτυρία διαφέρει τῆς μαρτυρίας, ὅτι ἣ μὲν τῶν παρόντων ἐςίν, ἡ δὲ ἐκμαρτυρία τῶν ἀπόντων. Harp.

ἐκμαρτυρίῳ διαμαρτυρίᾳ· "οὐκ ὤκνησαν δὲ καὶ δευτέρῳ ἐκμαρτυρίῳ χρήσασθαι."

ἐκ Μασσαλίας ἥκεις, ἐπὶ τῶν θηλυδριῶν καὶ τεθρυμμένων, παρ' ὅσον ἐκείνους φασὶ θηλύτερον ςολίζεσθαι μεμυρισμένους καὶ τὰς τρίχας ἀναδουμένους, καὶ διὰ ταύτην τὴν μαλακίαν ἀσχημονεῖν.

ἐκμειλίσσεσθαι καταπραΰνειν.

ἐκμελές ἠμελημένον· ⟨Menander?⟩ "ὁ δὲ δὴ Βῶνος, οὐκ ἐς τὸ ἐκμελὲς αὐτῷ οὐδ' ἐς τὸ ῥαθυμότερον ἐτράπη ὁ νοῦς, ἀλλὰ συντόνῳ τῷ τάχει πρὸς τὴν σωτηρίαν ἐχρῆτο." "καὶ τἆλλα πάθη κατὰ τὴν ἐκμελῆ λύραν ἐθεραπεύετο" φησὶν Εὐνάπιος ⟨p. 104 Nieb.⟩. ἐκμελὴς οὖν ἡ κακόηχος. ὅτι καὶ Θεοδόσιος ὁ βασιλεὺς ἐκμελὴς ἦν καὶ πάσῃ ῥαθυμίᾳ ἐκκείμενος.

ἐκ μέσων νυκτῶν λέγουσι, καὶ ἐκ μεσημβρίας.

ἐκ μεταβολῆς· ⟨Polyb. 4 10⟩ "οἱ δὲ μετὰ ταῦτα ἐκ μεταβολῆς ὡς ἐπ' Ὀλυμπίας," τουτέςι μεταμελείας τῆς προτέρας ὁρμῆς.

ἐκμήνου τῶν ἓξ μηνῶν· "τῆς δ' ἐπιφερομένης ἐκμήνου παρείλετο."

ἐκμήνῳ μηνῶν ἕξ· ⟨Dio Cass. 55 31⟩ "λαβὼν δούλους σὺν τροφῇ ἐκμήνῳ ἠλευθέρωσεν."

ἐκμηρυομένους· ⟨Polyb. 3 51⟩ "δυσχερῶς ἐκμηρυομένους καὶ μακρῶς τὰς δυσχωρίας" ἀντὶ τοῦ ἀναλεγομένους.

ἐκμηρυσάμενος ἐξελκύσας, ἐπεκτείνας, ἀπὸ μεταφορᾶς τῶν μηρυμάτων· "ὃ δὲ ἐκμηρυσάμενος τὴν δύναμιν ἐκ τῶν δυσχωριῶν κατεςρατοπέδευσε," καὶ αὖθις "ὃ δὲ ἐκμηρυσάμενος τῷ πλῷ τὸν ποταμὸν πάντα κατὰ Χαλδᾶνος ἦν" ἀντὶ τοῦ διαπλεύσας.

ἐκμηχανώμενος κατασκευάζων.

ἐκμυζήσας ⟨Hom. Δ 218⟩ ἐκπιέσας, ἐκθλίψας.

ἐκνάπτετο ⟨S Ai. 1031⟩ ἐξύετο, ἐδαπανᾶτο.

ἐκνενέμηται ἐξῆλθεν.

ἐκνευρίσας ἀντὶ τοῦ ἀδυνάτους καταςήσας. "ὃ δὲ ἀπεκρίνατο κατακόψας πάντας, ἵνα πολλὴν δύναμιν τῆς Ῥώμης ἐκνευρίσῃ." καὶ αὖθις "εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι, διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς καὶ θῆλυς γενόμενος." cf. v. εὐνοῦχος et χλοῦναι.

ἐκνεφίας ἐκ νεφῶν ἄνεμος.

ἔκνιζεν ἔδακνεν, ἀπὸ τῆς πόας. Ἡρόδοτος ⟨6 62⟩.

ἔκνισεν ἐκίνησε, καθήψατο. Ἀππιανός ⟨Hisp. 37⟩ "Σύφακα δ' ἄρα τὸν δυνάςην ἔρως ἔκνιζε τῆς παιδός. οἱ δὲ Καρχηδόνιοι ἔδωκαν αὐτήν."

ἐκνομίως ἀντὶ τοῦ μεγάλως, ὑπερβαλλόντως. κυρίως δὲ τὸ ὑπὲρ τὸ νενομισμένον. Ἀριςοφάνης Πλούτῳ ⟨982⟩ "καὶ γὰρ ἐκνομίως μ' ᾐσχύνετο." λέγεται δὲ καὶ ἐκνόμως.

ἐκνόμοις ⟨Diodor. Sic. 14 112⟩ παρανόμοις.

ἔκνοον παρανενοημένον, ἔξω τοῦ νοός, σαλόν.

ἐκνοσηλεύων ἐκθεραπεύων.

ἔκνυεν ἔξυεν ἠρέμα, παρὰ τὸ κνᾶν· Ἀριςοφάνης ⟨Thesm. 488⟩ "ὅτος πόθῳ με ἔκνυεν ἐλθὼν τὴν θύραν."

ἐκόησεν ἐνόησεν, Ἰωνικῶς, παρὰ Καλλιμάχῳ ⟨fr. 53⟩.

ἐκολάβησας ⟨A Eq. 263⟩ προσέκρουσας. τὸ δὲ ὅλον, κατεπάλαισας αὐτόν, καὶ ἐκπι-

ῥιθὼν καὶ διασείσας ἀργυρίζῃ. παρὰ τὸ ἐπὶ κόλαις βαίνειν· κόλα δὲ ἡ γαςήρ. ἢ ἔθραυσας, ἔκλασας, κατέπιες, ἀπὸ τοῦ κολλάβου, ὅ ἐςι ψωμός. βούλεται δὲ λέγειν ὅτι ὃν ἂν παραλάβῃ, ἄρδην ἀπόλλυσιν.

ἐκολῴα (Hom. B 212) ἐθορύβει.

ἐκομπάσθη ἠπάτηται, εἰς ὄγκον διετέθη.

ἐκομπολάκουν (A Ran. 991) κομπώδεσιν ἐχρῶντο λόγοις.

ἑκοντήν· Ἀρριανός "τὴν μέσην τῶν ποταμῶν γῆν ἑκοντὴν ἐνδιδόντων τῶν ἐποικέντων κατέσχεν."

ἑκοντί ἐθελοντί. καὶ παροιμία (Hom. Δ 43) "ἑκὼν ἀέκοντί γε θυμῷ." "ἑκὼν ἀέκοντί γε θυμῷ· ἔςω γάρ μοι νῦν τῆς ἐκείνε γνώμης ζωγράφος ὁμηρίζουσα γλῶττα."

ἑκόντων εἶναι βυλομένων· (Dexippus?) "οἱ δὲ ἐπεραιώσαντο τὸν Ἴςρον, δόντων ἑκόντων εἶναι τὴν δίοδον Ἰουθούγγων ἔχθει τῷ πρὸς Ῥωμαίους." καὶ ἑκών γε εἶναι· (Procop. Arc. 1) "ὃ δὲ ἐξηπάτητο πρὸς τῆς γυναικὸς ἑκών γε εἶναι."

a ἐκορίζετο ὑπεκορίζετο, εὐφημοτέροις ἐχρῆτο λόγοις.

b ἐκορίζετο ἐκολάκευεν, οἷα τοῖς μικροῖς παιδίοις ἔθος χαριεντιζομένους προσπαίζειν τοὺς γονεῖς. Ἀριςοφάνης Νεφέλαις (68) "τοῦτον τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο."

ἐκορωνία ἐγαυρία· (Polyb. 27 13) "τὸ δὲ μειράκιον μετέωρον ὂν τῇ φύσει καὶ πάσης πονηρίας ἔμπλεων ἐκορωνία, καὶ παρετρίβετο πρὸς τοὺς ἐπιφανεῖς ἄνδρας."

ἐκουρία ἐδέετο κουρᾶς.

ἑκούσια ἃ οὐχ ὑπόκεινται νόμῳ ἀλλὰ προαιρέσει. καὶ βροχὴν ἑκούσιον. οὕτως οἱ ό. (Ps. 67 10) ὁ Ἀκύλας ὄμβρον ἑκούσιον, ὁ δὲ Σύμμαχος ὑετὸν ἑκούσιον. τὸ θηλυκὸν ἡ ἑκούσιος.

ἑκουσιάζομαι προσφέρω.

ἐκπαγλούμενοι θαυμάζοντες, ἐκπληττόμενοι· "ἐν εἰρήνῃ ἔμενον ἐκπαγλέμενοι τὸν Ἡρακλέα."

ἐκπαγλούμενος ἐκπληττόμενος· "Ῥωμαίοις μὲν γὰρ ἐκπαγλούμενος ὁ Πύρρος ταῦτά φησιν." ἢ ἀντὶ τοῦ σεμνυνόμενος.

ἐκπαθεῖς ὑγιεῖς, ἐκτὸς πάθους· "ἵνα μὴ ὦσιν ἔκδιψοι καὶ προεκλελυμένοι, ἀλλ' ἐκπαθεῖς καὶ κεκαινοπεποιημένοι."

ἐκπαθής· Αἰλιανός (Polyb. 8 11) "ἐκπαθῆ δὲ γεγονότα καὶ πρὸς τὰς ἀκρατοποσίας, ὥςε καὶ μεθ' ἡμέραν πλεονάκις μεθύοντα καταφανῆ γενέσθαι τοῖς φίλοις."

ἐκ παντός διόλου· "εἰ γοῦν τοῦτο καταμαθόντες οἱ πολέμιοι ἐκ παντὸς ἀπίασιν (an ἐπῄεσαν), ἐδὲν ἂν ἐκώλυσεν ἀπολωλέναι τὴν ςρατιὰν πᾶσαν."

ἐκ παντὸς ξύλου. ἐλλείπει τὸ κύφων γένοιτ' ἄν. λέγεται δὲ καὶ ἐπὶ τῶν ὁραθῆναι μὲν εὐκαταφρονήτων, ἀναγκαίων δέ. οἱ δὲ ἐπὶ τῶν δόξαν παρασχόντων ὡς ἀγαθῶν, εὑρεθέντων δὲ ἑτεροίων.

ἐκ παραλλήλου ἐξ ὁμοίου.

ἐκπελλευθῆναι ἐκβληθῆναι.

ἐκπελματῶσαι.

ἐκπεπολέμωται ἐχθρωδῶς διάκειται.

ἐκπερδικίσαι (A Av. 769) τὸ διαδρᾶναι, ἐκ μεταφορᾶς τῶν περδίκων, πανούργων ὄντων.

ἐκ περιουσίας ἐκ περιττοῦ. ἐκ περιουσίας λέγει ὁ Ἀριςοτέλης (Top. 3 2). a "μεταπεμψάμενοι ἐκ περιυσίας καὶ Παμπρέπιον." καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (3) "ἐγὼ μὲν περὶ τῶν ἐσχάτων κινδυνεύω, οὗτος δὲ ἐκ περιουσίας κατηγορεῖ" ἀντὶ τοῦ ἐκ πολλοῦ τοῦ περιόντος.

ἐκ περιουσίας τοῦ ἀναγκαίυ διαφέρει. b ἀναγκαῖα μὲν οὖν ἐςὶν ὧν χωρὶς ἀδύνατον εἶναι, ἐκ περιουσίας δέ, ὧν ἡ παρουσία οὐκ οὖσα ἀναγκαία, καὶ ὡς Ἀριςοτέλης λέγει, ὅταν ὑπαρχόντων τῶν ἀναγκαίων ἄλλα τινὰ προσκατασκευάζηται τῶν καλῶν. οἷον τὸ μὲν ζῆν ἀναγκαῖον, ἐκ περιουσίας δὲ τὸ εὖ ζῆν· τῇ γὰρ τοῦ εὖ παρουσίᾳ, οὐκ οὔσῃ πρὸς τὸ εἶναι ἀναγκαίᾳ, ἐπικοσμεῖται τὸ ζῆν ἀναγκαῖον ὄν. βελτίω δὲ τὰ ἐκ περιουσίας τῶν ἀναγκαίων φησί· βέλτιον γὰρ τὸ εὖ ζῆν τῦ ζῆν, τὸ δὲ εὖ λέγειν τοῦ λέγειν. οὐκ ἀεὶ μὲν αἱρετώτερα τὰ βελτίω, εἰ καὶ ἁπλῶς αἱρετώτερα. τὰ γοῦν ἡμῖν ἀδύνατα, εἰ καὶ βελτίω εἴη τῶν δυνατῶν, ἀλλ' οὐχ αἱρετώτερα· βέλτιον μὲν γὰρ ἀθανασία μακροβιότητος, ἀλλ' ἡμῖν οὐχ αἱρετωτέρα. καὶ τῶν ἐκ περιουσίας δὴ τὰ μὲν πρὸς τῷ βελτίω εἶναι καὶ αἱρετώτερά ἐςιν, ὥσπερ τοῦ λέγειν τὸ εὖ λέγειν, τὰ δὲ βελτίω ἐςίν, οὐ μὴν καὶ αἱρετώτερα· τὸ γὰρ φιλοσοφεῖν τε καὶ θεωρεῖν βέλτιον μέν ἐςι τοῦ χρηματίζεσθαι, οὐ μὴν καὶ αἱρετώτερον τοῖς ἐν ἐνδείᾳ οὖσι καὶ μὴ δυναμένοις ἄλλως εἶναι. οὕτω δὴ καὶ τὸ

ὑγιαίνειν τοῦ φιλοσοφεῖν τῷ νοσοῦντι αἱρετώτερον. Alex. Aphrod. in Top. p. 134.

ἐκ περιτροπῆς ἐξ ἀποςροφῆς, ἐκ νίκης.

ἐκπέρσαι (Hom. Α 19) ἐκπορθῆσαι.

ἐκπεσὼν ῥηθείς, δοθείς· "χρησμὸς δὲ ἐκπεσὼν περὶ Εὐτοχίου Θρᾳκός."

ἐκπεφυσημένον φιλοτίμως διατεθειμένον· (Polyb. 3 103) "ὁρῶν δὲ τὸν Μάρκον ἐκπεφυσημένον."

ἐκπηδῶ σου γενικῇ.

ἐκπηνιεῖται (A Ran. 586) ἐξελκύσει, ἀπὸ τῶν τὴν κρόκα μηρυομένων εἰς πηνία. Ὅμηρος (Ψ 762) "πηνίον ἐξέλκουσα."

ἐκπλαγεῖς ἐκπλήξεως πλέοι· Πολύβιος (1 76) "ἐκπλαγεῖς δὲ γενόμενοι οἱ Λίβυες διὰ τὸ παράδοξον ἐγκλίναντες ἔφευγον," καὶ αὖθις (id. 3 107) "οὕτως ἐκπλαγεῖς ἦσαν καὶ κατάφοβοι τὸ μέλλον." καὶ ἐκπλαγεῖς, θηλυκῶς, ἀντὶ τοῦ θαυμαςαί· "ποιμένες ἀγραυλοῦντες ἐκπλαγοῦς φωτοφανείας ἔτυχον."

ἔκπλεα πλήρη· "ἐσθῆτας δὲ καὶ τὰ ἐπιτήδεια ἔκπλεα παρεῖχεν" ἀντὶ τοῦ αὐτάρκη. καὶ αὖθις Αἰλιανός "οἱ δὲ κατάραντες εἰς αὐτὸν καὶ φιλοφροσύνης ἐκπλέας ἀπολαύσαντες."

ἐκπλεύσαντες ἔξω γενόμενοι· "οἱ δὲ ἐκπλεύσαντες τῶν φρενῶν εἶτα ἐνεοὶ ἐγένοντο."

ἐκπλεύσειν ἔξω γενέσθαι· "μὴ γὰρ ἂν ἐκπλεύσειν ποτὲ τῶν φρενῶν ἐς τοσοῦτον ὡς ἀνθρώπους προτιμῆσαι θεῶν." cf. v. κατέγραφον.

ἐκπλήγδην ἐκπληκτικῶς.

ἐκπλήγνυσθαι τὸ ἐκπλήττεσθαι.

ἔκπληξις φόβος.

ἐκπλήσει πληρώσει.

ἐκπλινθεύσας Ἰσαῖος ἀντὶ τοῦ διαλύσας καὶ ἐξελὼν τὰς πλίνθους. Harp.

ἔκπλυτον ἐξίτηλον, ἀφανές.

ἐκ ποδὸς εἵπετο κατόπιν (Polyb. 3 68) ἀντὶ τοῦ σύνεγγυς.

ἐκποδὼν τὸ πρὸς ὀλίγον χρόνον ὑποςείλασθαι. Ἀριςοφάνης (Ach. 227) "ἔτος αὐτός ἐςιν ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς ἐκποδών." καὶ αὖθις "Ἀργεῖοι δὲ καὶ Θηβαῖοι ἐκποδὼν ἔςησαν." καὶ παροιμία "ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι."

ἐκποδὼν γενέσθαι φυγεῖν, ἢ ἐξαλείφεσθαι, ἢ ἐκ τοῦ μέσου γενέσθαι.

ἐκποίητον γενέσθαι ἀποκηρυχθῆναι τοῦ γένους. οἱ δέ φασι διαφέρειν ἐκποίητον ἀποκηρύκτου, ὅτι ὁ μὲν ἀποκήρυκτος ἐπὶ κολάσει ἐκβάλλεται, ὁ δὲ ἐκποίητος ὑπὸ τοῦ φύσει πατρὸς εἰς ἕτερον οἶκον δίδοται πρὸς θέσιν.

ἐκποκιῶ τὰς τρίχας ἐκσπάσω· Ἀριςοφάνης (Thesm. 574) "ἐκποκιῶ σου τὰς ποκάδας." ἐπὶ γυναικείων τριχῶν ὡς τὸ πολύ. παρετυμολογεῖ δὲ τὸν πόκον. Λυκόφρων δὲ ἁπλῶς τὰς τρίχας. ἐμπλοκὴ δέ τις φαίνεται, καὶ πλοκαμῖδες σπανίως ποτὲ ἐπὶ ἀνδρῶν λέγεται.

ἐκπολεμῶσαι ἀντὶ τοῦ εἰς πόλεμον καταςῆσαι. γράφεται δὲ καὶ διὰ τοῦ η ἐκπολεμῆσαι, ὡς καὶ παρὰ Ξενοφῶντι (Hell. 5 4 20). Harp.

ἐκ πολλοῦ ἐκ παλαιῶν τῶν χρόνων· "ἄγαλμα ἦν τιμώμενον ὑπ' αὐτῶ ἐκ πολλῶ."

ἐκ πολλῶν ἀχύρων ὀλίγον καρπὸν συνήγαγον, ἐπὶ τῶν πολλὰ μὲν πονέντων ὀλίγα δὲ καρπουμένων.

ἐκπορίζομεν (A Vesp. 1108?) ἐξευρίσκομεν.

ἐκπορίσας (A Lys. 422) συλλέξας.

ἐκπορποῦσθαι ἐκφιβλοῦσθαι.

ἐκπρεπεῖς ἐπίσημοι.

ἐκ προνοίας ἑκουσίως.

ἐκ προσαγωγῆς ἀντὶ τοῦ πρὸς ἀνάγκην, καὶ ὐκ ἐκ φύσεως, ὐδὲ ἁπλοϊκῶς. Harp.

ἔκπυςα ἐξάκουςα, καὶ ἐκπύσου ἀριηκόου, πανταχόσε ἀκουσθείσης· "φαίνεται δὲ ἐκπύσου τῆς πράξεως γεγενημένης." καὶ αὖθις "ὃ δὲ παραγγείλας τῇ τῶ ζῆν ἀντιδόσει ἔκπυσον μὴ ποιῆσαι τὴν πρᾶξιν, ἀφῆκε πρὸς τὸν ςείλαντα φοιτῆσαι."

ἔκπωμα φιάλη, ποτήριον· "δῶρά τε λαμβάνει ἄλλα τε καὶ ἐκπώματα ἀπὸ ἀργυρίϐ."

ἐκραίαινεν ἐτελείου.

ἔκρεκεν ἀντὶ τοῦ ἤχει.

ἐκρήγματα τὰ ἐκ τῶν χειμάρρων γινόμενα ἐν τοῖς πεδίοις κοιλώματα. cf. Polyb. 12 20.

ἐκρήμνισε κατήγαγεν.

ἔκρηξις ἡ ἐκραγή.

ἔκρινεν (Hom. Α 309) ἐχώρισεν, ἐπελέξατο.

ἐκρινόμεθα ἐπὶ πολὺν χρόνον διεφερόμεθα καὶ ἠμφισβητοῦμεν· Ἀριςοφάνης Νεφέλαις (66) "τέως μὲν οὖν ἐκρινόμεθα."

ἐκριπισθέντες ἐξαφθέντες· ῥιπίζειν

γὰρ τὸ ὀπτᾶν ἀπὸ τῶν ῥιπίδων. cf. v. ῥιπίζεται.

ἐκσάλευσον αὐτό ἐξένεγκον. ἦν δὲ ἐμπὶς ἐν τῷ ὀφθαλμῷ αὐτοῦ. sch. A Lys. 1027.

ἐκσιφωνισθείη ἐκρυῇ, διασκορπισθείη.

ἐκσκέπτωρ ἐκσκέπτωρος.

ἔκσπονδος ὁ τὰς σπονδὰς μὴ φυλάττων. "ὁ τοίνυν τοὺς ὅρκους ἐκσπόνδους μὴ ποιήσας καλῶς μὲν ἐβίωσεν, ἐπὶ πολὺ δὲ ἤλασε δόξης."

a ἔκςασις θαυμασμός, ἢ ἀλλοίωσις.

b ἔκςασις ἡ ἁμαρτία· Δαβὶδ "ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκςάσει με, ἀπέρριμμαι." ᾤμην, φησί, τῇ ἁμαρτίᾳ περιπεσὼν πόρρω τῆς σῆς γεγενῆσθαι κηδεμονίας. τὴν γὰρ τῆς δικαιοσύνης ὁδεύων ὁδὸν ἐξέςη μὲν ἐκείνης καὶ ἐξετράπη, προσέπταισε δὲ καὶ περιέπεσε τοῖς ὠμοβόροις λῃςαῖς. Theodoret. in Ps. 30 22.

ἐκςῆναι παραχωρῆσαι· "τῆς ἐπὶ τοῖς ἥττοσι ταλαιπωρίας ἑτέροις ἐκςῆναι." καὶ αὖθις (Dio Cass. fr. 105) "Μιθριδάτην ἐκςῆναι Βιθυνίας Νικομήδει."

ἐκςρατεία.

ἔκςρεψον μετάβαλε, ἀπὸ μεταφορᾶς τῶν ῥυπουμένων καὶ ἐκςρεφομένων ἱματίων· ἐκςρέψαι γὰρ ἱμάτιον λέγεται τὸ ἀλλάξαι τὸ πρὸς τὸ σῶμα μέρος ἔξω. ἄλλαξον, φησί, τοὺς τρόπους σου, μετάβαλε. Ἀριςοφάνης Νεφέλαις (88) "ἔκςρεψον ὡς τάχιςα τὸν σαυτοῦ τρόπον."

ἐκ συγκειμένου προϋπηργμένου, προγεγυμνασμένου· "τότε δὲ καὶ ἐς τάξιν τινὰ ὥσπερ ἐκ συγκειμένου κατέςησαν, καὶ ἐν κόσμῳ τὸν ἀγῶνα ἐποίησαν" (Polybius?).

ἐκσφενδονῶ.

ἐκτάδην ἐκτεταμένως, ἡπλωμένως.

ἐκταδὸν ἐκτεινόμενος.

ἐκταῖος ὁ ἕκτος.

ἔκτακτοι ἢ ἔκτατοι. τούτους τὸ μὲν παλαιὸν ἡ τάξις εἶχεν, ὡς καὶ τοὔνομα δηλοῖ, διότι τῆς τάξεως ἐξάριθμοι ἦσαν. εἰσὶ δὲ πέντε, ςρατοκῆρυξ σαλπιγκτὴς σημειοφόρος ὑπηρέτης οὐραγός. νῦν δὲ καὶ τοῦ συντάγματος λέγονται καὶ τῶν ἄλλων. ἔχειν δὲ δεῖ τούτους τὴν τάξιν ἢ καὶ τὸ σύνταγμα, τὸν μὲν ὅπως τῇ φωνῇ σημαίνῃ τὸ προσαττόμενον, τὸν δὲ ὅπως τῷ σημείῳ, εἰ μὴ ἡ φωνὴ κατακούοιτο διὰ θόρυβον, τὸν δὲ σαλπιγκτὴν ὁπότε μηδὲ σημεῖον βλέποιεν διὰ κονιορτόν, καὶ τὸν ὑπηρέτην ὥςε τι τῶν εἰς τὴν χρείαν παρακομίσαι, τόν γε μὴν ἔκτακτον οὐραγὸν πρὸς τὸ ἐπανάγειν τὸν λειπόμενον ἐπὶ τὴν τάξιν· ὃς τῶν τεσσάρων ἄνω τυπουμένων κατὰ μέτωπον κάτω τάσσεται. cf. Aelian. Tact. 9.

ἐκτεθνεῶτα (Plato Legg. 12 p. 959 A) οἷον τὸν ἐν ἐσχάτοις ὄντα.

ἐκτείνω.

ἐκτειχίσαι τειχοποιῆσαι· "ἐν ἐπικαίρῳ χωρίῳ ἐδόκει ἐκτειχίσαι τὴν πόλιν."

ἐκτένεια ἡ συνέχεια.

ἐκτενές ἐπιμελές· "ἔργον δ' ἦν αὐτῷ ἐκτενές."

ἐκτενέςατος ἐνεργητικώτατος, ἐπιμελέςατος· "ὃ δὲ ἔλεγεν ἔσεσθαι αὐτῷ σύμβουλος καὶ συναγωνιςὴς ἐκτενέςατος."

ἐκτενῶς ὁλοψύχως, προθύμως· Πολύβιος (8 21) "ὁ δὲ Ἀχαιὸς προσδεξάμενος ἐκτενῶς καὶ φιλανθρώπως τὸν Βῶλιν ἀνέκρινε διὰ πλειόνων ὑπὲρ ἑκάςου τῶν κατὰ μέρος."

ἐκτέον κρατητέον.

ἐκτετηκυῖα ἀπερρυηκυῖα· "ἐκτετηκυῖα τὰς ὁράσεις ὑπὸ τῶν δακρύων" (Dionys. H. 8 45).

ἐκτετικότες ἀποδεδωκότες.

ἐκτετιναγμένων· "οἱ υἱοὶ τῶν ἐκτετιναγμένων" (Ps. 126 5) οἱ σφόδρα ταλαιπωρούμενοι. ζήτει ἐν τῷ υἱοὶ θεοῦ.

ἐκτετοξεῦσθαι ἐκκεκενῶσθαι, ἀνηλῶσθαι, ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ τοξείᾳ ἀναλισκόντων τὰ βέλη. Ἀριςοφάνης Πλούτῳ (34) "τὸν ἐμὸν ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον."

ἐκ τετρημένης κύλικος πιεῖν, ἐπὶ τῶν διημαρτημένων ἐν πίςει.

ἐκτεύς μέτρον ἐςίν, ὃ ταὐτὸν εἶναι λέγουσι τῇ χοίνικι. Ἀριςοφάνης (Eccl. 543) "οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν ἐκτέα;" τουτέςι τριώβολον.

Ἑκτῆνες. οἱ Βοιωτοὶ οὕτως ὠνομάζοντο.

ἐκτιθέναι τὰ βρέφη ἀντὶ τοῦ εἰς βορὰν θηρίοις ἢ καὶ ἄλλως εἰς διαφθορὰν παρατιθέναι ἐπ' ἐρημίαις.

ἐκτικός σχετικός, καὶ ἐκτικῶς ἐπίρρημα σχετικῶς.

ἐκτῖλαι ἀποσπάσαι.

ἐκτιλωμένοι συνήθεις, ἐπεὶ ὁ κτίλος ὁ ἡγούμενος τῆς ποίμνης κριὸς συνήθης τῷ ποιμένι.

ἐκτιμᾶται ἀντὶ τοῦ ἐπιτέταται, ηὔξηται κατὰ τιμήν.

ἐκ τιμημάτων. τέσσαρα Ἀθήνησι τιμήματα ὑπὸ Σόλωνος γέγονε, πεντακοσιομεδίμνων ἱππέων ζευγιτῶν θητῶν.

ἔκτιμος. καὶ ἐκτίμους ἔξω καὶ ἐκτὸς τῆς τιμῆς· ⟨S El. 242⟩ "ἐκτίμους ἴσχουσα πτέρυγας ὀξυτόνων γόων."

ἐκτιναγμὸς καὶ ἀναβρασμὸς γῆς. ἀναβρασμὸς μὲν γῆς, ὅταν καχλάζῃ μετὰ κινήματος, ἐκτιναγμὸς δέ, ὅταν ἀναρριπτῆται.

ἐκτίνων ἀποδιδούς· "τῇ μητρὶ γῇ τὸ χρέος ἐκτίνων τὸν ναυηγὸν θάπτει." καὶ ἐκτιννύων ἀποδιδούς.

ἐκτῖσαι ἀποδοῦναι.

ἔκτισε κατέστησε, κατέταξεν.

ἐκτίσει ἀποδώσει· ⟨Iustin. de leg. p. 162⟩ "ὁ δὲ καθ' ἡμᾶς βασιλεὺς ἐκτίσει μοι δίκας ἐν δέοντι."

ἐκ τιτυννῶν ⟨an τυννῶν⟩ ἐκ μικρᾶς ἡλικίας.

ἐκτολυπεύσας ⟨Hesiod. Scut. 44⟩ ἐργασάμενος, καὶ ἐκτολυπεῦσαι πληρῶσαι.

ἐκτομίας ὁ εὐνοῦχος.

ἔκτοπα ξένα.

ἐκτόπια τὰ κεχωρισμένα· "ἐκτόπια πολισμάτια τῶν γραφομένων καὶ παραγγελλομένων." cf. v. παραγγείλας.

ἐκτοπίζω πόρρω διάγω. ⟨Diog. L. 4 39⟩ "τὸν πολιτισμὸν ἐκτοπίζων ἐν Ἀκαδημείᾳ διέτριβεν."

ἐκτόπιος ἀπὸ ξένου τόπου· ⟨S OC 119⟩ "ἐκτόπιος συθείς," τουτέστιν ὁρμήσας.

ἐκτοπίσαι μακρὰν κατασῆσαι. ἀεὶ διὰ τοῦ ι.

ἐκτοπισμός πόρρω διαγωγή· "οἱ δὲ φοβούμενοι τὸν εἰς Ἰταλίαν ἐκτοπισμὸν ἐν ταῖς ὁδοιπορίαις διεδίδρασκον."

ἔκτοπον παρηλλαγμένον, βίαιον, μέγα. Ἀριστοφάνης ⟨Av. 1473⟩ "ἔστι γάρ δένδρον πεφυκὸς ἔκτοπόν τι, Καρδίας ἀπωτέρω, Κλεώνυμος, χρήσιμον μὲν οὐδέν, ἄλλως δὲ δειλὸν καὶ μέγα. τοῦτο τοῦ μὲν ἦρος ἀεὶ βλαστάνει καὶ συκοφαντεῖ, τοῦ δὲ χειμῶνος πάλιν τὰς ἀσπίδας φυλλορροεῖ." δένδρῳ ἀπεικάζει τὸν Κλέωνα ἢ ὡς μέγαν ἢ ὡς ἀναίσθητον, παρὰ τὸ Ὁμηρικόν ⟨N 437⟩. Καρδία δὲ πόλις, καὶ Καρδιανοὶ οἱ πολῖται. διὰ τὸ ἀκάρδιον δὲ τοῦτό φησιν.

ἔκτοπος παρηλλαγμένη, ἀφόρητος· "τοῖς δὲ Κελτοῖς παρέστη ἔκτοπος ἡλίκη πρὸς τὸ παράδοξον ὀργή," ἀντὶ τοῦ μεγίστη ὅση.

ἐκτόπως μεγάλως, ἀπρεπῶς, παρηλλαγμένως, ἀφορήτως· ⟨Babrius 14 1⟩ "ἄρκος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει." ⟨Procop. Arc. 1⟩ "εἶθ' ὕστερον ἐρασθεῖσα αὐτοῦ ἐκτόπως."

ἐκτόπως ὑπερβαλλόντως· "πρὸς τὴν ἐπιπλοκὴν τῆς κόρης ἔχαιρεν ἐκτόπως."

ἐκτοπώτατον ἐξεστραμμένον.

ἐκτορμεῖν τὸ ἐκ τοῦ καθήκοντος δρόμου ἐκβαίνειν. Pausan. ap. Eustath. in Il. E p. 598.

ἐκτὸς ἰόντας ἐξερχομένους.

ἐκτὸς πηλοῦ πόδας ἔχειν, ἐπὶ τῶν ἔξω κινδύνου καθεστώτων.

ἐκ τοῦ γεύματος γινώσκω, ἐπὶ τῶν ἐκ μικροῦ πολλά τινα καταλαμβανόντων.

ἐκ τοῦ ἐπὶ πλεῖστον.

ἐκ τοὔμπαλιν ⟨Thuc. 3 22⟩ ἐκ τοῦ ἐναντίου.

ἐκ τοῦ παραχρῆμα ἐκ ταὐτομάτου.

ἐκ τοῦ παρείκοντος ἐκ τοῦ ἐνδιδόντος, ἐκ τοῦ ἐπιτυγχάνοντος.

ἐκτραορδιναρίους. Ῥωμαϊκὴ λέξις, δηλοῖ δὲ ἐπιλέκτους.

ἐκτραχηλίζω. καὶ ἐκτραχηλισθῶσι τοὺς τραχήλους συγκλασθῶσιν· "ἱππασίας μετὰ θορύβου γενομένης πολλοὶ μὲν τῶν ἱππέων ἐκτραχηλισθῶσι, πλείους δὲ τῶν ἵππων ἐξαδυνατήσωσιν, οἱ μὲν ὑπερπνιγεῖς γενόμενοι οἱ δὲ ὑπέρπονοι" ⟨cf. v. ὑπερπνιγεῖς⟩.

ἐκτρέπω αἰτιατικῇ.

ἐκτριβήσεται διατρίψει ἐν τοῖς κακοῖς, ἢ ἀπολεῖται. ἡ μεταφορὰ ἀπὸ τῶν σμηχομένων ἀργυρῶν ἢ χαλκῶν ἢ ἄλλων τοιούτων σκευῶν, ἅπερ ἐν τῷ πλύνεσθαι σφόδρα τριβόμενα ἐλαττοῦται. Σοφοκλῆς ⟨OR 428⟩ "σοῦ γὰρ οὐκ ἔστιν βροτῶν κάκιον ὅστις ἐκτριβήσεταί ποτε."

ἐκτρίβω αἰτιατικῇ.

ἐκ τριχὸς κρέμαται, παροιμία ἐπὶ τῶν σφόδρα κινδυνευόντων. ὅμοιόν ἐστι καὶ τὸ ἐπὶ ξυροῦ.

ἐκτρυπῆσαι ἐξελθεῖν μετὰ βίας.

ἐκτρυχωθείς ἐκπιεσθείς, ἐκφθαρείς.

ἐκτυποῖ ἐξομοιοῖ.

ἐκτυπώτερον φανερώτερον.

ἐκ τῶν παρόντων ἐκ τῶν φθασάντων γενέσθαι· "νικώμενοι οὖν ἐκ τῶν παρόντων ἄκος αἰτοῦσι παρὰ τοῦ θεοῦ, καὶ ἐρωτῶσι τὴν Πυθίαν."

ἐκ τῶν παρόντων καὶ ὡς ἐκ τῶν πα-

ρόντων ἐκ τῶν ὑπαρχόντων καὶ ἐνεςηκότων καὶ εὐπορουμένων.

Ἕκτωρ ὁ ἥρως, ἐχέτωρ τις ὤν. καὶ Ἑκτορίδης ὁ υἱὸς τοῦ Ἕκτορος.

ἐκύει ἐνεκυμόνει, ἐν γαςρὶ εἶχεν· "ὃ δὲ ἔκρυπτεν, καὶ ἐξειπεῖν τὴν ὠδῖνα ἣν ἐκύει οὐκ ἐτόλμα" (cf. v. ὠδίς).

ἐκύησεν ἐγέννησε.

ἐκύκα ἐτάρασσεν.

ἔκυλος cf. v. ἄκυλος.

ἐκυρά ἡ πενθερά, καὶ ἑκυρός ὁ πενθερός.

ἐκύρουν ἐτύγχανον· (S OC 1159) "βωμῷ θύων ἐκύρουν."

ἐκφανεςάτως πάνυ λαμπρῶς· Πολύβιος "τὸ γὰρ μάλιςα λυποῦν ἀεὶ τῶν ἐν χερσὶν ὄντων ἐκφανεςάτως ἔχει τὰς χαράς."

ἐκφαντορία ἐκφανῶς φανερῶσαι.

ἐκφαυλίζων εὐτελίζων.

ἐκφέρεται λέγεται, ἢ ἐκκομίζεται.

ἐκφεύγω αἰτιατικῇ.

ἐκφθαρείς ἐξελθών. οὕτω λέγεται τὸ ἐπὶ κακῷ ἐξελθεῖν (sch. A Pac. 71). εἰσφθαρείς δὲ τὸ ἐπὶ κακῷ εἰσελθεῖν που.

ἐκφοβῶ αἰτιατικῇ.

ἐκφοιτᾷ ἐξέρχεται.

ἐκφοράν (A Plut. 1008) ταφήν, ἐκ τοῦ ἐπὶ μνήματος ἐκφέρεσθαι.

ἔκφορος· "αἰσθάνομαι γινόμενος ὑπὸ τοῦ πάθους ἔκφορος," τουτέςι παράφορος.

ἐκφορούμενοι ἐκκενούμενοι.

ἐκφρησθέντων ἐκβληθέντων· (cf. v. Ἐπίκουρος) "ἐκφρησθέντων δὲ τῶν Ἐπικουρείων ἐκ τῆς πόλεως τοὺς ἱερεῖς ἐκκαθῆραι τὰ ἱερά." "οἱ δὲ περιχαρείας αὐτίκα ὑπεπλήσθησαν τῷ μὴ ἐκφρησθῆναι ἐκφαυλισθέντα καὶ ἀτιμασθέντα ὑπὸ τοῦ θεοῦ αὐτόν."

ἐκφρονῶ γενικῇ.

ἐκφρόνως ἀνοήτως.

ἔκφρων ἐξεςηκώς, παραπαίων, ἔξω φρενῶν· "ὃ δὲ ὑπὸ μέθης ἔκφρων γενόμενος."

ἐκφυλλοφορεῖν. οἱ ἀρχήν τινα ἄρξαντες ἂν εὐθυνόμενοι ὑπὸ τῆς βουλῆς ἁλῶσιν, ἐν φύλλοις ἐλαίας τὰ ὀνόματα αὐτῶν ἐνέγραφον οἱ βουλευταί, καὶ καθίεσαν εἰς τὰς ἐχίνους. ἅμα τε ἡ περὶ αὐτῶν πίςις προσενεγράφετο τοῖς φύλλοις.

ἐκφυλλοφορῆσαι καὶ ἐκφυλλοφορία. εἴ ποτέ τις τῶν πολιτῶν ἀδικεῖν ἐδόκει καὶ ἀνάξιος εἶναι τῷ συνεδρίῳ τῶν φ', ἐσκόπει ἡ βουλὴ περὶ αὐτῷ εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν ἀλλ' ἐλαθῆναι ἐκ τοῦ συνεδρίου. ἀντὶ δὲ τῆς ψήφου φύλλοις ἐπεσήμαινε τὴν αὑτοῦ γνώμην ἕκαςος, ὥσπερ ὀςρακίῳ ἐπὶ τῷ ὀςρακισμοῦ. καὶ ἐλέγετο τοῦτο ἐκφυλλοφορῆσαι καὶ ἐκφυλλοφορία. οὕτω Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας. Harp.

ἔκφυλον ἀλλόφυλον, ἄηθες, ξένον· "ὀθνεῖον καὶ πάντη ἔκφυλον." cf. v. ὀθνεῖος.

ἔκφυλος ξένος, παρηλλαγμένος. Αἰλιανός "ἑκάτερος δι' ἁρπαγῆς τὴν κόρην ποιήσασθαι ἐμαίνοντο. πόλεμος οὖν ἔκφυλος ἐγένετο, καὶ ἐνακμάζει καὶ μάλα ἀδόκητος, οὐκ ἔχων οὔτε γενναίαν οὔτε εὐπρεπῆ τὴν ὑπόθεσιν."

ἐκφῦναι γεννηθῆναι.

ἐκφύς.

ἔκφυσιν βλάςησιν, ἢ γονήν.

ἐκ χειρὸς βοηθεῖν τοῖς πράγμασι Πολύβιος (5 62) ἀντὶ τοῦ μετὰ πάσης ἐπιμελείας, ἐπιτεταμένως, συντόνως.

ἐκχοΐζω τὸ σκάπτω.

ἐκωδωνίζοντο περιβόητοι ἐγένοντο. τέτακται καὶ ἐπὶ τοῦ ἐπειράθησαν. οὕτω Λυσίας.

ἐκωθώνιζον ἔπινον.

ἐκώμασε μεθ' ἡδονῆς ἦλθε· (AP 7 186) "θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν."

ἐλάα ὁ καρπός, ἐλαία δὲ τὸ δένδρον.

ὅτι τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλάαν γεργέριμον ἔλεγον, παρ' ἡμῖν δὲ ῥουπάταν. cf. v. γεργέριμον.

ἐλάαν ἐλαύνειν. καὶ ἐλάειν ὁμοίως.

ἐλαγοθήρει (A Lys. 790) ἐκυνηγέτει, λαγοὺς ἐθήρα.

ἐλαιᾷ διεγείρει, καὶ ἐλαιώμενος διεγειρόμενος.

ἐλαία τὸ δένδρον, ἐλάα δὲ ὁ καρπός. cf. v. ἐλάα.

ἐλαΐδας ἐλαίας δένδρα.

ἐλαιόδευτος ὁ ἐλαίῳ διάβροχος.

ἔλαιον ἄγριον τὸν ἀγριέλαιον. S Trach. 1199.

Ἐλαϊτὴ πύλις.

ἐλαιών ἐλαιῶνος τὸ περιεκτικόν.

ἐλάκησε (Act. 1 18) μέσον ἐσχίσθη. ἐλάκησε καὶ ἐκτύπησεν, ἀνεκροτάλισεν.

ἐλάκκισε λάκκους ὤρυξεν.

ἐλακωνομάνουν (A Av. 1281) τῆς τῶν

Λακώνων ἦρων πολιτείας. ἐμνήσθη δὲ αὐτῶν διὰ τὸ ὑπερέχειν τότε τοὺς Λάκωνας τῷ πολέμῳ.

ἔλαμψαν αὐτῶν τὰ ἔργα, ἀντὶ τοῦ φανεροὺς αὐτοὺς ἐποίησαν.

ἐλαολόγοι· ⟨A Vesp. 732⟩ "ὥσπερ ἐλαολόγοι χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι."

ἐλάσαι καὶ εἰσελάσαι.

ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη Ἀριςοφάνης ⟨Eq. 626⟩ --- τῆς ἀρχῆς Πινδάρου ⟨fr. inc. 153⟩ "ἐλασίβροντε παῖ Ῥέας." ἀντὶ τοῦ ὡς ὑπὸ βροντῆς ἐλαυνόμενα. τυτέςι μεγαληγορῶν καὶ ὑπερόγκοις χρώμενος ῥήμασι καὶ γέμουσι ψόφου. ἤτοι διὰ τὴν φωνὴν σκώπτει τὸν Κλέωνα, ὅτι τραχέως ἐφθέγγετο, ἢ ὡς ταχέως.

ἐλασμὸς μολίβδυ· ⟨Dio Cass. 46 36?⟩ "εἰς ἐλασμοὺς μολίβδων γράφοντες."

ἐλαςρηθείς βιασθείς, κινηθείς· ⟨AP 6 219⟩ "Ζανὸς ἐλαςρηθεὶς γυιοπαγεῖ νιφάδι."

Ἐλάτεια πόλις μεγίςη τῶν ἐν Φωκεῦσιν. ἔνιοι δὲ διὰ τοῦ ρ προφέρουσιν Ἐλάτρειαν, δοκοῦντες ἄμεινον γράφειν. Harp.

ἐλάτειραν ἀπελαςικήν.

ἐλατήρ πλακουντῶδες πέμμα πλατύ· ἔνθεν καὶ ἡ ἐπωνυμία, παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. ἢ ἄρτος πλατύς, ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν, καὶ προσῆγον τοῖς βωμοῖς.

ἐλατῆρι ⟨Hom. Δ 145⟩ ἡνιόχῳ. ⟨AP 7 18⟩ "εἰδήσεις Ἀλκμᾶνα, λύρης ἐλατῆρα Λακαίνης ἔξοχον, ὃν μουσῶν ἐννέ' ἀριθμὸς ἔχει." εἰσὶ δὲ καὶ λαγαρώδεις ⟨an λάγανα? cf. v. λάγανα⟩, παρὰ τὸ λαγαρόν. καὶ πέλανοι παρ' Εὐριπίδῃ ⟨Helen. 1354⟩. sch. A Ach. 245. καὶ ἐλατῆρος πέμματος εἶδος ἀζύμου. Εὐριπίδης δὲ πεπτά. sch. A Eq. 1179.

ἐλαύνωσιν· ⟨Hom. Λ 68⟩ "ὄγμον ἐλαύνωσι," τύπτωσι. τίθησιν ἐπὶ τῆς ἐκ χειρὸς πληγῆς τὸ ἐλάσαι Ὅμηρος.

ἐλάφειον τὸ τῆς ἐλάφυ κέρας καὶ κρέας. καὶ ἐλάφειος ἀνήρ, ἐπὶ τοῦ δειλῦ, ἐκ μεταφορᾶς τοῦ ζῴου· δειλὸν γὰρ ἡ ἔλαφος.

ἐλαφηβόλος ὁ κυνηγός, καταχρηςικῶς.

ἐλαφρία ἡ ὀλιγότης.

ἐλαφρίζω ἀνασηκῶ.

ἐλαφροτάτους. ἐν ἐπαίνῳ λέγουσι τὸ ὄνομα οἱ παλαιοί, ἀντὶ τῦ πρᾳοτάτυς, κατὰ τὸ ἐναντίον τοῦ βαρυτάτου καὶ φορτικωτάτου. Harp.

ἐλάχεια ⟨Hom. ι 116⟩.

ἐλάχιςος. οὕτως ἐκάλεσε Χριςὸς τὸν ἐπίγειον πλοῦτον. φησὶ γάρ ⟨Luc. 16 10⟩ "ὁ πιςὸς ἐν ἐλαχίςῳ," τουτέςιν ὁ καλῶς εἰδὼς βιοῦν καὶ τὸν πλοῦτον τὸν ἐπίγειον, ὃν καὶ μαμωνᾶν ἐκάλεσεν, εἰς τὰς ἐνδεεῖς δαπανῶν, ὁ τοιοῦτος ὁ ἐν τῷ ἐλαχίςῳ πιςὸς εὑρισκόμενος καὶ ἐν πολλῷ πιςὸς ἔςαι, τουτέςιν ἐν τοῖς θείοις χαρίσμασιν. ὁ δὲ ἐν τῷ πλούτῳ τούτῳ ἄδικος γενόμενος καὶ εἰς ἑαυτὸν μόνον συντηρῶν αὐτὸν δῆλον ὅτι καὶ ἐν τοῖς θείοις χαρίσμασιν ἄδικος εὑρεθήσεται. ἀλλότριον δὲ τὴν τῶν χρημάτων περιουσίαν ὠνόμασεν, ἐπειδὴ οὐ γεγενήμεθα μετὰ πλέτυ, γυμνοὶ δὲ μᾶλλον, καὶ ὡς ἀληθῶς ὐδὲν εἰσηνέγκαμεν καὶ οὐδὲν ἐξενεγκεῖν δυνάμεθα.

Ἔλγη πόλις.

ἐλδυνομένυς ⟨an ἀλδαινομένυς⟩· "πρωίοις ἰούλοις ἐλδυνομένυς καὶ γενείοις ταχέσι."

Ἐλέα ὄνομα πόλεως, πατρὶς Ζήνωνος. αὕτη πρότερον Ὑέλη ἐκαλεῖτο, Φωκαέων ἦσα ἀποικία, πόλις εὐτελὴς καὶ μόνον ἀγαθοὺς ἄνδρας τρέφειν δυναμένη, ἣν ἠγάπησε μᾶλλον τῆς Ἀθηναίων μεγαλαυχίας, οὐκ ἐπιδημήσας τὰ πολλὰ πρὸς αὐτούς, ἀλλ' αὐτόθι καταβιούς ⟨Diog. L. 9 28⟩. λέγεται δὲ καὶ ἑτέρα πόλις Ἐλαία, διὰ διφθόγγου, ἧς ὁ πολίτης Ἐλαΐτης· καὶ κόλπος οὕτω καλούμενος.

Ἕλεα τὰς πόλεις τὰς ἱδρυμένας ἐφ' ἕλεσι. καὶ Ἑλεάτης ὁ ἀπὸ τῆς πόλεως.

ἐλεγείνειν τὸ παραφρονεῖν τινὲς τῶν παλαιῶν. καὶ τὸ ἐλεγεῖον μέτρον ἀπὸ τύτου κληθῆναί τινες νομίζουσιν, ὅτι Θεοκλῆς Νάξιος ἢ Ἐρετριεὺς πρῶτος αὐτὸ ἀνεφθέγξατο μανείς.

ἐλεγεῖον μέτρον τι. καὶ ἐλεγείαν θηλυκῶς.

ἔλεγος θρῆνος, ἀπὸ τοῦ ἒ ἒ λέγειν. ἢ οἱ πρὸς αὐλὸν ᾀδόμενοι θρῆνοι· τὸν γὰρ αὐλὸν πένθιμον ὑπειλῆφθαι. ἢ ὅτι πρὸς αὐλὸν ᾔδοντο οἱ θρῆνοι, τουτέςιν οἱ ἔλεγοι. τὸν δὲ αὐλὸν ὕςερον ἐπικήδειον Μίδαν φασὶ τὸν Γορδίου βασιλεύοντα περιβώμιον ποιῆσαι, βουλόμενον τὴν ἑαυτοῦ μητέρα ἀποθειῶσαι τελευτήσασαν.

ἐλέγχεια.

ἐλέγχιςος ⟨Hom. Δ 171⟩ ἐπονείδιςος.

ἐλέγχομεν ἀντὶ τῦ κακολογῦμεν· "νυκτὶ δ' ὅλῃ βασιλῆας ἐλέγχομεν," καὶ ⟨AP 6 250⟩ "ἔργα δὲ χεῖρας ἐλέγχῃ."

ἔλεγχος αἰσχύνη.

ἐλεδανός ὁ δεσμός.

ἐλεδώνη εἶδος πολύποδος, ἥτις ἔχει μίαν κοτυληδόνα καὶ ἔςιν ἑπτάπους, ὥς φησιν Αἰλιανός. ἔςι δὲ τὸ λ περισσόν, καλεῖται δὲ ἐλεδώνη ἀπὸ τοῦ ἑαυτὴν ἔδειν, ὅ ἔςιν ἐσθίειν. καὶ Ἡσίοδος ⟨O. 522⟩ "ὅτ' ἀνόςεος ὃν πόδα τένδει."

ἐλεεινός ὁ ἐλέους ἄξιος· "ἐλεεινοὶ τοῦ πάθους, ἀξιέπαινοι τῆς ἀρετῆς γενόμενοι. μέγα γὰρ πάθος Ῥωμαίοις τοῦτο ἐγένετο ··· τίθενται" ⟨cf. v. ἀποφράδες⟩.

ἐλεεινῶς οἰκτρῶς, ἀθλίως.

ἐλεηλάτουν ἠφάνιζον.

ἐλεήμων ἀντὶ τοῦ ἥττων· ⟨A Pac. 424⟩ "εἰμ' ὡς ἐλεήμων εἰμ' ἀεὶ τῶν χρυσίδων." καὶ συςέλλει.

ἐλείας πρὸς αὐλῶνας, τουτέςι τὰς ἐλώδεις διώρυχας, ἢ ἑλώδεις τόπους ςενούς, ἀπὸ τοῦ ἕλος ἕλειος ἐλεία. sch. A Av. 244.

ἐλειβάτης.

ἑλεῖν λαβεῖν.

ἐλειονόμος.

ἕλειος ὁ κάθυγρος καὶ σύνδενδρος τόπος. καὶ ἕλειος ὄρνις, καὶ ἕλειος ᾠδή. σημαίνει καὶ ὄνομα ὄρους.

ἐλειποψύχησεν.

ἐλελελεῦ. ἐπίφθεγμα πολεμικὸν τὸ ἐλελελεῦ· καὶ γὰρ οἱ προϊόντες εἰς πόλεμον τὸ ἐλελελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως, καθὸ καὶ Ἀχαιὸς Ἐρετριεὺς ἐν τῷ Φιλοκτήτῃ ποιεῖ τὸν Ἀγαμέμνονα παραγγέλλοντα τοῖς Ἀχαιοῖς· "ὥρα βοηθεῖν ἐς' · ἐγὼ δ' ἡγήσομαι. προσβαλλέτω τις χεῖρα φασγάνου ταχύς, σάλπιγγι δ' ἄλλος ὡς τάχος σημαινέτω. ὥρα ταχύνειν, ἐλελελεῦ." μήποτε καὶ τὸ Καλλιμάχειον ⟨fr. 310⟩ "θεῷ τ' ἀλάλαγμα τομαῖον δοῦναι" τοιοῦτόν ἐςιν. Ἀριςοφάνης Ὄρνισιν ⟨364⟩ "ἐλελελεῦ, χώρει, κάθες τὸ ῥύγχος, οὐ μένειν ἐχρῆν."

ἐλελιξάμενος ⟨Hom. B 316⟩ ἐπιςραφείς.

ἐλελίχθησαν ⟨Hom. E 497⟩ συνεςράφησαν.

Ἑλένη βασίλισσα, μήτηρ τοῦ μεγάλου Κωνςαντίνου, πάσῃ ἀρετῇ κεκοσμημένη. εἶχε δὲ καὶ χρισομίμητον ταπεινοφροσύνην πρὸς πάντας μέν, διαφερόντως δὲ πρὸς τὸ ἱερὸν τῶν μοναζόντων σχῆμα· τὰς γάρ τοι διὰ βίου τὴν παρθενίαν ἀσκούσας συναγείρουσα πολλάκις καὶ ἐπὶ ςιβάδος κατακλίνουσα αὐτὴ δι' ἑαυτῆς καθυπούργει, ὄψα παρατιθεῖσα καὶ κύλικας ὀρέγουσα καὶ ὕδωρ ταῖς χερσὶν αὐτῶν ἐπιχέουσα θεραπαίνης ἔργον ἐπλήρου. οὕτω καὶ τὸν ἀείμνηςον υἱὸν αὐτῆς ἐξεπαίδευεν ἄτυφον ἔχειν φρόνημα ἀρετῆς, καὶ πολιτείας ἀκριβῶς ἐπιμελεῖσθαι, καὶ δουλεύειν τῷ θείῳ μετὰ φόβου καὶ τρόμου. cf. Theodoret. H. E. 1 18.

ἐπὶ γὰρ τοῦ μεγάλου Κωνςαντίνου ἐβαπτίσθησαν καὶ οἱ ἐνδότεροι Ἰνδοὶ καὶ Ἴβηρες καὶ Ἀρμένιοι. cf. Socrat. 1 19.

ὅτι ἐν τῇ ἀψῖδι τῆς καμάρας τοῦ φόρου ἵςανται δύο ςῆλαι, Ἑλένης καὶ Κωνςαντίνου, καὶ ςαυρὸς ἐν μέσῳ αὐτῶν γράφων "εἷς ἅγιος," καὶ δύο ταχυδρόμων ὁμοίως ςῆλαι· ἀνετέθησαν δὲ ὑπὸ τοῦ τὸν φόρον ἐπέχοντος. Codin. orig. CP 32.

Ἕλενος, ὃς συνέγραψε τὸ χειροσκοπικὸν οἰώνισμα, ὡς ὅταν τῆς ἐκτάσεως τῶν χειρῶν τῆς παλάμης ἀπὸ τῶν ῥυτίδων εἴπωμεν παιδοποιεῖ, ἤ τι τοιοῦτον. cf. v. οἰώνισμα.

ἐλεόθρεπτον ⟨Hom. B 776⟩ τὸ ἐν ἕλει τεθραμμένον.

ἐλεοκόπους Λυσίας τοὺς τὰ ἕλη κόπτοντας, τοῦ ε παρεμβεβλημένου, ὡς τὸ ἐλεόθρεπτον σέλινον παρὰ Ὁμήρῳ. μήποτε δὲ παρὰ τὸ ἐλεόν, ὅπερ ἐςὶ ξύλινον, γεγένηται τοὔνομα. Harp.

ἔλεος ἀρσενικῶς ἡ ἐλεημοσύνη, ἐλεός δὲ ὀξυτόνως ἡ μαγειρικὴ τράπεζα· Ἀριςοφάνης ⟨Eq. 152⟩ "ἴθι δή, κάθελ' αὐτοῦ τὸ 'λεόν," τουτέςι τὸ μαγειρικὸν τραπέζιον. Ὅμηρος ⟨ξ 432⟩ "βάλλον δ' εἰν ἐλεοῖσιν." ἔςι δὲ ἐλεὸς καὶ εἶδος ὀρνέου.

ἐλέου βωμός.

Ἐλεοῦντα. πόλις ἐςὶν ἐν Χερρονήσῳ τῆς Θρᾴκης ⟨Harp.⟩. Ἐλεοῦς δέ ἐςιν ἡ εὐθεῖα.

ἑλεπόλεις μηχανήματα πόλεις πορθοῦντα.

ἑλέσθαι θέλειν.

ἑλετή ⟨Hom. I 409⟩ αἱρεθῆναι δυναμένη.

ἐλεύθεραι αἶγες ἀρότρων, παροιμία ἐπὶ τῶν βάρους τινὸς ἢ κακῶν ἀπηλλαγμένων.

ἐλευθέριος ὁ Ζεὺς διὰ τοῦτο ἐκλήθη, διὰ τὸ τοὺς ἐξελευθέρους τὴν ςοὰν οἰκοδομῆσαι τὴν πλησίον αὐτοῦ. οὕτω μὲν Ὑπερίδης· ὁ δὲ Δίδυμος οὐ διὰ τοῦτό φησιν, ἀλλὰ διὰ τὸ τῆς Μηδικῆς δουλείας καὶ ἐπικρατείας ἀπαλλαγῆναι τοὺς Ἀθηναίους. Harp.

ἐλευθεριότης ἡ μὴ κατὰ κιβδηλείαν χάρις. "διὰ τὴν πρὸς τὰς δωρεὰς ἐλευθεριό-

τητα" φησὶν Οὐεσπασιανὸς βασιλεὺς Ῥωμαίων. "ὃ δὲ εἰς τοσοῦτον ἐλευθεριότητος ἐληλάκει ὥςε οὐδὲ ἀπὸ τῆς πολιτείας ἠνέσχετο σίτησιν αὐτῷ παρασκευάσαι, καὶ τῆς οἰκίας οὐκ ὄσης μονήρους ἀλλὰ συχνῆς ἀμπέχειν."

ἐλευθεριώτερος Σπάρτης διὰ τὸ ἀνυπότακτον καὶ γενναῖον φρόνημα. διὸ ὀδὲ τείχη περιεβάλλοντο, νόμοις παιδευόμενοι. ἀλλ' ὀδὲ ἠθέλησαν ἐκ μάχης ἡττημένοι ὑποςρέψαι, οὐδὲ ἐτυραννήθησαν.

ἐλεύθερος. μόνος ἐλεύθερος ὁ σπουδαῖος, οἱ δὲ φαῦλοι δοῦλοι· εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας (Diog. L. 7 121). ἐλεύθερος γὰρ ὁ ἐλεύθων ὅπου ἐρᾷ. "τὸ δὲ ἐλευθεροῦντα τὴν ἑαυτοῦ γῆν ἄνδρα ἀγαθὸν φαίνεσθαι πολλῷ βέλτιον τοῦ δουλείαν ἐπάγειν τῇ πόλει" (Philostrat. V. A. 3 20), οἷος ἦν Γάγγης βασιλεὺς Αἰθιόπων.

ἐλευθεροςομῶ παρρησιάζομαι. "καὶ ἁπλῶς φάναι, λόγοις ἐλευθερίοις προσέχειν λ' ἐτῶν ὢν ἤρξατο."

ἐλευθερῶ σε αἰτιατικῇ. **ἐλευθεροῦμαι** δὲ γενικῇ.

Ἐλευσίνια. τοῖς νικῶσι τὰ Ἐλευσίνια ἐδίδοτο ἆθλον κριθαί. ὠνομάσθη δὲ ἡ πόλις ἀπὸ Ἐλευσίνου τοῦ Ἑρμοῦ. ἄλλοι δὲ ἄλλην αἰτίαν φασί, καὶ ἑορτὴν εἶναι μόνον τὰ Ἐλευσίνια. Harp.

Ἐλευσῖνος ὄνομα κύριον.

Ἐλεύσιος καὶ Μαραθώνιος, ὃ μὲν Κυζικηνὸς ὃ δὲ Κωνςαντινουπολίτης ἦςην. οὗτοι τῆς μὲν ἐν τῷ λέγειν δυνάμεως ὀκ ἐπὶ τοσοῦτον ἀνήκοντες ὥςε μέγα τι καὶ λαμπρὸν ἀπ' αὐτῆ δυνηθῆναι εἰς ὄχλων προσαγωγήν, τῷ γε μὴν κατεσκληκότι τοῦ βίου καὶ τῇ εἰς μετριότητα πλάσει τῶν ἠθῶν ὅτω δυνηθέντες ὥςε οὐκ ἐλάχιςα καὶ οὗτοι πλήθη περιεβάλοντο, ἀσκητήρια πολυάνθρωπα συςησάμενοι ἀνδρῶν τε καὶ γυναικῶν, καὶ ἄλλων οὐχ ἥκιςα πολλῶν εἰς αὐτοὺς ἀνήρτησαν ὄχλον τῶν τὸ αὐχμηρῶς ζῆν καὶ τὴν ἐν τῇ διαίτῃ σκληραγωγίαν αὐταρκέςατον εὐσεβείας ἔνδειγμα λογιζομένων. cf. Sozomen. 4 20 et 27.

ἐλεφαίρετο ἐπλανᾶτο, ἐβλάπτετο.

ἐλέφαντα ἐκ μυίας ποιεῖν, ἐπὶ τῶν τὰ ἐλάχιςα ἐπαιρόντων τῷ λόγῳ καὶ μεγάλα ποιούντων. Λουκιανοῦ μυίας ἐγκωμίῳ (extr.) "μὴ καὶ δόξω, κατὰ τὴν παροιμίαν, ἐλέφαντα ἐκ μυίας ποιεῖν."

ἐλεφαντόκωπον ἀπὸ τῆς λαβῆς τὴν μάχαιραν ἔφη.

ἐλέφαντος οὐδὲν διαφέρεις, ἐπὶ τῶν μεγάλων καὶ ἀναισθήτων, παρ' ὅσον καὶ τὸ ζῷον τοιοῦτον.

ἐλεφῆραι βλάψαι, ἀπατῆσαι.

ἔλεψεν (Hom. *A* 236) ἐλέπισεν.

Ἐλεών (Hom. *B* 500) ὄνομα πόλεως.

ἕλη ἡ θερμασία. καὶ **ἕλη τυφλά** τὰ ἀπρόοπτα.

ἐληγγάτευσε κατὰ Ῥωμαίους, ἀπένειμεν.

ἐλήθετο ἐπελάθετο.

ἐληίζοντο ἐληςεύοντο.

ἐλήκτευσε κατὰ Ῥωμαίους, ἀναγνοὺς διώρθωσεν.

ἐλήλακεν ἐλήλυθεν.

ἐλήλαται (Hom. *Π* 518) συνέχεται.

ἐληλεγμένον κατησχυμμένον.

ἐληλέδατο (Hom. *η* 86) ἐκ τοῦ ἐλεύθω.

ἔλης αὐθυπότακτον.

ἐλθεῖν τὸ γυμνῇ τῇ παρρησίᾳ χρήσασθαι, **παρεισελθεῖν** δὲ τὸ μετ' ἄλλο πλαγιάσαντος συνεισελθεῖν. διὰ τοῦτό φησιν ὁ ἀπόςολος (ad Rom. 5 20) "παρεισῆλθεν ὁ νόμος."

Ἔλθεμος ὄνομα κύριον. Ioseph. B. I. 1 19 5.

ἔλθῃ ἀντὶ τῆ ἐλθέτω· Νόμων θ' (p. 881 E) "μήτε εἰς ἱερὸν ἔλθῃ μηδέν."

ἔλθωμεν αὐθυπότακτον.

ἐλιάσθη (Hom. *O* 543) ἐξέκλινεν.

ἐλιγμός ἡ συςροφή.

ἕλικας (Hom. *Σ* 401) τὰ περὶ τοὺς καρποὺς ψέλια, ἢ ἐνώτια.

Ἑλίκη πόλις.

ἑλικτήρ εἶδος ἐνωτίου. καὶ **ἑλικτῆρες** ὁμοίως.

Ἑλικών ὄρος.

Ἑλικώνιος ἀςρονόμος ἀποτελεσματικά, a
περὶ διοσημιῶν, καὶ ἄλλα πολλά.

Ἑλικώνιος σοφιςὴς Βυζάντιος ἔγραψε b
χρονικὴν ἐπιτομὴν ἀπὸ τῆ Ἀδὰμ μέχρι Θεοδοσίου τοῦ μεγάλου ἐν βιβλίοις ι'. cf. v. Ἀπίων et Ἀρριανὸς b.

ἑλικῶπις (Hom. *A* 98) εὐόφθαλμος, καὶ **ἑλίκωψ** εὐόφθαλμος.

ἑλικώτατον ὕδωρ (Callimach. fr. 290) τὸ ἑλικοειδῆ ἔχον τὴν ῥεῦσιν, ἢ διαυγές.

ἑλίκωψ.

ἐλινιῶ ὑμνῶ. cf. ἔλινον Athen. p. 618 D.

ἔλινος καρπός.

a ἐλινύειν ἡσυχάζειν, βραδύνειν.

b ἐλινύειν ϛραγγεύειν.

ἐλινύοντας διατρίβοντας, ἢ ἐγχρονίζοντας. καὶ "πότμον ἐλινύσειεν" ἀντὶ τοῦ τὴν δυϛυχίαν παύσειεν. Ἡρόδοτος (7 56) "διέβη δὲ ὁ ϛρατὸς ἐν ζ΄ ἡμέρῃσι καὶ ζ΄ εὐφρόνῃσιν, ἐλινύσας οὐδένα χρόνον." καὶ Ἀρριανός (Ind. 29 7) "αἱ δὲ κατασκοπαὶ οὐδέν τι ἐλινῦσαι ἐγίνοντο." καὶ αὖθις "ὁ δὲ ἀπῆγε τὴν ϛρατιὰν μηδέν τι ἐλινύσας," τουτέϛι χρονίσας. καὶ ἐν ἐπιγράμματι (AP 5 237) "εὖτε δ' ἐπέλθῃ ὄρθρος, ἐλινῦσαι μικρὰ χαριζόμενος." καὶ αὖθις "ἐλινύοντα καὶ βλακεύοντα κλάειν ἐῶσι." καὶ αὖθις "μή ποτε ἄρα ἐν τῷ ἐλινύειν καὶ μέλλειν διαρρυῇ ὁ καιρός."

ἕλιξ ἕλικος.

ἑλίξας (Hom. ψ 466) συϛρέψας.

Ἕλιξος εἷς τῶν ἐπιφανῶν ἀνδρῶν παρὰ Μεγαρεῦσιν. Harp.

ἐλίπανας (Ps. 22 5) λιπαρὸν ἐποίησας.

ἐλιπάρησε παρεκάλεσε λιπαρῶς.

Ἑλισθιαῖος.

Ἐλισσαιέ ὄνομα κύριον. καὶ Ἐλισσαῖος.

ἐλίσσετο παρεκάλει λιτανεύων. καὶ ἐλίσσοντο ἱκέτευον.

ἑλισσόμενος ἀναϛρεφόμενος.

ἑλιχθέντων (Hom. Μ 74) συϛραφέντων.

ἑλίχρυσος τὸ τοῦ κισσοῦ ἄνθος· "ἄνθει ἑλιχρύσου ἐναλίγκιος."

ἕλκει μοιχὸς εἰς μοιχόν, παροιμία.

ἑλκεσίπεπλοι ἐφελκόμεναι τοὺς πέπλους ἐν τῷ φορεῖν. ὅτι τὸ ο ἐν ταῖς συνθέσεσι πολλάκις εἰς τὸ ε μεταβαλλόμενον καὶ τὴν σι συλλαβὴν προσλαμβάνει· ἕλκω ἑλκόπεπλος ἑλκέπεπλος ἑλκεσίπεπλος, πρῶτος πρωτόλαος πρωτέλαος πρωτεσίλαος, πηγός πηγόμαλλος πηγέμαλλος πηγεσίμαλλος. ἔνιοι δὲ αὐτὰ ἀπὸ μέλλοντος σχηματίζουσι, τῶν διπλῶν μὲν ἀναλυομένων, τοῦ δὲ ε παρεμπίπτοντος, οἷον ἕλξω ἑλξίπεπλος ἑλκεσίπεπλος, πήξω πηξίμαλλος πηγεσίμαλλος.

ἑλκηθμός ἑλκυσμός, σπαραγμός.

ἕλκος τὸ τραῦμα τὸ χρονίσαν, ἀπὸ τοῦ μετὰ τὴν τρῶσιν ἕλκεσθαι τὸ σῶμα. "καὶ τὸ σῶμα αὐτοῦ πᾶν ἑλκῶν ἐξέζεσεν" (cf. v. ἐξέζεσεν).

Ἑλλάδιος Ἀλεξανδρεὺς γραμματικός, γεγονὼς κατὰ Θεοδόσιον τὸν βασιλέα τὸν νέον, λέξεως παντοίας χρῆσιν κατὰ ϛοιχεῖον, ἔκφρασιν φιλοτιμίας, Διόνυσον ἢ μοῦσαν, ἔκφρασιν τῶν λουτρῶν Κωνϛαντίνου, ἔπαινον Θεοδοσίου τοῦ βασιλέως.

Ἑλλάνικος Μιλήσιος ἱϛορικὸς περίοδον a γῆς καὶ ἱϛορίας.

Ἑλλάνικος Μιτυληναῖος ἱϛορικός, υἱὸς b Ἀνδρομένους, οἱ δὲ Ἀριϛομένους, οἱ δὲ Σκάμωνος, οὗ ὁμώνυμον ἔσχεν υἱόν. διέτριψε δὲ Ἑλλάνικος σὺν Ἡροδότῳ παρὰ Ἀμύντᾳ τῷ Μακεδόνων βασιλεῖ κατὰ τοὺς χρόνους Εὐριπίδου καὶ Σοφοκλέους, καὶ Ἑκαταίῳ τῷ Μιλησίῳ ἐπέβαλε γεγονότι κατὰ τὰ Περσικὰ καὶ μικρῷ πρός. ἐξέτεινε δὲ καὶ μέχρι τῶν Περδίκκου χρόνων, καὶ ἐτελεύτησεν ἐν Περπερίνῃ τῇ καταντικρὺ Λέσβου. συνεγράψατο δὲ πλεῖϛα πεζῶς τε καὶ ποιητικῶς.

ἑλλανοδίκαι οἱ κριταὶ οἱ καθήμενοι εἰς a τοὺς ἀγῶνας. Εὐνάπιος (p.103 Nieb.) οὕτω "καὶ τότε ὁ μέγιϛος ἑλλανοδίκης Γαϊνᾶς τὸν Ῥωμαϊκὸν ὄλεθρον ἠθλοθέτει" (cf. v. ἠθλοθέτει).

ἑλλανοδίκαι. τὸ μὲν πρῶτον ἕνα κα- b θίϛων ἑλλανοδίκην οἱ Ἠλεῖοι, εἶτα β΄, τελευταῖον δὲ θ΄. Ἀριϛόδημος δὲ ὁ Ἠλεῖος τοὺς τελευταίους τιθέντας τὸν ἀγῶνα ι΄ εἶναι ἑλλανοδίκας, ἀφ' ἑκάϛης φυλῆς α΄. Harp.

ἐλλεβοριᾶν τὸ ἐλλεβόρου δεῖσθαι ὡς φαρμάκου· οὕτω Καλλίας. καὶ ἐλλεβορίζω. sch. A Vesp. 1480.

ἐλλέβορον εἶδος βοτάνης φαρμάκου, τὸ παρὰ τοῖς ἰατροῖς καρπὶν λεγόμενον.

ἐλλεῖπον τὸ ἐνδεές. ἐλλιπὲς δὲ διὰ τοῦ ι.

ἐλλείπω αἰτιατικῇ.

ἔλλερα ἔργα φόνια, χαλεπά, κακά.

Ἕλλην φρόνιμος.

ἑλληνικόν γ' ἐπένευσαν ἄνδρες οὑτοιί Ἀριϛοφάνης (Ach. 115), ὡς διαφέροντος καὶ τοῦ νεύματος τοῦ Ἑλληνικοῦ.

Ἑλλήνιος ϛρατός, καὶ Ἑλλήνιος γλῶσσα.

ἑλληνοκοπεῖν.

ἑλληνοταμίαι. οἱ τὰ ἐκ τῶν φόρων χρή- a ματα φυλάσσοντες, ἃ πρότερον κοινῇ οἱ Ἕλληνες ἐν Δήλῳ ἀπετίθεντο, οὕτως ἐκαλοῦντο. (Thuc. 1 96) "παραλαβόντες γὰρ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν ἑκόντων τῶν ξυμμάχων διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἅς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον καὶ ἃς ναῦς· πρόσχημα γὰρ ἦν ἀμύ-

νεσθαι ὧν ἔπαθον, δῃοῦντες τὴν βασιλέως χώραν. καὶ ἑλληνοταμίαι κατέστη τοῖς Ἀθηναίοις πρώτη ἀρχή."

b ἑλληνοταμίαι ἀρχή τις ἦν, οἳ διεχείριζον τὰ χρήματα. Harp.

υ' τάλαντα καὶ ξ' ἐτάχθη ὁ φόρος ὑπὸ Ἀριστείδου τοῦ δικαίου.

Ἑλλήσποντος.

ἐλλιμενίζω.

ἐλλιπές τὸ ἐνδεές. καὶ ἐλλιπὴς ὁμοίως.

ἐλλιπόντες.

ἐλλόβια τὰ ἐνώτια, διὰ τὸ ἐν τοῖς λοβοῖς τῶν ὤτων εἶναι. "ὁ δὲ Τραϊανὸς λέγει τῷ Αὐγάρου παιδὶ 'μέμφομαί σε ὅτι μὴ πρόσθεν ἧκες παρ' ἐμὲ συστρατεύσων καὶ τῶν πόνων συμμετασχήσων· καὶ ἐπὶ τῷδε ἀνηλεῶς τῶν ἐλλοβίων τούτων τὸ ἕτερόν σου ἀποσπάσαιμι' ἐφαψάμενος ἅμα τοῦ ὠτὸς τοῦ ἑτέρου. τῷ δὲ ἦν ἄμφω τὰ ὦτα τετρημένα, καὶ ἐξ ἀμφοῖν χρυσᾶ ἐνώπια ἐξηρτημένα" (Dio Cassius?).

ἐλλόγιμος τίμιος, σεβάσμιος. καὶ χωρίον ἐλλόγιμον τὸ τίμιον.

ἔλλογος· (Synes. p. 6) "ὅταν ᾖ δῆμος ἔλλογος τὸ ἀρχόμενον."

ἔλλοπες οἱ ἰχθύες.

Ἔλλουρος ἐθνικόν.

Ἐλμησός.

ἕλξει ἑλκύσει.

ἐλογίσατο ἐλάλησεν, ἐφθέγξατο· Δαβὶδ (Ps. 51 2) "ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου."

ἐλογοποίουν πρὸς ἀλλήλους λόγους διετίθεντο· "οἳ δὲ ἐς ἀλλήλους ἐλογοποίουν, τερατευόμενοί τε καὶ κομπάζοντες ὡς εἰς πολλὰ ἡ τοῦ τόπου κατάληψις τούτους ὀνήσει" (cf. v. τερατευόμενοι).

ἐλοιδόρησε διέβαλεν, ἐσυκοφάντησεν· Αἰλιανός "ὁ δὲ Κλέανδρος ἐλοιδόρησε τὸν ὕπατον τῆς ἐν Αἰγύπτῳ ἀρχῆς κωμῳδῶν, καὶ παραλύει αὐτὸν τῆς ἀρχῆς οὐδὲν ἀδικοῦντα."

ἐλοιδορούμεθα ἐστασιάζομεν, ὡς ὑπὸ τῆς φιλονεικίας ἐς λοιδορίαν τραπῆναι. Ἀριστοφάνης Νεφέλαις (63) "περὶ τοὐνόματος δῆτ' ἐλοιδορούμεθα." Ἀγαθίας (1 12) "καὶ δὴ τῷ Ναρσῇ πάντες ἐλοιδοροῦντο, ἀλαζόνα τε ἀποκαλοῦντες καὶ ἀτάσθαλον, καὶ ἔργῳ μὲν αὐτὸν εἶναι λέγοντες βίαιόν τε καὶ μιαιφόνον, τὴν δὲ τοῦ εὐσεβεῖν ἀεὶ καὶ τὸ θεῖον θεραπεύειν δόξαν ἄλλως αὐτῷ κεκομψεῦσθαι."

ἕλοιτο θέλοι.

ἑλόμενοι βουλόμενοι· Ξενοφῶν (Anab. 2 2 5) "ὃ μὲν ἦρχεν, οἳ δὲ ἐπείθοντο, οὐχ ἑλόμενοι, ἀλλ' ὁρῶντες ὅτι μόνος ἐφρόνει οἷα ἔδει τὸν ἄρχοντα."

ἑλόμενος θέλων. ἕλωμαι αὐθυπότακτον.

ἑλόντες λαβόντες.

ἕλος δίυλον (an δίυγρον) δάσος· ἢ ὕδατος ἰλὺς ἐπικεχυμένου πηλοῦ καὶ βαθείας ὕλης, ἢ παπύρου, ἢ καλάμου ἐκφυομένης ἀεὶ τοῦ πηλοῦ καὶ ὑπερανεστηκυίας τοῦ ὕδατος.

ἔλουσεν ἀντὶ τοῦ ἐβάπτισεν· "τὸν δὲ Εὐνομιανὸν ἔλουσε Βελισάριος τὸ θεῖον λουτρόν, χερσὶ δὲ οἰκείαις ἀνελόμενος εἰσποίητον ἐποιήσατο παῖδα, ᾗπερ εἰσποιεῖσθαι χριστιανοῖς νόμος" (Procop. Arc. 1).

ἐλοχεύθη ἢ ἐγεννήθη ἢ ἐγαμήθη.

ἐλόχισε παρὰ Ἡροδότῳ (1 103) ἀντὶ τοῦ εἰς λόχους κατέταξεν.

ἐλόχων ἐνήδρευον· "ὃ δὲ ἔχων κοινωνοὺς τῶν ἀσεβημάτων ἐλόχων τὰ κατὰ τὰς ὁδούς."

Ἐλπιδηφόρος ὄνομα κύριον.

ἐλπίς προσδοκία ἀγαθῶν. καὶ ὁ φοβούμενος προσδοκᾷ, ἀλλ' οὐκ ἀγαθά· κακῶν γὰρ προσδοκία ἐστὶν ὁ φόβος, ἀγαθῶν δὲ ἡ ἐλπίς. ἐπεὶ οὖν οὐχ ὑφεστώτων πραγμάτων οἱ ἀσεβεῖς προσδοκῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπίς· ὡς γὰρ μένουσι τοῖς ἤθεσι χρῶνται (Didym. in Iob. 6 8).

ἐλπίσας. οὐ μόνον ἐπ' ἀγαθῷ, ἀλλ' ἁπλῶς ἐπὶ τῇ τοῦ μέλλοντος ἐκβάσει λέγεται παρὰ Ἀττικοῖς. sch. Thuc. 1 1.

ἐλπωρή (Hom. η 76) ἐλπίς.

Ἐλσεμών.

ἐλύγωσεν ἔκαμψε· (AP 5 217) "καὶ Δανάης ἐλύγωσεν ὅδε φρένα," τουτέστιν ὁ χρυσός.

Ἔλυμα.

Ἐλυμαῖος.

ἐλυμήνατο ἔβλαψεν· "οἳ δὲ σύστημα γενόμενοι ἐλυμαίνοντο πολλοῖς ὁδίταις, ἐμπίπτοντες εἰς τὰ καταλύματα."

ἐλυσάμην ἀπέδωκα.

ἐλύσατο ἐλυτρώσατο.

ἔλυτρον κάλυμμα, σκέπασμα, ἐνείλημα. ὁμοίως καὶ ἡ θήκη τοῦ δόρατος. σημαίνει δὲ καὶ τὸ τοῦ ὀστρέου ὄστρακον.

ἐλωβήσατο ὕβρισεν.

ἐλώδης ὁ κάθυγρος τόπος.

ἐλωί ἑβραϊστὶ ὁ θεός.

ἕλωμαι ⟨Hom. A 137⟩ ἀφέλωμαι, λήψομαι.

ἐλῶν ἐλάσας Ἡρόδοτος ⟨7 33⟩. καὶ ἐλῶντες δὲ ἐλαύνοντες.

ἕλωρ τὸ λῆμμα.

ἑλώρια ⟨Hom. A 4⟩ ἑλκύσματα, σπαράγματα.

ἐλῶσα ἐλαύνουσα.

ἕλωσι καταλάβωσιν.

ἐλώφησεν ἐπαύσατο, ἀπὸ τῶν ὑποζυγίων. ὅθεν καὶ τὸ εὐλόφως φέρειν. sch. S Ai. 61.

ἐμαί. λείπει τὸ αἱ ἄρθρον, ἵν' ᾖ, αἱ ἐμαὶ πόλεις. cf. v. αἱ ἐμαὶ πόλεις.

ἐμαίμασσε ⟨Ioh. 38 8⟩ προεθυμήθη.

ἐμαλάκισε μαλακὸν ἐποίησεν.

ἐμάλθαξαν· "ἐν δὲ τῷ πρανεῖ καὶ ὀλισθηρῷ τόπῳ ξύλα παρασταυροῦντες τῇ καταβάσει, καὶ τὸ μέσον ἄλλοις ἐγκαρσίοις στεριφοποιοῦντες, καὶ φορμοὺς ἐπιβαλόντες ὕλης, ἐμάλθαξαν τὸ πάνυ πρανές τε καὶ ὀλισθηρόν," τουτέστι κατεπράυναν, καθωμάλισαν. cf. v. παρασταυροῦντες.

ἐμασχαλίσθη. ἔθος ἦν τοῖς ἀρχαίοις, ὁπότε φονεύσειαν ἐξ ἐπιβουλῆς τινά, τὸ ἔργον ἀφοσιουμένοις ἀκρωτηριάζειν τὸν νεκρόν, καὶ τῶν μορίων ὁρμαθὸν ποιήσαντας κρημνάναι κατὰ τοῦ τραχήλου, διὰ τῶν μασχαλῶν διείροντας· ἀφ' οὗ δὴ καὶ μασχαλίσματα προσηγόρευσαν αὐτά. Σοφοκλῆς ἐν Τρωίλῳ "πλήρη μασχαλισμάτων." εἴρηκε τὸν μασχαλισμὸν καὶ ἐν Ἠλέκτρᾳ ⟨445⟩.

ἐματαίασε μάταια ἐλάλησεν.

ἐμάτησεν ⟨Hom. Π 474⟩ ἠμέλησεν, ἐματαιοπόνησεν.

ἐμαυτῷ βαλανεύσω ⟨A Pac. 1103⟩ οἱονεὶ ἐμαυτῷ διακονήσω. εἴρηται δέ, ὅταν ὁ βαλανεὺς νωθρεύηται καὶ ἑαυτῷ τις λαμβάνῃ τὴν ἀρύταιναν καὶ διακονῇ. ἢ ἀπὸ τῶν τὰς βαλάνους ἐγκρυπτόντων εἰς πῦρ.

ἐμβαδόν ⟨Hom. O 505⟩ δίχα τοῦ εἰς ναῦν ἐμβῆναι. καὶ αὖθις "ἢ τὸ ἐμβαδὸν ὑπονοοῦντες εἶναι κρυπτήρια ἔστρεφον τοὺς οἴκους."

ἐμβαίη κατέλθῃ.

ἔμβαινε. καὶ ἐμβαίνειν ἀρχὴν λαμβάνειν· "οἱ γὰρ Ῥωμαῖοι πρόνοιαν ἐποιοῦντο τοῦ μηδέποτε πρότεροι τὰς χεῖρας ἐπιβάλλειν τοῖς πέλας, μηδ' ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ' ἀεὶ δοκεῖν ἀμυνόμενοι ἐμβαίνειν εἰς τοὺς πολέμους." ἢ ἐμβαίνειν τὸ συμπλέκεσθαι. cf. v. ἀμυνόμενοι.

ἐμβαίνοντες ἐπιβαίνοντες· "οἱ δὲ Ἀράβιοι ἀρετῇ πολὺ τῶν ἄλλων διαφέρουσιν· οἳ βέλεσιν ἀνδρομήκεσι χρώμενοι, ἀντὶ τῶν χειρῶν τῷ ποδὶ ἐμβαίνοντες εἰς τὴν νευρὰν κυκλοῦσι τὸ τόξον."

ἐμβαλεῖς εἰσελεύσῃ. ἰδίως δὲ ἐμβαλεῖν τὸ ταῖς ναυσὶ κροῦσαι ἢ ταῖς κώπαις· ⟨A Eq. 599⟩ "ῥυππαπαῖ, τίς ἐμβαλεῖ;" ἔστι δὲ καὶ τὸ ῥυππαπαῖ μίμημα ψόφου ναυτικοῦ ὑπὸ τῶν κωπῶν ἀποτελουμένου.

ἐμβάλλουσι καταντῶσιν, ἀπέρχονται· "ἐμβάλλουσι δὲ ὁ μὲν βασιλεὺς ἐς Λυδίαν, ὁ δὲ Προκόπιος ἐς Φρυγίαν τὴν ἄνω" ⟨Eunapius?⟩.

ἐμβαλόντα· "ὁ δὲ παῖς ὢν ἔτι τὸν διδάσκαλον Λίνον πληγὰς αὐτῷ ἐμβαλόντα ἐν τῇ διδασκαλίᾳ δυσανασχετήσας, καὶ οὐκ ἐθέλων ἄρχεσθαι, λίθῳ βαλὼν ἀπέκτεινεν."

Ἔμβαρός εἰμι νουνεχής, φρόνιμος. ἦν πρότερον ὁ Πειραιεὺς νῆσος, ὅθεν καὶ τοὔνομα εἴληφεν ἀπὸ τοῦ διαπερᾶν· οὗ τὰ ἄκρα Μούνυχος κατασχὼν Μουνυχίας Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. ἄρκτου δὲ γενομένης ἐν αὐτῷ καὶ ὑπὸ τῶν Ἀθηναίων ἀναιρεθείσης λιμὸς ἐπεγένετο, οὗ τὴν ἀπαλλαγὴν ὁ θεὸς ἔχρησεν, ἄν τις τὴν θυγατέρα θύσῃ τῇ θεῷ. Ἔμβαρος δὲ μόνος ὑποσχόμενος ἐπὶ τῷ τὴν ἱερωσύνην αὐτοῦ τὸ γένος διὰ βίου ἔχειν, διακοσμήσας αὐτοῦ τὴν θυγατέρα αὐτὴν μὲν ἀπέκρυψεν ἐν τῷ ἀδύτῳ, αἶγα δὲ ἐσθῆτι κοσμήσας ὡς τὴν θυγατέρα ἔθυσεν. ὅθεν καὶ εἰς παροιμίαν περιέστη. τάττεται δὲ ἐπὶ τῶν παραπαιόντων καὶ μεμηνότων.

ἐμβάς τὰ ὑποδήματα τὰ ἀνδρεῖα, παρὰ τὸ ἐμβαίνειν· Ἀριστοφάνης Πλούτῳ ⟨758⟩ "ἐκτυπεῖτο δὲ ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν," ἀντὶ τοῦ πηδήμασιν.

ἐμβατεύων ἐπιβαίνων, καὶ ἐμβατεύσαντες εἰσελθόντες· "οἱ δὲ Οὖννοι ἐς τὴν προκειμένην νησῖδα τῆς πόλεως ἐμβατεύσαντες, τῶν βοσκημάτων τῶν περιττῶν διὰ τὸν πόλεμον φρουρᾶς ἕνεκα ἐς αὐτὴν διακομισθέντων."

ἐμβεβλημένα ἐγκεκεντρισμένα. Ἀριστοτέλης δὲ καὶ ἐμβολάδας ἀπίους τὰς τοιαύτας λέγει. Harp.

ἐμβεβροντημένος μάταιος γενόμενος.

ἐμβελές· ⟨Polyb. 8 6⟩ "ὁ δὲ Ἀρχιμήδης παρεσκευάσατο ὄργανα πρὸς ἅπαν ἐμβελὲς διάςημα, πόρρωθεν μὲν ἐπιπλέοντας τοῖς εὐτονωτέροις καὶ μείζοσιν, ὅτε δὲ ταῦθ' ὑπερπετῆ γίγνοιτο, τοῖς ἐλάττοσιν."

ἔμβιον Ἀντιφῶν τὸ ζῶν καὶ μὴ ξηρανθὲν μηδὲ ἐναποθανόν ⟨Harp.⟩. ⟨Synes. ep. 145⟩ "ἔμβιόν τι ψυχῆς πάθος ἐνέςαξέ μοι κομίσασα."

ἔμβολα μοχλοί, ἀσφάλειαι· "ἔμβολά τε νηῶν γενόμενοι οὐδὲν ὤνησαν οἱ ἀνδριάντες." ἐν ἐπιγράμματι ⟨AP 6 236⟩ "ἔμβολα χαλκογένεια, φιλόπλοα τείχεα νηῶν, Ἀκτιακοῦ πολέμου κείμεθα μαρτύρια." Ἀριςοφάνης ⟨Vesp. 241⟩ "ἔμβολον ⟨immo σίμβλον⟩ δέ φασι χρημάτων ἔχειν αὐτόν."

ἐμβολάς ὁρμάς, ἐπιδρομάς.

ἐμβολή τὸ ἄκρον τοῦ κριοῦ τοῦ μηχανικοῦ ὀργάνου. ⟨Thuc. 2 76?⟩ "τῷ ἐπιφερομένῳ ἄχθει ἀποκαυλίζειν τὸ προέχον τῆς ἐμβολῆς."

ἐμβολήν κλεισούραν, εἴσοδον, πληθύν, ὁρμήν· "καὶ τὸ βίαιον τῆς ἐμβολῆς ἐδόκει παραλογώτερον."

ἐμβόλιμος ἀτελής· ⟨Eupolis Dem.⟩ "Ἱπποκράτους παῖδες ἐμβόλιμοί τινες."

ἔμβολον παρατάξεως ὄνομα· ἔςι δὲ τὸ ἥμισυ τοῦ ῥόμβου, ὀνομάζεται δὲ καὶ σφηνοειδές. ῥομβώδης δὲ παράταξις. καὶ τῆς νηὸς τὸ πολεμικὸν σιδήριον. "τὸν δὲ παρακαλοῦντα πρὸς τὸν πόλεμον ςρατηγὸν κατασπάσας ἀπὸ τῶν ἐμβόλων ἐποιεῖτο τοὺς λόγους." ἔμβολον δὲ καλεῖται, ὅταν ἡ ἀμφίςομος διφαλαγγία τὰ μὲν ἡγούμενα κέρατα ἀλλήλοις συνάψῃ, τὰ δὲ ἑπόμενα διαςήσῃ. Ἀγαθίας δέ φησιν ⟨2 8⟩ "ἦν δὲ αὐτοῖς ἡ ἰδέα τῆς παρατάξεως οἷον εἰς ἔμβολον. δελτωτῷ γὰρ ἐῴκει, καὶ τὸ μὲν ἐμπρόσθιον ὅσον ἐς ὀξὺ ἔληγε, ςεγανόν τε ἦν καὶ πεπυκνωμένον τῷ πάντοθεν ταῖς ἀσπίσι περιπεφράχθαι, φαίης τε ἂν αὐτοὺς συὸς κεφαλὴν τῇ συνθέσει ἀποτυπώσασθαι. τὰ δὲ σκέλη ἑκατέρωθεν κατὰ ςίχους τε καὶ λόχους ἐς βάθος ξυγκείμενα, καὶ ἐπὶ πλεῖςον εἰς τὸ ἐγκάρσιον παρατεταμένα, διίςατο ἀλλήλων ἠρέμα καὶ διεκέκριτο, καὶ προϊόντα ἐς μέγιςον εὖρος ἀπετελεύτα, ὡς καὶ τὸ μεταξὺ χωρίον κενὸν καθεςάναι καὶ τὰ νῶτα γυμνὰ τῶν ἀνδρῶν ςοιχηδὸν διαφαίνεσθαι. ἀπεςραμμένοι γὰρ σφᾶς αὐτοὺς ἐτύγχανον, ὅπως ἂν τοῖς μὲν πολεμίοις ἀντιπρόσωποι εἶεν καὶ ἐκ τοῦ ἀσφαλοῦς ἀγωνίζοιντο τὰς ἀσπίδας προβεβλημένοι, τὰ δὲ ὀπίσθια διὰ τὸ ἀλλήλοις ἀντιτετάχθαι διαφυλάττοιντο."

ἔμβολος χάλκωμα πεπυρωμένον, περιτιθέμενον κατὰ πρῷραν ταῖς ναυσίν. Herodot. 1 166.

ἐμ βραχεῖ Ἀντιφῶν ἀντὶ τοῦ ἁπλῶς καὶ ἐν κεφαλαίῳ. Harp.

ἔμβραχυ ἁπλῶς, ὅλως, συντόμως· "καὶ a
οὐδὲν ἦν εἴς τινα ἔμβραχυ ἀγαθόν, ὃ μὴ ἐκείνου κατέτεινε τὴν ψυχήν" ⟨cf. v. κατέτεινε⟩, ἀντὶ τοῦ ἐλάχιςον. ⟨A Thesm. 397⟩ "πῶς δ' οὐχὶ διαβέβληχ', ὅπουπερ ἔμβραχυ εἰσὶν θεαταί;"

ἔμβραχυ τὸ μικρὸν καὶ εὐτελές· "μαρ- b
τύρεται ὁ θεὸς ὅτι μηδὲν αὐτὸν λαθεῖν δύναται ἔμβραχυ."

ἔμβραχυ συντόμως, καὶ οἷον ἐν βραχεῖ. c

ἐμβρίθεια.

ἐμβριθές ςερρόν, ςιβαρόν. "τὴν περὶ βασιλέως Ἰουςίνου κρατήσασαν δόξαν, ὡς ἔςι μάλα ἐμβριθής τε καὶ κατηκριβωμένος." "καὶ Πέτρος ὁ ῥήτωρ καὶ μάγιςρος ἐμβριθής τε ἦν καὶ ἀνάλωτος ἐν τῷ ῥητορεύειν καταμαλάξαι φρονήματα βαρβαρικά" ⟨cf. v. Πέτρος⟩.

ἐμβριθεςάτη ςερροτάτη· ⟨Polyb. 35 2⟩ "εἷλε δὲ πόλιν Ὀρτόβριγα, δοκοῦσαν κατὰ τὸ μέγεθος καὶ κατὰ τὸ πλῆθος τῶν ἀνθρώπων ἐμβριθεςάτην εἶναι."

ἐμβριθέςατος· "καὶ γὰρ ἐν τοῖς λόγοις ἐμβριθέςατος καὶ φιλογράμματος ἱκανῶς γενόμενος ἧπται καὶ ποιητικῆς."

ἐμβριθῆ νοῦν ςερεὸν καὶ ἔμφρονα λογισμόν. Πισίδης "ἔσω τῶν ἀσπίδων ἦλθες ἐμβριθεῖ τάχει." Μένανδρος ⟨p. 441 Nieb.⟩ "ὁ δὲ Ταγχοσδρὼ ὁ τοῦ Χοσρόου ςρατηγὸς οὐχὶ ἐλέφαντάς τε καὶ ἀγροίκων ὅμιλον καὶ ἕτερα φόβητρα, κόμπῳ μὲν ἁρμόδια ἐνεργὰ δὲ καὶ ἐμβριθῆ οὐδαμῶς, ἀλλὰ τοὺς μαχιμωτάτους τε καὶ εὐοπλοτάτους ἀγείρας, πλήθους τε ἀγεννοῦς ἀντάλλαγμα τοὺς τὰ πολέμια δεινοὺς ἀποκρίνας." καὶ αὖθις "ἑςάναι τε ἐμβριθέςατα καὶ ἐπαμύνειν τῇ πόλει."

ἐμβριμᾶται μετὰ αὐςηρότητος ἐπιτιμᾷ· ⟨Menand. exc. leg. p. 381⟩ "καὶ ἅμα γινόμενοι μανιώδεις καὶ ἐμβριμώμενοι τὰ πονηρὰ ἀπελαύνειν ἐδόκουν." καὶ **ἐμβριμῆσαι** μετ' ὀργῆς λαλῆσαι.

ἐμβρίμημα τὸ μετ' ὀργῆς λάλημα.

ἐμβρόντητος καρδιόπληκτος, μαινόμενος, ἔκφρων.

ἔμβρυον ⟨Hom. ι 245⟩ νεογνὸν βρέφος· ἢ τὸ ὠμὸν καὶ ἄπεπτον.

Ἔμεια τόπος πλησίον Μυκηνῶν.

ἐμειδίασα ἐγέλασα.

ἔμελλε παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐῴκει· ⟨Hom. B 36⟩ "ἅ ῥ' οὐ τελέεσθαι ἔμελλε," καὶ Σοφοκλῆς ⟨Ai. 925⟩ "ἔμελλες ἔμελλες, τάλας," ἀντὶ τοῦ ἐῴκεις, δῆλος ἦς.

ἐμέλλησεν ὑπερέθετο· "ὃ δὲ οὐδὲν ὧν ἔχρῃζε μαθεῖν ἀπεκρύψατο ἢ λέγων ἐμέλλησεν," ἀντὶ τοῦ ἐβράδυνεν. καὶ Ἰώσηπος ⟨B. I. 7 10 1⟩ "οὐδεὶς δ' ἐνέδωκεν, οὐδ' ἐμέλλησεν εἰπεῖν." ἐμέλησε δὲ ἀντὶ τοῦ ἐφρόντισεν.

ἔμετος ἡ τῶν περιττωμάτων κένωσις. ἐμετὸς δὲ αὐτὸ τὸ κενωθέν.

Ἐμεχωνῖται ὄνομα ἔθνους παρὰ Ἰωσήπῳ ⟨B. I. 3 10 7⟩.

ἐμήδισαν τὰ τῶν Μήδων εἵλοντο· "ὅτι μετὰ τὴν ἐν Μαραθῶνι μάχην Θετταλοὶ ἐμήδισαν, δείσαντες τὴν ἀπόφραξιν τῶν Τεμπῶν."

ἐμηκῶντο.

ἐμημεκὼς ἐμέσας.

ἐμήνιεν ὠργίζετο, ἐμνησικάκει· "ἐπ' αὐτὸν δὲ τὸν στρατηγὸν ἀφῆκαν βέλη, διὸ καὶ πλέον ἐμήνιεν."

ἐμηνίων ὠργίζοντο.

ἐμὴν χάριν συντάσσεται ἀντὶ τῦ ἐμοῦ χάριν παρὰ Πλάτωνι.

ἐμηχανᾶτο ἐτεχνάζετο· "οὐ μόνον τοῖς ὀθνείοις ἀλλὰ καὶ τοῖς ὑπηκόοις ἀνέμβατα τὰ ὄρη ἐμηχανᾶτο φαίνεσθαι (μηχάνημα γὰρ τὸ στρατήγημα), οὐ μόνον τῷ ἀνεφίκτῳ ἀλλὰ καὶ ὑπὸ τῶν δυσχωριῶν."

Ἔμισα πόλις, καὶ Ἐμισαῖος ὁ πολίτης.

ἐμιτρώσατο ἐζώσατο. καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ⟨168⟩ "κἈλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν, ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς," ἀντὶ τοῦ μίτραις, τουτέστι ζώναις, διαζωσάμενοι ἁβρῶς περιεπάτουν.

ἐμμαπέως ⟨Hom. E 836⟩ σπουδαίως.

ἐμματάζων ματαιολογῶν.

a ἐμμέλεια εἶδος ὀρχήσεως· ἔστι δὲ ἡ τῶν τραγῳδῶν.

b ἐμμέλεια χορικὴ ὄρχησις. διχῶς, ἐμμέλεια καὶ ἐμμελία, ἡ εὐρυθμία· "οἶσθα γὰρ ὅπως διακείμεθα περὶ τὴν ἐμμελίαν τὴν σήν." καὶ ἡ μετὰ μέλους τραγικὴ ὄρχησις, καὶ ἡ πρὸς τὰς ῥήσεις ὑπόρχησις.

ἐμμελέστερον συνετόν, εὔρυθμον.

ἐμμελῶς συνετῶς, εὐρύθμως, καὶ ἐμμελὴς συνετός, εὔρυθμος. Αἰλιανός "οἱ δὲ ὁμολογίας ἐμμελεῖς ποιησάμενοι πρὸς τοὺς Ἀρκάδας τοὺς αἰχμαλώτους ἐκομίσαντο."

ἔμμηνα κατὰ μῆνα· ⟨S El. 281⟩ "μηλοσφαγεῖ θεοῖσιν ἔμμην' ἱερὰ τοῖς σωτηρίοις." καὶ ἔμμηνοι δίκαι αἵ τε ἐμπορικαὶ καὶ ἐρανικαί.

ἔμμισθοι οἱ ὀφείλοντες λαβεῖν μισθόν· "οἱ δὲ Οὖννοι οὐδέν τι ἧσσον ἔμμισθοι ἐγίνοντο, ληιζόμενοι τὰ Ῥωμαίων."

ἔμμορεν ⟨Hom. A 278⟩ ἔλαχεν.

ἐμνώοντο μνήμην ἐποίουν, ἢ ἐμνηστεύοντο.

ἐμόγησα ἐμόχθησα.

ἐμοὶ δὲ ἔστ' εἰργασμένον τοιοῦτον ἔργον, ὥστε ἀπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν, ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν" ⟨A Eq. 840⟩. θρυλεῖ πάλιν ὁ Κλέων τὰ περὶ Πύλον καὶ Σφακτηρίαν. ἔθος δὲ ἦν τὰ ἀπὸ τῶν πολεμίων ὅπλα ἐν τοῖς ἱεροῖς ἀνατιθέναι. ἕως οὖν, φησίν, ἀνάκειται τὰ ὅπλα τὰ ἀπὸ Πύλου καὶ Σφακτηρίας ἅπερ ἀνέθηκα, οὐδεὶς τολμήσει κατ' ἐμοῦ λέγειν.

ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις. λέγουσιν ὅτι βαρβάρων τινῶν στρατευομένων ἐπὶ Δελφοὺς ἐρωτώμενος ὁ θεὸς ἔφησεν "ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις." ὕστερον δὲ ἐφάνη μετὰ Ἀθηνᾶς καὶ Ἀρτέμιδος, ὧν καὶ ἱερά εἰσιν ἐν Δελφοῖς, ἀπαντῶν τοῖς πολεμίοις.

ἐμπάζεται ἀναβάλλεται, ἐνθυμεῖται· ἢ ἐντρέπεται καὶ φροντίζει.

ἐμπαιγμός.

ἔμπαιος ὁ ἔμπειρος, οἷον ⟨Hom. φ 400⟩ "κακῶν δ' ἔμπαιος ἀλήτης."

ἐμπαλασσόμενοι ἐμπίπτοντες εἰς τὸ ὕδωρ· Θουκυδίδης ⟨7 84⟩ "οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον ἐς τὰ ἐπὶ θάτερα τοῦ ποταμοῦ. παραστάντες δὲ οἱ Συρακούσιοι ἔβαλλον τοὺς Ἀθηναίους."

ἔμπαλιν ἐναντίον. ἢ εἰς τοὐπίσω· "ὃ δὲ ἔμπαλιν διελθεῖν παρεσκεύασε τὸν Ἴστρον, ἐν ταῖς λεγομέναις ὁλκάσι μακραῖς διαβιβάσας τὰ βαρβαρικὰ πλήθη."

ἐμπαράθετος.

ἐμπαροινοῦντες ἐνυβρίζοντες. καὶ Ἰώσηπος (A. I. 6 12 7) "οὕτως ἐμπαροινοῦσι τοῖς πράγμασιν."

ἔμπεδα βέβαια.

ἐμπεδοῖ βεβαιοῖ, ἀσφαλίζεται, διδάσκει.

Ἐμπεδοκλέους ἔχθρα, ἐπὶ τῶν ἐπιμόνως ἐχθρωδούντων πρός τινας. Λυσίας "ὤμην δὲ ἔγωγε τοιαύτῃ φιλίᾳ συνηρμόσθαι ὥστε μηδ' ἂν τὴν Ἐμπεδοκλέους ἔχθραν ἐμποδὼν ἡμῖν γενέσθαι."

a **Ἐμπεδοκλῆς** Μέτωνος· οἱ δὲ Ἀρχινόμου, οἱ δὲ Ἐξαινέτου· καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην. ἠκροάσατο δὲ πρῶτον Παρμενίδου, οὗ τινός, ὥς φησι Πορφύριος ἐν φιλοσόφῳ ἱστορίᾳ, ἐγένετο παιδικά. οἱ δὲ ἔφασαν μαθητὴν Τηλαύγους τοῦ Πυθαγόρου υἱοῦ τὸν Ἐμπεδοκλέα γενέσθαι. Ἀκραγαντῖνος δέ, φιλόσοφος φυσικὸς καὶ ἐποποιός. οὗτος ὁ Ἐμπεδοκλῆς στέμμα ἔχων ἐπὶ τῆς κεφαλῆς χρυσοῦν καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς, καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσίν, ἐπῄει τὰς πόλεις, δόξαν περὶ αὐτοῦ κατασχεῖν ὡς περὶ θεοῦ βουλόμενος. ἐπεὶ δὲ γηραιὸς ἐγένετο, νύκτωρ ἔρριψεν ἑαυτὸν εἰς κρατῆρα πυρός, ὥστε μὴ φανῆναι αὐτοῦ τὸ σῶμα. καὶ οὕτως ἀπώλετο, τοῦ σανδαλίου αὐτοῦ ἐκβρασθέντος ὑπὸ τοῦ πυρός. ἐπεκλήθη δὲ καὶ κωλυσανέμας διὰ τὸ ἀνέμου πολλοῦ ἐπιθεμένου τῇ Ἀκράγαντι ἐξελάσαι αὐτόν, δορὰς ὄνων περιθέντα τῇ πόλει. γέγονε δὲ τούτου μαθητὴς Γοργίας ὁ ῥήτωρ ὁ Λεοντῖνος. καὶ ἔγραψε δι' ἐπῶν περὶ φύσεως τῶν ὄντων βιβλία γ'· καὶ ἔστιν ἔπη ὡς δισχίλια. ἰατρικὰ καταλογάδην, καὶ ἄλλα πολλά.

τοῦτον τὸν Ἀκραγαντῖνον Ἐμπεδοκλέα βαδίσαι φασὶ τὴν ὁδὸν Πυθαγόρου, ἣν καὶ Ἀπολλώνιος ὁ Τυανεὺς ἐζήλωσε. ξυνεῖναι γὰρ τοῖς θεοῖς --- ἐπαινοῦντος εἴη ἄν. cf. v. Πυθαγόρας c.

b **Ἐμπεδοκλῆς** θυγατριδοῦς τοῦ προτέρου, τραγικός. τραγῳδίαι αὐτοῦ κδ'.

ἔμπεδον ἀσφαλές, ἀπὸ τῶν ἐν πεδίῳ θεμελίων κειμένων.

ἐμπεδορκεῖν ἐμπέδως τηρεῖν τὰ ὅρκια· (Herodot. 4 201?) "ἡ δὲ Φερετίμα τὸν ὄροφον ὑποσπάσασα τοῦ βόθρου, ὡς ἂν ἐμπεδορκοίη, ἤλαυνεν εἰς τὴν πόλιν."

Ἐμπεδότιμος. οὗτος ἔγραψε περὶ φυσικῆς ἀκροάσεως· περὶ οὗ λέγει ὁ παραβάτης ἐν τοῖς ἐπιγραφομένοις Κρονίοις "ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύοντες, οἷς τε ἐκεῖθεν λαβὼν Ἡρακλείδης ὁ Ποντικὸς ἔφη, καὶ μικρῷ πρότερον καὶ ὁ κλεινὸς ἡμῖν ἔδειξεν ἱεροφάντης Ἰάμβλιχος."

ἐμπεδωθῆναι ἀσφαλισθῆναι.

ἐμπειρεῖν πεπειραμένως ἔχειν· (Polyb. 8 17) "φήσας γεγονέναι πλείω χρόνον ἐν ταῖς Σάρδεσι καὶ τῶν τόπων ἐμπειρεῖν."

ἐμπειρία.

ἐμπερονῆσαι διατρῆσαι.

ἐμπεσὼν τοῖς πράγμασιν ἄρξας τῶν πραγμάτων· "ὃς ἐμπεσὼν τοῖς πράγμασι τοῖς ὑπὸ χεῖρα, τὸν θυμὸν καὶ τὴν ὀργὴν ἀφιεὶς καὶ ἐκχέων, καὶ μόνην ἀρετὴν ἡγούμενος τὸ ἀδωροδόκητον, ἐκάκωσε τὰ πράγματα."

ἐμπηδῆσαι· (A Nub. 550) "οὐκ ἐτόλμησ' αὖθις ἐμπηδῆσαι αὐτῷ κειμένῳ" τουτέστιν ἐκορέσθην.

ἔμπηρα πεπηρωμένα· (Aelianus: cf. Κορνοῦτος) "αἱ δὲ γυναῖκες ἔτικτον ἔμπηρα καὶ τέρατα. οἱ δὲ τῶν τετολμημένων σφίσι λήθην καταχέαντες ἧκον ἐς Δελφούς."

ἔμπης ἰωνικῶς, ἔμπας δὲ καὶ ἔμπα ἀττικῶς. Σοφοκλῆς (Ai. 122) "δύστηνον ἔμπης, καίπερ ὄντα δυσμενῆ."

ἐμπίπλασθαι κορέννυσθαι.

ἐμπίπλη (A Av. 1310) ἀττικόν· ἦν γὰρ τὸ κοινὸν ἀπὸ τοῦ πίμπλημι πίμπλαθι, ὡς ἵσταθι. ὅμοιον δέ ἐστι καὶ τὸ "Κύκλωψ, τῆ πίε οἶνον" παρὰ τῷ ποιητῇ (ι 347). Ἀττικοὶ γὰρ οὐ τρέπουσιν ἐπὶ τῶν εἰς μι τὸ μ εἰς θ ἐν τοῖς προστακτικοῖς καὶ συστέλλουσι τὴν παραλήγουσαν, ὡς ἡ κοινή, ἵστημι ἵσταθι, πίμπλημι πίμπλαθι· Ἀττικοὶ δὲ τελείαν ἀποβολὴν τῆς μι ποιοῦσι, πίμπλη λέγοντες καὶ ἐμπίπλη. οὕτω καὶ ἀπὸ τοῦ τῆμι τὸ τῆ, ἀντὶ τοῦ λάβε.

ἐμπίπραται ἐμπυρίζεται.

ἐμπὶς ζωΰφιον παρὰ τοῖς ὕδασι γινόμενον, ὅμοιον κώνωπι, μεῖζον δὲ τῇ περιοχῇ, καὶ κατὰ τὸ μέσον λευκῷ περιεζωσμένον. Ἀριστοφάνης (Av. 245) "ἐμπίδας κάπτετε" ἀντὶ τοῦ ἐσθίετε. Πισίδης "κύκλῳ περισφίγξαντες ἐμπίδων δίκην." λέγεται ἐμπὶς Τρικορυσία ὡς ἐν Τρικορύνθῳ πολλῶν ἐμπίδων γινομένων· ἔστι γὰρ ἀλσώδης καὶ κάθυγρος ὁ τόπος.

ἐμπλασσόμενοι ἐπεμβαίνοντες, συρρηγνύμενοι· Αἰλιανός "τοῖς φίλοις καὶ οἰκείοις ἐμπλασσόμενοι ἀπέσφαττον αὐτοὺς ὡς πολεμίους." cf. v. ἐμπαλασσόμενοι. a

b ἐμπλασσόμενοι προσκρούοντες, προσπελάζοντες· "οἱ δὲ Καρχηδόνιοι ἀλλήλοις ἐμπλασσόμενοι καὶ περιπίπτοντες τοῖς θηρίοις ἀπέθνησκον."

ἐμπλατειάσασα τρυφερευσαμένη.

ἐμπλείμην ἀντὶ τοῦ κορεσθείην· Ἀριστοφάνης Ἀχαρνεῦσι ⟨235⟩ "βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλείμην λίθοις." εὐκτικῆς γὰρ ἐγκλίσεως τετύχηκεν. ἔστι γὰρ τὸ ἐμπιπλῶ, ὃ κατὰ ἀναδιπλασιασμὸν κέκλιται· ἀφ' οὗ παράγωγον τὸ ἐμπίπλημι. ἀπὸ τούτου γίνεται τὸ ⟨Hom. Φ 23⟩ "πιμπλᾶσι μυχὸς λιμένος εὐόρμου." τούτου δὲ ἑτέρα παραγωγὴ τὸ πλήθω, ὡς ἀπὸ τοῦ νῶ νήθω. ἀπὸ δὴ τοῦ πλῶ πλείμην ὡς ἀπὸ τοῦ βλῶ βλείμην· οὗ τὸ δεύτερον βλεῖο, ⟨Hom. Ν 288⟩ "εἴπερ γάρ κε βλεῖο πονεύμενος." πλείμην οὖν καὶ ἐμπλείμην.

ἔμπλεως πλήρης, μεστός.

a ἔμπληκτοι μεμηνότες· "ὡς δεινός τε ἦν καὶ αὐθάδης καὶ οἷος τὸ μανιῶδες καὶ ἔμπληκτον ἀνδρίαν ἡγεῖσθαι" ⟨Agath. 1 4⟩.

b ἔμπληκτοι κοῦφοι, εὐμετάβλητοι. καὶ Ὅμηρος ⟨υ 132⟩ "ἐμπλήγδην ἕτερον μὲν τίει βροτῶν." καὶ Σοφοκλῆς ⟨Ai. 1358⟩ "τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν," τουτέστιν οἱ μὴ ἐμμένοντες τῇ ἀρχαίᾳ φιλίᾳ καὶ ἀρετῇ.

ἐμπλήμενος πεπληρωμένος· Ἀριστοφάνης ⟨Eccl. 56⟩ "ἔβηττε τὴν νύχθ' ὅλην τριχίδων ἐμπλήμενος."

a ἔμπλην ὅμως.

b ἔμπλην. ἔστι ῥῆμα πλῶ τὸ πλησιάζω· παράγωγον πλῆμι. γίνεται δὲ καὶ ἀπὸ τοῦ πλῶ κατὰ ἀναδιπλασιασμὸν πιπλῶ πίπλημι, ὡς στῶ ἱστῶ ἵστημι. καὶ πλῶ πλήσω πλήτης, καὶ συνθέσει τειχεσιπλήτης, ὡς βῶ βήσω βήτης καὶ διαβήτης καὶ ἐμπυριβήτης. πλῶ πλήσω πλῆτος καὶ πλάτος. πλῶ ἐκ τοῦ πέλω πλῶ, ὡς κέλω κλῶ. παρὰ δὲ τὸ πλῶ πλήν, καὶ μετὰ τῆς ἐν προθέσεως ἔμπλην, ἐπίρρημα σημαντικὸν τοῦ πλησίον. τὸ δὲ πλὴν τὸ χωρὶς κατ' ἀντίφρασιν ἐξηνέχθη.

ἐμποδοστάτης ⟨Paralip. 1 2 7⟩ ἐμποδίζων.

a ἐμποδὼν Θουκυδίδης ἢ ἀντὶ τοῦ προχείρους· φησὶ γὰρ "τὰς ἐμποδὼν αἰτίας μόνον ἐπισκοπεῖν, πορρωτέρω δὲ μηδὲν ἐπορέγεσθαι ταῖς διανοίαις." Λυκοῦργος δὲ ἐν τῷ κατὰ Λυκόφρονος ἀντὶ τοῦ φανερόν, Πλάτων δὲ ⟨Tim. p. 25 D⟩ ἀντὶ τοῦ ἐν μέσῳ, Ἰσαῖος δὲ ἀντὶ τοῦ ὑπόγυον καὶ ἐν χερσί· φησὶ γὰρ ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει "ἀλλὰ τὸ πρωιζόν, ὦ ἄνδρες Ἀθηναῖοι· τουτὶ γὰρ παντελῶς ἐμποδὼν εἶναι." ἐχρήσατο δὲ τῇ λέξει Ἱεροκλῆς τε καὶ ἄλλοι ἀντὶ τοῦ ἐμποδίου· φησὶ γὰρ ἐν β' φιλοσοφουμένων περὶ τῶν φιλοσόφων "τίς γὰρ αὐτῶν οὐχὶ καὶ ἔγημε καὶ παῖδας ἀνείλατο καὶ οὐσίας ἐπεμελήθη μηδενὸς ἐμποδὼν ὄντος;"

ἐμποδών· Ἡρόδοτος ⟨1 80⟩ "τῶν Λυ- b
δῶν μὴ φειδομένους κτείνειν πάντα τὸν ἐμποδὼν γινόμενον, Κροῖσον δὲ μὴ κτείνειν," ἀντὶ τοῦ τοὺς προχείρους.

ἐμποδὼν Ἀντιφῶν τοὺς ἐμπεσόντας· λέ- c
γει γὰρ "τοὺς ἐμποδὼν ἐκολάσατε." Harp.

ἐμποδὼν ἡμῖν γένηται, τὴν θεὸν μὴ ἐξελκύσαι, Ἀριστοφάνης ⟨Pac. 314⟩. περιττὸν τὸ μή· ἤρκει γὰρ εἰπεῖν τὸ ἐμποδών. χρῶνται δὲ τῷ τοιούτῳ, ἐν ᾧ δοκεῖ περιττεύειν τὸ μή, ὡς καὶ τοιαῦτα, "ἀπαγορεύω σοι μὴ εἰσιέναι."

ἔμποιμνον εἷμα τὸ ἔνδυμα.

ἐμποίνιμον θέσιμον, ἐπιζήμιον.

ἐμποίνιμος ἐμποίνιος, τουτέστιν ἔνοχος ποινῇ, οἷον ἐφ' οἷς ἥμαρτε δοὺς τιμωρίαν. καὶ ποινὴ λέγεται ἡ ἐπὶ φόνῳ πραχθέντι κόλασις. "ὅτι Σατορνῖνος ὁ ὕπατος τυραννίδι ἐπέθετο. οἱ τοίνυν Ῥωμαῖοι ἀναγκαίαν αὐτῷ πίστιν ὑπισχνοῦνται μᾶλλον ἤπερ ἀληθεστέραν, καὶ καταγαγόντες ἐδικαίωσαν θανάτῳ, ὅρκους οὐκ ἐμποινίμους ἡγησάμενοι εἶναι οὕσπερ πρὸς τὸν κοινὸν ἀλάστορα ἐποιήσαντο."

ἐμπολᾷ πραγματεύεται.

ἐμπολαῖος ⟨A Ach. 816⟩ πραγματευτικός.

ἐμπολέμια τὰ εἰς πόλεμον ἐπιτήδεια καὶ εὔχρηστα.

ἐμπολεμῶσαι τὸ πολεμίους ποιῆσαι, οἷον ἐπὶ πόλεμόν τινας παροξῦναι. ἐκπολεμῆσαι δὲ τὸ ἐκπορθῆσαι.

ἐμπολή φορτίον, ἢ τὸ τῆς πραγματείας κέρδος, ἡ συναγωγὴ τοῦ κέρδους. τὸ δὲ ῥῆμα ἐμπολᾶν· Ἀριστοφάνης ⟨Pac. 369⟩ "ἀλλ' οὐδὲν ἠμπόληκά πω, οὔτ' ἄλφιτ' οὔτε πυρόν, ὡς ἀπολούμενος," ὡς εἰ ἔφη ἀποδημῶν ἢ στρατευόμενος· οἱ γὰρ στρατευόμενοι πυρὸν καὶ ἄλφιτα ἑαυτοῖς ὠνοῦντο.

ἐμπόλημα καὶ ἐμπολήσαντες.

ἐμπολήσωμεν ἐμπορευσώμεθα, συνάξωμεν πωλήσαντες τὸν καρπόν.

ἔμπολιν ἐν τῇ αὐτῇ πόλει ὄντα· ⟨S OC

1156⟩ "ἄνδρα σοὶ μὲν ἔμπολιν ὄκ ὄντα, συγγενῆ δέ."

ἐμπομπεύων ἐπιφαίνων, θριαμβεύων.

ἐμπόριον.

a ἔμπορος ὁ πραγματευτικὸς ἄνθρωπος, κυρίως δὲ ὁ πλέων θάλασσαν, παρὰ τὸ πόρος. πόρος δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται, καὶ εὔπορος ὁ ἔχων ἀεὶ τὸν ἐπιρρέοντα πλοῦτον, ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρȣ. sch. A Plut. 521.

b ἔμπορος ὁ ναύλου πλέων ἐπ' ἀλλοτρίας νεώς, ἢ ὁ πραγματευτής.

ἔμπορος εἶναι σκηπτόμενος, Ἀριϛοφάνης ⟨Plut. 905⟩. ἐπὶ τῶν προφασιζομένων ψευδῆ διὰ δειλίαν. εἰσάγεται γάρ τις λέγων ὅτι, ὅτε πέμπομαι εἰς πόλεμον, σκήπτομαι ἔμπορος εἶναι, ὡς τῶν ἐμπόρων μὴ ἐξιόντων ἐπὶ τὰς ϛρατείας διὰ τὸ εὐχρηϛεῖν τὰ πρὸς τροφὴν φέροντας.

ἐμπορπῶ τὸ συμβάλλω, καὶ ἐμπορποῦσθαι τὸ συμβάλλεσθαι. cf. v. ἐνεπορπήθησαν.

Ἔμπουσα φάντασμα δαιμονιῶδες ὑπὸ τῆς Ἑκάτης ἐπιπεμπόμενον καὶ φαινόμενον τοῖς δυϛυχȣ̃σιν· ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν· Ἀριϛοφάνης Βατράχοις ⟨294⟩. Ἔμπουσα δὲ παρὰ τὸ ἑνὶ ποδίζειν ἤγουν τὸν ἕτερον πόδα χαλκοῦν ἔχειν, ἢ ὅτι ἀπὸ σκοτεινῶν τόπων ἐφαίνετο τοῖς μυȣμένοις. ἐκαλεῖτο δὲ αὕτη καὶ Ὀνοκώλη. οἱ δὲ ὅτι ἐξηλλάττετο τὴν μορφήν. δοκεῖ δὲ καὶ ταῖς μεσημβρίαις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζωσιν. ἔνιοι δὲ τὴν αὐτὴν τῇ Ἑκάτῃ. Ὀνοκώλη δέ, ὅτι ὄνου πόδα ἔχει. ὃ λέγουσι βολίτινον, τουτέϛιν ὄνειον· βόλιτος γὰρ κυρίως τῶν ὄνων τὸ ἀποπάτημα. Ἀριϛοφάνης Βατράχοις ⟨294⟩ "καὶ μὴν ὁρῶ νὴ τὸν Δία θηρίον μέγα. ποῖόν τι; δεινόν· παντοδαπὸν γοῦν γίνεται, τοτὲ μέν γε βȣ̃ς, νυνὶ δ' ὀρεύς, τοτὲ δ' αὖ γυνὴ ὡραιοτάτη τις. ποῦ ἐϛί; φέρ' ἐπ' αὐτὴν ἴω. ἀλλ' οὐκέτ' αὖ γυνή ἐϛιν, ἀλλ' ἤδη κύων. Ἔμπουσα τοίνυν ἐϛί. πυρὶ γοῦν λάμπεται ἅπαν τὸ πρόσωπον, καὶ σκέλος χαλκοῦν ἔχει, καὶ βολίτινον θάτερον."

ἐμπρήσαντες καύσαντες.

ἐμπρησμός ὁ διὰ πυρὸς ἀφανισμός.

ἐμπρίσαντες συσφίγξαντες, προσαρμόσαντες· "οἱ δὲ ἐμπρίσαντες τȣ̀ς ὀδόντας τȣ̃ εἶξαι τῷ τυράννῳ γεγόνασι κρείττους" ⟨cf. v. κατατείνας⟩.

ἔμπυον τὸ ἕλκος.

ἐμπύρευμα ἔναυσμα, σπέρμα πυρός ⟨Hom. ε 490⟩.

ἐμπύρου θερμῆς. καὶ ἔμπυρα τὰ καιόμενα ἱερεῖα. ἔϛι δὲ σημεῖα ἐν τούτοις ἀποδεδειγμένα.

ἐμπυρώτατος ὁ κατάπυρος.

ἐμυκᾶτο ἐβρυχᾶτο, ἐμήνιεν· Ἀριϛοφάνης Βατράχοις ⟨569⟩ "ἔβλεψεν εἰς ἐμὲ δριμὺ κἀμυκᾶτό γε."

ἐμύξατο ⟨an ἀμύξατο⟩ ἔξεσεν.

ἐμυωπίασεν ἄκροις τοῖς ὀφθαλμοῖς προσέσχε· μυωπάζω γὰρ τὸ καμμύω.

ἐμφαίνει σημαίνει.

ἐμφαλκωμένοις περιπεπλεγμένοις· "ἔπειτα κάλοις ἐμφαλκωμένοις ἀπὸ τοῦ ἀνωτάτω ἀνήρτησαν διαπήγματος." περὶ κριοῦ μηχανικοῦ.

ἐμφανές ἐπίθετον τῆς ἡμέρας, ὡς καὶ τὸ τῆς νυκτός ⟨Hom. Θ 486⟩ "νύκτα μέλαιναν." Σοφοκλῆς ⟨Ai. 753⟩ "εἷρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε Αἴανθ' ὑπὸ σκηναῖσι."

ἐμφανίζω σοι φανερῶ σοι.

ἐμφαντικῶς ἐννοητικῶς· ⟨Polyb. 11 12⟩ "ὁ δὲ παρεκάλει βραχέως μέν, ἐμφαντικῶς δὲ τοῦ παρόντος κινδύνου," ἀντὶ τοῦ πρεπόντως.

ἔμφασιν προσποίησιν, ἐννόησιν· ἢ τὸ μέγεθος. Πολύβιος ⟨5 110⟩ "ὁ δὲ Φίλιππος ἀνεχώρησε διαταραχθείς, ποιῶν δὲ ἔμφασιν ὡς ἐπί τινα τῶν ἐν Πελοποννήσῳ πράξεων ἐπεϛροφώς."

ἔμφασις ἔνδειξις· Πολύβιος "ταύτην ... ἀνώνυμον" ⟨cf. v. Δημοχάρης⟩.

ἐμφέρεια ὁμοιότης.

ἐμφερεῖς ἀντὶ τοῦ ὁμοίους· "ὁ δὲ ἐμφερεῖς παῖδας τοῖς ἐπιζητηθεῖσι κοσμήσας ὑπὸ πεπλασμένης τιμῆς καὶ ϛηρικῆς ἐσθῆτος."

ἐμφερεϛάτους· "τοὺς τρόπους καὶ τὴν δίαιταν σφηξὶν ἐμφερεϛάτους" παρὰ Ἀριϛοφάνει ἐν Σφηξίν ⟨1098⟩.

ἐμφιλοχωρῶν τὴν χώραν ἀγαπῶν.

ἐμφορούμενος χορεννύμενος.

ἐμφρεατοῖ δικαϛήριον τῶν ἀκουσίων φόνων ἐν Ἀθήναις. Δημοσθένης ἐν τῷ κατ' Ἀριϛοκράτους ⟨77⟩ ἀκριβῶς διέρχεται περὶ αὐτοῦ. ὠνομάσθαι δὲ τὸ δικαϛήριον ἔοικεν ἀπό τινος Φρεάτου ἥρωος, ὡς Θεόφραϛος ἐν ιϛ' νόμων μαρτυρεῖ. Harp.

ἔμφυλος πόλεμος ὁ ἐκ τοῦ αὐτοῦ ἔθνους.

ἐμφὺς ἐμπλακείς, ἐμπεσών· "ὁ δὲ Κελτὸς προθυμίαν εἶχεν ἐμφὺς τῷ πολεμίῳ καὶ χερσὶ καὶ σώματι δίκην θηρίου διασπάσαι αὐτόν."

ἔμφυτον ἐγκάρδιον· "διὰ τὸ προϋπάρχον αὐτῷ μῖσος ἔμφυτον."

ἔμψοφον φίλημα τὸ μετὰ ψόφου γινόμενον.

ἐναβρύνεται μεγαλοφρονεῖ, καυχᾶται.

ἐνάγει ἐμβιβάζει, ἐνάπτει, ἐφέλκεται ἢ προτρέπεται.

ἐναγεῖς βεβήλους, ἀποτροπαίους. Δαμάσκιος "τοὺς δὲ παντάπασιν ἀπεωθεῖτο ὡς ἐναγεῖς ὄντας καὶ ἀνιάτους· οὐδέν τε αὐτὸν ἐδυσώπει προσδέχεσθαί σφων τὴν ὁμιλίαν, ὁ πλοῦτος ἐξαίσιος, ὁ περιφάνεια πολιτείας, ἡ δυναςεία ἄμαχος, οὐ κακοήθεια τυραννική τις."

ἐναγές τὸ σεβάσμιον καὶ ἁγνόν· ἄγος γὰρ τὸ ἱερὸν σέβας. ἔνθεν καὶ τὸ "ἄγη μ' ἔχει" (Hom. Φ 221) καὶ "ὥς σε γύναι ἄγαμαι" (ξ 168). κατ' εὐφημισμὸν δὲ καὶ τὰ μιάσματα ἄγη λέγεται, καὶ οἱ μιαροὶ ἐναγεῖς καλοῦνται. sch. S OR 656.

ἐναγής σεβάσμιος, ἢ καὶ βέβηλος· "ἐκ τούτων ἐκεῖνος τῇ τελετῇ προσήει ἐναγής."

ἐναγῆ φίλων. τὸν μηδέποτε ὑπὸ φίλων ἐς ἀφανεῖ αἰτίᾳ γενόμενον, ἀλλὰ καθαρὸν ὄντα, δεόμεθα μὴ λόγων ἄτιμον βαλεῖν, ἀλλὰ προσδέξασθαι αὐτοῦ τὴν ἀπολογίαν. εἰ δὲ ἐναγῆ τὸν ἐνεχόμενον μύσει, οὕτω· δεόμεθα τὸν μηδέποτε ἐναγῆ γενόμενον εἰς φίλους μὴ ἐν ἀφανεῖ αἰτίᾳ ἄτιμον ποιήσῃς τῶν λόγων. sch. S OR 656.

ἐναγίζειν παρὰ Ἡροδότῳ (1 167) τὰς χοὰς φέρειν ἢ θύειν τοῖς κατοιχομένοις· ἢ τὸ διὰ πυρὸς δαπανᾶν.

ἐναγίζων φονεύων, κατακαίνων. "ἐναγίζουσιν οὖν τῷ Ξάνθῳ Μακεδόνες, καὶ καθαρμὸν ποιοῦσι σὺν ἵπποις ὡπλισμένοις."

ἐναγισμοί ὁλοκαυτώματα. "ἐναγισμῶν ἐνεςηκότων Ῥωμαίοις. ὀλίγαις δὲ ὕςερον ἡμέραις Χαιρέαν μοίραις ἐτίμησαν εἰς τὸ πῦρ τιθεμέναις." καὶ αὖθις (Dio Cass. 65 13) "ταῦτα γὰρ ἡμῖν ζῶσιν ἔτι τὰ ἐναγίσματα Βιτέλλιος καὶ Θεσπεσιανὸς διδοῦσιν, ἵν' ἡμᾶς τοῖς πάλαι νεκροῖς καταθύσωσιν."

ἔναγχος πρὸ ὀλίγου, ἐν τῷ ἔγγιςα παρελθόντι χρόνῳ· "ὃν ἦν ··· ἐκδίκως" (cf. v. ἀνάρσια).

ἐναγωγή ἡ ἔγκλησις· "καὶ πάντα ἄνθρωπον ἀδικηθέντα ὑπ' αὐτοῦ ἀδεῶς τε καὶ ἀζημίως ἐναγωγαῖς κεχρῆσθαι."

ἐναγωγὴ (immo ἀναγωγὴ) οἰκέτου. τῦ πραθέντος οἰκέτου, εἴ τι ἔχει νόσημα, εἰ μὴ προείποι ὁ πωλῶν, ἐφίησιν ὁ νόμος τῷ ὠνησαμένῳ διακρίνεσθαι πρὸς τὸν πεπρακότα, πρότερον ἀπογραψάμενον πρὸς τὰς ἀρχὰς τὴν αἰτίαν. cf. v. ἀνάγεσθαι.

ἐν Ἅιδου. οἱ Ἀττικοὶ χρῶνται τῇ ἐν ἀντὶ τῆς εἰς, ἐν διδασκάλου, ἐν κιθαρισοῦ.

ἐναέριον πνεῦμα ἀκάθαρτον.

ἕναι ἀρχαί αἱ παρῳχημέναι· Δημοσθένης κατὰ Ἀριςογείτονος (α 20). Harp.

ἔναιεν ᾤκει.

ἐν αἰθρίᾳ ἐν φανερῷ.

ἔναιμος πλήρης αἵματος.

ἔναιον ᾤκουν.

ἐναίρειν τὸ τὰ ὅπλα σκυλεύειν. (AP 7 a 147) "μοῦνος ἐναιρομένοισιν ὑπέρμαχον ἀσπίδα τείνας νηυσὶ βαρὺν Τρώων αἰὲν ἔμεινας Ἄρη."

ἐναίρειν καταχρηςικῶς καὶ ἐπὶ θηρίων· b Ὅμηρος (Φ 485) "θῆρας ἐναίρειν·" θῆρες γὰρ οὐκ ἔχουσιν ὅπλα ὥςε σκυλευθῆναι. κυρίως δὲ ἐπὶ ἀνθρώπων.

ἐναίσιμος δίκαιος, καθήκων. (S OC 1482) "ἐναισίῳ δὲ συντύχοιμι" μηδέ τῳ πονηρῶν συντυχών.

Ἐνάκ (Numer. 13 23, Deuteron. 2 11) ὄνομα κύριον. καὶ ἡ νόσος.

ἐν ἀκαρεῖ ἐν βραχεῖ, ἐν ὀλίγῳ· "ἐν ἀκαρεῖ χρόνῳ ἐκινδύνευον διαφθαρῆναι." cf. v. διακλεισθέντες.

ἐνακμάζων ἐνισχύων.

ἐνάλια θαλάσσια, καὶ ἔναλον θαλάσσιον.

ἐναλίγκιος ὅμοιος.

ἐναλλάγδην συμπεπλεγμένως· Ἀγαθίας (1 12) "παρήγαγε δὲ τοὺς πρέσβεις εἰς μέσον ἐναλλάγδην τὼ χεῖρε ὑπὸ τὴν ἰξὺν περιεσφιγμένους, κάτω δὲ τὸ κάρα ἐπινενευκότας."

ἐναλλὰξ ἐνηλλαγμένως.

ἐναλόντες ἐμπεσόντες.

ἐν ἄλῳ κρύπτῃ, ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν, παρ' ὅσον περίοπτος ἡ ἅλως.

ἐν ἄλῳ δρασκάζεις, ἐπὶ τῶν ἀδυνάτων.

ἐν ἀμούσοις καὶ κορυδὸς φθέγγεται.

ἐνανθρωπῶ σύνθετον, καὶ μόνον διὰ τοῦ η.

ἐναντία. ὅτι τὰ ἐναντία κατ' Ἀριστοτέλην (Top. 2 3) συμπέπλεκται μὲν ἀλλήλοις ἑξαχῶς, ἐναντίωσιν δὲ ποιεῖται τετραχῶς συμπλεκόμενα. ἐναντία δὲ λέγονται τὰ πολὺ ἀλλήλων διεστῶτα ἢ τὰ ἀλλήλων ἀναιρετικά. τούτου δὲ λεγομένου οὐχ οἷός τε ὁ ἀπὸ τούτων ὁρμώμενος δεῖξαι ἓν ἑνὶ ἐναντίον. δύνανται γὰρ καὶ πολλὰ πολὺ ἀφεστῶτα ἀλλήλων λαμβάνειν, τοῦτο μὲν ἐν τῷ αὐτῷ γένει· τὸ γὰρ ξανθὸν καὶ τὸ ὠχρὸν πολὺ λευκοῦ διεστάναι, ἀλλὰ καὶ ἀναιρετικά ἐστι τοῦ λευκοῦ, κἀκεῖνο τούτων. ἔστι δὲ πολὺ διεστῶτα καὶ ἐν διαφόροις γένεσι λαβεῖν· ἓν γὰρ ἑνὶ τὰ δύο διέστηκεν.

ἐναντιοῦμαί σοι.

ἐναπερείσασθαι ἐμπῆξαι.

ἐναπήρεισται ἐντετίναχεν. εἴρηται δὲ ἀπὸ τοῦ διατεινομένους ἐμπίπτειν.

ἐναποματτόμενοι ἐντυποῦντες.

ἐναπομόργνυνται ἐναποτίθενται.

ἐναπομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι, τουτέστι τὴν μαλακίαν ἐναποψήσεται, ἀπομάξει. καταπύγων δὲ ἐκωμῳδεῖτο ὁ Πρέπις. Ἀριστοφάνης φησίν (Ach. 843).

ἐνάπτοντες ἐκδεσμοῦντες· (Polyb. 3 46) "ἠσφαλίζοντο δὲ τὰς σχεδίας τοῖς ἀπὸ τῆς γῆς ἐπιγύοις, εἰς τὰ περὶ τὸ χεῖλος πεφυκότα τῶν δένδρων ἐνάπτοντες πρὸς τὸ συμμένειν."

a *ἔναρα* τὰ σκῦλα· (AP 6 163) "οἷά περ οὐκ ἐνοπῆς ἀλλὰ χορῶν ἔναρα, οἷς θάλαμον κοσμεῖτε γαμήλιον." καὶ *ἐναίρειν* τὸ τὰ ὅπλα σκυλεύειν.

b *ἔναρα.* κυρίως ἔναρα ὅσα ἄραρε καὶ συνήρμοσται τῷ σώματι, οἷον θώραξ κυνέα. περιληπτικῶς δὲ εἴρηται καὶ τὰ τόξα ἔναρα.

ἐνάργεια ἡ τῶν λόγων λευκότης καὶ φανότης. *ἐνέργεια* δὲ ἡ ἐν λόγοις (ταχυτής?), ἢ ἡ ἀθρόα προσβολή.

ἐναργής (Hom. γ 420) φανερός.

ἐνάρθρως ἠκριβωμένως.

ἐναρίζειν καὶ *ἐναριζέμεναι.*

ἐναρμόνιον ἐμμελές.

ἐν ἄστει ἐν τῇ πόλει.

ἐνασχολοῦμαι δοτικῇ.

a *ἐναύειν* πυρὸς μεταδιδόναι. Πολύβιος (9 40) "εἰ δέ τις λειπόμενος μὴ θάνοι, φύγοι δὲ τὸν κίνδυνον, τοῦτον μήτε πόλει δέχεσθαι μήτε πῦρ ἐναύειν. περὶ τούτων ἀρὰς ἐποιήσαντο πᾶσι μέν, μάλιστα δὲ τοῖς Ἠπειρώταις εἰς τὸ μηδένα τῶν φευγόντων δέξασθαι τῇ χώρᾳ." καὶ αὖθις Αἰλιανός "εἴ ποτε δημοσία νόσος ··· τὴν νόσον ἔσβεσαν τῷ πυρί" (cf. v. Ἰαχήν). καὶ αὖθις "Καλλίξενος ὁ Ἀθηναῖος διὰ συκοφαντίαν ἆθλα ἀπηνέγκατο τῆς ἀναισχυντίας καὶ ἀσεβείας, ἐν ἄστει μισούμενος καὶ πεινόμενος καὶ ἀποκλειόμενος λιμῷ ἀποθανεῖν, ἐπεὶ μήτε ὕδατος κοινωνεῖν αὐτῷ μήτε πυρὸς ἐναύειν ἐβούλοντο, ὥσπερ οὖν ἐκοινώνουν τοῖς βουλομένοις καὶ δεομένοις." cf. X Hell. 1 7 35.

b *ἐναύειν* (an ἐνιαύειν) τὸ ἱκετεύειν πρὸς τοῖς ναοῖς. "εἰ δὲ ἐντεῦθεν Εὐριπίδης ἐναυσάμενος τὸν λόγον ἅπαντα, εἶτα μέντοι Φοίνικι περιτίθησιν." cf. v. ἐναύσματα.

ἐναυλήματα (an ἐνθυλήματα) ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ δεδευμένα. ἔνιοι δὲ καὶ αὐτὰ τὰ ἄλφιτα ἐναυλήματα καλοῦσιν. cf. v. θυλήματα.

ἐναυλισθῆναι ἐνοικισθῆναι.

ἐναύλισμα οἴκημα.

ἔναυλον οὐ πρὸ πολλοῦ μνημονευόμενον, ἔτι ἐνηχούμενον. Πισίδης "αἰεὶ γάρ, ὡς ἔοικεν, αἱ περιστάσεις ἐκ τῶν ἐναύλων ἠρεθισμέναι πόνων τίκτουσιν ὁρμὰς κρείττονας βουλευμάτων."

ἐναύλους τοὺς χειμερινοὺς ποταμούς, παρὰ τὸ αὐλεῖν.

ἐναύσματα ἀρχάς, ἐμπυρεύματα, ὑπεκκαύματα. "καί τινα ἐξ αὐτοῦ διδασκαλίαν ἐναυσάμενοι, κᾆτα ἐμιμήσαντο ἐς τὸ εὖ καὶ καλῶς" Αἰλιανός φησιν.

ἐν αὐτῇ γὰρ καταφεύγοντες. ἐν τοῖς τοιούτοις πρὸς τὸ πρωτότυπον ἡ σύνταξις ἐπανάγεται· ἔστι γὰρ ἡ σκέπη. θὲς οὖν, εἴ τι βούλει, γένος ἀρσενικὸν θηλυκὸν οὐδέτερον· πάλιν ἐπὶ τὸ τοιοῦτο μέλλεις ἐλθεῖν. ὅμοιον τούτῳ καὶ τὸ "ῥάβδον δυνάμεως κεκτημένοι τὸν σταυρόν." ὀφείλεις οὖν εἰπεῖν ἐν αὐτῷ, πρὸς τὸν σταυρόν.

ἐναφῆκαν ἐνέβαλον· "ἐναφῆκαν τῇ δρυῒ σφῆνας, ὡς διαστaίη."

ἐν βραχεῖ Ἀντιφῶν ἀντὶ τοῦ ἁπλῶς καὶ ἐν κεφαλαίῳ. Harp.

ἐν γὰρ ἀμηχανίῃ καὶ Καρκίνος ἔμμορε τιμῆς, ἐπὶ τῶν εὐτελῶν τῶν διὰ πε-

ριπέτειάν τινα τιμῆς ἀξιουμένων. cf. v. ἐν δὲ διχοςασίῃ.

ἐν γειτόνων τῶν πλησιαζόντων.

ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν.

ἐν γήρει πίονι ⟨Ps. 91 14⟩ ἐν πλήθει ἐτῶν.

ἐν γυάλοισιν ἐν τοῖς κοιλώμασι· ⟨AP 7 43⟩ "χαῖρε μελαμπέπλοις, Εὐριπίδη, ἐν γυάλοισι Πιερίας."

ἐνδατούμενος· "τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος" Σοφοκλῆς Τραχινίαις ⟨793⟩.

ἐν δὲ διχοςασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ, παροιμία ἐπὶ τῶν εὐτελῶν τῶν διὰ περιπέτειάν τινα τιμῆς ἀξιουμένων. τοιαύτη δέ ἐςι καὶ ἡ λέγουσα "ἐν γὰρ ἀμηχανίῃ καὶ Καρκίνος ἔμμορε τιμῆς." "ἐν δὲ διχοςασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς," καὶ "ἐν ἀμούσοις καὶ κορυθὸς φθέγγεται."

ἐνδεέςερος ἐλλιπέςερος· ⟨Damasc. Phot. p. 339b⟩ "ἐνδεέςερος δὲ ἦν ἀεὶ τῆς συμβαινούσης χρείας, διὸ καὶ ὅσα ἔγραφεν, εὕροι τις ἂν τὸ μὲν ὑψηλόνουν καὶ τελεσιουργὸν ἔχοντα, τοῖς δὲ ἔπεσιν οὐ πάνυ συνηρμοσμένα."

ἐνδείκνυμι. ἐνδεικνύναι ἔλεγον τὸ καταγγέλλειν τινὰ κακουργοῦντα περὶ τὰ κοινά ⟨sch. A Eq. 278⟩. καὶ ἐνδείξασθαι ἐπὶ τοῦ κατηγορῆσαι· Ἰώσηπος ⟨B. I. 4 2 5⟩ "πολλοὺς γὰρ διὰ τὰ οἰκεῖα μίση καὶ διαφορὰς ἰδίας ἐνδείξασθαι τοὺς ἀναιτίους."

a ἐνδεῖκται· ⟨Synes. ep. 118⟩ "σπαράττεται γὰρ ὑπὸ ἐνδεικτῶν κακῶς ἐπιφύντων τῇ Κυρήνῃ." συκοφαντῶν, κατηγόρων.

b ἐνδεῖκται. οὗτοι ἦσαν κατὰ τὴν Ἀσίαν· "μὴ ἐάσῃς ἔργον γενέσθαι συκοφαντῶν, ἐνδεικτῶν, κοινῶν ἀλαςόρων τῆς χώρας."

ἐνδεῖν χρῄζειν.

ἐνδειξαμένῳ ἀντὶ τοῦ ἀπολογησαμένῳ. καὶ ἔνδειξις ἡ ἀπολογία.

a ἔνδειξις δίκη κατὰ τῶν ὀφειλόντων καὶ δημηγορούντων· οὐ γὰρ ἐξῆν λέγειν ȣ̓δ' ὅλως ἐπίτιμον εἶναι ὀφείλοντα, ὥςε εἰ καὶ ἦρχέ τις ὀφείλων, ἐνεδείκνυτο. ἤδη δὲ καὶ ἐπὶ τῶν φυγάδων, ὅπου μὴ ἔξεςι κατιόντων, ἡ ἔνδειξις.

b ἔνδειξις. ἐάν τις ἄτιμος ὢν ἢ ὠφληκὼς τῷ δημοσίῳ καὶ μὴ ἐκτετικὼς ἄρχειν ἢ δικάζειν ἐπιχειροίη, τοῦτον ἐνδείκνυσιν ὁ βουλόμενος τῶν πολιτῶν. ὁμοίως καὶ τὸν ἀντιποιούμενον πράξεων ἢ τόπων ἀπηγορευμένων τοῖς νόμοις, οἷον τὸν ἡταιρηκότα τῆς ἀγορᾶς καὶ τοῦ λέγειν ἐν τῷ δήμῳ, ἔτι τὸν κακῶς λέγοντα τοὺς τετελευτηκότας ἀδίκως. ἔπειτα τοῖς ἁλȣ̃σι τούτων τινὸς τιμῶσιν οἱ δικαςαὶ τί χρὴ παθεῖν ἢ ἀποτῖσαι.

ἔνδειξις εἶδος δίκης δημοσίας, ὑφ' ἣν° τοὺς ἐκ τῶν νόμων εἰργομένους τινῶν ἢ τόπων ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν, ὑπῆγον. Δημοσθένης κατὰ Ἀριςογείτονος. Harp.

ἕνδεκα. ἀρχὴ ἐν Ἀθήναις ἐπιμελομένη τῶν ἐν τῷ δεσμωτηρίῳ κατακρίτων· ἐφ' ἣν ἀνήγοντο οἱ κλέπται καὶ οἱ ἀνδραποδιςαί.

ἐνδεκάζοντας ἀντὶ τȣ̃ ἑορτάζοντας, ἐν τῷ αὐτῷ τὴν δεκάτην ἄγοντας. Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνου ⟨40⟩. Harp.

ἐνδελεχισμός ἐπιμονή. ἡ συνήθης θυσία ἡ καθημερινή· ⟨Chrysost. hom. 3 adv. Iud. p. 429⟩ "ἔθος γὰρ ἦν τοῖς Ἑβραίοις καὶ πρωὶ καὶ ἐν ἑσπέρᾳ καὶ καθ' ἑκάςην ἡμέραν τῷ θεῷ θύειν." ⟨Procop. Arc. 6⟩ "πράγμασιν ἐνδελεχεςάτοις ἀπὸ τῆς πενίας μαχόμενοι, ἀπαλλαξείοντες ἐς Βυζάντιον ᾖεσαν."

ἐνδελεχῶς συνεχῶς.

ἐνδέξασθαι παραλαβεῖν, ἀκροάσασθαι. "ȣ̓κ ȣ̓̃ν πρόσθεν ἔτι ἀποκρίνασθαι περὶ σπονδῶν, ȣ̓δὲ φίλιον λόγον ἐνδέξασθαι παρὰ τῶν τὰ πολέμια ἔργα δρώντων."

ἐνδέξια ⟨Hom. I 236⟩ αἴσια, καλά.

ἐν δέοντι ἐν τῷ χρησίμῳ· Ἀριςοφάνης ⟨Pac. 271⟩ "εὖ γε ποιῶν ἀπόλωλε κἀν δέοντι τῇ πόλει, ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι," τουτέςι πρὶν ταράξαι ἡμᾶς.

ἐνδέχεσθαι παραδέχεσθαι, πείθεσθαι. "ὃ δὲ ἐλπίσι κεναῖς αὐτοὺς ἔβοσκεν, ȣ̓κ ἐῶν τοὺς Βελισαρίου λόγους ἐνδέχεσθαι." "καὶ λόγους ὑπὲρ αὐτοῦ θειοτέρους ἀναπλάττειν, καὶ φήμας ἐνδέχεσθαι τερατωδεςέρας."

ἐνδιάει ἔνεςι, διατρίβει· ⟨AP 5 270⟩ "ὄμμασι μούνοις θέλγομαι, οἷς ἐλπὶς μείλιχος ἐνδιάει." καὶ ἔνδιος παρὰ Ὁμήρῳ ⟨δ 450⟩ ὁ μεσημβρινός. καὶ ἔνδια· "τρισσὰ μὲν ἀντολικῶν ἀναπέπταται ἔνδια κύκλων."

ἐνδιαίτημα διατριβή.

ἐνδιατρίψας τῇ πόλει ἡμερῶν τινῶν.

ἐν δίκῃ ἀντὶ τοῦ δικαίως καὶ μάλα εἰκότως.

ἔνδικον δίκης ἄξιον, ἢ δίκαιον. "καὶ γὰρ

ὁ Μιθριδάτης τά τε ἄλλα ἔνδικος ἦν βασιλεύς."

ἐν διομείοις Ἡράκλειον ἢ ἐν διομείοις ἀγομένη τῷ Ἡρακλεῖ ἑορτή. cf. Harp.

ἔνδιος μεσημβρινός· "ὄφρα μὲν οὖν ἔνδιος ἔην ἔτι, θέρμετο δὲ χθών, τόφρα δ' ἔην ὑάλοιο φαάντερος οὐρανὸς ἤνοψ," τουτέςιν ὁ λαμπρός.

ἐνδοιαςὸν ἀμφίβολον.

ἐνδόμυχος σκοτεινός, ἀπόκρυφος· Δαμάσκιος "οὕτω δὲ ἐνδόμυχος ἐγεγόνει καὶ σιωπηλὸς ἐπὶ τέτοις ἃ κρύπτειν ἐδοκίμαζεν, ὥςε μηδὲ ἐρωτώσῃ τῇ μητρὶ λέγειν ὅπῃ ἀπίοι."

ἔνδοξα. φησὶν Ἀριςοτέλης συλλογισμὸν διαλεκτικὸν εἶναι τὸν δι' ἐνδόξων γινόμενον. ἔνδοξα δέ ἐςι δι' ὧν ὁ διαλεκτικὸς γίνεται συλλογισμός, τουτέςι τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείςοις ἢ τοῖς σοφοῖς, καὶ τούτοις ἢ πᾶσιν ἢ τοῖς πλείςοις ἢ τοῖς μάλιςα γνωριμωτάτοις καὶ ἐνδόξοις. καὶ εἴη ἂν κυριώτατα μὲν καὶ πρῶτα τὰ πᾶσιν ἢ τοῖς πλείςοις δοκοῦντα. πᾶσι μὲν τὸ αἱρετὸν ἀγαθὸν εἶναι, τὸ δὲ αἱρετὸν εἶναι ὑγείαν πλοῦτον ζωήν· οἱ γὰρ ἄλλως λέγοντες οὐχ ὡς διακείμενοι λέγουσιν, ἀλλὰ θέσει παρίςανται, μαρτυρῦσι δὲ αὐτοῖς ὡς τοιύτοις διὰ τῆς αἱρέσεως αὐτῶν. τοιοῦτο καὶ τὸ τὸ ἀγαθὸν ὠφελεῖν, καὶ τὸ δεῖν τοὺς γονεῖς τιμᾶν. τοῖς δὲ πλείςοις τὸ τὴν φρόνησιν πλούτυ αἱρετωτέραν εἶναι, ἢ τὸ ψυχὴν σώματος τιμιωτέραν, καὶ τὸ θεὸν εἶναι. οἱ δὲ σοφοὶ ὡς ὁ Πλάτων, ὅτι ἡ ψυχὴ ἀθάνατος, καὶ Ἀριςοτέλης, ὡς ὁ ὐρανὸς πέμπτον τι σῶμα, καὶ ἡ εὐδαιμονία ὑπ' ἀρετῆς γίνεται, καὶ τὴν ἀρετὴν δι' αὑτὴν αἱρετὴν εἶναι. ἐπεὶ δὲ οὗτοι ἔνδοξοι κατὰ σοφίαν, ἔνδοξα καὶ τὰ εἰρημένα. διαφέρει δὲ ἔνδοξον τοῦ ἀληθοῦς οὐ τῷ ψευδὲς εἶναι (ἔςι γάρ τινα ἔνδοξα καὶ ἀληθῆ) ἀλλὰ τῇ ἐπικρίσει ... ὅτι ἐςὶν ἀληθές. τῷ δὲ ἐνδόξῳ ἀπὸ τῶν ἀκουόντων καὶ τῶν τούτων ὑπολήψεων, ἃς ἔχυσι περὶ τῶν πραγμάτων. Alex. Aphrod. in Top. p. 12.

ἔνδοξα ἁπλῶς τὰ κατὰ τὴν πάντων δόξαν ἢ τῶν πλείςων, ὡς τὸ τὴν ὑγίειαν αἱρετὸν εἶναι· ὡρισμένως δὲ ἔνδοξα τὰ τῷδέ τινι τῶν ἐνδόξων ἑπόμενα, οἷον Πλάτωνι ἢ Ἀριςοτέλει ἢ Γαληνῷ. ἄδοξα δὲ ἁπλῶς μὲν τὰ τοῖς ἐνδόξοις ἀντικείμενα· ταῦτα δ' ἂν εἴη τὰ παρὰ τὰς τῶν πάντων ἢ τῶν πλειςων δόξας λεγόμενα. ὡρισμένως δὲ ἄδοξα τὰ μαχόμενα τοῦδέ τινος ἐνδόξου τῇ δόξῃ, ὡς φέρε εἰπεῖν τὸ μὴ εἶναι τὴν ψυχὴν ἀθάνατον, ἐπεὶ μάχεται τῇ Πλάτωνος δόξῃ. οὔτε δὲ ἔνδοξον οὔτε ἄδοξόν ἐςι πρόβλημα περὶ οὗ οὗτοι οὐδετέρως δοξάζουσιν, οἷον τὸ περιττοὺς εἶναι τοὺς ἀςέρας ἢ ἀρτίους, ἢ τὰς τρίχας τῆς κεφαλῆς· ἢ περὶ οὗ ἐπ' ἴσης ἀμφοτέρως, οἷον περὶ τῦ ἄπειρον εἶναι καὶ μὴ εἶναι, ἢ τὸ εἶναι ἐπιςήμας τὰς ἀρετὰς ἢ πάλιν μὴ εἶναι. id. p. 262.

ἐνδόσιμον· (cf. κελευςής) "οἱ δὲ κελευςαὶ τοῖς ἐρέταις τὸ ἐνδόσιμον ἐνέδοσαν." καὶ ἔνδοσις ἐπὶ τούτου. "οἱ δὲ ἐπὶ τῇ ἐνδόσει ἀθρόοι τῷ ῥοθίῳ ἐπηλάλαξαν."

ἐνδόσιμον κινήσεως καὶ ἀρχῆς αἴτιον· "ὁ δὲ ψαλμὸς οἷος ἐνδόσιμος εἶναι τῇ ᾠδῇ." cf. v. μουσουργοί.

ἐνδοῦναι προδοῦναι, παραδῦναι, ἢ καὶ εἶξαι.

ἐνδούς ἀραιώσας.

ἐνδρανής πρακτικός.

ἐνδύεται τὴν λεοντῆν, ἐπὶ τῶν μεγάλοις ἐπιχειρούντων πράγμασιν, ἐκ μεταφορᾶς τοῦ Ἡρακλέους.

ἐνδυκέως ἐπιμελῶς.

Ἐνδυμίωνος ὕπνον καθεύδεις. ἐπὶ τῶν ὑπνηλῶν εἴρηται ἡ παροιμία διὰ τὸ τὸν ὕπνον ἐρασθῆναι Ἐνδυμίωνος, καὶ ἔτι καθεύδειν καὶ σὺν αὐτῷ εἶναί φασι.

ἔνδυο τὸ ταχέως, ὡς ἡμεῖς, Μένανδρος Ἐφεσίῳ "παρέσομαι γὰρ ἔνδυο."

ἐνδυμενία· (Polyb. 4 72) "τὴν μὲν ἐνδυμενίαν ἅπασαν ἐκ τῶν οἰκιῶν ἐξήρπασαν," τὰ ἔπιπλα.

ἐνδυτά· (AP 6 237) "ἐνδυτὰ καὶ ξανθὸς ἐκρέμασεν πλοκάμους," τυτέςι περιβλήματα.

ἐνδώσειν ὁρίσαι, προσάξαι· "καιρὸν δὲ τῆς διαβάσεως καὶ τόπον αὐτὸς ἐνδώσειν ἔφη."

ἐνέβαλεν ἔτυψεν· (Xen. Anab. 1 5 11) "ὁ δὲ κρίνας τῦτον ἀδικεῖν πληγὰς ἐνέβαλε," καὶ αὖθις "τοῖς μὲν τραύματα ἐνέβαλε."

ἐνέβη ἀντὶ τοῦ εἰσῆλθε. "τῶν δὲ συνήθων τις αὐτῷ ἐνέβη τῷ ποδὶ λακτίσας κείμενον τὸν ταῦρον. καὶ ἀκούω τὸν πόδα ἐκεῖνον εἰς οἴδημα ἀρθῆναι καὶ φλεγμήναντα σφακελίσαι" (cf. vv. οἴδημα et σφακελισμός). καὶ αὖθις "ἐνέβη δὲ ναῦν ἀποχρῶσαν τοῖς ἑταίροις."

a *ἐνεβριμήσατο* ⟨Matth. 9 30⟩ μετ' ὀργῆς ἐλάλησεν.

b *ἐνεβριμήσατο* μετ' αὐστηρότητος ἐπετίμησεν.

ἐνεγκαμένη πατρίς.

ἐνέγκασθαι ἐνέγκαι.

ἐνεγκοῦσα πατρὶς ἢ μήτηρ.

ἐνέγκωμεν αὐθυπότακτον. καὶ ἐνέγκῃς.

ἐνεγύησεν· "ὃ δὲ ἐνεγύησε κατὰ τὸ καρτερὸν τὰ κέρατα περισχίσαι αὐτίκα, οὕτω τε τοὺς βαρβάρους εἰσδέξασθαι," ἀντὶ τοῦ παρήγγειλεν.

ἐνέδει ἐνέλειπεν. "ὅσοις ἐνέδει, ἐδίδοσαν." "εἴ τῳ πού τι ἐνέδει, ἐξεπλήρου."

ἐνεδέχοντο παρελάμβανον, εἰσεδέχοντο· "οἱ δὲ τὸν Κινέαν ἐνεδέχοντο, καὶ παρελθὼν ἐς τὴν πόλιν ἐσεμνολόγει περὶ Πύρρου" ⟨Dio Cass.?⟩.

ἐνεδίδου καὶ *μετεδίδου* γενικῇ.

ἔνεδρον ἔγκρυμμα δολερόν.

ἐνεθουσία ἐμαίνετο.

ἐνείη ἀντὶ τοῦ ἔνεστιν. Ἀριστοφάνης ⟨Eq. 691⟩ "εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῇ." οἷον διαμαρτήσαιμι τῆς ἐλπίδος, εἴ σε μὴ ἀπολέσαιμι, εἴ τι τῶν ἐμῶν ὑποκρίναιο ψευσμάτων. ἐπεὶ αὐτὸς ἀντιψευδόμενος ἔδοξεν ὁ ἀλλαντοπώλης αὐτὸν παρευδοκιμεῖν. ἄλλως. εἴ τι τῶν ἐμῶν ψευδῶν σώζεται, τουτέστι τῶν ἐνόντων μοι· εἰ μὴ ἀπολώλεκα τὸ ψεύδεσθαι, διαπέσοιμι πανταχοῦ, εἰ μή σε ἐξ ἀνθρώπων ποιήσαιμι.

ἐνεῖκαι. ἀπὸ τοῦ ἐνέκω ἐνέξω ἤνεκα, πλεονασμῷ τοῦ ι ἤνεικα, καὶ ἐνεῖκαι. ἐπλεόνασε δὲ τὸ ι, διότι πᾶς ἀόριστος, μὴ ἔχων σ ἢ ξ ἢ ψ, μακρᾷ θέλει παραλήγεσθαι, οἷον ἔκειρα ἔνειμα ἤνεικα.

ἐνείκασθαι ἐνεγκεῖν.

ἐνείκησεν ἐκακολόγησεν, ὕβρισεν.

ἐνείλλοντες· Θουκυδίδης ⟨2 76⟩ "ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐσέβαλλον εἰς τὸ διῃρημένον τοῦ τείχους."

ἐνείμαντο ἐμέρισαν.

Ἐνειός.

ἐνείραντες ἐμπερονήσαντες.

ἐνειρμένος πέδαις ἀντὶ τοῦ συμπεπλεγμένος.

ἐνεῖσα ἐμβαλοῦσα· ⟨AP 7 172⟩ "σαρκὶ τὸν ἐκ γενύων πικρὸν ἐνεῖσα χόλον."

ἔνεισιν ἐμβάλλει.

ἐνέκαψα, *κἆτα βδελυχθεὶς ὀσφρόμενος ἐξέπτυσα*. A Vesp. 787.

ἐνέκειντο ἐπιμόνως ἠσχολοῦντο· "εἰ δή τι ἐλέλειπτο, ἁρπασάμενοι ἐνέκειντο τῇ πολιορκίᾳ."

ἐνεκότει ἐμνησικάκει, ὠργίζετο· ⟨Menander?⟩ "ὁ οὖν Χαγάνος ἐνεκότει εὐδοκιμηθείσαις ταῖς Ῥωμαίων δυνάμεσι."

ἐνεκότουν· Δαβίδ ⟨Ps. 54 3⟩ "καὶ ἐν ὀργῇ ἐνεκότουν μοι," τουτέστι μετ' ὀργῆς ἠναντιώθησάν μοι.

ἐνέκρινον τοῖς καλοῖς συνηρίθμησαν, ὡς *ἀπέκρινον* ἀπεδοκίμαζον. Αἰλιανός "Ῥωμαῖοι πολεμοῦντες οὐδένα τόπον οὔτε ἐνέκρινον οὔτε ἀπέκρινον, ἀλλ' ἔνθα ἔτυχον ἠγωνίζοντο." cf. v. ἀπειθεῖν.

ἐνελόχισαν ἐνήδρευσαν.

ἐνεμημένων· ⟨an *νενεμημενων*? cf. v. Βοωτίαις⟩ "τῶν δὲ ἄλλων τῶν περὶ βασιλέα τοῖς ἐρύμασιν ἐνεμημένων" Κρίτων ἐν Γετικοῖς.

ἐνέμοντο ἐκαρποῦντο, ᾤκουν.

ἐνένιπεν ἐκακολόγησεν.

ἐνεός ἄφωνος, κωφός, ἐξεστηκώς, νωδός, νωχελής, μετέωρος. Ξενοφῶν ⟨Anab. 4 5 33⟩ "τοῖς δὲ παισὶν ἐδείκνυσαν ὥσπερ ἐνεοῖς ὅ τι δέοι ποιεῖν." σημαίνει δὲ καὶ ὄνομα κύριον.

ἐνεόχμωσε νεωστὶ κατεσκεύασεν, ἐκίνησεν.

ἐνεόχμωσεν ἠλλοίωσεν, ἐκαινοποίησεν.

ἐνεπάρην ἐνέπεσον.

ἐνέπασσεν ⟨Hom. Γ 126⟩ ἐνέβαλλεν, ἐνεποίκιλλεν.

ἐνέπεσε συνέβη, ἐγένετο· Πολύβιος ⟨35 5⟩ "ἐνέπεσε δέ τις ὁρμὴ τῷ Σκιπίωνι καὶ διαπόρησις, εἰ δεῖ συμβαλεῖν καὶ μονομαχῆσαι πρὸς τὸν βάρβαρον." "τοσόσδε διὰ τῆς νυκτὸς ἐνέπεσε σεισμὸς ὥστε ἐξέθορον ἐκ τῆς κοίτης."

ἐν ἐπηκόῳ ⟨X Anab. 7 6 8⟩ εἰς ἐπήκοον πάντων.

ἐνεπίσκημμα καὶ *ἐνεπισκήψασθαι*. ὁπότε δημευθείη τινὸς ἡ οὐσία, ἐξῆν προελθεῖν τῷ φάσκοντι γεγενῆσθαι δανειστῇ τοῦ ἀνδρός, καὶ λέγειν ὡς ὀφείλεται αὐτῷ ἐν τῇ οὐσίᾳ χρέος· καὶ τοῦτο λέγεται ἐνεπίσκημμα καὶ ἐνεπισκήψασθαι. Harp.

ἐνεπισκήψασθαι καὶ *ἐγγύην καταβαλεῖν*. καταδικασθέντων τινῶν δημεύεσθαι τὰς οὐσίας, εἰ λέγοιέν τινες ὡς εἴησαν δα-

Digitized by Google

νειςαὶ τῶν δημευομένων, ἀπογράφεσθαι τούτους ἐκέλευον πότε καὶ πόσον ἐδάνεισαν ἀργύριον· ὅπερ ἐλέγετο ἐνεπισκήψασθαι. εἰ μέντοι γε παρίσων ἐγγυητὰς τοῦ μὴ ἂν διαψεύσασθαι περὶ τοῦ δανείσματος οἱ δανείσαντες, τοῦτο ἐγγύης καταβολὴν ἔλεγον.

ἐνεπορπήθησαν συνεβλήθησαν. cf. v. ἐμπορπῶ.

ἐνέργεια. ὅτι ἡ ἐνέργεια καθολικωτέρα ἐςὶ τῆς κινήσεως, ἡ δὲ κίνησις τοῦ πάσχειν. πᾶν μὲν γὰρ τὸ πάσχον καὶ κινεῖται, πᾶν δὲ τὸ κινούμενον καὶ ἐνεργεῖ. οὐκέτι μέντοι τὸ ἐνεργούμενον κινεῖται. ἐνέργεια μὲν γάρ ἐςιν ἡ ἀθρόα προσβολὴ ἀπὸ τῆς ἕξεως, κίνησις δέ ἐςιν ἀτελὴς ἐνέργεια· ἡ γὰρ ἀπὸ τοῦ πρώτου δυνάμει ἐπὶ τὴν ἕξιν ὁδὸς κίνησίς ἐςι. πᾶσα δὲ γένεσις καὶ πᾶσα ἐνέργεια ἄλλου τινὸς γίνεται τέλους χάριν. τέλος γὰρ τῆς γενέσεως καὶ τοῦ γινομένου τὸ εἶναι, καὶ τῆς ἐνεργείας καὶ τοῦ ἐνεργεῖν τὸ ἐνηργηκέναι. οὐκ ἐπὶ πάντων δὲ τοῦτο ἀληθές· ἡ γὰρ εὐδαιμονία ἐν τῷ ἐνεργεῖν κατ᾽ ἀρετήν, οὐκ ἐν τῷ ἐνηργηκέναι. δεῖ οὖν σκοπεῖν πότερον ἐνέργεια τὸ τέλος τῆς δυνάμεως ἢ ποίημά τι καὶ ἔργον. ἐφ᾽ ὧν μὲν οὖν ποίημα, πταίουσιν οἱ πρὸς τὴν ἐνέργειαν ἀποδόντες· τέλος γὰρ ἐπὶ τούτων τὸ ἔργον, καὶ βέλτιον τῆς ἐνεργείας. ἐφ᾽ ὧν δὲ ἐνέργεια ψιλή, ἐνέργειαν μόνην θετέον. πολλῶν γὰρ οὐ τὸ γεγενῆσθαι τέλος, ἀλλὰ τὸ γίνεσθαι· καὶ γὰρ ἥδεσθαι μᾶλλον αἱρούμεθα ἢ πεπαῦσθαι τῆς ἡδονῆς, καὶ θεωρεῖν ἢ τεθεωρηκέναι. ad Top. 6.

ἐνεργόν ἐπιτεταμένην, σύντονον. Πολύβιος ⟨8 16⟩ "οἱ δὲ ἐξαναςάντες ἐνεργὸν ἐποιήσαντο τὴν πορείαν καὶ τὴν ἔφοδον."

ἐνερείδοντες ἐμπηγνύντες, καὶ ἐνερείσας ἐμπήξας.

ἐνερευθής ἀντὶ τοῦ ἐρυθρός· ⟨Polyb. 32 9⟩ "τῷ χρώματι γενόμενος ἐνερευθής."

ἔνερθεν ὑποκάτωθεν.

ἐνέροις νεκροῖς, ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ κεῖσθαι.

ἐνέρσει· ⟨Procop. Goth. 3 20⟩ "τὸ ξύλον σιδήρῳ διέφθειραν, ᾧπερ ἐνέρσει τείχους ἑκατέρου ἐναρμοσθέντι τὰς πύλας ἐπιζευγνύναι εἰώθασιν."

ἐνέρσει κρωβύλου ἀναδούμενοι, τουτέςιν ἐν εἰσέρσει ἢ συμπλοκῇ. κρωβύλος δέ ἐςιν εἶδος πλέγματος τῶν τριχῶν, ἀπὸ ἑκατέρων εἰς ὀξὺ καταλῆγον. Thuc. 1 6.

ἐνέρτερος κατώτερος.

ἐνεσκευασμένην ἀντὶ τοῦ διεσκευασμένην καὶ πεπλασμένην Ἰσαῖος καὶ Δημοσθένης.

ἐνέσκηψαν ἐνώρμησαν, ἐνέπηξαν.

ἐνεσκίμφθη ⟨Hom. *Π* 612⟩ ἐνεπάγη.

ἐνεσκιρρώθη, ἐκ τοῦ σκίρρος, ὃ σημαίνει τὸν γύψον.

ἐνεςήσαντο καὶ μετῆλθον, ἀντὶ τοῦ ἔκριναν ποιῆσαι. ⟨A Lys. 268⟩ "ὅσαι τὸ πρᾶγμα τοῦτ᾽ ἐνεςήσαντο καὶ μετῆλθον."

ἔνεςι κἀν μύρμηκι χολή. παρεγγυᾷ μηδὲ τῶν μικρῶν καταφρονεῖν.

ἐνετῇσι περόναις· "χρυσείῃσιν ἐεργομένην ἐνετῇσιν." cf. v. ἅλλικα.

ἐνετιμᾶτο διαφέρει τοῦ ἀπετιμᾶτο. ὅταν μὲν γάρ τις ὥς τι ποσὸν ἀργύριον ἀποτίμημα λαμβάνῃ, ἀποτιμᾶσθαι λέγεται· ὅταν δὲ ἐν εἴδεσί τισι λογίσηταί τις μέρος τι τοῦ ἀργυρίου, τοῦτο λέγεται ὡς ἐνετιμήσατο. Harp.

Ἐνετοί ἔθνος Παφλαγόνων.

ἐνετολμήσατο ἀπεθάρρησεν· "εἶτα μέντοι ἐνετολμήσατο τηλικοῦτον τόλμημα." cf. v. παλαμναῖος.

ἐνετρύλλισε κατεῖπεν· Ἀριστοφάνης ⟨Thesm. 348⟩ "προαγωγὸς οὖσ᾽ ἐνετρύλλισεν τῷ δεσπότῃ.

ἔνευ ἐπιφώνημα.

ἐνεχείρισε ποιμαίνειν τοὺς μαθητάς.

ἐνέχεις ἐκίρνας· Ἀριςοφάνης ⟨Plut. 1022⟩ "εἰ Θάσιον ἐνέχεις, εἰκότως γε νὴ Δία," ὡς τοῦ Θασίου οἴνου εὐόσμου ὄντος· ὁ γὰρ Στάφυλος ὁ ἐρώμενος Διονύσου ἐν Θάσῳ ᾤκει, καὶ διὰ τοῦτο διαφέρει ὁ Θάσιος οἶνος.

ἐνέχραυε τὸ σῶμα ἐνέπληττεν. Ἡρόδοτος ⟨6 75⟩ "τὸ σῶμα ἐόντα ὑπομαργότερον· ὅκως γάρ τεῳ ἐντύχοι Σπαρτιητέων, ἐνέχραυε τὸ πρόσωπον τῷ σκήπτρῳ," περὶ Κλεομένους τοῦ Σπαρτιάτου λέγων.

ἐνέχυρον τὸ διδόμενον ὑπὲρ χρέους. οὐ μόνον ἐνέχυρά φασιν, ἀλλὰ καὶ ἐνέχυρον. φαίνεται δὲ καὶ τῶν ἀπηγορευμένων εἶναι μὴ θεῖναι τὰ ὅπλα ἐνέχυρα· λέγει οὖν περὶ τῆς πενίας, ὅτι αὐτὴ τῇ ἑαυτῆς βίᾳ ἀναγκάζει καὶ τοὺς νόμους παραβαίνειν τοὺς θεσπίσαντας ὅπλα ἐνέχυρα μὴ τιθέναι. sch. A Plut. 451.

ἐνεχώρουν· "οἱ δὲ ἱερεῖς καταπεπληγμένοι τῷ δέει ἐξίςαντο καὶ ἐνεχώρουν αὐτῇ ἅπαντες" ἀντὶ τοῦ συνεχώρουν.

ἐνεώλκησαν τὰς ναῦς εἵλκυσαν.

a ἔνη. ⟨A Ach. 171⟩ "παρεῖναι δ᾽ εἰς ἔνην" οἷον εἰς τρίτην. ⟨Hes. O. 408⟩ "μηδ᾽ ἀναβάλλεσθαι ἔς τ᾽ αὔριον ἔς τ᾽ ἔννηφι." τινὲς δὲ εἰς τριακάδα. Ἀττικοὶ δὲ καλοῦσιν ἔνην καὶ τὴν παλαιάν· Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριϛογείτονος ⟨α 20⟩ "τὰς ἔνας ἀρχὰς ταῖς νέαις ὑπεξιέναι."

b ἔνη ἡ τρίτη τῆς σελήνης. Ἀριϛοφάνης ⟨Eccl. 791⟩ "θάρσει, κατατεύξῃ, κἂν ἔνης ἔλθῃς," ἀντὶ τοῦ εἰς τρίτην. "οἶδα τȣτȣς χειροτονοῦντας μὲν ταχύ, ἅττ᾽ ἂν δὲ δόξῃ, ταῦτα πάλιν ἀρνουμένους."

ἔνη. Ἀττικοὶ τὸ ἔνη περιττὸν ἔθεσαν, ὡς τὸ ἔχων, "ληρεῖς ἔχων." οἱ δὲ λείπειν φασὶ τὸ δύο· ἐρωτῶν δὲ λέγει, ἐν ᾗ δύο. Ἀριϛοφάνης Ἀχαρνεῦσιν ⟨610⟩ "ἤδη πεπρέσβευκας σὺ πολιὸς ὢν ἔνη;"

ἐνή, ὀξυτόνως, ἡ νέα.

ἐν ᾗ ἂν ὁ τοιοῦτος βρότος ἐγγένηται. νῦν ὡς βρότον αἱματόεντα, τὸν φονικὸν σημαίνων λέγει.

a ἔνη καὶ νέα ἡ τριακὰς καλουμένη. ἕνον τὸ παλαιόν, καὶ νέον τὸ νέον.

b ἔνη καὶ νέα. οὕτω παρ᾽ Ἀθηναίοις ἡ παρ᾽ ἡμῖν τριακάς, ἡ νεομηνία, ἐπειδὴ συμβαίνει ἐν αὐταῖς καὶ λήγειν τὴν σελήνην καὶ γεννᾶσθαι. τότε δὲ μὴ ταχέως ἀποδιδόντας τοὺς τόκȣς ἢ τὰ δάνεια ἀπῄτουν ὡς ὑπερημέρους γενομένους· διὸ λυπεῖσθαί φησιν ὁρῶν ἐνιϛαμένην ἔνην τε καὶ νέαν. ἡ δὲ πέμπτη ἐϛὶν ϛ′ φθίνοντος. τὰς γὰρ λ′ ἡμέρας τῆς σελήνης εἰς γ′ δεκάδας διῄρȣν οἱ Ἀθηναῖοι, καὶ τὴν μὲν πρώτην ὡς ἡμεῖς, ά β′ γ′ δ′ ε′ ϛ′ ζ′ η′ θ′ ι′ ἀπαριθμȣ̃ντες, τὴν δὲ δευτέραν οὕτως, πρώτη ἐπὶ δέκα, δευτέρα ἐπὶ ι′, τρίτη ἐπὶ ι′, ἄχρι τῆς ιθ′. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι, τὴν δὲ κά ὑϛέραν δεκάδα, καὶ τὴν μετ᾽ αὐτὴν ἐνάτην φθίνοντος, ἕως δευτέρας φθίνοντος. τὴν δὲ τριακάδα ἔνην καὶ νέαν φασίν. sch. A Nub. 1132.

ἐνηβητήρια ἐνευωχητήρια παρὰ Ἡροδότῳ ⟨2 133⟩.

ἐνηβρύνετο ἠλαζονεύετο.

ἐνῆγεν ἐκίνει, παρέπειθεν. Προκόπιος ⟨Pers. 2 12⟩ "ἐνῆγε δὲ αὐτὸν ἐς τȣ̃το χριϛιανῶν λόγος καὶ ἔδακνεν αὐτοῦ τὴν διάνοιαν, ὅτι ἀνάλωτον Ἔδεσσαν ἰσχυρίζοντο εἶναι." καὶ αὖθις "ἐνῆγε δὲ πάντας εἴς τε τὰς εὐχὰς τὰς ὑπὲρ αὐτοῦ καὶ τὴν ὀφειλομένην εὔνοιαν ἥ τε χρεία τῆς ϛρατείας ἀναγκαία οὖσα, ἣν ὑπὲρ πάντων κοινῇ ποιούμενος δῆλος ἦν, τό τε κάλλος τὸ τοῦ σώματος καὶ τὸ μέγεθος."

ἐνηγκυλωμένα· "πεφωραμένοι ὅτι ἐπὶ κατασκοπῇ παρεγένοντο, τῷ καὶ τὰ τόξα ἐνηγκυλωμένα φέροντας ἁλῶναι," ἀντὶ τοῦ ἐντεταμένα, ηὐτρεπισμένα.

ἐνήεια ἡ πραότης.

ἐνηέος τοῦ πράου, καὶ ἐνηής ὁ πρᾶος.

ἐνήθλει ἐνεκαρτέρει· "καὶ ὃ μὲν ἐπὶ τȣ́τοις τῇ πενίᾳ ἐνήθλει."

ἐνῆκαν ἐνέβαλον.

ἐνήκισεν ἔπληξεν, ἐτιμωρήσατο.

ἐνήλατα τῆς κλίνης μέρος τι.

ἐνήλατο· Ἀριϛοφάνης ⟨Vesp. 1296⟩ "ἐνήλατ᾽, ἐσκίρτα, πεπόρδει, κατεγέλα ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον."

ἐνηλινδῆσθαι κεκυλῖσθαι, καὶ ἐνηλινδοῦντο ἐκυλίοντο.

ἔνηλυς.

ἐνημμένος περιβεβλημένος· ⟨A Eccl. 80⟩ "τὴν τοῦ πανόπτȣ διφθέραν ἐνημμένος" καὶ "ὁ Ἡρακλῆς ἐχρῆτο τῇ λεοντῇ περὶ τὸ σῶμα ἐνημμένος."

ἔνην καὶ νέαν τὴν ὑφ᾽ ἡμῶν τριακάδα καλουμένην Ἀθηναῖοι λέγουσιν ἀπὸ τοῦ τὴν τελευτὴν ἔχειν τοῦ προτέρου μηνὸς καὶ τὴν ἀρχὴν τοῦ ὑϛέρου. Πολέμων δέ φησιν ὅτι ἐκάλεσαν αὐτήν ποτε Δημητριάδα ἐπὶ τιμῇ Δημητρίου τοῦ Μακεδόνος. ἔνης δὲ καὶ εἰς ἔνην τὸ εἰς τρίτην λέγουσιν. καὶ ἁπλῶς τὸ ἕνον δασυνόμενον τὸ πρότερον καὶ παρεληλυθὸς δηλοῖ. Harp.

ἐνῆν δυνατόν, ἐνδεχόμενον· "ὃ δὲ μάϛιξιν ὡς ἐνῆν ἀνετάσας διέγνω ὡς ἔχει τὸ πολέμιον," ἀντὶ τοῦ ὡς δυνατόν.

ἐνῆν ὑπῆρχεν.

ἐνηνθρώπησεν ἀντὶ τοῦ ἐν ἀνθρώπῳ γέγονεν. ⟨Io. 2 25⟩ "αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ."

Ἐνῆος.

ἐνήρατο ἀπέκτεινεν.

ἐνήρεισε προσεπέλασεν.

ἐνήρης ναῦς. πληθυντικῶς δὲ διαφέρει ἐνήρεις, μίαν εἰρεσίαν ἐχούσας. ⟨Dio Cass. fr. 105 3⟩ "ὁ δὲ Σύλλας συνῆλθε τῷ Μιθριδάτῃ ἐν Δαρδάνῳ τῆς Τρῳάδος, ἔχων ναῦς σ ἐνήρεις."

ἐν ἦρι ἐν τῷ ἔαρι.

ἐνῆρσεν ἐφήρμοσεν.
ἐνήσομεν ⟨Hom. Ξ 131⟩ ἐμβαλοῦμεν.
ἐνησχυμμένος. ἐνισχημένος δὲ κατεχόμενος.
ἐνηυλισμένον ἐμπεριειλημμένον.
a ἔνθα τότε.
b ἔνθα ὅπου.
ἔνθεν διὰ τοῦτο.
ἐν θέρει τὴν χλαῖναν κατατρίβεις, ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων.
ἔνθεσις ὁ ἄκολος, ὁ ψωμός. Ἀριστοφάνης ⟨Eq. 403⟩ "εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν," ἐπὶ τῶν παρὰ προσδοκίαν εὐδοκιμησάντων. τὸ δὲ εὗρες, τὸ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινὸς τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεώς ἐστιν ἔλεγχος, τὸ δὲ εὑρεῖν ἁπλῶς τῆς παρασχούσης τύχης καὶ οὐ τῆς τοῦ εὑρόντος γνώμης ἔργον. ὡς οὐκ ἐκ προνοίας κατορθώσαντος ἃ διεπράξατο, ἀλλ' ἁπλῶς εὑρόντος τὸ εὕρημα.
ἔνθεσμον νόμιμον.
ἔνθου ῥόφησον, παρὰ τὸ ἐντίθεσθαι τῷ στόματι.
ἔνθους τεθεοφορημένος, ἐνθουσιῶν. συναλοιφὴ δὲ τοῦ ἔνθεος. Ἀππιανός ⟨Iber. 26⟩ "ὁ δὲ Σκιπίων καὶ τὸ σχῆμα καὶ τὸ βλέμμα διαθεὶς ὥσπερ ἔνθους ἔφη τὸ δαιμόνιον ἥκειν τὸ σύνηθες αὐτῷ καὶ καλεῖν ἐπὶ τοὺς πολεμίους," τουτέστι θεόληπτος.
ἐνθουσιᾷ ὑπὸ ἐνθέου κατέχεται πνεύματος.
ἐνθουσιαζόμενοι ἐφορμῶντες, ἢ ἐλλαμπόμενοι.
ἐνθουσιασμός ὅταν ἡ ψυχὴ ὅλη ἐλλάμπηται ὑπὸ τοῦ θεοῦ.
ἐνθουσιώσας. Πισίδης "καὶ τὰς ἀθέσμους ἡδονὰς τοῦ βαρβάρου ἐνθουσιώσας τῇ πυρώσει τῆς μέθης ἐπεξανῆπτον," ἀντὶ τοῦ ἐξανεγειρούσας, μαινομένας.
ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτ' ἐκπλεῖν ἐᾷ. ἐπὶ τῶν δυσχερέσι περιπεσόντων τοῦτο λέγεται· φησὶ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης.
ἔνθρυπτον τὸ ἐκ πέμματος, ὅ ἐστι πλακοῦς. ἢ τὸ ἐνθρυβόμενον βρῶμα. ἔνιοι ταῖς τελεταῖς αὐτὸ προσοικειοῦσι. καὶ Ἀπόλλων δὲ παρ' Ἀθηναίοις Ἔνθρυπτος. Harp.
ἐνθύμημα. οὕτω λέγονται οἱ ῥητορικοὶ συλλογισμοί. ἐν ἐκείνοις γὰρ διὰ μιᾶς προτάσεως δοκεῖ γίνεσθαι ὁ συλλογισμός, τῷ τὴν ἑτέραν γνώριμον οὖσαν ὑπὸ τῶν δικαστῶν ἢ τῶν ἀκροατῶν προστίθεσθαι, οἷον οὗτος ἄξιός ἐστι κολάσεως, προδότης γάρ ἐστι· προστίθησι γὰρ ὁ δικαστὴς ὡς ἐναργὲς τὸ πάντα τὸν προδότην κολάσεως ἄξιον εἶναι. ἐφ' ὧν οὖν μὴ γνώριμόν ἐστι τὸ παραλειπόμενον, οὐκέτι ἐπὶ τούτων οἷόν τε τὸν δι' ἐνθυμήματος γίνεσθαι συλλογισμόν· ὁ γὰρ συλλογισμὸς σύνθεσίν τινα λόγων ἔοικε σημαίνειν. Alex. Aphrod. in Top. 1 7.
ἐνθυμήσιον ἄπειρον, ἔννομον.
ἐνθυμιζόμενοι λογιζόμενοι. οὕτω Δίων ἐν ιζ' Ῥωμαϊκῶν.
ἐνθύμιον ἄπορον, σεμνόν, κατὰ νοῦν. "καὶ δὴ τὰ πραχθέντα ἔθετο ἐνθύμιον, καὶ γενόμενος τῶν Μυρμιδόνων ἐγκρατὴς παραλύει τὸν Ἄκαστον τῆς ἀρχῆς" ⟨Nicol. Dam. cf. v. Ἄκαστος⟩.
ἐνθύμιον. καὶ ἐγκατάλειμμα ἐνθυμίου ⟨Ps. 75 10⟩ βραχύ τι μόριον.
ἐνθυμιστόν ὕποπτον.
ἔνι ἔστιν, ὑπάρχει. Ἀριστοφάνης ⟨Lys. 543⟩ ἀντὶ τοῦ ἔνεστιν· "ἐθέλω δ' ἐπὶ πᾶν ἰέναι μετὰ τῶνδ' ἀρετῆς ἕνεχ', αἷς ἔνι φύσις, ἔνι θράσος, ἔνι δὲ σοφόν, ἔνι φιλόπολις ἀρετὴ φρόνιμος."
ἔνια τινά.
ἐνιαία ἡ μοναδική.
ἐνιαυσιαῖος.
ἐνιαυτίζω ἐνιαυτόν που διατρίβω.
ἐνιαυτός. οἱ Ἑβραῖοι τὸν ἐνιαυτὸν κατὰ τὸν σεληνιακὸν δρόμον ἀριθμοῦσιν, ὥστε τὸν μῆνα ἡμερῶν εἶναι παρ' αὐτοῖς κθ', ὡς τοῦ μὲν ἡλιακοῦ κύκλου ὑπάρχοντος τξέ, τοῦ δὲ σεληνιακοῦ τνδ', ὡς τὸν ἡλιακὸν παραλλάσσειν ἐνιαυτὸν ἡμέρας ιά τοῦ σεληνιακοῦ ἐνιαυτοῦ. ὥστε Ἕλληνες καὶ Ἰουδαῖοι μῆνας τρεῖς ἐμβολίμους ὀκτὼ παρεμβάλλουσιν.
ἐνιαυτὸς Μέτωνος ἡ ἐννεακαιδεκαετηρίς· Μέτων γὰρ ὁ μαθηματικὸς περίοδον ἐκτιθεὶς χρόνου ἐνέταξε ιθ'.
ἐνιαχοῦ πολλαχοῦ, καὶ ἐνιαχῇ ὁμοίως.
ἐνίγυος ὁ ἓν μέλος ἔχων, ὁ κυλλός.
ἐνίδρυται ἐγκάθηται.
ἐνίει ἐμβάλλει, καὶ ἐνιεῖσα ἐμβάλλουσα.
ἐνίεσαν ἐνέβαλον· "καὶ τοῖς πύργοις πῦρ ἐνίεσαν."
ἐνίεται ἐμβάλλει.
ἐνιζάνει· "ὁ δὲ κατ' ἴχνος ἑπόμενος τῷ

τυράννῳ καὶ ἐς τὸν Ὀργῶνα ποταμὸν ἐνιζάνει, τῷ προκαταλαβεῖν τὰ εὐέφοδά τε καὶ ἱππήλατα τῶν πεδίων."

ἐνιζῆσαι καθίσαι.

Ἐνιῆνες.

ἐνίησιν ἐμβάλλει.

ἐνίκησε τὸ ὑπερέβαλεν.

ἐνικλᾶν ⟨Hom. Θ 408⟩ ἐμποδίζειν.

ἐνιλλωπῶ ἢ ἐνιλλώπτω τὸ τὰς ὀφθαλμοὺς συςρέφω.

ἔνιοι φανεροί. ἢ οἳ μέν, ἢ τινές.

ἐνιπή ⟨Hom. Δ 402⟩ ἡ διὰ τῶν λόγων ἀτιμία, ἐπίπληξις.

ἐνισκήφθη ⟨Hom. Π 612?⟩ κατηνέχθη.

ἐνίσπω ἐπιπλήξω.

ἐνίςασθαι εὐτρεπίζεσθαι, παρασκευάζεσθαι· "μὴ διαμέλλειν ἀλλ' ἐνίςασθαι τῷ πολέμῳ, ὡς μὴ προπαθόντας ἀμύνασθαι δέοι ἐπὶ κατειργασμένοις." καὶ αὖθις "ὁ δὲ Τραϊανὸς ἐδυσχέραινε, καὶ πολὺ πλέον ὥρμητο τῷ πολέμῳ ἐνίςασθαι."

ἐνισχηθέντας κατασχεθέντας.

ἐνισχύω αἰτιατικῇ.

ἐν Καρὶ τὸν κίνδυνον, ἐπὶ τῶν μισθοῦ πωλούντων τὰ οἰκεῖα δυσχερῆ, διὰ τὸ τοὺς Κᾶρας πρώτȣς ἀνθρώπων μισθȣ̃ ςρατεύσασθαι. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἐν ἀλλοτρίοις κινδυνευόντων.

ἐν Καρὸς εἴπετο τάξει ⟨Iulian. or. 2 p. 56 C⟩ ἀντὶ τοῦ ἐμισθοφόρει, ἐπειδὴ πρῶτοι Κᾶρες ἐμισθοφόρησαν.

ἓν κηρίον, ἐπὶ πολλῶν ὁμοφωνούντων ἢ ςασιαςῶν ἢ συνωμοτῶν.

ἐν Κλάρῳ. ὅτι σύνηθες τοῖς παλαιοῖς τὸ λέγειν ἐπὶ μὲν τῶν θεῶν ὁ ἐν Μελίτῃ, ὁ ἐν Κλάρῳ, ἐπὶ δὲ ἀνθρώπων ὁ ἐκ Μελίτης, ὁ ἐκ Κλάρου. ὡσαύτως καὶ ἐπὶ πάσης πόλεως καὶ χώρας. cf. sch. A Ran. 504.

ἐν Λίμναις διονύσιον. τόπος ἐςὶν ἐν Ἀθήναις Λίμναι, ἐν ᾧ ὁ τιμώμενος Διόνυσος. Harp.

ἐν λόγῳ ἐν τῇ ὑποθέσει· Ἀριςοφάνης Ὄρνισιν ⟨30⟩ "ἡμεῖς γὰρ ἄνδρες οἱ παρόντες ἐν λόγῳ."

ἐν μετεώρῳ ἦν ἡ ναῦς" ἀντὶ τοῦ πελάγιος, καὶ μὴ ἐπ' ἀγκυρῶν ἱςαμένη ἀλλ' ἀπέχουσα τῆς γῆς.

ἐν μύρτȣ κλαδὶ τὸ ξίφος κρατήσω. ὅ τε Ἁρμόδιος καὶ Ἀριςογείτων ἐν μύρτοις κρύψαντες τὸ ξίφος Ἵππαρχον τὸν τύραννον ἀπέκτειναν.

ἐνναέται οἰκήτορες· ἐν ἐπιγράμματι ⟨AP 6 168⟩ "τὸν θρασὺν ὑψικόμων ἐνναέτην δονάκων." περὶ κάπρου φησί.

Ἔνναιον τόπος.

Ἐννέα ὁδοί τόπος Θρᾳκικὸς περὶ τὴν Ἀμφίπολιν. Harp.

Ἐννεάκρουνον κρήνη τις Ἀθήνησι, Καλλιρρόη καλουμένη πρότερον. Harp.

ἐννέωρος ⟨Hom. τ 179⟩ ἐνναετής.

ἔννηφι μετὰ τρίτην.

Ἔννιος Ῥωμαῖος ποιητής, ὃν Αἰλιανὸς ἐπαινεῖν ἄξιόν φησι. Σκιπίωνα γὰρ ᾄδων καὶ ἐπὶ μέγα τὸν ἄνδρα ἐξᾶραι βουλόμενός φησι μόνον ἂν Ὅμηρον ἐπαξίους ἐπαίνους εἰπεῖν Σκιπίωνος. δῆλον δὲ ὡς ἐτεθήπει τȣ̃ ποιητȣ̃ τὴν μεγαλόνοιαν καὶ τῶν μέτρων τὸ μεγαλεῖον καὶ ἀξιάγαςον· καὶ ὡς ἐπαινέσαι δεινὸς Ὅμηρός ἐςι καὶ κλέος ἀνδρὸς πυργῶσαί τε καὶ ἆραι, ἐξ ὧν ἐπῄνεσε τὸν Ἀχιλλέα, καλῶς ἠπίςατο ὁ ποιητὴς ὁ Μεσσάπιος.

ἐννοσίγαιος ὁ κινῶν τὴν γῆν, σεισμȣ̀ς ποιῶν.

ἔννους ὁ συνετός· Σοφοκλῆς ⟨OR 916⟩ "ἔννους τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται." ἔννȣς ἀνὴρ διὰ τῶν φθασάντων τὰ παρόντα γινώσκει· εἰ γὰρ ὁ ὑπὸ Ἀπόλλωνος δοθεὶς χρησμὸς ἠκύρωται, δῆλον ὅτι καὶ τὰ νῦν ἃ ἐμαντεύσατο ὁ Τειρεσίας. καὶ αὖθις "ταῦτα δράσας ὕςερον ἔννους ἐγένετο καὶ ἐσωφρόνησεν."

ἐννοῶ αἰτιατικῇ.

ἐν νυκτὶ βουλή διὰ τὸ τὴν νύκτα κατὰ σχολὴν διδόναι λογισμȣ̀ς τοῖς περὶ τῶν ἀναγκαίων βουλευομένοις.

ἐννώσας παρὰ Ἡροδότῳ ⟨1 68⟩ ἀντὶ τȣ̃ διανοηθείς.

ἐνόδιον τὸ ἐπὶ τῆς ὁδοῦ, ἐνώδιον δὲ τὸ ἐνώτιον, παρὰ τὸ οἰδεῖν τὰ ὦτα.

ἐν ὁδῷ ἦσαν ἐν ἔργῳ, ἐν ἔργοις, ἐν βίῳ, ἐν πίςει.

ἐνοικέτις τῶν νήσων ἡ Ἀφροδίτη· ἐξαιρέτως γὰρ ἐν αὐταῖς ἐτιμᾶτο.

ἐν ὅλμῳ ἐκοιμήθη. οἱ μὲν Ὅλμον φασὶ μαντεῖον, οἱ δὲ τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαντικοὺς γίνεσθαι, ὅτι καὶ οἱ τρίποδες τοῦ Ἀπόλλωνος ὅλμοι καλοῦνται.

ἐνόν δυνατόν, ἢ ἐνυπάρχον. "οἳ δὲ οἷα δήπου θυσίαν λιτὴν ἐκ τῶν ἐνόντων καὶ παρόντων προσαχθεῖσαν αὐτοῖς ἐπαινοῦντες." cf. v. ἐξεφαύλισαν.

ἐνοπή πόλεμος, μάχη· Ὅμηρος ⟨Γ 5⟩ "Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν, ὄρνιθες ὥς." καὶ αὖθις ⟨AP 6 163⟩ "οἷά περ οὐκ ἐνοπᾶς ἀλλὰ χορῶν ἔναρα, οἷς θάλαμον κοσμεῖτε γαμήλιον."

ἔνοπτρον τὸ κάτοπτρον.

ἐνόρσας ⟨Hom. O 62⟩ ἐμβαλών.

ἔνορχα ⟨Hom. Ψ 147⟩ ἄρσενα.

ἔνος ὁ ἐνιαυτός.

ἐνόσει ἠρρώσει· "ὃ δὲ ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία αὐτοῦ ἐνόσει, καὶ τὰ τῆς ἐμπορίας ἐπικερδῆ ἥκιστα αὐτῷ ἦν."

ἔνοσις ἡ κίνησις.

ἐνοσίχθων σείων τὴν γῆν.

ἐνοῦμαι δοτικῇ.

ἐνοφθαλμισμῶν θεαμάτων.

ἐνοχλῶ σοι, δοτικῇ. ἔςι δὲ καὶ αἰτιατικῇ· "ὃ δὲ ὠκυτάτοις ἵπποις αὐτὸν ἠνώχλει καὶ ὑπέφευγε."

ἔνοχος ὑπαίτιος· ⟨Polyb. 12 23⟩ "Τίμαιος κατὰ τοῦ Ἐφόρου πεποίηται καταδρομήν, αὐτὸς ὢν δυσὶν ἁμαρτήμασιν ἔνοχος, τῷ μὲν ὅτι πικρῶς κατηγορεῖ τῶν πέλας ἐπὶ τέτοις οἷς αὐτὸς ἔνοχός ἐςι, τῷ δὲ ὅτι καθόλε διέφθαρται τῇ ψυχῇ, τοιαύτας ἀποφάσεις ἐντιθέμενος τοῖς ὑπομνήμασι."

ἐν παιδοτρίβου εἰς τὸν τόπον ὅπου γυμνάζονται καὶ διατρίβεσιν οἱ παῖδες. Ἀριςοφάνης Νεφέλαις ⟨969⟩ "ἐν παιδοτρίβε δὲ βαδίζοντας τὸν μηρὸν ἔδει προβαλέσθαι," τουτέςιν εὐκόσμως καθεσθῆναι, ὡς μηδὲν τοῖς περιεςῶσιν ὑποδεῖξαι ἄκοσμον.

ἐν παντὶ μύθῳ καὶ τὸ Δαιδάλου μύσος. Πασιφάην φασὶν ἐρασθεῖσαν ταύρε Δαίδαλον ἱκετεῦσαι ποιῆσαι ξυλίνην βοῦν, καὶ κατασκευάσαντα αὐτὴν ἐνθεῖναι· ἣν ἐπιβαίνων ὡς βοῦν ὁ ταῦρος ἐγκύμονα ἐποίησεν. ἐξ ἧς ἐγεννήθη ὁ Μινώταυρος. Μίνως δὲ διά τινας αἰτίας ὀργιζόμενος τοῖς Ἀθηναίοις ἑπτὰ παρθένους καὶ ἴσους νέους ἐξ αὐτῶν ἐδασμολογεῖτο, οἳ παρεβάλλοντο τῷ θηρίῳ. εἰς Δαίδαλον οὖν ἀρχηγὸν τούτων τῶν κακῶν καὶ αἴτιον γενόμενον καὶ μυσαχθέντα ἐξηνέχθη ἡ παροιμία.

a ἐν παραβύςῳ ἐν μυςηρίῳ· ⟨Procop. Arc. 1⟩ "ἠράσθη αὐτοῦ τὰ μὲν πρῶτα ἐν παραβύςῳ, τελευτῶσα δὲ καὶ οἰκετῶν παρόντων."

b ἐν παραβύςῳ ἐν ἀποκρύφῳ· Προκόπιος "ὕβριζον ἐς αὐτὸν οὐ σιγῇ οὐδὲ ἐν παραβύστῳ, ἀλλ' ἐς ὄψιν."

ἐν παρενθήκης μέρει ἐν περισσείας μέρει.

ἐν πέντε κριτῶν γόνασι, παρ' ὅσον τὸ παλαιὸν ε' κριταὶ ἔκρινον τοὺς κωμικούς, ὥς φησιν Ἐπίχαρμος. σύγκειται δὲ παρὰ τὸ Ὁμηρικὸν "θεῶν ἐν γούνασι κεῖται," ἐπειδὴ οἱ κριταὶ ἐν τοῖς γόνασιν εἶχον ἃ νῦν εἰς γραμματεῖα ἐγγράφεται.

ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν, παροιμία ἐπὶ τῶν τὰς πρώτας μὲν μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων, τουτέςι τῶν παριέντων τὰς πρώτας μαθήσεις καὶ ἐφιεμένων τῶν τελευταίων.

ἐν προσχήματι ἐν ὑποκρίσει.

ἐν Πυθίῳ κρεῖττον ἦν ἀποπατῆσαι, οἷον κινδυνεῦσαι. καταφρονούντων γὰρ τινῶν Ἀπόλλωνος καὶ ἐν τῷ τεμένει αὐτοῦ ἀποπατούντων, Πεισίςρατος ἔγραψε νόμον τὸν ἁλόντα ἐπὶ τούτῳ θνήσκειν. καταγελώντων δὲ τοῦ γράμματος, καὶ πλειόνων μᾶλλον τῦτο ποιέντων, ἔςησε φύλακας. ληφθέντος δέ τινος ἐκέλευσε δήσαντας αὐτὸν παρὰ τὴν ὁδὸν μαςιγοῦν, κηρύσσοντας "ὅδ' ἀνὴρ κολασθεὶς ἀποθανεῖται, ὅτι ὀλιγωρεῖ τοῦ γράμματος." κτανθέντος δὲ οὕτως ἐνέδυ τὸ γενόμενον τοῖς Ἀθηναίοις ὥςε ἔτι νῦν τοὺς κακοπαθοῦντας ἢ τιμωρίαις ἐνεχομένους διά τινα αὐτῶν πλημμέλειαν ἐπιλέγειν "ἐν Πυθίῳ κρεῖττον ἦν αὐτὸν ἀποπατῆσαι."

ἐν πυρὶ βέβηκας. τοῦτο ἐπιλέγειν χρὴ τοῖς ἐν ἐπισφαλέσι καὶ ἐπικινδύνοις πράγμασιν ἐμφιλοχωρεῖν ἐθέλουσιν, ὅτι χρὴ τὸν ἐν πυρὶ ταχέως ἐκβαίνειν.

ἐνράσσει ὁρμητικῶς ἐφορμᾷ· Ἰώσηπος ⟨A. I. 5 8 10⟩ "ὁ δὲ Σαμψὼν ἐνράσσει ταῖς πύλαις αὐταῖς καὶ φλιαῖς καὶ μοχλοῖς, ὅση τε ἄλλη περὶ αὐταῖς ἦν ξύλωσις."

ἐνσείει τὴν ἵππον αὐτοῖς, ἀντὶ τοῦ ἐπιτίθησιν· "ἐπάρας ἐνσείει τὴν ἵππον αὐτοῖς ἀθρόαν." cf. v. ῥόθιον b.

ἐνσεισθείς ἐντιναχθείς· "ὁ δὲ Σαμψὼν ἐνσεισθεὶς τοῖς κίοσιν ἐπικαταβάλλει τὸν οἶκον" ⟨cf. v. ἐνράσσει⟩.

ἐνσημαινόμενος ἀντὶ τοῦ ἐνδεικνύμενος καὶ ἐμφαίνων. Harp.

ἐν Σιναΐ Ἑβραϊκόν.

ἐνσκειραμένη ἐκλελακυῖα, λελιθωμένη, σεσαρκωμένη.

ἐνσκειρωθείς ἐμπαγείς· σκείρωμα γὰρ τὸ ἀνίατον πάθος.

ἐνσκήπτω δοτικῇ.

ἐν σκότῳ ὀρχεῖσθαι, ἐπὶ τῶν ἀμάρτυρα μοχθούντων, ὧν τὸ ἔργον ἀφανές.

ἔνσπονδος ὁ ἀπὸ πολέμου γινόμενος φίλος. Ἀππιανός (t. 1 p. 29) "Λατῖνοι ἔνσπονδοι Ῥωμαίοις ὄντες ἐςράτευον ἐπ' αὐτούς." καὶ αὖθις "ὡς παλαιόν δή τι νόμιμον καὶ ἔνσπονδον ἐκλείποντι ἐπικαλῶν."

ἔνςασις· "κατὰ τὴν ἐξ ἀρχῆς αἱρεθεῖσαν ἔνςασιν τῆς ζωῆς," τουτέςιν... "καὶ πᾶσαν ἔνςασιν θάμνου καὶ πᾶσαν πέτρας προσβολὴν διερευνησάμενοι." ἔνςασιν οὖν τὴν συνηρεφῆ ἔκφυσιν καὶ πυκνὴν τῶν θάμνων λέγει.

ἐνςάτης ὁ κατὰ πάντα ἐνιςάμενος, εἰδικῶς δὲ ἐπὶ τῆς κρίσεως, οἷον ἀντίδικος. κυρίως δὲ ἐνςάτης λέγεται ὁ ἐν τῇ ὁδῷ ἀντιςήκων τινί, ὡς εἰ λέγοι τις τὸν Οἰδίποδα τοῦ Λαΐου ἐνςάτην γεγενημένον. καὶ Αἰλιανὸς ἐν τῷ περὶ θείων ἐναργειῶν φησὶ "κατά τινα χρησμὸν βουληθεὶς ἱλεώσασθαι τὸν τῷ οἴκῳ αὐτοῦ γεγενημένον ἐνςάτην δαίμονα." καὶ αὖθις "πικρότατος αὐτοῖς ἐνςάτης ἦν." sch. S Ai. 104.

ἐνςατικός· (Damascius) "ὁ δὲ Ἰσίδωρος ἐνςατικὸς ὢν ἀήττητος ἔμενεν" ἀντὶ τοῦ ἔνςασιν πρός τινα ποιούμενος.

ἐνςερνισάμενος περιπτυξάμενος.

ἐνςομισμάτων· "ἔπρασσε δὲ ταῦτα ὁ βασιλεὺς χρῄζων ἐνςομισμάτων τῇ ἀρετῇ τῶν Ἰουδαίων ἀδελφῶν εἰς φιλίαν κτήσασθαι" (Ioseph. A. I. 18 9 3).

ἐνςροβιλίσας ἀντὶ τοῦ συςρέψας.

ἐντακεὶς ἐμφυείς.

ἔντασις ἡ ἐπίτασις· "καθ' ὅσον ἡ τοῦ βίου ἔντασις ἐπεδέχετο, κυνικωτέρα προελθοῦσα καὶ φύσει καὶ ἐπιτηδεύσει."

ἔνταξίς ἐςιν ἐπειδάν τις προαιρῆται τοὺς ψιλοὺς εἰς τὰ διαςήματα τῆς φάλαγγος ἐντάσσειν, ἄνδρα παρ' ἄνδρα. ἔνιοι δὲ τοῦτο καὶ παρένταξιν ὀνομάζουσιν.

ἐνταφιάζω αἰτιατικῇ.

ἔντεα οὐ πάντα τὰ ὅπλα, ἀλλ' ἀσπὶς καὶ περικεφαλαία· τὰ δὲ δόρατα κατ' ἐπικράτειαν.

ἐντεθηλότων θαλλόντων.

ἐντεθρίωται ἐνεσκεύασαι, ἀπὸ τῶν θρίων. ἢ τὸ ἐντετυλίχθαι λέγεται ἐντεθριῶσθαι, ἀπὸ τοῦ σκευάσματος ὃ ἐν τοῖς φύλλοις τῆς συκῆς εἰλεῖται, ἃ λέγεται θρῖα. sch. A Lys. 663.

ἐντεῖλαι προςάξαι. καὶ ἐντείλῃς αὐθυπόταχτον, καὶ ἐντείλωμαι ὁμοίως.

ἐντείνας ἑαυτόν· Διόδωρος "ἐς τὸν ςρατιωτικὸν καὶ εὐτελῆ βίον ἐντείνας" ἀντὶ τοῦ ἐπιδούς. καὶ ἐντεῖναι τανύσαι. καὶ ἐντείναντες ἐπιθέντες· "πληγάς τε ἐντείναντες τῆς κεφαλῆς ἀπετέμοντο" ἀντὶ τοῦ αἰκισάμενοι. καὶ αὖθις "πληγάς τε τοῖς προσπίπτουσιν ἐντεινόμενοι."

ἐν τέλει ἐν ἀρχῇ.

ἐντελεῖς οἱ ἄρχοντες, καὶ οἱ ἄρξαντες. "πανοπλίας ἐντελεῖς κατασκευάσαντες," τουτέςιν ἀρχοντικάς. Ἀππιανός (Pun. 122) "ναυμαχίας δὲ γενομένης καὶ βοῆς παμμιγοῦς ὡς ἐν τῷδε λοιπὸν Καρχηδονίοις τῆς σωτηρίας οὔσης, Ῥωμαίοις δὲ τῆς νίκης ἐντελοῦς."

ἐντελέςερον τελειότερον.

ἐντελέχεια ἡ τελειότης καὶ τὸ εἶδος τοῦ ὑποκειμένου, τουτέςι τὸ εἶδος τὸ ἐπιγινόμενον ἐκ τῆς τοιᾶσδε συνθέσεως τῶν ςοιχείων τῇ ὕλῃ. ἤτοι τὸ ἀχώριςον εἶδος τοῦ σώματος· καὶ γὰρ ἐντελέχειά ἐςι τὸ εἶδος καὶ ἡ τελειότης τοῦ σώματος. λέγεται δὲ ἐντελέχεια τὸ κεχωρισμένον τοῦ σώματος, ὡς ὁ πλωτὴρ τοῦ πλοίου· ἥτις ἐντελέχεια ἔξωθέν τε οὖσα τάττει καὶ διακοσμεῖ καὶ τελειοῖ τὸ ὑποκείμενον. ὅταν οὖν ἐντελέχειαν λέγῃ τὴν ἄλογον καὶ φυσικὴν ψυχήν, τὸ ἀχώριςον εἶδος τῆς ἐντελεχείας λέγει, ὅταν δὲ τὴν λογικὴν ψυχὴν ἐντελέχειαν λέγῃ, τὸ κεχωρισμένον.

ὅτι ἐντελέχειά ἐςι τὸ εἶδος παρὰ τὸ ἓν καὶ τὸ τέλειον καὶ τὸ συνέχον. καὶ γὰρ ἑνώσεώς ἐςι τῇ ὕλῃ τὸ εἶδος αἴτιον καὶ τελειώσεως, ἐπεὶ καὶ τελειότης ἐςὶ τοῦ ὑποκειμένου καὶ συνέχει αὐτό. ἀπὸ γὰρ τῆς οἰκείας ἐντελεχείας μάλιςα ἕκαςον, ὅ ἐςι, κατ' ἐκεῖνο λέγεται, ἐπεὶ καὶ ὁ ἀνδριὰς αὐτὸ τοῦτο ἀνδριὰς λέγεται, καὶ οὐ χαλκός. ἐντελέχειαν λέγει ὁ Πορφύριος τὴν ψυχήν, ὁ κατὰ χριςιανῶν γράψας Τύριος φιλόσοφος.

ἐντελής· (Artemid. 1 12) "ὅςις οἴεται ἄνευ φύσεως ἐντελὴς ἔσεσθαι, ἀτελὴς καὶ ἀπέραντος τόσῳ μᾶλλον ὅσῳ πλείονα ἕξιν ἔχει διατελέσει," ἀντὶ τοῦ τέλειος. (Polyb. 8 3) "ἐντελῆ ςρατόπεδα ἐκάθητο δύο Ῥωμαϊκά."

ἐντέλλομαι δοτικῇ.

ἐντελόμισθος. "ὁ δὲ ἔπλεε νηὶ οἰκείᾳ, ναύτας ἔχων ἐντελομίσθους οἴκοθεν Κρῆτας," τουτέςιν ἐντελῶς μεμισθωμένους.

ἐντεριώνη ὁ φλοιὸς τοῦ δένδρου.

ἔντερον ἕτερον καὶ οὐχ ὅμοιον. ἢ παρὰ τὸ ἐντὸς ῥεῖν.

ἐντερόνεια. τὰ ἐγκοίλια, τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα, ἐντερόνεια καλεῖται. οἱ δὲ τὸ τῶν νεῶν ἔδαφος, οἱ δὲ τὰ ἐγκοίλια· βέλτιον δὲ τὴν τῶν ἐγκοιλίων ὕλην λέγειν. Ἡρωδιανὸς συστέλλει καὶ προπαροξύνει. οὕτω δὲ τὴν ἐντεριώνην Ἀριστοφάνης φησίν· ὅπερ ἐστὶ τὸ μεσαίτατον τῆς νεώς· ὅ ἐστι συνεκτικώτατον, ἥτις ἐστὶ τρόπις. καλεῖται δὲ καὶ μήτρα. φησὶ δὲ ὁ κωμικὸς ὅτι εἰς τὰς τριήρεις ἡ θεὸς ἐντερόνειαν ἔπεμψε. sch. A Eq. 1182.

ἐντετευτλανωμένης. μετὰ τεύτλων ἑψηθείσης· μετὰ γὰρ τεύτλων ἤσθιον τὰς ἐγχέλυς· λέγονται γὰρ τεύτλοις συνεψόμεναι ἥδισται εἶναι. Ἀριστοφάνης ⟨Ach. 894⟩ "μηδὲ γὰρ θανὼν ποτε σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης."

ἐντέτηκεν ἐγκεκόλληται, πέπηγε· "τούτοις ἀντ᾽ ἀληθοῦς ψευδὴς ἐντέτηκε δόξα."

ἐντέτικεν.

ἐντετριμμένη ἀντὶ τοῦ σμηχθεῖσα. ἢ εἰδυῖα. "ὅπως ἂν ἐντετριμμένη κανηφορῇς" ⟨A Eccl. 760⟩ τὰ κανίσκια ἔχουσα, "πολλοὺς κάτω δὴ θυλάκους στρέψασ᾽ ἐμούς" ἀντὶ τοῦ κλέψασα.

ἐντεῦθεν ἐκ τούτου.

ἔντευξις ἐντυχία. φησὶν ὁ Ἀριστοτέλης ὡς ἔστιν ἡ διαλεκτικὴ φιλοσοφία πρὸς γυμνασίαν καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐντεύξεις. περὶ γυμνασίας προεγράφη ἐν τῷ γ στοιχείῳ, ἐνταῦθα δὲ περὶ ἐντεύξεως. ἐντεύξεις λέγει τὰς πρὸς τοὺς πολλοὺς συνουσίας, οἷς δεῖ μὲν ἐντυγχάνειν κοινωνικάς τε ὄντας καὶ φιλανθρώπους, καὶ ἐντυγχάνειν ὠφελίμως. διὰ μὲν οὖν ἀληθῶν καὶ ἀποδεικτικῶν οὐχ οἷόν τε κοινολογεῖσθαι πρὸς αὐτούς· οὐδὲ γὰρ τὴν ἀρχὴν τῶν τοιούτων συνιέναι δύνανται. ἀλλ᾽ οὐδὲ μανθάνειν ὑπομένουσι. διὸ οὐδὲ ὠφελεῖσθαι δύναιντ᾽ ἂν διά τινος τῶν τοιούτων, ὧν γε τὴν ἀρχὴν μηδὲ συνιέναι δύνανται. εἰ δὲ διὰ τῶν ἐνδόξων τε καὶ δοκούντων καὶ αὐτοῖς ἐκείνοις τὰς πρὸς αὐτὰς συνουσίας ποιούμεθα, παρακολουθοῖέν τε ἂν τοῖς λεγομένοις, καὶ ῥᾳδίως μεταβιβάζοιντο διὰ τῶν τοιούτων λόγων, εἴ τι μὴ εἶεν ὀρθῶς τιθέμενοι. τῷ γὰρ τὴν ἡδονὴν ἀγαθὸν ἡγουμένῳ καὶ δουλεύοντι ταύτῃ ἂν μέν τις διὰ τοῦ λέγειν τὴν ἡδονὴν γένεσιν εἰς φύσιν αἰσθητὴν εἶναι, τὴν δὲ τοιαύτην φύσιν μὴ δύνασθαι ἀγαθὸν εἶναι τῷ τὴν γένεσιν ἀτελῆ εἶναι, μηδὲν δὲ ἀγαθὸν ἀτελές, ἂν δὴ διὰ τούτου τις δεικνύναι θέλῃ τῷ τοιούτῳ ὅτι μή ἐστιν ἡ ἡδονὴ ἀγαθόν, οὐδὲν ἂν πλέον ποιοῖ, τῷ μηδὲ τὴν ἀρχὴν εἰδέναι τί ποτέ ἐστι τὸ λεγόμενον. ἂν δὲ ἀπὸ τῶν κοινῶν τι καὶ ἐνδόξων ὁρμώμενος ἐξετάζῃ αὐτόν, εἰ μὴ δοκεῖ αὐτῷ τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖν ὥσπερ καὶ τὸ λευκὸν λευκοὺς καὶ τὸ θερμὸν θερμούς, καὶ τούτου τεθέντος προσανέρηται εἰ ἡ ἡδονὴ δοκεῖ αὐτῷ ἀγαθοὺς ποιεῖν, λήψεται μὲν ὅτι μὴ ποιεῖ (ἐναργὲς γὰρ τοῦτο), συνάξει δὲ ὅτι μὴ ἀγαθὸν ἡ ἡδονὴ ἐκ τῶν ἐκείνου δοξῶν τε καὶ ἀποκρίσεων. διὸ καὶ μεταπείσειεν ἂν αὐτόν· εἴκει γάρ πως πᾶς τῷ ὑπ᾽ αὐτοῦ τεθέντι. Alex. Aphrod. in Top. 1 p. 17.

ἐντευξόμενος διαλεχθησόμενος.

ἐντήκων ἐμβάλλων, ἐνιείς· "καὶ αὐτοῦ τῷ στόματι ἐντήκων χρυσὸν καὶ ταῖς ἀκοαῖς ἄργυρον καὶ ἐς τὰς ῥῖνας ἐγχέων τῆς ὕλης αὐτῆς ἀποκτεῖναι."

ἐντήξας ἀντὶ τοῦ ἐμβαλών, διδάξας, ἐμφυτεύσας· "καὶ ἐντήξας αὐτῶν ταῖς ψυχαῖς ἰσχὺν λόγων ἄμαχον καὶ σειρῆνα εὐγλωττίας ἐφολκοτάτην."

ἐν τοῖς ἱματίοις ἄνευ ὅπλων· "οἱ δὲ πολιτικοὶ ἔθεον ἐν τοῖς ἱματίοις."

ἔντομα, οἷον σφὴξ μύρμηξ μέλιτται· ἃ οὔτε ἀναπνεῖ οὔτε πνεύμονα ἔχει.

ὅτι τοῖς νεκροῖς τὰ ἔντομα ἔθυον τῶν τετραπόδων ὡς ἄγονα, τὰ δὲ ἔνορχα τοῖς θεοῖς. cf. sch. Apollon. Rhod. 1 587.

ἐντομίας ὁ εὐνοῦχος, θλαδίας δὲ ὁ τεθλασμένος.

ἐντομίδαι οἱ τοῖς σώμασιν ἐντεμνόμενοι. τοιαῦτα εἰώθασι ποιεῖν ἐπὶ τοῖς νεκροῖς.

ἐντομὶς ἡ ἐγχάραξις. ἡ γενικὴ ἐντομίδος.

ἔντονος ἰσχυρά.

ἐντοπίζω.

ἐντός οἱ λογισμοὶ καὶ αἱ ἐνθυμήσεις καὶ πάντα τὰ τῆς ψυχῆς κινήματα· Δαβὶδ "καὶ πάντα τὰ ἐντός μου." Theodoret. in Ps. 102 2.

ἐντὸς καὶ ἐκτὸς γενικῇ.

ἐντὸς ἑβδόμης. Ἀθήνησιν ἀπείρητο ἐντὸς ἑβδόμης στρατιὰν ἐξάγειν.

ἐντραπεζίτιδος παρασίτου.

ἐντρέπει ἐπιστρέφει.

ἐντρεπομένως ἐγκλίνοντας· "οἱ δὲ Λίβυες θεωροῦντες τοὺς Ἴβηρας ἐντρεπομένως, καὶ δεδιότες μὴ λάθωσιν ἐγκαταλειφθέντες, ὥρμησαν ἐπὶ τὸ παραπλήσιον."

ἐντριβής συνήθης· "ἄνθρωπος ἐντριβὴς τῆς χώρας."

ἐν τριόδῳ εἰμὶ λογισμῶν, παροιμία ἐπὶ τῶν ἀδήλων καὶ ἀμφιβόλων πραγμάτων, ἐπειδὴ ὁ ἐν τριόδῳ γενόμενος οὐκ οἶδε ποίᾳ χρήσεται ὁδῷ.

ἐντροπαλιζόμενος (Hom. Λ 547) ἐπιςρεφόμενος.

ἐντροπίας εὐμετάβολος, καὶ ἐντροπίας οἶνος ὁ ὀξίνης.

ἔντροφος ἡ ἐντεθραμμένη· (S Ai. 622) "ἦ που παλαιᾷ μὲν ἔντροφος ἁμέρᾳ λευκῷ δὲ γήραι μάτηρ νιν." ἀντὶ τοῦ ὄντως πε ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τετέςι τῷ παλαιῷ χρόνῳ, ἔντροφος μήτηρ.

ἐντρυφῶ γενικῇ· "οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες." δοτικῇ δέ "ἵν' εὐπορήσωμεν καὶ ταῖς ἀλλοτρίαις συμφοραῖς ἐντρυφῆσαι."

ἐντυγχάνειν καὶ συντυγχάνειν ταὐτόν ἐςιν· "ἐντυγχάνειν ἥρωσιν."

ἐντυπὰς ἐν χλαίνῃ (Hom. Ω 163) ἀντὶ τοῦ ἐπικεκαλυμμένως, ὥςε διὰ τοῦ ἱματίου τοὺς τοῦ σώματος τύπους εὐδήλους εἶναι.

ἐν τῷ μέρει ἀντὶ τοῦ κατά τι μέρος διαδεχόμενος ἕτερος τὸν ἕτερον· "πλείονα δῶρα δοὺς καὶ ἀντιλαβὼν ἐν τῷ μέρει." καὶ αὖθις (Babr. 32 5) "ἰδὼν δ' ἐκεῖνος, ἐν μέρει γὰρ ἠλώκει, γαμεῖν ἔμελλεν."

ἐν τῷ μέρει τις καὶ τὸ πῦρ σκαλευσάτω, παροιμία ἐπὶ τῶν εἰς κοινὸν μὴ τὰ ἴσα παρεχομένων.

ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιςος βίος, Σοφοκλῆς (Ai. 554). ἐν τῷ μὴ ἀντιλαμβάνεσθαι τῶν κακῶν, ἐπεὶ ἔςαι γελοιότατον ὡς τιμῶντος τὴν ἀφροσύνην.

Ἐνυάλιος πολεμικός, Σοφοκλῆς (Ai. 179)· διαςέλλει γὰρ τὸν Ἄρεα ἀπὸ τῦ Ἐνυαλίου ὡς ἕτερον δαίμονα ὑπουργὸν τοῦ μείζονος θεοῦ. Ἀρριανός "οἱ δὲ τῷ Ἐνυαλίῳ ἀλαλάξαντες ἐναντίοι ἐφέροντο." καὶ αὖθις (Ind. 24 7) "φάλαγγα ἐκ σφῶν ποιησάμενοι δρόμῳ ἐπήεσαν, ἀλαλάζοντες τῷ Ἐνυαλίῳ."

ἐνυδροβίων· (AP 6 231) "καὶ πολιὸν χηνῶν ζεῦγος ἐνυδροβίων."

ἔνυξεν ἔπληξεν.

ἐνύπνιον, ἐφ' ὅσον τις ὑπνοῖ. ὄνειρος δὲ παυομένων τῶν ὕπνων, ἐγείρων καὶ ὀρίνων τὴν ψυχήν. ἢ παρὰ τὸ εἴρειν, ὅ ἐςι λέγειν. Artemid. 1 1. cf. v. ὄνειρον.

ἔνυςρον τὸ μετὰ τὴν κοιλίαν ἔντερον, τὸ τῶν βρωμάτων δοχεῖον. cf. v. ἤνυςρον.

Ἐνυώ πολεμικὴ θεός.

ἐν φρέατι κυσὶ μάχεσθαι, ἐπὶ τῶν μοχθηρῷ τινὶ προσμαχομένων καὶ ἀποφυγεῖν μὴ δυναμένων. "τί δὲ ἄν τις ἔχοι ποιεῖν ὢκ ἐν φρέατι συνεχόμενος ὑπὸ τοῦ παροιμιαζομένε κυνός, ἀλλ' ἐν βάθει μέν τινι ζητήσεως ὑπὸ θαυμαςῆς οὐδὲν ἧττον ἀπορίας, ἐ μὴν ἐφικτῆς γε οὐδενὶ ἀνθρώπων, πλὴν εἴ τῳ θεὸς αὐτὴν μηνύσειεν."

ἐν χρῷ εἰς χρῶτα, πάνυ ἐγγὺς ὡς καὶ ἐφάπτεσθαι. παρὰ δὲ Καλλιμάχῳ (fr. 311) ἐγχυτὶ ἀντὶ τοῦ ἐγγύς, ἐν χρωτί, πλησίον τοῦ χρωτός· "τί δ' ἐγχυτὶ τέκνον ἐκέρσω." καὶ Ἀγαθίας (5 21) "περισφίγξαντες ξυνῆπτον αὐτὰς ἀλλήλαις καὶ συνεμίγνυον λίαν ἐν χρῷ πεπιεσμένας."

ἐν χρῷ κεχαρμένος πρὸς αὐτῷ τῷ χρωτί, οἷον σύνεγγυς καὶ πλησίον τοῦ δέρματος τὰς τρίχας ἐξυρημένος. καὶ αὖθις "ἦν δὲ ἄρα αὐτῷ ἐν χρῷ φίλος." ὁ χρώς - τοῦ χρῶ ἀττικῶς, ὡς γέλως γέλω. οἱ δὲ ἀπὸ τῦ χρώς χρωτί, ἀποκοπῇ τῆς τι συλλαβῆς.

ἐν χρῷ παραπλέων παρὰ Θουκυδίδῃ (2 84) ἀντὶ τῦ πλησίον. ἔςι δὲ ἀποκοπή· ἦν γὰρ ἐν χρωτί. εἴρηται δὲ ἀπὸ τῆς κουρᾶς τῆς ἄχρι τοῦ χρωτὸς γινομένης.

ἐνώδιον τὸ ἐνώτιον, παρὰ τὸ οἰδεῖν τὰ ὦτα.

ἐνώμα ἐκίνει.

ἐνωμόρξατο ἀπεμάξατο, ἀπεψήσατο.

ἐνωμοτάρχης τάξεώς τινος ςρατιωτικῆς ἄρχων παρὰ Λακεδαιμονίοις.

ἐνωμοτία τάξις τις ςρατιωτικὴ ἀνδρῶν a έ καὶ κ́ παρὰ Λακεδαιμονίοις. εἴρηται δὲ ἀπὸ τοῦ ὀμνύναι αὐτοὺς μὴ λείψειν τὴν τάξιν. οἱ δὲ ἐνωμοτίαν τὸ ἥμισυ τοῦ λόχε· τὸ αὐτὸ δὲ καὶ δεκανίαν. οἱ δὲ τὸ τέταρτον τῦ λόχου ἐνωμοτίαν φασί. καὶ ἐνωμοτάρχης ὁ αὐτῆς ἄρχων.

ἐνωμοτία ἡ ἀνταρσία. b

ἐνώμοτος ἔνοχος τοῖς ὅρκοις, βέβαιος. καὶ ὁ ἀντάρτης.

ἐνωμότως, ἐπιρρηματικῶς, ὁμοίως.

ἐνών ἐνυπάρχων· "παρήγγειλε μὴ ἄρα

πού τις ἀπὸ τῆς ἄλλης ςρατείας ἐνὼν ἐπηρεάζοι αὐτοῖς."

ἐνωπή ἡ πρόσοψις.

ἐνώπια εὐθέα.

ἐνώπιον καὶ ἐνώπιος καὶ ἐνωπίως ἔμπροσθεν.

ἐνωρμίσθη προσωρμίσθη.

ἕνωσις διεςώτων πραγμάτων κοινωνικὴ συνδρομή. ἕνωσις δὲ εἴρηται διὰ τὸ εἰς ἓν συνωθεῖσθαι τὰ πράγματα. γίνεται δὲ κατὰ δέκα τρόπους, κατ' οὐσίαν, ὡς ἐπὶ τῶν ὑποςάσεων, τουτέςι τῶν ἀτόμων· καθ' ὑπόςασιν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος· κατὰ σχέσιν, ὡς ἐπὶ τῶν γνωμῶν, ὡς εἰς ἓν θέλημα· κατὰ παράθεσιν, ὡς ἐπὶ τῶν σανίδων· καθ' ἁρμονίαν, ὡς ἐπὶ τῶν λίθων· κατὰ κρᾶσιν, ὡς ἐπὶ τῶν ὑγρῶν, οἴνου καὶ ὕδατος· κατὰ φύρσιν, ὡς ἐπὶ τῶν ξηρῶν καὶ ὑγρῶν, ἀλεύρου καὶ ὕδατος· κατὰ σύγχυσιν, ὡς ἐπὶ τῶν τηκτῶν, κηροῦ καὶ πίσσης· κατὰ σωρείαν, ὡς ἐπὶ τῶν ξηρῶν, σίτου καὶ κριθῆς· κατὰ συναλοιφήν, ὡς ἐπὶ τῶν ἀποσπωμένων καὶ αὖθις ἀποκαθιςαμένων, οἷον λαμπάδος πυρὸς προερχομένης καὶ πάλιν ἀποκαθιςαμένης.

ἐνώτια κόσμος περὶ τὰ ὦτα· "ὃ δὲ ἐνωτίοις ἐκ μαργάρων κεκοσμημένοις δωρεῖται αὐτόν."

ἐνωτίζω τὸ ἀκούω, καὶ ἐνώτισαι ⟨Ps. 5 1⟩ ἄκουσον, εἴσω τῶν ὤτων γενέσθαι ποίησον. ἐνώτισε δὲ τὰ νῶτα περιεσκέπασεν.

a ἐξάγιςος ἀκάθαρτος, ἢ πονηρός· "ὃ δὲ τὸ ψεῦδος ἀπεςρέφετο καθάπερ ἄλλο τι τῶν ἐξαγίςων." καὶ αὖθις ⟨Synes. p. 85⟩ "διὰ τὴν ἐξάγιςον ἡδονὴν καθάπαξ οἱ θηλυδρίαι τριχοπλάςαι πάντες εἰσίν."

b ἐξάγιςος ἀντὶ τοῦ λίαν ἐναγής. Αἰσχίνης δὲ ⟨3 113⟩ ἐπί τινος λιμένος εἴρηκε τοὔνομα. Harp.

ἐξαγκωνιῶ ⟨A Eccl. 259⟩ τοὺς ἀγκῶνας ὑπὸ ταῖς πλευραῖς ποιήσω· οὐδέποτε γὰρ οὕτω μέση ληφθήσομαι. ἢ παραδώσω ἵνα τῶν χειρῶν ἕλκῃ με, καὶ μὴ μέσην ἀράμενος γνῷ ὅτι γυνή εἰμι ἐκ τῶν τιτθίων.

ἐξαγοράζω αἰτιατικῇ. •

ἐξ ἀγορᾶς εἶ ἀντὶ τοῦ ἀγοραῖος· Ἀριςοφάνης ⟨Eq. 181⟩ "ἐξ ἀγορᾶς εἶ καὶ θρασύς."

ἐξαγορεύω δοτικῇ.

ἐξαγωγή. "ἆρά γε χρὴ κολάσαι τὸν δοῦλον καὶ ἐπ' ἐξαγωγῇ ἀποδόσθαι, ἢ ἐᾶσαι τοῖς περικειμένοις δεσμοῖς ἐναποθανεῖν;" ἀντὶ τοῦ τῶν δεσμῶν ἀφέσει. "ὃ δὲ τὴν δεξαμένην αὐτὸν ··· ἐπ' ἐξαγωγῇ πέπρακεν" ⟨cf. v. Ἀριςογείτων b⟩.

ἐξαγώνιος ἔξω τοῦ ἀγῶνος. οἱ μὲν πολλοὶ τοὺς ἐν ταῖς σκηναῖς ἀγωνιζομένους οἴονται καλεῖσθαι δεῖν, ὅταν ἢ παραλείπωσί τι τῶν ἐξ ἀνάγκης ῥήσεων ἢ ποιῶσί τι παρὰ τὸ προσῆκον· Αἰσχίνης δὲ ⟨1 176⟩ ἐπὶ τῶν ἔξω τοῦ ἀγῶνος λεγομένων λόγων, τουτέςιν οὐ προσηκόντων εἰρῆσθαι.

Ἐξάδιος ⟨Hom. A 264⟩ ὄνομα κύριον, ὁ ἐξέχων ἐν τῷ διώκειν.

ἐξαιθριασθέν ⟨Ioseph. B. I. 3 10 7, 4 8 3⟩ λαμπρυνθέν.

ἔξαιμοι οἱ λίφαιμοι, οἱ πλεῖςον αἷμα κενώσαντες.

ἐξαίρει ὑψοῖ.

ἐξαιρεῖται ἀφαιρεῖται, λαμβάνει. καὶ ἐξαιρήσομεν ὁμοίως.

ἐξαιρέσεως δίκη. ὁπότε τις ἄγοι μέν τινα ὡς δοῦλον, ἄλλος δέ τις αὐτὸν ὡς ἐλεύθερον ἐξαιροῖτο, ἐξῆν τὸν ἀντιποιούμενον τοῦ ἀνθρώπου ὡς δούλου λαγχάνειν ἐξαιρέσεως δίκην τῷ εἰς τὴν ἐλευθερίαν αὐτὸν ἐξαιρουμένῳ. Harp.

ἐξαιρετέα ἀξία τοῦ καταςραφῆναι· ⟨Dio Cass. fr. 59⟩ "ἡ Καρχηδὼν πολλοῖς Ῥωμαίων ἐξαιρετέα ἐδόκει εἶναι καὶ Κορνηλίῳ ὑπάτῳ· καὶ ἔλεγεν ὅτι ἀδύνατόν ἐςι συνεςώσης αὐτῆς ἀδεεῖς σφᾶς εἶναι."

ἐξαίρετον τὸ ἐπίλεκτον. ἐξαιρετὸν δέ, ὀξυτόνως, τὸ ἐκβαλλόμενον.

ἐξαίροντες ἀνατρέποντες· "πρὸς ταῦτα τί λέγουσιν οἱ τὴν πρόνοιαν ἐξαίροντες;"

ἐξαιρούμενος ἀποκομιζόμενος.

ἐξαιροῦσιν ἐκβάλλουσιν, ἀφανίζουσι· "φθίνοντα γὰρ Λαΐου θέσφατ' ἐξαιροῦσιν ἤδη" ⟨S OR 906⟩.

ἐξαίσια παντὸς ἐπέκεινα θαύματος, ὑπερβαλλόντως· "πλοῦτος ἐξαίσιος." Πολύβιος "ἐπιγίνεται χειμῶνος μέγεθος ἐξαίσιον."

ἐξαίτης ἀφαιρέτης.

ἔξαιτον τὸ ἐξαίρετον· ⟨AP 6 332⟩ "ἔξαιτα προτέρης ἀπὸ ληίδος, ἦμος ἀτειρὴς πέρσεν ὑπερθύμους Γέτας."

ἐξαίφνης καὶ ἐξαπίνης.

ἐξ ἀκαλαρρείταο βαθυρρόου ὠκεανοῖο ⟨Hom. H 422, τ 434⟩ ἐκ τοῦ ἡσύχως ῥέοντος διὰ τὸ βαθύ.

ἐξ ἀκεραίου ἀντὶ τοῦ εὐχερῶς, εὐμα- a

ρᾶς. Πολύβιος ⟨17 13⟩ "οὔτε τὰς ἐξ ἀκεραίου συμπαθομένους τῶν ἀνδρῶν ··· πατρίσι καὶ τὰ παραδείγματα ἐξ αὐτῶν τῶν ἐνεστώτων καιρῶν" ⟨cf. v. προδότας⟩.

b ἐξ ἀκεραίου· "οὐ δυνάμενος δὲ πείθειν ἐξ ἀκεραίου διὰ τὴν εὐλάβειαν καὶ εὐπραγίαν τοῦ βασιλέως." cf. v. ἀκέραιος.

ἐξακριβωθέντες ἐρευνηθέντες· Διόδωρος "ἄνδρες ἐξακριβωθέντες ὑπὸ βασιλέως εἰς μέγεθός τε καὶ ὕψος σωμάτων καὶ τόλμης ὀξύτητα καὶ ἀγερωχίαν."

ἐξάλειπτρον τὴν τοῦ μύρου λήκυθον, τὸ ἀλάβαςρον ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες. Ἀριςοφάνης ⟨Ach. 1062⟩ "ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον, ὦ γύναι."

ἐξαληλιμμένος ἠλειμμένος.

ἐξαλίσας ἐκκυλισθῆναι ποιήσας εἰς τὴν κόνιν. ἀλινδήθρα δὲ ὁ τόπος ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ὡς Ἀριςοφάνης ἐν Βατράχοις ⟨934⟩ "πολλὰς ἀλινδήθρας τε καὶ ἐκκυλίσματα." sch. A Nub. 32.

ἐξαλλάξαι ἀντὶ τοῦ τέρψαι· Μένανδρος "ἄνθρωπον ἐξαλλάξομεν κακόν τί σοι δώσοντα."

ἐξαλλάττω αἰτιατικῇ.

ἐξαλλομένους ἀνασκιρτῶντας· Ἰώσηπος ⟨B. I. 6 4 2⟩ "οὐκ ἀξίους εἶναι σωτηρίας τοὺς φλεγομένης δι' αὐτοὺς τῆς πατρίδος ἐξαλλομένους."

ἔξαλλος. καὶ ἐξάλλως, ἐπίρρημα, ἀντὶ τοῦ κατὰ ἄλλον τρόπον, παραδόξως. Πολύβιος ⟨32 25⟩ "τὸ γὰρ ἅμα τε θύειν καὶ ἐξιλάσκεσθαι τὸ θεῖον προσκυνοῦντα καὶ λιπαροῦντα τοὺς βωμοὺς ἐξάλλως, καὶ πάλιν ταῦτα διαφθείρειν, μανίας ἐςίν."

ἐξάλλως καθ' ὑπεροχήν· "τὸ γὰρ ἅμα μὲν θύειν καὶ ἐξιλάσκεσθαι τὸ θεῖον, λιπαροῦντα τοὺς βωμοὺς ἐξάλλως, ὅπερ εἴωθε Προυσίας ὁ βασιλεὺς ποιεῖν γονυπετῶν καὶ γυναικιζόμενος, ἅμα δὲ ταῦτα λυμαίνεσθαι καὶ διὰ τῆς τούτων καταφθορᾶς τὴν ἐς τὸ θεῖον ὕβριν διατίθεσθαι, λυττῶντος ἔργα καὶ ψυχῆς ἐξεςηκυίας τῶν λογισμῶν" ⟨Polyb. 32 25. cf. v. Προυσίας⟩.

ἐξ ἁμάξης. ἡ λεγομένη ἑορτὴ παρ' Ἀθηναίοις λήναια, ἐν ᾗ ἠγωνίζοντο οἱ ποιηταὶ συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν. ὅπερ Δημοσθένης ⟨18 122⟩ ἐξ ἁμάξης εἶπεν· ἐφ' ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι ἔλεγόν τε καὶ ᾖδον τὰ ποιήματα. λέγεται καὶ ληναΐτης χορὸς ὁ τῶν ληναίων. sch. A Eq. 544.

ἐξ ἀμβιτίωνος ἐκ περιδρομῆς τι πράττων, παρὰ Ῥωμαίοις.

ἐξαμβλίσκειν ἐκτιτρώσκειν· Αἰλιανός "καὶ τὴν τῶν τετραπόδων ἀγέλην ἐξαμβλίσκειν ἔφασαν."

ἐξαμήσω ἐξανύσω, ἐξοίσω· ⟨A Lys. 367⟩ "τοὺς πνεύμονας καὶ τἄντερ' ἐξαμήσω."

ἐξ ἄμμου σχοινίον πλέκεις, ἐπὶ τῶν ἀδυνάτων.

ἐξ ἀναγκαίας τύχης! οἷον ἀναγκαςῷ μόρῳ, καὶ οὐκ ἐκ ταυτομάτου. ἐκ βίας, οὐκ ἰδίῳ θανάτῳ. Σοφοκλῆς ⟨El. 48⟩ "τέθνηκ' Ὀρέςης ἐξ ἀναγκαίας τύχης."

ἐξαναςάς μετοικήσας· "ὁ δὲ Θεσπιάδης ἐξαναςὰς ἐξ Ἀθηνῶν Θεσπίαν ἐν Βοιωτίᾳ ἔκτισεν."

ἐξαναχωρεῖ Θουκυδίδης ⟨4 28⟩.

ἐξανδρούμενος τὴν ἡλικίαν ἔχων εἰς ἄνδρα.

ἐξανεμοῦσθαι ἐπαίρεσθαι.

ἐξανθίζω τὸ βάπτω, ὡς τὸ "ποικίλας ἐξηνθίκατε τὰς βαφάς." ἐξανθῶ δὲ τὸ ἀναβλαςάνω, ὡς τὸ "ἐξήνθησεν ἡ ἔρημος."

ἐξανθρωπίζω.

ἐξάντεις ἔξω ἄτης καὶ βλάβης· "καὶ οἱ μὲν ἔδρασαν ταῦτα, εἶτα μέντοι ἐξάντεις γίνονται τοῦ κακοῦ."

ἐξάντη ὑγιῆ καὶ ἔξω ἄτης· "ὦ Ζεῦ γενέσθαι τῆσδέ μ' ἐξάντη νόσου." τὸ ν ἔγκειται δι' εὐςομίαν. ⟨Theophyl. Sim. 2 extr.⟩ "ἀτὰρ ἐξάντης τοῦ πτώματος ὁ τραυματίας γενόμενος καὶ τρίτον ἆθλον ἀσπάζεται." καὶ Αἰλιανός "θυγάτηρ δὲ ἥπερ ἦν οἱ τῶν ἐκείνῳ μηχανῶν τε καὶ ἐπιβουλῶν ἀμαθής, ἐξάντης γίνεται τοῦ κακοῦ." ἔςι δὲ καὶ ἐπιφώνημα· "ἐξάντης λεύσω τοὐμὸν κακὸν ἄλλον ἔχοντα." Πλάτων ἐν Φαίδρῳ ⟨p. 244 E⟩.

ἐξανύω ⟨Hom. Λ 365⟩ κατεργάζομαι.

ἐξαπάτη. ὁ λογοθέτης ἐν τῷ μαρτυρίῳ τοῦ Καλλικελάδου "ἐν ὀλίγῳ δὲ συνιδόντες ὡς οὐκ ἐξαπάτη καὶ ὄνειρος τὰ ὁρώμενα, ἀλλ' ἐγρήγορσις καὶ ἀλήθεια."

ἐξάπινα ἐξαίφνης, ἢ κυκλόθεν· Δαβίδ ⟨Ps. 63 4⟩ "ἐξάπινα κατατοξεύσουσιν."

ἐξαπίναιον ἐξαίφνης· "οὐ μέγα τι συνέβη τὸ τῆς ἐπιθέσεως ἐξαπίναιον οὔτε βλάψαι Ῥωμαίους οὔτ' ὠφελῆσαι." καὶ ἐξαπιναίως ἐξαίφνης.

ἐξαπλῶν διπλασιάζων, πολυπλασιάζων. ἀντὶ τοῦ πότερα ἂν ἕλοιο, εἴ σοι δοίη τις αἵρεσιν, λυπῶν τοὺς φίλους αὐτὸς ἐν ἡδονῇ διάγειν, ἢ κοινωνεῖν τοῦ παντὸς καὶ αὐτός τε λυπεῖσθαι καὶ τοὺς φίλους λυπεῖν; περὶ Αἴαντός φησιν· ⟨265⟩ "ἀνὴρ ἐκεῖνος ἡνίκ' ἦν ἐν τῇ νόσῳ, αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς, ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών. νῦν δ', ὡς ἔληξε κἀνέπνευσε τῆς νόσυ, κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ, ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος. ἄρ' ἐςὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;"

ἐξ ἀπόπτου ⟨S Phil. 467⟩ ἐξ ὑψηλοῦ τόπου.

ἐξάπτεσθαι ἐξαρτᾶσθαι, ἀντιλαμβάνεσθαι.

ἐξάραντες ἔξω ποιήσαντες.

ἐξαράξαντες ἐκρήξαντες, κρούσαντες.

ἐξαράξειν· "καὶ ἔτι μᾶλλον ἐξήπτοντο εἰς ὀργήν, καὶ ἠπείλουν τὰς θύρας ἐξαράξειν," τουτέςι συντρῖψαι, καταβαλεῖν.

ἐξαράσασθαι τὸ ἐκτελέσαι τὰς ἀράς, τουτέςι τὰς εὐχὰς ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώθασι ποιεῖσθαι. Harp.

ἐξαργυρῶσαι, οὐκ ἐξαργυρίσαι. Θουκυδίδης ἡ ⟨81⟩ "οὐδ' ἦν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ ςρωμνὴν ἐξαργυρῶσαι."

ἔξαρθρος ἐκμελής, ἐξωςεϊσμένος.

ἔξαρνος ὁ τῷ ἀρνεῖσθαι ἐπιμένων καὶ ἀρνούμενος καθόλου· "ὁ δὲ μαςιγωθεὶς ἔξαρνος ἦν μηδὲν εἰρηκέναι."

ἐξάρξατε ⟨Ps. 146 7⟩ ἄρξατε μελῳδίας, ὑμνήσατε, προκατάρξατε, καταλέξατε.

ἐξάρσεις ἐπάρσεις· "ὁ δὲ θρασύτερον προεκθέων, ἐξάρσεις τε τῶν ποδῶν καὶ περιδινήσεις ποιούμενος, βέλει τρωθεὶς ἀπέλιπε τὸν βίον."

ἐξαρτήσας ἀντὶ τοῦ ἐφευρίσκων, ἢ κρεμάσας. καὶ ἐξαρτῶμαι συμπέπαρμαι· Ἀριςοφάνης ⟨Pac. 474⟩ "κἀξαρτῶμαι κἀπεμπίπτω καὶ σπουδάζω." καὶ αὖθις ⟨Procop. Arc. 18⟩ "ἐν μὲν εἰρήνῃ καὶ σπονδαῖς ἐξαρτώμενος ἀεὶ νῷ δολερῷ ἐπὶ τοὺς πέλας πολέμυ αἰτίας."

ἐξαρτίζει τελειοῖ, πληροῖ, παρασκευάζει.

ἐξαρτύσας ἐκπληρώσας, ἢ ἑτοιμάσας.

ἐξάρτυσις· "πυθόμενος δὲ τὴν ἐξάρτυσιν τοῦ ςόλου τῶν Ἰώνων," τουτέςι τὴν παρασκευήν.

ἐξάρχοντες ᾄδοντες· "οἱ δὲ Τρῶες μετὰ θορύβου καὶ ἡδονῆς παιᾶνας ἐξάρχοντες." cf. v. ὁλκεῦσιν.

ἐξατμισθῇ ἐξελεπτύνθη.

ἐξατωρεία ἐλευθερία ἀπὸ ςρατείας.

ἐξαυδᾷ ἐκφωνεῖ, ὁμολογεῖ.

ἐξαυτῆς παραυτίκα, εὐθέως· ⟨Dio Cass. cf. v. συνιώσαντες⟩ "ἐξαυτῆς οἱ προειρημένοι βιβλιαφόρον ἔπεμπον πρὸς τὸν Περσέα, διασαφοῦντα τὸ γεγονός." καὶ αὖθις ⟨Polybius: cf. v. ἀλογία⟩ "ὁ δὲ ἐξαυτῆς προῆγε, βάδην τῇ πορείᾳ χρώμενος."

ἐξαψάμενος κατασχών, περιπλακείς.

ἐξεβοήθη τὸ ἐλαλήθη, ἐξεβοήθει δὲ τὸ ἐβοήθησεν.

ἐξεγγύησις τὸ ἐκτελέσαι τινὰ διὰ τῆς τῶν ἐγγυητῶν καταςάσεως. οὕτω Δημοσθένης ⟨24 77⟩. Harp.

ἐξεγραψάμην ἀντὶ τοῦ ἐμνημόνευσα. Ἀριςοφάνης Ὄρνισιν ⟨983⟩ "ὃν ἐγὼ παρὰ τἈπόλλωνος ἐξεγραψάμην."

ἐξεγρόμενος ἐγερθείς.

ἐξεδιήτησε κακῶς διῴκησε.

ἐξέδισεν ἐξεζήτησεν, ἐκ τοῦ δίζω τὸ ζητῶ.

ἐξέδοτο ἐξέδωκε.

ἐξέδρα. "ὁ δὲ κατῆρχε χωμάτων, τὸ μὲν κατὰ τὴν βόρειον ἐξέδραν, ἢ μεταξὺ τῶν δύο πυλῶν ἦν." καὶ αὖθις ⟨Diog. L. 4 19⟩ "κατῴκουν πλησίον τοῦ μουσείου καὶ τῆς ἐξέδρας."

ἐξέδραμον αἰτιατικῇ.

ἔξεδρος. ⟨A Av. 276⟩ "ἔξεδρον χρόαν ἔχων," τυτέςι παρηλλαγμένην. καὶ Σοφοκλῆς ⟨Phil. 212⟩ "οὐκ ἔξεδρος ἀλλ' ἔντοπος ἀνήρ." "οἰωνοὶ ἐλέγοντο ἔξεδροί τε εἶναι καὶ μηδαμῇ χρηςοί."

ἐξέζεσεν ἐπληρώθη· "καὶ τὸ σύμπαν αὐτοῖς σῶμα ἑλκῶν ἐξέζεσεν." cf. v. ἕλκος.

ἐξεθεάτρισαν ἐξηλίτευσαν, ἐξεπόμπευσαν· "οὐ μόνον ἑαυτοὺς ἐξεθεάτρισαν, ἀλλὰ καὶ τὴν Ἑλλάδα πᾶσαν κατέςρεψαν" ⟨Polybius?⟩.

ἐξέθει ἐξέτρεχεν.

ἐξεθύσαντο ἐμαντεύσαντο· "οἵ γε μάντεις ἐξεθύσαντο ὡς ἥκιςα ὅσιον ὂν τοῦτο."

ἐξέθορεν.

ἔξει, τουτέςιν ἔξελθε, παρὰ Ἀριςοφάνει ⟨Nub. 629⟩.

ἕξει παρέξει. οὐχ ὑποτάσσει, ἐὰν ἔξῃ.

ἐξείδιον.

ἐξείη συνεκεχώρητο, εἴθιςο· Ξενοφῶν (Anab. 4 3 10) "ᾔδεσαν γὰρ πάντες ὅτι ἐξείη αὐτῷ καὶ ἀριςῶντι καὶ δειπνοῦντι προσελθεῖν, καὶ εἰ καθεύδοι ἐπεγείραντα εἰπεῖν, εἴ τίς τι ἔχοι πρὸς πόλεμον."

ἐξείης, παρὰ ποιηταῖς, ἐφεξῆς, ἐπὶ ςίχον.

ἐξεικασμένον· "θεραπεύοντι τὸν νεών, καὶ γεραίροντι πᾶν ὁτιοῦν ἄγαλμα. ἐξεικασμένον αὐτῷ καὶ τετιμημένον" ἀντὶ τῦ ἐξωμοιωμένον.

ἐξεικασμένος πεπλασμένος· Ἀριςοφάνης (Eq. 230) "μὴ δείδιθ'· οὐ γάρ ἐςιν ἐξεικασμένος" ἀντὶ τοῦ πεπλασμένος πρὸς ὁμοιότητα. ἔθος γὰρ ἦν τοῖς κωμικοῖς ὅμοια τὰ προσωπεῖα ποιεῖν τοῖς κωμῳδουμένοις ὑπ' αὐτῶν, καὶ περιτιθέναι τοῖς ὑποκριταῖς.

ἐξεικονισμένον (Exod. 21 22 et 23) μεμορφωμένον.

ἐξειλεγμένον ἐκλεκτόν.

ἐξείλετο ἔλαβεν.

ἐξειμένοι ἀφειμένοι.

ἔξειμι, οὐκ ἐξελεύσομαι, λέγουσιν Ἀττικοί.

ἐξεῖναι δυνατὸν εἶναι.

ἐξείνισαν ἐξενοδόχησαν.

ἐξείραντες ἐξελκύσαντες, ἐξελόντες· Ἀριςοφάνης (Eq. 377) "τὴν γλῶσσαν ἐξείραντες αὐτοῦ ἐκκοψόμεθα."

ἐξείργειν ἀπείργειν, κωλύειν.

ἐξείρετο ἠρώτα.

ἐξείρπυσεν ἐξεσύρθη, ἐξῆλθεν· "ἡ δὲ ἔχιδνα ἐξείρπυσεν ὑπὸ τοῦ πυρὸς ἀναγκασθεῖσα." ad Act. Apost. 28 3.

ἐξεῖρψεν (Ps. 104 29) ἀνέδωκεν.

ἔξεισιν ἐξέρχεται.

ἐξειςήκει ἐξηλλάττετο· "καὶ τρόμῳ εἴχετο, καὶ ἡ χρόα αὐτοῦ ἐξειςήκει καταδείσαντι τὸ πλῆθος τῆς ςρατιᾶς καὶ τῶν ὅπλων τὴν λαμπρότητα."

ἐξεκάκησα ἀπηγόρευσα.

ἐξεκαρυκεύθη ὠψοποιήθη, συνεκόπη.

ἐξεκεκλήκει ἐκ τοῦ δείπνυ ἀνίςη· "νυκτὸς δὲ γενομένης τοὺς οἰκέτας ἐξεκεκλήκει τοὺς Ναννάρου" (Nicol. Dam. exc. leg. p. 65).

ἐξεκέκλητο προεκαλεῖτο· (Polyb. 4 57) "ταχὺ δὲ ἐξεκέκλητο αὐτοὺς πρὸς τὴν πρᾶξιν ἅτε οἰκείους ὄντας τῶν τοιούτων ἐγχειρημάτων."

ἐξεκίνησεν ἐξεδίωξε· Σοφοκλῆς (El. 567) "παίζων κατ' ἄλσος ἐξεκίνησεν ποδοῖν ςικτὸν κεράςην ἔλαφον."

ἐξεκλησίασε συνήθροισε.

ἐξέκνησεν ἐξέκοψεν· Ἡρόδοτος (7 239) "δελτίον δίπτυχον λαβὼν τὸν κηρὸν αὐτοῦ ἐξέκνησεν."

ἐξεκόκκισεν (A Ach. 1178) ἀντὶ τοῦ ἐξέκλασεν, ἐξέβαλεν. ἡ μεταφορὰ ἀπὸ τῶν κόκκων.

ἐξεκόπη τὸν ὀφθαλμὸν (ἐπηρώθη) Ὀράτιος ὁ Ῥωμαῖος, καὶ ἐπεκλήθη Κόκλης· τὸν γὰρ ὀφθαλμὸν ὀκολοὺμ καλοῦσι Ῥωμαῖοι.

ἐξεκύκλησαν ἐξήνεγκαν· Αἰλιανός "ἐπεὶ δὲ εἰς τὸ θέατρον ἐξεκύκλησαν αὐτόν, ἐπηλυγασάμενος τὴν κεφαλὴν ... ἦν τὸ ἄσωτον."

ἐξεκώμασεν ἐξεπόρνευσεν.

ἐξέλαθον λαθεῖν ἠδυνήθησαν.

ἐξελέγχειν φανεροποιεῖν· "ὃ δὲ ἠξίου ἢ τάχος τὰ πραχθέντα βασάνοις ἐξελέγχειν."

ἐξέλεξε συνήθροισε· "χρήματα δὲ παρὰ τῶν Λιβύων πολλὰ μὲν ἐς τὸ κοινὸν πολλὰ δὲ καὶ ἐς τὸ ἴδιον ἐξέλεξεν."

ἐξελιγμῶν ἰδέαι διτταί, ἣ μὲν κατὰ λόχους ἣ δὲ κατὰ ζυγά. εἴδη δὲ ἀνὰ ἑκατέρου αὐτῶν τρία· καλεῖται γὰρ ὃ μὲν Μακεδών, ὃ δὲ Λάκων, ὃ δὲ Χώριος, ὃν καὶ Κρητικὸν καὶ Περσικὸν καλοῦσι. Μακεδὼν δὲ ἐξελιγμός ἐςιν ὁ κατὰ λόχυς, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ἔμπροσθεν τόπον, ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας τὴν ὄπισθεν. Λάκων δὲ ἐςιν ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ὀπίσω τόπον, ὁμοίως δὲ ἀντὶ τῆς ἔμπροσθεν ἐπιφανείας τὴν ὄπισθεν. Χώριος δέ ἐςιν ὁ τὸν αὐτὸν ἐπέχων τόπον τῆς φάλαγγος, τῶν κατὰ μέρος ὁπλιτῶν ἀνθ' ὧν προκατεῖχον τόπων ἑτέρους μεταλαμβανόντων, τοῦ μὲν λοχαγοῦ τὸν τοῦ οὐραγοῦ τοῦ δὲ οὐραγοῦ τὸν τοῦ λοχαγοῦ, ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἔμπροσθεν ἐπιφανείας τὴν ὄπισθεν. οἱ δὲ δὴ κατὰ ζυγὰ ἐξελιγμοὶ γίνονται, ἐπειδὰν ἐπὶ τῶν ἀποτομῶν βουληθῇ τις τὰ κέρατα καθιςάνειν, τὰς δὲ ἀποτομὰς ἐπὶ τῶν κεράτων χάριν τοῦ καὶ τὰ μέσα ἰσχυροποιεῖσθαι, καὶ ὁμοίως τὰ δεξιὰ ἐν τοῖς εὐωνύμοις καὶ τὰ εὐώνυμα ἐν τοῖς δεξιοῖς. Aelianus Tact. 27.

ἐξελίξαντες· "εἶτα ὑμεῖς τὰς φάλαγγας ἐξελίξαντες, ἀγχίςροφοι γινόμενοι, ἀντιμέτωποι γίνεσθε τοῖς διώκυσιν." καὶ αὖθις "κᾆτα ἐνόπλιοι διαδρομαί τινες ἐγίνοντο καὶ ἐξελίξεις καὶ περίοδοι." cf. v. διαδρομαί.

ἐξέλιπε φυσητήρ, ἐξέλιπε μόλιβδος. φυσητὴρ καὶ τὸ ὄργανον ᾧ ἐμφυσᾷ ὁ χρώμενος, καὶ ὁ ἄνθρωπος ὁ τὸ ὄργανον μεταχειριζόμενος. συγκαίουσι δὲ τῷ ἀργύρῳ μόλιβδον, ἵνα συγκαιόμενος ἀνιμᾶται καὶ ἀναλαμβάνῃ εἰς αὐτὸν τὸ νόθον.

ἐξελίσσουσι κινοῦσιν.

ἐξελοφίζετο· "ἡ δὲ γῆ ἐκ τῶν Δικαιαρχείας γεωλόφων ἐξελοφίζετο."

ἐξεμεῖν ἐκκενοῦσθαι· Ἀριςοφάνης ⟨Ran. 11⟩ "μὴ δῆθ' ἱκετεύω," τουτέςι μὴ ὅλως εἴπῃς, "πλήν γ' ὅτε μέλλω ἐξεμεῖν." τότε, φησί, λέγε, ἐπιτηρήσας ὅτε μέλλω ἐξεμεῖν· ῥᾷστα γὰρ ἂν μᾶλλον ἐξεμέσαιμι.

ἐξέμηναν αἰτιατικῇ.

ἐξεμηρύσατο διεξῆλθεν· ⟨Polyb. 3 53⟩ "ὁ δὲ Ἀννίβας ἐν ὅλῃ τῇ νυκτὶ μόλις ἐξεμηρύσατο τὰς χαράδρας."

ἐξ ἐμοῦ παρ' ἐμοῦ.

ἐξ ἐναντίας ἐπίρρημα.

a ἐξένευσαν παρῃτήσαντο, ἀπηρνήσαντο· "οἳ δὲ μὴ θέλοντες βοηθεῖν αὐτοῖς, ὡς πρὸς ἄλλους πόλεμον ἔχοντες, ἐξένευσαν τὴν βοήθειαν."

b ἐξένευσαν ἐξεκολύμβησαν· Θουκυδίδης ⟨2 90⟩ "τὰς δὲ ἄλλας ναῦς ἐπικαταλαβόντες ἐξέωσάν τε πρὸς τὴν γῆν καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν."

ἐξένιζεν ἀντὶ τοῦ ξένος ἦν. Δίδυμος δέ φησιν ἀντὶ τοῦ οὐκ Ἀττικοῖς ἀλλὰ ξένοις ῥήμασι διελέγετο. Harp.

ἐξένισεν ἐξενοδόχησε. καὶ ἀντὶ τοῦ ἀπέκτεινεν. Ἠλέκτρα φησίν ⟨96⟩ "ὁ δὲ Ἄρης οὐκ ἐξένισεν αὐτόν," τουτέςιν οὐκ ἀπέκτεινε· ξένια γὰρ Ἄρεως τραύματα καὶ φόνοι. καὶ Ἀρχίλοχος "ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενος." ταῦτα θρηνεῖ ἀδελφὴ τοῦ Ὀρέςου.

ἐξ ἑνὸς τὰ πάνθ' ὁρᾷ, ἐπὶ τῶν παροριώντων.

ἐξέπεσον πόρρω ἀπέφυγον· "καὶ τελευτῶντες τῆς νήσου ἐξέπεσον" ἀντὶ τοῦ ἐξεβλήθησαν.

ἐξ ἐπιμέτρου· "ἡ τῶν Ἐσσαίων αἵρεσις, οἵ εἰσιν Ἰουδαῖοι, τῶν Φαρισσαίων καὶ γραμματέων τὴν δικαιοσύνην ἐξ ἐπιμέτρου διενέγκεν" ⟨Cedrenus p. 98⟩.

ἐξ ἐπιπολῆς, οἷον οὐκ εἰς βάθος ἀλλ' εἰς ὄψιν.

ἐξ ἐπιτάγματος· "καὶ ὁ Καῖσαρ παρῆν ἐξ ἐπιτάγματος, ἀλλ' ἐσιώπα καὶ εἵπετο."

ἐξεπίτηδες καὶ ἐπίτηδες. ἑκατέρως λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ μάτην, ἐξ ἀνάγκης, ἀργῶς. ⟨A Plut. 917⟩ "οὐκ ἐξεπίτηδες ἡ πόλις ἄρχειν καθίςησι δικαςάς;"

ἐξέπλευσεν ἐξώκειλε, παρετράπη· "ὃ δὲ ἐξέπλευσε τῶν φρενῶν, καὶ πολλὰ εἰς τὸ ἄγαλμα παρῴνησεν" ⟨Aelianus?⟩.

ἐξέπλωσας· Ἡρόδοτος ⟨3 155⟩ "πῶς οὐκ ἐξέπλωσας τῶν φρενῶν, σεωυτὸν διαφθείρας;" ἀντὶ τοῦ ἐξέπλευσας, τουτέςι παρετράπης καὶ ἐξώκειλας.

ἐξεπολεμώθη ἐκινήθη.

ἐξέπραξεν ἀντὶ τοῦ ἀνεῖλεν· ⟨S OC 1659⟩ "οὔτε πυρφόρος θεοῦ κεραυνὸς ἐξέπραξεν."

ἐξεπρέμνιζον ἀντὶ τοῦ κατέβαλλον τὰ πρέμνα, τουτέςι μέχρι ῥιζῶν τὰ ςελέχη. οὕτω Δημοσθένης ⟨43 69⟩. Harp.

ἐξεράσατε τοὺς λίθους ⟨A Ach. 340⟩ ἐκκενώσατε, ἐκβάλετε, ἀπορρίψατε. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῆς ἔρας, ὅ ἐςι τῆς γῆς.

ἐξερέων ἀντὶ τοῦ ἐρευνῶν.

ἐξερεύξεται ⟨Ps. 118 171⟩ ἐκφέρῃ, ἐξενέγκῃ.

ἐξερήσομεν ἐρωτήσομεν.

ἐξεριθεύονται πρὸς κακίαν ἐκκαλοῦσι· Πολύβιος "οἱ τῆς ςρατηγίας ὀρεγόμενοι ἐξεριθεύονται τοὺς νέους, καὶ παρασκευάζουσιν εὔνους συναγωνιςὰς εἰς τὸ μέλλον."

ἐξέρχετον κατὰ Ῥωμαίους τὸ στρατόπεδον.

ἐξερπύσασι βαδίσασι.

ἐξερρύησαν ἠφανίσθησαν. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ἐν πολέμῳ φευγόντων.

ἐξερρωγυῖα διεφθαρμένη· Προκόπιος ⟨Arc. 1⟩ "γυνὴ τὸν τρόπον ἐξερρωγυῖα." "καὶ οἱ θυμοὶ τῶν ὑπασπιςῶν τῆς Εὐδοξίας κατὰ τοῦ Χρυσοςόμου ἐξερρώγεσαν."

ἐξέρχομαι δοτικῇ. τὸ δὲ τιμωρῶ αἰτιατικῇ.

ἐξερῶ ἐξοίσω.

ἐξ ἔρωτος. ὅτι ἐξ ἔρωτος ἐνίοτε νόσος ἐπισυμβαίνει, ὅπερ Ἀντίοχος ὁ Σελεύκου παῖς ἔπαθεν. εἶτα ὑπὸ ἰατρῶν ἐφωράθη τὸ πάθος.

ἐξεσάλαξας μετεκίνησας· ἐν ἐπιγράμματι ⟨AP 5 235⟩ "τὴν δ' ἐνὶ θυμῷ ἐξεσάλαξας ὅλην θάμβεϊ φαντασίην."

ἐξεσία ἡ πρεσβεία.

ἐξεσκληκός τὸ ὑποξηρανθέν.

ἐξεσόβησα ἐξεδίωξα· ἐν ἐπιγράμματι ⟨AP 5 260⟩ "ἔκχυτον ἐκ ςέρνων ἐξεσόβησα

νόον." καὶ αὖθις ⟨AP 6 167⟩ "καὶ πτῶκας πολλάκις ἐξεσόβει."

ἐξέσσυτο ἐξώρμησεν.

ἐξεστεμμένοι ἀντὶ τοῦ κεκοσμημένοι· εἰώθασι γὰρ τῷ στέφειν χρῆσθαι ἀντὶ τοῦ κοσμεῖν. στέμμα δέ ἐστι τὸ προσειλημένον ἔριον τῷ θαλλῷ. Σοφοκλῆς ⟨OR 3⟩ "ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι."

ἐξέστηκε μαίνεται· "ὃ δὲ τῇ πολυχρονίῳ τριβῇ τῶν πολεμικῶν οὐδόλως ἐξέστη τῶν φρενῶν."

ἐξέστησαν ὑπεχώρησαν· "οἱ δὲ βάρβαροι ἐξέστησαν αὐτοῖς ὡς κρείττοσιν."

ἐξέστω ἐξουσίαν ἐχέτω.

ἐξέσχε· "τούτου τὴν πλευρὰν λόγχῃ διήλασε, καὶ ὑπὸ ῥύμης τῆς αἰχμῆς ἐξέσχεν ἐπὶ θάτερα," ἀντὶ τοῦ διήλασε, διῆλθε.

ἐξέσχεν· "ἠκοντίσθη τὸν δεξιὸν ὦμον διαμπερές, καὶ ἐξέσχε τὸ βέλος," ἀντὶ τοῦ διῆλθε.

ἐξεταζόμενοι πρὸς τοῖς βασιλείοις ⟨Isocrat. 4 151⟩ ἀριθμούμενοι ἐν τοῖς βασιλείοις.

ἐξεταζόμενος ἐρευνώμενος, δοκιμαζόμενος, ἢ συναριθμούμενος· "ἐν πράξεσι μεγίσταις ἐξεταζόμενος," καὶ αὖθις "ἐρρύετο τὴν πόλιν ἔνδον ἐξεταζόμενος Φουρτωνίων ὑποστράτηγος τῶν ἐπὶ τῆς Μυσίας, οὓς δοῦκας καλοῦσι."

ἐξετάζω αἰτιατικῇ.

ἐξέτει ἐξαετεῖ, βαρυτόνως ἀττικῶς· Ἀριστοφάνης Νεφέλαις ⟨861⟩ "οἶδ' ἐξέτει σοι τραυλίσαντι πιθόμενος." καὶ ⟨Lys. 280⟩ "ἓξ ἐτῶν ἄλουτος." Ἀττικὴ σύνταξις.

ἐξέτηξεν ἠφάνισεν.

ἐξευγενίζω αἰτιατικῇ.

ἐξ εὐθείας· "ἐπιστολὴν δὲ ἐξ εὐθείας πρὸς αὐτὸν ἐπιθεῖναι ἐνάρκησα," τουτέστιν ἰδιάζουσαν, ἐκ τοῦ παραυτίκα.

ἐξευμενίζεσθαι πείθεσθαι.

ἐξεφαύλισαν παρ' οὐδὲν ἐλογίσαντο· "οἳ δὲ οὐκ ἐξεφαύλισαν τὴν τῶν Κρητῶν αὐτοσχέδιον ἐκείνην μοῦσαν οἷα δή που λιτήν τινα θυσίαν." cf. v. ἐνύν.

ἐξ ἐφόδου ἐκ τοῦ παραυχρῆμα, χωρὶς πόνου· "ὡς ἔγνω μὴ ἐξ ἐφόδου οἷόντε ἐξελεῖν τὴν Θεοδοσίου πόλιν, ἀναχωρεῖ" ⟨Menand. exc. leg. p. 397⟩.

ἐξεφοίτα ἐθριάμβευεν· "ὃ δὲ παρὰ τοὺς ἀτελέστους καὶ βεβήλους ἐξεφοίτα τὰ τῶν Σαμοθρᾳκῶν ὄργια· ὃς φωραθεὶς ἀπέδρα πρὸς τοὺς Κυζικηνούς." cf. v. ἀναδεῖ.

ἐξέφυ ἐβλάστησεν.

ἐξεφύρθης ⟨Ierem. 3 2⟩ ἐμιάνθης.

ἐξεφύσησα ⟨Malach. 1 13⟩ διεσκόρπισα, ἐβδελυξάμην.

ἐξεφύσησεν ἐκίνησεν, ἐτάραξεν. ἀπὸ τοῦ σπινθῆρος δὲ τὸ φυσῆσαι ἔλαβεν. Ἀριστοφάνης ⟨Pac. 610⟩ "ἐμβαλὼν σπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίσματος, ἐξεφύσησεν τοσοῦτον πόλεμον ὥστε τῷ καπνῷ πάντας Ἕλληνας δακρῦσαι."

ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου ⟨Ps. 41 5⟩, τουτέστι διεχύθην καὶ διεκινήθην εἰς ὀδυρμούς, ἄπαυστον ἔχω τὸν θρῆνον.

ἐξέχειν τὸν ἥλιον τὸ ἐπιτεταλκέναι. "ἔξεχ' ὦ φίλ' ἥλιε," κωλάριόν τι παροιμιῶδες ὑπὸ τῶν παιδίων λεγόμενον, ὅταν ἐπινέφῃ ψύχους ὄντος. Ἀριστοφάνης Νήσοις "λέξεις ἄρα, ὥσπερ τὰ παιδί', ἔξεχ' ὦ φίλ' ἥλιε." καὶ ἐν Σφηξί ⟨768⟩ "καὶ ταῦτα μὲν νῦν εὐλόγως, ἢν ἐξέχῃ εἵλη κατ' ὄρθρον, ἡλιάσῃ πρὸς ἥλιον."

ἐξῇ, αὐθυπότακτον, ἀντὶ τοῦ δυνατὸν ὑπάρχῃ.

ἐξηγήσασθαι τοῦ διηγήσασθαι διαφέρει. διηγήσασθαι μὲν γάρ ἐστιν εἰπεῖν ἁπλῶς ἅ τις αὐτὸς ἐπίσταται, ἤτοι πρὸς ἀγνοοῦντας τοὺς ἀκροωμένους λέγων ἢ καὶ πρὸς εἰδότας· τὸ δὲ ἐξηγήσασθαι ἅμα λέγειν τε περὶ ὧν ἀγνοοῦσιν οἱ ἀκούοντες, καὶ διδάσκειν αὐτοὺς περὶ ὧν πυνθάνονται.

ἐξηγηταί οἱ τοὺς νόμους τοῖς ἀγνοοῦσιν ὑποδεικνύοντες, καὶ διδάσκοντες περὶ τοῦ ἀδικήματος οὗ ἕκαστος γράφεται. a

ἐξηγηταὶ τρεῖς γίνονται πυθόχρηστοι, οἷς μέλει καθαίρειν τοὺς ἄγει τινὶ ἐνισχηθέντας. καὶ οἱ ἐξηγούμενοι τὰ πάτρια. καὶ Ἡρόδοτος ⟨5 31⟩ "σὺ εἰς οἶκον τὸν βασιλέως ἐξηγητὴς γίνεαι πρηγμάτων ἀγαθῶν, καὶ ταῦτα εὖ παραινέεις πάντα." b

ἐξηγητὴς ἰδίως ὁ ἐξηγούμενος τὰ ἱερά. ἔστι δὲ καὶ ἃ πρὸς τοὺς κατοιχομένους νομιζόμενα ἐξηγοῦντο τοῖς δεομένοις. Harp.

ἐξηγορία ἐπαγγελία.

ἐξηγρόμην ἐξηγειρόμην. Ἀριστοφάνης ⟨Ran. 51⟩ "κᾆτ' ἔγωγ' ἐξηγρόμην" ἐπὶ τῶν ψευδομένων. εἰρηκότος γὰρ τοῦ Διονύσου "ναυμαχήσας κατέδυσα ναῦς τῶν πολεμίων ιγ'" ἐπιφέρει ὁ Ἡρακλῆς "κᾆτ' ἔγωγ' ἐξηγρό-

μην," σκώπτων τὸν Διόνυσον. καὶ ἐγώ, φησίν, ἀνέστην ἐξ ὀνείρων, δηλῶν ὅτι ταῦτα ὄναρ ἔπραξε. τῶν ἐπίτηδες ψευδομένων λεγόντων τοῦτο, καθὸ δηλοῦται ὅτι ἐνυπνίῳ ἐῴκει τὸ λεγόμενον.

ἐξήεσαν ἐξεπορεύοντο.

ἐξ ἠθέων ⟨Herodot. 1 15⟩ ἐκ τῶν συνήθων τόπων, ἐν οἷς συναναστρέφονται.

ἐξήκει παρῴχηκεν· Ξενοφῶν ⟨Anab. 6 3 26⟩ "ὁ δὲ χρόνος ἐξήκει." καὶ αὖθις "ὃ δὲ συνεῖδεν ἐξήκειν τοῦ χρησμοῦ τὴν φήμην."

Ἐξηκεστίδης, καὶ κλίνεται Ἐξηκεστίδη· Ἀριστοφάνης ⟨Av. 11⟩. ἐπὶ τῶν ἀμηχάνων· τοῦτον γὰρ ὡς ξένον διαβάλλουσι καὶ πλάνον, οἱ δὲ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς. ἐξαπορήσαντες οὖν τῆς ὁδοῦ καὶ ἀποπλανηθέντες εἶπον "οὐδ' ἂν Ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδόν." εἴρηται οὖν ἐπὶ τῶν ὁδοῦ ἀποπλανηθέντων.

Ἐξήκεστος ὄνομα κύριον. Harp.

ἐξῆκον Αἰλιανὸς ἀντὶ τοῦ ὑπερέχον· "καὶ ἑώρων φάσμα τὸ μέγεθος ἐξῆκον πέρα καὶ ἀνωτέρω τοῦ ἴσου."

ἐξήκοντος παρερχομένου· "ἐξήκοντος τοῦ χρόνου οὗπερ ἐντὸς ἔδει ἐπανιέναι πρὸς τὸν σφῶν ἄρχοντα."

ἐξήλασμα ἡ δίωξις.

ἐξήλατο ⟨X Anab. 7 3 33⟩ ἐπήδησεν.

ἐξῆλθεν ἐξέβη, ἐτελέσθη. "ὅτι Ζήνωνι, παρ' ἣν εἶχε δόξαν, ἐξῆλθε τὸ μάντευμα· ἀντὶ γὰρ τῆς βασιλίδος, ὡς ᾤετο, πόλεως εἰς λόφον συγκλεισθέντι τὸ αὐτὸ ὄνομα ἔχοντα συνέβη τὸ πέρας τοῦ βίου." cf. v. Ζήνων b.

ἐξηλιασμένων ⟨2 Sam. 21 14⟩ κεκαυμένων.

ἐξηλιθιότης ἐπίτασις τῆς μωρίας.

ἐξήλικας ἐξέβαλες, ἐξέωσας· Ἀριστοφάνης Νεφέλαις ⟨33⟩ "ἀλλ' ὦ μέλ' ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν."

ἐξήλυσις ἐξέλευσις.

a ἐξήμβλωκας ⟨A Nub. 137⟩ ἡμιτελῆ ἐξέωσας. ἐξαμβλῶσαι δὲ ἰδίως ἐπὶ τῶν γυναικῶν λέγουσι τῶν ἀποτικτουσῶν θᾶττον, ἢ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον. καὶ τὸ φάρμακον δὲ τὸ αἴτιον τοῦ ἐξαμβλοῦν τὰς γυναῖκας ἀμβλώθριον καλεῖται.

b ἐξήμβλωκας ἀντὶ τοῦ ἀτελῆ ἐποίησας Ἀριστοφάνης Νεφέλαις. καὶ αὖθις "καὶ οὐκ ἐξήμβλωτό οἱ ἡ ἐλπίς" ἀντὶ τοῦ ἀτελὴς ἐγένετο. οὕτω φησὶν Αἰλιανός. "ἀλλ' αὕτη γε ἡ ἐλπὶς ἐξήμβλωτο αὐτῇ." καὶ αὖθις Αἰλιανός "ἐξήμβλωτο δὲ ἡ ἔννοια τῆς θεοσυλίας τῷ ἀνοσίῳ ἀποσφαγέντος αὐτοῦ." cf. v. ἤμβλω.

ἐξημβλωμένον· Ἀριστοφάνης ⟨Nub. 139⟩ "ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον," τουτέστι τὸ παραπολωλὸς καὶ διεφθαρμένον.

ἐξήμβλωσεν ἐξέτρωσεν.

ἐξημημένος ἀφῃρημένος· Σοφοκλῆς ⟨Ai. 1175⟩ "εἰ δέ τις στρατοῦ βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ, κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονός, γένους ἅπαντος ῥίζαν ἐξημημένος."

ἐξῆμμαι γενικῇ.

ἐξημμένοι ἐκδεδεμένοι, ἢ ἐξαφθέντες.

ἐξῆν ἐξεγένετο, δυνατὸν ἦν.

ἐξηνδραποδισμένον· ⟨Polyb. 8 11⟩ "πλείστας δὲ πόλεις ἐξηνδραποδισμένον καὶ πεπραξικοπηκότα" ἀντὶ τοῦ προδιώσαντα.

ἐξήνθησεν ἀνεβλάστησεν, ἀνέθαλλεν. ἐξήνθισε δὲ τὰ ἄνθη συνέλεξε. καὶ ἐξανθίζω δὲ τὸ βάπτω, ὡς τὸ "ποικίλας ἐξηνθίκατε τὰς βαφάς."

ἐξηνθισμέναι ἄνθεσι κεκοσμημέναι, οἷον ψιμυθίῳ φύκει καὶ τοῖς ὁμοίοις. ⟨A Lys. 43⟩ "αἳ καθήμεθ' ἐξηνθισμέναι, κροκωτὰ φοροῦσαι καὶ κεκαλλωπισμέναι, καὶ κιμβερίκ' ὀρθοστάδια καὶ περιβαρίδας· κἤγχουσα καὶ τὰ διαφανῆ χιτώνια."

ἐξήνιον ἔξω ζυγοῦ, ἀνυπόταχτον. ἐξήνιον δὲ ἐκ τοῦ ἀνύω.

ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον ⟨A Vesp. 1282⟩ ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον ἐξαπατηθῇ.

ἐξήπαφεν ⟨Hom. ξ 379⟩ ἐξηπάτησεν.

ἐξῆπται ἐξῆρται, κρεμᾶται. καὶ ἐξῆπτο διεγήγερτο φλόξ.

ἐξῆρεν ἀπῆρεν.

ἐξήρηνται ἐκβέβληνται.

ἐξήρκει ἐξίσχυεν· "οὐ γὰρ ἐξήρκει τὰ ὑποζύγια πρὸς τῆς ὁδοῦ τὴν χαλεπότητα, ὥστε αἱρόμενοι τὰς ἁμάξας ἐξέφερον ἐκ τῶν δυσπόρων."

ἐξηρμένην ὑψουμένην.

ἐξήρτα ἐξῆπτεν, ἀπεκρέμα· "τὰ δὲ γράμματα τὰ βασιλικὰ ἀπὸ τῶν ἀνδριάντων ἐξήρτα." καὶ ἐξηρτῆσθαι ὁμοίως. ἐξηρτίσθαι δὲ ἑτοιμάζεσθαι, εὐτρεπίζεσθαι· "καὶ ἐς παρασκευὴν ἐξηρτίσθαι πολέμου."

ἐξηρτυμένος παρὰ Ἡροδότῳ ⟨1 43⟩ κατεσκευασμένος, ἡτοιμασμένος.

ἐξῆς μετὰ ταῦτα.

ἐξησθενηκότας τεταλαιπωρηκότας, παρειμένους· "οἱ δὲ Κελτοὶ ἰδόντες τοὺς Ῥωμαίους μάχεσθαι παρεσκευασμένους, καὶ δόξαντες ἐξησθενηκότας τὰ σώματα ὑπὸ λιμοῦ τὸν τάχιστον αἱρεῖσθαι τῶν θανάτων."

ἐξήσκει ἐπαίδευεν, ἐγύμναζε· "καὶ πλὴν ἀγαθῆς ψυχῆς σῶμα οὐκ ἔχων ὅμως ἔκαμνε, καὶ τὰς δυνάμεις ἐξήσκει καὶ κατεκόσμει πρὸς τὸ ἀνδρικώτερον."

ἐξησκηκότες καμόντες.

ἐξητάσθης Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου (α 66) καὶ κατὰ Ἀνδροτίωνος (66) ἀντὶ τοῦ ὤφθης, ὡράθης. Harp.

ἐξητασμένον ἠκριβωμένον· "οὐκ ἂν εὕροι τις οὔτε δαψιλὲς οὔτε πρὸς τὸ δίκαιόν τε καὶ ἴσον ἐξητασμένον."

ἐξηχεῖτο ἐξηκούετο.

ἐξιάλλειν ἐκβάλλειν.

ἐξίδισεν ἀπεπάτησεν· Ἀριστοφάνης (Av. 792) "εἴτε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν, οὐκ ἂν ἐξίδισεν εἰς θοἰμάτιον, ἀλλ' ἀνέπτατο."

ἐξίη μέλλοντος σημασίαν.

ἐξίησιν ἐξέρχεται.

ἐξικμασμένη ἐξηραμμένη· (Dio Cass. 75 2?) "ἄλλως τε ἐν ξηρᾷ χώρᾳ ὑπὸ τοῦ θέρους ἐξικμασμένῃ δεινῶς ἐσπάνισεν ὕδατος."

ἐξίλασμα (Ps. 12 3) ἡ δυσώπησις, ἡ παράκλησις.

ἐξιλάσομαι αἰτιατικῇ δυσωπήσω.

ἐξίλλειν ἐκφεύγειν.

ἐξιπώκατον θλίβουσιν, ἢ ἐθλίψατε· "ὡς ἐμοῦ γε τὼ ξύλω τὸν ὦμον ἐξιπώκατον" Ἀριστοφάνης Λυσιστράτη (291).

a ἕξις. ἕξις ἐστὶν ἡ κατὰ φύσιν ἑκάστου ἐνέργεια καὶ ὁλοκληρία, οἷον ἐπὶ μὲν ψυχῆς αἱ ἀρεταί, ἐπὶ δὲ σώματος τὸ ἐντελὲς τῶν μελῶν καὶ ἀνάλογον καὶ ὑγεία. ἡ δὲ τούτων ἀταξία καὶ διαμάρτησις καὶ καθόλου ἀναίρεσις λέγεται στέρησις. διαφέρει δὲ ἕξις διαθέσεως· ἡ μὲν γὰρ ἕξις δυσμετάθετός ἐστιν, ἡ δὲ διάθεσις εὐμετάβλητος. διάθεσις δέ ἡ κατὰ συμβεβηκὸς τοιάδε ἑκάστου ποιότης· λέγομεν γὰρ ὅτι πολεμίως ἢ φιλικῶς διάκειται ὁ δεῖνα πρὸς τόνδε, ἢ ὁ δεῖνα ἄνθρωπος ὑγιεινοτέρως διάκειται πρὸς ἑαυτὸν νῦν ἢ πρότερον.

b ἕξις δυσμετακίνητος τρόπος, ἤτοι διάθεσις. διαιρεῖται δὲ ἡ ἕξις εἰς ἀρετὴν καὶ κακίαν. ἕξεως δὲ εἴδη ἀρετή τε καὶ κακία.

ἐξισοῖ ἴσα πράσσει· Σοφοκλῆς (El. 1194) "μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ" ἀντὶ τοῦ οὐκ ἴσα πράσσει τῷ τῆς μητρὸς ὀνόματι.

ἐξισοῦμαι δοτικῇ.

ἐξιστάμενος ἀντὶ τοῦ παραχωρῶν· (Eunapius?) "ὁ οὖν Μάρκελλος κύριος ἦν τῶν πραγμάτων, ὀνόματος μόνου καὶ σχήματος τῷ Ἰουλιανῷ ἐξιστάμενος, τὴν δὲ ἀληθεστέραν αὐτὸς ἀρχὴν μεταχειριζόμενος." τάττεται δὲ καὶ ἐπὶ τοῦ ἐκπληττόμενος.

ἐξίστασθαι διαχωρίζεσθαι· "ὃ δὲ ὅσοι τῆς στάσεως ἐναγεῖς ἐκέλευσεν ἐξίστασθαι, οὓς κατηκόντισεν." (A Ran. 347) "εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσιν, ὅστις ἄπειρος τοιῶνδε λόγων ἢ γνώμῃ μὴ καθαρεύοι," ἀντὶ τοῦ ἐκχωρεῖν. καὶ αὖθις "ἐξίστασθαι μύσταισι χοροῖς" Ἀριστοφάνης (Ran. 363).

ἐξίστησιν ἐκπλήττει· "οὔτε δέος ἐξίστησιν αὐτοὺς οὔτε δαπάναι οὔτε πόνος."

ἐξιστορήσαντες ἀναζητήσαντες, διηγησάμενοι· (Herodot. 7 195) "τούτους οἱ Ἕλληνες ἐξιστορήσαντες ἃ ἐβούλοντο πυθέσθαι ἀπὸ τῆς Ξέρξου στρατιᾶς, ἀποπέμπουσι δεδεμένους."

ἐξισωτής ὁ ἐπόπτης.

ἐξίτηλα ἀφανῆ, εὐτελῆ, χαῦνα.

ἐξιτηλία.

ἐξιτήρια καὶ ἐξαγγέλια κατὰ Ῥωμαίους τὰ ὑπὲρ τῆς ἐξόδου παρεχόμενα.

ἐξιτηρίους εὐχάς ἐφοδίους τοῖς πρὸς ἔξοδον ἰοῦσιν ἢ πρὸς θάνατον.

ἐξιχωρίζεσθαι ἐκπιέζεσθαι, τὸν ἰχῶρα ἐκβάλλειν· "καὶ οἷον εἰς γάρον ἐξιχωρίζεσθαι." cf. v. ταριχεύειν.

ἐξκουβίτωρ.

ἐξκουσσεία.

ἐξοδία ἡ ἔξοδος· Πολύβιος (8 26) "τὸ μὲν οὖν πρῶτον ὡς ἐπ' ἐξοδίαν ὁρμήσαντες ἐκ τῆς πόλεως, παρὰ τὴν ὁδὸν ἔμειναν."

ἐξοδίαν· "πάνδημον ἐξοδίαν ποιησάμενοι καθῆκαν ἐνέδραν."

ἐξόδιοι νόμοι αὐλήματα δι' ὧν ἐξῄεσαν οἱ χοροὶ καὶ οἱ αὐληταί. οὕτως Κρατῖνος· "τοὺς ἐξοδίους ὑμῖν ἵν' αὐλῶ τοὺς νόμους."

ἐξόδων ἀνατολῶν· Δαβίδ (Ps. 74 6) "οὔτε ἐξ ἐξόδων οὔτε ἀπὸ δυσμῶν."

ἔξοινος ὁ μεθύων· (Theophyl. Sim. 5 1) "ὃ δὲ ἔξοινος ὢν καὶ ἡμικραίπαλος, ὑπὸ τοῦ

ὕπνῳ διακοπτόμενος." Πολύβιος "ἔξοινοι γεγονότες καὶ κατὰ τὰς σκηνὰς ἐρριμμένοι πάντες οὔτε παραγγέλματος ἁπλῶς ἤκουον, ὅτε τοῦ μέλλοντος ἐλάμβανον οὐδ' ἥντιναοῦν πρόνοιαν."

ἐξοισρηθείς μανείς, παρορμηθείς, ἐρεθισθείς.

ἐξ οἵων ἔχω ὡς ἔσι μοι δυνατόν, ὡς δυνάμεως ἔχω. Ὀρέστης φησίν· ⟨El. 1376⟩ "ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε, ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ ἀφ' ὧν ἔχοιμι λιπαρεῖ προὔσην χερί. νῦν δ' ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω, αἰτῶ προπιτνῶ λίσσομαι, γενοῦ πρόφρων ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων."

ἐξοκέλλει.

ἐξολίσθῃ ἐκπέσῃ· ⟨A Eccl. 286⟩ "μεμνημένας ἀεὶ λέγειν" τοῦτο τὸ ῥῆμα, "ὡς μή ποτ' ἐξολίσθῃ ἡμᾶς. ὁ κίνδυνος γὰρ οὐχὶ μικρός, ἢν ἁλῶμεν."

ἐξολῶν ἐκβάλλειν μέλλων καὶ ἐξωθεῖν τῆς πολιτείας· ⟨A Eq. 143⟩ "ἀλλαντοπώλης ἔσθ' ὁ τοῦτον ἐξολῶν."

ἐξομηρευσάμενοι ὁμογνώμονας ποιήσαντες· "ἐξομηρευσάμενοι δὲ τῷ τοιούτῳ τρόπῳ τοὺς πλείους τῶν δυνασῶν ἐνέβαινον εὐθαρσῶς εἰς τὸν πόλεμον."

ἐξομηρευσάμενος καλῶς διοικήσας· "τὴν δὲ πόλιν ἐξομηρευσάμενος ἠσφαλίσατο φρουρᾷ." ἐξομηρευσάμενος οὖν ἀντὶ τοῦ συμφωνήσας.

ἐξομιλῶ δοτικῇ.

ἐξόμνυσιν. καὶ ἐξόμνυσθαι ἀρνεῖσθαι.

ἐξομολόγησις εὐχαρισία.

ἐξ ὁμολόγου ἐκ προφανοῦς· ⟨Polyb. 11 32?⟩ "διὰ τὰς ἐξ ὁμολόγου καὶ συσάδην μάχας πολλοὶ ἔπιπτον ἐξ ἀμφοτέρων." καὶ αὖθις ⟨Polyb. 3 90⟩ "εἰς ὁλοσχερῆ δὲ κρίσιν ἐξ ὁμολόγου καταβαίνειν οὐχ οἷός τ' ἦν," κατὰ πρόσωπον.

ἐξομολογοῦμαι δοτικῇ.

ἐξομόργνυνται ἀπομάττονται, ἀφοσιοῦνται.

ἐξομόσαιτο παντελῶς ἀρνήσαιτο· "δημοσίᾳ δὲ κἂν ἐξομόσαιτο τοῦ εἶναι τῆς Κότυος" ⟨Synes. p. 85 C⟩.

ἐξομόσασθαι. οἱ μαρτυρήσειν τισὶν ἐν δικαστηρίῳ ὑπισχνούμενοι, εἰ μετὰ ταῦτα μὴ βούλοιντο καταμαρτυρεῖν, ὤμνυον μηδὲν ἐπίσασθαι, καὶ τοῦτό ἐσιν ἐξομόσασθαι.

ἐξόν δυνατόν· Ἰώσηπος ⟨B. I. 5 8 1⟩ "νῦν δὲ Ἰουδαίους ἐλπίσας δυσωπήσειν ἐν τῷ κακοῦν ἐξὸν μὴ θέλειν."

ἐξόν· ⟨A Eccl. 1037⟩ "τί δῆτα κρεάγρας τοῖς κάδοις ὠνοίμεθ' ἄν, ἐξὸν καθέντα γράδιον τοιουτονὶ ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν;" ἐπὶ τῶν πορνικῶν καὶ ἀσελγῶν γραῶν. καὶ ὁ ἀπόσολος Πέτρος ⟨Act. 2 29⟩ "ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς."

ἐξονομήνης ἐξ ὀνόματος ἐξείπῃς.

ἐξονυχίζειν ἐξετάζειν τοῖς ὄνυξι· ⟨Artemid. 1 17⟩ "βλάβην νομίζομεν τὸ μὴ περὶ ἑκάσου ἀκριβοῦν καὶ ἐξονυχίζειν." ἢ τὸ ἀκριβολογεῖσθαι.

ἐξ ὄξους δίκη· ⟨A Vesp. 1387⟩ "οὔ τοι καταπροίξῃ, μὰ τὸν Ἀπόλλω, τοῦτο δρῶν. ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην."

ἐξόπλους· "ἅμα δὲ λαμβάνειν ἐξόπλους τοὺς πολεμίους κατὰ τὴν ἐπὶ τοὺς Μακεδόνας ἔφοδον."

ἐξοργιεῖν εἰς ὀργὴν ἐμβαλεῖν· ⟨Dio Cass. 38 34⟩ "ταῦτα δὲ ἔπραξεν ὁ Καῖσαρ οὐχ ὅτι καταπλήξειν αὐτόν, ἀλλ' ὅτι ἐξοργιεῖν, κἀκ τούτου πρόφασιν τοῦ πολέμου λήψεσθαι."

ἐξορευγμία ἡ ὀργυγή. ὀξυρεγμία δὲ λέγεται, ὅταν ἡ τροφὴ ἐποξίσῃ.

ἐξορίζομαι γενικῇ, ἐξορίζω δὲ αἰτιατικῇ.

ἐξόρισον ἀντὶ τοῦ φυγάδα Δημοσθένης ⟨21 105⟩.

ἐξορχησάμενος ἀντὶ τοῦ φυγὼν καὶ ἀποδρὰς Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος ⟨68⟩. Harp.

ἐξοσρακίζω γενικῇ καὶ αἰτιατικῇ.

ἐξοσρακισμός ἐξορισμός.

ἐξ οὗ. οὐ σημαίνει τὴν ὕλην, ὡς τοῖς ἔξω δοκεῖ, ἀλλὰ συνηθέσερον τῇ γραφῇ ἐπὶ τῆς ἀνωτάτω αἰτίας τὴν φωνὴν ταύτην παραλαμβάνειν, ὡς ἐπὶ τοῦ ⟨Corinth. 1 8 6⟩ "εἷς θεός, ἐξ οὗ τὰ πάντα." κέχρηται μέντοι καὶ ὁ τῆς ἀληθείας λόγος τῇ λέξει καὶ ἐπὶ τῆς ὕλης πολλάκις, ὡς ὅταν λέγῃ ⟨Exod. 25 extr.⟩ "ποιήσεις τὴν κιβωτὸν ἐκ ξύλων ἀσήπτων" καὶ "ποιήσεις τὴν λυχνίαν ἐκ χρυσοῦ καθαροῦ" καὶ ⟨Corinth. 1 15 47⟩ "ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός" καὶ ⟨Iob. 33 6⟩ "ἐκ πηλοῦ διήρτισαι σὺ ὡς κἀγώ."

ἐξουθενῶ σε ἀντ' οὐδενός σε λογίζομαι.

a ἐξούλης κατὰ τῶν ἑλασάντων τὰς ἑλόντας ἐκ τῶ ὀφλόντος, καὶ κατὰ τῶν ὀφειλόντων τοῖς ἑλοῦσιν. ἐπειδάν τις καταδικασθεὶς μὴ ἐκτίνῃ τὴν καταδίκην, εἰσεπράττετο ὑπὸ τοῦ δήμου καὶ ἄλλο τῷ δήμῳ τοσῦτον, λελογισμένως πάνυ. εἰ γὰρ τῷ ἰδιώτῃ διπλάσιον ἐπράττετο, παραιτήσεως ἂν ἐτύγχανε δεόμενος ὁ ἁλούς, καὶ ἁπλοῦν ἂν ἐξέτινε· νυνὶ δὲ ἀπαραίτητόν ἐςι τὸ δημόσιον. δηλοῖ δὲ καὶ Δημοσθένης (21 81)· "δίκην δὲ τούτῳ λαχὼν τῆς κατηγορίας εἷλον ἐρήμην· οὐ γὰρ ἀπήντα. λαβὼν δὲ ὑπερήμερον · · · εἰσελθεῖν δεδύνημαι." τὸ δὲ κωλύειν ἐξίλλειν ἔλεγον οἱ παλαιοί. ἔςιν οὖν ἐξίλλειν κατὰ τὸ ἔτυμον τὸ ἐκφεύγειν καὶ περιπλέκειν μὴ παρέχοντα τὴν τιμωρίαν, καὶ τούτῳ τῷ τρόπῳ διακωλύειν.

b ἐξούλης. ὄνομα δίκης, ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ ἐξίλλειν, ὅπερ ἐςὶν ἐξείργειν καὶ ἐξωθεῖν καὶ ἐκβάλλειν· δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ, ὑπερημέρων γινομένων τῶν καταδικασθέντων. οἱ μέντοι ἐξέλης ἁλόντες καὶ τῷ ἑλόντι ἐδίδοσαν ἃ ἀφῃρῦντο αὐτοῦ, καὶ τῷ δημοσίῳ κατετίθεσαν τὰ τιμηθέντα. ἐδικάζετο δὲ ἐξέλης καὶ ὁ χρήσης κατέχειν ἐπιχειρῶν κτῆμα τοῦ χρεωςοῦντος καὶ κωλυόμενος ὑπό τινος. καὶ ἀπεργασίας δέ τις εἰ εἴργοιτο, δίδωσιν ὁ νόμος δικάζεσθαι πρὸς τὸν εἴργοντα ἐξούλης. καὶ περὶ ἀνδραπόδε δὲ καὶ παντὸς οὔ φησί τις αὐτῷ μετεῖναι. Δείναρχος δὲ ἰδίως κέχρηται τῷ τῆς ἐξούλης ὀνόματι ἐπὶ τῆς ἱερείας τῆς μὴ βουλομένης τὰ ἴδια δρᾶν. Harp.

ἐξούλης δίκη. οἱ δίκην νικήσαντες ὥςε ἀπολαβεῖν χωρίον ἢ οἰκίαν, ἔπειτα ἐμβατεύειν κωλυόμενοι ἢ ἐμβατεύσαντες ἐξελαυνόμενοι, δίκην εἰσάγουσι πρὸς τοὺς ἐξελαύνοντας ἢ οὐκ ἐῶντας ἐμβατεύειν, καὶ αὕτη ἡ δίκη ἐξούλης καλεῖται. εἴρηται δὲ ἀπὸ τοῦ ἐξέλλειν· οἱ παλαιοὶ γὰρ τὸ κωλύειν καὶ ἀπελαύνειν ἐξέλλειν ἔλεγον. Etym. M.

ἐξ ουρίου ἐξ ἐπιτηδείε ἀνέμε· "κἂν ἐξ οὐρίων φέρηται τὴν ἄκραν ἔχων εὐημερίαν, ταλανίζειν τοῦτον χρή."

ἐξοχετευόμενα ἐκρέοντα.

ἐξόχως πάνυ.

ἐξπίδιτα τὰ ςρατιωτικὰ πλήθη. "τῶν ἐξπεδίτων ταλαιπωρούντων τῷ μήκει τῶ χρόνου· τέταρτος γὰρ ἐνιαυτὸς ἐτύγχανεν ὤν."

ἐξπλοράτωρ. οὗτοι οἱ ἐξπλοράτοι τῶν βασιλείων πόλεις τε καὶ κώμας καὶ τὰς ἄλλους τόπους, καὶ τὰ πλεῖςα τῶν χωρίων καὶ τῶν ὁδῶν διαςήματα, καὶ τὰς θέσεις, καὶ ὧν ἕκαςος τόπος εὐπορεῖται ἢ οὔ, ἐπιτηδείων ὄντων τοῖς ὁδοιπόροις, καὶ εἰ πρὸς πλῆθος ἐπαρκεῖν οἷά τε εἰσίν. ἔργον γὰρ τούτοις τὸ περιεργάζεσθαι τίς ἡ τῶν πραγμάτων κατάςασις καὶ ποῖα τὰ κατὰ Ῥωμαίων σκεπτόμενα ὑπὸ Περσῶν, καὶ ἀναφέρειν ἐπὶ τὸν βασιλέα.

ἐξυβρίζοντα παρασπονδοῦντα, παραβαίνοντα τὰς συνθήκας, ἀδικοῦντα· "τὰ ἐκδικήματα τοῦ Δεκεβάλε ἐς τοσόνδε προεληλύθει ὥςε ἀναγκαῖον εἶναι πολέμῳ καταπαῦσαι ἐξυβρίζοντα."

ἐξυμνῶ αἰτιατικῇ.

ἐξ ὑπαρχῆς ἀπ' ἀρχῆς.

ἐξ ὑπερδεξίων ἐξ ὑψηλῶν. "ἕτεροι τὰς ὑπερδεξίους τῶν πεδίων σκοπιάς."

ἐξ ὑπογύου παρ' αὐτά, ἀπερισκέπτως, ἐκ τοῦ σύνεγγυς. (Damascius: cf. v. Θέων σοφιςής) "γεγονὼς ἀπὸ Μαρκέλλης τὸ γένος ἀνέκαθεν, τὸ δὲ ἐξ ὑπογύου πατρόθεν ἀπὸ Ἐκδικίου ῥήτορος."

ἐξ ὑποθέσεως. ὁ Ἀριςοτέλης λέγει παρακολουθεῖν ταῖς ἕξεσι δυνάμεις τινὰς ἐξ ὑποθέσεως, αἷς χρήσαιντ' ἄν, εἰ ἐν τούτῳ γένοιντο πρὸς ὃ εἰσιν αἱ δυνάμεις χρήσιμοι. οἷον τῇ πραότητι ἕξει οὔσῃ παρακολουθεῖ ἡ δύναμις ἐξ ὑποθέσεως, τὸ δύνασθαι κρατεῖν ὀργῆς ἀμέτρου τε καὶ μὴ προσηκούσης, εἴ ποτε ἐμπέσοι. ἐξ ὑποθέσεως οὖν ἡ δύναμις αὕτη τῇ πραότητι ἕπεται· εἰ γὰρ ὀργισθείη, κρατήσει. Alex. Aphrod. in Top. 4 p. 176.

ἐξυπτιάζω· (Athen. p. 34 B) "οἱ μεθυσθέντες οἴνῳ ἐπὶ πρόσωπον πίπτουσιν, οἱ δὲ κρίθινον πεπωκότες ἐξυπτιάζονται τὴν κεφαλήν." ἐξυπτιάζειν οὖν τὸ ἐπὶ νῶτα φέρεσθαι.

ἐξυρημένος τὴν κόμην ἀποβαλών.

ἔξυσεν ὕφηνεν.

ἐξυφήνας κατασκευάσας.

ἔξω βελῶν καθῆσθαι. παραινεῖ ἔξω κινδύνου εἶναι.

ἐξώγκωσεν ὕψωσε· "καὶ χῶμα ἐξώγκωσαν αὐτῷ, καὶ ἐπιγράμματι τιμῶσι τῷδε."

ἔξω Γλαῦκε· χειμῶνα γὰρ σημαίνει ὁ θαλάττιος.

ἐξῳδήκει ὠγκώθη.

ἐξῳδηκυῖα.

ἐξῳδηκώς ὁ ὠγκωμένος.

ἐξωθοῦμαι γενικῇ.

ἐξώκειλεν ἐξῆλθεν, ἔπεσεν. ἐπὶ νηὸς ἐξέβαλεν, ἐξέρριψεν· "ἡ δὲ Κλεοπάτρα βασίλειαν βασιλέων ἑαυτὴν ἀνεῖπεν· ἐς τοσοῦτον ἄρα φρονήματος ἐξώκειλεν." cf. Dio Cass. 49 41.

ἐξωκέλης τὸ ληστρικὸν πλοῖον, ἢ ἄστρωτος ἵππος.

ἐξῳκοδόμηται τὸ τεῖχος, ὡς ὅταν ἐπάνω μὲν Προξενίδης ὁ Κομπασεὺς καὶ Θεαγένης" ἀμφότεροι κομπασταί "ἐναντίω δύ' ἅρματε ἵππων ὑπόντων μέγεθος ὅσον ὁ δούριος, ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην. Ἡράκλεις. τὸ δὲ μῆκος ἑκατοντόργυιον." A Av. 1124.

ἐξώλεια πανωλεθρία· "καὶ ἐξώλειαν ἑαυτῷ προσεπαρασάμενος, κἂν ὁτιοῦν αὐτῶν ἐκβῇ," τουτέστιν ἀπηγορευμένων κακῶν.

ἐξωλέστερον· Ἀριστοφάνης Πλούτῳ ⟨443⟩ "πενία γάρ ἐστιν, ἧς οὐδὲν θηρίον ἐξωλέστερον," ἀντὶ τοῦ ἀπολέσθαι ὀφεῖλον, ἢ ἐξολοθρευτικώτερον, ἢ χεῖρον. Αἰλιανός "σύνοδοί τινες εἰς αὐτῆς ἐγίνοντο καὶ συμφοιτήσεις ἀκολάστων ἀνδρῶν καὶ γυναικῶν ἀσελγῶν καὶ μειρακίων ἐξώλη βίον προῃρημένων."

ἐξώλης εὐθείας πτώσεως, καὶ προώλης, καὶ πανώλης, ἀπολλύμενος κίναιδος. καὶ **ἐξώλεια** ἡ παντελὴς ἀπώλεια· "τῷ γε μὴν πατρὶ ἐπαρωμένου ἐξώλειαν ἐπίπλαστον," καὶ αὖθις ⟨Ioseph. A. I. 4 6 2⟩ "ὅπως ἂν ἐπ' ἐξωλείᾳ τῶν Ἰσραηλιτῶν ἀρὰς ποιήσηται ὁ μάντις."

ἐξώλισθεν ἐξερρίφη, ἐξέπεσε· "Διονύσιος ὁ δεύτερος ἐξώλισθε τῆς ἀρχῆς καὶ ἐς Κορινθίους ἧκε φυγάς."

ἐξωμίς, Ἀττικὸν λεξείδιον. σημαίνει δὲ χιτῶνα ἐλευθέριον, οὐκ ἐπισκεπάζοντα τοὺς βραχίονας, εὐτελῆ.

ἐξωμισάσαις ἄχρι τῶν ὤμων γυμνωσάσαις· "χειροτονητέον ἐξωμισάσαις τὸν ἕτερον βραχίονα" Ἀριστοφάνης ⟨Eccl. 267⟩.

ἐξωμμάτωται ἐπιτεταμένως ὁρᾷ· ἡ γὰρ ἐξ πρόθεσις ἐπίτασιν δηλοῖ, ὡς ⟨Hom. I 343⟩ "ἐκ θυμοῦ φιλέων." ἢ μᾶλλον παίζων ἐπὶ στερήσεως λέγει. Ἀριστοφάνης Πλούτῳ ⟨635⟩ "ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας."

ἔξωμος.

ἐξωμόσατο ἀπηγόρευσε, καὶ ἐξομόσασθαι τὸ μεθ' ὅρκου ἀπαρνήσασθαι πρᾶξίν τινα διὰ νόσον ἢ πρόφασιν ἑτέραν τινὰ ἐξομόσασθαί ἐστιν. οὕτω Δημοσθένης ⟨19 122⟩. sch. A Eccl. 1018. Harp.

ἐξωμοσία ἔνορκος παραίτησις δι' εὔλογον αἰτίαν. Timaeus p. 114.

ἐξωμοσία. ὅταν τις φάσκῃ ἢ ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἑτέρου ἐγκαλούμενος μὴ δεῖν εἰσάγεσθαι δίκην, εἶτα καὶ τὴν αἰτίαν δι' ἣν οὐκ εἰσαγώγιμος ἡ δίκη, εἰ δοκεῖ κατὰ λόγον ἀξιοῦν, ἐδίδοτο αὐτῷ ἐξωμοσίᾳ χρῆσθαι, καὶ οὕτω διεγράφετο ἡ δίκη.

ἐξώμοτος.

ἐξωνήσατο ἐξηγόρασεν, ἐπορίσατο· "χρυσίον δίδωσιν, οὐ μὴν ἐξωνήσατο τὸ μηδὲν παθεῖν."

ἐξωπτῆσθαι ὠπτημένον ὑπάρχειν.

ἔξωρα· Σοφοκλῆς ⟨El. 618⟩ "ἔξωρα πράσσω, κοὐκ ἐμοὶ προσεικότα."

ἐξωραϊσμένον κεκαλλωπισμένον.

ἐξώργισεν ἐξεθύμωσεν.

ἐξώριστο ὑπερσυντελικῶς.

ἔξωρος ὁ γεγηρακὼς ἢ ἄκαιρος· "ὅσοι ἀπόλεμοι ἦσαν καὶ ἔξωροι τὴν ἡλικίαν, ἐξωθοῦνται." ἄωρος γὰρ καὶ ἔξωρος ἡ ἡλικία.

ἐξωρχησάμην· ⟨Synes. ep. 136 p. 273 B⟩ "πρὸς ὃν ἐξωρχησάμην τὰ τέως ἀνέκπυστα." ἐξεφαύλισα, κατέπαιξα. καὶ αὖθις "ὁ δὲ μεθυσθεὶς ἐν τῇ οἰκίᾳ Πουλυτίωνος τοῦ παρασίτου τὰ μυστήρια ἐξωρχήσατο," ἀντὶ τοῦ ἐξεμυκτήρισεν, ἔκπυστα ἐποίησεν.

ἐξώστης ἄνεμος ὁ τραχύς.

ἐξώστρα.

ἐξωστρακίσθη ἐξωρίσθη, ἐπειδὴ εἰς ὄστρακον ἔγραφον.

ἐξώτερος ὁ ἐξώτατος.

ἐξωφρυωμένοι ἐξηρμένοι, ὑπερηφανευόμενοι.

ἔοιγμεν ἐοίκαμεν.

ἔοικα βοῦς ἐπὶ σφαγὴν μολεῖν.

ἐοίκασι τοῖς ἐκ Πύλου ληφθεῖσι τοῖς Λακωνικοῖς ⟨A Nub. 185⟩, παροιμία ἐπὶ τῶν ὠχριώντων καὶ ἰσχνῶν. Πύλος δὲ χωρίον τῆς Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας τοὺς αἰχμαλώτους ἀπὸ Σφακτηρίας ἔλαβεν. εἰκὸς οὖν τούτους διὰ τὸν τοῦ αἰχμαλωτισμοῦ φόβον, καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ καὶ ἀφ' ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, πολλῷ

δὲ μετὰ τὴν ἅλωσιν συγκεκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχρούς τε καὶ ἰσχνὺς καὶ δυσειδεῖς γεγονέναι.

ἔοικεν ἔπρεπεν.

ἐοικότα πρόσφορα.

ἔολπα ἤλπιζον, παρακείμενος. καὶ ἔοργα εἰργασάμην, παρακείμενος.

ἑόν τὸ ἴδιον ⟨Hom. *Α* 533⟩.

ἑορτάζω αἰτιατικῇ.

ἑορτὴ πολλὰ ἔχουσα, ἐπὶ τῶν πολλὰ ἀποτιθεμένων φορτία. εἴρηται δὲ ἀπὸ τῶν πρὸς τὰς ἑορτὰς ἐπειγομένων, οἳ πολλὰ ἐπιφέρονται καὶ ἱερεῖα καὶ ἱμάτια καὶ ἄρτους, ἵνα μηδενὸς ὑςερήσωσιν.

ἑορτολόγιον.

ἐπαγαγέσθαι παραπεῖσαι, ἐφελκύσασθαι· "ἀνὴρ δὲ ἀρετὴν ἱκανὸς ἐπαγαγέσθαι τὸ θεῖον," καὶ αὖθις ⟨Procop. Goth. 2 18⟩ "ἐς Βενετίυς ἰόντας ὡς πλεῖςα ἐπαγαγέσθαι τῶν ἐκείνῃ χωρίων ἐκέλευεν."

ἐπαγγείλαντας ἐπικαλεσαμένυς· "τὺς δὲ ὀρθοῖς λογισμοῖς χρησαμένυς καὶ τὴν σὴν βοήθειαν ἐπαγγείλαντας, σωτηρίας τετυχηκότας."

ἐπαγγελία καὶ ἐπαγγεῖλαι· σημαίνει μὲν καὶ ἄλλα, ἰδίως δὲ ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι οὐκ ἐξόν· καὶ ἔςιν οἷον παραγγελία. λέγυσι δὲ τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τῦ προςάττειν ἢ αἰτεῖσθαι, ὡς Ἀντιφῶν. ἀλλὰ καὶ Δημοσθένης ἐν τῷ παραπρεσβείας ⟨41⟩. Harp.

ἐπαγγελίαι, καθ' ὧν μὴ εἰσι κολάσεις ὡρισμέναι κατὰ τοὺς κειμένους ἤδη νόμους.

ἐπαγγέλλει ἀντὶ τοῦ ἐπιτάσσει, ἐντέλλεται, διακελεύεται· "ἐπαγγέλλει τε τὴν ἐπὶ Ἰταλίας ἔξοδον." καὶ αὖθις "ὁ δὲ βασιλεὺς φιλοφρόνως δέχεται αὐτόν, καὶ κελεύει θαρρεῖν, καὶ εἴ τι θέλοι ἐπαγγέλλειν," ἀντὶ τοῦ αἰτεῖσθαι. "ὃ δὲ δεῖται ὑπὲρ Βονώνου τοῦ Πραάτου, ὃς ἦν λ' ἔτη ἐν σκότῳ καθειργμένος." καὶ αὖθις ἐπαγγέλλοντος ἀντὶ τοῦ ἐπιτάσσοντος· ⟨Procop. Arc. 6⟩ "εἰθισμένον δὲ ὂν γράμματα οἰκεῖα τοῖς βιβλίοις ἐντιθέναι τὸν βασιλέα, ὅσα ἂν ἐπαγγέλλοντος αὐτοῦ γένοιτο, Ἰουςῖνος ὁ βασιλεὺς οὔτε ἐπήγγειλεν οὔτε τοῖς πραττομένοις ξυνεπίςασθαι οἷός τε ἦν." "ἐν τῷ σπηλαίῳ καθειργμένος ὁ Δαβὶδ καὶ τοὺς πολεμίυς ὁρῶν τὸν θεῖον ἔλεον ἐπαγγέλλει, ἐλέησόν με ὁ θεός, ἐλέησόν με" ⟨Theodoret. in Ps. 56 2⟩.

ἐπαγγέλλεται παρακαλεῖ, ἀξιοῖ· ὗτως Ἡρόδοτος.

ἐπάγομαι αἰτιατικῇ.

ἐπαγωγά ἀπατηλά, πιθανά, ἐφολκά. "καὶ διεκελεύετο ἐπαγωγοῖς λόγοις αὐτοὺς παύειν ὧν δρᾶν διανοοῦνται."

ἐπαγωγή πειρασμός, ἢ ζημία, αἰχμαλω- a
σία, ἤτοι τὸ ὁπωσῦν ἐπαγόμενον κακόν. "βυλόμενος γὰρ ὁ Ὠριγένης μηδὲν ἐᾶσαι ἀνερμήνευτον, εἰς ἐπαγωγὴν ἑαυτὸν περιέβαλεν ἁμαρτίας." cf. v. Ὠριγένης Λεωνίδην.

ἐπαγωγή. περὶ Πλάτωνός φησιν "ἀναγ- b
καῖον ἡγησάμην ὑπογράψαι καὶ τὴν φύσιν τῶν λόγων καὶ τὴν τάξιν τῶν διαλόγων καὶ τὴν ἔφοδον τῆς ἐπαγωγῆς" ⟨Diog. L. 3 47⟩.

ἐπαγωγή. ἐπαγωγή ἐςι λόγος διὰ τινῶν c
ἀληθῶν τὸ ὅμοιον αὐτῷ ἀληθὲς οἰκείως ἐπιφέρων. δύο δὲ τῆς ἐπαγωγῆς εἰσὶ τρόποι, ὅ τε κατ' ἐναντίωσιν καὶ ὁ ἐκ τῆς ἀκολυθίας. ὁ μὲν οὖν κατ' ἐναντίωσίν ἐςιν ἐξ οὗ τῷ ἐρωτωμένῳ περὶ πᾶσαν ἀπόκρισιν ἀκολυθήσει τὸ ἐναντίον· οἷον "ὁ ἐμὸς πατὴρ τῷ σῷ πατρὶ ἤτοι ἕτερός ἐςιν ἢ ὁ αὐτός. εἰ μὲν ὗν ἕτερός ἐςι τοῦ ἐμοῦ πατρὸς ὁ σὸς πατήρ, πατρὸς ἕτερος ὢν οὐκ ἂν εἴη πατήρ· εἰ δὲ ὁ αὐτός ἐςι τῷ ἐμῷ πατρί, ὁ αὐτὸς ὢν τῷ ἐμῷ πατρὶ ὁ ἐμὸς ἂν εἴη πατήρ." καὶ πάλιν "εἰ μὴ ζῷόν ἐςιν ὁ ἄνθρωπος, λίθος ἂν εἴη ἢ ξύλον. οὐκ ἔςι δὲ λίθος ἢ ξύλον, ἔμψυχος γάρ ἐςι καὶ ἐξ αὐτοῦ κινεῖται· ζῷον ἄρα ἐςίν. εἰ δὲ ζῷόν ἐςι, ζῷον δὲ καὶ ὁ κύων καὶ ὁ βοῦς, εἴη ἂν καὶ ὁ ἄνθρωπος ζῷον καὶ κύων καὶ βοῦς." καὶ οὗτος μὲν ὁ τῆς ἐπαγωγῆς κατ' ἐναντίωσιν καὶ μάχην τρόπος ὁ διελέγχων· ὁ δὲ τῆς ἀκολουθίας ἐςὶ διπλῦς, ὁ μὲν τὸ ἐπὶ μέρους ζητούμενον διὰ τῦ ἐπὶ μέρους ἀποδεικνύς, . . . καὶ ἔςιν ὁ μὲν πρότερος ῥητορικός, ὁ δὲ δεύτερος διαλεκτικός. οἷον ἐν τῷ προτέρῳ ζητεῖται εἰ ὅδε ἀπέκτεινεν· ἀπόδειξις τὸ εὑρῆσθαι αὐτὸν κατ' ἐκεῖνον τὸν καιρὸν ᾑμαγμένον. ῥητορικὸς δέ ἐςιν ὁ τρόπος τῆς ἐπαγωγῆς οὗτος, ἐπειδὴ καὶ ἡ ῥητορικὴ περὶ τὰ ἐπὶ μέρους, οὐ τὰ καθόλυ τὴν πραγματείαν ἔχει· ζητεῖ γὰρ οὐ περὶ αὐτοῦ τοῦ δικαίου ἀλλὰ τῶν ἐπὶ μέρους δικαίων. ὁ δὲ ἕτερός ἐςι διαλεκτικός, προαποδειχθέντος τοῦ καθόλου διὰ τῶν ἐπὶ μέρυς. οἷον ζητεῖται εἰ ἡ ψυχὴ ἀθάνατος, καὶ εἰ ἐκ τῶν τεθνεώτων οἱ ζῶντες, ὅπερ ἀποδείκνυται ἐν τῷ περὶ ψυχῆς διά τινος καθολικοῦ, ὅτι

Digitized by

ἐκ τῶν ἐναντίων τὰ ἐναντία. καὶ αὐτὸ δὲ τὸ καθόλου κατασκευάζεται ἐκ τινῶν ὄντων ἐπὶ μέρους, ὅτι τὸ καθεύδειν ἐκ τοῦ ἐγρηγορέναι καὶ ἀνάπαλιν, καὶ τὸ μεῖζον ἐκ τοῦ μικροτέρου καὶ ἀνάπαλιν. Diog. L. 3 53.

d *ἐκ τῶν Τακτικῶν.* ἐπαγωγὴ πάλιν ἐστὶν ὅταν τάγμα τάγματι ὑποτάσσηται, οἷον τετραρχίας ἡγουμένης αἱ λοιπαὶ τετραρχίαι ὑποτάσσωνται, ἢ ξεναγίας ἡγουμένης αἱ λοιπαὶ ξεναγίαι ἐπακολουθῶσι, καὶ καθόλου ὅταν σύνταγμα συντάγματι ἐν πορείᾳ ἕπηται, ὥστε τοῖς τοῦ προηγουμένου συντάγματος οὐραγοῖς τοὺς τοῦ ἑξῆς συντάγματος ἡγεμόνας συνάπτειν.

e *ἐκ τῶν Τοπικῶν.* ὅτι ἡ ἐπαγωγὴ καὶ ὁ συλλογισμὸς ὄργανά εἰσι λόγων διαλεκτικῶν, καθ' οὓς τὸ γυμνάζεσθαι γίνεται. καὶ ἡ μὲν διὰ τοῦ καθόλου δεῖξις συλλογιστική, ἡ δὲ διὰ τῶν ὑπὸ τὸ καθόλου ἐπακτική. ὑποτάσσεται δὲ τῷ μὲν συλλογισμῷ τὸ ἐνθύμημα, τῇ δὲ ἐπαγωγῇ τὸ παράδειγμα· καὶ ἔστι τὸ μὲν ἐνθύμημα ῥητορικὸς συλλογισμός, τὸ δὲ παράδειγμα ῥητορικὴ ἐπαγωγή. ἐπαγωγὴ δέ ἐστιν ἡ διὰ τῶν καθ' ἕκαστα ἐπὶ τὰ καθόλου πρόοδος. διὸ οὐχ ὑγιῶς λέγουσιν οἱ λέγοντες τὴν ἐπαγωγὴν λόγον εἶναι ἀπὸ ὁμοίου ἐπὶ ὅμοιον· οὐ γὰρ ὅμοιον τὸ καθόλου τοῖς ὑπ' αὐτό, τῆς δὲ τοῦ καθόλου δείξεως χάριν ἡ ἐπαγωγὴ μάλιστα. ὁ δὲ ἀπὸ ὁμοίων ἐπὶ ὅμοιον λόγος μᾶλλον ἂν τὸ παράδειγμα σημαίνοι. ὁ γὰρ λόγος ὁ διὰ τῶν καθ' ἕκαστα τὸ καθόλου δεικνὺς καὶ πιστούμενος, οὗτός ἐστιν ἐπαγωγή. ὁ γὰρ δεικνὺς διὰ τῶν καθόλου ὅτι ἐν πᾶσιν ἄριστος ὁ ἐπιστάμενος, διὰ τοῦ λαβεῖν ὅτι κυβερνήτης ἄριστος ὁ ἐπιστάμενος, ὁμοίως καὶ ἡνίοχος, ὁμοίως καὶ στρατηγός, ὁμοίως καὶ ἰατρός, ὁμοίως καὶ γεωμέτρης μουσικὸς τέκτων, δι' ἐπαγωγῆς τοῦ ἐν πᾶσιν ἄριστον εἶναι τὸν ἐπιστάμενον τὴν δεῖξιν ποιεῖται. Alex. Aphrod. in Top. 1 p. 47.

ἐπαγωνιεῖται φιλονεικήσει, προσκαρτερήσει.

ἐπᾴδοντος ⟨Ps. 57 5⟩ φαρμακοῦ, γόητος.

ἐπάειραν ⟨Hom. *H* 426⟩ ἐπῆραν.

ἐπαθαίνετο πάσχειν ᾤετο δεινά.

ἔπαθλον νικητήριον.

ἐπαιγίζων ⟨Hom. *B* 148⟩ σφοδρῶς πνέων.

ἐπαΐειν ἀκούειν. "ὀλίγα διαλεκτικῆς ἁψάμενος, καὶ ὅσα ἐπαΐειν ὑπὲρ αὐτῆς ἔχων, ἄλλο οὐδὲν πλέον περιεργασάμενος. τὸ γὰρ 'εἰ τὸ α', τὸ β'· ἀλλὰ μὴν τὸ α'· τὸ ἄρα β'' ἴσασιν ἤδη περιφερόμενον αἱ πάνδοκοι γρᾶες." cf. v. ἀγνόημα.

ἐπαινεῖσθε ἀντὶ τοῦ καυχᾶσθε· Δαβὶδ ⟨Ps 104 3⟩ "ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ."

ἐπαινέσας ἀποδεξάμενος εὐχαρίστως· "οὓς ἐπαινέσας τῆς προθυμίας ἀρκεῖσθαι ἔφη τοῖς παροῦσι," καὶ αὖθις "ἐπαινέσας αὐτὴν τῆς φιλανδρίας."

ἐπαινέτης· Ἀρριανός "τοῦ τε ξὺν κόσμῳ δρωμένου ἐπαινέτης καὶ τοῦ ἀκοσμήτου ἐν τῷ παραυτίκα ἐπιτιμητὴς καὶ τοῦ ἐσύστερον κολαστήρ."

ἐπαΐοι αἰσθάνοιτο, ἀντιλαμβάνοιτο, συγκατατίθοιτο. "ἄρχειν δὲ αὐτῶν ἔταξε λοχαγοὺς ἀμφοτέρων τῶν διαλέκτων ἐπαΐοντας."

ἐπαίομεν ἐν Βραυρῶνι ⟨A Pac. 862⟩ συνουσιάζομεν, ἠλαύνομεν. Βραυρὼν δὲ τόπος Ἀθήνησιν.

ἐπαίρεσθαι τὸ φυσοῦσθαι, *ἐπέρεσθαι* δὲ τὸ ἐρωτῆσαι.

ἐπαιρόμενος Δημοσθένης ἐν μὲν τῷ ὑπὲρ Κτησιφῶντος ⟨222⟩ ἀντὶ τοῦ ἐπανατεινόμενος, ἀλλαχοῦ δὲ . . . Harp.

ἐπαίρω ὑψῶ.

ἔπαισεν ἔτυψεν, ἔκρουσεν· "ἔπαισε δὲ τὸν ἵππον τῇ λόγχῃ."

ἐπαισθάνομαι γενικῇ.

ἐπαισχές αἰσχύνης παραίτιον· "κἀμοὶ μὲν ἐπαισχές ἐστι τὸ πρᾶγμα καὶ βλαβερόν, κἀκείνῳ πολὺ αἴσχιον καὶ βλαβερώτερον." "τῆς μὲν προσεδρίας ἐπιπόνου οὔσης, τῆς δὲ ἀποχωρήσεως ἐπαισχοῦς."

ἐπαίτης ὁ πτωχός. καὶ κλίνεται ἐπαίτου.

ἐπαίχθη ἐνεπαίχθη, ἐκ τοῦ παίζω. *ἐπέχθη* δὲ ἐκτενίσθη.

ἐπαιώνιστο ⟨an ἐπεπαιώνιστο⟩ εὐφήμιστο.

ἐπακτῆρες κυνηγοί, ἀπὸ τοῦ ἐπάγειν τοὺς κύνας, ἢ ἐπάγεσθαι ὑπὸ τῶν κυνῶν· προέλκονται γὰρ οἱ κύνες τοὺς κυνηγέτας ἐπὶ τὰ ἐπαγόμενα. Ὅμηρος ⟨τ 435⟩ "πρὸ δ' ἄρ' αὐτῶν ἴχνι' ἐρευνῶντες κύνες ἤισαν."

ἐπακτὸν ἐπαγόμενον, ξένον, σφοδρόν. "ἐπακτὸν τῇ ψυχῇ φησὶ Πλωτῖνος τὴν ἀρετήν, ἐκείνῳ δὲ ὅθεν μιμησαμένη ἔχει, σύμφυτον. ἀλλ' εἰ μὲν οὐ μεταλαμβάνει ἡ ψυχή, τὸ αὐτὸ ἦν τῷ ἀφ' οὗ· νῦν δὲ ἕτερον μὲν ἐκεῖνο, ἕτερον δὲ τοῦτο."

ἐπακτὸς ὄμβρος ⟨Pindar. Pyth. 6 10⟩ σφοδρός.

a *ἐπακτὸς ὅρκος* ὁ μὴ αὐθαίρετος, ἀλλ' ἐφ' ὃν ἕτερος ἄγει.

b *ἐπακτὸς ὅρκος*, ὃν ἄν τις αὐτὸς ἑκὼν ἑαυτῷ ἐπάγηται, τουτέςιν αἱρῆται. ἄλλοι δὲ τοὐναντίον, ὁ ἀλλαχόθεν ἐπιφερόμενος ἀλλ' οὐκ αὐθαίρετος. ἔςι δὲ ὅρκυ τρία εἴδη, ἀπώμοτος κατώμοτος ἐπακτός. Harp.

Ἐπακτρία χώρα ⟨ἐπακρία Etym. M.⟩. κατὰ τοὺς παλαιοὺς χρόνυς κωμηδὸν οἰκῦντας τοὺς Ἀθηναίους ὁ Κέκροψ συναγαγὼν κατῴκισεν εἰς πόλεις ιβʹ, καὶ τὴν τῶν πολιτῶν ἐπωνυμίαν ἀφ' ἑαυτοῦ Κεκροπίαν προσηγόρευσεν, δύο δὲ τετραπόλεις ἐκάλεσεν, ἐκ τεττάρων πόλεων ἑκατέραν μοῖραν καταςήσας, τρεῖς δὲ τὰς λοιπὰς ἐπακτρίδας ὠνόμασε, καὶ ἡ προσεχὴς χώρα ταύταις ταῖς τρισὶν ὁμωνύμως αὐταῖς ἐπακτρία ἐκαλεῖτο.

ἐπακτρίς εἶδος πλοίου· "ἐμβάντες δὲ εἰς τὰς ἐπακτρίδας καὶ τὰς δρομάδας ὁλκάδας τὸν ὅρμον περιενόςησαν."

ἐπακτροκέλης πλοῖον λῃςρικὸν μεταξὺ ἐπακτρίδος καὶ κέλητος, ἅπερ καὶ αὐτὰ πλοιάριά ἐςιν. Harp.

ἐπαλαμᾶτο ἐμηχανᾶτο, ἐτεχνάζετο· παλάμαι γὰρ αἱ τέχναι. καὶ *ἐπαλαμήσατο* ἐμηχανήσατο, ἐπενόησεν· Ἀριςοφάνης Νεφέλαις ⟨176⟩ "τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;"

ἐπαλείφων γυμνάζων καὶ χρίων. "κασσιτέρῳ δὲ ἐπαλήλιπτο τὰ κράνη αὐτῶν."

ἐπαλεξήσων ⟨Hom. Λ 428⟩ βοηθήσων.

ἐπαληθείς ⟨Hom. δ 81⟩ πλανηθείς.

ἐπαλλάξαντες ⟨Hom. N 359⟩ ἐπιπλέξαντες.

ἐπαλλάξεις ἀντὶ τοῦ συναλλαγὰς ἢ μίξεις Ἀντιφῶν. Harp.

ἐπάλληλον ὅμοιον.

ἐπάλξεις προμαχῶνες οἱ τῶν τειχέων καὶ τῶν πύργων. ἐν ἐπιγράμματι ⟨AP 5 294⟩ "προβλὴς ὥς τις ἔπαλξις ἀνέμβατος."

ἐπαλξίτης.

ἐπαμησάμενος ἀνακινήσας· Ἡρόδοτος ⟨8 24⟩.

Ἐπαμινώνδας. ὅτι Ἀθηναίων καὶ Μαντινέων μαχεσαμένων Ἐπαμινώνδας τιτρώσκεται κατὰ τὸν πόλεμον, καὶ τετρωμένον αὐτὸν κομίζουσιν ἐκ τῆς παρατάξεως ἔτι ζῶντα. ὁ δὲ τέως μὲν τὴν χεῖρα ἔχων ἐπὶ τῷ τραύματι ἐταλαιπώρει καὶ ἐς τοὺς συμμάχυς ἀφεώρα· λαβόντος δὲ ἴσον τοῦ ἀγῶνος τὸ πέρας, ἔτω τὴν χεῖρα ἀπέσχε τοῦ τραύματος, καὶ αὐτὸν ἀφέντα τὴν ψυχὴν ἔθαψαν ἔνθα σφίσι γέγονεν ἡ συμβολή. τῷ τάφῳ δὲ κίων ἐφέςηκεν, καὶ ἀσπὶς ἐπ' αὐτῷ δράκοντα ἔχουσα ἐπειργασμένον· ἤθελε δὲ ὁ δράκων σημαίνειν τοῦ γένους τῶν Σπαρτῶν ὄντα τὸν Ἐπαμινώνδαν. τὸν δὲ Ἐπαμινώνδαν ςρατηγίας ἕνεκα τῶν παρ' Ἕλλησιν εὐδοκιμησάντων μάλιστα ἐπαινέσαι τις ἄν, ἢ οὐδενὸς ποιήσαιτο ὕςερον. Pausanias 8 11.

ὅτι ἐγεγόνει τῷ Ἐπαμινώνδᾳ χρησμός, πέλαγος αὐτὸν φυλάττεσθαι. καὶ ὃ μὲν ἐπιβῆναι πλοίου δεῖμα εἶχε· τῷ δὲ ἄρα Πέλαγος δρυμὸν καὶ οὐ θάλασσαν προὔλεγεν ὁ δαίμων. χωρία δὲ ὁμώνυμα.

ἐπαμῦναι ἐπιβοηθῆσαι. δοτικῇ δὲ συντάσσεται· "ἐπήμυνε τοῖς ἀδικουμένοις." καὶ *ἐπάμυνον* βοήθησον.

ἐπαμφοτερίσαι εἰς ἀμφιβολίαν ἀγαγεῖν τὸν λόγον, ὡς καθ' ἑκάτερον ἐλέγχεσθαι.

ἐπαναβαίνω. δοτικῇ συντάσσεται· "οἱ δὲ ἐπανέβαινον τῷ ὄρει." καὶ γενικῇ· "ἐπαναβαίνειν τῶν τοιύτων τῆς νεὼς πειρώμενοι."

ἐπαναβάλεσθε περιςολίζεσθε· ⟨A Eccl. 275⟩ "ἱμάτια τἀνδρεῖα περιςολίζεσθε."

ἐπανάκρουσαι πάλιν, ἀπὸ τῶν ἐρετῶν, ὅταν ςρέψαντες τὴν πρύμναν ἀνακρούσωνται, ἵνα ὀπίσω τὸ πλοῖον ἀναχωρήσῃ. Ἀριςοφάνης Ὄρνισι ⟨653⟩ "δεῦρ' ἐπανάκρουσαι πάλιν" ἀντὶ τοῦ ἐπανάκαμπτε. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰς ἡνίας ἀνακρουομένων ἢ τὰς ναῦς. ἢ ὑπόςρεψον, ἐπάνιθι· ἐπανάκρουσις δὲ κυρίως τὸ ἐπισχεῖν τὴν ἐπερχομένην ναῦν μεθ' ὁρμῆς εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα θραυσθῇ. τὸ δὲ πάλιν ἐπὶ τοῦ ὀπίσω, ἀπὸ τῶν εἰς τοὔμπροσθεν ἐρεσσόντων. ἢ ἀντὶ τοῦ ᾄσας πρὸ τούτου πάλιν ᾆσον καὶ ἐπανάλαβε.

ἐπαναφορά τὸ ἀναφέρειν καὶ ἀνακοινοῦσθαι τῷ πλήθει. Harp.

ἐπαναχθέντες ἐπανακομισθέντες.

ἐπανέβην αἰτιατικῇ.

ἐπανεθήσεται ἀντὶ τοῦ ἐπαφεθήσεται· "κἀμοί τι τῶν τελῶν ἐπανεθήσεται, καὶ μεγάλα κερδανῶ."

ἐπανεῖπον ἐπεκήρυξαν· Θουκυδίδης ἡ ⟨immo 6 60⟩ "τῶν δὲ διαφυγόντων θάνατον καταγνόντες ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι."

ἐπανέντας ἀφέντας.

ἐπανέσχετο ἐπανελάβετο· "ὁ δὲ τὸν πρὸς Γέτας πόλεμον ὡς μάλις' ἐπείγοντα ἐπανέσχετο."

ἐπανετείνοντο· Ξενοφῶν ⟨Cyr. 2 1 23⟩ "ἐπανετείνοντο δὲ καὶ μείζονες ἐλπίδες τοῖς ἀξίοις, ἔπαινοί τε, καὶ εἴ τι ἐν τῷ ἐπιόντι χρόνῳ ἀγαθὸν εἶναι μεῖζον φαίνοιτο." ἐπανετείνοντο οὖν ἐν προσδοκίᾳ ἦσαν· ἢ ηὔξοντο, ἐμεγαλύνοντο.

a ἐπανέχειν· ⟨Artemid. 1 12⟩ "οἰκείᾳ συνέσει χρῆσθαι καὶ μὴ ταῖς βίβλοις ἐπανέχειν."

b ἐπανέχειν ὑψοῦν.

ἐπάνηκε ἐπάνελθε.

ἐπανήρατο ⟨Thuc. 8 84⟩ ἐπήρατο, εἵλετο.

ἐπανηρημένος προῃρημένος, θέλων.

ἐπανιτέον ἐπαναχτέον.

ἐπάντους ὑψηλοῦ· Θουκυδίδης ⟨7 79⟩ "οἱ δὲ Ἀθηναῖοι βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος (διεκνοῦντο γὰρ ῥᾷον οἱ ἄνωθεν) οὐ δυνάμενοι βιάσασθαι ἀνεχώρουν."

ἐπαοιδός φαρμακός, γόης.

ἐπαποδυώμεθα ἀντὶ τοῦ ἐπιχειρήσωμεν· Ἀριςοφάνης ⟨Lys. 616⟩ "ἀλλ' ἐπαποδυώμεθα τουτῳὶ τῷ πράγματι."

ἐπαπόρησις ἀπορία.

ἐπάρας πείσας· "θρασυτάτους ἄνδρας ἐλπίσιν εὐεργεσιῶν ἐπάρας ἀνοσίων ἔργων ἀρχηγοὺς γενέσθαι." καὶ αὖθις "μειζόνως ἐπαινέσας, τοῖς τε ἄλλοις ἐπάρας καὶ ὅτι - - - τιμῆς" ⟨cf. v. ἀποχρῶν⟩. καὶ αὖθις "καὶ καταψευσάμενος τοῦ βασιλέως θάνατον, καὶ ἐπάρας πολλοὺς τὰ λυσιτελῆ οἱ φρονεῖν καὶ τῆς ἐκείνου μερίδος εἶναι, ἤθροισε δύναμιν ῥᾳδίως πολλήν."

ἐπάρατοι ἐπαγωγοί. καὶ ἐπάρατος ἐπικατάρατος.

ἐπαρήγειν βοηθεῖν.

ἐπαρτήσας ἐπικρεμάσας· "ὁ δὲ εἰς Πέρσας ἤγαγεν αὐτούς, κακὴν δουλείαν ἐπαρτήσας αὐτοῖς." καὶ αὖθις Αἰλιανός "μὴ ὑποδέξασθαι τὰς ψυχὰς αὐτῶν σὺν εὐμενείᾳ, ἀλλ' ἐπαρτῆσαι τὰς δι' αἰῶνος τιμωρίας αὐτοῖς." cf. v. κατηύχοντο.

ἐπαρτωμένων ἐπικρεμαμένων· "τὸν ἄνδρα ἐπὶ τοσόνδε καρτερίας ἐλθεῖν ὥςε μεγίςων φόβων ἐπαρτωμένων καὶ βασάνων προσαγομένων αὐτῷ οὐδὲν τῶν ἀπορρήτων εἰπεῖν."

ἐπαρυςρίδες ἀντλητίδες.

ἔπαρχος πραιτωρίων ὁ τῶν ἑῴων τῆς φορολογίας τὴν ἐπιςασίαν ἔχων παρὰ Ῥωμαίοις. Theophyl. Sim. 8 1.

ἐπαρώμενοι καταρώμενοι.

ἐπάσαντο ἐγεύσαντο.

ἐπαυδῆσαι ἐπειπεῖν.

ἐπαύλειος ⟨Hom. α 104⟩ ὁ τῆς αὐλῆς ὀδός.

ἐπαύλια λέγεται καθ' ὅσον ἐν τῇ τοῦ νυμφίου οἰκίᾳ ἡ νύμφη τότε πρῶτον ἐπηύλισαι. καλεῖται δ' ἐπαύλια καὶ τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τῶν γάμων παρὰ τοῦ τῆς νύμφης πατρὸς δῶρα φερόμενα τῷ νυμφίῳ καὶ τῇ νύμφῃ ἐν πομπῆς σχήματι· παῖς γὰρ ἡγεῖται χλανίδα λευκὴν ἔχων καὶ λαμπάδα καιομένην, ἔπειτα μετὰ τοῦτον κανηφόρος, εἶθ' αἱ λοιπαὶ ἀκολουθοῦσιν ἐφεξῆς, φέρουσαι χρυσία λεκανίδας σμήγματα φορεῖα κτένας κοίτας ἀλαβάςρυς σανδάλια θήκας μυράλειπτρα. ἐνίοτε δὲ καὶ τὴν προῖκα ἅμα τῷ νυμφίῳ φέρουσιν ⟨Pausan. ap. Eustath. ad O p. 1337⟩. οἱ δέ φασιν ἐπαύλια τὴν δευτέραν μετὰ τοὺς γάμους ἡμέραν καλεῖσθαι, ἐν ᾗ πρῶτον ἐπαυλίζεται τῷ νυμφίῳ ἡ νύμφη.

ἐπαυλίζονται ἐπισκιάζονται.

ἐπαύλιον δὲ μονή. περὶ Ἑκάλης θανούσης ⟨Callim. fr. 131⟩ "ἴθι πρηεῖα γυναικῶν τὴν ὁδὸν ἣν ἀνίαι θυμαλγέες οὐ περόωσι. πολλάκι σεῖ' ⟨an σῆς⟩ ὦ μαῖα φιλοξείνοιο καλιῆς μνησόμεθα· ξυνὸν γὰρ ἐπαύλιον ἔσκεν ἅπασιν."

ἔπαυλις ἡ οἰκία ἐν ᾗ τὴν αὐλιν ποιοῦνται· αὖλις δὲ ἡ κοίτη. καὶ ἐπαυλόσυνος ὁ εἰς τὴν ἔπαυλιν ἰών· ⟨AP 6 221⟩ "οὔτε τιν' ἀνδρῶν οὔτε βοτῶν βλάψας οἴχετ' ἐπαυλόσυνος." περὶ λέοντος ὁ λόγος. a

ἔπαυλις μάνδρα βοῶν, καὶ προβάτων αὐλή. "τότε μὲν οὖν ἀμφότεροι τὴν ἔπαυλιν ἐπὶ τοῦ χώματος ἐποιήσαντο, οἵ τε Ῥωμαῖοι καὶ οἱ Καρχηδόνιοι," τουτέςι τὴν κοίτην. b

ἐπαύρασθαι ἐπαπολαῦσαι· "τότε τὴν αἴτησιν προσεμένων, καὶ συγχωρούντων ἐπαύρασθαι τῆς χλιδῆς." καὶ αὖθις "ἄπιθι τῆς Ἀκαδημείας καὶ φεῦγε φιλοσοφίαν· οὐ γάρ σοι θέμις ἐπαυρέσθαι αὐτῆς· ὁρᾷ γὰρ πρὸς σὲ ἔχθιςον" ⟨cf. v. Κλέαρχος⟩.

ἐπαυρίζω τὸ φυσῶ. καὶ ἐπαυρίσκω.

ἐπ' αὐτοφώρῳ ἐπ' αὐτόπτῃ, ἐπ' ὀφθαλ-

μοῖς, ἐπ' αὐτῷ τῷ κλέμματι ἁλούς· ⟨Procop. Arc. 1⟩ "ὁ δὲ ἐπ' αὐτοφώρῳ τὴν πρᾶξιν λαβὼν ἐν Καρχηδόνι ἐξηπάτητο πρὸς τῆς γυναικὸς ἑκών γε εἶναι."

ἐπαυχοῦσι μέγα φρονοῦσι. καὶ Ἀριστοφάνης ⟨Av. 629⟩ "ἐπαυχήσατο τοῖς σοῖς λόγοις" ἀντὶ τοῦ ἐμεγαλοφρόνησεν.

ἐπαυχῶ βεβαίως οἶδα· Σοφοκλῆς ⟨El. 65⟩ "ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο δεδορκότ' ἐχθροῖς ἄστρον ὣς λάμψειν ἔτι."

ἐπαφαυάνθην ἐξηράνθην· Ἀριστοφάνης Βατράχοις ⟨1116⟩ "ὥς ἀπεφαυάνθην πανα-θηναίοισι γελῶν."

ἐπαφρόδιτος ἐπίχαρις, ἡδύς. Ἀππιανός "καὶ τὴν ἐν πᾶσιν ἐπαφροδισίαν ὑπεραίρων ἐσεμνολόγει περὶ αὐτοῦ."

Ἐπαφρόδιτος Χαιρωνεὺς γραμματικός, Ἀρχίου τοῦ Ἀλεξανδρέως γραμματικοῦ θρεπτός, παρ' ᾧ παιδευθεὶς ὠνήθη ὑπὸ Μοδέστου ἐπάρχου Αἰγύπτου, καὶ παιδεύσας τὸν υἱὸν αὐτοῦ Πετηλῖνον ἐν Ῥώμῃ διέπρεψεν ἐπὶ Νέρωνος καὶ μέχρι Νέρβα, καθ' ὃν χρόνον καὶ Πτολεμαῖος ὁ Ἡφαιστίωνος ἦν καὶ ἄλλοι συχνοὶ τῶν ὀνομαστῶν ἐν παιδείᾳ. ὠνούμενος δὲ ἀεὶ βιβλία ἐκτήσατο μυριάδας τρεῖς, καὶ τούτων σπουδαίων καὶ ἀνακεχωρηκότων. τὸ δὲ σῶμα ἦν μέγας τε καὶ μέλας ὡς ἐλεφαντώδης. ᾤκει τε ἐν τοῖς καλουμένοις Φαινιανοκορίοις, δύο οἰκίας αὐτόθι κτησάμενος. ὁ δὲ καὶ ἑ' ἔτος ἄγων ἐτελεύτησεν ὑδέρῳ περιπεσών. συγγράμματα δὲ κατέλιπεν ἱκανά.

ἐπαφροδιτότερος ἐπιχαριτώτερος.

ἐπαφωμένων ψηλαφωμένων. "ὁ δὲ τοῦ τόξου ἐπαφώμενος ταῖς χερσίν, ὡς καὶ ταύτῃ περιορᾶν δοκεῖν τὰ Ῥωμαίων πράγματα."

ἐπέβαλεν ἤρξατο, ἐπεχείρησεν. ἢ ἀντὶ τοῦ συνῆν· "ὃς καὶ Ἑκαταίῳ τῷ Μιλησίῳ ἐπέβαλεν, γεγονότι κατὰ τὰ Περσικὰ καὶ μικρῷ πρός, ἐξέτεινε δὲ μέχρι τῶν Περδίκκου χρόνων" ⟨cf. v. Ἑλλάνικος⟩. ἐπιβολὴ δὲ λέγεται ἔννοια, ἐπιχείρησις.

ἐπεβάτευον συνουσίαζον. Ἡρακλῆς φησὶ πρὸς τὸν Διόνυσον ⟨A Ran. 48⟩ "ποῖ γῆς ἀπεδήμεις;" ὁ δέ φησιν "ἐπεβάτευον Κλεισθένει." τὸ ἐπιβατεύειν ἐπὶ συνουσίας, ἀπὸ μεταφορᾶς τῶν ζῴων, ἃ ἐπιβαίνοντα συνουσιάζει. ὁ δὲ Κλεισθένης ἐπ' αἰσχρότητι κωμῳδεῖται· ἦν δὲ λεῖος τὸ γένειον, ὡς εὐνούχῳ εἰκάζειν αὐτόν. τὸν δὲ Κλεισθένην καὶ ἐπὶ τοῦ πασχητιᾶν κωμῳδοῦσι. τὸ δὲ ἐπεβάτευον κακέμφατον.

ἐπέβρισεν ⟨Ps. 87 8⟩ ἐπεβάρησεν.

ἐπεγράφου ἀντὶ τοῦ ἐζωγράφεις· Ἀριστοφάνης ⟨Ach. 1063⟩ "καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα." καὶ ἐπεγράψατο ⟨A Pac. 683⟩ ἀντὶ τοῦ ἀπεγράψατο, ἐχειροτόνησε, κατέστησεν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μετοίκων τῶν προστάτας προσγραφόντων ἑαυτοῖς.

ἐπεγράψαντο ἀντὶ τοῦ διισχυρίζοντο, ἐβεβαίουν· "οἱ δὲ εἰς Θράκην εὐδοκιμοῦντα αὐτὸν οἰκιστὴν ἀντὶ Ἅγνωνος ἐπεγράψαντο." cf. Thuc. 5 11.

ἐπεγχανών καταγελάσας· "οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβριστὴν καὶ ὑπερόπτην εἴασεν ἐπεγχανεῖν τῷ τοῦ Μελήτου θανάτῳ" ⟨cf. v. Μέλητος⟩.

ἐπεδαψιλεύσατο κατακόρως ἐχρήσατο· "ἐπεδαψιλεύσατο ταῖς ὑποθέσεσι τῆς ἀποκηρύξεως."

ἐπεδίκασε καὶ ἐπεδικάσαντο Δημοσθένης ἐν τῷ κατ' Ὀλυμπιοδώρου ⟨7⟩. τὸ μὲν ἐπεδίκασεν οἷον προσέκρινε, τὸ δὲ ἐπεδικάσαντο οἷον ἔπεισαν τοὺς δικαστὰς ἑαυτοῖς προσνεῖμαι τὸν κλῆρον. Harp.

ἐπεθείαζε μανικῶς διετίθετο, θεόληπτος ἐγίγνετο· Μένανδρος ⟨p. 441 Nieb.⟩ "ὁ δὲ ἡγεμὼν ἐν ἑνὶ τῶν ζ' λόφων ἀνελθὼν ἐπεθείαζε ῥήμασι βαρβάροις, καὶ γαύρῳ τῷ φρονήματι μεγαληγορίᾳ ἐχρῆτο."

ἐπεθείαζον ἐχόρευον.

ἐπέθεντο ἐπανέστησαν.

ἐπέθετο· "οὐδὲ χρημάτων ἀφαιρέσει ἐπέθετο" ἀντὶ τοῦ ἐλιχνεύσατο, ἐτέρφθη.

ἐπέθρωσκον ἐπεπήδων.

ἐπεί ἐπειδή.

ἐπείγομαι δοτικῇ.

ἐπείγω σπουδάζω.

ἐπειγωλή ἡ σπουδή.

ἐπειδή. ἔστι μὲν σύνδεσμος παρασυναπτικός, λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἀφ' οὗ, ὡς καὶ Θουκυδίδης πολλάκις ἐχρήσατο, καὶ Ὅμηρος ⟨A 235⟩ πρότερον, "ἐπειδὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπε," περὶ τοῦ σκήπτρου.

ἐπειδὴ τὸν οἶνον ἠξίους πιεῖν, συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα." A Plut. 1085.

ἐπειδὴ τὸν Ταντάλου λίθον τῆς κεφαλῆς ἀπετιναξάμεθα. λέγεται ἐπὶ κινδύνου τινὸς ἐπηρτημένου καὶ παρελθόντος· ἢ ἐπὶ τοῦ ἀρξαμένου τινὸς πράγματος, εἶτα ὀλιγωρήσαντος.

ἐπειή ἐπειδή.

ἐπεικάζω στοχάζομαι· Σοφοκλῆς ⟨El. 663⟩ "ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ;"

ἐπείκτης ὁ κατεπείγων· Πισίδης ⟨Hexaem. 1451⟩ "ὅπως ὑφέξει τοῖς ἐπείκταις ἀγγέλοις τοὺς συλλογισμὲς τῶν χρεῶν καὶ τῶν τόκων." ἐπείκτης λέγεται καὶ ὁ τὴν κογχύλην ἀπαιτῶν.

ἐπεικτός.

ἐπειλέγη καὶ κατειλέγη καὶ συνειλέγη.

ἐπειλεγμένος. ἐπιλελεγμένος δέ.

ἐπείλημμαι γενικῇ.

ἐπειλημμένη ἀντιλαμβάνουσα.

ἔπειξις.

ἐπεί οἱ· Προκόπιος ⟨Pers. 1 18⟩ "ἐπεί οἱ οὐκ ἦν βουλομένῳ ἐς χεῖρας ἰέναι τοῖς πολεμίοις."

Ἐπειός ὄνομα ἐθνικόν.

Ἐπειοῦ δειλότερος. οὕτως ἐλέγετο Κρατῖνος ὁ κωμικός, ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς Οἰνηίδος φυλῆς δειλότερός τε φανῆναι· καὶ γὰρ ὁ Ἐπειὸς δειλὸς ἦν.

ἐπείρα αἰσχρῶς προσέβαλλεν. "Ἀςυδάμεια ἠράσθη Πηλέως τοῦ Αἰακοῦ· ὃ δὲ ἀναίνεται. ἣ δὲ φοβηθεῖσα μὴ κατείπῃ αὐτῆς, σοφώτερα ἢ ἀληθέςερα λέγει, ὅτι αὐτὴν ἐπείρα ὁ Πηλεὺς εἰποῦσα." "ἐπείρα, χρήματα πέμπων τῆς διαφθορᾶς δέλεαρ."

ἐπειράσατο ἀπόπειραν ἐποιήσατο.

ἔπειρεν ἐσούβλιζεν.

ἐπειρωνευόμενος χλευάζων, ἐπεγγελῶν. ⟨Ioseph. B. I. 5 13⟩ "ὃ δὲ ἄντικρυς Ῥωμαίων προαχθεὶς ἀναιρεῖται. τῦτο δ' ἔπραττεν ὁ Σίμων ἐπειρωνευόμενος, εἴ τι βοηθήσουσιν αὐτῷ πρὸς οὓς ἐξελθεῖν εἵλετο."

ἐπεισάκτους ἀλλοτρίους.

ἐπεισέφρησεν εἰσῆλθε.

ἐπεισήρρησεν εἰσεφθάρη.

ἔπεισί μοι ἐπέρχεταί μοι.

ἐπεισκρινόμενον.

ἐπεισκυκλεῖ εἰσφέρει, ἐπισυνάπτει. καὶ ἐπεισκυκλείσθω ἐπιφερέσθω, ἐπισυναπτέσθω.

ἐπεισκύκλησις ἡ ἀνακύκλησις.

a ἐπεισόδιον τὸ εἰς τὰ δράματα εἰσαγόμενον, κατὰ προσθήκην τινὰ καὶ αὔξησιν τῦ δράματος. Εὐνάπιος ⟨p. 77 Nieb.⟩ "καὶ τέτῳ ὥσπερ δράματι μεγάλῳ καὶ τραχεῖ τὸ κατὰ Μυσώνιον ἐπεισόδιον οὐκ ἔλαττον ὁ δαίμων ἐπήνεγκε." καὶ ἐν ἐπιγράμμασιν ⟨AP 5 19⟩ "ἤρεσε γύψου χρώματα καὶ φύκους ἄνθος ἐπεισόδιον." καὶ αὖθις ⟨AP 6 232⟩ "γέλγιθες καὶ ὄχναι καὶ ῥοιαὶ καὶ ςαφυλαί, δαψιλῆ οἰνοπόταις γαςρὸς ἐπεισόδια."

ἐπεισόδιον τὸ εἰσφερόμενον τῷ δράματι γέλωτος χάριν, ἔξω τῆς ὑποθέσεως ὄν. καταχρηςικῶς δὲ τὸ ἐξαγώνιον ἅπαν πρᾶγμα. b

ἐπεισοίσας ἐπεισβαλών.

ἐπεισπέπαικεν εἰσεπήδησεν, εἰσῆλθε. κυρίως δὲ ἐπὶ ςρατιᾶς πολεμίων. Ἀριςοφάνης Πλούτῳ ⟨805⟩ "ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσι." καὶ αὖθις ⟨Athen. p. 7 F⟩ "Μυκονίων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια."

ἐπεισφοραῖς καταδίκαις.

ἐπεισφρήσας ἐπεισελθών, καὶ ἐπεισφρήσω ἐπειςενέγκω.

ἐπεισχέω ἐπεισβάλλω.

ἔπειτα μετὰ ταῦτα. ὁ δὲ Ὅμηρος ⟨I 169⟩ καὶ ἀντὶ τοῦ δή κέχρηται τῷ ἔπειτα· "αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς." οὐκ ἔςι μετὰ ταῦτα· ἅμα γὰρ ἀφῆκεν ὃ μὲν τὸν ὀιςὸν ὃ δὲ τὸ δόρυ.

ἐπεῖχεν ἐπήρειδεν, ἐπέκειτο.

ἐπειχθῶμεν σπεύσωμεν.

ἐπεκάλει ὠνείδιζεν, ἐμέμφετο· "καὶ αὐτῷ μὲν οὐδεὶς ἐπεκάλει τῶν πώποτε φίλων οὔτε ὄκνου πρόφασιν οὔτε μαλακιζομένην τινὰ ἀναβολὴν ἐν ταῖς χρείαις οὔτε ῥᾳθυμίαν ἀργίας ἔκγονον ἢ δειλίας." "ὃ δὲ πολλοῖς ἐπεκάλει τῶν φίλων τὰ τοιαῦτα ἐγκλήματα" ἀντὶ τοῦ ὠνείδιζε. καὶ αὖθις "ἐπεκάλουν αὐτὸν φθορέα τῶν νέων καὶ κιναιδολόγον ἀποκαλοῦντες."

ἐπέκεινα παρεκεῖ.

ἐπεκερτόμησεν ἐχλεύασεν, ἔσκωψεν· "ὃ δὲ ἐπεκερτόμησεν αὐτοὺς τῆς ἀβουλίας" ⟨Agath. 5 22⟩.

ἐπεκηρυκεύετο διὰ κήρυκος ἔλεγεν· "ἐπεὶ μηδὲ εἷς ἐπεκηρυκεύετο ὑπὲρ τῦ Λευκίου, διελέγετο αὐτῷ Δεκέβαλος." καὶ αὖθις "οἱ δὲ ἀντισχεῖν τῷ δίψει μὴ δυνηθέντες ἐπεκηρυκεύσαντο."

ἐπεκήρυξαν διασήμως καὶ διαπρυσίως ἐλάλησαν· "καὶ ἐπεκήρυξάν τε τάλαντον δώσειν τῷ μηνύσαντι."

ἐπέκλυσεν ἐκαθάρισεν, ἢ ἀντὶ τῦ ἐπέρρευσεν· ⟨Eunap. p. 111 Nieb.⟩ "τοσαῦτα καὶ τοιαῦτα ἐπέκλυσε κακὰ ὥςε χρυσὸς ἦν αὐ-

τοῖς καὶ λευκή τις ἡμέρα κρατῆσαι τοὺς βαρβάρους."

ἐπέκλωσεν ἐπεκλήρωσεν, ἐμέρισεν.

ἐπεκώμαζεν ὠρχεῖτο, αἰσχρῶς ἐλάλει· "ὁ δὲ προεκθέων ἐπεκώμαζε τοῖς βαρβάροις." καὶ αὖθις "πολλαὶ εἰς τὰς ἐκκλησίας ἐπεκώμασαν ταραχαί."

ἐπ' ἐλάχιςον ἐπ' ὀλίγον, πρὸς βραχύ· Δαμάσκιος (Phot. p. 339 a 37) "εἶχε δὲ ἐπ' ἐλάχιςον τῆς πρὸς τὰ ποιητικὰ συμπαθείας, ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώττης ἱςάμενα."

ἐπελέξαντο ἀνέγνωσαν· "εὑρόντες τὰ γράμματα ἐν τῷ ξύλῳ τοῦ διπτύχου, ταῦτα ἐπελέξαντο" Ἡρόδοτος (7 239). καὶ αὖθις "ὁ δὲ γραμματεὺς ἐπελέγετο τὰ γράμματα."

ἐπελήκεον (Hom. ϑ 379) ἐπεβόων, ἐπεκρότουν.

ἐπελήφθη ἐπήρξατο· Ἀρριανός "ἤδη τε ἐπελήφθη νὺξ τῆς τρίτης φυλακῆς, καὶ ὁ ἡγεμὼν τοὺς λόχους καθίςατο."

ἐπελπίζων εἰς ἐλπίδας ἄγων· "τὰ μὲν αὐτοὺς ἐπελπίζων ὑποσχέσεσι, τὰ δὲ ὑποσπείρων αὐτοῖς ὀλίγα κέρδη, τοὺς δὲ ἐν ἀξιώσει τε καὶ δυνάμει περισυλῶν καὶ δημεύων."

ἐπεμαρτύραντο μάρτυσιν ἐχρήσαντο· "οἱ δὲ πιςὰ δόντες καὶ λαβόντες ἐπεμαρτύραντο τοὺς θεούς." οὕτως Ξενοφῶν (Anab. 4 8 7).

ἐπεμβαίνων ἐπιχλευάζων, ἐπικερτομῶν· "ὁ δὲ ἐπεμβαίνων τῇ τύχῃ αὐτῶν σφόδρα ἀμαθῶς καὶ ἀνθρωπίνως ἥκιςα."

ἐπεμήνατο (Hom. Ζ 160) ἐπεμάνη.

ἐπέμυξεν ἐξεμυκτήρισεν, ἦχον διὰ τῶν ῥινῶν ἐποίησεν.

ἐπενεγκεῖν δόρυ ἐπὶ τῇ ἐκφορᾷ καὶ προαγορεύειν ἐπὶ τῷ μνήματι (Demosth. 47 69). ἐπὶ τῶ βιαίως ἀποθανόντος ταῦτα πράττεται, καὶ Ἴςρος ἐν τῇ συναγωγῇ τῶν Ἀτθίδων φησί "τινὲς ἐπὶ τοῦ τάφου δόρυ φασὶ καταπεπηχέναι τὸν Ἐρεχθέα, τὸ πάθος σημαίνοντα, διὰ τὸ νόμον εἶναι τοῖς προσήκεσι τῶτον τὸν τρόπον μετέρχεσθαι τὰς φονέας." Harp.

ἐπενεγκών καταδικάσας· Προκόπιος (Goth. 3 15) "ἐπενεγκών τε αὐτῷ ὅτι δὴ ὡς ἥκιςα ἀληθίζεται, ἄμφω τὼ χεῖρε ἀπέκοψεν."

ἐπενήνεον συγκατετίθεντο (Hom. Γ 461: cf. v. ἐπὶ δ' ἤνεον).

ἐπενήνοθεν ἐπήνθει, ἐπέκειτο. sch. Hom. Β 219.

ἐπεντρυφήσαντος καταπολαύσαντος· (Menand. p. 407 Nieb.) "ἕτερά τε οὐκ ἀνεκτὰ περὶ τὴν τοῦ χρυσίου παράληψιν καταυθαδισαμένου καὶ ἐπεντρυφήσαντος αὐτοῖς."

ἐπ' ἐξαγωγῇ· "ἐμαςιγῶτο ῥάβδοις, εἶτα ἐπ' ἐξαγωγῇ ἐπιπράσκετο, δειλίας καὶ ἀποδράσεως τίμημα φερόμενος δοῦλος εἶναι."

ἐπεπαίχειν, ὑπερσυντελικός, τὸ ἐνεπαίχθην. ἐπεπέχειν δὲ ἐπεπέχεισαν ἐκ τῶ πέκω τὸ κτενίζω.

ἐπεπαιώνιςο (Thuc. 1 50) ἐξύμνητο.

ἐπεπάμεθα ἐκεκτήμεθα· (AP 7 67) "πάνθ' ὅσα κὲν ζωοῖς ἐπεπάμεθα, ταῦτα παρ' Ἅδην ἔρχομ' ἔχων· λείπω δ' ὐδὲν ὑπ' ἠελίῳ."

ἐπεπόνθη ἀντὶ τῶ ἐπεπόνθειν, καὶ ἑωράκη ἀντὶ τοῦ ἑωράκειν, καὶ ᾔδη ἀντὶ τοῦ ᾔδειν.

ἐπέπυςο (Hom. Ν 674) ἤκουσεν.

ἐπεπωλεῖτο (Hom. Δ 231) ἐπεπορεύετο.

ἐπεραιώθη ἐπέρασεν, ἐτελειώθη.

ἐπέραςος ἐράσμιος.

ἐπερατώθη ἐτελειώθη.

ἐπέρραξεν ἐπέπεσε, συνεπλάκη, μάχην συνῆψεν· (Diodor. 15 84) "ὁ δὲ πολλὴν διανύσας ὁδὸν ἄφνω τούτοις ἐπέρραξεν."

ἐπερρίφην ἔπεσον.

ἐπερρύη ἐπέβρυσεν, ἀνέβλυσεν.

ἐπερρώσαντο (Hom. Α 529) ἐπεσείσθησαν, καὶ ἐπερρώσθησαν. ἐπερρόθησαν δέ.

ἐπέρω τὸ ἐρωτῶ, καὶ ἐπερόμενος ἐρωτώμενος.

ἐπέσαξε τὴν ὄνον αὐτοῦ (Gen. 22 3).

ἐπέσβη ἐπεισῆλθε.

ἐπεσβόλον (Hom. Β 275) λοίδορον, φλύαρον.

ἐπέσειεν ἐπανετείνετο· "τοῖς δ' ἐπέσειε φόβον ὡς αὐτίκα τεθνήξοντος."

ἐπεσημήναμεν ἐξεπλάγημεν, ἐθαυμάσαμεν. καὶ Πολύβιος (9 9) "τίς οὐκ ἂν ἐπισημήναιτο καὶ θαυμάσειε τὸν προειρημένον ἐπὶ τούτοις ἡγεμόνα;"

ἐπέσθων ἐπεσθίων, εὐωχούμενος· (AP 6 301) "τὴν ἀλίην Εὔδημος, ἐφ' ἧς ἅλα λιτὸν ἐπέσθων χειμῶνας μεγάλους ἐξέφυγε, θῆκε θεοῖς Σαμόθραξιν."

ἐπεσκήψατο ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν. σπανιάκις δὲ καὶ ἐπὶ τῶ ἐγκα-

λέσαι φόνου, ὡς Ἀντιφῶν. τὸ δὲ ἐνεργητικὸν τὸ ἐπέσκηψεν ἀντὶ τοῦ ἐνετείλατο. τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ οἷον ἐξορκίζω Ἀνδοκίδης καὶ Λυσίας ἔλαβε ⟨Harp.⟩. καὶ ἐπεσκήψατο ἔβλαψεν.

ἐπέσκηψεν ἐπέπληξεν.

ἐπέσπερχε διήγειρε, παρέθηγεν· "ὅς δὴ μάλιστα ἐπέσπερχεν αὐτόν."

ἐπεστάτει ἦρχεν, ἡγεμόνευεν· Ξενοφῶν ⟨Anab. 2 3 11⟩ "ἐνταῦθα ἦν Κλέαρχον καταμαθεῖν ὡς ἐπεστάτει, ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ δόρυ ἔχων, ἐν δὲ τῇ δεξιᾷ βακτηρίαν."

ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου ⟨Ps. 37 3⟩ ἀπὸ μεταφορᾶς τῶν αἰκιζομένων ταῦτα λέγων· ὁρῶν τὴν χεῖρά σου ἐπικειμένην καὶ λίαν μαστιγοῦσαν. Theodoretus.

ἔπεστί μοι βούλομαι, θέλω, δύναμαι. ἢ ἐπίκειταί μοι.

ἐπεσφάλακεν. οἱ μὲν ἐσπάσθη, οἱ δὲ ἐσάπη, ἢ παρὰ καιρὸν ἀτροφῆσαν ἐμαράνθη.

ἐπέται οἱ θεράποντες, παρὰ τὸ ἕπεσθαι. ἕπεται δὲ ἀκολουθεῖ.

ἐπέτειον ἀπὸ τοῦ νῦν ἔτους· ἐπέτος γὰρ δεῖ λέγειν τὸν ἐνεστῶτα καιρόν, οὐχὶ διὰ τοῦ φ ἀλλὰ διὰ τοῦ π, ὥς φησι Πίνδαρος καὶ Δημοσθένης ⟨23 92⟩. καὶ ἐπέτειος ὁ κατ' ἔτος γινόμενος.

ἐπετείους ὑμᾶς ὄντας. ἀπὸ τῶν οἰωνῶν μετήνεγκε τῶν μὴ μονίμων ὄντων ἀλλὰ φερομένων τῇ πτήσει. τουτέστιν εὐμεταβλήτους, ὀλιγώρους, μὴ διαμένοντας ἐν τοῖς αὐτοῖς ἀεί, ἀψικόρους. sch. A Eq. 515.

ἐπέτηξεν· ⟨Herodot. 7 239⟩ "δελτίον δίπτυχον λαβὼν τὸν κηρὸν αὐτοῦ ἐπέτηξεν," ἀντὶ τοῦ ἐλέανεν, λεῖον ἐποίησεν.

ἐπετίλησεν ἐξεκένωσε τὴν κόπρον· Ἀριστοφάνης ⟨Ach. 349⟩ "ὃ δὲ τῆς μαρίλης μοι συχνὴν ὡς ἐπετίλησεν ὥσπερ σηπία." θηρώμεναι γὰρ αἱ σηπίαι ἐναφιᾶσιν ἐκ τοῦ προσόντος αὐταῖς θολοῦ, ταράττειν βουλόμεναι τὸν παρ' αὐταῖς τόπον, ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρῶσιν.

ἐπετίμα ἐπηύξει τὴν τιμήν. "οἱ δὲ κερδαίνειν οἰόμενοι ἐπετίμων ὡς λιμώττοντι τὸν σῖτον· ὃ δὲ οὐδὲν ἧττον ἠγόραζε" Μάλχος φησίν ⟨p. 269 Nieb.⟩.

ἐπετοξάζοντο ⟨Hom. Γ 79⟩ ἐτόξευον.

ἐπευκτή ⟨Ierem. 20 14⟩ ἐπιθυμητή, εὐχῆς ἀξία.

ἐπευφήμησαν ⟨Hom. A 22 et 376⟩ μετ' εὐφημίας συγκατέθεντο, ἐπήνεσαν.

ἐπευωνίζων κερδαίνων.

ἐπεφάνη. φησὶν ὁ ἀπόστολος ⟨ad Tit. 2 11⟩ "ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος." διὰ τί οὐκ εἶπεν ἐφάνη ἀλλ' ἐπεφάνη; ἐπειδὴ ὁ ὢν ἐφάνη. εἰ γὰρ εἶπεν ἐφάνη, ἀρχὴν εἰσηγεῖτο τοῦ ἀεὶ ὄντος. καὶ διὰ τοῦτο εἶπεν ἐπεφάνη, ἵνα τὴν ἄναρχον ὕπαρξιν μηνύσῃ. ἐξ ὧν δεῖ σαφῶς εἰδέναι ὅτι ὁ αὐτὸς κύριος ἐφάνη καὶ ἐπεφάνη. ἐφάνη μὲν τῇ οἰκονομίᾳ τῆς ἐνανθρωπήσεως, ἀρχὴν γὰρ ἐδέξατο· ἐπεφάνη δὲ τῇ ἐναργείᾳ τῆς θεότητος, ἄναρχος γὰρ ἡ ὕπαρξις. τὸ δὲ πᾶσιν εἶπε δηλῶν ὅτι οὐ μερικῶς ἀλλὰ πᾶσιν ἀνθρώποις.

ἐπεφόρησεν ἐπεσώρευσεν· Ἀριστοφάνης ⟨Pac. 224⟩ "ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων." καὶ αὖθις "βόθρον ὀρύξασα καὶ ἐπιπολῆς στεγάσασα γῆν ἐπεφόρησεν, ἐξαδηλοῦσα τὸ ποιηθέν."

ἐπέφραδεν ἐδήλωσε, διεσάφησε. καὶ ἐπέφραδον εἶπον.

ἐπεφράσατο ἐθεώρησεν.

ἐπέφυ ἀντὶ τοῦ ἐκράτησεν· "ἀλλὰ τὸ δὴ λεγόμενον ἀμφοῖν ταῖν χεροῖν ἐπέφυ."

ἐπεφύκει προσεπλάκη.

ἐπεφύοντο ἐπήρχοντο· "καὶ ἐπέφυσάν οἱ συκοφάνται, καὶ τὸ ἔγκλημα ἦν, Δίωνι ἔφασκον εἶναι φίλον."

ἐπεφώρατο γὰρ ἐφανεροῦτο, εὑρίσκετο, ἠλέγχετο.

ἔπεχε ἐπίκεισο, ἐπίμενε, φύλασσε. ⟨Diog. L. 3 52⟩ "Πλάτων περὶ μὲν ὧν κατείληφεν ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει." ⟨id. 4 32⟩ "ὅτι Ἀρκεσίλαος ὁ φιλόσοφος διὰ τὸ περὶ πάντων ἐπέχειν οὐδὲ βιβλίον τι συνέγραψε."

ἐπέχθη ἐκτενίσθη, ἐκάρη· Ἀριστοφάνης Νεφέλαις ⟨1360⟩ "ἐκέλευσα ᾆσαι Σιμωνίδου, τὸν κριὸν ὡς ἐπέχθη."

ἐπέχω αἰτιατικῇ, ἐπέχομαι δὲ γενικῇ· "καὶ ἡ χεὶρ ἐπέχεται τοῦ πονηροῦ γραφέως."

ἐπεχώρησεν ἀντὶ τοῦ συνεχώρησεν· οὕτως Ἀρριανός. καὶ ἐπεχωρήθη συνεχωρήθη. καὶ τὰ ὅμοια.

ἐπήβολος ἐπιτευκτικός, ἐπιτυχής. "εἰ δὲ οἴει σαυτὸν εὐδαίμονα ὡς ἐπήβολον καὶ πολύχρυσον, γνωστὸν ἤτω σοι ὅτι γηρᾷ καὶ τύχη."

ἐπηβολώτατος.

ἐπηγάγετο προσῳκειώσατο, ἰδιοποιή-

σατο· "τοὺς δὲ οἰκήτορας τῆς πόλεως μηδὲν βίαιον δράσας ἐπηγάγετο."

ἐπήγγειλα· (Synes. ep. 67 p. 209 A) "ἔλυσα τὴν ἐκκλησίαν, καὶ εἰς τετάρτην ἥκειν ἐπήγγειλα" ἀντὶ τοῦ παρήγγειλα.

ἐπήγγελλεν· "ἐπήγγελλεν ἐπὶ τούτοις συσσίτια." καὶ αὖθις "οἱ μὲν ταύτην τὴν γραφὴν ἐπήγγελλον, οἱ δὲ τὴν ἄλλην."

b ἐπήγγελλεν ἀντὶ τοῦ προσέτασσεν· "ὁ δὲ Μίνως πανταχόσε ἔπλει, καὶ πολλοῖς ξενίαν ἐπήγγελλεν" ἀντὶ τοῦ ἐνετέλλετο (cf. v. ἐπαγγέλλει). "εἰθισμένον ὂν γράμματα οἰκεῖα τοῖς βιβλίοις ἐντιθέναι, ὅσα ἂν ἐπαγγέλλοντος αὐτοῦ γένοιτο." καὶ αὖθις "οὐκ ἔχειν ὀνομάσαι (an ὀνειδίσαι), ὁπότε οἱ ἐπήγγειλαν στρατιάν, Ἀραβίοις ἐς τὸ παρασχεῖν ἄκοντας" ἀντὶ τοῦ ὥρισαν.

ἐπήγετο ἐπεφέρετο.

ἐπηγκενίς (Hom. ε 253) ἡ μακρὰ σανίς.

ἐπηγκυλημένα ξύλα τὰ κεκαμμένα εἰς θεοειδῆ (an σιγμοειδῆ) σχήματα, εἰς χρῆσιν ὅπλων.

ἐπηγορία· "ἀλλ' εἰ μέν τις ἐκ τούτων κακόν τι ἐδεδράκει ἢ ἐπεπόνθει, ἐπηγορίαν εἶχε."

ἐπῄει μοι ἐπήρχετο.

ἐπῄεσαν παρήρχοντο.

ἐπηετανός ὁ αὐτάρκης.

ἐπηθρηκυῖα ἰδοῦσα.

ἐπήϊξας ἐφώρμησας.

ἐπηκόοις· "ἐλοιδοροῦντο τοῖς ἐπηκόοις, καὶ πολὺ πλέον ἐκθύμως ἐμάχοντο," ἀντὶ τοῦ πάντων ἀκουόντων, φανερῶς.

ἐπῆκτο ἐπηκολούθει.

ἐπηλυγάζονται ἐπισκιάζονται, ἐπικρύπτονται. καὶ ἐπηλυγάζω ὀλίγον φαίνω, σκοτάζω. καὶ ἐπηλυγάζοντες καλύπτοντες, σκεπάζοντες· "οἱ δ' οὖν περὶ πλείστου τιθέμενοι τὰ τοῦ Φοίνικος, καλλύνοντες ἄρα τὸ κακὸν αὐτοῦ καὶ ἐπηλυγάζοντες, ἄλλως φασὶ τοῦτο γενέσθαι." καὶ αὖθις (Synes. p. 85) "ὁ μὲν οὖν Φερεκύδης ἐπηλυγασάμενος θοἰμάτιον, 'χρῷ δῆλον' ἔφη, καὶ δακτύλῳ τὴν νόσον ἐδείκνυε· πασχητιῶν δὲ μειράκιον ταῖς θριξὶ σημαινόμεθα."

ἐπηλυγασάμενος σκεπάσας, καλύψας· ἠλύγη γὰρ ἡ σκιά.

ἔπηλυν ξένον, ἔποικον· (Ioseph. B. I. 3 p. 259) "διακρίνων τὸν ἔπηλυν λεὼν ἀπὸ τῶν ἐπιχωρίων."

ἔπηλυς ὁ ξένος.

ἐπήλυσιν· "μὴ πτερύγων τρομέοι τις ἐπήλυσιν" ἐν ἐπιγράμμασιν (AP 5 268). ἄφιξιν, ἐπέλευσιν, ἔκπεμψιν.

ἐπήλυσις ἐπιδρομή· "ἐπήλυσιν ὄφρ' a ἀλέοιτο φώριον" (cf. v. φώρια), τουτέστι λῃστρικήν.

ἐπήλυσις ἐπέλευσις· (Menand. p. 306b Nieb.) "ἐν ἀπόπτῳ καραδοκοῦντές τε καὶ θεώμενοι, εἴ που ἐπήλυσις ἔσται βαρβαρική."

ἐπήλυτος πάροικος, ἔποικος.

ἐπ' ἤματι ἐν μιᾷ ἡμέρᾳ. (Zosim. 4 57) "ὁ δὲ Θεοδόσιος τὴν βασίλισσαν θανοῦσαν ἐπ' ἤματι σχεδόν τι ἐδάκρυσεν· ἀνάγκη γὰρ καὶ ὁ προκείμενος πόλεμος συνεσκίαζεν αὐτῷ τὸ περὶ τὴν γυναῖκα πάθος."

ἐπήμηναν ἔβλαψαν, καὶ ἐπημήνατο ἔβλαψεν.

ἐπημοιβοί (Hom. M 456) ἐπηλλαγμένοι, ὥστε τὸν μὲν ἔνθεν τὸν δὲ ἔνθεν ἐφέλκεσθαι.

ἐπήμυνον ἐπεβοήθουν.

ἐπημύω τὸ καμμύω.

ἐπῄνει εὐμενῶς ἐδέχετο, συγκατετίθετο· "τὸ δὲ θεῖον οὐκ ἐπῄνει τὰ ὑπὸ τοῦ βασιλέως πραττόμενα."

ἐπηνέμιος πλοῦτος (an ὑπην-) ὁ ψευδόμενος.

ἐπῄνεον συγκατετίθεντο.

ἐπηνεκέναι ἐπαινέσαι, ἐκ τοῦ ἐπαινῶ. καὶ ὁ παρακείμενος ἐπήνεκα, καὶ ἐπηνεκέναι.

ἐπηνίκιζεν ἐξηπάτα· οὕτω Κρατῖνος.

ἐπῄνουν συγκατετίθεντο.

ἐπηνωρθωκέναι.

ἐπηπείλησα καὶ κατώμοσα (A Av. 630) ἀντὶ τοῦ ἐπαγγειλάμενος ὤμοσα.

ἐπήπυον ἐβόων.

ἐπῆρας ἀνέπεισας.

ἐπηράσαντο ἀντὶ τοῦ ἀραῖς ὑπέβαλον· "ἐπηράσαντο αὐτῷ Εὐμολπίδαι καὶ Κήρυκες."

ἐπήρατε (A Nub. 1459) ἐπείσατε, ἠπατήσατε.

ἐπηρᾶτο ἐπηύχετο.

ἐπήρατον ἐπέραστον, ποθεινόν.

ἐπηρεάσαι βλάψαι.

ἐπήρεια βλάβη. Θουκυδίδης (1 26) "τούς τε φεύγοντας ἐκέλευον κατ' ἐπήρειαν δέχεσθαι αὐτούς." καὶ αὖθις "καὶ παρήγγειλε φυλάσσειν μὴ ἄρα πού τις ἀπὸ τῆς ἄλλης στρατείας ἐνὼν ἐπηρεάζοι αὐτοῖς" ἀντὶ τοῦ βλάπτοι. καὶ αὖθις "ὥστε ἡ ἐς ταῦτα ἐπήρεια εἰκότως ἂν ἀδίκημα μέγα εἰς τοὺς ἀνθρώπους τοῦ

παντὸς αἰῶνος δόξειεν εἶναι." κυρίως δὲ ἐπήρεια ἡ τοῦ πολέμου καταδρομή, ἐκ τῦ Ἄρης Ἄρεως.

ἐπῆρεν ἀντὶ τοῦ ἀνέπεισεν, ἠρέθισεν· "ὁ τοίνυν ἔρως συμπνεύσας καὶ κατὰ τοῦ τυράννου Φαλάριδος ἐπῆρεν αὐτούς" (cf. vv. *ἀναβολῆς, ἀντέρως*). *καὶ αὖθις "τοῦτον λύσατο καὶ κωμῳδίαν διδάσκειν αὖθις ἐπῆρεν"* (cf. v. *Θεόπομπος*).

ἐπῆρες παρεσκευασμένον, ἕτοιμον· "τὸ δὲ πλοῖον ἐπῆρες ἦν, εἰς ὃ τὴν ἄνθρωπον ἐμβάλλουσι, καὶ ἀποπλεῖ."

ἐπήρετο ἠρώτα.

ἐπηρεφέες (Hom. *M* 54, *κ* 131) *ἐπηρεφεῖς, ἐπὶ τὰ κάτω ἐστραμμένοι, κατωφερεῖς.*

ἐπήρκεσεν ἐβοήθησεν. "ταῦτα ξυνεχῶς ἀγγελλόμενα τῷ Ἀντωνίῳ αὐτόν τε ἐπήρκει εἰς τὴν ἀποχώρησιν καὶ τοὺς στρατιώτας μαλακωτέρους ἐποίει." καὶ αὖθις "τὰ δὲ ἄλλα τοῖς φιλοσόφοις ἐπήρκουν" (cf. v. *ἄλλως*).

ἐπηρμένοι πρόχειροι, εὐτρεπεῖς· Θουκυδίδης (8 2) *"οἱ οὖν Ἕλληνες ἐπηρμένοι ἦσαν διὰ τὴν τῶν Ἀθηναίων κακοπραγίαν, ὡς οὐκ ἀποστατέον τοῦ πολέμου εἴη."*

ἐπηρτημένην ἐπικειμένην.

ἐπήρτησεν ἐπέθηκεν, ἐπέφερεν· "ὃ δὲ τὰς ὁδοὺς διαλαβὼν οὐ μικρὸν φόβον ἐπήρτησε τοῖς ἐν τῇ πόλει."

ἐπηρώθησαν ἐσκοτίσθησαν, ἐτυφλώθησαν.

ἐπησθέντες ἐπιχαρέντες.

ἐπήσθετο ἔγνω.

ἐπήσθη ἐλαλήθη.

ἐπήσπαιρεν ἐψυχορράγει.

ἐπητεία ἡ ἐπέλευσις.

ἐπήτης (Hom. *ν* 332) *ὁ λόγιος καὶ συνετός.*

ἐπήτριμος πυκνός.

ἐπητύι τῇ συνέσει.

ἐπηύξησεν.

ἐπῃωρεῖτο ἐκρέματο.

Ἐπιάλτην Ὅμηρος καὶ Ἡσίοδος καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα· διὰ δὲ τοῦ φ τὸν ἄνδρα, Ἐφιάλτην. καὶ τὸ ῥιγοπύρετον λεγόμενον.

ἐπίασιν ἐπέρχονται.

ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ (Ps. 90 13)· *ὃ μὲν γὰρ ἐνίησι θανατηφόρον ἰόν, ὃ δὲ καὶ τῇ θέᾳ λώβην ἐργάζεται.*

ἐπιβάθρα ἐπίβασις· "πρώτη δὲ ἤδη ἀπέβη, οἱονεὶ ἐπιβάθραν αὐτῷ κατασκευάζουσα καὶ κατακόλπισιν." Πολύβιος (16 29) *"ὁ δὲ Φίλιππος ἐβούλετο παρελέσθαι Ῥωμαίων τὰς ἐν τούτοις τοῖς τόποις ἀφορμὰς καὶ τὰς ἐπιβάθρας."*

ἐπιβάθρας ἐπιβάσεως· "ἡ δὲ ἐπὶ τὸ τέγος ἀναβᾶσα ταχέως ἅτε τῆς ἐπιβάθρας ἐμπείρως ἔχουσα." Πολύβιος (16 29) *"ἵνα ἐὰν προθῆται διαβαίνειν αὖθις εἰς τὴν Ἀσίαν, ἐπιβάθραν ἔχοι τὴν Ἄβυδον."*

ἐπιβαίνω γενικῇ.

ἐπιβατεῦσαι, γενικῇ, ἐπιβῆναι, κατασχεῖν· (Procop. Goth. 4 24) *"χωρίων ἐκστῆναι ὧνπερ Θευδίβερτος οὐ δέον ἐπιβατεῦσαι διὰ σπουδῆς ἔσχεν."*

ἐπιβατήρια τὰ ἐπὶ τῶν τειχῶν μηχανήματα· "ὁ δὲ τὰς μηχανὰς ἐπῆγεν, πύργους ξυλίνους καὶ χελώνας καὶ ὅσα τειχῶν ἐπιβατήρια."

ἐπιβάτης ὁ ἐπὶ τῆς νηὸς ἄπρακτος, ἐρέ- a
της δὲ ὁ κωπηλατῶν.

ἐπιβάτης. οὕτως ἐκάλουν τοὺς ἐν ταῖς b
τριήρεσι στρατευομένους καὶ μὴ κωπηλατοῦντας μὲν ἐπιτηδείους δὲ πρὸς τὸ μάχεσθαι. Harp.

ἐπιβεβήκασιν ἐνέτυχον, σύγχρονοι ἐγένοντο· "οὗτοι μὲν οὐκ ἐγένοντο ἐπὶ τῆς ἀρχαιοπρεποῦς πολιτείας, τοῖς δὲ γενομένοις ἐπιβεβήκασι καὶ ἐνέτυχον" (Damascius: cf. v. *Ἐπιφάνιος*).

ἐπίβλημα τὸ τῷ προτέρῳ ἐπιβαλλόμενον.

ἐπιβλής ὁ μοχλός, ἡ σαῖρα. οἱ μέν φασιν ὅτι δοκός ἐστιν, οἱ δὲ ποιά τις δοκός. cf. Harp.

ἐπιβλήτης ἡ δοκός.

ἐπιβόημα· Θουκυδίδης (5 65) *"ὁ δέ, εἴτε καὶ διὰ τὸ ἐπιβόημα εἴτε καὶ αὐτῷ ἄλλο τι ἢ κατὰ τὸ αὐτὸ δόξαν, ἐξαίφνης τὸ στράτευμα ἀπῆγε," τουτέστιν ἐπιφώνημα. καὶ ἐπιβοώμενος ἀντὶ τοῦ ἐπικαλούμενος.*

ἐπίβοιον. ὅταν τις τῇ Ἀθηνᾷ ἔθυε βοῦν, ἔθυε καὶ τῇ Πανδώρᾳ ὄιν μετὰ βοός, καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον. Harp.

ἐπιβολή παρὰ τοῖς ῥήτορσιν ἡ ζημία. a
καὶ Ἀριστοφάνης (Vesp. 766) *"ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην."*

ὡς ὁριζομένη ζημία τοῖς ἁλοῦσιν ἐξημαρτηκέναι περὶ ὀρφανοὺς ἐπιτρόποις, ἢ καὶ ἄλλοις τισὶ τῶν τὰ δημόσια μὴ καλῶς διοικη-

σάντων, ἢ τοῖς κατέχουσι τὰ ἀλλότρια καὶ μὴ εἰς ἐμφανὲς καθιςᾶσιν. ἣν οἱ ἄρχοντες ζημίαν ὁρίζουσιν, ἐπιβολὴ καλεῖται. καὶ τὸ ῥῆμα ἐπιβάλλειν. sch. A Vesp. 766.

b ἐπιβολὴ καὶ ἡ ἐγχείρησις, ἡ προκάταρξις. Πολύβιος (15 16) "ἔςι μὲν γὰρ ὅτε καὶ ταὐτόματον ἀντέπραξε ταῖς ἐπιβολαῖς τῶν ἀγαθῶν ἀνδρῶν, ἔςι δ' ὅτε πάλιν κατὰ τὴν παροιμίαν ἐσθλὸς ἐὼν ἄλλου κρείττονος ἀντέτυχε." τοῦτο δέ φασι περὶ Ὕλλυ τῦ Ἡρακλείδου καὶ Ἐχέμου τοῦ Τεγεάτου.

c ἐπιβολὴ ἡ εἰσφορά.

d ἐπιβολὴ ἔννοια καὶ ἐπιχείρησις, ἐπὶ θεωρημάτων γεωμετρικῶν. (Procop. Arc. 23) "ἐπὶ δὲ Ἰουςινιανοῦ τὸ τῆς ἐπιβολῆς ὄνομα ὄλεθρος ἦν ἀπρόοπτος, ἐξαπιναίως τοῖς τὰ χωρία κεκτημένοις ἐπιγινόμενος, πρόρριζόν τε αὐτοῖς ἐκτρίβων τὴν τοῦ βίου ἐλπίδα. χωρίων γὰρ τέλος τῶν ἐρήμων τε καὶ ἀπόρων γεγενημένων, ὧν δὴ τοῖς τε κυρίοις καὶ τοῖς γεωργοῖς ἤδη τετύχηκεν ἀπολωλέναι τὴν γῆν πατρῴαν ἀπολιποῦσιν, ἢ τοὺς ἐγκειμένους σφίσι διὰ ταῦτα κακὺς κρύπτεσθαι, ὐκ ἀπηξίου φέρειν τοῖς οὕτω διεφθαρμένοις παντάπασι." καὶ τοῦτο ἐκάλουν ἐπιβολὴν καὶ ἐπιβάλλειν.

ἐπίβολος.

ἐπίβοον ἡ ἐκ τῦ βοὸς θυσία. cf. v. ἐπίβαιον.

ἐπιβουλή, καὶ ἐπίβουλος, καὶ ἐπιβουλεύω σοι, δοτικῇ.

ἐπιβοῶμαι· "τὴν πεῖραν μάρτυρα καὶ κανόνα τῶν ἐμῶν λόγων ἐπιβοῶμαι" (Artemid. 2 p. 258).

ἐπιβοώμενοι ἐπικαλούμενοι μάρτυρας· (Diodor. t. 2 p. 628) "τὰς ἑαυτῶν κεφαλὰς τύπτοντες καὶ τὰς χεῖρας ἐπανατείνοντες καὶ τοὺς θεοὺς ἐπιβοώμενοι."

ἐπιβρίθων ἐπιβαρῶν, καὶ ἐπιβρίσει ἐπιβαρήσει.

ἐπιβρίσησιν ὀδόντας, παρ' ὅσον οἱ θυμούμενοι πρίζουσι τοὺς ὀδόντας." cf. v. ἐμπρίσαντες.

ἐπιβρόντητος ὁ ἐμβρόντητος· Σοφοκλῆς (Ai. 1386) "ὡς ὁ ςρατηγὸς οὑπιβρόντητος μολών."

ἐπὶ βύρσης ἐκαθέζετο. τοῦτο παρὰ Σκύθαις ἐτελεῖτο. ἐπειδή τις ἠδικεῖτο πρὸς ἑτέρου, ἀμύνασθαι δὲ βουλόμενος ἑαυτὸν ὐκ ἀξιόμαχον μόνον ᾤετο, βῦν ἱερεύσας τὰ μὲν κρέα κατακόψας ἧψει, αὐτὸς δὲ ἐκπετάσας χαμαὶ τὴν βύρσαν ἐκάθητο ἐπ' αὐτῆς, εἰς τοὐπίσω παραγαγὼν τὼ χεῖρε. καὶ τοῦτό ἐςι Σκύθαις ἡ μεγίςη ἱκετηρία. τῶν δὲ κρεῶν τοῦ βοὸς ὁ βουλόμενος μοῖραν λαμβάνων, καὶ ἐπιβαίνων τῇ βύρσῃ τὸν δεξιὸν πόδα, ὑπισχνεῖται κατὰ δύναμιν ἕκαςος συμμαχήσειν. καὶ ἔςιν αὐτοῖς τοῦτο ὅρκων ὁ βεβαιότατος. Lucian. Toxar. 48.

ἐπιβύσαντες ἐπικαλύψαντες, σκεπάσαντες· Προκόπιος (cf. v. ῥωχμά) "ἐπιβύσαντες τοὺς ῥωχμοὺς χώματι τὸ ὕδωρ μετοχετεύουσι." καὶ ἀκρόβυςος ὁ τὸ ἄκρον βεβυσμένον ἔχων.

ἐπιβύσας ἐμπλήσας, γεμίσας, ὡς Ὅμηρος (δ 134) "νήματος ἀσκητοῖο βεβυσμένον." Ἀριςοφάνης Πλούτῳ (379) "τὸ ςόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων."

ἐπιβώμιον τὸ εἰς τὸν βωμόν.

ἐπιβωσάμενος ἐπιβοησάμενος, ἐπικαλεσάμενος.

ἐπιβωσόμεθα.

ἐπιγαμβρεία.

ἐπιγάννυται ἐπιχαίρει.

ἐπιγαυρωθεὶς ἀνδρωθείς, θρασυνθείς· Ξενοφῶν (Cyr. 2 4 30) "ὁ μὲν δὴ ταῦτα ἀκύσας καὶ ἐπιγαυρωθεὶς τῇ ἐντολῇ τοῦ Κύρυ ἐπορεύετο."

ἐπίγειος ὁ γήινος.

Ἐπιγένης κωμικός. τῶν δραμάτων αὐτῦ ἐςὶν Ἡρωίνη καὶ Μνημάτιον καὶ Βακχεία, ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφιςαῖς.

ἐπιγεννήματα τὰ ἐξ ὑςέρυ τοῖς τραύμασιν ἀναφυόμενα. Πολύβιος "δεῖ τοὺς ὀρθῶς βουλευομένους περὶ τοῦ πολέμυ, καθάπερ καὶ τοὺς ἐν ταῖς ἀρρωςίαις, μηδὲν ἧττον τῶν ἐπιγεννημάτων ποιεῖσθαι λόγον ἢ τῶν ἐξ ἀρχῆς ὑποκειμένων παθῶν."

ἐπιγηθεῖ χαίρει.

ἐπιγλωττήσομαι φλυαρήσω, βλασφημήσω· (A Lys. 37) "περὶ τῶν Ἀθηνῶν δ' ὐκ ἐπιγλωττήσομαι."

ἐπιγνώμονας ἀντὶ τοῦ ἐπισκόπυς καὶ ἐπιγραφέας τοὺς καθεςηκότας ἐπὶ τοῦ γράφειν ἑκάςῳ, ὅσον εἰσφέρειν ὀφείλουσιν εἰς τὸ δημόσιον. Harp.

Ἐπίγονος ὄνομα κύριον· Ἀριςοφάνης (Eccl. 167) "ἐπιβλέψας ἐκεῖσε γυναῖκας ᾠόμην λέγειν." οὗτος ἐκωμῳδεῖτο ὡς μαλακὸς καὶ ὡς μετὰ γυναικῶν ἀεὶ εὑρισκόμενος.

ἐπιγουνίδα (Hom. ρ 225, σ 73) τὸ πρὸ τοῦ γόνατος ἄνω σαρκῶδες τοῦ μηροῦ. ἔνιοι δὲ τὴν ἐπωμίδα.

ἐπίγραμμα. πάντα τὰ ἐπιγραφόμενά τισι, κἂν μὴ ἐν μέτροις εἰρημένα, ἐπιγράμματα λέγεται.

ἐπιγραφεῖς. ὁπότε δεήσειεν ἀργύριον εἰσφέρειν εἰς τὸ δημόσιον τοὺς ἀςοὺς ἢ τοὺς μετοίκους, οἱ ταῦτα διαγράφοντες ἐπιγραφεῖς ἐκαλοῦντο.

ἐπιγραφομένῳ ἰδιοποιουμένῳ, οἰκειουμένῳ· "εἰ καὶ δόξαν ἔμελλε φέρειν τὰ ὑπ' ἄλλων εὑρημένα ἐπιγραφομένῳ."

ἐπιγράφων ἀντὶ τοῦ βεβαιῶν, διισχυριζόμενος. "ὁ δὲ Ψευδοφίλιππος ἐπέγραφεν ἑαυτοῦ Φίλιππον τὸν Μακεδόνα."

ἐπιγράψας (Hom. Λ 388) ἐπιξέσας.

ἐπιγύοις τοῖς ἀπὸ γῆς· "τὰ δὲ πλεῖςα καὶ τοῖς ἐκ τῆς γῆς ἐπιγύοις προσέλαβον εἰς τὸ ζεῦγμα," καὶ αὖθις "τὴν δ' ἀπὸ τοῦ ῥεύματος πλευρὰν ἠσφαλίζοντο τοῖς ἀπὸ γῆς ἐπιγύοις."

ἐπίγυον. τὰ πρυμνήσια ἐπίγυα ἔλεγον.

ἐπιδαίσιος οἶκος ὁ ἐπίκοινος καὶ οὐ μεριςός, ὁ ἐξ ἴσου καταλειφθεὶς δύο τισίν.

Ἐπίδαμνος. ὅτι ἡ πόλις ἡ νῦν Δυρράχιον τὸ πάλαι ἐλέγετο Ἐπίδαμνος.

Ἐπιδαύριος* ὄνομα τοπικόν.

Ἐπίδαυρος ὄνομα τοπικόν, ἐν ᾧ ὁ Ἀσκληπιὸς ἐτιμᾶτο.

ἐπιδαψιλευόμενος πολυτελῶς διαπραξάμενος. καὶ Ἡρόδοτος (5 20) "τάς τε μητέρας καὶ ἀδελφεὰς ἐπιδαψιλευόμεθ' ὑμῖν, ὡς παντελῶς μάθητε τιμώμενοι πρὸς ἡμέων."

ἐπιδαψιλεύω γενικῇ.

ἐπιδεᾶ ἐνδεᾶ, ἐλλιπῆ.

ἐπὶ δ' ἐγδούπησεν (Hom. Λ 45) ἐπεκτύπησε. πλὴν περισσὸν καὶ παρέλκον τὸ γ. καὶ ἐν τῷ ἐρίγδουπος ὁμοίως.

ἐπίδειξον ἀντὶ τοῦ εἰπέ· Ἀριςοφάνης Νεφέλαις (747) "ἔχεις τινὰ γνώμην; ἐπίδειξον αὐτήν."

ἐπιδειπνῇς· "λέκιθον, ἵν' ἐπιδειπνῇς, κόνισαι ἰσχυρῶς" (A Eccl. 1212) καὶ δεύτερον δειπνεῖν δυνηθείης.

ἐπιδέκατον τὸ δέκατον καὶ ἐπίπεμπτον τὸ πέμπτον λέγειν εἰώθασι. Harp.

ἐπὶ Δελφινίῳ δικαςήριον Ἀθήνησιν ἐπὶ τῶν ὁμολογούντων μὲν δεδρακέναι φόνους, κατὰ νόμους δέ. Harp.

ἐπίδεσμος ὁ ἐπὶ τῇ πληγῇ δεσμός. Ἀριςοφάνης (Vesp. 1476) "ἄκουε, μὴ φεῦγ'. ἐν Συβάρει γυνή ποτε κατέαξ' ἐχῖνον. οὐχῖνος οὖν ἔχων τίν' ἐπεμαρτύρατο. εἶθ' ἡ Συβαρῖτις εἶπεν, εἰ, ναὶ τὴν κόραν, τὴν μαρτυρίαν ταύτην ἐάσας ἐν τάχει ἐπίδεσμον ἐπρίω, νῦν ἂν εἶχες πλείονα."

ἐπὶ Δηλίῳ μάχη. χωρίον ἐςὶ τῆς Βοιωτίας τὸ Δήλιον, ἐν ᾧ μαχόμενοι οἱ Ἀθηναῖοι ὑπὸ Βοιωτῶν ἐνικήθησαν. Harp.

ἐπιδήμιος ἐμφύλιος, κοινός, δημόσιος.

ἐπιδημῶ δοτικῇ.

ἐπὶ δ' ἤνεον (Hom. Γ 461) ἐπῄνουν, συγκατετίθεντο.

ἐπιδιατίθεσθαι τὸ συνθήκας τινὰς ποιεῖσθαι, κατατιθεμένους ῥητόν τι ἀργύριον παρά τινι τῶν μεταξὺ γινομένων, ὅσπερ ἐγγυᾶται ὥςε, εἰ ἡ πρᾶξις γένοιτο, θατέρῳ πάντως τὸ ὡμολογημένον ἀργύριον ἀποδοῦναι. Harp.

ἐπιδιετὲς ἡβῆσαι ἀντὶ τοῦ ις' ἐτῶν γεγονέναι· τὸ γὰρ ἡβῆσαι μέχρι ιδ' ἐςίν. ἀλλ' οἱ ἔφηβοι παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γινόμενοι ἐλέγοντο, καὶ ἔμενον μὲν ἐν τοῖς ἐφήβοις ἔτη β', ἔπειτα εἰς τὸ ληξιαρχικὸν ἐγράφοντο γραμματεῖον. Harp.

ἐπίδικα. οἷς ἄν τις ἐπεδικάζετο ὡς προσήκουσιν αὐτῷ κατὰ γένους ἀγχιστείαν, εἰ μὴ εἶεν υἱεῖς ἢ υἱωνοὶ τῷ τετελευτηκότι μήτε μὴν διαθῆκαι, ταῦτα ἐπίδικα καλεῖται.

ἐπιδικάζεται ἀντιποιεῖται.

ἐπίδικος καὶ ἐπίκληρος καὶ ἐπίπροικος καὶ ἐπικληρῖτις. ἐπίκληρος μὲν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ. ἡ δὲ αὐτὴ καὶ ἐπικληρῖτις. ἐπίπροικος δὲ ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου, ὥςε προῖκα ἔχειν, ἀδελφοὺς ἔχουσα. ἐπίδικος δὲ ἡ ἀμφισβητουμένη ἐπίκληρος, τίνι χρὴ αὐτὴν γαμηθῆναι. Ἰσαῖος δὲ τὴν ἐπίκληρον ἐν τῷ πρὸς Λυσίβιον ἐπικληρῖτιν ἐκάλεσε. Harp.

ἐπιδίφρια (Hom. ο 51) τὰ τῷ ἁρματείῳ δίφρῳ ἐπιτιθέμενα. καὶ ὁ ἐπὶ δίφρου ἱζάνων, ἢ καθήμενος παντοδαποῦ.

ἐπιδίφριος ἀργὸς καὶ γυναικώδης.

ἐπίδοξος ἔνδοξος· ἢ προσδόκιμος, ὡς τὸ "ἐπίδοξος γὰρ ἦν αὐταρχῆσαι." καὶ Προκόπιός φησι (Arc. 12) "παρεχομένη χιλίας ἀργύρου λίτρας τὸν υἱωνὸν ὠνεῖσθαι ἐπίδοξος ἦν." καὶ αὖθις (id. Pers. 1 13) "ὁ δὲ ἀπηγγει-

λεν ὡς Πέρσαι ἐπίδοξοί εἰσιν ἐς τὴν Ῥωμαίων γῆν εἰσβάλλειν" ἀντὶ τοῦ προσδόκιμοι. καὶ αὖθις "ἐᾶσαι τὴν ὁδὸν ᾗ ἔνδοξοι ἦσαν ἐπιθήσεσθαι οἱ Πέρσαι."

ἐπιδορατίς ὁ σίδηρος, τοῦ ἀκοντίυ τὸ ἄνω.

ἐπίδοσαν ἀντὶ τοῦ εἶδον.

ἐπίδοσιν ἐπὶ ἀρετῆς αὔξησιν, προκοπήν, προσθήκην· "ὃ δὲ φιλοσοφῶν ἀνεμπόδιστος εἰς ἐπίδοσιν διετέλει, καὶ ἐπεδίδου κατὰ πῆχυν ὡς φάναι ἀτεχνῶς" ⟨cf. κατὰ πῆχυν⟩. ἐπίδοσιν μὲν οἱ Ἀττικοὶ λέγουσιν, ἡ δὲ προκοπὴ παρ' οὐδενὶ τῶν Ἑλλήνων.

ἐπίδοσις αὔξησις, προσθήκη· Πισίδης "πρὸς τὰς ἐπιδόσεις τῶν ξιφῶν καὶ τῶν λίθων."

ἐπιδουπῆσαι ἐπικτυπῆσαι, καὶ ἐρίγδουπος ὁ μεγαλόηχος. Μένανδρος ⟨p. 441 Nieb.⟩ "οἱ δὲ Ἄβαροι κατὰ τὴν τοῦ πολέμυ κίνησιν ἐβούλοντο ἦχον ἐγεῖραι ξυμμιγῆ τε καὶ ἄγριον, ἔτι τε οὖν ξὺν τῷ ἀλαλάγματι ἐπιδουπῆσαι τοῖς τυμπάνοις, ὅπως ἂν ἐς τοσοῦτον αὐτοῖς ὁ κτύπος ἐξαρθείη ὡς καταπλῆξαί τε καὶ δεδίξασθαι τὸ Ῥωμαϊκόν. ταῦτα ἐπεὶ προέγνω ὁ Βῶνος, προαφηγήσατο τοῖς ςρατιώταις, ὥςε αὐτοὺς τῷ ἀθρόῳ μὴ καταπλαγῆναι, ἀλλὰ προανατυποῦντας ὅπερ ἔμελλεν ἔσεσθαι ἐθίζεσθαι τῇ δοκήσει καὶ τῷ μήπω παρόντι πρὸς τὸ ἐσόμενον, καὶ ὅταν αἴσθοιντο τὸν πάταγον τῶν τυμπάνων, ἀντιπαταγεῖν καὶ αὐτοὺς ταῖς ἀσπίσι καὶ ἐπαλαλάζειν τὸ ἐνυάλιον καὶ παιωνίζειν καὶ τοῖς ὑδροχόοις ἀγγείοις ξυλίνοις οὖσιν ἐπικτυπεῖν."

ἐπίδρομον ⟨Hom. Ζ 434⟩ ἐπιδρομὴν παρέχον, εὐάλωτον.

ἐπιεικές πρέπον, καθῆκον, προσῆκον.

ἐπιεικεςάτη παρὰ Ἡροδότῳ ⟨2 22⟩ μετρία, εὐγνώμων, καλῶς ἔχουσα.

ἐπιεικής.

ἐπιεικῶς. τὸ ἐπίρρημα τοῦτο σημαίνει τὸ πάνυ. σημαίνει καὶ τὸ παραδόξως καὶ παρ' ἐλπίδα, καὶ τὸ μετ' ἐπιεικείας καὶ χρηςότητος. σημαίνει καὶ τὸ μετρίως ητοι συμμέτρως, καὶ τὸ ἱκανῶς. Προκόπιος "Λαζοὶ δὲ ἐπιεικῶς ἤχθοντο δεῖσθαι χρημάτων οὐ πολλῶν εἰς τὴν ὁδόν· ζήσεσθαι γὰρ ἐπιεικῶς." καὶ αὖθις "ταῦτα παρ' ἐλπίδα τοῦ βασιλέως εἰς τὸ αὐθαδές τε καὶ ὑπέρογκον φέροντα ἢ καθότι εἰκάζετο ἐπιεικῶς γεγράφθαι ἔδοξε." καὶ αὖθις "τοιγαροῦν κομιδῇ ἐπιεικῶς ἀνατίθησι τῷ ἐπὶ πάντων θεῷ τὰς ἡνίας τῆς ἀποδράσεως."

ἐπιέναι ἐπελθεῖν.

ἐπιζητῶ αἰτιατικῇ.

ἐπίηρα ἡ μετ' ἐπικουρίας χάρις. οἱ δὲ νεώτεροι ἀντὶ τοῦ ἕνεκά φασιν. sch. Hom. Α 572.

ἐπιθάνατος προσδόκιμος τῷ ἀποθανεῖν.

ἐπιθανής ἐγγίζων τῷ θανάτῳ· "ἀνὴρ πρεσβύτης νοσῶν καὶ ἐπιθανὴς ὤν."

ἐπιθαρρῶ δοτικῇ.

ἐπιθάτερα.

ἐπιθαυμάζειν ἀντὶ τοῦ δώροις τιμᾶν Ἀριςοφάνης. Σωκράτης φησί ⟨1148⟩ "Στρεψιάδην ἀσπάζομαι." ὃ δέ "κἄγωγέ σ'. ἀλλὰ τουτονὶ πρῶτον λάβε· δεῖ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον."

ἐπιθειάσας ἐπιθαυμάσας, τὸ θεῖον εἰσδεδεγμένος, θεοφορούμενος· Θουκυδίδης ⟨2 75⟩ "Ἀρχίδαμός τινα ἐπιθειάσας, καθίση ἐς τὸν πόλεμον τὸν ςρατόν."

ἐπιθειασμοί πρὸς θεὸν ἱκεσίαι· "ἐπιθειασμοί τε ὑπέρ τε αὐτοῦ τῦ βασιλέως καὶ τῆς ςρατιᾶς ἐγίνοντο" ⟨cf. v. θειασμός⟩. καὶ αὖθις ⟨Thuc. 7 75⟩ "οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι," τυτέςι θείων ἐπικλήσεων. καὶ αὖθις "τοῖς ἐπιθειασθεῖσι συνεπευφήμησαν."

ἐπιθειάσων ἑορτάσων· ⟨Menand. p. 364 Nieb.⟩ "ὃ δὲ ἔμεινεν αὐτῦ ἐπιθειάσων τῇ γενεθλίᾳ ἡμέρᾳ τοῦ Χριςοῦ· καὶ γὰρ προσεπέλαζε τῆς ἡμέρας τὸ σέβας."

ἐπιθεῖναι ⟨Hom. Ε 751⟩ ἐπικλεῖσαι.

... "πέμπει ἄγγελον, ἐπιθεὶς ἐπιςολήν." καὶ αὖθις "ἐπιθεὶς γράμματα δηλοῦντα τὴν τοῦ ἀνδρὸς ἀρετήν."

ἐπιθέντες ἀποςείλαντες· "οἳ δὲ ἀποπέμπουσι τὸν ἰατρόν, ἐπιθέντες γράμματα πρὸς τὸν τελώνην." καὶ αὖθις "πέμπουσι τῶν σωματοφυλάκων μοῖραν οὐκ ὀλίγην, ναυσὶν ἐπιθέντες."

ἐπιθεραπεύων ἀντὶ τοῦ διορθούμενος, προμηθούμενος· Θουκυδίδης ⟨8 47⟩ "ὁ δὲ Ἀλκιβιάδης ἐπιθεραπεύων τὴν ἑαυτοῦ κάθοδον εἰς τὴν πατρίδα, εἰδώς, εἰ μὴ διαφθερεῖ αὐτήν, ὅτι ἔςαι ποτὲ αὐτῷ."

ἐπίθετοι αἱ ἀπὸ ἀλλοτρίων· "Ναρσῆς δὲ τὰς ἐπιθέτυς δυνάμεις τὰς ἀπὸ τῆς Ἀρμενίας γνοὺς πλησιάζειν γράφει πρὸς Ἰωάννην."

ἐπιθέτους ἑορτάς Ἰσοκράτης Ἀρεοπαγιτικῷ (7 29). τὰς μὴ πατρίους ἑορτάς, ἄλλως δὲ ἐπιψηφισθείσας, ἐπιθέτους ἐκάλουν. ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ἄλλα ἐπίθετά τινα, ὅσα μὴ πάτρια ὄντα ἡ ἐξ Ἀρείῳ πάγῳ βουλὴ ἐδίκαζε. Λυσίας δὲ ἐπιθέτους ἐπιστολὰς λέγει τὰς δοθείσας τισὶν ὥστε διακομίσαι, καὶ ἐπιθεῖναι ἐπιστολὰς ἀντὶ τοῦ παραδοῦναι, καὶ ἐπέθηκεν ἀντὶ τοῦ παρέδωκεν. Harp.

ἐπιθήκισα· Ἀριστοφάνης (Vesp. 1281) "ὑπό τι μικρὸν ἐπιθήκισα."

ἐπιθήξας παρορμήσας, ἐρεθίσας· "τὸν δὲ λουόμενον ἀπέκτεινεν, ἐπιθήξας οἱ τῶν δορυφόρων τοὺς ἀσειδεστάτους."

ἐπὶ θήρᾳ ἐπὶ ἀπάτῃ.

ἐπιθήσειν ἀντὶ τοῦ ἐπενεγκεῖν· "ἐκ εἰς μακρὰν καὶ παντελῆ ἐπιθήσειν αὐτῷ δίκην ξὺν τοῖς θεοῖς."

ἐπιθιγγάνει ἐφάπτεται.

ἐπὶ Θρασύλλῳ. Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ (25) τὸ ἐπὶ Θρασύλλῳ φησίν. Ἀττικὸν ἔθος ἀντὶ τῶ ἐπὶ τῷ Θρασύλλου μνήματι. Harp.

ἐπιθρώσκων (Hom. Δ 177) ἐφαλλόμενος.

ἐπιθυμηταὶ πρόθυμοι· "οἱ δὲ ἐμεγαλοφρονοῦντό τε καὶ ἐπιθυμηταὶ ἐξίσαντο, ὡς δὴ μεγάλα μὲν λυμανούμενοι τοὺς ἐναντίας καὶ πολλὰ καὶ κερδαλέα ἐνθένδε οἰσόμενοι."

ἐπιθυμία. ἐπιθυμία ἐστὶν ἄλογος ὄρεξις, ὑφ' ἣν τάττεται ταῦτα, σπάνις μῖσος φιλονεικία ὀργὴ ἔρως μῆνις θυμός. ἔστι δὲ ἡ μὲν σπάνις ἐπιθυμία τις ἐν ἀποτεύξει καὶ οἷον κεχωρισμένη ἐκ τοῦ πράγματος, τεταμένη δὲ διὰ κενῆς ἐπ' αὐτὸ καὶ περισπωμένη. μῖσος δέ ἐστιν ἐπιθυμία τις τοῦ κακῶσαί τινα μετὰ προκοπῆς τινὸς καὶ προτάσεως. ὀργὴ δὲ ἐπιθυμία τιμωρίας τοῦ δοκοῦντος ἠδικηκέναι ὃ προσηκόντως. ἔρως δὲ ἐπιθυμία τις οὐ περὶ σπουδαίου πράγματος· ἔστι γὰρ ἐπιβολὴ φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον. μῆνις δέ ἐστιν ὀργή τις πεπαλαιωμένη, ἐπίκοτος καὶ ἐπιτηρητική. θυμὸς δὲ ὀργὴ ἀρχομένη. Diog. L. 7 113.

ἐπιθυμιῶν προαιρετικῶς ἔχων· "τὰς δὲ ἦγε, ζῶντας ἐπιθυμιῶν Λακεδαιμονίους ἀγαγεῖν." συντάσσεται μετὰ γενικῆς.

ἐπιθύνων ἐπανορθούμενος.

ἐπιίδμονα (AP 6 175) ἔμπειρον.

ἐπιίστορος.

ἐπικάθηται ἐπικρέμαται· Πολύβιος (8 34) "ὁ δὲ διατειχίζει τὴν πόλιν ἀπὸ τῆς ἄκρας, ἵνα μηδεὶς ἔτι φόβος ἐπικάθηται τοῖς Ταραντίνοις ἀπὸ τῶν κατεχόντων τὴν ἀκρόπολιν."

ἐπικαθίζηται· Ἀριστοφάνης Πλούτῳ (184) "κρατοῦσι γοῦν κἂν τοῖς πολέμοις ἑκάστοτε, ἐφ' οἷς ἂν αὐτὸς ἐπικαθίζηται μόνος," ἀπὸ μεταφορᾶς τῶν ζυγῶν· ἐπικαθίζεσθαι γὰρ τὸ βαροῦν λέγομεν.

ἐπικαιρότατα ἐπικινδυνότατα.

ἐπικαιρότατος ἐπιτήδειος· "ἐν τοῖς ἐπικαίροις τῶν χωρίων τόποις" ἀντὶ τοῦ ἐπιτηδείοις. cf. v. ἐγκαθίζουσιν.

ἐπὶ καιροῦ εὐκαίρως, ἁρμοδίως.

ἐπὶ καλάμῃ ἀροῦν. ἔθος ἐστὶ τοῖς γεωργοῖς παρ' ἐνιαυτὸν ἀργὸν καταλείπειν τὴν γῆν, ὅπως ἀκεραίους ἐκτρέφῃ τοὺς καρπούς, ὡς μὴ κατ' ἔτος τοῖς σπέρμασι πονοῖτο. Λυσίας ἐν τῷ πρὸς τὸν Πόλεμον λόγῳ διαβάλλων τινὰ τῶν ἀπλήστων γεωργῶν, τὰ ἐν τῇ γῇ καταχρώμενον καὶ κατ' ἔτος ἐξαναλίσκοντα τὴν ἰσχὺν αὐτῆς, φησίν "οὑτοσὶ δὲ πυροὺς ἐπὶ καλάμῃ ἀροῖ," τουτέστιν ἀεὶ σπείρων οὐδεμίαν ἄνεσιν τῇ γῇ δίδωσιν.

καὶ ἐπὶ τοῦ αἰτεῖσθαι· "ὃ δὲ τοῦτον ἔλεγεν *ἐπικαλεῖσθαι* ξύμμαχον," τουτέστι δεῖσθαι, χρῄζειν.

ἐπικαλέσας μεμψάμενος· Ἰώσηπος "ὁ δὲ τοῖς ἔργοις ἐφεστώς, παρ' αὐτοῦ γὰρ ἐμεμαθήκεσαν, βραδυτῆτα ἐπικαλέσας τῆς ἀφίξεως."

ἐπικαλουμένων ἀντὶ τοῦ κατηγορουμένων· "ἐνίας τῶν κατηγοριῶν εἴωθεν ἀπίστους ποιεῖν ὁ τῶν ἐπικαλουμένων βίος."

ἐπικαλῶν ἀντὶ τοῦ κατηγορῶν, ἐγκαλῶν· "ἀνεῖλε δὲ τοὺς ἄνδρας, ἄλλο μὲν οὐδὲν ἐπικαλῶν πλὴν ὅτι σοφώ τε καὶ ἀρίστω τὼ ἄνδρε ἐγενέσθην." (Procop. Arc. 16) "τὸν ἄνθρωπον λοιδορίας πέρι οὐδὲν ἐπικαλεῖν ἐπαγγείλασα πλὴν ὅτι παιδεραστοίη."

ἐπικαμπὴς παράταξις, ἐὰν τὰ μέσα τοῖς πολεμίοις προσπίπτῃ, τὰ δὲ κέρατα ἐκ τῶν ὀπίσω μερῶν ὄρθια ὑφ' ἑαυτὴν ἔχῃ τεταγμένα. cf. v. κυρτή.

ἐπὶ κάρ ἐπὶ τὰ κάτω, ἐπὶ κεφαλήν. (Hom. Π 392) "ἐξ ὀρέων ἐπὶ κάρ" οἷον ἐπὶ τὰ κατωφερῆ.

ἐπικαρπίας κέρδη.

ἐπικάρσιον πλάγιον, οὐκ εὐθύ· Ἡρόδοτος (7 36).

ἐπικατέσεισεν ἐπικατέβαλεν· Ἰώσηπος (B. I. 1 1 5) "πολιορκοῦντος Ἀντιόχου τὰ Ἱεροσόλυμα, ἰδὼν Ἐλεάζαρος ὁ υἱὸς Ματθία τὸν ὑψηλότατον τῶν ἐλεφάντων κεκοσμημένον, ὑπολαβὼν ἐπ' αὐτοῦ τὸν Ἀντίοχον εἶναι, πολὺ διακόψας τὸ ξίφος τῶν πολεμίων, καὶ τὸ θηρίον ὑπὸ τὴν γαστέρα πλήξας, ἐπικατέσεισεν ἑαυτῷ τὸν ἐλέφαντα, μηδὲν δράσας πλεῖον τοῦ μεγάλοις ἐπιβαλέσθαι, καὶ συντριβεὶς ἀπώλετο."

ἐπικείμενα ἀντὶ τοῦ ἐπιφέροντα· "δισχιλίας λίτρας χρυσίου στέλλουσι καὶ κειμήλια κάλλιστα οἱ περὶ Γιζέριχον τῷ Βασιλίσκῳ, πρόφασιν τὴν τῶν Ἀρειανῶν ἐπικείμενα."

ἐπικειμένου τοῦ φαινομένου· (Appian. Hisp. 64) "ὃ δὲ ᾔτει τιμὴν τοὺς κεκτημένους τοῦ ἐπικειμένου καρποῦ, καὶ παρ' ὧν μὴ λάβοι διέφθειρεν."

ἐπικεκηρυχέναι. ὁπότε βούλοιτο πόλις ἢ ἄρχων ἀναιρεθῆναί τινα τῶν μὴ ὑφ' ἑαυτοῖς, ἐκήρυττε δώσειν χρήματα τῷ ἀνελόντι ἢ καὶ ζῶντα προσαγαγόντι, καθὰ καὶ Ξέρξην ἐπεκήρυξαν οἱ Ἕλληνες τῷ καταγαγόντι ἢ ζῶντα ἢ τεθνηκότα Ἀθήναζε ἑκατὸν δώσειν τάλαντα. Harp.

ἐπικελεύομαι δοτικῇ.

ἐπίκενος λόγος ὁ μάταιος.

ἐπικερτομοῦσι χλευάζουσιν· Ἀγαθίας "ὃ δὲ ἧκεν ἐπικερτομήσων αὐτοὺς τῆς ἀβελίας καὶ ἀμελείας." πρὸς αἰτιατικήν. καὶ αὖθις "οὐχ ἥκιστα δὲ Πετράνης ἐλύπησεν αὐτόν, ἐπικερτομήσας τοιάδε."

ἐπὶ κέρως παραπλέοντας (Thuc. 2 90), τεταγμένους μίαν κατακολουθοῦσαν τῇ ἑτέρᾳ.

ἐπικεύσω (Hom. ε 143) ἐπικρύψω.

ἐπὶ κεφαλαίου συντόμως, ταχέως· Πολύβιος "μνησθεὶς δ' ἐπὶ κεφαλαίου τῶν γεγονότων αὐτοῖς ἐλαττωμάτων, καὶ θεὶς πρὸ ὀφθαλμῶν τὰ τῶν Μακεδόνων προτερήματα."

ἐπικεχήνασιν.

ἐπικεχοδώς (A Av. 68) ἀποπατήσας, ἀποτιλήσας.

ἐπικήδειον ἐπιτάφιον, ἐπιθανάτιον. καὶ ἐπικήδειος θρῆνος ὁμοίως.

ἐπίκηρα ἐπιθανάτια· κὴρ γὰρ ὁ θάνατος.

ἐπίκηρος ὕλη ἡ πρόσκαιρος.

a ἐπικηρυκεία φιλία ἡ ἐκ τῶν πολεμίων.

b ἐπικηρυκεία τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν· Δημοσθένης ἐ Φιλιππικῶν (5 18). Harp.

ἐπικηρυκεύεται διὰ κήρυκός τινος συνθήκας τινὰς ἢ πρεσβείας ποιεῖται, ἢ φιλίαν σπένδεται.

ἐπικηρυκεύω δοτικῇ.

ἐπικίδναται (Hom. Β 850) ἐπισκορπίζεται.

ἐπικινδυνότατος.

ἐπικλάσωσιν εἰς οἶκτον ἀγάγωσι· "μὴ καὶ πρὸς ὀλοφυρμὸν τραπόμενοι τοὺς στρατιώτας ἐπικλάσωσιν."

ἐπίκλαυτον γοερόν, θρηνητικόν· Ἀριστοφάνης Βατράχοις (694) "ἐπὶ βάρβαρον ἑζομένη πέταλον κελαρύζει ἐπίκλαυτον ἀηδόνιον νόμον."

ἐπίκλημα ἔγκλημα· Ἀγαθίας (1 13) "ἡγούμενοι δὲ ἀδύνατον εἶναι, εὐπρεπέστατα ᾤοντο ἀποσείσασθαι τὸ ἐπίκλημα." καὶ αὖθις "ὁ δὲ Πάκορος ὁ Παρθυαίων βασιλεὺς καὶ ἄλλα τινὰ ἐπικλήματα ἐπέφερε Τραϊανῷ τῷ βασιλεῖ." "καὶ τῷ δοκεῖν ἐπίκλημα ἐποιεῖτο κατὰ Ῥωμαίων, ὅτι δόξαν ἐντὸς λ' ἡμερῶν μηδέτερα παρὰ τὰ ξυγκείμενα ἐπιτελεῖν, οἳ δὲ οὐ κατὰ τὸ θεσπισθὲν ἐπιτειχίζουσιν."

ἐπίκλην ἐπωνυμίαν.

ἐπίκληρος. ὅταν παῖς ὀρφανὴ ἢ πατρὸς καὶ μητρὸς ἀδελφῶν τε οὖσα ἔρημος, a καὶ ταύτῃ τύχῃ ὑποκειμένη οὐσία, ταύτην καλοῦσιν ἐπίκληρον· ὁμοίως δὲ καὶ τὴν ἤδη γεγαμημένην, ὅταν ᾖ ἐπὶ τῇ οὐσίᾳ ὅλῃ καταλελειμμένη· καλοῦσι γὰρ καὶ τὴν οὐσίαν κλῆρον. καλεῖται δὲ ἐπίκληρος καὶ ἡ μηδέπω γεγαμημένη ἀλλὰ παρὰ τῷ πατρὶ οὖσα, καθότι καθήκει αὐτῇ πᾶσα ἡ οὐσία. καλοῦνται δὲ ἐπίκληροι κἂν δύο ὦσι κἂν πλείους. τινὲς δὲ τὴν ἐπίκληρον καλοῦσιν ἐπιπαματίδα καὶ πατροῦχον. sch. A Vesp. 581.

ἐπίκληρος. νόμος ἦν Ἀθηναίοις γνησίας b μὲν οὔσης θυγατρός, νόθου δὲ υἱοῦ, μὴ κληρονομεῖν τὸν νόθον τὰ πατρῷα. ἢ ἡ μὴ ἔχουσα ἀδελφοὺς ἑτέρους συγκληρονόμους, ἀλλὰ μονοκληρονόμος οὖσα. ἐπειδὴ δὲ οὐκ ἐξῆν τοῖς νόθοις κληρονομεῖν, τἀργύριον διὰ χειρὸς ἐδίδοσαν. νόμος δὲ ἦν Ἀττικὸς τοῖς νόθοις μέχρι ε' μνῶν καταλιμπάνειν (sch. A Av. 1652 et 1655). Ἀγαθίας (1 12) "ἐφοίτων δὲ γυναῖκες ἀνὰ τοὺς προμαχεῶνας, τυχὸν μὲν μητέρες οὖσαι τῶν ἀπολωλότων, τυχὸν δὲ ὁτῳοῦν ἄλλῳ τρόπῳ μέλον αὐταῖς" (cf. v. ἐφεσρίς).

ἐπίκλησιν ἐπωνυμίαν.

a *ἐπίκλητος* ἔξωθεν ἐρχόμενος· ⟨Polyb. 8 13⟩ "διὰ τῆς ἐπικλήτου καὶ ἀλόγου λοιδορίας ὑπέλαβε πιστότερος φανήσεσθαι."

b *ἐπίκλητος* ὁ ἐπί τινι καλούμενος ὑποθέσει· ⟨Ioseph. B. I. 5 1 3⟩ "ὃν ἐν ταῖς ἀμηχανίαις Ἰουδαῖοι ἐπίκλητον ἑαυτοῖς τύραννον προσήγαγον."

ἐπικλινές ἐπιρρεπὲς εἰς κακόν· "ἐπικλινὲς δὲ τάλαντον" Καλλίμαχος ⟨fr. 312⟩.

ἐπικλινὴς ὁδός. καὶ κλίνεται τῆς ἐπικλινέος καὶ ἐπικλινοῦς.

ἐπικλίντης ὁ σεισμός. καὶ κλίνεται ἐπικλίντου.

ἐπίκλιντρον εἶδος κοσμίου γυναικείου· ⟨A Eccl. 902⟩ "τό τ' ἐπίκλιντρον ἀποβάλοις."

ἐπίκλοπος ⟨Hom. X 281⟩ ἀπατεών.

ἐπικλοπώτερος παραλογιστικώτερος.

ἐπικλύσασα ἐπιδαψιλευσάσα, καταβαλοῦσα· "ἡ οὖν Κλεοπάτρα καὶ τοὺς Ἠλείους ἐπειρᾶτο πολλῷ χρυσῷ ἐπικλύσασα τὸ ἄγαλμα τοῦ Διὸς πρίασθαι."

ἐπικναίει καὶ *ἐπέκναιεν.*

ἐπὶ κνάφου ἕλκεις ⟨cf. Herodot. 1 92⟩ ἤτοι διαφθείρεις· οἱ γὰρ κναφεῖς ἀκανθῶν σωρὸν συστρέψαντες τὰ ἱμάτια κνάπτουσιν, ὁ δὲ σωρὸς ἐλέγετο κνάφος. cf. v. κνάφος.

ἐπικνίζεται δάκνεται.

ἐπικνῶ ἀντὶ τοῦ ἐπίβαλε· Ἀριστοφάνης Ὄρνισιν ⟨1569⟩ "ἀλλ' ἐπικνῶ τὸ σίλφιον."

a *ἐπὶ κόρρης* ἐπὶ κεφαλῆς ἢ γνάθου ἢ κροτάφου· κόρρην γὰρ καὶ κόρσην ὅλην τὴν κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι. τινὲς δὲ καὶ ῥάπισμα λέγουσι τὸ ἐπὶ τῆς γνάθου λαμβάνειν, ἁπτόμενον καὶ τοῦ κροτάφου.

b *ἐπὶ κόρρης.* ἄλλοι μὲν ἄλλως ἀπέδοσαν, βέλτιον δὲ ἐπὶ τῆς γνάθου ἐκλαμβάνειν, ὃ κατ' ἔθος λέγομεν ῥάπισμα· οὕτως γὰρ χρῶνται καὶ οἱ ῥήτορες. Harp.

ἐπικούρειος Ἕρμων ὁ παρὰ τῷ Λουκιανῷ ⟨Conviv. 9⟩.

ὅτι ἐν Κρήτῃ Λύκτιοι τῶν ἐπικουρείων τινὰς ἐκεῖ παραβάλλοντας ἐξήλασαν, καὶ νόμος ἐγράφη τῇ ἐπιχωρίῳ φωνῇ τοὺς τὴν θήλειαν σοφίαν καὶ ἀγεννῆ καὶ αἰσχρὰν ἐπινοήσαντας καὶ μέντοι τοῖς θεοῖς πολεμίους ἐκκεκηρῦχθαι τῆς Λύκτου. ἐὰν δέ τις ἀφίκηται θρασυνόμενος καὶ τὰ ἐκ τοῦ νόμου παρ' οὐδὲν ποιήσηται, δεδέσθω ἐν κύφωνι πρὸς τῷ ἀρχείῳ ἡμερῶν εἴκοσιν, ἐπιρρεόμενος μέλιτι γυμνὸς καὶ γάλακτι, ἵνα ᾖ μελίτταις καὶ μυίαις δεῖπνον καὶ ἀναλώσωσι χρόνῳ τῷ προειρημένῳ αὐτόν. τούτου γε μὴν διελθόντος ἐὰν ἔτι περιῇ, κατὰ κρημνοῦ ὠθείσθω, στολὴν γυναικείαν περιβληθείς. Aelianus?

ἐπικουρῆσαι βοηθῆσαι, καὶ *ἐπικουρία* ἡ βοήθεια.

Ἐπίκουρος Νεοκλέους Ἀθηναῖος, Γαρ- a
γήττιος τῶν δήμων, μητρὸς Χαιρεστράτης. ἀδελφοὶ δὲ αὐτοῦ Νεοκλῆς Χαιρέδημος Ἀριστόβουλος ἢ Ἀριστόδημος. φιλοσοφίας δὲ ἤρξατο ἀπὸ ἐνιαυτῶν ιβ', καὶ οἰκείαν αἵρεσιν εἰσηγήσατο, πρῶτον μὲν ἐν Σάμῳ διατρίψας σὺν τοῖς γονεῦσιν, εἶτα σχολαρχήσας ἐν Μιτυλήνῃ ἐνιαυτῶν ὢν ἤν, εἶτα ἐν Λαμψάκῳ, καὶ οὕτως ἐν Ἀθήναις ἐν ἰδίῳ κήπῳ, ἀκούσας δὲ Ναυσιφάνους τοῦ δημοκριτείου καὶ Παμφίλου τοῦ Πλάτωνος μαθητοῦ. γέγονε δὲ ἐπὶ τῆς ρθ' ὀλυμπιάδος, μετὰ ζ' ἐνιαυτοὺς τῆς Πλάτωνος τελευτῆς, καὶ παρέτεινεν ἐπὶ τῶν διαδόχων καὶ Ἀντιγόνου τοῦ Γονατᾶ· καὶ διέμεινεν ἡ αὐτοῦ σχολὴ ἕως Καίσαρος τοῦ πρώτου, ἔτη σκζ', ἐν οἷς διάδοχοι αὐτῆς ἐγένοντο ιδ'. συγγράμματα δὲ αὐτοῦ πλεῖστα.

Ἐπίκουρος. οὗτος τὸ θεῖον παρ' οὐδὲν b
ἐτίθετο. ἀδελφοὶ δὲ ἦσαν τρεῖς, οἳ μυρίοις ἀρρωστήμασι περιπλακέντες ἀπέθανον οἴκτιστα. ὅ γε μὴν Ἐπίκουρος ἔτι νέος ὢν αὐτὸς οὐ ῥᾳδίως ἀπὸ τῆς κλίνης οἷός τε ἦν κατιέναι, ἀμβλυώττων τε καὶ πρὸς τὴν τοῦ ἡλίου αἴγλην δειλὸς ὢν καὶ τῷ φαιδροτάτῳ τε καὶ ἐναργεστάτῳ τῶν θεῶν ἀπεχθανόμενος. καὶ μέντοι καὶ τὴν τοῦ πυρὸς αὐγὴν ἀπεστρέφετο, αἷμά τε αὐτῷ διὰ τῶν πόρων ἀπεκρίνετο τῶν κάτω. τοσαύτη δὲ ἄρα ἡ σύντηξις ἡ τοῦ σώματος ἦν ὡς ἀδυνατεῖν καὶ τὴν τῶν ἱματίων φέρειν ἐπιβολήν. καὶ Μητρόδωρος δὲ καὶ Πολύαινος, ἄμφω τὼ ἑταίρω αὐτοῦ, κάκιστα ἀνθρώπων ἀπέθανον καὶ μέντοι τῆς ἀθεΐας ἠνέγκαντο μισθὸν οὐδαμὰ οὐδαμῇ μεμπτόν. οὕτω δὲ ἄρα ἦν ἡδονῆς ἥττων ὁ Ἐπίκουρος ὥστε διὰ τῶν ἐσχάτων ἐν ταῖς διαθήκαις αὐτοῦ ἔγραψε τῷ μὲν πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς ἐναγίζειν ἅπαξ τοῦ ἔτους, καὶ Μητροδώρῳ δὲ καὶ Πολυαίνῳ τοῖς προειρημένοις, ἑαυτῷ δὲ δίς, ὡς εἰπεῖν, τῆς ἀσωτίας τὸ πλέον προτιμῶν καὶ ἐνταῦθα ὁ σοφός· καὶ τραπέζας λίθων πεποιῆσθαι ὡς ἀναθήματά τε ἐν τῷ τάφῳ προσέταξε τεθῆ-

ναι ὁ προτένθης τε καὶ ὀψοφάγος οὗτος. καὶ ταῦτα ἐπέσκηψεν οὐκ ὢν ἐν περιουσίᾳ. λιτῶν οὖν ταῖς ἐπιθυμίαις ἦν, ὥσπερ οὖν καὶ ἐκείνων σὺν αὐτῷ τεθνηξομένων. ἐξήλασαν δὲ τοὺς ἐπικουρείους τῆς Ῥώμης δόγματι τῆς βουλῆς κοινῷ, καὶ Μεσσήνιοι δὲ ἐν Ἀρκαδίᾳ τοὺς ἐκ τῆς αὐτῆς οἱονεὶ φάτνης ἐδηδοκότας ἐξήλασαν, λυμεῶνας μὲν εἶναι τῶν νέων λέγοντες, κηλῖδα δὲ φιλοσοφίᾳ προσβάλλοντας διά τε μαλακίαν καὶ ἀθεότητα· καὶ προσέταξάν γε πρὸ τῶν τοῦ ἡλίου δυσμῶν ἔξω τῶν ὅρων τῆς Μεσσηνίας γῆς εἶναι αὐτούς, ἐκφρησθέντων δὲ τοὺς ἱερέας καθῆραι τὰ ἱερά, τούς γε μὴν τιμούχους (καλοῦσι δὲ ταύτῃ τοὺς ἄρχοντας Μεσσήνιοι) καὶ τὴν πόλιν καθῆραι πᾶσαν οἷα δήπου λυμάτων τινῶν καὶ καθαρμάτων ἀπηλλαγμένην. cf. vv. προτένθης et φάτνη.

c Ἐπίκουρος ὄνομα κύριον. "εἶχε δὲ ἄρα τὸ βιβλίον τὰς Ἐπικούρου δόξας, ἃς ἐκεῖνοι κυρίας οὕτω καλοῦσιν, Ἐπικούρου κακὰ γνωρίσματα· ἐν αἷς ἄρα καὶ τόδε ἦν, ὅτι τόδε τὸ πᾶν φέρεται τύχῃ τινί, οὐ μὴν βουλήσει καὶ κρίσει θεοῦ. ταύτας δὲ τὰς θρυλουμένας ἀτόμους πληττομένας ὑπ' ἀλλήλων, εἶτα ἀφισταμένας, ἐκ τούτων γίνεσθαι ἀέρα γῆν καὶ θάλατταν. εἶτα διαλύεσθαι τὰς ἀνακράσεις καὶ συνόδους, καὶ παντελῶς ἀφανίζεσθαι εἰς ἀτόμους, φέρεσθαι δὲ εἰκῇ τὰ πάντα καὶ ὡς ἔτυχεν, οὐ μὴν ἐκ τῆς τοῦ ποιητοῦ σοφίας. εἶτα ὅτι ἐκτὸς προνοίας φέρεται πάντα, οὔτε κυβερνήτην οὔτε ἰθυντὴν οὔτε ποιμένα ἔχοντα. εἶτα ὁ πομπῇ τοῦ θεοῦ ἥκων οὐκ ἠνέσχετο παραληρεῖν αὐτόν, ἀλλὰ τὴν τῶν λόγων παραπλῆγα λύτταν κατεσίγασεν. εἶτα ἀνέθορεν, Ἐπικούρῳ καὶ ταῖς ἐκείνου δόξαις κλάειν λέγων." cf. vv. παραπλῆκτῳ et κλάειν.

d ἐπίκουρος βοηθός. καὶ ἐπικούρῳ δοτικῇ.

ἐπικρᾶναι τῇ κεφαλῇ κατανεῦσαι.

ἐπικράτεια.

a Ἐπικράτης Ἀθηναίων δημαγωγός, ἔφορος ἐπικαλούμενος· οὗ καὶ Δημοσθένης ἐν τῷ παραπρεσβείας (277) μνημονεύει. ἕτερος δέ ἐστιν οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως· ὅν φασι κεκτῆσθαι ταλάντων χ' οὐσίαν. ἄλλος δέ ἐστιν Ἐπικράτης Αἰσχίνου τοῦ ῥήτορος κηδεστής, οὗ ἐπώνυμον Κυρηβίων, ὡς Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου (287). Harp.

Ἐπικράτης κωμικός. τῶν δραμάτων b
αὐτοῦ Ἔμπορος καὶ Ἀντιλαΐς.

Ἐπικράτης. (A Eccl. 71) "Ἐπικράτους c
οὐκ ὀλίγῳ καλλίονα πώγων' ἔχεις·" οὗτος γὰρ μέγαν πώγωνα εἶχεν, ἐπεκαλεῖτο δὲ σακεσφόρος, καὶ Πλάτων ὁ κωμικός φησιν "ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε." καὶ ἐκωμῳδεῖτο εἰς δασύτητα. ἦν δὲ ῥήτωρ δημαγωγός.

ἐπικρεμαμένου ἐπικειμένου· (cf. v. οἰσῶ) "οἱ δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου πάντα οἰσῶ ἐλογίζοντο."

ἐπικρεμάσας ἐπενεγκών· "οἷς δ' ἅμα ἀναταθεὶς καὶ τὸν ἐξ αὐτοῦ φόβον ἐπικρεμάσας."

ἐπίκρια τὰ τῆς νηὸς σανιδώματα.

ἐπικρίνει δοκιμάζει.

ἐπικριτής σύμβουλος, δοκιμαστής· (Polyb. 14 3) "χρώμενος ἐπικριτῇ τῶν λεγομένων τῷ Μασσανάσσῃ διὰ τὴν τῶν τόπων ἐμπειρίαν."

Ἐπικτήτης.

Ἐπίκτητος Ἱεραπόλεως τῆς Φρυγίας, φιλόσοφος, δοῦλος Ἐπαφροδίτου τῶν σωματοφυλάκων τοῦ βασιλέως Νέρωνος. πηρωθεὶς δὲ τὸ σκέλος ὑπὸ ῥεύματος ἐν Νικοπόλει τῆς νέας Ἠπείρου ᾤκησε, καὶ διατείνας μέχρι Μάρκου Ἀντωνίνου ἔγραψε πολλά.

ὅτι Θεοσέβιος ὁ φιλόσοφος ἔλεγε πολλὰ ἀπὸ τῶν Ἐπικτήτου σχολῶν, τὰ δὲ καὶ αὐτὸς ἐπετεχνᾶτο τῆς ἠθοποιοῦ διανοήματα μούσης, ἱκανὰ πείθειν καὶ δυσωπεῖν τῶν ψυχῶν τὰς μὴ παντάπασιν ἀτέγκτους καὶ ἀτεράμονας (cf. v. ἄτεγκτος) ἀποστρέφεσθαι μὲν καὶ ἀποδιδράσκειν τὰ χείρω τῆς ζωῆς εἴδη κατὰ δύναμιν, ἀσπάζεσθαι δὲ τὰ ἀμείνω καὶ μεταδιώκειν καθ' ὅσον οἷόν τε παντὶ σθένει. τοιγαροῦν καὶ ἐν συγγράμμασι καταλέλοιπε τοιούτοις τισὶ τὰς ἑαυτοῦ νουθετήσεις υἱοῖς Ἐπίκτητος πρότερον. καί μοι δοκεῖ ὁ ἀνὴρ γεγονέναι ἄντικρυς, ὡς ἕνα πρὸς ἕνα ἀντιβάλλειν, ὁ τοῦ καθ' ἡμᾶς χρόνου Ἐπίκτητος, ἄνευ μέντοι τῶν στωικῶν δογμάτων. ὁ γὰρ Θεοσέβιος οὐδενὸς τοσοῦτον ὅσον τὴν Πλάτωνος ἀλήθειαν ἠσπάζετο καὶ ἐθαύμαζε. καὶ δή τι καὶ συνεγράψατο μικρὸν βιβλίδιον περὶ τῶν ἐν Πολιτείᾳ τῇ μεγάλῃ κεκομψευμένων, τὴν ἀπὸ τῶν θεῶν ἥκουσαν θεοσοφίαν ἐξαίρων λόγῳ. ταύτην γὰρ διαφερόντως ἐτίμα καὶ ἔσεβεν. ἀεὶ γὰρ ἐν τοῖς ἠθικωτέροις φι-

λοσοφήμασι διατρίβων ἐφαίνετο. καὶ γὰρ εὖ ἐπεφύκει πρὸς εὐζωίαν μᾶλλον ἢ ἐπιςήμην, οὐδὲ ταύτην ἡσυχάζουσαν, οὐδὲ ἐν μόναις ταῖς φαντασίαις γυμναζομένην, ἀλλὰ ζῶσαν ἱκανῶς ἐπ᾽ αὐτῶν τῶν πραγμάτων. εἰ μὴ γὰρ καὶ τὸν δημόσιον ἐπολιτεύσατο τρόπον, ἀλλὰ τὸν ἴδιον, ὃν καὶ Σωκράτης ἐκεῖνος καὶ ὁ Ἐπίκτητος καὶ πᾶς εὖ φρονῶν μεταχειρίζεται, τὴν ἑαυτοῦ καὶ ἐν ἑαυτῷ πολιτείαν διακοσμῶν· τοῦτο μὲν πρῶτον, ἔπειτα καὶ πρὸς ἄλλους ἐν μέρει καθ᾽ ἕκαςον ἰδίᾳ συνιςαμένην πρὸς τὸ βέλτιςον. Damascius: cf. Photius p. 339 a.

ἐπικυδέςερος ἐπικρατέςερος, νικητικός, ἐνδοξότερος· κῦδος γὰρ ἡ δόξα. ⟨Menand. p. 384 Nieb.⟩ "τοὺς Ῥωμαίους ὁ Τοῦρκος ἐν τιμῇ πλείονι ἐποιήσατο, ὡς καὶ κατὰ τὴν ἐπικυδεςέραν ἀνακλῖναι ςιβάδα."

Ἐπικύδης. ὅτι Ἐπικύδης καὶ Ἱπποκράτης ἀδελφὼ μὲν ἀλλήλων ςρατηγὼ δὲ Συρακουσίων, οἳ Ῥωμαίοις ἐκ πολλοῦ δυσχεραίνοντες, ἐπεὶ τὰς Συρακούσας οὐκ ἴσχυον ἐκπολεμῶσαι, κατέφυγον ἐς Λεοντίνους διαφερομένους τοῖς Συρακουσίοις, καὶ κατηγόρουν τῆς πατρίδος ὅτι τὰς σπονδὰς Ἱέρωνος ἐφ᾽ ὅλῃ Σικελίᾳ πεποιημένου μόνοι Συρακούσιοι σφίσιν αὐτοῖς ἀνακαινίσειαν. οἳ δὲ ἠρεθίζοντο· καὶ Συρακούσιοι μὲν ἐπεκήρυσσον, εἴ τις Ἱπποκράτους ἢ Ἐπικύδου κομίσειε τὴν κεφαλήν, ἰσόςαθμον αὐτῷ χρυσίον ἀντιδώσειν, Λεοντῖνοι δὲ αὐτῶν Ἱπποκράτην ςρατηγὸν ᾑροῦντο. Appian. t. 1 p. 96.

ἐπικυκλῆσαι ἐπεισαγαγεῖν.

ἐπικόλλωμα τὸ μετὰ τὴν τῶν ἄρτων διάρτισιν περισσευόμενον· κόλλιξ γὰρ ὁ ἄρτος. ὅθεν καὶ κολλούριον, ἀπὸ τοῦ κολοβόν. cf. v. κόλλιξ.

ἐπικυφότερος.

ἐπικωμάσαι ὀρχεῖσθαι, ἢ λαλῆσαι αἰσχρά. "πολλαὶ ταῖς ἐκκλησίαις ἐπεκώμασαν ταραχαί."

ἐπίκωμος ὑβριςής, συγχαίρων· "ταῦτα δὲ ἀχρεῖα τυγχάνειν ἔδοξεν ὡς περιττὸς ἐπίκωμος" ὁ Προκόπιός ⟨an Πρίσκος⟩ φησι περὶ Θεοδοσίου τοῦ βασιλέως.

ἐπικωπητήρ ὁ τροπωτὴρ ἱμάς.

ἐπίκωπος ξιφήρης· κώπη γὰρ ἡ λαβὴ τοῦ ξίφους. ἢ ἀντὶ τοῦ διὰ νεὼς καὶ ναυτικὸς ὤν. καὶ Ὅμηρος ⟨ε 16 et 141⟩ "οὐ γάρ μοι νῆες εἰσὶν ἐπήρετμοι." ⟨sch. A Ach. 230⟩ "ἐπὶ Ποπλίου συνθήκας ἐποιήσαντο Ῥωμαῖοι καὶ Καρχηδόνιοι, μὴ ἔχειν μήτε κτᾶσθαι Καρχηδονίους πλοῖον ἐπίκωπον πλὴν δέκα τριήρων καὶ τῶν ἁλιευτικῶν καὶ περιχώρων, ὧν οὐδὲν ἦν δεκασκάλμου μεῖζον."

ἐπικῶς ἀντὶ τοῦ λογίως.

ἐπιλάθῃ καὶ *ἐπιλάθωμαι* αὐθυπότακτα.

ἐπιλαμβάνεσθαι μέμφεσθαι· "μὴ ὀνειδιςικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον ἢ σόλοικον ἢ ἀπηχές τι προενεγκαμένων." cf. v. ἀπηχές.

ἐπίλαμπτος καταφανής, παρ᾽ Ἡροδότῳ ⟨3 69⟩.

ἐπιλανθάνεσθαι ἀποβαλεῖν ἐπιςήμην.

ἐπιλαχόντα τυχόντα.

ἐπιλαχών· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ⟨62⟩ "οὔτε λαχὼν οὔτ᾽ ἐπιλαχών, ἀλλ᾽ ἐκ παρασκευῆς πριάμενος." τοιοῦτον δέ ἐςι τὸ λεγόμενον. ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι· ἔπειτα ἑκάςῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵνα ἐὰν ὁ προλαχὼν ἀποδοκιμασθῇ ἢ τελευτήσῃ, ἀντ᾽ ἐκείνου γένηται βουλευτὴς ἢ ἄρχων ὁ ἐπιλαχών. Harp.

ἐπιλέγει πρὸς τοῖς προειρημένοις φησίν.

ἐπιλείψει με" καταλείψει με "διηγούμενον ἡ ἡμέρα." ad Hebr. 11 32.

ἐπὶ Λειψυδρίῳ μάχη. χωρίον ὑπὲρ τῆς Πάρνηθος, ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, ὧν οἱ Ἀλκμαιωνίδαι προεςήκεσαν. ἐκπολιορκηθέντων δ᾽ αὐτῶν ὑπὸ τῶν περὶ Πεισίςρατον σκολιὸν εἰς αὐτὰς ᾔδετο· "αἰαῖ Λειψύδριον προδωσέταιρον, οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι ἀγαθούς τε καὶ εὐπατρίδας, οἳ τότ᾽ ἔδειξαν οἵων πατέρων ἔσαν."

ἐπίλεκτος προπαροξυτόνως, *ἐκλεκτός* δὲ ὀξυτόνως, διότι τὸ μὲν ἐκ τῦ ῥήματος τὸ δὲ ἐκ τοῦ ὀνόματος συντέθειται. cf. v. ἐκλεκτός.

ἐπιλεξάμενος ἀναμετρήσας, ἀναλογισάμενος. ⟨Dionysius Hal. 1 39⟩ "ὁ δὲ Ἡρακλῆς τὸν ἀριθμὸν τῶν βοῶν ἐπιλεξάμενος." καὶ Ἡρόδοτος ⟨5 30⟩ "ὁ δὲ ἐπιλεξάμενος ὡς ἢν δι᾽ αὐτοῦ κατέλθωσιν οἱ φυγάδες ἐς τὴν πόλιν, ἄρξει τῆς Νάξου" ἀντὶ τοῦ ἀναλογισάμενος. κεῖται δὲ καὶ ἐπὶ τοῦ ἀναγνούς· "ὁ δὲ εὑρίσκει τὰ γεγραμμένα, καὶ ἐπιλεξάμενος ἐλέγχει τὸ πᾶν ὡς ἐγένετο."

ἐπίληθον ⟨Hom. δ 221⟩ τὸ λανθασικόν.

ἐπὶ ληναίῳ. περίβολός τις μέγας, ἐν ᾧ τοὺς ἀγῶνας ἦγον τοὺς σκηνικούς.

ἐπίληπτος ἐπιλήψιμος καὶ μέμψεως ἄξιος. καὶ ἐπίληπτος ὁ νοσῶν τὴν ἱερὰν νόσον καὶ λυόμενος ἐπὶ τοῦ βασιλέως Θεοδοσίου.

ἐπιλησμότατον ἰδίως ἐπιλησμονέστατον. Λέξις δὲ λέγει ἐπιλήσμη, Κρατῖνος ἐπιλήσμοσιν. Ἀριστοφάνης Νεφέλαις (788) "οὐκ ἐς κόρακας ἀποφθερεῖ, ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον;"

ἐπιλήψει με καταλάβῃς με.

ἐπιλίγδην (Hom. P 599) ὅσον ψαῦσαι καὶ ἐφάψασθαι μόνον, ὃ παρ' ἡμῖν ἄνωθεν, ἄνω.

ἐπιλλίζουσα ἐπεγγελῶσα, ἐπιμύουσα τοὺς ὀφθαλμούς· ὅπερ ἴδιόν ἐστι τῶν γλαυκῶν διὰ τὸ μὴ βλέπειν δι' ἡμέρας.

ἐπιλλίζω τὸ διανεύω.

ἐπιλογισάμενος· "καὶ ἀφ' ὧν ἐνόμιζε πλεονεκτήσειν κατὰ τὴν μάχην ἐπιλογισάμενος πείθει."

Ἐπίλυκος κωμικὸς ποιητής. τῶν δραμάτων αὐτοῦ ἐστι Κωραλίσκος, ὡς Ἀθήναιος (p. 133 et 140).

ἐπιλυομένου συγχωροῦντος.

ἐπίλυσιν (an ἐπήλυσιν) ἔφοδον· "ὃ δὲ πέμπει Ἰωάννην, ὡς ἂν προφυλακῇ χρήσοιτο καὶ προκαταμάθοι τὴν ἐπίλυσιν τῶν βαρβάρων" (Menander exc. Peir. p. 103?).

ἐπιλύτης ἐπίλυτος (an ἐπηλύτης καὶ ἐπήλυτος).

a ἐπιμᾶλλον, ἐπίρρημα, περισσοτέρως· "καὶ ἐπιμᾶλλον ἐξήπτοντο εἰς ὀργήν."

b ἐπιμᾶλλον ἀντὶ τοῦ προθυμότερον· Δέξιππος "τῶν δὲ τινῶν τοῖς Ὑπερίδου λόγοις ἐπιμᾶλλον ἀχθέντων." καὶ ἀντὶ τοῦ περισσοτέρως· "ἐνδιδόναι σφᾶς ἐπιμᾶλλον," καὶ αὖθις "ταῦτά τοι ἐπιμᾶλλον ἐξῆψεν αὐτῷ τὸ μῖσος."

ἐπίμαργος μεμηνώς.

ἐπιμαστίδιος ὁ θηλάζων· "ὁ δὲ νεώτατος παῖς ἐπιμαστίδιος ἦν, οὗ ἡ μήτηρ ἀντείχετο."

ἐπιμαχεῖν. "φιλίαν σφίσιν ἔνσπονδον εἶναι - - - ἐμπεδώσει" (cf. v. Δημήτριος a).

ἐπίμαχος δυναμένη πολεμεῖσθαι· "καθὸ μὲν ἐπίμαχος ἦν, πολλὰ χώματα ἐγείρων." καὶ αὖθις (X Anab. 5 4 14) "οἱ δὲ ἐπορεύοντο ἐπὶ χωρίον, ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι."

ἐπὶ μέγα, ἐπίρρημα, ἀντὶ τοῦ μεγάλως· "οἱ ἐπὶ μέγα ἀρθέντος αὐτοῖς τοῦ ὀνόματος τῆς Ἀσίας ἐπῆρχον." "ἐπὶ μέγα τρυφῆς προελθόντες οἱ Συβαρῖται καὶ πλούτου εὖ ἥκοντες ἑαυτοῖς καὶ ἄλλοις ἐδόκουν ἀξιόζηλοι εἶναι."

ἐπιμείλιον τὸ προικίον.

ἐπιμείνης αὐθυπόστακτον.

ἐπιμέλεια ἡ σπουδή, ἡ φροντίς.

ἐπιμελὲς φροντίδος ἄξιον. Ἡρόδοτος (5 12) "ὡς δὲ παρεξῄει ἡ γυνή, ἐπιμελὲς τῷ Δαρείῳ ἐγένετο. ἐπιμελὲς δὲ ὥς οἱ ἐγένετο, πέμπει τῶν δορυφόρων τινὰς γνῶναι ὅ τι χρήσοιτο τῷ ἵππῳ ἡ γυνή."

ἐπιμελὴς ἄρτος ὁ καθαρός.

ἐπιμεληταί. παρὰ Πέρσαις ἦσαν ἐπιμεληταί, ὥς φησι Ξενοφῶν, οἳ τοὺς τιτρωμένους ἐν πολέμῳ ἐθεράπευον. a

ἐπιμεληταὶ ἐχειροτονοῦντο τῶν χορῶν, ὡς μὴ ἀτακτεῖν τοὺς χορευτὰς ἐν τοῖς θεάτροις. ἄλλοι δὲ λέγουσιν ὅτι ἐμπορίου ἄρχοντές εἰσι κληρωτοὶ ι' ἑκάστου ἔτους καθιστάμενοι, οἷς προσετέτακτο ἐπιμελεῖσθαι τοῦ καταπλέοντος σίτου εἰς τὸ ἐμπόριον τὸ Ἀττικὸν καὶ τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν. b

ἐπιμελητὰς ἐμπορίου. δέκα ἐκλήρουν ἐπιμελητὰς οἱ Ἀθηναῖοι ἐμπορίου, οἷς προσετέτακτο τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ δύο μέρη ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν. Harp.

ἐπιμελητὴς τῶν μυστηρίων. παρὰ Ἀθηναίοις ὁ λεγόμενος βασιλεὺς πρῶτον μὲν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος ἐχειροτόνει. δ' δὲ ἦσαν, β' μὲν ἐξ Ἀθηναίων ἁπάντων, εἷς δὲ ἐξ Εὐμολπιδῶν καὶ εἷς ἐκ Κηρύκων. Harp.

ἐπιμεμόμενος.

ἐπιμεμφόμενος· "πρός γε καὶ πλεῖστα ἐπιμεμφόμενος ἦν τοῖς Πέρσαις, ἅτε δὴ πρὸς αὐτῶν ἄδικα πεπονθώς."

Ἐπιμενίδης Φαίστου ἢ Δοσιάδου ἢ Ἀγιασάρχου υἱός, καὶ μητρὸς Βλάστας, Κρὴς ἀπὸ Κνωσσοῦ, ἐποποιός· οὗ λόγος ὡς ἐξίοι ἡ ψυχὴ ὁπόσον ἤθελε καιρόν, καὶ πάλιν εἰσῄει ἐν τῷ σώματι· τελευτήσαντος δὲ αὐτοῦ πόρρω χρόνων τὸ δέρμα εὑρῆσθαι γράμμασι κατάστικτον. γέγονε δὲ ἐπὶ τῆς λ' ὀλυμπιάδος, ὡς προτερεύειν καὶ τῶν ζ' κληθέντων σοφῶν, ἢ καὶ ἐπ' αὐτῶν γενέσθαι· ἐκάθηρε γοῦν τὰς Ἀθήνας τοῦ Κυλωνείου ἄγους κατὰ τὴν μδ' ὀλυμπιάδα, γηραιὸς ὤν. ἔγραψε δὲ πολλὰ ἐπι-

Digitized by Google

κῶς, καὶ καταλογάδην μυστήριά τινα καὶ καθαρμοὺς καὶ ἄλλα αἰνιγματώδη. πρὸς τοῦτον γράφει Σόλων ὁ νομοθέτης, μεμφόμενος τῆς πόλεως κάθαρσιν. οὗτος ἔζησεν ρν' ἔτη, τὰ δὲ ξ' ἐκαθεύδησεν. καὶ παροιμία "τὸ Ἐπιμενίδειον δέρμα," ἐπὶ τῶν ἀποθέτων.

ἐπιμετρούσης ἐπιχορηγούσης· ⟨Polyb. 3 118⟩ "ὥσπερ ἐπιμετρούσης καὶ συνεπαγωνιζομένης τοῖς γεγονόσι τῆς τύχης."

ἐπιμετρῶ δοτικῇ.

Ἐπιμηλίδες νύμφαι.

ἐπιμήνια τὰ καθ' ἕκαστον μῆνα θυόμενα, ἢ τὰ ὑπὲρ ὅλου τοῦ μηνὸς ἅπαξ ποτὲ γινόμενα θύματα. Harp.

ἐπιμίξ ⟨Hom. Λ 525⟩ ἐπιμεμιγμένως.

ἐπιμύω τὸ καμμύω.

ἐπινάστιος ⟨Apollon. Rh. 1 795⟩ μέτοικος, ξένος, φυγάς.

ἐπινείμης αὐθυπότακτον.

a ἐπίνειον παραθαλάσσιον χωρίον, ἢ προσορμητήριον, ὁ λεγόμενος κατάβολος. Πολύβιος "ὅτι οἱ Ῥωμαῖοι τὰς μὲν ναῦς ἐνεώλκησαν, τοὺς δὲ ἐν τῇ Ταρρακῶνι συναθροίσαντες ἐκ τῶν προγεγονότων ἐλαττωμάτων ἐπίνειον ἐποίησαν, ἐπὶ τῷ προκαθίσαντας ἐπὶ τῆς διαβάσεως διαφυλάξαι τοὺς συμμάχους."

b ἐπίνειον παρὰ τὸ ἐν αὐτῷ νήχεσθαι τὰς ὁλκάδας καὶ ὀκέλλειν. ἢ πόλισμα παραθαλάσσιον, ἔνθα τὰ νεώρια τῶν πόλεών εἰσιν, ὥσπερ Πειραιεὺς τῶν Ἀθηναίων καὶ Νίσαια τῆς Μεγαρίδος. δύνασαι δὲ ἐπὶ παντὸς ἐμπορίου καὶ παραθαλασσίου χρήσασθαι τῷ ὀνόματι τούτῳ, ὃ νῦν οἱ πολλοὶ κατάβολον καλοῦσιν. sch. Thuc. 2 84 et 1 30.

ἐπινέμησις ὁ τοῦ χρόνου μερισμός.

ἐπινενασμέναι πεπληρωμέναι· Ἀριστοφάνης ⟨Eccl. 833⟩ "ὡς αἱ τράπεζαί γ' εἰσὶν ἐπινενασμέναι ἀγαθῶν ἁπάντων καὶ παρεσκευασμέναι."

ἐπινενησμένον ἐπικεκλωσμένον.

ἐπινεφρίδιον ⟨Hom. Φ 204⟩ τὸ ἐπὶ τοῖς νεφροῖς λίπος.

ἐπινήσαντες· "φρύγανα πρὸ τοῦ τείχους καὶ παντοδαπὸν φορυτὸν συγκομισάμενοι καὶ ἐπινήσαντες κόπρον πῦρ ὑπέβαλλον. ὡς δὲ ἐπὶ τοσόνδε ἤρθη ὁ καπνὸς ὥστε ἂν ἀπιόντες μὴ καταφανεῖς εἶεν, ἀπανέστησαν τῆς πολιορκίας."

ἐπινησθεῖσαν ἀντὶ τοῦ ἐπικλωσθεῖσαν· "ἡνίκα ἂν τὴν πεπρωμένην ὁδὸν καὶ ἐπινησθεῖσαν διανύσω." καὶ αὖθις Αἰλιανός "καὶ ὅτε ἔμελλε τὴν ἐπινησθεῖσάν οἱ καὶ τελευταίαν ὁδὸν ἰέναι, ᾤχοντο ἀπιοῦσαι" ⟨cf. v. Φιλήμων⟩.

ἐπινησθέντα· "τὸν ἐπινησθέντα ἐνίοις βίον," τὸν ὁρισθέντα.

Ἐπίνικος καὶ αὐτὸς κωμικός. τῶν δρα- a
μάτων αὐτοῦ ἐστὶν Ὑποβαλλόμεναι, ὡς Ἀθήναιος.

Ἐπίνικος ὕπαρχος τῆς πόλεως ἐπὶ Βα- b
σιλίσκου, κόρον χρηματισμοῦ μὴ λαμβάνων μηδένα, καὶ τὰ ἔθνη καὶ τὰς πόλεις πάσας καπηλεύων, καὶ ἀτόπων τὰς ἐπαρχίας προσταγμάτων ἐμπλήσας, ἃ μὴ φέρουσαι ἔτι τῶν ἀρχόντων αἱ τάξεις μηδὲ αἱ ἔξω βουλαὶ φυγοῦσαι κατέλιπον τὰς τῶν φόρων εἰσπράξεις. ἐκ δὲ τῆς τούτου πλεονεξίας ἀρχόμενοι ἱκέται ἐν τοῖς κοινοῖς ἱεροῖς ἐκαθέζοντο, ἐλέγχοντες τὰ τούτου κλέμματα. ἦν δὲ πᾶσιν ἀπεχθής, τιμὴν οὐδενὶ νέμων προσήκουσαν. καὶ τοῦτον τῆς ἀρχῆς ἀπήλλαξαν ἀτίμως, ἀνθαιροῦνται δὲ ἄνδρα Λαυρέντιον, ὃς ἦν ἐξ ἀρχῆς τῶν ἐπὶ τῆς ἀγορᾶς τῆς μεγάλης ῥητόρων, καὶ πρωτεύσας ἐν ταύτῃ. ὅτῳ δὲ συνείποι, οὔτε τρίβειν, ὡς ἂν μᾶλλον κερδαίνοι, οὔτε διέλκειν ἠνείχετο.

ἐπίνυσσεν ⟨Hom. Ξ 249⟩.

ἐπινῶς τὸ λίαν.

ἐπίξηνος ὁ μαγειρικὸς κορμός, ἐφ' οὗ τὰ κρέα συγκόπτουσιν. Ἀριστοφάνης ⟨Ach. 317⟩ "ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴν ἔχων λέγειν." εἰ μὴ λέγω, φησί, δίκαια, τῆς κεφαλῆς ἀφαιρεθείην.

ἐπὶ ξυροῦ ἐπὶ κινδύνου, ἐν αὐτῇ τῇ τοῦ πράγματος ἐπιτάσει. "ὁ δὲ περιαλγῶν ἐπὶ τῇ προρρήσει ἦν δῆλος, ἐπὶ ξυροῦ τε ἀκμῆς, τὸ λεγόμενον, ὁ τούτου κίνδυνος ὤν, οἵ τε ναῦται καὶ ὅσοι περίνεοι οὐκ ἀνεχόμενοι τῆς τούτου μελλήσεως δῆλοι ἦσαν" ⟨cf. v. ἀκμή⟩. καὶ αὖθις "καὶ αὐτοῦ τὸ κράτος ἐπὶ ξυροῦ ἀκμῆς ἦν."

ἐπιορκήσαντα. Λυσίας ἐπιορκήσαντα τὸν ὀμόσαντα εἶπεν. Harp.

ἐπίορκον ἀπώμοσεν ⟨Hom. Κ 332⟩. ὃ τὸ ἔξωθεν ἐπιπεφωνημένον ἐπίορκον ὤμοσεν ἑκουσίως, ἀλλ' ἐπειδὴ οὐκ ἔμελλε τελειωθῆναι τὰ ὀμωμοσμένα.

ἐπιούσιος ἄρτος ὁ ἐπὶ τῇ οὐσίᾳ ἡμῶν ἁρμόζων.

ἐπὶ παλλαδίῳ δικαστήριον Ἀθήνησιν,

ἐν ᾧ οἱ ἐφέται ἀκουσίου φόνου ἐδίκαζον. Ἀργεῖοι γὰρ ἀπὸ Ἰλίου πλέοντες ἡνίκα προσέσχον Φαλήροις, ὑπὸ Ἀθηναίων ἀγνοούμενοι ἀνῃρέθησαν· ὕστερον δὲ Ἀκάμαντος γνωρίσαντος καὶ τοῦ παλλαδίου εὑρεθέντος, κατὰ χρησμὸν αὐτόθι τὸ δικαστήριον ἀπέδειξαν, ὡς Φανόδημος. Κλειτόδημος δέ φησιν Ἀγαμέμνονος σὺν τῷ παλλαδίῳ προσενεχθέντος Ἀθήναις Δημοφῶντα ἁρπάσαι τὸ παλλάδιον καὶ πολλοὺς τῶν διωκόντων ἀνελεῖν, τοῦ δὲ Ἀγαμέμνονος δυσχεραίνοντος κρίσιν ὑποσχεῖν ὑπὸ ν' Ἀθηναίων καὶ ν' Ἀργείων, οὓς ἐφέτας κληθῆναι διὰ τὸ παρ' ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς περὶ τῆς κρίσεως. Pausanias ap. Eustath. Od. p. 1419.

ἐπιπαρένησαν· Θουκυδίδης (2 77) "ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν, ἐπιπαρένησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο" ἀντὶ τοῦ ἐσώρευσαν.

ἐπίπαστα τὰ ἐπιπασσόμενα τῷ σώματι ἄλφιτα. ἔθος γὰρ εἶχον ποιεῖν πλακοῦντας ἢ ἄρτους, καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα ἢ ἁλμυρά· καὶ ἐκ τούτου ἠναγκάζοντο πίνειν πολλά. τοῦτό ἐστι τὸ "ἐπίπαστα λείξας δημιόπρατ' ὁ βάσκανος ῥέγχει μεθύων ἐν ταῖς θύραις ὕπτιος" (A Eq. 103). συμβαίνει δὲ μάλιστα τοῦτο πάσχειν τοὺς μεθύοντας ἢ τοὺς ὑπτίους κειμένους.

ἐπίπεμπτον Λυσίας μὲν ἀντὶ τοῦ ἁπλοῦ τοῦ πέμπτον εἶπεν. Harp.

ἐπιπηδῶ δοτικῇ· "οἷς οὐδὲ ἀπ' ἀρχῆς ἐπιπηδήσαμεν." αἰτιατικῇ δέ "ἐπεπήδησεν ἀναιδῶς τὴν ἐξουσίαν."

a ἔπιπλα ἡ μὴ ἔγγειος κτῆσις ἀλλ' ἐπιπόλαιος.

b ἔπιπλα σκεύη τὰ μὴ ἔγγεια ἀλλ' οἷον ἐπιπόλαια. οἱ δὲ ἐπίπλοα αὐτά φασιν.

c ἔπιπλα τὰ ἐξεπιπολῆς σκεύη, οἷον ἡ ἐπιπόλαιος κτῆσις, καὶ ὅση δυνατὴ πλοΐζεσθαι, ἀλλ' οὐκ ἔγγειος. Harp.

ἐπιπλέα ἀνάμεστος, πεπληρωμένη· Ἡρόδοτος (6 139) "καὶ τράπεζαν ἐπιπλέην ἀγαθῶν παντοίων παραθέντες."

ἐπίπληξις ἐπιτίμησις.

a ἐπίπλους· Θουκυδίδης (2 17) "ρν' νηῶν ἐπίπλων ἐξαρτύοντες" οἱ Ἀθηναῖοι πρὸς τὸν πόλεμον.

b ἐπίπλους ἐπιβάτας· Ἀρριανός "κυβερνήτας δὲ καὶ πρῳράτας μόνους ἐπίπλους εἶχον."

ἐπιπλώσας (Hom. Γ 47) ἐπιπλεύσας. καὶ ἐπιπλώς παρ' Ὁμήρῳ (Z 291). παρὰ τὸ πλέω πλώω πλώσας, συγκοπῇ πλώς καὶ ἐπιπλώς. ἔστι δὲ ἄκλιτον, διότι ἡ φωνὴ αὐτοῦ ἀόριστός ἐστι, τὸ δὲ σημαινόμενον παρατατικός.

ἐπίπνοια ἐνθουσιασμός· Πολύβιος "οἱ δὲ Ῥωμαῖοι θείας ἐπιπνοίας τινὸς ἐπεπλήρωντο, τήν τε προθυμίαν ἀνανταγωνίστῳ σθένει φραξάμενοι."

ἐπιποθία (ad Rom. 15 23) ἡ ἀγάπη.

ἐπιπολάζει ἐπιπλέει.

ἐπιπόλαια τὰ πρὸς ὀλίγον φαινόμενα. a

ἐπιπόλαια τὰ φαινόμενα μὲν ἔνδοξα, b μὴ ὄντα δὲ ἔνδοξα ἀλλ' ἐπιπόλαιον ἔχοντα παντελῶς τὴν φαντασίαν. ἐπιπόλαιον δέ ἐστι τὸ ἐκ βραχείας ἐπισκέψεως ἐλεγχόμενον. τοιοῦτον δὲ τὸ εἶδος τῶν ἐριστικῶν προτάσεων καὶ συλλογισμῶν, οἷον τὸ τὸν ὁρῶντα ὀφθαλμὸς ἔχειν· δι' οὗ συνάγεται ὅτι ὁ ἑτερόφθαλμος ὀφθαλμοὺς ἔχει. καὶ τὸ "ὃ λαλεῖς διὰ τοῦ στόματός σου διέρχεται·" ὃ λαβών τις συνάγει τὸ τὴν ἅμαξαν διὰ τοῦ στόματος διέρχεσθαι τοῦ ἅμαξαν λαλοῦντος. καὶ "ἃ οὐκ ἀποβέβληκας ἔχεις·" τοῦτο γάρ τις λαβὼν συνάγει ὅτι κέρατα ἔχεις, οὐκ ἀποβέβληκας γὰρ κέρατα. ὁμοίως καὶ τὸ τὸν ὄψιν ἔχοντα ὁρᾶν, τὸν δὲ κοιμώμενον ὄψιν ἔχειν. τὰ γὰρ τοιαῦτα ἐπιπόλαιον ἔχει τὸ πιθανόν. Alex. Aphrod. in Top. 1 p. 13.

ἐπιπόλαιος· "ὁ δὲ Σιλβανὸς ἐπιεικὴς μὲν ἦν καὶ τἄλλα ἱερός, ἁπλούστερος δὲ τὰ ἤθη καὶ ἐπιπόλαιος" ἀντὶ τοῦ οὐ βαθὺς τὸν τρόπον. cf. v. Σιλβανός.

ἐπιπολαίως ἐξ ἐπιπολῆς· Ἰώσηπος (B. I. 3 7 22) "τιτρώσκει αὐτὸν ἐπιπολαίως, προεκλύσαντος τὸ βληθὲν τοῦ διαστήματος."

ἐπιπολάς τὰ ἄνω. "τοὺς δὲ Ῥωμαίους θαρρεῖν συνέβαινε κρατοῦντας τοῦ περὶ τὰς Ἐπιπολὰς τόπου."

ἐπιπολαστικῶς καὶ καταχόρως χρώμενοι τῇ κραυγῇ. Polyb. 4 12.

ἐπιπολῆς τὸ ἐπάνω ἐπὶ πλέον, ἄρριζον.

ἐπὶ πολλῷ ἀντὶ τοῦ πολυπλασίως· (Dio Cass. 55 6) "οἱ δὲ χρόνον μέν τινα ἡσύχασαν, ἔπειτα ἐπὶ πολλῷ τὸ πάθημά σφων τοῖς Ῥωμαίοις ἀπέδοσαν."

ἐπιπόνως χαλεπῶς· "ὁ δὲ γυμνὸς ὤν, ὥρᾳ χειμῶνος ἐν ἄντρῳ ἐναυλισάμενος ἐπιπόνως, πρόβατα εὑρὼν ἀνεῖλε καὶ ταῖς δοραῖς αὐτῶν ἠμφιέσθη" (cf. v. ἔφεδρος).

Google

ἐπιπραξάμενοι ἐπὶ τοῖς προτέροις προσεπιθέντες, ἀπαιτήσαντες· "οἱ Ῥωμαῖοι τοὺς Καρχηδονίους χρήματα ἐπιπραξάμενοι σπονδὰς ἀνενεώσαντο."

ἐπιπρεπείαις ςολαῖς εὐπρεπέσιν· ⟨Polyb. 3 78⟩ "ὁ δὲ Ἀννίβας ὁ Καρχηδονίων ςρατηγὸς κατεσκευάσατο περιθετὰς τρίχας, ἁρμοζούσας ταῖς κατὰ τὰς ὁλοσχερεῖς διαφορὰς τῶν ἡλικιῶν ἐπιπρεπείαις, καὶ ταύταις ἐχρῆτο συνεχῶς μετατιθέμενος."

ἐπιπροσθεῖ ἐπισκιάζει, ἐκ τῶν ἔμπροσθεν ὑπερανέχει.

ἐπίπροσθεν ἔμπροσθεν, τιμητικώτερον. Ξενοφῶν ⟨Cyr. 1 4 24⟩ "τὸν δὲ Κῦρον ἀφελκύσαντες ἦγον, ἐπίπροσθεν ποιούμενον τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου ἠγριωμένον." "ὅτι Πρόκλος τῆς φιλοσοφίας πάσης ἐπίπροσθεν ἦγε τὴν θεολογίαν, τῆς δὲ πρὸς ἀρετὴν ζωῆς ἐρρωμένης τὴν ἀντίςροφον πρὸς ἐκείνην εὐσέβειαν προτιμῶν ἐφαίνετο."

ἐπιπροσθοῦντος.

ἐπὶ πρύμνην ἀνεκρούοντο καὶ ὤκελλον τὰς ναῦς ⟨Herodot. 8 84⟩ κατὰ πρύμναν ὑπεχώρουν οὐχὶ ἐπιςραφέντες, καὶ ἐξέκλιναν τὰς ἐπισύσας τῶν πολεμίων ναῦς. cf. v. ἐπανάκρουσαι.

ἐπὶ πρυτανείῳ δικαςήριον, ὅταν τὸ μὲν ἀποκτεῖναν βέλος ᾖ φανερὸν ἢ λίθος ἤ τι τοιοῦτον, ὁ δὲ δράσας μὴ ᾖ. ἀρχαῖον γὰρ ἔθος τὸ καὶ τὰ ἄψυχα κρίνειν, εἰ χρὴ ἐξορίζεσθαι. Harp.

ἐπίπρων καὶ ἐνεπίπρων.

ἐπὶ πυγὴν καθίσαι ταπεινῶσαι.

ἐπὶ πυγὴν τρέχειν εἰς τὀπίσω τρέχειν.

ἐπὶ ῥητοῖς γέρασιν ⟨Thuc. 1 13⟩ ἀντὶ τοῦ ἐπὶ φανεραῖς τιμαῖς, ἐπὶ ὁμολογημέναις.

ἐπιρραπίζων κωλύων· "ὁ δὲ ᾔσχυνε τῇ ἀπειλῇ μόνῃ τὸ ἀκέλευςον αὐτοῦ καὶ τὸ ὑφ' ἑαυτοῦ βούλεσθαι τὴν πρᾶξιν, ἐπιρραπίζων ἄρα ἐκεῖνος" ⟨Aelianus?⟩.

ἐπιρρέξει θύσει· ἐν ἐπιγράμμασι ⟨AP 6 157⟩ "καί σοι ἐπιρρέξει Γόργος χιμάροιο νομαίης αἷμα."

ἐπιρρεπὴς ἐπικλινόμενος.

ἐπίρρημα παρὰ Ἀριςοφάνει μέρος τι τῆς κωμῳδίας. "εἰ μετ' ὀρνίθων τις ὑμῶν, ὦ θεαταί, βούλεται διαπλέκειν ζῶν ἡδέως τὸ λοιπόν, ὡς ἡμᾶς ἴτω· ὅσα γάρ ἐςιν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατούμενα, ταῦτα πάντ' ἐςὶν παρ' ἡμῖν τοῖσιν ὄρνισιν καλά." καὶ τὰ ἑξῆς δῆλα ⟨A Av. 758⟩.

ἐπίρρησις ὁ ψόγος καὶ ἡ κατηγορία.

ἐπίρρητον αἰσχρόν, καταγνώσεως ἄξιον. "ὁ τῶν τριῶν ἐκείνων τῶν ἐπιρρήτων εἷς." "ζῶν δὲ παρήει ἐς οὐδὲν ἱερόν· ἤλαυνον γὰρ ὡς ἐπάρατον καὶ ἐπίρρητον," καὶ αὖθις "ἦν δὲ ἐπίρρητος ἐπὶ παιδεραςίᾳ." "βιώσας βίον ἐπίρρητον καὶ βδελυρὸν οὐδεμίαν ἐπιςεύθη βασιλικῶν χρημάτων ἐξουσίαν."

ἐπίρροθος βοηθός.

ἐπιρρύξας ἀγρίως αὐτοῖς ἐπιπηδᾷς. A Vesp. 702.

ἐπίρρυτοι ἐχθροί.

ἐπιρρώσει ἐνισχύσει.

ἐπίρρωσις ἡ ἐνίσχυσις.

ἐπίσαλος ἀβέβαιος, εὐμετάπτωτος· ⟨Theophyl. Sim. 6 5⟩ "ἐπισάλων τε τῶν τῆς σωτηρίας ἐλπίδων γενομένων αὐτοῖς ἐξεχώρουν τοῦ ἄςεος."

ἐπισάξαι ἐπαναβῆναι. Ξενοφῶν ⟨Anab. 3 4 35⟩ "ἐὰν θόρυβος γένηται, δεῖ ἐπισάξαι τὸν ἵππον Πέρσῃ ἀνδρί, καὶ θωρακισθέντα ἀναβῆναι ἐπὶ τὸν ἵππον. ταῦτα δὲ πάντα χαλεπὰ ποιεῖν νύκτωρ καὶ θορύβου ὄντος."

ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις. αἱ τὴν σελήνην καθέλκουσαι Θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν ςερίσκεσθαι. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων. cf. v. Θετταλὴ γυνή.

ἐπισεῖσαι ἐπενεγκεῖν· "παρεκάλουν μὴ χαλεπώτερον αὐτοῖς ἐπισεῖσαι τὸν κίνδυνον." καὶ αὖθις ⟨Menand. p. 304 Nieb.⟩ "ἅπαντα τρόπον ἀπάτης τοῖς δεομένοις ἐπισείσας" ἀντὶ τοῦ ἐπαγαγών.

ἐπισημαίνεσθαι ἀντὶ τοῦ ἐπαινεῖν μὲν καὶ ἐπιφωνεῖν Ἰσοκράτης ⟨12 2⟩, ἀντὶ δὲ τοῦ ἐπισφραγίσαι Ἰσαῖος. Harp.

ἐπισημαινόμενος. διάφορα σημαίνει. καὶ νῦν Πολύβιός φησι...

ἐπὶ σημείου ⟨Numer. 21 8⟩ ἐπὶ ὕψους.

ἐπισημήνασθαι βεβαιῶσαι. "ἐπισημηναμένων δὲ τῶν ἐκ τῆς Ἑλλάδος πρεσβευτῶν" ἀντὶ τοῦ κυρωσάντων. καὶ Πολύβιος ⟨9 9⟩ "τίς γὰρ οὐκ ἂν ἐπισημήναιτο" ἀντὶ τοῦ ἐκπλαγείη, θαυμάσειεν. καὶ αὖθις "τοὺς μὲν χάρισι τοὺς δὲ κολάσεσιν, ὡς καὶ τοῖς ἄλλοις παράδειγμα εἶεν, ἐπισημαίνεσθαι."

Ἐπισθένης. οὗτος ἦν ἐπὶ Σεύθου τοῦ Θρᾳκῶν βασιλέως, ἐπίρρητος ἐπὶ παιδεραςίᾳ.

ἐπισίξει ποιόν τινα ἦχον ἐπιβοήσει.

ἐπίσιον τὸ αἰδοῖον τῆς γυναικός.

ἐπισίτια τὰ εἰς τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα. ταῦτα δὲ ἐνίοτε καὶ σιτίον ἐκάλουν. Harp.

ἐπισιτίζω αἰτιατικῇ. καὶ ἐπισίτισις.

ἐπίσιτος ὁ τροφῆς χάριν ἐργαζόμενος.

ἐπισκαλμίσι τοῖς τῆς νηὸς μέρεσι· ⟨Agath. 5 22⟩ "πτύα ὡς πλεῖςα ταῖς ἐπισκαλμίσιν ἐντροπωσάμενοι ἤρεττον."

ἐπισκευάσασθαι ἐπιφορτίσασθαι.

ἐπισκήνιον.

ἐπισκήνους· Σοφοκλῆς ⟨Ai. 579⟩ "μηδ' ἐπισκήνους γόους δάκρυε."

ἐπισκήπτει ἐπιτιμᾷ. ⟨Procop. Arc. 6⟩ "τὸν μὲν οὖν λοιμόν, καίπερ ἐπισκήψαντα ἐς τὴν ξύμπασαν, διέφυγον ἄνθρωποι οὐχ ἧσσους ἢ ὅσοις διαφθαρῆναι τετύχηκεν."

ἐπίσκηψις δίκη κατὰ τῶν ψευδομαρτυρησάντων.

ἐπισκήψω σημειώσομαι, ἐπιςήσω τὸν νοῦν. Σοφοκλῆς ⟨Ai. 566⟩ "ὑμῖν τε κοινὴν τήνδ' ἐπισκήπτω χάριν."

ἐπίσκιον· Σοφοκλῆς ⟨OC 1650⟩ "ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον χεῖρ' ἀντέχοντα κρατός, ὡς δεινοῦ τινὸς φόβου φανέντος, οὐδ' ἀνασχετοῦ βλέπειν."

ἐπίσκοπα εὔςοχα· "τὴν ἄφεσιν τῶν βελῶν κατ' ἴσον βιαίαν καὶ ἐπίσκοπα ἱέναι." καὶ αὖθις "οἱ Καρδοῦχοι σφενδονῆται ἀρίςοι λίθοις τε καὶ μολυβδίναις σφαίραις, ἃς ἐξακοντίζουσιν ἐπίσκοπα."

ἐπίσκοποι ἐπόπται, κατάσκοποι.

ἐπίσκοπον σημαντικόν, ἔφορον, οὐχ ἡμαρτηκὸς τῆς συμφορᾶς ἀλλ' ἐςοχασμένον· ⟨S Ai. 975⟩ "αὐδὴν γὰρ δοκῶ κλύειν βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος."

ἐπίσκοπος. οἱ παρ' Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάςοις πεμπόμενοι ἐπίσκοποι καὶ φύλακες ἐκαλοῦντο· οὓς οἱ Λάκωνες ἁρμοςὰς ἔλεγον. Harp.

ἐπισκοπῶ αἰτιατικῇ· "καὶ τόπους οὓς οὐκ ἐπισκοπεῖ κύριος."

ἐπισκοπῶν καθορῶν· ⟨S El. 1184⟩ "τί μοί ποτ' ὦ ξέν' ὧδ' ἐπισκοπῶν ςένεις;"

ἐπισκότησις.

ἐπισκοτῶ. καὶ ἐπισκοτεῖν τὸ ἐπικεῖσθαί τινι καὶ ἐπιτειχίζειν τὸ φῶς.

ἐπισκύζονται ὀργίζονται.

ἐπισκύνιον τὸ ἐπικείμενον ταῖς ὀφρύσι δέρμα· ⟨AP 7 63⟩ "γυμνώσαντα βίου παντὸς ἐπισκύνιον."

ἐπισμῇ ἐπιχρίει, ἐπιξύει. σμῆξαι δέ ἐςι τὸ τὸν ῥύπον ἀποξῦσαι. οἱ δὲ μεταφορικῶς ἀπὸ τοῦ σμήχειν, οἷον ἐπιτρίβειν· σφοδρὰν γάρ τινα τρῖψιν καὶ τὴν σμῆξιν εἶναι. τάχα δὲ καὶ τὴν σμώδιγγα εἰρῆσθαι ἀπὸ τούτου. οἱ δὲ ἐξ ἔθους γλωσσηματικὴν εἶναι τὴν λέξιν, καὶ μὴ εἶναι ἐπιτρίβειν ἀλλὰ τύπτειν, καὶ σκώπτειν τὸ σμώχειν. ἔςι δὲ λοιδορία, ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων. Ἀριςοφάνης ⟨Th. 396⟩ "τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν;"

ἐπισπασάμενος ἐφελκύσας· "ὃ δὲ ἐπισπασάμενος τῆς κόμης τοῦτον κτείνειν ἔμελλεν."

ἐπισπαςῆρες τῶν θυρῶν τὰ προσηλωμένα σιδήρια, δι' ὧν ἀνακλίνεται καὶ ἐπιτίθεται ἡ πύλη.

ἐπισπαςήρων τῶν τῆς θύρας κρατημάτων· "εὑρὼν προσκειμένας τὰς θύρας, καὶ λαβόμενος τῶν ἐπισπαςήρων ἀπρὶξ εἴχετο," καρτερῶς τε καὶ ἐγκρατῶς. cf. v. προσκείμενοι.

ἐπὶ σπείρᾳ σχοινίον, ἐπὶ τῶν προσφερόντων τοῖς ἔχουσιν ἔτι πλείονα, ἐπειδὴ καὶ αἱ σπεῖραι, ἐξ ὧν καὶ τὰ σχοινία εἰσίν. cf. v. σπεῖραι.

ἐπισπέρχει κατεπείγει.

ἐπίσπῃ ἕψεται.

ἐπισπόμενος ἐπακολουθῶν. ἐπισπώμενος δὲ προσλαμβάνων καὶ ἐπισύρων.

ἐπίσσωτρα ⟨Hom. E 725⟩ οἱ κανθοί, τὰ ἐπάνω τῶν τροχῶν σιδήρια.

ἐπιςαθμευόμενοι κρίνοντες, ὑπονοοῦν- a
τες· ⟨Polyb. 21 4⟩ "οἱ δὲ Φωκεῖς τὰ μὲν ὑπὸ τῶν ἀπολειφθέντων Ῥωμαίων ἐν ταῖς ναυσὶν ἐπιςαθμευόμενοι, τὰ δὲ τὰς ἐπιταγὰς δυσχερῶς φέροντες ἐςασίαζον."

ἐπιςαθμευόμενοι εἰς τοὺς ἑαυτῶν οἴ- b
κους δεχόμενοι· "ἐπιςαθμευομένους τε ὑπ' αὐτῶν καὶ διαρπαζομένους."

ἐπίςαθμοι ἄρχοντές τινες.

ἐπίςαθμος· Ἰσοκράτης Πανηγυρικῷ ⟨162⟩ "Ἑκατόμνως ὁ Καρίας ἐπίςαθμος," ὃς οὐδὲν ἕτερον ἦν ἢ κατὰ σατραπείαν Καρίας κύριος. Harp.

ἐπίςασθαι. τοῦτο δύο σημαίνει, τὸ ἐπιςήμην αὐτὸς ἔχειν, ἢ τὸ ἐπιςήμην αὐτῷ εἶναι.

ogle

καὶ ἑκάτερον διχῶς, ἢ καθ' ἕξιν ἢ κατὰ προχείρισιν.

ἐπιςασία προςασία.

ἐπίςασις γνῶσις. ἐπίςασις καὶ ἡ προσοχὴ καὶ ἡ μίμησις· Πολύβιος (11 2) "ὁ δὲ Ἀσδρούβας πέφυκεν ἡμῖν ἄξιος ἐπιςάσεως εἶναι καὶ ζήλου." καὶ αὖθις "τὰ δὲ τῶν πόλεων πράγματα ἀλλοιοτέρας ἔτυχεν ἐπιςάσεως καὶ μεταβολῆς."

ἐπιςατεία.

ἐπιςάτης ὁ τοῦ λόχου ὀπίσω τεταγμένος. ὁ δὲ μετ' αὐτὸν πρωτοςάτης, ὁ δὲ μετὰ τοῦτον πάλιν ἐπιςάτης, ὡς εἶναι τὸν ὅλον ςίχον ἐκ πρωτοςατῶν καὶ ἐπιςατῶν συγκείμενον. ἔνιοι δὲ λοχαγὸν μὲν τὸν πρωτοςάτην λέγουσι καὶ οὐραγὸν τὸν ἐπιςάτην, τοὺς ἐν μέσῳ δὲ ὡσαύτως, ἀλλ' ἐπιςάτην μὲν τὸν μετὰ τὸν πρωτοςάτην ἤτοι τὸν δεύτερον, τὸν δὲ τρίτον ἀπὸ τοῦ πρωτοςάτου ὑποςάτην. Aelianus Tact. 5.

b ἐπιςάτης. τῶν πρυτάνεων εἷς ὁ λαχὼν ἐπιςάτης ἐλέγετο. δὶς δὲ τὸν αὐτὸν ἐπιςατῆσαι οὐκ ἐξῆν. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα. ἐπειδὰν δὲ οἱ πρυτάνεις συναγάγωσι τὴν βουλὴν ἢ τὸν δῆμον, ὁ ἐπιςάτης κληροῖ προέδρους θ', ἀπὸ φυλῆς ἑκάςης ἕνα, πλὴν τῆς πρυτανευούσης. καὶ πάλιν ἐκ τῶν θ' τούτων ἐπιςάτην ἕνα κληροῖ ⟨Telephus ap. Eustath. ρ p. 1827⟩ καὶ τὸ πρᾶγμα παραδίδωσιν, αὐτὸς δὲ εἰσάγει τὴν δίκην, καὶ ἐπιμελεῖται κατὰ νόμον πάντα γενέσθαι καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοὺς δικαςάς.

c ἐπιςάτης. δύο ἦσαν Ἀθήνησιν, ὧν ὁ μὲν ἐκ πρυτάνεων ἐκληροῦτο, ὁ δὲ ἐκ τῶν προέδρων. ἐλέγετο δὲ καὶ ὁ ἐν τοῖς κοινοῖς ἐφεςηκὼς πράγματι ᾡτινιοῦν (Harp.). καὶ Σοφοκλῆς (Ai. 27) "ποιμνίων ἐπιςάταις," τετέςι τοῖς κυσί. Δίων δὲ ὁ Κοκκηιανὸς λέγει (73 16) "οἱ δὲ ἐλέφαντες ἀχθόμενοι τοῖς πύργοις οὐδ' αὐτοὺς ἔτι τοὺς ἐπιςάτας ἔφερον." καὶ αὖθις "Σωκράτης δὲ ἦν ἐπιςάτης, καὶ οὔτε ἐπεψήφιζεν οὔτε κατεχειροτόνει."

d ἐπιςάτης καὶ ἐπὶ τοῦ εἰδήμονος· "ὡς ἰσχνολέσχης τῶν γραφῶν ἐπιςάτης" Πισίδης φησίν.

e ἐπιςάτης χαλκοῦς τρίπους χυτρόποδος ἐκτελῶν χρείαν. οἱ δέ, πήλινος Ἥφαιστος, πρὸς ταῖς ἑςίαις ἱδρυμένος ὡς ἔφορος τοῦ πυρός. ἔνιοι δὲ ξύλον ἐπίμηκες πεπασσαλωμένον, ὅθεν ἐξαρτῶσι τὰ μαγειρικὰ σκεύη. Καλλίςρατος δὲ τὸ τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον. οἱ δὲ πυριςάτην πλαττόμενόν τινα ξύλινον ἐν ταῖς ἐσχάραις, ὡς παρὰ ταῖς καμίνοις τὸν Ἥφαιςον ἀναπλάττουσιν. ἢ ξύλον χόρακας ἔχον, ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ἐργαλεῖα. οἱ δὲ τρίποδα χαλκοῦν, ᾧ ἐπιτιθέασι τὸν λέβητα καὶ ὑποκαίουσιν. οἱ δὲ ἀνδριάντα πήλινον πρὸς ταῖς ἐσχάραις. Ἀριςοφάνης Ὄρνισι (436) "τὴν πανοπλίαν λαβόντε κρεμάσατον τυχἀγαθῇ εἰς τὸν ἰπνὸν εἴσω, πλησίον τοὐπιςάτου."

ἐπιςάτης. (S El. 75) "καιρὸς γὰρ ὅσπερ ἀνδράσι μέγιςος ἔργου παντός ἐς' ἐπιςάτης." ἐφ' ἑκάςου γὰρ πράγματος τὸ καίριον καὶ χρησιμώτατον ὁ καιρός ἐςιν, ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ φύσεως τοῦ νοσήματος διαλεγόμενον, ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο.

ἐπιςάτις, θηλυκῶς, ἀρχή τις ἥτις ἀνεςαμένη συμβουλεύει περὶ πολέμου ἢ εἰρήνης ἢ ἄλλου τινός. Ἀριςοφάνης Θεσμοφοριαζούσαις (380) "Τιμόκλει' ἐπεςάτει, Λύσιλλ' ἐγραμμάτευε."

ἐπιςείβων περιπατῶν.

ἐπιςείριον τὸ τῆς νηός.

ἐπιςέλλει ἐντέλλεται, ὑποτίθεται· (S OR 106) "νῦν ἐπιςέλλει σαφῶς τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινάς."

ἐπιςεφέας κρατῆρας ὑπερχειλεῖς· οὕτως γὰρ ἐποίουν τοὺς κρατῆρας οἱ παλαιοί, πρὸς οἰωνοῦ τιθέμενοι. ἑκάςῳ δὲ ποτήριον παρέκειτο, καὶ μετὰ τὸ διανεῖμαι ἐπαρξάμενοι ἐκίρνων. πᾶσι δ' ἐπαρξάμενοι, οὐ τοῖς ποτηρίοις ἀλλὰ τοῖς ἀνδράσιν. cf. Athen. p. 13.

ἐπίςῃ ἀόριςος δεύτερος. καὶ ἀντὶ τοῦ ἐπίςασαι. ἢ ἐπιτίθει.

ἐπίςηθι ἐπενέχθητι, ἐπιτέθητι.

ἐπιςήματα ςῆλαι ἐπιτάφιοι. "ἔθαψάν τε ἐκείνους αὐτόθι σεμνῶς τε καὶ σοβαρῶς, καὶ ἐπιςήματα ἐπέςησαν. νεανία ἤςην, ὁ μὲν ἤδη γενειῶν ὁ δὲ αὐτοῖν γυμνὸς τὴν παρειὰν ἔτι." cf. v. σοβαρός.

ἐπιςήμη καὶ αἴσθησις τῶν ἀνομοιογενῶν καὶ μὴ πολὺ διεςώτων, ἃ ἕτερα ἀλλήλων κατὰ γένος· τῆς μὲν γὰρ ἐπιςήμης ἡ ὑπόληψις γένος, ἡ δὲ αἴσθησις οὐχ ὑπόληψις. κατ' ἀναλογίαν μέντοι ταὐτά ἐςιν· ὡς

γὰρ αἴσθησις πρὸς αἰσθητά, οὕτως ἐπιςήμη πρὸς ἐπιςητά. καὶ ἀμφότερα κριτικά. ἤδη γοῦν τινὲς διὰ τὴν ὁμοιότητα αὐτῶν ταὐτὸν ἐπιςήμην τε καὶ αἴσθησιν εἶπον εἶναι. διαφέρει δὲ ἀλλήλων. ἡ μὲν γὰρ αἴσθησις περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν, ἐπιςήμη δὲ οὐδενὸς ἐνδεχομένου. καὶ ἡ μὲν ἐπιςήμη ἑκάςη τῆς τῶν ἐπιςητῶν οὐσίας γνωςική, ἡ δὲ αἴσθησις οὐδενὸς τῶν αἰσθητῶν τῆς οὐσίας ἐςὶ γνωςική. καὶ ἡ μὲν ἐπιςήμη ἐπίκτητος, ἡ δὲ ἐξ ἀρχῆς. καὶ ἡ μὲν κοινὴ τῶν ἄλλων ζῴων, ἡ δὲ ἴδιος ἀνθρώπων ἢ ὅλως λογικῶν. καὶ ἡ μὲν φύσει, ἡ δὲ διδασκαλίᾳ. καὶ ἐπὶ μὲν τῆς αἰσθήσεως προάγει ἡ ἕξις τὰς ἐνεργείας, ὁρατικοὶ γὰρ ὄντες εἴδομεν· κατὰ δὲ τὰς ἐπιςήμας τὰς ἕξεις διὰ τῶν ἐνεργειῶν κτώμεθα, ἐνεργοῦντες γὰρ κατὰ τὰ γραμματικὰ γραμματικοὶ γινόμεθα. καὶ αἰσθήσεως μὲν ἀναιρουμένης συναναιρεῖται καὶ τὸ ζῷον, ἐπιςήμης δὲ ἀναιρουμένης οὐκ ἀναιρεῖται τὸ ζῷον. Alex. Aphrod. in Top. 1 p. 62.

b ἐπιςήμη. ὅτι φησὶν ὁ Ἀριςοτέλης ἐν τῇ ἀποδεικτικῇ κατὰ δύο τρόπυς κρίνεσθαι ἐπιςήμην ἐπιςήμης ἀκριβεςέραν, καθ' ἕνα μὲν ὅταν ἡ ἑτέρα τῆς ἑτέρας τὰς ἀρχὰς ἀποδεικνύῃ, οἷον φυσιολογία ἰατρικῆς ἀκριβεςέρα. ὡσαύτως καὶ ἡ γεωμετρία μηχανικῆς, διὰ τὴν αὐτὴν αἰτίαν, καὶ ἀριθμητικὴ ἁρμονικῆς. καθ' ἕτερον δὲ λόγον ἀκριβεςέρα ἐςὶν ἐπιςήμη ἐπιςήμης ὡς ἄυλον ἔχουσα τὸ ὑποκείμενον, ὡς γεωμετρία ἀριθμητική τε καὶ θεολογία τῶν ὑποβαλλομένων τὰ ὑλικὰ ὑποκείμενα. διό φησι καὶ Ἀριςοτέλης ἐν τοῖς μετὰ τὰ φυσικὰ ὅτι ἡ τῶν νοητῶν θεωρία καὶ ῥᾴςη ἐςὶ καὶ χαλεπή, ῥᾴςη μὲν ὅτι περὶ ἑςώτων ἐςὶ πραγμάτων καὶ ἀεὶ ὡσαύτως ἐχόντων· φανότατα γὰρ τὰ θεῖα ὡς ἀμετάβλητα καθάπαξ κατ' οὐσίαν, κατὰ δύναμιν, κατ' ἐνέργειαν. ῥᾴςη μὲν οὖν διὰ τοῦτο, χαλεπὴ δὲ διὰ τὴν ἡμετέραν ἀσθένειαν· ὃ γὰρ ἰσχύομεν ἐν σώματι καὶ ἐμπαθεῖς ὄντες εἰς τὸ ἐκείνων φῶς ἀτενίσαι, ὅπερ πάσχουσι καὶ αἱ νυκτερίδες πρὸς τὸν ἥλιον. Philopon. in 1 de anima.

c ἐπιςήμη δέ ἐςιν ἕξις ἐν φαντασιῶν προσδέξει ἀνυποκρίτῳ. Diog. L. 7 165.

ἐπιςήμας δὲ κατὰ φιλοσοφίαν λέγει ὁ Ἀριςοτέλης τὴν φυσικήν, τὴν λογικήν, τὴν ἠθικήν, τὴν μετὰ τὰ φυσικά. ἐπιςήμη δὲ καὶ ἡ γνῶσις τοῦ πράγματος.

ἐπιςήμονος τοῦ ἐμπείρου.

ἐπίςιον ςρατιωτικὸν κατάλυμα· Ἡρόδοτος ⟨5 72⟩ "ὃ δὲ ἀγηλατέει τὰ ἐπίςια Ἀθηναίων."

ἐπίςιος παρὰ Ἡροδότῳ ⟨1 35⟩ ὁ ἔποικος.

ἐπιςολεῖς γραμματοφόρους. ⟨Theophyl. Sim. 5 8⟩ "ὁ δὲ Ναρσῆς ἐπιςολεῖς πρὸς Ἰωάννην πέμπει, καὶ παρεγγυᾷ αὐτῷ ὡς οὐ δεῖ Πέρσαις συμπλέκεσθαι, πρὶν αἱ δυνάμεις συναφθεῖεν." "οἱ δὲ ςρατηγοὶ τῶν Περσῶν τοὺς λόγους δι' ἐπιςολέως εἰς βασιλέα παρέπεμψαν."

ἐπιςολὴ ἐντολή, ἐπίσκηψις. "ὃ δὲ τῷ ἱερεῖ ἐπιςολὰς λέγει καθεύδοντι." "ὁ τὰς ἐπιςολὰς τοῦ θεοῦ διαφυλάττων μέμνηται καλῶς καὶ τῆς πρὸς αὐτὸν ἐπανόδου." a

ἐπιςολὴ Ἰουλιανοῦ τοῦ παραβάτου ⟨36⟩ πρὸς Πορφύριον καθολικόν. "πολλή τις ἦν πάνυ καὶ μεγάλη βιβλιοθήκη Γεωργίῳ, παντοδαπῶν μὲν φιλοσόφων πολλῶν δὲ ὑπομνηματογράφων, οὐκ ἐλάχιςα δὲ ἐν αὐτοῖς καὶ τὰ τῶν Γαλιλαίων πολλὰ καὶ παντοδαπὰ βιβλία. πᾶσαν οὖν ἀθρόως ταύτην τὴν βιβλιοθήκην ἀναζητήσας φρόντισον εἰς Ἀντιόχειαν ἀποςεῖλαι, γινώσκων ὅτι μεγίςῃ δὴ αὐτὸς περιβληθήσῃ ζημίᾳ, εἰ μὴ μετὰ πάσης ἐπιμελείας ἀνιχνεύσειας, καὶ τοὺς ὁπωσοῦν ὑπονοίας ἔχοντας ἀφῃρῆσθαι τῶν βιβλίων πᾶσι μὲν ἐλέγχοις παντοδαποῖς δὲ ὅρκοις, πλείονι δὲ τῶν οἰκετῶν βασάνῳ, πείθειν εἰ μὴ δύναιο, καταναγκάσειας ἐς μέσον πάντα προκομίσαι." b

ἐπιςομιεῖν ἐμποδίσαι, κατασχεῖν.

ἐπιςομίζω σε.

ἐπιςρατεύω δοτικῇ.

ἐπιςρέφεια ἡ ἀγχίνοια.

ἐπιςρέφεται φροντίδα ποιεῖ. καὶ ἐπιςροφὴ ἡ ἀντέκτισις.

ἐπιςρεφέως ἀντὶ τοῦ ἐπιμελῶς παρὰ Ἡροδότῳ ⟨1 30⟩ καὶ ἀπατητικῶς.

ἐπιςρεφής· ⟨Damasc. Phot. p. 336 b⟩ "ὁ δὲ ἀγχίνους ὢν καὶ ἐπιςρεφὴς ὅμως τι εὐπαράγωγον ἐπεδείκνυτο."

ἐπιςροφάδην μετ' ἐπιςροφῆς, ἐφ' ἑκάτερα τὰ μέρη ςρεφόμενος.

ἐπιςροφή, ἐπειδὰν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ παραςάτην καὶ ἐπιςάτην καθάπερ ἀνδρὸς ἑνὸς σῶμα ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν, καθάπερ ἐπὶ κέντρῳ τῷ λοχαγῷ παντὸς τοῦ τάγματος περιενεχθέντος,

καὶ μεταλαβόντες τόπον μὲν τὸν ἔμπροσθεν ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν, διαμενόντων ἑκάςῳ τῶν τε παραστατῶν καὶ ἐπιστατῶν. Aelian. Tact. 25.

ἐπιςροφῆς ἀμύνης· ⟨Polyb. 4 4⟩ "ὃ δὲ δεινὸν ἡγεῖτο τὸ γινόμενον, καὶ κοινῆς αὐτὸς ἐπιςροφῆς ἔφη τεύξεσθαι, καὶ τοῦτο πείσεσθαι δικαίως." λέγεται δὲ ἐπιςροφὴ καὶ ἡ φροντίς· "ἡ σύγκλητος πλείονος ἐπιςροφῆς εἶναι τὸ πρᾶγμα νομίσαντες." καὶ Ἀριςοφάνης ⟨Ran. 1403?⟩ ··· ⟨S OC 537⟩ "μυρίαι ἐπιςροφαὶ κακῶν" ἀντὶ τοῦ συνελεύσεις, πλῆθος καὶ συναθροίσεις.

a ἐπίςω γίνωσκε· ⟨S OR 658⟩ "εὖ νῦν ἐπίστω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ ζητῶν ὄλεθρον."

b ἐπίςω γίνωσκε· ⟨S Trach. 182⟩ "τὸν γὰρ Ἀλκμήνης τόκον καὶ ζῶντ' ἐπίςω καὶ κρατοῦντα." καὶ αὖθις Σοφοκλῆς ⟨Phil. 1325⟩ "καὶ ταῦτ' ἐπίςω καὶ γράφε φρενῶν ἔσω· σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης." ⟨id. El. 616⟩ "εὖ νῦν ἐπίςω τῶνδέ μ' αἰσχύνην ἔχειν." καὶ Ἀριςοφάνης ⟨Av. 1432⟩ "σύγγνωθί μοι· σκάπτειν γὰρ οὐκ ἐπίςαμαι" ἀντὶ τοῦ οὐ δύναμαι.

ἐπισυνήεσαν συνηθροίζοντο· "οἱ ἐξόπισθεν ἀπολελειμμένοι ἐπισυνήεσαν."

ἐπισυνιέναι ἐπισυνάγεσθαι ἐγγυτέρω καὶ συνέρχεσθαι.

ἐπισύρεται ἐφέλκεται.

ἐπισύσητε ⟨Ierem. 20 10⟩ ἐπισυνάχθητε, ἐπὶ συνελεύσει.

ἐπισφαλές βλαβερόν, ἐπικίνδυνον.

ἐπισφυρίοις ⟨Hom. Γ 331⟩ τοῖς ἐπὶ τῶν κνημίδων περιδεδεμένοις.

ἐπισχερῶ ἐφεξῆς.

ἐπὶ σχολῆς ἀπραγμόνως φιλοσοφεῖν ⟨Iulian. ep. 55⟩ ἀντὶ τοῦ ἐπὶ εὐκαιρίας ἢ ἀργίας.

ἐπισχών κρατήσας, βραδύνας· Σοφοκλῆς ⟨Ai. 845⟩ "σὺ δ' ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν γέροντι πατρί."

ἐπιτάδε τὴν ἔνθεν· "πᾶσαν τὴν ἐπιτάδε τῶν ποταμῶν τοῖς βαρβάροις ἄβατον καταςήσας."

ἐπιτακτικῶς προσταχτικῶς· ⟨Diodor. Sic. t. 2 p. 619⟩ "τοὺς δὲ πρὸς αὐτὸν πρεσβεύοντας ἐπιτακτικῶς αὐτῷ διαςέλλειν περὶ τούτων."

ἐπιτακτοί ςρατιῶται οἱ προςεταγμένοι τὴν μάχην ἐφορᾶν καὶ τῷ πονοῦντι μέρει βοηθεῖν. Θουκυδίδης ⟨6 67⟩ "καὶ τοὺς σκευοφόρους ἐντὸς τούτων τῶν ἐπιτακτῶν ἐποιήσαντο."

ἐπὶ τὰ Μανδροβόλου, ἐπὶ τῶν εἰς τὰ χείρονα τρεπομένων, ἀπὸ Μανδροβόλου τινὸς τὸ ἐν Σάμῳ γεωφάνιον εὑρόντος, καὶ πρῶτον μὲν κριὸν χρυσοῦν ἀναθέντος, ἔπειτα ἀργυροῦν, ἔπειτα χαλκοῦν ἐλάττονα, εἶτα οὐκέτι, ὡς Ἔφορος. cf. v. ἐπὶ τοῦ Μανδρ.

ἐπιτάρροθος ὁ βοηθός.

ἐπιτάσσω δοτικῇ.

ἐπιτάφιον· "αὕτη ἡ πληγὴ καὶ τῆς ἀρετῆς αὐτῷ ἐπιτάφιον ἦν ἐγκώμιον."

ἐπιτεθῆναι.

ἐπιτείλας ἀνατείλας· "νενικηκότας αὐτοὺς ὁ ἥλιος ἐπιτείλας ἴδῃ."

ἐπίτειλον ⟨Hom. Ω 112⟩ πρόςαξον.

ἐπιτειχίζει ἐποικοδομεῖ.

ἐπιτειχισάντων ἐπελθόντων.

ἐπιτείχισμα τὸ τειχιζόμενον κατά τινων χωρίον, ὅθεν ἦν τοὺς ἐπιτειχισθέντας κακῶς ποιεῖν. καὶ τὸ πρᾶγμα δὲ ἐπιτειχισμός. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨71⟩. Harp.

ἐπιτελεοῦν καὶ ἐπιτελέωμα. ἐπιτελέωμα λέγεται τὸ ἐπὶ πᾶσι θυόμενον ὑπὲρ τοῦ τελείας γίνεσθαι τὰς πρότερον θυσίας. Harp.

ἐπιτελῆ εἰς πέρας ἀγόμενα· "ὃ δὲ ὑπέσχετο πάντα ἐπιτελῆ ποιήσειν."

ἐπιτέλλεται ἐντέλλεται, παραγγέλλει.

ἐπιτεμόμενος περικόψας· "κέλευσόν με ἀποθνήσκειν, ἐπιτεμόμενος τῷ ςαυρῷ τὴν περίοδον."

ἐπίτεξ ἦν ἡ γυνή ⟨Herodot. 1 111⟩ ἀντὶ τοῦ ἐν αὐτῷ τῷ κύειν.

ἐπιτετράφαται ⟨Hom. B 25⟩ ἐπιτετραμμένοι εἰσίν.

ἐπιτέτριψαι. ποτὲ μὲν ἐπὶ ὑπερηφανίᾳ τάττεται, ποτὲ δὲ ἐπὶ κατάρᾳ· ⟨A Pac. 368⟩ "καὶ μὴν ἐπιτέτριψαί γε."

ἐπιτετυφωμένον ἐπικεκαυμένον.

ἐπίτευγμα ἐπιτυχία· ⟨Diodor. t. 2 p. 630⟩ "οἱ δὲ θαυμάσαντες τὰ πλήθη τῶν κατοικούντων τὴν Αἴγυπτον καὶ τὰ τῶν τόπων ἐπιτεύγματα διέλαβον μεγίςην ἡγεμονίαν εἶναι."

ἐπιτεύξομαί σου.

ἐπιτήδεια τὰ πρὸς τροφὴν ἁρμόδια· "ἐσθῆτας δὲ καὶ τὰ ἐπιτήδεια ἔκπλεα παρεῖχε." Ξενοφῶν "τὰ ἐπιτήδεια ἄφθονα παρῆν." Ἀρριανός "οὐδὲν ἄλλο εἰ μὴ τὰ ἐπιτήδεια τῆς δικαίας τιμῆς λαμβάνοντας."

ἐπιτηδειέστερος· "καὶ γὰρ ὁ Μιθριδάτης τά τε ἄλλα ἔνδικος βασιλεὺς ἦν καὶ Ῥωμαίοις ἐπιτηδειέστερος."

a ἐπιτήδειος φίλος, εὔνους, ἁρμόδιος· Ξενοφῶν (Anab. 2 3 11) "ὃ δὲ βακτηρίαν ἔχων, εἴ τις αὐτῷ δοκοίη βλακεύειν, ἐκλεγόμενος τὸν ἐπιτήδειον ἔπαιεν ἄν."

b ἐπιτήδειος παρὰ τὸ δέος, ὃ σημαίνει τὸν φόβον, ἄδεος, καὶ πλεονασμῷ τοῦ ι ἄδειος, ὁ ἐστερημένος τοῦ φοβεῖσθαι· ἐκτάσει τοῦ α εἰς η καὶ πλεονασμῷ τοῦ τ, μετὰ τῆς ἐπὶ προθέσεως, ἐπιτήδειος.

ἐπιτηδείως ἐπιρρηματικῶς.

ἐπίτηδες ἐκ σπουδῆς· (A Eccl. 116) "οὔκουν ἐπίτηδες ξυνελέγημεν;" καὶ αὖθις (Eq. 1140) "ὥσπερ ἐπίτηδες."

a ἐπιτήδευμα ἄσκησις, μάθησις. "Ἰκανὸς ὄνομα, λῃστὴς τὸ ἐπιτήδευμα, ὃς ἀνεῖλεν Αἰσχύλον τὸν αὐλητὴν καὶ Στησίχορον τὸν κιθαρῳδόν." "καὶ τὸ μὲν ἐπιτήδευμα ἦν ῥήτωρ, Διοπείθης τὸ ὄνομα," καὶ αὖθις "ὃ δὲ ἦν τὸ ἐπιτήδευμα ἔμπορος."

b ἐπιτήδευμα τοῦ βίου ἡ διαγωγή.

ἐπιτήδευσις πρᾶξις καὶ σπουδὴ καὶ ἐργασία· "ὃ δὲ ἦν εὐτελὴς τὴν ἐπιτήδευσιν, οὐδὲν ὅτι μὴ ποιμὴν τὰ κατ' ἀρχάς" (Eutrop. 4 16?).

ἐπιτήθη ἡ τῆς τήθης μήτηρ, ὥστε εἶναι τὴν μὲν τήθην μητρὸς ἢ πατρὸς μητέρα, τὴν δὲ ἐπιτήθην τῆς τοῦ πατρὸς μητρὸς καὶ τῆς μητρὸς μητέρα. οὕτως Ἰσαῖος ἐν τῷ πρὸς Δωρόθεον.

ἐπιτίθης περαίνεις· "ἐπεὶ καὶ σὺ τῶν σῶν ὑπηκόων τοῖς τι θανάτου ἄξιον ἐξεργασαμένοις αὐτὸς ἐπιτίθης τὴν δίκην."

ἐπιτίθησιν ἀποπέμπει· Δαμάσκιος "καὶ δὴ γραψάμενος ἐπιστολὴν πρὸς τοὺς ἐν Καρίᾳ δύο φιλοσόφους ἐπιτίθησιν."

ἐπιτιμήσεις παρὰ Ἀριστοτέλει πέντε εἰσί. λέγει γὰρ ὅτι μὴ αἱ αὐταὶ ἐπιτιμήσεις ἐξεταζομένῳ λόγῳ καὶ ἐρωτωμένῳ. πρώτη δέ ἐστιν ὅταν ἐκ τῶν ἠρωτημένων μηδὲν συμπεραίνηται, μήτε τὸ προκείμενον μήτ' ἄλλο τι· τουτέστιν ἂν ἀσυλλόγιστον ᾖ, καὶ ἔτι ψευδεῖς ὦσιν αἱ κείμεναι προτάσεις ἢ ἄδοξοι, ἐφ' αἷς ἐπιφέρει τὸ συμπέρασμα. τοιοῦτος γὰρ ὁ λέγων "τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν·" οὐ γὰρ τοῦτο συνάγεται. οὕτως μὲν οὐ δοκεῖ τὸ προκείμενον συνάγειν, ἀλλ' ἄλλο τι συνάγει συλλογιστικῶς· τὸ γὰρ παρὰ τὸ μὴ ὂν οὐδέν. ἕτερος δὲ λόγος "εἰ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ γενόμενον οὐκ ἔχει· ἀλλὰ μὴν τὸ γενόμενον ἀρχὴν ἔχει·" οὔτε τὸ προκείμενον οὔτ' ἄλλο τι συλλογίζεται, πρὸς τῷ καὶ τὰ λαμβανόμενα ψευδῆ τε καὶ ἄδοξα λαμβάνειν. δευτέραν εἴθησιν ἐπιτίμησιν, εἰ αἱ μὲν προτάσεις συλλογιστικῶς εἶεν κείμεναι καὶ ὁ λόγος εἴη συλλογιζόμενός τι, μὴ μέντοι τὸ προκείμενον ἀλλ' ἄλλο τι. τρίτη ἐπιτίμησις, εἰ προστιθέμενά τινα συνάγει τὸ προκείμενον συλλογιστικῶς, τὸ μέντοι προστιθέμενον χεῖρόν τε εἴη τῶν κειμένων καὶ ἠρωτημένων καὶ ἧττον ἔνδοξον τοῦ συμπεράσματος. τετάρτη ἐπιτίμησις, ἂν ἀφαιρουμένου ἀπὸ τοῦ λόγου ἐκ τῶν λειπομένων συνάγηται συλλογιστικῶς, ὃ ἔχουσιν οἱ παρέλκοντες λόγοι. πέμπτην ἐπιτίμησίν φησιν εἶναι, εἰ ἐξ ἀδοξοτέρων καὶ ἧττον πιστῶν τοῦ συμπεράσματος ὁ λόγος εἴη, ἢ ἐξ ἀληθῶν μέν, χαλεπωτέρων δὲ δειχθῆναι τοῦ προβλήματος. Alex. Aphrod. in Top. 8 p. 270.

ἐπιτίμησις ἀποτροπή.

ἐπιτιμητάς. τιμηταὶ μὲν οἱ πρῶτόν τι ἐκαλοῦντο τιμώμενοι, ἐπιτιμηταὶ δὲ οἱ χρόνῳ ὕστερον τὰ αὐτὰ τιμώμενοι. Harp.

ἐπιτιμία εὐπορία, ἢ ἡ μὴ ἀτιμία· Κέφαλος ῥήτωρ "ὁσάκις αὐτὸν κινδυνεύοντα περὶ τῆς ἐπιτιμίας ἢ τῆς πατρίδος ἢ τοῦ βίου παντὸς διεσώσατε;"

ἐπιτίμια τὰ ἐπὶ τιμῇ τινὸς γινόμενα· a
Σοφοκλῆς (El. 915) "ἀλλ' ἐς Ὀρέστου ταῦτα τἀπιτίμια."

ἐπιτίμια οἱ μισθοί· Σοφοκλῆς (El. 1380) b
"γενοῦ πρόφρων ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων, καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια," τουτέστι τοὺς μισθούς.

ἐπίτιμον πλούσιον, ἢ τὸν μὴ ἄτιμον. Λουκιανός (Toxar. 26) "ἡ βουλὴ δὲ ἐπικλασθεῖσα πρὸς αὐτὸν ἀφίησι τῷ Μενεκράτει τὴν καταδίκην, καὶ ἤδη ἐπίτιμός ἐστι." "τούς τε δούλους ἐλευθέρους καὶ τοὺς ἀτίμους ἐπιτίμους καὶ τοὺς μετοίκους πολίτας καὶ τοὺς ὀφείλοντας ἀφεῖσθαι ἐψηφίσαντο."

ἐπίτιμος ὁ τετιμημένος καὶ οὐκ ἄτιμος.

ἐπιτιμῶσα· "τοῖς μὲν ἐρασθεῖσιν ὡς ἑταίρα συνῆν, ἀθροῦς αἰτοῦσα τοὺς μισθούς, ἐπιτιμῶσα δὲ τὴν ὑπὲρ τῆς ὁμιλίας αἴτησιν διὰ τὸ μὴ ἐξεῖναι δρᾶν ἐμφανῶς ἃ ἐθέλει," βαρύνουσα τὴν τιμήν.

ἐπιτίτθιον ὑπομάζιον, ὑπὸ τὴν τροφόν.

ἐπιτολῆς ἀνατολῆς, φάνσεως ἄϛρου.

ἐπιτολμῆσαι, δοτικῇ, ἐπιβουλεύσασθαι· "καὶ ἀναπείθει ἐπιτολμῆσαι τῷ Λυκίδῃ καὶ τῷ Σωσ., ἐπαίρει δὲ ἅτε φορτηγὸς τοιοῦτος, ῥᾷϛά τε ἀναπείθει, καὶ νυκτὸς γενομένης ἀκράτου."

ἐπίτομος.

ἐπιτομώτατον τὸ συντομώτερον.

a ἐπίτονος ὁ δεσμεύων ἱμὰς πρὸς τὸν ἱϛὸν τὸ κέρας.

b ἐπίτονος. Ἀριστοφάνης ⟨Lys. 922⟩ ἐπὶ ἐπιτόνου. γελοῖον δὲ ἐπὶ δέρματος. καὶ Ὅμηρος ⟨μ 423⟩ "ἐπίτονος βέβλητο."

ἐπιτοπίζω κατοικίζω.

ἐπὶ τοῦ Μανδραβόλου, ἐπὶ τῶ κατὰ τὸ χεῖρον προκόπτοντος· ὁ γὰρ Μανδράβολος θησαυρὸν εὑρὼν τῷ πρώτῳ χρόνῳ πρόβατον χρυσοῦν ἀνέθηκε τῇ Ἥρᾳ, τῷ δὲ δευτέρῳ ἀργυροῦν, καὶ τῷ τρίτῳ χαλκοῦν. cf. v. ἐπὶ τὰ Μανδρ.

ἐπιτραπέζια διηγήματα. Basilius M. t. 1 p. 69 D.

ἐπιτραπεζώματα τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα. Athen. p. 170.

ἐπιτραχήλιος κόσμος.

ἐπιτρέπει χαρίζεται, παραδίδωσιν· "ὃ δὲ τῆς ἐμῆς σατραπείας φυγάδα ἐλαύνει, καὶ τούτῳ ἐπιτρέπει."

ἐπιτρέπειν τοῖς οἰκείοις Δημοσθένης ⟨27 1⟩ ἀντὶ τοῦ δικαϛὰς αὐτοὺς αἱρεῖσθαι. Λυσίας δὲ "ἐπέτρεψεν ἀνδράσιν" εἶπεν ἀντὶ τοῦ ἐπιτρόπους κατέϛησεν. Harp.

ἐπιτρέχειν τοῦ διώκειν διαφέρει· ἐπιτρέχει μὲν γάρ τις τῷ μὴ φεύγοντι, διώκει δὲ τὸν φεύγοντα. ἔϛι δὲ τὸ διώκειν οἷον ἐλαύνειν· ἔνθεν καὶ ἀποδιώκειν λέγεται.

ἐπιτριβείη ἐντριβὴς γένοιτο, ἔμπειρος ὑπάρξοι, ἢ παρορμηθείη. σημαίνει δὲ καὶ ἀπολεσθείη.

ἐπιτριβόμενοι ἐπερχόμενοι.

ἐπίτριπτος ὁ ἐπιτριβῆναι ἄξιος.

ἐπιτρίταις. Ἰσαῖος ἐν τῷ κατὰ Καλλιφῶντος "ἑξακοσίαις δραχμαῖς ἐπιτρίταις," ἀντὶ τοῦ ἐπὶ ή ὀβολοῖς, κατὰ τὸ τρίτην εἶναι μερίδα τοὺς ή ὀβολοὺς τοῦ τετραδράχμου. Harp.

ἐπιτρῖψαι, αἰτιατικῇ, ἀπολέσαι.

ἐπιτροπεύω γενικῇ. αἰτιατικῇ δέ "καὶ ἐπετρόπευσε μὲν τὸν υἱὸν Ἀλεξάνδρου τὸν Ἡρακλέα κληθέντα."

ἐπιτροπή παρατροπή· "ὁ δὲ Λεύκιος προχειριζόμενος διαπέμπεσθαι πρὸς τὰς Λαπατηνοὺς καὶ λαλεῖν ὑπὲρ ἐπιτροπῆς ἀπαράσκευος ἦν εἰς τὸ μέλλον".

ἐπιτροχάδην ἠπειγμένως, ὥσπερ τρέχων. ἢ κεφαλαιωδῶς, ταχέως. "κόραξ ἐπιτρόχως φθεγγόμενος χειμῶνα σημαίνει" ⟨Aelian. N A 7 7⟩.

ἐπὶ τροχοῦ δεῖ σ' ἐκεῖ ϛρεβλούμενον εἰπεῖν ἃ πεπανούργηκας" Ἀριϛοφάνης Πλούτῳ ⟨876⟩. παροιμία ἐπὶ τῶν πονηρῶν· τροχὸς γάρ τις ἦν ἐν Ἀθήναις, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο. cf. v. τροχισθεῖσα.

ἐπίττουν ἠσέλγουν, κατεφίλουν. πιττοῦν δέ ἐϛι κυρίως τὸ τὰς πλατείας ναῦς πίττῃ χρίειν· ἔνθεν οὖν μετενήνεκται ἡ λέξις. ἢ ἀντὶ τοῦ ἐκίνουν, συνῆλθον· Ἀριϛοφάνης Πλούτῳ ⟨1094⟩ "ἱκανὸν γὰρ αὐτὴν πρότερον ἐπίττουν χρόνον." ἔπιτον δέ, δι' ἑνὸς τ, ἐπέρχεσθε, ἐπιπορεύεσθε· "λέγετον, ἔπιτον" Ἀριϛοφάνης Βατράχοις ⟨1117⟩.

ἐπιτυφῇ ἐπικαῇ, ἐκπυρωθῇ. οὕτως Ἀριϛοφάνης ⟨Lys. 221⟩ "ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιϛά μου," ἐπικαυθῇ ἐπ' ἐμοί.

ἐπιτυχοῦσιν εὐτελέσι· "περὶ ὑπάτων μὴ ῥᾳθύμως σκοπεῖν, ὡς οὐ τοῖς ἐπιτυχοῦσι δέον ἐγχειρίσαι τὴν ἀρχὴν τοσούτων περιεϛηκότων κινδύνων τὴν πόλιν."

ἐπιτωθάζων ἐπιλοιδορούμενος, ἢ ἐπεμβαίνων, ἢ καυχώμενος, ἢ χλευάζων.

ἐπὶ τῶν ὑποκειμένων ἐπὶ τῶν φθασάντων γενέσθαι· ⟨Polyb. 14 2⟩ "πρέσβεις δὲ ἔπεμπε διασαφοῦντας Πόπλιον μὲν εὐδοκεῖν τὴν εἰρήνην, τοὺς δὲ ἐν τῷ συνεδρίῳ διαφέρεσθαι, καὶ φάναι διαμένειν ἐπὶ τῶν ὑποκειμένων," ἐνεϛώτων.

ἐπιφαίνεται ὑψόθεν, ὑποφαίνεται δὲ χαμόθεν.

ἐπιφάνεια. ἐπιφάνειά ἐϛι σώματος πέρας, ἢ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, βάθος δὲ οὔ. αὐτὴ δὲ κατ' ἐπίνοιαν καὶ καθ' ὑπόϛασιν λέγεται ⟨Diog. L. 7 135⟩. ἐπιφάνεια δὲ καὶ ἡ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριϛοῦ ἔνσαρκος οἰκονομία.

ἐπιφάνιον καὶ τὰ ἐπιφάνεια.

a **Ἐπιφάνιος** Κωνσταντείας τῆς Κύπρου ἐπίσκοπος, τῆς πρότερον Σαλαμίνης, ἔγραψε κατὰ πασῶν τῶν αἱρέσεων λόγους, ἃ πανάρια λέγονται, καὶ ἕτερα πολλά, ἅτινα παρὰ μὲν τῶν πεπαιδευμένων διὰ τὰ πράγματα παρὰ δὲ τῶν ἰδιωτῶν διὰ τὰ ῥήματα ἀναγινώσκεται. τελευτᾷ ἐσχατογήρως. Sophronius.

b **Ἐπιφάνιος** Οὐλπιανοῦ Πετραῖος σοφιστής, παιδεύσας ἔν τε αὐτῇ καὶ ἐν Ἀθήναις, ἔγραψε περὶ κοινωνίας καὶ διαφορᾶς τῶν στάσεων, προγυμνάσματα, μελέτας, δημάρχους, πολεμαρχικόν, λόγους ἐπιδεικτικούς, καί τινα σύμμικτα θεωρήματα.

c **Ἐπιφάνιος** ἐπίσκοπος Σηλυβρίας ἢ Ὀλυβρίας ἔγραψε λόγον ἀντιρρητικὸν κατ' εἰκονοκαυστῶν, λίαν ὠφέλιμον.

Ἐπιφάνιος καὶ **Εὐπρέπιος** ἐγενέσθην Ἀλεξανδρεῖς τὸ γένος ἀμφότεροι, καὶ τῶν παρὰ Ἀλεξανδρεῦσι τελετῶν νομιζομένων δαημονέστατοι, τῶν μὲν Περσικῶν καλουμένων ὁ Εὐπρέπιος ἐξάρχων, τῶν δὲ ἀμφὶ τὸν Ὄσιριν ὁ Ἐπιφάνιος, οὐ μόνον δὲ ἀλλὰ καὶ τῶν τοῦ Αἰῶνος ὑμνουμένου θεοῦ, ὃν ἔχων εἰπεῖν ὅστις ἐστὶν ὅμως οὐ γράφω κατά γε τὴν παροῦσαν ταύτην ὁρμήν. ὁ δὲ Ἐπιφάνιος ἐξηγεῖτο καὶ τῶνδε τῶν ἱερῶν. οὗτοι μέντοι οἱ ἄνδρες οὐκ ἐγένοντο μὲν ἐπὶ τῆς ἀρχαιοπρεποῦς πολιτείας, τοῖς δὲ γενομένοις ἐπιβεβήκασι καὶ ἐνέτυχον, καὶ παρ' ἐκείνων ὠφεληθέντες ἔπειτα τοῖς καθ' ἑαυτοὺς ἐγένοντο πολλῶν ἀγαθῶν ἡγεμόνες, τῶν τε ἄλλων καὶ παλαιῶν διηγημάτων πολύφωνοι κήρυκες. Δαμάσκιος.

a **ἐπίφασις** δήλωσις, ἔνδειξις· "οἱ δὲ ἦκον μετὰ παιανισμοῦ καὶ στεφάνων καὶ τῆς τῶν νικώντων ἐπιφάσεως."

b **ἐπίφασις.** (Polyb. 32 11) "διὰ τὸ πολλὴν ἐπίφασιν γενέσθαι τῆς εὐδαιμονίας περί τε τοὺς κατ' ἰδίαν βίους καὶ περὶ τὰ κοινά, τῶν ἐκ Μακεδονίας μετακομισθεισῶν εἰς τὴν Ῥώμην χορηγιῶν." καὶ αὖθις (14 2) "κατὰ μὲν τὴν ἐπίφασιν ἐποίει τινά, τῇ δὲ ἀληθείᾳ περὶ τὰς παρασκευὰς εἶχεν."

ἐπιφέρειν κατηγορεῖν, διασύρειν· "ἄλλο μὲν οὐδὲν ἐπιφέρειν ἔχων, ὅτι δὲ εὔνους εἴη Ῥωμαίοις."

ἐπιφοιτᾷ (Herodot. 2 73) παραγίνεται.

ἐπιφοραῖς καταδίκαις. "οἱ δὲ πεισθέντες καὶ παραδόντες ἑαυτοὺς εἰς τὴν ἐπιφορὰν τῶν πολεμίων ἀπέθανον γενναίως," ἀντὶ τοῦ τὴν ἐπέλευσιν.

ἐπιφορήματα παρὰ Ἡροδότῳ (1 133) τραγήματα.

ἐπίφορος ὁρμητικός· "οὐδὲ πρὸς ἀδικίαν ἢ πλεονεξίαν ἐπίφορος ἦν, προσκρουστικὸς δὲ καὶ ἁμιλλητικὸς πρὸς τοὺς ἄρχοντας" (Damasc. Phot. p. 351 b 20?).

ἐπιφρασθεὶς ἐνθυμηθείς, διαλογισάμενος· Ἀρριανός (Ind. 27) "ὁ δὲ Νέαρχος ἐπιφρασθεὶς ὅτι σπείρεσθαι τὴν χώραν εἰκός, λέγει πρὸς Ἀρχίαν ὅτι καταληπτέα σφίσιν εἴη τὸ χωρίον."

ἐπιφροσύνῃ συνέσει, φρονήσει.

ἐπίφρων συνετός.

ἐπιφυλλίδα ῥαγολογίαν, ἤτοι μικρὸν βοτρύδιον. τὰ ἐπὶ τοῖς φύλλοις. Ἀριστοφάνης Βατράχοις (92) "ἐπιφυλλίδες ταῦτ' ἐστὶ καὶ στωμύλματα" ἀντὶ τοῦ λάλοι καὶ πιθανολόγοι, ἐπὶ τῶν δοκούντων εἶναι σοφῶν ἢ ποιητῶν. ἐπιφυλλίδες δέ εἰσι τὰ ἐπικείμενα τοῖς μεγάλοις βότρυσι βοτρύδια. Καλλίστρατος δὲ τὰ αὐτὰ καθ' ἑαυτὰ μικρά. κέκληται δὲ οὕτω διὰ τὸ τοῖς φύλλοις καλύπτεσθαι. ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις.

ἐπιφυόμενος περιπλεκόμενος· (Diodor. 2 p. 631) "τοῖς δὲ ταῖς χερσὶν ἐπιφυόμενος ἐδεῖτο βοηθῆσαι τοῖς ἀκληρήμασι." καὶ αὖθις "νυκτὸς γενομένης ἐπεφύοντο τοῖς δυσίν" ἀντὶ τοῦ κατήρχοντο, ἐπεχείρουν.

ἐπιφωνῶ δοτικῇ.

ἐπιχαιρεκακία ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς. οὕτως οἱ φιλόσοφοι. Diog. L. 7 114.

ἐπιχάνῃ· "ἔχεσθαι δὲ αὐτοῦ ἐκέλευσεν, ἵνα μὴ διαδρὰς ἔξω τοῦ στρατοπέδου εἶτα μέντοι ζῶν ἀπέλθῃ καὶ ἐπιχάνῃ" ἀντὶ τοῦ ἐπεγγελάσῃ.

Ἐπιχάρης Σικυώνιος προδότης· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (295). Harp.

ἐπίχαρι.

ἐπίχαρις ἐπιτερπής, ὁμιλητικός· "ὁ δὲ σεμνὸς ὢν καὶ σπουδαστικὸς ὅμως ἐπίχαρις ἦν ἐν ταῖς ὁμιλίαις" (cf. v. σεμνόν).

Ἐπίχαρις ὄνομα κύριον, θηλυκῶς.

Ἐπίχαρμος Τιτύρου ἢ Χιμάρου καὶ Σηκίδος, Συρακούσιος ἢ ἐκ πόλεως Κράστου τῶν Σικανῶν, ὃς εὗρε τὴν κωμῳδίαν ἐν Συρακούσαις ἅμα Φόρμῳ. ἐδίδαξε δὲ δράματα νβ', ὡς δὲ Λύκων φησί, λε'. τινὲς δὲ αὐτὸν Κῷον ἀνέγραψαν, τῶν μετὰ Κάδμου εἰς Σι-

κελίαν μετοικησάντων (Herodot. 7 164), ἄλλοι Σάμιον, ἄλλοι Μεγάρων τῶν ἐν Σικελίᾳ. ἦν δὲ πρὸ τῶν Περσικῶν ἔτη ς' διδάσκων ἐν Συρακούσαις· ἐν δὲ Ἀθήναις Εὐέτης καὶ Εὐξενίδης καὶ Μύλλος ἐπεδείκνυντο. καὶ ἐπιχάρμειος λόγος τοῦ Ἐπιχάρμου.

ἐπιχειλές. οὕτω λέγεται μέτρον τὸ μὴ πλῆρες ἀλλ' ἀπολειπόμενον. Ἀριςοφάνης (Eq. 821) "τὴν πόλιν ἡμῶν μεςὴν ἐποίησεν, εὐρῶν ἐπιχειλῆ."

ἐπίχειρα μισθούς, τὰ διὰ τῶν χειρῶν κέρδη· "ἀνθ' ὧν τὰ ἐπίχειρα ἠνέγκαντο ἀλλήλοις πρεπωδέςατα." sch. A Vesp. 579.

ἐπιχειρεῖν τὸ ἐρωτᾶν καὶ συλλογίζεσθαι· τὸ γὰρ ἐπιχείρημα διαλεκτικός ἐςι συλλογισμός. ἐπιχειρῶ σοι δὲ ἀεί.

ἐπιχειρημάτων ἐννοιῶν.

ἐπιχειρήσειν ἐπιβαλέσθαι· "ἔγραφεν ἐπιχειρήσειν μέλλειν τοῖς Σιγγάροις, καὶ ἐπὶ τῷδε πέμπειν πεζοὺς ἀποχρῶντας."

ἐπιχειρητέα ἀντὶ τοῦ ἐπιχειρητέον, ὡς τὸ τολμητέα· φιλεῖ γὰρ Θουκυδίδης (1 118) τὰ τοιαῦτα.

ἐπιχειροτονία ἡ τῶν χειροτονητῶν ἀπόςασις. Harp. ubi κατάςασις.

ἐπὶ χειρῶν ἀροῦσί σε ἀντὶ τῦ χειραγωγήσουσιν, ποδηγήσουσιν, ὑπερείσουσιν ἀσθενοῦντα, παντοδαπὴν ἐπικουρίαν προσοίσουσιν. Theodoret. in Ps. 90 12.

ἐπιχθονίων ἐπιγείων.

ἐπιχρῆσθαι τὸ πολλάκις κεχρῆσθαι παρὰ Θουκυδίδῃ (1 41).

ἐπιχωρήσας συμπαθήσας, παραχωρήσας· "ἐθέλω σοι τὰ δυνατὰ ἐπιχωρήσας, τῦ μὴ τὸ πέρα ἐς ἀμφίλογον προάγειν τὰ Ῥωμαίων πράγματα, ξύμβουλος γενέσθαι."

ἐπιχώρησις παραχώρησις· Ἀρριανός (Anab. 6 25) "ἴασιν δὲ τῶν παρόντων ἐποίει τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλον ἢ τὴν ὡς γινωσκομένων ἐπιχώρησιν."

ἐπιψαύειν ἐπιθιγγάνειν.

ἐπιψηφιζόμενος ἐπικρίνων, καὶ ἐπιψηφίζων ἐπικυρῶν.

ἐπιωγή (Hom. ε 404) ἡ σκέπη.

ἐπιώρκει ὑπερσυντελικός.

ἐπιώψατο κατέλεξεν, ἐξελέξατο. ἔςι δ' Ἀττικόν. "ὁ βασιλεὺς ἐπιώψατο ἀρρηφόρυς" οἷον κατέλεξεν, ἐξελέξατο· Πλάτων ἐν Νόμοις (p. 947 C).

ἐπλαςολόγει ἐψεύδετο.

ἐπλάττετο ὑπεκρίνετο.

ἐπλημμέλησαν ἠτάκτησαν, ἐρρᾳθύμησαν· πλημμελὲς γὰρ τὸ ῥᾴθυμον καὶ ἀπαίδευτον. "ἵνα ὑπὲρ ὧν ἐπλημμέλησαν κακιῶν φθάνοντες, ἐν τῷ δευτέρῳ προφανεῖ κινδύνῳ ἰσωθῶσι κολασθέντες" (cf. v. ἀνασώσων).

ἔπλην ἐπλησίαζον. ἔςι δὲ ῥῆμα πλῶ τὸ πλησιάζω· παράγωγον πλῆμι, ὁ δεύτερος ἀόριςος ἔπλην.

ἐπλινθεύθησαν. τὸ κατακλεισθῆναι περιῳκοδομημένον, ὥςε ἔξοδον μὴ εἶναι καὶ οὕτω παντελεῖ ἀπορίᾳ ποτοῦ καὶ τροφῆς τεθνάναι, πλινθευθῆναι λέγεται. cf. v. Ἀναγυράσιος.

ἐπλωίσατο.

ἔπνει δεινὸν ὠργίζετο.

ἐπόγδοον τὸ δεδανεισμένον ὥςε τῦ κεφαλαίου τὸ ὄγδοον μέρος λαβεῖν τὸν δανειςήν, οἷον τριώβολον τῦ τετραδράχμυ. Harp.

ἐποδήγει ὡδήγει.

ἐπόθησεν ἠβουλήθη, ἠθέλησεν· "ὁ δὲ Σκιπίων διὰ τῶν σὺν ἑαυτῷ πεζῶν ἐπόθησε τὴν ἱππείαν ἀποφῆναι."

ἐποίκιον· "τινὲς δὲ ἔμενον ἐν τοῖς ἐποικίοις ἐκ τῶν ποιμένων κατὰ τὴν χώραν."

ἔποικος μέτοικος. ἔποικοι παρὰ Θυκυδίδῃ (2 27) οἱ ἐν πόλει, ἄποικοι δὲ οἱ ἐν ἐρήμῳ τόπῳ πεμπόμενοι οἰκῆσαι.

ἕποιμ' ἂν ἀκολουθοίην.

ἐποίνιος μέθυσος, ἐπιτράπεζος.

ἐποῖσαι ἐπενέγκαι.

ἐποισθήσεται ἐπενεχθήσεται.

ἕποιτο ἀκολουθοίη.

ἐποιχόμεθα ἐπερχόμεθα.

ἐποκέλλουσιν ἐπικαθίζυσιν, ἐγγίζυσιν.

ἐπολιάρχει τῆς πόλεως ἦρχεν.

ἐπολιόρκει.

ἐπολιός (an αἰγωλιός) εἶδος ὀρνέου νυκτερινοῦ.

ἐπόλισεν ἔκτισεν.

ἐπολολύζω.

ἐπολυώρησας (Ps. 11 8) ἐφύλαξας, ἐφρόντισας.

ἐπομβρία καὶ ἐπόμβρησις.

ἐπομβρῶ.

ἐπομοσάμενος εὐξάμενος.

ἐπόνουν ἐκακοπάθουν.

ἐποποῖ, ἐπίρρημα, ἀντὶ τοῦ ἐποπιστί. ἐὰν δὲ προπαροξύνηται, δῆλον ὅτι ἐσχημάτισται ὡς ἀπὸ εὐθείας τῆς ἔποπος (sch. A Av.

58). "ἰποποῖ, ποί, ποποί, ποποί, ποποί. ἰὼ ἰώ, ἰτὼ ἰτώ, ἰτὼ ἰτώ." ταῦτα δεῖ ὀξυτόνως προφέρεσθαι τῇ φωνῇ, ὥςε ὀρνέα ἦχον προφέρεσθαι κατὰ μίμησιν (ib. 228). "τιό τιό τιό τιό τιό τιό τιό." καὶ ταῦτα ὀξυτονητέον (ib. 237). "τριοτὸ τριοτὸ τοτοβρίξ (ib. 246). δεῦρο δεῦρο δεῦρο δεῦρο δεῦρο. τορὸ τορὸ τοροτίξ. κικκαβαῦ κικκαβαῦ. τοροτοροτολιλίγξ τοροτίγξ (259). τί τί τί τί τί τί τιό τιό τιοτίγξ. τιό τιό τιό τιοτίγξ (747).

"ποῦ ποῦ' ςι; ποῦ; ποῦ ποῦ' ςι; ποῦ; πῦ ποῦ' ςι; ποῦ;" διὰ τῆς ἐπαναλήψεως τὴν σπουδαίαν ζήτησιν ἐμφαίνει (1122). "αὕτη σὺ ποῖ ποῖ ποῖ πέτῃ; μέν' ἥσυχος, ἔχ' ἀτρέμας, ἐπίσχες τοῦ δρόμυ. τίς εἶ; ποδαπή;" (1199). εὐράξ πατάξ ἐπιφθέγματα τάχυς, παρὰ τὸ εὐρέως μιγήσομαι καὶ πατάξω, ὅθεν καὶ χαμαιτύπαι αἱ πόρναι. ταῦτα δὲ τὰ ἐπιρρήματα ἀνέλαβε διὰ τὸ κακέμφατον (1258). ὠόπ παρακελευςικὸν ἐπὶ τοῦ παύσασθαί τινος ὑποθέσεως, ὡς οἱ ἐρέσσοντες· κέλευσμα γὰρ ἐςι τὸ ὠόπ τῶν ἐρεσσόντων, καταπαῦον τὴν κωπηλασίαν (1395). "βαβαιάξ, ὦ' κβάτανα τῦ φρονήματος" (Ach. 64).

ςριβιλικίγξ ἀντὶ τῦ οὐδεμίαν ῥανίδα. ςρίβος καλεῖται ἡ ὀξεῖα βοή, λικίγξ δὲ ἡ ἐλαχίςη βοὴ τοῦ ὀρνέου. ἡ μὲν λέξις ἐκ τύτων γέγονηται, λέγει δὲ ὅτι οὐδὲ ἐλάχιςόν σοι μέρος μεταδίδωμι (ib. 1034). "ἀτταταῖ ἀτταταῖ" θρηνῶν παρατραγῳδεῖ (ib. 1139). "ἰατταταιάξ τῶν κακῶν, ἰατταταῖ" σχετλιαςικὸν ἐπίρρημα. παρεπιγραφὴ δὲ λέγεται τὰ τοιαῦτα (Eq. 1). "ῥυππαπαῖ" ἐπιφώνημα ναυτικὸν (Ran. 1104). "ἱππαπαῖ" ἐπὶ ἵππων· Ἀριςοφάνης (Eq. 599). "τίς ἐμβαλεῖ; βαβαὶ βαβαιάξ" σχετλιαςικά, ἀντὶ τῦ φεῦ φεῦ (Pac. 248). "οἴμοι τάλας, οἴμοι γε, κἄτ' οἴμοι μάλα (Pac. 280). ὦ εἶα, ὦ εἶα" μίμημα βαρβάρων ἐξελκόντων τι. δεῖ ὖν νοεῖν ὅτι ταῦτα ἀνὰ μέρος λέγεται, τὸ μὲν τοῦ Ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος, τὸ δὲ τῶν ἑλκόντων ὑπακουόντων "ὦ εἶα, εἶα μάλα. ὦ εἶα, εἶα μάλα. ὦ εἶα, ὦ εἶα" (Pac. 458).

φῦ φῦ ἐπὶ τῦ φυσῶντος τὸ πῦρ (Lys. 295). "σοῦ σῦ. πῦ πῦ' ςί μου τὸ δίκτυον; πάλιν σῦ" (A Vesp. 208). ἀππαπαῖ παπαιάξ γερόντων σχετλιασμός (ib. 235). αὖν αὖν μίμημα ὑλακῆς κυνῶν (ib. 898). βομβάξ ἐπίρρημα ἐπὶ θαυμασμῦ λαμβανόμενον. βομβαλοβάξ· ἀναδιπλασιάζει τὴν λέξιν (Thesm. 46 et 51). ἀτταταταταταῖ ἐπὶ τῶν ἀλγούντων (ib. 230). μῦ μῦ ἐπὶ τῶν διὰ μυκτήρων ἠχούντων (ib. 238). ἰαππαπαιάξ (ib. 951). "αἴρεσθ' ἄνω, ἰαῖ εὐαῖ, δειπνήσομεν, εὐοῖ εὐαῖ, εὐαῖ ὡς ἐπὶ νίκῃ. εὐαῖ εὐαῖ, εὐὰ εὐά." τέλος τῶν Ἐκκλησιαζουσῶν Ἀριςοφάνους.

ἐποποιία ἡ δι' ἡρωικοῦ μέτρου ἱςορία· καὶ γὰρ ςερομένη μύθου ποίησις ἐποποιία ἐστίν.

ἔποπος. ἡ εὐθεῖα ὁ ἔποψ.

ἐπόπται. οἱ τὰ μυςήρια παραλαμβάνοντες λέγονται ἐν ἀρχῇ μὲν μύςαι, μετὰ δὲ ἐνιαυτὸν ἐπόπται καὶ ἔφοροι. sch. A Ran. 757.

ἐποπτεία ἡ ἐπίσκεψις.

ἐποπτεύειν. διαφέρει μύςης καὶ ἐπόπτης. οἱ μὲν γὰρ τὰ μυςήρια παραλαμβάνοντες μύςαι καλοῦνται, οἱ δὲ τῷ ἑξῆς ἐνιαυτῷ ἔφοροι καὶ ἐπόπται. ἐγὼ οὖν, φησίν, ὅταν λάθρᾳ καταράσωμαι τῷ δεσπότῃ, λίαν οὕτως ἥδομαι ὡς δοκεῖν μυςήρια ἐποπτεύειν καὶ ἑορτάζειν. τὸ δὲ ἀλλ' ἐποπτεύω ἀντὶ τῦ οὐκ ἀλλά, ἐν οἵῳ τρόπῳ λέγομεν "οὐχ οἷον ἥδομαι ἀλλ' ὑπερήδομαι." sch. A Ran. 757.

ἐποργῶσαι μηνιῶσαι.

ἐπ' ὄρει Θασίων ἐπάνω τοῦ ὄρυς τῶν Θασίων.

ἔπορεν ἔδωκεν.

ἐπορθρεῦσαι ἀγρυπνῆσαι, ἢ πρὸ ἡμέρας ἐπεγερθῆναι.

ἔπος λόγος, ςίχος ἔμμετρος.

ἔπος πρὸς ἔπος ἠρειδόμεθα (A Nub. 1378), τουτέςιν ἀντεβάλλομεν, ἐφιλονεικῦμεν.

ἐποτρύνει (Hom. Z 439) παροξύνει, διεγείρει.

ἐπ' οὐδόν (Hom. Z 375) ἐπὶ πρόθυρον.

ἦπου κατεπείγων (A Eccl. 299) ἀντὶ τοῦ σαυτὸν κατελαύνων.

ἐποφθαλμίσας φθονήσας, ἢ ἐπιθυμητικῶς ἐπιβαλών. "ὃ δὲ ἰδὼν τὸ χρυσίον ἐποφθαλμιᾷ τῷ ἀνθρώπῳ," καὶ αὖθις "ὃ δὲ εἰς ὑπόνοιαν ἦλθεν ὡς ἐποφθαλμιῶν βασιλείᾳ," τουτέςιν ἐπιθυμητικῶς ἔχων. καὶ Ἰώσηπος (A. I. 1 19 10) "διὰ τὸ ἐποφθαλμιᾶν τῷ πλήθει τῆς κτήσεως," καὶ αὖθις (cf. v. τιμωροῦντος) "ἀπέκτεινε δὲ αὐτὸν ὁ πανδοκεὺς ἐποφθαλμίσας τῷ χρυσίῳ."

ἐποχεῖται ἐπικάθηται.

ἐποχετεῦσαι ἐπιρρεῦσαι καὶ ποτίσαι.

ἐποχή. πρῶτος Πύρρων ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγαγεν. Diog. L. 9 61.

b ἐποχή ἐςιν ἡ μοῖρα ἐν ᾗ καταλαμβάνεται ὅ τε ἥλιος καὶ ἡ σελήνη καὶ ἕκαςος τῶν πλανητῶν. εἰσὶ δὲ οὗτοι κατὰ τάξιν, Φαίνων Φαέθων Πυρόεις ἥλιος Φωσφόρος Στίλβων σελήνη. ἕκαςον δὲ τῶν ζωδίων διαιρεῖται εἰς λ' μέρη, ἃ καλοῦνται μοῖραι· ἡ δὲ μοῖρα διαιρεῖται εἰς ξ' μέρη, ἃ καλοῦνται ἑξηκοςὰ πρῶτα λεπτά, καὶ τὸ ἓν πρῶτον λεπτὸν διαιρεῖται εἰς ξ' πάλιν, ἃ καλοῦνται δεύτερα λεπτά. πλέον δὲ τῶν δευτέρων λεπτῶν ἐν τῷ προχείρῳ κανόνι παραλαβεῖν οὐκ ἀναγκαῖον.

ἐποψειασμός.

ἐποψία.

ἐπράξατο ἀπῄτησεν. "τοὺς δὲ Βυζαντίους καί τινας ἄλλους ἐπράξαντο" ἀντὶ τȣ̃ χρήματα ἀπῄτησαν. καὶ αὖθις "ὡς δὲ δίκας αἰτῶν τοὺς Ἀθηναίους περὶ τοῦ παιδὸς οὐκ ἔτυχεν, αὐτὸς ἑαυτὸν ἐπράξατο."

ἐπραξικόπει· "ὃ δὲ ἐπραξικόπει τὴν πόλιν, ἐκ πολλοῦ κατασκευαζόμενος ἐν αὐτῇ προδότας."

ἔπρασσον ἀντὶ τοῦ ἐβουλεύοντο· ⟨Procop. Pers. 1 11⟩ "ἀλλήλοις ξυγγινόμενοι ἔπρασσον ὅπως τά τε διάφορα λύσουσι καὶ τὰ ἀμφὶ τὴν εἰρήνην εὖ θήσονται."

ἐπραττόμην ἀπῄτουν.

ἔπραττον ἐπεβούλευον, προεδίδοσαν· ⟨Polyb. 4 17⟩ "ἐπεσπῶντο τοὺς Αἰτωλȣ̃ς, καὶ τȣ́τοις ἔπραττον τὴν πόλιν." καὶ αὖθις "ἀνήρ τις ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία αὐτῷ ἐνόσει."

ἐπρέσβευεν ἐτίμα· "ὁ δὲ Σωκράτης τὴν ἠθικὴν φιλοσοφίαν ἐπρέσβευεν."

ἔπρηξας ⟨Hom. Σ 357⟩ ἔπραξας, ἐπρήσας δὲ ἔκαυσας.

ἐπρήσθη ἐκαύθη πυρί· "ἑάλω μέγα κακουργῶν, καὶ ζῶν ἐπρήσθη." cf. v. μέγα.

ἐπρίατο ἠγόραζεν.

ἐπρυτάνευσε παρέσχε, διῳκήσατο· "δῶρά τε πέμπει ἐπὶ φιλίᾳ τε καὶ συμμαχίᾳ, ἣν Στρυγγαῖος ἐπρυτάνευσεν."

ἔπρωσεν ἐμοίρασεν.

ἑπτά ὁ ἀριθμός.

ἑπταβόειον ⟨Hom. Η 220⟩ ἑπτάβυρσον, ἑπτάπτυχον.

ἐπταικώς σφαλείς· "ὁ δὲ ὑπερβαίνων τὸν οὐδὸν τῆς αὐλῆς ἔπταισε βιαιότερον καὶ πρὸς γῆν κατηνέχθη."

ἑπτάπεκτος ἡ βαθεῖαν ἔχουσα κόμην, ἡ ἑπτάκις δυναμένη καρῆναι· πέξαι γὰρ τὸ κεῖραι ἢ κτενίσαι.

ἑπταπλασίονα ἀντὶ τȣ̃ πολυπλασίονα· ὁ γὰρ ἑπτὰ ἐπὶ πλήθους τάττεται.

ἔπταρον ᾐσθόμην· πταρμὸς γὰρ κεφαλῆς αἴσθησις, ἐπεὶ οἱ θιγόντες τοῦ μυκτῆρος λεπτῷ κάρφει πτάρνυνται.

ἐπτεροῦτο ἐκουφίζετο.

ἑπτέτης ζ' ἐτῶν· ⟨A Ran. 420⟩ "ἑπτέτης ὢν Ἀρχέδημος οὐκ ἔφυσε φράτορας," τουτέςι φράςας ὀδόντας.

ἔπτηξεν ἐφοβήθη, συνεςάλη, ἐταπεινώθη.

ἐπτηχότες δειλιῶντες, φοβούμενοι.

ἐπτοημένος θαυμάζων.

ἐπύθοντο ἤκουσαν, ἠρώτησαν.

ἐπύλλια ξυλλέγω ⟨A Ach. 397⟩ τὰ ἔπη, ὑποκοριςικῶς.

ἐπύρσευσε πυρκαϊὰν ἐποίησε.

ἐπῳάζειν τὸ ἐπὶ τοῖς ᾠοῖς καθέζεσθαι τὰ ὄρνεα. Ἀριςοφάνης Ὄρνισιν ⟨267⟩ "ἄλλως ἄρ' οὔποψ, ὡς ἔοικε, τὴν λόχμην ἐμβὰς ἐπῷζε." τὰ δὲ ὄρνεα ἐν τῷ ἐπῳάζειν λάλα εἰσίν.

ἐπῳάζουσιν ἐπὶ τοῖς ᾠοῖς ᾄδουσι, βοῶσιν.

ἐπωβελία. πολλῶν εἰς χρήματα συκοφαντούντων τοὺς ἐπιεικεῖς καὶ ἀπράγμονας τῶν πολιτῶν, καὶ μάλιςα τȣ̃το πράττειν διαβαλλομένων τῶν περὶ τὸ ἐμπόριον συμβαλλόντων ἐπὶ ναυτικοῖς τόκοις, Ἀθηναῖοι ζημίαν ἔταξαν κατὰ τῶν ἐγκαλούντων ὀβολὸν ἐκτίνειν, εἰ μὴ καθ' ὧν ἐνεκάλουν τούτους ἕλοιεν. ταύτην τὴν ζημίαν ἐπωβελίαν ὠνόμασαν.

ἐπωβελία τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας καὶ μὴ ἑλόντες αὐτοῖς τοῖς γραφεῖσιν. ἐκαλεῖτο δὲ οὕτως, ὅτι καθ' ἑκάςην δραχμὴν ὀβολὸς ἦν. ἐπωβελία οὖν ἡ ζημία. ἐπωβελία ὁ τόκος ὑπὸ Πλάτωνος Νόμων ιά ⟨p. 921 D⟩. b

ἐπῳδός ἡ ἐπᾴδουσα τοῖς νοσοῦσι [illegible]. καὶ ἐπῳδή ἡ γοητεία· Πολύβιος ⟨33 2⟩ "πάσης ἐπῳδῆς καὶ περιάμματος πεῖραν ἐλάμβανον." Σοφοκλῆς ⟨Ai. 581⟩ "οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι."

ἐπ' ὠκεανοῖο ῥοάων Ὅμηρος ⟨Γ 5⟩ ἀντὶ τοῦ ὡς ἐπ' ὠκεανοῦ ῥοάς. καὶ ἀλλαχόθι ⟨Δ 100⟩ "ἀλλ' ἄγ' ὀΐστευσον Μενελάου," ἐπὶ τὸν Μενέλαον.

ἐπώκειλα ἀπέκλινα.

ἐπώλησε διέπρασεν.

ἐπωμαδόν τοῖς ὤμοις· "ὃ δὲ φέρων ἐπωμαδόν." λέγεται καὶ ἐπωμάδιος.

ἐπωμίς εἶδος περιβολαίου. "ἐπωμίδες δὲ καὶ ἀναξυρίδες καὶ τῶν ὑποδημάτων τὰ πλεῖϛα ἐς τῶν Οὔννων τό τε ὄνομα καὶ τὸν τρόπον ἀποκέκριται σφίσι" Προκόπιός φησιν ⟨Arc. 7⟩.

ἐπώμοτον· Σοφοκλῆς ⟨Trach. 1190⟩ "ὄμνυμ᾽ ἔγωγε, Ζῆν᾽ ἔχων ἐπώμοτον," τουτέστι τοῦ ὅρκου ἐγγυητήν.

ἐπώνια τέλος ἐϛὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον. εἴη δ᾽ ἂν ἴσως ἡ πέμπτη. Harp.

ἐπώνυμοι. διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν ί τὸν ἀριθμόν, ἀφ᾽ ὧν αἱ φυλαί, ἕτεροι δὲ ϐ ἐπὶ τοῖς μ΄, ἀφ᾽ ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ᾽ ἕκαϛον ἔτος, ἀπὸ ιη ἔτους μέχρι ξ΄. Harp. cf. v. ϛρατεία.

ἐπώνυμοι. οἱ κατ᾽ ἀρετὴν διαπρέποντες ἀϛοὶ καὶ ξένοι χαλκαῖς εἰκόσιν ἐτιμῶντο· ἀφ᾽ ὧν ἐνίων καὶ ταῖς φυλαῖς ἐτέθη ὀνόματα. φασὶ δ᾽ ἐκεῖθεν πρῶτον δόξαι τὰς φυλὰς ἐξηγήσασθαι· ἀπορούντων γὰρ αὐτῶν ὄνομα ταῖς φυλαῖς θέσθαι, ἀπὸ τῶν ἐνδοξοτάτων τοῦτο ποιῆσαι, καὶ ἕκαϛον ρ΄ ὀνόματα ἰδίᾳ γραψάμενον κληρῶσαι. παρὰ δ᾽ ἓν τὰς εἰκόνας τῶν ἐπωνύμων τούτων εἰσηγοῦντο τοὺς νόμους πρὶν ἢ γενέσθαι κυρίȣς, ἵν᾽ ἐντυγχάνοντες αὐτοῖς οἱ βουλόμενοι κατηγοροῖεν.

ἐπώνυμον τὸ μεθ᾽ ἑτέρου κυρίου καθ᾽ ἑνὸς λεγόμενον. "ἐπωνυμίαν θέμενοι Μάρκῳ Κορβῖνον ἐπὶ τοῦ συναγωνιζομένȣ κατὰ τὴν μονομαχίαν ζῴου· κόρβους γὰρ τοὺς κόρακάς φασι Ῥωμαῖοι." καὶ αὖθις Ἀριϛοφάνης ⟨Plut. 1165⟩ "ὡς ἀγαθὸν ἐϛ᾽ ἐπωνυμίας πολλὰς ἔχειν," ὡς ἂν εἰ ἔλεγεν, οὐ ματαίως ἄρα σπεύδȣσιν οἱ δικάζοντες πολλὰ ὀνόματα ἔχειν.

Ἐπωπεύς Ἐπωπέως.

ἐπωπτευκότων. οἱ μυηθέντες ἐν Ἐλευσῖνι ἐν τῇ δευτέρᾳ μυήσει ἐποπτεύειν λέγονται.

ἐπωρυόμενος φωνῶν.

ἐπωρώθησαν ⟨ad Rom. 11 7⟩ ἐσκληρύνθησαν.

ἐπωτίδες· Θουκυδίδης ⟨7 36⟩ "καὶ τὰς ἐπωτίδας ἐπέθεσαν ταῖς πρῴραις παχείας, ὡς ἐπὶ ἓξ πήχεις ἐντός τε καὶ ἔξωθεν." ἐπωτίδες εἰσὶ τὰ ἑκατέρωθεν πρῴρας ἐξέχοντα ξύλα.

ἐπωτίσιν· "ἐκ φορτίδων πολεμιϛηρίας τὰς νῆας κατεσκεύασε, ταῖς ἐπωτίσι καὶ ταῖς ϛερίφοις ἀποφῆνας εὐρώϛους."

ἐπ᾽ ωὑτόν ἐπ᾽ αὐτόν.

ἐπωφελές.

ἐπῴχετο ⟨Hom. *Α* 50⟩ ἐπεπορεύετο.

ἐρᾷ ἐπιθυμεῖ. ἔρα δὲ ἡ γῆ, παρὰ τὸ ἐρίσαι, ὃ ἐϛι περὶ ἴσης φιλονεικῆσαι. καὶ ἔρρει ἐφθείρετο. cf. Etym. M. v. ἔρα, Gud. p. 204 50.

ἐραῖα ὁ κλάδος. σημαίνει καὶ τῆς ἐλαίας τὸ σκυβαλῶδες.

ἔρανα δῶρα τὰ ἐκ συλλογῆς.

ἐρανεμπόλοις τοῖς ἐκ τῶν ἐράνων ἐμπολῶσιν ἀπὸ τῶν ἀρχῶν.

ἐρανικαί. ὅτι ἔμμηνοι δίκαι αἵ τε ἐμπορικαὶ καὶ ἐρανικαί.

ἐράνιον ἐκ συνεισφορᾶς δῶρον.

ἐρανισάμενος ἐκ πολλῶν συναγαγών. καὶ ἐρανίσας Δημοσθένης ⟨p. 644 11⟩ ἀντὶ τοῦ ἔρανον αἰτήσας. ἐρανιϛὴς μέντοι κυρίως ἐϛὶν ὁ τοῦ ἐράνȣ μετέχων καὶ τὴν φορὰν ἣν ἑκάϛου μηνὸς ἔδει καταβάλλειν εἰσφέρων. Harp.

ἔρανος ἡ ἐκ κοινοῦ ἑϛίασις· ἢ ἐντολή, εἰσφορά· ἢ συλλογή· ἢ σπουδαιότερον. cf. Etym. M.

Ἐρασινάδης ⟨A Ran. 1226⟩ ὄνομα κύριον. ϛρατηγὸς δὲ ἦν.

Ἐρασίϛρατος Ἰουλιήτης ἀπὸ Ἰουλίδος πόλεως Κέω τῆς νήσου. χρηματίζει ȣ̓͂ν Κήιος, υἱὸς Κρητοξένης τῆς Μηδίου τοῦ ἰατρȣ̃ ἀδελφῆς, καὶ Κλεομβρότου. οὗτος Ἀντίοχον τὸν βασιλέα νοσȣ̃ντα ὑπὸ τοῦ τῆς μητρυιᾶς Στρατονίκης πόθȣ ἰάσατο, εὑρὼν τὸ πάθος ἐκ τοῦ σχεῖν τὴν χεῖρα ἐπὶ τὴν καρδίαν αὐτοῦ καὶ τὸν παλμὸν συνεικάσαι· ὁσάκις γὰρ ἔβλεπεν ὁ Ἀντίοχος τὴν μητρυιὰν αὐτȣ̃ τυχὸν διερχομένην, ἐπάλλετο τὴν καρδίαν μάλιϛα τῷ ταύτης ἔρωτι. τέθαπται δὲ πρὸς τῷ ὄρει τῇ Μυκάλῃ, καταντικρὺ Σάμου. ἔγραψεν ἰατρικὰ βιβλία θ΄.

ἐρατεινός ὁ ἐπέραϛος.

Ἐρατοσθένης Ἀγλαοῦ (οἱ δὲ Ἀμβροσίου) Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίϛωνος Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου καὶ Καλλιμάχου τοῦ ποιητοῦ. μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου Πτολεμαίȣ, καὶ διέτριψε μέχρι τοῦ πέμπτȣ. διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσας βῆτα ἐπεκλήθη· οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα, ἄλλοι πεντα-

θλον ἐκάλεσαν. ἐτέχθη δὲ ρκς' ὀλυμπιάδι, καὶ ἐτελεύτησεν π' ἐτῶν γεγονώς, ἀποσχόμενος τροφῆς διὰ τὸ ἀμβλυώττειν, μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον, οὗ πάλιν Ἀρίσταρχος μαθητής. μαθηταὶ δὲ αὐτοῦ Μνασέας καὶ Μένανδρος καὶ Ἄριστις. ἔγραψε δὲ φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας, ἀστρονομίαν ἢ καταστερισμούς, περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, περὶ ἀλυπίας, διαλόγους πολλούς, καὶ γραμματικὰ συχνά.

ἐργαλεῖον ἔργον τι.

ἐργάνη ἡ Ἀθηνᾶ, παρ' ὅσον ἔφορός ἐστι τῆς τῶν γυναικῶν ἐργασίας, ταύτῃ παρὰ Ἀθηναίοις καὶ Σαμίοις εἴρηται. σημαίνει δὲ καὶ τὴν ἐργασίαν.

ἐργαστῆρας ἐργάτας· "ὁ δ' ἐνελόχα τινὰς ἐργαστῆρας ἐκ τῶν ἀγρῶν ἐπανιόντας, καί πως λαθὼν εἰς αὐτὸν ἐρπύσας."

ἐργαστήριον ἐν ᾧ τινὰ ἐργάζονται· Πολύβιος (10 20) "οὐκ ἔστι, κατὰ τὸν Ξενοφῶντα, ὃς θεασάμενος τὴν πόλιν ἐκείνην οὐκ ἂν εἶπε πολέμου ἐργαστήριον."

ἐργαστικός· Πολύβιος (10 16) "ἰδίως δὲ τῶν πολιτικῶν καὶ τῆς τῶν ἐργαστικῶν κατασκευῆς."

ἐργάτιδες αἱ ἐργαζόμεναι γυναῖκες τὰ τῶν ἀνδρῶν ἔργα. ἡ εὐθεῖα ἐργάτις.

Ἐργίσκη τῆς Θρᾴκης ἐστίν, ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶνος καὶ Ἄβας νύμφης. Harp.

Ἐργοκλῆς στρατηγὸς Ἀθηναίων. Harp.

ἐργολάβος. οὐχ ὥσπερ ἐν τῇ συνηθείᾳ δοκοῦμεν ἐργολάβον καλεῖν τὸν ὑπὲρ τινῶν ἔργων μισθὸν λαμβάνοντα καὶ ἔχοντα τοὺς συνεργαζομένους, οὕτω καὶ οἱ ῥήτορες ἐξεδέξαντο τὸν ἐργολάβον, ἀλλ' ἐπὶ φλαύρων πραγμάτων χρῶνται τῷ ὀνόματι, ὡς Δημοσθένης ἐν τῇ πρὸς τὴν βουλὴν καὶ τὸν δῆμον ἐπιστολῇ (p. 643 20) "πολὺ γὰρ μᾶλλον εὐνοίας καὶ φιλανθρωπίας τὰ παρόντα πράγματα δεῖται ἢ ταραχῆς καὶ δυσμενείας, ὧν ὑπερβολῇ χρώμενοί τινες ἐργολαβοῦσι καθ' ὑμῶν εἰς ὑποδοχὴν πραγμάτων, ὧν διαψευσθεῖεν."

ἔργον ἐπὶ τοῦ δυσχεροῦς· Πολύβιος (8 5) "οἱ δὲ Ῥωμαῖοι πολιορκοῦντες τοὺς Συρακουσίους ἔργου εἴχοντο, οὐ λογισάμενοι τὴν Ἀρχιμήδους δύναμιν." καὶ ἔργον εἰπεῖν χαλεπὸν εἰπεῖν. καὶ Σοφοκλῆς (Ai. 852) "ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην, ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί," ἀντὶ τοῦ ὄφελος.

Ἐργόφιλος στρατηγὸς Ἀθηναίων. Harp.

ἐργῶδες μετὰ πόνου γινόμενον, δυσχερές.

ἔρδειν πράττειν.

ἔρδοι πράττοι, ἐργάζοιτο· (A Vesp. 1422) "ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην."

ἐρεβεννὸς ὁ σκοτεινός, καὶ ἔρεβος τὸ σκότος.

Ἐρεβησαίων πόλις (an Ἐρβησσίνων).

ἐρεβίνθινος Διόνυσος ἐπὶ τῶν μηδενὸς ἀξίων.

ἐρέβινθος τὸ τοῦ ἀνδρὸς αἰδοῖον. Ἀριστοφάνης Νεφέλαις (1399) "τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἄν." ὁ δὲ πρεσβύτης φησὶν "ἀλλ' οὐδ' ἐρεβίνθου," τουτέστιν αἰδοίου. σημαίνει δὲ καὶ τὸ ὄσπριον.

ἐρεβοδιφῶντες τὰ ὑπὸ σκότος ψηλαφῶντες· (Theophyl. Sim. 2 7) "οἱ δὲ Ῥωμαῖοι ἀπεπόνουν ἐρεβοδιφῶντες τὰ ὑποχθόνια." καὶ ἐρεβοδιφῶσι τὰ ὑπὸ ἔρεβος διφῶσι, τουτέστι τὰ ὑπὸ γῆν ζητοῦσι καὶ καταμανθάνουσιν· Ἀριστοφάνης Νεφέλαις (192) "ἐρεβοδιφῶσιν ὑπὸ τὸν Τάρταρον."

ἐρεείνω ἐρωτῶ.

ἐρεθίζειν τὸ τῇ ῥιπίδι τὸ πῦρ ἀνάπτειν, καὶ τὸ παρορμᾶν ἐπί τι καὶ παραθήγειν.

ἐρέθισμα ἡ ὕβρις. Ἀππιανός (t. 1 p. 45) "ὁ δὲ αὐτὸν εἰς μονομαχίαν προυκαλεῖτο, σκώπτων ἐς αὐτόν. ὁ δὲ τέως μὲν αὐτῷ κατεῖχε, μετὰ δὲ οὐ φέρων ἔτι τὸ ἐρέθισμα ἀντήλασε τὸν ἵππον."

ἐρείδειν. οὕτω φασὶν οἱ Ἀττικοὶ πᾶν ὁτιοῦν συντόνως γινόμενον· Ἀριστοφάνης (Pac. 31) "ἔρειδε, μὴ παύσαιο μηδέποτ' ἐσθίων." ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεττόντων καὶ ἐπιρειδομένων ταῖς κώπαις.

ἐρείδειν συνουσιάζειν. ἐρείδω δὲ τὸ ἀκουμβίζω.

ἐρείκη εἶδος φυτοῦ σχιστοῦ, καὶ ἐρείκω τὸ σχίζω.

ἐρεικτὸν τὸ σχιστόν. ἐρεικτὰ τὰ κεκομμένα ὄσπρια, ἢ τὰ σχιζόμενα ὄσπρια· εἰσὶ δὲ κύαμοι. Ἀριστοφάνης (Ran. 506) "ἧψε κατερεικτῶν χύτρας."

ἔρειξις ἡ σχίσις.

ἐρείομεν (Hom. Α 62) ἐρωτήσωμεν.

ἐρείπιον τὸ ἡμίπτωτον οἴκημα. καὶ ἐρείπιος γῆ ἡ χέρσος. cf. v. ἐριπίοις.

ἐρείπω τὸ καταβάλλω καὶ διαφθείρω.

ἐρεῖτε λέγετε.

Ἐρέννιος ὁ Φίλων ὁ Βύβλιος, ὁ Ἐρέννιος χρηματίσας, ὡς αὐτός φησιν.

ἐρεοῦν κλῶσμα τοῦ μαλλίου.

Ἐρέσιον πόλις Βοιωτίας. cf. v. Εἰρέσιον.

ἐρέσσειν συντόνως ἐσθίειν, ἀπὸ τῶν ἐρεσσόντων. cf. v. ἐρείδειν.

ἐρέσσουσιν εὐτόνως κινοῦσιν, ἀπὸ τῶν ἐρεσσόντων. ἢ ἐλαύνουσι, κινοῦσι· ⟨S Ai. 251⟩ "τοίας ἐρέσσουσιν ἀπειλάς."

ἐρέσσων κωπηλατῶν· ⟨AP 7 202⟩ "οὐκέτι μ' ὡς τὸ πάρος πυκιναῖς πτερύγεσσιν ἐρέσσων ὄρσεις ἐξ εὐνῆς ὄρθριος ἐγρόμενος."

ἐρεσχελεῖται φλυαρεῖται.

ἐρεσχελία ἡ φλυαρία.

ἐρεσχελοῦντα σκώπτοντα καὶ χλευάζοντα καὶ οἷον ἐρίζοντα.

ἐρέτης ὁ κωπηλάτης.

ἐρετμῶσαι κωπηλατῆσαι.

Ἐρετριεύς ὄνομα κύριον καὶ ἐθνικόν. καὶ Ἐρέτρια πόλις.

Ἐρεχθείδης ὁ τοῦ Ἐρεχθέως παῖς.

ἐρέψεις καλύψεις· "νεῶν τε ἐρέψεις προέφερον."

ἐρέψιμον εἶδος πόας. σημαίνει δὲ καὶ τὸ ἄκαρπον φυτόν.

ἔρημα τὰ θρέμματα. καὶ ἐρῆμα ποιητικῶς ⟨Hom. E 140⟩.

ἐρημαῖος ὁ ἔρημος λόφος. καὶ ἐρημαίην σπήλυγγα ἐρημικὸν σπήλαιον.

ἐρήμη δίκη, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν δίκην καταδικασθῇ. ὅμοιον καὶ τὸ ἐρήμην ἁλῶναι· "ἐρήμην, ὡς ἂν εἴποι τις, τὸν ἄνδρα ἑλόντες ἐξέμηνάν τε αὐτὸν καὶ πλεονεκτικώτατον ἀπετέλεσαν."

ἐρημία. καὶ ἐρημίη ὁμοίως.

ἐρημίτης ὁ ἐν ἐρήμῳ διάγων.

ἔρημον ἐμβλέπειν ἀκίνητον καὶ νωθρόν, οἷον ὅταν εἰς ἐρημίαν ἢ πέλαγος μέγα καὶ ἀχανὲς βλέπωμεν· Ἀριστοφάνης Πολυίδῳ.

ἔρημος κυρίως ἡ μονωθεῖσα τῶν ἐνοικούντων γῆ, παρὰ τὴν ἔραν ⟨sch. A Plut. 447⟩. καὶ ἐρημονόμοις ⟨AP 6 184⟩ τοῖς τὴν ἔρημον νεμομένοις θηρσίν.

ἐρημοσκόπους τοὺς ῥαθύμως φυλάττοντας· "ἀπέκτειναν τοὺς ἐρημοσκόπους."

ἐρημωτής ἐρημοποιός· ἐν ἐπιγράμματι ⟨AP 6 115⟩ "ταῦρον τὸν πρὶν ἐρημωτὰν Θῆρα Μακηδονίας."

ἐρηρέδαται ⟨Hom. ψ 284 et 329⟩ ποιητικῶς.

ἐρηρεισμένος ὁ ἡδρασμένος, ἐρηρισμένος δὲ ὁ πεφιλονεικημένος.

ἐρήριπτο ἐπεπτώκει.

ἐρηροτηκώς ἤδη ἐρωτήσας.

ἐρήτυθεν ⟨Hom. B 99⟩ κατέσχον.

ἐρητύω τὸ κωλύω.

ἔρια τὰ μαλλία.

ἐριβρεμέτας ὁ μεγάλους κτύπους ἀποτελῶν. τὸν Αἰσχύλον λέγει Ἀριστοφάνης ἐν Βατράχοις ⟨825⟩, πρὸς τὸ βροντῶδες τῶν ῥημάτων καὶ κομπῶδες. οἷά ἐστι κἀκεῖνα ἐν ἀρχῇ τοῦ Προμηθέως "χθονὸς μὲν ἐς τηλουρὸν ἥκομεν πέδον, Σκύθην ἐς οἶμον, ἄβροτον εἰς ἐρημίαν· Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις." καὶ αὖθις ⟨64⟩ "ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως."

ἐριβρύχων πολυήχων· ἐν ἐπιγράμματι ⟨AP 6 159⟩ "ἐριβρύχων παυσαμένη κελάδων." περὶ σάλπιγγος φησίν.

ἐριβῶλαξ ἡ εὔγειος γῆ.

ἐρίγδουπος ⟨Hom. H 411⟩ ὁ μεγαλόκτυπος.

ἐρίζει δοτικῇ, φιλονεικεῖ. καὶ ἀντερίζει ὁμοίως.

ἐρίηρες εὐάρμοσοι.

ἐρίθακος ὄρνεον μονῆρες καὶ μονότροπον.

ἐριθεία ⟨ad Rom. 2 8⟩ ἡ διὰ λόγων φιλονεικία. λέγεται δὲ καὶ ἡ μισθαρνία.

ἐριθευόμενος· "καὶ ὅσα νοῶ ἐριθευόμενος."

ἐριθηλέος πάνυ θάλλοντος· ⟨AP 7 213⟩ "πρὶν μὲν ἐπὶ χλοεροῖς ἐριθηλέος ἔρνεσι πεύκης."

ἐριθηλής ὁ μεγάλως θάλλων.

ἔριθος ἔρια ἐργαζομένη.

ἐρικώδης ὁ διερρηγμένος τόπος.

ἐρινεός ἡ ἀγρία συκῆ. cf. v. ἀπερίνασος.

ἐρινύς καταχθόνιος δαίμων κακοποιός· ⟨AP 7 188⟩ "ἀμφὶ δ' ἐρινὺς φοίνιος ἐκ σωμάτων μόρσιμον ἧκεν ὄπα." "ἆρ' οὐκ ἐρινὺς τοῦτ' ἐχάλκευσεν ξίφος;" περὶ Αἴαντός φησι ⟨S Ai. 1034⟩.

ἐρινύων ἀπορρώξ ⟨A Lys. 813⟩ ἐπὶ τῶν ἀπροσώπων καὶ δυσειδῶν.

ἐριοπωλικῶς πρ[illegible]κας, ὥς οἱ τὰ

ἔρια πωλοῦντες βρέχουσιν αὐτά, ἵνα βαρύνωσιν ἐν τῷ ϛαθμῷ. Ἀριϛοφάνης ⟨Ran. 1406⟩ "ὑγρὸν ποιήσας τοὔπος ὥσπερ τἄρια. σὺ δ' εἰσέθηκας τοὔπος ἐπτερωμένον."

ἐριοπώλιον.

ἐριούνιος μεγαλωφελής. ἐπίθετον Ἑρμοῦ.

ἐριπίοις. ⟨S Ai. 308⟩ "ἐν δ' ἐριπίοις νεκρῶν ἐριφθείς" ἀντὶ τοῦ ἐν τοῖς πτώμασι τῶν νεκρῶν καταπεσὼν ἐρριμμένος· πάντα γὰρ τὰ ἐπὶ τὴν ἔραν πίπτοντα ἐρείπια καλοῦνται. καὶ αἱ ῥιπαὶ ἐντεῦθεν. οἱ δὲ ἐρεισθείς γράφουσιν ἀντὶ τοῦ ἐπερεισάμενος. καὶ ἐρειπίωσις ἡ πτῶσις.

ἐρίπναι οἱ σηραγγώδεις καὶ παρατεταμένοι τόποι, δι' ὧν αἱ μεγάλαι πνοαὶ ἐκδύνουσιν. ἐρίπνη οὖν ὑψηλή, μεγάλη.

ἐριποῦσα ⟨Hom. E 357⟩ πεσοῦσα· ἐριπῶ γὰρ περισπωμένως.

ἔρις ἡ διὰ λόγων ἐπίψογος φιλονεικία παρὰ τῷ ἀποϛόλῳ ⟨Rom. 13 3, Philipp. 1 15⟩, ἐκ τοῦ εἴρω τὸ λέγω.

ἔρις ἔριν τίκτουσα προσμνᾶται λόγον", ἐπὶ τῶν ἐκ φιλίας ⟨an ἐπὶ φιλοσοφίᾳ⟩ ἀδολεσχούντων.

Ἐρισεῖς ὄνομα ἔθνους. καὶ Ἐρισεύς.

ἐρισμάραγος ἡ βαρεῖα.

ἐρίτιμος ὁ μεγάλως ἔντιμος. καὶ ἐριτιμότατος.

Ἔριφος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐϛὶν Αἴολος Πελταϛής Μελίβοια, ὡς φησὶν Ἀθήναιος ἐν τῷ ιδ' τῶν Δειπνοσοφιϛῶν.

Ἐριχθόνιος.

ἐριώλη πνοὴ σφοδρά, ἡ ἀνέμου συϛροφή, ἢ πυρός. καὶ ἡ τῆς ἀναθυμιάσεως συϛροφή, πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα. καὶ ἡ μεγάλη δὲ πνοὴ οὕτως ⟨sch. A Eq. 508⟩. ἐριῶπις δὲ ἐριώπιδος.

ἐρίῳ ϛέψαντες ἀντὶ τοῦ ϛέμμα περιθέντες· Πλάτων Πολιτείας γ ⟨3 p. 398 A⟩.

ἑρκεῖος Ζεύς ᾧ βωμοὶ ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυνται· τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. μετῆν δὲ τῆς πολιτείας οἷς εἴη Ζεὺς ἑρκεῖος. ἑρκίον δὲ τὸ περίφραγμα τῆς αὐλῆς, ἢ ἡ τοῦ δώματος ϛέγη· ἑρκίον γὰρ τὸ δῶμα. Σοφοκλῆς ⟨Ai. 108⟩ "πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκίου ϛέγης μάϛιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ." καὶ ἕρκιος ὁ συνοχεύς, ὁ φύλαξ.

ἑρκίτης ὁ φύλαξ.

ἕρκος περίφραγμα, περιτείχισμα. Αἰλιανός "βίου παντὸς τὸ τέλος ἀναμένειν, μηδὲ προπηδᾶν, μηδὲ τοῖς εὐδαίμοσιν ἑαυτὸν ἐγκαταγράφειν· ἄδηλα γὰρ εἶναι τὰ ἀνθρώπινα, ἕως ἂν ἑκάϛῳ ἡ ψυχὴ εἴσω τοῦ τῶν ὀδόντων ἕρκους ᾖ."

Ἑρκούλιος. οὗτος καὶ δίχα παντὸς προκαλύμματος ἄγριός τε ἦν καὶ τυραννικός, τὸ τῆς οἰκείας γνώμης τραχὺ τῷ καταπληκτικῷ τοῦ προσώπου παραδηλῶν. τῇ γοῦν ἑαυτοῦ φύσει παντάπασιν ἐνδιδοὺς καὶ τῷ Διοκλητιανῷ πρὸς ἅπαν ἄτοπόν τε καὶ σκληρὸν βούλευμα ἑκούσιος ὑπουργὸς καθίϛατο. Io. Antioch. exc. Peir. p. 837.

Ἑρκύνιοι δρυμοί, ὅθεν ὁ Ἴϛρος ναυσίπορος ἐκ πηγῶν αἴρεται. ζήτει ἐν τῷ χρῆμα.

ἕρμα λίθος μέγιϛος· "παρεκόμιζε ναῦς a φορτηγούς, ἃς ἕρματος γεμώσας ἐπενόει βυθίσας κατὰ τὸν τοῦ λιμένος ἔκπλουν ἀποκλείειν τοὺς πολεμίους καθόλου τῆς θαλάττης."

ἕρμα· Ἀρριανός ⟨Anab. 2 19⟩ "ἕρμα τε b εἰς τὴν πρύμναν ἐνθέντες τοῦ ἐξᾶραι ἐς ὕψος τὴν πρῷραν, πιεζομένης κατὰ πρύμναν τῆς νηός." ἕρμα καὶ ἡ ἀσφάλεια· "ἀσύλους εἶναι τοὺς χώρους διὰ τὸ ἕρμα τοῦ ὀχυρώματος." cf. v. αὐτοματίζουσιν.

ἕρμα· "τοῦ δὲ πίθου ἕρματι περιπεσόν- c τος καὶ συντριβέντος," κωλύματι, ἐρείσματι. καὶ Ἀριϛοφάνης ⟨Av. 1429⟩ "ἀνθ' ἕρματος πολλὰς καταπεπωκὼς δίκας" ἀντὶ τοῦ λίθους, ἐπεὶ αἱ γέρανοι πετόμεναι ἐν τῷ ϛόματι λίθους φέρουσι ϛηρίγματος ἕνεκα, πρὸς τὸ μὴ παραφέρεσθαι ἀνέμοις. καὶ ἕρματα· "ὁ δὲ Ἡρακλῆς ἕρματα μεγάλα ἔβαλεν εἰς τὸ ϛόμα τοῦ ὠκεανοῦ, ὡς ἂν ἐμπόδια εἴη τοῖς ἐπιφοιτῶσι θηρίοις," τουτέϛι λίθους μεγάλους.

Ἑρμαγόρας Ἀμφιπολίτης φιλόσοφος, a μαθητὴς Περσαίου. διάλογοι αὐτοῦ μισοκύων ἢ περὶ ἀτυχημάτων, ἔκχυτον (ἔϛι δὲ ᾠοσκοπία), περὶ σοφιϛείας πρὸς τοὺς ἀκαδημαϊκούς.

Ἑρμαγόρας Τήμνου τῆς Αἰολίδος, ὁ b ἐπικληθεὶς Καρίων, ῥήτωρ, τέχνας ῥητορικὰς ἐν βιβλίοις ϛ', περὶ ἐξεργασίας, περὶ πρέποντος, περὶ φράσεως, περὶ σχημάτων. ἐπαίδευσε δὲ οὗτος μετὰ Καικιλίου ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Αὐγούϛου, καὶ τελευτᾷ πόρρω τῆς ἡλικίας.

Ἑρμάδιον ⟨A Pac. 923?⟩ τὸ τοῦ Ἑρμοῦ.

ἑρμαῖ. Μενεκλῆς ἢ Καλλικράτης ἐν τῷ περὶ Ἀθηνῶν γράφει ταυτί "ἀπὸ γὰρ τῆς ποικίλης καὶ τῆς τοῦ βασιλέως ϛοᾶς εἰσὶν οἱ ἑρμαῖ καλούμενοι." ἐκαλοῦντο δέ τινες καὶ Ἱππάρχειοι ἑρμαῖ, ἀπὸ Ἱππάρχου τοῦ Πεισιϛράτου. Harp.

ἑρμαῖον τὸ ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. ἢ ἀπὸ τῶν σωρῶν τῶν λίθων, αἳ τῷ Ἑρμῇ ἀνέκειντο. "ὁ κατὰ τοὺς ἄλλους ἀγαπήσας τὸ ἑρμαῖον, οὐδὲ οἰηθεὶς ἄρα μηδὲν ἀδικεῖν εἰ ἑκὼν παρ' ἑκόντος ὁτιοῦν ἐωνήσατο" (Damasc. Phot. p. 341 a).

ἑρμαῖον εὕρημα, ἐπειδὴ λίθων σωροὺς ἀφιέρουν τῷ Ἑρμῇ ἐν ταῖς ὁδοῖς ταῖς ἀδήλοις. Δαμάσκιος (cf. v. ἀνεπτεροῦτο et Νεμεσίων) "καὶ ἐδόκει ἑρμαίῳ ἐντετυχηκέναι ἐμοὶ περιτυχών." "ἑρμαῖόν ἐϛι τῶν κακοήθων ἅπας ἱκετής, καὶ ἡ πρόσοδος τοῖς πονηροῖς ἐκ τῆς ἑτέρας μερίδος παραγίνεται."

ἑρμαῖος ὁ τετράγωνος λίθος.

ἑρμὰν ὕφαλος πέτρα· Ἀντιφῶν καὶ Ἀνακρέων καὶ Ἀριϛοφάνης. Harp.

ἑρματίζω.

ἑρμαφρόδιτος. ἢ τὸν ἀμφότερα ἔχοντα τὰ μόρια ἀρρένων καὶ θηλειῶν φασίν, ἢ τὸν αἰσχρῶς καὶ ποιοῦντα καὶ πάσχοντα.

a Ἑρμείας ὁ θεὸς τῶν Ἑλλήνων.

b Ἑρμείας φιλόσοφος, Ἀμμωνίου καὶ Ἡλιοδώρου τῶν διδασκάλων Δαμασκίου πατήρ. ἦν δὲ ὁ Ἑρμείας φίλος ἐς τὰ μάλιστα Αἰγύπτῳ ἀδελφῷ Θεοδότης, μητρὸς Ἰσιδώρου φιλοσόφου· ὁ δὲ Αἴγυπτος ἦν φιλομαθής.

c Ἑρμείας. οὗτος ὁ φιλόσοφος ἐπιεικὴς φύσει καὶ ἁπλοῦς τὸ ἦθος. φιλοσοφήσας δὲ ὑπὸ τῷ μεγάλῳ Συριανῷ φιλοπονίᾳ μὲν οὐδενὸς τῶν ἑταίρων ἐλείπετο, οὐδὲ αὐτοῦ γε συνακροωμένου τοῦ πάνυ Πρόκλου γεγονότος ὕϛερον, οὐδὲ ἔρωτι μαθημάτων, οἷα παρέχεται φιλοσοφία τῷ ὄντι ἀξιέραϛα· ἀγχίνους δὲ καὶ ὀξὺς σφόδρα ἦν, ὥϛε ὁμωμοκέναι λέγεται πρὸς τὸν Αἴγυπτον τελευτῶντα ἀθάνατον εἶναι καὶ ἀνώλεθρον τὴν ψυχήν. ἐποίει δὲ τοῦτο τὸ θάρρος ἡ εὐζωΐα, ἀναινομένη τὴν τοῦ σώματος φύσιν καὶ εἰς ἑαυτὴν ἐπιϛρέφουσα, καὶ συναισθανομένη τοῦ χωρισμοῦ καὶ ἄντικρυς ἤδη τῆς ἀθανασίας. ἦν γὰρ τὰ μὲν περὶ λόγους ἐνδεέϛερος ἢ κατὰ τὴν ἀκρίβειαν, τὰ δὲ πρὸς ἀρετὴν εὖ ἠσκημένος, ὥϛε μηδ' ἂν τὸν μῶμον αὐτὸν ἐπιμωμήσασθαι, μηδ' αὖ μισῆσαι τὸν φθόνον· τοσαύτη πραότης ἐνῆν τῷ ἀνδρὶ καὶ τοιαύτη δικαιοσύνη. τοιγαροῦν εἴ τι πρίαιτο τῶν πωλουμένων (συχνὸν δ' ἐπὶ βιβλίοις τοῦτο συνέβαινεν), ὁ μὲν πωλῶν ἰδιώτης ὤν, ἂν οὕτω τύχῃ, τίμημα ἀπῄτει τῆς ἀξίας ἔλαττον, ὁ δὲ Ἑρμείας ἐπηνώρθου τε τὴν πλάνην καὶ πλείονος εἶναι φήσας ἄξιον τὸ βιβλίον τοσοῦτον ἂν ἐπέδωκεν, οὐ κατὰ τοὺς ἄλλους ἀγαπήσας τὸ ἑρμαῖον, οὐδὲ οἰηθεὶς ἄρα μηδὲν ἀδικεῖν εἰ ἑκὼν παρὰ ἑκόντος ὁτιοῦν ἐωνήσατο· καὶ γὰρ ἐνέδραν τινὰ ἐνεῖναι τῷ πράγματι καὶ ἀπάτην, οὐ λέγουσαν τὸ ψεῦδος ἀλλὰ σιωπῶσαν τὴν ἀλήθειαν, ὥϛε καὶ ἀδικίαν οὖσαν λανθάνειν τοὺς πολλούς, οὐ βίαιον ἀλλὰ κλοπιμαίαν, οὐδὲ ἐπικίνδυνόν τινα λῃϛοῦ δίκην κλέπτουσαν, ἀλλ' ὑπὸ μὲν τοῦ νόμου ἀφειμένην τὸ δὲ δίκαιον ἀνατρέπουσαν. τοιοῦτος ἦν ὁ Ἑρμείας. Damasc. Phot. p. 341.

Ἑρμῆν. τοῦτον υἱὸν Διὸς λέγουσι καὶ Μαίας, οἷον τοῦ νοῦ καὶ τῆς φρονήσεως· ἐκ νοῦ γὰρ καὶ φρονήσεως ὁ λόγος γεννᾶται. διὰ τοῦτο καὶ πτερωτὸν αὐτὸν ποιοῦσιν ὡς ταχύν· οὐδὲν γὰρ λόγου ταχύτερον, καὶ Ὅμηρος ἔπεα πτερόεντα. πάντων δὲ νεώτατον αὐτὸν ἐργάζονται διὰ τὸ μὴ γηράσκειν τὸν λόγον. ἀλλὰ καὶ τετράγωνον αὐτὸν ποιοῦσι διὰ τὴν ϛερρότητα τοῦ ἀληθοῦς λόγου. λέγουσι δὲ αὐτὸν καὶ τοῦ κέρδους αἴτιον καὶ τῶν ἐμποριῶν ἔφορον· ὅθεν τὸ ἄγαλμα αὐτοῦ ἰσῶσι βαϛάζον μάρσιπον. ἀλλὰ καὶ οἱ Φοίνικες τοὺς θεοὺς αὐτῶν πλάττουσιν ἐπιφέροντας βαλλάντια, ὡς τοῦ χρυσοῦ συμβόλου ὄντος δυναϛείας. οἱ δὲ Ἕλληνες σιδηροφοροῦντας αὐτοὺς πλάττουσιν ὡς τοῖς ὅπλοις ὑποταττομένων τῶν ἀνθρώπων. Codin. orig. CP p. 15.

Ἑρμῆς ὁ πρὸς τῇ πυλίδι. Φιλόχορος λέγει ὡς οἱ θ' ἄρχοντες ταῖς φυλαῖς ἀνέθεσαν Ἑρμῆν παρὰ τὸν πυλῶνα. Harp.

Ἑρμῆς ὁ τρισμέγιϛος. οὗτος ἦν Αἰγύπτιος σοφός, ἤκμαζε δὲ πρὸ τοῦ Φαραώ. ἐκέκλητο δὲ τρισμέγιϛος διότι περὶ τριάδος ἐφθέγξατο, εἰπὼν ἐν τριάδι μίαν εἶναι θεότητα, οὕτως· "ἦν φῶς νοερὸν πρὸ φωτὸς νοεροῦ, καὶ ἦν ἀεὶ νοῦς νοὸς φωτεινός, καὶ οὐδὲν ἕτερον ἦν ἢ ἡ τούτου ἑνότης καὶ πνεῦμα πάντα περιέχον. ἐκτὸς τούτου οὐ θεός, οὐκ ἄγγελος, οὐκ οὐσία τις ἄλλη. πάντων γὰρ κύριος καὶ πατὴρ καὶ θεός, καὶ πάντα ὑπ'

αὐτὸν καὶ ἐν αὐτῷ ἐςίν. ὁ γὰρ λόγος αὐτοῦ παντέλειος ὢν καὶ γόνιμος καὶ δημιουργικός, ἐν γονίμῳ φύσει πεσὼν καὶ γονίμῳ ὕδατι, ἔγκυον τὸ ὕδωρ ἐποίησε." καὶ ταῦτα εἰρηκὼς ηὔξατο λέγων "ὁρκίζω σε, οὐρανέ, θεοῦ μεγάλου σοφὸν ἔργον· ὁρκίζω σε φωνὴν πατρός, ἣν ἐφθέγξατο πρώτην, ἡνίκα τὸν πάντα κόσμον ἐςηρίξατο· ὁρκίζω σε κατὰ τοῦ μονογενοῦς αὐτοῦ λόγου, καὶ τοῦ πατρὸς τοῦ μονογενοῦς λόγου, καὶ τοῦ πατρὸς τοῦ περιέχοντος πάντα, ἵλεως ἵλεως ἔσο." cf. Cyrill. Alex. c. Iulian. 1 p. 35.

Ἑρμίας *ὁ εὐνοῦχος, Ἀταρνεύς· χώρα δέ ἐςι Μυσίας τῆς ἐν Ἀσίᾳ τῆς πρὸς τῷ Ἑλλησπόντῳ, ἧς καὶ ἦρχε βασιλέως τοῦ Περσῶν ὑπήκοος, εὐνοῦχος καὶ δοῦλος γενόμενος Εὐβούλου Βιθυνοῦ δυνάςου καὶ φιλοσόφου, ἀσκηθεὶς παιδείαν παρὰ Ἀριςοτέλει. ἔγραψε περὶ ψυχῆς ὅτι ἀθάνατος.*

οὗτός ἐςιν ὁ εὐνοῦχος ὁ τρίπρατος. οἰκείως δὲ διέκειτο πρὸς Ἀριςοτέλην, καὶ τὴν θετὴν αὐτοῦ θυγατέρα ἔδωκε τῷ φιλοσόφῳ. τοῦτον δὲ τὸν Ἑρμίαν μόνον γράφουσι διὰ τοῦ ι (Harp.). *ἐν δὲ τοῖς τοῦ Ἱππώνακτος ςίχοις ἰαμβικοῖς εὕρηται ςίχος οὗτος "εὐνοῦχος ὢν καὶ δοῦλος ἦρχεν Ἑρμίας." ὅτι οὗτος καίτοι θλαδίας ὢν ἔσπειρε τὴν ἑαυτοῦ γυναῖκα, καὶ ἔτεκεν ἐξ αὐτῆς τὴν Πυθιάδα θυγατέρα αὐτοῦ.*

ἑρμῖνες *οἱ τῆς κλίνης πόδες. καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν ἑρμῖσιν* (Hom. θ 278).

Ἑρμιονεῖς *ὄνομα ἔθνους.*

Ἑρμιόνη *ὄνομα κύριον.*

a Ἕρμιππος *Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ἑτερόφθαλμος, ἀδελφὸς δὲ Μυρτίλου τοῦ κωμικοῦ, δράματα διδάξας μ΄.*

b Ἕρμιππος *Βηρύτιος ἀπὸ κώμης μεσογαίου, μαθητὴς Φίλωνος τοῦ Βυβλίου, ὑφ' οὗ ᾠκειώθη Ἐρεννίῳ Σεβήρῳ, ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ἔκδουλος ὢν γένος, λόγιος σφόδρα. καὶ ἔγραψε πολλά.*

Ἑρμογένης *Ταρσεύς, ὁ ἐπίκλην ξυςήρ, σοφιςής· οὗ διήκουσε καὶ Μουσώνιος ὁ φιλόσοφος. γέγονε δὲ ἐπὶ Μάρκου τοῦ βασιλέως, εὐφυέςατος, καὶ τῆς ἡλικίας αὐτοῦ ἐνδεεςέρας ὑπαρχούσης μᾶλλον ἡ φρόνησις ὑπερεῖχεν. ἀλλ' οὐκ εἰς μακρὸν ταύτης ἀπήλαυσε· γενόμενος γὰρ περὶ τὰ κδ΄ ἔτη ἐξέςη τῶν φρενῶν καὶ ἦν ἀλλοῖος αὐτοῦ, μηδεμιᾶς ἀφορμῆς γενομένης ἢ ἀρρωςίας τοῦ σώματος, ὥςε καί τινας ἀποσκώπτειν εἰς τουτονὶ τὸν τρισάθλιον τόδε τὸ λόγιον "Ἑρμογένης ὁ ἐν παισὶ γέρων, ἐν δὲ γέρουσι παῖς." πλὴν περὶ τὸν ιή ἢ κ΄ χρόνον γενόμενος γράφει ταῦτα τὰ βιβλία τὰ γέμοντα θαυμάτων, τέχνην ῥητορικήν, ἣν μετὰ χεῖρας ἔχουσιν ἅπαντες, περὶ ςάσεων βιβλίον ἕν, περὶ ἰδεῶν λόγου βιβλία β΄, περὶ κοίλης Συρίας β΄. Φιλόςρατος δὲ ὁ Λήμνιος ἐν ταῖς τῶν σοφιςῶν ἀναγραφαῖς* (2) *ταῦτά φησι περὶ αὐτοῦ· "Ἑρμογένης δέ, ὃν Ταρσοὶ ἤνεγκαν, ιε΄ ἔτη γεγονὼς ἐφ' οὕτω μέγα προὔβη τῆς τῶν σοφιςῶν δόξης ὡς καὶ Μάρκῳ βασιλεῖ παρασχεῖν ἔρωτα ἀκροάσεως. ἐβάδισε γοῦν ἐπὶ τὴν αὐτοῦ ἀκρόασιν ὁ Μάρκος, καὶ ἥσθη μὲν διαλεγομένου ἐθαύμαζε δὲ σχεδιάζοντα, καὶ δωρεὰς λαμπρὰς ἔδωκεν. ἐς δὲ ἄνδρας ἥκων ἀφῃρέθη τὴν ἕξιν ὑπ' οὐδεμιᾶς φανερᾶς νόσου. ὅθεν ἀςεϊσμοῦ λόγον παρέδωκε τοῖς βασκάνοις· ἔφασαν γὰρ τοὺς λόγους ἀτεχνῶς καθ' Ὅμηρον πτερόεντας εἶναι· ἀποβεβληκέναι γὰρ αὐτοὺς τὸν Ἑρμογένην καθάπερ πτερά. καὶ Ἀντίοχος ὁ σοφιςὴς ἀποσκώπτων ποτὲ ἐς αὐτὸν οὕτως ἔφη 'Ἑρμογένης ὁ ἐν παισὶ γέρων, ἐν δὲ γηράσκουσι παῖς.' ἡ δὲ ἰδέα ἣν ἐπετήδευε τοιάδε τις. ἐπὶ γὰρ τοῦ Μάρκου διαλεγόμενος 'ἰδού σοι' ἔφη, 'βασιλεῦ, ῥήτωρ παιδαγωγοῦ δεόμενος, ῥήτωρ ἡλικίαν περιμένων.' καὶ πλείω ἕτερα διελέχθη καὶ ὧδε βωμολόχα. ἐτελεύτησε μὲν ἐν βαθεῖ γήρᾳ, εἷς δὲ τῶν πολλῶν νομιζόμενος· κατεφρονήθη γὰρ ἀπολιπούσης αὐτὸν τῆς τέχνης. λέγεται δὲ τοῦτο ὑπό τινων, ὅτι τελευτήσαντος αὐτοῦ ἀνετμήθη καὶ εὑρέθη ἡ καρδία αὐτοῦ τετριχωμένη καὶ τῷ μεγέθει πολὺ τῆς ἀνθρωπείας φύσεως ὑπερβάλλουσα. καὶ ταῦτα μὲν τὰ περὶ αὐτοῦ ᾀδόμενα."*

ἑρμοκοπίδαι. *οὗτοι ἠκρωτηρίασαν τοὺς ἑρμᾶς, ὅτε ἔμελλον πλεῖν ἐν Σικελίᾳ.*

Ἑρμόλαος *γραμματικὸς Κωνςαντινουπόλεως, γράψας τὴν ἐπιτομὴν τῶν Ἐθνικῶν Στεφάνου γραμματικοῦ, προσφωνηθεῖσαν Ἰουςινιανῷ τῷ βασιλεῖ.*

Ἕρμος *δῆμός ἐςι τῆς Ἀττικῆς, Ἀκαμαντίδος. Διονύσιος δὲ οὐδετέρως λέγει τὸ Ἕρμος ὡς ἕρκος.* Harp.

ἑρμῶν. *ἑρμαῖ ἦσαν ἐν τῇ Ἀθηναίων πόλει λίθινοι ἐν προθύροις καὶ ἱεροῖς. ἐπειδή φασι τὸν Ἑρμῆν λόγου καὶ ἀληθείας ἔφορον εἶναι, διὰ τοῦτο καὶ τὰς εἰκόνας αὐτοῦ τετραγώνους καὶ κυβοειδεῖς κατεσκεύαζον, αἰ-*

νιτόμενοι τὸ τοιοῦτον σχῆμα, ἐφ' ἃ μέρη πέσῃ, πανταχόθεν βάσιμον καὶ ὄρθιον εἶναι. οὕτω καὶ ὁ λόγος καὶ ἡ ἀλήθεια ὁμοία ἐςὶ πανταχόθεν αὐτὴ ἑαυτῇ, τὸ δὲ ψεῦδος πολύγονον καὶ πολυσχιδὲς καὶ ἑαυτῷ μάλιστα ἀσύμφωνον. sch. Thuc. 6 27.

Ἑρμώνιος χάρις ἡ κατ' ἀνάγκην διδομένη, οὐκ ἐκ διαθέσεως ψυχῆς, ἀλλ' ἐπιπλάςως καὶ κατὰ προσποίησιν φιλίας, οὐ κατ' ἀλήθειαν. ὁ γὰρ Ἕρμων ὁ Πελασγῶν βασιλεύς, Δαρείυ ἐπὶ Θρᾴκην ἰόντος καὶ πάντα χειρουμένου, παρεχώρησεν Ἀθηναίοις τῆς Λήμνου, τῷ μὲν δοκεῖν χαριζόμενος, τῇ δὲ ἀληθείᾳ Δαρεῖον φοβηθείς.

ἔρνος τὸ φυτόν.

Ἐροιάδαι. οἱ Ἐροιάδαι δῆμός ἐςι τῆς Ἱπποθοωντίδος φυλῆς. Harp.

ἐρόμενος ἐρωτῶν, διὰ τοῦ ο μικροῦ· ἐρώμενος δέ, διὰ τοῦ ω μεγάλου, ὁ ὑπὸ ἐραςῶν ἀγαπώμενος. καὶ ἐρομένη ἡ ἐρωτῶσα, ἐρωμένη δὲ ἡ ἐπιθυμοῦσα.

ἔρον τὸν ἔρωτα.

Ἔρουλοι ὄνομα ἔθνους.

ἑρπησμός. ἑρπηςής, ἑρπηςικὸς ὁ ἕρπων.

ἕρπυλλος εἶδος ἄνθυς, σαμψύχῳ ὅμοιον, ὃ μάλιςα ἐν τοῖς ὕδασι θάλλει. φυταρίυ τι εἶδος· παρὰ τὸ ἕρπειν ταῖς ῥίζαις. ἔςι δὲ καὶ εὐωδέςατον. sch. A Pac. 167.

ἑρπυσμός.

ἔρραινεν.

ἔρρε φθείρου· ⟨AP 7 433⟩ "ἔρρε, κακὸν σκυλάκευμα, κακὰ μερίς, ἔρρε ποθ' Ἅδαν· ἔρρε, τὸν οὐ Σπάρτας ἄξιον ὃν ἔτεκον." "ὦ Ξενοφάνεις καὶ Διαγόραι καὶ Ἵππωνες καὶ Ἐπίκουροι καὶ πᾶς ὁ λοιπὸς ὄχλος τῶν κακοδαιμόνων τε καὶ θεοῖς ἐχθρῶν, ἔρρετε."

ἔρρει ἔρρει, ἔρεε δὲ ἠρώτα.

a ἔρρει ἀφθόνως ἐχορηγεῖτο· "ἔρρει γὰρ οἱ --- οὐδενός" ⟨cf. v. ἀμοιβή⟩.

b ἔρρει κατέπιπτε. καὶ ⟨A Lys. 336⟩ "ἔρρειν ςελέχη φέροντας" ἀντὶ τοῦ ἤκεσα ἐπέρχεσθαι ξύλα φέροντας.

ἐρρέμβοντο ἀπεπλανῶντο· "οἱ δὲ ἐρρέμβοντο κατὰ τὴν χώραν ἕνεκα τῆς ἰδίας ὠφελείας."

ἐρρέτω οἰμωζέτω, φευγέτω· "ὁ πόλεμος ἐρρέτω," τουτέςι χαιρέτω. ὃ ἔςιν, οὐδεμίαν φροντίδα τοῦ πολέμυ ποιούμεθα. Ἀριςοφάνης ⟨Lys. 129 an Eq. 678⟩.

ἔρρεψεν· Ἰώσηπος ⟨B. I. 1 19 2⟩ "ἔρρεψε μέντοι καὶ Ἡρώδῃ τὸ βούλευμα."

ἐρρήσετε ἀντὶ τοῦ μετὰ φθορᾶς βαδίσετε, ἐπὶ κατάρας· ⟨A Pac. 499⟩ "οὐκ ἐς κόρακας ἐρρήσετε;" καὶ ἐρήσομαι ἐρωτήσω.

ἐρρικνωμένον συνεςραμμένον, καμπύλον γενόμενον, ἐρρυτιδωμένον.

ἐρριπτασμένον γεγυμνασμένον, ηὑρημένον, ὥςε μεριμνῶντά με ῥιπτάζεσθαι καὶ ςρέφεσθαι· τοιῦτοι γὰρ οἱ μεριμνῶντες. βέλτιον δὲ ἀπὸ τῶν κύβων τὴν μεταφορὰν νοεῖν, ἀνερριμμένον ὅπως ἂν εὖ ἔλθῃ· καὶ γὰρ ἐπὶ τοῦ κύβου ἀναβάλλομεν, ἄχρις ἂν εὑρεθῇ τὸ προκείμενον βληθῆναι. Ἀριςοφάνης ⟨Lys. 27⟩ "ἀλλ' ἔςιν ὑπ' ἐμοῦ πρᾶγμ' ἀνεζητημένον πολλαῖσί τ' ἀγρυπνίαισιν ἐρριπτασμένον."

ἐρρόντων φθειρέσθωσαν.

ἐρρύθμισεν ἐκανόνισεν.

ἐρρυμβόνα τὰ τιμιώτατα εἰς ἀσωτίαν ἀφειδεςάτην," ἀπὸ τοῦ ῥυμβονῶ ῥήματος. Αἰλιανός.

ἐρρώγασιν ἰσχίσθησαν.

ἐρρωμένως ἰσχυρῶς, εὐσθενῶς.

ἔρρων μετὰ φθορᾶς παραγενόμενος ἢ πορευόμενος. cf. v. ἄπερρε.

ἐρρώσαντο ἐπερρώσθησαν.

ἐρρῶσθαι φράσας ⟨Demosth. 18 152⟩ οἰμώζειν εἰπών, κατεγνωκώς.

ἑρσαῖος ὁ δροσώδης.

ἐρσεφορία. ζήτει ἐν τῷ ἀρρηφορία.

ἔρση ἡ δρόσος. ⟨AP 6 120⟩ "θηλείης ἔρσης ἰκμάδα γευόμενος·" οἱ γὰρ τέττιγες δρόσον σιτίζονται.

ἐρσῆεν πρόσφατον, ἔνυγρόν τε καὶ ἀμόλυντον. cf. Hom. Ω 757.

ἐρσήεντα ⟨Hom. Ξ 348⟩ δροσώδη, ἁπαλόν, νεαρόν. ἡ εὐθεῖα ἐρσήεις.

Ἐρσηλία ὄνομα κύριον.

ἔρσις τὸ πλεξίδιον.

ἐρυγγάνειν ἐρεύγεσθαι, ἐγκωμιάζειν· "καὶ εἰ περίβλεπτον καὶ δόκιμον ἠρύγγανε γένος, δοῦλος ἐπιπράσκετο."

ἐρυγὴ πνεύματος ἀναπομπὴ ἐκ ςομάχυ. a ἔνθεν καὶ τὸ ἐξηρεύξατο ⟨Ps. 44 1⟩ λέγεται.

ἐρυγή. ἐρυγή ἐςι πνεῦμα κρύφιον, κατὰ b τὴν ζέσιν τῆς τροφῆς ἀπορρηγνυμένων τῶν πομφολύγων ἐπὶ τὸ ἄνω διαπνεόμενον.

ἐρύγμηλος ⟨Hom. Σ 580⟩ ὁ μεγαλόφωνος.

ἐρυθαίνει πυρρὸν ποιεῖ. ὅθεν καὶ ἐρύθημα ἡ ῥίζα ἡ λεγομένη ἐρυθρόδανον.

ἐρυθαίνεται μελαίνεται.

Ἐρύθεια πόλις.

ἐρύθημα τὸ χρῶμα· "ἄνθος προσώπῳ ἐπιφυόμενον, οἷον οὐδὲ εἷς λειμὼν νοτερός τε καὶ ἁβρὸς καὶ εὐθαλὴς τεκεῖν ὑπὸ δρόσῳ ἐαρινῇ οἶδεν, ἐρύθημά τε ὡραῖον καὶ μειδίαμα ἥδιστον" ⟨Aelian. V. H. 13 1?⟩. ⟨A Eq. 398⟩ "ὃ δὲ προσαναιδεύεται, κοὐ μεθίστησι τοῦ χρώματος τοῦ παρεστηκότος." τὸ γὰρ μὴ ἐρυθριᾶν ἐπὶ τοῖς εἰρημένοις. ἐπεὶ οὐ μεταβάλλει τὸ χρῶμα, οὐκ ἐρυθριᾷ. cf. v. ἰταμός.

ἐρυθρὰ θάλασσα ἐκλήθη ὁ Περσικὸς κόλπος, οὐκ ἀπὸ τῆς χροιᾶς τοῦ ῥοθίου, καθάπερ τινὲς οἴονται, ἀλλ' ἔκ τινος ἀνδρὸς Ἐρύθρα τὴν προσηγορίαν, ἐνδυναστεύσαντος τοῖσδε τοῖς τόποις.

Ἐρυθραία ὄνομα τόπου.

Ἐρυθραῖοι οἱ ἀπὸ πόλεως τῆς ἐν Ἰωνίᾳ Ἐρυθραὶ καλουμένης.

Ἐρύθριος ἔπαρχος γεγονὼς ἐπὶ Ζήνωνος, ὃς ἐπεὶ μήτε τὰ κοινὰ διαρκοῦντα ἑώρα, μήτε βάρος προσθεῖναι πλεῖον τοῦ τεταγμένου τοῖς συντελέσιν ἠνείχετο, μήτε τινὰ ποιεῖν πονηρόν, ὡς ὢν φιλάνθρωπος, τῶν ὀφειλομένων ἠδύνατο χάριν, αἰτησάμενος παρὰ Ζήνωνος ταύτης τῆς ἀρχῆς ἐπαύσατο. λύπην δὲ τῇ πόλει παρέσχεν, ἡνίκα ταύτην ἀπέθετο· μόνος γὰρ τῶν τελέντων τότε εἰς τὴν πολιτείαν οὗτος ἐπὶ τῷ πάντων ἀγαθῷ ἐπεφύκει, θάττους μὲν τὰς χάριτας παρέχων τοῖς αἰτουμένοις, οὐκ ἔχων δέ τινα παντάπασι τῶν πρόσθε προσκεκρουκότων ἀμύνεσθαι. τὸ δὲ κοινὸν τότε εἰς πᾶσαν ἀπορίαν κατῆλθεν ὡς μηδὲν ἔχον ὑπόλοιπον· ἅ τε γὰρ ἐν τῷ κοινῷ ταμιείῳ Λέων κατέλιπεν ἀποθνήσκων, ὑπὸ Ζήνωνος ταχὺ ἐκεκένωτο πάντα, πολλὰ μὲν χαριζομένου τοῖς φίλοις ὡς ἔτυχεν, οὐκ ὄντος δὲ ἀκριβοῦς ὥστε γινώσκειν αὐτά, εἴ πῃ καὶ ἄλλως κλέπτοιντο. Malchus p. 275 Nieb.

ἐρυθρόν τὸ μέλαν.

ἐρύκειν καὶ **ἀπερύκειν** τὸ κωλύειν καὶ ἀπείργειν· Πολύβιος "τὸ κυριώτατον ἦν τὸ τὸν πόλεμον ἐρύκειν ἀπὸ τῆς Μακεδονίας." cf. v. κυρία.

ἔρυμα φύλαγμα καὶ τεῖχος, ἀσφάλισμα· "τὰς μὲν ἁμάξας ὥσπερ ἔρυμα περιεβάλοντο, τὴν δὲ διάθεσιν τῆς στρατοπεδείας ἐποιοῦντο ᾗ ἐνεχώρει."

Ἐρύμανθος ὄνομα ὄρους. καὶ **Ἐρυμάνθιος** κάπρος.

ἐρυμνά τὰ ἠσφαλισμένα χωρία. καὶ **ἐρυμνοῦσθαι** κατησφαλίσθαι· "οἱ δὲ ᾤοντο πολεμίων πλήθει ᾗ τι εὐάλωτοι τῷ ἐρυμνοῦσθαι κατὰ νώτου τῇ ἀκέσσῃ· τὰ δὲ λοιπὰ αὐτοὶ διενοοῦντο ἐπαμύνειν."

ἐρυμνήν ἠσφαλισμένην.

Ἐρύπειος τόπος.

ἐρύσαι ἑλκύσαι· "τὸν δὲ ἐρύσαι τὸν ἄτρακτον ἐκ τοῦ μυκτῆρος."

ἐρύσαντας ἀντὶ τοῦ ἐκδείραντας· "ἐρύσαντας τὸ δέρμα σὺν τῷ χάσματι φυλάττειν."

ἐρυσίβη θηρίδιόν τι ἐν τῷ σίτῳ γινόμενον, ὃ λυμαίνεται τὸν καρπόν. τινὲς νόσον ἐπιγινομένην τοῖς σπέρμασιν. ἢ ἡ κονιορτώδης φθορὰ τοῦ σίτου.

ἐρυσίβη ἡ πάχνη. b

ἐρχθέντα ⟨Hom. Φ 282⟩ ἐν ὕδατι ἀποπνιγέντα.

Ἐρχιάδαι ⟨an Ἐρχίαθεν⟩. Ἐρχία δῆμος τῆς Ἀττικῆς.

ἐρωδιός εἶδος ὀρνέου, ὁ πελαργὸς λεγόμενος, ἢ ὅμοιος αὐτῷ, ἑλωδιός τις ὤν, παρὰ τὸ ἐν ἕλεσι διατρίβειν, τουτέστι καθύγροις τόποις.

ἐρώεις ὁ ὑποχωρῶν. **ἐρῴης** δὲ εὐκτικῶς.

ἐρωή ἡ ὑποχώρησις.

ἐρωήσας ἀντὶ τοῦ μειώσας, κατεάξας· "ἐρωήσας ὀλοὸν κέρας" Καλλίμαχος ⟨fr. 249⟩. καὶ "ἐρωήσει περὶ δουρί" Ὅμηρος ⟨Α 303⟩.

ἔρωμαί σε ἐρωτήσω σε, καὶ **ἐρώμεθα** ἐρωτήσομεν.

ἐρωμανής ὁ ἐν τῷ ἔρωτι μαινόμενος.

ἐρῶν ἐφιέμενος, ἐπιθυμῶν.

ἔρως. ὅτι οὐδεὶς ἔρως ἀστεῖος. τοῦτο πρόβλημά ἐστι καθόλου ἀποφαντικόν. ἀνασκευάζεται δὲ ὅτι μὴ πᾶς ἔρως φαῦλος. διαιροῦμεν γὰρ τὸν ἔρωτα εἴς τε σύντονον ὄρεξιν ἀφροδισίων, ὡς Ἐπίκουρος λέγει, ὃν οὐχ οἷόν τε ἀστεῖον εἶναι, καὶ εἰς ἐπιβολὴν φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον, ὡς οἱ ἀπὸ τῆς στοᾶς, ἢ ἀνάμνησιν τοῦ ποτὲ ὁραθέντος κάλλους, ὡς Πλάτων· ἀστεῖοι γὰρ οὗτοι οἱ ἔρωτες. Alex. Aphrod. in Top. 2 p. 75.

κειμένου δὲ τοῦ τὸν σοφὸν ἐρασθήσεσθαι, ἀνασκευάσαι τοῦτο θέλοντες ὁρισόμεθα τὸ ἐρασθῆναι, καὶ ληψόμεθα τὸ ἔρωτά τινος λαβεῖν· καὶ ἐπεὶ μηδέπω γνώριμον τὸ προκείμενον, ἐπὶ τὸ τὸν ἔρωτα ὁρίζεσθαι προε-

λυσόμεθα. ἂν δὴ ὁριζόμενοι τοῦτον λάβωμεν ἄλογον ἐπιθυμίαν ἡδονῆς τῆς ἀπὸ τοῦ σωματικοῦ κάλλους ἢ σύντονον ὄρεξιν ἀφροδισίων, ἀνεσκευακότες ἂν εἴημεν τὸ πρόβλημα· δῆλον γὰρ ὅτι ἀλλότρια ταῦτα τοῦ σοφοῦ. ὁμοίως κἂν ὁρισώμεθα αὐτὸν σφοδρὰν ἐπιθυμίαν, ἐπεὶ τὸ σφοδρὸν ἀσαφές, πάλιν αὐτὸ τοῦτο εἰς λόγον μεταληψόμεθα. id. p. 77.

ὅτι τὸν ἔρωτά φασιν ἐπιβολὴν εἶναι φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον, καὶ μὴ εἶναι συνουσίας ἀλλὰ φιλίας· τὸν γοῦν Θρασωνίδην, καίπερ ἐξουσίαν ἔχοντα τῆς ἐρωμένης, διὰ τὸ μισεῖσθαι ἀπέχεσθαι αὐτῆς. εἶναι οὖν τὸν ἔρωτα φιλίας, καὶ μὴ εἶναι θεόπεμπτον. εἶναι δὲ τὴν ὥραν ἄνθος ἀρετῆς. Diog. L. 7 130.

ἀττικῶς δὲ ἀπὸ τοῦ ὁ ἔρος τοῦ ἔρη κλίνεται· οὕτω γὰρ καὶ αὐτοὶ τοῦτο τὸ ὄνομα γράφουσι καὶ ἐκφωνοῦσιν, ὥσπερ καὶ τὸ ἀμείνων καὶ χείρων ἄμεινος καὶ χεῖρος φασίν. ὁ δὲ Πλάτων περὶ ἔρωτος λέγει διεξοδικώτερον. τίθεται δὲ ἐν τῷ περὶ παροιμίας, ἐν τῷ ε στοιχείῳ.

b ἔρως τὸ πρῶτον στοιχεῖον καὶ μέγιστον τῆς τῶν ὄντων πολυθεάμονος ἱστορίας, καὶ φιλοπονία καὶ ἀγχίνοια. οὗτος δέ ἐστιν ὁ τῶν ἁπάντων τῶν καλῶν καὶ προσέτι ἀγαθῶν δεινότατος ἰχνευτής. ζήτει τὰ λοιπὰ κατὰ στοιχεῖον, τουτέστιν ἀγχίνοιαν καὶ φιλοπονίαν, ἃ δὴ καλεῖ Δαμάσκιος (Phot. p. 337 a) στοιχεῖα πρῶτα καὶ μέγιστα τῆς τῶν ὄντων πολυθεάμονος ἱστορίας. cf. vv. ἀγχίνοια, στοιχεῖα, φιλοπονία.

ἐρώτησις ἔνδοξος πρότασις διαλεκτική. οὐ πᾶσα οὖν πρότασις ἐρώτησις, ἀλλ' ἡ διαλεκτική· οὐ πᾶσα ἐρώτησις πρότασις διαλεκτική. ἔστι γὰρ εἴδη πλείω τῆς ἐρωτήσεως. οἱ γὰρ ἐρωτῶντες ἢ περὶ συμβεβηκότος ἐρωτῶσιν, ὡς οἱ ἐρωτῶντες τίς τοῦ πυρὸς ἡ κατὰ φύσιν κίνησις ἢ τί Σωκράτει συμβέβηκεν, ἢ ἔμπαλιν τὸ μὲν συμβεβηκὸς ὁρίζουσί τε καὶ λαμβάνουσιν ἐν τῇ ἐρωτήσει, τὸ δὲ ᾧ συμβέβηκεν ἀξιοῦσι μαθεῖν, ὡς ὁ ἐρωτῶν τίνι τὸ λευκὸν ἢ τὸ μέλαν τῶν ζῴων συμβέβηκε, καὶ τί τῶν ἀγαθῶν δι' αὑτὸ αἱρετόν ἐστι, καὶ τίς ὁ καθήμενος. ἔστι δὲ καὶ ἄλλο εἶδος ἐρωτήσεως ἐκ περιουσίας, ὅταν προενεγκάμενοι τί ποτέ ἐστι τὸ διὰ τῆς ἐρωτήσεως, εἴπῃ ὁ ἐρωτῶν τί ἐστιν ἄνθρωπος; τὴν γὰρ οὐσίαν τοῦ πράγματος ἀξιοῖ μαθεῖν, οὐχ ὃ συμβέβηκεν αὐτῷ. τρίτον εἶδος ἐρωτήσεώς ἐστιν οἷον ὅταν περὶ προτάσεώς τις τὴν ἐρώτησιν εἴτε ἀπόκρισιν αἰτῶν τὸ ἕτερον μέρος τῆς ἀντιφάσεως εἴπῃ, οἷον ἆρά γε ὁ κόσμος σφαιροειδής; ὑπὸ τοῦτο τὸ εἶδος τῆς ἐρωτήσεώς ἐστιν ἡ διαλεκτικὴ πρότασις. Alex. Aphrod. in Top. 1 p. 38.

ἐρωτικὸν ἐπιθυμητικόν, καὶ ἐρωτικῶς ἐπιθυμητικῶς.

ἐρωτῶ σε παρακαλῶ σε, ἱκετεύω σε, δέομαι. καὶ αὖθις "ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον ἠρώτα" ἀντὶ τοῦ παρεκάλει.

ἐσάλευε καὶ ἀπεσάλευε. τοῦτο καὶ ἐπὶ νεῶν λέγεται καὶ ἐπ' ἀνθρώπων, ἐπὶ μὲν πλοίων, ὡς Δίων ἐν Ῥωμαϊκοῖς "ὀλίγα μὲν γὰρ καὶ τὰ κουφότατα τῶν πλοίων πρὸς τῇ γῇ ὥρμει, τὰ δὲ δὴ πλείω καὶ μείζω μετέωρα διὰ τὰ τενάγη ἀπεσάλευεν." ἐπὶ δὲ ἀνθρώπων, ὡς τὸ "ἐφ' ἑνὶ δὲ τῶν παίδων ἀπεσάλευεν." σημαίνει δὲ ἡ λέξις τὸ τὰς ἐλπίδας ἐπὶ τούτοις εἶχεν. καὶ Αἰλιανός "ἐπεὶ τοίνυν ὑπὲρ τῶν ἐσχάτων ἐσάλευεν ἤδη, κομίζουσιν αὐτὸν οἱ προσήκοντες εἰς Ἀσκληπιοῦ."

ἐς ἀῶ εἰς μίαν ἡμέραν. ἐς ὥρας εἰς καιρούς.

ἔσβη ἐσβέσθη, ἐπαύσατο.

Ἔσδρας. οὗτος ἐπὶ Ξέρξου ἦν τοῦ Περσῶν βασιλέως, νομομαθὴς ἄριστος γενόμενος· ὃς τῶν μὴ εὑρεθέντων βιβλίων τὰς γραφὰς ἀναμνημονεύσας παρέδωκε τοῖς τοῦ ἔθνους.

ἔσεισέ μου τὴν καρδίαν (A Ach. 13) ἀντὶ τοῦ ἐλύπησεν. ὃ δὲ ἔσεισέ μου τὴν καρδίαν, ὅτι τὰ τοῦ Αἰσχύλου προσδοκῶν ποιήματα, εἰσήχθη τὰ τοῦ Θεόγνιδος.

ἐσεσήρεσαν ἀντὶ τοῦ ἐκεχήνεσαν. ἡ μεταφορὰ ἀπὸ τῶν ὀργιζομένων κυνῶν. "ἐς ἀλλήλους τε ἐσεσήρεσαν ἡμιμανές τι καὶ ἄγριον οἱ Σκύθαι." καὶ αὖθις ἐσεσήρει ἐδυσχέραινεν, ὠργίζετο· "λίαν γὰρ ἐς αὐτὴν ἡ Θεοδώρα ἠγριαίνετο καὶ ἐσεσήρει" (Procop. Arc. 1).

ἔσεται ἔσται.

ἐσέφθη ἀντὶ τοῦ ἐσεβάσθη, ἐτίμησεν, ἐθαύμασεν, ἐξεπλάγη.

ἐσήλατο εἰσῆλθεν, εἰσέφρησεν· "ὃ δὲ ἀκράτωρ ἑαυτοῦ ὢν ἐσήλατο ἐς τὸν νεών."

ἐσήμαινε προσέτασσεν· "ὁρῶν τὸ πρόθυμον τῶν Ῥωμαίων ἐσήμαινε τοῖς ἑαυτῷ ἑπομένοις ἐπικουρεῖν."

Ἐσηνός ὁ πολίτης.

ἔσθειν τρώγειν.

ἔσθενε σθένους καὶ δυνάμεως μετεῖχεν, ἠδύνατο. Αἰλιανός "ὁ δὲ ἀλέκτωρ ὕμνει τὸν σωτῆρα ἧπερ οὖν ἔσθενε φωνῇ, καὶ ἐδεῖτο ἀρτίπουν θεῖναι αὐτόν" (cf. v. ἀσκωλιάζειν).

ἐσθήματα ἱμάτια.

Ἐσθήρ. αὕτη συνοῦσα τῷ Ἀρταξέρξῃ τῷ βασιλεῖ τὴν βασίλειον τιμὴν ἐκέκτητο, γένους Ἰουδαϊκοῦ τυγχάνουσα καὶ ζῆλον τῆς δόξης ποιουμένη, τούς τε πρὸς γένους αὐτῇ διαφέροντας προσκαλεσαμένη, μάλιστα δὲ Μαρδοχαῖον μητράδελφον ὄντα, ἐν τοῖς βασιλείοις κατεῖχεν. ὡς δὲ τῷ βασιλικῷ προστάγματι Ἀρταξέρξης διεκήρυξε τὰς Ἑβραίας μεθίςασθαι μὲν τῆς δόξης τοῦ θεοῦ, προσκυνεῖν δὲ τὴν ἑαυτοῦ εἰκόνα, ἕως ἡμερῶν μ' ἀνακωχὴν τῆς τιμωρίας τοῖς ἀπειθοῦσι διαταξάμενος, οἱ Ἰουδαῖοι διαδόντες ἀλλήλοις ὥρισάν τινα τῆς προσευχῆς ἡμέραν, νηςείᾳ καὶ προσευχῇ τὸ θεῖον ἐξιλεούμενοι. καὶ οἱ μὲν ἄλλοι, ὡς ἕκαςος εἶχεν, ἐν τῇ ἰδίᾳ σκηνῇ τὰς ἱκεσίας ἐποίουν· Μαρδοχαῖος δὲ εἰς τὴν βασίλειον αὐλὴν ἐν σκότῳ κρυπτόμενος ἤκουσε περὶ τῆς ἐπιβουλῆς κατ' Ἀρταξέρξου, καὶ δηλοῖ τῷ Ἀρταξέρξῃ. καὶ οὕτως ἡ κατὰ Ἰουδαίων ἐλύθη ἐπιβουλή.

ἐσθὴς ἁλουργὴς διὰ τοῦ η, ἀλεργίς δὲ ἰδίως διὰ τοῦ ι.

ἐσθίω τρώγω καὶ φάγε δὲ αἰτιατικῇ συντάσσονται. ἐσθίω ἄρτον· τρώγω ψωμίον· φάγε βοῦν.

ἐσθλά ἀγαθά.

ἐσθλὸς ἐὼν ἄλλου κρείττονος ἀντέτυχεν. cf. v. ἐπιβολή.

ἐσθόμενος ἐσθίων· ἔσθω γὰρ τὸ ῥῆμα. καὶ ἔσθοντες ἐσθίοντες.

ἔσθος ἱμάτιον.

ἔσθ' ὅτε ἔςιν ὅτε.

ἐσία ἡ πρεσβεία. cf. v. ἐξεσία.

ἐσίνοντο ἐβλάπτοντο.

ἔσκαζεν (an ἐδίςαζεν) ἐνεδοίαζεν, ἀμφέβαλλεν· "ὁ δὲ ἔσκαζεν ὅπως ἔχει γνώμης τὰ τῶν Ῥωμαίων συντάγματα, καὶ εἰ ἀρρενικὰς ἔχουσι τὰς ψυχὰς εἰς παράταξιν."

ἔσκαλλεν ἐσκάλευεν, ἐσάλευεν, ἠρεύνα, ἀνεζήτει· (Ps. 76 7) "καὶ ἔσκαλλε τὸ πνεῦμά μου."

ἐσκευώρησεν ἐπεβούλευσεν. ἐξ οὗ καὶ σκευωρία ἡ ἐπιβουλή.

ἐς κεφαλήν σοι (A Plut. 526) ἐπιφώνημα κατάρας· προειρηκότος γάρ τινος χαλεπὰ ἔσεσθαι, ἀμοιβαίως ἀνταποκρίνεταί τις "ἐς κεφαλήν σοι."

ἐσκήνησαν ἀντὶ τοῦ ᾤκησαν. κέκλιται τὸ ῥῆμα ἀπὸ τῆς πρώτης τῶν περισπωμένων (sch. A Ach. 69). καὶ ἐσκήνηνται ἀντὶ τοῦ ἐσκήνωνται, κατοικοῦσιν.

ἐσκιμάλισεν τῷ μέσῳ δακτύλῳ συναρμόσας τὸν μέγαν καὶ πλήξας ἐφυβρίζει. ἢ ἀντὶ τοῦ κατεδακτύλισε· σκιμαλίσαι γάρ ἐςι κυρίως τὸ τὸν μέσον τῶν δακτύλων εἰς τὸν πρωκτὸν τοῦ ὀρνίου ἐμβαλεῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν βουλόμενοι ἐνυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείνοντες καὶ τοὺς λοιποὺς συνάγοντες δείξωσιν αὐτῷ. Ἀριςοφάνης (Pac. 548) "καὶ τὸν δορυξὸν οἷον ἐσκιμάλισεν."

ἐσκληκότα προσλιπαροῦντα, προσεσκληκότα. μετῆκται δὲ ἀπὸ τῶν προσξηραινομένων.

ἐσκοπίαζε περιέβλεπεν.

ἐς κόρακας. Βοιωτοῖς Ἄρνην ποτὲ οἰκοῦσιν ἐρρήθη ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι τῆς χώρας λευκῶν κοράκων φανέντων. νέοι δὲ μεθυσθέντες ποτὲ συλλαβόμενοι κόρακας ἐγύψωσαν κατὰ παίγνιον, καὶ ἀπέςειλαν πετᾶσθαι. ἰδόντες δὲ οἱ Βοιωτοὶ ἐταράχθησαν ὡς τῆς μαντείας λαβούσης τέλος. καὶ φοβηθέντες οἱ νεανίσκοι τὸν θόρυβον ἔφυγον, καὶ ᾤκησάν τινα τόπον, ὃν ἐκάλεσαν Κόρακας· εἰς ὃν μετὰ ταῦτα οἱ τὴν Βοιωτίαν οἰκοῦντες τοὺς ἁμαρτάνοντας ἔπεμπον (Zenobius 3 87). οἱ δὲ ὡς τοῦ ζῴου ἀναιδοῦς καὶ δυσοιωνιςικοῦ τῶν ἀνθρώπων ὄντος. Ἀριςοτέλης δέ φησι, λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ περικαθαίροντας ἐᾶν ζῶντας, καὶ ἐπιλέγειν τῷ λοιμῷ "φεῦγ' ἐς κόρακας." ὁ δὲ Αἴσωπος (fab. 101) μυθικῶς κολοιὸν μέγαν, νομίσαντα τοῖς κόραξιν ἴσον εἶναι, πρὸς αὐτοὺς πορευθῆναι, ἡττηθέντα δὲ πάλιν εἰς τοὺς κολοιοὺς ὑποςρέψαι· τοὺς δὲ ἀγανακτήσαντας παίειν αὐτὸν λέγοντας "φεῦγ' ἐς κόρακας." Ἀριςείδης δὲ ἀποδίδωσι, διὰ τὸ ἐν τραχέσι τόποις καὶ κρημνώδεσι νεοσσοποιεῖσθαι λέγειν ἡμᾶς "φεῦγ' ἐς κόρακας." ἐς κόρακας οὖν εἰς τὸ σκότος, εἰς ὄλεθρον.

ἐς κόρακας, καὶ σαυτόν γε πρός

(A Pac. 19), τετέςιν ἀπόφερε τὸ πρᾶγμα καὶ σαυτόν.

ἐσκορόδισας κλαῦσαι ἐποίησας, ἀπὸ τῶν τὰ σκόροδα τριβόντων. ἢ ἀήδισας, ἐπίκρανας. ἢ ἐδρίμυξας. sch. A Eq. 942.

ἐσκοροδισμένοις. Ἀριςοφάνης (Ach. 165) "οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις" ἀντὶ τοῦ σφοδροῖς οὖσι καὶ πικροῖς γενομένοις, μετειληφόσι τῶν σκορόδων, ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων.

ἐσκοροδισμένος σκόροδα φαγών, ἀπὸ τῶν ἀλεκτρυόνων· ὅταν γὰρ ἐς μάχην συμβάλλωσιν αὐτούς, σκόροδα διδόασιν αὐτοῖς, ἵνα δριμύτεροι ὦσιν ἐν τῇ μάχῃ. sch. A Eq. 492.

ἐσκουπονδίαι κατὰ Ῥωμαίυς ςρατιωτικὰ ἐφόδια.

ἐς Κυνόσαργες. οἱονεὶ Κυνόσαρκες, ἀπὸ τοῦ θυσίας πλησίον γενομένης εἰσελθόντα κύνα καὶ ἁρπάσαντα κρέας τοῦ θύματος ἀγαγεῖν ἐκεῖσε. ἐν ᾧ καὶ ναὸς ἐκτίσθη. καὶ οἱ νόθοι ἐνταῦθα ἐκρίνοντο, εἰ τῷδε ὄντως γέγονεν υἱός. ἐκάλουν δὲ Ἀθηναῖοι καὶ τοὺς ἀπελευθέρους νόθους. εἰς τὸ Κυνόσαργες σαφέςερον κεῖται. cf. v. εἰς Κυνόσαργες.

ἐς Μασσαλίαν πλεύσειας, ἐπὶ τῶν θηλυτέρως καὶ μαλακῶς ζώντων· οἱ γὰρ Μασσαλιῶται θηλύτερον ἔζων, ςολαῖς ποικίλαις καὶ ποδήρεσι καὶ μύροις χρώμενοι.

ἑσμός πλῆθος, ὄχλος, κυρίως τῶν μελισσῶν, παρὰ τὸ ἅμα πετομένας ἵεσθαι.

ἔσο ἐνδέδυσο. σημαίνει καὶ τὸ ὕπαρχε.

ἐς ὅ ἀντὶ τοῦ μέχρι τούτου, ἕως οὗ· "ἐπολιόρκει τὴν πόλιν ἐς ὃ ἐξεῖλεν αὐτήν."

ἔσοπτρον τὸ κάτοπτρον.

ἐς ὅτι ἀντὶ τοῦ λίαν· "ξυνεςήσατο φάλαγγας ἐς ὅτι μάλιςα καρτεράς."

ἐς ὅτι μάλιςα ἀντὶ τοῦ λίαν· (Agath. 5 21) "καλάμους ἐς ὅτι μάλιςα ςερροὺς καὶ παχίςους."

ἐς ὀψιγόνους τοὺς μετὰ ταῦτα.

ἐσπάθα κατανήλισκε καὶ κατήσθιε. διὰ τοῦτο εἶπεν "οὐκ ἀργὸς ἦν." σπαθᾶν δὲ τὸ ἀφειδῶς ἀναλίσκειν καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται. οἰκείως δὲ νῦν τῇ λέξει ἐχρήσατο· καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων ἱματίων λέγομεν σπαθᾶν τὸ ἄγαν κρούειν τὴν κρόκην, ὥςε προσκαθίζειν καὶ πολλὴν μὲν ἀναλίσκειν κρόκην, ἰσχυροτέραν δὲ ἀπεργάζεσθαι τὴν ὑφήν. δύναται ἓν τὸ σπαθᾶν ἐπ' ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τῷ πολλὰ δαπανᾶν παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου· "ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ πρόφασιν ἔφασκον· ὦ γύναι, λίαν σπαθᾷς." sch. A Nub. 53.

ἐσπαθᾶτο Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου (43) ἀντὶ τοῦ ἀπώλλυτο, παρὰ τὴν σπάθην. ἢ τὸ ἐρρίπτετο, ἢ διεκόπτετο. ἢ ἀντὶ τοῦ συνετίθετο, ἀπὸ τῆς τῶν ὑφαντῶν σπάθης, ἥτις συντίθησι τὰ ὑφαινόμενα. Harp.

ἐσπαθημένος πεπυκνωμένος, ἀπὸ τῶν καταχρουουσῶν σπαθῶν τὴν κρόκην.

ἔσπαιρεν ἐκινεῖτο.

ἐσπάρασσεν ἠρέθιζεν· Ἰώσηπος (B. I. 2 21 1) "μετεώρους ὄντας ἐπὶ τῷ μέλλοντι πολέμῳ ἐσπάρασσεν."

ἐσπαρμένη παράταξις, ὅταν εἰς ὄγκους πλείονας διαλύηται τῶν ταγμάτων.

ἔσπασας ἔπιες, εἵλκυσας· (AP 7 104) "Ἀρκεσίλαε, τί μοι τόσον ἄκρητον ἀφειδῶς ἔσπασας, ὥςε φρενῶν ἐκτὸς ὄλισθες ἑῶν;"

ἐσπεικώς τεθνηκώς.

ἐσπείσατο διηλλάγη, καὶ ἔσπεισεν ἔθυσεν.

ἐσπεῖσθαι σπονδὰς πεποιῆσθαι· "ἄν τινα δ' ἄρα αἰτίαν ἐπὶ ταῖς σπονδαῖς σχῇ πρὸς τὸ μὴ αὐτὸς ἐσπεῖσθαι δοκεῖν."

ἑσπερινός ὁ τῆς ἑσπέρας.

ἑσπέριος ὁ δυτικός.

ἑσπερῖτις λίμνη ἡ πρὸς τὴν δύσιν ἔσα.

ἕσπερον κέλευθον ἑσπέριον, ἐπὶ δυσμὰς ὁδόν.

Ἕσπερος. Παρμενίδης πρῶτος πεφώρακε (Diog. L. 9 23) τὸν αὐτὸν ἕσπερον εἶναι καὶ φωσφόρον· οἱ δὲ Πυθαγόραν.

Ἕσπερος ὃς κάλλιςος (Hom. Χ 318). νῦν τὸν ἕσπερον λέγει κάλλιςον, ἐν ἄλλῳ δὲ (ν 93) τὸν ἑωσφόρον φαάντατον.

ἔσπετε (Hom. Β 484) εἴπετε ποιήσατε.

ἐσπόδει κἀπέτριβεν (A Nub. 1379) κονιορτοῦ ἐπλήρου, συνέτριβεν.

ἑσπόμενος ἐπακολουθῶν.

ἐσπούδαζον ἐσεμνολογοῦντο, ἐπεμελοῦντο· Πολύβιος (11 8) "ἐσπούδαζον γὰρ τὰς ἀκολουθίας καὶ τὰς ἐσθῆτας διαφερόντως, καί τις ἦν περὶ τοὺς πλείςους καλλωπισμὸς ὑπερέχων τὴν ἐκ τοῦ βίου χορηγίαν, ὅπλων δὲ ἠμέλουν."

Ἔσσα ὄνομα πόλεως.

Ἐσσαῖοι Ἰουδαῖοι ἀσκηταί, Φαρισαίων καὶ γραμματέων τὴν ἄσκησιν ἐξ ἐπιμέτρου

διανεςηκότες, ἀπόγονοι Ἰωναδὰβ υἱοῦ Ῥιχὰβ τοῦ δικαίου, φιλάλληλοι καὶ τῶν ἄλλων εὐλαβεῖς πλεῖον, οἳ τὴν μὲν ἡδονὴν ὡς κακίαν ἀποςρέφονται, τὴν δὲ σωφροσύνην καὶ ἐγκράτειαν καὶ τὸ μὴ τοῖς πάθεσιν ὑποπίπτειν ἀρετὴν ὑπολαμβάνουσι. καὶ γάμος μὲν παρ' αὐτοῖς ὑπερορᾶται, ἀλλοτρίους δὲ παῖδας νέους ἔτι προσλαμβανόμενοι καὶ διδάσκοντες ὡς συγγενεῖς ἡγοῦνται καὶ τοῖς ἤθεσιν ἑαυτῶν ἐντυποῦσι. καὶ πᾶν αἰσχρὸν ἀποβάλλονται, καὶ πᾶσαν ἄλλην ἀρετὴν ἐξασκοῦσιν. οἳ ἐπιμελοῦνται τῆς ἠθικῆς λέξεως, θεωρίᾳ δὲ τὰ πολλὰ παραμένουσιν. ἔνθεν καὶ Ἐσσαῖοι καλοῦνται, τοῦτο δηλοῦντος τοῦ ὀνόματος, τουτέςι θεωρητικοί. Ioseph. B. I. 2 8 2. Cedren. p. 198.

ἕσσατο περιεβάλετο· ⟨AP 6 266⟩ "ἕσσατο Δαμαρέτου θυγάτηρ."

ἐσσείσεις τὰ νήπια αὐτῶν ⟨4 Regg. 8 12⟩.

ἐσσὴν βασιλεύς, κυρίως τῶν μελισσῶν. ἐσσῆνος ἡ γενική.

ἐςαθευμέναις ἐξ ἐπιπολῆς ὀπτηθείσαις· ςαθεύειν γὰρ τὸ μὴ λίαν ὀπτῆσαι. ἢ χλιανθείσαις πυρί. ⟨A Eccl. 127⟩ "ὥσπερ εἴ τις σηπίαις πώγωνα περιδήσειεν ἐςαθευμέναις."

ἐςάθμησεν ἐμέτρησεν.

ἔςαι. τετραχῶς χρῆται τούτῳ Ὅμηρος, ἔσεται ἔσσεται ἐσσεῖται ἔςαι.

ἔςαλκεν ἐμείωσεν.

ἐςαλμένοι ἐσκευασμένοι ⟨Synes. ep. 104⟩ "νεανίαι χωριτικῶς ἐςαλμένοι." καὶ αὖθις "πάντας δὲ ὡς ἁβρότατά τε καὶ ἅμα ἐς ἔκπληξιν κατὰ πλοῦτον, τῷ γε δὴ πλοῦτον θαυμάζοντι, ἐςαλμένους." cf. v. ἁβρός.

ἐς τάχος γράφει. οὕτω λέγεται ἀττικῶς, καὶ ἐς κάλλος γράφει, καὶ ἐς τάχος παίει. ἀλλ' οὐ καλλιγραφεῖ. cf. v. γράφειν ἐς τάχος.

a ἔςε ἀντὶ τοῦ ἕως οὗ· "οἳ δὲ τῆς Ἀσίας ἦρχον ἔςε ὑπὸ τῶν Μακεδόνων τὴν ἀρχὴν ἀφῃρέθησαν."

b ἔςε μέχρις οὗ· Ἀππιανός ⟨cf. v. λιθάζω⟩ "ἐλίθουν αὐτὴν ἔςε τιτρωσκομένη κατεχώσθη." καὶ ἐςὲ ὑμεῖς.

ἔςειλα ἀπέςειλα.

ἐςερήθην ἐζημιώθην.

ἐςεφάνουν. οἱ Ἀθηναῖοι τοὺς εὐαγγελιζομένους καὶ τοὺς συναγορεύοντας αὐτοῖς ςεφάνοις ἐτίμων. sch. A Eq. 644.

ἐς τέφραν γράφεις, ἐπὶ τῶν μάτην πονούντων καὶ ἀδυνάτων.

ἐςήκει ἀντὶ τοῦ ἵςαται.

ἐςηλιτευμένον ἀναγεγραμμένον.

ἔςι ὑπάρχει.

ἑςία δίαιτα, οἴκησις, βωμός, χυτρόπους, ἐσχάρα.

ἑςιάδες αἱ ἱέρειαι ἃς Ἑλένη ἡ μήτηρ τοῦ μεγάλου Κωνςαντίνου μετὰ τὸ ἀνευρεῖν τὰ ἅγια καὶ τίμια ξύλα, καὶ ναὸν ἀνεγείρασα ἐν τῷ τάφῳ τοῦ κυρίου, τὰς παρθένους ἐν τοῖς εὐκτηρίοις ἀναγράψασα σηκοῖς, σιτήσεις τε αὐταῖς ἐκ τοῦ δημοσίου ἐπιχορηγεῖσθαι παρεκελεύσατο. ταῦτα διαπραξαμένη καὶ π' που βιώσασα χρόνους τὸν βίον μεταλλάττει. ὁ δὲ υἱὸς αὐτῆς ἐν τοῖς κατὰ τὴν Ῥώμην βασιλείοις τὸ σῶμα αὐτῆς ἐκήδευσεν. ⟨Synes. p. 43⟩ "οὐδὲν ἂν φαίην ἀπόρρητόν τι κρύπτειν αὐτάς, ὥσπερ τὰς ἑςιάδας τὸ πῦρ."

Ἑςίᾳ θύομεν, ἐφ' ὧν οὐκ ἀποφέρονται ἀπὸ τῆς θυσίας. cf. v. ἑςίαν.

Ἑςιαιεύς ὄνομα κύριον. καὶ Ἑςιαῖος ὄνομα κύριον.

ἑςιᾶν, αἰτιατικῇ, τρέφειν. καὶ ἑςιᾶσθαι τρέφεσθαι, εὐωχεῖσθαι. οὐχὶ δὲ τὸ παρά τινι ἔλεγον. δοτικῇ δὲ συντάσσεται τὸ ἑςιῶ· Ἀριςοφάνης ⟨Th. 949⟩ "τοῖς κόραξιν ἑςιῶν."

ἑςιατορεῖον τὸ τραπέζιον.

ἑςιατορία ἑςίασις.

ἑςιατόρια· "ἦν δὲ ἑςιατόρια πολλὰ καὶ καταλύσεις."

ἑςιάτωρ ὁ εἰς εὐωχίαν καὶ εὐφροσύνην καλῶν, δαιτυμόνες δὲ οἱ ἀριςηταί.

Ἑςιεῖς ὄνομα ἔθνους.

ἐς τί ἔτι ⟨Hom. E 465⟩ μέχρι τίνος.

ἐςιμμίσατο τοὺς ὀφθαλμοὺς αὐτῆς ⟨4 Regg. 9 30⟩ ἐκαλλωπίσατο.

ἔςιξαν τῷ μετώπῳ ὑπέγραψαν.

ἑςιώμενος τρώγων.

ἑςιῶν ἀριςοποιῶν· "ὁ δὲ ἑςιᾷ τὸν ἄνδρα ἡμερῶν ς' ἐς πανθοινίαν."

ἐςομώθη ἀντὶ τοῦ ἠνοίχθη· "οἳ δὲ ὤρυττον, καὶ ταχέως τὸ χῶμα ἐςομώθη."

ἐςόρεσεν ἔςρωσεν.

ἐςορέσθη ἐςρώθη, ὡμαλίσθη· "οἱ ἄνεμοι παραχρῆμα ἐκόπασαν καὶ τὸ κῦμα ἐςορέσθη, πνεῦμα δὲ κεκριμένον κατὰ πρύμναν ἐπέρρει καὶ τὰ ἱςία ἐπλήρουν." cf. v. σκληροί.

ἐςρατήγησε μετ' Ἐρασινάδου, ἐπὶ τῶν δυςυχῶν, ἐκ τῶν περὶ Ἀργίνουσαν ςρατηγησάντων δυςυχῶς. ἀπέθανε δὲ δημοσίᾳ οὗτός τε καὶ οἱ ὑπομείναντες, Θράσυλλος Περικλῆς καὶ οἱ λοιποί. ἐγένετο δέ τι καὶ πρατπότερον τῷ Ἐρασινάδῃ, τὸ καὶ κλοπῆς κατηγορηθῆναι τῶν περὶ Ἑλλήσποντον χρημάτων. sch. A Ran. 1227.

ἐςρέβλου ἐκάκου, ἠνάγκαζε· "τοῦτον ὖν πλευρῖτις νόσος περιλαβοῦσα ἐςρέβλου δεινῶς."

ἔςυγεν ἐςύγνασεν, ἀπὸ τῆς τοῦ προσώπου ςυγνότητος· Ὅμηρος ⟨P 694⟩ "κατὰ δ' ἔςυγε μῦθον ἀκούσας."

ἐςυκώς· "οὐδὲν μέγα φρονεῖ ἐςυκὼς ἀνήρ."

ἔςω ὑπαρχέτω.

ἐςωμυλάμην ἀντὶ τοῦ ἐφλυάρησα, περισσόν τι τοῦ δέοντος ἐλάλησα, ἢ πανούργως ἐφθεγξάμην· Ἀριστοφάνης ⟨Ach. 579⟩ "συγγνώμην ἔχε εἰ πτωχὸς ὢν εἰπόν τι κἀςωμυλάμην."

ἐς ὕδωρ γράφειν, ἐπὶ τῶν μάτην πονούντων.

ἐσφαλκέναι· "ὥςε καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι τὸ καθ' αὐτὸν διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ προςασίαν" ⟨Polyb. exc. Peir. p. 21⟩.

ἐσφήκωντο ⟨Hom. P 52⟩. καὶ ἐσφηκῶσθαι δεδέσθαι, καὶ ἐσφήκωτο ἐδέδετο.

ἔσφηλε κατέβαλεν· "ἄλλον δὲ οὐχ ὥσπερ Κράσσον τε καὶ τοὺς ξὺν ἐκείνῳ ἔσφηλεν" ἀντὶ τοῦ σφαλῆναι ἐποίησεν.

a ἐσχάρα. ἐσχάραν φησὶ καλεῖσθαι Λυκοῦργος καὶ Ἀμμώνιος τὴν μὴ ἔχουσαν ὕψος ἀλλ' ἐπὶ γῆς ἱδρυμένην. ἢ κοίλην, παρ' ὃ καὶ τοὺς ἰατροὺς τὰ ἐν σώματι κοῖλα ἕλκη ἐσχάρας καλεῖν. Harp.

b ἐσχάρα μαγειρικὸν ἐργαλεῖον· ἐν ἐπιγράμματι ⟨AP 6 101⟩ "ἠθμόν τε πουλύτρητον, ἠδὲ τετράπουν πυρὸς γέφυραν, ἐσχάρην κρηδόκον."

ἐσχάραι ⟨sch. A Eq. 1283⟩ τὰ χείλη τοῦ γυναικείου αἰδοίου.

ἐσχάραι πυρός ἐπὶ ἐδάφους ἀνθρακιαί.

ἐσχαρίου πυρός τοῦ ἐπὶ τῆς ἐσχάρας· ⟨AP 7 210⟩ "ἤριπεν ἐσχαρίου λάβρον ἐπ' ἄσθμα πυρός."

ἐσχαρίτην ψωμίον ἀπὸ κλιβάνου.

ἔσχατα ἐσχάτων κακὰ διαπέπρακται. ὁμοία ἐςὶ τῇ δεινότερα Δεινίου καὶ κύντερα Κύντωνος. ἡ παροιμία ἐπὶ τῶν ἄκρων κακιῶν. cf. v. Ναύσων.

ἔσχατα κακὰ τὰ μεγάλα· "παθεῖν τὰ ἔσχατα κακὰ ἐκ τῶν ὁμοφύλων, ἢ ἀνδράσιν ἀπίςοις σφᾶς ἐπιτρέψαι." καὶ αὖθις "ὃ δὲ οὐ παύεται πολιορκίᾳ τὴν πόλιν ἐς τὸ ἔσχατον ὑπάγων κινδύνου." καὶ αὖθις "λιπαροῦντος οἰκτρῶς καὶ ξὺν ἱκεσίᾳ μὴ τὰ ἔσχατα αὐτὸν περιιδεῖν παθόντα" ἀντὶ τοῦ τέλεια, μεγάλα.

ἐσχάτη ἀδικία ἄκρα τε καὶ τελεία.

ἐσχάτη ἀμαθία. "τὸ δὲ ἐςι τῆς ἐσχάτης ἀμαθίας· ὑπὲρ οὗ πολλὰ λέγειν ἔχων νῦν ἀφίημι."

ἐσχατιά. τὰ πρὸς τοῖς τέρμασι τῶν χωρίων ἐσχατιὰς ἔλεγον, οἷς γειτνιᾷ εἴτε ὄρος εἴτε θάλασσα ⟨Harp.⟩. καὶ ἡ εὐτέλεια λέγεται ἐσχατιά. καὶ αὖθις "ὁ Διοκλητιανὸς λόγον ποιούμενος τῶν πραγμάτων ᾠήθη δεῖν καὶ δυνάμεσιν ἀρκούσαις ἑκάςην ἐσχατιὰν ὀχυρῶσαι καὶ φρούρια ποιῆσαι" ⟨Eunapius?⟩.

ὅτι τὰ ἀθροίσματος σημαντικὰ καὶ περιουσίας πάντα ὀξύνεται, ἀχυρμιά φυταλιά πυρκαϊά ἀνθρακιά ἐσχατιά. οὕτω καὶ τρασιά· ἔςι δὲ τόπος ὅπου ἔςι πλῆθος σύκων ξηραινομένων ἢ τυρῶν ἢ ὁτουδήποτε. καὶ τὸ αἱμασιὰ οὕτως ἔχει ἀπὸ τοῦ συμβεβηκότος τὸ ὄνομα. τὸ ἐξουσία ὁσία οὐκ ἀντίκειται ἐπὶ πράγματος.

ἐσχατιὰν ἔσχατον τόπον γῆς. ἢ τὰ νομὰς ἔχοντα χωρία, ὡς καὶ Ἀριςοτέλης ἐν τῷ ἡ ⟨7 9⟩ τῆς πολιτείας.

ἔσχατος Μυσῶν. Ἕλλησι λοιμῷ κρατουμένοις ὁ θεὸς ἔχρησεν ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν. οἱ δὲ τὸ μὲν πρῶτον ἠπόρουν, αὖθις δὲ τὴν Αἰολίδα παρὰ τοῖς ἐσχάτοις τῆς Μυσίας εὗρον. ἔνιοι τὴν παροιμίαν τοῦ χρησμοῦ λέγουσι Τηλέφῳ μαντευομένῳ γεγονέναι περὶ γονέων, ἐπὶ τίνας τόπους ἐλθὼν εὕροι τοὺς γονεῖς. τὸν δὲ θεὸν προστάξαι πλεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν· ἀφικόμενον δ' εἰς Τευθρανίαν (νέμεσθαι γὰρ ταῦτα τὰ χωρία Μυσούς) ἐπιτυχεῖν τῇ μητρὶ αὐτοῦ. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων.

ἔσχατος δὲ παρὰ τὴν σχέσιν καὶ κώλυσιν ὁ τελευταῖος. καὶ ὕςατος, ὅτι ὑπ' αὐτόν ἐςιν ἡ ςάσις, καὶ οὐκέτι προβῆναι δύναται, ἀλλ' ὕςερος εἰςήκει τοῦ πρώτου μὴ ἐῶντος. καὶ τὸ πύματος ἀπὸ τοῦ πεπαῦ-

σθαι. καὶ τέρμιον τὸ ἔσχατον ἀπὸ τοῦ τέρματος, ὃ ἔχει τέλους.

ἐσχατόωσαν ⟨Hom. B 508⟩ κειμένην ἐσχάτην.

ἐσχάτως ἄκρως· Μένανδρος "φοβοῦμαί σ' ἐσχάτως."

ἔσχε κατέπαυσε· Θουκυδίδης ⟨1 110⟩ "αἱ δὲ τριήρεις πλέουσαι εἰς Αἴγυπτον ἔσχον κατὰ τὸ Μενδήσιον κέρας." καὶ Αἰλιανός "οὐ γὰρ ἔσχον ἀνήνασθαι τὸ πρόσταγμα" ἀντὶ τοῦ ἠδυνήθησαν.

ἐσχεδίαζον ἡτοίμαζον, ἢ ἐκ τοῦ παρατυχόντος ἔλεγον. Ἰώσηπος ⟨B. I. 2 extr.⟩ "τοῖς δὲ τὸν πόλεμον ἐξάψασιν ἐσχεδιάζοντο πρὸς ἡδονήν." καὶ Πολύβιος "ἁπλῶς δὲ πάντα κατὰ τὸ συνεχὲς ἐκ τῆς ἀρχῆς ἄχρι τέλους ἐσχεδιάσθαι καὶ διημαρτῆσθαι."

ἔσχετο ⟨Hom. P 696⟩ ἐπεσχέθη.

ἐσχηματισμένος ὁ προσποιητὸν τρόπον ἔχων καὶ δοκῶν εἶναι κόσμιος, ὡς παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Τίμωνα "οἱ δ' ἀλαζονεύονται μὲν Τίμωνι παραπλησίως, καὶ ἐσχηματισμένοι περιέρχονται ὥσπερ οὗτος."

ἐσχολάρχησε σχολῆς ἦρξεν, ἐδίδαξεν.

ἔσω τοπικόν.

ἔσω ἄνθρωπος κατὰ τὸν ἀπόστολον ἡ ψυχή ⟨2 Cor. 4 16⟩, ἔξω ἄνθρωπος τὸ σῶμα. ἔσθ' ὅτε γὰρ ἀπὸ μέρους τὸ σύμπαν ἡμῖν δηλοῦται ζῷον, ὡς ἐν τῷ ⟨Ioel 2 28⟩ "ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα." καὶ κατὰ Μωσέα προσδιαλεγόμενον τοῖς ἐξ Ἰσραὴλ ⟨Deuteron. 10 22⟩ "ἐν ὁ καὶ ε ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον."

ἔσωθεν τοπικόν.

ἐσώθην. ἀπὸ τοῦ σώω σώσω σέσωκα σέσωμαι ἐσώθην. τὸ δὲ σέσωσμαι ἀπὸ τοῦ σῴζω. τὸ δὲ σῴζω ἔχει τὸ ι, καὶ πᾶσα κλίσις ἔχουσα τὸ ζ, οἷον σῴζομαι ἐσῳζόμην καὶ τὰ ὅμοια.

ἐσωκράτουν ⟨A Av. 1282⟩ ἀντὶ τοῦ ἐκόμων, ἐρρύπουν, ἐπείνων.

ἐσωμάσκει συνεκρότει, ηὐτρέπιζεν, ὤδινεν, ἡτοίμαζεν· "ὁ δὲ πολλοὺς δεκάζων τῶν Ἰσαύρων τὰ κατὰ τὸν πόλεμον ἐσωμάσκει."

ἐσωματοποίει ἔπλαττε· Πολύβιος "ὡσανεὶ καὶ τὸ αὐτόματον καὶ τύχη τις ἐσωματοποίει τὰς τοῦ Σκιπίωνος πράξεις, ὥστ' ἐπιφανεστέρας καὶ μείζονας ἀεὶ φαίνεσθαι τῆς προσδοκίας."

ἔται οἱ πολῖται, πηοὶ δὲ οἱ κατ' ἐπιγαμίαν συγγενεῖς.

ἐταινίωσε περιεῖλησε, συνέσφιγξεν· "ὃ δὲ κατεταινίωσε τὸ τραῦμα τῇ ζώνῃ."

ἑταίρα φίλη, πόρνη· "ὅτι Σκιπίων ἑταίρας καὶ θύτας καὶ μάντεις ἐξήλαυνε τοῦ στρατοπέδου, οἷς διὰ τὰς δυσπραξίας οἱ στρατιῶται περιδεεῖς γεγονότες ἐχρῶντο" ⟨Appian. Hisp. 85⟩.

ἑταῖραι Κορίνθιαι Λαῒς Κυρήνη Λέαινα Σινώπη Πυρρίνη Σκιώνη. φησὶ δὲ Ἀριστοφάνης ἐν Πλούτῳ ⟨149⟩ "καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας, ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ, οὐδὲ προσέχειν τὸν νοῦν, ἐὰν δὲ πλούσιος, τὸν πρωκτὸν αὐτὰς εὐθὺς εἰς τοῦτον τρέπειν."

ἑταῖρε. ὁ Πλάτων καὶ οἱ ἄλλοι φιλόσοφοι τοὺς γνησίους ἐραστὰς τῶν λόγων ἑταίρους ἐκάλουν· οὓς ἐμιμεῖτο Ἰουλιανὸς ἑταίρους πάντας καλῶν ἐν ταῖς συνουσίαις, οὐκ ἀπαυθαδιζόμενος τῇ βασιλείᾳ.

ἑταιρεία ἡ συνήθης ὁμόνοια καὶ φιλία· a
Βάβριος "θέντο μετ' ἀλλήλοισιν ἑταιρείην μύε δοιώ, οὐ καθ' ὁμὰ ζώοντες· ὃ μὲν κατὰ νειὸν ἐρήμην ἐτρέφεθ', ὃς δὲ δόμοισιν ἐν ἀφνειῶν τρέφετ' ἀνδρῶν." ἑταιρεία καὶ τὸ τάγμα, καὶ ἑταιρειάρχης ὁ τῆς ἑταιρείας ἄρχων.

ἑταιρεία ἡ φιλία. ἰδίως ἐπὶ τῆς ἑταιb
ρήσεως τοὔνομα τέταχεν Ἀνδοκίδης ⟨1 100⟩.

ἑταιρεῖος ⟨Herodot. 1 44⟩ ὁ Ζεὺς παρὰ Κρησί. σημαίνει δὲ καὶ τὸν φίλιον.

ἑταιριζομένη ἐρεθιζομένη, προσκνωμένη· ἑταιρίζω γὰρ τὸ φίλον προσλαμβάνομαι.

ἑταιρισάμενος συνεργήσας. καὶ ἑταιρήσας πορνεύσας, καὶ ἑταιρήσεις τὰς πορνείας.

ἑταιρίστριαι αἱ καλούμεναι τριβάδες.

ἑταῖρος ὁ ἴδιος.

ἑταιρῶ ἐπὶ τῆς πόρνης.

ἑταιρῶν ἀνθίνων. νόμος Ἀθήνησι τὰς ἑταίρας ἄνθινα φορεῖν.

ἔτεα ἔτη παρ' Ὁμήρῳ.

ἐτέθησαν ὑπέκυψαν, ἐπείσθησαν· "οἱ δὲ τῇ τοῦ βασιλέως μᾶλλον καὶ τοῦ ἐπισκοποῦντος ἐτέθησαν βουλῇ."

ἔτειον ἐνιαύσιον. ἐπέτειον δὲ τὸ μὴ μόνιμον ἀλλὰ πρὸς ἐνιαυτὸν ἀκμάζον. καὶ ἔτειος καρπὸς καὶ καιρός.

ἔτειρεν ⟨Hom. E 796⟩ κατεπόνησεν.

ἐτειχηροῦντο τοῖς τείχεσι περιεστοιχί-

ζοντο, περιεκλείοντο· "ἐντὸς δὲ τῆς τάφρου καὶ τοῦ ἐρύματος ἐτειχηροῦντο."

ἐτέκταινον (Ps. 128 3) κατεσκεύαζον.

ἐτέλει ἐτέτακτο.

ἐτελέσθησαν (Ps. 105 28) ἐμιάνθησαν, μετέσχον τῆς μιαρᾶς συνουσίας.

Ἐτεοβουτάδαι γένος Ἀθηναίοις πάνυ λαμπρόν, ἀπὸ Βούτου· ἀφ' οὗ οἱ ἱερεῖς καθίζαντο Ἀθήνησιν.

Ἐτεοκλῆς ὄνομα κύριον. καὶ Ἐτεοκλείης.

ἐτεόν ἀληθῶς· (A Eq. 32) "ἐτεὸν ἡγῇ γὰρ θεός;" ἀληθῶς πεπίστευκας εἶναι θεός;

Ἐτεόνικος ὄνομα κύριον.

ἑτεραλκέα ἑτεροκλινῆ. ἑτεραλκὴς νίκη ὅταν οἱ ἡττηθέντες νικήσωσι.

ἑτερόγναθος, ἐπὶ ἵππου, ἀπειθής, ἢ ἀλίγξος καὶ ἀμφοτέραις ταῖς γνάθοις ἐσθίων.

ἑτεροῖος ὁ ἀλλοῖος.

ἑτεροιουμένη ἀλλοιουμένη.

ἑτεροιῶ τὸ μεταβάλλω.

ἑτεροίως ἀλλοίως.

ἑτερομάσχαλος χιτών, ἣν ἐξωμίδα λέγουσιν.

ἑτερομόλιος δίκη εἰς ἣν ἀντίδικοι οὐκ ἦλθον.

ἕτερον· Ὅμηρος (I 313) "ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ." ἐνταῦθα δοκεῖ συγκεχύσθαι τὸ δυϊκόν· ἔδει γὰρ ἕτερον δὲ εἴπῃ, ἑτέρου πρὸς ἕτερον ἀντιδιαστελλομένου· τὸ γὰρ ἄλλο ἐπὶ πλειόνων τίθεται. πιθανεύονται δὲ ὅτι ἐπὶ τῶν ὁμοειδῶν τὸ ἕτερον.

ἕτερος ἐπιμεριζόμενον. τετραχῇ δὲ ἐπιμερίζονται, εἷς ἐκ δύο, ὡς ἕτερος τῶν ὀφθαλμῶν· δύο καθ' ἕνα, ὡς ἑκάτερος· εἷς ἐκ πολλῶν, ὡς ἄλλος· πολλοὶ καθ' ἕνα, ὡς ἕκαστος.

ἑτερόστομος φάλαγξ καλεῖται ἥτις ποιεῖται τὸ μὲν ἡγούμενον ἥμισυ ἔχουσα ἐν εὐωνύμῳ παραγωγῇ, τουτέστι τοὺς ἡγεμόνας ἐξ εὐωνύμου, τοῦ δὲ λοιποῦ ἡμίσεος τοὺς ἡγεμόνας ἐν δεξιᾷ παραγωγῇ. Arrian. Tact. p. 68.

ἑτερόφθαλμος ὁ ἐν Λοκροῖς νομοθετήσας. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (141).

ἑτερόχροιος ὁ ἀλλοῖος κατὰ τὴν χροιάν.

ἑτέρωθεν καὶ ἑτέρωθι καὶ ἑτέρωσε, εἰς ἕτερον μέρος, ἀλλαχόσε.

ἐτετρήχει ἐτετράχυτο.

ἐτεχνίτευε μετὰ τέχνης καὶ δόλου ἠρεύνα· Ἰώσηπος (A. I. 5 8 11) "ἐτεχνίτευε μαθεῖν τίνι τρόπῳ τοσοῦτον προέχει κατ' ἀρετήν."

Ἐτεωνεύς ὄνομα κύριον.

ἐτήρει ἐταμίευε· "τοὺς δὲ νεωτέρους ἐτήρει τῷ θριάμβῳ."

ἔτης ὁ πολίτης, ἀπὸ τοῦ ἔθους, ὡς ξένος ὁ ἔξω τῆς ἑνότητος ὤν, ἢ παρὰ τὸ ἔξω εἶναι.

ἐτησίαι οἱ ἄνεμοι οἱ κατ' ἔτος πνέοντες. πνέουσι δὲ ἐν ἀκμῇ τοῦ θέρους, διότι ὁ ἥλιος μετεωρότερος καὶ ἀπὸ τῶν μεσημβρινῶν τόπων ἀρκτικώτερος γινόμενος λύει τὰ ὑγρὰ τὰ ἐν ταῖς ἄρκτοις· λυόμενα δὲ ταῦτα ἐξαιροῦται καὶ πνευματοῦται, καὶ ἐκ τούτων γίνονται οἱ ἐτησίαι, καὶ ἀπὸ τῶν ἀρκτῴων τόπων φέρονται ἐπὶ τοὺς μεσημβρινούς. ἃ προσπίπτει τοῖς ὑψηλοτέροις ὄρεσι τῆς Αἰθιοπίας, καὶ πολλὰ καὶ ἀθρόα γιγνόμενα ἀπεργάζονται ὑετούς, καὶ ἐκ τῶν ὑετῶν τούτων πληθωρεῖται ὁ Νεῖλος τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. sch. Demosth.

ἐτήσιος ὁ κατ' ἔτος.

ἐτήτυμος ὁ ἀληθής.

ἔτι ἐπίρρημα. παρέλκει ἀεὶ παρὰ τοῖς Ἀττικοῖς. παρὰ Ἀριστοφάνει (Eccl. 209) "ἢν οὖν ἐμοὶ πείθησθε, σωθήσεσθ' ἔτι."

ἐτίθετο· "οὐδὲ τῇ ὄψει τῶν ὀνείρων ἐτίθετο" ἀντὶ τοῦ προσέκειτο, προσεῖχεν. cf. v. ἐτέθησαν.

ἐτιθηνήσατο ἐγαλούχησεν.

ἔτι μήν χρονικὸν ἐπίρρημα.

ἐτιμησάμην· "ὡς ἔγωγ' ἐτιμησάμην ἂν τοῦ παντὸς Ἀντώνιον ἀποκτείναντα Κικέρωνα περιεῖναι."

ἐτίμησαν ἐζημίωσαν, κατεδίκασαν· "οἱ δὲ τὸν Σωκράτην θανάτου ἐτίμησαν." τίμημα γὰρ ἡ ζημία καὶ ἡ καταδίκη.

ἐτιμήσασθε ἀντὶ τοῦ ἠγοράσατε· Θουκυδίδης (I 33) "ἣν ὑμεῖς πολλῶν χρημάτων ἐτιμήσασθε."

ἐτιμήσατο ἐξηριθμήσατο· "ὁ δὲ συλληφθεὶς ἐκ τῶν βαρβάρων, καὶ τοῦ βασιλέως περὶ ἀφέσεως --- ἀντιπρεσβευσάμενος ἐτιμήσατο τὴν ζωὴν αὐτοῦ ὁ βάρβαρος λιτρῶν υ."

ἐτισάμην ἐτιμωρησάμην.

ἔτισαν ἔδωκαν· Αἰλιανός "ἀνθ' ὧν οἱ Φωκεῖς ἔτισαν δίκας βαρυτάτας."

ἔτισεν ἔδωκεν. "ὃ δὲ ἔτισε δίκας ὧν ἔπραξεν· οὐ γάρ τί που ταχεῖ καὶ ὠκυμόρῳ τέλει τὸν βίον κατέστρεψεν, ἀλλ' ἐκολάζετο χρόνῳ."

ἔτλη ὑπέμεινεν.

a ἔτνος ἀθάρα μετὰ γάλακτος. καὶ ἐτνήρυσις ἡ ζωμάρυστρος, ἐν ᾗ τὸ ἔτνος ἀρύονται, ὥσπερ οἰνήρυσις· καὶ πᾶν τὸ ταράσσον. ἔτνος δὲ ἔλεγον τὴν ἀθάραν καὶ τὸ πίσινον ἀφέψημα ⟨sch. A Ach. 244⟩. "καὶ κνῆστιν καὶ τὰν ἐτνοδόνον τορύναν" ⟨AP 6 305⟩.

b ἔτνος τὸ ὄσπριον.

ἑτοιμάζω αἰτιατικῇ.

ἕτοιμος ὁ εὐχερής.

ἑτοίμως ἐμπαρασκεύως. ἐτύμως δὲ ἀληθῶς, διὰ τοῦ υ ψιλοῦ, καὶ ψιλοῦται. καὶ ἔτυμος ὁ ἀληθής.

ἐτόπασεν ὑπενόησεν, ἐνόμισεν.

ἔτορεν ⟨Hom. Λ 236⟩ ἔτρησεν, ἐτρύπησεν.

ἐτός παρέργως. ἔτος δὲ ὁ χρόνος, καὶ δοτικὴ τῷ ἔτει, καὶ πληθυντικὸν τὰ ἔτη.

ἐτραχηλίασε κατισχυρεύσατο ἢ ἐγαυρίασεν, ἀπὸ τῶν βοῶν τῶν ἀποβαλλόντων τοῦ τραχήλου τὸν ζυγόν. Ἰώβ ⟨15 25⟩ "ἔναντι δὲ κυρίου παντοκράτορος ἐτραχηλίασεν."

ἔτρησεν ἐτρύπησεν.

ἐτρίβετο ὑπερετίθετο, ἀνεβάλλετο· "μέχρι πολλοῦ διαφερομένων ἐτρίβετο ἡ προσβολή."

ἔτρυχεν ἐδάμαζεν· "ἡ δὲ γῆ ἀγονίαις κατειλημμένη ἔτρυχεν αὐτοὺς ἀλγεινότατα."

ἐτρύχωσεν ἐξέτριψεν.

ἐτύγχανεν.

ἐτύθη ἐσφαγιάσθη.

Ἐτυμοκλῆς ὄνομα κύριον.

ἐτυμολογία.

ἐτυρώθη ἐσκληρύνθη· Δαβίδ ⟨Ps. 118 70⟩ "ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν."

ἔτυχον γενικῇ.

ἐτώθαζον ἔσκωπτον, ἐχλεύαζον, ἐλοιδόρουν· ⟨Procop. Pers. 2 8⟩ "οἱ δὲ ἐς τὸν Χοσρόην ὕβριζον ἀπὸ τῶν ἐπάλξεων, καὶ ξὺν γέλωτι ἀκόσμῳ ἐτώθαζον." ἢ ἐτώθασαν ἐκαυχήσαντο.

ἐτώσιον τὸ μάταιον.

εὖ καλῶς· "ἐρᾷ αὐτῆς ἀνὴρ Ῥωμαῖος, Ἄππιος ὄνομα, τῶν εὖ γεγονότων."

Εὔα ἡ πρώτη γυνὴ καὶ πρώτη τοῦ κόσμου παράβασις, εἰ καὶ ὁ Ἀδὰμ ὁ ἀνὴρ αὐτῆς ζωὴν αὐτὴν κέκληκεν ὡς ἐσομένην μητέρα τῶν ζώντων.

εὐά τράγου φωνῆς μίμημα· "ὁ δὲ τράγος ἐκ τοῦ φρέατος ἀνεπήδησε, τὸ αὐτὸ φωνήσας εὐά."

Εὐαγγελάων ὄνομα κύριον.

εὐαγγέλιον τὰ κάλλιστα ἀπαγγέλλον.

Εὐάγγελος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἀνακαλυπτόμενος, ὡς Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς ⟨p. 644⟩.

εὐαγές ἁγνόν, εὐσεβές, ὅσιον, θειότατον. "γένους δὲ ἦν εὐαγοῦς, οὐκ ἐπὶ δυνάμει τρυφώσῃ λαμπρυνομένου, οὐδὲ ἐπὶ χρημάτων περιουσίᾳ κολακικῇ."

εὐαγές εὐκόλως κεκλασμένον. b

εὐαγής καλῶς περιηγμένος. μεταφορικῶς κύκλος. καὶ ἐν ἐπιγράμματι ⟨AP 7 34⟩ "Πιερικὰν σάλπιγγα, τὸν εὐαγέων βαρὺν ὕμνων χαλκευτὰν κατέχει Πίνδαρον ἅδε κόνις."

εὐάγητον καθαράν, λαμπράν· Ἀριστοφάνης Νεφέλαις ⟨276⟩ "δροσερὰν φύσιν εὐάγητον."

εὐάγκαλον ἐλαφρόν, εὐμαρῆ· "ὁ δὲ Αἰνείας τὸν πατέρα ἐπιθέμενος τοῖς ὤμοις ἐξῆγε, φόρτον ὡς υἱεῖ φιλοπάτορι καὶ τοῖτον εὐάγκαλον." οὕτω φησὶν Αἰλιανός.

Εὐαγόρας Λίνδιος ἱστορικὸς ἔγραψε βίον Τιμαγένους καὶ ἑτέρων λογίων, τέχνην ῥητορικὴν ἐν βιβλίοις ε, τῶν παρὰ Θουκυδίδῃ ζητουμένων κατὰ λέξιν, ἱστορίαν τε περιέχουσαν τὰς Αἰγυπτίων βασιλείας.

Εὐάγριος. οὗτος ἔγραψε διάφορα, καὶ ὑπόμνημα εἰς τὰς παροιμίας Σολομῶντος.

εὐάγωγον εὐχερές, καλῶς ἀναγόμενον. ἢ εὐάγωγον εὐθήρατον, εὔληπτον.

εὔαδεν ⟨Hom. Ξ 340⟩ ἤρεσεν.

Εὐάθλους δέκα ⟨A Ach. 710⟩. Εὔαθλος ῥήτωρ ἦν πονηρός· Ἀριστοφάνης Ὁλκάσιν "ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος, ὥσπερ Εὔαθλος παρ' ἡμῖν τοῖς νέοις." ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος καὶ ἀγεννής· διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην.

εὐαίτητος.

Εὐαίων ὄνομα κύριον. Demosth. 21 71.

εὐάλωτον εὐκόλως χειρούμενον.

εὐανακλήτως συμπαθῶς· ⟨M. Anton. 1 7⟩ "καὶ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλήτως ἔχειν καὶ εὐανάδεκτως, ἐπειδὰν αὐτοὶ ἐπανελθεῖν θέλωσιν."

εὐανδρία. Δείναρχος. εὐανδρίας ἀγὼν ἤγετο. Harp.

εὐανθὴς γλῶσσα" ἡ ἄκρως ἠττικισμένη ὁμιλία "καὶ πολλῶν γέμουσα χαρίτων, καὶ μουσικῶν ἀπηχημάτων ἀπόζουσα." ἔςι δὲ καὶ ὄνομα κύριον.

εὐάντητος εὐαπάντητος.

εὐάντυγα εὐάξονα.

εὐάρεςος.

εὐαρίθμητοι ὀλίγοι· "ἐν εὐαριθμήτοις ἡμέραις τῷ Καίσαρι συνόντες" ἀντὶ τοῦ ἐν ὀλίγαις.

εὐαρμοςότερος τοῦ συμφέροντος ςοχαζόμενος· ⟨Polyb. 21 5⟩ "ὃ δὲ ἐδόκει πρὸς πάντας τοὺς καιροὺς εὐαρμοςότερος εἶναι Πανσιςράτου διὰ τὸ βαθύτερος τῇ φύσει καὶ ςασιμώτερος μᾶλλον ἢ τολμηρότερος ὑπάρχειν."

εὐαςήρ ἐπίθετον Διονύσου, παρὰ τὸ ποιῖ ἐνθουσιαςικόν· ἐν ἐπιγράμματι ⟨AP 6 154⟩ "ἀγρονόμῳ τάδε Πανὶ καὶ εὐαςῆρι Λυαίῳ πρέσβυς καὶ νύμφαις Ἀρκὰς ἔθηκε Βίτων."

εὐαφές εὐμάλακτον, εὐψηλάφητον.

εὐάφορα εὔσκοπα, εὐθεώρητα· "κολωνὸν ἐπιλεξάμενος ἀφ' οὗ τά τε ἔμπροσθεν καὶ τὰ κατόπιν εὐάφορα ἦν, λόχον ἐπ' αὐτῷ ἐπέςησεν."

εὐ βεβηκότα ⟨S El. 982⟩ εὐςαθῆ.

Εὐβοεῖς ἐθνικόν.

Εὔβοια ἡ νῆσος.

εὔβοτον καλὰ βοσκήματα ἔχουσαν.

εὐβουλία ἐπιςήμη τοῦ σκοπεῖσθαι ποῖα καὶ πῶς πράττοντες πράξομεν συμφερόντως. Diog. L. 7 93.

a Εὔβουλος δημαγωγὸς ἦν ἐπιφανέςατος.

b Εὔβουλος Κήττιος Ἀθηναῖος, υἱὸς Εὐφράνορος, κωμικός, ἐδίδαξε δράματα ρδ', ἦν δὲ κατὰ τὴν ρά ὀλυμπιάδα, μεθόριος τῆς μέσης κωμῳδίας καὶ τῆς παλαιᾶς.

Εὐγαίων ὄνομα κύριον.

εὖγε καλῶς, ὁσίως. λέγεται δὲ καὶ ἐπ' εἰρωνείας πολλάκις.

εὔγειος τόπος καλὴν ἔχων γῆν. καὶ οὐδετέρως εὔγειον τὸ πρὸς τὴν δύσιν κείμενον.

Εὐγενάτορος σοφιςοῦ τινός. cf. v. Φιλάγριος.

εὐγένεια ἡ καλὴ γενεά. Εὐγενία δὲ ὄνομα κύριον, διὰ τοῦ ι.

εὐγενέςερος Κόδρου τοῦ υἱοῦ Μελάνθου τοῦ Μεσσηνίου, πατρὸς δὲ Μέδοντος καὶ Νηλέως. οὗτος ὁ Κόδρος Δωριέων ἐπιςρατευσάντων Ἀθηναίοις ἐπεὶ τοὺς ἐκ Πελοποννήσου φυγάδας προσεδέξαντο, ἐν οἷς καὶ Μέλανθον, χρησμοῦ δὲ αὐτοῖς δοθέντος αἱρήσειν τὴν πόλιν ἐὰν ἀπόσχωνται τοῦ τῶν πολεμίων βασιλέως, νοήσας τὸν χρησμόν, ἀναλαβὼν ὑλοτόμου ἐσθῆτα καὶ ἐντυχὼν τοῖς φύλαξι τῶν Δωριέων ἕνα ἐξ αὐτῶν ἀνεῖλε. διοργισθέντες δὲ οἱ λοιποὶ συλλαβόντες αὐτὸν ἀνεῖλον, ὡς Εὔδημος ⟨an Δήμων⟩. οἱ δὲ περὶ Κόδρου φασὶν ὅτι βασιλεύοντος αὐτοῦ Ἀθηναίων, τοῖς Λακεδαιμονίοις γενομένης ἀφορίας κατὰ τὴν χώραν πᾶσαν ἔδοξε ςρατεύειν ἐπὶ τὰς Ἀθήνας, ὅπως ἐξαναςήσαντες τῆς Ἀττικῆς τοὺς ἐνοικοῦντας αὐτοὶ κατανείμωνται τὴν χώραν. καὶ πυνθάνονται τῆς Πυθίας εἰ λήψονται τὰς Ἀθήνας. ἀνελόντος δὲ αὐτοῖς τοῦ θεοῦ διότι τὴν πόλιν οὐχ αἱρήσουσιν ἐὰν τὸν βασιλέα τὸν Ἀθηναίων Κόδρον ἀποκτείνωσι, καὶ ἐςράτευσαν ἐπὶ τὰς Ἀθήνας. Κλεόμαντιν δὲ τὸν Δελφὸν πυθέσθαι τὸν χρησμὸν καὶ ἀποςεῖλαι Ἀθηναίοις. τοῦτο μαθὼν Κόδρος πρὸ τῆς πόλεως ἐξελθὼν φρύγανα συνέλεγε. δύο δὲ τινῶν ἐλθόντων πρὸς αὐτὸν πυνθάνεσθαι τίς εἴη. ὁ δὲ Κόδρος τῷ δρεπάνῳ πλήξας ἀπέκτεινεν αὐτόν. ὁ δὲ ἕτερος ἀνεῖλε τὸν Κόδρον. οἱ δὲ ῥήτορες τῷ Κόδρος ἐπὶ τοῦ ἐντίμου ἐχρήσαντο, ὥς φησιν Εὔδημος ἐν τῷ περὶ λέξεων ῥητορικῶν.

εὐγενής ἐπὶ γένους ἢ ἐπὶ πατρίδος· ⟨Diodor. t.2 p.629⟩ "ἐπὶ δὲ τῆς τελευτῆς ἐπεὶ ἔδει τὴν τῶν ὅπλων παράδοσιν ποιήσασθαι, ὀδυρμός τις εὐγενὴς ἦν, καὶ παράςασις ψυχῆς πρὸς ἐλευθερίαν ἐνέπεσε τοῖς πλήθεσι." Σοφοκλῆς ⟨Ai. 479⟩ "ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον."

Εὐγένιος Τροφίμου, Αὐγουςοπόλεως τῆς ἐν Φρυγίᾳ, γραμματικός. οὗτος ἐδίδαξεν ἐν Κωνςαντίνου πόλει καὶ τὰ μάλιςα διαφανὴς ἦν, πρεσβύτης ἤδη ὢν ἐπ' Ἀναςασίου βασιλέως. ἔγραψε κωλομετρίαν τῶν μελικῶν Αἰσχύλου Σοφοκλέους καὶ Εὐριπίδου ἀπὸ δραμάτων ιέ. περὶ τοῦ τί τὸ παιωνικὸν παλιμβάκχειον. περὶ τῶν τεμενικῶν, ὅπως προφέρεται, οἷον Διονύσιον Ἀσκληπιεῖον. παμμιγῆ λέξιν κατὰ ςοιχεῖον· ἔχει δὲ καὶ τὰ παράδοξα ἢ περὶ τόνον ἢ πνεῦμα ἢ γραφὴν ἢ μῦθον ἢ παροιμίαν ἑπόμενα αὐτῇ. περὶ τῶν εἰς ια ληγόντων ὀνομάτων, οἷον ἔνδεια ἢ ἐν-

δία, καὶ πότε διφορεῖται. καὶ ἄλλα τινὰ τρίμετρα ἰαμβικά.

εὐγηρόστατος καλὸς γέρων, ἀξιότιμος.

εὐγνωμοσύνη εὔνοια, γνησιότης.

εὔγνωστος φανερός.

εὐγράμματον ὄνομα τὸ εὔφημον, ὀκ εὐγράμματον δὲ τὸ δύσφημον, ὡς τὸ Νεφέρσωφρις Αἰγύπτου βασιλεύς.

εὐδαῖμον· "καὶ γηρῶντι γῆρας εὐδαῖμόν τε καὶ μακαριςόν." καὶ εὐδαιμονέςατος εὐτυχής, πλουσιώτατος, μακαριςότατος. εὐδαιμονία δέ ἐςιν εὔροια βίου, καὶ εὐδαίμων ὁ κατ' ἀρετὴν ἐνεργῶν.

εὐδαιμονέςερος τῶν Καρκίνȣ ςροβίλων, ἀντὶ τοῦ κακοδαιμονέςατος, ἐν εἰρωνείᾳ. ςροβίλους δέ φησιν Ἀριστοφάνης (Pac. 864) τοὺς υἱοὺς Καρκίνου τοῦ ποιητȣ͂, οὓς ἀνωτέρω ὄρτυγας καὶ γυλιοτραχήλους εἴρηκε, διὰ τὸ τραχὺ τοῦ σώματος. ἢ πρὸς τὸ τοῦ Καρκίνου ὄνομα παίζων· ὀςρακόδερμοι γὰρ οἱ καρκίνοι, καθάπερ καὶ οἱ ςρόβιλοι. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει ςροβεῖσθαι, ἐπεὶ καὶ οἱ ςρόβιλοι κώνων ἔχουσι δίκην. ἢ ὅτι ςρόβιλός ἐςιν ἡ συςροφή. ςροβίλους ȣ͂ν εἶπε καθὸ καὶ ἀλλαχοῦ γυλιαύχενας. καὶ Σοφοκλῆς (OC 144) "οὐ πάνυ μοίρας εὐδαιμονίσαι πρώτης" ἀντὶ τοῦ οὐκ ἀγαθῆς ἀλλὰ κακῆς, οὐ πάνυ τῆς πρώτης κατ' εὐδαιμονίαν μοίρας, τοὐναντίον δὲ κατὰ δυσδαιμονίαν ἐσχάτης.

εὐδαιμονία εὐτυχία, εὐπραγία.

εὐδαιμονία καὶ εὐδαίμων. εἰσί τινα τῶν ἐναντίων ἄμεσα, οἷον τῷ ἀνθρώπῳ νόσος καὶ ὑγίεια, καὶ λευκὸν καὶ μέλαν. εὐδαίμων δὲ καὶ κακοδαίμων τῶν ἐμμέσων. εἰ γάρ τις εὐδαίμων, οὗτος οὐ κακοδαίμων· οὐ μὴν εἰ οὐκ εὐδαίμων, κακοδαίμων ἐξ ἀνάγκης. ȣ͂ γὰρ ἀμέσως ἀντίκειται εὐδαιμονία τε καὶ κακοδαιμονία, ἐπεὶ ἐνδέχεταί τινα σπουδαῖον ὄντα μὴ εἶναι εὐδαίμονα. καὶ εἰ μὲν οὐ σπȣδαῖος, οὐκ ἐξ ἀνάγκης κακός· οὐ γὰρ ἄμεσα ἀρετὴ καὶ κακία. καὶ ὁ μὲν σώφρων ȣ͂ μαίνεται, οὐ μὴν ὁ μὴ σώφρων μαίνεται. ὥςε οὐκέτι πρὸς κατασκευὴν καὶ ἀνασκευὴν τὰ οὕτως ἐναντία χρήσιμα. μεταφέροντες δὲ τὸν λόγον κατὰ τὴν ἐτυμολογίαν λέγομεν ὅτι ὁ σπουδαῖος εὐδαίμων ἐςί· τὸν γὰρ εὐδαίμονα μεταλαμβάνομεν εἰς τὸν κατὰ τὴν ἐτυμολογίαν λόγον. ὁ γὰρ εὖ τὸν δαίμονα ἔχων σημαίνεσθαι δοκεῖ τῷ τοῦ εὐδαίμονος ὀνόματι. εἰ δὴ δαίμων ἑκάςου ἡ ψυχή, καθὰ Ξενοκράτει δοκεῖ, εἴη ἂν εὐδαίμων ὁ εὖ τὴν ψυχὴν ἔχων· εὖ δὲ τὴν ψυχὴν ἔχει ὁ σπȣδαῖος· σπουδαῖος δὲ ἄρα ὁ εὐδαίμων. Alex. Aphrod. in Top. 1 p. 94.

εὐδαίμων· "πολλὰ μὲν οὖν χρήματα εὑρίσκεται καὶ ἄλλα, ὅσα ἐπὶ προσλήψει τȣ͂ εὐδαίμονος ὠφελεῖ τοῖς ἔχουσιν."

εὐδαίμων ὁ πλȣ́σιος, ὁ ἐνάρετος. "πᾶσα ἀνάγκη τοῖς μὲν ἀγαθοῖς ἐν Ἅδου ἔσεσθαι ἄμεινον, τοῖς δὲ κακοῖς κάκιον. οἶμαι δὲ ὅτι καὶ ἐνθάδε ἔτι διατρίβȣσι τοῖς μὲν δικαίοις ἀκολουθήσειν εὐδαίμονα χάριν, τοῖς δὲ ἀδίκοις κακοδαίμονα τίσιν."

εὐδαίμων ὁ Κόρινθος, ἐγὼ δ' εἴην Τενεάτης. Τενέα κώμη πλησίον Κορινθίων κατάφυτος. ὡς τῶν Κορινθίων, ἅτε ἐν μεγάλῃ πόλει, φθονȣμένων καὶ πράγματα ἐχόντων, τῶν δὲ Τενεατῶν ἀπραγμονέςερον διὰ τὸ εὐτελὲς ζώντων, ἐλέχθη ἡ παροιμία.

Εὐδαίμων Πηλουσιώτης γραμματικός, σύγχρονος Λιβανίου τοῦ σοφιςοῦ, πρὸς ὃν καὶ διαφόρως φαίνεται γράφων. ȣ̔͂τος ἔγραψε ποιήματα διάφορα, τέχνην γραμματικήν, ὀνοματικὴν ὀρθογραφίαν.

Εὔδαιος ὄνομα κύριον.

Εὐδαμίδας ὄνομα κύριον.

εὐδείελον εὐπεριόριςον.

Εὔδημος ῥήτωρ ἔγραψε διάφορα, καὶ κατὰ ςοιχεῖον περὶ λέξεων αἷς κέχρηνται ῥήτορές τε καὶ τῶν συγγραφέων οἱ λογιώτατοι, πάνυ ὠφέλιμον.

εὐδία ἡ ἄνευ ἀνέμων ἡμέρα.

εὖ διάγειν. οὕτως ἐπέγραφεν Ἐπίκȣρος, εὖ διάγειν· χαίρειν δὲ ὁ Κλέων, καὶ εὖ πράττειν ὁ Πλάτων. Diog. L. 3 61: cf. v. εὖ πράττειν.

εὔδιαῖος χειμάρρους, καὶ τρῆμα τῆς νεὼς δι' οὗ ἡ ἀντλία ἐκρεῖ.

εὐδιάλογος εὐόμιλος.

εὐδιεινός ὁ καιρὸς καὶ ὁ ἄνεμος. καὶ εὐδινός ὁμοίως.

εὐδικία δικαιοσύνη· "τὸ δὲ κλέος, ὅπερ ἐπὶ ταῖς νίκαις τῶν πολεμίων καὶ ἐπὶ τῇ κατ' εἰρήνην εὐδικίᾳ ἦν πεπορισμένος, ἔτι ἀξιοθεατότερον αὐτὸν πᾶσιν ἐποίει."

Εὔδικος. εἷς ἐςὶν ȣ̔͂τος τῶν καταςαθέντων ὑπὸ Φιλίππου κυρίων Θετταλίας ἁπάσης. Demosth. 18 48.

εὐδίνητα εὔςροφα, εὐκίνητα· "τρύπανά

τ' εὐδίνητα καὶ ὠκήεντα τέρετρα" ἐν ἐπιγράμμασι ⟨AP 6 205⟩.

εὐδίοδον εὐπόρευτον, βάσιμον· "ἐσώρευον δὲ τὰ τεμνόμενα ξύλα ἐπὶ τῆς μεταξὺ χώρας, ὡς εὐδίοδα ᾖ."

εὐδμητον καλῶς ᾠκοδομημένον.

εὐδοκεῖν συγκατατίθεσθαι· "ὃ δὲ ἔφη εὐδοκεῖν τοῖς λεγομένοις, εἰ λάβοι πίστεις," ἀντὶ τοῦ ἀρέσκεσθαι.

εὐδόκησας τῆς σῆς ἠξίωσας οἰκειότητος· "ὅτι εὐδόκησας ἐν αὐτοῖς." Theodoret. in Ps. 43 3.

εὐδοκία τὸ ἀγαθὸν θέλημα τοῦ θεοῦ· ⟨Ps. 5 12⟩ "ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς." καὶ ὁ ἀπόστολος ⟨Ephes. 1 5⟩ "κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ."

εὐδοκιμώτερος ὁ γενναῖος.

εὐδοκουμένην καλῶς προσδοκωμένην, ἀρέσκουσαν· Πολύβιος "τοῦ δὲ λέγειν ἀληθινῶς ταῦτα πίστιν ἔφη ποιήσειν εὐδοκουμένην."

εὔδον ἐκάθευδον.

Εὐδόξιος ἐπίσκοπος Ἀντιοχείας, ἐξ Ἀραβισσοῦ τῆς μικρᾶς Ἀρμενίας. ὁ δὲ πατὴρ αὐτοῦ Καισάριος ἐπὶ Μαξιμιανοῦ τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο, καίτοι πρότερον ἡδονῶν ἥττων φανείς. ἀλλ' ἐβουλήθη τὰς πρώτας κηλῖδας διὰ τοῦ μαρτυρικοῦ αἵματος ἀπορρύψασθαι. ἥλους γὰρ μεγάλους ἑκατέρου τῶν ποδῶν ἓξ τὸν ἀριθμὸν αὐτοῦ διαπερονήσαντες πυρὶ παρέδοσαν. καὶ ἐπειδὴ αὐτίκα πρὸς τὴν φλόγα χανὼν ἀπέθανεν, ἡμίφλεκτον ἔτι καὶ σῷον οἱ προσήκοντες τὸν νεκρὸν ἀνελόμενοι ἔν τινι ἀγρῷ Σουβὶλ λεγομένῳ κατέθεσαν.

Εὔδοξος Αἰσχίνου Κνίδιος φιλόσοφος, Πλάτωνος ἡλικιώτης· ᾧ τρεῖς ἐγένοντο θυγατέρες, Ἀκτὶς Δελφὶς Φιλτίς. καὶ ἔσχε πρὸς ἀστρολογίαν ὑπερφυῶς, ἔγραψέ τε πλεῖστα τοῦ εἴδους τούτου, καὶ ὀκταετηρίδα, ἔτι δὲ δι' ἐπῶν ἀστρονομίαν.

εὖ δρῶσιν καλῶς ποιοῦσιν.

εὔεδρον ἀσφαλῆ, βεβαίαν· "ὃ δὲ ἐπὶ τῶν νώτων ἐκάθισε καθέδραν εὔεδρον καὶ ὀχυράν." cf. v. εὐάγκαλον.

εὐειδὴς ὁ κατὰ θεωρίαν καλός.

εὖ εἰδότες καλῶς γινώσκοντες.

εὐεικτον εὐπειθῆ, καλῶς εἴκοντα.

εὔειλος τόπος ὁ θερμός.

εὐέκτης ὁ ἐν ὑγείᾳ διαζῶν· "ἐπεμελεῖτο καὶ σωμασκίας καὶ ἦν εὐέκτης."

εὐεκτικῶς σχετικῶς.

εὐεξία εὐρωστία σώματος. εὐεξία δέ ἐστιν ἐπιτεταμένη ὑγεία. ἀκρότης ὑγείας εὐεξία.

ὅτι τὸ τῷ μείζονι ἀγαθῷ ἐναντίον μεῖζόν ἐστι κακόν, ἐπ' ὀλίγων ἄν τις εὕροι τοῦτο μὴ ἔχον οὕτως· ὡς δοκεῖ ἐπὶ τῆς εὐεξίας ἔχειν καὶ τῆς ὑγείας. τὸ γὰρ τῷ μείζονι ἀγαθῷ ἐναντίον (τοῦτο δέ ἐστιν ἡ καχεξία) ἔλαττον εἶναι δοκεῖ κακὸν τῆς νόσου, ἥτις ἐναντία ἐστὶ τῇ ὑγείᾳ, τῷ ἐλάττονι ἀγαθῷ, τῷ τοὺς μὲν νοσοῦντας πάντας καχεκτεῖν, οὐ πάντας δὲ τοὺς καχεκτοῦντας ἤδη καὶ νοσεῖν. τὸ δὲ αἴτιον τούτου ἐστὶν ὅτι ἡ μὲν εὐεξία περιείληφεν ἐν αὐτῇ καὶ τὴν ὑγείαν· ἔστι γὰρ ὑγεία ἡ εὐεξία. διὸ περιέχουσα ἐν αὐτῇ καὶ τὴν ὑγείαν, μεῖζον αὐτῆς ἀγαθόν· πρόσεστι γὰρ αὐτῇ τὸ εἶναι αὐτὴν τῶν δι' ἑαυτὰ αἱρετῶν. ἡ δὲ καχεξία οὐκέτι ἐν αὐτῇ περιέχει τὴν νόσον, ἀλλ' ἔστι μόνῳ ἐκείνῳ ἐν ᾧ ὑπῆρχεν ἡ εὐεξία τῆς ὑγείας. ἡ δὲ νόσος ἐν αὐτῇ περιέχει τὴν καχεξίαν· ἐπὶ γὰρ καχεξίᾳ γίνεται νόσος, ὡς καὶ ἡ εὐεξία ἐπὶ τῇ ὑγείᾳ. Alex. Aphrod. in Top. 1 p. 13.

εὐέπεια ⟨S OR 932⟩ ἡ καλὴ φράσις.

εὐεπίβολος ὁ καλῶς ἐπιβάλλων. καὶ *εὐεπιβόλως* σοφῶς καὶ ὀρθῶς.

εὐερκεῖ καλῶς ἠσφαλισμένῳ· ⟨AP 7 193⟩ "ὄφρα μοι εὐερκεῖ καναχὰν δόμῳ ἔνδοθι θείη."

εὐερμία ἐπιτυχία, εὐτυχία, ὡς δυσερμία ἡ ἀτυχία. ἐντεῦθεν καὶ τὰ ἀπὸ τῆς τύχης εὑρήματα κοινὸν Ἑρμῆν ἔλεγον. Αἰλιανός "Μιθριδάτης δὲ τὴν ἀποδημίαν Λουκούλλου ἑαυτῷ κατέγραφεν εὐερμίαν εἶναι." καὶ αὖθις "ἀσπαζόμενος εὐερμίαν καιροῦ, καὶ ἀνάγκης καλούσης μὴ εἴκων κάκῃ."

εὐερνὴς εὐθαλὴς βλαστός.

εὔερον ⟨A Av. 121⟩ εὐάερον πόλιν, ἢ μαλακήν, ὥσπερ σίσυραν εὐέριον. Πλάτων Ὑπερβόλῳ "καὶ τοσοῦτον τῆς εὐερίας ἀπολέλαυκεν ὥστε ἀθλιωτάτη ἐστί." Κρατῖνος Πυλαίᾳ "γλῶσσαν εὐέρων βοτῶν." λέγει δὲ περὶ τῶν προβάτων.

εὐεστοῖ εὐθηνίᾳ, καταστάσει.

εὐεστώ. ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης τέλος τὴν εὐθυμίαν εἶναι λέγει, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούσαντες ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς τυραννουμένη φόβου ἢ δεισιδαιμονίας ἢ ἄλλου τινὸς

Google

πάθους. καλεῖ δὲ αὐτὴν καὶ εὐεςὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασιν. Diog. L. 9 45.

εὐετηρία εὐθηνία, εὐνομία, εἰρήνη, τὸ καλῶς διακεῖσθαι.

Εὐετήριος. οὗτος ἦν ἐπὶ Ἰοβιανοῦ βασιλέως· ὃς διὰ μὲν παιδείαν καὶ φύσεως ὑπερβολὴν οὐδέν τι τῶν ἀρχαίων ἀποδέων, διὰ δὲ μαλακίαν ψυχῆς καὶ ἁπλότητα πολλοὺς τῶν οὐκ αἰτίων ἐς κρίσιν κατέδησεν.

εὖ ἔχειν ςόμα τὸ εὐφημεῖν. οὕτως Εὔπολις.

Εὐζώιος ὄνομα κύριον.

εὐζωΐτου καλῆς ζωῆς.

εὔζωνοι ἔνοπλοι, ἢ μὴ ἔχοντες φορτία. Ἀππιανός ⟨t. 1 p. 509⟩ "ποιμὴν ὑπέσχετο ςρατὸν εὔζωνον ἄξειν ὁδὸν ἀτριβῆ τρισὶν ἡμέραις."

εὔζωνος ἡ εὔτοκος. ἢ καλή.

εὔζωρον εὐκέραςον. ζωρὸν ἄκρατον, καὶ εὔζωρον καλὸν ἄκρατον.

εὐηγορία ἡ καλλιέπεια.

εὐήθειαν αὐτῶν κατεγνωκώς, καὶ εὐηθείας αὐτῶν κατεγνωκώς, τὸ αὐτό.

εὐηθείας μωρίας, ἀνοίας· "ἔτι τε ἀπολαύων τοῦ καιρȣ̃ καὶ τῆς εὐηθείας τῶν ἐπιχωρίων· οὐ γὰρ ἦν πρᾶγμα φενακίζειν τὰς ἐπιχωρίους."

εὔηθες ἐπὶ τοῦ βελτίονος καὶ Θουκυδίδης ἐν γ′ ⟨83⟩ καὶ ὁ φιλόσοφος ⟨Plato RP 4 p. 425⟩.

εὐήθης βλάξ, ἀνόητος· ἢ ἄχρηςος τὸ ἦθος. Πολύβιος "εὐήθως ἐκλογιζόμενοι τὰ παρόντα καὶ παιδικῶς."

εὐηθίζω τὸ μωραίνω.

εὐήχης ⟨Hom. X 319⟩ ὁ καλῶς ἠχονημένος. καὶ εὐήκεος.

εὐήλατον τὸ καλῶς ἐληλασμένον· "τὸ δὲ πεδίον ἦν ὕπτιον καὶ εὐήλατον καὶ ἐπιτήδειον ἵππῳ ἐμμάχεσθαι," ἀντὶ τοῦ εὐχερῶς ἐλαυνόμενον.

εὐήλιος ὁ καθαρός.

εὐημερήσαντος Ὑπερίδης. "τῷ τε σφῶν αὐτῶν βασιλεῖ ἐγκαλεῖν οἷς εὐημέρησεν ἐν ταῖς ἡλίȣ δυσμαῖς, καὶ τὰ ἐγκλήματα ἐπιφέρειν."

εὐημερία, ὡς ἐν τῇ συνηθείᾳ. Ἄλεξις Ὀλυνθίᾳ "εὐημερία δέσποινα καὶ μοῦσαι φίλαι."

εὐημεροῦσαν ἑκάςῃ ἡμέρᾳ εὖ διάγουσαν· ⟨S El. 652⟩ "φίλοισί τε ξυνȣ̃σαν οἷς ξύνειμι νῦν, εὐημεροῦσαν. δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα."

εὐηνέμους εὐδιεινούς, καλούς, ἀχειμάςους.

Εὐηνίνη ⟨Hom. I 557⟩ ἡ τοῦ Εὐήνȣ θυγάτηρ.

εὐήνιον εὐπειθές, καλῶς ἡνιοχούμενον· ἡνίαι γὰρ τὰ λῶρα.

εὐηνιώτατα. εὐήνιος ὁ πρᾶος καὶ μέτριος καὶ μὴ ταραχώδης. ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων. Harp.

εὐήνορα ⟨Hom. δ 622⟩ τὸν ἀνδρίαν ποιοῦντα, ἐπὶ τοῦ οἴνȣ. ἐπὶ δὲ τȣ̃ χαλκȣ̃ ⟨ν 19⟩ τὸν εὖ τὸν ἄνδρα τιθέντα.

Εὔηνος. δύο ἀναγράφουσιν ἐλεγείων ποιητάς, καὶ ἀμφοτέρους Παρίους. Harp.

εὐῆρες εὐάγωγον, ἀπὸ τῆς εἰρεσίας.

εὐηρέςησα ⟨Gen. 24 40, Ps. 25 3⟩ ἤρεσα.

εὐήροτον τὸ καλὴν ἔχον γῆν, τὸ κάλλιςον τῆς γῆς. a

εὐήροτον καλῶς ἠροτριαμένον. b

εὐήτριον ἱμάτιον εὐυφές.

εὐθαρσῶς ἔπνει· Δέξιππος "ὃ δὲ πάντα τὸν ἀνθιςάμενον τιθεὶς ἐν δευτέρῳ ἐκ τῆς πείρας εὐθαρσῶς ἔπνει." cf. v. ἀπὸ δή.

εὐθεῖαν ἀτρέπτως· "εὐθεῖαν ἐδόκει ἐλαύνειν ὡς ἐπὶ Σελεύκειαν" ⟨cf. v. πρόσω⟩. καὶ αὖθις "ὃ δὲ κτεῖναι μὲν αὐτὸν ἐκ τῆς εὐθείας ἔδεισεν." a

εὐθεῖαν· "τῆς δὲ τριβῆς τὰ αἴτια, οὐ δυνατὸς γενέσθαι εὐθεῖαν παρὰ βασιλέα ἐλάσαι τῷ δεῖσαι τὰς φυλακὰς τὰς Ἀξιδάρου, καὶ περιελθεῖν ἐν κύκλῳ, καὶ οὕτω διὰ μακροῦ ἀφικέσθαι." cf. vv. ἀμφίλογον et γνῶσις. b

εὐθένεια ἡ εὐθηνία.

εὐθέος φανεροῦ, εὐθὺς. καὶ Δαβίδ ⟨Ps. 32 1⟩ "τοῖς εὐθέσι πρέπει αἴνεσις," τουτέςι τοῖς τὸν θεὸν ἐπεγνωκόσι καὶ πλάνης ἀπηλλαγμένοις. εὐθέως δὲ τὸ ἐπιρρηματικόν.

εὖ θέσθαι καλῶς διοικῆσαι.

εὐθετῆσαι κοσμῆσαι, συνθεῖναι. ὅτως Ἀριςοφάνης.

εὐθημοσύνη τάξις. ⟨Damasc. Phot. p. 349 b?⟩ "ἱερὸν καὶ πολιτικὸν διήγημα τῆς τῶν Ἀλεξανδρέων εὐθημοσύνης ἐλέγετο." Ξενοφῶν ⟨Cyr. 8 5 7⟩ "καλὸν μὲν οὖν ἡγεῖτο ὁ Κῦρος καὶ ἐν οἰκίᾳ εἶναι ἐπιτήδευμα τὴν εὐθημοσύνην· ὅταν γάρ τίς του δέηται, δῆλόν ἐςιν ὅπου δεῖ ἐλθόντα λαβεῖν."

εὐθηνία εὐθηλία τις οὖσα.

εὐθηνούμενοι ἐπὶ τὸ βέλτιον προκόπτοντες· "καὶ κατ' ὀλίγον εὐθηνούμενοι δυνατώτεροι γίνονται τῶν δεξαμένων αὐτούς."

εὐθηνῶ πλουτῶ.

Εὐθίας ὄνομα κύριον. τῶν ἐπὶ συκοφαντίᾳ διαβεβλημένων ἦν. Harp.

εὔθικτον εὐαφές, εὐψηλάφητον. καὶ εὐθίκτως τὸ ἐπιρρηματικόν.

εὐθιξίᾳ· "ἔχων τὸν νοῦν εὐθιξίᾳ πρὸς τὴν θεραπείαν εὐθυβολοῦντα," τουτέστιν ἀκριβείᾳ, εὐφυΐᾳ.

εὐθὺ κατευθὺ καὶ κατ' ἐναντίον, ἐπ' εὐθείας.

εὐθυβόλῳ ἐξ εὐθείας βάλλοντι.

εὐθύγλωττος· (Damasc. Phot. p. 336 b) "ἦν δὲ καὶ εὐθύγλωττος πέρα τοῦ δέοντος" ἀντὶ τοῦ ἀληθής.

Εὐθύδημος διδάσκαλος Ἀπολλωνίου τοῦ Τυανέως, ἐκ Ταρσῶν τῆς Κιλικίας. ὁ γὰρ Ἀπολλώνιος προϊὼν εἰς ἡλικίαν, ἐν ᾗ συγγράμματα μνήμης τε ἰσχὺν ἐδήλου καὶ μελέτης κράτος, καὶ ἡ γλῶττα ἀττικῶς εἶχεν· οὐδὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους. ὀφθαλμοί τε πάντες ἐς αὐτὸν ἐφέροντο· καὶ γὰρ περίβλεπτος ἦν τὴν ὥραν. γεγονότα δὲ αὐτὸν ἔτη ιδ' παρ' Εὐθύδημον ἄγει ἐς Ταρσοὺς τῆς Κιλικίας, ὃς τοῦτον ἐπαίδευεν. ὃ δὲ τοῦ μὲν διδασκάλου εἴχετο, τὸ δὲ τῆς πόλεως ἦθος ἄτοπόν τε ἡγεῖτο καὶ οὐ χρηστὸν ἐμφιλοσοφῆσαι· τρυφῆς τε γὰρ οὐδαμοῦ μᾶλλον ἅπτονται, σκωπτόλαι τε καὶ ὑβρισταὶ πάντες, καὶ δεδώκασι τῇ ὀθόνῃ μᾶλλον ἢ σοφίᾳ Ἀθηναῖοι. ποταμός τε αὐτοὺς διαρρεῖ Κύδνος, ᾧ παρακάθηνται καθάπερ τῶν ὀρνίθων οἱ ὑγρότατοι μεθύοντες τῷ ὕδατι. μεθίστησιν οὖν τὸν διδάσκαλον δεηθεὶς τοῦ πατρὸς εἰς Αἰγὰς τὰς πλησίον, ἐν αἷς ἡσυχία τε πρόσφορος τῷ φιλοσοφήσοντι καὶ σπουδαὶ νεανικώτεραι καὶ ἱερὸν Ἀσκληπιοῦ ἐπίδηλον τοῖς ἀνθρώποις. ἐνταῦθα ξυνεφιλοσόφουν μὲν αὐτῷ πλατώνειοί τε καὶ χρυσίππειοι καὶ οἱ ἀπὸ τοῦ περιπάτου· οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπούδαζε. διδάσκαλος δὲ ἦν αὐτῷ τῶν Πυθαγόρου λόγων Εὔξενος. Philostrat. V. A. 1 7.

εὐθυδικία. ὅταν εἰσάγηταί τις κριθησόμενος περὶ ὧν μηδέπω γνῶσις ἐγένετο δικαστηρίου, τοῦτο εὐθυδικία καλεῖται· περὶ ὧν γὰρ κεκρίσθαι τίς φησι, περὶ τούτων παραγράφεσθαι ἐφεῖται. "οὐκ ἀκούσαντες τῆς εὐθυδικίας, καὶ εἰκότως· οὐ γὰρ ἐπὶ τῷ δικάζειν ἐκάθηντο, ἀλλ' ἐπὶ προσχήματι καὶ προσώπῳ δικαστῶν."

εὐθυεπείαις ὀρθολογίαις.

Εὐθυκλῆς. τῶν δραμάτων αὐτοῦ ἐστὶν Ἄσωτοι ἢ Ἐπιστολή, ὥς φησιν Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς.

εὐθυλήπτων εὐχερῶς κρατουμένων, εὐκόλων· "τοῦτο γὰρ δρᾶν εἰώθασιν αἱ σφοδραὶ ἐπιθυμίαι οὐκ εὐθυλήπτων ὄντων τῶν ἐπιθυμουμένων."

Εὐθυμένης ὄνομα κύριον, ἄρχων Ἀθηναῖος, ἐφ' οὗ κατελύθη τὸ ψήφισμα τὸ περὶ τοῦ μὴ κωμῳδεῖν γραφὲν ἐπὶ Μορυχίδου. sch. A Ach. 67.

Εὔθυμος Λοκρὸς τῶν Ἐπιζεφυρίων, ὃς ἠγωνίσατο πὺξ πρὸς Θεαγένην τὸν Θάσιον· καὶ ὑπερεβάλετο μὲν ὁ Θεαγένης ἐπηρεάσας τὸν Εὔθυμον, οὐ μέντοι ἐν παγκρατίῳ λαβεῖν ἠδυνήθη τὸν κότινον, προκατειργασμένος ὑπὸ Εὐθύμου. ἐνίκησε δὲ Εὔθυμος τὰς ἐφεξῆς ὀλυμπιάδας τρεῖς καὶ ἐστεφανώθη, τοῦ Θασίου μὴ καταστάντος οἱ ἐς πυγμήν, ἀλλ' ἑτέρων. οὗτος ὁ Εὔθυμος ἠγωνίσατο καὶ πρὸς τὸν ἐν Τεμέσῃ ἥρωα Ἀλύβαντα. ἡ δὲ Τέμεσα τῆς Ἰταλίας ἐστίν, εἰς ἣν Ὀδυσσεὺς πλανώμενος περὶ Σικελίαν ἦλθεν. ἔνθα εἷς τῶν ναυτῶν μεθύσας καὶ παρθένον βιασάμενος κατελεύσθη ὑπὸ τῶν ἐγχωρίων. καὶ Ὀδυσσεὺς μὲν ἐν οὐδενὶ τὴν ἀπώλειαν θέμενος ἔπλει, τούτου δὲ τοῦ τελευτήσαντος ὁ δαίμων οὐκ ἀνίει τοὺς ἐν Τεμέσῃ ἀνθρώπους ἐπεξερχόμενος καὶ φονεύων, ὥστε καὶ ὥρμησαν φυγεῖν καταλιπόντες τὴν πόλιν, εἰ μὴ ἡ Πυθία σφᾶς ἐπέσχε, τὸν ἥρωα ἱλάσκεσθαι τέμενος ἐργασαμένους καὶ κατ' ἐνιαυτὸν τὴν καλλίστην οὖσαν παρθένον ἐς γυναῖκα ἐπιδιδόντας. ταῦτα πολλοῖς ἔτεσι τελούμενα πυθόμενος ὁ Εὔθυμος ἐσῆλθεν εἰς τὸ τέμενος, καὶ τὴν παρθένον ἰδὼν καὶ οἰκτείρας, πρὸς δὲ καὶ ἐς ἔρωτα ἐλθὼν ἐνεσκευάσατο ὡς πολεμήσων τῷ δαίμονι, καὶ αὐτὸν μὲν νύκτωρ ἐπελθόντα ἐνίκησε καὶ ἐξήλασεν ὡς μηκέτι αὐτόθι φανῆναι, τὴν δὲ παρθένον γαμετὴν ἠγάγετο. Pausan. 6 6.

εὔθυνα κυρίως ἣν εἰσάγουσιν οἱ λογισταὶ πρὸς τοὺς δόξαντας μὴ ὀρθῶς ἄρξαι τῆς πόλεως ἢ πρεσβεῦσαι κακῶς. καὶ τὰ δικαστήρια μὲν οἱ λογισταὶ κληροῦσι, κατηγορεῖ δὲ

ὁ βουλόμενος· καὶ τοῖς δικασαῖς ἐφεῖται τιμᾶσθαι τοῖς ἁλοῦσιν.

εὔθυναι ὄνομα ἀρχῆς παρὰ Ἀθηναίοις. δέκα δὲ τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. Harp.

εὐθῦναι ἐξετάσαι, ὀρθῶσαι.

εὐθύνας δίκας, τιμωρίας. ὅτι τῆς ἐλεφαντίνης Ἀθηνᾶς, ἣν Φειδίας ἐποίησεν, ἐπὶ τοῖς ἀναλώμασι ταχθεὶς ὁ Περικλῆς καὶ νοσφισάμενος ν' τάλαντα, ἵνα μὴ δῷ τὰς εὐθύνας, τὸν πόλεμον ἐκίνησεν. cf. v. Φειδίας.

εὐθύνοντας ὁρμῶντας.

εὔθυνος εὐθυντής.

εὐθύνουσιν ἐρωτῶσι, δίκας εἰσπράττουσιν.

εὐθύνω αἰτιατικῇ.

εὐθυρρήμων ἐτυμολόγος. καὶ ῥῆμα εὐθυρρημονῶ· "ὅτε λέγει Ἀριςοφάνης τὸ δεῖνα, τὸ ῥηθησόμενον ἀηδὲς ἐκφεύγει εὐθέως λέγειν, ἵνα μὴ εὐθυρρημονήσῃ" ⟨sch. A Pac. 267⟩.

εὐθύς ἀντὶ τοῦ ἐν ἀρχῇ, παραυτίκα. Ἀριςοφάνης ⟨Nub. 1048⟩ "ἐπίσχες· εὐθὺς γάρ σ' ἔχω μέσον λαβὼν ἄφυκτον." τὸ ἑξῆς, λαβών σε ἄφυκτον ἔχω, εὐθὺς μέσον λαβών. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παλαιςῶν τῶν λαμβανομένων εἰς τὸ μέσον καὶ ἡττωμένων. καὶ αὖθις Ἀριςοφάνης Νεφέλαις ⟨987⟩ "σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοισι διδάσκεις ἐντετυλίχθαι."

εὐθύς καὶ εὐθέως. ἀμφότερα Ἑλληνικά. τὸ δ' εὐθύ διαφέρει τούτων· οὐ γὰρ τὸ παραχρῆμα σημαίνει, ἀλλὰ τὸ ἕως καὶ εἰς, οἷον ... παρὰ Θουκυδίδῃ ⟨2 5⟩ τὸ παραχρῆμα καὶ τὸ ἐξ εὐθείας καὶ ἀσκόπως.

εὐθὺ σκοπȣ̃ ἀκριβὲς κατ' εὐθεῖαν. "καὶ οἱ μὲν ἐκ τοῦ λιμένος ἀπῆραν, εὐθὺ δὲ τοῦ Παχύνου ἐφέροντο."

εὐθυτενής ἴσα καὶ πρὸς τὸ εὐθὲς τεταμένος.

εὐθὺ τοῦ Διός ⟨A Pac. 67⟩ ἀντὶ τοῦ πρὸς τὸν Δία.

εὐθυωρία.

a εὐθυωρόν ἀντὶ τοῦ κατ' εὐθεῖαν· ὅτως Ἀντιφῶν καὶ Ξενοφῶν ⟨Anab. 2 2 16⟩. Harp.

b εὐθυωρόν αὐτῇ τῇ ὥρᾳ· "τὸ δὲ βέλος ἀνεωγμένον προφθάσαν τὸ ςόμα, ἐκεῖσε ἐμπεσὸν κατέπαυσε τὴν πτῆσιν. καὶ δὴ ὁ Κὼϋξ εὐθυωρὸν ἀπεβίω" ⟨cf. v. ἄτρακτον⟩.

εὔιε Διονύσῳ ὕμνος ἐνθουσιαςικός.

εὐιλατεύειν εὐμενῆ εἶναι, καὶ εὐίλατος ὁ εὐμενής.

εὖ ἴσθι καλῶς γνῶθι.

εὐκαιρεῖν πλουτεῖν· ⟨Polyb.?⟩ "ὃ δὲ ἐκάλει τῶν πολιτῶν τοὺς δοκοῦντας εὐκαιρεῖν τοῖς βίοις."

εὐκαιρία· ⟨Polyb. 18 32⟩ "ὅτι Ἀντίοχος ὁ βασιλεὺς πάνυ ὠρέγετο τῆς Ἐφέσου διὰ τὴν εὐκαιρίαν, τῷ δοκεῖν μὲν κατὰ τῆς Ἰωνίας καὶ τῶν ἐφ' Ἑλλησπόντου πόλεων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἀκροπόλεως ἔχειν θέσιν, κατὰ δὲ τῆς Εὐρώπης ἀμυντήριον ὑπάρχειν ἀεὶ τοῖς Ἀσίας βασιλεῦσιν εὐκαιρότατον."

εὐκαιρίαν· "ὃ δὲ θαυμάσας τὴν τῆς πόλεως θέσιν καὶ τὴν τῆς ἀκροπόλεως εὐκαιρίαν πρός τε τοὺς ἐντὸς Ἰσθμοῦ καὶ πρὸς τοὺς ἐκτὸς ἀπολαμβανομένους τόπους." καὶ αὖθις "οἱ δὲ ἐθαύμαζον τὴν ἀρετὴν τῆς χώρας καὶ τὰς κατὰ τὸν Νεῖλον εὐκαιρίας" ⟨Diodorus exc. leg. 32⟩.

εὐκαρδίως προαιρετικῶς· "ἡ δὲ κόρη ὑπακούει προθύμως τε καὶ εὐκαρδίως."

εὐκατάπρησος εὐκατάκαυσος.

εὐκατεργάσου εὐχειρώτου, εὐδιαλύτȣ· "τῆς οἰκοδομίας οὔσης εὐκατεργάσου."

εὐκέατον τὸ εὔσχισον.

εὔκερως βοῦς ὁ καλὰ κέρατα ἔχων, εὔκαιρος δὲ ὁ καλὸς καιρός. καὶ εὐκαίρως ἐπιρρηματικῶς ἀντὶ τοῦ ἁρμοζόντως, εἰς καιρὸν δέοντα· "εὐκαίρως δὲ παριόντος Κράτητος, ὁ βιβλιοπώλης δείξας αὐτόν φησι, τούτῳ παρακολούθησον." Diog. L. 7 3.

εὐκηλήτειρα ⟨Hesiod. O. 462⟩ ἡ ἡσυχάςρια.

εὔκηλος ὁ ἥσυχος.

εὐκλεές ἔνδοξον.

εὔκλεια ἡ δόξα. "ἡγεῖσθαι μὲν ἀγαθὸν οὐδὲν εἶναι τὴν εὔκλειαν, ἀντιποιεῖσθαι μὴν αὐτῆς ἱκανῶς ὠφελείας ἕνεκα τῶν ἄλλων ἀνθρώπων, ὡς τῶν γε φιλοσόφων δοξάντων ἀσχημονεῖν οἴχεσθαι ἐκ τȣ̃ βίȣ πᾶσαν αἰδῶ καὶ ζήλωσιν τοῦ ἀμείνονος ἤθους." καὶ αὖθις Ἰώσηπος ⟨B. I. 1 1 5⟩ "θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν."

Εὐκλείδης Μεγαρεύς, Μεγάρων δὲ τῶν ἐν τῷ Ἰσθμῷ, φιλόσοφος, ὃς καὶ τὴν ἐξ αὐτοῦ κληθεῖσαν Μεγαρικὴν αἵρεσιν εἰσήγαγεν,

ην δὴ καὶ διαλεκτικὴν καὶ ἐριςικὴν προσηγόρευσαν. γέγονε δὲ μαθητὴς Σωκράτους· μεθ᾽ ὃν Ἰχθύας, εἶτα Στίλπων ἔσχον τὴν σχολήν. συνέγραψε διαλόγους, Ἀλκιβιάδην Αἰσχίνην Κρίτωνα Φοίνικας Λαμπρίαν Ἐρωτικόν, καὶ ἄλλα τινά.

εὐκλέισον ἀντὶ τοῦ δόξης καὶ εὐκλείας ἀξίωσον· ⟨AP 6 269⟩ "πρόφρων ἀμετέραν εὐκλέισον γενεάν."

εὐκληρία εὐτυχία.

εὐκολίνη ἡ εὔκολος. πόλις.

εὔκολος ἁπλοϊκὸς τὸν τρόπον καὶ ἐλευθέριος ⟨sch. A Ran. 361⟩. καὶ ὁ ἐναντιούμενος τῷ δυσκόλῳ· "ὃ δὲ ἁπλοῦς ἦν καὶ μάλα εὔκολος, συμπειθόμενος καὶ παρελκόμενος ἀγωνιῶν τὸ ἀνδράποδον, καθάπερ Ὀδύσσειόν τινα καὶ Θεμιςόκλειον παρεληλυθότα δεινότητα καὶ πανουργίαν." cf. v. Ὀδύσσεια.

εὐκράς ἀντὶ τοῦ εὔκρατος.

εὐκρίνεια ἡ καθαρότης.

εὐκρινές εὐχερές.

εὐκρινής συνήθως μὲν ὁ ἐξ ἀρρωςίας ὑγιάνας λέγεται, διὰ τὸ εὖ κεκρίσθαι· οὗτοι δὲ καὶ ἐπὶ τοῦ νεκροῦ τιθέασι κατὰ ἀντίφρασιν.

Εὔκριτος ὄνομα κύριον.

εὐκταῖον εὐχῆς ἄξιον, πολύτιμον, ὑγιές. "παρ᾽ ἐμοὶ δειπνήσατε πρότερον ἀμφότεροι· θύων γὰρ τυγχάνω ἱερὰ εὐκταῖα. καὶ τοὺς παῖδας ἄγων ἴθι, καὶ τῶν φίλων οὓς χρήζεις." καὶ εὐκταῖος.

εὐκτήμονος πλουσίου.

εὐκτόν ἐπιθυμητικόν· Ἀγαθίας ⟨1 22⟩ "οἱ δὲ Φράγγοι ἀφειδῶς ἐνέκειντο ὡς τὸν Ναρσῆν ζωγρήσοντες καὶ πόνῳ ξὺν βραχεῖ πέρας εὐκτὸν ἐπιθήσοντες ἅπαντι τῷ πολέμῳ."

εὐλάβεια παρὰ Σοφοκλεῖ ⟨OC 116⟩ ἔννοια καὶ σκέψις· "ἐν γὰρ τῷ μαθεῖν ἔνεςιν εὐλάβεια τῶν ποιουμένων." οὐ γὰρ τὸν φόβον φησὶ νῦν.

εὐλάβεια ἡ καθαρότης, καὶ ὁ φόβος. Εὐλαβία δὲ ὄνομα κύριον.

εὐλαβηθείς· "τῶν Ῥωμαίων τὸ πρόθυμον εὐλαβηθεὶς ὁ Γεζέριχος τοῖς ἑαυτῷ ἑπομένοις ἐσήμαινε διὰ τάχους ἐπικουρεῖν." καὶ Πισίδης ⟨Heracl. 1 169⟩ "οὐκ ηὐλαβήθης τὰς ἐνοχλούσας νόσους."

εὐλαβής ὁ εὖ τῶν πραγμάτων ἐπιλαμβανόμενος, ὁ μὴ προχείρως τι ποιῶν. ἢ καὶ ὁ εἰς λαβὴν ἐπιτήδειος, οἷον εὐλαβὴς μάχαιρα. ἢ ὁ εὖ προλαμβάνων τὸ μέλλον. δύσληπτος δὲ ὁ δυσχερής, ἀπὸ τῶν χειριῶν.

εὐλαβοῦ φυλάσσου· "εὐλαβοῦ δὲ μὴ ᾽κφύγῃ σε· καὶ γὰρ οἶδε τὰς ὁδοὺς ἅσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων." ἐπὶ τῶν φευγόντων Ἀριςοφάνης ⟨Eq. 253⟩.

εὐλαβῶς· ⟨Polyb. 16 38⟩ "ὁ δὲ Φίλιππος ὁρῶν τοὺς Ἀχαιοὺς εὐλαβῶς διακειμένους πρὸς τὸν κατὰ Ῥωμαίων πόλεμον ἐσπούδαζε κατὰ πάντα τρόπον ἐμβιβάσαι αὐτοὺς εἰς ἀπέχθειαν."

εὐλαί σκώληκες, καὶ εὐλέων τῶν σκωλήκων. ⟨Herodot. 4 extr.?⟩ "ἡ δὲ Φερετίμα ἡ Κυρήνης βασίλισσα ἀνθ᾽ ὧν ἔδρασε δίκας ἔτισε· ζῶσα γὰρ ἐξέζεσεν εὐλέων," ὅ ἐστι σκωλήκων... ὥς φησι Βάβριος ἐν μυθικοῖς. cf. v. ἀπώνατο.

εὔλαχα τὸ ἄροτρον παρὰ Θουκυδίδῃ ⟨5 16⟩ ἐν χρησμῷ τινί. Δώριος δὲ ἡ λέξις.

εὔληπτος ὁ ταχέως καταλαμβανόμενος.

εὐλογείτω. καὶ εὐλογείτωσαν ἐπαινείτωσαν.

εὐλόγηκεν ἐβλασφήμησεν, ἐπὶ τοῦ Ἰώβ. ⟨Gen. 15 4⟩ "εὐλογῶν εὐλογήσει."

εὐλόγησα, καὶ οὐκ ηὐλόγησα. ὡς ἀττικώτερον γὰρ τὸ εὐλόγησα· εὐλογημένος γὰρ λέγεις, καὶ οὐκ ηὐλογημένος.

εὐλογῆσαι ἐπαινέσαι, ὑμνῆσαι, ἐγκωμιάσαι. ⟨Ps. 48 19⟩ "ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται."

εὐλογῆσαι ἡμᾶς ὁ θεός. "εἰδέναι προσήκει ὡς εὐλογοῦντες μὲν οἱ ἄνθρωποι τὸν θεὸν λόγους αὐτῷ προσφέρουσι μόνους, ἔργῳ δὲ αὐτὸν εὐεργετῆσαι οὐ δύνανται· ὁ δὲ θεὸς εὐλογῶν βεβαιοῖ τοὺς λόγους τῷ ἔργῳ, καὶ παντοδαπὴν παρέχει φορὰν ἀγαθῶν τοῖς εὐλογουμένοις." Theodoret. in Ps. 66 8.

εὐλογιςής.

εὐλογιςίας εὐλογίας, εὐβουλίας.

εὔλογον ἀξίωμα τὸ πλείονας ἀφορμὰς ἔχον εἰς τὸ ἀληθὲς εἶναι, οἷον "βιώσομαι αὔριον." Diog. L. 7 76.

λόγου ποτὲ γενομένου πρὸς Κλεάνθην τὸν φιλόσοφον καὶ Πτολεμαῖον τὸν βασιλέα περὶ τοῦ δοξάζειν τὸν σοφόν, καί τινος εἰπόντος ὡς οὐ δοξάσει, βουλόμενος ὁ βασιλεὺς ἐλέγξαι αὐτὸν κηρίνας ῥόας ἐκέλευσε παρατεθῆναι. τοῦ δὲ σοφοῦ ἀπατηθέντος ἀνεβόησεν ὁ βασιλεὺς ψευδεῖ συγκατατεθεῖσθαι αὐτὸν

φαντασίᾳ. πρὸς ὃν ὁ σοφὸς εὐςόχως ἀπεκρίνατο, εἰπὼν οὕτω συγκατατεθεῖσθαι οὐχ ὅτι ῥόαι εἰσίν, ἀλλ' ὅτι εὔλογόν ἐςι ῥόας αὐτὰς εἶναι, διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν τοῦ εὐλόγου. Diog. L. 7 177.

εὐλόφως γενναίως. "ὃ δὲ πρὸς τοὺς ἐπαναςάντας εὐλόφως ἀγωνισάμενος ἐπέδειξεν ἀληθῆ ὄντα τὸν λόγον ὃν ἔφη Σωκράτην εἰπεῖν ὁ Ξενοφῶν ⟨Oec. 1 15⟩ πρὸς Ἰσχόμαχον, ὡς ἔςιν ἄρα τὸν ἀγαθὸν ὠφελεῖσθαι καὶ ὑπὸ τῶν βλάπτειν αὐτὸν πειρωμένων." καὶ αὖθις ⟨Damasc. Phot. p. 342 a⟩ "εὐλόφῳ αὐχένι τὴν ἄσκησιν ὑπομένων ἐφαίνετο, οὔτε τὸ σῶμα κεκακωμένος οὔτε τὴν ψυχὴν τεταλαιπωρημένος."

εὐμάθεια τὸ καλῶς μανθάνειν.

Εὔμαιος ὄνομα κύριον.

εὐμαρέη ἀπόπατος παρὰ Ἡροδότῳ ⟨2 35⟩.

a *εὐμάρεια* ἡ εὐκολία. λέγεται δὲ καὶ ἡ εὐκοσμία παρὰ Μάρκῳ Ἀντωνίνῳ ⟨4 3⟩.

b *εὐμάρεια* ἡσυχία. Ἡρόδοτος ⟨4 113⟩ "τοῦτο φυγῆς τῷ Ἀννίβᾳ πλείονα εὐμάρειαν παρέσχε· διώκειν γὰρ οἱ τετρωμένοι ἦσαν ἥκιςοι."

εὐμάρειαι εὐχέρειαι.

εὐμαρής εὔκολος, εὐχερής· "τὸν πλῦτον κτήσασθαι μὲν εὐμαρές, φυλάξασθαι δὲ οὐ ῥᾴδιον." *εὔμαρις* δὲ θηλυκόν· καὶ ἐν ἐπιγράμματι ⟨AP 7 413⟩ "οὐ βαθύπελμος εὔμαρις."

a *Εὐμενὴς* βασιλεὺς [Μακεδόνων], ὃς τῇ μὲν σωματικῇ δυνάμει παραλελυμένος ἦν, τῇ δὲ τῆς ψυχῆς λαμπρότητι προσαντεῖχεν, ἀνὴρ ἐν μὲν τοῖς πλείςοις οὐδενὸς δεύτερος τῶν καθ' αὑτὸν βασιλέων γενόμενος, περὶ δὲ τὰ σπουδαιότατα καὶ κάλλιςα μείζων καὶ λαμπρότερος. ὅς γε πρῶτον μὲν παραλαβὼν παρὰ τοῦ πατρὸς τὴν βασιλείαν συνεςαλμένην τελέως εἰς ὀλίγα καὶ λιτὰ πολισμάτια, ταῖς μεγίςαις τῶν καθ' αὑτὸν δυναςειῶν ἐφάμιλλον ἐποίησε τὴν ἰδίαν ἀρχήν, οὐ τύχῃ τὸ πλεῖον συνεργῷ χρώμενος, οὐδ' ἐκ περιπετείας, ἀλλὰ διὰ τῆς ἀγχινοίας καὶ φιλοπονίας, ἔτι δὲ πράξεως τῆς αὑτοῦ. δεύτερον φιλοδοξότατος ἐγενήθη, καὶ πλείςας μὲν τῶν καθ' αὑτὸν βασιλέων πόλεις Ἑλληνίδας εὐηργέτησε, πλείςους δὲ κατ' ἰδίαν ἀνθρώπυς ἐσωματοποίησεν. τρίτον ἀδελφὺς ἔχων τρεῖς καὶ κατὰ τὴν ἡλικίαν καὶ πρᾶξιν ··· πάντας τούτους συνέσχε πειθαρχοῦντας αὑτῷ καὶ δορυφορῦντας καὶ σῴζοντας τὸ τῆς βασιλείας ἀξίωμα. τοῦτο δὲ σπανίως εὕροι τις ἂν γεγονός ⟨Polyb. 32 23⟩.

ὁ δὲ Εὐμενὴς οὗτος ⟨Cardianus⟩ ὑπὸ Ἀν- b
τιγόνου ἀναιρεῖται, ἀνὴρ σοφώτερος ἢ κατὰ τοὺς λοιποὺς τῶν Μακεδόνων δόξας εἶναι καὶ ἀνεπίληπτος ἐν ςρατηγίαις, ὡς καὶ τῷ ἔπειτα χρόνῳ παρασχεῖν ὄνομα.

Εὐμενίδες αἱ ἐρινύες, αἵ εἰσι καταχθό- a
νιοι δαίμονες. μεταβαλεῖν δέ φασιν αὐτὰς τὸ ὄνομα ἐπὶ Ὀρέςῃ· τότε γὰρ πρῶτον Εὐμενίδας κληθῆναι, εὐμενεῖς αὐτῷ γενομένας κριθέντι νικᾶν παρ' Ἀθηναίοις καὶ ὁλοκαυτώσαντι αὐταῖς ὄιν μέλαιναν. Φιλήμων δὲ ὁ κωμικὸς ἑτέρας φησὶ τὰς σεμνὰς θεὰς τῶν Εὐμενίδων. Σοφοκλῆς ⟨OC 42⟩ "αἱ γὰρ ἔμφοβοι θεαί σφ' ἔχουσι, γῆς τε καὶ σκότους κόραι." καὶ παροιμία ⟨ib. 43⟩ "ἄλλα δ' ἀλλαχοῦ καλά," παρ' ὅσον τὰς Εὐμενίδας ἄλλοι ἄλλως καλοῦσιν. ἄλλα οὖν ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς Εὐμενίδας. κατ' εὐφημισμὸν τὰς ἐρινύας.

Εὐμενίδες. Αἰσχύλος Εὐμενίσιν εἰπὼν b
τὰ περὶ τὴν κρίσιν τὴν Ὀρέςου, φησὶν ὡς ἡ Ἀθηνᾶ ἐπράυνε τὰς ἐρινύας ὥςε μὴ χαλεπῶς ἔχειν πρὸς τὸν Ὀρέςην, καὶ Εὐμενίδας αὐτὰς ὠνόμασεν. εἰσὶ δὲ τρεῖς, Ἀληκτὼ Μέγαιρα Τισιφόνη. Harp.

εὐμεταβολώτερος κοθόρνυ. κόθορνος εἶδος ὑποδήματος ἑκατέροις ποσὶν ἁρμόζον, ὅθεν καὶ Θηραμένη τὸν ἐπὶ τῶν τριάκοντα κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι. ἐπὶ τῶν ὖν συνεχῶς μεταβαλλομένων ἡ παροιμία.

εὐμοιρία εὐκληρία· "εἰς θέαν καὶ νόησιν τοῦ ἀληθοῦς καὶ ψευδοῦς εὐμοιρίαν" Δαμάσκιος ⟨Phot. p. 337 a⟩. καὶ *εὐμοιρότερον* εὐτυχέςερον· ⟨Appian. Hann. 29⟩ "οἱ δὲ τοὺς ἀχρείους σφῶν ὑπὸ τοῦ λιμοῦ πιεζόμενοι ἐξέβαλον εἰς τὸ μεσοτείχιον, καὶ ἐκτείνοντο εὐμοιρότερον ὑπὸ τῶν πολεμίων."

εὐμοιρῶ σου.

εὐμολπίᾳ πολλάκις τῆς ἡμέρας τερπόμενος. ἢ εὐφωνίᾳ ἢ εὐημερίᾳ.

Εὐμολπίδαι γένος ἀπὸ τοῦ Θρᾳκός, ὃς καὶ τὴν μύησιν εὗρεν, ἢ ἀπὸ τοῦ Μουσαίυ υἱοῦ, ὃς ἦν ἀπὸ τοῦ δευτέρυ πέμπτος. ⟨Maximus Tyr. 12 p. 137⟩ "ἐπηράσαντο δὲ αὐτῷ Εὐμολπίδαι καὶ Κήρυκες." καὶ αὖθις

"εἶτα μέντοι παρ' οὐδὲν θέμενος τὰ σεμνὰ Εὐμολπιδῶν καὶ Κηρύκων καὶ τῶν ἄλλων γενῶν ἱερῶν τε ὄντων καὶ θεοφιλῶν, ἐπίρρητον δὲ καὶ θῆλυν σοφίαν προελόμενος."

Εὔμολπος Ἐλευσίνιος ἤτοι Ἀθηναῖος, υἱὸς Μουσαίου τοῦ ποιητοῦ, ὡς δέ τινες, μαθητὴς Ὀρφέως, ἐποποιὸς τῶν πρὸ Ὁμήρου. γέγονε δὲ καὶ πυθιονίκης· πρὸς λύραν γὰρ ἐπεδείκνυντο οἱ ποιηταί. οὗτος ἔγραψε τελετὰς Δήμητρος καὶ τὴν εἰς Κελεὸν ἄφιξιν καὶ τὴν τῶν μυστηρίων παράδοσιν τὴν ταῖς θυγατράσιν αὐτοῦ γενομένην, ἔπη τὰ πάντα τρισχίλια. χειροσκοπικὰ πεζῶς, βιβλίον ἕν.

εὐνάς κοίτας, ἢ ἀγκύρας. καὶ εὐνίων τῶν στρωμάτων· "οἱ μὲν ἐκ τῶν εὐνίων ἀνεπήδων, οἱ δὲ ὡπλίζοντο ἀμελῶς."

Εὐνεῖδαι. γένος ἐστὶ παρ' Ἀθηναίοις οὕτως ὀνομαζόμενον. ἦσαν δὲ κιθαρῳδοὶ πρὸς τὰς ἱερουργίας παρέχοντες τὴν χρείαν.

εὐνηθέντας (Hom. ϑ 292) κατακοιτασθέντας.

Εὔνηος ὄνομα κύριον.

a εὖνις ἡ γαμετή.

b εὖνις ἐστερημένη τῶν ἐπιτηδείων.

εὐνοίας φιλίας· (Ioseph. A. I. 4 6 2) "τὸν γὰρ στρατόν, ᾧ καταρασόμενον ἐλθεῖν αὐτὸν παρακαλοῦσι, δι' εὐνοίας εἶναι τῷ θεῷ."

εὐνοϊκῶς φιλικῶς, πιστῶς.

εὐνομία εἰρήνη.

Εὐνόμιος. οὗτος εἰς Κύζικον προβάλλεται ἐπίσκοπος ἐπὶ Οὐάλεντος τοῦ βασιλέως. ὑπογραφεὺς δὲ γέγονεν οὗτος Ἀετίου τοῦ ἐπικληθέντος ἀθέου, συνὼν δὲ αὐτῷ τὸν ἐκείνου σοφιστικὸν τρόπον ἐζήλωσε, λεξειδίοις τε σχολάζων καὶ ποιῶν ἑαυτῷ σοφίσματα οὐκ ᾐσθάνετο. ἐκ τούτων τυφωθεὶς εἰς βλασφημίαν ἐξέπεσε, τὸ Ἀρείου δόγμα ζηλῶν, κατὰ πολλὰ δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμῶν, ὀλιγομαθῶς μὲν ἔχων πρὸς τὰ ἱερὰ γράμματα καὶ μηδὲ συνιέναι αὐτὰ δυνάμενος, πολύχους δὲ τὴν λέξιν καὶ τὰ αὐτὰ περιστρέφων ἀεί, καὶ μὴ δυνάμενος περιγενέσθαι τοῦ προτεθέντος σκοποῦ, ὡς δεικνύουσιν οἱ ζ τόμοι οὓς ἐματαιοπόνησεν εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν· πολλοὺς γὰρ λόγους ἐς αὐτοὺς ἀναλώσας τῆς ἐπιστολῆς τὸν σκοπὸν ἑλεῖν οὐ δεδύνηται. ἐφάμιλλοι δὲ αὐτοῦ καὶ οἱ ἄλλοι λόγοι τυγχάνουσιν, ἐν πολυλεξίᾳ ἔχοντες νοημάτων εὐτέλειαν. Socrates 4 7.

εὐνομουμένη εἰρηνεύουσα, εὐθηνουμένη, καλῶς διακειμένη.

εὔνους. Ἀριστοτέλης λέγει ἐν τοῖς Τόποις (immo Alex. Aphrod. in Top. 2 p. 94 et 3 p. 137) "δεῖξαι θέλοντες τὸν φίλον μὴ εἶναι εὔνουν ἀεί, εἰ εὔνους μὲν ὁ ὀρθῶς νοῶν καὶ τὰ ἀληθῆ καὶ τὰ ἀγαθὰ νοῶν, οὐ πάντως δὲ ὀρθῶς ὁ φίλος νοεῖ. ὁ δὲ τόπος οὗτος τὸ μὲν πιθανὸν καὶ ἔνδοξον καὶ διαλεκτικὸν ἔχει, οὐ μὴν ὑγιὲς τὸ λεγόμενον ἐπὶ πάντων· οὔτε γὰρ εὐθάλασσος λέγεται ὁ ἔχων ἀγαθὴν θάλασσαν, οὔτε εὔχειρ ὁ καλὰς ἔχων χεῖρας ἀλλ' ὁ πυκτικός, οὔτε μεγαλόψυχος ὁ ἔχων ψυχὴν μεγάλην. διὸ οὐδὲ εὐδαίμων ὁ σπουδαῖος ὡς ἤδη καὶ τὸν δαίμονα εὖ ἔχων τὸν ἐν αὐτῷ."

"καὶ τὸ τοῦ φίλου ἔργον αἱρετώτερον ἢ τὸ τοῦ εὔνου, καὶ φιλία εὐνοίας. ἔστι δὲ τοῦ μὲν φίλου ἔργον ἡ μετὰ βουλήσεως πρᾶξις τῶν ἀγαθῶν εἰς τὸν φίλον, τοῦ δὲ εὔνου ἡ βούλησις μόνον. καὶ ἐπεὶ φιλία εὐνοίας αἱρετώτερον, καὶ τὸ τῆς φιλίας ἔργον τοῦ τῆς εὐνοίας αἱρετώτερον, καὶ τὸ εὖ ποιεῖν τοὺς φίλους τοῦ κακῶς ποιεῖν τοὺς πολεμίους. καὶ ἔστι τὸ μὲν εὖ ποιεῖν τοὺς φίλους ἔργον τοῦ ἐλευθερίου, τὸ δὲ κακῶς τοὺς ἐχθροὺς τοῦ ἀνδρείου."

εὔνους ὁ σφάκτης. τοῦτο κυρίως δύναται λέγεσθαι ἐπὶ τοῦ Ὀρέστου.

εὐνούστατα φιλίως.

εὐνοῦχος. "ἀνήρ τις ἦν, εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι, διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς καὶ θῆλυς γενόμενος ὁ χλούνης τε καὶ γύννις, ὅσπερ ἐπιλαθόμενος ὤθησεν ἑαυτὸν εἰς τὸ μέγαρον φέρων, ἔνθα δήπου τῷ ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν" (cf. vv. γύννις, ἐκνευρίσας, μέγαρον).

Εὔξεινος ὄνομα πελάγους, ὁ Πόντος. λέγει Ἡρόδοτος (4 85) "πελαγέων γὰρ ἁπάντων ἐστὶ θαυμασιώτατος."

Εὔξενος οὐ πάνυ σπουδαῖος, οὐδὲ ἐνεργῷ τῇ φιλοσοφίᾳ χρώμενος. γαστρός τε γὰρ ἥττων ἦν καὶ ἀφροδισίων, καὶ κατὰ τὸν Ἐπίκουρον ἐσχημάτιστο, τὰς δὲ Πυθαγόρου δόξας ἐγίνωσκεν ὥσπερ οἱ ὄρνιθες ἃ μανθάνουσι παρὰ τῶν ἀνθρώπων· τὸ γὰρ χαῖρε καὶ τὸ εὖ πρᾶττε καὶ τὸ Ζεὺς ἵλεως καὶ τὰ τοιαῦτα οἱ ὄρνιθες εὔχονται, οὔτε εἰδότες ὅ τι λέγουσιν οὔτε διακείμενοι πρὸς τοὺς ἀνθρώπους, ἀλλὰ ἐρρυθμισμένοι τὴν γλῶτταν.

ὃ δέ, ὥσπερ οἱ νέοι τῶν ἀετῶν ἐν ἁπαλῷ μὲν τῷ πτερῷ παραπέτονται τοῖς γειναμένοις αὐτούς, μελετώμενοι ὑπ' αὐτῶν τὴν πτῆσιν, ἐπειδὰν δὲ αἴρεσθαι δύνωνται, ὑπερπέτονται τοὺς γονέας, ἄλλως τε κἂν λίχνους αἴσθωνται καὶ κνίσης ἕνεκα πρὸς τῇ γῇ πετομένους, οὕτω καὶ ὁ Ἀπολλώνιος προσεῖχε τῷ Εὐξένῳ παῖς ἔτι καὶ ἤγετο ὑπ' αὐτοῦ βαίνων ἐπὶ τȣ̃ λόγου, προελθὼν δὲ ἐς ἔτος ις' ὥρμησεν ἐπὶ τὸν Πυθαγόρου βίον, πτερωθεὶς ἐπ' αὐτὸν ὑπό τινος κρείττονος. οὐ μὴν τὸν Εὔξενον ἐπαύσατο ἀγαπῶν, ἀλλ' εἰς προάστειον, ἐν ᾧ κῆποί τε ἁπαλοὶ ἦσαν καὶ πηγαί, τȣ̃τον ἀγαγὼν ἔφη "σὺ μὲν ζῆθι τὸν σαυτοῦ τρόπον, ἐγὼ δὲ τὸν Πυθαγόρȣ ζήσομαι." Philostrat. V. A. 1 5.

Εὐξίθεος ⟨Demosth. 18 295⟩ προδότης Ἠλείων.

εὔξοον καλῶς ἐξεσμένον.

εὐοδία ἡ καλὴ ὁδός. σημαίνει δὲ καὶ κύριον ὄνομα. **εὐωδία** δὲ ἡ εὐοσμία, διὰ τοῦ ω μεγάλου.

Εὐοδιανός ὄνομα κύριον.

Εὐοδίας ὄνομα κύριον.

Εὔοδος Ῥόδιος ἐποποιός, γεγονὼς ἐπὶ Νέρωνος, ὁ θαυμαζόμενος εἰς Ῥωμαϊκὴν ποίησιν. τούτου τὰ βιβλία οὐ φαίνεται.

εὐοδῶ αἰτιατικῇ.

a **εὐοῖ** σχετλιαστικόν.

b **εὐοῖ σαβοῖ** Δημοσθένης ὑπὲρ Κτησιφῶντος ⟨260⟩. Βακχικόν τι ἐπίφθεγμά ἐστιν.

εὐοῖ σαβοῖ. μυστικὰ μέν ἐστιν ἐπιφθέγματα, φασὶ δὲ τῇ Φρυγῶν φωνῇ τȣ̀ς μύστας δηλοῦν· ἀφ' οὗ καὶ ὁ Σαβάζιος Διόνυσος.

εὐοιώνιστον εὔφημον, καλὰ προσημαίνουσαν· "νίκης ἄγαλμα χρυσοῦν ποιήσας ἀπέστειλε τῷ δήμῳ, ἅμα μὲν διὰ τὸ λυσιτελὲς ἅμα δὲ διὰ τὸ εὐοιώνιστον εἶναι προσδέξασθαι τὴν νίκην" ⟨cf. v. λυσιτελές⟩.

εὐομιλότατος.

εὐόργητος πρᾶος.

εὐοργήτως ἀντὶ τοῦ εὐτρόπως· ὀργὴ γὰρ ὁ τρόπος παρὰ Θουκυδίδῃ. sch. Thuc. 1 122.

εὐορκία τὸ καλῶς ὀμνύειν.

εὐόρκου εὐσεβοῦς· Ἡσίοδος ⟨O. 283⟩ "ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων," καὶ Ἀριστοφάνης ⟨Plut. 61⟩ "ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις."

εὐόφθαλμον τὸ εὔοπτον. καὶ **εὐοφθάλμως** Ἀντιφῶν ἀντὶ τοῦ εὐπρεπῶς. Harp.

εὐοχεῖται ἐπὶ τοῦ ἐλέφαντος, ἀντὶ τοῦ καλῶς ἡνιοχεῖται. **εὐωχεῖται** δὲ ἀντὶ τοῦ εὐφραίνεται ἐν τραπέζῃ.

εὐοψίαν ἀντὶ τοῦ εὐπροσωπίαν.

εὐπάθεια διάχυσις καὶ ἄνεσις τῆς ψυχῆς καὶ τρυφή. ἡ εὐπάθεια διαιρεῖται εἰς χαρὰν εὐλάβειαν βούλησιν. καὶ τὴν μὲν χαρὰν ἐναντίαν εἶναι τῇ ἡδονῇ φασίν, οὖσαν εὔλογον ἔπαρσιν, τὴν δὲ εὐλάβειαν τῷ φόβῳ, οὖσαν εὔλογον ἔκκλισιν· φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν οὐδαμῶς, εὐλαβηθήσεσθαι δέ. τῇ δὲ ἐπιθυμίᾳ ἐναντίαν εἶναι τὴν βούλησιν, οὖσαν εὔλογον ὄρεξιν. καθάπερ οὖν ὑπὸ τὰ πρῶτα πάθη πίπτει τινά, τὸν αὐτὸν τρόπον ὑπὸ τὰς πρώτας εὐπαθείας. καὶ ὑπὸ μὲν τὴν βούλησιν εὔνοιαν εὐμένειαν ἀσπασμὸν ἀγάπησιν, ὑπὸ δὲ τὴν εὐλάβειαν αἰδῶ ἁγνείαν, ὑπὸ δὲ τὴν χαρὰν τέρψιν εὐφροσύνην εὐθυμίαν. Diog. L. 7 116.

εὐπαθεῖσθαι ἀντὶ τȣ̃ τρυφᾶν καὶ διαχεῖσθαι· "τοῖς δὲ λοιποῖς ἐν τοῖς καπηλείοις διεκελεύετο εὐπαθεῖσθαι." καὶ **εὐπαθοῦντες** ὑγιαίνοντες, τρυφῶντες.

εὐπαλάμων ὕμνων ἀντὶ τοῦ εὖ διακεχειρισμένων ἢ συντεταγμένων· ⟨A Eq. 527⟩ "τέκτονες εὐπαλάμων ὕμνων."

εὐπαράγωγος εὐπειθής· Ἀριστοφάνης ⟨Eq. 1120⟩ "ἀλλ' εὐπαράγωγος εἶ, θωπευόμενός τε χαίρεις κἀξαπατώμενος, πρὸς τόν τε λέγοντ' ἀεὶ κέχηνας· ὁ νοῦς δέ σου παρὼν ἀποδημεῖ." καὶ αὖθις "ὃ δὲ εὐκολώτερος ἦν καὶ διὰ μελέτην μέθης εὐπαράγωγος" ⟨cf. v. Λέων d⟩.

εὖ παρασχόν ἀντὶ τοῦ παρασχόντος, δῆλον ὅτι τοῦ δαίμονος· ὃ ἐστι δωρησαμένȣ τὴν νίκην. sch. Thuc. 1 120.

εὐπάρεδρον καλῶς παραμένον καὶ διηνεκῶς.

εὖ παρῆσο.

εὐπάροιστον εὐπαράγωγον.

εὐπάρυφα εὐκατέργαστα, ἢ πλούσια. "ἰδὼν Διογένης ὁ κύων εὐπάρυφόν τινα ἐν Κορίνθῳ ἔφη τούτῳ με πώλει." "ἔπειτα ἐς τὰ ἱμάτια ἠξίουν ἅπαντες εὐπάρυφοι εἶναι, κομψωδεστέραν ἢ κατὰ τὴν ἑκάστου ἀξίαν ἐνδιδυσκόμενοι τὴν ἐσθῆτα· κτᾶσθαι γὰρ αὐτοῖς τὰ τοιαῦτα ἐξ οὐ προσηκόντων παρῆν. τοῦ δὲ χιτῶνος τὸ ἀμφὶ τὼ χεῖρε μέρος αὐ-

τοῖς τὰ μὲν εἰς τὸν καρπὸν ξυνήει σφίσιν ἐν ςενῷ μάλιςα, τὰ δὲ ἐνθένδε ἄχρι ἐς ὦμον ἰιάτερον ἐς ἄφατόν τι εὖρος διεκέχυτο. ὁσάκις τι αὐτοῖς ἡ χεὶρ σείοιτο ἀναβοῶσιν ἐν τοῖς θεάτροις τε καὶ ἱπποδρομίαις ἢ ἐγκελευομένοις ᾗπερ εἰώθει, ἐς ὕψος αὐτοῖς τῦτο τὸ μέρος ἀτεχνῶς ᾔρετο, αἴσθησιν παρεχόμενον τοῖς ἀνοήτοις ὅτι δὴ αὐτοῖς οὕτω καλόν τι τὸ σῶμα καὶ ἁδρὸν ἂν εἴη ὥςε δεῖν γε αὐτοῖς πρὸς τῶν τοιούτων ἱματίων καλύπτεσθαι, καὶ οὐκ ἐνενόουν ὅτι δὴ αὐτοῖς τῷ τῆς ἐσθῆτος ἠραιωμένῳ τε καὶ κενῷ πολλῷ ἔτι μᾶλλον τὸ τῦ σώματος ἐξίτηλον διελεγχθείη" (Procop. Arc. 7).

εὐπατέρεια ἡ καλὸν πατέρα ἔχυσα. καὶ Εὐπάτορος ὄνομα κύριον.

εὐπατρίδαι εὐγενεῖς.

εὐπείθεια.

Εὐπείθιος καὶ Ἀρχιάδας δύο υἱοὶ Ἡγίυ. καὶ ὁ μὲν Εὐπείθιος εὐφυέςερος ἐγένετο, τὰ δὲ ἤθη ἐπισεσυρμένος ἐς ἰδιωτισμόν, ἤδη δέ τι καὶ ἀτοπώτερον ἢ κατὰ ἰδιώτην ἔχων, ὡς δὲ συλλήβδην εἰπεῖν, πολλῷ τῦ πατρὸς ἀπολειπόμενος, ὁ δὲ Ἀρχιάδας τὸ μὲν ὅλον τοῦ πατρὸς οὐκ ὀλίγῳ διαφέρων εἰς ἀρετὴν καὶ τῶν πολλῶν, τὰ δὲ ἐς φιλοσοφίαν ἄγοντα παρειμένος ἅτε πρὸς ταῦτα ἀνάγωγος ὢν διὰ τὴν οὐκ ἀκολάκευτον πατρῴαν οὐσίαν, ἱερὰν δὲ ζωὴν προβεβλημένος εἴπερ τις ἕτερος, καὶ πολυπειρίαν ἀσκήσας ἱερῶν ἔργων τε καὶ λόγων οὐδέν τι μεῖον τοῦ πατρός· ἔχω γὰρ τοῦτο καὶ τῷ Ἡγίᾳ μαρτυρεῖν. ὁ δὲ Ἀρχιάδας καὶ τοῦ καθαροῦ συνειδότος ἐπεμελεῖτο διαφερόντως, οὐδὲν ἧττον τῶν φιλοσοφούντων. ἦν οὖν αἰσθάνεσθαι πάντων, ᾐσθανόμην δὲ καὶ αὐτὸς ἑκάςοτε τῶν ἀμφ' αὐτῷ κενοῦ φυσήματος ἄνευ νοῦ ἐμπιπλαμένων. παθῶν δὲ παντοίων κατάμεςοι ὄντες οὐδὲ ἐν μέσοις αὐτοῖς τοῖς δρωμένοις οἷοί τε ἦσαν ἤθεσι μετρίοις ἐγκαρτερεῖν, ἐπεὶ τά γε ἔξω μισγάγκεια κακῶν ἐφαίνετο μηδὲν διαφέρυσα τῆς τῶν ἀγελαίων ἀνθρώπων. ὁ δ' ὖν Διομήδης διέφθαρτο καὶ αὐτὸς ὑπὸ τῆς συνουσίας, καὶ ὐδὲν ἔχων ἔξαρμα φύσεως ἔτι ταπεινότερος ἐγεγόνει πρὸς τὰ ἐπιταττόμενα. καίτοι ὑπὸ κολάκων διεφθάρη τὴν διάνοιαν εὐφυὴς γεγονὼς ἀνὴρ πρὸς φιλοσοφίαν, ἣ οὐδὲν ἀλλοτρίῳ κακῷ βλάπτεται οὐδὲ φθείρεται, οἰκείῳ δὲ μόνῳ, ὡς ἔφη Σωκράτης. διὸ καὶ φιλοσοφίαν ἐλυμήνατο τοῦτο αὐτὸ τὸ οἴκοθεν ὄνειδος· ὃν γὰρ ἔδει μάλιςα διασώζειν καὶ θεραπεύειν πρὸς τὸ βέλτιςον, τῦτον πρὸς ἡδονὰς ἀνατρέφοντες καὶ μετεωρίζοντες ἐς αὔχημα μεῖζον ἢ καθ' ἑαυτὸν ἔλαθον ἑαυτὺς ἐς πᾶσαν ἀτιμίαν καταβαλόντες. Damasc. Phot. p. 349 a.

εὐπερίκοπτος· (Polyb. 11 10) "ὁ δὲ πρὸς τὰς ἐντεύξεις εὐπερίκοπτος ἦν καὶ ἀνεπίφθονος."

εὐπερίοπτον εὐκαταφρόνητον· "ᾐσθάνετο γὰρ τὴν τῶν Μακεδόνων ἀρχὴν εὐπερίοπτον ἐσομένην, εἰ δὴ τῆς πρώτης πείρας οἱ ἐπαναςάντες κρατήσειαν."

εὐπερίςατον μωρόν, ταχέως περιτρεπόμενον. καὶ ὁ ἀπόςολος (Hebr. 12 1) "καὶ τὴν εὐπερίςατον ἁμαρτίαν."

εὐπέτεια. "οἱ δὲ Ῥωμαῖοι διὰ πολλὴν εὐπέτειαν τῆς ὑπαίθρου ἐκράτησαν." "εἴτε κατ' εὐπέτειαν ἀπανιςαμένυς μετὰ τέκνων καὶ γυναικῶν, εἴτε ἄλλο τι γινώσκοντας." "ὁ ὖν Γανυμήδης κατ' εὐπέτειαν ἑαυτὸν ξίφει διειργάσατο" (cf. v. Μίνως), τουτέςιν εὐχερῶς. "φύσει γὰρ πάντες ἐς τὸ εὐπετὲς τρέπονται."

εὐπετὴς εὐχερής. καὶ εὐπετῶς ῥᾳδίως, εὐχερῶς, εὐκόλως καὶ εὐςαλῶς.

εὖ πεφυκὼς ἁρμόδιος. (Polyb. 10 14) "παρεκελεύετο ἐμβαίνειν τὺς ςρατιώτας· καὶ γὰρ ἦν εὖ πεφυκώς, εἰ καὶ πρὸς ἄλλο τι, πρὸς τὸ θάρσος ἐμβαλεῖν καὶ συμπαθεῖς ποιῆσαι τοὺς παρακαλουμένους."

εὐπήληκος καλὴν περικεφαλαίαν ἐχούσης· (AP 6 120) "ἀλλὰ καὶ εὐπήληκος Ἀθηναίης ἐπὶ δουρὶ τὸν τέττιγ' ὄψει μ', ὦνερ, ἐφεζόμενον."

εὐπῖδαξ χῶρος ὁ καλὴν πηγὴν ἔχων.

εὐπλοῆσαι τὸ καλῶς πλεῦσαι.

εὐπλοίην εὔπλοιαν.

εὐπλοκάμιδες καλλιπλόκαμοι.

Εὐπολείδης ὄνομα κύριον.

Εὔπολις Σωσιπόλιδος Ἀθηναῖος κωμικός, ὃς ιζʹ ἐτῶν γεγονὼς ἤρξατο ἐπιδείκνυσθαι, καὶ ἐδίδαξε δράματα ιζʹ, ἐνίκησε δὲ ζʹ. καὶ ἀπέθανε ναυαγήσας κατὰ τὸν Ἑλλήσποντον ἐν τῷ πρὸς Λακεδαιμονίυς πολέμῳ· καὶ ἐκ τούτυ ἐκωλύθη ςρατεύεσθαι ποιητήν. τὰ δὲ δράματα αὐτῦ Αἶγες, Ἀςράτευτοι ἢ Ἀνδρόγυνοι, καὶ ἄλλα.

εὐπόριςον εὐχερῶς ποριζόμενον· (Menand. p. 380 Nieb.) "λέγεται γὰρ ὡς παρὰ Τούρκοις οὐκ εὐπόριςον χρῆμα ὁ σίδηρος."

εὐπορῶ γενικῇ.

εὐποτμία εὐτυχία. "ζηλῶ τοῦτον τῆς εὐποτμίας," καὶ αὖθις "εὐποτμίας δὲ ἀπολαύουσι πάσης ἐξ οὐρίων φερόμενοι." καὶ πάλιν "ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ διῆγον πολλῇ" ⟨cf. v. Ξάνθος a⟩.

εὐπότμως εὐτυχῶς· "ἡ τοῦ ϛρατηγοῦ φρόνησις ἔχουσά τι καὶ τύχης εὐπότμου δι' αὐτήν."

εὐπραγέστερος εὐτυχέϛερος.

εὐπραξία εὐημερία, εὐτυχία. "ὁ δὲ Ὀζίας ὤλισθεν ὑπ' εὐπραξίας καὶ κατηνέχθη πρὸς τὰ τοῦ πατρὸς ἁμαρτήματα, πρὸς ἃ κἀκεῖνον τῶν ἀγαθῶν ἡ λαμπρότης καὶ τὸ μέγεθος τῶν πραγμάτων, οὐ δυνηθέντα προϛῆναι καλῶς αὐτῶν, ἤγαγεν" ⟨Ioseph. A. I. 9 10 4⟩.

εὖ πράττειν. οὕτως ἡ ἐπιγραφὴ τῶν ἐπιϛολῶν Πλάτωνος· ἔγραψε δὲ ἐπιϛολὰς ιγ', εἰσὶ δὲ τοῦ ἠθικοῦ εἴδους. εὖ διάγειν, οὕτως Ἐπίκουρος ἐπέγραφε. χαίρειν δὲ ἐπέγραφε Κλέων.

εὔπρησον ⟨Hom. Σ 471⟩ εὐφύσητον.

εὐπροσιτώτατος ὁ ἥμερος.

εὐπροσοδώτατος τόπος εὔδρομος.

a εὐπρόσωπος εὐπροσήγορος· Σοφοκλῆς ⟨Ai. 1009⟩ "ἤ πυ Τελαμὼν δέξαιτ' ἂν εὐπρόσωπος."

b εὐπρόσωπος εὔμορφος· "ὁ δὲ ἐπισυράμενος εὐπρόσωπον λίθον ϛήλην ἔϛησεν."

εὐπτέρων· Ἀριϛοφάνης ⟨Nub. 798⟩ "κἀξ ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας," ἀντὶ τοῦ εὐγενῶν, ἢ κούφων, ἢ ὧν ὁ λογισμὸς ἵπταται. ἡ μεταφορὰ ἀπὸ τῶν ὀρνέων τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ τιμίων καὶ εὐγενῶν.

εὔπτορθον εὔκλαδον.

εὐρὰξ ⟨Hom. Λ 251⟩ ἐκ πλαγίου.

εὐρεῖα· Ὅμηρος ⟨Δ 182⟩ "τότε μοι χάνοι εὐρεῖα χθών." οὐ καθολικὸν ἐπίθετον ἡ εὐρεῖα, ἀλλ' ἐν ἴσῳ τῷ εὐρεῖα γενομένη, οἷον εὐρύ μοι χάσμα γένοιτο.

εὐρείτης ἐπίθετον, ὁ καλῶς ῥέων ποταμός.

εὗρες· Ἀριϛοφάνης ⟨Eq. 403⟩ "εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν," ἐπὶ τῶν παρὰ προσδοκίαν εὐδοκιμησάντων. τὸ δὲ εὗρες δηλοῖ τὸ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινός, καὶ ἔϛι τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεως ἔλεγχος, τὸ δὲ εὑρεῖν ἁπλῶς τῆς παρασχούσης τύχης καὶ οὐ τῆς τοῦ εὑρόντος γνώμης καὶ προαιρέσεως.

εὑρεσιέπεια εὑρεσιλογία.

εὑρεσιεπής καινολόγος.

εὑρεσιλόγος φλύαρος, ἑτοιμολόγος. Πολύβιος "ἔχων δὲ καὶ πλείω λέγειν ἀγωνιῶ μὴ δόξω τισὶν ὑμῶν ὐκ ἀναγκαίως εὑρεσιλογεῖν."

εὑρετής· ⟨Damasc. Phot. p. 338 a⟩ "ἦν δὲ καὶ εὑρετὴς ἑτοιμότατος ὧν τε αὐτὸς ἠπόρει πρὸς ἑτέρους καὶ ὧν ἕτεροι πρὸς αὐτόν, οὐ πολυμαθείᾳ καὶ ἀλλοτρίων δοξασμάτων ἱϛορίᾳ καταχωννὺς μὲν τὴν ἀλήθειαν καὶ ἀποκρύπτων, ἐπιϛομίζων δὲ τοὺς ἀποροῦντας." εὑρέτις δὲ θηλυκὸν διὰ τῦ ι, ἡ ἐφευρετική.

εὕρημα ἐπίτευγμα, βύλευμα. "δῆλον δὲ ὡς τῷ πολλὰ πεπαιδευμένῳ καὶ πολλὰ εἰδέναι γλιχομένῳ καὶ τοῦτο εὕρημά ἐϛι," τουτέϛι βούλευμα, ἐπιτήδευμα. καὶ εὑρήματα ὁμοίως ἐπιτεύγματα, βουλεύματα. Ξενοφῶν ⟨Anab. 2 3 18⟩ "ἐπεὶ εἶδον ὑμᾶς εἰς πολλὰ κἀμήχανα ἐμπεπτωκότας, εὕρημα ἐποιησάμην εἴ πως δυναίμην παρὰ βασιλέως αἰτήσασθαι δοῦναί μοι ἀποσῶσαι ὑμᾶς εἰς τὴν Ἑλλάδα." ⟨Philostrat. V. A. 1 18⟩ "εὕρημα δὲ καὶ τοὺς Μάγυς ἐποιεῖτο, οἳ Βαβυλῶνα καὶ Σοῦσα οἰκοῦσιν."

εὕρης αὐθυπότακτον.

εὑρήσεται ἀντὶ τοῦ εὑρεθήσεται.

εὑρῆσθαι.

εὑρησιλογίας.

εὐρίζῳ· Δαβίδ ⟨Ps. 47 2⟩ "εὐρίζῳ ἀγαλλιάματι πάσης τῆς γῆς," ἀντὶ τοῦ ἐπιμόνῳ, καλῶς ἐρριζωμένῳ.

εὐριζῶν πλατύνων, ἢ καλὰς ῥίζας χαροποιοὺς ἔχων, καλῶς θεμελιῶν καὶ παγίως, ὥϛε ἀσάλευτον αὐτὴν καὶ ἀτρεμῆ διαμένειν. Theodoret. in Ps. 47.

εὔρινος εὐόσφρητος· Σοφοκλῆς ⟨Ai. 8⟩ "κυνὸς εὔρινος βάσις," τουτέϛιν ἡ βάδισις.

εὐρινότατος καλόρρινος, ἢ καλῶς ὀσφρώμενος.

Εὐριπίδειον ἔπος τοῦ Εὐριπίδυ. καὶ Εὐριπίδειος λόγος ὁμοίως. ὅτι ἔφη Εὐριπίδης "ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσιν βρύων," καὶ αὖθις ⟨Iphig. T. 57⟩ "ϛῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες."

Εὐριπίδη Εὐριπίδιον Ἀριστοφάνης ⟨Ach. 403⟩. ἐρωτικὴν μιμεῖται φωνήν· οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους ἐρωτικῶς δι' ὑποκορισμῶν καλεῖν.

a *Εὐριπίδης* Ἀθηναῖος τραγικός, πρεσβύτερος τοῦ ἐνδόξου γενομένου. ἐδίδαξε δράματα ιβʹ, εἷλε δὲ νίκας βʹ.

b *Εὐριπίδης* Μνησάρχου ἢ Μνησαρχίδου καὶ Κλειτοῦς, οἳ φεύγοντες εἰς Βοιωτίαν μετῴκησαν, εἶτα ἐν τῇ Ἀττικῇ. οὐκ ἀληθὲς δὲ ὡς λαχανόπωλις ἦν ἡ μήτηρ αὐτοῦ· καὶ γὰρ τῶν σφόδρα εὐγενῶν ἐτύγχανεν, ὡς ἀποδείκνυσι Φιλόχορος. ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυοφορεῖτο ὑπὸ τῆς μητρός, καὶ ἐτέχθη καθ' ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας. γέγονε δὲ τὰ πρῶτα ζωγράφος, εἶτα μαθητὴς Προδίκου μὲν ἐν τοῖς ῥητορικοῖς, Σωκράτους δὲ ἐν τοῖς ἠθικοῖς καὶ φιλοσόφοις. διήκουσε δὲ καὶ Ἀναξαγόρου τοῦ Κλαζομενίου· ἐπὶ τραγῳδίαν δὲ ἐτράπη τὸν Ἀναξαγόραν ἰδὼν ὑποστάντα κινδύνους δι' ἅπερ εἰσῆξε δόγματα. σκυθρωπὸς δὲ ἦν τὸ ἦθος καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας· ὅθεν καὶ μισογύνης ἐδοξάσθη. ἔγημε δὲ ὅμως πρώτην μὲν Χοιρίνην θυγατέρα Μνησιλόχου, ἐξ ἧς ἔσχε Μνησίλοχον καὶ Μνησαρχίδην καὶ Εὐριπίδην· ἀπωσάμενος δὲ ταύτην ἔσχε καὶ δευτέραν, καὶ ταύτης ὁμοίως ἀκολάστου πειραθείς. ἀπάρας δὲ ἀπ' Ἀθηνῶν ἦλθε πρὸς Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων, παρ' ᾧ διῆγε τῆς ἄκρας ἀπολαύων τιμῆς. ἐτελεύτησε δὲ ὑπὸ ἐπιβουλῆς Ἀρριδαίου τοῦ Μακεδόνος καὶ Κρατεύα τοῦ Θετταλοῦ, ποιητῶν ὄντων καὶ φθονησάντων αὐτῷ, πεισάντων τε τὸν βασιλέως οἰκέτην τοὔνομα Λυσίμαχον, ιʹ μνῶν ἀγορασθέντα, τοὺς βασιλέως οὓς αὐτὸς ἔτρεφε κύνας ἐπαφεῖναι αὐτῷ. οἱ δὲ ἱστόρησαν οὐχ ὑπὸ κυνῶν ἀλλ' ὑπὸ γυναικῶν νύκτωρ διασπασθῆναι, πορευόμενον ἀωρὶ πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου· καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας· οἱ δὲ πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου. ἔτη δὲ βιῶναι αὐτὸν οεʹ, καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα. δράματα δὲ αὐτοῦ κατὰ μέν τινας οεʹ, κατὰ δὲ ἄλλους ϙβʹ· σώζονται δὲ οζʹ. νίκας δὲ ἀνείλετο εʹ, τὰς μὲν δʹ περιών, τὴν δὲ μίαν μετὰ τὴν τελευτήν, ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου. ἐπεδείξατο δὲ ὅλους ἐνιαυτοὺς κβʹ. καὶ τελευτᾷ ἐπὶ τῆς ϙγʹ ὀλυμπιάδος.

c *Εὐριπίδης* τραγικός, τοῦ προτέρου ἀδελφιδοῦς, ὡς Διονύσιος ἐν τοῖς χρονικοῖς. ἔγραψε δὲ Ὁμηρικὴν ἔκδοσιν, εἰ μὴ ἄρα ἑτέρου ἐστί. δράματα αὐτοῦ ταῦτα, Ὀρέστης Μήδεια Πολυξένη.

Εὔριπος πέλαγος στενόν, ἢ τόπος ὑδατώδης μεταξὺ δύο γαιῶν, τουτέστι Βοιωτίας καὶ Ἀττικῆς. ἑπτάκις δὲ τῆς ἡμέρας τὸ ἐκεῖσε ὕδωρ τρέπεται.

εὕρομεν παρατατικός. καὶ *εὕροσαν*.

εὐροναΐτοις καλῶς ῥέουσιν.

εὐροώτερος ὁ πλατύτερος.

εὐρυάγυια πλατυάμφοδος.

εὐρυβατεύεσθαι πονηρεύεσθαι· τὸν γὰρ Εὐρύβατον, τὸν ἕνα τῶν Κερκώπων, γενέσθαι τοιχωρύχον φασίν. οἱ δὲ προδότην περὶ τοὺς χρόνους Κροίσου.

Εὐρυβάτης ὄνομα κύριον.

Εὐρύβατον. ἄνδρα φασὶ τοῦτον Ἐφέσιον εἶναι, καὶ λαβόντα χρήματα παρὰ Κροίσου ὥστε στρατιὰν συναγαγεῖν εἰς τὸν πόλεμον τὸν εἰς τοὺς Πέρσας, προδότην γενόμενον ἐγχειρίσαι τῷ Κύρῳ τὰ χρήματα τοῦ Κροίσου, καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτους καλεῖσθαι. Harp.

Εὐρύβατος πονηρός, ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὥς φησιν Ἔφορος, εἶτα μεταβαλομένου πρὸς Κῦρον· ἦν δὲ Ἐφέσιος. οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον· Διότιμος Ἡρακλέους ἄθλοις "Κέρκωπες, τοὶ πολλὰ κατὰ τριόδους πατέοντες Βοιωτῶν σίνοντο. γένος δ' ἔσαν Οἰχαλιῆες, Ὠλός τ' Εὐρύβατός τε, δύω βαρυδαίμονες ἄνδρες." Νίκανδρος Αἰγιναῖον Εὐρύβατον πανουργότατον, οὗ μνημονεύει Ἀριστοτέλης ἐν αʹ περὶ δικαιοσύνης. Δοῦρις δὲ ἐν δʹ τῶν περὶ Ἀγαθοκλέα ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου. καὶ Ἀριστοφάνης Δαιδάλῳ ὑποθέμενος τὸν Δία εἰς πολλὰ ἑαυτὸν μεταβάλλοντα καὶ πλουτοῦντα καὶ πανουργοῦντα, "εἰ δή τις ὑμῶν εἶδεν Εὐρύβατον Δία." λέγεται τὸν Εὐρύβατον κλέπτην ὄντα, εἰρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες ἔλυσαν αὐτὸν οἱ φυλάσσοντες καὶ ἐκέλευσαν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς οἴκους ἀναρρίχησιν, τὸ μὲν πρῶτον διωθεῖσθαι, δεομένων δὲ ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενον τοὺς σπόγγους καὶ τὰς ἐγκεντρίδας ἀναδραμεῖν εἰς τοὺς τοίχους. ἀναβλέποντες δὲ ἐκεῖνοι καὶ θαυμάζοντες τὰς τέχνας, λαθεῖν αὐτὸν τὸν ὄροφον, καὶ ὑπερβάλλοντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπηδῆσαι.

Εὐρυδίκη ὄνομα κύριον.

εὔρυθμον εὖ τεταγμένον.

Εὐρυκλῆς πᾶς ὁ ἐγγαστρίμυθος, ἀπὸ Εὐρυκλέους τοιούτου τινὸς μάντεως. sch. A Vesp. 1014.

εὐρυκρείων ⟨Hom. Α 102⟩ μεγάλως βασιλεύων.

Εὐρυμέδων ποταμὸς Παμφυλίας.

εὐρύνεται πλατύνεται.

a *εὐρυόδεια* ἡ πλατεῖα ὁδός. καὶ κλίνεται εὐρυοδείας.

b *εὐρυόδεια* ἡ πλατυάμφοδος.

εὐρύοπα μεγαλόφθαλμον, ἢ μεγαλόφωνον. ἡ εὐθεῖα εὐρύωψ.

εὐρυπυλής πλατείας πύλης.

εὐρύς ὁ πλατύς.

a *Εὐρυσάκης* ὁ μεγάλην ἔχων ἀσπίδα. Σοφοκλῆς ⟨Ai. 574⟩ "ἀλλ' αὐτό μοι σύ, παῖ, λαβὼν ἐπώνυμον Εὐρύσακες, ἴσχε διὰ πολυρράφου στρέφων πόρπακος ἑπταβόειον ἄρρηκτον σάκος."

b *Εὐρυσάκης* ὄνομα κύριον. καὶ *εὐρυσάκειον* τέμενός ἐστιν Εὐρυσάκους τοῦ Αἴαντος ἐν Ἀθήναις οὕτως ὀνομαζόμενον. Harp.

εὐρυσθενής μεγαλοδύναμος.

Εὐρυσθεύς ὄνομα κύριον, καὶ *Εὐρυσθείδης*.

εὐρυχωρία πλάτος. *εὐρύχορος* δὲ ἡ καλλίχορος.

εὐρώεις ὁ σκοτεινός, ἢ ὁ πλατύς. καὶ κλίνεται εὐρώεντος.

εὐρώεντα ⟨Hom. Υ 65⟩ σκοτεινά, ζοφώδη.

εὕρωμαι ἀντὶ τοῦ εὑρήσω, καὶ *εὕρωμεν* ἀντὶ τοῦ εὑρήσομεν.

Εὐρώπη ὄνομα κύριον. καὶ ὁ τόπος. καὶ *Εὐρώπιον κλίμα* τὸ τῆς Εὐρώπης.

a *εὐρώς* ὑγρότης σεσηπυῖα· Καλλίμαχος ⟨fr. 313⟩ "πέδιλα τὰ μὴ πύσε νήχυτος εὐρώς."

b *εὐρώς* ἡ νοτία, παρὰ τὸ αὔρα αὐρώς, καὶ τροπῇ εὐρώς. καὶ *εὐρωτιῶ*. Θεόκριτος ⟨4 28⟩ "ἁ σύριγξ εὐρῶτι παλύνεται."

Εὐρώταν· ἐν ἐπιγράμματι ⟨AP 5 60⟩ "τὸν δ' ὑπεροιδαίνοντα κατέσκεπε πεπταμένη χείρ, οὐχ ὅλον Εὐρώταν, ἀλλ' ὅσον ἠδύνατο." περὶ αἰδοίου ἀνδρὸς ὁ λόγος. καὶ αὖθις Λάκαινα πρὸς τὸν ἴδιον υἱόν ⟨AP 7 531⟩ "λεῖπε τὸν Εὐρώταν, ἴθι Τάρταρον. ἡνίκα δειλὴν οἶσθα φυγήν, τελέθεις οὔτ' ἐμὸς οὔτε Λάκων."

Εὐρώτας ποταμὸς Λακωνικῆς.

εὐρῶτι σηπεδόνι.

εὐρωτιῶν ⟨A Nub. 44⟩ σαπείς, ἠφανισμένος. ἢ εὐρωτιῶν σκωληκόβρωτος. a

εὐρωτιῶν. τοῦ εὐρωτιῶν ἐξήγησις τὸ b εἰκῇ κείμενος· τοῖς γὰρ εἰκῇ καὶ ἀμελῶς κειμένοις ἱδρὼς προσίζει καὶ νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος, ὥσπερ αὖ ἐπιμελὴς καὶ καθάριος ὁ τῶν ἀστικῶν. διόπερ καὶ εἰς πενίαν συνεχῶς ὑπὸ τῶν ποιητῶν τύπτεται ⟨aa σκώπτεται⟩ καὶ ὀνειδίζεται, ὥς φησι Μένανδρος "εἰς τὰ καθαρὰ λιμὸς εἰσοικίζεται."

ἐΰς ὁ ἀγαθός· ⟨Hom. Α 393⟩ "παιδὸς ἑῆος" ἀντὶ τοῦ ἀγαθοῦ, καὶ "θεοὶ δωτῆρες ἐάων" ⟨θ 325⟩ ἀντὶ τοῦ ἀγαθῶν.

εὐσέβεια ἐπιστήμη θεοῦ θεραπείας. σπουδαῖοι τοιγαροῦν θύειν θεῷ ἁρμόδιοι, ἁγνοὶ τυγχάνοντες· ἐκνεύειν γὰρ τὰ περὶ θεὸν ἁμαρτήματα, καὶ τὸν θεὸν ἄγασθαι αὐτούς· ὁσίους τε γὰρ εἶναι καὶ δικαίους. καὶ μόνους τούτους ἱερέας εἶναι· ἐπεσκέφθαι γὰρ περὶ θυσιῶν ἱδρύσεων καὶ καθαρμῶν καὶ τῶν ἄλλων τῶν πρὸς τὰ θεῖον οἰκείων. Diog. L. 7 119.

ὅτι ἡ εὐσέβεια κοῦφον ··· ἀχθεινόν ⟨cf. v. εὐφημία⟩. "ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς· κἂν ζῶσι, κἂν θάνωσιν, οὐκ ἀπόλλυται. εὐσεβεῖν δεῖ τὰ πρὸς θεόν, ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ Ζεύς" ⟨S Phil. 1436⟩. καὶ αὖθις ἕτερος λέγει "ὁδὸς ἀνθρώποις εἰς εὐδαιμονίαν ὑπὸ τοῦ θεοῦ κατεδείχθη μία διὰ τῆς ἀρετῆς. τιμιώτατον δὲ ἐν αὐτῇ καὶ ὥσπερ κεφάλαιον ἀρετῆς ἁπάσης εὐσέβεια· μόνη γὰρ αὕτη τῶν ἀνθρωπίνων πραγμάτων ἱκανῶς ἐπιμελεῖται, καὶ πρὸς τὰ θεῖα γίνεται ἡγεμὼν ἀνθρώποις ἀγαθή."

Εὐσέβιος Ἀράβιος σοφιστής, ἀντισοφι- a στεύσας καὶ αὐτὸς Οὐλπιανῷ.

Εὐσέβιος ὁ Παμφίλου, προσκείμενος b τῇ Ἀρειανικῇ αἱρέσει, ἐπίσκοπος Καισαρείας τῆς Παλαιστίνης, σπουδαῖος ἐν ταῖς θείαις γραφαῖς, καὶ τῆς θείας βιβλιοθήκης ἅμα Παμφίλῳ τῷ μάρτυρι ἐπιμελέστατος ἀνιχνευτής. ἐξέδωκε πολλὰ τεύχη, ὧν εἰσὶ τάδε, εὐαγγελικῆς ἀποδείξεως λόγοι κ', εὐαγγελικῆς προπαρασκευῆς λόγοι ιε', θεοφανείας λόγοι ι', ἐκκλησιαστικῆς ἱστορίας λόγοι ι', χρονικῶν κανόνων παντοδαπῆς ἱστορίας, καὶ τούτων ἐπιτομή. καὶ περὶ τῆς τῶν εὐαγγελίων διαφωνίας. εἰς τὸν προφήτην Ἡσαΐαν λόγοι ι'. κατὰ Πορφυρίου τοῦ τότε συγγράφοντος ἐν Σικελίᾳ, ὥς τινες οἴονται, λόγοι λ'. τοπικῶν λόγος α', ἀπολογίας ὑπὲρ Ὠριγένους λόγοι ς', περὶ τοῦ

βίου Παμφίλου λόγοι γ', περὶ μαρτύρων ἕτερα συγγράμματα, καὶ εἰς τοὺς ρν' ψαλμοὺς δεδοκιμασμένα ὑπομνήματα, καὶ ἕτερα πολλά. ἤνθησε μάλιστα ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως καὶ Κωνσταντίου, καὶ διὰ τὴν φιλίαν τὴν πρὸς Πάμφιλον τὸν μάρτυρα τῆς ἐπωνυμίας αὐτοῦ ἠξιώθη. Sophronius.

c *Εὐσέβιος ὁ Παμφίλου. οὗτος ὁ Εὐσέβιος ἔγραψε καὶ πρὸς Μαρῖνον, ἐν ᾧ λέγει ὅτι ἡ Χριστοῦ --- ἐπέκεινα, οἷός ἐστιν ὁ μοναδικός, τὸν δὲ ὑποβεβηκότα καὶ ἀνθρωπινώτερον, ὃς καὶ γάμοις ὑποτίθεται συγκοινωνεῖν* ⟨cf. v. *βίος*⟩.

εὔσημος ὁ περιφανής.

εὐσθένεια ἡ ἰσχύς.

εὔσκαρθμος εὐκίνητος, ταχύς.

εὐσκευοῦμεν καλῶς παρεσκευάσμεθα, καὶ ἔχομεν πάντα ὧν δεῖ πρὸς θάνατον· "οὕτω μὲν εὐσκευοῦμεν" Σοφοκλῆς ⟨Ai. 823⟩.

εὔσοια εὐσθένεια· "ζῶντά τ' εὐσοίας χάριν" ⟨S OC 390⟩.

εὐσπειρῆ καλῶς συνεσπειραμένον· ⟨AP 6 206⟩ *"τὸν εὐσπειρῆ δὲ δράκοντα, χρύσειον ῥαδινῶν κόσμον ἐπισφυρίων."*

εὐστάθεια ἡ καρτερία.

εὐσταθής· "αὐτὸς δὲ λαβὼν ἄνεμον εὐσταθῆ παρεκομίζετο παρὰ τὴν χώραν, ἀκινδύνως πλέων."

Εὐστάθιος Ἐπιφανεὺς χρονικὴν ἐπιτομὴν τῶν ἀπὸ Αἰνείου μέχρι Ἀναστασίου βασιλέως, ἐν τόμοις θ', καὶ ἄλλα τινά.

ὅτι Εὐστάθιος Σεβαστιανὸς Μακεδονιακῆς θρησκείας ἦρξεν, ἅμα Βασιλείῳ Ἀγκυρανῷ, ἐπισκόπῳ τῆς αὐτῆς πόλεως. cf. v. *Βασίλειος* a.

εὐσταθῶς· Ἀππιανός· ⟨Hisp. 25⟩ *"ὃ δὲ ἐστρατοπέδευσεν εὐσταθῶς, ᾗπερ ἐβούλετο," ἀντὶ τοῦ ἀσφαλῶς, βεβαίως.*

εὐσταλής καλῶς ἐστολισμένος, ἢ κοῦφος. "ἀπεδίδρασκον εὐσταλεῖς, ὑποζύγια καὶ σκηνὰς καταλιπόντες." "ἦν δὲ τὸ ἑπόμενον στράτευμα Μαρκελλίνῳ ἐπιφανέστερον τῷ εὐσταλεῖ τῆς ὁπλίσεως."

εὐστέφανον εὐτείχιστον.

Εὐστέφιος Ἀφροδισιεὺς σοφιστὴς --- ἐπιφανίων τῶν ἐν Ἀδρόττοις τῷ εὐκτηρίῳ, ὃ κεῖται ἐν Λυδίᾳ. ἔγραψε μελέτας. cf. v. *Λαχάρης.*

εὐστιβής τετριμμένη.

εὔστολον εὔκοσμον· "ὃ δὲ προῆγε, ποιήσας εὔστολον τὴν ἀκολουθίαν."

εὐστομεῖν τὸ εὐφημεῖν. καὶ οἱ Ἴωνες "εὔστομα κείσθω" φασίν.

εὔστομον εὐπρόσωπον, ἀπὸ μέρους.

Εὐστόχιος Καππαδόκης σοφιστὴς ἔγραψε τὰ κατὰ Κώνσταντα τὸν βασιλέα καὶ ἀρχαιολογίαν Καππαδοκίας καὶ λοιπῶν ἐθνῶν.

εὔστρα τὸ μαδιστήριον, ἢ ἡ φλογίστρα. Ἀριστοφάνης ⟨Eq. 1233⟩ *"ἐν ταῖσιν εὔστραις κονδύλοις ἡρμοττόμην" ἀντὶ τοῦ ἐπαιδευόμην, ἀπὸ τῆς μουσικῆς.*

εὐσύμβολος ἀντὶ τοῦ ῥᾳδίως καὶ εὖ συμβάλλων, τουτέστιν ἀγαθὸς συμβάλλειν. Ἀντιφῶν ἐν τῷ Πολιτικῷ. Harp.

εὐσυνείδητος καλῷ ζῶν συνειδότι.

εὐσυνθετεῖν εὐνοϊκῶς ἔχειν· ⟨Procop. Vand. 2 2⟩ *"Μασσαγέται ἐβουλεύσαντο εὐσυνθετεῖν πρός τε Γελίμερα καὶ Βελισάριον."*

εὐσύνοπτον εὐεπίγνωστον, εὐθεώρητον.

Εὔσχημος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἐμπολή, ὡς Ἀθήναιος λέγει ⟨p. 571⟩.

εὐσχήμων οὐχ ὁ πολλὰ κεκτημένος καὶ πλούσιος, ἀλλ' ὁ κόσμιος καὶ πειθόμενος τοῖς νόμοις. καὶ συστέλλει.

Εὐταίων ὄνομα κύριον.

εὖτε. ἔστι καὶ χρονικὸν ἀντὶ τοῦ ἡνίκα, καὶ ὁμοιωματικὸν ἀναλογοῦν τῷ "ἠύτε βοῦς ἀγέληφι ταῦρος" ⟨Hom. *B* 480⟩. *βοῦς μὲν γενικῶς, ταῦρος δὲ εἰδικῶς.*

εὐτειχεῖ πάγῳ καλῶς τετειχισμένῳ.

εὐτέλεια. εὐτελία δὲ ἡ εὐδαιμονία, παρὰ τὸ εὖ τελεῖν. Ἀριστοφάνης ⟨Ran. 406⟩ *"σοὶ γὰρ διδόαμεν ἐπ' εὐτελείᾳ τὸν σανδαλίσκον."*

εὐτελής, ἐπ' ἀρετῆς, ὁ φειδωλὸς καὶ ὀλιγοδάπανος. οὕτω Μένανδρος "ἐγὼ δ' ἀνόητος, εὐτελὴς ὑπερβολῇ." καὶ "ὁ ἄσωτός ἐστι, πολυτελής, θρασὺς σφόδρα."

εὐτοκία πολύγονος.

Εὐτόκιος, ἀπὸ Θρᾴκης ἐλθών, οὔτε γνώμην ἐπιεικής τις ἦν οὔτε γένος εὖ ἥκων, ἀλλὰ στρατιώτης μὲν ὁ τυχών, πολλὰ δὲ χρήματα κοινὰ τοῦ ἰδίου τάγματος ὑποκλέψας ᾤχετο φεύγων εἰς τὴν Παλαιστίνην. ἐπεχείρησε μὲν οὖν Ἐλευθεροπολίταις ἑαυτὸν ἐγκαταλέξαι, τῆς βουλῆς μετασχὼν ἐπὶ χρήμασι μεγάλοις. καὶ γὰρ ἐγλίχετο τὴν τύχην μεταβαλεῖν εἰς τὸ εὐγενέστερον· καίτοι ἔδει πρότερον μετατίθεσθαι τὴν προαίρεσιν εἰς τὸ κρεῖττον. ἀλλ' ὅμως οἱ Ἐλευθεροπολῖται, τὸ πλῆθος ὑπιδόμενοι τῶν χρημάτων, οὐ προσεδέ-

ξαντο τὸν Εὐτόκιον. ὃ δὲ μετεχώρησεν ἐς τὴν Ἀσκάλωνα, καὶ ὁ τότε πρωτεύων Κρατερὸς εὐμενῶς αὐτὸν ὑπεδέξατο μετὰ τῶν χρημάτων, πολιτικῆς τε μετέδωκεν ἐλευθερίας. οἱ δὲ Θρᾷκες ὑςέρῳ χρόνῳ κατὰ πύςιν ἥκοντες ἐπὶ τὸν Εὐτόκιον, ἀπῄτουν τὸν Κρατερὸν αὐτόν τε τὸν Εὐτόκιον καὶ τὰ χρήματα. ὃ δὲ οὐ μεθίει τὸν ἄνδρα. τῶν δὲ ςρατιωτῶν ἐπὶ δίκην τὸ πρᾶγμα φερόντων, ὁ Κρατερὸς ὑπεραγωνίζεται τοῦ Εὐτοκίου καὶ περιγίνεται τῶν Θρᾳκῶν· ἐφ' ᾧ καὶ χρησμὸς ἐξέπεσεν ἔχων ὧδε. Eunap. p. 115 Nieb.

εὐτραπελία μωρολογία, κουφότης, ἀπαιδευσία· "ὁ δὲ Πτολεμαῖος --- αὐτόν" ⟨cf. v. ἀνακροτῆσαι⟩.

εὐτράπελον· "οὔτε τίν' ἔχων πρόφασιν οὔτε λόγον εὐτράπελον," εὔςροφον, "αὐτὸς ἄρχων μόνος." ⟨A Vesp. 466⟩ "οὕτω δ' ἦν εὐτράπελος τὴν φύσιν ὥςε παρ' Ἀθηναίοις ἦν ἄκρος καὶ Λάκων Λακεδαιμονίοις καὶ Θηβαίοις Θηβαῖος."

εὐτρεπῆ τὰ ἕτοιμα καὶ τέλος ἔχοντα.

εὐτρεπισμός ἡ ἑτοιμασία.

a Εὐτρόπιος ὁ τοῦ Ἀρκαδίου τοῦ βασιλέως πρόκοιτος, ὃς οὐδὲν τῶν δεινῶν ἀπελίμπανε, τάς τε ἀρχὰς δημοσίᾳ πιπράσκων, καὶ τοὺς τι δυναμένους συκοφαντῶν, ἐξορίαις τε τοὺς μεγιςᾶνας ὑποβάλλων, καὶ πᾶσαν ὕβριν τοῖς τῆς συγκλήτου βουλῆς ἐπάγων. ἀλλ' οὐδὲ τῆς τῶν βαρβάρων ἀπείχετο συμμαχίας, ὡς ἂν αὐτὸς ἐλπίζων ἐς τὴν τοῦ βασιλέως μεταβαίνειν ἀξίαν. καί ποτε καὶ τοὺς ἐν ταῖς ἐκκλησίαις πεφευγότας συλλαμβάνειν βουλόμενος νόμον προύθηκεν ἐπιτρέποντα τούτους ἐκ τῶν θυσιαςηρίων ἀφέλκεσθαι. καὶ ὁ μὲν νόμος ἐγέγραπτο, δίκη δὲ εὐθέως τῆς ὠμότητος ἠκολούθει· μετ' οὐ πολὺ γὰρ προσκρούσας τῷ βασιλεῖ Εὐτρόπιος ἐν τοῖς πρόσφυξιν ἐγένετο καὶ ὑπὸ τὸ θυσιαςήριον ἔκειτο, Ἰωάννου ἐπισκοποῦντος τοῦ Χρυσοςόμου, ἐκεῖθέν τε ἀφαιρεθεὶς νυκτὸς τῆς κεφαλῆς ἀποτέμνεται. οὕτω μὲν ὁ Εὐτρόπιος δίκας τῆς ἁμαρτάδος ὑποςὰς καὶ ἐξ αὐτοῦ τοῦ καταλόγου τῶν ὑπάτων ἠλείφθη, μόνου τοῦ συνυπατεύσαντος Θεοδώρου γεγραμμένου. Io. Antioch. exc. Peir. p. 849.

b Εὐτρόπιος ὁ εὐνοῦχος, ἐπίτροπος Θεοδοσίου τοῦ βασιλέως. καί φησιν Εὐνάπιος ⟨p. 102 Nieb.⟩ "ὁ μὲν γὰρ Ῥουφῖνος ἀνήρ τε ὢν ἢ δοκῶν καὶ ἐν ἀξιώμασι γεγονὼς καὶ ποικίλαις ὁμιλήσας τύχαις, οὐ παρὰ λόγον οὐδὲ τοῦ πρέποντος ἐκτὸς ἐδόκει κατεξανίςασθαι τῆς νεωτεριζούσης ἅπαντα τύχης· ὁ δὲ θαλαμηπόλος εὐνοῦχος παραλαβὼν τὸ ἐκείνου κράτος ἐς τοσόνδε κατέσεισεν ἅπαντα καὶ κατεβρόντησεν ὥςε οὐ μόνον Ῥουφῖνος ἦν αὐτὸς ἀλλ' ὁ τοῦ μύθου Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν, ὅς γε ὢν εὐνοῦχος ἀνὴρ εἶναι κατεβιάζετο. καὶ οἱ μὲν μῦθοί φασι τὴν Γοργόνα φανεῖσαν ἅμα τε φαίνεσθαι καὶ τοὺς ἰδόντας μεταβάλλειν εἰς λίθον· ὁ δὲ καθ' ἡμᾶς βίος λῆρόν τινα περιττὸν καὶ φλήναφον τὸν μῦθον ἀπέδειξε." καὶ πολὺν καταχέει διασυρμὸν ὁ ἱςορικὸς τουτουὶ τοῦ εὐνούχου, τοῦ βίου αὐτοῦ ἐπάξιον.

ὅτι ἐπὶ τούτου τοῦ Εὐτροπίου τὸ τῶν εὐνούχων --- εὐνοῦχοι βουληθέντες γενέσθαι, σὺν τοῖς ὄρχεσι καὶ τῆς ψυχῆς ἀφῃρέθησαν ⟨cf. v. σπάδων extr.⟩.

Εὐτρόπιος Ἰταλὸς σοφιςὴς τὴν Ῥωμαϊκὴν ἱςορίαν ἐπιτομικῶς τῇ Ἰταλῶν φωνῇ ἔγραψε, καὶ ἄλλα.

εὐτρόχαλον· "εἶναι δὲ τὴν ἀσπίδα μικρὰν καὶ εὐτρόχαλον," περιφερῆ.

εὔτροχον· "οἵ τε ὀφθαλμοὶ τὸ τῆς διανοίας εὔτροχον ἀποσαφοῦντες" ⟨cf. v. ἀποσαφοῦντες⟩.

εὔτυκτα παρὰ Ἡροδότῳ ⟨I 119⟩ ἀντὶ τοῦ ῥᾴδια, ἕτοιμα εἰργασμένα, καλῶς κατεσκευασμένα.

εὐτυχεῖ ἐπιτυγχάνεται· ⟨S El. 945⟩ "πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ."

Εὐτυχής. οὗτος ἡγούμενος γέγονεν ἐν Κωνςαντινουπόλει μοναςηρίου, τῆς κατὰ Μάνεντα καὶ Ἀπολινάριον ἀντιθέου μοίρας τρίτος ὑπασπιςής, ἄλλον εἶναι παρ' ἑαυτῷ τὸν Χριςὸν καὶ ἄλλον τὸν θεὸν λόγον κηρύττων, μὴ ἀνεχόμενος ὁμοούσιον ἡμῖν καὶ ὁμοφυῆ τὴν σάρκα τοῦ κυρίου ὁμολογεῖν· καὶ ἀπηρνεῖτο σώζεσθαι λέγειν ἐν τῷ Χριςῷ δύο φύσεις μετὰ τῆς τούτων ἑνώσεώς τε καὶ συμφυΐας. οὐ μὴν δὲ ἀλλὰ καὶ τερατώδη τινὰ καὶ ἀλλόκοτα παρέπλαττεν, ἐξ οὐρανοῦ λέγων κατενεχθῆναι τὸ σῶμα τοῦ κυρίου, καὶ ὡς διὰ σωλῆνος τῆς παρθένου παραδραμεῖν τὸν θεὸν λόγον, οὐρανόθεν τοῦτο ἐνδεδυμένον, ἵνα δόξῃ γεγεννῆσθαι ἐκ γυναικὸς καίπερ μὴ γεγεννημένος. Μανιχαῖος οὗτος ὁ λόγος καὶ πεφαντασμένος πολλῷ μᾶλλον ἐκείνου. μίαν φύσιν καὶ οὗτος διεςραμμένῃ καρ-

διὰ τὸν Χριςὸν ἐπρέσβευεν. Theodorus presb. de incarn. dom.

Εὐτυχίδης πατρωνυμικόν.

εὐτυχῶ γενικῇ.

εὐύφαντον.

εὐφήμει καλὰ λάλει, ἢ ἐπαίνει. Ἀριςοφάνης (Thesm. 39) "εὔφημος πᾶς ἔςω λεὼς σόμα συγκλείσας· ἐνδημεῖ γὰρ θίασος μουσῶν ἔνδον μελάθρων." εὐφήμει οὖν σιώπα, μὴ ἀκαιρολόγει.

εὐφημία. "εὐφημίας χάριν προτιμᾷ τὴν Λακεδαίμονα τὸ θεῖον ἤπερ τῶν Ἀθηναίων βωμοὺς σύμπαντας καὶ νεὼς καὶ ἀγάλματα καὶ ἑκατόμβας καὶ τὸν λοιπὸν φλήναφον τῶν ῥαθυμούντων τε καὶ θαινάζειν γλιχομένων. οὐκοῦν διδάσκει ὁ λόγος ὡς ἡ ὄντως εὐσέβεια κοῦφόν ἐςι καὶ σωφροσύνης ἀνάπλεων καὶ ἥκιςα ἀχθεινόν· 'εὐφημία γὰρ εὐκολώτατος πόνων' ἤκουσάς που, ὦ παῖ Ἀρίςωνος, καὶ Εὐριπίδου 'εὐφημία γὰρ παρὰ σπονδαῖσι κάλλιςον.'"

Εὐφημία. ὅτι Εὐφημίας τῆς γυναικὸς Ἰουςίνου τοῦ Θρᾳκὸς ςήλη ἵςατο ἐν τῇ ἁγίᾳ Εὐφημίᾳ, ὑπ' αὐτῆς κτισθείσῃ. Codin. orig. CP p.19.

εὐφημία ἔςω (A Thesm. 302). εὐφημίᾳ χρῶνται οἱ κωμικοί, ἐπειδὰν εὐχὴν ἢ ψήφισμα εἰσάγωσιν.

εὐφημισμός.

εὐφήμου σόμα φροντίδος (S OC 131) ἡ φωνή· σόμα γὰρ ἡ φωνή. Ὅμηρος (K 8) "πολέμοιο σόμα," καὶ Σοφοκλῆς (Ai. 17) "χαλκοςόμου κώδωνος." ὁ δὲ νοῦς, τὴν φωνὴν τῆς εὐφήμου φροντίδος ἱέντες, ὅ ἐςι μετὰ φροντίδος πολλῆς εὐφήμως τὴν φωνὴν ἀφιέντες. εὔφημον οὖν τὴν σιωπηλήν· τὸ γὰρ εὐφημεῖν ἐπὶ τοῦ σιωπᾶν τίθεται.

Εὐφήτης ὄνομα κύριον.

εὐφορία ἡ εὐθηνία.

a Εὐφορίων υἱὸς Αἰσχύλου τοῦ τραγικοῦ, Ἀθηναῖος, τραγικὸς καὶ αὐτός, ὃς καὶ τοῖς Αἰσχύλου τοῦ πατρός, οἷς μήπω ἦν ἐπιδειξάμενος, τετράκις ἐνίκησεν. ἔγραψε δὲ καὶ οἰκεῖα.

b Εὐφορίων Πολυμνήτου, Χαλκιδεὺς ἀπὸ Εὐβοίας, μαθητὴς ἐν τοῖς φιλοσόφοις Λακύδου καὶ Πρυτάνιδος καὶ ἐν τοῖς ποιητικοῖς Ἀρχεβούλου τοῦ Θηραίου ποιητοῦ, οὗ καὶ ἐρώμενος λέγεται γενέσθαι. ἐγεννήθη δὲ ἐν τῇ ρκς' ὀλυμπιάδι, ὅτε καὶ Πύρρος ἡττήθη ὑπὸ Ῥωμαίων, καὶ ἐγένετο τὴν ἰδέαν μελίχρους πολύσαρκος κακοσκελής. τῆς Ἀλεξάνδρου τοῦ βασιλεύσαντος Εὐβοίας, υἱοῦ δὲ Κρατεροῦ, γυναικὸς Νικαίας ςερξάσης αὐτὸν εὔπορος σφόδρα γεγονὼς ἦλθε πρὸς Ἀντίοχον τὸν μέγαν ἐν Συρίᾳ βασιλεύοντα, καὶ προέςη ὑπ' αὐτοῦ τῆς ἐκεῖσε δημοσίας βιβλιοθήκης· καὶ τελευτήσας ἐκεῖ τέθαπται ἐν Ἀπαμείᾳ, ὡς δέ τινες ἐν Ἀντιοχείᾳ. βιβλία δὲ αὐτοῦ ἐπικὰ ταῦτα, Ἡσίοδος, Μοψοπία ἢ ἄτακτα· ἔχει γὰρ συμμιγεῖς ἱςορίας, Μοψοπία δὲ ὅτι ἡ Ἀττικὴ τὸ πρὶν Μοψοπία ἐκαλεῖτο ἀπὸ τῆς Ὠκεανοῦ θυγατρὸς Μοψοπίας, καὶ ὁ λόγος τοῦ ποιήματος ἀποτείνεται εἰς τὴν Ἀττικήν. χιλιάδες· ἔχει δὲ ὑπόθεσιν εἰς τοὺς ἀποςερήσαντας αὐτὸν χρήματα ἃ παρέθετο, ὡς δίκην δοῖεν κἂν εἰς μακράν· εἶτα συνάγει διὰ χιλίων ἐτῶν χρησμοὺς ἀποτελεσθέντας. εἰσὶ δὲ βιβλία ε'.

εὔφορος κοῦφος, ἐλαφρός· "ὁ δὲ θυρεὸς τῶν Ἰβήρων εὔφορος."

εὐφραδής σαφής.

Εὐφραῖος ὄνομα κύριον. Ὠρείτης ἦν τὸ γένος, μετέσχε δὲ τῆς τοῦ Πλάτωνος διατριβῆς. Harp.

Εὐφραίων ὄνομα κύριον.

Εὐφρήτης ὁ Εὐφράτης ποταμός.

εὐφρόνῃ ἐπίθετον τῆς νυκτός· (Herodot. a 7 188) "ταύτην μὲν τὴν εὐφρόνην οὕτως ἔμειναν."

εὐφρόνη ἡ νύξ· "τίς τὸν μεγιςόφωνον b ἔνδον τῆς ςέγης ἔπεισεν ὄρνιν ὡρολογεῖν τὴν εὐφρόνην;" (Pisid. creat. mundi 1087).

εὐφρονῶ τὰ σά (S Ai. 491) ἀντὶ τοῦ εὔνους σοι εἰμί.

εὔφρος (an εὐφρόσυνος) εὔθυμος.

Εὔφρων κωμικός. τῶν δραμάτων αὐτοῦ ἐςὶν Αἰσχρὰ Μοῦσαι Συνέφηβοι Θεωροί, ὡς Ἀθήναιος γράφει ἐν τοῖς Δειπνοσοφιςαῖς.

εὐφυᾶ καλὴν φύσιν ἔχοντα. (Diog. L. 4 30) "ὡς εὐφυὴς καὶ εὐεπιχείρητος ἀπεληλυθὼς τῆς διατριβῆς εἴη νεανίσκος." Πολύβιος (13 5) "ὃ δὲ ἦν ὑπηρετικὸν σκεῦος εὐφυές, καὶ πολλὰς ἔχων ἀφορμὰς εἰς πραγμάτων οἰκονομίαν." cf. v. σκεῦος.

εὐφυΐα. εὐφυοῦς ἐςὶ τὸ οἰκειοῦσθαι μὲν πρὸς τὸ ἀληθές, ἀποςρέφεσθαι δὲ τὸ ψεῦδος. ὁ δὲ τοῦτο ἔχων ἔχει καὶ τὸ κρίνειν τἀληθὲς δύνασθαι καλῶς. οἱ δὲ ῥᾳδίως μέν τισι παρακολουθοῦντες καὶ μανθάνοντες,

ὁμοίως δὲ ἔχοντες πρὸς πάντα τὰ μαθήματα, οὐκ ἂν κυρίως εὐφυεῖς λέγοιντο τῷ μὴ ἔχειν τὸ κριτικὸν ἐν αὐτοῖς, ὅ ἐςιν ἡ πρώτη καὶ κυρίως εὐφυΐα. καὶ τῶν προσφερομένων, εἴτε μαθήματα ταῦτα εἴη εἴτε καὶ ἄλλα τινά, τὰ μὲν ἄξια εὐπορεῖσθαι καὶ φιλεῖν αἱρούμενοι, τὰ δὲ μὴ τοιαῦτα ἀποςρεφόμενοι καὶ μισοῦντες εὖ τε τοῦτο ποιοῦσι καὶ εἰσὶν ἀγαθοὶ κριταί. Alex. Aphrod. in Top. 8 p. 278.

εὔφωνον κήρυκα δυνάμενον μέγα βοῆσαι.

εὐφώρατον φανερόν.

εὐχαί αἱ ὑποσχέσεις. ⟨Ps. 115 1⟩ "τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω." εὐχὴ γὰρ ἐπαγγελία θεῷ τῶν κατ' εὐσέβειαν ἀφιερουμένων, προσευχὴ δὲ δέησις μετὰ ἱκετηρίας τῷ θεῷ προσαγομένη.

εὐχαίτης ἵππος καλόθριξ.

εὐχαρισῶ δοτικῇ.

εὐχείμονος ⟨εὐείμονος an λευχείμονος⟩ τοῦ καλὰ ἱμάτια ἔχοντος.

εὐχειρία ἡ διὰ χειρῶν εὐκινησία· "οἱ δὲ Μακεδόνες ταῖς εὐχειρίαις πολὺ περιῆσαν."

Εὔχεμος ὄνομα κύριον, ὁ Αἰγεάτης. cf. v. ἐπιβολή c.

εὐχέρεια εὐκολία.

εὔχεται καυχᾶται.

Εὐχίδης καὶ Ἄσσαπος καὶ Χρυσόμαζος καὶ Ἐχίων, ὀνόματα κύρια. ὠκύτατοι οὗτοι τοῖς ποσὶν ὑπῆρχον. cf. vv. Ἴνδακος et Ἐχίων.

εὐχολόγιον τὸ βιβλίδιον.

εὔχομαι δέ σοι τάδε, ἀντὶ τοῦ καταρῶμαι, παρὰ Ἀριςοφάνει ⟨Eq. 935⟩.

εὖχος καύχημα.

εὐχρησία ἡ καλὴ χρῆσις.

εὐχροεῖς ⟨A Lys. 80⟩ εὐσωματεῖς.

εὐχυλότερος ὁ ταχέως πεττόμενος.

εὐχωλή εὐχή, ἢ καύχημα.

εὐψυχία ἀνδρία. ⟨Polybius?⟩ "καθάπερ γὰρ ἐπὶ τῆς Ἐπαμινώνδου καὶ Πελοπίδου καὶ Βρασίδου καὶ Κλεομβρότου τελευτῆς, καὶ διὰ τὴν ἐν τῷ ζῆν ἀρετὴν καὶ διὰ τὴν ἐν τῷ τελευτᾶν εὐψυχίαν, ἀδυνατοῦσιν οἱ συγγραφεῖς ἀξίους εὑρίσκειν λόγους τῆς προκαθηγουμένης τῶν ἀνδρῶν ἐννοίας." καὶ αὖθις ⟨Appian. Ib. 40⟩ "μὴ εἶναι φοβερὸν ὅτι πλήθει προέχουσιν οἱ πολέμιοι· τὴν γὰρ εὐψυχίαν ἀεὶ τοῦ πλείονος ἐπικρατεῖν."

εὔψυχος, Ἀριςοτέλης ἐν τοῖς Τόποις λέγει, οὐχ ὁ ἀνδρεῖος μόνος, εἰ μεταληψόμεθα τὸ εὔψυχος εἰς τὸν λόγον κατὰ τὴν ἐτυμολογίαν. ἔςι δὲ οὗτος ὁ εὖ τὴν ψυχὴν ἔχων. ἀλλὰ μὴν εἰ εὔψυχός ἐςιν ὁ εὖ τὴν ψυχὴν ἔχων, ἀγαθὴν δὲ τὴν ψυχὴν ἔχει καὶ ὁ δίκαιος καὶ ὁ σώφρων καὶ ὁ φρόνιμος, οὔτ' ἂν ὁ ἀνδρεῖος μόνος εὔψυχος εἴη, οὔτ' ἂν ἡ εὐψυχία ἀνδρία εἴη. ὅτι δὲ εὔψυχος ὁ εὖ τὴν ψυχὴν ἔχων, δείξομεν τῇ τῶν ὁμοίων παραθέσει· καὶ γὰρ εὔελπις ὁ εὖ ἐλπίζων, τουτέςιν ὁ ἀγαθὰ ἐλπίζων, καὶ εὐδαίμων ὁ εὖ τὸν δαίμονα ἔχων ⟨Alex. Aphrod. in Top. 2 p. 94⟩. Ἀρριανός "τῶν μάλιςα εὐψυχίαν τινὰ ἐν τοῖς δεινοῖς ἐπιδεικνυμένων," ἀντὶ τοῦ εὐτολμίαν.

εὔψυχος, εὐψυχότερος.

εὐψύχους ἀντὶ τοῦ τολμηρούς· "ἐπιλεξάμενος ἄνδρας εὐψύχους τε καὶ γενναίους."

εὐωδία ἡ εὐοσμία.

εὐωδοῦτο κατευωδοῦτο, καὶ εὐωδώθη κατευωδώθη.

Εὐωείκη ὄνομα κύριον.

εὔωνον εὐτελές. καὶ Εὔωνος ὄνομα κύριον.

εὐώνυμον τὸ ἀριςερόν.

εὔωπος ὁ εὐόφθαλμος.

εὐωρία, ψιλῶς, τὸ μὴ πάνυ φροντίζειν ἀλλὰ ῥαθυμότερόν πως ἔχειν.

εὐωρῶ τὸ παίζω.

εὐωχία ἡ τράπεζα.

ἐφ' ὧ ἐφ' ἅ τινα.

ἐφάλια παραθαλάσσια.

ἐφάμιλλον ὅμοιον, ἴσον.

ἔφαμμα τὸ περίβλημα. Πολύβιος ⟨2 28⟩ "οἱ μὲν γὰρ τὰς ἀναξυρίδας καὶ τοὺς εὐπετεῖς τῶν σάγων ἔχοντες περὶ αὐτοὺς ἐξέταξαν· οἱ δὲ διὰ φιλοδοξίαν ταῦτ' ἀπορρίψαντες γυμνοὶ μετὰ τῶν ὅπλων ἔςησαν, ὑπολαβόντες οὕτως ἔσεσθαι πρακτικώτεροι διὰ τὸ τινας τῶν τόπων βατώδεις ὄντας ἐμπλέκεσθαι τοῖς ἐφάμμασιν."

ἐφαπτίδας· "οἱ δὲ ψιλοὶ Ῥωμαίων ἕκαςος αὐτῶν εἶχον ἐφαπτίδα καὶ κνημῖδά τε καὶ λογχάσθην ⟨an λόγχην καὶ σπάθην: cf. v. ζιβύνη⟩ καὶ ἀκόντιον διόλου σιδήρου πεποιημένον."

ἐφαύλιζον εὐτέλιζον· "οἱ δὲ ἐφαύλιζον αὐτὸν οὐδαμῇ σπουδαῖον ὄντα· μικρὸς γὰρ ἦν τὸ σῶμα."

ἐφάψασθαι ἅρξασθαι, ψηλαφῆσαι.

ἐφεδρεία ἡ ἐπίκληρος παραμονή. a

b ἐφεδρεία τὸ πρᾶγμα. (Polyb. 1 17) "παρὰ Ῥωμαίοις θάνατος πρόσιμον τῷ λιπόντι τὴν ἐφεδρείαν," τουτέςι τὴν παρατήρησιν.

ἐφεδρεύει ἐπικάθηται. "ἐφεδρεύειν δὲ ἐκείνοις φίλους καὶ συγγενεῖς τῶν ἀπολωλότων," ἀντὶ τοῦ εἰσί τινες ἐξ ὑςέρου τιμωροὶ τῶν ἀπολωλότων.

a ἔφεδρος ταβλιςὴς τρίτος καὶ ἐνεδρεύων. Ἀριςοφάνης Βατράχοις (803) "νυνὶ δ' ἔμελλε Κλειδημίδης ἔφεδρος καθεδεῖσθαι, κἂν μὲν Αἰσχύλος κρατῇ, ἕξειν κατὰ χώραν, εἰ δὲ μή, περὶ τῆς τέχνης διαγωνιεῖσθαι." ἔφεδρός ἐςιν ἐν τοῖς ἀγῶσιν ὁ μὴ πλανώμενος εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν. ἔφεδρον δὲ λέγει ὁ Σοφοκλῆς τὸν Αἴαντα (610), ὅτι ἔσχατος καὶ ὡς ἔφεδρος ἐλείφθη μοι ὁ Αἴας εἰς κακόν. οἷον πρὸς τοῖς πρώτοις κακοῖς ὥσπερ δεύτερόν ἐςί μοι κακὸν τὸ τοῦ Αἴαντος ξυνεςηκός. τοῦτο γὰρ δηλοῖ τὸ ἔφεδρος· λέγει γὰρ "καί μοι δυσθεράπευτος Αἴας ξύνεςιν ἔφεδρος."

b ἔφεδρος ἐλπίζων, παραμένων. "ἔφεδροι γίνονται τοῖς καιροῖς, καὶ ἑτοίμως διάκεινται πρὸς τὸ πάλιν ἀντοφθαλμεῖν τούτοις." "μεσολαβηθεὶς δ' ὁ νέος ἐξ ἐχθρῶν ὑπερκειμένων καὶ ἐφέδρων, εἰς τὸ ἄντρον εἰσκριθεὶς ἐπίπονον βίον συνεςήσατο καὶ θηριώδη." cf. v. ἐπιπόνως.

ἐφέζεται ἐπικάθηται.

ἐφεθὲν παρασχεθέν, ὁρισθέν, συγχωρηθέν· "ὁ δὲ βασιλεὺς Ἀντίγονος, ἐφεθὲν οἱ δικάσαι, προσέταξε κλήρῳ διακριθῆναι."

ἐφείλιξαν· "σχοινίον τε ἐφείλιξαν μίλτῳ," ἀντὶ τοῦ ἔφυραν καὶ περιείλιξαν. cf. v. μίλτος.

ἐφειμένον συγκεχωρημένον· (Agath. p. 57) "ὡς δέ, ἐφειμένον αὐτῷ παραγίνεσθαι, ἐς ὄψιν ἐλθὼν εἶπεν."

ἐφεῖναι συγχωρῆσαι, κελεῦσαι. "ἣ δὲ οὐκ ἐπείσθη, πρὶν ἢ τοὺς προσήκοντας ἐφεῖναι λαβεῖν."

ἐφείσθω τούτοις ἐξονυχίζειν (Iulian. or. 5 p. 162), ἀντὶ τοῦ συγκεχωρήσθω ἀκριβολογεῖσθαι.

a ἐφεῖτο συνεχωρεῖτο· "καὶ οὐδενὶ ἐφεῖτο μὴ κελευσθὲν ἐξωτέρω προϊέναι."

b ἐφεῖτο ἐνετέλλετο· Ἀριςοφάνης (Vesp. 242) "χθὲς οὖν Κλέων ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ ἥκειν."

ἐφεκτικοί φιλόσοφοί τινες, παρὰ τὸ ἐπέχειν περὶ τῶν πραγμάτων καὶ δογματίζειν αὐτὰ ἀκατάληπτα. Diog. L. prooem. 16.

ἔφεκτος τόκος ὁ ἐπὶ τὸ ἕκτον τοῦ κεφαλαίου. Harp.

ἐφελκυςὴς βοηθός.

ἐφενάκιζον ἠπάτων.

ἐφ' ἕνδεκα κώπαις. κέλευσμά ἐςι ναυτικὸν οὕτω λεγόμενον. (A Eq. 543) "αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον." ἀπὸ τῶν ἐρεσσόντων μετήνεγκεν ἐφ' ἕνδεκα κώπαις.

ἐφέντες ἐνδόντες, ὑποχαλάσαντες· "οἱ δὲ ἄνδρες ἐπειδὴ τὸ σύμμετρον ἀπ' ἀλλήλων διέςησαν, ἐφέντες τοῖς ἵπποις τὰς ἡνίας."

ἐφέντας σημαίνει καὶ τὸ ἀπὸ δικαςηρίου εἰς δικαςήριον ἐλθόντας.

ἐφέξει ςαθῇ, ἐφελκύσει.

ἐφεξῆς ἐπίρρημα, ἐπ' ἴσης, κατὰ τάξιν.

ἔφες (Hom. E 174) ἐπίπεμψον.

ἐφέσεις ὁρμάς. "ἀπὸ δὲ τῆς τῶν στρατιωτῶν γνώμης, λαβὼν ἔφεσιν παρὰ τῦ ςρατηγοῦ, ξένην καὶ παράδοξον βοήθειαν ἐπορίσατο πρὸς τὴν ὑποκειμένην κατάςασιν."

Ἐφέσια γράμματα ἐπῳδαί τινες δυσπαρακολούθητοι, ἃς καὶ Κροῖσον ἐπὶ τῆς πυρᾶς εἰπεῖν. καὶ ἐν Ὀλυμπίᾳ Μιλησίυ καὶ Ἐφεσίου παλαιόντων, τὸν Μιλήσιον μὴ δύνασθαι παλαίειν διὰ τὸ τὸν ἕτερον περὶ τῷ ἀςραγάλῳ ἔχειν τὰ Ἐφέσια γράμματα· φανερῦ δὲ γενομένυ καὶ λυθέντων αὐτῶν τριάκοντα (αὐτρὶς) τὸ ἑξῆς πεσεῖν τὸν Ἐφέσιον.

ἔφεσις ἐπιθυμία, ὁρμή. ἔκκλητος, αἵρε- a
σις ἄλλου δικαςηρίου καὶ μεταγωγή.

ἡ ἔφεσις λέγεται καὶ ἔκκλητος παρὰ τὸ ἐκκαλεῖσθαι καὶ παραιτεῖσθαι καὶ φεύγειν τὸ πρῶτον καὶ ἔλαττον δικαςήριον.

ἔφεσις ἡ ἐξ ἑτέρου δικαςηρίου εἰς ἕτε- b
ρον μεταγωγή. τὸ δὲ αὐτὸ καὶ ἔκκλητος καλεῖται. τὸ οὖν ἔφεσις ἀπὸ τῦ ἐφεῖναι ῥήματος. cf. Harp.

ἐφεσπερεία ἡ τῆς ἑσπέρας. cf. v. ἐφημερία.

ἐφεσπόμενα ἐπακολουθοῦντα.

ἐφ' ἑςίας ἀντὶ τοῦ κατ' οἶκον, καὶ ἐφέςιον ἀντὶ τοῦ ἐπὶ τὴν οἰκίαν γενόμενον, τουτέςιν ἔποικον. Σοφοκλῆς (El. 419) "εἶτα τόνδ' ἐφέςιον πῆξαι λαβόντα σκῆπτρον."

ἐφεςιασάμενος εὐωχηθείς.

ἐφέςιοι αὐτόχθονες, σύνοικοι, ἔποικοι.

ἐφεςρίς ἱμάτιον Ῥωμαϊκόν. λέγεται δὲ a
καὶ μανδύης καὶ βίρρον· ἅτινα ἐν ὀνείρῳ βλεπόμενα θλίψεις σημαίνυσιν. Artemid. 2 3.

b ἐφεςρίς. "ἐξ ὧν οἱ τοξόται ταῖς ἐφεςρίσι καλυπτόμενοι βάλλουσι τοὺς ἐπὶ τῶν τειχῶν." ὕφασμα ἐξ αἰγείων τριχῶν· "ἀρτῶντες κύκλῳ ἐφεςρίδας καὶ νάκη, ὡς ἂν τὰ τοιαῦτα προβλήματα μὴ εὔφλεκτα εἴη."

c ἐφεςρίς χλανίς. Ἀγαθίας ⟨1 12⟩ "γύναια δὲ πολλὰ διαπληκτιζόμενα καὶ τὰς ἐφεςρίδας περιρρηγνύντα ἀνὰ τὰς προμαχεῶνας ἐφοίτα." καὶ αὖθις "οὐκ ἐπιφερόμεθα χρημάτων περιουσίαν, πλήν γε δὴ ςρατιωτικὴν ἐφεςρίδα, ἥν γε δὴ καὶ περιβεβλήμεθα."

a ἐφέται ἄνδρες οἵτινες π' ὄντες ἐδίκαζον. ἐφέται δὲ ἐκλήθησαν ἤτοι ὅτι ἐπὶ αἵματι δικάζουσιν, ἢ ὅτι ἔφεσις παρ' αὐτῶν οὐ δύναται εἰς ἄλλο δικαςήριον γενέσθαι, τουτέςιν ἔκκλητος.

b ἐφέται ἄνδρες ὑπὲρ ν' ἔτη γεγονότες καὶ ἄριςα βεβιωκέναι ὑπόληψιν ἔχοντες, οἳ καὶ τὰς φονικὰς δίκας ἔκρινον. ἐκαλεῖτο δ' αὐτῶν τὰ δικαςήρια ἐφετῶν.

c ἐφέται. οἱ δικάζοντες τὰς ἐφ' αἵματι κρίσεις ἐπὶ Παλλαδίῳ καὶ ἐπὶ Πρυτανείῳ καὶ ἐπὶ Δελφινίῳ καὶ ἐν Φρεατοῖ ἐφέται καλοῦνται ⟨Harp.⟩. καὶ ἐφέτης ὁ δικαςής.

ἐφετικός ἐπιθυμητικός.

ἐφετόν· ⟨Synes. p. 54⟩ "εἶδον ἐγὼ δικαςὴν ἐφετὸν μετροῦντα τοῖς ἀγορεύουσι τὸν χρόνον."

ἐφευρετὰς κακῶν ⟨Rom. 1 30⟩ τοὺς ἐπὶ τοῖς παλαιοῖς κακοῖς ἕτερα καινοτομοῦντας κακά.

ἐφηβεία νεότης, ἡ ἀκμὴ τῆς ἡλικίας.

a ἔφηβος παῖς νέος ἐν αὐτῇ τῇ ἀκμῇ. ὅθεν ἐφηβεύω. "Τιμασίων μειράκιον Αἰγύπτιον· ἐφήβου δὲ ἄρτι ὑπαπήει, καὶ τὴν ὥραν ἄρτι ἔρρωτο. σωφρονοῦντι δὲ αὐτῷ ἡ μητρυιὰ ἐρῶσα ἐπέκειτο, καὶ χαλεπὸν τὸν πατέρα ἐποίει" ⟨cf. v. Τιμασίων⟩.

b ἔφηβος. Κιλίκιος λόγος "ποῖ τρέχεις; ἢ ἐπὶ τὸν ἔφηβον;" ἐπὶ Ἀπολλωνίῳ ἐλέγετο, καὶ παροιμιώδη τιμὴν ἔσχε ⟨Philostrat. V. A. 1 8⟩. "μόνοις δὲ ἐλευθέροις ἐφίησιν ὁ νόμος ἐφηβεύειν. ἐχρῆν δὲ τὸν ἔφηβον ἐν τῇ χλανίδι τὴν δεξιὰν ἔχειν ἐνειλημένην διὰ τὸ ἀργὴν εἶναι εἰς ἔργα καὶ λόγους εἰς ἐνιαυτόν, καὶ μὴ προϊέναι τὴν χεῖρα. ἔνδημον δὲ ἐχρῆν εἶναι τὸν ἐφηβεύοντα. ἡ δὲ ἐφηβεία κανὼν ἦν ὀρθοῦ βίου καὶ ὑγιοῦς" ⟨Artemid. 1 54⟩.

ἐφήγησίς ἐςι δίκη εἰσαγομένη ἐπὶ τοὺς ὑποδεξαμένους τὸν εἰργόμενον ὑπὸ τῶν νόμων ἐπιβαίνειν τῆς χώρας, οἷον φυγάδα ἢ ἀνδροφόνον. ἢ ὅταν τῶν δημοσίων τι κατέχειν δοκῇ τις κρύφα.

ἐφήδεσθαι εὐφραίνεσθαι.

ἐφήδῃ εὐφραίνῃ σύ.

ἐφήδοιτο τέρποιτο, καὶ ἐφήδοντο ἐπέχαιρον. Αἰλιανός "καὶ αὐτῷ τῶν συγγενῶν τινὲς ἐφήδοντο ὡς τὰ αὐτοῦ διαδεξόμενοι· ἐκείνῳ γὰρ μὴ εἶναι παῖδας ἅτε ῥάθυμον βίον καὶ λάγνον τὸν εἰς ἑταίρας καὶ πότους προῃρημένῳ." καὶ αὖθις "ὃ δὲ ἔσπευδε θέλων ἐφησθῆναι αὐτοῖς."

ἐφῆκα ⟨Hom. Ε 206⟩ ἔπεμψα.

ἐφήλαντο ἐπεπήδησαν.

ἔφηλος ἐφηλίδας ἔχων εἰς τὴν ὄψιν. a

ἔφηλος ⟨an φῆλος⟩ ὁ ἀπατηλός, ἐκ τοῦ b φηλῶ τὸ ἀπατῶ.

ἔφηλος ὁ ἥλιος. καὶ ἔφηλος ὁ ἡλιωμένος. c

ἐφ' ἡμᾶς ξυμβοηθήσειν οἴει ⟨A Lys. 247⟩ ἀντὶ τοῦ καθ' ἡμῶν.

ἐφημερία ἡ πατρία. λέγεται δὲ καὶ ἡ τῆς ἡμέρας λειτουργία.

ἐφημέριοι βροτοὶ καθημερινὰ εἰδότες, οὐ προορώμενοι τὸ μέλλον. sch. A Av. 688.

ἐφημερὶς τῶν ἐφ' ἑκάςης ἡμέρας συμπιπτόντων ἀπογραφή.

ἐφήμερος πρόσκαιρος. "ἐφήμερον δηλητήριον" τὸ ἐν μιᾷ ἡμέρᾳ ἀναιροῦν.

ἔφηνεν ἔδειξεν.

ἐφῆπτο ⟨Hom. Ζ 241⟩ ἐπεκρέματο, ἐπέκειτο.

ἐφησθέντες ἐπιχαρέντες, καὶ ἐφησθεῖεν ἐπιχαρεῖεν.

ἐφήσθη ἐχάρη· "οἱ δὲ τοῖς τῶν πολεμίων σώμασιν ἐφήσθησαν." καὶ αὖθις "ἐφησθῆναι θέλων ἐκείνοις ἔσπευδεν," ἤγουν ἐπιγελάσαι.

ἐφθαλέῳ ἐφθῷ, καὶ ἐφθῦν τὸ ὀπτᾶν, ἢ τὸ δι' ὕδατος ἕψειν.

ἐφθοὶ πυροὶ διεγερτικοί εἰσι πρὸς συνουσίαν. καὶ πυροὺς τῇ Ἀφροδίτῃ ἔθυον. sch. A Av. 566.

ἐφιάλτης ὁ λεγόμενος παρὰ πολλοῖς βαβουτζικάριος.

ἐφιᾶσι συγχωροῦσιν, ἐπιτρέπουσιν· "ἐφιᾶσιν ὅπῃ τις ἐθέλει ἀπιέναι."

ἐφίει ἐπέτρεπεν· "ὁ δὲ Καῖσαρ δῃοῦν τὰ πρὸ τῆς πόλεως ἐφίει."

ἐφιεῖ ἐπιπέμπει, καὶ ἐφιεὶς ἐπιπέμπων, ἐπιβάλλων.

ἐφιέμενοι ἐπιθυμοῦντες.

ἐφιέναι. ⟨Philostrat. V. S. 1 25 3⟩ "ὑποκριτοῦ τραγῳδίας ἐφιέναι φήσαντος, ἐξελαθῆναι γὰρ παρὰ Πολέμωνος κατ' ἀρχὰς τοῦ δράματος, ὁ δὲ Ἀντωνῖνος ἤρετο πηνίκα εἴη ὅτι τῆς σκηνῆς ἠλάθη. τοῦ δ' εἰπόντος ὡς μεσημβρία τυγχάνοι οὖσα, μάλα ἀςείως ὁ αὐτοκράτωρ 'ἐμὲ δέ' εἶπεν 'ἀμφὶ μέσας νύκτας ἐξήλασε τῆς οἰκίας, καὶ οὐκ ἐφῆκα.' ἰχέτω ταῦτα δήλωσιν βασιλέως πράου καὶ ἀνδρὸς ὑπέρφρονος."

ἐφ' Ἱερόν Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος ⟨17⟩. ἱερόν ἐςι τῶν ιβ' θεῶν ἐν Βοσπόρῳ. Harp.

ἐφίεται ἐπιθυμεῖ.

ἐφιέτω ἀνείτω.

ἐφιζάνει ἐπικάθηται.

ἐφίζεται ἐπικαθέζεται.

ἐφίῃ ἐπιθυμεῖς· ⟨S El. 144⟩ "τί μοι τῶν δυσφόρων ἐφίῃ;" γλίχῃ. τί μοι, φησί, τούτων γλίχῃ ἅπερ ἔςιν οὐκ εὐκόλως φέρειν, θρήνου καὶ πένθους;

ἐφίησιν ἐπιτρέπει, ἐπιπέμπει.

ἐφικέσθαι καταλαβέσθαι.

ἐφικνούμενος καταλαμβανόμενος.

ἐφίκοντο ἐφήψαντο.

ἐφικτόν δυνατὸν καταληφθῆναι. "ὃ δὲ ἦτει αὐτῷ παρὰ τῶν θεῶν πολλὰ καὶ ἀγαθά, τά τε ἄλλα καὶ τῆς ἀρχῆς τὸ κράτος ἐς ὅσον μήκιςον ἀνθρώπῳ ἐφικτόν."

ἐφίλατο ἠγάπησε· ⟨AP 7 198⟩ "διπλοῦς ἐς λεκάβαντας ἐφίλατο τὴν καλαμῖτιν."

ἐφίππειον. "ἐκλῦσαι δὲ τὸν ἵππον τοῦ χαλινοῦ καὶ τοῦ ἐφιππείου." "οἱ δὲ Σκύθαι ᾔτουν ἀποδοθῆναί σφισι τὸ ἐφίππειον, τὲς αἰχμαλώτους Ῥωμαίων ἀντιδωρούμενοι. ἐμοὶ μὲν ἔξω λόγου δοκεῖ ὅτι τοσούτους τὸ ἐφίππειον ἐτιμήσαντο· οἱ δὲ Ῥωμαῖοι τῶν αἰχμαλώτων οὐκ ἠλλάξαντο" Προκόπιός φησιν.

ἐφίππιον ἀγώνισμα ἐφ' ἵππων τρεχόντων.

Ἔφιππος Ἀθηναῖος κωμικὸς τῆς μέσης κωμῳδίας.

ἐφίππων ὀνόματα. ἴλη ἱππέων ἄνδρες ξδ'· ἐπιλαρχία δύο ἶλαι ἱππέων, ἀνδρῶν ρκή· ταραντιναρχία δύο ἐπιλαρχίαι ἱππέων, ἀνδρῶν σνς'· ἱππαρχία δύο ταραντιναρχίαι ἱππέων, ἀνδρῶν φιβ'· ἐφιππαρχία δύο ἱππαρχίαι ἱππέων, ἀνδρῶν ͵ακδ'· τέλος δύο ἐφιππαρχίαι ἱππέων, ἀνδρῶν ͵βμή· ἐπίταγμα β' τέλη ἱππέων, ἀνδρῶν ͵δςς'.

ἐφιςάμενος ἀναμένων, σχολαίως βαδίζων· ⟨X Anab. 2 4 26⟩ "ὃ δὲ ἐπορεύετο ἄλλοτε ἐφιςάμενος. ὅσον δ' ἂν χρόνον τὸ ἡγούμενον τȣ̃ ςρατεύματος ἐπιςῇ, τοσȣ̃τον ἀνάγκη χρόνον δι' ὅλου τοῦ ςρατεύματος γίνεσθαι τὴν ἐπίςασιν."

ἐφίςη ἔταττεν, ὥριζεν· "ἄρχοντάς τε ἐφίςη τούτοις ἅπασι τȣ̀ς ἀδωροτάτȣς, ὅπως μὴ διὰ φιλοπλουτίαν βλακεύοιεν."

ἔφλα με ἔτυπτέ με. A Nub. 1379.

ἐφλέγετο ἐν ἐπιθυμίᾳ ἦν· Αἰλιανός "ὁ δὲ Ἰάσων ὁ Θετταλὸς ἐπὶ τοῖς ἀναθήμασιν ἐν Δελφοῖς ἐφλέγετο."

ἐφοδεύεται ⟨A Av. 1156⟩ διοδεύεται.

ἐφοδευσάτωσαν ⟨Deuteron. 1 22⟩ κατασκοπησάτωσαν.

ἐφόδια τὰ πρὸς τὴν ὁδὸν ἐπιτήδεια ἀναλώματα· "ἐφόδιον παιδείας ὁ πλοῦτος."

ἐφόδιον· ⟨Artemid. 4 67⟩ "εὔχεται τῷ θεῷ τοὺς κακοὺς μὴ δυναςεύειν καὶ ἔχειν τὸν πλοῦτον εἰς ἐφόδιον ἀδικίας."

ἔφοδος ὁρμή.

ἐφοινίττετο ἠρυθραίνετο. ⟨Menand. p. 105 Nieb.⟩ "αὐτίκα ὅγε τῷ πληκτικῷ τοῦ λόγου συγχέας τὸ πρόσωπον ἐφοινίττετο."

ἐφόλκια καράβια μικρά, παρὰ τὸ ἕλκεσθαι ὑπὸ τῶν κωπηλατῶν ἢ τῶν μεγάλων πλοίων· "τῶν δὲ ςειλάντων ἐν ἐφολκίῳ τινάς, καὶ μαθόντων Ῥωμαϊκὴν εἶναι τὴν πεῦσιν." καὶ τὰ ἔπιπλα τὰ ἀγώγιμα· ⟨AP 7 67⟩ "ὄλπη μοι καὶ πήρη ἐφόλκια."

... καὶ Ἀριστοφάνης Σφηξίν ⟨268⟩ "οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶν ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου," ἀντὶ τοῦ ὕςερος. καὶ αὖθις "ἐθάρρει γὰρ τὸν χῶρον ἐφολκὸν εἶναι τῇ ὄψει καὶ πολλȣ̀ς Ῥωμαίων ἐπάξεσθαι," ἀντὶ τοῦ ἐφελκυςικόν.

ἐφορεία ἡ ἐποψία, ἡ ἐπίσκεψις. a

ἐφορεία ἡ ἐπὶ τῶν ὅρων γιγνομένη προ- b
αγόρευσις, ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀριςοκράτους ⟨39⟩. Harp.

ἐφορεύειν ἐποπτεύειν.

ἐφορμεῖν ἀντὶ τοῦ ἐφεδρεύειν· ȣ̃τω Δημοσθένης ⟨3 7⟩ ἐν Φιλιππικοῖς. ἐνεδρεύειν δὲ ἐν πλοίοις.

ἐφόρμους· Θουκυδίδης ⟨3 6⟩ "οἱ Ἀθηναῖοι τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο," τὰς ἐφορμίσεις.

ἔφοροι· "Περικλέης τοὺς ἐφόρους τῶν a

Σπαρτιατῶν συμπείσας ἐπὶ τῷ τῆς πόλεως συμφέροντι χρήμασι τοῦτο μὲν τοῖς λόγοις οὐκ ἐνέγραφεν ὡς ἂν ἀπόρρητον ὑπάρχον καὶ πολλὴν αἰσχύνην τοῖς δωροδοκήσασι φέρον, ἐς μέντοι τὸ δέον ἐγγέγραφεν αὐτὰ ἀνηλῶσθαι" ⟨cf. vv. δέον et εἰς τὸ δέον⟩. καὶ αὖθις "οἱ δὲ Ἡρακλεῶται ἐμπίπτουσιν εἰς ϛάσιν βαρεῖαν. εἶτα ἐπανελθεῖν εἰς φιλίαν καὶ συμβάσεις βουλόμενοι προαιροῦνται ἔφορον τῆς αὖθις ὁμονοίας τὸν Κλέαρχον" ⟨cf. v. Κλέαρχος⟩. καὶ αὖθις (Philostrat. V. A. 4 27: cf. v. πίττα) "ὃ δὲ πρὸς τοὺς ἐφόρους ἔγραψεν, ὡς ἐκείνους κήρυγμα ποιήσασθαι δημοσίᾳ τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας ἐς τὸ ἀρχαῖον ἀποκαθίϛασθαι."

b ἔφοροι παρὰ Λακεδαιμονίοις τὸν ἀριθμὸν ἐ, οὓς ἐφόρȣς ἐκάλουν διὰ τὸ ἐφορᾶν τὰ τῆς πόλεως πράγματα. ἐν διαδοχῇ δὲ ἦσαν.

ἔφορος ὁ πάντων ἐπόπτης καὶ θεωρὸς θεός. καλοῦνται δὲ καὶ οἱ τῶν πόλεων τὰ ὤνια ἐπισκοπούμενοι.

a Ἔφορος Κυμαῖος, υἱὸς Δημοφίλου, οἱ δὲ Ἀντιόχου, Ἰσοκράτȣς ἀκουϛὴς τοῦ ῥήτορος, ἱϛορικός· ἔσχε δὲ υἱὸν Δημόφιλον τὸν ἱϛορικόν. ἦν δὲ ἐπὶ τῆς ϟγ' ὀλυμπιάδος, ὡς καὶ πρὸ τῆς Φιλίππου βασιλείας εἶναι τοῦ Μακεδόνος. ἔγραψεν ἀπὸ τῆς Ἰλίου πορθήσεως καὶ τῶν Τρωικῶν μέχρι τῶν αὐτοῦ χρόνων βιβλία λ', περὶ ἀγαθῶν καὶ κακῶν βιβλία κδ', παραδόξων τῶν ἑκαϛαχȣ̃ βιβλία ιέ, εὑρημάτων ὧν ἕκαϛος εὗρε βιβλία β', καὶ λοιπά.

b Ἔφορος Κυμαῖος καὶ Θεόπομπος Δαμασιϛράτου Χῖος, ἄμφω Ἰσοκράτους μαθηταί, ἀπ' ἐναντίων τό τε ἦθος καὶ τȣ̀ς λόγȣς ὁρμώμενοι· ὁ μὲν γὰρ Ἔφορος ἦν τὸ ἦθος ἁπλȣ̃ς, τὴν δὲ ἑρμηνείαν τῆς ἱϛορίας ὕπτιος καὶ νωθρὸς καὶ μηδεμίαν ἔχων ἐπίτασιν, ὁ δὲ Θεόπομπος τὸ ἦθος πικρὸς καὶ κακοήθης, τῇ δὲ φράσει πολὺς καὶ συνεχὴς καὶ φορᾶς μεϛός, φιλαλήθης ἐν οἷς ἔγραψεν. ὁ γοῦν Ἰσοκράτης τὸν μὲν ἔφη χαλινȣ̃ δεῖσθαι, τὸν δὲ Ἔφορον κέντρου. φυγὰς δὲ γενόμενος ὁ Θεόπομπος ἱκέτης ἐγένετο τῆς Ἐφεσίας Ἀρτέμιδος, ἐπέϛελλέ τε πολλὰ κατὰ Χίων Ἀλεξάνδρῳ. καὶ μέντοι καὶ αὐτὸν Ἀλέξανδρον ἐγκωμιάσας πολλά, λέγεται καὶ ψόγον αὐτȣ̃ γεγραφέναι, ὃς οὐ φέρεται.

Ἔφορος Κυμαῖος ἱϛορικός, ὁ νεώτερος. c ἔγραψε τὰς Γαλιηνȣ̃ ἱϛορίας ἐν βιβλίοις κζ', Κορινθιακά, περὶ τῶν Ἀλευαδῶν, καὶ ἄλλα.

ἐφόρουν ἐκόμιζον· Θουκυδίδης (2 75) "ἐφόρουν δὲ ὕλην εἰς αὐτὸ καὶ λίθους καὶ γῆν, καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐπιβαλλόμενον."

ἐφ' ὅτῳ ἐφ' ᾧ τινί.

ἐφούδ.

Ἐφραΐμ ὄνομα κύριον.

ἔφριξα τὰς τρίχας ὠρθώθην, ἐπυκνώθην. Ὅμηρος ⟨N 339⟩ "ἔφριξε δὲ μάχη." καὶ Σοφοκλῆς ⟨Ai. 693⟩ "ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτόμην," ἀντὶ τȣ̃ ὠρθώθην τῇ ἡδονῇ, ἀνεπτερώθην.

ἐφρύαξαν ⟨Ps. 2 1⟩ ἐταράχθησαν.

ἔφυ ἐγένετο.

ἔφυγον κακόν, εὗρον ἄμεινον. τάττεται ἐπὶ τῶν ἀπὸ κακȣ̃ εἰς κρεῖττον ἐλθόντων. ἔθος γὰρ Ἀθήνησιν ἐν γάμοις ϛέφεσθαι ἀμφιθαλῆ παῖδα ἀκάνθαις μετὰ δρυΐνων καρπῶν, φέροντα καὶ λίκνον πλῆρες ἄρτων, καὶ λέγειν τὸ προκείμενον αἰνισσόμενον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν· τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν ϛέμμα κακὸν ἔλεγον. cf. v. ἀληλεσμένον.

ἔφυδρος ⟨Hom. ξ 458⟩ ὕδωρ ἐπάγων. ⟨Thuc. 4 26, ubi ὑφ.⟩ "κολυμβηταῖς ἐφύδροις." ⟨Dio Cass. 51 9⟩ "ἐφύδρους δὲ ἁλύσεις διατείνας διὰ τοῦ ϛόματος τοῦ λιμένος."

ἐφ' ὕδωρ ἐν ταῖς πρὸς ὕδωρ δίκαις ἐλάγχανεν ὁ ἐπιμελησόμενος τούτου.

ἐφυλάξατο ἐξέκλινεν, εἴασεν· "τὰ μαλακὰ καὶ γεώδη ἢ ψαμμώδη ἐφυλάξατο διὰ τὰς ἐσομένας ὑφιζήσεις" ⟨cf. v. ὑφιζήσεις⟩.

ἐφύμνιον τὸ ἐπὶ τῷ ὕμνῳ ᾆσμα.

ἔφυντο ἐνέφυσαν, σφόδρα ἐπεβάλλοντο ὥϛε δοκεῖν συμπεφυκέναι.

ἐφύπερθεν ὑπεράνω.

ἔφυρον ἔβρεχον, ἢ ἔπλυνον.

ἐφ' ᾧ ἐπὶ τούτῳ. Πολύβιος "ὁ δὲ Μάρκος ⟨9 27⟩ δοὺς πίϛεις ὑπὲρ ἀσφαλείας ἔπεισεν αὐτȣ̀ς ἐκχωρεῖν εἰς Ἰταλίαν, ἐφ' ᾧ λαμβάνοντας μέτρημα παρὰ τῶν Ῥηγίνων πορθεῖν τε Βρεττιανήν, κυρίους ὄντας ὧν ἂν ἐκ τῆς πολεμίας ὠφεληθῶσι." καὶ αὖθις ⟨Polyb. 4 29⟩ "καὶ συνέθετο μεθέξειν τῆς κοινῆς συμμαχίας ἐφ' ᾧ λαμβάνειν κ' τάλαντα κατ' ἐνιαυτόν."

ἐφώδευσαν ἐπέτρεχον.

ἐφωδήγει, ἐποδήγει δέ.

ἐφ' ᾧ πάρει. καὶ Χριστὸς πρὸς τὸν Ἰούδαν (Matth. 26 50) "ἑταῖρε, ἐφ' ᾧ πάρει;" ἀντὶ τοῦ ἐπὶ τίνι παραγέγονας;

ἐχάτιζεν ἔχρηζεν.

ἐχέγγυον ἀσφαλῆ· (S OC 284) "ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον, ῥύου με καὶ φύλασσε."

ἐχέγγυος ὁ ἀσφαλὴς ἐγγυητής, ὁ δι' αὐτὸν πίστεως ἄξιος. παρὰ δὲ Θουκυδίδῃ (3 46) ἰσχυρόν, ἐγγυῆσαι δυνάμενον.

ἔχε δὴ ἀντὶ τοῦ ἄγε δή, ἢ ὅρα δή, πρόσεχε, ἤ τι τοιοῦτο.

Ἐχέδημος ὄνομα κύριον.

ἔχεεν ἔχωσεν.

ἔχει ὁ ἀνὴρ γυναῖκα, ἔχεται δὲ ἡ γυνὴ ὑπὸ τοῦ ἀνδρός.

ἔχει αὐτὸν ὁ τοῦ θανάτου ζόφος χαλινώσας ἀντὶ τοῦ τέθνηκεν.

ἐχείδιον τὸ ὀφείδιον.

ἐχειρώθη ἐκρατήθη.

ἔχεις τι; (A Nub. 731) ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄφιν ἢ ἰχθῦν. λέγεται δὲ τὸ ἔχεις τι ἀντὶ τοῦ εἴληφάς τι. συνεβούλευε γὰρ αὐτῷ ὁ Σωκράτης ὥσπερ ἀναπτῆναι τὴν διάνοιαν, ἰάσαντι τὴν φροντίδα, τῇ τῶν ἀγρευόντων χρησάμενος λέξει. τοῖς γὰρ ἁλιεῦσιν ἢ τοῖς ὀρνιθοθήραις οὕτω φασίν, ἔχεις τι; ὁ δὲ γέρων φησὶ "μὰ τὸν Δί', οὐδέν ἔγωγε. οὐδὲν πάνυ; οὐδὲν πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ," τουτέστι τὸ αἰδοῖον. καὶ μιμεῖσθαι τὸν δερμύλλοντα ἑαυτόν.

ἐχεῖτο ἐξεκέχυτο.

Ἐχεκρατίδας καὶ Ἐχεκρατίδης ὁ τοῦ Ἐχεκράτου παῖς.

ἐχεμυθεῖ ἔχει ἐν ἑαυτῷ τὸν λόγον.

ἐχεμυθία σιωπή, μυστήρια.

ἐχέμυθον μυστήριον κρυπτόν, ἢ φρόνιμον. "ἦν δὲ ἐχέμυθος ἐς τὰ μάλιστα καὶ κρυψίνους· ἀλλ' εἴς γε συναύξησιν ἀρετῆς καὶ κακίας μείωσιν ὅλην ἐξεκέχυτο τὴν ψυχήν" (cf. v. ἰδιώτης).

ἐχεμυθότατος ὁ φρονιμώτατος.

ἐχενηΐς ἡ κρατοῦσα τὴν ναῦν ἄγκυρα· ἐν ἐπιγράμματι (AP 6 27) "ἄγκυράν τ' ἐπὶ τοῖς ἐχινηΐδα, δεσμὸν ἀέλλης."

ἐχενηΐς γένος ἰχθυδίου, ὅ ἐστιν ἄβρωτον, μέγεθος δ' ἔχει κωβιοῦ καὶ πτέρυγας δ'. χρῶνται δέ τινες αὐτῷ πρὸς φίλτρα καὶ δίκας. εἴληφε δὲ τὸ ὄνομα ἀπὸ τοῦ ἔχεσθαι τῶν θεουσῶν νηῶν· ὃ καὶ ναυκράτης καλεῖται. ὁ ἅγιος Βασίλειος περὶ τούτου φησίν (Hexaem. 7 extr.).

ἐχέπωλος ὁ ἔχων ἵππους.

ἐχέτλη τοῦ ἀρότρου τὸ κράτημα.

ἔχετον ἀντὶ τοῦ ἐχέτωσαν, δυϊκῶς. "λέγετον τοῦτο Τίμαιος καὶ Ἀναξιμένης, ἔχετον δὲ καὶ Κλείταρχον αὐτοῖς νοοῦντα ἐς μίαν καὶ τὴν αὐτήν." καὶ ἐχέτην δυϊκῶς ἀντὶ τοῦ εἶχον.

Ἔχετος τύραννος ἀπηνὴς καὶ σκληρός. Ὅμηρος (σ 83) "πέμψω σ' εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων, ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα νηλέι χαλκῷ." καὶ ἕτερος "ἐκπέμπεται δὲ ὁ Φῆσος τὸν ποιητικὸν καὶ μυθώδη Ἔχετον - - - πανήγυριν" (cf. v. Φῆσος).

ἐχέτω κρατείτω· Ἀριστοφάνης (Thesm. 43) "ἐχέτω δὲ πνοὰς νήνεμος αἰθήρ, κῦμα δὲ πόντου μὴ κελαδείτω γλαυκόν."

ἐχέφρων (Hom. I 341) συνετός.

ἐχηρώθησαν ἀνδρῶν ἐστερήθησαν, ἐχήρευσαν.

ἐχήρωσεν ἐστέρησεν· "ὃ δὲ τῶν ἀγαθῶν τὴν βασιλείαν ἐχήρωσεν ἁπάντων."

ἐχθαίρει μισεῖ.

ἐχθαρτέος. Σοφοκλῆς (Ai. 679) "ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος ὡς καὶ φιλήσων αὖθις· ἔς τε τὸν φίλον τοιαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι ὡς αἰὲν οὐ μενοῦντα." δεῖ, φησί, προσέχειν τοῖς ἐχθροῖς ὡς αὖθις φίλοις ἐσομένοις, καὶ τοῖς φίλοις ὡς ἐχθροῖς. συμμέτρως ἄν φησι χρῆσθαι τοῖς πράγμασιν.

ἔχθημα μίσημα.

ἔχθιον ἐχθρότερον· Σοφοκλῆς (El. 1047) "βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς."

ἔχθιστος ἐχθρότατος.

ἐχθοδοπόν ἐχθροποιόν.

ἐχθόμενος (Hom. δ 502) ἐχθρός, ἢ μισούμενος.

ἔχθος ἔχθρα, μῖσος.

ἐχθραίνει ἐχθρὸν ποιεῖ. καὶ ἐχθρεῦσαι ἐχθροὺς γενέσθαι· "ἐχθρεῦσαί φασιν ἀετὸν καὶ κάνθαρον ἐκ τοῦ ἑκάτερον αὐτῶν θατέρου τὰ ᾠὰ διασπᾶν." sch. A Pac. 128.

ἐχθρὸς καὶ ἐκδικητὴς παρὰ τῷ Δαβίδ (Ps. 8 2) ὁ διάβολος.

ἐχθρωδῶς ἀπεχθῶς καὶ κακῶς.

ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα" ὁ Αἴας φησίν (654).

ἔχιδνα ὄφις.

Ἐχινάς Ἐχινάδος ὄνομα νήσου.

ἐχῖνοι οἱ μὲν χαλκοῖ οἱ δὲ ἐκ κεράμου, εἰς οὓς καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐκκληθείη ἡ δίαιτα, τοῖς δικαςαῖς ἐπεδίδουν. sch. A Vesp. 1427.

a *ἐχῖνος.* ⟨Pisid. creat. mundi 1133⟩ "ποῖος δὲ Νηρεὺς τῶν ἐχίνων τοῖς σάλοις προβλεπτικὰς δίδωσιν ἐν βυθῷ κόρας, ὅπως φύγωσι πρὸ ζάλης τὰ τῆς ζάλης;" καὶ παροιμία "πρίν κε δύο ἐχῖνοι ἐς φιλίαν ἔλθοιεν," ὃ μὲν ἐκ πελάγους ὃ δὲ ἐκ χέρσου, ἐπὶ τῶν ἀνομοίων.

b *ἐχῖνος* δὲ καὶ τὸ ζῷον καὶ ἡ γαςὴρ τȣ̃ βοός· ἐν ἐπιγράμματι ⟨AP 6 45⟩ "ὀξέσι λαχνήεντα δέμας κέντροισιν ἐχῖνον," καὶ αὖθις ⟨AP 6 169⟩ "κώμαυλος τὸν ἐχῖνον ἰδὼν ἐπὶ νῶτα φέροντα ῥᾶγας ἀπέκτεινεν τῷδ' ἐπὶ θειλοπέδῳ."

c *ἐχῖνος* ἄγγος τι εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. μνημονεύει δὲ Δημοσθένης ⟨49 65⟩ τοῦ ἄγγȣς τούτȣ, ἀλλὰ καὶ Ἀριςοτέλης καὶ Ἀριςοφάνης ⟨Vesp. 1428⟩. ἦν δὲ καὶ πόλις, ἧς μνημονεύει Δημοσθένης ⟨9 34⟩ ἐν ἑ Φιλιππικῶν. ἔςι δέ τι καὶ ζῷον χερσαῖον, καὶ θαλάσσιον ὄςρεον.

ἐχῖνος τὸν τόκον ἀναβάλλῃ. λέγεται ἐφ' ὧν τὸ ἀναβάλλεσθαι πρὸς χεῖρον γίνεται· καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντȣ́μενοι ἀνέχειν τὸν τόκον, εἶθ' ὕςερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάσσειν ἐν τῷ τόκῳ.

ἐχίνους τȣ̀ς χοιρογρυλλίȣς. cf. v. γυλιός.

ἔχις εἶδος ὄφεως, ἀπὸ τȣ̃ κατέχειν, διότι μόνος τῶν ὄφεων οὐκ ᾠοτοκεῖ ἀλλὰ ζῳοτοκεῖ. ἡ δοτικὴ τῷ ἔχει. καὶ *ἐχείδιον.* λέγεται καὶ αἱμόρρους γένος ἔχεως ἐν τοῖς πετρώδεσι χηραμοῖς ἔχον τὰς διατριβάς.

Ἐχίων ὄνομα κύριον. καὶ συςέλλει. ἦν δὲ ὠκύτατος ποσίν.

ἔχμα τὸ ςήριγμα.

ἐχολώθησαν ὠργίσθησαν.

ἔχομαι γενικῇ.

ἐχόμενα· "ὁ δὲ Πέρσης πολλὰ μὲν καὶ ἄλλα ἔδρασεν ἀσεβείας τε καὶ ὕβρεως ἐχόμενα καὶ βάρβαρον ἀμαθίαν τε καὶ ἀπαιδευσίαν ὁμολογȣ̃ντα." καὶ ἀντὶ τȣ̃ ἀκολȣθȣ̃ντα, ἀντεχόμενα.

ἐχόμενος ἐγγύς, ἢ κατέχων.

ἔχοντας σιτί' ἡμερῶν τριῶν Ἀριςοφάνης ⟨Pac. 312⟩ ἀντὶ τοῦ πολεμεῖν μέλλοντας· οἱ γὰρ πολεμȣ̃ντες πρὸς γ' ἡμέρας ὡρίζοντο παρὰ τῶν ςρατηγῶν ἔχειν σιτία εἰς τὸν πόλεμον. ἐχορηγοῦντο δὲ αὐτὰ ἐκ τῶν δημοσίων.

ἔχοντες οἰκοῦντες.

ἐχόντων ἀντὶ τοῦ ἐχέτωσαν· "ἐχόντων μὲν οὖν ὡς ἔχουσιν ἕκαςοι, καὶ ὥς πῃ ἑκάςτῳ φίλον κρινέτω."

ἔχουν ἐχώννυον· "κἀκ τούτου οἱ μὲν ἔχουν, οἱ δὲ τοῖς βάλλουσιν ἀντεμάχοντο." καὶ αὖθις ⟨Thuc. 2 75?⟩ "καὶ χώματα δύο ἑκατέρωθεν ἔχουν ὡς πρὸς τὸ τεῖχος, ξύνδεσμος δὲ τοῦ χώματος αἱ πλίνθοι ἐγένοντο αἱ ἐκ τῶν οἰκιῶν."

ἔχραον μετὰ βλάβης ἐπῆλθον.

ἐχρηματίσθη ⟨Act. 10 22⟩ χρησμὸν ἐδέξατο. καὶ *ἐχρήσθη* ὁμοίως.

ἐχρῆν ἔπρεπεν, ἥρμοζεν.

ἔχρησεν ἐμαντεύσατο, ἢ ἐδανείσατο.

ἔχριμπτ' ἀεί ⟨S El. 721⟩ ἀεὶ ἐπλησίαζε. καὶ *ἔχριμψαν.*

ἔχρισεν ἤλειψεν.

ἐχρωματίσθη χρῶμα ἐδέξατο.

ἐχύμισαν ἀντὶ τοῦ ἔγχυμον ἐποίησαν. Ἀριςοφάνης Θεσμοφοριαζȣ́σαις ⟨168⟩ "Ἀνακρέων χὠλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν."

ἐχύρωμα ἀσφάλεια· "ὃ δὲ σκόλοπας ὀξεῖς ἐπιφερόμενος ἐνάλλεται τῷ ἐχυρώματι καὶ μετεωροπορεῖ" ⟨cf. v. Σάπειρ⟩.

ἐχυρῶς ἰσχυρῶς. ἢ ἀσφαλῶς.

ἐχύρωσεν ἰσχυροποίησεν.

ἐχώλαναν.

ἕψεαι ⟨Hom. Ω 733⟩ ἀκολουθήσεις.

ἕψεται ἀκολουθήσει. ἢ ἀκολουθεῖ.

ἕψημα, ὅπερ … cf. sch. Plat. p. 404.

ἑψήσας καὶ *ἑψημένος.*

ἑψητήριον ἡ λοπάς.

ἑψητόν. καὶ *ἑψητός* ὁ ἑψημένος.

ἔψηχον κατέμασσον, ἔτριβον, ἔξεον· "οἱ μὲν τοὺς ἵππους ἔψηχον." cf. v. ψήχειν.

ἐψία ἡ ὁμιλία. a

ἐψία τὰ ἀπὸ λόγων παίγνια, καὶ *φιλέψιος* ὁ φιλοπαίγμων. ψιλούμενον δὲ φιλόλογός ἐςιν ὁ φιλέψιος. b

ἐψιαάσθων ⟨Hom. ρ 530⟩ παιζέτωσαν, καὶ *ἐψιᾶται* παίζει.

ἐψιατέον παικτέον, δεῖ παίζειν.

ἐψιάτιμον γυμναστικὸν παίγνιον.

ἐψιλωμένοι γεγυμνωμένοι.

ἔψιμον τὸ παίγνιον.

ἔψισαν ἐψώμισαν.

ἐψόμενος ἀκολουθήσων, ἕψων.

ἕψοντα κυάμους.

ἔψυρεν ἀπεδίωξεν.

ἐψυχαγώγησεν ἐπήλπισε, παρεμυθήσατο. ἢ ψυχὰς διὰ μαγγανείας τῶν τελευτησάντων ἀνήγαγεν.

ἐψύχθη ἀπεπαύθη, ἠρέμησεν· (AP 6 220) "ἄγρια δ' αὐτῷ ἐψύχθη χαλεπῆς πνεύματα θευφορίης."

ἐψώμισεν ἔθρεψεν. A Lys. 19.

ἐψῶν. τοῦτο καὶ βαρύνεται καὶ περισπᾶται. ὁ ἐνεςὼς ἐψῶ, ἐψήσω. "ὥσπερ οἱ τὴν χρυσῖτιν γῆν ἐψῶντες."

ἐῴη συγχωροίη.

ἕωθεν πρωΐθεν.

ἑωθινός.

ἐωθὼς χωρὶς τοῦ ι Ἄρχιππος. καὶ Ἀραρὼς ἔωθας, καὶ Θουκυδίδης ἐώθεσαν.

ἐῴκει ὅμοια ἦν.

ἕωλα τὰ χθεσινά. καὶ ἕωλον ὁμοίως τὸ ψυχρόν, μάταιον, ἀνωφελές, ἀνίσχυρον, τὸ εἰς τὴν ἕω λειπόμενον. καὶ (Babr. 86 2) "ἔκειτο πήρα ἄρτων ἑώλων καὶ κρεῶν πλήρης" χθιζῶν, ἐπὶ ὄψων.

a ἑωλοκρασία ἡ ματαία πόσις· Δημοσθένης (18 50) "αἴτιος δ' οὗτος ἑωλοκρασίαν τινά μοι τῆς πονηρίας αὐτοῦ κατασκεδάσας."

b ἑωλοκρασία τὸ χθιζὸν βρῶμα κυρίως. ἔθος ἦν τοῖς νέοις δειπνοῦσι καὶ νυκτερεύουσι καταχεῖν τῶν κοιμωμένων τῶν ἑώλων δείπνων τοὺς ζωμούς, πρὸς τοιαύτην παιδιὰν κεχραμένους. ἐγὼ δὲ μᾶλλον νομίζω πεποιῆσθαι τὸ ὄνομα ὑπὸ τοῦ ῥήτορος ἀπὸ τῶν ἑώλων, ἅ ἐςιν ἀρχαῖα, ὅτι πράγματα ἀρχαῖα συγκεράσας κατηγορεῖ ὁ Αἰσχίνης.

ἑωλόνεκρος ὁ πρὸ πολλοῦ τεθνηκώς.

ἐώλπειν ὑπερσυντελικός.

ἐωνημένοι ἀγοράσαντες, ἢ ἠγορασμένοι. Ἀριςοφάνης Πλούτῳ (6) "τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον" ἀντὶ τοῦ τὸν ὠνησάμενον, ἀπὸ τοῦ ὠνοῦμαι. λέγεται γὰρ καὶ ἡ ἐφεξῆς τοῦ ῥήματος κλίσις. τοῦ δὲ ὀνόματος τὸ πληθυντικὸν οὐκ ἔςιν ὠνησάμενοι· διὸ μεταβαλόντες οἱ Ἀττικοὶ πριάμενοι λέγουσιν ἑτέρᾳ φωνῇ.

ἐῳνοχόει (Hom. Δ 3) ἐκίρνα.

ἔῳξας ἀνέῳξας.

ἑῷος ὁ ἀνατολικός, καὶ ἑῷοι ὀρθρινοὶ ἢ ἀνατολικοί.

ἐώρα ὕψωσις, ἢ μέταρσις.

ἐώργειν ὑπερσυντελικός.

ἐωρηθήτω κρεμασθήτω.

ἐώρημα. ὁ Βελλεροφόντης διὰ τοῦ Πηγάσου τοῦ πτερωτοῦ ἐπεθύμησεν εἰς τὸν οὐρανὸν ἀνελθεῖν. καί φησιν Εὐριπίδης "ἄγ' ὦ φίλον μοι Πηγάσου ταχὺ πτερόν." μετέωρος δὲ αἴρεται ἐπὶ μηχανῆς. τοῦτο δὲ καλεῖται ἐώρημα. ἐν αὐτῇ δὲ κατῆγον τοὺς θεοὺς καὶ τοὺς ἐν ἀέρι πολοῦντας. sch. A Pac. 75.

ἑώρησις κρέμασις. καὶ ἑώρημα ὁμοίως.

ἑωρίζω τὸ μετεωρίζω.

ἑωροκοπίαις ὑψηλοφρονίαις.

ἑώρταζον ἐτέλουν.

ἑώρων καὶ ἑωρῶμεν.

ἕως ἡ πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς ὥρα. a

ἕως ἐν τοσούτῳ ἐν ὅσῳ. πρότερον τοῦτο b τὸ ἕως παρὰ τῇ γραφῇ καὶ ἐπὶ τοῦ διηνεκοῦς πολλάκις εὑρίσκομεν κείμενον, ὡς τὸ "ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου." καὶ ἔςι διηνεκές. καὶ "οὐκ ἀνέςρεψεν ἡ περιςερὰ πρὸς τὸν Νῶε ἕως τοῦ ξηρανθῆναι τὴν γῆν." καὶ εἰς τὸ παντελὲς οὐκ ἀνέςρεψε. καὶ "ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι" φησὶν ὁ θεός, καὶ ἔςι διηνεκῶς. καὶ ἄλλα τοιαῦτα πολλὰ σποράδην ἐν τῇ θείᾳ εὑρίσκεται γραφῇ. οὕτω καὶ τὸ ἐν τοῖς θείοις χρησμοῖς εἰρημένον νοήσεις "ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς," οὐχ ὡς μετὰ ταῦτα, ὡς βλασφημοῦσιν οἱ ἀχάριςοι Ἰουδαῖοι, συναφείας τῷ μνηςῆρι πρὸς τὴν παρθένον γεγενημένης. Isidor. Pelus. 1 18.

ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη, ἀντὶ τοῦ πάντα τοῦ παρόντος βίου τὸν χρόνον. τὸ δὲ "ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου" οὐ χρονικόν ἐςι τὸ ἕως, ἀλλ' ἰδίωμα τῆς γραφῆς. οὕτω γὰρ καὶ διὰ τοῦ προφήτου φησὶν ὁ θεός (Ies. 46 4) "ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι." δῆλον δὲ ὅτι οὐ συμπεριορίζεται τὸ εἶναι τοῦ θεοῦ τῷ γήρει τῶν ἀνθρώπων. Theodoret. in Ps. 71 7 et 109 2.

ἕως τῶν περάτων (Ps. 71 8) ἕως τοῦ τέλους.

ἐώσαντο βιαίως εἰσῆλθον· "οἱ τοίνυν τελευταῖοι τῶν φίλων ἐώσαντο καὶ εἰσεπήδησαν."

ἔωσεν ἀπώσατο, ἐνέβαλεν· "ἢ δὲ ἐγχύψαντα αὐτὸν εἰς πίθον ἵνα ἀρύσηται οἶνον, ἔωσεν ἐς κεφαλὴν καὶ ἀπέπνιξεν." καὶ περὶ τοῦ Αἰσώπυ "οἱ Δελφοὶ ἔωσαν αὐτὸν κατὰ κρημνοῦ μάλα."

ἑωσφόρος ἀνατολικὸς ἀςὴρ πρωινός, καλούμενος φωσφόρος. Ὅμηρος (Ψ 226) τῦτον λέγει φέρειν τὴν ἡμέραν, ἀλλ' οὐχὶ τὸν ἥλιον.

ἑωυτός ἑαυτός.

ζαβαρεῖον ἐν ᾧ αἱ ζάβαι, αἵ εἰσιν ὅπλα πολεμικά, ἀπόκεινται· ζάβα γὰρ τὸ λωρίκιον.

Ζαβουλών χώρα. λέγεται δὲ καὶ ὁ πάνυ βουλόμενος.

ζαβρόν πολυφάγον.

Ζαγρεύς ὁ Διόνυσος παρὰ ποιηταῖς· δοκεῖ γὰρ ὁ Ζεὺς μιχθῆναι τῇ Περσεφόνῃ, ἐξ ἧς χθόνιος Διόνυσος.

ζαές μέγα, πολύ, λαμπρόν, ἢ ἰσχυρόν.

ζαῆν ἄνεμον (Hom. μ 313) τὸν σφοδρῶς πνέοντα.

ζαθέη ἄγαν θεία. καὶ ζαθέων.

ζαθερεῖ ἄγαν θερμῷ· ἐν ἐπιγράμματι (AP 6 120) "οἶδα καθίζων ἀείδειν ζαθερεῖ καύματι θαλπόμενος."

ζάκορος νεωκόρος· Μένανδρος Δὶς ἐξαπατῶντι "οὐ Μεγάβυζος ἦν, ὅςις γένοιτο ζάκορος." καὶ ὁ ὑπηρέτης· Λευκαδίᾳ "ἐπίθες τὸ πῦρ ἡ ζάκορος οὑτωσὶ καλῶς." ἢ ὁ ἱερεὺς ὁ τὸν ναὸν σαρῶν· κορεῖν γὰρ τὸ σαίρειν παρὰ Ἀττικοῖς.

ζάκοτον (Hom. Γ 220) ἄγαν ὀργίλον· κότος γὰρ ἡ ὀργή.

Ζακχαῖος ὄνομα κύριον.

Ζάλευκος Λοκρὸς ἐκ Θουρίου, Πυθαγόρειος φιλόσοφος καὶ νομοθέτης, ὃς τελευτᾷ ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος. ἦν δὲ οὗτος πρότερον δοῦλός τε καὶ ποιμήν, καὶ ἐκπαιδευθεὶς νόμους ἔθετο τοῖς ἑαυτοῦ πολίταις· ἐν οἷς καὶ τὸ προϊούσας ἐπ' ἀγορᾶς τὰς γυναῖκας τὴν μὲν ἐλευθέραν λευχείμονα μετὰ οἰκείων, παιδίσκην μίαν ἔχυσαν, τὰς δὲ ἄλλας ἐν ἀνθινοῖς.

ζάλην μεγάλην ἅλα, ἀπὸ τοῦ σφόδρα ἁλίζεσθαι· καὶ ζάπλουτος ὁ σφόδρα πλούσιος. Πλάτων πολιτείᾳ (6 p. 496 D) "οἷον ἐν χειμῶνι ὑπὸ κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τειχίον ἀποςάς," καὶ ἐν Τιμαίῳ (p. 43 C) "εἴτε ζάλη πνεύματος ὑπ' ἀέρος φερομένη καταληφθείη·" συςροφὴν γὰρ καὶ συρμὸν βούλεται δηλοῦν. τινὲς ἄνεμος λάβρος, πνεῦμα θορυβῶδες. Κλήμης (cf. v. παλίμβολος). δύναται καὶ ζάλη τις εἶναι μεγάλη συςροφὴ ἀνέμυ. τινὲς ζάλην τὴν χάλαζαν.

Ζαμβρῆς Ζαμβρῆ ὄνομα κύριον.

ζαμβύκη μουσικὸν ὄργανον.

ζαμενής· Σοφοκλῆς (Ai. 137) "ἢ ζαμενὴς λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ," ἤγουν ὀργίλος καὶ λοίδορος καὶ βίαιος.

Ζάμολξις Πυθαγόρᾳ δουλεύσας, ὥς φησιν Ἡρόδοτος δ', Σκύθης, ὃς ἐπανελθὼν ἐδίδασκε περὶ τοῦ ἀθάνατον εἶναι τὴν ψυχήν. Μνασέας δὲ παρὰ Γέταις τὸν Κρόνον τιμᾶσθαι καὶ καλεῖσθαι Ζάμολξιν. Ἑλλάνικος δὲ ἐν τοῖς Βαρβαρικοῖς νομίμοις φησὶν ὅτι Ἑλληνικάς τε γεγονὼς τελετὰς κατέδειξε Γέταις τοῖς ἐν Θρᾴκῃ, καὶ ἔλεγεν ὅτι οὔτ' ἂν αὐτὸς ἀποθάνοι οὔθ' οἱ μετὰ τούτου, ἀλλ' ἕξουσι πάντα ἀγαθά. ἅμα δὲ ταῦτα λέγων ᾠκοδόμει οἴκημα κατάγαιον, ἔπειτα ἀφανισθεὶς αἰφνίδιον ἐκ Θρᾳκῶν ἐν τούτῳ διῃτᾶτο· οἱ δὲ Γέται ἐπόθουν αὐτόν. τετάρτῳ δὲ ἔτει πάλιν φαίνεται, καὶ οἱ Θρᾷκες αὐτῷ πάντα ἐπίςευσαν. λέγουσι δέ τινες ὡς ὁ Ζάμολξις ἐδούλευσε Πυθαγόρᾳ Μνησάρχυ Σαμίῳ, καὶ ἐλευθερωθεὶς ταῦτα ἐσοφίζετο. ἀλλὰ πολὺ πρότερος δοκεῖ ὁ Ζάμολξις Πυθαγόρου γενέσθαι. ἀθανατίζυσι δὲ καὶ Τέριζοι καὶ Κρόβυζοι, καὶ τοὺς ἀποθανόντας ὡς Ζάμολξιν φασὶν οἴχεσθαι, ἥξειν δὲ αὖθις. καὶ ταῦτα ἀεὶ νομίζουσιν ἀληθεύειν. θύουσι δὲ καὶ εὐωχοῦνται ὡς αὖθις ἥξοντος τοῦ ἀποθανόντος.

Ζάμολξις θηλυκῶς, ὄνομα θεᾶς.

ζαπληθές ἄμετρον, ἄπειρον· (AP 7 75) "Στησίχορον ζαπληθὲς ἀμέτρητον ςόμα μούσης ἐκτέρισε Κατάνας αἰθαλόεν δάπεδον."

ζατρεφής ὁ εὐτραφής, καὶ τὸ πληθυντικὸν ζατρεφέων (Hom. H 223).

ζαφελής ὁ πάνυ ἀφελής, καὶ ζαφελῶς πάνυ ἀφελῶς.

Ζαχαρίας ὄνομα κύριον.

ζαχρειής ὁ ἄγαν χρειώδης. ζαχρήεις δὲ ζαχρήεντος.

Ζεβεδαῖος ὄνομα κύριον.

Ζεβεέ ὄνομα κύριον.

ζεῖ βράζει. καὶ Ὅμηρος (Φ 362) "ὡς δὲ λέβης ζεῖ," ἀπὸ τοῦ ζέω ῥήματος.

ζειά εἶδος κριθῆς.

ζείδωρον τὴν τὰ πρὸς τὸ ζῆν δωρουμέ-

την. ἔςι δὲ ἡ γῆ. καλεῖται δὲ καὶ βιοδώρα καὶ φερέσβιος.

Ζειπύτης ὄνομα κύριον.

ζειρά ἤτοι σειρά, ὥς τινες, ἢ ἔνδυμά τι ὃ ἐπενεδύοντο μετὰ τὰς χιτῶνας ὥσπερ ἐφαπτίδας.

ζειραί χιτῶνες ἀνακεκολπωμένοι ἢ ἀνάκωλοι. ἢ μίτρα. Ἡρόδοτος (7 69 et 75).

ζεῖ χύτρα, ζῇ φιλία, ἐπὶ τῶν δείπνῳ συνιόντων εἰς φιλίαν. καὶ ζῇ ἀντὶ τῦ ὑπάρχει, βιοῖ.

Ζέλεια ὄνομα πόλεως, καὶ Ζελείτης ὁ πολίτης.

Ζέρκων Σκύθης ὕτω καλύμενος, Μαυρύσιος τὸ γένος. διὰ δὲ κακοφυΐαν σώματος καὶ τὸ γέλωτα ἐκ τῆς τραυλότητος τῆς φωνῆς καὶ τῆς ὄψεως παρέχειν (βραχὺς γάρ τις ἦν, κυρτός, διάςροφος τοῖς ποσί, τὴν ῥῖνα τοῖς μυκτῆρσι παραφαίνων διὰ σιμότητος ὑπερβολήν) Ἄσπαρι τῷ Ἀρδαβουρίυ ἐδεδώρητο, καθ' ὃν ἐν Λιβύῃ διέτριβε χρόνον. ἥλω δὲ τῶν βαρβάρων ἐς τὴν Θρακῶν ἐμβαλόντων, καὶ παρὰ τοὺς βασιλείους ἤχθη Σκύθας. καὶ Ἀττήλας μὲν οὐδὲ τὴν αὐτῦ ἤνεγκεν ὄψιν, ὁ δὲ Βλήδας ἥσθη λίαν αὐτῷ φθεγγομένῳ οὐ μόνον γέλωτος ἄξια, εἰ μή γε καὶ βαδίζοντι καὶ περιττῶς κινοῦντι τὸ σῶμα. συνῆν δὲ αὐτῷ εὐωχουμένῳ καὶ ἐκςρατεύοντι, πεποιημένην πρὸς τὸ γελοιότερον ἀναλαμβάνων ἐν ταῖς ἐξόδοις πανοπλίαν. διὸ δὴ περισπούδασον αὐτὸν ὁ Βλήδας ποιούμενος, μετὰ αἰχμαλώτων ἀποδράντα Ῥωμαίων, τῶν μὲν ἄλλων κατωλιγώρησεν, αὐτὸν δὲ μετὰ πάσης φροντίδος ἀναζητεῖσθαι προσέταξεν. καὶ ἁλόντα καὶ παρ' αὐτὸν ἀχθέντα ἐν δεσμοῖς ἰδὼν ἐγέλασεν, καὶ καθυφεὶς τῆς ὀργῆς ἐπυνθάνετο τὴν αἰτίαν τῆς φυγῆς, καὶ ὅτου χάριν νομίζοι τὰ Ῥωμαίων τῶν παρὰ σφίσιν ἀμείνονα. ὃ δὲ ἀπεκρίνατο ἁμάρτημα μὲν τὴν φυγὴν εἶναι, ἔχειν δὲ τοῦ ἁμαρτήματος λόγον τὸ μὴ γαμετὴν αὐτῷ δεδόσθαι. τῷ δὲ γέλωτι μᾶλλον ὁ Βλήδας ὑπαχθεὶς δίδωσιν αὐτῷ γυναῖκα τῶν εὖ μὲν γεγονότων καὶ τῇ βασιλίδι διακονησαμένων, ἀτόπου δέ τινος πράξεως ἕνεκα οὐκέτι παρ' ἐκείνην φοιτώσαν. καὶ οὕτω διετέλει ἅπαντα τὸν χρόνον τῷ Βλήδᾳ συνών. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν Ἀττήλας Ἀετίῳ τῷ ςρατηγῷ τῶν ἑσπερίων Ῥωμαίων δῶρον τὸν Ζέρκωνα δίδωσιν, ὃς αὐτὸν παρὰ τὸν Ἄσπαρα ἀπέπεμψεν. Priscus p. 225 Nieb.

ζέσας θυμῷ ἐξαφθεὶς τῇ ψυχῇ.

ζευγήσιον τὸ τοῦ ζευγίτου τέλος.

ζεύγλη τὸ ἄκρον τοῦ ζυγοῦ, καθ' ὃ ἐντίθησι τοὺς τραχήλους τὰ ζῶα.

ζεῦγμα, Εὐνάπιος (p. 105 Nieb.), ἡ τοῦ ποταμοῦ διάβασις, ἡ γέφυρα. "ζεύγνυται δὲ Ῥωμαίοις ἀπονώτατα τῶν ποταμῶν τὰ ῥεύματα, ἅτε καὶ τοῦτο διὰ μελέτης ἀεὶ τοῖς ςρατιώταις ὥσπερ ἄλλο τι τῶν πολεμικῶν ἀσκούμενον ἐπί τε Ἴςρῳ καὶ Ῥήνῳ καὶ Εὐφράτῃ. ἔςι δὲ ὁ τρόπος (οὐ γὰρ δὴ πάντας εἰδέναι) τοιόσδε. πλατεῖαι μέν εἰσιν αἱ νῆες δι' ὧν ὁ ποταμὸς ζεύγνυται, ἀνορμίζονται δὲ ὀλίγον ἄνω τοῦ ῥεύματος ὑπὲρ τὸν μέλλοντα ζεύγνυσθαι τόπον. ἐπὰν δὲ τὸ σημεῖον δοθῇ, ὑφιᾶσι πρώτην μίαν ναῦν κατὰ ῥοῦν φέρεσθαι πλησίον τῆς οἰκείας ὄχθης. ἐπὰν δὲ κατὰ τὸν ζευγνύμενον ἥκῃ τόπον, ἐμβάλλουσιν εἰς τὸ ῥεῦμα φορμὸν λίθων ἐμπεπλησμένον, καλωδίῳ δήσαντες, ὥσπερ ἄγκυραν· ἀφ' οὗ δεθεῖσα ἡ ναῦς πρὸς τῇ ὄχθῃ ἵςαται σανίσι καὶ ζεύγμασιν, ἅπερ ἄφθονα αὐτοῖς ἡ ναῦς φέρει, καὶ παραχρῆμα μέχρι τῆς ἀποβάσεως καταςρώννυται. εἶτα ἄλλην ἀφιᾶσιν ὀλίγον ἀπ' ἐκείνης, καὶ ἄλλην ἀπ' ἐκείνης, ἕς ἐπὶ τὴν ἀντιπέραν ὄχθην ἐλάσωσι τὸ ζεῦγμα. ἡ δὲ πρὸς τῇ πολεμίᾳ ναῦς καὶ πύργους ἐπ' αὐτῇ καὶ πυλίδα καὶ τοξότας καὶ καταπέλτας φέρει. βαλλομένων δὲ τῶν βελῶν πολλῶν ἐπὶ τοὺς ζευγνύντας, ὁ Κάσσιος ἀφιέναι βέλη καὶ καταπέλτας κελεύει. πεσόντων δὲ τῶν βαρβάρων τῶν πρώτων ἐφεςηκότων ἕτεροι ἧκον" (Dio Cass. 71 3).

ζεῦγος ἡμιονικὸν ἢ βοεικὸν ζεύξαντες, τὴν λεγομένην κλινίδα, ἥ ἐςιν ὁμοία διέδρῳ, τὴν τῆς νύμφης μέθοδον ποιοῦνται. παραλαβόντες δὲ αὐτὴν ἐκ τῆς πατρῴας ἑςίας ἐπὶ τὴν ἅμαξαν ἄγουσιν ἐς τὰ τοῦ γαμοῦντος ἑσπέρας ἱκανῆς. κάθηνται δὲ τρεῖς ἐπὶ τῆς ἁμάξης, μέση μὲν ἡ νύμφη, ἑκατέρωθεν δὲ ὅ τε νυμφίος καὶ ὁ πάροχος· οὗτος δὲ ἐςὶ φίλος ἢ συγγενὴς ὅτι μάλιςα τιμώμενος καὶ ἀγαπώμενος. ἐπειδὴ δὲ ἡ ἅμαξα ὄχημα ἐλέγετο, ὁ ἐκ τρίτου παροχούμενος πάροχος ἐκλήθη. καὶ ἀπὸ ταύτης τῆς συνηθείας, κἂν πεζοὶ μετίωσί τινες κόρην, ὁ τρίτος συμπαρὼν πάροχος λέγεται. cf. v. πάροχος.

ζευξιδία ἡ Ἥρα.

Ζευξίθεος ὄνομα κύριον.

ζευξίλεως ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί.

Ζεῦξις Ζεύξιδος ὄνομα κύριον, ἄριστος κατὰ τὸν Ἰσοκράτους χρόνον ζωγράφος. Harp.

Ζεύς. τούτου τὸ ἄγαλμα ἱσοροῦσι καθήμενον, γυμνὰ ἔχον τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δεξιᾷ δὲ ἀετὸν προτεῖνον. καὶ τὸ μὲν καθῆσθαι τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν ὅτι φανερὸς τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τοῦ κόσμου μέρεσι. τὰ δὲ λοιπὰ σκέπεται, διότι τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγνωστος. τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν σημαίνει τὸ ἐξουσιαστικόν, τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετὸν δηλοῖ ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνέων. Codin. orig. CP p. 14.

καὶ παροιμία "ὁ Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας," ἐπὶ τῶν ποτὲ ἀμειβομένων ὑπὲρ ὧν πράττουσι καλῶν ἢ κακῶν, ὅτι οὐκ ἀπρονόητά φασι τὰ πάντα, ἀλλὰ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεσθαι καὶ ποτὲ ἐπεξιέναι.

Ζεὺς κτήσιος, ὃν καὶ ἐν τοῖς ταμιείοις ἱδρύοντο ὡς πλουτοδότην.

ζεφυρία πνοὴ τοῦ ζεφύρου. καὶ ζεφύριον πνεῦμα· ζέφυρος γὰρ λεῖος ἄνεμος.

ζῇ ἀντὶ τοῦ ζῆθι Εὐριπίδης ⟨Iphig. T. 699⟩. καὶ ἀντὶ τοῦ ζέει.

Ζήβ ὄνομα κύριον Ἑβραϊκόν.

Ζήβυρες ὄνομα ἔθνους.

Ζήθης καὶ Ζῆθος ὀνόματα.

ζῇ, καίει πῦρ, ἐπὶ τῶν μόλις γινομένων.

ζηλήμων ὁ ζηλούμενος.

Ζηλίτης ὄνομα κύριον.

a ζῆλος· Σοφοκλῆς ⟨Ai. 501⟩ "ἴδετε τὴν ὁμευνέτιν Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ, οἵας λατρείας ἀνθ' οἵου ζήλου τρέφει."

b ζῆλος ἀγαθοῦ τινὸς ἐπιθυμία φθόνου τινὸς χωρὶς ἐγγινομένη τῇ ψυχῇ. οἷον ἔχει τις ἀνδρείαν· ζηλῶ τοῦτον τῆς ἀρετῆς, τουτέστιν ἐπιθυμῶ κτήσασθαι τὸ καλόν, μὴ φθονήσας τῷ κεκτημένῳ, ἀλλὰ κἀγὼ βουλόμενος ἀνδρεῖος εἶναι. Ἀππιανός ⟨t. 1 p. 54⟩ "Δεντάτῳ κατὰ ζῆλον ἀρετῆς εἵπετο νέων λογάδων πλῆθος ὀκτακοσίων, ἐπὶ πάντα τὰ ἔργα ἕτοιμοι· καὶ βαρὺς ἦν τῇ βουλῇ παρὰ τὰς ἐκκλησίας." καὶ Πολύβιος λέγει ⟨11 8⟩ "τοῖς γὰρ πλείστοις ὑπεγεγόνει τις ζῆλος ἐκ τῆς τῶν ἄλλων ἀλαζονείας καὶ τῆς ἀκαιρίας· ἐσπούδαζον γὰρ τὰς ἀκολουθίας καὶ τὰς ἐσθῆτας διαφερόντως, καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμὸς ὑπερέχων τὴν ἐκ τοῦ βίου χορηγίαν, ὅπλων δὲ οὐδὲ τὸν ἐλάχιστον ἐποιοῦντο λόγον."

ζηλοτυπία ζῆλος ἐξ ὑπονοίας, τοῦ ἀνδρὸς κατὰ τῆς οἰκείας γυναικὸς εἰς ἕτερον ἀσελγῆ ὑπόνοια. Ἰάμβλιχος "ἡ δὲ μεσὴ μὲν ἦν καὶ τῆς ἔμπροσθεν ζηλοτυπίας, προσειλήφει δὲ καὶ τὴν ἀπὸ τῆς πράξεως εὐτολμίαν. ὡς οὖν ἐλάβετο τῆς ὁδοῦ, 'ὁ μὲν πρῶτος ἀγών' ἔφη 'διηγώνισται, ἐχώμεθα δὲ καὶ τοῦ δευτέρου· καὶ γὰρ ἐν καιρῷ γεγυμνάσμεθα."

ζηλοτυποῦν Αἰσχίνης ⟨3 211⟩ ἀντὶ τοῦ μισοῦν· ζηλοῦν γὰρ τὸ μακαρίζειν, ζηλοτυπεῖν δὲ τὸ εἰς ἀπέχθειαν ἐληλυθέναι. Harp.

ζήλου μιμοῦ.

ζηλοῦν· Σοφοκλῆς ⟨Ai. 552⟩ "καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω, ὁθούνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν. ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος. τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν, ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς."

ζηλῶ μακαρίζω· Ἀριστοφάνης Θεσμοφοριαζούσαις ⟨175⟩ "οὐ ζηλῶ σε τῆς παιδεύσεως." ⟨Ach. 1008⟩ "ζηλῶ σε τῆς εὐβουλίας, μᾶλλον δὲ τῆς εὐωχίας, ἄνθρωπε, τῆς παρούσης." καὶ πάλιν ⟨Eq. 833⟩ "ζηλῶ σε τῆς εὐγλωττίας," ἀντὶ τοῦ τῆς γραφῆς, τῆς κατηγορίας. καὶ αὖθις ⟨Vesp. 1490⟩ "ζηλῶ γε τῆς εὐωχίας τὸν πρεσβύτην, οἷ μετέστη ξηρῶν τρόπων καὶ βιοτῆς, ἕτερα δὲ νῦν ἀντιμαθών."

ζηλώματα ζηλοτυπίας· ⟨AP 7 219⟩ "κώμους καὶ τὰ νέων ζηλώματα καὶ τὰ ποθεύντων κνίσματα καὶ μύστην λύχνον ἀπειπαμένη."

ζηλῶσαι μιμήσασθαι· Ἡρόδοτος ⟨immo Iulianus: cf. v. Ἡρόδοτος⟩ "ὧν εἴ τις παρ' ἡμῖν ζηλῶσαι τὴν δίαιταν ἐπιχειρήσει ··· ἐλλέβορον."

ζηλωταὶ παρὰ Ἰουδαίοις οἱ τοῦ νόμου φύλακες· "Ἄνανος ἀποκλείσας τοὺς ζηλωτὰς εἰς τὸ ἱερὸν καὶ φρουρὰν αὐτοῖς ἐπιστήσας παρεκάθητο." cf. v. Ἄνανος.

ζηλωτός μακαριστός, ἐπαινετός.

ζηλωτότατον μακάριον· Ἀριστοφάνης ⟨Nub. 463⟩ "ζηλωτότατον βίον ἀνθρώπων διάξεις."

ζημία ἡ στέρησις.

Ζήν Ζηνός Ζηνί.

Ζηνόβιος σοφιστής, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ Καίσαρος, ἔγραψεν ἐπιτομὴν

τῶν παροιμιῶν Διδύμου καὶ Ταρραίου ἐν βιβλίοις γʹ, μετάφρασιν ἑλληνιςὶ τῶν ἱςοριῶν Σαλουςίου τοῦ Ῥωμαϊκοῦ ἱςορικοῦ καὶ τῶν καλουμένων αὐτοῦ βελῶν, γενεθλιακὸν εἰς Ἀδριανὸν Καίσαρα, καὶ ἄλλα.

a Ζηνόδοτος Ἀλεξανδρεὺς γραμματικός, ὁ ἐν ἄςει κληθείς, ἔγραψε πρὸς τὰ ὑπ' Ἀριςάρχου ἀθετούμενα τοῦ ποιητοῦ, πρὸς Πλάτωνα περὶ θεῶν, περὶ τῆς Ὁμηρικῆς συνηθείας, λύσεις Ὁμηρικῶν ἀπορημάτων, εἰς τὴν Ἡσιόδου θεογονίαν, καὶ ἄλλα συχνά.

b Ζηνόδοτος Ἐφέσιος, ἐποποιὸς καὶ γραμματικός, μαθητὴς τοῦ Φιλητᾶ, ἐπὶ Πτολεμαίου γεγονὼς τοῦ πρώτου, ὃς καὶ πρῶτος τῶν Ὁμήρου διορθωτὴς ἐγένετο, καὶ τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν προύςη, καὶ τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσεν.

Ζηνόθεμις ὄνομα κύριον.

a Ζήνων Ἀλεξανδρεύς, ἀνὴρ Ἰουδαῖος μὲν γεγονώς, ἀπειπάμενος δὲ δημοσίᾳ πρὸς τὸ φῦλον τῶν Ἰουδαίων, ὡς παρὰ σφίσι νενόμιςαι, τὸν λευκὸν ὄνον ἐν τῇ ἀργούσῃ ἡμέρᾳ διὰ τῆς καλουμένης αὐτῶν συναγωγῆς ἐλασάμενος. οὗτος ὁ Ζήνων ἐπιεικὴς μὲν ἦν φύσει καὶ ἱερός, ἀλλὰ νωθέςερος ἐν λόγοις καὶ μαθήμασιν, ἐφιέμενος μὲν ἀεί τι μανθάνειν καὶ ἐρωτῶν ὅ τι ἂν ἀγνοοῖ, πάντα δὲ σχεδὸν ἀγνοῶν· καὶ γὰρ νοῆσαι βραδύτατος ἦν, καὶ τῶν νοηθέντων ὀψέ ποτε προδότης

b ὑπὸ λήθης ἑτοιμότατος. ἦν δὲ καὶ ἕτερος Ζήνων, τοῦ Πρόκλου ἑταῖρος, κατὰ τὸν αὐτὸν χρόνον, τῷ μὲν γένει Περγαμηνός, τῇ δὲ φύσει καὶ αὐτὸς ἐνδεέςερος τά γε πρὸς ἐπιςήμην, ἐπιεικὴς δὲ καὶ τὰ ἤθη κατηρτυμένος. ὁπότερος δὲ αὐτοῖν ἀφορμὴν τῇ διαςάσει παρέσχετο τῷ Σαλουςίῳ πρὸς τὸν Πρόκλον, οὐκ ἔχω φράζειν.

c ὅτι Ζήνων βασιλεὺς Ῥωμαίων τὴν μὲν ὠμότητα, ᾗ ἐκέχρητο Λέων, ἐν τῇ φύσει ȣ̓κ εἶχεν· ȣ̓δὲ τὸ θυμέμενον ἀπαραίτητον αὐτῷ καθειςήκει ἐσάπαξ, οἷον τȣ̃ Λέοντος διέμενε. καὶ τήν γε προαίρεσιν ἐν πολλοῖς εἶχε φιλότιμον· καὶ ἃ ἔπραττε, δόξης ἕνεκεν καὶ τοῦ θαυμάζεσθαι ἔπραττεν ἐπιδεικτικῶς μᾶλλον ἢ ἀληθῶς. οὐ μὴν οὔτε ἔμπειρος τῶν πραγμάτων ἦν, οὔτε εἶχεν ἐπιςήμην δι' ἧς ἔςιν ἀσφαλῶς τὰς βασιλείας ἰθύνεσθαι. πρὸς δὲ κέρδος καὶ λῆμμα ȣ̓χ οὕτω μὲν ἐμμανῶς ὡς ὁ Λέων διέκειτο, οὐδὲ ἔπλαττε μὴ ὄντα τοῖς κεκτημένοις ἐγκλήματα, οὐ μὴν οὐδὲ παντελῶς κρείττων ὑπῆρχε τοῦ πράγματος. καὶ χρηςῆς ἂν βασιλείας ἔτυχον Ῥωμαῖοι, εἰ μὴ Σεβαςιανὸς ὁ τότε παραδυναςεύων ἦγεν αὐτὸν ὅπῃ ἐβούλετο, καπηλεύων ὥσπερ ἐξ ἀγορᾶς ἅπαντα, καὶ μηδὲν ἄπρατον ἐῶν ἐν τῇ βασιλέως αὐλῇ διαπράττεσθαι. ἀλλὰ τὰς μὲν ἀρχὰς ἀπεδίδοτο πάσας, ἰδίᾳ μὲν ἑαυτῷ ἰδίᾳ δὲ λαμβάνων τῷ βασιλεῖ τὰ τιμήματα· καὶ εἰ προσῆλθεν ἕτερος βραχύ τι προςιθείς, ἐκεῖνος ἦν αἱρετώτερος. τῶν δὲ ἐν τοῖς ἀρχείοις γινομένων ἁπάντων οὐδὲν ἦν ὃ μὴ λαβὼν ἀπεπίπρασκεν. εἰ δέ τινι ἀρχὴν τῶν περὶ αὐτὸν ὄντων ἐχαρίσατο Ζήνων, ὥσπερ πολιτοκάπηλος αὐτὸς ταύτην ὀλίγου παρ' ἐκείνου λαμβάνων ἄλλοις ἐδίδου τοῦ πλείονος, Ζήνωνι δὲ τὰ κλέμματα παρέχων.

ὅτι Ζήνων ὁ βασιλεὺς πυθόμενος τῶν οἰκείων τὴν ἧτταν ἐς φρούριον καταφεύγει ἐπὶ λόφȣ κείμενον, ὃ Κωνςαντινούπολιν οἱ πρόσχωροι ἐκάλουν. ὅπερ γνοὺς τοῖς συνοῦσι, ςενάξας, "θεȣ̃ παίγνιον" εἶπεν "ἄρα ὁ ἄνθρωπος, εἴγε καὶ ἐμὲ οὕτω παίζειν φιλεῖ τὸ δαιμόνιον. ἐμοὶ γὰρ δὴ οἱ μάντεις τὸν Ἰούλιον μῆνα ἐξ ἀνάγκης ἐν Κωνςαντινουπόλει διατεινόμενοι προύλεγον. κἀγὼ μὲν ἐνόμιζον ἐς Κωνςαντινούπολιν ἀναβήσεσθαι· νῦν δὲ πάντων ἔρημος καὶ φυγὰς εἰς λόφον ἦλθον, εὑρηκὼς ὁ δείλαιος προσηγορίαν ὁμώνυμον." cf. v. ἐξῆλθεν.

Ζήνων βασιλεὺς Ῥωμαίων, ὃς Ζήνωνα d
τὸν ἑαυτοῦ υἱὸν διάδοχον καταλιμπάνειν θέλων κομιδῇ νέον προῆγέ τε δι' ἀξιῶν καὶ σωμασκεῖσθαι ἐκέλευεν εἰς ἐπίδοσιν τῆς ἡλικίας. οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι τοῦ ἄδην τὰ δημόσια καταναλίσκειν συβαριτικῶς τὸν νέον κραιπαλᾶν ἐνήργουν, καὶ μαςροπεύοντες αὐτῷ τοὺς συνήβους πρὸς τοὺς τῶν ἀρρένων ἔρωτας λυσσᾶν ἐπαίδευσαν ἐκτόπως. διαίτης οὖν ἐν ἡδοναῖς καὶ τύφῳ τιθεμένης τὸ καλὸν ἐθὰς γενόμενος, καὶ τὴν ὑποτυφομένην ἀλαζονείαν ἐπὶ τῇ βασιλικῇ καραδοκίᾳ διὰ τῶν προσώπων ἀπεμφαίνων, ἀκροβατεῖν τε ἤρξατο καὶ μετέωρον τὸν αὐχένα αἴρειν καὶ (συλλήβδην φάναι) προσέχειν πᾶσιν ὡς οἰκέταις ἀνθρώποις. ἀλλ' ὁ πάντων ἔφορος τὴν φυσικὴν καὶ διδακτὴν αὐτȣ̃ κακότητα τεθεαμένος, διαρρεύσαντα τῇ γαςρὶ καὶ ἀναισθήτως ἐπὶ πολλὰς ἡμέρας ἐς τὴν εὐνὴν ἀποπατοῦντα πρόωρον τῶν ἀνθρωπείων ἐδικαίωσεν ἐκβῆναι.

e Ζήνων Διοσκορίδου Ταρσεύς, ὡς δέ τινες Σιδώνιος, φιλόσοφος, μαθητὴς Χρυσίππου τοῦ Ταρσέως, φιλοσόφου ςωικοῦ, καὶ διάδοχος.

f Ζήνων Κιτιεύς. εἰ δὲ ῥήτωρ τις ἦν ἢ φιλόσοφος, ἄδηλον. ἔγραψε περὶ ςάσεων, περὶ σχημάτων, ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Λυσίαν, εἰς Δημοσθένην. περὶ ἐπιχειρημάτων.

g Ζήνων Μνασέυ ἢ Δημέυ, Κιτιεύς (πόλις δὲ ἐςι Κύπρου τὸ Κίτιον), φιλόσοφος, ὃς ἦρξε τῆς ςωικῆς αἱρέσεως. ἐπεκλήθη δὲ καὶ αὐτὸς ςωικὸς διὰ τὸ ἐν τῇ ςοᾷ τῇ ἐν Ἀθήναις διδάξαι αὐτόν, ἥτις πρῶτον μὲν Πεισιανάκτειος, ὕςερον δὲ ζωγραφηθεῖσα ποικίλη ἐκλήθη. μαθητὴς δὲ ἦν Κράτητος τοῦ κυνικοῦ, εἶτα Πολέμωνος τοῦ Ἀθηναίου. ἐτελεύτησε δὲ ἐτῶν ϛ, ἀφελὼν ἑκάςοτε τῆς τροφῆς, ἕως ἀτονίᾳ διεφθάρη. ἐχρήσθη δὲ αὐτῷ πυνθανομένῳ περὶ βίε συγχρωτίζεσθαι τοῖς νεκροῖς, ὅπερ ἦν τοῖς ἀρχαίοις διὰ τῶν βιβλίων (cf. v. συγχρωτίζεσθαι). Φοῖνιξ δ' ἐπεκλήθη, ὅτι Φοίνικες ἔποικοι τοῦ πολιχνίου ἐγένοντο. ἤκμαζεν ἐπὶ Ἀντιγόνου τοῦ Γονατᾶ, ἐπὶ τῆς ρκέ ὀλυμπιάδος. καὶ παροιμία "Ζήνωνος ἐγκρατέςερος·" οὗτος γὰρ ἄκραν εἶχε δίαιταν καὶ λιτήν, ὥςε καὶ εἰς παροιμίαν χωρῆσαι. "φιλοσοφίαν καινὴν γὰρ οὗτος ἐφιλοσόφει" (Philemo ap. Diog. L. 7 27)· τῷ γὰρ ὄντι πάντας ὑπερεβάλετο τῷ τε εἴδει καὶ σεμνότητι καὶ νὴ Δία μακαριότητι. κατέςρεψε δὲ τὸν βίον ἄνοσος καὶ ὑγιὴς διατελέσας.

h Ζήνων Μουσαίου Σιδώνιος, φιλόσοφος ςωικός, μαθητὴς Διοδώρου τοῦ κληθέντος Κρόνου, διδάσκαλος δὲ καὶ αὐτὸς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν ἀπολογίαν ὑπὲρ Σωκράτους καὶ Σιδωνιακά.

i Ζήνων Τελευταγόρου Ἐλεάτης, φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόρᾳ καὶ Δημοκρίτῳ κατὰ τοὺς χρόνους (ἦν γὰρ ἐπὶ τῆς οή ὀλυμπιάδος), μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου, ἔγραψεν ἔριδας, ἐξήγησιν τῶν Ἐμπεδοκλέους, πρὸς τοὺς φιλοσόφους περὶ φύσεως. τοῦτόν φασιν εὑρετὴν εἶναι τῆς διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς. καθελεῖν δὲ θελήσας Νέαρχον (οἱ δὲ Διομέδοντα) τὸν Ἐλέας τύραννον ἑάλω, καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ τὴν γλῶτταν αὐτοῦ ἐνδακὼν καὶ ἀποτεμὼν προσέπτυσε τῷ τυράννῳ, καὶ ἐν ὅλμῳ βληθεὶς συνετρίβη πτισσόμενος. διαφέρει δὲ Ἐλεάτης καὶ Ἐλαΐτης.

Ζηρυνθία ἡ Ἀφροδίτη. καὶ Ζηρύνθιον, καὶ Ζήρινθον ἄντρον, ἐν ᾧ τοὺς κύνας ἔθυον. cf. v. Σαμοθρᾴκη.

ζητεῖν ἐπὶ τοῦ βούλεσθαι τιθέασιν Ἀττικοί· "μηδὲ σὺ ζήτει τι πυθέσθαι."

Ζήτης ὁ τοῦ Βορέου παῖς.

ζητήσεται ἀντὶ τοῦ ζητηθήσεται.

ζηταί ἀρχή τις ἦν Ἀθήνησι, κατὰ καιροὺς καθιςαμένη, πρὸς ἣν ἐμηνύοντο οἱ ὀφείλοντες χρήματα τῇ πόλει καὶ μὴ ἀποδεδωκότες.

ζητητηρίων ὄργανα τὰ βασανιςήρια· "οἱ δὲ προσάγουσι πῦρ καὶ τὰ τῶν ζητητηρίων ὄργανα. ὁ δὲ τὰ πραχθέντα ἐξεῖπεν."

ζητρεῖον τὸ τῶν δούλων κολαςήριον Εὔπολις. cf. v. ζώντειον.

ζητῶν· "ζητῶν γὰρ ὄψον θοἰμάτιον ἀπώλεσα," ἐπὶ τῶν ἀτυχεςάτων.

ζιβύνη ὁλοσίδηρον ἀκόντιον, λόγχη, σπάθη.

Ζιβύτης ὄνομα κύριον.

ζιζάνιον ἡ ἐν τῷ σίτῳ αἶρα.

Ζιήλας ὄνομα κύριον.

ζινίχιον τὸ λωρίον τῦ ὑποδήματος. cf. v. σφαιρωτήρ.

ζίρης. καὶ κλίνεται ζίρη, Σκυθικὴ φωνή. Lucian. Tox. 40.

Ζολιμίηλος ὄνομα κύριον.

Ζοροβάβελ ὄνομα κύριον.

ζοφερά σκοτεινή, καὶ ζοφερὸν ὁμοίως.

ζοφοδορπίας ὁ σκοτεινὸς δεῖπνος.

ζοφομηνία ἡ ἔκλειψις τῆς σελήνης.

ζόφον τὴν δύσιν. οὕτως γὰρ καλεῖται ἡ δύσις ζόφος.

ζοφώδης ὁ σκοτεινός, καὶ ζοφοειδής.

ζυγάδην συνεζευγμένως.

ζύγαινα εἶδος ἰχθύος.

ζυγάςροις· Ξενοφῶν (Cyr. 7 3 1) "τὰ δὲ ἄλλα χρήματα παραδεχομένους ἐν ζυγάςροις ςήσαντας ἐφ' ἁμάξης κομίζειν, ἵνα ὅπῃ καιρὸς εἴη διαλαμβάνοιεν ἕκαςοι τὰ ἄξια." ζύγαςρον γὰρ ἡ ξυλίνη σορός.

ζυγεῖν ἐςὶ τὸ ἐπ' εὐθείας τῷ κατὰ μῆκος ςίχῳ κεῖσθαι, ἤτοι παραλλήλως ἔχειν. ςιχεῖν ἐςὶ τὸ ἐπ' εὐθείας κεῖσθαι τῷ κατὰ βάθος ςίχῳ· τοῦτο γὰρ καὶ κυρίως λέγεται ςίχος.

ζυγία ἡ Ἥρα.

ζυγιανός ὁ ζυγός.

ζυγίζω.

ζύγιοι ἵπποι οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν ὁ μέσος ἀριστερὸς καὶ ὁ μέσος δεξιός. καὶ ἁπλῶς ὁ μὴ παράσειρος οὕτω λέγεται.

ζυγόδεσμος ⟨Hom. Ω 270⟩ ὁ ἱμὰς τοῦ ζυγοῦ.

ζυγοὶ παρὰ Ἡροδότῳ ⟨1 24⟩ αἱ καθέδραι.

ζυγομαχεῖ στασιάζει ὡς οἱ βόες ἐζευγμένοι. μετῆκται ἡ λέξις ἀπὸ τῆς τῶν βοῶν πρὸς ἀλλήλους μάχης· ἐκεῖνοι γὰρ πολλάκις, ὅταν ἕλκωσι κάμνοντες, ἐπερείδουσι τὸ βάρος πρὸς ἀλλήλους. κέχρηται Ὑπερίδης.

ζυγομαχεῖν, ἀπὸ τῶν πωλούντων σταθμῷ καὶ διαφερομένων πρὸς τοὺς ὠνουμένους. οἱ δὲ ἀπὸ τῶν ὑποζυγίων, ἢ βοῶν ἢ ἵππων ἢ τινῶν τοιούτων, μὴ συμφώνως ἐργαζομένων. Ἡσίοδος ⟨O. 434⟩ "βόε δ' ἐνναετήρω ἄρσενε κεκτῆσθαι· τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν. οὐκ ἂν τώγ' ἐρίσαντε." Ἡρωδιανὸς δὲ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ζυγῶν δύνασθαι εἶναι τὴν λέξιν, ὅταν περὶ τὰς καθέδρας διαφέρωνται οἱ ἐρέται.

a ζυγός ἐν τοῖς τακτικοῖς τὸ ἐκ παρεστηκότων ἀλλήλοις πλῆθος. ἐρετικὴ καθέδρα. τὰ τοῖς ζῴοις ἐπιτιθέμενα. καὶ τὸν ζυγὸν ἐν θαλάμῳ. τῶν μουσικῶν ὀργάνων ὁ πῆχυς. τὸ τὰς ἰσότητας διακρῖνον σκεῦος. καὶ αἱ χηλαὶ τοῦ ἐν οὐρανῷ σκορπίου. καὶ ἡ ζυγοτρυτάνη· τρυτάνη δὲ τὸ στάσιμον. καὶ ὁ περικείμενος ἱμὰς τοῖς δακτύλοις πλαγίοις ἐπὶ τῶν σανδαλίων· Ἀριστοφάνης ⟨Lys. 418⟩ "τὸ δακτυλίδιον πιέζει τὸ ζυγόν."

b ζυγός ὁ νόμος παρὰ τῇ θείᾳ γραφῇ. καὶ ὁ Χριστός ⟨Matth. 11 29⟩ "ἄρατε τὸν ζυγόν μου, ὅτι χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν." καὶ ζυγὸν τὴν τοῦ νόμου βαρύτητά φησιν ὁ Δαβίδ. Theodoret. in Ps. 2 3.

ζυγοστάτης. καὶ ζυγοστατῶ. cf. v. ἐζυγοστατεῖτο.

ζυγοφορούμενα ἐν ζυγῷ σταθμιζόμενα.

ζυγῷ· "γυμνοὺς ὅπλων τοὺς ἄνδρας ζυγῷ καθ' ἕκαστον ἀποδυομένους ἐπονειδίστως ὑπελθεῖν προσαναγκάσαντες."

ζυγώθρισον ἴσωσον, ζυγοστάτησον. ἔασον τὸ ἀπορούμενον, ἔπειτα πάλιν ἀνασκόπησον καὶ οἷον ἀνοίγειν ἀποπειράθητι· τὸ γὰρ ἀναζυγοῦν ἐστὶ τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. οἱ δὲ ζυγώθρισον συνάρμοσον, σύμπηξον. Ἀριστοφάνης Νεφέλαις ⟨743⟩.

ζύγωθρον ὁ συνέχων τὰς δύο θύρας μοχλός.

ζυγῶσαι τὸ ζεῦξαι ζυγῷ· "ἥρως ζυγώσας εὐσθενεστάτῳ θράσει ταύρους."

ζῦθος οἶνος ἀπὸ κριθῆς γινόμενος.

ζύμη τὸ φύραμα, καὶ ζυμίτης ἄρτος. ὅτι λόγος ἔχει ὡς ἀπὸ ϛ' ὥρας τῆς ιδ' τοῦ μηνὸς ἡμέρας, σάλπιγγος φωνούσης, πᾶς ἄρτος ζυμωτός, εἴ τις τοῖς Ἑβραίοις ὑπελείπετο, πυρὶ καιόμενος ἠφανίζετο.

ζῶ· Σοφοκλῆς ⟨OR 410⟩ "οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ."

ζῷα. ὅτι τὰ ζῷα ἄνω ἔχειν τὴν κεφαλὴν λέγεται οὐ πάντως ὡς πρὸς τὸ πέριξ λαμβανόμενα, ἀλλ' ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. καὶ τῶν ἀλόγων τοίνυν ζῴων τῶν πλείστων, σχεδὸν δὲ πάντων ἐπὶ γῆν κεκυφότων, ὡς μηδὲ τῶν ὀπισθίων ὑψηλοτέραν ἐπὶ τὸ πέριξ ἔχειν τὴν κεφαλήν, ὅμως λέγεται τὰ ἄνω τῶν ζῴων μέρη εἶναι κεφαλή τε καὶ τὰ κατὰ τὴν κεφαλήν. καὶ ἐπὶ τῶν φυτῶν τοίνυν ὡς μὲν πρὸς τὸ πέριξ ἄνω λέγοιντ' ἂν οἱ κλάδοι καὶ τὰ φύλλα, ὡς δὲ πρὸς τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ μᾶλλόν ἐστι συμφυές, ἄνω μὲν αἱ ῥίζαι, κάτω δὲ οἱ κλάδοι. διὸ καὶ ἀναλογοῦσι κεφαλῇ. καὶ μὴν καὶ στόματι· δι' αὐτῶν γὰρ ὡς διὰ στόματος ἡ τροφὴ χορηγεῖται καὶ διοχετεύεται τῷ σώματι. cf. Philopon. in 2 4 de anima.

ζωάγρια καὶ ζώγρια, δι' ὧν λύτρων τὸ ζῆν περιγίνεται· ζωάγρια γὰρ τὰ ζωῆς χαριστήρια. Προκόπιος ⟨Pers. 2 12⟩ "τῷ Χοσρόῃ ζώγρια δόντες τὴν πόλιν καὶ σφᾶς αὐτοὺς διεσώσαντο."

ζωαρκῆ τὰ πρὸς ζωὴν ἀρκοῦντα. καὶ ζωαρκές ὁμοίως.

ζωάς τὸ πληθυντικόν, καὶ τῶν ζωῶν.

Ζωβία ὄνομα κύριον.

ζωγράφος.

ζωγρεῖ ζῶντας λαμβάνει. καὶ ζώγρει ζῶντα φύλασσε.

ζωγρεῖον εἶδος σπυριδίου.

ζωγρία τὸ ζῷα ἀγρεύειν.

ζωγρίᾳ λαβεῖν ἀντὶ τοῦ ζῶντα λαβεῖν καὶ κρατῆσαι. καὶ Πολύβιος ⟨1 79⟩ "οἱ δὲ γενόμενοι ζωγρίᾳ κύριοι τοῦ στρατηγοῦ τοῦτον ἀνεσταύρωσαν."

ζωγρίη. Ἡρόδοτος ⟨6 28⟩ "τὸν δὲ Ἱστιαῖον ζωγρίη ἔλαβεν. ἐζωγρήθη δὲ ὧδε· ὡς φεύγων κατελαμβάνετο ὑπὸ ἀνδρὸς Πέρσεω, καὶ ὡς καταιρεόμενος ὑπ' αὐτοῦ ἔμελλε συγκεν-

τηθήσεσθαι, Περσίδα γλῶσσαν μετεὶς καταμηνύει ἑαυτὸν ὡς εἴη Ἱστιαῖος Μιλήσιος." καὶ αὖθις "ὑπὲρ δὴ τούτων τέτῳ ζωάγρια ἀποδιδούς, ἧπερ οὖν δυνατὸν ἦν."

ζώδιον τὸ μικρὸν ζῷον.

ζώεσκον ἀντὶ τοῦ ἐπλούτουν· "ἐγὼν ἔτι ζώεσκον."

ζῴη εὐκτικῶς.

ζωή παρατήρησις καὶ μονὴ τῶν ὄντων. Artemid. 3 61.

ὅτι ἡ ζωὴ καὶ τὸ ζῆν πολλαχῶς λέγεται, τουτέςι, πλειόνων οὐσῶν ψυχικῶν δυνάμεων καθ' ἃς τὸ ζῆν ἐγγίνεται, πλείους καὶ αἱ δι' αὐτῶν ζωαὶ καὶ τὸ ζῆν, οἷον κατὰ νοῦν, κατ' αἴσθησιν, κατὰ τὰ λοιπά. διὸ κἂν ἕν τι τέτων ὑπάρχῃ τινί, ζῆν λέγεται τὸ μετέχον αὐτοῦ. ὅθεν καὶ τὰ φυτὰ θρεπτικὴν ἔχοντα δύναμιν ζῇ, μηδεμίαν τῶν ἄλλων ἔχοντα, μήτε τὴν αἰσθητικὴν μήτε τὴν κατὰ τόπον κινητικὴν μήτε τῶν ἄλλων μηδεμίαν. Philopon. in 2 de anima.

ὅτι ζῆν μὲν λέγεται τὰ φυτά, οὐ ζῷα δὲ εἶναι, διότι, ὥσπερ δρομέας λέγομεν οὐ τοὺς ὁπωσοῦν δρόμου μετέχοντας ἀλλὰ τὸς σφοδρῶς καὶ τρανέςερον μετειληφότας τοῦ τρέχειν, οὕτω καὶ ζῷα λέγονται οὐ τὰ ὁπωσῦν μετέχοντα τοῦ ζῆν καὶ τῆς ζωῆς, ἀλλ' ἐν οἷς τὸ ζῆν καὶ ἡ ζωὴ τρανέςερον καὶ περιφανέςερόν ἐςιν. id.

ζωὴ πίθου, ἐπὶ τῶν μετρίως καὶ ταπεινῶς ζώντων, ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἦν ἡ ἡδίςη καταγωγή.

ζωήν τὴν κτῆσιν, τὴν οὐσίαν. διαφέρει δὲ ζωὴ ψυχῆς· ζῇ γὰρ καὶ τὰ φυτά.

ζωηρός ὁ ζῶν καὶ παρέχων ζωήν.

Ζωίλος Ἀμφιπολίτης (πόλις δ' ἐςὶ Μακεδονίας Ἀμφίπολις, ἥτις πρότερον ἐκαλεῖτο Ἐννέα ὁδοί), ὃς ἐπεκλήθη ὁμηρομάςιξ, ὅτι ἐπέσκωπτεν Ὅμηρον· διὸ αὐτὸν διώξαντες οἱ ἐν τῇ Ὀλυμπίᾳ κατὰ τῶν Σκιρωνίδων πετρῶν ἔρριψαν. ῥήτωρ δὲ ἦν καὶ φιλόσοφος, ἔγραψε μέντοι τινὰ καὶ γραμματικά, κατὰ τῆς Ὁμήρε ποιήσεως λόγους θ', ἱςορίαν ἀπὸ θεογονίας ἕως τῆς Φιλίππου τελευτῆς, βιβλία γ', περὶ Ἀμφιπόλεως, καὶ κατὰ Ἰσοκράτους τοῦ ῥήτορος.

ζῶμα ἡ ζώνη· Σοφοκλῆς (El. 451) "δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα καὶ ζῶμα τἀμὸν οὐ χλιδαῖς ἠσκημένον," τὴν ζώνην λέγων, ἢ τὸ ἔνδυμα.

Ζωμάλμη ὄνομα κύριον. ἦν δὲ Θασία. cf. v. Θασίαν.

ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα," ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων. κέχρηται Πλάτων ἐν Ἱππίᾳ (mai. p. 301 C).

ζωμήρυσις μαγειρικὸν ἐργαλεῖον· ἐν ἐπιγράμματι (AP 6 101) "ζωμήρυσίν τε τὴν λίπους ἀφρηλόγον."

ζωμὸς μέλας ἡ λεγομένη αἱματία.

ζῶναι ἐπὶ γῆς πέντε, βόρειος, ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος διὰ ψῦχος· εὔκρατος· ἡ καλουμένη διακεκαυμένη· ἀντεύκρατος· νότιος, ἀοίκητος διὰ ψῦχος. Diog. L. 7 156.

Ζωναῖος ἔγραψεν ἐρωτικὰς ἐπιςολάς, καὶ περὶ τοῦ σφαιρίζειν. φέρονται δὲ αὐτοῦ καὶ ἕτεραι ἐπιςολαὶ ἀγροικικαί, ἀλλ' ἀποπίπτουσι τοῦ χαρακτῆρος.

ζώνη πορφυροῦν ἱμάτιον, Ἡρόδοτος a (7 69).

ζώνη τροπικῶς ἡ δύναμις, ἐπειδὴ ὁ ἐζωσμένος εὐςαλέςερός ἐςι πρὸς τὴν πρᾶξιν. b Theodoret. in Ps. 18 40, 65 9.

ζώνη τὸ ἀξίωμα· "ἀναζητουμένους τῆς c βασιλίδος ὠθεῖσθαι οὐ μόνον ἰδιώτας ἀλλὰ καὶ τοὺς ὑπὸ ζώνην" (cf. v. αὐθέντης). καὶ Αἰλιανός "καί πως τὴν ζώνην τοῦ χρυσίου, ἣν ἐπήγετο ὁ ξένος, ὁ πανδοκεὺς ἐθεάσατο, καὶ παραχρῆμα ἐποφθαλμιᾷ." cf. vv. καταγωγῆς, κερματίζει, τιμωροῦντος.

ζώννυσθαι καθοπλίζεσθαι.

ζώντειον κολαςήριον οἰκετῶν.

ζωοδότειρα ζωὴν παρέχουσα.

ζωοδότης ὁ ζωὴν πᾶσι διδοὺς ἀγαθὸς θεός.

ζωὸς γενήσῃ κρομμύε λόπον λαβών," πρὸς τὸς ἀπὸ μικρᾶς αἰτίας μεγάλας δόξας καρπουμένους.

ζώπυρα τοῦ ζῆν ποιητικά. a

ζώπυρα φυσητῆρες, ὅθεν οἱ χαλκεῖς τὸ b πῦρ φυσῶσι.

ζώπυρα λείψανα. c

ζωπυρεῖ ἀναζῆν ποιεῖ, ἢ ἐκκαίει.

ζωπυρῆσαι ἀναθάλψαι, ἐκ μεταφορᾶς a ἀπὸ τοῦ πυρός, ἐπεὶ τὸς ἐξ ἀρρωςίας ἀναρρωννυμένους λέγουσιν Ἀττικοί.

ζωπυρῆσαι κυρίως ἐςὶ τὸ ἐκ μικροῦ b σπινθῆρος φυσῶντα μεγάλην φλόγα ἀνάψαι. καὶ ἐπὶ πολέμου δὲ λέγεται.

ζωπυρήσεις ἀντὶ τοῦ ἀνεγερεῖς· ⟨A Lys. 683⟩ "εἰ μὴ τὼ θεὼ ζωπυρήσεις, λύσω τὸν ἐμαυτῆς ὑόν, καὶ ποιήσω τήμερον τοὺς δημότας βωστρεῖν σ' ἐγὼ πεκτούμενον."

ζωπύρια φυσητήρια.

ζώπυρον πεπυρακτωμένον, ἔνθερμον.

Ζωπύρου τάλαντα. Ζώπυρος ὁ Πέρσης βασιλεῖ χαριζόμενος, μαστιγώσας ἑαυτὸν καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀφελόμενος, εἰσῆλθεν εἰς Βαβυλῶνα, καὶ πιστευθεὶς διὰ τὰ περὶ τὸ σῶμα προὔδωκε τὴν πόλιν. ἐκ μεταφορᾶς οὖν εἶπε τάλαντα καὶ ζυγά, οἱονεὶ ἔργα καὶ πράξεις.

a Ζωροάστρης Περσόμηδος σοφός, ὃς καὶ πρῶτος ἦρξε τοῦ παρ' αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων. ἐγένετο δὲ πρὸ τῶν Τρωικῶν ἔτεσι φ'. φέρεται δὲ αὐτοῦ περὶ φύσεως βιβλία δ', περὶ λίθων τιμίων ἕν, ἀστεροσκοπικά, ἀποτελεσματικὰ βιβλία ε'.

b Ζωροάστρης ἀστρονόμος ἐπὶ Νίνου βασιλέως Ἀσσυρίων, ὅστις ηὔξατο ὑπὸ πυρὸς οὐρανίου τελευτῆσαι, παρεγγυήσας τοῖς Ἀσσυρίοις τὴν τέφραν αὐτοῦ φυλάττειν· οὕτω γὰρ αὐτοῖς ἡ βασιλεία οὐκ ἐκλείψει διὰ παντός. ὅπερ μέχρι νῦν πεφύλακται παρ' αὐτοῖς.

Ζωρομάσδρης Χαλδαῖος σοφὸς ἔγραψε μαθηματικὰ καὶ φυσικά.

ζωρόν ζωτικόν.

ζωροπόται ἀκρατοπόται.

ζωρότερον ἀκρατότερον· ἐν ἐπιγράμματι ⟨AP 6 115⟩ "καὶ ζωρὸν κεράσας ἰσοχειλέα." καὶ Ὅμηρος εἰπὼν ⟨I 203⟩ "ζωρότερον δὲ κέραιε" διαφορὰς κράσεων λέγει, ὡς μίγματός τινος στερεμνίους ποιοῦντος τοὺς πίνοντας.

ζώς ⟨Hom. E 887⟩ ἀντὶ τοῦ ζῶν.

ζώσας ἐναργεστέρας, οὐκ ἀπολλυμένας· Σοφοκλῆς ⟨OR 44⟩ "ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων." τουτέστιν ἐν τοῖς συνετοῖς τὰς συντυχίας καὶ τὰς ἀποβάσεις τῶν βουλευμάτων ὁρῶ ζώσας καὶ οὐκ ἀπολλυμένας. ἀντὶ τοῦ οὐ σφάλλεται, ἀλλὰ τοῦ ἀποβησομένου στοχάζεται καλῶς.

Ζωσιμᾶς ὄνομα κύριον.

a Ζώσιμος Ἀλεξανδρεὺς φιλόσοφος χημευτικὰ πρὸς Θεοσεβίαν τὴν ἀδελφήν· ἔστι δὲ κατὰ στοιχεῖον ἐν βιβλίοις κη', ἐπιγράφεται δὲ ὑπὸ τινῶν χειρόκμητα. καὶ ὁ Πλάτωνος βίος.

Ζώσιμος Γαζαῖος ἢ Ἀσκαλωνίτης, σοφιστής, κατὰ τοὺς χρόνους Ἀναστασίου τοῦ βασιλέως, ἔγραψε λέξιν ῥητορικὴν κατὰ στοιχεῖον, καὶ ὑπόμνημα εἰς τὸν Δημοσθένην καὶ εἰς Λυσίαν. b

ζῶσμα φαεινόν ⟨Hom. ξ 482⟩ τὸν χιτῶνα, ἀπὸ τοῦ ζώννυσθαι. ἄλλοι δὲ τὸν θώρακα, οἱ δὲ κυρίως τὸ ζῶσμα· "οἱ Ῥωμαίων ψιλοὶ ἐφαπτίδα εἶχεν ἕκαστος αὐτῶν καὶ ζώσματα πρὸ τῶν μηρῶν."

Ζώστειον ὄνομα τόπου.

ζωστήρ ᾧ ἐπάνω τοῦ θώρακος χρῶνται.

ζῶστρα ἐνδύματά τινα ἀνδρῶν, οἷον χιτῶνας βαθεῖς, οὓς ζώννυνται τῇ ζώνῃ.

ζωύφιον.

ζωφυτεῖσθαι ζωογονεῖσθαι.

ζώων ζῶν· ⟨AP 9 397⟩ "ζώων μὲν στέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις, καὶ κρατερᾶς Σπάρτας πάτρια θεσμὰ λύεις."

ἦ ἢ παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις ⟨106⟩ "ἦ ἢ σιώπα· μηδὲν εἴπῃς νήπιον." συγκαταθετικῶς. μὴ εἴπῃς δὲ εὔηθες.

περὶ τοῦ ἢ συνδέσμου. ἢ γὰρ διαζευκτικός ἐστιν ἢ διασαφητικὸς ἢ ὑποδιαζευκτικός. καὶ διαζευκτικὸς μὲν ὁ τὰ ἐναντία ἐν τῇ συντάξει διιστῶν, οἷον ἡμέρα ἢ νύξ, ⟨Hom. Ξ 108⟩ "ἢ νέος ἠὲ παλαιός." ὑποδιαζευκτικὸς δέ ἐστιν ὁ διάφορα πράγματα τιθεὶς καὶ μηδὲν ἕτερον ἐν τῇ αἰτήσει διαιρῶν, οἷον "δός μοι χρυσὸν ἢ ἄργυρον ἢ λίθους τιμίους." διασαφητικὸς δέ, ὅταν τῶν δύο προτεθέντων τὸ ἓν αἱρῆται, οἷον "ἐν γῇ πένεσθαι κρεῖσσον ἢ πλουτοῦντα πλεῖν," καὶ "θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον."

ᾗ ἀντὶ τοῦ ὡς, καθώς.

ᾗ νομίζεται ⟨S OC 1603⟩ ὡς νενόμισται ἐπὶ τοῖς νεκροῖς.

ᾗ ὅπου, τοπικόν· "ᾗ ἅμα μὲν στερεὸν ἅμα δὲ χθαμαλὸν ἦν" ⟨cf. v. χθαμαλά⟩. καὶ αὖθις ⟨AP 7 98⟩ "ᾗ σὺ φιληδῶν οὕτως ἀρέσκῃ καὶ μένειν ἔγνως."

ἦ χωρὶς τοῦ ν, ἀντὶ τοῦ ἦν. "ἀλλ' οἵαπερ αὐτὸς ἔμαθον ὅτε παῖς ἦ" ἀντὶ τοῦ ἦα Ἀριστοφάνης Ὄρνισι ⟨1363⟩, καὶ ἐν Λυσιστράτῃ ⟨644⟩ "ἦ δεκέτις." ἀντὶ τοῦ ἦα, κατὰ συναίρεσιν ἦ, ἀντὶ τοῦ ἤμην, καὶ χωρὶς τοῦ ν· Ἀριστοφάνης Πλούτῳ ⟨77⟩ "ἃ κρύπτειν ἦ παρεσκευασμένος." τίθεται καὶ ἐπὶ γ' προσώπου. ἔστι δὲ καὶ ἐπὶ τοῦ ἤμην ἐκ τῆς Ὁμηρικῆς διαιρέσεως ⟨Λ 762⟩ "ὡς ἔον, εἴ ποτ' ἔην γε."

ἦα δισυλλάβως τὸ ἐπορευόμην. σὺν τῷ ι γράφεται· οἱ γοῦν Ἴωνες ἤια λέγουσι, καὶ ἤισαν τὸ ἤεσαν. καὶ παρὰ Θουκυδίδῃ (1 1) οὕτως ἀναγνωςέον, "ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτόν." οἱ Ἴωνες ἤεσαν καὶ ἤισαν. Ἀριςοφάνης Ὁλκάσιν "ἐπεὶ δ' ἐγενόμην οἶπερ ἦ' ἐπὶ ξύλα."

ἡ ἀγάπη οὐ περπερεύεται (1 Corinth. 13 4) ἀντὶ τοῦ οὐ προπετεῖ. καὶ ἔςιν ἐν τῷ περπερεία.

ἠακότες θρηνήσαντες.

ἡ ἀπὸ Σκυθῶν ῥῆσις. τέτακται ἡ παροιμία ἐπὶ τῶν ἀποτόμως οἰμώζειν τινὰ λεγόντων, παρ' ὅσον οἱ Σκύθαι τῷ Πέρσῃ, μηνύσαντι περὶ τοῦ εἶξαι, ἀπεκρίναντο κλαίειν αὐτὸν εἰπόντες.

ἠάριζον τὸ τοῦ ἔαρος ἔλεγον.

ἡβᾷ ἀκμάζει, σφριγᾷ.

ἡβαιαί (Hom. Ξ 141). καὶ ἠβαιόν (B 380) μικρόν, ὀλίγον.

ἡβάσκει ἀκμάζει.

ἥβη νεότης, ἀκμή. σημαίνει δὲ καὶ ὄνομα θεᾶς.

a ἡβηδόν ἡβῶντας, ἢ τὰς ςρατιάς, ἢ ἀθρόον ὅλα καθ' ἡλικίας· "οἱ δὲ ἡβηδὸν ἅπαντας κατέσφαξαν, ὀργὴν ποιούμενοι τῷ μὴ τοῖς σφῶν ὑπαχθῆναι λόγοις."

b ἡβηδόν σὺν πάσῃ ἡλικίᾳ. παρὰ δὲ Ἡροδότῳ (1 172) ἀντὶ τοῦ μετ' ἰσχύος, μετ' ἀκολασίας.

ἡβήσαντες ἀκμάσαντες· Εὐνάπιος "οἱ δὲ παῖδες ἡβήσαντες καὶ γενόμενοι θυμȣ̃ καὶ χειρῶν κύριοι." καὶ ἐπὶ διετὲς ἡβῆσαι λέγεται ὅταν οἱ ἐπικλήρων υἱεῖς δοκῶσι γεγενῆσθαι ἁρμόδιοι τὰ πατρῷα παραλαμβάνειν. Ἰσαῖός φησιν "ἐντιγόμεθα μὲν ἐκείνῃ τὸν ἐγγυτάτω γένȣς δεῖν συνοικεῖν, τὰ δὲ χρήματα τέως μὲν τῆς ἐπικλήρου εἶναι, ἐπειδὰν δὲ παῖδες ἐπὶ διετὲς ἡβῶσιν, ἐκείνους αὐτῶν κρατεῖν."

ἡβητήρ. καὶ ἥβη ἡ πρώτη ἔκφυσις τῶν τριχῶν. ἐν ἐπιγράμματι (AP 5 277) "ȣ̉ καλὸν ἡβητῆρες· ἀπεχθαίρω γὰρ ἐκείνην τὴν τρίχα τὴν ταχὺ φυομένην."

a ἡβητήριον τὸ παιδευτήριον.

b ἡβητήριον ἡ κατάλυσις.

ἠβουλόμην ὡς ἀττικώτερον, ἐβουλόμην δὲ οἱ πολλοί.

ᾗ βούλονται καθὸ βούλονται.

ἡβυλλιῶσαι ἀκμάζουσαι τὴν ἡλικίαν· Ἀριςοφάνης Βατράχοις (517) "ὀρχηςρίδες ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι." λείπει τὰς τρίχας· αἱ γὰρ μελλόνυμφοι ἔτιλλον τὰς τρίχας.

ἡβῶμαι. καὶ ἡβῷμι (Hom. H 133) καὶ ἡβώοιμι (H 157) αὐξάνοιμι.

ἡβώωσα αὐξάνουσα.

ἠγαθέη ἡ ἄγαν θεία.

ἤγαλλεν ἐθεράπευεν· Δίων ἐν ις' λόγῳ Ῥωμαϊκῶν "διά τε οὖν ταῦτα καὶ ὅτι τὸ θεῖον ἀκριβῶς ἤγαλλεν." κέχρηνται δὲ τῇ λέξει ταύτῃ ἄλλοι τε καὶ Εὐνόμιος ὁ δυσσεβής, καὶ αὐτὸς οὗτος πολλάκις.

ἠγαλλέη ἡ θεραπευτική.

ἡ γαμήλιος.

ἦ γάρ; ἀντὶ τοῦ οὐχ οὕτως;

ἠγάσαντο ἐθαύμασαν, καὶ ἠγάσθην ἐθαύμασα· "ὁ δὲ Καῖσαρ ὡς ἔμαθε πάσας τὰς κατ' αὐτὸν τύχας, ἠγάσθη τοῦ ἀνδρὸς καὶ ἔσχε σύμμαχον."

ἠγγέλη ἀπηγγέλη.

ἠγγύα ἐβεβαίου.

ἤγειρα (Hom. E 208) παρώξυνα.

ἡγείσθην (Hom. B 731) ἀντὶ τȣ̃ ἡγȣ̃ντο.

ἦγε καὶ ἔφερεν ἀντὶ τοῦ ᾐχμαλώτιζε, κατέτρεχεν· (Arrianus: cf. v. ἁλώσιμα) "ȣ̃ δὲ ἐκεῖθεν ὁρμώμενος ἦγε καὶ ἔφερε τῆς ἐπ' ἐκείνῳ οὐκ ὀλίγην, καὶ αὐτὸς οὐδαμῇ ἦν αὐτῷ ἁλώσιμος." cf. v. ἄγειν καὶ φέρειν.

Ἡγέλοχος τραγῳδίας ὑποκριτής. "ἔξεςι δ', ὥσπερ Ἡγέλοχος, ἡμῖν λέγειν, ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ", (A Ran. 304), ἐπὶ τῶν διαφυγόντων τὰ λυπηρά. ὁ γὰρ Ἡγέλοχος οὗτος καὶ ἐν τῷ Ὀρέςῃ τοῦ Εὐριπίδȣ (279) προςάντος αὐτῷ τȣ̃ πνεύματος ἐν τῷδε τῷ ςίχῳ "ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ," (γαληνὰ γὰρ τὸ πλῆρες) αἰφνιδίως ὀφθῆναι συνελόντα τὴν συναλοιφήν. τȣ̃τον δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει.

ἡγεμονεύω διοικῶ. καὶ ἡγεμόνι ὑπεροχικῷ ἄρχοντι, καὶ καθηγεμόνι.

ἡγεμονία δικαςηρίου. τοῖς ἄρχουσιν ȣ̉ πάσας πᾶσιν ἐφεῖτο δίκας εἰσάγειν, ἀλλὰ τῷ μὲν ἄρχοντι τὰς τῶν ὀρφανῶν καὶ τὰς τῆς παρανοίας καὶ τὰς τῶν ἐπικλήρων ἐπιδικασίας, τοῖς δὲ λογιςαῖς τὰς κατὰ τῶν ἀρξάντων εὐθύνας, τῷ μέντοι γε βασιλεῖ τάς τε φονικὰς καὶ τὰς τῆς ἀσεβείας καὶ ἄν τις ἱερωσύνης ἀμφισβητεῖ, πρότερον δὲ καὶ τὰς περὶ τῶν ἱερῶν τοῖς ἱερεῦσιν ἀμφισβητήσεις·

προηγόρευε δὲ καὶ τῶν νομίμων εἴργεσθαι τοὺς ἐν αἰτίᾳ. τῷ πολεμάρχῳ δέ, ὅσαι ἀποςασίου γραφὴν ἔφερον· ἔτι μὴν καὶ ὅσα ὁ ἄρχων ἐν τοῖς ἀςοῖς, ὁ πολέμαρχος τοῖς μετοίκοις δίῃτα. τοῖς θεσμοθέταις συκοφαντίας καὶ δώρων καὶ ὕβρεων καὶ μοιχείας καὶ βουλεύσεως, τοῖς ἕνδεκα ὅσοι λῃςὰς καὶ λωποδύτας καὶ ἀνδραποδιςὰς εἰσάγουσι, τῷ ςρατηγῷ περὶ τριηραρχίας καὶ ἀντιδόσεως. οὕτως οὖν διαιτῶντες ἡγεμονίαν δικαςηρίου ἔχειν λέγονται. ἀλλὰ γὰρ ὁ βασιλεὺς καὶ τῶν μυςηρίων ἅμα τοῖς ἐπιμεληταῖς προΐςαται, ἔχει δὲ μόνος καὶ ςέφανον.

b ἡγεμονία δικαςηρίου· Αἰσχίνης κατὰ Κτησιφῶντος (14). ἄλλαι πρὸς ἄλλους τῶν ἀρχόντων ἐλαγχάνοντο δίκαι, τὰς δὲ ἀπενεχθείσας αἱ ἀρχαὶ κατὰ τὸν αὐτῆς ἑκάςη νόμον εἰσῆγον εἰς δικαςήριον ἡγεμένη καὶ προεςῶσα, οἷον πρὸς μὲν τὸν ἄρχοντα αἱ τῶν ὀρφανῶν καὶ αἱ τῶν ἐπικλήρων, πρὸς δὲ τὸν βασιλέα αἱ τῆς ἀσεβείας, πρὸς δὲ τὸν πολέμαρχον ἀποςασίου τε καὶ ἀπροςασίε, πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας καὶ συκοφαντίας καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ ἐπιβουλεύσεως καὶ ἄλλων. Harp. cf. v. παράςασις.

ἡγεμονικὸν ὁ νοῦς. ἢ τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται, καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν τῇ καρδίᾳ. Diog. L. 7 159.

a ἡγεμὼν ἡγεμόνος, καὶ ὦ ἡγεμών. "ἡγεμόνας ἐδέοντο τῆς ἀτραποῦ σφίσι ξυναποςεῖλαι, ὡς ἂν αὐτοὶ ἡγήσοιντο τέτοις ἐπὶ τὸ Σίρμιον."

b ἡγεμὼν ὁ τῆς ὁδῦ ἡγούμενος· Ξενοφῶν (Anab. 4 2 1) "καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς."

ἡγεμὼν συμμορίας, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (312), ὁ προέχων πλέτῳ καὶ διὰ τοῦτο τῶν ἄλλων ἡγεμονεύειν ἐπειλημμένος. Harp.

ἦγεν ἐτέλει· "ὁ δὲ Ἰουλιανὸς ἐν Πέρσαις ὢν γυμνικοὺς ἀγῶνας ἦγεν." cf. v. γυμνικοί.

ἠγερέεσθαι (Hom. K 127) συναθροίζεσθαι.

Ἠγέριος ὄνομα κύριον.

ἡγέτης ὁ ἡγεμών· (AP 6 167) "ὦ δισσαῖν ἀγέτα θηροσύναιν."

ἡγηλάζω ἄγω, φέρω.

ἥγημα βελή, γνώμη. παρὰ τῷ προφήτῃ (Ezech. 17 3) εἴρηται.

ἥγημαι λελόγισμαι, ἔσχον.

Ἡγήμων ὁ Θάσιος, ὁ ἐπικληθεὶς φακῆ. a
τῶν δραμάτων αὐτοῦ ἐςὶ Φίλιννα, ὡς Ἀθήναιος ἐν Δειπνοσοφιςαῖς (p. 5 et 699).

Ἡγήμων· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτη- b
σιφῶντος (285). εἷς ἦν τῶν μακεδονιζόντων καὶ τῶν ἐπὶ δωροδοκίᾳ διαβεβλημένων. Harp.

Ἡγήσανδρος ὄνομα κύριον.

Ἡγήσιππος. οὗτός ἐςιν ὁ κρωβύλος ἐπικαλούμενος, οὗ δοκεῖ τισὶν εἶναι ὁ ζ΄ Φιλιππικὸς Δημοσθένους ἐπιγραφόμενος (Harp.). τῶν δραμάτων αὐτοῦ ἐςὶ Φιλέταιρος, ὡς Ἀθήναιος (p. 279).

ἡγήσοιτο προηγήσοιτο.

ἡγήτορες ἡγεμόνες, καὶ ἡγητορία ἡγεμονία.

Ἡγίας. οὗτος ἀμείνων τῦ πατρὸς ἦν τὰ πρὸς ἀρετὴν ἥκοντα καὶ τὰ πρὸς λόγες, ἔτι μὴν μειράκιον γεγονὼς ἐλπίδας ἔσχεν ἐφ' ἑαυτῷ καὶ πᾶσι παρέσχεν ὡς ἐ πολύ τι ἀπολειπόμενος τοῦ μεγάλου Πλουτάρχου. τοιγαρῦν ὁ Πρόκλος ἠξίωσεν αὐτὸν ἔτι νέον ὄντα τῆς τῶν Χαλδαϊκῶν λογίων ἀκροάσεως· φιλομαθίᾳ γάρ τις αὐτῷ καὶ ἐπιείκεια προσῆν κατὰ φύσιν. ἀλλὰ τοῦτο δὴ τὸ εἰωθός, ὁ πλοῦτος μέγα κακὸν ταῖς ψυχαῖς ἔοικεν εἶναι, νομὸν ἄφθονον τοῖς κόλαξι παρεχόμενος οὐ χρυσίου μόνον (οὔπω γὰρ τοῦτο δεινόν) ἀλλὰ νέυ ψυχῆς ἁπαλῆς καὶ ῥᾳδίως ὑπὸ τῶν τοιούτων θηρίων καταβοσκομένης ὥσπερ ἀτεχνῶς ἄρτι ἀνθούσης βοτάνης. οὗτοι διέφθειραν τὴν Ἡγίου ζωὴν πρός γε τὸ μὴ γνησίως φιλοσοφεῖν. ἄλλως δὲ φιλομαθής, ὅσα τὴν φύσιν ἐξηγήσασθαι, ἐπεὶ κατὰ τὴν ἄλλην συνήθειαν ἔςιν ὅπῃ καὶ διεκπίπτει τῶν ὀρθῶν λογισμῶν, ἱερὸς δέ, εἴπερ τις ἄλλος, εἶναι βουλόμενος τά τε τῶν κηδεςῶν ἱερὰ λαθὼν ἐτελειώσατο κατὰ τὴν Ἀττικήν, οὐ πείσας ἐκείνους, καὶ πολλὰ ἄλλα τῶν κειμένων τέως ἐκ πλείςου χρόνε πάλιν ἐκίνησε, παραβαλώτερον ἢ εὐσεβέςερον τῇ προθυμίᾳ χρησάμενος. ὅθεν ἐν τῇ πολιτείᾳ περιβόητος ἐγένετο, καὶ χαλεποὺς ἐφ' ἑαυτῷ τοὺς ἐχθροὺς ἐπεσπάσατο, τάς τε μεγάλων χρημάτων ὀρεγομένους ὧν κύριος ἦν, καὶ ἀπὸ τῶν καθεςώτων νομίμων ἐπιβουλεύοντας. ἐνῆν γάρ τι τῷ Ἡγίᾳ καὶ τῆς Θεαγένους μεγαλόφρονος φύσεως ἐν ταῖς εὐεργεσίαις, ἀκριβέςερον δὲ ἐκείνου τοσοῦτον ὅσον ἐς φίλους καὶ δεσμέ-

νους ἀναλίσκειν. Damasc. Phot. p. 349: cf. vv. Εὐπείθιος et Ὄλυμπος.

ἠγλαϊσμένη χαίρουσα, λαμπρυνομένη.

ἡ γλῶττα τῷ κήρυκι τέτων τέμνεται" (A Plut. 1111), τουτέςιν ἡ γλῶττα τῶν θυομένων τῷ Ἑρμῇ δίδοται. Καλλίςρατος δέ φησι τῶν θυομένων τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι.

ἡ γλῶττ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος" (Eur. Hippol. 612).

a ἡγμένος πεπαιδευμένος, καὶ ἀγωγὴ ἡ παίδευσις.

b ἡγμένος τεθηρευμένος καὶ πάντα πειθαρχῶν. (Marin. V. Procli 9: cf. v. Ὀλυμπιόδωρος) "ὃ δὲ ἠγάσθη τὸ μειράκιον, ὥςε καὶ θυγάτριον ἔχων ἡγμένον καὶ αὐτὸ φιλοσόφως αὐτῷ κατεγγυῆσαι."

ἡγμένους ἀγομένους.

ἡγνικότες (1 Petri 1 21) καθάραντες.

ἠγόμην ἐτρεφόμην, ἐτύγχανον· (S OR 775) "ἠγόμην δ' ἀνὴρ ἀςῶν μέγιςος τῶν ἐκεῖ, πρίν μοι τύχη τοιάδ' ἐπέςη."

ἠγορόωντο (Hom. Δ 1) ἐδημηγόρουν.

ἡγοῦμαί σου ἄρχω σου, γενικῇ.

ἡγουμενία διὰ τῦ ι. cf. Herodian. epim. p. 221.

ἡγούμενος προηγούμενος.

ἤγουν εἴτουν, ἐπίρρημα διασαφητικόν.

ἠγρίωσαι ἀντὶ τοῦ σκληρύνῃ· Σοφοκλῆς (Phil. 1321) "σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβουλον δέχῃ, ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων, ςυγεῖς πολέμιον δυσμενῆ θ' ἡγούμενος."

ἠγροικισάμην κακῶς ἐφθεγξάμην.

ἣ δὲ ἀντὶ τοῦ αὐτὴ δέ.

ᾔδεε (Hom. B 409) ᾔδει, ἠπίςατο. καὶ ᾔδεσαν ὁμοίως.

ἡδεῖα γλυκεῖα.

ᾔδεισθα ᾔδεις.

ἢ δεῖ χελώνης κρέα φαγεῖν ἢ μὴ φαγεῖν." τῆς χελώνης ὀλίγα κρέα βρωθέντα ςρόφους ποιεῖ, πολλὰ δὲ καθαίρει· ὅθεν τὴν παροιμίαν εἰρῆσθαι Δήμων. ἕτεροι δὲ ἐπὶ τῶν ἀποδύντων μὲν τὸ πρᾶγμα, ςραγγευομένων δέ. φασὶ δὲ αὐτὴν Τερψίωνος εἶναι. cf. Athen. p. 337.

a ἤδη ἀπάρτι.

b ἤδη πρὸ τούτου, λοιπόν, τὸ ἐγγὺς τοῦ παρόντος νῦν ἀτόμου. μέρος δὲ χρόνυ ἢ τῦ μέλλοντος ἢ τοῦ παρεληλυθότος· ἤδη τε γὰρ βαδιεῖσθαί φαμεν κατὰ τὸ συνάπτον τῷ νῦν, ἤδη τε βεβαδικέναι, οὐ πολὺ ἀφιςάντες τοῦ νῦν τὸν χρόνον.

ἤδη ἀντὶ τοῦ λοιπόν, ταχέως. Ἀριςοφάνης Πλούτῳ (96) "φεύγοις ἂν ἤδη τὺς πονηρούς," καὶ Ἰάμβλιχος "ἤδη γὰρ ἐλεῶ σε, ὅτι τὰ αὐτά σοι δυςυχῶ," ἀντὶ τῦ ἐγγὺς τῦ παρόντος. καὶ αὖθις "εἰ δὲ ἤδη μεταμέλει τούτων Ἀντωνίῳ, καὶ αὐτὸς ξυνομολογῶ οὐκ ἀπὸ θυμῦ εἶναι φιλίαν ξυνάψαι Ῥωμαίοις." περὶ Πυθαγόρου "ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς λόγῳ μάτην θνήσκοντας· εἶθ' ὅταν δόμους ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον" (S El. 62), ὡς Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς ἄρα τεθνηκὼς εἴη, καὶ μετὰ ταῦτα ἐπιφανεὶς περὶ παλιγγενεσίας καὶ τῶν καθ' ᾅδου τινὰ ἐτερατεύετο, διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων οἷς ἐν ᾅδου συντετυχηκέναι ἔλεγεν· ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν ὡς πρὸ μὲν τῶν Τρωικῶν Αἰθαλίδης ὢν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος Σάμιος, εἶτα Πύθιος Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας. sch.

ἤδη τέρπῃ σύ.

ἠδημόνουν.

ἥδιον τὸ γλυκύ. ἡδίων δὲ ὁ ἡδύτερος ἀρσενικῶς διὰ τοῦ ω μεγάλου, ἡδίονος, τὸ συγκριτικόν.

ἥδιςα ἡδέως.

ἠδολέσχησα διελάλουν ἐμαυτῷ προσδιαλεγόμενος. Theodoret. in Ps. 76 3.

ἥδομαί σοι, δοτικῇ, εὐφραίνομαί σοι. καὶ ἥδομεν εὐφραίνομεν.

ἡδόμενος ἀρεσκόμενος.

ἡδονὴ ἡ ἀκάθαρτος καὶ ἡ φυσικὴ κα- a
τάςασις, ἣν Ἐπίκουρος ἐδογμάτιζε, τέλος παντὸς πράγματος τὴν ἡδονὴν εἶναι τιθέμενος. τουτέςι τὸ πρώτιςον ἀγαθόν, ὅ ἐςι θεός.

ἡδονὴ δέ ἐςι λεία κίνησις, πόνος δὲ τρα- b
χεῖα κίνησις. καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζώοις, τὸν δὲ ἀποκρουςικόν. ἡδονὴν μέντοι τὴν τοῦ σώματος, ἣν καὶ τέλος εἶναι, ὁ τὴν καταςηματικὴν ἡδονὴν τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων καὶ οἷον ἀοχλησίαν, τέλος εἶναι φασί. διαφέρει δὲ τέλος εὐδαιμονίας· τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν, εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύςημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι. εἶναί τε τὴν μερικὴν ἡδονὴν δι' αὐτὴν αἱρετήν, τὴν δὲ εὐδαιμονίαν οὐ δι'

αὐτὴν ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς. Diog. L. 2 86.

c ἡδονὴ δέ ἐϛιν ἄλογος ἔπαρσις ἐφ' αἱρετῷ δοκοῦντι ὑπάρχειν, ὑφ' ἣν τάττεται κήλησις ἐπιχαιρεκακία τέρψις διάχυσις. κήλησις μὲν οὖν ἐϛὶν ἡδονὴ δι' ὤτων κατακηλοῦσα, ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς, τέρψις δὲ οἷον τρέψις, προτροπή τις ψυχῆς ἐπὶ τὸ ἀνειμένον, διάχυσις δὲ ἀνάλυσις ἀρετῆς. Diog. L. 7 114.

d ὅροι ἡδονῆς, ά λεία κίνησις, β' ἡ γένεσις εἰς φύσιν αἰσθητήν, γ' ἡ ἄλογος διάχυσις, δ' ἡ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιϛος, έ ἡ τὸ παρακολουθοῦν τέλος ταῖς τελευταίαις ἐνεργείαις. ἐκ τούτων τῶν ὅρων ἰσχύει τις ἀνασκευάζειν καὶ κατασκευάζειν ὅτι ἀγαθὸν ἡ ἡδονὴ καὶ ὅτι μή. Alex. Aphrod. in Top. p. 88.

ἔϛι δὲ παρὰ ἑκατέρου μέρους τῆς ἀντιφάσεως συλλογισμὸς ἔνδοξος. ὅτι μὲν ἀγαθὸν ἡ ἡδονή, δείκνυσιν ὁ συλλογισμὸς ὗτος· οὗ πάντα ἐφίεται ἀγαθόν, τῆς ἡδονῆς δὲ πάντα ἐφίεται, ἡ ἡδονὴ ἄρα ἀγαθόν. τὸ δὲ μὴ εἶναι αὐτὴν ἀγαθόν ὁ τοιοῦτος· τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖ, ἡ ἡδονὴ ἀγαθὸς ὐ ποιεῖ, οὐκ ἄρα ἡ ἡδονὴ ἀγαθόν. ἡ ἡδονὴ τοίνυν ἐϛὶ κίνησις λεία· ἐνέργεια δὲ ἀτελὴς πᾶσα κίνησις· μηδὲν δὲ ἀγαθὸν ἀτελές· ἡ ἡδονὴ ἄρα οὐκ ἀγαθόν.

...ἐκ τῶν Πλωτίνε ⟨1 1⟩ "ἡδοναὶ λῦπαι, θάρρη φόβοι, ἐπιθυμίαι ἀποϛροφαὶ καὶ τὸ ἀλγεῖν, τίνος ἂν εἶεν; ἢ γὰρ ψυχῆς, ἢ χρωμένης ψυχῆς σώματι, ἢ τρίτου τινὸς ἐξ ἀμφοῖν. διχῶς δὲ καὶ τοῦτο· ἢ γὰρ τὸ μῖγμα ἢ ἄλλο τι ἐκ τοῦ μίγματος."

ἡδονῆς ἀκρότης τὸ πρὸς λύπην ἄμικτον.

e ἦ δ' ὅς. οἱ μὲν περὶ Ἐρατοσθένην ἀντὶ τοῦ ἔφη δὲ ὅς. διὸ καὶ δασύνεσι τὴν ἐσχάτην· ἐντετάχθαι γὰρ ἄρθρον τὸ ὅς, καὶ ἦ ἀντὶ τοῦ ἔφη· ⟨Plat. RP p. 327⟩ "ἀλλὰ περιμενοῦμεν, ἦ δ' ὃς ὁ Γλαύκων." καὶ "ἦν δ' ἐγώ" ἀντὶ τοῦ ἔφην δὲ ἐγώ. παρ' ὃ δὴ καὶ Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς ἠσίν ἀντὶ τοῦ φησίν· "ὁ Ζεὺς δίδωμι Παλλάς, ἠσί, τοὔνομα." Ἀρίϛαρχος δὲ τὸ μὲν ἦ δ' ὅς ἀντὶ τοῦ ἔφη δὲ ὅς, τὸ δὲ ἦν δὲ ἐγώ ἔφην δὲ ἐγώ, τὸ δὲ ἦ τῶν ἀρχαίων ἔφη εἶναι λεξειδίων, Ὅμηρον δ' οὐ κατὰ πάντα χρῆσθαι αὐτῷ, οὐδὲ σχηματίζειν ἀπ' αὐτοῦ τὸ ἀνάλογον, μόνως δ' ὅταν λόγε τελευτὴν σημαίνῃ· ⟨Α 528⟩ "ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι" καὶ ⟨χ 8⟩ "ἦ, καὶ ἐπ' Ἀντινόῳ." τοὺς δὲ μεθ' Ὅμηρον ἀδιαφόρως αὐτὸ τάσσειν.

ἦ δ' ὅς ἀντὶ τοῦ ἔφη δὲ ὅς. τέτῳ χρῶν- b ται καὶ ἐπὶ πλήθους, καὶ ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ.

ἦδος ὄφελος. ψιλοῦται. Ὅμηρος ⟨Σ 80⟩ "ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλετο;"

ἡδραίωται.

ἤδρασεν ⟨Ps. 95 10⟩ ἐϛήριξεν. καὶ ἡδρασμένος βέβαιος, πάγιος.

ἡδρυμένος ηὐξημένος.

ἡδύγαιον τὸ καλὴν ἔχον γῆν.

ἡδυεπής ⟨Hom. Α 248⟩ ἡδυλόγος.

Ἡδύλειον ὄρος, ὅπερ ἐϛὶν ἐν Βοιωτίᾳ. Harp.

ἡδύνομαι δοτικῇ.

ἡδύοσμος εἶδος βοτάνης.

ἡδυπαθής φιλήδονος, πάθει χαίρων. καὶ ἡδυπάθεια ἡ πορνεία.

ἡδύς εὐήθης. ἐκάλουν δὲ οὕτω καὶ τὲς ὑπομώρους.

ἡδύσματα βρώματα, ἢ εὐοσμία.

Ἠδωνὰ ἱμάτια Θρᾳκικά.

Ἠδωνίς Ἠδωνίδος. χώρα οὕτω λέγεται. καὶ Ἠδωνοί ὄνομα ἔθνους.

ἤε ἐπορεύετο.

ἠέ, βαρυτόνως, διαζευκτικὸς σύνδεσμος· ⟨Hom. Θ 507⟩ "ἠὲ διατμῆξαι κοῖλον δόρυ." περισπωμένως δὲ ἀπορηματικὸς περισπᾶται· "ἦ μαχεούμενον ἠὲ καὶ οὐχί."

ἤει ἐπορεύετο.

ἤειρεν ἔδησεν.

ἠέλιος ὁ ἥλιος. καὶ Ἠελιώτης.

ἤεμεν ⟨immo ἦσμεν⟩ ᾔδειμεν.

ἦεν ὑπῆρχεν.

ἢ ἐν ὁδῷ καθελών ἀντὶ τὲ ἐνεχθέντα ἑλών, τουτέϛιν ἔν τινι ἐνέδρᾳ καταβαλών. Δημοσθένης ἐν τῷ κατὰ Ἀριϛοκράτες ⟨53⟩. Harp.

ἠέρα ⟨Hom. Θ 50⟩ ἀορασίαν.

ἠερέθονται ⟨Hom. Γ 108⟩ ἀπαιωρεῦνται.

ἠέριαι ⟨Hom. Γ 7⟩. καὶ ἠερίη ⟨Α 497⟩ ἑωθινή. καὶ ἠερινός ὀρθρινός.

Ἠερίβοια ⟨Hom. Ε 389⟩ ὄνομα κύριον.

ἠερόεις ὁ σκοτεινὸς ᾅδης.

ἠερόεν. καὶ ἠεροειδές ⟨Hom. [illegible] σκοτεινόν.

ἠέρος ὄγμοι αἱ ὁδοί, οἱ τόποι. [illegible]

δὲ θηλυκῶς ἐν ἐπιγράμματι ⟨AP 6 183⟩ "καὶ διὰ μέσσης ἠέρος εὔαγρον τοῖσδε δίδου κάματον."

ἠεροφοῖτις ⟨Hom. T 87⟩ ἡ ἀοράτως ἐρχομένη κατὰ τὰ ἔργα.

ἤεσαν ἐπορεύοντο.

Ἠετίων ὄνομα κύριον.

Ἠετιώνεια. οὕτως ἐκαλεῖτο ἡ ἑτέρα τῆς Πειραιέως ἄκρα, ἀπὸ τοῦ κατακτησαμένου τὴν γῆν Ἠετίωνος ⟨Harp.⟩. καὶ Ἠετιώνειος δίαιτα ἡ τοῦ Ἠετίωνος.

ἠθάδων συνήθων· "χειμέριον νύκτ' ἐτήρησαν, ἐν ᾗ οὐδ' ἄν τις αὐτῶν τῶν βαρβάρων τῶν ἠθάδων ἄνευ τινὸς ἐξαισίου ἀνάγκης ἔξω τῶν σκηνωμάτων ἐγένετο." cf. v. σκηνημάτων.

ἠθαλωμένος ὁ κεκαυμένος.

Ἠθαμά ὄνομα τόπου. ἑβραϊστὶ δὲ λέγεται αἷμα.

ἤθεα παρὰ Ἡροδότῳ ⟨1 156⟩ οἱ τόποι ἐν οἷς ἀναστρέφονται.

ἠθεῖε. τοῦτο οὔτε ψιλῶς ἐπὶ ἀδελφοῦ φέρεται οὔτε πρεσβύτου, ἀλλ' ἐπὶ σεπτικῇ προσηγορίᾳ, καθ' ἣν νέος πρεσβυτέρῳ ἀδελφῷ προσφωνεῖ. τὸ δὲ πλῆρες ἠθεῖε. καὶ θηλυκὸν ἠθεία ⟨Hom. ψ 94⟩.

ἡ θέμις ὡς νόμος, ὡς προσῆκον.

ἠθλοθέτει τοὺς ἀγῶνας διετίθει· "ἕως δ' μέγιστος ἑλλανοδίκης Γαϊνᾶς τὸν Ῥωμαϊκὸν ὄλεθρον ἠθλοθέτει," τουτέστι τὸν ἀγῶνα διετίθει. cf. v. ἑλλανοδίκαι.

ἠθμός ὁ διυλιστήρ· ⟨Artemid. 5 5⟩ "καὶ μέντοι καὶ διακριθὲν πρότερον ὑπὸ τοῦ λεγομένου ἠθμοῦ."

ἠθολόγος θεατριστής.

ἠθοποιία μίμησις ἤθους ὑποκειμένου προσώπου.

ἦια ὑπῆρχον.

ἠίθεος ἄφθαρτος πρὸς γυναῖκας· ἐν ἐπιγράμματι ⟨AP 5 297⟩ "ἠιθέοις οὐκ ἔστι τόσος πόνος ὁππόσος ἡμῖν ταῖς ἁταλοψύχοις." καὶ ὁ ἴσος τοῖς θεοῖς.

ἤικτο ⟨Hom. δ 796⟩ ὡμοίωτο.

ἠιόεις ὁ αἰγιαλώδης.

ἠιόεντι ⟨Hom. E 36⟩ καλὸν αἰγιαλὸν ἔχοντι.

ἤιον τὸ εἰς ὁδὸν βρῶμα.

ἠιόνα αἰγιαλόν, ὄχθην.

Ἠιονεύς ⟨Hom. H 11⟩ ὄνομα κύριον.

ἠίσκομεν ⟨Hom. Φ 332⟩ ἀπεικάζομεν.

ἠίστωσας ἠφάνισας· ⟨S Ai. 515⟩ "σὺ γάρ μοι πατρίδ' ἠίστωσας δορί."

ἠίχθη ⟨Hom. Γ 368⟩ ὥρμησεν.

ἠιών ὁ αἰγιαλός.

ἠίων ἀχύρων· Ὅμηρος ⟨ε 368⟩ "ὡς δ' ἄνεμος ζαὴς ἠίων θημῶνα τινάξει." καὶ Βάβριος ⟨146⟩ "οὔπω δὲ καιρός ἐστιν ἦια λύειν."

ἦκα ἡσύχως.

ἠκαιρεῖσθε ⟨ad Philipp. 4 10⟩ ἐκωλύεσθε, καιρὸν οὐκ εἴχετε.

ἤκαλλον ἐθώπευον, ἀπὸ τοῦ αἰκάλλω θέματος.

ἡ κάμηλος ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία" ⟨Synes. ep. 113⟩ ἐπὶ τῶν γηρασάντων ἀνδρείων, ἢ ἐπὶ τῶν δυστυχησάντων μέν, πάλιν δὲ δυναμένων.

ἤκαχες ἐλύπησας. ἐν ἐπιγράμματι "ὦ πόσον ἠιθέων νόον ἤκαχες. ἀλλ' ἴθε, λήθην ναίεις ἀγλαΐην ἐν χθονὶ κατθεμένη" ⟨AP 7 220⟩. περὶ Λαΐδος τῆς ἑταίρας.

ἤκαχον· ⟨AP 7 1⟩ "ἡρώων τὸν ἀοιδὸν Ἴῳ ἔνι παῖδες Ὅμηρον ἤκαχον, ἐκ μουσέων γρῖφον ὑφηνάμενοι," ἀντὶ τοῦ ἐλύπησαν. cf. v. γρῖφος.

ἤκει ἀντὶ τοῦ ἐῴκει, ὡμοίωτο· ⟨A Av. 1287⟩ "ὄρτυξ καλεῖται· καὶ γὰρ ἦκει ὀρτυγι." ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ.

ἥκεις· ⟨A Thesm. 716⟩ "ἀλλ' οὖν ἥκεις ὅθεν ἥκεις, φαύλως τ' ἀποδρὰς οὐ λέξεις οἷον δράσας διέδυς ἔργον, λήψῃ δὲ κακόν." ἥκεις, φησίν, εἰς τὰς χεῖρας ἡμῶν, ὅθεν οὐ φεύξῃ.

ἧκεν ἐφῆκεν.

ἠκέσατο ⟨Hom. E 402⟩ ἰάσατο, ἐθεράπευσεν.

ἠκέστης ⟨Hom. Z 94⟩ ὁ ἀδάμαστος.

Ἠκεστίδης ὄνομα κύριον.

Ἤκεστος.

ἠκή ἡ ὀξύτης τοῦ σιδήρου.

ἠκηδίασεν Ps. 142 4.

ἠκισμένους ἠφανισμένους.

ἥκιστα οὐδαμῶς, οὐχ ἧττον. καὶ Λιβάνιός φησιν "εἴ τινα ἄλλον τρόπον, ὃν ἥκιστα ὤφθη μετελθὼν ὁ ἐπὶ τῇ φιλίᾳ ἔμπορος." "ἥκιστα δ' ἄν τις αὐτὸν ἐθεάσατο παρεκβαίνοντα τὸ ἀληθὲς ἔργῳ ἢ λόγῳ ποτέ" ⟨cf. v. εἴρων⟩. "ὁ δὲ Δομετιανὸς ὕπατον αὐτὸν ἀποφήνας ὡς ἥκιστα ἐπιφανῆ πιστεύει τὴν στρατιὰν πρὸς Κελτούς." καὶ αὖθις "τὰ τῆς ἐμπορίας ἐπικερδῆ ἥκιστα αὐτῷ ἦν." Ξενοφάνης ἔφη ⟨Diog. L. 9 19⟩ "τοῖς τυράννοις ἐντυγχά-

νειν ὡς ἥκιστα ἢ ὡς ἥδιστα." καὶ αὖθις "ἥκιστα μελῆσαι αὐτοῖς τῆς ἀληθείας" ἀντὶ τοῦ οὐδαμῶς. Ἰάμβλιχος "ἀνὴρ ἐπιστάμενος ἥκιστα ψεύδεσθαι, φίλος δέ, εἴπερ τις ἄλλος, ἀληθείας." καὶ αὖθις "ἥτις δεινὸν ἡγησαμένη καὶ φορητὸν ἥκιστα ἑαυτὴν διέφθειρε." καὶ αὖθις "τὸ δαιμόνιον πάντα ἐφορᾷ, καὶ ἥκιστα βούλεται ταῖς τιμωρίαις ἀπαραιτήτους καὶ ἀμειλίκτους εἶναι." οὐχ ἥκιστα δὲ ἀντὶ τοῦ πάνυ, μάλιστα.

ἥκιστος ἐλάχιστος, παρὰ τὸ ἦκα, ὅ ἐστιν ἡσυχῇ. καταστρέφει δὲ εἰς τὸ ἐλάχιστος. καὶ ψιλῶς προενεκτέον, οὐχ ὡς παρὰ τοῖς Ἀττικοῖς δασύνεται. sch. Ven. ψ 531.

ἤκμαζεν ἔρρωτο· (Dio Cass. 68 6) "ὁ δὲ Τραϊανὸς τῇ ψυχῇ ἤκμαζεν, ὥστε μήτε ὑπὸ νεότητος θρασύνεσθαι μήτε ὑπὸ γήρως ἀμβλύνεσθαι."

ἥκομεν παραγενόμεθα.

ἠκόνα τὴν προθυμίαν.

ἡκούσης ἐχούσης, παρὰ Ἡροδότῳ (1 30).

ἠκουσιάσθησαν ἑκουσίως ἠθέλησαν ποιῆσαί τι.

ἠκροβολίζοντο.

ἠκρωτηριασμένος. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (296) "ἠκρωτηριασμένοι τὰς αὑτῶν ἕκαστοι πατρίδας" ἀντὶ τοῦ λελυμασμένοι· οἱ γὰρ λυμαινόμενοί τισιν εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα. τὸ μέντοι ἠκρωτηριασμένοι ἀντὶ τοῦ ἠκρωτηριακότες. Harp.

ἦκτο ἤγετο, ἐκ τοῦ ἄγω τὸ φέρω.

ἠκύρουν ἀβέβαια ἐποίουν.

ἡ κύων ἐν τῇ φάτνῃ, ἐπὶ τῶν μήτε αὐτῶν χρωμένων μήτε ἄλλους ἐώντων, παρ' ὅσον αὕτη κριθὴν οὐκ ἐσθίει καὶ τὸν ἵππον κωλύει.

a ἥκω ἦλθον.

b ἥκω τοῦ κατέρχομαι διαφέρει. ἐλθεῖν μὲν γὰρ εἰς τὴν πόλιν ἐστὶν ὅταν μετῇ τινὶ τῆς πατρίδος· ὅταν δὲ φυγὰς ἔλθῃ, κατέρχεται. Ἀριστοφάνης Βατράχοις (1163) "εἰς γῆν μὲν ἐλθεῖν ἔσθ' ὅτῳ μετῇ πάτρας· χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθε· φεύγων δ' ἀνὴρ ἥκει τε καὶ κατέρχεται."

c ἥκω τὸ ἔρχομαι διὰ τοῦ η, ἵκομαι δὲ παθητικὸν διὰ τοῦ ι.

ἠλαζονεύετο ἀντὶ τοῦ ἐψεύδετο· Ἀριστοφάνης Βατράχοις (279) "ἠλαζονεύεθ', ἵνα φοβηθείην ἐγώ, εἰδώς με μάχιμον ὄντα, φιλοτιμούμενος."

ἠλακάτη ἐργαλεῖον γυναικός· (AP 6 174) "ἐργάτιν εὐκλώστου νήματος ἠλακάταν." καὶ ἠλάκατα (Hom. ζ 53, ρ 97) λεπτὰ νήματα.

ἤλαλκον ἀπεσόβουν.

ἤλασεν ἔσκαψεν (Hom. Ι 349), ἐπλήξεν.

ἠλάσκοντο ἐπλανῶντο.

ἠλάστρεον (Hom. Ο 21?) ἐδεινοπάθουν.

ἥλατο ἐπήδησεν, ἠλᾶτο δὲ ἐπλανᾶτο· "καὶ ὁ μὲν τῶν νόμων ἡττώμενος ἠλᾶτο."

ἤλαυνεν· (S El. 734) "ἤλαυνε δ' ἔσχατος Ὀρέστης τῷ τέλει πίστιν φέρων," οἷον πιστεύων ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται.

ἤλεγχον ἐφανεροποίουν. ἢ ἀνέκρινον, ὡς Ξενοφῶν (Anab. 3 5 14) "οἱ δὲ τοὺς αἰχμαλώτους συναγαγόντες ἤλεγχον τὴν κύκλῳ πᾶσαν χώραν, τίς ἑκάστη εἴη."

Ἠλεὶ ἱερεὺς Ἰσραήλ. υἱοὶ αὐτοῦ Ὀφνεὶ καὶ Φινεές, οὓς ἐπὶ τῇ παροινίᾳ καὶ τῇ ἀταξίᾳ τῇ ἐπὶ τῶν θυσιῶν μετῆλθεν ἡ θεία δίκη. οἱ μὲν γὰρ ἐν πολέμῳ δεινῶς ἀνῃρέθησαν, ὁ δὲ τῆς θείας ἀκούσας φωνῆς λεγούσης (1 Regg. 2 30) "εἶπα, ὁ οἶκός σου διελεύσεται ἐνώπιόν μου ἕως αἰῶνος· καὶ νῦν οὐχ οὕτως, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ οἱ ἐξουθενοῦντές με ἀτιμασθήσονται, καὶ ἐξολοθρεύσω τὸ σπέρμα σου ἐκ τοῦ θυσιαστηρίου μου," καὶ πάλιν (ib. 3 13) "ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν οἶκον Ἠλεὶ ἕως αἰῶνος ἐν ἀδικίαις υἱῶν αὐτοῦ."

Ἠλεία χώρα.

Ἠλεῖος ὁ πολίτης, καὶ τὸ ἐθνικόν.

Ἠλέκτρα ὄνομα κύριον. καὶ πύλαι Θηβῶν.

ἤλεκτρα. ἰδίως τὰ ταῖς κλίναις ἐπιβαλλόμενα ἐλεφάντινα οὕτως ἐκάλουν ἤλεκτρα· Ἀριστοφάνης (Eq. 529) "ἐκπιπτουσῶν τῶν ἠλέκτρων καὶ τοῦ τόνου οὐκέτ' ἐνόντος." ἀκολούθως μετὰ τὴν κλίνην ἐμνημόνευσε καὶ τοῦ τόνου. τόνος δὲ τῆς κλίνης τὰ σχοινία, τροπικῶς δὲ δηλοῖ τὴν τῆς φωνῆς τάσιν. αἱ γὰρ ἀρχαῖαι κλῖναι τοὺς πόδας εἶχον ὠφθαλμισμένους ἄνθραξι καὶ ἠλέκτροις ὥσπερ νῦν ἀργύρῳ ἢ καττιτέρῳ. ἁρμονίας δὲ τὰ συμπησσόμενα τῶν κραββάτων μέρη. ἐπέμεινε δὲ τῇ τροπῇ.

ἤλεκτρον ἀλλότυπον χρυσίον, μεμιγμένον ὑέλῳ καὶ λιθείᾳ, οἵας ἐστὶ κατασκευῆς ἡ τῆς ἁγίας Σοφίας τράπεζα.

Ἠλεκτρυών ὄνομα κύριον. καὶ Ἠλεκτρυώνη ὄνομα κύριον.

ἠλέκτωρ ὁ ἥλιος. ἥλιος δέ ἐςιν ἄςρον ἡμεροφανές. λέγεται δὲ ἠλέκτωρ ὅτι ἄληκτός ἐςι καὶ ἀκάμας. ἀλλ' ἡ ἐτυμότης ὅλη σφαιρική (an σφαλερά). ἔνιοι δὲ ἀπὸ τῆς λαμπρότητος τοῦ ἠλέκτρου, ἢ ὅτι ἐγείρει ἡμᾶς ἀπὸ τοῦ ὕπνου. ἀπὸ τοῦ ἀλέκτορος· πολυόχευτον γὰρ τὸ ζῷον, ὅτι ἐκ τῶν λέκτρων ἡμᾶς ἐγείρει· (Hom. β 2) "ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς, ὤρνυτ' ἄρ' ἐξ εὐνῆφιν."

ἠλέματος ὁ μάταιος.

ἠλεός (Hom. ξ 464) ὁ μάταιος καὶ μωρός.

ἠλεύατο (Hom. N 184) ἐξέκλινεν.

ἠλήλατο (Hom. E 400) ἐνεπάγη.

ἠληλίμμην ἐχριόμην.

ἠλὶ ἠλί, λιμᾶ σαβαχθανί (Matth. 27 46) θεέ μου, θεέ μου.

ἡλιαία τὸ μέγα δικαςήριον ἐν τῇ Ἀττικῇ. καὶ οἱ δικαςαὶ ἡλιαςαὶ ἐκαλοῦντο.

ἡλιαία καὶ ἡλιάζεσθαι. βουλὴ συνεςῶσα ἐξ ἀνδρῶν χιλίων. ἐλέγετο δὲ καὶ ὁ τόπος οὕτως ἐν ᾧ συνηθροίζοντο. ἡλιάζεσθαι δὲ καὶ ἡλίασίς ἐστι τὸ ἐν ἡλιαίᾳ δικάζειν.

ἡλιαία καὶ ἡλίασις. ἡλιαία μὲν ἐςι τὸ μέγιςον δικαςήριον Ἀθήνησιν, ἐν ᾧ τὰ δημόσια τῶν πραγμάτων ἐκρίνετο, χιλίων δικαςῶν ἢ χιλίων καὶ πεντακοσίων συνιόντων. συνίασι δὲ οἱ μὲν χίλιοι ἐκ δυοῖν δικαςηρίων, οἱ δὲ ͵αφ' ἐκ τριῶν. Harp.

Ἠλίας ὁ προφήτης ἐπὶ Ἀχαὰβ βασιλέως ἦν, ὁ δὲ υἱὸς Ἀχαὰβ Ὀχοζίας ἀσεβέςατος ἦν· ὃς ἐχρήσατο μυίᾳ εἰδώλῳ τῷ ἐν Ἀκκάρων. ἐντυχὼν δ' αὐτοῖς Ἠλίας ὁ προφήτης ὠνείδισε τὴν εἰδωλολατρίαν. καὶ μεταπεμφθεὶς διὰ τοῦ πεντηκοντάρχου διέφθειρεν αὐτὸν οὐρανίῳ πυρί, ἅμα ν' τοῖς σὺν αὐτῷ· καὶ δεύτερον ὁμοίως. ὁ δὲ τρίτος γονυπετῶν ἐσώθη, καὶ παρέλαβε τὸν προφήτην.

ἡλίασις ἡ τοῦ ἡλίου θέρμη.

ἡλιαςαὶ οἱ ἐν ἡλιαίᾳ δικαςαί· ἡλιαία δὲ τὸ μέγιςον δικαςήριον Ἀθήνησιν. οἵτινες ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαςικὸν μετὰ τὸ κρῖναι. ὡς δημαγωγὸς οὖν ἐπικαλεῖ οὓς ἔτρεφε. συγγενεῖς δὲ αὐτοὺς εἶπε τȣ̃ τριωβόλȣ, οἷον προσῳκειωμένοι καὶ προσπεφυκότες τῷ τριωβόλῳ. λέγει γὰρ (A Eq. 255) "ὦ γέροντες ἡλιαςαί, φράτορες τριωβόλου."

ἡλιαςὴς δικαςής, ἀπὸ μεγάλου δικαςηρίου τῆς ἡλιαίας. οὕτω δὲ ἐκλήθη διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι τόπῳ καὶ ὑπὸ τοῦ ἡλίου βάλλεσθαι. Ἀριςοφάνης (Av. 109) "μάλα θάτερον." πέπονθε δὲ τοῦτο, ἀντὶ τȣ̃ ȣ̓κ ἀλλὰ θατέρου τρόπου, τουτέστι μισόδικος· εἶπε γὰρ ἀπηλιαςής. ἀντὶ τοῦ μισόδικος· οἱ γὰρ ἄγροικοι οὐ φιλοδικαςαί. καὶ φιληλιαςὴς ὁ φιλόδικος· (Vesp. 88) "φιληλιαςής ἐςιν ὡς οὐδεὶς ἀνήρ."

ὅτι πάντες Ἀθηναῖοι δημοσίᾳ ὤμνυον τὸ παλαιὸν τὸν ὅρκον τὸν ἡλιαςικόν.

ἠλίβατα.

ἠλιθιάζω ἀναισθητῶ, μωραίνω, προσποιοῦμαι ἠλίθιος εἶναι· ἀναίσθητοι γὰρ οἱ λίθοι, ἀφ' οὗ καὶ τὸ ἠλίθιος. ἀντὶ τοῦ ἀνοηταίνω. καὶ παροιμία "ἠλιθιώτερος τȣ̃ Πραξίλλης Ἀδώνιδος" ἐπὶ τῶν ἀναισθήτων. sch. A Eq. 1121. a

ἠλιθιάζω ἑκουσίως μωρὸν ὑποκρίνομαι· b (A Eq. 1126) "νοῦς ȣ̓κ ἔνι ταῖς κόμαις ὑμῶν, ὅτε μ' ȣ̓ φρονεῖν νομίζετ'· ἐγὼ δ' ἑκὼν ταῦτ' ἠλιθιάζω."

ἠλίθιος ἄφρων, σκληρός, ἢ ἀναίσθητος· (Procop. Arc. 8) "ἠλίθιός τε γὰρ ὑπερφυῶς ἦν καὶ νωθής, ὄνῳ ἐμφερὴς μάλιστα, καὶ οἷος τῷ τὸν χαλινὸν ἕλκοντι πείθεσθαι, συχνὰ οἱ σειομένων τῶν ὤτων." (X Anab. 2 6 22) "τὸ δὲ ἁπλοῦν καὶ ἀληθὲς ἐνομίζετο αὐτῷ ἠλίθιον εἶναι."

ἠλιθίκεισαν.

ἥλικες. οὕτως ἐλέγοντο τὸ Ἀντιόχȣ τοῦ ἐπιφανοῦς Μακεδόνων ςῖφος, ὑψηλοὶ πάντες, ὀλίγον ὑπὲρ ἀντίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένοι τε καὶ πεπαιδευμένοι, ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον. Ioseph. B. I. 5 11 3.

ἡλικία τῆς πόλεως ἀντὶ τȣ̃ οἱ ἐν ἡλικίᾳ, οἱ νέοι. οὕτω Λυσίας καὶ Δημοσθένης ἐν Φιλιππικοῖς (1 287). Harp.

ἡλικιῶται συμπράκτορες.

ἡλικιώτης τῆς αὐτῆς μετεσχηκὼς ἡλικίας. λέγεται δὲ καὶ θηλυκὸν διὰ τȣ̃ ι. "Ἰσιδώρῳ τῷ φιλοσόφῳ ἡλικιώτης, ἔτη ιή γεγονώς" (Damascius).

ἡλίκον μέγα, πηλίκον· (Polyb. 3 94) "ὅτι Φάβιος ἐνετέλλετο μὴ τοιαύτην ποιεῖσθαι σπουδὴν ὑπὲρ τοῦ βλάψαι τοὺς πολεμίους ἡλίκην ὑπὲρ τȣ̃ μηδὲν αὐτὸς παθεῖν δεινόν."

ἠλινδημένον ἀντὶ τοῦ ἀνεςραμμένον Δείναρχος ἐν τῷ κατὰ Φορμισίȣ. ὅπερ Ἰσοκράτης καλινδεῖσθαι λέγει.

ἠλινδῆσθαι κεκυλῖσθαι.

ἧλιξ ἥλικα τέρπει. ⟨Damasc. Phot. p.338b⟩ "μόνος ἀνθρώπων ὧν ἀκοῇ ἴσμεν τὴν παλαιὰν παροιμίαν ἔργῳ διήλεγξεν· οὐ γὰρ ἐκεῖνόν γε ἧλιξ ἔτερπεν ἥλικα ὄντα, ὁ νέος τὸν νέον, ἀλλά τινι λόγῳ ἑτέρῳ κατακολουθοῦσα ἡ φύσις τοῖς ὁμοίοις αὐτὸν συνῆπτε κατὰ τὸ ὅμοιον οὐ τῶν ἐτῶν τοῦ σώματος ἀλλὰ τῶν τρόπων τῆς ψυχῆς."

ἡλιομανής ⟨A Av. 1092⟩ ὁ τέττιξ· ἐπιμαίνεται γὰρ τῷ ἡλίῳ.

ἥλιον κρύπτεσθαι, ἄστρα δείκνυσθαι. ταῦτα οἱ μὲν ῥήτορες καλοῦσι γοργά, γραμματικοὶ δὲ ὁμοιοκατάληκτα, φιλόσοφοι δὲ πάρισα.

a Ἥλιος. μετὰ τὴν τελευτὴν Ἡφαίστου τοῦ βασιλέως Αἰγύπτου Ἥλιος ὁ υἱὸς αὐτοῦ τὴν ἀρχὴν διεδέξατο, ζήσας ἡμέρας ͵δυοζ', ὡς γίνεσθαι ἔτη ιβ', μῆνας γ', ἡμέρας ἑ. οἱ μὲν γὰρ τὰς ἡμέρας ἐνιαυτοὺς ἐψήφιζον, οἱ δὲ τὰς περιόδους τῆς σελήνης, ἕτεροι δὲ τοὺς δ' καιρούς· οἱ γὰρ μετὰ ταῦτα δυναστεύσαντες καὶ ὑποτελεῖς τὰς χώρας ποιήσαντες ἀπὸ τῆς αὐξήσεως τῶν καρπῶν τοὺς χρόνους διέκριναν, καὶ ἐνιαυτοὺς κυρίως ἐκάλεσαν. ὁ τοίνυν Ἥλιος τὴν τοῦ πατρὸς φυλάττων νομοθεσίαν, εὑρηκὼς μοιχευομένην γυναῖκα ταύτην ἐθριάμβευσεν. ὅπερ μετέβαλε ποιητικῶς Ὅμηρος, ὅτι ὁ Ἥλιος τὴν Ἀφροδίτην ἔδειξε μιγνυμένην τῷ Ἄρει, Ἀφροδίτην μὲν τὴν ἐπιθυμίαν καλέσας, Ἄρεα δὲ τὸν μετ' αὐτῆς καταληφθέντα στρατιώτην. cf. chron. Alex. et Malal. p. 26.

b ἥλιος. ἡλίους τὰ τέκνα ὑποκοριζόμενοί φασιν οἱ γονεῖς. ἥλιον καὶ τὴν ἐλευθερίαν καλοῦσιν. Artemid. 2 36.

c ἥλιος ἀπὸ τοῦ ἀολλίζεσθαι ἡμᾶς ἐν ταῖς ἡμέραις· καὶ ἐν Ἀθήναις δὲ δικαστήριον ἦν ἡλιαία, ἀπὸ τῆς συναγωγῆς τῶν ἀνθρώπων. οἱ δὲ ἀπὸ τοῦ ἀλεαίνειν, ὅ ἐστι θερμαίνειν καὶ διαχεῖν. τινὲς δὲ ἀπὸ τῆς γινομένης διαπνεύσεως ἐκ τοῦ στόματος πρὸς τοὺς δακτύλους, ὃ λέγεται αὔειν καὶ ἄζειν κατὰ μίμησιν τῆς φωνῆς τῆς θάλψεως τοῦ σώματος. Ἐμπεδοκλῆς "ἁλισθεὶς μέγαν οὐρανὸν ἀμφιπολεύει."

d ἥλιος ἀπὸ τῆς ἁλός γενικῆς.

e ἥλιος δασύνεται, Ἠλίας δὲ ψιλοῦται καὶ κλίνεται Ἠλιοῦ.

ἡλιοστερὴς κυνῆ ⟨S OC 313⟩ σκιαστικὴ πλατύπιλος κυνῆ, καλύπτουσα καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν· Θεσσαλὶς δέ, διότι περισσοὶ ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι.

ἡλιοτρόπιον ὡρολογεῖον.

Ἠλιοῦ τοῦ προφήτου, γενική.

Ἡλιούπολις, καὶ Ἡλιουπολίτης.

Ἦλις Ἤλιδος ὄνομα πόλεως.

ἠλισγήθην ἐταράχθην.

ἠλισγημένος μεμιασμένος, μεμολυσμένος, ἠρτυμένος.

ἥλισεν ἅλατι ἤλειψεν, ἥλισε δὲ συνήθροισε.

ἡλίσκοντο ἐπορθοῦντο, ἢ ἠλέγχοντο.

ἤλιτεν ⟨Hom. I 375⟩ ἥμαρτεν. καὶ ἠλίτησας.

ἠλιτενὴς πέτρα ὑψηλή.

ἠλιτοεργός ὁ τοῦ ἔργου ἀποτυχών· ⟨AP 7 210⟩ "ὣς θάνεν ἠλιτοεργός."

ἠλιτόμηνον ⟨Hom. T 118⟩ τὸ παρὰ μῆνα γεννηθέν.

ἥλκωσαι τέτρωσαι. καὶ ἡλκωμένος.

ἠλλοιωμένος μεταβληθείς, ταπεινωθείς· ⟨Polyb. 3 103⟩ "οὐδὲν ἠλλοιωμένος ὑπὸ τῶν συμβεβηκότων δυστυχημάτων, ἔτι δὲ βεβαιότερον μένων ἐπὶ τῆς ἐξ ἀρχῆς διαλήψεως."

ἠλλοίκισεν ἀλλαχοῦ ᾤκισεν.

ἠλογήθησαν ἠμελήθησαν, κατεφρονήθησαν. καὶ αὖθις "πάντων ἠλόγουν," τουτέστι κατεφρόνουν.

ἠλοήθησαν· "οἱ δὲ ἠλοήθησαν εἰς τὴν εἴσοδον καὶ κατεπατήθησαν."

ἠλόησεν· "ἢ μητέρ' ἠλόησεν," ἀντὶ τοῦ ἔτυψεν. οὕτως Ἀριστοφάνης ἐν Βατράχοις ⟨149⟩

ἠλοκίσατο ἠροτρίασεν.

ἧλος τὸ ἡλάριον.

ἠλύγη τὸ σκότος, καὶ ἠλυγισμένον τὸ ἐσκιασμένον. βαρύνεται δέ· παρὰ γὰρ τὴν λύγην. πλεονάζει τὸ η. Ἀριστοφάνης Ἀχαρνεῦσιν ⟨684⟩ "οὐδὲν ὁρῶντες εἰ μὴ τῆς δίκης τὴν ἠλύγην," ἀντὶ τοῦ τῶν ἀνθρώπων. καὶ ἐξ αὐτοῦ ἡ λυγαία.

ἡ Λύκου δεκάς παροιμία. Λύκος Ἀθήνησιν πρὸς τῷ δικαστηρίῳ ἥρως, μορφὴν ἔχων θηρίου. δεκὰς δὲ τὸ δεκάζεσθαι, πρὸς ὃ ἡ παροιμία. καὶ οἱ πρῶτοι δικασταὶ πρὸς τῷ λυκοειδεῖ ἥρωι ἐκληρώθησαν. cf. vv. δεκάζεσθαι et Λύκου δεκάς.

Ἠλύσιον ἱερὸν περὶ τὸν ᾅδην· οἱ δὲ περὶ Αἴγυπτον, οἱ δὲ περὶ Λέσβον. οἱ δὲ τὸ

κεκεραυνωμένον χωρίον ἢ πεδίον· τὰ δὲ τοιαῦτά ἐστιν ἄβατα. καλεῖται δὲ καὶ ἐνηλύσια. Πολέμων δὲ Ἀθηναίους φησὶ τὸ κατασκηφθὲν χωρίον καλεῖν.

Ἠλύσιον πεδίον ἐν ᾧ οἱ παρ' Ἕλλησι δίκαιοι αὐλίζονται, μετὰ θάνατον ἐκεῖσε ἐλευσόμενοι· οἱ δὲ κολάσεων ἄξιοι ἐν τῷ Κωκυτῷ καὶ τῷ Πυριφλεγέθοντι ἀπελεύσονται. ποταμοὶ δὲ οὗτοι ὁ μὲν Κωκυτὸς ψυχρότατος, ὁ δὲ Πυριφλεγέθων θερμότατος.

ἤλυσις ⟨Herodot. 2 123⟩ ἔλευσις, ἄφιξις, ἔφοδος, πορεία.

ἠλυσκάζειν ἐκκλίνειν.

a ἥλω ⟨Hom. χ 230⟩ ἐλήφθη, ἐφανερώθη, ἐπορθήθη.

b ἥλω γενικῇ· "ταύτης ὁ μέγας ἥλω Κυπριανός."

ἥλῳ τὸν ἧλον ἐκκρούεις. παροιμία ἀντὶ τῷ ἁμαρτήματι τὸ ἁμάρτημα σπεύδεις ἐξελάσαι· τὸ δὲ οὐχ οἷόν τε.

ἥλωκεν ἐκρατήθη.

ἡλωκότος κρατηθέντος. καὶ ἡλωκόσιν.

ἠλώμην ⟨Hom. δ 91⟩ ἐπλανώμην.

ἤλων ἤλαυνον.

Ἠλώνη ⟨Hom. B 739⟩ πόλις, καὶ Ἠλωναῖος ὁ πολίτης.

ἥλωσαν ἐνικήθησαν, ἐλήφθησαν.

ἧμα ⟨Hom. Ψ 891⟩ ἀκόντισμα.

Ἠμαθία ἡ τὸ παλαιὸν Παιονία προσαγορευομένη ⟨Exc. Peir. p. 118⟩. καὶ Ἠμαθίων Ἠμαθίωνος ὄνομα κύριον.

ἠμαθόεντος ⟨Hom. B 77⟩ ἀμμώδους.

ἧμαι κάθημαι.

ἡμέκτεον ἀντὶ τοῦ ἐδυσφόρουν, καὶ ἡμεκτέων παρὰ Ἡροδότῳ ⟨1 44?⟩ ἀντὶ τοῦ δυσφορῶν.

ἡμάλαψεν ⟨Lycophron 34⟩ ἔβλαψεν.

ἦμαρ ἡμέρα. τὸ ἦμαρ ψιλοῦται· τὰ γὰρ ἀπὸ δασέων μετασχηματιζόμενα ψιλοῦται, οἷον ἡδονή ἦδος, ἅμα ἄμυδις· οὕτως ἡμέρα ἦμαρ. ὁ δὲ Ἡρωδιανός φησιν ὅτι τὰ εἰς ος οὐδέτερα, εἰ ἀπὸ φύσει μακρᾶς ἄρχονται, ψιλοῦνται, οἷον αἶσχος εὖχος εὖρος ἦθος· οὕτω καὶ ἦμος καὶ ἦμαρ. Σοφοκλῆς ⟨Ai. 475⟩ "τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει, προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;" σχόλια. τί γὰρ ἡμέρα μία ἔχει, προσθεῖσα τὸ ζῆν καὶ ἀναβαλλομένη τοῦ θανεῖν, τέρπειν τὸν ἄνθρωπον;

ἤματα ἡμέρας. εἵματα δὲ τὰ ἱμάτια διὰ διφθόγγου, καὶ δασύνεται.

ἤμβλω παραλόγως εἰς πέρας ἤχθη· "οἱ δὲ σπασάμενοι τὰ ἐγχειρίδια τοῦτον ἀπέσφαξαν, καὶ ἐξήμβλω μὲν ἡ ἔννοια τῆς θεοσυλίας τῷ ἀνοσίῳ, ἐπαύσαντο δὲ τοῦ δέους οἱ Δελφοί" ⟨Aelianus? cf. v. ἐξήμβλωσεν⟩.

ἤμβροτεν ⟨Hom. η 292⟩ ἀπέτυχεν.

ἡμεδαπὸς ἀντὶ τοῦ ἡμέτερος. Ἀριστοφάνης ⟨Pac. 220⟩ "ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων." καὶ αὖθις ⟨cf. v. Κλείσοφος⟩ "καί τι καὶ παίσωμεν παρασίτα μνημονεύσαντες ἡμεδαποῦ." καὶ ἡμεδαπῶν ἰδίων, ἐγχωρίων, αὐτοχθόνων· δάπεδον γὰρ τὸ ἔδαφος. ὅθεν καὶ τὸ ποδαπὸς ἀντὶ τοῦ ποῖος λαμβάνεται, ἢ ποίας χώρας, ἢ τίνος πατρίδος.

ἠμείβετο ἀνταπεκρίνετο.

ἠμείδησε. καὶ ἠμειδηκὼς μὴ γελάσας· ἀμειδῶ γὰρ τὸ οὐ γελῶ.

ἠμείφθη ἠλλάγη.

ἤμειψα ἤλλαξα.

ἦμεν ἐπορευόμεθα, ἀπὸ τοῦ εἴω· διὸ καὶ τὸ ι προσγεγραμμένον. Ἀριστοφάνης Πλούτῳ ⟨659⟩ "ἔπειτα πρὸς τὸ τέμενος ἦμεν τοῦ θεοῦ."

ἡμένη πελειάς, ἐπὶ τῶν ἁπλουστάτων, κατὰ ἀντιπαρεξέτασιν τῆς παλευτρίας· αὗ γὰρ ἐξεπτάμεναι ἀπατῶσιν ἑτέρας. παλεῦσαι γὰρ τὸ ἀπατῆσαι σημαίνει. sch. A Av. 1083.

ἡ μὲν κλέος ἠδὲ καὶ ἦσθα, ἐπὶ τῶν ὁμοίων τῇ περὶ αὐτῶν φήμῃ.

ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξαι" ⟨Hom. A 77⟩. ἓν μέρος λόγου ἐστί, τὸ δὲ ἐντελέστερον ἦ μήν. ἔστι δὲ ὁρκικὸν ἐπίφθεγμα.

ἥμενος ὁ καθήμενος, ἡμμένος δὲ ὁ ἐξημμένος καὶ ἀνηρτημένος.

ἡμέρα δυνάμεως ἡ δευτέρα τοῦ Χριστοῦ ἐπιφάνεια· Δαβίδ "μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου." Theodoret. in Ps. 109 3.

ἡμέρα ἐπαγωγῆς ⟨Proverb. 27 10⟩ παρὰ τὸ ἐπάγεσθαι ἡμῖν τὰ ἄξια τῶν βεβιωμένων.

ἡμέραι πλήρεις τὸ γῆρας. Theodoret. in Ps. 72 10.

ἡμέραν πονηρὰν ἡ γραφὴ τὴν τῆς τιμωρίας καλεῖ, ὥσπερ καὶ ἀγγέλους πονηροὺς τοὺς τῆς τιμωρίας ὑπουργούς. ὀργὴν δὲ καὶ θυμὸν καὶ θλῖψιν ἐπὶ θεοῦ τὰς πικρὰς τιμωρίας καλεῖ· οὐ γὰρ φύσιν οὐδὲ προαίρεσίν φησιν. Theodoret. in Ps. 77 49.

ἡμέρα πονηρὰ ἡ τῆς κρίσεως ἡμέρα,

ἡ αἰωνία κόλασις. Δαβίδ "τῷ πραῦναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν." ὁ γὰρ πικρὰν παιδείαν κατὰ τὸν παρόντα δεχόμενος πραότερον τὸ κριτήριον ἕξει. Theodoret. in Ps. 93 13.

ἡμερήσιον τὸ καθ' ἡμέραν διδόμενον.

ἡμερινὰ ζῷα τὰ παραφαινόμενα μεθ' ἡμέραν, νυκτερινὰ δὲ γλαῦξ ἐλεός βύας νυκτικόραξ ἐπολιός σκώψ. θαλάσσια δὲ ἀλκυὼν κήυξ αἴθυιαι λάρος χαραδριός καταρράκτης κίγκλος.

ἡμερινῶν σιτίων (A Pac. 162) ἀντὶ τῶ θνητῶν καὶ ἐπιγείων.

ἡμερίς ἄμπελος, ἀπὸ τοῦ ἡμερῶν ἡμᾶς. καὶ ἡ κνίδη. τινὲς δὲ ἀναδενδράδα καὶ ἐλαίαν. καὶ ἡ ἥμερος ὕλη, λεπτόφυλλος δρῦς, ἢ οἰνάνθη· "ἡμερὶ πανθέλκτειρα μεθυτρόφε, μῆτερ ὀπώρας οὔλης, ἣ σκολιὸν πλέγμα φύεις ἕλικος" (AP 7 24).

ἡμεροδρόμος ὁ ἥλιος. λέγονται δὲ καὶ οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτατα διακονούμενοι ἡμεροδρόμοι. νέοι δ' εἰσίν, ἐφήβων ὀλίγῳ πρεσβύτεροι, πρωτογενείων ἐγγύς, ταῖς τοιαύταις ὑπηρετούμενοι χρείαις. τόξων καὶ βελῶν καὶ ἀκοντίων καὶ πυροβόλων λίθων ἐπιφερόμενοι πλέον οὐδέν· ταῦτα γὰρ αὐτοῖς πρὸς τὴν ὁδοιπορίαν γίνεται χρήσιμα. Nilus p. 88.

ἡμεροκαλλές εἶδος ἄνθους.

ἡμερόκοιτος ὁ κλέπτης.

ἡμερόλεγδον.

ἥμερος ὁ πρᾶος.

ἡμεροσκόποι οἱ ἐν ἡμέρᾳ φρουροῦντες. sch. A Av. 1174.

ἡμερῶ αἰτιατικῇ.

ἡμερωρεῖν ἡμεροφυλακεῖν.

ἡμετέρειος κτητικόν.

ἡμημένον τεθερισμένον.

ἡ μήμπειρία ἡ μὴ ἐμπειρία, τουτέστιν ἡ ἀπειρία. Ἀριστοφάνης (Eccl. 114) "δεινόν ἐστιν ἡ μήμπειρία."

ἦ μὴν ὄντως δή. καὶ ἀλλ' οὖν, καὶ ἀλλ' ὅμως. "ὄμνυμι τοὺς βασιλείς θεούς, ἦ μὴν ἐγὼ ὑμᾶς σώσω."

ἤμην ὑπῆρχον, ἢ ἐκαθήμην.

ἠμί φημί, λέγω.

ἡμιδαής ἡμίκαυστος· ἐν ἐπιγράμματι (AP 5 183) "ἡμιδαὲς πέμψαι· χθὲς γὰρ ἔνεισι δύο."

ἡμιδαπής ἡμιτελής.

ἡμιδιπλοΐδιον γυναικεῖον ἱμάτιον, ἀναβόλαιον γυναικῶν, ὁ σπέληξ. sch. A Eccl. 318.

ἡμιεκτέον μέτρον, τουτέστι δ' χοινίκων. ὁ γὰρ μέδιμνος μη' χοινίκων ἐστί· τούτων ὧν τὸ ἕκτον εἰσὶν η' χοίνικες, τὸ δὲ ἡμίεκτον, τουτέστι τὸ δωδέκατον τῶν μη' χοινίκων, δ'. ἡμιεκτέον δὲ διὰ τοῦ ε λεκτέον καὶ οὐχὶ ἡμιεκταῖον. sch. A Nub. 643.

ἡμίεκτον καὶ ἡμιμέδιμνον. τῶ μεδίμνου ἔχοντος χοίνικας μη', τὸ ἡμιμέδιμνον δῆλον ὅτι τὰς κδ' εἶχεν. ἡμίεκτον δὲ τὸ χωροῦν δ' χοίνικας· τὸ γὰρ ἕκτον χοίνικες ὀκτώ. Harp.

ἡμίεργον ἡμιτέλεστον· "Ἀντωνίῳ δὲ ᾠκοδόμει νεὼν μέγαν, ὅσπερ οὖν ἡμίεργος ἀπελείφθη, τῷ Σεβαστῷ δὲ ἐτελέσθη."

ἡμικάδιον τὸ ἡμίμετρον.

ἡμίκαυτος ἡμίφλεκτος.

ἡμικλεῖς· "ἐξαίφνης ἀνοίξαντες τὰς ἡμικλεῖς πύλας ἐξελαύνουσι τῆς πόλεως αὐτῶν Παρθυαίων καὶ Μήδων, ὅ τι περ ὄφελος ἦν τῆς ἱππικῆς δυνάμεως, ἱππεῖς ὡς γ'."

ἡμίκραιρα τὸ ἥμισυ τῆς κεφαλῆς· (A Thesm. 234) "τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων."

ἡμίκρανον τὸ ἥμισυ τῆς κεφαλῆς.

ἡμικύκλιον τὸ ἥμισυ τοῦ κύκλου.

ἡμιμάλλονες (an αἱ μιμαλλόνες) μαινάδες, νύμφαι, ἢ βάκχαι. cf. v. μιμαλλόνας.

ἡμιμέδιμνον μέτρον χοινίκων κδ'.

ἡμῖν, ἀντωνυμία, ἀντὶ τῶ τοῖς ἡμετέροις.

ἡμίνα μέτρον.

ἡμιολία τὸ ἥμισυ τοῦ κεφαλαίου· "δίδοσθαι δὲ ὀψώνιον τοῖς στρατεύειν αἱρουμένοις παρ' αὐτῷ ἡμιόλιον τοῦ νῦν διδομένου." καὶ ἡμιολίας ἡμίσεως.

ἡμιολίαις πειρατικοῖς πλοίοις· "ταχὺ δὲ τοὺς κέλητας καὶ τὰς ἡμιολίας ὑπερισθμίσας ἀνήχθη, σπεύδων καταλαβεῖν τὴν τῶν Ἀχαιῶν σύνοδον." καὶ αὖθις "λῃσταί τινες εἰς πολυχειρίαν καὶ πειρατικαῖς ἡμιολίαις τῇ Λακωνικῇ προσενεχθέντες, εἰς τὰ χωρία ἐσωσάμενοι λείαν ἀπήγαγον."

ἡμιολιασμός Ἀντιφῶν ἀντὶ τοῦ τὰ ἡμιόλια δοῦναι. Harp.

ἡμιόλιός ἐστιν ἀριθμὸς ὁ ἔχων ἄλλον ὅλον καὶ τὸ ἥμισυ αὐτοῦ.

ἡμιόνειον ζεῦγος. καὶ ἡμιονείη ἡ κόπρος τοῦ ἡμιόνου.

ἡμιπαίδευτος ὁ ἀπαίδευτος.

ἡμιπέλεκα αἱ μονόστομοι ἀξίναι.

ἡμιπέλεκυς ἡμιπελέκεως.

ἡμίσεια. ἥμισυ παντός. Ἡσίοδος ⟨O. 40: cf. vv. νήπιος et ὅσῳ πλέον⟩ "νήπιοι, οὐδὲ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός." ⟨Aelianus: cf. vv. μελεδωνός et πολυωρήσεις⟩ "ἔςι δὲ οὕτως. ἀδελφὼ δύο ἤςην. ὁ τοίνυν ἕτερος ἀποθνήσκων καὶ παῖδα ὀρφανὸν ἀπολείπων τὸν ἀδελφὸν ἐγγράφει καὶ τοῦ υἱοῦ ἐπίτροπον καὶ τῶν χρημάτων, ὧν ἐκείνῳ κατέλιπε, μελεδωνόν. ὁ δὲ ἀνόσιος ὤν, τὰ τοῦ παιδὸς σφετερίσασθαι γλιχόμενος, εἶτα μέντοι καὶ τὰ οἰκεῖα προσαπώλεσε. δεομένῳ δὲ πολυωρίας τινὸς καὶ ῥοπῆς τυχεῖν τῆς εἰς τὸ κρεῖττον ἀπεκρίνατο 'νήπιος ὃκ ἐνόησεν ὅσῳ πλέον ἥμισυ παντός.' παιδεύσεως ταῦτα ἔχεται, καὶ ψυχὴν καθαίρει, καὶ βίον κοσμεῖ, καὶ σωφροσύνην ἐντίθησι, καὶ δικαιοσύνην νομοθετεῖ."

a ἥμισυς ὁ βραχύς· ⟨Polyb. 37 2⟩ "ἥμισυς ἀνὴρ Προυσίας ὁ βασιλεὺς κατὰ τὴν ἐπιφάνειαν, καὶ πρὸς τὰς πολεμικὰς χρείας ἀγεννὴς καὶ γυναικώδης."

b ἥμισυς ἡμίσεος, καὶ τὸ ἥμισυ τοῦ ἡμίσεος.

ἡμιτύβιον δίκροσσον· Ἀριςοφάνης Πλὅτῳ ⟨729⟩ "ἔπειτα καθαρὸν ἡμιτύβιον λαβών."

ἡμιτύμβιον ὁ μικρὸς τάφος.

ἡμιφάριον, τουτέςιν ἥμισυ ἱματίου.

ἡμίφωνον.

ἡμιωβόλιον τὸ ἥμισυ τοῦ ὀβολοῦ. cf. v. πάσης.

ἡμμένοι συνημμένοι, ἀντὶ τοῦ ἀνηρτημένοι. "οἱ δὲ καταρράκτας, οὓς εἶχον ὀλίγον ἐξωτέρω διὰ μηχανημάτων ἀνημμένὃς, αἰφνίδιον καθῆκαν καὶ ἐπεβάλοντο, καὶ τούτους κατασχόντες πρὸ τᴕ τείχὃς ἀνεσκολόπισαν" ⟨Polybius? cf. Liv. 27 28⟩.

ἡμοιρηκὼς μὴ μετέχων.

ἥμονες ⟨Hom. Ψ 886⟩ οἱ ἀκοντιςαί.

ἢ Μορσίμᴕ τις ῥῆσιν ἐξεγράψατο ⟨A Ran. 151⟩, ἐπὶ τῶν ἀποβλήτων καὶ διαβεβλημένων. ὁ γὰρ Μόρσιμος τραγῳδὸς ἦν, ποιητὴς ὑπόψυχρος, Φιλοκλέους, ὀφθαλμῶν ἰατρός, μικρός· υἱὸν δὲ ἔσχεν Ἀςυδάμαντα.

ἠμπέσχετο περιεβάλετο, καὶ ἠμπίσχετο, δοτικῇ. ἠμπείχετο δέ.

ἠμπόληκας ἐπώλησας, ἐκέρδανας. λέγεται δὲ καὶ ἐπὶ φαύλου τροπικῶς, ἀντὶ τοῦ περιεποίησας. "ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;" ⟨S Ai. 978⟩.

ἠμύω κλίνω. "ἠμύσσετο" δὲ "τὴν καρδίαν" ἀντὶ τοῦ ἐταράσσετο.

ἠμωδιῶ ἀντὶ τοῦ αἱμωδιῶ.

Ἡμωδὸν ὄρος.

ἤμων ⟨Hom. Σ 531⟩ ἐθέριζον.

ἢν ἀντὶ τᴕ ἐάν· Ἀριςοφάνης ⟨Nub. 1503⟩ "τοῦτ' αὐτὸ καὶ βούλομαι, ἢν ἡ σμινύη μὴ προδῷ τὰς ἐλπίδας," ἂν μὴ κλασθῇ. ταῦτα δὲ ἔλεγεν ἐμπιπρῶν τὴν σχολὴν τοῦ Σωκράτους.

ἦν ἀντὶ τοῦ ἤμην· Ἀριςοφάνης Πλούτῳ ⟨28⟩ "ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ κακῶς ἔπραττον καὶ πένης ἦν," καὶ Πισίδης "κἀγὼ γὰρ εἷς ἦν τῶν βοᾶν ἠπειγμένων." καὶ ἦν ὑπῆρχον, δοτικῇ.

ἠναιδηκότες.

ἠναίνετο ἀπηρνεῖτο, ἀπεςρέφετο· "καὶ ὑπὲρ ὧν ἐδίψα ἀκοῦσαι, ἠναίνετο."

ἦν ἄρα καὶ πυρὸς ἕτερα θερμότερα, καὶ λόγων ἐν πόλει τῶν ἀναιδῶν ἀναιδέςεροι" ⟨A Eq. 381⟩, ἐπὶ τῶν καθ' ὑπερβολὴν γινομένων.

ἠνάρισεν ἐφόνευσεν, ἐσκύλευσεν· ⟨AP 7 226⟩ "οὔ τινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης ἠνάρισε ςυγερῆς ἐν ςροφάλιγγι μάχης."

ἥνδανεν ⟨Hom. A 24⟩ ἤρεσκεν.

ἦν δ' ἐγώ ἔφην δὲ ἐγώ, παρὰ Πλάτωνι καὶ Ἀριςοφάνει.

ἠνδρίσατο ἀνδρικῶς ἐπάλαισεν.

ἠνδρώθησαν ἀνδράσιν ὡμίλησαν. οὕτως Δίων ⟨fr. 87 3⟩ πολλάκις ἐχρήσατο.

ἠνδρωμένος ηὐξημένος.

ἤνεγκον ἀπὸ τοῦ ἐνεγκών, ἤνεγκα δὲ ἀπὸ τοῦ ἐνέγκας.

ἤνεικα ἐκόμισα.

ἠνείχοντο ἐβούλοντο, ἤθελον· Δαμάσκιος "οὔτε ἐπεγγελᾶν ἠνείχοντο τοῖς εἰρημένοις."

ἠνεμόεσσαν ⟨Hom. B 606⟩ ὑψηλήν. καὶ ἠνεμῶσθαι τὸ περὶ ἔρωτι ἐπτοῆσθαι· Αἰλιανός "καὶ ἐδόκει περὶ τὴν ἄνθρωπον ἀκρατῶς ἠνεμῶσθαι."

ἢν ἐμπνέω ⟨A Thesm. 933⟩ ἕως οὗ ζῶ.

ἠνέσαμεν ἠσπασάμεθα, ἠγαπήσαμεν· ἐν ἐπιγράμματι ⟨AP 6 302⟩ "ἐκ πατέρων ταύτην ἠνέσαμεν βιοτήν."

ἠνεσχέθην ὑπέμεινα. καὶ ἠνέσχετο, γενικῇ.

ἠνήσαμεν ἠνέσαμεν.

ἠνθισμένον· ⟨S El. 43⟩ "οὐ γάρ σε χρό-

νῳ μακρῷ γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον." τινὲς τὸ ἠνθισμένον ἐπὶ τῆς κεφαλῆς ἤκουσαν, οἷον ταῖς πολιαῖς ἠνθισμένον. τοῦτο δὲ ἀπίθανον· ἐγνώσθη γὰρ ἄν, εἰ καὶ τοσοῦτον ἤλλαξε τὴν κεφαλήν. δοκεῖ οὖν μοι τὸ ἠνθισμένον ἀντὶ τοῦ ἠσκημένον· οὐ μὴ ἄν σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον. εἰ δὲ τὸ ἠνθισμένον ἐπὶ ἡλικίας δεξαίμεθα, ἔστιν οὐκ ἐπὶ τῶν τριχῶν ἀλλ' ἐπὶ παντὸς τοῦ σώματος.

ἠνί ἀντὶ τοῦ ἰδού, δωρικῶς· (AP 6 236) "ἠνὶ δὲ σιμβλεύει κηροτρόφα δῶρα μελισσῶν ἑσμῷ βομβητῇ κυκλόσε βριθόμενα."

ἡνίαι λῶροι χυλινῶν. "ὁπότερος ἂν σφῶν εὖ με μᾶλλον ἂν ποιῇ, τούτῳ παραδώσω τῆς Πυκνὸς τὰς ἡνίας" (A Eq. 1105), τουτέστι τὴν ἐξουσίαν, τροπικῶς ἀπὸ τῶν ἁρμάτων· ταῖς γὰρ ἡνίαις ἡνιοχοῦνται οἱ ἵπποι, οἱ δὲ δῆμοι διὰ τῶν πολιτευομένων.

ἠνιγμένος μετὰ αἰνίγματος λελεγμένος, οὐκ αὐτόθεν φανερὸν ἔχων τὸν νοῦν, παρ' ὅσον οἱ χρησμοὶ λοξῶς ἐξεφέροντο. "καὶ ποικίλως πως καὶ σοφῶς ἠνιγμένος" (A Eq. 196), οἷον ἄλλα μὲν λέγων ἄλλα δὲ νοῶν.

ἡνίκα ὁπότε.

ἠνιμᾶσθαι ἀντλεῖσθαι.

ἠνιξάμην (S Ai. 1158) αἰνιγματωδῶς εἶπον.

ἡνίοχος καὶ ἡνιοχεία.

Ἡνίοχος Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. ἔστι τῶν δραμάτων αὐτοῦ τάδε, Τροχίλος, Ἐπίκληρος, Γοργόνες, Πολυπράγμων, Θωρύκιον, Πολύευκτος, Φιλέταιρος, Δὶς ἐξαπατώμενος.

ἠνίπαπεν (Hom. Β 245) ἐκακολόγησεν.

ἦνις (Hom. Ζ 94) ὁ ἐνιαύσιος, ὁ ἀκέντριστος.

ἣν κατεργάσῃ ἐὰν διαπράξῃ ἅπερ αὐτοῖς ἐπαγγέλλω. sch. A Eq. 929.

Ἠνοπίδην (Hom. Ξ 444) ὄνομα κύριον.

ἠνορέη ἀνδρία· "ἄγγελλ' ἠνορέην Κρητὸς Ἐχεκρατίδα" ἐν ἐπιγράμματι (AP 6 23).

ἦνοψ ὁ λαμπρός· "οὐρανὸς ἦνοψ" (cf. v. ἔνδιος) καὶ "ἤνοπα πυρὸν ἔδουσι," τουτέστι πυρρὸν σῖτον. καὶ ἡ δοτικὴ ἤνοπι (Hom. Π 408).

ἤντετο (Hom. Π 788) συνήντησεν.

ἠντιβόλει ἱκέτευεν, ἐδεῖτο, ἐλιπάρει.

ἠνύσατε ἐφθείρατε. καὶ Ὅμηρος (Λ 365) "ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας." καὶ Σοφοκλῆς (OR 166) "ἠνύσατ' ἐκτοπίαν φλόγα πήματος." ἐκτοπίαν δὲ ἀντὶ τοῦ ξένην καὶ ἀκόλαστον. ἀντὶ τοῦ ἐκτοπίαν γενέσθαι, ὅ ἐστιν ἐκτὸς καὶ ἀπὸ τῶν τόπων τῆς πόλεως.

ἤνυστρον τὸ παχὺ μέρος τῆς κοιλίας ἐν ἐντέρῳ· εἰς τρία γὰρ τέτμηται ἡ γαστήρ, ἤνυστρον ἐχῖνον κεκρύφαλον. (A Eq. 355) "ἐγὼ δ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν καταβροχθίσας."

ἠνώχλησα ἐβιασάμην.

ἦξε παρεγένετο.

ἠξίου διὰ φροντίδος εἶχε· Προκόπιος (Arc. 18) "οὐ γὰρ ἠξίου τοῖς καιροῖς ἐναρμόζειν τὰς πράξεις, ἀλλ' ἀπὸ καιροῦ παντὸς εἰργάζετο."

ἠξίωτο ἐπεπίστευτο· "ἐπεὶ δὲ καὶ συμμαχικῶν χρημάτων ἠξίωτο, ταῦτα μὲν ἀφῃρέθη, αὐτὸς δὲ ἀνεπέμφθη παρὰ τὸ ἔθνος τῶν Ἰαζύγων."

ἤομεν ἐπορεύθημεν· Ὅμηρος (κ 251) "ἤομεν ὡς ἐκέλευσας." ἀπὸ τοῦ εἴω τὸ πορεύομαι, δωρικῶς, τροπῇ τῆς διφθόγγου ει εἰς η.

ἠοῦς (Hom. Θ 470) ὄρθρου, ἡμέρας· ἢ ἀνατολῆς.

ἠπαλύνθησαν (Ps. 54 22).

ἧπαρ. καὶ ἡπατοσκοπία ἡ τῶν ἐγκάτων ἀνατομή, δι' ὧν προεμήνυον τὰ συμβησόμενα· ἀνατέμνοντες γὰρ σημεῖά τινα ἐθεώρουν ἐν τοῖς ἐγκάτοις.

ἠπεδανός ἀσθενής· ἐν μύθῳ "ἐγγύθι δ' ἔστη ἠπεδανοῖο λέοντος."

ἤπειρον. τῷ Ἰσοκράτει σύνηθές ἐστι τὴν ὑπὸ βασιλεῖ τῶν Περσῶν γῆν οὕτω καλεῖν. Harp.

ἤπειρος χέρσος γῆ, οἷον ἄπειρός τις οὖσα. ἤπειρος δὲ λέγεται παρὰ τοῖς ποιηταῖς ἡ γῆ καταχρηστικῶς, κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς Εὐριπίδης "ἤπειρον εἰς ἄπειρον ἐκβάλλων πόδα."

Ἀππιανός "Ἀλλόβριγες, Γαλατῶν ἔθνος. δύσμαχοι δ' αὐτῶν ἦσαν αἱ πόλεις, ἀπὸ τῆς ἀμπώτεως ἐφ' ἡμέραν ἠπειρούμεναί τε καὶ νησούμεναι. οἱ δὲ πλοίοις ἐπολέμουν. τοῦ δὲ Καίσαρος Γαΐου περὶ τὰς πόλεις σταυροὺς πηξαμένου ὑψηλοὺς καὶ τοῖς σταυροῖς ἐπιθέντος γεφυρώματα, ὁ μὲν κλύδων ἐχώρει διὰ τῶν σταυρωμάτων ὑπὸ τοῖς γεφυρώμασι, Ῥωμαίοις δὲ ἀδεὲς καὶ ἐπίμονον ἦν τὸ ἔργον."

Ἠπειρώτης. καὶ Ἠπειρωτικὴ θάλασσα.

a ἤπερ ἀντὶ τοῦ ὥσπερ· "ἀλλ' ἤπερ αὐτὸς τὴν δίκην διωρίσω, θεὶς δεῦρο τοὐπίξηνον ἐγχείρει λέγειν" Ἀριστοφάνης (Ach. 363).

b ἤπερ καθότι· "ἐδόκει δὲ τῷ βασιλεῖ ἀρκεῖσθαι τοῖς παροῦσι καὶ μὴ σφόδρα ἐπαίρεσθαι, ἤπερ ἐστὶν ἄριστον πολέμῳ καὶ τοῖς ἐκ τοῦ πολέμου συμβαίνουσιν ὁμιλεῖν, ὡς οὐδενὸς ἐν αὐτοῖς βεβαίου καὶ πιστοῦ πάντως ὑπάρχοντος."

ἡ Περγαία Ἄρτεμις. τάσσεται ἐπὶ τῶν ἀγυρτῶν καὶ πλανητῶν, παρ' ὅσον ἡ θεὸς αὕτη νομίζεται ἀγυρτεύειν ἀεὶ καὶ πλανᾶσθαι.

ἠπεροπεύειν ἐξαπατᾶν, παραλογίζεσθαι, καὶ τὰ τούτοις ἐπακολουθοῦντα. Ἀριστοφάνης (Lys. 839) "σὸν ἔργον ἐστὶ τοῦτον ὀπτᾶν καὶ στρέφειν κἀξηπεροπεύειν, καὶ πάνθ' ὑπέχειν πλὴν ὧν σύνοιδεν ἡ κύλιξ." περὶ Κινησίου φησίν, ὅτι κατωφερὴς ἦν εἰς συνουσίαν. πλὴν ὧν συνωμοσάμεθα μὴ ποιεῖν ἐπὶ τῆς κύλικος, τουτέστι συνουσιάζειν. ἔστι δὲ ὅρκος ὁ ἐπὶ τῆς κύλικος (ib. 223) "οὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι. εἰ δέ μ' ἄκουσαν βιάσεται βίᾳ, κακῶς παρέξω κοὐχὶ προσκινήσομαι."

ἠπεροπευτής (Hom. Γ 39) ὁ ἀπατεών. καὶ ἠπεροπῆας (λ 363).

ἠπηνημένων (an ἐπῃνεμένων) ἐπαίνου τυχόντων· "ὃ δὲ ἐκέλευε παρὰ τῶν ἠπηνημένων πολλῷ πλείονα μισθὸν κομίζεσθαι."

ἠπήτρια ἡ ῥάπτρια, καὶ ἠπήτριον τὸ σουβλίον μεθ' οὗ ῥάπτουσι τὰ βυρσάρια. οἱ δὲ Ἀττικοὶ ἀκέστριαν.

ἠπίαλος ὁ ῥιγοπύρετος. καὶ ἠπιαλῶν μετοχή· Ἀριστοφάνης (Ach. 1163) "ἠπιαλῶν γὰρ οἴκαδ' ἐξ ἱππασίας βαδίζων." ἠπιαλῶν ῥιγοπυρέτῳ περιπεσών· ἠπίαλος γὰρ κυρίως ὁ μετὰ ῥίγους πυρετός. ἐξ ἱππασίας δὲ ἀντὶ τοῦ ἱππικῆς· καὶ γὰρ ἕως ἑσπέρας διέτριβον οἱ ἵπποι ἐν τῇ δοκιμασίᾳ.

ἠπιόδωρος (Hom. Ζ 251) ἤπια καὶ προσηνῆ δωρουμένη, χρηστή.

Ἠπιόνη γυνὴ Ἀσκληπιοῦ. καὶ θυγάτηρ αὐτῆς Ὑγεία Αἴγλη Ἰασὼ Ἀκεσὼ Πανάκεια.

ἤπιος πρᾶος, ἢ λιπαρός. καὶ ἠπιώτατος.

ἠπίτριπτος ἢ ἐπίτριπτος, ἡ ἀξία τοῦ ἐπιτριβῆναι· ἢ ἡ μεγάλα φθεγγομένη. Ἀριστοφάνης Πλούτῳ (619) περὶ τῆς πενίας "αὕτη μὲν ἡμῖν ἠπίτριπτος οἴχεται."

ᾗ ποδῶν εἶχεν ἕκαστος ἔθεον, ἀντὶ τοῦ ὡς εἶχον δυνάμεως.

ἢ πολλοῦ γε δεῖ ἀντὶ τοῦ οὐδὲ ὅλως. sch. A Ach. 542.

ἤ που ἴσως, σχεδόν· "ἤ που δεόμενοι δυσωπεῖν."

ἤ πού γε πολλῷ πλέον.

ἠπύει φωνεῖ. καὶ ἤπυον.

ἠπύτης ὁ φωνητικός, ὁ κῆρυξ.

Ἠπυτίδης (Hom. Ρ 324).

Ἤπυτον ὄρος Θρᾴκης.

Ἢρ ὄνομα κύριον Ἑβραϊκόν.

ἤρα ἐπεθύμει, ἐγλίχετο, ἐρωτικῶς εἶχεν· a
"ὁ δὲ Ἀβραὰμ ἤρα Ῥωμαϊκῆς παρατάξεως, ἀεί πως αὐτῷ γελᾶν τὴν τύχην οἰόμενος" (cf. Cedren. p. 771). "αἰσχρᾶς τις ἤρα καὶ κακοτρόπου δούλης" Βάβριος (10). καὶ αὖθις "ἤρα νεκρὸν ἰδεῖν βάρβαρον καὶ ὑπ' ἄλλου πεφονευμένον."

ἤρα ἐπεθύμει. (Diog. L. 6 96) "Ἱππαρχία b
ἤρα τῶν λόγων Κράτητος, οὐδενὸς ἄλλου ἐπιστρεφομένη πράγματος. ἥτις εἰς συμπόσιον ἐλθοῦσα σὺν Κράτητι Θεόδωρον τὸν ἄθεον ἤλεγξεν, σόφισμα προτείνασα τοιοῦτο. ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτο ἄν· Θεόδωρος τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ· οὐδ' Ἱππαρχία Θεόδωρον τύπτουσα ἀδικεῖ. ὁ δὲ πρὸς τὸ λεχθὲν οὐκ ἀπήντησεν, ἀνεσύρατο δ' αὐτῆς τὸ ἱμάτιον."

Ἥρα ὁ ἀήρ. καὶ ἐπεὶ ὁ ἀὴρ καθαίρει, τὸ εἴδωλον αὐτῆς βαστάζει ψαλίδα χαλκῆν, ἀπὸ μεταφορᾶς τῆς κειρούσης ψαλίδος τὰς τρίχας καὶ καθαρὸν ἀποδεικνυούσης τὸ σῶμα. Codin. orig. CP p. 14.

Ἡραία πόλις.

ἡραῖον ὁ τῆς Ἥρας ναός.

Ἡραῖον τεῖχος χωρίον ἐστὶν ἐν Θρᾴκῃ, ὑπὸ Σαμίων δὲ ᾠκίσθη. καὶ Ἥραιον.

Ἡραΐσκος. ὅτι τὴν μὲν φύσιν θεοειδέ- a
στερος ἦν Ἡραΐσκος, ὃ δὲ τὴν Αἰγυπτίων σοφίαν δαιμονέστερος, ὁ Ἀσκληπιάδης, ἅτε τοσοῦτον χρόνον οὗτος μὲν τῇ Αἰγυπτίων προσδιατρίβων, ἐκεῖνος δὲ ἀποδημῶν. ὁ δ' ἕτερος ὅμως τῆς τοῦ ἑταίρου κατὰ πολὺ ἐλείπετο φύσεως ἢ ἐπιστήμης. ὁ μὲν δὴ Ἡραΐσκος αὐτοφυὴς ἐγένετο διαγνώμων τῶν τε ζώντων καὶ τῶν μὴ ζώντων ἱερῶν ἀγαλμάτων· εὐ-

θὺς γὰρ ἐμβλέπων ἐτιτρώσκετο τὴν καρδίαν ὑπὸ τοῦ θειασμοῦ, καὶ ἀνεπήδα τό τε σῶμα καὶ τὴν ψυχὴν ὥσπερ ὑπὸ τοῦ θεοῦ κατάσχετος. εἰ δὲ μὴ κινοῖτο τοιοῦτόν τι, ἄψυχον ἦν ἐκεῖνο τὸ ἄγαλμα καὶ ἄμοιρον θείας ἐπιπνοίας. οὕτω διέγνω τὸ ἄρρητον ἄγαλμα τοῦ Αἰῶνος ὑπὸ τοῦ θεοῦ κατεχόμενον, ὃν Ἀλεξανδρεῖς ἐτίμησαν, Ὄσιριν ὄντα καὶ Ἄδωνιν ὁμοῦ κατὰ μυστικὴν ὡς ἀληθῶς φάναι θεοκρασίαν. ἐνῆν δὲ τοῦ Ἡραΐσκου τῇ φύσει καί τι τοὺς μολυσμοὺς τῆς φύσεως ἀναινόμενον· εἰ γοῦν αἴσθοιτο φθεγγομένης ὅπως δὴ καὶ ὅθεν γυναικὸς ἀκαθάρτου τινός, ἤλγει παραχρῆμα τὴν κεφαλήν, καὶ τοῦτο σημεῖον ἐποιεῖτο τῆς ἀφεδρείας. οὕτω μὲν ζῶντι συνῆν ἀεί τι θεοειδές· ἀποθανόντι δὲ ἐπειδὴ τὰ νομιζόμενα τοῖς ἱερεῦσιν ὁ Ἀσκληπιάδης ἀποδιδόναι παρεσκευάζετο, τά τε ἄλλα καὶ τὰς Ὀσίριδος ἐπὶ τῷ σώματι περιβολάς, αὐτίκα φωτὶ κατελάμπετο πανταχῇ τῶν σινδόνων ἀπόρρητα διαγράμματα, καὶ περὶ αὐτὰ καθεωρᾶτο φασμάτων εἴδη θεοπρεπῆ, ἐπιδεικνύντων τὴν ψυχὴν ἐναργῶς, ποίοις ἄρα θεοῖς γεγόνει συνέστιος. ἦν δὲ αὐτοῦ καὶ ἡ πρώτη γένεσις τῷ ὄντι μυστική· λέγεται γὰρ κατελθεῖν ἀπὸ τῆς μητρὸς τοῖς χείλεσιν ἔχων τὸν κατασιγάζοντα δάκτυλον, οἷον Αἰγύπτιοι μυθολογοῦσι γενέσθαι τὸν Ὧρον καὶ πρὸ τοῦ Ὥρου τὸν Ἥλιον. τοιγαροῦν ἐπεὶ οἱ συνεπεφύκει τοῖς χείλεσιν ὁ δάκτυλος, ἐδεήθη τομῆς, καὶ διέμεινεν ἀεὶ τὸ χεῖλος ὑποτετμημένον ἰδεῖν, ἅπασι φανεροῦν τὸ σημεῖον τῆς ἀπορρήτου γενέσεως. ὅθεν αὐτῷ καὶ ὁ βίος ἐς τοῦτο προῆλθεν, ἐν ἀδύτοις ἑκάστοτε καὶ τελεστηρίοις ἐνδιαιτᾶσθαι τὴν ψυχήν, οὔτι κατ' Αἴγυπτον μόνην κινοῦντι τὰς πατρίους τελετάς, ἀλλὰ καὶ τῆς ἀλλοδαπῆς εἴ πού τι καταλέλειπτο τῶν τοιούτων. καὶ ἐγεγόνει ὁ Ἡραΐσκος Βάκχος, ὡς ὄνειρος αὐτὸν κατεμήνυσεν. ὁ δὲ Ἀσκληπιάδης ἐπὶ πλεῖον ἐν τοῖς Αἰγυπτίοις βιβλίοις ἀνατραφεὶς ἀκριβέστερος ἦν ἀμφὶ θεολογίαν τὴν πάτριον, ἀρχάς τε αὐτῆς καὶ μέσα διεσκεμμένος καὶ τὴν ἀπειρίαν ἀτεχνῶς τῶν ἐσχάτων περάτων πολυπραγμονήσας, ὡς ἔξεστιν εἰδέναι σαφῶς ἀπό τε τῶν ὕμνων ὧν συγγέγραφεν εἰς τοὺς Αἰγυπτίων θεούς, καὶ ἀπὸ τῆς πραγματείας ἣν ὥρμησε γράφειν περιέχουσαν τῶν θεολογιῶν ἁπασῶν τὴν συμφωνίαν. καὶ συγγραφὴν δὲ ἔγραψεν Αἰγυπτίων ὠγυγίων, πράγματα περιέχουσαν οὐκ ἐλαττόνων ἐτῶν ἢ τριῶν μυριάδων, ἀλλὰ πλειόνων ὀλίγῳ. ὁ δὲ Ἡραΐσκος οὐ μόνον ἀγαθὸς ἦν καὶ ἤπιος, ἀλλ' εἶχέ τι καὶ ... πρὸς τὴν πονηρίαν θυμούμενος καὶ πρὸς τὰς ἐπιβουλὰς τῶν ἀνθρώπων ἀνδριζόμενος, οὐδαμοῦ δὲ παρεκβαίνων τὸ μέτρον τῆς δικαιοσύνης. ὅ τε γὰρ Ἀμμώνιος καὶ Ἐρύθριος ὁ Αἰγύπτιος διεμάχοντο πρὸς ἀλλήλους ἐν Βυζαντίῳ, καὶ διετέλει προωθῶν ἀεὶ ὁ ἕτερος τὸν ἕτερον εἰς τοὺς ἐσχάτους κινδύνους. Damasc. Phot. p. 343.

Ἡραΐσκος ἀνὴρ Αἰγύπτιος. οὗτος ἦν b μὲν συνεῖναι δεινότατος, ἀγωνιστὴς δὲ οὐκ ἰσχυρὸς ὑπὲρ τῆς ἀληθείας, οὐδὲ τὰς ἔξω φερούσας ἀπὸ ταύτης ὁδοὺς ἀνιχνεῦσαι καὶ διεξελθεῖν. οὗτος γὰρ ἐς τοὐναντίον ἐκεκλήρωτο τὴν εὐμοιρίαν.

ἠραιωμένῳ ἀραιῷ ὄντι.

Ἡράκλεια πόλις περὶ Σικελίαν, ἡ λεγομένη Μίνῳα.

ἡράκλεια. πολλῶν ὄντων τῶν κατὰ τὴν Ἀττικὴν ἡρακλείων, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου (125) ἤτοι τῶν ἐν Μαραθῶνι ἢ τῶν ἐν Κυνοσάργει μνημονεύει· ταῦτα γὰρ διὰ τιμῆς μάλιστα ἦγον Ἀθηναῖοι. Harp.

Ἡράκλεια λίθος ἡ Μαγνῆτις, ἑλκυστικὴ τοῦ σιδήρου. Πισίδης "πάντας δ' ὑφέλκων οἷα Μαγνῆτις λίθος, ἢ μᾶλλον εἰπεῖν Ἡράκλειαν τὴν λίθον· φύσιν γὰρ αὐτὸς ἑλκτικωτέραν ἔχει."

Ἡράκλεια λουτρά τὰ θερμά· κατὰ δωρεὰν γὰρ ὁ Ἥφαιστος ἀνέδωκεν αὐτὰ τῷ Ἡρακλεῖ. ἐξ ὧν τὰ θερμά.

Ἡράκλειαι στῆλαι.

Ἡράκλειαν λίθον. τινὲς τὴν Μαγνῆτιν ἀπέδοσαν διὰ τὸ τὴν Ἡράκλειαν τῆς Μαγνησίας εἶναι. οἱ δὲ ὅτι ἡ μὲν ἐπισπωμένη τὸν σίδηρον Ἡρακλεῶτις, ἡ δὲ Μαγνῆτις ἀργύρῳ ὁμοία ἐστίν, ὡς Εὐριπίδης ἐν Οἰνεῖ "τὰς βροτῶν γνώμας σκοπῶν ... ὥστε Μαγνῆτις λίθος τὴν δόξαν ἕλκει καὶ μεθίστησιν πάλιν." οὐ λέγει νῦν ὑπὸ τῆς Μαγνήτιδος λίθου τὸν σίδηρον ἀλλὰ τὴν τῶν θεωμένων δόκησιν ἕλκεσθαι, πλανωμένων ὡς ἐπὶ ἀργύρῳ.

Ἡρακλείδης Εὔφρονος φιλόσοφος, a Ἡρακλείας τῆς Πόντου, τὸ δὲ γένος ἄνωθεν ἀπὸ Δάμιδος, ἑνὸς τῶν ἡγησαμένων τῆς εἰς Ἡράκλειαν ἐκ Θηβῶν ἀποικίας, Πλάτωνος γνώριμος· ἐκδημήσαντος δὲ Πλάτωνος εἰς

Σικελίαν προεςάναι τῆς σχολῆς κατελείφθη ὑπ' αὐτοῦ. οὗτος καὶ δράκοντα ἔθρεψε καὶ ἡμέρωσε, καὶ εἶχε συνδιαιτώμενον αὐτῷ καὶ συγκαθεύδοντα· ὃς καὶ μόνος ἐπὶ τῆς κλίνης εὑρέθη τοῦ Ἡρακλείδου κατακλιθέντος μὲν ὑγιοῦς, οὐχ εὑρεθέντος δέ. καὶ ἄλλοι μὲν αὐτὸν ἀπηθανατίσθαι ἐνόμισαν, ἄλλοι δὲ ἐν φρέατι αὐτὸν ἐμβεβληκέναι, ὡς ἂν δόξῃ τοῖς ἀνθρώποις ἀπηθανατίσθαι. ἔγραψε πολλά.

b Ἡρακλείδης Ὀξυρυγχίτης φιλόσοφος, ὁ τοῦ Σαραπίωνος, ὃς ἐπεκλήθη λέμβος, γεγονὼς ἐπὶ Πτολεμαίου τοῦ ἕκτου· ὃς τὰς πρὸς Ἀντίοχον ἔθετο συνθήκας. ἔγραψε φιλόσοφα καὶ ἄλλα.

c Ἡρακλείδης Ποντικός, ἀπὸ Ἡρακλείας τῆς Πόντου, γραμματικός, ὅςις Διδύμῳ τῷ πάνυ κατὰ τὴν Ἀλεξανδρέων ἐφοίτησεν. οὗτος ἐπειδὴ ἤκυσεν Ἄπερος τῦ Ἀριςάρχου μαθητοῦ εὐδοκιμοῦντος κατὰ τὴν Ῥώμην πολλά τε τὸν Δίδυμον διασύροντος, ἔγραψε μέτρῳ Σαπφικῷ ἤτοι Φαλαικείῳ βιβλία γ' δυσερμήνευτα καὶ πολλὴν τὴν ἀπορίαν ἔχοντα προβαλλομένων ζητημάτων, ἅτινα Λέσχας ἐκάλεσεν, εἰς Ῥώμην δὲ κομίσας καὶ τοῦ Ἄπερος καταφανεὶς κατέμεινε σχολαρχῶν ἐν αὐτῇ ἐπὶ Κλαυδίυ καὶ Νέρωνος. ἔγραψε δὲ καὶ ποιήματα ἐπικὰ πολλά.

Ἡρακλείη βίη τοῦ Ἡρακλέους.

a Ἡράκλειος βασιλεὺς Ῥωμαίων. οὗτος ὑπὸ Ἀθανασίου πατριάρχου Ἰακωβιτῶν καὶ Σεργίου τοῦ Σύρου Κωνςαντινουπόλεως εἰς τὴν αἵρεσιν τῶν μονοθελιτῶν ἐξεκυλίσθη.

ὅτι Ἡρακλείῳ τῷ βασιλεῖ ὄντι ἐν Περσίδι ἐτελεύτησαν β' υἱοὶ καὶ β' θυγατέρες. αὐτὸς δὲ λαβὼν τὰ ζωοποιὰ ξύλα ἐσφραγισμένα, καθάπερ ἐλήφθησαν διαμείναντα, εἰς τὰ Ἱεροσόλυμα ἀφίκετο καὶ Μοδέςῳ τῷ ἀρχιερεῖ καὶ τῷ αὐτῦ κλήρῳ ταῦτα ὑπέδειξεν. οἳ δὲ τήν τε σφραγῖδα σώαν ἐπεγίνωσκον καὶ ἀνέπαφον, τήν τε κλεῖδα τὴν παρ' αὐτῷ ἤγαγε, καὶ προσεκύνησαν καὶ ὕψωσαν, καὶ ἐς τὸ Βυζάντιον ἐξέπεμψεν ὁ βασιλεύς· ἃ δὴ Σέργιος ἀρχιερεὺς εἰς Βλαχέρνας ὑπεδέξατο. καὶ μετ' οὐ πολὺ Ἡράκλειος εἰς Βυζάντιον ἐχώρει, δεχθεὶς μετὰ πολλῆς εὐφημίας.

ὅτι ὁ αὐτὸς Ἡράκλειος ἐκ Περσῶν εἰς τὸ Βυζάντιον δ' ἦγεν ἐλέφαντας, οὓς δὴ καὶ εἰς τοὺς ἱππικοὺς ἀγῶνας ἐθριάμβευσεν ἐπὶ τῇ τῆς πόλεως τέρψει, πάσαις δωρεαῖς φιλοτιμησάμενος. ἐπεὶ δὲ ἦν ἑλὼν ἐκ τῆς οὐσίας τῆς μεγάλης ἐκκλησίας, . . . ἐκ τῦ βασιλέως ταμιείου αὐτῇ τε καὶ τῷ κατ' αὐτὴν κλήρῳ ἐτήσια χρήματα παρέχεσθαι. καὶ Κωνςαντῖνον υἱὸν αὐτῦ παρασκευάζει ὑπατεῦσαι, Ἡράκλειόν τε τὸν ἀπὸ Μαρτίνης Καίσαρα προχειρίζεται. πυθόμενος δὲ ἀποθανεῖν ἐν τοῖς εἰς τὰ Ἠρία παλατίοις διέτριβε. καὶ συναγαγὼν ὁ ὕπαρχος καὶ συζεύξας πλοῖα εἰς τὸν πορθμὸν τοῦ καλυμένυ Στενοῦ, διέβη κατὰ τὰς ἀκτὰς τοῦ καλουμένυ κόλπυ Φειδαλίας, καὶ διὰ τῆς γεφύρας τοῦ Βαρυβύσσυ ποταμοῦ εἰς τὴν πόλιν εἰσήει. ὑδέρῳ δὲ τὸν βίον καταςρέφει.

ὅτι ἐπὶ Ἡρακλείου . . . πατριάρχυ. cf. v. βρύχιος.

b Ἡράκλειος ςρατηγὸς γεγονὼς ἐπὶ Ζήνωνος οἷος μὲν τολμῆσαι καὶ πρόθυμος ἐγχειρεῖν ἐς πολέμους ἑτοίμως, ὃ μέντοι τὸ προμηθὲς εἶχεν ἐν τοῖς κινδύνοις, οὐδὲ βουλὴν πρότερον ποιησάμενος ὥρμα πρὸς ὃ ἔσπευδε πράττειν, ἀλλ' ἔξω τοῦ λογισμοῦ πρὸς τὰ ἔργα ἐχώρει, καὶ τὸ ἐμπλήκτως ὀξὺ ἐν ἀνδρὸς μοίρᾳ ἐτίθετο. ὅπερ δὴ καὶ μάλιςα αὐτὸν ὕςερον ἔσφηλεν. Malchus p. 278 Nieb.

Ἡράκλειος ψώρα ἡ δυσθεράπευτος, ἡ Ἡρακλείων λουτρῶν δεομένη πρὸς θεραπείαν· ἡ γὰρ Ἀθηνᾶ τῷ Ἡρακλεῖ πολλὰ ἀνῆκε λυτρὰ πρὸς ἀνάπαυσιν τῶν πόνων.

a Ἡράκλεις σχετλιαςικὴ φωνή· ὗτος γὰρ ὁ Ἡρακλῆς εἰς ἐπικουρίαν ἐκαλεῖτο ὡς ἀλεξίκακος τοῖς σχέτλια πάσχουσιν. sch. A Ach. 283.

b Ἡράκλεις ἐπίφθεγμα θαυμαςικόν· τὸ γὰρ Ἥρακλες κλητικὴ πτῶσις, ὥσπερ τὸ ὦ Δάματερ τοῦ Δήμητερ διαφέρει. ἐπικαλοῦνται δὲ τὺς Ἡρακλείδας ὁμοίως· Μένανδρος (fr. inc. 319) "ἀλλ' ὦ Ἡρακλεῖδαι καὶ θεοί."

Ἡρακλείτειος λόγος, καὶ Ἡρακλείτεια θηλυκῶς, καὶ Ἡρακλείτεια συγγράμματα.

Ἡράκλειτος ὄνομα κύριον.

Ἡράκλειτος Βλόσωνος ἢ Βαύτωρος, οἱ δὲ Ὡρακίνου, Ἐφέσιος, φιλόσοφος φυσικός, ὃς ἐπεκλήθη σκοτεινός. ὗτος ἐμαθήτευσεν οὐδενὶ τῶν φιλοσόφων, φύσει δὲ καὶ ἐπιμελείᾳ ἠσκήθη. οὗτος ὑδρωπιάσας οὐκ ἐνεδίδου τοῖς ἰατροῖς ᾗπερ ἐβούλοντο θεραπεύειν αὐτόν, ἀλλ' αὐτὸς βολβίτῳ χρίσας ὅλον ἑαυτὸν εἴασε ξηρανθῆναι τῦτο ὑπὸ τῦ ἡλίυ,

καὶ κείμενον αὐτὸν κύνες προσελθοῦσαι διέσπασαν. οἱ δὲ ἄμμῳ χωσθέντα φασὶν ἀποθανεῖν. τινὲς δὲ αὐτὸν ἔφασαν διακοῦσαι Ξενοφάνους καὶ Ἱππάσου τοῦ Πυθαγορείου. ἦν δὲ ἐπὶ τῆς ξθʹ ὀλυμπιάδος, ἐπὶ Δαρείου τοῦ Ὑςάσπου, καὶ ἔγραψε πολλὰ ποιητικῶς. ζήτει ἐν τῷ Δηλίου κολυμβητοῦ.

ὅτι Ἡράκλειτος ἔφη ὀλιγωρεῖν πάντη τοῦ σώματος καὶ νομίζειν αὐτὸ κοπρίων ἐκβλητότερον, ἐκ τοῦ ῥᾴςου δὲ αὐτῷ τὰς θεραπείας ἀποπληροῦν, ἕως ἂν ὁ θεὸς ὀργάνῳ τῷ σώματι χρῆσθαι ἐπιτάττῃ. Iulian. or. 7 p. 226 C.

Ἡρακλειώτης ἀπὸ Ἡρακλείας.

Ἡρακλεοπολίτης.

Ἡρακλέος γενική.

Ἡρακλέους ἄγαλμα βαςάζον ἐν τῇ ἀριςερᾷ χειρὶ μῆλα τρία διὰ τὸ τὸ τριμερὲς τῆς ψυχῆς κεκοσμῆσθαι αὐτόν. ὁ Ἡρακλῆς Πίκου τοῦ καὶ Διὸς υἱός, φιλόσοφος ἄριςος.

Ἡρακλέων Αἰγύπτιος, ἀπὸ κώμης Τιλώτεως οὔσης ὑπὸ τῇ Ἡρακλέους πόλει, γραμματικός, ἐπαίδευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ὑπόμνημα εἰς Ὅμηρον κατὰ ῥαψῳδίαν, καὶ εἰς τοὺς λυρικούς· περὶ τῶν παρ' Ὁμήρῳ προςτακτικῶν ῥημάτων.

Ἡρακλεωτικός.

a Ἡρακλῆς ὄνομα κύριον. ἡ ἐτυμολογία τῆς κλήσεως ἀπό τινος χρησμοῦ· "Ἡρακλῆν δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει· ἥρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις."

b Ἡρακλῆς Ἀλκμήνης υἱός. τοῦτον φιλόσοφον ἱςοροῦσι, καὶ γράφουσι δορὰν λέοντος φοροῦντα καὶ ῥόπαλον φέροντα καὶ τρία μῆλα κρατοῦντα, ἅπερ τρία μῆλα νικήσαντα τὸν πολυποίκιλον τῆς πονηρᾶς ἐπιθυμίας λογισμὸν διὰ τοῦ ῥοπάλου τῆς φιλοσοφίας ἀφελέσθαι ἐμυθολόγησαν, ἔχοντα περιβόλαιον φρόνημα ὡς δορὰν λέοντος. καὶ οὕτω φονεύσας τῷ ῥοπάλῳ τὸν δράκοντα τῆς ἐπιθυμίας ἀφείλετο τὰ τρία μῆλα, ὅ ἐςι τὰς τρεῖς ἀρετάς, τὸ μὴ ὀργίζεσθαι, τὸ μὴ φιλαργυρεῖν καὶ τὸ μὴ φιληδονεῖν· διὰ γὰρ τοῦ ῥοπάλου τῆς καρτερικῆς ψυχῆς καὶ τῆς δορᾶς τοῦ θρασυτάτου καὶ σώφρονος λογισμοῦ ἐνίκησε τὸν ἰὸν τῆς φαύλης ἐπιθυμίας, φιλοσοφήσας ἄχρι θανάτου. Io. Antioch. exc. Peir. p. 778.

c Ἡρακλῆς "ἀέριον κλέος ἔσχεν," οἷον μέγα καὶ περιβόητον. ἀνεφάνη δὲ ἐπὶ Μίνωος Ἡρακλῆς Τύριος, ὃς εὗρε τὴν βαφὴν τῆς καλουμένης κογχύλης ἀπὸ κυνὸς αἱμαχθέντος τὰς σιαγόνας, καὶ προσήγαγε Φοίνικι τῷ βασιλεῖ, ὃς πρῶτος ἐφόρεσε πορφύραν.

Ἡρακλῆς ξενίζεται, παροιμία ἐπὶ τῶν d βραδυνόντων. οἱ γὰρ ὑποδεχόμενοι τὸν Ἡρακλέα βραδύνουσι· πολυφάγος γὰρ ὁ ἥρως ⟨sch. A Lys. 927⟩.

ἤρανος· Παῦλος Σιλεντιάριος "ἵλαθι τολμήεντι μεγασθενὲς ἤρανε γαίης" πρὸς βασιλέα Ἰουςινιανὸν ἐν τῇ ἐκφράσει τῆς ἁγίας Σοφίας ⟨1 44⟩.

ἤραρεν ⟨Hom. Δ 110⟩ ἥρμοσεν.

ἠρασάμην ⟨Hom. Ξ 317⟩ ἠράσθην.

Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος Πλάτων Πολιτείας βʹ ⟨378 B⟩. οὕτω γραπτέον· παρὰ Πινδάρῳ γὰρ ὑπὸ Ἡφαίςου δεσμεύεται ἐν τῷ ὑπ' αὐτοῦ κατασκευασθέντι θρόνῳ, ὅ τινες ἀγνοήσαντες γράφουσιν ὑπὸ Διός, καί φασι δεθῆναι αὐτὴν ἐπιβουλεύσασαν Ἡρακλεῖ. Κλήμης. ἡ ἱςορία καὶ παρ' Ἐπιχάρμῳ ἐν Κωμαςαῖς ἢ Ἡφαίςῳ.

ἤρασσον ἔκρουον, ἔπληττον, ἐβλασφήμουν. ⟨S Ai. 724⟩ "μαθόντες ἀμφέςησαν, εἶτ' ὀνείδεσιν ἤρασσον ἔνθεν κἄνθεν," ἀντὶ τοῦ πάντες ὁμοφρόνως. καὶ αὖθις ⟨AP 6 317⟩ "αὐτὰρ ὃ πεπταμένη μέγα τύμπανον ἔσχετο χειρὶ ἤραξεν· καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν."

ἠρᾶτο ⟨Hom. Α 35⟩ ηὔξατο.

ἠργολαβηκώς.

ἠρδαλωμένος λεπρὸς καὶ μεμιασμένος. καὶ ἠρδάλωσεν ἠσβόλωσεν.

ἤρδιον ⟨ῥήδιον?⟩ περιφανὲς ἅρμα σκεπαςόν.

ἤρει ἐλάμβανεν.

ἤρειδεν ἧφιεν, ἔπεμπεν· ⟨A Eq. 623⟩ "ἔπη ἤρειδε κατὰ τῶν ἱππέων."

ἤρεικον ἔσχιζον· ⟨Hes. Scut. 287⟩ "ἤρεικον χθόνα δῖαν."

ἠρεικώς σθενώσας καὶ ὑπακουμβίσας. καὶ ἤρεισεν ἠκούμβισεν.

ἡρεῖτο ἐπεθύμει, ἐλάμβανε· "πολλάκις a γὰρ οὐ μόνον τῆς ἡμέρας ἀλλὰ καὶ τῆς νυκτὸς σῖτον ἡρεῖτο, καὶ ὑπὲρ τὰς τῶν δείπνων παρασκευὰς τὰ πολυτελῆ τῶν δημοσίων ἀπετρύγετο" ⟨Io. Antioch. exc. Peir. p. 814. cf. v. Βιτέλλιος⟩.

ἡρεῖτο ἐξελέγετο, προέκρινεν· "ἡρεῖτο δὲ b ὁπόσον κάχληκος τοῦ ἐμφερομένου τοῖς ἐδάφεσιν" ⟨cf. v. κάχληκες⟩.

c ἠρεῖτο ἐπορθεῖτο.

ἠρέμα ἀτρέμας. καὶ ἠρεμαίως καὶ ἠρεμεὶ ἡσύχως.

ἠρεμία ἀτρεμία τις οὖσα, κατὰ στέρησιν τοῦ τρέμειν, οἷον ἡ ἀκινησία.

ἠρετισάμην, αἰτιατικῇ, εἱλόμην, ἐξελεξάμην. Ps. 119 173.

ἤρετο ἠρώτα, ἔλεγεν, ἠρώτησε. κεῖται δὲ καὶ ἐπὶ τοῦ ἐπαίρεσθαι τῷ φρονήματι.

Ἥρη ἡ Ἥρα. καὶ κλίνεται Ἥρης.

ἠρήκασι πεπορθήκασι, καὶ ἠρηκότες πεπορθηκότες.

ἠρημένην κεχειροτονημένην, καὶ ἠρημένον ἐπικριθέν, ἐκλελεγμένον. "ἐπειδὴ ἐτύγχανον ἐκ πλεῖστα τὰ Περσῶν ἠρημένοι, προπηλακίζεσθαί τε ὑπὸ Κόλχων αὐτῶν καὶ Ῥωμαίων, καὶ ἐν τοῖς ἀτιμοτάτοις τετάχθαι."

ἠρήρειστο ⟨Hom. Γ 358, Δ 136⟩ ἥρμοστο· "τὸ δὲ δὴ ξῖφος εὖ μάλα ἠρήρειστο τῷ συνασπισμῷ, καὶ ἀκριβῶς ὑπῆρχε στερρόν τε καὶ ἀπερίσπαστον."

Ἥρης τῆς Ἥρας.

ἠρήσαντο ⟨Hom. Γ 318⟩ ηὔξαντο.

ἤρθη ηὐξήθη, ὑψώθη.

ἦρι ὄρθρον, ἕωθεν· ἢ ἔαρι.

a ἠρία τὰ ἐν τῇ γῇ μνήματα· ⟨AP 7 180⟩ "ἡνίκα δυσδάκρυτα κατὰ χθονὸς ἠρία τεῦχον, ὡς ἂν ἀποφθιμένου κεῖθι δέμας κτερίσω." καὶ αὖθις ⟨AP 7 209⟩ "ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμην, ὄφρα σε καὶ φθίμενον Δηοῦς σταχυητρόφος αὔλαξ θέλγῃ, ἀροτραίῃ κείμενον ἐν θαλάμῃ."

b ἠρία οἱ τάφοι. φασὶ δέ τινες κοινότερον μὲν πάντας τοὺς τάφους οὕτως ὀνομάζεσθαι, κατ' ἐξαίρετον δὲ τοὺς μὴ ἐν ὕψει ᾠκοδομημένους. ὠνομάσθαι δὲ παρὰ τὴν ἔραν. Harp.

ἠριγένειαν τὴν τὸν ὄρθρον γεννῶσαν. ⟨AP 7 204⟩ "οὐδ' ὑπὸ μαρμαρυγῇ θαλεριώπιδος ἠριγενείης ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων."

Ἠριγόνειος τάφος.

Ἠριδανὸς ποταμός.

ἠρίθμησεν ἀπεδειλίασε, μεθ' ἡσυχίας ἤγαγε· ⟨A Eq. 567⟩ "τοὺς ἐναντίους ἰδὼν οὐκ ἠρίθμησεν, ἀλλ' εὐθὺς ἦν ἀμυνίας," ἕτοιμος πρὸς ἄμυναν.

Ἠρικαπαῖος ὄνομα κύριον.

ἠρικνωμένον ἐρρυτιδωμένον, παλαιόν.

ἠρικώς ἐξισώσας καὶ φιλονεικήσας.

Ἤριννα Τεΐα ⟨an Τηνία⟩ ἢ Λεσβία, ὡς δὲ ἄλλοι, Τηλία (Τῆλος δέ ἐστι νησίδιον ἐγγὺς Κνίδου)· τινὲς δὲ καὶ Ῥοδίαν αὐτὴν ἐδόξασαν. ἦν δὲ ἐποποιός. ἔγραψεν Ἠλακάτην· ποίημα δέ ἐστιν αἰολικῇ καὶ δωρίδι διαλέκτῳ, ἐπῶν τ'. ἐποίησε δὲ καὶ ἐπιγράμματα. τελευτᾷ παρθένος ἐννεακαιδεκέτις. οἱ δὲ στίχοι αὐτῆς ἐκρίθησαν ἴσοι Ὁμήρῳ. ἦν δὲ ἑταίρα Σαπφοῦς καὶ ὁμόχρονος.

ἠρινὸν ἄνθος ἐαρινόν.

ἠρινὸς καιρός ὁ τοῦ ἔαρος.

Ἤριον ὄνομα τόπου, ἠρίον δὲ ὁ τάφος.

ἤριπεν εἰς τὴν ἔραν κατέπεσεν· ⟨AP 7 210⟩ "ἤριπεν ἐσχαρίου λάβρον ἐπ' ἄσθμα πυρός."

ἠριπόλη ἡ ἡμέρα· ἐν ἐπιγράμματι ⟨AP 5 228⟩ "οὐδὲ φαεινῆς φέγγος ἰδεῖν ἐθέλω χρύσεον ἠριπόλης."

ἠριπώθη ἔπεσεν.

ἤρισεν ἐφιλονείκησεν.

ἤρκεσεν ἐβοήθησεν· "ὃ δὲ τὸν θώρακα αὐτοῦ διέρρηξεν, ὃς ἤρκεσέν οἱ ἀμῦναι λυγρὸν ὄλεθρον."

ἡρματισμένον ἠσφαλισμένον.

ἡρμόσαντο εὐφυῶς διετέθησαν· "οἱ δὲ ἡρμόσαντο πρὸς τὴν βούλησιν, καὶ συνέθεντο δέκα τάλαντα δώσειν." Πολύβιος "οἱ δὲ στρατιῶται πάντα ἡρμόζοντο πρὸς τὴν εἰς οἶκον ἐπάνοδον," ἀντὶ τοῦ ἐγίνοντο, παρεσκευάζοντο.

ἡρμόσθησαν φιλικῶς διετέθησαν· "λόγους οὖν προσοίσαντος καὶ ἥδιστα προσεμένου, ἡρμόσθησαν ἄμφω."

ἡρμοττόμην ἐπαιδευόμην· Ἀριστοφάνης ⟨Eq. 1233⟩ "ἐν ταῖσιν εὔστραις κονδύλοις ἡρμοττόμην." ἀπὸ τῆς μουσικῆς τὸ ἡρμοττόμην.

Ἡρόδικος ὄνομα κύριον.

Ἡρόδοτος Λύξου καὶ Δρυοῦς, Ἁλικαρνασσεὺς τῶν ἐπιφανῶν, καὶ ἀδελφὸν ἐσχηκὼς Θεόδωρον. μετέστη δ' ἐν Σάμῳ διὰ Λύγδαμιν τὸν ἀπὸ Ἀρτεμισίας τρίτον τύραννον γενόμενον Ἁλικαρνασσοῦ· Πισίνδηλις γὰρ ἦν υἱὸς Ἀρτεμισίας, τοῦ δὲ Πισινδήλιδος Λύγδαμις. ἐν οὖν τῇ Σάμῳ καὶ τὴν Ἰάδα ἠσκήθη διάλεκτον, καὶ ἔγραψεν ἱστορίαν ἐν βιβλίοις θ', ἀρξάμενος ἀπὸ Κύρου τοῦ Πέρσου καὶ Κανδαύλου τοῦ Λυδῶν βασιλέως. ἐλθὼν δὲ εἰς Ἁλικαρνασσὸν καὶ τὸν τύραννον ἐξελάσας, ἐπειδὴ ὕστερον εἶδεν ἑαυτὸν φθονούμενον ὑπὸ τῶν πολιτῶν, εἰς τὸ Θούριον ἀποικιζόμενον ὑπὸ Ἀθηναίων ἐθελοντὴς ἦλθε, κἀκεῖ τελευτήσας ἐπὶ τῆς ἀγορᾶς τέθαπται. τινὲς δὲ ἐν

Πέλλαις αὐτὸν τελευτῆσαί φασιν. ἐπιγράφονται δὲ οἱ λόγοι αὐτοῦ μοῦσαι.

περὶ Ἡροδότȣ λέγει ὁ παραβάτης ἐν ἐπιςολῇ "τίς οὖν ἀγνοεῖ τὸν Αἰθιόπων ὑπὲρ τȣ̃ παρ' ἡμῖν τροφιμωτάτȣ σιτίου λόγον; ἀψάμενοι γὰρ τῆς μάζης θαυμάζειν ἔφασαν ὅπως κόπρια σιτούμενοι ζῶμεν, εἴ τῳ πιςὸς ὁ Θȣ́ριος εἶναι λογοποιὸς δοκεῖ. ἰχθυοφάγων δὲ καὶ σαρκοφάγων ἀνθρώπων γένη, μηδ' ὄναρ ἰδόντα τὴν παρ' ἡμῶν δίαιταν, οἱ τὴν οἰκȣμένην περιηγούμενοι γῆν ἱςοροῦσιν· ὧν εἴ τις παρ' ἡμῖν ζηλῶσαι τὴν δίαιταν ἐπιχειρήσει, οὐδὲν ἄμεινον διακείσεται τῶν τὸ κώνειον προσενεγκαμένων ἢ τὴν ἀκόνιτον ἢ τὴν ἐλλέβορον."

Ἡρομένης ὄνομα κύριον.

ἤροσα ἠροτρίασα.

Ἡρόςρατος ὄνομα κύριον.

ἠροῦντο ἐλάμβανον· "οἱ δὲ ὡς εἶχον χαμαὶ δεῖπνον ἠροῦντο."

Ἡροφίλα ἡ καὶ Σίβυλλα Ἐρυθραία, Θεοδώρου θυγάτηρ, ἔγραψε βιβλία γ' μαντικὰ ἐπικῶς, καὶ ἦλθεν εἰς Ῥώμην ἐν τοῖς χρόνοις τῶν ὑπάτων, ἄλλοι δὲ Ταρκυνίου, δοκȣ̃σα χρηματίσεσθαι δι' αὐτῶν. ὡς δὲ κατεφρονήθη, τὰς β' κατέκαυσε βίβλȣς, ἃς καὶ ἔτυχεν ἐπιφερομένη. περιεσώθη δὲ ἡ λοιπὴ μία, ἥτις καὶ παρὰ τῶν Ῥωμαίων ἐξωνήθη πολλοῦ τιμήματος.

ἤρρησεν ἐφθάρη, ἦλθεν. ὅθεν καὶ τὸ εἰσήρρησεν.

ἤρτηται, γενικῇ, κρέμαται· "ὃ δὲ τὰ μὲν πρῶτα ἐδεῖτο τῆς τῶν ἀνθρώπων ἰατρικῆς, καὶ ἐκείνων ἤρτητο."

ἦρτο ὑψοῦτο, ἠγείρετο· "τὸ δὲ χῶμα ἐπὶ τοσοῦτον ἦρτο ὥςε ἐπὶ ἰσοπέδου ἐπὶ τὰς ὀφρύας τοῦ ὄρους τὰ βλήματα ἐξικνεῖτο."

ἠρτύνετο (Hom. B 55) παρεσκεύαζεν.

ἠρύγγανεν ἐμεγαλαύχει, ἐνηβρύνετο· "εἰ καὶ περίβλεπτον καὶ δόκιμον ἠρύγγανε γένος, ἐπιπράσκετο." ἠρύγγανεν οὖν κυρίως ἠρεύγετο.

ἠρυγγίτης εἶδος βοτάνης.

ἤρυγεν (Hom. Υ 404) ἐβόα.

Ἠρύγιον ὄνομα τόπου.

ἠρυθροδανωμένον ἐρυθρῷ βάμματι βεβαμμένον.

Ἥρυλλος ὁ Ἡρακλῆς.

ἤρυον ἤντλȣν, καὶ ἠρύσατο ἤντλησεν.

ἥρωας τὰς ὑπολελειμμένας τῶν σπουδαίων ψυχάς.

Ἡρώδειον τόπος. Ioseph. B. I. 1 13 8 et 21 10.

Ἡρώδης ὁ πρῶτος, βασιλεὺς Ἰουδαίων, a ἔσχεν υἱȣ̀ς ὁμωνύμȣς αὐτῷ καὶ διωνύμȣς γ', Ἡρώδην Ἀντίπαν τὸν καὶ τὸν πρόδρομον ἀποτεμόντα, ἐφ' οὗ καὶ ὁ κύριος ἐςαυρώθη, καὶ Ἡρώδην Φίλιππον, ᾧ πρῶτον Ἡρωδιὰς συναφθεῖσα θυγατέρα Σαλώμην ἔσχε τὴν καὶ ὀρχησαμένην· καὶ Ἡρώδην Ἀγρίππαν τὸν καὶ Ἰάκωβον ἀνελόντα τοῦ Ζεβεδαίου (Cedren. p. 183 A). πρὸς ὃν τοῦ δήμου ἐπιφωνοῦντος τότε "θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπȣ," δίκην ἔδωκεν αὐτίκα. ςολὴν γὰρ ἐξ ἀργύρȣ πεποιημένην περιθέμενος καὶ εἰς τὸ θέατρον ἐλθὼν καὶ ἐφ' ὑψηλοῦ βήματος καθίσας ἐδημηγόρει· τῆς δὲ ἡλιακῆς ἀκτῖνος προσπεσȣ́σης τῷ ἐνδύματι, ἡ λαμπηδὼν τῇ αὐγῇ τῆς ἐσθῆτος ἀνακραθεῖσα τὰς ὄψεις τῶν περιεςώτων κατήςραψε, καὶ αἰωρηθέντων ἐπὶ τȣ́τῳ καὶ ὡς θεὸν αὐτὸν εὐφημησάντων ἐπαίρεται πλέον ὁ δείλαιος, ὃν εὐθὺς ἄγγελος κυρίου ἐπάταξεν ἀθρόως, καὶ ἀνεπήδησε τῆς καθέδρας ἐκ τοῦ σπαράττεσθαι δεινῶς τὴν γαςέρα αὐτοῦ. τὸν δὲ Ἰάκωβον ἰδὼν ἀπαγόμενον τὴν ἐπὶ θάνατον ὁ κατήγορος αὐτȣ̃ καὶ μεταμεληθεὶς προσέπεσε τοῖς ποσὶ τοῦ ἀποςόλου, λέγων "συγχώρησόν μοι, ἄνθρωπε τȣ̃ θεοῦ, ὅτι μεταμεμέλημαι ἐφ' οἷς ἐλάλησα κατὰ σοῦ." ὁ δὲ μακάριος παραυτίκα τȣ̃τον καταφιλήσας εἶπεν αὐτῷ "εἰρήνη σοι, τέκνον, εἰρήνη σοι καὶ συγχώρησις τȣ̃ πταίσματος." ὃ δὲ μετὰ φωνῆς μεγάλης εὐθέως Χριςιανὸν ἑαυτὸν ἐπὶ πάντων ἀνηγόρευσεν, ὡς καὶ τὸ τοῦ μαρτυρίου βραβεῖον ἀπενέγκασθαι. ὁ δὲ ἄθλιος Ἡρώδης ἐπὶ ἡμέρας φθειρόμενος καὶ σκώληκας ἐκβράζων ἐλεεινῶς τὸν βίον κατέλυσεν, ὡς καὶ ὁ δυσσεβέςατος αὐτȣ̃ πατήρ· κἀκεῖνος γὰρ τἀπίχειρα τῆς κατὰ Χριςȣ̃ καὶ τῶν ὁμηλίκων αὐτοῦ τόλμης ἔτι περιὼν τῷ βίῳ κομισάμενος αἰσχίςῳ μόρῳ τὸν βίον κατέςρεψεν.

Ἡρώδης Ἰούλιος χρηματίσας, υἱὸς Ἀτ- b τικοῦ του Πλουτάρχου (an Ἱππάρχου), γένος Αἰακίδης, Ἀθηναῖος, τῶν δήμων Μαραθώνιος, σοφιςής, πλούσιος ἐκ θησαυροῦ γενόμενος σφόδρα, ὥςε καὶ ςάδιον κατεσκευάσατο Ἀθηναίοις καὶ θέατρον ὑπωρόφιον. ἦρξε τῆς Ἀσίας ὁ αὐτοῦ πατήρ, καὶ τοῖς δισυπάτοις συγκατελέχθη. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ

Ἀδριανοῦ καὶ Μάρκου Ἀντωνίνου τῶν αὐτοκρατόρων, διδαχθεὶς ὑπὸ Φαβωρίνῳ καὶ Πολέμωνι, καὶ ἔγραψεν ἐφημερίδας, σύγγραμμα πολυμαθές, καὶ ἐπιϛολάς, καὶ λόγȣς αὐτοσχεδίους, ὧν μέμνηται Φιλόϛρατος ἐν τοῖς βίοις τῶν σοφιϛῶν. διεδέξατο δὲ αὐτȣ̃ τὴν σχολὴν Ἀδριανὸς ὁ σοφιϛής. σύγχρονος δὲ ἦν Ἡρώδης Ἀριϛείδῃ τῷ σοφιϛῇ. φέρονται δὲ αὐτοῦ καὶ ἄλλα πλεῖϛα, ἐν οἷς τὸ μεγαλοφυὲς καὶ ὑψίνουν τοῦδε τοῦ ἀνδρὸς κατανοεῖται καὶ διαδείκνυται. τελευτᾷ δὲ ἀμφὶ τὰ ϛ′ καὶ ο′ ἔτη, ξυντακὴς γενόμενος.

Ἡρωδιανός Ἀλεξανδρεὺς γραμματικός, υἱὸς Ἀπολλωνίου τοῦ γραμματικοῦ τοῦ ἐπικληθέντος δυσκόλου, γέγονε κατὰ τὸν Καίσαρα Ἀντωνῖνον τὸν καὶ Μάρκον, ὡς νεώτερον εἶναι καὶ Διονυσίου τοῦ τὴν μȣσικὴν ἱϛορίαν γράψαντος καὶ Φίλωνος τȣ̃ Βιβλίȣ. ἔγραψε πολλά.

Ἡρωδιάς ὄνομα κύριον.

Ἡρωδίωνος.

ἡρωελεγεῖον μέτρον τι.

ἠρώησεν ἔπαυσεν.

Ἡρωίνη ὄνομα κύριον.

Ἥρων Κότυος Ἀθηναῖος, ῥήτωρ τὰς ἐν Ἀθήναις δίκας γεγραφώς, εἶτα ἐξήγησιν Δεινάρχου, ὑπομνήματα εἰς Ἡρόδοτον Ξενοφῶντα Θουκυδίδην, κεκριμένων ὀνομάτων βιβλία γ′, ἐπιτομὴν τῶν Ἡρακλείδȣ ἱϛοριῶν, περὶ τῶν ἀρχαίων ῥητόρων καὶ τῶν λόγων οἷς ἐνίκησαν πρὸς ἀλλήλους ἀγωνιζόμενοι.

ὅτι Ἥρωνι ἐπέτρεψεν ἑαυτὸν ὁ Πρόκλος, ἀνδρὶ θεοσεβεῖ καὶ τελείαν παρασκευὴν ἐσχηκότι τῶν κατὰ τὴν παίδευσιν ὁδῶν, Ἀλεξανδρεῖ. Marin. V. Procli 9.

ἡρῷναι· Ἀριστοφάνης Νεφέλαις ⟨314⟩ "ἡρῷναί τινές εἰσι;" τρισυλλάβως τὸ ἡρῷναι προήνεγκαν, ὡς ἠίθεοι ἤθεοι. Αἰλιανός "γενναῖον ἔργον καὶ τολμηρὸν ἡρωίνης ἄντικρυς τοῦτο δράσασα."

Ἡρῶναξ ὄνομα κύριον.

ἡρῷον μνημεῖον.

ἥρως ἡμίθεος, δυνατός, γενναῖος. δισυλλάβως δὲ κέχρηται Ὅμηρος ἥρῳ, ἅπαξ ἐν Ἰλιάδι ⟨Η 453⟩ καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ ⟨ϑ 483⟩.

ἠρώτα παρεκάλει, ἔθυεν, ηὔχετο, ἱκέτευεν.

ἦς ὑπῆρχες.

Ἡσαΐας ὄνομα κύριον.

Ἡσαΐνον ὄρος.

ἦσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι ⟨A Plut. 1003⟩, παροιμία ἀπὸ χρησμοῦ, ἐπὶ τῶν ποτὲ εὖ εἶτα ἑτέρως γεγονότων.

ᾖσαν ἀντὶ τοῦ ὕμνησαν, ἐδόξασαν.

ᾖσαν ᾔδεισαν, ἐγίνωσκον· ⟨Eur. Rhes. 854⟩ "οὐδ' ἀφιγμένον τὸ πάμπαν ᾖσαν."

ᾖσας χάριν ἐποίησας, ἐδόξασας.

ἥσατο ⟨Hom. ι 353⟩ εὐφράνθη.

Ἠσαῦ ὄνομα κύριον.

ἧσειν ⟨Hom. ϑ 203⟩ πέμψειν.

ἦσθα ἦς, ὑπῆρχες· ⟨AP 6 199⟩ "ἦσθα γὰρ εὐχωλῇσι κατήκοος, ἔνθα κελεύθοις ἵλαος."

ἧσθαι καθῆσθαι.

ἡσθείη χαρήσεται· ⟨A Lys. 201⟩ "ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών." τὴν κύλικά φησιν, ἐπεὶ μεγάλη ἦν καὶ πλέα. καὶ ἡσθείς χαρείς.

ἥσθην ἐχάρην.

ᾔσθηνται ἔγνωσαν· Ἀριϛοφάνης ⟨Vesp. 671⟩ "οἱ δὲ σύμμαχοι ὡς ᾔσθηνται τὸν σύρφακα ἐκ κηθαρίου λαγαριζόμενον." καὶ ᾔσθετο ὁμοίως.

ἠσθῆσθαι περιβεβλῆσθαι· "θριαμβίδα τε ἠσθῆσθαι ϛολὴν αὐτόν."

ἤσθητο ἀντὶ τοῦ περιεβέβλητο· "καὶ ἤσθητο κροκωτὸν χιτῶνα ὑπὲρ τȣ̃ πλείονας ἐς αὐτὸν ἐπιϛρέφειν."

ἤσθιον ἔτρωγον.

ἠσί φησίν.

Ἡσίοδος Κυμαῖος, νέος δὲ κομισθεὶς ὑπὸ τοῦ πατρὸς Δίου καὶ μητρὸς Πυκιμήδης ἐν Ἄσκρῃ τῆς Βοιωτίας. γενεαλογεῖται δὲ εἶναι τοῦ Δίου τοῦ Ἀπέλλιδος τοῦ Μελανώπου, ὅν φασί τινες τοῦ Ὁμήρȣ προπάτορος εἶναι πάππον, ὡς ἀνεψιαδοῦν εἶναι Ἡσιόδου τὸν Ὅμηρον, ἑκάτερον δὲ ἀπὸ τȣ̃ Ἄτλαντος κατάγεσθαι. ποιήματα δὲ αὐτοῦ ταῦτα, θεογονία, ἔργα καὶ ἡμέραι, ἀσπίς, γυναικῶν ἡρωινῶν κατάλογος ἐν βιβλίοις ε′, ἐπικήδειον εἰς Βάτραχόν τινα ἐρώμενον αὐτȣ̃, περὶ τῶν Ἰδαίων Δακτύλων, καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ ἐπιξενωθεὶς παρ' Ἀντίφῳ καὶ Κτιμένῳ, οἳ νύκτωρ δόξαντες ἀναιρεῖν φθορέα ἀδελφῆς αὐτῶν ἀνεῖλον τὸν Ἡσίοδον ἄκοντες. ἦν δὲ Ὁμήρου κατά τινας πρεσβύτερος, κατὰ δὲ ἄλλους σύγχρονος. Πορφύριος καὶ ἄλλοι πλεῖϛοι νεώτερον ρ′ ἐνιαυτοῖς ὁρίζουσιν, ὡς λβ′ μόνους ἐνιαυτοὺς συμπροτερεῖν τῆς πρώτης ὀλυμπιάδος.

Ἡσιόνη ὄνομα κύριον.

ἧσις τέρψις.

ἧσκει ἔκαμεν.

ἠσκημένον κατεσκευασμένον· ἀσκήματα γὰρ τὰ κατασκευάσματα. ⟨S El. 217⟩ "ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον."

ἠσμένισας ἐχάρης.

ἧσο κεῖσο· ⟨AP 6 52⟩ "οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρὸν ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά." καὶ αὖθις ⟨AP 6 128⟩ "ἧσο κατ' ἠγάθεον τόδ' ἀνάκτορον, ἀσπὶ φαεννά."

ἤσπαιρεν· Ἡρόδοτος ⟨8 5⟩ "ὁ Κορίνθιος στρατηγὸς τῶν λοιπῶν ἤσπαιρε μοῦνος, φάμενος ἀποπλεύσεσθαι ἀπὸ Ἀρτεμισίου."

ἠσπικότες συνελθόντες.

ἡσσηθῆναι ἡττηθῆναι.

ἡσσηκότες ἡττήσαντες.

ἥσσηντο ἥττηντο.

ἡσσῆσθαι, παρακείμενος, ἀντὶ τοῦ ἡττῆσθαι.

ἧσσον ἑτοίμως κατέχειν, ἀντὶ τοῦ οὐδὲ ὁμοίως. καὶ αὖθις ⟨Procop. Arc. 7⟩ "ἧσσον δὲ ταῦτα τοὺς παραπεπτωκότας ἠνία ἢ τὰ πρὸς Ἰουστινιανὸν ἐς τὴν πόλιν."

ἡσσῶνται ἡττῶνται.

ἧσται καθέζεται. ἧσται δὲ ὠνόμασται.

ᾔστην ἐκαθέζοντο, διχῶς· Ἀριστοφάνης Ὄρνισι ⟨19⟩· "τὼ δ' οὐκ ἄρ' ᾔστην." τινὲς δὲ διὰ τοῦ ι ἴστην, ἀντὶ τοῦ ᾔδεσαν, οὐδὲν ἄλλο ᾔδεσαν ἢ δάκνειν.

ἤστην ἀντὶ τοῦ ὑπῆρχον, διχῶς· "ἀδελφὼ δύο ἤστην." καὶ αὖθις "ἐπηρμένω τε ἤστην ἀμφω ταῖς ἐλπίσιν," ἠπατημένω. cf. v. ἡμίσεια.

ἡστὸν ἡδύ.

ἡσυνθέτηκας ⟨Ps. 72 15⟩ ἃ συνέθου καὶ ὡμολόγησας, παρέβης.

ἡ συκάμινος συκαμίνῳ ῥύπτεται, πρὸς τοὺς ἑαυτοῖς τὰ ὠφέλιμα λαμβάνοντας ἐξ ἑαυτῶν.

ἡ Συρακουσίων δεκάτη, ἐπὶ τῶν σφόδρα πλουσίων.

ἡσυχάζω δοτικῇ.

Ἡσύχιος Μιλήσιος, υἱὸς Ἡσυχίου δικηγόρου καὶ Φιλοσοφίας, γεγονὼς ἐπὶ Ἀναστασίου βασιλέως, ἔγραψεν ὀνοματολόγον ἢ πίνακα τῶν ἐν παιδείᾳ ὀνομαστῶν, οὗ ἐπιτομή ἐστι τοῦτο τὸ βιβλίον, καὶ χρονικὴν ἱστορίαν, ἥντινα διεῖλεν εἰς ἓξ διαστήματα (οὕτω γὰρ καλεῖ ἕκαστον βιβλίον), ἐν οἷς ἐμφέρονται αἱ κατὰ καιροὺς πράξεις τῶν Ῥωμαίων βασιλέων καὶ αἱ δυναστεῖαι τῶν κατὰ ἔθνος κρατησάντων τυράννων καὶ τὰ κατὰ τὸ Βυζάντιον πραχθέντα ἕως τῆς βασιλείας Ἀναστασίου τοῦ ἐπονομαζομένου δικόρου. εἰς δὲ τὸν πίνακα τῶν ἐν παιδείᾳ λαμψάντων ἐκκλησιαστικῶν διδασκάλων οὐδενὸς μνημονεύει, ὡς ἐκ τούτου ὑπόνοιαν παρέχειν μὴ εἶναι αὐτὸν χριστιανόν, ἀλλὰ τῆς Ἑλληνικῆς ματαιότητος ἀνάπλεων. καὶ ἡσυχῇ ἡσύχως.

ἤσχαλλον ἐλυποῦντο.

ἠσχάτισεν ὑστέρησεν.

ἦτα τὸ στοιχεῖον, τὸ γράμμα. ἧττα ἡ ἥττησις.

ἠταίρηκεν ἠτάκτησεν. "ἠταιρηκέναι δὲ τοῖς ἄνω μέρεσι τοῦ σώματος, οὐκ εἶναι δ' ἄξιον τὸ ἱερὸν πῦρ φυσᾶν" ⟨cf. v. Δημοχάρης⟩.

ἠταιρηκὼς ἐπὶ τῆς πορνείας, ἠταιρικὼς δὲ ἐπὶ τοῦ ἑταίρου.

ἢ τὰν ἢ ἐπὶ τάν ἢ ταύτην ἢ ἐπὶ ταύτης. γυνὴ Λάκαινα τῷ παιδὶ δοῦσα τὴν ἀσπίδα τοῦτο εἶπεν.

ᾐτημένην ἀντὶ τοῦ κεχρημένην· καὶ γὰρ αἰτεῖσθαι ἔλεγον τὸ κίχρασθαι. Harp.

ᾔτησεν ἐζήτησεν.

ἠτίμησεν ⟨Hom. Α 11⟩ ἠτίμασεν, ὕβρισεν.

ἦτορ ψυχή· Ὅμηρος ⟨Λ 115⟩ "ἁπαλόν τέ σφ' ἦτορ ἀπηύρα." ὅπερ ἐκίνησε τοὺς στωικοὺς λέγειν ὅτι συναύξεται τῷ σώματι ἡ ψυχὴ καὶ συμμειοῦται πάλιν.

ἠτρέμιζεν ἐκαρτέρει, ἡσύχαζεν.

ἤτρια οἱ στήμονες· ⟨AP 6 288⟩ "τόν τε πρόσεργον ἄτρακτον, καὶ τὰν ἄτρια κριναμέναν κερκίδα, τὰν ἱστῶν μολπάτιδα."

ἠτριαῖα καὶ ἠτριαῖον.

ἤτριον ἔνδυμα ὑμενῶδες· "μετεωρίζον τὸ ποικίλον ἤτριον πάσας ἑλίσσει τροπάς" ⟨cf. vv. Ἰνδοί et χιλιοστύς⟩. λέγει περὶ τοῦ δρακοντοειδοῦς σημείου τοῦ ἐν πολέμῳ. ἴτριον δὲ τὸν ἄρτον.

ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι. τὸ μὲν τρὶς ἓξ τὴν παντελῆ νίκην δηλοῖ, τὸ δὲ τρεῖς κύβοι τὴν ἧτταν.

ἦτρον τὸ ὑπὸ τὸν ὀμφαλὸν μέρος. καὶ τὸ κάλυμμα τῆς μήτρας, ὃ καλοῦσιν ἔλυτρον· Ἀριστοφάνης ⟨Th. 516⟩ "τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισεν." ἐν χύτραις γὰρ τὰ παιδία ἐξετίθεσαν.

ἡττηθεὶς" ἀντὶ τοῦ ἧττον ἔχων "ἀπέλθοι."

ἡττήθης τῆς ἀληθείας. καὶ ἡττήθης τινος ἀλεκτρυόνος ⟨A Av. 70⟩, ἐπὶ δούλων ἢ θεραπόντων ἑπομένων τοῖς δεσπόταις. φυσικὸν ἐςι τοῦτο, ἐπεὶ ἐν ταῖς συμβολαῖς τῶν ἀλεκτρυόνων οἱ ἡττηθέντες ἕπονται τοῖς νενικηκόσι. καὶ Θεόκριτος ⟨22 72⟩ "ὀρνίθων φοινικολόφων τοιοίδε κυδοιμοί."

ἥττημαί σου, γενικῇ.

ἡττημένος ὁ νενικημένος.

ἧττον· ⟨A Plut. 1119⟩ "τῶν ἄλλων ἁπάντων ἧττόν μοι μέλει," ἀντὶ τοῦ οὐδαμῶς.

ἡττώμενος, γενικῇ, νικώμενος.

ἥττων ἐλάττων, ὑποχείριος· "οὕτω δὲ ἦν Ἐπίκουρος ἡδονῆς ἥττων --- προτιμῶν" ⟨cf. v. Ἐπίκουρος⟩.

ἤτω ὑπαρχέτω· "ἤτω ἡ δόξα κυρίου εἰς τοὺς αἰῶνας." τρίτον πρόσωπόν ἐςι προςακτικόν, ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω· ἡ μετοχὴ εἷς ἕντος, τὸ προςακτικὸν ἔθι ἔτω, ἐπεκτάσει ἤτω, καὶ πλεονασμῷ τοῦ σ ἔςω. ἢ ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω ἦεν ἦες ἦε, καὶ τὸ προςτακτικὸν ἔε ἐέτω, καὶ κράσει τῶν δύο ε εἰς η ἤτω.

ἠυγένειος ⟨Hom. O 275⟩ ὁ καλὸν γένειον ἔχων.

ηὔγισεν.

ηὖδα ἔλεγεν, εἶπεν.

ηὐδάξαντο ἐφήμισαν.

ηὔδησα ἐφώνησα.

ηὐδόκησα ἠθέλησα.

ηὔλησα ὠργάνισα.

ηὐλήσαντο ἐταράχθησαν, ἐςράφησαν, πεφύσηνται. ηὐλίσαντο δὲ κατέλυσαν, ἠπλήκευσαν.

ηὐλόγησα ηὐξάμην. καὶ εὐλόγησα ὡς ἀττικώτερον.

ηὐμοίρησα ἐπέτυχον.

ηὐπόρησα ἐν εὐπορίᾳ εἰμί.

ηὑρῆσθαι καὶ εὑρῆσθαι.

ἠύς ὁ ἀγαθός.

ἤυσεν ⟨Hom. E 784⟩ ἐφώνησεν.

ηὐτομόλησεν ἀφ' ἑαυτοῦ παρεγένετο.

ηὐτρέπισα ἡτοίμασα.

ηὐχένιζεν τὸν τράχηλον ἀπέκοπτεν, ἐλαιμοτόμει. ὅπερ Ὅμηρος αὐερύειν φησί. sch. S Ai. 298.

Ἥφαιςε πρόμολ' ὧδε ⟨Hom. Σ 392⟩ οὕτως ὡς ἔχεις παρελθών, μηδὲν ὑπερθέμενος.

Ἡφαίςειος δεσμός, ἐπὶ τῶν ἀφύκτων· "ὁ δὲ συγκατειλημμένος πάθεσιν ὥσπερ Ἡφαιςείοις δεσμοῖς ἀρρήκτοις ἀλύτοις, ἔμενέ γε ἐν αὐτοῖς ἔμπεδον· τὰ δὲ ἦν ἐρωτομανία καὶ μέθη καὶ πλεονεξία" ⟨cf. v. Ἀρβαζάκιος⟩.

Ἡφαιςία. δύο πόλεις ἦσαν τῆς Λήμνου, Μύρινά τε καὶ Ἡφαιςία. Harp.

Ἡφαιςίων Ἀλεξανδρεὺς γραμματικὸς a
ἔγραψεν ἐγχειρίδιον μέτρων, καὶ μετρικὰ διάφορα, περὶ τῶν ἐν ποιήμασι ταραχῶν, κωμικῶν ἀπορημάτων λύσεις, τραγικῶν λύσεων, καὶ ἄλλα πλεῖςα, καὶ τῶν μέτρων τοὺς ποδισμούς.

Ἡφαιςίων Μακεδών, ἑταῖρος τοῦ Ἀλε- b
ξάνδρου. "λόγος δὲ ἔχει Ἀλέξανδρον ἐλθεῖν ἐπὶ τὴν σκηνὴν τῶν γυναικῶν Δαρείου τοῦ Πέρσου, καὶ παρελθεῖν εἴσω ξὺν Ἡφαιςίωνι μόνῳ τῶν ἑταίρων· καὶ τὴν μητέρα τὴν Δαρείου ἀγνοήσασαν ὅςις ὁ βασιλεὺς εἴη αὐτοῖν (ἐςάλθαι γὰρ ἄμφω τῷ αὐτῷ κόσμῳ) τὴν δὲ Ἡφαιςίωνι προσελθεῖν καὶ προσκυνῆσαι, ὅτι μείζων αὐτῇ ἐφάνη ἐκεῖνος. ὡς δὲ ὁ Ἡφαιςίων τε ὀπίσω ὑπεχώρησε καί τις τῶν ἀμφ' αὐτὴν τὸν Ἀλέξανδρον δείξας ἐκεῖνον ἔφη εἶναι Ἀλέξανδρον, τὴν μὲν καταιδεσθεῖσαν τῇ διαμαρτίᾳ ἀποχωρεῖν, Ἀλέξανδρον δὲ οὐ φάναι αὐτὴν ἁμαρτεῖν, καὶ γὰρ ἐκεῖνον εἶναι Ἀλέξανδρον. καὶ ταῦτα ἐγὼ οὔτε ὡς ἀληθῆ οὔτε ὡς πάντῃ ἄπιςα ἀνέγραψα· ἀλλὰ εἴτε οὕτως ἐπράχθη, ἐπαινῶ Ἀλέξανδρον τῆς τε ἐς τὰς γυναῖκας κατοικτίσεως καὶ τῆς ἐς τὸν ἑταῖρον πίςεως καὶ τιμῆς, εἴτε πιθανὸς δοκεῖ τοῖς ξυγγράψασιν Ἀλέξανδρος ὡς καὶ ταῦτα ἂν πράξας καὶ εἰπών, καὶ ἐπὶ τῷδε ἐπαινῶ Ἀλέξανδρον." οὕτως φησὶν Ἀρριανός ⟨Anab. 2 12⟩.

ὅτι Ἥφαιςος ὁ θεὸς καὶ τὸ πῦρ.

ὅτι Ἑρμοῦ βασιλεύσαντος εἰς Αἴγυπτον καὶ θανόντος Ἥφαιςος παραλαμβάνει τὴν βασιλείαν ἡμέρας αχπ', ὡς γίνεσθαι ἔτη δ', μῆνας ζ', ἡμέρας η'· οὐκ ᾔδεισαν γὰρ τότε Αἰγύπτιοι ἐνιαυτοὺς μετρῆσαι, ἀλλὰ τὴν περίοδον τῆς ἡμέρας ἐνιαυτὸν ἔλεγον. ἦν δὲ μυςικὸς καὶ πολεμικός, διὸ καὶ θεὸν αὐτὸν ἐκάλουν· ὅςις πολεμῶν ἐπλήγη τὸν πόδα καὶ γέγονε χωλός. ἔθηκε δὲ καὶ νόμον τοῖς Αἰγυπτίοις σωφροσύνης· οὐκ ᾔδεισαν γὰρ μονανδρεῖν αἱ τούτων γυναῖκες. ὑπὸ δὲ μυςικῆς εὐχῆς τὴν ὀξυλάβην ἀπὸ τοῦ ἀέρος ἐδέξατο, δι' ἧς κατεσκεύασεν ἀπὸ σιδήρου ὅπλα πολεμικὰ καὶ γεωργικὰ ἐργαλεῖα· πρὸ γὰρ αὐτοῦ μετὰ ῥοπάλων καὶ λίθων ἐπολέμουν.

ἡ Φάνου θύρα. τὸν Φανόν φησι Δήμων ὀβολοσάτην εἶναι, ἄλλοι δὲ τυφλόν, ἐπανοιγομένης δὲ αὐτῷ τῆς τοῦ ταμιείυ θύρας κατασκευάσαι τοιαύτην ἣν οὐκ ἄν τις ἤνοιξε μὴ ψόφον ποιήσας. ἐνίους δὲ λέγειν ὡς μοιχευομένης αὐτῷ τῆς γυναικὸς τὴν αὔλειον θύραν εἰργάσατο ὡς μὴ ἄνευ ψόφου ἀνοίγεσθαι. τῆς δὲ κατὰ τοῦ ςέγους δεχομένης τὸν μοιχόν, χλευάζοντας τοὺς γείτονας ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν τῷ φυλάττειν τὴν Φάνου θύραν εἶναι λέγειν.

ἠφειδήκεισαν. καὶ ἠφειδηκότες καταπαύσαντες, μὴ φεισάμενοι.

ἠφείθη ειάθη, συνεχωρήθη.

ἠφηνιακόσιν.

ἥφιεσαν ἔπεμψαν.

ἠφλυσμός ἀφρός.

ἠφρόνησεν κακῶς ἐφρόνησεν.

ἡ φῦσα. καὶ ὁ φύς ὁ γεννήσας.

ἤφυσεν ⟨Hom. *N* 508⟩ ἤντλησεν.

ἠφώρισεν ἐχώρισεν.

ἠφωρίσθαι διακεχωρίσθαι.

ἡ χάραξ τὴν ἄμπελον ⟨A Vesp. 1282⟩ ἐπὶ τῶν ὑπὸ χεῖρα. cf. v. χάραξ.

ἦχεν ἐγεγαμήκει.

ἦχεν ἐπὶ τὸν οἶκον ἀντὶ τῦ ἐκόμισεν.

ἠχέτης ὁ ἄρρην τέττιξ· ⟨AP 7 201⟩ "ἀλλά σε γηρύοντα κατήναρεν, ἠχέτα τέττιξ, παιδὸς ἀπ' ἠιθέου χειρί με πεπταμένα."

ἠχήεις ὁ ἦχον ἀποτελῶν.

ἠχήν ἦχον, ἢ φήμην.

ἠχήσας βοήσας.

ἠχητικόν θορυβητικόν.

ἤχθαιρεν ἐμίσει.

ἤχθοντο ἠγανάκτουν· "ἤχθοντο τὸ ςρατιωτικόν, κατηγόρουν τε αὐτόν."

ἦχι ⟨Hom. *A* 607⟩ ὅπου.

ἤχλυσε ⟨Hom. μ 406⟩ συνεσκότασεν.

ἦχος κραυγή.

ἠχρειώθησαν ⟨Ps. 13 4, 52 4⟩ ἀχρεῖοι ἐγένοντο καὶ ἄχρηςοι.

ἢ χρὴ τραγῳδεῖν ἢ μελαγχολᾶν, ἐπὶ τοῦ μήτε λυπεῖσθαι μήτε χαίρειν.

ἠχώ. ὅτι γίνεται ἡ ἠχὼ κατὰ ἀνάκλασιν τὴν ἀπὸ τῶν ἀντιτύπων καὶ λείων σωμάτων, μάλιςα δὲ κοίλων, τοῦ πληγέντος ὑπὸ τῆς φωνῆς ἀέρος. ὁ γὰρ διαλεγόμενος ὠθεῖ μὲν σχεδὸν πάντα τὸν πέριξ ἀέρα, μάλιςα δὲ τὸν ἔμπροσθεν· διὸ μᾶλλον ἀκούομεν πρὸς ἡμᾶς ὁρῶντος τοῦ διαλεγομένου ἢ ἀπεςραμμένου. οὗτος δὴ ὁ ἔμπροσθεν ἀὴρ ὠθούμενος ὅταν ἐνεχθῇ ἐπί τι ἀντίτυπον ἔχον κοιλότητα, οἷά ἐςι τὰ ἄντρα, συνεχὴς ὢν καὶ ἀδιασκέδαςος μείνας διὰ τὸ περιέχεσθαι ὑπὸ τοῦ κοιλώματος, προσπεσὼν αὐτῷ ἀντιτύπῳ ὄντι σώματι ὠθεῖται εἰς τὸ ἔμπαλιν ὥσπερ ἡ ῥιπτομένη κατὰ τοῦ τοίχου σφαῖρα, καὶ οὕτω χωρεῖ ἐπὶ τὸν πλήξαντα, ἐνεργοῦντος δηλονότι τῦ ἀέρος δι' ἀμφότερα κατὰ τὴν διηχῆ αὐτοῦ δύναμιν. οὐ μόνον γὰρ διὰ τὸ μὴ συγχωρεῖσθαι ὑπὸ τοῦ κοίλου τύπου διασκεδασθῆναι, οἷος ἠνέχθη, ὑπὸ τῆς ἀντιτυπίας τοῦ σκληροῦ σώματος εἰς τοὐναντίον ἀπωθεῖται, ἀλλ' ὅτι καὶ τῷ κοίλῳ τούτῳ, ᾧ προσπίπτει, οὐ κενῷ ὄντι προσπίπτει ἀλλ' ἀέρος πλήρει, ὅσπερ ἀὴρ συνεχής ἐςι καὶ ἡνωμένος διὰ τὸ περιέχον. τοῦτον οὖν ὁ ὑπὸ τοῦ φωνήσαντος πληγεὶς ἀὴρ καὶ ψοφῶν διελὼν τῇ φορᾷ, καὶ κωλυθεὶς ὑπ' αὐτοῦ συνεχοῦς ὄντος καὶ ἡνωμένου διασκεδασθῆναι, προσπταίει τῷ σκληρῷ σώματι, καὶ μὴ δυνάμενος πρόσω χωρῆσαι ἀντανακλᾶται εἰς τοὐπίσω μετὰ τῆς οἰκείας ἐνεργείας, λέγω δὴ τοῦ ψόφου. καὶ οὕτω συμβαίνει παλινδρομεῖν τὸν ψόφον. Ἀλέξανδρος δὲ ἑτέρως φησίν. Philopon. in 2 de anima.

ἠχώ· "καὶ τὰ λεγόμενα ἠχὼ εἶχεν, ὥσπερ ἀπὸ σκήπτρυ θεμιςευόμενα" ⟨cf. vv. θεμιςεύσαντος et κατεγλωττισμένον⟩.

ἠχὼ λόγων ἀντῳδὸς ἐπικοκκάςρια ⟨A Th. 1065⟩ ἀντὶ τῦ εἰωθυῖα γελᾶν, γελάςρια.

ἥψατο ⟨Hom. *A* 512⟩ ἐκράτησεν.

ἡ ψελλὴ οὐ πιττεύω, παροιμία ἐπὶ τῶν τὰ οἰκεῖα ἐλαττώματα πειρωμένων ἀποκρύπτειν.

ἧψεν ἀνῆψεν.

Ἠώη ⟨an Ἠιών⟩ ὄνομα πόλεως.

ἠῶθεν ἕωθεν, ὄρθρου.

ἠώκοιτος ⟨Hes. *O.* 572⟩ ὁ πρωινὸς ὕπνος.

Ἠὼν Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους ⟨23 199⟩ πόλις ἐςί, Μενδαίων ἀποικία. Harp.

Ἠωρείμ ὄνομα κύριον.

ἠωρημένῳ κρεμαμένῳ, καὶ ἠώρησεν ἐκρέμασεν, ἀνῆψεν· ἐν ἐπιγράμματι ⟨AP 6 172⟩ "ταῦτά σοι, ὦ Διόνυσε, πρὸ παςάδος ἠώρησε τὰ κάλλευς κόσμια καὶ μανίης."

ἠώρουν ἐβάςαζον, ἀνεῖχον· ⟨Menand. p. 383 Nieb.⟩ "τὴν δὲ κλίνην ταῶνες τέσσαρες χρυσοῖ ἠώρουν." αἰωρῶ τὸ ῥῆμα.

ἠώς ὁ πρὸ ἡμέρας ὄρθρος. ἐπὶ μὲν τῆς
θεᾶς ⟨Hom. Λ 1, ε 1⟩ "Ἠὼς δ' ἐκ λεχέων,"
ἐπὶ δὲ ὅλης ἡμέρας ⟨Φ 155⟩ "ἥδε δέ μοι νῦν
ἠὼς ἐνδεκάτη," ἐπὶ δὲ τῆς πρωίας ἕως ἕκτης
ὥρας ⟨Φ 111⟩ "ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέ-
σον ἦμαρ." λέγεται δὲ ἡμέρα κοινῶς ἠώς,
ἰωνικῶς ἕως, δωρικῶς ἀώς, αἰολικῶς ἐκ τού-
του αὐώς.

Θαβώρ ὄνομα ὄρους. λέγεται δὲ καὶ
Θαβώριον.

Θαιμανίτης ὁ ἀπὸ Θαιμάν, ὅ ἐστι....

θαιρούς τοὺς στροφεῖς τῆς θύρας.

θᾶκοι θρόνοι, καθέδραι.

θᾶκος τόπος ἔνθα πολλοὶ συνήρχοντο
σκεψόμενοι.

θαλά· ⟨3 Regg. 18 35⟩ "καὶ τὴν θαλὰ
ἐπλήρωσεν ὕδατος."

θαλάμακες. καὶ θαλάμακι τῷ κωπη-
λατοῦντι ἐν τῷ κάτω μέρει τῆς τριήρους. αἱ
δὲ θαλάμακες ὀλίγον ἐλάμβανον μισθὸν διὰ
τὸ κολοβαῖς χρῆσθαι κώπαις πρὸς τὰς ἄλ-
λας τάξεις τῶν ἐρετῶν, ὅτι μᾶλλόν εἰσιν ἐγ-
γὺς τοῦ ὕδατος· ἦσαν δὲ τρεῖς τάξεις τῶν
ἐρετῶν, ἡ μὲν κάτω θαλαμῖται, ἡ δὲ μέση
ζυγῖται, ἡ δὲ ἄνω θρανῖται. ἢ θρανίτης ὁ
πρὸς τὴν πρύμναν. θαλαμία δὲ ἡ ὀπὴ δι'
ἧς ἐξέρχεται ἡ κώπη. sch. A Ran. 1106.

θαλάμη. καὶ θάλαμος οἶκος ἢ κοιτών.
⟨AP 6 220⟩ "ἱρήν σοι θαλάμην ζωάγρια καὶ
λαλάγημα τοῦτο τὸ θηρὶ φυγῆς αἴτιον ἀντί-
θεμαι," καὶ αὖθις ⟨6 239⟩ "ἐκ δὲ μελιχροῦ
νέκταρος ἐμπλήσαις κηροπαγεῖς θαλάμας."

θαλαμηπόλος ἡ περὶ τὸν θάλαμον ἀνα-
στρεφομένη καὶ φυλάττουσα, ἡ νεωκόρος· ⟨AP
6 173⟩ "Ἀχρυλὶς ἡ Φρυγίη θαλαμηπόλος, ἡ
περὶ πεύκας πολλάκι τοὺς ἱεροὺς χευαμένη
πλοκάμους."

θαλαμίδιοι κῶπαι αἱ ἠρέμα ἐλαύνου-
σαι. Ἡρόδοτος ⟨5 33⟩ "τοῦτον δῆσαι θαλα-
μίης διελόντας τῆς νηὸς κατὰ τοῦτο, ἔξω
μὲν κεφαλὴν ποιεῦντας, ἔσω δὲ τὸ σῶμα."

θαλάττῃ ἐκ χαράδρας ὕδωρ, ἐπὶ
τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμου-
μένων. ὁμοίως τῷ βῶλος ἄρουρα.

θαλάττιον κῦμα.

θαλαττοκοπεῖς ματαιολογεῖς, ταράτ-
τῃ, θορυβῇ, ἀπὸ τῆς θαλάττης, ἢ ὅταν ὑπὸ
ἀνέμων ταραχθῇ, ἀλλήλοις συγκρούει τὰ κύ-
ματα. sch. A Eq. 827.

θαλέεσσι τρυφαῖς θάλλειν ποιούσαις·
"τὴν μὲν ἐγὼ θαλέεσσιν ἀνέτρεφον." ⟨AP 6
292⟩ "ἦν γὰρ ἐρώτων καὶ χαρίτων ἡ παῖς
ἀμβρόσιόν τι θάλος," τουτέστι βλάστημα.

θαλέθοντες ⟨Hom. ψ 32⟩ θάλλοντες.

θάλεια εὐωχία, ἀπὸ τοῦ θάλλειν· "τὴν
μὲν δὴ νύκτα ἐκείνην ἐν θαλείαις καὶ εὐπα-
θείαις διετέλεσαν." καὶ θάλεια δαίς ⟨Hom.
H 475⟩ ἡ θάλλουσα. σημαίνει καὶ ὄνομα
μούσης.

Θαλέλαιος ὄνομα κύριον.

θαλεροί δίυγροι, νέοι, ἀκμαῖοι, ἢ τα-
χεῖς· "οἱ δὲ ἐπιλεξάμενοι τοὺς θαλεροὺς τῶν
Ἰσαύρων ὥρμησαν ἐπὶ παράλογον πρᾶξιν."
καὶ ⟨AP 7 204⟩ "θαλερώπιδος ἠριγενείης" τῆς
εὐπροσώπου ἡμέρας.

Θαλῆς Ἐξαμύου καὶ Κλεοβουλίνης, Μι- a
λήσιος, ὡς δὲ Ἡρόδοτος ⟨1 170⟩, Φοῖνιξ, γε-
γονὼς πρὸ Κροίσου ἐπὶ τῆς λε' ὀλυμπιάδος,
κατὰ δὲ Φλέγοντα γνωριζόμενος ἤδη ἐπὶ τῆς
ζ', ἔγραψε περὶ μετεώρων ἐν ἔπεσι, περὶ ἰση-
μερίας, καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ γη-
ραιὸς θεώμενος γυμνικὸν ἀγῶνα, πιληθεὶς
δὲ ὑπὸ τοῦ ὄχλου καὶ ἐκλυθεὶς ὑπὸ τοῦ καύ-
ματος. πρῶτος δὲ Θαλῆς τὸ τοῦ σοφοῦ ἔσχεν
ὄνομα, καὶ πρῶτος τὴν ψυχὴν εἶπεν ἀθάνα-
τον, ἐκλείψεις τε καὶ ἰσημερίας κατείληφεν.
ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα, καὶ τὸ θρυ-
λούμενον γνῶθι σαυτόν· τὸ γὰρ "ἐγγύα, πάρα
δ' ἄτα" Χίλωνός ἐστι μᾶλλον, ἰδιοποιησαμέ-
νου αὐτὸ καὶ τὸ μηδὲν ἄγαν. Cedren. p. 157.

Θαλῆς ὁ φυσικὸς φιλόσοφος, ἐπὶ Δα- b
ρείου προειπὼν τὴν τοῦ ἡλίου ἔκλειψιν· καὶ
Ἀριστοφάνης φησὶν ⟨Av. 1010⟩ "ἄνθρωπος Θα-
λῆς" ἀντὶ τοῦ ἄκρος τὴν ἀστρονομίαν. κλίνε-
ται δὲ Θαλοῦ, Θάλης δὲ Θάλητος. παρατη-
ρητέον δὲ ὡς ὅτι ἀπ' εὐθείας τῆς Θαλῆς,
ὡς Ἑρμῆς Ἑρμῆν, Θαλῆν ἔκλινεν Ἀριστοφά-
νης. καὶ Ἑρμέας ὡς Θαλέας. διχῶς δὲ τοὔ-
νομα ἐκφωνητέον, βαρυτόνως μὲν Θάλης ὡς
Χρέμης, οὗ ἡ γενικὴ Θάλητος, Θαλῆς δὲ
Θαλοῦ. sch. A Nub. 180.

Θαλήτας Κνώσσιος ῥαψῳδὸς ποιήματά a
τινα μυθικά.

Θαλήτας Κρὴς Ἐλύριος λυρικός, γεγο- b
νὼς πρὸ Ὁμήρου, μέλη.

θαλίαις ἑορταῖς.

θαλλός κλάδος ἐλαίας, ἢ πᾶν τὸ θάλ-
λον· "ἔχοντας θαλλοὺς ὡσεὶ ι' τὸν ἀριθμὸν
ἔπεμψαν ἄνδρας."

θάλλω δοτικῇ.

θαλπνότερον λαμπρότερον, θερμότερον· Πίνδαρος (Ol. 1 5) "μηκέθ' ἁλίῳ σκόπει ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος."

θαλπόμενοι ἐξαπατώμενοι. Ἰώσηπος (B. I. 4 3 extr.) "τοὺς δὲ ὑποθαλπομένους ἐλπίδι συγγνώμης, εἰ παρακρατηθεῖεν, ἐπιλελῆσθαι τῶν ἰδίων τολμημάτων."

θαλπτήρια θάλλειν ποιοῦντα, περισκέποντα· (AP 6 206) "σάνδαλα μὲν τὰ ποδῶν θαλπτήρια ταῦτα."

θάλπω αἰτιατικῇ.

θαλπωρή (Hom. Z 412) παραμυθία.

θαλυκρόν διάπυρον· ἐν ἐπιγράμματι (AP 5 220) "καὶ τὸ θαλυκρὸν κεῖνο κατημβλύνθη κέντρον ἐρωμανίης."

θαλύσιον τὸ ὑπὲρ εὐθαλίας διδόμενον.

θαλφθῇ ἐξαπατηθῇ τῇ τῶν λόγων περιδρομῇ, ἢ δελεασθῇ· Ἀριςοφάνης (Eq. 210) "ἤδη κρατήσειν, αἴ κε μὴ θαλφθῇ λόγοις." καὶ θαλπόμενοι ἐξαπατώμενοι.

θαμά συνεχῶς, πυκνῶς, διηνεκῶς.

θαμέες (Hom. K 264) πυκνοί. καὶ θαμειαί (Λ 52) καὶ θαμειός.

θαμίζεις (Hom. Σ 386) πυκνάζεις, συχνάζεις.

θαμινά καὶ θαμινῶς συνεχῶς, πυκνῶς.

θαμινός ὁ πυκνός, καὶ θαμινώτατος ὁ πυκνότατος.

θάμνοις συμφύτοις τόποις.

θάμνος ἡ ῥίζα, ἀπὸ τῆς ἐν τῇ γῇ θέσεως. Ὅμηρος δὲ (P 677) τὰ πολυπληθῆ φησὶ τῶν φύλλων· "θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενος." ἀρσενικῶς Ἰώσηπος (A. I. 3 2 5) "ἐν ᾧ καὶ τὰ περὶ τὸν θάμνον καὶ τὰ ἄλλα φαντάσματα συντυχεῖν προειρήκαμεν."

Θάμυρις ἢ Θαμύρας, Θρᾷξ ἐξ Ἠδωνῶν τῆς ἐν Βρίγοις πόλεως, υἱὸς Φιλάμμωνος καὶ Ἀρσινόης, ἐποποιὸς ὄγδοος πρὸ Ὁμήρου, κατὰ δὲ ἄλλους πέμπτος· οἳ δὲ ἀπὸ Ὀδρύσης. οὗτος ὁ Θάμυρις ἐπειδὴ εἰς τὰς μούσας ὕβρισεν, ἐπηρώθη. φέρεται δὲ αὐτῦ θεολογία εἰς ἔπη γ. καὶ πρῶτος ἠράσθη παιδὸς Ὑμεναίου τοὔνομα, υἱοῦ Καλλιόπης καὶ Μάγνητος. οἳ δὲ Κρῆτά φασί τινα Τάλωνα Ῥαδαμάνθυος ἐρασθῆναι. οἳ δὲ Λάϊόν φασιν ἐρασθῆναι πρῶτον Χρυσίππου τοῦ Πέλοπος υἱοῦ, οἳ δὲ Ἰταλιώτας πρώτους κατ' ἀνάγκην ςρατείας εὑρέσθαι τοῦτο. κατὰ δὲ ἀλήθειαν αὐτὸς ὁ Ζεὺς πρῶτος ἠράσθη Γανυμήδους.

Θάμυρις μαίνεται, ἐπὶ τῶν κατὰ σύνεσιν παράλογα δοκούντων πράττειν. cf. v. Ἄμυρις μαίνεται.

θανατᾶν καὶ θανατιᾶν· "ὥςως ἄγαν αὐτοῖς συμβέβηκει τὸν μὲν φονᾶν τὸν δὲ θανατιᾶν."

θάνατος κακῶν ἀπόδρασις καὶ ὥσπερ ἔκ τινος χειμῶνος ἀναγκαῖος ὅρμος· τὸ γὰρ ὑγιαίνειν ἐν τῷ τεθνάναι ἐςὶ μᾶλλον ἢ ἐν τῷ ζῆν.

θανατῶν θανάτου ἐπιθυμῶν. (Ioseph. B. I. 3 7 18) "Οὐεσπασιανὸς ἐκέλευε μὴ συμπλέκεσθαι θανατῶσιν ἀνθρώποις· οὐδὲν γὰρ ἀλκιμώτερον ἀπογνώσεως." Αἰσχύλος (apud A Ran. 1439) "μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ." λέγεται δὲ θανατῶν καὶ ὁ ἀποκτείνων.

θάπτω αἰτιατικῇ.

θαργήλια ἑορτὴ Ἀπόλλωνος καὶ Ἀρτέμιδος. καὶ μὴν θαργηλιών. καὶ θάργηλος ὁ τῶν σπερμάτων μεςὸς χύτρος ἱερῷ ἑψήματος. ἥψουν δ' ἐν αὐτῇ ἀπαρχὰς τῷ θεῷ πεφηνότων καρπῶν ... ὀνομαζόμενον ἀπὸ τοῦ θέρειν τὴν γῆν, τὸν αὐτὸν ὄντα τῷ ἡλίῳ. ἵςαντο δὲ ἐν αὐτῇ καὶ χοροί. καὶ ἀγὼν θαργήλια.

θαργήλια. ἑορτὴ τὰ θαργήλια, ἄγεται δὲ θαργηλιῶνι μηνί, ὅς ἐςιν ἱερὸς Ἀπόλλωνος.

Θαργηλία Ἀγησαγόρου θυγάτηρ, βασιλεύσασα Θεσσαλῶν λ' ἔτη, Μιλησία τὸ γένος, ἀναιρεθεῖσα δὲ ὑπό τινος Ἀργείου δεθέντος ὑπ' αὐτῆς.

θαρραλέον θάρσος. θρασὺς θαρραλέω διαφέρει, ὅτι ὁ μὲν θρασὺς διαβολὴν ἔχει κακὸς ὤν, ὁ δὲ θαρραλέος ὡς ἀγαθὸς ἐπαινεῖται. Ὑπερίδης φησὶν ἐν τῷ Κυθνιακῷ "οἱ μὲν θρασεῖς ἄνευ λογισμοῦ πάντα πράττουσιν, οἱ δὲ θαρραλέοι μετὰ λογισμοῦ τοὺς προσπεσόντας κινδύνους ἀνέκπληκτοι ὑπομένουσι."

θαρραλέος ὁ εὔτολμος, καὶ θαρραλεώτερος εὐτολμότερος. θαρσαλέως δὲ ἐπιρρηματικὸν διὰ τοῦ ω μεγάλου, ἀντὶ τοῦ εὐθαρσῶς καὶ ἀνδρείως.

Θαρρελείδης. Σύμμαχος Ἀσωπόδωρον, Δίδυμος ... ἀχίας ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ σμικρότητι διεβέβλητο σώματος. sch. A Av. 17.

Digitized by Google

θαρρῶ σοι.

a Θαρσεῖς τὴν Καρχηδόνα τὴν τῆς Λιβύης προκαθημένην Ἡσαΐας καὶ Ἰεζεκιὴλ ὀνομάζουσι. Σαβὰ δὲ Αἰθιοπικὸν ἔθνος. ἀλλὰ Λίβυες μὲν οἱ καὶ Ἄφροι προσαγορευόμενοι τὰ ἑσπέρια τῆς οἰκουμένης κατέχουσι τμήματα, Αἰθίοπες δὲ τὰ ἑῷα καὶ νότια, Ἄραβες δὲ τὴν μέσην ἤπειρον, οἱ δὲ νησιῶται τῆς θαλάσσης τὰ μέσα. τούτους ἔφη προπεσεῖσθαι ἐνώπιον τοῦ θεοῦ. "ἐνώπιον τοῦ θεοῦ προπεσοῦνται Αἰθίοπες" Δαβίδ. Theodoret. in Ps. 71 9.

b Θαρσεῖς χώρα τῆς Ἰνδικῆς, ὅθεν ἤρχετο τῷ Σολομῶντι τὸ χρυσίον.

θάρσυνος (Hom. *N* 823) τεθαρρηκώς.

Θασίαν κυκῶσι λιπαράμπυκα Ἀριστοφάνης (Ach. 671), οἷον φιάλην Θασίῳ οἴνῳ πεπληρωμένην. ἄμπυξ δὲ λέγεται τὸ περιέχον· νῦν οὖν τὸ πῶμα τοῦ ἀγγείου λέγει. λιπαρὸν μὲν διὰ τὸ ἡδὺ τοῦ οἴνου, ἄμπυκα δὲ παρὰ τὸ πυκάζειν καὶ καλύπτειν τὸν οἶνον καταχρηστικῶς. λείπει τὸ λάγηνον. ἐπεὶ καταχρίονται πίσσῃ τὸ σῶμα. οὐ πιθανῶς· οὐδέπω γὰρ τότε Θάσιος οἶνος εὐδοκίμει παρ' Ἀθηναίοις. οἱ δὲ ὅτι Θάσιοί τινες ῥαφανῖδες λέγονται· λέγει δὲ τὴν ἠρτυμένην καὶ βρασσομένην. οἱ δὲ Θάσιον βάμμα φασὶ λέγεσθαι. οἱ δὲ τὴν λεγομένην θερμοπότιδα ἢ Θασίαν ζωμάλμην, εἰς ἣν ἀπέβαπτον τὰ ἠνθρακωμένα τῶν ἰχθύων.

Θάσιος οἶνος. καὶ παροιμία (A Plut. 1022) "εἰ Θάσιον ἐνέχεις." ἐπειδὴ ἐν Θάσῳ ᾤκει Στάφυλος ὁ ἐρώμενος Διονύσου, διαφέρει ὁ Θάσιος οἶνος. ἐνέχεις δὲ ἀντὶ τοῦ ἐκίρνας.

Θάσος ἀγαθῶν, ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν ἀποδεῖξαί τινα ἐπαγγελλομένων.

θᾶσσον γὰρ ἄν τις τὴν πᾶσαν ψάμμον ἐξαριθμήσειεν ἢ ὅσους οὗτος ἀνῄρηκε. τὴν δὲ χώραν διαριθμούμενος ἔρημον οὖσαν τῶν ἐνοικούντων, μυριάδας μυριάδων μυρίας φημὶ ἀπολωλέναι. Procop. Arc. 18.

θάτερα ἑτέρως· "ὡς πάντα δεινά, κἀπικινδύνως βροτοῖς κεῖται παθεῖν μὲν εὖ παθεῖν δὲ θάτερα" (S Phil. 502).

θάτερον ἕτερον μέρος.

θᾶττον ἀναπνοῆς τάχιον. ἢ ἀντὶ τοῦ μᾶλλον· (A Eccl. 235) "εἶτα σιτία τίς τῆς τεκούσης θᾶττον ἐπιπέμψειεν ἄν;" "ὑπάτου δὲ παρόντος θᾶττον ἢ κατὰ δόξαν ἐτελέσθη τὸ ἔργον." καὶ αὖθις "ὃ δὲ θᾶττον ἢ φρονιμώτερον ἐγχειρεῖν ἔγνω τοῖς λόγοις." καὶ αὖθις (cf. v. περιέπτυξαν) "θᾶττον ἀναπνοῆς αὐτοὺς περιέπτυξαν καὶ συγκλείσαντες κατηκόντισαν." καὶ αὖθις (Synes. p. 43) "ὧν θᾶττον ἂν ἴδοις τὴν καρδίαν ἢ τὰ ἐν τῇ καρδίᾳ, ἀδυνατούσης τῆς γλώττης ἐξερμηνεῦσαι τὴν γνώμην."

θᾶττον ἢ Βούτης, ἐπὶ τῶν ῥᾳδίως γινομένων· τούτῳ γὰρ μόνον ἐφαίνετο τὸ κράνος καὶ ὁ ὀφθαλμός, τὰ δὲ λοιπὰ ὑπὸ τοῦ ὄρους ἐκρύπτετο.

θᾶττον ὁ τόκος Ἡρακλείτῳ Περινέῳ τρέχει. οὗτος ἐθαυμάσθη ἐπὶ τάχει. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν δανειζομένων διὰ τὸν τόκον.

Θαύλων Θαύλωνος, ὃς τῷ ἰδίῳ πελέκει ἀπέκτεινε τὸν βοῦν τὸν φαγόντα τὸ πόπανον, ὅπερ ἦν παρεσκευασμένον εἰς τὴν θυσίαν ἐν τοῖς διιπολίοις (sch. A Nub. 981). καὶ ζήτει ἐν τῷ βουφόνια.

θαυμάζω. ὅτε πρὸς γενικὴν συντάσσομεν, τὸ καταγινώσκω σημαίνει, πρὸς δὲ αἰτιατικὴν τὸ ἐπαινῶ. σημαίνει δὲ καὶ τὸ ἐθεῶντο· (Hom. Σ 496) "ἱστάμενοι θαύμαζον." "θαυμάζω δὲ ἔγωγε πῶς τοσούτων εἰρημένων, ἐκείνων μὲν ὄντων πολλῶν καὶ καλῶν ἐπελάθου. τὸ γὰρ οὐκ ἐνόησας οὔποτ' ἂν εἴποιμι περὶ σοῦ, πλὴν εἰ μὴ πρότερον ἐμαυτὸν πολλάκις ἀγνοήσαιμι."

θαυμάλωψ (an θυμάλωψ) ὁ ἡμίφλεκτος ἢ ὁ διακεκαυμένος ἄνθραξ.

θαυμάσας ἔχω ἀντὶ τοῦ ἐθαύμασα ἀττικῶς· "οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον θαυμάσας ἔχω" (S OC 1139).

θαυμάσια ἐν γῇ Χάμ (Ps. 105 27). θαυμάσια ἐπὶ θεοῦ τὰ ἐπ' εὐεργεσίαις τινῶν γινόμενα. δύναμις δὲ φοβερῶν ἡ ἐπὶ τιμωρίᾳ ἑτέρων δειχθεῖσα μεγαλουργία. Theodoret. in Ps. 144 5.

θαυμασαί· "ἐκπλαγεῖς ἠκολούθουν, οἱ μὲν σοφίας, οἱ δὲ εἴδους, οἱ δὲ διαίτης, οἱ δὲ σχήματος, οἱ δὲ πάντων ὁμοῦ θαυμασαὶ ὄντες" (Philostr. V. A. 4 1).

θαυμασούς· "μεγάλας ἔχων ἐλπίδας θαυμασούς τινας ἐξοίσεσθαι μισθοὺς τῆς προδοσίας."

Θαψακηνός ἀπὸ τόπου.

θαψίνη· "γυναικὶ κλητεύειν ἐοικὼς θαψίνῃ" (A Vesp. 1404).

a *Θεαγένης* Ἀθηναῖος ἄρχων, φιλότιμος ἀνὴρ καὶ μεγαλοφυής, Ἑλλήνων τε ὅτι μάλιϛα χρήμασι λαμπρυνόμενος, οἷς εἰς δέον ἐχρῆτο τὰ πολλά, πόλεών τε ἐνίων τὰ πταίσματα ἐπανορθούμενος καὶ τοῖς δεομένοις τῶν ἀνθρώπων ἐπικουρῶν, οὐ μιᾷ χειρὶ δωρούμενος ἀλλ' ἀμφοῖν κατὰ τὴν παροιμίαν· ἦν γὰρ φιλόδωρός τε καὶ μεγαλόδωρος εἰς ὑπερβολήν, ἀνάλου̃το δὲ αὐτῷ πολλὰ τῶν χρημάτων εἴς τε διδασκάλους καὶ ἰατροὺς καὶ τὴν ἄλλην τῆς πατρίδος εὐθημοσύνην. ταῦτα μὲν ἀξιέπαινα τῶν Θεαγένους· ὢν δὲ θυμοειδὴς καὶ οὐδαμῶ καταφρονεῖσθαι ἀνεχόμενος, ἀλλὰ καὶ θεραπεύεσθαι σπουδάζων ὑπὸ πάντων καὶ οὐχ ἥκιϛα τῶν φιλοσοφέντων, ὑπερορῶν δὲ καὶ διαπτύων τοὺς ἄλλως καὶ μάλιϛα τοὺς ἐν δυνάμει δοκοῦντας εἶναι καὶ προθυμουμένους ἐν τῇ Ῥωμαίων πολιτείᾳ λαμπρύνεσθαι, καὶ τὰ νέα ἀξιώματα προτιμῶν τῶν ἀρχαίων ἠθῶν τῆς εὐσεβείας, ἔλαθε μὲν ἑαυτὸν ἐμπεσὼν εἰς τὸν τῶν πολλῶν βίον, ἀποσπασθεὶς τῶν Ἑλλήνων καὶ τῶν ἔτι ἄνω προγόνων, ἔλαθε δὲ τοὺς πέλας οὐκέτι φίλους ἀληθινοὺς ἀλλὰ κόλακας ἀπατηλοὺς κεκτημένος. οὔκουν ἔτι διέσωζε τὴν πάλαι αἰδῶ πρὸς φιλοσοφίαν, ἀλλὰ τῷ μὲν λόγῳ τοὺς φιλοσόφους ἐπεποίητο περὶ ἑαυτόν, τῷ δὲ ἔργῳ τοὺς θεραπεύοντας. αὕτη πρώτη ἀρχὴ ἐγεγόνει τῆς πρὸς Μαρῖνον ὑποψίας. ὁ γὰρ Μαρῖνος ἐμμένων τῇ παραδοθείσῃ σεμνότητι τῶν φιλοσόφων ἐθεράπευε μὲν τὰ εἰκότα τὸν Θεαγένη, καὶ οὐκ ἦν τις ἄρα πρὸς αὐτὸν ἀλαζὼν οὐδὲ σκαιὸς οὐδὲ σοβαρὸς τὴν ἔντευξιν οὐδὲ δυσόμιλος, οὐδὲ ἄλλως ὑπὲρ τὸν ἰδιώτην εἶναι βουλόμενος, ἀλλὰ προσδεχόμενός τε καὶ προπέμπων ἐγένετο δῆλος καὶ τὰς ὀφειλομένας αὐτῷ τιμὰς ἀπονέμων, οἵας ὤφειλετο πρωτεύων ἀνὴρ ἐν τῇ πόλει, τάχα δὲ καὶ ἐν τῇ Ῥωμαίων πολιτείᾳ συμπάσῃ. καὶ γὰρ ἦν τῶν Ῥωμαϊκῶν πατέρων εἷς, καὶ πρῶτος τῆς περὶ τὰ βασίλεια συγκλήτȣ βουλῆς τῇ τε ἐξ ἀρχῆς εὐγενείᾳ καὶ τῇ μεγαλειότητι τῶν τρόπων καὶ τῇ περὶ τοὺς λόγους διαφανεῖ σπουδῇ τε καὶ ἐπιμελείᾳ,' ὥϛε καὶ ὁ Μαρῖνος ἐσπούδαζεν αὐτῷ συναύξειν τὸ μέγεθος τῆς κατὰ πάντα περιφανείας. Damasc. Phot. p. 346 a.

b *Θεαγένης.* ζήτει ἐν τῷ Ἀρχιάδας.

c *Θεαγένης* ὄνομα κύριον. καὶ παροιμία "Θεαγένους ἑκάτειον." οὗτος δειλὸς ἦν, εἶχε δὲ Ἑκάτης ἄγαλμα, οὗ ἐπυνθάνετο πανταχȣ̃ ἀπιών. ὃς καὶ καπνὸς ἐκαλεῖτο.

Θεαγένους χρήματα τά τ' Αἰσχίνου ⟨A Av. 823⟩, ἐπὶ τῶν πενήτων, ἀλαζονευομένων δέ· οὗτος γὰρ πένης ὢν ἔλεγεν ἑαυτὸν πλούσιον εἶναι. εἰσὶ δὲ καὶ ἄλλοι δύο Θεαγένεις, εἷς μὲν ὁ περὶ Ὁμήρου γράψας, ἕτερος δὲ ἐπὶ μαλακίᾳ σκωπτόμενος. οὗτος δὲ πένης ὢν μεγαλέμπορος ἐβούλετο εἶναι, ἀλαζών, ψευδόπλουτος. ἐκαλεῖτο δὲ καπνός, ὅτι πολλὰ ὑπισχνούμενος οὐδὲν ἐτέλει. καὶ ὁ Αἰσχίνης δὲ πένης, θρυπτόμενος καὶ αὐτὸς ἐπὶ πλούτῳ καὶ λέγων ἑαυτὸν πλȣ́σιον. ἦν δ' Αἰσχίνης Σέλλου, ἔλεγον δὲ ἐκ μεταφορᾶς τοὺς τοιούτους Σέλλους καὶ τὸ ἀλαζονεύεσθαι σελλίζειν. cf. vv. σελλίζειν et ὑήνεια.

Θεαιδέϛατος θεοῦ ἰδέαν ἔχων. εἶπε δὲ Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας οὕτως "ἄνθρωπος ὃς φησὶ μὲν πάντων θηρίων θεαιδέϛατος γενέσθαι."

Θέαινα θεά.

Θεαίτητος Ἀθηναῖος ἀϛρολόγος, φιλό- a
σοφος, μαθητὴς Σωκράτȣς, ἐδίδαξεν ἐν Ἡρακλείᾳ. πρῶτος δὲ τὰ πέντε καλούμενα ϛερεὰ ἔγραψε. γέγονε δὲ μετὰ τὰ Πελοποννησιακά.

Θεαίτητος Ἡρακλείας Πόντου, φιλό- b
σοφος, ἀκροατὴς Πλάτωνος.

Θεάμονας θεατάς, θεωρητικούς.

Θεανώ Κρῆσσα φιλόσοφος, θυγάτηρ a
μὲν Πυθώνακτος, γαμετὴ δὲ τοῦ μεγάλου Πυθαγόρȣ, ἐξ οὗ ἔσχε Τηλαύγην καὶ Μνήσαρχον καὶ Μυῖαν καὶ Ἀριγνώτην. τινὲς δὲ Βροτίνου γυναῖκα γράφουσι καὶ τὸ γένος Κροτωνιᾶτιν. ὑπομνήματα φιλόσοφα, καὶ ἀποφθέγματα, καὶ ποίημά τι δι' ἐπῶν.

Θεανώ Λοκρὶς λυρικὴ ᾄσματα Λοκρικὰ b
καὶ μέλη.

Θεανώ Μεταποντίνη ἢ Θουρία, Πυθα- c
γορεία, θυγάτηρ Λεώφρονος, γαμετὴ δὲ Καρύϛου ἢ Κρότωνος ἢ Βροτίνου τοῦ Πυθαγόρου, περὶ ἀρετῆς Ἱπποδάμῳ Θουρίῳ, παραινέσεις γυναικείας, καὶ ἀποφθέγματα Πυθαγορείων.

Θεαρίων ὄνομα κύριον.

Θεατρεῖον θέατρον.

Θεατρίζω αἰτιατικῇ. καὶ *ἐκθεατρίζουσι* τὸ ἐξελέγχουσι· Πολύβιος ⟨cf. v. ἐκθεατρίζουσιν⟩ "οἱ δὲ πολλοὶ ··· ἀκρισίαν." καὶ αὖθις "οὐ μόνον ἑαυτοὺς ἐξεθεάτρισαν, ἀλλὰ καὶ τὴν Ἑλλάδα κατέστρεψαν."

Θεατροκρασία ⟨Plato Legg. 3 p. 701 A⟩ ὀχλοκρασία.

Θεγλαφαλασάρ. ζήτει ἐν τῷ Ἄχαζ.

Θέειν καὶ θεῖν τρέχειν.

Θέειον ⟨Hom. Θ 135⟩ θεῖον.

Θεείω θαυμάζω.

Θεηγόροι θεολόγοι.

Θεήλατος ὑπὸ θεοῦ πεμφθείς· Μένανδρος ⟨p. 442 Nieb.⟩ "ὁ δὲ Ναρσῆς, ὃς εἰώθει τῶν πολεμίων ἀεὶ κρατεῖν, κατά τινα θεήλατον ὀργὴν ἔφυγε προτροπάδην."

Θεηπολεῖν θεῶν εἰκόνας ἔχοντα περιπολεῖν, ἀργύριον εἰσπρασσόμενον.

Θεῖ εὐκόλως ῥεῖ· Ἀριστοφάνης ⟨Eccl. 109⟩ "νῦν μὲν γὰρ οὔτε θέομεν οὔτ' ἐλαύνομεν," κατὰ τὴν παροιμίαν "ἀλλ' ὅταν ἀργύριον ᾖ, πάντα θεῖ κἀλαύνεται." οὔτ' ἀνέμοις οὔτε κώπαις πλέομεν.

Θεῖα εὐθέα καὶ ὀρθὰ καὶ θαυμαστά.

Θειαζόντων μαινομένων, ὁτὲ δὲ θαυμαζόντων.

Θειάζουσα ἐνθουσιῶσα, μαινομένη· "Μαίσυος ὁ Σεμνόνων βασιλεὺς καὶ Γάννα (παρθένος ἦν μετὰ τὴν Βελήδα ἐν τῇ Κελτικῇ θειάζουσα) ἦλθον πρὸς τὸν Δομετιανόν, καὶ τιμῆς παρ' αὐτοῦ τυχόντες ἀνεκομίσθησαν" ⟨Dio Cass. 67 5⟩.

Θείας ἀμνάμων ὁ βορέας ὁ ἄνεμος, ἀμνάμων δὲ ὁ ἀπόγονος· ὡς γὰρ Ἡσίοδος λέγει, τῆς Θείας ἀπόγονοι οἱ ἄνεμοι.

Θειάσαντες ⟨Thuc. 8 1⟩ θεόληπτοι γεγονότες.

Θειασμοί· Ἰώσηπος ⟨B. I. 2 22⟩ "θειασμοί τε τοῖς εἰρήνην ἀγαπῶσι δύσφημοι."

Θειασμός· Ἀρριανός "κρότος τε ἀθρόος καὶ ἐπιθειασμοὶ ὡρμήθησαν ὑπέρ τε τοῦ βασιλέως καὶ τῆς στρατιᾶς, ἐπιτυχῆ ἀμφοῖν γενέσθαι τὴν ὁρμήν."

Θεῖεν ⟨Hom. Δ 363⟩ ποιήσειαν.

Θειλόπεδον ⟨Hom. η 123⟩ ὁ τόπος ἐν ᾧ αἱ σταφυλαὶ ἐξηραίνοντο· ἐν ἐπιγράμματι ⟨AP 6 43⟩ "ἐχῖνον ῥαγολόγον, γλυκερῶν σίντορα θειλοπέδων."

Θεῖναι ⟨Hom. Δ 26⟩ ποιῆσαι.

Θείνω τύπτω.

Θειοδάμη ἡ θεοὺς δαμάζουσα.

Θειοειδεστάτη θεοειδής.

Θείομεν ⟨Hom. Λ 143⟩ ἐμβαλοῦμεν.

Θεῖον θαυμαστόν.

Θείους τε εἶναι τοὺς σπουδαίους· ἔχειν γὰρ ἐν ἑαυτοῖς οἱονεὶ θεόν· τὸν δὲ φαῦλον ἄθεον. διττὸν δὲ εἶναι τὸν ἄθεον, τόν τε ἐναντίον τῷ θείῳ λεγόμενον καὶ τὸν ἐξουθενητικὸν τοῦ θείου· ὅπερ οὐκ εἶναι περὶ πάντα φαῦλον. θεοσεβεῖς τε τοὺς σπουδαίους· ἐμπείρους γὰρ εἶναι τῶν περὶ θεοῦ νομίμων. Diog. L. 7 119.

Θέκλα Θέκλας.

Θεκῶος.

Θέλγει ἀπατᾷ ἢ κακοῖ, ἀμαυροῖ, σκοτοῖ. ἢ θάλπει. θέλγειν δὲ κυρίως ἐστὶ τὸ εἰς ὃ θέλει τις ἄγειν τινά· ὅθεν καὶ θελκτήρια ⟨Hom. α 337⟩ τὰ ᾄσματα, ἀπὸ τοῦ τῶν ᾠδῶν τοὺς ἀκούοντας θέλγειν καὶ ἄγειν εἰς τέρψιν τὸν ἀοιδόν. καὶ Τελχῖνες θελγῖνές τινες εἰσί· τὰ γὰρ θάλλοντα, φασί, καταρραίνοντες τοῖς ὕδασι τῆς Στυγὸς αὖα ἐποίουν, ἕως φυτῶν βασκαίνοντες.

Θέλειν ἀντὶ τοῦ δύνασθαι. cf. vv. ἐθελήσει et οὐ θελήσῃ.

Θελητή εὔκαρπος καὶ γονιμωτάτη.

Θελκτήριον θέλγητρον, τὸ εἰς ἡδονὴν ἄγον.

Θελκτῷ κολακευτικῇ.

Θελξίνοια θυγάτηρ Ὠγύγου. cf. v. Πραξιδίκη.

Θελξινόοις τοῖς τὸν νοῦν ἐξαπατῶσιν· ἐν ἐπιγράμματι ⟨AP 6 88⟩ "ὡς ἂν θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς ἀνέρας."

Θέμεθλα τὰ ἐσώτερα μέρη, τὰ ἐν βάθει.

Θεμείλια ⟨Hom. Μ 28⟩ θεμέλια.

Θέμενος τὰ ὅπλα, ἀντὶ τοῦ περιθέμενος καὶ ὁπλισάμενος, Δημοσθένης καὶ Ὅμηρος καὶ Αἰσχίνης. Harp.

Θέμιν δικαιοσύνην. Βούχετα ... κατακλυσμόν. cf. v. Βούχετα.

Θέμις τὸ δίκαιον. καὶ Αἰλιανός "εἰ θέμις καὶ τῷ Ἱμεραίῳ πρὸς Ὅμηρον τὸ ὄμμα ἀνατείνειν."

Θέμιστα ⟨Hom. Ε 761⟩ νόμον, ἢ δίκην.

Θεμίστεια.

Θεμιστεύειν ἀντὶ τοῦ χρησμῳδεῖν Λυσίας. γέγονε δὲ τὸ ὄνομα ἀπὸ τοῦ Θέμιν ἐσχηκέναι ποτὲ τὸ μαντεῖον πρὸ τοῦ Ἀπόλλωνος. Harp.

Θεμιστεύσαντος ἄρξαντος, δικάσαντος. περὶ Ἀπολλωνίου τοῦ Τυανέως ⟨Philostrat. 1 13⟩ "καὶ τὰ λεγόμενα ἠχὼ εἶχεν ὥσπερ ἀπὸ σκήπτρου θεμιστευόμενα."

Θεμίστιος φιλόσοφος, γεγονὼς ἐπὶ τῶν

χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου, ὑφ' οὗ καὶ ὕπαρχος προεβλήθη Κωνσταντινουπόλεως, γέγραφε τῆς Ἀριστοτέλους φυσικῆς ἀκροάσεως παράφρασιν ἐν βιβλίοις η', παράφρασιν τῶν ἀναλυτικῶν ἐν βιβλίοις β', τῶν ἀποδεικτικῶν ἐν βιβλίοις β', τοῦ περὶ ψυχῆς ἐν βιβλίοις ζ' (ἐν δὲ τούτῳ καὶ ἴδια παρεισήγαγε περὶ τοῦ σκοποῦ καὶ τῆς ἐπιγραφῆς), τῶν κατηγοριῶν ἐν βιβλίῳ α', καὶ διαλέξεις.

Θέμιστις.

Θεμιστογένης Συρακούσιος ἱστορικὸς Κύρου Ἀνάβασιν, ἥτις ἐν τοῖς Ξενοφῶντος φέρεται, καὶ ἄλλα τινὰ περὶ τῆς ἑαυτοῦ πατρίδος.

Θεμιστοκλέους παῖδες Νεοκλῆς καὶ Δημόπολις ἀγωνισάμενοι τὸν ἐπιτάφιον ἀγῶνα ἐν Ἀθήναις καὶ νικήσαντες ἐξεφανώθησαν ἀγνοούμενοι, καὶ Νεοκλῆς μὲν δόλιχον ἐνίκησε, Δημόπολις δὲ στάδιον. γνωρισθέντες δὲ μετὰ τὸν ἀγῶνα καταλευσθῆναι ἐκινδύνευσαν ὑπὸ τῶν Θεμιστοκλέους ἐχθρῶν, ὑπομνησάντων τοὺς Ἀθηναίους τοὺς νόμους τοὺς περὶ τῶν φυγάδων.

a Θεμιστοκλῆς Ἀθηναῖος δημαγωγός, Νεοκλέους υἱός, ἄσωτος τὴν πρώτην ἡλικίαν γενόμενος, μετὰ δὲ ταῦτα στρατηγὸς αἱρεθείς, καὶ κτίσας τὸν Πειραιᾶ, καὶ ναυμαχίᾳ νικήσας τοὺς Πέρσας κατὰ Σαλαμῖνα, καὶ φθονηθεὶς φεύγει πρὸς Ἀρταξέρξην τὸν τῶν Περσῶν βασιλέα, καὶ σφόδρα τιμηθεὶς ὑπ' αὐτοῦ ἠναγκάζετο μετὰ ταῦτα τοῖς Ἕλλησι πολεμεῖν, καὶ μὴ βουληθεὶς προδοῦναι τὴν πατρίδα καὶ τὸ ἑαυτοῦ κλέος ταύρειον αἷμα πιὼν ἀπώλετο. ἔγραψεν ἐπιστολὰς φρονήματος γεμούσας.

b Θεμιστοκλῆς στρατηγὸς Ἀθηναίων, ὁ καταναυμαχήσας ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τοὺς βαρβάρους, εἶθ' ὕστερον φυγαδευθεὶς ὑπὸ τῶν Ἀθηναίων ἐπὶ προδοσίας αἰτίᾳ ψευδεῖ, καταφυγὼν πρὸς Ἀρταξέρξην τὸν Ξέρξου τοῦ Πέρσου παῖδα, καὶ τιμηθεὶς τὰ μέγιστα παρ' αὐτοῦ, ὡς τρεῖς πόλεις εἰς ὄψον καὶ ἄρτον καὶ ποτὸν λαβεῖν, Μαγνησίαν Μυοῦντα Λάμψακον. ἐπηγγείλατο οὖν καταδουλώσασθαι τὴν Ἑλλάδα, δύναμιν εἰ λάβοι. παραγενόμενος δὲ ἅμα τῷ στρατεύματι εἰς Μαγνησίαν, καταγνοὺς ἑαυτοῦ εἰ δι' αὐτὸν σωθέντες Ἕλληνες δι' αὐτοῦ δουλεύσουσι βαρβάροις, προφάσει χρησάμενος ὡς θυσίαν ἐπιτελέσαι βούλεται καὶ ἱερουργῆσαι τῇ Λευκοφρυηνῇ Ἀρτέμιδι, τῷ ταύρῳ ὑποθεὶς τὴν φιάλην καὶ ὑποδεξάμενος τὸ αἷμα, χανδὸν πιὼν ἐτελεύτησεν. sch. A Eq. 84.

θέμιστος δικαιοσύνης.

Θεμίσων τυράννου ὄνομα· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨99⟩. ⟨Herodot. 4 154⟩ "ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί· ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηραῖος." ζήτει ἐν τῷ Βάττος.

θεμιτή· "πολλὰ γὰρ τῶν κειμηλίων ἐν ταῖς διώρυξιν ηὑρίσκετο, καὶ πᾶσαν θεμιτὴν ὁδὸν ἐποίει τὸ κέρδος· τοὺς νεκροὺς γὰρ ἐνεπάτουν" ⟨Ioseph. B. I. 6 9 4⟩.

θεμιτόν· Αἰλιανός "θεοὺς γὰρ οὐδαμῇ θεμιτὸν ὁρᾶν ἔτι νεκρούς, καὶ ἐὰν ὦσι πάνυ φίλοι, οὐδ' ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς."

θεμιτῶς νομίμως.

θέναρ τὸ κοῖλον τῆς χειρός· Ὅμηρος ⟨Ε 339⟩ "πρυμνὸν ὑπὲρ θέναρος."

Θεογείτων Δημοσθένης ἐν τῷ αὐτῷ ⟨18 295⟩. Δείναρχος δὲ καὶ ἄλλοι Θεογένην ὀνομάζουσιν. Harp.

θεογενεσίαν.

Θεογένης Θάσιος. οὗτος ἔτι παῖς ὢν ἄγαλμα χαλκοῦν ἐν τῇ ἀγορᾷ κείμενον ἀναθέμενος ἐπὶ τοὺς ὤμους ἤνεγκεν ἐς τὸν οἶκον, ὀργιζομένων δὲ τῶν πολιτῶν πάλιν ἀράμενος ἐκόμισεν ἐς τὴν ἀγοράν, καὶ ἀπὸ τούτου μέγα κλέος ἔσχεν ἀνὰ τὴν Ἑλλάδα.

Θεόγνητος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶ Φάσμα ἢ Φιλάργυρος, Φιλοδέσποτος, Κένταυρος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς ⟨p. 104, 616, 671⟩.

Θέογνις Μεγαρεὺς τῶν ἐν Σικελίᾳ Με- a
γάρων, γεγονὼς ἐν τῇ νθ' ὀλυμπιάδι, ἔγραψεν ἐλεγείαν εἰς τοὺς σωθέντας τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ, γνώμας δι' ἐλεγείας εἰς ἔπη ‚βω, καὶ πρὸς Κύρνον τὸν αὐτοῦ ἐρώμενον γνωμολογίαν δι' ἐλεγείων, καὶ ἑτέρας ὑποθήκας παραινετικάς, τὰ πάντα ἐπικῶς.

ὅτι μὲν παραινέσεις ἔγραψε Θέογνις, ἀλλ' ἐν μέσῳ τούτων παρεσπαρμέναι μιαρίαι καὶ παιδικοὶ ἔρωτες καὶ ἄλλα ὅσα ὁ ἐνάρετος ἀποστρέφεται βίος.

Θέογνις τραγῳδίας ποιητὴς πάνυ ψυ- b
χρός, ἐκ τῶν λ', ὃς καὶ χιὼν ἐλέγετο. ἔστι δὲ καὶ ποιητὴς Θέογνις· οὗτος δ' ἦν Μεγαρεύς. sch. A Ach. 11.

Θεοδέκτης Ἀριϛάνδρου, Φασηλίτης ἐκ Λυκίας, ῥήτωρ, τραπεὶς δὲ ἐπὶ τραγῳδίας, μαθητὴς Πλάτωνος καὶ Ἰσοκράτους καὶ Ἀριϛοτέλους. οὗτος καὶ ὁ Ἐρυθραῖος Ναυκράτης καὶ Ἰσοκράτης ὁ ῥήτωρ ὁ Ἀπολλωνιάτης καὶ Θεόπομπος ἐπὶ τῆς ργʹ ⟨an ρζ⟩ ὀλυμπιάδος εἶπον ἐπιτάφιον ἐπὶ Μαυσώλῳ, Ἀρτεμισίας τῆς γυναικὸς αὐτȣ̃ προτρεψαμένης, καὶ ἐνίκησε μάλιϛα εὐδοκιμήσας ἐν ᾗ εἶπε τραγῳδίᾳ· ἄλλοι δέ φασι Θεόπομπον ἔχειν τὰ πρωτεῖα. δράματα δὲ ἐδίδαξε νʹ. τελευτᾷ δὲ ἐν Ἀθήναις ἐτῶν αʹ καὶ μʹ, ἔτι τοῦ πατρὸς αὐτοῦ περιόντος. ἔγραψε δὲ καὶ τέχνην ῥητορικὴν ἐν μέτρῳ καὶ ἄλλα τινὰ καταλογάδην.

b Θεοδέκτης Φασηλίτης ῥήτωρ, υἱὸς τοῦ προτέρου, ἔγραψεν ἐγκώμιον Ἀλεξάνδρȣ τοῦ Ἠπειρώτου, ἱϛορικὰ ὑπομνήματα, νόμιμα βαρβαρικά, τέχνην ῥητορικὴν ἐν βιβλίοις ζʹ, καὶ ἄλλα πολλὰ ὑπομνήματα.

Θεόδμητος ⟨Hom. Θ 519⟩ ὑπὸ θεοῦ κατεσκευασμένος.

a Θεοδόσιος βασιλεὺς Ῥωμαίων, μετὰ τὴν Μαξίμου τοῦ τυράννου ἀναίρεσιν καὶ τὴν ἧτταν καὶ σφαγὴν τῶν ἐν τοῖς ἕλεσι κρυπτομένων Σκυθῶν καὶ σφαγὴν Ῥωμαίων ἐς τὴν Κωνϛαντίνȣ πόλιν ἐλθών, πολέμοις μὲν ἀπειπεῖν ἐγνώκει καὶ μάχαις, ἐπιτρέψας τὰ περὶ ταῦτα Προμώτῳ, αὐτὸς δὲ τῆς προτέρας ἀνεμιμνήσκετο διαίτης, πολυτελῆ δεῖπνα δειπνῶν καὶ πολυπραγμονῶν, ταῖς ἡδοναῖς καὶ τοῖς θεάτροις καὶ ἱπποδρομίαις ἐναβρυνόμενος. θαυμάζω δὲ τούτȣ τὴν ἐφ᾽ ἑκάτερα τοῦ βίου ῥοπήν· φύσει γὰρ ὢν ἐκμελὴς ῥᾳθυμίᾳ τε πάσῃ ἐκκείμενος, λυπηροῦ μὲν αὐτὸν οὐδενὸς εἰς δέος ἀπάγοντος καὶ ἐνοχλȣ̃ντος ἐνεδίδου τῇ φύσει, καθιϛάμενος δὲ ἐς ἀνάγκην σαλεύειν κατά τι τὰ καθεϛῶτα προσδοκωμένην ἀπετίθετο μὲν τὴν ῥᾳθυμίαν καὶ τῇ τρυφῇ χαίρειν εἰπὼν ἐς τὸ ἀνδρωδέϛερον καὶ ἐπίπονον καὶ τλημαθὲς ἀνεχώρει. τοιοῦτος ἐξ αὐτῆς ἀποδεδειγμένος τῆς πείρας, ἐπειδὴ πάσης ἦν ἀπηλλαγμένος φροντίδος, ταῖς αὐτῷ φύσει προσούσαις ἐκμελείαις ἐδȣ́λευε. τῶν δὲ τὰς ἀρχὰς μετιόντων κατ᾽ ἐξαίρετον ἐν τιμῇ ἦγετο Ῥουφῖνος Κελτὸς τὸ γένος, μάγιϛρος τῶν ἐν τῇ βουλῇ τάξεων καταϛάς. Zosimus 4 50.

b ὁ αὐτὸς μετὰ τὸ ἀναγορεῦσαι τὸν υἱὸν αὐτȣ̃ Ὀνώριον ἐν τῇ Ῥωμαίων βασιλείᾳ συνεκάλεσε τὴν γερουσίαν τοῖς πατρίοις ἐμμένουσαν ἔθεσι καὶ ȣ̓χ ἑλομένην συνενεχθῆναι τοῖς ἐπὶ τὴν τῶν θεῶν ἀποκλίνασι καταφρόνησιν, λόγȣς τε προσῆγε παρακαλῶν ἀφιέναι μὲν ἣν πρότερον εἵλοντο πλάνην, ἑλέσθαι δὲ τὴν τῶν χριϛιανῶν πίϛιν, ἧς ἐπαγγελία παντὸς ἁμαρτήματος καὶ πάσης ἀσεβείας ἀπαλλαγή. μηδενὸς δὲ τῇ παρακλήσει πεισθέντος, μηδὲ ἑλομένου τῶν ἀφ᾽ οὗπερ ἡ πόλις ᾠκίσθη παραδεδομένων αὐτοῖς πατρίων ἀναχωρῆσαι καὶ προτιμῆσαι τούτων τὰ χριϛιανῶν (ἐκεῖνα μὲν γὰρ φυλάξαντας διακοσίοις καὶ χιλίοις σχεδὸν ἔτεσιν ἀπόρθητον τὴν πόλιν οἰκεῖν, ἕτερα δὲ ἀντὶ τούτων ἀλλαξαμένους τὸ ἐκβησόμενον ἀγνοεῖν), ὃ δὲ βαρύνεσθαι ἔλεγε τὸ δημόσιον τῇ περὶ τὰ ἱερὰ καὶ τὰς θυσίας δαπάνῃ, βούλεσθαί τε ταῦτα περιελεῖν, οὔτε τὸ πραττόμενον ἐπαινοῦντα, καὶ ἄλλως τῆς ϛρατιωτικῆς χρείας πλειόνων δεομένης χρημάτων. τῶν δὲ ἀπὸ τῆς γερȣσίας μὴ κατὰ θεσμὸν εἰπόντων πράττεσθαι τὰ τελούμενα, μήτε δημοσίου δαπανήματος ὄντος, διὰ τοῦτο τοῦ θυηπολικοῦ θεσμοῦ λήξαντος ἡ Ῥωμαίων ἐπικράτεια κατὰ μέρος ἠλαττώθη. id. 59.

Θεοδόσιος βασιλεὺς Ῥωμαίων, ὁ μικρός. οὗτος διαδεξάμενος παρὰ πατρὸς τὴν ἀρχήν, ἀπόλεμος ὢν καὶ δειλίᾳ συζῶν, καὶ τὴν εἰρήνην χρήμασιν οὐχ ὅπλοις κτησάμενος, πολλὰ προεξένησε κακὰ τῇ Ῥωμαίων πολιτείᾳ. ὑπὸ γὰρ τοῖς εὐνούχοις τραφεὶς πρὸς πᾶν σφίσιν ἐπίταγμα εὐπειθὴς ἦν, ὥϛε καὶ τοὺς λογάδας τῆς ἐκείνων δεῖσθαι ἐπικουρίας, καὶ πολλὰ νεοχμεῖσθαι ἐν τοῖς πολιτικοῖς καὶ ϛρατιωτικοῖς τάγμασι, μὴ παριόντων εἰς τὰς ἀρχὰς ἀνδρῶν τῶν διέπειν ταύτας δυναμένων ἀλλὰ τῶν χορηγούντων χρυσίον, διὰ δὲ τὴν τῶν εὐνούχων πλεονεξίαν καὶ τῶν Σεβαϛιανοῦ δορυφόρων πειρατικὸν συϛὰν τόν τε Ἑλλήσποντον καὶ τὴν Προποντίδα διαταράξαι. ἐς τοῦτο τὰ πράγματα ἀτοπίας φέρεσθαι οἱ εὐνοῦχοι παρεσκεύασαν. καὶ ἀποβουκολοῦντες τὸν Θεοδόσιον ὥσπερ τοὺς παῖδας ἀθύρμασιν, οὐδὲν ὅ τι καὶ ἄξιον μνήμης διαπράξασθαι συνεχώρησαν, ἀλλ᾽ εἰς νʹ ἐτῶν ἡλικίαν ἐληλυθὼς διετέλεσε βαναύσους τέ τινας μετιὼν τέχνας καὶ θήρᾳ προσκαρτερῶν, ὥϛε τοὺς εὐνȣ́χȣς καὶ τὸν Χρυσάφιον ἔχειν τὸ τῆς βασιλείας κράτος· ὅνπερ ἡ Πουλχερία μετῆλθε τοῦ ἀδελφοῦ τελευτήσαντος. Priscus p. 226 Nieb.

d ὅτι Θεοδόσιος ὁ μικρὸς καταλύσας Ἀντίοχον τὸν πραιπόσιτον ἐν τοῖς πρεσβυτέροις κατέταξεν (cf. v. ὕπατοι extr.). ὁ αὐτὸς Κῦρον τὸν τούτῳ διαδεξάμενον τὴν δυναστείαν, καὶ τὰς δύο μεγίστας τῶν ἐπάρχων ἀρχὰς κατὰ τὸν αὐτὸν διανύοντα χρόνον, ὅς τὴν τοσαύτην εὐπραγίαν θαυμάσας ἀπεφθέγξατο τόδε "οὐκ ἀρέσκεις μοι τύχη πολλὰ γελῶσα." καθαιρεῖται γοῦν καὶ αὐτὸς ὡς Ἕλλην καὶ βασιλείαν ἐλπίζων, καὶ τῆς οὐσίας αὐτοῦ δημευθείσης γέγονεν ἐπίσκοπος ἐν Κοτυαείῳ τῆς Φρυγίας. μετὰ δὲ τοῦτον ἐδυνάστευσε μόνος Χρυσάφιος ὁ ἐπίκλην Ζούμμας. cf. v. Κῦρος b.

e ὅτι ἐν τῷ μιλίῳ Θεοδοσίου ἵστατο στήλη ἐφ' ἵππου χαλκῆ, ἣν ἀνεγείρας πολλὰ σιτηρέσια τῇ πόλει ἐχαρίσατο. ζητητέον δὲ ὁποίου Θεοδοσίου. cf. v. μίλιον b.

f ὅτι ὁ ἅγιος Θεοδόσιος, ὁ κοινοβιάρχης, ἐπὶ Ἀναστασίου βασιλέως ἦν τοῦ δικόρου τοῦ αἱρετικοῦ.

g Θεοδόσιος φιλόσοφος ἔγραψε σφαιρικὰ ἐν βιβλίοις γ', ὑπόμνημα εἰς τὰ Θευδᾶ κεφάλαια, περὶ ἡμερῶν καὶ νυκτῶν β', ὑπόμνημα εἰς τὸ Ἀρχιμήδους ἐφόδιον, διαγραφὰς οἰκιῶν ἐν βιβλίοις γ', σκεπτικὰ κεφάλαια, ἀστρολογικά, περὶ οἰκήσεων.

h Θεοδόσιος ἔγραψε δι' ἐπῶν εἰς τὸ ἔαρ, καὶ ἕτερα διάφορα. ἦν δὲ Τριπολίτης.

Θεόδοτος. οὗτος ἐπὶ Ἰουστινιανοῦ ὕπαρχος ἦν τῶν στρατευμάτων, ὃν παραλύσας τῆς ἀρχῆς Πέτρον ἐπέστησε Βαρσυάμην καλέμενον, ὅς πάλαι μὲν ἐπὶ τῆς τοῦ χαλκοῦ τραπέζης καθήμενος κέρδη αἰσχρότατα ἐκ ταύτης δὴ ἐπορίζετο τῆς ἐργασίας, τὴν περὶ τὰς ὀβολοὺς κλοπὴν εὖ μάλα τεχνάζων καὶ τοὺς αὐτῷ ξυμβάλλοντας ἀεὶ τῷ τῶν δακτύλων τάχει ἐκκρούων (δεξιὸς γὰρ ἦν κλέψαι μὲν τὰ τῶν αὐτῷ περιπεπτωκότων ἀνέδην, ἁλοὺς δὲ ὀμόσαι καὶ τῶν χειρῶν τὸ ἁμάρτημα τῷ τῆς γλώττης περικαλύψαι θράσει), ἐν δὲ τοῖς τῶν ὑπάρχων στρατηγοῖς καταλεχθεὶς ἐς τοσοῦτον ἀτοπίας ἐλήλακεν ὥστε τῷ βασιλεῖ ἀρέσκειν ἐς τὰ μάλιστα καὶ ἐς τῶν ἀδίκων αὐτῷ βουλευμάτων ῥᾷστα ὑπουργεῖν τὰ ἀμήχανα, τούς τε στρατευομένους ἀποστερῶν τὰς συντάξεις ἁπάσας, καὶ ὠνίους τὰς ἀρχὰς ἔτι μᾶλλον ἢ πρότερον προθήσας. Procop. Arc. 22.

Θεόδουλος. ἐμαρτύρησεν οὗτος ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου. καὶ ζήτει ἐν τῷ Ἀμάχιος.

Θεοδρομῶν κατὰ θεὸν πορευόμενος.

Θεοδώριτος ὄνομα κύριον. Θεοδώρητος δὲ διὰ τοῦ η, ἡ δωρεὰ τοῦ θεοῦ.

Θεοδώριχος ὄνομα κύριον.

Θεόδωρος ὁ ἐπίκλην ἄθεος, ὅς ἠκροάσατο Ζήνωνος τοῦ Κιτιέως, διήκουσε δὲ καὶ Βρύσωνος καὶ Πύρρωνος τοῦ ἐφεκτικοῦ. ἀδιαφορίαν δοξάζων καὶ παραδιδούς, αἵρεσιν ἰδίαν εὗρεν, ἥτις Θεοδώρειος ἐκλήθη. οὗτος ἔγραψε πολλὰ συντείνοντα εἰς τὴν οἰκείαν αἵρεσιν, καὶ ἄλλα τινά. οὗτος εἶπε πρὸς Ἱππαρχίαν τὴν γυναῖκα Κράτητος "αὕτη ἐστὶν ἡ τὰς πρὸς ἱστοὺς ἐκλιποῦσα κερκίδας (Eur. Bacch. 1234) καὶ τρίβωνα φοροῦσα." a

b Θεόδωρος ἀπὸ ἀναγνωστῶν τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως, ἔγραψεν ἱστορίαν ἐκκλησιαστικὴν ἀπὸ τῶν χρόνων Κωνσταντίνου ἕως τῆς βασιλείας Ἰουστινιανοῦ.

c Θεόδωρος Βυζάντιος σοφιστής, ὅς ὑπὸ Πλάτωνος λογοδαίδαλος ἐκλήθη, ἔγραψε κατὰ Θρασυβούλου, κατὰ Ἀνδοκίδου, καὶ ἄλλα τινά.

d Θεόδωρος Γαδαρεὺς σοφιστής, ἀπὸ δούλων, διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος, ἐπεὶ δὲ συνεκρίθη περὶ σοφιστικῆς ἀγωνισάμενος Ποτάμωνι καὶ Ἀντιπάτρῳ, ἐν αὐτῇ τῇ Ῥώμῃ. ἐπὶ Ἀδριανοῦ Καίσαρος ὁ υἱὸς αὐτοῦ Ἀντώνιος συγκλητικὸς ἐγένετο. βιβλία δὲ ἔγραψε περὶ τῶν ἐν φωναῖς ζητουμένων γ', περὶ ἱστορίας α', περὶ θέσεως α', περὶ διαλέκτων ὁμοιότητος καὶ ἀποδείξεως β', περὶ πολιτείας β', περὶ κοίλης Συρίας α', περὶ ῥήτορος δυνάμεως α', καὶ ἄλλα.

e Θεόδωρος ποιητής, ὃς ἔγραψε διάφορα δι' ἐπῶν, καὶ εἰς Κλεοπάτραν δι' ἐπῶν.

f Θεόδωρος. οὗτος ἀνεφάνη μετὰ Ἀπολινάριον τῆς Λαοδικείας τῆς Συρίας, τὴν ἡγεμονίαν λαχὼν Μοψουεστίας τῆς Κιλικίας, ἐκ διαμέτρου τῷ Ἀπολιναρίῳ φερόμενος, ὕβρεις οὐ τὰς τυχούσας τολμηρᾷ ψυχῇ καὶ ἀφόβῳ καρδίᾳ καταχέων τοῦ δεσπότου Χριστοῦ, ἄνθρωπον ἕνα τῶν καθ' ἡμᾶς καὶ κοινὸν ἀποκαλῶν, καὶ ἐκ προκοπῆς λαβόντα τὴν χάριν τοῦ θεοῦ θεὸν ὀνομάζεσθαι, καὶ ἐκ τοῦ ἐν Ἰορδάνῃ βαπτίσματος ἀξιωθῆναι τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, ἐν πρώτοις εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτισθέντα. τὸν δὲ θεὸν λόγον διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν κατ' εὐδοκίαν

ἐν αὐτῷ κατοικήσαντα μεταδοῦναι τῆς θεϊκῆς ἀξίας αὐτῷ καὶ προσκυνήσεως εἰς ὕστερον μετὰ τὴν τελείωσιν. ταῦτα καὶ ἕτερα τοιαῦτα δυσφημήσας δύο φύσεις ἰδιοπεριορίστους ἐδογμάτισεν ἐπὶ Χριστοῦ, σχέσει τινὶ καὶ μόνον ἀλλήλαις ᾠκειωμένας. δευτέρα καὶ αὕτη βλασφημία, τὸ μίαν φύσιν ἐν Χριστῷ καὶ δύο φύσεις μὴ κατὰ τὸν ὀρθὸν λόγον ὁμολογεῖσθαι. Theodorus presb. de incarn.

θεοειδεστάτη.

θεοειδής θεοῖς τὸ εἶδος ὅμοιος.

θεοειδῶς θείως.

θεοείκελος (Hom. *A* 131) θεοῖς τὸ εἶδος ὅμοιος.

θεόθεν ἀπὸ θεοῦ.

θεοὶ οἱ κατ' εἰκόνα θείαν γεγεννημένοι καὶ ἀκήρατον τὴν εἰκόνα φυλάξαντες. ὁ τούτων θεὸς συνάγει τὴν οἰκουμένην εἰς τὸ κριτήριον. καὶ Δαβὶδ "θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν" καὶ τὰ ἑξῆς. Theodoret. in Ps. 49.

θεοίνιον. τὰ κατὰ δήμους διονύσια θεοίνια ἐλέγοντο, ἐν οἷς οἱ γεννῆται ἀπέθυον· τὸν γὰρ Διόνυσον Θέοινον ἔλεγον. Harp.

θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισι, θεῶν βουλομένων· οὐ γὰρ οἱ Ἕλληνες τὴν τοιαύτην αὐτῷ αἰτίαν παρέσχον. Σοφοκλῆς περὶ Αἴαντος (970).

Θεόκλεια ὄνομα κύριον.

θεοκλυτήσαντες θεοῦ ἀκούσαντες, θεὸν ἐπικαλεσάμενοι. (Polyb. 24 8) "ἐξ ὧν κατάραι καὶ θεοκλυτήσεις ἐγίνοντο κατ' αὐτοῦ." καὶ αὖθις (Menand. p. 363 Nieb.) "μήτε μὴν καταναγκάζεσθαι τοὺς ἐν Περσίδι χριστιανοὺς εἰς μαγικὴν μετιέναι θρησκείαν, μήτε μὴν θεοκλυτεῖν ἀκουσίως τοὺς παρὰ Μήδοις νενομισμένους θεούς." καὶ αὖθις "καὶ Κυζικηνῶν θυγατέρας τὴν ὥραν διαπρεπεῖς τῇ Δαρείου θυγατρὶ Ἀρσάμῃ ξένια ἀποστεῖλαι ἐγλίχετο. αἱ δὲ καταφεύγουσιν ἐπὶ τὴν Ἄρτεμιν θεοκλυτοῦσαι καὶ τοῦ ἀγάλματος ἐκκρεμάμεναι." καὶ Αἰλιανός "οὐδαμῇ φορητὸν εἶναι τὸν βίον ἑαυτῇ μετὰ τὴν εὐνὴν τὴν ἄθεσμον πεπιστευκυῖα, θεοκλυτοῦσα καὶ μυρίας ἀρὰς Ἐφεσίοις ἐπαρωμένη, εἰ μὴ πράξαιντο τιμωρίαν τοῦ ἄγους παρὰ τῶν τυράννων, ἑαυτὴν διέφθειρε."

θεόκλυτος θεότιμος.

θεοκλυτοῦντες θεοὺς ἐπικαλεσάμενοι· "καὶ ἐν ἑαυτοῖς θεοκλυτοῦντες ἅμα καὶ τῶν ὀργίων ἐμέμνηντο," τουτέστι τῶν μυστηρίων.

Θεοκρίνης Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (319). ἦν δὲ συκοφάντης. Harp.

Θεόκριτος Χῖος ῥήτωρ, μαθητὴς Μητροδώρου τοῦ Ἰσοκρατικοῦ, ἔγραψε χρείας, ἀντεπολιτεύσατο δὲ Θεοπόμπῳ τῷ ἱστορικῷ. φέρεται αὐτοῦ ἱστορία Λιβύης καὶ ἐπιστολαὶ θαυμάσιαι. ἔστι καὶ ἕτερος Θεόκριτος, Πραξαγόρου καὶ Φιλίννης (οἱ δὲ Σιμμίχου), Συρακούσιος· οἱ δέ φασι Κῷον, μετῴκησε δὲ ἐν Συρακούσαις. οὗτος ἔγραψε τὰ καλούμενα βουκολικὰ ἔπη δωρίδι διαλέκτῳ. τινὲς δὲ ἀναφέρουσιν εἰς αὐτὸν καὶ ταῦτα, Προιτίδας, ἐλπίδας, ὕμνους, ἡρωίνας, ἐπικήδεια μέλη, ἐλεγείας, ἰάμβους, ἐπιγράμματα. ἰστέον δὲ ὅτι τρεῖς γεγόνασι βουκολικῶν ἐπῶν ποιηταί, Θεόκριτος οὑτοσί, Μόσχος Σικελιώτης καὶ Βίων ὁ Σμυρναῖος, ἔκ τινος χωριδίου καλουμένου Φλώσσης.

θεόληπτος ὑπὸ θεοῦ συσχεθείς, ἔνθεος· "ὁ δὲ Φιλιππικὸς θέραψ ἦν καὶ κολακικός, καὶ μέντοι καὶ τῷ περὶ Ἀντώνιον θιάσῳ κατείλεκτο." cf. v. Βάρβιος.

θεολογῷ δοτικῇ.

θεομήτι θεόφρονι, θεοβούλῳ.

θεομισής ὑπὸ θεοῦ μισούμενος, θεομίσης δὲ ὁ μισῶν τὸν θεόν. sch. A Av. 1547.

Θεόπομπος Θεοδέκτου ἢ Θεοδώρου, a
Ἀθηναῖος κωμικός, ἐδίδαξε δράματα κδ', ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας κατὰ Ἀριστοφάνην. δράματα δὲ αὐτοῦ εἰσὶ καὶ ἄλλα πολλά.

ὅτι Ἀσκληπιὸς καὶ τῶν ἐν παιδείᾳ ἦν προμηθής. φθόη γοῦν Θεόπομπον ῥινώμενόν τε καὶ λειβόμενον ἰάσατο καὶ κωμῳδίαν αὖθις διδάσκειν ἐπῆρεν, ὁλόκληρόν τε καὶ σῶν καὶ ἀρτεμῆ ἐργασάμενος. καὶ δείκνυται καὶ νῦν ὑπὸ λίθῳ Θεοπόμπου, πατρόθεν ὁμολογοῦντος αὐτὸν τοῦ ἐπιγράμματος (Τισαμενοῦ γὰρ ἦν υἱός), εἴδωλον Παρίας λίθου. καὶ ἔστι τὸ ἴνδαλμα τοῦ πάθους μάλα ἐναργές, κλίνη καὶ αὐτὴ λίθου. ἐπ' αὐτῆς κεῖται νοσοῦν τὸ ἐκείνου φάσμα χειρουργίᾳ φιλοτέχνῳ· παρέστηκε δὲ ὁ θεὸς καὶ ὀρέγει οἱ τὴν παιώνιον χεῖρα, καὶ παῖς νεαρὸς ὑπομειδιῶν καὶ οὗτος. τί δὲ ἄρα νοεῖ ὁ παῖς; ἐγὼ συνίημι τοῦ φιλοπαίστην ποιητὴν ὑποδηλοῦν· γελᾷ γὰρ καὶ τῆς κωμῳδίας τὸ ἴδιον διὰ συμβόλων αἰνίττεται. εἰ δὲ ἄλλος νοεῖ ἑτέρως, κρατείτω τῆς ἑαυτοῦ γνώμης, ἐμὲ δὲ μὴ ἐνοχλείτω. cf. vv. Παρίας λίθου et φθόη.

b Θεόπομπος Χῖος ῥήτωρ, υἱὸς Δαμασιςράτου, γεγονὼς τοῖς χρόνοις κατὰ τὴν ὑπαρχίαν Ἀθηναίων, ἐπὶ τῆς ϛγ´ ὀλυμπιάδος, ὅτε καὶ Ἔφορος, Ἰσοκράτους ἀκουςὴς ἅμα Ἐφόρῳ. ἔγραψεν ἐπιτομὴν τῶν Ἡροδότου ἱςοριῶν ἐν βιβλίοις β´, Φιλιππικὰ ἐν βιβλίοις οβ´, Ἑλληνικὰς ἱςορίας· ἕπονται δὲ ταῖς Θουκυδίδου καὶ Ξενοφῶντος, καὶ εἰσὶν ἐν βιβλίοις ια´, ἔχεσαι τὰ ἀπὸ τῦ Πελοποννησιακῦ πολέμυ καὶ λοιπά. ἔγραψε καὶ ἕτερα πλεῖςα.

Θεοπροπία μαντεία, καὶ Θεοπρόπιον τὸ ἐκ θεοῦ μάντευμα ἢ προφήτευμα. καὶ Θεοπροπίῃσιν.

Θεοπρόπος μάντις, ἢ θεοῦ προφήτης.

Θεοπτία ἡ θεία ὀπτασία. ὀπτεία δὲ καὶ ἐποπτεία.

Θεορρημοσύνην τὴν θείαν διδασκαλίαν, τὴν κατήχησιν.

Θεόρρυτον ἐκ θεοῦ προϊὸν ἢ προχεόμενον.

a Θεός. ὅτι Φίλων τῦ θεὸς καὶ κύριος τὴν σημασίαν ἑρμηνεῦσαι πειρώμενος τῆς βασιλικωτάτης τριάδος ἔννοιαν ἔσχεν. φάσκων γὰρ ὅτι εἷς ἐςὶν ὁ θεός, οὐ πρὸς τὸν ἀριθμὸν κατέδραμε τῆς μονάδος, ἀλλὰ πρὸς τὸ μυςήριον τῆς ἁγίας τριάδος τὸ τῶν μὲν πάντῃ διαιρετῶν ἑνικώτερον, τῶν δὲ ὄντως μοναδικῶν ἀφθονώτερον. καὶ οὕτω κατὰ κράτος εἷλεν αὐτοῦ τὴν ψυχὴν ὡς εἰπεῖν δύο μὲν εἶναι τὰς τῦ ὄντος δυνάμεις, ὧν ἡ μὲν ποιητικὴ καὶ ἐνεργητική, φησί, καλεῖται θεός, ἡ δὲ βασιλικὴ καὶ τιμωρητικὴ κύριος.

Θεὸν δὲ εἶναι δοξάζουσιν Ἕλληνες ζῷον ἀθάνατον λογικὸν τέλειον νοερόν, ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον, προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ, μὴ εἶναι μέντοι ἀνθρωπόμορφον. εἶναι δὲ τὸν μὲν δημιυργὸν τῶν ὅλων καὶ ὥσπερ πατέρα πάντων, κοινῶς δὲ καὶ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προσηγορίαις προσονομάζεται κατὰ τὰς δυνάμεις. Diog. L. 7 147.

b Θεός. Δαβίδ φησι (Ps. 41 2) "πρὸς τὸν θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα." ἔνθεν καὶ τὸ τρισάγιον ἡμῖν ἐξύμνηται.

c Θεός Σοφοκλῆς (El. 696) "ὅταν τις θεῶν βλάπτῃ, δύναιτ᾽ ἂν οὐδ᾽ ἂν ἰσχύων φυγεῖν." ὅμοιον τούτῳ τὸ Πινδαρικὸν (Pyth. 2 91) "θεὸς καὶ πτερόεντ᾽ αἰετὸν ἔκιχε, καὶ θαλασσαῖον παραμείβεται δελφῖνα." καὶ παροιμία "θεὸς ἡ ἀναίδεια." λέγεται κατὰ τῶν δι᾽ ἀναισχυντίαν τινὰ ὠφελούντων. ἐτιμᾶτο δὲ καὶ Ἀθήνησιν ἡ ἀναίδεια, καὶ ἱερὸν ἦν αὐτῆς, ὡς Ἴςρος ἐν ιδ´.

Θεὸς ἀπὸ μηχανῆς. ζήτει ἐν τῷ ἀπὸ μηχανῆς.

Θεοσέπτου. βροντῆς θεοσέπτου, ὑπὸ θεῶν καταπεμφθείσης, θείας τινὸς καὶ τετιμημένης· "βροντῆς μυκησαμένης θεοσέπτυ" Ἀριςοφάνης Νεφέλαις (291). Σοφοκλῆς δὲ λέγει (Ai. 186) "ἥκοι γὰρ ἂν θεία νόσος," τυτέςιν ἡ ἐκ θεῦ κατασκήψασα εἴς τινα. περὶ τῆς μανίας Αἴαντος.

Θεοσέπτωρ θεοσεβής. Eur. Hipp. 1364.

Θεοσημία ἡ τοῦ θεοῦ μαντεία.

Θεοςυγεῖς θεομίσητοι. οἱ ὑπὸ θεῦ μισούμενοι, καὶ οἱ θεὸν μισῦντες. παρὰ δὲ τῷ ἀποςόλῳ (Rom. 1 30) θεοςυγεῖς οὐχὶ οἱ ὑπὸ θεοῦ μισούμενοι ἀλλ᾽ οἱ μισοῦντες τὸν θεόν.

Θεοσυλὴς ὁ τὰ ἱερὰ συλῶν· "ὁ δὲ θεοσυλὴς γενόμενος, καὶ τὰ ἕδη τῶν θεῶν αὐτὰ ἐξ ἠθῶν ἀναςήσας, καὶ φόνους ἐργασάμενος ἐναγεῖς." cf. v. ἀλώμενος.

Θεοῦ παρόντος ἅπαν ἄπορον πόριμον.

Θεοὺς τὺς τῶν Ἰυδαίων ἄρχοντας· "ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς, καὶ θεοὺς οὐ κακολογήσεις." ἐπειδὴ ὁ θεὸς ἀληθῶς κριτής ἐςιν, ἐνεχειρίσθησαν δὲ καὶ οἱ ἄνθρωποι κρίνειν, προσηγορεύθησαν θεοὶ οἱ ἐνδίκως δικάζοντες. Theodoret. in Ps. 81.

Θεοφάνεια ἡ τοῦ θεῦ φανέρωσις, θηλυκόν. οὐδετέρως δὲ πληθυντικὸν τὰ θεοφάνια· ἢ εὐθεῖα τὸ θεοφάνιον.

Θεοφάνης ὄνομα κύριον. καὶ κλίνεται εἰς ους.

Θεόφιλος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐςὶν Ἰατρός, Ἐπίδαυρος, Παγκράτεια, Βοιωτία, Προιτίδες, Νεοπτόλεμος. a

Θεόφιλος βασιλεὺς Ῥωμαίων, υἱὸς Μιχαὴλ τοῦ Ἀμωραίου, πατὴρ Μιχαήλ, ὃς ἐς τοσαύτην ἀφιλοθεΐαν καὶ ἀπόνοιαν ἐξώκειλεν, καὶ τὴν τοῦ Κοπρωνύμου χαλεπὴν καὶ μυσαρωτάτην αἵρεσιν διαδεξάμενος καὶ ἀνακαινίσας, ὡς ἐν μηδενὶ ἧττων ὀφθῆναι τῆς ἐκείνυ δυσσεβείας καὶ παροινίας τυραννίδος τε καὶ ἐμβροντησίας ὁ πεφενακισμένος καὶ ματαιόφρων. ἐπεὶ ἓν τῇ αὐτῇ συσχεθεὶς τῶν ἀσεβῶν ἐκείνων καὶ παλαμναίων ἀπάτῃ καὶ b

παραπλησία, τῶν ἐκ Μανιχαϊκῆς μανίας καὶ Ἀρειανικῆς λύσσης ὁρμωμένων πάλαι, διωγμὸν καὶ αὐτὸς κατὰ τῆς ἐκκλησίας ὡσαύτως ἐπανετείνετο, συμμύστην καὶ σύμμαχον καὶ συνίστορα τῆς αἱρέσεως ἔχων ὁ δεύτερος Νεκταναβὼ τὸν πατριάρχην Ἰωάννην, μᾶλλον δὲ μαντιάρχην ἢ δαιμονιάρχην, τὸν νέον ὄντως Ἀπολλώνιον ἢ Βαλαάμ, ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀναφανέντα λεκανόμαντιν καὶ πάσης θεοστυγοῦς πράξεως καὶ τερατείας δεινὸν ὑποφήτην, ὑφ' οὗ καὶ τὰ γράμματα παιδευθεὶς ὁ εὐρίπιστος καὶ δείλαιος ὑπηρέτης δόκιμος ἐχθίστων πραγμάτων καὶ τοῦ διαβόλου ἐπιτήδειον ὄργανον γέγονεν. οὓς ἂν ἐνδίκως ὁ θεῖος λόγος ἐπαράσαιτο, σχετλιαστικῶς φάσκων ⟨ep. Iudae 11⟩ "οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάιν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο" καὶ τὰ ἑξῆς.

e Θεόφιλος. οὗτος ἀπὸ Ἰνδῶν ἐπανελθὼν ἐν Ἀντιοχείᾳ διῆγεν, ἐκκλησίαν μὲν ἀφωρισμένως οὐδεμίαν ἔχων αὐτός, κοινὸς δέ τις ὢν καὶ πάσαις αὐτῷ μετ' ἀδείας ἐπιφοιτᾶν ὡς ἰδίαις ἐξόν, βασιλέως τε αὐτὸν ἐς τὰ μάλιστα διὰ τιμῆς τε πάσης καὶ αἰδοῦς ἄγοντος, καὶ τῶν ἄλλων ἁπάντων, ὁπόσοις ἐπισταίη, μετὰ πάσης προθυμίας αὐτὸν ὑποδεχομένων καὶ τὸ τῆς ἀρετῆς αὐτοῦ μέγεθος καταπληττομένων. ἦν γὰρ ὁ ἀνὴρ κρείσσων ἢ ὡς ἄν τις δηλώσειε λόγῳ, ὡς ἄν τις τῶν ἀποστόλων εἰκών. λέγεταί γέ τοί ποτε καὶ νεκρὸν ἀναστῆσαι ἐν Ἀντιοχείᾳ Ἰουδαίας τινός. Θαλάσσιος δὲ τοῦτό φησι, τῶν ἐπ' οὐκ ὀλίγον τἀνδρὶ συγγενομένων χρόνον καὶ ἥκιστα δὴ εἰς τὰ τοιαῦτα ψεύδεσθαι ὕποπτος ὤν, ἄλλως τε καὶ ἔχων οὐκ ὀλίγους τῶν κατὰ τὸν αὐτὸν αὐτῷ γενομένων χρόνον τοὺς ἐπιμαρτυροῦντας. **Philostorgius?**

Θεοφορία ἐνθουσιασμός· ⟨AP 6 220⟩ "ἄγρια δ' αὐτοῦ ἐψύχθη χαλεπῆς πνεύματα θευφορίης."

Θεόφραστος Μελάντα γναφέως, οἱ δὲ Λέοντος, ἀπὸ Ἐρεσσοῦ, ἀκουστὴς Ἀριστοτέλους καὶ διάδοχος τῆς σχολῆς τῆς ἐν τῷ περιπάτῳ ὑπ' αὐτοῦ καταλειφθείσης εἰς Χαλκίδα ἐκδημήσαντος. οὗτος πρότερον ἐκαλεῖτο Τύρταμος, διὰ δὲ τὸ θείως φράζειν ὑπ' Ἀριστοτέλους ἐκλήθη Εὔφραστος, εἶτα Θεόφραστος, ὥσπερ Πλάτων διὰ τὸ ἐν τοῖς λόγοις πλάτος τοῦτο ἐπωνομάσθη, πρότερον καλούμενος Ἀριστοκλῆς. μαθητὰς δὲ ἔσχε πλεῖον ἢ δισχιλίους, ἐρώμενον δὲ τὸν Ἀριστοτέλους υἱὸν τοῦ φιλοσόφου Νικόμαχον. ἐτιμήθη δὲ παρὰ Κασάνδρῳ τῷ Ἀντιπάτρου, καὶ τελευτᾷ κατάπονος ὑπὸ τοῦ ἀεὶ γράφειν γενόμενος, εἶτα ἐνδοὺς ἐπὶ βραχείας ἡμέρας διὰ μαθητοῦ γάμους. βιβλία δὲ αὐτοῦ πάμπλειστα, ὧν καὶ ταῦτα, ἀναλυτικῶν προτέρων γ', ἀναλυτικῶν ὑστέρων ζ', ἀναλύσεως συλλογισμῶν, ἀναλυτικῶν ἐπιτομήν, ἀνηγμένων τόπων, περὶ λίθων, περὶ φυτῶν, περὶ μετάλλων, περὶ ὀδμῶν, καὶ ἄλλα.

"Θεόφραστος ἕως ἐπόνει μέν, ἄπηρος ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής" ⟨AP 7 110⟩.

Θεοφύλακτος σοφιστής, ᾧ ἐπώνυμον Σιμοκάτης.

Θεράπαινα δούλη· ⟨Menand. exc. p.129⟩ "καὶ θεραπαίνῃ ἐτίμησεν αὐτὸν δοριαλώτῳ." καὶ θεραπαινίς θηλυκόν· "φόβῳ σοι ὡς θεραπαινίς."

Θεραπευταί. Φίλων ⟨t.2 p.474⟩ περὶ τῶν ἐξ Ἑβραίων ἀσκητῶν ἔγραψε ... περὶ θεωρητικοῦ βίου, οὓς θεραπευτὰς καὶ τὰς ὁμοιοσχήμους καὶ ὁμοτρόπους γυναῖκας θεραπευτίδας ὠνόμασε. καὶ θεραπευταὶ μέν, φησί, κέκληνται ἢ παρὰ τὸ τὰς ψυχὰς τῶν προσιόντων αὐτοῖς ἀπὸ κακίας παθῶν ἰατρῶν δίκην ἀπαλλάττοντας θεραπεύειν, ἢ τῆς πρὸς τὸ θεῖον καθαρᾶς καὶ εἰλικρινοῦς θεραπείας καὶ θρησκείας ἕνεκα. οὗτοι πρῶτον μὲν ἀρξάμενοι φιλοσοφεῖν ἐξίστανται τῶν προσηκόντων καὶ τῶν ὑπαρχόντων, ἔπειτα δὲ πάσαις ἀποταξάμενοι ταῖς τοῦ βίου φροντίσι καὶ ἔξω τειχῶν προελθόντες ἐν μοναγρίοις ἢ κήποις ἢ ὄρεσι τὰς διατριβὰς ποιοῦνται, τὰς ἐκ τῶν ἀνομοίων ἐπιμιξίας ἀλυσιτελεῖς τε καὶ βλαβερὰς εἰδότες. τὸν προφητικὸν ζηλοῦσι καὶ ἀσκοῦσι βίον. καὶ ἐν ἑκάστῃ συμμορίᾳ οἴκημα ἐστὶν ἱερόν, ὃ καλοῦσι σεμνεῖον καὶ μοναστήριον, ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυστήρια τελοῦνται, μηδεὶς μηδὲν κομίζοντες, μὴ ποτόν, μὴ σιτίον, μηδέ τι τῶν ἄλλων ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα, ἀλλὰ νόμους καὶ λόγια θεσπισθέντα διὰ προφητῶν καὶ ὕμνους καὶ τἆλλα οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονταί τε καὶ τελειοῦνται. καὶ συνελόντι φάναι, σιτίον ἢ ποτὸν οὐδεὶς αὐτῶν προσενέγκοιτο πρὸ ἡλίου δύσεως, ἐπειδὴ τὸ μὲν φιλοσοφεῖν ἄξιον

φωτὸς εἶναι κρίνουσι, σκότους δὲ τὰς τοῦ σώματος ἀνάγκας. αἱ δὲ ἐξηγήσεις τῶν ἱερῶν λογίων γίνονται αὐτοῖς δι' ὑπονοιῶν ἐν ἀλληγορίαις· πᾶσα γὰρ νομοθεσία δοκεῖ τοῖς ἀνδράσι τούτοις ζώῳ ἐοικέναι, καὶ σῶμα μὲν ἔχειν τὰς ῥητὰς διαλέξεις, ψυχὴν δὲ τὸν ἐναποκείμενον ταῖς λέξεσιν ἀόρατον νοῦν. ὡσαύτως δέ εἰσι τῆς αὐτῆς καταςάσεως καὶ αἱ γυναῖκες. Eusebius h. eccl. 2 17.

θεραπευτῆρες οἱ τῶν ἱερῶν προϊςάμενοι θεραπευταὶ Ἴσιδος παρ' Αἰγυπτίοις.

θεραπεύω αἰτιατικῇ.

Θεράπναι τόπος ἐςὶν ἐν Λακεδαιμονίᾳ, οὗ μνημονεύει καὶ Ἰσοκράτης (10 63) καὶ Ἀλκαῖος. Harp.

θεράποντες δοῦλοι, ὑπηρέται. θεράποντες ἐπὶ κλητικῆς.

θέραψ δοῦλος, ὑπηρέτης· "θέραψ δὲ ἦν τὸν τρόπον καὶ κολακικός." ζήτει ἐν τῷ Βάρβιος.

θέρεια τοῦ θέρους ὁ καιρός· Πολύβιος (1 25) "οἱ δὲ Καρχηδόνιοι εἰς τὴν ἐπιφερομένην θέρειαν ἀνήχθησαν τριακοσίαις ναυσί." καὶ θέρειος ὥρα.

θερείβοτον πεδίον τὸ ἐν θέρει ἔχον βοῦσιν.

θέρεσθαι (Hom. τ 64) θερμαίνεσθαι.

θέρεται καίεται.

θερήγανον ἡ ἅμαξα.

θερίζειν ἀντὶ τοῦ καταβάλλειν. Ἀριςοφάνης (Ach. 946) "μέλλω γέ τοι θερίζειν" ἀντὶ τοῦ καταβάλλειν, ἀπὸ μεταφορᾶς τῶν θεριζόντων, ὅτι τὰ δράγματα τιθέασιν. ἢ ὅτι πολλοὺ ἐθέριζον διὰ τὸν πόλεμον.

θερινός.

θέριςρον καὶ θερίςριον θερινὸν ἱμάτιον· (AP 6 254) "τὰν κόκκου βαφθέντα καὶ ἀσγίνοιο θέριςρα, καὶ τοὺς ἀνδρολιπεῖς ἀλλοτρίους πλοκάμους."

θεριῶ καὶ κομιῶ καὶ ποριῶ καὶ ὁριῶ καὶ πάντα τὰ εἰς ζω βαρύτονα καὶ ὑπὲρ δύο συλλαβάς, βραχυνόμενον τὸ ι ἔχοντα, ἐν τῷ μέλλοντι ἄνευ τοῦ σ ἐκφέρουσιν Ἀττικοί, τὰ γοῦν ὁριςικὰ καὶ ἀπαρέμφατα. τὰ δ' ὑποτακτικὰ οὐδαμῶς· σολοικισμὸς γὰρ τὸ ἐὰν θεριῶ καὶ ἐὰν κομιῶ. ἐφ' ὧν δὲ τὸ ι ἐκτείνεται, καὶ σὺν τῷ σ ὁ μέλλων λέγεται χρόνος, καὶ ἐκτεινομένης τῆς παρεσχάτης συλλαβῆς, οἷον δανείζω δανείσω, οὐκέτι δὲ τὸ δανειῶ, βάρβαρον οὕτως ὥςε καὶ τοὺς Ἀθηναίους φασὶν ἀθρόους εἰς ἐκκλησίαν συναθροισθέντας ἐπὶ τῶν διαδόχων, ἐπειδὴ εἰς ἀπορίαν καθεςήκεσαν χρημάτων, ἔπειτά τις αὐτοῖς τῶν πλουσίων ὑπισχνεῖτο ἀργύριον, οὕτω πως λέγων ὅτι ἐγὼ ὑμῖν δανειῶ, θορυβεῖν καὶ οὐκ ἀνέχεσθαι λέγοντος διὰ τὸν βαρβαρισμόν, καὶ οὐδὲ λαβεῖν τὸ ἀργύριον ἐθέλειν, ἕως αἰσθόμενος ὁ μέτοικος ἢ καὶ ὑποβαλόντος αὐτῷ τινὸς ἔφη "δανείσω ὑμῖν τοῦτο τὸ ἀργύριον·" τότε δ' ἐπαινέσαι καὶ λαβεῖν. διὰ τοῦτο βαδίσω καὶ βαδιῶ ἀμφότερα δόκιμα, ἐπεὶ καὶ αὐτὸ τὸ ἐνεςηκὸς ἑκατέρως λέγεται, καὶ ἐκτεινομένου καὶ συστελλομένου τοῦ ἐν τῇ μέσῃ συλλαβῇ ι. οὐκέτι δὲ ἀγορῶ οὐδὲ καλῶ· οὐδὲ γὰρ ὅλως τῷ ι παραλήγει.

θερμὰ τὰ χλιαρὰ ὕδατα.

Θέρμαν. Θρᾴκιόν ἐςι πόλισμα. Harp.

θερμέλη (an θερμωλή) ἡ θέρμη.

θερμὸν παράδοξον· Ἀριςοφάνης Πλούτῳ (415) "ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε." καὶ Σοφοκλῆς (Ai. 477) "οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν ὅςις κεναῖσιν ἐλπίσιν θερμαίνεται."

θερμοπότιδα.

Θερμοπύλαι τόπος οὕτω καλούμενος a ὑπὸ τῶν πλειόνων Ἑλλήνων· ὑπὸ γὰρ τῶν ἐπιχωρίων καὶ περιοίκων Πύλαι.

Θερμοπύλαι. ἔνιοι μὲν τὴν πόλιν ταύ- b την Πύλας καλοῦσι, Φιλέας δὲ Θερμοπύλας λέγει καλεῖσθαι, ἐπεὶ ἐκεῖ ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ Ἡρακλεῖ ἐποίησεν. Harp.

θερμὸς θρασύς, καὶ θερμουργὸς ὁ προπετής. "οἱ δὲ Πέρσαι κατωρρώδησαν, πυθόμενοι νέον αὐτὸν εἶναι καὶ θερμουργόν." (A Ran. 866) "παῦσ' Αἰσχύλε, καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ."

θερμόταται μέθυσοι· (A Th. 741) "ὦ θερμόταται γυναῖκες, μέγα καπήλοις καλόν, ἡμῖν δὲ κακόν."

ὅτι ἡ θυγάτηρ Φαραὼ ἡ τὸν Μωυσῆν υἱοποιήσασα Θερμοῦθις ὠνομάζετο.

Θερμώδων ὄνομα ποταμοῦ.

θερόμενος θερμαινόμενος.

θέρος ἐςὶν ὁ ὑπὲρ γῆς ἀὴρ καταθαλπό- a μενος τῇ τοῦ ἡλίου πρὸς ἄρκτον πορείᾳ. Diog. L. 7 152.

θέρος οὐ τὸν καιρὸν οἱ ῥήτορες ἐκάλουν, b οἷον χειμῶνα καὶ ἔαρ καὶ θέρος, ἀλλὰ τοὺς

συγκομιζομένυς καρπὺς τῶν σπερμάτων ὕτω προσηγόρευσαν.

Θέρσης.

Θερσίτης ὄνομα κύριον. καὶ Θερσίτειον βλέμμα.

Θέσανδρος. ὗτος εἰς παιδεραςίαν δεινῶς διεβάλλετο, ὡς Κηδωνίδης καὶ Αὐτοκλείδης. Harp.

θέσεις αἱ καταβολαὶ τῶν πρυτανείων, ὅπερ μισθὸς ἦν τῆς εἰσαγωγῆς τῆς δίκης. Ἀριςοφάνης ⟨Nub. 1193⟩ "ἵν' αἱ θέσεις γίνοιντο τῇ νουμηνίᾳ." Εὐνάπιος "τῶν δὲ Ῥωμαίων ἐπ' αὐτὸ τῦτο βιαζομένων, ἄπορον αὐτοῖς ἀποδεῖξαι καὶ πλῆθος καὶ θέσιν καὶ βέλη καὶ μηχανὰς καὶ μεγέθη ποταμῶν, πρὸς τὸ μὴ πάντως ἡττᾶσθαί σφων καὶ ὁμολογεῖν εἶναι χείροσιν." "ἔλεγε Κράντωρ ὁ φιλόσοφος τὰς Θεοφράςυ θέσεις ὀςρέῳ γεγράφθαι" ⟨Diog. L. 4 27⟩.

θέσθαι ἀντὶ μὲν τῦ ὑποθήκην λαβεῖν Ὑπερίδης, ἀντὶ δὲ τῦ προσέσθαι καὶ κυρῶσαι νόμον Δημοσθένης ἐν τῷ περὶ ἀτελειῶν. ἐν μέντοι τῷ κατὰ Στεφάνυ ⟨2 23⟩ φησὶν "ἑαυτῷ νόμυς ἰδίυς θέμενον" ἀντὶ τῦ θέντα. Harp.

θέσις κατὰ Ἀριςοτέλην ὑπόληψις παράδοξος τῶν γνωρίμων τινὸς κατὰ φιλοσοφίαν, τυτέςι πρόβλημα. ὐ πᾶν δὲ πρόβλημα θέσις ἐςίν, ἀλλ' ἡ παρὰ τὰς κοινὰς δόξας ὑπόληψίς τινος τῶν ἐνδόξων κατὰ φιλοσοφίαν. διὸ δεῖ καὶ τὸν προςάτην τῆς δόξης, τὸν συνιςάντα τὴν θέσιν, προσκεῖσθαι τῷ τοιούτῳ προβλήματι. οἷον πότερον πάντα συνεχῶς ῥεῖ καὶ ἀεὶ γίνεται, ὐδέποτε δὲ ὐδὲν ἔςι, καθ' Ἡράκλειτον, ἢ ὔ· καὶ πότερον ἕν ἐςι καὶ ἀκίνητον τὸ ὄν, ὡς Παρμενίδῃ δοκεῖ, ἢ ὔ· καὶ πότερον κίνησις ἔςιν ἢ ὔ, ὡς δοκεῖ Ζήνωνι· καὶ πότερον ἡ ὑγεία ἀγαθὸν ἢ οὔ, ὡς Χρύσιππος λέγει· καὶ πότερον ἔςιν ἀντιλέγειν ἢ οὔ, ὡς Ἀντισθένει δοκεῖ. Alex. Aphrod. in Top. p. 43.

ὅτι ἀντιδιαιρεῖται τὸ θέσει τῷ φύσει, ὥσπερ καὶ ἐπὶ τῆς τῶν ὀνομάτων θέσεως· καὶ γὰρ ἐκεῖ θέσει λέγομεν τὰ ὀνόματα, σημαίνοντες ὅτι μὴ φύσει. ἤδη δέ τινες καὶ τὰ ῥητορικὰ προβλήματα θέσεις καλοῦσιν· ἐφ' ὧν τὸ τῆς ὑποθέσεως ὄνομα συνηθέςερον, τῷ δοκεῖν τὰ τοιαῦτα ἐπὶ ὑποκειμένοις τισὶ καὶ ὡρισμένοις συνίςασθαι. τὰς δὲ θέσεις καὶ ὑποθέσεις λέγει Ἀριςοτέλης. id. p. 45.

θέσμιον νόμιμον.

θεσμοθέται ἀρχή τίς ἐςιν Ἀθήνησιν, ἓξ δὲ ὄντων τὸν ἀριθμόν, καίτοι ἐκ τῶν καλουμένων θ' ἀρχόντων. καλοῦνται δὲ οὕτως ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον. ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυτὸν ἕκαςον, εἴρηκεν Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ⟨38⟩. Harp.

θεσμοθέτης νομοθέτης ἢ νομοφύλαξ· ⟨A Vesp. 772⟩ "ουδεὶς ἀποκλείσει θεσμοθέτης τῇ κιγκλίδι."

θεσμός. ἐκαλεῖτο μὲν πάλαι καὶ εἷς ἕκαςος τῶν νόμων θεσμός, καὶ τὸ ὅλον δὲ τῆς πολιτείας σύνταγμα Δημοσθένης ἐν τῷ κατὰ Ἀριςοκράτους ⟨62⟩ εἶπεν. Harp.

θεσμοτόκον τὰς μελίσσας φησὶ διὰ τὸ εὔτακτον· ⟨AP 6 239⟩ "θείης θεσμοτόκον χορὸν ἄπλετον."

θεσμοφόρια ὄνομα ἑορτῆς. "ὥσπερ ἐν θεσμοφορίοισι νηςεύομεν ἄνευ θυηλῶν" Ἀριςοφάνης ⟨Av. 1506⟩.

θεσμοφόρος ὁ τοὺς νόμυς ἐπιφερόμενος. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 150⟩ "ὡμολόγησ' ἥξειν εἰς νύκτα μοι ἡπιβόητος, καὶ σεμνὴν ὤμοσε θεσμοφόρον."

θεσμοφόρος. "ὅτι Βάττος ὁ Κυρήνης κτίσας τῆς θεσμοφόρυ τὰ μυςήρια ἐγλίχετο μαθεῖν, καὶ προσῆγε βίαν λίχνοις ὀφθαλμοῖς χαριζόμενος" ⟨Aelianus?⟩.

Θέσπεια ὄνομα πόλεως.

θεσπέσιος θεῖος, θαυμαςός, πρᾶος.

Θεσπιαί.

Θεσπιάσι· ⟨AP 6 260⟩ "Φρύνη τὸν πτερόεντα ἔρωτα μισθὸν ὑπὲρ τέκνων ἄνθετο Θεσπιάσι."

θεσπιδαὲς πῦρ ⟨Hom. Μ 177⟩ τὸ Μηδικόν.

Θεσπιεύς ποταμός ⟨an ὁ πολίτης⟩. καὶ Θεσπιέων, καὶ Θεσπιεῖς.

θεσπίζει νομοθετεῖ.

Θέσπις Ἰκαρίου πόλεως Ἀττικῆς, τραγικὸς ἑκκαιδέκατος ἀπὸ τοῦ πρώτυ γενομένυ τραγῳδιοποιοῦ Ἐπιγένους τοῦ Σικυωνίυ τιθέμενος, ὡς δέ τινες, δεύτερος μετὰ Ἐπιγένην· ἄλλοι δὲ αὐτὸν πρῶτον τραγικὸν γενέσθαι φασί. καὶ πρῶτον μὲν χρίσας τὸ πρόσωπον ψιμυθίῳ ἐτραγῴδησεν, εἶτα ἀνδράχνῃ ἐσκέπασεν ἐν τῷ ἐπιδείκνυσθαι, καὶ μετὰ ταῦτα εἰσήνεγκε καὶ τὴν τῶν προσωπείων χρῆσιν ἐν μόνῃ ὀθόνῃ κατασκευάσας. ἐδί-

δαξε δὲ ἐπὶ τῆς πρώτης καὶ ξ' ὀλυμπιάδος. μνημονεύεται δὲ τῶν δραμάτων αὐτοῦ Ἆθλα Πελίου ἢ Φόρβας, Ἱερεῖς, Ἤθεοι, Πενθεύς.

b Θέσπις ὄνομα κιθαρῳδοῦ· Ἀριστοφάνης (Vesp. 1489) "ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται τἀρχαῖ' ἐκεῖν', οἷς Θέσπις ἠγωνίζετο."

Θεσπίσματα θεῖα δόγματα.

Θεσπιῳδεῖ χρησμολογεῖ· Ἀριστοφάνης Πλούτῳ (9) "ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου." ἠτυμολόγηται δὲ ἡ λέξις παρὰ τὸ θεοπεδωδεῖν, ἢ παρὰ τὸ τὴν Θέμιν ἐκεῖ τὰς μαντείας ἄγειν. ἐτραγικεύσατο δὲ τῇ φράσει. ἡ δὲ Πυθία ἐπὶ τρίποδος καθημένη ἐχρησμῴδει, ἐκαλεῖτο δὲ τὸ μέρος ἐν ᾧ ἐκάθητο ὅλμος.

Θεσπρωτεύς. Θεσπρωτία χώρα. Θεσπρώτιος λέβης.

Θεσσαλὸν σόφισμα, ἐπὶ τῶν μὴ εὐθυμαχούντων ἐν ταῖς παρατάξεσιν ἀλλὰ κακουργούντων.

Θεσσαλός Κῷος ἰατρός, υἱὸς Ἱπποκράτους τοῦ διασήμου, οὗ πάλιν υἱοὶ Γοργίας καὶ Ἱπποκράτης, ἰατρικῶν βιβλία γ'.

Θεσσαλῶν νόμισμα. παροιμιῶδες τοῦτο, τασσόμενον ἐπὶ ἀπάτης.

τῆς δὲ Μακεδονίας βασιλεύοντος Φιλίππου ἔτη κ' καὶ τὴν Θεσσαλίαν ὑποτάξαντος, ἐν ᾗ πόλιν κτίσας ἐκάλεσε Θεσσαλονίκην. οἱ δὲ ἐπ' ὀνόματι Θεσσαλονίκης θυγατρὸς ἐκτίσθαι τὴν πόλιν.

Θεστιάδες Θεστίου ἐκ πολλῶν γυναικῶν ἦσαν ν' θυγατέρες, αἷς Ἡρακλῆς ἐμίγη.

Θέσφατος τελετὴ ἡ θεσπισθεῖσα.

Θέτης. μήποτε θέτην λέγουσι τὸν ὑποθήκην τεθεικότα, οὐχ ὡς ὁ Δίδυμος τὸν εἰσποιησάμενον· θετοὺς γὰρ ἔλεγον τοὺς ποιητούς. Harp.

Θέτις Θέτιδος ὄνομα κύριον. καὶ Θετίδειον.

Θετὸν εἰσποιητόν, οὐ γνήσιον. "Θαλῆν τὸν φιλόσοφον, μὴ γήμαντα, τῆς ἀδελφῆς τὸν υἱὸν θέσθαι."

Θετταλὴ γυνή, ἐπὶ τῶν φαρμακίδων· διαβάλλονται γὰρ οἱ Θετταλοὶ ὡς γόητες, καὶ μέχρι νῦν φαρμακίδες αἱ Θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι ἡ Μήδεια φεύγουσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ, καὶ ἀνέφυσαν. βαρυτόνως δὲ οἱ Ἀττικοὶ ἀναγινώσκουσιν. Ἀριστοφάνης (Nub. 747) "γυναῖκα πριάμενος Θετταλὴν καθέλοιμι νύκτωρ τὴν σελήνην· εἶτα καθείρξαιμ' ὥσπερ κάτοπτρον." ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδὴς ὡς ἔσοπτρον, καὶ φασὶ τοὺς περὶ τὰ τοιαῦτα δεινοὺς τούτῳ κατάγειν τὴν σελήνην. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ κατόπτρου τοιοῦτον. πληροσελήνου τῆς σελήνης οὔσης εἴ τις ἔσοπτρον ἐπιγράψειεν αἵματι ὅσα βούλεται, καὶ προειπὼν ἑτέρῳ στῆναι κατόπιν αὐτοῦ δείκνυσι πρὸς τὴν σελήνην τὰ γράμματα, κἀκεῖνος ἀτενίσας πλησίον εἰς τὸν τῆς σελήνης κύκλον ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς ἐν τῇ σελήνῃ γεγραμμένα.

Θετταλικαὶ πτέρυγες. τοῦτο εἴρηται διὰ τὸ πτερύγιον ἔχειν τὰς Θετταλικὰς χλαμύδας, αἵπερ εἰσὶν αἱ ἑκατέρωθεν γωνίαι, διὰ τὸ ἐοικέναι πτέρυξι.

Θετταλός. εἷς τῶν Κίμωνος παίδων ἐκαλεῖτο οὕτως. Harp.

Θετταλῶν σόφισμα καὶ ἐπὶ μάχης καὶ ἐπὶ σχήματος καὶ ἐπὶ παρακρούσεως καὶ ἄλλων μυρίων τάσσουσιν, ἀπὸ αἰτίας τοιαύτης. Ἀρατίῳ γὰρ κατιόντι ὁ θεὸς ἔφη φυλάξασθαι μὴ λάθωσιν αὐτὸν οἱ ἐξ ἐναντίας εὐχῇ μείζονι καὶ λαμπροτέρᾳ κατ' αὐτοῦ χρησάμενοι. ὁ δὲ ἑκατόμβην ἀνδρῶν εὔξατο θύσειν τῷ Ἀπόλλωνι. κατορθώσας δὲ οὐ ἐβούλετο τὴν θυσίαν διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι ἀεὶ ἀνεβάλλετο.

ὅτι διαβάλλονται οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ καὶ ἄπιστοι. sch. A Plut. 521.

Θευδέριχος, ῥὴξ Γότθων καὶ Ἰταλιωτῶν, τῶν κατηκόων αὐτοῦ προὔστη περιβαλλόμενος ὅσα τῷ φύσει βασιλεῖ ἥρμοσται. δικαιοσύνης τε γὰρ ὑπερφυῶς ἐπεμελήσατο, καὶ τοὺς νόμους ἐν τῷ βεβαίῳ διεσώσατο, ἔκ τε βαρβάρων τῶν περιοικούντων τὴν χώραν ἀσφαλῶς διεφύλαξε· ξυνέσεώς τε γὰρ καὶ ἀνδρείας εἰς ἄκρον ἐληλύθει ὡς μάλιστα, καὶ ἀδίκημα σχεδόν τι οὐδὲν οὔτε αὐτὸς εἰς τοὺς ἀρχομένους εἰργάζετο οὔτε τῷ ἄλλῳ τὰ τοιαῦτα ἐγκεχειρηκότι ἐπέτρεπε. καὶ ἦν λόγῳ μὲν τύραννος ἔργῳ δὲ βασιλεὺς ἀληθής, τῶν ἐν ταύτῃ τῇ τιμῇ ἐξ ἀρχῆς ηὐδοκιμηκότων οὐδενὸς ἧσσων. ἔρως τε αὐτοῦ ἔν τε Γότθοις καὶ Ἰταλιώταις πολὺς ἤκμασεν. Procop. Goth. 1 1.

ὅτι Θευδέριχος ὁ Ἄφρος διάκονόν b τινα εἶχεν ὀρθόδοξον, ὃν πάνυ ἠγάπα καὶ ἔθαλπεν. οὗτος δὲ ὁ διάκονος, νομίζων Θευδερίχῳ χαρίζεσθαι, τῆς ὁμοουσίου πίστεως ἀπο-

ϛὰς τὰ Ἀρείου ἐφρόνησε. γνοὺς δὲ τοῦτο Θευδέριχος τὸν οὕτως ἀγαπώμενον εὐθέως ἀπεκεφάλισεν, εἰπών, εἰ τῷ Θεῷ πίϛιν οὐκ ἐφύλαξας, πῶς ἀνθρώπῳ φυλάξεις συνείδησιν ὑγιαίνουσαν; Theodorus Lector h. eccl. p. 561.

Θεύδερτος ὁ βασιλεὺς τῶν Φράγκων.

Θευδίβαλδος ὄνομα κύριον· (Procop. Goth. 4 24) "Λεόντιος μὲν τοσαῦτα εἶπε, Θευδίβαλδος δὲ ἀμείβεται ὧδε," ἀντὶ τοῦ ἀνταποκρίνεται.

Θευδίβερτος υἱὸς Θευδερίχου. καὶ ζήτει ἐν τῷ τολμητίας.

Θευδόσιος ὁ Θεοδόσιος. καὶ Θευδοσία χώρα κειμένη ἐντὸς Σκυθῶν, ἣν πολιορκῶν Σάτυρος ἐτελεύτησεν. Harp.

Θεὺς Ἄρης, τουτέϛι θεὸς Ἄρης, ἐν Πέτρᾳ τῆς Ἀραβίας. σέβεται δὲ θεὸς Ἄρης παρ' αὐτοῖς· τόνδε γὰρ μάλιϛα τιμῶσι. τὸ δὲ ἄγαλμα λίθος ἐϛὶ μέλας τετράγωνος ἀτύπωτος, ὕψος ποδῶν δ', εὖρος β'· ἀνάκειται δὲ ἐπὶ βάσεως χρυσηλάτου. τούτῳ θύουσι, καὶ τὸ αἷμα τῶν ἱερείων προχέουσι· καὶ τοῦτό ἐϛιν αὐτοῖς ἡ σπονδή. ὁ δὲ οἶκος ἅπας ἐϛὶ πολύχρυσος, καὶ ἀναθήματα πολλά.

Θευσούμενος δραμούμενος· "οἱ δὲ ἀφίκοντο, ὃ μὲν ἀγωνιέμενος πυγμήν, ὃ δὲ θευσούμενος ϛάδιον."

Θέω, δοτικῇ, τὸ τρέχω.

a Θέων Ἀλεξανδρεύς, φιλόσοφος ϛωικός, γεγονὼς ἐπὶ Αὐγούϛου μετὰ Ἄρειον, ἔγραψε τῆς Ἀπολλοδώρου φυσιολογικῆς εἰσαγωγῆς ὑπόμνημα, περὶ τεχνῶν ῥητορικῶν βιβλία γ'.

b Θέων Ἀλεξανδρεὺς σοφιϛής, ὃς ἐχρημάτισεν Αἴλιος, ἔγραψε τέχνην, περὶ προγυμνασμάτων, ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Ἰσοκράτην, εἰς Δημοσθένην, ῥητορικὰς ὑποθέσεις, καὶ ζητήματα περὶ συντάξεως λόγου, καὶ ἄλλα πλείονα.

c Θέων Γυμνασίου τοῦ σοφιϛοῦ παῖς, Σιδώνιος σοφιϛής, παιδεύσας κατὰ τὴν πατρίδα, γενόμενος δὲ ἐπὶ τοῦ βασιλέως Κωνϛαντίνου καὶ ἀπὸ ὑπάτων καὶ ὕπαρχος.

d Θέων ὁ ἐκ τοῦ μουσείου, Αἰγύπτιος φιλόσοφος, σύγχρονος δὲ Πάππῳ τῷ φιλοσόφῳ, καὶ αὐτῷ Ἀλεξανδρεῖ. ἐτύγχανον δὲ ἀμφότεροι ἐπὶ Θεοδοσίου βασιλέως τοῦ πρεσβυτέρου. ἔγραψε μαθηματικά, ἀριθμητικά, περὶ σημείων καὶ σκοπῆς ὀρνέων καὶ τῆς κοράκων φωνῆς, περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς, περὶ τῆς τοῦ Νείλου ἀναβάσεως, εἰς τὸν Πτολεμαίου πρόχειρον κανόνα, καὶ εἰς τὸν μικρὸν ἀϛρόλαβον ὑπόμνημα.

Θέων ὁ Οὐαλέριος χρηματίσας, σοφιϛής, e
ὑπόμνημα εἰς Ἀνδοκίδην.

Θέων Σμυρναῖος φιλόσοφος. καὶ Θέων f
Ἀντιοχείας τῆς ἐν Δάφνῃ, φιλόσοφος ϛωικός, ἔγραψεν ἀπολογίαν Σωκράτους.

Θέων σοφιϛὴς λόγων ῥητορικῶν, γεγονὼς g
ἀπὸ τῆς ἱερᾶς Μαρκέλλης τό γε ἀνέκαθεν, τὸ δὲ ἐξ ὑπογύου πατρόθεν ἀπὸ Ἐκδικίου, διδασκάλου καὶ τούτου τέχνης ῥητορικῆς. ἦν δὲ οὗτος ὁ Θέων οὐ μάλα ἀγχίνους οὐδὲ ὀξύς, φιλομαθὴς δὲ καὶ φιλόπονος εἰς ὑπερβολήν. ταῦτά τοι καὶ ἐγεγόνει πολυμαθέϛατος ἐν ὀλίγῳ χρόνῳ, πολλὴν μὲν ἀρχαίαν ἱϛορίαν πολλὴν δὲ νέαν περιβαλλόμενος. Damascius Phot. p. 339 b.

Θεῶν ἀγορά, ἐπὶ τῶν τολμώντων τι λέγειν ἐν τοῖς ὑπερέχουσι.

Θεώνειοι οἱ τοῦ Θέωνος.

Θεωρεῖα τὰ μαϛροπεῖα.

Θεώρημα διαλεκτικόν, τουτέστι ζήτημα καὶ πρόβλημα τὸ συντεῖνον ἢ πρὸς αἵρεσιν καὶ φυγὴν ἢ πρὸς ἀλήθειαν καὶ γνῶσιν, ἢ αὐτὸ ἢ ὡς συνεργὸν πρός τι ἕτερον τῶν τοιούτων. ἔθος γὰρ Ἀριϛοτέλει τὸ ζητεῖν θεωρεῖν λέγειν. εἴη δ' ἂν τὸ θεώρημα λόγος γνώσεως ἡμῖν τινὸς τῶν τῆς διαλεκτικῆς αἴτιος, ἀπὸ τοῦ θεωρίας καὶ γνώσεως αἴτιον ἡμῖν εἶναι ὠνομασμένον. θεώρημα ἠθικὸν ἢ φυσικὸν ἢ λογικόν, οὐ μὴν πᾶν θεώρημα ἠθικὸν ἢ φυσικὸν ἢ λογικὸν πρόβλημα ἤδη διαλεκτικόν, ἀλλ' ὅσα τῶν θεωρημάτων ἔχει τῶν προκειμένων τινὰ ἀφορισμόν. οὗτοι δέ εἰσι περὶ ὧν ἢ μηδετέρως δοξάζουσιν ἢ ἐναντίως οἱ σοφοὶ τοῖς πολλοῖς ἢ οἱ πολλοὶ τοῖς σοφοῖς ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖς. ὅσα μὲν οὖν τῶν ζητουμένων εἰς αἵρεσιν ἢ φυγὴν τὴν ἀναφορὰν ἔχει, ἠθικὰ τὰ τοιαῦτα προβλήματα. ἡ γὰρ περὶ τὸ ἀγαθόν τε καὶ κακὸν αἱρετόν τε καὶ φευκτὸν ζήτησις, οὖσα ἠθική, εἰς αἵρεσιν καὶ φυγὴν τὴν ἀναφορὰν ἔχει, οὐκ εἰς ψιλὴν γνῶσιν. ὁ γὰρ ζητῶν πότερον ἡ ἡδονὴ ἀγαθόν ἐϛιν ἢ οὔ, ἢ ὅλως περί τινος τῶν ἐπικτήτων ἀγαθῶν, ὑπὲρ τοῦ αἱρεῖσθαι ἢ φεύγειν τὴν ζήτησιν ποιεῖται. πάλιν ὁ ζητῶν πότερον ὁ κόσμος σφαιροειδής ἐϛιν ἢ οὔ, ἢ ἡ ψυχὴ ἀθάνατος ἢ οὔ, ἤ τι ἄλλο τῶν φύσει γινομένων τε καὶ ὄντων, τέλος

ποιεῖται τὴν τῦ ἀληθῦς γνῶσιν, ὃ τῆς θεωρητικῆς ἐςὶν ἴδιον· ἡ γὰρ γνῶσις τῆς ἐν τοῖς ἀρίςοις πολιτείας τῆς θεωρίας τέλος. ὅσα δὲ μήτε ὡς πρακτικὰ ζητεῖται μήτε τέλος ἔχει τὴν γνῶσιν τῆς ἐν αὐτοῖς ἀληθείας, ἀλλ' ὡς συνεργὰ ἢ πρὸς τὴν τῶν αἱρετῶν τε καὶ μὴ γνῶσιν ἢ πρὸς τὴν τῶν ἀληθῶν τε καὶ ψευδῶν αἵρεσιν ζητεῖται, ταῦτα προβλήματα λογικά. ἡ γὰρ λογικὴ πραγματεία ὀργάνυ χώραν ἔχει ἐν φιλοσοφίᾳ. ὅσα δὴ κατὰ ταύτην ζητεῖται, τοῦ πρὸς ἐκείνην χρησίμυ ζητεῖται χάριν· ὁ γὰρ ζητῶν περὶ ἀντιςροφῆς, φέρε εἰπεῖν, προτάσεως, ἢ περὶ συλλογιςικῆς ἢ ἀσυλλογίςυ συζυγίας, ὡς συνεργὰ ταῦτα καὶ ὡς συντελοῦντα πρὸς τὴν τῶν προειρημένων εὕρεσίν τε καὶ γνῶσιν ζητεῖ. Alex. Aphrod. in Top. p. 41.

καὶ τεθεωρημένη ζητητικὴ τῆς ἀληθοῦς γνώσεως. "ὁ μὲν οὖν Ἀρκεσίλαος ὁ φιλόσοφος νωθρὸς ἦν τὴν φύσιν καὶ χασμώδης, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένος, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ ςόμα ἐμπτῆναι." cf. Diog. L. 4 32.

a Θεωρία αἱρετωτέρα πράξεως τῷ εἶναι περὶ τὰ τιμιώτερα τὴν ἐνέργειαν αὐτῆς· ἡ μὲν γὰρ πρᾶξις περὶ τὰ πρακτέα τε καὶ ἐφ' ἡμῖν, ἡ δὲ θεωρία περὶ τὰ θεῖα. καὶ ἐπειδὴ τῷ τιμιωτάτῳ τῆς ψυχῆς γίνεται· τιμιώτατον γὰρ ὁ νοῦς τῶν τῆς ψυχῆς δυνάμεων, οὗ ἐνέργεια καὶ θεωρία. Alex. Aphrod. in Top. p. 124.

b Θεωρία τέλος ἐςὶν ἱερωσύνης μὴ ψευδομένης τὸ ὄνομα. θεωρία δὲ καὶ πρᾶξις οὐκ ἀξιοῦσι συγγίνεσθαι· ὁρμὴ μὲν γὰρ ἀρχὴ πράξεων, οὐδεμία δὲ ἀπαθής. Synes. ep. 57 p. 199.

Θεωρία καὶ πρᾶξις. ὅτι τοῦ νοῦ τὸ μὲν ἐςι θεωρητικὸν τὸ δὲ πρακτικόν. τὸ μὲν οὖν πρακτικὸν ἐκ τῆς σχέσεως αὐτῆς λογίζεται τῆς πρὸς τὸ σῶμα· διὸ μετὰ τὸ ἀπολυθῆναι τοῦ σώματος οὐκέτι ἐςὶ πρακτικός, μόνον δὲ θεωρητικός. διαφέρει δὲ ὁ πρακτικὸς νοῦς τοῦ θεωρητικῦ τῷ τέλει, μηδὲν τῷ ὑποκειμένῳ διαφέρων, ὡς οὐδὲ τὸ σπέρμα καὶ ὁ καρπός. τῷ μὲν γὰρ θεωρητικῷ τέλος ἐςὶν ἡ τῆς ἀληθείας κατάληψις, τῷ δὲ πρακτικῷ ἡ τοῦ ἀγαθοῦ. ὁ μὲν οὖν νοῦς, φησί, γένος ἕτερον εἶναι δοκεῖ ψυχῆς, καὶ μόνος χωριςὴν ἔχει τὴν οὐσίαν, ἡ δὲ λοιπὴ πᾶσα ψυχὴ ἀχώριςος.

Θεωρίαι. οὕτω καλοῦνται πᾶσαι αἱ πανηγύρεις. καὶ Θεωρία ὄνομα πόρνης (A Pac. 522).

Θεωρικά. ἐν ταῖς λεγομέναις Διονυσίαις a θεωρίαις ἀγώνων τελουμένων φιλοτίμων συνέβαινέ τινας τῶν πολιτῶν εἰς ὕβρεις καὶ τραύματα διαφέρεσθαι. ἔδοξεν ἐν τῷ δήμῳ μηκέτι προῖκα θεωρεῖν, ἐκμισθοῦν δὲ ταῖς θέαις τοὺς τόπους. πλεονεκτουμένων δὲ τῶν πενήτων διὰ τὸ ῥᾳδίως τοῖς πλουσίοις πλείονος τιμῆς τοῦτο γίνεσθαι, ἐψηφίσαντο ἐπὶ δραχμῇ καὶ μόνον εἶναι τὸ τίμημα, θεωρικὸν αὐτῇ θέντες ὄνομα· καὶ τὸν ἐπὶ τούτῳ ἐφεςηκότα θεωρικὴν ἀρχὴν ἔλεγον ἄρχειν. ἀπὸ δὲ τούτου καὶ τὰ λοιπά, ὅσα Ἀθηναῖοι ἐλάμβανον, θεωρικὰ εἴρηται.

Θεωρικά. χρήματά τινα ἦν ἐν κοινῷ ἀπὸ b τῶν τῆς πόλεως προσόδων συναγόμενα, ἃ πρότερον μὲν εἰς τὰς τῦ πολέμυ χρείας ἐφυλάττετο καὶ ἐκαλεῖτο ςρατιωτικά, ὕςερον δὲ κατετίθετο εἴς τὰς δημοσίας κατασκευὰς καὶ διανομὰς τῶν πολιτῶν. ἦν δὲ τὸ μὲν πρότερον νομισθὲν δραχμὴ τῆς θέας, ὅθεν καὶ θεωρικὰ ἐκλήθη. Φιλῖνος δέ φησιν ὅτι διὰ τοῦτο ἐκλήθη θεωρικά, διότι τῶν διονυσίων ὑπογύων ὄντων διένειμεν Εὔβουλος εἰς τὴν θυσίαν, ἵνα πάντες ἑορτάζωσι καὶ μηδεὶς ἀπολείπηται δι' ἔνδειαν ἀναλωμάτων. ἄλλοτε δὲ ἄλλως ὡρίζετο τὸ διδόμενον εἴς τε τὰς θέας καὶ τὰς θυσίας καὶ τὰς ἑορτάς. οὐκ ἐξῆν δὲ τοῖς ἀποδημοῦσι θεωρικὸν λαμβάνειν. ἦν δὲ καὶ ἀρχή τις ἐπὶ τοῦ θεωρικοῦ, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (25) δηλοῖ. Harp.

Θεωρικὸν καὶ θεωρική. Ἀθήνησιν ἦν χρήματα κοινὰ ἃ θεωρικὰ ἐκαλεῖτο, διδόμενα τοῖς Ἀθηναίοις εἰς διανομήν. προήχθη δὲ οὕτως· τὸ παλαιὸν ὄχλυ γενομένυ ἐν τοῖς θεάτροις καὶ τῶν ξένων τὰς θέας προκαταλαμβανόντων, διεδίδοτο τοῖς πολίταις τὸ θεωρικόν, ὅπερ ἦσαν β' ὀβολοί, ἵνα τοῦτο λαμβάνοντες οἱ πολῖται διδῶσιν αὐτὸ τῇ πόλει μισθὸν τῆς θέας. ὁ τοίνυν ἐπιμελούμενος τῶν χρημάτων τούτων ἄρχων ἐλέγετο τῶν θεωρικῶν. ἦν δὲ καὶ ἄλλα θεωρικά, ἃ διενέμετο ἐν ταῖς ἑορταῖς ἡ πόλις.

Θεωρὶς πλοῖον Ἀθήνησιν, ὃ καὶ ἔτος εἰς Δῆλον ἐπέμπετο, ἣν εὐξαμένου Θησέως, ὅτε εἰς Κρήτην ἀπῄει, καθ' ἕκαςον ἔτος Ἀθηναῖοι ἔπεμπον. καὶ οὐκ ἐξῆν ἀναχθείσης,

πρὶν ἢ ἐπανελθεῖν, ἀναιρεῖσθαί τινα κατὰ δίκην. διὰ τοῦτο καὶ Σωκράτης ἐδέδετο ἐν τῷ δεσμωτηρίῳ ἐπὶ πολὺν χρόνον, ἕως οὗ ἐπανῆκεν ἡ θεωρίς.

Θεωρίς Δημοσθένης ἐν τῷ κατὰ Ἀριςογείτονος ⟨79⟩, εἰ γνήσιος. μάντις ἦν ἡ Θεωρίς, καὶ ἀσεβείας κριθεῖσα ἀπέθανε. Harp.

θεωροδόκος ὁ τῶν θεωρικῶν χρημάτων ἐπιμελούμενος.

θεωροὶ οἱ εἰς θυσίαν πεμπόμενοι καὶ εἰς τὰς ἑορτάς. καὶ θεωρὶς ναῦς, δι' ἧς πεμπόμενοι ἐπὶ τὰς θυσίας τὰς ἀποδήμους ὑπὲρ τῆς πατρίδος ἢ καὶ ἐπὶ τοὺς ἱεροὺς ἀγῶνας καὶ ἄλλας πανηγύρεις οἱ θεωροὶ ἐςέλλοντο, καὶ εἰς χρηςήρια. Σοφοκλῆς ⟨OR 114⟩ "θεωρὸς ὡς ἔφασκεν ἐκδημῶν." θεωροὶ μέντοι λέγονται οὐ μόνον οἱ θεαταὶ ἀλλὰ καὶ οἱ εἰς θεὸν πεμπόμενοι, καὶ ὅλως τοὺς τὰ θεῖα φυλάττοντας ἢ φροντίζοντας οὕτως ὠνόμαζον· ὤρην γὰρ ἔλεγον τὴν φροντίδα. Harp.

Θέωρος ὄνομα κύριον, ἦν δὲ ἐπίορκος καὶ κόλαξ. ἐκωμῳδεῖτο δὲ ὁ Θέωρος καὶ ὡς μοιχὸς καὶ ἰχθυοφάγος καὶ πονηρός. περὶ Κόρινθον οὖν διέτριβε διὰ τὰς ἐκεῖ πόρνας. sch. A Eq. 605.

Θῆβαι πόλις, καὶ Θηβαῖος. Θηβαΐη πόλις.

Θηβαῒς χώρα.

θηγάνη ἡ ἀκόνη· "σιδηροβρῶτι θηγάνῃ νεηκονής" Σοφοκλῆς ⟨Ai. 820⟩.

θήγοντες, αἰτιατικῇ, ἀκονῶντες.

θηεῖσθαι θαυμάζεσθαι, θῆσθαι δὲ θεᾶσθαι.

θηεῦντο ⟨Hom. Η 444⟩ ἐθαύμαζον.

θηήσαντο ⟨Hom. Ο 682, θ 17⟩ ἐθαύμασαν.

θῆκαι αἱ σοροί· "διὰ δὲ ξύλων ἀπορίαν τὰς θήκας τῶν πέριξ τεθαμμένων ἀνορύσσοντες ἐκείνοις ἐς τἀναγκαῖα ἐχρῶντο."

θηκτόν ἠκονημένον· ⟨AP 7 433⟩ "θηκτὸν δ' ἐν προβόλῳ θεμένα ξίφος εἶπεν, ὀδόντα ὀξὺν ἐπιβρύχουσα."

θηλάζειν. ἐνεργητικῶς ἡμεῖς ἀντιλαμβανόμεθα τοῦ ῥήματος ἐπὶ τῶν παιδίων τῶν θηλαζόντων, Λυσίας δὲ ⟨1 9⟩ παθητικῶς κέχρηται ἐπὶ γυναικὸς παρεχούσης γάλα.

θηλαμόνος τῆς οἰκίας.

θηλάσαι.

θηλή μαςὸς ὁ γαλουχῶν.

θηλυδρίας τεθηλυμμένος· ⟨Synes. p. 85⟩ "διὰ τὴν ἐξάγιςον ἡδονὴν οἱ θηλυδρίαι τριχοπλάσαι εἰσί."

θηλυμίτρης ὁ πόρνος.

θήλυνοι ἥσυχοι.

θῆλυς παρ' Ὁμήρῳ ἐσχημάτιςαι ὡς πῆχυς· ⟨Τ 97⟩ "Ἥρη θῆλυς ἐοῦσα" καὶ ⟨Ε 269⟩ "θήλεας ἵππους" οἱονεὶ θηλείας. οὐδετέρως δὲ θῆλυ.

θηλυτεράων ⟨Hom. λ 386, ψ 166⟩ τῶν θηλειῶν.

Θημακεύς. δῆμός ἐςι φυλῆς τῆς Ἐρεχθηίδος Θήμακος. Harp.

θημῶνες ⟨Hom. ε 368⟩ οἱ σωροὶ τῶν δραγμάτων. καὶ θημωνία ὁ σωρός.

Θηραμένης Ἀθηναῖος ῥήτωρ, μαθητὴς a
Προδίκου τοῦ Κείου, ὃς ἐπεκαλεῖτο κόθορνος, μελέτας ῥητορικὰς καὶ ἄλλα τινά. cf. v. δεξιός.

Θηραμένης σοφὸς ἀνὴρ καὶ δεινὸς ἐς b
τὰ πάντα" ⟨A Ran. 968⟩, ὃς οὐδέποτε ἐκακοβόλησεν ὡς ἐν ἀςραγάλοις, ἀλλ' ἐπετύγχανε. Θηραμένης δὲ οὐ Χῖος ἀλλὰ Κεῖός φησι, παρ' ὅσον ποικίλος τις ἦν καὶ ἀγχίςροφος, καθωμίλει τε τοῖς καιροῖς πρὸς τὸ κρεῖττον μέρος ἀεὶ διδοὺς ἑαυτόν. Κῷος δὲ ἐλέγετο. οὗτος ἀνῃρέθη κατηγορήσαντος αὐτοῦ Κριτίου ἐπὶ τῶν λ'. κλίνεται δὲ εἰς ου.

Θηραμένης Κεῖος σοφιςὴς μελετῶν βι- c
βλία γ', περὶ ὁμοιώσεως λόγου, περὶ εἰκόνων ἤτοι παραβολῶν, περὶ σχημάτων.

θηρατεύεσθαι ⟨an ςραγγεύεσθαι⟩ ἀναβάλλεσθαι.

θηρατὴς λέξεων. καὶ θηρατὴς λόγων ἀντὶ τοῦ ἐπιθυμητής. "θηρευτὴς ἐςι ζῴων χερσαίων καὶ ἐναλίων."

θηρείων· Αἰλιανός "τὰ γεννώμενα βρέφη κράσει θηρείων τε καὶ ἀνθρωπείων σωμάτων τεράςια ἐδόκει."

θηρεύω αἰτιατικῇ.

θηρήτορας ⟨Hom. Ι 544⟩ κυνηγούς.

θηρία οἱ ἐλέφαντες. θηρία καὶ τὰ δάκετα, ἔχεις φαλάγγια ὄφεις· "ἐγίνοντο δὲ οἱ περὶ τὸν Προυσίαν περὶ τὴν τῶν θηρίων συναγωγήν."

Θηρίκλειον ποτήριον ὑάλινον.

Θηρικλέους τέκνον ⟨Theopomp. ap. Athen. p. 470⟩ κύλιξ, ἣν λέγεται πρῶτος κεραμεῦσαι Θηρικλῆς.

θηριῶ αἰτιατικῇ. καὶ θηριωδία ἀπήνεια, ὀργιλότης.

Θηρώμενοι ἀντὶ τοῦ ζητοῦντες· "καὶ τιμὴν ἐκ τύτϐ παρὰ τῶν ἄλλων θηρώμενοι."

Θηρῶντες ἐπιτηροῦντες.

Θής θητός ὁ μισθωτός.

Θησαυρίζω αἰτιατικῇ.

Θησαυροὶ ἀνέμων οὐκ ἀποθῆκαί τινες, ἀλλ' ἡ ῥαδία κίνησις, ἀπηνέμϐ τϐ ἀέρος ὄντος. Theodoret. in Ps. 134 7.

Θησαυρούς· Ἀππιανός "ὅπλα τε πολλὰ καὶ σῖτον ἡτοιμάζετο, καὶ θησαυροὺς ἐποίει." καὶ θησαυροφυλάκιον.

Θησείδας. ζήτει ἐν τῷ ἔγκοτον.

Θησείοισιν. ἑορτή τις τελουμένη παρ' Ἀθηναίοις. μετὰ γὰρ τὸ χαρίσασθαι τὴν δημοκρατίαν τοῖς Ἀθηναίοις τὸν Θησέα, Λύκος τις συκοφαντήσας ἐποίησεν ἐξοστρακισθῆναι τὸν ἥρωα. ὃ δὲ παραγενόμενος ἐς Σκῦρον διῆγε παρὰ Λυκομήδει δυνάστῃ τῆς νήσου, ὃς ζηλοτυπήσας ἀναιρεῖ αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λιμώξαντες καὶ κελευσθέντες ἐκδικῆσαι τῷ Θησεῖ τὸν μὲν Λυκομήδην ἀνεῖλον, τὰ δὲ ὀστᾶ μεταστειλάμενοι καὶ τὸ Θησεῖον οἰκοδομήσαντες ἰσοθέους αὐτῷ τιμὰς νέμουσι. καὶ ἐγίνοντο διανομαὶ καὶ εὐωχίαι τοῖς Θησείοις. ἑορτὴ δὲ αὐτῷ ἐτελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀττικὴν πρότερον κατὰ κώμας οἰκουμένην. sch. A Plut. 627.

Θησεῖον· ⟨A Eq. 1308⟩ "καθῆσθαί μοι δοκῶ ἐπὶ τὸ Θησεῖον ἢ ἐπὶ τῶν σεμνῶν θεῶν," τουτέστι τῶν ἐρινύων· εἰς γὰρ ταῦτα τὰ ἱερὰ οἱ οἰκέται καθήμενοι ἀσυλίαν εἶχον. ἔστι δὲ τὸ Θησεῖον τέμενος ἀνειμένον τῷ Θησεῖ.

Θησειότριψ ὁ ἐν τοῖς Θησείοις διατρίψας.

a Θησεύς ὁ Αἰγέως υἱός, ὁ βασιλεὺς Κρητῶν. καὶ ζήτει ἐν τῷ Αἰγαῖον πέλαγος.

οὗτος δὲ ὁ Θησεὺς ὁ υἱὸς Αἰγέως, Ἀθηναῖος, πολλὰ ἔργα ἐπεδείξατο. καὶ γὰρ τὸν ἀπὸ Τροιζῆνος χῶρον ἅπαντα ἄχρις Ἀθηνῶν ἡμέρωσε λῃστῶν ἔμπλεων ὄντα, ἀνελὼν Κερκύονα καὶ Σκίρωνα καὶ Σίννιν τὸν πιτυοκάμπτην καὶ Περίφαντον τὸν κορυνήτην, οὗ τὴν κορύνην αὐτὸς ὕστερον ἐφόρει, καὶ Προκρούστην τὸν ξενοφόνον, καὶ Ἀμαζονίδων στρατὸν ἐλθόντα ἐπ' Ἀθήνας ἐχειρώσατο, καὶ τὴν βασιλίδα γήμας ἔσχεν Ἱππόλυτον· εἶτα ἔγημε Φαίδραν. ἐπολεμήθη δὲ αὐτῷ καὶ πρὸς Κενταύρους πόλεμος ὑπὲρ Λαπιθῶν καὶ Πειρίθου τοῦ βασιλέως, καὶ ἄλλα ἄττα.

ζήτει περὶ Θησέως ἐν τῷ ἀρχὴ Σκυρία.

Θησεύς ἱστορικὸς βίους ἐνδόξων ἐν βι- b βλίοις ε', Κορινθιακῶν ἐν βιβλίοις γ', ἐν ᾧ δηλοῖ τὴν κατάστασιν τοῦ Ἰσθμιακϐ ἀγῶνος.

Θῆσθαι ⟨Hom. δ 89⟩ ἀμέλγειν.

Θήσομαι ὁρίσω, ποιήσω, ἀναδείξω.

Θῆσσαν μισθωτικήν, ἢ εὐτελῆ, ἢ δουλικὴν τροφήν ⟨Eur. Alc. 2⟩.

Θητεία παραμονή, ἢ δουλεία.

Θῆτες οἱ τροφῆς ἕνεκα δουλεύοντες.

Θῆτες καὶ θητικόν. εἰς δ' διαιρουμένης παρ' Ἀθηναίοις τῆς πολιτείας, οἱ ἀπορώτατοι θῆτες ἐλέγοντο καὶ θητικὸν τελεῖν. οὗτοι δὲ οὐδεμιᾶς μετεῖχον ἀρχῆς, ὐδὲ ἐστρατεύοντο. καὶ θῆσσαν δὲ ὠνόμαζον οἱ Ἀττικοὶ τὴν πενιχρὰν κόρην, ἣν ἐπάναγκες ἦν τοὺς ἔγγιστα γένους ἢ λαμβάνειν πρὸς γάμον ἢ πέντε μνᾶς διδόναι. Harp.

Θητεύειν μισθῷ ἐργάζεσθαι.

Θητικόν πλῆθος τὸ ἐπὶ μισθῷ δϐλεῦον· "καὶ θητικὸν ἐπήγοντο αὐτοὶ ἐς τὸν πόλεμον οἱ Πέρσαι πλεῖστον ὅσον καὶ παιδία καὶ γυναῖκας, οὓς κατά τινα δὴ πάτριον νόμον ἐς τοὺς κινδύνους θεατὰς οἰκείας ἀλκῆς ἦγον."

Θῆττα ἐπίκληρος οὐκ ἔχουσα φερνήν, πενιχρὰ καταλειφθεῖσα ὑπὸ τϐ πατρός, ὑπὸ δὲ τῶν ἀγχιστέων προικιζομένη κατὰ νόμον πεντακοσίων δραχμῶν.

Θητώνιον τὸ τοῖς μισθωτοῖς διδόμενον.

Θίασος χορός, καὶ θιασώτης. Ἀριστο- a φάνης ⟨Th. 40⟩ "ἐπιδημεῖ γὰρ θίασος μουσῶν ἔνδον μελάθρων τῶν δεσποσύνων μελοποιῶν." "θίασόν τε μίμων καὶ κορδακιστῶν περὶ αὐτὸν μάλα πλῆθος εἶχε."

Θίασος ἱερὸς χορός, καὶ θιασώτης ὁ b χορευτής, ἀπὸ τοῦ θεῖν, ὅ ἐστι θέειν. ὁ δὲ χορὸς ἀπὸ τῆς συνελεύσεως· θέειν γὰρ τὸ τρέχειν. ἢ ἀπὸ τοῦ ἐνθουσιᾶν, ὅθεν θιασῶται κυρίως οἱ περὶ τὸν Διόνυσον. ⟨A Ran. 326⟩ "ἐλθὲ χορεύσων ὁσίους ἐς θιασώτας." οὕτω λέγουσιν, ϐ συνθιασώτας. ἐν ἐπιγράμματι ⟨AP 6 165⟩ "στρεπτὸν Βασσαρικοῦ ῥόμβον θιάσοιο μύωπα."

Θίασος τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τέ- c λει καὶ τιμῇ θεοῦ· οὕτω Δημοσθένης ⟨19 199⟩ καὶ Ξενοφῶν ⟨Mem. 2 1 31⟩. Ἴων δὲ ἐπὶ παντὸς ἀθροίσματος τάττει τοὔνομα. θιασῶται δὲ ἐκαλοῦντο οἱ κοινωνοῦντες τῶν θιάσων· οὕτως Ἰσαῖος. Harp.

Θιάσῳ μαινόλῃ χορῷ μανικῷ.

Θιασώτης τῆς Κότυος. Κότυς δαί-

μων παρὰ Κορινθίοις τιμώμενος, ἔφορος τῶν αἰσχρῶν. "ὅθεν οἱ Κλεισθένει καὶ Τίμαρχοι καὶ πάντες οἱ πρὸς ἀργύριον τὴν ὥραν διατιθέμενοι, καὶ εἰ μὴ πρὸς ἀργύριον δέ, ἀλλὰ πρὸς ἄλλο τι, καὶ εἰ μὴ πρὸς μηδὲν ὁτιοῦν, ἀλλὰ διὰ τὴν ἐξάγιςον ἡδονήν, καθάπαξ οἱ θηλυδρίαι τριχοπλάςαι πάντες εἰσίν. ἀλλ' οἱ μὲν ἐπὶ τῶν οἰκημάτων ἄντικρυς οὗτοι. καίτοι νικᾶν νομίζουσιν ὡς ταύτῃ μάλιςα τὸ θῆλυ τοῦ γένους ἐκμιμησόμενοι" (Synes. p. 85: cf. v. ἐξομόσαιτο).

θίβις (Exod. 2 3) κιβώτιον ἐκ βύβλου πλεκτόν, ὡς κοφινῶδες.

θιγγάνει ἅπτεται.

θιγεῖν, γενικῇ, ψαῦσαι, ἐγγίσαι. (AP 7 232) "πολλὰ σιδηρείῃς χερσὶ θιγόντα μάχης." (S OR 1413) "ἴτ', ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν. πείθεσθε, μὴ δείσητε· τἀμὰ γὰρ κακὰ οὐδεὶς οἷός τε πλὴν ἐμοῦ φέρειν βροτῶν."

Θίμβρων Λακεδαιμόνιος. οὗτος ἦν πεμφθεὶς εἰς τὴν Ἀσίαν ἁρμοςὴς μετὰ τὰ Πελοποννησιακά. Harp.

θῖνα αἰγιαλόν, σωρόν· Ἀριςοφάνης (Vesp. 694) "τὸν θῖνά μου ταράττεις, καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον, κοὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς." ἐν ἐπιγράμματι (AP 6 62) "καὶ τὴν παρὰ θῖνα κίσηριν, αὐχμηρὸν πόντου τρηματόεντα λίθον."

θίς (Hom. μ 45) ὁ αἰγιαλός, καὶ ὁ σωρὸς τῶν χρημάτων.

Θίσβη ὄνομα κύριον. καὶ ἡ σορός.

θλαδίας εὐνοῦχος. "ὑποβάλλει τοίνυν ὁ θλαδίας τοὺς Οὐάλεντος μυςικούς, τὴν γυναικωνῖτιν λέγω φάλαγγα, οἵπερ εἰσὶν ἀεὶ τῶν φαύλων πράξεων ἐμπύρευμα, κατηγορῆσαι τοῦ Ἀετίου κατὰ βασιλέως ἐμμελετᾶν, ὡς ἂν ἐπιβατεύσῃ τῆς ἐξουσίας ... ἀγωνίζονται πεῖσαι τὸν βασιλέα· ἦν γὰρ βαρὺς ὁ ςαθμὸς τοῦ ὑποσχεθέντος χρυσίου ὁ ὑποσμήχων αὐτῶν τὰ ἔντοσθεν. δεινοὶ γὰρ εἰς τὸ συρράψαι βλάβας, προκειμένης χρυσίου ὑποσχέσεως· ἄπληςον γὰρ τὸ γένος καὶ πρὸς πλεονεξίαν ἀεὶ κέχηνε, καὶ οὐκ ἔςι τι τῶν φαύλων ἄνευ τῆς αὐτῶν δυςροπίας ἐν τοῖς βασιλείοις τελούμενον. πείθεται ταῖς συκοφαντίαις ὁ βασιλεύς, καὶ λόγου ταχύτερον πρὸς τὸν φόνον Ἀετίου κινηθεὶς τοῦτον ἀναιρεῖ. καὶ ὡς ἕρμαιον αὐτῷ τὸ πραχθὲν λογισάμενος φησὶ πρός τινα τῶν ςοχάζεσθαι τὰ ἀπόρρητα δυναμένων 'οὐ καλῶς μοι πέπρακται ἡ τοῦ Ἀετίου, ὦ οὗτος, ἀναίρεσις;' ὁ δέ φησιν' εἰ καλῶς ἢ μή, οὐκ οἶδα· γίνωσκε δὲ ὅτι τῇ λαιᾷ χειρὶ τὴν δεξιάν σου ἀπέκοψας." Priscus?

θλίβει ἐκπιέζει. ζήτει ἐν τῷ βλιμάζει.

θλῖψις. τούτῳ τῷ ὀνόματι πολλὰ δηλοῦται, φυλακαὶ ἁλύσεις ἐξορίαι, καὶ ὅσα τοιαῦτα. "θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἐπὶ θεοῦ τὰς πικρὰς τιμωρίας καλεῖ· οὐ γὰρ φύσιν, οὐδὲ προαίρεσιν." Theodoret. in Ps. 77 49.

Θμοῦις ὄνομα θηλυκόν.

θνησιμαῖον τὸ νενεκρωμένον, καὶ θνησείδιον τὸ νεκρόν. καὶ θνῆσις ἡ φθορά.

θνήσκω. θνητός.

θοάζετε, κατὰ διάλυσιν, ἀντὶ τοῦ θάσσετε. ἢ θοῶς προκάθησθε. Σοφοκλῆς (OR 2) "τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε;"

Θόας Θόαντος ὄνομα κύριον.

θοάς ταχείας ὁρμάς. σημαίνει δὲ καὶ ὀξείας· καὶ Ὅμηρος (ο 299) "ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκα θοῇσι."

θοηρός τεταραγμένος.

θοία ζεῦγος ἡμιόνων.

θοἰμάτιον τὸ ἱμάτιον· "θοἰμάτιον λαβόμενος χαῖρ' εἶπε, τὸ ὄνομα προσθείς" (cf. v. Βάρβιος). Ἀριςοφάνης (Lys. 1095) "εἰ σωφρονεῖτε, θοἰμάτιον λήψεσθ', ὅπως τῶν ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται," τουτέστιν εἰ μὴ περιβαλεῖσθε ἀλλὰ φανερὰ ἕξετε αἰδοῖα, ἀκρωτηριάσει τις ὑμᾶς τῶν ἑρμοκοπιδῶν.

θοινάω θοινῶ, καὶ θοινᾶται εὐωχεῖται.

θοίνη τροφή, εὐωχία, κατάβρωμα. (AP 6 218) "ὡς ἐπὶ θοίναν χάσμα φέρων χαλεπὸν πειναλέου φάρυγος." Δαμάσκιος "τοὺς πλουσίους οὐκ ἐν θοίνῃ ποιούμενος, οὐδὲ τὰ τούτων δῶρα προσιέμενος."

θοινήτωρ ὁ κατεσθίων· (AP 7 241) "ὤλεο γὰρ διὰ λοιμόν, ὅλης θοινήτορα χέρσου, πρὶν πατέρων νεαρᾷ σκῆπτρον ἑλεῖν παλάμᾳ." περὶ Πτολεμαίου ὁ λόγος.

Θοίνωνος φρούραρχος Συρακούσιος.

θολερῶς προβαίνεις, ἐπὶ τῶν ἀςάτως καὶ τεταραγμένως προϊόντων, καὶ μὴ καθεςαμένην καὶ ἀσφαλῆ πορείαν ἐχόντων.

θόλος οἶκος περιφερής, ἐν ᾧ οἱ πρυτά- a
νεις εἱςιῶντο. πρυτανεῖον δέ τι ἰδίως ὠνόμαςαι, ἐπεὶ πυρῶν ἦν ταμιεῖον.

θόλος ὁ τόπος ἔνθα ἐδείπνουν οἱ πρυ- b
τάνεις, διὰ τὸ οἰκοδομεῖσθαι αὐτὸν ςρογγύ-

ιον (Harp.). θολὸς δὲ τὸ τῆς σηπίας μέλαν.

θοός ταχύς.

Θοραί δῆμος τῆς Ἀντιοχίδος. Harp.

θορεῖν πηδᾶν, καὶ θορόντες ὁρμῶντες, πηδῶντες.

θορή θορῆς ἡ γονή, τὸ σπέρμα (Herodot. 3 101).

Θορικός δῆμος τῆς Ἀκαμαντίδος.

θόρνυσθαι.

θορός τὸ σπέρμα τοῦ σώματος· "ὁ δὲ Νέσσος λέγει τῇ Δηιανείρᾳ τὸ αἷμα ἀπὸ τῶν βελῶν, οἷς ἐβλήθη, ἀποξύσαι, καὶ τῷ θορῷ, ὅνπερ αὐτὸς ἀφῆκε, συμμίξασαν ἀλεῖψαι τὸν Ἡρακλέα ἢ χρῖσαι τὰ ἱμάτια."

θορυβούντων ταραττομένων· "θορυβούντων δὲ τῶν Γετῶν καὶ αὐτίκα τιμωρεῖσθαι δεομένων, ἐπικρατῆσαι Δουρᾶν ὄνομα, ὑποθέμενον τῷ βασιλεῖ τἒτον φυλαχθῆναι." καὶ αὖθις "μετενήνεκτο δὲ ἅπας ἐπὶ τὴν Ἀρμενίαν ὁ θόρυβος, ἄλλων ἄλλα αὐτοῖς διακληρωσαμένων."

Θουκυδίδης Ὀλόρου Ἀθηναῖος, παῖδα δὲ ἔσχε Τιμόθεον. ἦν δὲ ἀπὸ μὲν πατρὸς Μιλτιάδȣ τȣ̃ ςρατηγοῦ τὸ γένος ἕλκων, ἀπὸ δὲ μητρὸς Ὀλόρου τοῦ Θρᾳκῶν βασιλέως, μαθητὴς Ἀντιφῶντος. ἤκμαζε κατὰ τὴν πζ΄ ὀλυμπιάδα, ἔγραψε δὲ τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων. οὗτος ἤκουσεν ἔτι παῖς τυγχάνων Ἡροδότȣ ἐπὶ τῆς Ὀλυμπίας τὰς ἱςορίας διερχομένȣ ἃς συνεγράψατο, καὶ κινηθεὶς ὑπό τινος ἐνθουσιασμοῦ πλήρης δακρύων ἐγένετο. καὶ ὁ Ἡρόδοτος κατανοήσας τὴν αὐτοῦ φύσιν πρὸς τὸν πατέρα Θȣκυδίδȣ Ὄλορον ἔφη "μακαρίζω σε τῆς εὐτεκνίας, Ὄλορε· ὁ γὰρ σὸς υἱὸς ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα." καὶ οὐκ ἐψεύσθη γε τῆς ἀποφάσεως.

οὗτος ὁ Θȣκυδίδης ἀνὴρ ἦν πολὺς ταῖς τέχναις, κάλλει λόγων καὶ ἀκριβείᾳ πραγμάτων καὶ ςρατηγικαῖς συμβουλίαις καὶ πανηγυρικαῖς ὑποθέσεσιν.

ὁ συγγραφεὺς οὗτος μεταβαίνει ἀπὸ τῶν θηλυκῶν εἰς οὐδέτερα, οἷον (1 59) "τρέπονται εἰς Μακεδονίαν, ἐφ' ὅπερ καὶ πρότερον." καὶ Θουκυδίδειος γραφή.

Θοῦλις. οὗτος ἐβασίλευσε πάσης Αἰγύπτου καὶ ἕως τοῦ ὠκεανȣ̃, καὶ μίαν τῶν ἐν αὐτῷ νήσων ἀπὸ τȣ̃ ἰδίȣ ὀνόματος ἐκάλεσε Θούλην. ἐπαρθεὶς δὲ τοῖς κατορθώμασι παραγίνεται εἰς τὸ μαντεῖον τȣ̃ Σαράπιδος, καὶ θυσιάσας ἐρωτᾷ ταῦτα "φράσον ἡμῖν, πυρισθενὲς ἀψευδὲς μάκαρ, ὁ τὸν αἰθέριον μετεγκλίνων δρόμον, τίς πρὸ τῆς ἐμῆς βασιλείας ἐδυνήθη τοσαῦτα; ἢ τίς ἔςαι μετ' ἐμέ;" καὶ ἐδόθη αὐτῷ χρησμὸς ἔχων ὅτως· "πρῶτα θεός, μετέπειτα λόγος, καὶ πνεῦμα σὺν αὐτοῖς, σύμφυτα δὲ πάντα καὶ εἰς ἓν ἰόντα, ȣ̃ κράτος αἰώνιον. ὠκέσι ποσὶ βάδιζε, θνητέ, ἄδηλον διανύων βίον." καὶ ἐξελθὼν ἐκ τοῦ μαντείȣ ὑπὸ τῶν ἰδίων ἐσφάγη ἐν τῇ Ἀφρων χώρᾳ. cf. chron. Alex., Malelas, Cedrenus.

Θούμαντις ὄνομα κύριον. cf. v. ἀνέςιος.

Θούρας. οὗτος ἐβασίλευσε μετὰ Νῖνον Ἀσσυρίων, ὅντινα μετεκάλεσαν εἰς ὄνομα τȣ̃ πλανήτȣ ἀςέρος Ἄρεα· ὃς ἦν δεινὸς σφόδρα, καὶ πολεμήσας Καυκάσῳ τυράννῳ ἐκ τῆς φυλῆς Ἰάφεθ καταγομένῳ ἀνεῖλεν αὐτόν. τούτῳ προσεκύνησαν Ἀσσύριοι ὡς θεῷ, καὶ ὠνόμασαν αὐτὸν Βάαλ, ὃ ἔςι κατὰ τὴν αὐτῶν γλῶσσαν Ἄρης, πολέμων ἔφορος· ȣ̃ μνημονεύει καὶ ὁ προφήτης Δανιήλ. cf. Cedrenus et Malelas.

θουριομάντεις. ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος· εἰπὼν γὰρ ὅτι πάντας αἱ νεφέλαι τρέφουσι τοὺς σοφιςάς, ἐπήγαγε τίνας. θουριομάντεις δὲ οὐ τοὺς ἀπὸ Θȣρίȣ μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον πεμφθέντας· ἁλούσης γὰρ Συβάρεως Θούριοι ἐκλήθησαν ἀπὸ κρήνης Θουρίας. ἐξέπεμψαν δὲ εἰς τὴν κτίσιν αὐτῶν Ἀθηναῖοι δέκα ἄνδρας, ὧν καὶ Λάμπων ἦν ὁ μάντις, ἐξηγητὴς ἐσόμενος τῆς κτίσεως τῆς πόλεως. sch. A Nub. 331.

Θούριον ὄνομα ἔθνους. καὶ θούριος Αἴας ἀντὶ τοῦ πηδητικός, ταχύς, πολεμικώτατος.

θοῦρον καὶ θούριον πηδητικόν, ταχύν, πολεμικώτατον. ἐν ἐπιγράμματι (AP 6 126) "ἄλλος ἀπὸ Κρήτας θοῦρος ἀνὴρ ἔθετο." (7 244) "θούριος Ἄρης ἔσπασεν Ἀργείων καὶ Λακεδαιμονίων."

θόωκοι (Hom. μ 318) θρόνοι.

Θόων Θόωνος ὄνομα κύριον.

Θρᾷκες ὅρκια οὐκ ἐπίςανται. ταύτης μέμνηται Μένανδρος ἐν τῇ πρώτῃ· λέγει γὰρ ὅτι ἐν ταύτῃ τῇ γῇ ὁ πρεσβευτὴς ἀκοντισθεὶς διὰ τοῦ ςήθους ἀπώλετο, καὶ ἐντεῦθεν Ἴωσι καὶ Αἰολεῦσιν αἴνιγμα ἐγένετο "Θρᾷκες ὅρκια οὐκ ἐπίςανται."

Θρᾳκία παρεύρεσις. φασὶ τοὺς Θρᾷ-

κας ἡττηθέντας ὑπὸ Βοιωτῶν παρὰ Κορώνειαν καὶ σπεισαμένες σπονδὰς πενθημέρες ἐπιθέσθαι νυκτὸς τοῖς Βοιωτοῖς, καὶ τὸς μὲν ἀποκτεῖναι τὸς δὲ ζωγρῆσαι. ἀγανακτέντων δὲ τῶν Βοιωτῶν εἰπεῖν τὸς Θρᾷκας ὅτι τὰς ἡμέρας, οὐ τὰς νύκτας ἐσπείσαντο.

θρανεύσεται ἐκταθήσεται· θρᾶνον γὰρ τὸ ὑποπόδιον ὅπου τὰ δέρματα ἐκτείνεται. "ἡ βύρσα σου θρανεύσεται" Ἀριστοφάνης Ἱππεῦσι (369).

θρανίδιον εἶδος δίφρου.

θρανίον. θρᾶνος καὶ θρανία ταπεινά τινα διφρίδια καὶ ὑποπόδια λέγονται (καὶ ἡ παρὰ τῷ ποιητῇ (Σ 390) θρῆνυς), ἐφ' ὧν ἱςάμενοι οἱ ἀπαγχόμενοι ἀρτῶσιν ἑαυτὸς λακτίζοντες αὐτά· Ἀριςοφάνης Βατράχοις (121) "μία μὲν ἔςιν ἀπὸ κάλω καὶ θρανίε." καὶ θράνιος δίφρος.

θρανίτης ὁ πρὸς τὴν πρύμναν, ζυγίτης ὁ μέσος, θαλάμιος ὁ πρὸς τῇ πρώρᾳ.

θρανίτης λεώς (A Ach. 161) ἀντὶ τε ὁ ναυτικός. ἐκ μέρους δὲ τὸ πᾶν εἶπε· τῶν γὰρ ἐρεττόντων οἱ μὲν ἄνω θρανῖται λέγονται, οἱ δὲ μέσοι ζυγῖται, οἱ δὲ κάτω θαλάμιοι.

θρᾶνος ὑποπόδιον· ἔνθεν καὶ θρανίτης. Ἀριςοφάνης Πλούτῳ (545) "ἀντὶ δὲ θράνε ςάμνου κεφαλὴν κατεαγότος," τουτέστι κεραμίου.

Θρασέας ὄνομα κύριον.

θρασέως τολμηρῶς.

Θράσιον (an Θριάσιον) τόπος.

θρασκίας ὁ ἄνεμος.

Θρασύμαχος Χαλκηδόνιος σοφιςὴς τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος, ὃς πρῶτος περίοδον καὶ κῶλον κατέδειξε, καὶ τὸν νῦν τῆς ῥητορικῆς τρόπον εἰσηγήσατο, μαθητὴς Πλάτωνος τοῦ φιλοσόφου καὶ Ἰσοκράτους τοῦ ῥήτορος. ἔγραψε συμβελευτικούς, τέχνην ῥητορικήν, παίγνια, ἀφορμὰς ῥητορικάς. Μιχαὴλ μοναχοῦ τοῦ Νοσσαΐτε· "ἤνεγκε καὶ ἡ καθ' ἡμᾶς πόλις φύσιν δεξιὰν εἰς μάθησιν· ἀλλ' ὡς ἔοικεν, οὐχ ὁ τόπος αἴτιος, ἀλλ' ὁ χρόνος καθ' ὃν ἤκμασαν οἱ μεγαλοφυέςατοι ἄνδρες. τὰ νῦν δὲ θυννοσκοποῦσιν οἱ τῇδε, καὶ λίνοις καὶ ὁρμιαῖς προσανέχουσι, τὸν δὲ βίον ὄντες χειρογάςορες ... πολλὰ τῆς γνάθου χωρία ἐφημέριά τε φρονίουσιν, ὀλίγα ἢ οὐδὲν τῶν λόγων φροντίζοντες. ὧν ἀρχιερατεύειν ἔλαχε τῶν εἰς Τροιζῆνα βαδισάντων ὁ ἐξοχώτατος· ἴςωσαν οἱ τῆς παροιμίας εὐδήμονες." cf. v. εἰς Τροιζῆνα.

θρασύχειρ τολμηρός· (AP 7 234) "Αἴλιος ὁ θρασύχειρ Ἄργους πρόμος τῆξιμελεῖ νούσῳ κεκολουμένος."

Θρᾶττα Θρᾳκικὴ δούλη, ἐκ Θράκης. Ἀριςοφάνης (Ach. 272) "Στρυμοδώρε Θρᾷτταν," τουτέςι Θρᾳκικὴν δούλην. λέγεται καὶ κοινῶς δούλη.

θράττειν ταράσσειν, ἐνοχλεῖν, νύσσειν, κινεῖν. δυσωπεῖσθαι καὶ ὑφορᾶσθαι· (cf. v. Πρόκλος) "ὥςε μὴ θράττεσθαι τὴν ἀκοὴν ἐκ τῶν ἀπεμφαινόντων θρήνων."

θραυλοτέρας· "πῦρ ἐνέντες ταῖς πέτραις ὄξος ἐπεξέχεον, θραυλοτέρας ἐκ τέτε ποιήσοντες."

θραυσάντυγες· "ὦ σκληρὲ δαῖμον, ὦ τύχαι θραυσάντυγες ἵππων ἐμῶν, ὦ Παλλάς, ὥς μ' ἀπώλεσας" Ἀριςοφάνης Νεφέλαις (1266).

θραυσθῇς ἐκπέσῃς.

θραῦσις φθορά, ἧττα ἐν πολέμῳ, θάνατος, ἀρρωςία, συντριβή, πληγή· Δαβὶδ (Ps. 105 30) "καὶ ἐκόπασεν ἡ θραῦσις."

θραύω αἰτιατικῇ.

θρέμματα. καὶ πολυθρέμματος ὁ πολλὰ πρόβατα ἔχων. Αἰλιανός "ἐ γὰρ δεῦρο ἀφῖγμαι ἐς τράπεζαν κεκυφέναι, καὶ θρέμματος ἀλόγου δίκην πιαίνεσθαι, καὶ ἀρχῶν τε καὶ τιμῶν κρέμασθαι, καὶ θαυμάζειν αὐλὰς καὶ τραπέζας καὶ σατράπας. οὐδὲ μοι κάλλος ἀνθρώπινον δέλεάρ ἐςιν, οὐδὲ χρηματίζομαι" (cf. v. χρηματίζεσθαι).

θρέπτρα (Hom. Δ 478) τροφεῖα.

θρεττανελὸ ἦχος κιθάρας. Φιλόξενον γὰρ τὸν διθυραμβοποιὸν ἢ τραγῳδιοδιδάσκαλόν φασι γράψαι τὸν ἔρωτα τε Κύκλωπος τὸν ἐπὶ τῇ Γαλατείᾳ, εἶτα κιθάρας ἦχον μιμούμενον ἐν τῷ ἐπιγράμματι τοῦτο εἰπεῖν τὸ ῥῆμα, θρεττανελό. ἐκεῖ γὰρ εἰσάγει τὸν Κύκλωπα κιθαρίζοντα καὶ ἐρεθίζοντα τὴν Γαλάτειαν. ἐπεὶ οὖν ἔφη ὁ χορὸς "ὡς ἥδομαι," ἔφη καὶ ὁ οἰκέτης "κἀγὼ βουλήσομαι χορεύειν," καὶ ἅμα ἀναφωνεῖ τὸ μέλος ἐκεῖνο. ἡ γὰρ κιθάρα κρουομένη τοιῦτο μέλος ποιεῖ, θρεττανελὸ θρεττανελό. sch. A Plut. 290.

θρέττε· (A Eq. 17) "οὐκ ἔνι μοι τὸ θρέττε," ἀντὶ τε τὸ θαρραλέον καὶ ἀνδρεῖον καὶ θρασύ. οὐκ ἔςιν εἰπεῖν ὃ σὺ διανοῇ.

θρέψας πήξας, ἐπὶ γάλακτος· Ὅμηρος

(ι 246) "ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος." καὶ τροφὴ ἡ πηγνύουσα τὸ σῶμα.

Θρήικες οἱ Θρᾷκες. καὶ Θρηικίης (Hom. N 13).

θρηνεῖν ἐπῳδάς ἐπιφωνεῖν καὶ ἐπᾴδειν· Σοφοκλῆς (Ai. 581) "οὐ πρὸς ἰατρῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι." τουτέςιν οὐκ ἔςιν ἰατρῦ σοφῦ ἐπῳδαῖς χρῆσθαι, τοῦ τραύματος ἤδη τομῆς δεομένου. καὶ ἐν Ποιμέσι "λόγῳ γὰρ οὐδὲν ἕλκος οἶδά πω χανόν."

θρήνους τὰς παρ' ἡμῖν λεγομένυς θρηνῳδούς. διαλύσας Ὅμηρος (Ω 720) τὴν σύνθεσιν θρήνων ἀοιδοὺς καλεῖ. βαρβαρικὸν δὲ τὸ θρηνεῖν· ἐπὶ Πατρόκλῳ γοῦν οὐ γίνεται.

θρῆνυς ὑποπόδιον.

θρηνῶ σε κλαίω σε.

Θρήξονος ὄνομα κύριον.

θρησκεία ἡ λατρεία.

θρησκεύει, αἰτιατικῇ, θεοσεβεῖ, ὑπηρετεῖ τοῖς θεοῖς· λέγεται γὰρ ὡς Ὀρφεὺς Θρᾷξ πρῶτος ἐτεχνολόγησε τὰ Ἑλλήνων μυςήρια, καὶ τὸ τιμᾶν θεὸν θρησκεύειν ἐκάλεσαν ὡς Θρᾳκίας ὕσης τῆς εὑρέσεως. ἢ ἀπὸ τοῦ θεὸν δερκεύειν, ὅ ἐςιν ὁρᾶν.

θρῆσκος ἑτερόδοξος.

Θρῇσσα ἡ Θρᾳκικὴ γυνή.

θρῖα τὰ φύλλα τῆς συκῆς. "θρῖον ταρίχους οἶσε δεῦρο παῖ σαπροῦ" Ἀριςοφάνης (Ach. 1100), ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαςάζονται. σαπροῦ δὲ ἀντὶ τῦ παλαιοῦ καὶ μὴ νέου. θρῖόν ἐςι σκεύασμά τι παρ' Ἀθηναίοις, ὃ περιλαμβάνει ὕειον στέαρ καὶ ἐρίφειον καὶ σεμίδαλιν καὶ γάλα καὶ τὸ λεκιθῶδες τοῦ ᾠοῦ πρὸς τὸ πήγνυσθαι· καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον ἥδιςον ἀπετέλει βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον, ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ σκευαζόμενος, καὶ ἑλιττόμενος ἐν φύλλοις συκῆς καὶ ὀπτώμενος. sch.

καὶ Ἀριςοφάνης (Ran. 134) "ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύο." πρὸς τὸ σχῆμά φησι τοῦ ἐγκεφάλου· ἔςι γὰρ ὥσπερ θρῖα συγκείμενον, τουτέςι φύλλα συκῆς.

"οὐ γὰρ θρῖα καὶ κάνδυλον καὶ ἄμητας μελίπηκτά τε τοῖς βασιλεῦσιν ἐξαίρετα παρατίθησιν Ὅμηρος" (Athen. p. 9).

θριαὶ αἱ μαντικαὶ ψῆφοι. "πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες."

θριαμβεύσας (Coloss. 2 15), αἰτιατικῇ, δημοσιεύσας.

θριαμβευτοῦ κατὰ Ῥωμαίους τῦ τυραννοκτόνου Ἰνδοῦ.

θριαμβίδα στολὴν ἠσθῆσθαι αὐτόν.

θρίαμβος ἐπίδειξις νίκης, πομπή, καὶ τὸ σεμνύνεσθαι· καὶ ἐπιθρίαμβος. ὠνομάσθη δὲ ἀπὸ τῶν ἐπῶν τῶν πρώτων εἰς Διόνυσον γεγραμμένων ἐξ Ἰνδίας ἐπὶ ἅρματος τίγρεων ἐπανερχόμενον· λέγυσι γὰρ θρίασιν τὴν τῶν ποιητῶν μανίαν. ἢ ἀπὸ τῦ θρῖα τὰ φύλλα, τῆς συκῆς ἀνακειμένης τῷ Διονύσῳ. καὶ ὅτι πρῶτον, πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα, συκῆς φύλλοις ἐκάλυπτον πάντες τὰ ἑαυτῶν πρόσωπα καὶ δι' ἰάμβων ἔσκωπτον. ἀλλὰ καὶ οἱ ςρατιῶται, μιμέμενοι τὺς ἐπὶ σκηνῆς, τὰ ἑαυτῶν πρόσωπα φύλλοις συκῆς ἐν τῷ σκώπτειν καλύπτοντες σκώμματα εἰς τοὺς θριαμβεύοντας ἔλεγον.

ἄλλως. ἔν τισι πόλεσιν, ὅτε ἤνθησαν αἱ συκαῖ, παῖδες περιαιροῦντες σὺν αὐτοῖς τοῖς θρίοις ἔπαιζον, προφερόμενοι ἰάμβυς τετράμετρα. λέγεται δὲ καὶ Διόνυσος θρίαμβος, διότι ἐπὶ θηρίων, τουτέςιν ἐπὶ λεόντων, βέβηκεν, οἷον θηρίαμβος. ἢ ὅτι καὶ συκῆς ἐςὶν εὑρετής. ἢ ἀπὸ τοῦ θορεῖν· πηδητικὸς γάρ. λέγεται γὰρ καὶ θυςήριος ἀπὸ τοῦ θύειν, ὅ ἐςιν ὁρμᾶν· ἀφ' οὗ καὶ τὸ αἰωρούμενον θύσανος.

Θριάσιον πεδίον.

θριγκός τὸ περίφραγμα τοῦ οἴκου, ςεφάνη, μικρὸν τειχίον, περίβολος, ἢ τῶν οἰκιῶν τὰ ἀνωτάτω. μεταφορικῶς ἀφ' ἡμῶν, διότι τὰ ἀνωτάτω σώματα ἡμῶν θριξὶ περιπέφρακται. ἐν ἐπιγράμματι (AP 6 163) "τίς τάδε μοι θνητῶν θριγκοῖσιν ἀνῆψε σκῦλα;" ὅτι τῶν θριδάκων τὰ φύλλα φυλλεῖα λέγεται. sch. A Ach. 468.

θριδακίνη τὸ παρ' ἡμῖν μαϊούλιον. λέγεται καὶ θρῖδαξ.

Θρινακία ἡ Σικελία.

θρίναξ τὸ πτύον, ὄργανον γεωργικὸν ὀδοντικόν· (AP 6 95) "καὶ παλμοφόρον χεῖρα θέρευς θρίνακα."

Θρίναξ ἡ Σικελία.

θρίξ. καὶ κλίνεται τριχός.

θριοβόλος ὁ ἀπὸ ψήφου μάντις.

θρῖον. ὅτι δημὸς τὸ λίπος. "δημῦ βοείυ θρῖον ἐξωπτημένον" (A Eq. 960), σκεύασμά

τι μετὰ ἐγκεφάλου γινόμενον ἐν τοῖς θρίοις, τουτέστιν ἐν τοῖς φύλλοις τῆς συκῆς.

a θριπήδεστον ἀντὶ τοῦ βεβρωμένου καὶ διεφθαρμένου. ἢ ξύλα ὑπὸ θριπῶν βεβρωμένα, οἷς ἐσφράγιζον· θρῖπες δὲ εἶδος σκωλήκων. θρὶψ γὰρ ζῷόν ἐστι κατεσθίον ξύλα καὶ κέρατα. μέμνηται Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου.

b θριπήδεστον Ὑπερίδης τὴν Ἑλλάδα εἶπεν, ἀντὶ τοῦ διεφθαρμένην, ἀπὸ τῶν ὑπὸ θριπῶν κατεδηδεσμένων ξύλων. Harp.

θρίσσα ὁ ἰχθύς. Athen. p. 312 B, 328 D.

θρόμβος· "εἰς τοσαύτην ἀγωνίαν συνεχώρησεν ἡ θεία φύσις τὴν ἀνθρωπείαν λαβεῖν ὡς ἱδρῶσαι αἵματος θρόμβους." καὶ θρόμβοι ἁλῶν παχεῖς ἅλες.

Θρόνιον πόλις ἐστὶ τῆς Λοκρίδος. Harp.

θρόνος. φησὶν ἡ γραφή ⟨Ierem. 36 30⟩ "κεκάθικεν ἐπὶ θρόνου Δαβὶδ τὸ σπέρμα Ἰεχονίου," θρόνον δηλονότι τὸ βασιλικὸν ἀξίωμα λέγων. καὶ θρόνος ἀνομίας ⟨Ps. 93 20⟩ οἱ ἄδικοι κριταί.

θρόος ἡ φήμη· "θροῦς δὲ ἐφοίτησε Πέρσαις ὡς διώλοντο τῷ πνιγηρῷ αὐχμῷ" ⟨Menand. p. 297 Nieb.⟩.

θροῦς ἦχος, φωνή, ἄσημος λαλιά, θόρυβος. "ὁ δὲ ὄχλος εἰς θροῦν καθίζατο καὶ ἐθρήνουν." Ὅμηρος δέ φησιν ⟨Δ 437⟩ "οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος." καὶ αὖθις "θροῦν τινὰ ἤκουσαν τῶν πολεμίων, ὁποῖος ἂν γένοιτο ἄρτι κινουμένης στρατιᾶς." "θροῦς οὖν κἀνταῦθα δ' ἐξάπτεται."

a θρυαλλίς ἐσχάρα, λύχνος, ἀκτίς, ὁ σπινθὴρ ὁ ἀπὸ τοῦ πυρός, καὶ βοτάνη πρὸς λύχνον ἁρμόζουσα. μέμνηται Ἀριστοφάνης Νεφέλαις ⟨59⟩· "τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων," τουτέστι τῶν ἐλλυχνίων. ἢ ὅτι ἀπὸ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια.

b θρυαλλίς. "ἐκ τῶν πολεμίων εἰσάγεις θρυαλλίδα" ⟨A Ach. 916⟩, διὰ τὰ ἐλλύχνια, ἀπορρήτου ὄντος καὶ δεινοῦ εἰσφέρειν θρυαλλίδα εἰς τὰς Ἀθήνας. ἡ δὲ αἰτία· "τίνι τρόπῳ; αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον. ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος, ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον δι' ὑδρορρόας, βορέαν ἐπιτηρήσας μέγαν." τίφη ἡ καλουμένη σίλφη· ἔστι δὲ ζῷον κανθαρῶδες. ὑδρορρόα δὲ δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται.

θρυΐνῃ ψιάθῳ· "καὶ διὰ τοῦτο γυμνωθέντα αὐτὸν καὶ θρυΐνῃ περιβληθέντα ψιάθῳ." cf. v. Φεβρουάριος.

θρυλίζω καὶ θρυλῶ καὶ ἐθρυλίχθη.

θρυλλεῖ λαλεῖ, κυκᾷ.

θρυλλίζω ψιθυρίζω.

θρῦλος ψιθυρισμός, ὁμιλία μὴ φανερῶς γινομένη. "ἡ γὰρ τῶν βαρβάρων ἐγχείρησις θρῦλον οὐκ ἐνεποίησεν ἡμῖν" Σιμοκάττης φησί. καὶ "πολὺς ἐγένετο τῶν ἁλισκομένων ὁ θρῦλος." καὶ θρυλούμενον.

θρύπτεται, δοτικῇ, μαλακίζεται, ἢ βλακεύεται, χαυνοῦται, ἢ ἀνακλᾶται. καὶ ἄθρυπτος γυνὴ ἡ μὴ μετέχουσα τῶν τοιούτων· "ἡ δὲ ἦν ἀνδρόβιος καὶ ἄθρυπτος ἐς συμβίωσιν." καὶ αὖθις ⟨AP 7 218⟩ "τὴν καὶ ἅμα χρυσῷ καὶ ἁλουργίδι καὶ σὺν ἔρωτι θρυπτομένην, ἁπαλῆς Κύπριδος ἁβροτέρην, Λαῒδ' ἔχω."

θρύψις ἡ βλακεία. "ἵνα καλλωπίσηται καὶ θρύψει χρήσηται βαρβάρων." "ἦσαν δὲ καλῷ καὶ μεγάλῳ, ὡραῖος δὲ ὁ νέος, οὐ τεθρυμμένος μήν, ἀλλὰ γεννικὸν ὁρῶν" ⟨cf. v. πρόκωπον⟩. καὶ Ἀριστοφάνης ⟨Eccl. 964⟩ "ὦ χρυσοδαίδαλτον ἐμὸν μέλημα, Κύπριδος ἔρνος, μέλιττα μούσης, Χαρίτων θρέμμα, τρυφῆς πρόσωπον, ἄνοιξον."

θρύψομαι σφόδρα τρυφήσω, σεμνυνθήσομαι. ἢ ἀντὶ τοῦ συντριβήσομαι. Ἀριστοφάνης ⟨Eq. 1166⟩ "σήμερον ὑπὸ τῶν ἐραστῶν ἐγὼ θρύψομαι."

θρώσκει πηδᾷ. καὶ θρωσμὸς ὑψηλὸς τόπος βουνοειδής, ἀφ' οὗ ἔστι καταβαίνοντα θεωρεῖν, ὃ ἔστι θεᾶσθαι, ἢ θορεῖν καὶ πηδῆσαι.

θυάδες ὁρμητικαί.

Θύαμις ⟨Thuc. 1 46⟩ ὄνομα κύριον.

Θυάτειρα ὄνομα τόπου, καὶ Θυατειρηνὸς ὁ ἀπὸ τοῦ αὐτοῦ τόπου.

θυγατριδῆ ἐγγόνη, ἡ τῆς θυγατρὸς θυγάτηρ. καὶ θυγατριδοῦς ὁ τῆς θυγατρὸς παῖς.

θυέεσσι ⟨Hom. Z 270⟩ θυμιάμασιν.

θυεία ἀγγεῖον εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν καὶ λειοῦμεν. Ἀριστοφάνης ⟨Pac. 228⟩ "καὶ θυείαν ἔσπέρας ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο," καὶ "τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται."

θύειν. τὸ θύειν θεοῖς Χαλδαῖοι ἔθνος Περσικὸν πρῶτοι ἐξεῦρον, ἢ Κύπριοι.

θύελλα συστροφὴ ἀνέμου. "καὶ πνεῦμα

κατελθὸν εἰς τὸ πεδίον πολὺ θύελλάν τε καὶ στροβίλους ἤγειρεν, ὥστε τὸ καθεστηκὸς νυκτὸς διαφέρειν οὐδέν." καὶ αὖθις Σοφοκλῆς ⟨OC 1660⟩ "οὔτε ποντία θύελλα κινηθεῖσα τῷ τότε χρόνῳ."

θυηλαί κυρίως οἱ θύλακοι εἰς οὓς τὰ θυμιάματα ἐμβάλλεται. λέγονται δὲ θυηλαὶ αἱ ἀπαρχαί.

θυηπόλος ὁ θύων, ὁ ἱερεύς. καὶ *θυηπολίαι.*

θυηπολοῦσι περιπολοῦσι, διὰ θυσιῶν ἐπισχνούμενοι θεοὺς ἐξιλάσκεσθαι.

θυΐα ἡ ἴγδις· ⟨AP 6 306⟩ "σὺν δὲ θυΐαν εὔπετρον καὶ τὰν κρειοδόκον σκαφίδα."

θυΐδιον ἡ τριβαία.

θύινα. "ἐπὶ Ζήνωνος βασιλέως εὑρέθη ἐν Κύπρῳ τὸ λείψανον Βαρνάβα τοῦ ἀποστόλου τοῦ συνεκδήμου Παύλῳ. ἔκειτο δὲ ἐπὶ τὸ στῆθος Βαρνάβα τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, ἔχον πτυχία θύινα." cf. Cedren. p.353.

θυΐσκη.

θύλακοι καὶ σφῆνες καὶ ὑπεράλματα γυμνασίων εἴδη. Artemid. 1 55.

θύλακος ἡ ἀρτοθήκη· Ἀριστοφάνης Πλούτῳ ⟨763⟩ "ὡς ἄλφιτ' οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ."

θυλήματα πέμματα, ἀπαρχάς, ἄλφιτα ἃ ἔμιστον οἴνῳ καὶ ἐλαίῳ, εἰς θυσίαν ἀναφέροντες.

Θυμαιτάδαι δῆμος Ἱπποθοωντίδος, ἀπὸ Θυμαίτου τοῦ ἥρωος. sch. A Vesp. 1133.

θυμαλγέα λυπηρά.

a *θυμάλωπες* ἢ καέντα ξύλα, ἢ σπινθῆρες, ἢ διακεκαυμένοι ἄνθρακες. sch. A Ach. 320.

b *θυμάλωπες* οἱ ἀπολελειμμένοι τῆς θύψεως ἄνθρακες, οἱ ἡμίκαυτοι. sch. A Ach. 320.

θυμαρέα ⟨Hom. I 336⟩ τὴν τῇ ψυχῇ ἀρέσκουσαν. καὶ *θυμάρεια* ἡ ἀρέσκεια.

θυμάρμενον τὸ τῇ ψυχῇ ἀρέσκον.

θύματα θυμιάματα, ἀπαρχαί, θυσίαι· Ἀριστοφάνης ⟨Av. 902⟩ "τὰ θύματ' οὐδέν ἐστι πλὴν γένεια καὶ κέρατα," ἐπὶ τῶν ἱερείων τῶν μὴ ἐχόντων σάρκας. τάττεται δὲ καὶ ἐπὶ τοῦ θυμιᾶσαι τὸ θύειν· ἐπὶ μὲν γὰρ τοῦ βοὸς σφάξειεν, ἐπὶ δὲ τοῦ ψαιστοῦ θύσειεν. sch. A Plut. 137.

θυμάτιον τὸ μικρὸν θῦμα καὶ εὐτελές.

θυμβρεπιδείπνου γαστρὸς τῆς θύμβρας δυναμένης δειπνεῖν· ἔστι δὲ βοτάνης εἶδος. ἀφ' οὗ δηλοῖ ὅτι λάχανα μόνα τρωγούσης εὐτελῆ ⟨sch. A Nub. 420⟩. θυμβροφάγον δὲ ἤτοι ἀγροικικὸν καὶ ἐλευθέριον, παρ' ὅσον οἱ ἐν ἀγρῷ διατρίβοντες ἀφελέστεροι καὶ ἐπιεικέστεροι· τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται. ἔστι δὲ τοῦτο ἄγριον φυτὸν καὶ δριμύ. θυμβροφάγον οὖν ἀντὶ τοῦ πικρὸν καὶ δριμὺν κατὰ τῶν ἐχθρῶν. οἱ δὲ ἀντὶ τοῦ δριμὺν καὶ ἱλαρόν. τινὲς δέ φασι τῷ θύμῳ εἶναι παραπλήσιον. sch. A Ach. 253.

Θύμβρις ὄνομα ποταμοῦ, καὶ πεδίον τι.

θυμέλη ἡ αὐλητική· ⟨AP 6 46⟩ "ὃ δ' a Ἀθάνᾳ λήξας καὶ πολέμου καὶ θυμέλας ἔθετο."

θυμέλη ὁ βωμός, ἀπὸ τοῦ θύειν· ⟨AP b 7 21⟩ "πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς βλαισὸς Ἀχαρνείτης κισσὸς ἔρεψε κόμαν." Προκόπιος ⟨Arc. 1⟩ "μητρὸς δὲ τῶν τινὸς ἐν θυμέλῃ πεπορνευμένων."

θυμελικοί οἱ ἐν ὑποκρίσει τὴν τέχνην ἐπιδεικνύμενοι.

θυμηδία τέρψις, τρυφή, εὐφρασία. καὶ *θυμηδούμενοι·* "οἳ δὲ ὑπὸ συρίγγων καὶ αὐλῶν θυμηδούμενοι μετὰ παίδων καὶ γυναικῶν πρὸς θυμηδίαις ἦσαν."

θυμήνας χολωθείς.

θυμῆρες ⟨Hom. κ 362⟩ καταθύμιον.

θυμηρέστερον ἡδύτερον.

Θύμητις.

θυμικὸν ὀργίλον.

θυμιτίδων ἁλῶν, οἷον μετὰ θύμου τετριμμένων· Ἀριστοφάνης ⟨Ach. 738⟩ "περίδου μοι περὶ θυμιτίδων ἁλῶν."

θυμιώμενος ἀρωματιζόμενος.

θυμοβαρής τὴν ψυχὴν ἀλγυνομένη· ⟨AP 7 146⟩ "σῆμα παρ' Αἰάντειον ἐπὶ Ῥοιτηίσιν ἀκταῖς θυμοβαρὴς ἀρετὰ μύρομαι ἑζομένα."

θυμοβόρος ἡ τὴν ψυχὴν διαφθείρουσα.

Θυμοίτης ὁ τῶν Ἀθηναίων βασιλεύς. καὶ *Θυμοιτάδαι.* οὕτως ἐκωμῳδοῦντο οἱ Ἀχαρνεῖς ὡς ἄγριοι καὶ σκληροί. καὶ ζήτει ἐν τῷ Δραχαρνεῦ.

θυμολέων ⟨Hom. E 639⟩ θυμώδης τὴν ψυχήν.

θυμομαχοῦντες ἀλγυνόμενοι τὴν ψυχήν· Πολύβιος ⟨9 40⟩ "οἱ δὲ τὰ μὲν ἀπαλγοῦντες ταῖς ἐλπίσι, τὰ δὲ θυμομαχοῦντες ἐπί τινα παράστασιν κατήντησαν."

θυμὸν ὀξίνην πεπωκότες· ⟨A Vesp.

1076) "ξὺν δορὶ ξὺν ἀσπίδι ἐμαχόμεσθ' αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες."

Θύμος εὐτελὴς βοτάνη. Ἀριστοφάνης Πλȣ́τῳ (253) "ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταὐτὸν θύμον φαγόντες," ἀντὶ τοῦ τῆς αὐτῆς πενίας μετασχόντες· θύμος γὰρ εὐτελὴς βοτάνη. οὐδετέρως τὸ θύμον, βραχυπαραλήκτως. παρῴδηται δὲ ἐκ τῶν Ἡσιόδȣ (O. 41) "οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ." ἀντὶ τοῦ δίκαιοι, τὰ εὐτελῆ θέλοντες ἐσθίειν διὰ τὸ μὴ ἐθέλειν ἀδικεῖν. ἅμα δὲ καὶ τὸ τραχὺ τῆς γῆς διαβάλλει.

Θυμός. ἐπιθυμία καὶ θυμός εἰσιν ὀρεκτικαὶ δυνάμεις τῆς ψυχῆς. διαφέρει δὲ θυμὸς καὶ ἐπιθυμία. ζητήσειε δ' ἄν τις τὸ πῶς. τί γάρ; οὐχὶ καὶ ὁ θυμούμενος ἐπιθυμεῖ τȣ̃ ἀντιλυπῆσαι τὸν προλυπήσαντα; τί δέ; ȣ̓χὶ καὶ ὁ λόγος ἐπιθυμεῖ τῶν μαθημάτων καὶ τῶν θεωρημάτων; καὶ λέγομεν πρὸς τοῦτο ὅτι ἐςιν ἐπιθυμία καὶ κοινότερον λεγομένη καὶ εἰδικώτερον, ὥσπερ ἡ διάθεσις λέγεται καὶ κοινῶς ἐπὶ τῆς ἕξεως, λέγεται καὶ εἰδικῶς ἡ ἀντιδιαςελλομένη πρὸς τὴν ἕξιν. ȣ̔́τω καὶ ἡ ἐπιθυμία λέγεται καὶ κοινῶς ἐπὶ πασῶν τῶν δυνάμεων τῆς ψυχῆς, λέγεται καὶ εἰδικώτερον ἡ ἀντιδιαςελλομένη πρὸς τὸν θυμόν. Philoponus in 1 de anima, *A* 2.

ὁ δὲ ὁριζόμενος τὸν θυμὸν ὄρεξιν ἀντιλυπήσεως ȣ̓ φυσικῶς ἀλλὰ διαλεκτικῶς ὡρίσατο. οὐ γὰρ τὴν οὐσίαν τοῦ θυμοῦ ἐδήλωσεν, ἀλλ' ὅ τι ἐν τῇ οὐσίᾳ τοῦ θυμοῦ ἔχει τὸ εἶναι ἀποτεμὼν ὡρίσατο, ἐξ οὗ οὐδὲ τὰ παρακολȣθοῦντα τῷ θυμῷ γνωρίσαιμεν ἄν, ὥσπερ ἐκ τοῦ λέγοντος τὴν ὀργὴν ζέσιν εἶναι τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. οὗτος γὰρ καὶ τὰ παρακολουθȣ̃ντα γνώριμα ποιεῖ, ὅτι παλμός τις τῆς καρδίας παρακολȣθεῖ τοῖς ὀργιζομένοις, καὶ ὅτι θερμότης γίνεται περὶ ἐκεῖνα τὰ μέρη, ὅτι ἐρυθραίνονται οἱ ὀργιζόμενοι. τοῦτο δὲ διὰ τὴν τοῦ αἵματος κίνησιν. id. *B* 2.

ὅτι τὰ πάθη τῆς ψυχῆς, ὅσα τȣ̃ συναμφοτέρου, οὐδὲ ἐπινοίᾳ δύναται χωρισθῆναι, ἐπειδὴ ὁ θυμός ἐςιν ἐν τῷ λόγῳ καὶ ἐν τῷ πνεύματι καὶ ἐν τῷ ἐζῳωμένῳ σώματι, οἷον τοῦ μὲν λόγȣ ἐπιτρέποντος τῷ πνεύματι τὴν ὄρεξιν, τοῦ δὲ πνεύματος τῇ ὀρέξει κινȣ̃ντος τὸ περικάρδιον αἷμα τοῦ ζῴου, ὥσπερ ἔχει ἐπὶ βασιλέως καὶ ςρατηγοῦ καὶ ςρατοῦ· ὁ μὲν γὰρ βασιλεὺς ἐπιτρέπει τῷ ςρατηγῷ ἀμύνασθαι τούσδε τινάς, ὁ δὲ ςρατηγὸς κινεῖ τοὺς ςρατιώτας, οἱ δὲ ἀμύνονται. ὁ μὲν ȣ̓̃ν ἐν τῷ λόγῳ οὐκ ἔςιν ἀχώριςος τȣ̃ ζῴȣ· οὗτος γὰρ χωριςὸς παντὸς σώματος· ὁ δὲ ἐν τῷ πνεύματι εἰ μὴ παντὸς χωριςός, ἀλλ' ȣ̓̃ν τοῦ γεώδους χωριςὸς σώματος. ὁ δὲ γʹ, τȣτέςιν ἡ ζέσις τοῦ περικαρδίȣ αἵματος, ἀχώριςός ἐςι τούτου τοῦ ἐζῳωμένου σώματος. id. *B* 6.

Θυμὸς ἑπταβόειος ὁ μέγας, ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος τοῦ Αἴαντος (sch. A Ran. 1049). Κρέων Οἰδίποδι (OC 954) "θυμοῦ γὰρ ȣ̓δὲν γῆράς ἐςιν ἄλλο πλὴν θανεῖν. θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται." οἷον ȣ̓κ ἔςι τοῦ θυμοῦ κρατῆσαι ἄνθρωπον ὄντα. ȣ̓ καταγηράσκει τὸ ὠμὸν τοῦ θυμοῦ, εἰ μὴ ἐξέλθοι τοῦ βίȣ ὁ ἄνθρωπος· ἀδύνατον γὰρ ἐςιν ὄντα ἄνθρωπον μὴ θυμῷ χρήσασθαι. τοῦτο καὶ παροιμιακῶς λέγεται, ὅτι ὁ θυμὸς ἔσχατον γηράσκει. λέγεται δὲ διὰ τοὺς πρεσβυτέρους· ὅσον γὰρ γηράσκουσι, τὸν θυμὸν ἐρρωμενέςερον ἔχουσι. καὶ Ἀλκαῖος ὡς λεγομένȣ κατὰ τὸ κοινὸν αὐτȣ̃ μιμνήσκεται.

Θυμὸς ὀργῆς. ὁ μὲν γὰρ θυμὸς ὀξὺς καὶ ὀλιγοχρόνιος, ἡ δὲ ὀργὴ βραδυτέρα μὲν μονιμωτέρα δέ. θυμὸν τοίνυν ὀργῆς τὴν ἐπίμονον ἐκάλεσε τιμωρίαν. Theodoret. in Ps. 68 25.

Θυμοσοφικώτατος· Ἀριςοφάνης (Vesp. 1330) "εἶτ' Ἀριφράδην πολύ τι θυμοσοφικώτατον, ὅντινά ποτ' ὤμοσε μαθόντα παρὰ μηδενός, ἀλλ' ἀπὸ σοφῆς φύσεος αὐτόματον ἐκμαθεῖν γλωττοποιεῖν, εἰς τὰ πορνεῖ' εἰσιόνθ' ἑκάςοτε."

Θυμόσοφος εὐμαθὴς φύσει, εὐφυής, ἐκ τȣ̃ ἰδίȣ θυμȣ̃ σοφὸς καὶ οὐκ ἐκ μαθήσεως. τοὺς οὖν ἐκ φύσεως ὀξυμαθεῖς οὕτως ἐκάλουν. Ἀριστοφάνης Νεφέλαις (875) "ἀμέλει, δίδασκε· θυμόσοφός ἐςιν φύσει."

Θυμοφθόρα (Hom. *Z* 169, *β* 329) τὰ τὴν ψυχὴν φθείροντα.

Θυννάζοντες (A Vesp. 1082) ἀντὶ τοῦ κατακεντοῦντες· τοὺς γὰρ μεγάλους θύννȣς τριόδουσιν ἐλάμβανον.

Θυννεῖα· (A Eq. 354) "θυννεῖα θερμὰ καταφαγών, κᾆτ' ἐπιπιὼν ἄκρατον οἴνȣ χοῦ, κυσαλβάσω τοὺς ἐν Πύλῳ ςρατηγούς."

Θυννίζω καὶ ἀποθυννίζω τὸ ἀποπέμπομαι καὶ παραλογίζομαι.

Θυννοσκόπος. καθάπερ τὸν θυννοσκό-

πον εἰσιόντες εἰς τὸ δίκτυον οὐ λανθάνουσιν οἱ θύννοι, οὕτως οὐ λανθάνουσι τὸν Κλέωνα τῆς πόλεως ἐπιβαίνοντες οἱ τοὺς φόρους φέροντες. προαρπάζει οὖν τούτους, δέον τὴν πόλιν λαμβάνειν τούτους. ὀνειδίζει οὖν αὐτῷ ὅτι τὰ δημόσια νοσφίζεται χρήματα. ἅμα δὲ καὶ εἰς ὀψοφαγίαν αὐτὸν διαβάλλει Ἀριστοφάνης ⟨Eq. 313⟩.

Θυννοσκοπῶν Ἀριστοφάνης ⟨Eq. 313⟩, ἐπεὶ οἱ θυννοσκόποι ἐφ' ὕψους ἱσάμενοι τὴν κατασκοπὴν τῶν εἰσιόντων θύννων εἰς τὰ δίκτυα ποιοῦνται. καὶ αὖθις ⟨Synes. ep. 57 p. 197⟩ "ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ πατρός, φασί, πλὴν ὅσον εἰκάσαι, ἀπὸ θυννοσκοπείου ἐπὶ τὴν ἡγεμονικὴν ἀπήνην ἁλάμενος."

Θυνοί ὄνομα ἔθνους.

Θύνων ὁρμῶν.

Θυόεις ὁ τεθυμιαμένος.

Θυόεν εὐῶδες· ⟨AP 7 218⟩ "καὶ λιπαραὶ θυόεν ἄσθμα πνέουσι κόμαι."

Θύον. "ἐφορολόγουν οἱ Ῥόδιοι τοὺς βασιλεῖς. Μασσανάσσης μὲν γὰρ ἀπέσειλεν αὐτοῖς ἐλέφαντος λ' τάλαντα θύου δὲ ν', πρὸς κατασκευὴν τῶν ἀγαλμάτων ὧν ἦσαν ἐψηφισμένοι κατασκευάζειν" ⟨Polybius?⟩.

Θυοσκόος ⟨Hom. φ 145⟩ ἱερεύς.

Θυοσκόπος ὁ διὰ τῶν θυσιῶν μαντευόμενος.

Θύραζε ἔξω τῆς θύρας· "θύραζε Κᾶρες, οὐκέτ' ἀνθεσήρια." οἱ μὲν διὰ πλῆθος οἰκετῶν Καρικῶν εἰρῆσθαί φασιν, ὡς ἐν τοῖς ἀνθεσηρίοις εὐωχουμένων αὐτῶν καὶ οὐκ ἐργαζομένων. τῆς οὖν ἑορτῆς τελεσθείσης λέγειν ἐπὶ τὰ ἔργα ἐκπέμποντας αὐτούς "θύραζε Κᾶρες, οὐκέτ' ἀνθεσήρια." τινὲς δὲ οὕτω τὴν παροιμίαν φασὶ "θύραζε κῆρες, οὐκ ἔνι ἀνθεσήρια," ὡς κατὰ τὴν πόλιν τοῖς ἀνθεσηρίοις τῶν ψυχῶν περιερχομένων.

Θύραθεν ἔξωθεν, ἐγγύς· "ἦν δὲ ἡ μανία οὐ θύραθεν, ἀλλ' ἔνδοθεν ἐλύσσα καὶ ἐμαίνετο ἀνὴρ φύσει πονηρὸς καὶ ἐξουσίαν ἔχων" ⟨cf. v. Φῆσος⟩.

Θυραῖος ξένος καὶ ἔξω τῆς θύρας. θυρεὸς δὲ τὸ ὅπλον.

Θύραι οὐρανοῦ ἡ ἄνωθεν χορηγία, μεταφορικῶς ἀπὸ τῶν ταμιείων. Δαβίδ ⟨Ps. 77 23⟩ "καὶ θύρας οὐρανοῦ ἠνέῳξε."

Θύρασιν· Ἀρισοφάνης ⟨Pac. 933⟩ "ὁ γὰρ βωμὸς θύρασι καὶ δή," ἀντὶ τοῦ ἐξ ἑτοίμου ἐσὶ παρεσκευασμένος.

Θυραυλεῖν πλανᾶσθαι κατὰ τὴν χώραν, ἢ παρὰ ταῖς θύραις αὐλίζεσθαι, ὅπερ ἐστὶ καθέζεσθαι καὶ προσεδρεύειν. "ὡς ἂν θηρώσης κόρης καὶ θυραυλούσης τρεφομένη μὲν ὄμβροις, τινασσομένη δὲ ἀνέμοις κόμη πολλὴ ἦν καὶ βαθεῖα" ⟨cf. v. βαθεῖα⟩.

Θυργωνίδαι δῆμος Πτολεμαΐδος φυλῆς. Harp.

Θυρεός ὅπλον, τὸ παρ' ἡμῖν σκουτάριον. καὶ θυρεοφόροι οἱ θυρεοὺς ἔχοντες· οἱ δὲ ἁπλῶς δορατοφόροι. ἐν ἐπιγράμμασιν ⟨AP 6 129⟩ "ὀκτώ τοι θυρεούς, ὀκτὼ κράνη, ὀκτὼ ὑφαντοὺς θώρηκας."

Θυρεπανοίκτης Κράτης ὁ Θηβαῖος. ἐκλήθη δ' οὕτω διὰ τὸ ἐπεισιέναι ἐς παντὸς οὗπερ ἐβούλετο οἶκον. cf. v. Κράτης c.

Θύρετρα θυρώματα, ἢ ἀραιόθυρα.

Θυρηβόλος ὁ τέκτων.

Θύρηφιν ἔξωθεν, ἔξω.

Θυρίς θυρίδος. καὶ θυριώτης ὁ ἔξω τῆς θύρας. καὶ θύριον ἡ θύρα.

Θυροκοπεῖται ⟨Synes. p. 138⟩. καὶ θυροκόπος ὁ τὴν θύραν κόπτων.

ὅτι Ἀρισομένης ὁ Ἀθηναῖος θυροποιὸς ἐπεκλήθη. cf. v. Ἀρισομένης.

Θύρσος βακχικὴ ῥάβδος. ἢ λαμπάς, ἣν ἐβάσαζον εἰς τιμὴν τῷ Διονύσῳ. ἐν ἐπιγράμματι ⟨AP 6 158⟩ "Πανὶ Βίτων χίμαρον, νύμφαις ῥόδα, θύρσα Λυαίῳ, τρισσὸν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φόβαις." καὶ αὖθις ⟨6 165⟩ "καὶ θύρσου χλοερὸν κωνοφόρου κάμακα."

Θυρωρός ὁ φύλαξ τῆς θύρας. λέγεται δὲ καὶ θηλυκῶς.

Θῦσαι τὸ σφάξαι. καὶ τὸ θυμιᾶσαι παρ' Ὁμήρῳ ⟨Ι 219⟩.

Θυσάνοις κορύμβοις, κροσσοῖς· ⟨AP 6 202⟩ "εὐθύσανον ζώνην τοι ὁμοῦ καὶ τόνδε κύπασσιν Ἀτθὶς παρθενίων θῆκεν ὕπερθε θυρῶν."

Θύσθλα ⟨Hom. Ζ 134⟩ αἱ κράδαι αἱ βακχικαί, ἤτοι συκῆς φύλλα. ἔνιοι δὲ τὰ ἐπιφερόμενα τοῖς βωμοῖς. οἱ δὲ τὰ φύλλα τῆς ἀμπέλου, ἢ κισσούς, ἢ κλάδους, ῥάβδους, νάρθηκας, θύματα, σεφανώματα, χοάς.

Θυσία. τῶν θυσιῶν αἱ μὲν δωροφορικαί, αἱ δὲ ἀπολυτρωτικαί, αἱ δὲ διαλλακτικαί, αἱ δὲ ἀποπληκτικαί ⟨an ἀποτελεσικαί⟩.

Θύσκη ἡ σκάφη.

Θῦσον. ὅτι ἓξ θυσίαι ἐξ ἐμψύχων ἐθύοντο, προβάτου ὑὸς βοὸς αἰγὸς ὄρνιθος χηνός· ἐθύετο ἕβδομος ὁ ἐξ ἀλεύρου. καὶ ζήτει ἐν τῷ βοῦς ἕβδομος.

Θυσσανόεσσα (Hom. E 738) κροσσοὺς ἔχουσα.

Θυςήριον τὸ ὁρμητήριον.

Θύςιον πόλις τῆς Αἰτωλίας. τινὲς *Θύτιον* ἄνευ τοῦ σ.

Θυτηρίοις θυμιατηρίοις.

Θύψις. καὶ *θύψαι* ἐπικαῦσαι. καὶ *θυμάλωπες* οἱ ἀπολελειμμένοι τῆς θύψεως ἄνθρακες, οἱ ἡμίκαυτοι.

Θύω δοτικῇ. αἰτιατικῇ δὲ "θύσατε θυσίαν δικαιοσύνης" (Ps. 4 5).

Θυῶδες τεθυμιαμένον· (AP 6 265) "Ἥρη τιμήεσσα, Λακίνιον ἢ τὸ θυῶδες πολλάκις οὐρανόθεν νισομένη καθορᾷς." καὶ *θυώδης* ὁ τεθυμιαμένος.

Θυωμάτων. θύματα μύρων, ἀρώματα θυμιαμάτων.

Θυώνη ἡ Σεμέλη, παρὰ τὸ θύειν, ὅ ἐςιν ὁρμᾶν.

Θυωρός κυρίως ἡ ἱερὰ τράπεζα· "ἔλεγε Φερεκύδης ὅτι οἱ θεοὶ τὴν τράπεζαν θυωρὸν καλοῦσι."

Θῶες θώων. θηρία ἐξ ὑαίνης καὶ λύκυ γεννώμενα.

Θωή ἡ ζημία, καὶ *ἀθῶος* ὁ ἀζήμιος. θωὴ δὲ ὃ κατατίθεται ὁ ζημιούμενος.

Θώθ ὁ Ἑρμῆς.

Θώκνειον ὄνομα τόπου.

Θῶκος θρόνος, καθέδρα.

Θωμᾶς ὄνομα κύριον.

Θῶμιγξ τὸ σχοινίον.

Θωμίζω δεσμῶ σχοινίοις.

Θωμούς σωροὺς ξύλων. θωμοὶ δὲ λέγονται καὶ οἱ τῶν πυρῶν σωροί. τυφὼς δὲ ἡ ἐξ ἀναθυμιάσεως τῆς γῆς συςροφή, πρὶν ἐκπυρωθῆναι. Ἀριςοφάνης (Lys. 973) "εἶθ' αὐτὴν ὥσπερ τοὺς θωμὰς μεγάλῳ τύφῳ καὶ πρηςῆρι ξυςρέψας καὶ ξυγγογγυλίσας οἴχοιο φέρων." καὶ αὖθις ἐν ἐπιγράμματι (AP 6 299) "ἀκτά τε Κρηταιὶς ἐντριβέος τε ῥόειπα θωμιοῦ."

Θών ὄνομα κύριον. καὶ κλίνεται Θῶνος (Hom. δ 228).

Θῶπα κόλακα· "Ἰόρτιόν τε καὶ τοῦτον θῶπα ἰσχυρὸν ὑμνοῦσι." cf. v. Ἰόρτιος.

Θωπεία κολακεία. ἡ περισσὴ πρός τινας κολακεία, καὶ τὸ μὴ ἐλευθέρως προσφέρεσθαι τοῖς ὑπερέχουσιν. Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας "πολλοὶ δ' ἔχοντες φίλους οὐ γινώσκουσιν, ἀλλ' ἑταίρυς ποιοῦνται θῶπας πλούτου καὶ τύχης κόλακας."

Θῶπες οἱ μετὰ ψεύδους καὶ θαυμασμῦ προσιόντες ἐπὶ κολακείᾳ λόγοι· "θῶπάς τε καὶ ἀπατηλοὺς προτείνοντες λόγους." ἡ εὐθεῖα θώψ θωπός. "καὶ ὅτως μὲν ἐθεράπευε τὰ δίκαια καὶ φιλοσοφίᾳ πρέποντα, ἀλλ' οὐ τὸν θῶπα τρόπον καὶ βάναυσον" (Damasc. Phot. p. 351 a).

Θωπεύει, αἰτιατικῇ, ἀπατᾷ. ἐν ἐπιγράμματι (AP 5 263) "ὄττι χαλέπτων Κύπριδα θωπεύεις δεσποτικὴν ὀδύνην." καὶ Ἀριςοφάνης (Ach. 639) "εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν Ἀθήνας, εὕρετο πᾶν ἂν διὰ τὰς λιπαράς, ἀφύων τιμὴν περιάψας." λιπαρὰς ἀφύας. ἀντὶ τοῦ εὐτελῆ τιμήν. λέγεται δὲ καὶ ἑνικῶς ἀφύη· Ἀριςοφάνης ἐν Ταγηνιςαῖς "ἅλις ἀφύης μοι· παρατέταμαι γὰρ ἐσθίων" (cf. v. ἀφύα ἐς πῦρ).

Θωπικαί κολακευτικαί· (A Lys. 1036) "ἐςὲ θωπικαὶ φύσει." καὶ *θωπικῶς* κολακευτικῶς.

Θωρακείοις προμαχῶσι, δρυφάκτοις, λωρικίοις· "μέχρι μὲν τινος ὑποπεπτηχότες τοῖς θωρακείοις ἠρέμυν" (Ioseph. B. I. 5 7 4).

Θωρακεῖον τὸ τεῖχος.

Θωράκιον τὸ τοῦ ἐλέφαντος. "ὅτι Ἀννίβας ὁ Καρχηδονίων ςρατηγός, φέρων τῶν ἐλεφάντων τὰ θωράκια καὶ τοῖς τῶν θηρίων οἰκιδίοις ἐπὶ πλεῖςον ὕψος τὺς κλάδυς ἀποκόπτων, ἀσφαλῆ καὶ ῥᾳδίαν τὴν ὁδοιπορίαν κατεσκεύαζε" (Polybius?).

Θώραξ πύργος, χιτών, ςῆθος, παρὰ τὸ τὸ θεῖον ὠρεῖν, τουτέςι φυλάττειν τὸ διανοητικόν, ὅ ἐςιν ἐν ἡμῖν θεῖον. sch. A Vesp. 1190.

Θώραξ δὲ ἱππέως Πάρθου τοιόσδε ἐςί. τὸ μὲν γὰρ αὐτοῦ πρόσω ςέρνον τε καὶ μηρὸς καὶ χεῖρας ἄκρας καὶ κνήμας καλύπτει, τὸ δὲ ὄπισθεν νῶτά τε καὶ τὸν αὐχένα καὶ τὴν κεφαλὴν ἅπασαν. περόναι δέ εἰσι πρὸς ταῖς πλευραῖς πεποιημέναι, αἷς ἑκάτερον τῶν μερῶν συμπορπηθὲν ὅλον σιδηροῦν ποιεῖ φαίνεσθαι τὸν ἱππέα. κωλύει δὲ οὐδὲν ὁ σίδηρος οὔτε τὰς ἐκτάσεις τῶν μελῶν οὔτε τὰς συςολάς· οὕτως ἀκριβῶς πρὸς τὴν τῶν μελῶν φύσιν πεποίηται. ὁπλίζουσι δὲ καὶ τὸν

ἵππον ὁμοίως σιδήρῳ πάντα μέχρι τῶν ὀνύχων, διότι οὐδὲν αὐτοῖς ὄφελος ἂν εἴη τῶν ἰδίων ὅπλων, εἰ ὁ ἵππος αὐτοῖς προαπόλοιτο. Eunapius?

θώρηκος (Hom. Δ 136) τοῦ θώρακος.

θωρήξασθαι ἐςι τὸ καθοπλισθῆναι, καὶ τὸ πίνειν. καὶ τὸ μεθυσθῆναι, ἐπειδὴ θώραξ καὶ τὸ ςῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ ςῆθος θωρήσσειν λέγουσι τὸ μεθύειν, καὶ ἀκροθώρηκας τοὺς ἀκρομεθύσους ἐκάλουν. κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων. ἔξαιρε, φησί, κἀμοὶ τὸν χοᾶ, ὃν καλεῖ θώρακα, ὥςε θωρακισθῆναι, οἷον τὸν θώρακα πληρῶσαι (sch. A Ach. 1132, Vesp. 1190). θωρήξομαι οὖν ἀντὶ τοῦ μεθυσθήσομαι, καὶ θώρηξις ἡ μέθη ἢ ἡ ἀπὸ οἴνου γινομένη βλάβη.

θωρήσσετο (Hom. Ε 737) καθωπλίζετο.

θωρηχθείς ὁπλισθείς.

Θωρυκίων. οὗτος ταξιάρχης ἦν ἐν τοῖς Πελοποννησιακοῖς τῶν Ἀθηναίων· ὃς πίσσαν ἔπεμψε τοῖς ἀντιπάλοις εἰς τὸ ἀνάψαι τὴν ἑαυτοῦ πόλιν, ὅθεν γνωσθεὶς ἐκωμῳδεῖτο ἐπὶ προδοσίᾳ. οἱ δὲ ἀντὶ τοῦ τὸν Θωρυκίωνα μιμούμενος, ὃς ἦν Αἰγινήτης ταξίαρχος προδότης, ἀσκώματα καὶ λίνα καὶ πίτταν πέμπων εἰς Ἐπίδαυρον, ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶ παρέχων. sch. A Ran. 365.

θώς θοός.

Θωὺθ καὶ Θὼθ ὁ Ἑρμῆς.

θωυμάζω καὶ ἐθώυμαζον.

θωύσσοντες ὑλακτοῦντες· Ὅμηρος "βαρύβρομα θωύσσοντες." καὶ θωυκτὴρ κύων ὁ ὑλακτικός. καὶ θώυξεν ἀνεβόησε· Σοφοκλῆς (Ai. 307) "καὶ πλῆρες ἄτης ὡς διοπτεύει ςέγος, παίσας κάρα θώυξεν." καὶ θώυξεν ἐκάλεσεν, ἐβόησεν. sch. S OC 1624.

ἴα μία. ἢ φωνή. ἢ βία.

Ἰαβὼκ ὄνομα κύριον.

Ἰαβίν, ὡς τὸ "Ἰαβὶν ἐν τῷ χειμάρρῳ Κισῶν" (Ps. 83 10).

Ἰάδμων Ἰάδμονος. ἦν δὲ Σάμιος· οὗ τινὸς καὶ ἡ Ῥοδῶπις δούλη ἦν, ἣν ἑταίραν γενομένην, Θρᾷσσαν τὸ γένος, Χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἔλαβε γυναῖκα καὶ ἐξ αὐτῆς γεννᾷ. καὶ ἔςιν ἐν τῷ Αἴσωπος Σάμιος.

Ἰάειρος (Luc. 8 41) ὄνομα κύριον.

Ἰαζάρτης ὁ Τάναϊς ποταμός.

Ἰάζυγες ὄνομα ἔθνους.

Ἰάθωνος ὄνομα κύριον.

ἰαίνεσθαι εὐφραίνεσθαι. καὶ ἰαινόμενοι.

Ἴαιρα (Hom. Σ 42) ὄνομα κύριον.

ἰαχχάζουσιν λέγουσι, φυλάττουσιν. Ἡρόδοτος (8 65).

Ἴακχος ὁ Διόνυσος, ἢ ὕμνος εἰς τὸν Διόνυσον.

ἴακχος ὕμνος εἰς Διόνυσον· (A Ran. 322) "ᾄδουσι τὸν ἴακχον ὥσπερ Διαγόρας." τοῦτόν φασιν ἄθεον κεκλῆσθαι. γέγονε δὲ καὶ ἕτερος, κωμῳδούμενος ἐπὶ μεγέθει· Ἕρμιππος ἐν Μοίραις "μείζων γὰρ ἢ νῦν δή ἐςι, καὶ δοκεῖ δέ μοι, ἐὰν τοσοῦτον ἐπιδιδῷ τῆς ἡμέρας, μείζων ἔσεσθαι Διαγόρου τοῦ τερθρέως."

ἴακχος Διόνυσος ἐπὶ τῷ μαςῷ. καὶ ἥρως τις, καὶ ἡ ἐπ' αὐτῷ ᾠδή, καὶ ἡ ἡμέρα καθ' ἣν εἰς αὐτὸν ἡ πανήγυρις. ἔνιοι δὲ καὶ θόρυβος· "ὅ τε μυςικὸς ἴακχος ἠκούσθη κατὰ τὴν ναυμαχίαν Περσῶν καὶ Ἑλλήνων." ἴακχος οὖν παρὰ τὸ ἰάχχω. "καὶ μέντοι καὶ ὁ ἴακχος ἠκούσθη ἐκ τοῦ Θριασίου πεδίου ὑμνούμενός τε καὶ ᾀδόμενος."

Ἰακὼβ ὄνομα κύριον.

Ἰάκωβος Ἡσυχίου υἱὸς ἰατροῦ, ὁ ἐπι- a
κληθεὶς ψύχριςος, ἐκ τοῦ ἐξάρχου Δαμασκηνοῦ. εἰς Ῥόδον δὲ γενομένου τοῦ πατρός, εἶτα εἰς Δρέπανον τὸ ἐν Ἄργει ἐλθόντος, κἀκεῖ γήμαντος τὴν ἐξ αὐτοῦ τεκοῦσαν τὸν Ἰάκωβον, καταλιπόντος δὲ τήν τε γαμετὴν καὶ τὸν παῖδα, καὶ ἐκδημήσαντος ἐπὶ ἔτη ιθ' εἴς τε Ἀλεξάνδρειαν καὶ Ἰταλίαν, καὶ οὐδὲ περιεῖναι δοκοῦντος· ὅθεν γαμεῖται μὲν ἡ Ἰακώβου μήτηρ δευτέρῳ ἀνδρί, καὶ παίδων αὐτῇ γενομένων ἀρρένων δύο καὶ θηλείας τελευτᾷ τὸν βίον ὁ γαμήσας αὐτήν, ἐπάνεισι δὲ Ἡσύχιος εἰς Κωνςαντινούπολιν· ὅπερ γνοὺς Ἰάκωβος ἦλθε πρὸς αὐτόν, καὶ τότε παιδείας ἤρξατο, καὶ ἰάτρευσεν ἐν Κωνςαντινουπόλει ἐπὶ Λέοντος βασιλέως.

Ἰάκωβος ἰατρός. ἀπὸ Δαμασκοῦ εἷλκε b
τὸ γένος, καὶ ἐς τὸ ἀκριβέςατον ἀναβὰς τῆς ἐπιςήμης τέλειος ἦν, οὐ διαγινώσκων μόνον τὰς νόσους ἀλλὰ καὶ ἰώμενος ὁμοῦ μὲν κατὰ τὸν λόγον ὁμοῦ δὲ κατὰ τὴν πεῖραν ἐπιμελῶς τε καὶ ἱκανῶς, ὥςε τὰ πρωτεῖα τῆς ἰατρικῆς εὐκλείας ἀπενέγκασθαι τῶν καθ' ἑαυτὸν ἰατρῶν, παραβάλλεσθαι δὲ ἤδη πρὸς τοὺς ἀρχαίους, ὑπερβάλλειν δὲ αὐτῶν τούς γε πλείους, οἷα δὲ ἔχοντα δύναμιν ἰσόθεον ἀγα-

πᾶσθαι καὶ προσκυνεῖσθαι ὑπὸ τῶν δεομένων, οὕτω δὲ θαρρεῖν ἐφ' ἑαυτῷ καὶ ἐπὶ τῇ κρίσει τῶν οἰκείων μεθόδων ὥςτε, εἰ ἀπελθὼν πρὸς τὸν ἄρρωςον καὶ τοῖς σημείοις τὸ νόσημα διαγνοὺς ἀπεφήνατο βιώσιμον εἶναι τὸν ἄνθρωπον, εὐέλπιδας γίνεσθαι πάντας ὡς ὑγείας ἐσομένης, εἰ δὲ μή, ὡς τελευτῆς, καὶ μηδένα πώποτε τῶν ἐλπίδων διαψευσθῆναι. ἔλεγε δὲ ὁ αὐτὸς χρῆναι τὸν ἄριςον ἰατρὸν ἤτοι ἀπογνῶναι τῆς νόσου, ἢ ἀψάμενον εὐθὺς εἰς ῥᾷον μεταβαλεῖν τὸν νοσοῦντα καὶ ἔχοντα μετριώτερον ἀπολείπειν, ἄλλως δὲ μὴ ἀποςῆναι πρότερον. πάντας δὲ ὡς εἰπεῖν ἀπήλλαττε τῶν ἐνοχλούντων παθῶν παραυτίκα ἢ μικρὸν ὕςερον. διόπερ οἱ μὲν ἄλλοι σωτῆρα τὸν Ἰάκωβον ἀπεκάλουν, οἷά ποτε καὶ τὸν Ἀσκληπιόν, οἱ δὲ ἰατροὶ διέβαλλον ἀεὶ καὶ ἐλοιδόρουν ὡς οἷόν τινα οὐκ ἰατρὸν ἀλλὰ θεοφιλῆ τινὰ καὶ ἱερόν. καὶ οὐκ ἐψεύδοντο· ἦν γὰρ ἐπιεικὴς ὁ ἀνὴρ καὶ θεῷ τῷ ὄντι κεχαρισμένος. εἰ δὲ δεῖ τὸ τοῦ φιλοσόφου εἰπεῖν, ἀσκληπιαδικὴν ᾤετο τὴν τοῦ Ἰακώβου ψυχὴν καὶ κατὰ φύσιν παιώνειον, προσεῖναι δὲ καὶ τὴν ἐρωτικὴν τοῦ ἐπιτηδεύματος ἐπιμέλειαν, ἣ μάλιςα φιλεῖ τοὺς τεχνίτας ἑκάςους οἰκειοῦν καὶ προσάγειν τοῖς ἐφόροις τῆς τέχνης. οὕτω καὶ Φειδίαν ἐνθουσιῶντα δημιουργεῖν· οὕτω καὶ Ζεῦξιν εἰκάζειν τὰ ἀγάλματα. Damasc. Phot. p. 344 a.

c Ἰάκωβος. οὗτος πιὼν φάρμακον ἐπὶ Οὐάλεντος ἐτελεύτησεν. ἦν δὲ ὁ συμβουλεύσας αὐτῷ πιεῖν τὸ φάρμακον Λιβάνιος ὁ σοφιςής, διὰ τὸ ἐπιζητῆσαι τίς ὁ διαδεξόμενος τὴν βασιλείαν Οὐάλεντος.

ἰάλεμος ὁ ἐπὶ τοῖς ἀπολωλόσιν ἀνίαν φέρων. καὶ παροιμία "ἰαλέμου ψυχρότερος." ἰάλεμον τὸν θρῆνόν φασι. λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης κακοδαίμονα καὶ ὑςερούμενον καὶ ὀρφανόν.

ἰαλεμώδη τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια.

Ἰαληψός (an Γαληψός) χώρα.

ἴαλλος ὁ σκωπτόλης, καὶ ἴαλλοι τὰ σκώμματα.

ἰάλλω ἐκτείνω.

ἴαμα.

ἴαμαι τὰ ὕδατα ταῦτα, ἰῶμαι δέ.

ἰαμβεῖος λόγος, καὶ τὸ οὐδέτερον ἰαμβεῖον· ἰάμβιον δέ, καὶ Ἰάμβιος ὄνομα κύριον.

Ἰάμβη ὄνομα κύριον.

ἰαμβίζω τὸ ὑβρίζω· ὡς γὰρ ὁ ἴαμβος ἐκ βραχείας καὶ μακρᾶς, οὕτω καὶ ἡ ὕβρις ἐξ ὀλίγου ἀρχομένη πρόεισιν ἐπὶ μεῖζον. καὶ Ὅμηρος (Δ 442) "ἥ τ' ὀλίγη μὲν πρῶτα."

a Ἰάμβλιχος. οὗτος, ὥς φασιν, ἀπὸ δούλων ἦν, ἔγραψε δὲ τὰ καλούμενα Βαβυλωνιακά· ἔςι δὲ Ῥοδάνου καὶ Σινωνίδος ἔρως ἐν βιβλίοις λθ'. οὗτος λέγει περὶ Ζωβαρᾶ τοῦ εὐνούχου τοῦ ἐραςοῦ τῆς Μεσοποταμίας τῆς εὐειδεςάτης.

b Ἰάμβλιχος ἕτερος, Χαλκίδος τῆς Συρίας, φιλόσοφος, μαθητὴς Πορφυρίου τοῦ φιλοσόφου τοῦ Πλωτίνου, γεγονὼς κατὰ τοὺς χρόνους Κωνςαντίνου τοῦ βασιλέως, ἔγραψε βιβλία φιλόσοφα διάφορα.

Ἰαμβρῆς ὄνομα κύριον. καὶ κλίνεται Ἰαμβροῦ.

ἰαμβῦκαι ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον. οἱ δὲ σαμβῦκαι.

Ἰαμενής ὄνομα κύριον. καὶ Ἰαμενός (Hom. M 139).

Ἰάμνια πόλις.

Ἰάνειρα ὄνομα κύριον.

ἰάνθη ἥσθη, ἐχάρη, διεχύθη.

Ἰαννῆς Ἰαννοῦ ὄνομα ἑβραϊκόν.

ἰανοκρήδεμνος ὁ ςέμμα ἐξ ἴων φορῶν.

ἰανόκροκον τὸ λεπτόν.

Ἰανός· "τὰς πύλας τοῦ Ἰάνου διαπετάσας ὁ βασιλεύς, αἵπερ ἐπὶ τῶν μεγίςων πολέμων διηνοίγοντο, ᾤχετο πρὸς τὴν ἕω."

Ἰανουάριος ἄγαλμα τετράμορφον διὰ τὰς τέσσαρας τροπάς. οἱ δὲ πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχοντα ὡς ἀρχὴν τοῦ χρόνου καὶ ἄνοιξιν τοῦ ἐνιαυτοῦ καὶ θυραῖον, ἕτεροι δὲ τῇ δεξιᾷ τ' τῇ δὲ ἀριςερᾷ ξε' κατέχοντα, ὥσπερ τὸν ἐνιαυτόν. ὅθεν καὶ ὁ Λογγῖνος αἰωνάριον αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα. cf. Io. Lyd. de mens. 4 1.

Ἰαολκός.

Ἰαπετός ὄνομα κύριον. λῆρος, μωρός, ἀρχαῖος. εἷς τῶν Γιγάντων. (A Nub. 996) "μηδ' Ἰαπετὸν καλέσαντα μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης," οἷον ἐτράφης. τουτέςι λῆρον, μωρόν.

ἰάπτων βλάπτων, ὑβρίζων. Σοφοκλῆς (Ai. 501) "λόγοις ἰάπτων· ἴδετε τὴν ὁμευνέτιν Αἴαντος, ὃς μέγιςον ἴσχυσε ςρατοῦ."

Ἰαπυγία ὄνομα τόπου.

Ἰάπυξ ἄνεμος ἐλαφρός.

Ἰάρδανος ὄνομα ποταμοῦ.

Ἰάρχας ὄνομα κύριον.

ἴᾶσι πέμπουσιν, ἴασι δὲ πορεύονται.

ἴασις καὶ ἄρηξις διαφέρει· τῶν γὰρ νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐϛὶν ἄρηξις, τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐϛὶν ἴασις. φησὶν ὢν Σοφοκλῆς ἐν Ἠλέκτρᾳ ⟨875⟩ "πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεϛ' ἰδεῖν;" τουτέϛι κατ' οὐδένα τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον.

Ἰάσονος ὄνομα κύριον.

Ἴασος ὄνομα τόπου. καὶ Ἰασίτης ἀπὸ τούτου.

ἴασπις λίθος πολυτελής.

ἰαϛί ἑλληνιϛί.

Ἰασώ ὄνομα γαμετῆς ἢ θυγατρὸς Ἀμφιαράου.

Ἰάσων Ἀργεῖος ἱϛορικός, νεώτερος Πλȣτάρχȣ τȣ̃ Χαιρωνέως, γραμματικός, ἔγραψε περὶ τῆς Ἑλλάδος βιβλία δ'. ἔχει δὲ ἀρχαιολογίαν Ἑλλάδος, καὶ τὰ ἀπὸ τῶν Μηδικῶν, τά τε κατ' Ἀλέξανδρον ἕως τελευτῆς αὐτοῦ, καὶ τὰ μέχρι Ἀθηναίων ἁλώσεως τῆς γενομένης ὑπὸ Ἀντιπάτρȣ τȣ̃ πατρὸς Κασάνδρȣ.

Ἰάσων Μενεκράτους, Νυσαεὺς ἐκ πατρός, ἀπὸ δὲ μητρὸς Ῥόδιος, φιλόσοφος, μαθητὴς καὶ θυγατριδοῦς καὶ διάδοχος τῆς ἐν Ῥόδῳ διατριβῆς Ποσειδωνίȣ τοῦ φιλοσόφȣ, ἔγραψε βίους ἐνδόξων, καὶ φιλοσόφων διαδοχάς, καὶ βίον Ἑλλάδος ἐν βιβλίοις δ' κατά τινας. οὗτος ἔγραψε καὶ περὶ Ῥόδου.

ἰατρεία μίξεως. ζήτει ἐν τῷ Ἁρμάτος.

ἰατρίνη θηλυκόν. περὶ ἰατρείας ὑείων κρεῶν ζήτει ἐν τῷ Δομνῖνος.

ἰατρός. βραχὺ παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ ⟨407⟩ "τίς δῆτ' ἰατρός ἐϛι νῦν ἐν τῇ πόλει;" παρὰ δὲ Ὁμήρῳ ⟨Λ 514⟩ "ἰητρὸς γὰρ ἀνήρ."

ἰατρὸς δ' ὁ ἐπιϛήμων, οὐχ ὁ ἰώμενος μόνον, ἀλλὰ ὁ καὶ τὴν αἰτίαν, καθ' ἣν ἰᾶται, γνωρίζων. ἰατροτέχναι δέ ⟨A Nub. 331⟩. ὅτι καὶ ἰατροὶ περὶ ἀέρων ὀρέων καὶ ὑδάτων ἔγραψαν. συντάγματα δέ εἰσιν Ἱπποκράτȣς οὕτως ἐπιγραφόμενα, περὶ ἀέρων τόπων καὶ ὑδάτων.

ὅτι εἰώθασιν οἱ ἰατροὶ ὑπ' ἀλαζονείας πατρίδας ὀνομάζειν τῶν βοτανῶν, οἷον Κυρηναϊκὸν ὀπόν, τιθύμαλλος Λακωνικός· καὶ οἱ νῦν ῥέον Ποντικὸν καὶ ῥέον βάρβαρον.

ἰατταταττατταταττατταταττατταταῖ ⟨A Ran. 664⟩ σχετλιαϛικόν. τοῦτο ἀλγήσας φησίν.

ἰατταταιάξ τῶν κακῶν, ἰατατταιάξ" φησὶν Ἀριστοφάνης ⟨A Eq. 1⟩. ἐϛὶ δὲ θρηνητικὸν ἐπίρρημα.

ἰαῦ. καὶ τοῦτο σχετλιαϛικὸν ἐπίρρημα.

ἰαύειν κοιμᾶσθαι καὶ ἐνδιατρίβειν.

ἰαυθμοί αἱ κοιμῆθραι, παρὰ τὸ ἰαύειν. λέγεται καὶ ἐπιαύειν· ⟨AP 6 192⟩ "ὃδ' ἐπιαύει ἠιόσιν μογερῷ γήραϊ τειρόμενος."

Ἰαχείμ ὄνομα κύριον.

ἴαχεν ἐβόησεν.

ἰαχή κραυγή, βοή, ἦχος, ἢ θρῆνος, ἀπὸ τοῦ ἰάχω. τοῦτο δὲ παρὰ τὸ ἴα, ὃ σημαίνει τὴν φωνήν.

ἰαχήματα ᾠδαὶ Διονυσιακαί· ⟨AP 6 165⟩ "καὶ Κορυβαντείων ἰαχήματα χάλκεα ῥόπτρων."

Ἰαχήν. οὗτος ἐγένετο Αἰγύπτιος, ἀνὴρ θεοφιλὴς καὶ εἰς πολλὰ λυσιτελής. ἦν δὲ ἐπὶ Σενύου βασιλέως Αἰγυπτίων, περιάπτων καὶ ἐπαοιδῶν ἔμπειρος καὶ ἐν ταῖς ὀδύναις καὶ νόσοις σοφιϛὴς ἄκρος, ὃς λοιμῶν ἐπιδημίας ἔσβεσεν καὶ τὴν ἀμφὶ τὸν κύνα τὸν Σείριον πρωτίϛην ἐπιτολὴν καὶ ὁρμὴν τὴν ἔμπυρον ἡμέρωσε τοῦ ἀϛέρος. διὸ καὶ πολυτελῶς ἐτάφη. καὶ εἴ ποτε δημοσία νόσος ἐπεπόλασεν, ἐπὶ τὸν σηκὸν τοῦδε φοιτῶντες οἱ ἱερογραμματεῖς καὶ τὰς δεούσας ἱερουργίας ἐπιτελοῦντες ἐκ τοῦ βωμοῦ πῦρ ἐναύονται, καὶ ἐξάπτοντες πυρὰς κατὰ πόλεις καὶ τοῦ δυσώδους ἀέρος τὴν φθοροποιὸν ἐκείνην νόσον μαράναντες καὶ λεπτύναντες, τοῦτο δὴ τὸ καινότατον, τὴν νόσον ἔσβεσαν τῷ πυρί. cf. vv. ἐναύειν, ἱερογραμματεῖς, Σείριος.

ἰάψαι ἐπιβαλεῖν. καὶ ἰάψῃς ἐπιβάλῃς, ἢ συλλάβοις ἡμῖν· "ὀρχήματ' αὐτοδαῆ ξυνὼν ἰάψῃς" Σοφοκλῆς ⟨Ai. 700⟩.

Ἴβηρες ὄνομα ἔθνȣς, καὶ Ἰβηρία χώρα. ἔϛι δὲ καὶ ἄλλη Ἰβηρία ἡ ἑσπερία, ἡ καὶ Ἱσπανία λεγομένη. cf. v. Ἑλένη.

ἶβις ὄρνεον ὀφιοφάγον· καὶ κλίνεται ἴβιδος, τὰς ἴβεις.

Ἰβύκειον ῥησείδιον. "ἀλλὰ τὸ Ἰβύκȣ ἔπος αὐτὸν ἐπῄει, μή τι παρὰ θεοῖς ἀμπλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψειεν. ἔϛι δὲ πρὸς ἱερωσύνην συνᾷδον τὸ Ἰβύκειον τȣτὶ ῥησείδιον" ⟨Damascius: cf. vv. ἀμπλάκημα et μή τοι⟩.

ἰβύκινον μουσικὸν ὄργανον, ἀπὸ Ἰβύκου. "ὅτι κατὰ τὴν συμπλοκὴν Κελτῶν πρὸς Ῥωμαίους ἀναρίθμητον ἦν τὸ τῶν ἰβυκανητῶν καὶ σαλπιγκτῶν πλῆθος, οἷς ἅμα τοῦ παντὸς ϛρατοπέδου παιανίζοντος κραυγὴ ἦν συμμιγής, ὡς καὶ τοὺς παρακειμένους τόπȣς ἠχεῖν καὶ δοκεῖν προΐεσθαι φωνὴν ἐκπληκτικήν" ⟨Polyb. 2 29⟩.

Ἴβυκος Φυτίου (οἱ δὲ Πολυζήλου τοῦ Μεσσηνίου ἱϛοριογράφȣ, οἱ δὲ Κέρδαντος), γένει Ῥηγῖνος, ἐνθένδε εἰς Σάμον ἦλθεν, ὅτε αὐτῆς ἦρχεν ὁ Πολυκράτης ὁ τοῦ τυράννου πατήρ· χρόνος δὲ ἦν ȣ̓͂τος ἐπὶ Κροίσȣ ὀλυμπιὰς νδʹ. γέγονε δὲ ἐρωτομανέϛατος περὶ μειράκια, καὶ πρῶτος εὗρε τὴν καλȣμένην σαμβύκην· εἶδος δέ ἐϛι κιθάρας τριγώνου. ἔϛι δὲ αὐτοῦ τὰ βιβλία ζʹ τῇ δωρίδι διαλέκτῳ. συλληφθεὶς δὲ ὑπὸ λῃϛῶν ἐπ' ἐρημίας ἔφη κἂν τὰς γεράνους, ἃς ἔτυχεν ὑπερίπτασθαι, ἐκδίκους γενέσθαι. καὶ αὐτὸς μὲν ἀνῃρέθη, μετὰ δὲ ταῦτα τῶν λῃϛῶν εἷς ἐν τῇ πόλει θεασάμενος γεράνους ἔφη "ἴδε, αἱ Ἰβύκου ἔκδικοι." ἀκȣ́σαντος δέ τινος καὶ ἐπεξελθόντος τῷ εἰρημένῳ, τό τε γεγονὸς ὡμολογήθη καὶ δίκας ἔδωκαν οἱ λῃϛαί, ὡς ἐκ τȣ́τȣ καὶ παροιμίαν γενέσθαι "αἱ Ἰβύκȣ γέρανοι."

ἶβυξ εἶδος ὀρνέου.

Ἴγγωρ ἐθνικόν.

ἴγδη ἡ τριβαία.

ἴγδισμα λύγισμα.

Ἰγνάτιος διάκονος καὶ σκευοφύλαξ τῆς μεγάλης ἐκκλησίας Κωνϛαντινουπόλεως, καὶ γεγονὼς μητροπολίτης Νικαίας, γραμματικός, ἔγραψε βίους Ταρασίου καὶ Νικηφόρȣ τῶν ἁγίων καὶ μακαρίων πατριαρχῶν, ἐπιτυμβίȣς ἐλέγους, ἐπιϛολάς, ἰάμβους εἰς Θωμᾶν τὸν ἀντάρτην, ἅπερ ὀνομάζȣσι τὰ κατὰ Θωμᾶν, καὶ ἄλλα πολλά.

ἰγνύη ὁ ὑπὸ τὰ γόνυ τόπος ὀπίσω τοῦ γόνατος. καὶ τὸ πληθυντικὸν ἰγνύες.

Ἰδαῖον ἄντρον ἐν Κρήτῃ.

Ἰδαῖος Δάκτυλος. Ἰδαῖος δὲ ἀπὸ τῆς Ἴδης.

Ἰδαῖος Ῥόδιος, υἱὸς Λισσοῦ, ἐποποιός, παρεμβαλὼν ϛίχον ϛίχῳ ἐδίπλασε τὴν ποίησιν Ὁμήρου. ἔγραψε καὶ ἄλλα· Ῥόδια εἰς ἔπη γ.

ἰδαίους ψυχρούς· "ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ' ὑπερβολῇ τοὺς δακτύλους δήπουθεν Ἰδαίȣς ἔχω" ⟨Crobyl. ap. Athen. p. 5: cf. v. ὀψοφαγία⟩.

ἰδάλιμον εὐειδές. καὶ ἰδάλιμος ὁ ἱδρώς, καὶ ἰδάλιμον τὸ καυϛικόν.

Ἴδας ὄνομα κύριον. καὶ ὁ μέγας.

ἴδ' ἀφύη πῦρ, παροιμία ἐπὶ τάχȣς· ἅμ' ἔπος, ἅμ' ἔργον.

ἴδε βλέψον. ἰδέ σύνδεσμος.

ἰδέα· "τότε δὲ πολλαὶ ἰδέαι κακῶν συνέσχον τὴν πόλιν," τουτέϛιν ὑποθέσεις.

ἰδέας τὰς θεωρίας, διὰ τȣ͂ ι. καὶ ἰδέαι ⟨Diog. L. 3 64⟩ "τὴν ἰδέαν ὁ Πλάτων καὶ εἶδος ὀνομάζει καὶ γένος καὶ παράδειγμα καὶ ἀρχὴν καὶ αἴτιον." ἰδέα δὲ λόγȣ ὁ χαρακτήρ.

ἴδει τῷ ἱδρῶτι. ἡ εὐθεῖα τὸ ἶδος· καὶ ἴδει τῷ θέρει παρ' Ἡσιόδῳ ⟨Scut. 397⟩.

ἰδεῖν σκέψαι.

ἰδέρως ὁ ἅμα τῷ ἰδεῖν ἐρῶν.

ἴδη πᾶν σύμφυτον ὄρος.

ἰδίᾳ χωρίς.

ἰδιαίτατον καταμόνας. καὶ ἰδιαίτατος ὁ μοναχός.

ἰδιαίτερον ἰδικώτερον.

ἰδίαν ἀντὶ τοῦ ἰδιωτικήν Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος ⟨1⟩. καὶ ἴδιον τὸ ἰδιωτικόν. Harp.

ἰδίειν ἱδροῦν, κοπιᾶν. καὶ ἶδεος καύματος, ἱδρῶτος. ἰδίω τὸ ἱδρῶ· "ἴδιον, ὡς ἐνόησα" Ὅμηρος ⟨υ 204⟩.

ἰδίῃς ἱδρώσῃς· Ἀριστοφάνης ⟨Pac. 82⟩ "μή μοι σοβαρῶς χώρει, πρὶν ἂν ἰδίῃς" τȣτέϛιν ἱδρώσῃς "καὶ διαλύσῃς ἄρθρων ἶνας πτερύγων ῥύμῃ," ἐπὶ τοῦ κανθάρου.

ἰδικῶς καταμόνας.

ἴδιον ἰδιωτικόν· ⟨Polyb. 3 55⟩ "τὸ γὰρ συμβαῖνον ἴδιον ἦν καὶ παρηλλαγμένον," τȣτέϛι σπανίως συμβὰν γενέσθαι.

ἴδιον. τοῦτο διττόν ἐϛιν, εἴτε ὡς μέρȣς ἴδιον, ὡς λέγομεν ἴδιον τοῦ ποδὸς τὸ βαδίζειν· οὐ γὰρ ὡς μὴ δεόμενον τοῦ ὅλου λέγομεν ἴδιον εἶναι τὸ βαδίζειν, δεῖται γάρ, ἀλλ' ὡς τοῦ μορίου τούτου παρὰ τὰ ἄλλα μόρια ἴδιον ὄν· ἢ τὸ μὴ δεόμενον τοῦ ὅλου πρὸς ὕπαρξιν, ὡς εἴ τις εἴποι ὅτι ἡ γλισχρότης ἡ ἐν τῷ ὑδρελαίῳ ἰδία ἐϛὶ τοῦ ἐλαίου, ἢ ἡ γλυκύτης ἡ ἐν τῷ οἰνομέλιτι ἰδία ἐϛὶ τȣ͂ μέλιτος. λέγει ȣ̓͂ν ὁ τοιȣ͂τος τὸ ἴδιον ȣ̓χ ἁπλῶς ὡς μέρȣς, ἀλλ' ὡς μὴ δεόμενον τȣ͂ ὅλȣ πρὸς ὕπαρξιν. οὐ γὰρ δεῖται τοῦ οἰνομέλιτος ἵνα συϛῇ ἡ γλυκύτης, ἀλλ' ἔϛι τοῦ ὅλου χωρὶς· ἔϛι γὰρ ἐν μόνῳ τῷ μέλιτι ⟨Philopon. in 2

de anima). "καὶ ἴδιον ἔχουσιν οἱ Κελτίβηρες κατὰ τὸν πόλεμον· θεωρῶντες γὰρ τὰς παρ' αὐτῶν πεζοὺς πιεζομένους, παρακαταβάντες ἀπολείπουσι τοὺς ἵππους ἑςῶτας ἐν τάξει. ἄκροις γὰρ τοῖς ἀγωγεῦσι τῶν ἵππων πασσαλίσκους μικροὺς ἀπηρτηκότες, ἐπιμελῶς πήξαντες, πειθαρχεῖν διδάσκουσι τοὺς ἵππυς ἑςῶτας ἐν τάξει, μέχρις ἀνακάμψαντες ἀνασπάσωσι τοὺς πυττάλους" (Polybius).

ἰδιοξενία· "δεδιὼς μὴ διὰ τὴν ἰδιοξενίαν, ἣν ἔχει πρὸς Ἀρχίδαμον." cf. Thuc. 2 13.

ἰδιόξενος ὁ ἰδίᾳ καθ' ἑαυτὸν ξένος ὤν. πρόξενος δὲ ὁ ὅλης πόλεως ξένος, παρ' ᾧ καὶ οἱ πρέσβεις κατάγονται· καὶ προσάγει τὰς πρεσβείας οὗτος πρὸς τὸ δημόσιον, καὶ τὰ ἄλλα διοικεῖ καὶ διαπράττει ἐν τῇ πατρίδι τῇ ἑαυτοῦ τὰ τῇ πόλει ἐκείνῃ διαφέροντα ἧς προξενεῖ. δορύξενος δὲ ὁ ἐκ πολεμίου ξένος γεγονώς τινι. ἀςόξενος δὲ ὁ ἐκ προγόνων μὲν ἀςῶν, αὐτὸς δὲ ξένος καὶ ἀνανεώσεως δεόμενος, οἷον Ἀγαμέμνων ἐν Λυδίᾳ (Pausan. ap. Eustath. γ p. 405). Ἀππιανός (t. 1 p. 27) "ὁ δὲ ςρατηγὸς αἰσθόμενος παρ' ἰδιοξένων ἐξήγγειλεν Ὀςιλίῳ."

ἰδιοπραγεῖ τὰ ἴδια πράσσει, ἡσυχάζει.

ἰδιότης ἡ συγγένεια· καὶ κλίνεται ἰδιότητος. "οἱ δὲ ἐπολυπραγμόνησαν ἀκριβῶς τά τε ἄλλα καὶ τὰς περὶ τὸν Φάρον ἰδιότητας" (Diodor. t. 2 p. 630).

ἰδίω κοπιῶ, ἱδρῶ.

ἰδίωμα· "τὸ δὲ τῆς χώρας ἰδίωμα συνήργει αὐτῷ· σύνδενδρος γὰρ ἦν."

ἰδίως καταμόνας, χωρίς.

ἰδιώσασθαι ἰδιοποιήσασθαι.

ἰδιῶται ἀντὶ τοῦ πολῖται· οὕτως Θουκυδίδης (1 124?). Ἀριςοφάνης δὲ ἐν Βατράχοις (462) ἰδιώτυς τοὺς ἰδίους λέγει· "περὶ τοὺς ξένους καὶ τοὺς ἰδιώτας." κατὰ παραγωγὴν ἴδιος ἰδιώτης. ἰδιώτης δὲ λέγεται ὁ πρὸς γένος ἴδιος καὶ ὁ ἀμαθής. καὶ ἐν Πλάτῳ (909) ἴδιον τὸ ἰδιωτικόν φησιν.

ἰδιώτης ὁ ἀγράμματος. Δαμάσκιος περὶ Ἰσιδώρυ φησί "πάντων τῶν καθ' αὐτὸν ἰδιωτῶν ὁμοίως καὶ φιλοσόφων ἐχέμυθος ἐς τὰ μάλιςα καὶ κρυψίνυς ἦν· ἀλλ' εἴς γε συναύξησιν τῆς ἀρετῆς καὶ τῆς κακίας μείωσιν ὅλην ἐξεκέχυτο τὴν ψυχήν." καὶ ἰδιωτεία.

ἴδμεν (Hom. A 124) οἴδαμεν.

ἴδμονα ἔμπειρον. καὶ ἐπιίδμονα· (AP 6 175) "τὸν κύνα τὸν πάσης κρατερῆς ἐπιίδμονα θήρης."

ἰδνωθείς (Hom. M 205) καμφθείς.

Ἰδομενεὺς ἱςορικὸς ἔγραψεν ἱςορίαν τῶν κατὰ Σαμοθράκην.

ἴδοσάν σε ὕδατα (Ps. 77 16). δευτέρυ ἀορίςου.

ἰδοὺ ἀντὶ τῦ λάβε, κράτει. sch. A Eq. 120.

ἰδού, θέασαι (A Eq. 1003).

ἴδριας ἐμπείρυς· "πολέμων τε γὰρ ἡμᾶς ἴδριας ὄντας ἀμωσγέπως εὑρήσοιτ' ἄν." καὶ ἐν ἐπιγράμματι ἰδρίτης· (AP 6 182) "ἰδρίτα καὶ γαίης, ἰδρίτα καὶ πελάγευς." Σοφοκλῆς (El. 608) "εἰ γὰρ πέφυκα τῶνδε τῶν λόγων ἴδρις, σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν," τουτέςι ζηλῶ σε.

Ἰδριεύς. δυνάςης ἦν οὗτος ἐν Καρίᾳ, υἱὸς Ἑκατόμνου, ἀδελφὸς δὲ Μαυσώλυ καὶ Ἀρτεμισίας. Harp.

ἴδρις ἔμπειρος, ἀπὸ τοῦ ἴδω ἴσω. καὶ ἴδιος ὁ ἐν γνώσει ἡμῖν ὤν. παρὰ τὸν μέλλοντα αὐτοῦ ἴςωρ. καὶ εἰδήμων ἀπὸ τοῦ εἰδῶ εἰδήσω. γίνεται δὲ καὶ ἀπὸ τοῦ εἴδω εἴσω εἶσος καὶ ἴσος· κυρίως γὰρ ἴσος ἐςὶν ὁ ὅμοιός τινι.

ἱδρίω ἱδρῶ.

ἱδρυμένος τεθεμελιωμένος.

ἱδρύσαντο ἐκάθισαν.

ἱδρύσας· "ὁ δὲ ἐπὶ κολώνης τινὸς ἱδρύσας τοὺς περὶ αὐτὸν ἱππεῖς ἐσκόπει τὴν θέσιν τοῦ ςρατοπέδου," ἀντὶ τοῦ ςήσας.

ἵδρυσις ἑδραία ἀσφάλεια.

ἵδρυται.

ἱδρύω αἰτιατικῇ. καὶ ἱδρυνθέντι.

ἱδρώοντας (Hom. Θ 543) ἱδροῦντας.

ἱδρῶτι. "λελείψεται ἡμῖν ἱδρῶτι πολλῷ λούεσθαι." "ἱδρῶτι περιρρεόμενοι ὥρᾳ θέρους, ὑπὸ τροφῆς ὄντες βαρεῖς καὶ δυσκίνητοι."

Ἰεβοῦς ὄνομα πόλεως. καὶ ἐξ αὐτῦ Ἰεβουσαῖος.

ἵει πέμπει, ἀφίησιν. "ὁ δὲ ἵει ἑαυτὸν εἰς ὕδωρ ψυχρόν, φάσκων γῆρας ἀνθρώπων εἶναι τὰ βαλανεῖα" (Philostrat. V. A. 1).

ἰείη κατὰ λαιμόν (Hom. T 209).

ἱεὶς ἀφιείς, τοξεύων· Σοφοκλῆς (Ai. 154). a ἀπὸ κοινοῦ τὸ τίς· κατὰ μὲν τῶν μεγάλων ψυχῶν ἱεὶς τις οὐκ ἂν ἁμάρτοι, κατ' εὐτελῶς δὲ ἱεὶς τις οὐκ ἂν πείθοι τὸν ἀκούοντα, "πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει." τροπικῶς ἀπὸ τῶν τοξευόντων κατὰ μεγάλυ σώματος,

οἳ οὐχ ἁμαρτάνουσι. πιϛὰ οὖν τοῖς ἀκούουσι τὰ κατὰ τῶν μεγάλων διὰ τὸν φθόνον.

b ἱεὶς ἀφιείς· "πάσας δ' ὑμῖν φωνὰς ἱείς" Ἀριϛοφάνης φησίν ⟨Eq. 525⟩.

a Ἰεζάβελ γυνὴ τοῦ Ἀχαὰβ βασιλέως, γύναιον δραϛήριον καὶ τολμηρόν, εἰς τοσαύτην ἀσέβειαν καὶ μανίαν προύπεσεν ὥϛε καὶ ναὸν τῷ Τυρίων καὶ Σιδωνίων θεῷ κατασκευάσαι. καὶ αὐτὸς δὲ ὁ Ἀχαὰβ ἀνοίᾳ καὶ πονηρίᾳ πάντας τοὺς πρὸ αὐτοῦ ὑπερβέβηκεν. ἐπὶ τούτων ἦν Ἠλίας ὁ προφήτης. Ioseph. A. I. 8 13.

b Ἰεζάβελ ἡ τοῦ Ἀχαὰβ βασιλέως γυνή, ὑφ' ἧς διωκόμενος Ἠλίας ἐν ἅρματι πυρὸς μετετέθη· ἣν Ἰηοῦς ὁ βασιλεὺς ῥίπτει ἀπὸ τοῦ τείχους καὶ κυσὶ παραδίδωσι βρῶσιν.

Ἰεζεκιήλ ὄνομα κύριον.

Ἰεμενείας ὄνομα κύριον.

ἱέμενοι ἐπιθυμοῦντες, προθυμούμενοι.

ἱέμην ἐπορευόμην· ⟨A Eq. 621⟩ "εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἱέμην."

ἱέναι πορεύεσθαι, ἢ πορευθῆναι.

ἵενται ὁρμῶσιν· "οἳ δὲ γευσάμενοι τῆς νίκης τέλεον ἵεντο κρατῆσαι."

ἱέντες ἀφιέντες. Ἀππιανὸς περὶ τῶν Κελτῶν φησίν ⟨t. 1 p. 82⟩ "οὓς γυμνὰς ἐπεδείκνυε Ῥωμαίοις. οὗτοί εἰσιν οἱ τὴν βοὴν τὴν βαρεῖαν ἱέντες ὑμῖν ἐν ταῖς μάχαις καὶ τὰ ὅπλα παταγοῦντες καὶ ξίφη μακρὰ καὶ κόμας αἰωροῦντες, ὧν τὸ ἄτολμον ὁρῶντες καὶ τὸ σῶμα μαλακὸν καὶ ἄτονον προσίεσθε τῷ ἔργῳ."

ἵεντο ⟨Hom. N 501⟩ προεθυμοῦντο, προῃροῦντο.

ἱερὰ νόσος. αὕτη τῇ σελήνῃ ἀνάκειται· ὑπὸ γὰρ ταύτην γίνεσθαί φασι. Artemid. 2 12.

ἱέραξ εἶδος ὄρνιθος.

Ἱέραξ εἷς ἦν τῶν ὑπ' Ἀμφιπολιτῶν πεμφθέντων πρέσβεων Ἀθήναζε, βουλομένων αὐτῶν Ἀθηναίοις παραδοῦναι τὴν πόλιν καὶ τὴν χώραν. Harp.

ἱερὰ ὁδός ἣν οἱ μύϛαι πορεύονται ἀπὸ τοῦ ἄϛεος ἐπ' Ἐλευσῖνα. Harp.

ἱερᾶσθαι ἱερουργεῖν. ἢ ἱερᾶσθαι τὸ ἱεροὺς νενομίσθαι.

ἱερατικὴ καὶ φιλοσοφία οὐκ ἀπὸ τῶν αὐτῶν ἄρχονται ἀρχῶν, ἀλλ' ἡ μὲν φιλοσοφία ἀπὸ τῆς μιᾶς τῶν πάντων αἰτίας εἰς τὴν ὑποσάθμην τῶν ὄντων καθήκουσα, διὰ μέσων τῶν ὅλων γενῶν, θείων τε καὶ τῶν μετὰ θεοὺς κρειττόνων καὶ ἐν τρίτῳ φασὶ βήματι φαινομένων· ἓν γὰρ οὐδέν ἐϛι τῶν καθόλου προειρημένων τοῖς ἑκατέρωθι φιλοσόφοις, ὥϛε καὶ ῥᾳδίαν εἶναι τὴν ἐφαρμογὴν τῷ βουλομένῳ προσαρμόττειν τοῖς Αἰγυπτίοις τὰ τῶν Ἑλλήνων. τὴν δὲ ἱερατικήν, ἥ ἐστι θεῶν θεραπεία, ἐντεῦθέν ποθεν ἀπὸ τῶν περικοσμίων αἰτιῶν ἄρχεσθαι, καὶ περὶ ταῦτα πραγματεύεσθαι, ψυχῶν περὶ ἀθανασίας, ὅτι κατὰ τὰ αὐτὰ καὶ Αἰγυπτίοις φιλοσοφεῖται, ἔτι τῶν ἐν Ἅιδου μυρίων λήξεων παντοίων πρὸς ἀρετὴν καὶ κακίαν ἀφωρισμένων τῶν τε περὶ τὸν βίον μυρίων μεταβολῶν, ὡς ἄλλοτε ἐν ἄλλοις σώμασιν ἢ γένεσι ζῴων καὶ φυτῶν διατριβουσῶν. Αἰγύπτιοι δὲ ταῦτά εἰσιν οἱ πρῶτοι φιλοσοφοῦντες· ἀπὸ γὰρ τῶν Αἰγυπτίων ἕκαϛα τούτων οἱ Πυθαγόρειοι ἐξήνεγκαν εἰς τοὺς Ἕλληνας.

ἱέρατο ὑπερσυντελικὸς διὰ τοῦ ο μικροῦ. ἱεράτω δέ, κατὰ νόμον ὀργιαζέτω καὶ θυέτω· ὀργεῶνες γὰρ οἱ θύται.

ἱερὰ τριήρης λέγοιτ' ἂν ἡ Πάραλος. Harp.

ἱέρεια θύτρια.

ἱερείας ἐνύπνιον. ἄλλοι δέ φασι δεῖν μᾶλλον Ἱμεραίας ἐνύπνιον λέγεσθαι. Ἱμεραία δὲ γραῦς τις, ὥς φασιν, ὁρᾶν ἑαυτὴν ἐδόκει ἀναγομένην εἰς οὐρανούς, καὶ δῆτα ἐλθοῦσαν εἰς τὰ τοῦ Διὸς οἰκήματα θεάσασθαι ἄνδρα πυρρόν, δεδεμένον ἁλύσει σιδηρᾷ ὑπὸ τὸν βασιλέως θρόνον, πυθομένην δὲ τίς εἴη "ὁ ἀλάϛωρ" ἀκοῦσαι "τῆς Σικελίας." τὸ μὲν ἐνύπνιον ἐν τούτῳ, ὕϛερον δὲ χρόνοις ἰδοῦσα τυραννοῦντα τὸν Διονύσιον τό τε ὄναρ πολλοῖς διηγήσατο καὶ αὐτὸν εἶναι τὸν τεθεαμένον ἀπήγγειλεν· ἣν ὀργισθεὶς ἀπέκτεινε Διονύσιος.

ἱερεῖον θῦμα, πᾶν τὸ θυόμενον θεῷ.

ἱερείτης ὁ ἱερεύς.

Ἱερεμίας ὄνομα κύριον. ζήτει περὶ τῶν ἁγίων ὀϛῶν τοῦ προφήτου ἐν τῷ Ἀργόλαι.

ἱέρευσεν ⟨Hom. B 402⟩ ἔθυσεν.

ἱερή θαυμαϛή.

Ἱεριχώ ὄνομα πόλεως. καὶ Ἱεριχοῦντια τείχη, διὰ τοῦ ι. Σεμιράμεια δέ.

Ἱεροβάαλ. οὕτως ἐκαλεῖτο ὁ Γεδεὼν διὰ τὸ καταβαλεῖν τὸ ἱερὸν τοῦ Βάαλ.

a Ἱεροβοάμ ἀδελφὸς Γεδεὼν πλείϛας εἶχε γυναῖκας, ἐξ ὧν υἱοὺς ο' πεποίητο, καὶ ἕνα ἐκ παλλακῆς. Iudic. 8.

ὅτι Ἰωάθαμ εἰς Γαριζὶν ἀνελθών, ὅπερ

ἅγιον ὄρος ἑρμηνεύεται, μῦθόν τινα διηγησάμενος προεδήλωσε τῷ τε Ἀβιμέλεχ καὶ τῶν ὑπηκόων αὐτοῦ μέλλουσαν ἔχθραν ἀποβήσεσθαι. Iudic. 9.

b ὅτι Ἱεροβοὰμ ὑπονοήσας, εἰ ἀνέρχοιτο ὁ λαὸς εἰς Ἱερουσαλὴμ προσκυνήσων, ἐπιστρέψειν αὐτοὺς ἀπὸ τῆς ἀποστασίας ἐπὶ τὸ Δαβὶδ γένος, δαμάλεις δύο χρυσᾶς τὴν μὲν ἐν Βεθὴλ τὴν δὲ ἐν φυλῇ Δὰν ἀναθείς, ἐκέλευε τούτους ἡγεῖσθαι θεοὺς οἳ ἐξήγαγον τοὺς πατέρας ἐκ γῆς Αἰγύπτου, κἀνταῦθα προσκυνεῖν ἐδικαίου παραιτουμένους Ἱερουσαλήμ, προφάσει πορείας τῆς πολλῆς. ἱερεῖς τε ὡς ἔτυχεν ἐπέστησε· τοὺς γὰρ Λευίτας ἐξέωσεν εἰς Ἱερουσαλήμ. ἑορτὰς δὲ τὰς αὐτὰς ἔταξε ταῖς ἐν τῷ ναῷ. καὶ ὁ λαὸς εὐδιάφθορος ὢν ἐξηκολούθησεν οὐχ ἄκων. 3 Regg. 12.

c Ἱεροβοάμ. οὗτος κατασκευάσας βασίλειον ἐν Σικίμῳ πόλει ἐν ταύτῃ τὴν δίαιταν ἔσχε, κατεσκεύασε δὲ καὶ ἐν Φανουὴλ πόλει λεγομένῃ. μετ' οὐ πολὺ δὲ τῆς σκηνοπηγίας ἑορτῆς ἐνίστασθαι μελλούσης, λογισάμενος ὡς ἐὰν ἐπιτρέψῃ τῷ πλήθει προσκυνῆσαι τὸν θεὸν εἰς Ἱεροσόλυμα πορευθέντι καὶ ἐκεῖ τὴν ἑορτὴν διαγαγεῖν, μετανοῆσαν ἴσως καὶ δελεασθὲν ὑπὸ τοῦ ναοῦ καὶ τῆς θρησκείας τῆς ἐν αὐτῷ τοῦ θεοῦ καταλείψει μὲν αὐτόν, προσχωρήσει δὲ τῷ πρώτῳ βασιλεῖ, καὶ κινδυνεύσει τούτου γενομένου τὴν ψυχὴν ἀποβαλεῖν, ἐπιτεχνᾶταί τι τοιοῦτον. δύο ποιήσας δαμάλεις χρυσᾶς καὶ οἰκοδομήσας ναΐσκους τοσούτους, ἕνα μὲν ἐν Βεθὴλ πόλει τὸν δὲ ἕτερον ἐν Δάνῃ, ἣ ἐστι πρὸς ταῖς πηγαῖς τοῦ μικροῦ Ἰορδάνου, τίθησι τὰς δαμάλεις ἐν ἑκατέρῳ τῶν ἐν ταῖς πόλεσι ναΐσκων, καὶ παραινεῖ αὐτοὺς θῦσαι ταύταις. Ioseph. A. I. 8 8 4.

d Ἱεροβοὰμ βασιλεὺς ἕτερος τῶν Ἰσραηλιτῶν ἔτη μ', ὃς τὰ μὲν εἰς θεὸν ὑβριστὴς ἦν καὶ παράνομος δεινῶς ἐγένετο, εἴδωλά τε σεβόμενος καὶ πολλοῖς ἀτόποις καὶ ξένοις ἐγχειρῶν ἔργοις· ὃς τῷ λαῷ τῶν Ἰσραηλιτῶν μυρίων κακῶν αἴτιος ὑπῆρχεν.

ἱερογραμματεῖς. οὗτοι παρ' Αἰγυπτίοις ἦσαν δεινοὶ περὶ τῶν μελλόντων τὴν ἀλήθειαν εἰπεῖν. καὶ τούτων τις ἀγγέλλει τῷ βασιλεῖ τεχθήσεσθαί τινα κατ' ἐκεῖνον τὸν καιρὸν τοῖς Ἰσραηλίταις, ὃς ταπεινώσει μὲν τὴν Αἰγυπτίων ἡγεμονίαν, αὐξήσει δὲ τοὺς Ἰσραηλίτας τραφείς, ἀρετῇ τε πάντας ὑπερβαλεῖ καὶ δόξαν ἀείμνηστον κτήσεται, περὶ Μωυσέως λέγων. καὶ αὖθις· Σενύης Αἰγυπτίων βασιλεὺς δίκαιος πάνυ. ἕπεται δὲ τῷ τρόπῳ τοῦ ἀνδρὸς τούτου ἄλλα μὲν ἐκ θεοῦ ἀγαθά, καὶ μέντοι καὶ ἱερογραμματέα ᾄδουσιν οἱ Αἰγύπτιοι λόγοι κατ' αὐτὸν γενέσθαι θεοφιλῆ τε καὶ ἐς πολλὰ λυσιτελῆ, ὄνομα αὐτῷ Ἰαχίμ, ὅν φασι περιάπτων καὶ ἐπαοιδῶν ἔμπειρον γενέσθαι. cf. v. Ἰαχήν.

ἱεροκῆρυξ.

Ἱεροκλῆς φιλόσοφος Ἀλεξανδρεύς. οὗτος μετὰ τοῦ ἀτρέπτου καὶ μεγαλοπρεποῦς εὖρους τε τὴν διάνοιαν εἰς ὑπερβολὴν καὶ διαφέρων εὐγλωττίᾳ καὶ εὐπορίᾳ τῶν καλλίστων ὀνομάτων καὶ ῥημάτων κατέπληττε πανταχοῦ τοὺς ἀκροωμένους. ἦν δὲ αὐτῷ καὶ μαθητὴς Θεοσέβιος, ἀνήρ, εἴπερ τις ἕτερος ὧν ἡμεῖς ἴσμεν, εἰωθὼς ἀποβλέπειν ἐς τὰς τῶν ἀνθρώπων ψυχάς. ἔλεγε δὲ ὁ αὐτὸς Θεοσέβιος ἐξηγούμενον φάναι ποτὲ τὸν Ἱεροκλέα, κύβοις ἐοικέναι τοὺς Σωκράτους λόγους· ἀπτῶτας γὰρ εἶναι πανταχοῦ, ὅπῃ ἂν πέσωσι. τοῦ δὲ Ἱεροκλέους τὸ ἀνδρεῖον καὶ μεγαλόθυμον ἦθος ἀπέδειξεν ἡ συμβᾶσα τύχη περὶ αὐτόν. εἰς γὰρ τὸ Βυζάντιον ἀνελθὼν προσέκρουσε τοῖς κρατοῦσι, καὶ εἰς δικαστήριον ἀχθεὶς ἐτύπτετο τὰς ἐξ ἀνθρώπων πληγάς· ῥεόμενος δὲ τῷ αἵματι, βάψας κοίλην τὴν χεῖρα, προσραίνει τὸν κριτὴν ἅμα λέγων "Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα." φυγὴν δὲ καταικριθεὶς καὶ ἐπανελθὼν χρόνῳ ὕστερον εἰς Ἀλεξάνδρειαν συνεφιλοσόφει τὰ εἰωθότα τοῖς πλησιάζουσιν. ἔξεστι δὲ μαθεῖν τὴν Ἱεροκλέους μεγαλογνώμονα φρόνησιν ἀπὸ τῶν συγγραμμάτων ὧν γέγραφεν εἰς τὰ χρυσᾶ ἔπη τῶν Πυθαγορείων, καὶ ἑτέρων βιβλίων περὶ προνοίας συχνῶν, ἐν οἷς φαίνεται ὁ ἀνὴρ τὴν μὲν ζωὴν ὑψηλόφρων, τὴν δὲ γνῶσιν οὐκ ἀκριβής. Damasc. Phot. p. 338 b.

ἱερολογία ἡ θεία λειτουργία.

ἱερομηνία ἱερὰ ἑορτὴ κατὰ μῆνα.

ἱερομηνίαι. αἱ ἑορτώδεις ἡμέραι ἱερομηνίαι καλοῦνται· Δημοσθένης κατὰ Τιμοκράτους ⟨29⟩. Harp.

ἱερομνήμονες οἱ εἰς Πυλαίαν ἐκπεμ- a
πόμενοι γραμματεῖς.

ἱερομνήμονες. οἱ πεμπόμενοι εἰς τὸ τῶν b
Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται. Harp.

ἱερομύστης ἱερὰ μυστήρια εἰσηγούμενος, ἅγιος.

ἱερὸν ἅγιον, τῷ θεῷ ἀνατεθειμένον· ἱερὸν γὰρ λέγουσι πᾶν τὸ ἀνατιθέμενον τοῖς θεοῖς ⟨sch. A Plut. 938⟩. καὶ παροιμία "ἱερὸν ἡ συμβουλή," ἐπὶ τῶν δεινῶν συμβουλεύειν.

ἱερὸν ἰχθῦν Ὅμηρος ⟨Π 407⟩ τὸν ἄνετον καὶ αὐτεξούσιον λέγει, οὐ τὸν κάλλιχθυν ἢ τὸν πομπίλον, ὥς τινες.

ἱερόν τι νεωκορήσας ⟨Plato RP 9 p. 574 D⟩ εὐφημότερον ἀντὶ τοῦ ἱεροσυλήσας.

Ἱερόντιον ὄνομα πόλεως.

ἱεροποιός.

ἱερὸς λέγεται καὶ ὁ εὐσεβής.

Ἱεροσόλυμα ὄνομα πόλεως.

ἱερὸς πόλεμος. δύο ἐγένοντο ἱεροὶ πόλεμοι, Ἀθηναίοις πρὸς Βοιωτοὺς βουλομένους ἀφελέσθαι Φωκέων τὸ μαντεῖον, νικήσαντες δὲ Φωκεῦσι πάλιν ἀπέδωκαν· ὁ δὲ ἕτερος Ἀθηναίοις πρὸς Λακεδαιμονίους ὑπὲρ Φωκέων διὰ τὸ ἐν Δελφοῖς ἱερόν. sch. A Av. 557.

ἱερουργῶ αἰτιατικῇ.

Ἱερουσαλὴμ ὄνομα πόλεως.

a ἱεροφάντης μυσταγωγός, ἱερεύς. "καὶ ὡς οὐ μέλει τῶν ἀνθρωπείων τῷ θεῷ δεῖξαι φλεγόμενος, ὤθησεν ἑαυτὸν φέρων ἐς τὸ μέγαρον, ἔνθα δήπου τῷ μὲν ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν κατὰ τὸν τῆς τελετῆς νόμον, ἐκείνῳ δὲ οὐκ ἐξῆν. ἐπεὶ δὲ ἐτολμήθη οἱ τὸ τόλμημα, φρίκη τις αὐτὸν περιέρχεται, καὶ νοσεῖ νόσῳ μακροτάτῃ" ⟨cf. vv. εὐνοῦχος, μέγαρον, τηκεδόνι, φρίκη⟩.

b ἱεροφάντης. οὕτως ὠνομάσθαι φασὶ τὸν πρῶτον ἱεροφάντην τὸν ἀποφήναντα ἐκ τοῦ πολέμου ἀπιόντα τὰ ἱερά. Harp.

ἱεροφώνων ⟨an ἠεροφ. Hom. Σ 505⟩ μεγαλοφώνων.

ἱερῷ θείῳ, ἤτοι μεγάλῳ.

Ἱέρων. οὗτος τύραννος ἦν, ὃς πρῶτον μὲν δι' ἑαυτοῦ κατεκτήσατο τὴν τῶν Συρακουσίων βασιλείαν καὶ τὴν τῶν συμμάχων ἀρχήν, οὐ πλοῦτον, οὐ δόξαν, οὐχ ἕτερον οὐδὲν ἐκ τῆς τύχης ἕτοιμον παραλαβών, καὶ μὴν οὐκ ἀποκτείνας, οὐ φυγαδεύσας, οὐ λυπήσας οὐδένα τῶν πολιτῶν. καὶ διεφύλαξε τὸν αὐτὸν τρόπον· ἔτη γὰρ ν' καὶ δ' βασιλεύσας διετήρησε μὲν τῇ πατρίδι τὴν εἰρήνην, διεφύλαξε δ' αὐτῷ τὴν ἀρχὴν ἀνεπιβούλευτον, διέφυγε δὲ τὸν ταῖς ὑπεροχαῖς παρεπόμενον φθόνον· ὅς γε πολλάκις ἐπιβαλλόμενος ἀποθέσθαι τὴν δυναστείαν ἐκωλύθη κατὰ κοινὸν ὑπὸ τῶν πολιτῶν. εὐεργετικώτατος δὲ καὶ φιλοδοξότατος ὤν, ἐν περιουσίᾳ δὲ καὶ τρυφῇ καὶ δαψιλείᾳ πολλῇ διαγενόμενος ἐβίωσε πλείω τῶν ϟ' ἐτῶν, διεφύλαξε δὲ τὰς αἰσθήσεις πάσας καὶ τὰ μέρη τοῦ σώματος ἀβλαβῆ. τοῦτο δέ μοι δοκεῖ σημεῖον οὐ μικρὸν ἀλλὰ παμμέγεθες εἶναι βίου σώφρονος. Polyb. 7 8.

Ἱερώνυμος. τύραννος γέγονεν οὗτος. τι- a
νὲς δὲ τῶν λογογράφων τῶν ὑπὲρ τῆς καταστροφῆς αὐτοῦ γεγραφότων πολύν τινα πεποίηνται λόγον καὶ τῶν δεινῶν τῶν περὶ τὴν καταστροφὴν αὐτοῦ συμβάντων, ὥστε μήτε Φάλαριν μήτ' Ἀπολλόδωρον μήτ' ἄλλον μηδένα γεγονέναι τύραννον ἐκείνου πικρότερον. καὶ παῖς παραλαβὼν τὴν ἀρχήν, εἶτα μῆνας οὐ πλείω τριῶν καὶ δέκα ζήσας μετήλλαξε τὸν βίον. κατὰ δὲ τὸν χρόνον τοῦτον ἕνα μέν τινα καὶ δεύτερον ἐστρεβλῶσθαι καί τινας τῶν φίλων καὶ τῶν ἄλλων Συρακουσίων ἀπεκτάνθαι δυνατόν, ὑπερβολὴν δὲ γεγονέναι παρανομίας καὶ παρηλλαγμένην ἀσέβειαν οὐκ εἰκός. καὶ τῷ μὲν τρόπῳ διαφερόντως εἰκαῖον αὐτὸν γεγονέναι καὶ παράνομον φατέον, οὐ μὴν εἴς γε σύγκρισιν ἀκτέον οὐδενὶ τῶν προειρημένων τυράννων. ἀλλά μοι δοκοῦσιν οἱ τὰς ἐπὶ μέρους γράφοντες πράξεις, ἐπειδὰν ὑποθέσεις εὐπεριλήπτους ὑποστήσωνται καὶ στενάς, πτωχεύοντες πραγμάτων ἀναγκάζεσθαι τὰ μικρὰ μεγάλα ποιεῖν καὶ περὶ τῶν μηδὲ μνήμης ἀξίων πολλούς τινας διατίθεσθαι λόγους. ἔνιοι δὲ καὶ δι' ἀκρισίαν εἰς τὸ παραπλήσιον τούτοις ἐμπίπτουσιν. ὅσῳ γὰρ ἄν τις εὐλογώτερον καὶ περὶ ταῦτα τὸν ἀναπληροῦντα τὰς βίβλους καὶ τὸν ἐπιμετροῦντα λόγον τῆς διηγήσεως εἰς Ἱέρωνα καὶ Γέλωνα διάγοιτο, παρεὶς Ἱερώνυμον; καὶ γὰρ τοῖς φιληκόοις ἡδίων οὗτος καὶ τοῖς φιλομαθέσι τῷ παντὶ χρησιμώτερος. Polyb. 7 7.

Ἱερώνυμος Καρδιανός, ὃς τὰ ἐπ' Ἀλε- b
ξάνδρῳ πραχθέντα συνέγραψε. Καρδία δὲ ὄνομα πόλεως.

ἱερῶς μεγάλως.

ἱερῶσθαι. φησὶ Θουκυδίδης ⟨5 1⟩ "νομίσαντες κατὰ δή τινα παλαιὰν αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι." σημαίνει γὰρ τὸ ἱεροὺς νενομίσθαι καὶ οἷον καθιερῶσθαι.

ἵεσθην ⟨Hom. Σ 501⟩ προεθυμοῦντο, ἐπορεύοντο.

Ἰεσσαί ὄνομα κύριον.

ἵεται προθυμεῖται, πορεύεται. καὶ ἵετο.

Ἰεφθάε κριτὴς Ἰουδαίας ὁ ῥυσάμενος τὸν Ἰσραὴλ ἐκ χειρὸς Φιλιστιείμ, ὃς ηὔξατο τῷ θεῷ τὸ πρῶτον ὑπ' αὐτοῦ ὑπαντώμενον καταθύειν. ἐπεὶ οὖν τὴν ἑαυτοῦ θυγατέρα ἐπὶ τοῖς νικητηρίοις ὀρχουμένην ἐθεάσατο, ταύτην εὐθέως ἀνεῖλε. διὸ δὴ αἱ τῶν Ἰουδαίων παρθένοι τετραήμερον αὐτῆς κατ' ἔτος ἐπετέλεσαν μνήμην.

Ἰεχονίας ὄνομα κύριον.

ἱζάνω καθέζομαι.

ἵζει καθίζει, ἢ κάθηται.

ἰή. τοῦτο ψιλοῦται, ὅταν μὴ ᾖ ἐν ὕμνῳ· ἐκεῖ γὰρ δασύ ἐστιν. ὡς ἐφυμνίῳ δὲ κέχρηται Εὐριπίδης ⟨A Ran. 1307⟩ τῷ "ἰήκοπον ὦ πελάθεις ἐπ' ἀρωγάν."

ἰὴ ἰὴ ἰή ⟨A Pac. 194⟩ πρόσφθεγμά ἐστι καταφρονοῦντος. σημαίνει δὲ μῆκος τοῦτο λεγόμενον. φησὶ γάρ "ὅτ' οὐδὲ μέλλεις ἐγγὺς εἶναι τῶν θεῶν."

ἰῇ μιᾷ μιᾷ φωνῇ.

ἴῃ ἐπὶ μέλλοντος, ἀντὶ τοῦ ἔλθῃ.

ἰήιος ὁ τοξότης, ὁ Ἀπόλλων. καὶ ἰήιε Φοῖβε ⟨Hom. O 365?⟩.

ἰηίων τῶν μετ' εὐχῆς γινομένων, ἢ τῶν λοιμικῶν· ἰήιος γὰρ ὁ Ἀπόλλων, εἰς ὃν ἡ ἀγνεία τῶν λοιμῶν ἀναφέρεται. ἢ ὅτι ἐπίφθεγμα κοινόν ἐστι καὶ Ἀρτέμιδος· αἱ δὲ γυναῖκες ἐν ταῖς ἀνάγκαις τὰς τοιαύτας ἀφιᾶσι φωνάς. οἱ δὲ ἀκούουσι τῶν θρηνητικῶν. Σοφοκλῆς ⟨OR 174⟩ "οὐδὲ ἰηίων καμάτων ἀνέχουσι γυναῖκες," τουτέστιν οὐ περιγίνονται τῶν πόνων.

ἴηλα ἐδέσμευσα, καὶ ἰῆλαι ⟨Hom. φ 241⟩ ἐπικάμψαι.

ἰηλεμίσαι θρηνῆσαι, καὶ ἰηλεμίσθαι τεθρηνῆσθαι.

Ἰηοῦ βασιλεὺς Σαμαρείας, ὃς ἀνεῖλεν Ἰεζάβελ καὶ τοὺς υἱοὺς Ἀχαὰβ κατὰ τὸ ῥῆμα Ἠλιοῦ τοῦ προφήτου. ὃς συναθροίσας πᾶν τὸ πλῆθος τοῦ στρατοῦ ἔφη μετὰ πανουργίας "Ἀχαὰβ μὲν ἐδούλευσε τῷ Βάαλ ὀλίγα, Ἰηοῦ δὲ πολλὰ δουλεύσει αὐτῷ. καὶ νῦν πάντας καλέσατε πρός με τοὺς προφήτας καὶ ἱερεῖς τοῦ Βάαλ, ὅτι μεγάλη μοι θυσία τῷ Βάαλ. πᾶς γὰρ ὃς ἂν ἀπολείψῃ, οὐ ζήσεται." συναθροισθέντων οὖν ἁπάντων καὶ τοῦ εἰδωλείου πλησθέντος στόμα πρὸς στόμα ἔφη "ἐρευνήσατε εἰ ἔστι τῶν δούλων κυρίου τις." καὶ μὴ εὑρεθέντος ἀπέκτεινε πάντας, καὶ τὸν Βάαλ ἐνέπρησε. πλὴν οὐκ ἐφύλαξεν εἰς τέλος πορεύεσθαι ἐν νόμῳ κυρίου.

ἵησιν ἀφίησιν· "σχίζων τις ξύλα, ὡς εἶδε τὸν Κλέαρχον προσιόντα, ἵησι τῇ ἀξίνῃ" Ξενοφῶν ⟨Anab. I 5 12⟩.

ἵῃσιν ⟨Hom. I 701⟩ ἀπέλθῃ.

Ἰησονίδης Ἰάσονος παῖς.

Ἰησοῦς ὁ Χριστὸς καὶ θεὸς ἡμῶν. ὅτι ἐν τοῖς χρόνοις τοῦ εὐσεβεστάτου βασιλέως Ἰουστινιανοῦ γέγονεν ἄνθρωπός τις, ἀρχηγὸς τῶν Ἰουδαίων, Θεοδόσιος ὄνομα αὐτῷ, ὃς πλείστοις τῶν χριστιανῶν γνωστὸς ὑπῆρχε καὶ αὐτῷ τῷ μνημονευθέντι πιστῷ βασιλεῖ. κατὰ δὲ τοὺς χρόνους ἐκείνους ἦν τις ἄνθρωπος χριστιανός, Φίλιππος ὄνομα αὐτῷ, τὴν μέθοδον ἀργυροπράτης. οὗτος γνωστῶς ἔχων τὰ πρὸς τὸν Θεοδόσιον, καὶ πολλὴν πρὸς αὐτὸν σώζων τὴν γνησιότητα, προετρέπετο αὐτὸν καὶ ἐνουθέτει γενέσθαι χριστιανόν. ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὁ προλεχθεὶς Φίλιππος πρὸς τὸν λεχθέντα Θεοδόσιον τοιαῦτά τινα ἔλεγε. "τί δή ποτε σοφὸς ἀνὴρ ὑπάρχων καὶ ἀκριβῶς ἐπιστάμενος τὰ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένα περὶ τοῦ δεσπότου Χριστοῦ οὐ πιστεύεις αὐτῷ καὶ γίνῃ χριστιανός; πέπεισμαι γὰρ περὶ σοῦ ὅτι οὐκ ἀγνοῶν τὰ τῶν θεοπνεύστων γραφῶν προλεχθέντα περὶ τῆς τοῦ κοινοῦ ἡμῶν δεσπότου Χριστοῦ παρουσίας παραιτῇ τοῦ γενέσθαι χριστιανός. σπεῦσον οὖν σῶσαι τὴν σεαυτοῦ ψυχήν, πιστεύων εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα μὴ ἐπιμένων τῇ ἀπιστίᾳ κρίσεως αἰωνίου ὑπεύθυνον σεαυτὸν καταστήσῃς." ταῦτα ἀκούσας ὁ Ἰουδαῖος παρὰ τοῦ χριστιανοῦ λεγόμενα πρὸς αὐτὸν ἀπεδέξατο αὐτόν, εὐχαριστίας τε αὐτῷ τὰς διὰ λόγων προσήγαγε, καὶ τοιαῦτα πρὸς αὐτὸν ἀπεκρίνατο. "ἀποδέχομαι τὴν κατὰ θεόν σου ἀγάπην, ὅτι τὰ ὑπὲρ τῆς σωτηρίας τῆς ἐμῆς ψυχῆς σπουδάζων ἀγωνίζῃ, χριστιανόν με γενέσθαι προτρεπόμενος. διὸ ὡς ἐπὶ τοῦ θεοῦ τοῦ τὰ κρυπτὰ τῶν καρδιῶν ἐπισταμένου καὶ θεωροῦντος, ἀδόλως καὶ ἀνυποκρίτως καὶ μετὰ πάσης ἀληθείας τοὺς πρὸς σὲ λόγους ποιήσομαι. ὅτι μὲν οὖν παραγέγονεν ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένος, ὁ ὑφ' ὑμῶν τῶν χριστιανῶν προσκυνούμενος, πεπληροφόρημαι καὶ ὁμολογῶ τεθαρρηκὼς ὡς πρὸς γνήσιόν μου φίλον καὶ τὰ πρὸς εὐεργεσίαν μοι ἀεὶ σπου-

δάζοντα· ἀλλ' ἀνθρωπίνῳ λογισμῷ κρατούμενος οὐ γίνομαι χριϛιανός, καὶ ἐν τούτοις καταγινώσκω ἐμαυτοῦ. νῦν γὰρ Ἰουδαῖος ὑπάρχων ἀρχηγός εἰμι τῶν Ἰουδαίων, καὶ τιμῆς πολλῆς καὶ δώρων πολλῶν καὶ πάντων τῶν πρὸς τὴν ζωὴν ταύτην ἐπιτηδείων ἐν ἀπολαύσει τυγχάνω. ὑπολαμβάνω δὲ ὅτι οὐδὲ ἂν πατριάρχης τῆς καθολικῆς ἐκκλησίας γένωμαι ἢ ἀρχὰς μείζονας καὶ ὑπεροχὰς λάβω παρ' ὑμῶν, τοσαύτης θεραπείας ἀξιωθήσομαι. ἵνα οὖν μὴ τῶν δοκούντων τερπνῶν εἶναι ἐν τῷ βίῳ τούτῳ ἐκπέσω, καταφρονῶ τῆς μελλούσης ζωῆς, κακῶς τοῦτο ποιῶν. ἵνα δὲ τοὺς λόγους μȣ ἀληθεῖς τῇ σῇ ἀγάπῃ παραϛήσω, θαρρῶ σοι μυϛήριον, ὃ ἐϛι παρ' ἡμῖν τοῖς Ἑβραίοις ἀποκεκρυμμένον, ἐξ οὗ ἀκριβῶς ἐπιϛάμεθα ὅτι ὁ ὑφ' ὑμῶν τῶν χριϛιανῶν προσκυνȣ́μενος Χριϛὸς αὐτός ἐϛιν ὁ ὑπὸ τȣ̃ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένος, οὐ μόνον ἐξ αὐτῶν τῶν προγεγραμμένων, ἀλλὰ καὶ ἐκ τοῦ παρ' ἡμῖν ἐναπογράφȣ καὶ ἀποκεκρυμμένȣ μυϛηρίου. ἔϛι δὲ ὁ λόγος τȣ̃ μυϛηρίου τοιοῦτος. κατὰ τοὺς ἀρχαίȣς χρόνους, ἡνίκα ὁ ἐν Ἱεροσολύμοις νεὼς ἐκτίζετο, συνήθεια ἦν παρὰ τοῖς Ἰȣδαίοις ἰσαρίθμȣς τῶν παρ' ἡμῖν γραμμάτων, κβ' τυγχανόντων, ἱερεῖς ἐν τῷ ναῷ καθίϛασθαι· ὅθεν καὶ τὰ θεόπνευϛα βιβλία κβ' ἀπαριθμούμεθα. κῶδιξ οὖν ἀπέκειτο ἐν τῷ ναῷ, ἐν ᾧ ἀπεγράφετο ἑκάϛου ἱερέως τῶν κβ' ἡ προσηγορία, καὶ τὸ ὄνομα τοῦ πατρὸς καὶ τῆς μητρός. ἑνὸς οὖν τελευτήσαντος τῶν ἱερέων οἱ λοιποὶ συνήρχοντο ἐν τῷ ναῷ, καὶ ἐκ κοινοῦ ψηφίσματος καθίϛων ἀντὶ τȣ̃ τελευτήσαντος ἕτερον ἱερέα, πληροῦντες τὸν ἀριθμὸν τῶν κβ' ἱερέων· καὶ ἀπεγράφετο ἐν τῷ κώδικι ὅτι τῇδε τῇ ἡμέρᾳ ἐτελεύτησεν ὁ δεῖνα ἱερεύς, ὁ υἱὸς τοῦδε καὶ τῆσδε, καὶ ἀντ' αὐτοῦ προεχειρίσθη ὁ δεῖνα. τούτου οὖν τοῦ ἔθους κρατȣ̃ντος ἐν τῷ ἔθνει τῶν Ἰȣδαίων, συνέβη κατὰ τοὺς χρόνους ἐκείνους καθ' οὓς ὁ Ἰησοῦς ἐν τῇ Ἰουδαίᾳ διέτριβε, τελευτῆσαι ἕνα ἐκ τῶν κβ' ἱερέων, πρὶν ἄρξηται ἐμφανίζειν ἑαυτὸν ὁ Ἰησοῦς καὶ διδάσκειν πιϛεύειν τȣ̀ς ἀνθρώπους εἰς αὐτόν. συνῆλθον οὖν οἱ λοιποὶ ἱερεῖς ἐπὶ τῷ ποιῆσαι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως ἕτερον ἱερέα· καὶ ἑκάϛȣ προβαλλομένου τὸν νομιζόμενον αὐτῷ ἄξιον τȣ̃ γενέσθαι, οἱ λοιποὶ τȣ̃τον ὡς ἐλλιπῶς ἔχοντα πρὸς ἀρετήν, ἐξ ἧς ὀφείλει καταϛῆναι ἱερεύς, ἀπεδοκίμαζον· εἰ γὰρ σοφὸς ἦν ἤθει τε καὶ βίῳ χρηϛός, ἐν ἀγνοίᾳ δὲ τȣ̃ νόμȣ καὶ τῶν προφητῶν ἐτύγχανεν, ἀπρόσφορος ἱερατείας ἐκρίνετο. ȣ̔́τως οὖν πολλῶν ἱερέων ψηφισθέντων καὶ πάντων ἀποδοκιμασθέντων, εἷς τις ἱερεὺς ἐγερθεὶς ἔϛη εἰς τὸ μέσον, καὶ λέγει τοῖς λοιποῖς 'Ἰδού, πολλοὶ ὑφ' ὑμῶν ὀνομασθέντες ἀνεπιτήδειοι εὑρέθησαν πρὸς ἱερωσύνην· δέξασθε οὖν κἀμὲ λέγοντα περὶ ἑνὸς ἀνθρώπου ὀφείλοντος προχειρισθῆναι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως. ὑπολαμβάνω γὰρ ὅτι οὐδεὶς ἐξ ὑμῶν ἀπαρεσθήσεται τῷ παρ' ἐμȣ̃ γενομένῳ ψηφίσματι.' ἐπιτρεψάντων δὲ τῶν λοιπῶν ἱερέων εἶπεν ὅτι βούλομαι ἐγὼ γενέσθαι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τοῦ τέκτονος, ὅϛις νέος μὲν τῇ ἡλικίᾳ ἐϛί, λόγῳ δὲ καὶ βίῳ καὶ ἤθεσι χρηϛοῖς κεκόσμηται, καὶ ὑπολαμβάνω μηδένα ποτὲ τῶν ἀνθρώπων ὀφθῆναι ἐν λόγῳ ἢ ἐν βίῳ ἢ ἐν ἤθεσι τοιȣ̃τον οἷός ἐϛιν οὗτος. καὶ οἶμαι καὶ ὑμῖν πᾶσι τοῖς οἰκοῦσιν ἐν Ἱερουσαλὴμ τοῦτο γνωϛὸν καὶ ἀναντίρρητον ὑπάρχειν.' ἀκȣ́σαντες δὲ τὸν λόγον τοῦτον οἱ λοιποὶ ἱερεῖς ἀπεδέξαντο τὸν ἄνδρα καὶ ἐβεβαιώσαντο τὸ ψήφισμα, ἐπιτήδειον εἶναι ὑπὲρ πάντα ἄνθρωπον εἰς ἱερωσύνην τὸν Ἰησοῦν εἰρηκότες. ἔλεγον δέ τινες περὶ αὐτȣ̃ μὴ εἶναι ἐκ φυλῆς Λευί, ἀλλ' ἐκ φυλῆς Ἰούδα τυγχάνειν, τοῦ Ἰωσήφ τε υἱὸν αὐτὸν ὑπολαμβάνοντες εἶναι (οὕτω γὰρ παρὰ Ἰȣδαίοις ἐχρηματίζετο), τὸν δὲ Ἰωσὴφ ἐκ φυλῆς Ἰούδα, οὐκ ἐκ φυλῆς Λευὶ ἐμαρτύρουν πάντες· καὶ τούτου ἕνεκα, ὡς τῷ δοκεῖν μὴ ὄντα αὐτὸν ἐκ φυλῆς Λευιτικῆς, ἐκώλυον γενέσθαι ἱερέα. ὁ δὲ τȣ̃τον ὀνομάσας ἱερεὺς ἀποκριθεὶς πρὸς αὐτȣ̀ς εἶπε μικτὸν εἶναι τὸ γένος αὐτȣ̃· πάλαι γὰρ ἐν γενεαῖς ἀρχαίαις ἐπιμιξία τις γέγονε τῶν δύο φυλῶν, κἀκεῖθεν κατάγεσθαι τὸ γένος τοῦ Ἰωσήφ. τοῦτο οὖν ἀκούσαντες οἱ λοιποὶ ἱερεῖς συνῄνεσαν τῷ ψηφίσματι, καὶ κοινῇ βουλῇ πᾶσι τοῖς συνελθοῦσιν ἱερεῦσιν ἔδοξεν ἀντὶ τοῦ τελευτήσαντος ἱερέως τὸν Ἰησοῦν καταϛῆσαι. τῆς δὲ συνηθείας ἐχούσης μὴ μόνον τὸ ὄνομα τοῦ γινομένου ἱερέως ἀπογραφῆναι ἐν τῷ κώδικι, ἀλλὰ καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ, εἶπόν τινες αὐτῶν ὀφείλειν αὐτοὺς πρῶτον καλέσαι τοὺς γονεῖς καὶ παρ' αὐτῶν μαθεῖν τὰ ὀνόματα αὐτῶν, λαβεῖν δὲ καὶ κατάθεσιν αὐτῶν εἰ υἱὸς αὐτῶν ἐϛὶν ὁ πρὸς ἱερωσύνην

προχειριζόμενος· καὶ ἤρεσε τοῦτο πᾶσιν. ὁ οὖν προονομάσας τὸν Ἰησοῦν γενέσθαι ἱερέα ἔλεγε τετελευτηκέναι Ἰωσὴφ τὸν πατέρα Ἰησοῦ, μόνην δὲ τὴν τούτου ζῆν μητέρα. συνῆκαν οὖν ἅπαντες ἀγαγεῖν τὴν μητέρα αὐτοῦ εἰς τὸ συνέδριον, καὶ μαθεῖν παρ᾽ αὐτῆς εἰ μήτηρ τυγχάνει τοῦ Ἰησοῦ, καὶ εἰ αὐτὴ ἔτεκεν αὐτόν, καὶ τὸ ὄνομα τοῦ ἀνδρὸς αὐτῆς ἀκοῦσαι, ἐξ οὗ ἔτεκε τὸν Ἰησοῦν. καὶ δὴ τούτου πᾶσιν ἀρέσαντος ἐκάλεσαν τὴν μητέρα τοῦ Ἰησοῦ, καὶ εἶπον πρὸς αὐτήν 'ἐπειδήπερ ὁ δεῖνα ὁ ἱερεὺς ἐτελεύτησεν, ὁ υἱὸς τοῦδε καὶ τῆσδε, καὶ βουλόμεθα ἀντ᾽ ἐκείνου ποιῆσαι τὸν υἱόν σου Ἰησοῦν, ἔθος δέ ἐστιν ἀπογράφεσθαι τὸ ὄνομα τοῦ πατρὸς καὶ τῆς μητρός, εἰπὲ ἡμῖν εἰ ὁ Ἰησοῦς υἱός σού ἐστι, καὶ εἰ σὺ ἔτεκες αὐτόν.' ἡ δὲ Μαρία ἀκούσασα ταῦτα ἀπεκρίνατο λέγουσα πρὸς τοὺς ἱερεῖς 'ὅτι μὲν υἱός μού ἐστιν ὁ Ἰησοῦς ὁμολογῶ· ἐγὼ γὰρ ἐγέννησα αὐτόν, καὶ μαρτυροῦσί μοι οἱ εὑρεθέντες καὶ αἱ εὑρεθεῖσαι γυναῖκες τικτούσης μου αὐτόν· ὅτι δὲ οὐκ ἔχει ἐπὶ τῆς γῆς πατέρα, πληροφορίαν λάβετε παρ᾽ ἐμοῦ, ὡς βούλεσθε. παρθένου γὰρ τυγχανούσης μου καὶ ἐν τῇ Γαλιλαίᾳ διατριβούσης μου, ἄγγελος θεοῦ ἐγρηγορώσης μου, οὐ καθευδούσης, εἰσελθὼν ἐν ᾧ ἤμην οἰκήματι εὐηγγελίσατό μοι ἐκ πνεύματος ἁγίου τεκεῖν υἱόν, οὗ τὸ ὄνομα ἐνετείλατο καλέσαι Ἰησοῦν. παρθένος τοίνυν ὑπάρχουσα, ταύτην ἰδοῦσα τὴν ὀπτασίαν συνέλαβον, καὶ ἐγέννησα τὸν Ἰησοῦν μείνασα παρθένος μέχρι τῆς σήμερον, καὶ μετὰ τὸ τεκεῖν με.' ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἐκέλευσαν ἐλθεῖν μαίας πιστάς, καὶ ἐπέτρεψαν αὐταῖς πολυπραγμονῆσαι εἰ ἔτι ἀληθῶς παρθένος ἐστὶν ἡ Μαρία. αἱ δὲ ἐκ τῶν πραγμάτων λαβοῦσαι πληροφορίαν διεβεβαιώσαντο παρθένον αὐτὴν ὑπάρχειν. παρεγένοντο δὲ καὶ αἱ παρευρεθεῖσαι καὶ θεασάμεναι αὐτὴν τίκτουσαν, μαρτυροῦσαι ὅτι υἱὸς αὐτῆς ἐστὶν ὁ Ἰησοῦς. ἔκθαμβοι δὲ γενόμενοι οἱ ἱερεῖς ἐπὶ τοῖς λεγομένοις παρὰ τῆς Μαρίας καὶ τῶν μαρτυρησάντων περὶ τοῦ τόκου αὐτῆς, ἀποκριθέντες εἶπον τῇ Μαρίᾳ 'εἰπὲ ἡμῖν παρρησίᾳ, ἵνα ἐκ τοῦ στόματός σου ἀκούσωμεν, τίνος ἐστὶ καὶ τίνος υἱός, ἵνα οὕτως ἀπογραψώμεθα αὐτόν· οὓς γὰρ εἴπῃς ἡμῖν γονέας, τούτους ἡμεῖς καὶ οὐχ ἑτέρους ἀπογραψόμεθα.' ἡ δὲ ἀποκριθεῖσα εἶπεν ὅτι ἐν ἀληθείᾳ ἐγὼ αὐτὸν ἐγέννησα, πατέρα αὐτοῦ ἐπὶ γῆς μὴ ἐπισταμένη, ἀλλὰ παρὰ τοῦ ἀγγέλου ἤκουσα υἱὸν θεοῦ εἶναι αὐτόν. υἱὸς οὖν ἐμοῦ τῆς καλουμένης Μαρίας ἐστὶ καὶ υἱὸς τοῦ θεοῦ, καὶ μὴ γημαμένη παρθένος ὑπάρχω.' ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἤγαγον τὸν κώδικα, καὶ ἀπέγραψαν οὕτως 'τῇδε τῇ ἡμέρᾳ ἐτελεύτησεν ὁ ἱερεὺς ὁ δεῖνα, ὁ υἱὸς τοῦδε καὶ τῆσδε· καὶ γέγονεν ἀντ᾽ αὐτοῦ κοινῇ ψήφῳ πάντων ἡμῶν ἱερεὺς Ἰησοῦς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος καὶ Μαρίας τῆς παρθένου.' καὶ οὗτος ὁ κῶδιξ ἐσώθη ἀπὸ τοῦ ναοῦ σπουδῇ τῶν τὰ πρῶτα φερόντων παρὰ τοῖς Ἰουδαίοις κατὰ τὸν καιρὸν τῆς ἁλώσεως τοῦ ναοῦ καὶ τῶν Ἱεροσολύμων, καὶ ἀπόκειται ἐν Τιβεριάδι· καὶ τὸ μυστήριον τοῦτο ὀλίγοις πάνυ καὶ πιστοῖς τοῦ ἔθνους ἡμῶν ἔγνωσται. διὸ καὶ ἐμοὶ ὡς ἄρχοντι καὶ διδασκάλῳ τοῦ ἔθνους τῶν Ἰουδαίων ἀπεκαλύφθη. οὐ μόνον γὰρ ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν πεπληροφορήμεθα ὅτι ὁ ὑφ᾽ ὑμῶν τῶν χριστιανῶν προσκυνούμενος Χριστὸς αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ἐπὶ σωτηρίᾳ τοῦ κόσμου ἐλθὼν ἐπὶ γῆς, ἀλλὰ καὶ ἐκ τῆς ἀπογραφῆς, ἥτις καὶ σέσωσται μέχρι τῆς σήμερον καὶ ἀπόκειται ἐν Τιβεριάδι." ταῦτα ἀκούσας ὁ χριστιανὸς παρὰ τοῦ Ἰουδαίου πρὸς αὐτὸν λελεγμένα, τῷ θείῳ ζήλῳ κινηθεὶς ἔλεγε τῷ Ἰουδαίῳ ὅτι εὐθὺς καὶ παραχρῆμα ἀναφέρω τῷ πιστῷ καὶ εὐσεβεῖ βασιλεῖ τὰ ὑπὸ σοῦ λεγόμενα, ἵνα πέμψῃ ἐν Τιβεριάδι καὶ φανερώσῃ τὸν κώδικα ὃν λέγεις εἰς ἔλεγχον τῆς ἀπιστίας τῶν Ἰουδαίων. ὁ δὲ Ἰουδαῖος πρὸς τὸν χριστιανὸν ἔλεγε "τί θέλεις κρίμα τῇ σεαυτοῦ ψυχῇ προσαγαγεῖν, καὶ ἀναγαγεῖν τῷ βασιλεῖ, καὶ μὴ τυχεῖν τοῦ σπουδαζομένου; εἰ γάρ τι τοιοῦτον γένηται, πόλεμος μέγας μέλλει συνίστασθαι καὶ φόνοι παρακολουθήσουσι· καὶ τότε, ἐὰν ἴδωσιν ἑαυτοὺς καταπονουμένους, ἐμπρήσουσι τὸν τόπον ἐν ᾧ ἀπόκειται ὁ κῶδιξ, καὶ μάτην κοπιῶμεν, τοῦ σπουδαζομένου ἡμῖν μὴ κατορθουμένου, μόνον ἐκχύσεως αἱμάτων πρόξενοι γενόμενοι. ταῦτα γὰρ ὡς γνησίῳ φίλῳ φανερὰ πεποίηκα τῇ σῇ ἀγάπῃ, ἵνα πιστώσω σε ὅτι οὐκ ἐξ ἀγνοίας παραιτοῦμαι τὸν χριστιανισμὸν ἀλλ᾽ ἐκ κενῆς δόξης." ταῦτα ἀκούσας παρὰ τοῦ Ἰουδαίου ὁ χριστιανός, καὶ ἀληθῆ εἶναι πιστεύσας τὰ λεγόμενα παρ᾽ αὐτοῦ, τῷ μὲν πιστῷ βασιλεῖ Ἰουστινιανῷ τὸν τοιοῦτον λόγον οὐκ ἐγνώρισεν, ἵνα μὴ τῷ θείῳ ζήλῳ

ὁ πιςὸς ἐκεῖνος καὶ μέγας βασιλεὺς κινούμενος ἔκχυσιν αἱμάτων παρασκευάσῃ γενέσθαι, καὶ ταῦτα μηδὲ τοῦ σπουδαζομένου κατορθωθέντος· πολλοῖς δὲ τῶν γνωρίμων καὶ φίλων τὸν λόγον τῦτον ἐποίησε δῆλον. ὃν ἡμεῖς παρὰ τῶν ἀκȣσάντων ἀπὸ τοῦ προεξονομασθέντος Φιλίππου τοῦ ἀργυροπράτȣ μεμαθηκότες φροντίδα οὐ μικρὰν ἐθέμεθα, γνῶναι βουλόμενοι εἰ ἄρα ἀληθῶς τοὺς λόγους τούτους ὁ Ἰȣδαῖος εἴρηκε περὶ τῆς τοιαύτης ἀπογραφῆς. εὕρομεν οὖν Ἰώσηπον τὸν συγγραφέα τῆς ἁλώσεως Ἱεροσολύμων, οὗ μνήμην πολλὴν Εὐσέβιος ὁ Παμφίλȣ ἐν τῇ ἐκκλησιαςικῇ αὐτοῦ ἱςορίᾳ ποιεῖται, φανερῶς λέγοντα ἐν τοῖς τῆς αἰχμαλωσίας αὐτȣ̃ ὑπομνήμασιν ὅτι Ἰησοῦς ἐν τῷ ἱερῷ μετὰ τῶν ἱερέων ἡγίαζε. τοῦτο οὖν εὑρόντες λέγοντα τὸν Ἰώσηπον, ἄνδρα ἀρχαῖον ὄντα καὶ οὐ μετὰ πολυν χρόνον τῶν ἀποςόλων γενόμενον, ἐζητήσαμεν εὑρεῖν καὶ ἐκ τῶν θεοπνεύςων γραφῶν τὸν τοιοῦτον λόγον βεβαιούμενον. εὕρομεν οὖν ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ ὅτι εἰσῆλθεν ὁ Ἰησοῦς ἐν τῇ συναγωγῇ τῶν Ἰȣδαίων, καὶ ἐδόθη αὐτῷ βιβλίον, καὶ ἀνέγνω Ἡσαΐαν τὸν προφήτην λέγοντα "πνεῦμα κυρίου ἐπ᾽ ἐμέ· οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέςαλκέ με." ἀνελογισάμεθα δὲ ὅτι, εἰ μὴ τάξιν τινὰ λειτουργικὴν παρὰ τοῖς Ἰουδαίοις εἶχεν ὁ Χριςὸς Ἰησοῦς, οὐκ ἂν ἐν τῇ συναγωγῇ ἐδόθη αὐτῷ βιβλίον ἀναγνῶναι εἰς ἀκοὰς τοῦ λαοῦ· οὐδὲ γὰρ παρ᾽ ἡμῖν τοῖς χριςιανοῖς ἐπ᾽ ἐκκλησίας ἔξεςί τινα ἀναγνῶναι τῷ λαῷ βίβλους τῶν θεοπνεύςων γραφῶν, εἰ μή τις ἐν κλήρῳ καταλέγηται. καὶ ἐκ τῶν ὑπὸ Ἰωσήπου οὖν γραφέντων καὶ ἐκ τῶν ὑπὸ τȣ̃ εὐαγγελιςȣ̃ Λȣκᾶ ἱςορηθέντων ἔγνωμεν ὅτι Θεοδόσιος ὁ Ἰουδαῖος, τὸ προλεχθὲν διήγημα εἰπὼν τῷ μνημονευθέντι Φιλίππῳ τῷ ἀργυροπράτῃ, οὐκ ἐπλάσατο τȣ̃το, ἀλλ᾽ ἀληθῶς ὡς γνησίῳ φίλῳ τῷ Φιλίππῳ τὸ παρὰ Ἰουδαίοις ἀποκεκρυμμένον μυςήριον ἐθάρρησεν.

ἰητήρ ὁ ἰατρός, καὶ ἰητρός.

ἰθαγενής αὐτόχθων, γνήσιος παῖς, ὁ ἰθὺ καὶ ἀδιάςροφον ἔχων τὸ γένος. Ἀγαθίας ⟨1 20⟩ "τούς γοῦν ἐκ παλαιοῦ οἰκήτορας καὶ ἰθαγενεῖς ἀνέκαθεν ἡγεμόνας τὴν γῆν ἀνακομίσασθαι."

ἰθαιγενής ἀντὶ τοῦ ἐνταῦθα γεννηθείς.

Ἰθαιμένιος ⟨Hom. Π 586⟩.

Ἰθάκη πόλις, καὶ Ἰθακήσιος ὁ πολίτης.

Ἴθακος ⟨Hom. ρ 207⟩ ὄνομα κύριον.

ἰθεῖα εὐθεῖα, ὀρθή· ⟨AP 6 267⟩ "ȣ̓ γὰρ ἀφαυρῶς ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης."

ἰθέως ὀρθῶς.

ἴθι ἔρχου, ἢ πορεύου. Ἀριςοφάνης Νεφέλαις ⟨110⟩ "ἴθ᾽, ἀντιβολῶ σε." πορεύου. νῦν δὲ πείσθητί μοι. ἀντιβολῶ σε, παρακαλῶ σε, ἀττικῶς. ὁ αὐτὸς ἐν Βατράχοις ⟨496⟩ "ἴθι νῦν, ἐπειδὴ ληματιᾷς," ἀντὶ τοῦ ἄγε· συνωνυμεῖ γὰρ τῷ δεῦρο. σημαίνει καὶ τὸ ἄγε.

ἴθματα ⟨Hom. Ε 778⟩ ἴχνη, βήματα, δικαιώματα, ὁρμάς. ... "τὸ δὲ σίνηπι διεκρίθη ὑπὸ τοῦ λεγομένου ἠθμοῦ." cf. v. ἠθμός.

ἴθ᾽ ὄρος. παροιμιῶδες ἐπὶ τῶν παρακελευομένων.

ἰθύ καὶ ἰθύς καὶ ἰθεῖα, ἐπ᾽ εὐθείας. Ἡρόδοτος ⟨3 127⟩ "ἐκ μὲν δὴ τῆς ἰθείας ςρατὸν ἐπ᾽ αὐτὸν ȣ̓κ ἐδόκεε πέμπειν ἅτε οἰδεόντων ἔτι τῶν πραγμάτων," ἀντὶ τοῦ ἐκ τοῦ προφανοῦς, παρευθύ.

ἰθύνει ⟨Hom. Ρ 632⟩, αἰτιατικῇ, διοικεῖ, κατευθύνει, ὀρθοῖ.

ἰθυντήρ ὁδηγός, κυβερνήτης, χαλινός, πηδάλιον.

ἴθυσεν ⟨Hom. Ο 693⟩ ἐπ᾽ εὐθείας ὥρμησεν.

ἰθυτενές εἰς εὐθεῖαν τεταμένον.

ἰθύφαλλοι οἱ ἔφοροι Διονύσȣ καὶ ἀκο- a
λουθοῦντες τῷ φαλλῷ, γυναικείαν ςολὴν ἔχοντες. λέγεται δὲ φαλλὸς ὁτὲ μὲν τὸ ἐντεταμένον αἰδοῖον· καὶ ποιήματα δὲ καλεῖσθαι, ἃ ἐπὶ τῷ ἱςαμένῳ φαλλῷ ᾄδεται μετ᾽ ὀρχήσεως. cf. v. σῆμος.

ἰθύφαλλοι οἱ εἰς τοὺς μηροὺς μόνον, b
οὐχὶ δὲ καὶ ἐν τοῖς τραχήλοις ἐπ᾽ εὐθείας δεσμούμενοι, ἐξ ἐρυθρῶν δερμάτων. εἴρηται ἐν τῷ περὶ φαλλοῦ.

Ἰθώμη ὄνομα πόλεως.

Ἰθωμήτης ὄνομα κύριον.

ἷκανε ⟨Hom. Β 17⟩ παρεγένετο.

ἱκανός ὁ ἀρκῶν· ὁ γὰρ ἱκάνων, ὃ ἐςι παραγινόμενος, ἤρκεσε πρὸς τὴν ὁδόν. Ἀριςοφάνης Πλούτῳ ⟨483⟩ "ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσι;" καὶ ἱκανὸς ὁ θεός.

ἱκανῶς ἔχω γενικῇ.

Ἰκαριεύς δῆμος φυλῆς τῆς Αἰγηίδος. Harp.

Ἰκάριος ὄνομα κύριον.
Ἴκαρος ὄνομα κύριον.
ἱκέσθην ⟨Hom. Λ 328⟩ παρεγένοντο.
ἱκεσία ἡ ἱκέτευσις.
ἱκέσιος ὁ ἱκέτης.
Ἱκετάονος ⟨Hom. Γ 147⟩ ὄνομα κύριον.
ἱκέτευμα ⟨Thuc. 1 137⟩ τὸ δουλοπρεπῶς παρακαλεῖν καὶ ἱκετεύειν. ⟨Dio Cass. 68 21⟩ "ὁ δὲ Αὔγαρος ἀπήντησε Τραϊανῷ προσιόντι, καὶ συγγνώμης ἔτυχεν· ὁ γὰρ παῖς λαμπρόν οἱ ἱκέτευμα ἦν."
ἱκετεύω αἰτιατικῇ. **ἱκετεία** ἡ ἱκεσία. ἱκετεία δὲ ἱκετηρίας διαφέρει. ἱκετεία μὲν γάρ ἐςιν ἣν ποιεῖταί τις διὰ τῶν λόγων, ὅταν δέηται συγγνώμης τυχεῖν ἢ ἐλέυς· Ἀντιφῶν "περὶ τοῦ μὴ ἐλεεῖν ὑμᾶς ἐμὲ ἐδεήθη, δείσας μὴ ἐγὼ δάκρυσι καὶ ἱκετείαις πειρῶμαι ὑμᾶς ἀναπείθειν." ἱκετηρία δέ ἐςιν ἣν οἱ δεόμενοι κατατίθενταί που ἢ μετὰ χεῖρας ἔχουσιν.
ἱκετηρία ὁ θαλλὸς τῆς ἐλαίας. ὁ δὲ Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ ⟨15⟩. ἱκετηρία καλεῖται ἐλαίας κλάδος ςέμματι ἐστεμμένος. Harp.
ἱκέτης ὁ δουλοπρεπῶς παρακαλῶν καὶ δεόμενος περί τινος ὁτουοῦν.
ἱκέτω παραγενέσθω.
ἰκμάζω ὑγραίνω, καὶ **ἰκμάς** ἡ ὑγρασία.
ἴκμενον ⟨Hom. Α 479⟩ πορευτικὸν ἄνεμον.
ἱκνοῦμαι ἔρχομαι, ἱκετεύω. καὶ **ἱκνόμενος** παρακαλῶν.
Ἰκόνιον ὄνομα πόλεως. καὶ **Ἰκονιαῖος**.
ἵκοντο παρεγένοντο.
ἵκου ἐλθέ· ⟨S OC 740⟩ "ἀλλ' ὦ ταλαίπωρ' Οἰδίπυς, κλύων ἐμοῦ ἵκυ πρὸς οἴκυς."
ἰκρία ὀρθὰ ξύλα, ἢ σανιδώματα τῆς νηός. καὶ τὰ τῶν θεάτρων, ἃ ἦσαν καὶ ἐν ταῖς ἐκκλησίαις· ἐπὶ ξύλων γὰρ ἐκάθηντο. πρὶν γένηται τὸ θέατρον, ξύλα ἐδέσμευον καὶ οὕτως ἐθεώρουν. Ἀριςοφάνης Θεσμοφοριαζούσαις ⟨402⟩ "ὥς' εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἰκρίων ὑποβλέπυσ' ἡμᾶς." "προβλήματα δὲ ξύλων κατὰ τῶν ἡμιτελέςων ἐφίςασαν, καὶ ἴκρια προσπήξαντες διαβάσεις παρ' αὐτὰ σφᾶς ἐμηχανῶντο." cf. v. ἐδωλιάσαι.
ἴκριον. "ἰκρίῳ Ἰυδαῖοι τὸν σωτῆρα προσήλωσαν." "ἴκριον γὰρ ἐπὶ τῷ τάφῳ κεῖσθαι τοῦ Θουκυδίδου· κενοταφίου δὲ γνώρισμα ἐπιχώριον καὶ νόμιμον Ἀττικὸν τῶν ἐπὶ δυςυχίᾳ τετελευτηκότων καὶ μὴ ἐν Ἀθήναις ταφέντων" ⟨Marcellin. vit. Thuc.⟩.

ἴκταρ πλησίον, ἐγγύς· εἴρηται δὲ παρὰ τὸ ἐφικνεῖσθαι. καὶ παροιμία "οὐδ' ἴκταρ βάλλει." εἴρηται δὲ κατὰ γλῶτταν, ὥσπερ τὸ διωλύγιον.
ἰκτεριᾶν. ὅτι τοῖς ἰκτεριῶσι πᾶς χυμὸς δοκεῖ πικρὸς εἶναι διὰ τὸ τὴν ὑγρότητα τὴν περὶ τὴν γλῶτταν τοῦτον ἔχειν τὸν χυμόν, οὗ πρῶτον γενομένη ἐκ ἀντιλαμβάνεται τῶν προσφερομένων. ζητήσειε δ' ἄν τις. εἰ πικρὸς ὁ περὶ τὴν γλῶτταν χυμός, ἔδει, ὁπηνίκα προσφέρεται τὸ μέλι, ἧττον δοκεῖν πικρὸν εἶναι, ἐμμεμιγμένυ τοῦ γλυκέος καὶ κολάζοντος τὴν ἀμετρίαν τοῦ πικροῦ. νῦν δὲ ὅταν προσφέρηται τὸ γλυκύ, τότε τῆς πικρίας μᾶλλον ἀντιλαμβάνεται. ἀλλὰ διὰ τὸ ἠρεμεῖν πρὸ τούτου τὴν αἴσθησιν, οὐκ ἀντιλαμβάνεται τοῦ περὶ αὐτὴν χυμοῦ, ἐπεὶ ἐὰν μηδενὸς προσενεχθέντος κινηθῇ, μᾶλλον αἰσθήσεται τῆς πικρότητος. ὥσπερ οὖν ὁ ὑγρὰν ἔχων τὴν γλῶτταν ἧττον αἰσθάνεται, οὕτω καὶ ὁ ἄγαν ξηράν· δεῖ γὰρ παθεῖν τι τὸ αἰσθητήριον ὑπὸ τοῦ γευσοῦ ὑγρῦ ὄντος. τὸ δὲ ἄγαν ξηρὸν ἧττον πάσχει ὑπὸ τοῦ ὑγροῦ καὶ διὰ πλείονος χρόνου. δηλοῦσι δὲ αἱ κατεξηραμμέναι τῶν βυρσῶν, ἐπὶ πολὺν χρόνον μὴ πάσχουσαι ὑπὸ τοῦ ὑγροῦ. Philopon. in 2 de anima.
ἴκτερος νόσος ἐκ χολῆς συνισταμένη· "τοὺς ἰκτέρῳ χρωσθέντας ὥσπερ χρυσίῳ." λέγουσι δὲ εἶναι πόνον ὠχροειδῆ ἀπὸ θυμῦ ἐγειρόμενον, ὥςε τοὺς ὀφθαλμὺς τῶν κεκρατημένων ὠχροὺς καὶ μέλανας ποιεῖν ὡς καὶ τῶν ἰκτίνων, ἀφ' οὗ καὶ καλεῖται.
ὅτι οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται πρὸς ὄρνιν τὸν χαραδριὸν ἀποβλέψαντες. καὶ ἔςιν ἐν τῷ χαραδριός.
ἰκτῆρας ἱκετευτικούς· "ἵςασθε τούσδ' ἄραντες ἰκτῆρας κλάδους" ⟨S OR 143⟩.
Ἰκτῖνος ὄνομα κύριον.
ἰκτῖνος εἶδος ὄρνιθος ἁρπακτικοῦ, ἐν a ἔαρι φαινομένυ. καὶ παροιμία "προκυλινδεῖσθαι ἰκτίνοις." ἔαρος γὰρ ἀρχομένυ ἴκτινος φαίνεται, ἐφ' ᾧ ἡδόμενοι ἐκυλινδοῦντο ὡς ἐπὶ γόνυ πίπτοντες εἰς βασιλέα· ἴδιον γὰρ βασιλέων τὸ ἐξ ἀνθρώπων γονυπετεῖσθαι. ἢ ὅτι τὸ διὰ μεταβολῆς καιροῦ γινόμενον εἰς βασιλικὴν ἐπέτρεψε τιμήν· οἱ γὰρ ἰκτῖνοι τὸ ἔαρ σημαίνουσιν. οἱ πένητες οὖν ἀπαλλαγέντες χειμῶνος προεκυλινδοῦντο καὶ προσεκύνουν αὐτούς. sch. A Av. 501.

b ἰκτῖνος εἶδος ὀρνέυ. "οὐ γὰρ οἶμαι ῥᾴδιον ἐν γήραι μετατιθεμένῳ διαφυγεῖν τὸν λεγόμενον ὑπὲρ τοῦ ἰκτίνου μῦθον, ὃς ὄρνις ὢν ἐπιθέμενος τῷ χρεμετίζειν ἀμφοῖν ἁμαρτεῖν, ἀγροικίας τε ἅμα καὶ δεξιότητος" (Iulian. p. 366).

ἴκτις ἴκτιδος εἶδος ζώου, ὡς οἱ κάσορες. ἢ ἔνυδρόν ἐςιν, ἰχθυοφάγον (sch. A Ach. 880). καὶ ἰκτιδέα τὸ τοῦ αἰλούρου δέρμα.

ἴκω καταλαμβάνω.

ἰλαδὸν ἐν ἀθροίσει, κατὰ ἴλας. δηλοῖ δὲ καὶ τὸ δασύ.

ἵλαθι ἵλεως ἴσο.

ἵλαος (Hom. Α 583) ὁ ἵλεως καὶ εὐμενής.

ἰλαπινάζω εὐωχοῦμαι.

ἰλαπίνας θυσίας, ἑορτάς, εὐωχίας.

a Ἰλάριος Ἀντιοχεὺς τῆς ἐν Συρίᾳ πόλεως, ἐν τῷ βυλευτηρίῳ τὰ πρωτεῖα φέρων, ἐπιεικὴς δὲ τὴν φύσιν ὢν καὶ φιλομαθὴς καὶ προσέτι ὀξὺς ἐν τοῖς λόγοις καὶ βιβλίων παντοδαπῶν εὐπορώτατος, ὅμως ὀψιμαθὴς ἐγεγόνει λόγων φιλοσόφων· πολιτεύεσθαι γὰρ ἀναγκαζόμενος τὰ κοινὰ πολιτεύματα τῆς πατρίδος οὐδεμίαν εἶχε σχολὴν πρὸς φιλοσοφίαν. ἐνῆν δὲ αὐτῷ δυσάγωγον ἦθος ἐν τῇ νεότητι πρὸς σωφροσύνην, ὥςε καὶ τοῦτο πολλὴν ἀσχολίαν παρείχετο οἱ πρὸς καλλίω βίον. ἀλλὰ γὰρ ἡ τύχη σοφώτερον τέτῳ κατέςη καὶ ὁ καιρὸς ἅμα, παρηκέσης ἤδη τῆς ἀκρατοῦς ἡλικίας· ἀτύχημα γάρ τι συνέβη κατὰ τὸν οἶκον, ὅπερ εὐτύχημα ἀπέβη κατὰ τὸ ἀληθέςερον. ἡ γὰρ γυνὴ αὐτοῦ τῶν οἰκείων τινὶ συμφθειρομένη κατείληπτο. ὁ οὖν οἰκοφθόρος τὸ ἐπιτήδευμα ῥήτωρ ἐγεγόνει, Μόσχος δὲ ὄνομα, τυγχάνων δὲ τῦ Ἰλαρίου τινὸς εὐνοίας καὶ οἰκειότητος ἄδικος ἐφάνη περὶ τὸν εὐεργέτην· ἑάλω γὰρ συνὼν τῇ γυναικί. καὶ ὃς οὐδὲν ταραχθεὶς ἐπὶ τῇ συμφορᾷ πρᾶγμα ἐποίησεν ἀνδρίας τε καὶ φρονήσεως ἐχόμενον· τὸν γὰρ ἄνδρα παραλαβὼν ἐξέςη μὲν αὐτῷ τῆς γυναικός, ἐξέςη δὲ τοῦ σφετέρου κλήρου ἐφ' ᾧτε κατὰ τὸν νόμον ἐκεῖνον βουλεύειν, αὐτὸς δέ (καὶ γὰρ ἄπαιδα βίον τῇ γυναικὶ συμβεβίωκεν) ἀπολιπὼν τὴν πατρίδα μετεσκευάσατο τὸν βίον πρὸς τοὺς φιλοσόφους, εἰς Καρίαν τε καὶ Λυδίαν μεταναςάς. Ἀθήναζε δὲ ἀφικόμενος ἠβούλετο τῦ Πρόκλυ ἀκροάσασθαι λόγων φιλοσόφων. ὡς δὲ οὐχ ἤνεγκεν αὐτῦ τὴν τρυφὴν ὁ Πρόκλος, ἀκηκοὼς αὐτὸν ἐληλυθέναι μετὰ τῶν παλλακίδων καὶ τῆς συνήθους ἔτι ἐκδιαιτήσεως, ἀναχωρήσας Ἀθήνηθεν ὁ Ἰλάριος ἄλλον μετεδίωκε τρόπον ὠφελείας τὸν συμμετρότερον ἢ κατὰ τὸν Πρόκλειον. Damasc. Phot. p. 351 a.

Ἰλάριος ὁ ἐκ Φρυγίας, ἐπὶ Ἰοβιανῦ βα- b σιλέως Ῥωμαίων, κατὰ παιδείαν μὲν ἦν ἀνὴρ οὐ γνώριμος, κοινωνεῖν δὲ αὐτῷ θεὸς ἐδόκει τῆς κοινωνίας τοῦ μέλλοντος, ὥςε ἦν μάντις ἄριςος. Eunap. p. 109 Nieb.

Ἰλαρίων Ἰλαρίωνος.

ἱλαροῖς· "ἀφορῶντες τὴν πόλιν ἱλαροῖς τοῖς προσώποις εὔθυμοι τὴν τελευτὴν προσδέχεσθαι ἔλεγον." Ioseph. B. I. 6 7 2.

ἱλαρός εὔχαρις, ἀςεῖος, ἡδύς. Ἀππιανός "σὺν βοῇ ἱλαρᾷ καὶ θορύβῳ χρηςῷ παρέπεμπον αὐτὸν καὶ θαρρεῖν ἐκέλευον." "ἐπίπρεπε δὲ αὐτῷ μάλιςα τὸ τῆς ψυχῆς ἱλαρόν."

ἱλαρώτερος εὐπροσιτώτερος.

ἴλας ἀγέλας, ἢ τάξεις. καὶ ἰλάρχας ταξιάρχας· ἴλη γὰρ συςροφή, τάξις ὄχλου ἱππικοῦ.

ἱλάσθητι, δοτικῇ, ἵλεώς μοι γένοιο.

ἱλάσκεσθαι (Hom. Α 386) ἐξιλεοῦσθαι.

ἱλάσκονται (an ἠλάσκονται Hom. Β 470) περὶ τὸν αὐτὸν εἱλοῦνται τόπον, ἢ ἐν κύκλῳ πλανῶνται.

ἱλασμός εὐμένεια, πρᾳότης, συγχώρησις, εἴτε διαλλαγή.

ἱλαςήριον θυσιαςήριον.

ἰλεδανοί οἱ δεσμοί. cf. v. ἐλεδανός.

ἰλεός ἡ κατάδυσις τῦ ὄφεως, ὁ φωλεός. σημαίνει δὲ καὶ ὄνομα νόσυ περὶ τὰς ἵππυς γινομένης.

ἱλεοῦμαι αἰτιατικῇ.

Ἰλεύς ὄνομα κύριον.

ἵλεω πρᾶον. καὶ ἵλεως, τὸ ἀττικόν, εὐμενής.

ἱλεωτήριον ἱλαςήριον.

ἴλη σύςημα, συςροφή, τάξις ὄχλυ ἱππικοῦ, κυρίως δὲ φρατρία. (S Ai. 1406) "μία δ' ἐκκλησίας ἀνδρῶν ἴλη." καὶ Εὐνάπιος (p. 101 Nieb.) "τότε δὲ ἴλη τῶν καταφράκτων ἱππέων ὑπὲρ τοὺς ν' ἐς τοὺς ὀπισθοφύλακας κατεῤῥάγη."

ἰλήκοις ἵλεως καὶ εὐμενὴς γενῦ. ἐν ἐπιγράμματι (AP 6 74) "ἰλήκοις, Διόνυσε· τεῆς ἀμέλησα χορείης."

Ἰλιάς τὸ πλῆθος. Ἰλιὰς κακῶν παροιμία ἐπὶ τῶν μεγάλων κακῶν.

Ἰλιβηνοί ὄνομα ἔθνους.

ἰλιγγιῶ. ὅταν περὶ τὴν καρδίαν ςρόφος γένηται, ἐπακολουθεῖ σκότος· καὶ τοῦτο καλοῦσι τὸ πάθος ἴλιγγον. ἰςέον ὅτι εἰλιγγιῶ διὰ διφθόγγου, ἴλιγγος δὲ διὰ τοῦ ι. sch. A Ach. 581.

Ἰλίεια Ἀθηνᾶ ἡ παρ' Ἰλιεῦσι τιμωμένη.

Ἰλιεύς ὁ ἀπὸ τῆς Ἰλίου πόλεως. καὶ Ἰλιέων.

Ἴλιον ἡ τῆς Φρυγίας πόλις.

ὅτε τὰ κατὰ τοὺς Ἀργοναύτας ἐπράχθη, τηνικαῦτα παρ' Ἕλλησιν ἐχρημάτιζεν ἡ Ἐρυθραία Σίβυλλα, κατὰ δὲ τὴν Φρυγῶν χώραν Τρὼς ὁ πατὴρ Ἴλου καὶ Γανυμήδους ἐβασίλευσε, κτίσας τὴν μὲν Τροίαν εἰς ἴδιον ὄνομα, τὸ δὲ Ἴλιον εἰς ὄνομα τοῦ υἱοῦ αὐτοῦ. καὶ πληρώσας τὰς πόλεις πάντας τὲς τοπάρχας ἐν τοῖς ἐγκαινίοις προετρέψατο, δίχα Ταντάλου τε βασιλέως τῆς Θράκης. καὶ μετά τινα χρόνον ἀπέςειλε τὸν υἱὸν αὐτοῦ Γανυμήδην τὸν ἀγαπώμενον ὑπ' αὐτοῦ σφόδρα, θυσίαν ἀπάγειν καὶ δῶρα τῷ Εὐρωπαίῳ Διὶ ὑπὲρ εὐχαριςίας, δεδωκὼς αὐτῷ ἄνδρας ν'. νομίσας οὖν ὁ Τάνταλος ὅτι κατάσκοπος ἐπέμφθη τῆς αὐτοῦ βασιλείας, ἐκράτησεν αὐτὸν πρὶν ἢ καταλαβεῖν τὸ ἱερόν, καὶ μαθὼν τὴν αἰτίαν ἐθεράπευσεν. ὃ δὲ μικρὸν διατρίψας καὶ νόσῳ πιεσθεὶς ἐτελεύτα. λυπηθεὶς δὲ ὁ Τάνταλος αὐτὸν μὲν ἔθηκεν ἐν σορῷ, τοὺς δὲ σὺν αὐτῷ ἀπέςειλεν ἀπαγγελοῦντας τῷ πατρὶ τὸν ἐκείνου θάνατον. οἱ δὲ ποιηταὶ ἁρπαγῆναι τὸν Γανυμήδην ὑπὸ τοῦ Διὸς ἔγραψαν, τὸ ὀξὺ τοῦ θανάτε μυθολογήσαντες. cf. Cedren. p. 120.

Ἰλισσός ὄνομα ποταμοῦ.

ἰλλάδες οἱ δεσμοί.

ἰλλάς τὸ σχοινίον, καὶ ἰλλάσι τοῖς δεσμοῖς.

ἴλλειν συνέχειν.

ἰλλίζω διανεύω.

ἰλλόμενος δεσμευόμενος.

ἰλλόν ςρεβλόν, ςραβόν, ἢ τυφλόν· Ἀριστοφάνης ⟨Th. 852⟩ "ἰλλὸς γεγένημαι, ὃ δ' οὐδέπω." καὶ τὸ πληθυντικὸν ἰλλοί.

Ἴλλος ὄνομα κύριον, ὃς ἦν μάγιστρος Ζήνωνος.

Ἰλλυριοί βάρβαροι Θρᾳκικοί· οἱ δὲ Περσίδος αὐτούς φασιν. καί φησιν Ἀριςοφάνης ⟨Av. 1520⟩ "Ἰλλυριοὶ κεκριγότες," ἀντὶ τοῦ ποιὰν φωνὴν ἀποτελοῦντες. κεκριγότες οὖν διὰ τὴν ἀσάφειαν τῆς φωνῆς αὐτῶν· κρίγη γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος.

ἰλλώπτειν· ἐν ἐπιγράμματι ⟨AP 5 200⟩ "τῷ γλυκερὸν καὶ θῆλυ κατιλλώπτοντι Πριήπῳ."

ἰλυοῖσι ταῖς καταδύσεσιν· "ἑρπετὰ δ' ἰλυοῖσιν ἐνέκρυφεν."

ἰλύς βόρβορος. καὶ ἰλύσι τὸ πληθυντικόν.

ἰλυσπῶντες συνειλούμενοι· "εἰς τέλμα βοῦν ἐμπεσόντα, καὶ ἰλυσπώμενον ἕως τεθνάναι."

ἱμαῖον ᾆσμα τὸ ἐπὶ τῇ ἀντλήσει λεγόμενον, παρὰ τὸ ἱμᾶν. οἱ δὲ τὸ μυλωθρικόν. "ἀείδει καί πού τις ἀνὴρ ὑδατηγὸς ἱμαῖον" Καλλίμαχος Ἑκάλῃ. sch. A Ran. 1332.

ἱμαῖος ἡ ἐπιμύλιος ᾠδή. δηλοῖ δὲ καὶ ὄνομα κύριον.

ἱμᾶν καὶ ἱμῆν ἀντλεῖν, ἀνέλκειν, ἀνασπᾶν.

ἱμάντες λῶροι, δεσμοί· "ἱμάντι τε πολλῷ ξυνδεθῆναι ἐντειλάμενος ἑκάςῳ ἀνδρί."

ἱμάντωσις δέσις ξύλων ἐμβαλλομένων ἐν τοῖς οἰκοδομήμασι.

ἱμάς ὁ λῶρος.

ἵμασεν ⟨Hom. E 589⟩ ἐμάςιξεν.

ἱμάσθλην μάςιγα· ἐν ἐπιγράμματι ⟨AP 6 28⟩ "κώπην θ' ἅμα νηὸς ἱμάσθλην."

ἱμάσω πλήξω, πατάξω.

ἱματίδιον τὸ μικρὸν ἱμάτιον.

ἱματισμένος ἐνδεδυμένος· "ἱματισμένον καὶ σωφρονοῦντα" ⟨Luc. 8 35⟩, διὰ τε ι.

ἱματισμός ἡ ἐσθής.

Ἵμβρασος ὄνομα κύριον.

ἱμείρω γενικῇ, καὶ ἱμείρομαι, γενικῇ, ἐπιθυμῶ· "τὸ ἱμείρειν τοῦ βίου καὶ φιλοζωεῖν τῆς μεγίςης ἀγεννείας ἐςὶ σημεῖον καὶ κακίας."

Ἱμέρα ὄνομα πόλεως.

Ἱμεραία γραῦς τις. καὶ πόλις· "ἐκ δὴ τούτων νόσοι καὶ τροφῶν ἀπορίαι τὴν Ἱμεραίαν κατέσχον" ⟨Aelianus?⟩.

Ἱμεραῖος ὁ ἀπὸ τῆς πόλεως Ἱμέρας.

Ἱμέρας ποταμός.

Ἱμέριος Ἀμεινίου ῥήτορος, Προυσιάδος τῆς Βιθυνίας, σοφιςὴς τῶν ἐπὶ Ἰουλιανε τε βασιλέως, ἀντιπαιδεύσας Προαιρεσίῳ ἐν Ἀθήναις, πηρὸς τὰς ὄψεις ἐν γήρᾳ, ἔγραψε μελέτας.

ἱμερόεντα ἐράσμιον, λάμποντα· ἐν ἐπιγράμμασι ⟨AP 6 88⟩ "αὐτή σοι Κυθέρεια τὸν ἱμερόεντ' ἀπὸ μαζῶν κεςὸν ἔδωκεν ἔχειν." καὶ ἱμερόεις ὁ ἐπιθυμητικός.

Ἵμερος ἡ ἐπιθυμία· "ἵμερος αὐτὸν εἰσῆλθε διάπυρος ἰδεῖν Μάρκελλον νεκρόν."

ἱμερτής ὁ ἐπιθυμητής.

ἱμερτός καλός, ἐπέραςος, ποθεινός.

ἱμητόν τὸ ἀντλητόν· ἱμονιὰ γὰρ τὸ τῦ ἀντλήματος σχοινίον. ⟨Menander?⟩ "οἱ δὲ Ἄβαροι ἐχώρουν ἵνα ὁ Δάναπρις ἔρρει ποταμός. τὸ δὲ φρέαρ, ἅτε ὀρεινὸν ὄν, κοῖλον ἦν καὶ βαθύ, ὥςε δεῖν ἱμονιᾶς μακρᾶς." οἱ δὲ αὐτὸ τὸ ἀντλητήριον, παρὰ τὸν ἱμάντα.

ἱμονιὰν ἀποπατεῖν ἀντὶ τοῦ μακρὰ χέζειν, ἀπὸ τοῦ σχοινίου δι' οὗ τὰ ὕδατα ἀρύονται, ὃ καλῦσιν ἱμονιάν. sch. A Eccl. 351.

ἱμονιοςρόφου μέλη. ἱμονιὰ καλεῖται τὸ ἀντλητήριον τῶν φρεάτων, ἱμαῖον δὲ τὸ ᾆσμα. ἱμονιοςρόφυ δὲ τοῦ εὐτελοῦς. Ἀριςοφάνης ⟨Ran. 1332⟩ "πόθεν συνέλεξας ἱμονιοςρόφου μέλη;" ᾖδον δὲ ᾆσμα οἱ ἀντληταὶ ἱμαῖον.

ἱμῶσα γεμίζουσα, ἀντλοῦσα.

Ἶνα πόλις.

ἵνα ὅπου· Ἀντιφῶν ἐν τῷ περὶ τῆς ὁμονοίας "ὀκνεῖν, ἵνα οὐδὲν ἔργον ὀκνεῖν." καὶ Ἀρριανὸς ⟨Anab. 4 28 extr.⟩ ἀντὶ τοῦ ὅπου· "ἵνα ἐπιμαχώτατον τῦ τείχυς ἐφαίνετο, ἐςρατοπεδεύσατο." ἶνα δὲ ⟨Hom. E 245⟩ τὴν δύναμιν αἰτιατική, καὶ ψιλοῦται καὶ περισπᾶται, ἀπὸ τῆς ἴς εὐθείας.

ἵνα. τούτῳ χρῶνται ἀντὶ τοῦ ἄν· Ὅμηρος ⟨H 353⟩ "ἵνα μὴ ῥέξομεν ὧδε."

ἵνα μή σε βάψω βάμμα Σαρδιανικόν ⟨A Ach. 112⟩, τυτέςιν ἵνα μή σε ⋯ ἐντρίψω· ἐν Σαρδοῖ γὰρ τῆς Ἰταλίας βάμματα πυρρὰ γίνονται. cf. v. βάμμα Κυζικηνόν.

ἵνα μὴ φάγῃ σκόροδα μηδὲ κυάμους ⟨A Lys. 690⟩, τουτέςιν ἵνα μὴ δικάσῃ μηδὲ πολεμήσῃ· εἰς γὰρ τὸν πόλεμον ἔφερον σκόροδα, οἱ δὲ δικαςαὶ ἔτρωγον κυάμους, ἵνα μὴ κοιμηθῶσι.

Ἰνάρως.

ἰνάσσω ἰσχὺν παρέχω.

Ἰνάχειον ἄςυ τὸ τοῦ Ἰνάχου.

ἰνγρουσία παρὰ Ῥωμαίοις τὸ τοῖς ἀσθενέσι διδόμενον σιτίον, ὃ οὔτε ζῆν οὔτε ἀποθνήσκειν ποιεῖ.

Ἴνδακος ὄνομα κύριον. ἤμαζε δὲ ἐπὶ Λέοντος τῦ μετὰ Μαρκιανὸν βασιλέως, λαμπρὸς τὴν τόλμαν καὶ τοῖς ποσὶ χρήσασθαι δυνατώτατος, τῶν χειρῶν τὴν ἀριςερὰν ἀμείνων, ταχυτῆτι ποδῶν διαφέρων· Εὐχίδυ γὰρ καὶ Ἀσσάπου καὶ Χρυσομάζου καὶ Ἐχίονος, καὶ εἴ τις ἕτερος ἐπὶ ποδῶν ὠκύτητι διεβοήθη, ὀξύτατος ἦν. οὗτος γὰρ ἐξεφαίνετο ὁδεύων καὶ ἠφανίζετο αὖθις οἷά τις ἀςραπή, κατὰ κρημνῶν οὐ τρέχοντι μᾶλλον ἀλλὰ πετομένῳ ἐοικώς. ἣν γὰρ κέλευθον ἀνὴρ δι' ἵππων ἀμοιβῆς αὐθημερὸν οὐκ ἔσθενε δρᾶσαι, τοῖς ἰδίοις αὐτὸν ποσὶν ἰσχυρίζοντο ἀναλγήτως διατρέχειν. ἀπὸ γὰρ τοῦ ἐρύματος Χέρεως διὰ μιᾶς ἐφοίτα ἐς τὴν Ἀντιόχου, καὶ πάλιν τῇ ἑξῆς ἐς τὸ ῥηθὲν εὑρίσκετο φρούριον· ἐκ δὲ τούτου αὖθις, μὴ ἀναπαύλης δεόμενος, διὰ μιᾶς ἡμέρας εἰς Νεάπολιν ἐγίνετο Ἰσαυρίας. cf. Cramer. Anecd. Par. 2 p. 77.

ἰνδάλλεται ⟨Hom. Ψ 460⟩ καταφαίνεται, ὁμοιοῦται.

ἰνδάλματα φαντάσματα, ὀνείρατα, ἅπερ μὴ παρόντα ὑπονοεῖ τις, ὁμοιώματα, ἀπεικονίσματα· Αἰλιανός "ὄψις οὖν ἰνδάλματος ἱεροῦ ὄναρ ἐπιςᾶσα λέγει ποιήσασθαι μεταβολὴν βίου."

ἰνδικτιὼν καὶ ἴνδικτος λέγεται.

Ἰνδοί ἔθνος βάρβαρον. κατὰ δὲ τὸν πόλεμον ἦσαν αὐτοῖς σημαῖαι τῶν ἱππέων καθ' ἑκάςην χιλιοςύν, δράκων ἐπὶ κάμακος ἀνατεταμένος, οὗ ἀργυρᾶ μὲν ἡ κεφαλὴ πεποίηται, σεσηρότων τῶν ὀδόντων καὶ τῦ χάσματος ἀπειλὴν ἔχοντος, τὸ δὲ ἄλλο σῶμα σηρικόυφον ἦν, ἔς τε μῆκος καὶ βάθος, καὶ τὸ ποικίλον τῆς χρόας ὡς ἐς ἀληθινὸν δράκοντα. τοῦτον φέρων ἱππεύς, μετεωρίσας ἐς τὸν ἀέρα τὴν κάμακα, ῥύμῃ διώκει τὸν ἵππον, καὶ ἐμπίπτει μὲν ὥσπερ εἰκὸς ἐλαυνόμενον βίᾳ τὸ πνεῦμα, εἰλούμενον δὲ ἐν τοῖς κόλποις τοῦ κοίλου ὕφους καὶ διέξοδον εὑρεῖν διὰ τὸ ςεγανὸν ὑ δυνάμενον κυμαίνει τε εἰς τὸν ἀέρα, καὶ μετεωρίζον τὸ ποικίλον ἤτριον πάσας ἑλίσσει τροπάς, ὥσπερ ὁλκὸν δράκοντος ἀληθινοῦ.

"Ἰνδοὶ οὔτε σώμασιν οὔτε χρήμασι συνεμάχησαν κατὰ Ῥωμαίων τῷ βασιλεῖ· οὐ γὰρ ὅσιον αὐτοῖς πολεμεῖν πρὸς ἄνδρας ἀδικουμένους."

ἵν' εἰδῇς ἵνα μάθῃς. εἰδῶ περισπωμένως. ἵν' εἰδῆτε ὅπως μάθητε· ⟨A Vesp. 451⟩ "ἀλλὰ

τούτων μὲν τάχ' ἡμῖν δώσεις δίκην οὐκέτ' ἐς μακράν, ἵν' εἰδῆθ' οἷός ἐς' ἀνδρῶν τρόπος ὀξυθύμων καὶ δικαίων καὶ βλεπόντων κάρδαμα."

Ἶνες νεῦρα. καὶ ἡ δοτικὴ ἰσίν.

Ἰνίον (Hom. E 73) ἀπὸ τῆς τοῦ ἐγκεφάλου βάσεως ἐπὶ τὰ πλατέα νεῦρα, ἃ δὴ τὴν ἰσχὺν ἡμῶν ἔχειν δοκεῖ.

Ἶνις ὁ νέος υἱός.

Ἶνις τοὺς ἑτέρες (an νεωτέρες). καὶ Ἶνις χώρα.

Ἶννοι οἱ κολοβοὶ τῶν ἵππων, νάννοι δὲ οἱ κολοβοὶ τῶν ἀνθρώπων (sch. A Pac. 790). καὶ ναννοφυεῖς.

Ἰνοῦς ἀχή. αὕτη δύο παῖδας ἔσχε, Λέαρχον καὶ Μελικέρτην, οἳ κατετοξεύθησαν ὑπὸ Ἀθάμαντος. ὕςερον δὲ ἐκλήθη Λευκοθέα.

Ἰνὼ ὄνομα θεᾶς· "Ἰνοῖ κρεμαμένη πρὸς ποδῶν Εὐριπίδου" (A Vesp. 1454).

Ἰνωπός ὄνομα ποταμȣ̃· (AP 6 273) "λȣ̃σαι δ' Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ' ἐς οἴκους."

Ἴνωψ ὄνομα κύριον.

Ἴξαλος πηδητικός· ἐν ἐπιγράμματι (AP 6 32) "ἴξαλον εὐσκάρθμῳ, λόχμιον ὑλοβάτᾳ Πανὶ φιλοσκοπέλῳ λάσιον παρὰ πρῶνα Χαρικλῆς κνακὸν ὑπηνήταν τόνδ' ἀνέθηκε τράγον." καὶ αὖθις (6 113) "πρόσθε μὲν ἀγραύλοιο διάτριχος ἰξάλου αἰγὸς δοιὸν ἐπὶ χλωροῖς ἐςεφόμην πετάλοις."

Ἶξε καὶ ἶξον· (Hom. δ 1) "οἳ δ' ἶξον κοίλην Λακεδαίμονα."

Ἰξευτής ἰξευτικός.

Ἰξιόεν. Nicand. Alex. 279.

Ἰξιονίδης Ἰξίονος.

Ἰξιῶδες.

Ἰξίων. οὗτος ἠράσθη τῆς Ἥρας. ἣ δὲ προσαγγέλλει τῷ Διί, ὃς βουληθεὶς τοῦτο γνῶναι ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ, καὶ ἔςησεν. ὁ δὲ Ἰξίων μίγνυται αὐτῇ, καὶ ὀργισθεὶς ὁ Ζεὺς κολάζει αὐτὸν τροχῷ διατείνων ἀεὶ φερομένῳ καὶ ἀνακυκλουμένῳ.

Ἴξιρος ποταμός.

Ἰξός, ᾧ χρῶνται εἰς ἄγρευσιν πτηνῶν.

Ἰξὺν τὴν ὀσφύν· (AP 6 255) "ἐπ' ἠιόνι ψυχόμενον χηλάς τε καὶ ἰξύας," τȣτέςι τὴν ῥάχιν. καὶ αὖθις (AP 7 213) "ἔκρεκες εὐτάρσοιο δι' ἰξύος ἀχέτα μολπὰν τέττιξ, οἰονόμοις τερπνότερον χέλυος."

Ἰόβακχος ὄνομα κύριον.

Ἰόβας Λιβύης καὶ Μαυρουσίας βασιλεύς, ὃν λαβόντες καὶ μαςιγώσαντες ἐπόμπευσαν οἱ Ῥωμαῖοι, οὐ μὴν ἀνεῖλον διὰ τὴν παίδευσιν. ἦν δὲ ἐπὶ Αὐγούςου Καίσαρος, καὶ τὴν Κλεοπάτρας θυγατέρα Σελήνην, ἣν ἐκ τοῦ Καίσαρος Γαΐȣ γενομένην ἐπεποίητο, γυναῖκα εἰλήφει. συνήκμαζε δὲ αὐτῷ Δίδυμος ὁ χαλκέντερος ὃ καὶ πολλὰ γράψας κατ' αὐτοῦ. ἔγραψε πολλὰ πάνυ.

Ἰοβάτης ὄνομα κύριον, ὁ πατὴρ Σθενεβοίας, ὃς ἐπετράπη γράμμασι Προίτȣ ἀνελεῖν τὸν Βελλεροφόντην.

Ἰόβειοι καὶ Ἑρκούλειοι ὀνόματα τάξεων. τάγματα γάρ τινα δαίμονος ἐπώνυμα· Ἰόβις γὰρ παρὰ Ἰταλοῖς ὁ Ζεύς, Ἑρκούλιος δὲ ὁ Ἡρακλῆς.

Ἰοβιανός βασιλεὺς Ῥωμαίων ὀρθόδοξος, ὃς ἐπιμέλειαν καὶ φροντίδα πολλὴν ἐποιεῖτο τῶν ἐκκλησιῶν, καὶ τȣ̀ς ἐν ἐξορίαις ἐπισκόπους πάντας ἀνεκαλέσατο, τῷ τε ἁγίῳ Ἀθανασίῳ ἐπέςειλε τῆς ἀμωμήτου πίςεως ἐγγράφως αὐτῷ σημᾶναι τὴν ἀκρίβειαν. ὃ δὲ ἀπέςειλεν ἐπιςολὴν πλήρη ὀρθοδοξίας.

οὗτος μετὰ Ἰουλιανὸν ἦρξεν· ὃς ἡνίκα Ἰουλιανὸς αἵρεσιν τοῖς ςρατευομένοις ἐτίθει θύειν ἢ ἀποςρατεύεσθαι, μᾶλλον τὴν ζώνην ἀποθέσθαι ἐβούλετο. ἐλθὼν δὲ ἐς Νίσιβιν, πόλιν πολυάνθρωπον, δύο μόνον ἡμερῶν ἐνδιατρίψας αὐτῇ, ὅσα περ εἶχε χρήματα κατανάλωσε, τοῖς ἐνοικοῦσι μηδενὸς μεταδοὺς ἢ λόγου φιλανθρώπου ἢ πράξεως ἀγαθῆς, ἄνθρωπος οὐ δι' ἀρετὴν οἰκείαν ἀλλὰ διὰ τὴν τοῦ πατρὸς δόξαν ἐς τοσοῦτον ἀρχῆς προελθών. ἦν μὲν γὰρ οὐδὲ παντάπασιν ἀσθενὴς τὸ σῶμα, οὔτε πολεμικοῖς ἔργοις ἀγύμναςος· ἀμελέτητος δὲ ὢν καὶ ἄγευςος παιδεύσεως, καὶ ἣν εἶχε φύσιν διὰ ῥαθυμίαν ἠμαύρου καὶ ἠφάνιζεν. οὗτος μετὰ Ἰουλιανόν, ὡς εἴρηται, τῆς Ῥωμαίων βασιλείας ἐγκρατὴς γενόμενος, πάντων καταφρονήσας ἐσπούδαζε τοῦ συμβάντος αὐτῷ ἀξιώματος ἀπολαῦσαι, καὶ φεύγων ἐκ Περσίδος ἔσπευδε γενέσθαι τῶν Ῥωμαϊκῶν ἠθῶν ἐντὸς εἰς ἐπίδειξιν τῆς τύχης, καὶ τὴν Νίσιβιν πόλιν τοῖς Πέρσαις, πάλαι Ῥωμαίοις οὖσαν κατήκοον, ἐκδίδωσιν. ἀπέσκωπτον οὖν αὐτὸν ᾠδαῖς καὶ παρῳδίαις καὶ τοῖς καλȣμένοις φαμώσοις διὰ τὴν τῆς Νισίβεως προδοσίαν. ὁ δὲ Ἰοβιανὸς ἐκ τῆς γυναικὸς αὐτȣ̃ κινηθεὶς τὸν ὑπὸ Ἀδριανοῦ τοῦ βασιλέως κτισθέντα ναὸν χαρίεςα-

τον ἐς ἀποθέωσιν τῦ πατρὸς Τραϊανῦ, παρὰ δὲ τοῦ Ἰουλιανοῦ κατασκευασθέντα βιβλιοθήκην εὐνούχῳ τινὶ Θεοφίλῳ, κατέφλεξε σὺν πᾶσιν οἷς εἶχε βιβλίοις, αὐτῶν τῶν παλλακίδων ὑφαπτουσῶν μετὰ γέλωτος τὴν πυράν. οἱ δὲ Ἀντιοχεῖς ἠγανάκτησαν κατὰ τοῦ βασιλέως, καὶ τὰ μὲν ἀπέρριπτον τῶν βιβλίων ἐς τὸ ἔδαφος, ὥστε ἀναίρεσθαι τὸν βουλόμενον καὶ ἀναγινώσκειν, τὰ δὲ τοῖς τοίχοις προσεκόλλησαν. ἦν δὲ τοιαῦτα· ⟨Hom. Γ 428⟩ "ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι," καὶ ⟨39⟩ "Δύσπαρι εἶδος ἄριστε" καὶ τὰ ἑξῆς, καὶ ⟨B 261⟩ "εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω, χλαῖνάν τ' ἠδὲ χιτῶνα, τά τ' αἰδῶ ἀμφικαλύπτει, αὐτὸν δὲ κλαίοντα θοὰς ἐπὶ Πέρσας ἀφήσω." γραῦς δέ τις μέγαν καὶ καλὸν αὐτὸν θεασαμένη, μαθοῦσά τε ἀνόητον εἶναι, ἐφθέγξατο "ὅσον μῆκος καὶ βάθος ἡ μωρία." καὶ ἄλλος δὲ ἰδιώτης ἀποτολμήσας μεγάλῃ τῇ φωνῇ βοῆσαι ἐν τῷ ἱπποδρομίῳ γέλωτα παρέσχε πᾶσιν, εἰπὼν κενὰ καὶ ψυχρὰ τῇ ἡλικίᾳ αὐτοῦ. καὶ ἐπράχθη ἂν ἄτοπα, εἰ μὴ Σαλούστιός τις ἔπαυσε τὴν στάσιν. ὁ δὲ Ἰοβιανὸς χειμῶνος ὄντος ὡδοιπόρει ἐπὶ Κιλικίαν καὶ Γαλατίαν, καὶ ἐν Δαδαστάνοις ἀπέθανε μύκητα πεφαρμαγμένον φαγών. κατὰ δὲ τὴν ἡγεμονίαν κοινὸς καὶ ἐλευθέριος ἔδοξεν εἶναι. cf. Io. Antioch. exc. Peir. p. 845.

ὅτι ἐπὶ Ἰοβιανοῦ ἦν Ἀκάκιος ἐπίσκοπος Καισαρείας Παλαιστίνης, ὃς λίβελλον ἔγραψε περὶ ὀρθοδόξου πίστεως, ἀποδεχόμενος τὴν ἐν Νικαίᾳ σύνοδον.

ἰοβόλος ὁ ὄφις.

Ἰόδδας ⟨an Ἰόλλας⟩ ὄνομα κύριον.

ἰοδόκη βελοθήκη.

ἰοειδές τὸ μέλαν. καὶ ἰοειδής.

ἰόεντα σίδηρον ⟨Hom. Ψ 850⟩ τὸν μέλανα, ὡς ⟨Λ 298, λ 107⟩ "ἰοειδέα πόντον" τὸν μέλανα. βέλτιον δὲ εἰς ἰοὺς εὔθετοῦντα.

Ἰοθόρ ὁ πενθερὸς Μωυσέως.

Ἰοκάστη ὄνομα κύριον. καὶ ἔστιν ἐν τῷ Οἰδίπους.

a Ἰόλαος ὄνομα κύριον.

b Ἰόλαος ἥρως τις τιμώμενος παρὰ Θηβαίοις. Ἰόλεως δὲ ἀττικῶς.

Ἰόλεια.

Ἰόλη ὄνομα κύριον.

ἰόμωρος.

ἴον τὸ ἄνθος.

ἴονθος ἡ πρώτη ἔκφυσις τῶν τριχῶν, ἀπὸ τοῦ ἰέναι καὶ ἀνθεῖν.

Ἰόνιον πέλαγος ὁ νῦν Ἀδρίας. καὶ Ἰόνιος κόλπος.

ἰόντες πορευόμενοι.

Ἰόπη ὄνομα κύριον. Ἰόππη δὲ ὄνομα τόπου.

Ἰορδάνεια ῥεῖθρα.

Ἰορδάνης ὁ ποταμὸς ἐκλήθη διὰ τὸ συμμίγνυσθαι δύο ἅμα ποταμούς, Ἰορ καὶ Δάνην.

Ἰόρτιος ὄνομα κύριον· "ὁ τοίνυν Ἰόρτιος οὐκ ἔχων ὅ ⋯ γέλως κατερράγη· ἐγγώνιος γὰρ ἦν καὶ οὐ στρογγύλη ἡ τοῦ Μαικήνα τράπεζα." Πλούταρχος. cf. vv. ἐγγώνιος et θῶπα.

ἰοστέφανοι· Πίνδαρος ⟨fr. 46⟩ "αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι."

ἰότητι βουλήσει, γνώμῃ· ⟨AP 6 276⟩ "Ἄρτεμι, σῇ δ' ἰότητι γάμος θ' ἅμα καὶ γένος εἴη τῇ Λυκομηδείου παιδὶ φιλαστραγάλῃ."

ἰού, σχετλιαστικὸν ἐπίρρημα, ἀντὶ τοῦ οἴμοι. καὶ ἰοὺ ἰού, σχετλιαστικὸν ὁμοίως ἐπίρρημα.

ἰοῦ ἰοῦ. τὸ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται. sch. A Pac. 316.

Ἰουβενάλιος ποιητὴς Ῥωμαῖος. οὗτος ἦν ἐπὶ Δομετιανοῦ βασιλέως Ῥωμαίων. ὁ δὲ Δομετιανὸς ἐφίλει τὸν ὀρχηστὴν τοῦ πρασίνου μέρους, τὸν λεγόμενον Πάριν, περὶ οὗ καὶ ἐλοιδορεῖτο ὑπὸ τῆς συγκλήτου καὶ Ἰουβεναλίου τοῦ ποιητοῦ. ὅστις βασιλεὺς ἐξώρισε τὸν Ἰουβενάλιον ἐν Πενταπόλει ἐπὶ τὴν Λιβύην, τὸν δὲ ὀρχηστὴν πλουτίσας ἔπεμψεν ἐν Ἀντιοχείᾳ, ὃς κτίσας οἶκον καὶ λουτρὸν ἔξω τῆς πόλεως ἐκεῖ τελευτᾷ. cf. Malalas.

Ἰουδαῖος. cf. Δημόκριτος.

Ἰουδήθ. ὅτι ἐπὶ Ξέρξου βασιλέως Περσῶν οἱ τῶν Αἰθιόπων βασιλεῖς ἐπανίστανται Πέρσαις, καὶ τοῦ βασιλέως κατ' ἐκείνων στρατεύσαντος οἱ Ἰουδαῖοι πρὸς ἀπόστασιν εἶδον, καὶ καταφρονήσαντες αὐτοῦ ἐπὶ τὴν Ἱερουσαλὴμ ἀνῆλθον. οὗτος δὲ περιγενόμενος τῶν Αἰθιόπων ἐπὶ τοὺς Ἰουδαίους στρατεύει, Ὀλοφέρνῃ τὸν κατ' αὐτῶν πόλεμον ἐπιτρέψας. πολιορκοῦντος τοίνυν Ὀλοφέρνου τὴν Ἱερουσαλήμ, γυνή τις ὄνομα Ἰουδὴθ προσποιησαμένη τὴν φιλοῦσαν αὐτόν, ὡς ἐκάθευδε νυκτὸς ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν, καὶ ἀνασκολοπίσασα ταύτην ἐπὶ τοῦ τείχους φυ- a

γῶν παρισκεύασε τοὺς Πέρσας· οὕτω τε τῆς πολιορκίας λυθείσης ἀπηλλάγησαν οἱ Ἰουδαῖοι τοῦ φόβου. ὁ δὲ τῶν Ἰουδαίων ἱερεὺς Νεεμίας, παρρησίαν ἔχων πρὸς αὐτόν, ἔπεισεν αὐτὸν εἰρήνην σπείσασθαι πρὸς αὐτούς, καὶ συγχωρῆσαι αὐτοῖς ἀνακτήσασθαι τὴν Ἱερουσαλήμ, Ἔσδρα προηγεμένε αὐτῶν. Ἰέλιος δὲ Ἀφρικανὸς λέγει ὅτι Ναβουχοδονόσορ, ὁ καὶ Καμβύσης, ἀναιρεῖται ὑπ' αὐτῆς.

b Ἰουδήθ Ἑβραία, ἡ τὸν Ὀλοφέρνην τὸν ἀρχιστράτηγον Καμβύσου τοῦ υἱοῦ Κύρου ἀνελοῦσα, τὰ τοῦ Ὀλοφέρνε πάντα λαβῦσα ἀνέθηκε τῷ θεῷ· καὶ ὑποστρέψασα ἐν τῷ οἴκῳ αὐτῆς, ἀρετὴν καὶ ἄσκησιν ἔχεσα ἐτελεύτησε ρέ ἔτη βιώσασα.

Ἰουθοῦγγοι ὄνομα ἔθνους· "οἳ δὲ - - - Ῥωμαίους." cf. v. ἑκόντων εἶναι.

Ἰουλία Αὐγοῦστα τοῦ Σεβήρε γαμετὴ τοῦ βασιλέως, ἣν ὁ Πλαυτιανὸς πολλὰ καὶ δεινὰ κακὰ εἰργάσατο· πάνυ γὰρ αὐτῇ ἤχθετο καὶ σφόδρα αὐτὴν πρὸς τὸν Σεβῆρον διέβαλλεν, ἐξετάσεις τε κατ' αὐτῆς καὶ βασάνους κατ' εὐγενῶν γυναικῶν ποιούμενος. καὶ ἡ μὲν αὐτή τε φιλοσοφεῖν διὰ ταῦτα ἤρξατο καὶ σοφισταῖς συνημέρευεν. Dio Cass. 75 15 6.

a Ἰουλιανός Ἁλικαρνασσεὺς ἀνατρῶσαι ἠβουλήθη τὴν Σεβήρου κακοδοξίαν, ἄφθαρτον εἶναι φάσκων τὸ σῶμα τοῦ Χριστοῦ καὶ θεοῦ ἐξ αὐτῆς γε δήπου τῆς ἐν τῇ νηδύι τῆς θεότητος ἑνώσεως καὶ τῦ σώματος, καὶ πρό γε τῆς ἐκ τῶν κατοιχομένων τῦ Χριστῦ ἀναστάσεως. λοιπὸν ἐκ τῦ τοιῦδε εἰσάγεσθαι οὐκ ἐνεργείᾳ τινὶ τοὺς Ἰουδαίες αἰκίσασθαί τε καὶ θανατῶσαι τὸν Χριστόν. ἅτε οὖν σκάζεσά τε καὶ οὐκ ἐρρωμένη ἡ δόξα πρὸς τῶν πάλαι θεσπεσίων πατέρων ἐξωθισθεῖσα ἐτύγχανε. τότε δὴ Ἰελιανός, εἴτε ὑπὸ τοῦ γήρως τὰ καιριώτατα ὁ φρονῶν, εἴτ' οὖν ὑπερβολῇ τῆς πρὸς Χριστὸν ἐπιμελείας τῆς ἀληθοῦς τε καὶ ἀπταίστου δόξης ἐπέκεινα ἐκπεσών, εἴτε καὶ ἑτέρου τινὸς ἀναδιδάξαντος (ὑποψιθυρίζεται γὰρ καὶ τοῦτο, ὡς πόλεώς τινος ἱερεὺς ταύτην δήπου τὴν κακίστην δόξαν Ἰουλιανῷ εἰσηγήσατο), ἔμελλεν οὖν τὴν ὀρθογνώμονα τοῦ Χριστῦ δόξαν διακυκήσειν, καὶ δὴ Μαρῖνον τὸν ἀπὸ Κάρρων τῆς ἐν Συρίᾳ πόλεως ἔστειλεν ἀνὰ τὴν ἕω βεβαιῶσαι τὸ δόγμα, εἰ μὴ μετὰ βραχὺν χρόνον ᾤχετο ἐξ ἀνθρώπων.

ὅτι ὁ Ἰουλιανὸς οὗτος τῆς Σεβήρου κακοδοξίας προστάτης ἐγένετο εὐθυμότατος, Σεβήρου μὲν μίαν φύσιν λέγοντος τὸν Χριστὸν καὶ τὴν ἐν τῷ Χριστῷ διαφορὰν δεχομένου, Ἰουλιανοῦ δὲ μίαν μὲν κατὰ Σεβῆρον φάσκοντος φύσιν, ἀναιροῦντος δὲ τὴν διαφοράν.

Ἰουλιανός Δόμνου, ἀπὸ Καισαρείας b Καππαδοκίας, σοφιστής, σύγχρονος Καλλινίκου τοῦ σοφιστοῦ, γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.

Ἰουλιανός ὁ παραβάτης καὶ ἀποστάτης, c Ῥωμαίων βασιλεύς, Κωνσταντίνου βασιλέως τοῦ μεγάλου ἀνεψιὸς ἀπὸ Δαλμάτου ἀδελφοῦ αὐτοῦ καὶ μητρὸς Γάλλας τοὔνομα, ἔγραψε τοὺς καλουμένες Καίσαρας (περιέχει δὲ τοὺς ἀπὸ Αὐγούστου Ῥωμαίων βασιλεῖς), ἑτέραν βίβλον περὶ τῶν τριῶν σχημάτων, καὶ τὰ καλέμενα Κρόνια, καὶ τὸν Μισοπώγωνα ἢ Ἀντιοχικόν· περὶ τῦ πόθεν τὰ κακά, καὶ πρὸς τοὺς ἀπαιδεύτους κύνας· πρὸς τὸν κύνα Ἡράκλειον, πῶς κυνιστέον· ἐπιστολὰς παντοδαπάς, καὶ ἄλλα.

ὅτι ἐπὶ τὸν Ἰουλιανὸν πολλαὶ δίκαι ἐχώρουν χανδὸν ἐμφορουμένων τῶν ἀνθρώπων τῆς δικαιοσύνης τοῦ κρίνοντος· ἀναβολαί τε οὐκ ἦσαν ἐπ' αὐταῖς, ὅσαι νόμιμον ἐκ τῶν συνήθων γραμμάτων τὸ ἄδικον ἴσχουσιν εἰς βοήθειαν τῶν ἀδικόντων καὶ προειληφότων, ἀλλ' ἢ παραχρῆμα ἔδει τὸ ἴσον ἐλέγχεσθαι κατὰ φύσιν, ἢ τὸ μέλλον καὶ διωθούμενον εἰς τὸν χρόνον ὕποπτον ἦν. βαρὺς μὲν οὖν καὶ λυπηρὸς ἐτύγχανε, καὶ ἐπὶ τοῖσδε καὶ τὸ τῶν πονηρῶν ἔθνος καὶ ἀδικούντων διηγείρετο· οὐ γὰρ ἀδικεῖν ἐξῆν, οὐδὲ λανθάνειν ἀδικῦσι. βαρύτερον δὲ αὐτὸν ἀπεδείκνυε τοῖς μοχθηροῖς καὶ τὸ εὐπρόσοδον· οἷα γὰρ προϊόντος μὲν πολλάκις διὰ τὰς ἱερομηνίας καὶ θυσίας, ἡμέρε δὲ φύσει πρὸς πᾶσαν ἔντευξιν τυγχάνοντος, ἀκώλυτον ἦν τὰς δεομένες λόγου τυχεῖν. ὃ μὲν οὖν ἐλάχιστον τῆς ὑπὸ τῶν πονηρῶν ταύτης βλασφημίας τε καὶ ὀργῆς ᾐσθάνετο καὶ ἐφρόντιζε. Eunap. p. 107 Nieb.

περὶ τῆς τελευτῆς Ἰουλιανοῦ τοῦ παραβάτου τοῦ ἀθέου. (id. p. 72) "ἀλλ' ὁπόταν σκήπτροισι τεοῖς Περσήιον αἷμα ἄχρι Σελευκείης κλονέων ξιφέεσσι δαμάσσῃς, δὴ τότε σε πρὸς Ὄλυμπον ἄγει πυριλαμπὲς ὄχημα, ἀμφὶ θυέλλῃσι κυκώμενον ἐν στροφάλιγξι, ῥίψαντα βροτέων ῥεθέων πολύτλητον ἀνίην. ἥξεις δ' αἰθερίου φάεος πατρώιον αὐλήν,

ἔνθεν ἀποπλαγχθεὶς μεροπήιων ἐς δέμας ἦλθες." ἔςι δὲ καὶ ὁ χρησμὸς ὁ δοθεὶς αὐτῷ ὅτε περὶ Κτησιφῶντα διῆγε. ⟨AP 14 148⟩ "γηγενέων ποτὲ φῦλον ἐνήρατο μητίετα Ζεύς, ἔχθιςον μακάρεσσιν Ὀλύμπια δώματ' ἔχϐσι. Ῥωμαίων βασιλεὺς Ἰουλιανὸς θεοειδὴς μαρνάμενος Περσῶν πόλιας καὶ τείχεα μακρὰ ἀγχεμάχων διέπερσε πυρὶ κρατερῷ τε σιδήρῳ, νωλεμέως δ' ἐδάμασσε καὶ ἔθνεα πολλὰ καὶ ἄλλα, ὅς ῥα καὶ ἑσπερίων ἀνδρῶν Ἀλαμανικὸν οὖδας ὑσμίναις πυκιναῖσιν ἑλὼν ἀλάπαξεν ἀρούρας."

d Ἰουλιανὸς ὁ ὕπατος ὠνησάμενος τὴν βασιλείαν ἐπεὶ παρῆλθεν εἰς τὴν ἀρχήν, εὐθέως τρυφαῖς καὶ κραιπάλαις ἐσχόλαζε, τῇ μὲν τῶν δημοσίων ἐπιμελείᾳ ῥαθύμως προσφερόμενος, ἐς δὲ τὸ ἁβροδίαιτον ἐπιδιδοὺς ἑαυτόν. εὑρίσκετο δὲ καὶ τοὺς ςρατιώτας ψευσάμενος· οὔτε γὰρ οἴκοθεν ἦν αὐτῷ τοσαῦτα χρήματα, καὶ οἱ δημόσιοι θησαυροὶ ἐκεκένωντο ὑπὸ Κομόδϐ. ἐκ ταύτης τῆς αἰτίας οἵ τε ςρατιῶται ἠγανάκτουν, καὶ ὁ δῆμος ἐν τῷ θεάτρῳ ἐν καταφρονήσει αὐτὸν ἐποίει. Io. Antioch. exc. Peir. p. 822.

e Ἰουλιανός Χαλδαῖος φιλόσοφος, πατὴρ τοῦ κληθέντος θεουργοῦ Ἰουλιανοῦ, ἔγραψε περὶ δαιμόνων βιβλία δ'. ἀνθρώπων δέ ἐςι φυλακτήριον πρὸς ἕκαςον μόριον, ὁποῖα τὰ τελεσιουργικὰ Χαλδαϊκά.

f Ἰουλιανός ὁ τϐ προλεχθέντος υἱός, γεγονὼς ἐπὶ Μάρκϐ Ἀντωνίνου τοῦ βασιλέως. ἔγραψε καὶ αὐτὸς θεουργικά, τελεςικά, λόγια δι' ἐπῶν, καὶ ἄλλα ὅσα τῆς τοιαύτης ἐπιςήμης κρύφια τυγχάνουσι.

ἰούλιος μήν. καὶ ὄνομα κύριον.

ἰουλόπεζα ἡ ναῦς.

a ἴουλος ὁ ἐν ταῖς ἀμπέλοις σκώληξ· πολύπουν δέ τι ζῷον. καὶ τὸ ἐξάνθημα τὸ ἐπὶ τῶν γενείων, καὶ τὸ ἐπὶ ταῖς καρύαις ἄνθος. καὶ ᾠδῆς τι γένος ἴουλος, καὶ ὁ προσφιλὴς τῇ Ἀρτέμιδι. ἔνιοι δὲ καὶ τὸν ἐπὶ ταῖς ὑδρίαις γινόμενον πολύποδα καὶ συςρεφόμενον ἴϐλον καλοῦσιν.

b ἴουλος, ἀπὸ τοῦ ὅλον εἶναι πυκνὸν καὶ συνεςράφθαι καὶ ἰέναι, λέγεται ἡ πρώτη ἐξάνθησις τοῦ γενείου. ἐν ἐπιγράμμασιν ⟨AP 6 198⟩ "ὥριον ἀνθήσαντας ὑπὸ κροτάφοισιν ἰούλϐς κειράμενος, γενύων ἄρσενας ἀγγελίας, Φοίβῳ θῆκε Λύκων πρῶτον γέρας."

Ἰούνιος ὄνομα, εἰς τὴν ἱππάδα τελῶν, διὰ τὸ καὶ φαγεῖν ζῶν, συνήθης ἦν τρισὶ πλουσίοις, κοιλιοδαίμων τε καὶ ταγηνοκνισοθήρας· βούλομαι γὰρ τὰ τῆς κωμῳδίας εἰς τοὺς τοιούτους εἰπεῖν, οὐδεμιᾷ μὰ τὸν ἀπειροκαλίᾳ· ὃς ἔνειμε τὴν γαςέρα ταῖς τρισὶ τραπέζαις, καὶ τοσαύταις ἐπιπηδῶν τραπέζαις λύκου τινὸς δίκην ἢ ἰκτῖνϐ ἢ ἁρπυίας, ἵνα τι καὶ παίσω. Aelianus? cf. v. φαγεῖν ζῶν.

ἰοῦσαν ⟨Hom. Γ 154⟩ πορευομένην.

Ἰουςινιανός. οὗτος κτίσας τὴν ἁγίαν Σοφίαν ἐκάθηρε τὴν αὐλὴν καὶ ἐμαρμάρωσεν αὐτήν, τὸ πρὶν οὖσαν Αὐγϐςεῖον, ὃ ἑρμηνεύεται ὀψοπώλιον, καὶ ἔςησε τὴν ἑαυτϐ εἰκόνα ἐπὶ κίονος ἔφιππον· καὶ τῇ μὲν ἀριςερᾷ χειρὶ φέρει σφαῖραν, ἐμπεπηγότος ςαυροῦ ἐν αὐτῇ, ὑποσημαίνοντος ὡς διὰ τῆς εἰς τὸν ςαυρὸν πίςεως τῆς γῆς ἐγκρατὴς γέγονε (σφαῖρα μὲν γὰρ ἡ γῆ διὰ τὸ σφαιροειδὲς τοῦ αὐτῆς σχήματος, πίςις δὲ ὁ ςαυρὸς διὰ τὸν αὐτῷ ἐν σαρκὶ προσηλωθέντα θεόν), τὴν δὲ δεξιὰν χεῖρα ἀνατεταμένην ἔχει κατὰ ἀνατολάς, ςάσιν τῶν Περσῶν σημαίνων καὶ μὴ μεταβαίνειν ἐπὶ τῆς Ῥωμαϊκῆς γῆς, διὰ τῆς ἀνατάσεως καὶ ἀπώσεως τῶν χειρῶν οἱονεὶ βοῶν "ςῆτε καὶ μὴ πρόσω χωρεῖτε· οὐ γὰρ συνοίσει ὑμῖν." Codin. orig. CP p. 16.

Ἰουςινιανὸς ὁ ῥινότμητος, βασιλεὺς b Ῥωμαίων, υἱὸς Κωνςαντίνου· ὃς πρὸς τοῖς ἄλλοις κακοῖς καὶ ἐς τὰς πολιτικὰς ἀρχὰς καθίςη ἄνδρας ἀπηνεῖς καὶ ὠμοτάτους, ὧν ἦν Στέφανος ὁ εὐνοῦχος, Πέρσης, ταμίας τῶν βασιλικῶν χρημάτων. καὶ πολλὰ τοὺς ὑπὸ χεῖρα αἰκιζόμενος ἄχρι καὶ εἰς τὴν μητέρα Ἰουςινιανοῦ τὴν τόλμην ἐξήνεγκε, μάςιγας αὐτῇ, ἐν σχήματι ὡς οἱ γραμματιςαὶ τοὺς παῖδας, ἐπιθέμενος. καὶ Θεόδοτόν τινα ἔγκλειςον γεγονότα κατὰ τὰ Θρᾳκῷα τοῦ ςενοῦ, τῶν δημοσίων λογιςήν, ὃν τὸ δημῶδες γενικὸν λογοθέτην … ἐποίησεν· ὃς ὑπερβολῇ ὠμότητος τὰ χρήματα ἔπραττε, μετεώροις σχοινίοις ἀναρτῶν καὶ περικαπνίζων ἀχύροις τοὺς περιφανεςάτους ἀπέκτεινε. καὶ Λεόντιον, ςρατηγὸν τῶν ἀνατολικῶν καὶ πατρίκιον, Ἴσαυρον, τρισὶν ἔτεσιν ὑπόφρουρον ἐποίησεν Ἰουςινιανός, ὕςερον δὲ ςρατηγὸν Ἑλλάδος ἀπέδειξεν· ὃν Παῦλος τῆς Καλλιςράτου μονῆς μοναχός, ἀςρονόμος, καὶ Γρηγόριος Καππαδοκίας, ἡγϐμενος τῆς τϐ Φλώρου μονῆς, προειμαντεύσαντο. καὶ ἐγκρατὴς τῆς βασιλείας ἐγένετο. Nicephorus p. 42.

a Ἰουστῖνος ὁ βασιλεὺς Ῥωμαίων, ὀρθοδοξότατος· ἦν δὲ ἀμάθητος γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος. Procop. Arc. 6.

οὗτος κτίζει καὶ τὸν ἐν τῷ Παλατίῳ χρυσοῦν τρίκλινον, καὶ τὸν ἅγιον Παῦλον τὸ ὀρφανοτροφεῖον· καὶ αὔξει τὴν περὶ βασιλέως Ἰουστίνου κρατήσασαν δόξαν, ὡς ἔστι μάλα ἐμβριθής τε καὶ κατηκριβωμένος.

b Ἰουστῖνος φιλόσοφος καὶ τῷ σχήματι τῶν φιλοσόφων χρώμενος, ἀπὸ τῆς Νεαπολιτῶν ἐπαρχίας τῆς Παλαιστίνης, ἐκ πατρὸς Πρίσκου τοῦ Βακχείου. οὗτος ὑπὲρ τῆς θρησκείας τῶν χριστιανῶν πάνυ ἐκοπίασεν, ὥστε καὶ Ἀντωνίνῳ τῷ ἐπίκλην Πίῳ καὶ τοῖς τούτου υἱέσι καὶ τῇ συγκλήτῳ Ῥωμαίων βίβλον κατὰ τῶν ἐθνῶν συνταγεῖσαν ἐπιδοῦναι, τὸν ὀνειδισμὸν τοῦ σταυροῦ μὴ αἰσχυνόμενος. ἔγραψε καὶ ἑτέραν βίβλον, ἣν καὶ ἐπέδωκε τοῖς Ἀντωνίνου διαδόχοις, τουτέστι Μάρκῳ Ἀντωνίνῳ καὶ Λουκίῳ Αὐρηλίῳ Κομόδῳ. ἔστι καὶ ἄλλη αὐτοῦ βίβλος κατὰ τῶν ἐθνῶν, ἐν ᾗ περὶ τῆς φύσεως τῶν δαιμόνων διαλέγεται. καὶ τετάρτη βίβλος ὁμοίως κατὰ τῶν ἐθνῶν, ἣν ἐπέγραψεν ἔλεγχος. καὶ ἄλλη περὶ τῆς τοῦ θεοῦ μοναρχίας. καὶ ἄλλην ἣν ὠνόμασε ψάλτην, καὶ ἑτέραν περὶ ψυχῆς· διάλογόν τε κατὰ τῶν Ἰουδαίων, ὃν ἐσχεδίασε κατὰ Τρύφωνος ἀρχηγοῦ τῶν ἐν Ἐφέσῳ Ἰουδαίων. οὐ μὴν ἀλλὰ καὶ κατὰ Μαρκίωνος ἐπίσημα τεύχη ἐξέδωκε· καὶ ἄλλην βίβλον κατὰ πασῶν τῶν αἱρέσεων, ἧς μέμνηται ἐν τῷ ἀπολογητικῷ, ὃν ἐπέδωκεν Ἀντωνίνῳ τῷ Πίῳ. οὗτος ἐν τῇ Ῥώμῃ ἔχων τὰς διατριβάς, εὐθύνων Κρίσκην τὸν κυνικὸν τὸν κατὰ τῶν χριστιανῶν βλασφημοῦντα, καὶ καλῶν αὐτὸν λαίμαργον ἄσωτόν τε καὶ ἀκόλαστον καὶ τὸν θάνατον φοβούμενον, τέλος τῇ τούτου ἐνεργείᾳ καὶ ἐπιβουλῇ ὡς χριστιανὸς ὑπὲρ Χριστοῦ ἔπαθεν. Sophronius.

Ἰοῦστος Τιβεριεὺς ἐπαρχίας Γαλιλαίας, ἐπεχείρησε μὲν καὶ αὐτὸς Ἰουδαϊκὴν ἱστορίαν συντάξαι, καί τινα ὑπομνήματα περὶ γραφῶν· ἀλλὰ τοῦτον Ἰώσηπος ἐλέγχει ψευσάμενον. καὶ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ συνέγραφεν ὅτε καὶ Ἰώσηπος. Sophronius.

Ἰοφῶν Ἀθηναῖος τραγικός, υἱὸς Σοφοκλέους τοῦ τραγικοῦ γνήσιος ἀπὸ Νικοστράτης· γέγονε δὲ αὐτῷ καὶ νόθος υἱὸς Ἀρίστων ἀπὸ Θεωρίδος Σικυωνίας. δράματα δὲ Ἰοφῶν ἐδίδαξε ν', ὧν ἐστὶν Ἀχιλλεύς, Τήλεφος, Ἀκταίων, Ἰλίου πέρσις, Δεξαμενός, Βάκχαι, Πενθεύς, καὶ ἄλλα τινὰ μετὰ τοῦ πατρὸς Σοφοκλέους.

ἰοχέαιρα (Hom. E 53) ἡ τοῖς ἰοῖς χαίρουσα, ὑποδεχομένη· ἐν ἐπιγράμμασι (AP 6 9) "σοὶ μὲν καμπύλα τόξα καὶ ἰοχέαιρα φαρέτρα δῶρα παρὰ Προμάχου, Φοῖβε, τάδε κρέμαται."

ἶπες (Hom. φ 395) θηρίδια λυμαντικὰ ξύλων καὶ τῶν καρπῶν.

ἰπί σκώληκι. ἴψ ἡ εὐθεῖα, ἰπός ἰπί.

ἴπνια τὰ ἀποκαθάρματα τοῦ ἰπνοῦ τοῦ λεγομένου φούρνου, ἢ τὰ πρὸς τὴν κάμινον ἐπιτήδεια καύσιμα. λέγει τὴν κόπρον τῶν ζῴων Καλλίμαχος "σὺν δ' ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ' ἄειρεν" (sch. A Vesp. 832). ἢ ἰπνὸς τὸ μαγειρεῖον, ἡ καπνοδόκη, ἢ ὁ φανός· Ἀριστοφάνης Πλούτῳ (816) "ὁ δ' ἰπνὸς γέγον' ἐξαπίνης ἐλεφάντινος." καὶ ἰπνοί οἱ λαμπτῆρες, οἱ φανοί, οἱ λύχνοι.

ἰπνοπλάθαι.

ἰπνός ὁ φοῦρνος, ἡ κάμινος· ἢ ὁ φανός (sch. A Av. 436). καταχρηστικῶς δὲ ἡ ἐσχάρα· (AP 6 299) "ἰπνεῦτα πιαλέου φθόιος," τουτέστι πλακοῦντος. ἢ μέρος τι τῆς οἰκίας τὸ λεγόμενον παρ' ἡμῖν μαγειρεῖον. λέγεται δὲ κυρίως ἰπνὸς ἡ κάμινος.

ἰπούμενος πιεζόμενος, ἀναγκαζόμενος· Ἀριστοφάνης Ἱππεῦσιν (920) "ἰπούμενος ταῖς συμφοραῖς."

ἱππαγωγούς τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς.

ἱππάζεται. οὐχ ἁπλῶς τὸ περὶ ἱππικὴν ἔχειν, ἀλλ' ἐφ' ἑνὸς ἵππου ὀχεῖσθαι· ὃ νῦν κέλητα καλοῦσιν. sch. A Nub. 15.

ἱππαλεκτρυόνος εἶδος ζῴου.

Ἱππαρχία ἀδελφὴ Μητροκλέους τοῦ κυνικοῦ, Μαρωνεῖτις, φιλόσοφος κυνική, γυνὴ Κράτητος τοῦ κυνικοῦ, ὃς ἦν Θηβαῖος, Βρύσωνος μαθητὴς τοῦ Ἀχαιοῦ, ἢ ὥς τινες Διογένους. ἔγραψε φιλοσόφους ὑποθέσεις, καί τινα ἐπιχειρήματα καὶ προτάσεις πρὸς Θεόδωρον τὸν ἐπικληθέντα ἄθεον. ἤκμαζεν ἐπὶ τῆς ρια' ὀλυμπιάδος.

Ἱππαρχίων ἄφωνος. δύο ἐγένοντο κιθαρῳδοί, Ἱππαρχίων καὶ Ῥεφῖνος, καὶ ἀγῶνος ἐνστάντος ὁ Ἱππαρχίων ἄφωνος ἔστη.

Ἵππαρχος ὁ τῶν ἱππέων ἄρχων· "πρῶτος αἱρεθεὶς δικτάτωρ Λάρκιος προσαιρεῖται

ἵππαρχον Σπόριον, πρῶτον κατὰ τοῦτον καὶ τῆς ἱππαρχικῆς ἐπινοηθείσης ἡγεμονίας, δευτερευούσης κατὰ τὴν ὑπεροχὴν τοῦ δικτάτωρος."

a Ἵππαρχος τύραννος Ἐρετρίας. ἕτερος δὲ Ἵππαρχος ὁ Πεισιστράτου. ἄλλος δὲ Ἵππαρχος ὁ Χάρμου, ὃς συγγενὴς ἦν Πεισιστράτου τοῦ τυράννου, καὶ πρῶτος ὑπέστη τὸν ἐξοστρακισμὸν διὰ τὴν ὑποψίαν τοῦ Πεισιστράτου, ὅτι δημαγωγὸς ὢν καὶ στρατηγὸς ἐτυράννησεν. ἄλλος δέ ἐστιν Ἵππαρχος ὑποκριτής, οὗ μνημονεύει Δημοσθένης (59 26). λέγεται δὲ ἵππαρχος παρ' Ἀθηναίοις καὶ ὁ τῶν ἱππέων ἄρχων· δύο δὲ ἦσαν οὗτοι. Harp.

b Ἵππαρχος Νικαεὺς φιλόσοφος, γεγονὼς ἐπὶ τῶν ὑπάτων, ἔγραψε περὶ τῶν Ἀράτου φαινομένων, περὶ τῆς τῶν ἀπλανῶν συντάξεως καὶ τοῦ καταστερισμοῦ, περὶ τῆς κατὰ πλάτος μηνιαίας τῆς σελήνης κινήσεως, καὶ εἰς τοὺς ἀστερισμούς.

c Ἵππαρχος κωμικὸς τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ περὶ γάμων.

d Ἵππαρχος Σταγειρίτης φιλόσοφος, Ἀριστοτέλους γνώριμος καὶ συγγενής. τί τὸ ἄρρεν καὶ θῆλυ παρὰ θεοῖς καὶ τίς ὁ γάμος, καὶ ἄλλα τινά.

ἱππάρχου πίναξ, ἐπεὶ παρὰ Συρακουσίοις οἱ ἵππαρχοι ἐν πίναξι τὰ ὀνόματα γράφοντες τῶν ἀτακτούντων παρεσημειοῦντο.

ἱππάς. ὁ Σόλων τοὺς νόμους Ἀθηναίοις γράψας εἰς δ' τέλη τὸ πᾶν πλῆθος αὐτῶν διέταξε τῶν κατὰ τὰς οὐσίας τιμημάτων, καὶ τῷ α' ὄνομα ἦν πεντακοσιομεδίμνων, τῷ β' ἱππέων, τῷ γ' ζευγιτῶν, τῷ δ' θητῶν.

ἱππαφέσεων τῆς ἀφετηρίας· Πολύβιος "παραπλήσιόν τι πάθος ἔπασχε τοῖς ἐπὶ τῶν ἱππαφέσεων· οἷον εἰκὸς ἐφιστάμενοι ἐκ τῶν αἰρομένων πυρσῶν."

ἱππέας εἰς πεδίον προκαλῇ", (Plato Theaet. p. 183), δηλονότι ἔνθα ἂν εὐημερῇ τις· τὰ γὰρ ἱππικὰ ἐν πεδίῳ κρατεῖ.

ἱππεία ἡ ἵππευσις. καὶ ἱππεία φάτνη καὶ οὐρά.

ἵππειον κράτος ἡ τοῦ ἵππου ἰσχύς. καὶ ἵππειον θράσος, καὶ ἵππειος ζυγός, καὶ ἵππειος λόφος (Hom. Ο 537).

ἱππεῖς. εἰς δ' μέρη διῄρητο ὁ δῆμος τῶν Ἀθηναίων, εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, εἰς ζυγίτας, εἰς θῆτας. καὶ τοὺς μὲν πεντακοσιομεδίμνους διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα οὕτως ὠνόμαζον, καὶ ἦσαν οὗτοι εὔποροι· οἱ δὲ ἱππεῖς ἧττους μὲν τῶν πεντακοσιομεδίμνων, μέχρι δὲ τῶν τριακοσίων ἐγεώργουν μέτρων. ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον διὰ τὸ δύνασθαι, εἴ ποτε χρεία γένοιτο, ἵππον ἕκαστον αὐτῶν τρέφειν. ἦσαν δὲ τὸ μὲν πρῶτον χ' τὸν ἀριθμόν· οὗτοι δὲ μετὰ ταῦτα, τῆς πόλεως πληθυνούσης, ἐγένοντο σ' πρὸς τοῖς χιλίοις. ὅθεν καὶ τὰς θυσίας, ἃς αὐτοὶ πέμποιεν ἐν ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας. ἐξῆν δὲ αὐτοῖς ἐπιτιμᾶν καὶ κομᾶν. ἦσαν δὲ οἱ θῆτες ... παρ' αὐτοῖς, οἷς οὐκ ἐφεῖτο ἄρχειν, ἀλλ' ἢ δικάζειν ἢ ἐκκλησιάζειν μόνον, ἵν' ἔκ τε τοῦ δικαστικοῦ καὶ τοῦ ἐκκλησιαστικοῦ τρέφοιντο. sch. A Eq. 624.

ἱππεῖς λευκοθώρακες. καὶ παροιμία· "ἱππεῖς μὲν ἐν Θετταλίᾳ καὶ Θρᾴκῃ, τοξόται δὲ καὶ τὰ κουφότερα τῶν ὅπλων ἐν Ἰνδίᾳ καὶ Κρήτῃ καὶ Καρίᾳ."

ἱππείων ὁπλέων (Hom. Λ 536) τῶν ὀνύχων τῶν ἵππων.

ἵππερος, ὡς ἴκτερος, ὁ περὶ τοὺς ἵππους τὸν ἔρωτα ἔχων· Ἀριστοφάνης Νεφέλαις (74) "ἀλλ' ἵππερόν μου κατέχεε τῶν χρημάτων." ἔπαιξε παρὰ τὸν ἴκτερον, ὃς περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων. οὕτως ἐπιβεβλῆσθαι τοῖς χρήμασιν αὐτοῦ τὸν ἵππερον.

ἵππευε ἵππων φρόντιζε (A Nub. 1410).

ἵππευμα πορείαν· Ἀριστοφάνης (Th. 1072) "ὡς μακρὸν ἵππευμα διώκεις ἀστεροειδέα νῶτα διφρεύουσ' αἰθέρος."

ἱππεύς.

ἱππήλατον εὐρύχωρον, πλατύ, λεῖον, ἐψιλωμένον.

ἱππημολγός ὁ τοὺς ἵππους ἀμέλγων.

ἱππία Ἀθηνᾶ. ταύτην Ποσειδῶνος εἶναί φασι θυγατέρα καὶ Πολύφης (an Κορυφῆς) τῆς Ὠκεανοῦ, ἅρμα δὲ πρώτην κατασκευάσασαν διὰ τοῦτο ἱππίαν κληθῆναι. Harp.

a Ἱππίας Ἀθηναίων τύραννος. οὗτος Δαρεῖον παροξύνας ἐπὶ τοὺς Ἀθηναίους στρατεῦσαι καὶ τὴν Ἑλλάδα διὰ Ἀρταφέρνους καὶ Δάτιδος σατραπῶν καὶ λ' μυριάδων στρατοῦ, καὶ αὐτὸς σὺν αὐτοῖς κατῄει γηραιὸς ἤδη ὤν. καὶ ἐλθόντες ἐσαγήνευσαν μὲν Ἐρέτριαν, καὶ τοὺς ληφθέντας τῷ βασιλεῖ ἔστειλαν· ὃ δὲ αὐτοὺς περὶ τὰ Σοῦσα κατοικίζει. ἐφ' οἷς καὶ Πλάτωνος ἐστιν ἐπίγραμμα (AP 7 259) "Εὐβοίων γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων κείμεθα, φεῦ γαίης ὅσσον ἀφ'

ἡμετέρης." ἐντεῦθεν ἐπὶ Μαραθῶνα ἦλθον. Ἀθηναῖοι δὲ ὑπὸ Μιλτιάδῃ στρατηγούμενοι τῷ Κίμωνος τοῖς βαρβάροις ἐπολέμησαν. ἐκάλουν δὲ ἐπὶ συμμαχίᾳ καὶ Λακεδαιμονίους διὰ Φιλιππίδου τοῦ ἡμεροδρόμου, ὃς τοὺς χιλίους καὶ πεντακοσίους σταδίους ἤνυσε διὰ μιᾶς νυκτός. καὶ ὅτι ὁ νόμος οὐκ εἴα στρατεύειν αὐτοὺς πρὸ πανσελήνου, καὶ παρῃτήσαντο. τῷ Φιλιππίδῃ δὲ ἐπανιόντι κατὰ τὸ Παρθένιον ὄρος τῆς Ἀρκαδίας ὁ Πὰν ἐντυχὼν ἐμέμψατο μὲν Ἀθηναίοις ὡς μόνος θεῶν ἀμελούμενος, καὶ συμμαχήσειν ὑπέσχετο. οἱ δὲ Ἀθηναῖοι συμβουλεύσαντος ἑνός (ἦσαν γὰρ δέκα) περιμεῖναι τοὺς Λακεδαιμονίους, Μιλτιάδου δὲ παραινοῦντος ἐξιέναι καὶ Καλλιμάχου, ἐξῆλθον αὐτοὶ μὲν ὄντες ͵θ, Πλαταιέας ἔχοντες ͵α. καὶ ἐν αὐτῇ, φασί, τῇ ἡμέρᾳ ἐνίκησαν. ἐν τούτοις Καλλίμαχος ἐπὶ δοράτων εἱστήκει νεκρός, Πολύζηλος δὲ πηρωθεὶς ὡς φάσμα θεασάμενος τῷ πώγωνι κρύπτον τὴν ἀσπίδα σύμμαχον (τὸν Πᾶνα δ' εἰκάζουσιν εἶναι), ἐμάχετο ὡς ὁρῶν, καὶ διέκρινε τῇ φωνῇ τοὺς ἰδίους καὶ τοὺς πολεμίους.

b Ἱππίας. οὗτος τῆς εἰς Ἀθηναίους ὀργῆς καὶ τῆς ὕστερον ὠμότητος προὔσχετο αἰτίαν τὸν Ἱππάρχου, φασί, θάνατον, καὶ πικρὸς ἐκ τούτων δεσπότης κάτω τοῦ χρόνου γενόμενος ὅμως οὐκ ἀπώνητο· ἤλασαν γοῦν οἱ Κεκροπίδαι αὐτόν. ὁ δὲ ἐκπεσὼν τῆς πατρίδος ἐπήγετο τοὺς Πέρσας συμμάχους, ὁρῶν ὃν εἶχεν ἔρωτα Δαρεῖος τῆς Ἀττικῆς διὰ τὴν ἄτοπον ἐκείνην σπουδήν, ἵνα τὰ σῦκα τὰ Ἀττικὰ μὴ ἐν ἐλευθέρᾳ γῇ ἔτι ἀλλὰ δούλῃ γένηται τῇ ἐκείνου. ἰὼν μὲν οὖν ὅδε Ἱππίας ἐπὶ τὴν ἑαυτοῦ πατρίδα σὺν τοῖς Πέρσαις καὶ ἐκτάττων τοὺς βαρβάρους μέγα ἔπταρε, καὶ ἅτε γέρων ἤδη εἶχε τοὺς ὀδόντας κραδαινομένους. ἐκ τοίνυν τῆς βίας εἷς ὀδοὺς ἐξεκρούσθη, καὶ κατωλίσθεν εἰς τὴν ψάμμον, καὶ εὑρεθῆναι ἀδύνατος ἦν. ἐπειδὴ δὲ ἡττήθησαν οἱ βάρβαροι, φεύγων αὖθις εἰς Λῆμνον ἀφικνεῖται, καὶ κάμνει νόσῳ, καὶ τὴν ὄψιν τυφλοῦται αἵματος ἐπιρρεύσαντός οἱ διὰ τῶν ὀφθαλμῶν, καὶ ἀλγεινῶς ἀπέθανε, δίκας ταύτας δοὺς τῇ πατρίδι, ἐπεὶ τοὺς βαρβάρους ἦγεν ἐπὶ καταδουλώσει αὐτῆς, μηνῖσαί τε τοὺς πατρίους θεούς. Aelianus?

c Ἱππίας Διοπείθους Ἠλεῖος σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἡγησιδάμου, ὃς τέλος ὡρίζετο τὴν αὐτάρκειαν. ἔγραψε πολλά.

ἱππική. ὅτι εἰσὶ καὶ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς διαφοραί· ἡ μὲν γὰρ ἐστιν ἱππική, ἡ δὲ δι' ἁρμάτων, ἡ δὲ δι' ἐλεφάντων. τοῦ δὲ ἱππικοῦ τὸ μὲν ἁπλῶς οὕτω καλεῖται ἱππεῖς καὶ ἱππικόν, τὸ δὲ ἅμιπποι. καὶ ἅμιπποι μὲν οἱ ἐπὶ δυοῖν ἀστρώτοιν συνδεδεμένοιν ὀχούμενοι· οἳ καὶ μεταπηδῶσιν ἀπ' ἄλλου ἐπ' ἄλλον, ὅταν ἡ χρεία καλῇ. τοῦ δὲ κυρίως ἱππικοῦ τὸ μὲν ἐστι κατάφρακτον, ὃ καὶ τοὺς ἵππους καὶ τοὺς ἱππέας πεφραγμένους παρέχεται, τὸ δὲ ἀκατάφρακτον, οἱ μὲν δορατοφόροι ἢ κοντοφόροι ἢ ξυστοφόροι (καλοῦνται γὰρ τοῖς τρισὶν ὀνόμασιν). οὗτοι δέ εἰσιν οἱ ἀπὸ τῶν ἵππων καὶ πλησίον τοῖς πολεμίοις δόρασι μαχόμενοι. τούτων δὲ οἳ μὲν δορατίοις χρῶνται, οἳ καλοῦνται Ταραντῖνοι, οἳ δὲ τόξοις, οἳ καλοῦνται ἱπποτοξόται, οἳ δὲ ἀκροβολισταί, οἷον οἱ πόρρωθεν βάλλοντες. οἳ μὲν μόνον ἀκοντίζουσιν, εἰς δὲ χεῖρας τοῖς πολεμίοις οὐκ ἔρχονται, καὶ καλοῦνται ἱππακοντισταὶ καὶ ἰδίως Ταραντῖνοι· οἳ δὲ τὰ μὲν πρῶτα ἐλαφροῖς ἀκοντίοις ἀκοντίζουσι πόρρωθεν, ἔπειτα δὲ καὶ πλησιάζοντες συμπλέκονται τοῖς πολεμίοις, ἢ σπάθαις ἢ πελέκεσιν ἀπομαχόμενοι· οὓς φασιν ἐλαφρούς.

Ἱππιόθων ὄνομα κύριον.

Ἵππιος Ποσειδῶν.

ἱππόβοτος μεγάλην γῆν ἔχων, δυνάμενος ἵππους τρέφειν.

Ἱππόβοτος φιλόσοφος, ὃς ἔφησεν θ' αἱρέσεις εἶναι τῶν φιλοσόφων. καὶ ἔστιν ἐν τῷ αἵρεσις.

Ἱπποδάμεια ἀγορὰ ἐν Πειραιεῖ, οὕτω καλουμένη ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος τοῦ οἰκοδομησαμένου τοῖς Ἀθηναίοις τὸν Πειραιᾶ. Harp.

ἱππόδαμοι ἐφ' ἵπποις ἀναστρεφόμενοι.

ἱπποδασείης ⟨Hom. Γ 369⟩ ἐξ ἱππείων τριχῶν λόφον ἐχούσης· ὃ δὴ δασύ ἐστιν.

Ἱπποθόων τῆς Ἱπποθοωντίδος φυλῆς ἐπώνυμος.

Ἱππόθωνος ὄνομα κύριον.

ἵπποι ποτάμιοι ζῷα ἀδικώτατα. καὶ ζήτει ἐν τῷ ἀντιπελαργεῖν. cf. Damasc. Phot. p.342.

ἱπποκόμος ὁ τῶν ἵππων ἐπιμελούμενος.

Ἱπποκόωντος.

Ἱπποκράτης Κῷος ἰατρός, Ἡρακλείδου a
υἱός (προτετάχθω γὰρ καὶ τοῦ πάππου τοῦ

Ἡρακλείδου πατρός, εἰ καὶ ὁμώνυμος ἦν, διὰ τὸ ἀςέρα καὶ φῶς τῆς βιωφελεςάτης ἰατρικῆς γενέσθαι), ἀπόγονος δὲ Χρύσου τοὔνομα καὶ Ἐλάφου τοῦ ἐκείνου παιδός, ἰατρῶν καὶ αὐτῶν. οὗτος μαθητὴς γέγονε τὸ μὲν πρῶτον τοῦ πατρός, μετὰ δὲ ταῦτα Ἡροδίκου τοῦ Σηλυβριανοῦ καὶ Γοργίου τοῦ Λεοντίνου ῥήτορος καὶ φιλοσόφου, ὡς δέ τινες, Δημοκρίτου τοῦ Ἀβδηρίτου (ἐπιβαλεῖν γὰρ αὐτὸν νέον πρεσβύτῃ), ὡς δέ τινες, καὶ Προδίκου. διέτριψε δὲ ἐν Μακεδονίᾳ, φίλος ὢν σφόδρα τῷ βασιλεῖ Περδίκκᾳ. παῖδας δὲ σχὼν δύο, Θεσσαλὸν καὶ Δράκοντα, κατέςρεψε τὸν βίον ἐνιαυτῶν γεγονὼς δʹ καὶ ρʹ, καὶ τέθαπται ἐν Λαρίσσῃ τῆς Θετταλίας. ἐν δὲ ταῖς εἰκόσιν ἱςορεῖται τὸ ἱμάτιον ἐπὶ τὴν κεφαλὴν ἀναβεβλημένος καὶ σκεπόμενος, ἢ ὅτι τοῦτο ἔθος ἦν αὐτῷ, ἢ διὰ τὸ φιλαπόδημον, ἢ τὸ ἴδιον ἐν ταῖς χειρουργίαις. οὗτος ἔγραψε πολλά, καὶ πᾶσιν ἐγένετο διάδηλος, ὥςε καὶ τὸν τῶν Περσῶν βασιλέα, τὸν καλούμενον Ἀρταξέρξην, γράψαι πρὸς Ὑςάνην τῆς τοῦ ἀνδρὸς σοφίας δεόμενον. "βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑςάνει Ἑλλησπόντου ὑπάρχῳ χαίρειν. Ἱπποκράτους ἰητροῦ Κῴου, ἀπὸ Ἀσκληπιοῦ γεγονότος, εἰς ἐμὲ κλέος ἀφῖκται τέχνης. δὸς οὖν αὐτῷ χρυσὸν ὁπόσον ἂν βούληται, καὶ τἆλλα χύδην ὧν σπανίζει, καὶ πέμπε πρὸς ἡμέας· ἔςαι γὰρ ἰσότιμος Περσέων τοῖσι ἀρίςοισι. καὶ εἴ τις ἄλλος ἐστὶν ἀνὴρ κατ᾽ Εὐρώπην ἀγαθός, φίλον οἴκῳ βασιλέως τίθεσο μὴ φειδόμενος ὄλβου· ἄνδρας γὰρ εὑρεῖν δυναμένους τι κατὰ συμβουλίην οὐ ῥάδιον. ἔρρωσο." αἱ μὲν οὖν γραφεῖσαι παρ᾽ Ἱπποκράτους βίβλοι πᾶσι τοῖς μετερχομένοις τὴν ἰατρικὴν ἐπιςήμην ἔκδηλοι, καὶ οὕτως αὐτὰς κατασπάζονται ὡς θεοῦ φωνὰς καὶ οὐκ ἀνθρωπίνου προελθούσας ἐκ ςόματος· πλὴν τῶν ἐν πρώτοις καὶ ἡμεῖς ἀπομνημονεύσωμεν. πρώτη μὲν οὖν βίβλος ἡ τὸν ὅρκον περιέχουσα, δευτέρα δὲ ἡ τὰς προγνώσεις ἐμφαίνουσα, τρίτη ἡ τῶν ἀφορισμῶν, ἀνθρωπίνην ὑπερβαίνουσα σύνεσιν. τετάρτην τάξιν ἐχέτω ἡ πολυθρύλητος καὶ πολυθαύμαςος ἑξηκοντάβιβλος, ἡ πᾶσαν ἰατρικὴν ἐπιςήμην τε καὶ σοφίαν ἐμπεριέχουσα.

b Ἱπποκράτης Γνωσιδίκου υἱός, Κῷος, πατὴρ Ἡρακλείδα τοῦ πατρὸς Ἱπποκράτους, ἰατρὸς καὶ αὐτός, τοῦ γένους τῶν Ἀσκληπιαδῶν, ἰατρικήν.

Ἱπποκράτης Θεσσαλοῦ Κῷος ἰατρός, c ἔγγονος δὲ Ἱπποκράτους τοῦ δευτέρου τοῦ υἱοῦ Ἡρακλείδου, ἔγραψε καὶ αὐτὸς ἰατρικά.

Ἱπποκράτης τέταρτος, ὁ Δράκοντος, d ἰατρός, Κῷος καὶ αὐτός, τοῦ αὐτοῦ γένους, ὃς ἰάτρευσε μὲν Ῥωξάνην, ὑπὸ δὲ Κασάνδρου τελευτᾷ τοῦ υἱοῦ Ἀντιπάτρου, ἔγραψε καὶ αὐτὸς ἰατρικά.

Ἱπποκράται δύο, πέμπτος καὶ ἕκτος, e ἰατροί, Θυμβραίου παῖδες, Κῷοι καὶ αὐτοί, τοῦ γένους τοῦ αὐτοῦ, ἔγραψαν ἀμφότεροι εἰς τὴν αὐτὴν ἐπιςήμην.

Ἱπποκράτης ἕβδομος, Κῷος καὶ αὐτός, f ἰατρός, Πραξιάνακτος παῖς, καὶ αὐτὸς ἐκ τοῦ γένους τοῦ αὐτοῦ, ἔγραψε καὶ αὐτὸς εἰς τὸν αὐτὸν τρόπον.

Ἱππόλυτον μιμήσομαι, ἐπὶ τῶν σωφροσύνην ἐπαγγελλομένων.

Ἱππόλυτος. οὗτος ἔγραψεν εἰς τὰς δράσεις τοῦ Δανιὴλ ὑπόμνημα, καὶ εἰς τὰς παροιμίας Σολομῶντος.

ἱππομανές. οὕτω λέγεται τὸ ἐπιπεφυκὸς ἐπὶ τοῦ μετώπου τοῦ πωλαρίου, ὅπερ εὐθέως ἡ μήτηρ κατέδεται· ἔςι δὲ τοῦτο τῷ μεγέθει ἔλαττον ἰσχάδος, μέλαν πλατὺ περιφερές. ἔςι δὲ εἰς πολλὰ δόκιμον.

ἱππομανῆ μεγάλως μαινόμενον, ἢ τὸν ἐπὶ ἵπποις μαινόμενον καὶ ἱππικόν· ἢ πρὸς τὸν λειμῶνα ἐκληπτέον. τὸ δὲ ἵππος ἐπὶ τοῦ μεγάλου τάσσεται, ὡς ἱπποσέλινον, καὶ ἱππογνώμων ὁ μεγαλογνώμων. εἰ δὲ ἐπὶ τοῦ λειμῶνος, τὸν ἄγαν ἀνθοῦντα καὶ ἐξυβρίζοντα τῇ χλόῃ διὰ τὸ πλῆθος. ἢ ὁ εὐανθής, ἐφ᾽ ᾧ οἱ ἵπποι μαίνονται. Σοφοκλῆς ⟨Ai. 143⟩ "σὲ τὸν ἱππομανῆ λειμῶν᾽ ἐπιβάντα."

Ἱππόμαχος Ἠλεῖος κατεμαχέσατο τρεῖς ἀνταγωνιςάς, οὐδὲ πληγὴν δεξάμενος. καὶ Πολίτης τις ἐκ Κεράμου τῆς ἐν Θρᾴκῃ Καρίας, τὴν ἀρετὴν ἀναφαίνων τῶν ποδῶν, ἀπὸ μηκίςου καὶ διαρκεςάτου δι᾽ ὀλιγίςου δὴ καιροῦ μεθηρμόσατο ἐπὶ τὸ βραχύτατον ὁμοῦ καὶ ὤκιςον. Pausan. 6 12 et 13.

Ἱππομένης Ἀθηναίων ἄρχων, ὃς ἐξέπεσε τῆς ἀρχῆς δι᾽ αἰτίαν τοιάνδε. ἦν αὐτῷ θυγάτηρ, ἥντινα τῶν ἀςῶν τινὸς αἰσχύναντος λάθρᾳ ὑπ᾽ ὀργῆς καθεῖρξεν εἰς οἴκημα δήσας σὺν ἵππῳ, καὶ τροφὴν οὐδετέρῳ εἰσέπεμπεν. πιεσθεὶς οὖν λιμῷ ὁ ἵππος ἐφορμήσας τῇ παιδί, ἀναλώσας τε αὐτήν, καὶ

αὐτὸς ὕςερον ἀπέθανε. μετὰ ταῦτα ἐπισκαφείσης αὐτοῖς τῆς οἰκήσεως, ἀπ᾽ ἐκείνου ὁ χῶρος ἐκαλεῖτο ἵππȣ καὶ κόρης. Nicol. Dam. p. 446: cf. v. παρ᾽ ἵππον.

ἵππον εἰς πεδίον ἄξεις, ἀντὶ τȣ̃ ὅπȣ μοί ἐςι λυσιτελές.

ἱππόπορνε ἀντὶ τοῦ μεγαλόπορνε, σπανίως. Ἀριςοφάνης ⟨Ran. 430⟩ "καὶ Καλλίαν γέ φασι τὸν Ἱπποβίνου κύσθȣ λεοντῆν ναυμαχεῖν ἐνημμένον." παρεγραμμάτισε διὰ τὴν ἀσέλγειαν παρὰ τὸ Ἱππονίκȣ εἰς πορνομανῆ· τὸ δὲ ἵππος πολλαχοῦ ἐπὶ τοῦ μεγάλȣ λαμβάνουσιν· ἱππόπορνε. κωμῳδεῖται δὲ ὁ Καλλίας πανταχοῦ ὡς σπαθῶν τὴν πατρικὴν οὐσίαν καὶ μάλιςα ἐπὶ γυναιξὶ μεμηνώς. ὀνοματοποιεῖ δὲ πάντα πρὸς μαλακίαν αὐτοῦ.

ἵππος. Δέξιππος "ὁ δὲ ἵππος αὐτῷ ἤσκητο ἄρα καὶ ἄνευ ἡνίας ἐλαυνόμενός τε ὠκύτατα φέρεσθαι, καὶ βάδην προϊόντος πραότατα ἵςασθαι, καὶ ἐκκλίνοντος, ὅπως περιοίσεται καὶ κυκλώσεται, εὐκαμπέστατα ἐπιςρέφειν."

ἵππος Νισαῖος. μεταξὺ τῆς Σȣσιανῆς καὶ τῆς Βακτριανῆς τόπος ἐςὶ Κατασιγώνα, ὅπερ Ἑλλάδι γλώσσῃ Νῖσος καλεῖται· ἐνταῦθα ἵπποι διάφοροι γίνονται. οἱ δὲ ἀπὸ Ἐρυθρᾶς θαλάσσης· εἶναι δὲ ξανθὰς πάσας. ὁ δὲ Ἡρόδοτος ⟨3 106, 7 40⟩ τῆς Μηδίας εἶναι τὸν τόπον Νίσαιον. ὁ δὲ Πολέμων κακῶς φησὶ λευκὸν ἵππον Νισαῖον. ἐν δὲ Δίκτυϊ ⟨an δικτύῳ⟩ Ὀρφεὺς λέγει.... ὅτι ἡ Νῖσα τόπος ἐςὶν ἐν Ἐρυθρᾷ κείμενος.

ἱπποσύνη ἡ περὶ τοὺς ἵππȣς ἐμπειρία.

ἱπποςράτηγος ⟨an ὑποςράτηγος⟩ Ἀλεξάνδρου Ἀλκέτας ἦν. cf. v. Ἀλκέτας.

ἱππότης ἱππεύς, ἔφιππος· "εἶδε νεκρὸν κείμενον ἱππότην ἄριςον καὶ κατὰ χεῖρα πλῆξαι δυνάμενον, κείμενον αὐτῷ ἵππῳ."

ἵππουριν τὴν ἐξ ἱππείων τριχῶν κατεσκευασμένον λόφον ἔχουσαν.

ἱπποφορβός ἱπποτρόφος· φορβὴ γὰρ ἡ τροφή. καὶ ἱπποφόρβιον ἔνθα οἱ ἵπποι τρέφονται.

Ἵππυς Ῥηγῖνος ἱστορικός, γεγονὼς ἐπὶ τῶν Περσικῶν, καὶ πρῶτος ἔγραψε τὰς Σικελικὰς πράξεις, ἃς ὕςερον Μύης ἐπετέμετο· κτίσιν Ἰταλίας, Σικελικῶν βιβλία ε', χρονικὰ ἐν βιβλίοις ε', Ἀργολικῶν ⟨an ἀρχαιολογικῶν⟩ γ'.

ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ᾽ ἐπίβαλλε", ἐπὶ τῶν διὰ γῆρας δεομένων ῥᾳςώνης τινὸς καὶ ἀναπαύλης.

Ἵππων Ἵππωνος (cf. v. ἔρρε). σημαίνει δὲ καὶ τὸν τόπον ἐν ᾧ οἱ ἵπποι ἵςανται. ἱπῶν δὲ περισπωμένως.

Ἱππῶναξ Πύθεω καὶ μητρὸς Πρωτίδος, Ἐφέσιος ἰαμβογράφος. ᾤκησε δὲ Κλαζομενὰς ὑπὸ τῶν τυράννων Ἀθηναγόρα καὶ Κωμᾶ ἐξελαθείς. γράφει δὲ πρὸς Βούπαλον καὶ Ἄθηνιν ἀγαλματοποιούς, ὅτι αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο. οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα.

ἵπταται πέτεται.

ἴπτω βλάπτω, αἰτιατικῇ. a

ἴπτω βλάπτω· ⟨Hom. A 454⟩ "μέγα δ᾽ b ἴψαο λαὸν Ἀχαιῶν." ἰπῶ δὲ περισπωμένως ἀντὶ τοῦ θλίβω· καὶ Ἀριςοφάνης ⟨Eq. 920⟩ "ἰπούμενος ταῖς συμφοραῖς."

ἱρά ἐκκλησία. καὶ πληθυντικὸν ἱραί· "ἱράων προπάροιθεν" Ὅμηρος ⟨Σ 531⟩.

ἱρεῖον θυσία.

ἱρεῖς ⟨an Ἰρασεῖς⟩ ἐθνικόν.

ἱρέων ἐθνικόν.

Ἱρή πόλις.

ἶρις νέφους ὑγρότης κατ᾽ ἔμπτωσιν ἡλίȣ πεποικιλμένου, οἷον τὸ τόξον. ἢ αὐγαὶ ἀφ᾽ ὑγρῶν νεφῶν ἀνακεκλασμέναι. ἢ ἔμφασις ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει δεδροσισμένῳ, κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένην, κατὰ κύκλȣ περιφέρειαν. Diog. L. 7 152.

τῆς ἴριδος τὸ χλωρὸν ἀέρος σημαντικόν, τὸ πυρρὸν πνευμάτων, τὸ δὲ μελανίζον ὑδάτων.

Ἶρις, ἀρσενικόν, ὄνομα ποταμοῦ. θηλυκὸν δὲ σημαίνει τὴν ἄγγελον τῶν θεῶν.

Ἶρος ὁ πτωχός, διὰ μακροῦ τȣ̃ ι. ἱρὸς δὲ ὁ ἱερός, κατὰ κρᾶσιν· ⟨S OC 16⟩ "χῶρος ὅδ᾽ ἱρὸς ὡς ἀπεικάσαι, βρύων δάφνης ἐλαίας ἀμπέλου· πυκνόπτεροι δ᾽ εἴσω κατ᾽ αὐτὸν εὐςομοῦσ᾽ ἀηδόνες."

Ἵρτιος ὄνομα κύριον.

ἱρῶν μηνίσας παρὰ Ὁμήρῳ ⟨E 178⟩.

ἴς δύναμις, νεῦρα.

Ἶσα ⟨an Ἴσσα⟩ πόλις. ἶσα δὲ τὰ ὅμοια.

Ἰσαάκ ὄνομα κύριον.

ἴσα βαίνων Πυθοκλεῖ, Δημοσθένης ἐν τῷ κατ᾽ Αἰσχίνου ⟨314⟩, ἀντὶ τοῦ συνὼν ἀεὶ καὶ μὴ βραχὺ ἀφιςάμενος. καὶ Μένανδρος "παρ᾽ αὐτὸν ἴσα βαίνȣσ᾽ ἑταίρα πολυτελής." Harp.

ἴσα γὰρ ἀληθῶς φαίνεταί μοι ψεύδεσιν," ἐπὶ τῶν ἀμφιβόλων πραγμάτων καὶ δυσελπίςων, Ἀριςοφάνης Ὄρνισι ⟨1163⟩.

ἰσάγγελος ἴσος ἀγγέλῳ.

a ἴσαι ψῆφοι, ἐπὶ τῶν παρ' ὀλίγον ἐν τοῖς δικαςηρίοις ἁλισκομένων· ἀπολύονται γὰρ οἱ διωκόμενοι ἀπὸ τῶν δικαζομένων, ἂν ἴσαι γένωνται ψῆφοι, ἐν αἷς ἀπολύεται ὁ ἐγκαλούμενος.

b ἴσαι ψῆφοι. Αἰσχίνης κατὰ Κτησιφῶντος ⟨252⟩ "ἕτερος δὲ πλεύσας ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην μέν ποτε εἰσηγγέλθη καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο, εἰ δὲ μία ψῆφος μετέπεσεν, ὑπερώριςο ἂν καὶ ἀπέθανεν." Harp.

c ἴσαι ψῆφοι· ⟨A Ran. 696⟩ "ὡς ἀπόλοιτο, κἂν ἴσαι ψῆφοι γένωνται." ὑπερβολικῶς εἴρηται· ὅταν γὰρ ἴσαι αἱ ψῆφοι γένωνται, ἀπολύεται ὁ κατηγορούμενος.

Ἰσαῖος εἷς μὲν ἐςι τῶν ι' ῥητόρων, μαθητὴς δὲ Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος· Δημήτριος δὲ Χαλκιδέα φησὶν αὐτὸν εἶναι. οὗτος ἐπαινεῖται καὶ ὡς ῥήτωρ καὶ ὡς Δημοσθένην ἀμισθὶ προαγαγών.

ὅτι Ἰσαίου τοῦ ῥήτορος νεωτέρου ἀσωτευομένου, ὕςερον δὲ σωφρονήσαντος, ἤρετο αὐτόν τις "τίς ἄριςος τῶν ἰχθύων καὶ τῶν ὀρνέων εἰς βρῶσιν;" "πέπαυμαι" ἔφη ὁ Ἰσαῖος "ταῦτα σπουδάζων· ξυνῆκα γὰρ τὰς Ταντάλου κήπους τρυγῶν," ἐνδεικνύμενος δήπου τῷ ἐρομένῳ ταῦτα ὅτι σκιὰ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι.

Ἰσαιών Ἰσαιῶνος ὄνομα κύριον.

Ἰσακίῳ ἀνδρείῳ.

Ἴσακος ἑλληνιςὶ εἴρηται ὁ Ἰσαάκ.

ἴσαμεν. καὶ ἴσασι γινώσκουσι.

ἴσαν ἐπορεύθησαν, παρ' Ὁμήρῳ καὶ μόνον· σημαίνει δὲ καὶ τὸ ἔγνωσαν.

Ἴσανδρος ὄνομα κύριον.

ἴσας δ' ὑσμίνη κεφαλὰς ἔχον ⟨Hom. Λ 72⟩. ἥ τε τῶν Ἑλλήνων, φησί, καὶ ἡ τῶν βαρβάρων μάχη ἰσοκέφαλος ἦν.

ἴσασι γινώσκουσιν· ⟨S Ai. 964⟩ "οἱ γὰρ κακοὶ γνώμαισι, τἀγαθὸν χεροῖν ἔχοντες, ȣ̓κ ἴσασι πρίν τις ἐκβάλῃ."

ἵσατο καθίδρυσεν.

Ἰσδιγέρδης ὄνομα κύριον. Agath. 4 27.

ἰσηγορεῖ ἐπ' ἴσης λέγει, ἰσολογεῖ. Πολύβιος ⟨7 10⟩ "οὔσης δημοκρατίας παρὰ τοῖς Μεσσηνίοις, καὶ τῶν μὲν ἀξιολόγων ἀνδρῶν πεφυγαδευμένων, τῶν δὲ κατακεκληρουχημένων τὰς τούτων οὐσίας ἐπικρατούντων τῆς πολιτείας, δυσχερῶς ὑπέφερον τὴν τούτων ἰσηγορίαν οἱ μένοντες τῶν ἀρχαίων πολιτῶν."

ἰσηλίκων τῆς αὐτῆς ἡλικίας· "γυναικῶν ἰσηλίκων χορὸν ἑαυτῇ περιχέασα (γηραιαὶ δὲ αὗται, χορὸς θεοφιλής) καὶ καθεῖσαι τὰς παλαιὰς ἐκείνας κόμας ἐθεοκλύτȣν." cf. v. καθεῖσαι.

ἴσημι γινώσκω.

ἴσθι γίνωσκε.

ἴσθμια περισόμια, περιδέραια, περιτραχήλια. λέγονται δὲ καὶ ἑορταὶ Ἑλλήνων. καὶ παροιμία ἰσθμιάζειν ἐπὶ τῶν κακῶς βιȣ́ντων· ἐπίνοσος γὰρ ὁ τῶν Ἰσθμίων καιρός. ἴσθμιον ἀμφιφορῆος ὁ τράχηλος τȣ̃ κεράμȣ διὰ τὸ ςενὸς εἶναι.

Ἰσθμικὴ πίτυς ἆθλον ἐπινίκιον.

ἰσθμός γῆ μεταξὺ δύο θαλασσῶν· πορθμὸς γὰρ θάλασσα μεταξὺ δύο γαιῶν. Ἀριςοφάνης ⟨Th. 653⟩ "ἰσθμόν τιν' ἔχεις, ἄνθρωπ'· ἄνω τε καὶ κάτω τὸ πέος διέλκεις, πυκνότερον Κορινθίων," ἐπεὶ τὰς ναῦς διὰ τȣ̃ Ἰσθμȣ̃ εἷλκον οἱ Κορίνθιοι, ὥςε μὴ περιέρχεσθαι. τȣ̃το δὲ διισθμονίσαι ἐκάλȣν.

Ἰσίδωρος πρεσβύτερος ὁ Πηλȣσιώτης, a
ἀνὴρ ἐλλογιμώτατος, φιλόσοφός τε καὶ ῥήτωρ, ἐπιςολὰς ἑρμηνεύσας τὴν θείαν γραφὴν ,γ γέγραφε, καὶ ἄλλα τινά.

Ἰσίδωρος φιλόσοφος, ὃς ἐφιλοσόφησε b
μὲν ὑπὸ τοῖς ἀδελφοῖς, εἴπερ τις ἄλλος, ἐν τοῖς μαθήμασιν ἐπιμελής τε ... ἐν ἱεροῖς, καὶ τὰ πρὸς ταῦτα κατασκευάζειν ἅπαντα ὡς ἔπος εἰπεῖν ἱκανώτατος εἰς ὑπερβολήν. ἐμοί τε δοκεῖν τὴν ζωὴν μὲν ἦν φιλόσοφος, τὰ δὲ πρὸς ἐπιςήμην ȣ̓ διεξητασμένος, ἀγύμνας ος ὢν μᾶλλον ἢ ἀφυὴς τὰ διαλεκτικά. νέῳ δὲ ὄντι θαυμαςόν τι συμβέβηκεν· ἀδελφῆς γὰρ υἱὸς αὐτοῦ καὶ ἡλικιώτης, ἔτη ιη' γεγονώς, ἐπιδειξάμενος εὐθὺς ἐκ νέων φύσεώς τινα ῥώμην δαιμονίαν, ἀπὸ τοῦ τέγους πεσὼν ἐτελεύτα παραχρῆμα τὸν βίον, καὶ πένθȣς ἐπ' αὐτῷ μεγάλȣ συνεςῶτος ἐπιφοιτῶν ἐνύπνιος τῷ Ἰσιδώρῳ τοῦτον παρεμυθεῖτο. Damascius: cf. v. Συριανός.

Ἶσις Ἴσιδος, ὄνομα δαίμονος. καὶ ἡ κλη- a
τικὴ ὦ Ἶσι· "σὺ δὲ ὦ Ἶσι τάλαινα μενεῖς περὶ χεύματα Νείλου."

Ἶσις. αὕτη λέγεται Ἰώ, ἣν ἥρπασεν ὁ b

Ζεὺς ἐξ Ἄργες, καὶ τὴν Ἥραν φοβούμενος μετέβαλεν αὐτὴν ποτὲ μὲν εἰς λευκὴν βοῦν ποτὲ δὲ εἰς μέλαιναν ποτὲ δὲ ἰάζεσαν· μεθ᾽ ἧς πλανώμενος ἦλθεν εἰς Αἴγυπτον. τιμῶσιν ἣν Αἰγύπτιοι τὴν Ἶσιν· διὸ ἐπὶ κεφαλῆς τῆ ἀγάλματος αὐτῆς κέρατα βοὸς γλύφεσι, δηλεντες τὴν εἰς βεν τῆς κόρης μεταβολήν.

Ἰσκαριώτης σκηνὴ θανάτου.

ἴσκεν, ὡς τὸ "ἴσκε ψεύδεα πολλὰ λέγων" (Hom. τ 203). καὶ ἴσκειν εἰκάζειν.

ἴσμα ἵδρυμα (Lycophr. 731).

Ἰσμαήλ ὁ μεθ᾽ ἡδονῆς γέλως ἑβραϊστί (cf. v. Ἀβραάμ). καὶ Ἰσμαηλίτης ὁ ἀπὸ Ἰσμαήλ.

Ἰσμαρικὸς οἶνος· Ἀρχίλοχος (Athen. p. 30: cf. v. ὑπνομαχῶ) "ἐν δορὶ δ᾽ οἶνος Ἰσμαρικός· πίνω δ᾽ ἐν δορὶ κεκλιμένος." Ἴσμαρος δὲ πόλις ἡ νῦν Μαρώνεια λεγομένη.

ἴσμεν οἴδαμεν.

Ἰσμηνίας εἷς παρὰ Θηβαίοις ἦν πολέμαρχος ἐπιφανής. Harp.

Ἰσοδαίτης ξενικός τις δαίμων, ᾧ τὰ δημώδη γύναια καὶ μὴ πάνυ σπουδαῖα ἐτέλει. Harp.

ἰσοκλεής ἰσόδοξος.

a Ἰσοκράτης Θεοδώρε αὐλοποιε, Ἀθηναῖος ῥήτωρ, γενόμενος ἐπὶ τῆς πϛ᾽ ὀλυμπιάδος, ὃ ἐςι κατὰ τὰ Πελοποννησιακά. καὶ διὰ μὲν τῆς φωνῆς τὴν ἀτονίαν καὶ τὸ ἀπαρρησίαςον δίκας οὐκ εἶπεν, ἐδίδαξε δὲ πλείςες, καὶ λόγους γέγραφε λβ᾽. βιώσας δὲ ἔτη ϛ᾽ πρὸς τοῖς ρ᾽ ἐτελεύτησεν. ἀδελφοὶ δὲ αὐτῷ ἐγένοντο Τίσιππος καὶ Θεόμνηςος καὶ Θεόδωρος, διδάσκαλος δὲ Γοργίας· οἳ δὲ Τισίαν φασίν, οἳ δὲ Ἐργῖνον, οἳ δὲ Πρόδικον ἔφασαν, οἳ δὲ Θηραμένην. οἱ δὲ λόγοι αὐτε πλεῖςοι.

b Ἰσοκράτης εἶπεν (1 35) "ὁ γὰρ φαύλως διανοηθεὶς περὶ τῶν ἰδίων οὐδέποτε καλῶς βελεύσεται περὶ τῶν ἀλλοτρίων."

c Ἰσοκράτης Ἀμύκλα τοῦ φιλοσόφου, Ἀπολλωνίας τῆς ἐν τῷ Πόντῳ ἢ Ἡρακλείας, ὡς Καλλίςρατος, ῥήτωρ, μαθητὴς καὶ διάδοχος τε μεγάλε Ἰσοκράτες, διακέσας δὲ καὶ Πλάτωνος τε φιλοσόφε. ἕτος δὲ ὁ Ἰσοκράτης καὶ Θεοδέκτῃ τῷ ῥήτορι καὶ τραγῳδοποιῷ καὶ Θεοπόμπῳ τῷ Χίῳ ἅμα τῷ Ἐρυθραίῳ Ναυκράτει διηγωνίσατο περὶ λόγων εἰς τὸν ἐπιτάφιον Μαυσώλου τοῦ βασιλέως Ἁλικαρνασσε. καὶ λόγοι αὐτε ε᾽, Ἀμφικτυονικός, προτρεπτικός, περὶ τε τάφου μὴ ποιῆσαι Φιλίππῳ, περὶ τοῦ μετοικισθῆναι, περὶ τῆς ἑαυτοῦ πολιτείας.

ἰσόκωλον τὸ ἴσα μέρη ἔχον. λέγει δὲ Ἀριςοτέλης ὅτι, ἐὰν συνθέτου τινὸς λόγος ἀποδοθῇ τοσαῦτα μέρη ἔχων ὅσα καὶ τὸ σύνθετον ἔχει οὗ ὁ ὁρισμὸς ἀποδίδοται, ὲκ ἔςαι ἕτος ὁ λόγος ὁρισμὸς ἐκείνε· ἐν γὰρ τοῖς ὅτως ἀποδιδομένοις λόγοις ἀναγκαῖον ὀνομάτων εἰς ὄνομα τὴν μετάληψιν γεγονέναι. Alex. Aphrod. in Top. p. 232.

ἰσολογία ἰσοτιμία· "διαψευσθεὶς δὲ τῆς κρίσεως ἐν οὐδενὶ τῶν ἀμφισβητεμένων ἰσολογίαν ἕξειν ὲδέποτε πρὸς τὸ συνέδριον."

Ἴσοξ ὄνομα ἔθνες (an ἰχθύος).

ἰσοπαλῆ ἴσα ἐν κλήρῳ· πάλος γὰρ ὁ κλῆρος.

ἰσόπεδον εἰς ὁμαλὸν τόπον.

ἰσόρροπον ἰσοβαρές, ἰσοςάσιον.

Ἰσός ὄνομα ποταμε.

ἰσοσθενής ἰσοδύναμος.

ἰσοςάσιον ἰσόςαθμον.

ἰσοτελεῖς. οἱ ἀπὸ τε μετοικεῖν κατά a τινα τιμὴν παρὰ τε δήμε γενομένην κατὰ ψήφισμα μεταβαίνοντες εἰς τὸ τῶν δημοποιήτων δίκαιον ἰσοτελεῖς ὠνομάζοντο. ἐγίνετο δὲ τετο τοῖς μετοίκοις ὑπὸ τῆς πόλεως, ὅτε ἔδοξαν εὖ πεποιηκέναι τὸ κοινόν.

ἰσοτελεῖς ἴσα τελεντες, ἴσα τοῖς ἀςοῖς, b ὃ ἐςι τοῖς πολίταις, τέλη διδόντες.

ἰσοτελὴς καὶ ἰσοτέλεια. πολλάκις τιμή τις ἐδίδοτο τοῖς ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ᾽ ἣν τῆ μετοικίε ἄφεσις αὐτῶν ἐγίγνετο. ὅτι δὲ καὶ τῶν ἄλλων ὧν ἔπραττον οἱ μέτοικοι ἄφεσιν εἶχον οἱ ἰσοτελεῖς, Θεόφραςος λέγει. καὶ πόλεσι δὲ ὅλαις ἐψηφίζοντο τὴν ἀτέλειαν Ἀθηναῖοι, ὥσπερ Ὀλυνθίοις καὶ Θηβαίοις. ὁ δὲ ἰσοτελὴς ὡρισμένον τι τέλος ἐδίδε. Harp.

ἰσότης φιλότης (Plato Legg. 6 p. 757 A). αὕτη γνωμικὴ δηλεσα ὡς ἰσότης τὴν φιλίαν συνέχει.

ἰσεργός ἴσα ἐργαζόμενος.

ἰσοϋψεῖς οἰκίαι καὶ παράλληλοι τῷ τείχει ἐν Σιφνῷ, ὲσαι καταλύματα τοῖς ἐργαζομένοις τὰ χρύσεια μέταλλα. ἰσοϋψής οὖν ἰσοϋψοῦς κλίνεται.

ἰσοφαρίζειν (Hom. Z 101) ἐξισεσθαι.

ἰσοφυᾶ ἴσα.

ἰσοφωνία.

ἰσοχειλεῖς μέχρι χείλες πεπληρωμένοι· ⟨X Anab. 4 5 26?⟩ "ἦσαν δὲ κρατῆρες οἴνε ἰσοχειλεῖς."

Ἱσπανία χώρα, ἣ καὶ Ἰβηρία καὶ Ἑσπερία καλεῖται.

Ἰσραηλίτης Ἑβραῖος.

ἴσσα ἐπίφθεγμα ἐπὶ τῶν ἀπολαχόντων καὶ ὅλως δυσπραγέντων. ἔςι καὶ ἐν Μεσσηνίᾳ Μενάνδρε καὶ ἑτέρωθι.

Ἰσσαῖος ὁ πολίτης.

Ἰσσικὸς κόλπος.

Ἰσσινίας ὄνομα κύριον.

Ἰσσός ὄνομα πόλεως. ἶσος δὲ ὁ ὅμοιος, καὶ προπερισπᾶται· ἐξ ὃ καὶ ἰσότερος.

ἴςαμαι γενικῇ.

ἴςε γινώσκετε.

ἰςέον δεῖ γινώσκειν.

ἴςη ἴςανε, σῆσον, προςακτικῶς.

ἴςημι αἰτιατικῇ.

ἱςία ἡ καθέδρα. καὶ παροιμία "θύειν Ἱςίᾳ." εἴρηται ἡ παροιμία κατὰ τῶν μηδενὶ ῥᾳδίως μεταδιδόντων· δι' ἔθες γὰρ ἦν τοῖς παλαιοῖς, ὁπότε ἔθυον Ἱςίᾳ, μηδενὶ μεταδιδόναι τῆς θυσίας.

Ἱςίαια πόλις. καὶ Ἱςιαῖος ὄνομα κύριον.

Ἱςίαιτον ὄνομα τόπε.

ἱςιατορίαν δειπνητορίαν. cf. v. ἑστιατορία.

ἱςίοις τοῖς τε πλοίε λαίφεσιν· Ἀριστοφάνης ⟨Ran. 998⟩ "μὴ πρὸς ὀργὴν ἀντιλέξεις, ἀλλὰ συςείλας, ἄκροισι χρώμενος τοῖς ἱςίοις."

ἱςίον ἄρμενον. ⟨Philostrat. V. S. 1 25⟩ "πλήρεσιν ἱςίοις ἐς τὴν αὐτε σοφίαν καθῆκεν" ἀντὶ τε παντὶ σθένει, πάσῃ δυνάμει, ὅλῃ ψυχῇ. καὶ αὖθις ⟨Synes. p.37⟩ "ὥσπερ ἐπιγνέσης ὀψὲ τῆς φύσεως αὐτε τὸ οἰκεῖον ἔργον, ε κατὰ μικρὸν ἀλλ' ὅλοις ἱςίοις ἀπηνέχθη τῆς σοφιςικῆς προαιρέσεως, ἐπειδὴ τὸ πρῶτον ἐφιλοσόφησεν."

ἱςίον σαπρὸν ἄρμενον παλαιόν, τρίβακον, ἢ μὴ ἁρμόζον, Ἀριςοφάνης ⟨Eq. 914⟩.

ἱςιορράφος πανεργος, ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα ῥαπτόντων. καὶ οἱ Αἰγύπτιοι δὲ λινοποιοί εἰσιν. Ἀριστοφάνης ⟨Th. 942⟩ "ὀλίγε ταύτην ἱςιορράφος."

ἱςιοφόρος ἀρμενοφόρος.

ἱςοδόκη ἡ ὑποδεχομένη τὸν ἱςόν ⟨Hom. A 434⟩.

ἱςοπέδη ξύλον ὀρθὸν ἀπὸ τῆς τρόπιδος, ᾧ προσδέδεται ὁ ἱςός.

ἱςορημέναι πρὸς θέαν ἱςάμεναι· ⟨Pisides Heracl. 3 46⟩ "οὕτω γὰρ ἦσαν ἱςορημέναι μόνον ὡς ζωγραφοῦσιν οἱ γραφεῖς τὰς εἰκόνας."

ἱςορῆσαι θεάσασθαι.

ἵςορι ⟨Hom. Σ 501⟩ μάρτυρι, ἢ κριτῇ.

ἱςορία ἡ θέα· "οὐ γάρ τί πε παραπλήσιον ἢ μυςηρίων ἱςορίαν ἢ τὴν Περσεφόνην ἐθελῆσαι ἁρπάσαι αὐτήν."

ἵςορος ἐπιςήμονος.

ἱςός τὸ κατάρτιον.

Ἴςρος Μενάνδρε ἢ Ἴςρου, Κυρηναῖος ἢ Μακεδών, συγγραφεύς, Καλλιμάχου δελος καὶ γνώριμος. Ἕρμιππος δὲ αὐτόν φησι Πάφιον ἐν τῷ β' τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων. ἔγραψε δὲ πολλὰ καὶ καταλογάδην καὶ ποιητικῶς.

ἴςω γινωσκέτω. καὶ ἴςω ἀντὶ τε ἴςασο· ⟨A Eccl. 765⟩ "ἴςω παρ' αὐτήν, δεῦρ' ἴθ', ἡ κομμώτρια."

ἱςῶκος καὶ ἱςῶνος, ἐν ᾧ οἱ ἱςοί.

ἵςωρ ⟨an ἕςωρ: cf. Hom. Ω 272⟩ ὁ ἐπ' ἄκρῳ τῷ ῥυμῷ ἐμπεπηγμένος πάτταλος.

ἴςωρ ὑπερίςωρ πανσύρτῳ παμμήνῳ πολλῶν δεινῶν ςυγνῶν τ' ἀχέων" Σοφοκλῆς ⟨El. 850⟩. "κἀγὼ τοῦδ' ἴςωρ" ἀντὶ τοῦ κἀγὼ τέτου ἐπιςήμων εἰμί, ὅτι ταλαίπωρός εἰμι. οἶδα ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων, τουτέςι πάντα σύροντι τὰ κακά. ἢ πανσύρτῳ τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. παμμήνῳ δὲ τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. δειλαία οὖν εἰμί, ὅτι πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη καὶ διηνεκῆ παρέμεινεν.

ἴσχανα ⟨an ἴσχνανα⟩ ἔξυσα, ἐλέπτυνα. Ἀριςοφάνης ⟨Ran. 951⟩ "ἴσχανα τὴν τέχνην ἐπυλλίοις καὶ περιπάτοις καὶ τευτλίοισι λευκοῖς," ἀντὶ τοῦ διατριβαῖς ὡς ἐπὶ ἀσθενοῦντος· "χυλὸν διδοὺς ςωμυλμάτων ἀπὸ βιβλίων ἀπ' ἠθῶν," οὐκ ἀπὸ πτισάνης ἀλλ' ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων.

Ἴσχανδρος τραγικὸς ὑποκριτής.

ἰσχάνει ⟨Hom. Ξ 387⟩ κωλύει.

ἰσχανόωσα κωλύεσα, καὶ ἰσχανόωσι ⟨Hom. E 89⟩ κωλύεσι, κατέχεσιν. ἰσχανόω δὲ τὸ ἐπιθυμῶ, γενικῇ.

ἰσχάς ἰσχνάς τις οὖσα, ἐπειδὴ πρὶν ἢ δοθῆναι τὴν κρεωφαγίαν τοῖς Ἀθηναίοις ⟨τοῖς ἀθληταῖς⟩, ἐχρῶντο τῇ ἰσχάδι. ἢ ἐπειδὴ μή-

χρι τούτου προβαίνει· πρῶτον γὰρ ὄλυνθος, εἶτα φήληξ, εἶτα σῦκα, εἶτα ἰσχάς, ἴσχειν ποιοῦσα τὴν αὔξησιν. πάντα δὲ τὰ τραγήματα ἰσχάδας ἐκάλουν· Ἀριστοφάνης Πλούτῳ (801) "ἀνίσταθ᾽ ὡς ἁρπασόμενος τῶν ἰσχάδων." (AP 6 303) "οὐ καὶ πίονα τυρὸν ἀποδρέψεσθε καὶ αὔην ἰσχάδα." καὶ Ἀριστοφάνης (Eq. 762) "κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας." ὥσπερ, φησίν, οἱ τὰς ἰσχάδας ἐσθίοντες ἀνεμποδίστως καὶ λάβρως αὐτὰς ἐσθίουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ δῆμος, ἐπειδὰν ἐν τῇ Πυκνὶ καθεσθῇ, κατακρίνει καὶ δημεύει.

ἴσχε κάτεχε, καὶ "ἴσχε τέκος." καὶ ἴσχειν τὸ ἔχειν.

ἴσχειν τὸ ἔχειν· "οὐκ ἐξῆν κιχλίζειν, οὐδ᾽ ἴσχειν τὼ πόδ᾽ ἐναλλάξ" Ἀριστοφάνης φησὶ (Nub. 983). "τοὺς δὲ ξενίζειν οὐδέποτ᾽ ἴσχει γ᾽ ἡ θύρα" (A Ach. 127) ἀντὶ τοῦ κωλύει καὶ ἀποκλείει, ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων.

Ἴσχενος. Lycophr. 43.

ἴσχεο (Hom. *B* 247) πέπαυσο.

ἴσχεσθαι (Hom. σ 347) παύσασθαι.

ἰσχέτω κατεχέτω· (A Vesp. 1256) "ἴωμεν ἤδη, μηδὲν ἡμᾶς ἰσχέτω."

ἰσχιάζειν (Procop. Arc. 9) τὸ ἐν τῷ βαδίζειν ἐπὶ πολὺ ἑκατέρωσε ἑαυτὸν μεταφέρειν.

ἰσχίον τὸ κοῖλον τοῦ γλουτοῦ, ἐν ᾧ ἡ κοτύλη στρέφεται, παρὰ τὸ ἴσχειν τοὺς καθημένους.

ἰσχνομυθίας λεπτολογίας.

ἰσχνομυθοῦντες ἀκριβολογοῦντες· ἰσχνὸς γὰρ ὁ ξηρός.

ἰσχυρὰν θέρμην εἶχεν ὁ βασιλεύς· διὸ καὶ πλειόνων ἡμερῶν ἐν τῇ πόλει διέτριψεν."

ἰσχυρίζετο ἀντὶ τοῦ διεβεβαιοῦτο· (Procop. Pers. 2 7) "ὁ δὲ πρηνὴς κείμενος ἰσχυρίζετο οὐδὲν τοῖς Βεροιαίοις ὑπολελεῖφθαι τῶν πάντων χρημάτων." καὶ αὖθις (Arc. 12) "ταῦτα γράφω οὐκ αὐτὸς θεασάμενος, ἀλλὰ τῶν θεάσασθαι ἰσχυριζομένων ἀκούσας."

ἰσχυρικὸς ἀντὶ τοῦ ἰσχυρός. οὕτως Ἄλεξις.

ἰσχυρογνώμων· "ὁ δὲ ἐπὶ τοῖς ἁμαρτανομένοις ἰσχυρογνώμων," ἔξαρνος, σκληρός. (Diog. L. 2 24) "ὁ δὲ Σωκράτης ἰσχυρογνώμων ἦν καὶ δημοκρατικός."

ἰσχυρὸν μέγα, βαθύ· "ἀλλ᾽ οὐκ οἶμαι ζῆν αὐτὴν ἔτι, ἰσχυρὸν τραῦμα λαβοῦσαν ὑπ᾽ ἐμοῦ." καὶ αὖθις "πνευμάτων δὲ ἐπιγενομένων ἰσχυρῶν ἔνιοι σὺν τοῖς ὑποζυγίοις εἰς τὴν ὑποκειμένην θάλασσαν κατηνέχθησαν."

ἰσχυρὸς ἰσχύος καὶ δυνάμεως εὖ ἔχων· Ἰώσηπος (A. I. 5 8 11) "ὁ δὲ Σαμψών, ἔτι γὰρ φρονεῖν ἰσχυρὸς ἦν, ἀντηπάτα τὴν γυναῖκα." καὶ Αἰλιανός φησιν "οὕτως ἄρα αἱ ἰσχυραὶ τιμωρίαι πολλάκις εἰς τοὺς εὑρόντας αὐτὰς περιτρέπονται, καὶ ὅσα προσέταξαν παθεῖν ἕτερον, αὐτοὶ πεπόνθασι." "τὰ χωρία ἰσχυρῶς ὄρθια ἦν καὶ λίθων περιβολαῖς ὠχύρωτο." καὶ αὖθις "ἰσχυρῶς εἴχετο τοῦ ἀνδρός," ἐρωτικῶς.

ἰσχυρότερος.

ἰσχὺς ἐστὶ συμμετρία τῶν ὁμοιομερῶν, νεύρων τε καὶ ὀστῶν καὶ πνεύματος.

ἰσχύων αἰτιατικῇ· (S El. 696) "ὅταν τις θεῶν βλάπτῃ, δύναιτ᾽ ἂν οὐδ᾽ ἂν ἰσχύων φυγεῖν" (cf. v. θεός).

ἴσχω, αἰτιατικῇ, κρατῶ.

ἴσῳ ζυγῷ ἀντὶ τοῦ ἐξ ἴσης. (Iulian. or. 8 p. 244) "ὁ δὲ ἀγαπήσας αὐτὸν καὶ φιληθεὶς τὸ λεγόμενον ἴσῳ ζυγῷ παρ᾽ ἐκείνου ἡδέως μὲν αὐτῷ συνῆν, ἔπραττε δὲ οὐδὲν ὧν μὴ πρότερον ἐκεῖνος πύθοιτο καὶ φήσειεν εἶναι πρακτέον."

ἰσωνία (A Pac. 1226) ἰσοτιμία, ἢ ἡ ἴση ἀγορά.

ἴσωτο.

Ἰταβύριον ὄρος οὕτω καλούμενον.

ἰταλιώδης ὁ ἀλαζών, ἀπὸ τῶν Πυθαγορικῶν. ἢ διὰ τὴν Σύβαριν ὁ λάγνος.

ἰταμὸς ἀναιδής, σκληρός, ὠμός, παρὰ τὸ ἵεσθαι, ὅ ἐστιν ὁρμᾶν· τοιοῦτοι γὰρ καὶ οἱ ἀναιδεῖς. "ἡ δὲ νῦν μὲν ἐγέλα ἰταμόν τε καὶ ἀκόλαστον γέλωτα, νῦν δὲ ἐφθέγγετο ῥήματα αὐθάδη" (cf. v. ἀκόλαστος). καὶ αὖθις "τὸ γὰρ μὴ ἐρυθριᾶν ἐπὶ τοῖς εἰρημένοις πάσης ἰταμότητος καὶ ἀναισχυντίας." ὁ αὐτὸς μένων ἐπὶ τὸ χρῶμα οὐκ ἐρυθριᾷ (cf. v. ἐρύθημα). καὶ ἰταμώτατα.

ἴτε δεῦτε, ἢ ἀπέλθετε· Σοφοκλῆς (Ai. 843) "ἴτ᾽ ὦ ταχεῖαι ποίνιμοί τ᾽ ἐρινύες."

Ἰτέα δῆμος τῆς Ἀκαμαντίδος, ἀφ᾽ ἧς ὁ δημότης Ἰτεαῖος. Harp.

ἰτέον πορευτέον.

ἴτην ἐπορεύθησαν.

ἴτης ἰταμός, σκληρός, τολμηρός, καὶ δι᾽ a
αὐτῶν χωρῶν τῶν πραγμάτων, παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις (444).

b ἴτης ὁ ὁρμητικός.

ἰτητέον. παρ' Ἀριστοφάνει ἐν Νεφέλαις ⟨131⟩ "ἰτητέον· τί ταῦτ' ἔχων στραγγεύομαι;"

ἰτρία καπυρώδη πλάσματα. "τὰ δ' ἄλλ' ἐστὶ παρεσκευασμένα, τράπεζαι προσκεφάλαια στρώματα στέφος μύρον τραγήμαθ', αἱ πόρναι πάρα, ἄμυλοι πλακοῦντες ἰτρία ὀρχηστρίδες. ἀλλ' ὡς τάχιστα σπεῦδε" ⟨A Ach. 1057⟩.

ἰτρόγαλα.

ἴτρον ⟨an ἦτρον⟩ τὸ ὑποκάτω τοῦ ὀμφαλοῦ μέρος. ἐξ οὗ καὶ ἰτρία. καὶ μίτρα ἡ περὶ αὐτὴν ζώνη.

Ἰτυκαῖος χώρα τῶν Ἰτυκαίων.

Ἴτυλος ὀρφανός.

Ἰτυμονῆα ⟨Hom. Λ 672⟩ τὸν Ἰτυμονέα.

ἴτυξ ὄρνεον.

a ἴτυς περιφέρεια ὅπλου· Ξενοφῶν ⟨Anab. 4 7 12⟩ "ὁ δὲ Καλλίμαχος ὡς ὁρᾷ αὐτὸν παριόντα, ἐπιλαμβάνεται αὐτοῦ τῆς ἴτυος. ἐν δὲ τούτῳ παραθεῖ Ἀριστώνυμος." καὶ ἐν ἐπιγράμματι ⟨AP 6 28⟩ "γυρῶν τ' ἀγκίστρων καμπυλόεσσαν ἴτυν."

b ἴτυς. ⟨AP 6 294⟩ "ἀσπὶς γηραλέα μὲν ἴτυν πολέμων ὕπο, γηραλέα δὲ ὀμφαλόν· ἀλλ' ἀρετᾷ λάμπομαι, ἃς ἔκιχον." καὶ αὖθις ⟨7 232⟩ "ἀλλ' ὄλετ' ἀμφ' ἑτάρῳ σχὼν κυκλόεσσαν ἴτυν."

ἰτύς ἰτέα.

ἴτω ἴσθω, ἐρχέσθω· "ἀλλ' ἴτω, χαιρέτω, γῆν πρὸ γῆς, ὅποι βούλοιτο" ⟨Iulian. or. 7 p. 211 A⟩.

Ἰτώνη. καὶ Ἰτωνία ἡ Ἄρτεμις ⟨an Ἀθηνᾶ⟩.

Ἰτωνίς Ἰτωνίδος χώρα.

ἴυγγες λεπτοὶ πόροι, καὶ αἱ τέρψεις.

ἰυγμός βοή, φωνή.

Ἴυγξ Ἠχοῦς ἢ Πειθοῦς θυγάτηρ, ἱερονίκης καὶ Ἀφροδίτης· καταφαρμάττουσα δὲ τὸν Δία ἐπὶ τοῖς τοιούτοις ⟨an ἐπ' Ἰοῖ⟩ ἀπωρνιθώθη ὑπὸ Ἥρας. καλεῖται δὲ ὑπ' ἐνίων κιναίδιον. ἔστι δὲ καὶ ὀργάνιόν τι ἴυγξ καλούμενον, ὅπερ εἰώθασιν αἱ φαρμακίδες στρέφειν ὡς κατακηλούμεναι τοὺς ἀγαπωμένους. ἔστι δὲ καὶ ὄρνεόν τι, ᾧ πρόσκειται τὴν αὐτὴν δύναμιν ἔχειν· ὅθεν δεσμεύουσι τοῖς τροχίσκοις.

a ἴυγξ τὸ ὄρνεον τὸ λεγόμενον σεισοπυγίς.

b ἴυγξ τὸ ἐφέλκον τὴν διάνοιαν εἰς ἐπιθυμίαν καὶ ἔρωτα. ἐν ἐπιγράμματι ⟨AP 5 205⟩ "ἴυγξ ἡ Νικοῦς, ἡ καὶ διαπόντιον ἕλκειν ἄνδρα καὶ ἐκ θαλάμων παῖδας ἐπισταμένη." ⟨A Lys. 1111⟩ "δεῖ δὴ νυνί σε γενέσθαι δεινὴν ἀγαθὴν φαύλην σεμνὴν ἀγανὴν πολύπειρον, ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴυγγι κοινῇ πάντ' ἐπέτρεψαν," ἀντὶ τοῦ τῷ σῷ πόθῳ, τῇ σῇ θέλξει. οἱ δὲ ὅτι ὄρνεόν ἐστιν ἐπιτήδειον πρὸς τὰς τῶν φίλτρων κακίας, ἥν φασιν Ἠχοῦς εἶναι θυγατέρα, ἔνιοι δὲ Πειθοῦς. καὶ ἴυγξιν· "ἡ δὲ Κλεοπάτρα ᾤετο ταῖς αὐταῖς ἴυγξιν, αἷσπερ οὖν Καίσαρος καὶ Ἀντωνίου, καὶ μέντοι καὶ τοῦ Σεβαστοῦ κρατήσειν τρίτου." καὶ αὖθις ⟨Diog. L. 6 76⟩ "τοιαύτη τις προσῆν ἴυγξ Διογένους τοῖς λόγοις τοῦ κυνός."

ἰύζει βοᾷ, κράζει.

ἰφθίμη ⟨Hom. E 415⟩ ἰσχυρά, καὶ ἴφθιμος ἰσχυρός, καὶ ἰφθιμότατος.

ἶφι ἰσχυρῶς. ἡ εἰς φι συλλαβὴ κατὰ πᾶσαν πτῶσιν φυλάττεται, εὐθείᾳ ⟨Hes. O. 214⟩ "ὁδὸς δ' ἑτέρηφι," γενικῇ ⟨Hom. Λ 351⟩ "ἀπὸ χαλκόφι," δοτικῇ "παραφροσύνηφι," αἰτιατικῇ ⟨Hom. N 308⟩ "ἐπὶ δεξιόφιν," κλητικῇ ⟨Alcman ap. sch. Ven. N 586⟩ "Οὐρανίαφι λίγαινε." τὸ δὲ νόσφι καὶ ἶφι μόνα μετέπεσον εἰς ἐπιρρηματικὴν σύνταξιν.

Ἰφιάλου τοῦ ἐφιάλτου.

ἴφια μῆλα ⟨Hom. E 556⟩ ἰσχυρῶς βαδίζοντα· ἴφιον γὰρ τὸ λιπαρόν.

Ἰφιγένεια ὄνομα κύριον.

Ἰφικλῆς ὄνομα κύριον.

Ἴφικλος ὄνομα κύριον, ἰφίκωλός τις ὤν· ἱστορεῖται γὰρ ταχύτατος εἶναι.

Ἰφικράτης σκυτέως πατρός, Ἀθηναῖος ῥήτωρ καὶ στρατηγός, ὃς πρῶτος ἐν τοῖς λαφύροις τὸ ἐπίγραμμα ἐποίησε μεμνημένον τοῦ στρατηγοῦ, πρότερον μόνης τῆς πόλεως ἐπιγραφομένης.

ἰφικρατίδες εἶδος ὑποδήματος, ἀπὸ Ἰφικράτους. Δαμάσκιος ἐν φιλοσόφῳ ἱστορίᾳ ⟨Phot. p. 342 a⟩ "εἴ ποτε δὲ τὰς Ἀττικὰς ἰφικρατίδας ἢ τὰ συνήθη σάνδαλα ὑποδεδεμένος περιενόσει."

Ἰφικρατίδης ὄνομα κύριον.

Ἰφίνοος ⟨Hom. H 14⟩ ὄνομα κύριον.

Ἶφις Ἴφιδος ὄνομα κύριον. ἢ ὁ ταχύς.

Ἰφίστιος ⟨an Ἡφαίστιος⟩ ὄνομα κύριον.

Ἴφιτος ὄνομα κύριον.

ἰφύη ⟨an ἴφυον⟩ εἶδος ἀγρίου λαχάνου· Ἀριστοφάνης ⟨Th. 916⟩ "ἐγὼ δὲ Μενέλεων ὅσον ἐκ τῶν ἰφύων."

ἰφύς ὀφρύς.

ἰχθυᾷ (Hom. μ 95) ἰχθῦς ἀγρεύει. καὶ παροιμία "ἰχθὺν νήχεσθαι διδάσκεις," ἐπὶ τῶν διδασκόντων ἃ ἐπίστανται.

ἰχθυοβολεὺς καὶ ἰχθυαλκὸς ὁ ἁλιεύς.

ἰχθυόκεντρον ἡ τρίαινα.

ἰχθῦς. περισπᾶται.

ἴχλα ἡ κίχλα.

Ἰχναίη ἡ Μακεδονία.

ἰχνᾶται ἰχνοσκοπεῖ.

ἰχνεύει ἐρευνᾷ, ζητεῖ.

ἰχνεύμονος εἶδος ζῴου καὶ ἰχθύος.

ἴχνη. ὅτι τοὺς κατὰ σάρκα προγόνους τοῦ Χριστοῦ ἀντάλλαγμα καὶ ἴχνη ἐκάλεσαν οἱ ο' ἑρμηνευταί. Theodoret. in Ps. 88.

ἰχνηλατῆσαι κατ' ἴχνος ἀναζητῆσαι.

ἴχνια σημεῖα ποδός.

ἴχνος ὁδόν, πορείαν, βῆμα.

ἰχὼρ ἰχῶρος τὸ πεπηγὸς αἷμα.

ἴψ ὁ σκώληξ· καὶ κλίνεται ἰπός. καὶ τὸ πληθυντικὸν ἰψί.

ἴψαο ἔβλαψας· (Hom. Α 454) "μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν."

Ἰὼ ὄνομα. Ἴναχος Ἀργείων βασιλεὺς κτίζει πόλιν εἰς ὄνομα τῆς σελήνης Ἰοῦς· οὕτω γὰρ τὴν σελήνην ἐκάλουν Ἀργεῖοι. ἔσχε δὲ καὶ θυγατέρα Ἰώ, ἥντινα Πῖκος ὁ καὶ Ζεὺς ἥρπασε καὶ ἔσχε θυγατέρα ἐξ αὐτῆς Λιβύην. ἡ δὲ Ἰὼ λυπηθεῖσα ἐπὶ τῇ διαφθορᾷ ἔφυγεν εἰς τὸ Σίλπιον ὄρος, κἀκεῖ τελευτᾷ. ὁ δὲ πατὴρ καὶ οἱ ἀδελφοὶ τοῦτο μαθόντες κτίζουσιν αὐτῇ ἱερόν, καὶ ἐκάλεσαν τὸν τόπον Ἰώπολιν, καὶ ἔμειναν ἐκεῖ μέχρι τελευτῆς, ἐπιτελοῦντες τὴν μνήμην, καὶ κρούοντες εἰς τὰς ἀλλήλων θύρας κατ' ἔτος ἔλεγον Ἰὼ Ἰώ. cf. Malala p. 31.

a ἰὼ σχετλιαστικόν. (Eur. Phoen. 189) "ἰὼ Νέμεσι, βαρύβρομοί τε βρονταί." καὶ αὖθις (A Ach. 1203) "ἰὼ ἰώ, τραυμάτων ἐπωδύνων."

b ἰώ. Ἀριστοφάνης (Vesp. 1332) "ἰὼ χελῶναι μακάριαι τοῦ δέρματος καὶ τρισμακάριαι τοὐπὶ ταῖς πλευραῖς, ὡς εὖ κατηρέψασθε καὶ νουβυστικῶς." (Pac. 243) "ἰὼ Πρασιαὶ τρὶς ἄθλιαι καὶ πεντάκις καὶ πολλῷ δεκάκις, ἀπολεῖσθε τήμερον." ἔστι δὲ πόλις Λακωνική.

ἰὼ σκότος, ἐμὸν φάος, ἔρεβος ὦ φαεννότατον ἐμοί, ἕλεσθ' ἕλεσθέ μ' οἰκήτορα, ἕλεσθέ μ'· οὔτε γὰρ θεῶν γένος οὔθ' ἁμερίων ἔτ' ἄξιος βλέπειν τίν' εἰς ὄνησιν ἀνθρώπων" (S Ai. 394). τουτέστιν, οὔτε θεῶν οὔτ' ἀνθρώπων γένος ὁρᾶν ἄξιός εἰμι εἰς ὠφέλειαν· ἄξιον τοίνυν ἐξιέναι τοῦ βίου. ἢ οὕτως· εἰς ὠφέλειαν οὐκ εἰσί μοι οὔτε ἄνθρωποι οὔτε θεοί· τί οὖν ζῶ; ὡς ἂν εἴ τις θάνατον σωτηρίαν νομίσειεν.

Ἰωάβ ὄνομα κύριον.

Ἰωάθαμ ὄνομα κύριον. ζήτει ἐν τῷ Ἀβιμέλεχ.

Ἰωακείμ ὄνομα κύριον.

Ἰωάννης ὄνομα κύριον. a

ὅτι ὁ θεολόγος καὶ εὐαγγελιστὴς ἀπὸ τῆς ἐν Πάτμῳ ἐξορίας ἐπανελθὼν συντάττει τὸ εὐαγγέλιον ὢν ἐτῶν ρ', διαρκέσας ἕως ἄλλων ἐτῶν ρκ'. ἐκεῖσε διάγων καὶ συγγράφεται τὴν θεολογίαν. δέχεται δὲ ὁ Χρυσόστομος καὶ τὰς ἐπιστολὰς αὐτοῦ τὰς τρεῖς καὶ τὴν ἀποκάλυψιν.

Ἰωάννης ὁ Δαμασκηνός, ὁ ἐπικληθεὶς b Μανσούρ, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος, οὐδενὸς δεύτερος τῶν κατ' αὐτὸν ἐν παιδείᾳ λαμψάντων. συγγράμματα αὐτοῦ πάνυ πολλὰ καὶ μάλιστα φιλόσοφα, εἴς τε τὴν θείαν γραφὴν παράλληλοι κατ' ἐκλογήν, καὶ οἱ ᾀσματικοὶ κανόνες, ἰαμβικοί τε καὶ καταλογάδην, συνήκμαζε δ' αὐτῷ καὶ Κοσμᾶς ὁ ἐξ Ἱεροσολύμων, ἀνὴρ εὐφυέστατος καὶ πνέων μουσικὴν ὅλως τὴν ἐναρμόνιον. οἱ γοῦν ᾀσματικοὶ κανόνες Ἰωάννου τε καὶ Κοσμᾶ σύγκρισιν οὐκ ἐδέξαντο, οὐδὲ δέξαιντο ἂν μέχρις ὁ καθ' ἡμᾶς βίος περαιωθήσεται.

Ἰωάννης ὁ ἐκ Καππαδοκίας ἔπαρχος c Ἰουστινιανοῦ λόγων μὲν τῶν ἐλευθερίων καὶ παιδείας ἀνήκοος ἦν (οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματιστοῦ φοιτῶν ἔμαθεν ὅτι μὴ γράμματα, καὶ ταῦτα κακὰ κακῶς, γράψαι), φύσεως δὲ ἰσχύι πάντων γέγονε δυνατώτατος ὧν ἡμεῖς ἴσμεν· γνῶναί τε γὰρ τὰ δέοντα ἱκανώτατος ἦν καὶ λύσιν τοῖς ἀπόροις εὑρεῖν. πονηρότατος δὲ πάντων ἀνθρώπων γεγονὼς τῇ τε τῆς φύσεως δυνάμει ἐς τοῦτο ἐχρῆτο, καὶ οὔτε θεοῦ λόγος οὔτε ἀνθρώπων αὐτὸν αἰδώς τις εἰσῄει, ἀλλὰ βίους τε αὐτῷ ἀνθρώπων πολλῶν ἀπολλύναι κέρδους ἕνεκα καὶ πόλεις ὅλας καθελεῖν ἐπιμελὲς ἦν. χρόνου γοῦν ὀλίγου χρήματα μεγάλα περιβαλόμενος ἐς κραιπάλην τινὰ ἐκλελάκτικεν ὅρον οὐκ ἔχουσαν, ἄχρι μὲν ἐς τὸν τοῦ ἀρίστου καιρὸν ληιζόμενος τὰς τῶν ὑπηκόων οὐσίας,

μέθῃ δὲ τὸ λοιπὸν καὶ σώματος ἔργοις ἀσελγέσιν ἠσχολημένος. κατέχειν δὲ αὐτὸν οὐδαμῇ ἴσχυεν, ἀλλὰ τά τε βρώματα μέχρι ἐς τὸν ἔμετον ἤσθιε, καὶ τὰ χρήματα κλέπτειν μὲν ἦν ἐσαεὶ ἕτοιμος, προΐεσθαι δὲ καὶ δαπανᾶν ἑτοιμότερος. Procop. Pers. 1 24.

οὗτος δὲ ὁ Ἰωάννης πᾶσιν ἀνθρώποις βαρὺς ἦν ὁμοίως καὶ χαλεπός, πληγάς τε τοῖς προσπίπτουσιν ἐντεινόμενος καὶ τὰ χρήματα ἀπαξάπαντα λόγῳ οὐδενὶ ληιζόμενος τὴν δίκην ὀρθῶς καὶ δικαίως τῆς ἐς τὴν δίαιταν παρανομίας ἐξέτισεν. id. 1 25.

d Ἰωάννης Φιλαδελφεὺς Λυδός. οὗτος ἔγραψε περὶ μηνιῶν βιβλίον α΄, καὶ περὶ διοσημιῶν ἕτερον, καὶ ἄλλων τινῶν ὑποθέσεων μαθηματικῶν. προσομιλεῖ δὲ ταῦτα Γαβριηλίῳ τινὶ ὑπάρχῳ.

e Ἰωάννης ὁ ἐπονομαζόμενος Στοβεὺς ἀνθολόγιον περιέχον τὰς παρὰ πᾶσι πολλῶν δόξας ἐν βιβλίοις δ΄, ἐνάρετα πάνυ καὶ γέμοντα πάσης παιδεύσεως. γράφει δὲ ταῦτα πρὸς Σεπτίμιον υἱὸν αὐτοῦ.

f Ἰωάννης ὁ τυραννήσας εἰς Ῥώμην ἐπὶ Θεοδοσίου πρᾶος ἦν καὶ ξυνέσεως εὖ ἥκων καὶ ἀρετῆς μεταποιεῖσθαι ἐξεπιςάμενος· ὃς τὴν τυραννίδα μετρίως ἐξηγήσατο, οὐδὲ τοῖς διαβάλλουσι τὴν ἀκοὴν ὑπέσχεν, οὐδὲ φόνον ἄδικον εἰργάσατο ἑκών γε εἶναι, οὐδὲ χρημάτων ἀφαιρέσει ἐπέθετο. Procop. Vand. 1 3.

g Ἰωάννης γραμματικὸς Ἀλεξανδρεύς, ὁ ἐπικληθεὶς φιλόπονος. τούτου συγγράμματα πάμπολλα, γραμματικὰ φιλόσοφα ἀριθμητικὰ ῥητορικά, τῆς τε θείας γραφῆς, καὶ κατὰ τῶν ιη΄ Προκλείων ἐπιχειρημάτων, καὶ κατὰ Σεβήρου, πλὴν ὅτι παρὰ τῶν τῆς ἐκκλησίας διδασκάλων ὡς τριθεΐτης ἐκβάλλεται καὶ τοῦ καταλόγου τῶν ὀρθοδόξων ἀποδιώκεται.

h Ἰωάννης Ἀντιοχεύς, ὁ ἐπικληθεὶς χρυσόςομος, πρεσβύτερος μὲν ἐν πρώτοις Ἀντιοχείας, Εὐσεβίου δὲ τοῦ Ἐμεσηνοῦ φιλοσόφου καὶ Διοδώρȣ ἀκόλȣθος. οὗτος πολλὰ συγγράψαι λέγεται, ἀφ᾽ ὧν οἱ περὶ ἱερωσύνης ὑπερβάλλουσι λόγοι τῷ τε ὕψει καὶ τῇ φράσει καὶ τῇ λειότητι καὶ τῷ κάλλει τῶν ὀνομάτων. τούτοις ἐφάμιλλοι καὶ οἱ εἰς τοὺς ψαλμοὺς τοῦ Δαβὶδ λόγοι, καὶ ἡ τοῦ κατὰ Ἰωάννην εὐαγγελίȣ σημασία, καὶ τὰ εἰς τὸν Ματθαῖον καὶ Μάρκον καὶ Λȣκᾶν ὑπομνήματα. τὰ δὲ λοιπὰ αὐτοῦ συγγράμματα κρείττονα ἀριθμοῦ τυγχάνει· ἅπασαν γὰρ Ἰουδαϊκὴν γραφὴν καὶ Χριςιανικὴν ὑπεμνημάτισεν ὡς ἄλλος οὐδείς. τὰς τῶν μαρτύρων δὲ πανηγύρεις ἐπηύξησεν ἐν τῷ σχεδιάζειν ἀνεμποδίςως καὶ τὴν γλῶσσαν αὐτȣ̃ καταρρεῖν ὑπὲρ τοὺς Νειλῴους καταρράκτας. οὐδεὶς οὖν τῶν ἀπ᾽ αἰῶνος τοιαύτην λόγου ηὐπόρησεν εὔροιαν, ἣν μόνος αὐτὸς ἐπλούτησε, καὶ μόνος ἀκιβδήλως τὸ χρυσοῦν τε καὶ θεῖον παρὰ πάντας ἐκληρονόμησεν ὄνομα. τῶν δὲ συγγραμμάτων αὐτοῦ καταλέγειν τὸν ἀριθμὸν οὐκ ἀνθρώπου, θεοῦ δὲ μᾶλλον τȣ̃ τὰ πάντα γινώσκοντος.

οὗτος ὁ ἅγιος Ἰωάννης ὁ χρυσόςομος ἀσκητὴς ἦν ἄκρως, καὶ πολυάγρυπνος καὶ φιλήσυχος λίαν καὶ διὰ ζῆλον σωφροσύνης εὐπαρρησίαςος καὶ ἀκρόχολος· θυμῷ γὰρ μᾶλλον ἢ αἰδοῖ ἐχαρίζετο, καὶ ἐλευθεροςομίᾳ πρὸς τοὺς ἐντυγχάνοντας ἀμέτρως ἐκέχρητο. καὶ ἐν μὲν τῷ διδάσκειν πολὺς ἦν πρὸς ὠφέλειαν, ἐν δὲ ταῖς συντυχίαις ἀλαζονικός τις καὶ ὑπερόπτης ἐνομίζετο τοῖς αὐτὸν ἀγνοοῦσι. διὸ καὶ ἐπὶ τὴν ἐπισκοπὴν προβληθεὶς μείζονι ὀφρύι κατὰ τῶν ὑπηκόων ἐκέχρητο, πρὸς διόρθωσιν ἑκάςου καὶ σωτηρίαν καὶ τοὺς τρόπους καὶ τοὺς λόγους μεταλλάττων. οὐ τοίνυν εἰ μή τις εἴη κόλαξ, τοῦτον ἀλαζόνα εἶναι νομιςέον· οὐδ᾽ αὖ πάλιν, εἰ κόλαξ εἴη καὶ ἀγεννής, τοῦτον μετριόφρονα λεκτέον, ἀλλὰ τὸν ἐν τῇ προσηκούσῃ τάξει τῇ ἐλευθέροις πρεπούσῃ ἑαυτὸν φυλάττοντα. μεγαλόψυχον μὲν εἶναι προσήκει, ȣ̓χ ὑπερήφανον· ἀνδρεῖον, ȣ̓ θρασύν· ἐπιεικῆ, ȣ̓ δȣλοπρεπῆ· μετριόφρονα, ȣ̓ ταπεινοφροσύνην ὑποκρινόμενον· ἐλευθέριον, ȣ̓κ ἀνδραποδώδη. ὡς καὶ αὐτὸς λέγει "διὰ τȣ̃το ποικίλον εἶναι δεῖ τὸν ποιμένα καὶ διδάσκαλον. ποικίλον δὲ λέγω ȣ̓χ ὕπȣλον, ȣ̓δὲ κόλακα καὶ ὑβριςήν, ἀλλὰ πολλῆς ἐλευθερίας καὶ παρρησίας ἀνάμεςον, εἰδότα καὶ συγκατιέναι χρησίμως, ὅταν ἀπαιτῇ τȣ̃το ἡ τῶν πραγμάτων ὑπόθεσις, καὶ χρηςὸν εἶναι ὁμȣ̃ καὶ αὐςηρόν. ȣ̓ γὰρ ἑνὶ τρόπῳ χρῆσθαι τοῖς ἀρχομένοις ἅπασι δέον, ἐπεὶ μηδὲ ἰατρῶν παισὶν ἑνὶ μόνῳ φαρμάκῳ πᾶσι τοῖς κάμνȣσι προσφέρεσθαι καλόν, μηδὲ κυβερνήτῃ μίαν ὁδὸν εἰδέναι τῆς πρὸς τὰ πνεύματα μάχης. ἐννόησον ȣ̓ν ὁποῖόν τινα εἶναι χρὴ τὸν μέλλοντα πρὸς χειμῶνα τοσȣ̃τον ἀνθέξειν καὶ τοιαύτην ζάλην καὶ τοσαῦτα κύματα, πρὸς τὸ γενέσθαι τοῖς πᾶσι τὰ πάντα,

ἵνα πάντως κερδήσῃ. καὶ γὰρ σεμνὸν εἶναι δεῖ τὸν τοιοῦτον καὶ ἄτυφον καὶ φοβερὸν καὶ προσηνῆ καὶ ἀρχοντικὸν καὶ κοινωνικὸν καὶ ἀδέκαςον καὶ θεραπευτικὸν καὶ ταπεινὸν καὶ ἀδούλωτον καὶ φαιδρὸν καὶ ἥμερον, ἵνα πρὸς ταῦτα εὐκόλως δύνηται μάχεσθαι. οὐκοῦν δεῖ τὸν ἐνάρετον καὶ ἐχέφρονα φεύγειν τὸ κολακεύειν καὶ κολακεύεσθαι, μήτε ἀλαζονικὸν εἶναι μήτε κόλακα, ἀλλ' ἀμφοτέρων τῶν κακῶν τούτων κολάζειν τὴν ἀμετρίαν, καὶ ἐλεύθερον εἶναι, μήτε εἰς αὐθάδειαν ἀποκλίνοντα μήτε εἰς δουλοπρέπειαν καταπίπτοντα. πρὸς μὲν γὰρ χρηςὰς ταπεινὸν ὑπάρχειν δεῖ, πρὸς δὲ θρασεῖς ὑψηλόν, ἐπείπερ οἱ μὲν ἀρετὴν εἶναι τὴν ἐπιείκειαν ἡγοῦνται, οἱ δὲ ἀνδρίαν τὴν θρασύτητα. ἐκείνοις μὲν τὴν ταπεινοφροσύνην προσφέρειν, τούτοις δὲ τὴν ἀνδρίαν, σβεννύουσαν αὐτῶν τὴν ἀπὸ τῆς θρασύτητος δόξαν, ἵνα τοὺς μὲν ὠφελήσῃς, τῶν δὲ ταπεινώσῃς τὸ φρόνημα. καιρὸς γὰρ τῷ παντὶ πράγματι, φησὶ Σολομῶν, τουτέςι ταπεινότητος ἐξουσίας, ἐλέγχου παρακλήσεως, φειδοῦς παρρησίας, χρηςότητος ἀποτομίας, καὶ ἁπαξαπλῶς παντὸς πράγματος, ὥςε ποτὲ μὲν τὸ τῆς ταπεινότητος δεικνύειν καὶ μιμεῖσθαι ἐν ταπεινώσει τὰ παιδία κατὰ τὴν κυριακὴν φωνήν, ποτὲ δὲ τῇ ἐξουσίᾳ κεχρῆσθαι, ἣν ἔδωκεν ὁ κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν, ὅταν ἡ χρεία ἐπιζητῇ τὴν παρρησίαν, καὶ ἐν καιρῷ μὲν παρακλήσεως τὸ χρηςὸν ἐνδείκνυσθαι, ἐν καιρῷ δὲ ἀποτομίας τὸν ζῆλον ἐμφαίνειν, καὶ ἐφ' ἑκάςου τῶν ἄλλων ὁμοίως τὸν ἔγκριτον καὶ δίκαιον λογισμὸν ἀποφέρεσθαι· λογισμοὶ γὰρ δικαίων κρίματα. καὶ Ἰσίδωρος (Pelus. 5 168) "τὸν ἄρχοντα δίκαιον εἶναι δεῖ καὶ φοβερόν, ἵν' οἱ μὲν εὖ βιοῦντες θαρροῖεν, οἱ δ' ἁμαρτάνοντες ὀκνοῖεν. θάτερον γὰρ θατέρου χωρὶς ἀναρχία μᾶλλόν ἐςιν ἢ ἀρχή. εἰ μὲν γὰρ πάντες ἦσαν εὐπειθεῖς καὶ φιλάρετοι, ἀγαθότητος ἔδει μόνης, εἰ δὲ φιλαμαρτήμονες, φόβου· ἐπειδὴ δὲ καὶ ἀγαθοί εἰσι καὶ κακοί, ἀμφότερα καταχειριςέον τῷ ἄρχοντι καὶ προϊςαμένῳ." Cedrenus.

Ἰωαννίκιος ὄνομα κύριον.

Ἰωάς βασιλεὺς Ἱεροσολύμων μετὰ θάνατον Ἰωδαὲ τοῦ ἀρχιερέως προέδωκε τὴν ἐπιμέλειαν τὴν πρὸς τὸν θεόν. συνδιεφθάρησαν δὲ αὐτῷ καὶ οἱ τοῦ πλήθους πρωτεύοντες, ὥστε πλημμελεῖν εἰς τὰ δίκαια καὶ νενομισμένα παρ' αὐτοῖς ἄριςα εἶναι. δυσχεράνας δὲ ὁ θεὸς ἐπὶ τῇ μεταβολῇ τοῦ βασιλέως καὶ τῶν ἄλλων πέμπει τοὺς προφήτας διαμαρτυρησομένους τε τὰ πραττόμενα καὶ παύσοντας τῆς πονηρίας αὐτούς. οἱ δὲ ἰσχυρὸν ἔρωτα καὶ δεινὴν ἐπιθυμίαν ἄρα ταύτης εἶχον. ἀλλὰ καὶ Ζαχαρίαν υἱὸν τοῦ ἀρχιερέως Ἰωδαὲ κατέλευσαν λίθοις ἐν τῷ ἱερῷ, διότι προεφήτευσεν αὐτοὺς τιμωρίαν μεγάλην ὑφέξειν μὴ πειθομένους. Ioseph. A. I. 9 8.

Ἰώβ ὁ μέγας ὄντως ἐκεῖνος καὶ γενναῖος τῆς ἀληθείας ἀγωνιςής, ὁ πρῶτος ἀνοίξας τὸ γυμνικὸν ἐκεῖνο καὶ παγκόσμιον ςάδιον, ὁ τὸν ἀντίπαλον πάσαις ταῖς πάλαις καταβαλών, ὁ μέχρι καὶ τῶν ὀςέων τὰς πληγὰς καὶ τοὺς μώλωπας εἰσδεξάμενος καὶ μείνας ἀήττητος, ὁ σκωλήκων πλήρης καὶ ςεφανίτης, ὃν οὐδὲ θάνατος ἴσχυσε καταςρῶσαι καὶ κονῖσαι τὰ ὄπισθεν, ἀλλ' ἔτι ἕςηκεν ὥσπερ τις ἀνδριὰς ἀπερίτρεπτος ἢ καὶ ἄκμων ἀνήλατος, δι' ὅλου τοῦ βίου καταπαλαίων καὶ καταράσσων τὸν ἀντικείμενον. οὗτος πρῶτος κατεπάτησε τὸν διάβολον, οὗτος ἤρατο κατὰ τοῦ πονηροῦ νίκης τρόπαια, οὐ Νέμεα καὶ Ὀλύμπια Ἴσθμιά τε καὶ Πύθια καὶ ὅσα Ἑλληνικοὶ διακομπάζουσι λόγοι ἀγωνιζόμενος, ἀλλὰ πρὸ παίδων καὶ κτήσεως καὶ βοσκημάτων καὶ θεραπείας καὶ πάσης τῆς τοῦ βίου διαγωγῆς καὶ πτωμάτων οἰκίας, τάφους τὰς αὐτὰς καὶ πολυάνδρια τῶν ἑαυτοῦ παίδων γεγενημένας ὁ καρτερόψυχος θεασάμενος, ἃς ἐν μιᾷ ἡμέρᾳ καὶ ὥρᾳ ἐπὶ τῆς τραπέζης εὐωχουμένους καὶ συνεσθίοντας κατέςρωσε σωρηδὸν ὁ παμμίαρος, ἐπισείσας αὐτοῖς τὸ δωμάτιον, οὐ δύο καὶ τρεῖς ἢ τέτταρας, ἀλλὰ δέκα τοὺς πάντας καὶ πάσας καταβαλών. καὶ οὐδὲ μέχρι τούτων ἡ λύσσα καὶ βασκανία ἠρκέσθη τοῦ ἀντιπάλου, ἕως αὐτὸν τὸν ἀθλητὴν γυμνὸν ἐπὶ τῆς κοπρίας ἐκκαλεσάμενος, καὶ κατάςικτον ὅλον τοῖς ἕλκεσι καὶ πλήρη σκωλήκων ἀπεργασάμενος, θέαμα φρικτόν τε καὶ ξένον ὅλῃ τῇ ὑφ' ἡλίῳ κατέςησεν, ἔτεσιν ἑπτὰ τοῖς ὀδοῦσι διαρθρύπτων καὶ τῇ γλώσσῃ λιχμώμενος ὅλον τὸ σῶμα τοῦ μάκαρος, μέχρις ὅτου τὴν ἧτταν ἐφ' ἑαυτὸν ὁ παμμίαρος ἐπεσπάσατο καὶ τὴν αἰσχύνην τέλεον ἐκληρώσατο. ἔχεις τὸ λοιπὸν καὶ τούτου τοῦ φιλοσόφου τὰ ἔπαθλα· ἔχεις καὶ τούτου τὴν βίβλον πολὺ τῆς Ὁμήρου καὶ Πλάτωνος ἀηδό-

Digitized by Google

νος λιγυρώτερον ᾄδουσαν, οὐ μύθων καὶ παθῶν ἀλλοτρίων ὑφηγήσεις διαγορεύουσαν, ἢ τὸν θρασύτατον Ἀχιλλέα ἢ τὸν Ὀδυσσέα τὸν πολυμήχανον, ὧν αἱ σφαγαὶ τυγχάνουσι τρόπαια καὶ γυναικῶν φθοραὶ κατορθώματα, ἀλλὰ τὸν Σατανᾶν ὑπὸ γυμνοῦ τινὸς καὶ ἀόπλου καὶ μόνου καταρασσόμενον, καὶ φίλων συμπαθῶν δημηγορίας καὶ δάκρυα, καὶ φυσιολογίαν ὅλης τῆς κτίσεως, καὶ ζῴων καὶ ὀρνέων φύσεις, καὶ λαμπρά τινα διηγήματα, καὶ αὐτοῦ δὲ τοῦ δράκοντος τὴν εἰκόνα τοῦ σκολιοῦ καὶ πολλὰς ἔχοντος τὰς ἑλίξεις καὶ τοὺς ὀφθαλμοὺς ὡς πῦρ ἀποστίλβοντας, καὶ τὴν εἰς ᾅδου καὶ τῶν καταχθονίων τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ συγκατάβασιν, καὶ τὴν ἐξ ᾅδου καὶ τῶν νεκρῶν ἀναβίωσιν· καὶ πάλιν τὸν δίκαιον στεφανίτην ἀναγορεύουσαν καὶ παῖδας καὶ κτῆσιν ὅλην πολυπλασίω λαμβάνοντα, καὶ χρόνον ζωῆς διπλασιαζόμενον, καὶ θυγατέρων ὀνόματα ἐξαλλάσσοντα· οὐ Λήδας ἢ Εὐρώπης καὶ Ἀντιόπης, ἃς ὁ τῶν θεῶν ὕπατος Ζεὺς διεκόρησεν, ἀλλ' Ἡμέρας τε καὶ Κασίας καὶ Ἀμαλθείας προσωνυμίας λαμβάνουσαι, καὶ τὸ κριθῆναι πασῶν γυναικῶν τῶν ὑπὸ τὸν οὐρανὸν ἐκπρεπέστεραι, καὶ τὸ δὴ μέγιστον τοῦ νικηφόρου καὶ στεφανίτου Ἰὼβ τὴν εὐγένειαν ὥσπερ τι γνώρισμα καὶ κλῆρον λαχούσας ἐξαίρετον. μόνος γὰρ οὗτος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν, ὁ κλεινὸς καὶ τριπόθητος, ὁ τοῦτο κερδάνας τῶν ἑαυτοῦ ἄθλων τὸ τελευταῖον καὶ ἔσχατον, τὸ μετὰ Χριστοῦ συναναστῆναι καὶ τὸν τῇδε κόσμον θεάσασθαι πάλιν μετὰ τοῦ σώματος, οὐ κατὰ τὸν Ἡρακλέους μῦθον καὶ τὴν Ἀδμήτου Ἄλκηστιν, ἣν ὁ καλλίνικός τε καὶ τριέσπερος ὑπὲρ τοῦ ἀνδρὸς τελευτήσασαν ἤγειρε, κἂν ἔσχατον πυρός τε καὶ γυναικὸς γέγονε παρανάλωμα, ἀλλὰ κατὰ τὴν ἄρρητον τοῦ σωτῆρος ἡμῶν δύναμιν, τοῦ τὸν ᾅδην σκυλεύσαντος καὶ τοὺς νεκροὺς ἐκ τῶν καταχθονίων ἁρπάσαντος, ὃς καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ γεννήτορος μετὰ τοῦ προσλήμματος, καὶ βασιλεύει πάσης ἀοράτου τε καὶ ὁρατῆς κτίσεως.

ἰωβιλαῖος μὴν παρὰ Ἰουδαίοις τιμώμενος. ἰστέον δὲ ὅτι τὸ ἀργὸν ἔτος κατὰ ἑπταετίαν ἠργεῖτο παρὰ Ἰουδαίοις, ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις.

ἰωγή (Hom. ξ 533) σκέπη.

Ἰωδαέ. οὗτος ἱερεὺς ἦν, ὃς διὰ τὴν πολλὴν αὐτοῦ εὐσέβειαν ἐβίωσεν ἔτη ρλ' (2 Paralip. 10).

Ἰώεσδρος ὄνομα κύριον.

ἰωή πνοή.

Ἰωήλ ὄνομα κύριον.

Ἰωθάμ ὄνομα κύριον.

ἰώθη ἐχολώθη.

Ἰώθων ὄνομα κύριον.

ἰωκάς (Hom. E 521) ὁρμάς, διώξεις.

ἰῶκά τε δακρυόεσσαν (Hom. Λ 600). Ὅμηρος ἰῶκα λέγει τὴν ἰωκήν, ὡς Ἡσίοδος (Ο. 536) κρόκα τὴν κρόκην, καὶ αὐτὸς Ὅμηρος (E 299) τὴν ἀλκῇ ἀλκί, "ἀλκὶ πεποιθώς." λέγει δὲ ἰωκὴν ἀπὸ μέρους τὴν μάχην, ἐπεὶ διώξεως αἰτία γίνεται· ὅθεν καὶ βοὴν τὸν πόλεμον ἀπὸ τοῦ ἀλαλαγμοῦ.

ἰώ, κλάετ' ὦ βολοστάται, αὐτοί τε καὶ τἀρχαῖα καὶ τόκοι τόκων. οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ' ἔτι. οἷος ἐμοὶ τρέφεται τοῖσδ' ἐνὶ δώμασι παῖς, ἀμφήκει γλώττῃ λάμπων, πρόβολος ἐμός, σωτὴρ δόμοις, ἐχθροῖς βλάβη, λυσανίας πατρῴων μεγάλων κακῶν" (A Nub. 1158).

ἰῶλκα αὔλακα.

ἰῶμαι αἰτιατικῇ. ἰώμενος θεραπεύων.

Ἴων Χῖος τραγικὸς καὶ λυρικὸς καὶ φιλόσοφος, υἱὸς Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς πβ' ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ ιβ'· οἱ δὲ λ', ἄλλοι δὲ μ' φασίν. οὗτος ἔγραψε περὶ μετεώρων καὶ συνθέτους λόγους· ὃν παίζων Ἀριστοφάνης ὁ κωμικὸς Ἀοῖόν φησι. cf. vv. Ἀθήναιος et διθυραμβοδιδάσκαλοι.

Ἴων τραγῳδίας ποιητής, Χῖος τὸ γένος.

ἰῶν βελῶν. ἰὼν δὲ ὀξυτόνως ἀντὶ τοῦ πορευθείς.

Ἰωνάθης ὄνομα κύριον.

Ἰωνᾶς ὄνομα κύριον.

Ἴωνες Ἀσιῶται καὶ Ἀττικοὶ Ἀθηναῖοι, διὰ τοῦ ω μεγάλου· (AP 7 27) "εἴης ἐν μακάρεσσιν, Ἀνάκρειον, εὖχος Ἰώνων."

τούτοις Δαρεῖος ἐπὶ Σκύθας ἰὼν φυλάσσειν ἐπὶ τοῦ Ἴστρου ἐχρήσατο· ἐκτομίας δὲ αὐτῶν τοὺς εὐγενεστάτους ἐποίει, καὶ παλλακὰς τὰς θυγατέρας.

ἰωνιά ὁ λειμὼν τῶν ἴων, ὥσπερ ῥοδωνιὰ ὁ τῶν ῥόδων καὶ κρινωνιὰ ὁ τῶν κρίνων.

Ἰωνία χώρα. καὶ Ἰωνίας πόλεις ιβ', ἃς ἐνοικίζει Νηλεὺς ὁ Κόδρου. εἰσὶ δὲ Ἔφεσος Ἀνδρόκλου, Μίλητος Μυοῦς Πριήνη Κολο-

ϛῶν Τέως Λέβεδος Ἐρυθραὶ Φώκαια Κλαζομεναὶ Χίος Σάμος.

Ἰωνικός Ἑλληνικός, Ἀθηναῖος, ἀρχαῖος. καὶ ἰωνικῶς ἀντὶ τοῦ ἁβρῶς· "ἐμιτροφόρουν τε καὶ διεκλῶντ' ἰωνικῶς" Ἀριςοφάνης ἐν Θεσμοφοριαζούσαις ⟨169⟩.

Ἰωνίς χώρα.

ἴωξις ἡ δίωξις.

Ἰωράμ Ὀχοζίου υἱὸς βασιλέως Ἰσραήλ, πάσης κακίας καὶ πονηρίας ἀνάπλεως καὶ ἀσεβής. ἦν δὲ τὰ ἄλλα δραςήριος.

Ἰώραμος ὄνομα κύριον.

ἰωρός θυρωρός, φύλαξ. καὶ παροιμία "οὐδ' ἐντὸς ἰωροῦ." καὶ ὁ νόμος ὁ παρ' Ἀθηναίοις ἐκτὸς ἰωροῦ ἐκέλευεν εἶναι τοὺς ἀνδροφόνους. ἐπὶ τοίνυν τῶν ἀπειλούντων καὶ σοβαρευομένων τῇ παροιμίᾳ ἐκέχρητο.

Ἰωσαφάτ βασιλεὺς Ἰουδαίων. οὗτος εὐηρέςησε τῷ θεῷ· διὰ δὲ τὴν πρὸς Ἀχαὰβ φιλοςοργίαν ἔφη πρὸς αὐτὸν Ἰηοῦ ὁ προφήτης ὁ τοῦ Ἀνανῆ "βασιλεῦ Ἰωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς ἢ μισουμένῳ ὑπὸ κυρίȣ φιλιάζεις, διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ κυρίου, εἰ μὴ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί. καὶ ὅτι ἐξῆρας τὰ ἄλση ἀπὸ τῆς γῆς Ἰούδα, καὶ κατηύθυνας τὴν καρδίαν σου ἐκζητῆσαι τὸν κύριον, καὶ εὑρέθη ἡ καρδία σου τελεία πρὸς κύριον, διὰ τȣ̃το ἐφείσατό σου ὁ κύριος, πλὴν ὅτι διεκόπη τὰ ἔργα σȣ καὶ συνετρίβησαν τὰ πλοῖά σȣ." κἀντεῦθεν διδασκόμεθα ὡς ἐλαττοῖ τὰς ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρίας τὰ προγεγενημένα κατορθώματα· ὁ γὰρ θεὸς ταῦτα ἐκείνοις ἀντιμετρῶν οὕτως ἐκφέρει τὴν ψῆφον.

Ἰωσεδέκ ὄνομα κύριον.

Ἰώσηπος Ἰουδαῖος φιλαλήθης λέγων περὶ τοῦ προδρόμȣ καὶ περὶ τȣ̃ κυρίȣ ἡμῶν καὶ θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριςοῦ, Ματθίȣ παῖς ἱερέως ἐξ Ἱεροσολύμων, ὁ γράψας τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν ἐν βιβλίοις κ'. οὗτος ἁλοὺς παρὰ Οὐεσπασιανοῦ μετὰ Τίτȣ τοῦ υἱοῦ αὐτοῦ ἐπὶ τῇ τῶν Ἱεροσολύμων ἁλώσει κατελείφθη, καὶ σὺν αὐτῷ εἰς Ῥώμην ἐλθὼν ζ' λόγους τῆς Ἱεροσολύμων ἁλώσεως τοῖς βασιλεῦσι προσήνεγκεν, οἵτινες τῇ δημοσίᾳ βιβλιοθήκῃ παρεδόθησαν, καὶ διὰ τὴν δόξαν τῆς συγγραφῆς ἀνδριάντος ἠξιώθη. ἔγραψε δὲ καὶ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας λόγους κ', ἀπὸ τῆς τȣ̃ κόσμȣ ἀρχῆς ἕως ιδ' ἔτους Δομετιανοῦ Καίσαρος· καὶ β' βίβλȣς ἑτέρας ἀρχαιότητος κατὰ Ἀπίωνος γραμματικοῦ Ἀλεξανδρέως, ὃς ἐπὶ Καλλιγόλᾳ πρεσβευτὴς ἀπεςάλη παρὰ τοῦ μέρους τῶν Ἑλλήνων κατηγορήσων Φίλωνος διὰ λόγȣ τινὸς κατάγνωσιν περιέχοντος τοῦ Ἰȣδαίων ἔθνȣς. ἔςι καὶ ἄλλος αὐτοῦ λόγος, περὶ αὐτοκράτορος λογισμοῦ, ἐνάρετος πάνυ, ἐν ᾧ καὶ τοῦ πάθους τῶν Μακκαβαίων ἐμνήσθη. οὗτος ἐν τῇ ιη' τῆς ἀρχαιολογίας βίβλῳ φανερῶς ὁμολογεῖ διὰ τὸν ὄγκον τῶν σημείων τὸν Χριςὸν ἐσφάχθαι παρὰ Ἰουδαίων, καὶ Ἰωάννην τὸν βαπτιςὴν ἀληθῶς γεγενῆσθαι προφήτην, καὶ διὰ τὴν σφαγὴν Ἰακώβου τοῦ ἀποςόλȣ τὰ Ἱεροσόλυμα πεπορθῆσθαι. γράφει δὲ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ οὕτως "γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησȣ̃ς, σοφὸς ἀνήρ, εἴ γε ἄνδρα αὐτὸν λέγειν χρή· ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων, καὶ πολλοὺς μὲν τῶν Ἰουδαίων πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. ὁ Χριςὸς οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν ςαυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες· ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτα καὶ ἄλλα μυρία θαυμαςὰ περὶ αὐτοῦ εἰρηκότων. εἴς τε νῦν τὸ τῶν χριςιανῶν ἀπὸ τȣ̃δε ὠνομασμένον οὐκ ἀπέλιπε φῦλον." τοσαῦτα Ἰώσηπος περὶ Χριςȣ̃ ἐν τῷ ιη' λόγῳ φησίν. Sophronius.

Ἰώσηπος Ἰουδαῖος ἱςοριογράφος. τȣ̃τον b φρουρεῖσθαι κελεύει Οὐεσπασιανὸς ὡς ἀναπέμψων αὐτίκα Νέρωνι. τοῦτο ἀκούσας Ἰώσηπος μόνῳ τι διαλεχθῆναι θέλειν ἔλεγεν αὐτῷ, μεταςησαμένȣ δὲ ἐκείνȣ πάντας πλὴν τοῦ παιδὸς Τίτȣ καὶ δυεῖν φίλων "σὺ μέν" ἔφη, "Οὐεσπασιανέ, νομίζεις αἰχμάλωτον εἰληφέναι Ἰώσηπον· ἐγὼ δὲ ἄγγελος ἥκω σοι μειζόνων. μὴ γὰρ ὑπὸ θεοῦ προπεμπόμενος οὐκ ᾔδειν τὸν Ἰȣδαίων νόμον. Νέρωνί με πέμπεις; τί γάρ; οἱ μετὰ Νέρωνα μέχρι σȣ̃ διάδοχοι μενοῦσι; σὺ δὲ Καῖσαρ καὶ ὁ σὸς παῖς οὗτος. δέσμει δέ με ἀσφαλέςατα, καὶ τήρει σεαυτῷ. δεσπότης σὺ καὶ γῆς καὶ θαλάττης καὶ παντὸς ἀνθρώπων γένȣς. ἐγὼ δὲ φρȣρᾶς μείζονος δέομαι, εἰ κατασχεδιάσω καὶ θεοῦ." ὁ δὲ Οὐεσπασιανὸς παραχρῆμα μὲν ἀπιςεῖν ἐδόκει, καὶ τὸν Ἰώσηπον ἐδόκει πανȣργεῖν· ἀτρεκῆ δὲ τὸν Ἰώσηπον εὑρηκὼς

ἐδωρεῖτο ἐσθῆτι καὶ τοῖς ἄλλοις κειμηλίοις. Ioseph. B. I. 3 8 8.

Ἰωσήφ ὁ πάγκαλος. ὅτος ἐτῶν ιζʹ φθονηθεὶς ὑπὸ τῶν ἀδελφῶν καὶ πραθείς, γενόμενος ἐτῶν λʹ ἄρχων τῆς Αἰγύπτου καθίςαται, ἐν ᾗ γεννήσας βʹ υἱούς, Ἐφραὶμ καὶ Μανασσῆ, ἀπέθανεν ἐτῶν ρίʹ. τὰ δὲ ὀςᾶ Ἰωσὴφ Μωσῆς ἐξήγαγε μεθ' ἑαυτοῦ· ὅρκῳ γὰρ ὥρκωσεν Ἰωσὴφ τὰς υἱοὺς Ἰσραήλ, λέγων (Gen. 50 25) "ἐπισκοπῇ ἐπισκέψεται ὑμᾶς κύριος, καὶ συνανοίσετέ μου τὰ ὀςᾶ ἐντεῦθεν μεθ' ὑμῶν."

a Ἰωσίας βασιλεὺς Ἱερουσαλήμ. ἐπὶ τότε Χελκίας ὁ ἱερεὺς εὗρεν ἐν τῷ ναῷ βίβλον νόμου, καὶ κοινωνησάμενος τῷ γραμματεῖ ἐπέδειξε τῷ βασιλεῖ. ὁ δὲ εὐλαβὴς ὢν καὶ δίκαιος, ὡς ἀνεγνώσθη αὐτῷ, περιέρρηξε τὴν ἐσθῆτα, τόν τε ναὸν ἐκάθηρε τοῦ θεοῦ ἀπὸ τῶν βδελυγμάτων, καὶ τὰ εἰδωλεῖα ἐκπορθήσας ταῦτα καὶ τὰ ἐν Σαμαρείᾳ ἀνέζευξεν εἰς Ἱερουσαλήμ, ὅτε καὶ πάσχα ἤχθη πολλῷ ἐπιλείψαν χρόνῳ.

b Ἰωσίας βασιλεὺς Ἰσραήλ, δικαιότατος ὑπὲρ τοὺς ἔμπροσθεν αὐτοῦ βασιλεῖς γενόμενος, ὃς τὸν νόμον κυρίου ἀναγινωσκόμενον ἀκριβῶς ἀκούσας καὶ λίαν ἀθυμήσας, εἰδὼς τοῦτον ἐν τοσούτοις ἔτεσι καταπατούμενον, τὰ ἱμάτια διαρρήξας καὶ ἔμφοβος γενόμενος ἀπέςειλε πρὸς Ὀλδὰν τὴν προφῆτιν, πυνθανόμενος τί βούλεται κύριος περὶ αὐτοῦ καὶ παντὸς τοῦ λαοῦ. ἡ δέ φησι "τάδε λέγει κύριος. ἀνθ' ὧν ἡπαλύνθη ἡ καρδία σου καὶ ἐνετράπης ἀπὸ προσώπου μου, ὡς ἤκουσας ὅτι ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον καὶ τοὺς ἐνοικοῦντας αὐτὸν τοῦ εἶναι εἰς ἀφανισμὸν καὶ εἰς κατάραν, καὶ διέρρηξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας ἐνώπιόν μου, ἰδού, προςτίθημί σε πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, καὶ οὐκ ὄψει πᾶσι τοῖς κακοῖς οἷς ἐπάξω ἐπὶ τὸν τόπον τοῦτον." ὁ δὲ ζήλῳ θείῳ κινούμενος οὐ μόνον τὰ πανταχοῦ εἴδωλα καὶ σεβάσματα κατέςρεψεν ἐκ βάθρων, ἀλλὰ καὶ τοὺς εἰδωλολάτρας μαςίζων ἐξωλόθρευσε, τοὺς δὲ ἤδη τεθνηκότας ἐν τοῖς τάφοις κατέκαυσε. καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ θεοῦ εἶπε "τί τὸ σκόπελον ἐκεῖνο ὃ ἐγὼ βλέπω;" καί φασιν οἱ ἄνδρες τῆς πόλεως "ὁ ἄνθρωπος τοῦ θεοῦ ἐςὶν ὁ προφητεύσας τοὺς λόγους τούτους ἐπὶ τὸ θυσιαςήριον Βαιθήλ." καὶ εἶπεν "ἄφετε αὐτόν· μηδεὶς κινήσῃ τὰ ὀςᾶ αὐτοῦ." καὶ μέντοι καὶ τοὺς ἐγγαςριμύθους καὶ τὰς ψευδοπροφήτας καὶ πᾶν βδέλυγμα καὶ προσόχθισμα ἐν Ἱερουσαλὴμ ἐξῆρε. καὶ ἐπέςρεψε πρὸς κύριον ἐν ὅλῃ καρδίᾳ καὶ ἰσχύι καὶ ψυχῇ αὐτοῦ κατὰ τὸν νόμον Μωσέως, καὶ τὸ πάσχα ἐποίησεν οἷον οὐ γέγονεν ἀπὸ τῶν χρόνων Ἰησοῦ τοῦ Ναυῆ καὶ Σαμουήλ· ἐν ᾧ βόας ἔθυσε χιλιάδας ιβʹ, πρόβατα χιλιάδας ληʹ. καὶ κατωρθώθη τὰ ἔργα Ἰωσίου ἐνώπιον κυρίου ἐν καρδίᾳ πλήρει εὐσεβείας. πλὴν οὐκ ἀπεςράφη κύριος ἀπὸ θυμοῦ τῆς ὀργῆς αὐτοῦ, οὗ ἐθυμώθη ἐν τῷ Ἰούδᾳ ἐπὶ τοὺς παροργισμοὺς οὓς παρώργισεν αὐτὸν Μανασσῆς. Cedrenus.

ἰῶτα τὸ ςοιχεῖον, τὸ γράμμα.

Ἰωτάπατα τόπος τις. καὶ Ἰωταπατηνός.

Ἰωτόμης. "ἐδεῖτο ··· ἔνδημος" (cf. v. ἀπαλλάξας).

Ἰώυμος.

ἰωχμός θόρυβος.

ἴωψ ἰχθῦς ποιός.

Καβάδης (Agath. 4 27) ονομα κύριον.

κάβαισος ἄπληςος· κάβος γὰρ μέτρον σιτικόν. καὶ τὸν μέθυσον ἡμεῖς πίθον.

κάβαξ πανοῦργος.

καββαλίς ὁ καταβάλλων. οἷον ἀπὸ κάπης ἅλις ἐσθίων. κλίνεται δὲ καββαλῖνος. ἔγκειται δὲ ἡ κάπη καὶ τὸ ἅλις· περίττωμα γάρ ἐςι τῶν ἀπὸ κάπης ἐσθιόντων ἀλόγων.

καββαλών καταβαλών· Ἀμειψίας Μοιχοῖς "καὶ σὺ μὲν ἦλθες, καββαλὼν τριώβολον" (cf. v. ἀναψυχῆναι).

Καβειρών πόλις. καὶ Κάβειροι ὄνομα ἔθνους. σημαίνει δὲ καὶ δαίμονας.

Καβησός πόλις, καὶ Καβησόθεν (Hom. Ν 363) ἀπὸ Καβησοῦ πόλεως.

κάβος εἶδος μέτρου. καὶ παροιμία "κάβου κάβος."

Καβύλη χώρα τῆς Θρᾴκης, ἱδρυμένη πρὸς τῷ Τάξῳ ποταμῷ, κατὰ μέσον τῆς Θρᾴκης. Harp.

κάγκανον (Hom. Φ 364) ξηρόν.

καγχάζει ἀθρόως γελᾷ. Εὐνάπιος (p. 105 Nieb.) "οἱ δὲ Οὖνοι πλατὺ καγχάσαντες ᾤχοντο." καὶ Σοφοκλῆς (Ai. 199) "πάντων καγχαζόντων γλώσσαις," τουτέςι βλασφημούντων. "ὁ δὲ κατὰ θυμὸν μὲν ἐκάγχαζε, ἠγα-

νύκτει δὲ πρὸς τὸν ἀέρα καὶ συνεχῶς ἐβρυχᾶτο." καὶ καγχασμός ὁ ἔκχυτος γέλως.

κάγχρυς τὰς κριθάς. καὶ καγχρυδίας ἄρτος. κάγχρυς οὖν τὰς ἀλητεσμένας κριθάς.

κάδης ἁγιασμός· "καὶ συσσείσει κύριος τὴν ἔρημον Κάδης."

καδίσκος. ἀγγεῖόν τι, εἰς ὃ ἐψηφοφόρουν οἱ δικασταί, οὕτως ἐκαλεῖτο. Φρύνιχος Μούσαις "ἰδού, δέχου τὴν ψῆφον· ὁ καδίσκος δέ σοι ὁ μὲν ἀπολύων οὗτος, ὁ δ' ἀπολλὺς ὁδί."

Καδμεία ἡ τῶν Θηβαίων ἀκρόπολις, καὶ Καδμεία γυνὴ καὶ Καδμεία νίκη διὰ διφθόγγου, Καδμία δὲ χώρα διὰ τοῦ ι. οἱ δὲ καὶ τοῦτο διὰ διφθόγγου γράφουσι.

a Καδμεία νίκη λέγεται ἐπὶ τῶν ἐπὶ κακῷ νικώντων. οἱ μὲν λέγουσιν ὅτι Θηβαῖοι νικήσαντες ὕστερον ὑπὸ τῶν Ἐπιγόνων ἡττήθησαν, οἱ δὲ ὅτι Οἰδίπους τὸ αἴνιγμα λύσας ἔπαθλον τὴν μητέρα ἔγημε. τίθεται καὶ ἐπὶ τῶν ἀλυσιτελῶν. ὡς δὲ αὐτὸς ὁ τὰ περὶ Θηβῶν συντάξας, ὅτι Κάδμος ἀνελὼν τὸν τὴν Ἀρείαν κρήνην τηροῦντα δράκοντα ἐθήτευσεν Ἄρει ὀκτὼ ἔτη.

b Καδμεία νίκη. ἀποδιδόασι τὴν ἐπὶ τῆς ἀλυσιτελοῦς νίκης, ἐπεὶ Ἐτεοκλῆς καὶ Πολυνείκης μονομαχήσαντες ἀμφότεροι ἀπώλοντο. ἕτεροι δέ φασιν αὐτὴν λέγεσθαι ἐπὶ τῶν νικώντων μὲν τοὺς πολεμίους, πλείονας δὲ τῶν οἰκείων ἀποβαλλόντων.

Καδμεῖος ὁ Θηβαῖος.

Καδμείωνος.

a Κάδμος [ὁ Μιλήσιος] εὑρετὴς τῶν γραμμάτων. ἐν ἐπιγράμματι Ζήνωνος (AP 7 117) "εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; ἦν καὶ ὁ Κάδμος κεῖνος, ἀφ' οὗ γραπτὰν Ἑλλὰς ἔχει σελίδα."

ὅτι τὸν Κάδμον φασὶ πρῶτον ἐς τὴν Ἑλλάδα κομίσαι τὰ γράμματα, ἅπερ πρῶτοι Φοίνικες ἐφεῦρον.

b Κάδμος Πανδίονος Μιλήσιος ἱστορικός, ὃς πρῶτος κατά τινας συγγραφὴν ἔγραψε καταλογάδην, μικρῷ νεώτερος Ὀρφέως. συνέταξε δὲ κτίσιν Μιλήτου καὶ τῆς ὅλης Ἰωνίας ἐν βιβλίοις δ'.

c Κάδμος Ἀρχελάου Μιλήσιος, ἱστορικὸς νεώτερος. τινὲς δὲ καὶ Λυκῖνον Κάδμον ἀνέγραψαν· ἴσως οὖν ἐστὶν ἕτερος. ἔγραψε δὲ ταῦτα, λύσιν ἐρωτικῶν δ', καὶ Ἀττικὰς ἱστορίας ις'.

κάδος μέτρον οἰνηρόν. "τρισσῶν οἰνοπέδων τρισσοὺς ἱερώσατο τούσδε ἐμπλήσας οἴνου πρωτοχύτοιο κάδους" ἐν ἐπιγράμματι (AP 6 44).

Καδουίας βασιλεὺς Σκυθῶν.

Κάειρα (Hom. Δ 142) πόλις, καὶ ὄνομα κύριον.

καθαγιάζεται ἀφιεροῦται.

καθαγίσω καύσω, καθιερώσω.

καθαιρήσετε καθελεῖτε. καὶ Θουκυδίδης (3 13) καὶ τῶν ἄλλων οἱ πλείους.

καθαιρήσονται καταλήψονται.

καθαίρω αἰτιατικῇ.

καθαλάμενος καταπηδήσας· "ὁ δὲ καθαλάμενος ἀπὸ τοῦ ἵππου καὶ τὸ ξίφος ἑλκύσας παίει αὐτόν."

κάθαμμα λύεις, ἐπὶ τῶν δύσλυτόν τι λύειν ἐπιχειρούντων, ἀπὸ τῆς ἁμάξης Μίδου. λόγιον γὰρ τοῖς Φρυξὶν ἐκπεπτώκει, τῆς κομισάσης τὸν Μίδαν ἁμάξης εἴ τις ἐπιλύσειε τὸν δεσμόν, τοῦτον τῆς Ἀσίας ἄρξειν. Ἀλέξανδρος δὲ ἔλυσε. sch. Eur. Hipp. 671.

καθάπαξ παντελῶς, συλλήβδην. λέγεται καὶ καθάπαν· "καθάπαν γε μὴν αὐτοὺς ἐκπολεμεῖν οὐκ ἔδοξεν."

καθαπτός ἐνδεδεμένος· Ἀριστοφάνης Βατράχοις (1243) "νεβρῶν δοραῖς καθαπτός." ὡς ταρακτός. τὸ δὲ ἑτέρως λεγόμενον δηλοῖ τὸ οἷον καθάπτεσθαι.

καθᾶραι.

καθαρίζω αἰτιατικῇ.

κάθαρμα· "οὐ φθείρῃ κάθαρμα, εἶπε, καὶ ἐκποδὼν ἡμῖν ἄπει;" Ἀριστοφάνης (Ran. 746?). ὑπὲρ δὲ καθαρμοῦ πόλεως ἀνῄρουν ἐστολισμένον τινά, ὃν ἐκάλουν κάθαρμα.

καθάρσιον. ἔθος ἦν Ἀθήνησι καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα καὶ ὅλως τὰς τοῦ δήμου συνόδους μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. τοῦτο δὲ ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, ὀνομασθέντες οὕτως ἢ ἀπὸ τοῦ περιστέλλειν ἢ ἀπὸ τῆς ἑστίας. Harp.

καθαρσιώτερα λαμπρότερα· "καθαρσιώτερα ταῦθ' ὑπάρχει καὶ πολυτελέστερα" (Polyb. 11 9 5).

καθαρῶς ἀκριβῶς, σαφῶς. (Procop. Pers. 2 3) "εἴ τι ἐν Πέρσαις καθαρὸν ἦν ξυγκαλέσας, ἐς πάντας ἐξήνεγκε περὶ τούτων."

καθ' αὐτό, δι' αὐτό—ἑτέρου ἕνεκεν, δι' ἄλλο. καὶ ἡ μὲν πρώτη ἀντίθεσις λαμβάνε-

ται αὐτῷ ἐκ τῶν ποιητικῶν αἰτίων, ἡ δὲ δευτέρα ἐκ τῶν τελικῶν, οἷον καθ' αὑτὸ μὲν ἔχομεν τὸ ὁρᾶν, τὸν δὲ πλοῦτον οὐ καθ' αὑτὸ ἀλλὰ δι' ἄλλο. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἄλλης ἀντιθέσεως· τὴν γὰρ ἀρετὴν δι' αὑτὸ ἐπιτηδεύομεν καὶ οὐκ ἄλλου τινὸς ἕνεκα (κἂν γὰρ μὴ ᾖ ἀμοιβή, αὐτὴ καθ' ἑαυτὴν ἐπιτηδευτέα ἐστί), τὴν μέντοι ἰσχὺν οὐ δι' αὑτὴν ἔχομεν ἀλλ' ἑτέρου ἕνεκα. εἴ τι μὲν οὖν δι' αὑτό, τοῦτο πάντως καὶ καθ' ἑαυτό· οὐκ εἴ τι δὲ καθ' αὑτό, τοῦτο πάντως καὶ δι' αὑτό. οἷον δι' αὑτὸ τῇ ψυχῇ ἡ ἀρετή, καὶ ἔστι καθ' αὑτό. τὸ γὰρ ποιητικὸν αἴτιον τῆς ἀρετῆς ἐν αὐτῇ ἐστὶ τῇ ψυχῇ· οὐ δεῖται γὰρ ἑτέρου ἔξωθεν εἰς κατόρθωσιν τῆς ἀρετῆς. ὁμοίως καὶ τῷ σώματι δι' αὑτό ἐστιν ἡ ὑγεία ἀγαθόν, διὸ καὶ καθ' αὑτό. οὐ μὴν καὶ εἰ καθ' αὑτό, πάντως καὶ δι' αὑτό· καθ' αὑτὸ μὲν γὰρ τῇ ψυχῇ τὸ ὁρᾶν, οὐ μὴν δι' αὑτὸ ἀλλὰ δι' ἀρετὴν ἢ διὰ τὸ σώζεσθαι. ὁμοίως δὲ καὶ εἴ τι μὲν δι' ἄλλο, τοῦτο πάντως καὶ ἑτέρου ἕνεκεν, οὐκ ἔμπαλιν δέ. ὁ γὰρ πλοῦτος διὰ τὴν ἐμπορίαν μὲν ἢ διά τι τοιοῦτον, καὶ ἑτέρου δὲ ἕνεκέν ἐστι (τῆς ἀρετῆς γὰρ πολλάκις χάριν), τὸ μέντοι ὁρᾶν ἢ τὸ ὑγιαίνειν ἑτέρου μὲν ἕνεκεν, οὐκέτι δὲ δι' ἄλλο ἀλλὰ καθ' αὑτό. ἀντίκειται μὲν οὖν τῷ μὲν καθ' αὑτὸ τὸ δι' ἄλλο, τῷ δὲ δι' αὑτὰ τὸ ἑτέρου ἕνεκεν, ἐνδέχεται μέντοι τὸ καθ' αὑτὸ δι' ἄλλο εἶναι κατὰ συμβεβηκός. τὸ γὰρ ὑγιαίνειν καθ' ἑαυτὸ μὲν ὑπάρχει τῷ σώματι, γένοιτο δ' ἂν δι' ἄλλο καὶ κατὰ συμβεβηκός, οἷον διὰ τὸν ἰατρὸν τὸν ὑφελόμενον τοῦ σώματος τὸ λυμαῖνον· ὃ μὲν γὰρ τὰ βλάπτοντα κωλύει, ἡ δὲ φύσις τοῦ ὀχλοῦντος ἀπαλλαγεῖσα τὴν κατὰ φύσιν ὑγείαν ἐργάζεται. καὶ ἡ ἀρετή, αἱρετὸν οὖσα δι' αὑτό, γένοιτ' ἂν κατὰ συμβεβηκὸς τῆς εὐκλείας ἕνεκεν, καὶ εἴποι ἄν τις διὰ τὴν εὔκλειαν τὴν ἀρετὴν εἶναι, ἀλλ' οὐ καθ' αὑτό, κατὰ συμβεβηκὸς δέ. ὁμοίως καὶ τὴν ὑγείαν, δι' αὑτὴν οὖσαν τῷ σώματι αἱρετόν, εἴποι ἄν τις ἑτέρου ἕνεκεν κατὰ συμβεβηκὸς εἶναι, τοῦ πράττειν τάδε ἢ τάδε. Alex. Aphrod. in Top.?

καθ' αὑτοῦ Βελλεροφόντης, ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπιφερόντων.

καθεδεῖσθαι. καὶ καθεδοῦνται καθεσθήσονται.

καθέδρα ἡ ἐπίσχεσις παρὰ Θουκυδίδῃ (2 18).

καθεικέναι. καὶ καθεικὼς πέμψας.

καθεῖλον κατέβαλον.

καθειμένην κεχαλασμένην.

καθεῖναι ἐπὶ τὸ κάτω ἀπολῦσαι· Ἀντισθένης "φασὶ πρῶτον πώγωνα καθεῖναι καὶ βάκτρῳ καὶ πήρᾳ χρήσασθαι" (Diog. L. 6 13).

καθεῖντο ἐκρέμαντο.

καθ' εἱρμόν.

καθεὶς ἐμβαλών, χαλάσας· "καθείς τε τὴν χεῖρα ἐς τὴν πήραν ἀναιρεῖται τὴν ἐπιστολήν." cf. v. στατα.

καθεῖσαι τὰς κόμας ἐθεοκλύτουν ἀντὶ τοῦ καταβαλοῦσαι, ἐξαπλώσασαι· "καθεῖσαι τὰς κόμας τὰς παλαιὰς ἐκείνας ἐκάλουν ἥλιόν τε καὶ δίκην" (cf. v. ἰσηλίκων).

καθεῖτο· Ἰώσηπος (B. I. 5 2 3) "ἔνθα καθεῖτό τις ὁπλιτικὴ μοῖρα φρουροῦσα τὴν ἐμβολήν."

καθ' ἑκάστην. καθέκαστα δὲ ἐπίρρημα.

καθελὼν Δημοσθένης (23 53) ἀντὶ τοῦ ἀνελὼν ἤτοι ἀποκτείνας. καὶ Στησίχορος δὲ καὶ Σοφοκλῆς οὕτως ἐχρήσαντο τῷ ὀνόματι.

καθελῶ σε αἰτιατικῇ.

καθέντες καταγαγόντες.

καθέξει κρατήσει.

κάθες χάλασον.

καθεσταμένος ἐπιτετραμμένος· "καθεσταμένος ἐπὶ τῆς γάζης," τεταγμένος. καὶ αὖθις "καὶ φυλάσσειν μὲν τῶν καθεσταμένων οὐδὲν ἠξίου," τουτέστι τῶν ἤδη τελεσθέντων.

καθεστάναι.

καθεστηκός· "τὸ πᾶν θύελλα ἐγεγόνει, ὥστε τὸ καθεστηκὸς νυκτὸς διαφέρειν οὐδέν." cf. vv. θύελλα et στρόβιλος.

καθεστώς.

καθεστῶτα ἠρεμοῦντα· (Polyb. 2 13) "ἤρξαντο τὰ καθεστῶτα κινεῖν."

καθεστῶτι ἡσύχῳ, ἀταράχῳ· "ἐπηρμένω δὲ ἤστην ἄμφω ταῖς ἐλπίσι, καὶ οἵω οὐκέτι ἐν τῷ καθεστῶτι βιοτεύειν τρόπῳ."

καθεστώτων νόμων τῶν ὡρισμένων· (Agath. 1 5) "ἥδονται γὰρ τῇ τῶν καθεστώτων κινήσει," φυλαττομένων.

κάθετος ὁ καθειμένος εἰς τὸ πέλαγος ἀμνός. οὕτω Λυσίας καὶ Μελίτων. Harp.

κάθη καθέζῃ.

καθήγνισμαι κεκάθαρμαι.

καθηγοῦμαι δοτικῇ· "καθηγοῦμαι ταύταις εἰς τὸν λιμένα."

καθηδυπαθῶ γενικῇ· "καθηδυπαθῶν

τοῦ βίου." αἰτιατικῇ δὲ "τὸν τῆς ἐξουσίας καιρὸν καθηδυπαθοῦντα ἱκανῶς."

a καθῆκαν προεβάλοντο· "οἳ δὲ ἐπ' ἐξαπάτῃ Ῥωμαίων καθῆκαν τὸν λόγον."

b καθῆκαν ἐχάλασαν.

a καθῆκόν φασι πρῶτον ὠνομακέναι Ζήνωνα τὸν Κιτιέα, καὶ λόγον περὶ αὐτοῦ πεποιηκέναι (Diog. L. 7 25). Πολύβιος "τολμῶσι πέρα τοῦ δέοντος καὶ ποιοῦσι παρὰ τὸ καθῆκον."

b καθῆκον. ὅτι καθῆκόν φασιν εἶναι, ὃ πραχθὲν εὔλογόν τε ἴσχει ἀπολογισμόν· οἷον τὸ ἀκόλουθον ἐν ζωῇ, ὅπερ καὶ ἐπὶ τὰ φυτὰ καὶ ζῷα διατείνει· ὁρᾶσθαι γὰρ κἀπὶ τούτων καθήκοντα ... κατά τινας εἴκειν τῆς προσονομασίας εἰλημμένης. ἐνέργημα δ' αὐτὸ εἶναι ταῖς κατὰ φύσιν κατασκευαῖς οἰκεῖον. τῶν γὰρ καθ' ὁρμὴν ἐνεργουμένων τὰ μὲν καθήκοντα εἶναι, τὰ δὲ παρὰ τὸ καθῆκον. καθήκοντα μὲν οὖν εἶναι ὅσα λόγῳ πρέπει ποιεῖν, ὡς ἔχει γονεῖς τιμᾶν, ἀδελφούς, πατρίδα, συμπεριφέρεσθαι φίλοις· παρὰ τὸ καθῆκον δὲ ὅσα μὴ αἱρεῖ λόγος, ὡς ἔχει τὰ τοιαῦτα, γονέων ἀμελεῖν, ἀδελφῶν ἀφροντιστεῖν, φίλοις μὴ συνδιατίθεσθαι, πατρίδος ὑπερορᾶν, καὶ τὰ παραπλήσια· οὔτε δὲ καθήκοντα οὔτε παρὰ τὸ καθῆκον ὅσα οὔτε αἱρεῖ λόγος πράττειν οὔτε ἀπαγορεύει, οἷον κάρφος ἀνελέσθαι, γραφεῖον κρατεῖν, στλεγγίδα καὶ τὰ ὅμοια τούτοις. καὶ τὰ μὲν εἶναι καθήκοντα ἄνευ περιστάσεως, ὡς τάδε, ὑγιείας ἐπιμελεῖσθαι καὶ αἰσθητηρίων καὶ τὰ ὅμοια· κατὰ περίστασιν δὲ τὸ πηροῦν ἑαυτὸν καὶ τὴν κτῆσιν διαρριπτεῖν, ἀνάλογον δὲ καὶ τῶν παρὰ τὸ καθῆκον. ἔτι τῶν καθηκόντων τὰ μὲν ἀεὶ καθήκει, τὰ δὲ οὐκ ἀεί. καὶ ἀεὶ μὲν καθήκει ... τὸ ἐρωτᾶν καὶ πυνθάνεσθαι καὶ περιπατεῖν καὶ τὰ ὅμοια. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν παρὰ τὸ καθῆκον. ἔστι δὲ καὶ ἐν τοῖς μέσοις τι καθῆκον, ὡς τὸ πείθεσθαι τοὺς παῖδας τοῖς παιδαγωγοῖς. Diog. L. 7 107.

καθήκοντα. Δημοσθένης ἐν ἑνδεκάτῳ Φιλιππικῶν (10 37) φησὶν "ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν," ἀντὶ τοῦ τὰ ἥκοντα.

καθηκόντως δεόντως, πρεπόντως.

καθηκούσαις διεκτρεχούσαις· Ξενοφῶν (Anab. 4 3 11) "ἐν πέτραις καθηκούσαις ἐπ' αὐτὸν τὸν τόπον."

καθήκω γενικῇ.

κάθημαι.

καθημαξευμένος τετριμμένος, ἐγγεγυμνασμένος. Αἰλιανὸς "γύναιον ἐκ Συρίας, καθημαξευμένον ὑπὸ παντὸς τοῦ προσιόντος· ἑταίρα γὰρ ἦν ἐμφανὴς καὶ τῶν ἐν τοῖς μίμοις δι' ἀκολασίαν περιπαθεστέρα, τοῖς τε φαινομένοις ἐς τὴν κοινὴν ὄψιν σχήμασιν ἐκκαλουμένη τοὺς ὁρῶντας ἐς τὰ πάθη τοῦ σώματος, καὶ κατατείνουσα τὸν δῆμον καὶ ὅσον μετὰ τοῦ δήμου πρὸς συῳδή τινα καὶ μανικὴν ἀσέλγειαν."

καθήμενον πεδίον τὸ ὁμαλόν· (Theophyl. Sim. 5 10) "οἱ δὲ Ῥωμαῖοι ἐς καθήμενον πεδίον ἐστρατοπεδεύοντο."

καθ' ἡμέραν.

καθῄρει τοῦ ἀξιώματος κατέσπα· (Dio Cass. 68 6) "ὁ δὲ Τραϊανὸς οὔτε ἐφθόνει οὔτε καθῄρει τινά, ἀλλὰ πάνυ πάντας τοὺς ἀγαθοὺς ἐτίμα. διὰ τοῦτο οὔτε ἐφοβεῖτό τινα οὔτε ἐμίσει."

καθῄρηντο τὰς γνώμας ἀντὶ τοῦ εἰς δειλίαν ἐνέπιπτον· "οἱ δὲ πλέονες καθῄρηντο τὰς γνώμας ἐπὶ τοσοῦτον ὥστε τῆς πίστεως τῆς πρὸς βασιλέας ὑπὸ τοῦ περιδεοῦς ἀφίσταντο."

καθῆσθαι. καὶ καθῆσο ἐκαθέζετο.

καθιγμένος καθελών, φθάσας· "ὁ δὲ βασιλεὺς καθιγμένος καὶ ταύτης τῆς ἐπιβολῆς ἐγίνετο πρὸς ἀναζυγήν" (Polybius?).

καθιγνίσαι (an καθαγνίσαι) νεκροῖς θῦσαι.

κάθιδρος κεκμηκώς.

καθιδρυνθέντες.

καθίδρυσαν ἀσφαλῶς κατῴκισαν· "καὶ θύσαντες καθίδρυσαν τὰς πόλεις. Τραϊαναὶ μὲν δὴ ἐπώνυμος ἑκατέρα ἦν."

καθιδρύσασθαι βεβαιῶσαι· "ἐκπέμπει γοῦν τοὺς περὶ συμβάσεως λόγους, δυνατοὺς καθιδρύσασθαι κεχειροτονηκὼς πρεσβευτάς" (Theophyl. Sim. 3 15).

καθίει ἐνέβαλεν, ἐπεχείρει λέγειν· "ὁ δὲ a
καθίει πεῖραν εἰς τὸν ἄνδρα, οἰόμενος αὐτὸν ἕξειν κοινωνὸν ὧν ὥρμηται."

καθίει ἀντὶ τοῦ κατάφερε, ἢ ἐπίθες τῷ b
τρυβλίῳ. ἀντὶ τοῦ χάλα αὐτά (A Av. 387).

καθιείς ἀντὶ τοῦ καταβαλών, ἐναρξά- a
μενος· "ὁ δὲ πεῖραν καθιεὶς καὶ ἐπιβουλεύων ἐλέγξαι πανταχόθεν, τὰ τοῦ λέβητος καὶ τῆς χελώνης καὶ τοῦ ἀρνοῦ ἐν Λυδοῖς ἐπαλαμᾶτο."

b καθιεὶς ἐπιπέμπων· "ὁ δὲ ψευδεῖς ἀγγελίας διὰ τῶν προσκόπων ἀεὶ καθιεὶς εἴθιζεν αὐτοὺς ἐν κόσμῳ πορεύεσθαι." cf. v. προσκόπων.

καθιεροῖ θεῷ ἀνατίθησι.

καθίεσαν κατῆλθον.

καθιζάνει ἐγκάθηται.

καθίζεσθε καταπήξατε.

καθίζω αἰτιατικῇ.

καθίκετο καθήψατο.

καθικνεῖται, γενικῇ, ἅπτεται· "ὁ δὲ μίαν τῶν σχιζῶν ἀνελόμενος καθικνεῖται τἀδελφοῦ, καὶ ὃ μὲν νεκρὸς ἔκειτο."

καθικόμενοι καθαψάμενοι· Πολύβιος "πάντες μὲν γὰρ οἱ βασιλεῖς καὶ φίλους προσαγορεύουσι καὶ συμμάχους τοὺς κοινωνήσαντας τῶν αὐτῶν ἐλπίδων, καθικόμενοι δὲ τῶν πράξεων παρὰ πόδας οὐ συμμαχικῶς ἀλλὰ δεσποτικῶς χρῶνται τοῖς πιστεύσασι."

καθίκωμαι αὐθυπότακτον.

καθιλαρεύομαι γενικῇ.

καθίμησε κατήντλησε.

καθιμῶσι χαλῶσι, καὶ καθιμῆσαι χαλάσαι σχοινίον ἤ τι τοιοῦτον.

καθιππάζεσθαι συνελαύνειν, ἐρίζειν, συντρέχειν· "ὁ δὲ Βίων ὁ σοφιστὴς ποικίλος ἦν, πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βουλομένοις καθιππάζεσθαι φιλοσοφίας" (Diog. L. 4 47).

καθίστα (Hom. *I* 202) ἑτοίμαζε.

καθιστάμενος πρὸς τὸ βέλτιον μετάγων· "ὁ δὲ Καῖσαρ εἰς τὴν Ἀσίαν ἦλθε, τὰ τῶν ὑπηκόων καὶ τῶν Πάρθων ἅμα καθιστάμενος." καὶ αὖθις "πολεμοῦντί τε αὐτῷ καὶ τὰ περὶ τὴν ἀρχὴν καθισταμένῳ συγγενόμενος" φησὶ Κρίτων ἐν Γετικοῖς.

καθίστατο ἐπεμελεῖτο, ἐφρόντιζεν· "ὁ δὲ βασιλεὺς ἀκούσας τὰ ξυνενεχθέντα εὐθὺς καθίστατο ἐς τὸν πόλεμον."

καθόδοις ἀγωγαῖς, περιόδοις.

καθ᾽ οἶμον καθ᾽ ὁδόν.

καθολικῶς καθόλου.

καθόρμια περιθέματα.

καθοσιούμενος ἀντὶ τοῦ πληροφορῶν· (Herodian. 7 9) "ὁ δὲ ἀγανακτήσας ἐπὶ τῇ τῆς ἀρχῆς παραλύσει, τῷ τε Μαξιμίνῳ καθοσιούμενος, ἀθροίσας στρατὸν ἧκεν ἐπὶ τὴν Καρχηδόνα."

καθοσιωθεῖσαι ἀνατεθεῖσαι· (Dionys. Hal. 8 43) "ὑπὲρ δὲ τοῦ μηδὲν παθεῖν αὐτὰς κακὸν τοὺς θεοὺς ἐγγυητὰς ἔσεσθαι, οἷς καθοσιωθεῖσαι τὰς ἱκεσίας ποιήσονται πρὸς τὸν ὕπατον."

καθοσίωσις δικαίωσις, κατάκρισις, παρὰ τὸ κατὰ τοῦ ὁσίου γίνεσθαι, ἤτοι τοῦ βασιλέως.

ὅτι ἐπὶ Θεοδοσίου τοῦ βασιλέως Ῥωμαίων Σύμμαχος ἀπὸ ὑπάτων εἰς τὸν τύραννον Μάξιμον βασιλικὸν λόγον διεξῆλθε, καὶ δεδιὼς τὸ τῆς καθοσιώσεως ἔγκλημα τοῖς τῶν ἐκκλησιῶν σηκοῖς προσκαταφεύγει· ὃν ὁ Θεοδόσιος πάσης φιλανθρωπίας ἠξίωσε" (cf. Socrat. 5 14). καὶ αὖθις περὶ Χρυσοῦ (cf. Νέρων b) "τοῖς γὰρ νόμοις αὐτὸν παρεδώκαμεν, καὶ εἰς καθοσίωσιν οὐχ ἡμάρτομεν."

καθόσον ἐπίρρημα.

καθυβρίζω αἰτιατικῇ.

καθ᾽ ὕδατος γράφειν, ἐπὶ τῶν μάτην πονούντων.

καθυλακτῶ σου.

καθ᾽ ὕπαρ.

καθυπερηκόντισαν (A Av. 829) ὑπερεβάλοντο, ἐνίκησαν.

καθύπερθεν ὑπεράνωθεν.

καθυπέρτερον μεῖζον.

καθ᾽ ὕπνους. λύσις ὀνείρου. "ὄναρ καθ᾽ ὕπνους νητρεκὲς λαλεῖν τόδε. θανὼν καθ᾽ ὕπνους φροντίδων ἔσῃ δίχα. γελῶν καθ᾽ ὕπνους δυσφόρους ἕξεις τρόπους. κλαίων καθ᾽ ὕπνους παγχαρὴς πάντως ἔσῃ." Astrampsychus.

καθυπουλεύω αἰτιατικῇ.

καθυφεῖντο ἀντὶ τοῦ ἑαυτοὺς ἐδίδοσαν εἰς ὄλεθρον· (Polyb. 3 60) "πολλοὶ δὲ καὶ καθυφεῖντο ἑαυτοὺς ὁλοσχερῶς διὰ τὴν ἔνδειαν καὶ συνέχειαν τῶν πόνων."

καθυφῆκεν ἐνδέδωκεν, ὑποκατέβη.

καθυφίεντο ἀντηλλάττοντο, καταπροεδίδοσαν· (Ioseph. A. I. 6 3 3) "οἱ δὲ τοῦ Σαμουὴλ τοῦ προφήτου υἱοὶ δώρων καὶ λημμάτων αἰσχρῶν καθυφίεντο τὸ δίκαιον."

καθωραΐζεται σεμνύνεται.

καθωσιωμένος ἀνακείμενος, ἐγγεγραμμένος. a

καθωσιωμένος ἔννομος, κόσμιος, τίμιος· "Οὐράνιος ὁ καθωσιωμένος μαγιστριανὸς εὐσεβῆ γράμματα ἀποδέδωκε τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ Καλανδίωνι." καὶ καθωσιῶσθαι. b

καὶ σύνδεσμος συμπλεκτικός.

καιάδας παρὰ Λάκωσι βασιλικὴ φρουρά

καὶ Σικελιώταις, παρὰ δὲ Πέρσαις οἴκημα μεσὸν τέφρας. παρὰ δὲ Αἰθίοψιν οἱ κακοῦργοι χρυσαῖς ἁλύσεσιν ἐδέδεντο. εἰς δὲ τὸν καιάδαν εἰώθασιν οἱ Λάκωνες τοὺς κακούργους ῥίπτειν.

καὶ δὴ ἤδη.

καὶ ἐν θεῶν ἀγορᾷ. ἐπὶ τῶν καθ' ὑπερβολὴν κακηγορούντων εἴρηται ἡ παροιμία· θεῶν γὰρ ἀγορὰ τόπος ἐςὶν ἐν Ἐλευσῖνι.

καικίας ὁ ἄνεμος.

Καικίλιος Σικελιώτης Καλακτῖνος (Καλάκτη δὲ πόλις Σικελίας), ῥήτωρ σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ τῦ Σεβαςῦ Καίσαρος καὶ ἕως Ἀδριανοῦ, καὶ ἀπὸ δούλων, ὥς τινες ἱςορήκασι, καὶ πρότερον μὲν καλέμενος Ἀρχάγαθος, τὴν δὲ δόξαν Ἰουδαῖος. βιβλία δὲ αὐτοῦ πολλά, κατὰ Φρυγῶν β'· ἔςι δὲ κατὰ ςοιχεῖον ἀπόδειξις τοῦ εἰρῆσθαι πᾶσαν λέξιν καλλιρρημοσύνης· ἔςι δὲ ἐκλογὴ λέξεων κατὰ ςοιχεῖον· σύγκρισις Δημοσθένους καὶ Κικέρωνος· τίνι διαφέρει ὁ Ἀττικὸς ζῆλος τοῦ Ἀσιανοῦ· περὶ τοῦ χαρακτῆρος τῶν ι' ῥητόρων· σύγκρισις Δημοσθένυς καὶ Αἰσχίνυ· περὶ Δημοσθένους, ποῖοι αὐτοῦ γνήσιοι λόγοι καὶ ποῖοι νόθοι· περὶ τῶν καθ' ἱςορίαν ἢ παρ' ἱςορίαν εἰρημένων τοῖς ῥήτορσι, καὶ ἄλλα πλεῖςα.

Κάικος ὄνομα ποταμοῦ.

καὶ μὴν ἀλλὰ μήν.

Κάιν ὁ τοῦ Ἄβελ ἀδελφός, ὃς πλεονέκτης ἦν· ὁ δὲ Ἄβελ δικαιοσύνης ἐπεμελεῖτο. καὶ ὁ Κάιν κτείνας τὸν Ἄβελ ἔκρυψε τὸν νεκρὸν αὐτοῦ, λαθεῖν ἐντεῦθεν οἰόμενος. καὶ μετὰ τὴν καταδίκην χειρόνως ἐβίω, καὶ ἅρπαξ καὶ πλεονέκτης γενόμενος μέτρα καὶ ςάθμια καὶ ὅρυς γῆς ἐπενόησε, καὶ πόλιν κτίσας εἰς ἓν συνελθεῖν τοὺς οἰκείας ἠνάγκασε. καὶ οἱ ἐκ γένους αὐτοῦ εἰς πολέμους ἑαυτὺς ἀπησχόλουν.

ὅτι εἴρηταί τισιν ὡς ὁ Κάιν ἐκ τῆς τοῦ διαβόλου σπορᾶς ἐγένετο, καὶ μισήσας τὸν ἴδιον ἀδελφὸν τὸν Ἄβελ τοῦτον ἀνεῖλεν. εἴρηται δὲ περὶ τούτου καὶ χρῆσις τοῦ κυρίυ ἐν τοῖς εὐαγγελίοις πρὸς τοὺς Ἰουδαίυς (Io. 8 44)· "ὑμεῖς τέκνα ἐςὲ τοῦ διαβόλυ. ὁ πατὴρ ὑμῶν ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐςίν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ."

τί δηλοῖ τὸ "πᾶς ὁ ἀποκτείνας Κάιν ἑπτὰ ἐκδικέμενα παραλύσει;" (Gen. 4 15) τοιαύτην ἔχει τὴν λύσιν. ἕκαςος τῦ ἑαυτοῦ ἁμαρτήματι ἀποθανεῖται, ὁ δὲ φόνου κατάρξας καὶ τοῖς ἄλλοις τοῦ ἁμαρτήματος ὑφηγητὴς γενόμενος ἑπταπλασίως τιμωρηθήσεται, τουτέςι πολλαπλασίως· σύνηθες γὰρ τῇ γραφῇ τῷ ἀριθμῷ τέτῳ ἀπροσδιορίςως κεχρῆσθαι, καὶ ἔςιν ἀδιορίςου πλήθους σημαντικός, ὡς τὸ "ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα," καὶ (1 Sam. 2 5) "ὅτι ςεῖρα ἔτεκεν ἑπτά" καὶ (Matth. 18 22) "οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά." τὸ μὲν γὰρ τελευτῆσαι τῶν ἐν βίῳ πονηριῶν ἐπάγει τὴν ἀνάπαυσιν, τὸ δὲ ζῆν ἐν φόβῳ καὶ λύπῃ μυρίους ἐπάγει τοὺς ἐν συναισθήσει θανάτους. τρέμων οὖν καὶ ςένων ὁ Κάιν, ὥσπερ δαίμονι κάτοχος, ἐν ἐπιληψίᾳ πάντα τὸν βίον αὐτῦ διῆγε, τῦτο πρὸς τὸ μὴ ἀναιρεθῆναι ὑπό τινος λαβὼν τὸ σημεῖον. ἐκδικούμενα δὲ εἴτε τὰ παρὰ τῷ Κάιν ἡμαρτημένα λέγοις, εὑρήσεις ἑπτά, εἴτε τὰ παρὰ τῦ θεοῦ ἐπ' αὐτῷ ῥηθέντα, οὐδ' οὕτως ἀποτεύξῃ τῆς ἐννοίας. ἐν μὲν γὰρ τοῖς παρὰ τῦ Κάιν τετολμημένοις πρῶτον ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήσει Ἄβελ, δεύτερον δόλος, μεθ' οὗ διελέχθη τῷ ἀδελφῷ εἰπὼν "διέλθωμεν εἰς τὸ πεδίον·" τρίτον φόνος, προσθήκη τοῦ κακοῦ· τέταρτον ὅτι καὶ ἀδελφοῦ φόνος· πέμπτον ὅτι καὶ πρῶτος φονεὺς πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλιπών· ἕκτον ὅτι γονεῦσι πένθος ἐνεποίησεν· ἕβδομον ὅτι θεὸν ἐψεύσατο εἰπὼν "ὅτι ὐκ οἶδα τὸν ἀδελφόν." αἱ δὲ εἰς κόλασιν αὐτῷ παρὰ τῆς θείας δίκης τιμωρίαι εἰσὶν αὗται. πρώτη κόλασις "ἐπικατάρατος ἡ γῆ ἀπὸ σῦ," δευτέρα "ἐργᾷ τὴν γῆν," τρίτη "καὶ οὐ προσθήσει δῦναί σοι τὴν ἰσχὺν αὐτῆς," τετάρτη μετὰ τῆς πέμπτης συνεζευγμένη μάςιξ "ςένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς·" ἕκτη, ἣν αὐτὸς ἀπεκάλυψεν ὁ Κάιν εἰπὼν "εἰ ἐκβαλεῖς με νῦν ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπυ συ κρυβήσομαι," ἡ βαρυτάτη κόλασις ὁ ἀπὸ τοῦ θεοῦ χωρισμὸς τοῖς σωφρονοῦσιν· ἑβδόμη τὸ μὴ κρύπτεσθαι τὴν τιμωρίαν, ἀλλὰ σημείῳ προδήλῳ πᾶσι προκεκηρῦχθαι διὰ τοῦ ςεναγμοῦ καὶ τοῦ τρόμου. πᾶς οὖν, φησί, ὁ νῦν τὸν κατὰ σοῦ φόνον ἀποτολμήσας, κακῶν σε τῶν κατὰ τὸν παρόντα βίον ἀπαλλάξας, τὴν κατὰ σοῦ παραλύσει τιμωρίαν. διό φησι "καὶ ἔθετο κύριος σημεῖον τῷ Κάιν τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν." cat. in Gen. 4 15.

Καιναὶ πόλις.

Καινεὺς ὄνομα κύριον.

καινίζεται. καὶ καινίζω σε, αἰτιατικῇ.

Καινινήτης ἀπὸ τόπου.

καινὸν τὸ νεωςὶ κατεσκευασμένον. κενὸν δὲ τὸ μάταιον διὰ τοῦ ε ψιλοῦ.

καινοπρεπές. "μηχάνημά τι καινοπρεπὲς ἐτεκτήνατο λαθραίως. γλύψας δοκῶν μεγάλων τὸ μῆκος, καὶ ταύτας καθενώσας, ἐντείς τε μίαν ἅλυσιν ταῖς γλυφαῖς διήκουσαν ἐς πάσας, μολίβδῳ τὸ τούτων κένωμα ἔπλησε, καὶ ταχυεργῶς λίαν ἀποκλείει τὰς ὄχθας διὰ τοῦ ποταμοῦ ἑκατέρωθεν σκευάσας δαρείας ⟨an πύργους⟩, ἐν οἷς βοήθειαν ἀποχρῶσαν βαλὼν ἐσέρει τὴν πόλιν τῶν ἐκ τῆς θαλάττης ἀγωγίμων."

a καινὸς ὁ νέος.

b καινὸς Ἰσοκράτης ⟨4 8⟩ ἀντὶ τοῦ ὃς τοῖς νεωτέροις ἁρμόττει πράγμασιν. οὕτως δὲ καὶ Ἔφορος. Harp.

καινὸς γνώμην ἀντὶ τοῦ νέαν γνώμην εἰσηγούμενος· "καινὸς γνώμην, καινῶν ἔργων ἐγχειρητής" ⟨A Av. 259⟩.

καινοτομεῖ, αἰτιατικῇ, καινουργεῖ. ὅτι τὸ καινοτομεῖν ἐπὶ τοῦ ἄρχειν· Ἀριςοφάνης ⟨Eccl. 580⟩ "τοῦτο γὰρ ἡμῖν ἀντ' ἄλλης ἀρχῆς ἐςί," καινοτομία.

καινοῦν παρὰ Ἡροδότῳ ⟨2 100⟩ τὸ λόγῳ τῷ καινῷ χρήσασθαι.

καινουργισμὸς ἡ ἀνακαίνισις καὶ πρὸς τὸ ἀρχαῖον κάλλος ἀναμόρφωσις.

καινόφιλον λέγουσι τὸν μὴ τοῖς αὐτοῖς φίλοις χρώμενον ἀεί.

καίνυτο ⟨Hom. γ 282⟩ ἐνίκα.

καινῶς ἀντὶ τοῦ παραδόξως.

καιόμενος ἀπὸ τοῦ καίω τὸ φλέγω.

καίρια τὰ συμφέροντα· "τίνι γάρ ποτ', ὦ φίλα γενέθλα, πρόσφορον ἀκούσαιμ' ἔπος; τίνι φρονοῦντι καίρια;" ἀντὶ τοῦ παρὰ τίνος ἀκούσαιμι τὰ συμφέροντα; οὕτω Σοφοκλῆς ⟨El. 226⟩. καὶ πάλιν ⟨Ai. 120⟩ "ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;" καὶ αὖθις ⟨Ai. 34⟩ "καιρὸν δ' ἐφήκεις" ἀντὶ τοῦ ἐπικαίρως ἥκεις. "ἐπελθεῖν εὔςοχος, ἀναχωρῆσαι καίριος, ἐνεδρεῦσαι τεχνίτης, μάχης ἐργάτης." cf. v. δεινός.

καιριώτατα ἐπικινδυνότατα, θανάσιμα.

a καιρός· Σοφοκλῆς ⟨El. 75⟩ "καιρὸς γάρ ὅσπερ ἀνδράσι μέγιςος ἔργȣ παντός ἐς' ἐπιςάτης," ἀντὶ τοῦ, ἐφ' ἑκάςου πράγματος τὸ καίριον καὶ χρησιμώτατον ὁ καιρός ἐςιν, ὅπȣ καὶ τὰ σπȣδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ φύσεως τοῦ νοσήματος διαλεγόμενον, ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο· τὸ γὰρ καλὸν μὴ καλῶς γινόμενον οὐ καλόν. καὶ αὖθις "ὁ δὲ Ἰȣςινιανός, εἴτε ὑπὸ γήρως τὰ καίρια οὐ φρονῶν εἴτε ἄλλως, ἔμελλε τὴν ὀρθογνώμονα περὶ Χριςοῦ δόξαν διακυκήσειν, εἰ μὴ ᾤχετο ἐξ ἀνθρώπων."

καιρός. καιροὺς ἡ γραφὴ καλεῖ τὰς συμ- b
φοράς. ⟨Theodoret. in Ps. 80 16⟩ "καὶ ἔςαι ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα." ⟨Gen. 6 13⟩ "καιρὸς παντὸς ἀνθρώπȣ ἥκει ἐναντίον μȣ" ἀντὶ τοῦ . . .

καιρὸς λέγεται ὁ ἐκ τοῦ πλήθους τῶν c
ἀδικημάτων συναγόμενος ἀριθμὸς παρὰ θεῷ, καὶ προκαλούμενος ἕως καιροῦ.

καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρόν" ⟨Hom. η 107⟩ εὖ κεκαιρωμένων. καίρωμα δέ ἐςι τὸ διαπλεκόμενον ἐν τῷ ςήμονι παρὰ τὸν μίτον ὑπὲρ τοῦ μὴ συγχεῖσθαι τοὺς ςήμονας.

καιροφυλακῆσαι καιρὸν ἐπιτηρῆσαι· "ὁ δὲ ἐκέλευεν αὐτὸν ἀναζευγνύναι καὶ μὴ πολυπραγμονεῖν μηδὲ καιροφυλακεῖν."

καιροφυλάκιον.

καιρωςρίδες αἱ ὑφάντριαι· καίρωσις γὰρ ἡ πλοκὴ τοῦ μίτου.

καιρωτὴ μιτωτή.

Καῖσαρ. οὕτως ὀνομάζονται οἱ Ῥωμαίων βασιλεῖς ἀπὸ Ἰουλίου Καίσαρος τοῦ μὴ γεννηθέντος. τῆς γὰρ μητρὸς αὐτοῦ θανούσης ἐν τῷ θ' μηνί, ταύτην ἀνατεμόντες ἐξέβαλον αὐτόν, καὶ οὕτως ἐκάλεσαν· κατὰ γὰρ τὴν Ῥωμαίων γλῶσσαν καῖσαρ ἡ ἀνατομὴ λέγεται.

ὅτι ἐπὶ Ῥωμαίων τῶν πάλαι ὁ δῆμος ἦρχεν, αὖθις οἱ ὀλίγοι, καὶ τὰ τελευταῖα ἐς μοναρχίαν κατέςη Ῥωμαίοις τὰ πράγματα ἔξέτι Καίσαρος τοῦ πρώτου μοναρχήσαντος καὶ βασιλεύσαντος. καὶ ἀςασίαςα διετέλει τὰ κοινὰ ἄχρι ἐς Μάρκον Ἀντωνῖνον Ῥωμαίων ἄρχοντα· ἐπεὶ δὲ ὁ τούτου παῖς ὁ Κόμοδος, τὴν φύσιν ȣ̓ πάνυ φρενήρης καὶ φιληδονίας ἥττων γενόμενος καὶ οὐ μάλα τι ἀγαθὸς τὰ πολέμια καὶ φιλόψυχος, δολοφονηθεὶς ὑπὸ τινῶν κατελύθη, ἐπαναςάσεις τε συνεχέςαται ἐγένοντο. . .

Καῖσαρ Τιβέριος ἔγραψεν ἐπιγράμματα καὶ τέχνην ῥητορικήν.

Καισάρεια ἡ μητρόπολις ἀπὸ Καίσαρος Τιβερίου Ὀκταβίου· ἣν ἀφείλετο Ἀρχέλαον, πρότερον Μάζακα ἐπονομαζομένην, ἔπειτα Καισάρειαν κληθεῖσαν τῇ ἰδίᾳ προσηγορίᾳ. Eutropius? cf. v. Τιβέριος Ὀκταβίου.

Καισάρειος ὁ Γρηγορίου τοῦ θεολόγυ ἀδελφὸς ἔγραψε διάφορα, καὶ κατὰ Ἑλλήνων.

Καισαρεύς.

Καίξωνος ὄνομα κύριον.

Καίσωνος ὄνομα κύριον.

καὶ τάχα ἴμεν καὶ ταχέως πορευόμεθα.

καὶ τὸ τοῦ λύκου. φασὶ λύκον ἰδόντα τὸν ποιμένα ἢ καὶ κύνα τῶν ποιμενικῶν προβάτων ἐσθίοντα, εἰπεῖν "ἐγὼ τοῦτο εἰ ἐποίουν, πόση κραυγὴ ἐγίγνετο ἄν;"

καίτοι σ' οὐκ ἐρῶ γ' ὡς οὐ φιλῶ (A Lys. 905), τουτέστιν οὐ κρύπτω τὸν ἐμὸν πόθον.

καὶ χερσί καὶ ἔργοις.

καίω σε αἰτιατικῇ.

κακὰ κακῶν· Διοκλῆς Βάκχῃ "πλυνεῖ τε τὰ κακὰ τῶν κακῶν ὑμᾶς."

κακανδρία δειλία· Σοφοκλῆς (Ai. 1014) "τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ σέ, φίλτατ' Αἴαν." Τεῦκρός φησι περὶ τῆς τοῦ Αἴαντος τελευτῆς.

κακεντρέχεια ἡ πονηρία.

κακεργέτῃσι κακοεργοῖς.

κὰκ κεροντίας· Ἀριςοφάνης (Eq. 1349) "ἀνωρτάλιζες κὰκ κεροντίας," ἀντὶ τοῦ μετεωρίζου, μέγα ἐφρόνεις. ἀπὸ δὲ τῶν κερατοφορούντων ἡ λέξις.

κάκη κακία· οὕτως Πλάτων. Αἰλιανὸς "ὅςις τάξιν ἔλιπε, θανατοῖ ἄρα ὁ νομοθέτης αὐτόν, κάκῃ τὴν ςάσιν ἣν ἐτάχθη προδόντα." Αἰλιανὸς ποικίλῃ ἱςορίᾳ "ὐδεὶς οἰκέτης μνημονεύεται κάκῃ εἴξας προδοῦναι τὸν δεσπότην." καὶ αὖθις "ἀνάγκης καλούσης μὴ εἴκειν κάκῃ." cf. v. εὐεργία.

κακηγορῶ αἰτιατικῇ. καὶ *κατηγορῶ* αἰτιατικῇ.

κακὴ μὲν ὄψις. κόμμα παροιμίας· "κακὴ μὲν ὄψις, ἐν δὲ δειλαῖαι φρένες" Μένανδρος Σικυωνίῳ.

a *κακία.* ἀνάλογον ταῖς ἀρεταῖς αἱ κακίαι· αἱ μὲν γάρ εἰσι πρῶται, αἱ δὲ ὑπὸ ταύτας, οἷον ἀφροσύνη δειλία ἀδικία ἀκολασία ἀκρασία βραδύνοια κακοβουλία. εἰσὶ δὲ ἀγνοίας αἱ κακίαι. τὰ δὲ μετέχοντα τῶν κακιῶν αἵ τε πράξεις αἱ κατὰ κακίαν καὶ οἱ φαῦλοι. ἐπιγεννήματα δὲ δυσθυμία δυσφροσύνη καὶ τὰ ὅμοια. Diog. L. 7 93.

κακία δέ ἐςιν ἡ τοῦ κακῶσαι τὸν πέλας b σπουδὴ παρὰ τῷ ἀποςόλῳ (Rom. 1 29).

κακία. διώνυμός ἐςιν ἡ λέξις. ἡ ὄντως c κακία, οἷον πορνεία μοιχεία πλεονεξία ἐπιορκία καταλαλιά. λιμὸς δὲ καὶ λοιμός, θάνατοι καὶ νόσοι καὶ τἄλλα οὐκ ἔςι κακά, διότι πολλάκις ἡμῖν ἀγαθῶν αἴτια γίνεται. καὶ περὶ ταύτης φησὶν ὁ προφήτης (Amos 3 6) "ὐκ ἔςι κακία ἐν πόλει, ἣν κύριος ὐκ ἐποίησε." Io. Chrysost. t. 5 p. 708 B.

κακιζόμενοι ταπεινούμενοι.

κακίζω αἰτιατικῇ.

κάκιθος (an κακηθός) ὁ κακιζόμενος.

κακίονος τοῦ χείρονος.

κακκείοντες (Hom. Α 606) κατακοιμηθησόμενοι.

κάκκη. ἔχει δὲ καὶ τὸ κακέμφατον. ἡ ἀκαθαρσία, καὶ μάλιςα τὸ δύσοσμον ἀποπάτημα· Ἀριςοφάνης (Pac. 161) "ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων."

κακοδαίμων ὁ θεῷ ἐπαχθής, καὶ ὁ τὴν ψυχὴν ἔχων ἐμπαθῆ· Αἰλιανός "ἀνὴρ Εὐφρόνιος, κακοδαίμων ἀνήρ, καὶ ἔχαιρεν ἐπὶ ταῖς Ἐπικούρου φλυαρίαις καὶ ἐξ ἐκείνων κακὰ εἰρύσατο δύο, ἄθεός τε καὶ ἀκόλαςος εἶναι."

κακοέπεια βλασφημία.

κακοζηλία. Καλλίνικος ἔγραψεν ὁ Σύρος περὶ κακοζηλίας ῥητορικῆς.

κακοήθεια ἡ κακοτροπία παρὰ τῷ ἀποςόλῳ (Rom. 1 29).

κακοηθέςατα ἐπὶ κλειδίων λέγεται. Ἀριςοφάνης Θεσμοφοριαζούσαις (427) "οἱ γὰρ ἄνδρες ἤδη κλειδία φοροῦσι κρυπτά, κακοηθέςατα, Λακωνίκ' ἄττα, τρεῖς ἔχοντα γομφίους. πρὸ τοῦ μὲν οὖν ἦν ἀλλ' ὑποῖξαι τὴν θύραν ποιησαμέναισι δακτύλιον τριωβόλου· νῦν δ' οὗτος αὐτοὺς ἐδίδαξε θριπήδεςα."

κακοήθης κακότροπος· "ἢ καὶ ἄλλως κακοήθως αὐτὸς διαβληθείη."

κακόθρους διάβολος· (S Ai. 137) "ἢ ζαμενὴς λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ."

κακοὶ τῆς πονηρίας πίνουσι τὴν ὀμίχλην, ἐπὶ τῶν κατὰ ἀξίαν τιμωρουμένων.

κακοῖς ἐπισωρεύων κακά· "Ωχος ὁ

Πέρσης Αἴγυπτον ἠνδραποδίσατο, καὶ ἀπέκτεινε τὸν Ἆπιν, καὶ κατέκοψε τὸν Μνεῦιν, κακοῖς ἐπισωρεύων κακά."

κακόνοι ἐχθροὶ καὶ κακὸν νοῦν ἔχοντες πρὸς τὸ πρᾶγμα· Ἀριςοφάνης (Pac. 500) "ὡς κακόνοι τινές εἰσιν ἐν ἡμῖν." καὶ αὖθις "κακόνουν φωραθέντα σὺν γυναικὶ καὶ τέκνοις τοῦτον ἐλαθῆναι."

κακοπάθεια ἡ ταλαιπωρία.

κακοπινέςατον. τὸ πίνος ποτὲ μὲν ἐπὶ τῆς ἰδέας ποτὲ δὲ ἐπὶ τοῦ ἤθους λαμβάνεται. ἐνταῦθα οὖν τὸν κακοήθη σημαίνει. ἀντὶ τοῦ κολάκευμα, τρῖμμα. κακοπινέςατον ῥυπαρόν· πινῶδες γάρ, ἀδόκιμον τῇ γνώμῃ καὶ οὐ καθαρόν, ἄλλοτε ἄλλα νοῶν. sch. S Ai. 381.

κακορραφίαι κακοσυνθεσίαι.

κακορρήμων. καὶ οὐδετέρως τὸ κακορρῆμον.

κακορροθεῖ κακῶς ἀγορεύει· Ἀριστοφάνης (Ach. 576) "ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ."

κακὸς κακῶς ἀπόλοιτο οὗτος, εἰ μὴ καὶ προαπόλωλε τῆς ἀρᾶς, ὡς ἄξιός γε ἦν ἔργον γεγονέναι τοῦ πρώην χειμῶνος. Synes. ep. 129 p. 165 C.

κακόσχολος ὁ πονηρός.

κακοτεχνιῶν. δίκης ὄνομα, ἣν οἱ ἑλόντες τινὰ ψευδομαρτυριῶν κατὰ τοῦ παρασχομένου ἐδίδοσαν. Harp.

κακοῦ κόρακος κακὸν ᾠόν. ταύτην τὴν παροιμίαν οἱ μὲν ἀπὸ τοῦ πτηνοῦ ζῴου φασὶν εἰρῆσθαι, ὅτι οὔτε αὐτὸ βρωτόν ἐςιν οὔτε τὸ ᾠὸν ὃ ἔχει, οἱ δὲ ἀπὸ τοῦ Κόρακος τοῦ Συρακουσίου ῥήτορος, πρῶτον διδάξαντος τέχνην ῥητορικήν. ὑπὸ γὰρ τούτου, ὥς φασι, μαθητὴς Τισίας ὄνομα μισθὸν ἀπαιτούμενος εἰς τὸ δικαςήριον εἶπεν "εἰ μέν με νικήσειας, ὐδὲν μεμάθηκα· εἰ δὲ ἡττηθήσῃ, οὐ κομίσῃ τοὺς μισθούς." θαυμάσαντες ὖν οἱ δικαςαὶ τὸ σόφισμα τοῦ νεανίου ἐπεφώνουν "κακοῦ κόρακος κακὸν ᾠόν."

κακοῦργοι οἱ λῃςαί, οἱ ἐνεδρευταί· "ὁ δὲ λαθὼν ἑαυτὸν παρῆλθε σὺν τῷ ξίφει, ὅπερ ἐπήγετο διὰ τοὺς κακούργυς τὰς κατὰ τὴν ὁδόν."

κακουργῶ αἰτιατικῇ.

κακόχαρτον κακοῖς χαίροντα.

κακῶν. ὅτι ἀναίτιος τῶν κακῶν ὁ θεός. κακὰ δὲ κυρίως ὀνομάζομεν οὐχ ἃ τῶν πολλῶν ὀνομάζειν φίλον τισίν, ἀλλὰ κακίαν καὶ ἀκολασίαν καὶ τὰς ἄλλας παρανομίας ὑφ' ἡμῶν αὐτεξουσίως τολμωμένας. ἡμεῖς γὰρ τούτων αἴτιοι, οὐχ ὁ τἀναντία νομοθετήσας θεός.

κακῶν πανήγυρις, ἐπὶ μεγίςων· Πισίδης "καὶ πάντες ὥσπερ ἐν κακῶν πανηγύρει, ἄλλος κατ' ἄλλην συμφορὰν ἐδυςύχει."

κακῶς εἰδότες ἀντὶ τοῦ ἀγνοοῦντες Ἰσοκράτης ἐν τῷ περὶ εἰρήνης (32). Harp.

κακώσεως. δίκης ἐςὶν ὄνομα ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν. οὕτω Δημοσθένης (24 103) καὶ Λυσίας (13 91) καὶ Ὑπερίδης. Harp.

κάκτανε (Hom. Z 164) κατεφόνευσον.

κακύνειν τὸν πηλόν, τυτέςι τὸν ἄξιον ὕβρεως ὑβρίζειν.

κακχεῦσαι καταβαλεῖν.

κᾶλα τὰ ξύλα.

καλὰ δὴ παταγεῖς ἀντὶ τοῦ λέγεις (πάντ' ἄγεις Plat. Euthyd. p. 293).

Κάλαϊς ὄνομα κύριον. καὶ καλάινον χρῶμα.

καλαμᾶται τρυγᾷ τὰ ἀνωτέρω τῶν ἐλαιῶν ἢ κατεσθίει.

καλάμη ὁ ςάχυς τοῦ σίτου. a

καλάμη ἀπὸ τοῦ κάλυ τοῦ ξύλυ· αὐτὸ b δὲ ἀπὸ τῆς καύσεως.

καλαμητομίης· ἐν ἐπιγράμμασι (AP 6 36) "ἀλλὰ καὶ αὖθις ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον."

καλαμίνθη εἶδος βοτάνης, ἥτις καὶ ὄφεις ἐλαύνει καιομένη· Ἀριςοφάνης (Eccl. 644) "σὺ δέ γ' ὄζοις καλαμίνθης." ὄφεως ἐλατική.

καλαμίτης ἡ ἐπὶ τῆς καλάμης τῦ σίτυ, ἢ κύριον ὄνομα· καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ ςεφάνου (129) "ἐν τῷ κλισίῳ τῷ πρὸς τῷ Καλαμίτῃ ἥρωι." καὶ θηλυκὸν ἡ καλαμῖτις· (AP 7 198) "δισσοὺς ἐς λυκάβαντας ἐφίλατο τὴν καλαμῖτιν," ἀντὶ τῦ ἐφίλησεν.

καλαμώμενος ςαχυολογῶν· καλάμη γὰρ ὁ ςάχυς τοῦ σίτυ. καὶ καλαμῶνται πλεονεκτοῦσι.

καλαμῶνος.

καλαμῶνται αἰτιατικῇ.

Κάλανος Ἰνδὸς ἐκ τῶν Βραχμάνων· οὕτω δὲ πάντα σοφὸν οἱ Ἰνδοὶ προσαγορεύουσιν. ἐπὶ τύτῳ δὲ Ἀλέξανδρος ὁ Μακεδών,

ἐπειδὴ ἐτελεύτησε παρόντος αὐτοῦ ἐν Ἰνδίᾳ, ἐπιτάφιον ἀγῶνα συντελέσας καὶ ἀκρατοπότας ἁμιλληθῆναι παρεσκεύασε διὰ τὴν παρ' Ἰνδοῖς φιλοινίαν. οὗτος ἀπόκρισιν ἔδωκεν Ἀλεξάνδρῳ πρὸς πᾶσαν ἐρώτησιν εὔστοχον.

κᾶλα παλαίθετα (Callim. fr. 459) ξηρὰ ξύλα, ἐκ πολλοῦ ἀποτεθέντα χρόνου· κᾶλον γὰρ τὸ ξύλον, ἐξ οὗ καὶ καλόπους ὁ ξύλινος πούς.

καλάσιρις χιτὼν πλατύσημος· οὕτως Αἰγύπτιοι (sch. A Av. 1294). καὶ ὄνομα κύριον.

Καλαυρία νῆσος πλησίον Τροιζῆνος. ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη. Harp.

καλαῦροψ βουκολικὴ ῥάβδος, βαρυτέρα οὖσα τῇ κεφαλῇ, ἀπὸ τοῦ κάτω ῥέπειν. Φιλόστρατος (V. A. 2 11) "εὐθύνειν τὸ θηρίον καλαύροπι, ἣν ὁρᾷς αὐτὸν ἐμβάλλοντα τῷ θηρίῳ ὡς ἄγκυραν."

καλήμεναι (Hom. K 125) καλεῖν.

Καλήσιος (Hom. Z 18) ὄνομα κύριον.

Καλητορίδης (Hom. N 541).

καλιά νοσσιά, ἢ οἶκος ξύλινος, κυρίως· κᾶλα γὰρ τὰ ξύλα, ἐξ ὧν σύγκειται. ἐν ἐπιγράμματι (AP 6 253) "Πανός τ' ἠχήεσσα πιτυσέπτοιο καλιή." μακρὸν τὸ ι.

καλινδούμενοι κυλιόμενοι.

κάλλαια οἱ πώγωνες τῶν ἀλεκτρυόνων· "χὤπως τὰ κάλλαι' ἀποφυγὼν ἥξεις πάλιν" (A Eq. 500).

Κάλλαισχρος ὄνομα κύριον.

Καλλάτις πόλις.

κάλλη τὰ πορφυρᾶ ἱμάτια. καὶ κέραμος καλάινος. Αἰσχύλος (Ag. 932) "ἐν ποικίλοις κάλλεσι."

καλλιάνειρα (Hom. Σ 44).

a Καλλίας Ἀθηναῖος κωμικός, υἱὸς Λυσιμάχου· ὃς ἐπεκλήθη Σχοινίων διὰ τὸ σχοινοπλόκου εἶναι πατρός. οὗ δράματα Αἰγύπτιος, Ἀταλάντη, Κύκλωπες, Πεδῆται, Βάτραχοι, Σχολάζοντες.

b Καλλίας ὁ λακκόπλουτος ἐπικληθεὶς στρατηγῶν πρὸς Ἀρταξέρξην τοὺς ἐπὶ Κίμωνος τῶν σπονδῶν ἐβεβαίωσεν ὅρους· καθ' ὃν εἰσβαλόντες Λακεδαιμόνιοι, Πλειστοάνακτος τοῦ Παυσανίου βασιλεύοντος, ἐδῃώσαντο τὴν Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον, ἔτι τῆς πεντηκονταετίας οὔσης, ἥτις ἤρχετο μετὰ τὴν ἐν Πλαταιαῖς μάχην, ἔληγε δὲ εἰς ἅλωσιν Σάμου καὶ ἀρχὴν τῶν Κερκυραϊκῶν.

c ὅτι Καλλίας ὁ Συρακούσιος δικαίως ἂν καὶ προσηκόντως κατηγορίας ἀξιωθείη· ἀναληφθεὶς γὰρ ὑπὸ Ἀγαθοκλέους, καὶ δώρων μεγάλων ἀποδόμενος τὴν προφῆτιν τῆς ἀληθείας ἱστορίαν, οὐ διαλέλοιπεν ἀδίκως ἐγκωμιάζων τὸν μισθοδότην. οὐκ ὀλίγων γὰρ αὐτῷ πεπραγμένων πρὸς ἀσεβείας θεῶν καὶ παρανομίας ἀνθρώπων, φησὶν ὁ συγγραφεὺς αὐτὸν εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ πολὺ τοὺς ἄλλους ὑπερβεβηκέναι. καθόλου δέ, καθάπερ Ἀγαθοκλῆς ἀφαιρούμενος τὰ τῶν πολιτῶν ἐδωρεῖτο τῷ συγγραφεῖ μηδὲν προσήκοντα παρὰ τὸ δίκαιον, οὕτως ὁ θαυμαστὸς ἱστοριογράφος ἐχαρίζετο διὰ τῆς γραφῆς ἅπαντα τὰ ἀγαθὰ τῷ δυνάστῃ. ῥᾴδιον δ' ἦν, οἶμαι, πρὸς ἄμειψιν χάριτος τῷ γραφεῖ τῶν ἐγκωμίων μὴ λειφθῆναι τῆς ἐκ τοῦ βασιλικοῦ γένους δωροδοκίας. Diodor. t. 2 p. 561.

Καλλίας πτερορρυεῖ (A Av. 286). κωμῳδεῖται Καλλίας ὡς ἀπολέσας πάντα τὰ χρήματα. "ἅτε γὰρ ὢν γενναῖος ὑπὸ τῶν συκοφαντῶν τίλλεται, αἵ τε θήλειαι προσεκτίλλουσιν αὐτοῦ τὰ πτερά·" πένης γὰρ ἐγένετο τὰ πατρῷα καταναλώσας εἰς πόρνας. καὶ καλλίου πιθήκου· τὰ δυσχερῆ γὰρ τῶν ὀνομάτων εὐφημότερον εἰώθασιν οἱ Ἀττικοὶ προφέρεσθαι. καὶ τὸν πίθηκον οὖν καλλίαν προσηγόρευσαν. Δείναρχος ἐν τῷ κατὰ Πυθέου "ἀλλ' οἶμαι, ὥσπερ οἱ τοὺς καλλίας ἐν τοῖς οἴκοις τρέφοντες," τουτέστι πιθήκους. οὕτω δὲ καὶ τὰς ἐρινύας εὐμενίδας λέγουσι.

Καλλιγόλας. οὕτως ἐκαλεῖτο Γάιος ὁ βασιλεὺς Ῥωμαίων, ἐπειδὴ ἐκ μικρᾶς ἡλικίας τὰ πολλὰ ἐν τῷ στρατοπέδῳ ἐτρέφετο καὶ τοῖς στρατιωτικοῖς ἐχρῆτο ὑποδήμασιν. ἐκ τῶν καλλίγων οὖν Καλλιγόλαν αὐτὸν ὠνόμασαν. ἢ Καλλιγόλας ὁ Γάιος διὰ τὸ ἐν στρατοπέδῳ γεννηθῆναι, ὥς φησιν Αἰλιανὸς ἐν τῷ περὶ θείων ἐναργειῶν.

καλλιγύναικα (Hom. B 683) τὴν καλὰς ἔχουσαν γυναῖκας.

καλλιερεῖσθαι ἐπὶ τοῦ θύειν ἔντομα Ἡρόδοτος (7 134 et 167). καὶ καλλιέρημα θυσία εὐπρόσδεκτος.

καλλιερῶ ῥῆμα· τὸ δεύτερον καλλιερεῖς. τὸ δὲ ὄνομα καλλιέρημα. ἔστι δὲ ἕκαστον θῦμα θεῷ φίλον. καὶ χριστιανοὶ μὲν τότε καλλιεροῦσιν ὅταν ἑαυτοὺς τῷ θεῷ προσαγάγωσι, πνεῦμα γεγενημένοι συντετριμμένον καὶ καρδίᾳ τεταπεινωμένῃ· Ἕλληνες δὲ τότε καλλιερεῖν νομίζουσιν ὅταν δαίμονί τινι θύ-

σαντες αἰσίων ἐπιτύχωσι σημείων ἐν τῷ ἥπατι τοῦ ἱερείου, καὶ τοῦτο καλοῦσι καλλιέρημα, ὅταν τῷ δαίμονι τὸ θῦμα ᾖ φίλον διὰ τῶν ἐπιφαινομένων ἀπατηλῶν σημείων.

καλλικέλαδος εὔφωνος, εὐόμιλος.

Καλλικολώνη τόπος τῆς Ἴδης· ⟨Hom. Υ 53⟩ "θέων ἐπὶ Καλλικολώνῃ."

Καλλικρατίδης ὄνομα κύριον. ἔσχε δὲ ἀδελφὸν Ἐμπεδοκλέα.

καλλικύριοι οἱ ἀντὶ τῶν γεωμόρων ἐν Συρακούσαις γενόμενοι, πολλοί τινες τὸ πλῆθος. δοῦλοι δ' ἦσαν οὗτοι τῶν φυγάδων, ὡς Τίμαιος ἐν ς'· ὅθεν τοὺς ὑπερβολῇ πολλοὺς καλλικυρίους ἔλεγον. ὠνομάσθησαν δὲ ἀπὸ τοῦ εἰς ταὐτὸ συνελθεῖν παντοδαποὶ ὄντες, ὡς Ἀριστοτέλης ἐν Συρακουσίων πολιτείᾳ, ὅμοιοι τοῖς Λακεδαιμονίων εἵλωσι καὶ παρὰ Θεσσαλοῖς πενέσταις καὶ παρὰ Κρησὶ κλαρώταις. καὶ παροιμία "καλλικυρίων πλείους." τοῦτο ἐλέγετο, εἴ ποτε πλῆθος ἤθελον ἐμφῆναι· οἱ γὰρ καλλικύριοι δοῦλοι ἦσαν πλείους τῶν κυρίων αὐτῶν, ὥστε καὶ αὐτοὺς ἐξέβαλον.

Καλλικῶν ὄνομα κύριον, Μιλήσιος τὸ γένος· διεβεβόητο δὲ ἐπὶ πονηρίᾳ.

a Καλλίμαχος Ἀθηναῖος. οὗτος εἰς τὸν κατὰ Περσῶν πόλεμον εὑρέθη ἐπὶ δοράτων ἑστάμενος νεκρός. cf. v. Ἱππίας a.

b Καλλίμαχος υἱὸς Βάττου καὶ Μεσάτμας ⟨an Μεγατίμας⟩, Κυρηναῖος γραμματικός, μαθητὴς Ἑρμοκράτους τοῦ Ἰασέως γραμματικοῦ, γαμετὴν ἐσχηκὼς τὴν Εὐφράτου τοῦ Συρακουσίου θυγατέρα. ἀδελφῆς δὲ αὐτοῦ παῖς ἦν ὁ νέος Καλλίμαχος ὁ γράψας περὶ νήσων δι' ἐπῶν. οὕτω δὲ γέγονεν ἐπιμελέστατος ὡς γράψαι μὲν ποιήματα εἰς πᾶν μέτρον, συντάξαι δὲ καὶ καταλογάδην πλεῖστα· καὶ ἔστιν αὐτῷ τὰ γεγραμμένα βιβλία ὑπὲρ τὰ ω'. ἐπὶ δὲ τῶν χρόνων ἦν Πτολεμαίου τοῦ φιλαδέλφου· πρὶν δὲ συσταθῇ τῷ βασιλεῖ, γράμματα ἐδίδασκεν ἐν Ἐλευσῖνι κωμυδρίῳ τῆς Ἀλεξανδρείας. καὶ παρέτεινε μέχρι τοῦ εὐεργέτου κληθέντος Πτολεμαίου, ὀλυμπιάδος ρκζ', ἧς κατὰ τὸ δεύτερον ἔτος ὁ εὐεργέτης Πτολεμαῖος ἤρξατο τῆς βασιλείας. τῶν δὲ αὐτοῦ βιβλίων ἐστὶ καὶ ταῦτα, Ἰοῦς ἄφιξις, Σεμέλη, Ἄργους οἰκισμοί, Ἀρκαδία, Γλαῦκος, ἐλπίδες, σατυρικὰ δράματα, τραγῳδίαι, κωμῳδίαι, μέλη, Ἶβις (ἔστι δὲ ποίημα ἐπιτετηδευμένον εἰς ἀσάφειαν καὶ λοιδορίαν, εἴς τινα Ἶβιν γενόμενον ἐχθρὸν Καλλιμάχου· ἦν δὲ οὗτος Ἀπολλώνιος ὁ γράψας τὰ Ἀργοναυτικά), μουσεῖον, πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων καὶ ὧν συνέγραψαν ἐν βιβλίοις κ' καὶ ρ', πίναξ καὶ ἀναγραφὴ τῶν κατὰ χρόνους καὶ ἀπ' ἀρχῆς γενομένων διδασκάλων, πίναξ τῶν Δημοκρίτου γλωσσῶν καὶ συνταγμάτων, μηνῶν προσηγορίαι κατὰ ἔθνος καὶ πόλεις, κτίσεις νήσων καὶ πόλεων καὶ μετονομασίαι, περὶ τῶν ἐν Εὐρώπῃ ποταμῶν, περὶ τῶν ἐν Πελοποννήσῳ καὶ Ἰταλίᾳ θαυμασίων καὶ παραδόξων, περὶ μετονομασίας ἰχθύων, περὶ ἀνέμων, περὶ ὀρνέων, περὶ τῶν ἐν τῇ οἰκουμένῃ ποταμῶν, θαυμάτων τῶν εἰς ἅπασαν τὴν γῆν κατὰ τόπους ὄντων συναγωγή.

c Καλλίμαχος Κυρηναῖος ἐποποιός, ἀδελφιδοῦς τοῦ προτέρου, υἱὸς Στασήνορος καὶ Μεγατίμας τῆς ἀδελφῆς Καλλιμάχου.

Καλλιμένης.

κάλλιμος ὁ καλός.

Καλλίνικος Γαΐου, ὁ καὶ Σουητώριος ἐπικληθείς, σοφιστὴς Σύρος, ὡς δέ τινες Ἀράβιος, τὸ δὲ ἀληθὲς Πετραῖος, σοφιστεύσας ἐν Ἀθήναις, ἔγραψε πρὸς Λοῦπον περὶ κακοζηλίας ῥητορικῆς, προσφωνητικὸν Γαλιηνῷ, πρὸς Κλεοπάτραν, περὶ τῶν κατ' Ἀλεξάνδρειαν ἱστοριῶν βιβλία ι', πρὸς τὰς φιλοσόφους αἱρέσεις, περὶ τῆς Ῥωμαίων ἀνανεώσεως, καὶ ἄλλα τινὰ ἐγκώμια καὶ λόγους. cf. v. Γενέθλιος et Ἰουλιανὸς Δόμνου.

καλλίνικος ὁ Ἡρακλῆς.

Καλλιόπη ὄνομα θεᾶς.

Καλλιόπιος ὄνομα κύριον.

καλλιπάρηος ἡ καλὰς παρειὰς ἔχουσα.

Κάλλιππος Ἀθηναῖος φιλόσοφος, Πλάτωνος μαθητής, ὃς ἐν Συρακούσαις ἀνῃρέθη τυραννεῖν ἐπιχειρήσας. πονηρὸς οὗτος ἱστόρηται παρὰ τῷ Πλουτάρχῳ, καὶ Δίωνος τοῦ Συρακουσίου προδότης.

Καλλιρόην κρήνην.

καλλίροον καλῶς ῥέοντα.

Καλλισθένης Δημοτίμου (οἱ δὲ Καλλισθένους) Ὀλύνθιος, μαθητὴς Ἀριστοτέλους καὶ ἀνεψιαδοῦς, ὃν ἔδωκεν ἕπεσθαι Ἀλεξάνδρῳ τῷ Μακεδόνι. ὃ δ' ἐν γαλεάγρᾳ σιδηρᾷ βαλὼν ἀνεῖλεν ἅμα Νεάρχῳ ⟨an Νεόφρονι⟩ τῷ τραγικῷ, διότι συνεβούλευε μὴ ἐπιζητεῖν ὑπὸ Ἀθηναίων καλεῖσθαι δεσπότης. τινὲς δὲ αὐτὸν ὡς ἐπιβουλεύοντα Ἀλεξάνδρῳ ἀνῃρῆσθαί

φασιν ἅμα Νεάρχῳ ⟨Νεόφρονι⟩. εὐφυὴς πρὸς τὸ αὐτοσχεδιάζειν καὶ ῥύμῃ πολλῇ φέρεσθαι. καὶ φέρεται λόγος ὡς ὁ Καλλισθένης ὑπὸ φθειρῶν ὑπερβλύσεως καὶ ἐκβράσεως τὸν βίον καταςρέφει. καὶ μαρτυρεῖ ὁ ἴαμβος οὗτος "καὶ φθειριῶσαν ὡς ὁ πρὶν Καλλισθένης," περὶ τῆς ἰατρικῆς τέχνης λέγων, ὡς ἠμέλητο πάνυ.

καλλιςεῖα· ⟨AP 6 292⟩ "τοιγὰρ τῷ κρίναντι τὰ καλλιςεῖα Πριάπῳ νεβρίδα καὶ χρυσέην τήνδ' ἔθετο προχόην."

καλλίσφυρος ⟨Hom. ε 333⟩ ἡ καλοὺς πόδας ἔχουσα.

Καλλιφάνης ὁ Παραβρύκοντος, ἐπὶ τῶν προσποιȣμένων πολυμάθειαν. ȣ̔͂τος γὰρ ἀρχὰς ποιημάτων πολλῶν καὶ λόγων συγγεγραμμένων ἄχρι τριῶν ἢ τεσσάρων στίχων ἀπαγγέλλων πολυμαθείας δόξαν προσεποιεῖτο. Athen. p. 4 C.

κάλλος συμμετρία τῶν ἀνομοιομερῶν ἐν ἡμῖν μερῶν, προσώπȣ τραχήλȣ χειρῶν, τῶν ἄλλων μερῶν, ἃ ὕςερά ἐςι τῶν πρώτων δυνάμεων. τῷ δὲ αὐτῷ λόγῳ δεικνύοιτο ἂν ἡ ἰσχὺς αἱρετωτέρα τοῦ κάλλους. πρῶτα γὰρ τὰ ὁμοιομερῆ ἐν ἡμῖν, ἐν οἷς ἡ ἰσχύς, τῶν ἀνομοιομερῶν, ἐν οἷς τὸ κάλλος. ἕκαςον γὰρ τῶν ἀνομοιομερῶν ἐκ τῶν ὁμοιομερῶν σύγκειται, οἷον τὸ πρόσωπον ἐξ ὀςῶν καὶ νεύρων καὶ σαρκῶν. διὸ καὶ συναναιρεῖται μὲν ἀναιρȣμένων, οὐ συναναιρεῖ δὲ ἀναιρούμενον. Alex. Aphrod. in Top. p. 124.

κάλλυντρα κόσμητρα· "ἀντὶ δὲ τοῦ δόρατος κάλλυντρον φέρων, καὶ κόσκινον ἀντὶ τῆς ἀσπίδος καὶ κόφινον ἀντὶ κράνους, ἐπὶ ὄνου καθήμενος."

καλλύνων· "χθὲς μὲν καὶ πρώην δεδρακότες τοῦ καπηλείου καὶ τοῦ τὰ βάθρα καλλύνειν καὶ τοὔδαφος κορεῖν" ⟨cf. v. Ῥουφῖνος⟩.

καλλωπίζομαι δοτικῇ.

καλλώπισμα.

καλοί· Ἀριςοφάνης ⟨Ach. 144⟩ "ἐν τοῖσι τοίχοις ἔγραφον Ἀθηναῖοι καλοί." ἴδιον ἐραςῶν ἦν τὸ τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις ἢ δένδροις ἢ φύλλοις δένδρων, οὕτως "ὁ δεῖνα καλός."

καλοκαγαθία ἀγαθότης.

καλὸν τὸ τελέως σύμμετρον. Diog. L. 100.

καλὸν πρᾶγμα καλεῖ, ὅτι πρὸς τὴν ἑαυτοῦ χρείαν συμμέτρως ἔχει ⟨Diog. L. 7 99⟩. εἴδη δὲ τοῦ καλοῦ δ', δίκαιον ἀνδρεῖον κόσμιον ἐπιςημονικόν· ἐν γὰρ τοῖσδε τὰς καλὰς πράξεις συντελεῖσθαι. ἀνάλογον δὲ καὶ τοῦ αἰσχροῦ εἴδη δ', ἄδικον δειλὸν ἄκοσμον ἄφρον. λέγεται καλὸν τὸ ἐπαινετοὺς παρεχόμενον τοὺς ἔχοντας ἀγαθὸν ἐπαίνου ἄξιον· ἑτέρως τὸ εὖ πεφυκέναι πρὸς τὸ ἴδιον ἔργον, καὶ τὸ ἐπικοσμοῦν, ὅταν λέγωμεν μόνον τὸν σοφὸν ἀγαθὸν καὶ καλὸν εἶναι. λέγουσι δὲ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι, εἶναι δὲ τȣ͂το ἀρετὴν καὶ τὸ μετέχον ἀρετῆς. ὅπερ ἐστὶν ἴσον τῷ πᾶν ἀγαθὸν καλὸν εἶναι, καὶ τῷ ἰσοδυναμεῖν τὸ καλὸν τῷ ἀγαθῷ. δοκεῖ δὲ πάντα τὰ ἀγαθὰ ἴσα εἶναι, καὶ πᾶν ἀγαθὸν ἐπ' ἄκρον αἱρετόν, καὶ μήτε ἄνεσιν μήτε ἐπίτασιν ἐπιδέχεσθαι ⟨Diog. L. 7 100⟩. καλὸν δέ ἐςι καὶ τὸ δι' ὄψεως ἢ δι' ἀκοῆς ἡδύ.

κᾶλον τὸ ξύλον. τὸν κάλω δὲ ἀττικῶς.

καλοπόδιον σκυτικὸν ἐργαλεῖον.

καλόπους ἀπὸ μέρους καλή.

καλὸς κἀγαθός λέγεται κατὰ συναλοιφήν, οὐχὶ καλὸς καὶ ἀγαθός. καὶ καλὸς ὁ ἐρώμενος· ⟨cf. Μέλητος c⟩ "καὶ ἦν τῷ μὲν ἐραςῇ Μέλητος ὄνομα, τῷ καλῷ δὲ Τιμαγόρας." τὸ μὲν καλός ἐπὶ τῆς ἐν σώματι ὥρας, τὸ δὲ ἀγαθός ἐπὶ τῆς ἐν ψυχῇ.

καλούμεθ' αὐτάς ⟨A Eccl. 892⟩ ἀντὶ τȣ͂ εἰς δικαςήριον ἄξομεν.

καλούμενός τε καὶ ἄκλητος ὁ θεὸς παρέξαι," χρησμὸς δοθεὶς Λακεδαιμονίοις. cf. v. ἄκλητος.

καλπάζειν τὸ ἁβρῶς βαδίζειν.

κάλπις ὑδρία.

Καλυδών Καλυδῶνος πόλις. καὶ Καλυδώνιος πορθμός.

κάλυκας ⟨Hom. Σ 401⟩ σύριγγας, ῥόδα κεκαλυμμένα.

κάλυμνος ὁ ἐν Αἰγύπτῳ σῖτος, ἀντὶ τȣ͂ Καλύμνιος· ὁ γὰρ Φιλάδελφος ἐκ Καλυδνῶν μετήγαγε τὸ σπέρμα. ὁ Ἀπολλόδωρός φησι λέγεσθαι Καλύδνας ὡς καλύβας.

κάλυξ ἄνθος ῥόδου μεμυκός.

καλύπτω αἰτιατικῇ.

Καλυψώ ὄνομα κύριον, ἡ μὴ ἁπλῆ, καλύπτȣσα δὲ τὸ διανοȣ́μενον· δολόεσσαν γὰρ λέγει αὐτὴν Ὅμηρος ⟨η 245⟩.

καλώδιον σχοινίον.

Καλώνδας ὄνομα κύριον. cf. vv. Ἄρατος Σολ. et Ἀρχίλοχος.

κάλως σχοινίον. καὶ παροιμία "πάντα κάλων κινεῖν." τροπικῶς ἀπὸ τοῦ ἰςῶ λέγει. ἁπλοῦν σε δεῖ τὰ ἄρμενα, τυτέςι πάντα κινεῖν ὑπὲρ τοῦ περιγενέσθαι αὐτοῦ. καὶ κάλως κάλω ἀττικῶς· Ἀριςοφάνης Βατράχοις ⟨121⟩ "μία μέν ἐςιν ἀπὸ κάλω καὶ θρανίυ," ἀπὸ εὐθείας τῆς κάλως.

a καλῶς ἀντὶ τῦ εὐσεβῶς καὶ φιλανθρώπως παρὰ Θουκυδίδῃ ⟨1 5⟩· "οἷς κόσμος καλῶς τοῦτο δρᾶν," τυτέςι τὸ λῃςεύειν. ὅτε γὰρ βοῦν ἀροτῆρα ἐλεηλάτουν ἢ ἔκλεπτον νυκτός, οὔτε μετὰ φόνων ἐποίουν τὴν λῃςείαν.

b καλῶς. τοῦτο ἐπὶ παραιτήσει καὶ ἀρνήσει χρῶνται· εἰρηκότος γὰρ τοῦ Διονύσου πρὸς Εὐριπίδην ⟨Ran. 914⟩ "ἐπίθες καὶ σὺ δὴ λιβανωτόν," ἐπήγαγε "καλῶς· ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοῖς." διὸ λέγει ὁ Διόνυσος "ἴδιοί τινές σοι, κόμμα καινόν;" "εἰ καὶ τὰ λοιπὰ προσέσχε καλῶς τε καὶ εὖ."

καλῶ σε αἰτιατικῇ.

κάμαξ χάραξ, ὀρθὸν ξύλον. λέγεται θηλυκῶς· "οἱ δὲ Πάρθοι ςρέφυσιν ὀπίσω τὺς ἵππους, περὶ τοῖς αὐτῶν αὐχέσι τὰς κάμακας ἑλίξαντες." καὶ αὖθις ⟨AP 6 125⟩ "μυρία, καὶ δολιχὰς δεξαμένη κάμακας." "οἱ δὲ βάρβαροι δρεπανηφόρῳ κάμακι τὸ σχοινίον, ᾧ εἴχετο ἡ ναῦς, διακόπτουσι." ζήτει καὶ ἐν τῷ χιλιοςύς.

Καμάρινα καὶ Γέλα πόλεις Σικελίας. καὶ Καμαριναῖος ὁ πολίτης.

Καμαρίνοι ὄνομα ἔθνους.

Καμασσηνός ἐθνικόν.

καματηρούς κεκοπιακότας· ⟨Arrian. Anab. 5 16 2⟩ "μή πως καματηρὺς καὶ πνευςιῶντας ἀκμῆσι παραδῷ τοῖς βαρβάροις."

Κάμεια ὄνομα πόλεως.

Καμειραία ἰσχάς· Βάβριος ⟨108 24⟩ "μικρὸν δ' ἐπισχών, εἶτ' ἔσωθεν ἐκκύψας ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίας." ὅτι Ἀναξανδρίδης ὁ Ῥόδιος ἐκ Καμείρου ἦν.

καμηλαύχιον. Ῥωμαίων ἡ λέξις, ῥηθείη δ' ἂν καὶ ἑλληνιςὶ παρὰ τὸ τὸ καῦμα ἐλαύνειν.

κάμηλος τὸ ζῷον· Ἀριςοφάνης ⟨Av. 280⟩ "πῶς ἄνευ καμήλου Μῆδος ὢν ἐσέπτατο;" ἐπεὶ διὰ καμήλων ἦλθον οἱ Μῆδοι εἰς τὴν Ἑλλάδα. καὶ καμηλίτης βοῦς οὕτω καλύμενος. κάμιλος δὲ τὸ παχὺ σχοινίον. sch. A Vesp. 1030.

Κάμιλλος ὄνομα κύριον, ὁ Ῥωμαίων ςρατηγός. ζήτει ἐν τῷ Ἀχίλλειος εὐχή.

κάμινος.

Κάμιρος ὄνομα κύριον. καὶ ὄνομα πόλεως.

καμμονίη ⟨Hom. X 257⟩ ἡ ἐκ μονομεροῦς νίκη.

κάμμορος ὁ ταλαίπωρος.

κάμνειν ἐπὶ τοῦ ποιεῖν καὶ ἐργάζεσθαι, καὶ ἐπὶ τοῦ νοσεῖν. λέγεται καὶ ἐπὶ τῶν ἀποθανόντων· ⟨Hom. λ 476⟩ "εἴδωλα καμόντων." προσλαβὸν δὲ τὴν ἀπὸ πρόθεσιν σημαίνει τὸ ἀπειπεῖν καὶ ἀπαγορεῦσαι καὶ ἀπογνῶναι, οἷον "ἀπέκαμον νουθετῶν, κάμνω παραινῶν."

καμόντων τῶν νεκρῶν· ⟨AP 7 68⟩ "εἰ καί σοι βέβριθεν ὑπ' εἰδώλοισι καμόντων ὁλκάς."

Καμπανία χώρα.

κάμπη.

καμπιδήκτωρ.

κάμπιος δρόμος. δρόμοι τινὲς ἦσαν κάμπιοι, οὐκ εὐθεῖς καὶ ἁπλοῖ ἀλλὰ καμπὰς ἔχοντες. sch. A Pac. 904.

κάμπτω· "ᾠδὰς ἔκαμπτεν, ὁπόσας ὁ Νέρων ἐλύγιζέ τε καὶ ἔςρεφε" ⟨Philostrat. V. A. 4 39⟩.

κάμπτω σε αἰτιατικῇ, ἀντὶ τοῦ μαλακίζω τὴν ψυχήν σου.

καμπύλα τόξα Ὅμηρος ⟨Φ 502⟩. συνέμιξε τὸν κατὰ τῦ τόξου λόγον τῷ κατὰ τῶν βελῶν· καμπύλα μὲν γὰρ τὰ τόξα, τουτέςιν ἐπικαμπῆ, πεπτεῶτα δὲ ἄλλυδις ἄλλῃ τὰ βέλη, ὡς χοῖνιξ τὸ μέτρον καὶ τὸ μετρούμενον, καὶ κοτύλη ὁμοίως.

καμπυλιάζειν κάμπτειν καὶ ςρέφειν.

καναςραῖα κοῖλά τινα ἀγγεῖα.

καναχηδὸν μετὰ κτύπου.

Κανδάκη ἡ τῶν Αἰθιόπων βασίλισσα. καὶ ζήτει ἐν τῇ Ἀλεξάνδρου ἱςορίᾳ.

κανδήλα παρὰ τὸ καίειν δῆλα.

κάνδυλος βρῶμα διὰ μέλιτος καὶ γάλακτος σκευαζόμενον, ὡς καὶ ἀβυρτάκη ἐρίκων ⟨an Περσικὸν⟩ βρῶμα. καὶ ζήτει ἐν τῷ ἀκρόδρυα.

κάνδυς χιτὼν Περσικός· "ἀποδύσαντες δὲ τὸν κάνδυν, καὶ τὰς ἀναξυρίδας ἐξελκύσαντες, καὶ τὸν πῖλον ἀφελόντες."

κάνεον τὸ κανίσκιον. καὶ κάνειον ὁμοίως.

κάνης ὁ ψίαθος. καὶ κλίνεται κάνητος.

κανηφόροι. Φιλόχορός φησιν ὡς Ἐριχθονίου βασιλεύοντος πρῶτον κατέστησαν αἱ ἐν ἀξιώματι παρθένοι φέρειν τὰ κανᾶ τῇ θεῷ, ἐφ' οἷς ἐπέκειτο τὰ πρὸς τὴν θυσίαν, τοῖς τε παναθηναίοις καὶ ταῖς ἄλλαις πομπαῖς.

Κάνθαρος Ἀθηναῖος κωμικός. μνημονεύεται τούτου δράματα Μήδεια, Τηρεύς, Συμμαχίαι, Μύρμηκες, Ἀηδόνες.

κάνθαρος παρὰ τὸν κάνθωνα, τουτέστι τὸν ὄνον, καὶ παρὰ τὸν ὀρόν, τουτέστι τὸ σπέρμα. φασὶ γὰρ ὅτι ὁ κάνθαρος οὕτω τίκτεται· ἐπὰν εὕρῃ ὄνου κόπρον στρογγύλην, μένει κυλίων τοῖς ποσὶ καὶ ἐν τῷ κυλίειν ἀποσπερμαίνει, καὶ ἐκ τούτου ὁ κάνθαρος τὸ ζῷον γίνεται. ὅθεν καὶ τὴν ὀνομασίαν ἔχει παρὰ τὸν κάνθωνα καὶ τὸν ὀρόν, τουτέστι τὸ σπέρμα, κάνθωρός τις ὤν. ἢ παρὰ τὸν θορόν, ὃ δηλοῖ τὸ σπέρμα. ἢ ὁ θορὼν περὶ τὸν κάνθωνα, ἀντὶ τοῦ περὶ τὴν κόπρον τοῦ ὄνου. ἢ ἐκ τοῦ κάνθωνος ὀρούων· κάνθων δὲ κυρίως ὁ ὄνος. κάνθαρος δὲ τὸ ζῷον, καὶ ὄνομα λιμένος ἐν Ἀθήναις, καὶ εἶδος ποτηρίου. sch. A Pac. 81.

ὅτι κάνθαρος θῆλυς οὐ γίνεται, ἀλλὰ πάντες ἄρσενες γεννῶνται. ib. 7.

κανθάρου μελάντερος, παροιμία· Μένανδρος Θησαυρῷ. καὶ κανθάρου σοφώτερος, ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.

Κανθήλη πόλις.

κανθήλιος βραδὺς νοῆσαι, ἢ ἀφυής, ἢ ὄνος μέγας. Ξενοφῶν λέγει (Cyr. 7 5 11) ὅτι ἐν Βαβυλῶνι οἱ φοίνικες οὐ μεῖον ἢ πλεθριαῖοι τὸ μέγεθος γίνονται· οἳ δὴ πιεζόμενοι ὑπὸ βάρους ἄνω κυρτοῦνται ὥσπερ ὄνοι κανθήλιοι. καὶ Πολύβιος "ἐν γὰρ τοῖς ἐπιδεδεμένοις φορτίοις τὰ κανθήλια λαβόντας ἐκ τῶν ὄπισθεν, προσθέσθαι πρὸ αὐτῶν ἐκέλευσε τοὺς πεζούς· οὗ γενομένου συνέβη παρὰ πάντας χάρακας ἀσφαλέστατον γενήσεσθαι τὸ πρόβλημα."

κάνθων ὄνος.

καννάβη.

κάνναις καὶ καλάμοις χρῶνται οἱ Νομάδες εἰς τὴν σκηνοποιίαν.

κανόνιον. οὕτω καλεῖται ἡ οἱαδήποτε πραγματεία, κἂν πλειόνων τυγχάνῃ πτυχίων ἢ στίχων ἢ παγινῶν. στίχον δὲ τὸν κατὰ τὸ κοινὸν ἔθος ὀνομαζόμενον, ἀπὸ ἀριστερῶν ἐπὶ δεξιὰ ἀναγινωσκόμενον. σελίδιον δὲ τὸ ἀπὸ τῶν ἄνωθεν ἀναγινωσκόμενον ἐπὶ τὰ κάτω.

κανονὶς ἐργαλεῖον καλλιγραφικόν· ἐν ἐπιγράμμασι (AP 6 62) "καὶ κανονῖδ' ὑπάτην."

κανοῦν κανίσκιον. παρὰ τὴν τῶν Διονυσίων ἑορτὴν Ἀθήνησιν αἱ εὐγενίδες ἐκανηφόρουν. ἦν δὲ ἐκ χρυσοῦ πεποιημένα τὰ κανᾶ, ἐφ' ὧν τὰς ἀπαρχὰς πάντων ἐτίθεσαν (sch. A Ach. 241). κανοῦν δὲ ἀπὸ τοῦ καίνειν· ἐν τῷ κανῷ γὰρ ἐκρύπτετο ἡ μάχαιρα καὶ ταῖς ὀλαῖς καὶ τοῖς στέμμασι (sch. A Pac. 948).

κανοῦν δ' ἔχοντε καὶ χύτραν καὶ μυρρίνας πλανώμεθα ζητοῦντες τόπον ἀπράγμονα" (A Av. 43). τὰ πρὸς θυσίαν κομίζουσιν, ἵνα οἰκήσαντες ἐπὶ τῇ ἱδρύσει θύσωσι· χύτραις γὰρ ἵδρυον. οἱ δέ φασιν ὅτι ἀμυντήρια τῶν ὀρνέων ἐβάσταζον, ἀντὶ ὅπλου μὲν κανοῦν, ἀντὶ δὲ περικεφαλαίας χύτραν, ἵνα μὴ ἐφιπτάμενα τὰ ὄρνεα τύπτῃ αὐτούς, τὰς δὲ μυρρίνας πρὸς τὸ ἀποσοβεῖν.

κἂν τι σφαλῇτ' ἐξ ἀξίου γοῦν" Ἀριστοφάνης (Ran. 744). ζήτει ἐν τῷ ἀπὸ καλοῦ ξύλου.

Κάνωβος ὄνομα κύριον. καὶ ὄνομα πόλεως.

ὅτι ὁ ἑκατὸν σταδίους ἀπέχων Κανώβου καὶ ὁ ἕνα ἐπ' ἴσης οὐκ εἰσὶν ἐν Κανώβῳ· οὕτω καὶ πλέον καὶ ἔλαττον ἁμάρτημα ἐπ' ἴσης οὐκ εἰσὶν ἐν τῷ κατορθοῦν. ζήτει σαφέστερον ἐν τῷ ἀμπλάκημα.

Κάνωπος ὁ ἐν Αἰγύπτῳ. "ποτέ, ὡς λόγος, Χαλδαῖοι τὸν ἴδιον θεόν, ὅπερ ἐστὶ τὸ πῦρ, ἀποσεμνύνοντες πανταχοῦ περιέφερον, ὥστε τοῖς θεοῖς πασῶν τῶν ἐπαρχιῶν συμβεβληκέναι, καὶ τὸν νικῶντα ἐκεῖνον παρὰ πάντων νομίζεσθαι θεόν. τῶν μὲν οὖν ἄλλων ἐπαρχιῶν οἱ θεοὶ ἀπὸ χαλκοῦ ἢ ἀργύρου ἢ ξύλου ἢ λίθου ἢ ἄλλης τοιαύτης ὕλης ἐτύγχανον ἱδρυμένοι, ἡ δὲ τοιαύτη ὕλη εὐχερῶς ὑπὸ τοῦ πυρὸς διεφθείρετο, ὥστε πανταχοῦ τὸ πῦρ ἀναγκαίως νικᾶν. τοῦτο ἀκούσας ὁ ἱερεὺς τοῦ Κανώπου πανοῦργόν τι τοιοῦτον ἐνεθυμήθη. ὑδρίαι ἐν τοῖς μέρεσι τῆς Αἰγύπτου εἰώθασι γίνεσθαι ὀστράκιναι, τρήσεις ἔχουσαι λεπτὰς συνεχεῖς, ὥστε διὰ τῶν τρήσεων ἐκείνων τὸ τεθολωμένον ὕδωρ διυλιζόμενον ἀποδίδοσθαι καθαρώτατον. ἐκ τούτων τῶν ὑδριῶν μίαν λαβὼν ὁ τοῦ Κανώπου ἱερεὺς καὶ τὰς τρήσεις ἐκείνας ἀποφράξας κηρῷ, καὶ διαφόροις ζωγραφήσας χρώμασι, πληρώσας ὕδατος ἔστησεν ὡς θεόν· καὶ ἀποτεμὼν παλαιοῦ ἀγάλματος τὴν κεφαλήν, ὅπερ

ἐλέγετο Μενελάου τινὸς κυβερνήτου γεγενῆσθαι, ἐπιμελῶς ἐπιθεὶς ἥρμοσεν αὐτὴν τῷ ἀγάλματι. παρεγένοντο μετὰ ταῦτα οἱ Χαλδαῖοι, ἀνήφθη τὸ πῦρ, καὶ ὁ κηρὸς δι' οὗ αἱ τρήσεις ἐτύγχανον πεφραγμέναι διελύετο, τῆς δὲ ὑδρίας ἱδρώσης καὶ τὸ ὕδωρ διὰ τῶν τρήσεων ἐκβαλλούσης ἐσβέννυτο τὸ πῦρ. ὕτω τε τῇ πανουργίᾳ τοῦ ἱερέως ὁ Κάνωπος τῶν Χαλδαίων νικητὴς ἀνεδείχθη, καὶ ἀπὸ τότε λοιπὸν ὡς θεὸς ἐτιμᾶτο" ⟨Rufinus h. eccl. 11 26⟩.

κὰξ αὐτοῦ.

καπανῆται.

Καπετωλεῖον τὸ ἱερόν, Καπιτώλιον δέ.

κάπηθεν καὶ καπίςριον.

καπηλείας ἐμπορίας. καὶ καπηλεῖον.

καπηλεύω αἰτιατικῇ.

καπηλικῶς ἀντὶ τοῦ πανουργικῶς, ἐπεὶ οἱ κάπηλοι ὀνθυλεύουσι τὸν οἶνον, συμμιγνύντες αὐτῷ σαπρόν. sch. A Plut. 1064.

καπηλίς παρὰ τὸ κακύνειν τὸν πηλόν· πηλὸς δὲ ὁ οἶνος, ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπελος οὖσα, ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. sch. A Plut. 435.

a κάπηλος μεταβολεύς, πραγματευτής· ⟨A Pac. 451⟩ "κάπηλος ἀσπίδων." ὁ μετάβολος παντὸς πράγματος.

b κάπηλος. ⟨τὸν πηλὸν⟩ ἐν ἀνθ' ἑνός τινες οἴονται εἶναι οἶνον, ἐκ τοῦ παρὰ Σοφοκλεῖ... εὐεπίφορος ἐς τὸν πηλόν· ὁ μέντοι οἶνος οὐκ ἔςι πηλός. πόθεν δὲ ἐν τῷ καπήλῳ ὁ οἶνος ἐγγίνεται; καὶ γὰρ ἕτερόν ἐςιν οἰνοπώλης καὶ ἕτερον κάπηλος· καθόλυ γὰρ τὺς πωλοῦντάς τι καπήλους ἔλεγον. ἔςι δὲ καὶ παρὰ Σώφρονι ἐν ταῖς Ἀκεςρίαις. ὁ δὲ Αἰσχύλος τὰ δόλια πάντα κάπηλα καλεῖ· "κάπηλα προφέρων τεχνήματα." cf. Etym. M.

καπήρια εἶδος πλακοῦντος, τὰ παρ' ἡμῖν καπύρια.

κἀπιδώσειν μοι δοκεῖ τὸ χρῆμα μᾶλλον" ⟨A Lys. 660⟩, ἀντὶ τοῦ προσθήκην σχήσειν.

καπίςριον ἡ τοῦ ἵππου φορβειά· κάπουτ γὰρ ῥωμαϊκῶς ἡ κεφαλή, καὶ ἐξ αὐτῦ καπίςριον.

Καπιτώλιον. ὁ Ῥωμύλος μετὰ τὸ κτίσαι τὸ Παλάτιον ἔκτισε καὶ τὸ Καπιτώλιον, ὃ ἔςι κεφαλὴ τῆς πόλεως· ἐν ᾧ καὶ τὸ παλλάδιον ἀπέθετο λαβὼν ἀπὸ τῆς πόλεως Σίλβης. Σατούρνιον δὲ πρότερον ἐκαλεῖτο, ὕςερον δὲ Καπιτώλιον ἐκ τῆς φανείσης ὀρυττομένων τῶν θεμελίων ἐν τῇ γῇ κεφαλῆς σώματος νεοσφαγοῦς.

Καπίτων Λύκιος ἱςορικός. οὗτος ἔγραψεν Ἰσαυρικά, βιβλία η', μετάφρασιν τῆς ἐπιτομῆς Εὐτροπίυ ῥωμαϊςὶ ἐπιτεμόντος Λίβιον τὸν Ῥωμαῖον, καὶ περὶ Λυκίας καὶ Παμφυλίας.

κάπνη ἡ καπνοδόχη· Ἀριςοφάνης ⟨Vesp. 143⟩ "τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;"

καπνίας οἶνος ὃς γίνεται ἐν Βενεβεντῷ τῆς Ἰταλίας. καὶ καπνία ἄμπελος ἡ μέλαινα. sch. A Vesp. 151.

καπνίας ποιητής ὁ μηδὲν λαμπρὸν γράφων.

καπνοῦ σκιά ἐπὶ τῶν λίαν ἰσχνῶν· "κοὐκ οἶδ' ἐναίρων νεκρὸν ἢ καπνοῦ σκιάν, εἴδωλον ἄλλως· οὐ γὰρ ἂν σθένοντά γε εἷλέν με" ⟨S Phil. 946⟩. λέγεται ὁ καπνὸς καὶ ἀμενηνός. καὶ παροιμία "καπνὸν εἶναι ἡγούμην" ἐπὶ τῶν οὐδαμινῶν καὶ οὐδενὸς ἀξίων.

κάππα διπλοῦν ἀντὶ τοῦ κακά. τρία κάππα κάκιςα, Καππαδοκία Κρήτη καὶ Κιλικία.

Καππάδοξ. μόνον τῶν εἰς ωξ διὰ τῦ ο μικροῦ. λέγεται δὲ καὶ Καππαδόκης ἡ εὐθεῖα. καὶ Καππαδόκιον τέρας.

κάππαρις εἶδος βοτάνης, ἧς ὁ καρπὸς ἰατροῖς δοκεῖ εἶναι ὀνήσιμος. ὁ δὲ Ζήνων ὁ Κιτιεὺς ὤμνυε κάππαριν, καθάπερ Σωκράτης τὸν κύνα ⟨Diog. L. 7 42⟩. κάππαρις παρὰ τὸ ἐκ τοῦ κάμπου αἱρεσθαι.

καπρίαι αἱ ἐντὸς τῶν πτερυγωμάτων τῆς φύσεως τῶν καμήλων ἐπανεςῶσαι σάρκες, ἃς τέμνουσιν ὁπόταν εἰς πόλεμον ἐξίωσιν· οὐκέτι γὰρ συνουσιάζουσι.

κάπρος τὸ αἰδοῖον τοῦ ἀνδρός.

κάπρος Ἐρυμάνθιος. cf. v. Δρύοπες.

καπρῶντας ὁρμητικῶς ἔχοντας πρὸς συνουσίαν.

Καπύη ὄνομα πόλεως μεγίςης· "ἡ δὲ Καπύη μεταθεμένη πρὸς τοὺς Καρχηδονίυς τῷ βάρει συνεπεσπάσατο καὶ τὰς ἄλλας πόλεις."

Κάρ· Ἀριςοφάνης ⟨Av. 769⟩ "εἰ δὲ δοῦλός ἐςι καὶ Κὰρ ὥσπερ Ἐξηκεςίδης, φυσάτω πάππυς παρ' ἡμῖν, καὶ φανῦνται φράτορες."

καραδοκεῖ προσδοκᾷ, κατασκοπεῖ, παρὰ τὸ τῇ κάρᾳ δοκεύειν ἤγυν ἐμβλέπειν καὶ ἐπιτηρεῖν καὶ ἐλπίζειν, ἢ τὸ τῇ κεφαλῇ προβλε-

πων ἐκδεχόμενον. μήποτε δὲ τὸ κέαρ ἔγκειται. τὸ γὰρ καρηβαρεῖν ἤτοι καταβαρεῖσθαι τὴν κεφαλὴν ἢ παραβάλλειν αὐτὴν ἀπὸ μέθης. τινὲς δὲ ὅτι σύνθετόν ἐςι τὸ κάτω κάρα ἐπιφέρειν τὸ καραδοκεῖν, παρατίθενται Δίφιλον λέγοντα "τὴν νύκτ' ἐκείνην διεκαραδοκήσαμεν."

χαραδοκήσοντα· Ἡρόδοτος ⟨7 163⟩ "ὁ δὲ πέμπει εἰς Δελφοὺς Κάδμον καραδοκήσοντα τὴν μάχην ᾗ πεσεῖται."

Κάραμβις τόπος τις.

Κάρανος εἷς τῶν Ἡρακλειδῶν ςρατολογήσας ἐκ τῆς Ἑλλάδος ἦλθεν εἰς Μακεδονίαν ἄδοξον οὖσαν τότε, καὶ ἐβασίλευσε, καὶ διαδοχῇ κέχρηται μέχρι Φιλίππου. Ἀμύντας δὲ ὁ Φιλίππου πατὴρ Εὐρυδίκην Ἰλλυρίδα γήμας ἔσχε παῖδας Ἀλέξανδρον Περδίκκαν Φίλιππον, οὓς ἔνιοι καὶ ὑποβεβλῆσθαι τὴν Εὐρυδίκην φασί, πολεμήσας δὲ Θηβαίοις ὅμηρον ἔδωκε νέον ὄντα τὸν Φίλιππον· οὗ γενέσθαι Θηβαῖόν τινα Παμμένην ὄνομα ἐραςήν, ὥς φασίν. Ἀμύντου δὲ τελευτήσαντος Πανσανίας, φυγαδευθεὶς ὑπ' αὐτοῦ πρότερον, κατελθὼν ἐβιάσατο τὰς παῖδας καὶ κατέσχε τὴν ἀρχήν· Εὐρυδίκη δὲ Ἀθηναίων ςρατηγῷ διατρίβοντι περὶ τὴν Μακεδονίαν χρησαμένη συμμάχῳ τὸν Πανσανίαν ἐκβάλλει. ἕως μὲν οὖν ἦρχον οἱ πρεσβύτεροι, οὐδὲν ἐνεωτερίζετο· Φίλιππος δέ, ἄρξας β' καὶ κ' ἔτη γεγονώς, πολλοὺς κατεςρέφετο βαρβάρους τε καὶ Ἕλληνας, ἔλαβε δὲ καὶ Ἀθηναίων Ἀμφίπολιν, καὶ Θετταλίαν ὑφ' ἑαυτῷ ἐποιήσατο καὶ τὰς Χαλκιδικὰς πόλεις β' καὶ λ', ὧν ἐπρώτευον Ὀλύνθιοι, οἷς Ποτίδαιαν ἀφελόμενος Ἀθηναίων ἐδωρήσατο, ἀπατῶν αὐτές. ὅμως δὲ βοηθοὺς ἔπεμψαν Ἀθηναῖοι ναῦς μ' καὶ Χάρητα ςρατηγόν· οὗ χειμῶνι ἀποληφθέντος, προδόντων δὲ τὴν Ὄλυνθον Εὐθυκράτους καὶ Λασθένους, τὴν μὲν ἀνάςατον ἐποίησε, τὰς δὲ ἄλλας πόλεις εἷλεν· Ἀθηναῖοι δὲ τὲς περισωθέντας πολίτας ἐποιήσαντο. Μεθωναίοις δὲ τοῖς ἐπὶ Θράκης πολεμῶν τὸν ὀφθαλμὸν ἐπηρώθη, Ἀςέρος τινὸς ὄνομα βαλόντος αὐτὸν βέλει, ἐπιγράψαντός τε τῷ βέλει "Ἀςὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος." πρὸς ὃν ἀντιγράψας ἔπεμψε βέλος ὁ Φίλιππος "Ἀςέρα Φίλιππος ἢν λάβῃ, κρεμήσεται." καὶ ὑποσχόμενος εἰρήνην ἐξήτησε καὶ λαβὼν ἐκρέμασεν. εἷλε δὲ καὶ Κερσοβλέπτην Θρακῶν βασιλέα καὶ φίλον Ἀθηναίων, καὶ Ἀλόνησον ἔλαβε καὶ ἄλλας πόλεις, μεθ' ἃς ὁ πόλεμος ὁ Φωκικὸς συνέςη.

καρανούσθω τελειούσθω.

καρατομεῖται ἀποκεφαλίζεται.

καρβάσιναι εἶδος ὑποδήματος· ⟨X Anab. 4 5 14⟩ "ἐπειδὴ ἐπέλειπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάσινα εἶχον ἐκ τῶν νεοδάρτων βοῶν."

κάρβων κάρβωνος.

κάρδαμα. ἐπισχετικὰ οὔρων τὰ κάρδαμα καὶ πτύσματος, καὶ διὰ τοῦτό φασι τοὺς Πέρσας χρῆσθαι· φυλάττονται γὰρ πολλὰ πτύειν καὶ οὐρεῖν καὶ ἀπομύττεσθαι. sch. A Thesm. 616.

καρδαμίς εἶδος λαχάνου.

Καρδία πόλις Θράκης, καὶ Καρδιανοί οἱ πολῖται. καὶ ὄνομα πελάγους.

καρδία. ὅτι τὰ ἔνυδρα καρδίαν οὐκ ἔχει, οὐδὲ πνεύμονα. ὅσα δὲ πνεύμονα ἔχει, τῇ τραχείᾳ ἀρτηρίᾳ καταψύχεται τὸ ἐντὸς θερμόν, δι' αὐτῆς εἰσιόντος τοῦ ἀέρος. οἱ δὲ ἰχθύες διὰ τῶν βραγχίων καταψύχουσι τὸ ἐντὸς θερμόν, συςέλλοντες αὐτὰ καὶ εἰσδεχόμενοι τὸ ὕδωρ, ὥςε ἃ δέονται πνεύμονος. καὶ ἄλλως οὐδὲ πάνυ δέονται τὰ ἔνυδρα τὸ εἰσιέναι ἔξωθεν τὸ ὑγρὸν ἵνα ἐμψύξῃ· τὸ γὰρ ὕδωρ αὐτοῖς περικείμενον αὐτῇ τῇ ἀφῇ τὴν ἔμψυξιν ἐργάζεται. ἡ καρδία δὲ πρώτως τῆς ἐμψύξεως δεῖται· πηγὴ γάρ ἐςι τοῦ ἐμφύτου θερμοῦ τοῖς ζῴοις ἡ καρδία· διὰ δὲ αὐτὴν καὶ ὁ πνεύμων. διὰ μὲν οὖν τῆς εἰσπνοῆς ἐμψύχεται ἡ καρδία, διὰ δὲ τῆς ἐκπνοῆς τὰ λιγνυώδη περιττώματα ἀποκρίνεται. ἐπὶ πολὺ δὲ ἀπνευςὶ οὐ δυνάμεθα διαλέγεσθαι διὰ τὸ δαπανᾶσθαι τὸ πνεῦμα τὸ ἐν τῷ θώρακι. δεόμεθα οὖν πρότερον εἰσπνεῦσαι ἄλλο εἰς χορηγίαν τῆς φωνῆς. ἅμα δὲ εἰσπνεῖν τε καὶ διαλέγεσθαι ἀδύνατον, ἐπεὶ μηδὲ εἰσπνεῖν τε καὶ ἐκπνεῖν· ἐναντία γάρ. διὰ τοῦτο καὶ οἱ τραγῳδοὶ ἐκτείνειν μέλλοντες τὰ μέλη, πολὺ πρότερον εἰσπνέουσι πνεῦμα, καὶ οὕτως ἄρχονται φωνεῖν, ἵνα ἐξαρκέσῃ αὐτοῖς πρὸς τὴν ἐκπνοήν.

ὅτι οἱ παλαιοὶ τὸν ςόμαχον καρδίαν ἐκάλουν, ἔνθεν καὶ καρδιωγμός. sch. Thuc. 2 49: cf. v. ςόμαχος.

ὅτι καρδία τῆς ἀρετῆς ἐςὶν ἡ ἐλεημοσύνη.

καρδιαλγίαι λῦπαι καρδίας.

καρδιουλκία τὸ τὰς καρδίας ἕλκειν τῶν θυμάτων.

καρδιοφύλαξ παρὰ Ῥωμαίοις χάλκωμα σπιθαμιαῖον πάντη πάντως, ὃ προσετίθεντο πρὸ τῶν ϛέρνων. οἱ δὲ ἀντὶ τούτου ἁλυσειδωτοὺς θώρακας περιετίθεντο περὶ τοὺς χιτῶνας. Polyb. 6 23.

καρδιωσάμενος. τῶν θυομένων τοῖς θεοῖς ἱερείων ἀφῃροῦντο τὰς καρδίας, κἂν ὅλα τὰ ἱερεῖα ἔμελλον ὁλοκαυτοῦν, καὶ τῇ καλουμένῃ πιμελῇ καλύψαντες οὕτως ἐπετίθεσαν τῷ πυρί. καὶ τοῦτό ἐϛι τὸ καρδιωσάμενος.

καρδιώττειν τὴν καρδίαν ἀλγεῖν, Σικελιῶται· ὃ ἡμεῖς βουλιμιᾶν. Ἀπολλόδωρος ἐν ἕκτῳ περὶ Ἐπιχάρμου τοὺς Σικελιώτας φησὶ τὸ τὸν ϛόμαχον ἐπιδάκνεσθαι ὑπὸ λιμοῦ καρδιώττειν λέγειν, ὅπερ βουλιμιᾶν λέγει Ξενοφῶν ⟨Anab. 4 5 7⟩. καὶ εὐκάρδια πολλοὶ τὰ εὐϛόμαχα λέγȣσι. cf. v. βȣλιμιᾶν.

κάρδοπος ἡ μάκτρα τοῦ ἀλεύρου. μαγὶς ἐν ᾗ τοὺς ἄρτους ἔματτον, ἢ σκαφίδιον ἐν ᾧ ἀναμάττειν καὶ ἀναφυρᾶν ἔθος τὰ ἄλφιτα. θηλυκῶς ἡ κάρδοπος· Ἀριστοφάνης "τὴν κάρδοπον ἀρσενικῶς καλεῖς," ὥσπερ Κλεώνυμον ἀρσενικῶς καλοῦσί τινες· γυναικώδης γὰρ ἦν. sch. A Nub. 669.

Καρδοῦχοι ⟨X Anab. 4 2⟩ σφενδονῆται ἄριϛοι.

Κᾶρες ὄνομα ἔθνους.

Κάρεψ.

καρήατος ⟨Hom. ψ 44⟩ τῆς κεφαλῆς.

καρηβαρία ἡ μέθη.

καρηβαρῶν τὴν κεφαλὴν βαρούμενος ἀπὸ μέθης οἴνου.

κάρηνα ⟨Hom. B 117⟩ ἀκρόπολις.

κάρης κάρητος.

Καρθάγεννα.

Κάρθαια τόπος τις.

Καρία τόπος τις.

Καριαθιαρείμ ⟨Ioseph. A. I. 6 1 4⟩ τόπος. ἑβραϊκὴ δὲ ἡ λέξις.

Καρικῇ μούσῃ τῇ θρηνώδει· δοκοῦσι γὰρ οἱ Κᾶρες θρηνῳδοί τινες εἶναι καὶ ἀλλοτρίους νεκροὺς ἐπὶ μισθῷ θρηνεῖν. τινὲς δὲ ἐξήκουσαν τῇ βαρβάρῳ καὶ ἀσαφεῖ, ἐπειδὴ οἱ Κᾶρες βαρβαρόφωνοι ⟨Hom. B 767⟩. καὶ παροιμία "Καρικὸς αἶνος."

Καρικὸν θῦμα ἐπὶ τῶν ἄσαρκα ἢ ἄβρωτα μέλη θυόντων· οἱ γὰρ Κᾶρες κύνα θύουσιν.

Καρίνη γυνή.

Καρῖνος Κάρου τοῦ βασιλέως υἱός, γενόμενος ἐν ἐξουσίᾳ καὶ βουλήσεως κύριος, ἀνέδραμε τηλικοῦτον κακὸν ἐς τυραννίδα ὥϛε ἀπέδειξε χρυσὸν τὴν τραγῳδουμένην τυραννίδα· οὕτω καὶ τοὔνομα τοῖς ἔργοις μακρῷ παρῆλθε. παίδων μὲν γὰρ εὖ γεγονότων ὕβρεις διὰ τὸ σύνηθες οὐδὲ ὕβρεις ἐνομίσθησαν, ἀλλ' ἦν ἐγκύκλιον αὐτῷ καὶ πρόχειρον τοιαῦτα ἁμαρτάνειν. ὁ δὲ ἐγκλήματά τε ἀνέπλαττε καὶ ἐδίκαζε τοῖς ἀδικουμένοις, καὶ τῶν δικαζομένων οὐδεὶς ἐσώζετο, ὅπου γε πολλῆς οὔσης καὶ ἀδιηγήτου τῆς φθορᾶς παρανηλίσκοντό τινες τῶν εὐδαιμόνων, ὥσπερ ἐν κοινοῖς δείπνοις ἀλεκτορίδες, ἐς τὴν Καρίνȣ τρυφήν. μεμνῆσθαι δὲ τῶν κατακοπτομένων ἔφασκε τῶν μὲν ὡς οὐκ ἐπῄνεσαν αὐτοῦ τὸ κάλλος, τῶν δὲ ὅτι λέγοντα, ὅτε ἦν μειράκιον, ȣ̓κ ἐθαύμασαν ὡς ἐβȣ́λετο· ἀπώλλυντο δέ τινες καὶ γελάσαντες ἐναντίον αὐτοῦ ποτέ. καὶ πάντα ἦν αὐτȣ̃ βαρύτερα διοσημίας, καὶ ἐλύττα ἐν μέσοις τοῖς ὑπηκόοις. Eunap. p. 99 Nieb.

οὗτος ὁ Καρῖνος βασιλεύσας πρᾶγμα μὲν ἐς κοινὸν ὄφελος φέρον οὐδὲν εἰργάσατο, τρυφῇ δὲ καὶ ἐκδεδιῃτημένῳ βίῳ τὰ καθ' ἑαυτὸν παραδοὺς παρανάλωμα τῆς τρυφῆς ἐποιεῖτο φόνȣς ȣ̓δὲν ἠδικηκότων ἀνθρώπων, κατά τι προσκεκρουκέναι νομισθέντων αὐτῷ. βαρυνομένων δὲ πάντων ἐπὶ τῇ πικρᾷ τυραννίδι συναναμιχθείσῃ νεότητι, καὶ πάντα ἐκμελῶς καὶ δίχα λογισμȣ̃ πραττούσῃ... Io. Antioch. exc. Peir. p. 834.

καρκάδονα. τȣ̃το λέγεται Χάρωνος δάνειον, συναγόμενον ἐκ τοῦ ὀβολȣ̃ τοῦ συγκηδευομένȣ τοῖς τελευτῶσιν· οὐχ ὡς ἔνιοι πλανώμενοι βοτάνης ὄνομά φασιν εἶναι.

καρκαίρω ἠχῶ. ζήτει ἐν τῷ ψαμμοκοσιογάργαρα.

Λυσίας "ἐλυμαίνοντο γάρ μου τὸν καρκίνον εἰσφοιτῶσαι" φησίν "αἱ κύνες." καὶ ὅταν ὁ σῖτος ῥιζωθῇ κατὰ τῆς γῆς, κεκαρκινῶσθαι φασί· Φερεκράτης "ὁπόταν σχολάζῃς, νίψον, ἵνα τὰ λήια συγκαρκινωθῇ." λέγεται καρκίνος καὶ πάθος τι συμβαῖνον ἐν τοῖς σώμασιν, ὃ νῦν καρκίνωμα λέγεται. εὑρίσκεται δὲ πολλάκις καὶ κύριον ὄνομα. Harp.

Καρκίνος Ἀκραγαντῖνος τραγικός. καὶ Καρκίνος Θεοδέκτȣ ἢ Ξενοκλέȣς Ἀθηναῖος τραγικός. δράματα ἐδίδαξεν ρϛʹ, ἐνίκησε δὲ αʹ. ἤκμαζε κατὰ τὴν ρʹ ὀλυμπιάδα, πρὸ τῆς

Φιλίππου βασιλείας τοῦ Μακεδόνος. τῶν δραμάτων αὐτοῦ ἐςὶν Ἀχιλλεύς, Σεμέλη ἢ ἀρχή, ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφιςαῖς ⟨p. 559⟩.

b Καρκίνος ποιητὴς Ἀττικός. σκώπτει δέ τις Καρκίνου παῖδας οὕτως· ⟨A Pac. 785⟩ "ὄρτυγας οἰκογενεῖς, γυλιαύχενας ὀρχηςάς, ναννοφυεῖς, σφυράδων ἀποκνίσματα, μηχανοδίφας. καὶ γὰρ ἔφασχ' ὁ πατὴρ γαλῆν τῆς ἑσπέρας ἀπάγξαι." λέγει δὲ ὄρτυγας μὲν διὰ τὸ ἐρισικόν· τοιοῦτοι γὰρ οἱ ὄρτυγες. οἰκογενεῖς δὲ ἀντὶ τοῦ ἐσκιατραφημένους, ὡς ἂν εἴποις ὄρνιθας οἰκογενεῖς. γυλιαύχενας δέ, τȣτέςι μακροτραχήλους· γύλιος γὰρ ςρατιωτικὸν ἐςι πλέγμα ἐπίμηκες, εἰς ὀξὺ λῆγον· κολοβὸν οὖν εἰκὸς εἶναι τὸ ὅλον σῶμα, τὸν δὲ τράχηλον μακρόν. ἢ αὐχένας ȣ̓κ ἔχοντας, καθάπερ ὁ γύλιος· ὡς μικροὺς οὖν καὶ γογγυλώδεις σκώπτει. ἐχόρευον δὲ οὗτοι τῷ πατρί. ναννοφυεῖς δέ, ὅτι νάννοι λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων, οἱ δὲ κολοβοὶ τῶν ἵππων ἴννοι. ὀρχηςὰς δέ, εἰσέφερε γὰρ αὐτοὺς ὁ πατὴρ ἐν τοῖς δράμασιν ὀρχουμένους. σφυράδων δὲ ἀποκνίσματα ἀντὶ τοῦ ταπεινοὺς καὶ μικρούς· σφυράδες δέ εἰσι τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα. ἡ δὲ σφυρὰς κυάμου ἔχει τὸ μέγεθος. ταύταις οὖν ἀπεικάζει αὐτούς· μᾶλλον δὲ οὐδὲ ταύταις, ἀλλὰ τοῖς ἀποκνίσμασιν αὐτῶν καὶ ἀποτμήμασιν. εὐτελίζει οὖν αὐτοὺς διὰ τὸ βραχύ· ἡ γὰρ τοῦ μικροῦ μερὶς μικρὰ ἢ οὐδὲν ἂν εἴη. μηχανοδίφας δὲ ἀπὸ μέρους· Ξενοκλῆς γὰρ ὁ Καρκίνȣ δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασιν· ὃν Πλάτων δωδεκαμήχανόν φησιν. ἢ ἐπειδὴ πολλάκις ὡς τραγῳδοὶ μηχανικὰ εἰσέφερον, ἡνίκα θεοὺς ἐμιμοῦντο ἀνερχομένȣς ἢ κατερχομένους ἐκ τοῦ οὐρανοῦ. ὁ πατὴρ δὲ δρᾶμα ἐποίησε Μύας. παρὰ προσδοκίαν, τουτέςι μετὰ μόχθου. γαλῆν δὲ εἶπεν ἀπάγξαι, διότι αἱ γαλαῖ νυκτὸς πνίγουσι τὰς μύας.

καρκίνος λαγὼν αἱρεῖ, ἐπὶ τῶν ἀδυνάτων.

Καρκίνου ποιήματα Μένανδρος Ψευδηρακλεῖ ἀντὶ τȣ̃ αἰνιγματώδη· ὁ γὰρ Καρκίνος Ὀρέςην ὑπὸ Ἰλίου ⟨an Ἀπόλλωνος⟩ ἀναγκαζόμενον ὁμολογῆσαι ὅτι ἐμητροκτόνησεν, ἐποίησε δι' αἰνιγμάτων ἀποκρινόμενον.

Κάρμηλος τὸ ὄρος. καὶ Καρμήλιον ὄρος.

Καρμητὶς πόλις οὕτω καλουμένη.

Καρνεάδης Λίβυς ἀπὸ Κυρήνης, υἱὸς a Φιλοκώμου, φιλόσοφος, ἀφ' οὗπερ ἡ νέα Ἀκαδήμεια ἤρξατο. φασὶ δὲ τελευτήσαντος αὐτοῦ τὴν σελήνην ἐκλιπεῖν καὶ τὸν ἥλιον ἀμυδρὸν γενέσθαι.

Καρνεάδης ἕτερος, Ἀθηναῖος φιλόσο- b φος, μαθητὴς Ἀναξαγόρου.

Καρνείωνος.

Κάρνια Ἀπόλλωνος ἑορτὴ παρὰ Λακεδαιμονίοις.

Κάρνιος Ἀπόλλωνος.

κάρος ἡ ἐξ οἰνοποσίας ἐγγινομένη μέθη καὶ παραφορά.

καρπαία εἶδος ὀρχήσεως· οὕτω Ξενοφῶν ἐν τῇ Ἀναβάσει ⟨6 1 7⟩. λέγει δὲ καὶ τὸ εἶδος ταύτης.

καρπαλίμως ταχέως.

καρπασινοί κορτῖναι.

καρπίζουσιν ποτίζουσιν, εὔκαρπα ποιοῦσι.

κάρπιμος τόπος.

καρπός ἡ ἐπικαρπία, καὶ τὸ μέρος τῶν χειρῶν· δύο γὰρ σημαίνει.

καρπὸς καὶ περικάρπιον διαφέρει. καρπὸς μέν ἐςι κυρίως αἱ κεγχραμίδες τοῦ σύκου καὶ τῶν ἐλαιῶν οἱ πυρῆνες, περικάρπιον δὲ τὸ περικεχυμένον τȣ́τοις ὑγρὸν μετὰ τοῦ περιέχοντος αὐτὸ δέρματος.

καρποῦ δίκη. οἱ γῆς ἀμφισβητοῦντες ὡς προσηκούσης αὐτοῖς λαγχάνȣσι τοῖς διακρατοῦσιν· εἶτα ἑλόντες λαγχάνουσι καὶ περὶ ἐπικαρπίας. τοῦτο καρπȣ̃ δίκη καλεῖται. καὶ Λυσίας ἐν τῷ κατὰ Δημοσθένȣς ἐπιτροπῆς "εἰ γάρ τι ἐγκαλεῖς τῳδε τῷ μειρακίῳ καὶ τῶν σῶν τι ἔχει, δίκασαι αὐτῷ κατὰ τοὺς νόμους, εἰ μὲν χωρίου ἀμφισβητεῖς, καρπȣ̃, εἰ δὲ οἰκίας, ἐνοικίου, ὥσπερ νῦν οὗτός σοι ἐπιτροπῆς δικάζεται." Harp.

καρποῦμαι αἰτιατικῇ.

καρποφορῶ δοτικῇ.

κάρπωμα θυσία, προσφορά.

Καρρηνός ἐθνικόν.

καρρόον ⟨Hom. M 33⟩ κατὰ τὸ ῥεῦμα.

κάρρων δωριςὶ ὁ κρείττων, καὶ καρρόθεν ἀπὸ τȣ̃ κρείττονος. Δαμάσκιος γὰρ λέγει περὶ Ἰσιδώρου "ᾤμην αὐτὸν κεκραγέναι καταβάντα εἰς γένεσιν, ἐγὼ δὲ καρρόθεν ἐνθάδε ἀφικόμην."

καρσίως πλαγίως, καὶ ἐγκαρσίως.

a κάρτα λίαν, ἢ μεγάλως· "ληΐζεται γὰρ ἡ Κολχὶς κάρτα κομιδῇ, καὶ ἄσχετον ἦν τὸ κακόν· ἐχήρευε γὰρ τοῦ στρατηγήσοντος."

b κάρτα ἐκ τῶν Σοφοκλέους. Αἴας φησὶ ⟨554⟩ πρὸς τὸ ἴδιον τέκνον "τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν, ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς."

κάρτα ἐπαφρόδιτος.

κάρταλλος· "ἀρχὰς ἅλωνός μου καὶ ληνοῦ προσφέρω Χριστῷ, κάρταλλον δὲ βοτρύων τῷ παρακλήτῳ." κόφινος ὀξὺς τὰ κάτω.

καρτερία ἡ ἐπιστήμη ἢ ἕξις ὧν ἐμμενετέον καὶ μή, καὶ οὐδετέρων. Diog. L. 7 93.

a καρτερός ὁ δυνάμενός τινος κρατεῖν· "ὃ δὲ ἐδύνατο καρτερὸς εἶναι τῆς πόλεως, ἀλλ' ἐνέδωκε ταύτην τῷ βασιλεῖ." καὶ αὖθις "τήν τε πόλιν καὶ τὴν χώραν, ης τινὸς οἱ Νισιβηνοὶ καρτεροί εἰσιν, ἐνδώσοντες." καὶ αὖθις "καὶ αὐτὸς ἐγώ, ἐν ᾧ ἔτι Ἀρμενίας καρτερὸς ἦν." "καὶ μάχης καρτερᾶς γενομένης διαφθείρεται πᾶσα ἡ στρατιὰ τῷ Ἀντιόχῳ."

b καρτερὸς ὁ ἐγκρατής· "ὅπερ οὐκ ἦν νόμιμον δρᾶσθαι ἐν γῇ ἧς τινὸς Ῥωμαῖοι ἐκ παλαιοῦ καρτεροί εἰσιν," ἀντὶ τοῦ κύριοι, ἐγκρατεῖς.

καρτερῷ δοτικῇ.

καρτερώνυχας ⟨Hom. E 329?⟩ ἰσχυροὺς ὄνυχας ἔχοντας.

καρτερώτατος.

καρύα τὸ δένδρον, κάρυα δὲ ὁ καρπός.

Καρύανδα πόλις Καρίας.

καρυκεία ἡ ἡδύτης τῶν ζωμῶν.

καρυκεύων ἀρτύων, ἡδύνων.

καρύκη ἔδεσμα ἐκ πολλῶν συγκείμενον, βρῶμα Λύδιον ἐξ αἵματος καὶ ἄλλων ἐδεσμάτων, ἀφ' οὗ καὶ τὸ συνταράττειν τι καὶ ἀναδεύειν καρυκεύειν φασί. καὶ καρυκοποιεῖν τὸ κοσμεῖν ποικιλίᾳ τινὶ ῥημάτων τὸν λόγον· καρυκεύματα γὰρ τὰ ἡδύσματα καὶ ἀρτύματα. καὶ καρύκη ἡ κοιλία, ἣν νῦν μονθυλευτὴν καλοῦσι ⟨sch. A Eq. 342⟩. καὶ παροιμία "μήτε μοι Λυδῶν καρύκας μήτε μασίγων ψόφους." sch. Aesch. Pers. 41.

καρφαλέον ξηρόν. καὶ καρχαλέον κατάξηρον ⟨Hom. Φ 541⟩.

κάρφη ὁ ξηρὸς καὶ κοῦφος χόρτος. ⟨X Anab. 1 5 10⟩ "διφθέρας ἃς εἶχον σκεπάσματα, ἐπίμπλασαν χόρτου κούφου· εἶτα συνῆγον καὶ συνέσπων τὰς διφθέρας, ὡς μὴ ἅπτεσθαι τῆς κάρφης τὸ ὕδωρ." λέγεται δὲ θηλυκῶς· Ἀρριανὸς ⟨Anab. 5 9 5⟩ "καὶ αἱ διφθέραι τῆς κάρφης ἐμπιπλάμεναι καὶ ἡ ὄχθη πᾶσα πλήρης φαινομένη οὐκ εἴα ἠρεμεῖν τὸν Πῶρον." λέγεται καὶ οὐδετέρως τὸ κάρφος τῷ κάρφει.

καρχαλέος ὁ ξηρός.

καρχαρόδοντα, ὅσα στρογγύλους καὶ ἐναλλάσσοντας τοὺς ὀδόντας ἔχουσι, λέων κύων πάρδαλις, ἔτι δὲ καὶ ἰχθύων γένη ὅσα σαρκοφάγα εἰσί. sch. A Eq. 1014.

καρχαρόδους τραχεῖς ὀδόντας ἔχων. καὶ κάρχαρον τὸ τραχύ· "καὶ κάρχαρόν τι μειδήσας, σοὶ μισθὸς ἀρκεῖ, φησί, τῶν ἰατρειῶν κεφαλὴν λυκείῳ φάρυγος ἐξελεῖν σώαν" ἐν Μυθικοῖς ⟨Babr. 94 6⟩.

κἈρχέδημος ὁ γλάμων. Ἀριστοφάνης λέγει περὶ αὐτοῦ ⟨Ran. 595⟩.

a Καρχηδὼν πόλις Λιβύης, μεγίστη τῶν κατὰ τὴν οἰκουμένην πόλεων καὶ δυναμικωτάτη ἐτύγχανεν οὖσα, ἥτις καὶ Βύρσα ἐκαλεῖτο ἀπὸ ἱστορίας. καὶ ζήτει ἐν τῷ Ἀφρικανός.

b Καρχηδὼν ἡ Ἀφρική, ἐξ ἧς ὡρμᾶτο ὁ μέγας Κυπριανός. ταύτην Σκιπίων καθεῖλεν εἰς ἔδαφος. ἡ μετὰ τὸν πρῶτον συνοικισμὸν ἑπτακόσια ἔτη κρατήσασα τῶν περιοίκων.

καρωθεὶς βαρηθεὶς τῇ κεφαλῇ· ⟨Ioseph. A. I. 6 9 5⟩ "ὁ δὲ Δαβὶδ βάλλει ἐπὶ τὸν Γολιὰθ εἰς τὸ μέτωπον, καὶ διῆλθεν ἕως τοῦ ἐγκεφάλου, ὡς εὐθὺς καρωθέντα πεσεῖν ἐπὶ τὴν ὄψιν." καὶ κεκαρωμένος· "ὁ δὲ τὴν καρδίαν ταῖς τιμαῖς ἤδη κεκαρωμένος παρέδωκεν ἑαυτὸν εἰς τὴν ὁδόν."

κασαλβάδες ἑταῖραι, τουτέστιν ἀεὶ ἐπὶ τέγους καὶ οἰκήματος ἑστῶσαι γυναῖκες, [ἐπὶ μισθῷ παρέχουσαι τοῖς βουλομένοις ἑαυτάς. sch. A Eq. 354.

κασαλβάς πόρνη. κασαλβάδες εἴρηνται ἀφ' οὗ ποιοῦσι· καλοῦσι μὲν οὐκ ἔχουσαι τὰς ἐραστάς, σοβοῦσι δὲ τοὺς ὄντας, ἵνα ἄλλους λάβωσι. παρὰ τὸ καλεῖν ὃν καὶ τὸ σοβεῖν. ib.

κασαλβάσω λοιδορήσω· Ἀριστοφάνης ⟨Eq. 354⟩ "κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς."

Κασάνδρα.

κασαυρίοις ἢ κασαλβίοις, τουτέστι τοῖς πορνείοις· Ἀριστοφάνης ⟨Eq. 1290⟩ "ἐν κασαυρίοισι λείχων τὴν ἀπόπτυστον δρόσον."

κασίγνητος ἀδελφὸς γνήσιος. κασίγνη-

τοι δὲ κοινότερον οἱ συγγενεῖς. ὁ δὲ Ὅμηρος τοὺς ἀνεψιοὺς εἶπε κασιγνήτους· ⟨Hom. Z 430⟩ "Ἕκτωρ δὲ κασίγνητος."

Κάσιον ὄρος πρὸς τῷ Εὐφράτῃ ⟨an Ὀρόντῃ⟩, καὶ **Κάσιος Ζεύς**. ἔνθα Τραϊανὸς ἀνέθηκε κρατῆρας ἀργυροῦς καὶ κέρας βοὸς παμμέγεθες κεχρυσωμένον, ἀκροθίνια τῆς κατὰ Γετῶν νίκης. καὶ ἐπιγράμματα ἐν τοῖς ἀναθήμασιν Ἀδριανῷ πεποιημένα ⟨AP 6 332⟩ "Ζηνὶ τόδ' Αἰνεάδης Κασίῳ Τραϊανὸς ἄγαλμα, κοίρανος ἀνθρώπων κοιράνῳ ἀθανάτων, ἄνθετο." cf. v. ἄμματα.

κάσις ἀδελφός.

Κάσος· "Ῥωμαίων γοῦν ὁ νικήσας τὴν μουνὰξ μάχην ἀνεδεῖτο ςεφάνῳ ἀγρώςεως, καὶ ἦν Κάσος ἄμαχος" φησὶν Αἰλιανός.

Κάσπια ὄρη καὶ **Κάσπιαι πύλαι**. ὅτι ἔςιν ἐκεῖ θάλασσα ἀπὸ τῆς ἐμβολῆς τοῦ ὠκεανοῦ, καὶ τὸ μὲν ςενώτατον αὐτῆς Κάσπιαι πύλαι καλοῦνται, τὸ δὲ λοιπὸν Ὑρκανία θάλασσα. περιοικεῖται δὲ βαρβάροις ἔθνεσιν.

Κασπίῳ λίθῳ· "οἱ Κάσπιοι εἶχον ἀγχέμαχα δόρατα, τεθηγμένα λίθῳ Κασπίῳ, ὃν ὀξύτατόν τέ φασι τρῶσαι καί τινα ἰὸν ἐμποιεῖν τῷ τραύματι ὀλέθριον."

Κασσία ὄνομα πόλεως. σημαίνει δὲ καὶ κύριον ὄνομα θυγατρὸς τοῦ Ἰώβ. ἔςι δὲ καὶ εἶδος ἀρωματικȣ̃· καὶ Δαβίδ ⟨Ps. 44⟩ "σμύρνα καὶ ςακτὴ καὶ κασσία·"

κασσιέπεια ἡ καλλονή. καὶ ὄνομα κύριον.

κασσίτερος.

Κασσιώπη ὄνομα κύριον.

κασσωρίς πόρνη, ἑταίρα.

Καςαλία πηγὴ ἦν ἐν τῇ καλȣμένῃ Δάφνῃ, ἐν ᾗ ἐλέγετο παρεδρεύειν τὸν Ἀπόλλωνα καὶ χρησμολογεῖν, αὔρας καὶ πνοῆς ἐκ τοῦ ὕδατος ἀναδιδομένης, ἐξ ὧν οἱ περὶ τὴν πηγὴν ἔλεγον ἅπερ οἱ δαίμονες ἤθελον.

Καςαναία πόλις.

Καςάνειον.

κασύρειον μέλος. κασόριον δὲ τὸ τοῦ κάςορος τοῦ ζῴου.

Κασορίδων κυνῶν· ⟨AP 6 167⟩ "σοὶ γὰρ Κασορίδων ὑλακὰ εὔαδε."

κασόριον εἶδος βαφῆς ἀπὸ τῆς κογχύλης.

καςρεύσαντες· "καςρεύσαντες δὲ ἑαυτοὺς περὶ τὸν ἀρχιεπίσκοπον, διὰ παρακλήσεως πείθειν ἐνόμιζον."

κάςρον κατὰ Ῥωμαίȣς παρεμβολὴ ἀσφαλής.

Καςωλός ὄνομα κύριον.

Κάςωρ Ῥόδιος, ἢ ὥς τινες Γαλάτης, ὡς δὲ ἄλλοι ἐπλανήθησαν Μασσαλιώτης, ῥήτωρ, ὃς ἐκλήθη Φιλορώμαιος. γήμας δὲ οὗτος Δηιοτάρȣ τοῦ συγκλητικοῦ θυγατέρα ἀνῃρέθη ὑπ' αὐτοῦ ἅμα τῇ γαμετῇ, διότι αὐτὸν Καίσαρι διέβαλεν. ἔγραψε δὲ ἀναγραφὴν Βαβυλῶνος καὶ τῶν θαλασσοκρατησάντων ἐν βιβλίοις β', χρονικὰ ἀγνοήματα, καὶ περὶ ἐπιχειρημάτων ἐν βιβλίοις ε', περὶ πειθȣ̃ς β', περὶ τȣ̃ Νείλȣ, τέχνην ῥητορικήν, καὶ ἕτερα. ζήτει περὶ ἀγαλμάτων Κάςορος καὶ Πολυδεύκους ἐν τῷ Διόσκουροι.

κατά κυρίως ἐξ, ἐπί, ἐν, ἀπό. ἢ ἀντὶ τȣ̃ εἶτα· "κᾆτ' ἐπειδὰν ὑπεκβάντες ποιήσωνται τὴν ὁρμήν, σοὶ δῆτα μελήσει." "κᾆτα ἐσκήψατο μεθύειν" ἀντὶ τοῦ ὑπεκρίθη.

κατάβα ἀντὶ τοῦ κατάβηθι· Ἀριςοφάνης Βατράχοις ⟨35⟩ "κατάβα πανοῦργε." μόνως γὰρ λέγεσθαι ἀξιȣ̃σί τινες τὸ κατάβηθι. καὶ **καταβαίνειν** τὸ εἰς ἀγῶνα χωρεῖν· "ἐνταῦθα καταβαίνει παραβαλλόμενος" ⟨cf. v. ἄναλκις⟩.

κατάβαλε, οἷον ῥῖψον, ἄφες, κατάθου.

καταβάλλω αἰτιατικῇ.

καταβελεῖς πολλῶν βελῶν βολὰς δεξάμενοι.

καταβλακεύω αἰτιατικῇ.

καταβοή μέμψις, κατηγορία· ⟨Menand. p. 369 Nieb.⟩ "ὁ δὲ οὐχ ἥκιςα ἐπιμέμφεται αὐτῷ, καὶ καταβοὴν πεποίηται τἀνδρὸς οὐκ ἐλαχίςην."

καταβολή περιοδικὴ λῆψις πυρετοῦ. a

καταβολή. Δημοσθένης θ' Φιλιππικῷ b ⟨9 29⟩ "ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ." ἐν ταῖς περιοδικαῖς νόσοις λέγεταί τις καταβολὴ διὰ τὸ ἐν ἀποδεδειγμένῳ προϊέναι χρόνῳ, καθάπερ οἱ ἐρανιςαὶ τὰς καταβολὰς ποιοῦνται τῶν χρημάτων. Harp.

καταβολή καινȣ̃ργησις· "ἐκ καταβολῆς c ν' ναῦς ναυπηγήσασθαι, ν' δὲ ὑπαρχουσῶν κατελθεῖν ἐκ τῶν νεωρίων" Πολύβιος. "οἱ δὲ πειραταὶ θεασάμενοι τὸν ἐπίπλουν τῶν Ῥωμαϊκῶν πλοίων, ἐκ καταβολῆς ἐποιοῦντο τὴν ἀναχώρησιν." "τῶν δὲ Μακεδόνων ἐκ καταβολῆς συνερεισάντων τοῖς βαρβάροις, εὐθέως ἐγκλίναντες ἔφευγον." λέγεται δὲ καὶ θυσία, περίοδος, τελετή.

καταβόςρυχος ταῖς θριξὶ κεκαλυμμένος.

καταβοῶ τὸ κατακραυγάζω, γενικῇ.

καταβραβευέτω ⟨ad Coloss. 2 18⟩ καταλογιζέσθω, κατακρινέτω, καταγωνιζέσθω. τὸ ἄλλου ἀγωνιζομένου ἄλλον ςεφανοῦσθαι λέγει ὁ ἀπόςολος καταβραβεύεσθαι.

καταβροντῶ γενικῇ καὶ αἰτιατικῇ.

καταβροχθίσας ἐκροφήσας, καταπιών. ἐπὶ δὲ τῶν ἀθρόως ῥοφουμένων καὶ ἀπλήςως λέγεται τὸ καταβροχθίσας. ⟨A Eq. 356⟩ "ἐγὼ δ' ἤνυςρον βοὸς καὶ κοιλίαν ὑείαν καταβροχθίσας λαρυγγιῶ τοὺς ῥήτορας."

καταγγέλλω γενικῇ· "μή ποτέ σȢ καταγγείλῃ ἐπὶ τοῦ νομοθέτȢ." δοτικῇ δέ "εὐφροσύνης καὶ χαρᾶς ἡμέρα καταγγέλλει τοῖς ἰδίοις ἐκ τῶν νηςειῶν."

καταγγέλτους· "οἱ δὲ ἔλεγον ἀπαλλαγῆναι αὐτοὺς πρὶν καταγγέλτους τισὶν ὅτι πάρεισι γενέσθαι."

κατάγειν· "ἄνδρας ἐπιφανεῖς ςεφηφορεῖν καὶ ςεφάνους κατάγειν, τέκνων αὐτοῖς ἀπολωλότων." κατάγειν καὶ τὸ τοὺς πεφευγότας εἰς τὰς ἑαυτῶν πατρίδας ἀποκαθιςᾶν· ⟨X Anab. 1 1 7⟩ "ὃ δὲ ἐπειρᾶτο κατάγειν τȢ̀ς ἐκπεπτωκότας."

κατάγειν τὰ πλοῖα Δημοσθένης ἐν η' Φιλιππικῷ ⟨8 9⟩ ἀντὶ τοῦ λῃίζεσθαι καὶ κακοῦν, καὶ μὴ ἐᾶν τοὺς πλέοντας ὅποι βούλοιντο πλεῖν, ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς ληςεύουσι κατάγειν. Harp.

κατάγειον οἴκημα. καὶ **κατάγειοι** ὑπὸ γῆν· ⟨X Anab. 4 5 25⟩ "αἱ δ' οἰκίαι ἦσαν κατάγειοι."

κατάγελως· ⟨A Ach. 1125⟩ "ταῦτ' Ȣ̓ κατάγελώς ἐςιν ἀνθρώποις πλατύς;" καὶ ἡ δοτικὴ τῷ καταγέλωτι. καὶ **καταγελῶ σου**, γενικῇ.

καταγέμων δαψιλῶς ἔχων· "ὃ δὲ λείας καταγέμων ἐπανῆλθεν εἰς τὴν πόλιν."

καταγευσθείς τῇ γεύσει νικηθείς.

καταγηράσαις ΤιθωνȢ̃ βαθύτερον καὶ Κινύρου πλουσιώτερον καὶ Σαρδαναπάλλου τρυφηλότερον, ὅπως τὸ τῆς παροιμίας ἐπὶ σοὶ πληρωθῇ, δὶς παῖδες οἱ γέροντες" ⟨Iulian. ep. 59 extr.⟩. ἐπὶ τῶν πολυχρονίων λεγόμενον. ὁ γὰρ Τιθωνὸς ὑπεργήρως γενόμενος κατ' εὐχὴν τὸ γῆρας ἀποθέμενος εἰς τέττιγα μετέβαλε, Κινύρας δὲ ἀπόγονος Φαρνάκης, βασιλεὺς Κυπρίων πλούτῳ διαφέρων. Σαρδανάπαλλος δὲ Ἀσσυρίων βασιλεὺς ἐπ' ἀκολασίᾳ καὶ τρυφῇ διαβιοὺς κατέλυσε τὴν ἰδίαν ἀρχήν.

καταγιγαρτίσαι συνουσιάσαι, ἢ ἀντὶ τοῦ κατὰ τῶν γεωργικῶν γιγάρτων βαλεῖν καὶ διαμηρίσαι. τὸ δὲ ῥῆμα πρόσκαιρον, ἵνα ἀπὸ τῶν γιγάρτων τὸ μόριον ᾖ πεπλασμένον· οὐ γὰρ διὰ παντὸς συνουσιάσαι δηλοῖ τὸ καταγιγαρτίσαι. ἢ καταθλῖψαι. γίγαρτα δὲ τὰ τῆς ςαφυλῆς ὀσπριώδη. Ἀριςοφάνης ⟨Ach. 274⟩ "εὑρόνθ' ὡρικὴν ὑληφόρον μέσην λαβόντ' ἄραντα καταβαλόντα καταγιγαρτίσαι."

καταγινέων καταλύων, Ἡρόδοτος ⟨6 75⟩.

καταγινώσκω γενικῇ· "καταγινώσκω σου ῥαθυμίαν πολλὴν καὶ νωθρότητα."

καταγλωττίζειν τὸ βλασφημεῖν, ὡς ἐν Ἀχαρνεῦσι ⟨379⟩ "ψευδῆ κατεγλώττιζέ μȢ."

καταγλωττίσματα περίεργα φιλήματα, καταπάσματα, παντοῖαι μυραλοιφίαι, ἢ περιλαλήματα. ἢ εἶδος φιλήματος περιεργότερον τὸ καταγλώττισμα, ἢ κολάκευμα. cf. sch. A Nub. 52.

κάταγμα ἐρίȢ κατάσπασμα, ἢ μήρυμα.

καταγνῶναι καὶ γνῶναι ταύτῃ διενηνοχέναι φασίν, ὅτι τὸ μὲν καταγνῶναι ἰδίως ἐπὶ διαβολῇ καὶ πονηρίᾳ λέγȢσιν Ἀθηναῖοι, γνῶναι δέ, χωρὶς τῆς κατά προθέσεως, τὸ μαθεῖν. καταγνοὺς οὖν οἱονεὶ καταμαθὼν καὶ αἰσθόμενος. sch. A Eq. 46.

καταγοητεύων, αἰτιατικῇ, ἀπατῶν.

κατάγονται ξενοδοχȢ̃νται· "καὶ ἐν αὐτῷ κατάγονται, καὶ ξενίων τυχόντες ἐπανῆλθον."

καταγορεύω σου, γενικῇ.

κατάγραπτος ποικίλος.

καταγράφων προμηθούμενος, προξενῶν. Αἰλιανός ⟨cf. v. κούφη⟩ "ὁ τοίνυν Διονύσιος καταγράφων ἑαυτῷ λύτρα πλεῖςα ὑπὲρ τῆς κόρης, ἢ χρυσίον πάμπολυ, ἣν ἀπόδοιτο αὐτήν." cf. vv. κατέγραφον, λύκος χανών, τολμήεντι, τοσούτῳ θεῷ.

καταγωγή παρὰ Ἡροδότῳ ⟨1 181⟩ πανδοκεῖον.

καταγωγῆς ἀναπαύλης, δεξιώσεως· "ὃ δὲ εἴς τινος πανδοκέως ἐλθὼν ἠξίου τυχεῖν καταγωγῆς. ὃ δὲ ἐδέξατο καὶ πῦρ ἐξέκαυσε." cf. v. ζώνη.

καταγωνίζεσθαι, αἰτιατικῇ, νικᾶν.

καταδακρύω σου, γενικῇ.

καταδακτυλικός ἀντὶ τοῦ συνουσια-

ςικὸς κατὰ τοῦ δακτυλίου τοῦ πρωκτοῦ. sch. A Eq. 1378.

κατὰ δάκτυλον εἶδος ἀριθμητικὸν ἢ γεωμετρικόν. ἢ ῥυθμοῦ καὶ κρούματος τὸ κατὰ δάκτυλον, ᾧ ἐχρῶντο οἱ αὐλοῦντες πρὸ τοῦ νόμου. sch. A Nub. 651.

καταδαρθάνειν κατακοιμίζεσθαι. κυρίως δὲ καταδαρθεῖν ἐςὶ τὸ ἐν δέρμασι κατακοιμηθῆναι. Ἀριστοφάνης Πλούτῳ ⟨527⟩ "ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν." βαρυτόνως δὲ οἱ Ἀττικοὶ καταδάρθειν. καὶ Αἰλιανός "καὶ καταδαρθόντι οἱ τῶν τις ἱερέων ἐδόκει λέγειν μίαν εἶναι σωτηρίας ὁδὸν τῷ ἀνδρὶ καὶ ἓν τῶν ἐφεςώτων κακῶν φάρμακον."

καταδεδέσθαι ἀντὶ τοῦ πεφαρμακεῦσθαι καὶ δεδέσθαι φαρμάκῳ Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ. Harp.

καταδείσας φοβηθείς. καὶ καταδείδει φοβεῖται.

καταδεύσει φυράσει, μαλάξει. Αἰλιανός "εἴπερ οὖν τὰ --- ταινίαις" ⟨cf. v. ἀναδεύειν⟩.

κατὰ δὲ φρόνιν ἤγαγεν ἐμίσησε, κατεφρόνησεν· Ὅμηρος ⟨δ 258⟩ "κατὰ δὲ φρόνιν ἤγαγε πολλήν."

καταδημαγωγῶ αἰτιατικῇ.

καταδημοβορῆσαι ⟨Hom. Σ 301⟩ καταφαγεῖν.

κατὰ δήμους δικαςαί. οὗτοι πρότερον μὲν ἦσαν λ', καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, ὕςερον δὲ γεγόνασι μ'. Harp.

καταδηοῦν κατακόπτειν, καταπραϋνειν.

καταδιαιτήσω καταδικάσω, κατακρινῶ· ⟨Menand. p. 293 Nieb.⟩ "εἰ δέ γ' ἐς τοὐναντίον ὀφθήσεται ἀδίκως ἐπεγκαλῶν, αὐτὸς ἐγὼ καταδιαιτήσω τοῦ Σαρακηνοῦ."

καταδιέλεσθε ⟨Ps. 47 14⟩ μερίσατε.

καταδιιςῶσι καταχωρίζουσι.

καταδικάζω σε αἰτιατικῇ. γενικῇ δέ "αἱ γυναῖκες κατεδίκαζον ἡμῶν."

καταδικασάμενος ἀντὶ τοῦ νικήσας καὶ καταδικασθῆναί τινα ποιήσας, Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὕβρεως. Harp.

καταδιώκω αἰτιατικῇ.

καταδολεσχῶ γενικῇ.

κατάδουπος καταρράκτης ἢ ψόφος.

καταδύεται, δοτικῇ, καταβυθίζεται, κρύπτεται. "ξυγκαλύπτειν μέντοι τὸ ἔργον τοῦτο ἐν σπουδῇ εἶχε, καταδυομένη τοῖς οἰκείοις ἐπιτηδεύμασι."

καταδυναςεύω γενικῇ· "οὐκ ἄξιον τῶν πτωχῶν καὶ ἀσθενῶν καταδυναςεύειν." αἰτιατικῇ δέ "καταδυναςεύειν τὸν πένητα" ὁ ἅγιος Βασίλειός φησιν.

καταδύνοντα κρύπτοντα.

καταδύς κατακρυβείς, κατακαλυφθείς· "ὁ δὲ καταδὺς ἐς πᾶσαν Ὀδύσσειον καὶ πολύπλοκον μηχανὴν διεπέμπετο πρὸς Γαϊανᾶν." Eunapius?

καταδύσαντες τὰς ναῦς παρὰ Θουκυδίδῃ ⟨1 54⟩ καὶ ἐπὶ τοῦ τρώσαντες, οὐχὶ δὲ ἐπὶ τοῦ βαπτίσαντες.

καταδύσεις φωλεούς, ὑπονόμους, σπήλαια.

καταείνυον ⟨Hom. Ψ 135⟩ ἐκάλυπτον.

καταείσατο ⟨Hom. Λ 358⟩ κατηνέχθη.

κατὰ ζυγόν· ⟨Polyb. 1 45⟩ "ὡς ἂν ἐκ τοσούτου πλήθους κατ' ἄνδρα καὶ κατὰ ζυγὸν οἱονεὶ μονομαχικῆς τινὸς συνεςώσης φιλοτιμίας." ζυγὸς γὰρ τὸ ἐκ παρεςηκότων ἀλλήλοις πλῆθος.

καταθαρρῶ σου, γενικῇ.

καταθέειν κατατρέχειν· "οἱ δὲ Γήπαιδες, ἐπεὶ οὔπω ὁ τῆς μάχης ἐνειςήκει καιρός, πείθουσιν αὐτοὺς καταθεῖν μεταξὺ τὴν Ῥωμαίων χώραν, πάρεργον τῆς σφετέρας ἀκαιρίας πεποιημένοι τὴν ἐς Ῥωμαίους ἐπιβουλήν" ⟨Menander?⟩.

καταθεῖ κατατρέχει.

κατὰ θεῖον. τοὺς ἐξαίφνης φαινομένους οὕτως ἔλεγον κατὰ θεῖον ὦφθαι. καὶ ἐπὶ τῶν ἐξαίφνης γινομένων, τουτέςιν εὐκαίρως ἐπιφαινομένων, κατὰ θεῖον ἔλεγον. ἐπεὶ οὖν καὶ ὁ ἀλλαντοπώλης αἰφνίδιον βουλομένοις μὲν μὴ προσδοκήσασι δὲ ἐπεφάνη, εἶπεν "ὁδὶ προσέρχεται ὥσπερ κατὰ θεῖον εἰς ἀγοράν." sch. A Eq. 147.

καταθέλξας ἐξαπατήσας· "καταθέλξας γὰρ αὐτοὺς δεινότητι τρόπων, ὡς δυνάμενος τὸν ἄνδρα πρὸς σφᾶς μετατιθέναι."

καταθεμένους ἀποβαλόντας· "μὴ πρότερον τῆς εἰς αὐτὸν εἰσόδου τυχεῖν ἢ καταθεμένους τὰ ὅπλα."

καταθέσει καταπαύσει, καταλήξει· "ἢ λήψονται αὐτὸν ἐπὶ καταθέσει τοῦ πολέμου."

καταθέω σε, αἰτιατικῇ· "οὗτος δὲ κατέθεε τὸν οἰκεῖον χῶρον."

καταθέω σου, γενικῇ. b

καταθεῷτο βλέποι.

καταθλήσαντες καταγωνισάμενοι.

καταθλῶ αἰτιατικῇ.

κατάθου.

καταθρασύνω γενικῇ.

καταθρηνῶ αἰτιατικῇ.

καταθρήσομεν κατασκοπήσομεν.

καταθρώσκοντα καταπηδῶντα· Ἡρόδοτος ⟨6 134⟩ "καταθρώσκοντα δὲ τὴν αἱμασιὴν τὸν μηρὸν σπασθῆναι."

καταθύμιον κατὰ ψυχήν, εὐάρεστον. καταθύμιος θάνατος παρ' Ὁμήρῳ ⟨Κ 383⟩ οὐχ ὁ ἐπιθυμητικὸς ἀλλ' ἐνθύμιος.

καταιβάτης Ζεὺς ⟨Α Pac. 42⟩ παρ' Ἀθηναίοις, παρὰ τὸ καταβιβάζειν τοὺς κεραυνούς, ἢ ἀπὸ τοῦ καταβαίνειν δι' ἔρωτα τῶν γυναικῶν.

κατ' αἶγας ἀγρίας, παροιμία λεγομένη ἐπὶ κατάρας· κατ' αἶγας ἀγρίας τρέπειν τὰ κακά.

καταιγίζω αἰτιατικῇ, τὸ βρέχω.

καταιγίς ἐπιφορὰ ἀνέμου σφοδροῦ. λέγεται δὲ καὶ ἡ ζάλη ἢ τὰ σφοδρὰ πνεύματα καταιγίδες.

καταιγίσας κατασχίσας· οἱ γὰρ ἀνατιθέντες τοῖς θεοῖς κατασχίζουσιν, ἵνα μή τις ἄρῃ.

καταιδεῖ καταισχύνει.

καταιθαλώσω καταπρήσω, κατακαύσω· "καταιθαλώσω πυρφόροισιν ἀετοῖς" ⟨Α Av. 1240⟩.

καταινέσαντος συγκαταθεμένου· "τοῦ δὲ καταινέσαντος τὸ νῦν εἶναι κατίασιν ὑπόσπονδοι." καὶ Πολύβιος ⟨cf. v. ἀλογισία⟩ "ὀλίγοι δέ τινες ἦσαν οἱ καταινέσαντες, οἱ δὲ πλείονες ἀντέπιπτον." λέγεται δὲ καταινοῦντες ἀντὶ τοῦ συγκατατιθέμενοι. καὶ Σοφοκλῆς ⟨OC 1633⟩ "καὶ καταίνεσον μήποτε προδώσειν τάσδ' ἑκών."

καταῖξ καταιγίς· "ἤδ' ἀπὸ Μηρισοῖο θοὴ βορέαο καταῖξ," ἤτοι ἀπὸ τῆς Θρᾴκης.

καταιονῶσι βρέχουσιν, ἀντλοῦσιν, ἀλείφουσιν. ⟨Athen. p. 24⟩ "ἔςι δὲ καὶ ἄλλος τρόπος καμάτων λύσεως ἐκ τῶν κατὰ κεφαλῆς καταιονήσεων," ὅ ἐςι καταντλήσεων. "αἱ γὰρ ἐμβάσεις, περικεχυμένου πάντοθεν τοῖς πόροις τοῦ ὕδατος, φράττουσι τὴν τῶν ἱδρώτων ἔκκρισιν, καθάπερ ἂν εἴ τις ἠθμὸς εἰς ὕδωρ βληθείς."

καταιρεόμενος· ⟨Herodot. 6 29⟩ "ὡς δὲ φεύγων κατελαμβάνετο ὑπὸ ἀνδρὸς Πέρσεω, καὶ ὡς καταιρεόμενος ὑπ' αὐτοῦ ἔμελλε συγκεντηθήσεσθαι."

καταίροντες καταπλέοντες.

κατ' αἶσαν ⟨Hom. Γ 59⟩ κατὰ τὸ προσῆκον.

καταισχύνω αἰτιατικῇ. καὶ καταισχῦναι.

καταιτιῶμαι αἰτιατικῇ.

καταῖτυξ ⟨Hom. Κ 258⟩ εἶδος περικεφαλαίας μὴ ἐχούσης λόφον, κατωφερής.

κατὰ κάθετον τὰ ἀπὸ ὕψους εἰς βάθος διαςήματα. "λάκκος ἦν χειροποίητος πρὸς ὕδατος συναγωγήν, ἔχων τὴν μὲν κάθετον οὐκ ἐλάττω πλέθρου, τὴν δὲ διάμετρον πλεῖον ἢ δυεῖν πλέθρων."

κατακαίνειν ἀναιρεῖν, φονεύειν. "ὁ δὲ τοξότης ἠφίει βέλος, εὔςοχος ὢν τοσούτους κατακαίνειν ὅσα ἠφίει βέλη" Εὐνάπιος φησί ⟨p. 100 Nieb.⟩.

κατακαίνων ἀναιρῶν, πλήττων· "τοὺς μὲν κατακαίνων ἐν χερσί, τοὺς δὲ πλήττων, τοὺς δὲ φοβήσας." καὶ Ξενοφῶν ⟨Anab. 4 2 5⟩ "τοὺς μὲν κατακαίνοντες, τοὺς δὲ καταδιώξαντες."

κατακαλῶν ἐπιμελῶς ἐκζητῶν· Πολύβιος ⟨26 5⟩ "ὁ δὲ Περσεὺς ἀνανευσάμενος . . . ἔφυγε" ⟨cf. v. Περσεύς⟩.

κατακᾶσα ⟨Callim. fr. 184⟩ κατωφερής, ἡ ἀξία τοῦ κατακαυθῆναι. ἢ ὅτι κάσον τὸ σπέρμα τοῦ ἀνδρός, ὅθεν καὶ κασίγνητος.

κατακαυχῶμαι γενικῇ.

καταχαχρῦσαι ῥῆξαι, ψοφῆσαι ποιῆσαι, ἀπὸ τῶν φρυγομένων κριθῶν.

κατακεκλίσθαι καὶ κατακεῖσθαι ἐπὶ τραπέζης, ἀνακεῖσθαι δὲ ἐπὶ ἀνδριάντων. cf. v. ἀνακεῖσθαι.

κατακέλευσον ἀντὶ τοῦ σιωπὴν κήρυξον· οἱ γὰρ κελευςαὶ πολλάκις σιωπᾶν παραγγέλλειν εἰώθασι, σιώπα λέγοντες καὶ ἄκυε καὶ τὰ ὅμοια. Ἀριςοφάνης Ὄρνισιν ⟨1273⟩ "ὦ τρισμάκαρ, ὦ κλεινότατ', ὦ σοφώτατ', ὦ γλαφυρώτατε." ἐπεὶ οὐκ ἤκουε, φησὶν "ὦ κατακέλευσον," ὥσπερ τοῖς ἐρέσσουσι· καὶ ὦ λέγει παύσασθαι παρακέλευσαί μοι.

κατακερτομεῖν καταχλευάζειν, αἰτιατικῇ.

κατακεχρημένης παραλόγως καὶ ἀφειδῶς ἀπολαυούσης· "τῇ τε κουφότητι τοῦ ἀνδρὸς κατακεχρημένης."

κατακηλοῦσαν, αἰτιατικῇ, θέλγουσαν, πραΰνουσαν.

κατακλείς κατακλεῖδος ἡ τῦ τραχήλου.

κατακληρουχῶ αἰτιατικῇ.

κατακλινής ἐπὶ κλίνης ἀνακείμενος· "ὃ δὲ ἔτυχε τότε κατακλινὴς ὢν καὶ μαλακιζόμενος."

κατάκλιτα κλίνας, θρόνους εἰς ἀνάκλισιν ἐπιτηδείους.

κατάκλυζε κατακλύζεσθαι ποίησον, ὃ ἐςι γέμισον ὕδατος· Ἀριστοφάνης (Pac. 828) "καὶ τὴν πύελον κατάκλυζε, καὶ θέρμαιν' ὕδωρ."

κατακλῶθές τε βαρεῖαι (Hom. η 197) αἱ κατακλώθυσαι καὶ καταμοιροῦσαι ἑκάςῳ τὸ εἱμαρμένον. καὶ κατακλώθη ἡ εἱμαρμένη.

κατακολουθῶ δοτικῇ.

κατακοντίζω σε ἐπὶ πολέμου μετὰ αἰτιατικῆς.

κατακορής ἄχρι κόρου ἐσθίων· (Procop. Arc. 13) "σιτίοις καὶ ποτῷ κατακορὴς οὐδαμῇ γέγονεν, ἀλλὰ σχεδὸν ἄκρῳ δακτύλῳ γευσάμενος ἀπηλλάττετο."

κατακορὴς ξυνουσία ἐπιπλεονάζουσα. "ἐν τῷ διάπλῳ τούτῳ κατακορὴς γενομένη τῷ πάθει" (Procop. Arc. 1).

κατακόρου ἀπλήςυ· "ἅτε τοῦ τῶν γυναικῶν γένους καὶ λάλου καὶ κατακόρου ὄντος" (Polybius).

κατὰ κόρρης παίει αὐτόν.

κατακούω γενικῇ.

a κατάκρας ἐπίρρημα· Θυκυδίδης (4 112) "ὁ δὲ Βρασίδας ἐπὶ τὰ μετέωρα τῆς πόλεως ἐτράπετο, βυλόμενος κατάκρας καὶ βεβαίως ἑλεῖν αὐτήν." καὶ αὖθις "ἐλπίσαντες τὴν πόλιν ἔχεσθαι κατάκρας παραδιδόασι σφᾶς αὐτούς," ἀντὶ τοῦ ἐξ ὁλοκλήρου.

b κατάκρας ἐπίρρημα, διόλου, παντελῶς· "ὃ δὲ ἔλεγε μηδὲν ἔτι λείπεσθαι φυλακτήριον, τὸ μὴ οὐ κατάκρας ἁλῶναι τὴν πόλιν." εἰ μήποτε εἴη κατ' ἄκρας πόλεως, ἀντὶ τῦ κατ' ἀκροπόλεως.

κατὰ κράτος.

κατακρατῶ σου, γενικῇ.

κατακραυγάζω σου, γενικῇ.

κατάκρηθεν (Hom. Π 548) κατὰ κεφαλῆς.

κατακρίνω αἰτιατικῇ.

κατακροτεῖ ἄγαν ἐπαινεῖ.

κατακροῶμαι γενικῇ.

κατακωκῦσαι θρηνῆσαι.

κατὰ κῶλον κατὰ λέξεις.

κατακωμῳδῶ αἰτιατικῇ.

κατακωχή ἡ κατάσχεσις· "καὶ αὐτὸ τὸ a
χωρίον ἐπιτείχισμα ἦν πρὸς κατακωχὴν τῆς χώρας." καὶ αὖθις (Damasc. Phot. p. 337 a) "τὴν δὲ εἶναι θείαν κατακωχὴν ἠρέμα διανοίγουσαν καὶ ἀποκαθαίρουσαν τὰ τῆς ψυχῆς ὄμματα."

κατακωχή. ἔνιοι ἀντὶ τοῦ κατοχή· (cf. b
v. Πρόκλος) "τὴν βίβλον Πρόκλου τὴν μητρῳακὴν εἴ τις μετὰ --- περὶ θεοῦ." "εἷς ἀνήρ, ὅνπερ ἀνῆκεν ἡ ἐξ Ἄρεως κατακωχή, ἐμονομάχει."

κατακώχιμοι· (Synes. p. 62 B) "μένυσι χρόνον ὑπόσυχνον τοῖς αὐλήμασι κατακώχιμοι," τουτέςιν ἁλωτοί.

καταλαβεῖν. εἴρηται καὶ ἐπὶ τάχυς ποδῶν τὸ καταλαβεῖν, ὅταν λέγωμεν "ὃ δὲ τὸν φεύγοντα διώξας κατέλαβεν." οἱ δὲ ῥήτορες καὶ ἐπὶ τοῦ κολάζειν· Ἀντιφῶν "μὴ ἀναίτιον καταλαβόντες τὸν αἴτιον."

καταλαλιά ἡ εἴς τινας ὑπὸ τινῶν βλασφημία παρὰ τῷ ἀποςόλῳ (2 Cor. 12 20).

καταλαλῶ γενικῇ ἐπὶ ἐμψύχων· (Ps. 49) "καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις," καὶ (Ps. 77 19) "κατελάλησαν τῦ θεῦ, καὶ εἶπον." ἐπὶ δὲ ἀψύχων αἰτιατικῇ· "μὴ καταλάλει τὸν γειτνιῶντα, ἀλλὰ μᾶλλον τίμα."

καταλαμβάνω αἰτιατικῇ.

καταλάμπω αἰτιατικῇ.

καταλεγέσθω καταταττέσθω.

καταλέγω γενικῇ.

καταλείβει καταςάζει.

καταλεύσιμον τὸν ἄξιον τοῦ καταλευσθῆναι εἶπε Δείναρχος ἐν τῷ κατὰ Λυκούργου. cf. v. λευςήρ.

καταλήζεται διαρπάζει.

καταληπτικός προκαταλαμβανόμενος τοὺς ἀκούοντας, ὥςε θόρυβον μὴ κινῆσαι. sch. A Eq. 1377).

καταληρῶ γενικῇ.

κατάληψις γνῶσις· Ἀριςοφάνης Νεφέ- a
λαις (317) "καὶ περίλεξιν καὶ κροῦσιν καὶ κατάληψιν." μυσικῶς δὲ ταῦτα εἶπε· λέγυσι γὰρ κατάληψιν, ἐπειδὰν καταλάβωσι τῷ πλήκτρῳ ἢ τοῖς δακτύλοις τὰς χορδὰς πλήξαντες, ὡς καὶ ἀποτείνεσθαι τὸν φθόγγον.

κατάληψις τὸ εὑρίσκειν τέχνην. b

καταλιμπάνω σε ἀφίημί σε.

καταλίπωμεν αὐθυπόταχτον.

καταλλάττω αἰτιατικῇ.

κατάλληλον ἁρμόδιον.

καταλλήλως ἀκολούθως, ἁρμοζόντως.

καταλογάδην τὰ πεζῷ λόγῳ γραφόμενα.

καταλογεύς. Ἀθηναίων συνεψηφισμένων ἑπτακισχιλίοις τῶν ἀςῶν ἐγχειρίσασθαι τὰ πράγματα τῆς πόλεως, ἦσάν τινες οἱ τὺς εἰς τοῦτο ἐπιτηδείυς καταλέξοντες· καὶ τῦτο εἰκὸς κληθῆναι καταλογίσασθαι. καὶ καταλογεὺς ὁ εἰς τῦτο τεταγμένος. cf. Thuc. 8 98.

καταλογιεῖται καταριθμήσει.

καταλογίζομαι αἰτιατικῇ.

κατάλογος ἡ ἀπογραφὴ τῶν ὀφειλόντων ςρατεύεσθαι, καὶ ἡ ἐξαρίθμησις. ὁ πίναξ ἐφ' οὗ ἐνέγραφον τῶν ἐκςρατευομένων τὰ ὀνόματα. Ἀριςοφάνης ⟨Eq. 1366⟩ "ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ, οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται," ἀντὶ τοῦ κατὰ ἄλλον σπυδήν. "ὁ δὲ Τραϊανὸς δύο ςρατεύματα, καὶ τοῦ μεγάλου καταλόγου καὶ ξενικά." "τὴν γάρ τοι πληθὺν καὶ τὺς ἐκ καταλόγου ἐῶ νῦν·" οὕτω φησὶν Αἰλιανός.

καταλογῶ σου, γενικῇ.

καταλούῃ καταναλίσκεις· Ἀριςοφάνης ⟨Nub. 836⟩ "σὺ δὲ ὥσπερ τεθνεῶτος καταλούῃ μου τὸν βίον." ἔθος γὰρ ἦν μετὰ τὸ ἐκκομισθῆναι τὸ σῶμα καθαρμῦ χάριν ἀπολούεσθαι τοὺς οἰκείους τοῦ τεθνεῶτος. ἢ εἰς τρυφὴν καταναλίσκεις· βίον δὲ τὴν περιουσίαν λέγει νῦν. ἢ εἰς τὰ λουτρὰ καταναλίσκεις, ἀπὸ μεταφορᾶς τῶν ὑδάτων. τὴν δὲ κατὰ πρόθεσιν ἐπιτατικῶς λαμβάνουσιν, ὡς ἐπὶ τοῦ καταφαγεῖν.

καταλοφάδια ⟨Hom. κ 169⟩ κατὰ τοῦ τραχήλου.

καταλοχίσαι εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ ςρατοῦ.

καταλύειν τὸν δῆμον ἀντὶ τοῦ βλάπτειν.

καταλῦσαι παρὰ Θυκυδίδῃ ⟨1 136⟩ ἐπὶ τῶν ὀχουμένων ἐπὶ ἅρματος, κατάγειν δὲ ἐπὶ νηός.

καταλύσας καταςρέψας, ἀφανίσας, ἢ εὐωχηθείς. τάττεται δὲ καὶ ἐπὶ τῆς τοῦ ἀπαγξαμένου κατενέξεως· οὐ γὰρ δεῖ λέγειν κυρίως κατενεγκεῖν ἐπ' αὐτοῦ, ἀλλὰ καταλῦσαι.

κατάλυσις ἡ οἰκία· Πολύβιος ⟨8 26⟩ "τῷ δὲ ἐπὶ τὴν Ῥωμαϊκὴν κατάλυσιν ἐπιγράψαντι τοῦτο θάνατον ὥρισεν Ἀννίβας τὴν ζημίαν."

καταλυττῶ γενικῇ.

καταλύω αἰτιατικῇ.

καταμαίνομαί σου.

καταμαλάττω αἰτιατικῇ.

καταμανθάνω αἰτιατικῇ.

καταμαρτυρῶ σου, γενικῇ.

καταμάχομαι αἰτιατικῇ.

καταμειδιῶν, γενικῇ, καταφρονῶν· ⟨Ioseph. B. I. 3 7 33⟩ "ὁ δὲ μηδὲν εἰπὼν τοῖς ἐρευνῶσιν ἀνεςαυρώθη, τοῦ θανάτου καταμειδιῶν."

καταμέμφομαι δοτικῇ· "καὶ τοῖς τοῦ θεοῦ ὅροις καταμεμφόμενοι." αἰτιατικῇ δὲ "πολλὰ τὸν βασιλέα Εὐμενῆ καταμεμψάμενοι."

καταμηλῶσαι λέγεται τὸ μήλην καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμόν, ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες, τὸν δάκτυλον καθιέντες εἰς τὸν λαιμόν. sch. A Eq. 1147: cf. s. κημὸν καταμηλῶν.

καταμηλῶσαι καλοῦσιν οἱ ἰατροὶ τὸ μήλην καθεῖναί που. ἦν δὲ καὶ παροιμία τις ἐπὶ τῶν τὰ ἄδηλα τεκμαιρομένων. λέγεται δὲ καταμηλοῦν καὶ τὸ βάπτειν ἔρια, ὅταν πιέζηται κινούμενα.

κατὰ μῆρ' ἐκάη ⟨Hom. Α 464⟩ κατεκάη τὰ μηριαῖα ὀςᾶ.

καταμησάμενος ἐπιβαλών, ἐπικαταχέας· Ἰώσηπος ⟨B. I. 2 21 3⟩ "ὁ δὲ περιρρήξας τὴν ἐσθῆτα καὶ καταμησάμενος τῆς κεφαλῆς κόνιν."

καταμνημονεύω αἰτιατικῇ.

καταμόνας ἐπίρρημα. καὶ καταμοναχῶ αἰτιατικῇ.

καταμυθεύω αἰτιατικῇ.

καταμύουσι κλείονται.

καταμωκώμενός μου χλευαζόμενος.

καταμωλωπίζω.

καταναγκάζω αἰτιατικῇ.

καταναγκη.

Καταναῖος ὁ ἀπὸ Κατάνης.

καταναισχυντῶ γενικῇ.

καταναλίσκω αἰτιατικῇ.

κατανάλωσε καὶ κατηνάλωσε τὸ αὐτό.

καταναρκῶ γενικῇ.

καταναςάς· ⟨Polyb. 1 46⟩ "ὁ δὲ διὰ τὸ

τάχος τῆς εἰρεσίας ἀπέπλευσε, καταναυάς μιᾷ νηὶ παντὸς τοῦ τῶν ἐναντίων στόλου," ἀντὶ τοῦ ὑπερβαλών, ὑπερνικήσας.

καταναυμαχῶ αἰτιατικῇ.

κατὰ ναῦν κατὰ τάξιν. εἴρηται δὲ ἀπὸ τῆς παροιμίας "κατὰ ναῦν τὰ ἄρμενα."

κατανδρίζεσθαι, γενικῇ, καταπαλαίειν.

κατανεανιεύεται κατισχύει, ἢ καυχᾶται.

κατανομισεύσας νόμισμα ἐργασάμενος· ⟨Ioseph. B. I. 1 18 4⟩ "ὁ δὲ κατὰ σπάνιν ἤδη χρημάτων ὅσον εἶχε κόσμον κατανομισεύσας, Ἀντωνίῳ καὶ τοῖς περὶ αὐτὸν ἔπεμψε."

κατὰ νοῦν, τουτέστι θυμῆρες· "οἰόμενος, ὁπότερον γένοιτο, κατὰ νοῦν αὐτῷ ἔσεσθαι."

κάταντα ⟨Hom. Ψ 116⟩ κατωφερῆ.

καταντήσωσι παραγένωνται· ⟨Diodor. t. 2 p. 622⟩ "τότε ποιήσεται πρὸς αὐτοὺς τὰς ὑπὲρ τῆς εἰρήνης συνθήκας, ὅταν οἱ βασιλεῖς αὐτῶν καταντήσωσι πρὸς αὐτόν."

καταντλοῦμαι τοῖσδε. καταντλῶ σε δὲ τάδε.

κατανυγείς λυπηθείς, μεταγνούς. καὶ κατανυγῶ ἀντὶ τοῦ σιωπῶ· Δαβίδ ⟨Ps. 29 12⟩ "ὅπως ἂν ψάλλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ," ἀντὶ τοῦ σιωπήσω.

κατανυγῆς αὐθυπότακτον.

κατανυγῶ. ὁ μὲν γὰρ Χρυσόστομος ἀντὶ τοῦ οὐ μὴ μεταβληθῶ, οὐ μὴ μετασῶ. καὶ ὁ ἀπόστολος ⟨Rom. 11 8⟩ "ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως." οὐκ ἐνέργειαν δηλοῖ, ἀλλ' ἀντὶ τοῦ συνεχώρησε. τὴν γὰρ ἐπὶ τὸ χεῖρον ἕξιν τῆς ψυχῆς φησί, τὴν ἀνιάτως ἔχουσαν καὶ ἀμεταθέτως· ὥσπερ γὰρ ὁ ἐν εὐλαβείᾳ κατανενυγμένος οὐκ ἂν εὐκόλως μετασῇ, οὕτω καὶ ὁ ἐν πονηρίᾳ κατανυγεὶς οὐκ ἂν ῥᾳδίως μεταβάλοιτο. ὁ δὲ Ἰσίδωρος ⟨4 101⟩ ἀντὶ τοῦ οὐ μὴ καταπλαγῶ, οὐ μὴ μεταστῶ.

κατανωτίσασθαι ἀντὶ τοῦ κατὰ νώτου φέρειν. ⟨Damasc. Phot. p. 346 a⟩ "μηδὲ τὴν τοῦ Πλουτάρχου κατανωτίσασθαι κρίσιν, μηδὲ αὖ μεῖζον φρονεῖν τῆς κοινωφελοῦς προαιρέσεως," ἀντὶ τοῦ καταφρονεῖν, ὀπίσω ῥίπτειν.

καταξαίνειν εἰς φοινικίδα. Ἀριστοφάνης "τί - - - ἄνθραξ" ⟨cf. v. φοινικίδα⟩.

καταξαινόμενοι μαστιζόμενοι· "πληγαῖς καταξαινόμενοι ὑπὸ τῶν ἀρχόντων οἱ ἄνθρωποι, καὶ ἔξωθεν ὑπὸ τῶν πολεμίων ἀναιρούμενοι, τὴν ἑτοιμοτάτην τῶν βαρβάρων ἡροῦντο τελευτὴν πρὸ τῆς ἐκθέσμου τε καὶ ἀσελγεστάτης παρατεινούσης τε καὶ τὸν ὀδυνηρὸν ἐχούσης χρόνον."

καταξαίνων κατατρίβων· "καὶ ἐν τούτοις τὸν ἅπαντα αὐτοῦ καταξαίνων βίον."

κατάξηροι ὄνειροι μὴ ἔχοντες λαβάς. Artemid. 1 11.

καταξιοπιστεύεσθαι· ⟨Polyb. 12 17⟩ "ἵνα δὲ μὴ δόξωμεν τῶν τηλικούτων ἀνδρῶν καταξιοπιστεύεσθαι, μνησθησόμεθα μιᾶς παρατάξεως."

καταξιοῦντες τιμῆς ἀξιοῦντες· "οἱ δὲ οὐ καταξιοῦντες τὸν Τίμαρχον, διὰ τὸ συνειδέναι τίς ἦν, οὐ προσεδέξαντο."

κατὰ ξυμφορὰν κατὰ συντυχίαν.

καταπαίζω σου, γενικῇ.

καταπαλαίω σε, καὶ καταπανουργεύω αἰτιατικῇ.

κατάπασος κατάμεστος, πλήρης, καταπεποικιλμένος. ⟨A Eq. 505⟩ "πράξειας κατὰ νοῦν τὸν ἐμόν· πάλιν ὡς ἡμᾶς ἥξεις στεφάνοις κατάπαστος."

καταπάσω καταποικιλῶ, πληρώσω· Ἀριστοφάνης ⟨Eq. 99⟩ "ἣν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω."

κατὰ πατέρα καὶ μητέρα· "ὁ δὲ Ὀνόουλφος ἔφυ ἐξ ἐθνῶν κατὰ πατέρα μὲν Θορίγγων, τῶν δὲ Σκίρων κατὰ τὴν μητέρα." cf. v. Ἀρμάτιος.

καταπατῶ αἰτιατικῇ.

κατάπαυσις ἡ γῆ τῆς ἐπαγγελίας· Δαβὶδ ⟨Ps. 94 12⟩ "εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου."

κατάπαυσις ἡ τοῦ σαββάτου, ἐν ᾗ ὁ θεὸς κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, καὶ καθ' ἣν Ἰουδαῖοι εἰσῆλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας. καὶ ἡ τῶν οὐρανῶν βασιλεία. Chrysostom. 6 in Hebr. 3 11.

καταπαύω αἰτιατικῇ.

καταπειθὲς πειθήνιον· "ἄλλως τε ἀτάσθαλον εἶναι καὶ οὐδαμῇ καταπειθὲς τοῖς ἐξηγουμένοις."

καταπειράζω γενικῇ καὶ αἰτιατικῇ.

καταπέλτης εἶδος κολαστηρίου. καὶ καταπελτάσουσιν ἀντὶ τοῦ ἀκοντίσουσι, καταπολεμήσουσι· πέλτη γὰρ εἶδος μηχανῆς, ἀφ' ἧς ἀκόντια καὶ ἄλλα τινὰ ἀφιᾶσιν. ἢ καταδραμοῦνται· πέλτη γὰρ ἀσπὶς μικρά, μὴ

ἔχουσα ἱμάντα (sch. A Ach. 159). καὶ **καταπελταφέται** οἱ ταῦτα πέμποντες (cf. v. ἀφάπτειν). ὁ δὲ λογοθέτης λέγει ἐν τῷ τοῦ ἁγίου Θύρσου μαρτυρίῳ "δεσμοῖς χειρῶν, καταπέλταις ποδῶν."

καταπέπτωκεν ἐπτώθη.

καταπέρπερος.

καταπεσών (A Av. 89) ἀντὶ τοῦ φοβούμενος.

καταπέττει καταράττει, καταβάλλει.

καταπεφρόντικα εἰς τοὺς φροντιστὰς ἀνάλωσα, εἰς τὴν παίδευσιν καταδεδαπάνηκα· Ἀριστοφάνης Νεφέλαις (856) "θοἰμάτιον ἀπώλεσας; ἀλλ' οὐκ ἀπολώλεκ' ἀλλὰ καταπεφρόντικα." πρὸς τὸν υἱὸν λέγει ὁ πρεσβύτης.

καταπῆγας τὰ πηγνύμενα ξύλα ἐν τοῖς ὕδασιν· "ἐπὶ τὰ ὑποκείμενα οὐχ οἷά τε ἦν καταπῆγας δέχεσθαι, ὑφ' ὧν ἔδει συνέχεσθαι τὰ ἐπὶ τοῦ ῥεύματος καθιέμενα."

καταπηδῶ αἰτιατικῇ.

καταπημήνειε καταβλάψειε.

κατὰ πῆχυν ἐπεδίδου, ἐπὶ τῶν ἐπὶ τὰ κρείττω προκοπτόντων· "ὁ δὲ φιλόσοφος ἀνεμπόδιστος εἰς ἐπίδοσιν διετέλει, καὶ ἐπεδίδου κατὰ πῆχυν ὡς φάναι ἀτεχνῶς, ἄχρι τοῦ πανικοῦ (an πανοικίου) δυστυχήματος."

καταπίονα (Hom. Λ 40) λιπαρά.

καταπλῆγες κατεπτηχότες· "τούτων δὲ γενομένων οἱ ἐναντίοι καταπλῆγες ἦσαν."

καταπλὴξ ὁ συνεχῶς πεπληγμένος· Θεόπομπος "ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει, ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ τὴν τέχνην." Harp.

καταπληστεύω γενικῇ καὶ αἰτιατικῇ.

καταπλήττω αἰτιατικῇ.

κατὰ πόδα παραυτά, κατὰ τάξιν.

κατὰ ποδὸς βάσιν παροιμία ἐπὶ τῶν κατὰ μικρόν τι πραττόντων καὶ κατὰ τέχνην καὶ μὴ ἀθρόως.

καταπολαύω γενικῇ.

καταπολεμῶ σε.

καταπολιτεύομαί σε, **καταπολιτεύω** σοι δὲ δοτικῇ.

καταποντωθῆναι κινδυνεῦσαι.

καταπορευθέντων ἐπανόδου τυχόντων τῶν φυγάδων· Πολύβιος "ἦν οὐχ οἷόν τε ἀναλαβεῖν μὴ οὐχὶ καταπορευθέντων τῶν πεφυγαδευμένων."

καταπορνεύω γενικῇ.

κατὰ ποσὸν πλεονάκις.

καταπότης λάρυγξ.

καταπραγματεύω καὶ **καταπραγματεύομαι** γενικῇ.

καταπρησθῇ κατακαυθῇ· "κελεύσαντος Κύρου ἵνα καταπρησθῇ ζῶν."

καταπροήσεται καταπροδώσει· "ὠμοσάτην ὅσοι δεινότατοι χριστιανοῖς ὅρκοι ὀνομάζονται, μή ποτε ἀλλήλων καταπροήσεσθαι ἄχρι τῶν ἐς ὄλεθρον φερόντων κινδύνων." cf. v. δεινοί.

καταπροθυμοῦμαι αἰτιατικῇ.

καταπροΐεμαι αἰτιατικῇ.

καταπροίξεται καταφρονήσει, καταπροδώσει. οἷον προῖκα ἐκφύγοι. "οὔτοι καταπροίξῃ, μὰ τὸν Ἀπόλλω, τοῦτο δρῶν" Ἀριστοφάνης (Vesp. 1357). "οὔτοι, μὰ τὼ θεώ, σὺ καταπροίξῃ λέγουσα ταυτί" (Th. 573), ἀντὶ τοῦ καταγελάσῃ μου χωρὶς ζημίας· προῖκα γὰρ ἔλεγον τὴν ζημίαν. Ἡρόδοτος (3 156) "οὐ γὰρ δὴ ἐμέ γε ὧδε λωβησάμενος καταπροΐξεται."

καταπροΐξεται. ἡ πρό ἀντὶ τῆς παρά. προϊχνεῖσθαι. τινὲς δὲ ἀπὸ τοῦ ἵξεσθαι, ὅ ἐστι δωρεάν τινα λαβεῖν· Ἀρχίλοχος "ἐμοῦ δ' ἐκεῖνος οὐ καταπροΐξεται." Ἡρωδιανὸς δὲ ἐν ἐπιμερισμοῖς παρὰ τὸ ἴσσω φησί· καὶ Ἀρχίλοχος "προτείνω χεῖρα καὶ προΐσσομαι."

καταπροίξῃ, τουτέστιν οὐ μὴ καταφρονήσεις. πεποίηται δὲ παρὰ τὴν προῖκα, οἷον οὐ δωρεάν μοι ἐγχανῇ.

κατὰ πρόσκλισιν (1 Tim. 5 21) καθ' ἑτεροβάρειαν ἢ ἑτερομέρειαν.

κατάπτυστον εὐτελές, μισητόν. "τὸ δὲ ταραντινίδιον λεπτόν τε ὂν καὶ ἀσθενές, ἐπεὶ μόνον ἐτάθη, κᾆτα ἀπορρήγνυται. ἣ δὲ περιαλγεῖ, καί φησιν 'ὦ κατάπτυστόν τε καὶ ἐπίρρητον ῥάκος, οὐδὲ εἰς ταύτην μοι τὴν χρείαν ἐπιτήδειον ἐγένου.' καὶ ῥίψασα αὐτὸ ξίφει ἑαυτὴν διεχρήσατο." cf. v. ταραντινίδιον et Plutarch. Lucull. 18.

καταπτύω σου, γενικῇ.

καταπύγους κιναίδους.

καταπυγῶν κατασελγαίνων.

καταπύγων ὁ λάγνης. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀλφηστῶν οὕτως λεγομένων ἰχθύων, ὅτι ἕπονται κατ' οὐράν. ἡ γενικὴ δὲ καταπύγονος, καὶ καταπύγονα ἡ αἰτιατικὴ καὶ αἱ ἄλλαι πτώσεις εὕρηνται. εὕρηται καὶ τὸ θηλυκὸν καταπύγων. καὶ ἡ πρᾶξις **καταπυγοσύνη**, τουτέστιν ἡ μαλακία.

καταπυγωνέστερον μαλακώτερον, πορνικώτερον· ⟨A Lys. 777⟩ "οὐκέτι δόξει τι ἄλλο καταπυγωνέστερον εἶναι."

καταπυνθάνομαι γενικῇ.

κατὰ πύστιν· "ναῦται δέ τινες κατὰ πύστιν ἐγχώριοι ἥκοντες οὐκ ἐδύναντο κεκρυμμένον ἀνιχνεῦσαι· ἀπεκέκρυπτο γάρ." κατὰ πύστιν οὖν κατὰ φήμην.

κατὰ ῥάβδον ἔφρασε κατερραψῴδησεν, ἢ κατὰ στίχον διῆλθεν.

καταράκτης εἶδος ὀρνέου θαλασσίου.

κατάρατος κατάρας ἄξιος· "οὕτω μὲν οὖν ὁ κατάρατος συνήθως τὸν ἄνθρωπον ἐκήλει."

καταργῶ αἰτιατικῇ.

κατάρδων χέων ὑποσχέσεις, καὶ καταβρέχων ὑμᾶς τοῖς ἐπαίνοις ὡς φυτά, Ἀριστοφάνης ⟨Ach. 656⟩. οὐκ ἀπατῶν, οὐδέ τισι μισθοὺς διδούς, ἵνα αὐτὸν ἐπαινέσωσιν. "οὔτε κατάρδων, ἀλλὰ τὰ βέλτιστα διδάσκων."

καταρητορεύω.

καταριπόω. cf. v. κατερείπω.

κατὰ ῥοῦν κατὰ τρόπον, κατ' εὐθεῖαν· "πλήρης τε γὰρ ἡ σελήνη ἐτύγχανεν οὖσα, καὶ οὐ χαλεπὸν ἦν διὰ πάσης τῆς νυκτὸς κατιέναι κατὰ ῥοῦν."

καταρρᾳθυμῶ γενικῇ καὶ αἰτιατικῇ.

καταρράκται πέτραι ἐν τῷ Ἴστρῳ ποταμῷ, ὄρους τρόπον τινὰ ὑπὸ τῷ ῥεύματι ἐπὶ παντὸς τοῦ πλάτους ὑποπεφυκότος, οἷς ἅπασιν ὁ ποταμὸς ἐμπίπτων μετὰ μεγίστου πατάγου ἀνακόπτεται, καὶ καχλάζων περὶ ταῖς πέτραις, ἔπειτα ὑπερφερόμενος ἑλιγμούς τε καὶ παλιρροίας καὶ χαρύβδεις κυκλουμένου τοῦ ῥεύματος ἀποτελεῖ. καὶ τὸ σύμπαν ὁ ποταμὸς κατὰ ταῦτα τὰ χωρία οὐ πολὺ ἀπέοικε τοῦ κατὰ Σικελίαν πορθμοῦ.

καταρραψῳδήσει φλυαρήσει.

κατάρρησις κατάγνωσις.

καταρτίζω, αἰτιατικῇ, τελειῶ.

καταρτύσων παρασκευάσων, εὐτρεπίσων· Σοφοκλῆς ⟨OC 71⟩ "ὡς πρός τι λέξων ἢ καταρτύσων μολεῖν;" καὶ Ὅμηρος ⟨λ 439⟩ "Κλυταιμνήστρα δόλον ἤρτυε."

καταρχάς.

κατάρχω σου, γενικῇ.

καταρῶμαι αἰτιατικῇ· ⟨Numer. 24 9⟩ "οἱ καταρώμενοί σε κεκατήρανται." δοτικῇ δέ "οὐ γὰρ τοῖς πρώτως ἐπαινέσασιν ἡμᾶς καταράσομαι."

κατασείει, αἰτιατικῇ, καταράττει, καταβάλλει.

κατασίνεσθαι καταβλάπτειν.

κατασκαφεῖ δοτικῇ.

κατασκεδάζειν γενικῇ. ἔθος ἦν Θρᾳκίον ἐν τοῖς συμποσίοις, ἵνα, ὅταν πίωσι τοῦ οἴνου οἱ συμπόται ὅσον δύνωνται, τὸ λοιπὸν τοῦ οἴνου καταχέωσι κατὰ τῶν ἱματίων τῶν συμποτῶν· ὅπερ ἔλεγον κατασκεδάζειν. οὕτω Ξενοφῶν ἐν τῷ ζ' τῆς Κύρου ἀναβάσεως. μέμνηται τούτου καὶ ὁ μέγας Πλάτων ἐν τοῖς Νόμοις ⟨p. 637E⟩. καὶ ὁ μὲν Ξενοφῶν λέγει ⟨Anab. 7 3 32⟩ "ἀναστὰς ὁ Σεύθης συνέπιε, καὶ συγκατεσκέδασε τῶν μετ' αὐτοῦ τὸ κέρας."

κατασκευάζειν παρὰ Ἀριστοτέλει τὸ καθόλου δεικνύναι ἀλλὰ μὴ ἀναιρεῖν τὸ τιθέμενον· μάλιστα γὰρ κατασκευάζειν ἐπὶ τοῦ καταφατικῶς τιθεμένου λέγεται. "ἀδικώτατον δὲ καὶ κακοπραγμονέστατον περὶ τὰς τῶν φίλων κατασκευάς."

κατασκηνῶ αἰτιατικῇ.

κατασκήψαντος ἐμπεσόντος.

κατασκιδναμένη κατασκορπιζομένη.

κατασκιρτῶ γενικῇ.

κατὰ σκοπόν κατὰ τὸ προκείμενον, δέον.

κατασκυθρωπῶ γενικῇ.

κατασοβαρεύομαι γενικῇ.

κατασοβεῖται καταδιώκεται, καὶ κατασοβήσονται καταδιωχθήσονται.

κατασοφισθεῖσα χλευασθεῖσα.

κατασοφισόμεθα ⟨Exod. 1 10⟩, αἰτιατικῇ, τεχνασόμεθα, μηχανῇ τινὶ κακώσομεν. κατασοφιστεύω δὲ γενικῇ.

κατασπάζομαι αἰτιατικῇ.

κατασπᾶν. ἰδίως ἐπὶ τῶν θηλαζόντων βρεφῶν τοῦτο λέγεται, παρὰ τὸ ἐπισπᾶν καὶ ἐφέλκειν τὸ [illegible]άλα. sch. A Eq. 715.

κατασπαταλῶ ⟨Amos 6 4⟩ αἰτιατικῇ.

κατασπείρας ἀρχὴν κακῶν παρασχών· τὸ γὰρ σπείρας ἐπὶ πλήθους κακῶν τακτέον. "ὅσας ἀνίας μοι κατασπείρας φθίνεις" Σοφοκλῆς ⟨Ai. 1005⟩.

κατασπείρω τὸ φυτεύω, γενικῇ.

κατασπέρχων ⟨A Ach. 1187⟩ σπουδάζων.

κατασπεύσαντα κακῶς βουλευθέντα, ἐχθρὰ βουλευσάμενον· "αἴτιον δὲ τούτων Εὐφήμιον οἷα εἰς πολιτείαν καὶ εἰς βασιλείαν κατασπεύσαντα καὶ τοῖς τυραννοῦσι συμφραξάμενον."

κατὰ σπουδήν μετὰ συντεταμένης προθυμίας· "εἰποῦσα ταῦτα ἐδόκει κατὰ σπουδὴν εὐθὺ Λιβάνου τοῦ ὄρους ἀναδραμεῖν" ⟨cf. v. βρύει⟩.

κατασπώμενος καθελκόμενος.

κατας άζω γενικῇ.

καταςάς προβληθείς, προχειρισθείς. "ὁ δὲ Ἐσδρίαυγος ὑπὲρ πάντων καταςὰς ἔλεξεν ὧδε" ⟨cf. v. Ἐσδρίαβος⟩.

καταςασιάζεσθαι, αἰτιατικῇ, παραβλάπτεσθαι· "καταςασιάζεσθαι γὰρ ἑαυτὸν ἀπεφαίνετο παρὰ πᾶν τὸ δίκαιον ὑπὸ τῆς συγκλήτου" ⟨Diodor. t. 2 p. 631⟩.

κατάςασις. ἔοικεν ἡ κατάςασις ἀργύριον εἶναι, ὅπερ οἱ καταςαθέντες ἱππεῖς ἐλάμβανον ἐκ τοῦ δημοσίου ἐπὶ τῇ καταςάσει. οὕτω Λυσίας ⟨16 6⟩. ἀλλὰ καὶ Εὔπολίς φησιν "οὐκ ἐσωφρόνησας, ὦ πρεσβῦτα, τὴν κατάςασιν τήνδε λαμβάνων ἄφνω, πρὶν καὶ μαθεῖν τὴν ἱππικήν." ἀπεδίδοτο δὲ τὸ ἀργύριον ὑπὸ τῶν ἱππευσάντων, ὅτε ἀντ' αὐτῶν ἕτεροι καθίσαντο. ἀπῄτουν δὲ αὐτὸ οἱ φύλαρχοι. Harp.

καταςάτης· Σοφοκλῆς ⟨El. 72⟩ "ἀλλ' ἀρχέπλουτον καὶ καταςάτην δόμων" ἀντὶ τȣ̃ εὐτρεπιςήν.

καταςείλας ἀντὶ τοῦ κατασιγάσας· "ὁ δὲ τῇ χειρὶ καταςείλας τὸν θόρυβον αὐτῶν ἔφη."

καταςέλλω, αἰτιατικῇ, καταπραΰνω.

καταςενάζω γενικῇ.

κατάςεψον πέδον ἀντὶ τοῦ μεθ' ἱκετηριῶν ἀφηγοῦ· "τὸ πρῶτον ἵκου καὶ κατέςεψας πέδον" ⟨S OC 467⟩. ςέμματα ἔλεγον καὶ τὰ ἔρια· "ᾧ ςέμματα ξήνασ' ἐπέκλωσεν θεά" ⟨Eur. Or. 12⟩.

καταςήσονται ἀποδείξουσιν· "ὅπως φύλαρχον τοῖς Ὁμηρίταις καταςήσονται τοῦτον."

καταςοιχειῶ γενικῇ.

καταςολή ἡ ςολή.

κατὰ ςόμα ⟨Hom. O 389⟩ κατὰ τὴν ἀρχήν, μεταφορικῶς.

καταςοχάζεται, γενικῇ, κατὰ σκοποῦ βλέπει, κατὰ σκοποῦ βάλλει.

καταςράπτω γενικῇ.

καταςρατεύω γενικῇ.

καταςρατηγῶ αἰτιατικῇ.

καταςρατοπεδεύω γενικῇ.

καταςρέφω αἰτιατικῇ. καὶ καταςρέψαντες τελευτήσαντες.

καταςρηνιῶ ⟨1 Tim. 5 11⟩ γενικῇ.

καταςροφή τέλος.

κατὰ σφέας ⟨Hom. B 366⟩ καθ' ἑαυτάς.

κατασχεδιάσω, γενικῇ, καταφλυαρήσω, ψεύσομαι· "ἐγὼ δὲ φρουρᾶς μείζονος δέομαι, εἰ κατασχεδιάσω τοῦ θεοῦ" Ἰώσηπος ⟨cf. v. Ἰώσηπος⟩.

κατάσχῃ αἰτιατικῇ, αὐθυπόταχτον· "καὶ οὐ κατασχὼν τῆς χαρᾶς παρελύθην τοὺς τόνους ἀθρόον τοῦ σώματος" ⟨Nilus p. 106⟩.

κατὰ σχολήν ἀντὶ τοῦ μόλις, ἢ ἀψοφητί· "κατὰ σχολὴν παρὰ τἀνδρὸς ἐξελθεῖν μόνη" ⟨A Eccl. 48⟩.

κατάτασις ἡ ἔπειξις, ἡ σφοδρότης· "ὁ δὲ τούτους συλλαβὼν αἰκίζεται λύμῃ πάσῃ καὶ κατατάσει" ⟨cf. v. λύμη⟩.

καταταχῆσαι προφθάσαι· "μήτε καταταχῆσαι δυναμένην."

καταταχήσων τῷ τάχει ὑπερβαλών· Πολύβιος ⟨1 47⟩ "τὸ μὲν οὖν πρῶτον ὥρμησεν ὡς καταταχήσων, καταπροτερούμενος δὲ τῶν ἐπιβατικῶν" ἀντὶ τοῦ νικώμενος "ἐγένετο ὑποχείριος."

κατατάχος.

καταταχούμενοι κατεπειγόμενοι· "καταταχούμενοι δὲ ὑπὸ τοῦ καιρȣ̃ ἠναγκάσθησαν ὑπομένειν τὸν ἐπίπλουν."

κατατεθήπεσαν κατεθαύμασαν, ἐξεπλάγησαν.

κατατείνας ἐρῶ ἀντὶ τοῦ μακρὸν λόγον διεξελεύσομαι· Πολιτείας δευτέρῳ ⟨p. 358 D⟩ "διὸ κατατείνας ἐρῶ." "ὁ δὲ ςρεβλούμενος καὶ κατατεινόμενος τἀληθῆ λέγει" ⟨cf. v. ςρεβλούμενος⟩. καὶ αὖθις "καὶ κατατεινομένω ταῖς ςρέβλαις ὑπὲρ τοῦ κατειπεῖν τοὺς συνεγνωκότας, οἱ δὲ ἐμπρίσαντες τοὺς ὀδόντας τοῦ εἶξαι τῷ τυράννῳ γεγόνασι κρείττους."

κατατείνουσαν μακρότητα παρέχουσαν· "χαλεπὸν ἔδοξεν εἶναι χώραν ἀμειψαμένοις ἔρημόν τε καὶ χρόνου πολλοῦ ὁδὸν κατατείνουσαν ἰέναι" ⟨Procop. Pers. 1 20⟩.

κατατέλεα παρὰ Ἡροδότῳ ⟨1 103?⟩ τὰ ἀναλώματα, καὶ τὰ συνέδρια τῶν ἐν ἀρχαῖς, καὶ τὸ συντελεῖν εἰς τάγμα.

κατὰ τὴν ἀγορὰν ἀψευδεῖν. ἔοικε νόμος περὶ ὠνίων κεῖσθαι, ὃς κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ. Θεόφραςος γοῦν ἐν τοῖς περὶ νόμων φησὶ δυοῖν τούτων ἐπιμελεῖσθαι δεῖν τοὺς ἀγορανόμους, τῆς τε ἐν τῇ ἀγορᾷ

εὐκοσμίας καὶ τοῦ ἀψευδεῖν μὴ μόνον τοὺς πιπράσκοντας ἀλλὰ καὶ τὺς ὠνυμένους. Harp.

κατατίθημι δοτικῇ.

κατατιλᾷ· ⟨A Ran. 359⟩ "ἢ κατατιλᾷ τῶν ἑκαταίων, κυκλίοισι χοροῖσιν ὑπᾴδων." κατετίλησε γὰρ τῶν τῆς Ἑκάτης μυςηρίων. τοῦτο δὲ εἰς Κινησίαν τὸν διθυραμβοποιὸν ἀποσκώπτει· οὗτος γὰρ ᾄδων κατετίλησε τῆς Ἑκάτης. ἢ ὅτι εἰσήνεγκε δρᾶμα, καὶ κατετίλησεν αὐτῆς. ἢ ἐπειδὴ ἠρυφίασε ⟨an ἐγεφυρίασε⟩ ποίημα γράψας εἰς Ἑκάτην.

a κατὰ τὸ καρτερόν ἀντὶ τοῦ ἰσχυρῶς· Ἀριςοφάνης ⟨Ach. 622⟩ "καὶ ναυσὶ καὶ πεζοῖσι, κατὰ τὸ καρτερόν."

b κατὰ τὸ καρτερόν ἀντὶ τοῦ καρτερῶς· "καὶ δὴ συμμίξας ἐμάχετο κατὰ τὸ καρτερόν, οὐχ ἧττόν τε ἔσχε τῷ πολέμῳ."

κατατολμῶ γενικῇ.

κατατομή· Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους "καὶ καθήμενος ὑποκάτω ὑπὸ τῇ κατατομῇ," καὶ Φιλόχορος "καὶ ἐπέγραψεν ἐπὶ τὴν κατατομὴν τῆς πέτρας." Harp.

κατατοξεύω αἰτιατικῇ.

κατὰ τὸ πρὸς Ῥωμαίους ἔχθος Λιβύων καὶ Γαλατῶν συνιςαμένων."

κατατραυματίζω σε.

κατατρεχόντων ληιζομένων, πορθούντων· "τῶν δὲ Οὔννων τὰς Ῥωμαϊκὰς πόλεις κατατρεχόντων, πολλὰς παραςήσασθαι πόλεις." "καὶ πᾶσαν τὴν πόλιν πυρπολοῦντας καταδραμεῖν."

κατατρέχω ἐπὶ μὲν ἐμψύχων γενικῇ, "κατατρέχω νεβρῶν," ἐπὶ δὲ ἀψύχων αἰτιατικῇ, "κατατρέχει Αἴγυπτον, ληίζεται Συρίαν."

κατατρίψειν καταδαπανήσειν, χρονιεῖν· "οὐ γὰρ ἐδόκει αὐτῷ τὸν ἐν Τυρρηνίᾳ πόλεμον ἀτελῆ καταλείποντι περὶ τῶν ἐκείνῃ πόλεων πραγματεύεσθαι, δεδοικότι μὴ κατατρίψειεν ἅπαντα τὸν τῆς ἀρχῆς χρόνον ἐ πολὺν ὄντα περὶ τὰς ἐλάττους ἀσχολέμενος πράξεις."

κατατροποῦμαι αἰτιατικῇ.

κατατρυφή καταφυγή. "ἀλλ' ἐρῶ· οὐ γὰρ ἔχω κατατρυφήν," ἀντὶ τοῦ ἀποφυγὴν τοῦ μὴ εἰπεῖν.

κατατρυφῶ γενικῇ.

κατατρύχειν ἐλαττοῦν, πιέζειν· "οὐκ ἔξιν ἀνδρῶν κατατρύχειν ἑαυτοὺς μερίμναις ταῖς κινδύνους οὐκ ἐχούσαις."

κατατωθάζω αἰτιατικῇ.

καταυγάζω.

καταυθαδίζω γενικῇ.

καταυλούμενοι χλευαζόμενοι· "ἀφῃρέθησαν δὲ οἱ Λακεδαιμόνιοι τῶν τειχῶν γελώμενοί τε καὶ καταυλούμενοι."

κάταυχμον· ⟨Theophyl. Sim. 5 4⟩ "ἦν δὲ τὸ φρούριον τῷ καταύχμῳ τῆς ὑδρεύσεως ἁλωτὸν τοῖς πολεμίοις."

καταφαγεῖν, καταπιεῖν. φαγεῖν διαφέρει τοῦ καταφαγεῖν· φαγεῖν μὲν τὸ τάξει, καταφαγεῖν δὲ τὸ ἀθρόως, καταπιεῖν δὲ τὸ μηδὲ μασώμενον ἐσθίειν. sch. A Pac. 5.

καταφάναι κατειπεῖν.

κατάφασις πρόρρησις διὰ συγκαταθέσεως.

καταφάσκει προλέγει, ἐπινεύει.

καταφιλονεικῶ αἰτιατικῇ.

καταφιλοσοφῶν, γενικῇ, διὰ τῆς σιγῆς νικῶν.

καταφλυαρῶ γενικῇ.

καταφορικῶς σφοδρῶς.

καταφρόνησιν ὁ Θουκυδίδης ⟨1 122⟩ τὴν ὑπερφρόνησίν φησιν· ἐπίτασιν γὰρ ἡ κατά πρόθεσις σημαίνει. οἷον, οὐ δύνασθε εἰπεῖν ὅτι διὰ τὸ ἔχειν τὰ τρία ταῦτα, οἷον ἀξυνεσίαν μαλακίαν ἀμέλειαν, οὐ πολεμοῦμεν, ἀλλὰ διὰ τὴν καταφρόνησιν, ὃ ἔςι διὰ τὸ ἄγαν φρονεῖν καὶ οἷον ὑπερφρονεῖν. καταφρόνησιν γὰρ τὴν ἀφροσύνην λέγει.

καταφρονῶ γενικῇ.

καταφρυάττομαι γενικῇ.

καταφωρᾶν ἐλέγχειν.

κατάφωρος φανερός.

καταφωτίζω αἰτιατικῇ.

καταχαίρων· Ἡρόδοτος ⟨7 239⟩ "πάρεςι δ' εἰκάζειν εἴτε εὐνοίῃ ταῦτα ἐποίησας εἴτε καταχαίρων," περὶ Δημαρήτου.

καταχαλῶ σου γενικῇ.

κατὰ χεῖρας εὐκόλως.

κατὰ χειρὸς ὕδωρ λέγουσιν, οὐ κατὰ χειρῶν, οὐδ' ἐπὶ χεῖρας, οὐδὲ ἄλλως πως. καὶ τὸ ῥᾷςον πάντων καὶ εὐχερέςατον κατὰ χειρὸς ὕδωρ καλοῦσιν. οὕτω Τηλεκλείδης ἐν Ἀμφικτύοσιν "εἰρήνη μὲν πρῶτον ἁπάντων ἦν ὥσπερ ὕδωρ κατὰ χειρός." ⟨A Av. 463⟩ "φέρε παῖ ςέφανον. κατὰ χειρὸς ὕδωρ φερέτω τις." ὃ δὲ λέγει "δειπνήσειν μέλλομεν, ἢ τί;" τὸ γὰρ παλαιὸν τοῖς εὐωχουμένοις περιέκειντο ςέφανοι, καταψύχοντες τὸ κρανίον ἀπὸ τῆς τοῦ οἴνου μέθης καὶ θέρμης.

Digitiz Goo

καταχειροτονίαν. ἔθος ἦν Ἀθήνησι κατὰ τῶν ἀρχόντων καὶ κατὰ τῶν συκοφαντῶν προβολὰς ἐν τῷ δήμῳ γίνεσθαι· εἰ δέ τις καταχειροτονηθείη, οὗτος εἰσήγετο εἰς δικαςήριον. οὕτω Δημοσθένης καὶ Ὑπερίδης καὶ Θεόφραςος. Harp.

καταχειροτονῶ γενικῇ.

καταχεῖταί μου ἀήρ.

κατάχει τοὔλαιον ἐν τῷ χαλκίῳ Ἀριςοφάνης ⟨Ach. 1127⟩ ἀντὶ τοῦ εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος, ἵνα λαμπρότερος γένηται. εἰσὶ γάρ τινες οἳ ἐν ἐλαίῳ ὁρῶντες μαντεύονται. σμήχει οὖν τὴν ἀσπίδα, καταχέων τὸ ἔλαιον ἐπὶ τῆς χαλκῆς πτυχός· εἶτα φαιδρυνθείσης αὐτῆς ἐνοπτριζόμενος εἰς αὐτὴν λέγει 'ὁρῶ ἐν αὐτῇ γέροντα ὑπὸ δειλίας φεύγοντα, καὶ οἷον μὴ δυνάμενον ὁρᾶν τὴν ἀσπίδα διὰ τὴν ἔκλαμψιν.' καὶ Ὅμηρος ⟨N 340⟩ "ὄσσε δ' ἄμερδεν αὐγὴ χαλκείης κόρυθος ἀπολαμπομένης." εἴπες ἂν τὸν Βάκχον οὕτως ἰδεῖν διακείμενον, τοῦ μάςιξι μᾶλλον ἢ ἄνθεσιν ἐαρινοῖς καταχέεσθαι.

καταχέω σου, γενικῇ.

καταχήνη κατάγελως· Ἀριστοφάνης ⟨Eccl. 658⟩ "δημοτική γ' ἡ γνώμη, καὶ καταχήνη τῶν σεμνοτέρων ἔςαι καὶ τῶν σφραγῖδας ἐχόντων."

καταχλευάζω σε. γενικῇ δέ "καταχλευάζοντες δὲ τῶν παρακλητικῶν λόγων οἱ ςασιώδεις."

καταχορδῶ.

καταχορεύω γενικῇ.

καταχρεμψαμένη ⟨A Pac. 815⟩ καταπτύσασα.

καταχρῶμαι δοτικῇ.

καταχρωννῦσα.

κατάχυσμα ⟨A Av. 535⟩ ζωμός, παρὰ τὸ χέεσθαι, οἷον κατάχυμα.

a *καταχύσματα.* ἔθος ἦν Ἀθήνησιν, ὅτε νεώνητος οἰκέτης εἰσάγοιτο εἰς τὴν οἰκίαν, τὸν δεσπότην ἢ τὴν δέσποιναν ἰσχάδων καὶ καρύων πλῆθος καταχεῖν αὐτοῦ· ἃ καταχύσματα ἐκάλουν. φασὶ δὲ καὶ ἐπὶ τῶν πρῶτον πρεσβευόντων καὶ ἐπὶ τῶν θεωριῶν τοῦτο γίνεσθαι, ὅτε πρῶτον τοῦτο ἐποίουν.

b *καταχύσματα.* ἔθος ἦν παρ' Ἀθηναίοις τῶν νεωνήτων δούλων τῶν πρῶτον εἰσιόντων εἰς τὴν οἰκίαν, ἢ ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο, καὶ τοῦ νυμφίου παρὰ τὴν ἑςίαν τραγήματα καταχέειν εἰς σημεῖον εὐετηρίας, ὡς καὶ Θεόπομπός φησιν ἐν Ἡδυχάρει "φέρε σὺ τὰ καταχύσματα ταχέως κατάχει τοῦ νυμφίου καὶ τῆς κόρης. εὖ πάνυ λέγεις." σύγκειται δὲ τὰ καταχύσματα ἀπὸ φοινίκων κολλύβων τρωγαλίων καὶ ἰσχάδων καὶ καρύων, ἅπερ ἥρπαζον οἱ σύνδουλοι. Ἀριςοφάνης Πλούτῳ ⟨768⟩ "ἰοῦσ' εἴσω κομίσω καταχύσματα ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς ἐγώ."

καταχωνεύω αἰτιατικῇ.

καταψαίρουσι κινοῦνται.

καταψεύδομαι γενικῇ.

καταψευδομαρτυρησάμενος ἀντὶ τοῦ παρασχὼν τοὺς τὰ ψευδῆ μαρτυρήσοντας, Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου ⟨α 1⟩. Harp.

καταψήσας τῇ χειρὶ ὁμαλίσας· Πολύβιος ⟨10 18⟩ "τοὺς δὲ παῖδας καθ' ἕνα προσαγόμενος καὶ καταψήσας θαρρεῖν ἐκέλευε." καὶ Φιλόςρατος ⟨V. A. 2 11⟩ "καὶ τὸ καταψῆσαι τοῦ ἵππου τὰ ὦτα καὶ τὴν χαίτην."

καταψηφίζεται, γενικῇ, κατακρίνει.

καταψήχω τρίβω καὶ ὁμαλίζω.

καταψύχω αἰτιατικῇ.

καταψῶν καταπραΰνων· Ἀριστοφάνης ⟨Pac. 74⟩ "χαὐτὸς καταψῶν αὐτὸν ὥσπερ πωλίον," ὥσπερ πῶλον καταψῶντες ταῖς χερσὶν ὁμαλίζομεν.

κατεάγη ⟨A Vesp. 1419⟩. καὶ *κατεαγότα* κεκλασμένα.

κατεαγότων· "αὕτη τοίνυν ἡ προθυμία ἐνίοις τῶν τὰ ὦτα κατεαγότων καὶ ἅμα διεφθαρμένων τὰς διανοίας ἐπὶ κωμῳδίαν ἐτράπη καὶ γέλωτα πολύν" ⟨cf. v. ὦτα κατεαγότων⟩.

κατεβαυκάλησε κατεκοίμισε.

κατεβλακευμένως βραδέως καὶ τρυφερῶς· βλὰξ γάρ ἐςιν ὁ μαλθακευόμενος ἐν ὑποκρίσει τὸ σῶμα, καὶ βλακεία ἡ μεθ' ὑπεροψίας ὁμιλία. sch. A Plut. 325.

κατεβόα κατηγόρει, ἐμέμφετο· "πολλὰ δὲ τοῦ δήμου τῶν Ῥωμαίων καὶ τῶν αὐτοκρατόρων κατεβόα."

κατεβρόχθισε κατέπιε ⟨A Av. 503⟩.

κατεγγυᾶν παραδιδόναι. "καὶ τὴν αὐτοῦ μητέρα γυναῖκα αὐτῷ κατεγγυᾶν· αἱρεῖσθαι οὖν ὃ βούλεται, συγγενείας τε καὶ δουλείας, καὶ ῥᾳδίως τεύξεσθαι τοῦ νομισθέντος ἀμείνονος."

κατεγήρασαν ἐχρονοτρίβησαν· "καὶ αἱ

γε πεμφθεῖσαι κατεγήρασαν ἐν τῇ Τροίᾳ, τῶν διαδόχων μὴ ἀφικνουμένων."

κατεγκαλῶ γενικῇ.

κατεγκρατεύομαι αἰτιατικῇ.

κατεγλώττιζε κατεφλυάρει, κατηγόρει, ἐλοιδόρει (A Ach. 379).

κατεγλωττισμένον· Ἀριςοφάνης (Th. 138) "θηλυδριῶδες καὶ κατεγλωττισμένον," ἀντὶ τῦ πολλαῖς γλώτταις μεμιγμένον. γλῶττα δέ ἐςι καὶ ἡ λέξις. κυρίως δὲ κατεγλωττισμένον ἐςὶ τὸ ἔγγλωττον φίλημα. καὶ Φιλόςρατος (V. A. 1 17) "ὁ δὲ Ἀπολλώνιος λόγων ἰδέαν ἐπήσκησεν οὐ τὴν διθυραμβώδη καὶ φλεγμαίνουσαν ποιητικοῖς ὀνόμασιν, οὐδ' αὖ κατεγλωττισμένην καὶ ὑπεραττικίζουσαν· ἀηδὲς γὰρ τὸ ὑπὲρ τὴν μετρίαν Ἀτθίδα ἡγεῖτο. οὐδὲ λεπτολογίᾳ ἐδίδου, οὐδὲ διῆγε τοὺς λόγους, οὐδὲ εἰρωνευομένου τις ἤκουσεν οὔτε περιπατοῦντος ἐς τοὺς ἀκροωμένους· ἀλλ' ὥσπερ ἐκ τρίποδος, ὅτε διαλέγοιτο, οἶδα ἔλεγε, καὶ δοκεῖ μοι, καὶ ποῖ φέρεσθε; καὶ χρὴ εἰδέναι. καὶ δόξαι βραχεῖαι καὶ ἀδαμάντιναι, κύριά τε ὀνόματα καὶ προσπεφυκότα τοῖς πράγμασι. καὶ τὰ λεγόμενα ἠχὼ εἶχεν ὥσπερ ἀπὸ σκήπτρου θεμιςευόμενα."

κατεγοήτευσε.

κατέγραφον· "πυθόμενοι δὲ ταῦτα οἱ Συβαρῖται κατέγραφον ἑαυτοῖς εὐδαιμονίαν δι' αἰῶνος· μὴ γὰρ ἂν ἐκπλεύσειν τῶν φρενῶν ἐς τοσοῦτον ὡς ἀνθρώπους προτιμῆσαί ποτε θεῶν." cf. vv. καταγράφων et Ἄμυρις.

κἆτ' ἔγωγ' ἐξηγρόμην (A Ran. 51) ἀντὶ τοῦ ἔπειτα μετὰ ταῦτα ἐγὼ ἐξηγέρθην. ἐπὶ τῶν ψευδομένων. cf. v. ἐξηγρόμην.

κατέδαρθε κατεκοιμήθη.

κατεδαφίζω αἰτιατικῇ.

κατέδει ἐδέσμει· Ἰώσηπος (A. I. 5 8 11) "καὶ κατέδει τοῦτον τοῖς κλήμασι κατὰ τὸ ἰσχυρότατον."

κατεδηδεσμένος καταβεβρωμένος.

κατεδηδοκώς (A Pac. 386) καταβεβρωκώς.

κατεδημαγώγησε κατεςρατήγησε καὶ ἦρξε τοῦ δήμου· Ἀρριανός "τῷ τε ςρατηγήματι τῷδε μάλιςα φιλανθρώπῳ φανέντι κατεδημαγώγησεν οὐκ ἀπιςεῖν αὐτῷ καὶ πολεμοῦντι τοὺς περιοίκους."

κατεδιήτησε κατεδίκασε.

κατεδόξαζον ἀπείκαζον, ἐνόμιζον· "τὰς δὲ περισωθέντας κατεδόξαζον εἶναι περὶ δισχιλίους."

κατέδραθε κατεκοιμήθη.

κατέδραμον αἰτιατικῇ.

κατέδυ· "ὃ δὲ ἐν Καρχηδόνι τὸν βίον κατέςρεψε καὶ ἐνταῦθα κατέδυ."

κατέδων (Hom. Z 202) κατεσθίων.

κατέθει κατέτρεχε.

κατέθεον ἐξεπόρθουν, ἐληΐζοντο· "οἱ δὲ Κελτοὶ κατέθεον τὴν γῆν τῶν Ἀλβανῶν." cf. v. Κελτοί.

κατέθορε κατεπήδησε.

κατειλημμένον κατεχόμενον, κυκλωθέντα· "ὡς ἑώρα ἑαυτὸν τοῖς κινδύνοις κατειλημμένον, γράφει ᾠδάς."

κατειλωτισμένος καταδεδουλωμένος, ἐκ τοῦ εἵλως εἵλωτος, ὃ σημαίνει τὸν δοῦλον.

κατεῖπε, γενικῇ, κατηγόρησεν· "οὐ δικαίως ὀργίζῃ τῇ γυναικί· οὐ γὰρ σοῦ κατεῖπεν ἀλλὰ τοῦ δεσμοφύλακος." καὶ αὖθις "μαθόντα ὅτι κατείποι αὐτοῦ Ὀφέλλιος, καὶ Βασίλειος πεισθείη τοῖς λόγοις."

κατείπῃ, γενικῇ, κατηγορήσῃ· "ἐδεδίει γὰρ ἡ γυνὴ μὴ κατείπῃ αὐτῆς."

κατειργάσατο κατηγωνίσατο.

κατειρωνεύεται, γενικῇ, μεγαλοφρονεῖ, ὑποκρίνεται· "τὰ οἰκεῖα ἐξαίρων καὶ κατειρωνευόμενος τῆς τῶν ἀπείρων ἀγνοίας." καὶ αὖθις "ἐδόκει γὰρ κατειρωνευόμενος ὁ Χοσρόης ἀντέχεσθαι Μαυρικίου" (Theophyl. Sim. exc. leg. p. 54).

κατεκάλει· "ὃ δὲ πανταχόθεν κατεκάλει τοὺς περισωζομένους τῶν Ἀθηναίων," ἀντὶ τοῦ ἐφώνει.

κατέκανεν ἀνεῖλεν, ἐφόνευσε· Ξενοφῶν (Anab. 1 9 6) "ὁ δὲ Κῦρος ἄρκτον ποτὲ ἐπιφερομένην οὐκ ἔτρεσεν, ἀλλὰ συμπεσὼν κατεσπάσθη ἀπὸ τοῦ ἵππου, καὶ τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς ἔτι εἶχε, τέλος δὲ κατέκανε."

κατ' ἐκεῖνο δὴ καιροῦ ἐν ᾧ ὁ βασιλεὺς ἐτεθνήκει."

κατεκήλησαν κατεπράυναν.

κατεκλίνομεν ἀντὶ τοῦ ἀνεκλίνομεν. οὕτως Ἀττικοί· Ἀριστοφάνης Πλούτῳ (660) "ἐπεὶ δὲ βωμῷ πόπανα καθωσιώθη, κατεκλίνομεν τὸν Πλοῦτον, ὥσπερ εἰκὸς ἦν." ἡ κατὰ ἀντὶ τῆς ἀνά.

κατέλαβεν προέλαβεν, ἐπέσχε τῆς ὁρμῆς· (Herodot. 5 21) "καί σφεας Ἀλέξανδρος

κατέλαβε σοφίῃ, χρήματα δοὺς πολλὰ καὶ τὴν αὐτοῦ ἀδελφεήν."

κατελάσας συνουσιάσας, ἀπὸ τῶν ἀλόγων ζῴων.

κατέλεκτο ⟨Hom. I 662⟩ κατεκοιμήθη.

κατέλευσαν ἐλίθασαν.

κατέληξε κατέπαυσε.

κατέλυεν ἔμενεν· "εἰς τὸ δωμάτιον, οὗ δὴ κατέλυε, γεγονότα."

κατεμελίτωσεν ἡδύτητος ἐπλήρωσεν· Ἀριςοφάνης Ὄρνισιν ⟨225⟩ "οἷον κατεμελίτωσε τὴν λόχμην ὅλην."

κατ' ἐμοῦ ὤμνυον. ⟨Ps. 101 8⟩ "ὅ ποτε ζηλωτὸς καὶ περίβλεπτος νῦν ὅρκος γέγονα τοῖς πάλαι θαυμάζουσι· κατὰ γὰρ τῶν ἐμῶν ὀμνύουσι συμφορῶν."

κατεμπορεύομαι γενικῇ.

κατεμωκῶντο ἐχλεύαζον· "οἱ δὲ τὴν ματαίαν αὐτῶν κατεμωκῶντο πολιορκίαν."

κατέναντι.

κατενεμήσατο ⟨Ps. 79 14⟩ κατέφαγε.

κατενήνεκται.

κατ' ἐνόπλιον εἶδος ῥυθμοῦ, πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. ἢ ἐνόπλιος ὁ ἀμφίμακρος, ὃς καὶ κρητικὸς καλεῖται ἀπὸ τοῦ ἀεὶ τὰ εἰς τοὺς Κούρητας γινόμενα μέλη τούτῳ τῷ ῥυθμῷ γίνεσθαι. sch. A Nub. 651.

κατεντευκτὴν κατεντυγχάνουσαν, καὶ κατεντευκτής κατήγορος. ἐπὶ δὲ τοῦ Ἰὼβ ⟨7 20⟩ "ἵνα τί με ἔθου κατεντευκτήν σου;" οὐκ αὐτὸς κατὰ θεοῦ ἐτύγχανε· μὴ γένοιτο· τίνι γὰρ εἶχεν ἐντυγχάνειν; ἀλλὰ λέγει "ἵνα τί δι' ἐμὲ τὸ ὄνομά σου βλασφημεῖται;" ἐδεδίει γὰρ τὴν παρὰ θεοῦ ἐγκατάλειψιν.

κατεντευχθέντα κατεντυχηθέντα.

κατεντυγχάνω δοτικῇ.

κατενῶπα ⟨Hom. O 320⟩ εἰς πρόσωπον.

κατεξαναςάντες τοῦ μέλλοντος προμηθῶς βουλευσάμενοι· "διὸ κατεξαναςάντες τοῦ μέλλοντος παρῃτήσαντο τοὺς πρυτάνεις ἐκπέμψαι πρεσβευτὰς εἰς τὴν Ῥόδον, συνεπιλαβέσθαι τῆς ἐλευθερίας."

κατεξανιςάμενος· "τούτους δὲ δωροφορῶν καὶ κατεξανιςάμενος τοῖς χορηγίοις ἑτοίμους παρεσκεύασε συναγωνιςάς." καὶ κατεξανίςαμαι γενικῇ.

κατεπαγγέλλω δοτικῇ.

κατεπᾴδουσα πρὸς αὐτὸν αἱμύλως διομιλοῦσα· "ἡ δὲ κατεπᾴδουσα συνεχῶς τοῦ βασιλέως τὴν τοῦ Καίσαρος ἐς αὐτὸν εὔνοιαν, ταχὺ μάλα διαθέλγουσα τὸν βασιλέα τοῖς λόγοις πατρὸς ἐς τὸν Ἰούλιον διάθεσιν ἐνέφυσε τῷ βασιλεῖ." καὶ μετὰ δοτικῆς.

κατεπαίρομαι γενικῇ.

κατεπάλαισε ⟨A Ach. 710⟩ κατηγωνίσατο, κατεπολέμησε.

κατεπάλμενος ἐφορμήσας. δύο προθέσεις παρείληφεν Ὅμηρος ⟨Λ 94⟩, κατὰ καὶ ἐπί.

κατεπαμύνω αἰτιατικῇ.

κατεπανίςαμαι γενικῇ.

κατεπερπερεύετο ἐχαριεντίζετο· πέρπερος γὰρ ὁ μετὰ βλακείας ἐπῃρμένος, ὁ λάλος καὶ προπετὴς καὶ μηδὲν μετὰ λογισμοῦ ποιῶν.

κατεπίμπρατο.

κατεπίττωσαν πίσσῃ ἔχρισαν· "καὶ τὰ τέκνα αὐτῶν κατεπίττωσαν καὶ ἀπέκτειναν καταπρησθέντα."

κατεπιχειρῶ γενικῇ.

κατεπλάγη αἰτιατικῇ.

κατεπόθη διὰ τοῦ ο μικροῦ.

κατεπτήχασι συνεςάλησαν.

κατεργάζεται ἀναιρεῖ, φονεύει· "ὃ δὲ τῇ αἰχμῇ διαπείρων τὸ μετάφρενον κατεργάζεται." cf. v. ἀναπήλας.

κατεργάσασθαι ἀντὶ τοῦ καταπονῆσαι Θουκυδίδης ⟨6 11 et 33⟩.

κατερεῖν διαλοιδορήσασθαι· "ἢ μὴν συγκρύψειν τὸ πρῶτον καὶ μὴ κατερεῖν, ἢν μὴ ἀρέσκῃ."

κατερείπω αἰτιατικῇ. καταρισόω δέ.

κατερεύγομαι γενικῇ.

κατέρεψεν ἐςέγασεν, ἢ ἐξεφάνωσε.

κατεριθευομένου· "τὸ δ' ἐναντίον κατεριθευομένου τοῦ βασιλέως καὶ τῆς χώρας ἀπεχομένου καὶ κατὰ τὴν δικαιοδοσίαν ἐξακριβοῦντος ἐπιμελῶς, ἔλαθον ἐκλυθέντες ταῖς διανοίαις καὶ κατολιγωρήσαντες τῆς ἑαυτῶν ἀσφαλείας."

κατεριπώσει δοτική. ἡ εὐθεῖα κατερίπωσις.

κατέρραξας κατὰ τοῦ ἐδάφους ἔβαλες. μεταφορικῶς ὁ λόγος. Δαβίδ ⟨Ps. 101 11⟩ "ἐπάρας κατέρραξάς με."

κατερρικνωμένον συνεςραμμένον, καμπύλον γενόμενον, ἐρρυτιδωμένον.

κατερρινημένοις εὐτελέσιν, ἢ κατεξεσμένοις· ῥίνη γὰρ ἐργαλεῖον τεκτονικόν, ᾧ ῥινοῦσιν. ἢ εὐτελέσιν, ὅτι ἐξευτελίζομεν τῇ

ῥίνῃ. Ἀριςοφάνης (Ran. 931) περὶ Εὐριπίδε "ἀςεῖόν τι λέξαι καὶ κατερρινημένον."

κατερρύηκεν ἐσάπη, ἠφάνισαι.

κατέσβη ἐσβέσθη, ἐπαύσατο.

κατέσειε. λέγουσιν ἐπὶ τῶν ἐν τοῖς πότοις προπινόντων· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τοὺς καρπὸς κατασειόντων (cf. Athen. p. 431). καὶ κατεσείσθη ἀντὶ τοῦ κατέπεσεν· Αἰλιανός "καὶ παραχρῆμα ἡ οἰκία κατεσείσθη πρηνής."

κατεσήμαινεν ἔλεγεν· "ὁ δὲ τοῖς προσπλέουσι βαρβάροις κατεσήμαινεν ἐς λόγους αὐτῶν ἐθέλειν ἰέναι." "καί πού τις αὐτῷ κατεσημήνατο δωμάτιον τὰ τιμιώτατα ἔχον."

κατεσικέλιζε (A Vesp. 906) κατήσθιε Σικελικὸν τυρόν.

κατεσκειρωμένη πεπαλαιωμένη.

κατεσκελετευμένα λελεπτυσμένα, ἐξησθενηκότα. κατασκελετούμενα δὲ ὁ ἐντεσιώς.

κατεσκελετευμένος ἐξίτηλος, τεταλαιπωρημένος.

κατέσκηψε κατέσχε.

κατεσκληκώς κατεξηραμμένος· "τῷ γε μὴν κατεσκληκότι τοῦ βίου καὶ τῇ εἰς μετριότητα πλάσει τῶν ἠθῶν --- συςησάμενοι" (cf. v. Ἐλεύσιος).

κατεσπάσθαι κατενηνέχθαι· "ὁ δὲ εἰς τοῦτο ἔφη ὑπὸ τῶν συμφορῶν κατεσπάσθαι ὡς μὴ ἂν αὐτοῦ ἕνεκα Ῥωμαίους καταλύσασθαι τόνδε τὸν πόλεμον."

κατέσπερχε προετρέπετο, παρεκελεύετο, συνεβούλευε, συνώθει· "λογισμὸς δὲ αὐτὸν ἐκεῖνος κατέσπερχεν, ἀνθρώπους ἀκολάςους φύσιν τοὺς Τυρρηνούς, πολεμίων ἔφοδον μηδαμῇ μηδαμῶς ὑφορωμένους, ὑβρίζειν καὶ ῥᾳςωνεύειν."

κατεσπίλασεν ἀπροσδοκήτως ἐπεφάνη· "ὁ δὲ ἀδοκήτως τοῖς βαρβάροις ἑωθινὸς κατεσπίλασε, καὶ εὐδοκίμει τῷ δόρατι." cf. v. σπιλάδες.

κατεσπόδησε κατέκοψεν· "ἑτέρα τὸν ἄνδρα τῷ πελέκει κατεσπόδησε" (A Th. 567). καὶ κατεσπόδωσεν ὁμοίως.

κατεςιγμένον πεποικιλμένον.

κατεςόρεσε κατέςρωσε.

κατεςρατοπέδευσε κατέδραμε πολεμικῶς.

κατεςυγημένος μεμισημένος.

κατεσχημένος κάτοχος· "ςρατιώτης δὲ ἄρα τις ἐοικὼς κατεσχημένῳ εἰσεπήδησε, καὶ ἀνιχνεύσας ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν."

κατέσχον προσωρμίσθησαν· Πολύβιος (1 25) "οἱ δὲ Ῥωμαῖοι ἀνήχθησαν τριακοσίαις ναυσί, καὶ κατέσχον εἰς Μεσσήνην, ὅθεν ἀναχθέντες ἔπλεον." λέγεται δὲ καὶ προσέσχον· "προσέσχον τῷ Λιλυβαίῳ" ὁ αὐτὸς Πολύβιος. καὶ αὖθις "ὁ δὲ Πόπλιος κατέσχε τῆς Αἰτωλίας εἰς Ναύπακτον."

κατετάχησε (Polyb. 3 16) κατέσπευσε.

κατέτεινε πλεῖςον ἡνία· "καὶ οὐδὲν ἦν εἴς τινα ἔμβραχυ ἀγαθόν, ὃ μὴ ἐκεῖνο κατέτεινε τὴν ψυχήν."

κατέτεινε σφοδρῶς ἔτυπτε, διήγειρε πρὸς πόνον· "καὶ τοὺς μὲν ἐπήνει σφόδρα, τοὺς δὲ κατέτεινε ταῖς κολάσεσι."

κατέτρεχεν ἐπόρθει, ἐληΐζετο, ἐδῄου· "ὁ δὲ κατέτρεχε τὴν τῶν Ἰλλυριῶν καὶ Θρᾳκῶν χώραν."

κάτευγμα κατάρα.

κατευδοκήσας· "ὃ δὲ κατευδοκήσας τῷ νεανίσκῳ κατὰ τὴν ἀπάντησιν, τοῦτον ἀπέλυσε παραχρῆμα ἐς τὸ Πέργαμον."

κατευθικτήσας (2 Macc. 14 43) ἐπιτυχών.

κατεύθυνεν ἐπέτυχε· Δαβίδ (Ps. 100 7) "λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου." καὶ κατευθύνθη.

κατευμαρίζων κατευχερίζων.

κατευμεγεθεῖν, γενικῇ, καταδυναςεύειν.

κατευνάζεται κατακοιμίζεται.

κατεύχεσθαι τὸ καταρᾶσθαι· οὕτω Πλάτων (Legg. 11 p. 394 E). καὶ Σοφοκλῆς (OR 246) "κατεύχομαι δὲ τὸν δεδρακότα τάδε," ἀντὶ τοῦ καταρῶμαι. καὶ Αἰλιανός "αἱ δὲ κατευξάμεναι τὸν χῶρον πάντα ἐκεῖνον Λακωνικῷ αἵματι ἐπικλυσθῆναι, ἑαυτὰς ἀπέσφαξαν" (cf. Plutarch. Pelopid. 20). κατεύχομαι δὲ τὸ ὑπερεύχομαι γενικῇ.

κατ' εὐχὴν αὐτῷ γενέσθαι· "ὁ δὲ ςρατηγὸς νομίζων αὐτῷ κατ' εὐχὴν γενέσθαι τὴν τῶν Ἀχαιῶν ὁρμήν, προσῆγεν ὡς ἐπὶ τὸν πόλεμον" (Polyb. 11 11).

κατευωχοῦμαι αἰτιατικῇ.

κατεφοίνιξας κατέβαψας.

κατεφύγγανον κατέφευγον· "οἱ δὲ εἰς τὰς Θρᾳκίας πόλεις κατεφύγγανον."

κατεφύοντο κατέτρεχον.

κατέχει κατέχεεν, ἐπέρρει· "ὃ δὲ πολ-

λὴν κατέχει τούτου κουφολογίαν," ἀντὶ τοῦ ἐλοιδόρει. καὶ αὖθις "δήσαντες ὀπίσω τὰς χεῖρας, κατέχεον πολλοῦ τοῦ γάλακτος." πρὸς γενικὴν ἡ σύνταξις.

κατεχειροτόνησαν αὐτοῦ ἀντὶ τοῦ κατεψηφίσαντο αὐτοῦ. καταχειροτονία δὲ καὶ ἀποχειροτονία διαφέρει. καταχειροτονία μὲν γὰρ ἐγίνετο οὕτως· ἔλεγεν ὁ κῆρυξ "ὅτῳ Μειδίας δοκεῖ ἀδικεῖν, ἀράτω τὴν χεῖρα," εἶτα οἱ θέλοντες ἐξέτεινον τὰς χεῖρας, καὶ ἐκαλεῖτο τοῦτο καταχειροτονία. ἀποχειροτονία δὲ οὕτως· "ὅτῳ μὴ δοκεῖ ἀδικεῖν Μειδίας, ἀράτω τὴν χεῖρα," καὶ ἐξέτεινόν τινες, καὶ ἐκαλεῖτο ἀποχειροτονία. λοιπὸν πάσας ἠρίθμουν τὰς χεῖρας, καὶ ἑώρα ὁ κῆρυξ ποῖαι πλείους εἰσί, πότερον τῶν φασκόντων αὐτὸν ἀδικεῖν ἢ μή· καὶ ὅσαι ἂν ἦσαν πλείους εὑρεθεῖσαι, ἐκεῖ καὶ ἡ γνώμη ἐκράτει. "ἔτι τοίνυν παρατείνοντος τοῦ λόγου τοῦ πρέσβεως Ῥωμαῖοι κατεχειροτόνουν." "ὁ δὲ οὔτε ἐπεψήφιζεν οὔτε κατεχειροτόνει, καίπερ ἐπιστάτης ὤν."

κατεχλαίνωσε χλαίναις ἐστόλισεν· "ὁ δὲ Μηνᾶς ἠμφίασέ τε καὶ κατεχλαίνωσε τὸ στρατιωτικόν· ἡ γὰρ χρονία τριβὴ καὶ τὸ τραχὺ τῶν χώρων κατεδαπάνησεν αὐτοῖς τὰ ἱμάτια."

κατεχλεύαζεν ὕβριζε διὰ λόγων, κατεγέλα· "ἄλλα τε πολλὰ κατεχλεύαζε καὶ κατεκερτόμει τοὺς ἐν τῷ στρατοπέδῳ, μάλιστα ἅπασιν ὀνειδίζων μαλακίαν καὶ δειλίαν."

κατεχόρδησεν ἀνεῖλεν, ἐξηνάριξεν· "εἶτα τῶν φρενῶν ἐξέπλευσε, καὶ μανεὶς ἑαυτὸν μαχαίρᾳ κατεχόρδησε." cf. v. ἐξέπλευσεν et Herodot. 6 75.

κατεχόρευεν ἐπέχαιρεν· "ὁ δὲ κατεχόρευε τῶν Ῥωμαϊκῶν συμφορῶν, καὶ τοσοῦτον ἐφυστέριζε τῶν διώξεων ὅσον πεισθῆναι καὶ καταμαθεῖν ὅτι μηδεὶς ἐν τῇ πόλει λέλειπται."

κατέχουσι δ' ἔρωτες ἐμᾶς πόλεως (Α Δν. 1316). λείπει ἀνθρώπους. ἀντὶ τοῦ ἐρῶσιν οἱ ἄνθρωποι τῆς ἐμῆς πόλεως.

κατέχρωζεν· "ὁ δὲ ἐν μέσῳ τὰς διατριβὰς ποιούμενος οὐ μόνον τὸ καλὸν τοῦ πράγματος κατέχρωζε καὶ τοῖς τυχοῦσι λίαν κατεδήμευεν, ἀλλὰ καὶ πικρῶς ἐπέπληττεν."

κατεχρῶντο ἀνῄρουν, ἐφόνευον· "ἄλλοι ἑαυτοὺς κατεχρῶντο," αὐθένται ἐγίνοντο. Dio Cass.

κατέχω σε, αἰτιατικῇ.

κατέψα τῇ χειρὶ ὡμάλιζε.

κατεψηφίσατο κατέκρινε, κατεδίκασεν· "ὁ γὰρ θεὸς τοῦ Ἀδὰμ τοὺς ἱδρῶτας καὶ τοὺς πόνους κατεψηφίσατο· ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ."

κατηγορευκότα κατειπόντα.

κατηγόρημα. κατηγόρημά ἐστι τὸ κατά τινος ἀγορευόμενον, ἢ πρᾶγμα συντακτὸν περί τινος ἢ τινῶν. ἐν γὰρ τῷ περὶ πραγμάτων καὶ σημαινομένων τόπῳ τέτακται ὁ περὶ λεκτῶν καὶ αὐτοτελῶν καὶ ἀξιωμάτων καὶ συλλογισμῶν λόγος, καὶ ὁ περὶ ἐλλιπῶν κατηγορημάτων καὶ ὀρθῶν καὶ ὑπτίων. λεκτὸν δέ φασι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. τῶν δὲ λεκτῶν τὰ μέν εἰσιν ἐλλιπῆ, οἷον γράφει (ἐπιζητοῦμεν γὰρ τίς), τὰ δὲ αὐτοτελῆ καὶ ἀπηρτισμένην ἔχοντα τὴν διάνοιαν, οἷον γράφει ὁ Σωκράτης. ἐν μὲν οὖν τοῖς ἐλλιπέσι λεκτοῖς τέτακται τὰ κατηγορήματα, ἐν δὲ τοῖς αὐτοτελέσι τὰ ἀξιώματα καὶ οἱ συλλογισμοὶ καὶ τὰ ἐρωτήματα καὶ τὰ πύσματα. Diog. L. 7 63.

ἡ κατηγορία παρὰ φιλοσόφοις ἢ ἐπὶ πλέον λέγεται καὶ γίνεται ἢ ἐπ' ἴσης, ἐπ' ἔλαττον δὲ οὐδέποτε. καὶ ἐπὶ πλέον μέν, ὅτι τὰ καθολικώτερα κατηγοροῦνται τῶν μερικωτέρων. καθολικώτερα οὖν εἰσὶ τὰ ἐπάνω, μερικώτερα δὲ τὰ ὑποκάτω. κατηγορία δέ ἐστιν οἷον προσηγορία τις ἁπλῶς λεγομένη· εἰσὶ δὲ αἱ πᾶσαι δέκα, ἤγουν γενικώτατα γένη, ὑφ' ἃς ἀναφέρεται πᾶσα φωνή, οὐσία, ποσόν, ποιόν, πρός τι, ποῦ, πότε, ποιεῖν, πάσχειν, κεῖσθαι, ἔχειν. τούτων ἡ μὲν οὐσία ἐστὶν ὑποκειμένη, αἱ δὲ λοιπαὶ ἐννέα ἐν ὑποκειμένῳ.

κατηγορίας ἔχω ἀντὶ τοῦ κατηγοροῦμαι Δημοσθένης περὶ τοῦ στεφάνου. "κατηγορεῖ δὲ αὐτῶν Καλλίξενος δημαγωγὸς καὶ συκοφάντης."

κατηγορῶ σου, γενικῇ. κατηγορῶ δὲ τὸ δεικνύω αἰτιατικῇ· "λαγὼς κατηγορεῖ τὸν αὐτοῦ φωλεόν."

κατήδεσαν κατῄσχυναν.

κατηδολέσχησά σου ἀντὶ τοῦ κατὰ σοῦ ἐμακρολόγησα, ἐφλυάρησα.

κατηθλημένων ἐγγεγυμνασμένων· "ἄγοντες ἐκ τῶν ἐπιλέκτων καὶ κατηθλημένων ἐν τοῖς πολέμοις στρατιωτῶν τέσσαρα τάγματα ἐντελῆ" (Dionys. Hal. 13).

κατήκοε ἀκροατά· "ὦ μεγίςη θεῶν καὶ τῶν σῶν κατήκοε θεραπόντων." καὶ αὖθις "οἳ δὲ μετὰ ταῦτα ἐγένοντο κατήκοοι."

κατηκόντισε· "τῆς Λυσίου ψυχῆς κατηκόντισε."

κατήλιφα μεσόδμην· Ἀριςοφάνης ⟨Ran. 574⟩ "ἐπὶ τὴν κατήλιφ' εὐθὺς ἀνεπηδήσαμεν."

κατηλοημένη συντετριμμένη.

κατήλυσιν ἐπέλευσιν, κάθοδον· ⟨AP 6 217⟩ "χειμερίην νιφετοῖο κατήλυσιν ἐρημαίην ἤλθεν ὑπὸ σπιλάδα."

κατήλυσις ἡ πόρνη.

κατηλωκυῖα κρατηθεῖσα.

κατηναρισμένας. ἐπὶ τῆς λείας ἐχρήσατο Σοφοκλῆς ⟨Ai. 26⟩. καὶ ἔςιν ἄκυρον· τὸ γὰρ σκυλεύειν ἐναρίζειν, ὅτι τὰ ἔναρα σκῦλα, παρὰ τὸ ἀρηρέναι καὶ ἐντὸς αὐτῶν εἶναι ἡμᾶς. καὶ τὸ παρ' Ὁμήρῳ ⟨Φ 485⟩ τοιοῦτον· "ἤτοι βέλτερόν ἐςι κατ' οὔρεα θῆρας ἐναίρειν." πῶς γὰρ οἷόν τέ ἐςι σκυλεύειν τὰς λέοντας, εἰ μὴ εἴη καὶ ἐπὶ τῶν ἀλόγων ζῴων τὸ σκυλεύειν; Καλλίμαχος ⟨fr. 142⟩ ἐπὶ τῆς λεοντείου δορᾶς "τὸ δὲ σκύλος ἀνδρὶ καλύπτρη γιγνόμενον νιφετοῦ καὶ βελέων ἔρυμα."

κατηονᾶτο ἐλούετο.

κατηράχθη ἔπεσε, περιετράπη· "ἐπιρρήγνυται βροντὴ βιαιοτάτη, καὶ τὸ πανδοκεῖον κατηράχθη" ⟨cf. v. καταγωγή⟩.

κατηργηκέναι ἀνενέργητον εἶναι· "τὸν δὲ καθήμενον περὶ τὰ Τύανα κατηργηκέναι καὶ καταπροΐεσθαι τοὺς καιρούς."

κατῆρε κατέπλευσε.

κατῄρει κατελάμβανε.

κατηρεφέα κατεσκευασμένα· ⟨S El. 379⟩ "μέλλουσι γάρ σ' ἐνταῦθα πέμψειν ἔνθα μήποθ' ἡλίου φέγγος προσόψει, ζῶσα δ' ἐν κατηρεφεῖ ςέγῃ χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά."

κατηρέψασθε· Ἀριστοφάνης ⟨Vesp. 1334⟩ "ὡς εὖ κατηρέψασθε καὶ νεβυσικῶς," τουτέςι νουνεχῶς ἐσκεπάσθητε.

κατηρτίσω ⟨Matth. 21 16⟩ ἐτελείωσας.

κατηρτυκότα. ὅτι γνώμονα ἔλεγον τὸν βαλλόμενον ὀδόντα τῷ ὄνῳ, δι' οὗ τὰς ἡλικίας ἐξήταζον, τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον. cf. v. ἀβολήτωρ.

κατήσατο τῶν λόγων, ἐκ τοῦ ᾄδω.

κατησφαλίσθαι.

κατησχυμμένος ⟨Ps. 73 21⟩.

κατηύχοντο κατηρῶντο· "κατηύχοντό τε τοὺς ταῦτα δρῶντας ἀχώρους τε καὶ ἀτάφους κυσὶ καὶ ὄρνισιν ἐκριφῆναι, καὶ τὰς ψυχὰς αὐτῶν μὴ ὑποδέξασθαι σὺν εὐμενείᾳ." cf. v. ἐπαρτήσας.

κατήφεια σκυθρωπότης. καὶ κατηφής.

κατηφόνες ⟨Hom. Ω 253⟩ ςυγνοὶ ἢ ἀναίσχυντοι.

κατήχθη ἐς τὴν πατρίδα ἐπανῆκε· "κατήχθη τε γὰρ ὁ Ἀντίπατρος καὶ ἔτυχε γάμȣ περιφανοῦς καὶ πλούτου, καὶ παῖδας ἔσχε, καὶ ἐς γῆρας ἀφίκετο εὔποτμόν τε καὶ ἀξιόζηλον."

κατηχθημένος βεβαρημένος.

κατηχῶν, αἰτιατικῇ, προτρεπόμενος, παραινῶν· Πισίδης "κρατῶν ἐνὶ μάχαις καὶ κατηχῶν ἐν μάχαις." κατηχῶ δὲ ἀντὶ τοῦ ἠχῶ γενικῇ· "κατηχεῖ τῶν πόρων" καὶ "κατήχησε τῆς οἰκίας."

κατ' ἰδίαν.

κάτιμεν κατερχόμεθα.

κατ' ἴσον αὐτῷ μεμηνώς.

κατισχνοῖ καταλεπτύνει.

κατισχνώθη ἐξηράνθη, ἐλεπτύνθη.

κατισχυμένος κεκρατημένος.

κατισχύω γενικῇ.

κατ' ἴχνος.

κατοδύρομαι αἰτιατικῇ.

κατοικιδίους τοὺς ἐπ' οἴκου ὄντας· "κατοικιδίους δὲ καὶ σχολαίους καὶ ἧττον ὡμιληκότας πολέμοις" ⟨Dionys. Hal.⟩.

κατοικτείρω αἰτιατικῇ.

κατοικτίζετο οἴκτȣ τυχεῖν ἠξίȣ, ἐλέȣς κυρῆσαι· ⟨Herodot. 3 156⟩ "ὃ δὲ ἐπὶ τὰ κοινὰ τῶν Βαβυλωνίων κατιςὰς κατοικτίζετο." καὶ αὖθις "ὃ δὲ τῇ φωνῇ κατοικτιζόμενος ἐλεῆσαί σφας παρεκάλει."

κατοιμώξας καταμεμψάμενος· Πολύβιος "καὶ πολλὰ μὲν αὐτὸν κατοιμώξας, ὅτι παρὰ μικρὸν ἔλθοι τοῦ λαβεῖν τὸν Ἄτταλον ὑποχείριον." ἢ καταιτιασάμενος, οἴμοι λέγων.

κατοιόμενος ⟨Habacuc 2 5⟩ ὀνομάζων ἑαυτὸν μέγαν καὶ φυσῶν ὑπερηφάνως.

κάτοισθα γινώσκεις, ἐπίςασαι· Σοφοκλῆς ⟨Ai. 589⟩ "οὐ κάτοισθ' ἐγὼ θεοῖς ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι;" τουτέςιν, οὐκ ἐν τούτῳ εἰμὶ ὥςε ὀφείλειν τοὺς θεοὺς ἐπαρκεῖν μοι, διὰ τὸ μὴ περιέχεσθαι τȣ̃ ζῆν. ἢ οὐκέτι τοῖς θεοῖς ὀφείλω ἐγὼ ἐπαρκεῖν, ἀντὶ τοῦ οὐδὲν ἐπὶ τιμῇ πράττειν τῶν θεῶν.

κατοιχομένου νεκροῦ, τεθνεῶτος.

κατολιγωρῶ γενικῇ.

κατολισθανόντων κινουμένων, ἐμπιπτόντων· "τῶν δὲ Ῥωμαίων κατολισθανόντων ἐς δάκρυα καὶ περιαλγούντων ἐπὶ τῷ πάθει." καὶ αὖθις "Κλεοπάτρα εἰς ἣν κατολισθάνει τῶν Πτολεμαίων ἡ διαδοχή."

κατομνὺς ἐμπεδῶν, βεβαιῶν· "προσετίθει δὲ καὶ ὅρκον, τῆς ἐμῆς κατομνὺς κεφαλῆς, ἣν πολλὰ ἐφίλει."

κατομόσαι· "ἀπὸ μόνου γε τοῦ τὸν θεὸν ἀπομόσαι ἢ κατομόσαι." cf. v. οἶσθα.

κατ' ὄναρ οὐ χρὴ λέγειν· βάρβαρον γὰρ παντελῶς· ἀλλὰ ὄναρ, καὶ κατὰ τοὺς ὕπνους, καὶ ἐνύπνιον.

κατόπιν μετὰ ταῦτα, ἀπὸ τοῦ ὄπισθεν εἶναι. "ἀλλὰ κατόπιν ἧκε τοῦ καιροῦ· ὁ γὰρ οἷός τε ἐγένετο τοῦτο διανύσαι ἐς τέλεον." "γίνεται κατόπιν τὸ Ῥωμαϊκὸν τῆς προτέρας εὐκλείας" (Theophyl. Sim. 3 15) διαγωνίζεσθαι. καὶ "τοῦ καλοῦ καὶ τῆς ἀρετῆς κατόπιν τίθεσθαι πάντα."

κατόπτης ἐπιτηρητής· "ἀλλά τις ἴτω κατόπτης ἀπαγγελίαν ἡμῖν σαφῆ τῶν ἐνεστηκότων ποιησόμενος" (Ioseph. A. I. 18 9 2).

κατοργᾶν ὑπερακμάζειν.

κατ' ὄρεσφιν (Hom. Λ 493) ἐν τοῖς ὄρεσι.

κατορθῶ αἰτιατικῇ.

κατορυκτὸς τόπος.

κατορύττω αἰτιατικῇ.

κατ' ὀρφναίαν τὴν σκοτεινήν.

κατορχοῦμαι γενικῇ.

κατορώρυκται κατακέχωσται.

κατοσφραίνομαι γενικῇ.

κατουδαίους. ζήτει ἐν τῷ ὑπὸ γῆν οἰκοῦντες.

κατ' οὐρὰν κατόπισθεν, ἐκ τῶν ὀπίσω.

κατουρῶσαν οὐρίῳ ἀνέμῳ χρησάμενον· (Polyb. 1 61) "τὸ δὲ λοιπὸν πλῆθος ἐπαράμενον τοὺς ἱσοὺς καὶ κατουρῶσαν ἀπεχώρει."

κατοφρυῶ γενικῇ.

κάτοχος κεκρατημένος· (Procop. Arc. 1) "κάτοχος ἤδη τῷ πόθῳ τούτῳ γεγενημένη, καὶ διαφανῶς ἐρωτόληπτος οὖσα, οὐδὲν ἔτι κώλυμα ἔβλεπε."

κάττης κάττου ὁ κατοικίδιος αἴλουρος. cf. v. σπατάλη.

Καττίδιος καὶ Καττιδιανὸς ὀνόματα κύρια.

καττύει εὐτρεπίζει, συρράπτει, κασσύει· (Theophyl. Sim. 5 9) "τὸν δὲ Βαρὰμ μ' χιλιάσι καττύειν τὸν πόλεμον ἔλεγον." καττύω γὰρ τὸ δόλους ῥάπτω.

καττύεται ἀντὶ τοῦ συντίθεται, συρράπτεται· Ἀριστοφάνης (Eq. 314) "οἶδ' ἐγὼ τὸ πρᾶγμα τοὔνθ' ὅθεν πάλαι καττύεται." ἡ μεταφορὰ ἀπὸ τῶν ὑποδημάτων.

κάττυμα ἀπάτη, δόλος· Ἀριστοφάνης (Ach. 301) "ὃν ἐγὼ κατατεμῶ τοῖς ἱππεῦσιν εἰς καττύματα." καττύματα δέ ἐϛι δέρματά τινα ἰσχυρὰ καὶ σκληρά, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται.

κάτω ἐπίρρημα τοπικόν.

κατώγειον. ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ διὰ τοῦ ε ψιλοῦ καὶ ω μεγάλου, ὁ ἀνώγεως καὶ ἡ ἀνώγεως, καὶ τὸ ἀνώγεων, καὶ κατώγεων. κατώγειον δέ. cf. v. ἀνώγεων.

κάτωθε χωρὶς τοῦ ν παρὰ Δωριεῦσι. καὶ Πίνδαρος (Pyth. 4 180) ὁμοίως "ἀγρόθε γὰρ νέομαι παρὰ Χαρικλοῦς καὶ Φιλύρας."

κατωθούμενος ἀνατρεπόμενος.

κατωκάρα. οἱ Ἀττικοὶ ὑφ' ἓν ἀναγινώσκουσιν· Ἀριϛοφάνης (Ach. 944) "εἴπερ ἐκ ποδῶν κατωκάρα κρέμαιτο," ἀντὶ τοῦ ἐπὶ κεφαλῆς. τὸ ἐπὶ κεφαλῆς πεσεῖν κατωκάρα λέγεται παρ' Ἀττικοῖς, οὐ διῃρημένως ἀλλ' ὑφ' ἕν. Πίνδαρος (fr. inc. 119) "οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται." Ἀγαθίας (2 3) "οἱ δὲ ἐκ τοῦ πρανοῦς ὑποφερόμενοι καὶ ἐς τὴν θάλατταν κατωκάρα ἐμπίπτοντες ἀπώλλυντο." καὶ αὖθις Ἀριϛοφάνης (Pac. 152) "κατωκάρα ῥίψας με βουκολήσεται," περὶ κανθάρου λέγων.

κατῳκοδόμησεν Ἰσαῖος ἀντὶ τοῦ κατέκλεισεν εἰς οἴκημα καὶ ἀπέκτεινε. Harp. cf. v. Ἀναγυράσιος.

κατώλισθον κατέπεσον.

κατωμαδὸν κατὰ τῶν ὤμων· Ἰώσηπος (A. I. 5 8 10) "ὁ δὲ Σαμψὼν ἀράμενος τὰς πύλας καὶ τὰς φλιὰς κατωμαδὸν εἰς τὸ ὄρος φέρων κατατίθησι."

Κάτων ϛρατηγὸς Ῥωμαίων, ὃς νέος μὲν ἦν ἔτι πάμπαν, αὐϛηρὸς δὲ καὶ φιλόπονος, συνέσει τε γνώμης καὶ δεινότητι λόγων ἀριπρεπής, ὥϛε αὐτὸν ἐπὶ τοῖς λόγοις ἐκάλουν οἱ Ῥωμαῖοι Δημοσθένην, πυνθανόμενοι τὸν ἄριϛον ἐν τοῖς Ἕλλησι ῥήτορα γενέσθαι Δημοσθένην (Appian. Hisp. 39). λέγεται Κάτωνα

τὸν πρεσβύτην, ἐρομένου τινὸς ἣν ἔχοι γνώμην περὶ τῶν ἐν Καρχηδόνι πραγμάτων καὶ περὶ τοῦ Σκηπίωνος, εἰπεῖν "οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀίσσουσι" ⟨cf. v. ἀίσσουσι⟩.

κατωνάκη ἱμάτιόν ἐϛιν ἐκ τῶν κάτω μερῶν νάκος, τουτέϛι διφθέραν, περιερραμμένον ⟨sch. A Eccl. 719⟩. δοκοῦσι δὲ ἀμφιέσασθαι τοῦτο τῶν τυράννων ἐπαναγκασάντων τοὺς Ἀθηναίους, ἵνα ὑπὸ εὐτελείας μὴ κατίωσιν εἰς ἄϛυ οἱ πολῖται· μέχρι γὰρ τῶν γονάτων ἦν διῆκον. Ἀριϛοφάνης ⟨Lys. 1153⟩ "οὐκ ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ κατωνάκας φοροῦντας ἐλθόντες δορὶ πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν, πολλοὺς δ' ἑταίρους Ἱππία καὶ ξυμμάχους." καὶ γὰρ καὶ τῶν Θετταλῶν οἱ πλεῖϛοι ἐβοήθουν Ἱππίᾳ.

κατωνάκης δουλικὸς καὶ ἀνελεύθερος χιτών· "κατωνάκῃ τὸν χοῖρον ἀποτετιλμένας" ⟨A Eccl. 752⟩ τὰς δούλας φησί.

Κατώρης ὄνομα κύριον.

κατωρχήσαντο κατεχάρησαν, ἔπαιξαν.

κατωφαγᾶς ⟨A Av. 289⟩ ὁ καταφαγᾶς. κωμῳδεῖται γοῦν ὡς πολυφάγος ὁ Κλεώνυμος. ὅτι κάτω νεύων ἔτρωγε. κατωφαγᾶς δὲ ὄρνεόν ἐϛιν οὕτω καλούμενον, ὀρύσσων τὰ σπέρματα. καὶ ὅτε μὲν βαρύνεται, ἐϛὶν ἐπίθετον, ὅτε δὲ περισπᾶται, κύριον. ἴσως δὲ ἀπὸ τοῦ καταφαγεῖν.

κατωφρυῶσθαι γενικῇ.

Καυδὼ νῆσος πλησίον Κρήτης, ἔνθα μέγιϛοι ὄναγροι γίνονται. al. Γαῦδος.

καύθωνος τοῦ μαλθακοῦ.

καυκίον παρ' ἡμῖν, κύλιξ δὲ παρὰ τοῖς σοφοῖς.

Καύκωνες ὄνομα ἔθνος. "ἐγγὺς δὲ τοὺς ἐπιβουλεύοντας εἶναι Καύκωνάς τε καὶ Λέλεγας Ὁμηρικούς, Πελασγοὺς δὲ οὐδαμοῦ οὐδὲ δίους· εἰρήσθω γὰρ ἐν καιρῷ ἐμοὶ τόδε."

καυλὸς τὸ ἄκρον τοῦ δόρατος.

καυλῶ καυλήσω. ἐκκεκαυληκότα· "τῶν λαχάνων πάντα ἐκκεκαυληκότα."

Καυλωνία χώρα.

καυνάκης ὁ ἀγών· ἢ εἶδος ἱματίου, ὅπερ καὶ Περσίδα καλοῦσιν. οἱ δὲ σίσυραν Θυμαιτίδα, ὅπερ ἔοικε Μορύχου σάγματι. σάγμα δὲ ἡ θήκη τοῦ ὅπλου. sch. A Vesp. 1117.

Καύνιος ἔρως, ἐπὶ τῶν μὴ κατορθουμένων ἐπιθυμιῶν· Καῦνος γὰρ καὶ Βυβλὶς ἀδελφοὶ ἐδυσύχησαν.

καυσία εἶδος πίλου βαρβαρικοῦ ἐπὶ τῆς κεφαλῆς· ⟨AP 6 335⟩ "καυσίη ἡ τὸ πάροιθε Μακηδόσιν εὔκολον ὅπλον, καὶ σκέπας ἐν νιφετῷ καὶ κόρυς ἐν πολέμῳ."

καυϛειρός, καυτηρός δέ.

Κάυϛρος ποταμός.

καύσωνος θέρμης.

καύτην· ἐν ἐπιγράμματι ⟨AP 6 57⟩ "ἄνθετο δέρμα λέοντος Τεῦκρος Ἄραψ, καύτην ἀγρότιν αἰγανέαν."

καυχᾷ. οἱ λοιποὶ ῥήτορες ἐπὶ τῆς αὐτῆς ἐννοίας αὐχεῖν λέγουσι, Λυκοῦργος δ' ἐν τῷ περὶ Μαντειῶν ἐχρήσατο τῇ λέξει "δεῖ δὲ τἆλλα ἐν δημοκρατίᾳ σοι εἰπεῖν, ἑνὸς δ' οὐκ ἔϛι σοι· κακῶς γὰρ αὐτοῦ προέϛης· ἐφ' οἷς καυχᾷ, οἱ ἄλλοι αἰσχύνονται."

καυχώμενος μεγαληγορῶν.

κάφος τὸ πνεῦμα, κατὰ διάλεκτον. καὶ Ὅμηρος ⟨E 698⟩ "κακῶς κεκαφηότα θυμόν."

Καφύη ὄνομα πόλεως.

καφώρης· "τὸ τῆς καφώρης μίσησον δολερὸν καὶ κερδῷον." λέγουσι δὲ τὴν ἀλώπεκα. cf. Aelian. N. A. 7 47.

κἄχεζεν Ἀριϛοφάνης ⟨Ach. 82⟩ ἀντὶ τοῦ καὶ ἀπεπάτει.

καχέκται· "ταῖς δὲ ἀληθείαις ὑπῆρχον ἐν αὐτοῖς καχέκται μεταβολῆς οἰκεῖοι."

καχεξία. καὶ καχεκτοῦντες κακῶς τὴν ἕξιν διατεθειμένοι, ἀσθενοῦντες· Πολύβιος ⟨29 6⟩ "ὁ δὲ Περσεὺς προσαγόμενος τὸν χρόνον καὶ τὸν πόνον ἐξελύετο τῇ ψυχῇ καθάπερ οἱ καχεκτοῦντες τῶν ἀθλητῶν. ὅτε γὰρ τὸ δεινὸν ἐγγίζοι καὶ δέοι κρίνεσθαι περὶ τῶν ὅλων, οὐχ ὑπέμεινε τῇ ψυχῇ."

καχλάζει ταράττεται, φλεγμαίνει, βράττει.

κάχληκες λίθακες ἐν τοῖς ὕδασιν· "ᾑρεῖτο δὲ ὁπόσον κάχληκος τοῦ ἐμφερομένου τοῖς ἐδάφεσι." καὶ κάχληξ εἶδος ζωυφίου τινός.

κάχρυς τὰς κριθάς· Ἀριϛοφάνης ⟨Nub. 1362⟩ "πίνονθ', ὡσπερεὶ κάχρυς γυναῖκ' ἀλοῦσαν," τουτέϛι καθάπερ τινὰ γυναῖκα ἀλοῦσαν κριθάς.

καχρύων· "ἐσκίρτα, πεπόρδει, ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον" ⟨A Vesp. 1355⟩.

καχυποτοπεῖσθαι. τὸ τέλειον κακὰ ὑπονοεῖν. παρ' Ἀριϛοφάνει ⟨Ran. 988⟩.

καχυπότοπος καχύποπτος· τοπάσαι γὰρ τὸ ὑπονοῆσαι.

κάψα κίϛη, ἡ θήκη.

Κάωνος.

κέαρ τὴν καρδίαν φησὶν Ἀριστοφάνης ⟨Ach. 5⟩· "ἐφ' ᾧγε τὸ κέαρ εὐφράνθην."

κέαται κεῖνται.

Κέβης Θηβαῖος φιλόσοφος, Σωκράτους μαθητής. διάλογοι δὲ αὐτοῦ φέρονται γ', Ἑβδόμη Φρύνιχος Πίναξ (ἔςι δὲ τῶν ἐν Ἅιδου διήγησις), καὶ ἄλλα τινά.

Κέβρηνα ⟨Demosth. 23 154⟩ πόλις Τρῳάδος, Κυμαίων ἄποικος. Harp.

κέγκλος εἶδος ὀρνέου θαλασσίου.

κεγχραμίδες. τοῦ σύκȣ καὶ τῶν ἐλαιῶν οἱ πυρῆνες λέγονται κεγχραμίδες.

κεγχρέα.

Κεγχρεαί ὄνομα τόπου.

κεγχρεών. Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον γραφῇ ⟨27⟩ "κἄπειτ' ἔπεισε τοὺς οἰκέτας τȣ̀ς ἐμοὺς καθέζεσθαι εἰς τὸν κεγχρεῶνα" ἀντὶ τοῦ εἰς τὸ καθαριςήριον, ὅπȣ τὴν ἐκ τῶν μετάλλων διέψυχον κέγχρον.

κεγχρίνης ⟨an κεγχρίς⟩ εἶδος ὀρνέου, ὃ λέγεται μηδ' ὅλως διψᾶν. ἢ εἶδος ὄφεως.

κεγχρίτισι· "καὶ νάρδῳ ψαφαρῇ, κεγχρίτισιν ἰσχάσιν ἀμφί" ⟨AP 6 231⟩.

κεδάζω σκορπίζω.

Κεδίκιος ὄνομα κύριον.

κεδνός συνετός, σώφρων, ἢ φρόνιμος. Αἴας ⟨661⟩ "κἀγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην παρ' Ἕκτορος δώρημα δυσμενεςάτου, οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα."

κέδροι δένδρα ὑψίκομα καὶ ἄκαρπα, αἷς ἀπεικάζει Δαβὶδ ⟨Ps. 28 5⟩ τὴν εἰδωλολατρίαν.

Κεδρωσία ὄνομα πόλεως.

Κέθη ὄνομα κύριον.

Κέθηγος ὄνομα κύριον.

κεῖθεν. καὶ *κεῖθι* ἐν ἐκείνῳ τῷ τόπῳ. καὶ *κεῖσε* εἰς ἐκεῖνον τὸν τόπον.

κεῖμαι.

κειμένους κολαζομένους· Ἀριστοφάνης Βατράχοις ⟨146⟩ "ἐν δὲ τούτῳ κειμένους."

κειμήλια κτήματα, ἢ ἀποκείμενα χρήματα.

κεῖο εὐκτικῶς. κείω δὲ τὸ κοιμῶμαι.

Κεῖος ἀνὴρ ἀπὸ τῆς Κέω πολίτης. *Κίος* δὲ παραθαλάσσιος τόπος, καὶ *Κιώτης* ὁ πολίτης.

κείρει ἐσθίει, κατεσθίει.

a *κειρία* εἶδος ζώνης ἐκ σχοινίων, παρεοικὸς ἱμάντι, ᾗ δεσμοῦσι τὰς κλίνας· Ἀριστοφάνης Ὄρνισιν ⟨817⟩ "οὐδ' ἂν χαμεύνῃ πάνυ γε κειρίαν γ' ἔχων." *κειρίον* δὲ τὸ σχοινίον.

κειρία ἡ σπαργάνωσις. b

Κειριάδαι ⟨δῆμος τῆς⟩ Ἱπποθοωντίδος. Harp.

Κειτούκειτος Οὐλπιανός, εἷς τῶν δειπνοσοφιςῶν. ἐκλήθη δὲ οὕτως διὰ τὸ συνεχῶς προβάλλειν εἰ κεῖται ὥρα ἐπὶ τοῦ τῆς ἡμέρας μορίȣ, καὶ εἰ ὁ μέθυσος ἐπὶ ἀνδρός, καὶ εἰ μήτρα ἐπὶ τοῦ ἐδωδίμου βρώματος, σύαγρός τε εἰ κεῖται ἐπὶ τοῦ συός. καὶ νόμον εἶχεν ἴδιον μηδενὸς ἀποτρώγειν πρὶν εἰπεῖν κεῖται ἢ οὐ κεῖται.

κεκαδησόμεθα ⟨Hom. Θ 353⟩ φροντίσομεν.

κεκαθίσθαι ἐκ τοῦ καθίζω.

κεκαινοπεποιημένοι· "ἵνα μὴ ὦσιν ἔκδιψοι καὶ προεκλελυμένοι, ἀλλ' ἐκπαθεῖς καὶ κεκαινοπεποιημένοι," τουτέςιν ὑγιεῖς.

κεκασμένον ⟨Hom. δ 725⟩ κεκοσμημένον.

κεκαυτηριασμένος μὴ ἔχων ὑγιῆ τὴν συνείδησιν.

κεκαφηότα ⟨Hom. Ε 698⟩ ἐκπνεύσαντα.

κεκιβδήλευται διαβέβληται, κατέγνωσται, ἀποδεδοκίμασται, νενόθευται.

κεκινέαται κεκίνηνται.

κεκλάγξω καὶ *κεκλάγξομαι* ἀντὶ τοῦ ὑλακτήσω, ἐπὶ τῶν κυνῶν.

κέκλεικα ἠσφάλισα.

κεκλήατο ⟨Hom. Κ 195⟩ ἐκ τοῦ καλῶ καλέσω.

κεκληγότες κράζοντες.

κέκληκα ἐκάλεσα.

κεκλίαται ⟨Hom. Π 68⟩ ἐκ τοῦ κλίνω. καὶ *κέκλικα* ὁμοίως.

κεκλιμένος ⟨Hom. Ο 740⟩ περιεχόμενος.

κεκλόμενος ⟨Hom. Π 525⟩ παρακελευόμενος.

κεκλοφέναι κλέψαι, ὑφελέσθαι.

κεκλωσμένα ὑπὸ τῆς εἱμαρμένης ἀμεταποίητα.

κεκμηκὼς κάμνων. καὶ χωρὶς τοῦ κ. ἐν ἐπιγράμμασι ⟨AP 6 66⟩ "ἐνθάδε Καλλιμένης φιλομήδεσιν ἄνθετο μούσαις, γήραϊ κεκμηκὼς ὄμματα καὶ παλάμας."

κεκοισυρῶσθαι πεποικίλθαι.

κεκολουμένος ἀδυνάτως ἔχων, ἀμηχανῶν· ⟨AP 7 234⟩ "τηξιμελεῖ νούσῳ κεκολȣμένος ἔδραμε θυμῷ ἐς προτέρην ἔργων ἄρσενα μαρτυρίην." ἢ κεκολȣμένος ἐκτετηγμένος.

κεκομψευμένος σεμνός, ἢ ἀςεῖος, ἢ εὐκαλλώπιςος.

κεκονιαμένοις ἀσβέστῳ κεχρισμένοις· "οἶνος δὲ ἦν, ὃν ἐν λάκκοις κονιατοῖς εἶχον" Ξενοφῶν φησί (Anab. 4 2 22).

κεκονιμένος σπυδάζων πάνυ, καὶ σχεδὸν κόνεως πεπληρωμένος· (A Eccl. 289) "ὃς ἂν μὴ πρῶτα πάνυ τοῦ κνέφους ἥκῃ κεκονιμένος" ἀντὶ τοῦ ἔτι τοῦ κνέφυς ὄντος. καὶ αὖθις (AP 6 124) "ἀλλὰ σιδηρείυ κεκονιμένη ἐκ πολέμοιο." "πρὸς γὰρ τὴν τοιαύτην δίαιταν ἔλεγον οἱ ἅγιοι τρεῖς παῖδες κεκονῖσθαι, τὴν τῶν ὀσπρίων," ἀντὶ τοῦ ἐνεθίζεσθαι. σημαίνει δὲ τὸ κεκονῖσθαι καὶ τὸ κυλίεσθαι.

κεκονιμένων σπευδόντων, ἔτι τὴν κόνιν τοῖς ποσὶ περιφερόντων· "δύο νεανίσκων κεκονιμένων καὶ ἀγγελίαν ἀπαγγειλάντων."

κεκότητο ὤργισο. καὶ *κεκοτηότες*.

κεκραγμόν τὴν βοὴν Ἀττικοί. "χοῖρον αὐτίκα ἐκ τοῦ πύργου ἐπικρεμάσαντες, τὸν κίνδυνον τὸν ἐκ τοῦ ἐλέφαντος διέφυγον· κεκραγμὸν γάρ τινα σκαιὸν ὁ χοῖρος ἠρτημένος ἠφίει, ᾧπερ ὁ ἐλέφας ἀχθόμενος ἀνεχαίτιζε."

κεκραιπαληκώς (Ps. 77 65) εὐφραμμένος.

κεκράκτης μεγαλόφωνος. Ἀριςοφάνης (Eq. 137) "Κυκλοβόρου φωνὴν ἔχων." ποταμὸς δὲ Ἀττικὸς ὁ Κυκλοβόρος, χειμάρρους. τὴν κακοφωνίαν οὖν εἴκασε τοῦ ποταμϐ τῷ ἤχῳ. καὶ ἀλλαχοῦ "ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων."

κεκραμένη σπονδή, ἣν ἔθυον μόνῳ τῷ Ἑρμῇ, διότι, ὥς φασί, καὶ ζώντων καὶ τετελευτηκότων ἄρχει καὶ παρ' ἀμφοτέρων τὰς τιμὰς δέχεται. sch. A Plut. 1133.

κεκραμένον τρία καὶ δύο τρία μέρη ὕδατος ἐπιδεχόμενον, οἴνου δὲ δύο. ἀρίστη κρᾶσις. Ἀριςοφάνης (Eq. 1192) "ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο· ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισε." βούλεται δηλοῦν ὅτι ἡ Ἀθηνᾶ τοιοῦτον ἐποίησεν ὡς δύνασθαι τρία μέτρα φέρειν ὕδατος. cf. v. πόμα.

κεκράξομαι οὐκ ἐπὶ φωνῆς, ἀλλ' ἐπὶ προθυμίας καὶ συντόνου καὶ σπουδαίας εὐχῆς· Δαβὶδ (Ps. 27 1) "πρὸς σὲ κύριε κεκράξομαι."

κέκραχθι κρᾶξον.

κεκρηγέναι ἢ κεκραγέναι.

κεκριγότες Ἰλλυριοί Ἀριςοφάνης (Av. 1520) ἀντὶ τοῦ ποιὰν φωνὴν ἀποτελοῦντες. κεκριγότες οὖν διὰ τὴν ἀσάφειαν τῆς φωνῆς αὐτῶν· κρίγη γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γιγνόμενος.

κεκριμένον ἀντὶ τοῦ ἐγνωσμένον.

Κεκροπίδης ὁ τοῦ Κέκροπος υἱός.

Κεκροπίς μία τῶν ἐν Ἀθήνησι δέκα φυλῶν.

Κεκροπὶς Ἀθῆναι, ἀπὸ Κέκροπος. καὶ *Κεκροπίδαι* οἱ Ἀθηναῖοι.

Κέκροψ Αἰγύπτιος ὢν τὸ γένος ᾤκισε τὰς Ἀθήνας· ὅθεν καὶ Κεκροπίδαι. τινὲς δέ φασι τοῦτον καὶ διφυῆ γεγενῆσθαι, τὰ μὲν ἄνω ἀνδρὸς τὰ δὲ κάτω γυναικός, οἱ δὲ θηρίου. ἕτεροι δὲ ὅτι νόμους ἐξεῦρε τοῖς ἀνθρώποις, καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν. ἄλλοι δὲ ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχε μισγομένων ταῖς γυναιξί, καὶ ἐκ τούτου μὴ γινωσκομένϐ ἢ τοῦ παιδὸς παρὰ τϐ πατρὸς ἢ τοῦ πατρὸς παρὰ τοῦ παιδός, αὐτὸς νόμους θέμενος ὥςε φανερῶς συγγίνεσθαι αὐταῖς καὶ μιᾷ ςοιχεῖν, καὶ σχεδὸν εὑρὼν τὰς δύο φύσεις τοῦ τε πατρὸς καὶ τῆς μητρός, εἰκότως διφυὴς ἐκλήθη (sch. A Plut. 773). καὶ ἐν ἐπιγράμματι (AP 7 21) "τὸν τραγικῆς μύσης ἀςέρα Κεκρόπιον."

κεκρύφαλον κεκρύφατον (an κροκύφαντον), σαβακάθιον, συδάριον. ἐν ἐπιγράμματι (AP 5 260) "κεκρύφαλοι σφίγγυσι τεὴν τρίχα· τήκομαι οἴςρῳ." καὶ αὖθις (AP 6 206) "τόν τε φιλοπλέκτοιο κόμας σφιγκτῆρα Φιλαινὶς βαπτὸν ἁλὸς πολιῆς ἄνθεσι κεκρύφαλον." καὶ αὖθις (AP 6 207) "πορφύρεον χαίτας ῥύτορα κεκρύφαλον." καὶ κοιλία τις τῶν μηρυκιζόντων ζῴων.

κεκτημένης τῆς δεσποίνης· Ἀριστοφάνης (Eccl. 1118) "τὸν ἄνδρ' ὅπϐ 'ςὶ τῆς ἐμῆς κεκτημένης."

κεκυφότες καὶ κύψας. Ἀριστοφάνης περὶ κανθάρου φησὶν (Pac. 33) "οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει." διὰ τϐ σχήματος τὴν ἀδδηφαγίαν αὐτοῦ δηλοῖ· καὶ γὰρ τῶν ἀνθρώπων καὶ τῶν θρεμμάτων οἱ μάλιστα τοῖς ἐδέσμασιν ἐγκεκυφότες καὶ προσκείμενοι δοκοῦσιν ἀπλήςως καὶ περισπυδάςως ἐσθίειν.

κεκωδωνισμένος ἐξητασμένος, ἀπὸ τῶν τοὺς φύλακας διὰ τϐ κώδωνος ἐξεταζόντων. καὶ *διακωδωνίσαι* τὸ ἐξετάσαι. Ἀριςοφάνης Λυσιςράτῃ (486) "ὡς αἰσχρὸν ἀκωδώνιςον ἐᾶν."

κεκωφῆσθαι κωφὸν γεγονέναι.

κελαδεινή ⟨Hom. Υ 70⟩ κυνηγός, θόρυβον κατὰ τὰς ἄγρας ποιοῦσα. καὶ κελαδεινός ὁ ἠχητικός.

κελαδείτω ⟨A Thesm. 44⟩.

κελαδήματα ἠχήματα ⟨A Nub. 282⟩.

κελάδησαν ⟨Hom. Θ 542⟩ ἐβόησαν.

κελαδοῦσιν ἠχοῦσι. ⟨AP 6 159⟩ "σάλπιγξ ἄγκειμαι Τριτωνίδι κούρᾳ δῶρον, ἐριβρύχων παυσαμένη κελάδων," τουτέστι θορύβων.

Κελαιναί ⟨an Μελαιναί⟩ τόπος, μεθόριον Ἀθηναίων καὶ Βοιωτῶν. cf. v. Ἀπατούρια.

κελαινεφές μελανονεφές.

κελαινόν μέλαν· ἐν ἐπιγράμματι ⟨AP 6 63⟩ "καὶ γραφικοῖο δοχεῖα κελαινοτάτοιο ῥεέθρου."

κελαινός μέλας.

κελαινοφαής ἀντὶ τοῦ μέλαινα· Ἀριστοφάνης Βατράχοις ⟨1338⟩ "ὦ νυκτὸς κελαινοφαὴς ὄρφνη."

κελαινώπαν οἷον οὐκ ἐν φανερῷ ἀλλ' ἐν σκότῳ ἤδη βλεπόμενον, καὶ μέλανα, καὶ οἷον κεκρυμμένον καὶ δόλιον. ⟨S Ai. 954⟩ "καὶ κελαινὸν θυμὸν ἐφυβρίζει ὁ πολύτλας ἀνήρ" ἤτοι ὁ Αἴας.

κελαρύζει ⟨Hom. Φ 261⟩ μετὰ ἤχου ῥεῖ. "ἡ μὲν κάμηλος ἐγένετο τοῦ χιλοῦ, ὃ δὲ ἔπινε ποτὸν τοῦ ποτοῦ ἀκούσιον, καὶ ἅτε κάτωθεν τοῦ πνεύματος ὠθουμένου, ἄνωθεν δὲ τοῦ ὕδατος ἐπιφερομένου, ἡ φάρυγξ ἐκελάρυζεν" ⟨cf. v. βορβορυγμός⟩.

κέλεαι ⟨Hom. Α 74⟩ κελεύεις.

κελέβη κόγχη, ἢ λεκάνη, ἢ τοιοῦτον σκεῦος ἐν ᾧ δυνατὸν νίψασθαι πόδας. "ἐκ δ' ἔχεεν κελέβῃ, μετὰ δ' αὖ κεράς ἠφύσατ' ἄλλο." cf. v. κεράς.

Κελεζηνή χώρα τῶν Ἀρμενίων, πλησίον Μελιτηνῆς, ἣ παρ' ἡμῖν Κελτζηνὴ ὀνομάζεται.

κελέοντες. κυρίως μὲν κελέοντες καλοῦνται οἱ ἰσόποδες, Ἀντιφῶν δὲ ἐν τῇ πρὸς τὸν Δημοσθένην γραφῇ τὰ ὀρθὰ ξύλα οὕτως ὠνόμασε. Harp.

Κελεός ⟨A Ach. 48⟩ ὄνομα κύριον.

Κελεστικός ὄνομα κύριον.

κελευθήτησι, τουτέστιν ὁδοιπόροις· "προίκιος ἀνθρώποισι κελευθήτησιν ἀοιδός" ἐν ἐπιγράμματι ⟨AP 6 120⟩.

κελευστής τριήραρχος, πρωρεύς. καὶ ὁ μὲν τριήραρχος ἄρχει τῆς νηὸς καὶ τοῦ πληρώματος, ἔστι δὲ κατ' ἐκλογὴν τῶν πολιτικῶν ἀνδρῶν· ἄρχει δὲ ὁ πρωρεὺς τῶν κωπηλατῶν, οἱ δὲ κελευσταὶ τούτων αὐτῶν καὶ τῶν ἐπιβατῶν. μεγίστην δὲ παρέχονται χρείαν οἱ κελευσταί· καὶ γὰρ ἵνα τοὺς ἄρτους δεόντως πέττωσι καὶ συντελῶσι τὸ μέτρον ἐν τῷ δειπνεῖν οἱ κωπηλάται, τούτοις ἐστὶν ἐπιμελές, οἴνου κρέως ἐλαίου, πάντων τῶν τοιούτων, ἵνα ταῦτα τηροῦντες καθ' ἡμέραν τὸ ἐπιβάλλον ἔχωσι τοῦ διδομένου πρὸς τὴν χρείαν. Ἀρριανός "οἱ κελευσταὶ καθ' ἑκάστην ναῦν τὸ ἐνδόσιμον τοῖς ἐρέταις ἐνέδοσαν."

κελευτιόων ⟨Hom. Ν 125⟩ παρακελευόμενος.

κελεύω δοτικῇ καὶ αἰτιατικῇ. οὐκ ἐπὶ μειζόνων μόνον κεῖται παρὰ Θουκυδίδῃ, ἀλλὰ καὶ ἐπ' ἐλαττόνων. sch. Thuc. 1 42.

κέλητες· "οὓ μὲν ἔφθη ὑπερβῆναι ταῖς μακραῖς ναυσίν, οἱ δὲ κέλητες τοῦ θεοῦ συσκοτάζοντος ἐπεζήτουν τὸ φῶς."

κέλης ὁ μόνος ἵππος, ὁ γυμνός, ἢ καὶ ὁ σελλάριος. συνωρὶς δὲ δύο ἵπποι συνεζευγμένοι.

κέλης εἶδος πλοιαρίου μικροῦ· Ἀριστοφάνης ⟨Lys. 59⟩ "ἀλλ' ἐκεῖναί γ' οἶδ' ὅτι ἐπὶ τῶν κελήτων διαβεβήκασ' ὄρθριαι." καὶ ἵππος δὲ κέλης ὁ γυμνός. λέγει οὖν ὅτι ἐν πλοίῳ εἰσὶν ἐρχόμεναι, καὶ οὐχ ἁπλοῦν· ἐν ἐπιγράμματι ⟨AP 5 204⟩ "οὐκέτι Τιμάριον τὸ πρὶν γλαφυροῖο κέλητος πῆγμα φέρει πλωτὸν Κύπριδος εἰρεσίην." ἔστι δὲ εἶδος πλοίου.

κελητίζειν κέλητα ἐλαύνειν· Ὅμηρος ⟨Ο 679⟩ "ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς."

ὅτι τὸ κελητίζειν πρὸ τοῦ Ὁμήρου.

κελήτιον μικρὸν πλοιάριον, ἀπὸ μεταφορᾶς τοῦ κέλητος ἵππου, ᾧ εἷς ἀνὴρ ἐπικάθηται. sch. Thuc. 1 53.

Κελσῖνος Εὐδώρου Καστβαλεὺς φιλόσοφος ἔγραψε συναγωγὴν δογμάτων πάσης αἱρέσεως φιλοσόφου, καὶ ἕτερα.

Κελτίβηρες ἴδιον ἔχουσι κατὰ τὸν πόλεμον· πιεζομένων γὰρ τῶν πεζῶν παρακαταβάντες καὶ ἐν τοῖς ἀγωγεῦσι τῶν ἵππων πασσαλίσκους ἔχοντες προσηρτημένους, τούτους πήξαντες πειθαρχεῖν ποιοῦσι τοὺς ἵππους. cf. v. ἴδιον.

Κελτοί ὄνομα ἔθνους, οἱ λεγόμενοι Γερμανοί, οἳ ἀμφὶ τὸν Ῥῆνον ποταμὸν εἰσίν·

οἳ κατέθεον τὴν γῆν τῶν Ἀλβανῶν. οὓς καὶ Σήνωνας καλοῦσιν.

ὅτι Κελτοὶ κατὰ Ῥωμαίων ἐςράτευσαν, ἀνὴρ δέ τις τῶν Κελτῶν ἡγεμονικός, τό τε σῶμα ἐκπρεπὴς καὶ τὸν θυμὸν ἀλκιμώτατος, προελθὼν τοῦ οἰκείου πλήθους ἐς μονομαχίαν προυκαλεῖτο τῶν ἐναντίων τὸν ἄριςον. Βαλέριος δέ τις ἡγεμὼν φάλαγγος ὑπέςη τὸ ἀγώνισμα, καὶ θείᾳ δέ τινι μοίρᾳ κατὰ γνώμην ἀποβάντος ἔτυχε τοῦ βυλεύματος. ἐπεὶ γὰρ προῆλθε τοῦ οἰκείου τάγματος ὁπλισάμενος, κόραξ προσιζάνει τῷ δεξιῷ τοῦ ἀνδρὸς βραχίονι, ἀντιπρόσωπος δὲ τῷ Κελτῷ κατὰ τὸν ἀγῶνα φερόμενος καὶ τοῖς τε ὄνυξιν ἀμύττων τὸ πρόσωπον καὶ ταῖς πτέρυξιν ἐπικαλύπτων τοὺς ὀφθαλμὺς ἀφύλακτον τῷ Βαλερίῳ τὸν πολέμιον παρέδωκεν, ὁμοῦ τήν τε νίκην τῷ ἀνδρὶ καὶ τὴν ἀπὸ τῦ συμβεβηκότος ἐπωνυμίαν χαρισάμενος· Κορβῖνος γὰρ δὴ τοὐντεῦθεν ἐπεκλήθη, τῆς τε μαρτυρηθείσης ἀρετῆς ἕνεκα παρὰ τὰ καθεςηκότα Ῥωμαίοις νόμιμα τῆς ὑπατικῆς ἀρχῆς ἔτι μειράκιον ὢν τυγχάνει. Dio Cass. fr. 34: cf. v. ἀμύσσειν.

κελύφει τῇ περικεφαλαίᾳ· ἡ εὐθεῖα τὸ κέλυφος. **κελύφη** δὲ θηλυκόν.

κέλυφος τὸ λέπυρον τοῦ ᾠοῦ. ὅτι τὰς βαλάνους ἐσθίοντες τὰ κελύφη ἔκαιον.

Κέλωρ Κέλωρος ὄνομα κύριον.

κεμάς κεμάδος ἔλαφος, ὁ κοιμώμενος ἐν σπηλαίῳ, κοιμάς τις ὤν. ⟨AP 6 231⟩ "εἰ δ' ὡς ἐκ πελάγους ἐρρύσαο Δᾶμιν, ἄνασσα, κὴκ πενίης, θύσει χρυσόκερων κεμάδα."

Κέμυρος ὄνομα κύριον.

κένανδρον κενὸν ἀνδρῶν.

Κενδεβαῖος ὄνομα κύριον.

κενεβρίων θνησιμαίων· κενέβρια γὰρ τὰ νεκριμαῖα, κατὰ ἐναλλαγὴν τῶν ςοιχείων. sch. A Av. 538.

κενεμβατεῖν εἰς κενὰ βαίνειν, κενὰ ἐπιχειρεῖν.

κενεόν καὶ **κενόν** μάταιον. ⟨S Ai. 971⟩ "πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω." καὶ αὖθις ⟨El. 403⟩ "οὐ δῆτα· μήπω νῦ τοσόνδ' εἴην κενή" ἀντὶ τοῦ συνέσεως κούφη. καὶ **κενεὸς** ὁμοίως.

κενεών ὁ περὶ τὸν λαγόνα τόπος· κενὸς γάρ ἐςιν ὀςέων.

κενῆς ἐςερημένης, κεκενωμένης· ⟨S Ai. 986⟩ "μή τις ὡς κενῆς σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ·" οἱ γὰρ κυνηγοὶ τηροῦσι τὸν καιρὸν ὁπότε ἔρημοι τῶν μητέρων γίνονται οἱ σκύμνοι.

Κενθίππη.

κενοδοξία ματαία τις περὶ ἑαυτῦ οἴησις.

κενοὶ κενὰ λογίζονται, παροιμία. "Ἀρχίας γὰρ Κύπρον βουλόμενος προδῦναι ··· προσαπώλεσε" ⟨cf. v. Ἀρχίας⟩. καὶ αὖθις Ἀριςοφάνης ⟨Eq. 281⟩ "ἐσδραμὼν ἐς τὸ πρυτανεῖον κενῇ κοιλίᾳ, ἐκθεῖ πλέᾳ" τουτέστιν ἐκ τῆς πόλεως.

κενὸν ἀνθρώπων ἔρημον· Σοφοκλῆς πρὸς Οἰδίπουν ⟨OR 54⟩ "ἀλλ' εἴπερ ἄρξεις τῆσδε γῆς ὥσπερ κρατεῖς, ξὺν ἀνδράσιν κάλλιον ἢ κενὸν κρατεῖν, ὡς οὐδέν ἐςιν οὔτε πύργος οὔτε ναῦς ἔρημος, ἀνδρῶν μὴ ξυνοικούντων ἔσω."

κενοσπουδία ματαία σπουδή, καὶ **κενόσπουδος** ὁ ἐπὶ ματαίοις σπουδαῖος.

κενοτάφιά τινά εἰσιν ἑλισσόμενα ὡς τύπος νεκροῦ, μὴ ἔχοντα ἔνδον νεκρόν ⟨1 Regg. 19 13 et 16⟩.

κενοῦμαι γενικῇ.

κενοφωνίας ματαιοφωνίας, ἀσεβείας, ἤγουν αἱρετικάς. καὶ **κενοφωνῶ**.

κένσαι ⟨Hom. Ψ 337⟩ ἐπιπλῆξαι.

κενταυρικῶς ἀγροίκως, ἀκόσμως, ὑβριςικῶς, ὅτι καὶ οἱ Κένταυροι ὑβριςαί. οἱ δὲ ἀντὶ τοῦ μαλακῶς· εἰρωνεύεται γὰρ ὁ Ἡρακλῆς· ὁ γὰρ Διόνυσος μαλακὸς καὶ τρυφηλός. Ἀριςοφάνης Βατράχοις ⟨38⟩ "τίς τὴν θύραν ἐπάταξεν; ὡς κενταυρικῶς ἐνήλατο." καὶ αὖθις "οἵους οὔτε τοὺς Κενταύρυς τοὺς τὸ Πήλιον ἔχοντας, οὔτε τοὺς Λαιςρυγόνας τοὺς τὸ Λεοντῖνον πεδίον οἰκήσαντας" ⟨Polyb.⟩.

κέντει τὸν πῶλον περὶ τὴν νύσσαν.

κεντήματα.

κεντηνάριον.

Κεντιλίων ⟨immo Γεντ-⟩ **σχολῆς** εἶδος ἀξιώματος.

κέντορος τοῦ τοὺς ἵππους κεντοῦντος.

κέντρα τὰ τῶν ἵππων πλῆκτρα· ⟨AP a 27 1⟩ "κέντρα διωξικέλευθα."

κέντρα καὶ τὰ τῶν ἵππων πλῆκτρα· b "διελάσας τὸν ἵππον, καὶ τὰ κέντρα προσβαλών, παρεῖναι διὰ ταχέων."

κεντρηνεκέες ⟨Hom. E 752, Θ 396⟩. καὶ **κεντρηνεκής** ὁ κέντρῳ πλησσόμενος.

κέντριον τὸ βουκέντριον.

Digitized by Google

κεντρίσας τὸν ἵππον.

κεντρότυπος ὁ μοχθηρός, ἢ ὁ ἡνίοχος παρὰ τὸ κεντεῖν τὰς ἵππους. sch. A Nub. 449.

κέντρων, τουτέστι χαλεπὸς καὶ φρικτός, καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν, τοὺς τοῖς κέντροις τοὺς ἵππους τύπτοντας. ἢ κέντρων ὁ ἐκ πολλῶν συνερραμμένος, ἐπεὶ τοιαῦτα τοῖς ὑποζυγίοις συρράπτοντες καλοῦσι κέντρωνας. ὡσαύτως καὶ λόγους ἐκ διαφόρων συνειλεγμένους καὶ ἕνα σκοπὸν ἀπαρτίζοντας, οἷά εἰσι τὰ ὁμηρόκεντρα. οἱ δὲ τὸν λοίδορον ἀκούουσιν, οἷον κεντροτύπον. ἢ κέντρων ὁ κλέπτης, διὰ τὸ βασανιζομένοις τοῖς κλέπταις καὶ κέντρα προσφέρεσθαι.

κεντυρίων ἑκατόνταρχος.

κεντῶ αἰτιατικῇ.

κεντών κεντῶνος ῥωμαϊστί. καὶ **κεντώνιον**.

κενῶν φάους τυφλῶν.

κενώτερος ἐλαφρότερος, κουφότερος. "τὸ κενώσιμον τῆς ἰατρείας καὶ τὸ θεραπευτικόν."

ὦ κέπφε ἀντὶ τοῦ ὦ εὐτελέστατε καὶ λάλε· φασὶ γὰρ τὸν κέπφον τοιοῦτον εἶναι. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν. ὁ γὰρ κέπφος ἀφρὸν ἐσθίει θαλάσσιον, οἱ δὲ παῖδες τῶν ἁλιέων ῥίπτουσι τὸ πρῶτον πόρρωθεν, εἶτα ἐγγυτάτω, εἶτα εἰς τὴν χεῖρα τὸν ἀφρὸν καὶ εὐχερῶς ἀγρεύουσι. sch. A Plut. 913.

κέπφος εἶδος ὀρνέου ὀξυτάτου. ὅτι κοῦφόν ἐστι καὶ ἐπιπλέον τοῖς κύμασιν.

κεπφωθείς ⟨Proverb. 7 22⟩ ἐπαρθείς, ἐρεθισθείς, ὀξέως ἐλαυνόμενος.

κέρα ἀγλαέ ⟨Hom. Λ 385⟩. οὐ τὴν τρίχα ψιλῶς, ἀλλ' ἐμπλοκῆς τι γένος εἰς κέρατος τρόπον ἐμπλεκόμενος. ἔπλεκον δὲ καὶ Ἀθηναῖοι τέττιγας. καὶ παρ' Ὁμήρῳ ⟨Ρ 52⟩ "πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο." καλλωπιζόμενος τῇ τοξικῇ ἢ τῇ τριχώσει· κέρας γὰρ οἱ παλαιοὶ τὴν τρίχωσιν ἐκάλουν.

κεραβάτης ὁ ἐπὶ τῶν κεράτων βαίνων.

κεραία τὸ πλάγιον τοῦ ἱστοῦ· Πολύβιος ⟨14 10⟩ "καθελόμενος τοὺς ἱστοὺς καὶ τὰς κεραίας ἔζευξε τούτοις βιαίως πρὸς ἀλλήλας."

κεραΐζει πορθεῖ, ἀναιρεῖ, διαρπάζει.

κέραιρε ⟨Hom. Ι 203⟩ κίρνα.

Κεραμεικοί. δύο ἦσαν Κεραμεικοί, ὁ μὲν ἔνδον τῆς πόλεως, ὁ δὲ ἔξω, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον. ἐν δὲ τῷ ἑτέρῳ προεστήκεισαν αἱ πόρναι. sch. A Eq. 769.

Κεραμεικὸς τόπος Ἀθήνησιν, ἔνθα οἱ ἐν πολέμῳ ἀναιρούμενοι ἐθάπτοντο, ὡς Μενεκλῆς καὶ Καλλίστρατος ἐν τοῖς περὶ Ἀθηνῶν συγγράμμασί φασιν οὕτως "ἔστι δὲ καὶ δῆμος Κεραμεικός, εἰσὶ δὲ ἔνθεν καὶ ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις, ἔχουσαι ἐπιγραφάς, ποῦ ἕκαστος ἀπέθανεν." sch. A Av. 395.

Κεραμεικὸς τόπος τῆς Ἀττικῆς ὑψη- b λός, ὅπου ἐπετέλουν οἱ Ἀθηναῖοι κατ' ἔτος λαμπαδοῦχον ἀγῶνα. ὑπάρχειν δὲ ἐκεῖσε πύργον ὑψηλόν, ἐφ' ὃν συμβουλεύει αὐτὸν ἀναβάντα θεωρεῖν τὴν λαμπάδα, καὶ ὅταν ἀφῶσιν, ἀφεῖναι αὐτὸν κάτω. sch. A Ran. 131.

κεράμειον ἀγγεῖον. τὸ δὲ κύριον κεράμιον, διὰ τοῦ ι, εἰ μὴ πρόσκειται τὸ ἀγγεῖον. καὶ **κεραμεία** ἡ τέχνη.

κεραμεύειν ⟨A Eccl. 253⟩ κοινῶς ἀντὶ τοῦ κατεργάζεσθαι. ἦν δὲ καὶ κεραμέως πατρὸς ὁ Κέφαλος. ἔλεγον δὲ κεραμεύειν καὶ τὸ κακῶς ποιεῖν τὰ κοινά.

κεραμέως πλοῦτος ὁ σαθρὸς καὶ μὴ βέβαιος.

κεραμικὴ μάστιξ ὀστρακισμός.

Κεραμίς. δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος ἡ Κεραμίς, εἴληφε δὲ τοὔνομα ἀπὸ τῆς κεραμικῆς τέχνης καὶ τοῦ θύειν Κεράμῳ τινὶ ἥρωι.

κεραμωτόν τακτικὴ διάταξις· ὅπερ ἐποίουν Ῥωμαῖοι ἐν παιδιᾶς μέρει.

κεραννύουσι κιρνῶσιν, Ὑπερίδης.

κεραόν ⟨Hom. Γ 24⟩ τέλειον.

κεραοξόος ὁ τὰ κέρατα ἐργαζόμενος· ἐν ἐπιγράμματι ⟨AP 6 113⟩ "νῦν δέ με Νικομάχῳ κεραοξόος ἥρμοσε τέκτων."

κέραρε ⟨Hom. Ι 203⟩.

κέρας τὸ τοῦ πολέμου μέρος καὶ τοῦ τόξου.

κέρας κέρως κέραι. ἐπὶ τῆς παρατάξεως b Θουκυδίδης η' ⟨42⟩ "τοῦ εὐωνύμου κέρως." ἐν τῇ αὐτῇ ⟨25⟩ "καὶ οἱ μὲν Ἀργεῖοι τῷ σφετέρῳ αὐτῶν κέραι." καὶ ἐν πᾶσιν οὕτως.

κέρας ἡ ἰσχὺς παρὰ τῇ θείᾳ γραφῇ, ἐκ c μεταφορᾶς τῶν ζώων τῶν καθωπλισμένων τοῖς κέρασι καὶ τούτοις ἀμυνομένων. Theodoret. in Ps. 111 9.

κέρας ἰσχυρόν τι δηλοῖ καὶ μόνιμον· d

Δαβίδ ⟨Ps. 131 17⟩ "ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ."

κέρας τοῦ δικαίου ⟨Ps. 74 11⟩. οὕτως ἐκάλεσε τὸ εὐσεβὲς φρόνημα. τουτέςι περίβλεπτος ἔςαι.

κεράς, ἐπίρρημα, ἀντὶ τοῦ κεραστικῶς· "μετὰ δ' αὖ κερὰς ἠφύσατ' ἄλλο." ὁ δὲ νῦς· ἀπὸ τοῦ κεράσματος ἄλλο ἤντλησεν ἀπὸ τῦ ἄγγους ἐν ᾧ ἦν. cf. v. κελέβη.

κεράσας. κεράσαι δέ.

κερασβόλα τὰ σκληρὰ καὶ ἐν τοῖς πυροῖς καὶ ἐν τοῖς ὀσπρίοις συμφυόμενα, τῇ μὲν χροιᾷ μέλανα, ςρογγύλα δὲ καὶ ἰσομεγέθη κέγχροις· ἃ συνεψόμενα τοῖς ὀσπρίοις οὐ τήκεται. εἴρηται δὲ ἀπὸ τοῦ κατὰ τὴν σπορὰν καὶ τὸ ἄροτρον τοῖς κέρασι τῶν βοῶν βεβλῆσθαι καὶ ἀντιτύπτειν. ὅταν οὖν λέγῃ ⟨Plato Legg. p. 853⟩ κερασβόλους, τοὺς ἀπαιδεύτους καὶ σκληροὺς καὶ μὴ πειθομένους τοῖς νόμοις φησί.

Κερασοῦς ⟨X Anab. 5 3 2⟩ πόλις Ἑλληνὶς ἐπὶ τῇ θαλάττῃ, Σινωπέων ἄποικος.

κερασφόρους κερατοφόρους.

Κεραύνια ὄρη.

κεραυνοὶ ἀςραπαί. ⟨S El. 823⟩ "ποῦ ποτὲ κεραυνοὶ Διός, ἢ ποῦ φαέθων ἥλιος, εἰ ταῦτ' ἐφορῶντες κρύπτουσιν ἕκηλοι;" οἷον οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν.

a κεραυνός ἔξαψις σφοδρὰ μετὰ πολλῆς βίας πίπτουσα ἐπὶ γῆς, νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων. οἱ δὲ συςροφὴν πυρώδῃ ἀέρος βιαίως καταφερομένην ⟨Diog. L. 7 154⟩. οὐκ ἀναιρεῖ δὲ ὁ κεραυνός, ἀλλὰ περιφλέγει. sch. A Nub. 395.

b κεραυνός ἡ ἀςραπή. παροιμία. Ἀριςοφάνης ⟨Nub. 398⟩ "εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς οὐχὶ Σίμων' ἐνέπρησεν, οὐδὲ Κλεώνυμον, οὐδὲ Θέωρον; καίτοι σφόδρα γ' εἴσ' ἐπίορκοι." τῶν δὲ κεραυνῶν οἱ μὲν καταιβάται, οἱ δὲ ψολόεντες, οἱ τῇ ψαύσει ὀλλύντες, οἱ δὲ ἀργῆτες καλοῦνται. sch. A Eq. 663.

Κέρβερος.

κερδαλέος ποικίλος, πανοῦργος· κερδαλέη γὰρ ἡ ἀλώπηξ, καὶ κερδώ. καὶ κερδαλεώτερος διὰ τοῦ ω μεγάλου.

κερδαλεόφρων δολιόβουλος, σκολιὰ βουλευόμενος.

κερδᾶναι.

κερδάνῃ αἰτιατικῇ, αὐθυπότακτον. κερδανεῖ δέ.

κέρδιον κρεῖττον, ὠφελιμώτερον.

Κερδισός ὄνομα πόλεως.

κέρδισος ⟨Hom. Z 153⟩ πανουργότατος.

κέρδος αἰσχύνης ἄμεινον. ⟨S OR 889⟩ "εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως, καὶ τῶν ἀσέπτων ἔρξεται, καὶ τῶν ἀθίκτων ἕξεται· ματαίων δὲ τίς ἔτι ποτ' ἐν τοῖσδ' ἀνὴρ θυμῷ βέλη ἔρξεται ψυχᾶς ἀμύνειν;" τουτέςι τίς ἂν ἀπελάσειεν αὐτοῦ τὴν τιμωρίαν τοιαῦτα πράττοντος;

κερδοσύνη πανουργία.

κερδώ ὑποκοριςικῶς ἡ ἀλώπηξ, ὡς Εἰδοθέα Εἰδώ, Ὑψιπύλη Ὑψώ. sch. A Eq. 1065.

κερδῷος θεός ὁ Ἑρμῆς ὡς κέρδους περιποιητικός. καὶ ἄγγελον δὲ αὐτὸν καλοῦσι καὶ κλῶπα· διὸ καὶ μάρσιππον αὐτὸν ποιοῦσι βαςάζειν. καὶ ἔφορον αὐτὸν τοῦ λόγου καὶ τῆς κλοπῆς, καὶ ἐμπολαῖον ἤγουν κέρδους ἔφορον.

Κερεάλιος ὄνομα κύριον.

Κερήννης ὄνομα κύριον.

Κερκάσωρος ⟨Herodot. 2 15⟩ ὄνομα πόλεως.

Κερκιδᾶς εἷς ἦν τῶν τὰ Μακεδονικὰ φρονούντων. Harp.

κερκίδες.

κερκίς ἱςουργικὸν ἐργαλεῖον, καὶ εἶδος κυρίως φυτοῦ εὐαυξοῦς. ⟨AP 6 174⟩ "κερκίδα δ' εὐποίητον, ἀηδόνα."

Κερκόλυρα ὄνομα τόπου.

κέρκος ἡ τῶν ἑρπετῶν οὐρὰ καὶ παντὸς ζῴου, παρὰ τὸ σκαίρειν καὶ ἕρπειν. Ἀριςοφάνης ⟨Eq. 905⟩ "ἰδοὺ δέχου κέρκον λαγώ," τὴν οὐρὰν τοῦ λαγωοῦ. ἔςι δὲ ἁπαλὸν καὶ τρυφερὸν τὸ ἔριον τοῦ λαγωοῦ, ὥςε ἀντὶ σπόγγου χρήσασθαι, ὥςε τὰς λήμας περιψῆν, τουτέςι καταμάσσειν, ἀποσπογγίζειν. a

κέρκος ἡ οὐρά· "διεβίβαζε δὲ τοὺς ἱππεῖς, ἑκάςου τῶν ἱππέων ἐκ τῆς κέρκου πεζὸν προσηρτημένου." b

κέρκουρος νηὸς εἶδος ⟨Herodot. 7 97⟩. κέρκουροι καὶ μυοπάρωνες καὶ λέμβοι εἴδη πλοίων. καὶ παροιμία "κέρκουρος ἐν λαχάνοις." ἔςι δὲ λάχανόν τι ἄγριον καὶ εὐτελές, ἀφ' οὗ ἡ παροιμία. cf. v. κόρχορος.

ὅτι ἡ τὰ νῦν λεγομένη Κέρκυρα Φαιακία τὸ πρότερον ἐκαλεῖτο, χώρα τῶν Φαιάκων.

Κερκυόνη.

Κερκυών ὄνομα λῃςοῦ, ὅςις διῆγε περὶ

τὴν Ἐλευσῖνα καὶ τοὺς παρερχομένους ἠνάγκαζε παλαίειν αὐτῷ.

a Κέρκωπες. δύο ἀδελφοὶ ἦσαν ἐπὶ γῆς πᾶσαν ἀδικίαν ἐπιδεικνύμενοι, καὶ ἐλέγοντο Κέρκωπες, ἐκ τῆς τῶν ἔργων δεινότητος οὕτως ἐπονομαζόμενοι· ὃ μὲν γὰρ αὐτῶν Πάσσαλος ἐλέγετο, ὃ δὲ Ἄκμων. ἡ δὲ μήτηρ Μεμνονὶς ταῦτα ὁρῶσα ἔλεγε μὴ περιτυχεῖν μελαμπύγῳ, τουτέστι τῷ Ἡρακλεῖ. φησὶ δὲ αὐτοὺς ὁ Ξεναγόρας εἰς πιθήκους μεταμορφωθῆναι διὰ τὴν κακοήθειαν, καὶ τὰς Πιθηκούσας ἀπ᾽ αὐτῶν ὀνομασθῆναι νήσους. τὰ δὲ ὀνόματα αὐτῶν Κάνδυλος καὶ Ἄτλας. οὗτοι οἱ Κέρκωπες Θείας καὶ Ὠκεανοῦ· οὓς φασιν ἀπολιθωθῆναι διὰ τὸ ἐγχειρεῖν ἀπατῆσαι τὸν Δία. ἡ δὲ παροιμία κερκωπίζειν· ἣν ὁ Χρύσιππος ἀπὸ τῶν σαινόντων τῇ κέρκῳ ζῴων φησὶ μετενηνέχθαι. cf. vv. Εὐρύβατος et μελαμπύγου τύχοις.

b Κέρκωπες πανοῦργοι, δόλιοι, ἀπατεῶνες, κόλακες, οἵ, καθάπερ ἡ ἀλώπηξ τοὺς θηρατικοὺς κύνας ἀπατᾷ, τοὺς ἁπλουστέρους φενακίζουσι τῇ κέρκῳ τῶν λόγων. φασὶ δὲ τοὺς Κέρκωπας γενέσθαι "ψεύστας, ἠπεροπῆας, ἀμήχανά τ᾽ ἔργ᾽ εἰδότας, ἐξαπατητῆρας· πολλὴν δ᾽ ἐπὶ γαῖαν ἰόντες ἀνθρώπους ἀπάτασκον, ἀλώμενοι ἤματα πάντα."

κερκωπίζειν. ἡ παροιμία ἀπὸ τῶν προσσαινόντων τῇ κέρκῳ ζῴων μετενήνεκται. ἄμεινον δὲ λέγειν αὐτὴν ἀπὸ Κερκώπων, οὓς περὶ τὴν Λυδίαν ἱστοροῦσιν ἀπατηλοὺς σφόδρα καὶ ἀηδεῖς γενέσθαι.

κερκωπίζοντες χλευάζοντες, μωκίζοντες ὡς οἱ πίθηκοι.

κέρκωψ κέρκωπος ἀπατεών, ἢ γένος πιθήκου. Κέκροψ δὲ Κέκροπος.

κέρματα τὰ λεπτότατα. ⟨Procop. Arc. 25⟩ "ἐπὶ γὰρ Ἰουστινιανοῦ τοῦ βασιλέως, τῶν ἀργυραμοιβῶν πρότερον ι´ καὶ σ´ ὀβολούς, οὓς φόλλεις καλοῦσιν, ὑπὲρ ἑνὸς στατῆρος χρυσοῦ προΐεσθαι τοῖς ξυμβάλλουσιν εἰωθότων, αὐτὸς ἐπιτεχνώμενος κέρδη οἰκεῖα π´ καὶ ρ´ μόνους ὑπὲρ τοῦ στατῆρος δίδοσθαι τοὺς ὀβολοὺς διετάξατο, χρυσοῦ ἕκτην ἀποτεμόμενος μοῖραν."

κερματίζει εἰς λεπτὰ διαιρεῖ, καὶ κεκερματισμένων εἰς λεπτὰ διακεκομμένων· "καὶ μέγα κεφάλαιον ἠθροίσθη τῶν λεπτῶν κερματίων" ⟨cf. v. κεφάλαιον⟩. καὶ κατακερματίσαι· "ἐξήγαγεν ἐκ τῆς ζώνης τοὺς χρυσοῦς δαρεικούς, κατακερματίσαι θέλων καὶ διαλύσασθαι τῷ πανδοκεῖ." cf. v. ζώνη.

κεροβάτης ὁ Πάν, ἐπειδὴ χηλὰς ἔχειν δοκεῖ τράγου· διὸ καὶ αἰγιβάτης καὶ τραγοβάμων καλεῖται. ἢ ὅτι κέρατα ἔχει. ἢ τὴν βάσιν ἔχει κερατίνην· ἱστορεῖται γὰρ τὰ κάτω τράγου ἔχων, ὥστε ἀπὸ τῶν ποδῶν κεροβάτης. ἢ ὁ εἰς τὰ κέρατα τῶν ὀρῶν βαίνων. ἢ ὁ ἐπὶ κέρατα βαίνων. καλαμόφθογγα δὲ παίζων, διότι οἱ ἀρχαῖοι καλάμῳ ἀντὶ κερατίου ἐχρῶντο· ᾔδεσαν μὲν γὰρ τὸ κέρας, ἀνέφερον δὲ τῷ ὀνόματι ἐπὶ τὴν ἀρχαίαν χρῆσιν, ὡς καὶ χορδὰς λέγομεν ἔτι καὶ νῦν τὰς ἐκ τῶν νεύρων, ὅτι τὸ παλαιὸν ἐντέριναι ἦσαν. sch. A Ran. 232.

κερόεσσα ἡ συμπλεκτική, καὶ κερόεις ὁ συμπλεκτικός. cf. v. κέρα ἀγλαέ.

κεροίαξ.

κερουλκὸς ὁ Ἀπόλλων. παρ᾽ Εὐριπίδῃ ⟨Or. 268⟩ "δὸς τόξα κερουλκά."

κερρὶς ὄνομα ἰχθύος.

κέρσει κόψει.

Κερσοβλέπτης παῖς ἦν Κότυος, καὶ νεώτατος ὢν βασιλεὺς κατεστάθη Θρᾴκης ὑπὸ τοῦ πατρός. Harp.

κερτόμιος ἐρεθιστικός. ⟨AP 7 191⟩ "πολλάκι δὲ κρέξασα πολύθροον, οἷά τις ἠχώ, κέρτομον ἀντῳδοῖς χείλεσιν ἁρμονίαν." "ἐκέλευον ἐκκομισθῆναι μετὰ χορείας γαμηλίου τε καὶ κερτομίου, καὶ τὸν ὑμέναιον ᾄδουσῶν γυναικῶν" ⟨cf. v. δᾴς⟩.

κερτομῶ τὸ χλευάζω. πρὸς αἰτιατικὴν τὴν σύνταξιν· "πολλοὶ δὲ τοῦτον ἐκερτόμουν ὡς γαστρίμαργον."

κερτομῶν χλευάζων, ἐρεθίζων, σκώπτων.

κερωφόρος.

Κέσκος οὐκ ἦν. πόλις ἐν Κιλικίᾳ, καὶ παρ᾽ αὐτὴν ποταμὸς Νοῦς ὄνομα, διόπερ οἱ κωμικοὶ παίζοντες τοὺς νοῦν οὐκ ἔχοντας Κέσκον φασὶν οὐκ ἔχειν.

κεστὸν ἱμάντα ⟨Hom. Ξ 214⟩ ποικίλον ἱμάντα, ᾧ πάντα ἐμυθεύετο ἐνυπάρχειν τὰ πρὸς ἀπάτην θελκτήρια.

κεστός ὁ διακεκεντημένος καὶ διαπεποικιλμένος ἱμάς· ἢ ἔνδυμα Ἀφροδίτης. καταχρηστικῶς δὲ καὶ πάντα τὰ τῶν γυναικῶν φαντασιώδη ἐνδύματα. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 121⟩ "καὶ κεστοῦ φωνεῦσα μαγώτερα" ἀντὶ τοῦ θελκτικώτερα. καὶ αὖθις ⟨AP 5 270⟩

χεῖλεα δὲ δροσόεντα καὶ ἡ μελίφυρτος ἐκείνη ἤθιος ἁρμονίη κεστὸς ἔφυ Παφίης."

κεστρᾶν τεμάχη Ἀριστοφάνης Νεφέλαις (338). οὐχ οἱ αὐτοὶ τοῖς κεστρεῦσιν ἰχθύσιν αἱ κεστρέαι· ἀλλ' οἱ μὲν τὰς μυραίνας κέστρας ἀξιοῦσι καλεῖν, οἱ δὲ οὐ ταύτας ἀλλά τι διάφορον ἄλλο γένος ἰχθύων. νῦν μέντοι κεστρεῖς καλοῦμεν τοὺς κεφάλους. τὸ λεγόμενον τέμαχος μεγάλων κεστρῶν, τουτέστι τιμίων καὶ λαμπρῶν ἰχθύων. τὸ δὲ τέμαχος καὶ ἐπὶ πλακοῦντος· ἐπὶ τυρῶν οὐκέτι. καὶ παροιμία "κεστρεὺς νηστεύει" ἐπὶ τῶν δικαιοπραγούντων μέν, ἧττον δὲ φερομένων διὰ τοῦτο αὐτὸ καὶ μηδὲν πλέον ἀπὸ τῆς δικαιοσύνης ἀποφερομένων, ἐπεὶ καὶ ὁ ἰχθὺς καθαρός ἐστι. cf. v. τεμάχη.

κεστρέαι. εἶδος ἰχθύων αἱ κεστρέαι. τὸ δὲ ἀρσενικὸν κεστρεὺς κεστρέως. ἔστι δὲ καὶ εἶδος ἀφύων. καὶ ζήτει ἐν τῷ ἀφύα.

κεστρεῖς. νήστεις ἐκάλουν καὶ κεχηνότας καὶ πεινῶντας· λαίμαργοι γὰρ οὗτοι οἱ ἰχθύες. οὗτος γὰρ πάντων τῶν ἰχθύων ἀλληλοφαγούντων μόνος ἀπέχεται, νέμεται δὲ ἰλύν, ὡς Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων (8 4), καὶ δῆλον ὅτι ταλαιπωρεῖ τε καταδυόμενος εἰς τὴν ἰλὺν καὶ ἧττόν τι φέρεται.

κεστρεὺς ὁ νῦν λεγόμενος κέφαλος.

κεστρῖνος εἶδος ἰχθύος. σκεπτέον δὲ εἰ διαφέρει κεστρέως.

κέστρος. ξένον ἦν τοῦτο τὸ εὕρημα κατὰ τὸν Περσικὸν πόλεμον. τὸ δὲ βέλος τὸ τοιοῦτον διπάλαιστον ἦν, ἴσον ἔχον τὸν αὐλίσκον τῇ προβολῇ. τούτῳ ξύλον ἐνήρμοστο, τῷ μὲν μήκει σπιθαμιαῖον, τῷ δὲ πάχει δακτυλιαίαν ἔχον τὴν διάμετρον. εἰς δὲ τούτου τὸ μέσον ἐσφήνωτο πτερύγια τρία ξύλινα, βραχέα παντελῶς. τοῦτο δυεῖν κώλων ἀνίσων ὑπαρχόντων τῆς σφενδόνης, εἰς τὸ μέσον ἐνηγκυλίζετο τῶν κώλων εὐλύτως. λοιπὸν ἐν μὲν τῇ περιαγωγῇ τεταμένων τούτων ἔμενεν· ὅτε δὲ παραλυθείη θάτερον τῶν κώλων, κατὰ τὴν ἄφεσιν ἐκπῖπτον ἐκ τῆς ἀγκύλης καθαπερεὶ μολυβδὶς ἐκ τῆς σφενδόνης φέρεται, καὶ προσπῖπτον μετὰ βιαίας πληγῆς κακῶς διετίθει τοὺς συγκυρήσαντας (Polyb. 27 9).

κεύθειν κρύπτειν.

κευθήμων φωλεῶν, ἀποκρύφων τόπων.

κευθῆνες οἱ καταχθόνιοι δαίμονες.

κευθμώνων κρυπτῶν τόπων, ἐνδοτάτων.

Κευθωνύμου κλέος ἢ αἶσχος, ἐπὶ τῶν αἴσχιον κλέος ἐχόντων. ἢ οὗ ἄν τις ἐπικρύψειε τὸ ὄνομα. ἢ δυσωνύμου.

κεφάλαια τὰ χρήματα (Artemid. 1 18).

κεφάλαιον. ὁ ἀπόστολος Παῦλός φησι a (Hebr. 8 1) "κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις." κεφάλαιον ἀεὶ τὸ μέγιστον λέγεται. καὶ αὖθις "μέγα κεφάλαιον ἠθροίσθη μικρῶν κερματίων." cf. v. τίτλος.

κεφάλαιον. ἔνιοι τῶν ῥαθύμως ἐντετυ- b χηκότων τοῖς ὑπὸ τῶν ί ῥητόρων γραφεῖσι λόγοις τὸ κεφάλαιον οἴονται παρειλῆφθαι ἐπὶ πράγματος καὶ λόγου μόνον, ὡς παρὰ Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος (240) "δι' ἔνδειαν μὲν χρημάτων οἱ ξένοι Θηβαίοις τὴν ἄκραν οὐ παρέδοσαν, διὰ δὲ θ' τάλαντα ἀργυρίου πάντων Ἀρκάδων ἐξεληλυθότων ἡ πρᾶξις οὐ γεγένηται. σὺ δὲ πλουτεῖς, καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς, καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ." παρείληπται δὲ καὶ ἐπ' ἀργυρίᾳ τὸ κεφάλαιον, ὡς ὁ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (104) "καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν."

κεφάλαιον. παραλαμβάνεται ἐπὶ γράμ- c ματος καὶ λόγου καὶ ἀργυρίου. οὕτως Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος καὶ Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον (α 7).

κεφαλαίῳ ἀθρόῳ· Ἀριστοφάνης (Ran. 862) "ἵνα μὴ κεφαλαίῳ τὸν κρόταφόν σε ῥήματι θενὼν ὑπ' ὀργῆς ἐκχέῃ τὸν Τήλεφον," ἀντὶ τοῦ ἀθρόῳ. cf. v. ῥαφανίς.

κεφαλαίωσον (Sirac. 35 8) συντόμησον, συνάγαγε.

κεφαλὴ παρὰ τὸ κεκυφῶσθαι ἤγουν κεκάμφθαι. καὶ οἱ ἰατροὶ τὸ σκάφιον αὐτὸ καλοῦσι. καὶ Ἱπποκράτης δὲ κύβητον, Μακεδόνες δὲ κέβλην, τὸ β ἀντὶ τοῦ φ λαμβάνοντες, ὡς ἐπὶ Φερενίκης Βερενίκης.

Κεφαλῆθεν. δῆμος Ἀκαμαντίδος ἡ Κεφαλή. Harp.

Κεφαλὴν Κεφαλῆνος κλίνεται. καὶ Κεφαλληνία χώρα.

κεφαλὶς βιβλίου, ὅπερ τινὲς εἴλημά φασιν· (Ps. 39 7) "ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ."

κεφαλισμός. κεφαλισμοὺς λέγει Ἀριστοτέλης τοὺς τῶν πρώτων ἀριθμῶν μέχρι δεκάδος πολλαπλασιασμούς. διὰ γὰρ τῆς περὶ τούτων γυμνασίας καὶ οἱ τῶν ὑστέρων καὶ

μειζόνων καὶ ὁμοίων αὐτοῖς πολλαπλασιασμοὶ κατὰ μετάβασιν γνωρίζονται. ἀπὸ γὰρ τοῦ "δὶς δύο τέσσαρα" γνωρίζεται ὁ δὶς κ' μ', καὶ ὁ εἰκοσάκις κ' υ', καὶ ὁ διακοσιοντάκις κ' τετρακισχίλια, καὶ ἑξῆς ὁμοίως. Alex. Aphrod. in Top. p. 279.

Κεφαλίων ἢ Κεφάλων Γεργίθιος ῥήτωρ καὶ ἱςορικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ. ἔφυγε δὲ τὴν πατρίδα δι' ἀπέχθειαν δυναςῶν, καὶ ἐβίω ἐν Σικελίᾳ. ἔγραψε παντοδαπὰς ἱςορίας ἐν βιβλίοις θ', ἅτινα ἐπιγράφει μούσας, ἰάδι διαλέκτῳ, μελέτας τε ῥητορικάς, καὶ ἄλλα τινά.

Κέφαλος Ἀθηναῖος ῥήτωρ καὶ δημαγωγός, ὃς πρῶτος προοίμια καὶ ἐπιλόγους προσέθηκε. γέγονε δὲ ἐπὶ τῆς ἀναρχίας. Κέφαλος οὗτος ἔσχε θυγατέρα τὴν Οἴην. cf. v. Οἶῆθεν.

Κεφρήν ⟨Synes. ep. 58 p. 201⟩ ὄνομα κύριον.

κεχανδότα ⟨Hom. Ψ 268⟩ χωροῦντα.

κεχαρηότα ⟨Hom. Η 312⟩ χαίροντα.

κεχαρισμένε ⟨Hom. Ε 243⟩ πεφιλημένε. "ὃ δὲ καὶ μᾶλλον μέγα ἐφρόνει, κεχαρισμένου τοῦ δώρου τῷ θεῷ γεγενημένου."

κεχαρισμένως εἰς χάριν αὐτῷ πάντα ποιεῖν.

κεχαροίατο ⟨Hom. Α 256⟩ χαρεῖεν.

κεχειρωμένοι ἡττημένοι.

κέχηνα ἐν ἴσῳ τῷ προσδέχομαι, ἢ δέομαι. sch. A Ach. 30.

Κεχηναίων πόλις ἡ τῶν Ἀθηναίων, ὡς ληρούντων αὐτῶν. ἀπὸ τοῦ κεχηνέναι ἔλαβε τὸ ὄνομα ὡς μετέωρα τῶν Ἀθηναίων φρονούντων. sch. A Eq. 1260.

κεχήνατε ἐξαπατᾶσθε, ἐννεοί ἐστε. sch. A Ach. 133.

κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας Ἀριςοφάνης ⟨Eq. 752⟩. ἐμποδίζων ἀντὶ τοῦ μασώμενος. ἢ ἀπὸ τοῦ τὸν σῦκα λαμβάνοντα χάσκειν.

κεχήνη. ἡ συναίρεσις τοῦ κεχήνη Ἀττική· τὸ γὰρ ε καὶ α εἰς η συναιροῦσι. καὶ ἔςι συναλοιφὴ ἀπὸ τοῦ κεχήνεα. οἱ δὲ σφόδρα προσέχοντές τινι κεχήνασι. δύναται δὲ εἶναι κατὰ μεταφορὰν τῶν ὀρνίθων τῶν ἔτι νεοττῶν, τὴν τροφὴν προσδεχομένων καὶ κεχηνότων. οἷον οὖν τροφή μοι ἦν τὸ ἀκοῦσαί τι τῶν Αἰσχύλου. sch. A Ach. 10.

a κεχηνότες χαύνως ὁρῶντες.

κεχηνότες μωροί. μὴ περιπέτεσθε ὦ μωροί· τὸ γὰρ κεχηνέναι ἐπὶ τῶν ἀνοήτων παραλαμβάνεται. Ἀριστοφάνης ⟨Av. 166⟩ "μὴ περιπέτεσθε πανταχῇ κεχηνότες."

κεχολώσεται ⟨Hom. Α 139⟩ ὀργισθήσεται.

κέχρημαι δοτικῇ.

κεχρησμῳδημένων μεμαντευμένων.

κεχωσμένος.

Κηδάρ δεύτερος τοῦ Ἰσμαὴλ υἱός. οἱ δὲ τούτου ἀπόγονοι μέχρι τήμερον οὐ πόρρω τῆς Βαβυλῶνος ἐσκήνωνται. Theodoret. in Ps. 119 5.

κήδεα κακά.

κηδεία ταφή, ἐκφορά.

κήδειν ⟨Hom. Φ 369⟩ κακοῦν, λυπεῖν.

κηδείους ⟨Hom. Τ 294⟩ οἰκείους, προσφιλεῖς.

κηδεμονία πρόνοια. καὶ κηδεμὼν φροντιςής, ἐπιμελητής, προνοητής.

κηδεός ⟨Hom. Ψ 160⟩ ὁ νεκρός.

κηδεςής ὁ κατ' ἐπιγαμβρίαν οἰκεῖος ἢ πενθερός. οὐ μόνον δὲ ὁ διδοὺς ἀλλὰ καὶ ὁ λαμβάνων. ⟨A Th. 80⟩ "οὐ χρῆν σε κρύπτειν ὄντα κηδεςὴν ἐμόν."

κήδεται, γενικῇ, φροντίζει, βοηθεῖ, ἐπιμελεῖται.

κηδεύειν φροντίζειν, ἢ θάπτειν. Αἰλιανός "καὶ ἄλλως αὐτοῦ παλλακίδι ἐπιμανεὶς ὡς ἤδη θεραπαίνῃ, τὸν ἄθλιον ἐν νεκροῖς ἠρίθμουν. καὶ οἵ γε κηδόμενοι τοῦ ἀνδρὸς ὠδύροντό τε αὐτὸν καὶ θεοὺς ἐκάλουν συμμάχους, καὶ πρὸ πάντων Σάραπιν."

κηδήσαντες θεραπεύσαντες, ἢ λυπήσαντες.

κήδομαί σου φροντίζω, κήδω δέ σε λυπῶ.

κῆδος ἡ συναλλαγὴ τοῦ γάμου ἢ τοῦ πένθους· καὶ ἡ λύπη, ὅτι καίεσθαι ποιεῖ. ⟨Procop. Arc. 4⟩ "ἐς κῆδος γὰρ ἀλλήλοις ξυνηλθέτην εὐθύς." καὶ αὖθις "Τισσαφέρνης δὲ κηδεύσας Ἀρταξέρξῃ, καὶ τὴν σατραπείαν λαβὼν τὴν ἐπὶ θαλάσσῃ."

κηδωλὸς ὁ φροντίζων καὶ κηδόμενος ὅλων.

Κηδωνίδης Κηδωνίδου. οὗτος τεθρυλημένος ἦν ἐπὶ παιδεραςίᾳ ἀνυπερβλήτῳ, ὡς Αὐτοκλείδης καὶ Θέρσανδρος. cf. Aesch. 1 52.

κῆεν ἔκαιεν.

κηκάς ⟨Nicand. Al. 185⟩ ὁ λοίδορος. καὶ κηκασμός ⟨Lycophron. 692⟩.

Κηκείδης διθυράμβων ποιητὴς πάνυ ἀρχαῖος. μέμνηται αὐτοῦ Κρατῖνος ἐν Πανόπταις, καὶ Ἀριςοφάνης ⟨Nub. 984⟩ "ἀρχαῖά γε καὶ διπολιώδη καὶ τεττίγων ἀνάμεςα καὶ Κηκείδου."

κηκίς ὀξύτης. ἢ κηκίς βάμμα τι καὶ ςύμμα, ἢ καρπὸς τῆς δρυὸς ἐπιτήδειος εἰς βαφήν. καὶ οὐδετέρως *κηκίδιον*.

κῆλα ⟨Hom. A 53⟩ βέλη, ὁτὲ δὲ σημεῖα.

κηλέῳ ⟨Hom. Θ 217⟩ καυςικῷ πυρί.

κηλέςης ὁ ἀπατεών.

κηληθμός ἀπάτη, ἀπὸ τοῦ χαλῶ χαληθμός, καὶ τροπῇ κηληθμός. καὶ *κήλημα* ὁμοίως.

κήλησις πειθὼ μετὰ τέρψεως, ἢ διὰ λόγων ἡδονὴ καταχηλοῦσα, καὶ ἡσυχία σὺν ἡδονῇ, ἀπὸ τοῦ χαλῶ.

κηλητήρια ᾄσματα θελκτικὰ μέλη· "γράψαντας ἐς τοὺς ιβ´ θεὸς χρῆναι ταῦτα ᾄδεσθαι οἱονεὶ τῶν παρόντων κακῶν κηλητήρια."

κηλήτης.

κηλῖδα.

κηλιδωτόν ἐρρυπωμένον.

κηλίς κηλῖδος ῥύπος, μῶμος, χρῶμα, μορφή, ἕλκος, οὐλή. "ὥσπερ οὖν τὰ ἐκ τῶν Τιτανικῶν σπερμάτων φύντα τῷ βίῳ τῶν ἀνθρώπων κηλῖδα προσετρίψατο" ⟨cf. v. τιτανώδες⟩.

κῆλον τὸ ξύλινον βέλος.

κηλούμενος τερπόμενος, θελγόμενος, οἷον αὐλοῖς καὶ ἡδυφωνίαις· κηλοῦμαι γὰρ τὸ ὑπ' αὐλὸν ἥδομαι.

κηλῶ βλάπτω, ἀπατῶ.

κήλων ὁ θερμὸς εἰς συνουσίαν.

κηλώνειον τὸ γεράνιον.

κηλώνιον ὁ ἵππος.

κημὸν καταμηλῶν. Ἀριςοφάνης ⟨Eq. 1147⟩ "ἔπειτ' ἀναγκάζω πάλιν ἐξεμεῖν ἅττ' ἂν κεκλόφωσί μου." καταμηλοῦν λέγουσι τὸ τὴν μήλην καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμόν, ὡς ποιοῦσιν οἱ ἐμοῦντες. τὸ δὲ ὅλον βούλεται ὅτι καταψηφιζόμενος αὐτῶν καὶ καταδικάζων ἀναγκάζω ἐμεῖν τὰς κλοπάς.

a *κημός* εἶδος χαλινοῦ, ἢ φιμός. ⟨AP 6 246⟩ "κέντρα διωξικέλευθα φιλορρώθωνά τε κημόν."

b *κημός* πλέγμα κωνοειδές, δι' οὗ καθιᾶσιν οἱ δικασταὶ τὴν ψῆφον εἰς τὸν κάδον. Ἀριςοφάνης ⟨Vesp. 786⟩ "κἀπιςαίην ἐπὶ τοῖς κημοῖς." καὶ τὸ τοῖς ἵπποις ἐπιτιθέμενον, καὶ γυναικεῖον προκόσμημα, καὶ αἱ αὐλητικαὶ φορβειαί, καὶ κρίκου τι γένος, καὶ πόα τις, καὶ ὄσπριόν τι παρὰ Θρᾳξίν. ἐν ἐπιγράμματι ⟨AP 6 233⟩ "καὶ ἀμφίτρητον ὑπειχτὰν κημόν." καὶ μηχανικόν τι πυρφόρον μηχάνημα. sch. A Eq. 1147.

Κηναῖος ὁ Ζεύς.

κῆνσος τὸ νόμισμα, ἐτήσιον τέλος, παρὰ a τὸ καίνω τὸ κόπτω.

κῆνσος. οὕτω τῇ ἐπιχωρίῳ γλώττῃ Ῥω- b μαῖοι τὴν ἐξέτασιν τοῦ Ῥωμαϊκοῦ πλήθους προσαγορεύουσι.

κήνσωρ τιμητὴς παρὰ Ῥωμαίοις ὀνομαζόμενος, ἐξεταςής ··· βίον ⟨cf. v. τιμητής⟩.

κηπαία ἡ ἐν τῷ κήπῳ παγίς ⟨πυλίς?⟩.

κηπεύω, κηπεία. κηπίον δὲ οὐδετέρως.

Κῆποι πόλις κατὰ Βόσπορον οὕτω καλουμένη. Harp.

κῆπος εἶδος κουρᾶς· δύο γάρ εἰσι κουραί, σκάφιον καὶ κῆπος. τὸ μὲν οὖν σκάφιον τὸ ἐν χρῷ, ὁ δὲ κῆπος τὸ προμετώπῳ κεκοσμῆσθαι. Ἀριςοφάνης ⟨Av. 807⟩ "οἶσθ' ᾧ μάλις' ἔοικας ἐπτερωμένος; εἰς εὐτέλειαν χηνὶ συγγεγραμμένῳ. σὺ δὲ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ."

κὴρ ἡ ψυχή, καὶ ἡ θανατηφόρος μοῖρα. καὶ κῆρες θανατηφόροι μοῖραι, ἤτοι αἱ καῆναι ἐπιφέρουσαι. καὶ ἐν Ἅδου ποταμῷ Πυριφλεγέθοντι καὶ Ἀχέροντι καὶ Κωκυτῷ. ὃ μὲν ἀπὸ τοῦ φλέγειν, ὃ δὲ ἀπὸ τοῦ τὰ ἄχη εἰς αὐτὸν ῥεῖν, ὃ δὲ ἀπὸ τῶν θρήνων καὶ κωκυτῶν· κωκυτὸς δέ ἐςι φωνῆς μίμησις θρηνούντων. λέγουσι δὲ καὶ Ἀλίβαντά τινα εἶναι ποταμόν, ἀπὸ τοῦ ἅπαντα καταξηραίνειν καὶ μηδὲ λιβάδα ὑπάρχειν ἤγουν ἰκμάδα. καὶ τὸ ὄξος δὲ ἀλίβαντά φασιν, ὅτι νενεκρωμένος οἰνός ἐςι. κὴρ δὲ ἡ ψυχή, διότι διάπυρός ἐςι· τὸ γὰρ ἔμφυτον θερμὸν τοῦτο ψυχή. ⟨AP 7 154⟩ "εἰμὶ δὲ κὴρ τυμβοῦχος· ὁ δὲ κτείνας με Κόροιβος."

κῆρας θανάτου καὶ φθορᾶς αἰτίους. "ἀξιῶν αὐτοὺς πάσης ἐλαύνεσθαι γῆς καὶ θαλάττης ὡς ὄντας κῆρας πόλεών τε καὶ πολιτείας, νῦν δὲ ςεφανῶν αὐτοὺς καὶ παράδειγμα τιθέμενος γενναίου βίου καὶ σώφρονος." cf. v. βάλλων Σωκράτη.

κηρεσιφόρητος ⟨Hom. Θ 527⟩ ὁ τὸν θάνατον φέρων.

Κήρινθος πόλις. καὶ ὄνομα κύριον.

κήρινον ἐκμαγεῖον (Plat. Theaet. p. 191 C) *ἡ φαντασία τοῦ νοός. καὶ κήρινος. καὶ ἐκηριώθην ἀντὶ τοῦ ἐσκοτώθην, ἢ διὰ τὸ δέος κήρινος ἐγενόμην.*

κηρόθι ἐκ ψυχῆς.

κηροῦ εὐπλαστότερος, ἐπὶ τῶν ῥᾳδίως τι ποιούντων. "τῷ δὲ Ἀσκληπιοδότῳ σπουδὴ ἦν εἰς τὸ χρωματικὸν καὶ διατονικὸν εἶδος τῆς μουσικῆς, ὥστε τὴν ἑαυτοῦ φωνὴν καὶ τὰ περὶ αὐτὴν ὄργανα τῆς φύσεως εὐπλαστότερα κηροῦ διετίθετο, καὶ μετερρύθμιζεν εἰς ὅ τι ἐβούλετο καὶ ἡ χρεία παρῆν, ὥστε καὶ ζῴων ἁπάντων μιμεῖσθαι καὶ τῶν ἄλλων κτύπων τὰς ἀπηχήσεις" (cf. v. *Ἀσκληπιόδοτος*).

κηροφορεῖν κηρία φέρειν.

κηρύκαινα (A Eccl. 718) *θήλεια. καὶ κηρυκαίνας ἐκάλουν Ἀλεξανδρεῖς γυναῖκας αἵτινες εἰς τὰς αὐλὰς παριοῦσαι καὶ τὰς συνοικίας ἐφ᾽ ᾧτε συναγείρειν τὰ μιάσματα καὶ ἀποφέρειν εἰς θάλασσαν, ἅπερ ἐκάλουν φυλάκια.*

κηρυκεία ὁ διδόμενος μισθὸς κήρυξιν ἐπὶ ταῖς γινομέναις πράσεσιν· οὕτως Ἰσαῖος (Harp.). *σημαίνει δὲ καὶ τὴν κηρύκευσιν. λέγεται καὶ οὐδετέρως κηρύκειον ὁ ἐπὶ τῇ κηρύξει μισθός, ὃ παρ᾽ ἡμῖν μήνυτρον λέγεται. καὶ Κηρύκειον ὄρος Ἐφέσου.*

a *κηρύκειον. "σύνθημα φιλίας ἦν τοῖς βαρβάροις συναντᾶν στεφάνους ἔχοντας καὶ θαλλούς, ὥσπερ τὸ κηρύκειον τοῖς Ἕλλησι, διασαφοῦντας ὅτι πάρεισι διὰ ταῦτα βουλόμενοι μήτε ποιῆσαι μήτε παθεῖν τι δυσχερὲς μηδέν"* (Polyb. 3 52).

b *κηρύκειον σκῆπτρον. ἢ ἐφ᾽ ὃ ἀναβὰς κηρύσσει.*

c *κηρύκειον ξύλον ἔχον ἑκατέρωθεν δύο ὄφεις περιπεπλεγμένους καὶ ἀντιπροσώπους ἀλλήλοις κειμένους· ὅπερ εἰώθασι φέρειν οἱ κήρυκες μετ᾽ αὐτῶν, καὶ οὐκ ἐξῆν αὐτοὺς ἀδικεῖν παρ᾽ οὓς ἀπέρχονται. σύμβολον δὲ ἦν τὸ μὲν ὀρθὸν ξύλον τοῦ ὀρθοῦ λόγου, τὸ δὲ παρ᾽ ἑκάτερον εἶδος τῶν ὄφεων τὰ ἀντιτασσόμενα στρατόπεδα· ὁ γὰρ ὀρθὸς λόγος δι᾽ ἀμφοτέρων χωρεῖ.* sch. Thuc. 1 53.

κηρύκειος γραφή.

Κήρυκες γένος ἐν Ἀθήναις, ὠνομασμένον ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ. Harp.

κηρυκεύω δοτικῇ.

κηρυκίνη ῥάβδος ἡ τοῦ Ἑρμοῦ.

κηρύλος ὁ ἄρρην ἀλκυών, ὃς ἐν ταῖς συνουσίαις ἀποθνήσκει. Εὐφρόνιός φησι τοὺς Δωριεῖς λέγειν "βάλε δή, βάλε, κηρύλος εἴην," τοὺς δὲ Ἀττικοὺς κειρύλον. τοὺς δὲ ἄρρενας γηράσκοντας αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς. καὶ μήποτε παρὰ τὸ κείρειν ἐσχημάτισται. ὁ δὲ Σποργίλος ἦν κουρεύς. μνημονεύει αὐτοῦ Πλάτων ἐν Σοφισταῖς· "τὸ Σποργίλου κουρεῖον, ἔχθιστον τέγος." sch. A Av. 300.

κῆρυξ ἐν πολέμῳ, πρέσβυς ἐν εἰρήνῃ. a

κῆρυξ ὁ ἀλεκτρυών. τρίτον δὲ ᾄδει. b

κηρύττω αἰτιατικῇ.

κηρωτή.

Κῆσος ὄνομα ποταμοῦ.

κῆτος θαλάσσιον θηρίον πολυειδές. "ἔστι γὰρ λέων, ζύγαινα, πάρδαλις, φύσαλος, πρῆστις, ἡ λεγομένη μάλθη, ὃ καὶ δυσανταγώνιστόν ἐστι, καὶ κριός, ἰδεῖν ἐχθρὸν ζῷον" (Aelian. H. A. 9 49).

Κηττοί δῆμος τῆς Λεοντίδος.

κῆυξ εἶδος ἱέραχος. σημαίνει δὲ καὶ ὄνομα κύριον.

Κηφᾶς ὄνομα κύριον.

Κηφεύς ὄνομα κύριον.

Κηφηὶς γῆ ἡ τοῦ Κηφέως.

κηφήν ἡ ἀγρία μέλισσα. ἀργός, ἄπρακτος, μετέωρος.

ὅτι Βελισάριος ξὺν γέλωτι εἶπεν (Procop. Goth. 2 7) *"οὐ δίκαιον τοὺς κηφῆνας μὲν ὑφ᾽ ἑτέρων πόνῳ μεγάλῳ ἀπόλλυσθαι, ἄλλους δὲ τοῦ μέλιτος οὐδεμιᾷ ταλαιπωρίᾳ ὀνίνασθαι." τοῦτο δὲ εἶπε φυλάσσων τὴν λείαν, ὅπως ἀξίως διανέμοιτο. καὶ κηφήνεσσι κοθούροις* (Hes. O. 304) *τοῖς καθεζομένοις καὶ φυλάττουσι τὴν τῶν μελισσῶν ἔξοδον. οὖροι γὰρ οἱ φύλακες· κόθουροι οὖν οἱ τὰς θύρας φυλάσσοντες. λέγεται δὲ ἐκ τούτου καὶ ἄνθρωπος ὁ μηδὲν δρᾶν δυνάμενος.*

Κηφισίς Κηφισίδος (Hom. E 709) *ἡ λίμνη.*

Κηφισόδημος Ἀθηναῖος, λάλος ῥήτωρ, δεινὸς περὶ τὰς δίκας, ἀντιπολιτευόμενος Περικλεῖ. sch. A Ach. 707.

Κηφισόδοτος. οὗτος Ἀλωπεκόννησον πολιορκῶν ἀπεχειροτονήθη, καὶ κριθεὶς ἑάλω, καὶ ἀπέτισε ε´ τάλαντα. Harp.

Κηφισόδωρος Ἀθηναῖος, τραγικὸς τῆς a *ἀρχαίας τραγῳδίας. ἔστιν αὐτοῦ τῶν δραμάτων Ἀντιλαΐς Ἀμαζόνες Τροφώνιος Ὗς.*

Κηφισόδωρος ἄλλος μὲν ὃς κωμῳδο- b

δηται ὡς ἀνώδης, ἕτερος δὲ ὁ ἵππαρχος ὃς ἐν Μαντινείᾳ μετὰ Γρύλλου τοῦ Ξενοφῶντος ἀπέθανε. Harp.

Κηφισός ποταμός.

a Κηφισοφῶν ὄνομα κύριον. Ἀριστοφάνης (Ran. 1472) "εὖ γ' ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις. ταυτὶ δέ ποτ' αὐτὸς εὗρες ἢ Κηφισοφῶν; ἐγὼ μόνος, τὰς δ' ὀξίδας Κηφισοφῶν."

b Κηφισοφῶν. δοῦλος ἦν οὗτος. sch. A Ran. 975.

κηφόν ἀργύριον (an κῆφι Αἰγυπτιακόν).

κῆχος.

κηώδης ὁ τεθυμιαμένος. καὶ κηώεντι εὐώδει, τεθυμιαμένῳ· (AP 7 218) "αἰεὶ κηώεντι μύρῳ τὸ διάβροχον ὀστεῦν, καὶ λιπαραὶ θυόεν ἄσθμα πνέουσι κόμαι." καὶ κηώεις.

Κιανοί οἱ τῆς Κίου, οὓς Προυσίας παρασπονδῆσαι ἠθέλησε διά τινας αἰτίας (Polyb. 15 21).

κίβαλος ὁ λῃστής.

κιβδηλία ὁ ἐκ τοῦ ἀργύρου ῥύπος. τουτέστι μοχθηρία καὶ ζηλοτυπία. ἅμα δὲ ὅτι τὰ νομίσματα κιβδηλεύεται, παρὰ τὸ ὑπὸ Κίως δεδομένον (an Χίων δεδηλῆσθαι). Ἀριστοφάνης Ὄρνισι (158) "πολλὴν ἀφεῖλες τοῦ βίου κιβδηλίαν."

κιβδηλιῶντες ὠχροί.

a κίβδηλον. οὕτως ἐκάλουν τὸ νόθον ἢ ἀδόκιμον νόμισμα καὶ παρακοπέν. Νόμων ιά (p. 917 C) "ὁ μὲν δοῦλος φερέσθω τὸ κιβδηλευθέν." καὶ Πισίδης "πραγμάτων πάντως δύο κίβδηλός ἐστιν ἐργάτης εἷς, ὡς λόγος."

b κίβδηλον μέν ἐστιν, ὅταν ἔχῃ ἐπιφάνειαν ὡς ἀστεῖον, ᾖ δὲ μοχθηρὸν τῷ τρόπῳ, παρὰ τὸ κεύθειν τὸ δῆλον, ἢ παρὰ τὸ Χῖος καὶ τὸ βδελυκτόν, ἀπὸ ἱστορίας. "ὁ Κροῖσος κιβδήλοις ταῖς ἐφ' ἑαυτοῦ ἀκοαῖς μένων, καὶ τὴν βασιλείαν τὴν πατρῴαν θάλπων τε καὶ περισκέπων καὶ περιστέλλων." "κίβδηλον δὲ ἄρα κακὸν δοῦλοι ὡς εἰσίν, ἐν τῇ Κλεοπάτρᾳ ἀνεφάνη."

κίβισις ἡ κιβωτός.

κίβος κιβώτιον.

a κιβωτός λάρναξ, κίστη.

b κιβωτὸς καὶ κίστη διαφέρει, ὅτι ἡ μὲν κίστη εἰς ὑποδοχήν ἐστιν ἐδεσμάτων, ἡ δὲ κιβωτὸς ἱματίων καὶ χρημάτων. sch. A Eq. 1208.

κίγκαλος εἶδος ὀρνέου λεπτοῦ καὶ ἀσάρκου. καὶ παροιμία "πτωχότερος λεβηρίδος καὶ κιγκάλου."

κιγκλιδάριοι, ἀπὸ τῆς κιγκλίδος, οἷς δὴ τὰ ἀρχεῖα πεφρόντιστο, τῆς τε ἄλλης εὐκοσμίας πέρι, καὶ ὅπως μὴ χύδην ἅπασι τοῖς βουλομένοις εἰσιτητέα εἴη (Agath. 1 19).

κιγκλίδας ἰδίως τὰς διπλᾶς θύρας, ἅς τινας δικλίδας φασίν. ἢ κιγκλὶς ἡ ὀπὴ δι' ἧς ἡ κλεὶς πέμπεται. sch. A Eq. 638.

κιγκλίδες αἱ τῶν δικαστηρίων θύραι, ὁ κάγκελος, ἢ τοῦ ἱεροῦ οἴκου.

κιγκλίζει σαλεύει, μοχλεύει, ἦχον ποιεῖ, κινεῖ.

κίγκλος ὁ πτωχός, ἀπὸ ὀρνέου τινὸς θα- a
λασσίου οὕτω καλουμένου. ἔστι δὲ ζῷον ἀσθενές, ὥστε μηδὲ ἰδίαν καλιὰν ποιεῖν, ἐν ταῖς ἑτέρων δὲ τίκτειν. κινεῖ δὲ καὶ τὰ οὐραῖα πτερά. cf. Aelian. H. A. 12 9.

κίγκλος ὄρνεον τὴν ὀσφῦν πολλὰ κινοῦν, b
ὅ τινες σεισοπυγίδα καλοῦσιν. ἔστι δὲ σφόδρα λεπτόν. καὶ "πτωχότερος κίγκλου" παροιμία, ᾗ κέχρηται Μένανδρος Θαΐδι.

κιγχάνειν τὸ ἐπεξιέναι οἱ περὶ Σόλωνα.

Κιδαλίη νῆσος.

κίδαρις περίθεμα κεφαλῆς, ἢ ἐκ τῆς τριχὸς ὕφασμα· ἤτοι εἶδος καμηλαυχίου, ὃ καὶ τιάρα καλεῖται. τινὲς δὲ κίδαριν λέγουσι περικράνιον πιλίον, ἢ στέφανον, ἢ φακιόλιον, ἢ πῖλον βασιλικὸν Περσῶν, ἢ τὸ στρόφιον ὃ οἱ ἱερεῖς φοροῦσι.

κίδναται σκορπίζεται.

κιθαιρών ὄρος ἐν Βοιωτίᾳ.

κιθάρα ἡ λύρα.

κιθαραοιδότατος. "παῖδας ἐφύτευσας ὅτι χειροτεχνικωτάτους, πρῶτα μὲν ἅπασι φίλον ἄνδρα τε σοφώτατον, τὸν κιθαραοιδότατον, ᾧ χάρις ἐφέσπετο" Ἀριστοφάνης φησί (Vesp. 1316).

κίθαρος ἰχθύς ποιός. λέγεται καὶ τὸ στῆθος.

Κικέρων ὁ ῥήτωρ, περὶ οὗ γέγραπται ἐν τῷ φ στοιχείῳ περὶ Φολβίας τῆς Ἀντωνίου γυναικός.

κίκι εἶδος ἐλαίου. "ἐλαίῳ κικίνῳ ἀναμίξαντες."

Κικίλιος Ἀργεῖος ἐποποιὸς ἁλιευτικὰ γεγραφώς, καὶ Νουμήνιος Ἡρακλεώτης, Παγκράτης Ἀρκάς, Ποσειδώνιος Κορίνθιος, Ὀππιανὸς Κίλιξ. καταλογάδην δὲ ἔγραψαν οὗτοι, Σέλευκος Ταρσεύς, Λεωνίδης Βυζάντιος, Ἀγαθοκλῆς Ἀτράκιος. cf. Athen. p. 13.

κίκιννος· ⟨AP 5 197⟩ "ναὶ μὰ τὸν εὐπλόκαμον Τιμοῦς φιλέρωτα κίκιννον." καὶ Ἀριςοφάνης ⟨Vesp. 1062⟩ "ὡς ἐγὼ τοὐμὸν νομίζω γῆρας εἶναι κρεῖττον ἢ πολλῶν κικίννους νεανιῶν καὶ σχῆμα κεὐρυπρωκτίαν."

Κίκις ὄνομα κύριον, ὁ ἀδελφὸς Ἀλκαίου.

κικλήσκουσι ⟨Hom. B 813⟩ καλοῦσι.

κικόνεον ὄρνεον.

Κικονία χώρα, καὶ Κικόνιος οἶνος.

κῖκυς ἀρσενικὸν ὁ εὐσθενής, κῖκυς δὲ θηλυκὸν ἡ ἰσχύς.

ὅτι οἱ Κίλικες ἐπὶ πονηρίᾳ διεβέβληντο. ὅθεν καὶ τὸ ἐγκιλικεύεται ἀντὶ τοῦ κακοηθεύεται· ἐγκιλικίζειν γὰρ τὸ κακοηθίζεσθαι.

κιλίκια τὰ ἐκ τριχῶν συντιθέμενα ὑφάσματα.

Κιλίκιος ὄλεθρος· οἱ γὰρ Κίλικες ληςείαις χρώμενοι ἐπ' ὠμότητι διεβέβληντο.

Κιλίκιος τράγος ὁ δασύς· τοιοῦτοι γὰρ ἐν Κιλικίᾳ γίνονται τράγοι. ὅθεν καὶ τὰ ἐκ τριχῶν συντιθέμενα κιλίκια λέγονται.

κιλικισμόν ὁ Θεόπομπος ὁ ἱςορικὸς τὸν ἐκ παροινίας φόνον λέγει.

Κιλίκων ἐπώνυμον Ἀχαιοῦ τοῦ Μέροπος, ἀπὸ τροφοῦ Κιλίσσης· ὃς τὴν πατρίδα Μίλητον προδέδωκε τοῖς Πριηνεῦσι, καὶ τὸν βασιλέως ςρατηγόν. παρ' ὅσον Κίλικες διεβέβληντο ἐπὶ πονηρίᾳ καὶ ὠμότητι, διὰ τοῦτο ἐκλήθη Κιλίκων. Φερεκράτης "ἀεί ποθ' ἡμῖν ἐγκιλικίζουσ' οἱ θεοί." ὥςε καὶ παροιμίαν ἐπ' αὐτῷ εἰρῆσθαι "ἀγαθὰ Κιλίκων." λείπει τὸ ἔχει. cf. v. ἀγαθά.

Κίλιξ ὄνομα κύριον.

Κίλιος ὄνομα κύριον.

Κιλίσσης τῆς τροφοῦ Ἀχαιοῦ τοῦ Μέροπος. cf. v. Κιλίκων.

Κίλλης ὄνομα κύριον.

κιλλίβαντες τρισκελῆ ἐςί τινα ξύλα, ἐφ' ὧν τιθέασι τὰς ἀσπίδας διαναπαυόμενοι, ἐπειδὰν κάμωσι πολεμοῦντες. Ἀριςοφάνης ⟨Ach. 1121⟩ "τοὺς κιλλίβαντας οἶσε, παῖ, τῆς ἀσπίδος."

Κιλλικών· "οὐδὲν πονηρόν, ἀλλ' ὅπερ καὶ Κιλλικών" ⟨A Pac. 362⟩. οὗτος προύδωκε τὴν Σάμον, οἱ δὲ Μίλητον. ὡς εἰ εἶπεν "οὐδὲν κακὸν ποιῶ, ἀλλ' ἱεροσυλῶ." ἐπὶ πονηρίᾳ γὰρ ἐτεθρύλητο ὁ Κιλλικών, ὃς προύδωκε Μίλητον Πριηνεῦσι. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινῶν τί μέλλει ποιεῖν, ἔλεγε πάντα ἀγαθά. καὶ ἔστι παροιμία "πάντα ἀγαθά, ὡς ἔφη Κιλλικών." ὕστερον μέντοι παρὰ Θεαγένους τινὸς εἰσῆλθεν ὠνησόμενος κρέα, κἀκεῖνος ὑποδεῖξαι ἐκέλευσε πόθεν κόψαι θέλει, προτείναντος δὲ τὴν χεῖρα ἀπέκοψε, καὶ εἶπε "ταύτῃ τῇ χειρὶ οὐ προδώσεις πόλιν ἑτέραν." cf. v. πονηροῖς.

κιμβέρινον εἶδος ἱματίου, ἀπὸ τόπου· Ἀριστοφάνης ⟨Lys. 52⟩ "κιμβέρινον ἐνδύσομαι."

κίμβικα σφηκία, ἢ μελίσσια, ἢ μικρολογία, ἢ διαςροφή.

Κίμβρος ὁ λῃςής. καὶ Κίμβρων. "ὁ δὲ τοῖς σώμασι τῶν Κίμβρων ἀψαυςεῖν ἐκέλευεν, ἕως ἡμέρα γένηται, πολύχρυσα εἶναι δοκῶν" ⟨cf. v. ἀψαύςως⟩.

Κιμμέριοι οἱ Βοσπορηνοί. ζήτει ἐν τῷ Γύγης.

Κιμωλία λευκὴ γῆ. cf. v. Κλειγένης.

Κίμωλος ὄνομα νήσου.

Κίμων Μιλτιάδου ἐπὶ τοὺς σὺν Θεμιςοκλεῖ κατελθόντας βαρβάρους ἐςρατήγησε, καὶ πλεύσας εἰς Κύπρον καὶ Παμφυλίαν ἐπολέμησε, καὶ ἐπ' Εὐρυμέδοντι ποταμῷ ναυσὶ καὶ πεζῷ νικᾷ ἐπὶ τῆς αὐτῆς ἡμέρας. οὗτος ἔταξε καὶ τοὺς ὅρους τοῖς βαρβάροις· ἐκτός τε γὰρ Κυανέων καὶ Χελιδονέων καὶ Φασήλιδος (πόλις δὲ αὕτη τῆς Παμφυλίας) ναῦν Μηδικὴν μὴ πλεῖν νόμῳ πολέμου, μηδὲ ἵππου δρόμον ἡμέρας ἐντὸς ἐπὶ θάλατταν καταβαίνειν βασιλέα, αὐτονόμους τε εἶναι τοὺς Ἕλληνας τοὺς ἐν τῇ Ἀσίᾳ. ἐν Κιτίῳ δὲ τῆς Κύπρου τελευτᾷ.

Κίμων Ἀθηναῖος. οὗτος τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθεὶς διεβλήθη πρὸς τοὺς πολίτας, καὶ διὰ τοῦτο ἐξωςρακίσθη πρὸς τῶν Ἀθηναίων. cf. v. Ἄψυρτος.

Κιμώνεια λείψανα καὶ Κιμώνειον ἱερὸν τοῦ Κίμωνος.

κιναβευμάτων. ζήτει ἐν τῷ ἀπ' ἀκροφυσίων λόγους.

κίναβος τὸ εἴδωλον πρὸς ὃ οἱ πλάςαι καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. Ἀριστοφάνης καὶ ἄλλοι πολλοί.

κινάβρα κυρίως ἡ τῶν κυνῶν βρῶσις, κυνοβόρα τις οὖσα. καὶ ἡ δυσωδία τῶν μασχαλῶν ἢ τῶν αἰγῶν. sch. A Plut. 294.

κιναβρώντων αἰγῶν τῶν δυσοσμίαν ποιούντων ἐκ τῶν μασχαλῶν.

a κίναδος ἡ ἀλώπηξ· "ἢ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;" Αἴας φησὶ περὶ Ὀδυσσέως ⟨103⟩.

b κίναδος εἶδός τι θηρίου, ὡς καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου ⟨162⟩ "τοῦτο δὲ φύσει κίναδός ἐστι τἀνθρώπιον." πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα· "πανοῦργος ὡς ἀλώπηξ." ἰδίως δέ φασι Σικελιῶτας τὴν ἀλώπεκα κινάδιον καλεῖν. sch. A Nub. 447.

κίναιδα, καὶ κιναιδία ἡ ἀναισχυντία. "ὅτι ὁ τῆς Κλεοπάτρας κίναιδος Χελιδὼν ἐκαλεῖτο."

κίναιδος ἀσελγής, μαλακός· καὶ ἐν ἐπιγράμματι ⟨AP 5 181⟩ "ὡς μεγάλου κιναίδου."

Κιναῖος ὄνομα τόπου.

κινδαψός ὄρνις τις.

κινδυνεύει ἀντὶ τοῦ ἐγγίζει. ἢ κινδυνεύειν τὸ πολέμου μετέχειν· "ἀλλ' ἐν ἀπόρῳ τὸ κινδυνεύειν ἔχουσιν, ἐπὶ τοῖς ἐναντίοις οὔσης τῆς ἐπιχειρήσεως." "οὐκ ἀξιοῦντες ἐν ἀνδρὸς εὐγενοῦς ψυχῇ κινδυνεύειν τὸ κοινόν."

κίνδυνον ἀναρρῖψαι λέγουσι, μεταφέροντες ἀπὸ τῶν κύβων.

Κινέας εἷς ἦν τῶν προϊεμένων Φιλίππῳ τὰ Θετταλῶν πράγματα. Harp.

κινεῖς τὸν ἀνάγυρον ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά. ἔστι δὲ τὸ φυτὸν ὁ ἀνάγυρος δυσῶδες τριβόμενον, ἀλλὰ καὶ ἀλεξίκακον. ἄλλοι δὲ ὀνόγυρον τὸ τοιοῦτον φυτὸν ὀνομάζουσι. cf. v. ἀνάγυρος.

Κινησίας ὄνομα κύριον. οὗτος ἐπ' ἀσεβείᾳ καὶ παρανομίᾳ διετεθρύλητο. ἦν δὲ διθυραμβοποιός. cf. Harp.

κίνησις. ὅτι τῆς κατὰ τόπον κινήσεως ἐν μὲν ἀνθρώποις ὁ νοῦς αἴτιος (αὐτὸς γὰρ κινεῖ τὸ ζῷον), ἐν δὲ ἀλόγοις ἡ αἴσθησις. ἕτερον δέ ἐστι παρὰ ταῦτα τὸ κατὰ τόπον κινητικόν· τὸ γὰρ ὀρεκτικὸν τῆς κατὰ τόπον κινήσεως αἴτιον, τοῦτο δὲ διάφορόν ἐστι· καὶ γὰρ ἐν ταῖς λογικαῖς δυνάμεσίν ἐστιν ἡ ὄρεξις καὶ ἐν ταῖς ἀλόγοις. ὅτι κινεῖσθαί ἐστι καὶ τὸ μεταβάλλειν τόπον ἐκ τόπου. ὅτι τὰ κύκλῳ κινούμενα ἄφθαρτα.

καὶ ἄλλως περὶ κινήσεως. οὐκ ἔστι, φησί, τῇ βώλῳ τὸ κινεῖσθαι κατὰ φύσιν ἐπὶ τὰ κάτω, οὐδὲ τῷ πυρὶ τὸ φέρεσθαι πρὸς τὰ ἄνω· οὐδὲ γὰρ τὴν ἀρχὴν τῆς τοιαύτης κινήσεως ἐν ἑαυτοῖς ἔχουσιν, ἀλλ' ἔξωθεν ὑπ' ἄλλου κινούμενα. ἕκαστον γὰρ τῶν στοιχείων ἐν τῇ ὁλότητι τῇ ἑαυτοῦ ἔστηκεν· αἱ γὰρ ὁλότητες ἑστάναι βούλονται ἢ κύκλῳ κινεῖσθαι, διότι καὶ ἡ κύκλῳ κίνησις στάσις τις ἐστί. καὶ κατὰ φύσιν μὲν ἡ βῶλος κινουμένη τῇ οἰκείᾳ ὁλότητι ἀκίνητος, καὶ τόδε τὸ πῦρ τῇ οἰκείᾳ σφαίρᾳ. ἐπειδὰν δὲ ἐν τῷ παρὰ φύσιν ἡ βῶλος ἢ τὸ ὕδωρ ἢ ὅδε ὁ ἀὴρ γένηται, πρὸς τὴν ἑκάστου ὁλότητα αὐτοῦ ἐπείγεται, τὴν προσήκουσαν στάσιν ἀπολαβεῖν ζητοῦντα· ὑπὸ γάρ τινος ἔξωθεν βίας ἐκστάντα τοῦ κατὰ φύσιν πάλιν κινεῖται τὴν ἐπὶ τὸ κατὰ φύσιν ὁδόν. ἐν ὁδῷ δὲ κινεῖται, ἅτε ἐν ἀλλοτρίῳ ὑπάρχοντα τόπῳ καὶ τῆς ἰδίας ὁλότητος παρὰ φύσιν ἐστερημένα. οὐκοῦν οὐ φύσει ἡ ἐπὶ τὸν κατὰ φύσιν τόπον κίνησις· ἐκινοῦντο γὰρ ἂν ταύτας τὰς κινήσεις καὶ αἱ ὁλότητες. οὕτω μὲν οὖν αἱ τοιαῦται τῶν μερῶν κινήσεις οὐ κατὰ φύσιν, ἀλλ' ὁδοὶ ἐπὶ τὸ κατὰ φύσιν. δύναται δὲ ἄλλως κατὰ φύσιν λέγεσθαι, ὥσπερ λέγομεν καὶ τὴν ὑγίανσιν κατὰ φύσιν, παρὰ φύσιν δὲ τὴν οἷον νόσανσιν, ὅτι ἣ μὲν ἐπὶ τὸ κατὰ φύσιν ἄγει, ἣ δὲ ἐπὶ τὸ παρὰ φύσιν. τὸ γὰρ πρώτως κινοῦν, εἰ μὲν σῶμα εἴη, καὶ αὐτὸ κινεῖται· κινεῖ γὰρ καὶ ἡ βακτηρία τὴν θύραν, καὶ τὴν βακτηρίαν ἡ χείρ, οὐδ' αὐτὴ μένουσα ἀκίνητος ἀλλὰ κινουμένη. ἂν δὲ τὸ πρώτως κινοῦν ἀσώματον ᾖ, οὐδεμία ἀνάγκη καὶ αὐτὸ κινεῖσθαι ἐν τῷ ἕτερον κινεῖν, ἐπεὶ καὶ τὸ θεῖον κινοῦν τὸ πᾶν ἀκίνητόν ἐστιν, ἑστῶσαν ἔχον καὶ οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν. ἄλλως τε δὲ οὐδὲν τῶν ὀρεκτῶν κινοῦν κινεῖται, ὥσπερ οὐδὲ τὸ κάλλος πολλάκις τὸν ἐραστὴν κινοῦν οὐ κινεῖται, οὐδὲ ἡ εἰκὼν κινοῦσα τὸν εἰς αὐτὴν ἀφορῶντα, καὶ ἕτερα τοιαῦτα ⟨Philopon. in 1 de anima B 7⟩.

ὅτι Πλάτων αὐτοκίνητον λέγων τὴν ψυχήν, οὐ τὴν κατὰ τόπον κίνησιν λέγει. ὅτι ἡ ψυχὴ μεταβάλλει πολλάκις ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, ὡς ἐκ τοῦ μὴ εἰδέναι τόδε εἰς τὸ εἰδέναι. εἰ δὲ μεταβάλλει, καὶ κινεῖται. ἔστι δὲ ἡ τοιαύτη κίνησις καὶ μεταβολὴ γένεσίς τις, ἀλλ' οὐχ ἁπλῶς οὐσίας γένεσις.

διαφέρει δὲ κίνησις ἐνεργείας· ἡ μὲν γὰρ κίνησις ἀτελής ἐστιν ἐνέργεια, ἡ δὲ ἐνέργεια ἀθρόα ἐστί, διὸ καὶ τὰ θεῖα ἄνευ δυνάμεως ἐνέργειαί εἰσι. ζητεῖται δὲ πότερον δύο εἰσὶν αἱ κινήσεις ἐν τῷ κινοῦντι καὶ κινουμένῳ ἢ μία. καὶ τίνος ἂν εἴη ἡ κίνησις, τοῦ κινοῦντος ἢ τοῦ κινουμένου; καὶ φασὶν ὅτι τοῦ κι-

νουμένου. ἐκεῖνος γάρ ἐςιν ὁ ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον προβαίνων, οὐχ ὁ κινῶν, ὡς ἐπὶ τοῦ μαθητοῦ ἔχει καὶ διδασκάλου· μία γὰρ ἡ κίνησις ἐπ' ἀμφοῖν, ἀρχομένη μὲν ἀπὸ τοῦ διδασκάλου, τελευτῶσα δὲ εἰς τὸν μαθητήν. ὥςε καὶ ἡ ψυχὴ κινεῖται· μεταβάλλει γὰρ ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον, καὶ οὐκ ἔχει τὴν ἐνέργειαν ἀθρόαν, οὐδέ ἐςιν ἄνευ δυνάμεως. ἄλλως τε ἐν οἷς τὸ πρότερον καὶ ὕςερον, ἐν τούτοις καὶ χρόνος, ἐν οἷς δὲ χρόνος, ἐν τούτοις καὶ κίνησις· καὶ γὰρ ἐπαλλάττουσι ταῦτα. διὸ καὶ ἐν οἷς κίνησις, ἐν τούτοις καὶ χρόνος. ἔςι δὲ ἐν ψυχῇ τὸ πρότερον καὶ ὕςερον· κίνησις ἄρα. ὅτι δὲ ἐν τῇ ψυχῇ τὸ πρότερον καὶ ὕςερον, προφανές. μέτεισι γοῦν ἀπὸ προτάσεως ἐπὶ συμπέρασμα, καὶ οὐ πάντα ἅμα γινώσκει, ἀλλ' ἄλλο πρὸ ἄλλου· οὐδὲ πάντων ἅμα ὧν οἶδε τὴν προχείρισιν ποιεῖται, ἀλλὰ τοῦ μὲν πρότερον τοῦ δὲ ὕςερον· καὶ καθόλου μέτεισιν ἀπὸ ἀρετῆς εἰς κακίαν καὶ ἀπὸ ἀγνωσίας εἰς γνῶσιν. καλῶς οὖν ὁ Πλάτων ἀπένειμεν αὐτῇ τὸ αὐτοκίνητον. καὶ Ἀριςοτέλης δὲ ἀκίνητον ταύτην εἰπὼν οὐ ταύτην εἶπε τὴν κίνησιν μὴ προσεῖναι αὐτῇ, ἀλλὰ μηδεμίαν τῶν φυσικῶν καὶ συνεγνωσμένων ἡμῖν κινήσεων· καὶ γὰρ οὔτε αὔξεται οὔτε μειοῦται οὔτε κατὰ ποιότητα ἢ ποσότητα μεταβάλλει, ἀλλὰ κατ' ἄλλας τινὰς κινήσεις, τὰς νοητικὰς καὶ μάλιςα ζωτικάς. κινεῖται δὲ ἡ ψυχὴ κατὰ ἀλλοίωσιν, ὡς ἀπὸ τῆς διαθέσεως εἰς ἕξιν μεταβάλλουσα, ἐξ ἀνεπιςημοσύνης εἰς ἐπιςήμην. ὁ δὲ Ἀριςοτέλης μὴ κινεῖσθαι ταύτην ἔφησεν ὡς πρὸς τὰς σωματικὰς κινήσεις ἀποβλέπων. εἰ γὰρ κινεῖται ἡ ψυχὴ μὴ κατὰ συμβεβηκός, ὑπάρχοι ἂν καὶ τόπος αὐτῇ· πᾶσαι γὰρ αἱ κινήσεις ἐν τόπῳ. δῆλον ὅτι αἱ σωματικαί· πᾶν γὰρ τὸ ἐν τόπῳ σῶμά ἐςι. id. C 6.

κίνησον τὸν ὀνόγυρον. ὁ ὀνόγυρος εἶδος λυγώδους φυτοῦ, ὅθεν δηλοῖ ὅτι τὰς μάςιγας κίνησον. cf. v. κινεῖς.

κινήσω τὸν ἀφ' ἱερᾶς. τοῦτο ἐπὶ τῶν τὴν ἐσχάτην βοήθειαν κινούντων τέτακται, ἐκ μεταφορᾶς τῶν ναυτῶν, οἳ τὴν βοήθειαν εἰς τὴν ἱερὰν ἄγκυραν ἔχουσιν. ἢ ἀπὸ τῶν πεττευόντων· παρ' αὐτοῖς γὰρ κεῖται ψῆφος ἱερά. cf. vv. ἀφ' ἱερᾶς et τὸν ἀφ' ἱερᾶς.

κίνιφος ὁ ποικίλος.

κιννάβαρι κινναβάρεως.

κιννάμωμον. Ἡρόδοτος (3 111) λέγει ὄρνιθας φέρειν ταῦτα τὰ κάρφη· ἡμεῖς δὲ παρὰ Φοινίκων μαθόντες καλοῦμεν οὕτω.

κινύμενος κινούμενος.

κινύρα ὄργανον μουσικόν, ἢ κιθάρα, ἀπὸ τοῦ κινεῖν τὰ νεῦρα.

Κινύρας ὄνομα κύριον.

κινυρή οἰκτρά, θρηνητική.

κινυρόμεθα (A Eq. 11) θρηνοῦμεν.

κινυρομένη ὀδυρομένη, θρηνοῦσα· (AP 7 210) "καί σε κινυρομέναν ὁπότ' ἀθρόος ἦλθε δαΐζων, ἥριπεν ἐσχαρίου λάβρον ἐπ' ἄσθμα πυρός."

Κινύφειος ὄνομα ποταμοῦ.

κινῶ αἰτιατικῇ.

κινώπετα τὰ ἐν τῷ πέδῳ κινούμενα ἑρπετά. sch. Nicandri Th. 27.

Κινωπή.

Κῖοι. Κίος νῆσος μὲν μία τῶν Κυκλάδων, παρακειμένη τῇ Ἀττικῇ· πόλιν δὲ τὴν νῆσον Λυσίας ἐκάλεσεν. ἀλλὰ καὶ ἄλλοι πολλάκις τῶν ῥητόρων τὰς νήσους πόλεις ὀνομάζουσι. Harp. cf. v. Κεῖοι.

κιονίς μικρὰ κίων.

κιονόκρανον τὸ ἄκρον τοῦ κίονος.

Κίος ἐμπόριόν τι.

Κιρκαῖον πεδίον τῆς Κίρκης. καὶ Κιρκαῖος τόπος.

Κίρκη ἡ κιρνῶσα τὰ φάρμακα. ἢ παρὰ τὴν κερκίδα· κερκὶς δὲ παρὰ τὸ κρέκω. τὰς δὲ παιπαλώσας γυναῖκας Κίρκας φαμέν.

κίρκον ἱέρακα, ἢ οὐράν, ἢ κωπηλάτην· "κίρκον τ' εὐόλπαν φιλοκαμπέα" ἐν ἐπιγράμματι (AP 6 294).

κιρνῶ δοτικῇ.

Κιρραῖον πεδίον. Κίρρα πόλις ἀπέχουσα Δελφῶν λ' ςαδίους. ἔοικεν οὖν Αἰσχίνης (3 107) Κιρραῖον πεδίον καλεῖν τὸ παρακείμενον ταύτῃ τῇ πόλει. καὶ Κιρραῖος ὁ πολίτης. Harp.

Κίρρις ὄνομα ποταμοῦ, καὶ ὄνομα κύριον, καὶ ἰχθῦς ποιός.

κιρρόν πυρρόν· "καὶ ὁ κιρρὸς οἶνος πέττει ῥᾷον, ξηραντικὸς ὤν." cf. Athen. p. 32 D.

Κίρρος ὄνομα κύριον.

Κίς ὄνομα κύριον, ὁ πατὴρ τοῦ Σαοὺλ τοῦ πρώτου βασιλέως Ἑβραίων.

κίς κιός ὁ σκώληξ.

κίσηριν (AP 6 62) "αὐχμηρὸν πόντου τρηματόεντα λίθον," καὶ αὖθις (6 63) "τρηχαλέην τε λίθον, δονάκων εὐθηγέα κόσμον."

Κισθήνη ὄρος τῆς Θρᾴκης.

Κισσηίς ⟨Hom. Z 299⟩ ἡ τοῦ Κισσέως θυγάτηρ.

κισσηρεφής.

κισσηροειδές.

Κισσία χώρα.

κίσσιρις εἶδος ὀρνέου.

κισσύβιον ἐκ κισσίνου ξύλου ποτήριον κυρίως. ἐν ἐπιγράμμασι ⟨AP 6 154⟩ "κισσοῦ δὲ Βρομίῳ κλῶνα πολυπλανέος."

κισσῶ τὸ μεθ' ἡδονῆς συλλαμβάνω· Δαβίδ ⟨Ps. 50 5⟩ "ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου."

κίϛη ἡ θήκη· "καὶ κίϛην πολύωπα μελανδόκον" ἐν ἐπιγράμμασι ⟨AP 6 65⟩. καὶ πληθυντικὸν κίϛαι.

κίϛη καὶ κίϛις ἀγγεῖον ἐν ᾧ τὰ βρώματα κεῖται, ἢ ἱμάτιά τινα. τὸ τ ἀντὶ τοῦ θ· κίσθη γάρ. "οἱ δὲ τετραγώνους κίστας ἐτεκτήναντο πρὸς ἀνδρῶν ὑποδοχήν."

κίϛις τῇ κίϛει. κιϛίς δὲ ὀξυτόνως, κιϛίδος, παρὰ Ἀριϛοφάνει ⟨Ach. 1105⟩.

Κιτιεύς ἀπὸ τόπου· Κίτιον γὰρ πόλις Κύπρου, ἔνθεν καὶ Ζήνων ὁ Κιτιεύς. sch. Thuc. 1 112.

κίτρον ὁ καρπός.

κίττα ἡ κίσσα. cf. v. γλῶττα d.

κιττός ὁ κισσός.

κιττοφόρος. ἐνίοτε μετὰ τοῦ σ γράφουσι, κιϛοφόρος. ἔοικε δὲ τὰς κίϛας ἱερὰς εἶναι Διονύσου καὶ ταῖν θεαῖν. Harp.

κιττῶντες ἐπιθυμοῦντες. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν κυουσῶν γυναικῶν, καὶ ἐπειδὴ ἀδδηφάγον τὸ ὄρνεον ἡ κίττα καὶ περίεργον εἰς ἐπιθυμίαν ⟨sch. A Pac. 496⟩. "οὕτω κιττῶ διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν" ⟨A Vesp. 368⟩.

κιχείω ⟨Hom. A 26⟩ καταλάβω.

κίχλη εἶδος ὀρνέου.

κιχλίζειν τὸ λιπαροὺς ὄρτυγας ἐσθίειν, ἢ τὸ γελᾶν ἀτάκτως ⟨sch. A Nub. 979⟩. ἐν ἐπιγράμματι ⟨AP 5 245⟩ "κιχλίζεις, χρεμέτισμα γάμου προκέλευθον ἱεῖσα."

κιχλισμός ὁ λεπτὸς καὶ ἀκόλαϛος γέλως.

κιχρᾷ δανείζει.

κλαγγή ⟨Hom. Γ 2⟩ ποιά τις φωνὴ ὀρνέου. καὶ ἐνοπή· ἤχων ὀνόματα.

κλαγγηδόν ⟨Hom. B 463⟩ μετὰ κραυγῆς.

κλάδεσι κλάδοις, ἀπ' εὐθείας τῆς κλάδος ὡς τέκος· Ἀριστοφάνης Ὄρνισιν ⟨242⟩ "ἐπὶ κισσȣ̃ κλάδεσι νομὸν ἔχει." καὶ κλαδί δοτική.

κλάειν ϛυγνάζειν, ὀδύρεσθαι· "ὃ δὲ θύσας Ἐπικούρῳ καὶ δόξαις ταῖς ἐκείνȣ κλάειν ἔλεγε" ⟨cf. v. Ἐπίκουρος⟩.

κλάειν ἐῶσι καταφρονοῦσι, παρ' ȣ̓δὲν λογίζονται.

Κλαζομενάς τ' ἐσέβαλεν ⟨Herodot. 1 16⟩.

κλαίειν θρηνεῖν.

κλαρῶται μέτοικοι, ὡς μαριανδυνοὶ ἐν Ἡρακλείᾳ, καὶ εἵλωτες ἐν Λακεδαίμονι, καὶ ἐν Θετταλίᾳ πενέϛαι, καὶ καλλικύριοι ἐν Συρακούσαις.

κλασιβώλακα τὸν τὰς βώλους λεαίνοντα· ⟨AP 6 41⟩ "χαλκὸν ἀροτρητὴν κλασιβώλακα νειοτομῆα."

κλαϛάσεις ὑποτάξεις, κλονήσεις, διασείσεις· οἱ δὲ κραυγάσεις. βέλτιον δὲ κλάσεις, ἀπὸ μεταφορᾶς τῶν περιτεμνομένων κλημάτων ἐν ταῖς ἀμπέλοις. Ἀριστοφάνης ⟨Eq. 166⟩ "βουλὴν πατήσεις καὶ ϛρατηγοὺς κλαϛάσεις."

Κλαυδιανὸς Ἀλεξανδρεὺς ἐποποιὸς νεώτερος γέγονεν ἐπὶ τῶν χρόνων Ἀρκαδίȣ καὶ Ὁνωρίου τῶν βασιλέων.

Κλαύδιος ἐξ ἰδιώτου αὐτοκράτωρ ἐγένετο, τὴν μὲν ψυχὴν οὐ φαῦλος, ἀλλὰ καὶ ἐν παιδείᾳ ἤσκητο ὥϛε καὶ συγγράψαι τινά, τὸ δὲ δὴ σῶμα νοσώδης ὥϛε καὶ τῇ κεφαλῇ καὶ ταῖς χερσὶ τρέμειν. καὶ διὰ τοῦτο καὶ τῷ φωνήματι ἐσφάλλετο, καὶ οὐ πάντα ὅσα εἰς τὸ συνέδριον εἰσέφερεν αὐτὸς ἀνεγίνωσκεν, ἀλλὰ τῷ ταμίᾳ ὥς γε πλήθει ἀναλέγεσθαι ἐδίδου· ὅσα δ' αὐτὸς ἀνεγίνωσκε, καθήμενος ὡς τὸ πολὺ ἐπελέγετο. καὶ μέντοι καὶ δίφρῳ καταϛέγῳ πρῶτος Ῥωμαίων ἐχρήσατο. οὐ μέντοι καὶ διὰ ταῦτα οὕτως, ὅσον ὑπὸ τῶν ἐξελευθέρων καὶ ὑπὸ τῶν γυναικῶν αἷς συνῆν, ἐκακύνετο. περιφανέϛατα γὰρ ἐγυναικοκρατήθη ἅτε ἐκ παίδων ἐν νοσηλείᾳ καὶ ἐν φόβῳ τραφείς· καὶ διὰ τοῦτο ἐπὶ πλέον τῆς ἀληθείας εὐήθειαν προσεποιεῖτο, ὅπερ που καὶ αὐτὸς ὡμολόγησε. καὶ πολὺν μὲν χρόνον τῇ τηθῇ καὶ τῇ μητρὶ συνδιαιτηθεὶς καὶ ἐν συνουσίαις γυναικῶν πλείοσι γενόμενος οὐδὲν ἐλευθεροπρεπὲς ἐκέκτητο. ἐπετίθεντο δὲ αὐτῷ ἔν τε τοῖς συμποσίοις καὶ ἐν ταῖς συμμίξεσι· πάνυ γὰρ ἀπλήστως

Digitized by Google

ἐν ἀμφοτέροις διέκειτο, καὶ ἦν ἐν τῷ καιρῷ τούτῳ εὐάλωτος. πρὸς δὲ καὶ δειλίαν εἶχεν, ὑφ' ἧς πολλάκις ἐκπληττόμενος οὐδὲν τῶν προσηκόντων ἐξελογίζετο· ἐκεῖνόν τε γὰρ ἐκφοβοῦντες ἐξεκαρποῦντο καὶ τοῖς ἄλλοις δέος ἐνέβαλλον. οὗτος οὖν τοιοῦτος ὢν οὐκ ὀλίγα δεόντως ἔπραττεν, ὁσάκις ἔξω τῶν εἰρημένων παθῶν ἐγίνετο. Dio Cass. 60 2.

ὅτι Κλαύδιος ὁ βασιλεὺς Ῥωμαίων νόμιον προύθηκε, μὴ δύνασθαι βελευτὴν ὑπὲρ ἑπτὰ σημείων τῆς πόλεως ὁδεύειν χωρὶς τῆς τοῦ βασιλέως κελεύσεως. ἐπειδὴ δὲ καί τινες τοὺς δέλες ἀρρωςοῦντας οὐδεμιᾶς ἠξίεν θεραπείας, ἀλλὰ γὰρ καὶ τῶν οἰκιῶν ἐδίωκον, ἐνομοθέτησε πάντας τοὺς ἐκ τοῦ τοιούτου περιγενομένους ἐλευθέρους εἶναι. ἀπηγόρευσε δὲ καὶ τὸ καθήμενόν τινα ἐπὶ ἅρματος διὰ τῆς πόλεως ἐλαύνειν.

ὅτι ἐπὶ αὐτοῦ ςασιασάντων τῶν Ἰεδαίων κατὰ χριςιανῶν ἄρχοντα ἐπέςησεν αὐτοῖς Κλαύδιος Φήλικα, κελεύσας αὐτῷ τιμωρεῖσθαι τούτους. τῶν δὲ εἰς τὰ ἱερὰ ἀθροιζομένων, φωνῆς ἤκουσαν ἐκ τῶν ἀδύτων λεγούσης "μεθιςάμεθα τῶν ἐντεῦθεν." καὶ τοῦτο γέγονε τρίτον· ἐξ οὗ πανωλεθρίᾳ διεφθάρησαν.

κλαυσιᾷ κυρίως τὸ ἠχεῖν αὐτοματὶ τὸ θύριον· Ἀριςοφάνης Πλούτῳ ⟨1099⟩ "ἀλλὰ δῆτα τὸ θύριον φθεγγόμενον ἄλλως κλαυσιᾷ."

Κλεαίνετος.

Κλεάνθης [ὁ Κάσσιος χρηματίσας] Φανίου, Ἄσσιος, μαθητὴς Κράτητος, εἶτα Ζήνωνος, οὗ καὶ διάδοχος γέγονε, διδάσκαλος δὲ τοῦ φιλοσόφου Χρυσίππου τοῦ Σολέως καὶ Ἀντιγόνε τοῦ βασιλέως. οὗτος πρότερον ἦν πύκτης, ἐλθὼν δὲ εἰς Ἀθήνας ἠράσθη φιλοσοφίας, καὶ τοσοῦτον γέγονε φιλόπονος ὡς καὶ δεύτερος Ἡρακλῆς κληθῆναι. μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθοῦ καὶ μεθ' ἡμέραν τοῖς μαθήμασι καὶ τοῖς βιβλίοις ἐσχόλαζεν. ὅθεν ἐπωνομάσθη καὶ φρεάντλης. ἔγραψε δὲ πάνυ πολλά.

Κλεανθίς ὄνομα θηλυκόν.

Κλεαρίς φυλή.

Κλέαρχος Σολεὺς ἔγραψε διάφορα. καὶ Κλέαρχος ὁ Ποντικὸς νέος ὢν εἰς Ἀθήνας ἀφίκετο ἀκοῦσαι Πλάτωνος. καὶ λέγων φιλοσοφίας διψῆν, ὀλίγα οἱ συγγενόμενος (ἦν γὰρ θεοῖς ἐχθρός) ὄναρ ὁρᾷ ὅδε ὁ Κλέαρχος γυναῖκά τινα λέγεσαν πρὸς αὐτὸν "ἄπιθι τῆς Ἀκαδημείας, καὶ φεῦγε φιλοσοφίαν· οὐ γάρ σοι θέμις ἐπαυρέσθαι αὐτῆς· ὁρᾷ γὰρ πρὸς σὲ ἔχθιςον." ὧν ἀκούσας ἐπάνεισιν εἰς τὴν ςρατείαν. φθόνῳ δὲ ἐπικλυσθεὶς ἐκπλεῖ τῆς οἴκοθεν, καὶ φυγὰς ἀλώμενος ἔρχεται πρὸς Μιθριδάτην, καὶ στρατοπεδευόμενος παρ' αὐτῷ ἐπηνεῖτο. οὐ μὴν μετὰ μακρὸν ἐκπίπτουσιν οἱ Ἡρακλεῶται εἰς ςάσιν βαρεῖαν· εἶτα ἐπανελθεῖν εἰς φιλίαν καὶ συμβάσεις βουλόμενοι προαιροῦνται ἔφορον τῆς αὖθις ὁμονοίας τὸν Κλέαρχον. ἐπειδὴ δὲ κλητὸς παρεγένετο, καταλύσας ἔν τινι τῶν ςαθμῶν τῶν διὰ τῆς ὁδοῦ ὄναρ ὁρᾷ παλαιὸν Ἡρακλεωτῶν τύραννον, Εὐώπιον ὄνομα, λέγοντα αὐτῷ ὅτι δεῖ τυραννῆσαί σε τῆς πατρίδος. προσέταττε δὲ καὶ οὗτος φιλοσοφίαν φυλάττεσθαι αὐτόν. ὑπεμνήσθη καὶ τούτων τοίνυν ἐκ τῆς προρρήσεως τῆς Ἀθήνησιν. ἐγκρατὴς δ' οὖν τῶν κοινῶν γενόμενος ὠμότατός τε ἦν, καὶ εἰς ὑπεροψίαν ἐξαφθεὶς ἄμαχον τοῦ μὲν ἔτι ἄνθρωπος εἶναι κατεφρόνει, προσκυνεῖσθαι δὲ καὶ ταῖς τῶν Ὀλυμπίων γεραίρεσθαι τιμαῖς ἠξίου, καὶ ςολὰς ἤσθητο θεοῖς συνήθεις καὶ τοῖς ἀγάλμασι τοῖς ἐκείνων ἐπιπρεπούσας, τόν τε υἱὸν τὸν ἑαυτοῦ Κεραυνὸν ἐκάλεσεν. ἀπέκτεινε δὲ αὐτὸν πρῶτον μὲν ἡ δίκη, εἶτα δὲ ἡ χεὶρ ἡ Χιόνιδος, ὅσπερ οὖν ἦν ἑταῖρος Πλάτωνος καὶ χρόνον διήκουσεν αὐτοῦ, καὶ τὸ μισοτύραννον ἐκ τῆς ἐκείνε ἑςίας σπασάμενος ἠλευθέρωσε τὴν πατρίδα. κοινωνὼ δέ οἱ τῆς καλῆς πράξεως γενέσθαι λέγονται Λεωνίδης τε καὶ Ἀντίθεος, φιλοσόφω καὶ τώδε ἄνδρε. ὅπως δὲ ἔδωκε δίκην ἀνθ' ὧν ἐτόλμησεν, εἴρηται.

Κλειγένης ὁ μικρός, ὁ πονηρότατος βαλανεύς, ὁπόσοι κρατοῦσι κυκησιτέφρου ψευδονίτρου τε κονίας καὶ Κιμωλίας γῆς" ⟨A Ran. 719⟩. κυκησιτέφρου κυκώσης τέφραν μεμιγμένην τῷ νίτρῳ. Κιμωλία δὲ λευκὴ γῆ. λέγει οὖν ὅτι πονηρότατός ἐςι πάσης γῆς ὅσης οἱ βαλανεῖς κρατοῦσι, Κιμωλίας καὶ τέφρας καὶ λοιπῆς τοιαύτης. ὡς βαλανέα δὲ αὐτὸν εἰσάγει, μικρὸν τὸ σῶμα.

Κλειδημίδης ὄνομα κύριον. καὶ Κλείδημος ὁμοίως.

κλειδίον.

κλεῖε πηκτὰ δωμάτων ⟨A Ach. 478⟩ ἀντὶ τοῦ κλεῖε τὰς θύρας. Ὅμηρος ⟨I 475⟩ "θύρας πυκινῶς ἀραρυίας."

κλεῖθροις κλειδώμασι.

Κλειμήδης ὄνομα κύριον.

Κλεινίας ὄνομα κύριον. ὅτι Κλεινίου παῖς ὁ Ἀλκιβιάδης.

κλεινός ἔνδοξος, ἀπὸ τοῦ κλέους.

κλείς κλειδός. καὶ τὸ πληθυντικὸν τὰς κλεῖς.

Κλεισθένην ὁρῶ Ἀριςοφάνης (Thesm. 242). οὗτος ἀεὶ ἐξυρᾶτο. λέγεται οὖν ἐπὶ τῶν ἀεὶ ξυρωμένων. ἦν δὲ Σιβυρτίου, καὶ τοῦτο ἔπραττε διὰ τὸ νέος φαίνεσθαι ἀεί. τοῦτο ἔπραττε καὶ Στράτων. "ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε, τοιόνδε δὴ πίθηκε τὸν πώγων' ἔχων εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος; ὁδὶ δὲ τίς ποτ' ἐςίν; οὐ δήπου Στράτων;" A Ach. 119.

Κλεισθένης. Ἀριςοφάνης (Av. 833) "καὶ πῶς ἂν ἔτι γένοιτ' ἂν εὔτακτος πόλις, ὅπου θεὸς γυνὴ γεγονυῖα πανοπλίαν ἕςηκ' ἔχουσα, Κλεισθένης δὲ κερκίδα;" ὡς γυναικώδης γὰρ διεβέβλητο Κλεισθένης.

Κλεισθένους ἀκρατέςερος. οὗτος ἐπὶ κιναιδίᾳ διεβέβλητο καὶ ἐγυναικίζετο. καὶ Κρατῖνος "ληρεῖς ἔχων" γράφων αὐτὸν ἐν ἐπεισοδίῳ· "γελοῖος ἔσται Κλεισθένης κυβεύων." sch. A Nub. 354.

κλείσιον τόπος ἐν ᾧ ἵςανται οἱ βόες.

κλεῖσον κατάκλεισον.

κλεισοῦραι. οὕτω καλοῦνται τὰ ὀχυρώματα τῶν διαβάσεων τῇ πατρίῳ τῶν Ῥωμαίων φωνῇ. Theophyl. Sim. 7 14.

Κλείσοφος. "ἐπεὶ οἱ Ἕλληνες Κλεισόφους τε ᾄδουσι καὶ Θήρωνας καὶ Στρουθίας καὶ Χαιρεφῶντας, ἀνθρώπους ἐσθίειν εἰδότας εἰς κόρον καὶ δεινοὺς γαςέρα δέ, φέρε καὶ ἡμεῖς τι καὶ παίσωμεν, παρασίτου μνημονεύσαντες ἡμεδαποῦ." cf. vv. δεινός a, διώνυμον, ἡμεδαποῖς.

Κλειταγόρα ποιήτρια Λακωνική. μέμνηται δὲ Ἀριςοφάνης ἐν Δαναΐσι.

Κλείταρχος.

κλειτή ἔνδοξος. σημαίνει καὶ ὄνομα γυναικὸς Ἀμαζόνος.

Κλειτόμαχος Θηβαῖος ἐν Ἰσθμῷ τοὺς παλαιςὰς καὶ πύκτας καὶ παγκρατιαςὰς ἐπὶ ἡμέρας τῆς αὐτῆς ἐνίκησε, καὶ ἐν Πυθοῖ τοὺς παγκρατιαςάς. ἐν δὲ Ὀλυμπίᾳ δεύτερος ὢν μετὰ Θάσιον ἐπὶ παγκρατίῳ τε ἀνηγορεύθη καὶ πυγμῇ, ἐπάλαισε δὲ καὶ Ἠλείῳ Κάπρῳ, καὶ ἐπαγκρατίασεν ἐπὶ ἡμέρας τῆς αὐτῆς. νικήσαντος δὲ τοῦ Κάπρου ἔλεγεν ὁ Κλειτόμαχος ὡς δίκαιον ἦν, εἰ εἰσεκαλέσαντο εἰς τὸ παγκράτιον πρὶν ἢ λαβεῖν αὐτὸν ἐν τῇ πυγμῇ τραύματα. ἐσκληθέντος οὖν τοῦ παγκρατίου κρατηθεὶς ὑπὸ Κάπρου, ὅμως ἐχρήσατο πρὸς τοὺς πύκτας ἐρρωμένῳ καὶ ἀκμῆτι τῷ σώματι. Pausan. 6 15.

κλειτοριάζειν τὸ ἀκολάςως ἅπτεσθαι τοῦ γυναικείου αἰδοίου. cf. v. μύρτον.

Κλεῖτος ὁ Ξενοφάντου. οὗτος ἐπὶ κόμῃ ἐσκώπτετο. οἱ δὲ Ἱερώνυμόν φασι τὸν διθυραμβοποιόν, ὃς Ξενοφάντου μὲν ἦν υἱός, περὶ παῖδας δὲ ἄγαν ἐπτόητο. λάσιον δὲ εἶχε τὸ σῶμα, ὥσπερ οἱ Κένταυροι τὸ τῶν ἵππων μέρος. *κλειτὸς* δὲ ὁ ἔνδοξος. sch. A Nub. 347.

κλείω, αἰτιατικῇ, τὸ δοξάζω, καὶ τὸ ἀποκλείω καὶ ἀσφαλίζω.

Κλειώ ὄνομα κύριον θηλυκόν.

κλέμματα· "καθ' ἡμέραν κλέμματα ποιούμενος" ἀντὶ τοῦ φωράματα προτιθέμενος τοῖς ἑαυτοῦ θρέμμασι.

Κλεόβιος ὄνομα ἱερέως τῶν εἰδώλων.

Κλεοβουλίνη Λινδία, θυγάτηρ Κλεοβούλου τοῦ σοφοῦ, ἔγραψεν ἔπη καὶ γρίφους καὶ τὸ ᾀδόμενον εἰς τὸν ἐνιαυτὸν αἴνιγμα (AP 14 101), οὗ ἡ ἀρχή "εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα, τῶν δὲ ἑκάστῳ παῖδες τριάκοντα."

Κλεόβουλος Εὐαγόρου Λίνδιος, εἷς τῶν ζ' ὀνομαζομένων σοφῶν, ῥώμῃ καὶ κάλλει διαφέρων τῶν κατ' αὐτόν, μετέσχε τε τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας. ἐγένετο δὲ αὐτῷ θυγάτηρ Κλεοβουλίνη ἑξαμέτρων αἰνιγμάτων ποιήτρια. οὗτος ἔγραψεν ᾄσματα καὶ γρίφους εἰς ἔπη τρισχίλια. τῶν δὲ ᾀδομένων αὐτοῦ εὐδοκίμησε τάδε. "ἀμουσία τὸ πλέον μέρος ἐν βροτοῖσιν." ἔλεγέ τε τὸν φίλον δεῖν εὐεργετεῖν, ὅπως μᾶλλον ᾖ φίλος, τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν. "εὐτυχῶν μὴ ἴσο ὑπερήφανος, ἀπορήσας μὴ ταπεινοῦ. τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίςασο φέρειν." ἐτελεύτησε δὲ γηραιός, ἔτη βιοὺς ο'. ἀπεφήνατο "πάντων μέτρον ἄριςον." καὶ Σόλωνι ἐπέςειλεν οὕτω· "πολλοὶ μέν τιν εἰσὶν ἑταῖροι καὶ οἶκος πάντη, φαμὶ δ' ἐγὼ ποτανεςάταν ἔσεσθαι Σόλωνι τὰν Λίνδον δαμοκρατευμέναν, καὶ ἁ νᾶσος πελαγία."

Κλεοδαῖος ὄνομα κύριον.

Κλεόκριτος. οὗτος ἐκωμῳδεῖτο ὡς γυ-

ναικίας καὶ κίναιδος καὶ ξένος καὶ δυσγενὴς καὶ Κυβέλης υἱός, ἐπεὶ ἐν τοῖς μυστηρίοις τῆς Ῥέας μαλακοὶ παρῆσαν. ἦν δὲ καὶ τὴν ὄψιν ὀρνιθώδης. εἴρηται οὖν ἐπὶ τῶν κιναίδων ἡ παροιμία. sch. A Av. 877, Ran. 1485.

Κλεόμβροτος ὄνομα κύριον.

Κλεομένης. οὗτός ἐστιν ὁ Πτολεμαίῳ τῷ φιλοπάτορι ἐπιβουλὴν τεκτηνάμενος· ὃς κακῶς μετήλλαξε τὸν βίον, ἀνὴρ γενόμενος καὶ πρὸς τὰς ὁμιλίας ἐπιδέξιος καὶ πρὸς πραγμάτων οἰκονομίαν εὐφυὴς καὶ συλλήβδην ἡγεμονικὸς καὶ βασιλικὸς τῇ φύσει. Polyb. 5 39.

Κλεομήδης Ἀστυπαλαιεὺς Ἴκκον τὸν Ἐπιδαύριον ἀπέκτεινεν ἐν τῇ πυγμῇ, καὶ ἀφῃρημένος τὴν νίκην ἔκφρων ἐγένετο ὑπὸ τῆς λύπης, καὶ ἀνέστρεψεν εἰς Ἀστυπάλαιαν. διδασκαλείῳ δὲ ἐπιστάς, ἐν ᾧ παῖδες ἦσαν ξʹ, ἀνατρέπει τὸν κίονα ὃς τὸν ὄροφον εἶχεν. ἐμπεσόντος δὲ τοῦ ὀρόφου καὶ πάντας ἀποκτείναντος, καταλιθούμενος ὑπὸ τῶν ἀστῶν κατέφυγεν εἰς ἱερόν, καὶ ἐμβὰς εἰς κιβωτὸν καὶ τὸ ἐπίθεμα ἐφελκυσάμενος κάματον τοῖς Ἀστυπαλαιεῦσι παρεῖχε. τέλος τὰ ξύλα τῆς κιβωτοῦ καταρρήξαντες οὐδένα εὗρον. Pausan. 6 9.

Κλεόνικος ὄνομα κύριον.

Κλεόξενος καὶ Δημόκλειτος ἔγραψαν περὶ πυρσῶν· ὧν τὴν πραγματείαν ἐπεξειργάσατο Πολύβιος ὁ Μεγαλοπολίτης, ὡς λέγει ἐν τοῖς ἱστορουμένοις ⟨10 45⟩.

Κλεόπας ὄνομα κύριον.

Κλεοπάτρα.

κλέος δόξα.

Κλεοφῶν Ἀθηναῖος τραγικός. τῶν δραμάτων αὐτοῦ Ἀκταίων, Ἀμφιάραος, Ἀχιλλεύς, Βάκχαι, Δεξαμενός, Ἠριγόνη, Θυέστης, Λεύκιππος, Περσίς, Τήλεφος.

κλέπτειν, αἰτιατικῇ, τὸ τὰ ἀλλότρια λάθρᾳ ἀφαιρεῖσθαι, τὸ παραλογίζεσθαι.

κλέπτης ὁ τὰ ἀλλότρια ἀφαιρούμενος, παρὰ τὸ κλέπτω τὸ ἐπιθυμῶ. καὶ κλέπτω τὸ παραλογίζομαι· Ὅμηρος ⟨Α 132⟩ "μὴ κλέπτε νόῳ." κλέπτης δὲ ἀπὸ τοῦ καλύπτειν. λέγεται δὲ κλέπτης καὶ ὁ ἐπὶ βλάβῃ τινὶ κλέψας. καὶ αὖθις "κλέπτων ἄρα καὶ ἀφανίζων τὴν ὑπόνοιαν." ὅτι τὸ παλαιὸν οὐ διεβέβλητο ἡ κλοπή, εἰ μὴ φωραθεὶς ὁ κλέπτων ὑπῆρχεν. Ἀριστοφάνης Πλούτῳ ⟨566⟩ "εἴγε λαθεῖν αὐτὸν δεῖ, πῶς οὐ κόσμιόν ἐστι" τὸ κλέπτειν.

κλέπτης μὲν οὐχὶ μᾶλλον, εὐτυχὴς δ' ἴσως" ⟨A Eq. 1256⟩. παρῴδηται παρὰ Ἀλκήστιδος Εὐριπίδου ⟨179⟩ "σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται, σώφρων μὲν οὐχὶ μᾶλλον, εὐτυχὴς δ' ἴσως."

κλεπτόμενοι ἀπατώμενοι. "ἔπεμπεν αὐτῷ δῶρα, γνοὺς κλέπτην ὄντα καὶ καταδεέστερον τῆς ἐγκεχειρισμένης πίστεως."

κλέπτον οὐδετέρως· Ἀριστοφάνης ⟨Vesp. 895⟩ "ὡς δὲ καὶ κλέπτον βλέπει· οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται."

κλεψιποτῶ τὸ φειδομένως πίνω καὶ φενακίζω τὸν συμπότην· "αὐτή γε μὴν κλεψιποτοῦσα καὶ σωφρονοῦσα."

Κλεψύδρα ἡ πηγή, διὰ τὸ ποτὲ μὲν πλημμυρεῖν ποτὲ δὲ ἐνδεῖν.

κλεψύδρα ὄργανον ἀστρολογικόν, ἐν ᾧ αἱ ὧραι μετροῦνται. καὶ ὄνομα ἑταίρας. καὶ δικαστήριον ἡ κλεψύδρα, καὶ ἀγγεῖον ἔχον μικροτάτην ὀπὴν περὶ τὸν πυθμένα, ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο, πρὸς ὃ ἔλεγον οἱ ῥήτορες. sch. A Ach. 693.

κλεψυδροῦν τὸ δικαστήριον.

Κλέων ὁ Κλεαινέτου ἐπὶ Πύλον καὶ Σφακτηρίαν χρονιζούσης τῆς πολιορκίας ἀπεστάλη, μανιώδης ἀνήρ, βυρσοδέψου παῖς, ὃς ἀντεπολιτεύσατο Νικίᾳ τῷ Νικηράτου. πολλὰ δὲ ἐργασάμενος ἔργα, ὕστερον εἰς Θρᾴκην ἀποσταλεὶς στρατηγὸς πολλὰς προσεκτήσατο πόλεις. ἐν Ἀμφιπόλει δὲ γενόμενος Λακεδαιμονίοις ἐπολέμει, Βρασίδου στρατηγοῦντος αὐτῶν· οὗ καὶ μαχόμενος ὑπὸ Μυρκινίου πελταστοῦ βληθεὶς ἀπέθανε.

Κλεωναί ὄνομα τόπου, ἔνθα διέτριβεν ὁ λέων ὃν ἀνεῖλεν ὁ Ἡρακλῆς.

Κλεωναίου χάρωνος τοῦ χαροποῦ λέοντος.

Κλεώνη ὄνομα τόπου περὶ τὴν Νεμέαν.

Κλεωνίδης ὄνομα κύριον.

Κλεώνυμος. οὗτος ῥίψασπις ἐγένετο. Ἀριστοφάνης ⟨Pac. 443⟩ "εἴ τις ἐπιθυμεῖ ταξιαρχεῖν, ἐν ταῖς μάχαις πάσχοι γε τοιαῦθ' οἷάπερ Κλεώνυμος." καὶ παροιμία "Κλεωνύμου δειλότερος." Ἀριστοφάνης ⟨Nub. 353⟩ "Κλεώνυμον τὸν ῥίψασπιν ἰδοῦσαι ἔλαφοι ἐγένοντο." δειλὸς γὰρ ἦν. ὑπόγυον δὲ εἶπε, τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος· μείζονα γὰρ τὰ ὑπόγυα πταίσματα τὴν συμφορὰν ἔχει.

κλήδην.

κληδών φήμη, μαντεία. καὶ κληδονισμοὶ αἱ διὰ τῶν λόγων παρατηρήσεις.

κλήζω καλῶ.

κλήθρη (Hom. ε 64 et 239) ὄνομα δένδρου. καὶ κλῆθρον τὸ φυτόν.

κληματίς ἡ ἄμπελος.

Κλήμης ἱςορικὸς ἔγραψε Ῥωμαίων βασιλεῖς καὶ αὐτοκράτορας, καὶ πρὸς Ἱερώνυμον περὶ τῶν Ἰσοκρατικῶν σχημάτων, καὶ ἄλλα.

κλῆροι αἱ δύο διαθῆκαι. τὸ δὲ "ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων" τὸ διηνεκῶς αὐταῖς προσεδρεύειν. Theodoret. in Ps. 67 14.

κληρονομοῦσα ἡ ἐκκλησία κοινῶς, ἰδικῶς δὲ ἡ κατ' εὐσέβειαν ζῶσα ψυχή.

a κληρονομῶ τὸ κατεξουσιάζω, τὸ κτῶμαι. "τοσούτων ἐκληρονόμουν οἱ Ῥωμαῖοι κτημάτων ὅσων σωμάτων ὁ πόλεμος" (Theophyl. Sim. 2 6).

b κληρονομῶ. ὅτε σημαίνει τὸ μετέχω καὶ λαμβάνω, γενικῇ, ὡς τὸ (Demosth. 19 320) "ταύτης γε τῆς αἰσχύνης κληρονομῶ" καὶ (id. 18 312) "ὅς γε κεκληρονόμηκας τῶν Φίλωνος τοῦ κηδεσοῦ." αἰτιατικῇ δέ, ὡς τὸ "μέχρι τίνος κληρονομήσετε τὸ ὄρος τὸ ἅγιόν μου;" καὶ "οὐκ ἔφθη κληρονομῆσαι τὸν οὐρανὸν" ἀντὶ τοῦ εὑρεῖν καὶ οἰκῆσαι.

a κλῆρος τόπος, κτῆμα.

b κλῆρος οὐσία, ἢ λαχμός. λέγεται κλῆρος καὶ τὸ σύςημα τῶν διακόνων καὶ πρεσβυτέρων. κλῆρος καὶ ἡ κληρονομία.

c κλῆρος μέτρον γῆς· ὅθεν καὶ οἱ κληροῦχοι, ἀντὶ τοῦ οἱ τοὺς κλήρους καὶ τὰ μέτρα τῆς γῆς κατέχοντες. (AP 6 267) "φωσφόρος ὦ σώτειρ', ἐπὶ Παλλάδος ἕςαθι κλήρων, Ἄρτεμι." ὅτι Ἰακὼβ τοὺς ιβ' ἐσχηκὼς υἱούς, ἀπὸ τοῦ Βενιαμὶν ἀρξάμενος ἀριθμεῖν καὶ εὑρὼν τὸν Λευὶ δέκατον, τῷ θεῷ τοῦτον προσήγαγεν, ἀποδεκατώσας καὶ τὰ τέκνα καὶ πάντα ὅσα ἦν αὐτῷ, κατὰ τὴν ὑπόσχεσιν ἐν τῷ ἀποδιδράσκειν αὐτὸν (Gen. 28 22) "πάντα ὅσα ἄν μοι δῷς, δεκάτην ἀποδεκατώσω σοι." διὰ τοῦτο ἐνδύσας τὸν Λευὶ ςολὴν ἱερατείας, θυσίας προσήνεγκε τῷ θεῷ ἐν Βεθήλ. κἀντεῦθεν οἱ μὲν τῇ κατὰ νόμον θυσίᾳ τε καὶ λειτουργίᾳ προσεδρεύοντες Λευῖται κέκληνται, οἱ δὲ κατὰ τὴν τῆς θείας χάριτος ἱερουργίαν κληρικοὶ προσηγορεύθησαν, διὰ τὸ γεγράφθαι (Deuteron. 10 9, 18 2) "οὐκ ἔςαι τοῖς Λευίταις κλῆρος ἐν υἱοῖς Ἰσραήλ· ὁ γὰρ κύριος μερὶς αὐτῶν καὶ κλῆρος." κλήρους δὲ ὁ Δαβὶδ τὰς τῶν πραγμάτων μεταβολὰς καλεῖ, πλοῦτον καὶ πενίαν, δουλείαν καὶ δεσποτείαν, εἰρήνην καὶ πόλεμον (Ps. 30 16)· "ἐν ταῖς χερσί σου οἱ κλῆροί μου."

κλῆρος Ἑρμοῦ. συνηθείᾳ ἀρχαίᾳ ἔβαλλον οἱ κληροῦντες εἰς ὑδρίαν ἐλαίας φύλλον, ὃ προσηγόρευον Ἑρμῆν, καὶ πρῶτον ἐξῄρουν τοῦτο, τιμὴν τῷ θεῷ ταύτην ἀπονέμοντες· ἐλάγχανε δὲ ὁ μετὰ τὸν θεόν. Εὐριπίδης ἐν Αἰόλῳ μνημονεύει τοῦ ἔθους τούτου.

κληρουχήσαντες.

κληροῦχοι. κληροῦχοι ἐκαλοῦντο οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κλήρους ἑκάςοις διανεμοῦντες. οὕτως Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ (107). Δημοσθένης δὲ ἐν τῷ περὶ τῶν συμμοριῶν (16) κληρουχικὰ ἂν λέγοι τὰ τῶν ἐκπεμφθέντων εἰς ἑτέραν χώραν ἥντινα δήποτε κατὰ κληρουχίαν· οὐ γὰρ οἷόν τε τὸν μὴ ἐπιδημοῦντα Ἀθήνησι τριηραρχεῖν. Harp.

κληροῦχον μέτοχον, κεκληρωμένην, κλῆρον ἐσχηκυῖαν· Σοφοκλῆς (Ai. 507) "αἴδεσαι δὲ μητέρα πολλῶν ἐτῶν κληροῦχον." καὶ Ἀππιανός (t. 1 p. 30) "Βολοῦσκοι δὲ τοῖς πταίσμασι τῶν γειτόνων οὐ καταπλαγέντες ἐςράτευον ἐπὶ Ῥωμαίους, καὶ ἐπολιόρκουν τοὺς αὐτῶν κληρούχους."

κληρούχους γεωργούς.

κληρωτήρια αἱ κληρωτικαὶ ἀρχαί, αἱ κληρώτιδες. Ἀριστοφάνης (Eccl. 708) "τὰ δὲ κληρωτήρια ποῖ τρέψεις; εἰς τὴν ἀγορὰν καταθήσω," κληρώτιδα· "κᾆτα ςήσασα παρ' Ἁρμοδίῳ κληρώσω πάντας."

κλῇσαι οἱ ἀρχαῖοι λέγουσιν, οὐ κλεῖσαι. καὶ κλῇδα. οὕτω καὶ οἱ τραγικοὶ καὶ Θουκυδίδης.

κλήσατε ὑμνήσατε.

κλῆσις ἡ πρόσκλησις, παραγγελία εἰς κρίσιν. οὕτω Δημοσθένης (23 63).

κλητεύει εἰς δικαςήριον καλεῖ ἅμα μάρτυσι τῆς παραγγελίας, οὓς κλήτορας ὠνόμαζον. καὶ Ἀριςοφάνης Νεφέλαις (1218) "ὅτε τῶν ἐμαυτοῦ γ' ἕνεκα χρημάτων ἕλκω σε κλητεύσοντα," τουτέστι μαρτυρήσοντα ὅτι καλῶ αὐτὸν εἰς δικαςήριον.

κλητή ἡ κεκαλεσμένη.

κλητήρ λέγεται ὁ καλῶν εἰς τὸ δικαςήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν

μάρτυρα. Ἀριςοφάνης Ὄρνισι (1422) "κλητήρ εἰμι νησιωτικός," τουτέςιν ὁ τοὺς τὰς νήσους οἰκοῦντας συκοφαντῶν καὶ εἰς δικαςήριον ἄγων. καὶ αὖθις "κλητῆρί τ' εἰς ἄχυρον ἀποδεδρακότι" (A Vesp. 1350).

κλητῆρα· (A Vesp. 1446) "προσκαλοῦμαί σ', ὅςις εἶ, πρὸς τοὺς ἀγορανόμυς, βλάβης τῶν φορτίων, κλητῆρ' ἔχουσα Χαιρεφῶντα τουτονί."

κλητῆρες μάρτυρες.

κλητῆρες καὶ κλητεύειν. κλητῆρες οἱ ἄνδρες δι' ὧν εἰς τὰς δίκας προσκαλοῦνται οἱ δικαζόμενοί τισιν· ἔδει γὰρ παρεῖναί τινας ὥσπερ μάρτυρας τῆς προσκλήσεως. κλητεῦσαι δέ ἐςι τὸ κλητῆρα γενέσθαι, ὡς Ἰσαῖος. λέγεται δὲ κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ ὑπακούσωσι πρὸς τὴν μαρτυρίαν ἐν τῷ δικαςηρίῳ· καὶ ἔςιν ἐπιτίμιον κατ' αὐτῶν δραχμαὶ χίλιαι, ὡς Ἰσαῖος ἐν τῷ ὑπὲρ Πύθωνος ἀποςασίυ. Harp.

κλητόριον ἡ βασιλικὴ τράπεζα.

κλῆτος δόξα.

κλητός ὁ κεκλημένος καὶ μὴ αὐθαίρετος ἥκων· "χρωμένοις Λακεδαιμονίοις περὶ πολέμου καὶ κλητὸς ὁ θεὸς ἔφη καὶ ἄκλητος ἥξειν, καὶ πολεμοῦσι κατὰ κράτος νίκην ἔσεσθαι." cf. v. ἄκλητος.

κλήτωρ.

κλίβανος ἡ κάμινος· "ἑςία καὶ κλίβανος ἔοικε γυναικὶ διὰ τὸ δέχεσθαι τὰ πρὸς τὸν βίον εὔχρηςα. πυρὸς δέ εἰσι δεκτικά." Artemid. 2 10.

κλίμα τόπος.

κλιμάζει. Δείναρχος "ὅταν οὖν κλιμάζῃ καὶ παράγῃ τοὺς νόμους" ἀντὶ τοῦ παρακλίνῃ καὶ τρέπῃ. μήποτε δεῖ γράφειν βλιμάζῃ ἀντὶ τοῦ θλίβει καὶ βιάζεται. Harp.

κλίμακες ξύλα ὀρθά· Διόδωρος "ἑξῆς δ' ἐκομίζοντο κλίμακες (κάμακες) ω', παντευχίας πολυτελεῖς ἔχυσαι." καὶ Ξενοφῶν (Anab. 4 5 25) "οἱ δὲ ἄνθρωποι κατέβαινον κατὰ κλίμακας εἰς τὰς καταγείους οἰκίας."

κλιμακίζειν. μέμνηται Δείναρχος ἐν τῇ ὑπὲρ Αἰσχίνυ συνηγορίᾳ, λέγων "οὗτος κλιμακίζει τοὺς νόμους." ἔςιν δὲ οἷον παράγει καὶ διαςρέφει, ἴσως ἀπὸ τῆς κλίμακος εἰρημένου τοῦ ὀνόματος, ἥτις οὖσα ὄργανον βασανιςικὸν διαςρέφει τὰ σώματα τῶν βασανιζομένων. καὶ Ἀριςοφάνης (Ran. 633) "βασάνιζε πάντα τρόπον, ἐν κλίμακι δήσας ··· γητείῳ νέῳ" (cf. v. βασανίζειν).

κλιμακόεσσαν (Hom. B 729) κλίμακα ἔχουσαν ὑψηλήν.

κλῖμαξ ἡ σκάλα.

κλῖμαξ καὶ κλιμακισμός πάλαισμα ποιόν.

κλίνη τὸ κραββάτιον.

κλίνθη (Hom. Ψ 232) ἐκλίθη.

κλινίς. βάθριόν τι ἢ κλινὶς ἐκτεταμένον· "φέρ' ἔγκυκλον. τυτὶ λάβ' ἀπὸ τῆς κλινίδος" (A Th. 267). καὶ κλινίδιον ὑποκοριςικῶς.

κλινοκοσμοῦντα Διονύσιον. ζήτει ἐν τῷ δαιτρός.

κλισία ἡ σκηνή. λαμβάνεται δὲ καὶ ἐπὶ κλίνης· "δέξομαι ἐν μυχάτῳ, κλισίη δέ μοί ἐςιν ἑτοίμη." cf. v. ἑταιρεία.

κλισία ἡ καθέδρα. κλίσια τὰ κυβύκλια.

κλισιάδες θύραι δίπτυχοι, ἢ σκηνά. καὶ Κλίσιον ὄνομα τόπου.

κλίσις ἡ κατ' ἄνδρα κίνησις.

κλίσις ἐπὶ δόρυ ἐςὶν ἡ ἐπὶ τὰ δεξιὰ κλίσις. ἐφ' ἡνίαν κλίσις ἡ ἐπὶ τὰ ἀριςερὰ κλίσις. ἐπ' ἀσπίδα κλίσις ἐςὶ καὶ αὐτὴ ὁμοίως ἐπὶ τὰ ἀριςερά.

κλισμός ἡ καθέδρα.

Κλιτόριον πόλις Ἀρκαδίας.

κλίτος μέρος πλάγιον. "πεσεῖται ἐκ τοῦ κλίτους σου" ὁ ψαλμῳδός φησι (90 7).

κλιτύς τὸ ἀπόκλιμα, καὶ ἡ ἐξοχὴ τῶν ὀρῶν. καὶ κλιτύες.

Κλίτωρ Κλίτωρος ὄνομα κύριον.

κλοιός περιτραχήλιος δεσμός. ἐν ἐπιγράμματι (AP 6 175) "ὡς δ' ἴδ' ὁμοίην εἰκόνα, παντοίῳ σχήματι φαινομένην, κλοιὸν ἔχων πέλας ἦλθε, λέγων Λεύκωνι κελεύειν τῷ κυνὶ καὶ βαίνειν· πεῖθε γὰρ ὡς ὑλάων."

Κλονίος ὄνομα κύριον.

κλόνος θόρυβος, τάραχος· "ταραχὴν δὲ καὶ κλόνον ἐνεποίει τοῖς πράγμασιν οὐκ ἀπὸ μικρῶν ἀφορμῶν ἀνιςάμενα τὰ Γερμανικὰ κινήματα."

κλοπαί παραλογισμοί, καὶ κλαπέντες ἀντὶ τοῦ ἐξαπατηθέντες· "οἱ δὲ τὸ ἀκριβὲς μὴ εἰδότες, ἀλλὰ τῇ πρώτῃ κλαπέντες ὄψει, ἔτι πλείονας τῶν ὄντων οἰηθέντες τοῖς οἰκείοις διαγγέλλουσι."

κλοπιμαῖος.

κλοποφορῶ τὸ ἐν κλοπείᾳ φέρω (Gen. 31 26).

κλυδώνιον κῦμα, καὶ κλύδωνα, ἄμφω· Θουκυδίδης β′ ⟨84⟩ "καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλύδωνι ἀναφέρειν." καὶ κλυδώνισμα. καὶ κλυδωνῶ ῥῆμα, καὶ κλυδωνίζω.

κλύει ἀκούει· "καὶ πᾶς ὁ κλύων τοῦ λέξαντος χαίρει μᾶλλον, τοῖς σοῖς ἄχεσιν καθυβρίζων" Σοφοκλης ⟨Ai. 151⟩. καὶ αὖθις ⟨850⟩ "ἦ που τάλαινα τήνδ' ὅταν κλύῃ φάτιν, ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει."

κλῦθι ἐπάκουσον.

Κλύμενος. οὕτω λέγεται ὁ Ἅδης, ἢ ὅτι πάντας προσκαλεῖται εἰς ἑαυτόν, ἢ ὁ ὑπὸ πάντων ἀκουόμενος. ἐν ἐπιγράμματι ⟨AP 7 9⟩ "ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρᾳ" περὶ Ὀρφέως. καὶ αὖθις ⟨AP 7 189⟩ "ἤδη γὰρ λειμῶνας ἐπὶ Κλυμένȣ πεπόταται καὶ δροσερὰ χρυσέας ἄνθεα Περσεφόνης."

κλυςήρ τὸ ἰατρικὸν ἐργαλεῖον· "κλυςῆρα προθέμενος ὑπεξήγαγε τῆς ἑαυτȣ̃ γαςρὸς τὰ σκύβαλα" ⟨Artemid. 5 79⟩.

Κλυταιμνήςρα ὄνομα κύριον.

Κλυτίδης ὄνομα κύριον.

Κλύτιος.

κλυτοτέχνης ὁ Ἥφαιςος ὡς ἔνδοξον ἔχων τὴν χαλκευτικήν, ὥσπερ λέγεται ὁ αὐτὸς καὶ αἰθαλόεις θεός, ὁ χαλκεύς.

κλύω μανθάνω.

κλώδωνες αἱ βάκχαι τοῦ Διονύσου παρὰ Μακεδόσιν, αἱ κληθεῖσαι ὕςερον μιμαλλόνες ἀπὸ τῆς μιμήσεως.

κλώζεται· "κλώζεται καὶ συρίττεται, ἔςι δὲ ὅπῃ καὶ λίθοις βάλλεται" ⟨Synes. p. 106 C⟩.

κλώθει κατασπᾷ, ἐπιμερίζει.

Κλωθώ ἡ μία τῶν μοιρῶν· τρεῖς γάρ εἰσι, Κλωθὼ Λάχεσις Ἄτροπος. ⟨AP 7 148⟩ "οὐδὲ γὰρ ἐν θνητοῖς ἠδύνατο καὶ μεμαυῖα εὑρέμεναι Κλωθὼ τῷδ' ἕτερον φονέα." κλώθω δὲ τὸ νήθω.

κλών κλωνός, τοῦ δένδρȣ ὁ βλαςός. καὶ ἐκλώνισε κλῶνας ἔκοψε.

Κλωπᾶς ὄνομα κύριον. Io. 19 25.

κλωπεύω κλέπτω. καὶ κλωπεία ἐξ αὐτοῦ, καὶ κλωπιτεύω. κλοτοπεύω δέ.

"τὼ χεῖρ' ἐν Αἰτωλοῖς, ὁ δὲ νȣ̃ς ἐν κλωπιδῶν" ⟨A Eq. 79⟩. ἡ γενικὴ ἀντὶ δοτικῆς. διαβάλλει δέ τινας ὁ Ἀριςοφάνης ὡς λῃςὰς καὶ κλέπτας· λῃςαὶ γὰρ οἱ Αἰτωλοί.

κλωςήρ ὁ ἄτρακτος, καὶ τὸ νῆμα.

κλώψ κλέπτης· Ξενοφῶν ⟨Anab. 4 6 17⟩ "εἰσὶ γυμνῆτες τῶν ἐφεπομένων ἡμῖν κλωπῶν." καὶ ἐν ἐπιγράμματι ⟨AP 6 157⟩ "τόξῳ μὲν κλῶπας βάλλε, σάου δὲ φίλους."

κναιόμενον καταπονούμενον.

κναίω κόπτω.

κνακόν· ἐν ἐπιγράμματι ⟨AP 6 32⟩ "κνακὸν ὑπηνήταν τόνδ' ἀνέθηκε τράγον."

κνᾶν κόπτειν, ξέειν· ⟨Herodot. 7 239⟩ "λαβὼν δελτίον δίπτυχον ἐκέλευσε τὸν κηρὸν κνᾶν" ἀντὶ τοῦ ξέειν.

κνάπτω· "πρὸς Ξενοκράτην τὸν φιλόσοφον ἐλθών τις φιλοσοφῆσαι, μήτε γεωμετρικὴν μήτε ἀςρονομίαν μεμαθηκώς, τȣ̃τον εἰπεῖν, παρ' ἐμοὶ πόκος οὐ κνάπτεται." cf. Diog. L. 4 10.

κναφεύς παρὰ τὸ κνῶ τὸ ξύω· Ὅμηρος ⟨Λ 639⟩ "ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήςι χαλκείῃ." γναφεὺς δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐςὶ παρὰ τὸ γανόν τὸ λαμπρόν. καὶ ἔςι τὸ μὲν διὰ τοῦ γ κοινόν, τὸ δὲ διὰ τοῦ κ Ἀττικόν ⟨sch. A Plut. 166⟩. καὶ Ἀριςοφάνης ⟨Eccl. 436⟩ "ἢν παρέχωσι τοῖς δεομένοις οἱ κναφεῖς χλαίνας, ἐπειδὰν πρῶτον ἥλιος τραπῇ, πλευρῖτις ἂν ὑμῶν οὐδένα βλάψοι ποτέ."

κνάφος ὄργανόν τι ἐν κύκλῳ κέντρα ἔχον, δι' οὗ τοὺς βασανιζομένους κτείνουσιν. ὅμοιον δέ ἐςι κναφικῷ κτενί.

κνάφος παρὰ Ἡροδότῳ ⟨1 92⟩ ἄκανθαι ἕλκουσα ἱμάτια. ὅτι τὸ παλαιὸν οἱ κναφεῖς ἀκανθῶν σωρὸν συςρέψαντες τὰ ἱμάτια ἔκναπτον, ὁ δὲ σωρὸς ἐλέγετο κνάφος.

κνεφαῖος σκοτεινός, ἀόρατος, ὀρθρία, ἑωθινή· Ἀριςοφάνης ⟨Ran. 1364⟩ "κνεφαῖος εἰς ἀγορὰν φέρουσ' ἀποδοίμην," καὶ "κνεφαῖος ἦλθεν" ἀντὶ τοῦ ὑπὸ σκότον. "ὃ δὲ διαναςὰς κνεφαῖος καὶ παραφυλάξας τοῦ ζεύγους τῶν βοῶν ἐπελάβετο" ⟨cf. v. τιμωροῦντος⟩.

κνέφαλον τύλη.

κνέφας σκότος, νύξ. κλίνεται δὲ κνέφατος. "ὃ δὲ διαφεὶς τοὺς ἡγεμόνας ἐκίνει τὴν πρωτοπορίαν κνέφατος ἄρτι γενομένȣ" ⟨Polyb. 8 21⟩.

κνέφει σκότει, ἀπὸ τῆς κνέφος εὐθείας. οὕτως Αἰλιανός.

κνῆ ἔκοπτε. καὶ Ὅμηρος ⟨Λ 639⟩ "κνῆ τυρόν."

Digitized by Google

κνηκίας ὁ λύκος· Βάβριος ἐν τοῖς μυθικοῖς ⟨122 11⟩ "ὃ δ' ἐκλυθεὶς πόνων τε κάνίης πάσης τὸν κνηκίαν χάσκοντα λακτίσας φεύγει," τουτέστι τὸν λύκον.

κνηκίς ἡ νεφελώδης ζώνη, τὸ μικρὸν νέφος· "οὐδέ ποθι κνηκὶς ὑπεφαίνετο, πέπτατο δ' αἰθήρ."

κνήμη τὸ κοῖλον τοῦ σκέλους.

κνημίς τὸ ὑπόδημα.

κνημοὶ ἐξοχαὶ τῶν ὀρῶν· ⟨AP 6 255⟩ "ὁππότε μιν κνημούς τε κατὰ λασίους τε χαράδρας."

κνησείοντα ⟨Plat. Gorg. p. 494 C⟩ ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι.

κνησθείην, κνῆσμα καὶ κνησμονὴ καὶ κνησμός, ἐκ τοῦ κνήθω.

κνῆστις μάχαιρα· Ὅμηρος ⟨Λ 640⟩ "κνήστι χαλκείῃ," καὶ ἐν ἐπιγράμματι ⟨AP 6 305⟩ "καὶ τὰν εὐχάλκωτον ἐύγναπτόν τε κρεάγραν καὶ κνῆστιν."

κνησιῶντες τὰς ἀκοάς ἀντὶ τοῦ ἐπιθυμητικῶς ἔχοντες ἀκούειν.

κνήφην λοιμώδη συνέβη γενέσθαι ποτὲ ταῖς τῶν Ῥωμαίων γυναιξί. cf. v. Ἀφροδίτη.

κνίδη βοτάνη. καὶ κνίδειος καρπός τῆς κνίδης.

κνίζων λυπῶν, ἢ τέμνων, παρὰ τὸ κνῶ τὸ κόπτω. κνῶ κνήθω καὶ κνίζω, τὸ ἐξ ἐπιπολῆς καὶ ἰσχνῶς ξύω. ⟨A Ran. 1209⟩ "οὐ κατ' ἔπος γέ σε κνίσω τὸ ῥῆμ' ἕκαστον, ἀλλὰ ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ." ⟨AP 6 238⟩ "ἀλλ' ἀρότρῳ βραχύβωλον ἐπικνίζοντι χαράσσων."

κνίζων ⟨Amos 7 14⟩ Ἀκύλας ἐρευνῶν, Θεοδοτίων χαράσσων, Σύμμαχος ἔχων ἢ συλλέγων.

κνῖσα ἡ ἀναθυμίασις τῶν θυομένων τοῖς εἰδώλοις. καὶ κνισάριον τὸ μικρὸν λίπος. καὶ κνίσησιν ἀναθυμιάσεσιν.

κνίσης λίπους, ἀναθυμιάσεως· "τῆς δὲ κνίσης διαδοσίμου γενομένης καὶ προσπεσούσης ᾔτησε τοῦ κρέως."

κνίσματα σπαράγματα· ⟨AP 7 219⟩ "καὶ τὰ ποθεύντων κνίσματα καὶ μύσην λύχνον ἀπειπαμένη."

κνίψ ζωύφιον. ἡ γενικὴ τοῦ κνιπὸς μετέστη εἰς εὐθεῖαν, καὶ σημαίνει τὸν ὀλίγα δαπανῶντα.

κνυζηθμός ἡ τῶν κυνῶν ὑλακὴ ὀδυρτική, ἡ ἀσαφὴς τῶν κυνῶν βοή. cf. sch. Hom. π 163.

κνυζημάτων παρὰ Ἡροδότῳ ⟨2 2⟩, τουτέστι τῶν γοερῶν ἀποφθεγμάτων.

κνυζόμενον ζένοντα, μεταφορικῶς ἀπὸ τῶν σκυλάκων. "ὃ δὲ κύνας ἐκ τῆς ἐπάλξεως ἀπεξήρτα, ὥστε τοὺς φύλακας κνυζομένων αὐτῶν μὴ καθεύδειν." καὶ αὖθις "κνύζοιέν τε οἱ κύνες ἀγχοῦ τῆς ὕλης γενόμενοι."

κνυζῶ ἀπὸ τοῦ κόνυζα κονύζω κνυζῶ. ἔνθεν καὶ κνυζηθμός, ὡς μυκῶ μυκηθμός.

κνυζώσω ⟨Hom. ν 401⟩ ἀπρεπεῖς ποιήσω.

κνῦμα ὁ ἠρεμαῖος κνησμός· ⟨A Eccl. 36⟩ "ὑποδουμένη ἤκουσά τοι τὸ κνῦμά σου τῶν δακτύλων."

κνώδαλον ζῷον μικρόν, θηρίον, κυρίως μὲν τὸ θαλάσσιον, ποτὲ δὲ καὶ τὸ χερσαῖον. ἐν ἐπιγράμματι ⟨AP 6 101⟩ "ξίφη τὰ πολλῶν κνωδάλων λαιμητόμα."

κνώδαλον τὸ ἐν τῇ ἁλὶ κινούμενον ζῷον. κινώπετον δὲ τὸ χερσαῖον, τὸ ἐν τῷ πέδῳ κινούμενον ἑρπετόν.

κνώδοντος τῆς ἀκμῆς τοῦ ξίφους, τῆς ὀξείας εἰς τὸ καίνειν. ἀπὸ δὲ τοῦ μέρους τὸ ξίφος δηλοῖ. "πῶς σ' ἀποσπάσω πικροῦ τοῦδ' αἰόλου κνώδοντος, ὦ τάλας, ὑφ' οὗ φονέως ἄρ' ἐξέπνευσας;" ⟨S Ai. 1024⟩.

κνώμενος γαργαλιζόμενος.

Κνώσσιος ὄνομα κύριον, καὶ ὁ πολίτης· Κνωσσὸς γὰρ πόλις ἐν τῇ Κρήτῃ.

κνώσσουσαν κοιμωμένην· ἐν ἐπιγράμματι ⟨AP 5 294⟩ "τὴν φύλακα κνώσσουσαν ὑπέκφυγον." cf. v. Λούκουλλος.

κοάλεμοι παρὰ Ἀριστοφάνει οἱ ἠλέματα κοοῦντες καὶ νοοῦντες ⟨sch. A Eq. 631⟩.

κοάλεμος ματαιόφρων· κοεῖν γὰρ τὸ αἰσθάνεσθαι, καὶ ὁ ἠλίθιος καὶ ἀνόητος κοάλεμος. ἔγκειται τῇ λέξει τὸ ἠλέματον ἤγουν τὸ μάταιον, καὶ τὸ κοεῖν, ὅ ἐστι νοεῖν. ὁ οὖν ἀνόητος καὶ μάτην νοῶν κοάλεμος λέγεται ⟨A Eq. 198⟩.

κοβαλεία. οὕτως ἐλέγετο ἡ προσποίητος μετὰ ἀπάτης παιδιά, καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ· Φιλόχορος β' Ἀτθίδος "οὐ γάρ, ὥς ἔνιοι λέγουσι, βωμολόχον τινὰ καὶ κόβαλον γενέσθαι νομιστέον τὸν Διόνυσον." Ἀριστοτέλης δὲ ἐν β' ⟨immo 8 14⟩ ζῴων ἱστορίας τὸν ὦτόν φησι κόβαλον καὶ μιμητὴν ὄντα ἀντορχούμενον ἁλίσκεσθαι. Harp.

κοβαλεύειν τὸ μεταστρέφειν ⟨an μεταφέρειν⟩ τὰ ἀλλότρια μισθοῦ κατ' ὀλίγον.

κόβαλος ἀνελεύθερος, πανοῦργος. ὁ λῃστής, ἀπὸ τῆς κοπίδος, ἢ ὁ κακότεχνος· κόβαλα γάρ ἐστι τὰ κακά. καὶ κοβαλεία ἡ παρὰ πονηροῦ ἀνθρώπου κολακεία. cf. v. ὑπέρχεται.

κόγχη κογχύλη, ὅθεν ἡ πορφύρα.

κόγχην τὸ ἐλάχιστον λέγουσι, καὶ κόγχης ἄξιον τὸ οὐδενὸς ἄξιον. καὶ κόγχην διελεῖν ἐπὶ τῶν ῥᾳδίως τι ποιούντων, οἷον "ταὐτόν ἐστι τόδε τῷ κόγχην διελεῖν."

κογχύλη. ὅτι ὥσπερ τῶν πτηνῶν καὶ τῶν πεζῶν οἱ γῦπες καὶ οἱ κύνες πόρρωθεν τῶν ὀσμῶν ἀντιλαμβάνονται διὰ τὴν δίοσμον τοῦ ἀέρος δύναμιν, οὕτω καὶ τῶν ἐνύδρων, διὰ τὸ εἶναι καὶ ἐν ὕδατι τὴν δύναμιν ταύτην, πόρρωθεν τῶν ὀσμῶν οἱ ἰχθύες ἀντιλαμβάνονται. καὶ αἱ κογχύλαι γοῦν, ὄψιν οὐκ ἔχουσαι, φαίνονται δελέατι ἑπόμεναι. ὁμοίως καὶ οἱ κροκόδειλοι, τῶν κρεῶν ὑπὲρ τὴν ἐπιφάνειαν τοῦ ὕδατος κρεμαμένων, ἕπονται αὐτοῖς. Philop. in 2 de anima, M III b.

Κοδάλου χοῖνιξ, παροιμία ἐπὶ τῶν μείζοσι μέτροις κεχρημένων. cf. v. κωδαλοῦχος.

κοδομήιον καμινευτικόν.

κοδράντης ⟨Matth. 5 26⟩ τὸ πᾶν, ἢ λεπτὰ δύο.

Κοδρᾶτος Ῥωμαῖος ἱστορικὸς ἔγραψεν Ἰάδι διαλέκτῳ ἱστορίαν Ῥωμαϊκὴν ἐν βιβλίοις ιέ, ἐπιγραφὴν δὲ χιλιετηρίδα, καὶ περιέχει ἀπὸ κτίσεως Ῥώμης ἕως Ἀλεξάνδρου τοῦ Μαμαίας υἱοῦ Καίσαρος.

Κοδρίδης ὁ Σόλων ἐκέκλητο πατρωνυμικῶς.

Κοδρίτης ἄρτος. cf. Athen. p. 114.

Κόδροι ἐθνικόν.

Κοδρομήνη ὄνομα τόπου.

κόθορνος ὑπόδημα ἀμφοτεροδέξιον. Ἀριστοφάνης ⟨Av. 991⟩ "τίς ὁ κόθορνος τῆς ὁδοῦ;" οἷον τί ὑποδησάμενος πάρει;

οὕτως ἐκαλεῖτο Θηραμένης Ἀθηναῖος ῥήτωρ, μαθητὴς Προδίκου τοῦ Κείου. εἴρηται δὲ ἐπὶ τοῦ στρεφομένου συνεχῶς· οὗτος γὰρ καὶ τοῖς λ' συνέσπευδε καὶ τῷ πλήθει. ὅτι ὁ κόθορνος ἀνδράσι καὶ γυναιξὶ πρὸς τὰς ὑποδέσεις ἁρμόττει. sch. A Ran. 546.

κόθουρος ὁ κρύπτων.

Κοθωκίδης ὄνομα κύριον. sch. A Thesm. 620.

κοῖ κοῖ. A Ach. 766.

κοιαίστωρ· "τὴν τοῦ κοιαίστωρος διέπων ἀρχήν, ἣν οἶμαι ἀπὸ τοῦ ἀναζητεῖν ὧδε λελέχθαι παρὰ Ῥωμαίοις" ⟨Menand. p. 390 Nieb.⟩.

κοίας ὁ στρογγύλος λίθος.

κοικύλλεις περιβλέπῃ, ἢ κακοτεχνεῖς· ⟨A Thesm. 859⟩ "τί αὖ σὺ κυρκανᾷς, ἢ τί κοικύλλεις ἔχων;" περιττὸν τὸ ἔχων ἀττικῶς.

κοῖλα τὰ ὑποκάτω τῶν ὀφθαλμῶν, καὶ οἷον ἐπὶ τοῦ προσώπου μῆλα.

κοιλάδα κλαυθμῶνος τὸν τόπον λέγει ἐν ᾧ φανεὶς ἄγγελος τὴν τοῦ λαοῦ ἤλεγξε παρανομίαν καὶ εἰς κλαυθμὸν τὸ πλῆθος ἐκίνησε. κυρίως δὲ καὶ ἀληθῶς ὁ παρὼν βίος. Theodoret. in Ps. 83 7.

κοιλάδα σκηνῶν τὴν τῶν Ἰσραηλιτῶν χώραν, ὡς ἔρημον γεγενημένην καὶ ποιμενικὰς τηνικαῦτα σκηνὰς δεξαμένην. Theodoret. in Ps. 59 8.

κοιλὰς τὸ πλῆθος, ἢ τὸ βάθος.

κοιλέμβολον καλεῖται, ἐπειδὰν ἡ δίστομος διφαλαγγία τὰ μὲν ἑπόμενα κέρατα συνάψῃ, τὰ δὲ ἡγούμενα διαστήσῃ.

κοιλία.

κοῖλον βαθύ· "οὕτω δὲ ἦν ἄρα μέτριος καὶ λιτὸς ὡς μηδὲ κοῖλον ἄργυρον εἰς πλῆθος κεκτῆσθαι." cf. v. Παῦπερ.

κοιλόσυρτος ὁ χωλός ⟨an κολοσυρτός ὁ ὄχλος⟩.

κοίλου κρατῆρος τοῦ μυχοῦ· τὰ γὰρ κοῖλα οὕτως ἐκάλουν ἐκ μεταφορᾶς· ὅθεν καὶ τὰ ἐν τῇ Αἴτνῃ κοιλώματα κρατῆρες καλοῦνται. Σοφοκλῆς ⟨OC 1593⟩ "κοίλου πέλας κρατῆρος."

κοιλῶπις βαθεῖα· ⟨AP 6 219⟩ "ἴδρις ἀνὴρ κοιλῶπιν ὀρειάδα δύσατο πέτραν."

κοιμίσαι τὸν λύχνον Νικοφῶν Πανδώρᾳ. καὶ κοιμίσαι ἐπὶ θανάτου· Σοφοκλῆς ⟨Ai. 832⟩ "πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι," καὶ Ὅμηρος ⟨Λ 241⟩ "κοιμήσατο χάλκεον ὕπνον."

κοιμῶ τὸ ὑπνῶ, κοιμίζω δὲ τὸ καταπαύω.

κοινὰ τὰ τῶν φίλων. Τίμαιός φησιν a ἐν τῷ θ' ταύτην λεχθῆναι κατὰ τὴν μεγάλην Ἑλλάδα, καθ' οὓς χρόνους Πυθαγόρας ἀνέπειθε τοὺς ταύτην κατοικοῦντας ἀδιανέμητα κεκτῆσθαι. κέχρηται τῇ παροιμίᾳ Μένανδρος Ἀδελφοῖς. ⟨Iulian. or. 7 p. 245⟩ "οὐ δήπου τὰ χρήματα λέγει μόνον, ἀλλὰ καὶ τὴν τοῦ νοῦ καὶ τῆς φρονήσεως κοινωνίαν."

κοινὰ τὰ τῶν φίλων. φασὶν ὅτι τοὺς b

προσιόντας Πυθαγόρᾳ μαθητὰς ἔπειθεν ὁ φιλόσοφος κοινὰς τὰς οὐσίας ποιεῖσθαι· ὅθεν ἡ παροιμία.

κοιναὶ ἔννοιαι. ὅτι εἴ ποτε ἡ διάνοια συλλογίζεται περὶ τῶν νοητῶν, ἀλλ' οὐ καθ' αὑτὴν ἀλλὰ τῷ νῷ συμπλακεῖσα, ὥσπερ καὶ περὶ τῶν αἰσθητῶν συλλογίζεται συμπλακεῖσα τῇ φαντασίᾳ. τούτου τοίνυν τοῦ νοῦ εἰ μὴ μετέχομεν οἱ πολλοί, ἀλλ' ἴχνη τινὰ καὶ ἰνδάλματα διαβέβηκεν εἰς ἡμᾶς. ταῦτα δέ εἰσιν αἱ κοιναὶ ἔννοιαι, αἳ διὰ πάντων χωροῦσαι ἰνδάλματα τοῦ νοῦ εἰσὶν ἐναργῶς. διὸ καὶ ἀρχὴν ἐπιστήμης τὸν νοῦν καλοῦσιν, ᾧ τινὶ τὰ νοητὰ γινώσκομεν. ὅτι ἡ λογικὴ ψυχὴ συνουσιωμένους ἔχει τοὺς λόγους τῶν πραγμάτων ἐν ἑαυτῇ, διὰ δὲ τὸ καταδεδυκέναι ἐν τῇ ὕλῃ οἷον ἐγκατεχώσθησαν ὡς ὁ ἐν τῇ τέφρᾳ κρυπτόμενος σπινθήρ. ὥσπερ οὖν ὅταν τις μικρὸν τὴν τέφραν ὀρύξῃ, ὁ σπινθὴρ εὐθὺς ἀναλάμπει καὶ οὐχ ὁ διορύξας τὸν σπινθῆρα ἐποίησε, τὸν αὐτὸν τρόπον καὶ ἡ δόξα ἐρεθιζομένη ὑπὸ τῆς αἰσθήσεως προβάλλει τοὺς λόγους τῶν ὄντων. οὕτω καὶ τοὺς διδασκάλους φασὶ μὴ τὴν γνῶσιν ἡμῖν ἐντιθέναι ἀλλὰ τὴν ἐνοῦσαν ἡμῖν καὶ οἷον κρυπτομένην ἐκφαίνειν. καὶ ταῦτά εἰσιν αἱ κοιναὶ ἔννοιαι, τὰ τοῦ νοῦ ἀποσκιάσματα. πᾶν γὰρ ὅπερ ἴσμεν κρεῖττον ἢ κατὰ ἀπόδειξιν, ταῦτα κατὰ κοινὴν ἔννοιαν ἴσμεν· ἃ δὲ δείξεως δεῖται εἰς τὸ γνωσθῆναι, τούτων τὰ συμπεράσματα χωρὶς ἀποδείξεως ἔργον ἐστὶ τῆς δόξης εἰδέναι. Philopon. in 1 de anima, *A* 1 b et 2 a.

κοινεῖον ⟨Artemid. 1 80⟩ πορνεῖον.

κοινοδημεί τὸ δημόσιον.

κοινοδήμιον τὸ τῷ δήμῳ κοινόν.

κοινοῖ ⟨Matth. 15 11⟩ μιαίνει.

κοινολεχής ⟨S El. 97⟩ ὁ μοιχός.

κοινολογία ἡ κοινὴ διάλεκτος. κοινῇ δὲ ἀντὶ τοῦ ἀνθρωπίνῃ, μεγάλῃ καὶ θαυμαστῇ· ⟨A Thesm. 186⟩ "ἐγὼ δὲ κοινῇ συμφορᾷ πεπληγμένος."

κοινολογῶ δοτικῇ.

a κοινὸν τὸ ἀκάθαρτον, ἢ τὸ μηδὲν ἔχον πλέον τῶν λοιπῶν.

b κοινὸν δὲ τετραχῶς λέγεται, ἢ τὸ εἰς τὰ μέρη διαιρετόν, ὡς ἡ κληρουχουμένη γῆ, ἢ τὸ ἀδιαιρέτως ἐν χρήσει κοινῇ λαμβανόμενον, ἢ τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον εἰς δὲ τὸ κοινὸν ἀναπεμπόμενον, ὡς ἐν θεάτρῳ τόπος ἢ ἐν βαλανείῳ, ἢ τὸ ἀδιαιρέτως εἰς κοινὴν καὶ τὴν αὐτὴν ἔννοιαν προβαλλόμενον, ὡς ἡ φωνὴ τοῦ κήρυκος. κοινὰ δὲ καὶ ἀμέριστά εἰσιν ὁ πατὴρ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα, αἵ τε γραφαὶ καὶ αἱ ὑπερκόσμιαι δυνάμεις, ἥλιός τε καὶ σελήνη καὶ πᾶς ὁ τῶν ἀστέρων χορὸς καὶ αὐτὸς ὁ ἀὴρ κοινὰ καὶ ἀμέριστα ὅλα διόλου. γῆ δὲ καὶ ὕδωρ, χρυσός τε καὶ ἄργυρος καὶ πᾶσα ἡ μεταλλικὴ φύσις καὶ δρυοτομικὴ ὕλη κοινὰ μέν εἰσιν, ἀλλ' ὅμως μεριστὰ γέγονε τῇ τῆς πλεονεξίας ὀρέξει. παρθενία δὲ καὶ ἀγαμία καὶ ἱερωσύνη καὶ τὰ λοιπὰ τοῦ θεοῦ τοιουτότροπα χαρίσματα οὔτε κοινὰ οὔτ' αὖ μεριστά· οὐ γάρ εἰσι τοῦ μέρους τῶν κοινῶν ἢ τῶν μεριστῶν. Io. Damasc. t. 1 p. 66.

κοινὸν γραμματεῖον καὶ ληξιαρχικόν. τὸ μὲν κοινόν, εἰς ὃ ἐνεγράφοντο οἱ εἰσαγόμενοι εἰς τοὺς φράτορας καὶ γεννήτας, τὸ δὲ ληξιαρχικόν, εἰς ὃ ἐνεγράφοντο οἱ εἰς τοὺς δήμους ἐγγραφόμενοι. Harp.

κοινὸς Ἑρμῆς. φασὶν ὅτι κλεπτίστατος γενόμενος ὁ Ἑρμῆς κατέδειξε κοινὰ εἶναι τὰ φώρια, καὶ τοῖς κατὰ μόνας κλέπτουσιν ἐπάναγκες εἶναι πρὸς τοὺς κοινοὺς διανέμεσθαι. οἱ δὲ ὅτι τὸν λόγον ἔχων κοινωνικὸν ὁ Ἑρμῆς ἐποίησε πάντα δι' αὐτοῦ.

Κόιντος ὄνομα κύριον.

κοινῶνας κοινωνούς· Ξενοφῶν ⟨Cyr. 7 5 35⟩ "ἀκροθίνια τοῖς θεοῖς καὶ τεμένη ὁ Κῦρος ἐκέλευσεν ἐξελεῖν, ὥσπερ κοινῶνας ἐνομίζετο τῶν καταπεπραγμένων." καὶ αὖθις "τὴν κεφαλὴν αὐτοῦ ἄξειν, καὶ ὅσοι κοινῶνες αὐτῷ τῆς φυγῆς ἐγένοντο."

κοινωνικόν. Δημοσθένης ἐν τῷ περὶ τῶν συμμοριῶν ⟨16⟩ κοινωνικοὺς λέγει τάχα μὲν τοὺς ἀνέμητον οὐσίαν νέμοντας ἀδελφούς, ὧν ὁ μὲν πατὴρ ἐδύνατο λειτουργεῖν, οἱ δὲ κληρονόμοι τῶν ἐκείνου καθ' ἕνα τριηραρχεῖν οὐκ ἐξήρκουν· τάχα δ' ἂν καὶ περὶ τῶν ἑκουσίαν κοινωνίαν συνθεμένων ἐμπορίας ἤ τινος ἄλλου, ὧν ἕκαστος οὐκ εἶχε τὸ ὅλον τίμημα τῆς κοινῆς οὐσίας. Harp.

κοινωφελής ὁ πάντας ὠφελῶν.

κοιόλης ὁ ἱερεύς.

Κοῖος ὁ πατὴρ Λητοῦς, παρὰ τὸ κοεῖν, ὅ ἐστι νοεῖν καὶ συνιέναι· ἤγουν ὁ συνετός.

κοίρανος βασιλεύς, ἄρχων.

Κοισύρα γυνὴ Ἀθήνησιν εὐγενὴς καὶ πλουσία, μήτηρ Μεγακλέους ⟨sch. A Ach. 614⟩· "ὁ Κοισύρας καὶ Λάμαχος." Ἀλκμαίωνος

γαμετή, ἥτις ἐπὶ βλακείᾳ διαβεβόητο. καὶ κοισυρῦται κοσμεῖται, ἢ τὰ τῆς Κοισύρας φρονεῖ.

κοίτη. καὶ κοιταῖος ὁ κατὰ τὴν ὥραν τῆς κοίτης ἐρχόμενος· "ὁ δὲ παρήγγειλεν ἔρχεσθαι κοιταίους."

κοῖτις ἡ μικρὰ κίςη, ἀττικῶς· τὴν γὰρ κίςην κοῖτιν λέγουσιν. ἔςι δὲ ἐν αἷς κοιταζόμεναι αἱ γυναῖκες ἀπετίθεντο τὰ χρυσία.

κοῖτος κοίμημα.

κοιτών κοιτῶνος.

Κοκκιανὸς ὁ Δίων ὄνομα κύριον. cf. v. Δίων.

Κόκκος ῥήτωρ Ἀθηναῖος, μαθητὴς Ἰσοκράτους, λόγους ῥητορικούς.

κόκκυ ἀττικῶς ἀντὶ τοῦ ταχύ.

κοκκύαι αἱ πρόγονοι· "ἀφ' ὑμέων κοκύῃσι καθημένη ἀρχαίῃσι."

κοκκύζω φωνῶ.

κοκκύμηλα εἶδος ὀπωρῶν, τὰ παρ' ἡμῖν λεγόμενα βερίκοκκα.

κόκκυξ εἶδος ὀρνέου, ὁ παρ' ἡμῖν κοῦκκος.

κοκκύσω σύνθημα δώσω. sch. A Ran. 1427.

Κόκλης. cf. v. ἐξεκόπη.

κόλα ἡ γαςήρ. ταῖς κόλαις.

κόλαβος ὁ μικρὸς ψωμός.

κολαβρισθείη χλευασθείη, ἐκτιναχθείη, ἀτιμασθείη· κόλαβρος γὰρ ὁ μικρὸς χοῖρος. ἀντὶ τοῦ οὐδενὸς λόγου ἄξιος νομισθείη.

κολάζω αἰτιατικῇ.

Κολαινὶς ἐπώνυμον Ἀρτέμιδος, ἀπὸ Κολαίνου τοῦ κτίσαντος τὸ ἱερόν, ἢ διὰ τὸ τὸν Ἀγαμέμνονα θῦσαι αὐτῇ κόλον. ἔςι δὲ καὶ εἶδος ὀρνέου κολαινίς. sch. A Av. 873.

κολακεία ἡ ἀπάτη.

κολακεύω αἰτιατικῇ.

κόλαξ ἀπατεών.

κολεόπτερον εἶδος ζωυφίου πτηνοῦ, παρὰ τὸ ὡς ἐν κολεῷ τὰ πτερὰ συνέχειν τῷ ἐλύτρῳ.

κολεός ἡ ξιφοθήκη.

κολετρῶσι κατὰ τοῦ κόλου τύπτουσιν· Ἀριστοφάνης Νεφέλαις ⟨552⟩ "τὸν δείλαιον κολετρῶσ' ἀεί." ἢ καταπατοῦσιν, ἀπὸ τῶν τὰς ἐλαίας καταπατούντων. οἱ δὲ τὸ ἐνάλλεσθαι τῇ κοιλίᾳ.

κολλάβους τοὺς ἄρτους τοὺς ἐοικότας τὴν πλάσιν τοῖς κολλάβοις τῆς κιθάρας. οἱ δὲ εἶδος πλακοῦντος τετραγώνου ἢ ἄρτου μικροῦ, παρὰ τὸ ἐκ μεγάλων κολλυβίζεσθαι· κόλλαβοι γὰρ τὰ τῶν χορδῶν ἐπιτόνια. sch. A Ran. 510.

κόλλιξ ὁ ἄρτος· ὅθεν καὶ κολλύριον ἐπὶ τοῦ κολλάβου. καὶ πληθυντικῶς κόλλικες, ἀρσενικῶς, παρὰ Ἀριςοφάνει ⟨Ran. 584⟩, ἄρτοι.

κολλύρια τὰ κολοβὰς ἔχοντα τὰς οὐράς. τοῦτο δὲ καὶ ἐπὶ ἄρτων καὶ ἐπὶ ἰατρικῶν φαρμάκων λέγεται.

κόλλοψ ἡ χορδή. καὶ κόλλοπας.

κολλυβιςής τραπεζίτης.

κόλλυβον εἶδος νομίσματος.

κολλύρα εἶδος ἄρτου. ἢ ὁ μικρὸς ἄρτος, ὃν τοῖς παιδίοις διδόασιν. ἢ εἶδος πλακοῦντος. καὶ κολλυρίζω τὸ τὰς λαλάγγας τηγανίζω. καὶ ἐπιχωρίως κολλύρια τὰ λαλάγγια.

Κολλυτεύς παρὰ Λουκιανῷ εἰς τὸ Τίμων ἢ Μισάνθρωπος ⟨50⟩. Κολλυτὸς δὲ δῆμος τῆς Αἰγηίδος.

κολλῶμαι δοτικῇ.

κολλώμενος.

κολοβόν τὸ ἐλλεῖπον. καὶ κολοβός ὁ σιμός.

κολοβόρριν ⟨Levit. 21 18⟩ ὁ μικρόρριν. καὶ κολοβώματα.

κολοιόπτερα ζῷα ὁ κάνθαρος καὶ ἡ μηλολόνθη καὶ εἴ τι ἄλλο. cf. v. κολεόπτερον.

κολοιὸς ποτὶ κολοιὸν ἱζάνει· φιλάλληλον γὰρ τὸ ζῷον καὶ συναγελαςικόν. τάττεται δὲ ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων.

κολοιούς ὀνόματα ὀρνέων μικρῶν.

κολοκτρυών γένος τι Περσικὸν ἀττελέβοις ὅμοιόν ἐςι. sch. A Ran. 963.

κολόκυμα τὸ κωφὸν κῦμα καὶ μὴ ἐπικαχλάζον· "ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν" Ἀριστοφάνης ⟨Eq. 689⟩.

κολοκύντη μαρίκη. καὶ παροιμία "κολοκύντης ὑγιέςερος."

κόλον κενόν, μάταιον, κολοβόν· Ὅμηρος ⟨Π 117⟩ "πῆλ' αὔτως ἐν χειρὶ κόλον δόρυ." καὶ ἐν ἐπιγράμματι ⟨AP 6 255⟩ "τοῦτο τὸ δίπηχυ κόλον κέρας οὐμβρακιώτης βουμολγὸς ταύρου κλάσσεν ἀτιμαγέλου."

Κολοσσαεῖς οἱ Ῥόδιοι, οἵτινες ἀνέςησαν ἐν τῇ νήσῳ χαλκοῦν ἀνδριάντα τοῦ ἡλίου, ὃν διὰ τὸ μέγεθος ἐκάλεσαν κολοσσόν, ἐπὶ Σελεύκου τοῦ Νικάνορος υἱοῦ, διαδόχου Ἀλεξάνδρου τοῦ Μακεδόνος. ἐν ἐπιγράμματι ⟨AP 6 171⟩ "αὐτῷ σοι πρὸς Ὄλυμπον ἐμακύναντο κολοσσὸν τόνδε Ῥόδου ναέται δωρίδος, ἀέλιε,

χάλκεον, ἡνίκα κῦμα κατευνάσαντες Ἐνυᾶς ἔξεψαν πάτραν δυσμενέων ἐνάροις."

κολοσσός ἄγαλμα· "ὥσπερ ὁ Ῥοδίων κολοσσὸς διὰ μέγεθος καταπληκτικὸς ὢν ἐκ ἔςιν ἐράσμιος, ἔτως ἐδὲ Σεβαςιανὸς διὰ τὸ ἀφιλοχρήματον θαυμαςὸς ἦν." cf. v. Σεβαςιανός.

κολοσύρτης καὶ κολοσυρτός θόρυβος, μεγάλως αἰρομένης τῆς κόνεως καὶ εἰς ἤέρα ἱκνουμένης· τὸ γὰρ κοῖλον κυρτώσεως καὶ ὑπεροχῆς μετέχει. βέλτιον ὁ ὑπὸ τῶν κόλων συρόμενος κονιορτός.

κολέει χρεωκοπεῖ, ἐλαττοῖ. "ὁρῶν τοὺς παῖδας ἐκδιαιτωμένες, τὲς δὲ ςρατιώτας πολλὰ κακὰ δρῶντας, ἀπῆρε, τὲς μὲν ἵνα ἐπιρρώσῃ, τὲς δὲ κολέσηται."

κολέεται ἐμποδίζεται. "καὶ παρεκάλει τὴν πατρίδα σώζειν, ὅπλα λαβόντας, καὶ ὑβριςὴν δῆμον κολέειν" ἀντὶ τε ἐμποδίζειν.

Κόλεθος Λυκοπολίτης Θηβαῖος ἐποποιός, γεγονὼς ἐπὶ τῶν χρόνων βασιλέως Ἀναςασίε, ἔγραψε Καλυδωνιακὰ ἐν βιβλίοις ς', καὶ ἐγκώμια δι' ἐπῶν, καὶ Περσικά.

κόλερα τὰ μὴ ἔχοντα ἢ τὰ κολοβὴν ἔχοντα κέρκον· ἅπερ ἐν ταῖς ἱερεργίαις οὐ θύεται. καθόλε γὰρ εἰ μὴ ἦν τέλειον καὶ ὑγιές, ἐκ ἐθύετο τοῖς θεοῖς. Ἀριστοφάνης ⟨Ach. 750⟩ "ἀλλ' ἐδὲ θύσιμός ἐςιν αὐτηί· κέρκον ἐκ ἔχει."

κολεραία πέτρα κοίλη, κεκαμμένη, ἢ ςρογγύλη, παρὰ Καλλιμάχῳ ⟨fr. 66⟩.

κολοφών τὸ πέρας, τὸ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον. λαμβάνεται δὲ καὶ ἐπὶ μεγάλων κακῶν.

κολοφωνία εἰδός τι παρόμοιον πίσσῃ.

Κολοφώνιος ὄνομα κύριον.

κολπίζω.

κόλπος ἐπὶ θεε ὁ τῶν ἀγαθῶν θησαυρός, χεὶρ δὲ ἡ ἐνέργεια· "ἵνα τί ἀποςρέφεις τὴν χεῖρά σε ἐκ μέσε τε κόλπε σε;" Theodoret. in Ps. 72 11.

κόλυβα σῖτος ἑψητός.

κόλυθρον εἶδος φυτε.

κολυμβήθρα ὁ κόλυμβος.

Κολχική ἡ Λαζική.

Κολωναίτας. ἔτως ὠνόμαζον τὲς μισθωτές, ἐπειδὴ περὶ τὸν Κολωνὸν εἱςήκεσαν, ὅς ἐςι πλησίον τῆς ἀγορᾶς, ἔνθα τὸ ἡφαιςειον καὶ τὸ εὐρυσάκειόν ἐςιν. ἐκαλεῖτο δὲ ὁ Κολωνὸς ἔτος ἀγοραῖος. ἦν δὲ καὶ ἕτερος Κολωνὸς πρὸς τὸ τε Ποσειδῶνος ἱερόν· ἔτος δ' ἂν εἴη ὁ τῶν ἱππέων. Harp.

κολωνάων καὶ νησάων. παραλόγως ἐχρήσατο Καλλίμαχος ⟨sch. Hom. ξ 199, et h. in Del. 66 et 275⟩· ἐ γὰρ παράγεται ἀπὸ τῆς κολώνης, ἀλλ' ἀπὸ τε κολωνε.

Κολώνεια ὄνομα τόπε.

κολώνη πόλις μεγάλη· "ὃ δὲ ἐπὶ κολώνης τινὸς ἱδρύσας τὲς περὶ αὐτὸν ἱππεῖς τε χάρακος τὴν θέσιν ἐσκόπει."

κολωνός γῆς ἀνάςημα, τόπος ὑψηλός. Προκόπιος ⟨Vand. 2 12⟩ "ἐπειδὰν δὲ εἰς τὸν τε ὄρες κολωνὸν ἵκωνται, ἐνταῦθα ἡσυχάζοντας τὸ λοιπὸν διανυκτερεύειν." Ἀρριανός "καθεώρων κολωνὲς λίθων πολλαχε τε ὄρες νενημένες, τὲς μὲν μείζες τὲς δὲ ἐλάττες, ἃς εἴκαζον ἐκ τε πεδίε συνενηνέχθαι· ἦν γὰρ ἐ φύσει ἄλιθον ἐδὲ εὔγειον τὸ πεδίον, ἀλλ' οἷον εἰκασθῆναι ἐκκεκαθαρμένον."

καλωός θόρυβος.

κομᾷ ⟨A Plut. 170⟩ γαυριᾷ, μέγα φρονεῖ, ςεφανεται, χλοηφορεῖ, τριχῶν ὑπερβολῇ κοσμεῖται, ἢ περιεσίᾳ χρημάτων μεγαλαυχεῖ. ⟨A Eq. 577⟩ "μὴ φθονεῖθ' ἡμῖν κομῶσι," ἀντὶ τε τρυφῶσι, πλετεσι· τὸ γὰρ κομᾶν ἔλεγον ἐπὶ τε τρυφᾶν καὶ γαυριᾶσθαι καὶ μέγα φρονεῖν, ἄλλως τε καὶ τὸ ταῖς θριξὶ κομᾶν.

Κόμανα πόλις, ἔνθα ὁ Χρυσόστομος ἐτάφη πρῶτον.

κομάρες θηλυκῶς· ἀρσενικῶς δὲ κοτίνες. εἴδη δὲ δένδρων ταῦτα. sch. A Av. 621.

κομβέντον.

κόμβος· "ὁ κόμβος τῶν δύο χειριδίων, ὅταν τις δήσῃ ἐπὶ τὸν ἴδιον τράχηλον."

κομβώματα τὰ καλλωπίσματα.

κομείτην ⟨Hom. Θ 113⟩ ἐπιμελείας ἠξίον.

κομενταρίσιος.

κόμη. ἐν Ἰὼβ ⟨38 32⟩ ὁ κύριος "καὶ ἕσπε- a
ρον τὸν ἀςέρα ἐπὶ κόμης αὐτε ἄξεις αὐτόν." κόμην τὴν ὑπερβολὴν τῆς λάμψεως λέγει καὶ τὴν εὐπρέπειαν.

κόμη ἡ θρὶξ τῆς κεφαλῆς. b

κόμης ὁ λαε ἄρχων. καὶ κλίνεται κόμητος.

κομήσῃς· Ἀριστοφάνης Πλούτῳ ⟨572⟩ "μηδὲν ταύτῃ γε κομήσῃς," ἀντὶ τε ὑπερηφανήσῃς, παρὰ τὸ τὲς κομῶντας καυχητιᾶν. εἰ καὶ ἀληθεύεις, φησί, μὴ μέγα φρονήσῃς· ἐδὲν γὰρ ἧττον τὰ αὐτὰ πείσῃ. ἐκόμων δὲ

οἱ φιλόσοφοι ἢ διὰ καρτερίαν ἢ διὰ σμικρολογίαν· "ὧν ὑπὸ τῆς φειδωλίας ἀπεκείρατ' ὀυδεὶς πώποτε" φησὶν Ἀριςοφάνης ἐν Νεφέλαις (833).

κομῆται ἀςέρες, οἷον πωγωνίας καὶ λαμπαδίας, πυρὰ ὑφεςῶτα, παχέος ἀέρος εἰς τὸν αἰθερώδη τόπον ἀνενεχθέντος. σέλας πυρὸς ἀθρόυ ἔξαψις, περιφερομένυ ταχέως καὶ φαντασίαν μήκυς ἐμφαίνοντος (Diog. L. 7 152). ὅτι τῶν παρὰ φύσιν τέσσαρές εἰσι ποιότητες ἀςέρων, κομήτης, οὗ τὸ κάτω λεπτότατον, τὸ δὲ ἄνω ἥπλωται ὡς ἐπὶ κόμης, δοκίας, οὗ τὸ ὅλον λεπτὸν ὡς ἐπὶ δόρατος, πωγωνίας, ὗ τὸ κάτω μὲν ἥπλωται τὸ δὲ ἄνω ςενώτερον, βόθυνος, ἡνίκα δοκεῖ βάθος ἔχειν ὁ φαινόμενος ἀςήρ. καὶ παροιμία "ὀυδεὶς κομήτης ὅςις ὀυ"—τὸ δὲ ἀκροτελεύτιον αὐτὸς σὺ πρὸς τὴν ἠχὼ τῦ τριμέτρυ συνάρμοσον· οὐ γὰρ ἔγωγε φθέγξομαι τὸ δεινὸν ἐκεῖνο πρᾶγμα καὶ ὄνομα (Synes. p. 85: cf. v. ψηνίζω).

κομίατον ἐξαίτησιν λαμβάνων τῦ ἀφεθῆναι.

κομιδῇ λίαν, παντελῶς, ὁλοσχερῶς, εἰλικρινῶς, παντάπασι, τελείως.

κομιδή ἡ ἀνάσωσις, Ἡρόδοτος (4 134). λέγεται δὲ καὶ ἡ ἄφιξις, ἡ δίοδος· Πολύβιος "τῆς εἰς τοὔμπροσθεν κομιδῆς καὶ τῆς ὅλης ἐπιβολῆς ἀπέςη."

κομιδήν ἐπιμέλειαν. καὶ τὸ ἀπολαβεῖν τι τῶν προσηκόντων κομιδὴν ἐκάλεσαν οἱ ῥήτορες.

κόμιζε (Hom. Z 490) ἐπιμελῦ.

κομίζεται ἀντὶ τῦ ἔχει· (S OR 580) "ἂν ᾖ θέλυσα, πάντ' ἐμῦ κομίζεται."

κομιςικὰ πλοῖα. ὅτως ἐκαλεῖτο ἐν οἷς ἐκόμιζον οἱ τύραννοι τὰ ληφθέντα λάφυρα, ὡς Ὑπερίδης δηλοῖ. Harp.

κόμμα. Ἀριςοφάνης (Plut. 863) "ἔοικε δ' εἶναι τῦ πονηρῦ κόμματος," ἀπὸ μεταφορᾶς τῶν νομισμάτων, ἐξ ὀλίγυ χρυσίυ κεκομμένων. ἀντὶ τῦ εἰπεῖν φαύλυ συςήματος. πονηρὸν κόμμα ὁ παρακεκομμένος ἄργυρος. cf. v. πονηροῖς.

Κομμαγηνή ὄνομα τόπυ. καὶ Κομμαγηνός ὁ ἀπὸ τῦ αὐτῦ τόπυ.

κόμματα καὶ κυρήβια. τὰ μὲν κυρήβιά ἐςι τὰ πίτυρα, τὰ δὲ κόμματα ἔοικε μέρη τινὰ ἢ τῆς καλάμης ἢ τῶν περὶ τὸν σῖτον αὐτὸν ἐν τῷ ςάχυϊ γινομένων, ἢ τῶν ἀνθερίκων. Harp.

κόμμι καὶ ὁ λιβανωτὸς καὶ τὸ ἐξηραμμένον ὀπῶδες δάκρυον.

κομμίδιον.

κομμονιτόριον ἐπιςολὴ προςακτική, ἀποςελλομένη εἰς χώρας.

κομμός περίεργος κόσμησις· (Nicol. Dam. exc. Peir. p. 457) "ἡγεῖτο γυναικῶν μυρία πληθὺς μετὰ κομμῦ καὶ ὀλολυγῆς," τυτέςι γόυ καὶ ὀδυρμῦ.

κομμῦσθαι καλλωπίζεσθαι περιέργως καὶ γυναικωδῶς. ὅτως Εὔπολις.

κομμωτής καλλωπιςής.

κομμωτίζω ἐπιμελῦμαι.

κομμωτικαί, ἀπὸ τῦ κόμπυ· οἱ δὲ ἀπὸ τῦ κόπτω. κομμὸς ὁ κεκομμένων τριχῶν κόσμος, κομμωτικὸς δὲ ὁ ἐκ περιεργίας κόσμος. καὶ κομμωτικὸν ὀυδετέρως.

κομμώτρια ἐμπλέκτρια, ἡ κοσμῦσα τὰς γυναῖκας. sch. A Eccl. 732.

κόμοδα δόσις ἐπὶ σεισμῦ (an σιτισμῦ) παρεχομένη.

Κόμοδος βασιλεὺς Ῥωμαίων, ὃς ὑπό τινος τύχης ἐλαυνόμενος ἐς τοσῦτον μανίας καὶ παροινίας πρυχώρησεν ὡς τὴν ἰδίαν προσηγορίαν παραιτήσασθαι, Ἡρακλέα δὲ καὶ Διὸς υἱὸν ὀνομάζεσθαι. τύς τε μῆνας ἀφ' ἑαυτῦ φέρειν τὰς προσηγορίας προσέταξεν ὅτως, Ἀμαζόνιος Κόμοδος Αὔγυςος Ἡράκλειος Ῥωμαῖος Ὑπεραίρων Ἀνίκητος Εὐσεβής Εὐτυχής Λύκιος Αἴλιος Αὐρήλιος. ἀποδυσάμενός τε τὸ Ῥωμαίων σχῆμα λεοντῆν ὑπεζώννυτο καὶ ῥόπαλον ἐπεφέρετο, ὅτω τε θηρίοις καὶ ἀνθρώποις δημοσίᾳ ἐμονομάχει, εὐςόχως κατὰ τὸ ἀληθὲς ἀκοντίζων καὶ παρὰ πάντων θαυμαζόμενος. ἐπειδὰν δὲ εἰς πολλὴν μιαιφονίαν ἐτράπη, πάντας ἀφειδῶς τοὺς ἀθλίυς καὶ λελωβημένυς ἄνδρας ἐς τὸ θέατρον συναγαγών, δρακοντοειδῆ τέ τινα περιθεὶς ἐκ γονάτων φάσματα, ὡς γίγαντας τῷ ῥοπάλῳ κατειργάσατο. καθεύδων δὲ ἐν τοῖς μονομαχείοις, ἐκεῖθεν ἐς τὰς πανηγύρεις πρὸς τῆς συγκλήτυ βυλῆς ὑπαντώμενος ἐκ πάντων μὲν κακῶς διεβάλλετο, ὥςε καὶ τὴν Μαρκίαν, ἣν εἶχε παλλακῶν τιμιωτάτην, καταγνῶναι αὐτῦ καὶ ἀπαγορεῦσαι τὰ πραττόμενα. πολλοὶ δὲ καὶ ἄλλοι ἱκέτευον αὐτὸν μηδὲν ἀνάξιον τῆς βασιλείας ποιεῖν. Io. Antioch. exc. Peir. p. 822.

κόμπαρος, ὃς συνέζευκται εἰς ὑπηρεσίαν τινί, ὁμοίως τὴν αὐτὴν ἐκτελῶν χρείαν.

κομπολακύθε ματαιοκόμπε καὶ κομπώδες. παραπεποιημένον δέ ἐςι καὶ παραπεπλασμένον τὸ ὄνομα· ἀπὸ τε λακεῖν γὰρ ἐν παραγώγῳ γέγονε τὸ ληκύθιον. ληκυθίζειν γὰρ τὸ μεῖζον βοᾶν καὶ ψοφεῖν· ἦχον γὰρ ἀποτελεῖ καὶ ἡ λήκυθος, ἐπεὶ καὶ αὐτὴ πεφύσηται, πάντα δὲ τὰ πεφυσημένα κόμπον ποιεῖ. ἀπὸ γεν τε κόμπε καὶ τῆς ληκύθε συντέθειται. sch. A Ach. 589.

κόμπος ἀλαζονεία, ἔπαρσις· "πέφυρτο δὲ τῇ δεήσει κόμπος βαρβαρικὸς καὶ ἔμφασις εὐτυχίας."

κομποφακελορρήμονα ἀντὶ τε βαρυρρήμονα· φάκελοι γὰρ τὰ βαρέα φορτία διὰ ξύλων. sch. A Ran. 863.

κόμπῳ ἐπάρσει, κενοδοξίᾳ· "ἴςι τεκμηριῶσαι ὡς ὑπαινιττόμενοι γῆν ἔχειν σιδηροφόρον τῷ τοιῷδε κόμπῳ ἐχρήσαντο" (Menand. p. 380 Nieb.).

κομψεία ἐλαφρία, ἀςειότης, πιθανολογία, ἀλαζονεία. sch. A Av. 195.

κομψευόμενοι ἀλαζονευόμενοι· "πεφώρανται δὲ ὅμως τῇ πείρᾳ κομψευόμενοι τὴν ἐπωνυμίαν." περὶ ἱςοριογράφων ὁ λόγος.

κομψευριπικῶς (A Eq. 18) πανούργως κατὰ Εὐριπίδην.

κομψόν περίτρανον, περίλαλον, πανεργον, ἀπατητικόν, πιθανόν, τεχνικόν, ἔστι δ' ὅτε καὶ ἀγαθὸν καὶ σπεδαῖον. (Theophyl. Sim. 3 8) "ὁ δὲ τὸ τῶν ἀτυχημάτων ἐ φέρων κομψὸν αἰσχίσαις ὕβρεσι τὸν Βαρὰμ ἐξεθένησε, γυναικείᾳ ἐσθῆτι." Ἀριςοφάνης Νεφέλαις (645) "πρῶτον μὲν εἶναι κομψὸν ἐν συνεσίᾳ," τετέςι πιθανὸν καὶ εὔχαριν ἐν συνόδῳ καὶ τῇ πρὸς τὲς ἑταίρες κοινωνίᾳ. Ἀριςοφάνης (Ran. 977) "ἐμὸς δὲ Κλειτοφῶν τε καὶ Θηραμένης ὁ κομψός" ἀντὶ τε ἀςεῖος. Κλειτοφῶν δὲ ὡς ἀργὸς ἐκωμῳδεῖτο· νῦν δὲ ὡς παλίμβολον καὶ πανεργον βέλεται αὐτὸν ἀποδεῖξαι. καὶ αὖθις "τὸ πρᾶγμα κομψὸν καὶ σφόδρ' ἐκ τε σε τρόπε" (A Th. 99). "καὶ εἴ τις αὐτὲς ἀποθανεῖν δὶς λέγοι, ἐκ ἂν φανείη κομψὸς ἀλλὰ τῶν συνετωτέρων" Αἰλιανὸς περὶ ἀσεβῶν βασιλέων λήθῃ παραδοθέντων φησί. καὶ Ἀριςοφάνης (Vesp. 1308) "ἐπὶ τῷ κομᾷς καὶ κομψὸς εἶναι προσποιῇ;" "διελθὼν λόγον περὶ ψυχῆς ἐκ χρόνου κομψῶς μεμεριμνημένον."

κομῶσα ἀνθεσα. "πλέτῳ κομῶντες."

κόναβος ψόφος, ἦχος. (AP 7 531) "ἀφριόειν κοναβηδὸν ἐπιπρίεσα γένειον." περὶ Λακαίνης γυναικὸς ὁ λόγος.

κόνδυ ποτήριον.

κονδυλίσας κονδύλοις πλήξας· "ὁ δὲ Ἡρακλῆς παῖδα νίπτρα προσφέροντα ἐ καταθύμια κονδυλίσας ἀπέκτεινε." cf. sch. Apollon. Rh. 1 1212.

κόνδυλον. τὸ ἐκολάφισαν αὐτόν, ὡς ἔοικεν, ἐντεῦθεν οἱ Ἀττικοὶ λέγεσιν. ὁ δὲ κόλαφός ἐςι παρ' Ἐπιχάρμῳ. Ἀριςοφάνης (Pac. 122) "ἣν ὁ παῖς οἶνον αἰτῇ, κονδύλες αὐτῷ δίδε" ὑπὲρ τε ἐθίζειν τὲς παῖδας μηδέν τι περιττὸν αἰτεῖν.

κονία ὁ κονιορτός, νίτρον, ῥύπος. "ἔλεσαν ἡμᾶς ἄνευ κονίας" Ἀριστοφάνης (Lys. 469). καὶ ἑτέρως *κόνιον.* καὶ *κονίησι.* καὶ *κονιορτεται.* καὶ *κονιωμένες* κόνεως πεπληρωμένες.

κονιαταί οἱ τὲς τοίχες παραχρίοντες.

κόνιον βοτάνη δηλητήριος, διὰ τοῦ ο μικρε διὰ τὸ μέτρον τε ςίχε· (AP 2 46) "πρὸς γὰρ Ἀθηναίων κόνιον μὲν ἁπλῶς σὺ ἐδέξω· αὐτοὶ δ' ἐξέπιον τετο τεῷ ςόματι."

κονίοπες πολυσχιδὲς ὑπόδημα, τὸ μὴ σκεπάζον ὅλον τὸν πόδα, ἀλλὰ καταπασσόμενον ὑπὸ τῆς κόνεως. ἡ δὲ κόνις ἀπὸ τῆς χύσεως, ἢ ἀπὸ τε καίνω τὸ κόπτω, ἡ διακεκομμένη γῆ. γράφεται δὲ καὶ κονίποδα (A Eccl. 843). τετέςι ςενὸν σανδάλιον, ὃ διὰ τὴν ςενότητα ὁ πὲς ἐκονιορτετο.

κονιορτός. "ἀσκὲς πλείςες ἐσότι μάλιστα πληρώσας κονιορτε φέρειν ἔδωκεν ἑκάστῳ ἀνδρί, καὶ κατὰ τὴν συμπλοκὴν τους ἀσκὲς τῆς αἰθάλης νύττειν μαχαιριδίοις." cf. vv. αἰθάλη et στεγανώτερον.

κονιορτωσάμενον κόνιν ἐπιβαλόμενον· "κονιορτωσάμενον καὶ τὸν ἐκ πορείας κατὰ σπεδὴν ἐρχόμενον ἐπιφαίνοντα."

κόνις κόνεως, τῇ κόνει.

κόνισαι (A Eccl. 1168) γυμνάσθητι, καὶ *κεκονῖσθαι* τὸ γυμνάζεσθαι.

κονίσαλος κονιορτός. ἢ Κονίσαλος δαίμων πριαπώδης, ἐκ τε μὴ ὀκνεῖν καὶ ἐπὶ κόνεως μίγνυσθαι (sch. A Lys. 981). καὶ *κονισάλεος.*

κονίσεσι (Hom. Ξ 145) κόνιν ἐγερεσι.

κονίςρα· "ἐδ' αὖ κονίςρας εἰς τὸ ῥῖψαι τὲς πόνες" (cf. v. αἰετός). κονίςρα παλαίςρα ἢ κυλίςρα.

κονίω χρίω.

Κοννᾶς μέθυσος αὐλητής. καὶ παροιμία ⟨A Eq. 531⟩ "Κοννᾶς ςέφανον μὲν ἔχων δίψει δ' ἀπολωλώς." ὃς εἰς τὰ συμπόσια παρῆν ἀεὶ ἐςεμμένος. ἢ ὅτι ὀλυμπιονίκης γενόμενος πένης ἦν, μηδὲν ἕτερον ἢ κότινον ἔχων. ἢ ὅτι αὐλητὴς ἦν ἄριςος πενιχρός, πολλάκις ςεφανωθείς· ἐφ' οὗ Κρατῖνος εἶπεν "ἔσθιε καὶ σῇ γαςρὶ δίδε χάριν, ὄφρα σε λιμὸς ἐχθαίρῃ, Κοννᾶς δὲ φιλοςέφανός σε φιλήσῃ." λέγει δὲ αὐτὸν τοσαῦτα νικήσαντα μηδέπω τετιμῆσθαι.

κόννες· "ἐδωρεῖτο δὲ πᾶσι τὰ πρέποντα, τοῖς μὲν παισὶ κόννες καὶ ψέλια, τοῖς δὲ νεανίσκοις ῥαμφὰς καὶ μαχαίρας" Πολύβιός φησι ⟨10 18⟩.

Κόννε ψῆφον ⟨A Vesp. 673⟩, ἐπὶ τῶν ὐδενὸς ἀξίων. ὁ δὲ Κόννος λυρῳδὸς ἦν, ὥς τινές φασιν, τῶν ἀφώνων, ὡς δέ τινες, κιθαρῳδός.

κόνος ἀρτοξύη, παροιμία ἐπὶ τῶν ἀνταποδιδόντων.

Κονοσκογκόλορος ὁ ἑλληνιςὶ ὀνομαζόμενος Σαρδανάπαλλος, ὃς τὰ γυναικεῖα φρονῶν καὶ περὶ τρυφὰς ἀσχολέμενος κατελύθη ὑπὸ Ἀρβάκε τῷ ἰδίῳ ςρατηγῷ, ἀναγκασθεὶς ἐλθεῖν εἰς ἑκέσιον θάνατον καὶ σὺν τοῖς βασιλείοις ἑαυτὸν καταχαῦσαι. ὁ δὲ Ἀρβάκης ὗτος καὶ τὴν βασιλείαν εἰς Μήδες μετέθηκεν.

κονσιςώριον θεῖον συνέδριον. cf. v. κωνσιςόριον.

κοντῷ πλεῖν, παροιμία, ἤγεν προσηκόντως ζῆν.

κονῶ τὸ ἀγωνιῶ.

κόξα τὸ ὀπίσω τῷ γονατίε μέρος.

κόορτις Ῥωμαϊκὴ σπεῖρα· "ἄθρες ἄγων ἐκ τῆς παρεμβολῆς ἐπὶ τέτταρας κοόρτις" ⟨Polyb. 11 33⟩.

a κόπις δόρπιον τρύφος τι.

b κόπις ὁ λάλος, ὁ ῥήτωρ.

κοπίς ἡ μάχαιρα. ⟨AP 6 228⟩ "ὁ φονίην ἤγαγε πρὸς κοπίδα, αἰδεσθεὶς ἔργον." περὶ βοὸς ὁ λόγος. "ὃ δὲ παίεται κοπίδι τὴν κεφαλὴν ὡς ὁ βιωσόμενος" εἶναι.

κοππατίας ἵππες ἐκάλεν οἷς ἐγκεχάρακται τὸ κ ςοιχεῖον, ὡς σαμφόρας τὲς ἐγκεχαραγμένες τὸ σ. τὸ γὰρ σ καὶ τὸ κ χαρασσόμενον σὰν ἔλεγον ... αἱ δὲ χαράξεις αὗται ἔτι καὶ νῦν σώζονται ἐπὶ τοῖς ἵπποις. συζευγνυμένε γὰρ τῷ καὶ τῷ σ τὸ σχῆμα τῷ ϡ ἀριθμοῦ κατανοεῖσθαι· οὗ προηγεῖται τὸ κόππα· παρὰ γὰρ τοῖς γραμματιςαῖς οὕτω διδάσκεται, καὶ καλεῖται κόππα τὸ ϛ. τινὲς δὲ κοππατίαν ἐξηγήσαντο τὸν κόπτοντα ταῖς ὁπλαῖς τὸ ἔδαφος, ὁ δεόντως ὑποτιθέμενοι· ὐδὲ γὰρ Βυκεφάλας καλῦμεν διὰ τὸ μορφὴν τοιαύτην ἔχειν, ἀλλὰ διὰ τὸ ὕτω κεχαράχθαι, οἷος οἶμαι καὶ ὁ τῷ Ἀλεξάνδρῳ τῷ Μακεδόνος ἵππος ἦν, ᾧ τελευτήσαντι τὴν Βουκέφαλον Ἀλεξάνδρειαν ἔκτισεν, ἐντάφιον αὐτῷ τῆς ἀρετῆς χαριζόμενος πόλιν. sch. A Nub. 23.

κοπρία ὁ πηλός. καὶ Ἀριστοφάνης ⟨Eq. 295⟩ "κοπροφορήσω σ', εἴ τι γρύξεις," ἀντὶ τῷ, εἰ λαλήσεις, κόπρον σε καταφορήσω, τυτέςι κόπρῳ πληρώσω.

κόπτοντες· ⟨X Anab. 2 1 6?⟩ "τὰ ὑποζύγια κόπτοντες, ὕτω τῇ ἀπορίᾳ ἀντεῖχον," ἀντὶ τῷ χρώμενοι τύτοις πρὸς ἐδωδήν.

κόπτω· Ἀριστοφάνης Νεφέλαις ⟨132⟩ "ἀλλ' ὐχὶ κόπτω τὴν θύραν." ἐπὶ μὲν τῶν ἔξωθεν κρυόντων τὸ κόπτειν λέγεται, ἐπὶ δὲ τῶν ἔσωθεν ψοφεῖν. ἱκανῶς δὲ τῦτο διέςειλε Μένανδρος, ἐπὶ μὲν τῶν ἔξωθεν λέγων "κόψω τὴν θύραν," ἐπὶ δὲ τῶν ἔσωθεν "ἀλλ' ἐψόφηκε τὴν θύραν τις ἐξιών." ⟨A Lys. 360⟩ "εἰ νὴ Δία τὰς γνάθες αὐτῶν δὶς ἢ τρὶς ἔκοψεν ὥσπερ Βυπάλε, φωνὴν ἂν ὐκ εἶχον." καὶ αὖθις ⟨Hipponax⟩ "λάβετέ μυ θοἰμάτιον· κόψω Βυπάλῳ τὸν ὀφθαλμόν."

Κορακήσιον.

κορακίας μέλας.

κορακῖνος εἶδος ἰχθύος. A Eq. 1048.

κόραξ εἶδος ὀρνέυ. καὶ ὁ ῥήτωρ ὁ τῆς ῥητορικῆς εὑρετής, περὶ ὗ καὶ τὸ "κακῦ κόρακος κακὸν ᾠόν" εἰρημένον. ἔςι δὲ καὶ εἶδος μηχανήματος.

κόραξ ὑδρεύει, ἐπὶ τῶν δυσχερῶς τινῶν τυγχανόντων.

κορἀττειν τὸ ἄγαν προσμένειν καὶ λιπαρεῖν, ἀπὸ τῶν περὶ τὰς θύρας κοράκων περιπετομένων καὶ μὴ ἀποχωρύντων.

κορβανᾶς παρὰ Ἰυδαίοις ὁ ἱερὸς θησαυρός. "Πιλᾶτος τὸν ἱερὸν θησαυρὸν εἰς καταγωγὰς ὑδάτων καταναλίσκων ταραχὴν ἐκίνησε· κατῆγε δὲ ἀπὸ τετρακοσίων ςαδίων, καὶ παραςήσας ςρατιώτας πολλὺς ἀπέκτεινεν" ⟨Ioseph. B. I. 2 9 4⟩.

Κορβῖνος ὁ Βαλέριος, ἀπὸ τῷ κόρακος (κόρβυς γὰρ καλῦσι Ῥωμαῖοι τὺς κόρακας,

καὶ ἴσως ἀπὸ τῦ κρώζειν), ἐπεὶ ὁ κόραξ ἐν τῇ πρὸς Κελτὸν μονομαχίᾳ συνέπραξε. καὶ ζήτει τὴν ἱςορίαν ἐν τῷ ἀμύσσειν. cf. vv. ἐπώνυμον et Κελτοί.

κορδακίζει αἰσχρὰ ὀρχεῖται· κόρδαξ γὰρ εἶδος ὀρχήσεως κωμικῆς. καὶ ὁ κορδακισμός.

Κορδυαῖοι ὄνομα ἔθνυς.

κορδύλη πᾶν τὸ ἐξέχον καὶ συνεςραμμένον. καὶ ὁ παρὰ τὸν ὦμον δεσμός. καὶ παροιμία "κορδύλης οὐκ ἄξιος."

Κορέας πόλις.

κορείας παρθενίας· ἐν ἐπιγράμματι ⟨AP 5 217⟩ "χρύσιος ἀψαύςοιο διέτμαγεν ἅμμα κορείας."

κορεῖν κοσμεῖν βίβλυς, ἢ σαίρειν.

a κόρη ἡ Περσεφόνη, Δηὼ δὲ ἡ Δημήτηρ.

b ὅτι ἐπὶ τῶν κριτῶν τῶν Ἰυδαίων ἐβασίλευσε Μολοσσῶν Ἄδης, ὃς ἔσχε θυγατέρα ἣν ἐκάλεσε Κόρην· τὰς γὰρ εὐπρεπεῖς γυναῖκας οἱ Μολοσσοὶ κόρας ἐκάλυν. ταύτην ἐφίλησεν ὁ Πειρίθυς, καὶ ἐβυλήθη νυκτὸς ἁρπάσαι. γνὺς δὲ τῦτο ὁ πατὴρ αὐτῆς Ἄδης ἔλυσεν ὃν εἶχε πρὸ τῆς θύρας κύνα, ὃν ἐκάλει διὰ τὸ μέγεθος Τρικέρβερον. καὶ ἐλθόντα κατὰ σύνταξιν τὸν Πειρίθυν διεχρήσατο· ἐξελθύσης δὲ τῆς κόρης πρὸς βοήθειαν, καὶ αὐτὴν διεχρήσατο. περὶ ἧς φασὶν ὅτι ὁ Πλάτων αὐτὴν ἥρπασε.

c λέγεται δὲ κόρη καὶ κόρος ὁ νεώτατος, ἀπὸ τῦ κορῶ τὸ ἐπιμελῦμαι· πολλῆς γὰρ ἐπιμελείας δέονται οἱ νεώτεροι. καὶ ἐπὶ τοῦ ὀφθαλμῦ ὁμοίως. νεωκόρος δὲ ἀχ ὁ σαρῶν τὸν νεών, ἀλλ' ὁ ἐπιμελύμενος αὐτῦ.

d κόρη ἡ παρθένος, παρὰ τὸ κορῶ τὸ καθαίρω. καὶ κόρη ἡ τῦ ὀφθαλμῦ, δι' ἧς τὸ ὑγρὸν προβέβληται, ὥςε δι' αὐτῦ ἀντιλαμβάνεσθαι τῶν ὁρατῶν. κόρη δ' ἂν λέγοιτο καὶ τὸ τρῆμα τὸ ἐν τῷ ῥαγοειδεῖ χιτῶνι, παρὰ τὸ δι' αὐτῆς χεῖσθαι τὸ ὁρατικὸν πνεῦμα, χόρη τις ὖσα καὶ κόρη. κόρη οὖν τὸ τρῆμα τῦ ῥαγοειδῦς καὶ τὸ διὰ τῦ νεύρου προϊὸν ὀπτικὸν πνεῦμα. τὸ δὲ ἐπὶ ταύτῃ δέρμα κερατοειδὴς χιτών. ὅταν ὖν παχυνθῇ ὗτος ἀπὸ ὐλῶν τινῶν ἐκ τραυμάτων ἐνσκιρωθεισῶν ἐν αὐτῷ, συμβαίνει τὸ μὴ ὁρᾶν. ὗτω καὶ ἡ μῆνιγξ παθῦσα τὸ μὴ ἀκύειν.

κόρημα τὸ σάρον, τὸ κόσμητρον. ⟨A Pac. 59⟩ "μὴ ἐκκόρει τὴν Ἑλλάδα" ἀντὶ τῦ ἔρημον οἰκητόρων ποιῶν διὰ τῶν πολέμων. ἦν δὲ καὶ ἀρά τις αὕτη τοῖς ἀρχαίοις, ὥς πυ καὶ Μένανδρός φησιν "ἐκκορηθείης σύ γε" ἀντὶ τῦ ἄρδην ἀπολεσθείης.

Κόρης Κόρητος ὄνομα κύριον.

κόρης κόρεως ἀρσενικῶς, διὰ τοῦ η Ἀριςοφάνης. κόρις δὲ κόριδος θηλυκῶς.

κορήσατε ἐπιμελήθητε.

Κορησός ὄνομα τόπου. καὶ Κορησία πόλις.

κορθύεται ⟨Hom. I 7⟩ κορυφῦται, αὔξεται, ὑψῦται, ἐπαίρεται. καὶ κόρθυς τὸ εἰς ὕψος ἀνάςημα· "ὃ δὲ ποιήσας ἐξ ἄμμυ κόρθυν καὶ ἐξάρας τῆς γῆς οὐκ ἐπὶ πολύ, πάλιν τῷ ποδὶ καταςρώσας αὖθις τὸ δάπεδον ὁμαλὲς ἐποίησε."

Κοριαννοῖ Φερεκράτης κέχρηται.

κορικῶς γυναικικῶς, ὡς κόρη.

Κορινθικόν· ⟨AP 6 40⟩ "ὀδέποτ' ἀμήσαντι Κορινθικόν, ὖποτε πικρᾶς τῆς ἀφιλοςαχύυ γευσαμένῳ πενίης."

Κόριννα Ἀχελωοδώρυ καὶ Προκρατίας, a Θηβαία ἢ Ταναγραία, μαθήτρια Μύρτιδος· ἐπωνόμαςο δὲ Μυῖα· λυρική. ἐνίκησε δὲ πεντάκις, ὡς λόγος, Πίνδαρον. ἔγραψε βιβλία ε', καὶ ἐπιγράμματα καὶ νόμυς λυρικύς.

Κόριννα Θεσπία λυρική· οἱ δὲ Κορινθίαν εἰρήκασι. νόμυς λυρικύς. b

Κόριννα νεωτέρα, Θηβαία, λυρική, ἡ c καὶ Μυῖα κληθεῖσα.

Κόριννος Ἰλιεὺς ἐποποιὸς τῶν πρὸ Ὁμήρου, ὥς τισιν ἔδοξε, καὶ πρῶτος γράψας τὴν Ἰλιάδα, ἔτι τῶν Τρωικῶν συνιςαμένων. ἦν δὲ Παλαμήδυς μαθητής, καὶ ἔγραψε τοῖς ὑπὸ Παλαμήδυς εὑρεθεῖσι δωρικοῖς γράμμασιν. ἔγραψε δὲ καὶ τὸν Δαρδάνυ πρὸς Παφλαγόνας πόλεμον, ὡς ἐκ τύτυ λαβεῖν καὶ τῆς ποιήσεως πᾶσαν ὑπόθεσιν Ὅμηρον, καὶ ἐντάξαι τοῖς αὐτῦ βιβλίοις.

Κοριολανοί ἐθνικόν.

κόριον κοράσιον μικρόν.

κορκορυγάς βοάς, ταραχάς, θορύβυς ⟨A Pac. 981⟩ "λῦσον δὲ μάχας καὶ κορκορυγάς, ἵνα Λυσιμάχην σε καλῶμεν." ⟨A Lys. 490⟩ "οἱ ταῖς ἀρχαῖς ἐπέχοντες τινὰ κορκορυγὴν ἐκύκων" ἀντὶ τῦ ταραχὰς ἐκίνυν.

κορκορυγμοί ταραχαί.

Κορνηλία ὄνομα κύριον. καὶ Κορνήλιος ἐπίσκοπος, ὃς διεκρίθη Ναυάτον. καὶ ζήτει ἐν τῷ Ναυᾶτος.

Κορνοῦτος. "δύω συγγραφεῖ Ῥωμαίων a

ἤστην, Τίτος Λίβιος, οὗ διαρρεῖ πολὺ καὶ κλεινὸν ὄνομα, καὶ Κορνοῦτος. πλούσιον μὲν οὖν ἀκούω καὶ ἄπαιδα τοῦτον, σπουδαῖον δὲ οὐδὲν ὄντα. τοσαύτη δὲ ἦν ἡ διαφορότης ἐς τούσδε τοὺς ἄνδρας τῶν ἀκροωμένων, ὡς τοῦ μὲν Κορνούτου παμπλείστους ἀκούειν, θεραπείᾳ τε καὶ κολακείᾳ τοῦ ἀνδρὸς συρρέοντας, καὶ διὰ τὴν ἀπαιδίαν ἐλπίδι κληρονομίας, τοῦ γε μὴν Λιβίου ὀλίγους, ἀλλὰ ὧν τι ὄφελος ἦν καὶ ἐν κάλλει ψυχῆς καὶ ἐν εὐγλωττίᾳ παιδείας. καὶ ταῦτα μὲν ἐπράττετο· ὁ χρόνος δὲ ὁ ἄπρατός τε καὶ ἀδέκαστος, καὶ ἡ τούτου φύλαξ καὶ ὀπαδὸς καὶ ἔφορος ἀλήθεια, μήτε χρημάτων δεόμενοι μηδὲ μὴν ὀνειροπολοῦντες ἐκ κλήρου διαδοχήν, μήτ' ἄλλῳ τῳ αἰσχρῷ καὶ κιβδήλῳ τε καὶ καπήλῳ καὶ ἥκιστα ἐλευθέρῳ ἁλισκόμενοι, τὸν μὲν ἀνέφηναν καὶ ἐξεκάλυψαν ὥσπερ κεκρυμμένον θησαυρὸν καὶ κεχανδότα πολλὰ καὶ ἐσθλά, τὸ τοῦ Ὁμήρου, τοῦτον τὸν Λίβιον, τοῦ δὲ πλουσίου καὶ μέντοι καὶ περιρρεομένου τοῖς χρήμασι λήθην κατέχεαν τοῦ Κορνούτου, καὶ ἴσασιν ἤ τις ἢ οὐδεὶς αὐτόν." Aelianus?

b οὗτος ὁ Κορνοῦτος Λεπτίτης φιλόσοφος (Λεπτὶς δὲ πόλις Λιβύης), γεγονὼς ἐν Ῥώμῃ ἐπὶ Νέρωνος, καὶ πρὸς αὐτοῦ ἀναιρεθεὶς σὺν τῷ Μουσωνίῳ. ἔγραψε πολλὰ φιλόσοφά τε καὶ ῥητορικά.

Κόροιβος ὄνομα κύριον. καὶ μωρός τις μετρῶν τὰ κύματα· Καλλίμαχος (fr. 307) "τὸν ὄγδοον ὦσε Κόροιβον."

κοροκόσμια τὰ τῶν παρθένων κοσμήματα.

κοροπλάθοι οἱ τοὺς κόρους πλάττοντες κηρῷ ἢ γύψῳ, τουτέστι τὰ ζῷα πάντα. οἱ κατασκευάζοντες εἴδωλα βραχέα ἐκ πηλοῦ πάντων ζῴων, οἷς ἐξαπατᾶσθαι τὰ παιδάρια εἴωθεν, οὗτος κοροπλάθος καλεῖται.

κοροπλάθους λέγουσι τοὺς ἐκ πηλοῦ τινὸς ἢ κηροῦ ἢ τοιαύτης τινὸς ὕλης πλάττοντας κόρας ἢ κούρους. Harp.

Κόρος ὄνομα κύριον.

κόρσην (Hom. Δ 502) κρόταφον.

Κορσιαὶ πόλις Βοιωτίας. Harp.

κορυβαντείων μαινομένων, ἐνθουσιώντων· ἐν ἐπιγράμματι (AP 6 165) "καὶ κορυβαντείων ἰαχήματα χάλκεα ῥόπτρων."

Κορύβαντες. ἔνιοι τοὺς Κούρητας καὶ τοὺς Κορύβαντας τοὺς αὐτοὺς ὑπειλήφασιν. ἦσαν δὲ Διὸς τροφεῖς οὗτοι καὶ φύλακες. τινὲς δὲ αὐτοὺς δέκα φασίν, ἄλλοι ἐννέα. ἦσαν δὲ τῆς Ῥέας ὀπαδοί. sch. A Lys. 558.

κορυβαντιᾷ μαίνεται, ἢ ὀρχεῖται, ἢ δαιμονᾷ. καὶ συγκορυβαντιάσαντες συμμανέντες· "ὁ δὲ στρατὸς συγκορυβαντιάσαντες καὶ ἐπαλαλάξαντες ἅπαντες καὶ τοῖς ὅπλοις ἐπιδουπήσαντες ἐσήλαντο ἐς τὸν ποταμόν." καὶ κορυβαντιῶν ἐνθουσιῶν, μαινόμενος.

κορυδαλός εἶδος ὀρνέου.

κόρυδοι ὄρτυξιν ὅμοιοι ὄρνιθες.

κόρυζα. καὶ κορυζῶν μεμωραμένος, ἢ μυξάζων. καὶ κορυζῶντα.

κόρυθα περικεφαλαίαν.

κορυθαίολος.

κόρυμβοι κλῶνες ἄκροι· ἐν ἐπιγράμματι (AP 5 258) "μᾶλλον ἐγὼ σέο μῆλα καρηβαρέοντα κορύμβους ἢ μαζὸν νεαρῆς ὄρθιον ἡλικίης." "κόμην τρέφων χρυσῷ στρόφῳ κεκορυμβωμένην." cf. v. Μάγνης b.

κορύνη ῥόπαλον. οἱ δὲ ξίφος, οἱ δὲ ξύλον ἐπικαμπές.

Κορυνήτης ὄνομα κύριον (Hom. H 9).

κορυνηφόροι (Herodot. 1 59) οἱ ξύλων κορύνας ἔχοντες εἵποντο τῷ βασιλεῖ ὄπισθεν.

κόρυς ἡ περικεφαλαία.

κορυστήν (Hom. Δ 457) ὁπλίτην.

κορυφαῖος ὁ πρῶτος τῶν χορευτῶν.

κορύφαλος (an κορυδαλός) εἶδος ὄρνιθος.

κορυφοῦται (Hom. Δ 426) ὑψοῦται, ἐπαίρεται.

κόρχορος ἄγριον λάχανον εὐτελές· διὸ καὶ ἡ παροιμία "καὶ κόρχορος ἐν λαχάνοισιν." ἔνιοι ἰχθῦν ποιὸν τὸν κόρχορον ἀποδιδόασιν ὡς τὸν ἵππουρον, καὶ ὡς εὐτελὲς ἔδεσμα. λέγεται δὲ ἐπὶ τῶν ἀναξίων ἡ παροιμία καὶ ταπεινῶν, μεταποιουμένων δὲ τιμῆς ἢ καθ' ἑαυτοὺς μείζονος. cf. v. κέρκουρος.

Κόρωμνα πόλις.

Κορώνεια τόπος.

κορώνεως ὡς φιβάλεως· ἔστι δὲ εἶδος συκῆς. ταύτην δὲ καὶ κοράκειον λέγουσιν· ὁ γὰρ καρπὸς αὐτῆς κόρακι ἔοικε κατὰ τὸ χρῶμα.

κορώνη. διάφορα σημαίνει, καὶ τὸ ἄκρον τοῦ αἰδοίου· (Artemid. 5) "ἔδοξέ τις τὸ αἰδοῖον αὐτοῦ ἄχρι τῆς κορώνης τετριχῶσθαι."

κορώνην τὸ ἄκρον τοῦ τόξου. ἢ πλήρωσιν.

κορώνη τὸν σκορπίον, παροιμία ἐπὶ τῶν δυσχερέσι καὶ βλαβεροῖς ἐπιχειρούντων.

κορωνίς ἀκρώρεια. ἢ τὸ τελευταῖον τῆς οἰκοδομῆς ἐπίθεμα. ςεφάνη τὸ κεφάλαιον.

κορωνιῶν γαυριῶν, καὶ ἐκορωνία ἐγαυρία.

κοσκινηδόν δίκην κοσκίνου. καὶ παροιμία "κοσκίνῳ ὕδωρ περιφέρεις" ἐπὶ τῶν ἀδυνάτων.

κοσκυλμάτια τῶν βυρσῶν τὰ σμικρότατα περικόμματα. ⟨A Eq. 47⟩ "ἐθώπευεν, ἐξηπάτα κοσκυλματίοις τισί, τοιαυτὶ λέγων· ἔνθον, ῥόφησον, ἔχε τριώβολον. βούλει παραθῶ σοι δόρπον;"

Κοσμᾶς ὁ ἐξ Ἱεροσολύμων, σύγχρονος Ἰωάννου τοῦ Δαμασκηνοῦ. ζήτει ἐν τῷ Ἰωάννης.

κοσμεῖ διατάττει.

κόσμει ἐπιμελοῦ· ⟨Synes. ep. 100 p. 239⟩ "κόσμει ἣν ἔλαχες Σπάρταν. κἀγώ μοι δοκῶ τὴν εἱμαρμένην ἀγαπήσειν τε καὶ κοσμήσειν τὴν αὐτὸς ἐμαυτοῦ, ἡγούμενος ἀγώνισμα τοῦτο προκεῖσθαι τῷ βίῳ καὶ βάσανον, εἰ μηδὲ ἀτυχοῦσαν ἀπολιμπάνω φιλοσοφίαν."

κοσμείτων κοσμείτωσαν.

κοσμησάμενος διαταξάμενος.

κοσμήτορες διατάκται, ἡγεμόνες.

a κοσμιότης εὐταξία.

b κοσμιότης καὶ σωφροσύνη οὐ μόνον εἰσὶν ἀπαλλαγαὶ καὶ ἀφαιρέσεις τῶν ἀντικειμένων πονηριῶν, ἀκοσμίας καὶ ἀκολασίας, ἀλλὰ ζωαὶ ἐνεργεῖς καὶ αὐτοτελεῖς. καὶ ἣ μὲν ἐπιςρέφει τὰ χείρω ἐν ἡμῖν πρὸς τὰ κρείττω, ἣ δὲ ὅσα πάθη ἐςὶ τῆς ψυχῆς, τάττουσα ταῦτα καὶ διακοσμοῦσα, ἐκγόνους τε αὐτῶν ἀρετὰς ἐν ταῖς τῶν πλησιαζόντων ψυχαῖς ἀποτίκτουσα.

κόσμος τάξις. καὶ Ἡρόδοτος ⟨9 65⟩ "οἱ δὲ Πέρσαι ἡσσηθέντες ἔφευγον οὐδενὶ κόσμῳ," τουτέςι τάξει.

σημαίνει δὲ ὁ κόσμος τέσσαρα, εὐπρέπειαν, τόδε τὸ πᾶν, τὴν τάξιν, τὸ πλῆθος παρὰ τῇ γραφῇ. Αἰλιανός "ἡ δὲ Κλεοπάτρα καὶ ἄλλα εἰργάσατο ἀσεβείας ἐχόμενα, ἅ μοι σιγῶντι κόσμον φέρει," τουτέςιν εὐπρέπειαν.

κόσμος τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύςημά τε καὶ σύγκραμα, ὅς πλήρωμά ἐςι τῶν εἰδῶν. ἐπεὶ δὲ ἔδει μηδὲν τῶν εἰδῶν φθείρεσθαι, ἵνα μὴ ἀτελὲς ᾖ τὸ πᾶν, ἀδύνατον δὲ ἦν τὰ αὐτὰ μένειν τῷ ἀριθμῷ, γεννητά τε ὄντα καὶ φθαρτά, μετέχει καὶ ταῦτα τῆς ἀιδιότητος ὡς ἠδύνατο· διότι καὶ πάντα ἐφίεται τῆς τοῦ πρώτου ἀιδιότητος ὡς οἰκείας ἀρχῆς, καὶ μετέχει ταύτης ἕκαςον κατὰ τὰ ἑαυτοῦ μέτρα. καὶ τοῦτό ἐςι τὸ σκοπιμώτατον ἔργον τῆς φύσεως, τὸ τῶν φυσικῶν ἕκαςον γεννῆσαι ἄλλο οἷόν ἐςιν αὐτό. καὶ ἐπειδὴ δεόμεθα γεννήσεως, ἡ δὲ γεννητικὴ δύναμις ἐν ὡρισμένῳ γίνεται μεγέθει, διὰ τοῦτο δεόμεθα τῆς αὐξήσεως. ἐπειδὴ δὲ ἡ αὔξησις διὰ τροφῆς γίνεται, τῆς θρεπτικῆς πάλιν δεόμεθα δυνάμεως. διὰ τοῦτο τοίνυν μετέχομεν τῶν φυσικῶν δυνάμεων καὶ ἡμεῖς καὶ τὰ ἄλογα. ὥςε ὅταν μὲν ἐνεργῶμεν κατὰ τὰς δυνάμεις ταύτας, ὡς φυτὰ ἐνεργοῦμεν, ὅταν δὲ κατὰ θυμὸν καὶ ἐπιθυμίαν, ὡς ἄλογα ζῷα· ὡς ἄνθρωποι δὲ ἐνεργοῦμεν τότε ὅτε τῷ λόγῳ κεχρήμεθα. διὸ καὶ ἀςείως λίαν ὁ Πλωτῖνος εἶπεν ὡς ὅσοι ἐμμανῶς κατὰ τὰς θρεπτικὰς δυνάμεις ἐνεργοῦσιν, οὗτοι κινδυνεύουσιν ἀποδενδρωθῆναι. Philopon. in 1 de anima, *A* 2.

ὅτι οἱ ςωικοὶ τὸν κόσμον τριχῶς εἶναι λέγουσιν, αὐτόν τε τὸν θεὸν καὶ τὸν ἐκ τῆς ἁπάσης οὐσίας ἰδιοποιόν, ὃς δὴ ἄφθαρτός ἐςι καὶ ἀγέννητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, κατὰ χρόνους ποιὰς περιόδους ἀναλίσκων εἰς ἑαυτὸν τὴν ἅπασαν οὐσίαν καὶ πάλιν ἐξ αὐτοῦ γεννῶν. καὶ αὐτὴν δὲ τὴν διακόσμησιν τῶν ἀςέρων κόσμον εἶναι λέγουσι, καὶ τρίτον τὸ συνεςηκὸς ἐξ ἀμφοῖν. καὶ ἔςι κόσμος ὁ ἰδιοποιὸς τῆς τῶν ὅλων οὐσίας ἢ σύςημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς φύσεων. ἢ σύςημα ἐκ ςοιχείων καὶ ἀνθρώπων καὶ τῶν ἕνεκά του. τὸν δὴ κόσμον οἰκεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν, εἰς ἅπαν αὐτοῦ μέρος διήκοντος τοῦ νοῦ καθάπερ ἐφ' ἡμῶν τῆς ψυχῆς, δι' ὧν μὲν μᾶλλον δι' ὧν δὲ ἧττον· δι' ὧν μὲν γὰρ ὡς ἕξις κεχώρηκεν, ὡς διὰ τῶν ὀςῶν καὶ τῶν νεύρων, δι' ὧν δὲ ὡς νοῦς, ὡς διὰ τοῦ ἡγεμονικοῦ. οὕτω δὴ τὸν ὅλον κόσμον, ὡς ζῷον ὄντα, ἡγεμονικὸν ἔχειν τὸν αἰθέρα, καὶ χωρεῖν διὰ τῶν ἐν ἀέρι καὶ διὰ τῶν ζῴων ἁπάντων καὶ φυτῶν καθ' ἕξιν. καὶ ἕνα εἶναι τὸν κόσμον, καὶ τοῦτον πεπερασμένον, σχῆμα ἔχοντα σφαιροειδές· πρὸς γὰρ τὴν κίνησιν ἁρμοδιώτατον τοῦτο. ἔξωθεν δ' αὐτοῦ τὸ κενὸν εἶναι περικεχυμένον, ἄπειρον, ὥσπερ ἀσώματον. ἀσώματον δὲ τὸ οἷόν τε κατέχεσθαι ὑπὸ σωμάτων, οὐ κατε-

χόμενον. ἐν δὲ τῷ κόσμῳ μηδὲν εἶναι κενόν, ἀλλ' ἡνῶσθαι αὐτόν· τοῦτο γὰρ ἀναγκάζει τὴν τῶν οὐρανίων πρὸς τὰ ἐπίγεια συντονίαν καὶ σύμπνοιαν. Diog. L. 7 137.

Κόσσας δίκαιος ἀνήρ. καὶ παροιμία "τοὺς Κόσσα λόγους." Κόσσας γὰρ ἐγένετο δίκαιος ἀνήρ, Πελληνεὺς τὸ γένος. οἱ δὲ Πελληνεῖς οὗτοι πόλεμον ἔσχον πρὸς τοὺς Σαλαμινίους, καὶ ἐπεκαλέσαντο συμμάχους τοὺς γείτονας, ὁμολογήσαντες αὐτοῖς μεταδώσειν τῆς χώρας· νικήσαντες δὲ οὐ μετέδωκαν, καὶ ταῦτα συμβουλεύοντος τοῦ Κόσσου ταῖς ὁμολογίαις ἐμμένειν. ἀνθ' ὧν λοιμῷ περιπεσόντες τους Κόσσȣ λόγȣς ἐπῄνȣν.

κόσσος τὸ ῥάπισμα.

Κοςόβαρος ὄνομα κύριον. Ioseph. A. I. 15 7 9.

κόσυμβος, καὶ κοσύμβη ἀνάδεσμος ἢ χιτὼν κροσσωτός. cf. v. κόμβος.

κοτέει φθονεῖ, ζηλοῖ.

κοτεσσάμενος ⟨Hom. E 177⟩ ὀργισθείς.

Κοτιάειον ὄνομα πόλεως. cf. v. Κοτυάειον.

κότινος ἀγριέλαιος· ἢ ὄνομα βοτάνης. ἐν ἐπιγράμματι ⟨AP 6 106⟩ "καὶ τὰν ἐκ κοτίνοιο καλαύροπα, τάν ποτε τῆνος πολλάκι ῥομβητὰν ἐκ χερὸς ἠκροβόλει."

κοτινοτράγα ⟨A Av. 241⟩ κότινον ἐσθίοντα, τουτέςιν ἀγριέλαιον.

κοτίνου ςεφάνῳ. οὐ κοτίνῳ οἱ νικῶντες ἐςέφοντο, ἀλλὰ καλλιςεφάνῳ· ὃ δὲ ἐκφαυλίζων ἔφη κοτίνῳ. καὶ Ἀριςοτέλης ⟨p. 834 12⟩ κατὰ λέξιν οὕτω φησὶ περὶ αὐτῆς "ἐν τῷ Πανθείῳ ἔςιν ἐλαία, καλεῖται δὲ καλλιςέφανος. ταύτης δὲ ἔμπαλιν τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις πέφυκεν· ἔξω γὰρ ἀλλ' ȣ̓κ ἐντὸς ἔχει τὰ λευκά· ἀφίησί τε τους πτόρθȣς, ὥσπερ ἡ μύρτος, εἰς τοὺς ςεφάνους συμμέτρους. ἀπὸ ταύτης λαβὼν καρπὸν Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπίασιν· ἀφ' ἧς οἱ ςέφανοι τοῖς ἀθληταῖς ἐδίδοντο. ἔςι δὲ αὕτη παρὰ τὸν Ἰλισσὸν ποταμόν, περιῳκοδόμηται δέ, καὶ ζημία μεγάλη τῷ θιγόντι αὐτῆς. ἀπὸ ταύτης ἔφερον λαβόντες Ἠλεῖοι τῶν ἀθλητῶν τῶν ἐν Ὀλυμπίᾳ τους ςεφάνȣς" ⟨sch. A Plut. 586⟩. καὶ αὖθις "ἀκούσας δὲ ὁ Ξέρξης ὅτι περὶ κοτίνου τοσοῦτον ὑφίςανται πόνον οἱ Ἕλληνες, πῶς ἄν, εἶπεν, ὑπὲρ ἐλευθερίας ȣ̓̃τοι μάχοιντο;" cf. Herodot. 8 26.

κότος ὀργή, ἢ φθόνος. ᾗ ὁ ἀδηφάγος. "οὐκȣ̓̃ν ἐδέχετο αὐτοὺς τὸ μαντεῖον, τȣ̃ θεȣ̃ μηνιῶντος αὐτοῖς. καὶ λιπαρούντων μαθεῖν καὶ δεομένων τὴν αἰτίαν τοῦ κότȣ, ὀψέ ποτε χρῆσαι."

κοτταβίζει οἶνον ποτηρίῳ ἀναρριπτεῖ· ὃ ἐποίουν οἱ οἰωνιζόμενοι.

κοτταβίζειν παίζειν. εἰς χαλκᾶς δὲ φιάλας, αἳ καλοῦνται λαταγεῖα, ἀνερρίπτȣν ἐμβάλλοντές τι πόμα· καὶ εἰ ἐγένετο μείζων ψόφος, ἐδόκουν ὑπὸ τῶν ἐραςῶν ἐρᾶσθαι. κότταβος δὲ λέγεται τὸ λεῖμμα τοῦ ποτηρίου, ὃ ἐνέβαλλον εἰς τὰς λάταγας. ἦν δὲ παίγνιον παρ' Ἀθηναίοις τοιοῦτον, ῥάβδος μακρὰ πεπηγμένη ἐν τῇ γῇ, καὶ ἑτέρα ἐπάνω αὐτῆς κινουμένη ὡς ἐπὶ ζυγίῳ· εἶχε δὲ πλάςιγγας δύο ἐξηρτημένας, καὶ κρατῆρας δύο ὕδατος ὑποκάτω τῶν πλαςίγγων, καὶ ὑπὸ τὸ ὕδωρ ἀνδριὰς ἦν χαλκȣ̃ς κεχρυσωμένος. τȣ̃το δὲ ἦν ἐν τοῖς συμποσίοις. καὶ πᾶς τῶν παιζόντων ἀνίςατο ἔχων φιάλην γέμȣσαν ἀκράτου, καὶ μήκοθεν ἱςάμενος ἔπεμπεν ὅλον τὸν οἶνον ὑπὸ μίαν ςαγόνα εἰς τὴν πλάςιγγα, ἵνα γεμισθεῖσα βαρυνθῇ καὶ κατέλθῃ καὶ κατελθοῦσα κρούσῃ εἰς τὴν κεφαλὴν τȣ̃ ἀνδριάντος τοῦ ὑπὸ τὸ ὕδωρ κεκρυμμένου καὶ ποιήσῃ ἦχον. καὶ εἰ μὲν μὴ ἐκχυθῇ ἐκ τοῦ οἴνου, ἐνίκα καὶ ᾔδει ὅτι φιλεῖται αὐτὸς ὑπὸ τῆς ἐρωμένης· εἰ δὲ μή, ἡττᾶτο. ἐλέγετο δὲ ὁ ἀνδριὰς ὁ ὑπὸ τὸ ὕδωρ Μάνης. sch. A Pac. 342.

κότταβος. λάταξ χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην· εἶτα εἰς μικρὰ ποτήρια ἐμβαλόντες οἶνον, εἰς ταύτην ἀπὸ ὕψους ἐρρίπτουν ἐπὶ τῷ ψόφον ἀποτελέσαι, ὃς ἐκαλεῖτο κότταβος· ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν. καὶ μεθυσοκότταβοι οἱ τοῦτο ἐργαζόμενοι. sch. A Ach. 524.

Κόττας ὄνομα κύριον. cf. v. τραγόλας.

Κοτυάειον μητρόπολις.

κοτύλαι τὰ ἐν ποσὶ κοιλώματα.

Κοτύλαιον ὄρος τὸ ἐν Εὐβοίᾳ, ἀπὸ Κοτύλου καλούμενον τοῦ κατασχόντος αὐτό. Harp.

κοτύλη, ὃ νῦν καλοῦσιν ἡμίξεςον, παρὰ τὸ ἐκεῖ κεῖσθαι τὴν ὕλην. εἶδος ποτηρίου ὁμωνύμου τῷ ἀγγείῳ τῶν ὑγρῶν, ὡς χοῖνιξ. καὶ εἶδος μέτρου. καὶ τὸ κοῖλον τοῦ ὀςέου, ἔνθα ἡ κεφαλὴ τοῦ μηροῦ ςρέφεται ⟨sch. A Plut. 436⟩. καὶ ἐφ' ἧς τὰ φορτία βαςάζȣσιν,

ἣν πρῶτος ἐφεῦρε Πρωταγόρας· φορμοφόρος γὰρ ἦν. Diog. L. 9 53.

κοτυληδόν ἐν ταῖς κοτύλαις. καὶ κοτυληδονόφιν (Hom. ε 433).

κοτυληδόνες αἱ τοῦ πολύποδος πλεκτάναι.

κοτυλήρυτον (Hom. Ψ 34) πολύ, ὥστε κοτύλῃ ἀρύεσθαι, ὃ ἐςι κοίλῳ τινί.

a Κότυς δαίμων. cf. v. θιασώτης.

b Κότυς ἀνὴρ ἦν κατὰ τὴν ἐπιφάνειαν ἀξιόλογος καὶ πρὸς τὰς πολεμικὰς χρείας διαφέρων, ἔτι δὲ καὶ κατὰ τὴν ψυχὴν πάντα μᾶλλον ἢ Θρᾷξ· καὶ γὰρ νήπτης ὑπῆρχε, καὶ πραότητα καὶ βάθος ὑπέφαινεν ἐλεύθερον. Polyb.

c Κότυς. οὗτος ἄρξας Θρᾴκης ἔτη κδ' τὰ μὲν πρῶτα ἐν τρυφαῖς καὶ ἡδυπαθείαις ἦν, αὔξησιν δὲ λαμβανούσης αὐτοῦ τῆς εὐπραγίας εἰς ὠμότητα καὶ ὀργὴν ἐξηνέχθη, ὡς καὶ τὴν γυναῖκα, ἐξ ἧς αὐτῷ ἦν τέκνα, διακόψαι μέσην, ἀπὸ τῶν αἰδοίων ἀρξάμενος. Harp.

Κοτύωρα (X Anab. 5 5) πόλις Ἑλληνίς, Σινωπέων ἄποικος. καὶ οἱ πολῖται Κοτυωρῖται. ἡ νῦν παρὰ πολλοῖς Κύτωρα λεγομένη.

Κούβρικος ὁ ἐν τῇ συνηθείᾳ κουκούβριχος λεγόμενος. ζήτει ἐν τῷ Μάνης.

κούθουρον τὸν κούντουρον. εἴρηνται δὲ καὶ οἱ κηφῆνες κούθουροι, παρὰ τὸ κεύθειν τὴν ἑαυτῶν οὐράν, ἢ ὅτι ἄκεντροι.

κουλλούριον εἶδος μελιττούτης.

κουρεῖα. καὶ κουρεῖον ὁ τόπος ἐν ᾧ κουρεύονται. καὶ κουριῶντα τὰς τρίχας.

κουρεώτης ὁ κουρεύς, καὶ κουρεῖς πληθυντικῶς. κουρεῶτις δὲ ἑορτὴ τῶν ἀπατουρίων ἡ τρίτη· ἐν ᾗ οἱ κοῦροι ἀποκειρόμενοι εἰς τοὺς φράτορας ἐγγράφονται. καὶ ζήτει τὴν πρώτην καὶ τὴν δευτέραν ἐν τῷ ἀπατούρια.

Κουρῆτες ὄνομα ἔθνους.

κούρητας (Hom. Τ 193) νέους.

Κουρήτων σόμα· ἐδόκουν γὰρ οὗτοι μάντεις εἶναι, οἷον θεσπιῳδὸν σόμα.

κουρίας ὁ ἔσωθεν κεκομμένος τὰς τρίχας. καὶ κουριάω κουριῶ τὸ κουρεύω.

κουρίδιον τὸν ἐκ παρθενίας μεμνηςευμένον. "ἀνεμιμνήσκετο ὡς τὸν κουρίδιον αὐτῆς ἄνδρα ἀνέλοι." "σὺν τῷ κουριδίῳ γαμέτῃ εἰς Ἔφεσον ἦλθε."

κουρίζουσα νεάζουσα, καὶ κουρίζων νέος ὑπάρχων· "ὃ δὲ τὰ ὅπλα ἀναλαβὼν ἃ κουρίζων φορέεσκε (Hom. χ 185), τὸ ἀρχαῖον ἐκεῖνο περικαλύπτει σῶμα." καὶ κουρίζω τὰ τῶν νέων φρονῶ.

κουρίξ (Hom. χ 188) ἐκσπῶν τριχῶν.

κουριόσσου· ἐκ τοῦ βίου τοῦ Χρυσοςόμου "ἑλκόμενος ὑπὸ τοῦ κουριόσσου τῆς πόλεως ἐν μέσῃ τῇ πόλει."

Κυρίων ὄνομα κύριον, ὃς ἦν προτίκτωρ.

κοῦρος νέος.

κουρόσυνον τὸ ὑπὲρ τῆς κουρᾶς θυόμενον· ἐν ἐπιγράμμασι (AP 6 156) "καλῷ σὺν τέττιγι Χαρισθενέος τρίχα τήνδε κουρόσυνον."

κουροτρόφος παιδοτρόφος· "κουροτρόφος γῆ." ταύτῃ δὲ θῦσαί φασι πρῶτον Ἐριχθόνιον ἐν ἀκροπόλει καὶ βωμὸν ἱδρύσασθαι, χάριν ἀποδιδόντα τῇ γῇ τῶν τροφείων· καταςῆσαι δὲ νόμιμον τοὺς θύοντάς τινι θεῷ ταύτῃ προθύειν. sch. A Thesm. 307.

κουρσῶρες οἱ διατρέχοντες· κοῦρε γὰρ τὸ τρέχε.

κοῦσος φύλαξ.

κουςωδία τὸ τῷ δεσμωτηρίῳ ἐπικείμενον ςράτευμα, σύςημα ςρατιωτικόν, ςῖφος.

κούφη γῆ τοῦτον καλύπτοι, ἀντὶ τοῦ μετέωρος. λέγεται δὲ γῆ γῆς κουφοτέρα, οὐκ οὖσα ἁπλῶς κούφη, καὶ πῦρ πυρὸς βαρύτερον οὐκ ἔςιν ἁπλῶς βαρύ. κοῦφον γάρ ἐστι τὸ ἐξ ἑαυτοῦ φερόμενον εἰς τὸν ἄνω τόπον, λέγεται δὲ κούφη γῆ τῷ εὐβαςακτοτέρα εἶναι καὶ ῥᾷον ἀναβιβάζεσθαι, καὶ τὸ πῦρ βαρὺ τὸ ῥᾷον κάτω ἑπόμενον. καὶ λέγονται ταῦτα καθ' ὁμοιότητα, ἀλλ' οὐ κυρίως. "κούφοις πνεύμασιν βόσκου, νέαν ψυχὴν ἀτάλλων," τουτέστι κούφῃ καὶ ἁπαλῇ ζωῇ, ἀπὸ μεταφορᾶς τῶν φυτῶν, ἅτινα οὐδὲν σφοδρὸν δύνανται φέρειν, οὔτε καύσωνα οὔτε ἄνεμον. ὁ Αἴας φησὶ πρὸς τὸν παῖδα αὐτοῦ (558). καὶ ἐκκουφίσας ἀντὶ τοῦ ἀφικόμενος, ἐκπλεύσας· "Διονύσιος τοὔνομα, ἔμπορος τὸ ἐπιτήδευμα, δολιχεύσας πολλὰς πολλάκις πλοῦς τοῦ κέρδους ὑποθήγοντος, καὶ πορρωτέρω τῆς Μαιώτιδος ἐκκουφίσας ὠνεῖται κόρην Κόλχιν, ἣν ἐληίσαντο Μάχλυες, ἔθνος τῶν ἐκεῖ βαρβάρων" (cf. v. δολιχεῦσαι).

κουφότερος κονιορτοῦ καὶ ἀσθενέςερος.

κόφινος ἀγγεῖον πλεκτόν.

κοχλιάριον τὸ παρ' ἡμῖν.

κοχλίας ὁδὸς εἰς ἑκάτερον περιηγμένη· (Polyb. 12 13) "κοχλίας αὐτομάτως βαδίζων προηγεῖτο τῆς πομπῆς αὐτῷ, σίαλον ἀποπτύων."

κοχλίδιον εἶδος ζωυφίου.

a κόψιχος εἶδος ἰχθύος.

b κόψιχος ἐπὶ ὀρνέων, κόσσυφος ἐπὶ ἰχθύων.

c κόψιχος εἶδος ὀρνέου· "σὺ δὲ κοψίχῳ ἔοικας σκάφιον ἀποτετιλμένῳ" (A Av. 807) σκάφιον δὲ εἶδος κουρᾶς. ὅτι οἱ κόψιχοι ᾠοτοκοῦντες κεντοῦσι τὰ ᾠά· οἱ οὖν ὀρνιθοθῆραι πτερὰ αὐτοῖς ἐμβάλλουσι πρὸς τὸ ἀμβλῦναι τὰ ῥάμφη τῇ μαλακότητι τῶν πτερῶν. ἢ ἵνα μὴ κορυζῶσιν. ἢ ὅτι μετὰ τὸ σφάξαι πτερὰ ἐμβάλλουσιν ὥςε ἐξ αὐτῶν αὐτοὺς κρεμαμένους ὁραθῆναι πᾶσι. sch. A Av. 1081.

κραδαίνων σείων, δονῶν, σαλεύων.

κράδη συκῆ· ἔςι δὲ καὶ μηχανή. (A Pac. 626) "ἤσθιον δὲ τὰς κράδας" οἱ Λακεδαιμόνιοι, τουτέςι κατέκοπτον. (A Av. 39) "οἱ μὲν γὰρ οὖν τέττιγες ἕνα μῆν' ἢ δύο ἐπὶ τῶν κραδῶν ᾄδουσιν, Ἀθηναῖοι δ' ἀεὶ ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον." ἀπὸ ἑνὸς δένδρου τὰ ἄλλα πάντα ἐμφαίνει.

κράζω δοτικῇ.

Κρᾶθις ὄνομα ποταμοῦ.

κραίνουσι (Hom. ϑ 391, τ 567) τελειοῦσι, πληροῦσι, βασιλεύουσι, κυριεύουσι.

κραιπαλαίκωμος μετωνυμικῶς ὁ κατὰ μέθην γινόμενος ὕμνος. sch. A Ran. 218.

κραιπαλᾶν ἐπὶ τοῦ ἀλαζονεύεσθαι· "τὸν δὲ Σέσωςριν ἐπὶ τοσοῦτον κραιπαλᾶν ὥστε ἁρμάμαξαν συμπήξασθαι χρυσοκόλλητον, λίθους τε τιμίους ταύτῃ περιβαλεῖν, καὶ ἐφιζάνων ζευγνύειν τοὺς ἡττημένους βασιλεῖς" (Theophyl. Sim. 6 11).

κραιπάλη ὁ ἐκ πολλῆς οἰνώσεως παλμός, καὶ κραιπαλῶντα ἀντὶ τοῦ ἐκ μέθης ἀτακτοῦντα, μεθύοντα, ἀπὸ τοῦ τὸ κάρα πάλλειν τοὺς μεθύοντας, ἢ ἀπὸ τοῦ σφάλλεσθαι τῶν καιρίων.

κραιπαλώδης· "τῆς ψυχῆς τὰ ἐλαττώματα κατηπίσαντο, εἴτε κραιπαλώδης τις εἴη καὶ μέθυσος, εἴτε φιλήδονος καὶ ἐν τοῖς αἰδοίοις ἔχων τὸν ἐγκέφαλον."

κραιπνός ταχύς.

κράμβη, κοράμβλη τις οὖσα, ἡ ἀμβλύνουσα τὸ διορατικόν. βέλτιον δὲ ἡ τῷ κάρῳ ἀντιβαίνουσα, ὅθεν καὶ πρώτη ἐν συμποσίῳ δίδοται καὶ παρ' ἄμπελον οὐ φυτεύεται. καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐδεσμάτων ἑφθὰς κράμβας ἤσθιον διὰ τὸ μὴ μεθύσκεσθαι οἴνῳ (sch. A Eq. 536).

κραμβοτάτου ἡδυτάτου, ξηροτάτου. ἔπαιξε δὲ Ἀριστοφάνης (Eq. 536) ἀπὸ τῆς τοῦ λαχάνου ἐπινοίας· αὐτοσχέδιος γὰρ ἦν περὶ τὰ δράματα Κράτης. ἢ τὸ καπυρόν. ἢ τὸ χρηςότατον.

Κραναῶν τῶν Ἀθηνῶν διὰ τὸ τραχὺ καὶ λεπτόγειον, ἢ ἀπὸ Κραναοῦ βασιλέως. καὶ κραναῶν πετρῶν τῶν τραχέων. Ἀριςοφάνης (Av. 123) "ἔπειτα μείζω τῶν Κραναῶν ζητεῖς πόλιν;"

κρανέα εἶδος φυτοῦ.

κράνεια ἐκ κρανείας δόρυ· ἐν ἐπιγράμματι (AP 6 123) "ἕςαθι τῇδε, κράνεια βροτοκτόνε, μηδ' ἔτι λυγρὸν χάλκεον ἀμφ' ὄνυχα ςάζε φόνον δαΐων."

κράνειον φυτόν, καὶ τὸ γυμνάσιον, καὶ κράνειος καρπός. κρανίον δὲ τόπος, καὶ ἡ κεφαλή.

κράνος περικεφαλαία.

κράντορες ἡγεμόνες· (AP 6 108) "βουχίλου κράντορες Ἀρκαδίης."

κρασί κεφαλαῖς.

κρᾶσις μῖξις οἴνου καὶ θερμοῦ. καὶ ἡ ἐνέργεια δὲ τοῦ κιρνῶντος· Αἰλιανός "καὶ πιεῖν ἐδίδυ κράσει δικαίᾳ μὴ κιρνῶν, ὤρεγε δὲ μὴ αἰτοῦντι καὶ φιλοφρονούμενος ἀκαίρως, καὶ περιττὰ δεῖπνα παρατίθησι."

κράσπεδα ὄρους οἱ πρόποδες, τὰ ὁμαλὰ καὶ ἐπίπεδα.

κράσπεδον τὸ ἱμάτιον τοῦ ἱερέως, παρὰ τὸ εἰς τὸ πέδον ἐγγίζειν.

κράσις ἡ πόα.

κραταιός ἰσχυρός.

κραταίπεδον (Hom. ψ 46).

Κράτεια ὄνομα πόλεως.

Κρατερός ὄνομα κύριον, ὁ Μακεδών, ὃς ἦν μέγιςός τε ὀφθῆναι καὶ οὐ πρόσω ὄγκου βασιλικοῦ, τῆς τε σκευῆς τῇ λαμπρότητι διαφέρων, καὶ παντὶ τῷ κόσμῳ κατὰ τὸν Ἀλέξανδρον ἔςαλτο πλὴν τοῦ διαδήματος, καὶ τοῖς συγγινομένοις οἷος σὺν ἐπιεικείᾳ καὶ τοῦ σεμνοῦ προσόντος φιλοφρονέςατος δόξαι, καὶ πιθανώτατος τῷ ἐπαγωγῷ τῶν λόγων, ὡς συμβάλλουσι τῇ τε σμικρότητι τοῦ Ἀντιπάτρου σώματος καὶ τ...

λότητι, ἐπὶ τούτοις τῷ ἀπροσμίκτῳ καὶ ἀνημέρῳ ἐς τοὺς ὑπηκόους... θεραπεύειν τὸν Κρατερὸν κατὰ βασιλέα, καὶ ἐν ἐπαίνοις ἄγοντας κατὰ τὸ εἰκός οἷα δὴ στρατηγῶν τὸν εὐτολμότατον καὶ τῶν πολεμικῶν ἔργων συνετώτατον, δεύτερον τῇ προτιμήσει μετὰ Ἀλέξανδρον ἀναμφιλόγως ἄγειν. κίνησίς τε οὖν δὴ ἦν ἐπὶ τούτῳ τῆς στρατιᾶς συμπάσης, Κρατερὸν μὲν οἷα βασιλέα ἐς τὸ ἐπιφανὲς θεραπευούσης, καὶ ἑκάστων ἀπαξιούντων ἐν ἴσῃ μοίρᾳ ἄμφω τετάχθαι, Ἀντιπάτρῳ δὲ κατ' οὐδὲν ἐθελόντων πείθεσθαι. Εὐμενὴς δὲ κατὰ τὸν πόλεμον εὑρὼν τὸ Κρατεροῦ σῶμα κείμενον ἔτι ἔμπνουν, καταπηδῆσαί τε ἀπὸ τοῦ ἵππου λέγεται καὶ κατολοφύρασθαι αὐτόν, ἐπιμαρτυρόμενον ἀνδρείαν τε τὴν Κρατεροῦ καὶ σύνεσιν καὶ τὸ ἄγαν ἵλεων τοῦ τρόπου καὶ ἐς φιλίαν τὴν πρὸς αὐτὸν ἀνεπίπλαστον, ὅσον τε πλούτου ἀνέραστον καὶ ὀρθῇ δικαιοσύνῃ σύντροφον. κράτιστος δὲ ἄρα οὗτος ὅτου τὰ τῆς ἀρετῆς ἔργα καὶ παρὰ τοῖς ἐναντίοις τῷ ἐπαίνῳ ξυμφωνούσης ἔχει. ἐντίμως δὲ καὶ μεγαλοπρεπῶς τὸ σῶμα αὐτοῦ ἐκήδευσεν. ἔχει μὲν οὖν καὶ ταῦτα Κρατερῷ ἀγαθὴν δόξαν, πεπίστευται δὲ σωφρονέστατος γενέσθαι καὶ πρᾳότατος καὶ φιλίας κοινωνῆσαι βεβαιότατος, οἷα δὴ τὸ φιλέταιρον φύσει κτησάμενος καὶ ἐπιτηδεύσας.

κρατεῖν νικᾶν· "τὸν δὲ λαγωὸν κρατεῖν τῷ δρόμῳ τῶν διωκόντων."

κρατήρ. τρεῖς κρατῆρας ἵστασαν ἐν τῷ δείπνῳ, α' Ἑρμῇ, β' Χαρισίῳ, γ' Διὶ σωτῆρι. καὶ παροιμία "κρατὴρ κακῶν" ἀντὶ τοῦ δοχεῖον κακῶν (A Ach. 935).

a Κράτης Ἀθηναῖος κωμικός, οὗ ἦν ἀδελφὸς Ἐπίλυκος ποιητὴς ἐπῶν. δράματα δὲ αὐτοῦ εἰσὶν ζ', Γείτονες Ἥρωες Θηρία Λάμια Πεδῆται Σάμιοι. ἔγραψε δὲ καὶ καταλογάδην τινά.

b Κράτης Ἀθηναῖος, κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας. φέρεται αὐτοῦ δράματα γ', Θησαυρὸς Ὄρνιθες Φιλάργυρος.

c Κράτης Ἀσκώνδου Θηβαῖος, φιλόσοφος κυνικός, μαθητὴς Διογένους καὶ Βρύσωνος τοῦ Ἀχαιοῦ, ὃς ἐξαργυρίσας τὴν οὐσίαν δέδωκε τὰ ἀργύρια τραπεζίτῃ, εἰπών, εἰ οἱ παῖδες αὐτῷ φιλοσοφήσουσι, τῷ δήμῳ δοῦναι, εἰ δὲ μή, τοῖς παισίν. γήμας δὲ Ἱππαρχίαν τὴν Μαρωνεῖτιν κυνογαμίαν τὸν γάμον ἐκάλεσε, παῖδα δὲ ἔσχεν ἐξ αὐτῆς Πασικλέα. ἦν δὲ ἐπὶ τῆς ρη' ὀλυμπιάδος. ἐπεκλήθη δὲ θυρεπανοίκτης διὰ τὸ ἀδεῶς ἐπεισιέναι εἰς παντὸς οὗπερ ἠβούλετο οἶκον. οὗτος καταλιπὼν τὴν οὐσίαν μηλόβοτον, ἀρθεὶς ἐπὶ τοῦ βωμοῦ εἶπεν "ἐλευθεροῖ Κράτητα Θηβαῖον Κράτης." ἔγραψε φιλόσοφα. ὅτι Κράτης εἶπεν (AP 9 497) "ἔρωτα παύει λιμός, εἰ δὲ μή, χρόνος, εἰ δὲ μή, βρόχος." οὗτος κατεπόντωσε τὴν οὐσίαν, ὡς λέγει Φιλόστρατος ὁ Λήμνιος ἐν τῷ βίῳ Ἀπολλωνίου τοῦ Τυανέως (1 13).

Κράτης Τιμοκράτους Μαλλώτης, φιλό- d
σοφος στωικός, ὃς ἐπεκλήθη ὁμηρικὸς καὶ κριτικὸς διὰ τὴν καὶ περὶ τοὺς γραμματικοὺς καὶ ποιητικοὺς λόγους αὐτοῦ ἐπίστασιν, σύγχρονος Ἀριστάρχου τοῦ γραμματικοῦ, ἐπὶ Πτολεμαίου τοῦ φιλομήτορος. συνέταξε διόρθωσιν Ἰλιάδος καὶ Ὀδυσσείας ἐν βιβλίοις θ', καὶ ἄλλα.

Κρατήτειος ὁ τοῦ Κράτητος.

Κρατῖνος Καλλιμήδους Ἀθηναῖος κωμικός, λαμπρὸς τὸν χαρακτῆρα, φιλοπότης δὲ καὶ παιδικῶν ἡττημένος. ἦν δὲ τῆς ἀρχαίας κωμῳδίας. ἔγραψε δὲ δράματα κα', ἐνίκησε δὲ θ'.

κράτιστα ἀντὶ τοῦ αἱρετώτερον ἢ βέλτιον.

κρατῦναι.

κρατυντήρια ἔγραψε Δημόκριτος ὁ Ἀβδηρίτης βιβλίον, ὅπερ ἐστὶν ἐπικριτικὸν πάντων τῶν γραφέντων αὐτῷ βιβλίων.

Κραυαλλίδαι ἢ Κραυγαλλίδαι ἡ ἐν Φωκεῦσι πλησίον Κίρρας χώρα.

κραυγὴ ἐπὶ τῶν εὐχομένων ἡ μετὰ προθυμίας καὶ σπουδαίας διανοίας ἱκετεία. Theodoret. in Ps. 5 3.

κραυγὴ Σοδόμων (Gen. 18 20) ἡ μυσαρωτάτη καὶ λυσσώδης αὕτη παρὰ φύσιν ἁμαρτία, ὑπὸ Σοδομιτῶν διαπραττομένη, ὥσπερ τις φωνὴ ἀνερχομένη καὶ βοῶσα τὸ μέγεθος τῆς ἀσεβείας εἰς τὰ ὦτα κυρίου σαβαώθ. καὶ ὁ μακροθυμήσας ὕστερον διὰ τὸ ἀμετανόητον αὐτῶν καὶ ἀνεπίστροφον τῆς ἀδιακρίτου καὶ ἀκολάστου γνώμης ἐπάξιας μάλα δικαίως τὴν τιμωρίαν ἔφασκε "κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με."

κραῦρα νόσος περὶ τὰς ὗς γινομένη. cf. v. διάρροια.

κραῦρον ξηρόν, καπυρόν, εὔθραυστον.

κρεάγρα· (A Eccl. 1037) "τί δῆτα κρεά- a

γραῦς τοῖς κάδοις ὠνοίμεθ' ἄν, ἐξὸν καθέντα ῥάδιον τοιουτονὶ ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν;" ἐπὶ τῶν πορνικῶν καὶ ἀσελγῶν γραῶν.

b κρεάγρα μαγειρικὸν ἐργαλεῖον· ἐν ἐπιγράμματι (AP 6 101) "ὁμοῦ κρεάγρᾳ τῇ σιδηροδακτύλῳ."

a κρέας. οὕτω καλοῦσι τὸ σῶμα οἱ Ἀττικοί. "εἰ μὴ περὶ τῶν κρεῶν νεναυμάχηκε" (A Ran. 193).

b κρέας. καταχρηστικῶς καὶ ἐπὶ ὄρνιθος ἐχρήσατο Ἀριστοφάνης ἐν Νεφέλαις (338) "κρέα τ' ὀρνίθεια."

κρεῖον τὸ κρεωδόχον ἀγγεῖον. παρὰ τὸ κρέας κρέον καὶ κρεῖον.

κρείσσων δόξης ἀτίμε εὐτέλεια εὐκλεής, καὶ σμικροπρεποῦς ἀρχῆς μεγαλοφυὴς μετριότης, καὶ ὕψους ἐπισφαλοῦς ταπεινότης ἀκίνδυνος.

κρείττονος τοῦ θεοῦ· "προνοίᾳ δὲ δή τινι τοῦ κρείττονος, ςοχαζόμενος τοῦ συνοίσοντος τὰ τοιάδε ἐπετέλει ὁ Καῖσαρ."

κρείων βασιλεὺς ἢ ἄρχων, κρατῶν μεγάλως.

κρέκα τὴν τρίχα· "πορφυρέην ἤμησε κρέκα" ἀντὶ τοῦ ἔκοψε.

κρέκειν. καὶ κρεκόντων κρουόντων τὴν κιθάραν, ἐγγιζόντων.

κρέκουσα αὐλοῦσα· Ἀριςοφάνης Ὄρνισιν (687) "ἀλλ' ὦ καλλιβόαν κρέκουσ' αὐλὸν φθέγμασιν ἠρινοῖς." κυρίως δὲ κρέκειν τὸ τὴν κιθάραν κρούειν· καὶ ἐν ἐπιγράμματι (AP 5 139) "Ζηνοφίλα, λιγὺ κρέκεις τι μέλος."

κρέκω τὸ ἠχῶ· (AP 6 54) "ἀλλ' ὅκα δὴ πλάκτρῳ Λοκρὶς ἔκρεξε χέλυς," καὶ Ἀριςοφάνης (Av. 771) "τοιάδε κύκνοι συμμιγῆ βοὴν ὁμοῦ κρέκοντες ἴαχον."

κρεμάθρα μετέωρόν τι κατασκεύασμα, ἐν ᾧ ἐτίθεσαν τὰ περιττεύοντα ὄψα. κρεμάθρα δὲ εἴρηται διὰ τὸ ἀεὶ κρεμαμένην μετέωρον εἶναι. εἰσάγει δὲ Ἀριςοφάνης τὸν Σωκράτην ἐπὶ κρεμάθρας καθήμενον γελοῖε χάριν, ὡς μετεωρολέσχην.

κρεμόω (Hom. Η 83) κρεμάσω. (A Ach. 58) "κρεμάσαι τὴν ἀσπίδα" ἀντὶ τοῦ εἰρηνεῦσαι· ἐν γὰρ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες.

κρέξ ὄρνεον δυσοιώνιςον τοῖς γαμοῦσιν, ὀξὺ πάνυ τὸ ῥύγχος καὶ πριονῶδες ἔχον. κρεκὸς κλίνεται. gl. Herodot. 2 76 et sch. A Av. 1138.

κρεωδαισία ὁ μερισμὸς τῶν κρεῶν. καὶ κρεωδαίτης, καὶ κρεωδότης, καὶ κρεωδόχον ἀγγεῖον, καὶ κρεωθοινία, κρεωφαγία καὶ κρεωπώλης.

κρεώδης ἱερουργία ἡ διὰ κρεῶν θυσία.

Κρέων δέ σοι πῆμ' οὐδέν, ἀλλ' αὐτὸς σὺ σοί ἀντὶ τοῦ σεαυτῷ.

Κρεώφυλος Ἀςυκλέας Χῖος ἢ Σάμιος, ἐποποιός. τινὲς δὲ αὐτὸν ἱςόρησαν Ὁμήρου γαμβρὸν ἐπὶ θυγατρί. οἱ δὲ φίλον μόνον γεγονέναι αὐτὸν Ὁμήρου λέγουσι, καὶ ὑποδεξάμενον Ὅμηρον λαβεῖν παρ' αὐτοῦ τὸ ποίημα τὴν τῆς Οἰχαλίας ἅλωσιν.

κρήγυον (Hom. Α 106) ἀληθές, ἀγαθόν, καλογήρυον· γῆρυς γὰρ ἡ φωνή.

κρήδεμνον (Hom. Χ 470) κεφαλοδέσμιον, ἢ μαφόριον.

Κρηθεύς ὄνομα κύριον. καὶ Κρηθηὶς νύμφη.

κρήμνη ῥηματικὸν ἐκ τοῦ κρήμνημι, ὡς ἵστη.

κρημνίσαι ἐκ τοῦ κρημνίζω.

κρημνοὶ ἐξέχοντες τόποι. καὶ κρημνοποιὸν φησιν Ἀριςοφάνης (Nub. 1371) τὸν Αἰσχύλον ὡς μεγάλας λέξεις ποιοῦντα.

κρημνοκοπεῖν κομπάζειν, ἀλαζονεύεσθαι, μεγάλας λέξεις ποιεῖν.

κρημνὸς φάραγξ· Ἀριςοφάνης (Eq. 625) "κρημνοὺς ἐρείδων," τουτέςιν ἐγκλήματα ἐπιπέμπων καὶ ἀκοντίζων, καὶ ταῦτα ὑπέρογκα. ἀπὸ τοῦ ἐλασίμβροτα εἴληφε. Ὅμηρος καὶ τὴν ὄχθην κρημνὸν λέγει (Φ 244), ἐπειδὴ πάντα τὰ ὑψηλὰ κρημνοί.

κρημνώδη κατανίφοι. εἰ μὲν διὰ τοῦ η, ἀντὶ τοῦ μεγάλα, εἰ δὲ διὰ τοῦ ι, παχέα δίκην κρίμνων· κρίμνα δὲ εἶδος ἀλεύρου, ἐξ οὗ ἡ παιπάλη γίνεται, τουτέςι τὸ ἄλευρον. καὶ τὸ λευκαίνειν παλύνειν· Ὅμηρος (Κ 7) "ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας."

κρῆναι· (AP 6 332) "ἀλλὰ καὶ τήνδε αὐτῷ ἐγγυάλιξον κρῆναι ἐυκλειῶς δῆριν Ἀχαιμενίην."

κρηναῖον ὕδωρ.

κρήνη ἡ πηγή. κάρα καρήνη κρήνη· κορυφὴ γάρ τοῦ ῥεύματος. ἢ κόρη τοῦ νάματος· καὶ γὰρ θυγατέρας αὐτάς φασι.

Κρηνίς.

κρηπιδούμενος ἀντὶ τοῦ ὑποδούμενος τὰς κρηπῖδας· "ἤρετο πρῶτον Λεσχίδην τὸν ποιητήν, μεταξὺ κρηπιδούμενος."

χρηπίς θεμέλιος, ἢ εἶδος ὑποδήματος. ὑποβάθρα ἡ τοὺς πόδας κρατοῦσα.

χρησέρα τὸ περιβόλαιον τῶν κοφίνων. ἔςι δὲ διερρωγός. Ἀριστοφάνης ⟨Eccl. 983⟩ "ἀλλ' οὐχὶ νυνὶ χρησέραν αἰτούμεθα." τῦτο δὲ λέγει ὡς πρὸς γραῦν.

Κρήσιος Κρητικός· "τοὺς Κᾶρας θαλαττοκρατῆσαι λέγεται μετὰ Μίνω τὸν Κρήσιον."

Κρήσκης ὄνομα κύριον.

Κρῆσσα ἡ Κρητικὴ γυνή.

Κρηςωρεύς.

κρησφύγετα τὰ πρὸς τοὺς χειμῶνας ςεγνά, καὶ ὀχυρώματα, καὶ καταφυγή. οἱ δέ φασιν ὅτι Κρηταιεῖς οἱ νησιῶται ἅμα Μίνῳ τῷ βασιλεῖ θαλαττοκρατοῦντας ἔφυγον εἰς σπήλαιά τινα, ὅθεν ἐκεῖνα ὠνομάσθησαν κρησφύγετα.

Κρῆτα τὸν ἀπὸ τῆς Κρήτης.

Κρηταιεύς. καὶ Κρηταιεῖς πληθυντικῶς.

Κρήτη νῆσος.

κρητίζειν τὸ ψεύδεσθαι· Ἰδομενεὺς γὰρ ἐπιτραπεὶς τὸν ἀπὸ τῶν λαφύρων χαλκὸν διανεῖμαι, τὸν ἄριςον αὑτῷ ἐξείλετο. καὶ ἑτέρα παροιμία "κρητίζειν πρὸς Κρῆτας," ἐπειδὴ ψεῦςαι καὶ ἀπατεῶνές εἰσι.

a Κρητικόν εἶδος χιτῶνος· Ἀριστοφάνης ⟨Thesm. 736⟩ "σὺ δὲ τὸ Κρητικὸν ἀπόδυθι ταχέως."

b Κρητικόν τὸ ἀπὸ τῆς Κρήτης.

Κρητικός ῥυθμός ἐςιν οὕτω καλούμενος· Ἀριστοφάνης ⟨Eccl. 1157⟩ "ὑπανακινεῖν κρητικῶς τὼ πόδε."

Κρητῖνος.

κρῖ ἡ κριθή. καὶ Ὅμηρος ⟨E 196⟩ "κρῖ λευκόν."

κρίβανον οἱ Ἀττικοὶ λέγουσι κριθῶν βαῦνον, τουτέςι κάμινον. καὶ ἄρτος κριβανίτης ὁ ἐν κριβάνῳ ὠπτημένος. κρίβανος δὲ παρὰ τὸ κρῖ καὶ τὸ βαῦνος, ὅ ἐστι κάμινος. καὶ Ἀριςοφάνης ⟨Ach. 86⟩ "εἶτ' ἐξένιζε, παρετίθει δ' ἡμῖν βῦς κριβανίτας." Ἀρριανός ⟨Ind. 28⟩ "οἱ δὲ ξένια ἔφερον θύννυς ἐν κριβάνοισιν ὀπτούς."

κρίβανος ὁ φοῦρνος.

κρίγη ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος. καὶ Ἀριςοφάνης ⟨Av. 1520⟩ "ὥσπερ Ἰλλυριοὶ κεκριγότες."

κριθή τὸ τῶν ἀνδρῶν αἰδοῖον· τὸ δὲ γυναικεῖον μύρτον ⟨sch. A Pac. 965⟩. καὶ κριθίδιον ὑποκοριςικῶς.

κριθοτράγων κριθοφάγων. A Av. 234.

Κριθωτή πόλις τῶν ἐν Χερρονήσῳ, κατοικισθεῖσα ὑπὸ Ἀθηναίων τῶν μετὰ Μιλτιάδου ἐκεῖ παραγενομένων. Harp.

κρίκε ⟨Hom. Π 470⟩ συνεσχέθη.

κρίκος τὸ κρικέλλιον.

κρίματα αἱ οἰκονομίαι· Δαβίδ "γινώσκεται κύριος κρίματα ποιῶν," τουτέςι δικαίως οἰκονομῶν. καὶ τὰ ὑπὸ θεοῦ γινόμενα θαύματα. Theodoret. in Ps. 9 17.

Κριμισός ὄνομα ποταμοῦ.

κρίμνον, διὰ τῦ ι, ἡ κριθή. παρ' Ὁμήρῳ δὲ κατὰ ἀποκοπὴν λέγεται κρῖ· ⟨E 196⟩ "ἐςᾶσι κρῖ λευκὸν ἐρεπτόμενοι." καὶ πολύκριμνος ἡ πολύκριθος. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 302⟩ "αὐτάρκης ὁ πρέσβυς ἔχων ἅλα καὶ δύο κρίμνα." καὶ Βάβριος ⟨108 31⟩ "ἐγὼ δὲ λιτῆς οὐκ ἀφέξομαι βώλου, ὑφ' ἣν τὰ κρίμνα μὴ φοβούμενος τρώγω." κρίμνον δὲ τὸ παχὺ τοῦ ἀλεύρου.

κρινάμενος ⟨Hom. I 521⟩ ἐπιλεξάμενος.

κρῖνε δίκαζε.

κρίνεσι ςεφανοῖς ⟨A Nub. 911⟩, τουτέςιν, αἱ λοιδορίαι αἱ παρὰ σοῦ ςέφανοί μοί εἰσιν ἐκ κρίνων. κέκλιται δὲ ἀπὸ τῦ τὸ κρίνος ὡς τὸ τεῖχος. οἱ δέ φασι μεταπλασμὸν εἶναι.

Κρῖνις ἱερεὺς Ἀπόλλωνος.

κρίνον τὸ ἄνθος, ἀπὸ τῆς διακρίσεως. διὸ καὶ τὰ τῆς διακρίσεως λέγεται κρίνον εὐμάραντον καὶ ταχὺ διαπῖπτον. διὸ καὶ ἡ κολόκυνθα κρίνον λέγεται, καὶ τοὺς πτωχοὺς δὲ κρίνα λέγουσιν. αὐτὴ δὲ ἡ κολόκυνθα Μηδικόν ἐςιν ὄνομα.

κρῖνόν μοι, κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην" ⟨Ps. 25 1⟩.

κρινωνιά ὁ τῶν κρίνων λειμών.

κριοκοπεῖν τὸ τοῖς κριοῖς τοῖς μηχανικοῖς πολιορκεῖν· "οἱ δὲ τοὺς πύργους κριοκοπεῖν ἐπεχείρησαν" ⟨Polyb. 1 42⟩.

Κριός δῆμος τῆς Ἀττικῆς. καὶ Κριῶθεν ἐπίρρημα, ἢ Κριῆθεν.

κριός τὸ μηχάνημα τὸ πολιορκητικόν. a καλεῖται δὲ οὕτως ὅτι προσπίπτει τε ῥύμῃ καὶ πάλιν ἐπανέρχεται, καὶ τοῦτο συνεχῶς ὥσπερ μαχόμενον ποιεῖ. ἔςι δὲ κεραία μεγάλη κριοειδής, καὶ αὐτῆς τὸ προέχον τῆς ἐμβολῆς σεσιδήρωται ἐπὶ πολύ, ὥςε μήτε ἀποκαυλίζεσθαι μήτε ἐμπίπρασθαι.

b ὅτι προτομὴ λέγεται τὸ πρόσθεν μέρος. ἔστι δὲ τοῦ κριοῦ ἡ κατασκευὴ τοιάδε, δοκὸς ὑπερμεγέθης ἱστῷ νηὸς παραπλησία· ἐστόμωται δὲ σιδήρῳ παχεῖ κατ' ἄκρον ἐς κριοῦ προτομήν, ἀφ' οὗ καὶ καλεῖται, τετυπωμένος. καταιωρεῖται δὲ κάλοις μέσος ὥσπερ ἀπὸ πλάστιγγος ἑτέρας δοκοῦ, σταυροῖς ἑκατέρωθεν ἑδραίοις ὑπεστηριγμένος, ἀνωθούμενος ὑπὸ πλήθους ἀνδρῶν εἰς τὸ κατόπιν, καὶ τῶν αὐτῶν πάλιν ἀθρόως εἰς τοὔμπροσθεν ἐπιβρισάντων τύπτει τὰ τείχη τῷ προανέχοντι σιδήρῳ. καὶ οὐδεὶς οὕτω πύργος καρτερὸς ἢ περίβολος πλατύς, ὃς κἂν τὰς πρώτας πληγὰς ἐνεγκεῖν κατισχύσειε· τῆς γὰρ ἐπιμονῆς κρατούσης καθαιρεῖται τὰ τείχη. Ioseph. B. I. 3 7 19.

c **κριὸς** ὁ τὸ κάρα ἱέμενος· "ὥς ὁ κορύπτων ἤλαυν' ὀπίσω." καὶ ἐν ταῖς οἰνικαῖς ἀποστάσεσι κριὸς καλεῖται τὸ κεράμιον τὸ πρῶτον, ᾧ τὰ λοιπὰ ἐπιτηρεῖται (al. ἐνήρεισται).

κριὸς ἀσελγόκερως. τὸν μεγαλόκερών φησι Πλάτων ὁ κωμικός· τὸ γὰρ ἀσελγὲς οὐ μόνον ἐπὶ τῶν ἀκολάστων ἐλάμβανον οἱ παλαιοί, ἀλλὰ καὶ ἐπὶ τῶν μεγάλων.

κριὸς τροφεῖα ἀπέτισε, παροιμία ἐπὶ τῶν ἀχαρίστων· καὶ γὰρ τοὺς κριοὺς ἐκτραφέντας φασὶ κυρίττειν τοὺς θρεψαμένους, ὅ ἐστι πλήττειν.

κριοῦ διακονία, παρὰ τὴν παροιμίαν "κριὸς τὰ τροφεῖα·" κυρίττει γὰρ τοὺς τρέφοντας.

Κρίσαμις Κῷος. οὗτος ἦν πολυθρέμματος. τούτῳ φασὶν ἔγχελυν τὸ κάλλιστον τῶν προβάτων ἁρπάζειν, καὶ τὸν Κρίσαμιν ἀνελεῖν αὐτήν, φαινομένην δὲ αὐτῷ ὄναρ κελεῦσαι καταθάψαι αὐτήν, τὸν δὲ μὴ φροντίσαντα παγγενεὶ ἀπολέσθαι.

κρίσεως δοκιμασίας, ἀκολουθίας· Αἰλιανός "κρίσεως δ' ὡς ἐν ἀκολάστοις εὐθείας οὐ διήμαρτε περὶ τὴν αἵρεσιν τῆς μιμάδος· σὺν κάλλει γὰρ λαμπρῷ τοῦ σώματος ποικίλως ἤσκητο τὴν εὐαπάτητ ον παιδείαν." καὶ αὖθις "τοσοῦτον προέλαβε τῇ φυγῇ τῆς κρίσεως τῆς περὶ τὴν μάχην."

κρίσις ἐξέτασις, ψῆφος, βάσανος.

Κρίσσα ὄνομα πόλεως καὶ ἰχθύος.

Κρισσαία θάλασσα καὶ **Κρισσαῖος κόλπος.**

κριτικὸν τὸ κρίσιμον.

κριτὸς ἐπίλεκτος, καὶ ὁ κρινόμενος. **κριτὴς** δὲ ὁ κρίνων.

a **Κρίτων** Ἀθηναῖος φιλόσοφος, Σωκράτους μαθητής, ὃς καὶ γνησίως διετέθη πρὸς Σωκράτην καὶ τὰ πρὸς τὴν χρείαν πάντα ἐδίδου αὐτῷ. ἔγραψε Σωκράτους ἀπολογίαν.

b **Κρίτων** Νάξιος ἱστορικὸς ἔγραψεν ὀκταετηρίδα, ἣν Εὐδόξου φασί.

c **Κρίτων** Πιεριώτης (πόλις δὲ Μακεδονίας ἐστὶν ἡ Πιερία) ἱστορικὸς ἔγραψε Παλληνιακά, Συρακουσῶν κτίσιν, Περσικά, Σικελικά, Συρακουσῶν περιήγησιν, καὶ περὶ τῆς ἀρχῆς τῶν Μακεδόνων.

Κριωεύς. δῆμος τῆς Ἀντιοχίδος Κριῶα. Harp.

κροαίνων (Hom. Z 507) τοῖς ποσὶ κρέων. ἢ ἐπιθυμῶν.

Κρόβυζοι ὄνομα ἔθνους.

Κροβύζου ζεῦγος, ἐπὶ τῶν ἐπὶ κακίᾳ καὶ πονηρίᾳ σπενδομένων. τοῦτο δὲ εἴρηται ἀπὸ Κροβύζου τινὸς πορνοβοσκοῦ, δύο ἔχοντος ἑταίρας ἐπὶ ὀλέθρῳ πολλῶν. Κροβύζου οὖν ζεῦγος ἐπὶ διασυρμῷ δύο ὁμονοούντων, οὓς πρότερον τοῦ ἀναπνεῖν φασὶν ἢ τοῦ κακουργεῖν παύσασθαι.

a **Κροῖσος** Λυδὸς μὲν ἦν τὸ γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ. οὗτος πρῶτος βαρβάρων τῶν ἡμεῖς ἴδμεν, τοὺς μὲν κατεστρέψατο Ἑλλήνων ἐς φόρου ἀπαγωγήν, τοὺς δὲ φίλους προσεποιήσατο. πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες ἦσαν Ἕλληνες ἐλεύθεροι· τὸ γὰρ Κιμμερίων στράτευμα τὸ ἐπὶ τὴν Ἰωνίαν ἀφικόμενον, Κροίσου ἐὸν πρεσβύτερον, οὐ καταστροφὴ ἐγένετο τῶν πολίων, ἀλλ' ἐξ ἐπιδρομῆς ἁρπαγή. Herodot. 1 6.

b **Κροῖσος** Λυδῶν βασιλεύς, υἱὸς Ἀλυάττου, ὃς τὸ πρότερον ἄρχειν ἔλαχεν Ἀδραμυττείου καὶ Θήβης πεδίου. στρατεύσαντος δὲ τοῦ πατρὸς αὐτοῦ ἐπὶ Καρίαν, περιήγγειλε τοῖς ἑαυτοῦ τὸν στρατὸν ἄγειν ἐς Σάρδεις, ἐν οἷς καὶ Κροίσῳ, ὅστις ἦν τῶν αὐτοῦ πρεσβύτατος παίδων. ὃ δέ, ὥς φασίν, ὑπὸ ἀκολασίας οὐχ οἷός τε ἦν, καί πως διεβέβλητο πρὸς τὸν πατέρα. βουλόμενος δὲ ἐν τῷδε τῷ ἔργῳ ἀπολύσασθαι τὰς αἰτίας, καὶ ἀπορῶν ὁπόθεν μισθώσαιτο ἐπικούρους (μισθωτοῖς γὰρ ἐχρῶντο), ἦλθεν ἐπὶ Ἀλυάττην τὸν ἔμπορον (an Σαδυάττην τὸν ἔπαρχον) πλουσιώτατον Λυδῶν ὄντα, δανείζεσθαι βουλόμενος. ὃ δὲ

αὐτὸν πρῶτον μὲν ἀναμένειν ἐκέλευσε πρὸ τῶν θυρῶν ἄχρι λούσηται, μετὰ δὲ ἐντυγχάνοντι ἀποκρίνεται ὅτι πολλοὶ παῖδες εἶεν Ἀλυάττῃ, οἷς πᾶσιν εἰ δεήσει τὸ ἀργύριον διδόναι, οὐκ ἐξαρκέσει· οὔκουν δοῦναι δεομένῳ. Κροῖσον δὲ ἀποτυχόντα τἀνθρώπου ἐς Ἔφεσον ἀφικέσθαι κατὰ ζήτησιν ἀργυρίου. καὶ τότε μὲν εὔξασθαι τῇ Ἀρτέμιδι, εἰ βασιλεύσειε, τὸν οἶκον ἅπαντα καθιερῶσαι τοῦ ἐμπόρου. ἦν δέ τις Κροίσῳ φίλος Ἴων, ὄνομα --- υἱὸς Θεοχαρίδου εὖ μάλα εὐπόρου. οὗτος ἐδεήθη τοῦ πατρὸς δοῦναί οἱ χρυσίον, καὶ τυχὼν δίδωσι Κροίσῳ. ὃ δὲ ὕστερον βασιλεὺς γενόμενος ἅμαξαν ἔδωκεν αὐτῷ μεστὴν χρυσίου, καὶ τὸν οἶκον τοῦ ἐμπόρου τῇ Ἀρτέμιδι καθιέρωσε. Nicol. Dam. exc. Peir. p. 453.

c Κροῖσος Λυδῶν βασιλεὺς νομίζων ἑαυτὸν πλουσιώτατον εἶναι καὶ εὐδαιμονέστατον, μεταπεμψάμενος Σόλωνα τὸν Ἀθηναῖον, ἄνδρα σοφόν, ἐπέδειξεν αὐτῷ τοὺς θησαυροὺς καὶ τἆλλα τοῦ πλούτου, καὶ ἠρώτησεν αὐτόν "τίνα εὐδαίμονα πάντων ἀνθρώπων νενόμικας;" ὃ δὲ ἔφη "Τέλλον τὸν Ἀθηναῖον, ζήσαντα εὐτυχῶς καὶ ἀποθανόντα ὑπὲρ τῆς πατρίδος μαχόμενον." πυνθανομένου δὲ αὐτοῦ "τίνα οὖν μετὰ Τέλλον," ὃ δὲ ἔφη "Κλέοβιν καὶ Βίτωνα, τὸ γένος Ἀργείους, οἵτινες τῆς μητρὸς αὐτῶν Θεανοῦς ἢ Κυδίππης ἱερωμένης, καὶ μελλούσης πομπεύειν τῇ πατρίῳ ἑορτῇ ἐπὶ ἀπήνης μέχρι τεμένους τῆς Ἥρας, χρονιζόντων τῶν ὑποζυγίων ὑποθέντες τοὺς ἰδίους αὐχένας οἱ παῖδες τὴν ἀπήνην εἵλκυσαν, καὶ ἤγαγον τὴν μητέρα ἐπὶ τὸ τέμενος. εὐξαμένης δὲ ἐκείνης τῇ Ἥρᾳ γενέσθαι αὐτῆς τοῖς παισὶν ὅ τι κάλλιστον ἀνθρώποις, τῇ ἐπιούσῃ νυκτὶ εὑρέθησαν ἀμφότεροι τετελευτηκότες."

d Κροῖσος. ὅτι Κροῖσος βασιλεὺς Λυδῶν καταδυναστεύσας τῆς Ἀσίας ἐν ὑπερβάλλοντι πλούτῳ, ὑπερηφάνει πάντας τοὺς βασιλεῖς τῶν Ἀσσυρίων, καὶ γράφει Κύρῳ τῷ βασιλεῖ τῶν Ἀσσυρίων οὕτως· "ἐπιτρέπομέν σοι παραχωρῆσαι τῆς βασιλείας ἡμετέρας τε οὔσης ἐξ ἀρχῆς καὶ τοῖς ἡμῶν διαφερούσης ὅροις. οὐ γὰρ ὑποστήσῃ ἐπανισταμένων ἡμῶν κατὰ σοῦ, οὐδὲ πρὸς τὴν τοσαύτην ἡμῶν εὐτυχίαν ἀνθέξῃ." ὁ δὲ Κῦρος ἀντέγραψεν οὕτως· "εἰ μὲν ὁ πᾶς κόσμος οὐκ ἀρκεῖ σοι τοσαύτην ἔχοντι φαντασίαν, καλῶς ἡμῖν ταῦτα λέγεις· εἰ δὲ τοσαύτης γῆς δεσπόζων καὶ τῆς ἡμετέρας ἐρᾷς, οὐκ ἄν σοι πρὸς τὸν καθ' ἡμῶν ἀγῶνα ἡ τῆς τύχης εὔροια διαμεῖναι." καὶ ταῦτα γράψας Κῦρος ἐβούλετο πρὸς τὴν Ἰνδικὴν χώραν μετοικεῖν καὶ φυγεῖν τὴν ὠμότητα τοῦ Κροίσου· ἀλλ' ἡ τούτου γυνὴ Βαρδάνη ἑωρακυῖα τὸν Κῦρον ταῦτα βουλευόμενον, εἶπεν αὐτῷ ζητῆσαι τὸν Δανιὴλ τὸν αὐτῇ καὶ Δαρείῳ προφητεύσαντα πολλάκις, καὶ παρ' αὐτοῦ μαθεῖν τί δεῖ πρᾶξαι πρὸς τὸν Κροίσου πόλεμον. ὅπερ ἀκούσας ὁ Κῦρος μετεπέμψατο τὸν ἄνδρα, καὶ μεμαθηκὼς παρ' αὐτοῦ ὡς νικήσει τὸν Κροῖσον, τὰ πρὸς τὸν πόλεμον παρεσκεύαζεν. ὁμοίως δὲ καὶ Κροῖσος εἰς τὸ μαντεῖον ἔπεμψε, καὶ ἐχρησμοδοτήθη οὕτως· "οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης, καὶ κωφοῦ συνίημι, καὶ οὐ λαλέοντος ἀκούω. ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέασιν, ᾗ χαλκὸς μὲν ὑπέρκειται, χαλκὸς δ' ὑπόκειται." γνοὺς δὲ ὡς ἐνεπαίχθη, πάλιν στέλλει· καὶ ἀνεῖλεν ἡ Πυθία "Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει." καὶ κατέλυσε τὴν ἑαυτοῦ. ὁ δὲ Κῦρος τοὺς αἰχμαλώτους τῶν Ἰουδαίων ἀπέλυσε, καὶ κτίζει τὴν Ἱερουσαλήμ. cf. Cedrenus p. 136, Malalas p. 194.

κρόκη ῥοδάνη. καὶ κροκύφαντος, ὅτι διὰ κρόκης ὑφαίνεται ⟨sch. A Vesp. 1137⟩. οἱ δὲ ἀπὸ τοῦ κεκρύφαλον αὐτό φασιν, ὅτι κρύπτει τὸν φάλον, ὅ ἐστιν ἐξοχὴ τῆς κεφαλῆς.

κροκόδειλος εἶδος ζῴου.

Κροκύλεια ⟨Hom. B 638⟩ ὄνομα πόλεως.

a κροκωτὸς ἱμάτιον Διονυσιακόν· Ἀριστοφάνης ⟨Ran. 45⟩ "ἀλλ' οὐχ οἷός τ' εἰμ' ἀποσοβῆσαι τὸν γέλων, ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην." ἐφόρει γὰρ καὶ κροκωτὸν καὶ λεοντῆν ὡς Ἡρακλῆς· τοῦτο γὰρ ἦν φόρημα τῷ Ἡρακλεῖ. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀνομοίων. ἐφόρει δὲ τὴν λεοντῆν ἵνα φοβερὸς ᾖ.

b κροκωτὸς εἶδος χιτῶνος· "ὃ δὲ ἠσθῆτο κροκωτὸν χιτῶνα ὑπὲρ τοῦ πλείονας εἰς αὐτὸν ἐπιστρέφειν."

κρόμμυα ἐσθίειν ἴσον τῷ κλαίειν· Ἀλυάττῃ γὰρ πέμψαντι πρὸς Βίαντα τὸν σοφόν, ἵνα θᾶττον παρ' αὐτὸν ἥκοι, "ἐγὼ" φησίν "Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν" ⟨Diog. L. 1 83⟩. καὶ Ἀριστοφάνης ⟨Lys. 799⟩ "κρόμμυόν τ' ἄρ' οὐκ ἔδῃ" ἀντὶ τοῦ κλαύσῃ

καὶ χωρὶς κρομμύων, ἤγουν δακρύσεις. καὶ ἑτέρα παροιμία (A Ran. 667) "κρομμύων ὀσφραίνεσθαι" ἐπὶ τῶν κλαιόντων.

κρομμυοξυρεγμίας ἀντὶ τῆ ἀπεψίας· δριμεῖα γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ τῶν κρομμύων οὖν καὶ τῆς ὀξύτητος καὶ τῆς ἐρυγῆς συντέθεικε τὴν λέξιν. ταῦτα γὰρ εἰώθασι κομίζειν εἰς τὸν πόλεμον· διὸ καὶ ὁ γύλιος ἐκ τούτων δυσώδης. ἢ καὶ ὅτι ἐπὶ πολὺ ἐγκαλυπτόμενος ὁ γύλιος ἐκ διαφόρων ὄψων τε καὶ ζωμῶν ὀξίδος σύμμικτόν τινα ὀσμὴν ὄδωδε. sch. A Pac. 528.

Κρομμυωνία.

χρόνια ἑορτὴ ἀγομένη Κρόνῳ καὶ μητρὶ τῶν θεῶν.

χρονικαὶ λῆμαι παροιμία, ὥσπερ τὸ "χύτραις λημῶν καὶ κολοκύνταις," ἐπὶ τῶν ἀμβλυωπούντων.

χρονικαῖς γνώμαις λημῶν τὴν φρένα (A Plut. 581) ἤγου ἀρχαίαις μωρίαις ἐσκοτισμένε τὸ φρονεῖν, τουτέςιν ἀμβλυωπῶν. λήμη δέ ἐςι τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. σημαίνει οὖν τὸ τετυφλωμένε τὰς φρένας ὥσπερ οἱ τὰς λήμας ἔχοντες.

χρονικώτερα ἀρχαιότερα, μωρότερα. καὶ Ἀριστοφάνης (Vesp. 1471) "καὶ τὸς τραγῳδούς φησιν ἀποδείξειν Κρόνους τὸν νοῦν, διορχησόμενος ὀλίγον ὕςερον."

Κρόνιον ὄμμα τοῦ Κρόνου.

χρόνιππος ὁ μέγας λῆρος, κατ' ἐπίτασιν λαμβανομένου τοῦ ἵππε· "σὺ δ' εἶ κρόνιππος" (A Nub. 1066). ἢ ὑβριςής, τρυφητής, πόρνος.

χρονίων ὄζων· Ἀριςοφάνης Νεφέλαις (397) "καὶ πῶς, ὦ μῶρε σὺ καὶ χρονίων ὄζων." τουτέςιν ἀρχαϊσμοῦ γέμων καὶ μωρίας, ἤτοι ὅτι ἑορτή τις παλαιὰ ἤγετο τῷ Κρόνῳ, ἢ ὅτι τὰ παλαιὰ πάντα καὶ εὐήθη χρόνια ἐκάλουν, καὶ Κρόνους τοὺς λήρους.

Κρόνου πυγή τὸ ἀρχαῖον καὶ ἀναίσθητον κρέας.

χρόσσας κλιμακίδας. ἐν μὲν τοῖς ὑπομνήμασιν ἀποδίδωσι τὰς τῶν ἐπάλξεων ςεφάνας, οἱονεὶ κεφαλίδας, ἐν δὲ τοῖς περὶ ναυςάθμου κλίμακας.

χροσσός ὁ μαλλός.

χροσσωτοῖς χρυσοῖς (Ps. 44 13) τοῖς διαφόροις χαρίσμασιν τῶν τὴν ἐκκλησίαν κοσμούντων ἱερῶν ἀνδρῶν· διῄρηνται γὰρ οἱ κροσσοί, καὶ πάλιν ἥνωνται.

κρόταλον ἰδίως ὁ σχιζόμενος κάλαμος καὶ κατασκευαζόμενος ἐπίτηδες ὥςε ἠχεῖν, εἴ τις αὐτὸν δονοίη ταῖς χερσί, καθάπερ κρότον ἀποτελῶν. τρανὸς οὖν ἔςη, φησί, καὶ τὴν φωνὴν διηρθρωμένος καθάπερ τὰ κρόταλα, ἀντὶ τοῦ εὔγλωττος, εὔςομος. sch. A Nub. 259.

κρόταλος ἀρσενικῶς ἀντὶ τοῦ εὔγλωττος καὶ εὔςομος ὡς τὰ κρόταλα. καὶ ἐν ἐπιγράμματι (AP 5 19) "καὶ νῦν καλοῦμαι θηλυμανής, καὶ νῦν δίσκος ἐμοὶ κρόταλον." ἔςι δὲ κάλαμος ἐσχισμένος.

κρόταφος τὸ μέρος τοῦ σώματος, καὶ τοῦ βιβλίου τὸ ὄπισθεν μέρος· "κατὰ τὸν κρόταφον τῆς βίβλου ἐμβαλόντες ἐκμαρτύριον διά τινος ἐσχηματισμένου τὴν τέχνην τῶν τὰ τοιαῦτα γραφόντων."

κροτήσατε (Ps. 46 1) ἐπαινέσατε ταῖς χερσί· νενικηκότων γὰρ ὁ κρότος.

κροτοθορύβου· "Παιὰν ἄναξ, φίλον Λεοντάριον, οἵου κροτοθορύβου ἡμᾶς ἐνέπλησας ἀναγνόντας σε τὸ ἐπιςόλιον" (Diog. L. 10 5).

Κροτωνιάτης τοῦ Κρότωνος.

κρότωνος ὑγιέςερος. τῦτο δεῖ ἐπὶ τῶ ζώῳ δέχεσθαι. τὸ γὰρ εἶναι πάντοθεν ὅμοιον καὶ μηδεμίαν ἔχειν διακοπήν, ἀλλ' εἶναι λίαν ὁμαλὸν διὰ τοῦτο, ἀπ' αὐτῶ λέγουσιν "ὑγιέςερος κρότωνος." κρότων δέ ἐςι ζῷον τὸ ἐν τοῖς βουσὶ καὶ κυσὶ γινόμενον. cf. v. ὑγιέςερος κρότωνος.

κροτώνων κυνείων φθειρῶν.

κρουνηδόν.

κρουνοχυτρολήραιον εἶ ἀντὶ τοῦ φλύαρος εἶ. κρουνὸς γὰρ τὸ χύδην καὶ ἀκρίτως καὶ ἀθρόως ῥέον, λῆρον δὲ τὸ μάταιον. συνέθηκεν οὖν ἀπὸ τοῦ κρουνοῦ καὶ τοῦ ληρεῖν καὶ τῆς χύτρας ἀναισθήτου οὔσης, ἵνα τὸ ὅλον δηλώσῃ τὸν ἀναίσθητον καὶ περισσολόγον. sch. A Eq. 89.

κρουσιδημῶν κατακρούων τῇ βοῇ, ἢ τὸν δῆμον ἀπατῶν καὶ παρακρουόμενος τῇ βοῇ. ἔςι δὲ παρὰ τὸ κρουσιμετρεῖν, ὃ λέγεται ἐπὶ τῶν τοῖς μέτροις παραλογιζομένων. sch. A Eq. 855.

κροῦσις ἤτοι δοκιμασία, ἐπεὶ τὰ σαθρὰ τῶν σκευῶν κροτέμενα δοκιμάζεται, ἢ ἀπάτη. sch. A Nub. 317.

κρύβδην λαθραίως.

κρυμός ψῦξις· (AP 6 252) "εἰς δὲ σ', ἄνασσα, τοίην χὡ νιφόεις κρυμὸς ὀπωροφορεῖ."

κρυόεσσα (Hom. *E* 740) φρικώδης.

κρύπτεια.

κρύσαλλος.

κρυφαίως ἀντὶ τοῦ κρύφα.

κρύφιοι οἱ πονηροὶ λογισμοί· "ἐκ τῶν κρυφίων μου καθάρισόν με" (Ps. 18 13).

κρυψίνους δόλιος, πανοῦργος· "ἦν δὲ ἐχέμυθος καὶ κρυψίνους." cf. v. ἐχέμυθος.

κρύψις μέθοδος δι' ἧς οἷόν τε λανθάνειν συλλογιζόμενον τὸ προκείμενον. χρηςέον δὲ προτάσεσι τὸν κρυπτικῶς ἐρωτῶντα, ὥςε ἠρωτημένων πασῶν τῶν προτάσεων, δι' ὧν δείκνυται τὸ προκείμενον, καὶ τοῦ ἐσχάτου ἐπὶ τοῖς ἠρωτημένοις ἑπόμενον συμπέρασμα τοῦ ῥηθέντος, ἄδηλον ὂν πῶς τοῦτο συνάγεται ἐκ τῶν κειμένων, καὶ ζητεῖν τὸν ἀποκρινόμενον διὰ τί τοῦτο ἐπιφέρει τοῖς κειμένοις. Alex. Aphrod. in Top. 8 1.

a κρωβύλος ὁ μαλλὸς τῶν παιδίων, καὶ ὁ πλόκαμος ὃν διέβαλλον οἱ τὸν χρυσῦν τέττιγα φοροῦντες. ἀνάδημα, κόσμος ἐκ τριχῶν πεπλεγμένος· ἐν ἐπιγράμματι (AP 6 155) "ἅλικες αἵ τε κόμαι καὶ ὁ κρωβύλος, ἃς ἀπὸ Φοίβῳ πέξατο μολπασᾷ κῶμος ὁ τετραετής." Ξενοφῶν (Anab. 5 4 13) "εἶχον δὲ κράνη σκύτινα, οἷάπερ τὰ Παφλαγονικά, κρωβύλον ἔχοντα κατὰ μέσον, ἐγγυτάτω τιαροειδῆ."

b κρωβύλος κυρίως εἶδος ἐμπλοκῆς ἐστὶ κατὰ Θουκυδίδην.

c κρωβύλος πλέγμα τριχῶν εἰς ὀξὺ λῆγον. ἐκαλεῖτο δὲ τοῦτο ἐπ' ἀνδρῶν, κόρυμβος δὲ ἐπὶ γυναικῶν, σκορπίος δὲ ἐπὶ παίδων. καὶ Θουκυδίδης (1 6) "κρωβύλυς ἀναδούμενοι."

κρωγμός ἡ βοή.

κρώζει ὡς κόραξ ἢ κορώνη κράζει· "ἥδε δ' αὖ κρώζει πάλιν," εἰς τοὐπίσω ἄπελθε, Ἀριςοφάνης Ὄρνισι (2). πάλιν γὰρ τὸ εἰς τὐπίσω· (Hom. *Θ* 266) "παλίντονα τόξα τιταίνων." καὶ αὖθις "οὐκ οἶδ' ὃ κρώζεις," ἐπὶ τῶν μάτην θρυλούντων ὡς αἱ κορῶναι· Ἀριςοφάνης Πλούτῳ (369) "σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος, ζητεῖς μεταλαβεῖν." καὶ αὖθις (Lys. 506) "τοῦτο μὲν ὦ γραῦ σαυτῇ κρώξαις," ἀπὸ μεταφορᾶς τῶν ὀρνέων τῶν δυσοιωνίςων.

κρώζουσιν βοῶσι.

Κρῶμνα (Hom. *B* 855) ὄνομα πόλεως.

Κρῶσσος ὄνομα κύριον.

κρωσσός ἡ ὑδρία, ἀγγεῖον ὑδροφορικόν. καὶ κρωσσίον ἡ ςάμνος.

κτέαρ κτῆμα.

κτεάτισσα (Hom. *Π* 57) ἐκτησάμην.

κτείνω τὸ φονεύω.

κτείς τὸ ἐφήβαιον, καὶ τὸ τῶν τριχῶν κάλλυντρον· Καλλίμαχος (fr. 308) "ὧδ' οἷσιν ἐπὶ κτενὸς ἔσχον ἔθειραι," καὶ αὖθις (AP 6 247) "καὶ κτένα κοσμοκόμην."

κτένα τὸ πύξινον κάλλυντρον τῶν τριχῶν· ἐν ἐπιγράμματι (AP 6 211) "ἠδὲ τῶν τριχῶν σαγηνευτῆρα, πύξινον κτένα." καὶ οὐδετέρως κτένιον.

κτεριοῦσι (Hom. *Λ* 455) θάψουσι.

κτηδόνες τριόδοντες ἰχθύες, καὶ θηρίδια, καὶ ἐπ' εὐθείας τῶν ξύλων ἐκφύσεις.

κτηματίτην τὸν κτήματα πολλὰ ἔχοντα· οὕτως Λυκοῦργος. καὶ κτῆμα ἐπὶ οἰκέτου· "ὃ δὲ διελέγετο αὐτῷ, καὶ ἠξίου κτῆμα αὐτῶν σφῶν γεγονότα πᾶν ὅ τι ἂν δύνηται πρὸς κατάθεσιν τοῦ πολέμου ἐργάσασθαι."

κτῆνος τὸ ζῷον.

κτησείδιον τὸ μικρὸν κτῆμα.

Κτησίας Κτησιάρχυ ἢ Κτησιόχυ, Κνίδιος ἰατρός, ὃς ἰάτρευσεν ἐν Πέρσαις Ἀρταξέρξην τὸν μνήμονα κληθέντα, καὶ συνέγραψε Περσικὰ ἐν βιβλίοις κ' καὶ γ'.

κτήσιος ὁ Ζεύς. cf. v. Ζεὺς κτήσιος.

Κτησιφῶν εἷς τῶν ι' πρέσβεων τῶν μετὰ Δημοσθένους καὶ Αἰσχίνου πρεσβευσάντων. ἕτερος δ' ἂν εἴη ὁ τὸ ψήφισμα τὸ περὶ τῦ ςεφάνυ γεγραφὼς Δημοσθένει, καθ' οὗ καὶ λόγος ἐςὶ τῷ Αἰσχίνῃ. Harp.

κτιδέη (Hom. *K* 335) ἡ περικεφαλαία.

κτίλος (Hom. *Γ* 196) ὁ προηγούμενος τῶν προβάτων κριός.

κτιννύω φονεύω.

κτίσις τὸ κτίσμα, ἐκ τοῦ κτίζω.

κτυπεῖ κομπάζει, μεγαλορρημονεῖ. "ὃ δὲ τῇ διηγήσει κτυπεῖν νομίσας τὸν ἄνδρα φησὶν ' ἀγνοεῖς, ὦ πάτερ, τῆς ἐρημικῆς ὁδοῦ τὸ ἀνήμερον, τῶν ἐν τῷ τόπῳ ἐπιτηδείων τὸ ἄπορον."

κτῶμαι αἰτιατικῇ.

κτώμενος συνάγων.

κύαθος ἀντλητήριον, μέτρον ὑγρῦ οὐγγιῶν β', ἢ κοχλιάριον. Ἀριςοφάνης (Lys. 445) "κύαθον αἰτήσεις τάχα," ἵνα προσθῇς ταῖς γνάθοις· οὕτως ὑπωπιασθήσῃ καὶ τυφθήσῃ

ἐφ' ἡμῶν. γεμίζουσι γὰρ κύαθον θερμῦ, καὶ προσκολλῶσι τοῖς οἰδήμασι, καὶ θεραπεύουσι. κύαθος οὖν παρὰ τὸ χύω, χύαθος καὶ κύαθος. cf. v. ὑπωπιασμέναι.

κυαμεῦσαι κυάμῳ ψηφοφορῆσαι, ᾧ ἐχρῶντο οἱ βουλευταί.

κύαμος εἶδος ὀσπρίου.

κυαμοτρώξ ὁ δικαςής, τρεφόμενος ὑπὸ κυάμων· πρὸ γὰρ τῆς εὑρέσεως τῶν ψήφων κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων καὶ ἐν ταῖς ἐκκλησίαις. ὡς ἂν τῶν ψηφιζομένων ἀργύριον λαμβανόντων καὶ χειροτονούντων τὰς διδόντας πλέον ⟨sch. A Eq. 41⟩. καὶ αὖθις "κρινεῖ δὲ τούτες οὐ κυαμοτρὼξ Ἀττικός."

κυάμους τρώγων δικάζων. ἢ ἵνα μὴ κοιμηθῇς· γέρων γὰρ εἶ. sch. A Lys. 537.

κυαναυγῆ περιπετάσματα ὑποβαλλόμεναι, ὥσπερ ἔθος ἦν τοῖς ἐν πένθει οὖσι.

κυανέμβολοι αἱ τοὺς ἐμβόλους ἔχεσαι κυανῷ βεβαμμένους, ὡς μιλτοπάρῃοι αἱ μεμιλτωμέναι. ἢ αἱ τέμνουσαι τὴν θάλασσαν· κυανὸν γὰρ τὸ ταύτης ὕδωρ. sch. A Eq. 551.

κυάνεοι μέλανες.

κυανοχαίτης ⟨Hom. Y 144⟩ μελανόθριξ, πορφυρόθριξ, ὁ Ποσειδῶν.

κυανώτατος μελανώτατος.

Κυάρας ὄνομα κύριον.

κύβδα· "ἐξελῶ σε τῇ πυγῇ θύραζε κύβδα" ⟨A Eq. 364⟩ ἀντὶ τοῦ κύφοντα.

κύβεθρον θήκην μελισσῶν.

κυβεία πανουργία.

κύβειρος ὁ ἀναιδής.

Κυβελείοις τοῖς τῆς Ῥέας· Κυβέλη γὰρ ἡ Ῥέα· ⟨AP 6 173⟩ "Γαλλαίῳ Κυβέλης ὀλολύγματι." Κύβελα γὰρ ὄρη Φρυγίας, ἔνθα ἐτιμᾶτο.

Κυβέλη ἡ Ῥέα, παρὰ τὰ Κύβελα ὄρη· ὀρεία γὰρ ἡ θεός, διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει. τὸ δὲ μῆτερ Κλεοκρίτου παρ' ὑπόνοιαν εἶπε, βουλόμενος αὐτὸν διαβαλεῖν ὡς ςρουθόποδα, τουτέςι μεγαλόπουν. ἐκωμῳδεῖτο δὲ ὡς κίναιδος καὶ ξένος καὶ δυσγενής, ἐπεὶ ἐν τοῖς μυςηρίοις τῆς Ῥέας μαλακοὶ πάρεισιν. ἦν δὲ καὶ τὴν ὄψιν ὀρνιθιώδης. εἴρηται οὖν ἐπὶ τῶν κιναίδων ἡ παροιμία. sch. A Av. 877.

Κυβέλης υἱός ὁ Κλεόκριτος, ὃς ἐκωμῳδεῖτο ὡς γυναικίας καὶ κίναιδος.

κυβερνήτης ὁ τοῦ πλοίου ἡγεμών.

κυβερνῶ αἰτιατικῇ.

κυβεύειν κύβον ῥίπτειν, εἰς κίνδυνον προπηδᾶν· "μὴ παραβάλλεσθαι μηδὲ κυβεύειν τῷ βίῳ." cf. v. κύβος.

Κυβήβη ἡ θεῶν μήτηρ. **κυβιςᾶν** κυρίως τὸ ἐπὶ κεφαλὴν ῥιπτεῖν· Ὅμηρος ⟨E 686⟩ "κύμβαχος ἐν κονίῃσιν." ἐπεὶ οἱ μανιώδεις περὶ τὴν κεφαλὴν πάθους γινομένε τοιοῦτοι γίνονται, ὅθεν καὶ τὴν μητέρα τῶν θεῶν ἀπὸ τοῦ ἐνθουσιασμοῦ Κυβήβην λέγουσιν· αἰτία γὰρ ἐνθουσιασμοῦ τὸ μυεῖσθαι γίνεται. ἔςι δὲ καὶ ἐν Φρυγίᾳ ἱερὸν μητρὸς θεῶν.

κυβηλίσαι πελεκίσαι· κύβηλις γὰρ ὁ πέλεκυς. καὶ **ἀγερσικύβηλις** ὁ θύτης. Κρατῖνος Δραπέτισιν ἐπὶ Λάμπωνος εἶπε τὸν ἀγύρτην καὶ **κυβηλιςήν**.

κύβητος. cf. v. κεφαλή.

κυβίοις κλάδοις τοῖς δακτυλικοῖς.

κυβίςησις ἡ συςροφή. καὶ **κυβιςήσειν.**

κυβιςητήρ ὀρχηςής, καὶ **κυβιςητεία** ἡ ὄρχησις.

κύβον· "τοῦ ςρατηγοῦ ἀδύνατα ἔχοντος κύβον ἀναρρῖψαι πολέμου τοσοῦτον." cf. v. ἀδύνατα.

κύβος πᾶν τετράγωνον. κύβος ὁ κυκλόθεν βάσιν ἔχων. Ἀπολλόδωρος ἀπὸ τῆς κυφότητος· τὸ γὰρ ἐπὶ κεφαλὴν κυλισθῆναι κυβιςῆσαι ἔλεγον. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 25⟩ "οἶδ' ὅτι ῥιπτῶ πάντα κύβον κεφαλῆς αἰὲν ὕπερθεν ἐμῆς." καὶ **ἐγκυβιςᾶν τοῖς πράγμασι** τὸ ῥιψοκινδύνως τι πράττειν καὶ ἐπιλέγειν ἐρρίφθω κύβος. Πολύβιος "οἱ μὲν ἀλογιςίαν καὶ μανίαν ἔφασαν εἶναι τὸ παραβάλλεσθαι καὶ κυβεύειν τῷ βίῳ," τουτέστι παραλόγως τι πράττειν καὶ ῥιψοκινδύνως. cf. v. ἐκκυβεύειν.

κυδάζεται λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων. Ἐπίχαρμος ἐν Ἀμύκῳ "Ἄμυκε, μὴ κύδαζέ μοι τὸν πρεσβύτην ἀδελφόν," καὶ Αἰσχύλος ἐν Ἰφιγενείᾳ "οὔτοι γυναιξὶ κυδάζεσθαι." ἀρσενικὸν δὲ ὁ κῦδος ἐπὶ τῆς ὕβρεως. καὶ Σοφοκλῆς ⟨Ai. 722⟩ "κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ."

Κυδαθηναιεύς. δῆμός ἐςι φυλῆς τῆς Πανδιονίδος τὸ Κυδαθήναιον, ἀφ' οὗ ὁ δημότης Κυδαθηναιεύς. Harp.

κυδάλιμον ἔνδοξον, τίμιον, εὐπρεπές.

Κυδαντίδης. δῆμος τῆς Αἰγηίδος Κυδαντίδαι.

Κύδας. cf. v. Βάκις.

κυδιάνειρα ἔνδοξος.

κύδιμος ἔνδοξος.

κυδιόων ⟨Hom. Β 579⟩ γαυριῶν.

κύδιςος ἔνδοξος.

Κύδνιον ῥεῦμα. Κύδνος ὄνομα ποταμοῦ· "ποταμός τε αὐτοὺς διαρρεῖ Κύδνος, ᾧ παρακάθηνται οἱ Ταρσεῖς καθάπερ τῶν ὀρνίθων οἱ ὑγρότατοι, μεθύοντες τῷ ὕδατι" ⟨Philostrat. V. A. 1 5: cf. v. Εὐθύδημος⟩.

κυδοιδοπᾶν συνταράσσειν. τινὲς δὲ ἐξ ἑκατέρου τὸ πράττειν, τὸ μὲν ἀπὸ τοῦ κυκᾶν, τὸ δὲ ἀπὸ τοῦ κυδοιμοῦ. Ἀριστοφάνης ⟨Nub. 616⟩ "οὐδὲν ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾶν."

κυδοίμεον ⟨Hom. Λ 324⟩ ἐθορύβουν. καὶ κυδοιμήσων ⟨Ο 136⟩ ὁμοίως.

κυδοιμός θόρυβος, τάραχος.

a κῦδος γαῦρος, δύναμις, δόξα, φήμη.

b κῦδος λοιδορία, ἀρσενικῶς. καὶ παροιμία "κύδου δίκην ὀφείλειν" ἐπὶ τῶν συκοφαντησάντων.

κυδρούμενον· "ἐν ἐκείνῳ δ' οὖν τοῦ καιροῦ πομπεύοντα ἁβρὸν καὶ κυδρούμενον καὶ θρυπτόμενον." cf. v. Βάρβιος.

Κυδωνιάτης καὶ Κυδωνίτης ἀπὸ τόπου.

κυδώνιον εἶδος ὀπώρας.

Κύδωνος.

κύει γεννᾷ ἢ ἐν γαςρὶ ἔχει.

Κυζικηνοὶ ςατῆρες. διεβεβόηντο οὗτοι ὡς εὖ κεχαραγμένοι. πρόσωπον δὲ ἦν γυναικεῖον ὁ τύπος, ἐπὶ δὲ θατέρου προτομὴ λέοντος.

Κυθέρεια, οὐχ ὅτι προσέκυρσε Κυθήροις, ὡς Ἡσίοδός φησιν ⟨Th. 198⟩, ἀλλ' ἡ ἐν αὐτῇ κευθόμενον ἔχουσα τὸν ἔρωτα, ὃν πᾶσιν ἐφίησι· διὰ γὰρ τοῦ κεςοῦ ἔχει τὴν δύναμιν. τὴν Λαΐδα τὴν ἑταίραν φασὶ ⟨AP 7 218⟩ "τὴν θνητὴν Κυθέρειαν, ἐφ' ᾗ μνηςῆρες ἀγαυοὶ πλείονες ἢ νύμφης εἵνεκα Τυνδαρίδος."

Κύθηρα ὄνομα πόλεως.

Κυθήρηθεν ἀπὸ τῶν Κυθήρων.

Κυθήριος.

Κύθηρον δῆμος τῆς Πανδιονίδος.

Κυθνείδης ὄνομα κύριον.

Κύθνιοι. Κύθνος μία τῶν Κυκλάδων.

κυθνιώδης συμφορά. οὕτω λέγεται ἡ μεγάλη συμφορά· οὗτοι γὰρ οἱ Κύθνιοι κακῶς διετέθησαν ὑπὸ Ἀμφιτρύωνος.

Κύινδα ἡ νῦν λεγομένη Ἀνάζαρβα, πόλις ἐν Κιλικίᾳ. ἐλέγετο δὲ καὶ Διοκαισάρεια. ζήτει τὴν ἱςορίαν ἐν τῷ Ἀνάζαρβος.

κυΐσκω γεννῶ.

κυκᾷ ταράττει, καὶ κυκήσω ἀντὶ τοῦ ταράξω, θορυβήσω. ἐν ἐπιγράμματι ⟨AP 6 222⟩ "μυριόπουν σκολόπενδραν ὑπ' Ὠρίωνι κυκηθεὶς πόντος Ἰαπύγων ἔβρασ' ἐπὶ σκοπέλους."

κυκαίνω.

κυκειῷ ⟨Hom. Λ 624⟩ ἐκ τοῦ κυκάω κυκῶ.

κυκεών πόμα ἐκ διαφόρων μιγμάτων κιρνάμενον.

κυκήθρα ταραχή, συμφορά, σκυθρωπότης.

κυκησιτέφρου ταραττούσης τὴν τέφραν· Ἀριςοφάνης ⟨Ran. 719⟩ "Κλειγένης ὁ μικρὸς ὁ πονηρότατος βαλανεύς, ὁπόσοι κρατοῦσι κυκησιτέφρου ψευδονίτρου τε κονίας καὶ Κιμωλίας γῆς," τῆς κυκώσης τέφραν μεμιγμένην τῷ νίτρῳ. Κιμωλία δὲ λευκὴ γῆ. λέγει δὲ ὅτι πονηρότατός ἐςι πάσης γῆς ὅσης οἱ βαλανεῖς κρατοῦσι, Κιμωλίας, τέφρας καὶ τῆς λοιπῆς τῆς τοιαύτης.

κύκλα ⟨Hom. Ε 722⟩ τροχούς.

κυκλάμινος.

Κυκλεύς Κυκλέως ὄνομα κύριον. cf. v. Ἀρίων.

κυκλήσομεν ⟨Hom. Η 332⟩ ἀναζεύξομεν.

κύκλια. τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. Ἀριςοφάνης ⟨Av. 919⟩ "κύκλιά τε πολλὰ καὶ καλά," τουτέςι μέλη, ὕμνους, παιᾶνας, προσόδια, παρθένια.

κυκλιοδιδάσκαλος. πρῶτος Λάσος ὁ Ἑρμιονεὺς τοὺς κυκλίους χοροὺς ἔςησε. sch. A Av. 1403.

κυκλίων τε χορῶν ᾀσματοκάμπτας Ἀριςοφάνης Νεφέλαις ⟨332⟩. οἱ παλαιοὶ διαφθορὰν τῆς μουσικῆς ἡγοῦντο εἶναι τοὺς διθυράμβους. καὶ καθάπτεται αὐτῶν λέγων ⟨966⟩ "εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέν τινα καμπήν, οἵας οἱ νῦν, ταύτας τὰς δυσκολοκάμπτους, ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς μούσας ἀφανίζων." καὶ Καλλίμαχος δὲ ⟨fr. 279⟩ πρὸς αὐτοὺς ἀποτεινόμενος οὕτω πως αὐτῶν καθάπτεται "νόθαι δ' ἤνθησαν ἀοιδαί." ἢ τοὺς περὶ Κινησίαν καὶ Κλεομένην καὶ Φιλόξενον αἰνίττεται, ὄντας διθυραμβοποιούς. σοφιςὸς δὲ

εἶναι βούλεται καὶ τοὺς διθυραμβοποιούς. τῶν γὰρ κυκλίων χορῶν ἦσαν οὗτοι διδάσκαλοι. διὰ δὲ τὸ ἁρμονίᾳ μὴ ὑποπίπτειν αὐτῶν τὰ συγγράμματα καμπὰς ἔχȣσι πλείονας, ἃς οἱ μουσικοὶ ϛροφὰς καὶ ἀντιϛρόφȣς καὶ ἐπῳδοὺς καλοῦσι. διὸ καὶ ἐν ταῖς τραγῳδίαις συνειϛήκει τὰ χορικά.

Κυκλοβόρος ποταμὸς τῆς Ἀττικῆς, χειμάρρους. ἐπὶ τῶν κακοφώνων ὁ λόγος διὰ τὸν ἦχον τοῦ ποταμοῦ. Ἀριϛοφάνης ⟨Eq. 137⟩ "ἅρπαξ κεκράκτης, Κυκλοβόρȣ φωνὴν ἔχων."

κυκλόθεν.

a κύκλοι ἐν τῷ οὐρανῷ έ, ἀρκτικὸς ὁ ἀεὶ φαινόμενος, χειμερινὸς τροπικός, θερινός, ἰσημερινός, ἀνταρκτικὸς ἀφανής. λέγονται δὲ παράλληλοι, καθότι οὐ συννεύȣσιν εἰς ἀλλήλους, γράφονται μέντοι περὶ τὸ αὐτὸ κέντρον. ὁ δὲ ζῳδιακὸς λοξός ἐϛιν ὡς αἴτιος τοῖς παραλλήλοις. Diog. L. 7 155.

b κύκλοι ἐκαλοῦντο οἱ τόποι ἐν οἷς ἐπωλοῦντό τινες. ὠνομάσθησαν δὲ ἀπὸ τοῦ κύκλῳ περιεϛάναι τοὺς πωλουμένους.

κυκλοφορεῖται κατὰ κύκλον φέρεται ἢ κινεῖται.

κυκλῶ αἰτιατικῇ.

Κύκλωπες ἄγριοι ἄνθρωποι. καὶ Κυκλώπειον βλέμμα. σημαίνει δὲ καὶ ὄρος.

κύκλωσις παρατάξεως εἶδος. "δείξαντες ἐν ἡμέρᾳ μιᾷ καὶ ὅπως κυκλώσασθαι, δι' ὑπερβολὴν ἀνδρείας παρὰ τὴν χρείαν τοῦ πολέμου τὴν ἐπὶ τῆς ἐξουσίας ἄσκησιν ἐνδειξάμενοι." cf. v. περιέπτυξαν.

κύκνειον τὸ τοῦ κύκνου μέλος.

κύκνος ὄρνεον φιλῳδόν. ⟨AP 7 19⟩ "κύκνον τὸν μȣσῶν ἆξια μελψάμενον." ⟨A Vesp. 1100⟩ "κύκνου πολιώτεραι δὴ αἵδ' ἐπανθȣ̃σιν τρίχες. ἀλλὰ κἀκ τῶν λειψάνων δεῖ τῶνδε γνώμην νεανικὴν ἔχειν· ὡς ἐγὼ τοὐμὸν νομίζω γῆρας εἶναι κρεῖττον ἢ πολλῶν κικίννους νεανιῶν καὶ σχῆμα κεὐρυπρωκτίαν."

κυκώμενος ταραττόμενος.

κυλικεῖον ἡ θήκη τῶν ποτηρίων.

κυλίνδει κυλίει, ἐπιφέρει.

κύλινδρος.

κυλίνη ἡ ἄκαρπος κράμβη.

κύλιξ φιάλη, ποτήριον. λέγεται δὲ καὶ "κυλίκιον χεῖλος ἀποκεκρουσμένον" ⟨A Ach. 458⟩, κεκλασμένον. καὶ ἐπὶ κύλικι ἐξηγήσεις. "οἷα δὴ ἐν ϛιβάσι καὶ κύλικι ἐς τὸ ἁβρότερον ἀνακεκλιμένοις ἐπιπεσὼν ἔκτεινε." καὶ αὖθις ⟨AP 6 190⟩ "καὶ ϛαγόνα σπονδῖτιν, ἀεὶ θυέεσσιν ὀπηδόν, τὴν κύλικος βαιῷ πυθμένι κευθομένην." καὶ αὖθις ⟨A Plut. 1135⟩ "οἴμοι δὲ κύλικος ἴσον ἴσῳ κεκραμένης." τῷ Ἑρμῇ μόνῳ ἔθυον κεκραμένην σπονδὴν διὰ τὸ ζώντων καὶ τετελευτηκότων ἄρχειν καὶ παρ' ἀμφοτέρων τιμὰς δέχεσθαι. ἔϛι δὲ καὶ ὅρκος ὁ ἐπὶ τῆς κύλικος οὗτος· ⟨A Lys. 225⟩ "οὐδέποθ' ἑκοῦσα τἀνδρὶ τοὐμῷ πείσομαι· ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ, κακῶς παρέξω κοὐχὶ προσκινήσομαι, οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ περσικά, οὐ ϛήσομαι λέαιν' ἐπὶ τυροκνήϛιδος. ταῦτ' ἐμπεδȣ̃σα μὲν πίοιμ' ἐντευθενί· εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῇθ' ἡ κύλιξ."

κύλιξ ῥοπαλωτή τὸ παρὰ πολλοῖς διακλύϛηρον. "Κόμοδος ὁ βασιλεὺς Ῥωμαίων, ἐπὶ τῇ ἀγωνίᾳ καμών, κύλικι ῥοπαλωτῇ παρὰ γυναικὸς γλυκὺν οἶνον ἐψυγμένον λαβὼν ἀμυϛὶ ἔπιεν" ⟨cf. v. ἀμυϛὶ πιεῖν⟩.

κυλίχνιον ἔκπωμα, ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰ πυξίδια, ἐν οἷς βάλλουσι τὰ πάσματα. sch. A Eq. 902.

Κύλλαρος ἵππος Κάϛορος, παρὰ τὸ κέλλειν· ὁ ταχύς. Στησίχορός φησι τὸν μὲν Ἑρμῆν δεδωκέναι τοῖς Διοσκούροις Φλόγεον καὶ Ἅρπαγον, ὠκέα τέκνα Ποδάργας, Ἥραν δὲ Ξάνθον καὶ Κύλλαρον.

Κυλλήνη ὄνομα πόλεως. καὶ Κυλλήνιος ὁ Ἑρμῆς.

κυλλοπόδιον ⟨Hom. Φ 331⟩ ἐπὶ κλητικῆς.

κυλλός ὁ πεπηρωμένος. κυλλοὺς δὲ Ἀττικοὶ καλȣ̃σιν ἐπὶ ποδῶν καὶ χειρῶν· ὁμοίως καὶ χωλοὺς τοὺς χεῖρα πεπηρωμένους. Εὔπολις "ὅτι χωλὸς εἶ σὺ τὴν χεῖρα σφόδρα" ⟨sch. A Eq. 1083⟩. λέγεται καὶ Κύλλου πήρα τόπος οὕτω καλούμενος ἐν τῇ Ἀττικῇ. ἔϛι δὲ καὶ κρήνη, ἀφ' ἧς τὰς ϛερίφας φασὶ πίνειν γυναῖκας, ἵνα συλλαμβάνωσι. a

κυλλός ὁ πεπηρωμένος, οὐ μόνον πόδα b ἀλλὰ καὶ χεῖρα· ὁμοίως χωλὸς καὶ ἐπὶ ποδὸς καὶ ἐπὶ χειρός. οἱ δὲ κύλλον ἀναγινώσκουσιν ὡς κύκνον. τὸ μὲν κυλλὸν ἐπὶ τοῦ ποδὸς ἔτασσον, ὡς ὁ ποιητὴς "ὄρσεο κυλλοπόδιον," τὸ δὲ χωλὸν ἐπὶ τῆς χειρός, ὡς Εὔπολις "ὅτι χωλός ἐϛι τὴν ἑτέραν χεῖρ' ὃ λέγεις." ἢ ἐπειδὴ πολὺ παρ' αὐτοῖς ἐϛὶ τὸ ποδὶ λευκῷ, ποδὶ κούφῳ, πόδα τιθείς, τὸ κυλλὸν προσέθηκεν. Ἀριϛοφάνης Ὄρνισιν ⟨1379⟩. Αἰ-

λιανός ⟨cf. v. ἀσκωλιάζειν⟩ "ὁ δὲ ἀλεκτρυὼν ἑςὼς ἐπὶ θατέρου ποδὸς προύτεινε τὸν λελωβημένον καὶ κυλλόν, ὥσπερ οὖν μαρτυρόμενος καὶ ἐμφαίνων οἷα ἐπεπόνθει."

Κυλλοῦ πήραν. ἡ Πήρα χωρίον πρὸς τῷ Ὑμηττῷ, ἐν ᾧ ἱερὸν Ἀφροδίτης, καὶ κρήνη ἐξ ἧς αἱ πιοῦσαι εὐτοκοῦσι καὶ αἱ ἄγονοι γόνιμοι γίνονται. Κρατῖνος δὲ ἐν Μαλθακοῖς Κυλλίαν αὐτήν φησιν, οἱ δὲ Κυλλȣ̃ πήραν. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν τὴν φύσιν βιαζομένων ἐξ ἐπιτεχνήσεως.

κυλοιδιόων τὰ κύλα οἰδῶν· ἔςι δὲ τὰ ὑπὸ τȣ̀ς ὀφθαλμȣ́ς. Θεόκριτος ⟨1 38⟩ "δηθὰ κυλοιδιόωντες."

Κυλώνειον ἄγος ἀπὸ Κύλωνος, ὃν καταφυγόντα ἐπὶ τὰς σεμνὰς θεὰς ἀποσπάσαντες αὐτὸν οἱ περὶ τὸν Περικλέα τὸν Ἀθηναῖον ἀπέκτειναν. cf. v. Περικλῆς a.

κῦμα. Ἀριςοφάνης ⟨Ran. 716⟩ "καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις," ἀντὶ τοῦ ὄντες ἐν πολλοῖς κινδύνοις καὶ ἀνάγκαις.

κυμαίνει ταράσσει. καὶ ἐπὶ τοῦ ζέειν· "αἶψα δὲ κυμαίνȣσαν ἀπαίνυτο χυτρίδα κοίλην." Αἰλιανός "ὅμως ἡ ψυχὴ ὑπὸ τοῦ πόθου κυμαίνεται αὐτῷ καὶ φλέγεται, καὶ ἀκράτωρ ἑαυτοῦ ἦν" ⟨cf. vv. ἀκράτωρ et ἐσήλατο⟩.

Κυμαῖος ἀπὸ τῆς Κύμης. σημαίνει δὲ καὶ ὄνομα κύριον. Κύμη δὲ ὄνομα πόλεως.

κυμάτια αἱ ὑπεροχαὶ παρὰ τέκτοσι καὶ λιθοποιοῖς. cf. v. πεζίτια.

κυματίας ὁ κυματώδης. Herodot. 2 111.

κύματος ἄκρον ἄωτον ὁ ἀφρός.

κυματωγή· Ἀγαθίας ⟨3 21⟩ "νῆες φορτίδες μεγάλαι πρὸς τῇ κυματωγῇ τῆς θαλάττης καὶ ταῖς ἐκβολαῖς τȣ̃ Φάσιδος ἐφορμοῦσαι μετεώρους εἶχον τὰς ἀκάτους καὶ ἀμφ' αὐτὰ ἤδη που τὰ καρχήσια τῶν ἱςῶν ἀνιμηθείσας." "οἱ δὲ ἐπορεύοντο τὴν αὐτὴν τῷ ποταμῷ διὰ τῆς κυματωγῆς, βρέχοντες τοὺς πόδας, ὅπου μηδὲ ἴχνος ἔμελλε συμβαίνειν."

ι κύμβαλα θυμελικὰ παίγνια· ἐν ἐπιγράμματι ⟨AP 6 94⟩ "καὶ κύμβαλ' ὀξύδουπα κοιλοχείλεα."

κύμβαχος ⟨Hom. E 586⟩ ἐπὶ κεφαλὴν πεσὼν καὶ ἄνω τοὺς πόδας.

κυμβία τὰ μαζία τῶν χρυσίων.

κυμβίον εἶδός τι ἐκπώματος ἐπίμηκες καὶ ςενὸν καὶ τῷ σχήματι παρόμοιον τῷ πλοίῳ ὃ καλεῖται κυμβίον ⟨an κύμβη⟩.

κυμίνδιος ὁ ἀετός. καὶ κύμινδος.

κύμινον εἶδος βοτάνης.

κυμινοπριςοκαρδαμόγλυφον· Ἀριςοφάνης ⟨Vesp. 1348⟩ "τὸ γὰρ υἵδιον τηρεῖ με, κἄςι δύσκολον, κἄλλως κυμινοπριςοκαρδαμόγλυφον."

Κυμοδόκη ⟨Hes. Th. 252⟩ καὶ Κυμοθόη ὀνόματα θεῶν ἐναλίων.

κυμοτόμος. "περὶ τὰς γεφύρας οἰκοδόμημα τρίγωνον, τὸ ὀξὺ ἔχον ἔμπροσθεν ἐν τριγώνῳ σχήματι, ὃ δὴ οἱ μηχανοποιοὶ κυμοτόμον καλȣ̃σιν, ἐμβόλῳ νηὸς μακρᾶς ἀπεικασμένον· ὅπερ ὁ τῶν Ἀβάρων χαγάνος ἐτεκτήνατο, γεφυρώσας τὸν ποταμὸν καὶ ἐς τὴν περὶ Δαρδανίαν ὄχθην διαβιβάσας τὸν ςρατόν."

κύνα δέρειν δεδαρμένην, τὸ τοῦ Φερεκράτους ⟨A Lys. 158⟩. σχῆμα δέ ἐςιν ἀκόλαςον εἰς τὸ αἰδοῖον. εἴρηται δὲ ἐπὶ τῶν ἄλλο πασχόντων αὖθις ἐφ' οἷς πεπόνθασιν ἡ παροιμία.

Κυναίγειρος Ἀθηναῖος Εὐφορίωνος, Αἰσχύλου δὲ ἀδελφός, τῆς ςρατηγίδος ἐπελάβετο νηὸς τῶν Περσῶν ἤδη φευγούσης, καὶ τὴν δεξιὰν ἀποκοπεὶς ἐπέβαλε τὴν ἀριςεράν, ἧς καὶ αὐτῆς ἀποκοπείσης ἐτελεύτα πεσών.

κυνάμυια ⟨Hom. Φ 394⟩ ἀναιδεςάτη. παρεσχημάτικε τὸ ὄνομα ἀπὸ τοῦ κυνὸς καὶ τῆς μυίας· ὁ μὲν γὰρ κύων ἀναιδής, ἡ δὲ μυῖα θρασεῖα.

κύνας βοτῆρας ⟨S Ai. 297⟩. ὑφ' ἓν ἀναγνωςέον, τοὺς ποιμενικοὺς κύνας· οὐ γὰρ ἀναιρεῖ κατὰ τὴν σκηνὴν ἄνθρωπον, ἀλλ' ἔξω τινὰς ἀναιρεῖ.

κυνέας τὰς περικεφαλαίας, ἤτοι τὰς ἀπὸ κυνείων δερμάτων γινομένας, ἢ ἀπὸ Κυνός τινος κατασκευάσαντος πρῶτον. μέμνηται Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας ⟨94⟩ οὕτως "οἱ τὰς κυνᾶς τὰς Βοιωτίας ἔχοντες."

κυνέη περικεφαλαία, τῶν ἀγροίκων φόρημα. φασὶ δὲ ὅτι τὸ πρότερον ἀπὸ κυνείων δερμάτων ἐγίνοντο. sch. A Nub. 269.

κύνειος δορά.

κύνειρον. cf. Theognost. p. 21 23.

κύνεος ὁ ἀναιδής.

κυνῆ· Ἀριστοφάνης ⟨Av. 1203⟩ "πλοῖον ἢ κυνῆ," ἐπὶ τῶν ἀμφιβόλων πραγμάτων. πλοῖον μέν, καθὸ ἐπτέρωνται αἱ τριήρεις καὶ τὰ πτερὰ διατέταται ὥσπερ κῶπαι, κυνῆ δέ,

ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον ὡς ὁ Ἑρμῆς ἄγγελος ὤν. καὶ οἱ Πελοποννήσιοι δὲ κυνῆν τὸν πέτασόν φασι.

Κυνήγιον. ὅτι ἐν τῷ Κυνηγίῳ καλουμένῳ ἐρριπτοῦντο οἱ βιοθάνατοι. ἦσαν δέ τινες ἐκεῖσε ςῆλαι. "καὶ ἀπελθὼν Θεόδωρος ὁ ἀναγνώςης μετὰ Ἱμερίου χαρτουλαρίȣ εἶδεν ἐκεῖσε ςήλην μικρὰν τῷ μήκει καὶ πλατεῖαν καὶ παχεῖαν πάνυ. ἐμοῦ δὲ θαυμάζοντος, φησίν, ὁ Ἱμέριος θαυμάζειν ἔφη ὅςις ὁ κτίσας τὸ Κυνήγιόν ἐςιν. ἐμοῦ δὲ εἰπόντος 'Μαξιμῖνος ὁ κτίσας καὶ Ἀριςείδης ὁ καταμετρήσας,' παρευθὺ πεσεῖν τὴν ςήλην ἐκ τȣ̃ ἐκεῖσε ὕψȣς, καὶ δοῦναι τῷ Ἱμερίῳ καὶ θανατῶσαι. ἐμοῦ δὲ φοβηθέντος καὶ πρὸς τὴν ἐκκλησίαν φυγόντος καὶ καταγγέλλοντος τὸ πραχθέν, ἀπιςούντων πάντων ὅρκοις τοῦτο ἐβεβαίωσα. οἱ οὖν οἰκεῖοι τοῦ τελευτήσαντος καί τινες τοῦ βασιλέως σὺν ἐμοὶ ἐπορεύθησαν ἐν τῷ τόπῳ, καὶ πρὸ τοῦ τὸ πτῶμα ἰδεῖν τοῦ ἀνδρὸς τὸ πτῶμα τῆς ςήλης ἐθαύμαζον. Ἰωάννης δέ τις φιλόσοφος ἔφη ὅτι εὗρον ὑπὸ τούτȣ τοῦ ζωδίου ἔνδοξον ἄνδρα τεθνηξόμενον· ἐξ οὗ Φιλιππικὸς ὁ βασιλεὺς πληροφορηθεὶς τοῦτο τὸ ζώδιον ἐν τῷ αὐτῷ τόπῳ καταχωσθῆναι ἐκέλευσε" ⟨Codin. orig. CP 36⟩.

κυνηδόν ὡς κύων· "ἡ δὲ ἀγανακτήσασα καὶ κυνηδὸν ὑποπλησθεῖσα τοῦ θυμοῦ, τοῖς ὀδοῦσιν ἐμφῦσα εἰς τὸ σκέλος, εἶτα μηδὲν ἀδικοῦντα χωλὸν εἰργάσατο."

Κυνθιάδες· ἐν ἐπιγράμματι ⟨AP 6 121⟩ "Κυνθιάδες θαρσεῖτε· τὰ γὰρ τοῦ Κρητὸς Ἐχέμμα κεῖται ἐν Ὀρτυγίῃ τόξα παρ' Ἀρτέμιδι." καὶ Κυνθίαν· "Κυνθίαν ἔχων ὑψικέρατα πέτραν" Ἀριςοφάνης ⟨Nub. 592⟩.

Κυνίδαι γένος τι παρ' Ἀθηναίοις οὕτω καλούμενον. Harp.

κυνίδιον ⟨A Ach. 541⟩ τὸ μικρὸν κυνάριον.

κυνίσκας τὰς κύνας, ὥσπερ φιαλίσκας. sch. A Ran. 1403.

a κυνισμός σύντομος ἐπ' ἀρετὴν ὁδός. καὶ "κυνιεῖν δεῖ τοὺς σπουδαίους." cf. Diog. L. 7 121.

b κυνισμός αἵρεσις φιλοσόφων. ὁ δὲ ὁρισμὸς αὐτοῦ σύντομος ἐπ' ἀρετὴν ὁδός. τέλος δὲ τοῦ κυνισμȣ̃ τὸ κατ' ἀρετὴν ζῆν, ὡς Διογένης καὶ Ζήνων ὁ Κιτιεύς. ἤρεσκε δ' αὐτοῖς λιτῶς βιοῦν, αὐτάρκεσι χρωμένοις σιτίοις, πλάτȣ δὲ καὶ δόξης καὶ εὐγενείας καταφρονεῖν. ἔνιοι δὲ βοτάναις καὶ ὕδατι ψυχρῷ ἐχρῶντο, σκέπαις τε ταῖς τυχούσαις καὶ πίθοις, καὶ ἔφασκον θεοῦ μὲν ἴδιον εἶναι τὸ μηδενὸς δεῖσθαι, τῶν δὲ θεῷ ὁμοίων τὸ ὀλίγων χρῄζειν. ἀρέσκει δ' αὐτοῖς καὶ τὴν ἀρετὴν διδακτὴν εἶναι καὶ ἀναπόβλητον. Diog. L. 6 105.

Κύννα καὶ Σαλαβακχὼ ὀνόματα θαυμαζομένων παρ' Ἀθηναίοις ἑταιρῶν. Ἀριςοφάνης ⟨Pac. 753⟩ "καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρχαρόδοντι, οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον, ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο περὶ τὴν κεφαλήν." περὶ Κλέωνός φησι.

Κύννειος Ἀπόλλων Ἀθήνησιν οὕτω λεγόμενος, ὃν ἱδρύσατο Κύννις Ἀπόλλωνος καὶ Παρνηθίας νύμφης, ὡς Σωκράτης ἐν ιβ' ... θεμένης τῆς Λητοῦς τὰ βρέφη ὑπὸ κυνῶν ἁρπασθῆναι· τοῦ κνυζηθμοῦ γὰρ αἰσθομένους κύνας καὶ ποιμένας ἀνασῶσαι τῇ μητρί. ὀνομασθῆναι οὖν ἐν Ὑμηττῷ ἀπὸ τῶν κυνῶν. Κράτης ἐν τῷ περὶ τῶν Ἀθήνησι θυσιῶν οὕτω γράφει "τὸ δὲ Κύννειόν ἐστιν Ἀπόλλωνος Κυννείου, τὸ ἐκ τοῦ θυννείου γινόμενον· τȣ̃το δέ ἐςι τὸ θυννεῖον ἁλήσιον ⟨an Ἀλῆσιν⟩, καὶ γίνεται πρόσοδος μεγάλη. ταύτην ἡ πόλις εἰς θυσίαν καταχωρίζει τῷ Ἀπόλλωνι τῷ Κυννείῳ ἁλήσιον Δημήτριος ὁ βασιλεύς."

κυνοκέφαλος ⟨A Eq. 414⟩. ὁ Κλέων ἑαυτὸν οὕτω καλεῖ, ἀντὶ τοῦ δεινὸν καὶ ἀναίσχυντον, ὁποῖος ἦν ὁ παρ' Ἡσιόδῳ Γηρυονεύς· "Χρυσάωρ ἔτεκε τρικάρηνον Γηρυονῆα." τουτέςιν ἰταμὸς καὶ ἀναιδὴς καὶ ἁρπακτικός.

κυνοκοπήσω σου τὸ νῶτον ἀντὶ τȣ̃ τυπτήσω σε καθάπερ κύνα. τοῦτο δὲ ὡς μάγειρος λέγει· ἔςι γὰρ κύων ἰχθῦς ποιός. ἅμα δὲ οἷον κυνείῳ δέρματί σε παίσω· ἔςι γὰρ τραχύτατον. οὐδετέρως δὲ τὸ νῶτον.

κυνόμυια ἡ ἀναιδής. cf. v. κυνάμυια.

κυνοραιςαί κρότωνες οἱ τῶν κυνῶν τὸ αἷμα ἐκπιπίζοντες.

κυνοραιςέων ⟨Hom. ρ 300⟩ ῥῆμα.

Κυνόσαργες. ἕν τι τῶν παρ' Ἀθηναίοις γυμνασίων τὸ Κυνόσαργες. Harp. a

Κυνόσαργες. τόπος ἐςὶ παρ' Ἀθηναίοις b καὶ ἱερὸν Ἡρακλέους, κατ' αἰτίαν τοιαύτην.

Δίομος ὁ Ἀθηναῖος ἔθυεν ἐν τῇ ἑςίᾳ· εἶτα κύων λευκὸς παρὼν ἥρπασε τὸ ἱερεῖον καὶ ἀπέθετο εἴς τινα τόπον· ὃ δὲ περιδεὴς ἦν. ἔχρησε δὲ αὐτῷ ὁ θεὸς ὅτι εἰς ἐκεῖνον τὸν τόπον, οὗ τὸ ἱερεῖον ἀπέθετο, Ἡρακλέους βωμὸν ὀφείλει ἱδρύσασθαι. ὅθεν ἐκλήθη Κυνόσαργες. ἐπειδὴ οὖν καὶ ὁ Ἡρακλῆς δοκεῖ νόθος εἶναι, διὰ τοῦτο ἐκεῖ οἱ νόθοι ἐγυμνάζοντο, οἱ μήτε πρὸς πατρὸς μήτε πρὸς μητρὸς πολῖται. cf. vv. εἰς Κυνόσαργες et ἐς Κυνόσαργες.

Κυνόσημον χωρίον τῆς Χερρονήσου, ἔνθα λόγος τὴν Ἑκάβην μετὰ τὴν Ἰλίου ἅλωσιν ἀγομένην αἰχμάλωτον κατὰ τῆς θαλάττης ἑαυτὴν ἀφεῖσαν τελευτῆσαι τὸν βίον.

Κυνὸς σῆμα. Ὀδυσσεὺς κατὰ τὸν ἀπόπλουν παραπλεύσας εἰς Μαρώνειαν καὶ μὴ συγχωρούμενος τῶν νεῶν ἀποβῆναι διακρίνεται τούτοις πολέμῳ, καὶ λαμβάνει τὸν πλοῦτον αὐτῶν ἅπαντα. ἐκεῖ δὲ τὴν Ἑκάβην καταρωμένην τῷ ςρατῷ καὶ θορύβους κινοῦσαν λίθων βολαῖς ἀνεῖλε, καὶ παρὰ τὴν θάλασσαν καλύπτει, ὀνομάσας τὸν τόπον Κυνὸς σῆμα.

Κυνοσουρία.

κυνοῦχος ὁ τὸν κύνα κρατῶν δεσμός· ⟨AP 6 298⟩ "κώλπαν ἀςλέγγιςον, ἀχάλκωτόν τε κυνοῦχον."

κυνοφθαλμίζεται ἀναιδῶς ἐμβλέπει. Theophyl. Sim. 4 6.

Κύντιος Κικιννᾶτος δικτάτωρ. οὗτος πολλαῖς μὲν καὶ πρότερον ἐνήθλησε ςρατιαῖς, ἀρχαῖς τε καὶ τιμαῖς Ῥωμαϊκαῖς πολλάκις κεκοσμημένος, οὕτω δὲ ἦν μέτριος καὶ σώφρων ὥς ἐπὶ καλύβῃ λυπρᾷ καὶ ὀλίγῳ γῆς μέτρῳ ζῆν, τὸν αὐτουργόν τε ἀγαπᾶν βίον. ὃς δικτάτωρ προβαλλόμενος ἔτυχε πρὸς ἀρότρῳ πονούμενος. ὅτε δὲ ἀφίκοντο πρὸς αὐτὸν οἱ τὰ παράσημα τῆς ἀρχῆς κομίζοντες, ἀπονιψάμενός τε ... τὰ σύμβολα πρὸ ἑςιάσεως τῇ οἰκείᾳ δυνάμει τοῖς πολεμίοις ἐπιγίνεται, φόνον τε πολὺν τῶν ἐναντίων ἐργασάμενος ἐπάνεισιν ἑνδεκάτῃ μετὰ τὴν ἔξοδον ἡμέρᾳ, τοὺς μὲν οἰκείους τοῦ περιςάντος κινδύνου λυσάμενος, τῶν δὲ πολεμίων διαρπάσας τὸν χάρακα· καὶ τὸν ςρατηγὸν τῶν ἐναντίων δέσμιον ἐπὶ τὴν πομπὴν κατάγει τὴν ἐπινίκιον. Io. Antioch. exc. Peir. p. 789. cf. v. λυπρά.

κυνώπιδος ⟨Hom. Γ 180⟩ ἀναιδοῦς.

κύπασσις κόσμος γυναικεῖος· "ἐνδιδυμένος κύπασσιν φοινικοῦν ποδήρη." ⟨AP 6 202⟩ "εὐθύσανον ζώνην τοι ὁμοῦ καὶ τόνδε κύπασσιν Ἀτθὶς παρθενίων θῆκεν ὕπερθε θυρῶν."

κύπασσις. οἱ γλωσσογράφοι χιτῶνος εἶδός φασι τὸν κύπασσιν, οἱ μὲν γυναικείου οἱ δὲ ἀνδρείου. Harp.

κύπειρον εἶδος βοτάνης.

κύπελλον ποτήριον, κισσύβιον· ἐν ἐπιγράμματι ⟨AP 6 170⟩ "καὶ ταῦτα βοτηρικὰ Πανὶ κύπελλα ἄγκειται, δίψης φάρμακ' ἀλεξίκακα."

κυπριάζουσαι ἀνθοῦσαι.

Κύπρις ἐπίθετον Ἀφροδίτης, κυόπορίς τις οὖσα. ἡ αὐτὴ λέγεται καὶ **Κυθέρεια** παρὰ τὸ κεύθειν τοὺς ἔρωτας.

Κυπρόθεμις ὄνομα κύριον. ὃν κατέςησε Τιγράνης φρούραρχον Σάμου, βασιλέως ὕπαρχος. Harp.

κυπτάζειν διατρίβειν, ςραγγεύειν, ἀναβάλλειν. "ὃ δὲ ἐς ἅμαξαν χόρτου πλήρη ἐκρύφθη, καὶ οὕτως ἐς τὸ ἄςυ ἐσεκομίσθη, ἅτε μηδενὸς ἐλπίσαντος ἐνταῦθά τινα κυπτάζειν." "τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;" περιττὸν τὸ ἔχων, ἀττικῶς. Ἀριστοφάνης Νεφέλαις ⟨509⟩. καὶ τὸ περί τι πονεῖσθαι.

Κύρβας Κύρβαντος ἐθνικόν.

κυρβασίαν ⟨A Av. 487⟩ κεφαλὴν ἀλέκτορος.

κύρβασις. ἔνιοι μὲν τιάραν, ᾗ οἱ μὲν βασιλεῖς τῶν Περσῶν ὀρθῇ ἐχρῶντο, οἱ δὲ ςρατηγοὶ ἐπικεκλιμένῃ. καὶ περικεφαλαίας εἶδος καὶ πῖλον. cf. Herodot. 7 64.

κύρβεις τρίγωνοι πίνακες, ἐν οἷς οἱ περὶ τῶν ἱερῶν νόμοι ἐγγεγραμμένοι ἦσαν καὶ πολιτικοί. **ἄξονες** δὲ ἐκαλοῦντο οἱ περὶ τῶν ἰδιωτικῶν ἔχοντες τοὺς νόμους καὶ τετράγωνοι. τοὺς κύρβεις φησὶν Ἀπολλόδωρος ἐγγεγραμμένους ἔχειν τοὺς νόμους, εἶναι δὲ λίθους ὀρθοὺς ἑςῶτας, ὡς ἀπὸ μὲν τῆς ςάσεως ςήλας καλεῖσθαι, ἀπὸ δὲ τῆς εἰς ὕψος ἀνατάσεως διὰ τὸ κεκορυφῶσθαι κύρβεις, ὥσπερ καὶ κυρβασίαν τὴν ἐπὶ τῆς κεφαλῆς τεθειμένην. Ἀριςοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων πολιτείᾳ "ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔςησαν ἐν τῇ ςοᾷ τῇ βασιλίδι." Harp.

κύρβεις αἱ τὰς τῶν θεῶν ἑορτὰς ἔχουσαι

σαι, κρύβιές τινες ουσαι, ἐν αἷς τὰ τῶν θεῶν ἀποκρυπτόμενα ἔδει εἶναι. Ἀσκληπιάδης, ὅτι ἀπὸ Κύρβεως τῦ τὰς θυσίας ὁρίσαντος, ὥς φησι Φανίας ὁ Ἐρέσιος, ἀπὸ τοῦ ταῦτα κυρωθῆναι τοῖς γράμμασιν. Ἐρατοσθένης δὲ τριγώνους αὐτάς φησιν εἶναι. Ἀριστοφάνης δὲ ὁμοίας εἶναί φησι τοῖς ἄξοσι, πλὴν ὅτι οἱ μὲν ἄξονες νόμους αἱ δὲ κύρβεις θυσίας εἶχον. ἀμφοτέρων δὲ τὸ κατασκεύασμα τοιοῦτον, πλινθίον τι μέγα, ἀνδρόμηκες, ἡρμοσμένα ἔχον τετράγωνα ξύλα, τὰς πλευρὰς πλατείας ἔχοντα καὶ γραμμάτων πλήρεις, ἑκατέρωθεν δὲ κνώδακας ὥςε κινεῖσθαι καὶ μεταςρέφεσθαι ὑπὸ τῶν ἀναγινωσκόντων. καὶ παροιμία "κύρβεις κακῶν." σανίδες εἰσὶ παρ' Ἀθηναίοις τρίγωνοι, ἐν αἷς τὰς νόμυς ἔγραφον καὶ τὰς κατὰ τῶν ἀδικέντων τιμωρίας. ἐπὶ τοίνυν τῶν σφόδρα πονηρῶν ἡ παροιμία.

c **κύρβεις** οὖν παρὰ τὰ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένας. ἢ ἀπὸ τῶν Κορυβάντων· ἐκείνων γὰρ εὕρημά φησι καὶ Ἀπολλόδωρος.

κύρβις περίεργος, ὃν οὐκ ἔςι λαθεῖν· ἕνεκα γὰρ μνήμης ἀνέγραφον εἰς τὰς κύρβιας. ἦν δὲ σανὶς ἔνθα οἱ νόμοι γεγραμμένοι ἦσαν. ἢ οὕτως· ἡδέως ἂν ὁτιοῦν ὑπομείναιμι, ἵνα δόξω τοῖς πολλοῖς λόγων ἔμπειρος εἶναι καὶ νόμυς εἰδέναι. sch. A Nub. 447.

κυρεῖ τυγχάνει.

κυρεία ἡ ἐξουσία.

Κύρειον ςράτευμα Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ ⟨144⟩ φησίν. ἔςι δὲ τὸ μετὰ Κύρυ ἀναβεβηκὸς ἐπὶ Ἀρταξέρξην τὸν ἀδελφὸν αὐτοῦ. Harp.

Κύρειος θρόνος ὁ τοῦ Κύρου.

κυρηβάσει. κυρηβασία λέγεται ἡ διὰ κεράτων μάχη, ἥπερ ἐν τοῖς ἀλόγοις ζῴοις γίνεται. ἢ αἱ πλήξεις τῶν τράγων. Ἀριστοφάνης ⟨Eq. 272⟩ "εἰ δ' ἐκκλίνει γε δευρί, πρὸς σκέλος κυρηβάσει," ἀντὶ τοῦ πρὸς τὸ σκέλος μαχεῖται. ἢ διαπεσεῖται, ἐὰν ὑποςαλῇ ἢ φύγῃ.

Κυρηβάσιος.

κυρήβια πίτυρα καὶ τὰ τῶν κριθῶν ἀποβρέγματα, τὰ ἄχυρα, ἢ τῶν πυρῶν. ἢ ἔνθα αἱ κάγχρυς φρύγονται· κάγχρυς δέ εἰσιν αἱ ἀληλεσμέναι κριθαί. sch. A Eq. 253.

Κυρήβιος ἀπὸ τόπου.

Κυρηβίων Κυρηβίωνος. ἐπώνυμόν ἐςιν Ἐπικράτους τοῦ Αἰσχίνου κηδεςοῦ. Harp.

κύρημα ἐπίτευγμα, συγκύρημα, ἕρμαιον.

Κυρηναῖος ἀπὸ Κυρήνης.

Κυρηνίτης ἀπὸ τόπου.

κυρία ἡ κατὰ φύσιν ὑπάρχουσα δύναμις. καὶ κυρία ἡ ὡρισμένη καὶ ἐμπρόθεσμος ἡμέρα· "ἀθρόον τε ἐν αὐτῇ τῇ κυρίᾳ ἐπιπεσόντες τοῖς ἡγεμόσι πάντας ἀπέκτεινων." καὶ **κυριώτατον** τὸ τελεώτατον· Πολύβιος "κυριώτατον ἦν τὸν πόλεμον ἐρύκειν ἀπὸ τῆς Μακεδονίας."

κυρίας ἐκκλησίας οἱ πρυτάνεις συνῆγον τὴν βουλὴν καὶ τὸν δῆμον, τὴν μὲν βυλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάςης. ἐν δὲ τῇ κυρίᾳ ἐκκλησίᾳ ἔδει τὰς ἀρχὰς ἀποχειροτονεῖν οἳ ἐδόκουν μὴ καλῶς ἄρχειν, καὶ περὶ τῆς φυλακῆς δὲ τῆς χώρας, καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ οἱ βουλόμενοι ἐποιοῦντο. Harp.

κυριεύω γενικῇ.

Κύριλλος διάκονος ἐν Ἡλιουπόλει τῇ πρὸς τῷ Λιβάνῳ, ὃς ἐπὶ τοῦ μεγάλου Κωνςαντίνου πολλὰ εἴδωλα συνέτριψεν. ἐπὶ δὲ Ἰουλιανοῦ τούτυ τὴν γαςέρα διατεμόντες τῦ ἥπατος ἀπεγεύσαντο. Theodoret. h. eccl. 3 7.

Κυρῖνος. οὕτως Ἰούλιός τις Πρόκλος ἐπλάσατο κεκλῆσθαι ἀκηκοέναι Ῥωμύλον.

κύριος κυρίως ὁ κεκριμένος καὶ βέβαιος.

Κυρισίκης ἐπώνυμον τοῦ ἁγίου Εὐςρατίου.

κυρίσσει κέρατι τύπτει.

Κυρίτων ὄνομα κύριον.

κυρίως τὸ ἀναγκαίως. καὶ κυρίως καὶ τὸ ἁπλῶς ταὐτὸν σημαίνει· ὁ γὰρ λέγων ἁπλῶς τὸν γηρῶντα πολιοῦσθαι ἢ πάντα ἄνθρωπον πενταδάκτυλον εἶναι, ἀντὶ τοῦ ἀναγκαίως εἶπε ⟨Alex. Aphrod. in Top. p. 95: cf. v. ἀναγκαῖον⟩. καὶ **κυριώτατον** τὸ ἀναγκαιότατον.

κυρκανᾶν ταράττειν, κινεῖν· ⟨A Thesm. 434⟩ "ἐμοὶ τούτῳ δοκεῖ ὄλεθρόν τιν' ἡμᾶς κυρκανᾶν ἀμωσγέπως."

κύρμα ἐπίτευγμα, παρὰ τὸ κύρειν, ἢ ἔντευγμα καὶ σπάραγμα κυνῶν. sch. A Av. 430.

Κύρνος ὄνομα κύριον.

κυροῖ· "κἀνήρετ' ἐν τῷ πράγματος κυροῖ ποτέ" ⟨S Ai. 314⟩. τὸ κυρῶ περισπωμένως ἡ συνήθεια καὶ Ἀττικοί. ἐν δὲ τοῖς εὐκτικοῖς βαρύνουσιν αὐτὸ Ἀττικοὶ μετὰ ἐκτάσεως τοῦ υ, κύροι λέγοντες ἀντὶ τοῦ κυροίη, κεῖται δὲ καὶ ἀντὶ τοῦ κυρεῖ ὁριςικοῦ παρὰ Σοφοκλεῖ.

Google

a κῦρος ἐπιτυχία· Σοφοκλῆς (El. 919) "πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν," ἐπιτευκτικὴ καὶ κυρία.

b κῦρος ἐξουσία.

a Κῦρος ὁ βασιλεὺς πατρὸς μὲν δὴ λέγεται γενέσθαι Καμβύσεω Περσῶν βασιλέως (ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους, οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κληΐζονται), μητρὸς δὲ Μανδάνης· ἦν δὲ ἡ Μανδάνη Ἀστυάγους θυγάτηρ τοῦ Μήδων γενομένου βασιλέως. φῦναι δὲ ὁ Κῦρος λέγεται καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος καὶ φιλομαθέστατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα (X Cyr. 1 2). Κῦρος δὲ ἐκλήθη διὰ τὸ τῆς βασιλείας παιδιὰν διαπραττόμενος σὺν μειρακίοις τὸ κῦρος εἰληφέναι.

οὗτος ὁ Κῦρος φιλοσοφίας, εἰ καί τις ἄλλος, ἔμπειρος ἦν, ἥντινα παρὰ τοῖς μάγοις ἐπαιδεύθη· δικαιοσύνην τε καὶ ἀλήθειαν ἐδιδάχθη κατὰ δή τινας πατρίους νόμους καθεστῶτας Περσῶν τοῖς ἀρίστοις. Nicol. Dam. p. 454.

ὅτι διὰ τὴν ἐπίταξιν τοῦ φόρου ἔλεγον οἱ Πέρσαι ὡς Δαρεῖος μὲν ἦν κάπηλος, Καμβύσης δὲ δεσπότης, Κῦρος δὲ πατήρ, ὃ μὲν ὅτι ἐκαπήλευε πάντα τὰ πράγματα, ὃ δὲ ὅτι χαλεπός τε ἦν καὶ ὀλίγωρος, ὃ δὲ ὅτι ἤπιός τε καὶ ἀγαθά σφι πάντα ἐμηχανήσατο. Herodot. 3 89.

b Κῦρος Πανοπολίτης ἐποποιὸς γέγονεν ἐπὶ Θεοδοσίου τοῦ νέου βασιλέως, ὑφ' οὗ καὶ ἔπαρχος πραιτωρίων καὶ ἔπαρχος πόλεως προεβλήθη, καὶ γέγονεν ἀπὸ ὑπάτων καὶ πατρίκιος. Εὐδοκία γὰρ ἡ Θεοδοσίου γαμετή, βασιλὶς οὖσα, ὑπερηγάσθη τὸν Κῦρον φιλοεπὴς οὖσα. ἀλλὰ αὐτῆς ἀποστάσης τῶν βασιλείων καὶ εἰς ἀνατολὴν ἐν Ἱεροσολύμοις διατριβούσης, Κῦρος ἐπιβουλευθεὶς ἐπίσκοπος τῶν ἱερῶν γίνεται ἐν Κοτυαείῳ τῆς Φρυγίας, καὶ παρέτεινε μέχρι Λέοντος τοῦ βασιλέως. cf. v. Θεοδόσιος d.

κυρσάνιε νεανία, ἔφηβε. ἢ εὐτελέστατε· κυρσὸς γὰρ εὐτελὲς λάχανον. κυρσανίους δὲ καλοῦσιν οἱ Λάκωνες τὰ μειράκια καὶ τοὺς εὐτελεῖς ἀνθρώπους. sch. A Lys. 982.

Κυρσίλος ὄνομα κύριον, ὃν Ἀθηναῖοι κατέλευσαν, διότι ὑπακούειν Πέρσαις προυτρέπετο. Harp.

κυρτὴ καὶ κοίλη παράταξις καὶ ἐπικάμπιος εἰς τοὐπίσω τε καὶ πρόσω, ἡ τὸ στόμα κοῖλον ἔχουσα ἢ κυρτὸν ἢ ἐπικαμπές, καὶ τοῦτο, ὡς εἴρηται, ἢ εἰς τοὐπίσω ἢ εἰς τὸ πρόσω. ὥστε τὰ εἴδη αὐτῆς γίνεται ἕξ, ἑκάστης τῶν τριῶν ἢ εἰς τοὐπίσω σχηματιζομένης ἢ εἰς τὸ πρόσω.

κύρτωμα ἡ λεγομένη καμάρα· "κύρτωμα γὰρ τοῖς πάλαι ἀνθρώποις ὑπὲρ τῆς δεξαμενῆς σκιᾶς ἕνεκα ἐπεποίητο" (Procop. Goth. 2 27).

Κυρωνίδαι γένος ἐστὶν ὠνομασμένον ἀπὸ Κύρωνος, ὃν νόθον ἀδελφὸν εἶναί φασι τοῦ Κρόκωνος, παρὸ καὶ ἐντιμοτέρους εἶναι τοὺς Κροκωνίδας τῶν Κυρωνιδῶν. τριχῇ δὲ αὐτοὺς ὀνομάζουσι, Κυρωνίδας Φιλιεῖς καὶ Περιθοίδας. Harp.

κύσον με φίλησόν με· Ἀριστοφάνης Νεφέλαις (81) "κύσον με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν." ἐπὶ πίστει καὶ συνθήκαις διδόναι τὰς δεξιὰς ἀλλήλοις εἰώθασιν. ὑπὲρ οὖν τοῦ πεισθῆναι τὸν νεανίαν ὁ πρεσβύτης ταύτην ἀξιοῖ παρ' αὐτοῦ πίστιν λαβεῖν.

κύσιν οὐρήθραν, ἐφήβαιον, ὑπογάστριον. τὴν κοιλίαν, τὴν φῦσαν. εἴρηται δὲ φῦσα ἀπὸ τοῦ πάσχειν πεφυκέναι.

Κυταία πόλις. καὶ Κυταιίδος (Apollon. Rh. 2 399).

Κύταιον τόπος τις.

Κύτη ὄνομα πόλεως.

κύτος ὄγκος, χώρημα, βάθος· "τὸ δὲ κύτος τῶν πλοίων κοντοῖς κατεστόρεσε πρὸς εὐμαρῆ στάσιν τῶν ἵππων."

κύτταρος τὸ πῶμα τῆς βαλάνου, ὅπου a ἐγκάθηται ἡ βάλανος, ἡ τῆς βαλάνου πυελίς. ἢ τὸ προεξάνθημα τῆς ῥοιᾶς. ἢ ἡ ἐν τοῖς κηρίοις τῶν μελιττῶν πυελὶς καὶ κατάτρησις. ἢ τὸ ὑψηλότατον τοῦ οὐρανοῦ· λέγουσι γὰρ κοῖλον εἶναι τὸν οὐρανὸν ὥσπερ τοῦ ᾠοῦ τὴν λεπίδα. τὸ κοιλότατον καὶ μυχαίτατον. cf. sch. A Vesp. 1106.

κύτταρος αἱ τῶν κηρίων καὶ σφηκῶν b κατατρήσεις. Θεόφραστος δὲ (H. P. 3 3 8) κυρίως λέγει κύτταρον τὴν προάνθησιν τῆς πίτυος, ἥτις ἐστὶν ὡς στάχυς μικρὸς ἐκ μεγάλων πυρῶν, ξηραινόμενος δὲ θυλακοῦται καὶ ἀποπίπτει. οἷον οὖν ἀγγειῶδές φησι κύτταρον οὐρανοῦ (sch. A Pac. 198). ὁ αὐτὸς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις (516) "πό-

σθιον τῷ σῷ προσόμοιον, ϛρεβλὸν ὥσπερ κύτταρον."

Κυτωρίς τόπος παραθαλάσσιος.

κυτώσαντες τὸ κύτος περικαλύψαντες· "βοείῳ δέρματι περικυτώσαντες." cf. v. τύμπανα.

κυφαλέα· ⟨AP 6 297⟩ "ἐπεὶ τύχ' ἂν ἡ πολυκαμπὴς ἶξὺς κεἰς Ἀίδαν ᾤχετο κυφαλέα."

κυφαλέος ὁ κεκυρτωμένος.

κῦφι. τοῦτο Μάνεθως ὁ Αἰγύπτιος κατεσκεύαζεν· οὐκ οἶδα δὲ τίς ἡ κατασκευασία αὐτοῦ. cf. v. Μανέθως.

κυφὸν κεκυμμένον· "ἐκ παντὸς ξύλȣ κυφὸν ἂν γένοιτο," ἐπὶ τῶν τὸ εἶδος εὐκαταφρονήτων, χρησίμων δέ. cf. v. ἐκ παντὸς ξύλȣ.

κυφός κεκυρτωμένος. καὶ πάγκυφος ἐλαία ἡ κατακεκυμμένη. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 185⟩ "καὶ κυφὰς καρῖδας· ἀριθμήσει δέ σοι αὐτός."

κύφωνες ξύλα ἦσαν ἐπιτιθέμενα εἰς τȣ̀ς τένοντας τῶν καταδίκων, ἵνα μὴ εὕρωσιν ἀνακῦψαι· Ἀριστοφάνης Πλούτῳ ⟨476⟩ "ὦ τύμπανα καὶ κύφωνες, οὐκ ἀρήξετε;" κύφων δέ ἐϛι δεσμὸς ξύλινος, ὃν οἱ μὲν κλοιὸν οἱ δὲ καλιὸν ὀνομάζουσιν. ἔνθεν καὶ ὁ πονηρὸς ἄνθρωπος κύφων. τάσσεται καὶ ἐπὶ πάντων τῶν δυσχερῶν καὶ ὀλεθρίων. καὶ κυφωνισμὸς ἐπὶ τῶν τιμωριῶν. Ἀρχίλοχος δὲ ἀντὶ τȣ̃ κακὸς καὶ ὀλέθριος. εἴρηται κύφων παρὰ τὸ ἀναγκάζειν τοὺς δεσμίους κύφειν. "ἐὰν δέ τις --- ὠθεῖσθαι ϛ. γ. περιβαλόντας" ⟨cf. v. ἐπικούρειος⟩.

a κυψέλη οἰνηρὸν σκεῦος· "ἅμα τῷ σιδήρῳ καὶ ταῖς οἰνηραῖς κυψέλαις συγκομιζόμενος."

b κυψέλη κυβέρτιον μελισσῶν· λέγεται δὲ καὶ ἡ ὀπὴ τοῦ ὠτός. "αἱ δὲ μέλιτται ἐμπεφωλεύκεισαν ὥσπερ ἐν κυψέλῃ τῷ φωλεῷ, τὸ μέλι δὲ ἐλείβετο κατὰ τῶν κεφαλῶν."

κυψέλη ἑξμέδιμνος ἓξ μεδίμνȣς χωροῦσα. κυψέλη δὲ σκεῦος δεκτικὸν κριθῶν ἢ πυρῶν. οὕτω δὲ εἴρηται διὰ τὸ κεκρύφθαι αὐτοῦ τὴν ἕλην· ἐϛὶ γὰρ σκοτεινόν. διαφέρει δὲ πρὸς τὴν κυψελίδα, ἥτις ἐϛὶν ὁ ἐν τοῖς ὠσὶ ῥύπος. Ἀριϛοφάνης ⟨Pac. 631⟩ "ἐπεὶ κάμοῦ λίθον βαλόντες ἑξμέδιμνον κυψέλην ἀπώλεσαν."

Κυψελιδῶν ἀνάθημα ἐν Ὀλυμπίᾳ Πλάτων ἐν Φαίδρῳ ⟨p. 236 B⟩. παρὰ τὸ Κυψελιδῶν ἀνάθημα σφυρήλατος ἐν Ὀλυμπίᾳ ἐϛάθη κολοσσός, ἀλλ' οὐ τῶν Κυψελιδῶν Κυψέλου δέ φασι τὸ ἀνάθημα, ὡς Ἀγακλυτὸς ἐν τῇ π' ὀλυμπιάδι ⟨an τῷ περὶ Ὀλυμπίας⟩ φησὶν οὕτως· "ναὸς τῆς Ἥρας παλαιός, ἀνάθημα Σκιλλȣντίων· ἦτοι δέ εἰσιν Ἠλείων. ἔνεϛι δὲ ἐν αὐτῷ χρυσοῦς κολοσσός, ἀνάθημα Κυψέλου τοῦ Κορινθίου· φασὶ γὰρ τὸν Κύψελον εὐξάμενον, εἰ Κορινθίων τυραννεύσειε, τὰς οὐσίας πάντων εἰς δέκατον ἔτος ἀνιερώσειν, τὰς δεκάτας τῶν τιμημάτων εἰσπραξάμενον κατασκευάσαι τὸν σφυρήλατον κολοσσόν." Δίδυμος δὲ κατασκευάσαι τὸν κολοσσόν φησι Περίανδρον ὑπὲρ τοῦ τῆς τρυφῆς καὶ τοῦ θράσους ἐπισχεῖν τοὺς Κορινθίους· καὶ γὰρ Θεόφραϛος ἐν τῷ περὶ καιρῶν β' λέγει οὕτως. "ἕτεροι δ' εἰς ἀνδρωδέϛερα καταδαπανῶντες, οἷον ϛρατιὰς ἐξάγοντες καὶ πολέμȣς ἐπαναιρούμενοι, καθάπερ καὶ Διονύσιος ὁ τύραννος· ἐκεῖνος γὰρ οὐ μόνον ᾤετο δεῖν τὰ τῶν ἄλλων καταναλίσκειν, ἀλλὰ καὶ τὰ αὐτοῦ, πρὸς τὸ μὴ ὑπάρχειν ἐφόδιον τοῖς ἐπιβουλεύȣσιν. ἐοίκασι δὲ καὶ αἱ πυραμίδες ἐν Αἰγύπτῳ καὶ ὁ τῶν Κυψελιδῶν κολοσσὸς καὶ πάντα τὰ τοιαῦτα τὴν αὐτὴν καὶ παραπλησίαν ἔχειν διάνοιαν." φέρεται δέ τι καὶ ἐπίγραμμα τοῦ κολοσσοῦ ⟨AP append. 135⟩ "αὐτὸς ἐγὼ χρυσȣ̃ς σφυρήλατός εἰμι κολοσσός· ἐξώλης εἴη Κυψελιδῶν γενεά." ὅπερ Ἀπελλᾶς ὁ Ποντικὸς οὕτω προφέρεται· "Νάξιός εἰμι ἐγώ, παγχρύσεός εἰμι κολοσσός· ἐξώλης εἴη Κυψελιδῶν γενεά."

κυψελόβυσον τὸ ὑπὸ ῥύπου κεκαλυμμένον.

κύων ἐπὶ δεσμά, ἐπὶ τῶν ἑαυτȣ̀ς εἰς κολάσεις ἐπιδιδόντων. ὁμοία τῇ "βȣ̃ς ἐπὶ δεσμά."

κύων ἐπὶ φάτνην παροιμία ἐπὶ τῶν μήτε χρωμένων μήτε ἄλλους ἐώντων.

κύων Μολοττικός· ⟨Diog. L. 4 20⟩ "ὅπου τὰ ποιήματα αὐτῷ κύων τις ἐδόκει συμποιεῖν Μολοττικός."

κύων παρ' ἐντέροις παροιμία ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν παρακειμένων. ἢ ἐπὶ τῶν ἀχρήσων σφόδρα καὶ ἀνωφελῶν· δύσβρωτα γὰρ τῷ κυνὶ καὶ δυσκατάποτα.

κῶας ἡ τοῦ προβάτου δορά.

κωβάλῳ. ἡ λέξις παρὰ Ἀριϛοφάνει.

κωβιός ὁ ἰχθῦς.

κωβῖτις εἶδος ἀφύας.

κωδαλοῦχος μέτρον γῆς. cf. v. Κοδάλȣ χοῖνιξ.

κώδεια εἶδος φυτοῦ, ἡ τῆς μήκωνος κεφαλή. Ὑπερίδης καὶ Ἀριςοφάνης. cf. Harp.

κωδίκελλος δέρμα προβάτου.

κώδιξ κώδικος.

κώδιον προβάτειον δέρμα· Ἀριςοφάνης ⟨Eq. 402⟩ "εἴ σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κώδιον, καὶ διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδίαν." γενοίμην, φησίν, ἐς τὴν οἰκίαν Κρατίνου κώδιον, ὥςε με κατουρεῖν ἐκεῖνον, εἰ μή σε μισῶ. ὡς ἐνουρητὴν οὖν καὶ μέθυσον διαβάλλει τὸν Κρατῖνον. ὅθεν καὶ παροξυνθεὶς ἐκεῖνος, καίτοι τοῦ ἀγωνίζεσθαι ἀποςὰς καὶ συγγράφειν, πάλιν ἀγωνίζεται, καὶ γράφει δρᾶμα τὴν Πυτίνην ἐς αὐτόν τε καὶ τὴν μέθην. οἰκονομίᾳ δὲ κέχρηται τοιαύτῃ. τὴν κωμῳδίαν ἐπλάσατο ὁ Κρατῖνος εἶναι αὐτοῦ γυναῖκα, καὶ ἀφίςασθαι τοῦ συνοικεσίου τοῦ σὺν αὐτῷ θέλειν, καὶ κακώσεως αὐτῷ δίκην λαχεῖν· φίλους δὲ παρατυχόντας τοῦ Κρατίνε δεῖσθαι μηδὲν προπετὲς ποιῆσαι, καὶ τῆς ἔχθρας ἀνερωτᾶν τὴν αἰτίαν· τὴν δὲ μέμφεσθαι αὐτῷ ὅτι μὴ κωμῳδεῖ μηκέτι, μηδὲ συγγράφει, σχολάζει δὲ τῇ μέθῃ. ἦν δὲ ὁ Κρατῖνος τῆς ἀρχαίας κωμῳδίας, πρεσβύτερος Ἀριςοφάνες, τῶν δοκίμων ἄγαν.

a κώδων παρὰ τὸ ἐν τῷ κινεῖν ᾄδειν.

b κώδων καλεῖται καὶ τὸ πλατὺ τῆς σάλπιγγος· Σοφοκλῆς ⟨Ai. 17⟩ "χαλκοςόμου κώδωνος ὡς Τυρσηνικῆς." πολλὰ δέ εἰσιν εἴδη σαλπίγγων, Λιβυςικαὶ Αἰγύπτιαι Τυρσηνικαί. πρῶτος δὲ Ἀρχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις ἤγαγεν εἰς Ἕλληνας τὴν Τυρσηνικὴν σάλπιγγα. διὰ τοῦτό φησι Τυρσηνικῆς.

κωδωνίσαι. ἀπὸ τῶν ἵππων μετενήνεκται· εἰώθασι γὰρ οὕτω δοκιμάζειν τὰς γενναίους ἵππους, εἰ μὴ καταπλήσσονται τὸν ἐν τῷ πολέμῳ θόρυβον, τοὺς κώδωνας ψοφοῦντες. καὶ κωδωνίζω φημίζω. cf. vv. ἀκωδώνιςον et διακωδωνίσω.

κωδωνοφαλαροπώλους κώδωσιν εἰς τὰ φάλαρα χρωμένους· ⟨A Ran. 994⟩ "οὐδ' ἐξέπληττον αὐτοὺς Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους."

κωδωνοφορεῖται ἀντὶ τοῦ δοκιμάζεται ἡ τῶν φυλάκων φρουρά.

κωδωνοφορῶν. οἱ περίπολοι οἱ τὰς φυλακὰς περισκοποῦντες ἐρχόμενοι ἐπὶ τὰς φύλακας κώδωνας εἶχον, καὶ τούτους ἐψόφουν πειράζοντες τὸν καθεύδοντα, καὶ ἵνα οἱ φυλάσσοντες ἀντιφθέγγωνται. Ἀριςοφάνης ⟨Av. 843⟩ "κωδωνοφορῶν περίτρεχε."

κώεα ⟨Hom. *I* 661⟩ τὰ δέρματα. καὶ κώεσι ⟨γ 38⟩.

κῶθος εἶδος ἰχθύος. Athen. p. 309 C.

κώθων εἶδος ποτηρίου Λακωνικοῦ μονώτου· δοκεῖ δὲ καὶ ςρατιωτικὸν εἶναι. καὶ ὄνομα τοῦ Λεωσθένους πατρός. Ἀππιανός ⟨Lib. 125⟩ "ἔφερε δὲ δᾷδα συγκεκομμένην καὶ θεῖον ἐν κώθωσι."

κώθωνες εἴδη ποτηρίων, ἃ ἐλάμβανον οἱ ςρατιῶται, ὀςράκινα· ὃν ἐρισκὸν καλεσι πλυτάριον. ἐπειδὴ μεριςὸν ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. τὴν εὐτέλειαν δὲ δείκνυσι τῶν τε ναυτικῶν τῶν τε ςρατιωτικῶν σιτίων.

Κωθωνίδης ὄνομα κύριον.

κωθωνίσαι μεθύσαι· "ἐρῶν δὲ καὶ κωθωνιζόμενος ἀφ' ἡμέρας" ⟨Polyb. 24 5⟩.

ὅτι Ὅμηρος τῷ μὲν αἱμορραγοῦντι Πράμνειον παραδίδωσι, τῷ δὲ κωθωνιζομένῳ τὸν ἡδύποτον ⟨β 340⟩.

Κώκαλος ὄνομα κύριον.

Κωκυτός ὄνομα ποταμοῦ. ἢ θρῆνος, ἢ ὀδυρμός, κοπετός· Ἀγαθίας ⟨1 13⟩ "τούτων δὲ γεγονότων κωκυτὸς ἐπεῖχε μυρίος, οἰμωγαί τε ἠκούοντο θαμιναὶ καὶ φθέγμα θρηνῶδες καὶ διωλύγιον."

κῶλα τὰ τῆς σφενδόνης ἑκάτερα μέρη· a ⟨AP 7 172⟩ "ῥινοῦ χερμαςῆρος εὔςροφα κῶλα τιταίνων Ἀλκιμένης πτανῶν εἶργον ἄπωθε νέφος."

κῶλα τὰ ὀςᾶ· "ἡ δὲ κάμηλος ὑφῆκε τὰ b κῶλα, καὶ ἑαυτὴν ἐκάθισεν εἰς τὰ ςέρνα." καὶ αὖθις ⟨AP 7 196⟩ "ἄκρα δ' ἐφεζόμενος πετάλοις πριονώδεσι κώλοις αἰθίοπι κλάζεις χρωτὶ μέλισμα λύρας."

κῶλα τοῦ ζεύγματος· "συμβαίνει γὰρ τοὺς Σελευκεῖς κρατεῖν θατέρου τῶν κώλων τοῦ ζεύγματος."

κωλακρέται οἱ ταμίαι τοῦ δικαστικοῦ μισθοῦ καὶ τῶν εἰς θεὰς ἀναλωμάτων· Ἀριςοφάνης ⟨Vesp. 693⟩ "σὺ δὲ χασκάζεις τὸν κωλακρέτην, τὸ δὲ πραττόμενόν σε λέληθεν."

ὅτι νόμος ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τὰς ἱερέας λαμβάνειν, ἅ εἰσιν οἷον δέρματα καὶ κωλαῖ.

κωλῆ τὰ ἔμπρυσθια μέρη τῶν ἱερείων. τοῦ λεγομένου κωλῆνος. ἔςι δὲ ἱερὸς Ἑρμοῦ

ὁ βραχίων τῶν ἀλόγων ζῴων. Ἀριςοφάνης Πλούτῳ ⟨1129⟩ "οἴμοι δὲ κωλῆς, ἣν ἐγὼ κατήσθιον." τὰς ἀγκύλας φησίν, αἳ ὀςώδεις εἰσί. διαβάλλει οὖν ὡς ὀςέα τοῖς θεοῖς θύοντας.

κωλῆνον τὸ κωλίκιον.

κώληπα ⟨Hom. Ψ 726⟩ τὸ ὀπίσω τῶ γονατίου μέρος, ἡ κύξα. καὶ κώληξ ἡ ἰγνύη, τὸ ὀςοῦν.

Κωλιάδος κεραμῆες. Κωλιὰς τόπος τῆς Ἀττικῆς, ἔνθα σκεύη πλάττονται. λέγει οὖν ὅτι ὅσοι ἐπὶ τροχοὺς φέρονται (τροχὸν δὲ τὸν σκευοπλαςικὸν λέγει), τουτέςιν ὅσαι πρὸς σκευοπλασίαν ἐπιτήδειαι, πασῶν ἡ Κωλιάδος κρείσσων, ὥςε καὶ βάπτεσθαι ὑπὸ τῆς μίλτου. ἔςι δὲ ὁ τόπος ἐκκείμενος, ὅμοιος ἀνθρώπου κώλῳ. καὶ οἱ ἐνοικοῦντες Κωλιοί.

a Κωλιάς ἐπιθαλασσία ἄκρα τῆς Ἀττικῆς, ἐκ μεταφορᾶς τοῦ κόλου ὠνομασμένη. καὶ ἔςιν αὐτόθι Ἀφροδίτης ἱερὸν Κωλιάδος.

b Κωλιάς. ναός ἐςι τῆς Ἀφροδίτης οὕτω καλέμενος, ἀπὸ τῶ συμβεβηκότος τὴν προσηγορίαν λαβών. νεανίας γάρ τις Ἀττικὸς ἁλὸς ὑπὸ Τυρρηνῶν καὶ δεσμώτης δουλεύων, παραυτὰ ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ ἔχοντος καὶ ἀπολυσάσης ἦλθεν εἰς τὴν οἰκείαν οὕτως ἐλευθερωθείς, καὶ εὐχαριςήριον τῇ Ἀφροδίτῃ τῆς σωτηρίας ἐπὶ τῆς ἀκτῆς, ἀφ' ἧς ἡρπάγη, ναὸν ἱδρύσατο, Κωλιάδα δὲ προσηγόρευσε τὸν τόπον ἀπὸ τῶν κώλων, ἃ ἐν τοῖς δεσμοῖς κατεπονεῖτο. οἱ δέ, ὅτι Ἴωνος θύοντος ἱερεῖον κωλῆν ἱέραξ ἥρπασε καὶ ἐπ' ἐκείνῳ τῷ τόπῳ ἐκάθισεν, ὅθεν ὁ τόπος Κωλιὰς ἐκλήθη ⟨sch. A Nub. 52⟩. μέμνηται καὶ Καλλίμαχος ἐν Ἑκάλῃ.

κωλιπαίγνιον.

a κῶλον παρὰ τὸ ἐκεῖ κεῖσθαι ὅλον τὸ ὀςοῦν. ἔνθεν καὶ σκώληξ κατὰ ἀντίφρασιν.

b κῶλον μόριον λόγου ἐκ δύο ἢ καὶ πλειόνων μερῶν συνιςάμενον. τὰς συλλαβὰς γὰρ τέμνουσι καὶ τὰ κῶλα τῶν νοημάτων. κῶλον οὖν ὁ ἀπηρτισμένην ἔννοιαν ἔχων ςίχος.

κωλυβδαίνω.

κωλύδαινα.

κωλύμη κώλυμα, κώλυσις, ἐμπόδιον. ἔςι δὲ ἡ λέξις Θουκυδίδου ⟨1 92⟩.

κωλύω αἰτιατικῇ.

κωλώτης ἀσκαλαβώτης· Βάβριος ⟨132⟩ "σοφῆς ἀράχνης ἱςὸν εὗρε κωλώτης, καὶ λεπτὸν ἐνέδυ φᾶρος ἐκτεμὼν τοίχου." καὶ κωλώτης ὁ Διόνυσος.

κῶμα κοίμημα.

κωμάζει κῶμον ἢ δρᾶμα ᾄδει, ὑβρίζει.

κωμάρχης ὁ τῶν πόλεων ἄρχων παρὰ Ξενοφῶντι ⟨Anab. 4 5 10⟩.

κωμάσαι· ⟨cf. v. ἀνδρωνῖτις⟩ "ὁ δὲ Μάρκος ὁ Ῥωμαίων ςρατηγὸς ἐβούλετο ἀπολυθεὶς τοῦ πολέμου πρὸς Λυσιτανοὺς μεταβαλεῖν τὸν πόλεμον καὶ (τὸ λεγόμενον) ἐκνεύσας τὴν ἀνδρωνῖτιν εἰς τὴν γυναικωνῖτιν κωμάσαι." καὶ αὖθις ⟨cf. v. Τιμασίων⟩ "ὁ Ἀπολλώνιος ἔφη 'ψηφίσωμεν ὧδε ἐςεφανῶσθαι αὐτὸν ἐπὶ σωφροσύνῃ καὶ πρὸ Ἱππολύτε τοῦ Θησέως. ὃ μὲν γὰρ εἰς τὴν Ἀφροδίτην ὕβρισεν, ὃ δὲ οὔ. καὶ διὰ τοῦτο οὐδὲ ἀφροδισίων ἥττητο, ὀδὲ ἔρως εἰς αὐτὸν οὐδεὶς ἐκώμαζεν, ἀλλ' ἦν τῆς ἀγροικοτέρας τε καὶ ἀτέγκτου μοίρας."

κωμάσομαι ἀσελγῶς διατεθήσομαι· ἐν ἐπιγράμματι ⟨AP 5 64⟩ "ἢν γάρ με κτείνῃς, τότε παύσομαι· ἢν δέ μ' ἀφῇς ζῆν καὶ διαθῇς τούτων χείρονα, κωμάσομαι."

κωμαςής ὁ τρυφῶν μετ' ᾠδῆς ἀσελγῶς.

κώμαυλος· "τὸν ἐχῖνον ἰδὼν ἐπὶ νῶτα φέροντα ῥᾶγας ἀπέκτεινεν τῷδ' ἐπὶ θειλοπέδῳ" ⟨AP 6 169⟩.

κώμη εἰς ἣν ἐκοιμῶντο ἀπὸ τῶν ἔργων ἀνιόντες· ἢ χώμη, οἷον ἀνάχωμά τι, κατὰ σύγκρισιν τοῦ ἐδάφους. καὶ κωμῆται οἱ τῆς κώμης οἰκήτορες. καὶ ἐκώμασεν ἀντὶ τοῦ παρεγένετο· ⟨AP 7 186⟩ "θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν, ἡ δὲ τάλαινα ὄπω πάντα γυνὴ καὶ νέκυς ἐβλέπετο." καὶ παροιμία "ὗς ἐκώμασεν" ἐπὶ τῶν ἀκόσμως τι ποιούντων.

κωμηδὸν πᾶσα πόλις.

κώμην οἱ πλεῖςοι τὸν ςενωπὸν καὶ τὴν οἷον γειτνίασιν· οἱ δὲ τοὺς ἐν τῇ πόλει δήμες κώμας φασὶ προσαγορεύεσθαι, καὶ κωμήτας τοὺς δημότας ἐν τῇ πόλει καὶ οἷον ἐν τῇ αὐτῇ τάξει καὶ μοίρᾳ τῆς πόλεως οἰκοῦντας. οὕτως Ἀριστοφάνης. εἴρηκε δὲ καὶ Θουκυδίδης κώμας τοὺς δήμους ἐν πρώτῃ ⟨10⟩· "κατὰ κώμας δὲ τῷ παλαιῷ τρόπῳ οἰκηθεῖσα."

κωμῆται. κωμήτας οἱ παλαιοὶ τοὺς ἐκ a
τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ἔλεγον· Ἀριςοφάνης Νεφέλαις ⟨962⟩ "τοὺς κωμήτας γυμνοὺς ἀθρόους, κεἰ κριμνώδη κατανίφοι."

κωμῆται καὶ οἱ γείτονες· κώμη γὰρ ἡ b

γειτονία. Καλλίμαχος Ἑκάλῃ "τοῦτο γὰρ αὐτῇ κωμῆται κάλεον περιαγέες." Βάβριος ⟨128⟩ "ὄνῳ τις ἐπιθεὶς ξόανον εἶχε κωμήτης."

κωμῆτις, θηλυκῶς, ἡ γείτων· κῶμαι γὰρ τὰ ἄμφοδα, ἔνθεν καὶ ἐπικωμάσαι. Ἀριςοφάνης "πλὴν ἥ γ' ἐμὴ κωμῆτις ἥδ' ἐξέρχεται," ὡς Λυσιςράτη φησί ⟨5⟩.

κωμικὸς ποιητής, καὶ κωμικὸν δορυφόρημα.

κῶμοι ᾠδαὶ ἢ ὀρχήσεις μετὰ μέθης.

a κῶμος ἡ μέθη καὶ ὁ ὀρχησμός. λέγεται δὲ καὶ ὁ ςενὸς τόπος. σημαίνει δὲ καὶ τὸ κοίμημα. "Ἀλέξανδρος δὲ πλήρης ὢν ἐκ συμποσίου ἐπὶ κῶμον ἦλθεν εἰς Ἀντιπάτρου, οἷ πάντες οἱ φίλοι, παρακληθείς."

b κῶμος μεθυςικὸς αὐλός, ἐγχρονίζοντος τοῦ οἴνου ἐρεθίζων τὴν ἡδυπάθειαν, καὶ θέατρον ἄσχημον ποιῶν τὸ συμπόσιον, κυμβάλοις τισὶ καὶ ὀργάνοις καταθέλγων τοὺς δαιτυμόνας. καὶ αὖθις "ὃς εἰς ἔρωτας ἐσχόλαζε καὶ κώμους." "ἐπὶ κῶμον ἔρχεται μεθύων ἄνθρωπος, οὐκ ἀγροίκως τῆς φωνῆς ἔχων" Φιλόςρατος ⟨V. A. 4 13⟩.

κωμύδριον τὸ μικρὸν χωρίον.

κώμυθα ⟨Theocrit. 4 18⟩ δέσμην χόρτου. ⟨Agath. 5 21⟩ "οἱ δὲ ξυνδήσαντες τοὺς καλάμους καλωδίοις τε καὶ τολύπαις κώμυθας πολλὰς ἀπειργάσαντο." ἡ εὐθεῖα ὁ κώμυθος.

κωμῳδεῖν σκώπτειν.

κωμῳδίαι ὕβρεις, διασυρμοί, ἐμπαίγματα. καὶ κωμῳδός.

κωμῳδιοποιός ὁ σκώμματά τινα εἰσάγων κατά τινος.

κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί" Ἀριςοφάνης ⟨Vesp. 1358⟩.

κωμῶν τῶν χωρίων. ἡ εὐθεῖα κώμη.

κωνειαζομέναις θανάσιμον φάρμακον πινούσαις· κώνειον γὰρ θανάσιμον δηλητήριον.

κωνίσαι πίθον.

κωνοειδὲς σχῆμα τοιοῦτον οἷον ςροβιλοειδές. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 13⟩ "κὴν ςέρνοις ἔτι κεῖνα τὰ λύγδινα κωνία μαςῶν ἕςηκεν."

κῶνοι ςρόβιλοι. καὶ τὸ ἀποσκίασμα τῆς γῆς.

κῶνον καὶ οἶνον· Ἀριςοφάνης Βατράχοις ⟨512⟩ "κῶνον ἀνεκεράννυ γλυκύτατον."

κωνοφόροι θυρσοφόροι. κῶνος δὲ λέγεται ὁ βοτρυοειδὴς τοῦ ςροβίλου καρπός, ὃν ἔφερον αἱ γυναῖκες βαςάζουσαι ἐν ταῖς τοῦ Διονύσου τελεταῖς, ἐπειδὴ ὅμοιον τῷ σχήματι τὸν κῶνον τῇ τοῦ ἀνθρώπου καρδίᾳ, ἐπιςάτην δέ φασιν Ἕλληνες τῆς τῶν ἀνθρώπων καρδίας τὸν Διόνυσον. οἰκείῳ οὖν τινὶ μυςηρίῳ τοῦτο ἐποίουν. ⟨AP 6 165⟩ "καὶ θύρσου χλοερὸν κωνοφόρον κάμακα."

κωνσιςώριον. παρὰ Ῥωμαίοις οὕτω λέγεται τὸ συνέδριον καὶ τὸ σύςημα ἔνθα περὶ τῶν ἐπειγόντων βουλεύονται.

Κῶνσος ὄνομα κύριον.

Κωνςαντῖνος βασιλεὺς Ῥωμαίων, υἱὸς Λέοντος τοῦ εἰκονομάχου τοῦ Ἰσαύρου, ἐκ λέοντος ἀνεφύη ποικιλότροπος πάρδαλις, ἐκ σπέρματος ὄφεως ἀσπὶς δεινὴ καὶ ὄφις πετόμενος, ἐκ Δὰν Ἀντίχριςος. οὗτος τὴν πατρῴαν βασιλείαν τε καὶ ἀσέβειαν διαδεξάμενος, καὶ ἀσελγείαις καὶ δαιμόνων ἐπικλήσεσι καὶ ἄλλοις τοιούτοις ἐπιτηδεύμασι χαίρων καὶ σχολάζων, ἐξαίρετον ὄργανον καὶ λίαν ἐπιτήδειον τοῦ πατρὸς αὐτοῦ καὶ διδάσκαλος γέγονε τοῦ διαβόλου. καὶ γὰρ εἰς τοσαύτην ἀπόνοιαν καὶ παραπληξίαν ἐξώκειλεν ὡς καὶ θεσμὸν ἐπὶ λαοῦ καθολικὸν ἐκθέσθαι, μὴ λέγεσθαί τινα τῶν θεραπόντων κυρίου τὸ παράπαν ἅγιον, ἀλλὰ καὶ τὰ λείψανα τούτων εὑρισκόμενα διαπτύεσθαι, καὶ μηδὲ πρεσβείαν αὐτῶν ἐξαιτεῖν· οὐδὲν γὰρ ἰσχύουσιν. εἶτα προσθεὶς ὁ παμβέβηλος λέγει "μηδὲ τῆς Μαρίας ἐπικαλείσθω τις πρεσβείαν· οὐ γὰρ δύναται βοηθεῖν τινί· μηδ' αὖ πάλιν θεοτόκος αὐτὴ ὀνομαζέσθω." καὶ δὴ λαβὼν ἐν χειρὶ βαλάντιον πλῆρες χρυσίου καὶ ὑποδείξας αὐτὸ πᾶσιν ἤρετο τίνος ἄξιόν ἐςι· τῶν δὲ πολλοῦ εἰπόντων, κενώσας τὸ χρυσίον πάλιν ἤρετο τίνος ἐςὶν ἄξιον· καὶ λέγουσιν οὐδενός "οὕτως" ἔφη "καὶ ἡ Μαρία·" οὐδὲ γὰρ θεοτόκον ὀνομάζεσθαι ὁ ἄθεος ἠξίου. "ἕως μὲν γὰρ εἶχε τὸν Χριςὸν ἐν ἑαυτῇ, τετιμημένη ὑπῆρχεν· ἀφ' οὗ δὲ τοῦτον ἀπέτεκεν, οὐδὲν τῶν λοιπῶν γυναικῶν διενήνοχε." φεῦ τῆς τολμηρᾶς δυσφημίας τοῦ σαρακηνοπίςου καὶ ἰουδαιόφρονος. τὴν γὰρ Ἀφροδίτην ἐτίμα, καὶ ἀνθρωποθυσίας ἀνέφερε πέραν τῆς πόλεως, ἔνθα ὁ τῆς ἁγίας Μαύρας ναός· ὅνπερ ἐδαφίσας καὶ φονευτήριον ποιήσας Μαύραν ὠνόμασε τὸν τόπον, ἐν ᾧ καὶ νύκτωρ ἐπιτέλει θυσίας καὶ παῖδας κατέσφαττε. καὶ μαρτυρεῖ τὸ πρὸς θυσίαν σφαγιασθὲν τοῦ Φιλαμίῳ παιδάριον, ὅπερ ἐν παραθέσῳ θύσαντος

αὐτοῦ τοῦτο ὁ θεὸς ἔκδηλον ἐποίησεν. Cedrenus p. 459.

a *Κωνσταντῖνος ὁ μέγας.* οὗτος ἐξ ἀφανῶν τίκτεται τῷ βασιλεῖ Κωνσταντίῳ, γνωρισθεὶς δὲ τῷ πατρὶ κατά τινας γνωρίμους τρόπους· ὃς κατά τινα τύχην ἔγνω τοὺς τόπους καταλιπεῖν ἐν οἷς διέτριβεν, ἐξορμῆσαι δὲ πρὸς τὸν πατέρα Κωνστάντιον ἐν τοῖς ὑπὲρ τὰς Ἄλπεις ἔθνεσιν ὄντα καὶ Βρεττανίᾳ συνεχέστερον ἐνδημοῦντα. θεασάμενος δὲ αὐτὸν ὁ πατὴρ χειροτονεῖ βασιλέα, τοὺς ἐκ τῆς Θεοδώρας υἱεῖς καταλιπών, ἰδὼν αὐτὸν εὖ ἔχοντα σώματος. β' δὲ καὶ ξ' καὶ τ' ἀπὸ τῆς Αὐγούστου Καίσαρος μοναρχίας διεληλυθότων ἐνιαυτῶν Κωνσταντῖνος τὴν νέαν Ῥώμην ἀνίστησι.

b *Κωνσταντῖνος ὁ μέγας βασιλεύς,* περὶ οὗ γράφει Εὐνάπιος φληνάφως. καὶ παρῆκα αὐτὰ αἰδοῖ τοῦ ἀνδρός.

Κωνσταντινούπολις. ὅτι ἡ Κωνσταντινούπολις τοσοῦτον τῶν ἄλλων ἁπασῶν μείζων ὅσον τῆς Ῥώμης ἐλαττοῦσθαι δοκεῖ, ἧς τὸ δευτέραν τετύχθαι μακρῷ βέλτιον ἔμοιγε φαίνεται ἢ τὸ τῶν ἄλλων ἁπασῶν πρώτην νομίζεσθαι. Iulian. or. 1 p. 14.

ὅτι τξ' ἀπὸ τῆς Αὐγούστου Καίσαρος μοναρχίας διεληλύθεισαν ἐνιαυτοὶ τῇ πρεσβυτέρᾳ Ῥώμῃ, καὶ τῶν πραγμάτων αὐτῆς ἤδη πρὸς πέρας ἀφιγμένων Κωνσταντῖνος ὁ Κωνσταντίου παῖς ἐπιλαβόμενος τῶν σκήπτρων τὴν νέαν ἀνίστησι Ῥώμην. ἀπὸ δὲ τῆς κτίσεως τῆς νέας Ῥώμης μέχρι τῶν κατεχόντων τὰ σκῆπτρα Ῥωμαίων Βασιλείου καὶ Κωνσταντίνου τῶν πορφυρογεννήτων ἔτη

Κωνστάντιος καὶ Κώνστας καὶ Κωνσταντῖνος υἱοὶ τοῦ μεγάλου Κωνσταντίνου.

Κωνώπη ὄνομα πόλεως.

κώνωψ, θηλυκῶς παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ ⟨538⟩, εἶδος μυίας.

Κῷος πρὸς Χῖον. ὁ μὲν γὰρ Χῖος ἐδύνατο ἕν, ὁ δὲ Κῷος ἕξ.

κῶπα καὶ κώπεα ὁ περιτραχήλιος κόσμος.

Κωπαῒς ἡ ἔγχελυς. Κωπαῒς λίμνη ἐν Βοιωτίᾳ, ἐν ᾗ μεγάλαι ἐγχέλεις γίνονται. ἔστι δὲ καὶ πόλις ὁμώνυμος. sch. A Ach. 880, Pac. 1005.

Κῶπαι ⟨Hom. *B* 502⟩ πόλις.

κώπη ἡ λαβὴ τοῦ ξίφους, ἢ κόπτειν δυναμένη. καὶ *κωπῆεν* καὶ *κωπήεις* καὶ *κωπήεντος* ἀπὸ τῆς κώπης.

κωπηλασία καὶ κωπηλατῶ.

κωπῆρες πλοῖον, ὡς ἡμεῖς, καὶ Θουκυδίδης ἐν δ' ⟨118⟩. καὶ ἡ δοτικὴ *τῷ κωπῆρι.*

Κωπώνιος ὄνομα κύριον.

Κωρυκαῖος. θεόν τινα παρεισάγουσιν οἱ κωμικοὶ ἐπακροώμενον, ἀπὸ παροιμίας τινός. Κώρυκος γὰρ τῆς Παμφυλίας ⟨an Κιλικίας⟩ ἀκρωτήριον, παρ' ᾧ πόλις Ἀττάλεια· ἐνταῦθα οἱ ἀπὸ τῆς πόλεως, ἵνα μηδὲν αὐτοὶ κακῶς πάσχωσιν ἀπὸ τῶν ἐφορμούντων ἐπὶ τὴν ἄκραν λῃστῶν, ὑπαλλαττόμενοι πρὸς τοὺς ἐν ἄλλοις λιμέσιν ὁρμοῦντας κατηκροῶντο, καὶ τοῖς λῃσταῖς ἀπήγγελλον καὶ τίνες εἰσὶ καὶ ποῖ πλέουσιν. ὅθεν καὶ ἡ παροιμία "τοῦ δ' ἆρ' ὁ Κωρυκαῖος ἠκροάσατο." οἱ δὲ κωμικοὶ Κωρυκαῖον τὸν θεὸν εἰσάγουσιν· Μένανδρος Ἐγχειριδίῳ. Διώξιππος Θησαυρῷ "μὴ κατακούσειεν δέ με ὁ Κωρυκαῖος. ἀλλὰ μὴν κατακήκοα τὰ πάντ' ἀκολουθῶν ἔνδοθέν σου." ὁ δὲ Ἔφορος ἐν γ' "ὑπ' ἄκρᾳ" φησὶν "ᾤκουν οἱ καλούμενοι Κωρυκαῖοι ἀνατεινούσῃ εἰς πέλαγος, σύμμικτοί τινες κατασκευασάμενοι πολισμάτιον, γείτονες Μυοννήσῳ. τοῖς οὖν ὁρμοῦσιν ἐμπόροις προσήεσαν ὡς ὠνούμενοι ἢ σύμπλοοι· εἶτα μαθόντες τί τε κομίζουσι καὶ ποῖ πλέουσι, τοῖς Μυοννησίοις ἀπήγγελλον, κἀκεῖνοι ἐπετίθεντο αὐτοῖς. ἐλάμβανον δὲ καὶ αὐτοὶ μέρη τινὰ τῶν λύτρων." cf. v. τοῦ δ' ἄρα ὁ Κ.

κωρύκιον. κώρυκος θυλάκιον, τὸ παρ' ἡμῖν βουλγίδιον. ἢ πλέγμα δεκτικὸν ἄρτων.

κώρυκος ὁ θύλακος. ὅτι Ἀττήλας Μεδιόλανον πολυάνθρωπον ἑλὼν πόλιν, ὡς εἶδεν ··· πρὸ τῶν ποδῶν αὐτοῦ. cf. v. Μεδιόλανον.

Κῶς ἡ νῆσος, ὅθεν ἦν Ἱπποκράτης ὁ ἰατρός· ἥτις καὶ Μεροπὶς λέγεται.

κωτίλη ἡ λόγοις ἀπατῶσα. καὶ *κωτίλος* πανοῦργος, ἢ κόλαξ, ἢ ἀπατεών. ⟨AP 7 221⟩ "ἐσβέσθη δὲ τὰ φίλτρα τὰ κωτίλα, χὼ μετ' ἀοιδῆς ψαλμός." καὶ Δαβὶδ κωτίλοις κέχρηται λόγοις, φενακίσαι πειρώμενος· φησὶ γάρ "τῷ στόματι αὐτῶν ηὐλόγουν καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο." Theodoret. in Ps. 61 5.

κωτίλλω πανουργεύομαι, λαλῶ· Βάβριος ⟨95 87⟩ "τοιαῦτα κωτίλλουσα τὴν ἀχαιίνην ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην."

κωφὰ καὶ παλαί' ἔπη ⟨S OR 290⟩ ψυχρὰ καὶ οὐδὲν σαφὲς ἔχοντα, τὰ ψιθυριζόμενα.

Κωφήν Κωφῆνος ὄνομα ποταμοῦ.

κωφῆς· Δαβίδ "ὡσεὶ ἀσπίδος κωφῆς," οὐ τῆς κατὰ φύσιν κωφευούσης, ἀλλὰ βυούσης τὰ ὦτα καὶ ἀπωθουμένης τὴν ἐπῳδήν. Theodoret. in Ps. 57 5.

κωφὸν ἄηχον, ἀσθενές, ἀμβλύ· ⟨Hom. Λ 390⟩ "κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος." κατὰ μεταφορὰν ἀπὸ τοῦ κατὰ τὴν ἀκοὴν ἐπὶ τὴν ἁφήν.

κωφότερος κίχλης παρ' Εὐβούλῳ ἐν Διονυσίῳ λέγεται ἀφωνότερος κίχλης.

κωφότερος τοῦ Τορωναίου λιμένος. περὶ Τορώνην τῆς Θρᾴκης καλεῖταί τις κωφὸς λιμήν. εἴρηται δὲ ἡ παροιμία παρ' ὅσον ὁ ἐν Τορώνῃ τῆς Θρᾴκης λιμὴν ςενὰς ἔχει καὶ μακρὰς τὰς ὑπὸ τοῦ πελάγους καθάρσεις, ὡς μὴ ἀκούεσθαι τοῖς ἐν αὐτῷ τὸν τῆς θαλάττης ἦχον.

κωχεύει συνουσιάζει.

a *λᾶας* λίθος· ἐν ἐπιγράμμασι ⟨AP 6 67⟩ "πολυτρήτου τ' ἀπὸ πέτρης λᾶαν, ὃς ἀμβλεῖαν θῆγε γένυν καλάμου."

b *λᾶας* λίθος. καὶ *λάου* λίθου, ἀπὸ τῆς λάος εὐθείας, γενομένης ἀπὸ γενικῆς τῆς λᾶος, "λᾶος ὕπαι ῥιπῆς" ⟨Hom. Μ 462⟩. "λέχριος γ' ἐπ' ἄκρου λάου βραχὺς ὀκλάσας" ⟨S OC 196⟩.

λαβαῖς ἐπαφαῖς, ἢ ἀφορμαῖς, ἢ μέμψεσι. λαβὰς δὲ ἀμφιςόμους τὰ ὦτα τοῦ κρατῆρος, ἤτοι τὰς ἀμφοτέρωθεν ἐςομωμένας, ἢ διὰ τὸ ἑκατέρωθεν τοῦ ςόματος ταύτας εἶναι, ἢ τὰς πρόσωπά τινα θηρίων ἑκατέρωθεν ἐχούσας. "ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιςόμους" ⟨S OC 473⟩, τουτέςιν ἔρεψον καὶ τῶν κρατήρων τὴν κεφαλήν. "ὅτι Βαγώας ὁ Αἰγύπτιος ἔσφαξεν Ὦχον τὸν Πέρσην, καὶ τὰ μὲν κρέατα ἔφαγε, τὰ δὲ ὀςέα μαχαιρῶν εἰργάσατο λαβάς." καὶ αὖθις "λαβαὶ φιλοσοφίας ἀριθμητικὴ καὶ γεωμετρική."

λαβεῖν τιμωρίαν ἐκδικηθῆναι.

λάβη αὐθυπότακτον.

Λαβίνιος ὄνομα κύριον.

λαβραγόρην ⟨Hom. Ψ 479⟩ σφοδρῶς δημηγοροῦντα.

λάβραξ εἶδος ἰχθύος. καὶ παροιμία "λάβρακας Μιλησίους." τὴν δὲ προσηγορίαν πεποίηται, διότι κέχηνεν αὐτοῦ τὸ ςόμα, καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει· ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας μέγιςοι γίνονται λάβρακες καὶ πλεῖςοι. Μίλητος δὲ πόλις Ἀσίας, ἔνθα πολλοὶ γίνονται λάβρακες διὰ τὴν ἐκδιδοῦσαν λίμνην εἰς τὴν θάλασσαν· χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἀνατρέχουσιν ἐκ τῆς θαλάσσης, καὶ οὕτω πληθύνουσι παρὰ Μιλησίοις. sch. A Eq. 360.

λαβρότατος.

λαβρώνιον εἶδος ἐκπώματος. καὶ *λαβρώνιος.*

λαβύρινθος κοχλιοειδὴς τόπος. λέγεται δὲ ἐπὶ τῶν φλυάρων, παρὰ τὸ μὴ λαβεῖν θύραν, ἢ παρὰ τὸ πολλοῖς λόγων κύκλοις κεχρῆσθαι. σημαίνει δὲ καὶ τὸ τῶν ἀντριάδων νυμφῶν ἀνάθημα· ⟨AP 6 224⟩ "εἰν ἁλὶ λαβύρινθε, τύ μοι λέγε, τίς σ' ἀνέθηκεν ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑράμενος;"

λάγανα πλακουντάρια, ὡς καπυρώδη, παρὰ τὸ λαγαρόν. καὶ ⟨A Vesp. 674⟩ "λαγαριζόμενον καὶ τρώγοντα τὸ μηδέν." καὶ Δαβὶδ ⟨2 Sam. 6⟩ θύσας ἐπὶ τῇ τῆς κιβωτοῦ μεταθέσει γυναιξὶ καὶ ἀνδράσι καὶ νηπίοις διέδωκε κολλουρίδα ἄρτου καὶ ἐσχαρίτην καὶ λαγανιςὸν ⟨an λάγανον τηγανιςὸν⟩ καὶ μερίδα θύματος.

λαγαριζόμενον· Ἀριστοφάνης ⟨Vesp 673⟩ "ὡς ἥσθηνται τὸν σύρφακα ἐκ κηθαρίου λαγαριζόμενον καὶ τραγαλίζοντα τὸ μηδέν."

λαγαρὸν ὑπόκενον. "ἐμηχανῶντο δὲ ὅσα λαγαρότητι ἢ ἁπαλότητι πρὸς τὰς τοξείας ἀντήρκει." καὶ ἐν ἐπιγράμμασι ⟨AP 5 264⟩ "καὶ λαγαρὸν δειρῇ δέρμα περικρέμαται," καὶ αὖθις ⟨AP 6 231⟩ "σοὶ γὰρ ὑπὲρ σχιδάκων λαγαρὸν ποπάνευμα πρόκειται."

Λαγγόβαρδος ἐθνικόν.

λάγειον αἷμα τὸ τοῦ λαγωοῦ.

λαγιδεύς ὁ τοῦ λαγωοῦ.

Λαγίσκα ἑταίρα τις, ἧς Λυσίας μνημονεύει. Harp.

λαγνεία πορνεία.

λάγνης, ἀρσενικῶς, ἀντὶ τοῦ λάγνος.

λάγνος πόρνος, αἰσχρός, κατωφερὴς πρὸς τὰ ἀφροδίσια.

Λαγόβιος ὄνομα κύριον.

Λαγόνος.

Λαγορία ὄνομα πόλεως.

Λάγος ὄνομα κύριον, ὃς Ἀρσινόην ἔγημε

τὴν Πτολεμαίου τοῦ σωτῆρος μητέρα. τοῦτον δὲ τὸν Πτολεμαῖον οὐδὲν οἱ προσήκοντα ἐξέθηκεν ἄρα ὁ Λάγος ἐπ' ἀσπίδος χαλκῆς. διαρρεῖ δὲ λόγος ἐκ Μακεδονίας, ὃς λέγει ἀετὸν ἐπιφοιτῶντα καὶ τὰς πτέρυγας ὑπερτείνοντα καὶ ἑαυτὸν αἰωροῦντα ἀποστέγειν αὐτοῦ καὶ τὴν ἄκρατον ἀκτῖνα καὶ ὅτε ὕοι τὸν πολὺν ὑετόν, τούς γε μὴν ἀγελαίους φοβεῖν ὄρνιθας, διασπᾶν δὲ ὄρτυγας, καὶ τὸ αἷμα αὐτῷ παρέχειν τροφὴν ὡς γάλα.

a **λάγυνος** ὁ πανδεκτικός.

b **λάγυνος**· (AP 6 248) "Κύπριδι κεῖσο, λάγυνε μεθυσφαλές, αὐτίκα δῶρον κεῖσο, κασιγνήτη νεκταρέης κύλικος βακχείας, ὑγρόφθογγε, συνέστι δαιτὸς ἴσης, ξειναύχην, ψήφου συμβολικῆς θύγατερ, θνητοῖς αὐτοδίδακτε διήκονε, μύστι φιλούντων ἡδίστη, δείπνων ὅπλον ἑτοιμότατον."

λαγωβολεῖον ἐν ᾧ τοὺς λαγωοὺς ἀγρεύουσι.

λαγώδιον.

λαγῴοις τοῖς τοῦ λαγωοῦ κρέασιν· Ἀριστοφάνης (Vesp. 729) "ἔζων δύο μυριάδες τῶν δημοτικῶν ἐν λαγῴοις καὶ στεφάνοισιν παντοδαποῖσιν."

λαγῷ πεινῶντι καὶ πλακοῦντες εἰς σῦκα, παροιμία πρὸς τοὺς τὰ ἐν ἀνάγκῃ πολυτελῆ λογιζομένους.

λαγὼς καθεύδων, ἐπὶ τῶν προσποιουμένων καθεύδειν. λέγεται καὶ λαγωός λαγωοῦ. ἐν ἐπιγράμματι (AP 7 207) "τὸν ταχύπουν ἔτι παῖδα συναρπασθέντα τεκούσης ἄρτι μ' ἀπὸ στέρνων, οὐατόεντα λαγών."

λαγὼς περὶ τῶν κρεῶν παροιμία· δειλὸν γὰρ τὸ ζῷον ὁ λαγώς. ὅθεν καὶ ὁ Ῥηγῖνος λαγὼς ἐλέχθη· καὶ γὰρ τοὺς Ῥηγίνους ἐπὶ δειλίᾳ ἐκωμῴδουν. παροιμία δέ τις ἐστὶν "ὁ λαγὼς τὴν περὶ τῶν κρεῶν τρέχει," ἐπὶ τῶν διακινδυνευόντων ταῖς ψυχαῖς καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων ταττομένη. καὶ παροιμία "ὁ Καρπάθιος τὸν λαγών" ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων· οἱ γὰρ Καρπάθιοι νῆσον οἰκοῦντες καὶ λαγωοὺς οὐκ ἔχοντες ἐπηγάγοντο· οἳ πολλοὶ γενόμενοι ἐλυμαίνοντο τοὺς καρπούς.

Λαδικέας· ἐν ἐπιγράμματι (AP append. 132) "ἀσπίδα φρῦνον ὄφιν καὶ Λαδικέας περίφευγε."

Λάδων ποταμὸς Ἀρκαδίας.

λάειν βλέπειν, καὶ **ἀλαός** ὁ τυφλός.

Λᾴειος φόνος ὁ τοῦ Λαΐου.

λάθε βιώσας· "τοῦ τε ἐν παροιμίᾳ λέγεσθαι εἰωθότος ἔργῳ βεβαιωθέντος ὑπ' ἐκείνου, τοῦ λάθε βιώσας, ὥστε οὐδένα τῶν τότε ζώντων ἀνθρώπων οὔτε τῶν πρεσβυτέρων ἐλπίσαιμ' ἂν εἰδέναι οἷον λέγω." cf. v. Σαραπίων b.

λαθικηδέα μαζόν (Hom. X 83) λήθην κήδους τῷ παιδὶ ἐμποιοῦντα.

λαθικηδής ὁ λήθην κακῶν ποιῶν.

λαθραίως καὶ **λαθρηδά** καὶ **λαθρηδόν** ἀντὶ τοῦ κρύφα.

λάθωμαι γενικῇ.

λαιά ἀριστερά, ἢ κολοβά.

λάιγγες (Hom. ε 433) οἱ μικροὶ λίθοι.

λαιδρός ὁ θρασύς.

λαίεται καταλύεται.

λαίθαργος λαθροδήκτης· "σαίνεις δάκνουσα, καὶ κύων λαίθαργος εἶ." παροιμία ἐπὶ τῶν ὑποκρινομένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρᾳ. sch. A Eq. 1028.

λαιθυράζω χλευάζω.

λαικάζω ἀπατῶ.

λαικαστής ὁ πόρνος. Ἀριστοφάνης (Ach. 79) "λαικαστάς τε καὶ καταπύγονας," τουτέστι τοὺς πόρνους. ὁ αὐτός (Thesm. 58) "κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν, τὰ δὲ τορνεύει καὶ γογγυλίζει καὶ λαικάζει." καὶ **λαικάστρια** ἡ πόρνη.

λαίλας ὁ μὴ ἐκ γένους τύραννος.

λαῖλαψ μετ' ἀνέμων ὄμβρος καὶ σκότος· (Theophyl. 2 7) "ὃ δὲ οἷά τις λαῖλαψ ἐπιθαλάττιος ἢ ῥαγδαῖος σκηπτὸς ἐξαπιναίως ἐπεφοίτησε." καὶ αὖθις (AP 6 245) "λαίλαπι βορραίῃ κλασθὲν ἐπεῖδε κέρας," τῇ ἐκ τοῦ βορρᾶ.

Λαίλιος ὄνομα κύριον.

λαῖμα τὸ αἷμα· παραπεποίηται δὲ παρὰ a
τὸ λαιμόν. οἱ δὲ λαῖμα, τουτέστιν ὅρμημα. ἔτι μέντοι τῶν περὶ τὴν Ἀσίαν τινὲς ἐπὶ τῶν ἀναιδῶν καὶ ἐκτόλμων οὕτω λέγουσιν. Ἀριστοφάνης Ὄρνισι (1562) "κᾆτ' ἀνῆλθ' αὐτῷ κάτωθεν πρὸς τὸ λαῖμα τοῦ καμήλου Χαιρεφῶν ἡ νυκτερίς."

λαῖμα τὸ ἱερόν, θῦμα. b

λαιμαργία ἡ σύντονος ἐπιθυμία.

λαιμάσσω ἀμέτρως ἐσθίω.

λαιμοπέδη δι' ἧς δεσμεῖται ὁ κύων. ἐν ἐπιγράμματι (AP 6 35) "καὶ τὰν εὐρίνων λαιμοπέδαν σκυλάκων."

λαιμωδῶ δραπετεύω.

λαιμώρη ἡ λαμυρίς.

Λαίνιλλα.

λάινον ἕσσο χιτῶνα (Hom. Γ 57) λιθόλευςος ἐγεγόνεις.

λαιόν τὸ ἀριςερόν.

Λάιος ὁ Θηβῶν βασιλεύς. ἐν τῷ Οἰδίπους.

Λαιπάνης.

Λαΐς Λαΐδος ἡ ἑταιρίς. ἔςιν ἐν τῷ Χελώνη.

λαισήιον μικρὰ ἀσπίς.

λαίσθη (an λάσθη) αἰσχύνη.

Λαισίνη ὄνομα πόλεως, καὶ κύριον.

λαίσκαπρος ὁ λάγνος.

Λαισχίδης.

Λαισποδίας εἶ τὴν φύσιν (A Av. 1568), ἀντὶ τοῦ τὴν κνήμην ἔχεις σαθράν· Λαισποδίας γὰρ καὶ Δαμασίας ὡς κακόκνημοι διεβάλλοντο. τοῦτον δὲ τὸν Λαισποδίαν καὶ ςρατηγῆσαί φησι Θουκυδίδης ἐν τῇ ή (86). ἦν δὲ καὶ φιλόδικος. εἶχε δὲ καὶ περὶ τὰς κνήμας αἰτίας τινάς· διὸ καὶ κατὰ σκελῶν ἐφόρει τὸ ἱμάτιον. ἢ ὡς Ἰξίων ἐν ταῖς λέξεσιν, ὁ ἀκρατὴς περὶ τὰ ἀφροδίσια, ὥςε καὶ κτήνη σποδεῖν.

λαισόν τὸ ἀχθεινόν.

λαιςρόν πρυτανεῖον.

Λαιςρυγονία πόλις Λαιςρυγόνος (Hom. κ 106).

λαῖτμα κῦμα, καὶ βάθος.

λάιτον τὸ ἀρχεῖον.

Λαιφάνεια ὄνομα πόλεως.

λαίφη, θηλυκῶς, ἡ χλανίς· (Callim. fr. 245) "διερὴν ἀπεσείσατο λαίφην."

λαῖφος ἄρμενον, ἱςίον, ἱμάτιον. καὶ ἡ δοτικὴ τῷ λαίφει.

λαιψηρόν τὸ ἀσθενές. ἢ τὸ ταχύ, ἐλαφρόν. Λάκωνες τὸ ἡμίξηρον.

Λάκαινα κύων· Σοφοκλῆς (Ai. 8) "κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις."

λακάνη. τὸ μὲν κοινὸν λακάνη, παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ χαίνειν, πλατὺ γάρ· τὸ δὲ Ἀττικὸν λεκάνη. sch. A Av. 1142.

Λακεδαίμονος.

Λακέρεια ὄνομα πόλεως.

λακέρυζα κορώνη (Hesiod. O. 745) ἡ μεγάλα κρώζουσα.

λακερύζεσθαι λογοποιεῖσθαι, ἢ λοιδορεῖσθαι.

λακίδας πεπλωμάτων τὰ διερρωγότα ἱμάτια παρὰ Ἀριςοφάνει (Ach. 398).

Λακίνιον ὄρος Κρότωνος, καὶ Λακινία τόπος.

λάκισμα σχίσμα. "εὗρον τὸν χιτῶνα ἡμαγμένον καὶ λελακισμένον" ἀντὶ τοῦ ἐσχισμένον.

λακίσματα μελῶν (Greg. Naz. or. 22 p. 404 D) τὰ τῶν σαρκῶν ἀποσχίσματα. καὶ αὖθις (Menand. p. 381 Nieb.) "εἶτα οἱ Τοῦρκοι περιέφερον τὸ φυλλῶδες τοῦ λιβάνε τῇ φλογὶ λακιζόμενον."

λακκαῖον ὕδωρ τὸ ἀπὸ λάκκου.

λακκόπλουτον. Καλλίαν τὸν Ἀθηναῖον οὕτως ἔλεγον ἐξ αἰτίας τοιαύτης. Ξέρξην ἡττηθέντα ἐν τῇ περὶ Σαλαμῖνι ναυμαχίᾳ φυγεῖν ἐξ Ἀθηνῶν, ἐςαθμευκότος δέ τινος τῶν Περσῶν ἐν τοῖς Καλλίου καὶ τὴν ἀποσκευὴν ἐκεῖ καταλελοιπότος, τῶν δὲ βαρβάρων ὀξεῖαν τὴν φυγὴν ποιησαμένων, ἐμβαλεῖν τοὺς οἰκέτας τοῦ Πέρσε πολὺν χρυσὸν εἰς λάκκον, ἐλπίζοντας ὕςερον ἀνασώσειν ἐπανελθόντας. οὐ μὴν γενέσθαι λέγεται· πρότερον γὰρ κυριεῦσαι τῶν χρημάτων Καλλίαν.

λακκόπρωκτος· Ἀριστοφάνης (Nub. 1333) "ὦ λακκόπρωκτε. πάττε πολλοῖς τοῖς ῥόδοις. ἆρ' οἶσθ' ὅτι χαίρω πόλλ' ἀκούων καὶ κακά;"

λάκκος. Ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν Ἑλ- a
λήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ ςρογγύλα καὶ τετράγωνα, καὶ ταῦτα κονιῶντες, οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτά· καὶ ταῦτα λάκκους ἐκάλουν. sch. A Eccl. 154.

λάκκος ὁ θάνατος, ἐπειδὴ λάκκῳ παρα- b
πλησίως ὁ τάφος ὀρύττεται· Δαβὶδ "καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον." καὶ τοὺς μεγάλους κινδύνους οὕτως ἔθος ὀνομάζειν τῇ θείᾳ γραφῇ· "καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας." Theodoret. in Ps. 27 1.

Λακρατίδης. οὗτος ἀρχαῖος ἄρχων Ἀθήνησιν. ἦρχε δὲ ἐπὶ τῶν χρόνων Δαρείε· ἐφ' οὗ πλείςη χιὼν ἐγένετο καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδας ἐκάλουν. Ἀριςοφάνης (Ach. 219) "παλαιῷ Λακρατίδῃ τὸ σκέλος βαρύνεται," ὃ ἔςι, διὰ τὸ γῆρας οὐχ οἷός τέ εἰμι θᾶττον βαδίζειν.

λάκτιν τὴν λεγομένην κιώταλιν, τορύνην,

ὁ ἔςι ζωμήρυσιν· (Callim. fr. 178) "ἐνεργέα λάκτιν."

Λακύδης Ἀλεξάνδρου Κυρηναῖος φιλόσοφος, ὃς τῆς νέας Ἀκαδημείας κατῆρξεν, ἔγραψε φιλόσοφα, καὶ περὶ φύσεως.

λακωνίζω τὰ τῶν Λακώνων φρονῶ· "οἱ μὲν ἠττικίκασιν, οἱ δὲ λελακωνίκασιν." *λακωνίζειν* δὲ παιδικοῖς χρῆσθαι Ἀριςοφάνης Θεσμοφοριαζούσαις β'.

Λακωνικαὶ ἀνδρεῖα ὑποδήματα· "καὶ ποῦ πέος; ποῦ χλαῖνα; ποῦ λακωνικαί;" Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις (149). καὶ ἐν ἐπιγράμματι (AP 6 292) "τοί τε Λάκωνες πέπλοι."

Λακωνικαὶ κλεῖδες. περιβόητοι δέ εἰσιν αὗται. ὁ αὐτὸς Ἀριςοφάνης (Thesm. 423) "οἱ γὰρ ἄνδρες ἤδη κλειδία φοροῦσι κρυπτά, κακοηθέςατα, Λακωνίκ' ἄττα, τρεῖς ἔχοντα γομφίους." τὰ γὰρ ἀρχαῖα μονοβάλανά φασιν εἶναι. Μένανδρος Μισουμένῳ "Λακωνική κλείς ἐςιν ὡς ἔοικέ μοι περιοιςέα." φησὶν ὅτι ἔξωθεν περικλείεται, μοχλοῦ περιτιθεμένου ἤ τινος τοιούτου, ὥςε τοῖς ἔνδον μὴ εἶναι ἀνοῖξαι.

Λακωνικὴ τάξις, ἡ κατὰ τοὺς ἄνω πολέμους ἀρίςη τῶν πρόσθεν γενέσθαι δοκεῖ. εἰς πεντηκοςύας καὶ ἐνωμοτίας καὶ μόρας διῃροῦντο αἱ τάξεις· καὶ ἦν ὁ ἐλάχιςος ἀριθμὸς τῆς ἐνωμοτίας ἀνδρῶν ε' καὶ κ'.

Λακωνικὸν τρόπον περαίνειν, ἢ παρέχειν ἑαυτὰς τοῖς ξένοις· ἥκιςα γὰρ τὰς γυναῖκας φυλάσσουσιν οἱ Λάκωνες.

Λακωνικός ὁ ςερρὸς καὶ ἀνδρεῖος· τοιοῦτοι γὰρ οἱ Λάκωνες. καὶ *Λακωνικὸν πνέων* ἀντὶ τοῦ ἰσχυρόν· ἢ τὰ Λακώνων φρονῶν. καὶ ἐπίρρημα· "λακωνικῶς ταῦτα καὶ συντόμως λέγω" (Iulian. ep. 59 p. 445 C) ἀντὶ τοῦ ἀνδρείως.

λακωνισμός ἡ πρὸς τοὺς Λάκωνας οἰκειότης, ὥσπερ ἀττικισμὸς ἡ πρὸς τοὺς Ἀττικούς.

λαλαγεῦσαν ἐμμελῶς φωνοῦσαν· ἐν ἐπιγράμματι (AP 6 54) "τὰν δὲ πάρος λαλαγεῦσαν ἐν ἄλσεσιν ἀγρότιν ἀχὼ πρὸς νόμον ἁμετέρας τρέψε λυροκτυπίας."

λαλάγημα τὸ ἀναφώνημα, τὸ ἦχημα· (AP 6 220) "ἱρήν σοι θαλάμην, ζωάγρια καὶ λαλάγημα ἀντίθεμαι."

λαλέοντος λαλοῦντος.

λαλητέος· (AP 7 47) "ἅπασ' Ἀχαιὶς μνῆμα σόν γ', Εὐριπίδη· οὔκουν ἄφωνος, ἀλλὰ καὶ λαλητέος."

λαλιά ἡ δημηγορία· "ἦν δὲ ὁ Ἀρκεσίλαος ἐν τῇ λαλιᾷ διαςατικὸς τῶν ὀνομάτων καὶ παρρησιαςὴς ἱκανῶς" (Diog. L. 4 33).

λαλίςατον τὸ κατὰ λόγον σοφόν. λέγεται δὲ καὶ ὁ εὔγλωττος καὶ ὁ εὐφωνότατος.

λαλίςερον ἀδολεσχέςερον, φλυαρότερον.

λαλῶ δοτικῇ.

Λαμάχων. Λάμαχος Ἀθηναίων ςρατηγὸς ῥιψοκίνδυνος, ὃν ὅτε εἰς Σικελίαν ἔπλεον οἱ Ἀθηναῖοι ἐχειροτόνησαν μετὰ Ἀλκιβιάδου καὶ Νικίου. ἦν δὲ καὶ φιλοπόλεμος. Ἀριςοφάνης (Ach. 269) "σπονδὰς ποιησάμενος ἐμαυτῷ, πραγμάτων τε καὶ μαχῶν καὶ Λαμάχων ἀπαλλαγείς· πολλῷ γάρ ἐσθ' ἥδιον."

Λάμεχ. δύο Λάμεχ ἡ γραφὴ μέμνηται, ἑνὸς μὲν τοῦ ἀπὸ Κάιν, ἑνὸς δὲ τοῦ πατρὸς Ἐνώχ. γεγένηται δὲ Νῶε διὰ Λάμεχ, οὐκ ἐκ τοῦ ἀπὸ Κάιν τοῦ καὶ πεφονευκότος ἄνδρα τε καὶ νεανίσκον εἰς μώλωπα, καὶ ὡς δύο φόνους πεποιηκὼς καὶ τῶν δύο τὰς γυναῖκας εἰληφὼς Ἐλδὰν καὶ Σελλὰν ἑαυτοῦ καταμέμφεται, ἑβδομηκοντάκις ἑπτὰ ἄξιον εἶναι κολάσεως. "ἐκ μὲν τοῦ Κάιν" φησὶν "ἐκδεδίκηται ἑπτάκις, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά." κολάζεται μειζόνως, διότι τῇ πτώσει τοῦ προημαρτηκότος οὐκ ἐσωφρονίσθη. τοῦ δικαίου γὰρ Ἐνὼχ ἀδελφοὺς ἀνεῖλε, τῷ πίςει διὰ τοῦτο προσευξαμένου μὴ ἰδεῖν τοιοῦτον θάνατον, καὶ ἀκουσθεὶς μετετέθη. ἦν δὲ ὁ Ἐνὼχ ἐκ τοῦ δικαίου Σήθ, ἐξ οὗ ὁ Χριςὸς κατάγεται γενεαλογούμενος ὑπὸ Λουκᾶ. ἐσπούδαζεν οὖν τῶν ἀσεβῶν τὸ σπέρμα τῶν δικαίων ἐξᾶραι τὸ γένος, ἐπειδὴ βδέλυγμα ἁμαρτωλῷ θεοσέβεια. καὶ γὰρ τὸ γένος καὶ σπέρμα τοῦ μὲν Κάιν κατηράθη, τοῦ δὲ Σὴθ εὐλογήθη. καὶ οὐκ ἐβούλετο ὁ θεὸς ἐπιμιξίαν γενέσθαι τῶν δικαίων τὸ γένος πρὸς τὸ τῶν ἀσεβῶν, ἀλλ' ἐξαλειφθῆναι. ἐπεὶ οὖν ἐφόνευον καὶ ἐλάμβανον τὰς γυναῖκας αὐτῶν, ἐξαίσια τέρατα ἐτίκτοντο οἱ γίγαντες· δι' οὓς καὶ ὁ κατακλυσμὸς ἐλθὼν πάντας ἄρδην ἀπώλεσε. μόνος δὲ Νῶε δίκαιος εὑρεθεὶς ἐν τῇ γενεᾷ αὐτῇ ἐφυλάχθη.

Λάμια. ταύτην ἐν τῇ Λιβύῃ Δοῦρις ἐν β' Λιβυκῶν ἱςορεῖ γυναῖκα καλὴν γενέσθαι, μιχθέντος δὲ αὐτῇ Διὸς ὑφ' Ἥρας ζηλοτυπουμένην ἃ ἔτικτεν ἀπολλύναι· διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι, καὶ τὰ τῶν

ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν (sch. A Vesp. 1030). ἔςι δὲ καὶ πόλις Θεσσαλίας, ὅθεν ὁρμηθέντες οἱ Ἕλληνες μετὰ τὸν Ἀλεξάνδρου θάνατον, Ἀθηναίων ἡγεμένων, τῆς ἐλευθερίας ἀντιποιησάμενοι τὸν Ἀντίπατρον ἐνίκησαν· Μένανδρος Ἀνδρογύνῳ "πλήσας γὰρ ἔφθειρ' ἐκ παρατάξεώς ποθεν τὰς ἐν Λαμίᾳ πάσας."

b Λάμια θηρίον, ἀπὸ τοῦ ἔχειν μέγαν λαιμόν, λαίμια καὶ λάμια. Ἀριςοφάνης (Vesp. 1030) "φώκης δ' ὀσμήν, λαμίας δ' ὄρχεις ἀπλύτους·" θραςικοὶ γὰρ οἱ ὄρχεις. εἰδωλοποιεῖ δέ τινας ὄρχεις λαμίας· θῆλυ γάρ.

Λάμος πόλις Λαιςρυγόνων.

λαμπαδεύεσθαι· "Ἀριστόγονος οὖν Διονύσου μύστης λαμπαδεύεσθαι μέλλων, εἶτα μέντοι τὰ δεξιὰ παρείθη μέρη."

λαμπάδιον, ὃ νῦν λαμπάδα καλοῦσιν. οὕτω Δείναρχος καὶ Πλάτων (Rp. 1 p. 328 A).

λαμπάδιον περὶ τὸ σφυρόν. οἱ μὲν τὸ λεπτὸν χειρίδιον, οἱ δὲ ἐπιδέσμου εἶδος, οἱ δὲ τὸν νάρθηκα τῶν ἰατρῶν τὸν ναρθηκίζοντα τὸ σφυρόν, οἱ δὲ τὰ ἔμμοτα. Ἀριστοφάνης (Ach. 1176) "λαμπάδια περὶ τὸ σφυρόν· ἀνὴρ τέτρωται χάρακι διαπηδῶν τάφρον." ὅτι Τραϊανὸς ὁ βασιλεὺς τοὺς τετρωμένυς ἐν πολέμῳ ἐθεράπευεν, ἐπιλειπόντων δέ σφας τῶν ἐπιδέσμων, οὐδὲ τῆς ἑαυτοῦ ἐσθῆτος ἐφείσατο, ἀλλ' εἰς τὰ λαμπάδια αὐτὴν κατέτεμε πᾶσαν (Dio Cass. 68 8).

λαμπάδος. τρεῖς ἄγυσιν Ἀθηναῖοι ἑορτὰς λαμπάδος, παναθηναίοις ἡφαιςείοις καὶ προμηθείοις. Ἴςρος δέ φησι λαμπάδα νομίσαι ποιεῖν πρῶτον Ἀθηναίους Ἡφαίςῳ θύοντας, ὑπόμνημα τοῦ κατανοήσαντα τὴν χρείαν τοῦ πυρὸς διδάξαι τὺς ἄλλυς. Harp.

λαμπετόωντι (Hom. *A* 104) λάμποντι.

λαμπηδόνος.

λαμπήνη ἅμαξα βασιλική, ἤρδιον περιφανές, ὅ ἐςιν ἅρμα σκεπαςόν. cf. v. ἤρδιον.

Λαμπιτώ· (A Lys. 997) "ἀλλ' ἀρχὰ μὲν οἴω Λαμπιτώ" ἀντὶ τοῦ, ὡς οἴομαι, ἀρχὴ τῆς μάχης ἡ Λαμπιτώ.

λαμπρὰν ἡμέραν λέγυσιν, οὐ καθαράν.

λαμπρειμονῶ, ὥσπερ καὶ τὸ λευχειμονῶ.

Λαμπρίας Πλυτάρχυ τοῦ Χαιρωνέως υἱὸς ἔγραψε πίνακα ὧν ὁ πατὴρ αὐτῦ ἔγραψε περὶ πάσης Ἑλληνικῆς καὶ Ῥωμαϊκῆς ἱςορίας.

λαμπροείμων λαμπροφορῶν.

λαμπροφόροι· Ἀριςοφάνης (Lys. 1002) "οἱ γὰρ ἄνδρες ὥσπερ λαμπροφόροι ὄντες ἀποκεκύφαμεν·" οἱ γὰρ λυχνοφοροῦντες κεκύφασι διὰ τὸν ἄνεμον. cf. v. ἀποκεκύφαμεν.

λαμπρόψυχος ἀντὶ τοῦ μεγαλόψυχος.

λαμπρύνομαι δοτικῇ.

λαμπρυνομένων ἀντὶ τῦ καυχωμένων καὶ νικώντων ἐν τοῖς ἅρμασι.

λαμπρῶς τὸ φανερῶς, οὐ τὸ ἐνδόξως, καὶ παρὰ Θουκυδίδῃ (2 7) "καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν" καὶ παρὰ τοῖς ἄλλοις τοῖς παλαιοῖς. καὶ αὖθις (Procop. Pers. 2 5) "καὶ τὴν ἀπέρατον καλουμένην εἰρήνην λαμπρῶς ἔλυε."

λαμπτῆρες οἱ κατὰ τὴν οἰκίαν φαίνοντες λύχνοι· "ἡνίχ' ἕσπεροι λαμπτῆρες οὐκέτ' ᾖθον" (S Ai. 285).

Λαμπτραί δῆμος τῆς Ἐρεχθηίδος. δύο δέ εἰσι Λαμπτραί, αἱ μὲν παράλιοι αἱ δὲ καθύπερθεν. Harp.

Λάμπων ὄμνυσι τὸν χῆν', ὅταν ἐξαπατᾷ τινά (A Av. 524). πρῶτοι οἱ Σωκρατικοὶ ἐπετήδευσαν οὕτως ὀμνύναι. Ῥαδάμανθυς δὲ πρῶτος οὐκ εἴα ὅρκυς ποιεῖσθαι κατὰ θεῶν, ἀλλ' ὀμνύναι χῆνα καὶ κύνα καὶ κριὸν καὶ τὰ ὅμοια. ὁ δὲ Λάμπων θύτης ἦν, χρησμολόγος καὶ μάντις· ᾧ καὶ τὴν εἰς Σύβαριν ἀποικίαν Ἀθηναίων περιάπτουσιν. ὤμνυε δὲ κατὰ τοῦ χηνὸς ὡς μαντικοῦ ὀρνέου. εἴρηται οὖν ἐπὶ τῶν μετὰ ὅρκου ἐξαπατώντων τινά.

λαμυρὸν εὔλαλον, εὐτράπελον, καταπληκτικόν, τερπνόν. ἐν ἐπιγράμματι (AP 5 180) "βροτολοιγὸς ἔρως τὰ πυρίπνοα τόξα βάλλει, καὶ λαμυροῖς ὄμμασι πικρὰ γελᾷ." καὶ αὖθις (AP 7 221) "ἐσβέσθη δὲ τὰ φίλτρα καὶ κυλίκων αἱ λαμυραὶ προπόσεις." καὶ λαμυρώτερον.

λὰξ ἐντείνων λακκίσματι τύπτων. λὰξ δὲ ἐςιν ὁ ὑπὸ τοὺς δακτύλους τοῦ ποδὸς ποιὸς ψόφος.

λαξευτήριον ἐργαλεῖον οἰκοδομικόν· λαοξόος γὰρ ὁ οἰκοδόμος.

λάξιν μῖξιν, μερισμόν, κλῆρον. Ἡρόδοτος (4 21).

λὰξ ποδὶ κινήσας (Hom. *K* 158) τῷ πλάτει τοῦ ποδὸς κινήσας.

λαοσσόος (Hom. *N* 128) ἡ τοὺς λαοὺς σώζουσα.

λάπαθον ὄρυγμα εἰς θηρίων ἐνέδραν.

καὶ λάχανον κενωτικὸν γαςρός, ὅθεν καὶ τὸ λαπάξαι κενῶσαι· Ὅμηρος (Λ 503) "νέων ἀλάπαξε φάλαγγας" ἀντὶ τοῦ πορθῶν ἐκένυ.

λαπήνη ἡ ἅμαξα.

Λαπίθης ὄνομα κύριον. καὶ Λαπίθαι τὸ πληθυντικόν.

λαπιςής ψεύςης, προπετής.

λαπίςρια μετεωριζομένη, ῥεμβομένη, θέλουσα εὐωχεῖσθαι.

λάπτειν τὸ ἐκκενοῦν. καὶ λάπτοντες τῇ γλώσσῃ πίνοντες.

λαρινεύειν τὸ σιτεύειν.

λαρινοὶ βόες οἱ ἐν Ἠπείρῳ, ἀπὸ Λαρίνου βουκόλου κλέψαντος τὰς Ἡρακλέους βοῦς, ὡς Λύκος ὁ Ῥηγῖνος, ὅτε τὰς Γηρυόνου βοῦς ἤλαυνε. Πρόξενος δὲ αὐτὸν τὸν Ἡρακλέα ἀνεῖναί τινας τῷ Δωδωναίῳ Διί. Ἀπολλόδωρος δὲ αὖ τοὺς εὐτραφεῖς λαρινούς· λαρινεύειν γὰρ τὸ σιτεύειν. Ἀριςοφάνης Ὄρνισι (465) "ζητῶ τι λαρινὸν ἔπος, ὃ τὴν τούτων θραύσει ψυχήν," ἀντὶ τοῦ μέγα, ἀπὸ μεταφορᾶς τῶν βοῶν. ἀπὸ Λαρίνε τινὸς βουκόλου ταύτην τὴν προσηγορίαν ἐσχηκέναι. εἰσὶ δέ τινες οἳ παρὰ τὸ λαρὸν ἀξιῶσιν αὐτοὺς οὕτω καλεῖσθαι. οἱ δὲ τὴν ρι συλλαβὴν δασύνουσιν, ἵν' ᾖ λαῤινούς, τοὺς μεγαλορίνους· ἐν δὲ τῇ Χαονίᾳ φασὶ τοιύτες εἶναι βοῦς, οὓς καὶ Κεςρινοὺς καλῦσιν. ἢ οἱ μεγάλοι καὶ εὐτραφεῖς, ἀπὸ Λαρίνου βουκόλου. Ἡρωδιανὸς ὀξυτόνως ὡς ἀληθινός.

λαρινός ὁ ἡδύς.

Λάρισα ὄνομα πόλεως.

λάρκος πλέγμα τι κοφινῶδες ἢ ψιαθῶδες, ἐν ᾧ φέρονται ἄνθρακες (sch. A Ach. 332)· "ὁ λάρκος δημότης ὅδ' ἐς' ἐμός" (A Ach. 314). "ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν ὁ λάρκος ἐπετίλησεν ὥσπερ σηπία" (349), ἀντὶ τῦ τῆς ἀπὸ τῶν ἀνθράκων σποδιᾶς ἐπαφῆκεν ὁ λάρκος ὑπὸ ἀγωνίας, ὥσπερ σηπία τὸν θολόν (cf. v. ἐπετίλησεν). λάρκος οὖν ὁ φορμός, ὁ κόφινος.

λάρναξ σορὸς ἢ κιβωτός· "Πρῖμος καὶ Κερεάλιος ἐς τὴν Ῥωμαίων ἐσέβαλον, πρῶτον μὲν ἐς λάρνακας μετὰ τῶν νεκρῶν, δι' ἀγγέλων τινῶν, καὶ ἐς ἀρρίχυς ὀπώρας ἐχέσας ἢ καλάμους ὀρνιθευτῶν τὰ γράμματα ἐμβαλόντες" (Dio Cass. 65 18).

λαρόν χλιαρόν, προσηνές, ἡδύ· (AP 7 24) "καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς λαρότερον μαλακῶν ἔπνεεν ἐκ ςομάτων."

λάρος ἐν ἕλεσι παροιμία ἐπὶ τῶν ταχὺ ἀποδιδόντων.

λάρος κεχηνώς (A Eq. 962) ἐπὶ τῶν ἁρπακτικῶν καὶ κλεπτῶν, ἐπεὶ καὶ ὁ λάρος ὀρνεόν ἐςιν ἁρπακτικὸν καὶ ἀδηφάγον.

λαρότερος ἡδύτερος.

λαρυγγίζειν τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον τῷ λάρυγγι χρῆσθαι· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (291). (Harp.). καὶ λαρυγγίζουσι βοῶσιν· "οἱ δὲ κόρακες περιπτάμενοι ἄνω καὶ κάτω, θορυβούμενοι καὶ κεκραγότες μετὰ πολλῆς ἀσελγείας, οἷον οἱ κόρακες λαρυγγίζουσι."

λαρυγγιῶ. καταβοήσομαι, φησί, τῶν ἄλλων ῥητόρων. ἢ τὴν φάρυγγα ἐκτεμῶ καὶ κατασιγάσω τοὺς ῥήτορας· τμηθείσης γὰρ τῆς φάρυγγος ὀχ οἷόν τε φωνὴν προΐεσθαι. sch. A Eq. 357.

λάσανα οἱ χυτρόποδες, καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα. sch. A Pac. 893.

λάσθη (Herodot. 6 67). Αἰλιανός "λέγυσι δὲ ὅτι οὐδὲ προσθέτους οὐδὲ ἐπακτοὺς κόμας ἐκ τῆς ὕβρεως καὶ λάσθης ἐς τὴν χρείαν παρελάμβανεν, ἀλλ' ἃς εἶχε συμφυεῖς ἀσκῶν καὶ ἐκτείνων." καὶ αὖθις "οἱ δὲ Μεσσήνιοι σὺν λάσθῃ καὶ γέλωτι, ὥσπερ ἄθυρμα τῶν Σπαρτιατῶν, τὰ πρῶτα τῦ Διὸς ἀναθήματα διέσπειραν."

λάσια δασέα.

λάσιοι πολύτριχοι, ἢ συνετοί.

λασίοις. περὶ Φιλοκτήτυ ὁ λόγος (180)· "οὗτος πρωτογόνων ἴσως οἴκων οὐδενὸς ὕςερος, πάντων ἄμμορος ἐν βίῳ κεῖται μοῦνος ἀπ' ἄλλων, ςικτῶν ἢ λασίων μετὰ θηρίων."

λασιόκωφος (Plato Phaedr. p. 253 E) ὁ λίαν κωφός, οἷον λάσια τὰ ὦτα ἔχων ὡς συγκεκωφῶσθαι καὶ ἀναισθητεῖν.

Λάσος Χαρβίνου Ἑρμιονεύς, πόλεως τῆς Ἀχαΐας, γεγονὼς κατὰ τὴν νη' ὀλυμπιάδα, ὅτε Δαρεῖος ὁ Ὑςάσπου. τινὲς δὲ τοῦτον συναριθμοῦσι τοῖς ζ'. σοφοῖς ἀντὶ Περιάνδρου. πρῶτος δὲ οὗτος περὶ μυσικῆς λόγον ἔγραψε, καὶ διθύραμβον εἰς ἀγῶνα εἰσήγαγε, καὶ τοὺς ἐριςικοὺς εἰσηγήσατο λόγους. sch. A Vesp. 1401.

λασαυροκάκκαβον βρῶμά τί ἐςι παρὰ

Χρυσίππῳ εἰρημένον, ἐν τῷ περὶ καλοῦ καὶ ἡδονῆς, ὡς ἂν τῆς κατασκευῆς αὐτοῦ οὔσης περιεργοτέρας. Athen. p. 9C.

λάσαυρος πόρνος, δασὺς τὸν ταῦρον, λασιόταυρός τις ὤν, ὁ δασὺς τὸν ταῦρον. "εἴ τις ἐν τοῖς Ἕλλησιν ἢ βαρβάροις λάσαυρος τὸν τρόπον, οὗτοι πάντες ἑταῖροι τοῦ βασιλέως ἦσαν" (Theopomp. ap. Polyb.).

λαταγεῖα. καὶ θηλυκὸν λάταγας.

λάταξ ἡ μεγάλη σταγών· ἐν ἐπιγράμματι (AP 5 296) "τοὺς δὲ μεθυστὰς καλλείψω λατάγων πλέγμασι τερπομένους."

Λατῖνοι οἱ νῦν Ῥωμαῖοι· Τήλεφος γὰρ υἱὸς Ἡρακλέους, ὁ ἐπικληθεὶς Λατῖνος, μετωνόμασε τοὺς πάλαι Κητίους λεγομένους Λατίνους. Ἰταλοὶ δὲ οὗτοι πάλιν προσηγορεύθησαν ἔκ τινος Ἰταλοῦ δυναστεύσαντος τῆς χώρας. Αἰνείου δὲ καταλαβόντος τὴν δύσιν ἐκλήθησαν Αἰνεάδαι· μεθ' ὃν Ῥωμαῖοι πάντες μετωνομάσθησαν, ἀπὸ Ῥωμύλου λαβόντες τὴν ἐπωνυμίαν.

λατρεία δουλεία ἐπὶ μισθῷ· Σοφοκλῆς (Ai. 503) "οἵας λατρείας ἀνθ' ὅσου ζήλου τρέφει."

a λάτρις θεράπαινα, δούλη, προσαῖτις· (AP 6 217) "δείσας ἡμιγύναικα θεῆς λάτριν, ὃς τάδ' ὄρεια (an τάδε Ῥείᾳ) ἐνδυτὰ καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους."

b λάτρις τὸ ἁπλοῦν διὰ τοῦ ι· "λάτριν ἄγειν παλίνορσον ἀεικέα τῷ κεραμῆι." εἰδωλολάτρης δὲ διὰ τοῦ η, ἐν συνθέσει.

λάτρον ὁ μισθός· λατρεία γὰρ δουλεία ἐπὶ μισθῷ.

λατύπη λιθουργική. ἢ τὸ λεπτὸν τοῦ λίθου.

λαυκανίη ὁ λαιμός.

λαύρα δημόσιος στενωπός, ἄμφοδος, ῥύμη, δι' ἧς οἱ λαοὶ ῥέουσιν. ἢ λαύρα ἡ στενὴ ῥύμη, ἔνθα πᾶσα ἀκαθαρσία. ἢ ὁ ῥυπαρὸς τόπος. sch. A Pac. 98.

Λαύρειον τόπος Ἀττικῆς, ποιῶν μέταλλα.

Λαυρέντια ὄνομα πόλεως.

λαφυγμός ἡ ἀδηφαγία, καὶ ἡ πρὸς τὰ ἐδέσματα πολυτέλεια. τουτέστιν ἐκδεδιῃτημένη, πολυτελὴς τρυφή, τὸ ἀπλήστως ἐσθίειν. Εὔπολις ἐν Κόλαξι "λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ," καὶ Ὅμηρος (Λ 176) "καὶ ἔγκατα πάντα λαφύσσει." sch. A Nub. 52.

λαφύξας διασπαράξας, ἀφειδῶς θοινησάμενος. Αἰλιανός "οὗτοι οἱ ἀετοὶ λαφύξουσι τῶν ἐλεφάντων τὰ σπλάγχνα, δείξας τὰς σημαίας." "οἱ δὲ Πέρσαι φρέασι περιτυχόντες λαφύττουσιν ἀπληστότερον, καὶ ἐς μέγα κακοῦ ἀποκλίνουσι, τῆς κοιλίας αὐτοῖς τῇ ἀθρόᾳ τοῦ ὕδατος ἐμβολῇ διενεγκεῖν οὐκ ἐχούσης τοῦ ἐπιφορτισθέντος ὕδατος τὴν ἀντίληψιν" (Theophyl. Sim. 2 5).

λάφυρα τὰ ἐκ τῶν πολεμίων ἔτι ζώντων λαμβανόμενα. τὰ δὲ τεθνεώτων αὐτῶν σκῦλα λέγεται.

λαφύστιος ὁ λαίμαργος.

λαχανεία.

λαχανηρόν.

λαχανίζεσθαι ἀντὶ τοῦ λάχανα συλλέγειν, ὡς ξυλίζεσθαι καὶ φρυγανίζεσθαι.

λαχάνοις τοῖς λαχανοπωλίοις.

λαχάνωνος.

Λαχάρης Λαχάρους Ἀθηναῖος σοφιστής, μαθητὴς Ἡρακλέωνος Ἀθηναίου, διδάσκαλος δὲ πλείστων, ἐνδόξων δὲ Εὐστεφίου καὶ Νικολάου καὶ Ἀστερίου, ἀκμάσας ἐπί τε Μαρκιανοῦ καὶ Λέοντος τῶν βασιλέων, ἔγραψε περὶ κώλου καὶ κόμματος καὶ περιόδου, διαλέξεις, ἱστορίαν τὴν κατὰ Κορνοῦτον, ἐκλογὰς ῥητορικὰς κατὰ στοιχεῖον. cf. v. Σουπηριανός extr.

λάχεια γῆ βραχεῖα. Hom. ι 116.

λαχεῖν δίκην δικάσασθαι.

λάχνη τρίχωσις. λέγεται δὲ καὶ ὁ τῆς θαλάσσης ἀφρός.

λαχνήεντα (Hom. Σ 415) δασέα, τετριχωμένα. καὶ λαχνήεις ὁ δασύς.

λάχος μοῖρα· "ἐν οἷς ἦν καὶ συὸς ἀγρίου μέγα λάχος," καὶ αὖθις ἐν μύθοις "τοῦτο μὲν οὖν πρῶτον λάχος οἴσομαι," καὶ αὖθις "σφαίρας δὲ λάχος κονίῃσιν ἐμίχθη." λέγεται δὲ καὶ πρόλαχος ἡ πρώτη μερίς.

λαχών κληρωσάμενος. Ἀριστοφάνης (Eq. 258) "πρὶν λαχεῖν τὰ κοινὰ κατεσθίεις," τουτέστι πρὶν κληρωθῆναι, πρὶν χειροτονηθῆναι, πρὸ διανομῆς ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς.

λάψαι τῇ γλώττῃ πιεῖν.

λάψοντες (Hom. Π 161) ἐπιθυμητικῶς ἔχοντες τοῦ πιεῖν· οἱ γὰρ αἵματος ἐμπεφορημένοι καὶ διὰ δίψαν ὁρμῶντες ἐν τῇ κρήνῃ ἔχουσι τὸ παράστημα.

λέαινα ζῷον, θηρίον. cf. v. τυρόκνηστις.

λεάντειραν τὴν λεαίνουσαν· (AP 6 295) "καρκίνα τε σπειροῦχα, λεάντειράν τε κίσηριν."

Λέαρχος.

Λεβάδεια ὄνομα πόλεως.

Λεββαῖος ὄνομα κύριον, ὁ ἀπόςολος (Matth. 10 3).

Λέβεδος πόλις.

λεβηναῖον ἱερόν.

λεβηρίς τὸ γῆρας ὃ ἀποδύεται ὁ ὄφις. καὶ παροιμία "τυφλότερος λεβηρίδος καὶ κινδάλου·" ἔςι δὲ εἶδος ὀρνέου ἀσάρκου καὶ λεπτοῦ (cf. v. κίγκαλος). ἄλλως δὲ γυμνότερος· φασὶ γὰρ ὅτι Λεβηρὶς πένης ἐγένετο, ἐξ οὗ καὶ ἡ παροιμία μετήχθη.

λέβης σκεῦος μαγειρικόν· λέγεται δὲ καὶ κάδος. παρὰ δὲ τῇ θείᾳ γραφῇ ὁ λέβης ἐπὶ τιμωρίᾳ κεῖται, καὶ Ἰεζεκιὴλ (11 3) λέβητα ἐκάλεσε τὴν Ἱερουσαλήμ, κρέα δὲ τοὺς ἐνοικοῦντας, πῦρ δὲ τὸν Βαβυλώνιον, ζωμὸν δὲ τὴν ἀναγκαίαν τροφήν, οὗ ἐπιλελοιπότος κατεκαίετο τὰ κρέα. Theodoret. in Ps. 59 10.

λεγεντία κατὰ Ῥωμαίους ἀμνησία, βασιλικὴ χάρις.

λέγειν σὺ δεινός. cf. v. δεινός.

λέγεις μοι χαράν, λέγεις μοι βοᾶν" Ἀριςοφάνης Πλούτῳ (637), ἀντὶ τοῦ ἀναγγέλλεις μοι χαρᾶς ἄξιον, ὥςε βοᾶν τῇ χαρᾷ νικώμενον.

λεγεὼν παρὰ Ῥωμαίοις ἑξακισχίλιοι ςρατιῶται.

λέγω τὸ λαλῶ· σημαίνει δὲ καὶ τὸ μετρῶ καὶ τὸ κοιμῶμαι καὶ τὸ συλλέγω καὶ τὸ λαγχάνω. ἀπὸ οὖν τοῦ λέξω μέλλοντος λέξω ἐνεςώς, ἔνθεν λέξεο (Hom. Ι 617) ὡς ὄρσω ὄρσεο.

λεηλασία αἰχμαλωσία.

λεηλατῆσαι ἐκπορθῆσαι, καὶ λεηλατεῖ λῃςεύει, ἁρπάζει.

λεῖα παρὰ Θουκυδίδῃ (2 97) τὰ λιτά, πρὸς ἀντιδιαςολὴν τῶν ὑφαντῶν καὶ πεποικιλμένων.

λεία ὁμαλὴ ὁδός. καὶ ἡ λαφυραγωγία. σημαίνει δὲ καὶ ὄνομα κύριον.

λειανέω (Hom. Ο 261) λεῖον ποιήσω.

λείας πραίδας ἀπὸ πολεμίων. καὶ λείας τὰ ποίμνια, τὰ βοσκήματα, παρὰ Σοφοκλεῖ (Ai. 26) "ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν λείας ἁπάσας." ἔνθεν καὶ ληςὴς κατὰ τὸ κύριον, καὶ Ὅμηρος (Λ 676) "ληίδα δ' ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλήν." καὶ αὖθις "πολλὰ μὲν λάφυρα πολλὴν δὲ λείαν περιεβάλλοντο." καὶ ληίζω τὸ πραιδεύω· καὶ ἀλλαχοῦ Ὅμηρος (Ι 406) "ληιςοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα." καὶ αὖθις "Σκυθῶν ἐπιδραμόντων τὴν Ῥωμαίων χώραν καὶ πολλὴν λείαν παρασυράντων, ὁ βασιλεὺς Οὐαλεντιανὸς ὀργισθεὶς καὶ βοήσας μειζόνως ἐρράγη τὰ τῆς φωνῆς αἴτια καὶ ἐτελεύτησε."

λείβει βάλλει, ςάζει. "ὃ δὲ φθειρσὶν ἐκζέσας ἐσθιόμενός τε καὶ κατὰ μικρὰ λειβόμενος ἀποθνήσκει."

λείβεται τοῖς δακρύοις διάβροχος γίνεται· Ἀριςοφάνης (Eq. 327) "ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος." οὗτος ὁ Ἱππόδαμος ἐν Πειραιεῖ κατῴκει, καὶ τὴν οἰκίαν δημοσίαν ἀνῆκε. πικρῶς οὖν λέγει πρὸς Κλέωνα ὅτι σὺ μὲν σφετερίζῃ καὶ κερδαίνεις, ὁ δὲ εὐνούςατος τῇ πόλει καταλείβεται τοῖς δακρύοις, ὁρῶν σε καρπούμενον τὰ τῆς πόλεως ἀναξίως.

Λείβηθρα ὄνομα πόλεως. λείβηθρον δὲ ὀχετὸς ὑδραγωγικός.

λείηναν (Hom. Θ 260) ὡμάλισαν.

λεῖχνον κόσμος βακχικός· "ἠδὲ φορηθὲν πολλάκι μιτροδέτου λεῖχνον ὕπερθε κόμης" ἐν ἐπιγράμματι (AP 6 165). a

λεῖχνον τὸ πτύον. cf. v. λίκνον. b

λεῖμαξ λείμακος ὁ σύμφυτος τόπος, ὁ κῆπος. καὶ λειμακέςεροι οἱ σύμφυτοι καὶ σύνδενδροι τόποι.

λεῖμμα τὸ κατάλειμμα.

λειμὼν λειμῶνος ἀνθηρὸς τόπος.

λειμωνήρης βοτάνη ἡ ἐν τῷ λειμῶνι.

λειμωνία βοτάνη, καὶ λειμωνῖτις.

λεῖξαι. οὕτως ἐκαλοῦντο ςρατιῶται. τοῦτο δ' ἦν τὸ γένος τῶν ἐργαςικῶν καὶ παραςρατευομένων ἀνθρώπων, ὃ πάσης τάξεως ἐκτὸς ὑπάρχον οὔτε χιλιάρχου λόγον οὔτε ςρατηγοῦ ἐποιεῖτο διὰ τὸ μὴ γινώσκεσθαι τῷ κερδαίνειν ἐκ παντὸς τρόπου, δικαίως καὶ ἀδίκως. διόπερ ἀπερίσπαςον ὂν πᾶν γένος ἐπινοεῖ κακίας, καὶ πᾶσαν εἰσφέρεται μηχανὴν πρὸς τοῦτο τὸ μέρος. ἱκανὸν δ' ὑπάρχον οὔτε πρὸς τὰς πολεμικὰς ἐπιβολὰς οὔτε πρὸς τὰς καθ' αὑτῶν διὰ τὸ μήθ' ὅπλα μήτε πίςιν ἔχειν, ἀναγκάζεται κοινοῦσθαι τοῖς ςρατιώταις καὶ συναποδεικνύειν τούτοις τὰς ἐπινοίας, χάριν τοῦ προσλαμβάνειν τὴν ἐκ τούτων ἐπικουρίαν καὶ χρῆσθαι συνεργοῖς τούτοις κερδῶν καὶ φόνων. καὶ ἐγένοντο πάντες λίχνοι, καὶ πᾶν

ἐπληρώθη τὸ ϛράτευμα ῥᾳδιουργίας καὶ πονηρίας. ὅθεν καὶ λειξούρα.

λειόβατος ὁ ὁμαλὸς τόπος.

λειομίτου· ἐν ἐπιγράμματι ⟨AP 6 247⟩ "Παλλάδος ἰσοπόνου λειομίτου κάμακος."

λεῖον πρᾶον· Ἀριστοφάνης ⟨Ran. 998⟩ "μὴ πρὸς ὀργὴν ἀντιλέξῃς, ἀλλὰ συϛείλας, ἄκροισι χρώμενος τοῖς ἱϛίοις, εἶτα μᾶλλον μᾶλλον ἄξεις, καὶ φυλάξεις ἡνίκ' ἂν τὸ πνεῦμα λεῖον καὶ καθεϛηκὸς λάβῃς."

λειόφυτον ὁμαλόδερμον.

λειπανδρεῖν· ⟨Diog. L. 2 26⟩ "βουληθέντας Ἀθηναίους διὰ τὸ λειπανδρεῖν αὐξῆσαι τὸ πλῆθος, ψηφίσασθαι γαμεῖν μὲν ἀϛὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑτέρας. ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτην."

λείπεσθαι ἡττῆσθαι· Πολύβιος "πάντων τῶν κατὰ τὸν πόλεμον ἐνεργημάτων μεγίϛην ῥοπὴν ἔχουσι καὶ πρὸς τὸ λείπεσθαι καὶ πρὸς τὸ νικᾶν αἱ ψυχαὶ τῶν ἀγωνιζομένων."

λειποθυμία.

λειπόκρεως ὁ ἰσχνότατος.

λείπομαι γενικῇ καὶ δοτικῇ.

λειπομαρτυρίου δίκη. τοῖς ἐπισαμένοις τι τῶν πεπραγμένων καὶ μαρτυρήσειν ὑπεσχημένοις ἐν δικαϛηρίῳ, εἶτα δὲ ὕϛερον ἀποφυγοῦσιν ἐλάγχανον δίκην· κἂν μὲν ἥλωσαν, ἐτιμῶντο κατ' ἀξίαν, εἰ δὲ μὴ ἕλοι ὁ διώκων, πρόϛιμον ἐτίθετο δραχμή.

λειπόμεθα ἡττήμεθα· ⟨Polyb. 3 85⟩ "ἅμα τῷ τὸν ϛρατηγὸν εἰπεῖν τοῖς ὄχλοις ὅτι λειπόμεθα μάχῃ μεγάλῃ, τηλικαύτην συνέβη γενέσθαι διατροπήν." καὶ σύνταξις· "ἑάλωσαν δὲ αἰχμάλωτοι δισχίλιοι λείποντες διακοσίων."

λειποναῦται· "ἐδογματοποιήσαντο δὲ τοὺς κατὰ τὴν Ἑλλάδα λειποναύτας γεγονότας ἀναζητῆσαι, καὶ τὰς χεῖρας ἀποκόψαι πάντων."

λειπόνεως λειπόνεῳ κλίνεται.

λειποτάκτης ὁ φυγάς, καὶ λειποτακτῶ τὴν τάξιν καταλιμπάνω.

λειποταξίου· Ἀγαθίας ⟨2 7⟩ "ὃ δὲ αἰσχρόν τι ἡγεῖτο καὶ ἀγεννές, εἰ πολέμου ξυνεϛηκότος αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν λειποταξίῳ ἁλοῖεν." ὅτι Ἡράκλειος ὁ Ῥωμαίων ϛρατηγὸς λειποταξίου ποινὰς τοὺς πλανήτας τῆς Ῥωμαϊκῆς δυνάμεως εἰσεπράττετο ⟨cf. v. πλανήτης⟩.

λειποσιτῶ.

λειποϛράτιον τὸ μὴ ἐθέλειν ϛρατεύεσθαι, καὶ λειποϛράτιος ὁ τὴν ϛρατιὰν καταλιμπάνων.

λειποψυχῶ.

λειπώδινος. γίνεται ἐκ τοῦ ὠδίν.

λείρια τὰ ἄνθη, ἢ κρίνα· ⟨AP 7 219⟩ "ἡ μούνη χαρίτων λείρια δρεψαμένη."

λειριόεντα ⟨Hom. N 830⟩ ἁπαλά· λείριον γὰρ τὸ ἄνθος, παρὰ τὴν λειότητα. προσηνῆ, τερπνά, ἡδέα.

λειριόεσσα ⟨Hom. Γ 152⟩ ἐπιθυμητική.

λείριον κοινῶς τὸ ἄνθος καὶ ἰδίως τὸν νάρκισσον καλοῦσιν οἱ Ἀττικοί.

λειρόφθαλμος ὁ προσηνεῖς ἔχων τοὺς ὀφθαλμούς. cf. v. λιρός.

λειτουργία κυρίως ἡ δημοσία ὑπηρεσία, παρὰ τὸ λήϊτον καὶ τὸ ἔργον· Πισίδης ⟨Hexaem. 1481⟩ "ὅπως ὑφέξει τῶν χρεῶν καὶ τῶν τόκων ἅπασαν ἁπλῶς ψυχικὴν λειτουργίαν." καὶ λειτουργῶ δοτικῇ.

λειτουργίας ὑπηρεσίας.

λειτουργική κυρίως μὲν ἡ ἱερατική, καταχρηϛικῶς δὲ ἡ δουλική.

λειχήν λειχῆνος εἶδος ψώρας.

λείψανον τὸ κατάλειμμα.

λειψυδρία ἡ λεῖψις τοῦ ὕδατος.

λειώδης ὁ ὁμαλός. καὶ ὄνομα κύριον ⟨Hom. φ 144, 168⟩.

λειώσας διακόψας.

λεκάνια λεκανίδια.

λεκάνια καὶ λεκανίδες τὰ μείζονα τῶν ὀξυβάφων καὶ ἐκπέταλα· ⟨A Ach. 1109⟩ "καί μοι λεκάνιον τῶν λαγῴων δὸς κρεῶν." καὶ Ἀριϛοφάνης ⟨Nub. 907⟩ "ἰδοῦ, χωρεῖ τὸ κακόν, δότε μοι λεκάνην," ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρολογίας ἐμέσω· χολὴ γάρ μοι ἐπιπλέει διὰ τὰ ῥήματα αὐτοῦ.

λεκιθοπώλης. ἀρσενικὸν διὰ τοῦ η, θηλυκὸν δὲ διὰ τοῦ ι, γυνὴ πωλοῦσα ᾠά.

λέκιθος εἶδος ὀσπρίου, ὃ καλεῖται πισός, διὰ τὸ ἐοικέναι τὴν χρόαν λεκίθῳ ᾠοῦ. ἀπὸ μέρους οὖν τὴν ὀσπριόπωλιν δηλοῖ. καὶ ἐν τῇ Λυσιϛράτῃ ⟨561⟩ "νὴ Δί' ἔγωγ' οὖν ἄνδρα κομήτην φυλαρχοῦντ' εἶδον ἐφ' ἵππου εἰς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός." sch. A Plat. 427.

λεκτός ἐπίλεκτος· "οἵδε τ' ἠθέων λεκτοί" Σοφοκλῆς ⟨OR 19⟩.

λέκτροις κοίταις, καὶ λέκτρον ἡ κοίτη.

λέλακας ἀντὶ τοῦ κέκραγας· λακεῖν γὰρ τὸ φωνεῖν. ἔςι δὲ καὶ παρὰ τῷ ποιητῇ· (Υ 277) "λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς" καὶ (Ν 616) "λάκε δ' ὀςέα" καὶ (μ 85) "δεινὸν λελακυῖα." sch. A Ach. 409.

λελάχωσι θάψωσι.

Λέλεγες ἔθνος (Hom. Κ 429).

λελειουργημένα κεκαλλωπισμένα.

λελῆσθαι ἐπιλελῆσθαι.

λελιημένος προθυμούμενος. Hom. Δ 465.

λέλογχεν ἔτυχεν, ἀπήλαυσε. καὶ λελογχὼς λαχών.

λέμβον μικρὸν πλοῖον· "ἑτέρους δὲ ἐν χειμῶνι σφοδρῷ λέμβοις ἐξέπεμψαν," καὶ αὖθις (Polyb. 4 29) "πλεῖν δὲ λέμβοις λ', καὶ πολεμεῖν τοῖς Αἰτωλοῖς κατὰ θάλατταν." ἡ δοτικὴ τῷ λέμβει.

λέμμα λέπισμα.

Λέμωνος.

λέντιον (Io. 13 4 et 5) τὸ παρ' ἡμῖν.

λεξείδιον.

Λεόννατος ςρατηγὸς Μακεδονίας, κατὰ γένος προσήκων τῇ Φιλίππε μητρί, συντραφεὶς δὲ Ἀλεξάνδρῳ, κατὰ τὸ τῆς τροφῆς ἐπιτήδειον καὶ τοῦ γένους καὶ κατὰ μέγεθος μέντοι καὶ κάλλος τοῦ σώματος τιμῆς μετεῖχεν. ὅθεν αὐτῷ καὶ ζῶντος Ἀλεξάνδρου τό τε φρόνημα ὑπέρογκον ἦν, καί τις ἁβρότης Περσικὴ κατά τε τὴν τῶν ὅπλων λαμπρότητα καὶ τὴν ἄλλην δίαιταν εἰς τὴν τῶν πολεμίων οὐκ ἀφανῶς ἐπετηδεύετο. τελευτήσαντος δὲ Ἀλεξάνδρου καὶ ζῆλον ἐποιεῖτο, εἰκάζων αὐτὸν πρὸς τὰ βασιλικὰ τῷ τε ἀφέτῳ καὶ ἀνειμένῳ τῆς κόμης καὶ τῇ ἄλλῃ κατασκευῇ, ἣ οὐ πόρσω τῦ Περσικῦ τρόπε ἤσκητο αὐτῷ. ἵπποι τε Νισαῖοι, οἱ δὲ Φάσιδος ἄπο, χρυσοχάλινοι σύμπαντες, προετετάχατο τῆς τάξεως, ἐκπρέποντες τοῖς καλλωπίσμασιν. ἐπήγοντο δὲ αὐτῷ καὶ σκηναὶ μεγαλοπρεπεῖς καὶ ὅπλα κάλλει ὑπερφέροντα. εἵπετο καὶ τὸ τῶν ἑταίρων ἄγημα.

λέοντα ξυρᾷς, παροιμία λεγομένη ἐπὶ τῶν τὰ ἀδύνατα ἐπιχειρούντων.

λεοντῆ ἡ δορὰ τοῦ λέοντος.

λεοντιδεύς. καὶ λεόντειον βρύχημα.

Λεόντιος Ἀντιοχείας ἐπίσκοπος ἑαυτὸν ἐξέτεμε, καὶ ἦν καὶ τἆλλα βέβηλος. καὶ Ἀέτιος ὁ Εὐνομίου διδάσκαλος, ὃς τὴν Ἀρείου βλασφημίαν ταῖς ἐπινοίαις ἐπηύξησε.

Λεόντιος. καὶ οὗτος ἐν Ἀντιοχείᾳ ἐγένετο αἱρετικός. ἔγραψε καὶ κατ' αὐτοῦ Φώτιος ὁ πατριάρχης· οὗτος γὰρ περὶ τῦ ὁμοουσίου διελέχθη πρὸς Φλαβιανὸν τολμηρὰ καὶ βλάσφημα ληρῳδήματα. b

Λεόντιος μοναχός. οὗτος ἐπὶ Ζήνωνος ἦν, προφητικῇ δὲ χάριτι τὰς ἐπικρύψεις τῶν γραφῶν ἐμφανεῖς ποιῶν πολλοὺς εἶχε τῶν σπουδαίων παρ' αὐτὸν φοιτῶντας. ἀλυόντων δὲ τινῶν ἐπὶ τοῖς κατὰ τῆς ἐκκλησίας παρὰ τοῦ βασιλέως τερατευομένοις, "οὐ δεῖ ξενίζεσθαι" ἔλεγεν "ἐπὶ τοῖς δρωμένοις παρὰ ἀνθρώπου ἐξ ἀνθρώπων τε τὸ ἄρχειν ᾑρημένου, ὁπότε καὶ Σαοὺλ ὁ ψήφῳ θεοῦ βασιλεύσας Ἀβιμέλεχ καὶ τοὺς υἱεῖς ὄντας ἐν τῷ οἴκῳ κυρίου διεχρήσατο μαχαίρᾳ." διαπορούντων δὲ τῶν ἄλλων, καὶ οἰομένων μεταβεβλῆσθαι τὴν φύσιν αὐτοῦ ἐξ ἡμέρε εἰς ἀγρίαν διὰ τὸ τὰ πρῶτα τῆς βασιλείας πρᾶξαί τέ τινα καὶ ὑποσχέσθαι ἕτερα τῶν εἰς χρηςὰ τεινόντων, "οὐ μεταβέβληται" ἔφη "τὴν φύσιν, ἀλλ' ἐνδέδεικται ἐν εὐδαιμονίᾳ τὴν κακίαν, πολὺν χρόνον διὰ τὸν φόβον τῦ Ἴλλου ἡσυχασθεῖσαν." ἀναγινωσκομένης δὲ βίβλου Κλήμεντος τῦ ςρωματέως, καὶ φθάσαντος χωρίον ἐν ᾧ τὺς ἄνδρας ἀποσκώπτει τοὺς ἑταιρικῶς τὰς ὄψεις ὑπογράφοντας καὶ βάπτοντας τὰς τρίχας, εἰπόντος τοῦ Λεοντίου "ἆρά γε ἔςι τις τοῦ βασιλέως ἄτερ ὁ τὰς τρίχας βάπτων καὶ φυκούμενος τὰς ὄψεις;" ὑποτυχὼν ἄλλος ἔφη μοναχός "ἡμεῖς περὶ ἀνθρώπου διηπορήσαμεν, εἴ γε ὅλως ἀνέχεται κοσμήσει τὴν φύσιν ἐναλλάττειν· οὐ μήν γε τοῦτο διελάβομεν ποιεῖν τὸν βασιλέα." ἀλλ' εὐτρόχως μὲν λίαν οἱ μοναχοὶ ἀπέσκωψαν τοὺς τὴν τῶν ἀνδρῶν φύσιν εἰς τὴν τῶν θηλειῶν πειρωμένους μετεγγράφειν. ὅτι γὰρ τὺς τοιύτυς καὶ τῶν παλαιῶν πλεῖςοι ἀπεςράφησαν ὡς οὐ βεβαίους, πολλοὺς μὲν ἔςιν εὑρεῖν ἐν ἱςορίαις, ἐκδηλότερον δὲ Φίλιππον τὸν τοκέα Ἀλεξάνδρου. ἐπεὶ γὰρ Ἀντίπατρόν τινα τῶν φίλων τάξας εἰς τοὺς δικαςὰς τὸν πώγωνα καταβαπτόμενον εἶδε καὶ τὴν κόμην, ἐξανέςησεν εἰπὼν τὸν ἄπιςον ἐν θριξὶ μὴ νομίζειν ἐν πράγμασιν ἀξιόπιςον ὑπάρχειν. c

Λεόντιος Τριπόλεως τῆς Λυδίας ἐπίσκοπος, Μυσὸς τὸ γένος τῶν πρὸς τῷ Ἴςρῳ κατῳκημένων, οὓς ἀγχεμάχους Ὅμηρος καλεῖ. τὸν τοιοῦτον Λεόντιον προσεταιρίζεται d

ὁ κακόφρων Φιλοςόργιος ἐν τῇ βίβλῳ αὐτῦ ὡς ὁμόφρονα τῆς Ἀρειανικῆς αὐτοῦ κακοφροσύνης. ὃς παῖδα ἕνα ἐσχηκὼς ἐπειδὴ μὴ χρηςὰς ἐλπίδας αὐτὸν ὑποφαίνοντα πρὸς ἀρετὴν εἶδεν, εὐξάμενος, ὥς φασιν, ἔτι μειράκιον ὄντα ἐποίησεν ἀποθανεῖν, κάλλιςον ἡγησάμενος τὸ πρὸ αἰσχρῦ τινὸς καταλύσασθαι τὸν βίον, τῶν σφαλερῶν κατὰ τὸν βίον ὀλίσθων ἔξω γενόμενον. κανόνα δὲ αὐτὸν ἐκάλουν τῆς ἐκκλησίας. ἦν δὲ ἐλεύθερος τὴν γνώμην ἐπ' ἴσης εἰς πάντας καὶ παρρησιαςικός. καί ποτε συνόδου γενομένης, Εὐσεβίας τῆς Κωνςαντίου γυναικὸς εἰς οἴδημα ἀρθείσης φρονήματος καὶ παρὰ τῶν ἐπισκόπων προσκυνουμένης, μόνος οὗτος παρὰ φαῦλον αὐτὴν τιθέμενος οἴκοι ἔμενεν. ἡ δὲ διὰ τῦτο ὑποθερμανθεῖσα τοῖς θυμοῖς καὶ τὴν γνώμην φλεγμήνασα πέμπει πρὸς αὐτόν, αἰτιωμένη καὶ ὑποσχέσεσι κολακεύϛσα, ὡς ἐκκλησίαν σοι μεγίςην ἐγερῶ καὶ χρήματα ἐπιδαψιλεύσομαι, εἰ ἀφίκοιο πρός με. ὃ δὲ ἀντεδήλωσε "τούτων μὲν εἴ τι βουληθείης τελέσασθαι, ὦ βασίλεια, οὐκ ἐμοὶ μᾶλλον ἢ τῇ σαυτῆς ψυχῇ ἴσθι χαριουμένη· εἰ δὲ θελήσειας ἀφικέσθαι πρὸς σὲ ὡς τῆς ἐπισκόποις πρεπούσης αἰδῦς φυλαχθησομένης, ἵν' εἰσέλθοιμι μὲν ἐγώ, σὺ δ' αὐτίκα τοῦ θρόνϛ τῦ ὑψηλοῦ καταβᾶσα μετ' αἰδοῦς ὑπαντήσειας ἐμοὶ καὶ τὴν κεφαλὴν ὑπόσχοις ταῖς ἐμαῖς χερσὶν εὐλογιῶν ἀξιουμένη, κἄπειτα καθεσθείην μὲν ἐγώ, σὺ δ' ἂν ἑςήκοις αἰδϛμένη, ὁπόταν δὲ κελεύσαιμι, καθεδουμένη ἡνίκα δοίην τὸ σύνθημα, — εἰ οὕτως αἱρήσῃ, ἀφικοίμην παρὰ σέ. εἰ δ' ἕτερον τρόπον, οὐχ οὕτω πολλὰ δώσεις, οὐδ' οὕτω μεγάλα δυνήσῃ, ὡς ἡμᾶς τῆς προσηκούσης τιμῆς τοῖς ἐπισκόποις καθυφιεμένους εἰς τὸν θεῖον ἐξυβρίσαι τῆς ἱερωσύνης θεσμόν." ταῦτα ὡς ἀπηγγέλθη, ἀναπίμπραται τὴν ψυχήν, οὐκ ἀνασχετὸν ποιουμένη πρὸς Λεοντίου τοιούτους δέξασθαι λόγϛς. καὶ πολλὰ διοιδήσασα καὶ παθηναμένη, καὶ πολλὰ ἐκ γυναικείας ἀκροχόλου καὶ κούφης ἀπειλήσασα διανοίας καὶ τἀνδρὶ διηγησαμένη, πρὸς τιμωρίαν ἐξώρμα. ὃ δὲ μᾶλλον ἐπῄνεσε τὴν ἐλευθερίαν τῆς γνώμης, καὶ τὴν γυναῖκα παρήνεγκε τῆς ὀργῆς καὶ ἀποπέμπει εἰς τὴν γυναικωνῖτιν. καί ποτε μεταξὺ προκαθημένου τοῦ βασιλέως Κωνςαντίου τῶν ἐπισκόπων, καὶ ἄρχειν καὶ τῶν ἐκκλησιῶν ἐθέλοντος, οἱ μὲν πολλοὶ πᾶν ὅ τι φήσειεν ἐκρότϛν καὶ ἐθαύμαζον, ἄριςα εἰρῆσθαι διοριζόμενοι, ὃ δὲ ἐσιώπα. ὡς δὲ ἤρετο αὐτὸν ὁ βασιλεὺς τί σιωπᾷ μόνος τῶν πάντων, "θαυμάζω" ἔφη "ὅπως ἕτερα διέπειν ταχθεὶς ἑτέροις ἐπιχειρεῖς, ςρατιωτικῶν μὲν καὶ πολιτικῶν πραγμάτων προεςηκώς, ἐπισκόποις δὲ περὶ τῶν εἰς μόνους ἐπισκόπους ἡκόντων διατattόμενος." τὸν δὲ βασιλέα καταιδεσθέντα παύσασθαι τῆς ἐν τοῖς τοιϛτοις ἤδη διακελεύσεως. τοιοῦτος ἦν ὁ Λεόντιος ἐλευθέριος. Philostorgius?

λέπαδνα οἱ μασχαλιςῆρες τῶν ἵππων, ἢ ςηθιαῖοι λῶροι. sch. A Eq. 765.

λέπας ἀκρωτήριον. λεπάς δὲ κογχυλίϛ εἶδος, ὃ ταῖς πέτραις προσπήγνυται, δυσαποσπάςως ἔχον ἐπειδάν τις αὐτοῦ βουληθείη λαβεῖν. εὐεπίφορος δ' ἐςὶ τῷ λεπάς ὁ Ἀριστοφάνης. παρ' ὑπόνοιαν· ὥσπερ λεπὰς πέτρᾳ, οὕτως ἡ γραῦς τῷ μειρακίῳ. λεπὰς δὲ εἶδος ἰχθύος ⟨sch. A Plut. 1097⟩. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 23⟩ "ὃς τόδε ναίεις εὐςιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας," τουτέςιν ἀκρωτήριον.

λεπαςή εἶδος ποτηρίου μεῖζον ἢ κύλιξ· ἢ ὁ πίθος. Ἀριςοφάνης ⟨Pac. 916⟩ "φήσεις, ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαςήν."

λεπιδωτοὶ ἰχθύες πᾶν τὸ τῶν ἰχθύων γένος, ἔξω τῶν σελαχίων.

λέπρα εἶδος νόσου· Μάλχος "λέπρα δὲ ἐπήνθει τῷ προσώπῳ αὐτοῦ."

Λέπρεον τῆς Τριφυλίας πόλις, ἀπὸ τῦ παρακειμένου τραχέος ὄρους· οἱ δ' ἀπὸ τοῦ τοὺς κτίζοντας αὐτὴν νόσῳ χρήσασθαι λέπρᾳ. οὐδετέρως τὸ Λέπρεον· Ἀριςοφάνης δὲ ⟨Av. 149⟩ ἀρσενικῶς ἐξήνεγκε, τὸν Ἠλεῖον Λέπρεον, ἀντὶ τοῦ τὸν τῆς Ἤλιδος. οὕτω δὲ ἐκλήθη διὰ τὸ τὴν χώραν αὐτῶν λέπειν· διαφαίνεται γὰρ ἐκ τῆς ὀρεινῆς. πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας τῷ χρώματι καὶ διαλεύκους, ὁμοίας τοῖς τὰς ὄψεις λεπριῶσι.

Λέπρεος· Ἀριςοφάνης "βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου." οὗτος εἶχε λέπραν, ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν, ἦν δὲ καὶ κακοπράγμων καὶ ὀψοφάγος καὶ λάλος.

Λεπρίνης ὄνομα κύριον.

λεπτὰ ξαίνεις, ἐπὶ τῶν πενιχρῶς διαγόντων τὸν βίον.

λεπτὰ πλοῖα τὰ μικρὰ Θουκυδίδης ἐν η' ⟨immo 7 40⟩.

λεπτή τις ἐλπίς ἐς' ἐφ' ἧς ὀχύμεθα ⟨A Eq. 1249⟩. ἐπὶ τῶν ἀμηχάνων εἴρηται ἡ παροιμία.

λεπτὴν πλέκει, λεγόμενόν τι ἐπὶ τῶν πενήτων. οἷον ἀκριβῆ, ςενήν, ἀσθενῆ· ἔνθεν καὶ **λεπτολόγος**. Ἀριστοφάνης Νεφέλαις ⟨739⟩ "καὶ σχάσας τὴν φροντίδα λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα," τουτέςιν ἐρεύνα.

λεπτόγεα κακὸς ἀγρός. **λεπτὴ γῆ** μὴ λιπαρά. καὶ **λεπτόγεως**.

λεπτολογία. "οὐδὲ λεπτολογίᾳ ἐδίδου, οὐδὲ διῆγε τοὺς λόγους" περὶ Ἀπολλωνίου γράφει Φιλόςρατος ὁ Λήμνιος ⟨1 13⟩. Ἕρμιππος Δημόταις. "λεπτολογεῖν ἤδη ζητῶ καὶ περὶ καπνοῦ ςενολεσχεῖν" ⟨A Nub. 319⟩, ἀντὶ τοῦ περὶ τοῦ μηδενὸς καὶ κενῶν πραγμάτων. διασυρμῷ δὲ χάριν τῶν φιλοσόφων ὡς ἰσχνὰ ζητούντων ζητήματα. "σύ τε λεπτοτάτων λήρων" ⟨358⟩, τουτέςι συνετωτάτων καὶ δυσπαρακολουθήτων λόγων.

λεπτόμιτον φάρος τὸ λεπτὸν ἱμάτιον.

λεπτυσμός. λεπτυσμός ἐςιν ὅταν τὸ βάθος τῆς φάλαγγος συναιρῆται καὶ ἀντὶ ις' ἀνδρῶν ἐλάττους γίνωνται.

λεπυρόν ὀξυτόνως. σημαίνει δὲ ἢ τὸ τοῦ ᾠοῦ ἢ τὸ τῆς ῥοιᾶς ἐπικάλυμμα.

Λέρνη θεατῶν ἀντὶ τοῦ κακῶν θέατρον· Κρατῖνος. οἱ μὲν διὰ τὴν ὕδραν, οἱ δὲ διὰ τὸ τοὺς Ἀργείους τὰ καθάρματα ἐκεῖ ἀποφέρειν· ὁ γὰρ Δαναὸς ἐν τῇ Λέρνῃ τὰς κεφαλὰς τῶν Αἰγυπτιαδῶν ἀπέθετο, καὶ ὡς εἰκὸς ἐφ' ὕβρει ἐκέλευσε τὰ δυσοιώνιςα ἐκεῖ ῥίπτειν. οἱ δὲ **Λέρνη κακῶν**.

λερόν τὸ λεῖον.

Λέσβιος ὁ ἀπὸ τῆς Λέσβου νήσου.

λεσβίσαι μολῦναι τὸ ςόμα· Λέσβιοι γὰρ διεβάλλοντο ἐπὶ αἰσχρότητι. Ἀριςοφάνης ⟨Vesp. 1337⟩ "μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας."

Λεσβίων ἄξια, παροιμία ἐπὶ τῶν ἀπράκτων.

Λεσβῶναξ Μυτιληναῖος φιλόσοφος, γεγονὼς ἐπὶ Αὐγούςου, πατὴρ Ποτάμωνος τοῦ φιλοσόφου, ἔγραψε πλεῖςα φιλόσοφα.

λέσχαι. λέσχας ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο πολλοί· Ὅμηρος ⟨σ 327⟩ "οὐκ ἐθέλεις εὕδειν χαλκήιον ἐς δόμον ἐλθὼν ἠέ που ἐς λέσχην;" Κλεάνθης δέ φησιν ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας, ἐξέδραις δὲ ὁμοίας γίνεσθαι, καὶ αὐτὸν δὲ τὸν Ἀπόλλωνα παρ' ἐνίοις **λεσχηνόριον** ἐπικαλεῖσθαι ⟨Harp.⟩. **λέσχαι** καὶ ποιήματα Ἡρακλείδου τοῦ Ποντικοῦ, μέτρῳ Φαλαικείῳ ἤτοι Σαπφικῷ γραφέντα.

λέσχη πολλὴ ὁμιλία, φλυαρία. τὸ δὲ πα- a
λαιὸν αἱ καθέδραι καὶ οἱ τόποι ἐν οἷς εἰώθεσαν ἀθροιζόμενοι φιλοσοφεῖν, λέσχαι ἐκαλοῦντο. οὕτω φησὶ καὶ Ἱεροκλῆς ἐν ά φιλοσοφουμένων. Ἡρόδοτος ⟨9 71⟩ "καίτοι γενομένης λέσχης ὃς γένοιτο αὐτῶν ἄριςος." ⟨Callimach. ap. Diog. L. 9 17⟩ "ἐμνήσθην ὁσσάκις ἀμφότεροι ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που, ξεῖν' Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή· αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες."

λέσχη δὲ παρὰ Ἡσιόδῳ ⟨O. 491⟩ ἡ κά- b
μινος.

λεσχηνεία ὕβρις, καὶ **λεσχηνίτης** ὁ ὑβριςής.

Λεσχίδης ἐπῶν ποιητής, ὃς συνεςράτευσεν Εὐμενεῖ τῷ βασιλεῖ· ὃς ἦν ἐπιφανέςατος τῶν ποιητῶν. συνῆν δὲ τούτῳ καὶ Πυθίας ὁ συγγραφεὺς καὶ Μένανδρος ἰατρός.

λευγαλέας ὀλεθρίους, χαλεπάς· ⟨AP 6 270⟩ "ὥς σε μετ' εὐχωλαῖς ἐκαλέσσατο, λευγαλέας τοι κῆρας ἀπ' ὠδίνων τῆλε βαλεῖν λοχίων." καὶ **λευγαλέος** ὁ χαλεπός.

Λευί ὄνομα κύριον, οὗ ἡ φυλὴ ἱερατείας τάξιν ἐπλήρου. καὶ **Λευίτης** ὁ ἱερεύς.

λευιαθάν ⟨Iob. 40 20⟩ δράκων. "νοῦς δὲ μέγας Ἀσσύριος, αἱ ἐναντίαι δυνάμεις. τῇ καρδίᾳ τῆς γῆς ἐμφωλεύοντα· ὃν ἕλκει τῷ τῆς θεότητος ἀγκίςρῳ, τῷ κεκρυμμένῳ σώματι, οἷά τινι σκώληκι." cf. v. ψελίῳ.

λευκαὶ φρένες μαινόμεναι, ἢ λαμπραὶ καὶ ἀγαθαί, ἢ ἥμεροι.

λευκανία ὁ λαιμός.

Λευκαρίων ὄνομα κύριον.

Λευκάς νῆσός ἐςι πρὸ τῆς Ἠπείρου κειμένη. Harp.

λεύκη. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησι- a
φῶντος "τοὺς ἐςεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ." ἐςέφοντο δὲ οἱ τὰ βακχικὰ τελούμενοι τῇ λεύκῃ διὰ τὸ χθόνιον μὲν εἶναι τὸ φυτόν, χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. τὴν δὲ λεύκην πεφυκέναι φασὶ πρὸς τῷ Ἀχέροντι, ὅθεν καὶ ἀχερωίδα καλεῖσθαι αὐτὴν παρ' Ὁμήρῳ ⟨N 389⟩. Harp.

λεύκη παρὰ Ἡροδότῳ ⟨1 138⟩ πάθος τι b
περὶ ὅλον τὸ σῶμα.

Λευκὴ ἀκτή. πλειόνων οὐσῶν Λευκῶν, Λυσίας τῆς ἐν Προποντίδι μνημονεύει. Harp.

λευκὴ ἡμέρα ἡ ἀγαθή, καὶ ἐπ' εὐφροσύνῃ. Εὔπολις Κόλαξιν "ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν."

λευκὴ ἡμέρα ἡ ἀγαθή, ἀπὸ τῆς παροιμίας τῆς λεγούσης "τῶν εἰς φαρέτραν." Φύλαρχος γάρ φησι τοὺς Σκύθας μέλλοντας καθεύδειν ἄγειν τὴν φαρέτραν, καὶ εἰ μὲν ἀλύπως τύχοιεν τὴν ἡμέραν ἐκείνην διαγαγόντες, καθιέναι εἰς τὴν φαρέτραν ψῆφον λευκήν, εἰ δὲ ὀχληρῶς, μέλαιναν. ἐπὶ τοίνυν τῶν ἀποθνησκόντων ἐκφέρειν τὰς φαρέτρας καὶ ἀριθμεῖν τὰς ψήφους, καὶ εἰ εὑρεθείησαν πλείους αἱ λευκαί, εὐδαιμονίζειν τὸν ἀπογενόμενον. ὅθεν ἡ παροιμία.

λευκὴν μᾶζαν φυρῶ σοι, παροιμία ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων.

λευκὴ στάθμη, ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων· Σοφοκλῆς Κηδαλίωνι "τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι, οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη." ἐν λευκῷ γὰρ λευκὴ στάθμη οὐδὲν δύναται δεικνύναι. στάθμη δέ ἐστι σπάρτος τεκτονική.

λευκός τις ἀνεπήδησ' ὅμοιος Νικίᾳ (A Eccl. 449). οὗτος γυναικώδης ἦν ὁ Νικίας.

λευκὴ ψῆφος, παροιμία ἐπὶ τῶν εὐδαιμόνως ἢ δυστυχῶς ζώντων.

Λευκίνη πέτρα.

Λεύκιος Δημαράτου τοῦ Κορινθίου υἱός. οὗτος εἰς Ῥώμην ὥρμησε πιστεύων αὑτῷ τε καὶ τοῖς χρήμασι, πεπεισμένος οὐδενὸς ἔλαττον ἕξειν ἐν τῇ πολιτείᾳ διά τινας ἀφορμάς, ἔχων γυναῖκα χρησίμην τά τ' ἄλλα καὶ πρὸς πᾶσαν ἐπιβολὴν πραγματικὴν εὐφυᾶ συνεργόν. παραγενόμενος δὲ εἰς τὴν Ῥώμην καὶ τυχὼν τῆς πολιτείας εὐθέως ἡρμόσατο πρὸς τὴν τοῦ βασιλέως ἀρέσκειαν, ταχὺ δὲ καὶ διὰ τὴν χορηγίαν καὶ διὰ τὴν τῆς φύσεως ἐπιδεξιότητα καὶ μάλιστα διὰ τὴν ἐκ παίδων ἀγωγὴν ἁρμόσας τῷ προεστῶτι μεγάλης ἀποδοχῆς ἔτυχε καὶ πίστεως παρ' αὐτῷ. χρόνου δὲ προϊόντος εἰς τοῦτο ἦλθε παραδοχῆς ὥστε συνδιοικεῖν καὶ συγχειρίζειν τῷ Μαρκίῳ τὰ κατὰ τὴν βασιλείαν. ἐν δὲ τούτοις ἐπ' ἀγαθῷ πᾶσι γενόμενος, καὶ συνεργῶν καὶ συγκατασκευάζων τοῖς δεομένοις ἀεί τι τῶν χρησίμων, ἅμα δὲ καὶ τῇ τοῦ βίου χορηγίᾳ μεγαλοψύχως εἰς τὸ δέον ἑκάστοτε καὶ σὺν καιρῷ χρώμενος, ἐν πολλοῖς μὲν ἀπετίθετο χάριν, ἐν πᾶσι δ' εὔνοιαν ἐνειργάσατο καὶ φήμην ἐπὶ καλοκαγαθίᾳ, καὶ τῆς βασιλείας ἔτυχε. Polyb. 6 2.

Λεύκιος Αἰμίλιος ὁ Περσέα νικήσας, κύριος γενόμενος τῆς Μακεδόνων βασιλείας, ἐν ᾗ τῆς ἄλλης χωρὶς κατασκευῆς καὶ χορηγίας ἐν αὐτοῖς εὑρέθη τοῖς θησαυροῖς ἀργυρίου καὶ χρυσίου πλείω τῶν ἑξακισχιλίων ταλάντων, οὐχ οἷον ἐπεθύμησε τούτων τινός, ἀλλ' οὐδ' αὐτόπτης ἐβουλήθη γενέσθαι, δι' ἑτέρων δὲ τὸν χειρισμὸν ἐποιήσατο τῶν προειρημένων, καίτοι κατὰ τὸν ἴδιον βίον οὐ περιττεύων τῇ χορηγίᾳ, τὸ δ' ἐναντίον ἐλλείπων μᾶλλον. μεταλλάξαντος γοῦν αὐτοῦ τὸν βίον οὐ πολὺ κατόπιν τοῦ πολέμου, βουληθέντες οἱ κατὰ φύσιν υἱοὶ Πόπλιος Σκηπίων καὶ Κόϊντος Μάξιμος ἀποδοῦναι τῇ γυναικὶ τὴν φερνήν, κ' τάλαντα καὶ ε', ἐπὶ τοσοῦτον ἐδυσχρηστήθησαν ὡς οὐδ' εἰς τέλος ἐδυνήθησαν, εἰ μὴ τὴν ἐνδουχίαν ἀπέδοντο καὶ τὰ σώματα καὶ σὺν τούτοις καί τινας τῶν κτήσεων. Polyb. 18 18.

"κάλλιστον οὖν σημεῖον κατέλιπε τῆς ἑαυτοῦ προαιρέσεως ἀποθανών· ὁ γὰρ πλεῖστον μὲν τῶν καθ' αὑτὸν ἐξ Ἰβηρίας χρυσὸν εἰς τὴν Ῥώμην μετενηνοχώς, μεγίστων δὲ θησαυρῶν κύριος γενόμενος ἐν Μακεδονίᾳ, τοιοῦτον ἀπέλιπε τὸν ἴδιον βίον ὥστε μὴ δύνασθαι τὴν φερνὴν τῇ γυναικὶ διαλῦσαι πᾶσαν ἐκ τῶν ἐπίπλων, εἰ μὴ τῶν ἐγγείων τινὰς προσαπέδοτο κτήσεων." id.

Λευκοθέη (Hom. ε 334) ὄνομα κύριον.

λευκόν. ὅτι καὶ τὸ λευκὸν ὁμώνυμον, ὥσπερ τὸ ἀγαθόν. τὸ μὲν ἐπὶ τοῦ σώματος λεγόμενον τὸ λευκὸν χρῶμα σημαίνει, ὅπερ ἐστὶν ὑπὸ τὴν ποιότητα, τὸ δὲ ἐπὶ τῆς φωνῆς τὸ ποιεῖν· λευκὴ γὰρ λέγεται φωνὴ ἡ εὐήκοος, εὐήκοος δέ ἐστιν ἡ τὴν ἀκοὴν σφοδρῶς καὶ ταχέως ἀλλοιοῦσα. ὁμοίως καὶ τὸ ὀξὺ δεικνύοιτ' ἂν ὁμώνυμον. Alex. Aphrod. in Top. 1 p. 57.

Λευκόνιον ὄνομα τόπου.

Λευκονοιεύς. δῆμος τῆς Λεοντίδος οἱ Λευκονοιεῖς. Harp.

λευκοπύγους δειλούς, ὡς μελαμπύγους τοὺς ἀνδρείους.

λευκοὺς λίθους ἔχοντες αὐχοῦσιν μέγα." cf. v. λίθων χοαί.

λευκόχρως λευκὸν τὸ σῶμα ἔχων· ἐν ἐπιγράμματι ⟨AP 6 177⟩ "Δάφνις ὁ λευκόχρως, ὁ καλῇ σύριγγι μελίσδων."

Λεῦκτρα χωρίον Βοιώτιον περὶ Θεσπιάς. Harp.

λευκώλενος λευκοβραχίων.

λεύκωμα τοῖχος γύψῳ ἀληλιμμένος, πρὸς γραφὴν πολιτικῶν πραγμάτων ἐπιτήδειος.

Λεύκων Ἀγνώς ⟨an Ἄγνωνος⟩, γεγονὼς ἐν τοῖς Πελοποννησιακοῖς. τῶν δραμάτων αὐτοῦ ἐστὶ ταῦτα, Ὄνος ἀσκοφόρος, Φράτορες.

λεύσσετε ⟨Hom. Δ 120⟩ ὁρᾶτε, βλέπετε.

λευστήρ· "ὁ δὲ παλαμναῖος καὶ λευστὴρ ἐκεῖνος ᾔτησεν ἐπωνυμίαν λαβεῖν εὐτυχής," ὁ καταλευσθῆναι ἄξιος, τουτέστι λιθοβοληθῆναι. καὶ Αἰλιανός "ἵνα τὸν τῶν κακῶν αἴτιον καὶ λευστῆρα ἀφανίσωσι."

λευχείμων. συστέλλει. λευκοφόρος.

λευχηπατίας δειλός· συμβαίνει γάρ τι περὶ τὸ ἧπαρ ἐπὶ τινῶν, ὃ δειλοὺς τοὺς ἀνθρώπους ποιεῖ. ἐπὶ τῶν τοιούτων οὖν εἴρηται.

Λέχαιον ἐπίνειον Κορινθίων. Harp.

λεχεποίην ⟨Hom. B 697⟩ λέχη ποιοῦντα, ἤτοι ψιάθους.

λέχος συνουσία, κοίτη, μῖξις. λέχει δοτική.

λέχριος πλάγιος· ⟨AP 5 294⟩ "καὶ διαδὺς λέχριος ἐν θαλάμῳ."

λεχώ ἡ ἀρτίτοκος· καὶ ἐν ἐπιγράμμασι ⟨AP 6 271⟩ "οὕνεκά οἱ πρηεῖα λεχοῖ δισσὰς ὑπερέσχες χεῖρας, ἄτερ τόξου πότνια νισσομένη."

λεχώια τὰ ἐπὶ τῇ λοχείᾳ συμβαίνοντα· ⟨AP 7 166⟩ "ἀλλὰ κόραι τῇ παιδὶ λεχώια δῶρα φέρουσαι, θερμὰ κατὰ ψυχροῦ δάκρυα χεῖτε τάφου."

Λεωγόρας ὄνομα κύριον· ὃς ἦν πατὴρ Ἀνδοκίδου τοῦ ῥήτορος.

Λεωδάμας ὄνομα κύριον.

a λεωκόριον τόπος τῆς Ἀττικῆς, ἀπὸ ἱστορίας. ἐλίμωξέ ποτε ἡ Ἀττική, καὶ λύσις ἦν τῶν δεινῶν παιδὸς σφαγή. Λεὼς οὖν τις τὰς ἑαυτοῦ θυγατέρας ἐπιδέδωκε, καὶ ἀπήλλαξε τοῦ λιμοῦ τὴν πόλιν· καὶ ἐκ τούτου ἐκλήθη ὁ τόπος Λεωκόριον. sch. Thuc. 1 20.

b λεωκόριον ἡρῷον ἐν μέσῳ τῷ Κεραμεικῷ· Λεὼς γὰρ ὁ Ὀρφέως υἱὸν μὲν ἔσχε Κύλανθον, θυγατέρας δὲ τρεῖς, Φασιθέαν Θεόπην Εὐβούλην, ἃς ὑπὲρ τῆς χώρας σφαγιασθείσας ἔτι παρθένους ἐτίμησαν Ἀθηναῖοι τῷ ἡρῴῳ.

Λεωκράτης. καὶ κλίνεται εἰς ους.

Λεώκριτος· ⟨A Ran. 1485⟩ "εἴ τις πτερώσας Λεώκριτον Κινησίᾳ, αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα." ὡς λεπτὸς ὢν σφόδρα ὁ Κινησίας κωμῳδεῖται, καὶ ὡς ξένος καὶ ὡς κόλαξ. ἐμνήσθη δὲ τῶν δύο ὡς ὁμοφρονούντων. ἢ ὅτι ὁ Κινησίας λεπτὸς ἦν, ὁ δὲ Λεώκριτος μοχθηρός. φησὶν οὖν ὅτι, εἴ τις ἀντὶ πτερῶν Λεωκρίτῳ Κινησίαν περιβάλοι ὥστε φέρεσθαι μεταρσίους, συμβήσεται αὐτοὺς ὀλέσθαι ἀεροφορήτους γενομένους.

Λέων Ἀλαβανδεὺς ῥήτωρ ἔγραψε Καρικῶν a βιβλία δ', Λυκιακὰ ἐν βιβλίοις β', τέχνην, περὶ στάσεων, τὸν ἱερὸν πόλεμον Φωκέων καὶ Βοιωτῶν.

Λέων βασιλεὺς Ῥωμαίων, ὁ Μακέλλης, b ὃς ἔδοξε τῶν πρὸ αὐτοῦ βασιλέων ἁπάντων εὐτυχέστατος εἶναι, καὶ φοβερὸς ἅπασι τοῖς τε ὑπ' ἐκεῖνον τὴν βασιλείαν τελοῦσι καὶ τῶν βαρβάρων αὐτῶν ὅσοις εἰς φήμην ἀφίκετο. καὶ ταύτην μὲν τοῖς πολλοῖς καταλέλοιπε τὴν δόξαν· "ἐγὼ δέ" φησὶ Μάλχος ⟨p. 269 Nieb.⟩ "εὐτυχίαν οὐκ οἶμαι, εἴ τις τῶν ἀρχομένων τὰ ὄντα διασυλῶν, καὶ μισθούμενος ἀεὶ συκοφάντας εἰς τοῦτο, καὶ κατηγορῶν αὐτὸς ὅτε μὴ ἄλλον ἀνηύρισκε, καὶ τὸν χρυσὸν ἐξ ἁπάσης τῆς γῆς συλλεξάμενος ἑαυτῷ μόνῳ κατάθοιτο, ἐρήμους μὲν τὰς πόλεις ἧσπερ ἔμπροσθεν εἶχον εὐπορίας ποιήσας, ὡς μηκέτι τοὺς φόρους, οὓς ἐτέλουν, δύνασθαι μετ' εὐχερείας ἀπενεγκεῖν." καὶ ἁπλῶς πάσης κακίας ἀπισχυρίζεται ὁ Μάλχος γενέσθαι αὐτὸν καταγώγιον· ὅς γε καὶ Ὑπερέχιον τὸν γραμματικὸν ἐφυγάδευσέ ποτε, καὶ τῷ Εὐλογίῳ τῷ φιλοσόφῳ σιτηρέσιον εἰπὼν δοθῆναι, τινὸς τῶν εὐνούχων λέγοντος ὅτι ταῦτα εἰς στρατιώτας προσήκοι δαπανᾶσθαι, εἶπεν "εἴθε γένοιτο ἐπὶ τοῦ ἐμοῦ χρόνου ὥστε τὰ τῶν στρατιωτῶν εἰς διδασκάλους παρέχεσθαι." ἐπὶ τῶν χρόνων αὐτοῦ Ἀκάκιος ἐγένετο πατριάρχης.

Λέων Λέοντος Βυζάντιος, φιλόσοφος c περιπατητικὸς καὶ σοφιστής, μαθητὴς Πλάτωνος ἢ ὥς τινες Ἀριστοτέλους, ἔγραψε τὰ κατὰ Φίλιππον καὶ τὸ Βυζάντιον βιβλίοις ζ', Τευθραντικόν, περὶ Βησαίου, τὸν ἱερὸν πόλεμον, περὶ στάσεων, τὰ κατ' Ἀλέξανδρον. οὗτος ἦν σφόδρα παχύς, καὶ πρεσβεύσας

πρὸς Ἀθηναίους γέλωτα ἐκίνησε καὶ τῆς πρεσβείας ἐκράτησεν, ἐπειδὴ πίων ἐφαίνετο καὶ περιττὸς τὴν γαστέρα. ταραχθεὶς δὲ οὐδὲν ἀπὸ τοῦ γέλωτος "τί" ἔφη "ὦ Ἀθηναῖοι γελᾶτε; ἢ ὅτι παχὺς ἐγὼ καὶ τοσοῦτος; ἔστι μοι καὶ γυνὴ πολλῷ παχυτέρα, καὶ ὁμονοοῦντας μὲν ἡμᾶς χωρεῖ ἡ κλίνη, διαφερομένους δὲ οὐδὲ ἡ οἰκία." καὶ εἰς ἓν ἦλθεν ὁ τῶν Ἀθηναίων δῆμος ἁρμοσθεὶς ὑπὸ τοῦ Λέοντος σοφῶς ἐπισχεδιάσαντος τῷ καιρῷ. οὗτος ὁ Λέων ἀποκρουόμενος τὸν Φίλιππον ἀπὸ τοῦ Βυζαντίου διεβλήθη παρὰ Φιλίππου πρὸς τοὺς Βυζαντίους δι' ἐπιστολῆς ἐχούσης οὕτως "εἰ τοσαῦτα χρήματα παρεῖχον Λέοντι ὁπόσα με ᾔτειτο, ἐκ πρώτης ἂν ἔλαβον τὸ Βυζάντιον." ταῦτα ἀκούσαντος τοῦ δήμου καὶ ἐπισυστάντος τῇ οἰκίᾳ τοῦ Λέοντος, φοβηθεὶς μή πως λιθόλευστος παρ' αὐτῶν γένηται, ἑαυτὸν ἦγξε, μηδὲν ἀπὸ τῆς σοφίας καὶ τῶν λόγων κερδάνας ὁ δείλαιος. cf. Philostrat. V. S. 1.

d *Λέων. οὗτος στρατηγὸς ἐπέμφθη παρὰ Εὐτροπίου τοῦ εὐνούχου κατὰ τῶν βαρβάρων, εὔκολος ὢν καὶ διὰ μελέτην μέθης εὐπαράγωγος· ἦν γὰρ αὐτῷ τὸ ἀνδρεῖον ἐπὶ τούτῳ συνηναγκασμένον, πλείους ἔχειν παλλακίδας τῶν στρατιωτῶν, καὶ πλείονα πίνειν ἢ ὅσα πάντες ἄνθρωποι πίνουσι.* Eunap. p. 114 Nieb.

λέων λέων σοι γέγονεν, ἔκμαγμα σόν, τά τ' ἄλλ' ἁπαξάπαντα καὶ τὸ πόσθιον τῷ σῷ προσόμοιον, στρεβλὸν ὥσπερ κύτταρον" ⟨A Th. 521⟩. *ἐπὶ τῶν μοιχευομένων καὶ τικτουσῶν γυναικῶν. κύτταρος δὲ τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος.*

Λεωνᾶς σοφιστής, Ἴσαυρος τὸ γένος, εὐδοκιμῶν ἐν τῷ πλήθει τῶν ἐν Ἀλεξανδρείᾳ ὁμοτέχνων, ὃς Πρόκλῳ οὐ μόνον τῶν ἑαυτοῦ λόγων ἐκοινώνησεν, ἀλλὰ καὶ σύνοικον ἔχειν ἠξίου καὶ συνδιαιτᾶσθαι γυναικὶ καὶ τέκνοις παρεσκεύασεν, οἷα παῖδα γνήσιον καὶ τοῦτον γενόμενον. γνώριμον δὲ αὐτὸν ἐποίει καὶ τοῖς τὰς ἡνίας ἔχουσι τῆς Αἰγύπτου. Marinus 8.

Λεωνίδεω δῶρα ⟨AP 6 191⟩.

Λεωνίδης Λακεδαιμονίων βασιλεύς, Ἀναξανδρίδου, ἀφ' Ἡρακλέους κ' βασιλεύς. οὗτος ἡγεμὼν τῶν εἰς Θερμοπύλας ἀπαντησάντων Ἑλλήνων ἦν· ἐν δὲ τῷ τόπῳ τούτῳ λέγεται τὸν Ἡρακλέα ἀποθέμενον τὸ σῶμα ἀποθεωθῆναι. Λεωνίδης δὲ ἀπαγγελθέντος ὅτι τοξευόντων τῶν Περσῶν ὁ ἥλιος ἀφανὴς γίνεται, "θαρρῶμεν" ἔφη, "ὅτι ὑπὸ σκιᾷ μαχεσόμεθα." ἀριστοποιουμένοις δὲ τοῖς στρατιώταις "ἀριστᾶτε" ἔφη "ὡς ἐν Ἅιδου δειπνήσοντες." ἐπελθόντος δὲ τοῦ βασιλέως οἱ μὲν ἄλλοι πάντες τὸ πλῆθος εὐλαβηθέντες ἔφυγον, Θηβαῖοι δὲ ηὐτομόλησαν· οὓς λαβὼν ἔστιξε βασιλεύς. ἐπιγέγραπται ἐπὶ Λεωνίδου ἐπίγραμμα ⟨AP 7 249⟩ *"ὦ ξεῖν' ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι." οὗτος ὁ Λεωνίδης περὶ Θερμοπύλας ἅμα τριακοσίοις ἀντέστη Ξέρξῃ, καὶ ἀριστεύων ἐτελεύτησε, κυκλωθεὶς ἐκ προδοσίας, Ἐφιάλτου τινὸς δείξαντος Πέρσαις τὴν διὰ τῶν ὀρῶν ὁδόν. "ὁ δὲ Μακεδὼν ἐκεῖνος, εἴτε Λεωνίδης τὸ φρόνημα ἢ Καλλίμαχος ἢ Κυναίγειρος, ἀρκέσει δὲ τὸ Ῥωμαῖον ἀποκαλεῖν, ὡς τῶν λόγων τῶν ἰατρικῶν ὑπήσθετο, ἤρετο εἰ τὸ Ῥωμαϊκὸν εἴη νενικηκός"* ⟨Theophyl. Sim. 2 6⟩.

λεωπετρία λεῖος λίθος· "δυνατόν ἐστιν ἀπό τινος λεωπετρίας ἀπόβασιν ποιησαμένους ἐκ θαλάττης εἰς τὴν χερρόνησον κατὰ νώτου γενέσθαι τῶν πολεμίων."

λεωργός· Αἰσχύλος ⟨Prom. 5⟩ *"πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι," περὶ Προμηθέως. τουτέστιν ὁ πάντολμος, ὁ ὑπὲρ τοῦ λεὼ ἀποθνήσκων.*

λεώς ὁ λαός, ὁ ὄχλος, ἀττικῶς.

Λεωσθένης στρατηγὸς τῶν Ἀθηναίων. οὗτος ἐν τῷ πρὸς τοὺς Μακεδόνας πολέμῳ προθυμίᾳ χρησάμενος τοῦ καιροῦ προθυμοτέρᾳ καὶ τῇ παραπεσούσῃ εὐπραγίᾳ κατὰ τῶν πολεμίων ἐπεξιὼν τήν τε ἐμβολὴν ἀφειδῆ ποιεῖται, καὶ λίθῳ πληγεὶς πρὸς τὴν κεφαλὴν ἀφυλάκτως ἐπὶ τῆς παρατάξεως πίπτει.

Λεώστρατος ὄνομα κύριον.

Λεωτροφίδης. οὗτος χλωρὸς ἦν καὶ λεπτὸς ὡς ἐοικέναι ὄρνιθι, ὡς Κινησίας τῶν σφόδρα λεπτῶν· καὶ κοῦφος ἦν διθυραμβοποιὸς ὁ Λεωτροφίδης. Ἕρμιππος "ἀνάπηρά σοι θύουσιν ἤδη βοίδια, Λεωτροφίδου λεπτότερα καὶ Θουμάντιδος." sch. A Av. 1406.

Λεωτυχίδης ὁ τοῦ Λεωτύχου.

λεωφόρος ὁδὸς δημοσία.

Λεωχάρης Λεωχάρους.

ληγατάριος ⟨ληγᾶτος?⟩ *εἶδος ἄρχοντος παρὰ Ῥωμαίοις. καὶ ληγᾶτον τὸ ἐν διαθήκαις λιμπανόμενον παρὰ Ῥωμαίοις.*

λῆγε παύου.

ληδάριον θέριςρον. ἄλλως, εὐτελὲς ἱμάτιον θερινόν· Ἀριςοφάνης ⟨Av. 716⟩ "καὶ ληδάριόν τι πρίασθαι."

Λήδας υἱέε Κάςωρ καὶ Πολυδεύκης.

Λήδη ὄνομα κύριον.

λήδιον τὸ τριβώνιον.

λήθαργος ἐπιλήσμων.

λήθαργος κύων ὁ προσσαίνων μὲν λάθρα δὲ δάκνων. καὶ τῶν ἵππων οἱ μὲν ἀμελεῖς καὶ ἀβλεμεῖς καὶ νωθροὶ λήθαργοι καλοῦνται. ἔςι δὲ καὶ πάθος τι σὺν πυρετῷ.

ληθεδανός.

Ληθεδόνος ὄνομα πηγῆς.

ληθεδών λήθη. λήθη δέ ἐςιν ἀποβολὴ ἐπιςήμης· ἐν ἐπιγράμματι ⟨AP 7 17⟩ "ἔργα δὲ φώτων ἐς ταχινὴν ἔρρει τοιάδε ληθεδόνα."

λήθη· "ὃ δὲ τοὺς θείους ἐξηγητὰς ἀπεγράφετο μάλα ἀκριβῶς, εἰς τὸ τῆς λήθης γῆρας, ὡς ἔφη ὁ Πλάτων, ὑπομνήματα καταλείπων ἑαυτῷ καὶ ἀποθησαυριζόμενος" ⟨Damasc. Phot. p. 345⟩. λήθην κυνῶν. λήθην ἐμποιούντων φαρμάκων. "τῶν τετολμημένων σφίσι λήθην καταχέαντες" ⟨cf. v. ἔμπηρα⟩ ἀντὶ τοῦ τολμητίαι γενόμενοι.

Λῆθος ὄνομα κύριον.

ληθότης ἡ ἐπιλησμοσύνη.

λήθω λανθάνω. καὶ λήσομεν ὁμοίως.

λήια σιτοφόρα πεδία, χωράφια.

ληιβότειρα καὶ ληιβοτείρης ⟨Hom. σ 29⟩. ληιβοτήρ δὲ ὁ ἄγριος σῦς.

ληίδα ⟨Hom. I 138⟩ τὴν λαφυραγωγίαν.

ληίζεται αἰχμαλωτίζει, διαρπάζει, πορθεῖ, ἐρημοῖ. ἴσως δὲ καὶ ἐν παθητικῷ σημαινομένῳ λέγεται.

λήιον ⟨an λήδιον⟩ εὐτελὲς κολόβιον.

ληισθείς ληςευθείς. καὶ ληςικὸν τάγμα καὶ πλῆθος, ληςρικὸν δὲ κτῆμα.

ληίσσατο ⟨Hom. Σ 28⟩ ἐμερίσατο, ἢ ἐλαφυραγώγησε.

ληιςός ὁ κτητός.

ληῖτις ληίτιδος ⟨Hom. K 460⟩. Λήιτος δὲ ⟨B 494⟩ Ληίτου.

ληκεῖν τὸ φωνεῖν.

ληκινθάδιος.

ληκυθίζειν τὸ μεῖζον βοᾶν καὶ ψοφεῖν. cf. A Ach. 589.

ληκύθιον ἀγγεῖον· "εἶχε δὲ καὶ ἐν τῇ ζώνῃ ληκύθιον παρηρτημένον, ἐν ᾧ τὸ φάρμακον ἦν τὸ θανάσιμον." καὶ Ἀριςοφάνης ⟨Ran. 1209⟩ "οὐ κατ' ἔπος γέ σου κνίσω τὸ ῥῆμ' ἕκαςον, ἀλλὰ ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ." μικροπρεπῶς γὰρ ἔλεγον κωδάριον ληκύθιον θυλάκιον.

ληκυθιςής ὁ μικρόφωνος· οὕτω Σοφοκλῆς. καὶ ληκυθισμός· "περιενεγκεῖν εὐστρόφως καὶ κεκλασμένως τὸν ληκυθισμὸν τῶν αἰσχρῶν καὶ γελοίων ᾀσμάτων," τȣτέςι τὴν εὐφωνίαν.

λήκυθον τὴν τοῦ μύρου Ἀττικοὶ καλȣ̃σιν ἀλάβαςρον· ἀρσενικῶς δὲ τὸν ἀλάβαςρον εἶπεν Ἡρόδοτος ⟨3 20⟩. τὰ ἐλαιοδόχα ἀγγεῖα· Ἀριςοφάνης Πλούτῳ ⟨811⟩ "αἱ δὲ λήκυθοι μύρȣ γέμȣσι." καὶ αὖθις ⟨Av. 1588⟩ "ἔλαιον οὐκ ἔνεςιν ἐν τῷ ληκύθῳ," ἀντὶ τȣ̃ οὐκ ἐλεοῦμεν, οὐ πειθόμεθα. "Ζήνων ὁ Κιτιεὺς ποιήσας κοῖλον ἐπίθεμα τῇ ληκύθῳ περιέφερε νόμισμα, λύσιν ἕτοιμον τῶν ἀναγκαίων ἵν' ἔχοι Κράτης" ⟨Diog. L. 7 12⟩.

λήκυθος θηλυκῶς παρὰ Ἀριστοφάνει ⟨Eccl. 988⟩ "ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους, ὁ τῶν γραφέων ἄριςος." τοιαῦτα γάρ τινα ἐν τοῖς μνήμασιν ἔγραφον. καὶ αὖθις ⟨Eccl. 1024⟩ "παράθου τὰς ληκύθους."

ληκώμεθα κινώμεθα· Ἀριςοφάνης ⟨Th. 493⟩ "μάλισθ' ὅταν ὑπό του ληκώμεθα τὴν νύχθ' ὅλην."

λῆμα ἀξία καὶ ἀνδρεία, φρόνημα· "τοιοῦτον γὰρ ὁ παῖς ὅδε λῆμα φαίνει." καὶ Ἀριςοφάνης Νεφέλαις ⟨457⟩ "λῆμα μὲν πάρεςι τῷδέ γ' οὐκ ἄτολμον," τουτέςι τολμηρόν. καὶ αὖθις ⟨Eq. 754⟩ "λῆμα θούριον," τουτέςι φρόνημα πολεμικόν. καὶ αὖθις ⟨Th. 465⟩ "ἕτερον αὖ τι λῆμα τοῦτο κομψότερον ἔτ' ἢ τὸ πρότερον ἀναπέφηνε." καὶ αὖθις ⟨Ran. 615⟩ "παρέξω ἐμαυτὸν ἀνδρεῖον τὸ λῆμα καὶ βλέποντ' ὀρίγανον," ἀντὶ τοῦ βλέποντα δριμύ. Ἡρόδοτος ⟨7 99⟩ "ἡ δὲ Ἀρτεμισία ὑπὸ λήματος καὶ ἀνδρηίης ἐςρατεύετο, οὐδεμιῆς ἐούσης ἀναγκαίης." περὶ δὲ Εὐριπίδου καὶ Αἰσχύλου ⟨A Ran. 927⟩ "λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν." τὸ δὲ διὰ τῶν δύο μ γραφόμενον, λῆμμα, αἱ προτάσεις παρὰ Ἀριςοτέλει, τȣτέςιν ἡ ἐρώτησις. ἡ γὰρ ἐρώτησις αἰτία τῆς ἀποκρίσεως, ἥτις ἐςὶν ἐξ ἧς ὁ συλλογισμός· ἣν καὶ λῆμμα λέγουσι. καὶ μονολήμματος πρότασις, οἷον "ἀναπνεῖς· ζῇς ἄρα." πρόδηλον γὰρ τὸ παραλελειμμένον, τὸ "πᾶν τὸ ἀναπνέον ζῇ." τοιαῦτά ἐςι καὶ τὰ ἐνθυμήματα. "οὗτοι κολάσεως ἄξιοι· ἱερό-

συλοι γάρ." παρεῖται γὰρ τὸ τὰς ἱεροσύλας ἀξίους εἶναι κολάσεως.

λημαλέος.

λημάτια τὰ βουλεύματα.

λημαtιᾷς ⟨A Ran. 469⟩. λῆμά ἐστι τὸ φρόνημα· λημαtιᾷς οὖν μέγα φρονεῖς. λέγεται δὲ καὶ χωρὶς τοῦ ι λημαtίας ὁ μεγαλόφρων καὶ ἰσχυρός.

λημαtίας φρονηματίας, γεννάδας.

λήμη λευκὸν ὑγρὸν ἐν ὀφθαλμοῖς συναγόμενον καὶ ἀμβλυώττειν παρασκευάζον, παρὰ τὸ λεύω τὸ βλέπω, καὶ τὸ μή· Ἀριστοφάνης ⟨Plut. 581⟩ "ἀλλ' ὦ κρονικαῖς γνώμαις ὄντως λημῶντες τὰς φρένας," ἤγουν ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὰς φρένας. ἔστι δὲ καὶ παροιμία ἐπὶ τῶν ἀμβλυωπούντων. λήμη δ' ἐστὶ τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. σημαίνει οὖν τὸ τετυφλωμένοι τὰς φρένας, ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμιώντων ἐμποδίζονται τὰς ὄψεις. καὶ λημῶ τὸ ἀμβλυώττω. καὶ λημῶντες τοὺς ὀφθαλμούς.

λήμματα προφητεῖαι. λέγεται δὲ καὶ τὰ ἐξ οἰκείας καρδίας ἀποφθέγματα.

Λημνία δίκη ἡ κακίστη.

Λημνίᾳ χειρὶ ὠμῇ καὶ παρανόμῳ, ἀπὸ τῆς ἱστορίας· φασὶ γὰρ τὰς ἐν Λήμνῳ γυναῖκας τοὺς ἄνδρας αὐτῶν ἀνελεῖν, αἰτιωμένας ὅτι αὐταῖς οὐκ ἐμίγνυντο.

Λήμνιον βλέπων πυρῶδες. καὶ παροιμία "Λήμνιον κακόν·" ἐκ γὰρ Ἀθηνῶν ἁρπάσαντες γυναῖκας οἱ Λήμνιοι καὶ τεκνοποιησάμενοι ἐξ αὐτῶν κατέσφαξαν αὐτὰς μετὰ τῶν τέκνων. ἐπεὶ δὲ πάντας αἱ γυναῖκες τοὺς ἄνδρας, ὅτι αὐταῖς οὐ προσεῖχον, ἀνεῖλον ἅμα ταῖς τῶν Θρᾳκῶν γυναιξὶν ἐπὶ τῇ δυσωδίᾳ, ἣν Μυρσίλος μὲν διὰ τὸν Μηδείας ἐπὶ Ὑψιπύλῃ ζῆλον κατασχεῖν, Καύκασος δὲ διὰ τὸ ὀλιγωρῆσαι τῆς Ἀφροδίτης τὰς Λημνίας, ἔνθεν τὰ μεγάλα κακὰ Λήμνια λέγεται. cf. sch. Apollon. Rh. 1 609.

Λήμνιον πῦρ ⟨A Lys. 299⟩. ἔστιν ἀναφορὰ ἐν Λήμνῳ πυρὸς χαλεπή τις.

Λήμνιος ἀνήρ ἀπὸ τῆς Λήμνου νήσου.

Λημνόθεν.

λήναια ὄνομα ἑορτῆς ἐν Ἀθήναις.

ληναΐζω.

ληναΐτης χορός ὁ τῶν ληναίων.

ληναιών ληναιῶνος ὄνομα μηνός.

ληνίς ληνίδος ἡ βάκχη.

ληνοβάται οἱ ἱερεῖς.

ληνός καὶ προλήνιον αἱ ἐκκλησίαι παρὰ τῷ Δαβίδ ⟨Ps. 8 1⟩.

ληξιαρχικὸν γραμματεῖον. Ἀθηναίων τῶν ἀστῶν τῶν ἐχόντων ἡλικίαν ἄρχειν ἀναγράφεται τὸ ὄνομα, προστιθεμένων τῶν δήμων αὐτοῖς· καὶ ἐξ ἐκείνων τῶν γραμματείων κληροῦσι τὰς ἀρχάς.

ληξιαρχικὸν γραμματεῖον, εἰς ὃ ἐνεγράφοντο οἱ τελεωθέντες τῶν παίδων, οἷς ἐξῆν τὰ πατρῷα οἰκονομεῖν. παρὸ καὶ τοὔνομα γέγονε, διὰ τὸ τῶν λήξεων ἄρχειν· λήξεις δέ εἰσιν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι. Harp.

λῆξιν δίκης καὶ λαχεῖν δίκην τὸ καταγγεῖλαι κρίσιν ἰδιωτικῶν πραγμάτων φασί. τὸ δ' ἀντικαλέσαι ἀντιλαχεῖν, τὸ δὲ διανείμασθαι χρήματα διαλαχεῖν.

λῆξις τὸ ἔγκλημα. καθ' οἷον λόγον φαμὲν καὶ λαχεῖν δίκην. Harp.

λῆξις παῦσις· ἢ μερίς, κληρονομία. Αἰλιανός "καὶ θάπτει τὸν νεκρόν, τοῖς χθονίοις θεοῖς ἀποδιδοὺς τῆς ἐκείνων λήξεως ἤδη." καὶ αὖθις "λήξει οὐ μὰ Δία εὐκλήρῳ χρόνου τὰ Αἰγυπτίων κακὰ τῶν ἐν τῇ πόλει τῇ Ἀλεξάνδρου ἐγκατέσκηψε καὶ τῇ Ῥώμῃ."

Ληουΐας.

ληρεῖς φλυαρεῖς· Ἀριστοφάνης ⟨Nub. 1275⟩ "τί δῆτα ληρεῖς ὥσπερ ἀπ' ὄνου καταπεσών;" λέγεται καὶ ἀπὸ νοῦ. καὶ αὖθις ⟨Plut. 517⟩ "λῆρον ληρεῖς" ἀντὶ τοῦ κατὰ λῆρον. Ἀττικὴ δὲ ἡ φράσις καὶ τὸ σχῆμα, ὡς τὸ μανίαν μαίνῃ. ἔστι δὲ Ἀττικὸν τὸ σχῆμα, τὸ εἰπόντα τὸ πρᾶγμα ἐπαγαγεῖν τὸ ἀπὸ τοῦ πράγματος ῥῆμα, ὡς τὸ ὕβριν ὑβρίζεις καὶ φυγὴν φεύγεις.

ληρεῖς ἔχων ⟨A Ran. 515⟩. παρέλκει τὸ ἔχων.

... ἐν ἐπιγράμμασι ⟨AP 6 292⟩ "καὶ ληρῶν οἱ χρύσειοι κάλαμοι."

λῆρος φλύαρος, ματαιόφημος· "πολλὰ γάρ μοι ταῦτα καὶ ἐκ μειρακίων ἐδόκει λῆροί τε καὶ φλήναφοι."

λῆρος. ὅτι ὁ νοῦς ἐν τῷ γήρᾳ λήρῳ καταληφθεὶς οὐκ αὐτὸς εἰς ἑαυτὸν τὸ πάθος ἀνεδέξατο, ἵνα καὶ φθαρτὸς καὶ θνητὸς νομισθῇ· τοῦ δὲ ὀργάνου ἀλλοιωθέντος καὶ τὴν ἀπὸ τοῦ νοῦ ἐνέργειαν διὰ ἀνεπιτηδειότητα μὴ δυναμένου δέξασθαι, τὸ πάθος τοῦ ὀργάνου πάθος ἔδοξεν εἶναι καὶ τοῦ κατέχοντος

αὐτὸ νοῦ. καὶ γὰρ τοῦ ὄμματος λημῶντος ἢ καὶ τῷ γήρᾳ πρὸς ἀνεπιτηδειότητα μεταβαλόντος ἡ μὲν αἴσθησις οὐδὲν ἧττον μένει ἀπαθής, τὸ δὲ αἰσθητήριον ἐμπαθὲς ἢ ὅλως ἄχρηϛον γίνεται καὶ ἀργόν. τὸ δὲ αἴτιον τȣ̃ μὴ συνδιαφθείρεσθαι τῷ αἰσθητηρίῳ καὶ τὴν αἰσθητικὴν δύναμιν τὸ μηδὲ ἐν τούτῳ τῷ σώματι ἔχειν τὸ εἶναι τὴν αἰσθητικὴν δύναμιν, ἀλλ' ἐν τῷ πνεύματι. οὕτω δὲ καὶ τὰ τῶν γερόντων ὄμματα ὑπὸ τοῦ χρόνου ἐξασθενήσαντα, καὶ τῶν χιτώνων παχυτέρων γενομένων καὶ οἷον ἐρρυτιδωμένων καὶ οὐχ οὕτω διαφανῶν, ἔτι τε καὶ τῶν ἐντὸς ὑγρῶν ξηροτέρων ὑπὸ τοῦ χρόνου καὶ πεπηγότων καὶ οὐ δυναμένων τὰ ἀπὸ τῶν αἰσθητῶν πάθη διαπορθμεύειν ἐπὶ τὸ ὀπτικὸν πνεῦμα, συμβαίνει τοὺς γέροντας ἧττον ὁρᾶν. καὶ ἐπὶ τῶν λήρων οὐχ ὁ νοῦς ληρεῖ, ἀλλ' ἡ τȣ̃ ὀργάνου πρὸς τὸ χεῖρον μεταβολὴ καὶ ἀνεπιτηδειότης πάσχει τε καὶ τοὺς λήρους ἐμποιεῖ, οὐκ ἐν τῷ γήρᾳ μόνον ἀλλὰ καὶ ἐν τῇ νεότητι, νοσημάτων τινῶν φρενιτικῶν ἢ ληθαργικῶν τὸ σῶμα κατειληφότων. cf. Philopon. in 1 de anima, E 5 a.

ἢ ὅτι ἡ ἐπιτεταμένη βλάβη τοῦ νοῦ παραφροσύνη λέγεται, ἡ δὲ μέση λῆρος, ἡ δὲ ὑφειμένη παράληρος. λιρὸς δὲ ὁ ἀναιδής, παρὰ τὸ λίαν ὁρᾶν, διὰ τοῦ ι.

λήσεις ἀγνοήσεις· ⟨A Pac. 62⟩ "λήσεις σεαυτȣ̃ τὰς πόλεις ἐκκοκκίσας," τέλεον ἀπολέσας.

λήσομαι ἐπιλάθωμαι.

ληϛαί· Πισίδης "ἐν τῷ παραδείσῳ τῆς ἀοιδίμȣ μάχης γίνεσθε ληϛαί" ἀντὶ τοῦ μιμούμενοι τὸν ληϛήν. καὶ ληϛὴς μὲν ὁ ἐν ἠπείρῳ, πειρατὴς δὲ ὁ ἐν θαλάσσῃ. καὶ ληϛικὸν σύϛημα, ληϛρικὸν δὲ χρῆμα ἢ κτῆμα· "Κοϛόβων τὸ ληϛικὸν τὴν Ἑλλάδα ἐπέδραμεν." "ὁ δὲ πάντων τῶν μέσων ἀνδρῶν ἀσθενέϛατος ὢν ληϛικὸν ἐν τῇ Ἀπουλίᾳ χ' ἀνδρῶν συνέϛησε." cf. v. ληισθείς.

λήϛαρχος ἀρχηγὸς ληϛῶν.

ληϛεία.

λῆϛις ἡ λήθη· Σοφοκλῆς ⟨OC 583⟩ "τὰ λοίσθι' αἰτῇ τοῦ βίου, τὰ δ' ἐν μέσῳ ἢ λῆϛιν ἴσχεις ἢ δι' οὐδενὸς ποιῇ." ἢ τοῦ ζῆν ἐπιλέλησαι, ἢ οὐ φροντίζεις. Οἰδίπους "ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται," τȣτέϛι διὰ τοῦ τέλους καὶ τὰ μέσα τοῦ βίου εὐτυχήσει· προσδοκῶν γὰρ σὺ ὠφεληθήσεσθαι παρ' ἐμοῦ ὅταν ἀποθάνω, ζῶντά με γηροβοσκήσεις.

Λητώ ἡ μήτηρ τοῦ Ἀπόλλωνος.

ληφθῆναι κρατηθῆναι.

λιαινούσης πραϋνούσης.

λίαν πάνυ.

λιαρόν θερμόν.

λιασθείς (Hom. Λ 349) ἐκκλίνας.

λιαϛής.

λιβάδα ϛαγόνα, κρήνην, ἔνυδρον τόπον· ἐν ἐπιγράμματι ⟨AP 6 170⟩ "καὶ λιβάδες καὶ ταῦτα βοτηρικὰ κύπελλα." λιβάς λιβάδος ὁ ϛαλαγμὸς τῶν δακρύων.

Λιβαδεία (immo Λεβάδεια) πόλις τῆς Βοιωτίας.

Λιβάνιος σοφιϛὴς Ἀντιοχεύς, τῶν ἐπὶ Ἰουλιανοῦ τοῦ βασιλέως χρόνων, καὶ μέχρι Θεοδοσίου τοῦ πρεσβύτου, Φασγανίου πατρός, μαθητὴς Διοφάντου, ἔγραψεν ἄπειρα, ἐν οἷς ἐγκώμιον εἰς Κωνϛάντιον τὸν βασιλέα, ἕτερον εἰς Ἰȣλιανόν, μελέτας ῥητορικάς, καὶ ἐπιϛολάς. οὗτος καὶ ἐπὶ τῶν χρόνων ἦν Βασιλείου τοῦ μεγάλου καὶ Γρηγορίου τȣ̃ θεολόγου. "ὁ δὲ Ἰȣλιανὸς ὁ παραβάτης, καίπερ τοσούτοις ἐμβεβηκώς, τῆς τε περὶ λόγους ἥπτετο φιλοτιμίας καὶ τὸν τῆς Ἀντιοχείας σοφιϛήν, ᾧ Λιβάνιος ὄνομα, διαφερόντως ἐθαύμασεν, τὰ μὲν ἴσως ἐπαινῶν, τὰ δὲ ὅπως λυποίη τὸν μέγαν σοφιϛὴν Προαιρέσιον, προτιμῶν ἕτερον. Ἀκάκιος γοῦν τις αὐτῷ τῶν περὶ ῥητορικὴν δεινῶν καὶ ὁ ἐκ Φρυγίας Τȣσκιανὸς ἀεὶ πρὸς ταῦτα ἐπεκάλουν, καὶ διεμέμφοντο τὰς κρίσεις." cf. v. Ἀκάκιος.

Λίβανος ὄνομα ὄρους.

λιβανωτίς πόα.

λιβανωτός ὁ καρπὸς τοῦ λιβάνου, λίβανος δὲ αὐτὸ τὸ φυτόν. sch. A Plut. 703.

λίβερνα εἶδος πλοίου, καράβια. "πηξάμενος δρομάδας τριακοντήρεις λιβερνίδων τύπῳ."

Λίβερνος ὄνομα τόπου, ἀπό τινος ἱϛορίας. ἐν γὰρ τῇ Ῥώμῃ ὑπατεύοντος Κοΐντȣ τοῦ Σερβιλίου χάσμα κατὰ μέσην ἀγορὰν διαϛάσης τῆς γῆς γέγονε. γνόντες δὲ οἱ Ῥωμαῖοι ἐκ τῶν Σιβύλλης λογίων ὅτι συνελεύσεται ἡ γῆ, ἢν τὸ τιμιώτατον ἐν ἀνθρώποις ἐμβληθείη τῷ χάσματι, ἐπέφερον οἱ μὲν χρυσὸν οἱ δὲ ἄργυρον οἱ δὲ καρπούς, οἱ δὲ ὅτι μάλιϛα τιμιώτατον καὶ συμβαίνειν τῶν ὑπὸ

τῶν λεγομένων ἱερῶν ὑπελάμβανον. μένοντος δ' οὐδέν τι μεῖον τοῦ χάσματος, Κούρτιος ἀνὴρ ὀφθῆναί τε κάλλιςος καὶ τὴν ψυχὴν ἄριςος ἔφη συνιέναι βέλτιον τῶν ἄλλων τοῦ Σιβυλλείου· τιμιώτατον γὰρ εἶναι χρῆμα πόλει ἀνδρὸς ἀρετήν, καὶ ταύτην ἐπιζητεῖν τὰ ἐκ τῶν λογίων δηλούμενα. καὶ τοῦτο εἰπὼν τά τε ὅπλα περιέθετο καὶ τὸν πολεμικὸν ἵππον ἀνέβη. πάντων δὲ θαυμαζόντων τὸ δρώμενον, ἀτρέπτως ἐλαύνει κατὰ τοῦ χάσματος. συνελθούσης δὲ τῆς γῆς, ἡρωικὰς τιμὰς τῷ ἀνδρὶ κατὰ μέσην ἀγορὰν Ῥωμαῖοι ἀνὰ πᾶν ἔτος ἐπιτελεῖν διέγνωσαν, τόν τε τόπον Λίβερνον ἐπεκάλεσαν, βωμὸν οἰκοδομήσαντες· ἐξ οὗ δὴ καὶ Βεργίλιος τὴν ἀρχὴν ἐποιήσατο.

Λιβερτῖνοι ἔθνος.

Λιβύη χώρα.

Λιβυκὸν θηρίον οἷον ἐξηλλαγμένον· φασὶ γὰρ τὴν Λιβύην θηρία μὲν πολλὰ ἔχουσαν, ἄνυδρον δὲ οὖσαν, συνερχομένων δὲ παντοδαπῶν εἰς ἕνα τόπον, εἶτα ἀλλήλοις ἐπιβαινόντων, ἐξηλλαγμένα καὶ σύμμικτα ἀποτελεῖν ζῷα.

Λιβυκὸν ὄρνεον ἀντὶ τοῦ μέγα, ὡς ἐν Λιβύῃ πολλῶν ὀρνίθων καὶ ἐκτραπέλων ὄντων.

Λιβυρνικαί νῆες ἦσαν οὐ κατὰ τὸν τριηρικὸν ἐσχηματισμέναι τύπον, ἀλλὰ ληςρικώτεραι, χαλκέμβολοί τε καὶ ἰσχυραὶ καὶ κατάφρακτοι καὶ τὸ τάχος ἄπιςοι.

Λίβυσσα ὄρνις ἡ ςρουθοκάμηλος· ἐν μυθικοῖς "ἀλλὰ Λίβυσσα ςρουθὸς ἁλισκομένη πλάζε καὶ ἀμφοτέρους."

λιγαίνων ὑμνῶν, κηρύσσων.

Λίγγις ὄνομα κύριον. ἦν δὲ βίαιος. cf. v. βίαιοι.

λίγδην ⟨Hom. χ 278⟩ οὐ κατὰ βάθος, ἀλλ' ἐκ τῆς ἐπιφανείας.

λιγέως ὀξέως. καὶ λιγείως ὁμοίως.

λιγνύς ἡ ἀνάδοσις τοῦ καπνοῦ· Ἀριςοφάνης ⟨Av. 1233⟩ "λιγνὺς δὲ σῶμα καὶ δόμων περιπτυχὰς καταιθαλώσει σου Λικυμνίαις βολαῖς." οὗτος ὁ Λικύμνιος ἐνεπύρισε τινῶν οἰκίας. καὶ δρᾶμά ἐςιν Εὐριπίδου Λικύμνιος.

λιγύμοχθος. ἀηδὼν οὕτω λέγεται διὰ τὸν μόχθον καὶ τὸν θρῆνον τὸν ἥδυτάτως ἐξ αὐτῆς εἰς τὸν παῖδα γινόμενον. sch. A Av. 1381.

λιγυρώτατον λιγύκροτον.

λιγύς καὶ λιγυρός ἡδύς, ὀξύς.

Λιγυςικὸν πέλαγος.

λιγύτερος ὀξύτερος.

λιγυφθόγγοις ἀντὶ τοῦ ἡδυφώνοις· ⟨AP 7 192⟩ "οὐκέτι δὴ πτερύγεσσι λιγυφθόγγοισιν ἀείσεις, ἀκρί, κατ' εὐκάρπους αὔλακας ἑζομένα."

λιγύφωνος ἡδύφωνος.

λιθάζω, αἰτιατικῇ, καὶ τὸ ὁπωσοῦν διά τινος εἴδους βάλλω. Ἀππιανός "κελεύσαντος δὲ Τατίου τὸν χρυσὸν ἐς τὴν παῖδα ἔλιθαζον, ἔςε τιτρωσκομένη κατεχώσθη." cf. v. ἔςε b.

λιθείας πολυτελείας, τὰς λιθέας λεγομένας.

λίθειος πύλη, λίθιος δὲ θῶκος.

λιθοδικτῶ, ἐκ τοῦ δίκω τὸ βάλλω.

λιθοκοπία ἡ ἐκ λίθων βολή.

λιθόλευςος ⟨S Ai. 254⟩ λιθοβόλητος.

λιθολόγοι οἰκοδόμοι.

λιθομυλία· "ὅτι Ἄππιος Ῥωμαῖος τιμητὴς λιθομυλίᾳ τὴν Ῥωμαίων κατέςρωσε." cf. v. Ἀππία ὁδός.

λίθον ἕψεις ⟨A Vesp. 280⟩, ἐπὶ τῶν ἀδύνατόν τι κατεργάζεσθαι πειρωμένων. οἷον ἀδυνάτῳ ἐπιχειρεῖς.

λίθος. θηλυκὸν ἡ λίθος· "οἱ δὲ Ἄβαροι χρυσόν τε καὶ ἄργυρον καὶ λίθων τὰς ἐντίμους ἀποφέρεσθαι ἠξίουν."

λίθος· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος ⟨26⟩ "τῶν τε παρόντων καθ' ἕνα ἡμῶν ἑςῶσι πρὸς τὸν λίθον ἄγοντες καὶ ἐξορκοῦντες." ἐοίκασιν οὖν Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριςοτέλης καὶ Φιλόχορος ὑποδηλοῦσι. Harp.

λιθουλκῆσαι τὸ ςῆσαι ἐπὶ τῆς βάσεως τὸ ἀνάθημα.

λιθουργικὴ καὶ λιθοτριβικὴ διαφέρει. ἡ μὲν λιθουργική, ἣν ἐν τοῖς μετάλλοις ἐργάζονται οἱ τέμνοντες τοὺς λίθους· ἡ δὲ λιθοτριβική ἐςιν ἣν μετίασιν οἱ καταξαίνοντες καὶ κοσμοῦντες τοὺς λίθους, ὥς' ἀπειληφέναι τὴν εὐπρέπειαν ἕκαςον τῶν ἔργων. Λυσίας ἐν τῷ πρὸς Ναυσίαν περὶ τοῦ τύπου "ἀλλὰ διὰ τὸ τρεῖς τέχνας ἐργάζεσθαι, τήν τε λιθουργικὴν καὶ λιθοτριβικὴν καὶ πρὸς τούτοις τὸ τετρυφηκέναι."

λιθουργός λιθογλύπτης.

λίθῳ τῷ βήματι· Ἀριςοφάνης ⟨Ach. 683⟩ "τονθορύζοντες δὲ γήρᾳ τῷ λίθῳ προσέςαμεν."

λίθων ποτίμων. μήποτε τῶν πώρων λέγει, οἳ πίνοντες τὸ ὕδωρ ἰσχυρότεροι γίνονται· ἢ τῶν τὴν σάρκα τῶν ἐντιθεμένων καταναλισκόντων σωμάτων.

λίθων χοαί ἄργυρος καὶ χρυσός. καὶ Εὐριπίδης φησί "λευκοὺς λίθȣς ἔχοντες αὐχοῦσιν μέγα."

Λικίνιος.

λικμαία· ⟨AP 6 98⟩ "Δηοῖ λικμαίῃ καὶ ἐναυλακοφοίτισιν ὥραις Ἡρῶναξ πενιχρῆς ἐξ ὀλιγηροσίης μοῖραν ἀλοεῖται ςάχυος πάνσπερμά τε."

λικμήσονται. λικμῶ διὰ τȣ̃ κ ἐπὶ τῆς ἅλω, *λιχμήσονται* δὲ διὰ τοῦ χ ἀντὶ τȣ̃ λείξουσι. λικμᾶν δὲ τὸ σῖτον καθαίρειν.

λικμητήρ ⟨Hom. N 590⟩ ὁ τὸ πτύον κατέχων.

λικμώντων ⟨Hom. E 500⟩. λικμῶ τὸ κοσκινεύω, διασκορπίζω, πτυάζω.

λίκνον κόσκινον ἤτοι πτύον. οἳ δὲ διὰ διφθόγγου γράφουσιν. "ἣ δὲ ἀναςρέψασα τὸ λίκνον ἐπὶ τῶν γονάτων κείμενον ἔθει." καὶ *λικνοειδής* ὁ ῥυπαρός.

λικνοφόρος. τὸ λίκνον πρὸς πᾶσαν τελετὴν καὶ θυσίαν ἐπιτήδειόν ἐςιν, ὁ δὲ τȣ̃το φέρων λικνοφόρος λέγεται. Harp.

λικριφίς ⟨Hom. Ξ 463⟩ εἰς πλάγιον.

Λίλαια πόλις, καὶ *Λίλαιον* τόπος.

λιλαίομαι προθυμοῦμαι.

λιμαγχονῶ πνίγω. καὶ *λιμάσσω.*

λιμβρός ἡ νὺξ ἡ σκοτεινή.

Λιμένειον ⟨Herodot. 1 18⟩ ὄνομα τόπȣ.

λιμενήοχος ὁ τὸν λιμένα ἔχων.

λιμήν· Σοφοκλῆς ⟨Ai. 683⟩ "τοῖς πολλοῖσι γὰρ βροτῶν ἄπιςός ἐσθ' ἑταιρείας λιμήν," ἵν' ᾖ τῆς ἑταιρείας φιλία.

λιμηρά· "ἀπὸ Μεθώνης ἐν Ἐπιδαύρῳ τῇ λιμηρᾷ προσσχών" ἀντὶ τοῦ πενιχρᾷ.

λιμηράν λιμώττȣσαν, ἔνθεν τοι καὶ λιμηρὰν τὴν Ἐπιδαυρίαν συκοφαντȣ̃ντες ἐκάλȣν.

λιμηρῆς· ἐν ἐπιγράμματι ⟨AP 6 47⟩ "ἄνθεμα λιμηρῆς ἅρμενον ἐργασίης. εἶπε δέ, χαῖρε θεά, καὶ τήνδ' ἔχε."

λιμιταναῖοι. οἱ Ῥωμαίων βασιλεῖς ἐν τοῖς ἄνω χρόνοις πανταχόσε τῶν τῆς πολιτείας ἐσχατιῶν πάμπολυ κατεςήσαντο ςρατιωτῶν πλῆθος ἐπὶ φυλακῇ τῶν ὁρίων τῆς τῶν Ῥωμαίων ἀρχῆς, καὶ κατὰ τὴν ἑῴαν μάλιςα μοῖραν, ταύτῃ τὰς ἐφόδους Περσῶν τε καὶ Σαρακηνῶν ἀναςέλλοντες· οὕσπερ λιμιταναίους ἐκάλουν. τούτοις Ἰȣςινιανὸς οὕτω δὴ παρέργως καὶ φαύλως ἐχρῆτο ὥςε τεσσάρων ἢ πέντε αὐτοῖς ἐνιαυτῶν συντάξεων τοὺς χορηγοὺς ὑπερημέρους εἶναι. ἐπειδὰν δὲ Ῥωμαίοις τε καὶ Πέρσαις εἰρήνη γένοιτο, ἠναγκάζοντο οὗτοι χρόνου ῥητοῦ τὰς ὀφειλομένας συντάξεις μὴ λαμβάνοντες τῷ δημοσίῳ χαρίζεσθαι. Procop. Arc. 24.

λίμνη ἡ θάλασσα παρ' Ὁμήρῳ ⟨ε 337⟩, καὶ ὁ ὠκεανός, καὶ οἱ ποταμοί, ὥςε γενικὸν ὄνομά ἐςι.

λιμνήτης ἰχθῦς ὁ ἀπὸ τῆς θαλάσσης.

Λίμνος ὄνομα κύριον. σημαίνει δὲ καὶ τὴν θάλασσαν.

Λιμνώρεια.

λιμοδωριεῖς Πελοποννησίων οἱ διὰ λιμὸν μετοικήσαντες εἰς Ῥόδον καὶ Κνίδον.

λιμός· "γαςέρι μοῦνον ἔχοιμι κακῆς ἀλκτήρια λιμοῦ" ⟨Callimachus?⟩.

λιμὸς Μηλιαῖος, ἐπὶ τῶν χαλεπῶν. ἐν γὰρ τοῖς Πελοποννησιακοῖς κατὰ πάντων Νικίαν πέμψαντες Ἀθηναῖοι ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτοὺς ὥςε λιμῷ διαφθεῖραι. τῷ δὲ πρώτῳ ἔτει Νικίας Μῆλον παρεςήσατο, οὐ μόνον μηχανῶν προσαγωγῇ ἀλλὰ καὶ λιμῷ, διὰ τὸ ἀποςῆναι αὐτῶν πρώην ὑποτελῆ οὖσαν. ἢ ἀντὶ τοῦ μεγίςῳ. Μῆλος δὲ πόλις Θεσσαλίας, οἱ δὲ Μήλιοι πολιορκούμενοι λιμῷ ὑπὸ Ἀθηναίων ἐπείσθησαν, καὶ προδεδώκασιν ἑαυτούς ⟨sch. A Av. 186⟩. καὶ *λιμῷ Μηλίῳ,* παροιμία, ἐπεὶ Ἀθηναῖοι ἐκάκωσαν Μηλίȣς πολιορκȣ̃ντες λιμῷ, ὡς Θουκυδίδης ἐν τῇ ε΄.

λιμόψωρος· "ὑπὸ δὲ τοῦ ψύχους καὶ τῆς ἀνηλειψίας καὶ τῆς ταλαιπωρίας ἐπεγεγόνει σχεδὸν ἅπασι τοῖς ἵπποις, ὁμοίως δὲ καὶ τοῖς ἀνδράσιν, ὁ λεγόμενος λιμόψωρος καὶ τοιαύτη καχεξία" ⟨Polyb. 3 87⟩.

λιμπάνω καταλιμπάνω.

λιμώττω λιμώσσω.

Λίνδιος ὄνομα κύριον.

λίνειος μίτος.

λίνον λίνῳ συνάπτεις, ἐπὶ τῶν τὰ ὅμοια ἐπιμιγνύντων, ἢ παρακρουομένων καὶ ἀπατώντων. Στράττις Ποταμίοις. cf. v. οὐ λίνον.

λινοπλῆγος φρενοπλῆγος. ἡ εὐθεῖα ὁ λινοπλήξ.

λινοπτωμένη λίνον ἁλιέως ψυχόμενον ἐποπτεύουσα. sch. A Pac. 1178.

Google

a Λίνος Χαλκιδεύς, Ἀπόλλωνος καὶ Τερψιχόρης, οἱ δὲ Ἀμφιμάρου καὶ Οὐρανίας, οἱ δὲ Ἑρμοῦ καὶ Οὐρανίας. λέγεται δὲ πρῶτος οὗτος ἀπὸ Φοινίκης γράμματα εἰς Ἕλληνας ἀγαγεῖν, γενέσθαι δὲ καὶ Ἡρακλέους διδάσκαλος γραμμάτων, καὶ τῆς λυρικῆς μούσης πρῶτος γενέσθαι ἡγεμών. cf. v. ἐμβαλόντα.

b Λίνος ἕτερος, Θηβαῖος, νεώτερος.

a λίνος εἶδος ὕμνου· Ὅμηρος ⟨Σ 570⟩ "λίνον δ' ὑπὸ καλὸν ἄειδεν." οὐ διὰ τὸ τὰς χορδὰς ἀπὸ λίνου εἶναι, ἀλλ' εἶδος ὕμνου ᾖδον ὡς παιᾶνα. ἢ λύρας χορδή.

b λίνος τὸ δίκτυον. Λίνος δὲ παρὰ Θηβαίοις φιλόσοφος.

λιούτωρ ⟨ἀδιούτωρ?⟩ ὁ παρὰ Ῥωμαίοις βοηθός.

λίπα λιπαρὸν κατὰ ἀποκοπήν· Θουκυδίδης ⟨4 68⟩ "λίπα γὰρ ἀλείψεσθαι, ὅπως μὴ ἀδικῶνται," καὶ Αἰλιανός "ὁπόταν δὲ προσίωσι κινδυνεύσοντες, λίπα ἀλείφονται."

λιπαρά ἡ ἀφύη· Ἀριςοφάνης ⟨Ach. 639⟩ "εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν Ἀθήνας, εὗρε τὸ πᾶν ἂν ἀφύων τιμὴν περιάψας." καὶ αὖθις ⟨Av. 827⟩ "λιπαρὸν τὸ χρῆμα τῆς πόλεως," τουτέςι πλουσία.

Λιπάρα μία τῶν καλουμένων Αἰόλου νήσων. περὶ τὴν Σικελίαν δὲ ἡ Λιπάρα ⟨Harp.⟩. καὶ Λιπαραῖοι.

λιπαρεῖ παρακαλεῖ. τὸ λι μακρόν· "γλίσχρος, προσαιτῶν, λιπαρῶν τ' Εὐριπίδην" ⟨A. Ach. 451⟩.

λιπαρεῖν τὸ καθικετεύειν, παρὰ τὸ λίαν παρεῖναι. "λιπαρεῖτε μένοντες" ⟨Herodot. 9 45⟩, προσεδρεύετε μένοντες, ἢ ἐπιμελεῖσθε μένοντες.

λιπαρεῖ χειρί ἀντὶ τοῦ λιπαρῶς καὶ συνεχῶς. καὶ λιπαρεῖ πλουσίᾳ, ἀφθόνῳ. Σοφοκλῆς ⟨El. 1377⟩ "Ἄπολλον, ἥ σε πολλὰ δή, ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔςην χερί. νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω, αἰτῶ προπιτνῶ λίσσομαι, γενοῦ πρόφρων ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων, καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια."

λιπαρές τὸ προσεχές, ἐκ τοῦ λίαν παρεῖναι. Ἀριστοφάνης ⟨Lys. 674⟩ "εἰ γὰρ ἐνδώσει τις ἡμῶν ταῖσδε κἂν σμικρὰν λαβήν, οὐδὲν ἐλλείψουσιν αὗται λιπαρᾶς χειρουργίας," τουτέςι τόλμης. ἤγουν οὐκ ἀφέξονται προσεχοῦς ἔργου αἱ γυναῖκες.

λιπαρής· "πρὸς δὲ τὸ θεῖον λιπαρὴς ἦν καὶ ἔκθυμος, ὡς θαμὰ αὐτῷ προσιέναι." καὶ αὖθις "τὰ δὲ γράμματα ὑπόμνησις ἦν λιπαρὴς τῶν σπονδῶν."

λιπαρία ἡ προσεδρεία· "ὁ δὲ ἐτώθαζε τοῦ θεοῦ τοὺς θεραπευτῆρας, λέγων ἐκ τῆς τοσαύτης λιπαρίας πλέον ἔχειν οὐδέν" ⟨cf. v. χλευασία⟩.

λιπαροκρήδεμνος ⟨Hom. Σ 382⟩ ἡ πολύτιμον κρήδεμνον ἔχουσα· ⟨AP 6 61⟩ "ἡ λιπαροκρήδεμνος, ἵν' εἴπωμεν καθ' Ὅμηρον, χερσί σε ταῖς ἰδίαις ἐξεπόνησε χάρις."

λιπαρός ἀνθηρός, παρὰ τὸ λίπος· ςίλβει γὰρ τὸ ἔλαιον. ἢ ἀντὶ τοῦ ἀληλιμμένος· Ἀριςοφάνης Πλούτῳ ⟨616⟩ "λιπαρὸς χωρῶν ἐκ βαλανείου."

λιπαρῶς ἐπιμόνως· "πάλιν αὐτῶν λιπαρῶς ἐγκειμένων φιλανθρώπως ὑπήκουσε."

λιπερνῆτις ἡ πτωχή, παρὰ τὸ λείπεσθαι ἐρνέων, ὅ ἐςι φυτῶν.

λιπερνοῦντας πενιχρούς.

λίποιμι καταλείψαιμι.

λίπος. δοτικὴ λίπει.

λίπτω τὸ ἐπιθυμῶ. καὶ λελίφθαι ὁμοίως. ἐξ οὗ καὶ τὸ λελιημένος.

λιπῶσι λιπαρῶσι.

λιρός ὁ ἀναιδής. καὶ λιρόφθαλμος.

λιρότερον.

λίς ὁ λέων· μῦθος "ἐς βίοτον κοινωνὸς ὄνῳ γένετ' ὠμοβόρος λίς."

λίσπη τῷ τόνῳ ὡς κίςη· Ἀπολλώνιος δὲ ὀξύνει ὡς ψιλή. ἡ τετριμμένη καὶ λεία. οἱ δὲ θηρίδιον λεπτὸν σφόδρα. καὶ οἱ τὰ ἰσχία λεπτοί. λίσπους καλοῦσι καὶ τοὺς ὑφ' ἡμῶν καλουμένους ςρίφους ἀςραγάλους. καὶ λισπόπυγοι οἱ λεῖοι τὴν πυγήν. sch. A Ran. 848.

λίσποι οἱ μέσοι διαπεπρισμένοι ἀςράγαλοι καὶ ἐκτετρημμένοι. καὶ λίσπη γλῶσσα ὡς ἐπιτετριμμένη. λέγονται δὲ καὶ οἱ Ἀθηναῖοι ἐπιθετικῶς λίσπαι ⟨an λισπόπυγοι⟩ διὰ τὸ ναυτικοὺς ὄντας ἕνεκα τῆς ἐπὶ τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας ἀπογλαύτους εἶναι. ἔνιοι διὰ τὸ Θησέα μετὰ Πειρίθου καταβάντα εἰς Ἅιδου, καὶ πρός τινα πέτραν ὑπὸ Περσεφόνης ἐπικαθεσθέντα σὺν τῷ Πειρίθῳ, Ἡρακλέους ἐπὶ τὸν Κέρβερον κατελθόντος παρὰ τῆς θεοῦ τε αὐτὸν ἐξαιτησαμένου καὶ τῆς πέτρας ἀποσπῶντος, ἐγκαταλειφθῆναι τὸ προσηνωμένον αὐτῇ τῶν γλουτῶν μέρος·

διόπερ εἰς τιμὴν ἐκείνου καὶ τοὺς λοιποὺς Ἀθηναίους οὕτως ἐπονομάζεσθαι. cf. sch. A Eq. 1365.

λισσάδας πέτρας λείας καὶ ὁμαλάς· "τοῖς δὲ Σκύθαις πρὸς τὰς Ῥωμαϊκὰς ναῦς, ὥσπερ ἀνόρμους καὶ λισσάδας πέτρας, ἐξεβιάζετο τὰ σκάφη. πάντα δὲ κατεδύετο τὰ σκάφη."

λίσσεσθαι λιτανεύειν.

λισσή ἡ ὁμαλή.

λίσσομαι ἱκετεύω.

λιςραίνω τὸ σκάπτω.

λίςροισι τοῖς ξύςροις.

λίσφοι τὰ ἰσχία.

λίσχρος ⟨an γλίσχρος⟩ φειδωλός.

λῖτα καταπετάσματα· ⟨AP 6 332⟩ "ἄνθετο δοιὰ λῖτα πολυδαίδαλα, καὶ βοὸς ἄρυ ἀσκητὸν χρυσῷ παμφανόωντι κέρας."

λιτάζομαι παρακαλῶ, δέομαι.

λιτανεία ἡ παράκλησις.

λιτανεύει εὔχεται.

λιταργιοῦμεν συντόνως δραμούμεθα, παρὰ τὸ λίαν ἀργόν, τουτέςι ταχύ. Ἀριστοφάνης ⟨Pac. 566⟩ "εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' εἰς τὰ χωρία."

λίταργος ὁ ἀργός.

λιτεύεσθαι παρακαλεῖσθαι.

λιτή ἡ παράκλησις.

Λιτή τῆς Μακεδονίας, ἧς Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου μνημονεύει. Harp. qui Λητή.

Λιτόεις ὄνομα κύριον.

λιτοίμην ⟨Hom. ξ 406⟩ παρακαλέσαιμι.

λιτοῖς ὀλίγοις, ψιλοῖς, εὐτελέσι· Πολύβιος ⟨8 37⟩ "μαθὼν δ' ἐξ αὐτομόλυ, διασαφήσαντος ὅτι ἑορτὴν ἄγουσι πάνδημον καὶ τοῖς σιτίοις λιτοῖς χρῶνται διὰ τὴν σπάνιν, τῷ δὲ οἴνῳ δαψιλεῖ, ἐπολιόρκει."

λιτός εὐτελής· ἐν ἐπιγράμματι ⟨AP 6 250⟩ "λιτός ἐγὼ τὰ τύχης, ὦ δεσπότι. φημὶ δὲ πολλῶν ὄλβον ὑπερκύπτειν τὸν σὸν ἀπὸ κραδίης." καὶ αὖθις ⟨AP 7 18⟩ "λιτὸς ὁ τύμβος ὀφθῆναι, μεγάλου δ' ὀςέα φωτὸς ἔχει." τὸ λι μακρόν. καὶ αὖθις "οἱ δὲ ὐκ ἐξεφαύλισαν τὸ ἔργον οἷα δήπου λιτόν" ⟨cf. v. ἐξεφαύλισαν⟩.

λιτότερος.

λιτότης ἡ ἁπλότης.

λίτρα ὁ ςαθμός.

λιτυέρσης εἶδος ᾠδῆς· Μένανδρος Χαλκηδονίῳ "ᾄδοντα λιτυέρσην ἀπ' ἀρίςυ τέως." οἱ δὲ αὐλήσεως γένος. Μίδου δὲ ἦν ὁ Λιτυέρσης νόθος υἱός, κατοικῶν δὲ ἐν Κελαιναῖς τοὺς παριόντας ὑποδεχόμενος ἠνάγκαζε μετ' αὐτοῦ θερίζειν, εἶτα ἀποκόπτων τὰς κεφαλὰς τὸ ἄλλο σῶμα συνείλει ἐν τοῖς δράγμασιν. ἀπέθανε δὲ ὑπὸ Ἡρακλέους. εἰς τιμὴν δὲ τοῦ Μίδυ θεριςικὸς ὕμνος ἐπ' αὐτῷ συνετέθη. cf. sch. Theocrit. 10 41.

λιφαιμεῖ αἱμορροεῖ, λείπει τῷ αἵματι. Ἀππιανός ⟨t. 1 p. 83⟩ "ὁ δὲ Κελτὸς ἀγανακτῶν καὶ λιφαιμῶν ἐδίωκε τὸν Βαλέριον, συγκαταπεσεῖν ἐπειγόμενος· ὑπὸ δὲ τὺς πόδας ἀναχωροῦντος ἀεὶ τοῦ Βαλερίου κατέπεσε πρηνὴς ὁ Κελτός. καὶ δεύτερον τοῦτο μονομάχιον ἐπὶ Κελτοῖς ἐμεγαλαύχυν οἱ Ῥωμαῖοι."

λιφερνῶν.

λιχανός ὁ μετὰ τὸν ἀντίχειρα δάκτυλος, διὰ τῦ ι. λείχω λιχανός, οἰκτείρω οἰκτιρμός, σείω σῖτος.

λιχνεία πύκνωσις.

λιχνεύουσα λίχνως ζητοῦσα.

λίχνος προαπτόμενος τῶν ὄψων, κατεπιθυμιῶν, λιμβός, λαίμαργος. Αἰλιανός "ἀνὴρ λίχνον ὄμμα καὶ ἀσελγὲς πιαίνων κακῇ ἐςιάσει, τὰ τῆς Φερεφάττης ὄργια ἐδίψησε θεάσασθαι ἀτέλεςος ὤν" ⟨cf. v. θεσμοφόρος⟩.

λοβός τὸ ἄκρον τοῦ ὠτίου καὶ τῦ ἥπατος, καὶ τὰ ἄκρα πάντα, κυρίως δὲ τῶν ὤτων τὸ κάτω. καὶ τὸ ἀγγεῖον ἐρεβίνθυ ἢ κυάμυ. καὶ ἐν θυτικῇ σημεῖόν τι ἐν τῷ ἥπατι. ἔνθεν λώβη ἡ διὰ τῶν ὤτων τιμωρία, διὰ τοῦ ω μεγάλου, καὶ λωβός ὁ βεβλαμμένος.

λογάδες οἱ ὀφθαλμοί· ἐν ἐπιγράμμασι ⟨AP 5 270⟩ "Ἰνδῴη δ' ὑάκινθος ἔχει χάριν αἴθοπος αἴγλης; ἀλλὰ τεῶν λογάδων πουλὺ γ' ἀφαυροτέρην."

λογάδην ἐπιλέκτως· Θουκυδίδης δ' ⟨4⟩ "σιδήρια λιθουργικὰ οὐκ ἔχοντες, λογάδην φέροντες τοὺς λίθους ξυνετίθεσαν, ὡς ἕκαςόν τι ξυμβαίνοι." καὶ λογάδες λίθοι· "ἐκ λογάδων λίθων ἐκτισμένος," τουτέστι τῶν εὐτελῶν καὶ μικρῶν.

λογάνιον.

λογάρια οἱ λόγοι· Ἀριστοφάνης. "οὐ φανοῦμαι δὲ ςρογγύλλων λογάρια" ⟨Synes. p. 66⟩, προοίμιά τινα καὶ προνόμια. cf. v. Δώριος αὔλησις.

Λογγῖνος ὁ Κάσσιος, φιλόσοφος, δι- a

δάσκαλος Πορφυρίου τοῦ φιλοσόφου, πολυμαθὴς καὶ κριτικὸς γενόμενος. ἦν δὲ ἐπὶ Αὐρηλιανοῦ τοῦ Καίσαρος, καὶ ἀνῃρέθη ὑπ' αὐτοῦ ὡς σύμπνες Ζηνοβίᾳ τῇ Ὀδηνάθου γυναικί. ἔγραψε περὶ τοῦ κατὰ Φειδίαν, ἀπορήματα Ὁμηρικά, εἰ φιλόσοφος Ὅμηρος, προβλήματα Ὁμήρου καὶ λύσεις ἐν βιβλίοις β', τίνα παρὰ τὰς ἱςορίας οἱ γραμματικοὶ ὡς ἱςορικὰ ἐξηγοῦνται, περὶ τῶν παρ' Ὁμήρῳ πολλὰ σημαινουσῶν λέξεων δ', Ἀττικῶν λέξεων ἐκδόσεις β' (εἰσὶ δὲ κατὰ ςοιχεῖον), λέξεις Ἀντιμάχου καὶ Ἡρακλέωνος, καὶ ἄλλα πολλά.

b *Λογγῖνος. οὗτος ὁ Λογγῖνος καὶ Κόνων ἀδελφοὶ Ζήνωνος τοῦ βασιλέως, οἳ παραδυναςεύοντες ἀθέσμως οἷον ἐν πάσαις ταῖς πόλεσιν ἐπὶ κτήμασιν ἀλλοτρίοις ὅρους ἐτίθεσαν, καὶ τοῖς γε τὰ ἔσχατα πλημμελοῦσιν ἔνεμον τὰς βοηθείας ἐπὶ μισθῷ. Λογγῖνος δὲ καὶ πάσης ἀκρασίας ἦν πλήρης, ἀεὶ μὲν μεθύουσι συνδιάγων ἀνθρώποις, ἀεὶ δὲ πορνοβοσκοὺς ἔνδον ἔχων ἀφθόνους, οἳ γυναῖκας μὲν αὐτῷ τὰς τῶν πρώτων ἀρχόντων ἐπηγγέλλοντο ἄξειν· οἱ δὲ πόρνας ἄγοντες ἀπὸ κόσμου θαυμαςοῦ καὶ δίφρων ἐπισήμων ἐξηπάτων ὡς δῆθεν αὐτὰς ἐκείνας κομίσαντες. οὗτος δὲ ὁ Λογγῖνος καὶ σύςημ' ἀσκητριῶν ἔλυσε τρόπῳ τοιῷδε. ἐπὶ δείπνῳ ἐνδιαιτώμενος ταῖς κληζομέναις Πηγαῖς, ἠγγέλθη τούτῳ παρὰ τῶν προαγωγευόντων ὡς ἐκπρεπεῖς λίαν εἰσὶν αἱ γυναῖκες. καὶ ἔπεμψεν αὐταῖς ὄσπρια καὶ ξηροὺς ἄρτους, εἶτα χιτῶνας ἄλλα τέ τινα, ὡς προνοῶν αὐτῶν δῆθεν ἐξ ἐπιςροφῆς τῶν φόβων· δεινοὶ γὰρ οἱ γυναικοϊέρακες εὐπρεπεῖς αἰτίας ἐφευρίσκειν εἰς ἄγραν τῶν θηλειῶν. καὶ ἀνιὼν ἐν τῷ σεμνείῳ πολλὰς τούτων πειθανάγκῃ κατήγαγεν. οὕτω γὰρ ἦν λάγνος ὡς καὶ ἐλευθέραις καὶ ἀρχόντων γυναιξὶ καὶ παρθένοις ἀωρίᾳ ἐπιπίπτειν καὶ πάντα δρᾶν ἀνέδην. ἐν προόδῳ δὲ σφαίρας ἀργυρᾶς καὶ περικάρπια ἐρρίπτει. καὶ ἄλλων δὲ πολλῶν κακῶν αἴτιος ἐγεγόνει ὁ Λογγῖνος οὗτος.* Malchus?

λογγῶνος τοῦ λιθοκλιμένος.

λογεῖον τὸ μαντεῖον ὅπερ ἐφόρει ὁ ἱερεύς, ἐν ᾧ ἦσαν ἐγκεκολαμμένοι οἱ ιβ' λίθοι. καὶ λογεῖον τὸ δικαςήριον.

λόγια τὰ παρὰ θεοῦ λεγόμενα καταλογάδην, χρησμοὶ δὲ οἵτινες ἐμμέτρως λέγονται, θεοφορουμένων τῶν λεγόντων. sch. Thuc. 2 8.

λογίαι ⟨1 Cor. 16 1⟩ *ἐκλογαί, καρποφορίαι. καὶ λόγιον ἡ ὑπόσχεσις ἡ θεία, καὶ ἡ θεόπνευςος γραφή, ἢ καὶ λόγος· Δαβὶδ* ⟨Ps. 129 5⟩ *"ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου." λόγιος δὲ ὁ φρόνιμος.*

λογίζω σκέπτομαι. καὶ λογίσομαι ἀναψηφίσομαι, ἀναριθμήσω. καὶ λογιοῦμαι ἀπαριθμήσω, ψηφίσω. καὶ λογιῶ τὸ νομίζω, ὡς τὸ "ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην" ⟨Rom. 4 3⟩.

λόγισαι σκέψαι.

λογισμός ἡ λογιςικὴ τέχνη, ὡς Ἰσοκράτης Βουσίριδι ⟨23⟩. *"ὅτι συμπάσχουσιν ἀλλήλοις ὅ τε λογισμὸς καὶ τὸ σῶμα· ὁ γὰρ λογισμὸς ἀτονώτερος γίνεται τοῦ σώματος πάσχοντος."*

λογισμός ἡ ἔκτισις· "οὐδενὶ κόσμῳ ἐληίσατο, λογισμοὺς δῆθεν τῶν βεβιωμένων πραττόμενος." ἢ ἡ ἐξέτασις λέγεται λογισμός· "ὁ δὲ πλοῦς λογισμῷ τῷ πρόσω δυοῖν μηνοῖν ξυμβήσεσθαι εἰκασθείς" ἀντὶ τοῦ ἀπαριθμήσει. λογισμὸς καὶ ἡ ἀπαρίθμησις· "ὃ δὲ λογισμὸν τοῦ πλήθους ἐποιήσατο."

λογιςαί οἱ μεθοδικοὶ καὶ περίψηφοι.

λογιςαί καὶ λογιςήρια. ἀρχή τις παρ' Ἀθηναίοις οἱ λογιςαί. εἰσὶ δὲ τὸν ἀριθμὸν ι', οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ', ὅταν τὰς ἀρχὰς ἀπόθωνται οἱ ἄρχοντες. λογιςήρια δέ ἐςι τὰ τῶν λογιςῶν ἀρχεῖα, ὡς Δείναρχος καὶ Ἀνδοκίδης δηλοῦσι. Harp.

λογιςεῦσαι ἀπαριθμήσασθαι, ἀναμετρῆσαι· "οὐ δυνάμενος ἢ οὐ βουλόμενος λογιςεῦσαι τὰ πεπραγμένα καὶ μισῆσαι τὰ κακῶς πραχθέντα."

λογιςής κριτής, δοκιμαςής, ἐξεταςής.

λογογράφος ὁ δίκας ἢ τοὺς δικανικοὺς λόγους γράφων.

λόγοισιν Ἑρμόδωρος ἐμπορεύεται. ὁ Ἑρμόδωρος ἀκροατὴς γενόμενος Πλάτωνι, τοὺς ὑπ' αὐτοῦ συντεθειμένους λόγους κομίζων εἰς Σικελίαν ἐπώλει.

λόγον ἔχειν ἀντὶ τοῦ φροντίζειν Θεόπομπος Φιλιππικῶν α'. καὶ Εὐριπίδης ⟨immo S El. 468⟩ *"τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον δυοῖν ἐρίζειν," τουτέςιν οὐκ ἔχει πρόφασιν τὸ φιλονεικεῖν.*

λογοποιός ὁ ὑφ' ἡμῶν ἱςορικὸς λεγόμενος. Ἰσοκράτης ⟨11 37⟩ *καὶ Ἡρόδοτος* ⟨2 143⟩.

λογοποιῶν πλάττων λόγους ψευδεῖς.

a λόγος. λόγος ἐςὶ φωνὴ σημαντικὴ ἀπὸ διανοίας ἐκπεμπομένη. λόγος δὲ σημαίνει ϛʹ. διαφέρει δὲ λέξις καὶ λόγος· λέξις μὲν γὰρ ἄσημος γίνεται, ὡς τὸ βλίτυρι, λόγος δὲ οὐδαμῶς. διαφέρει δὲ καὶ τὸ λέγειν τοῦ προφέρεσθαι· προφέρονται μὲν γὰρ αἱ φωναί, λέγεται δὲ τὰ πράγματα, ἃ δὴ καὶ λεκτὰ τυγχάνει ⟨Diog. L. 7 56⟩. ἀρεταὶ δὲ τῦ λόγυ εʹ, ἑλληνισμὸς σαφήνεια συντομία πρέπον κατασκευή ⟨id. 59⟩.

b λόγος καὶ ἡ ὑπόθεσις· Ἀριστοφάνης ⟨Pac. 148⟩ "Εὐριπίδῃ λόγον παράσχῃς καὶ τραγῳδία γένῃ."

λογότροπος παρὰ φιλοσόφοις τὸ ἐξ ἀμφοτέρων σύνθετον, οἷον "εἰ ζῇ Πλάτων, ἀναπνεῖ Πλάτων· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον." παρεισήχθη δὲ ὁ λογότροπος ὑπὲρ τοῦ ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν σύλληψιν μακρὰν οὖσαν καὶ τὴν ἐπιφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν, τὸ δὲ πρῶτον, τὸ ἄρα δεύτερον ⟨Diog. L. 7 77⟩.

λόγου τυχεῖν ἀντὶ τοῦ ἐπαίνου Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨13⟩. Harp.

λογχάσθην εἶδος ὅπλου ⟨cf. v. ἐφαπτίδας⟩. καὶ λογχαῖος μετὰ τῆς λόγχης.

λόγχη. ἕκαςον σύςημα ἑνικῶς λέγουσιν, ὡς εἴ τις ἐπὶ πολλῶν ἵππων εἴποι τὴν ἵππον. λόγχη ἓν σιδήρεον ἀκόντιον. sch. S OC 1311.

λογχωτόν· ἐν ἐπιγράμμασι ⟨AP 6 172⟩ "καὶ τὸ δίθυρσον τοῦτο τὸ λογχωτὸν καὶ τὸ περισφύριον."

λοεσσάμενος ⟨Hom. Φ 560⟩ λυσάμενος.

λοιβεῖον τὸ θῦμα, ἐκ τοῦ λείβω.

λοιβή σπονδή, θυσία.

λοίγια ⟨Hom. Α 518⟩ ὀλέθρια, καὶ λοίγιος ὁ ὀλέθριος.

λοιγόν φθοράν, ὄλεθρον. καὶ λοιγός ὄλεθρος.

Λοιδίας ποταμὸς Μακεδονίας. Αἰσχίνης μέμνηται ⟨2 124⟩. Harp.

λοιδορεῖσθαι τοὺς πονηροὺς οὐδέν ἐςʼ ἐπίφθονον, ἀλλὰ τιμὴ τοῖσι χρηςοῖς, ὅςις εὖ λογίζεται" ⟨A Eq. 1279⟩. τυτέςι, τὸ τὺς πονηρὺς λοιδορεῖσθαι τιμὴ γίνεται τῶν ἀγαθῶν.

λοιδορησμός ἡ λοιδορία.

λοιδορία. καὶ λοιδορῶ δοτικῇ. τὰ δὲ παθητικὰ αἰτιατικῇ.

λοιμεύεται φθοροποιεῖ, βλάπτει. καὶ λοιμός ἡ φθοροποιὸς νόσος. δυσκρασία ἀέρος καὶ τροπὴ λοιμικὴ κατάςασις λέγεται.

λοιμοί οἱ μὴ μόνον σφᾶς αὐτὺς λυμαινόμενοι, ἀλλὰ καὶ ἑτέροις τῆς λύμης μεταδιδόντες. Theodoret. in Ps. 1 1.

λοιμός ὁ φθορεύς.

λοιμώδης ὁ ὀλέθρου παραίτιος.

λοιπάς. καὶ λοιπαδάριον.

λοιπόν ἐπίρρημα.

λοίσθιον τὸ ἔσχατον, καὶ λοίσθιος ἡμέρα ἐσχάτη.

λοῖσθος ὁ ἔσχατος, καὶ λοίσθῳ ἐσχάτῳ· ⟨AP 7 19⟩ "εἶθʼ ὄγε λοῖσθος ἄχθος ἀπορρίψας οἴχεται εἰς ἀίδαν." περὶ Ἀλκμᾶνος ὁ λόγος.

λοισθώνη ⟨an λαίσθων⟩ ἡ θρασεῖα.

Λοκρὸς ὁ Αἴας, οὐχὶ ὁ Σαλαμίνιος.

Λοκρῷ ξυνθήματι, παροιμία. τάττεται ἐπὶ τῶν παραχρονουμένων.

Λόλλαι, τῶν Λολλῶν, ὄνομα τόπου.

Λολλιανός Ἐφέσιος σοφιςής, μαθητὴς Ἰσαίυ τοῦ Ἀσσυρίυ, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος, ἔγραψε πολλά.

λοξά σκολιά, καμπύλα, οὐκ ἐξ εὐθείας γινόμενα. ἐν ἐπιγράμματι ⟨AP 7 531⟩ "δερκομένη λοξαῖς οἷα Λάκαινα κόραις." "σιγᾶν δὲ χρή, μὴ λοξοῖς ἡμᾶς ὄμμασιν ἰδὼν ὁ φθόνος τραχεῖ βάλῃ λίθῳ, κατὰ Πίνδαρον" ⟨Ol. 8 73⟩.

λοξὴ φάλαγξ ἡ τὸ μὲν ἕτερον κέρας, ὁπότερον ἂν προῄρηται, πλησίον τῶν πολεμίων ἔχουσα καὶ ἐν αὐτῷ τὸν ἀγῶνα ποιουμένη, τὸ δὲ ἕτερον ἐν ἀποςάσει διʼ ὑποςολῆς ἔχουσα· δεξιὰ μὲν ἡ τὸ δεξιὸν προβεβλημένη, λαιὰ δὲ ἡ τὸ λαιόν ⟨Aelian. Tact. 30⟩.

Λοξίας ὁ Ἀπόλλων ὁ λοξὴν ἴαν ἀποπέμπων· λοξῶς γὰρ ἐμαντεύετο· "Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει." ἢ ὁ λοξὴν πορείαν ποιύμενος· ὁ αὐτὸς γάρ ἐςι τῷ ἡλίῳ ⟨sch. A Plut. 8⟩.

λοπάς παρὰ Συρακουσίοις τὸ τήγανον, a παρὰ δὲ Θεοπόμπῳ ἡ σορὸς καὶ παρὰ τοῖς κωμικοῖς. καλεῖται δὲ οὕτω καὶ ὁ ἐν τῇ Ἑλλάδι γινόμενος λίθος. Ἀριςοφάνης ⟨Vesp. 528⟩ "ἐγὼ μὲν οὐδʼ ἂν ὀρνίθων γάλα ἀντὶ τοῦ βίου λάβοιμʼ ἂν οὗ με νῦν ἀποςερεῖς. οὐδὲ χαίρω βατίσιν οὐδʼ ἐγχέλυσιν, ἀλλʼ ἥδιον ἂν δικίδιον σμικρὸν φάγοιμʼ ἂν ἐν λοπάδι πεπνιγμένον."

b λοπάς ἡ χύτρα.

λοπᾶσι κλέπταις.

λόπος ἡ περικειμένη ἔξωθεν τοῦ κρομμύου λεπίς, καὶ πᾶν λέπος, φλοιός, δέρμα λεπτὸν ξηρόν.

λορδὸν τὸ ὑπόκυρτον. καὶ λορδότατον τὸ ἀποσεσιμωμένον καὶ ἐναντίον τῷ κυρτῷ· ὃ καὶ κυφὸν καλεῖται.

λορδός ἀπεξυλωμένος, συγκεκαμμένος τὸ σῶμα.

λορδουμένη. φησὶ Προκόπιος (Arc. 9?) περὶ Θεοδώρας τῆς Ἰουστινιανοῦ γαμετῆς "ἀποδυσαμένη ξὺν τοῖς μίμοις ἐν μέσῳ εἰσῄει, λορδουμένη τε καὶ τὰ ὀπίσω ἀποκοντῶσα," οἷον κεκαμμένη.

λορδουμένων κινουμένων, ἐπειδὴ οἱ συνουσιάζοντες κινοῦνται· Ἀριστοφάνης (Eccl. 10) "λορδουμένων τε σωμάτων ἐπιστάτην."

a Λουκιανὸς Σαμοσατεύς, ὁ ἐπικληθεὶς βλάσφημος ἢ δύσφημος, ὅτι ἐν τοῖς διαλόγοις αὐτοῦ γελοῖα εἶναι καὶ τὰ περὶ τῶν θείων εἰρημένα παρατίθεται. γέγονε δὲ ἐπὶ τοῦ Καίσαρος Τραϊανοῦ καὶ ἐπέκεινα. ἦν δὲ οὗτος τὸ πρὶν δικηγόρος ἐν Ἀντιοχείᾳ τῆς Συρίας, δυσπραγήσας δ' ἐν τούτῳ ἐπὶ τὸ λογογραφεῖν ἐτράπη, καὶ γέγραπται αὐτῷ ἄπειρα. τελευτῆσαι δὲ αὐτὸν λόγος ὑπὸ κυνῶν, ἐπεὶ κατὰ τῆς ἀληθείας ἐλύττησεν· εἰς γὰρ τὸν Περεγρίνου βίον καθάπτεται τοῦ χριστιανισμοῦ καὶ αὐτὸν βλασφημεῖ τὸν Χριστὸν ὁ παμμίαρος. διὸ καὶ τῆς λύττης ποινὰς ἀρκούσας ἐν τῷ παρόντι δέδωκεν, ἐν δὲ τῷ μέλλοντι κληρονόμος τοῦ αἰωνίου πυρὸς μετὰ τοῦ Σατανᾶ γενήσεται.

b Λουκιανὸς ἕτερος, κόμης τῆς ἑῴας, ἐπὶ Ἀρκαδίου τοῦ βασιλέως. αὕτη δὲ ἡ ἀρχὴ ἐβούλετο τὸν προβεβλημένον αὐτῆς ἐφεστάναι πᾶσι τοῖς τὰς τῆς ἑῴας ἐπαρχίας ἰθύνουσι, καὶ ἐπὶ τοῖς οὐ κατὰ τὸ δέον πραττομένοις ἰθύνειν. οὗτος τοίνυν πᾶσαν ἀρχικὴν ἀρετὴν εἰς τοὺς ἀρχομένους ἐπιδεικνύμενος, ἐπὶ δικαιοσύνῃ καὶ σωφροσύνῃ καὶ πᾶσι τοῖς ἄρχοντας κοσμεῖν δυναμένοις διαβόητος ἦν, οὔτε προσώπων διαφορὰν οὔτε ἕτερόν τι κατὰ νοῦν ἔχων, πλὴν ὧν ὁ νόμος ὑπηγόρευεν. ὥστε ἀμέλει καὶ τὸν τοῦ βασιλέως θεῖον Εὐχέριον αἰτοῦντά τι παρὰ τὸ προσῆκον ἀποσεισάμενος ἐς τοσοῦτον ἐκίνησεν ὥστε πρὸς τὸν βασιλέα διαβαλεῖν. ἐπεὶ δὲ ὁ βασιλεὺς αἴτιον εἶπεν εἶναι Ῥουφῖνον, ἀνδρὶ τοιούτῳ τοσαύτην ἀρχὴν δεδωκότα, λαβὼν πρόφασιν ὁ Ῥουφῖνος τὸν Λουκιανὸν σφαίραις μολυβδίναις ᾐκίσατο κατὰ τοῦ τένοντος. Zosim. 5 2.

Λουκιανὸς ὁ μάρτυς. οὗτος ἐκ Σαμοσάτων τῆς Συρίας ἦν, ἀνὴρ τῶν εὖ γεγονότων. c παρὰ δὲ τὴν πρώτην ἡλικίαν Μακαρίῳ τινὶ τοὔνομα συγγενόμενος, τὸν Ἔδεσσαν οἰκοῦντι καὶ τὰς ἱερὰς βίβλους ἐξηγουμένῳ, πᾶν ὅ τι κάλλιστον ἐφεῦρε περὶ τοῦτον, ἐκεῖνος ἐν οὐ πολλῷ συνέλαβε χρόνῳ. καὶ πρός γε τὸν μοναύλιον ἀπέκλινε βίον, καὶ εἰς ἅπαν ἀρετῆς ἀνθρωπείας ἀφίκετο μέτρον. προὔβη δὲ καὶ εἰς ἱερωσύνην, πρεσβύτερος ἐν Ἀντιοχείᾳ γενόμενος, καὶ διδασκαλεῖον μέγα ἐκεῖ συνεστήσατο, ἑκασταχόθεν σπουδαιοτάτων ὡς αὐτὸν ἀλλαχόθεν ἄλλων ἀφικνουμένων. οὗτος τὰς ἱερὰς βίβλους θεασάμενος πολὺ τὸ νόθον εἰσδεξαμένας, τοῦ τε χρόνου λυμηναμένου πολλὰ τῶν ἐν αὐταῖς καὶ τῆς συνεχοῦς ἀφ' ἑτέρων εἰς ἕτερα μεταθέσεως, καὶ μέντοι καὶ τινῶν ἀνθρώπων πονηροτάτων, οἳ τοῦ ἑλληνισμοῦ προεστήκεσαν, παρατρέψαι τὸν ἐν αὐταῖς θελησάντων νοῦν καὶ πολὺ τὸ κίβδηλον ἐνσκευασαμένων, αὐτὸς ἁπάσας ἀναλαβὼν ἐκ τῆς Ἑβραΐδος αὐτὰς ἐπανενεώσατο γλώττης, ἣν καὶ αὐτὴν ἠκριβωκὼς ἐς τὰ μάλιστα ἦν, πόνον τῇ ἐπανορθώσει πλεῖστον εἰσενεγκάμενος. οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν καθαρότητα τῶν θείων δογμάτων παρὰ τούτῳ τις ἂν μάλιστα τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων ἐπ' ἄκρον εὕροι φυλαττομένην· ἐξέθετο γὰρ καὶ ἐπιστολὰς ἀμέλει γενναιοτάτας, ἐξ ὧν φωράσαι τις ἂν εὖ μάλα ῥᾳδίως ἣν ὁ ἀνὴρ περὶ τῶν θείων ἔσωζε γνώμην. ἐμαρτύρησε δὲ ἐπὶ Μαξιμιανοῦ ἐν Νικομηδείᾳ τῆς Βιθυνίας. Logotheta.

Λούκιος Σέργιος Κατιλῖνος, ἀνὴρ γένους μὲν ὢν ἐπιφανεστάτου, ἄλλως δὲ πονηρὸς τὴν φύσιν, τολμητής τε καὶ μεγαλοπράγμων καὶ τὸ ἦθος ποικίλος, ἐπ' ὀλέθρῳ τῆς πατρίδος συνώμοσε, τοὺς θρασυτάτους καὶ τολμηροτάτους τῶν εὐπατριδῶν εἰς τὴν ἑαυτοῦ πίστιν ἐνδησάμενος. λέγεται γὰρ ἄνθρωπον καταθύσας γεῦσαι τοῦ αἵματος τὰς συνωμότας, περιάγων ἐς πάντας τὴν κύλικα πλήρη οἴνου τε καὶ ἀνθρωπείου αἵματος, εἴτε καταγοητεύων τοὺς ἄνδρας τῷ τοιῷδε ὅρκῳ, εἴτε καὶ πρὸς πᾶν τόλμημα καὶ πᾶσαν ἐθίζων ἀνοσιουργίαν, ἅτε οἰκείῳ καὶ πολιτικῷ

ἐπιχειρῶν αἵματι, καὶ μετάγειν τὴν πολιτείαν εἰς τυραννίδα φόνῳ τε πολλῷ τῶν ἀρίςων καὶ καταπρήσει τῆς πόλεως μηχανώμενος. ἐπῆρε δὲ ἄρα τὸν Κατιλῖνον εἰς ταύτας τὰς ἀτόπους ἐννοίας βάρη τε ὀφλημάτων νικῶντα τὸ τίμημα τῆς οὐσίας, καὶ συνειδὸς ἐκθέσμων καὶ μυσαρῶν πράξεων· τόν τε γὰρ παῖδα τῆς Ὀρεςίλλης διέφθειρε. δι' ἃ δὴ καὶ ὑπατείαν μετιὼν ἀπηλάθη, Κικέρωνος ἐς τὴν τοῦδε χώραν αἱρεθέντος. ἐξ οὗ δὴ καὶ μάλιςα τὰ ἀτοπώτατα τῶν δραμάτων ἐπὶ νοῦν ἐβάλετο, τῶν κακῶν οὐδαμῦ ἱςάμενος, οὐδὲ ἀναπαύων τὴν γνώμην. ὁ δὲ Κικέρων εἰπεῖν τε δεινὸς ὢν καὶ τἀληθὲς ἀνευρεῖν ἱκανὸς γνῶναί τε τὸ μέλλον ὀξύτατος, πολέμιον αὐτὸν ἀποφήνας ἐξήλασε τῆς πόλεως. Io. Antioch. p. 797.

Λουκούλλειον τὸ τοῦ Λουκούλλου.

Λούκουλλος. ὅτι Λούκουλλος ὁ ὕπατος Μιθριδάτῃ τῷ τοῦ Πόντυ βασιλεῖ ἐπολέμει· καὶ προσσχὼν τῇ Τρωάδι, καὶ σκηνῶν παρὰ τὸ τῆς Ἀφροδίτης τέμενος, ἔδοξε τὴν Ἀφροδίτην νύκτωρ ἐπιςᾶσάν οἱ τάδε εἰπεῖν "τί κνώσσεις, μεγάθυμε λέον; νεβροὶ δέ τοι ἐγγύς." καὶ ὃς ἐξαναςὰς καὶ πυθόμενος ὡς εἴη ἐγγὺς ναυλοχῶν ὁ βασιλικὸς ςόλος, ἐπέπλευσεν αὐτῷ, καὶ κρατήσας τῇ ναυμαχίᾳ διαφθείρει πάντας καὶ τὸν ςρατηγὸν Ἰσίδωρον. ὁ δὲ Μιθριδάτης φεύγει πρὸς Τιγράνην τὸν τῶν Ἀρμενίων βασιλέα. ὁ δὲ Λούκουλλος καὶ πρὸς Τιγράνην ἐξενεγκὼν πόλεμον πόλεις τε εἷλε πλείςας ὅσας καὶ τὰ Τιγρανόκερτα ἐπολιόρκει. ὁ δὲ Τιγράνης ἀπιδὼν ἐς τὸ τῶν Ῥωμαίων καὶ λογισάμενος εὐαρίθμητον εἶναι, τοῦτο δὴ τὸ θρυλύμενον ἀπεφθέγξατο, ὡς εἰ μὲν πρεσβευταί, πολλοὶ πάρεισιν, εἰ δὲ ςρατιῶται, ὀλίγοι. ἀλλ' ὅμως εἰς πεῖραν ἐλθὼν τῶν Ῥωμαϊκῶν δυνάμεων ἔγνω τὸν ὄχλον οὐδὲν ὠφελεῖν δυνάμενον. Ἀντίοχος γοῦν ὁ φιλόσοφος ταύτης ἐπιμνησθεὶς τῆς μάχης οὐκ ἔφη τοιαύτην ἄλλην ἑωρακέναι τὸν ἥλιον· Στράβων τε οὕτως ἀκονιτί φησι τὸν πολὺν ἐκεῖνον ἐργάσασθαι τοὺς Ῥωμαίους φόνον ὡς μετὰ τὴν πεῖραν καταγελᾶν ἑαυτῶν ἐπ' ἀνδράποδα τοιαῦτα ὅπλοις χρησαμένων. καὶ Λίβιος τήνδε τὴν μάχην ἐκπληττόμενος, οὐδέποτέ φησι τοσῶδε πολεμίων ἀποδέοντας Ῥωμαίους παρατάξασθαι· εἰκοςὸν γὰρ δὴ μέρος οἱ νικῶντες ἦσαν τῶν ἡττωμένων. cf. Plutarch. Lucull.

Λουκρήτιος ὄνομα κύριον.

Λούπερκος Βηρύτιος γραμματικός, γεγονὼς μικρῷ πρὸ τῶν Κλαυδίου τοῦ δευτέρου Καίσαρος χρόνων, ἔγραψε περὶ τοῦ ἂν γ', περὶ τοῦ ταώς, περὶ τῆς καρίδος, περὶ τοῦ παρὰ Πλάτωνι ἀλεκτρυόνος, κτίσιν τοῦ ἐν Αἰγύπτῳ Ἀρσινοήτου, Ἀττικὰς λέξεις, τέχνην γραμματικήν, περὶ γενῶν ἀρρενικῶν καὶ θηλυκῶν καὶ οὐδετέρων βιβλία ιγ', ἐν οἷς πολλὰ κατευδοκιμεῖ Ἡρωδιανοῦ.

Λουσιεύς. Λυσιὰ δῆμος τῆς Οἰνηίδος, ἀφ' οὗ οἱ δημόται Λουσιεῖς. Harp.

λουτρά· "οἱ δὲ εἰς πόλιν παρελθόντες λουτρὰ ἔχουσαν τὰ μὲν χειρόκμητα καὶ τετεχνασμένα, τὰ δὲ ἐκ τῶν κόλπων τῆς γῆς ἀναβρύοντα καὶ ὑπερχεόμενα μεθ' ἡδονῆς πρὸς ἀνθρώπων ὠφέλειάν τε καὶ τρυφήν, τοῖς φαινομένοις παραδοὺς ἑαυτὸν κατὰ ῥῦν φέρεσθαι δοῦλος ἐγένετο τῆς ἡδονῆς."

λοῦτρον τὸ ἀπόλουμα τὸ ῥυπαρόν, ἢ τὸ ἀπόλουτρον· (A Eq. 1398) "κἀκ τῶν βαλανείων πίεται τὸ λῦτρον." Προκόπιος (Pers. I 13) "τὸ βαλανεῖον ἐν παρασκευῇ ἐκέλευε γενέσθαι· λοῦσθαι γάρ οἱ ἐνταῦθα τῇ ὑςεραίᾳ βουλομένῳ εἶναι."

λυτροφόρος καὶ λυτροφορεῖν. ἔθος ἦν τοῖς γαμοῦσιν Ἀθήνησι λουτρὰ μεταπέμπεσθαι ἑαυτοῖς κατὰ τὴν γάμου ἡμέραν. ἔπεμπον δὲ ἐπὶ ταῦτα τὸν ἐγγυτάτω γένους παῖδα ἄρρενα, καὶ οὗτοι ἐλυτροφόρυν. ἔθος δὲ ἦν καὶ τοῖς ἀγάμοις ἀποθανοῦσι λυτροφόρον ἐπὶ τὸ μνῆμα ἐφίςασθαι· τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων. τὰ δὲ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν Ἐννεακρούνυ καλυμένης κρήνης, πρότερον δὲ Καλλιρόης. Harp.

λοφάδια (Hom. x 169) κατὰ τῦ αὐχένος.

λοφεῖον ἡ τοῦ κατόπτρου θήκη· ἢ ἡ θήκη τοῦ λόφυ τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. Ἀριςοφάνης Νεφέλαις (748) "καθέλοιμι νύκτωρ τὴν σελήνην, εἶτα δὴ αὐτὴν καθείρξαιμ' εἰς λοφεῖον ςρογγύλον." ἐὰν μὲν ᾖ ὑποκοριςικόν, δηλοῖ τὸν ἐλάττονα τῶν τριῶν λόφων, ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, προπερισπᾶται καὶ δηλοῖ τὴν θήκην τῦ λόφου. sch. A Av. 1108.

λοφεῖον, λόφιον δέ. b

λοφίας ὁ τράχηλος.

λοφιή.

λοφνίσι ταῖς λαμπάσι.

λοφοπωλεῖν ἐπινεύειν· οἱ γὰρ τὺς λό-

φους πωλοῦντες, ἐπὶ τὴν κεφαλὴν ἐπιτιθέμενοι, συνεχῶς ἔνευον, ἵνα παραδείξωσιν ὑγιεῖς τὰς τρίχας καὶ ἀβρώτους τοῖς ὠνηταῖς.

a λόφος γῆς ἀνάστημα, ἡ περικεφαλαία. ⟨Babr. 88 3⟩ "καὶ παῖδας εἶχε ληίῳ κόμῃ θρέψας, λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους." περὶ κορυδαλοῦ φησί.

b λόφος τράχηλος, καὶ τὸ τῆς περικεφαλαίας ἄκρον.

Λόφωνος.

λοχαγοῖς στρατηγοῖς, ταξιάρχαις.

λοχαῖοι δίφροι, οἷς πρὸς τὸ τεκεῖν ὀψὲ χρῶνται αἱ γυναῖκες. Artemid. 5.

λοχεία ἐπὶ γυναικός. λοχία δέ, διὰ τοῦ ι, ἐπὶ τῆς ἐνέδρας.

λοχεύει ἐνεδρεύει.

λοχεύονται γεννῶσι.

λόχησις ἡ ἐνέδρα, ἐκ τοῦ λοχῶ τὸ ἐνεδρεύω.

λοχίτης ὁ ἐνεδρεύων.

λοχμαία μοῦσα ἡ τῶν ὀρνίθων· ἐγκεκρυμμένοι γὰρ ἐν ταῖς λόχμαις εἰώθασι φωνεῖν. sch. A Av. 738.

λόχμας συμφύτους τόπους. Ἀριστοφάνης ⟨Eccl. 61⟩ "ἔχω τὰς μασχάλας λόχμης δασυτέρας, ὥσπερ ἦν ξυγκείμενον." ἔθρεψαν αἱ γυναῖκες τρίχας, ἵν', ὅταν χειροτονῶσι, δοκῶσιν ἄνδρες εἶναι. καὶ "ἀλειψαμένη τὸ σῶμ' ὅλον, δι' ἡμέρας" ἐχλιαίνετο πρὸς τὸν ἥλιον, ὥστε μελανθῆναι ὡς ἀνήρ.

a λόχμη δασὺς τόπος. πλαγία σύμφυτος καὶ λοχμώδης ⟨sch. A Av. 202⟩. "τῶν δὲ γυναικῶν καὶ τῶν μειρακίων ὁ ὄχλος λόχμην τινὰ εἰσδύντες ἐκαιροφυλάκουν."

b λόχμη. παροιμία "λόχμην πολλὴν φορεῖς" ⟨A Lys. 801⟩ ἀντὶ τοῦ τιλθῆσῃ. οὗτος δὲ ὁ Φορμίων τριχώδης ἦν καὶ πυγὰς μελαίνας εἶχε.

λόχμιος· ἐν ἐπιγράμμασι ⟨AP 6 32⟩ "λόχμιον ὑλοβάτᾳ," τουτέστι δασύν.

a λόχος ἐνέδρα, τάξις. Ἀριστοφάνης ⟨Lys. 453⟩ "γνώσεσθ' ὅτι καὶ παρ' ἡμῖν εἰσὶ λόχοι τέτταρες μαχίμων ἀνδρῶν ἔνδον ἐξωπλισμένων." διότι καὶ παρὰ Λακεδαιμονίοις ὑπῆρχον δ' λόχοι, οἷς ἐκέχρητο ὁ βασιλεύς. sch. A Ach. 1073.

b λόχος σύστημα ἐξ ἀνδρῶν η', οἱ δὲ ἐξ ἀνδρῶν ιβ', οἱ δὲ ις'· ὃ καὶ τέλειον καὶ σύμμετρον. καὶ λοχαγὸς πρωτοστάτης ἡγεμὼν ὁ αὐτός ἐστιν, ὁ πρῶτος καὶ ἄριστος τοῦ λόχου.

λοχῶ λοχήσω. ἁπλοῦν. καὶ ἐλόχησα.

λοχῶντες ἐνεδρεύοντες.

Λυαῖος ὄνομα κύριον, ὁ ὑπὸ τοῦ ἁγίου Νέστορος ἀναιρεθείς.

Λύβας ὄνομα κύριον. Pausan. 6 6 11.

λύγα σκοτία· ⟨AP 6 266⟩ "ἐφάνη γάρ οἱ αὐτὰ ἴσου παρὰ κρόκαισιν ὡς λύγα πυρός."

Λυγαῖος ἀπὸ τόπου.

λυγαίως σκοτεινῶς, καὶ λύγη ἡ σκοτία.

λύγδην λύζοντες, ἢ ἀντὶ τοῦ ὁμοῦ· ⟨S OC 1620⟩ "τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι λύγδην ἔκλαιον ἅπαντες."

λύγδινα· "κὴν στέρνοις ἔτι κεῖνα τὰ λύγδινα κωνία μαστῶν ἔστηκεν, μίτρης γυμνὰ περιτρομάδος" ἐν ἐπιγράμμασι ⟨AP 5 13⟩. καὶ αὖθις ⟨5 194⟩ "οἷά τε λύγδου γλυπτήν, παρθενίων βριθομένην χαρίτων." ἔστι δὲ εἶδος λίθου ἡ λύγδος. καὶ αὖθις ⟨Babr. 30 1⟩ "γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείαν."

λυγιζόμενος στρεφόμενος, καμπτόμενος, ἀπὸ τῶν λύγων. λύγος δέ ἐστι φυτὸν ἱμαντῶδες· "δίδη μόσχοισι λύγοισιν" Ὅμηρος ⟨Λ 105⟩. καὶ Πλάτων ἐν Γοργίᾳ ⟨immo Rp. 3 p. 405 C⟩ "πάσας στροφὰς στρέφεσθαι, πάσας δὲ διεξόδους διελθὼν ἀποστραφῆναι λυγιζόμενος, ὥστε μὴ παρέχειν δίκην." τινὲς δὲ καὶ τὸ μετὰ τιμωρίας βασανίζειν λυγίζειν· καὶ αἱ μάστιγες, αἷς οἱ ἀθληταὶ τύπτονται, λύγοι καλοῦνται.

λύγισμα αἰσχρὰ φωνή, βδελυρὸν ᾆσμα, ὃ λέγουσιν Ἀλεξανδρεῖς.

λυγίσμασι συγκλάσμασι.

Λυγκεὺς Σάμιος γραμματικός, Θεοφράστου γνώριμος, ἀδελφὸς Δούριδος τοῦ ἱστοριογράφου τοῦ καὶ τυραννήσαντος Σάμου. σύγχρονος δὲ γέγονεν ὁ Λυγκεὺς Μενάνδρου τοῦ κωμικοῦ, καὶ ἀντεπεδείξατο κωμῳδίας, καὶ ἐνίκησε.

λυγκεύς εἶδος θηρίου. ἢ ὀξυδερκής.

Λυγκέως ὀξυωπέστερον βλέπεις. οὗτος ἐγένετο ἀδελφὸς Ἴδα, ὡς δὲ Ἀριστοφάνης ἐν Δαναΐσιν, υἱὸς Αἰγύπτου, τοσοῦτον δὲ ὀξυωπέστατος ἦν ὡς δι' ἐλάτης ἰδεῖν Κάστορα δολοφονήσαντα τὸν ἀδελφόν, ὥς φησι Πίνδαρος ⟨Nem. 10 115⟩. καὶ Ἀπολλώνιος ἐν Ἀργοναύταις ⟨1 154⟩ "εἰ ἐτεόν γε πέλει κλέος, ἀνέρα κεῖνον ῥηιδίως καὶ νέρθεν ὑπὸ χθονὸς αὐγάζεσθαι." sch. A Plut. 210.

λυγμός ὀλολυγμός ⟨an λύγξ ὁ λυγμός⟩.

λύγξ τὸ ζῷον.

λύγος τὸ ἱμαντῶδες φυτόν· Ὅμηρος (Λ 105) "δίδη μόσχοισι λύγοισι." καὶ Ἀρριανός "ὡς δὲ ἄπορος αὐτοῖς ἡ διάβασις ἐφαίνετο, ξυναγαγὼν ὁ Βρούτιος τοὺς ἐπιχωρίους κελεύει ἡγεῖσθαι τὴν ὁδόν, ὅπως εἰώθεισαν αὐτοὶ παρ' ἀλλήλους φοιτᾶν ὥρᾳ χειμῶνος. οἳ δὲ κύκλους ἐκ λύγων τοῖς ποσὶ περιαρμόσαντες αὐτοί τε ἀβλαβῶς ἐπήρχοντο κατὰ τῆς χιόνος πιεζομένης ὑπὸ τῶν κύκλων, καὶ τοῖς Ῥωμαίοις παρεῖχον οὐ χαλεπὴν τὴν πάροδον. ἦν δὲ ἡ χιὼν ὡς ις' πόδας πολλαχῇ τὸ βάθος."

λυγρόν χαλεπόν, ὀλέθριον, κακόν, ἰσχυρόν, πενθικόν, ἐλεεινόν.

Λύγωνος.

Λυδία χώρα.

λυδιάζων (A Eq. 526).

λυδίζω τὰ τῶν Λυδῶν φρονῶ.

Λύδιον μέλος, ὥσπερ καὶ Δώριον καὶ Φρύγιον.

Λυδοὶ Μάγνητος τοῦ κωμικοῦ διεσκευάσθησαν. τὸ δὲ λυ μακρόν. ἐν ἐπιγράμμασι (AP 7 18) "κεῖται δ' ἠπείροις διδύμοις ἔρις εἴθ' ὅγε Λυδὸς εἴτε Λάκων· πολλαὶ μητέρες ὑμνοπόλων."

Λυδὸς ἐν μεσημβρίᾳ παίζει, ἐπὶ τῶν ἀκολάστων, ὡς ταύταις ταῖς ὥραις ἀκολασταινόντων· οἱ γὰρ Λυδοὶ κωμῳδοῦνται ταῖς χερσὶν αὐτῶν πληροῦντες τὰ ἀφροδίσια. ἡ δὲ παροιμία αὕτη ὁμοία τῇ "αἰπόλος ἐν καύματι," ἐπειδὴ ἐν ταῖς τοιαύταις ὥραις οἱ αἰπόλοι ἀκολασταίνουσι.

λύει (S El. 1005) λυσιτελεῖ. "λύει δὲ χαλινὸν παρθενίας" (Pindar. Isthm. 8 95) ἀντὶ τοῦ διακορεῖ.

λύζει. ἐὰν μὲν διὰ τοῦ ζ, ὀλολύζει, ἐὰν δὲ χωρὶς τοῦ ζ, ἀλύει, τουτέστιν ἀδημονεῖ. ἢ λύζει ἀντὶ τοῦ ποιὰν φωνὴν τραχεῖαν ἀφίησιν, ἢ λυγμῷ συνέχεται· "εἶτα λύζει καὶ δακρύει καὶ λέγει πρὸς τοὺς φίλους" (A Ach. 690), καὶ ἐν ἐπιγράμματι (AP 7 218) "καὶ γοερὸν λύζων ἐστονάχησεν ἔρως." καὶ **λύγδην** ἐπίρρημα, ἀντὶ τοῦ λύζων.

λύθρος φόνος. ἢ ὁ ἐκ τοῦ αἵματος μολυσμός, συνιστάμενος δι' ἱδρῶτος καὶ κόνεως καὶ αἵματος μετὰ ἰχῶρος. ἐν ἐπιγράμμασιν (AP 6 163) "ὅπλα δὲ λύθρῳ λειβόμενα βροτέῳ σηκὸς Ἄρηος ἔχοι."

λυκάβας ἐνιαυτός, ἀπὸ τοῦ ταχέως βαίνειν, ἢ λυγαίως βαίνειν, ὅ ἐστι σκοτεινῶς καὶ ἀδήλως. ἢ ἀπὸ μεταφορᾶς τῶν λύκων, οἳ τοὺς ποταμοὺς περῶσιν ἀλλήλων τῆς οὐρᾶς ἐχόμενοι χειμῶνος ὥρᾳ. λυκάβας οὖν ἀπὸ τοῦ συμβεβηκότος περὶ τὰ ζῷα· ἑπόμενα γὰρ ἀλλήλοις τάξει δίεισι τὸν ποταμόν. Artemid. 2 12.

Λυκαβηττὸς καὶ Παρνασὸς ὄρη μέγιστα, τὸ μὲν τῆς Ἀττικῆς, τὸ δὲ τῆς Φωκίδος. "ἢν σὺ λέγῃς ἡμῖν Λυκαβηττοὺς καὶ Παρνασῶν μεγέθη, τοῦτ' ἐστι τὸ χρηστὰ διδάσκειν," ἐπὶ τῶν εἴς τι μεγαλαυχούντων, Ἀριστοφάνης (Ran. 1087).

λύκαινα εἶδος θηρίου.

Λύκαιον ὄνομα τόπου. καὶ **Λυκαῖος.**

Λυκαονία χώρα.

Λυκάων ὁ Πελασγοῦ υἱός, βασιλεὺς Ἀρκάδων, ἐφύλαττε τὰ τοῦ πατρὸς εἰσηγήματα ἐν δικαιοσύνῃ, ἀποστῆσαι δὲ βουλόμενος καὶ αὐτὸς τῆς ἀδικίας τοὺς ἀρχομένους ἔφη τὸν Δία ἑκάστοτε φοιτᾶν παρ' αὐτὸν ἀνδρὶ ξένῳ ὁμοιούμενον, εἰς ἔποψιν τῶν δικαίων τε καὶ ἀδίκων. καί ποθ', ὡς αὐτὸς ἔφη, μέλλων ὑποδέχεσθαι τὸν θεὸν θυσίαν ἐπιτελεῖν· τῶν δὲ υἱῶν αὐτοῦ, ν', ὥς φασιν, ὄντων ἐκ πολλῶν γυναικῶν, βουλόμενοι γνῶναί τινες οἱ τῇ θυσίᾳ παρόντες εἰ τῷ ὄντι θεὸν μέλλουσι ξενοδοχεῖν, θύσαντές τινα παῖδα ἐγκατέμιξαν τοῖς τοῦ ἱερείου κρέασιν, ὡς οὐ λήσοντες εἴπερ ὄντως θεὸς ἔπεισιν. ὑπὸ δὲ τοῦ δαιμονίου χειμώνων μεγάλων καὶ κεραυνῶν ῥαγέντων φασὶ τοὺς αὐτόχειρας ἅπαντας τοῦ παιδὸς ἀπολέσθαι. Nicol. Dam. exc. Peir. p. 446.

λυκείην τὸ τοῦ λύκου δέρμα.

Λύκειον γυμνάσιον Ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου ἐδόκει γυμνάζεσθαι· πρὸ γὰρ τῶν ἐξόδων ἐξοπλίσεις τινὲς ἐγίνοντο ἐν τῷ Λυκείῳ διὰ τὸ παρακεῖσθαι τῇ πόλει, καὶ ἀποδείξεις τῶν μᾶλλον πολεμικῶν ἀνδρῶν. sch. A Pac. 353.

Λύκειον. ἓν τῶν παρ' Ἀθηναίοις γυμνα- b
σίων τὸ Λύκειον, ὃ Θεόπομπος μὲν Πεισίστρατον ποιῆσαί φησι, Φιλόχορος δὲ ἐπιστατοῦντος Περικλέους γενέσθαι. Harp.

Λυκεῖον ποτὸν ἤτοι ἀπὸ κρήνης τῆς ὑπὸ Ἀπόλλωνος εὑρεθείσης, ὑπὸ λύκων πινομένης. ἀπὸ οἴνου καὶ μέλιτος. προπερισπωμένως.

λυκηθμὸς ἡ τῶν λύκων βοή· "ἐξάκουστος γὰρ αὐτοῖς ἐγένετο ὁ λυκηθμός, καὶ τῷ ταράχῳ ἀνεπήδησαν." "καὶ οὖν οἱ Ἄβαροι

ἐσβάλλουσιν ἀθρόως, χρησάμενοι τῷ συνήθει λυκηθμῷ. φίλη δὲ αὐτοῖς ἡ τοιαύτη ὠρυγή."

Λυκίαν. τὴν Τρωικὴν Ὅμηρος Λυκίαν λέγει· ⟨E 173⟩ "οὐδέ τις ἐν Λυκίῃ σέο γ' εὔχεται εἶναι ἀμείνων."

Λύκιον τέρας, καὶ Λύκιοι ἔθνος.

λυκιουργεῖς. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον ⟨31⟩ κέχρηται τῇ λέξει, Δίδυμος δέ φησι τὰς ὑπὸ Λυκίου κατεσκευασμένας φιάλας, τοῦ Μύρωνος υἱοῦ, οὕτως εἰρῆσθαι. ἔοικε δὲ ἀγνοεῖν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον, μᾶλλον δ' ἀπὸ πόλεων καὶ ἐθνῶν, ὡς κλίνη μιλησιουργής καὶ τὰ ὅμοια. μήποτε οὖν γραπτέον καὶ παρὰ Ἡροδότῳ ἐν τῇ η' ⟨immo 7 76⟩, ἀντὶ τοῦ προβόλους δύο λυκοεργέας, λυκιοεργέας, ἵνα, ὥσπερ παρὰ τῷ Δημοσθένει, οὕτως ὀνομάζηται τὰ ἐν Λυκίᾳ εἰργασμένα. Athen. p. 486.

Λύκις. λέγεται καὶ *Λύκος*, κωμῳδεῖται δὲ ὡς ψυχρὸς ποιητής· Ἀριστοφάνης ⟨Ran. 12⟩ "τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέρειν, εἴπερ ποιήσω μηδὲν ὧνπερ Φρύνιχος εἴωθε ποιεῖν καὶ Λύκις κἈμειψίας." οὗτοι οὖν οἱ τρεῖς κωμικοὶ ὑπόψυχροι. ὁ δὲ Φρύνιχος ἐν ταῖς κωμῳδίαις παρ' ἕκαστα ἐφορτικεύετο. κωμῳδεῖται δὲ καὶ ὡς ξένος ἐπὶ φαυλότητι ποιημάτων, καὶ ὡς ἀλλότρια λέγων, καὶ ὡς κακόμετρα. ἐγένοντο δὲ καὶ ἄλλοι τρεῖς Φρύνιχοι. "σκευηφοροῦσ' ἑκάστοτ' ἐν κωμῳδίᾳ."

Λυκόζειοι ἐθνικόν.

Λυκομήδειος· ⟨AP 6 276⟩ "τῇ Λυκομηδείου παιδὶ φιλαστραγάλῃ."

λύκον εἶδες, ἐπὶ τῶν αἰφνίδιον ἀχανῶν γινομένων. "σὺ δ' οὐκ ἂν δύναιο πρὸς αὐτὸν ἀντιβλέπειν, ἀλλὰ τὸ λεγόμενον 'οὐ φθέγξῃ, λύκον εἶδες,' εἴπερ ἄλλοθί που, κἀνταῦθα δόξει κυρίως εἰρῆσθαι."

λυκόποδες. οὕτως ἐκάλουν τοὺς τῶν τυράννων δορυφόρους· τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔλαβον. λυκόποδες δὲ ἐκαλοῦντο ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι κεκαλυμμένους ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος, ἢ διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον λύκον. ὁ δὲ Ἀριστοφάνης ἐν Λυσιστράτῃ τοὺς Ἀλκμαιωνίδας φησίν· οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιστρατίδας ἐτείχισαν Λειψύδριον τὸ ὑπὲρ Πάρνηθος, εἰς ὃ συνῆλθόν τινες τῶν ἐκ τοῦ ἄστεος, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. sch. A Lys. 665.

λυκορραίστης ὁ τοὺς λύκους διαφθείρων· ⟨AP 6 106⟩ "δέρμα λυκορραίστης ἐκρέμασεν Τελέβων."

Λύκος ὁ καὶ Βουθήρας, Ῥηγῖνος ἱστορικός, πατὴρ Λυκόφρονος τοῦ τραγικοῦ, ἐπὶ τῶν διαδόχων γεγονὼς καὶ ἐπιβουλευθεὶς ὑπὸ Δημητρίου τοῦ Φαληρέως. οὗτος ἔγραψεν ἱστορίαν Λιβύης καὶ περὶ Σικελίας.

λύκος ἀετὸν φεύγει, ἐπὶ τῶν ἀφύκτων.

λύκος ἔχανεν, ἐπὶ τῶν ἐλπιζόντων μέν τι ἕξειν, διαμαρτόντων δὲ τῆς ἐλπίδος. λέγουσι δὲ τὸν λύκον, ἐπειδὰν ἁρπάσαι τι βούληται, κεχηνότα παραγίνεσθαι ἐπ' αὐτό· ὅταν οὖν μὴ λάβῃ ὃ προαιρεῖται, κατὰ κενοῦ αὐτὸν χανεῖν φασίν. ἐπὶ τῶν συνελπιζόντων χρηματιεῖσθαι, διαμαρτανόντων δὲ λέγουσιν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'.

λύκος περὶ φρέαρ χορεύει, ἐπὶ τῶν πονούντων περί τι μάτην, ὅτι ἄπρακτος περίεισιν, ὅταν διψήσῃ μὴ δυνάμενος πιεῖν, ἢ ἐπὰν διώκοντος αὐτοῦ τι τὸ διωκόμενον ἐμπέσῃ εἰς φρέαρ.

λύκος χανών, ἐπὶ τῶν ἀπράκτων· Αἰλιανός "ὁ δὲ ἐδεῖτο τοῦ θεοῦ ἐπικουρῆσαί τε αὐτῷ καὶ λύκους κεχηνότας ἀποφῆναι τοὺς τὰ ἐκείνου ἑαυτοῖς καταγράφοντας, ἵνα μὴ αὐτὸς ὄφλῃ γέλωτα ἄλλοις, ἀλλ' ἐκεῖνοι αὐτῷ."

λυκόστομος καὶ κρασίχολος ἐπίθετα ἀφύης, ὃ ἐστιν ἐγγραύλεως ⟨cf. v. ἀφύα⟩. καὶ αὖθις ⟨Plato Rp. 8 p. 565⟩ "οὐ λύκος ἐξ ἀνθρώπων κατὰ τὸν Ἀρκαδικὸν μῦθον, ἀλλὰ τύραννος ἐκ βασιλέως ἀπέβη πικρός."

Λύκου δεκάς παροιμιῶδες, ἐπεὶ Λύκος ὁ ἥρως ἵδρυτο παρὰ τοῖς δικαστηρίοις, ἔνθα προσήδρευον οἱ συκοφάνται. ἀφώριστο δὲ αὐτῷ τριώβολον τῆς ἡμέρας.

λύκου πτερά ἐπὶ τῶν ἀδυνάτων λέγεται, ὅταν μέχρι τῶν λόγων ὁ φόβος ᾖ.

Λυκοῦργος Λυκόφρονος Ἀθηναῖος, τὸ γένος Ἐτεοβουτάδης, τῶν μετὰ Δημοσθένους ἐγκριθέντων ῥητόρων. ἀνέγκλητος δὲ βιοὺς τελευτᾷ νόσῳ, υἱοὺς καταλιπών, ὑπὲρ ὧν συκοφαντηθέντων Δημοσθένης ὁ ῥήτωρ ἀπὸ τῆς φυγῆς εἰπὼν ἐξεῖλεν αὐτούς. λόγοι δὲ αὐτοῦ εἰσὶ γνήσιοι οἱ σωζόμενοι κατὰ Ἀριστογείτονος, κατὰ Αὐτολύκου, κατὰ Λεωκρά-

τους, κατὰ Λυκόφρονος β΄, κατὰ Πασικλέους, κατὰ Μεναίχμου, κατὰ Δημάδου, ἀπολογία πρὸς τὸν αὐτὸν ὑπὲρ τῶν εὐθυνῶν, πρὸς Ἰσχυρίαν, πρὸς τὰς μαντείας, περὶ τῆς διοικήσεως, περὶ τῆς ἱερείας, περὶ τῆς ἱερωσύνης. ἐπιςολαί, καὶ ἄλλα τινά.

b Λυκοῦργος Σπαρτιάτης, Προκλέους ἀπόγονος, νομοθέτης, ὥς φασιν, ἢ ἐκ Κρήτης ἢ παρὰ τοῦ θεοῦ τοὺς νόμους λαβών· ὃν καὶ θεὸν ἡ Πυθία προσηγόρευσεν. οὗτος καὶ γυμνάσια παρθένων ἐνομοθέτησε, καὶ τὸ μὴ δεῖν συνεχεῖς ὁμιλίας πρὸς τὰς γυναῖκας ποιεῖσθαι, καὶ τὸ ἐπ' ἀσπίδος τρέφεσθαι καὶ ἐν Εὐρώτᾳ ποταμῷ λοῦσθαι τοὺς τεχθέντας, καὶ τὴν γυμνοπαιδίαν, ᾗ τοὺς ἐφήβους ἠνάγκαζε διὰ παντὸς μὴ ἔχοντας χλανίδα γυμνασίοις προσκεῖσθαι, καὶ ἀγωνίζεσθαι δημοσίους ἀρετῆς ἀγῶνας, ὑπαιθρίους τε κοιμᾶσθαι, τροφήν τε ἔχειν τὴν ἐκ θήρας, τήν τε διαμαςίγωσιν, ἀρετῆς γυμνασίαν ἀντὶ φόνου σκυθρωποῦ· ἔφηβος γὰρ πρότερον ἐθύετο τῇ Ἀρτέμιδι τῇ Ὀρθωσίᾳ. καὶ μέντοι καὶ τὰ φιλίτια, ἅ ἐςι συμπόσια μεμιγμένους ἔχοντα ταῖς ἡδοναῖς τοὺς πόνους· οὐ γὰρ ςρωμνή τις ὑπέκειτο εὐωχουμένοις, ἀλλ' ὑπὸ τοῖς ἀγκῶσι κοιλανθεὶς ἢ λίθος ἢ ξύλον. ἐνομοθέτησε δὲ καὶ τὸ ὑπ' αὐλοῖς παρατάσσεσθαι, θανάτου τὴν ἄτιμον ζωὴν εἶναι χείρονα τιθέμενος καὶ ἀποφαινόμενος, εἶναι δ' αὐτῷ λύσιν, εἰ μετὰ ταῦτα ἀριςεύσειεν. τοῦτο Ἀριςοδήμῳ συνέβη, ὃς ὁ τρέσας ἐπικληθεὶς ἐκ λιποταξίου τοῦ ἐν Πύλαις τῇ ἐν Πλαταιαῖς ἀριςείᾳ τὴν ἀτιμίαν ἔλυσε. διὰ τοὺς τούτου νόμους αἱ μητέρες ἐπὶ τοὺς πολέμους προπέμπουσαι τοὺς παῖδας περὶ τὰς ἀσπίδας ἢ τὰν ἢ ἐπὶ τάν ἔλεγον, ἀντὶ τοῦ ἢ ταύτην κόμισαι ὑποςρέφων καὶ μὴ γενοῦ ῥίψασπις, ἢ ἐπὶ ταύτῃ κομίσθητι νεκρός. οὗτος τοῖς μὲν Εἵλωσι τὰς ἄλλας ἐργασίας, τοῖς δὲ εὐγενέσι τὴν πολεμικὴν ἄσκησιν προσέταξε· ξένους δὲ ἀπήλασε, τὴν ἐκ τῆς ἐπιμιξίας διαφθορὰν ὑφορώμενος. βραχυλογίαν τε ἐτίμησε καὶ πενίαν, τὴν μὲν σοφίας εἶναι σημεῖον τὴν δὲ ἀρετῆς διδάσκαλον οἰηθείς. καὶ ὁμολογεῖ τούτοις ὁ θεός· φυλάττεσθαι γὰρ ἀνεῖλε πολλάκις φιλοχρηματίαν. ἀριςοκρατίαν δὲ καταςησάμενος, καὶ βασιλέας δύο τῶν ἀφ' Ἡρακλέους ἔταξεν εἶναι καὶ ἐφόρους τοὺς γέροντας, οἷς τὸν δῆμον ὑπέταξεν, ἐξ ἑκάςης πολιτείας τὸ ἄριςον ἐκλεξάμενος. ὥρκωσε δὲ τοὺς Λακεδαιμονίους μὴ λῦσαι νόμον, καὶ ἀπεδήμησε· χρήσαντος δὲ αὐτῷ τοῦ θεοῦ Λακεδαιμονίους εὐτυχήσειν ἐφ' ὅσον ἂν μὴ παραβαίνωσι τοὺς Λυκούργου νόμους, ἐλθὼν εἰς Κρήτην ἀπεκαρτέρησεν, ὅπως μὴ αὐτὸς ἀναγκασθείη λῦσαι.

ὅτι Λυκούργῳ τῷ νομοθέτῃ τοιάδε ἡ c
τελευτὴ τοῦ βίου ἐγένετο. βουλόμενος, ὥς φασι, θεὸν ἐρέσθαι περὶ τινῶν ὑπολοίπων νόμων, ὥρκωσε Λακεδαιμονίους ἄχρις ἐπάνεισι μηδένα λῦσαι τῶν κειμένων. ὀμοσάντων δέ, ἐπεὶ χρηςηριαζόμενος ἤκουσε παρὰ τοῦ θεοῦ ὡς εὐδαίμων ἡ πόλις ἔσοιτο εἰ τοῖς ἐκείνου νόμοις ἐμμένοι, ἔγνω μηκέτι ἐπανελθεῖν, τὸ βέβαιον τῆς φυλακῆς ἐκ τοῦ ὅρκου ποιησάμενος, καταβὰς δὲ εἰς Κρῖσαν αὐτὸν διεργάζεται. Λακεδαιμόνιοι δὲ αἰσθόμενοι διά τε τὴν προτέραν ἀρετὴν καὶ τὴν τότε κριθεῖσαν περὶ τὸν θάνατον ναόν τε αὐτῷ ἐτεμένισαν, καὶ βωμὸν ἱδρυσάμενοι θύουσιν ὡς ἥρωι ἀνὰ πᾶν ἔτος. περιφανῶς γὰρ δὴ Σπαρτιάταις αἴτιος ἐγένετο τῆς εἰς ἅπαν ἀρετῆς τε καὶ ἡγεμονίας, οὐδὲν ἄμεινον τῶν ἄλλων πάλαι διακειμένοις, οὐ μόνον ὅτι αὐτοῖς νόμους ἔθετο ἀρίςους, ἀλλὰ καὶ ὅτι ἄκοντας προυτρέψατο χρῆσθαι αὐτοῖς τρόπῳ τοιῷδε. δύο σκύλακας λαβὼν ἀπὸ τῆς αὐτῆς μητρὸς ἔτρεφε, χωρὶς δὲ ἀλλήλων, ἀνομοίοις ἔθεσι, τὸν μὲν κατ' οἶκον, ὄψα τε διδοὺς καὶ τὴν ἄλλην λιχνείαν, τὸν δὲ ἐν κυνηγεσίοις, θηρᾶν ἀναγκάζων καὶ ςιβεύειν ἐν ὄρεσιν. ὡς δ' ἑκάτερος αὐτῶν ὅμοιος ἐγένετο τῇ τροφῇ, Σπαρτιάταις ἐκκλησιάζουσι πρὸς τοὺς περιοίκους πολέμου πέρι καὶ ἀμηχανοῦσι παραγαγὼν ἀμφοτέρους εἰς μέσον, καὶ σὺν αὐτοῖς δόρκους τε καὶ ζωμοὺς καὶ ὄψα ἐσκευασμένα, ἔλεξεν "ἀλλ' ὅτι μέν, ὦ Σπαρτιᾶται, τοῦ εὖ τε καὶ κακῶς πράττειν οὐκ ἄλλο ἐςὶν αἴτιον πλὴν τὸ ἔθεσι χρῆσθαι φαύλοις ἢ σώφροσι, πάρεςιν ὑμῖν ὁρᾶν. οἵδε γέ τοι" τοὺς σκύλακας δείξας "τῆς αὐτῆς μητρὸς ὄντες, ἐναντίως δὲ ἀλλήλοις τεθραμμένοι, παρ' αὐτὸ τοῦτο ἀνόμοιοι ἐκβεβήκασιν· ὁ μὲν γὰρ θηρᾶν μαθών, ὁ δὲ λιχνεύειν, οὐδὲν ἂν ἀντὶ τοῦδε, εἰ παρείχοι, ποιήσειεν." καὶ ἅμα προσέταξε τῷ κυνουλκῷ μεθεῖναι ἀμφοτέρους ἐπὶ τὰ ἡτοιμασμένα. τῶν δὲ ὁ μὲν κατοικίδιος ἐπὶ τοὔψον ὥρμησεν, ὁ δὲ θηράτωρ ἐπὶ τὸν δόρκον, καὶ καταβαλὼν ἐσπάραττεν. καὶ Λυκοῦργος πάλιν "ταῦτα" ἔφη "νομίσατε, ὦ

Σπαρτιᾶται, εἰς ὑμᾶς τείνειν καὶ τὰς ἄλλας πάντας ἀνθρώπας. ὁποίοις γὰρ ἂν ἔθεσι καὶ νόμοις χρῆσθε, τοιούτας ἀποβαίνειν ἀνάγκη πρός τε πόνους καὶ τρυφήν· πάντα γὰρ ἀνθρώποις μαθητὰ οἱ θεοὶ ἔδοσαν. ἕπεται δὲ τῷ μὲν πονεῖν ἐθέλειν τὸ ἐλευθέροις εἶναι καὶ τὸ εὖ πράττειν καὶ κρατεῖν πάντων, τῷ δὲ ἡδυπαθεῖν τό τε δουλεύειν καὶ κακοπραγμονεῖν καὶ μηδενὸς ἀξίοις εἶναι." ὃ μὲν τοιαῦτα λέγων προυτρέπετο τοὺς Σπαρτιάτας μεταβαλεῖν τόν τε καθεςῶτα τρόπον τοῦ βίου καὶ βελτίοσι νόμοις ἐθισθῆναι· οἳ δὲ πεισθέντες οὐ τῶν περιοίκων μόνον ἀλλὰ καὶ πάντων Ἑλλήνων διαφανῶς ἄριςοι ἐγένοντο, ἡγεμόνες τε συνεχῶς, ἐξ ὅτου παρεδέξαντο τοὺς νόμους, ἐπ' ἔτη φ', καὶ οὐ πολλοῦ χρόνου ἐχώρησαν ἐπὶ μέγα δυνάμεως. Nicol. Dam. exc. Peir. p. 446.

d Λυκοῦργος Σπαρτιάτης νομοθέτης, ὃς γέγονε τῶν Τρωικῶν μετὰ ἔτη ν'. ἦν δὲ θεῖος πρὸς πατρὸς Χαριλάου τοῦ βασιλεύσαντος Σπάρτης, Εὐνόμου ἀδελφός, καὶ ἐκράτησε τῶν Σπαρτιατῶν ἔτη μβ', ὅτε καὶ τοὺς νόμους ἔθετο, ἐπιτροπεύων τὸν ἀδελφιδοῦν· καὶ αὐτὸς δ' ἐβασίλευσεν ἔτη ιη'. μεθ' ὃν Νίκανδρος ἔτη λη'. ἔγραψε νόμους.

Λυκόφρων Χαλκιδεὺς ἀπὸ Εὐβοίας, υἱὸς Σωκλέους, θέσει δὲ Λύκου τοῦ Ῥηγίνου, γραμματικὸς καὶ ποιητὴς τραγῳδιῶν· ἔστι γοῦν εἷς τῶν ἑπτὰ οἵτινες Πλειὰς ὠνομάσθησαν. εἰσὶ δὲ αἱ τραγῳδίαι αὐτοῦ Αἴολος, Ἀνδρομέδα, Ἀλήτης, Αἰολίδης, Ἐλεφήνωρ, Ἡρακλῆς, Ἱκέται, Ἱππόλυτος, Κασανδρεῖς, Λάιος, Μαραθώνιοι, Ναύπλιος, Οἰδίπους α' β', Ὀρφανός, Πενθεύς, Πελοπίδαι, Σύμμαχοι, Τηλέγονος, Χρύσιππος. διασκευὴ δ' ἐςὶν ἐκ τούτων ὁ Ναύπλιος. ἔγραψε καὶ τὴν καλουμένην Ἀλεξάνδραν, τὸ σκοτεινὸν ποίημα.

λυκόφως τὸ περὶ τὴν αὐγὴν φῶς.

Λύκτιος.

Λύκωνος.

Λυκωρεύς. καὶ Λυκώρεια ὄνομα πόλεως.

λυμαντήρ ὁ βλαπτικός. καὶ λυμαντικός.

a λύματα ἐνέχυρα, οἷον λύσιμα καὶ λυτρώσιμα.

b λύματα καθάρματα, αἱ τῆς γαςρὸς εἰς ἀφεδρῶνα ἐκκρίσεις. "καὶ παρ' αὐτὸν τὸν κοινὸν τῶν ἀνθρώπων νόμον πρέσβεις ἠτίμασαν, τὴν τήβεννον λύμασιν ἀνθρωπείοις μολύναντες" (cf. v. τήβεννος).

λῦμα τῷ γήρᾳ τρέφῃ (S OC 805) ἀντὶ τοῦ ἀπαίδευτος εἶ μέχρι γήρως.

λυμαινόμενον τοῖς μειρακίοις (A Nub. 928) ἀντὶ τοῦ ἐνυβρίζοντα. οὕτω δὲ αὐτοῖς σύνηθες, οὐχὶ τὰ μειράκια λυμαινόμενον. καὶ λυμαίνων φθείρων, βλάπτων.

λυμεὼν ὁ φθορεύς· Σοφοκλῆς (Ai. 572) "καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς θήσουσ' Ἀχαιοῖς μήθ' ὁ λυμεὼν ἐμός." Αἴας φησί.

λύμη βλάβη, φθορά, ὕβρις. "ὃ δὲ αὐτὰς συλλαβὼν αἰκίζεται λύμῃ πάσῃ καὶ κατατάσει καὶ ςρεβλώσει ποικίλῃ καὶ δικαιώσει τῇ πρεπωδεςάτῃ, ἐν περιόπτῳ λόφῳ ςαυρώσας αὐτούς."

λυόμενος ἀντὶ τοῦ λυτρούμενος καὶ ἀπολύων. οὕτω Πλάτων.

λύπη συςολὴ ἄλογος ψυχῆς· διὸ οὐ λυπηθήσεσθαι τὸν σπουδαῖον. εἴδη δὲ αὐτῆς φθόνος ζῆλος ζηλοτυπία ἄχθος ἐνόχλησις ἀνία ὀδύνη σύγχυσις (Diog. L. 7 111). "τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος; δοκῶ μέν, οὐδὲν ῥῆμα σὺν κέρδει κακόν" (S El. 59). τὸ λυ μακρόν.

λυπηρότεροι ςαλαγμοῦ. διὰ τὴν ἐν τῷ συνεχῶς καταςάζεσθαι δυσχέρειαν λέγεται.

λυπινάρια εἶδος ὀσπρίου, οὓ θέρμους καλοῦσιν.

λυπρὰ εὐτελής, πενιχρά. "οὕτω δὲ ἦν Κύντιος Κικιννᾶτος ὁ γεγονὼς δικτάτωρ μέτριος ··· ὃς ἀπονιψάμενος ἐπάνεισι, καὶ συμβαλὼν τοῖς πολεμίοις νικᾷ κατὰ κράτος, καὶ τὸν ςρατηγὸν τῶν πολεμίων ἄγει αἰχμάλωτον" (cf. v. Κύντιος). "λυπρά τε σιτούμενος καὶ σκληρῶς ἐγκαθεύδων, καὶ πᾶσι κεχρημένος πολὺ ἐνδεέςερον ἢ πρὸς τὴν ἐξουσίαν" (Io. Antioch. exc. Peir. p. 789).

λυπρῇ πενιχρᾷ· (AP 6 98) "πέπατο γὰρ οὐ μέγα τοῦτο κληρίον ἐν λυπρῇ τῇδε γεωλοφίῃ."

λυπρὸν ἐπαχθές, λυπηρόν. καὶ λυπρόγαιον· Ἀππιανὸς (Hisp. 59) "τὸ γὰρ λυπρόγαιον καὶ πενιχρὸν ὑμᾶς εἰς λῃςείαν ἄγει. δώσω δ' ἐγὼ πενομένοις φίλοις γῆν ἀγαθήν."

λύρα, βραχὺ τὸ λυ· "εἰδήσεις Ἀλκμᾶνα λύρης ἐλατῆρα Λακαίνης" (AP 7 18).

Λύσανδρος ναύαρχος Λακεδαιμονίων. Harp.

λυσανίας πατρῴων μεγάλων κακῶν" (A Nub. 1165) ὁ λύων τὰ πατρὸς τὰς ἀνίας. ὠνοματοπεποίηται ἡ λέξις. Σοφοκλῆς "Ζεὺς νῷσον ἄγοι τὸν νικομάχαν καὶ πανσανίαν καὶ Ἀτρείδαν."

λύσῃ ἀντὶ τοῦ λυσάτω· Νόμων ἐνάτῳ (extr.) "παραλαβὼν ὁ κεκτημένος παρὰ τοῦ πληγέντος δεδεμένον αὐτὸν μὴ λύσῃ, πρὶν ἂν ὁ δοῦλος πείσῃ τὸν πληγέντα."

λυσθείς (ἐλυσθείς) κατενεχθείς.

Λυσίας Κεφάλου Συρακούσιος ῥήτωρ, μαθητὴς Τισίου καὶ Νικίου, εἷς τῶν μετὰ Δημοσθένους δέκα ῥητόρων. ἐτέχθη δ' ἐν Ἀθήναις, μετοικήσαντος τοῦ Κεφάλου ἐκεῖσε, γεγονὼς δὲ ἐτῶν ιε' εἰς Θουρίους ᾤχετο σὺν ἀδελφοῖς δύο, κοινωνήσων τῆς ἀποικίας. εἶτα ἐκπεσὼν ἐκεῖθεν ἐπ' ἀττικισμῷ ἐπανῆλθεν εἰς Ἀθήνας, ἄγων ἔτος μζ'. λόγοι δὲ αὐτοῦ λέγονται εἶναι γνήσιοι ὑπὲρ τοὺς τ', καὶ ἕτεροι πρὸς τούτοις ἀμφιδοξούμενοι. τῷ δὲ καθαρῷ τῆς φράσεως οὐδένα ἔσχε μιμητὴν πλὴν Ἰσοκράτους. ἔγραψε δὲ καὶ τέχνας ῥητορικὰς καὶ δημηγορίας ἐγκώμιά τε καὶ ἐπιταφίους, καὶ ἐπιστολὰς ζ', μίαν μὲν πραγματικήν, τὰς δὲ λοιπὰς ἐρωτικάς, ὧν αἱ ε' πρὸς μειράκια.

λυσίζωνος γυνὴ ἡ ἀνδρὶ πλησιάσασα· αἱ γὰρ παρθένοι μέλλουσαι πρὸς μῖξιν ἔρχεσθαι ἀνετίθεσαν τὰς παρθενικὰς αὐτῶν ζώνας τῇ Ἀρτέμιδι.

Λυσικράτης. οὗτος φαρμάκῳ τινὶ ἐμέλαινε τὰς ἑαυτοῦ τρίχας· Ἀριστοφάνης (Eccl. 763) "οὐδ' ἂν εἰ τὸ φάρμακον ἔψουσ' ἔτυχες ᾧ Λυσικράτης μελαίνεται." καὶ αὖθις (657) "ἢ Λυσικράτους ῥὶς ἴσα τοῖσι καλοῖσι φρονήσει," ἐπειδὴ σιμὸς ἦν καὶ αἰσχρὸς καὶ κλέπτης καὶ ἄσημος. καὶ παροιμία "Λυσικράτης δωροδοκῶν" (A Av. 513). στρατηγὸς Ἀθηναίων.

Λυσιμάχεια ὄνομα πόλεως.

Λυσίμαχος. οὗ μὲν Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν (115) μνημονεύει, Ἀριστείδου ἦν υἱὸς τοῦ δικαίου, οὗ δὲ Λυκοῦργος, μελοποιὸς ἦν εὐτελής. Harp.

λύσιοι τελεταὶ αἱ Διονύσου· Βοιωτοὶ γὰρ ἁλόντες ὑπὸ Θρᾳκῶν καὶ φυγόντες ἐς Τροφωνίου, κατ' ὄναρ ἐκείνου Διόνυσον ἔσεσθαι βοηθὸν φήσαντος, μεθύουσιν ἐπιθέμενοι τοῖς Θρᾳξὶν ἔλυσαν ἀλλήλους καὶ Διονύσου λυσίου ἱερὸν ἱδρύσαντο, ὡς Ἡρακλείδης ὁ Ποντικός. Ἀριστοφάνης δὲ διὰ τὸ λυτρώσασθαι Θηβαίους παρὰ Ναξίων ἄμπελον.

Λύσιππος. τῶν δραμάτων αὐτοῦ ἐστὶ Βάκχαι, ὡς Ἀθήναιος λέγει ἐν γ' Δειπνοσοφιστῶν καὶ ἐν τῷ η'. καὶ ἕτερα αὐτοῦ δράματα, Θυρσοκόμος....

Λυσίστρατος καὶ Θούμαντις πένητες· Ἀριστοφάνης (Eq. 1272) "μηδὲν ἐς Λυσίστρατον, μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἑκούσῃ καρδίᾳ."

λυσιτελὲς ἀγαθόν, ὠφέλιμον ἢ συμφέρον, ὅτι λύει τὰ τελούμενα εἰς αὐτό, ὥστε τὴν ἀντικατάλλαξιν τὴν ἐκ τῆς πραγματείας ὑπεραίρειν τῇ ὠφελείᾳ (Diog. L. 7 99). καὶ Διόδωρος ὁ Σικελιώτης φησὶν (t. 2 p. 629) "ὁ δὲ Τρύφων νίκην χρυσῆν κατασκευάσας ἐξαπέστειλεν εἰς τὴν Ῥώμην· ὑπελάμβανε γὰρ τοὺς Ῥωμαίους ἅμα μὲν διὰ τὸ λυσιτελὲς ἅμα δὲ διὰ τὸ εὐοιώνιστον εἶναι προσδέξεσθαι τὴν νίκην."

λυσόμενος (Hom. A 13) λυτρωσόμενος.

λῦσον νόμους ἱερῶν ὕμνων (A Av. 210) ἀντὶ τοῦ ᾆσον.

λύσσα ἡ μανία.

λυσσῶντι (A Lys. 1173) μαινόμενε. κύνα δὲ λυσσητήν· (Synes. ep. 127) "ἀσπίδα φρῦνον ὄφιν καὶ Λαδικέας περίφευγε καὶ κύνα λυσσητὴν καὶ πάλι Λαδικέας."

λυσσομανεῖς ὑπὸ μανίας λελυσσηκότας· (AP 6 219) "ῥομβητοὺς δονέων λυσσομανεῖς πλοκάμους."

λῦτο ἐλύθη, ἐπαύθη· Ὅμηρος (Ω 1) "λῦτο δ' ἀγών."

λύτρα μισθός· ἢ τὰ παρεχόμενα ὑπὲρ ἐλευθερίας ἐπὶ τῷ λυτρώσασθαι βαρβάρων δουλείας.

λυτρωτής. ὁ Δαβίδ φησι "κύριε βοηθέ μου καὶ λυτρωτά μου." κύριος ὡς ποιητὴς καὶ δημιουργός, βοηθὸς δὲ ὡς τὴν ἐκ τοῦ νόμου βοήθειαν δεδωκώς· νόμον γάρ, φησίν, εἰς βοήθειαν ἔδωκε. λυτρωτὴς δὲ ὡς διὰ τῆς παλιγγενεσίας τοῦ βαπτίσματος τῆς προτέρας ἐλευθερώσας φθορᾶς, καὶ τῆς τῶν δαιμόνων δουλείας λυτρούμενος, καὶ ἀφθαρσίαν καὶ ἀθανασίαν δωρούμενος. Theodoret. in Ps. 18 extr.

λυττῶντες μαινόμενοι.

λύχνιον. οὐδετέρως λέγεται τὸ λύχνιον·

"κελεύει τῶν λυχνίων τῶν ἀνακειμένων αὐτῷ (ἀργυρᾶ δὲ ἦν ταῦτα) τὸ ἕτερον φέρειν ἀράμενον ἐμφανῶς."

λυχνιτάριον.

λυχνίτης λίθος.

λύχνον ἐν μεσημβρίᾳ ἅπτεις, ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ τι ποιούντων.

λυχνοῦχος φανός, λαμπτήρ.

λύχνων ἀφάς.

λωβᾶται βλάπτει, λυμαίνεται, ὑβρίζει.

λώβη εἶδος νόσυ, καὶ λωβός ὁ ταύτης μετέχων.

λωβητῆρα ὑβριϛήν. καὶ λωβήτωρ ὁ βλαπτικός· ⟨AP 6 168⟩ "βοτρύων ἀκάμαντα φυτῶν λωβήτορα κάπρον."

Λωγάνιος ὄνομα κύριον.

a λώιον κρεῖσσον, καὶ λωίτερος κρείττων· ⟨AP 7 713⟩ "λωίτερος κύκνου μικρὸς θρόος ἠὲ κολοιῶν κρωγμὸς ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις."

b λώιον βέλτιον.

λῶμα τὸ κράσπεδον.

λώονος τοῦ κρείττονος λόγου.

λῶος ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ αὔγουϛος.

λώπην ἱμάτιον, περίβλημα· ἐν ἐπιγράμματι ⟨AP 5 294⟩ "φρυκτὰς αἰθαλόεντας ἐμῆς ῥιπίσμασι λώπης ἔσβεσα, καὶ διαδὺς λέχριος ἐν θαλάμῳ."

λωπίζω τὸ ἐκδύω.

λώπιον τὸ εὐτελὲς ἱμάτιον, λαῖφος· ⟨AP 6 245⟩ "δέσποτα, χειμερίης ἄνθεμα ναυτιλίης ἀρτήσειν ἁγίοις τόδε λώπιον ἐν προπυλαίοις εὔξατο."

λωποδύτης ἱματίων κλέπτης. ἢ λωποδύτης ὁ νεκροὺς ἐκδύων. καὶ λωποδυτεῖν τὸ ἱμάτια κλέπτειν. "οἱ δὲ τῶν Περσῶν τεθνεῶτες λωποδυτούμενοι καὶ ταφῆς ἀμοιροῦντες τοῖς θηρίοις ἑϛίασις ἦν αὐτοσχέδιος" ⟨Theophyl. Sim. 3 7⟩.

λῶπος ἱμάτιον.

λῶρος.

λῷϛος βέλτιϛος. καὶ ὄνομα κύριον.

Λώτ. οὗτος ἀνεψιὸς ἦν Ἀβραάμ. ἀπῆεσαν οὖν οἱ ἄγγελοι εἰς Σόδομα, ἀφανίσαι τὰς πόλεις διὰ τὰς ἁμαρτίας αὐτῶν. ὁ δὲ Ἀβραὰμ ἱκέτευσε δίκαιον μετὰ ἀσεβοῦς μὴ συναπολέσαι, τάχα διὰ τὸν Λώτ. οἱ δὲ ἄγγελοι ἐν Σοδόμοις γενόμενοι ξενίας ἔτυχον παρὰ τοῦ Λώτ. οἱ δὲ Σοδομῖται ἀποσπᾶν αὐτοὺς ἐπειρῶντο πρὸς διαφθοράν. τοῦ δὲ διὰ φιλοξενίαν ἀντιπροϊσχοντος τὰς θυγατέρας, ὡς οὐκ ἐπείθοντο, οἱ μὲν ὑπὸ τῶν ἀγγέλων ἠφανίζοντο τὰς ὄψεις, ὃ δὲ ἅμα ταῖς θυγατράσι καὶ τῇ συμβίῳ ἐξεπέμπετο, ἥτις μεταϛραφθεῖσα μετεβλήθη εἰς ϛήλην ἁλός. ὁ δὲ Λὼτ εἰς Σηγὼρ διασωθεὶς τῇ τε πόλει παραίτιος ἐγένετο σωτηρίας, τῶν ἀνδρῶν ἀφανισθέντων, ὡς λόγος, τῶν δὲ λοιπῶν δ' διαφθαρεισῶν καὶ τῆς λίμνης ἅμα τῇ γῇ ἀνατραπείσης, κἀν τῷ ὄρει μεθυσθεὶς ταῖς θυγατράσι συνῆλθε, τεκνοῖ τε τὸν Μωὰβ καὶ τὸν Ἀμμών. οἱ δὲ υἱοὶ Ἰσραὴλ ὄντες ἐν Σαττὶν ἐξεπόρνευσαν ταῖς θυγατράσι τῶν Μωαβιτῶν, εἰδωλολατρήσαντες καὶ προσκυνήσαντες τῷ Βεελφεγώρ, καὶ τῶν θυσιῶν μετέλαβον. Μωυσῆς δὲ παρώξυνε κατ' αὐτῶν τοὺς οὐχ ἁμαρτόντας, καὶ ἀνῃρέθησαν δισμύριοι καὶ τετρακισχίλιοι. Φινεὲς δὲ ὁ ἱερεὺς καταλαβὼν Ἰσραηλίτην ὄνομα Ζαμβρῆ συμπεπλεγμένον Μαδιανίτιδι ᾗ ὄνομα Χασβίθ, ἀμφοτέρους διέπειρε καὶ τὸν θυμὸν ἔπαυσε τοῦ θεοῦ.

λωτεῦντα ⟨Hom. M 283⟩ ἀνθοῦντα.

λωτίη ϛέφανος ἐκ λωτῶν.

λωτός βοτάνη εὐώδης, ἣν ἔνιοι μυρόλωτον καλοῦσι. καὶ λωτοὶ ἐπιθαλάμιοί τινες αὐλοί· "ἄρτι γὰρ ἑσπέριοι νύμφας ἐπὶ δικλίσιν ἄχευν λωτοί, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι" ἐν ἐπιγράμματι ⟨AP 7 182⟩ καὶ αὖθις ⟨AP 6 94⟩ "διδύμους τε λωτοὺς κεροβόας, ἐφ' οἷς ποτὲ ἐπωλόλυξεν αὐχένα ϛροβιλίσας." καὶ αὖθις ⟨AP 7 186⟩ "ἄρτι μὲν ἐν θαλάμοις Νικιππίδος ἡδὺς ἐπήχει λωτὸς καὶ γαμικοῖς ὕμνος ἔχαιρε κρότοις."

λωτοφάγος.

λωφῆσαι· ⟨Procop. Arc. 15⟩ "ἦν δὲ Ἰουϛινιανὸς ἐς μὲν ἀνθρώπων φθορὰν ἑτοιμότατος, ἐς δὲ τὸ λωφῆσαι ἀμήχανος." κυρίως δὲ εἴρηται λωφῆσαι ἐπὶ βοῶν τὸ τὸ βάρος ἀπὸ τοῦ τραχήλου ἀποθέσθαι· λόφος γὰρ ὁ τράχηλος.

λωφήσαντος ἀναπαυσαμένου, ἡσυχάσαντος.

λώφησις παῦσις, πτῶσις.

λωφήσομεν ἀντὶ τοῦ παύσομεν.

μά. τοῦτο Ὅμηρος ὡς συλλαβῆς τάξιν ἔχον τίθησι. ποτὲ μέντοι ἀντὶ τοῦ μά τῷ ναί χρῆται, ὡς ⟨A 234⟩ "ναὶ μὰ τόδε σκῆπτρον," ὅτε ὄμνυσιν. ὅτε δὲ ἀπόμνυσί τι,

συζεύγνυσι τὸ τῆς ἀποφάσεως, οἷον (Α 86) "οὐ μὰ γὰρ Ἀπόλλωνα" καὶ ἐν Ὀδυσσείᾳ (υ 339) "οὐ μὰ Ζῆν' Ἀγέλαε." ἡμεῖς δὲ τὸ μά ὡς μέρος λόγου ἀπομνύντες παραλαμβάνομεν, μὰ τὸν Δία λέγοντες. ἔστι δὲ καὶ ἐπίρρημα ἐπευκτικόν.

μαγάς σανὶς τετράγωνος ὑπόκυφος, δεχομένη ἐφ' ἑαυτὴν τὰς τῆς κιθάρας νευρὰς καὶ ἀποτελοῦσα φθόγγον. ἡ τῆς κιθάρας καβάλη καὶ τῆς λύρας, ἡ τὰς νευρὰς βαστάζουσα. ἔστι δὲ καὶ εἰλητικὸν μόριον.

μαγγάνα. ὅτι τὸ οἰνηρὸν ἀγγεῖον ἐκ ξύλων κατεσκευασμένον μαγγάναν Ἰταλοὶ ὀνομάζουσιν.

μαγγανεία ἡ γοητεία· "ὁ δὲ νόσῳ περιέπεσεν ἐκ μαγγανείας χαλεπῇ, καὶ πολλοὺς ἐπὶ τούτῳ ἁλόντας ἐκόλασε." Προκόπιος "καὶ τὸν ἄνδρα μαγγανείαις κατειλήφει πολλαῖς."

μαγγανευτής ὁ μιγνὺς παντοδαπὰ πρὸς φενακισμόν.

μάγγανον παράδοξόν τι. λέγεται δὲ καὶ ἡ γοητεία μαγγανεία. "ὁ δὲ στρατηγὸς τοὺς θεραπευτὰς τῶν μαγγανευμάτων διηρώτα, καὶ ἠξίου ἴχνη πυθέσθαι προρρήσεως παρὰ τῶν μάγων."

Μαγδαληνή ἀπὸ τόπου.

μαγεία ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν πρὸς ἀγαθοῦ τινὸς σύστασιν, ὡς τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα. γοητεία δὲ ἐπίκλησίς ἐστι δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους γινομένη. φαρμακεία δὲ ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον ἢ ἄλλως δοθῇ τισὶ διὰ στόματος. ἡπατοσκοπία δὲ ἡ τῶν ἐγκάτων ἀνατομή, δι' ὧν προεμήνυον τὰ συμβησόμενα· ἀνατέμνοντες γὰρ σημεῖά τινα ἐθεώρουν ἐν τοῖς ἥπασι. cf. v. γοητεία.

μάγειρος ὁ τὰς μάζας μερίζων. καὶ μαγειρεῖον.

μαγῆα τὸν ἀπομάσσοντα· (AP 6 306) "τόν τε μαγῆα σπόγγον ὑπὸ στιβαρῷ κεκλιμένον κοπίδι."

μὰ γῆν, μὰ παγίδας, μὰ νεφέλας, μὰ δίκτυα. οὕτω καὶ τὰ τυχόντα ὤμνυον, μὰ κρήνας, μὰ ποταμούς. Ἀριστοφάνης Ὄρνισι (194).

μαγική. ταύτην ἐφεῦρον Μῆδοι καὶ Πέρσαι.

μαγίς μάχαιρα.

μαγὶς ἄρτου (Iudic. 7 13) οἷον μέρος ἄρτου, ἢ ψωμός, ἢ ἐγκρυφίας.

μαγίστερ διδάσκαλε. καὶ μαγιστερία ἀρχή· "προβάλλεται δὲ καὶ Θεόδωρον τῇ μαγιστερίᾳ ἀρχῇ παρὰ Ῥωμαίοις τιμώμενόν τε καὶ γεραιρόμενον" (Theoph. Sim.).

μαγιστριανός ὁ καστρήνσιος· "Οὐράνιος ὁ καθωσιωμένος μαγιστριανὸς γράμματα ἀποδέδωκε τῷ ἐπισκόπῳ."

Μάγκινον ὄνομα.

μαγκίπατος ὁ χειράφετος παρὰ Ῥωμαίοις.

Μάγνης Ἰκαρίου πόλεως Ἀττικῆς ἢ Ἀθηναῖος, κωμικός. ἐπιβάλλει δ' Ἐπιχάρμῳ νέος πρεσβύτῃ. ἐδίδαξε κωμῳδίας θ', νίκας δὲ εἷλε β'. οὗτος ἀρχαίας κωμῳδίας ποιητής, "ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια, πάσας δ' ὑμῖν φωνὰς ἱεὶς καὶ ψάλλων καὶ πτερυγίζων καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης, ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη" (A Eq. 518). ψάλλων δὲ τοὺς Βαρβιτιστάς· δρᾶμα δέ ἐστι τοῦ Μάγνητος, ἡ δὲ βάρβιτος εἶδος ὀργάνου μουσικοῦ. πτερυγίζων δὲ ὅτι καὶ Ὄρνιθας ἐποίησε δρᾶμα. ἔγραψε δὲ καὶ Λυδοὺς καὶ Ψῆνας καὶ Βατράχους. ἔστι δὲ χρώματος εἶδος τὸ βατράχειον· ἀπὸ τούτου καὶ βατραχὶς ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα.

Μάγνης ἀνὴρ Σμυρναῖος, καλὸς τὴν b ἰδέαν, εἴ καί τις ἄλλος, ποιήσει τε καὶ μουσικῇ δόκιμος· ἤσκητο δὲ καὶ τὸ σῶμα διαπρεπεῖ κόσμῳ, ἁλουργῆ ἀμπεχόμενος καὶ κόμην τρέφων χρυσῷ στρόφῳ κεκορυμβωμένην, περιῄει τε τὰς πόλεις ἐπιδεικνύμενος τὴν ποίησιν. τούτου δὲ καὶ ἄλλοι μὲν πολλοὶ ἤρων, Γύγης δὲ καὶ μᾶλλόν τι ἐφλέγετο καὶ αὐτὸν εἶχε παιδικά. γυναῖκάς γε μὴν πάσας ἐξέμηνεν ἔνθα ἐγένετο ὁ Μάγνης, μάλιστα δὲ τὰς Μαγνήτων, καὶ συνῆν αὐταῖς. οἱ δὲ τούτου συγγενεῖς ἀχθόμενοι ἐπὶ τῇ αἰσχύνῃ, πρόφασιν ποιησάμενοι ὅτι ἐν τοῖς ἔπεσιν ᾖσεν ὁ Μάγνης Λυδῶν ἀριστείαν ἐν ἱππομαχίᾳ πρὸς Ἀμαζόνας, αὐτῶν δὲ οὐδὲν ἐμνήσθη, ἐπαΐξαντες περικατέρρηξάν τε τὴν ἐσθῆτα καὶ τὰς κόμας ἐξέκειραν καὶ πᾶσαν λώβην προσέθεσαν. ἐφ' οἷς ἤλγησε μάλιστα Γύγης, καὶ πολλάκις μὲν ἐς τὴν Μαγνήτων γῆν ἐνέβαλε,

τέλος δὲ καὶ χειροῦται τὴν πόλιν. ἐπανελθὼν δὲ ἐς Σάρδεις πανηγύρεις ἐποιήσατο μεγαλοπρεπεῖς. Nicol. Dam. exc. Peir. p. 451.

Μαγνησία τόπος.

Μαγνῆτις. λίθος τίς ἐςιν οὕτω καλούμενος, ὃς ἔχει φυσικὴν ἐνέργειαν ἕλκειν πρὸς ἑαυτὸν τὸν σίδηρον. "ἦν δὲ ἐν Ἀλεξανδρείᾳ τῆς Αἰγύπτου ἐν τῷ σαραπείῳ πλάνης καὶ κακουργίας τοιοῦτόν τι μηχάνημα· ξόανον κατασκευάσαντες ἐκ χαλκοῦ, καὶ ἐν τῇ κεφαλῇ σίδηρον ἔνδοθεν καθηλώσαντες, τὸν λίθον τοῦτον ἐν τοῖς φατνώμασιν ἄνωθεν τῆς ςέγης ἔπηξαν ἀπὸ διαμέτρου. τὸ δὲ ὑπὸ τῆς φυσικῆς βίας ἑλκόμενον τοῦ λίθου (μετέωρον γὰρ ἐκρέματο) διὰ πολλὴν μηχανὴν καὶ τέχνην ἐκρατεῖτο μέσον ἐδάφους καὶ ὀρόφου, θαυμαζόμενον καὶ μὴ παντελῶς κατασπώμενον." cf. Cedrenus p. 325.

Μαγνήτων κακά. "καὶ οὔτε τί φῶ περὶ αὐτῶν ἀξίως ἔχω, κἂν τὰ Μαγνήτων κακά, κἂν τὸ Τερμέριον, κἂν πᾶσαν ἁπλῶς αὐτοῖς ἐπιφθέγξωμαι τὴν τραγῳδίαν μετὰ τοῦ σατύρου καὶ τῆς κωμῳδίας καὶ τοῦ μίμου. οὕτω πᾶσα μὲν αἰσχρότης πᾶσα δὲ ἀπόνοια πρὸς ὑπερβολὴν ἐπ' ἐκείνοις τῷ ἀνδρὶ πεφιλοτέχνηται" ⟨Iulian. or. 7 p. 210⟩.

Μάγοι παρὰ Πέρσαις οἱ φιλόσοφοι καὶ φιλόθεοι, ὧν ἦρχε Ζωροάςρης, καὶ μετὰ τοῦτον κατὰ διαδοχὴν Ὀςάναι καὶ Ἀςράμψυχοι. Diog. L. prooem.

μάγος. μάγους ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας ἑαυτοῖς. ἀπὸ τούτου δὲ καὶ τοὺς φαρμακοὺς μάγους ἔλεγον. Σοφοκλῆς ⟨OR 387⟩ "ὑφεὶς μάγον τοιόνδε μηχανορράφον."

Μάγωνος.

μαγώτερα θελκτικώτερα· ἐν ἐπιγράμματι ⟨AP 5 121⟩ "ἀλλὰ σελίνων οὐλοτέρη καὶ μνοῦ χρῶτα τερεινοτέρη, καὶ κεσοῦ φωνεῦσα μαγώτερα."

μάδδαν ⟨A Ach. 732⟩ μᾶζαν, τροφήν. οὕτως οἱ Μεγαρεῖς διὰ δύο δ.

μὰ Δία. οὐκ ἐπὶ τοῦ μὰ τὸν Δία ἔλεγον, ὡς οἴονταί τινες· ἐχρῶντο δὲ αὐτῷ ἀντὶ τοῦ μὰ Δία, ὥσπερ καὶ τῷ νὴ Δία ἐπὶ τοῦ ναί, ὅθεν καὶ ναὶ Δία λέγουσι καὶ ναὶ μὰ Δία· Ἀριςοφάνης Πλούτῳ ⟨187⟩ "ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα." ἐπὶ κατωμοτικοῦ τὸ μὰ Δία, ὅταν αὐτοῦ προτάττηται τὸ ναί. cf. v. νὴ τὴν ἱερὰν κεφαλήν.

Μαδιάμ ὄνομα κύριον. καὶ Μαδιανῖτις χώρα, καὶ Μαδιηναῖοι.

μαδῶντα ⟨A Plut. 266⟩ φαλακρόν, καθόλου τρίχας μὴ ἔχοντα.

μᾶζα ἄρτος, φύραμα, ἢ ὁ ςριφνὸς ἄρτος. "ὅςις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην τὴν μᾶζαν ἐσθίει, ὅςις δὲ ἀρτοσιτεῖ, ὕδατι δεδευμένον ἄρτον" ⟨X Cyr. 6 2 18⟩.

μᾶζα κυρίως ἡ τροφὴ ἡ ἀπὸ γάλακτος καὶ σίτου, παρὰ τὸ μάττεσθαι. προπερισπᾶται. ἐπὶ δὲ τοῦ κανθάρου Ἀριστοφάνης καταχρηςικῶς κέχρηται· οὐ γὰρ τὴν ἐξ ἀλφίτων φυραθεῖσαν δηλοῦν θέλει (οὐ γὰρ αὕτη κανθάρων τροφή) ἀλλὰ τὸ ἀποπάτημα, τουτέςι τὴν κόπρον. πίτυρα δέ τινα ἔματτον οἱ οἰκέται· κόπρον γὰρ φυρᾶν ἄπιςον. "αἶρ' αἶρε μᾶζαν ὡς τάχιςα κανθάρῳ" ⟨sch. A Pac. 1⟩. καὶ παροιμία ἐπὶ τῶν ἀλλοτρίοις πόνοις ἐγκαυχωμένων· "μᾶζαν μεμαχὼς τὴν ὑπ' ἐμοῦ μεμαγμένην." ⟨A Eq. 54⟩ "καὶ πρώην γ' ἐμοῦ μᾶζαν μεμαχότος Λακωνικήν, πανουργοτάτως παραδραμών, ὑφαρπάσας αὐτὴν παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην" καὶ ἐν ἑτοίμῳ γενομένην. τοῦτο δὲ ἀπὸ ἱςορίας εἴληφεν, ἧς μέμνηται Θουκυδίδης.

μάζης ὤνιον ἄρτου πρᾶσις.

μαζίσκας διαμεμιγμένας ἀντὶ τοῦ πεφυραμένας.

μαζονομεῖον ἀγγεῖόν τι.

μαζουρώθ τὰ συςήματα τῶν ἀςέρων, ἃ ἐν τῇ συνηθείᾳ ζῴδια καλοῦνται. ἑβραιςὶ δέ τινές φασι λέγεσθαι τὴν λέξιν, σημαίνειν δὲ καὶ τὸν ἀςρῷον κύνα. Chrysost. in Ioh. 38 32.

μαζῶντες τρυφῶντες.

μάθημα ἐπιτήδευμα, ἀσχόλημα, δίαιτα, διαγωγή, πρόφασις, ἀφ' ἧς μέλλομεν περὶ τὰ πράγματα διατρίβειν ⟨sch. A Plut. 924⟩. μεταμαθεῖν δέ ἐςι τὸ παύσασθαι. cf. v. μεταμαθεῖν.

μαθητεία ἡ μάθησις.

μαθητιῶ μαθεῖν ἐπιθυμῶ· Ἀριςοφάνης Νεφέλαις ⟨183⟩ "μαθητιῶ γάρ. ἀλλ' ἄνοιγε τὴν θύραν."

μαθὼν ἰδών· "ὁ δὲ Κελτὸς μαθὼν ἐγέλασε, καὶ κατέσκωπτεν ὡς ἀνὴρ παιδὶ μέλλων διαγωνιεῖσθαι." καὶ αὖθις "ὡς ἔμαθε κἀκεῖνον ἀνιςάμενον" ἀντὶ τοῦ εἶδε. καὶ Ἀριςοφάνης ⟨Av. 382⟩ "μάθοι γὰρ ἄν τις κἀπὸ τῶν ἐχθρῶν σοφόν."

μαῖα ἡ μάμμη, ἡ τροφός· ⟨AP 6 334⟩ "καὶ σὺ τετράγλωχιν μηλοσσόε μαιάδος Ἑρμᾶ," ἀντὶ τοῦ τροφοῦ, μητρός.

Μαίανδρος ποταμὸς Λυδίας· ἐν ἐπιγράμμασιν ⟨AP 6 110⟩ "ἔκτανε Μαιάνδρου πὰρ τριέλικτον ὕδωρ." καὶ Μαιάνδριον ὕδωρ καὶ πεδίον.

μαιεία ἡ μαίευσις.

μαιεύεται· Πισίδης "μαιεύεται δὲ πᾶν τὸ τῆς Ῥώμης γένος, τοὺς σοὺς ἐπαίνους ἐκπιέζον ὡς γάλα."

μαιευμένην ἀντὶ τῦ νεοττοτροφῦσαν· "εὗρον γυναῖκα ὄρνιθας μαιευομένην."

μαιευόμενοι ζητοῦντες, ἐρευνῶντες.

μαιευτικῆς ἰατρικῆς.

μαιεύτρια.

Μαικήνας ὄνομα κύριον· "ἐν τῷ συνδείπνῳ τοῦ Μαικήνα τράπεζα ἐγγώνιος ἦν" ἀντὶ τῦ οὐ ϛρογγύλη οὐδὲ περιφερής. Πλύταρχος (cf. v. Ἰόρτιος).

μαιμακτηριὼν ὁ πέμπτος μὴν παρ' Ἀθηναίοις, ὁ ἰανουάριος. ὠνομάσθη δὲ ἀπὸ Διὸς μαιμάκτυ, μαιμάκτης δέ ἐϛιν ὁ ἐνθυσιώδης καὶ ταρακτικός. ἀρχὴν δὲ λαμβάνοντος τοῦ χειμῶνος ἐν τούτῳ τῷ μηνὶ ὁ ἀὴρ ταράττεται καὶ μεταβολὴν ἴσχει. Harp.

Μαιμαλίδης.

μαιμάσσει σφύζει, προθυμεῖται, καταδαπανᾶται, καταναλίσκεται, κυματῦται, πηδᾷ, καχλάζει, κλονεῖται.

Μαιμάχης.

μαιμόωσα καὶ μαιμῶσα ⟨Hom. E 661⟩ ἐνθυσιῶσα καὶ ὀξέως ὁρμῶσα· ἢ τοῦ αἵματος γευϛικῶς ἔχουσα, τοῦ μ πλεονάζοντος. καὶ Σοφοκλῆς ἐπὶ τῦ διψῶσαν ⟨Ai. 50⟩ "καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;" καὶ αὖθις ⟨AP 6 268⟩ "δεινὸν μαιμώσαις ἐγκονέουσα κυσί."

μαινάδας μαινομένας, ζητέσας βακχεύειν, παραφόρους. καὶ Ἀριϛοφάνης ⟨Thesm. 477⟩ "μισῶ τὸν ἄνδρ' ἐκεῖνον, εἰ μὴ μαίνομαι."

Μαιναλία ἔλαφος. καὶ μαιναλίων ὁρμητικῶν· ἐν ἐπιγράμμασι ⟨AP 6 112⟩ "ἄγκειται κεφαλαὶ μαιναλίων ἐλάφων."

Μαίναλος ὄνομα κύριον.

μαινὰς βάκχη.

μαίνεται ὀργίζεται.

μαινὶς μαινίδος εἶδος ἰχθύος.

μαινόλης μανικός.

μαίνω ἐνθουσιωδῶς κινοῦμαι.

Μαιονίδας Ὅμηρος. ⟨AP 7 213⟩ "εἰ δ' ἑάλως, συγγνωςόν, ἐπεὶ καὶ κοίρανος ὕμνων Μαιονίδας γρίφων ἰχθυβόλων ἔθανε." ⟨AP 7 2⟩ "τὰν ἴσα μούσαις φθεγξαμέναν κεφαλάν, ὦ ξένε, Μαιονίδεω."

Μαίονος ὄνομα κύριον.

Μαιοτάλιμνος ὄνομα τόπυ ⟨an Μαιῶτιν λίμνην A Nub. 273⟩.

Μαιόταλμος ποταμός.

μαϊουμᾶς. πανήγυρις ἤγετο ἐν τῇ Ῥώμῃ κατὰ τὸν μάιον μῆνα. τὴν παράλιον καταλαμβάνοντες πόλιν τὴν λεγομένην Ὀσίαν οἱ τὰ πρῶτα τῆς Ῥώμης τελοῦντες ἡδυπαθεῖν ἠνείχοντο, ἐν τοῖς θαλαττίοις ὕδασιν ἀλλήλους ἐμβάλλοντες· ὅθεν καὶ μαϊουμᾶς ὁ τῆς τοιαύτης ἑορτῆς καιρὸς ὠνομάζετο. ἐτέλουν δὲ μέχρις Ἀναϛασίου βασιλέως οἱ ἐν Κωνϛαντινουπόλει πανήγυριν τῶν βρυτῶν, καὶ ταύτην Ἀναϛάσιος ἔπαυσε. καὶ τὴν τῶν κυνῶν δὲ ἐτέλουν πανήγυριν οἱ Ῥωμαῖοι κατὰ τὸν αὔγουϛον μῆνα, ἀναιροῦντες αὐτοὺς ἐκ τῆς ἁλώσεως τῆς ὑπὸ Γάλλων, διότι ἀνύλακτοι ἔμειναν τῶν χηνῶν ἐκβοησάντων.

Μαῖρα ὄνομα κύριον.

μαΐϛωρος τοῦ διδασκάλου.

μαιωθήσονται λοχευθήσονται, γεννηθήσονται, θεραπευθήσονται.

Μαΐωρ Ἀράβιος σοφιϛὴς ἔγραψε περὶ ϛάσεων βιβλία ιγ', συνεχρόνισε δὲ Ἀψίνῃ καὶ Νικαγόρᾳ, ἐπὶ Φιλίππου τοῦ Καίσαρος καὶ ἐπάνω.

μαιώρεις οἱ πρεσβῦται.

Μαιωτικὴ χώρα.

Μαιῶτις λίμνη Σκυθίας.

μαίωτρα μαιώτρων.

μάκαιραν μακαρίαν.

μάκαρι σὺν τύχᾳ ἀντὶ τοῦ μακαρίᾳ· Ἀριστοφάνης ⟨Av. 1706⟩ "περιπέτεσθε τὸν μάκαρα μάκαρι σὺν τύχᾳ." καὶ αὖθις Ἀριϛοφάνης ⟨Vesp. 1266⟩ "ὦ μακάρι' Αὐτόμενες, ὥς σε μακαρίζομεν. παῖδας ἐφύτευσας ὅτι χειροτεχνικωτάτους."

μακαρία ὁ ὄλεθρος. θυγάτηρ τῦ Ἅδυ. καὶ παροιμία "βάλλ' ἐς μακαρίαν," ἀντὶ τῦ εἰς δειλαιότητα καὶ πανωλεθρίαν. ἢ βάλλ' ἐς μακαρίαν κατ' εὐφημισμόν, ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται. καὶ Ἡρακλέους θυγάτηρ, ἣν Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανῦσαν πολυτελῶς ἔθαψαν. sch. A Eq. 1148.

Μακαρίαινος ὄνομα κύριον.

μακάριος ὁ ἐν ἀγαθοῖς πάντοτε ὤν. λέγεται δὲ καὶ ὁ θεὸς μακάριος καὶ πιϛὸς καὶ μόνος δυνάϛης. μετέδωκε δὲ ὁ μεγαλόδωρος τοῦ ὀνόματος τοῖς εὐσεβῶς ζῶσιν, ὥσπερ καὶ τοῦ θεός· "ἐγὼ εἶπα, θεοὶ ἐϛέ." καὶ ἄλλα πλεῖϛα ὀνόματα τοιαῦτά εἰσι. Theodoret. in Ps. 1.

Μακάριος. δύο ἐγένοντο Μακάριοι ὁμώνυμοι καὶ περιβόητοι δι' ἄσκησιν, διὰ βίον, διὰ τρόπον, διὰ τὰ μαθήματα. ὁ μὲν Αἰγύπτιος θαυματουργὸς ἦν καὶ μετὰ τοῦ εὐλαβοῦς πρὸς τοὺς ἐντυγχάνοντας αὐϛηρός· ὁ δὲ Ἀλεξανδρεὺς κατὰ πάντα ὢν παραπλήσιος τῷ Αἰγυπτίῳ, πρὸς τὺς ἐντυγχάνοντας ἦν ἱλαρὸς καὶ τῷ χαριεντίζεσθαι τοὺς νέους ἦγε πρὸς ἄσκησιν. τούτων Εὐάγριος γενόμενος μαθητὴς τὴν δι' ἔργων φιλοσοφίαν ἐκτήσατο, πρότερον λόγῳ μόνῳ φιλόσοφος ὤν· ὃς ἐν Κωνϛαντινουπόλει ὑπὸ Γρηγορίου τοῦ θεολόγυ εἰς τὴν τοῦ διακόνου προεχειρίσθη τάξιν, ἀλλὰ καὶ ἐς τὴν Αἴγυπτον κατελθὼν καὶ τοῖς προλεχθεῖσιν ἐντυχὼν ἀνδράσι τὸν ἐκείνων βίον ἐζήλωσε. τύτῳ καὶ βιβλία ἄγαν σπουδαῖα συγγέγραπται, ὧν τὸ μὲν Μοναχὸς ἢ περὶ πρακτικῆς ἐπιγέγραπται, τὸ δὲ Γνωϛικὸς ἢ περὶ τῶν καταξιωθέντων γνώσεως (κεφάλαια δὲ αὐτοῦ ν'), τὸ δὲ Ἀντιρρητικόν, πρὸς τοὺς πειράζοντας δαίμονας, ἐν η' διῃρημένον μέρεσι κατὰ τὸν ἀριθμὸν τῶν η' λογισμῶν· καὶ χ' προγνωϛικὰ προβλήματα, καὶ ϛιχηρὰ β', ἓν πρὸς τοὺς ἐν κοινοβίοις ἢ συνοδίαις μοναχύς, καὶ ἓν πρὸς τὴν παρθένον. καί φησι κατὰ λέξιν οὕτως "ἀναγκαῖον τὰς ὁδοὺς τῶν προοδευσάντων μοναχῶν ὀρθῶς διερωτᾶν καὶ πρὸς αὐτὰς κατορθοῦσθαι. πολλὰ γάρ ἐϛιν ὑπ' αὐτῶν ῥηθέντα καὶ πραχθέντα καλῶς· ἐν οἷς καὶ τοῦτό τις ἔφησεν, ὅτι τὴν ξηροτέραν καὶ ἀνώμαλον δίαιταν, ἀγάπῃ συζευχθεῖσαν, θᾶττον διάγειν τὸν μοναχὸν εἰς ἀπάθειαν." Socrat. 4 23.

μακαρίτας τοὺς τεθνεῶτας, εὐφήμως, ὡς μακαρίων ὄντων τῶν τελευτησάντων, ὅτι οὐκέτι αἰσθάνονταί τινος δεινοῦ. Δωριέων τινὲς αὐτοὺς ζαμερίτας καλοῦσιν, οἷον τῆς μείζονος μερίδος ἤδη κεκοινωνηκότας· τὸ γὰρ ζα ἐπὶ τοῦ μεγάλου τίθεται. Ἀριϛοφάνης Πλούτῳ ⟨555⟩ "ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτῦ κατέλεξας, εἰ φεισάμενος καὶ μοχθήσας καταλείψει μηδὲ ταφῆναι." κατεχρήσατο δὲ ἀντὶ τοῦ μακάριον. εἰ μὴ ἄρα παίζει, οἷον νεκροῦ βίον.

μακάρων νῆσοι ἡ ἀκρόπολις τῶν ἐν Βοιωτίᾳ Θηβῶν τὸ παλαιόν, ὡς Ἀρμενίδας.

μακεδνῆς ἴσως μηκεδανῆς, ἢ κατ' ἐπίτασιν λίαν κεδνῆς.

Μακεδόνειος πόλις τῶν Μακεδόνων. *Μακεδονία* δὲ χώρα.

Μακεδόνιος. οὗτος πλεῖϛα ὅσα κακὰ κατὰ Χριϛιανῶν ἐνεδείξατο, καὶ τὸν κολοφῶνα τῶν κακῶν οἷς ἔδρασεν ἐπιτίθησι· πυθόμενος γὰρ κατὰ τὸ Παφλαγόνων ἔθνος πλείϛους εἶναι τῆς Ναυατικῆς θρησκείας, καὶ μάλιϛα κατὰ τὸ Μαντίνιον, συνιδών τε ὡς οὐχ οἷόν τε τοσοῦτο πλῆθος δι' ἐκκλησιαϛικῶν ἀνθρώπων ἐλαύνεσθαι, τετραρίθμους ϛρατιώτας γνώμῃ τοῦ βασιλέως ἐπὶ τὴν Παφλαγονίαν πεμφθῆναι πεποίηκεν, ὅπως φόβῳ τῶν ὁπλιτῶν τὴν Ἀρειανικὴν δόξαν προσδέξωνται. οἱ δὲ ἐκεῖσε ζήλῳ τῆς θρησκείας ἀπονοίᾳ κατὰ τῶν ϛρατιωτῶν ἐχρήσαντο· καὶ συμβολῆς γενομένης τῶν μὲν Παφλαγόνων συχνοὶ πίπτυσι, τῶν δὲ ϛρατιωτῶν πλὴν ὀλίγων πάντες. διὰ τοῦτο προσέκρουσε τῷ βασιλεῖ, ἄλλως τε καὶ ὅτι μετέθηκε τὰ λείψανα τοῦ μεγάλου Κωνϛαντίνου· οἱ γὰρ λαοὶ διεκώλυον τοῦτο, ἀνόσιον εἶναι λέγοντες, καὶ συμβαλόντες μάχῃ πολλοὶ ὅσοι πίπτουσι. ὕϛερον δὲ καὶ καθῃρέθη ὁ Μακεδόνιος. Socrat. 2 38.

Μακεδὼν Μακεδόνος. τὸ θηλυκὸν Μακέτις.

μάκελλα δίκελλα· Ἀριϛοφάνης ⟨Av. 1230⟩ "ὦ μῶρε μῶρε, μὴ θεῶν κίνει φρένας δεινάς, ὅπως μή σου γένος πανώλεθρον Διὸς μακέλλῃ πᾶν ἀναϛρέψῃ δίκη." ἐπὶ τῶν βλασφήμων εἴρηται.

μακκοᾷ ἀνοηταίνει, ἐνεόν ἐϛιν. ἔφαμεν δὲ ὅτι ἡ Μακκὼ ἐνεὰ ἦν. Ἀριϛοφάνης ⟨Eq. 397⟩ "καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον." καὶ *μεμακκοακότα* ⟨Eq. 62⟩ ἀντὶ τοῦ ἀνοηταίνοντα.

Μακκὼ καὶ Λαιμὼ γυναῖκες, αἳ ἐγένοντο ἐνεαί, τουτέϛι βαρέως νοοῦσαι. sch. A Eq. 62.

μακρὰ γραμμὴ ἡ καταδικάζουσα· ὁ δ' ἀπολύων βραχεῖαν ἐσημειοῦτο.

μακραίωνας μακροβίυς. Σοφοκλῆς ⟨OR 518⟩ "οὔτοι βίυ μοι τοῦ μακραίωνος πόθος

φέροντι τήνδε βάξιν," ἀντὶ τοῦ οὐ βούλομαι ζῆν ἐπὶ ταύτῃ τῇ φήμῃ.

μακραίωνι σχολῇ πολυχρονίῳ, βραδεῖ ἀγῶνι. Σοφοκλῆς ⟨Ai. 194⟩.

μακρὰν οὐσίαν. οὕτω λέγουσι τὴν πολλὴν Ἀττικοί.

μακρὰ χαίρειν οἰμώζειν, στενάζειν.

μακρέτειος ὁ πολυχρόνιος.

Μακροκέφαλοι. ἔθνος ἐστὶν οὕτω καλούμενον. Παλαίφατος δέ φησιν, ἐν ζ΄ τῶν Τρωικῶν, ἐν τῇ Λιβύῃ ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους. Harp.

μακρὸν ποιῶ ἀντὶ τοῦ μηκύνω. οὕτω Φιλιππίδης.

μακροπόνηρος.

μακρούς· ⟨A Ach. 302⟩ "σοῦ δ' ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι μακρούς." οὐ λέγει ὅτι τοὺς μακροὺς οὐ προσήσομαι, ἀκούσομαι δὲ τοὺς διὰ συντομίας λεγομένους, ἀλλ' ὅτι πάντες λόγοι μακροὶ πεφύκασι κρινόμενοι πρὸς πρᾶξιν, εἰ πέπρακται.

μακροχρονῶ.

a μακρῷ ἀντὶ τοῦ πολύ· Εὐνάπιος ⟨cf. v. Καρῖνος⟩ "Καρῖνος ὁ βασιλεὺς γενόμενος ... μακρῷ παρῆλθε." καὶ αὖθις ⟨A Vesp. 1343⟩ "τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ."

b μακρῷ ἀντὶ τοῦ κατὰ πολύ· Ἡρόδοτος ⟨9 71⟩ "ἄριστος ἐγένετο μακρῷ Ἀριστόδημος κατὰ γνώμας τὰς ἐμάς." καὶ αὖθις "μακρῷ διέστηκε."

Μάκρωνος ἐθνικόν.

μάκτρα θυΐα ἐπιμήκης, ἐν ᾗ μάττουσι τὰ ἄλευρα. Ἀριστοφάνης Πλούτῳ ⟨545⟩ "ἀντὶ δὲ μάκτρας, πιθάκνης πλευρὰν ἐρρωγυῖαν."

μάλα εἰκότως πάνυ δικαίως.

Μαλακηνός ὄνομα κύριον.

μαλακία ῥαθυμία, νόσος· ⟨Polyb. 3 79⟩ "καὶ μάλιστα διὰ τὰς μαλακίας τῶν Κελτῶν καὶ φυγοπονίας ὥρισε τὸν ἀδελφὸν οὐραγεῖν."

μαλάκια ὅσα τῶν ἐνύδρων ὀστέα οὐκ ἔχει, οἷον σηπία πολύπους. ταῦτα δὲ καὶ ἄναιμά ἐστι καὶ ἄσπλαγχνα ⟨Aelian. N. A. 11 37⟩. τινὲς δὲ μαλάκεια διὰ διφθόγγου γράφουσι.

μαλακίζεσθαι. ἐν ταῖς νόσοις φασὶν Ἀττικοὶ τὰς μὲν γυναῖκας μαλακίζεσθαι, τοὺς δὲ ἄνδρας ἀσθενεῖν.

μαλακίων ⟨A Eccl. 1050⟩ ὁ μαλακός.

μαλακὸν ἁπαλόν, ἢ καὶ ἀσελγές. "ὃ δὲ οὐ πάνυ δεξιῶς ὑπεξῆλθεν ἀθυμίᾳ, καὶ πληγῶν πλειόνων γενομένων διὰ τὸ μαλακῶς τὸν τράχηλον παρασχεῖν."

μαλακός. ὅτι πάντων φρονιμώτερον ζῷον ὁ ἄνθρωπος, καὶ τὴν γεῦσιν, ἁφὴν οὖσαν, ἀκριβεστέραν ἔχει, διότι μαλακώτερος καὶ τὴν ἁφὴν αἰσθητικώτερος. θᾶττον γὰρ διαφορεῖται τὰ περιττώματα, καὶ οὐκ ἐπιθολοῦται αὐτοῦ τὸ φανταστικὸν καὶ λογιστικόν. ἐπιστῆσαι δὲ χρὴ μήποτε ὡς ὑλικὸν αἴτιον αἰτιᾶται τὴν σάρκα· οὐ γὰρ ποιητική ἐστι φρονήσεως ὡς συναίτιον. διὰ γὰρ τὸν σύνδεσμον διατίθεται τὰ ψυχικὰ κινήματα ταῖς τοῦ σώματος κράσεσιν, οὐ γεννώμενα ὑπὸ τῆς κράσεως, ἀλλ' οὐκ ἄνευ τῆς τοιᾶσδε κράσεως τοιῶσδε ἢ τοιῶσδε ἐνεργοῦντα. εἰ δέ τινα εἴη ἄλλα τοῦ ἀνθρώπου μαλακωτέραν ἔχοντα σάρκα, οἷον οἱ σκώληκες, τοῖς ἄλλοις δῆλον ὅτι ἐλλείπουσιν· οὐ γὰρ ἔχουσι τέλειον τὸ φανταστικόν· ἀλλὰ νῦν περὶ τῶν τελείων ζῴων ὁ λόγος. τάχα δὲ οὐδὲ σὰρξ ἡ τῶν σκωλήκων, ὡς οὐδὲ τῶν μυιῶν. ὅτι δὲ τῷ μαλακωτέραν ἔχειν τὴν σάρκα ὁ ἄνθρωπος φρονιμώτερος, σημεῖόν ἐστι τὸ τοὺς μαλακωτέρους τῶν ἀνθρώπων φρονιμωτέρους καὶ εὐφυεστέρους εἶναι, τῶν ἄλλων πάντων διαθέσεων καὶ φυσικῶν ἰδιωμάτων ὁμοίως ἐχόντων. διὸ καὶ τοὺς ἀνοήτους παχυδέρμους καλοῦμεν. Philopon. in Ar. de anima, M 111.

μαλακόστρακοι ἰχθύες, ὅσα ἐκδύεται, οἷον ἀστακοὶ καρίδες πάγουροι καρκίνοι. ταῦτα δὲ μόνα ἐκδύονται. cf. Aelian. N. A. 11 37.

μαλάσσου ⟨S Ai. 594⟩ ἀντὶ τοῦ μεταβάλλου.

Μαλαχίας ὄνομα κύριον.

Μαλέας ἀκρωτήριον καὶ ὄρος.

Μάλειον ὄρος· "Μαλειάων ὄρος αἰπύ" Ὅμηρος ⟨γ 287⟩.

Μάλεος ὄνομα κύριον, Φαιστὸς πόλις Κρήτης. Ὅμηρος ⟨γ 296⟩ "ἐς Φαιστόν· μικρὸς ⟨al. Μαλέου⟩ δὲ λίθος μέγα κῦμ' ἀποέργει." Μάλεος γάρ τις τελέσας τὸν λίθον τοῦτον ἀνιέρωσε τῷ Ποσειδῶνι πρὸς τὸ μὴ τὰ κύματα προσπελάζειν τῇ Φαιστῷ.

μαλερὸν λαμπρόν, σποδόεν, ἰσχυρόν, ὀξύ, ἀσθενές, ξηρόν, δριμύ. τὸ δὲ μαλερὸν πῦρ τὸ ὀξὺ ἢ μαραντικόν, σφοδρόν. καὶ μαλερὰς φρένας τὰς ἀσθενεῖς καὶ ξηράς. ⟨AP 6 207⟩ "ῥιπίδα τὰν μαλερὸν θάλπος ἀμυνομέναν."

μαλθακὸν ἔκλυτον, μαλακόν. ⟨AP 7 95⟩ "ὃ δ' αὐτὸν ἐξάγαγεν βιότου μαλθακίῃ σοφίης."

μαλθακώτερον πρὸς τὸ ἡδύτερον τοῦ βίου καὶ εὖ ἔχον· Ἀριστοφάνης Βατράχοις (542) "τὸ δὲ μεταστρέφεσθ' ἀεὶ πρὸς τὸ μαλθακώτερον δεξιοῦ πρὸς ἀνδρός ἐστι καὶ φύσει Θηραμένους."

μαλθάξαι ἀγαθῦναι, καταπραῦναι. "τοὺς μὲν δώροις μαλθασσομένους καὶ ἐς τὰς κλήσεις συνιέναι" (Diog. L. 4 8). καὶ αὖθις "τὸ γὰρ δυνάμενον ἐκεῖνον τὸν ἄνδρα μαλθάξαι ἓν μόνον ἦν, ἡ τῶν τρόπων ἐπιείκεια καὶ ὁ τοῦ δικαίου κατὰ φύσιν ἔρως." cf. v. νάρκη.

μάλθη ὁ μεμαλαγμένος κηρός. Harp.

μάλθων· "ὁ γύνανδρός τε καὶ μάλθων τύραννος" ἀντὶ τοῦ ἔκλυτος.

μαλιασμός νόσος περὶ τοὺς ὄνους γινομένη, ὅς ἐστι κατάρρους διὰ μυκτήρων. καὶ στρόφος περὶ τοὺς αὐτούς. οὐκ ἐκφεύγει δὲ οὐδέτερον τῶν νοσημάτων ὁ ὄνος.

μάλιστα ἀντὶ τοῦ ἀκριβῶς ὁ Θουκυδίδης λαμβάνει. sch. Thuc. 1 17 et 3 93.

μαλκίομεν Δημοσθένης ἐν θ' Φιλιππικῶν φησί (9 35).

μάλκιον ἀσθενές, ψυχρότατον· "ὁ δὲ Μιθριδάτης πιὼν φάρμακον ἀσθενές τε καὶ μάλκιον βραδέως τὴν ἰσχὺν ἀπεδείκνυτο."

μαλκίστατον ψυχρότατον· "τόδε μοι μαλκίστατον ἦμαρ."

Μάλλιος ὄνομα κύριον. ὅτι Μάλλιος ὁ ὕπατος τὸν ἑαυτοῦ παῖδα μονομαχήσαντα Ποντίῳ τῷ Λατίνῳ καὶ καταβαλόντα τὸν ἀντίπαλον ὡς μὲν ἀριστέα ἐστεφάνωσεν, ὡς δὲ ὑπερβάντα τὰ ἐξ αὐτοῦ τεταγμένα ἐπελέκισεν· ὃ δὴ σὺν ὠμότητι πραχθὲν εὐπειθεστάτους τοῖς ἄρχουσι Ῥωμαίους κατέστησεν.

μᾶλλον μᾶλλον ἀντὶ τοῦ ἀεὶ καὶ μᾶλλον· Ἄλεξις Ἀτθίδι "πῶς ἐπινεφεῖ τὸ πρῶτον ὁ Ζεὺς ἡσυχῇ, ἔπειτα μᾶλλον μᾶλλον." Ἀναξίλας Ὥραις, Ἄλεξις Πεζονίκῃ. cf. v. οὐδὲν μᾶλλον.

μᾶλλον ὁ Φρύξ. ἡ παροιμία ἐνθένδε. οἱ ζ' σοφοὶ ἐρωτώμενοι ὑπὸ Κροίσου τίς τῶν ὄντων εὐδαιμονέστατος, οἱ μὲν ἀπεκρίναντο τὰ ἄγρια ζῷα (ὑπὲρ γὰρ τῆς αὐτονομίας ἀποθνήσκει), οἱ δὲ πελαργάς (δίχα γὰρ νόμου τῇ φύσει τὸ δίκαιον ἔχουσι), Σόλων δὲ οὐδένα πρὸ τῆς τελευταίας ἡμέρας. παρεστὼς δὲ Αἴσωπος ὁ Φρὺξ ὁ λογοποιὸς "τοσοῦτον" εἶπεν "ὑπερέχεις τῶν ἄλλων ὅσον θάλασσα ποταμῶν." ἀκούσας δὲ Κροῖσος εἶπε "μᾶλλον ὁ Φρύξ."

Μάλλωνος ὄνομα ἐθνικόν.

Μάλχος Βυζάντιος σοφιστὴς ἔγραψεν ἱστορίαν ἀπὸ τῆς βασιλείας Κωνσταντίνου καὶ ἕως Ἀναστασίου, ἐν ᾗ τὰ κατὰ Ζήνωνα καὶ Βασιλίσκον καὶ τὸν ἐμπρησμὸν τῆς δημοσίας βιβλιοθήκης καὶ τῶν ἀγαλμάτων τοῦ Αὐγουσταίου καὶ ἄλλα τινὰ διεξέρχεται, μάλα σεμνῶς καὶ τραγῳδίας δίκην ἀποθρηνῶν αὐτά.

Μάμας. ὅτι ἐν τῷ ἁγίῳ Μάμαντι γέφυρα ἦν μεγάλη, ιβ' καμάρας ἔχουσα· ὕδατα γὰρ κατήρχοντο πολλά. ἔνθα καὶ δράκων ἵστατο χαλκοῦς διὰ τὸ δοκεῖν δράκοντα οἰκεῖν ἐκεῖσε· ἔνθα καὶ πολλαὶ παρθένοι ἐτύθησαν. Βασιλίσκος γάρ τις ἐρασθεὶς τοῦ τόπου, ὃς ἦν Νουμεριανοῦ Καίσαρος, ἐκεῖσε κατῴκησε καὶ ναὸν ἤγειρεν· ὅπερ Ζήνων κατέλυσεν. Codin. orig. CP.

Μαμερτῖνος ὄνομα κύριον.

Μαμμάκυθος ὄνομα κύριον. cf. v. ἀβελτεριώτατος.

μαμμίαν Ἀττικοὶ τὴν μητέρα, ἀπὸ τοῦ τὰ παιδία μαμμᾶν τὸ φαγεῖν λέγειν.

μαμωνᾶς χρυσός, γήινος πλοῦτος, οὐχὶ ὁ ἐκ τοῦ Σατανᾶ, ἀλλ' ὁ περιττὸς καὶ ὑπὲρ τὴν χρείαν.

Μαναΐμ στρατηγὸς ὁ νικήσας τοὺς Σκύθας, οὗ ἡ στήλη ἵστατο ἐν τῷ καλουμένῳ ὡρείῳ, ὃ ἐστι μόδιος. ἦν γὰρ ὡρεῖον ἔνθα νῦν ἵστανται κίονες πρὸ τοῦ οἴκου τοῦ Κρατεροῦ· ἔνθα ἵστατο καὶ μόδιος χαλκοῦς, πλησίον τῶν χειρῶν. ἦν δὲ δίκαιον μέτρον, ὡς ἂν τῷ χωρήματι αὐτοῦ πωλῶσι πάντες οἱ σιτοπρᾶται καὶ ἀγοράζωσιν οἱ σιτῶναι, καὶ τῷ ἴσῳ μέτρῳ διδῶται σιτηρέσιον. τοῦτο δὲ ἐνομοθέτησεν Οὐαλεντινιανός, πιπράσκεσθαι τὸν σῖτον μοδίους ιβ' τῷ νομίσματι, μηδενὸς ἀντιλέγοντος. ὅθεν τις ναύτης τοῦτο μὴ ποιήσας τὴν δεξιὰν χεῖρα ἀφῃρέθη. ὅθεν ἐτυπώθησαν αἱ χαλκαῖ χεῖρες τοῖς λαμβάνουσι καὶ τοῖς διδοῦσιν, ἀμφοτέρους ἐκ τῶν τεταγμένων μὴ ἀτακτεῖν. ἦν δὲ καὶ Οὐαλεντινιανοῦ τοῦ βασιλέως στήλη, ἔξαμον ἔχουσα ἐν τῇ δεξιᾷ χειρί, ἁρπαγῆναι εἰς πάκτον, διὰ τὸ καὶ αὐτὴν ὑπάρχειν ἀργυρᾶν μικράν, ὑπὸ Κυρίου Πρωτίκτορος τῷ β' ἔτει Ἰουστινιανοῦ. cf. Codin. orig. CP p. 35.

Μανάινος ὄνομα κύριον.

Μάναιχμος Ἀλωπεκοννήσιος, κατὰ δέ τινας Προικοννήσιος, φιλόσοφος Πλατωνικός, ἔγραψε φιλόσοφα, καὶ εἰς τὰς Πλάτωνος πολιτείας βιβλία γ'.

b *Μάναιχμος* Σικυώνιος, υἱὸς Ἀλκιβίου ἢ Ἀλκιβιάδου, ἱϛορικός. γέγονε δὲ ἐπὶ τῶν διαδόχων. ἔγραψεν ἱϛορίαν τῶν κατὰ τὸν Μακεδόνα Ἀλέξανδρον.

Μανασσῆς βασιλεὺς Ἱερουσαλήμ, υἱὸς Ἐζεκίου, βασιλεύσας ἔτη νε΄ Ἰουδαίας, ὃς ἐγένετο μιαρώτατος καὶ ἀσεβέϛατος καὶ παρανομώτατος ὑπὲρ πάντας ἀνθρώπους ἐπὶ εἰδωλομανίᾳ καὶ αἱματεκχυσίᾳ, καὶ τὸν μέγαν Ἡσαΐαν πρίσας καὶ τὴν Ἱερουσαλὴμ αἱμάτων ἀθῴων πληρώσας οὐχ ἧττον εἰδωλολάτρησε τῶν Ἀμορραίων. καὶ μέντοι καὶ τὸν οἶκον κυρίου καταμολύνας, καὶ τετραπρόσωπον εἴδωλον τοῦ Διὸς ἐν αὐτῷ ϛήσας, οὐ διέλειπεν οἰωνιζόμενος καὶ φαρμακεύων καὶ αἰσχρουργῶν καὶ μοιχώμενος καὶ πᾶν εἶδος κακίας μεθ' ὑπερβολῆς διαπραττόμενος. διὸ καὶ κατὰ θείαν ὀργὴν συλληφθεὶς ὑπὸ Μαροδὰχ βασιλέως Ἀσσυρίων δέσμιος εἰς Νινευὴ τὴν πόλιν αἰχμάλωτος ἀπήχθη, καὶ ἐς τὸ χαλκοῦν ἄγαλμα καθείρχθη. συνιεὶς δὲ ἐπὶ τοῖς πλημμελήμασιν ἀξίαν εἰληφέναι τὴν τιμωρίαν, ἐδεήθη τοῦ κυρίου συγγνῶναί οἱ ἐπὶ ταῖς ἁμαρτίαις· μὴ γὰρ εἶναι μέγα θεῷ ἐγκώμιον, εἰ δίκαιον σώσειεν, ἀγαθοῦ δέ, εἰ μετάνοιαν ἁμαρτωλοῦ προσοῖτο. καὶ τὸ μὲν ἄγαλμα θείᾳ δυνάμει διερράγη, ὁ δὲ θεὸς ἠγάθυνε τὸν βασιλέα, καὶ εἰς Ἱερουσαλὴμ αὐτὸν ἐξέπεμψεν. ὃ δὲ ἐπανελθὼν καὶ θείας χρηϛότητος πεῖραν λαβὼν πᾶσαν μὲν εἰδωλικὴν κατέϛρεψε σκηνήν, τὸ δὲ ἱερὸν τῷ θεῷ ἥγνισε, καὶ τὸν νόμον ἐφύλαξε, καὶ τὴν πόλιν τειχίσας καὶ ἐπικτίσας διεῖπε δικαίως καὶ εὐσεβῶς. δεδεμένῳ δὲ ὄντι ἐν φυλακῇ ἐν πέδαις χαλκαῖς ἐν Βαβυλῶνι ἐδίδοσαν αὐτῷ ἐκ πιτύρων ἄρτον βραχὺν καὶ ὕδωρ ὀλίγον σὺν ὄξει μετρητῷ, πρὸς τὸ ζῆν αὐτὸν καὶ μόνον. καὶ τότε προσηύξατο πρὸς κύριον "κύριε παντοκράτορ·" καὶ ἐπακούσας ὁ θεὸς τῆς φωνῆς αὐτοῦ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, καὶ ὑπέϛρεψεν εἰς Ἱερουσαλήμ, καὶ λατρεύσας κυρίῳ ἐξ ὅλης καρδίας ἐλογίσθη δίκαιος. Constitut. Apostol. 2 22.

μανδαλωτὸν εἶδος φιλήματος ποικίλον καὶ ἡδύ. "θηλυδριῶδες καὶ κατεγλωττισμένον καὶ μανδαλωτόν" Ἀριϛοφάνης φησί (Th. 137).

μανδάτωρος εἶδος ἀξιώματος. cf. v. πεύθην.

μανδραγόρας ὑπνωτικὸς καρπός, ἢ λήθης ποιητικός. "καὶ φανεῖται πολὺν τὸν μανδραγόραν ἐκπεπωκώς."

μανδραγορίζω.

μανδύας εἶδος ἱματίου, ὅπερ καλεῖται λωρίκιον.

a *Μάνεθως* Διοσπόλεως τῆς Αἰγύπτου ἢ Σεβεννύτης. φυσιολογικά, ἀποτελεσματικὰ δι' ἐπῶν, καὶ ἄλλα τινὰ ἀϛρονομούμενα.

b *Μάνεθως* Μένδης τῆς Αἰγύπτου, ἀρχιερεύς, ἔγραψε περὶ κατασκευῆς κυφίων.

μανείην εὐκτικόν.

μανέρως καὶ *περιμανῶς* ὀνόματα ᾠδῆς. Εὔβουλος Καμπυλίωνι.

a *Μάνης* ὄνομα κύριον οἰκέτου. Ἀριϛοφάνης Ὄρνισι (523) "νῦν δ' ἀνδράποδ', ἠλιθίους, Μάνας."

b *Μάνης.* οὗτος ὁ τρισκατάρατος ἐπὶ Αὐρηλιανοῦ βασιλέως ἐφάνη, Χριϛὸν ἑαυτὸν καὶ πνεῦμα ἅγιον φανταζόμενος, μαθητὰς ιβ' ὡς ἂν ὁ Χριϛὸς ἐπαγόμενος, καὶ ἐκ πάσης αἱρέσεως εἴ τι κακὸν ἐρανισάμενος, ἐκ Περσίδος εἰς τὴν Ῥωμαίων γῆν κατὰ θεοῦ συγχώρησιν εἰσέφρησεν.

οὗτος ὁ καὶ Μάνης καὶ Σκυθιανὸς λεγόμενος Βραχμὰν ἦν τὸ γένος, διδάσκαλον δὲ ἔσχε Βουδδᾶν τὸν πρώην καλούμενον Τερέβινθον, ὃς παιδευθεὶς τὰ Ἑλλήνων τὴν Ἐμπεδοκλέους ἠγάπησεν αἵρεσιν, β' ἀρχὰς λέγοντος ἀντικειμένας ἀλλήλαις. εἰσελθὼν δὲ ἐν Περσίδι ἐκ παρθένου ἑαυτὸν ἔφασκε γεγεννῆσθαι καὶ ἐν τοῖς ὄρεσιν ἀνατραφῆναι, καὶ συγγραψάμενος βιβλία δ' τὸ μὲν ἐπωνόμασε τῶν μυϛηρίων, τὸ δὲ τὸ εὐαγγέλιον, τὸ δὲ τὸν θησαυρόν, τὸ δὲ τῶν κεφαλαίων. καὶ ὁ μὲν Βουδδᾶς οὗτος, ὁ καὶ Τερέβινθος, ὑπὸ πνεύματος ἀκαθάρτου συντριβεὶς ἀπώλετο· γυνὴ δέ τις, παρ' ᾗ κατέλυσε, τὰ χρήματα αὐτοῦ καὶ τὰς βεβήλους βίβλους κληρονομήσασα ὠνεῖται παιδάριον ἐτῶν ζ', τοὔνομα Κούβρικον, ὃν καὶ διδάξασα γράμματα καὶ ἐλευθερώσασα κληρονόμον ἑαυτῆς πάντων καθίϛησιν. ὃ δὲ λαβὼν τὰ βιβλία τοῦ Βουδδᾶ καὶ τὰ χρήματα διήρχετο τὴν Περσίδα, Μάνην ἑαυτὸν ὀνομάζων, καὶ τῆς πλάνης τοῦ Βουδδᾶ συνίϛωρ γενόμενος τὰ βιβλία πονήματα ἴδια ἔλεγεν. ὃν ὁ βασιλεὺς Περσῶν ἐξέδειρε ζῶντα ὡς αἴτιον τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ γενόμενον· νοσοῦντος γὰρ καὶ θεραπείας πολλῆς παρὰ τῶν ἰατρῶν τυγχάνοντος, ὁ Κούβρικος ὑπέσχετο χωρὶς

ἰατρῶν ἀναστῆσαι αὐτόν, καὶ ἀποστήσας τοὺς ἰατροὺς ἐθανάτωσεν αὐτόν. ὁ οὖν Μάνης οὗτος ἀποβαλλόμενος τὴν παλαιὰν διαθήκην, καὶ τὴν κτίσιν πᾶσαν καὶ τὴν τοῦ ἀνθρώπου κατασκευὴν οὐκ ἀγαθοῦ τινὸς εἶναι θεοῦ βλασφημῶν, ὑπὸ φθορὰν καὶ ἀλλοίωσιν οὖσαν, τὴν νέαν ὡς ἀγαθοῦ δῆθεν προσίεται θεοῦ· καὶ κατὰ φαντασίαν καὶ δόκησιν τὸν Χριστὸν πεφηνέναι ἐτερατεύετο, καὶ καταδύσεις τινὰς ἐναγεῖς καὶ νυκτερινὰς καὶ παρανόμους μίξεις καὶ ἀρρητοποιίας καὶ εἱμαρμένην καὶ μετενσωματώσεις καὶ ἄλλα τινὰ Ἑλληνικὰ διδάσκων. περὶ οὗ καὶ Θεόδωρος ὁ τῆς Ῥαΐθου πρεσβύτερός φησι "Μάνης, ὃς φαντασίᾳ τινὶ ψιλῇ καὶ σχήματι διακένῳ σώματος ἀνθρωπείου πεφανερῶσθαι τὸν κύριον ἐφαντάσθη καὶ ὠνείρωξεν, ὡς πάσχειν μὲν δοκεῖν αὐτὸν καὶ πράττειν ἅπερ ἔδρα καὶ ἔπασχε καθ' ἡμᾶς, μηδὲν δὲ τούτων ἀληθείᾳ καὶ πράγματι ὑπάρξαι, ἀλλὰ δοκήσει μόνον καὶ ἀπάτῃ ἀποβουκολεῖν τοὺς ἀνθρώπους, οἷς καὶ συνανεσπάσθαι νενόμισται." διὰ τοῦτο καὶ φύσεις β' παραιτεῖται ἐπὶ τοῦ Χριστοῦ λέγειν, ἀλλὰ μίαν τῆς θεότητος. Παῦλος δέ τις σύγχρονος ἐπίσκοπος Ἀντιοχείας τῆς μεγάλης ψιλὸν ἄνθρωπον τὸν κύριον ἔφη. Cedren. p. 259.

c *Μάνης* ὄνομα Πέρσου, ὃς ἀποδρὰς ἐκ τῆς τῶν Περσῶν βασιλείας ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου τὰ χριστιανῶν ἐτάραττε δόγματα. κλίνεται Μάνεντος.

μανθάνειν γένεσις ἐπιστήμης. καὶ *μανθάνω* ἀντὶ τοῦ ἀκούω· "μανθάνω γὰρ καὶ τοῦτο, ὅτι Μένανδρος ὁ κωμικὸς παρ' ὀλίγον ἦλθε κριθῆναι δι' οὐδὲν ἄλλο ἢ ὅτι φίλος ἦν αὐτῷ" ⟨Diog. L. 5 79⟩.

μανίαι δ' οὐ πᾶσιν ὅμοιαι. τῶν μανιῶν αἳ μέν εἰσιν ἄτοποι, ὡς αἱ τῶν παραπαιόντων, αἳ δὲ αἱρεταὶ καὶ εὐχῆς ἄξιαι, οἷαι τῶν ποιητῶν καὶ τῶν χρησμολόγων.

μανιάκης ὁ περιαυχένιος κόσμος· "μανιάκαις καὶ περιχείροις ἦσαν κατακεκοσμημένοι" ⟨Polyb. 2 29⟩.

μανίη μανία.

Μανιχαῖος αἱρεσιάρχης.

μανιῶν, πληθυντικῶς, ἀντὶ τοῦ μανίας· ⟨A Nub. 830⟩ "σὺ δ' εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας." λέγουσι δὲ καὶ ἑνικῶς· τὸ δὲ πλεῖστον πληθυντικῶς. "τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε" Ἀριστοφάνης ⟨Pac. 64⟩.

καὶ Ὅμηρος εἰς τὴν αὐτὴν πλάστιγγα τῇ μανίᾳ τὴν μέθην τίθησιν ⟨cf. v. πλάστιγξ b⟩.

μάννα θυσία, σπονδή, καὶ ἡ ἄνωθεν a πίπτουσα τροφή. σημαίνει δὲ "τί τοῦτο;" ὃ τῇ ἑσπέρᾳ τοῦ σαββάτου μόνον ἐκρύπτετο. καὶ Χριστὸς ὁ γλυκασμὸς τῆς ζωῆς τῇ παρασκευῇ τῷ τάφῳ καλύπτεται.

μάννα ἡ ἄνωθεν χορηγουμένη τροφή. b τουτέστι "τί τοῦτο." ὃ καὶ ἄρτος ἀγγέλων λέγεται ⟨Ps. 77 25⟩ ὡς ὑπ' ἀγγέλων χορηγούμενος.

μανόν ἀραιόν, χαῦνον· ἢ ἀνωφερὲς ὡς φλόξ. καὶ μαινόμενος ὁ μὴ ἰσχυρὸς ταῖς φρεσί. καὶ ἡ μάννα ἀπὸ τοῦ τετρῖφθαι ὠνόμασται. "μανοὺς δὲ γενομένους τοὺς καλάμους καὶ διύγρους ἐκ τῆς ἄγαν διαβροχῆς κατασραίνειν οἴνῳ, καὶ διδόναι τροφὴν τοῖς ὑποζυγίοις."

μανότερος.

μαντεία ὁ χρησμός. *Μαντίας* δὲ ὄνομα κύριον.

μαντεύομαι αἰτιατικῇ.

Μαντίνεια. καὶ *Μαντινεῖς* ἐθνικόν.

Μαντίνειον ὄνομα τόπου.

Μαντινέων διοικισμός. εἰς πέντε κώμας τὴν Μαντινέων διῴκισαν πόλιν οἱ Λακεδαιμόνιοι, καὶ ἐκλήθη τοῦτο Μαντινέων διοικισμός. Harp.

Μαντίνη ὄνομα κύριον.

μαντιπόλος.

μάντις μάντεως, μάντει δοτική. μάντις γενικῶς, θυοσκόοι ἱερῆες εἰδικῶς.

μαντοσυνῶν μαντειῶν.

Μαξέντιος βασιλεὺς Ῥωμαίων, ὃς κακῶς τοὺς Ῥωμαίους ἐπέτριβε, τυραννικῷ μᾶλλον ἢ βασιλικῷ τρόπῳ χρώμενος κατ' αὐτῶν, μοιχεύων ἀνέδην τὰς τῶν ἐλευθέρων γυναῖκας, καὶ πολλοὺς ἀναιρῶν, καὶ ποιῶν τούτοις ἀκόλουθα. τοῦτο γνοὺς ὁ μέγας Κωνσταντῖνος ῥύσασθαι Ῥωμαίους τῆς ὑπ' αὐτὸν δουλείας ἐσπούδαζεν, εὐθύς τε φροντίδα ἐτίθει τίνα τρόπον καθέλοι αὐτόν. ἐν τοιαύτῃ οὖν φροντίδι ὢν περὶ μεσημβρινὰς ἡλίου ὥρας εἶδεν ἐν τῷ οὐρανῷ στῦλον πυρὸς σταυροειδῆ γράφοντα "ἐν τούτῳ νίκα," καὶ γέγονε χριστιανός. Λικίνιος δὲ ὁ συμβασιλεύων αὐτῷ τὰς ἑλληνικὰς ψήχων δόξας ἐμίσει χριστιανούς, καὶ διωγμὸν μὲν προφανῆ φόβῳ Κωνσταντίνου κινεῖν ὑπεστέλλετο, λεληθότως δὲ πολλοὺς ἐσκευωρεῖτο. προϊὼν δὲ καὶ φανερῶς ἐπεχείρει· καὶ γίνεται διωγμὸς τοπικός. τὸν δὲ

Κωνςαντῖνον οὐκ ἐλάνθανε· νόμῳ γὰρ ὁ Λικίνιος τοὺς ἐπισκόπους ἐκέλευε μὴ φοιτᾶν παρ' ἀλλήλους, ὡς ἂν μὴ ἔχῃ πρόφασιν αὔξεσθαι τὰ χριςιανῶν. διακοπείσης δὲ τῆς πλαςῆς φιλίας εἰς ἀπέχθειαν ἦλθον, καὶ τέλος ἀναιρεῖται ὑπὸ Κωνςαντίνȣ ὁ Λικίνιος. Socrat. 1 2—4.

Μαξιμιανὸς βασιλεύων τῆς ἑῴας πολλὰ μιαρὰ καὶ ἄτοπα καθ' ὑπερβολὴν ἀπεδείξατο, καὶ πρὸς τȣ́τοις διωγμὸν ἀπηνῆ καὶ ἀπάνθρωπον κατὰ πᾶσαν ἀνατολὴν εἰς τȣ̀ς χριςιανούς, καθ' ὃν πλεῖςοι τῶν εὐδοκίμων ἐμαρτύρησαν. ἄξια δὲ τῆς δυσσεβείας αὐτȣ̃ τὰ προοίμια τῆς μελλούσης αὐτὸν διαδέχεσθαι κολάσεως εἰκότως πέπονθε. νόσῳ γὰρ δεινοτάτῃ περιπεσόντος ἀλγηδόνες ἰσχυραὶ τὴν πᾶσαν σάρκα αὐτοῦ διελυμαίνοντο, καὶ τὰ μὲν ἔγκατα διεφθείροντο ὑπὸ τῆς ἐνδομυχούσης σφοδροτάτης πυρώσεως, ἡ δὲ σὰρξ πᾶσα κηροῦ δίκην ἐξετήκετο· λαβροτέρως δὲ φλογιζομένῳ καὶ τηγανιζομένῳ καὶ αὐτὰ συνεφρύγησαν τὰ ὀςᾶ, ὥςε ἐξαφανισθῆναι καὶ τὸν χαρακτῆρα τῆς ἀνθρωπίνης μορφῆς. ἐλεεινῶς δὲ κατασηπόμενος τοσαύτην δυσωδίαν ἐξέπεμπεν ὡς ȣ̓δὲν τῶν ἐν τάφοις διαλυθέντων διαφέρειν. ὃ δὲ βραχὺ ἐμπνέων καὶ ςενάξας ἀπέθανε. cf. Euseb. 8 14.

Μαξιμῖνος βασιλεὺς Ῥωμαίων. οὗτος παραλαβὼν τὴν ἀρχὴν πολλὴν τὴν μεταβολὴν ἐποιήσατο, τραχύτατα καὶ μετὰ πολλοῦ φόνου τῇ ἐξουσίᾳ χρώμενος, ἔκ τε ἡμέρου βασιλείας εἰς τυραννίδος ὠμότητα μεταγαγεῖν πάντα ἐπειρᾶτο. φύσει δὲ ἦν τὸ ἦθος, ὥσπερ καὶ τὸ γένος, βάρβαρος, τό τε φονικὸν πάτριον ἔχων. εὐθέως οὖν τούς τε φίλȣς πάντας, οἳ συνῆσαν τῷ Ἀλεξάνδρῳ, σύνεδροί τε ὑπὸ τῆς συγκλήτου ἐπιλεχθέντες, ἀπεσκευάσατο, βουλόμενος μόνος εἶναι ἐν τῷ ςρατῷ καὶ μηδένα αὐτῷ παρεῖναι ἐκ συνειδήσεως εὐγενῆ. πλείςους δὲ αὐτῶν καὶ ἀπέκτεινεν, ἐπιβουλὰς ὑποπτεύων. Io. Antioch. exc. Peir. p. 830.

a *Μάξιμος* Ἠπειρώτης ἢ Βυζάντιος φιλόσοφος, διδάσκαλος Ἰȣλιανοῦ Καίσαρος τȣ̃ παραβάτȣ, ἔγραψε περὶ ἀλύτων ἀντιθέσεων, περὶ καταρχῶν, περὶ ἀριθμῶν, ὑπόμνημα εἰς Ἀριςοτέλην, καὶ ἄλλα τινὰ πρὸς τὸν αὐτὸν Ἰουλιανόν.

b *Μάξιμος* Τύριος φιλόσοφος, διέτριψε δὲ ἐν Ῥώμῃ ἐπὶ Κομόδου. περὶ Ὁμήρȣ, καὶ τίς ἡ παρ' αὐτῷ ἀρχαία φιλοσοφία· εἰ καλῶς Σωκράτης οὐκ ἀπελογήσατο, καὶ ἄλλα τινὰ φιλόσοφα ζητήματα.

μαπέειν (Hes. Scut. 231 et 304) καταλαβεῖν.

Μαραθίωνος.

Μαραθὼν τόπος Ἀθήνησιν, ἀπὸ Μαράθου υἱοῦ Ἀπόλλωνος. τοῦτον Καλλίμαχος (fr. 350) ἐννότιον λέγει, τȣτέςιν ἔνυδρον. καὶ *Μαραθώνιον ἔργον.*

μαραίνω αἰτιατικῇ.

μαραναθά (1 Cor. 16 22) ἑβραϊςὶ ἀντὶ a
τοῦ εἶδον τὸν κύριον.

μαραναθά κατὰ τὴν Ἑβραΐδα φωνὴν b
λέγει ἀντὶ τοῦ ὁ κύριος ἡμῶν ἦλθε. τὸν δὲ τῆς οἰκονομίας βεβαιῶν λόγον τοῦτό φησιν, ὡσανεὶ ἔλεγεν, ὁ πάντων ἡμῶν δεσπότης καταβῆναι τοσοῦτον κατηξίωσε, καὶ ὑμεῖς ἐν τοῖς αὐτοῖς ἐςὲ ἁμαρτάνοντες, καὶ οὐ φρίττετε τῆς ἀγάπης τὴν ὑπερβολήν, τῶν ἀγαθῶν τὸ κεφάλαιον. ἐννόησον γὰρ τοῦτο μόνον, φησί, καὶ ἀρκέσει σοι εἰς πάσης ἀρετῆς προκοπήν, καὶ πᾶσαν δυνήσῃ κατασβέσαι τὴν ἁμαρτίαν. Chrysost. hom. 40 in Corinth. 1, t. 10 p. 410.

Μαραντώπη ὄνομα κύριον.

Μάρας ἀπὸ Βεροίας τῆς ἐν Συρίᾳ πόλεως, ἀνὴρ τῶν πλουσιωτάτων, ἀλλ' ὅμως ὁ κόρος οὐδεμίαν αὐτῷ ὕβριν ἐνέτεκεν· οὐδὲ γὰρ κόρος οὐδεὶς ἐφαίνετο τῶν χρημάτων, ἀλλὰ ταῦτα μὲν ὄργανα ἐποιεῖτο δικαιοσύνης τε καὶ φιλανθρωπίας, ἐπιχορηγῶν τε τοῖς δεομένοις καὶ φιλοτιμούμενος ἐν τοῖς πολιτεύμασιν. οὕτω παρεῖχεν ἑαυτὸν τοῖς πᾶσιν ἐπιεικῆ καὶ δίκαιον ὥςε οὔτε τῶν πολιτῶν οὐδεὶς αὐτῷ ἐγκέκληκε πώποτε οὔτε τῶν ξένων, οὔτε τῶν κατ' ἄςυ γειτόνων οὔτε τῶν ἐν ἀγροῖς ὁμορούντων. οὐ μὴν ταῦτα δικαιοσύνης ἔργα ἀπελογίζετο, εἰ μηδένα ἀδικοίη τῶν πολιτευομένων, ἀλλ' ἐκεῖνα μᾶλλον, εἰ μὴ κάμνοι εὐεργετῶν. τοιγαρȣ̃ν οὐ τῶν ἑαυτοῦ μόνον ἐπεμελεῖτο πραγμάτων ἀλλὰ καὶ τῶν ἀλλοτρίων, μάλιςα τῶν παρακεκτημένων ἔν τε τῷ ἄςει καὶ κατ' ἀγρούς. μέγιςον δὲ τούτου τεκμήριον· εἴ τις ἠβούλετό τι πωλεῖν ἢ τις ὠνεῖσθαι τῶν πλησιαζόντων αὐτῷ, ὃ μὲν προσαπῄτει ὃ δὲ προσετίθει τῷ τιμήματι τῆς ἄλλης ἀξίας ὑπὲρ αὐτȣ̃ γέ τοι δήπουθεν, ὑπὲρ τȣ̃ κτήσασθαι ὅμορον καὶ γείτονα Μάραν τὸν πάντων ἀνθρώπων δικαιό-

τατον. ὥςε καὶ ἐξενίκησεν εἰς παροιμίαν ὁ Μάρας ἐπὶ δικαίᾳ χρήσει τῶν πέλας.

μαργαίνει μαίνεται.

μαργαρίτης.

μάργης καὶ μάργος μαινόμενος. καὶ ὑπερμαργότερος ὁ ὑπερμαινόμενος. καὶ γαςρίμαργος ὁ περὶ τὴν γαςέρα μεμηνώς.

a Μαργίτης. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ⟨160⟩ "ἐπωνυμίαν Ἀλεξάνδρῳ Μαργίτην ἔθετο." ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτως. Harp.

b Μαργίτης ἀνὴρ ἐπὶ μωρίᾳ κωμῳδούμενος, ὅν φασιν ἀριθμῆσαι μὲν μὴ πλείω τῶν ε' δυνηθῆναι, νύμφην δὲ ἀγόμενον μὴ ἅψασθαι αὐτῆς, ἀλλὰ φοβεῖσθαι λέγοντα μὴ τῇ μητρὶ αὐτὸν διαβάλῃ· ἀγνοεῖν δὲ νεανίαν ἤδη γεγενημένον, καὶ πυνθάνεσθαι τῆς μητρὸς εἴ γε ἀπὸ τοῦ αὐτοῦ πατρὸς ἐτέχθη. cf. v. γέλοιος.

μαργῶσαν χεῖρα ⟨Eur. Hec. 1128⟩ μαινομένην χεῖρα.

a Μάρδοι ἔθνος τὸ πᾶν λῃςαί· καὶ οὔτ' ἂν εὖ ποιῶν τις αὐτοὺς πιςοὺς κτήσαιτο, οὔτ' ἂν κακώσας ἐς τοσόνδε ταπεινώσειεν ὡς, εἰ τοῦ φόβου ἀπαλλαχθεῖεν, μὴ ἂν παραυτίκα ἐπιθέσθαι οἷς πάλαι ὑπέδυσαν.

b Μάρδοι ἔθνος πολυάνθρωπον, τραχεῖαν γῆν ἐποικοῦντες, καὶ μόλις ἀφ' ὧν γεωργῦσι τρεφόμενοι, ἄνιπποι καὶ πένητες, ὡς καὶ τὴν πρώτην ἀπιςεῖσθαι τύχην.

Μαρδόνιος ὄνομα κύριον.

Μαρδόνος.

Μαρδοχαῖος ὄνομα κύριον.

Μαριανὸς Μάρσȣ δικηγόρȣ, τῶν ὑπάρχων Ῥώμης· Ῥωμαῖος γὰρ τὸ ἀρχαῖον, μετοικήσαντος δὲ τοῦ πατρὸς Ἐλευθερόπολιν, μίαν τῶν τῆς πρώτης Παλαιςίνης· ἀπὸ ὑπάτων καὶ ὑπάρχων καὶ πατρίκιος γεγονώς, τὸ ἐπιφανέςερον, κατὰ τὸν βασιλέα Ἀναςάσιον. ἔγραψε βιβλία τοσαῦτα, μετάφρασιν Θεοκρίτου ἐν ἰάμβοις ,γρν', μετάφρασιν Ἀπολλωνίου τῶν Ἀργοναυτικῶν ἐν ἰάμβοις ,εχη', μετάφρασιν Καλλιμάχου Ἑκάλης ὕμνων καὶ τῶν αἰτίων καὶ τῶν ἐπιγραμμάτων ἐν ἰάμβοις ,ςωι', μετάφρασιν Ἀράτου ἐν ἰάμβοις ,αρμ', μετάφρασιν Νικάνδρου τῶν Θηριακῶν ἐν ἰάμβοις ,ατο', καὶ ἄλλας πολλὰς μεταφράσεις.

Μαριλάδης ⟨A Ach. 609⟩ ὄνομα, τȣτέςι γέρων Ἀχαρνικός.

μαρίλη ἀμαυρὸν πῦρ· ὁ χνοῦς καὶ τὸ λεπτότατον τῶν ἀνθράκων. "χαλκεὺς οἷά τις γέμων καπνοῦ καὶ μαρίλης." καὶ Κρατῖνος ἐν Ὥραις "ἐφθάρη μαρίλης τὴν φάρυγα πλέαν ἔχων." ἡ ἀπὸ τῶν ἀνθράκων σποδιά· Ἀριστοφάνης ⟨Ach. 331⟩ "ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν ὁ λάρκος ἐπετίλησεν ὥσπερ σηπία."

Μαρῖνα.

Μαρῖνος Νεαπολίτης φιλόσοφος καὶ ῥήτωρ, μαθητὴς Πρόκλου τοῦ φιλοσόφου καὶ διάδοχος, ἔγραψε βίον Πρόκλου τοῦ αὐτοῦ διδασκάλȣ καὶ καταλογάδην καὶ ἐπικῶς, καὶ ἄλλα τινὰ φιλοσόφων ζητήματα. a

Μαρῖνος. οὗτος τὴν Πρόκλȣ διατριβὴν παραδεξάμενος, καὶ Ἰσιδώρου τοῦ φιλοσόφȣ τῶν Ἀριςοτέλους λόγων καθηγησάμενος, ἐλθόντι τὸ δεύτερον Ἀθήναζε τοῦ κοινȣ̃ διδασκάλου τετελευτηκότος ἐπέδειξεν αὐτῷ συγγεγραμμένον ὑπόμνημα πρὸς ἑαυτοῦ ςίχων παμπόλλων εἰς τὸν Πλάτωνος Φίληβον, ἐντυχεῖν τε καὶ ἐπικρῖναι κελεύσας, εἰ ἐξοιςέον εἴη τὸ βιβλίον. ὁ δὲ ἀναγνȣ̀ς ἐπιμελῶς ȣ̓δὲν ἀπεκρύψατο τῶν αὐτῷ δοκȣ́ντων, οὐ μέντοι ἄμουσον ἀφῆκε φωνὴν οὐδεμίαν, τοσοῦτον δὲ ἔφη μόνον, ἱκανὰ εἶναι τὰ τȣ̃ διδασκάλȣ ὑπομνήματα εἰς τὸν διάλογον. συνιεὶς δ' ἐκεῖνος παραυτίκα διέφθειρε πυρὶ τὸ βιβλίον. ἤδη δὲ καὶ πρότερον δι' ἐπιςολῆς ἐκοινώσατο πρὸς αὐτὸν τὴν ἑαυτȣ̃ δόξαν περὶ τῶν εἰς Παρμενίδην ὑποθέσεών τε καὶ ἐξηγήσεων, τά τε ἐπιχειρήματα συντάξας ἔπεμψεν, οἷς ἐπείσθη μὴ εἶναι τὸν διάλογον περὶ θεῶν ὁ Μαρῖνος, ἀλλὰ περὶ εἰδῶν· ἐφ' ᾧ καὶ ὑπομνήματα κατεβάλετο, τȣ̃τον ἐξηγȣ́μενα τὸν τρόπον τὰς Παρμενίδου διαλεκτικὰς ὑποθέσεις. ὁ δὲ καὶ πρὸς ταύτην ἀντιγράφει τὴν ἐπιςολήν, μυρίαις ὅσαις ἀποδείξεσι καταβαλόμενος ἀληθεςάτην εἶναι τὴν θειοτέραν ἐξήγησιν τοῦ διαλόγου· ὥςε εἰ μὴ ἔφθη τὸ βιβλίον ἐκδεδομένον, τάχα ἂν καὶ τοῦτο διέφθειρεν. ἴσως δὲ αὐτὸν διεκώλυσε καὶ ἡ ὄψις τȣ̃ ἐνυπνίȣ, ὅτι θεάσασθαί ποτε ἔλεγεν ὁ Πρόκλος ὡς ὑπομνημάτων εἰς Παρμενίδην αὐτȣ̃ Μαρίνου ἐσομένων. Damasc. Phot. p. 338 a. b

Μάρις τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος ἐπίσκοπος. καταλαβὼν δὲ Ἰουλιανὸν τὸν παραβάτην θύοντα τῇ τύχῃ ἐν τῇ βασιλικῇ Κωνςαντινουπόλεως, τηνικαῦτα χειραγωγούμενος (ἦν γὰρ δὴ πρὸς τῷ γήραι ὑπόχυσιν ὀφθαλ-

μῶν ὑπομείνας) πολλὰ τὸν βασιλέα προσελ-
θὼν περιύβρισε, τὸν ἀσεβῆ καλῶν, τὸν ἀπο-
ςάτην, τὸν ἄθεον. ὃ δὲ λόγοις τὰς ὕβρεις
ἠμύνετο, τυφλὸν καλέσας, καὶ "οὐκ ἂν" φη-
σίν "οὐδὲ ὁ Γαλιλαῖός σου θεὸς θεραπεύσῃ
σε"· Γαλιλαῖον γὰρ ειώθει καλεῖν τὸν Χρι-
ςόν. ὁ δὲ δὴ Μάρις παρρησιαίτερον πρὸς
τὸν βασιλέα εἶπεν "εὐχαριςῶ" φησί "τῷ θεῷ
τῷ τυφλώσαντί με, ἵνα μὴ ἴδω τὸ πρόσω-
πόν σου οὕτως ἐκπεπτωκότος πρὸς τὴν ἀσέ-
βειαν." οὐδὲν πρὸς ταῦτα ὁ Ἰουλιανὸς ἀπε-
κρίνατο, δεινῶς δὲ καὶ τῦτο μετήρχετο. ἑω-
ρακὼς γὰρ τοὺς ἐπὶ Διοκλητιανοῦ μαρτυρή-
σαντας ὑπὸ τῶν χριςιανῶν τιμωμένȣς, προ-
θύμως τε σπεύδειν ἐπὶ τῷ μαρτυρῆσαι πολλȣ̀ς
ἐπιςάμενος, ὥσπερ αὐτῷ τούτῳ τοὺς χριςια-
νοὺς ἀμυνόμενος, ἐπὶ ἑτέραν ἐτρέπετο, καὶ
τὴν μὲν ὑπερβάλλουσαν ἐπὶ Διοκλητιανοῦ
ὠμότητα ὑπερέθετο, οὐ μὴν πάντῃ τȣ̃ διώ-
κειν ἀπέσχετο. διωγμὸν δὲ λέγω τὸ ὁπωσῦν
ταράττειν τοὺς ἡσυχάζοντας. ἐτάραττε δὲ
ὧδε. νόμῳ ἐκέλευε χριςιανοὺς παιδεύσεως μὴ
μετέχειν, ἵνα μή, φησίν, ἀκονώμενοι τὴν
γλῶτταν ἑτοίμως πρὸς τοὺς διαλεκτικȣ̀ς τῶν
Ἑλλήνων ἀπαντῶσι. πολλὰ δὲ ἐπὶ πολλοῖς
μηχανησάμενος ἔπεισέ τινας πρὸς τὸ θύειν
ἀποκλῖναι, ἐν οἷς καὶ Ἐκηβόλιον τὸν Κων-
ςαντινουπόλεως σοφιςήν. Socrat. 3 12.

Μαρίωνος ὄνομα κύριον.

Μαρκελλῖνος ἀνὴρ ἐπιεικὴς καὶ γεν-
ναῖος ἐδυνάςευε μὲν Δαλματείας, ἐν Ἠπείρῳ
κατῳκημένων Ἰλλυριῶν, ἐπεπαίδευτο δὲ τὴν
Ῥωμαΐδα παιδείαν, καὶ μαντικῆς ἐμπειρότα-
τος ἐγεγόνει καὶ τἆλλα φιλολογώτατος· ὃς
ἐλευθέραν ἐκέκτητο τὴν ἀρχήν, οὔτε Ῥωμαίων
βασιλείᾳ δουλεύων οὔτε ἄλλῳ δυναςεύοντι
τῶν ἐθνῶν οὐδενί, ἀλλ' ἦν αὐτόνομος, μετὰ
δικαιοσύνης ἐξηγούμενος τῶν ὑπηκόων. πα-
ρῆν δὲ αὐτῷ καὶ φρόνησις ἱκανὴ πολιτεύμα-
τος καὶ ἀνδρία θαυμαςή, μεμελετηκυῖα τὰ
πρὸς πόλεμον· ᾧ συνῆν Σαλούσιος ὁ φιλό-
σοφος. Damasc. Phot. p. 342 b.

a Μάρκελλος μάγιςρος Ἀρκαδίου τȣ̃ βα-
σιλέως, κόσμος ἀρετῆς ἁπάσης, ἢ τό γε ἀρ-
μονικώτερον εἰπεῖν ἀρετή τις ἔμψυχος.

b Μάρκελλος Περγαμηνὸς ῥήτωρ ἔγραψε
βιβλίον Ἀδριανὸν ἢ περὶ βασιλείας.

c Μάρκελλος Σιδήτης ἰατρός, ἐπὶ Μάρ-
κου Ἀντωνίνȣ. οὗτος ἔγραψε δι' ἐπῶν ἡρωι-
κῶν βιβλία ἰατρικὰ μβʹ, ἐν οἷς καὶ περὶ λυ-
κανθρώπου.

Μάρκελλος ςρατηγὸς ἐπὶ Κομόδȣ, ὃς d
δωροδοκίας τοσοῦτον ἀπεῖχεν ὅσον τῆς γε
φιλανθρωπίας καὶ τῆς ἡμερότητος μετεῖχεν.
ὅπως γὰρ δὴ διὰ πάσης τῆς νυκτὸς ἐγρηγο-
ρέναι δοκῇ, καὶ κατὰ τȣ̃το μηδὲ τῶν ἄλλων
τις τῶν συνόντων οἱ καθεύδῃ, ιβʹ γραμμα-
τεῖα, οἷά γε ἐκ φιλύρας ποιεῖται, καθ' ἑκά-
ςην ἑσπέραν ὡς εἰπεῖν συνέγραφε, καὶ προσ-
έταττέ τινι ἄλλο ἄλλῃ ὥρᾳ κομίζειν τισίν,
ἵν' ὡς καὶ ἀεὶ ἐγρηγορὼς θαυμάζηται. ἦν
μὲν γὰρ καὶ ἄλλως ὑπνομαχεῖν πεφυκώς, ἐπὶ
πλεῖον δὲ αὐτὸ καὶ ἐκ τῆς τροφῆς ἠσκήκει.
τά τε γὰρ ἄλλα ἥκιςα ἄδην ἐσιτεῖτο, καὶ
ὅπως μηδὲ τῶν ἄρτων διαπιμπλᾶται, ἐκ τῆς
Ῥώμης αὐτοὺς μετεπέμπετο, οὐχ ὡς οὐ δυ-
νάμενος τῶν ἐπιχωρίων ἐσθίειν, ἀλλ' ἵν' ὑπὸ
τῆς παλαιότητος αὐτῶν μὴ δύνηται μηδὲ
σμικρῷ πλέον τοῦ πάνυ ἀναγκαίου φαγεῖν·
τὰ γὰρ οὖλα αὐτοῦ κακῶς ἔχοντα ῥαδίως
ὑπὸ τῆς τῶν ἄρτων ξηρότητος ᾑμάσσετο.
ἐπετήδευε δ' οὖν ἐπὶ μεῖζον αὐτὸ πλάττε-
σθαι, ἵν' ὡς μάλιςα διαγρυπνεῖν δοκῇ. Dio
Cass. 72 8.

Μαρκιανός. οὗτος ἐπὶ Ζήνωνος ἤκμα- a
ζεν, ἐν ᾧ δὲ ἦν εὐκτηρίῳ πρεσβύτερος χει-
ροτονηθείς, διετέλει. μεγίςης δὲ ἐξουσίας τυ-
χὼν παρὰ Ἴλλου οὗτος ὁ πλάνος, καὶ τοῖς
Ἐπικουρείοις δόγμασιν ὁσημέραι αὐτὸν κα-
κύνων, αὐτοφυῆ ἔλεγε τὸν κόσμον, καὶ διοι-
κεῖσθαι οὐκ ἐκ θεοῦ ἀλλ' ἐξ ἐνεργείας τῆς
τῶν ἀςέρων· καθὸ γὰρ ἕκαςον αὐτῶν τῇ
τούτων φθάσει συμπεριφερόμενον δινήσει,
τῶν κατ' αὐτὴν τικτομένων τὴν ῥοπὴν τὴν
ἐπικράτειαν κληροῦνται.

Μαρκιανός. οὗτος συνῆν Μȣσωνίῳ ἐκ b
Παμφυλίας, ἀνὴρ ἐς ἀρετὴν ἅπασαν ὥσπερ
τις κανὼν ἀπηκριβωμένος. φιλόκαλος γὰρ
ὢν καὶ φιλάγαθος ὁ Μουσώνιος τοὺς παν-
ταχόθεν εἷλκε παρ' ἑαυτὸν ὥσπερ ἡ μαγνῆ-
τις τὸν σίδηρον. οὐκ ἦν δὲ βασανίζειν ὁποῖός
τις ὁ δεῖνα, ἀλλὰ Μουσωνίου φίλον ἀκού-
σαντα ὅτι καλὸς ἦν εἰδέναι. Eunap. p. 76 Nieb.

Μαρκιανός. οὗτος ἐπὶ Οὐάλεντος βασι- c
λέως ἦν καὶ Ἀγγελίου ἐπισκόπου Κωνςαντι-
νουπόλεως ἐλλόγιμος· ὃς πάλαι μὲν κατὰ τὰ
βασίλεια ἐςρατεύετο, τότε δὲ πρεσβύτερος
τῆς Ναυατιανῶν ἦν ἐκκλησίας, γραμματικȣ̀ς
λόγους Ἀναςασίαν τὴν τοῦ βασιλέως θυγα-
τέρα διδάσκων. Socrat. 4 9.

Μάρκιον (an Μάρκαιον) ὄνομα ὄρους.

Μάρκιος ςρατηγὸς Ῥωμαίων. οὗτος ἐφυγαδεύθη ὑπὸ τοῦ δήμου, ἥν τε οἰμωγὴ καὶ δάκρυα τῶν προπεμπόντων αὐτὸν καὶ οἰκτειρόντων. ὁ δὲ Μάρκιος οὔτε ἀνακλαυσάμενος ὤφθη τὰς ἑαυτοῦ τύχας οὔτε ἀποιμώξας, οὔτε ἄλλο εἰπὼν ἢ δράσας ἀνάξιον τῆς ἑαυτοῦ μεγαλοφροσύνης οὐδ' ὁτιοῦν. ἔτι δὲ μᾶλλον ἐδήλωσε τὴν καρτερίαν καὶ τὴν γενναιότητα τῆς γνώμης, ἐπειδὴ οἴκαδε ἀφικόμενος γυναῖκά τε εἶδε καὶ μητέρα καταρρηγνυμένας τοὺς πέπλους καὶ τὰ ςέρνα τυπτούσας, καὶ οἷα εἰκός ἐςιν ἐπὶ τοιαύταις συμφοραῖς λέγειν τὰς ἀποζευγνυμένας ἀπὸ τῶν ἀναγκαιοτάτων σφίσι θανάτοις ἢ φυγαῖς ἀναβοώσας. οὐδὲ πρὸς τὰ δάκρυα τῶν παίδων ἔπαθεν, ὧν ὁ εἷς δέκα γεγονὼς ἔτη, ὃ δὲ ὑπαγκάλιος· ἀλλ' ἐξῄει κατὰ σπουδὴν ἐπὶ τὰς πύλας, οὐδενὶ δηλώσας ὅπου τὴν ἀπαλλαγὴν ποιήσοιτο (Dionys. Hal. 7 67). ἦν δὲ ἀνὴρ ἄριςος τὰ πολέμια καὶ πρὸς πάσας τὰς ἡδονὰς ἐγκρατής, τά τε δίκαια οὐκ ἀπὸ νόμου μᾶλλον ἀνάγκης ἅπασιν ἀποδιδούς, ἀλλ' ἑκών τε καὶ πεφυκὼς πρὸς αὐτὰ εὖ, καὶ οὐ μόνον αὐτὸς ἁγνεύειν ἀπὸ πάσης κακίας προθυμούμενος, ἀλλὰ καὶ τοὺς ἄλλȣς προσαναγκάζειν δικαιῶν, μεγαλόφρων τε καὶ δωρηματικὸς καὶ ἐς ἐπανόρθωσιν προχειρότατος. ἀλλὰ γὰρ ἐν ἀδυνάτῳ ἦν ἄρα πάσας τὰς ἀρετὰς ἐν ἀνθρώπου γενέσθαι φύσει, οὐδὲ φύεταί τις ἀπὸ θνητῶν καὶ ἐπικήρων σπερμάτων περὶ πάντα ἀγαθός. ἐκείνῳ γε οὖν ταύτας τὰς ἀρετὰς ὁ δαίμων χαρισάμενος, ἑτέρας οὐκ εὐτυχεῖς κῆράς τε καὶ ἄτας προσῆψε. τὸ γὰρ πρᾶον καὶ φαιδρὸν ȣκ ἐπῆν αὐτοῦ τοῖς τρόποις, οὐδὲ τὸ θεραπευτικὸν τῶν πέλας ἔν τε ἀσπασμοῖς καὶ προσαγορεύσεσιν, οὐδὲ δὴ τὸ εὐδιάλλακτον καὶ μετριοπαθές, ὁπότε δι' ὀργῆς τῳ γένοιτο, οὐδὲ ἡ πάντα τὰ ἀνθρώπινα ἐπικοσμȣ̃σα χάρις, ἀλλ' ἀεὶ πικρὸς καὶ χαλεπὸς ἦν. ταῦτά τε δὴ αὐτὸν ἐν πολλοῖς ἔβλαψε, καὶ πάντων μάλιςα ἡ περὶ τὰ δίκαια καὶ τὴν φυλακὴν τῶν νόμων ἄκριτός τε καὶ ἀπαράπειςος καὶ οὐθὲν τῷ ἐπιεικεῖ διδȣ̃σα ἀποτομία. ἔοικεν ἀληθὲς εἶναι τὸ ὑπὸ τῶν ἀρχαίων λεγόμενον φιλοσόφων, ὅτι μεσότητές εἰσιν, οὐκ ἀκρότητες αἱ τῶν ἠθῶν ἀρεταί, μάλιςα δὲ ἡ δικαιοσύνη. οὐ γὰρ μόνον λείπουσα τοῦ δικαίου πέφυκεν, ἀλλὰ καὶ ὑπερβάλλουσα αὐτοῖς τε οὐ λυσιτελής ἐςιν ἀλλ' αἰτία μεγάλων συμφορῶν. Μάρκιον γὰρ τὸ ἄκρον δίκαιον ἔβλαψε, καὶ ἐξηλάθη τῆς πατρίδος· πρὸς πάντα γὰρ τὰ μὴ δίκαια ἀντιλέγων μῖσος ἤγειρεν. εἰ μὲν οὖν ἅμα τοῖς σώμασι διαλυομένοις καὶ τὸ τῆς ψυχῆς, ὅ τι δήποτέ ἐςιν ἐκεῖνο, συνδιαλύεται, καὶ οὐδαμῇ οὐθὲν ἔτι ἐςίν, οὐκ οἶδ' ὅπως μακαρίους ὑπολάβω τοὺς μηθὲν μὲν ἀπολαύσαντας τῆς ἀρετῆς ἀγαθόν, δι' αὐτὴν δὲ ταύτην ἀπολομένους· εἰ δὲ καὶ ἄφθαρτοι μέχρι τȣ̃ παντὸς αἱ ψυχαὶ τυγχάνȣσιν ἡμῶν οὖσαι, ἢ χρόνον μετὰ τὴν ἀπαλλαγὴν τῶν σωμάτων ἐνδιαμένουσι, μήκιςον μὲν αἱ τῶν ἀγαθῶν ἀνδρῶν ἐλάχιςον δὲ αἱ τῶν κακῶν, ἀποχρῶσα τιμὴ φαίνοιτο ἂν τοῖς τὴν ἀρετὴν ἀσκοῦσιν, καὶ εἰ ἠναντιώθη τὰ παρὰ τῆς τύχης, ἡ παρὰ τῶν ζώντων εὐλογία καὶ μνήμη μέχρι πλείςου παραμείνασα χρόνου. ὃ καὶ τῷ ἀνδρὶ ἐκείνῳ συνέβη. οὐ γὰρ μόνον Ȣολοῦσκοι τοῦτον ἐπένθησαν, ὧν ἦρχεν, ἀλλὰ καὶ Ῥωμαῖοι πένθος ἐποιήσαντο ἰδίᾳ καὶ δημοσίᾳ, καὶ αἱ γυναῖκες ἀποθέμεναι χρυσὸν καὶ τὸν ἄλλον κόσμον καὶ μέλασιν ἀμφίοις χρησάμεναι καὶ πενθήσασαι ἐνιαύσιον χρόνον. καὶ ἐτῶν ἐς τόδε πεντακοσίων διαγεγονότων οὐ γέγονεν ἐξίτηλος ἡ τοῦ ἀνδρὸς μνήμη. id. 8 60.

Μαρκίωνος.

Μάρκος ὁ καὶ Ἀντωνῖνος, βασιλεὺς Ῥωμαίων, ὁ ἐπαινετὸς κατὰ πάντα φιλόσοφος, ἀκροατὴς μὲν καὶ ἄλλων πολλῶν γενόμενος, ὕςερον δὲ διήκουσε Σέξτου ἐκ Βοιωτίας φιλοσόφου, ἐπ' αὐτῆς Ῥώμης θαμίζων αὐτῷ καὶ φοιτῶν ἐπὶ θύρας. ὃν καὶ Λούκιός τις ῥήτωρ, γνώριμος Ἡρώδου τοῦ Ἀθηναίȣ ῥήτορος, ἤρετο προϊόντα ποῖ βαδίζοι καὶ ἐφ' ὅ τι. καὶ ὁ Μάρκος "καλόν" ἔφη "καὶ γηράσκοντι τὸ μανθάνειν. εἶμι δὴ πρὸς Σέξτον τὸν φιλόσοφον, μαθησόμενος ἃ οὔπω οἶδα." καὶ ὁ Λούκιος ἐξάρας τὴν χεῖρα ἐς τὸν οὐρανόν "ὦ ἥλιε" ἔφη, "ὁ Ῥωμαίων βασιλεὺς γηράσκων ἤδη δέλτον ἐξαψάμενος ἐς διδασκάλου φοιτᾷ. ὁ δὲ ἐμὸς βασιλεὺς Ἀλέξανδρος β' καὶ λ' ἐτῶν ἀπέθανεν" (Philostrat. V. S. 2 1 9). οὗτος ἔγραψε τȣ̃ ἰδίȣ βίȣ ἀγωγὴν ἐν βιβλίοις ιβ'.

Μάρκος βασιλεὺς Ῥωμαίων, ὃν ἐκπλήττεσθαι σιωπῇ μᾶλλον ἢ ἐπαινεῖν ῥᾴδιον, οὐδενὸς λόγου ταῖς τοῦ ἀνδρὸς ἀρεταῖς ἐξισουμένου. ἐκ πρώτης γὰρ ἤδη τῆς ἡλικίας εὐ-

ϛαθῆ τε καὶ ἡσύχιον βίον ὑποϛησάμενος, ὅτε κατὰ δέος ὅτε καθ' ἡδονὴν τραπεὶς τὸ πρόσωπον ὤφθη πώποτε. ἐπῄνει δὲ τῶν φιλοσόφων τοὺς ἀπὸ τῆς ϛοᾶς, καὶ ἦν ἄρα ἐκείνων μιμητής, οὐ μόνον κατὰ τὴν τῶν διαιτημάτων ἐπιτήδευσιν ἀλλὰ καὶ κατὰ τὴν τῶν μαθημάτων σύλληψιν. οὕτω γοῦν ἐκ νέας κομιδῇ τῆς ἡλικίας ἐξέλαμπεν ὡς πολλάκις τὸν Ἀδριανὸν ἐπὶ τοῦτον ἐθελῆσαι τὸν τῆς βασιλείας ἀγαγεῖν κλῆρον· ἐπεὶ δὲ ἔφθασε τὸν εὐσεβῆ πρότερον κατὰ νόμον παῖδα ποιησάμενος, ἐκείνῳ μὲν τὴν ἑαυτοῦ διαδοχὴν ἐφύλαξε, τοῦτον δὲ συνοικεῖν ἔγνω διὰ τῆς ἐπιγαμίας τῷ εὐσεβεῖ, ὡς ἂν κατὰ τὴν τοῦ γένους διαδοχὴν εἰς τὴν ἡγεμονίαν παρέλθοι. τόν τε γοῦν ἰδιώτην βίον ἐν ἰσηγορίᾳ τοῖς πολλοῖς Ῥωμαίοις ἐβίω, οὐδὲν τῇ ἐσποιήσει τοῦ γένους ἀλλοιωθείς· καὶ ἐπεὶ παρῆλθεν εἰς τὴν ἡγεμονίαν, κατὰ μοναρχίαν ἐξηγούμενος καὶ τὴν ἄκραν δυναϛείαν καρπώμενος πρὸς οὐδεμίαν ἀλαζονείαν ὑπήχθη πώποτε, ἀλλ' ἦν ἐλεύθερος μὲν καὶ δαψιλὴς ἐν τοῖς εὐεργετήμασιν, ἀγαθὸς δὲ καὶ μέτριος ἐν ταῖς τῶν ἐθνῶν διοικήσεσι. Io. Antioch. exc. Peir. p. 821.

Μάρκος βασιλεὺς Ῥωμαίων, ὁ εὐσεβὴς ἐπικληθείς (imino philosophus). οὗτος εἶχε μὲν καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας, καὶ ἄριστα δὴ πάντων τῶν ἐν κράτει τινὶ γενομένων ἦρξε, πλὴν καθ' ὅσον οὐ πολλὰ τῷ σώματι ἀνδρίζεσθαι ἐδύνατο· καὶ τοῦτο ἐξ ἀσθενεϛάτου καρτερικώτατον ἀπέδειξε. πλεῖϛον δὲ ἐν εὐεργεσίᾳ διῆγεν, ὅθεν που καὶ νεὼν αὐτῆς ἱδρύσατο, ὀνόματί τινι ἰδιωτάτῳ καὶ μήποτε ἀκουσθέντι προσκαλέσας αὐτήν. αὐτὸς μὲν γὰρ πάντων τῶν ἁμαρτημάτων ἀπείχετο, καὶ οὔτε ἑκὼν οὔτε ἄκων ἐπλημμέλει, τὰ δὲ δὴ τῶν ἀλλοτρίων ἁμαρτήματα, καὶ μάλιϛα τὰ τῆς γυναικός, ἔφερε καὶ οὔτε ἐπολυπραγμόνει οὔτε ἐκόλαζεν· ἀλλ' εἰ μέν τις χρηϛόν τι ἔπραττεν, ἐπῄνει καὶ ἐχρῆτο ἐς ἐκεῖνο αὐτῷ, τῶν δὲ ἑτέρων οὐ προσεποιεῖτο, λέγων ὅτι ποιῆσαι μέν τινι ἀνθρώπους ὁποίους βούλεται ἔχειν ἀδύνατόν ἐϛι, τοῖς δὲ δὴ οὖσι προσήκει, ἐς ὅ τι ἄν τις αὐτῶν τῷ κοινῷ χρήσιμος ᾖ, χρῆσθαι. ἔτη γὰρ ν' καὶ μῆνας ι' ἡμέρας τε κ' ζήσας, καὶ ιθ' ἔτη ἡμέρας ια' αὐταρχήσας, ὅμοιος διὰ πάντων ἐγένετο καὶ ἐν οὐδενὶ ἠλλοιώθη. ἀγαθὸς δὲ ἦν, καὶ οὐδὲν προσποιητὸν [εἶχε· πάμπολλα γὰρ καὶ ὑπὸ παιδείας ὠφελήθη, ἐν ῥητορικῆς καὶ φιλοσοφίας λόγοις ἀσκηθείς (ἀφ' οὗ δὴ παμπληθεῖς φιλοσοφεῖν ἐπλάττοντο, ἵνα ὑπ' αὐτοῦ πλουτίζωνται), πλεῖϛον δὲ ὅμως ὑπὸ τῆς φύσεως ἐξήρθη. λέγει καὶ ἄλλους μυρίους ἐπαίνους εἰς αὐτὸν ὁ Δίων (71 34).

Μάρκος Ἀπίκιος Ῥωμαῖος ὡς ἦν ἀσωτίας πέρας οὐδεὶς ἀντιφήσει, δοκεῖ δέ πως μεγαλονοίας ἔργον ἐκεῖνο ἀποδείξασθαι. ἐν αὐτοῦ ἐϛιῶν ὁσημέραι· καὶ γὰρ ἔζη, φασί, τῇ γαϛρὶ καὶ τοῖς ἐκείνης ἀκρατεϛέροις· καί ποτε μεταξὺ θοιναζόντων Φάβιος, τῶν ὑπατευκότων εἷς, λαβὼν ἔκπωμα κρυϛάλλε μέγα τίμιον, εἶτα ἄκων κατέαξεν αὐτό, καὶ ἐπὶ τέτῳ συννεφὴς ἦν, ἄχει πληγεὶς τὴν ψυχήν. ὁ τοίνυν Ἀπίκιος πειρώμενος αὐτὸν τῆς λύπης ἀπάγειν "οὐ καταβαλεῖς" φησί "τὸ πραχθὲν καὶ σεαυτὸν ἡμῖν παρέξεις φαιδρότερον συμπότην; ἢ σοὶ φίλῳ ὄντι τοῦτο δρᾶσαι οὐκ ἐξέσαι, ὅπερ ἂν δρῶσι καὶ τῶν οἰνοχόων καὶ τῶν ἀργυρωνήτων πολλοὶ πολλάκις;" Aelianus?

Μάρκος Ἀρεθουσίων ἐπίσκοπος, λόγῳ καὶ βίῳ κεκοσμημένος, ὃν ἐπὶ Ἰουλιανῦ πολλαῖς αἰκίαις ὑπέβαλον, καὶ εἰς ὑπονόμες ἐμβαλόντες εἶτα παιδίοις παρέδοσαν κεντεῖν αὐτὸν ταῖς γραφίσι. μετὰ δὲ ταῦτα εἰς γύργαθον ἐμβαλόντες καὶ γάρῳ καὶ μέλιτι χρίσαντες ὑπαίθριον ᾐώρησαν ἐν θέρες ἀκμῇ, σφῆκας ὁμοῦ καὶ μελίσσας εἰς θοίνην προκαλόμενοι. ὁ δὲ ἀνενδότως διεκαρτέρησε. Theodoret. h. eccl. 3 7.

Μάρκος Μάλλιος εὐπατρίδης Κελτῶν ἐπελθόντων τῇ Ῥώμῃ ταύτην περιέσωσε καὶ τιμῶν μεγίϛων ἠξιώθη. ὕϛερον δὲ πρεσβύτην πολλάκις ἐϛρατευμένον ἀγόμενον εἰς δουλείαν ὑπὸ τοῦ δανειϛοῦ γνωρίσας, ἀπέδωκε τὸ χρέος ὑπὲρ αὐτοῦ, καὶ ἐπὶ τῷδε εὐφημούμενος πᾶσιν ἠφίει τοῖς ἑαυτοῦ χρήϛαις τὰ ὀφλήματα. προϊὼν δὲ τῇ δόξῃ καὶ ὑπὲρ ἄλλων ἀπεδίδου, καὶ ταῖς δημοκοπίαις ἐπαιρόμενος ἐβούλευσεν ἤδη χρεῶν ἀποκοπὰς κοινάς, ἢ τὸν δῆμον ἠξίε τοῖς δανείσασιν ἀποδοῦναι τὴν γῆν, ἐς τοῦτο ἀποδόμενον ἔτι οὖσαν ἀνέμιτον. Appianus t. 1 p. 40.

μαρμαρέην (Hom. Γ 126) λαμπράν, καὶ μαρμαρέαισιν αὐγαῖς (A Nub. 286) ταῖς λαμπραῖς· μαρμαίρειν γὰρ τὸ λάμπειν καὶ καταυγάζειν.

μαρμαρυγή ἄϛραψις, λαμπηδών.

Μάρπησσος ὄνομα κύριον.

μάρσιππος σάκκος, θυλάκιον, σακέλλιον· "εἶδόν τινας ἐν πέτραις μαρσίππυς ἱματίων κατατιθεμένυς" Ξενοφῶν (Anab. 4 3 11).

a *Μαρσύας.* ἐν τοῖς χρόνοις τῶν Ἰυδαίων κριτῶν καὶ Μαρσύας ἐγένετο σοφός, ὅςις ἐφεῦρε διὰ μουσικῆς αὐλοὺς ἀπὸ καλάμων καὶ χαλκοῦ· ὃς παραφρονήσας ἔρριψεν εἰς ποταμὸν ἑαυτὸν καὶ ἀπώλετο, καὶ ὠνομάσθη ὁ ποταμὸς Μαρσύας· περὶ οὗ μῦθος φέρεται ὅτι ἑαυτὸν ἀποθεώσας ἀπώλετο. κατὰ δὲ τοὺς αὐτοὺς χρόνυς ἐγένετο τὰ κατὰ τὸν Ἰάσονα καὶ τοὺς Ἀργοναύτας, ὡς Ἀπολλώνιος ὁ Ῥόδιός φησι. λέγεται μῦθος ὅτι ἐξεδάρη ὑπὸ Ἀπόλλωνος, καὶ φέρεται λόγος περὶ Ὁρμίσδου τοῦ Πέρσου, ὃς ηὐτομόλησε πρὸς Κωνςαντῖνον τὸν μέγαν. ἐξελθὼν γὰρ ἐπὶ θήραν οὗτος καὶ εἰς τὰ βασίλεια ὑποςραφείς, τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον ὀκ ἐξαναςάντων κατὰ τὸ καθῆκον, ἠπείλησε τὸν Μαρσύου θάνατον αὐτοῖς ἐπιθήσειν. τοῦτο παρά τινος ἀκηκοότος ἀναμαθόντες οἱ τῶν Περσῶν μετὰ θάνατον τοῦ πατρὸς τὸν νεώτερον ἀναγορεύυσι βασιλέα, τὸν δὲ ἀποκλείουσιν ἐν εἰρκτῇ καὶ σιδήροις πεδοῦσιν· ὃν ἡ γαμετὴ διὰ τῆς τῦ ἰχθύος μηχανῆς ῥίνην εἰσενεγκοῦσα ἐξήγαγε. καὶ ἀποδρὰς ἱκέτης πρὸς Κωνςαντῖνον ἔρχεται. ἡ ἱςορία δήλη.

b *Μαρσύας* Κριτοφήμου Φιλιππεὺς ἱςορικός, ὁ νεώτερος.

c *Μαρσύας* Μάρσου Ταβηνὸς ἱςορικὸς ἔγραψεν ἀρχαιολογίαν ἐν βιβλίοις ιβ', μυθικὰ ἐν βιβλίοις ζ', καὶ ἕτερά τινα περὶ τῆς ἰδίας πατρίδος.

d *Μαρσύας* Περιάνδρου Πελλαῖος ἱςορικός. οὗτος δὲ ἦν πρότερον γραμματοδιδάσκαλος, καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, σύντροφος δὲ Ἀλεξάνδρου τοῦ βασιλέως. ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις ι', ἤρξατο δὲ ἀπὸ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων, καὶ μέχρι τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου ἐπὶ τὴν Συρίαν ἐφόδου μετὰ τὴν Ἀλεξανδρείας κτίσιν· Ἀττικὰ ἐν βιβλίοις ιβ', καὶ αὐτῦ Ἀλεξάνδρυ ἀγωγήν.

Μαρτῖνος ὄνομα κύριον. καὶ *Μαρτινιανός.*

Μάρτιος. ὅτι Μάρτιος Βῆρος τὸν Θυκυδίδην ἐκπέμπει καταγαγεῖν Σόαιμον εἰς Ἀρμενίαν· ὃς δέει τῶν ὅπλων καὶ τῇ οἰκείᾳ περὶ πάντα τὰ προσπίπτοντα εὐβυλίᾳ τῦ πρόσω εἴχετο ἐρρωμένως. ἦν δὲ ἱκανὸς ὁ Μάρτιος οὐ μόνον ὅπλοις βιάσασθαι τοὺς ἀντιπολέμους ἢ ὀξύτητι προλαβεῖν ἢ ἀπάτῃ κατασοφίσασθαι, ἥπερ ἐςὶ ςρατηγῶν ἀλκή, ἀλλὰ καὶ λόγῳ πιθανῷ πεῖσαι καὶ δωρεαῖς μεγαλόφροσιν οἰκειώσασθαι καὶ ἐλπίδι ἀγαθῇ δελεάσαι. χάρις τε ἦν ἐπὶ πᾶσι τοῖς πραττομένοις ὑπ' αὐτῦ καὶ λεγομένοις, τὸ μὲν ἀγανακτοῦν ἐκάςυ καὶ τὸ θυμούμενον παραμυθουμένη, τὸ δὲ ἐλπίζον ἔτι μᾶλλον αὔξυσα. κολακείας τε δώρων καὶ τῆς παρὰ τραπέζαις δεξιώσεως καιρὸν ᾔδει. οἷς προσὸν τὸ πρὸς τὰς πράξεις σύντονον καὶ τὸ πρὸς τὺς ἐχθρὺς σὺν ὀξύτητι δραςήριον αἱρετώτερον ἐδείκνυ τοῖς βαρβάροις εἶναι τῆς φιλίας αὐτοῦ μᾶλλον ἢ τῆς ἔχθρας ἀντιποιεῖσθαι. ἀφικόμενος οὖν εἰς τὴν καινὴν πόλιν, ἣν φρουρὰ Ῥωμαίων κατεῖχεν ἐκ Πρίσκου καταςᾶσα, νεωτερίζειν πειρωμένους λόγῳ τε καὶ ἔργῳ σωφρονίσας, ἀπέφηνε πρώτην εἶναι τῆς Ἀρμενίας. Dio Cass. 71 3.

μαρτύριον σκηνή, ὡς ἔχυσα τὰς πλάκας τοῦ νόμου· τὸν γὰρ νόμον ἐντολὰς ἐκάλουν καὶ μαρτύρια καὶ δικαιώματα. Theodoret. in Ps. 77 5.

μάρτυροι παρ' Ὁμήρῳ, ἀπὸ τῆς μάρτυρος εὐθείας.

μαρτύρομαι μάρτυρας καλῶ· Σοφοκλῆς (OC 813) "μαρτύρομαι τούσδ', οὐ σέ, πρὸς δὲ τοὺς φίλους οἷ' ἀνταμείβῃ ῥήματ', ἤν σ' ἕλω ποτέ." Κρέων φησὶ πρὸς Οἰδίπυν. καὶ Αἰλιανός "ἀλλὰ τοσοῦτον μαρτυρόμεθ' ὡς οὔτ' ἀδικοῦμεν ξενίου Διὸς χάριν."

μαρτύρονται ἀντὶ τῦ μαρτυρίαν ἐπάγονται ἢ παρέχονται· Πλάτων Πολιτείας β' (p. 364 C) "τὸν Ὅμηρον μαρτύρονται."

μαρτυρῶ δοτικῇ. αἰτιατικῇ δὲ (Demosth. 19 198) "καὶ Διόφαντος ἐν ὑμῖν ἀπήγγειλεν ἃ νῦν μαρτυρεῖν αὐτὸν ἀναγκάσω."

μάρψῃ συλλάβῃ, διαχρήσηται· "ἀλλ' ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχείλης" (A Eq. 197).

Μαρψίας ὄνομα κύριον· ἦν δὲ ῥήτωρ φλύαρος καὶ θορυβώδης. Ἀριςοφάνης (Ach. 702) "πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;"

Μαρώνεια τόπος ἐςὶ τῆς Ἀττικῆς, ὃν Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ (4) μνημονεύει. ἔςι δὲ καὶ πόλις ἐν Θρᾴκῃ, ἣν φασιν εἶναι τὴν ὑφ' Ὁμήρυ (ι 19) Ἴσμαρον καλουμένην. Harp.

Μαρωνεῖτις φυλή.

Μάρωνος ὄνομα κύριον.

Μασαισύλιον ἔθνος.

μάσθλης ἰδίως ὁ μεμαλαγμένος λῶρος καὶ ἔκλυτος. μάσθλης οὖν ἐνταῦθα ὁ πολυγνώμων καὶ ἔκλυτος καὶ μηδὲν βέβαιον μηδὲ ςαθερὸν γινώσκων. ἢ ὁ ἱμαντώδης καὶ μαςιγίας, ἀπὸ μεταφορᾶς τοῦ μεμαλαγμένου ἱμάντος. ἢ οὕτως εὔτονος ὡς ἱμάς. sch. A Nub. 448.

μάσθλης ἄνθρωπος ὁ μεμαλαγμένος καὶ ἐντριβὴς ταῖς πονηρίαις.

Μασσαλία. Ἰσοκράτης φησὶν ἐν Ἀρχιδάμῳ ⟨84⟩ ὡς Φωκαεῖς φυγόντες τὴν τῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ Ἀριςοτέλης. Harp.

a *Μασσανάσσης* ὁ τῶν Νομάδων βασιλεὺς ἀνὴρ ἦν ἐς πάντα ἐπιτυχής, ᾧ τὴν μὲν ἀρχὴν τὴν πατρῴαν θεὸς ἔδωκεν ἀφαιρεθέντι πρὸς Καρχηδονίων καὶ Σύφακος ἀναλαβεῖν καὶ προαγαγεῖν ἐπὶ μέγιςον, ἀπὸ Μαυρυσίων τῶν παρ' ὠκεανῷ μέχρι τῆς Κυρηναίων ἀρχῆς ἐς τὰ μεσόγεια, ἡμερῶσαι δὲ γῆν πολλήν, τὰ πολλὰ τῶν Νομάδων διὰ τὸ ἀγεώργητον ποηφαγούντων, θησαυρούς τε μεγάλους χρημάτων καταλιπεῖν καὶ ςρατιὰν πολλὴν γεγυμνασμένην, τῶν δὲ ἐχθρῶν Σύφακα μὲν αἰχμάλωτον ἑλεῖν αὐτοχειρί, Καρχηδόνι δ' αἴτιον τῆς ἀναςάσεως γενέσθαι, πάμπαν αὐτὴν ἀσθενῆ Ῥωμαίοις ὑπολιπόντα. ἔφυ δὲ καὶ τὸ σῶμα μέγας τε καὶ εὔρωςος ἐς γῆρας πολὺ καὶ μέχρι τοῦ θανάτυ, ἵππυ τε χωρὶς ἀναβολέως ἐπέβαινε. καὶ μεγίςῳ δὴ τῷδε τεκμηριώσω μάλιςα τὴν εὐρωςίαν αὐτῦ· πολλῶν γὰρ αὐτῷ παίδων γινομένων τε καὶ ἀποθνησκόντων οὔποτε μὲν ἦσαν αὐτῷ μείους τῶν δέκα, τετραετὲς δὲ παιδίον ἐνενηκοντέτης ἀπέλιπε. καὶ ὧδε μὲν χρόνυ τε καὶ σώματος ἔχων ἐτεθνήκει. Appian. Pun. 106.

b *Μασσανάσσης* ὁ ἐν Λιβύῃ τῶν Νομάδων βασιλεύς, ἀνὴρ τῶν καθ' ἡμᾶς βασιλέων ἄριςος καὶ μακαριώτατος, ὃς ἐβασίλευσεν ἔτη πλείω τῶν ξ´ ὑγιεινότατος ὢν καὶ πολυχρονιώτατος· ς γὰρ ἐτῶν ἐγεγόνει. ἐγένετο δὲ καὶ δυναμικώτατος τῶν καθ' ἑαυτὸν κατὰ τὴν σωματικὴν ἕξιν, ὃς ὅτε μὲν ἑςάναι δέοι, ςὰς ἐν τοῖς αὐτοῖς ἴχνεσι δι' ἡμέρας ἔμενε, καθεζόμενος πάλιν οὐκ ἠγείρετο, καὶ τὴν ἐπὶ τῶν ἵππων κακοπάθειαν ἡμέραν καὶ νύκτα διακαρτερῶν οὐδὲν ἔπασχε. σημεῖον δὲ τῆς τοῦ σώματος αὐτοῦ δυνάμεως· ἔχων ἐνενήκοντα ἔτη καθ' ὃν καιρὸν μετήλλαξε τὸν βίον, υἱὸν ἀπέλιπε δ' ἐτῶν, ὄνομα Σθεμβάν, ὃν μετὰ ταῦτα Μικίψης υἱοποιήσατο, πρὸς δὲ τούτῳ υἱοὺς δ´. διὰ δὲ τὴν πρὸς ἀλλήλους τύτων εὔνοιαν διετήρησε τὸν ὅλον βίον πάσης ἐπιβουλῆς καὶ παντὸς οἰκείυ μιάσματος ἄμοιρον αὐτοῦ γενέσθαι τὴν βασιλείαν. τὸ δὲ μέγιςον· τῆς Νομαδίας ἁπάσης ἀχρήςου τὸν πρὸ τοῦ χρόνον ὑπαρχούσης, καὶ νομιζομένης ἀδυνάτου φύσει πρὸς ἡμέρους καρπὺς ὑπάρχειν, πρῶτος καὶ μόνος ὑπέδειξεν ὅτι δύναται ἐκφέρειν πάντας τοὺς ἡμέρους καρποὺς οὐδ' ὁποίας ἧττον, ἑκάςῳ τῶν καρπῶν ἐν διαςάσει μυριοπληθεῖς ἀγροὺς κατασκευάσας παμφόρους. Polyb. 37 3.

μάσσει φυρᾷ, ζυμοῖ.

μᾶσσον μεῖζον, μακρότερον· "ἐπιπρὸ δὲ μᾶσσον ἐπ' ἄκρου Αἰγαλέω θυμόεντος, ἄγων μέγαν ὑετόν, ἔςη" ⟨Choerilus⟩.

μάσσων μακροτέρα· Ξενοφῶν "ἂν μὴ πολὺ μάσσων ὁδὸς ᾖ."

Μάσσωνος.

μάςακα ⟨Hom. *I* 324, δ 287⟩ μάσημα, τροφήν. λέγεται καὶ τὸ ςόμα καὶ τὸ μάσημα ὁμωνύμως, ὡς χοίνικα καὶ τὸ μέτρον καὶ τὸ μετρούμενον.

μαςαρύζει συνέλκει καὶ συνάγει τὰ χείλη, ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παιδίων, ἃ τὸν μαςὸν ἕλκοντα τῷ ςόματι συνάγει τὰ χείλη. Ἀριστοφάνης ⟨Ach. 689⟩ "ὃ δ' ὑπὸ γήρως μαςαρύζει."

Μάςειρα. ἐν η´ Φιλιππικῶν Δημοσθένης ⟨8 44⟩ "τῶν μὲν ἐν Θρᾴκῃ κακῶν· τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάςειραν;" μήποτε δὲ γραπτέον ἀντὶ τοῦ Μάςειραν Βάςειραν ἢ Πίςειραν ἢ Ἐπίμαςον· ταύτας γὰρ τὰς πολιτείας εὑρίσκομεν παρ' Ἀναξιμένει ἐν ζ´ τῶν περὶ Φίλιππον, τὴν δὲ Μάςειραν οὐδαμοῦ. Harp.

μαςεύων ἐπιζητῶν· "ἀλλὰ πλέον τι εἰδέναι μαςεύων ὑφ' ἡγεμόνι θεῷ." cf. v. ὑβρίζειν.

μαςῆρες ἀρχή τις ἀποδεδειγμένη ἐπὶ τῷ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζηταὶ καὶ οἱ ἐν Πέλλῃ μάςροι. Harp.

μάςι ⟨Hom. Ψ 500⟩ κατὰ ἀποκοπήν, μάςιγι.

μαςιγίας δοῦλος ὁ δι' ἁμάρτημα μαςιζόμενος.

μαςιγίας ἐκ Μελίτης ⟨A Ran. 504⟩ δοῦλος ὁ Ἡρακλῆς, ἀπὸ Μελίτης νύμφης. καὶ Μελίτη δῆμος τῆς Ἀττικῆς.

μαςιγώσιμος μαςίγων ἄξιος.

μάςιε ⟨Hom. Ρ 622⟩ μάςιξε.

μάςιξ, δι' ἧς τὸν ἵππον πλήττομεν· ἐν ἐπιγράμματι ⟨AP 6 233⟩ "καὶ νεκύων σφίγκτορ' ἐνρραφέα μάςιγα."

μαςίχη εἶδος μυρεψικῦ. καὶ μαςίχιον ὁμοίως.

μαςός ἀκρώρεια, ἐξοχὴ ὄρους· "ἦν γὰρ ἐν δεξιᾷ τοῦ φρουρίου μαςός. τοῦτον, εἰ καταληφθείη, πρὸς πολλὰ οἰόμενος ἐν ὑςέρῳ χρήσιμον ἔσεσθαι." ⟨X Anab. 4 2 6⟩ "μαςὸς ἦν ὑπὲρ αὐτῶν, παρ' ὃν ἦν ἡ ςενὴ ὁδός."

μαςροπεύω. μαςροπεία. "μαςροπεύοντες οἱ βασιλικοὶ τῷ Ζήνωνος υἱῷ τὰς συνήβους, πρὸς τοὺς τῶν ἀρρένων ἔρωτας λυσσᾶν ἐξεπαίδευσαν ἐκτόπως" ⟨cf. v. Ζήνων d⟩.

μαςροπός μαυλιςής, πορνοβοσκός.

μαςρύλλιον τόπος ἔνθα οἱ μαςροποὶ διέτριβον.

μασχάλην αἴρεις ἀντὶ τοῦ κωθωνισθήσῃ· οἱ γὰρ μεθύοντες ἦρον τὰς μασχάλας καταμωκώμενοι. καὶ οἱ μνηςῆρες ⟨Hom. σ 99⟩ "χεῖρας ἀνίσχοντες γέλῳ ἔκθανον" καὶ ⟨Θ 347⟩ "χεῖρας ἀνασχόμενοι μεγάλ' εὐχετόωντο ἕκαςος."

μασχαλισθῆναι. εἰώθασι τῶν ἀναιρουμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ ⟨cf. v. ἀποτροπιαζόμενοι⟩. ἢ ὅτι ἐπὶ ταῖς καθάρσεσι τοῦ φονευθέντος τὰ ἄκρα ἔτεμνον καὶ περὶ τὴν μασχάλην αὐτοῦ ἐκρέμαζον αὐτά, ἵνα, φασίν, ἀσθενὴς γένοιτο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα· καὶ Ἀπολλώνιος ⟨4 478⟩ "ἐξάργματα τέμνε θανόντος" περὶ τοῦ Ἰάσονος. ἢ ὅτι οἱ δρῶντες ἐμφύλιον φόνον ἠκρωτηρίαζον τὰς ἀναιρεθέντας, ἐκ παντὸς μέρους τοῦ σώματος ἀποτεμνόμενοι, καὶ περιῆπτον ἑαυτοῖς τὰ ἄκρα συνείροντες, διὰ τούτων ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν ἐς ὕςερόν τι δεινὸν παρ' ἐκείνων. ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα· ὃ μασχαλισθῆναι ἔλεγον. Σοφοκλῆς ⟨El. 442⟩ "σκέψαι γὰρ εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ γέρα τάδ' ἂν τάφοισι δέξασθαι νέκυς, ὑφ' ἧς θανὼν ἄτιμος ὥςε δυσμενὴς ἐμασχαλίσθη, κἀπὶ λουτροῖσιν κάρα κηλῖδας ἐξέμαξε." περὶ τῦ Ἀγαμέμνονος.

μασχαλίσματα. Ἀριςοφάνης παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ κεῖσθαι τὴν λέξιν, ἔθος σημαίνουσαν· οἱ γὰρ φονεύσαντες ἐξ ἐπιβουλῆς τινὰ ὑπὲρ τῦ τὴν μῆνιν ἐκκλίνειν ἀκρωτηριάσαντες μόρια τούτυ καὶ ὁρμαθίσαντες ἐξεκρέμασαν τοῦ τραχήλου διὰ τῶν μασχαλῶν διείραντες, καὶ μασχαλίσματα προσηγόρευσαν. σημαίνει δὲ ἡ λέξις καὶ τὰ τοῖς μηροῖς ἐπιτιθέμενα ἀπὸ τῶν ὤμων κρέα ἐν ταῖς τῶν θεῶν θυσίαις.

μασώμενος δευτέρας συζυγίας τῶν περισπωμένων, ἀπὸ τῦ μασῶ μασᾷς, ὡς γελῶ γελᾷς. παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ ⟨321⟩.

ματάζων ματαίως ζῶν, ματαίως φρονῶν. καὶ ματαΐσαι ὁμοίως.

μάταιον ματαίως.

μάτην ἄλλως Ἴωνες.

ματηρεύειν ματαίως ζῆν.

ματήσετον ⟨Hom. Ε 233⟩ ἀμελήσουσιν.

Ματθαῖος ὄνομα κύριον.

Ματθίας ὄνομα κύριον.

ματία.

ματιολοιχός ὁ περὶ τὰ μικρὰ πανοῦργος καὶ λίχνος· μάτιον γάρ, ὡς βέλτιον τῷ τόνῳ, τὸ μικρόν. ἢ ὁ μικροφάγος, ἐπεὶ μάτιον τὸ ἐλάχιςόν φασιν. ἢ ὁ μάταια βουλόμενος καὶ λοχῶν. ἢ ὁ χρουσιμέτρης· μάτιον γὰρ εἶδος μέτρυ. ὀξυτόνως δὲ ἀναγνωςέον, ὥς φησιν Ἡρωδιανός. sch. A Nub. 450.

μάτιον εἶδος μέτρου· ἢ τὸ ἐλάχιςον.

μὰ τόν. ἐλλειπτικῶς ὀμνύει, καὶ οὕτως ἔθος ἐςὶ τοῖς ἀρχαίοις ἐνίοτε μὴ προςιθέναι τὸν θεόν· εἰώθεισαν γὰρ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι ἐπευφημιζόμενοι, ὥςε εἰπεῖν μὲν μὰ τόν, ὄνομα δὲ μηκέτι προσθεῖναι. καὶ Πλάτωνα δὲ τῷ τοιούτῳ κεχρῆσθαι. sch. A Ran. 1421.

Ματρέας. οὗτος λαοπλάνος ἦν, ἔτρεφε δὲ θηρίον ὃ αὐτὸ ἑαυτὸ κατήσθιε· καὶ ζητεῖται τί τὸ τοῦ Ματρέου θηρίον. ἐποίησε δ' οὗτος καὶ παρὰ τὰς Ἀριςοτέλυς ἀπορίας· διὰ τί ὁ ἥλιος δύνει μέν, κολυμβᾷ δ' οὔ. Athen. p. 19.

Ματρίκιον.

Μάτρις ὄνομα κύριον.

ματρυλεῖον. τόπον τινά φασιν εἶναι, ἐν ᾧ γρᾶες διατρίβουσαι δέχονται τοὺς βουλομένυς καταμεθυσθῆναι. Μένανδρος Ἐπιτρέπουσιν "οὐκ οἰμώξεται καταφθαρεὶς ἐν ματρυλείῳ τὸν βίον;" Harp.

Μάτρωνος ὄνομα κύριον.

μάττοντας ἐσθίοντας πολλά, ἀπὸ τῆς ματτομένης μάζης. Ἀριστοφάνης (Pac. 742) "τοὺς θ' Ἡρακλέας μάττοντας." αἰνίττεται δὲ ταῦτα εἰς Εὐριπίδην, ὃς ἐποίησεν Ἡρακλέα πεινῶντα καὶ Διόνυσον δειλὸν καὶ Δία μοιχὸν καὶ δοῦλον κλαίοντα.

μαυλίας τὰς μαχαίρας ἐκάλουν, διὰ τὸ ὁμοῦ αὐλίζεσθαι, οἷον ὁμαυλίας. sch. Thuc. 1 6.

Μαυρίκιος ὁ βασιλεὺς Ῥωμαίων. ὅτι λέγεται περὶ Μαυρικίου, φιλοτίμως ἔχειν περὶ τὴν τῶν λόγων μεγαλοπρέπειαν, τιμᾶν τε λίαν λαμπρῶς τοὺς ἐνηθληκότας περὶ τὰ κάλλιστα τῶν μαθημάτων (Theophyl. Sim. 8 13). ἀναφέρεται δὲ καὶ τὴν τρίτην μοῖραν τῶν φόρων συγχωρῆσαι τοῖς ὑπηκόοις τὸν Μαυρίκιον. οὗτος δὲ προχειρίζεται στρατηγὸς τῆς ἕω ὑπὸ Τιβερίου Καίσαρος. ὃς Μαυρίκιος ἐν πολέμοις μὲν καὶ ἀγῶσιν οὐκ ἦν ἐντεθραμμένος, ἔμφρων δὲ ἄλλως καὶ ἐμβριθὴς καὶ κατηκριβωμένος, ξυγκεράσας τε ἐν ἑαυτῷ ἄμφω τὰ ἐναντίως ἔχοντα ἀλλήλοις, ὄγκον φρονήματος καὶ πραότητα, πάσης ὑπεροψίας τε καὶ ὀφρύος ἐλεύθερα. τοιοῦτον δή τινα τὸν Μαυρίκιον ὄντα ἡ τῶν πραγμάτων ἡγεμονία παραλαβοῦσα ἀνέδειξέ πως εὐκλεέστερον τῇ πείρᾳ. Menander p. 444 Nieb.

μαῦρον τὸ ἀμαυρὸν καὶ ἀσθενές.

μαῦρος μωρός.

μαυροῦσιν ἀφανίζουσι.

Μαυρούσιοι ἔθνος ἀπρόσμαχον τοῖς ἐκείνῃ βαρβάροις ὑπὸ τόλμης τε καὶ ὀξύτητος καὶ τοῦ μεμελετηκέναι ἐπελαύνειν τε ἀθρόως, ὅπου παρείξειε, κἀποφεύγειν εὐπετῶς, καὶ ξυναυλίζεσθαι αὖθις ἐκ τῆς φυγῆς, ὡς ὑποστρέψαντας ἐμβαλεῖν εἰς τοὺς ἀπρονοήτως τε καὶ οὐκ ἐν τάξει διώκοντας. εἰ δὲ καὶ πταῖσμά τι γίγνοιτο, οὐκ ἐν στρατιᾷ Ῥωμαίων κινδυνεύσειν, ἀλλ' ἐν ξυμμαχίᾳ τε, καὶ ταύτῃ βαρβάρων.

Μαύσωλος ἄρχων Καρῶν. φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα. Harp.

μάχαιρα ἡ σπάθη. "οἱ Κελτίβηρες τῇ κατασκευῇ τῶν μαχαιρῶν πολὺ διαφέρουσι τῶν ἄλλων· καὶ γὰρ κέντημα πρακτικὸν καὶ καταφορὰν ἔχει δυναμένην ἐξ ἀμφοῖν τοῖν μεροῖν. ᾗ καὶ Ῥωμαῖοι τὰς πατρίους ἀποθέμενοι μαχαίρας, ἐκ τῶν κατ' Ἀννίβαν, μετέλαβον τὰς τῶν Ἰβήρων. καὶ τὴν μὲν κατασκευὴν μετέλαβον, αὐτὴν δὲ τὴν χρηστότητα τοῦ σιδήρου καὶ τὴν ἄλλην ἐπιμέλειαν οὐδαμῶς δύνανται μιμεῖσθαι." Polybius?

Μαχάονος. Μαχάων ὄνομα ἰατροῦ, καὶ Χείρων ὁ Κένταυρος. "διεψιθύριζον δὲ ὡς ἑαυτοὺς οἱ Χείρωνος καὶ Μαχάονος τεχνώμενοι μελετήματα, ὡς συνεκδημήσει αὐτῷ καὶ ἡ ψυχὴ τῇ τοῦ βέλους ἐξόδῳ" (Theophyl. Sim. 2 6).

Μαχάτας ὄνομα κύριον.

μάχιμος ὁ γενναῖος· (A Ran. 280) "εἰδώς με μάχιμον ὄντα, φιλοτιμούμενος."

μαχλάδας πόρνας.

μάχλος ἀσελγής, ἄσωτος, παρὰ τὸ κλῶ κλώς, καὶ πλεονασμῷ τῆς μα συλλαβῆς μάκλος, καὶ τροπῇ μάχλος. (Procop. Arc. 1) "αὕτη τὸ πρότερον μάχλον τινὰ βιώσασα βίον, καὶ τὸν τρόπον ἐξερρωγυῖα, φαρμακεῦσί τε πατρῴοις πολλὰ ὡμιληκυῖα."

μαχλοσύνη καταφέρεια, γυναικομανία. Ἡσιόδειος ἡ λέξις· λέγει γὰρ περὶ τῶν Προίτου θυγατέρων "εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος."

μαχλῶντες πορνεύοντες.

μάχομαι δοτικῇ.

μαχόμενον ἐναντίον τῷ ἀκόλουθον, τουτέστιν ὃ ἀναγκαῖον μὴ εἶναι.

μάψ ματαίως.

μαψίδιον, μάταιον, δαψιλές, χαλεπόν, πολύ, δεινόν, ἑκούσιον. καὶ **μαψιδίως** ὁμοίως.

μέγα ἀντὶ τοῦ μεγάλως· Ἀριστοφάνης a
Νεφέλαις (215) "τοῦτο μέγα φροντίζετε."

μέγα πολύ· "οἱ δὲ μέγα δείσαντες ἐπ' b
αὐτῷ διαβοῶσι τὸν κίνδυνον ὅλῳ τῷ τάγματι." καὶ Αἰλιανὸς "ὀλίγου χρόνου διελθόντος ἑάλω μέγα κακουργῶν, εἶτα μέντοι ἐν ὄψει πολλῶν κατεπρήσθη ζῶν" ἀντὶ τοῦ ἐκαύθη. "καὶ πάρδαλιν τοῦ αὐτοῦ μέγα τιμίαν διάλιθον," καὶ αὖθις "γυνὴ εὐπάτωρ ἄνθρωπος καὶ μέγα πλουσία."

μέγα καὶ μικρὸν περὶ τὴν ἀκοὴν λέγεται, λέγεται δὲ καὶ ἐπὶ τῶν ψόφων. καὶ τὸ μὲν ἐν ψόφοις μέγα καὶ μικρὸν ἡ ἀκοὴ μόνη δύναται διακρῖναι, τὸ δὲ ἐν σώμασι τὸ συνεχὲς ἡ ἁφὴ καὶ ἡ ὄψις διακρίνουσιν. ὅτε δὲ λέγομεν φωνὴν λευκὴν ἢ μέλαιναν, κατ' ἀναλογίαν καὶ ὁμοιότητα τὴν ἀπὸ τῶν χρωμάτων φαμέν. καὶ τοῦ μὲν ἐν ψόφοις μέγα καὶ μικρὸν οὐκ ἔστιν ἑτέρα τις ἀντίθεσις παρὰ

τὸν ὀξὺν καὶ τὸν βαρὺν φθόγγον, ὥσπερ ἐπὶ τῆς ἁφῆς παρὰ τὸ θερμὸν καὶ ψυχρὸν ἑτέρα παντελῶς ἀντίθεσις τὸ βαρὺ καὶ κοῦφον, ἢ τραχὺ καὶ λεῖον, καὶ τῶν ἄλλων ἑκάϛη· ἀλλὰ τὴν ἄνεσιν ἢ τὴν ἐπίτασιν δηλοῖ τῶν ψόφων. τοῦτο δὲ οὐκ ἔϛιν ἑτέρας ἀντιθέσεως ἴδιον. τὸ τοιοῦτο γᾶν μέγα καὶ μικρὸν εὑρεῖν ἔϛιν, οἷον τὸ μὲν τοῦ μέλιτος, εἰ τύχοι, μέγα, τὸ δὲ τῆς ἰσχάδος μικρόν, ὅτι ἐπιτέταται ἡ γλυκύτης ἐν τῷ μέλιτι, ἀνεῖται δὲ ἐν τῇ ἰσχάδι. ἀλλὰ καὶ τὸ μέλαν χρῶμα τὸ μὲν κατακορὲς εἴποι ἄν τις μέγα, τὸ δὲ μὴ οὕτως ἔχον ἀλλ' ὑφειμένον μικρόν, τὸ σφοδρὸν ἁπλῶς καὶ ἀμυδρὸν τῇ τοῦ μεγάλε καὶ μικροῦ φωνῇ ὀνομάζων. ζητῆσαι δὲ ἄξιον, τί δήποτε ἐπὶ μόνων τῶν μεγεθῶν λεγομένου τοῦ μεγάλε καὶ μικρᾶ, ἐπὶ μόνων τῶν σφοδρῶν ψόφων καὶ ἀμυδρῶν τῇ μεταφορᾷ οἰκείως ἐχρησάμεθα, μέγαν ψόφον λέγοντες καὶ μικρόν, οὐ μέντοι μέγα γλυκὺ τὸ ἄγαν γλυκύ, ἀδὲ μικρὸν τὸ ἀμυδρὰν ἔχον τὴν γλυκύτητα, ἀδὲ ἐπ' ἄλλε ἀδενός. φημὶ ἂν ὅτι ὁ ψόφος ἀκ ἔϛιν ὑφεϛηκός τι καὶ ἀθρόον πρᾶγμα, ἀλλ' ἐν τῷ γίνεσθαι ὑφέϛηκε· γίνεται δὲ ἐν χρόνῳ, πᾶς δὲ χρόνος συνεχής. διὰ τοῦτο τὸν ἐν πολλῷ χρόνῳ γενόμενον ψόφον μέγαν φαμέν, μικρὸν δὲ τὸν ἐν ὀλίγῳ. τὸ δὲ ἄγαν γλυκὺ καὶ ἄγαν μέλαν καὶ ἐπὶ τῶν ἄλλων, τῷ σφοδρῷ τῆς ποιότητος τοιαῦτά ἐϛιν, οὐ τῷ μήκει τᾶ χρόνα. Philopon. in 2 de anima, M 8 a.

Μεγάβυζος ὄνομα κύριον (Herodot. 4 144).

μεγάθυμος μεγαλόψυχος.

Μεγαίνετος ὄνομα κύριον. αὐθάδης, καὶ τῶν ϛρατηγιώντων, καὶ ἄλλως θρασύς.

Μεγαίνετος ὁ Μάνης καὶ Φορμίσιος δούλων ὀνόματα (sch. A Ran. 996). "γνώσῃ δὲ τοὺς τάτα κἀμοῦ μαθητάς. τάτα μὲν Φορμίσιος Μεγαίνετός θ' ὁ Μάνης."

μεγαίρων φθονῶν.

μεγακήτης ὁ μέγας.

Μεγακλέους κίονας. A Nub. 814.

μεγαλαυχόμενοι κατεπαιρόμενοι· "ἔτι μεγαλαυχόμενοι ἐπὶ τοῖς πραττομένοις, θερμότατα ἄγειν τὸ δεύτερον ἐπὶ τὰς πολεμίας."

μεγαλεῖα ὑψηλά, μεγάλα· (Ps. 70 19) "ἃ ἐποίησάς μοι μεγαλεῖα ὁ θεός."

Μεγάλειον μύρον ἀπὸ τοῦ εὑρομένου τὴν κατασκευὴν αὐτοῦ Μεγάλε Σικελιώτε.

μεγαλεῖον μεγαλοπρεπές· "οἱ δὲ τῷ Μάγωνι προσπολεμοῦντες τῶν Λιγυϛίνων πρᾶξαι μὲν ὁλοσχερές τι καὶ μεγαλεῖον ἀχ οἷοί τ' ἦσαν." Polybius?

μεγαλείως πάνυ· "οἱ δὲ Ῥωμαῖοι μεγαλείως ἔχαιρον, καὶ μέγιϛον ἐποιοῦντο σημεῖον τῆς τῶν Καρχηδονίων ὑπερηφανίας."

μεγαλεπήβολος ὁ μεγάλων πραγμάτων καταρχόμενος· "ἐδόκει γὰρ ὁ βασιλεὺς ἅτος μεγαλεπήβολος καὶ τολμηρὸς εἶναι καὶ τοῦ προτεθέντος ἐξεργαϛικός" (Polyb. 15).

μεγαλήτωρ μεγαλόψυχος.

μεγαλίζεο (Hom. K 69) ἐπαίρου.

μεγαλοδωρία. (Dio Cass. 76 10) "τοσαύτῃ μεγαλοδωρίᾳ καὶ σοφίᾳ ἐχρήσατο· οὔτε γὰρ ἑωρᾶτο ὁρώμενος οὔτε εὑρίσκετο εὑρισκόμενος οὔτε κατελαμβάνετο ἁλισκόμενος."

μεγαλομερία. Πολύβιος (1 26) περὶ Καρχηδονίων φησὶν ὅτι ὁ ϛόλος αὐτῶν περὶ ιε' μυριάδας ὑπῆρχεν· ἐφ' οἷς οὐχ οἷον ἄν τις παρὼν καὶ θεώμενος ὑπὸ τὴν ὄψιν, ἀλλὰ κἂν ἀκούων καταπλαγείη τὸ τοῦ κινδύνου μέγεθος καὶ τὴν τῶν πολιτευμάτων ἀμφοτέρων μεγαλομερίαν καὶ δύναμιν. καὶ ὁ θεολόγος "τοῖς τῶν μεγίϛων ἢ τοῦ μεγίϛου ἢ ὑπὲρ τὸ μέγα ἐφιεμένοις." μεγίϛων ὡς ἐν τρισὶν ὑποϛάσεσιν ὁμοουσίοις· ἢ τοῦ μεγίϛου διὰ τὸ κατ' οὐσίαν ἓν καὶ ταὐτὸ τῆς θεότητος· ἢ ὑπὲρ τὸ μέγα διὰ τὸ μὴ ποσῷ τινι ἢ μεγέθει ἢ πηλικότητι περιγράφεσθαι.

μεγαλομερῶς· "τὸν δὲ Πόπλιον καὶ τὸν Γάιον ἀποδεξάμενος φιλανθρώπως καὶ μεγαλομερῶς" ἀντὶ τᾶ πολυτελῶς. Polybius?

μεγαλόνοια ὑπερηφανία, μεγαλοψυχία, μεγαλοπρέπεια. "ὃ δὲ ἐτεθήπει αὐτοῦ τὴν μεγαλόνοιαν" καὶ αὖθις "τῶν μέτρων τὸ ἀξιάγαϛον."

μεγαλοπρεπής μεγαλοφανής, ἢ ὁ ἐπὶ μεγέθει ἀναλωμάτων πονάμενος· ἐλευθέριος δὲ ὁ ἐπὶ τὰ συνήθη καὶ εὐτελῆ. Εὐνάπιος (p. 105 Nieb.) "οὔτε ἄλλως τὸ μεγαλοπρεπὲς κατὰ τὴν δίαιταν ἐν ταῖς μάχαις ἐϛὶ φιλοκίνδυνον." διαφέρει δὲ μεγαλοπρέπεια ἐλευθεριότητος, ὅτι ἣ μὲν ἐν μεγέθει ἀναλωμάτων ἐϛίν, ἡ δὲ ἐλευθεριότης περὶ τὰ συνήθη ἀναλώματα ἐνεργεῖ.

μεγαλορρήμονος. καὶ μεγαλορρημοσύνη μεγαληγορία.

μεγαλόφρων μεγαλόψυχος. μεγαλόψυχος δέ ἐϛιν ὁ ἕξιν ἔχων ὑπεράνω ἑαυτὸν τι-

θέναι πάντων τῶν συμβαινόντων κοινῇ φαύλων τε καὶ σπουδαίων ⟨cf. Diog. L. 7 93⟩. λέγεται δὲ καὶ μέγιςος πλοῦτος παρὰ τοῖς παλαιοῖς.

μεγαλοψυχότερος.

μεγαλύνω αἰτιατικῇ.

μεγαλώνυμον ⟨A Nub. 569⟩ μεγαλόδοξον, περίφημον, ὀνομαςόν.

a μεγαλωςί μεγάλως· "ὁ δὲ παραλαβὼν τὴν Ἔφεσον, ἐπὶ τούτῳ μεγαλωςὶ περιχαρὴς ἦν."

b μεγαλωςί πάνυ· Ἀρριανός "τὴν πίςιν καὶ τὴν δικαιότητα μεγαλωςὶ ἐπῄνει τοῦ Ἀλεξάνδρου, τά τε ἄλλα καὶ τὸ αὐτοῦ ἐν πρώτοις ἐς βεβαίωσιν τοῦ λόγου προφέρων."

μεγαλωσύνη.

μεγαμάζα. οἱ Σύροι τὴν ἐπὶ τὸν βασιλέα δέησιν οὕτω καλοῦσι.

μεγάμυκος μεγαλομυκήτης. ἡ ὄνος.

μεγάνορος πλούτου Πίνδαρος ⟨Ol. 1 4⟩. ἰσχυροῦ, δυνατοῦ, ἀνδρίαν ἐμποιοῦντος. ἐπεὶ μεγάλα δύναται ὁ χρυσός· νεῦρα γὰρ λέγεται πολέμου εἶναι.

μέγαρα τὰ οἰκήματα.

Μεγαρέων ἄξιοι μερίδος ἀντὶ τοῦ ἄτιμοι· τοιοῦτοι γὰρ οἱ Μεγαρεῖς. "ὅτι δὲ τοιοῦτόν ἐςι τὸ πρᾶγμα, δῆλοι καὶ σαφεῖς οἱ μάρτυρες, οὐκ ἄδοξοί τινες, οὐδὲ τῆς Μεγαρέων μερίδος, ἀλλὰ τῶν ἀπενεγκαμένων τῆς σοφίας τὰ πρῶτα."

Μεγαρέων δάκρυα. ἐπεὶ πλεῖςα ἐν τῇ Μεγαρίδι σκόροδα φύεται, εἰς παροιμίαν ἦλθεν ἐπὶ τῶν προσποιητῶς καὶ πρὸς βίαν δακρυόντων καὶ μὴ ἐπὶ οἰκείῳ πάθει. cf. sch. A Pac. 245.

Μεγαρεύς ἡ εὐθεῖα.

μεγαρίζοντες λιμώττοντες· ἢ μεγάλα λέγοντες. cf. sch. A Ach. 822.

Μεγαρικαὶ σφίγγες. αἱ πόρναι οὕτως εἴρηνται. ἴσως δὲ ἐντεῦθεν καὶ σφίγκται οἱ μαλακοὶ ὠνομάσθησαν. ἢ καὶ ἀπὸ μαίας οὕτω λεγομένης ἐν Μεγάροις. "ἀλλ' ἔςιν ἡμῖν Μεγαρική τις μηχανή" ⟨A Ach. 738⟩ ἀντὶ τοῦ πονηρά· διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς.

Μεγαρίς Μεγαρίδος.

μεγαρίσαι τὰ Μεγαρέως δοξάσαι. Στίλπων γὰρ ὁ φιλόσοφος Μεγαρεὺς ἦν τῆς Ἑλλάδος, ὃς τοσοῦτον εὑρησιλογίᾳ καὶ σοφιςείᾳ προῆγε τοὺς ἄλλους ὡς μικροῦ δεῆσαι πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μεγαρίσαι. Diog. L. 2 113.

Μεγαρόθεν ἀπὸ τῶν Μεγάρων. A Vesp. 57.

μέγαρον ὑπερῷον, οἴκημα. "καὶ ὡς οὐ μέλον τῶν ἀνθρωπείων τῷ θεῷ, ὠθεῖ ἑαυτὸν εἰς τὸ μέγαρον, ἔνθα δήπου τῷ μὲν ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν κατὰ τὸν τῆς τελετῆς νόμον, ἐκείνῳ δὲ οὐκ ἐξῆν." cf. vv. εὐνοῦχος et ἱεροφάντης.

μέγας βασιλεύς ὁ τῶν Περσῶν, διὰ τὸ πλείονι δυνάμει χρῆσθαι τῇ Περσικῇ. sch. A Plut. 170.

μέγα σεμναί ⟨A Nub. 290⟩, τουτέςι θαυμασιώταται καὶ ὑπεράγαν σεμναί.

μέγα τὸ ςόμα τοῦ ἐνιαυτοῦ, οἷον πολλὴ παρρησία πάντων εὐφορίας γενομένης.

μέγα τοι ἄγγελος ἐσθλός, ἐπὶ τῶν ἀγαθὰ ἀπαγγελλόντων.

μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ. φασὶ ταύτην ὑπὸ τοῦ Ἡφαίςου γενομένην δῶρον Πηλεῖ σωφροσύνης ἕνεκα ὑπὸ Ἡφαίςου δοθῆναι, ᾗ χρώμενος πάντα κατώρθου καὶ ἐν ταῖς μάχαις καὶ ἐν ταῖς θήραις. cf. sch. A Nub. 1059.

"Ζήνων ἐπιβαλλομένου τινὸς μέγα φυσᾶν, πατάξας εἶπεν ὡς οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἴη, ἀλλ' ἐν τῷ εὖ τὸ μέγα" ⟨Diog. L. 7 21⟩.

μέγεθος. ὅτι διττὸν τὸ μέγεθος. κοινὴ αἴσθησις. δύναται δὲ κατ' ἀναλογίαν καὶ ἐπὶ ὀσφρήσεως λαμβάνεσθαι καὶ γεύσεως· εἰσὶ γὰρ καὶ αὗται τοῦ οἰκείου μεγέθους ἀντιληπτικαί, ἡ μὲν τοῦ ἐν ὀσμαῖς, ἡ δὲ τοῦ ἐν χυμοῖς, εἰ καὶ μὴ οἶδεν ἡ συνήθεια τὸ τοῦ μεγέθους ὄνομα. Philopon. in 2 de anima.

μέγηρον ⟨an μεγήρατον⟩ τὸ ἐπέραςον.

Μέγης ὁ μέγας.

Μέγιςος ποταμὸς ἐν Αἰγαίῳ πελάγει εἰσβάλλων.

μέδεσθαι ⟨Hom. Σ 245⟩ φροντίζειν, καὶ μεδήσομεν φροντίσομεν.

μέδιμνον μέτρον χοινίκων μή. καὶ πα- a
ροιμία "μεδίμνῳ ἀπομετρῶ παρὰ τοῦ πατρὸς ἀργύριον" ⟨X Hell. 3 2 27⟩ ἐπὶ τῶν μεγάλην καὶ ἀθρόαν προσδοκώντων ὠφέλειαν.

μέδιμνον μέτρον ἐςὶ ξηρῶν, οἷον πυρῶν b
ἢ κριθῶν. Harp.

Μεδιόλανον πολυάνθρωπος πόλις, ἣν καταλαβὼν Ἀττήλας ἠνδραποδίσατο. ὡς δὲ

εἶδεν ἐν γραφῇ τοὺς μὲν Ῥωμαίων βασιλεῖς ἐπὶ χρυσῶν θρόνων καθημένους, Σκύθας δὲ ἀνῃρημένους καὶ πρὸ τῶν σφῶν ποδῶν κειμένους, ζητήσας ζωγράφον ἐκέλευσεν αὐτὸν μὲν γράφειν ἐπὶ θάκου, τοὺς δὲ Ῥωμαίων βασιλεῖς κωρύκυς φέρειν ἐπὶ τῶν ὤμων καὶ χρυσὸν πρὸ τῶν αὐτοῦ χέειν ποδῶν.

μεδοίατο (Hom. *I* 618) φροντίζοιεν.

Μέδουσα ἡ καὶ Γοργόνη κληθεῖσα. Περσεὺς ὁ Δανάης καὶ Πίκου υἱός, διδαχθεὶς πάσας τὰς μυςικὰς φαντασίας, ἰδίαν βυλόμενος ἑαυτῷ καταςῆσαι βασιλείαν κατεφρόνησε τῆς τῶν Μήδων, καὶ διὰ πολλῆς ἐρχόμενος γῆς εἶδε παρθένον κόρην αὐχμηράν τε καὶ δυσειδῆ, καὶ ἀποβλέψας εἰς αὐτὴν ἐρωτᾷ τίς καλεῖται· ἡ δὲ εἶπε Μέδουσα. καὶ ἀποτεμὼν αὐτῆς τὴν κεφαλὴν ἐτέλεσεν αὐτὴν ὡς ἐδιδάχθη, καὶ ἐβάςαζε, καταπλήττων πάντας καὶ ἀναιρῶν τοὺς ὁρῶντας· ἥντινα κεφαλὴν ἐκάλεσε Γοργόνην διὰ τὴν ὀξύτητα τῆς ἐνεργείας. ἐκεῖθεν δὲ ἐλθὼν εἰς χώραν βασιλευομένην ὑπὸ Κηφέως, εὗρεν ἐν τῷ ἱερῷ παρθένον κόρην τὴν λεγομένην Ἀνδρομέδαν, ἣν ἔγημε· καὶ κτίζει πόλιν εἰς κώμην λεγομένην Ἄμανδραν, ςήσας καὶ ςήλην βαςάζυσαν τὴν Γοργόνην. αὕτη μετεκλήθη Ἰκόνιον διὰ τὸ ἀπεικόνισμα τῆς Γοργόνης. ἐπολέμησε δὲ καὶ Ἰσαύροις καὶ Κίλιξι, καὶ κτίζει πόλιν ἣν ἐκάλεσε Ταρσόν, τὸ πρὶν λεγομένην Ἀνδρασόν. χρηματισθεὶς δὲ ὅτι μετὰ τὴν νίκην, ἐν ᾧ τόπῳ ἀποβὰς ἀπὸ τοῦ ἵππυ τὸν ταρσὸν τῦ ποδὸς ἀπόθηται, ἐκεῖ ὑπὲρ τῶν νικητηρίων κτίσαι πόλιν, ταύτην οὖν ἐκάλεσε Ταρσόν. νικήσας δὲ καὶ τὺς Μήδυς ἤμειψε τὸ ὄνομα τῆς χώρας καὶ ἐκάλεσεν αὐτὴν Περσίδα. ἐδίδαξε δὲ καὶ τὴν μυσαρὰν τελετὴν τὴν ἐπὶ τῇ Γοργόνῃ τινὰς τῶν Περσῶν, οὓς ἐκάλεσε Μάγους. καθ' οὓς χρόνους καὶ σφαῖρα πυρὸς κατηνέχθη ἐκ τοῦ οὐρανοῦ, ἐξ ἧς ἔλαβε πῦρ ὁ Περσεύς, καὶ παρέδωκε τοῖς τῦ ἔθνυς φυλάττειν καὶ τιμᾶν ὡς ἐκ τοῦ οὐρανοῦ κατενεχθέν. συμβαλὼν δὲ πόλεμον τῷ Κηφεῖ, τοῦ δὲ διὰ τὸ γῆρας μὴ βλέποντος καὶ τῆς κεφαλῆς μὴ ἐνεργούσης, δοκῶν αὐτὴν ἀνωφελῆ εἶναι, ἐπιςρέψας πρὸς ἑαυτὸν ὁ Περσεὺς καὶ ταύτην θεασάμενος ἀποθνήσκει. ταύτην ὕςερον ἔκαυσεν ὁ υἱὸς αὐτῦ Μέρρος. cf. Cedren. p. 22, Malal. p. 35.

μέδων βασιλεύς.

μέζεα (Hesiod. *O.* 510) τὰ αἰδοῖα.

μεθαρμοζόμενος μετερχόμενος. cf. v. μεθορμιζόμενος.

μεθάρμοσον ἐπανόρθωσον· (S El. 30) "ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδούς, εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον."

μεθείθη ἀντὶ τῦ ἐςάλη· "ὃ δὲ μεθείθη εἰς Παρθυαίους."

μεθεῖναι ἀφεῖναι, ἀμελῆσαι.

μεθείς ἐῶν, ἀφίων.

μεθείω ἀφῶ, ἐάσω. καὶ μεθείθη ἐξ αὐτοῦ.

μεθέμεν (Hom. *A* 283) συγχωρῆσαι.

μέθεξις μετοχή, κοινωνία.

μεθέσθαι καταλιπεῖν. Σοφοκλῆς (Ai. 483) "καὶ δὸς ἀνδράσιν φίλοις γνώμης κρατῆσαι, τάσδε φροντίδας μεθείς."

μέθη. τὸ παλαιὸν οὐχ ἦν ἔθος ὕτ' οἶνον ἐπὶ πλεῖον οὔτ' ἄλλην ἡδυπάθειαν προσφέρεσθαι, μὴ θεῶν ἕνεκα τοῦτο δρῶντας. διὸ καὶ θοίνας καὶ θαλίας καὶ μέθας ὠνόμαζον, τὰς μὲν ὅτι διὰ θεοὺς οἰνοῦσθαι ἐνόμιζον, τὰς δὲ ὅτι θεῶν χάριν ἠλίζοντο καὶ συνήεσαν· τοῦτο γάρ ἐςι τὸ δαῖτα θάλειαν. τὸ δὲ μεθύειν τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι. καὶ Ὅμηρος ὅτε λέγει τέλος χαρίεςατον, τὴν θυσίαν φησί. Athen. p. 40.

μεθ' ἡμέραν ἀντὶ τοῦ ἐν ἡμέρᾳ, ἀττικῶς· Ἀριςοφάνης Πλούτῳ (931) "οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν." οὕτως ἀττικῶς φασίν, οὐχ ἐν ἡμέρᾳ.

μεθημοσύνη (Hom. *N* 121) ἀμέλεια, ῥαθυμία.

μεθήμων (Hom. *B* 241) ἀμελής.

μεθήσειν ἀμελήσειν.

μεθιεῖ (Hom. *K* 121) ἀμελεῖ, ἀφίει. καὶ μεθιείς ἀντὶ τῦ καταλιμπάνων· "οὐδὲ τὸν πόλεμον μεθιεὶς τῷ μιαιφόνος τις καὶ παλαμναῖος εἶναι."

μεθιεμένους ἐῶντας, προδιδόντας.

μεθίετο προΐετο, ἠφίετο. καὶ μεθιέμενα ἀντὶ τοῦ βαλλόμενα, πεμπόμενα.

μεθοδείας τέχνας, ἢ δόλους.

μεθοδεύει τεχνάζεται, μετέρχεται, ἀπατᾷ.

μεθοδικῶς, τυτέςι κατὰ μέθοδον. Πολύβιος (5 98) "ὁ δὲ τρόπος τῶν κλιμάκων τῶν ἐν τοῖς τείχεσι προσαγομένων εὐχερὴς καὶ ἀδιάπτωτος, ἐὰν λαμβάνηται μεθοδικῶς," κατὰ μέθοδον. καὶ αὖθις "πάντα δὲ τὰ λεγόμενα μεθοδικῶς περὶ τῶν τάξεων

ἐπωπτευκώς, εἰ καί τις ἕτερος τῶν καθ' ἡμᾶς."

μεθόδιον μέθοδος, τέχνη· "ὃ δὲ τὸ κατ' ἀλήθειαν ὑπάρχον αὐτῷ μεθόδιον οὕτω πως ἐπεχειρίσει."

Μεθόδιος Ὀλύμπου Λυκίας ἤτοι Πατάρων καὶ μετὰ ταῦτα Τύρου ἐπίσκοπος. οὗτος λαμπροῦ καὶ συγκειμένου λόγου κατὰ Πορφυρίου συνέταξε τεύχη, καὶ συμπόσιον δέκα παρθένων, καὶ περὶ ἀναστάσεως λόγον ἄριστον κατὰ Ὠριγένους, καὶ ἕτερον κατὰ τοῦ αὐτοῦ περὶ Πυθωνίσσης, καὶ περὶ αὐτεξουσίου. ἔγραψε δὲ καὶ εἰς τὴν Γένεσιν καὶ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων ὑπομνήματα, καὶ ἕτερα πολλὰ χύδην ἀναγινωσκόμενα. ὃς περὶ τὰ τελευταῖα τοῦ διωγμοῦ ἐπὶ Δεκίου καὶ Βαλεριανοῦ ἐν Χαλκίδι τῆς ἀνατολῆς μαρτυρίῳ ἐστέφθη. Sophronius.

μεθόριον μεταξὺ τῶν ὅρων.

μεθορμιζόμενος μετερχόμενος.

μέθυ οἶνος· ⟨AP 7 23⟩ "εὐώδες δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ, ὄφρα κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται." καὶ Ὅμηρος ⟨Η 471⟩ "δῶκεν Ἰησονίδης ἀγέμεν μέθυ χίλια μέτρα."

Μεθυμναῖος ἀπὸ τόπου.

μεθύουσαν δίυγρον οὖσαν, πεπληρωμένην· ἐν ἐπιγράμμασι ⟨AP 6 38⟩ "καὶ κώπην ἅλμης τὴν μεθύουσαν ἔτι."

μεθύση κύων ⟨A Vesp. 1441⟩ θηλυκόν· "Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων."

μεθυσοκότταβοι. λάταξ --- ποιῶν. ἐκ τούτου οὖν μεθυσοκότταβος. cf. v. κότταβος.

Μεθωναῖος ὁ ἀπὸ Μεθώνης πόλεως.

Μεθώνη ἡ πόλις. Δημοσθένης ἐν Φιλιππικοῖς ⟨1 9⟩ λέγοι ἂν τὴν ἐν Θρᾴκῃ, ἣν πολιορκῶν Φίλιππος ἐξεκόπη τὸν δεξιὸν ὀφθαλμόν. τέσσαρας δὲ εἶναί φησι Μεθώνας Δημήτριος ὁ Μάγνης. Harp.

μειαγωγεῖν τὸ ἔλαττον φέρειν. καὶ μειαγωγεῖον. ⟨A Ran. 809⟩ "μειαγωγήσουσι τὴν τραγῳδίαν." ἐάν τις εἰσήγαγεν εἰς τοὺς φράτορας υἱὸν ἐνήλικα γενόμενον, ἱερεῖον παρίστατο αὐτῷ ἐν ὡρισμένῳ σταθμῷ, πρὸς ὃ ἔδει προσάγειν, καὶ οὐκ ἐξῆν μεῖον παρασχεῖν. ὅτε δὲ ἐντεθείη τὸ ἱερεῖον εἰς τὸν ζυγόν, περιεστῶτες ἐβόων "μεῖον, μεῖον τοῦτο·" δῆλον ὅτι ἔλαττόν ἐστι. παρὰ τοῦτο οὖν λέγει "μειαγωγήσουσι τὴν τραγῳδίαν," πρὸς τὸν ζυγὸν προσάξουσι καὶ στήσουσι. καὶ ὁ τὸ πρόβατον εἰσάγων μειαγωγὸς ἐκαλεῖτο, [κουρεῖον.] ἔδει δὲ αὐτὸ ἔλαττον ἴσχειν σταθμοῦ τινὸς διὰ τοὺς φιλοδοξοῦντας.

μειαγωγία. καὶ μειαγωγὸς ὁ εἰσάγων. Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν "ὅτι οἱ φράτορες, ἵνα μείζους νέμωνται μερίδας, ἐπεφώνουν ἑστῶτες ἱστάντες δεῖ· μεῖον γάρ ἐστι." μειαγωγῆσαι δέ ἐστι τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ μεῖον. Harp.

Μείδας Μείδαντος ὄνομα κύριον.

μειδίαμα ὁ γέλως.

Μειδίας ὄνομα κύριον.

Μειδύλος ὄνομα κύριον.

μειδῶ τὸ γελῶ. καὶ μειδιῶ ὁμοίως.

Μείδωνος ὄνομα κύριον.

μείζονα βοᾷ δάφνης χλωρᾶς καιομένης, ἐπὶ τῶν μεγάλα βοώντων.

μείλανι τῷ μέλανι.

μεῖλαξ ⟨an λεῖμαξ⟩ ὁ λειμών, ὁ παράδεισος. καὶ μείλακες τὸ πληθυντικόν.

μείλια ⟨Hom. Ι 147⟩ τὰ προικία.

μειλίγμασιν ἀπατήμασιν, ἐξιλεώμασιν, ἡδύσμασι. "καὶ τὸν τρόπον τῆς μειλίξεως οὐδ' αὐτὸν ἀπεκρύψατο."

μειλικτήριον.

μειλικτηρίοις προσηνέσιν, ἡδέσι, πραέσι.

μείλινον δόρυ ⟨Hom. Ε 666⟩.

μειλίξασθαι πραῧναι.

μειλισιουργίς.

μειλισσόμενος παρακαλῶν, πραΰνων.

μειλιχία. καὶ μειλίχιος πρᾶος, χρηστός.

μείλιχον πρᾶον, χρηστόν.

μεῖον ἔλαττον, μικρότερον. "ὃ δὲ εἰς a αὔξησιν τῆς ἀρετῆς καὶ μείωσιν τῆς κακίας ὅλην ἐξεκέχυτο τὴν ψυχήν, οὐδέν τι μεῖον ἢ ὁ Σωκράτης εἰς τὴν ζήτησιν τοῦ ἀληθοῦς, ἐπεὶ καὶ ἐκεῖνος ὑπὸ τῶν λ' μὴ διαλέγεσθαι προσαχθεὶς οὐχ οἷός τε ἦν πείθεσθαι τῷ προστάγματι" ⟨cf. v. ἰδιώτης⟩. καὶ αὖθις "οἱ δὲ ἐν μάχαις πολλαῖς ἔφερον τὸ μεῖον."

μεῖον τὸ ὑπὲρ τῶν ἐγγραφομένων παί- b δων εἰς τοὺς φράτορας θυόμενον ἱερεῖον, ὃ μείζονος ἀποδεδειγμένου τινὸς σταθμοῦ· ᾧ ἐπεφθέγγοντο οἱ φράτορες, εἰ καὶ μεῖζον εἴη, ὅτι μεῖον. καὶ μειαγωγὸς ὁ τοῦτο παρέχων.

μεῖον. καὶ μειαγωγός. Ἰσαῖος ἐν τῷ c

πρὸς Στρατοκλέα φησὶ "παρέξῃ μεῖον." θῦμα δέ ἐϛιν ὃ τοῖς φράτορσι παρεῖχον οἱ τὰς παῖδας εἰσάγοντες εἰς τούτους. ὅθεν τὰ μὲν ἱερεῖα μεῖον προσηγορεύθη. Harp.

μειονεκτεῖ τὸ ἧττον φέρει, ἐλαττοῖ.

μειονέκτημα.

μειονεκτούμενοι ἐλαττούμενοι.

μειονεξία.

μείου ἐλάττονα τίθει. Ξενοφῶν ⟨Cyr. 6 3 17⟩ "Κῦρος ἔφη πρὸς Ἀράσπαν τὸν κατάσκοπον, μηδὲν ἐλάσσω τἀληθοῦς, μηδὲ μείω τὰ τῶν πολεμίων· κρεῖσσον γὰρ μείζω οἰηθέντας μείονα ἰδεῖν, ἢ μείω ἀκούσαντας ἰσχυρότερα εὑρίσκειν."

μειοῦται.

μειρακιεύεσθαι ὡς μειράκιον ἀθύρειν· μεῖραξ γὰρ τὸ μειράκιον, καὶ μειρακύλλιον.

μείρεται βουλεύεται.

μείρω μερίζω.

Μέις Μέιδος.

μείς μὴν αἰολικῶς.

μεῖϛον τὸ ἐλάχιϛον.

μείων ὁ ἐλάσσων.

μελαγχαίτης ⟨S Trach. 839⟩ ὁ μέλαιναν χαίτην ἔχων.

μέλαθρα οἶκον· Ἀριϛοφάνης ⟨Av. 1257⟩ "μέλαθρα μὲν ἂν καταιθαλώσω," παρὰ τὸ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ.

μελαίνῃ βαθείᾳ. *μέλαιναι* δὲ αἱ φρένες αἱ ἐν βάθει κείμεναι· τὸ γὰρ βαθὺ μέλαν.

μελαίνω αἰτιατικῇ.

μελαμβαφές.

μελάμβωλος μελανόγειος· ⟨AP 6 231⟩ "Αἰγύπτου μεδέουσα μελαμβώλου λινόπεπλε δαῖμον."

Μελάμπους μαντικῆς εἰδήμων· "ὁ δὲ σύμβολος Μελάμποδος ἢ Πόλλητος ἐδέετο." οὗτοι δὲ ἦσαν ἄριϛοι κρίνειν τὰ μέλλοντα. cf. Marin. 10.

μελαμπύγου τύχοις. μελάμπυγοι ἐγένοντο πέρπεροι, Λίμνης υἱοί. ἀκολαϛαινόντων δὲ αὐτῶν πολλὰ ἡ μήτηρ ἔλεγε φυλάσσεσθαι μήποτε ἐμπέσωσιν εἰς δασύπρωκτον. ἐμπεσόντες οὖν εἰς Ἡρακλέα ἐν ἀναφόρῳ ἐδέθησαν. εἶτα ὁρῶν αὐτοὺς γελῶντας καὶ κατακύπτοντας ἐπυνθάνετο τὴν αἰτίαν. οἱ δὲ ἔλεγον ὅτι λόγιον ἦν τὸ τῆς μητρὸς ἐμπεσεῖσθαι ἡμᾶς εἰς δασύπρωκτον· καὶ γελάσαντα τὸν Ἡρακλέα ἀφεῖναι αὐτοὺς τῶν δεσμῶν.

ὅτι τοὺς λευκοπύγους ὡς γυναικώδεις ἐκωμῴδουν. sch. A Lys. 803.

μέλαν τὸ ἀντιδιαιρούμενον τῷ λευκῷ χρώματι· καὶ ἰδίως ᾧ γράφομεν. μέλαν δέ ἐϛι χρῶμα συγκριτικὸν ὄψεως.

μελαναίγιδα Διόνυσον ἱδρύσαντο ἐκ τοιαύτης αἰτίας. αἱ τοῦ Ἐλευθῆρος θυγατέρες θεασάμεναι φάσμα τοῦ Διονύσου ἔχον μέλαιναν αἰγίδα ἐμέμψαντο· ὁ δὲ ὀργισθεὶς ἐξέμηνεν αὐτάς. μετὰ ταῦτα ὁ Ἐλευθὴρ ἔλαβε χρησμόν, ἐπὶ παύσει τῆς μανίας τιμῆσαι μελαναίγιδα Διόνυσον.

μελανειμόνος τοῦ μέλανα ἱμάτια φοροῦντος.

Μελάνθιος καὶ Μόρσιμος. λέγει Ἀριϛοφάνης περὶ αὐτῶν οὕτως ⟨Pac. 798⟩ "ἄμφω Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι, ἅρπυιαι, γραοσόβαι, μιαροί, τραγομάσχαλοι, ἰχθυολῦμαι· ὧν καταχρεμψαμένη μέγα καὶ πλατύ, μοῦσα θεά, μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν." Γοργόνες φοβεροὶ ἐς γαϛριμαργίαν, βατὶς δὲ εἶδος ἰχθύος, ἅρπυιαι δὲ ἅρπαγες τῶν ἰχθύων· ἅρπυιαι γὰρ ἁρπακτικαὶ δαίμονες. γραοσόβαι, ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραΐδας ὡς μὴ ἀγοράζειν, ἢ γραΐσι συγκοιμώμενοι· σοβάδες γὰρ αἱ πόρναι. καταχρεμψαμένη δὲ καταπτύσασα. cf. v. Μόρσιμος.

Μελανίππειον Μελανίππου τοῦ Θησέως ἡρῷόν ἐϛι. Harp.

Μελανιππίδης Κρίτωνος, γεγονὼς κατὰ τὴν ξέ ὀλυμπιάδα, Μήλιος. ἔγραψε δὲ διθυράμβων βιβλία πλεῖϛα καὶ ποιήματα ἐπικὰ καὶ ἐπιγράμματα καὶ ἐλέγους καὶ ἄλλα πλεῖϛα.

Μελανιππίδης θυγατριδοῦς τοῦ πρεσβύτου, παῖς δὲ Κρίτωνος λυρικοῦ καὶ αὐτοῦ, ὃς ἐν τῇ τῶν διθυράμβων μελοποιίᾳ ἐκαινοτόμησε πλεῖϛα, καὶ διατρίψας παρὰ Περδίκκᾳ τῷ βασιλεῖ ἐκεῖ τὸν βίον κατέϛρεψεν. ἔγραψε καὶ αὐτὸς ᾄσματα λυρικὰ καὶ διθυράμβους.

Μελανίωνος σωφρονέϛερος. Ἀριϛοφάνης Λυσιϛράτῃ ⟨786⟩ "οὗτος φεύγων γάμον ἀφίκετ' ἐς ἐρημίαν, κἀν τοῖς ὄρεσιν ᾤκει, καὶ κύνα τίν' εἶχε, κἆτ' ἐλαγοθήρει, κοὐκέτ' ἦλθεν οἴκαδ' ὑπὸ μίσους. οὕτως τὰς γυναῖκας ἐβδελύχθη κεῖνος· ἡμεῖς δ' οὐδὲν ἧττον τοῦ Μελανίωνος σωφρονέϛεροι."

μελανοσύρμαιον λεών ⟨A Th. 864⟩

μέλανα καὶ συρμαϊζόμενον· συρμαία δὲ κρίθινόν ἐςι πόμα. λέγει δὲ τοὺς Αἰγυπτίους.

μελανοχροιής ὁ μέλαιναν χροιὰν ἔχων.

Μελάνωψ ὄνομα κύριον.

Μελαντιάς ἡ νῦν παρὰ πολλοῖς λεγομένη Μελιτιάς, κώμη τῆς Θρᾴκης, β' καὶ ρ' ςαδίους διεςῶσα τοῦ Βυζαντίου. παραρρεῖ δὲ αὐτὴν Ἀθύρας ποταμός, ὃς ὀλίγον τι προελθὼν καὶ ἐπὶ ἄνεμον καικίαν ὀλίγον τι ἠρέμα ἐκκλίνας ἐς Προποντίδα τὸν ῥοῦν ἀπερεύγεται. ὅθεν καὶ τὸ πρὸς ἀκτῇ ἐπίνειον τὴν ἀπ' αὐτοῦ φέρεται προσηγορίαν. Agath. 5 14.

μελάνυδρος ⟨Hom. Ι 14⟩ βαθεῖα. κυρίως δὲ καθαροῦ ὕδατος.

Μελάνωπος. οὗτος κηδεςὴς ἦν Διοφάντου τοῦ ῥήτορος. Harp.

μελδόμενος καιόμενος.

μέλδοντες τήκοντες, ἕψοντες· ⟨Callim. fr. 309⟩ "γέντα βοῶν μέλδοντες," τουτέστιν ἕψοντες. καὶ "κνίση μελδόμενος" ⟨Hom. Φ 363⟩, ἀντὶ τοῦ μέλδων τὰ κνίση.

μελεάγρια· "ῥίζαις αὐτοὺς μελεαγρίων καὶ καρδίαις καλάμων ἐδεξιοῦτο." λέγονται δὲ καὶ μελέαγρα.

μελεαγρίδες ὄρνεα, ἅπερ ἐνέμοντο ἐν τῇ ἀκροπόλει. λέγουσι δὲ οἱ μὲν τὰς ἀδελφὰς τοῦ Μελεάγρου μεταβαλεῖν εἰς τὰς μελεαγρίδας ὄρνιθας, οἱ δὲ τὰς συνήθεις Ἰοκαλλίδος τῆς ἐν Λέρῳ παρθένου, ἣν τιμῶσι δαιμονίως.

Μελέαγρος ὄνομα κύριον.

μελεδαίνειν ἐπιμελεῖσθαι· Ἡρόδοτος ⟨8 115⟩ "τοὺς νοσέοντας κατέλιπεν ἐν τῇσι πόλισι μελεδαίνειν τε καὶ τρέφειν."

μελεδήματα μεριμνήματα. καὶ μελεδήμων μελεδήμονος· ἐν ἐπιγράμματι ⟨AP 6 39⟩ "πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων."

μελεδωνοί ἐπίτροποι, φροντιςαὶ παρ' Ἡροδότῳ ⟨2 65⟩. προεςηκότες, ὥσπερ οἱ τοῦ ἀμπελῶνος τοῦ παρὰ τῷ εὐαγγελίῳ ⟨Matth. 20 8⟩.

μελεδωνός φροντιςής, ἐπιμελητής. Αἰλιανός ⟨cf. v. ἡμίσεια⟩ "ὃ δὲ τὸν ἴδιον ἀδελφὸν κατέλιπε τοῦ υἱοῦ ἐπίτροπον καὶ τῶν χρημάτων μελεδωνόν. ὃ δὲ --- ἐγλίχετο." καὶ Εὐνάπιος "τῶν αὐτῶν ἐθῶν γυναῖκά τινα ςείλας ἐσθῆτι λευκῇ καὶ ςέμμασιν, ὡς δὴ μελεδωνὸν οὖσαν τῆς Συρίας οὕτω δὴ καλουμένης θεοῦ," τουτέςιν ἱέρειαν. καὶ Αἰλιανός "ὃς ἦν Νέρωνος ἀπελεύθερος, ἀπολειφθεὶς μελεδωνὸς τῶν ἐν Ῥώμῃ καὶ ἔφορος, ὅτε Νέρων ἐς Ἀχαΐαν ἐξωρμήθη."

μέλει φροντίζει. καὶ παροιμία "μέλει μοι τῶν τοιούτων ἧττον ἢ τῶν ἐν τοῖς τέλμασι βατράχων" ⟨Iulian. p. 357 D⟩. μέλλει δὲ ἀντὶ τοῦ βραδύνει, καὶ μέλλω τὸ ὀφείλω.

μελεϊςί ⟨Hom. Ω 409⟩ κατὰ μέλος.

μέλεος μάταιος, ἄθλιος, ταλαίπωρος, δυςτυχής. ὁ μὲν ποιητὴς ἐπὶ τοῦ ματαίου ἐκδέχεται τὸ μέλεος, οἱ δὲ τραγικοὶ ἐπὶ τοῦ οἰκτροῦ. cf. sch. Ven. Π 336.

μελέτη ἄσκησις, ἐπιμέλεια. "καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας τῶν Ῥωμαίων χωρὶς αἵματος παρατάξεις, τὰς δὲ παρατάξεις μεθ' αἵματος μελέτας" ⟨Ioseph. B. I. 3 5 1⟩.

μελετώμενοι διδασκόμενοι, ἐκμανθάνοντες. "ὥσπερ οἱ νέοι --- πετομένους" ⟨cf. v. Εὔξενος⟩.

μελέτωρ ὁ ἐπιμελέμενος, ὁ τιμωρὸς τοῦ πατρός· ⟨S El. 846⟩ "ἐφάνη γὰρ μελέτωρ ἀμφὶ τὸν ἐν πένθει."

μέλη τὰ τοῦ σώματος.

μεληδόν κατὰ μέλος.

μέλημα φρόντισμα.

Μέλης Μέλητος ὁ τοῦ Ὁμήρου πατήρ.

Μελήσερμος Ἀθηναῖος σοφιςὴς ἔγραψεν ἐπιςολῶν ἑταιρικῶν βιβλία ιδ', καὶ ἀγροικικῶν ἕν, μαγειρικῶν ἐπιςολῶν ἕν, ςρατηγικῶν βιβλίον ἕν, συμποσιακῶν βιβλίον ἕν.

Μελησία ὄνομα κύριον· "ὃ δὲ ὁρᾷ τὴν Μελησίαν, καὶ ἐρᾷ αὐτῆς."

Μέλητοι καὶ Ἄνυτοι.

Μέλητος. οὗτος ἦν νεανίας Ἀθήνησι τῶν εὖ γεγονότων καὶ πλουσίων, ἤρα δὲ μειρακίου καὶ ἐκείνου τὸ γένος διαπρεποῦς καὶ τὴν ὥραν ἀμάχου. καὶ τῷ μὲν ἐραςῇ Μέλητος ὄνομα ἦν, τῷ καλῷ δὲ Τιμαγόρας, ὡς φασίν. ἦν δὲ ἄτεγκτός τε καὶ ἀμείλικτος ὅδε ὁ παῖς, καί οἱ πολλὰ προσέταττε καὶ ἐπίπονα καὶ κινδύνων ἐχόμενα τῶν ἐσχάτων καὶ ὁμοῦ τῷ ὀλέθρῳ ἐλαύνοντα. καὶ ἦν τὰ προςάγματα κύνας τε ἀγαθὰς καὶ θηρατικὰς ἐκ τῆς ἀλλοδαπῆς ἄγειν, καὶ ἵππον αὖ τῶν πολεμίων ἀπαγαγεῖν ὅτου δὴ γενναῖόν τε καὶ θυμικόν, καὶ ἄλλου χλαμύδα ὡραίαν, καὶ τοιαῦτα ἕτερα. καὶ τελευτῶν ὄρνιθάς οἱ προσέταξε κομίσαι ὅτου δὴ τροφίμους, καὶ οἰκέτας γένος θαυμαςούς. ἐπεὶ δὲ καὶ τοῦτο κατεπρά-

ξατο ὁ ἔνθεος φίλος ἐκεῖνος, καὶ ἐδωρεῖτό γε τῷ καλῷ τὸ μέγα τίμιον κτῆμα, τοὺς προειρημένους, ὃ δὲ ἀτεράμων ὢν καὶ ἐς τοσοῦτον ἀπεώσατο ἄρα τὸ δῶρον. ὁ τοίνυν Μέλητος φλεγόμενος τῷ ἔρωτι καὶ οἰστρούμενος, καὶ ἐπὶ τούτοις ἀσχάλλων τῇ ἀτιμίᾳ, καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις τε μόχθοις ἅμα καὶ ἀπείροις, ᾗ ποδῶν εἶχεν ἀνέθορέ τε ἐς τὴν ἀκρόπολιν καὶ ἑαυτὸν ὦσε κατὰ τῶν πετρῶν. οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβριστὴν παῖδα καὶ ὑπερόπτην εἴασεν ἐπεγχανεῖν τῷ τοῦ Μελήτου θανάτῳ. τοὺς ὄρνιθας γοῦν ἀναλαβὼν καὶ ταῖς ἀγκάλαις ἐνθείς, εἶτα μέντοι κατ' ἴχνια τὰ ἐκείνου θέων, ὥσπερ οὖν ἑλκόμενος βίᾳ, ἑαυτὸν σὺν τῷ δυστυχεῖ χορῷ ἐπὶ τῷ Μελήτῳ ἔρριψε φέρων, βραδὺν καὶ δυστυχῆ τὸν ἔρωτα ἀντερασθεὶς τοῦτον. καὶ ἕστηκεν εἴδωλον τοῦ πάθους κατὰ τὸν τόπον, παῖς ὡραῖος καὶ γυμνός, ἀλεκτρυόνας δύο μάλα εὐγενεῖς φέρων ἐν ταῖς ἀγκάλαις, καὶ ὠθῶν ἐπὶ κεφαλὴν ἑαυτόν. cf. v. *ἀτέραμνον.*

b *Μέλητος Λάρου Ἀθηναῖος ῥήτωρ. οὗτος ἐγράψατο Σωκράτην μετὰ Ἀνύτου. πεποίηνται δὲ αὐτῷ καὶ τραγῳδίαι. κατελιθώθη δὲ ὑπὸ τῶν Ἀθηναίων.*

c *Μέλητος τραγῳδίας ποιητὴς ὑπόψυχρος. καὶ Ἀριστοφάνης* ⟨Ran. 1337⟩ *"σκολιὰ Μελήτου, Καρικῶν αὐλημάτων." οὗτός ἐστιν ὁ Σωκράτην γραψάμενος, κωμῳδεῖται δὲ ὡς ψυχρὸς ἐν τῇ ποιήσει καὶ ὡς πονηρὸς τὸν τρόπον. τὰ δὲ Καρικὰ αὐλήματα καὶ μέλη θρηνώδη ἦσαν.*

μέλι. "τοῦτο γλυκὺ μέν ἐστι τὴν αἴσθησιν, πικρὸν δὲ τὴν ἀνάδοσιν· χολῆς γὰρ αὐτό φασι ποιητικὸν εἶναι, καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως· ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ πικρότητος κατηγορεῖ τὴν γένεσιν" ⟨Iulian. ep. 24⟩.

μελία εἶδος δένδρου· Ἀριστοφάνης Ὄρνισιν ⟨748⟩ *"ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου."*

μελίαι βέλη, δόρατα. "μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες" φησὶν ὁ θεολόγος Γρηγόριος. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 52⟩ *"οὕτω τοι μελία ταναὰ ποτὶ κίονα μακρὸν ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά."*

Μελίβοιαν ⟨Hom. *B* 717⟩ *τὴν Ὀλυζῶνα πόλιν.*

μελίδειον κηρίον. cf. v. *μελισσεῖον.*

μελιηδής ὁ γλυκύτατος. καὶ Ὅμηρος ⟨*K* 495⟩ *"μελιηδέα θυμὸν ἀπηύρα."*

μελίνη εἶδος ὀσπρίου. "ἦν δὲ καὶ σῖτος ἀπὸ μελίνης· τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον" ⟨X Anab. 1 5 10⟩. *καὶ αὖθις* ⟨6 4 1⟩ *"ἐφέροντο ἀδεῶς οἶνον ὄσπρια μελίνας σῦκα· πάντα γὰρ ἀγαθὰ εἶχεν ἡ χώρα πλὴν ἐλαίου."*

μελίνη. Δημοσθένης ἐν Φιλιππικῷ ⟨8 25⟩. b *ὄσπριόν ἐστιν, ὅπερ καὶ ἀρσενικῶς λέγεται· Σοφοκλῆς μὲν γὰρ καὶ Ἡρόδοτος καὶ Ξενοφῶν θηλυκῶς εἶπον μελίνην, Ξενοφῶν δὲ ὁ αὐτὸς ἐν Ἀναβάσει καὶ μέλινον καὶ μελίνους εἶπεν. ἔνιοι δὲ εἶδός τι κεγχρίου νομίζουσι τὴν μελίνην, ὅπερ τινὰς καλεῖν ἔλυμον. Θεόφραστος δὲ ἐν ζ' περὶ φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει, κέγχρον ἢ μελίνην ἢ ἔλυμον.* Harp.

μελίπηκτα εἶδος πλακοῦντος.

μελιπνόους ἡδυπνόους.

μελίρρυτον.

μελισμός τῶν μελῶν ἡ διαίρεσις, ἐκ τοῦ μελίζω.

Μέλισσα ὄνομα πόλεως. καὶ ζωΰφιον ὅπερ ἐργάζεται τὸ μέλι.

μελισσείου κηρίον.

μελισσοκόμος ὁ τῶν μελισσῶν ἐπιμελούμενος.

Μέλισσος ὄνομα κύριον. καὶ ἦν ἐπὶ τῶν Ζήνωνος τοῦ Ἐλεάτου καὶ Ἐμπεδοκλέους χρόνων. οὗτος ἔγραψε περὶ τοῦ ὄντος. καὶ ἀντεπολιτεύσατο δὲ Περικλεῖ, καὶ ὑπὲρ Σαμίων στρατηγήσας ἐναυμάχησε πρὸς Σοφοκλῆν τὸν τραγικὸν ὀλυμπιάδι πδ'.

Μελισσῶα.

μελιστί κατὰ μέλος.

Μελιταιεύς.

Μελιταῖον κυνίδιον. "τῶν γὰρ κυνῶν οἳ μὲν ἰχνευταί, οἳ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν, οἳ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων οἰκουροί, οἳ δὲ ἐπὶ τέρψει, ὡς τὰ Μελιταῖα κυνίδια" ⟨Artemid. 2 11⟩.

Μελίτη. Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος ⟨7⟩. *δῆμός ἐστι τῆς Κεκροπίδος, ὀνομασθεὶς ἀπὸ Μελίτης τῆς κατὰ μὲν Ἡσίοδον θυγατρὸς Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος.* Harp.

Μελιτηνή ὄνομα πόλεως.

Μελιτιανός.

μέλιτος μυελός ἐπὶ τῶν ἄγαν ἡδέων.

μελιτοῦττα μᾶζα μέλιτι δεδευμένη, ἣν ἔφερον, ὡς ἐδόκουν, τοῖς ὄφεσι τοῖς ἐς Τροφωνίου μαντευομένοις. ἐν Λεβαδείᾳ ἐστίν ⟨sch.

A Nub. 507). ὅτι ἡ μελιτοῦττα ἐπίθετον τῶν ναςῶν (A Av. 568). ἰςέον ὅτι ἡ μελιτοῦττα ἐδίδοτο τοῖς νεκροῖς ὡς εἰς τὸν Κέρβερον, καὶ ὀβολὸς μισθὸς τῷ πορθμεῖ, καὶ ςέφανος ὡς τὸν βίον διηγωνισμένοις. sch. A Lys. 601.

μελιτρός (an μελιχρός).

μέλιττα ἡ μέλισσα.

μελιττοπηχεῖν τὸ κρούοντας ψόφον ποιεῖν, ἵνα μὴ αἱ μέλισσαι προσπέτωνται.

μελιτωδῶν ἐδεσμάτων.

Μελίτωνος.

μελίφρων ἡδύς, γλυκαίνων τὰς φρένας.

μελίχλωρος ὁ χλωρός.

μέλλει ἔοικεν. οὕτω τέθειται παρ' Ὁμήρῳ (Α 564).

μελλείρηνες τῶν παίδων οἱ πρεσβύτεροι.

μελλήσας ὑπερθέμενος, βραδύνας. καὶ ἐπὶ τοῦ σπουδάσας.

μέλλησις ὑπέρθεσις.

μελλησμός ἡ βραδυτής.

μελλήσω σπουδάσω, φροντίσω.

μελληταί ὑπερθετικοί. Thuc. 1 70.

μελλονικιᾶν τὸ βραδύνειν καὶ ἀναβάλλεσθαι· Ἀριςοφάνης (Av. 643) "ἀδὲ νυςάζειν ὥρα ἐςὶν ἡμῖν, οὐδὲ μελλονικιᾶν." Νικίας γὰρ υἱὸς Νικηράτου, ὃς ἀνεβάλλετο ἀπελθεῖν εἰς Σικελίαν· βραδὺς γὰρ ἦν περὶ τὰς ἐξόδας, καὶ ὡς οἱ διαβάλλοντες, οὐ προνοητικὸς ἀλλὰ μελλητής.

μέλλω ἐπὶ τοῦ βραδύνω. καὶ ἐπὶ τοῦ ἐσομένου χρόνου παρὰ Θουκυδίδῃ (1 36). καὶ Σοφοκλῆς (El. 305) "μέλλων γὰρ ἀεὶ δρᾶν τι τὰς οὔσας τέ μου καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορα." καὶ Ἀριςοφάνης (Ran. 11) "μὴ δῆθ', ἱκετεύω, πλὴν ὅταν μέλλω ἐξεμεῖν." τουτέςιν, εἰ ὅλως λέγεις, τότε εἰπὲ ὅτε μέλλω ἐξεμεῖν, ἵν' ἅπαξ ἐμέσω, καὶ μὴ καὶ τότε καὶ ὅτε λέγεις. ἢ οὕτω· τότε, φησί, λέγε, ἐὰν θέλῃς, ἐπιτηρήσας ὅτε μέλλω ἐξεμεῖν· ῥᾶστα γὰρ ἂν μᾶλλον ἐξεμέσαιμι, ἐὰν εἴπῃς.

μελόμενοι· "καὶ ἐπίςευον εἶναι θεοφιλεῖς, τῷ δαίμονι τούτῳ μελόμενοι."

μέλον διὰ φροντίδος ὄν· Ἀριστοφάνης (Vesp. 1328) "οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέναι σκωμμάτιον, εἴποτέ τι θλιβόμενος ἐκβάλω." (Agath. 2 28) ὅτι δὴ βασιλεὺς ὢν καὶ Πέρσης, ἐθνῶν τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ, ὃ δὲ ἐφίετο γοῦν ὅμως ἀμηγέπῃ ἀπογεύεσθαι λόγων καὶ τῆς περὶ ταῦτα γάννυσθαι δόξης.

μελόντων (Hom. Σ 463) ἐπιμελείσθωσαν.

μέλος τι μελλοδειπνικὸν Ἀριςοφάνης (Eccl. 1153) "ὑπανακίνει Κρητικῶς τὼ πόδε. (1165) τάχα γὰρ ἔπεισι λοπαδοτεμαχοσελαχογαλεοκρά."

μέλου ἐπιμελοῦ· "καὶ τὰ λοιπά μοι μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας" (S OC 1137).

μέλπηθρα (Hom. Ν 233) παίγνια, σπαράγματα.

μέλποντες ᾄδοντες, ἀνυμνοῦντες.

μελύδριον Ἰωνικὸν ἀντὶ τοῦ τρυφηλόν· τοιοῦτοι γὰρ Ἴωνες. Ἀριςοφάνης (Eccl. 877) "δεῦρ' ἴτ' ἐπὶ τοὐμὸν ςόμα μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν."

Μελχισεδέκ ἱερεὺς τοῦ θεοῦ καὶ βασι- a
λεὺς τῶν Χαναναίων. οὗτος κτίσας πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιὼν ἐπωνόμασεν αὐτὴν Σαλήμ, ὅ ἐςιν εἰρήνης πόλις· ἐν ᾗ βασιλεύσας ἔτη ριγ' ἐτελεύτησε δίκαιος καὶ παρθένος. ἀγενεαλόγητος δὲ εἴρηται παρὰ τὸ μὴ ὑπάρχειν ἐκ τοῦ σπέρματος Ἀβραὰμ ὅλως, εἶναι δὲ Χαναναῖον τὸ γένος καὶ ἐκ τῆς ἐπαράτου σπορᾶς ὁρμώμενον. ὅθεν οὐδὲ γενεαλογίας ἠξίωτο· οὐ γὰρ πρεπωδέςατον ἦν τὸν τῆς ἄκρας δικαιοσύνης ἐπειλημμένον συμπλέκειν τῷ τῆς ἄκρας ἀδικίας γένει· διὸ καὶ ἀπάτορα καὶ ἀμήτορα τοῦτον εἶναί φασιν. ὅτι δὲ Χαναναῖος ἦν τὸ γένος, εὔδηλον καὶ ἀφ' ὧν ἐκράτει καὶ ἐβασίλευε κλιμάτων Χαναναίων, καὶ οἷς ἐπλησίαζε πονηροτάτοις Σοδόμοις. καὶ μέντοι καὶ ἡ Σαλήμ, ἧς ὑπῆρχε βασιλεύς, ἡ πολυθρύλητος Ἱερουσαλήμ ἐςιν, οὐδέπω τὸ ὅλον ὄνομα φέρουσα τῆς Ἱερουσαλήμ, ἐκ προσθήκης δὲ τῆς ἱερῶ μετὰ τὴν Σαλὴμ προσλαμβάνουσα συλλαβήν, καὶ κατὰ συνάφειαν Ἱερουσαλὴμ ὀνομασθεῖσα. διὰ δὲ τὸ ἀγενεαλόγητον λέγεται ἀπάτωρ καὶ ἀμήτωρ. ὅταν δὲ ἀκούσῃς παρὰ τῶν Μελχισεδεκιτῶν ὅτι θεὸς ὀνομάζεται, μνήσθητι τοῦ ἀποςολικοῦ, ὅτι ἑτέρας γενεᾶς ἐςί, τουτέστι τῶν Χαναναίων.

Μελχισεδέκ ἱερεὺς οὐκ Ἰουδαίων μό- b
νον ἀλλὰ καὶ ἐθνῶν. οὕτω καὶ ὁ Χριςὸς οὐχ ὑπὲρ Ἰουδαίων μόνον ἀλλὰ καὶ ὑπὲρ πάντων ἀνθρώπων ἑαυτὸν προσενήνοχε τῷ θεῷ. ἄρχεται δὲ τῆς ἱερωσύνης ἐν τῇ νυκτὶ μεθ' ἣν τὸ πάθος ὑπέμεινεν, ἡνίκα λαβὼν ἄρτον καὶ εὐχαριςήσας ἔκλασε, καὶ εἶπε "λάβετε

φάγετε" καὶ τὰ ἑξῆς. οὗτος ὁ Μελχισεδὲκ ἐπὶ Ἀβραὰμ ἤκμαζεν, ἀνὴρ θεοσεβής, ἐθνικός, καταγόμενος ἐκ τοῦ γένους Σίδου υἱοῦ Αἰγύπτου, βασιλέως τῆς Λιβύης. ὅστις γενόμενος ἱερεὺς καὶ βασιλεὺς τῶν Χαναναίων ἔκτισε πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιών, καὶ ἐκάλεσεν αὐτὴν Ἱερουσαλήμ, ὅπερ ἐστὶν εἰρήνης πόλις, καὶ ἐβασίλευσεν ἐν αὐτῇ ἔτη ριγ΄.

c · Μελχισεδέκ. οὗτος βασιλεὺς ὢν τῶν Χαναναίων καὶ ἱερεὺς τοῦ ὑψίστου θεοῦ, ὑποστρέφοντι τῷ Ἀβραὰμ ἐκ τοῦ πολέμου ἀπαντήσας ἐξήγαγεν αὐτῷ ἄρτους καὶ οἶνον, καὶ εἶπε πρὸς Ἀβραὰμ "εὐλογημένος Ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ εὐλογημένος ὁ θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι." καὶ ἔδωκεν αὐτῷ Ἀβραὰμ δεκάτην ἀπὸ πάντων. ἑρμηνεύεται δὲ Μελχισεδὲκ βασιλεὺς εἰρήνης. cf. Genes. 14.

Μελχὸμ προσοχθίσματι. εἴδωλον καὶ τοῦτο· προσοχθίσματα γὰρ καὶ βδελύγματα τὰ εἴδωλα προσαγορεύειν εἴωθεν ἡ γραφή, ὅπερ δηλοῖ τὸ μύσος καὶ ἀπόβλητον. Theodoret. in Regg. 3 ἐρ. 37, 4 ἐρ. 3.

μέλω ἐν ἐπιμελείᾳ εἰμί.

μεμαγμένη μᾶζα, ἐπὶ τῶν ἑτοίμων ἀγαθῶν.

μεμαγμένην παρεσκευασμένην καὶ ἐν ἑτοίμῳ γενομένην. ἔνθεν καὶ παροιμία "μᾶζαν μεμαχὼς τὴν ὑπ' ἐμοῦ μεμαγμένην" ⟨A Eq. 55⟩.

μεμακκοακότα τὰ Μακκοῦς φρονοῦντα, ἀνοηταίνοντα· Μακκὼ γὰρ καὶ Λαιμὼ ἐγένοντο ἐνεαί, τουτέστι βαρέως νοοῦσαι. Ἀριστοφάνης ⟨Eq. 62⟩ "ὁ δ' ὡς ὁρᾷ μεμακκοακότα" τὸν δεσπότην, "τέχνην πεποίηται."

μεμαχυῖα ⟨Hom. Δ 435⟩ προθυμουμένη.

μεμαυῖα προθυμουμένη, γλιχομένη· ⟨AP 7 148⟩ "οὐδὲ γὰρ ἐν θνητοῖς ἠδύνατο καὶ μεμαυῖα εὑρέμεναι Κλωθὼ τῶνδ' ἕτερον φονέα."

μεμασιλημένος ⟨an μεμυς-⟩ κατειργασμένος, τουτέστι μεμασημένος.

μεμαώς ⟨Hom. Δ 40⟩ προθυμούμενος.

μεμβλώκατον ἀντὶ τοῦ παραμένουσι. καὶ μέμβλετό μοι ἀντὶ τοῦ μετ' ἐπιμελείας ἐγένετο.

μέμβλωκε παραμένει. καὶ μεμβλωκός ⟨Callim. fr. 124⟩ παραγενόμενον καὶ μετ' ἐπιμελείας κατασκευασθέν.

μεμελημένος πεπονημένος.

μεμένηται μένει.

μεμετρέαται ⟨Herodot. 4 56⟩ μεμέτρηνται.

μέμηλα ἐφρόντισα. καὶ μέμηλε μέλει.

μεμηλὼς ἐπιμελούμενος.

μέμηνε μαίνεται.

μεμιλτωμένον· Ἀριστοφάνης ⟨Ach. 22⟩ "τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον." ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται δύο μεμιλτωμένον σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός. ὅσοι δὲ ἐχρίοντο, ἐξέτινον ζημίαν.

μεμισθαρνηκὼς ὁ μισθῷ καμών.

Μέμμιος ὕπατος ἦν Ῥωμαίων.

μέμνη ⟨Hom. O 18⟩ β' προσώπου.

μεμνῇτο μιμνήσκοιτο. οὕτω προπερισπωμένως, ὡς Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ. Ἀριστοφάνης Πλούτῳ ⟨992⟩ "ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου."

Μέμνων ὁ ἐς Ἴλιον στρατεύσας ἡγεῖτο μὲν Αἰθιόπων, οὐκ ἦν δὲ Αἰθίοψ, ἀλλὰ ἀπὸ Σούσων τῶν Περσικῶν καὶ τοῦ Χοάσπου ποταμοῦ, τὰ ἐκείνῃ ἔθνη ὑποχείρια ἔχων. cf. Pausan. 10 31 7.

μεμοιραμένων λαχόντων, κληρωσαμένων.

μεμοίραται μετέχει, εἴληφε.

μέμονα ⟨Hom. E 482⟩ προθυμοῦμαι.

μέμορται μεμοίραται.

μεμπτέος μέμψεως ἄξιος.

μεμυαλωμένα εὐτραφῆ καὶ πίονα· οὕτω γὰρ καὶ ὁ νόμος ἐκέλευσε. καὶ Μαλαχίας δὲ ὁ προφήτης ἐκέλευσεν ἄμωμά τε καὶ ἄρτια· ἐπαρᾶται δὲ τοῖς τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσι. Theodoret. in Ps. 65 15.

μεμύημαι πεπείραμαι. ad Philipp. 4 12.

μεμυκότα κρύψαντα, καμμύσαντα· ἢ κεκολλημένα. καὶ Ὅμηρος ⟨Ω 420⟩ "σὺν δ' ἕλκεα πάντα μέμυκεν." ἐκ παρατηρήσεως Ὅμηρός φησι τῶν ἐν πολέμῳ τρωθέντων τὰ τραύματα μὴ μύειν, μόνου δὲ τοῦ Ἕκτορος κατὰ θείαν πρόνοιαν. καὶ ἐν ἐπιγράμμασι ⟨AP 6 115⟩ "τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον," ἀντὶ τοῦ μυκηθμῷ χρώμενον, μυκώμενον.

μεμύρωμαι· Ἀριστοφάνης ⟨Eccl. 1105⟩ "μακαριωτάτη ἐγώ, ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν ἀγαθοῖς· πολὺ δ' ὑπερ-

πέπωκεν αὐτῶν τὰ Θάσια ἀμφορείδια." ἀμφορείδια τὰ κεράμια. ἀπανθήσαντα δὲ ξηρανθέντα.

μεμυστιλημένοι ⟨A Plut. 627⟩ εὐωχημένοι, ζωμὸν ἀρυσάμενοι ἄρτοις κοίλοις καὶ μυστρία μιμουμένοις. ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστρίοις, οἷον μυστίλιόν τι ὄν. ἐν ταύτῃ δὲ τῇ ἑορτῇ πάντες προῖκα ἤσθιον καὶ τὴν ἀθάραν καὶ ἄλλα τινά. μυστίλη δὲ καλεῖται κοῖλος ἄρτος. ἤγουν ἀθάρα· ἐν γὰρ τοῖς Θησείοις ἀθάραν ἤσθιον. ὁ δὲ νοῦς· ὦ πολλὰ ταλαιπωρήσαντες καὶ εἰς οὐδὲν ἑστιαθέντες, νῦν δὲ εὐτυχήσαντες. ὀλιγίστοις δὲ ἀλφίτοις λέγει ἤγουν ἄρτοις· τοῖς κοίλοις γὰρ ἄρτοις τοὺς ζωμοὺς ἀρυόμενοι ταχέως ἐκορέννυντο δι' ἔνδειαν ἄρτου. πεποίηται δὲ ἡ λέξις, λέγω δὴ ἡ μυστίλη, παρὰ τὴν μάσησιν. ἢ διὰ τὸ πλῆθος τῶν ὄψων ὀλίγον ἄρτον ἤσθιον. ἢ τῷ ζωμῷ σχολάζοντες ὑπὸ τούτου ἐκορέννυντο.

Μέμφις ὄνομα κύριον. Μέμφεως· ἡ δοτικὴ Μέμφει. καὶ θηλυκὸν ἡ Μέμφις.

Μεμφίτης ὁ ἀπὸ τῆς Μέμφεως.

μεμφωλή μέμψις.

μεμψιβολεῖν μέμφεσθαι.

μεμψίμοιρος φιλεγκλήμων.

μεμωκημένος καταπεφρονημένος.

Μέμωνος ὄνομα κύριον.

Μέναιχμος ὄνομα κύριον.

a **Μένανδρος** Ἀθηναῖος κωμικὸς ἀρχαῖος. καὶ Μένανδρος ἕτερος, Ἀθηναῖος, ὁ Διοπείθους καὶ Ἡγεστράτης, περὶ οὗ πολὺς παρὰ πᾶσιν ὁ λόγος, κωμικὸς τῆς νέας κωμῳδίας, στραβὸς τὰς ὄψεις, ὀξὺς δὲ τὸν νοῦν καὶ περὶ γυναῖκας ἐκμανέστατος. γέγραφε κωμῳδίας ρη', καὶ ἐπιστολὰς πρὸς Πτολεμαῖον τὸν βασιλέα, καὶ λόγους ἑτέρους πλείστους καταλογάδην.

b **Μένανδρος** Λαοδικεὺς τῆς παρὰ Λύκῳ τῷ ποταμῷ, σοφιστής, ἔγραψεν ὑπόμνημα εἰς τὴν Ἑρμογένους τέχνην καὶ Μινουκιανοῦ προγυμνάσματα, καὶ ἄλλα.

c **Μένανδρος** προτίκτωρ ἱστορικός, ὅς λέγει περὶ ἑαυτοῦ ⟨p. 438 Nieb.⟩ "ἐμοὶ πατὴρ Εὐφρατᾶς ἐκ Βυζαντίου ὁρμώμενος ἦν· οὗτος δὴ οὖν ἥκιστα τῆς τῶν λόγων μετειλήχει παιδείας. Ἡρόδοτος μὲν οὖν (ὁμόγνιος δέ μοι) τῆς πρὸς τὸν νόμον ἀπογευσάμενος παιδείας, εἶτα ἀφηνίασε τῆς περὶ ταῦτα σπουδῆς· ἀλλ' ἔγωγε οὔτι χρῆναι ᾠόμην μὴ καὶ νόμοις ὁμιλῆσαι καὶ ἐς τέλος ἱκέσθαι τῶν πόνων, καὶ δὴ ἀφικόμην, ὥς μοι ὑπῆρχε δυνατόν. ἥκιστα δὲ ἐχρησάμην τῇ ἐπαγγελίᾳ τοῦ ἐπιτηδεύματος· οὐ γάρ μοι θυμῆρες ἦν ἀγωνίζεσθαι δίκας, ὅτε μὴν ἐν τῇ βασιλείῳ στοᾷ θαμίζειν καὶ δεινότητι λόγων τὰς τῶν ἐντυγχανόντων οἰκειοῦσθαι φροντίδας. τὰ σπουδαῖα τοιγαροῦν παρεὶς καὶ τὰ χείριστα ἑλόμενος κεχηνὼς περιενόστουν, καί μοι καταθύμιοι ἦσαν οἵ τε θόρυβοι τῶν χρωμάτων καὶ οἱ ἁμιλλητήριοι τῶν ἵππων ἀγῶνες, ἔτι γε μὴν καὶ ἡ παντόμιμος ὄρχησις. οὐ μὴν ἀλλὰ καὶ παλαίστραις ἐναπεδυόμην, καὶ ἐς τοσοῦτον ἐξώκειλα ἀφροσύνης ὡς καὶ τὸν φαινόλην ἀποδύσασθαι, συναποδύσασθαι δὲ αὐτῷ καὶ τὸ νουνεχὲς καὶ ἄλλο ὅ τι ἐς βίον ἀγλάισμα. ἐπεὶ δὲ Μαυρίκιος τὸ βασίλειον διεδήσατο κράτος, τοῦτο μὲν προμηθέστατα ἔχων ἐς τοὺς ὑπηκόους, τοῦτο δὲ καὶ μουσῶν ἐραστὴς ποιημάτων τε καὶ ἱστορίας ἥδιστα ἐπαΐων, ὡς καὶ τὸ πολὺ τῆς νυκτὸς μέρος καταναλίσκειν περὶ τὰς τοιαύτας φροντίδας καὶ παρορμᾶν ἐντεῦθεν καὶ ὀξύνειν τοῖς χρήμασι τοὺς ἀμβλυτέρους τὸν λογισμόν, ἀγαπητῶς ἐν τῷ τότε ἔγωγε ἀλύων καὶ δυσανασχετῶν τῷ μὴ τὰ δέοντα ἔχειν, ἀναλογιζόμενος ἦν ὡς οὐ χρεὼν ἀνόνητά με περινοστεῖν. ὡς δ' ἂν οὖν μὴ διὰ παντὸς κενεμβατοίην, ὡρμήθην ἐπὶ τήνδε τὴν συγγραφήν, ἄρξασθαι μετὰ τὴν ἀποβίωσιν Ἀγαθίου καὶ τῆς ἱστορίας ποιήσασθαι τὴν ἀρχήν" ⟨an διαδοχήν⟩.

Μενδαῖος ὁ ἀπὸ τῆς Μένδης.

Μένδη. πόλις μία τῶν ἐν Παλλήνῃ Μένδη, ὑπὸ Ἐρετριέων ᾠκισμένη. Harp.

Μένδην. οὕτω καλοῦσι τὸν Πᾶνα Αἰγύπτιοι ὡς τραγοπρόσωπον, τῷ καὶ τὸν τράγον τῇ αὐτῶν διαλέκτῳ οὕτω καλεῖν· καὶ τιμῶσιν αὐτὸν ὡς ἀνακείμενον τῇ γονίμῳ δυνάμει, ὥστε μὴ ἐσθίειν τράγους· ὀχευτικὸν γὰρ τὸ ζῷον. ἦν δὲ καὶ ἱερὸν τοῦ Μενδησίου παρ' Αἰγυπτίοις, ἐν ᾧ ἄγαλμα τραγοσκελὲς ἦν, ὀρθὸν ἔχον τὸ αἰδοῖον.

Μενδήσιον κέρας τὸ τοῦ Νείλου στόμα.

μένεα πνείων ⟨Hom. B 536⟩ μεγάλα δυνάμενος.

μενεαινέμεν ⟨Hom. E 608⟩ προθυμεῖσθαι.

μενεδάιος καὶ κατὰ τροπὴν **μενεδήιος**.

μενεδάιος ἵππος ὁ πολεμιστήριος. ⟨AP 7 208⟩ "σᾶμα τόδε φθιμένου μενεδαΐου εὐ-

σατο Δᾶμις ἵππω, ἐπεὶ στέρνον τοῦδε δαφοινὸς Ἄρης τύψε."

Μενέδημος.

Μενεκλείδης.

a Μενεκράτης κωμικός. δράματα αὐτοῦ Μανέκτωρ ἢ Ἑρμιονεύς.

b Μενεκράτης Συρακούσιος ἰατρός. οὗτος δὲ μισθὸν μὲν οὐδένα ἐκομίζετο τῆς θεραπείας (ἐθεράπευε γὰρ τὴν ἱερὰν νόσον), δούλους δὲ αὐτοῦ ὁμολογεῖν τοὺς θεραπευομένους ἀπῄτει, καὶ Δία ἑαυτὸν ἐκάλει, θεοὺς δὲ τοὺς ἰαθέντας ὑπ' αὐτοῦ, τιθεὶς ἑκάστῳ προσηγορίαν, τῷ μὲν Ἑρμοῦ τῷ δὲ Ἀπόλλωνος. Athen. p. 289.

a Μενέλαος Αἰγαῖος ἐποποιὸς ἔγραψε Θηβαΐδα ἐν βιβλίοις ια', καὶ ἄλλα.

b Μενέλαος. Δημοσθένης ἐν Φιλιππικοῖς (4 27). ἀδελφὸς Φιλίππου ὁμοπάτριος. Harp.

μενέμαχοι καρτερικοί, μένοντες ἐν τῇ μάχῃ· οὓς Ὅμηρος μενεχάρμας καλεῖ.

μενετοὶ θεοί, καὶ μὴ ἀποδιδῶσι μισητίᾳ" (A Av. 1619) ἀντὶ τοῦ ἀνεξίκακοι καὶ οὐκ εὐθέως τιμωρούμενοι· ἐπίμονοι καὶ βέβαιοι καὶ οὐκ εὐεξαπάτητοι. μισητία δὲ ἡ εἰς τὰ ἀφροδίσια ἀκρασία. μήποτε μέντοι γενικώτερόν ἐστιν ἡ ἀπληστία, ἡ αἰσχροκέρδεια.

μενεχάρμης ὁ ὑπομονητικὸς ἐν μάχαις. sch. Hom. *I* 525.

Μενζίτιον ὄνομα τόπου.

μενθῆρες αἱ φροντίδες.

Μένιππος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶ Κέρκωπες καὶ ἄλλα.

μενοεικὴς ὁ αὐτάρκης. καὶ μενοεικέα. Hom.

Μενοικεύς.

μενοινὴ ἡ προθυμία.

Μενοινῶος.

Μενοίτιος ὄνομα κύριον.

μένος δύναμις, ὁρμή. διαφέρει δὲ τὸ μένος τοῦ θάρσους· τὸ μὲν γὰρ μένος ἐστὶ τοῦ σώματος, τὸ δὲ θάρσος τῆς ψυχῆς. sch. Ven. *E* 2.

μενοῦνγε, ἐκ συνδέσμων τριῶν, τὸ ἀληθές.

Μεντίδιος ὄνομα κύριον.

μέντοι. τὸ δὲ σὺν τῷ γέ παρ' οὐδενὶ τῶν Ἑλλήνων.

Μέντορος ὄνομα κύριον.

μένω· "ἡ δὲ Ὀλυμπιὰς ἐπὶ τῶν ἑαυτῆς ἔμενε λογισμῶν."

Μένων. οὗτος δῆλος ἦν ἐπιθυμῶν μὲν πλούτου ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω λαμβάνοι, ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι· φίλος τε ἐβούλετο εἶναι τοῖς μέγιστον δυναμένοις, ἵν' ἀδικῶν μὴ δοίη δίκην. ἐπὶ δὲ τὸ κατεργάζεσθαι ὧν ἐπιθυμοίη, συντομωτάτην ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν· τὸ δὲ ἁπλοῦν καὶ τὸ ἀληθὲς ἐνομίζετο αὐτῷ ἠλίθιον εἶναι. στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα, ὅτῳ δὲ φαίη φίλος εἶναι, τούτῳ ἔνδηλος ἐγίνετο ἐπιβουλεύων. καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα, τῶν δὲ συνόντων πάντων ὡς καταγελῶν ἀεὶ διελέγετο. καὶ τοῖς μὲν τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε· χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν· ἀλλὰ τὰ τῶν φίλων μόνος ᾤετο εἰδέναι ὅτι ῥᾷστον ἀφύλακτα λαμβάνειν. καὶ ὅσους μὲν αἰσθάνοιτο ἐπιόρκους καὶ ἀδίκους, ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο· τοῖς δὲ ὁσίοις καὶ ἀλήθειαν ἀσκοῦσιν ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι. ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ καὶ ἀληθείᾳ καὶ δικαιότητι, οὕτω Μένων ἠγάλλετο τῷ ἐξαπατᾶν δύνασθαι, τῷ πλάσαι ψευδῆ, τῷ φίλους διαγελᾶν. τὸν δὲ μὴ πανοῦργον ἀπαίδευτον ἐνόμιζεν εἶναι. καὶ παρ' οἷς μὲν ἐπεχείρει πρωτεύειν, διαβάλλων φιλίαν, τοὺς πρώτους τούτῳ ᾤετο δεῖν κτήσασθαι· τὸ δὲ πειθομένους τοὺς στρατιώτας παρέχεσθαι ἐκ τοῦ συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. τιμᾶσθαι δὲ καὶ θεραπεύεσθαι ἠξίου ἐπιδεικνύμενος ὅτι πλεῖστα δύναιτο καὶ ἐθέλοι ἂν ἀδικεῖν. εὐεργεσίαν δὲ κατέλεγεν, ὁπότε τις αὐτοῦ ἀφίσταιτο, ὅτι χρώμενος αὐτῷ οὐκ ἀπώλεσεν αὐτόν. X Anab. 2 6 21.

μεραρχία αἱ δύο χιλιαρχίαι, ἀνδρῶν βμη'. οἱ δὲ καὶ τέλος ὀνομάζουσι, καὶ τὸν ἡγέμενον μεράρχην καὶ τελετάρχην. Aelian. Tact. 9.

μεριδαρχίας μεριτίας, κατὰ δεκαρχίας.

μερίζω αἰτιατικῇ.

μερὶς ἡ κληρονομία.

μερὶς οὐ πνίξ. τῶν δυνατωτέρων ἁρπαζόντων τὰς τροφὰς τῶν ἀσθενεστέρων, καὶ ἐπὶ τούτῳ ἐκείνων πνιγομένων, ἐπεὶ ἄρα αὐτοῖς βοηθεῖν οὐκ ἠδύναντο, ἐπενοήθη ὁ διαμερισμός· καὶ ἕκαστος ἑκάστῳ τὸ ἴσον λαμβάνων ἐπεφώνει "μερὶς οὐ πνίξ." ἢ οὕτως γράφε, μερὶς οὐ πνίγει. ὅτε οὖν οἱ δυνατοὶ ἥρπαζον, ἦν πνίξ· ὅτε δὲ ἐπενοήθη ὁ μερισμός, ἔλεγον οἱ πένητες "μερὶς οὐ πνίξ."

μερίτην συμμεριστήν· Πολύβιος ⟨4 29⟩ "καὶ πολλὰ περιελασάμενοι σώματα καὶ θρέμματα, τούτων οὐδενὸς μερίτην ἐποιήσαντο τῶν ἁλόντων."

μερίτης ὁ τινος πράγματος μεταλαγχάνων· Πολύβιος ⟨8 31⟩ "ὁ δὲ φύλαξ εὐθὺς ἀνοίγει, ἐλπίζων καὶ πρὸς αὐτόν τι διατείνειν τὴν εὐαγρίαν διὰ τὸ μερίτην ἀεὶ γίνεσθαι τῶν εἰσφερομένων."

Μερκηδῖνον τόπος τις.

μερμαίρω φροντίζω, ἢ χολῶ.

μέρμερα μερίμνης ἄξια, χαλεπά. sch. Hom. Θ 453.

μερμερίζω μεριμνῶ.

Μερμερόης ὄνομα κύριον. "τὸν Μερμερόην ··· Καύκασον" ⟨cf. v. ἀξιόλογα⟩.

μέρμις τὸ σχοινίον ⟨Hom. κ 23⟩.

Μερόη νῆσος κατὰ τὸν ὠκεανόν· ⟨AP 5 301⟩ "εἰ καὶ τηλοτέρω Μερόης τεὸν ἴχνος ἐρείσεις."

Μερόλας ὄνομα κύριον.

μέροπες οἱ ἄνθρωποι, παρὰ τὸ μεμερισμένην ἔχειν τὴν ὄπα ἤγουν τὴν φωνήν. ἡ εὐθεῖα μέροψ.

Μερόπη ὄνομα κύριον.

μέσαβον ⟨Hes. O. 467⟩ τὸ μέσον τῶν βοῶν ξύλον.

μεσάγκυλα.

μεσαιπόλιος ὠμογέρων, μιξοπόλιος.

μεσαίτατος ὁ μέσος. καὶ μεσαίτατον τὸ ὑψηλόν.

μεσάτμῳ τῷ κανόνι, τῷ μέσῳ καλάμῳ τοῦ ἴσου.

μεσαύλιον κυρίως μὲν ἡ μέση θύρα, κεῖται δὲ ἀντὶ τοῦ μεσαύλιον. ἢ μεσαύλιον ὁ μέσος τόπος τῆς αὐλῆς.

a μεσεγγύημα. μεσεγγύημά ἐςιν ὅταν οἱ συντιθέμενοι πρὸς ἀλλήλυς περὶ πραγμάτων τῶν οὐ κατὰ τρόπον οὐδὲ δικαίως ἔσεσθαι μελλόντων, ἢ ἐξ ὧν τις βλάβη γενήσεται τῷ κοινῷ τῆς πόλεως, ὑπὲρ τοῦ πραχθῆναι τὰ κατὰ τὰς συνθήκας μισθόν τινα ὁρίσαντες, παρακατατιθῶνται κοινῷ φίλῳ τὸ ἀργύριον, ὅτῳ ἂν ἀμφοτέροις τοῖς μέρεσι δοκῇ, ἂν ἄρα ἐκπραξάμενοι τὰ στοιχηθέντα βεβαιώσωσι.

b μεσεγγύημα τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ γινομένῳ ἐγγυητῇ τῆς ἀποδόσεως. καὶ μεσεγγυῆσαι θαι τὸ ποιῆσαι τοῦτο λέγεται. Harp.

μεσέγγυος μεσίτης, ἐγγυητής, μέσος δύο μερῶν.

μεσεγγυοῦνται ἐγγυηταὶ γίνονται, ἢ ἐγγυητὰς ποιῦνται, ὡς καὶ Ἰσοκράτης ἐν τῷ κατὰ τῶν Σοφιςῶν ⟨5⟩.

μεσηγύς μεταξύ.

Μεσῆις πηγή, καὶ Μεσήιδος γῆς. Hom. Z 457.

μεσῆλιξ ὁ μέσος τῇ ἡλικίᾳ. sch. Hom. N 361.

μεσημβρίζω. καὶ μεσημβρινός.

Μεσήνη ὄνομα πόλεως, καὶ Μεσήνιος ὁ ἀπὸ τῆς Μεσήνης.

μεσιτεύειν ἀναμέσον κεῖσθαι· "τὰ δὲ χρήματα μεσιτεύειν ἐν Κύπρῳ συνετάξαντο, παρ' οἷς ἂν αὐτὸς εὐδοκηθῇ."

μεσίτης ⟨1 Timoth. 2 5⟩ ὁ εἰρηνοποιός.

Μέσμα ὄνομα πόλεως.

μεσοβασιλεύς. μετὰ θάνατον Ῥωμύλου ἀναρχίας οὔσης ἐν τῇ Ῥώμῃ ἐνιαυτὸν ὅλον ἡ σύγκλητος τὸ κῦρος τῶν κοινῶν εἶχε πραγμάτων, πενθήμερον ἀρχὴν τοῖς ἐπιφανεςέροις τῶν βυλευτῶν ἐκ διαδοχῆς κατανέμουσα· οὓς μεσοβασιλεῖς ὠνόμασαν.

μεσόγεων αἰτιατική. μεσόγειος δὲ ἀντὶ τοῦ μέσος κατὰ γῆν.

μεσόδμη τὸ μέσον.

μεσολαβηθείς· "τὸν δὲ υἱὸν ἔπεισεν, εἰ τύχοι μεσολαβηθεὶς αὐτὸς ὑπὸ τῆς πεπρωμένης, ἐξενεγκεῖν τὸν κατὰ Ῥωμαίων πόλεμον." τουτέςιν ἐν τῷ μεταξὺ συσχεθείς. Polybius?

Μεσομήδης Κρὴς λυρικός, γεγονὼς ἐπὶ τῶν Ἀδριανοῦ χρόνων, ἀπελεύθερος αὐτοῦ καὶ ἐν τοῖς μάλιςα φίλος. γράφει οὖν εἰς Ἀντίνοον ἔπαινον, ὃς ἦν Ἀδριανοῦ παιδικά, καὶ ἄλλα διάφορα μέλη.

ὅτι Ἀντωνῖνος τὸ τοῦ Σύλλου μνημεῖον ἀναζητήσας ἐπεσκεύασε, τῷ τε Μεσομήδει τῷ τοὺς κιθαρῳδικοὺς νόμους συγγράψαντι κενοτάφιον ἔχωσε, τῷ μὲν ὅτι καὶ κιθαρῳδεῖν ἐμάνθανεν, ἐκείνῳ δὲ ὅτι τὴν ὠμότητα αὐτοῦ ἐζήλου. Dio Cass. 77 13.

μέσον τὸ μετέχον τοῦ ἴσυ. ἐπὶ γὰρ τῶν ἠθικῶν ἀρετῶν αἱ μὲν ὑπερβολαὶ καὶ ἔνδειαι, ἐναντίαι οὖσαι ἀλλήλαις, ὑπὸ τὴν κακίαν εἰσίν, αἱ δὲ ἀρεταί, μέσαι αὐτῶν οὖσαι, ὑπ' ἄλλο γένος εἰσίν· ὑπὸ γὰρ τὴν ἀρετήν. ἢ ὅτι συμβέβηκε ταύταις οὐ μόνον μέσαις εἶναι, ἀλλὰ καὶ ἐναντίαις ἑκατέρων τῶν ἄκρων· ἐκ

γὰρ τοῦ μεγάλου καὶ μικροῦ, ὄντος τοῦ μὲν ἐν ὑπερβολῇ τᾶ δὲ ἐν ἐνδείᾳ, καὶ τὸ μεταξὺ αὐτῶν τὸ ἴσον ὑπὸ ταὐτὸν γένος. ἔϛιν οὖν κυρίως μέσον τὸ κατὰ μῖξιν τῶν ἄκρων τοιοῦτον ὄν, καὶ ἀναγκαίως ὑπὸ ταὐτόν ἐϛι γένος τοῖς ἄκροις. ἡ δὲ ἀρετὴ οὐχ οὕτω τῶν κακῶν μέση. ὁμωνύμως γὰρ τὸ μέσον λέγεται· λέγεται γὰρ καὶ ἐν κύκλῳ μέσον τὸ κέντρον. ἀλλὰ καὶ ἐν ὅροις μέσος ὁ τῷ μὲν ὑποκείμενος τοῦ δὲ κατηγορούμενος. ἢ ὅλως ὁ δὶς λαμβανόμενος ἐν ταῖς τῶν προτάσεων συμπλοκαῖς καὶ τοῖς τοιούτοις λέγεται μέσον, ὅταν ἀμφοῖν μετέχῃ τῶν ἄκρων· τῇ θέσει γὰρ καὶ μίξει καὶ κράσει τῆς σχέσεως αἰτίαν ἐν ἅπασιν ὁ μέσος ἔχει.

Ὅμηρος ⟨Ψ 574⟩ "εἰς μέσον ἀμφοτέροισι δικάσσατε." οὐκ ἔϛιν, εἰς τὸ μέσον παρελθόντες, ἀλλὰ μέσως δικάσατε, μήτε τούτῳ προσχαριζόμενοι μήτε ἐμοί· διὸ καὶ ἐπιφέρει "μηδ' ἐπ' ἀρωγῇ." "ἐγὼ δ' ἔχομαι μέσος" ⟨A Ach. 570⟩ ἀντὶ τοῦ ἥττημαι, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν τὰ μέσα ληφθέντων.

μεσοπορῶν μέσην ὁδεύων.

μεσότης ἀληθές. ὅτι μεσότητές εἰσιν, οὐκ ἀκρότητες αἱ τῶν ἠθῶν ἀρεταί, μάλιϛα ἡ δικαιοσύνη.

ὅτι μεσότης καὶ μέτρον οὐ δύνανται μᾶλλον καὶ ἧττον γενέσθαι, ἡ δὲ ὑπερβολὴ καὶ ἡ ἔλλειψις, ἐπειδὴ ἐπ' ἄπειρον προχωρεῖ. διὰ τοῦτο ἀόριϛον αὐτὴν ἔλεγον δυάδα.

μεσουρανήσαντος ἡλίου.

Μεσσόα τόπος.

μεϛοῦται πληροῦται.

μέσφ' ὅτε ἕως οὗ.

μεσῶ γ' συζυγίας τῶν περισπωμένων. Εὐριπίδης Μηδείᾳ ⟨60⟩ "ζηλῶ σ'· ἐν ἀρχῇ πῆμα, κοὐδέπω μεσοῖ."

μέτα μέτεϛιν· "ὦ κακὴ κεφαλή, οὔ σοι τούτων μέτα," ὅ ἐϛι μέτεϛι. καὶ αὖθις ⟨A Eccl. 173⟩ "ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα" ἀντὶ τᾶ μέτεϛιν "ὅσον περ ὑμῖν· ἄχθομαι δὲ καὶ φέρω τὰ τῆς πόλεως ἅπαντα βαρέως πράγματα."

μετά. ὁ τοῦ Ἀρχιβίȣ Ἀπολλώνιος πέντε δηλοῦν φησίν. ἐν· ⟨Hom. O 96⟩ "ταῦτα δὲ καὶ μετὰ πᾶσιν." ἐπί· ⟨α 184⟩ "ἐς Τεμέσην μετὰ χαλκόν." ὑπό· ⟨Ψ 367⟩ "χαῖται δ' ἐρρώσαντο μετὰ πνοιῇς ἀνέμοιο." εἰς· ⟨H 115⟩ "μετὰ ἔθνος ἑταίρων." σύν· ⟨χ 318?⟩ "σὺν δ' αὖ ἐγὼ μετὰ τοῖσι." πρός· ⟨ζ 115⟩ "σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια." "ὁ δὲ ἔκλεισε τὴν ῥάβδον πυθμένι καὶ πώματι, καὶ μετὰ χεῖρας εἶχεν ἀεί, οὔτε μεθ' ἡμέραν κατατιθέμενος καὶ νύκτωρ ὑπὸ τὴν κεφαλὴν ὑποτιθέμενος."

μεταβαίνω γενικῇ.

μεταβαλών ϛραφείς.

μεταβολή κατὰ τέσσαρας τρόπους γί- a
νεται, φθορᾶς ἀλλοιώσεως φθίσεως αὐξήσεως, καὶ ἐν τέσσαρσι θεωρεῖται κατηγορίαις, ἐν οὐσίᾳ μὲν ὡς γένεσις καὶ φθορά, ἐν ποσῷ δὲ ὡς αὔξησις καὶ μείωσις, ἐν ποιῷ δὲ ὡς ἀλλοίωσις, οἷον λεύκανσις μέλανσις, ἐν δὲ τῷ ποῦ, οἷον ἄνω, κάτω, ἐν Λυκείῳ, ἐν ἀγορᾷ. ἐπὶ πλέον δὲ τῆς κινήσεως ἡ μεταβολή. τὸ γὰρ κινούμενον δεῖ εἶναι, ἵνα καὶ κινῆται, τὸ δὲ γινόμενον ἢ φθειρόμενον οὐ μένει ὅπερ ἦν· καὶ ὅτι τὸ κινούμενον περὶ τὸ αὐτὸ ὑποκείμενον ἴσχει μεταβολήν, μηδὲν τῆς κινήσεως εἰς τὴν οὐσίαν τοῦ ὑποκειμένου συντελούσης, τὸ μέντοι γινόμενον καὶ φθειρόμενον οὐκ ἐν ὑποκειμένῳ γίνεται, ἀλλ' οἷον ἐξ ὕλης εἰς εἶδος μεταβάλλει τὸ γινόμενον, καὶ τὸ φθειρόμενον ἔμπαλιν. Philopon. in 1 de anima, C VII a.

μεταβολή ἐϛιν ἡ δὶς ἐπὶ τὸ αὐτὸ γινο- b
μένη κλίσις, κατὰ νώτου τὰς τῶν ὁπλιτῶν ὄψεις μετατιθεῖσα. ἧς δύο διαφοραί, ἣ μὲν ἀπὸ τῶν πολεμίων, ἣν καὶ ἐπ' οὐρὰν ἐπονομάζουσιν, ἣ δὲ ἐπὶ τοὺς πολεμίους. ἔνιοι δὲ καὶ οὕτως αὐτὴν ὑπογράφȣσι· μεταβολή ἐϛι μετάληψις τῆς προϋπαρχούσης ἐπιφανείας εἰς τὴν κατ' οὐρὰν ἐπιφάνειαν, ἢ ἀπὸ ταύτης ἐπὶ τὴν ἐναντίαν. καὶ ἡ μὲν ἀπὸ τῶν πολεμίων μεταβολὴ δὶς ἐπὶ δόρυ κλινάντων γίνεται, ἡ δ' ἐπὶ τοὺς πολεμίȣς δὶς ἐπ' ἀσπίδα. Aelian. Tact. 25.

μετάβολοι πραγματευταί, μεταπρᾶται.

Μέταβος ὄνομα κύριον.

μετὰ γὰρ νοσȣ́ντων μαίνεσθαι καλόν. ὅτι χρὴ συνεξομοιοῦσθαι τοῖς παροῦσιν. ὅμοιον τῷ "ὁ μαινομένοις μὴ συμμαινόμενος, οὗτος μαίνεται."

μεταγειτνιών δεύτερος μὴν παρ' Ἀθηναίοις. ἐν δὲ τούτῳ Ἀπόλλωνι μεταγειτνίῳ θύουσι. Harp.

Μεταγένης ὄνομα κύριον. μεταγενής a
μεταγενέϛερος.

Μεταγένης Ἀθηναῖος, δοῦλȣ παῖς, κω- b
μικός. τῶν δὲ αὐτοῦ δραμάτων ἐϛὶ ταῦτα,

Αὖραι, *Μαμμάκυθος*, *Θουριοπέρσαι*, *Φιλοθύτης*, *Ὅμηρος ἢ Ἀσκηταί*.

μεταδιδάξαι τὸ τὴν προτέραν ἀφεῖναι βουλὴν καὶ ἐλθεῖν ἐπ' ἄλλην. "καὶ οὔτε μεταδιδάσκοντος ἐπείθοντο τοῦ ἡγεμόνος, οὔτε ὀλοφυρομένου καὶ ἱκετεύοντος ἔπασχόν τι πρὸς τὰς δεήσεις."

μεταδιῶξαι ἐπιζητῆσαι, ἐφευρεῖν· "μετὰ τῶν ἐπιτηδείων ὑπεξελθόντα ἑτέραν μεταδιῶξαι χώραν."

μεταδόρπια ἐπίδειπνα.

μετάδος ἐνδεεῖ ἄρτου.

μεταίτιον· Ἡρόδοτος (4 200) "τῶν δὲ πᾶν γὰρ ἦν τὸ πλῆθος μεταίτιον, οὐκ ἐδέκοντο τοὺς λόγους.

μέταιτος προσαίτης, ἐπαίτης· "οὕτω τε μέταιτος ἐτελεύτησε καὶ χρημάτων ἄπορος ὡς κοινοῖς ταφῆναι χρήμασι" (Io. Antioch. exc. Peir. p. 786).

μεταίχμιον μεταξὺ δύο φαλάγγων τοῦ πολέμου.

μετακαλοῦντες ἀναπείθοντες· "τοὺς μὲν ἀπειλῇ ἀναστέλλοντες, τοὺς δὲ καὶ βίᾳ μετακαλοῦντες."

μετακόσμιον τοῦ κόσμου κρείττονα.

μεταλαγχάνει μετέχει. ἀφυστερεῖ ἢ ἀποτυγχάνει κλήρου.

μετὰ Λέσβιον ᾠδόν, παροιμία λεγομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο. ἀκαταστατούσης γὰρ τῆς πόλεως αὐτῶν χρησμὸς ἐγένετο τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι· οἱ δ' ἐξ Ἀντίσσης Τέρπανδρον ἐφ' αἵματι φεύγοντα μεταπεμψάμενοι ἤκουον αὐτοῦ ἐν τοῖς συσσιτίοις, καὶ κατεστάλησαν.

ὅτι οἱ Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον, ὃς ἥρμοσεν αὐτῶν τὰς ψυχὰς καὶ τὴν στάσιν ἔπαυσεν. εἴ ποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινὸς ἤκουον οἱ Λακεδαιμόνιοι, ἔλεγον "μετὰ Λέσβιον ᾠδόν."

μεταλλάσσω αἰτιατικῇ.

μεταλλεία ἡ ἔρευνα τοῦ χρυσοῦ.

μεταλλεῖς. οἱ τὰ μέταλλα ἐργαζόμενοι οὕτως ὀνομάζονται. Harp.

μεταλλεύεις μεταφέρεις. καὶ ἀντὶ τοῦ ἐρευνᾷς, πολυπραγμονεῖς· ἐν ἐπιγράμμασι (AP 6 302) "τῷ τί μεταλλεύεις τοῦτον μυχόν, ὦ φιλόλιχνε;"

μεταλλήξαντι (Hom. *I* 157) παυσαμένῳ.

μεταλλῆσαι πολυπραγμονῆσαι.

μεταμαθεῖν μεταγνῶναι, παύσασθαι· Ἀγαθίας (1 13) "ὑμεῖς δὲ ὀμωμοκότες ἀνέδην παρεσπονδήσατε. ἀλλ' εἴ γε καὶ νῦν ἐθελήσοιτε μεταμαθεῖν τὸ συνοῖσον, οὐδέν τι ἔλαττον ἕξετε." κυρίως δὲ μεταμαθεῖν ἔλεγον τὸ μετὰ ταῦτα ἕτερόν τι μαθεῖν, ἀφέμενον τοῦ πρώτου· Ἀριστοφάνης Πλούτῳ (925) "οὐδ' ἂν μεταμάθοις; οὐδ' ἂν εἰ δοίης γέ μοι τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον." "καὶ μετέμαθεν Ἑβραῖος ὢν τὴν τῶν Ἀσσυρίων δυσσέβειαν" ἀντὶ τοῦ ἠλλάξατο.

μεταμείβων μεταλλάσσων.

μεταμέλει μετανοεῖ, μετάμελος γίνεται. "εἰ δὲ ἤδη μεταμέλει τούτων Ἀντωνίῳ, καὶ ξυνομολογεῖ οὐκ ἀπὸ θυμοῦ εἶναι φιλίαν καὶ συμμαχίαν Ῥωμαίοις ποιήσασθαι."

μεταμέλεια πάθος ἀνθρώπινον, τὸ δὲ θεῖον μεταμελείας ἀμύητον. μεταβολαῖς δὲ συγχωρεῖ περιπίπτειν ὥσπερ οἰκονομικῶς, ὡς τῶν Ἰουδαίων τὴν ἱερωσύνην κατέπαυσε, καὶ τὴν βασιλείαν Ἀσσυρίων καὶ Βαβυλῶνος καὶ Μακεδόνων. Theodoret. in Ps. 109 4. cf. v. μετεμελήθη.

μετὰ μουσῶν, ἐπὶ τοῦ πεπαιδευμένου· ἢ κοινῇ ἐπὶ τοῦ συνόντος ἀπαιδεύτου τοῖς πεπαιδευμένοις. καθ' ὑπόκρισιν δὲ ἀναγνωστέον.

μεταμώνιος μάταιος, πρὸς οὐδὲν χρήσιμον· Ἀριστοφάνης (Pac. 116) "ἐς κόρακας βαδιῇ μεταμώνιος."

μετανάστευε (Ps. 10 2) φεῦγε, μετοίκει.

μετανάστης (Hom. *I* 644) μέτοικος, φυγάς.

μετανάστρια ἡ πέρδιξ· (AP 7 204) "οὐκέτι που, τλῆμον σκοπέλων μετανάστρια πέρδιξ, πλεκτὸς λεπταλέοις οἶκος ἔχει σε λύγοις."

μετανεγνώσθη μετεπείσθη καὶ πέπαυται τοῦ θυμοῦ· (S Ai. 717) "εὖτέ γ' ἐξ ἀέλπτων Αἴας μετανεγνώσθη θυμὸν Ἀτρείδαις."

μεταξὺ ἀναμέσον· "Τραϊανὸς δὲ τῇ κοι- a
νωνίᾳ τῶν ἔργων ἐκούφιζε τοῦ πλήθους τὸν
κάματον, καὶ μεταξὺ πορευόμενος ἄλλοτε
ἄλλως ἔταττε." Dio Cass. 68 23? cf. v. κα-
θιείς.

μεταξὺ ἔτι, οὐ πρὸ πολλοῦ· "ὁ δὲ Ἀλέ- b
ξανδρος μεταξὺ πίνων καὶ ἀναφλεχθεὶς ὑπὸ
τῆς μέθης πρὸς ἔριν ἦλθε πρὸς Κλεῖτον, καὶ
λόγχην ἁρπάσας παρά του τῶν δορυφόρων
διήλασε τῷ Κλείτῳ τὴν λόγχην ὥσπερ οἰστρη-

θείς." καὶ αὖθις "ἐξάπτεται δὲ αὐτῷ μεταξὺ πίνοντι ὀργὴ πρός τινα συμπότην μὲν τότε, κοινωνὸν δὲ τῶν φόνων."

μεταξυλογία τὸ πρὸς βραχὺ παραλιπόντα τὴν παροῦσαν ὑπόθεσιν, περὶ ἑτέρας κινῆσαι τὸν λόγον· ⟨Menand. p. 369⟩ "πρὸς βραχὺ ὁ λόγος ἐπέπαυτο αὐτῷ περὶ τῆς χώρας, καὶ αὖθις, ὥσπερ ἐν μεταξυλογίᾳ τινί, περὶ Ἄμβρε τῦ Σαρακηνῦ διελεγέσθην ἄμφω."

μετάπεμπτος προσκληθείς.

μεταπήδα διάβαινε, μετέρχου· Ἀριστοφάνης ⟨Nub. 703⟩ "ταχὺς δ', ὅταν εἰς ἄπορον ἐμπέσῃς, ἐπ' ἄλλο πήδα νόημα φρενός," οὗ πόρον οὐκ ἔςιν εὑρεῖν. φησὶ δὲ ὅτι, ἐὰν ἡ διάνοια εἰς ζήτημα ἄπορον ἐμπέσῃ, μετάβηθι ἐπ' ἄλλο. σκώπτειν δὲ διὰ τούτων βούλεται τὸν Σωκράτην ὡς χλευαζόμενον ἐν ταῖς συζητήσεσι καὶ μεθιςάμενον ὑπὸ ςενοχωρίας. διδάσκει οὖν αὐτὸν ὅτι, ἐὰν ἀπορήσῃς εἴς τι, ταχέως ἐπ' ἄλλο πήδα νόημα. ὁ δὲ ὑποτιθέμενος ἄλλῳ δῆλον ὅτι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει ὑποτίθεται.

μεταποιεῖσθαι ἀντιποιεῖσθαι· Πλάτων Πολιτικῷ ⟨p. 289 D⟩ "ἥκιςα βασιλικῆς μεταποιεμένους τέχνης" ἀντιποιεμένες. Θουκυδίδης ἐν τῇ λοιμικῇ καταςάσει ⟨2 51⟩ "καὶ μάλισθ' οἱ ἀρετῆς μεταποιύμενοι." σημαίνει ἀντιποιούμενοι.

μεταποίνιον· "τὴν δίκην τὴν ἔφορον τῶν ὅλων μεταποίνιον."

μεταποιοῦμαι, γενικῇ, φροντίζω, προνοοῦμαι.

Μεταπόντιος ὄνομα κύριον. καὶ θηλυκῶς ὄνομα πόλεως.

μεταπύργιον ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ τείχους πύργων. οὕτω καὶ Θουκυδίδης ⟨3 22⟩ καὶ Λυσίας. Harp.

μετάρσιος μετέωρος, ὑψηλός.

μετασοβῶν ἀποδιώκων.

μετασπόμενος ἐπακολουθήσας, μεταδιώξας. sch. Hom. N 567.

μέτασσαι ⟨Hom. ι 221⟩ τὰ ὕπαρνα πρόβατα.

μεταςοιχειοῦσα μετασχηματίζουσα.

μετασχεῖν ἐπιλαβεῖν.

μετατάξασθαι ἀντὶ τῦ μετελθεῖν. sch. Thuc. 1 95.

μετὰ τὴν ἐν Μαραθῶνι μάχην, καὶ μετὰ τὸν πόλεμον ἡ συμμαχία, ἐπὶ τῶν ἐπὶ ὑποθέσει τινὶ καθυςερησάντων.

μετάτροπος αὔρα ἀντὶ τοῦ ἡ μεταβληθεῖσα. sch. A Pac. 945.

μέταυλος ἡ ῥυπαρὰ λεγομένη αὐλή, οὗ ὄρνιθες ἦσαν. Harp.

μετάφερε σαυτόν· "ὅτι προσήκει ἑαυτοὺς μεταφέρειν, καὶ μεταχειρίζεσθαι τὰ πράγματα."

μετάφρενον ⟨Hom. B 265⟩ μεταξὺ τῶν ὤμων.

μεταφῦναι μεταπλασθῆναι.

μεταχειρίζειν ἀντὶ τοῦ μεταχειρίζεσθαι Θουκυδίδης δ ⟨18⟩.

μεταχειρίσαι. τυτέςιν ἐναλλάξαι, ἤγουν ἀπὸ πεντηκοντόρων ποιεῖν τριήρεις. sch. Thuc. 1 13.

μεταχρονία ἡ εἰς ὕψος φερομένη· "τίς γάρ ἐμοὶ σέο μισθὸς ἐπάξιος, ἤν σε διδάξω ὑψῦ ὑπὲρ πόντοιο μεταχρονίην ποτέεσθαι;"

μεταχρωννύντες μετασχηματίζοντες.

μετεβάλετο ηὐτομόλησεν· "ὃ δὲ ἅμα τῷ εἰς ὄψιν ἐλθεῖν μετεβάλετο πρὸς τὺς πολεμίους."

μετέθετο ηὐτομόλησεν· "ὃ δὲ ἰὼν τὰ πάντα νεώτερος καὶ τὸ πλέον μετεωρισθεὶς ἀρχῆς μετέθετο ἑκυσίως πρὸς τὸν βάρβαρον."

μετειλήχει μετέσχε.

μετειληχότα μεταλαβόντα.

μέτειμι ἐξετάζω, ἀνακρίνω, μετέρχομαι.

μετεῖναι μετιέναι, ἐπεξελθεῖν· Ἡρόδοτος ⟨1 128⟩ "πρῶτον μὲν τὺς μάγυς, οἵ μετεῖναι τὸν Κῦρον ἀνέπεισαν, ἀνεσκολόπισε."

μέτεισιν ἀμύνεται, ἐπεξέρχεται· "μέτεισι τοὺς Ἀθηναίους ὑπὲρ τῶν ἀθέσμων φόνων ἡ δίκη, καὶ ἀφορίαις συνείχοντο."

μετεκίαθον ⟨Hom. Λ 52⟩ μετῆλθον.

μετελεύσομαι ⟨Hom. Z 280⟩ ἐπελεύσομαι.

μετελθών ἐπελθών.

μετ' ἐμέ πρός με.

μετεμελήθη. μεταμέλεια ἐπὶ θεοῦ οὐκ ἔςιν, ἀλλὰ τῆς παιδείας φησὶ τὴν παῦλαν μεταμέλειαν. Theodoret. in Ps. 105 45.

μετεμόσχευσε μετεφύτευσε.

μετ' ἐναργείας μετ' ἀληθείας.

μετεξέτεροι παρ' Ἡροδότῳ ⟨1 63⟩ ἀντὶ τοῦ ἔνιοι· "οἱ δὲ μετεξέτεροι αὐτῶν οἱ μὲν πρὸς κύβους οἱ δὲ πρὸς ὕπνον ἐτρέποντο."

μετέρχομαι αἰτιατικῇ.

μετέωρα ὑψηλά· Ἀγαθίας ⟨2 6⟩ "τὰ δὲ τῆς Ἰταλίας πολίσματα μετέωρα ἦν ἅπαντα

καὶ δεδονημένα" ἀντὶ τοῦ ἕτοιμα πρὸς ἐπιχείρησιν.

μετεωρισθέντων ἐπαρθέντων· "μετεωρισθέντων δὲ τῶν Βοιωτῶν διὰ τὴν εὐημερίαν, τούτους Χαβρίας ἐταπείνωσε."

μετεωρισμός ἡ ὑπερηφανία.

μετεωροκοπεῖς περὶ μετέωρα πέτη καὶ μάτην ὡς ἔτυχε κάμνεις. μετεωροκοπεῖν δέ ἐςι κυρίως τὸ τῷ πλάτει τῆς κώπης ματαίως τὴν θάλασσαν τύπτειν. καὶ μετεωρολέσχας τοὺς φιλοσόφους φησὶν ἐν Νεφέλαις, ὅτι τὰ οὐράνια περισκοποῦσι. μετενήνεκται δὲ ἡ λέξις τὸ μετεωροκοπεῖν παρὰ τὸ τί θαλαττοκοπεῖς; ἐπὶ γὰρ τοῦ σφοδρῶ τὸ κόπτειν παραλαμβάνεται. καὶ ἀλλαχοῦ ⟨Eq. 827⟩ "θαλαττοκοπεῖς καὶ πτερυγίζεις." sch. A Pac. 91.

μετεωρολέσχαι περὶ οὐρανοῦ φλυαροῦντες.

μετέωρον ἐφ' ὕψους· "οἱ γὰρ δορυφόροι μετέωρον ἀράμενοι τὸν σύρφακα εἰς τὸν Τριακοντόποδα καλούμενον ἐκόμισαν, ῥίψαντες κάτω" ⟨cf. v. τριακοντόπους⟩. Ἰώσηπος "ἄμεινον δ' εἶναι μετέωρον ἐν φόβῳ τὸν αἴτιον καταλείπειν."

μετεωροπολῶν τὰ οὐράνια σκοπῶν. καὶ μετεωροπορῶν.

μετέωρος ὁ ἤδη πρὸς πρᾶξίν τινα ηὐτρεπισμένος· "μετῆλθε τὰς πόλεις μετεώρȣς πρὸς ἀπόςασιν οὔσας," καὶ αὖθις "πάλαι μετέωρος ὢν πρὸς τὴν τῆς Ὀλυμπίας θέαν ὥρμηται." καὶ Ἰώσηπος ⟨B. I. 2 21 1⟩ "μετεώρȣς ὄντας ἐπὶ τῷ μέλλοντι πολέμῳ τὸς πολλοὺς ἐσπάρασσεν." "ἦσαν δὲ μετέωροι ταῖς ψυχαῖς, καὶ πρὸς τὸ μέλλον ἔτι σαλεύοντες." καὶ αὖθις "ὁ δὲ μετέωρος ἦν πρὸς πᾶσαν καινοτομίαν· διὸ καὶ προθύμως ὑπήκουσε τοῖς παρακαλȣμένοις." "μετέωρος ἦν ἡ Ἑλλάς" παρὰ Θουκυδίδῃ ⟨2 8⟩ ἀντὶ τοῦ ἐκεκίνητο καὶ οὐχ ἡσύχαζον.

μετεώρους νῆας παρὰ Θȣκυδίδῃ ⟨1 48⟩ ἀντὶ τοῦ πελαγίους καὶ μὴ ἐπ' ἀγκυρῶν ἱςαμένας ἀλλ' ἀπεχούσας τῆς γῆς, ἐκ μεταφορᾶς τῶν ἀπεχόντων τῆς γῆς καὶ ἐν ὄρει ὄντων, ἢ παρὰ τὸ ἀφεῖναι τὴν γῆν καὶ περὶ τὸν ἀέρα λοιπὸν εἶναι.

μετεωροφένακας. οὕτω καλεῖ τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας Ἀριςοφάνης ⟨Nub. 332⟩· φενακίζειν γὰρ τὸ ἐξαπατᾶν.

μετῇ ἐξῇ.

μετῄεσαν μετήρχοντο, ἐδίωκον· "καὶ ὡς κατειργάσατο τὸ κάλλιςον ἔργον, ἔφευγεν ὤκιςα εὐθὺ τοῦ ἐραςοῦ, μετῄεσαν δὲ αὐτὸν οἱ δορυφόροι. καὶ διέφυγεν ἂν ἐκεῖνος, εἰ μὴ προβάτοις συνεζευγμένοις περιπεσὼν καὶ συμπλακεὶς ὡς πέδῃ κἀτα ἀνετράπη."

μετῆλθε τὴν ἄλοχον ἀντὶ τοῦ προσωμίλησεν αὐτῇ.

μετήορος ὑψηλός.

μετ' ἴχνια ⟨Hom. β 406⟩ κατὰ ἴχνη πορεύεσθαι.

μετοίκιον. μέτοικος μέν ἐςιν ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν ἐν ἑτέρᾳ, καὶ μὴ πρὸς ὀλίγον ἐπιδημῶν ὡς ξένος. ἐδίδοντο δὲ ὑπ' αὐτῶν καθ' ἕκαςον ἔτος δραχμαὶ ιβʹ, ὅπερ ὠνόμαςαι μετοίκιον. Ἰσαῖος δὲ ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνȣς ὑποσημαίνει ὅτι ὁ μὲν ἀνὴρ ιβʹ δραχμὰς ἐτέλει μετοίκιον, ἡ δὲ γυνὴ ςʹ, καὶ ὅτι τοῦ υἱοῦ τελοῦντος ἡ μήτηρ οὐκ ἐτέλει, μὴ τελȣ̃ντος δὲ αὐτὴ ἐτέλει. οἱ δοῦλοι δὲ ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν ἐτέλȣν τὸ μετοίκιον. Μένανδρος δέ φησι πρὸς ταῖς ιβʹ δραχμαῖς καὶ τριώβολον τούτους τελεῖν, ἴσως τῷ τελώνῃ. οἱ μέντοι τὸ μετοίκιον μὴ τιθέντες μέτοικοι ἀπήγοντο πρὸς τȣ̀ς πωλητάς, καὶ εἰ ἑάλωντο, ἐπιπράσκοντο. ἐνεβίβαζον δὲ καὶ εἰς τὰς ναῦς τοὺς μετοίκους, ὡς Δημοσθένης ἐν Φιλιππικοῖς ⟨4 36⟩ δηλοῖ. ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφέας τοὺς μετοίκȣς, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι. Harp.

μέτοικοι. μέρος εἰσὶ τῶν πολιτῶν οἱ μέτοικοι εὐτελές, ὡς τὰ ἄχυρα τῶν κριθῶν· Ἀριςοφάνης ⟨Ach. 507⟩ "τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀςῶν λέγω." μέτοικοι δὲ οἱ ἀφ' ἑτέρας πόλεως μεταςάντες καὶ εἰς ἑτέραν οἰκοῦντες· "εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου μετοίκου, ᾤου δυνατὸς εἶναι λέγειν" ⟨A Eq. 347⟩. παρὰ Σοφοκλεῖ δὲ ⟨OC 934⟩ μέτοικος ἀντὶ τȣ̃ ἔνοικος· "εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις εἶναι" ἀντὶ τοῦ ἔνοικος· οὐ γὰρ αὐτὸ τοῦτο τὸ ἔνοικος, ὡς ἡμεῖς φαμέν, εἴρηται. μετοίκȣς δὲ καλοῦμεν τȣ̀ς ἀπὸ ἑτέρας χώρας οἰκοῦντας, πρὸς δὲ τȣ̀ς μετοικισθέντας ποθέν. τοῦτο δὲ σημαίνει ἔνοικον. Αἰσχύλος ⟨Ag. 58⟩ τοὺς οἰωνȣ̀ς τῶν ὑψηλῶν τόπων ἀντὶ τοῦ ἐνοίκους. καὶ αὖθις ⟨Demosth. 25 57⟩ "Ζωβίαν ὑποδεξαμένην Ἀριςογείτονα φυγόντα, καὶ ἀξιοῦσαν εὖ παθεῖν ὅτε ἴσχυεν, ἐπὶ τὸ τȣ̃ μετοικίȣ πωλητήριον ἤγαγε, καὶ τὴν ἀδελφὴν ἐπ' ἐξαγωγῇ πέπρακε." καὶ

αὖθις (Diog. L. 4 14) "τοῦτον δὲ ἐπίπρασκον τὸ μετοίκιον ἀτονοῦντα θεῖναι."

μετοίχεσθαι μετελθεῖν, μεταβαίνειν.

μετοιχήσονται μεταπορεύσονται, μετέλθωσι.

μετοιωνίσασθαι ἀντὶ τῦ μεταθέσθαι τὸν φαῦλον οἰωνόν. Harp.

μετοχλάζει (Hom. N 281) μετακαθίζει.

μετὸν ἐξόν· Ἀριςοφάνης (Eccl. 694) "ἀδ' ἂν κλέπτης ἀδεὶς ἔςαι. πῶς γὰρ κλέψαι, μετὸν αὐτῷ;" ἀντὶ τοῦ μέτεςι.

μετόπισθεν ἐν ὑςέρῳ, μετὰ ταῦτα.

μετόπωρον τὸ φθινόπωρον, ὁ μετὰ τὴν ὀπώραν καιρός.

μετόρχιον τὸ μεταξὺ τῶν φυτῶν, ἢ τὸ μεταξὺ τῶν χωρίων, ὅπερ λέγεται ὄρχος. "μετασήσεις" φησὶ "τὰ φυτὰ ἀπὸ τῶν ἀρυρῶν τῶν σπειρομένων." ἢ μετόρχιόν ἐςι τὸ μεταξὺ τῶν συμφύτων πεδίον, ἐν ᾧ ἢ σῖτος ἢ ἄλλο τι ἔσπαρται. sch. A Pac. 567.

μετουσία κοινωνία.

μετοχετεύειν μετακομίζειν.

μετοχὴ ὁ περίβολος· Δαβὶδ (Ps. 121 3) "ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό."

μετρεῖν αἰτιατικῇ.

μετρείτω παρεχέτω· Ἀριςοφάνης (Av. 583) "πυροὺς πεινῶσι μετρείτω."

μετρήσαντες (Hom. γ 179) διελθόντες.

μέτρησον δάνεισον. καὶ Ἡσίοδος (O. 347) "εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι." καὶ Θεόπομπος Καπήλισιν "ἢ μετάδος, ἢ μέτρησον, ἢ τιμὴν λάβε."

μετριάζει ταπεινοφρονεῖ.

a μέτριοι εὐγνώμονες· "ξυνομολογήσαντος ἄμφω ταῦτα ἑαυτοῦ, καὶ ἄλλο ὅτι περ τῶν μετρίων ἐπαγγέλλοι Ἀντώνιος· ὁ δὲ οὔτε τῆς παρασκευῆς τὸν πόλεμον ἀνῆκε."

b μέτριοι. "Ἀθήνηθεν ἀποπλεύσας Ἀσκληπιόδοτος καὶ εἰς Σελεύκειαν τῆς Συρίας ἀφικόμενος διεσκοπεῖτο τὰ ἤθη τῶν ἀνθρώπων, καὶ ἐν τῇ περιόδῳ ὅλῃ τρισὶν μόνοις ἔφη ἐντετυχηκέναι μετρίως ἔχουσιν ἀνθρώποις, Ἰλαρίῳ τε τῷ φιλοσόφῳ κατ' Ἀντιόχειαν, ἐν δὲ Λαοδικείᾳ τῇ ἐχομένῃ πόλει τῶν Σύρων Μάρᾳ τῷ δικαιοτάτῳ τῶν καθ' ἡμᾶς ἀνθρώπων καὶ τὴν Ἀριςείδε ἐπωνυμίαν ἀπενεγκαμένῳ, Δομνίνῳ τε τῷ φιλοσόφῳ" (Damascius: cf. vv. Δομνῖνος, Ἰλάριος, Μάρας).

μετριοπαθεῖν ἐκ μέρους τὰ πάθη καταδέχεσθαι, συγγινώσκειν. Ἀππιανὸς (Hisp. 48) "Κλαύδιος Μάρκελλος πόλιν τῶν ἐναντίων παρεςήσατο, καὶ συγγνώμην ἔδωκεν ἀργυρίου λ' τάλαντα λαβών. Νεργόβριγες δ' αὐτοῦ περὶ τῆσδε τῆς μετριοπαθείας πυθόμενοι ἐθαύμαζον." καὶ αὖθις (Theophyl. Sim. 3 15) "τοῖς Μήδοις ἀναζωπυρεῖται τὸ φιλοπόλεμον, μετριοπαθεῖν ἐπὶ τοῖς ἔναγχος οὐ χωρήσαντες ἐπιτεύγμασιν." Ἀριςοτέλης λέγει τὸν σοφὸν μετριοπαθῆ μὲν εἶναι, ἀπαθῆ δὲ μὴ εἶναι.

μέτριος ὁ μεμετρημένην ἔχων οὐσίαν, ἢ τὸ ἦθος ἐπιεικής· "ἔνιοι δὲ τῶν μετρίων ἀνδρῶν διηπόρουν ἐπὶ τοῖς προσπίπτουσι." καὶ Μαρκελλῖνος (vit. Thuc. p. 5 23) "Τιμολέοντα δὲ ὁ Τίμαιος ὁ Ταυρομενίτης ὑπερεπήνεσε τοῦ μετρίου."

μετρονόμοι. ἀρχή τις Ἀθήνησιν ἡ τῶν μετρονόμων. ἦσαν δὲ τὸν ἀριθμὸν ιε', ε' μὲν εἰς Πειραιᾶ, ι' δὲ εἰς ἄςυ. εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια ἢ τὰ μέτρα τῶν πωλούντων. Harp.

μέτρῳ ὕδωρ πίνοντες, ἀμετρὶ δὲ μᾶζαν ἔδοντες. οὗτος ὁ ςίχος εἰς παροιμίαν περιέςη ἔκ τινος χρησμοῦ, ὃν ἀνεῖλεν ὁ θεὸς Συβαρίταις. ὑβρισαὶ γὰρ ὄντες καὶ ἀμετροπόται ἀπώλοντο ὑπὸ Κροτωνιατῶν. τοῖς οὖν διαφυγοῦσιν αὐτῶν οὕτως ἐχρήσθη.

Μέτων ὁ μαθηματικός, καὶ Μέτωνος ἐνιαυτός. οὗτος ὁ Μέτων ἄριςος ἐγίνετο ἰατρὸς καὶ ἀςρονόμος. τούτε ἐςὶν ὁ λεγόμενος Μέτωνος ἐνιαυτός. Καλλίςρατος δέ φησιν εἶναι αὐτῦ ἐν Κολωνῷ ἀνάθημά τι ἀςρονομικόν, Εὐφρόνιος δὲ ὅτι τῶν δήμων ἦν ἐκ Κολωνοῦ. πρὸ Πυθοδώρου δὲ ἡλιοτρόπιον ἦν ἐν τῇ νῦν οὔσῃ ἐκκλησίᾳ πρὸς τῷ τείχει τῷ ἐν Πυκνί. ἢ ὅτι ἐν Κολωνῷ κρήνην τινὰ κατεσκευάσατο· φησὶν ὁ Φρύνιχος Μονοτρόπῳ "τίς δ' ἐςὶν ὁ μετὰ ταῦτα φροντίζων; Μέτων ὁ Λευκονοιεύς. οἶδ', ὁ τὰς κρήνας ἄγων." ἢ ἴσως ὅτι ἐν τῷ Κολωνῷ κρήνην τινὰ κατεμηχανήσατο, ἢ ἄγαλμα ἢ ἀνάθημα ἀςρονομικὸν κατεσκευάσατο. sch. A Av. 998.

μετωνυμικῶς μετωνομασμένως.

μέτωπον. καὶ μετωπίδιον τὸ ἐπὶ τῦ μετώπου.

μέτωπον τῆς νεώς ἡ πρῷρα ἐςί. καὶ μετωπηδὸν (Thuc. 2 90). τουτέςι τὰ πρόσωπα τῶν νεῶν παρεῖχον τοῖς ἐναντίοις.

μετῴχετο (Hom. E 148) ἐπορεύετο.

μέχρι αἰδοῦς μέχρι αἰδοίων.

μέχρι τῶν ἀμφωτίδων, ἐπὶ τῶν ἄγαν πεπληρωμένων. τὸ δὲ ἀμφωτίδων, μέχρι τῶν ὤτων. cf. v. ἀμφῶες.

μή, τὸ ἀπαγορευτικόν, ἀντὶ τοῦ οὐ κεῖται παρὰ Καλλιμάχῳ ⟨fr. 144⟩· "ἠρνεόμην θανάτοιο πάλαι καλέοντος ἀκοῦσαι, μὴ μεταδήν." τουτέςιν οὐκ ἀπέθανον πρὸ τούτε, ἵνα οὐ μεταδὴν καὶ ἐπὶ σοὶ θρηνήσω ἀποθανόντι. καὶ παρὰ Ἀριςοφάνει τὸ μή ἀντὶ τοῦ οὐ τάττεται.

Μήδαβα ὄνομα τόπε παρὰ τῷ Ἰωσήπῳ.

μηδ' ἀμελῶ, ἐπὶ τῶν καταφρονεμένων.

μηδαμῇ καὶ μηδαμῆ καὶ μηδαμῶς.

μηδαμινός ὁ εὐτελής.

μηδ' αὖ πλαδίη ⟨A Lys. 989⟩ ἀντὶ τοῦ μηδὲ πλησίον γένοιτό μοι τοῦτο ὅπερ λέγεις.

μήδεα τὰ βουλεύματα, καὶ τὰ αἰδοῖα. Artemid. 1 45.

Μήδεια Κολχίς, ἡ Αἰήτου θυγάτηρ, φαρμακιςάτη γυναικῶν· ἥτις ἀσινῶς ἐποίησε τὸν Ἰάσονα ζεύξαντα τοὺς πυριπνόους ταύρους ἀρόσαι τὴν γῆν. καὶ λαβὼν τὸ χρυσόμαλλον δέρας ἠγάγετο τὴν Μήδειαν. ὅτι οἱ Ἕλληνες τὴν νάφθαν καλεσι Μηδείας ἔλαιον. cf. v. φάρμακον.

μὴ δείσαντες μὴ φοβηθέντες.

μηδὲ κάρφος κινεῖν ⟨A Lys. 474⟩, ἐπὶ τοῦ ἡσύχου.

μηδὲν μακρὰν ἀπέλθῃς παρὰ Ἀριςοφάνει ⟨Ran. 437⟩. τὸ δεν παρέλκει κατ' Ἀττικούς.

μηδὲν ποτ' εἴην ἄλλο πλὴν θεῷ φίλος, εἰς ὅσον ὑπὸ τὴν αὐτοῦ λῆξιν καὶ τὸ αὐτοῦ κράτος ἀριθμοῦμαι. λῆξις λέγεται ἡ παῦσις.

Μήδη ὄνομα κύριον. Μηδία δὲ χώρα.

μηδίας ὁ ῥήτωρ.

μηδίζω τὰ τῶν Μήδων φρονῶ. καὶ μηδίσαντες.

Μηδικὴ πόα ἡ τρίφυλλος λεγομένη. ⟨A Lys. 652⟩ "ἐκ τῶν Μηδικῶν τὸν λεγόμενον παππῷον ἔρανον." ἐπὶ τῶν Μηδικῶν ἐγένετο ψήφισμα ὥςε ἕκαςον κατὰ δύναμιν συμβάλλεσθαι εἰς τὰ κοινὰ χρήματα. ταῦτα δὲ ἔταξεν Ἀριςείδης δοῦναι τοῖς συμμάχοις, εἰ τοῖς βαρβάροις πολεμοῖεν.

Μηδικὸς ὄρνις ὁ ταών.

Μήδιος ὄνομα κύριον.

μηδισμὸς ὁ Παυσανίου· ἁλόντος γὰρ αὐτε ἐπὶ μηδισμῷ συναιτιῶνται Θεμιςοκλέα.

Μῆδοι ὄνομα ἔθνους.

μήδομαι βουλεύομαι.

Μῆδος ὁ Περσῶν βασιλεύς ⟨Aeschyl. Pers. 767?⟩. καὶ τὸ βούλευμα.

μηδοσύνη βουλή.

μὴ δῶτε τὰ ἅγια τοῖς κυσί. Matth. 7 6.

μὴ ἐλλίπῃς.

μὴ ἐμβήῃ. Hom. Π 94.

μὴ ἐπιχειρεῖτε.

μήθ' οἷς ἐχθαίρεις ὑπεράχθεο μήτ' ἐπιλάθου. χρόνος γὰρ εὐμαρὴς θεός" ⟨S El. 177⟩. τουτέςι, μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε μήτ' ἐπιλανθάνε τῆς ἔχθρας· ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται. ὁ χορός φησι πρὸς Ἠλέκτραν.

Μηθυμναῖος ὁ ἀπὸ Μηθύμνης πόλεως.

Μηθώνη ὄνομα πόλεως.

Μηιόσι.

μηκάδες ⟨Hom. Ψ 31⟩, ἐπιθετικῶς, αἱ αἶγες, ἀπὸ τοῦ ἰδιώματος τῆς φωνῆς.

μὴ καταπραΰνῃς μὴ μακροθυμήσῃς, μὴ ἠρεμήσῃς· Δαβίδ ⟨Ps. 83 1⟩ "μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς ὁ θεός."

μὴ κίνει Καμάριναν. λίμνην φασὶ τῇ Καμαρίνῃ πόλει παρακειμένην, ὁμώνυμον αὐτῇ, ἣν βουλομένοις τοῖς Καμαριναίοις μετοχετεῦσαι ἔχρησεν ὁ θεός "μὴ κίνει Καμάριναν." οἱ δὲ τοῦ θεε παρακούσαντες ἐβλάβησαν. ὅθεν ἡ παροιμία εἴρηται ἐπὶ τῶν καθ' ἑαυτῶν βλαβερῶς τι ποιεῖν μελλόντων. τινὲς δέ φασι φυτὸν δυσῶδες εἶναι τὴν καμάριναν, οὗ τοὺς κλάδες διασειομένες ἀηδέςερον ὄζειν.

μὴ κινεῖν ἀκίνητα μηδ' ἄκρῳ δακτύλῳ. cf. v. ἀκίνητα.

μὴ κινεῖν κακὸν εὖ κείμενον, ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας πράγματα ἐγειρόντων.

Μηκιςεύς ὄνομα κύριον.

Μηκιςιάδης. Hom. Ζ 28.

μηκόθεν. sch. S Phil. 189.

μῆκος φάλαγγος τὸ πρῶτον ἐκ τῶν λοχαγῶν σύνταγμα, ὃ ὑπὸ μίαν εὐθεῖαν τάσσεται, ἀπὸ κέρατος εἰς κέρας διατεῖνον. καλεῖται δὲ τοῦτο καὶ πρόσωπον καὶ μέτωπον καὶ ςόμα καὶ παράταξις καὶ πρωτολοχία καὶ πρωτοςάται. ὁ δὲ κατόπιν τούτου ςίχος παράλληλος κείμενος δεύτερον ζυγὸν καλεῖται, καὶ ὁ τρίτος τρίτον ζυγόν, καὶ ἑξῆς ὁμοίως. Aelian. Tact. 7.

Μηκύβερνα. πόλις ἐςὶν ἐν Θράκῃ, ςα-

δίους κ' ἀπέχουσα τῆς Ὀλύνθου, ἡ Μηκύβερνα. Harp.

μηκώμενος.

μήκων μέρος τι τῶν ἐντοσθίων τοῦ πολύποδος τοῦ ἰχθύος· ὃς κεῖται ἐπάνω τῆς κοιλίας, οἱονεὶ κύστις ἐν ἑαυτῇ ἔχουσα τὸν θολόν, ὥς φησιν Αἰλιανὸς ἐν τῷ περὶ ζῴων. σημαίνει δὲ καὶ εἶδος σπέρματος καὶ ὄνομα κύριον. sch. A Av. 158.

Μηκώνη ὄνομα πόλεως.

μηκωνοειδές.

a μῆλα πάντα τὰ τετράποδα. ὅθεν καὶ πᾶσα βύρσα μηλωτὴ καλεῖται.

b μῆλα παρὰ τὸ μέλω τὸ φροντίζω, μέλα καὶ μῆλα, τὰ ἐπιμελείας ἄξια· Ὅμηρος (ι 336) "καλλίτριχα μῆλα νομεύων," ἀντὶ τοῦ νομεύσας. μῆλα καὶ οἱ μασθοί· (A Lys. 155) "ὁ γοῦν Μενέλαος τῆς Ἑλένης τὰ μῆλά πω γυμνῆς παρενιδὼν ἐξέβαλ', οἰῶ, τὸ ξίφος."

μηλάνθη εἶδος ζῴου μικροῦ.

μηλέα τὸ δένδρον.

μήλειος βληχή ἡ τῶν προβάτων. καὶ μήλειος καρπὸς ὁ τῆς μηλέας.

μήλειος Ἡρακλῆς, ἐπὶ τῶν εὐτελῶν· τοῦ γὰρ βοὸς ἐκφυγόντος ποτὲ ὃν ἔμελλον τῷ Ἡρακλεῖ προσάξειν, μῆλον λαβόντες καὶ κλάδους ὑποθέντες τέσσαρας ἔθυσαν.

μήλη ἡ ἰατρική. "ὅτι μήλης ἐντεθείσης τῷ ὀφθαλμῷ οὐκ ἀντιλαμβανόμεθα τῶν αἰσθητῶν, καὶ οὐδὲ τοῦ μεταξὺ ὡς ἔτυχεν ἀέρος ἔχοντος, ἀλλὰ πεφωτισμένου. καὶ αὕτη ἡ αἰτία τοῦ μὴ τὰς αἰσθήσεις τῶν ἰδίων αἰσθητηρίων ἀντιλαμβάνεσθαι." Philopon. in 2 de anima, *I* 4 a.

Μηλιακὸν πλοῖον, ἐπὶ τῶν παλαιῶν καὶ ἄγαν ἐχρεόντων πλοίων. "Ἱππότην γὰρ εἰς - - - γυναικοκρατεῖσθαι" (cf. v. τὸ Μηλιακὸν πλοῖον).

Μηλιέας ὄνομα κύριον.

Μηλιεύς καὶ Μήλιοι.

Μηλιέων πολιτεία.

Μηλιῶν, ἐπὶ γενικῆς, ὄνομα τόπου.

Μηλόβιος εἷς τῶν λ' τῶν παρὰ Ἀθηναίοις τυραννησάντων· οὗ Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους μέμνηται. Harp.

μηλοβοτήρ ὁ τῶν προβάτων ποιμήν. καὶ μηλονόμος ὁ αὐτός.

μηλόβοτον γῆν εὔτραφῆ ἀνειμένην εἰς νομὴν προβάτων.

μηλόβοτος χώρα ὑπὸ πολεμίων ἐξερημωθεῖσα, ἣν κατανέμεται τὰ τετράποδα. κεῖται δὲ τοὔνομα καὶ παρὰ τῷ Λυκούργῳ ἐν τῷ κατ' Αὐτοκλέους "ἀλλὰ καὶ μηλόβοτον τὴν Ἀττικὴν ἀνῆκε." "βουλευομένου δὲ ὅπως τῇ πόλει χρήσηται, Ἀθηναῖοι (an Θηβαῖοι) μὲν μηλόβοτον ἀνεῖναι συνεβούλευον, Φωκεῖς δὲ ἀντεῖπον σῶσαι."

μὴ λόγους ἀντ' ἀλφίτων, ἐπὶ τῶν ἔργα ἀλλὰ μὴ λόγους ἀξιούντων λαβεῖν.

μήλοις βάλλειν, ἐπὶ τῶν εἰς ἔρωτας ἐπαγομένων.

μηλολόνθη ζωύφιον ᾧ χρῶνται εἰς παιδιὰν οἱ παῖδες· ὃ τοῖς ἄνθεσιν ἐπικαθέζεται. οἱ δὲ παῖδες λίνον τοῦ ποδὸς ἐξαρτῶντες καὶ ξυλήφιον ὃ οὐκ ἐξισχύουσιν ἀνακουφίσαι, εἰς τὸν ἀέρα ἀφιᾶσιν· Ἀριστοφάνης (Nub. 761) "ἀλλ' ἀποχάλα τὴν φροντίδ' ἐς τὸν ἀέρα, λινόδετον ὥσπερ μηλολόνθην." σημαίνει δὲ καὶ εἶδος ἄνθους.

μῆλον τὸ πρόβατον, καὶ ἡ ὀπώρα· ἐν ἐπιγράμματι (AP 6 252) "μῆλον ἐγὼ σρούθειον ἀπὸ προτέρης ἔτι ποίης ὥριον ἐν νεαρῷ χρωτὶ φυλασσόμενον, ἄσπιλον ἀρρυτίδωτον, ἰσόχνοον ἀρτιγόνοισιν, ἀκμὴν ἐν πετάλοις ἐμφυὲς ἀκρέμοσιν."

Μῆλος καὶ ἡ πόλις καὶ ἡ νῆσος.

μηλοσφαγίαις θυσίαις προβάτων.

μηλοῦν τὸ ψηλαφᾶν.

μήλῳ βληθῆναι, ἐπὶ τῶν εἰς ἔρωτά τινα ἐπαγομένων. (A Nub. 996) "μηδ' εἰς ὀρχηστρίδος εἰσάττειν," τουτέστιν εἰσελθεῖν, "ἵνα μὴ πρὸς ταῦτα κεχηνώς, μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς," τουτέστιν ἐκπέσῃς.

μήλωθρον τὸ βάμμα.

μηλῶσαι τὸ καθεῖναί τι εἰς βάθος. καὶ τὴν φάρυγγα μηλῶσαι, τὸ διαχρῖσαι τῷ δακτύλῳ· καὶ Ἀριστοφάνης (Bergk. inc. 48) "τὴν φάρυγα μηλῶν δύο δραχμὰς ἕξει μόνας." καὶ μήλη ἐργαλεῖον δι' οὗ χρίεταί τι καὶ ὑπαλείφεται.

μηλωτή ζώνη ἐκ δέρματος.

μή με παρόψει.

μή μή μ' ἄναξ. τὸ πλῆρες, μὴ μή μοι· Σοφοκλῆς (Ai. 191) "μὴ μή μ', ἄναξ, κακὰν φάτιν ἄρῃ."

μή μοί ποτ' ἔλθῃς, ὅταν ἐγὼ πράττω κακῶς (A Av. 134), παροιμία ἐπὶ τῶν μὴ συνερχομένων τοῖς φίλοις ἐν κινδύνοις. παίζει δὲ Ἀριστοφάνης· εἰς τὸ ἐναντίον γὰρ ἡ

παροιμία, "μή μοί ποτ' ἔλθῃς, ὅταν ἐγὼ πράττω καλῶς."

μήν μηνός κλίνεται.

μηναγύρτης ἀπὸ μηνὸς συνάγων. καὶ μηναγύρτης ὁ τῆς Ῥέας ἱερεύς, ὁ κατὰ μῆνα ἀγείρων καὶ συναθροίζων. cf. vv. ἀγείρει et μητραγύρτης.

Μηνᾶς. ὅτι ἐν τῷ ναῷ τοῦ ἁγίϐ Μηνᾶ ὄρυγμα εὑρέθη μέγα, ὅτε ἐκαθαίρετο, καὶ ὀςᾶ ἀνθρώπων γιγάντων εἰς πλῆθος, ἅτινα θεασάμενος Ἀναςάσιος ὁ βασιλεὺς καὶ ἐκπλαγεὶς εἰς τὸ παλάτιον κατέθετο εἰς θαῦμα ἐξαίσιον. Codin. orig. CP 35.

μήνη σελήνη.

μηνία ὀργίζου. καὶ μηνιάω μηνιῶ, δοτικῇ.

μῆνιγξ ὑμὴν τὸν ἐγκέφαλον σκέπων. "τῷ δὲ καλουμένου μηνιγγοφύλακος ἐπιτεθέντος τῇ μήνιγγι ἀναίσθητον τὸ ζῶον γίνεται καὶ ἀκίνητον, ὅτι αἱ αἰσθήσεις ἀπὸ τοῦ ἐγκεφάλου ἀρχόμεναι διὰ τῶν νεύρων ἄχρι τῶν αἰσθητηρίων προΐασι. πρόεισιν οὖν καὶ ἡ ἀκυςικὴ δύναμις μέχρι τῆς ῥίζης τῶν ὤτων, ἃς καλοῦσι μήνιγγας. ἔςι δὲ νεῦρον ἀπὸ τοῦ ἐγκεφάλου προϊὸν πεπορωποιημένον· ἐν ᾧ πόρῳ ἐςὶ τὸ ἀκυςικὸν πνεῦμα. ἔςιν ὂν ἀπειλημμένος τις ἀὴρ ἐν τῷ κοιλώματι τῆς ἀκοῆς, συμφυὴς ὢν τῇ μήνιγγι καὶ τῷ ὑμένι. ὗτος οὖν ὁ ἀὴρ δεχόμενος ἐκ τοῦ ἔξωθεν ἀέρος τοὺς ψόφους, ἔχων καὶ αὐτὸς τὴν διηχῆ δύναμιν, δι' ἑαυτοῦ εἰς τὴν μήνιγγα διαπορθμεύει τοὺς ψόφους. πρόεισι δ' ἀπὸ πλατυτέρου ··· πόρου τῆς μήνιγγος. οὐ δεῖ δὲ νομίζειν τοῦτον τὸν ἀέρα, εἰ καὶ συμφυὴς ἐςιν, ἤδη καὶ ἄφθαρτον εἶναι ὡς ἀεὶ ἕνα καὶ τὸν αὐτὸν τῷ ἀριθμῷ ὄντα· ἀλλ' ἔςι κατὰ μέρη φθαρτὸς καὶ γεννητὸς ὥσπερ καὶ τὸ ἄλλο τοῦ ἀνθρώπου σῶμα. ἀμέσως δὲ δέχεται τὰς τοῦ ἔξωθεν ἀέρος προσβολάς. διὸ καὶ ὑπὸ τῶν μεγάλων ψόφων πάσχει ἡ ἀκοή, τοῦ ἔξωθεν ἀέρος σφοδρῶς ὠθουμένου καὶ τῇ βίᾳ ὠθοῦντος τὸν ἐν τοῖς ὠσὶ συμφυᾶ τοῦτον ἀέρα, καὶ πολλάκις διασκεδαννύντος αὐτόν. καὶ διὰ τὰς περιςατικὰς ἐνεργείας ἤτοι τὰς ἐν τοῖς ὕδασι καταδύσεις ἐγκατῳκοδόμηται οὗτος ὁ ἀὴρ εἰς φυλακὴν τοῦ αἰσθητηρίϐ. διὰ τῦτο καὶ ἑλικοειδεῖς ἐποίησεν ἡ φύσις τοὺς πόρους τῶν ὤτων, ἵνα μὴ ῥαδίως εἰσέρχηταί τι καὶ πλήξῃ τὴν μήνιγγα. Philopon. in 2 de anima, L. 5 a.

μηνιθμόν (Hom. Π 62) τὴν ὀργήν.

μήνιμα ἡ μανία.

μηνιόντων ὀργιζομένων.

μῆνις ὀργὴ ἔμμονος.

μηνίσκος παράταξις πολεμική.

μηνίσκους ὑμένας, πέταλα, περιτραχήλια κόσμια. ἢ ἃ ἐπιτιθέασι τοῖς ἀγάλμασι διὰ τὸ μὴ ἐφιζάνοντα τὰ ὄρνεα ἀποπατεῖν· (A Av. 114) "χαλκεύεσθε μηνίσκους φορεῖν ὥσπερ ἀνδριάντες," ἐὰν μὴ ἡμᾶς κρίνητε νικᾶν. φησὶν οὖν ὅτι μέλλομεν ὑμῶν καταποπατεῖν.

μηνίω, βαρύτονον, ὀργίζομαι, ὥσπερ κυλίω κονίω.

μηνοειδής σεληνοειδής, ςρογγύλος.

μὴ νόμισον ἀντὶ τῦ μὴ νομίσῃς. ὅτως Θουγενίδης.

μήνυμα.

μήνυν, παροξυτόνως, ἀντὶ τοῦ μὴ δή.

μηνῦσαι.

Μήονος ἐθνικόν (Hom. E 43).

μὴ οὐχί. Σοφοκλῆς (Ai. 96) "κόμπος πάρεςι, κοὐκ ἀπαρνοῦμαι τὸ μή," τὸ μὴ οὐχὶ βάψαι τὸ ξίφος ἐν τῷ ςρατῷ.

μὴ παιδὶ μάχαιραν, ἐπὶ τῶν εἰκῇ ἐγχειριζόντων. καὶ Εὔπολις Δήμοις "μὴ παιδὶ τὰ κοινά."

μὴ πάντα κατὰ βοὺς εὔξῃ. παραινεῖ μὴ πάντα ἐπ' εὐχαῖς ποιεῖσθαι καὶ ταῖς παρὰ θεῶν ἐλπίσιν, ἀλλὰ πράττειν καὶ δι' ἑαυτῶν.

μὴ πολλάκις πρὸς τὸν αὐτὸν λίθον παίειν ἔχοντα καιρὸν ὁμολογούμενον. cf. v. παίειν.

μήποτε δυλεύσασα γυνὴ δέσποινα γένηται.

μήποτ' εὖ ἔρδειν γέροντα μηδὲ παῖδα μηδὲ γυναῖκα, μηδὲ γείτονος κύνα, μὴ κυβερνήτην φίλυπνον, μὴ λάλον κωπηλάτην." παραινεῖ εἰς ἄχρηςα μὴ ἀναλίσκειν. cf. v. ἄχρηςα.

μὴ προδοὺς ἡμᾶς γένῃ· Σοφοκλῆς (Ai. 588) "οἴμ' ὡς ἀθυμῶ· καὶ σὲ πρὸς τῦ σοῦ τέκνου καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ."

μὴ πρὸς ἐμὲ τὰ ποικίλα ἀντὶ τῦ τὰς τέχνας.

μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης, ἐπὶ τῶν τὴν ἰσχὺν ἀνίσων.

μήπω γε, μήπω (A Nub. 257). ἐπαναδίπλωσις καλεῖται τὸ τοιοῦτο σχῆμα τῦ λό-

γου, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι. ἐμφαντικὸν δὲ καὶ λίαν ἐνεργητικὸν ἀπεργάζεται τὸν λόγον· δεδιττόμενος γὰρ δεῖται ὑπερθέσεως.

μήρινθος σπάρτος, ἤτοι σχοινίον, δεσμός, βρόχος. "αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν" ⟨A Th. 934⟩ ἐπὶ τῶν ἐπιχειρούντων καὶ ἀποτυγχανόντων. "οὐ μὴν οὐδὲ ἡ μήρινθος ἔσπασέ τι ἀγαθὸν αὐτοῖς· οὐ γάρ τοι μετὰ μακρὸν νέφη ἀκρίδων ἐπιρρεύσαντα τὰς καρπὰς κατέφαγεν αὐτοῖς." cf. v. ὁμῦ b extr.

Μηριόνης ὄνομα κύριον.

μηρός τὸ μέλος.

μήρυμα σπείραμα, κάταγμα, νῆμα.

μηρυομένη ἕλκουσα, ἐκτεινομένη· μηρύω γὰρ τὰ ἱςία συνάγω.

μήσατο ἐμηχανήσατο.

μή σ' ὁ θυμὸς ἁρπάσας ἐκτὸς οἴσει τῶν ἐλαιῶν" ⟨A Ran. 1026⟩. ἐμφαίνει ὁ λόγος ὡρισμένον τι λέγειν, καὶ μάλιςα ὡς ἐπ' ἄκρου ἱπποδρόμυ ἐλαῖαι ἦσαν, καθ' ἃς ἐξεφέροντο οἱ ὑποπεπτωκότες κατὰ τὸν δρόμον. θέλει δὲ εἰπεῖν, ἐκτὸς τοῦ προκειμένου μὴ λέγε.

Μήςωρ Μήςορος ὄνομα κύριον. μήςωρ δὲ μήςωρος βυλευτικός, ἔμπειρος, ἐπιςήμων.

μὴ σύ γε μελαμπύγου τύχης μή τινος ἀνδρείου καὶ ἰσχυροῦ τύχης, ἐπὶ τῶν παράνομα δρώντων· ὡς μή τινος ἰσχυροῦ τυχὼν δίκην δώσει. cf. v. μελαμπύγυ τύχοις.

μὴ τέγγεσθε ⟨A Lys. 550⟩ μὴ μελήσετε.

μὴ τεῖνε μὴ βράδυνε, μὴ διάτριβε, μὴ χρόνιζε.

μήτε μέλι μήτε μελίσσας, ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι φαῦλον μετ' ἀγαθοῦ.

μήτε νεῖν μήτε γράμματα ἐπίςασθαι ⟨Plat. Legg. 3 p. 689⟩, ἐπὶ τῶν παντάπασιν ἀμαθῶν· παρὰ γὰρ Ἀθηναίοις εὐθὺς ἐκ παιδὸς κολυμβᾶν καὶ γράμματα ἐδιδάσκοντο.

μήτε πλαςὰν μήτε μιμηλάν ⟨Plutarch. Apophth. Lac. p. 210 D⟩, ἀντὶ τῦ μήτε πλαςὴν εἰκόνα μήτε γραπτήν. cf. v. μιμηλά.

μὴ τὴν τέφραν φεύγων εἰς τὴν ἀνθρακιὰν πέσῃς."

μήτηρ μητέρος, καὶ ἐν συγκοπῇ μητρός. καὶ ταῖς μητράσι τὸ πληθυντικόν.

μή τι μηδαμῶς· "οὔπω δὲ ἐπείθετο τῷ προσάγματι ὁ Ἰσίδωρος, ἀλλὰ τὸ τῦ Ἰβύκυ ἔπος αὐτὸν ἐπῄει, μή τι παρὰ θεοῖς ἀμπλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψῃ." cf. vv. ἀμπλάκημα et Ἰβύκειον.

μήτι τῇ βυλῇ. ἡ εὐθεῖα ἡ μῆτις, βυλή, γνώμη, σύνεσις.

μήτι γε πόσῳ γε μᾶλλον.

μητίετα καὶ μητιέτης ὁ βουλευτικός. ἐ ἡ κλητικὴ μητίετα, καὶ κατὰ μεταπλασμὸν ἡ εὐθεῖα. ⟨Hom. Α 175⟩ "μητίετα Ζεύς." καὶ ἐν συνθέσει πολύμητις. μῆτιν δὲ ἐλαφροί οἱ ἄφρονες, οἱ μὴ ςερρῶς μηδὲ βεβαίως φρονοῦντες.

μητιόωσι. Hom. Η 45.

μητίσομαι ⟨Hom. Γ 416⟩ βουλεύσομαι, ἐρήσομαι.

μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν" ⟨A Ran. 105⟩ παρὰ τὸ ἐν Ἀνδρομάχῃ Εὐριπίδυ. ἢ ὅτως· "μὴ τὸν ἐμὸν οἴκει νῦν· ἐγὼ γὰρ ἀρκέσω."

μὴ τοῦ λέγοντος ἴσθι ⟨A Eq. 867⟩. μὴ πείθου τοῖς διαβάλλουσι.

μήτρα ἡ τῆς γυναικός.

μητραγύρτης. ἐλθών τις εἰς τὴν Ἀττικὴν ἐμύει τὰς γυναῖκας τῇ μητρὶ τῶν θεῶν, ὡς ἐκεῖνοι φασίν. οἱ δὲ Ἀθηναῖοι ἀπέκτειναν αὐτόν, ἐμβαλόντες εἰς βάραθρον ἐπὶ κεφαλήν. λοιμοῦ δὲ γενομένου ἔλαβον χρησμὸν ἱλάσασθαι τὸν πεφονευμένον, καὶ διὰ τοῦτο ᾠκοδόμησαν βουλευτήριον ἐν ᾧ ἀνεῖλον τὸν μητραγύρτην, καὶ περιφράττοντες αὐτὸ καθιέρωσαν τῇ μητρὶ τῶν θεῶν, ἀναςήσαντες καὶ ἀνδριάντα τοῦ μητραγύρτου. ἐχρῶντο δὲ τῷ μητρῴῳ ἀρχείῳ καὶ νομοφυλακείῳ, καταχώσαντες καὶ τὸ βάραθρον. cf. v. βάραθρον.

μητραλοίας ὁ τὴν μητέρα τύπτων. καὶ μητραλῴας ὁ αὐτός.

Μητροδάτης ὄνομα κύριον.

μητροπάτωρ ⟨Hom. Λ 224⟩ ὁ κατὰ μητέρα πάππος.

μητροπόλεις, ὅσαι πόλεις ἀποικίας ἔςειλαν.

μητρορραίςης ὁ φθείρων τὴν μητέρα.

Μητροφάνης Εὐκαρπίας τῆς Φρυγίας, σοφιςής, ἔγραψε περὶ τῆς Φρυγίας αὐτῆς βιβλία β', περὶ ἰδεῶν λόγου, περὶ ςάσεων, εἰς τὴν Ἑρμογένους τέχνην ὑπόμνημα, εἰς τὸν Ἀριςείδην ὑπόμνημα.

Μητροφάνης Κορνηλιανοῦ ῥήτορος, ὁ Λεβαδεύς (πόλις δὲ Βοιωτίας ἡ Λεβάδεια), σοφιςής. περὶ τῶν χαρακτήρων Πλάτωνος

Ξενοφῶντος Νικοστράτου Φιλοστράτου, μελέτας, λόγους πανηγυρικούς.

c Μητροφάνης ἔκγονος Λαχάρου. ὢν δὲ ἐν παισὶν ἔτι νήπιος ἀνεφθέγξατο βοῶν· "ἐγώ εἰμι" ἔφη "Ἀριστοφάνης ὁ φαλακρός," οὔπω τι τῶν τοιούτων ἀκηκοώς. ἐπεὶ δὲ οἱ ἀκούσαντες ἀνέκρινον ὅ τι εἴποι, μηδὲν εἰδέναι τῶν εἰρημένων διισχυρίζετο. κατὰ τούτου τοῦ Μητροφάνους ἔγραψε λόγον Σουπηριανὸς ὁ σοφιστής. Damascius Phot. p. 342.

μητρυιά.

μητρωακαὶ ἡμέραι τινὲς ἱεραί· "τὰς δὲ μητρωακὰς παρὰ Ῥωμαίοις ἢ καὶ πρότερον παρὰ Φρυξὶ σπουδασθείσας καστείας ἑκάστου μηνὸς ἥγνευεν."

μητρῷον Λυκοῦργος ἐν τῷ κατὰ Ἀριστογείτονος. τοὺς νόμους ἔθεντο ἀναγράψαι ἐν τῷ μητρῴῳ. Harp.

μήτρως ὁ θεῖος. καὶ κλίνεται μήτρω ἀττικῶς.

μὴ ὑπερόψει.

μηχανὴ βουλή.

μηχάνημα στρατήγημα· ⟨A Eq. 857⟩ "ἀλλ' ἔστι τοῦτ' ὦ Δῆμε μηχάνημα."

μηχανορράφος ἐπινοητὴς κακῶν, κατασκευαστής, τὰ φαῦλα μηχανώμενος. "ὑφεὶς μάγον τοιόνδε μηχανορράφον" Σοφοκλῆς φησί ⟨OR 387⟩. καὶ αὖθις ⟨Ai. 1036⟩ "ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς."

μήχει τῷ μηχανήματι.

μῆχος μηχάνημα, ἐπινόημα. ⟨AP 6 291⟩ "αὐτῆμαρ τοῖον μῆχος ἐπεφράσατο· τρητὸν γὰρ θεμένη χερὶ κόσκινον, εὖ διὰ πυκνῶν σχοίνων ἠελίους πλείονας ἠὐγάσατο."

μιαιγαμίαι. οἱ τοῦ Σὴθ καὶ Ἐνὼς ··· κάκιστοι. cf. v. Σὴθ extr.

μιαίνεται μολύνεται.

μιαιφονία ὁ φόνος.

μιαιφόνος ὁ φονεύς.

μία λόχμη ⟨A Vesp. 922⟩. παροιμία "οὐ τρέφει μία λόχμη δύο ἐριθάκους," ἐπὶ τῶν ἐκ μικροῦ τινὸς κερδαίνειν σπουδαζόντων. ἐρίθακος δέ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον.

μία μάστιξ πάντας ἐλαύνει, ἐπὶ τοῦ ῥᾳδίου.

μιαρὰ κεφαλή, ὥσπερ φίλη κεφαλή. ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος δηλοῖ τὸν ἄνδρα, παραπλησίως Ὁμήρῳ ⟨Θ 281⟩ "Τεῦκρε, φίλη κεφαλή," καὶ ⟨α 343⟩ "τοίην γὰρ κεφαλήν." καὶ παρὰ Δημοσθένει ⟨21 117⟩ "καὶ ταῦτ' ὦ μιαρὰ κεφαλή" ⟨sch. A Ach. 284⟩. καὶ αὖθις ⟨A Nub. 1331⟩ "ὦ μιαρὲ καὶ πατραλοῖα καὶ τοιχωρύχε." ὃ δέ φησιν "αὖθίς με ταὐτὰ ταῦτα καὶ πλείω λέγε. ἆρ' οἶσθ' ὅτι χαίρω πόλλ' ἀκούων καὶ κακά;" "παρὰ δὲ μιαροῦ δῶρα οὔτε ἄνδρα ἀγαθὸν οὔτε θεόν ἐστί ποτε τό γε ὀρθὸν δέχεσθαι. μάτην οὖν περὶ θεοὺς ὁ πολύς ἐστι πόνος τοῖς ἀνοσίοις, τοῖς δὲ ὁσίοις εὐκαιρότατος" Πλάτων φησί ⟨Legg. 4 p. 717⟩.

μιαρία ἡ ἀκαθαρσία· "τὴν μιαρίαν τοῦ καπνοῦ καὶ τὴν ὄχλησιν τῆς κόπρου."

μιαροὶ ἀηδεῖς, βδελυκτοί· Αἰλιανός "ὁ δὲ δράκων προελθὼν ἄρα τοῦ ἀδύτου τό τε αἷμα αὐτῶν ἐξελιχμήσατο καὶ ἐκάθηρε τὰς πληγάς, ἵνα μήποτε ἄρα ἐκ τοῦ λύθρου μιαροὶ βλέπωνται." καὶ Ἀριστοφάνης ⟨Pac. 181⟩ "ὦ μιαρὲ καὶ τολμηρὲ κἀναίσχυντε σύ, καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε, πῶς δεῦρ' ἀνῆλθες, ὦ μιαρῶν μιαρώτατε; τί σοί ποτ' ἔστ' ὄνομ'; οὐκ ἐρεῖς; μιαρώτατος. ποδαπὸς τὸ γένος εἶ; φράζε μοι. μιαρώτατος. οὔ τοι, μὰ τὴν γῆν, ἔσθ' ὅπως οὐκ ἀποθανῇ, εἰ μὴ κατερεῖς μοι τοὔνομ', ὅ τι πότ' ἐστί σοι. Τρυγαῖος Ἀθμονεύς, ἀμπελουργὸς δεξιός, οὐ συκοφάντης, οὐδ' ἐραστὴς πραγμάτων. ἥκεις δὲ κατὰ τί; τὰ κρέα ταυτί σοι φέρων. ὦ δειλακρονίων. ὦ γλίσχρων, ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος."

μίασμα βαφή.

μιάστορα λυμεῶνα, φονέα.

μία χελιδών. παροιμιῶδες τοῦτο, ὅτι μία χελιδὼν ἔαρ οὐ ποιεῖ. βούλεται δὲ εἰπεῖν ὅτι μία ἡμέρα οὐ ποιεῖ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν, καὶ δυσημερία μία τὸν σοφὸν εἰς ἀμαθίαν.

μιγάδες τὸ ἐκ πολλῶν ἄθροισμα.

μίγδα καὶ μίγδην μεμιγμένως.

μῖγμα.

μίγνυται δοτικῇ.

Μιδάειον χωρίον.

Μίδας ὄνομα κύριον, ὁ φιλόχρυσος, ὁ a
κτίσας πόλιν τὴν νῦν Ἄγκυραν. καὶ Μίδας κύβου ὄνομα εὐκολωτάτου, καὶ παροιμία "Μίδας ὁ ἐν κύβοις εὐβολώτατος·" ὁ γὰρ Μίδας βόλου ἐστὶν ὄνομα. καὶ ἑτέρα παροιμία "Μίδας ὦτα ὄνου ἔχων."

Μίδας ὁ Φρυγῶν βασιλεύς, ἤτοι ὅτι πολ- b

λοὺς ὠτακουςὰς εἶχεν, ἢ ὅτι κώμην Φρυγιακὴν κατέσχεν ἥτις Ὦτα ὄνου ἐλέγετο. λέγεται δὲ τούτῳ τὸν Πακτωλὸν ποταμὸν χρυσὸν ῥεῦσαι, καὶ αὐτὸν εὔξασθαι ὥςε πάντα, ὧν ἅψαιτο, χρυσὸν γενέσθαι. ἢ ὅτι ὁ ὄνος μᾶλλον τῶν ἄλλων ζῴων ἀκούει, πλὴν μυός, καὶ ὁ Μίδας πολλοὺς ὠτακουςὰς εἶχεν. οἱ δέ φασιν ὅτι ψέξας ποτὲ τὸν Διόνυσον ὁ Μίδας μετεβλήθη εἰς ὄνον· ἢ ὅτι ὄνους τοῦ Διονύσυ παριόντας ἠδίκησεν, ὁ δὲ ὀργισθεὶς ὦτα ὄνου ἔχειν αὐτῷ περιῆψεν. ἢ ὅτι ὦτα μεγάλα εἶχε. λέγεται οὖν ἡ παροιμία ἐπὶ τῶν μηδὲν λανθανόντων ⟨sch. A Plut. 287⟩. κλίνεται δὲ Μίδας Μίδου.

Μίθαικος γραμματικὸς ἔγραψεν ὀψαρτυτικά, κυνηγετικὰ καὶ ἄλλα.

μίθαικος ὁ ταχύς.

Μιθριδάτης ὄνομα κύριον.

Μίθρον. Μίθραν νομίζουσιν εἶναι οἱ Πέρσαι τὸν ἥλιον, καὶ τούτῳ θύουσι πολλὰς θυσίας. οὐκ ἂν οὖν εἰς αὐτὸν δυνήσαιτό τις τελεσθῆναι, εἰ μὴ διὰ τινῶν βαθμῶν παρελθὼν τῶν κολάσεων δείξει ἑαυτὸν ὅσιον καὶ ἀπαθῆ. Nonn. in Greg. Naz. p. 143.

Μικίψας βασιλεὺς Νομάδων.

μίκκος ὁ μικρός.

μικρολόγος σκνιπός, φειδωλός.

μικρὸν κακὸν μέγα ἀγαθόν. ἐνίοτε γὰρ τὸ μικρὸν κακὸν μεγάλων αἴτιον γίνεται ἀγαθῶν, ὥσπερ καὶ τὸ ἀνάπαλιν.

μικρὸν τοῦ ὀβολοῦ τίμιον. λέγεται δὲ ἐπὶ τῶν πονηρῶν. Εὔπολις Μαρικᾷ "τῶν γὰρ πονηρῶν μικρόν ἐςι τοῦ ὀβολοῦ."

μικροπρεπείας ῥήματα. "Ἀθηναίων ἅπας τις εἰσιὼν κέκραγε πρὸς τοὺς οἰκέτας, ποῦ ἐςὶν ἡ χύτρα; τίς τὴν κεφαλὴν ἀπεδήδοκε τῆς μαινίδος; τὸ τρύβλιον τὸ περυσινὸν τέθνηκεν," ἀντὶ τοῦ κέκλαςαι. "ποῦ τὸ σκόροδον τὸ χθεσινόν; τίς τὰς ἐλάας παρέτραγε;" ⟨A Ran. 990⟩ μέχρι γὰρ καὶ τῶν εὐτελῶν ἐρωτῶσι.

μικρός γε μῆκος οὗτος, ἀλλὰ πᾶν κακόν." τὸν Νίκαρχόν φησιν Ἀριςοφάνης ⟨Ach. 908⟩. "καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν" ἀντὶ τοῦ κατηγορήσων· συκοφάντης γὰρ ἦν.

μικρὸς ἡλίκος Μόλων ⟨A Ran. 55⟩, ἐπὶ τῶν πάνυ βραχέων. δύο δὲ ἐγένοντο Μόλωνες, εἷς ὑποκριτὴς καὶ λωποδύτης.

μικρὸς ὁ σὸς ἀεὶ πῶλος, ἐπὶ τῶν διὰ βραχύτητα ἡλικίας νεάζειν λεγόντων.

μικροῦ σχεδόν, φανερῶς· Εὐνάπιος ⟨p. 101⟩ "μικροῦ τὰ πράγματα μετακινήσαντος Ὁρμίσδυ τοῦ Πέρσυ." cf. v. Μαρσύας e.

μικροῦ δεῖν παρὰ μικρόν. καὶ χωρὶς τοῦ δεῖν· "μικροῦ τὰ πράγματα μετακινήσαντος" ἀντὶ τοῦ παρ' ὀλίγον, παρὰ μικρόν.

μικροῦ δέω παρὰ μικρὸν λείπω.

Μίκυλλος ὄνομα κύριον.

μῖλαξ εἶδος βοτάνης· Ἀριςοφάνης ⟨Nub. 1007⟩ "μίλακος ὄζων καὶ ἀπραγμοσύνης" ἀντὶ τοῦ πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας.

Μιλήσιον. καὶ Μιλήσιος ὁ ἀπὸ τῆς πόλεως.

Μιλητοπολίτης ὁ ἀπὸ τῆς Μιλήτου πόλεως.

μιλιαρήσιον.

μίλινον χρῶμα ⟨an μήλινον⟩.

μίλιον μέτρον γῆς. ὅτι τὰ ί μίλια ἔχυσι ςάδια π'. ἄλλως. ὅτι τὸ ςάδιον ἔχει πόδας χ', τὸ δὲ μίλιον πόδας ͵δσ'. cf. v. ςάδιον.

μίλιον. ὅτι ἐν τῇ καμάρᾳ τοῦ μιλίου ςῆλαι ἵςανται Κωνςαντίνυ καὶ Ἑλένης· ἔνθα καὶ ςαυρὸς καὶ ἡ τύχη τῆς πόλεως. καὶ ἐν τῷ αὐτῷ μιλίῳ Σοφίας τῆς γυναικὸς Ἰουςινιανοῦ, καὶ Ἀραβίας τῆς θυγατρὸς αὐτῆς, καὶ Ἑλένης τῆς ἀνεψιᾶς αὐτῆς· Ἀρκαδίυ τε καὶ Θεοδοσίυ τοῦ υἱοῦ αὐτοῦ, πλησίον Θεοδοσίου τῆς ςήλης, ἔφιπποι ἀμφότεροι. Codin. orig. CP p. 20.

ὅτι ἐν τῷ μιλίῳ ἐν τέτρασιν ἵπποις πυρίνοις ἅρμα ἱπτάμενον παρὰ δύο ςηλῶν ἐκ παλαιῶν τῶν χρόνων ὑπῆρχεν, ἔνθα εὐφημήθη Κωνςαντῖνος μετὰ τὸ νικῆσαι Ἀζώτιον, ἐπειδὴ καὶ Βύζας ἐκεῖσε εὐφημήθη. κατενεχθὲν δὲ τὸ ἅρμα ἐν τῷ ἱπποδρόμῳ, δορυφορούμενον ςηλίδιον καινὸν παρὰ Κωνςαντίνου κατασκευασθέν, ὑπὸ ἡλίου φερόμενον, τύχη πόλεως, εἰς τὸ ςάμα εἰσήει καὶ ςεφανωθὲν ἐξήει, ἐτίθετο δὲ ἐν τῷ σενάτῳ ἕως τῶν ἐπιόντων γενεθλίων τῆς πόλεως. διότι δὲ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ςαυρὸν ἐχάραξε Κωνςαντῖνος, Ἰουλιανὸς αὐτὸ βοθύνῳ κατέχωσε. Codin. orig. CP p. 22.

Μιλτιάδῃ καὶ Ἀριςείδῃ ἐῴκει. ἀμφότεροι οὗτοι ἄριςοι ἐγένοντο. cf. v. Ἀριςείδης.

Μιλτιάδης ὁ Κίμωνος ἥκων ἐκ τῆς Χερρονήσου καὶ ἐκπεφευγὼς διπλόον θάνατον ἐςρατήγει Ἀθηναίων. ἅμα μὲν γὰρ οἱ

Φοίνικες αὐτὸν οἱ ἐπιδιώξαντες μέχρι Ἴμβρυ περὶ πολλοῦ ἐποιεῦντο λαβεῖν καὶ ἀναγαγεῖν παρὰ βασιλέα, ἅμα δὲ ἐκφυγόντα τε τέτυς καὶ ἀφικόμενον εἰς τὴν ἑωυτοῦ, δοκέοντά τε εἶναι ἐν σωτηρίῃ, ἤδη τὸ ἐνθεῦτέν μιν οἱ ἐχθροὶ ὑποδεξάμενοι, ὑπὸ δικαςήριον ἀγαγόντες ἐδίωξαν τυραννίδος τῆς ἐν Χερρονήσῳ. ἀποφυγὼν δὲ καὶ τούτους ςρατηγὸς οὕτως Ἀθηναίων ἀπεδείχθη, αἱρεθεὶς ὑπὸ τῦ δήμου. Herodot. 6 104.

ὁ αὐτὸς Μιλτιάδης ⟨immo Alcibiades ap. Thuc. 8 81⟩ ἐπικομπῶν ἔφη ὡς Τισσαφέρνης εἶπεν, ἦ μὴν ἕως ἄν τι τῶν ἑαυτοῦ λείπηται, ἢν Ἀθηναίοις πιςεύῃ, μὴ ἀποςερήσειν αὐτὺς τροφῆς, καὶ τὰς τῶν Φοινίκων ναῦς κομιεῖν Ἀθηναίοις καὶ οὐ Πελοποννησίοις· πιςεῦσαι δ᾽ ἂν μόνως Ἀθηναίοις, εἰ αὐτὸς κατελθὼν αὐτῷ ἀναδέξαιτο. οἱ δὲ ἀκούσαντες ταῦτα καὶ ἄλλα πολλὰ ςρατηγὸν αὐτὸν εἵλοντο, καὶ τὰ πράγματα πάντα ἀνετίθεσαν.

μίλτιον βάμμα. cf. v. πρίων.

μιλτοπάρῃοι νῆες ⟨Hom. B 637⟩ βεβαμμένας ἔχουσαι τὰς πρῴρας.

μίλτος χρώματος εἶδος ἐρυθροῦ. καὶ Ὅμηρος ⟨B 637⟩ "νῆες μιλτοπάρῃοι," καὶ ἐν ἐπιγράμμασι ⟨AP 6 103⟩ "μιλτοφυῆ τε σχοῖνον ὑπ᾽ ἀκρονύχῳ ψαλλομένην κανόνι." καὶ αὖθις "σχοινίον τε ἐφειλίξαν μίλτῳ, καὶ ἔπαιον τὸ ἄγαλμα, ἀλεξανδριςὴν καλῦντες" ⟨cf. Plutarch. Alex. 24⟩. "καὶ δῆτα πολὺν ἡ μίλτος γέλων παρέσχεν, ἣν προσέρραινον κύκλῳ" ⟨A Eccl. 399⟩· κατὰ γὰρ τὴν ἀγορὰν ἐσόβουν εἰς ἐκκλησίαν τοὺς Ἀθηναίους μεμιλτωμένῳ σχοινίῳ, ὃν ἔβαλλον κύκλῳ.

Μίλων Κροτωνιάτης ἐνίκησε παλαίων ἓξ ὀλύμπια ἐφεξῆς, ἐν δὲ τῇ ζ´ οὐκ ἴσχυσε καταπαλαῖσαι τὸν Μασίθεον, συμπολίτην αὐτοῦ, ἡλικίᾳ καὶ νέον ὄντα καὶ οὐκ ἐθέλοντα ἐγγὺς ἵςασθαι. ἱςάμενος δὲ ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε καὶ ὠθουμένους ἀπὸ τοῦ δίσκου. περιεδεῖτο δὲ τῷ μετώπῳ χορδὴν καθάπερ ταινίαν ἢ ςέφανον, κατέχων δὲ ἐντὸς χειλέων τὸ ἆσθμα, καὶ ἐμπιπλὰς αἵματος τὰς ἐν τῇ κεφαλῇ φλέβας, διερρήγνυεν ἀπὸ ἰσχύος τῶν φλεβῶν τὴν χορδὴν καθάπερ πάπυρον. καὶ τῆς δεξιᾶς χειρὸς τὸ μὲν εἰς τὸν ἀγκῶνα ἐκ τοῦ ὤμου παρ᾽ αὐτὴν καθίει τὴν πλευράν, τὸ δὲ ἀπὸ τοῦ ἀγκῶνος ἔτεινεν εἰς εὐθύ, τῶν δακτύλων τὸν μὲν ἀντίχειρα ἀντιςρέφων ἐς τὸ ἄνω, τῶν λοιπῶν δὲ ἀλλήλοις ἐπικειμένων κατὰ ςοῖχον· τὸν ἐλάχιςον οὖν τῶν δακτύλων κάτω γινόμενον οὐκ ἀπεκίνησεν ἄν τις βιαζόμενος. ἀπέθανε δὲ οὗτος ἐπιτυχὼν ξύλῳ ξηρῷ σφῆνας ἔχοντι τοὺς διιςῶντας αὐτό· ὃ δὲ ὑπὸ φρονήματος καθίησι τὰς χεῖρας ὡς διαρρήξων· ὀλισθαίνουσί τε δὴ οἱ σφῆνες, κἀκεῖνος ἐχόμενος ὑπὸ τοῦ ξύλου λύκων ἐγένετο εὕρημα. μάλιςα γὰρ τὸ θηρίον τοῦτο πολὺ καὶ ἄφθονον ἐν τῇ Κροτωνίᾳ χώρᾳ νέμεται. Pausan. 6 14.

μιμαλλόνας τὰς βάκχας τοῦ Διονύσυ, ἀπὸ τῆς μιμήσεως, πρότερον κλώδωνας καλουμένας.

μίμαρις κυρίως ἡ λαγῴα χορδὴ ἡ ἐκ τῶν ἐντέρων, χρῶνται δὲ καὶ ἐπὶ χοίρου. ἢ σκευασία τις τῆς κοιλίας ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην. sch. A Ach. 1111.

Μίμας ὄρος Θρᾴκης. καὶ κλίνεται Μίμαντος.

μιμηλά μιμητική. καὶ παροιμία "μήτε πλαςὰν μήτε μιμηλάν," τουτέςι μήτε πλαςὴν εἰκόνα μήτε γραπτήν. καὶ μιμηλότατα.

μίμησις.

Μίμνερμος Λιγυρτιάδου Κολοφώνιος ἢ Σμυρναῖος ἢ Ἀςυπαλαιεύς, ἐλεγειοποιός. γέγονε δὲ ἐπὶ τῆς λζ´ ὀλυμπιάδος, ὡς προτερεύειν τῶν ζ´ σοφῶν· τινὲς δὲ αὐτοῖς καὶ συγχρονεῖν λέγουσιν. ἐκαλεῖτο δὲ καὶ Λιγυαςάδης διὰ τὸ ἐμμελὲς καὶ λιγύ. ἔγραψε βιβλία ταῦτα πολλά.

μιμνήσκω γενικῇ.

μῖμος.

μιμοῦμαι αἰτιατικῇ.

μίν ἀντωνυμία, τρίτον πρόσωπον, καὶ σημαίνει τὰ τρία γένη παρ᾽ Ὁμήρῳ, ἀρσενικὸν θηλυκὸν καὶ οὐδέτερον. ἡ δὲ παραγωγὴ οὕτως· ἐγώ, σύ, τὸ τρίτον ἵ· τὸ δὲ ν ἐφελκυςικὸν ἔςιν ἐν τοῖς τρίτοις προσώποις, καὶ πλεονασμῷ τοῦ μ μίν.

μίνθα τὸ παρ᾽ ἡμῖν ἡδύοσμον. οἱ δὲ τὸν θύμον.

μίνθη καλαμίνθη, ἡδύοσμος, βοτάνη εὐώδης.

μινθῶσαι διοσφρᾶναι, δυσοσμίας ἀναπληρῶσαι, ῥυπῶσαι. sch. A Ran. 1107.

μινθώσομεν κοπρώσομεν· μίνθος γὰρ ἄνθος ἐν τῇ κόπρῳ γινόμενον, ᾧ χαίρου-

οἱ τράγοι. ἢ ἡ ἀνθρωπίνη κόπρος μίνθος, ᾗ χρῶνται παρατρίβοντες οἱ ποιμένες ἐν τῷ δυσεργήτῳ τῶν τράγων πταρμῷ. ἢ ἡ κόπρος τῶν αἰγῶν λέγεται· ἐπειδὰν δὲ οἱ τράγοι ψυγμῷ περιπέσωσιν, εἰώθασιν οἱ αἰπόλοι λαμβάνειν τὴν κόπρον αὐτῶν καὶ χρίειν αὐτῶν τοὺς μυκτῆρας, καὶ οὕτω τῇ δυσωδίᾳ πταρμὸν κινεῖν, τούτῳ δὲ τῷ τρόπῳ λύειν τὸ πάθος· ὁ γὰρ πταρμὸς θεραπεύει τὸ πάθος. ἐκ τούτου οὖν φησὶν ὅτι ἀηδίσομέν σε, ἐπεὶ καὶ αἱ αἶγες ἐκ τῆς κόπρου ἀηδίζονται. sch. A Plut. 313.

Μινίκιος ὄνομα κύριον.

Μινουκιανός Νικαγόρου τῦ σοφιςοῦ, Ἀθηναῖος σοφιςής, γεγονὼς ἐπὶ Γαλιηνοῦ, τέχνην ῥητορικήν, καὶ προγυμνάσματα, καὶ λόγυς διαφόρους. cf. vv. Γενέθλιος et Μένανδρος b.

Μινούκιος ὄνομα κύριον.

Μινύα ὄνομα πόλεως.

Μινύαι οἱ Ἀργοναῦται· ἐν ἐπιγράμμασι ⟨AP 6 116⟩ "σοὶ γέρας, Ἀλκείδα μινυαμάχε, τοῦτο Φίλιππος δέρμα ταναιμύκου λευρὸν ἔθηκε βοός."

Μινύας ὄνομα κύριον, καὶ τὸ πληθυντικὸν Μινυῶν.

Μινύειον ὄνομα τόπου. Μινυήιον δὲ καὶ αὐτὸ ὄνομα τόπου.

μινύθει ⟨Hom. Π 392⟩ ἐλαττοῦται.

μίνυνθα ⟨Hom. Α 416⟩ ἐπ' ὀλίγον.

μινυνθάδιον ⟨Hom. Α 352⟩ ὀλιγοχρόνιον.

μινύρεται ᾄδει, κλαίει, θρηνεῖ, εὐφώνως λέγει· Σοφοκλῆς ⟨OC 671⟩ "ἔνθα λίγεια μινύρεται θαμίζουσα μάλις' ἀηδὼν χλωραῖς ὑπὸ βήσσαις."

μινυρίζω θρηνῶ, ἢ τὸ ἠρέμα ᾄδω, παρὰ τὸ μεῖον· Πλάτων ἐν τρίτῳ Πολιτείας ⟨p. 411⟩ "μινυρίζων τε καὶ γεγανωμένος ὑπὸ τῆς ᾠδῆς" ἀντὶ τοῦ οἰκτρᾷ φωνῇ χρώμενος καὶ θρηνῶν. ἢ ὀλίγῃ φωνῇ χρώμενος· Ἀριςοφάνης ⟨Vesp. 219⟩ "μινυρίζοντες μέλη ἀρχαιομελισιδωνοφρυνιχήρατα."

μινύωρον ἐπ' ὀλίγον.

Μίνῳα πόλις περὶ Σικελίαν, ἥτις Ἡράκλεια πρὶν ἐλέγετο.

Μινῴδης τοῦ Μίνωος.

a Μίνως ὄνομα κύριον. Μινῷος δὲ ὁ ἀπὸ τοῦ Μίνωος.

b Μίνως. οὗτος ἐθαλαττοκράτει καὶ πανταχόσε ἔπλει, ξενίας τε πολλοῖς ἐπήγγελλεν. ἀφικόμενος δὲ ἐς τὴν Ἀσίαν, καὶ ἀκούων κλέος μέγα ἐν Φρυγίᾳ τοῦ τε Τρωὸς τῆς Τροίας βασιλέως καὶ τῶν παίδων αὐτῦ, ἦλθεν εἰς πόλιν Δάρδανον, ἐν ᾗ ᾤκει ὁ Τρώς. ἦσαν δ' αὐτῷ τρεῖς παῖδες, Ἶλος Ἀσσάρακος Γανυμήδης, οὗ δὴ μέγιςον ἦν ὄνομα κάλλυς πέρι. ξενιζόμενος οὖν παρὰ τὸν Τρῶα ὁ Μίνως καὶ δῶρα διδούς τε καὶ δεχόμενος ἐκέλευσε τῷ Τρωὶ καλεῖν τοὺς παῖδας, ἵν' αὐτοὺς ἴδοι τε καὶ δῶρα δοίη. ὃ δὲ ἔφη ἐς κυνηγέσιον ἐςάλθαι. ὃ δὲ καὶ αὐτὸς ἤθελε ξυγκυνηγεῖν αὐτοῖς. πρῶτον δὲ θεραπόντων ἐξέπεμψέ τινα εἰς τὸν χῶρον ἵνα οἱ παῖδες ἐκυνήγυν, περὶ τὸν Γράνικον ποταμόν· ὁ δὲ Μίνως τὰ πλοῖα προεκπέμψας ἐς τὸν ποταμὸν ὀλίγον ὕςερον ἦλθε πρὸς τοὺς παῖδας, καὶ τὸν Γανυμήδην θεασάμενος ἔρωτι αὐτῦ ἔσχετο, ἐγκελευσάμενος δὲ τοῖς Κρησίν, ἁρπάσας τὸν παῖδα ἐνέθετο εἰς τὴν ναῦν καὶ ἀπέπλει. ὁ δὲ τόπος ἐκλήθη Ἁρπάγια. ὁ δὲ Μίνως ἔχων τὸν παῖδα ἦλθεν ἐς Κρήτην. ὁ δὲ παῖς κατ' εὐπέτειαν ὑπὸ λύπης ἑαυτὸν ξίφει διειργάσατο, καὶ αὐτὸν ὁ Μίνως ἐν τῷ ναῷ ἔθαψεν, ἐξ οὗ δὴ καὶ λέγεται Γανυμήδην μετὰ Διὸς ὑπάρχειν. Nic. Damasc.?

Μινώταυρος ὄνομα κύριον.

μιξανάρρους· ⟨Pisid. c. Sev. 90⟩ "ἴσως λαβὼν ἴλιγγας ἀντιςυςρόφους ὁ μιξανάρρυς τῶν Σευήρου σκεμμάτων πρὸς τὰς ἀπ' ἀρχῆς ἀντανέλθοι φροντίδας."

μιξίας ὁ μιγνύων.

Μιξιονίδης Μιξιονίδου. Μιξωνίδης δέ.

μῖξις. ἁμαρτάνει ὁ λέγων μίξεως τὴν κρᾶσιν γένος· τὸ γένος γὰρ ὑποτίθησι τῷ εἴδει· ἐπὶ πλέον γάρ τι ἡ μῖξις τῆς κράσεως. εἰ μὲν γάρ τι κέκραται, καὶ μέμικται, ὁ μὴν πᾶν μεμιγμένον κέκραται· ἡ μὲν γὰρ τῶν ξηρῶν μῖξις οὐκ ἔςι κρᾶσις. ἔςι δὲ ἡ μῖξις διάφορος τῆς κράσεως. Alex. Aphrod. in Top. p. 162.

Μιρὸς ποταμὸς Φρυγίας.

Μιρράνης ὄνομα κύριον.

μισγάγκεια ⟨Hom. Δ 453⟩ τόπος κοῖλος εἰς ὃν τὰ καταφερόμενα μίσγεται ἀπὸ πλειόνων ὀρῶν ὕδατα. ξυνάγκεια δὲ λέγεται ὡσαύτως ὁ κοῖλος τόπος.

Μισγόλας. οὗτος ἦν τοῦ Λεωδάμαντος ἐρώμενος.

μισήτη. τὴν καταφερῆ μισήτην ἔλεγον, οὐ παρὰ τὸ μῖσος ἀλλὰ παρὰ τὸ μίσγεσθαι. τὸ γὰρ μῖσον ἀπωθέν ἐστι τοῦ μιαίνεσθαι (ὃ γὰρ μισεῖται, μεμόνωται καὶ ἀμιγές ἐστιν)· ἀλλ' οἱονεὶ μισγήτην τινὰ οὖσαν· ὃ καὶ βέλτιον. καὶ τὸ ἐν παροιμίας δὲ μέρει λεγόμενον "παρὰ σφυρὸν παχεῖα μισήτη γυνή" κατὰ τοῦτο εἰρῆσθαι δοκεῖ. καὶ ὁ Κρατῖνός που τοῦτο ἔφη· "μισῆται δὲ γυναῖκες ὀλίσβοισιν χρήσονται." τὸν δὲ ἁπλῶς μισητὸν τὸν ἀνίκανον λέγει. μεταφορικῶς δὲ καὶ ἐπὶ τῆς ἀπλήστου κατὰ τροφὴν τίθεται ἡ λέξις.

μισητία ἡ πορνεία παρὰ Ἀριστοφάνει ⟨Plut. 990⟩ "οὐχ ἕνεκα μισητίας." οὐχ ἕνεκα, φησί, τοῦ ὑπηρετεῖν μου τῇ ἀσελγείᾳ. καὶ μισητίαν τὸν εἰς τὰς συνουσίας ἐπίφορον.

μισθαρνεῖν ῥῆμα· Ἀγαθίας ⟨2 19⟩ "ὅσους δὲ αὐτῶν ἤρεσκε μισθαρνεῖν τοῖς ἐναντίοις ἐπὶ τῇ τῶν οἰκείων προδοσίᾳ καὶ ἐξάγειν τὰ ἀπόρρητα, οὗτοι τὸ ἀτρεκὲς οὐκ ἐγίνωσκον."

μισθάρνης μισθὸν ἀντικαταλλάττων.

μισθαρνία ἡ ἐπὶ μισθῷ γενομένη ἐργασία.

μισθαρνῶ αἰτιατικῇ.

μισθαρχίδης ⟨A Ach. 597⟩ ἐν τῇ ἀρχῇ μισθὸν λαμβάνων· ὠψωνιάζοντο γὰρ καὶ οἱ ἄρχοντες.

μισθοδοτῶ μισθὸν δίδωμι.

μισθοῦμαι αἰτιατικῇ.

μισθοφορά. ἰδίως τὸν μισθὸν τῶν στρατευομένων οἱ παλαιοὶ μισθοφορὰν ἐκάλουν· Ἀριστοφάνης ⟨A Eq. 807⟩ "οἵων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου" ἀντὶ τοῦ παρῄρου, ἐλυμαίνου, ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων.

μισθοφόρος ἐπὶ μισθῷ ἐργαζόμενος. καὶ μισθοφόροι τριήρεις ⟨A Eq. 552⟩ αἱ ἐπὶ μισθῷ τοὺς στρατευομένους ἄγουσαι. καὶ μισθοφορῶ δοτικῇ.

μίσθωμα ὁ μισθὸς ὁ ἑταιρικός· Αἰλιανός "ἣ δὲ οὐ προσεῖτο, φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι." cf. vv. ἀγνῶτας et παραβαλεῖν.

Μίσις Μίσιδος.

μισόδημε ··· τρέφων." cf. v. ἄχυρον.

μισολάμαχος ἡμέρα μισοπόλεμος· ὁ γὰρ Λάμαχος πολεμικώτατος ἦν καὶ φιλοπόλεμος στρατηγός. Ἀριστοφάνης ⟨Pac. 303⟩ "ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος."

μισοπορπακιστάτη μισοπολεμωτάτη, τουτέστιν εἰρηνική, παρὰ τὸν πόρπακα. πόρπαξ δὲ κατὰ ··· στρατιώτης. cf. v. πόρπαξ c.

μισοπράγμων ὁ ἡσύχιος καὶ ἤρεμον βίον ᾑρημένος. "πεφύκασιν οἱ ἄνθρωποι ··· πρὸς διόρθωσιν." cf. v. Οὐλπιανός.

μῖσος ἔχθρα.

Μισσιανή· "ὃ δὲ δι' ἄλλης ὁδοῦ παρεγένετο, τῇ Μισσιανῇ χαίρειν εἰπών." cf. v. χαίρειν εἰπών.

μίστυλλον εἰς μικρὰ διέκοψαν.

μίσχος.

μισῶ αἰτιατικῇ· "μισῶ τὴν ἀφελῆ." cf. v. ἀφέλεια.

μιτάτωρ ὁ προαποστελλόμενος ἄγγελος πρὸ τοῦ ἄρχοντος.

Μίτιος ὄνομα πόλεως.

μίτος τὸ λεπτότατον σχοινίον· καὶ παροιμία "ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι." σημαίνει δὲ καὶ ὄνομα πόλεως. εὕρηται ἀεὶ διὰ βραχέος τοῦ ι· ⟨AP 7 195⟩ "ὥς με πόνων ῥύσαιο παναγρύπνοιο μερίμνης, ἀκρὶ μιτωσαμένη φθόγγον ἐρωτοπλάνον," καὶ αὖθις ⟨6 39⟩ "ἀραχναίοιο μίτου πολυδίνεα λάτριν, ἄτρακτον, δολιχᾶς οὐκ ἄτερ ἀλακάτας." καὶ αὖθις ⟨6 174⟩ "κερκίδα τ' εὐποίητον, ἀηδόνα τὰν ἐν ἐρίθοις, Βακχυλὶς εὐκρέκτους ᾇ διέκρινε μίτους."

μίτρα διάδημα, ἢ ζώνη. ⟨AP 6 292⟩ "αἱ μίτραι τό θ' ἁλουργὲς ὑπένδυμα τοί τε Λάκωνες πέπλοι. πάνθ' ἅμα Νικονόη συνεπέκπιε."

Μιτράνης.

Μιτυληναία. τὸ μι βραχύ· ⟨AP 7 17⟩ "τὰν Μιτυληναίαν ἔννεπ' ἀοιδοπόλον."

Μιτυλήνη ὄνομα νήσου. καὶ Μιτυληναῖος ὁ ἀπὸ τῆς αὐτῆς νήσου.

Μιχαὴλ βασιλεὺς Ῥωμαίων ὁ μετὰ τὸν Ἀρμένιον Λέοντα βασιλεύσας, ὃς μικρόν τι τῆς προκατασχούσης κακίας ὑπενδούς, ὅσον τοὺς ἐν εἱρκταῖς καὶ πόνοις καὶ ἐξορίαις ἐλευθερίαν τε καὶ ἄνεσιν φαντάζεσθαι ὀνειρώδη, τὸ τοῦ προηγησαμένου δυσωνύμου καὶ δυσσεβοῦς ὑπέθαλπε θεοστυγὲς φρόνημα, καὶ ὁμοίως τῷ αὐτῷ ἀμφιβλήστρῳ περιπαρεὶς τῆς δεινῆς αἱρέσεως ἰχθύος δίκην, τοῖς τῶν δογμάτων σαθροῖς καὶ ἀσεβέσιν ἐναπέθανεν ἐξ ἀκροτάτης ἀβελτερίας τε καὶ ἀλογίας. ἀνόητος γὰρ σφόδρα καὶ ἀπαίδευτος ἐτύγχανεν, ἀμαθίαν δὲ ἐκ πατρῴας ἀλογίας καὶ ἀπειροκαλίας ὥσπερ ἱκανὴν οὐσίαν ἐκληρώσατο.

Μιχαίας ὄνομα κύριον.

μιχθῆναι ἢ *μιγῆναι* ἀπαντῆσαι, συμμῖξαι, ὁμιλῆσαι.

μνᾶ. ἑκατὸν δραχμαὶ ποιοῦσι μνᾶν μίαν.

μνααῖος· "οἱ τῶν Βαλιαρίδων νήσων σφενδονῆται μνααίους λίθους ἔβαλλον." καὶ αὖθις "μνααῖον διδοῦσι τοῦ κεραμίε ὑδρεύεσθαι τοῖς ἐθέλουσι."

Μναίκιος ὄνομα κύριον.

μναρόν ἡδύ, μαλακόν.

Μνασέας Βηρύτιος ἔγραψε τέχνην ῥητορικήν, καὶ περὶ Ἀττικῶν ὀνομάτων.

Μνάσωνος ὄνομα κύριον.

μνᾶται ⟨Hom. π 77⟩ μνηστεύεται.

μνείαν τὴν μνήμην Σοφοκλῆς ⟨El. 392⟩.

Μνεῦις ὄνομα κύριον Αἰγυπτίου θεοῦ. cf. v. Ἆπις.

μνημεῖον ὁ τάφος. ἐχρήσαντο δὲ τῷ ὀνόματι οἱ ῥήτορες καὶ ἐπὶ τοῦ ἔργε καὶ τε πράγματος οὗ μνημονεύοιτο ἄν τις. Αἰλιανός φησι "φυλάττεσθαί τε ἔτι μνημεῖον τῆς τιμωρίας τῆς ἐκείνου, καθάπερ οὖν κακοῦ διαδοχήν."

μνήμη. ὅτι ἐν τῇ ψυχῇ τοῦ μὲν προσδοκωμένε ἐςὶν ἐλπίς, τε δὲ παρόντος αἴσθησις, τοῦ δὲ ἀπόντος μνήμη.

ὅτι οὐδὲν ἕξει ἡ ψυχὴ ἅπερ ἐκ τῆς συμπλοκῆς τε σώματος αὐτῇ προσεγένετο, ὥσπερ τὸ διανοεῖσθαι· ὥςε οὐδὲν μνημονεύει. καὶ γὰρ ἐνταῦθα μὲν παραρρέουσά ἐςιν ἡ γνῶσις αὐτῆς, καὶ δεῖται μνήμης εἰς κατοχὴν τῶν ἐγνωσμένων· τότε δὲ οὐκ ἔχει τὸ πρότερον καὶ τὸ ὕςερον ἡ γνῶσις, εἰ μὴ κατὰ τὴν προχείρισιν τῶν θεωρημάτων, ἀλλ' ἀεὶ ἕςηκε καὶ ἐν τῷ νῦν ἐξετάζεται, καὶ μετὰ τὸ σῶμα· ἅτε ἑςῶσα τὴν γνῶσιν καὶ αὐτοῖς προσβάλλουσα τοῖς πράγμασι, μνήμης οὐ δεῖται. μνήμη γάρ ἐςιν ἡ τῶν πάλαι ἐγνωσμένων κατοχή.

μνήμη δ' ἐςὶν ἕξις καθεκτικὴ ὑπολήψεως. ὁ δὲ Ἀριςοτέλης τόπες τινὰς καὶ ἐν τῷ περὶ μνήμης καὶ ὕπνου καὶ τῆς καθ' ὕπνον μαντικῆς παρέθετο, δι' ὧν ἀναμιμνήσκεσθαι καὶ ἀπὸ τῶν ἐναντίων καὶ ἀπὸ τῶν ὁμοίων καὶ ἀπ' ἄλλων τινῶν. οἱ γὰρ τόποι οὗτοι αἴτιοι τοῦ ἀναμιμνήσκεσθαι ἡμῖν γίνονται. δι' ἐναντίων γάρ, φέρε εἰπεῖν, εὐθὺς εἰς τὸ εἰρημένον τῶν ἐναντίων μεταβάντες ἀναμιμνησκόμεθα τούτου, ἀπὸ πικροῦ γλυκέος, ἀπὸ λευκοῦ μέλανος, ἀπὸ ψύχους καύματος.

μνημήια μνημόσυνα.

μνημονεύω γενικῇ, *διαμνημονεύω* δὲ αἰτιατικῇ.

μνήμονος μνημονικοῦ.

μνημοσύνη μνήμη. καὶ *μνημόσυνον.*

Μνήσαρχος ὄνομα κύριον.

μνησάσκετο ⟨Hom. *Λ* 566⟩ ἐμέμνητο.

Μνησιθείδης ὄνομα κύριον.

μνησικακεῖν δοτικῇ· Πολύβιος "τοῦ μνησικακεῖν ἐπὶ τοῖς γεγονόσιν οὐδ' ἡντιναοῦν ἔμφασιν ἐποίουν οἱ Ῥωμαῖοι."

Μνησίμαχος ποιητὴς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτε ἐςὶν Ἱπποτρόφος Βούσιρις Φίλιππος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφιςαῖς.

Μνησιςράτιος ὄνομα κύριον. *Μνησιςράτειος* δὲ λόγος.

μνηςή ἡ κατὰ μνηςείαν γαμηθεῖσα, ἡ ἐκ παρθενίας μείνασα μνηςή, ὃ ἐςιν ἀπείρανδρος. καὶ *μνηςεία.*

μνηςῆρας· "τοὺς μὲν τῆς ἀρχῆς τῆς ὑπάτου μνηςῆρας παρ' οὐδὲν ἐποιήσαντο, αἱροῦνται δὲ αὐτοὶ πολέμων εὖ εἰδότα πάλαι καὶ γενναίων καὶ περιβλέπτων ἔργων ἀγωνιςήν."

μνῆςις μνήμη· ⟨S Ai. 520⟩ "ἀλλ' ἴσχε κἀμοῦ μνῆςιν. ἀνδρί τοι χρεὼν μνήμην προσεῖναι, τερπνὸν εἴ τί πε πάθοι. ὅτε δ' ἀπορρεῖ μνῆςις εὖ πεπονθότος, ἐκ ἂν γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ." καὶ αὖθις ⟨AP 9 447⟩ "μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων ἔκτανεν, ὠδίνων μνῆςιν ἀνηναμένη."

μνήςορα ἐπισήμονα· "ὁ δὲ τῶν μηχανημάτων φέρει τὸν μνήςορα."

μνία τὰ τῆς θαλάσσης ἐξανθήματα, ἢ βρύα.

μνιαρόν· ⟨AP 6 250⟩ "ἀλλὰ δέχευ μνιαροῖο βαθυρραίνοιο τάπητος ἐνδυτόν, εὐανθεῖ πορφύρῃ εἰδόμενον."

μνίει ἐσθίει.

μνοῦς ἡ ἁπαλὴ θρίξ· ἐν ἐπιγράμμασι ⟨AP 5 121⟩ "καὶ μνοῦ χρῶτα τερεινοτέρη."

μνῶ τὸ μνήσκω. τὸ μνῶ οὐκ ἔςι περισπώμενον, ἐδὲ γὰρ ἔχει ἐντέλειαν· ἀλλ' ἐπεὶ μονοσύλλαβόν ἐςιν, ἐξ ἀνάγκης περισπᾶται.

μνωμένη μνηςευομένη.

μνώοντο ⟨Hom. λ 287⟩ ἐμνηςεύοντο.

μογερῶν μοχθηρῶν.

μογήσας ⟨Hom. *Β* 690⟩ καμών, κακοπαθήσας. "δύο κακοῖς μογῶ, ἀγρυπνίᾳ τε ἁλισκόμενος καὶ δέει τειρόμενος."

μογιλάλος μόγις λαλῶν.

μόγις.

μογοστόκος (Hom. Π 187) περὶ τὰς τόκους κακοπαθοῦσα. ἔνιοι δέ, ἡ μόγους ταῖς τικτούσαις ἐπιφέρουσα.

μόγῳ (Hom. Δ 27) κακοπαθείᾳ.

μόδιον μέτρον τι.

μόθος μάχη, πόλεμος, τάραχος, φόβος, ςάσις, θόρυβος.

μόθων ὁ φορτικὸς καὶ ἄτιμος. καὶ εἶδος αἰσχρᾶς καὶ δουλοπρεποῦς ὀρχήσεως. cf. v. ἄπαγε μόθων.

μόθωνες παρὰ Ἀριςοφάνει οἱ εὐτελεῖς· μόθωνας γὰρ ἐκάλεν τοὺς παρεπομένες τοῖς ἐλευθέροις παῖδας οἱ Λάκωνες. ἔςι δὲ καὶ γένος ὀρχήσεως. sch. A Eq. 631.

Μοθώνη ὄνομα πόλεως, καὶ Μοθωναῖος ὁ πολίτης.

μοθωνία ἡ ἀλαζονεία, παρὰ τὸ μόθος. ἔςι δὲ καὶ χώρα.

μοῖρα μερίς, τὸ καθῆκον, καὶ ἡ εἱμαρμένη. Ἰώσηπος (B. I. 3 8 1) "μεγίςη γὰρ ἦν μοῖρα τοῦ πολέμου ληφθεὶς ὁ Ἰώσηπος."

μοιρηγενές ἀγαθῇ μοίρᾳ γεγεννημένε.

Μοίριχος ὄνομα κύριον.

μοιροδοχῆσαι ἀντὶ τοῦ μέρους μεταλαβεῖν. Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. Harp.

μοιχάγρια (Hom. ϑ 332) τὰ ἀντὶ τῆς μοιχείας ἀγρεύματα, ἐπὶ τῷ ληφθῆναι μοιχὸν ἀποτινόμενα.

μοιχάζω· "ἀκολάςων γυναικῶν ἐμοίχασε."

μοιχαλίς ἡ πόρνη, ἡ μοιχευομένη.

μοιχεία καὶ φαρμακεία ταὐτόν ἐςιν· καὶ γὰρ ἀμφότερα λάθρᾳ γίνεται. λέγονται δὲ καὶ ἐπιβουλαί· καὶ οὔτε ἡ μοιχευομένη οὔτε ἡ φαρμακεύουσα φιλεῖ τὸν ἄνδρα. Artemid. 4 71.

μοιχίδιον τὸν ἐκ μοιχοῦ γεγεννημένον οὐχ ὅτι Ἑκαταῖος, ἀλλὰ καὶ Ὑπερίδης.

a μοιχός ὁ πόρνος, ἐκ τοῦ μή καὶ τοῦ οἴχομαι, ὁ ἐπιτηρῶν μὴ οἴχεται ὁ ἀνὴρ τῆς γυναικός, ἵνα εἰσέλθῃ. μυχὸς δὲ ὁ σκοτεινὸς τόπος, παρὰ τὸ νὺξ νυκτός, καὶ τροπῇ μυχός.

b μοιχός εἶδος κυρᾶς κιναιδῶδες· Ἀριςοφάνης (Ach. 849) "Κρατῖνος ἀεὶ κεκαρμένος μοιχὸν μιᾷ μαχαίρᾳ." ἀπρεπὴς κουρὰ καὶ κιναιδώδης. καὶ κῆπος ἄλλο εἶδος, καὶ σκάφη ἕτερον. καὶ παροιμία "ἕλκει μοιχὸς ἐς μυχόν." ῥηθεῖσα ἡ παροιμία τῷ Καλλίᾳ. "ἐπὶ τοῖς μοιχοῖς οἱ νόμοι τοὺς δημίους ὁπλίζουσιν, οἱ δὲ κηπουροὶ τὰς ῥαφανίδας φυτεύουσιν, αἷς εὐθὺς ἐὰν ἁλῷ τις τιμωρεῖται." καὶ τὸ ῥῆμα μοιχῶ, καὶ μοιχώμενος ἡ μετοχή.

μολγός ὁ βραδὺς ἢ ὁ τυφλός· οὕτω δὲ ἔλεγον τοὺς ἐξαμέλγοντας καὶ κλέπτοντας τὰ κοινά. ἢ ὁ πένης, παρὰ τὸ ἀμέλγεσθαι καὶ ζημιοῦσθαι· Ἀριςοφάνης "μολγόν σε ποιήσω." παρὰ δὲ τοῖς κωμικοῖς μολγὸς ὁ μοχθηρός. λέγεται δὲ καὶ ἀμολγὸς ὁ αὐτός· ἀμολγὸς γοῦν ὁ ἀμέλγων τὰ κοινά. sch. A Eq. 959.

μολεῖν ἐλθεῖν.

μόλιβος. μόλυβδος δέ.

μολοβρίς. καὶ μολοβρός (Hom. ρ 219) ὁ πτωχός.

μολοθρός (an μολόθουρος).

Μολοσσός. καὶ Μολοττὸς κύων ὁ ποιμενικὸς καὶ μέγας.

Μολοττοί.

μολοῦσα παραγενομένη, πορευθεῖσα.

Μολπαγόρας. οὗτος ἦν παρὰ τοῖς Κείοις καὶ λέγειν καὶ πράττειν ἱκανός, κατὰ δὲ τὴν αἵρεσιν πλεονέκτης· ὃς πρὸς χάριν ὁμιλῶν τῷ πλήθει, καὶ τοὺς εὐκαιροῦντας τοῖς βίοις ὑποβάλλων τοῖς ὄχλοις, καί τινας εἰς τέλος ἀναιρῶν τινὰς δὲ φυγαδεύων, καὶ τὰς οὐσίας τούτων δημεύων καὶ διαδιδοὺς τοῖς πολλοῖς, ταχέως τῷ τοιούτῳ τρόπῳ περιεποιήσατο μοναρχικὴν ἐξουσίαν. Polyb. 15 12.

μολπή ᾠδή. παρὰ Ὁμήρῳ δὲ (α 152) τὸ παίγνιον· "μολπῇ τ' ὀρχηθμῷ τε· τὰ γάρ τ' ἀναθήματα δαιτός." καὶ αὖθις (AP 7 25) "μολπῆς δ' οὐ λῆγεν μελιτερπέος."

Μόλπις. μετὰ τοὺς λ' ι' ἄνδρες ἦρχον ἐν τῷ Πειραιεῖ, ὧν εἷς ἦν ὁ Μόλπις. Harp.

μολύβδαινα.

μολυβδίδα.

Μολυβδίνη ὄνομα πόλεως.

μολύνω αἰτιατικῇ.

μολυρίς μολυρίδος. μολυρίδας τὰς ἀκρίδας φασί.

μολών ἐλθών, ἐληλυθώς.

Μόλων ὄνομα κύριον· Ἀριςοφάνης (Ran. 55) "μικρός, ἡλίκος Μόλων." Μόλωνες δύο, ὑποκριταὶ καὶ λωποδύται.

Μολώχ εἴδωλον τῶν Μωαβιτῶν.

μομβρώ ἡ μορμὼ καὶ τὸ φόβητρον.

Μόναισος ὄνομα κύριον.

46

μονανδρεῖ· "οὐκ ᾔδεισαν Αἰγυπτίων αἱ γυναῖκες τὸ παλαιὸν μονανδρεῖν."

μοναρχία μονοκρατία. Πολύβιος (11 13) "ἡ τῶν μονάρχων ἀσφάλεια τὸ παράπαν ἐν τῇ τῶν ξένων εὐνοίᾳ κεῖται καὶ δυνάμει."

μοναχῇ, ἐπίρρημα, ἀντὶ τοῦ μοναχῶς. Ξενοφῶν (Anab. 4 4 18) "ὡς ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους, ᾗπερ μοναχῇ εἴη πορεία, ἐπιθησόμενοι τοῖς Ἕλλησι."

μοναχός. φησὶ Διονύσιος (eccl. hier. 6) "ἡ δὲ τῶν τελουμένων ἁπασῶν ὑψηλοτέρα τάξις ἡ τῶν μοναχῶν ἐςὶν ἱερὰ διακόσμησις, πᾶσαν μὲν ἀποκεκαθαρμένη κάθαρσιν ὁλικῇ δυνάμει καὶ παντελεῖ τῶν οἰκείων ἐνεργειῶν ἁγνότητι, πάσης δὲ ὅσης θεμιτὸν θεωρεῖν αὐτῇ ἱερουργίας ἐν νοερᾷ θεωρίᾳ καὶ κοινωνίᾳ γεγενημένη, καὶ ταῖς τῶν ἱεραρχῶν τελειωτικαῖς δυνάμεσιν ἐγχειριζομένη, καὶ ταῖς ἐνθέοις αὐτῶν ἐλλάμψεσι καὶ ἱεραρχικαῖς παραδόσεσιν ἐκδιδασκομένη τὰς ἐποπτευθείσας τῶν κατ᾽ αὐτὴν ἱερῶν τελετῶν ἱερουργίας, καὶ πρὸς τῆς ἱερᾶς αὐτῶν ἐπιςήμης ἀναλόγως εἰς τελειοτάτην ἀγομένη τελείωσιν. ἔνθεν οἱ θεῖοι καθηγεμόνες ἡμῶν ἐπωνυμιῶν αὐτοὺς ἱερῶν ἠξίωσαν, οἱ μὲν θεραπευτὰς οἱ δὲ μοναχοὺς ὀνομάσαντες, ἐκ τῆς τȣ̃ θεȣ̃ καθαρᾶς ὑπηρεσίας καὶ θεραπείας καὶ τῆς ἀμερίςου καὶ ἑνιαίας ζωῆς, ὡς ἑνοποιούσης αὐτοὺς ἐν ταῖς τῶν διαιρετῶν ἱεραῖς συμπτύξεσιν εἰς θεοειδῆ μονάδα καὶ φιλόθεον τελείωσιν. διὸ καὶ τελεςικὴν αὐτὴν ἡ ἱερὰ θεμοθεσσία χάριν ἐκάλεσε, καί τινος αὐτȣ̀ς ἠξίωσεν ἀφιερωτικῆς ἐπικλήσεως, οὐχ ἱεραρχικῆς (ἐκείνη γὰρ ἐπὶ μόναις γίνεται ταῖς ἱερατικαῖς τάξεσιν) ἀλλ᾽ ἱερουργικῆς ὑπὸ τῶν ὁσίων ἱερέων τῇ ἱεραρχικῇ τελειουργίᾳ δευτέρως ἱερȣργȣμένης." (Theophyl. 1 14) "ἐκεῖσε δὴ φροντιςήριον ἦν ἀνδρῶν φιλοσόφων τὸν βίον, μοναχοὶ δὲ οὗτοι κατονομάζονται, οἷς ἔργον προεκδημεῖν τοῦ σώματος, καὶ ζῶντας τεθνάναι, καὶ σώφρονι μανίᾳ τινὶ μεταφοιτᾶν πρὸς τὰ κρείττονα."

μονειμοφορῶ ἓν ἱμάτιον φορῶ.

μονήρης βίος· "τοὺς τὸν μονήρη ἐπανῃρημένους βίον οὕτω διάγειν ὡς μονήρη, καὶ τὸν ἱερᾶσθαι λαχόντα ὁσίως ἱερατεύειν, καὶ ἕκαςον ἃ ἤσκηται μετιέναι."

Μονῆτα ἡ Ἥρα παρὰ Ῥωμαίοις ἐξ αἰτίας τοιᾶσδε. Ῥωμαῖοι δεηθέντες χρημάτων ἐν τῷ πρὸς Πύρρον καὶ Ταραντίνȣς πολέμῳ ηὔξαντο τῇ Ἥρᾳ· τὴν δὲ χρῆσαι αὐτοῖς, εἰ τῶν ὅπλων ἀνθέξονται μετὰ δικαιοσύνης, χρήματα αὐτοὺς μὴ ἐπιλείψειν. τυχόντες ȣ̓̃ν οἱ Ῥωμαῖοι τῆς αἰτήσεως ἐτίμησαν Ἥραν Μονῆταν, τουτέςι σύμβολον, τὸ νόμισμα ἐν τῷ ἱερῷ αὐτῆς ὁρίσαντες χαράττεσθαι.

μονητάριοι οἱ περὶ τὸ νόμισμα τεχνῖται, οἳ ἐπὶ Αὐρηλιανοῦ διέφθειραν τὸ νόμισμα, καὶ τὸν ἴδιον ἄρχοντα Φηλικίσιμον ἀνελόντες ἐμφύλιον ἐγείρȣσι πόλεμον· οὓς μόλις Αὐρηλιανὸς χειρωσάμενος ὑπερβαλλούσῃ κολάσεων ὠμότητι κατειργάσατο. Eutropius.

μονιός ἄγριος (Ps. 79 14) ὗς ὁ μεμονωμένος. ἢ ὁ μονόλυκος.

μονίπποις τοῖς ἐπὶ ἑνὸς ἵππου ἀγωνιζομένοις δρόμον.

μονογενῆ τὴν μονότητα· Δαβίδ (Ps. 21 21) "καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μȣ."

μονοείμονα μονοχίτωνα.

μονόζωνοι ἔφοδοι βάρβαροι, ἢ ἀπελάται μάχιμοι. Σοφοκλῆς (OR 846) "εἰ δ᾽ ἄνδρ᾽ ἕν᾽ οἰόζωνον αὐδήσει, σαφῶς τοῦτ᾽ ἐςὶν ἤδη τοὔργον εἰς ἐμὲ ῥέπον."

μονόζωνοι οἱ τίμιοι τῶν ςρατιωτῶν, οἱ μὴ τὸν αὐτὸν τοῖς ἄλλοις ζωςῆρα φορȣ̃ντες. οἱ ἀσύντακτοι καὶ ὡσανεὶ λῃςαί. Olympiodor. in Iob. 29 25.

μονόκερως ζῷον ὃ παρὰ τῆς φύσεως ἓν κέρας ἔλαβεν. οὕτω καὶ οἱ τῆς εὐσεβείας τρόφιμοι μίαν προσκυνοῦσι θεότητα. Δαβίδ "καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου." Theodoret. in Ps. 91.

μονοκρήπιδι τῷ Ἑρμῇ· φασὶ γὰρ τὸν θεὸν τοῦτον Περσεῖ ἐπὶ τὴν τῆς Γοργοῦς τομὴν ἀπιόντι τὸ ἕτερον τῶν ὑποδημάτων δόντα τὸ ἕτερον ἔχειν μόνον. Artemid. 4 63.

μονόλοπα μονόδερμα, μονόφυλλα.

μονομαχοτροφεῖον.

μόνον καὶ ἓν διαφέρει. μονὰς ἡ ἐν τοῖς νοητοῖς οὖσα, ἓν δὲ τὸ ἐν τοῖς αἰσθητοῖς ἀριθμοῖς. καὶ ἡ μὲν μονὰς κατὰ τὴν ἰσότητα καὶ μέτρον λαμβάνεται, ἡ δὲ δυὰς καθ᾽ ὑπερβολὴν καὶ ἔλλειψιν.

μόνον οὐχὶ σχεδόν, ἐγγύς, ἀντὶ τȣ̃ κυρίως εἰπεῖν, ἢ παρ᾽ ὀλίγον εἰπεῖν. (Theophyl. Sim. 7 15) "μόνον οὐχὶ τὸ τῆς τραγῳδίας ἐπιφθεγγόμενος, ἐχθρῶν ἄδωρα δῶρα."

μόνος θεῶν θάνατος ȣ̓ δώρων ἐρᾷ Αἰσχύλος φησί. cf. v. θανατῶν.

μονοσόλῳ μίαν ςολὴν ἔχοντι.

μονότροπος μόνος τραφείς, ἄγαμος, ἀγύναιος.

μονοτρόπους τοὺς ἕνα σκοπὸν ἔχοντας, καὶ τῆς ἀρετῆς μόνης ἐπιμελουμένους, καὶ μὴ νῦν μὲν ταῦτα νῦν δὲ ἐκεῖνα προαιρουμένους.

μονουχία ὁ μόνος βίος, χωρὶς γάμων.

μονοχίτωνος.

μονῳδεῖν τὸ θρηνεῖν· ἐπιεικῶς γὰρ πᾶσαι αἱ ἀπὸ σκηνῆς ᾠδαὶ ἐν τῇ τραγῳδίᾳ θρῆνοι εἰσίν. Ἀριςοφάνης (Ran. 954) "εἶτ' ἀνέτρεφον μονῳδίαις, Κηφισοφῶντα μιγνύς." οὗτος ὁ Κηφισοφῶν δοῦλος ἦν συμπονῶν αὐτῷ μάλιςα τὰ μέλη. ἐκωμῳδεῖτο συνεῖναι τῇ γυναικί.

"μονῳδεῖν ἐκ Μηδείας· ὀλόμαν ὀλόμαν ἀποχειρωθεὶς τᾶς ἐν τεύτλοισι λοχευομένας" (A Pac. 1012). περὶ Μελανθίου λέγει τοῦ ὀψοφάγου, ὅτι ἀφικόμενος ἐν τῇ ἀγορᾷ ὀψωνῆσαι ἐγχέλεις καὶ μὴ εὑρὼν σχετλιάσοι, παρ' ὅσον οἱ μάγειροι μετὰ τεύτλων ἕψουσι τὰς ἐγχέλεις.

a μονῳδία ἡ ἀπὸ σκηνῆς ᾠδὴ ἐν τοῖς δράμασι, καὶ μονῳδεῖν τὸ θρηνεῖν. μονῳδία λέγεται ὅταν εἷς μόνος λέγῃ τὴν ᾠδήν, καὶ οὐχ ὁμοῦ ὁ χορός.

b μονῳδία ἐςὶ θρῆνος ᾠδῆς, μήτε προσωποποιίαν ἔχων μήτ' ἠθοποιίαν. "καὶ τὸ μεῖζον, οἱ μὲν ἄλλοι τοὺς ἐκπεπτωκότας σοφίας θρηνοῦσι, σὺ δὲ ὡς ἀλιτηρίους καὶ μηδέποτε γενομένους αὐτῆς τεθρήνηκας."

Μόξος Λυδός, ὃς πολλὰ καὶ καλὰ ἐργασάμενος, καὶ τὸν Μήλην τῆς τυραννίδος καθελών, τοῖς Λυδοῖς παρεκελεύσατο τὴν δεκάτην ἀποδοῦναι, καθὸ ηὔξατο, τοῖς θεοῖς. οἱ δ' ἐπείθοντο, καὶ ἀπαριθμοῦντες τὰ κτήματα ἐξῄρουν δεκάτην ἁπάντων καὶ κατέθυον. ἐκ τούτου μέγιςος αὐχμὸς καταλαμβάνει Λυδίαν. καὶ πολλὰς ςρατείας λέγεται πεποιῆσθαι, καὶ ἦν αὐτοῦ κλέος μέγιςον ἐν Λυδοῖς ἐπί τε ἀνδρίᾳ καὶ δικαιοσύνῃ. ταῦτα πράξας ἐπὶ τὴν Κράβον ἐςάλη, καὶ ταύτην εἷλε καὶ ἐπόρθησε, τοὺς δὲ ἀνθρώπους εἰς τὴν πλησίον λίμνην ἀγαγὼν κατεπόντωσε. Nic. Damasc. exc. Peir. p. 442.

μόρα τὰ συκάμινα.

μορίαι ἐλαῖαι ἱεραὶ τῆς Ἀθηνᾶς, ἐξ ὧν τὸ ἔλαιον ἔπαθλον ἐδίδοτο τοῖς νικῶσι τὰ παναθήναια. ἦσαν δὲ πρῶται ιβ' τὸν ἀριθμόν, αἱ μεταφυτευθεῖσαι ἐκ τῆς ἀκροπόλεως εἰς Ἀκαδήμειαν, ἤτοι ἀπὸ τοῦ μόρου καὶ τοῦ φόνου τοῦ Ἁλιρροθίου ὀνομασθεῖσαι οὕτως, ἢ ὅτι ἐνέμοντο καὶ ἐμερίζοντο τὸ ἔλαιον τὸ ἐξ αὐτῶν Ἀθηναῖοι ἅπαντες. τῆς δὲ μορίας ὁ ςέλεχος σηκὸς καλεῖται. Λυσίας (7 11) "ἄρχοντος σηκὸν ὑπ' ἐμοῦ ἐκκεκόφθαι." ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ δένδρῃ. ἔθος δὲ τοῖς ἀσκουμένοις ἀλειψαμένοις ἐν τῷ ἡλίῳ τρέχειν· Ἀριςοφάνης (Nub. 1001) "ἀλλ' εἰς Ἀκαδήμειαν κατιὼν ὑπὸ ταῖς μορίαις ἀποθρέξεις."

μορμολύκεια τὰ τῶν τραγῳδῶν προσωπεῖα· τὰ τῶν ὑποκριτῶν προσωπεῖα, ἃ Δωριεῖς γόργια καλοῦσιν. ἔνθεν καὶ τὸ ἐκφοβῆσαι μορμολύξασθαι. "δόκησις ἦν τὸ ἀντίμαχον, μορμολύκειον ὄψεως καὶ διανοίας κατάπληξις" (Theophyl. Sim. 6 5).

μορμολύττεται φοβεῖ. "ἀσκῷ μορμολύττεις," ἐπὶ τῶν τὰ κενὰ δεδοικότων, ἐπεὶ κενὸς ὁ ἀσκός. "ἐμορμολύξαντό σφας ὡς ἀνύποιςόν τι πλῆθος ἔπεισι κατ' αὐτῶν," τουτέςιν ἐξεφόβησαν, εἰς πτοίαν καὶ ὀρρωδίαν ἤγαγον.

μορμυρίζει καταράττει, ἠχεῖ, ὡς ἐπὶ ὑδάτων.

μορμύρων (Hom. Σ 403) ποταμὸς ῥεύματα ἔχων.

μορμυρωπός· (Artemid. 2 36) "ἥλιος ἀμαυρὸς ἢ ὕφαιμος ἢ μορμυρωπὸς πᾶσιν ὁρώμενος κατ' ὄναρ πονηρός.

μορμώ. λέγεται καὶ μορμὼ μορμοῦς ὡς Σαπφώ, καὶ μορμὼν μορμόνος· Ἀριςοφάνης (Ach. 558) "ἀντιβολῶ σ', ἀπένεγκέ μου τὴν μορμόνα," ἀντὶ τοῦ τὰ φοβερά· φοβερὰ γὰρ ὑπῆρχεν ἡ μορμώ. καὶ αὖθις Ἀριςοφάνης (Eq. 690) "μορμὼ τοῦ θράσους." μορμολύκειον, ἣν λέγουσι Λάμιαν· ἔλεγον δὲ οὕτω καὶ τὰ φοβερά. λείπει δὲ τὸ ὡς, ὡς μορμώ. ἢ ἐπιρρηματικῶς ἐξενήνεκται, ὡς εἰ ἔλεγε φεῦ τοῦ θράσους.

μορόεις. καὶ οὐδετέρως μορόεντα (Hom. Ξ 183) τὰ μετὰ κόπου καμνόμενα.

μόρος ὀδύνη, πόνος, θάνατος.

μόρσιμον εἱμαρμένον, μεμοιραμένον. (AP 7 188) "ἀμφὶ δ' ἐρινὺς φοίνιος ἐκ ςομάτων μόρσιμον ἧκεν ὄπα."

Μόρσιμον καὶ Μελάνθιον ἄμφω διαβάλλει Ἀριστοφάνης (Pac. 799), λέγων οὕτως "Γοργόνες ··· ἑορτήν." cf. v. Μελάνθιος.

Μόρσιμος καὶ Μελάνθιος ποιηταὶ τραγικοί. Μόρσιμος δὲ Φιλοκλέους τοῦ τρα-

γικȣ͂ υἱὸς ποιητὴς ψυχρός. ἦν δὲ καὶ ἰατρός. Ἀριςοφάνης (Eq. 400) "καὶ διδασκοίμην προσάδειν Μορσίμου τραγῳδίαν," τȣτέςιν ἐκβαλλοίμην καὶ συριττοίμην ὡς ἐκεῖνος· πονηρῶν γὰρ ὄντων αὐτοῦ τῶν ποιημάτων ἐν ἀρᾶς ἔθηκε μέρει. Μελάνθιος δὲ ἐκωμῳδεῖτο εἰς ὀψοφαγίαν, καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν. ἦν δὲ καὶ κίναιδος. sch. A Pac. 803.

Μόρσιμος τραγῳδίας ποιητής, ὀφθαλμῶν ἰατρός, μικρός, ὑπόψυχρος.

μόρσιμος. τȣτο ἔφη Ἀπολλώνιος ὁ Τυανεὺς πρὸς Δομετιανὸν βασιλέα, δεσμευθεὶς ὑπ' αὐτοῦ· "οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι." καὶ τοῦτο εἰπὼν ἄδηλος ᾤχετο. cf. v. Δομετιανός c.

Μορυχίδης ὄνομα κύριον.

a Μόρυχος ὄνομα κύριον, ὃς ἐπὶ ὀψοφαγίᾳ ἐκωμῳδεῖτο· ἦν δὲ καὶ τῶν ἡδέως βιούντων, τραγῳδίας ποιητής. καὶ Ἀριστοφάνης (Ach. 851) "ὦ φιλτάτη σὺ καὶ πάλαι ποθουμένη, φίλη Μορύχῳ."

b Μόρυχος. ὅπερ ἔοικε Μορύχου γένος καὶ σάγμα. σάγμα δὲ ἡ θήκη τοῦ ὅπλȣ (cf. v. καυνάκης). καὶ παροιμία "Μορύχου εὐηθέςερος" ἐπὶ τῶν εὐηθές τι διαπραττομένων. ἐπίθετον δέ ἐςι τοῦ Διονύσου, ἀπὸ τοῦ μορύξαι, ὃ ἐςι μολῦναι, ἐπειδὰν τρυγῶσι, τῶν βοτρύων τῷ γλεύκει καὶ τοῖς χλωροῖς σύκοις. cf. v. μωρότερος Μορύχου.

c Μόρυχος Τελέας Γλαυκέτης ὀνόματα κύρια. οὗτοι ἐπὶ μαγγανείᾳ διεβέβληντο. A Pac. 998.

μορφή εἶδος, ἰδέα, πρόσοψις.

μορφὴ καὶ εἶδος ταὐτόν ἐςι. καὶ μορφὴ μὲν ἐπὶ ἐμψύχων, σχῆμα δὲ ἐπὶ ἀψύχων.

μορφνόν (Hom. Ω 316) σκοτεινόν.

μορφνός εἶδος ἀετοῦ, οἱονεὶ μορύφονός τις ὤν, ὁ ἀεὶ περὶ φόνȣς μεμορημένος· μόνοι γὰρ οὗτοι τῶν ἀετῶν οὐ κυνηγετοῦσιν ἀλλὰ νεκροῖς σώμασι τρέφονται.

μόρφωσιν σχηματισμόν, εἰκόνα (Rom. 2 20).

μορῶν Δημοσθένης ἐν Φιλιππικοῖς (13 22). συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. φησὶ δὲ Ἀριςοτέλης ὡς εἰσὶ μόραι ς' ὠνομασμέναι, καὶ διῄρηνται εἰς τὰς μόρας Λακεδαιμόνιοι πάντες. Ξενοφῶν δέ φησιν ἐν τῇ Λακώνων πολιτείᾳ (11 4) "ἑκάςη δὲ τῶν πολιτικῶν μορῶν ἔχει πολέμαρχον α', λοχαγοὺς δ', πεντηκοςῆρας η', ἐνωμοτάρχας ις'." Harp.

μόσσυνες ἐπάλξεις, πύργοι. Apollon. Rh. 2 1016.

μοσχεύματα (Sapient. 4 3) ἁπαλὰ φυτὰ δένδρων καὶ λαχάνων.

μοσχεύων μεταφυτεύων. Εὐνάπιος (p. 104 Nieb.) "οὗτοι μὲν ὧδε μένοντες ὑπεμόσχευον τὸν πόλεμον" ἀντὶ τοῦ ὑπέτρεφον, ὑπεφύτευον.

μόσχια ἁπαλὰ φυτά.

μοσχίδια σύκων (A Ach. 994). οὕτω καλοῦνται αἱ νέαι συκαῖ. μοσχίδια δὲ τὰ νέα βλαςήματα, καὶ ἡ ἁπαλὴ καὶ νέα λύγος μόσχος. Ὅμηρος (Λ 105) "μόσχοισι λύγοισι."

μόσχον ἁπαλόν.

μόσχος Λιβάνου, ὃν ἐν Χωρὴβ ἐθεοποίησαν· ὃν Μωυσῆς συνέτριψε καὶ ἐλέπτυνε. Theodoret. in Ps. 28 6.

Μόσχος Συρακȣ́σιος γραμματικός, Ἀριςάρχȣ γνώριμος. οὗτός ἐςιν ὁ δεύτερος ποιητὴς μετὰ Θεόκριτον τὸν τῶν βȣκολικῶν δραμάτων ποιητήν. ἔγραψε καὶ αὐτός.

Μόσχος ᾄδων Βοιώτιον (A Ach. 13). Μόσχος φαῦλος κιθαρῳδός, πολλὰ ἀπνευςὶ ᾄδων. τὸ δὲ Βοιώτιον οὕτω καλούμενον εὗρε Τέρπανδρος, ὥσπερ καὶ τὸ Φρύγιον.

μοτάριον, ᾧ χρῶνται ἰατροὶ ἐν ταῖς πληγαῖς πρὸς τὸ μὴ συντόμως ἐμφράττεσθαι αὐτάς.

μοτοῖ τιτρώσκει, ταράσσει.

μοτοφαγία θυσία τις ἐν Σαλαμῖνι τῆς Κύπρου ἐπιτελουμένη.

μοτώσει ἰάσεται δι' ὀθονίων. Os. 6 1.

μȣνὰξ μάχη ἡ μονομαχία. cf. v. Κάσος.

Μȣνυχία Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (107). τόπος παραθαλάσσιος ἐν τῇ Ἀττικῇ. Ἑλλάνικος δὲ ἐν β' Ἀτθίδος ὠνομάσθαι φησὶν ἀπὸ Μȣνύχȣ τινὸς βασιλέως τοῦ Παντακλέους. Harp.

μȣνυχιὼν ὁ δέκατος μὴν παρ' Ἀθηναίοις. ἐν δὲ τούτῳ Ἀρτέμιδι ἔθυον Μȣνυχίᾳ. Harp.

Μȣρήνας ὄνομα κύριον.

μȣ͂σα ἡ γνῶσις, ἀπὸ τοῦ μῶ τὸ ζητῶ, ἐπειδὴ ἁπάσης παιδείας αὕτη τυγχάνει αἰτία. εἰκότως οὖν οἱ ἀρχαῖοι μοῦσαν αὐτὴν ἐκάλεσαν. εἰσὶ δὲ πᾶσαι θ', Κλειὼ Εὐτέρπη Θάλεια Μελπομένη Τερψιχόρη Ἐρατὼ Πολύμνια Οὐρανία Καλλιόπη. πολλὰς δὲ τὰς μούσας ὑπὸ τῶν θεολόγων παραδεδόσθαι, διότι

πολὺ τὸ ποικίλον ἔχει τὰ μαθήματα καὶ παιδεύματα καὶ πρὸς πᾶσαν χρῆσιν οἰκεῖον. cf. v. Νικόλαος c.

μοῦσα τραγική. "ὅσα ἐπράττετο, καὶ μοῦσά τις ἂν ὀκνήσειεν εἰπεῖν τραγική. οὐ γὰρ βούλεται ταῦτα γίνεσθαι, καὶ τὸ λέγειν ἀπηγόρευσε."

μοῦσαι καλαὶ καὶ Ἄπολλον, οἷς ἐγὼ σπένδω (Callim. fr. 83) κατ' ἐπικράτειαν τοῦ ἄρρενος, ὥσπερ καὶ παρὰ Σοφοκλεῖ (OC 1621) "λύγδην ἔκλαιον πάντες" δύο θηλειῶν οὐσῶν καὶ ἑνὸς ἄρρενος, Οἰδίποδος καὶ τῶν δύο ἀδελφῶν. "αἱ μοῦσαι δὲ πτερῷ Σειρήνων ἐστεφανοῦντο." cf. sch. Lycophr. 653 et Stephan. Byz. v. Ἄπτερα.

a Μουσαῖος Ἐλευσίνιος ἐξ Ἀθηνῶν, υἱὸς Ἀντιφήμου τοῦ Εὐφήμου τοῦ Ἐκφάντου τοῦ Κερκυόνος, ὃν κατεπολέμησεν ὁ Θησεύς, καὶ Ἑλένης γυναικός, ἐποποιός, μαθητὴς Ὀρφέως, μᾶλλον δὲ πρεσβύτερος· ἤκμαζε γὰρ κατὰ τὸν δεύτερον Κέκροπα, καὶ ἔγραψεν ὑποθήκας Εὐμόλπῳ τῷ υἱῷ, ἔπη ͵δ καὶ ἄλλα πλεῖστα.

b Μουσαῖος Ἐφέσιος ἐποποιὸς τῶν εἰς τοὺς Περγαμηνοὺς καὶ αὐτὸς κύκλους, ἔγραψε Περσηίδος βιβλία ι' καὶ εἰς Εὐμενῆ καὶ Ἄτταλον.

c Μουσαῖος Θηβαῖος, Θαμύρα υἱὸς τοῦ Φιλάμμωνος, μελοποιός, γεγονὼς πολλῷ πρὸ τῶν Τρωικῶν, ἔγραψε μέλη καὶ ᾄσματα.

d Μουσαῖος παρ' Ἕλλησι φιλόσοφος. Λυσίας πρὸς τὴν Μιξιδήμου γραφήν, εἰ γνήσιος, "καὶ δύο παῖδας αὐτῷ ἀκολούθους εἶναι, ὧν οὗτος τὸν μὲν Μουσαῖον καλεῖ τὸν δὲ Ἡσίοδον." ὅτι μὲν ὁ κρινόμενος ἐπετήδευε τοὺς οἰκέτας τοῦτο καλεῖν δῆλον, περὶ δὲ Μουσαίου, οἱ μὲν ἐκ Θρᾴκης εἰρήκασι τὸν ἄνδρα εἶναι, οἱ δὲ αὐτόχθονα ἐξ Ἐλευσῖνος. Harp.

μουσεῖον.

μουσικά τερπνά, τὰ δι' αὐλῶν καὶ κινύρας καὶ τὰ ὅμοια.

μουσομανία· "τὰ δὲ παρῳδημένα καὶ ἡ περὶ ταῦτα μουσομανία τῶν ἄστρων ἀπέψαυε." cf. v. παρῳδούμενος.

μουσόμαντις κομπώδης· τοιοῦτοι γὰρ οἱ μάντεις καὶ οἱ ποιηταί, παρὰ τὸ ἐξ Ἠδωνῶν Αἰσχύλου "τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἄλαλος ἀβρατεύς." sch. A Av. 277.

μουσουργοὶ ψάλτριαι. "αἱ δὲ μουσουργοὶ βάρβαροι ἦσαν γυναῖκες· ὄνομα αὐταῖς ἐπιχώριον βάρζα. καὶ τούτων αἱ μὲν αὐλοῦσιν, αἱ δὲ ψάλλουσι πενταχόρδῳ, αἱ δὲ ἑπταχόρδῳ ψαλτηρίῳ· αἱ αὐταὶ δὲ καὶ προσᾴδουσι τῷ ψαλμῷ. ὁ ψαλμὸς δὲ οὐ πρὸς τὴν ᾠδὴν ἔχει πεποιημένον τὸ μέλος, καθάπερ παρ' Ἕλλησιν, ἀλλ' ἔστιν οἷος ἐνδόσιμος εἶναι τῇ ᾠδῇ. καὶ λήγοντι μὲν οὖν τοῦ πότου τῷ βασιλεῖ καὶ ἡ ᾠδὴ ξυνεπαύετο· ὁπότε δὲ ἐγχέαι κελεύσειεν, αὖθις ἤρχοντο ᾄδειν καὶ ψάλλειν." — "ὁ δὲ Ἀρβαζάκιος μουσουργοῖς συνέζη ... ἠρίθμουν" (cf. v. Ἀρβαζάκιος).

μουσωθῆναι παρὰ μουσῶν διδαχθῆναι· "μήτε γὰρ εἶναι ποιητικός, μήτε μὴν μουσωθῆναι παιάνων καὶ ὕμνων ἐπιστήμονα σοφίαν." καὶ μεμούσωμαι πεπαίδευμαι· "ἐγὼ γυνὴ μέν εἰμι, μοῦσα δ' ἔνεστί μοι, αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω· τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς" ἀντὶ τοῦ πεπαίδευμαι, ἤσκημαι. Λυσιστράτη φησί (1126).

a Μουσώνιος Καπίτωνος, Τυρρηνὸς πόλεως Βουλσινίου, διαλεκτικὸς φιλόσοφος καὶ στωικός, γεγονὼς ἐπὶ Νέρωνος, γνώριμος δ' Ἀπολλωνίου τοῦ Τυανέως καὶ ἄλλων πολλῶν· πρὸς ὃν καὶ ἐπιστολαὶ φέρονται Ἀπολλωνίου, κἀκείνου πρὸς Ἀπολλώνιον. διὰ γοῦν τὴν παρρησίαν καὶ τὸ ἐλεγκτικὸν καὶ τὸ ὑπερβάλλον τῆς ἐλευθερίας ὑπὸ Νέρωνος ἀναιρεῖται (cf. v. Κορνοῦτος). φέρονται αὐτοῦ λόγοι διάφοροι φιλοσοφίας ἐχόμενοι, καὶ ἐπιστολαί. περὶ τούτου τοῦ Μουσωνίου λέγει ὁ παραβάτης ἐν ἐπιστολῇ "τὴν παροινίαν ἣν εἰς ἡμᾶς ὁ τῆς Ἑλλάδος ἡγεμὼν πεπαρῴνηκεν, οὕτω βαθέως ἤνεγκας, οὐδὲν ἡγούμενος τούτων εἰς σὲ γεγονέναι. τό γε μὴν τῇ πόλει βοηθεῖν ἐκείνῃ βούλεσθαι καὶ προθυμεῖσθαι, περὶ ἣν ἐποιήσω τὰς διατριβάς, φιλοσόφου ψυχῆς ἐστὶ τεκμήριον, ὥστε μοι δοκεῖ τὸ μὲν πρότερον Σωκράτει προσήκειν, τὸ δεύτερον δὲ οἶμαι Μουσωνίῳ. ἐκεῖνος μὲν γὰρ ἔφη ὅτι μὴ θεμιτὸν ἄνδρα σπουδαῖον πρός του τῶν χειρόνων καὶ φαύλων βλαβῆναι· ὁ δὲ ἐπεμέλετο βαρῶν, ὁπηνίκα φεύγειν αὐτὸν ἐπέταττε Νέρων." τουτέστι τειχῶν· βάρεις γὰρ τὰ τείχη.

b Μουσώνιος ἐπὶ Ἰοβιανοῦ ἦν βασιλέως. πάντα ὅσα ἦν ἄριστα, μικρὰ ἐφαίνετο πρὸς τὸν ὄγκον Μουσωνίου καὶ τὴν σὺν τῷ δραστηρίῳ τῆς γνώμης βαθύτητα· δι' ἃ κατὰ λόγον εὐδοκιμῶν τήν τε ἁλιτενῆ χώραν τῆς Ἀσίας ἐπῆλθε, καὶ ὁ τὴν ἀνθύπατον καὶ μείζονα ἔχων ἀρχὴν πρὸς τὰς ἐπιδημίας ἐξίστατο, κἀκεῖνος ἅπαντα ἐπιὼν ἐν ὀλίγαις ἡμέ-

ραις τὴν θάλασσαν ἐπλήρωσε τῶν ἀπὸ τῆς Ἀσίας εἰσφορῶν. ἐπεκάλει δὲ οὐδεὶς ἄδικον οὐδὲν τοῖς γινομένοις, ἀλλὰ παιδιά τις ἦν ἅπασι τοῖς καταβάλλουσι τὰ εἰσφερόμενα· Εὐνάπιος γὰρ ὁ ἐκ Φρυγίας ῥήτωρ ἐπεστάτει τοῖς πραττομένοις. Eunapius p. 109 Nieb.

a *μοχθεῖ κακοπαθεῖ· "οἱ δὲ Κελτοὶ πολλὰ μοχθήσαντες κατὰ τὴν ὁδὸν διὰ τὴν δυσχωρίαν." λέγεται δὲ καὶ μοχθίζω.*

b *μοχθηρία ἡ τοῦ ἀργυρίου ἐπιθυμία, ἢ ἡ αἴτησις τοῦ ἀργυρίου· Ἀριστοφάνης* (Plut. 159) *"ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν." καὶ "μοχθηροῦ βοὸς δέρμα" ἀντὶ τοῦ ἰσχνοῦ καὶ κακοῦ καὶ λεπτοβύρσου, ἢ θανασίμου, ἢ ἀσθενοῦς· Ἀριστοφάνης* (Eq. 316) *"ὅστις ὑποτεμὼν ἐπώλεις δέρμα μοχθηροῦ βοός."*

μοχθηρία ἡ κακία, ὡς Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος "οὐ γὰρ ὅσιον τοὺς γεγραμμένους νόμους, δι' ὧν ἡ δημοκρατία σώζεται, παραβαίνοντα, ἑτέρων δὲ μοχθηρῶν ἐξηγητὴν ἐθῶν καὶ νομοθέτην γενόμενον ἀτιμώρητον ἀφεῖναι."

μοχθηρός, καὶ μόχθηρος προπαροξυτόνως. ἐπίπονος, ἢ πονηρός· παρὰ δὲ ῥήτορσιν ὁ κακὸς ὑπείληπται, καὶ μοχθηρία ἐπὶ τῆς κακίας τέτακται. οὕτω Δείναρχος. Ἀντιφῶν δὲ ὁ παλαιότατος τῶν ῥητόρων τῷ μὲν μοχθηρῷ ἐχρήσατο οὐκ ἐπὶ τοῦ κακοῦ ἀνδρὸς καὶ εἰσαγομένου εἰς δικαστήριον ἵνα κατηγορηθῇ, ἀλλ' ἐπὶ πατρὸς δίκην λαχόντος ὑπὲρ ἀπεσφαγμένου παιδὸς τὸν μοχθηρὸν ἔταξε, καί φησιν οὕτως ἐν προοιμίοις καὶ ἐπιλόγοις "κἀγὼ μὲν ὁ μοχθηρός, ὅντινα ἐχρῆν τεθνηκέναι, ζῶ τοῖς ἐχθροῖς κατάγελως."

μόχθος κόπος· Πισίδης "οὐκ εἶχε μόχθον εἰς τὸν Εὐφράτου πόρον."

μοχλός.

μυᾶται σκαρδαμύττεται.

μυᾶτε. μυᾶν ἐστὶ τὸ τὰ χείλη πρὸς ἄλληλα συνάγειν· τὸ δὲ αὐτὸ καὶ μύλλειν λέγεται. τινὲς δέ, τοὺς ὀφθαλμοὺς συνάγετε δυσαρεστοῦσαι. ἢ ὥσπερ μύες καταδύεσθε καὶ σκαρδαμύσσεσθε. ἢ μύλλετε. ἢ μυκτηρίζετε. Ἀριστοφάνης (Lys. 126) *"τί μοι μυᾶτε κἀνανεύετε; τί χρὼς τέτραπται; τί δάκρυον κατείβεται;"*

μυγαλῇ εἶδος ζῴου.

μύγης γέροντος ἀδυναμία.

μύγματα καταξέσματα.

μυγμός ὁ στεναγμός. καὶ ὁ τοῦ μ ἦχος.

μυδαλέας διαβρόχους· (S El. 167) *"μυδαλέα δάκρυσι." καὶ μυδαλέον δίυγρον παρὰ Ἀρχιλόχῳ, διάβροχον. λέγει δὲ τὸ ἐπίδακρυ καὶ κάθυγρον αἷμα, τὸ ἐννότερον, ῥυπαρόν. καὶ μυδαλέος ὁμοίως.*

μυδᾶν νοτιᾶν, δίυγρον εἶναι, καὶ σήπεσθαι. δευτέρας συζυγίας τῶν περισπωμένων. σημαίνει δὲ τὸ οἰδαίνειν καὶ φυσᾶσθαι καὶ ὀγκοῦσθαι. οἰδαίνουσι τοίνυν οἱ τάφοι τοῖς νεκροῖς κατὰ τὰ ἔνδον.

μυδόωσαν ὄζουσαν.

μύδρος σίδηρος ἀργός, πεπυρακτωμένος. (AP 7 95) *"ἠέλιον πυρόεντα μύδρον ποτὲ φάσκεν ὑπάρχειν καὶ διὰ τοῦτο θανεῖν μέλλεν Ἀναξαγόρας." οὗτος ὁ φιλόσοφος τὸν ἥλιον μύδρον ἔλεγεν εἶναι διάπυρον καὶ μείζω τῆς Πελοποννήσου.*

Μύδωνος καὶ Μυδῶνος ὄνομα κύριον.

μυδῶντες βραχέντες, διυγραμμένοι, σαπέντες. καὶ ἐν ἐπιγράμματι (AP 5 199) *"ἧς παρὰ Κύπριδι ταῦτα μύροις ἔτι πάντα μυδῶντα κεῖνται, παρθενίων ὑγρὰ λάφυρα πόθων."*

μυελόεντα (Hom. ι 293) *τροφὴν ἔχοντα.*

μύες.

μυζεῖ καὶ μύζει θηλάζει, λείχει. Ξενοφῶν (Anab. 4 5 27) *"ἔδει δέ, εἴ τις διψῴη, λαβόντα εἰς τὸ στόμα μυζεῖν τοὺς καλάμους· καὶ πάνυ ἄκρατος ἦν ὁ οἶνος, εἰ μή τις ὕδωρ ἐπιχέοι."*

μυζήσας· "ὁ δὲ Δημοσθένης φάρμακον ἔχων ὑπὸ τῇ σφραγῖδι μυζήσας ἀπέθανε."

μυζῶντες ἐκπιέζοντες.

μυηθῆναι. ἐδόκουν οἱ μυούμενοι εἰς τὰς εὐσεβεῖς τάττεσθαι. καὶ Ἀριστοφάνης (Pac. 377) *"δεῖ γάρ με μυηθῆναι πρὶν τεθνηκέναι."*

μύησις μάθησις, κατήχησις, ἐπιστήμη. εἴρηται δὲ παρὰ τὸ τὰ μυστήρια καὶ ἀπόρρητα τελεῖσθαι, ἢ διὰ τὸ μύοντας τὰς αἰσθήσεις καὶ ἐπέκεινα σωματικῆς φαντασίας γενομένους τὰς θείας εἰσδέχεσθαι ἐλλάμψεις.

μυθέαι λέγεις. Hom. β 202.

μυθήσας εἰπών.

μῦθος λόγος ψευδής, εἰκονίζων τὴν ἀλήθειαν.

Μυῖα Θεσπιακὴ λυρικὴ μέλη πρὸς λύραν ἁρμόζοντα. cf. v. *Κόριννα.* a

Μυῖα Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς Σαμία. b

Μυῖα Σπαρτιᾶτις ποιήτρια ὕμνους εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν. c

μυίαγρος ὁ μυιοθήρας.

Μυίας δάκρυον διὰ τὴν Θηβαίων παρανομίαν εἰς τὸ ἐν Δωδώνῃ μαντεῖον· ἀφ' οὗ εἴρηται καὶ τὸ "παρὰ Βοιωτοῖς μαντεύσαιο." ἠσέβησαν γὰρ καὶ οὗτοι εἰς τὴν ἱέρειαν, ἐμβαλόντες αὐτὴν εἰς τὸν ἐν Δωδώνῃ λέβητα, ἐρωτικῶς διατεθεῖσαν εἰς ἕνα τῶν θεωρῶν.

Μυκάλη, καὶ Μυκαλησσός ὄνομα πόλεως, παρὰ τὸ ἐκεῖ μυκᾶσθαι τὰς Γοργόνας.

μύκη ἡ θήκη.

μυκηθμός ἡ τῶν βοῶν φωνή.

Μυκήνη πόλις.

μυκήσαντος ἠχήσαντος· Ὅμηρος (Ε 749) "αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον ὧραι." καὶ ἐν ἐπιγράμματι (AP 6 220) "οὗ βαρὺ μυκήσαντος ὁ θαρσαλεώτερος ἄλλων τετραπόδων, ἐλάφων ἔδραμεν ὀξύτερον."

μύκητα. καὶ μύκητες ἀνασήματά τινα σπογγοειδῆ περὶ τὴν θρυαλλίδα. καὶ οἱ ἀμανῖται. καὶ ἡ λαβὴ τοῦ ξίφους. ἐν ἐπιγράμματι (AP 5 263) "μήποτε λύχνε μύκητα φέροις, μηδ' ὄμβρον ἐγείροις."

μυκητίας σεισμός ὁ ἠχοποιός.

μύκλος ὁ τράχηλος.

Μυκόνιον τόπος.

Μυκόνιος γείτων. αὕτη τάττεται κατὰ τῶν διαβεβλημένων ἐπὶ γλισχρότητι καὶ σμικροπρεπείᾳ, παρὰ τὴν σμικρότητα τῆς νήσου τῆς Μύκονος καὶ εὐτέλειαν. καὶ ἑτέρα παροιμία "Μυκονίων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια." διὰ γὰρ τὸ πένεσθαι διεβέβληντο ἐπὶ γλισχρότητι. εἴρηται δὲ ἐπὶ τῶν ἀκλήτως εἰσιόντων εἰς τὰ συμπόσια.

μυκτηρίζει ἐξουθενεῖ.

μυκωμένου βοῶντος.

μύλαι οἱ ἔνδον ὀδόντες, οἷς λεπτύνειν εἰώθασιν οἱ ἄνθρωποι τὴν τροφήν.

Μυλαῖος ὁ ἀπὸ τόπου. καὶ ὁ μολυσμός.

μύλακες μυλώδεις λίθοι. ἡ εὐθεῖα μύλαξ. "μύλην δὲ χρυσῆν εἶχεν ὁ βασιλεύς, ἀφ' ἧς ἐσιτεῖτο."

μυλάς ἡ πόρνη.

μύλας λεόντων. Ps. 57 6.

Μυλασέων.

μύλη τὸ κάτω τοῦ μύλου· ὁ γὰρ ἄνω ὄνος λέγεται. Προκόπιος (Goth. 1 19) "τῶν δὲ ὀχετῶν γῆς Ῥωμαίων διαιρεθέντων, οὐκέτι τὸ ὕδωρ τὰς μύλας ἐνήργει."

μυλήφατος (Hom. β 355).

μυλιόωντες θρηνοῦντες.

μύλλος πάντα ἀκούει, ἐπὶ τῶν κωφότητα προσποιουμένων καὶ πάντα ἀκουόντων.

μύλοι οἱ ὀδόντες, οὓς γομφίους καλοῦσι.

μυλωθρικόν.

μυλωθρός ὁ μύλωνα κεκτημένος καὶ ἐργαζόμενος.

Μύλωνος ὄνομα κύριον.

μῦ μῦ. ἀπὸ τοῦ μῦ παρῆκται τὸ μύζειν, πολλοῖς ἄλλοις ὁμοίως. μύζειν δέ ἐστι τὸ τοῖς μυκτῆρσι ποιὸν ἦχον ἀποτελεῖν. Ἀριστοφάνης (Th. 238) "τί μύζεις; πάντα πεποίηται καλῶς."

μυμῦ μυμῦ, μυμῦ μυμῦ, μυμῦ μυμῦ (A Eq. 10). τοῦτο ὡς θρηνοῦντές φασιν. ἔστι δὲ ἴαμβος, ἔχων τὸ μὲν πρῶτον μυ βραχύ, τὸ δὲ δεύτερον μακρόν.

μύνη ἡ πρόφασις. sch. Hom. φ 71.

μύξα τὸ περίττωμα τῆς κεφαλῆς. ἔνθεν καὶ μυξωτήρ τὸ μέρος τοῦ σώματος. λέγεται μύξα καὶ τὸ τοῦ λύχνου· ἐν ἐπιγράμματι (AP 6 148) "τῷ με Κανωπίτᾳ Καλλίστιον εἴκοσι μύξαις πλούσιον, ἡ Κριτίου, λύχνον ἔθηκε θεῷ· ἐς δ' ἐμὰ φέγγη ἀθρήσας φήσεις, Ἕσπερε, πῶς ἔπεσες;"

μύξος ὁ λαγόχηρως παρ' ἡμῖν. ἐπῳδή "ἀλέκτωρ πίνει καὶ οὐκ οὐρεῖ· μύξος οὐ πίνει καὶ οὐρεῖ." λέγεται δὲ εἰς δυσουρίαν ὄνου.

μυοπάρωνος εἶδος πλοίου.

μυούμενος τελούμενος, μυσταγωγούμενος.

Μυοῦντα πόλις.

μυόχοδον οὐδενὸς ἄξιον· Μένανδρος Ῥαπιζομένῃ "ὁ μυόχοδος γέρων λεληθέναι σφόδρα οἰόμενος."

Μύρα τόπος τῆς Λυκίων ἐπαρχίας. καὶ Μυρέων ἀνθρώπων τῶν ἀπὸ Μύρας, τῶν Λυκίων.

μύραινα καταφερής, ἀπὸ τοῦ ζῴου· "ὦ προδότι καὶ παράγωγε καὶ μύραινα σύ."

Μυρεύς ὁ τῶν Μύρων, ὡς Πατρεὺς ὁ Πατρῶν. καὶ ἡ δοτικὴ Πατρεῖ καὶ Μυρεῖ.

μυρία πολλά, ἀναρίθμητα. μύρια δὲ ὁ ἀριθμός.

μυριάμφορον μυρίων ἀμφορέων ἄξιον· Ἀριστοφάνης (Pac. 525) "πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον, ὅτῳ προσείπω σ'; οὐ γὰρ εἶχον οἴκοθεν."

μυριέλικτος ὁ πολλαῖς ἑλίξεσι συστρεφόμενος· Εὐνάπιος (p. 103 Nieb.) "ὁ βαρὺς

ἐκεῖνος καὶ μυριέλικτος ὄφις, καθάπερ ὑπὸ τῆς Μηδείας ὑποψιθυριζόμενος, τὴν ψυχὴν κεκαρωμένος παρέδωκεν ἑαυτόν." cf. v. καρωθείς.

μυρίκη εἶδος φυτοῦ· "πεδίον ἦν ἀχανές, ἐν ᾧ μυρῖκαί τε ἐπεπήγεσαν."

μύριοι ἐν Μεγάλῃ πόλει· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου ⟨11⟩, συνέδριόν ἐςι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱςορικοί. Harp.

μυριοπραγότερον καὶ μυριοπρατότερον.

μύρμηξ. ⟨A Th. 106⟩ "μυρμήκων ἀτραποὺς ἢ τί διαμινυρίζεται." περὶ Ἀγάθωνός φησι τοῦ ποιητȢ ὡς λεπτὰ καὶ ἀγκύλα ἀνακρουομένȢ μέλη· τοιαῦται γὰρ αἱ τῶν μυρμήκων ὁδοί. ὁ δὲ Ἀγάθων ὑποκριτικὰ μέλη ποιεῖ καὶ αὐτὸς ὑποκρίνεται. διὸ καὶ χορικὰ λέγεται.

Μυρμιδόνες ὄνομα ἔθνους.

Μυροκλῆς Σαλαμίνιος τὸ γένος, τῶν παρ' Ἀθηναίοις Ȣκ ἀφανῶς πολιτευσαμένων. Harp.

μυρομένη ⟨Hom. Z 373⟩ ὀδυρομένη, θρηνοῦσα.

μύρον διατριπτικόν ⟨A Lys. 941⟩ παρὰ τὸ διατρίβειν καὶ ἀναβάλλεσθαι. οἷον τὸ διατριβῆς γέμον καὶ βραδυτῆτος. ἐπεὶ τριβόμενα ἔνια τῶν μύρων ἡδίω γίνεται· ἅμα δὲ καὶ πρὸς τὴν διατριβήν.

μύρον ἐπὶ κεφαλῆς. τὸ ἀρχιερατικὸν ἔλαιον ἐξ ἡδυσμάτων συνέκειτο. ἀλλ' οὐδὲν ἐκεῖνο αὐτὸ καθ' ἑαυτὸ τοσαύτην εὐοσμίαν ἠφίει· ἡ δὲ πάντων μῖξις καὶ κρᾶσις πλείςην ὅσην τὴν εὐωδίαν εἰργάζετο. τούτῳ τὴν ἀδελφικὴν εἰκότως συμφωνίαν ἀπείκασεν· ἡ γὰρ τῶν πλειόνων κατορθωμάτων συνεισφορὰ τῆς τελείας ἀρετῆς τὴν εὐοσμίαν ἐργάζεται. Theodoret. in Ps. 132.

μυροπώλιον.

μυρρίνη εἶδος φυτοῦ. καὶ μυρρινῶν ἀρχῆς ἐπιθυμῶν· μυρρίναις γὰρ ςεφανȢνται οἱ ἄρχοντες. τὸ δὲ δένδρον μυρίκη. ⟨A Nub. 1367⟩ "μυρρίνην λαβόντα, τῶν ΑἰσχύλȢ λέξαι τί μοι·" οἱ γὰρ παῖδες ἐν τοῖς συμποσίοις κλῶνα δάφνης ἢ μυρρίνης λαβόντες ᾖδον.

Μυρσίνη τόπος. μυρσινῶνος.

Μύρσωνος.

μύρτα ὁ καρπὸς τῆς μυρρίνης.

Μύρτης. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨295⟩ καταλέγων τοὺς προδεδωκότας ἑκάςην πόλιν φησὶν "Ἀργείους Μύρτης Τελέδαμος Μνασέας." Θεόπομπος δὲ Πασέαν καὶ Ἀμυρταῖον ὀνομάζει τῶν Ἀργείων τοὺς μακεδονίζοντας. ἰδεῖν οὖν εἰ γραφικά ἐςιν ἁμαρτήματα. Harp.

Μυρτίλος Ἀθηναῖος κωμικός, υἱὸς μὲν Λύσιδος, ἀδελφὸς δὲ τȢ κωμικοῦ Ἑρμίππȣ. δράματα αὐτοῦ Τιτανόπανες, Ἔρωτες.

μύρτον τὸ γυναικεῖον αἰδοῖον· Ἀριςοφάνης ⟨Lys. 1003⟩ "οὐδὲ τῶ μύρτω θιγῆν ἐῶντι πρὶν ἐξ ἑνὸς λόγου σπονδὰς ποιησόμεθα ποττὰν Ἑλλάδα."

μύρτον τὸ σχῆμα τοῦ γυναικείȣ αἰδοίȣ, οὐ τὸ μεταξὺ κλειτορίς, ἀφ' οὗ τὸ ἀκολάςως ἅπτεσθαι κλειτορίζεσθαι, τὸ δὲ χεῖλος ὑποδορίς, τὸ δὲ σύμπτωμα μυρτοχείλη.

Μυρτώνιον Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨27⟩. φρούριον ἦν ἐν Θρᾴκῃ. Harp.

Μυρώ Βυζαντία ποιήτρια ἐπῶν καὶ ἐλεγείων καὶ μελῶν, Ὁμήρου τοῦ τραγικοῦ θυγάτηρ ⟨μήτηρ: cf. v. Ὅμηρος c⟩, γυνὴ δὲ Ἀνδρομάχου τοῦ ἐπικληθέντος φιλολόγου.

Μυρώ Ῥοδία φιλόσοφος χρείας γυναικῶν βασιλίδων καὶ μύθους.

Μύρων Μύρωνος ὄνομα κύριον. καὶ Μυρωνίδης ὁ τοῦ Μύρωνος.

Μῦς ὄνομα κύριον πύκτου. σημαίνει δὲ καὶ εἶδος ζωϋφίου.

μύσαντος καμμύσαντος, καὶ ἔμυσας ἀντὶ τοῦ ἐκάμμυσας· ⟨AP 7 221⟩ "ἀκμαίη πρὸς ἔρωτα καὶ ἡδέα Κύπριδος ἔργα, Πατροφίλα, κανθοὺς τοὺς γλυκεροὺς ἔμυσας."

μῦς ἄρτι πίττης γενόμενος, ἐπὶ τῶν πρώην μὲν τολμηρῶν καὶ ἀναιδῶν, ἀθρόως δὲ δειλῶν ἀναφανέντων. cf. vv. ἄρτι μῦς et μῦς πίσσης.

μυσάττομαι ἀποςρέφομαι.

μυσάχνη ἡ πόρνη παρὰ Ἀρχιλόχῳ, καὶ ἐργάτις καὶ δῆμος ⟨an πάνδημος⟩ καὶ χαμαιτύπη. Ἱππῶναξ δὲ βορβορῶπιν καὶ ἀκάθαρτον ταύτην φησίν, ἀπὸ τοῦ βορβόρου, καὶ ἀνασυρτόπολιν ἀπὸ τοῦ ἀνασύρεσθαι. Ἀνακρέων δὲ πανδοσίαν καὶ λεωφόρον καὶ μανιόκηπον· κῆπος γὰρ τὸ μόριον. Εὔπολις εἰλίποδας ἀπὸ τῆς εἰλήσεως τῶν ποδῶν τῆς κατὰ μῖξιν.

μυσὶ κανθαρίς, ἐπὶ τῶν μηδενὸς ἀξίων.

Μυσίων Θρᾳκικῶν· μέρη γὰρ τῆς Θρᾴ-

κης πολλὰ περὶ τὴν Μυσίαν. ⟨S Ai. 720⟩ "Τεῦκρος πάρεστιν ἄρτι Μυσίων ἀπὸ κρημνῶν," τουτέστι χωρίων.

a Μύσκελλος. οὗτος χρησμοῦ δοθέντος τὴν ὑγείαν τοῦ πλούτου προκρίνει. ὁ δὲ χρησμὸς οὗτος· "χώρης --- ὑγίειαν" ⟨cf. v. Ἀρχίας b⟩. καὶ ἀκούσαντες ὁ μὲν Ἀρχίας πλοῦτον αἱρεῖται, πλούσιοι γοῦν οἱ Συρακούσιοι, ὁ δὲ Μύσκελλος ὑγείαν, καὶ εἰσὶν ἐρρωμένοι οἱ Κροτωνιᾶται.

b Μύσκελλος ὄνομα κύριον. καὶ χρησμὸς . . . ὅπου ἂν αὐτὸν ἐξ αἰθρίας ὑετὸς λάβῃ. ὃ δὲ ᾤετο οὐκ ἄν ποτε ὑφ' αὐτοῦ κτισθήσεσθαι πόλιν διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. γενομένῳ δὲ αὐτῷ κατὰ τὴν Ἰταλίαν καὶ ἀμηχανοῦντι περὶ τὴν κτίσιν παρακαθίσασαν τὴν παλλακίδα δακρύειν, ὀδυρομένην τὰς πλάνας, καί πως ἐνεχθῆναι τὰ δάκρυα τῆς Αἰθρίας (τοῦτο γὰρ ὠνομάζετο) κατὰ τοὺς Μυσκέλλου χρησμούς. τὸν δὲ συμβαλόμενον τέλος εἰληφέναι τὸν χρησμόν, ἐκεῖσε κτίσαι πόλιν. sch. A Nub. 370.

μῦς λευκός. οἱ κατοικίδιοι μύες ἄγαν πρὸς τὴν ὀχείαν κεκίνηνται, καὶ μάλιστα οἱ λευκοί· οὗτοι δέ εἰσι θήλεις. ἐπὶ τῶν ἀκρατῶν περὶ τὰ ἀφροδίσια ἡ παροιμία εἴρηται.

μύσος μίασμα.

μῦς πίσσης γεύεται, ἐπὶ τῶν νεωστὶ ἀπαλλασσόντων μετὰ κόπου. καὶ "ὅσα μῦς ἐν πίσσῃ," ἀπὸ Μυὸς τοῦ Ταραντίνου κακῶς Ὀλυμπίασιν ἀπαλλάξαντος. cf. v. ὅσα Μῦς.

μυσταγωγεῖ μυστήρια ἐπιτελεῖ, ὡς μυστήρια ἄγει, ἢ ἐκδιδάσκει.

μυσταγωγός ἱερεύς.

μύστακα τὸ χεῖλος. "Ἰωάννην τὸν μυστάκωνα προεστήσατο, καὶ χειροτονεῖ τὸν Λογγίβαρδον" ⟨Theophyl. Sim. 2 17⟩.

μυστήρ.

μυστήρια τελεταί. μυστήρια ἐκλήθη παρὰ τὸ τοὺς ἀκούοντας μύειν καὶ μηδενὶ ταῦτα ἐξηγεῖσθαι· μύειν δέ ἐστι τὸ κλείειν τὸ στόμα. sch. A Ran. 459.

μύστης ὁ τὰ μυστήρια ἐπιστάμενος ἢ διδάσκων.

μυστιλᾶται κατατρώγει. ἰδίως δὲ μυστίλη λέγεται ὁ ἄρτος ὁ τοῖς κυσὶ βαλλόμενος. καὶ μεμυστιλημένας ἀντὶ τοῦ κατειργασμένας ἤδη καὶ ἑτοίμους, τουτέστι μεμασημένας. sch. A Eq. 824 et 1165.

μυστίλην ψωμόν, κοῖλον ἄρτον, ὃν ἐποίουν ἵνα ζωμὸν ἐν αὐτῷ ῥοφῶσι.

μυστιπόλος ὁ περὶ τὰ μυστήρια ἀναστρεφόμενος.

Μυσῶν λεία παροιμία τίς ἐστι λαβοῦσα a τὴν ἀρχὴν ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τῆς Μυσίας κατὰ τὴν Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. Harp.

Μυσῶν λεία παροιμία ἐπὶ τῶν κακῶς b διαρπαζομένων· οἱ γὰρ περίοικοι κατ' ἐκεῖνον τὸν χρόνον τοὺς Μυσοὺς ἐλῄζοντο.

Μύσωνα τὸν Χηνέα.

Μυτιληναῖος ὁ ἀπὸ Μυτιλήνης.

μύττις μύττεως, τὰς μύττεις.

μυττωτόν ὑπότριμμά τι διὰ σκορόδου. κατασκευάζεται δὲ ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ᾠοῦ. ἀπὸ τοῦ παντὸς ἐν κατασκευάσματος τὸ μέρος ἐδήλωσε, τουτέστι τὰ σκόροδα. "οἴμοι τάλας, μυττωτὸν ὅσον ἀπώλεσα" ⟨A Ach. 173⟩.

μυχαίτατον ἐσώτατον. καὶ μυχοίτατον.

μυχθίζεις χλευάζεις, μυκτηρίζεις· ἐν ἐπιγράμματι ⟨AP 5 179⟩ "καὶ σιμὰ σεσηρὼς μυχθίζεις. τάχα που σαρδάνιον γελάσεις."

μύχιος στήραγξ.

μυχοὶ παρὰ Ἡροδότῳ ⟨2 11⟩ καταδύσεις, τὰ ἔνδον.

μυχός ὁ ἐνδότατος τόπος. ⟨S Ai. 571⟩ "ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεί, μέχρις ἂν μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ."

μυώνων τῶν νευρωδῶν τόπων· Προκόπιος ⟨Goth. 2 23⟩ "Γότθων δέ τις ἀκοντίῳ βαλών, μυώνων δὲ οἵ ὄπισθέν εἰσι τῶν κνημῶν ἑκατέρων ἐπιτυχών, ἐρχόμενος τὸν νεκρὸν εἷλκε."

μυωξία ὑβριστικὸς λόγος. σημαίνει δὲ τοὺς τῶν μυῶν χηραμούς.

μυωπάζω τυφλώττω. Oecumen. in 2 Petri 1 9.

μυωπιζόμενος μυωπάζων, παρακαμμύων, ἄκροις τοῖς ὀφθαλμοῖς προσέχων. cf. v. ἐμυωπίασε.

μυωπίζω καὶ τὸ τύπτω.

μύωψ μυῖά τις ἐρεθίζουσα τὰς βοῦς. λέγεται παρὰ Καλλιμάχῳ ἐν Ἑκάλῃ "βουσόος μύωψ" ⟨sch. Hom. χ 300⟩ ὁ τοὺς βοῦς σοβῶν καὶ διώκων μύωψ. λέγεται μύωψ καὶ ἡ μάστιξ τοῦ ἵππου, τὸ σιδήριον ὃ ἐπὶ τοῦ ποδὸς φοροῦσι κεντοῦντες τοὺς ἵππους· Πολύβιος

"ἣ δὲ προσθεὶς τοὺς μύωπας ἐξ ἀμφοτέροιν τοῖν μεροῖν ἤλαυνε κατὰ κράτος." καὶ ἐν ἐπιγράμματι ⟨AP 5 203⟩ "Λυσιδίκη σοὶ Κύπρι τὸν ἱππαςῆρα μύωπα, χρύσεον εὐκνήμου κέντρον ἔθηκε ποδός," καὶ αὖθις ⟨6 95⟩ "βουςρόφον ἀκρυσίδαρον ἀπειλητῆρα μύωπα," καὶ αὖθις ⟨6 5⟩ "κέντρα τ' ἐναιμήεντα διωξίπποιο μύωπος."

Μωάβ ὄνομα κύριον. καὶ Μωαβίτης ὁ ἀπὸ τῆς τοῦ Μωὰβ φυλῆς.

μωάω.

Μωδεείμ ὄνομα πόλεως παρὰ Ἰωσήπῳ ⟨A. I. 12 6 1⟩.

Μωκία, καὶ Μωκισία κινςέρνα, ἣν ἔκτισεν Ἀναςάσιος ὁ δίκορος. cf. v. Ἀναςάσιος c.

μωκίζω ἐμπαίζω.

Μώκιος ὄνομα κύριον.

μῶκος χλευαςής, μωρός, σκώπτης. καὶ μωκωμένης χλευαζομένης.

μωκώμενος κατατρώγων.

a μῶλος ἡ μάχη διὰ τὸ μολύνεσθαι αἵματι, ἢ ἀπὸ τοῦ μολύνεσθαι τῶν ἀποθνησκόντων τὰ σώματα ἐν πολέμῳ, ἢ παρὰ τὸ μόλις ἐκφυγεῖν, ἢ ὅτι μειοῖ, ὅ ἐςιν ἐλαττοῖ, τοὺς ὄχλους, ἢ ὅτι ἐς αὐτὸν εἵλεκται τὰ πλήθη.

b μῶλος ἡ πολυχρόνιος μάχη, παρὰ τὸ μὴ λύεσθαι ἢ παρὰ τὸ μολεῖν· δεῖ γὰρ ἐν αὐτῷ σπεύδειν. σημαίνει δὲ καὶ ὄνομα πόλεως.

μωλόχιον λαχανηρὸν γένος.

μῶλυ ἀντιπάθιον, ἡ βοτάνη ἀλεξιφάρμακος, ἤτοι πήγανον ἄγριον.

μώλωψ ἔναιμον ἄλγος.

μωμᾷ ⟨A Av. 171⟩ ψέγεις, ἀνιχνεύεις, ἀπὸ τοῦ μωμῶ. καὶ μωμᾶται ψέγει, καὶ μωμητά ψεκτά.

μῶμαρ ὁ μῶμος. ἡ μῶμαρ ὁ μωρός, καὶ ἡ μάχη.

μωμαςής.

μωμεύειν.

μῶμος σκώπτης· "τὰ δὲ πρὸς ἀρετὴν ... δικαιοσύνη" ⟨cf. v. Ἑρμείας b⟩.

a μῶν ἄρα. σημαίνει σύνδεσμον ἐπιζητητικόν· τὸ γὰρ μῶσθαι ζητεῖν.

b μῶν· Ἀριςοφάνης ⟨Eq. 185⟩ "μῶν ἐκ καλῶν εἶ κἀγαθῶν; μὰ τοὺς θεούς." καὶ αὖθις "μῶν ἐςίν;" ἆρ' ἐςί; ⟨A Lys. 326⟩ "μῶν ὑςερόπους βοηθῶ;" μὴ ὕςερον τοῦ καιροῦ ἦλθον εἰς τὸ βοηθῆσαι;

μῶνυξ ὁ μονῶνυξ. καὶ μώνυχες ἵπποι.

μώνυχα ζῷα ἵππος ὄνος ὀρεὺς καὶ εἴ τι ἄλλο. τούτοις συμβέβηκε μὴ νεῖν καὶ λοφούροις κεκλῆσθαι.

μωπεύειν ⟨an μωκεύειν⟩ μέμφεσθαι.

μῶρα ἀνόητα, παράλογα· ⟨A Eccl. 471⟩ "λόγος γέ τοί τις ἐςι τῶν γεραιτέρων, ὅσ' ἂν ἀνόητ' ἢ μῶρα βουλευσώμεθα, ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν." λέγεται ὅτι Ποσειδῶν ... ἐπιτυγχάνειν. cf. v. γεραίτερος.

μωρά μοι δοκεῖς φρονεῖν ἀντὶ τοῦ εὐήθης εἶ, νῦν βουλόμενος μαλάσσειν ἐξακμάσαντος τοῦ καιροῦ. ὁ Αἴας φησὶ πρὸς Τέκμησσαν ⟨594⟩. καὶ αὖθις ⟨OR 540⟩ "ἆρ' οὐχὶ μῶρόν ἐςι τοὐγχείρημά σου, ἄνευ τε πλήθους καὶ φίλων τυραννίδα θηρᾶν, ὃ πλήθει χρήμασίν θ' ἁλίσκεται;" καὶ αὖθις ⟨A Av. 1238⟩ "ὦ μῶρε μῶρε, μὴ θεῶν κίνει φρένας δεινάς, ὅπως μή σου γένος πανώλεθρον Διὸς μακέλλῃ πᾶν ἀναςρέψῃ δίκη." ἐπὶ τῶν βλασφήμων εἴρηται.

μωρία διὰ Χριςόν ⟨1 Cor. 4 10⟩, ὅταν τοὺς οἰκείους λογισμοὺς λυττῶντας ἀκαίρως καταςέλλωμεν, ὅταν ἔρημον καὶ κενὴν τὴν ἡμετέραν διάνοιαν τῆς ἔξωθεν ποιῶμεν παιδεύσεως, ἵν', ὅταν δέῃ τὰ τοῦ Χριςοῦ δέχεσθαι, σχολάζουσαν καὶ σεσαρωμένην αὐτὴν πρὸς ὑποδοχὴν τῶν θείων λόγων παρέχωμεν. Chrysost. t. 6 p. 396.

μωροί καὶ ἀβέλτεροι καὶ κεχηνότες Μαιμάκυθοι Μελητίδης Βαταλίων Κόροιβος ⟨A Ran. 1019⟩.

μωροκακοήθη· "ἦν δὲ κακοῦργός τε καὶ εὐπαράγωγος, ὃν δὴ μωροκακοήθη καλοῦσι" ⟨Procop. Arc. 8⟩.

μωρός ὁ ἄνους.

μῶρος. παρὰ Ἀττικοῖς προπερισπᾶται. "ὦ μῶροι, οὐκ ἴςε τὸν σοφώτατον τῆς τραγῳδίας εἰπόντα ἡ γλῶττ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος."

μωρότερος Μορύχου, παροιμία. Πολέμων φησὶ λέγεσθαι ταύτην παρὰ Σικελιώταις οὕτως "μωρότερος εἶ Μορύχου, ὃς τἄνδον ἀφεὶς ἔξω τῆς οἰκίας κάθηται." Μόρυχος δὲ παρ' αὐτοῖς ὁ Διόνυσος κατ' ἐπίθετον, διὰ τὸ μολύνεσθαι αὐτοῦ τὸ πρόσωπον ἐν τῇ τρύγῃ γλεύκει τε καὶ σύκοις. μορύξαι δὲ τὸ μολῦναι· Ὅμηρος γοῦν ⟨ν 435⟩ τὸ μεμολυσμένος μεμορυχμένος φησίν. εὐήθειαν δὲ τούτου καταγνωσθῆναι, παρ' ὅσον ἔξω τοῦ

νεὼ ἐν ὑπαίθρῳ αὐτοῦ τὸ ἄγαλμα καθίδρυται παρὰ τῇ εἰσόδῳ. τάττεται δὲ ἐπὶ τῶν εὐηθές τι διαπραττομένων. Zenob. 5 13.

μωρούς (1 Cor. 3 19). τοὺς τοῦ κόσμου σοφοὺς καλεῖ μωρούς.

μῶσθαι. (Iulian. or. 7 p. 219) "τὸ λανθάνον μῶσθαι καὶ πολυπραγμονεῖν" ἀντὶ τοῦ ζητεῖν παρὰ Λάκωσι.

μῶυ τὸ ὕδωρ παρ' Αἰγυπτίοις, ἐξ οὗ καὶ Μωυσῆς.

Μωυσῆς ὁ προφήτης καὶ νομοθέτης. ὅτι ἐν τῷ π' τούτου ἔτει ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου, ἐν ᾗ παρῴκησαν ἔτη σιε'. πῶς οὖν φησὶν ὁ θεὸς πρὸς τὸν Ἀβραὰμ (Gen. 15 3) ὅτι πάροικον ἔςαι τὸ σπέρμα σε ἔτη υ'; ἀλλὰ δῆλον ὅτι ἀπὸ τῆς ἀναβάσεως Ἀβραὰμ ἐκ Χαρὰν δεῖ τὴν τοῦ λαοῦ παροικίαν ἀριθμεῖν· οὐ γὰρ ἐν Αἰγύπτῳ μόνῃ γέγονεν ἡ παροίκησις, ἀλλὰ καὶ ἐν γῇ Χαναάν. Μωυσῆς γὰρ λέγει (Exod. 12 40) "ἡ δὲ παροίκησις τῶν υἱῶν Ἰσραὴλ ἐν γῇ Χαναὰν καὶ ἐν Αἰγύπτῳ ἔτη υ' καὶ λ'," καὶ τε μὲν Ἀβραὰμ ἀπὸ τῆς ἐκ Χαρὰν ἀναβάσεως μέχρι τῆς Ἰσαὰκ γεννήσεως ἔτη κε', ἀπὸ δὲ Ἰσαὰκ μέχρι Ἰακὼβ ἔτη ξ', ἀπὸ δὲ Ἰακὼβ μέχρι τοῦ Λευὶ πζ', ἀπὸ Λευὶ μέχρι Καὰθ με', ἀπὸ Καὰθ μέχρι Ἀμρὰμ ξγ', ἀπὸ Μωυσέως μέχρι τῆς ἐξόδου π'. καὶ οὕτως ἐξῆλθεν Ἰσραὴλ ἐκ τῆς Αἰγύπτου.

τοῦ Μωυσέως γεννηθέντος οἱ τεκόντες δεδιότες τοὺς Αἰγυπτίους μηχανῶνται πλέγμα βύβλινον, ἐμφερὲς τῇ κατασκευῇ κίςιδι, μέγεθος ποιήσαντες αὔταρκες εἰς τὸ μετ' εὐρυχωρίας ἐναποκεῖσθαι βρέφος· ἔπειτα χρίσαντες ἀσφάλτῳ κατὰ τοῦ ποταμοῦ βάλλουσι. Θερμοῦθις δὲ ἡ θυγάτηρ τοῦ βασιλέως τε͂τον ἀνείλετο. τριετεῖ δὲ γενομένῳ θαυμαςὸν ὁ θεὸς τὸ τῆς ἡλικίας ἐξῆρεν ἀνάςημα. Ioseph. A. I. 2 9.

ὅτι Μωυσῆς δὲ π' ἡμέρας ἐνήςευσε, μ' τὰς προτέρας καὶ μ' μετὰ τὸ συντρῖψαι τὰς πλάκας, σαπφείρῳ λίθῳ δακτύλῳ θεοῦ γραφείσας.

Ναασὼν ὄνομα κύριον.

νάβα παρὰ Ῥωμαίοις τὸ πορθμεῖον. φαίνεται δὲ ἐν πολλοῖς μὴ διεςῶσα τῆς Ἑλλάδος φωνῆς ἡ Ῥωμαϊκή· ναῦς γὰρ καὶ νάβα ἐγγύς.

Ναβάται γένος Ἀράβων· "ὁ δὲ πέμπει πρὸς Ἄραβας τοὺς λεγομένους Ναβάτας." καὶ Ναβαταῖοι ἐθνικόν.

Νάβις Νάβιδος Λακεδαιμονίων τύραννος.

νάβλα εἶδος ὀργάνου.

Ναβουθαί. οὗτος ἦν ἐπὶ Ἀχαάβ, ἐξ Ἰζάρου πόλεως, ἀγρογείτων ὤν. τοῦ δὲ βασιλέως παρακαλοῦντος αὐτὸν ἀποδίδοσθαι τιμῆς ὅσης βούλεται τὸν πλησίον αὐτε͂ τῶν ἰδίων ἀγρόν, ἵνα συνάψας ἓν αὐτὸ ποιήσῃ κτῆμα, εἰ δὲ μὴ βούλοιτο χρήματα λαβεῖν, ἐπιτρέψαντος ἐκλέξασθαι τῶν ἀγρῶν τινὰ τῶν ἐκείνου, τοῦτο μὲν οὔ φησι ποιήσειν, αὐτὸς δὲ τὴν ἰδίαν καρπώσεσθαι γῆν, ἣν ἐκληρονόμησε τοῦ πατρός. λυπηθεὶς δὲ ὡς ἐφ' ὕβρει τῷ μὴ τἀλλότρια λαβεῖν ὁ βασιλεὺς οὔτε λετρὸν προσηνέγκατο οὔτε τροφήν. τῆς δὲ Ἰεζάβελ πυνθανομένης ὅ τι λυπεῖται, διηγήσατο αὐτῇ τὴν Ναβεθαὶ σκαιότητα, καὶ ὡς χρησάμενος ἐπιεικέσι πρὸς αὐτὸν λόγοις καὶ βασιλικῆς ἐξεσίας ὑποδεεςέροις ὑβρισθείη, μὴ τυχὼν ὧν ἠξίου. ἡ δὲ μὴ μικροψυχεῖν ἐπὶ τέτοις παρεκάλει, παυσάμενον δὲ τῆς λύπης ἐπὶ τὴν συνήθη τρέπεσθαι πρόνοιαν· μελήσειν γὰρ αὐτῇ περὶ τῆς Ναβεθαὶ τιμωρίας. καὶ παραχρῆμα πέμπει γράμματα πρὸς τὲς ὑπερέχοντας τῶν Ἰουδαίων, ἐκ τοῦ Ἀχαὰβ ὀνόματος, νηςεῦσαι κελεύουσα, καὶ ποιησαμένες ἐκκλησίαν προκαθίσαι μὲν αὐτῶν Ναβεθαὶ (εἶναι γὰρ αὐτὸν ἐκ γένες ἐπιφανε͂ς), παρασκευασαμένους δὲ τρεῖς τολμηροὺς καταμαρτυρήσοντας αὐτε͂ ὡς τὸν θεὸν εἴη βλασφημήσας καὶ τὸν βασιλέα, καταλεῦσαι καὶ τούτῳ διαχρήσασθαι τῷ τρόπῳ. καὶ οὕτως ἀπέθανε, καὶ προῖκα ἐκληρονόμησεν Ἀχαὰβ τὸν ἀμπελῶνα. ἀγανακτήσας δὲ ὁ θεὸς πέμπει Ἡλίαν τὸν προφήτην πρὸς Ἀχαὰβ περὶ τῶν πεπραγμένων ἐλέγξοντα. καὶ εἶπε τῷ Ἀχαὰβ "ἀνθ' ὧν ἀπέκτεινας ἀδίκως τὸν ἀληθῆ δεσπότην τοῦ χωρίου, κατ' ἐκεῖνον τὸν τόπον ἐν ᾧ τὸν Ναβεθαὶ νεκρὸν συνέβη ὑπὸ κυνῶν δαπανηθῆναι, τό τε σαυτοῦ αἷμα καὶ τὸ τῆς γυναικὸς ἐκχυθήσεται, καὶ πᾶν σε τὸ γένος ἀπολεῖται τοιαῦτα ἠσεβηκότος." ὁ δὲ Ἀχαὰβ μεταμελος γενόμενος καὶ σακκίον ἐνδυσάμενος γυμνοῖς τοῖς ποσὶ διῆγε μὴ τρεφόμενος, ἀνθομολογούμενος τὰ ἡμαρτημένα καὶ τὸν θεὸν ἐξευμενίζων. ὁ δὲ θεὸς πρὸς τὸν προφήτην εἶπεν ὑπερβαλέσθαι τὴν τοῦ γένες τιμωρίαν, ἐπεὶ τοῖς τετολμημένοις μετανοεῖ, τελέσειν δὲ τὴν ἀπειλὴν ἐπὶ τῷ υἱῷ τοῦ Ἀχαάβ. Ioseph. A. I. 8 14.

Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, ὁ κτίσας τὴν Βαβυλῶνα πόλιν μεγάλην καὶ κινσέρναν καὶ ἐπάνω αὐτῆς κῆπον τεχνησάμενος, καὶ καταφυτεύσας παντοδαπὰ γένη φυτῶν. εἰς τοῦτον ἡ γυνὴ αὐτῦ περιπολῦσα καὶ πᾶσαν γῆν ἐκείνην ἐποπτεύυσα κατετέρπετο, ὑπ' οὐδενὸς ὁρωμένη. ὁ δὲ Ναβουχοδονόσορ διαπορευόμενος ἔφη μετὰ ἐπάρσεως πολλῆς καὶ ἀλαζονείας "οὐχ αὕτη ἐςὶ Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ εἰς οἶκον βασιλείας ἐν τῷ κράτει τῆς ἰσχύος μου εἰς τιμὴν τῆς δόξης μυ ᾠκοδόμησα;" καὶ ἔτι τῦ λόγυ ἐν τῷ ςόματι αὐτοῦ ὄντος φωνὴ ἐκ τοῦ οὐρανοῦ ἐγένετο "σοὶ λέγω, Ναβουχοδονόσορ· ἡ βασιλεία σου παρῆλθεν ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐκδιώξω σε, καὶ μετὰ θηρίων ἡ κατοίκησίς συ, καὶ χόρτον ὡς βῦν ψωμιῦσί σε· καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σέ, ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ ὕψιςος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν." καὶ αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ αἱ τρίχες αὐτῦ ὡς λέοντος ἐμεγαλύνθησαν καὶ οἱ ὄνυχες ὡς ὀρνέου. μετὰ δὲ ταῦτα πάλιν φησὶν ὁ αὐτὸς περὶ τῆς αὐτῦ ἀποκαταςάσεως "ἐν τῷ καιρῷ ἐκείνῳ αἱ φρένες μου ἐπεςράφησαν ἐπ' ἐμέ, καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον, καὶ ἡ μορφή μου ἐπέςρεψεν ἐπ' ἐμέ, καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιςᾶνές μου ἐζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μυ ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι. νῦν οὖν ἐγὼ Ναβυχοδονόσορ αἰνῶ καὶ ὑπερυψῶ καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀληθινὰ καὶ αἱ τρίβοι αὐτοῦ κρίσεις, καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι." καὶ Ἡσαΐας δὲ λέγει περὶ αὐτοῦ. Cedren. p. 115.

νάει ⟨Hom. ζ 292⟩ ςάζει, ῥέει.

ναέται οἰκήτορες.

Ναζαρηνός ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.

ναζιραῖος ὁ θεῷ κεχαρισμένος καὶ ἀφιερωμένος, ὁ μοναχός.

Νάξις ἐθνικόν.

Ναζωραῖος ὁ ἀπὸ Ναζαρέτ.

ναί συγκαταθέσεως ἐπίρρημα.

ναΐδες πηγαί, ἢ νύμφαι παρὰ τοῖς νάμασι διατρίβουσαι.

ναίει διατρίβει.

ναιετάουσιν οἰκοῦνται. ναίω ναιέτης ναιετῶ, ὡς κυνηγέτης κυνηγετῶ. ναιετῶ ναιετάω ναιετάυσιν. ἐνεργητικὸν ἀντὶ παθητικῦ τοῦ οἰκοῦνται.

ναὶ μὰ τό· Καλλίμαχος ἐν Ἑκάλῃ "ναὶ μὰ τὸ ῥικνὸν σῦφαρ ἐμόν," ὃ ἐςι δέρμα. "ναὶ τοῦτο τὸ δένδρεον, αὖον ἐόν περ." οἱ ἀρχαῖοι οὐ προπετῶς κατὰ τῶν θεῶν ὤμνυον, ἀλλὰ κατὰ τῶν προστυγχανόντων, ὡς καὶ Μένανδρος "μαρτύρομαι ναὶ μὰ τὸν Ἀπόλλω τυτονὶ καὶ τὰς θύρας." καὶ Ὅμηρος ⟨Α 234⟩ "ναὶ μὰ τόδε σκῆπτρον." καὶ Ἑκάλῃ εἶπε "ναὶ μὰ τόν" καὶ οὐκέτι ἐπάγει τὸν θεόν. ῥυθμίζει δὲ ὁ λόγος πρὸς εὐσέβειαν.

ναὶ μὰ τόν. "καὶ ναὶ μὰ τόν, εἶγέ τοι Περσικῦ τις ἐφάνη, τὸ Ῥωμαϊκὸν ἅπαν διώλωλε" ⟨Theophyl. Sim. 2 9⟩.

ναὶ μὰ τόν· "ἁμαρτάνοντι ἐπέπληττε, καὶ ἀδικῦντα ἤλεγχε καὶ ἀνέςελλε τῦ ἀδικεῖν πατρικῇ, ναὶ μὰ τόν, ὁ γενναῖος τῇ παρρησίᾳ."

ναὶ μὴν ναὶ ὄντως.

ναὶ ναὶ μὰ μήκωνος χλόην, ὅρκος ἐπὶ χλευασμῷ.

Ναΐνον.

ναίουσιν οἰκοῦσι.

Ναῒς ἑταίρα τις, ἧς μέμνηται Λυσίας καὶ Ἀριςοφάνης. Harp.

ναίχι ἐπίρρημα συγκαταθέσεως ⟨S OR 684⟩.

νάκην προβάτων δοράν.

νάκος ἔντριχον δέρμα, ἤτοι δορὰ προβάτου. κυρίως δὲ τὸ τῆς αἰγὸς δέρμα, κῶας δὲ τὸ τοῦ προβάτου. Ἰώσηπος ⟨B. I. 3 7 14⟩ "ἕρπειν τὰ πολλὰ κελεύσας τοῖς εἰσιῦσι, καὶ τὰ νῶτα καλύπτειν νάκεσιν, ὡς εἴ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν." ἡ δοτικὴ νάκει.

νακοτίλται οἱ τῶν προβάτων κουρεῖς.

Ναχώλεια ὄνομα τόπου.

νᾶμα ὕδωρ ποτόν. τόπος κατάρρυτος ναματιαίοις ὕδασι.

Νάννακος παλαιὸς ἀνὴρ πρὸ Δευκαλίωνος. τοῦτόν φασι βασιλέα γενέσθαι πρὸ τοῦ Δευκαλίωνος· ὃς προειδὼς τὸν μέλλοντα κατακλυσμόν, συναγαγὼν πάντας εἰς τὸ ἱερὸν μετὰ δακρύων ἱκέτευσε. καὶ παροιμία "ἀπὸ Νεννάκου" ἐπὶ τῶν πάνυ ἀρχαίων.

Ναννίον. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν ἑταιρῶν Αἶγα λέγεσθαί φησι ταύτην τὴν ἑταίραν διὰ τὸ Θαλλὸν τὸν κάπηλον καταφαγεῖν· χαίρουσι γὰρ αἱ αἶγες τῷ θαλλῷ. ἔϛι δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ περὶ τῶν ἑταιρῶν τὴν Ναννίον φησὶ Προσκήνιον ἐπονομάζεσθαι διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφοτέραν εἶναι. Harp.

νάνος ἐπὶ τῶν μικρῶν παρὰ Νεοκλείδῃ καὶ Ἀριϛοτέλει. καὶ Θεόφραϛος "ὡς νάνον καὶ αἰδοῖον ἔχοντα μέγα·" οἱ γȣ̃ν νάνοι μέγα αἰδοῖον ἔχȣσι. νάννοι δὲ λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων, καὶ ναννοφυεῖς. οἱ δὲ κολοβοὶ τῶν ἵππων ἰννοί. sch. A Pac. 790.

Ναξία πόλις. καὶ Ναξία λίθος ἡ Κρητικὴ ἀκόνη· Νάξος γὰρ πόλις Κρήτης.

ναξιουργὴς κάνθαρος. πλοῖα ἦν ὅτω λεγόμενα κάνθαροι, ἐν Νάξῳ γινόμενα, ὡς νῦν σίλφας λέγȣσί τινα ἀκατίων εἴδη. Κρατῖνος δὲ λέγει ... ὅτι θαλασσοκρατοῦντές ποτε Νάξιοι ἐχρῶντο αὐτοῖς τοῖς κανθάροις. ἢ οὕτως· τῶν πλοίων τὰς εὑρούσας πόλεις τὰς ἀρχιτεκτονίας ἐποίουν οἱ πρότεροι ἐπωνύμους, οἷον τοὺς νῦν λέμβους ναξιουργεῖς ὠνόμαζον. ἐκ τȣ̃ αὐτȣ̃ δὲ εἶναι καὶ κνιδιεργεῖς, καὶ κέρκουρα ἀπὸ Κερκύρας, καὶ πάρωνα ἀπὸ Πάρου. ἄντικρυς δὲ Μένανδρος ἐν Ναυκλήρῳ κάνθαρον εἶπε πλοῖον εἶναι. ἔϛι δὲ καὶ εἶδος ποτηρίου. καὶ ἐν Πειραιεῖ Κανθάρου λιμήν· τρεῖς γὰρ λιμένες εἰσίν, οὗτος ὁ Κανθάρου, καὶ τὸ ἀφροδίσιον, καὶ κύκλῳ πέντε ϛοαί, ἀπὸ Κανθάρȣ ἥρωος. sch. A Pac. 142.

ναός.

νάπη ὀρεινὸς ὑλώδης τόπος. Ξενοφῶν ⟨Anab. 6 5 12⟩ οὐδετέρως λέγει τὸ νάπος, ὡς τὸ ἔδαφος. "ἐπεὶ οἱ ἡγούμενοι ἐγένοντο ἐπὶ νάπει δυσβάτῳ καὶ μεγάλῳ, ἔϛησαν ἀγνοοῦντες εἰ διαβατέον εἴη τὸ νάπος."

νᾶπυ σίνηπι· ⟨A Eq. 636⟩ "κἄβλεψε νᾶπυ, καὶ τὰ μέτωπ᾽ ἀνέσπασεν." ἐπέβλεψε δριμὺ καὶ ὀργίλον (δριμὺ γὰρ τὸ νᾶπυ) καὶ τὰς ὀφρῦς συνέϛειλε.

νάρδος μυρεψικὸν ἔλαιον. θηλυκῶς· ⟨AP 6 250⟩ "καὶ ἐς κυανότριχα χαίτην νάρδον ὑπὸ γλαυκῆς κλειομένην ὑάλου."

νάρθηξ· ⟨AP 6 294⟩ "καὶ πανακεῖταν νάρθηκα κροτάφων πλάκτορα νηπιάχων."

νάρκη μυρμηκίασις· Ἀριϛοφάνης ⟨Vesp. 733⟩ "οἴμοι, τί πέπονθ᾽; ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται, καὶ τὸ ξίφος ȣ̓ δύναμαι κατέχειν."

Ναρσῆς ϛρατηγὸς Ῥωμαίων, ἔμφρων ἐς τὰ μάλιϛα καὶ δραϛήριος καὶ δεινὸς ἁρμόσασθαι τῷ παρεμπίπτοντι. καὶ παιδείας μὲν αὐτῷ οὔ τι μάλα μετῆν, οὐδὲ τὰ τῆς εὐγλωττίας ἐπεφρόντιϛο· φύσεως δὲ ὅγε δεξιότητι διέπρεπε, καὶ παραϛῆσαι οἷός τ᾽ ἦν λόγῳ τὰ βεβουλευμένα, καὶ ταῦτα ταμίας γε ὢν καὶ ἐν τοῖς βασιλείοις τρυφερώτατα ἀνατεθραμμένος. ἦν δὲ ἄρα καὶ τὸ σῶμα βραχὺς καὶ ἐν ἰσχνότητι ἐκδεδιῃτημένος· τὸ δὲ ἀνδρεῖον καὶ μεγαλουργὸν εἰς τοσοῦτον ἐκέκτητο ὅσον ἀμέλει καὶ ἀπιϛεῖσθαι. ἦν δὲ ἐπὶ Ἰουϛινιανοῦ. Agath. 1 16.

Νάρωνος ὄνομα κύριον.

Νασαμῶνος ὄνομα κύριον.

ναϛὸν πυκνόν, μεϛόν, πλῆρες, μὴ ἔχον ὑπόκουφόν τι. διαφέρει τοῦ μανοῦ. ναϛὸς δὲ ἀρσενικῶς πλακοῦς, ἢ θερμὸς ἄρτος μετ᾽ ἐλαίου· Ἀριστοφάνης Πλούτῳ ⟨1143⟩ "ἧκεν γὰρ ἂν σοι ναϛὸς εὖ πεπεμμένος."

ναυάγιον παρὰ Θουκυδίδῃ οὐδετέρως μέν, ὅταν τι τῆς νηὸς ἀποκλασθῇ, οἷον πηδάλιον ἤ τι τοιοῦτον, ναυαγία δὲ θηλυκῶς πᾶσα ἡ τῆς νηὸς ἀπώλεια. sch. Thuc. 1 50.

ναυαγίων πτωμάτων· ⟨S El. 728⟩ "ἐξ ἑνὸς κακȣ̃ πᾶν ἐπίμπλατο ναυαγίων πεδίον."

ναύαρχος ὁ τῶν νηῶν ἄρχων.

Ναυατιανοὶ αἱρεσῖται τὰ Ναυάτου φρονοῦντες. καὶ τούτων ἐγένετο ἐπίσκοπος ... οὐ μὴν ἀλλὰ καὶ ἄλλα πολλὰ χαρίεντα αὐτῷ εἴρηται. cf. v. Σισίννιος b.

Ναυᾶτος. οὗτος πρεσβύτερος ὢν τῆς ἐν Ῥώμῃ ἐκκλησίας διεκρίθη, ἐπειδὴ Κορνήλιος ὁ ἐπίσκοπος τοὺς ἐπιθύσαντας πιϛοὺς ἐν τῷ διωγμῷ, ὃν ὁ βασιλεὺς Δέκιος κατὰ τῆς ἐκκλησίας ἐκίνησεν, εἰς κοινωνίαν ἐδέξατο. διὰ ταύτην οὖν τὴν αἰτίαν διακριθεὶς καὶ εἰς ἐπισκοπὴν παρὰ τῶν συμφρονησάντων αὐτῷ ἐπισκόπων προχειρισθεὶς ταῖς πανταχοῦ ἐκκλησίαις ἔγραφε μὴ δέχεσθαι τοὺς ἐπιτεθυκότας εἰς τὰ μυϛήρια, ἀλλὰ προτρέπειν μὲν αὐτοὺς εἰς μετάνοιαν, τὴν δὲ συγχώρησιν ἐπιτρέπειν θεῷ τῷ δυναμένῳ καὶ ἐξουσίαν ἔχοντι συγχωρεῖν ἁμαρτήματα. τοιαύτας ἐπιϛολὰς κατ᾽ ἐπαρχίας δεχόμενοι πρὸς τὰ οἰκεῖα ἤθη ἐποιοῦντο τῶν δηλουμένων τὰς κρίσεις· ὡς γὰρ ἐκεῖνος ἐδήλου μὴ δεῖν ἀξιοῦσθαι τῶν μυϛηρίων τοὺς μετὰ τὸ βάπτισμα εἰς θάνατον ἁμαρτίαν πεποιηκότας, τοῖς μὲν ἐδό-

κει πικρὰ καὶ ἀπηνὴς εἶναι ἡ τοῦ κανόνος ἔκθεσις, οἱ δὲ ὡς δίκαιον αὐτὸν καὶ ὀρθοῦντα τὴν πολιτείαν ἐδέχοντο. ἐν τοσούτῳ δὲ τότε κινουμένου, ἐπικαταλαμβάνει Κορνηλίου τοῦ ἐπισκόπε γράμματα τοῖς μετὰ τὸ βάπτισμα ἡμαρτηκόσιν ἐπαγγελλόμενα τὴν συγχώρησιν. οὕτω δὲ ἀμφοτέρων ἐπιςελλόντων τἀναντία, καὶ ἐκ τῶν θείων ὀχυρούντων ἃ ἑκάτερος ἔλεγεν, ἕκαςος κατ᾽ ἔθος εἰς τοῦτο ἔτρεψεν ἐς ὃ καὶ πρότερον μᾶλλον ἐπέκλινεν· ὅσοι γὰρ φιλαμαρτήμονες, δραξάμενοι τῆς τότε δοθείσης συγχωρήσεως καὶ εἰς τὸν ἔπειτα χρόνον ἐπὶ πάσης ἁμαρτίας αὐτῇ συνεχρήσαντο. ἀλλὰ Ναυᾶτος ἐπὶ Οὐάλεντος τε βασιλέως διωγμὸν κινήσαντος κατὰ χριςιανῶν ἐμαρτύρησε. Socrat. 4 28.

ναυβάτης ἐπιβάτης, ἢ ναύτης· "πεζοὺς δὲ ἀντὶ ναυβατῶν πορευομένους, καὶ ὁπλιτικῷ προσέχοντας μᾶλλον ἢ ναυτικῷ."

Ναυῆ ὄνομα κύριον.

Ναύκιοι ἔθνος.

ναύκληρος. Ὑπερίδης οὐ μόνον ὡς ἡ συνήθεια κέχρηται τῷ ὀνόματι, ἀλλὰ καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας. Harp.

ναυκραρία. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (11). μήποτε δὲ βέλτιον φέρεται ἐν τοῖς Ἀττικιανοῖς Ναυκρατιτικά, ἵνα ᾖ ἀπὸ Ναυκρατιτικοῦ πλοίου, ἢ Ναυκρατιτῶν ἐμπλεόντων· ἡ γὰρ Ναύκρατις τὸ παλαιὸν ἐμπόριον ἦν τῆς Αἰγύπτου. ἐὰν δὲ ᾖ ναυκραρικά, εἴη ἂν τὰ τῶν ἀρχόντων· ναυκράρους γὰρ τὸ παλαιὸν τοὺς ἄρχοντας ἔλεγον, ὡς Ἡρόδοτος ἐν πέμπτῃ (7) ἱςοριῶν δηλοῖ. Harp.

Ναύκρατις.

ναῦλος τὸ ναῦλον. ἀρσενικῶς ὁ ναῦλος. sch. A Ran. 271.

ναύλοχον εὔδιον, ἐν ᾧ αἱ νῆες λοχῶσιν ἢ ἀναπαύονται. παρὰ δὲ Ἡροδότῳ (7 189) λιμὴν ἢ εὐδία.

ναυλοχῶ τὸ τὰς ναῦς ἐνεδρεύω. "ὁ δὲ ναῦς προσέταξεν ἐν τοῖς ἀγκῶσι ναυλοχεῖν λανθάνοντας, ἐπειδὰν δὲ αἴσθωνται ζευγνύειν αὐτὸν τὴν γέφυραν, διαβάλλειν ὡς τάχιςα."

ναύμαχα (Hom. O 389) μακρὰ δόρατα, ὥςε ἀπὸ τῶν νεῶν μάχεσθαι.

ναυμαχησείοντες πρὸς ναυμαχίαν ἑτοίμως ἔχοντες.

ναύπλιος ἡ ἐν θαλάσσῃ πρόοδος.

ναῦς. Ἀρριανός "Τραϊανὸς ὁ βασιλεὺς πεζῶν τὸν ποταμὸν ν' νῆας εἶχε. τέσσαρες δὲ ἔφερον τὰ σημεῖα τὰ βασιλικά, αἵτινες καὶ τὴν ςρατηγίδα κάλοις μακροῖς ἐξηρτημένην ἐφεῖλκον. εἶχε δὲ ἡ ναῦς μῆκος μὲν κατὰ τριήρη μάλιςα, εὖρος δὲ καὶ βάθος καθ᾽ ὁλκάδα, ὅσον μεγίςη Νικομηδὶς ἢ Αἰγυπτία· ἐν ᾗ ἐπεποίητο βασιλεῖ ἀποχρῶντα ἐνδιαιτήματα. αὕτη δὲ τά τε ἀκροςόλια ἔφαινε, καὶ ἐπ᾽ ἄκρῳ τῷ ἱςίῳ τὸ βασιλικὸν ὄνομα, καὶ ὅσοις ἄλλοις βασιλεὺς γεραίρεται, χρυσῷ ἐγκεχαραγμένα. νενέμητο δὲ τρίχα τὸ πᾶν ναυτικόν, ὡς μὴ τῷ ξυνεχεῖ πλόῳ ταράττοιντο."

ναυσθλώσομαι. ναυσθλώσασθαι κυρίως ἐςὶ τὸ ναῦν μισθώσασθαι· νῦν δὲ τὸ νεὼς ἐπιβήσομαι. sch. A Pac. 125.

Ναυσικάα ὄνομα κύριον.

ναῦς ἱκετεύει πέτρας. ἐπὶ τῶν πάνυ ἀναισθήτων ἡ παροιμία.

Ναυσικράτης κωμικός. τῶν δραμάτων αὐτοῦ ἐςὶ Ναύκληροι, Περσίς.

ναυσίπορος (X Anab. 2 2 3) ὑπὸ νηῶν περαιούμενος.

ναῦς Νικομηδὶς καὶ ςρατηγίς.

ναῦς παλαιὰ πόντον οὐχὶ πλώσει, ἐπὶ τῶν εἰς μηδὲν συντελούντων.

ναύςαθμον τὸν λιμένα. ἐφράττοντο δὲ καὶ δερματίνοις τροποῖς πρὸς τὸ μὴ βλάπτεσθαι τὰ σανιδώματα. ἢ ὅτι ὁ ναυτικὸς ςρατὸς ναύςαθμος καλεῖται. sch. A Ach. 95.

ναυςολίαν πλῶν. καὶ ναυςολῶ ῥῆμα.

Ναύσων Ναυκράτει, ἐπὶ τῶν ὁμοίως ἀποδιδόντων ἀλλήλοις. ὀνοματοποίησις δὲ τὸ Ναύσων, ὡς τὸ ἀγαθῶν ἀγαθῖδες καὶ λευκότεροι Λεύκωνος.

ναύτης καὶ ὁ ἐπιβάτης· (AP 6 166) "εἰκόνα τῆς κήλης Διονύσῳ ὧδ᾽ ἀνέθηκε, σωθεὶς ἐκ ναυτῶν τεσσαράκοντα μόνος."

ναυτιᾶν τὸ ἐν τῇ νηὶ κυρίως ἐμεῖν.

ναυτικῶς δανείζειν· (Diog. L. 7 13) "φασὶ Ζήνωνα ὑπὲρ α' τάλαντα ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα, καὶ ταῦτα δανείζειν ναυτικῶς."

ναυτιλία ὁ πλοῦς.

ναυτιλλόμενος πλέων.

ναυτίλος ὁ ἰχθῦς, καὶ ὁ ναύτης.

ναυτοδίκαι ἄρχοντές εἰσι τοῖς ναυκλήροις δικάζοντες καὶ τοῖς περὶ τὸ ἐμπόριον

ἐργαζομένοις, ὡς καὶ ναυφύλακες ἄρχοντές τινες ἐπὶ τῆς τῶν νεῶν φυλακῆς.

ἀρχή τις ἦν Ἀθήνησιν οἱ ναυτοδίκαι. Κρατερὸς γοῦν φησιν "ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς φρατρίζῃ, διώκειν εἶναι τῷ βουλομένῳ Ἀθηναίων, οἷς δίκαι εἰσί, λαγχάνειν δὲ τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας." Harp.

ναῦφι ἐν ταῖς ναυσί.

ναύφρακτον βλέπεις· Ἀριστοφάνης ⟨Ach. 95⟩ "πρὸς τῶν θεῶν, ἄνθρωπε, ναύφρακτον βλέπεις," ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν οἱ ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες ἐκωπηλάτουν.

ναυφράκτῳ στρατῷ ⟨A Eq. 564⟩ τῷ συμπεφραγμένῳ καὶ συντεταγμένῳ· ἐθαλασσοκράτουν γὰρ οἱ Ἀθηναῖοι μάλιστα ἐπὶ τῇ ἐν Ἀρτεμισίῳ καὶ Σαλαμῖνι ναυμαχίᾳ.

Ναχὼρ ὄνομα κύριον.

Νέαιθος ὄνομα ποταμοῦ.

νεαλὴς κυρίως ὁ νεωστὶ ἑαλωκὼς ἰχθῦς. λέγεται δὲ καὶ ὁ νεωστὶ ἁλισθεὶς καὶ ὁ νεωστὶ ἁλούς. Ἀππιανός "τὸν δὲ δῆμον ἀπὸ τοῦ τείχους ὁρᾶν, καὶ τοῖς πονουμένοις ἑτέρους νεαλεῖς ἐπιπέμπειν ἀεί. οἱ δὲ Κελτοὶ κεκμηκότες ἀκμῆσι συμπλεκόμενοι ἔφευγον ἀτάκτως." καὶ Πολύβιος "τοὺς πολεμίους ἀκεραίους ὄντας καὶ νεαλεῖς."

νεανεία ἡ ἔπαρσις.

Νεάνθης Κυζικηνὸς ῥήτωρ, μαθητὴς Φιλίσκου τοῦ Μιλησίου.

νεανίας τολμηρός, ἢ ὁ νέος.

νεανιεύεται νέου ἔργα ποιεῖ.

νεανιεύματα κομπάσματα, κενὰ τολμήματα.

νεανικὸν ἀντὶ τοῦ μέγα καὶ δυνάμενον χορτάσαι νεανίαν· Ἀριστοφάνης Πλούτῳ ⟨1137⟩ "εἴ μοι πορίσας ἄρτον τίν' εὖ πεπεμμένον δοίης καταφαγεῖν καὶ κρέας νεανικόν."

νεανικῶς ἰσχυρῶς, γενναίως· Ἀριστοφάνης ⟨Vesp. 1298⟩ "κἄτυπτέ με νεανικῶς, παῖ παῖ καλῶν."

νεανισκεύεται Ἄμφις Ἐρίθοις, Ποσείδιππος Δημόταις, Εὔπολις Σφιγξὶν ⟨Αἰξίν⟩. ἰδίως ἐσχημάτικε τὸ νεανισκεύειν ἐν Δήμοις· "γυναῖκ' ἔχοντα μάλα καλήν τε κἀγαθήν. αὕτη νεανισκοῦντος ἐπεθύμησέ μου."

νεαροί νέοι, νήπιοι. καὶ **νεαρώτεροι**· "παίδων νεαρώτεροι οἱ λέγοντες μὴ ἐφορᾶν τὰ τῇδε τὸ θεῖον."

Νέαρχος. οὗτος ξυνεστράτευσεν Ἀλεξάνδρῳ, καὶ συγγραφὴν συνεγράψατο ὑπὲρ Ἀλεξάνδρου. ἐψεύσατο δὲ ναύαρχον ἑαυτὸν ἀναγράψας εἶναι, κυβερνήτης ὤν. Arrian. Anab. 6 2.

νεάτη ἐσχάτη. καὶ **νέατοι φθόγγοι** χορ- a
δῆς μουσικῆς τελευταίας.

νεάτη ἡ ἐσχάτη. καὶ ἡ **νήτη** χορδὴ λε- b
γομένη ὑπὸ τῶν μουσικῶν πρὸς ἀντιδιαστολὴν τῆς τε ὑπάτης καὶ τῆς μέσης.

νέα χελιδών, ἐπὶ τῶν ἐξαπατώντων τινάς. Ἀριστοφάνης Ὄρνισιν ⟨Eq. 420⟩ "ἐξηπάτων γὰρ τοὺς μαγείρους, λέγων τοιαυτί· σκέψασθε παῖδες, οὐχ ὁρᾶθ'; ὥρα· νέα χελιδών. οἱ δ' ἔβλεπον, κἀγὼ ἐν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον."

Νέβελ ὄνομα κύριον. καὶ εἶδος μέτρου Ἑβραϊκοῦ.

νεβρίζων Δημοσθένης ὑπὲρ Κτησιφῶντος ⟨259⟩. οἱ μὲν ὡς τοῦ τελοῦντος νεβρίδα ἐνημμένου καὶ τοὺς τελουμένους διαζωννύντος νεβρίσιν, ἐπὶ τῷ νεβροὺς διασπᾶν κατά τινα ἄρρητον λόγον. Harp.

νεβρίς· ⟨AP 6 172⟩ "κισσωτὴν στέρνοις a
νεβρίδ' ἀναπτομένη."

νεβρὶς ἐλάφου δέρμα· ἐν ἐπιγράμμασιν b
⟨AP 6 87⟩ "ἄνθετό σοι κορύναν καὶ νεβρίδας ὑμέτερος Πάν."

νεβρὸς ἐλάφου γέννημα, οἱονεὶ ἐπὶ τὴν βορὰν ὀξὺν καὶ νεμόμενον. ἐτυμολογεῖται δὲ νεοπόρος τις ὤν. καὶ **νεβρεία καρδία**· Βάβριος ⟨95 93⟩ "πεινῶσα κερδὼ καρδίην δὲ νεβρείην λάπτει πεσοῦσαν, ἁρπάσασα λαθραίως."

Νεβρὼδ ὄνομα κύριον, ἀφ' οὗ οἱ γίγαντες. ὁ αὐτὸς καὶ Νεβρώδης.

Νεεμὰν ὄνομα κύριον.

νέεσθαι πορεύεσθαι.

νέηαι πορευθῇς, ἐπανέλθῃς. Hom. Α 32.

νέηκες νεωστὶ ἠκονημένον.

νεήλατα τὰ νεωστὶ ἀληλεσμένα ἄλφιτα καὶ μέλιτι δεδευμένα, οἷς καὶ ἀσταφίδες καὶ χλωροὶ ἐρέβινθοι συνεφύροντο· ἃ τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον. ἐκάλουν δέ τινες αὐτὰ καὶ ἀμβροσίαν καὶ μακαρίαν ⟨Harp.⟩. κατ' ἔλλειψιν δὲ προφέρουσιν οἱ Ἀττικοὶ τὸ νεήλατα, μὴ προστιθέντες τὸ ἄλφιτα.

νεήλυδες ⟨Hom. Κ 434⟩ νεωστὶ ἐληλυθότες. ἡ εὐθεῖα νέηλυς.

νεηνίας νεανίας.

νεῆνις νεᾶνις.

νείαιρα ⟨Hom. E 539?⟩ τόπος ἔσχατος τῆς γαςρός.

νείατος ἔσχατος. καὶ οὐδετέρως νείατον.

νεικεῖ ψέγει, φιλονεικεῖ.

νεικείῃσι ⟨Hom. Α 579⟩ κακολογήσῃ.

νεικέσαι παρ' Ὁμήρῳ ⟨Η 161⟩ τὸ λοιδορῆσαι, ἀλλ' οὐ τὸ κρῖναι.

νείκη ἡ φιλονεικία.

νεῖκος διαφορὰ μετ' ἐπιπλήξεως· οἱ δὲ μάχη, φιλονεικία, λοιδορία. ⟨Hom. Β 376⟩ "ὅς με μετ' ἀπρήκτυς ἔριδας καὶ νείκεα βάλλει," λέγων κατὰ μέμψιν, καὶ ⟨θ 75⟩ "νεῖκος Ὀδυσσῆος." καὶ μάχη· ⟨Λ 721⟩ "ἐπεὶ ὣς ἄγε νεῖκος Ἀθήνη," ⟨Λ 671⟩ "Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη." νῖκος δὲ ἡ νίκη, διὰ τῦ ι. οὐ μόνον δὲ ἡ φιλονεικία διὰ διφθόγγου, ἀλλὰ καὶ ἡ διὰ χειρῶν μάχη.

Νεῖλος ὁ ποταμός. καὶ οὐδετέρως νειλομέτριον τὸ τοῦ Νείλυ μέτρον. καὶ Νειλῴοις.

νεῖν κολυμβᾶν, καὶ τὸ νήθειν κρόκην. Ἀρριανός ⟨Ind. 24 5⟩ "ὅσοι κουφότατοι καὶ κουφότατα ὡπλισμένοι καὶ τοῦ νεῖν δαημονέςατοι, τέτυς ἐκνήξασθαι κελεύει ἀπὸ συνθήματος." καὶ αὖθις ⟨Iulian. or. 7 p. 206⟩ "ὥσπερ γὰρ οἱ ὄρνιθες ἵπτασθαι, καὶ νεῖν ἰχθύες, αἵ τε ἔλαφοι θεῖν ἐπεὶ πεφύκασιν, οὐδὲν τοῦ διδαχθῆναι προσδέονται."

νειός ἡ νενεασμένη γῆ. καὶ νειοῖο ⟨Hom. Κ 353, Σ 547⟩.

νεῖσθαι κολυμβᾶν ⟨immo πορεύεσθαι⟩.

νεῖται ἀφίξεται, ἐλεύσεται· ⟨AP 7 171⟩ "οὐδ' ἔτι νεῖται, ἵζον ἐπ' ἀγρευταῖς χευάμενος καλάμοις."

νείφω τὸ βρέχω, διὰ διφθόγγυ. νιφόμενος δὲ χιονιζόμενος, διὰ τοῦ ι. νήφων δὲ ἐγρηγορῶν, διὰ τοῦ η.

νεκάδες νεκροί. καταχρηςικῶς δὲ καὶ αἱ τῶν ζῴων τάξεις.

νεκτάρεον ἡδύ, καλόν, εὐῶδες, ἐπὶ τῦ "νεκταρέυ ἑανῦ" ⟨Hom. Γ 385⟩. καὶ νέκταρ θεῶν πόμα. καὶ οἶνος οὕτως, ὡς Ἀναξανδρίδης. καὶ τὸ βρῶμα τῶν θεῶν ὁ αὐτός.

νεκταρέου θείου.

νεκρῷ λέγουσα μύθους εἰς οὖς, ἐπὶ τῶν ἀναισθήτων καὶ μὴ ἐπαϊόντων.

νέκυια. ἡ τῶν νεκρῶν ἑορτὴ φρουδίγα παρὰ Πέρσαις, ἑλληνιςὶ νέκυια. Menand. p. 374 Nieb.

νεκυόμαντις ὁ ἐπερωτῶν τὸν νεκρόν.

νεκυοςόλος ὁ τοὺς νεκροὺς διαπερῶν· ⟨AP 7 63⟩ "τὸν κύνα Διογένην νεκυοςόλε δέξαι πορθμεῦ, γυμνώσαντα βίου παντὸς ἐπισκύνιον."

νέκυς ὁ νεκρός.

Νέμεα καὶ Ἴσθμια τόποι ἐν οἷς ἐτελοῦντο ἐπέτειοι ἀγῶνες.

Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. καὶ Νεμέας σέλινα. Harp.

Νεμέας χαράδρα. τόπος τις οὕτως ἐκαλεῖτο ἐν Πελοποννήσῳ. Harp.

νέμειν καρπῦσθαι, διοικεῖν· "ἀλλὰ παρ' ἐμοὶ γενομένην πατρίδα τε νέμειν ἣν ἐγὼ νέμω, καὶ οἶκον ὃν ἐγὼ κέκτημαι."

νέμειν προςάτην ἀντὶ τῦ ἔχειν προςάτην. τῶν γὰρ μετοίκων ἕκαςος μετὰ προςάτου τῶν ἀςῶν τινὸς τὰ πράγματα αὐτοῦ διῴκει καὶ τὸ μετοίκιον κατετίθει, καὶ τὸ ἔχειν προςάτην καλεῖται νέμειν προςάτην. Ὑπερίδης "ὥςε κελευςέον τοὺς μαρτυρῦντας τὰ τοιαῦτα καὶ τοὺς παρεχομένους μάτην ἀπατᾶν ὑμᾶς, μὴ τυγχάνωσι δικαιότερα λέγοντες· καὶ νόμον ἡμῖν ἀναγκάζετε παρέχεσθαι τὸν κελεύοντα μὴ νέμειν προςάτην."

Νέμειος ὁ ἐν τῇ Νεμέᾳ.

νεμεσᾷ μέμφεται.

νεμεσᾶν τὸ ἐμποδὼν ἵςασθαι τοῖς πραττομένοις κατὰ γνώμην. Artemid. 2 37.

νεμεσηθείς μεμφθείς· "νεμεσηθεὶς δ' ἀλόχῳ κατ' ὄρχησιν βέλει τρωθεὶς λείπει τὸν βίον." Ἰώσηπος "παρεκάλει τὸν θεὸν νεμεσῆσαι μὲν ταῖς τῶν πολεμίων ἐλπίσιν, ἐλεῆσαι δὲ τὸν αὐτοῦ λαόν." καὶ αὖθις ⟨B. I. 6 1 6⟩ "εἰ δὲ νεμεσηθείην τῆς ἐπιβολῆς, ἴσθι με μὴ πταίσαντα παρ' ἐλπίδας."

νεμεσήσομαι φθονήσω, καὶ νεμεσῆσαι μέμψασθαι.

νεμεσητικός ὁ ἐναντίος τῷ φθονερῷ. ὁ μὲν γὰρ φθονερὸς λυπεῖται ἐπὶ ταῖς τῶν καλῶν εὐπραγίαις, ἐπεὶ καὶ ὁ φθόνος τοιοῦτον, νεμεσητικὸς δὲ ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις· τοιοῦτον γὰρ ἡ νέμεσις. ὥςε ὁ νεμεσητικὸς οὐ φθονερός. ἔςι δὲ τὸ πρόβλημα ὁρικόν. Alex. Aphrod. in Top. p. 76.

νεμεσητόν μεμπτόν.

νεμέσια Δημοσθένης ἐν τῷ κατὰ Σπεδίου ⟨11⟩. μήποτε ἑορτή τις νεμέσεως, καθ'

ἦν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα. νεμέσια οὖν ἡ ἐπὶ τοῖς νεκροῖς γινομένη πανήγυρις, ἐπεὶ ἡ νέμεσις ἐπὶ τῶν νεκρῶν τέτακται. Harp.

νεμεσίζει μέμφεται.

a νέμεσις ἡ δίκη· Ἀριϛοφάνης ⟨immo Eur. Phoen. 189⟩ "ἰὼ νέμεσι, βαρύβρομοί τε βρονταί."

b νέμεσις μέμψις, δίκη, ὕβρις, φθόνος, τύχη. "τὴν τῶν ἀλαζόνων τιμωρὸν συνέντες νέμεσιν, ἥπερ αὐτὰς μετῆλθε σὺν τῇ δίκῃ." καὶ αὖθις "οὐκ ἔλαθε τὴν ἅπασιν ἐναντιουμένην τοῖς ὑπερηφάνοις νέμεσιν, ἀλλ' ἐν ταῖς ἰδίαις ἠναγκάσθη παιδευθῆναι συμφοραῖς." "παρῆν δὲ νέμεσις, ἣ τὰ γαῦρ' ἐποπτεύει" Βάβριός φησιν ἐν μυθικοῖς ⟨43 6⟩. καὶ Αἰλιανός "νεμέσεως ἐφόρου, τρόπους ὑπερόπτας καὶ ὑπερηφάνους κολαζούσης, ἐναργῆ μαρτύρια." καὶ παροιμία "νέμεσις δέ γε πὰρ πόδα βαίνει," παρ' ὅσον μέτεισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας. cf. v. ὑπὸ πῆχυν.

Νεμεσίων ὄνομα κύριον· "ὁ δὲ Νεμεσίων ἀνεπτεροῦτο καὶ μετέωρος ἦν ταῖς ἐλπίσι, καὶ ἐδόκει ἑρμαίῳ ἐντετυχηκέναι ἐμοὶ περιτυχών." cf. v. ἑρμαῖον.

νεμεσῶ δοτικῇ.

νεμηθέντων κληρωθέντων· Αἰλιανός "ἀλλὰ καὶ ἐκείνων νεμηθέντων εἰς τὴν ϛάσιν."

νεμήσασθαι διαμερίσασθαι.

νεμήσεις ὑποκριτῶν. οἱ ποιηταὶ ἐλάμβανον τρεῖς ὑποκριτὰς κλήρῳ νεμηθέντας, ὑποκρινομένους τὰ δράματα· ὧν ὁ νικήσας εἰς τοὐπιὸν ἄκριτος παραλαμβάνεται. ἔϛιν οὖν οἷον διαιρέσεις.

νέμοιτο καρποῖτο.

νέμοντα διοικοῦντα.

νέμος ἐπάκτιον τὸ ἄλσος, τὸ ὄρος τὸ παράλιον. Σοφοκλῆς ⟨Ai. 413⟩ "πάραλά τ' ἄντρα καὶ νέμος ἐπάκτιον." "οἱ δὲ ἀγχοῦ τῆς χηλῆς τοῦ ὄρους ηὐλίζοντο, ὡς τὴν ὕλην καὶ τὸ ἐκ ταύτης νέμος πρόβλημα εἶναι."

νεμῶ νομιῶ· "τὴν δ' ἄρ' οὐκέτι νεμῶ πόλιν" ⟨S OC 879⟩.

νένακτο ἐπεπλήρωτο· Ἰώσηπος ⟨B. I. 1 13⟩ "συνεσπίπτει δὲ τοῖς πολεμίοις εἴσω· καὶ πᾶσα οἰκία ὁπλιτῶν νένακτο, τὰ τέγη δ' ἦν τῶν μαινομένων κατάπλεα."

νενεωλκημένας ναῦς ἔξω οὔσας, εἱλκυσμένας.

νενημένην σεσωρευμένην. Ξενοφῶν ⟨Anab. 5 4 27⟩ "εὕροις γὰρ θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων περυσινῶν." καὶ Ἀριϛοφάνης ⟨Nub. 1203⟩ "τί κάθησθ' ἀβέλτεροι, ὄντες λίθοι, ἀριθμός, πρόβατ', ἄλλως ἀμφορεῖς νενησμένοι;" τȣτέϛιν ἀνόητοι. πρὸς τοὺς θεατάς φησι· διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος. ἀμφορεῖς δὲ ἀντὶ τοῦ ματαίως κέραμοι σεσωρευμένοι· νῆσαι γὰρ τὸ σωρεῦσαι.

νενώμεθα διανενοήμεθα.

νεοαρδέα ⟨Hom. Φ 346⟩ νεωϛὶ πεποτισμένα.

νεογιλλόν νεογέννητον.

νεογνόν νεωϛὶ γεννηθέντα.

νεοδαμώδης ὁ ἐλεύθερος παρὰ τοῖς Λακεδαιμονίοις. sch. Thuc. 7 58.

νεόδμητον νεοδάμαϛον.

νεοεργές προσφάτως εἰργασμένον.

νεοθαλής νεωϛὶ βλαϛήσασα.

νεοθανής νεωϛὶ τεθνειώς.

νεοθῆγι νεωϛὶ ἀκονηθέντι· ⟨AP 7 181⟩ "ἣ δὲ σέθεν φθιμένης πολιοὺς νεοθῆγι σιδήρῳ κείρατο γηραλέης ἐκ κεφαλῆς πλοκάμους."

νεοίη ⟨Hom. Ψ 604⟩ θράσος νεότητος, προπέτεια.

νέοις μὲν ἔργα, βȣλὰς δὲ γεραιτέροισι.

νεοκαταϛάτοις ἀνθρώποις φησὶ Θουκυδίδης ⟨3 93⟩ ἀντὶ τȣ̃ νεωϛὶ κατῳκισμένοις.

Νεοκλείδου κλεπτίϛερος. οὗτος κεκωμῴδηται ὡς ῥήτωρ ἦν καὶ τυφλὸς καὶ συκοφάντης καὶ κλέπτης. Ἀριϛοφάνης ⟨Plut. 665⟩ "Νεοκλείδης, ὃς ἔϛι μὲν τυφλός, κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισε."

Νεοκλῆς Ἀθηναῖος φιλόσοφος, ἀδελφὸς Ἐπικούρου, ὑπὲρ τῆς ἰδίας αἱρέσεως. ὅτι Νεοκλέους ἐϛὶ τὸ λάθε βιώσας.

νεόκμητον νεωϛὶ κατεσκευασμένον.

νεολαία νέων συναγωγή, ὁ νέος λαός. "ὑπὲρ τοῦ τὴν νεολαίαν τὴν Ῥωμαίων ἀξιοζήλως τε καὶ ἀμάχῳ θάρσει διαγωνίζεσθαι." καὶ Αἰλιανός "λοιμὸς γὰρ τῇ Ἐφέσῳ πόλει ἐνήκμαζεν οἷος βαρύτατος, προμοίροις δὲ θανάτοις διεφθείροντο ἡ νεολαία, καὶ ἦν ἀγονία, καὶ μέντοι καὶ γυναικῶν καὶ τῆς ἀγέλης τῆς τετράποδος."

νεόλεκτος ὁ νεωϛὶ ἠθροισμένος λαός.

νέον Ὅμηρος ⟨I 446⟩ ἡβώοντα οὐ λέγει νέον καθ' ἡλικίαν, ἀλλὰ κατὰ μεσότητα, οἷον νεωϛὶ ἡβῶντα.

νέοντας νηχομένους· "ἐφεῖλκον καὶ ἵππους νέοντας τρεῖς ἅμα καὶ τέτταρας τοῖς ἀγωγεῦσι" ⟨Polyb. 3 43⟩.

νεόπλουτος ὁ νεωςὶ πλουτῶν.

νεορράντῳ νευρῷ ἀπὸ τοῦ αἵματος· Σοφοκλῆς ⟨Ai. 30⟩ "πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει."

νεορρύτοις νεωςὶ ῥέουσι.

νέορτον νέον· ⟨S OC 1507⟩ "τί δ' ἐςίν, ὦ παῖ Λαΐου, νέορτον αὖ;"

νεός ἡ νεωςὶ ἠροτριαμένη γῆ· ⟨Babr. 33 2⟩ "καί τις γεωργὸς πυρὸν εἰς νεὸν σπείρας φύλασσεν ἑςώς."

νέος ἐςὶ καὶ ὀξύς ⟨Plato Gorg. p. 463 E⟩ ἀμαθής ἐςι καὶ προπετής.

νεόσμηκτον ⟨Hom. N 342⟩ νεόθηκτον.

νεοσπάδα τὴν νεωςὶ ἀποσπασθεῖσαν· Πισίδης "ταύτην δὲ τὴν φάλαγγα τὴν νεοσπάδα."

νεοσσιά ἡ καλιὰ τῶν ςρουθίων.

νεοσσός ὁ ςρουθός.

νεοτελής νεωςὶ τετελειωμένος.

νεοτευχές ⟨Theocrit. 1 28⟩ νεωςὶ κατεσκευασμένον.

νεοττεία ἡ ἐκλέπισις.

νεόττιον γέννημα· Ἀριςοφάνης ⟨Av. 768⟩ "πέρδιξ γενέσθω τοῦ πατρὸς νεόττιον." τοῦ Πισίου ὁ υἱὸς ὅμοιος βούλεται γενέσθαι τῷ πατρί· ἦν δὲ ὁ Πισίας προδότης. καὶ αὖθις ⟨Cratinus⟩ "τρία κνώδαλ' ἀναιδῆ, Πισίας Ὀσφύων Διιτρεφής."

a *νεοττός* ἡ τοῦ ᾠȣ̃ λέκιθος καὶ τὸ πυρρόν. Μένανδρος Ἀνδρίᾳ "καὶ τεττάρων ᾠῶν μετὰ τοῦτο, φιλτάτη, τὸν νεοττόν." Κλέαρχος ἐν τῷ περὶ οἴνων συγγράμματί φησιν "ὃ διαδίδοται ἀρχὴ ὑπὸ τὸν ὑμένα λευκόν· ἐν τούτῳ γὰρ τὸ σπέρμα, καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ· διεψεύσθησαν γὰρ οἱ πρῶτοι τȣ̃το φήσαντες, καὶ ἔςι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος." ὅτι δὲ τὸ ὠχρὸν νεοττὸν ἔλεγον, μαρτυρεῖ καὶ Χρύσιππος ἐν τῷ περὶ χρησμῶν ⟨cf. Cic. de divin. 2 65⟩. ὄναρ γάρ τινά φησι θεασάμενον ἐκ τῆς κλίνης αὐτοῦ κρέμασθαι ᾠά, προσαναθέσθαι ὀνειροκρίτῃ· τὸν δὲ εἰπεῖν "ὀρύττων θησαυρὸν εὑρήσεις κατὰ τὸν τόπον ἐκεῖνον." εὑρόντα δὲ ςαμνίον ἐν ᾧ ἀργύριον ἦν καὶ χρυσίον, ἐνεγκεῖν τι τοῦ ἀργυρίȣ τῷ μάντει· τὸν δὲ μάντιν εἰπεῖν "τȣ̃ δὲ νεοττȣ̃ οὐδέν μοι δίδως;" καὶ Δίφιλος κέχρηται τῇ λέξει· "ᾠῶν δ' ἐν αὐτῇ διέτρεχεν νεόττια."

νεοττός καὶ ὁ νεογνὸς ὄρνις· "οἶδά τοι ἔγωγε καὶ ἐς η' ὅλας ἡμέρας ἀναλωθέντα αὐτῷ κατοικιδίας ὄρνιθος ȣ̓ μέγαν νεοττόν."

νεουργόν νεωςὶ εἰργασμένον.

νεόφθιτον νεωστὶ τελευτῆσαν, νεωστὶ φθαρέν.

Νεόφρων ἢ *Νεοφῶν* Σικυώνιος τραγικός, οὗ φασιν εἶναι τὴν τȣ̃ Εὐριπίδȣ Μήδειαν· ὃς πρῶτος εἰσήγαγε παιδαγωγοὺς καὶ οἰκετῶν βάσανον. ἐδίδαξε δὲ τραγῳδίας ρκ'. συνῆν δὲ τὰ μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ διότι φίλος ἦν Καλλισθένει τῷ φιλοσόφῳ, σὺν ἐκείνῳ καὶ αὐτὸν ἀνεῖλεν αἰκισμοῖς.

νεόφυτον τὸ νεωςὶ φυτευθέν.

Νεόφυτος ὄνομα κύριον.

νεοχάρακτα νεωςὶ κεχαραγμένα· Σοφοκλῆς ⟨Ai. 6⟩ "ἴχνη τὰ κείνου νεοχάρακτα." ὁπόταν γὰρ νεωςὶ αἱ ἀποχαράξεις τῶν ζῴων γένωνται, μᾶλλον ἐπακολȣθοῦσιν οἱ κυνηγέται, πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή.

νεοχμός νέος, νέαν καὶ ἀκαταπόνητον δύναμιν ἔχων. Ἀριςοφάνης ⟨Ran. 1418⟩ "τέρας νεοχμόν" ἀντὶ τοῦ παράδοξον, "ἀτοπίας πλέων" ἀντὶ τοῦ θαύματος.

νεοχμοῦν καινοτομεῖν, νεώτερα ἐργάζεσθαι· "ὃ δὲ φυλάσσειν τῶν καθεςώτων οὐδὲν ἠξίου, πάντα δὲ νεοχμοῦν ἐσαεὶ ἤθελε" ⟨Procop. Arc. 6⟩.

νεοχμώσαντες νεωςὶ κινήσαντες. Ἡρόδοτος ⟨5 19⟩.

νεοχμώσειν νεωτερισθῆναι, καινόν τι ἐργάσασθαι· "ἀσχόλους τε γὰρ αὐτοὺς ὄντας διὰ τὸν πόλεμον μηδὲν νεοχμώσειν."

νέποδες οἱ ἰχθύες, παρὰ τὸ νε ςερητικὸν καὶ τὸ πούς· ἄποδες γάρ εἰσιν. ἐν ἐπιγράμμασι ⟨AP 6 11⟩ "πτηνὰ καὶ ἀγροτέρων κέρδεα καὶ νεπόδων."

νέποδες νηξίποδες. τὸ γὰρ ἄποδες ψεῦδος· ἔχουσι γὰρ πόδας αἱ φῶκαι. "ἀμφὶ δέ μιν φῶκαι νέποδες" Ὅμηρος ⟨δ 404⟩. *Νέπως* δὲ Νέπωτος ἐθνικόν.

Νέρβας βασιλεὺς τῶν Ῥωμαίων. οὗτος καὶ τὸν εὐαγγελιςὴν Ἰωάννην ἐκ τῆς ἐξορίας Πάτμȣ ἀνακαλέσας ἤγαγεν ἐν Ἐφέσῳ, καθ' ὃν καιρὸν καὶ τὸ τῶν Μανιχαίων ἀνεφάνη δόγμα, αὐτȣ̃ Μάνεντος φανερῶς ἐξηγȣμένȣ.

Νεργόβριγες· Ἀππιανός ⟨cf. v. μετριοπαθεῖν⟩ "Νεργόβριγες δ' αὐτοῦ περὶ τῆς μετριοπαθείας πυθόμενοι ἐθαύμαζον."

νέρτερος κατώτερος.

Νέρων βασιλεὺς Ῥωμαίων. οὗτος κραταιουμένης αὐτῷ τῆς βασιλείας ἐς ἀνοσίους πράξεις ἐξώκειλε, καὶ ἀλλότρια τῆς βασιλείας ἐπετήδευσε πράγματα, κιθαρίζων καὶ τραγῳδῶν καὶ ὀρχούμενος ἐπὶ τῶν θεάτρων· καὶ πρὸς πάσαις αὐτοῦ ταῖς ἀθεμιτουργίαις καὶ τὸ τῆς θεομαχίας μύσος προσέθηκε, διώκτης πρῶτος γενόμενος τοῦ θείου λόγου. μετὰ δὲ ταῦτα ἀνεῖλε καὶ τὴν μητέρα καὶ ἑαυτόν.

ὅτι Νέρων ἔτι νέος ὢν ἐσχόλαζε φιλοσόφοις καὶ τὰ περὶ τοῦ Χριςοῦ κατεμάνθανεν· ἔτι γὰρ ἐνόμιζεν αὐτὸν τοῖς ἀνθρώποις συναναςρέφεσθαι. καὶ μαθὼν ὅτι ὑπὸ τῶν Ἰουδαίων ἐςαυρώθη, ἠγανάκτησε καὶ προσέταξεν ἐλθεῖν τοὺς ἱερεῖς Ἄνναν καὶ Καϊάφαν καὶ αὐτὸν Πιλᾶτον τὸν ἄρχοντα τότε γενόμενον σιδηροδεσμίους, καὶ καθίσας ἐπὶ τῆς συγκλήτου τὰ περὶ αὐτοῦ πεπραγμένα κατεμάνθανεν. οἱ οὖν περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἔλεγον ὅτι ἡμεῖς τοῖς νόμοις αὐτὸν παρεδώκαμεν καὶ εἰς καθοσίωσιν οὐχ ἡμάρτομεν· ὁ γὰρ ἄρχων ἐξουσίαν ἔχων, ὅσα ἠθελήθη, ἔπραξεν. ἀγανακτήσας οὖν ὁ Νέρων Πιλᾶτον ἐν τῷ δεσμωτηρίῳ ἐνέβαλε, τοὺς δὲ περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἀπέλυσεν. ἤκμαζε δὲ τότε καὶ Σίμων ὁ μάγος, καὶ διαλεγομένων Πέτρου καὶ Σίμωνος παρουσίᾳ Νέρωνος ἤχθη Πιλᾶτος ἀπὸ τοῦ δεσμωτηρίου, καὶ παριςαμένων τῶν τριῶν τῷ Νέρωνι ἐρωτᾷ τὸν Σίμωνα "σὺ εἶ ὁ Χριςός;" ὁ δὲ λέγει ναί. εἶτα ἐρωτᾷ τὸν Πέτρον "σὺ εἶ ὁ Χριςός;" ὁ δὲ λέγει "οὔ· ἐμοῦ γὰρ παριςαμένου εἰς τὸν οὐρανὸν ἀνελήφθη." ἠρώτησε δὲ καὶ τὸν Πιλᾶτον "ποῖός ἐςιν ἐκ τούτων ὁ λεγόμενος Χριςός;" καὶ εἶπεν "οὐδὲ εἷς· ὁ μὲν γὰρ Πέτρος μαθητὴς αὐτοῦ γέγονε, καὶ εἰσηνέχθη παρ' ἐμοὶ ὡς μαθητὴς αὐτοῦ, καὶ ἠρνήσατο αὐτὸν λέγων 'οὐκ οἶδα τὸν ἄνθρωπον,' καὶ ἀπέλυσα αὐτόν. οὗτος δὲ ὁ Σίμων οὐδαμῶς ἔγνωςαί μοι, οὐδεμίαν δὲ ἔχει ὁμοιότητα πρὸς ἐκεῖνον· ἔςι γὰρ οὗτος καὶ Αἰγύπτιος καὶ ἐμπληθὴς καὶ κατάκομος καὶ μέλας, παντελῶς τῆς ἐκείνου μορφῆς ἀλλότριος." ἀγανακτήσας οὖν ὁ βασιλεὺς κατὰ μὲν τοῦ Σίμωνος ὡς ψευσαμένου καὶ εἰπόντος ἑαυτὸν Χριςόν, κατὰ δὲ τοῦ Πέτρου ὡς ἀρνησαμένου τὸν διδάσκαλον, ἐξέβαλεν αὐτοὺς ἀπὸ τοῦ συνεδρίου. τὸν δὲ Πιλᾶτον τῆς κεφαλῆς ἀπέτεμεν ὡς τηλικοῦτον ἄνθρωπον ἀνελεῖν τολμήσαντα δίχα βασιλικῆς προστάξεως. Io. Antioch. exc. Peir. p. 809. Malala p. 328.

Νέσσος ὁ Κένταυρος, περὶ οὗ φησὶ Σοφοκλῆς (Trach. 590). Δηιάνειρά φησιν "οὕτως ἔχει γ' ἡ πίςις, ὡς τὸ μὲν δοκεῖν ἔνεςι, πείρᾳ δ' οὐ προσωμίλησά πω. ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ' εἰ δοκεῖς ἔχειν, ἔχοις ἂν γνῶμα μὴ πειρωμένη."

Νεςορέη (Hom. B 54) τῇ τοῦ Νέςορος. καὶ **Νεςόρειος οἶκος** ὁ τοῦ Νέςορος.

Νεςορίδης πατρωνυμικόν.

Νεςόριος. μετὰ Μάνεντα καὶ Παῦλον καὶ Ἀπολινάριον καὶ Θεόδωρον ἐφάνη Νεςόριος, ἀπὸ Γερμανικείας τῆς Συρίας, τοῦ θρόνου Κωνςαντινουπόλεως δραξάμενος, ὁμοίως τῇ φωνῇ τῶν ἐν Χριςῷ δύο φύσεων κακοφρόνως ἀποχρησάμενος Παύλῳ καὶ Θεοδώρῳ τοῖς ἑαυτοῦ προγόνοις· υἱὸς μὲν γὰρ ἦν τοῦ Κίλικος, ἀπόγονος δὲ τοῦ Σαμοσατέως. καὶ διὰ τοῦτο πρὸς τὴν ἁγίαν παρθένον καὶ θεοτόκον ἄσπονδον ἤρατο πόλεμον, καὶ τρίτος προςάτης γεγονὼς τῆς Ἰουδαϊκῆς ταύτης αἱρέσεως ἄλλον εἶναι παρ' ἑαυτῷ τὸν Χριςὸν καὶ ἄλλον τὸν θεὸν λόγον κατὰ τὴν πατρικὴν αὐτοῦ πλάνην ἐδογμάτισε. μετὰ δὲ τοῦτον Εὐτυχής. οὗτος δὲ ὁ Νεςόριος φυσικῶς εὔλαλος ὢν πεπαιδεῦσθαι μὲν ἐνομίζετο, τῇ δὲ ἀληθείᾳ ἀνάγωγος ἦν, καὶ τὰς τῶν παλαιῶν ἑρμηνευόντων βίβλους ἀπηξίου μανθάνειν· τυφούμενος γὰρ ὑπὸ τῆς εὐγλωττίας οὐκ ἀκριβῶς προσεῖχε τοῖς παλαιοῖς, ἀλλὰ πάντων κρείττονα ἐνόμιζεν ἑαυτόν. Theodorus presb. de incarn.

Νέςωρ Λαρανδεὺς ἐκ Λυκίας, ἐποποιός, πατὴρ Πεισάνδρου τοῦ ποιητοῦ, γεγονὼς ἐπὶ Σεβήρου τοῦ βασιλέως, Ἰλιάδα λειπογράμματον ἤτοι ἀςοιχείωτον (ὁμοίως δὲ αὐτῷ ὁ Τρυφιόδωρος ἔγραψεν Ὀδύσσειαν)· ἔςι γὰρ ἐν τῇ πρώτῃ μὴ εὑρίσκεσθαι α', καὶ κατὰ ῥαψῳδίαν οὕτως τὸ ἑκάςης ἐκλιμπάνει ςοιχεῖον. μεταμορφώσεις, ὥσπερ καὶ Παρθένιος ὁ Νικαεύς, καὶ ἄλλα.

νευθάν εἶδος μέτρου.

νεῦμαι ἀντὶ τοῦ ἐλεύσομαι· Ὅμηρος (Σ 136) "ἠῶθεν γὰρ νεῦμαι." ἐνεςῶτός ἐςι νέομαι νεῦμαι. βούλεται δὲ εἰπεῖν ἐλεύσομαι.

νεῦρα μάχης ὁ πλοῦτος· Πισίδης (Heracl. 1 163) "βλέπων μάλιςα καὶ τὰ νεῦρα τῆς μάχης, τὸν πλοῦτον ἐκρεύσαντα πρὸς τοὺς βαρβάρους."

νευρῆφιν ⟨Hom. Θ 300⟩ ἐκ τῆς νευρᾶς τοῦ τόξου.

νευσούμενοι κολυμβήσοντες· Ξενοφῶν ⟨Anab. 4 3 12⟩ "ἐκδύντες, ἔχοντες τὰ ἐγχειρίδια, γυμνοὶ ὡς νευσούμενοι ἐπειρώμεθα διαβαίνειν."

νεφέλαι ἡ καπνιώδης ἐκ γῆς ἀναθυμίασις. καὶ εἶδος δικτύου θηρευτικοῦ. sch. A Av. 194.

νεφέλας ξαίνεις, ἐπὶ τῶν μάτην πονούντων. cf. vv. πλίνθος et φακαί.

Νεφελοκοκκυγία πόλις παρὰ Ἀριστοφάνει ⟨Av. 820⟩ πεπλασμένη εἰς τὸν ἀέρα ὅσα.

Νεφθαλείμ ὄνομα πόλεως.

Νεφθαλῖται ἔθνος ἐπικρατῆσαν τῆς ἕω παρὰ Ἰωσήπῳ.

νεφροί οἱ λογισμοί. ἐπειδὴ τὰς ὑπογαςρίους ὀρέξεις οἱ νεφροὶ διεγείρουσιν, ἐντεῦθεν κινοῦνται τῆς ἐπιθυμίας οἱ λογισμοί. Theodoret. in Ps. 7 11.

νέω τὸ κολυμβῶ, καὶ τὸ πορεύομαι.

νεωκορήσει ⟨Plato RP 9 p. 574 D⟩ ἐνίοτε ἀντὶ τοῦ ἱεροσυλήσει· κορεῖν γὰρ λέγουσι τὸ καλλύνειν, τὸ σαροῦν καὶ ἐκκαλλύνειν, τό τε ἐκκορηθείης ἀντὶ τοῦ ἐκκαλλυνθείης.

νεωκόρος ὁ τὸν ναὸν κοσμῶν καὶ εὐτρεπίζων.

νεωλαία ὁ τοῦ νεὼ λαός.

νεωλκήσας ἔξω τὴν ναῦν ἑλκύσας.

Νέων Νέωνος ὄνομα κύριον. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨295⟩ περὶ τῆς πρὸς Φίλιππον τούτου φιλίας φησίν. Harp.

νεώνητον τὸν νεωςὶ ἠγορασμένον, ἐπεὶ μὴ ἐκ γένους ἦν Ἀθηναῖος ὁ Κλέων, ἀλλὰ νεωςὶ προσεληλυθὼς τῇ πολιτείᾳ. ἐμφαίνει δὲ διὰ τούτων ὅτι καὶ τῶν Ἀθηναίων καθάπτεται, ὅτι δέον πιςεύειν αὐτοὺς τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐεργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τὸν Κλέωνα. πεφύκαμεν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον πιςεύειν τοῖς οἴκοι γεννηθεῖσι καὶ συντραφεῖσιν ἢ οἷς ἂν ἐπικτησώμεθα πριάμενοι. sch. A Eq. 2.

νεωρῆ νεωςὶ ἠρτημένον· ἢ ἐκ νέου τινὸς καὶ ὥραν ἔχοντος νέαν. "ὁρῶ νεωρῆ βόςρυχον τετμημένον" ⟨S El. 901⟩, καὶ Σοφοκλῆς ⟨OC 730⟩ "φόβον νεωρῆ τῆς ἐμῆς ἐπεισόδου."

νεώρια ὁ ναύςαθμος τῶν νεῶν. ⟨A Ach. 918⟩ "ἐμπρήσειεν ἂν τὸ νεώριον. ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος, ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον."

νεώρια καὶ νεώσοικοι. μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας εἰς ὃν ἀνέλκονται αἱ τριήρεις, καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε καὶ Ἀνδοκίδης. Harp.

νεώς ἀττικῶς ὁ ναός. θηλυκῶς δὲ ἐπὶ γενικῆς νεὼς τοῦ πλοίου.

νεώσατε ἀροτριάσατε.

Νεῶσι Δημοσθένης κατ' Αἰσχίνου ⟨148⟩. πόλις ἐςὶν ἐν τῇ Φωκίδι. καὶ Ἡρόδοτος μὲν ἐν η' ⟨32⟩ Νεῶνα ὀνομάζει, Ἀνδροτίων δὲ ἐν ϛ' Ἀτθίδος Νεῶνας. Harp.

νεώσοικοι οἰκήματα παρὰ τῇ θαλάσσῃ οἰκοδομούμενα εἰς ὑποδοχὴν νεῶν, ὅτε μὴ θαλαττεύοιεν. ὅτι Πολυκράτης ὁ Σαμίων τύραννος τῶν ὑφ' ἑωυτῷ ὄντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ἐς νεωσοίκους συνειλήσας εἶχεν ἑτοίμους, ἢν ἄρα προδιδῶσιν οὗτοι πρὸς τοὺς κατιόντας, ὑποπρῆσαι αὐτοῖσι τοῖσι νεωσοίκοισι ⟨Herodot. 3 45⟩.

νεωςί προσφάτως.

νέωτα τὸ ἐπιὸν ἔτος· ἤτοι εἰς τὸ μέλλον. ⟨Philemo⟩ "αἰεὶ γεωργὸς ἐς νέωτα πλούσιος." ἢ ἐκ τοῦ νέος, ἐξ οὗ τὸ νεωςί, νέωςα, ὡς δή δῆτα, ἐπεὶ ἔπειτα, καὶ ἐκβολῇ τοῦ σ νέωτα. τὸ ἐκ νέου καὶ ἔναγχος.

νεώτερα· "τοῦτον δὲ ἀνεῖλον ὡς νεώτερα κατὰ Ῥωμαίων πράττοντα."

νεωτερίζει καινὰ πράττει.

νεωτερίζειν. Θουκυδίδης ⟨7 87⟩ "τῆς ἡμέρας τὸ πνῖγος ἐλύπει· νύκτες δὲ μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἀσθενείας ἐνεωτέριζον." "ὁ δὲ βάρβαρος οὐδὲ ἐπὶ τὴν νεωτερίζουσαν τὰ πράγματα τύχην ἔσχεν ἀπενεγκεῖν τὴν αἰτίαν, ὡς ἂν ἔννομόν τινα καὶ ὕπαιθρον ἀγωνισάμενος μάχην."

νεωτερισμός.

νεώτερον καινόν· "ὃ δὲ ἔλεγε δεδιέναι, ἂν ἀδόκητόν τι καὶ νεώτερον κακὸν ἀπαντήσῃ."

νεωτεροποιός ἀντάρτης, τύραννος, ἐπιθέτης.

νεώτερος τὸ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ ἀντὶ τοῦ νέος.

νῆα ναῦν, πλοῖον.

νηγάτεον λεπτόν, καινόν, ἁπαλόν, λευκόν, εὐφυές.

νήγρετος ἀνέγρετος.

νὴ Δία ναὶ μὰ τὸν Δία.

νήδυμος ὁ ἡδὺς καὶ γλυκὺς ὕπνος.

νηδύς γαςήρ, μήτρα.

νήεον ὕλην (Hom. Ψ 139) ἐσώρευον ὕλην. καὶ νηήσας σωρεύσας.

νῆες τὰ πλοῖα.

νήια (Hom. ι 498) τὰ ναυπηγήσιμα ξύλα. καὶ Νήιον (α 486) ὄρος Ἰθάκης, τὸ καὶ Ὑπονήιον.

νήιδα (Hom. Η 198) ἄπειρον, ἀμαθῆ, ἀσθενῆ.

νῆις οὐκ εἰδώς, ἄπειρος. τὴν δὲ νηίδα νύμφην παρὰ τὰ νάματα ἔνιοι, καὶ τὸν Νεῖλον. καὶ ἐν Σάμῳ δὲ θηρία γενέσθαι, ὧν φθεγγομένων ῥήγνυσθαι τὴν γῆν· ἐκαλοῦντο δὲ νήια, ὡς Εὐταίων. cf. Aelian. N. A. 17 28.

νηίτης ὁ διὰ τῶν νηῶν· "οὐ μόνον νηίτῃ ςόλῳ ἀλλὰ καὶ διὰ γῆς κατὰ Βανδίλων ἐςράτευσε." καὶ Αἰλιανὸς περὶ Λακεδαιμονίων "νηίταις κινδύνοις μὴ πάνυ συντραφέντες."

νηκερδής ἀνωφελής, ἀσύνετος.

νηκούςησε (Hom. Υ 14) παρήκουσε.

νηκτά ἔνυδρα, κολυμβητά.

Νηλεύς ὄνομα κύριον.

νηλεῶς ἀπανθρώπως, σκληρῶς. λέγεται καὶ νηλειῶς.

νηλής (Hom. Ι 632) ὁ ἀνηλεής.

νηλίπους ὁ ἀνυπόδητος· (S OC 348) "γεροντανωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη."

νηλιτής ὁ ἁμαρτωλός.

νῆμα καὶ νήματα.

νημερτές ἀληθές.

νηνεμία (Hom. ε 391) ἀνέμων ἀπουσία.

νήνεμος ἄνεμον οὐκ ἔχων.

νηοφυλακεῖον.

νηπενθές ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων" (Hom. δ 121) ἀντὶ τοῦ ἀπενθές.

νήπια τὰ βρέφη.

νηπιέη ἀφροσύνη. Hom. Ι 491.

νήπιος ἄφρων, ἀνόητος. (Polyb. 24 8) "Φίλιππος ὁ Μακεδὼν πολλοὺς ἀνελὼν ὕςερον ἐφθέγξατο τοῦτον τὸν ςίχον· νήπιος, ὃς πατέρα κτείνας υἱοὺς καταλείπει." (Hes. O. 40) "νήπιοι, οὐδὲ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός·" ἔσθ' ὅτε γὰρ πλειόνων ἐπιθυμῶν τις ἀποβάλλει καὶ ἃ ἔχει.

νηποινί ἄνευ τιμωρίας καὶ ποινῆς· "αἰτιώτατος γεγονὼς τῆς ςάσεως οὐ φεύξεται νηποινὶ τὸ ἐπίκλημα." καὶ αὖθις "οὐ γὰρ νηποινί γε πείσεσθαι ἃ πρὸς αὐτῶν ἐπεπόνθει."

νηπύτιος νήπιος, ποιητικῶς· Ἀριςοφάνης Νεφέλαις (868) "νηπύτιος γάρ ἐςι καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶνδε."

Νηρεύς ὁ θαλάσσιος θεός.

Νηρῆδας τὰς νύμφας, κατὰ συγκοπὴν τοῦ ι.

Νηρηίδες νύμφαι ν' τὸν ἀριθμόν εἰσι. Σοφοκλῆς (OC 718) "τῶν ἑκατομπόδων Νηρῄδων ἀκόλουθος."

Νηρηίνη.

Νηρῇς κατὰ συναίρεσιν ἐκ τοῦ Νηρηίς, ὥσπερ καὶ τὸ Χρυσηὶς Χρυσῇς καὶ Βρισηὶς Βρισῇς.

νηρίθμους ἀναριθμήτους, ἀπείρους.

Νηρίον.

νηρίτης θαλάσσιος κόχλος.

Νήριτον ὄρος.

νῆσαι σωρεῦσαι, καὶ νήσουσι σωρεύσουσι.

Νησίον. καὶ νησιώτης ὁ ἀπὸ νήσου. καὶ νησύδριον νησίον μικρόν.

Νῆσις Νήσιδος ὄνομα πόλεως, καὶ ὄνομα θεᾶς.

νῆσος.

νῆσσα τὸ ὄρνεον. καὶ νῆττα.

Νῆσσα ὄνομα κύριον.

νηςεία ἐκ τοῦ νηςεύω. καὶ νήςιμος ἡ τῆς νηςείας ἡμέρα.

νῆςις ὁ ἄσιτος· καὶ τὸ μεταξὺ τῆς κοιλίας καὶ τοῦ ςομάχου ἔντερον, παρὰ τὸ νή ςερητικὸν μόριον καὶ τὸ ἔδειν, ἢ παρὰ τὸ νή ςερητικὸν καὶ τὸ σῖτος. "νῆςις θ', ἢ δακρύοις γε πικροῖς νωμᾷ βρότειον γένος" (Empedocles ap. Sext. Empir. p. 462) τὸ ὕδωρ λέγων.

νήτη χορδὴ μουσική, ὀξὺν φθόγγον ἀποτελοῦσα.

νὴ τήν μὰ τήν.

νὴ τὴν ἱερὰν κεφαλήν. τὸ νή κατωμοτικόν ἐςιν ἐπίρρημα, τουτέςι μεθ' ὅρκου βεβαιωτικόν, ὥσπερ τὸ μά ἀπωμοτικόν, μεθ' ὅρκου ἀρνητικόν. νὴ τόν καὶ ναὶ μὰ τόν· κατωμοτικὰ ταῦτα, ἀπωμοτικὰ δὲ μὰ τὸν Δί', οὐ μὰ τόν. ὥςε ἐσχάτη ἀκυρολογία τὸ λέγειν "μὰ τὸν Δία ποίησον."

νῆτον δυικὸν ῥῆμα.

νῆτρον τὸ κλωςήριον.

νηῦς ἡ ναῦς.

νηφαλέος ὁ σώφρων.

νηφάλια ξύλα τὰ μὴ ἀμπέλινα μήτε σύκινα μήτε μύρσινα· ἐκεῖνα γὰρ οἰνόσπονδα λέγεται.

νηφάλιοι θυσίαι ἐν αἷς οἶνος ὀ σπένδεται, ἀλλὰ ὕδωρ μελίκρατον.

νηφάλιος θυσία παρὰ Ἀθηναίοις ἐτελεῖτο μνημοσύνῃ, ἠοῖ, ἡλίῳ, σελήνῃ, νύμφαις, Ἀφροδίτῃ οὐρανίᾳ, ὥς φησι Πολέμων. καὶ ξύλα δὲ νηφάλια τὰ μὴ ἀμπέλινα μήτε σύκινα, ἀλλὰ τὰ ἀπὸ τῶν θύμων. καὶ πρώτη ἐςὶν αὕτη ὕλη πρὸς τὰς ἐμπύρους θυσίας· παρ' ὃ καὶ τοὔνομα λαβεῖν τὸν θύμον, ὡς παρὰ τὴν θυμίασιν καὶ τὴν θυὴν πεποιημένης τῆς φωνῆς. εἰσὶ δέ τινες τὸ παράπαν ἄσπονδοι θυσίαι, κατὰ τύχην εἰς ἔθος παρελθοῦσαι. Σοφοκλῆς ⟨OC 98⟩ "οὐ γὰρ ἄν ποτε πρώταισιν ὑμῖν ἀντέκυρσ' ὁδοιπορῶν, νήφων ἀοίνοις," πρὸς τὰς Εὐμενίδας λέγων.

νηφαλισμός ἡ προσοχή.

νῆφε γρηγόρει. ⟨Polyb. 18 23⟩ "ἀλλ' ἐςὶν αἴτιον τὸ μὴ πρόχειρον ὑπάρχειν τὸ παρ' Ἐπιχάρμῳ καλῶς εἰρημένον νῆφε καὶ μέμνησ' ἀπιςεῖν· ἄρθρα ταῦτα τῶν φρενῶν."

νήχεται κολυμβᾷ.

νήχυτος ἔρως. cf. v. εὐρώς.

νία τὰ σχοινία ⟨cf. vv. ἄκιτιν et ἅλα⟩.

νίβα χιόνα. καλεῖται δὲ ὅτως καὶ κρήνη ἐν Θρᾴκῃ.

Νίγερ ὄνομα κύριον.

νίγλαροι τὰ τερετίσματα καὶ περίεργα κρούματα. κροῦμα δέ ἐςι καὶ μέλος μουσικὸν παρακελευςικὸν ὁ νίγλαρος. sch. A Ach. 559.

Νιγρῖνος ὄνομα κύριον.

νίδες αἰδοῖα, ἢ ὀρχίδια παιδίων. Σικελοί.

νίζε νίπτε.

νίζει ῥύπτει, πλύνει, νίπτει, κλύζει, ἀποσμήχει.

Νικαγόρας Μνησαίου ῥήτορος, Ἀθηναῖος σοφιςής. γέγονε δὲ κατα Φίλιππον τὸν Καίσαρα. βίους ἐλλογίμων, περὶ Κλεοπάτρας τῆς ἐν Τρῳάδι, πρεσβευτικὸν πρὸς Φίλιππον τὸν Ῥωμαίων βασιλέα.

a *Νίκαια* ὄνομα πόλεως Βιθυνίας, ἐν ᾗ παραρρεῖ καὶ ποταμὸς Φάρνουτις λεγόμενος.

b *Νίκαια* Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας ⟨132⟩. ἔςι δὲ πόλις Λοκρίδος ἐπιθαλαττίδιος.

νικαίην νίκην.

Νίκανδρος Ξενοφάνους Κολοφώνιος, κατὰ δέ τινας Αἰτωλός, ἅμα γραμματικός τε καὶ ποιητὴς καὶ ἰατρός, γεγονὼς κατὰ τὸν νέον Ἄτταλον ἤγουν τὸν τελευταῖον, τὸν γαλατονίκην, ὃν Ῥωμαῖοι κατέλυσαν. ἔγραψε θηριακά, ἀλεξιφάρμακα, γεωργικά, ἑτεροιουμένων βιβλία ε', ἰάσεων συναγωγήν, προγνωςικὰ δι' ἐπῶν (μεταπέφρασται δὲ ἐκ τῶν Ἱπποκράτους προγνωςικῶν), περὶ χρηςηρίων πάντων βιβλία γ', καὶ ἄλλα πλεῖςα ἐπικῶς.

Νικάνωρ ὁ Ἑρμείου Ἀλεξανδρεὺς γραμ- a
ματικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος, ὅτε καὶ Ἕρμιππος ὁ Βηρύτιος, περὶ ςιγμῆς τῆς παρ' Ὁμήρῳ καὶ τῆς ἐξ αὐτῶν διαφορᾶς ἐν τῇ διανοίᾳ, περὶ ςιγμῆς τῆς καθόλου βιβλία ς', ἐπιτομὴν τούτων βιβλίον α', περὶ ςιγμῆς τῆς παρὰ Καλλιμάχῳ, κωμῳδούμενα, περὶ ναυςάθμου, περὶ τοῦ ὦναξ, καὶ ἄλλα.

Νικάνωρ. τρεῖς γεγόνασι Νικάνορες, ὧν b
μὲν υἱὸς Βαλάκρου, ἕτερος δὲ Παρμενίωνος, ἄλλος δὲ Σταγειρίτης τὸ γένος, οὗ καὶ Ὑπερίδης μνημονεύει ἐν τῷ κατὰ Δημοσθένους. Harp.

Νικασία νησίδιον πλησίον Νάξου.

νικᾷ τὸν ὀνηλάτην, πρὸς τὸν μὴ ἀκούοντα νουθετοῦντος, ἀλλ' ἑαυτὸν προϊέμενον εἰς ἀπώλειαν.

νίκη ἡ τοῦ πολέμου.

νίκη Ἀθηνᾶ Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ὅτι δὲ νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον ἐν μὲν τῇ δεξιᾷ ῥοιὰν ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο παρ' Ἀθηναίοις, δεδήλωκεν Ἡλιόδωρος ὁ περιηγητὴς ἐν πρώτῳ περὶ ἀκροπόλεως. Harp.

Νικήτας καὶ *Νικήτης* ὀνόματα κύρια.

Νικίας Ἀθηναίων ςρατηγός. οὗτος Κύθηρα τὴν νῆσον εἷλε, καὶ περὶ τῆς Σπάρτης εἰς φόβον κατέςησε Λακεδαιμονίους, ὡς καὶ φρουρὰν αὐτοὺς ἐν τῇ πόλει καταςῆσαι. εἰρήνην δὲ πεντηκονταέτη ταῖς πόλεσιν ἐπρυτάνευσεν· ἦν γὰρ εἰρηνικός, ὡς καὶ δειλὸς εἶναι διὰ τοῦτο νομίζεσθαι. ἡ δὲ εἰρήνη ἑβδόμῳ ἔτει διαλύεται, λύσαντος αὐτὴν Ἀλκιβιάδου. ςρατεύει δὲ ἐπὶ Σικελίαν σὺν Ἀλκιβιάδῃ, καὶ ἡττηθεὶς καὶ νόσῳ νεφρίτιδι συσχεθεὶς ἔγραψε πρὸς Ἀθηναίους ἢ τὴν οὖσαν μεταπέμψασθαι δύναμιν ἢ ἑτέραν ἀποςέλλειν. καὶ ἀπέςειλαν ὑπὸ ςρατηγῷ Δημοσθένει, ὃς καὶ αὐτὸς ἡττήθη. καὶ οἱ μὲν ἔφυγον, οἱ δὲ ςρατηγοὶ ἐζωγρήθησαν· ἀπέκτειναν δὲ αὐτοὺς οἱ Σικελοί.

Νικόλαος Δαμασκηνός, γνώριμος Ἡρώ- a
δου τοῦ τῶν Ἰουδαίων βασιλέως καὶ Αὐγούςου Καίσαρος, φιλόσοφος περιπατητικὸς ἢ

Πλατωνικός, ἔγραψεν ἱςορίαν καθολικὴν ἐν βιβλίοις πʹ, καὶ τοῦ βίου Καίσαρος ἀγωγήν. οὕτως δὲ ἠσπάσατο αὐτὸν Καῖσαρ ὡς τοὺς ὑπ᾽ ἐκείνου πεμπομένους πλακοῦντας Νικολάους αὐτὸν καλεῖν· καὶ διαμένει τοῦτο ἄχρι τῆς σήμερον. ἔγραψε καὶ περὶ τοῦ ἰδίου βίου καὶ τῆς ἑαυτοῦ ἀγωγῆς.

οὗτος ἐν τῇ ὅλῃ παιδείᾳ τεθραμμένος διὰ τὸ καὶ τὸν πατέρα αὐτοῦ περὶ ταῦτα μάλιςα σπουδάσαι, ἐπειδὴ ἀπ᾽ αὐτῆς αὐτῷ ὅ τε πλοῦτος καὶ ἡ δόξα ὑπεγένετο, ἔτι μᾶλλον ηὔξησε ταύτην, ἔρωτά τινα ἀδιήγητον αὐτῆς σχών, ἄλλως τε καὶ φύσεως οὐ φαύλης λαβόμενος, ὥςε πρὶν γενειᾶν εὐδόκιμος εἶναι ἐν τῇ πατρίδι καὶ τῶν ἡλίκων διαφέρειν. γραμματικῆς τε γὰρ οὐδενὸς χεῖρον ἐπεμεμέλητο καὶ δι᾽ αὐτὴν ποιητικῆς πάσης, αὐτός τε τραγῳδίας ἐποίει καὶ κωμῳδίας εὐδοκίμους, ἔτι μᾶλλον ὕςερον αὐξηθείς, ὥςε καὶ τὴν δύναμιν συναυξῆσαι ῥητορικῆς τε καὶ μουσικῆς καὶ τῆς περὶ τὰ μαθήματα θεωρίας καὶ φιλοσοφίας πάσης. ζηλωτὴς γὰρ Ἀριςοτέλους γενόμενος καὶ τὸ ποικίλον τῆς περὶ τὸν ἄνδρα παιδείας ἀγαπήσας, χάριν εἰδέναι πᾶσιν ἔλεγεν ἀεὶ τοῖς μαθήμασι, πολὺ μὲν ἔχουσι τὸ ἐλευθέριον, πολὺ δὲ τὸ χρήσιμον εἰς τὸν βίον, πάντων δὲ μάλιςα τὸ εὐδιάγωγον πρός τε νεότητα καὶ γῆρας. ἔλεγε δὲ καὶ τὰς μούσας διὰ τοῦτο ἄρα πολλὰς ὑπὸ τῶν θεολόγων παραδεδόσθαι, ὅτι πολὺ τὸ ποικίλον ἔχει τὰ παιδεύματα καὶ πρὸς πᾶσαν βίου χρῆσιν οἰκεῖον· καὶ οὔτε τὴν ἐμπειρίαν αὐτῶν οὔτε τὴν ἀπόλειψιν ὁμοίως ὑπελάμβανεν εἶναι τῇ τῶν βαναύσων τεχνῶν, ἀλλὰ τοὐναντίον ἐπονείδιςον τοῖς μετρίως ζῶσι τήν τε τούτων ἄγνοιαν καὶ τὴν τῶν βαναύσων ἐπιςήμην. οὗτος μὲν οὖν οὐκ ἔςιν ὅτῳ τῶν παιδευμάτων πρὸς ἀργυρισμὸν ἐχρήσατο, οὐδὲ ἐκαπήλευσεν.

ἔφη δὲ Νικόλαος ὁμοίαν εἶναι τὴν ὅλην παιδείαν ἀποδημίᾳ. ὡς γὰρ ἐν ταύτῃ προσσυμβαίνει τοῖς ἀποδημοῦσι καὶ μακρὰν ὁδὸν διεξιοῦσιν ὅπου μὲν ἐγκατάγεσθαί τε καὶ ἐναυλίζεσθαι μόνον, ὅπου δὲ ἐναριςᾶν, ὅπου δὲ πλείους ἐνδημεῖν ἡμέρας, ἐνίους δὲ τόπους ἐκ παρόδου θεωρεῖν, ἐπανελθόντας μέντοι ταῖς ἑαυτῶν ἐνοικεῖν ἑςίαις, οὕτω καὶ διὰ τῆς ὅλης παιδείας διερχομένους δεῖν ἐν οἷς μὲν ἐπιτηδεύμασιν ἐπὶ πλέον ἐνδιατρίβειν ἐν οἷς δ᾽ ἐπ᾽ ἔλαττον, καὶ τὰ μὲν ὅλα τὰ δὲ ἐκ μέρους τὰ δὲ ἄχρι ςοιχειώσεως παραλαμβάνειν, καὶ τὸ ἐκείνων χρήσιμον κατασχόντας ἐπὶ τὴν ὡς ἀληθῶς πατρῴαν ἑςίαν ἀνελθόντας φιλοσοφεῖν. Exc. Peir. p. 417.

Νικόλαος Μύρων τῆς Λυκίας, ὁ διά- b
πυρος τῶν χριςιανῶν καὶ ζηλωτὴς καὶ ἱερεύς, ὁ πολλὴν ἔχων πρὸς τὸν θεὸν παρρησίαν. οὗτος οὐκ ἔγραψε μέν, ἐν ὀνείροις δὲ ἐπιςὰς τῷ βασιλεῖ Κωνςαντίνῳ καὶ τρεῖς ςρατιώτας ἔκ τινος διαβόλου κατακριθέντας τὴν ἐπὶ θανάτῳ ἐρρύσατο, παράκλησιν δι᾽ εὐχῆς παρ᾽ αὐτῶν δεξάμενος. καὶ ἄλλους δέ τινας ςρατιώτας ὁμοίως ἐκ θανάτου ἐξήρπασε, καὶ οὐ παύεται μέχρι τῆς σήμερον τοὺς τὴν πρεσβείαν αὐτοῦ ἐπικαλουμένους ἀπὸ πάσης ἀνάγκης λυτρούμενος.

Νικόλαος Μύρων τῆς Λυκίας, ἀδελφὸς c
Διοσκορίδου γραμματικοῦ καὶ ὑπάρχου καὶ ὑπάτου καὶ πατρικίου, σοφιςεύσας καὶ αὐτὸς ἐν Κωνςαντινουπόλει, μαθητὴς γεγονὼς Λαχάρους, ἔγραψε τέχνην ῥητορικὴν καὶ μελέτας.

Νικόλαος ῥήτωρ, γνώριμος Πλουτάρχου d
καὶ Πρόκλου (Πλουτάρχου δὲ λέγω τοῦ ἐπίκλην Νεςορίου), ἔγραψε προγυμνάσματα καὶ μελέτας ῥητορικὰς καὶ ἄλλα τινά. ἤκμαζεν ἐπὶ Λέοντος βασιλέως τοῦ πρεσβυτέρου, καὶ ἕως Ζήνωνος καὶ Ἀναςασίου.

Νικόμαχος Ἀθηναῖος τραγικός, ὃς Εὐ- e
ριπίδην παραδόξως καὶ Θέογνιν ἐνίκησε. τῶν δραμάτων ἐςὶν αὐτοῦ Οἰδίπους.

Νικόμαχος Ἀλεξανδρεὺς τῆς Τρωικῆς, b
τραγικός, γράψας τραγῳδίας ιαʹ, ὧν καὶ αἵδε, Ἀλέξανδρος, Ἐριφύλη, Γηρυόνης, Ἀλετίδης, Εἰλείθυια, Νεοπτόλεμος, Μυσοί, Οἰδίπους, Περσίς, Πολυξένη, Τριλογία, Μετεκβαίνουσαι, Τυνδάρεως ἢ Ἀλκμαίων, Τεῦκρος.

Νικόμαχος Σταγειρίτης φιλόσοφος, υἱὸς c
μὲν Ἀριςοτέλους τοῦ φιλοσόφου, μαθητὴς δὲ Θεοφράςου, ὡς δέ τινες, καὶ παιδικά. ἔγραψεν ἠθικῶν βιβλία ςʹ, καὶ περὶ τῆς φυσικῆς ἀκροάσεως τοῦ πατρὸς αὐτοῦ.

Νικόμαχος ἰατρός, καὶ αὐτὸς Σταγει- d
ρίτης, Μαχάονος τοῦ Ἀσκληπιοῦ υἱός, ἐξ οὗ κατήγετο Νικόμαχος ὁ πατὴρ Ἀριςοτέλους τοῦ φιλοσόφου, καὶ αὐτὸς ἰατρός. ἔγραψεν ἰατρικῶν βιβλία ςʹ καὶ φυσικῶν αʹ.

Νικομήδεια πόλις, καὶ **Νικομηδὶς** ναῦς.

Νικόπολις. καὶ **Νικοπολίτης** ὁ ἀπὸ τῆς αὐτῆς πόλεως.

Νικοσθένης ὄνομα κύριον.

a *Νικόςρατος κωμικός. τούτου μέμνηται Ἀθήναιος ἐν β' Δειπνοσοφιςῶν, λέγει δὲ ὅτι δράματα αὐτοῦ ἐςὶ Πάνδροσος καὶ Ἄντυλλος, ὃς καὶ Φιλεταίρου δοκεῖ εἶναι, καὶ Ἱεροφάντης καὶ Κλεινή, ἔτι δὲ Ἄβρα καὶ Ἡσίοδος καὶ Διάβολος καὶ Ἀντερῶσα καὶ Ἑκάτη, Μάγειρος, Ὦτις* ⟨an *Πατριῶται*⟩, *Πλοῦτος, Σύρος, Ἀπελαυνόμενος, Ψευδοςιγματίας καὶ Τοκιςής. ταῦτα ἐν παραθήκῃ εὗρον κείμενα.*

b *Νικόςρατος Μακεδὼν ῥήτωρ. ἐτάχθη δὲ ἐν τοῖς κριθεῖσιν ἐπιδευτέροις δέκα ῥήτορσι, σύγχρονος Ἀριςείδου καὶ Δίωνος τοῦ χρυσοςόμου· ἦν γὰρ ἐπὶ Μάρκου Ἀντωνίνȣ τοῦ βασιλέως. ἔγραψε δεκαμυθίαν, εἰκόνας, πολυμυθίαν, θαλαττȣργὺς καὶ ἄλλα πλεῖςα, καὶ ἐγκώμια εἴς τε τὸν Μάρκον καὶ ἄλλους.*

Νικοφῶν Θήρωνος Ἀθηναῖος κωμικός, σύγχρονος Ἀριςοφάνους τοῦ κωμικοῦ. τῶν δραμάτων αὐτοῦ καὶ ταῦτα, ἐξ Ἄδȣ ἀνιών, Ἀφροδίτης γοναί, Πανδώρα, Ἐγχειρογάςορες, Σειρῆνες.

Νικοχάρης Φιλωνίδου τοῦ κωμικοῦ, Ἀθηναῖος κωμικός, σύγχρονος Ἀριςοφάνȣς. τῶν δραμάτων αὐτȣ̃ Ἀμυμώνη, Πέλοψ, Γαλάτεια, Ἡρακλῆς γαμῶν, Ἡρακλῆς χορηγός, Κρῆτες, Λάκωνες, Λήμνιαι, Κένταυροι, Χειρογάςορες.

Νικυρίς ὄνομα τόπου.

νικῷεν καὶ νικῴη εὐκτικά.

Νίκων. οὗτος πὺξ καὶ πάλην καὶ παγκράτιον καὶ δρόμον καὶ τἄλλα ἐν Ὀλυμπίᾳ καὶ Νεμέᾳ καὶ Ἰσθμοῖ καὶ ἄλλοις ἀγῶσι νικήσας ἔλαβε ςεφάνους, ὥς φασι, χιλίȣς καὶ τετρακοσίους. ἀπελθόντος δὲ αὐτοῦ ἐξ ἀνθρώπων, τῶν ἀπεχθανομένων τις ζῶντι αὐτῷ παρεγίνετο ἐπὶ τὴν εἰκόνα αὐτοῦ καὶ ἐμαςίγου αὐτήν, ἐς ὃ πεσοῦσα ἐκείνη ἠμύνατο τὸν ὑβριςήν. τοῦ δὲ οἱ παῖδες ἐπεξῄεσαν φόνου τῇ εἰκόνι, καὶ οἱ Θάσιοι καταποντοῦσιν αὐτήν, κατὰ νόμον Δράκοντος Ἀθηναίȣ ὑπερορίζοντος φονεύοντα καὶ τὰ ἄψυχα. ταύτην δὲ ἡ Πυθία ἔχρησε κακῶς Θασίοις πράττȣσιν ἀνενεγκεῖν. ἀπορȣ́ντων δὲ περὶ τῆς ἀναγωγῆς, οἱ ἁλιεῖς τὰ δίκτυα χαλάσαντες ἐπὶ ἰχθῦς ἀνήνεγκαν τὴν εἰκόνα. καὶ ἔςησαν αὐτὴν οἱ Θάσιοι ὅθι καὶ πρῶτον ἦν. Pausan. 6 11 de Theagene.

νὶν αὐτάς· "Εὐμενίδας ὅ γ' ἐνθάδ' ὢν εἴποι λεώς νιν" Σοφοκλῆς ⟨OC 43⟩. *"σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς τοὔργον, τὰ δ' ἔργα τȣ̀ς λόγȣς εὑρίσκεται"* ⟨El. 624⟩.

Νινευὶ πόλις, καὶ Νινευίτης ὁ ἀπὸ τῆς αὐτῆς πόλεως.

Νιόβη ὄνομα κύριον.

Νιρεύς ὁ καλὸς καὶ εὔμορφος.

Νῖσα πόλις. καὶ Νισαία πόλις.

Νισαία τῆς Μεγαρίδος νεώριον.

Νίσαιον τόπος Περσίδος, ἔνθα ἵπποι ὤκιςοι γίνονται, Νισαῖοι λεγόμενοι. οἱ δὲ ⟨Herodot. 7 40⟩ *ὅτι πεδίον μέγα τῆς Μηδικῆς, τῷ οὔνομά ἐςι Νίσαιον. τοὺς οὖν δὴ ἵππȣς τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο. καὶ Νισαῖος ὄνομα κύριον, καὶ ὁ πολίτης καὶ ὁ ἵππος.*

Νίσιβις Νισίβεως ὄνομα πόλεως. καὶ Νισιβηνός ὁ πολίτης.

Νῖσος ὄνομα κύριον. Νίσῳ δ' ἔλαχεν ἡ Μεγαρίς.

νισσόμενος ⟨Hom. *Ν* 186⟩ *ἀναςρεφόμενος, καὶ νίσσοντο* ⟨*Μ* 119⟩ *ἀνεςρέφοντο.*

νιτάριον καὶ βιτάριον ὑποκοριςικὰ πρὸς γυναῖκας. νιτάριον οἷον νεόττιον, τουτέςι κοράσιον. Σύμμαχος δέ φησι, Νίταρος πολὺς ἐπὶ μαλακίᾳ ὀνειδιζόμενος, καὶ Βάτος. καὶ τὰς μικρὰς καὶ θηλείας βατύλας ἔλεγον, καὶ Θεοπόμπου δρᾶμα ἐςι Βατύλη. οἱ δέ φασιν εἴδη φυτῶν· θέλει οὖν εἰπεῖν ὅτι ὡς ἄνθη με εἶχεν. Ἀριςοφάνης ⟨Plut. 1012⟩ *"καὶ νὴ Δί' εἰ λυπουμένην γ' αἴσθοιτό με, νιτάριον καὶ βιτάριον ὑπεκορίζετο."*

Νιτάριος ὄνομα κύριον.

Νιτέρειον ἀκρωτήριον.

Νιτρία τόπος.

νίτρον.

Νίτωκρις ὄνομα κύριον.

νιφάδες ςαγόνες· "καὶ ἔπεα νιφάδεσσιν ἐοικότα" ⟨Hom. *Γ* 222⟩.

νίφει χιονίζει, καὶ νιφόμενος χιονιζόμενος.

νιφετός ἡ κατὰ λεπτὸν καταφερομένη χιών. τέσσαρές εἰσι πήξεις τῆς ἐν τῷ ἀέρι ὑδατώδȣς ὑγρότητος, ὑπὲρ γῆν μὲν ἄνω ἐπ' ἔλαττον μὲν χιών, ἐπὶ πλέον δὲ χάλαζα, ἐπὶ γῆς δὲ κάτω ἐπ' ἔλαττον μὲν πάχνη, ἐπὶ πλέον δὲ κρύςαλλος. ὁ δὲ νιφετὸς πῆξις οὐκ ἔςιν, ἀλλὰ μᾶλλον περὶ τὴν ἀλλοίαν χροιὰν ἡ ποιότης αὕτη. "ἅτε τῆς χώρας τῶν Σκυθῶν θαμὰ νιφετῷ παλυνομένης, καὶ ἀδύνατον ὂν αὐτοῖς ἄνευ κρυμώδους καταςήματος βιο-

τεύειν" (Menand. p. 297 Nieb.). καὶ αὖθις (AP 6 252) "ἐς δέ σ', ἄνασσα, τοίην χὼ νιφόεις κρυμὸς ὀπωροφορεῖ."

νιφοσιβεῖς δίυγροι· (S Ai. 669) "καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα τιμαῖς ὑπείκει. τοῦτο μὲν νιφοσιβεῖς χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει."

νόημα ἐφεύρεμα· (A Eq. 1203) "τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν." οὕτω γὰρ οἱ δημαγωγοὶ ἀμειβόμενοι ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεοῦ, ὅτι ἡ μὲν θεὸς ὑπέβαλεν, ἥρπασα δ' ἐγώ.

Νοήμονος.

νοητὰ τὰ μὴ αἰσθητά, τὰ ἀόρατα.

νοθεία ἡ λαθραία γέννα, ἡ πορνεία.

νοθεῖα. τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα οὕτω καλεῖται, ἦν δὲ μέχρι χιλίων δραχμῶν. οὕτω Λυσίας καὶ Ἰσαῖος καὶ Ἀριϛοφάνης (Av. 1643) καὶ Ὑπερίδης καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριϛοκράτȣς (213). Harp.

νοθεύει ἀπατᾷ, ἀπαλλοτριοῖ.

νόθος ὁ ξένος.

νοιδίων διανοημάτων. παρήγαγε δὲ ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ τὸ νοίδιον ὑποκοριϛικόν. τινὲς δὲ οὕτως, ὀνειδισμῶν καὶ λοιδοριῶν ἀπὸ τȣ̃ οἴνȣ καὶ τῆς μέθης. Ἀριϛοφάνης (Eq. 100) "ἐγὼ δὲ πάντα καταπάσω βουλευματίων γνωμιδίων νοιδίων."

νομάδες βοσκόμεναι ἀγέλαι. καὶ ἔθνη Σκυθικά· "νομάδεσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων" Ἀριϛοφάνης (Av. 942). ἐπὶ τῶν παρενοχλούντων καὶ ἐπιμενόντων, ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ ἀφόρητον αὐτοῦ ἐφ' ἁμαξῶν τὰ πράγματα βάλλοντες ἀπαίρȣσιν εἰς ἄλλην χώραν. ὁ δὲ μὴ ἔχων ἐκεῖσε ἅμαξαν ἄτιμος παρ' αὐτοῖς κρίνεται.

νομαδίτης ὁ ἰδιώτης βίος.

νομάδων ἀγρίων, βαρβάρων, οἱ λεγόμενοι ἁμαξοφόρητοι ἢ ἁμαξόβιοι.

νομαὶ μερισμοί.

νομαία ἡ ἐκ τῆς νομῆς· ἐν ἐπιγράμμασι (AP 6 157) "καί σοι ἐπιρρέξει χιμάροιο νομαίης αἷμα."

νομάρχαι οἱ κατὰ τέλη τῆς χώρας ἄρχοντες παρ' Αἰγυπτίοις· οἳ ἦσαν ἐπὶ Πτολεμαίου τοῦ μετὰ Ἀλέξανδρον τὸν Φιλίππου.

Νομᾶς ὄνομα κύριον, ὁ Ῥωμαίων νομοθέτης.

νομεὺς ποιμήν, βοσκός.

νομὴ ὁρμὴ πυρός· "τὴν νομὴν τοῦ πυρὸς ἐνεργὸν συνέβη γενέσθαι καὶ πρακτικήν" (Polyb. 1 48).

νομιζόμενα νόμιμα, ἢ ὑπολαμβανόμενα· Ἀριϛοφάνης (Plut. 1186) "οὐκοῦν τὰ νομιζόμενα σὺ τȣ́των λαμβάνεις." ἐπειδὴ νόμος ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν. δέρματα καὶ κωλαῖ. cf. v. κωλακρέτης.

νομίζουσιν ἀντὶ τοῦ νομίσματι χρῶνται. καὶ νομίζουσιν ἀντὶ τοῦ ἡγοῦνται· "ἥνπερ μεγίϛην τιμὴν παρὰ βασιλέως ἐς ἰδιώτας νομίζουσι."

νόμιον δίκαιον. καὶ νόμιον μέλος τὸ ἐν τῇ νομῇ ᾀδόμενον.

νόμισμα δύο σημαίνει, τὸ νόμιμον ἔθος, ὡς Ἀριϛοφάνης ἐν Νεφέλαις (249) "ἡμῖν νόμισμ' οὐκ ἔϛι," καὶ τὸ κόμμα τȣ̃ τετυπωμένου χαλκοῦ. λεπτῷ δὲ νομίσματι ἐχρῶντο οἱ Βυζάντιοι.

νομιϛευομένων νομίμως διοικȣμένων· "ἐνέβαλε δὲ χρυσοῦς ἐπισήμους, εἴς τινας δὲ τετράδραχμα τῶν ἐπιφανῶς νομιϛευομένων." καὶ αὖθις "χαλκοῦ τοῦ ἐν Ἀλεξανδρείᾳ νομιϛευομένου τάλαντα τετρακισχίλια."

Νομίτωρος ὄνομα κύριον.

νομογράφοι. παρὰ Ῥωμαίοις τριακοσιοϛῷ πρώτῳ ἐνιαυτῷ μετὰ τὸν συνοικισμὸν τῆς πόλεως, παραλυθείσης τῆς τῶν ὑπάτων ἀρχῆς, ί νομογράφοι τὴν τῶν κοινῶν ἐπιτρέπονται προϛασίαν· οἳ χρόνον δή τινα πρὸς τὸ λυσιτελὲς καὶ ἡδὺ τῶν πολιτῶν ἐξηγȣ́μενοι μέτριοί τε ἐδόκουν καὶ ἄρχειν μάλιϛα πάντων ἐπιτήδειοι. οὗτοι γάρ πȣ καὶ τὰς ί δέλτους ἐπιχωρίοις τε καὶ Ἑλληνικοῖς νόμοις ἀναγράψαντες ἐς τὰς καλουμένας κύρβεις ἀνέθηκαν. δευτέρῳ δὲ ἔτει τῆς ἡγεμονίας, βαρύτητος τυραννικῆς αἰτίαν ἀπενεγκάμενοι διελύθησαν, Ἀππίου μάλιϛα τὸ πλῆθος εἰς ἀπέχθειαν τῆς δεκαρχίας κινήσαντος, ὃς Οὐεργινίȣ τινὸς ἀνδρὸς οὐκ ἀσήμȣ τὰ πολεμικὰ θυγατέρα φθεῖραι παρθένον ἐπενόει, ἔρωτι γεγονὼς θερμῷ τῆς κόρης κατάσχετος· ἣν ὁ πατὴρ αὐτοχειρὶ διεχρήσατο, δείσας τὴν τοῦ Ἀππίου δυναϛείαν, αἰσχῦναι τὴν κόρην πρὸς βίαν ὡρμημένȣ. ἐφ' ᾧ κινηθὲν τὸ ϛρατιωτικὸν ἅπαν ἀφείλετο τοὺς ί τὰ τῆς ἐξȣσίας, δίκας τε ἀποτῖσαι τῶν κατὰ τὴν ἀρχὴν πεπλημμελημένων ἠνάγκασε.

νομοθεσία θέσις νόμου.

νομοθέται τὸ πάλαι Μωσῆς, μετέπειτα δὲ ὁ Χριϛὸς Ἰησοῦς. a

b *νομοθέται.* παρ' Ἀθηναίοις πρῶτος ἐγένετο Δράκων, καὶ μετ' αὐτὸν Σόλων, καὶ μετὰ τοῦτον Θαλῆς, καὶ μετὰ τοῦτον Αἰσχύλος.

νομοΐστορες νομομαθεῖς.

νομόν νομήν, βοσκήν.

Νόμος καὶ Ἰανουάριος ἐπιεικείᾳ καὶ δικαιοσύνῃ τῶν πολιτῶν ὑπερφέροντες, οἶμαι, καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων ἀνθρώπων τῶν γε νῦν ζώντων καὶ ἐν πράγμασι πολιτικοῖς ἀναστρεφομένων, ἐπῃνοῦντο καὶ ἠγαπῶντο πρός τε ἀστῶν καὶ ξένων· τῇ τε γὰρ πατρίδι χρησιμώτατοι γεγόνασι, καὶ δεξιώτατοι πρὸς τοὺς ξένους. ἑλόμενοι δὲ τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον ἐλαττοῦσθαι μᾶλλον ᾑροῦντο τὰ οἰκεῖα ἢ πλέον τι ἔχειν ἀπὸ τῶν ἀλλοτρίων. κοινὰ μὲν οὖν ταῦτα αὐτοῖς· ἰδίᾳ δὲ ὁ μὲν Νόμος εὐφυέστερος ἦν καὶ φιλομαθέστερος ἐν λόγοις τοῖς τε φιλοσοφίας ἀπογεύεσθαι βουλομένοις καὶ ὅσοι προπαιδεύουσι τοὺς νέους. ἦν δὲ καὶ κριτικώτατος τῶν καθ' ἡμᾶς ἐλλογίμων ἀνδρῶν ποιημάτων τε πάντων καὶ συγγραμμάτων τῆς λογογραφικῆς ἀρετῆς καὶ κακίας· ὡς γοῦν φάναι τὸ ὅλον, οὔτε Σεβηριανὸν οὔτε Ἀγάπιον τὸν φιλόσοφον εἴποιμι ἂν γενέσθαι τοιούσδε περὶ λόγων κρίσιν. ὁ δὲ Ἰανουάριος ἐμπειροπράγμων ἦν καὶ φρόνιμος ἐν τοῖς πολιτικοῖς ἐπὶ πλέον ἢ ὁ ἀδελφὸς αὐτοῦ Νόμος, ἔτι δὲ σωφρονέστερος καὶ τἆλλα μᾶλλον τεταγμένος. Damasc. Phot. p. 342 b.

a *νόμος* θεσμός, συνήθεια.

b *νόμος* παρὰ Σοφοκλεῖ (Ai. 548) ἡ φύσις τοῦ γεγεννηκότος καὶ τὸ ἦθος. νόμος καὶ ἡ ἱστορία. ὁ ἀπόστολος (Gal. 4 21) "ὑπὸ νόμον θέλοντες εἶναι τὸν νόμον οὐκ ἀκούετε."

ὅτι τὸν νόμον σπουδαῖον δεικνύοιμεν ἄν, εἰ ὁρισαίμεθα αὐτὸν ὀρθὸν λόγον ἐπὶ σωτηρίᾳ τῶν χρωμένων. Alex. Aphrod. in Top.

c *νόμος.* πολυώνυμός ἐστιν ἡ λέξις. καὶ νόμος μὲν ὡς τὴν ἀρίστην πολιτείαν ῥυθμίζων καὶ διατάττων, μαρτύρια δὲ ὡς τοὺς ἁμαρτάνοντας διαμαρτυρόμενος καὶ τῆς παραβάσεως τὴν τιμωρίαν ὑποδεικνύς, δικαιώματα δὲ ὡς διδάσκων τὸ δίκαιον καὶ ἀπαγορεύων τὸ ἄδικον καὶ τοὺς κατορθοῦντας ἀποφαίνων δικαίους, ἐντολὴ δὲ ὡς τὸ πρακτέον ἐντελλόμενος καὶ κελεύων δεσποτικῶς, κρίματα δὲ ὡς τὰς ψήφους ὑποδεικνύς, καὶ διδάσκων τίνων μὲν ὁ φυλάττων τεύξεται ἀγαθῶν, τίσι δὲ ὁ παραβαίνων τιμωρίαις παραδοθήσεται. Theodoret. in Ps. 18 8: cf. v. δικαιώματα.

d *νόμος* τρία σημαίνει. ὁ μὲν γὰρ δίχα γραμμάτων διὰ κτίσεως ἐδόθη τοῖς ἀνθρώποις· (Rom. 1 20) "τὸ γὰρ ἀόρατον τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενον καθορᾶται," καὶ πάλιν (2 14) "ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσὶ νόμος." καὶ ὁ ἐν γράμμασι διὰ Μωσέως τῶν παραβάντων χάριν παρεσχημένος. καὶ τρίτος ὁ διὰ τῆς χάριτος· (8 2) "ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου." Theodoret. in Ps. 18 prooem.

e *νόμος* κατὰ τὸν ἀπόστολον σημαίνει τέσσαρα. ὁ τοῦ θεοῦ, περὶ οὗ φησί (Rom. 7 22) "συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ," καὶ ὁ ἀντιστρατευόμενος. τρίτος περὶ οὗ φησὶ (23) "τῷ νόμῳ τοῦ νοός μου." τέταρτος περὶ οὗ λέγει "τῷ νόμῳ τῷ ὄντι ἐν τοῖς μέλεσί μου."

f *νόμος* καὶ χώρα διὰ τὸ ἕκαστον ἔθνος ἰδίοις νόμοις χρῆσθαι.

g *νόμος* ὁ κιθαρῳδικὸς τρόπος τῆς μελῳδίας, ἁρμονίαν ἔχων τακτὴν καὶ ῥυθμὸν ὡρισμένον. ἦσαν δὲ ζ' οἱ ὑπὸ Τερπάνδρου, ὧν εἷς ὄρθιος, τετράδιος, ὀξύς. Δωριεῖς δὲ ἐπὶ νομίσματος χρῶνται τῇ λέξει, καὶ Ῥωμαῖοι παρατρέψαντες νοῦμμον λέγουσιν. Ἀττικοὶ τὰ διανενεμημένα μέρη τῆς γῆς, ὡς καὶ ἐν Αἰγύπτῳ. καὶ τὸ ἔγγραφον δίκαιον.

ὅτι Δαρεῖος εἶχε νόμον τόν τε Φρύγιον καὶ Λύδιον καὶ Ἰωνικόν.

νομός καὶ ἡ βοσκὴ καὶ ὁ τόπος.

νομοφυλακείου θύρα, δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θάνατον ἐξάγονται. cf. v. Χαρώνειος θύρα.

νομοφύλακες. ἀρχή τις παρὰ Ἀθηναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν, οἵτινες τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.

νόνναι τοῦ μηνός.

νοσηλεία ἀσθένεια. *νοσήλια* δὲ φάρμακα.

νοσηλεύεσθαι νοσεῖν οὐκ ἐπαχθῶς.

νοσηλεύω νοσοῦντα θεραπεύω.

νοσοκομεῖον ὁ ξενών.

νόσον ἔχειν ἀντὶ τοῦ φαῦλον ἦθος ἔχειν Εὐριπίδης Ἀντιόπῃ.

νοσοποιεῖν.

νόσος. ὅτι πυρεττόντων ἢ ψυχομένων ἐν ταῖς νόσοις ἑαυτῶν αἰσθανόμεθα, ὐκ αὐτῶν τῶν αἰσθητικῶν νεύρων ἢ τῶν σαρκῶν τεθερμασμένων, ἀλλὰ τῶν ὑγρῶν, αἵματός τε καὶ πνεύματος. ἐπεὶ οὖν ἡ αἰσθητικὴ δύναμις πρώτως ἐν σαρξὶν ἔςι καὶ νεύροις, εἰκότως τῶν ὑγρῶν δυσκράτως ἐχόντων, πνεύματος λέγω καὶ αἵματος, παρακειμένων τε τοῖς αἰσθητικοῖς μορίοις, τῇ θίξει ἀντιλαμβανόμεθα αὐτῶν ὥσπερ καὶ τοῦ ἀέρος τεθερμασμένου ἢ κατεψυγμένυ, κἂν αὐτῶν δὲ τῶν ςερεῶν ἅψηται ὁ πυρετός, ἐπειδὴ μὴ ὁμαλῶς θερμαίνεται ἀλλ' ἀνωμάλως. εἰσὶ γάρ τινα μόρια κατὰ φύσιν ἔχοντα, τινὰ δὲ παρὰ φύσιν. οὐ συμβαίνει τὰ κατὰ φύσιν ἔχοντα ἀντιλαμβάνεσθαι τῶν παρὰ φύσιν διακειμένων· ἀδύνατον γὰρ ὁμαλὴν γενέσθαι τὴν δυσκρασίαν. οἱ δὲ ἑκτικῷ κατεσχημένοι πυρετῷ, τῦτο δ' ἔςιν οἱ τὰ ςερεὰ πυρέττοντες, ὁμαλῆς γενομένης ἐν αὐτοῖς τῆς δυσκρασίας δι' ὅλων τῶν ςερεῶν, συναίσθησιν οὐδεμίαν τῆς ἐν αὐτοῖς θερμασίας λαμβάνουσι, διὰ τὸ ὁμαλὴν εἶναι δι' ὅλων τῶν μορίων τὴν θερμασίαν, καὶ μὴ εἶναι τὸ μὲν ποιοῦν τὸ δὲ πάσχον. Philopon. in 2 de anima, *I* 4a.

νόσος λεγόμενον ἐγκατασκῆψαι. πρὸς τὸ σημαινόμενον ἡ σύνταξις, πρᾶγμα δηλονότι, παρὰ Θουκυδίδῃ ⟨2 47⟩.

νοςήσας ἐπανελθών. Hom. *Δ* 103.

νόςος ἡ οἴκαδε ἐπάνοδος, παρὰ τὸ τῆς πατρίδος ἡδύ. ἢ ἡ ἀνάδοσις τῆς γεύσεως. "καὶ οἱ ποιηταὶ δὲ οἱ τοὺς νόςους ὑμνήσαντες ἕπονται τῷ Ὁμήρῳ ἐς ὅσον εἰσὶ δυνατοί."

νόσφι χωρίς.

νοσφιζόμεθα χωριζόμεθα.

νοσφιζόμενον ὑφαιρούμενον, ἰδιοποιούμενον.

νοσῶ αἰτιατικῇ.

νοτάριος ὁ γραμματεύς· νότα γὰρ τὰ γράμματα.

νοτία ἡ θάλασσα καὶ ἡ ὑγρασία.

Νότιον χωρίον προκείμενον τῆς Κολοφωνίων πόλεως. **νότιον** δὲ **κλίμα** τὸ πρὸς νότον κείμενον.

νότιος ὑγρός, καὶ **νότιος ἱδρώς** ⟨Hom. *Λ* 811⟩ ὁ ὑγρός.

Νότος ὁ ἄνεμος. καὶ **Νοτόθεν** ἀπὸ Νότου.

νουβυςικόν νῦ πεπληρωμένον· ⟨A Eccl. 441⟩ "γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυςικόν." καὶ **νουβυςικῶς** συνετῶς. sch. A Vesp. 1285.

Νουμᾶς Πομπίλιος. τοῦτον οἱ Ῥωμαῖοι καὶ μὴ ἐπιδήμιον ὄντα προεβάλοντο μετὰ τὰς μεσοβασιλεῖς, καὶ αὐτῷ πᾶσαν τὴν ἡγεμονίαν ἐκ προβουλεύματος ἔδοσαν. καὶ τὰ πολιτικὰ ἔθη οὗτος διῳκήσατο, ἐνιαυτόν τε πρῶτος εὕρατο, εἰς ιβʹ μῆνας τὴν ἡλιακὴν καταγείμας περίοδον, χύδην τε καὶ ἀκατανοήτως παντάπασι πρὸ αὐτοῦ παρὰ Ῥωμαίοις φερομένην. ἱερά τε καὶ τεμένη ἱδρύσατο, καὶ τοὺς λεγομένους ποντίφικας καὶ φλαμινίους τοῖς ἱερεῦσιν ἐπέςησε, σαλίυς τε τοὺς τὴν ὄρχησιν ἀσκήσαντας. τάς τε ἑςιάδας παρθένους τοῦ πυρὸς καὶ ὕδατος τὴν ἐπιμέλειαν ἔχειν ἐπέτρεψεν, αἳ τὴν μὲν ἄκραν τιμὴν παρὰ Ῥωμαίοις εἶχον, διὰ βίυ δὲ τὴν παρθενίαν ἐφύλαττον· κἂν τις αὐτῶν ἠνδριώθη, κατεχώννυτο· καὶ διὰ τῦτο ὐ μύρῳ, οὐκ ἄνθεσιν, οὐχ ἱματίῳ χρῆσθαι συνεχωροῦντο, πλὴν λευκοῦ. cf. v. ἀσσάρια.

νουμηνία ἡ τοῦ μηνὸς ἀρχή. ἐν ταῖς νουμηνίαις δὲ οἱ δοῦλοι ἐπωλοῦντο καὶ οἱ ςρατηγοὶ ἐχειροτονῦντο παρὰ Ἀθηναίοις. καὶ Ἀριστοφάνης ⟨Eq. 43⟩ "τῇ προτέρᾳ νουμηνίᾳ." ⟨Ach. 998⟩ "ἀλείφεσθαί σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νουμηνίαις" διὰ τὸ ταύτας εἶναι τιμίας τῶν ἡμερῶν.

Νουμήνιος Ἀπαμεὺς ἀπὸ Συρίας, φι- a
λόσοφος Πυθαγόρειος. οὗτός ἐςιν ὁ τὴν τῦ Πλάτωνος ἐξελέγξας διάνοιαν ὡς ἐκ τῶν Μωσαϊκῶν τὰ περὶ θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν. καὶ διὰ τοῦτό φησι "τί γάρ ἐςι Πλάτων ἢ Μωσῆς ἀττικίζων;" Hesychius Mil.

Νουμήνιος ῥήτωρ περὶ τῶν τῆς λέξεως b
σχημάτων, ὑποθέσεις τῶν Θουκυδίδου καὶ Δημοσθένους, χρειῶν συναγωγήν, Ἀδριανῷ παραμυθητικὸν εἰς Ἀντίνοον.

Νουμής ὄνομα κύριον.

νοῦν. Ἀριςοτέλης τὸν νῦν ἀθάνατον λέγει.

νοῦν ἔχειν· Πολύβιος "νοῦν ἔχειν καὶ τόλμαν δεῖ τὺς ςρατηγούς, ἅπερ ἐςὶ κυριώτατα πρὸς τὰς ἐπισφαλεῖς καὶ παραβόλους πράξεις."

νουνεχῶς πεφροντισμένως· "νουνεχῶς ἐδόκυν πολιτεύεσθαι πρὸς τὺς τότε καιρύς."

νοῦν τὸν ξένον, ἐπὶ τῶν ὑφορωμένων τινά.

νοῦς. ὅτι ὁ νοῦς πάντων ἔχει τὰς λόγους ἐν ἑαυτῷ, ἀλλὰ τῶν μὲν πρὸ αὐτοῦ εἰκονικῶς, τῶν δὲ μετ' αὐτὸν παραδειγματικῶς.

ὅτι Πυθαγόρας τὴν τῦ ἀνθρώπυ ψυχὴν διαιρεῖσθαι ἔφη εἰς γ', νοῦν φρένας καὶ θυμόν, καὶ νοῦν μὲν καὶ θυμὸν εἶναι καὶ ἐν τοῖς ἄλλοις ζῴοις, φρένας δὲ μόνον ἐν ἀνθρώπῳ. εἶναι δὲ τὴν ἀρχὴν τῆς ψυχῆς ἀπὸ καρδίας μέχρι ἐγκεφάλου, καὶ τὸ μὲν ἐν καρδίᾳ μέρος αὐτῆς ὑπάρχειν θυμόν, φρένας δὲ καὶ νοῦν τὰ ἐν τῷ ἐγκεφάλῳ. Diog. L. 8 30.

ὅτι τῶν νουμένων τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη, τὰ δὲ καθ' ὁμοιότητα, τὰ δὲ κατ' ἀναλογίαν, τὰ δὲ κατὰ μετάθεσιν, τὰ δὲ κατὰ σύνθεσιν, τὰ δὲ κατ' ἐναντίωσιν. καὶ κατὰ περίπτωσιν μὲν τὰ αἰσθητά, καθ' ὁμοιότητα δὲ τὰ ἀπό τινος παρακειμένυ ὡς Σωκράτης ἀπὸ τῆς εἰκόνος, κατ' ἀναλογίαν δὲ αὐξητικῶς μὲν ὁ Τιτυὸς καὶ ὁ Κύκλωψ, μειωτικῶς δὲ ὁ πυγμαῖος (καὶ τὸ κέντρον δὲ τῆς γῆς κατ' ἀναλογίαν ἐνοήθη ἀπὸ τῶν μικροτέρων σφαιρῶν), κατὰ μετάθεσιν δὲ οἷον οἱ ὀφθαλμοὶ ἐπὶ τοῦ ϛήθυς, κατὰ σύνθεσιν δὲ ἱπποκένταυρος, καὶ κατ' ἐναντίωσιν θάνατος. νοεῖται δὲ καὶ κατὰ μετάβασίν τινα, ὡς τὰ λεκτὰ καὶ ὁ τόπος. φυσικῶς δὲ νοεῖται δίκαιόν τι καὶ ἀγαθόν, καὶ κατὰ ϛέρησιν, οἷον ἄχειρ. Diog. L. 8 52.

ὅτι τοῦ νοῦ ἔργον ἐϛὶν ἁπλαῖς προσβολαῖς, καὶ κρεῖττον ἢ κατ' ἀπόδειξιν, ἐπιβάλλειν τοῖς πράγμασιν, ὥσπερ ἡ αἴσθησις προσβαλοῦσα τυχὸν τῷ λευκῷ ἢ τῷδε τῷ σχήματι κρεῖττον ἢ κατ' ἀπόδειξιν αὐτοῦ τὴν γνῶσιν ἔσχεν· οὐ γὰρ δεῖται πρὸς ταύτην συλλογισμοῦ. ἡ δέ γε τοῦ νοῦ ἐνέργεια ἐκείνοις παραγίνεται οἷς εἰς ἄκρον καθάρσεως καὶ ἐπιϛήμης γέγονεν ἀφικέσθαι, καὶ διὰ τῶν καθαρτικῶν ἀρετῶν ἀφαντάϛως καὶ δίχα αἰσθήσεως ἐνεργεῖν συνειθισμένοις. ἔϛι γὰρ ὁ νοῦς οἷον ἕξις τῆς ψυχῆς τελειοτάτη. καὶ γίνεται τοίνυν ὁ μὲν νοῦς περὶ τὰ νοητά, ἡ δὲ διάνοια περὶ τὰ διανοητά, ἡ δὲ δόξα περὶ τὰ δοξαϛά. τούτων δὲ τῶν δυνάμεων πρώτην μὲν ἔχει τάξιν ὁ νοῦς, μέσην δὲ ἡ διάνοια, ἐσχάτην δὲ ἡ δόξα. ἡ δὲ διάνοια προσῳκείωται τῇ ἡμετέρᾳ ψυχῇ, ἐπειδὴ καὶ αὐτὴ τὴν μέσην ἐν τῷ παντὶ τάξιν ἔχει, καὶ διὰ τῆς διανοίας ἀνάγεται ἡ ἡμετέρα ψυχὴ ἐπὶ τὴν τῶν νοητῶν θεωρίαν, ἥτις ἐϛὶ τελειότης τῆς ψυχῆς. ἐπειδὴ γὰρ σύντροφος καὶ σύμφυλός ἐϛι τοῖς αἰσθητοῖς ἡ ψυχὴ ἡ ἡμετέρα, ἀδυνατεῖ διὰ τὸν συνεθισμὸν τῶν αἰσθήσεων ἐπὶ τὴν θεωρίαν τῶν νοητῶν καὶ ἀΰλων ἄγειν ἑαυτήν, ἀλλὰ νομίζει κἀκεῖνα σώματα εἶναι καὶ μεγέθη ἔχειν, καὶ ὅσα ἐπὶ τῶν αἰσθητῶν, κἀκείνων φαντάζεται. καὶ Πλάτων ἐν Φαίδωνι "τοῦτό ἐϛι τὸ χαλεπώτατον τῶν ἐν ἡμῖν, ὅτι ὅταν σχολὴν ἀπὸ τῶν περιολκῶν τοῦ σώματος μικρὸν ἄγωμεν καὶ θελήσωμεν τῇ θεωρίᾳ τῶν θείων σχολάσαι, παρεμπίπτουσα ἡ φαντασία θόρυβον ἡμῖν κινεῖ, ὑπονοεῖν διδοῦσα ὅτι σῶμά ἐϛι τὸ θεῖον καὶ μέγεθος ἔχει καὶ σχῆμα, καὶ οὐκ ἐᾷ ἡμᾶς ἀσωμάτως καὶ ἀσχηματίϛως περὶ θεοῦ ἐννοεῖν. καὶ διὰ τῦτο δεῖ τὴν ψυχὴν ὁδεύουσαν ἐπὶ τὴν ἑαυτῆς τελειότητα πρῶτον ἐνεργῆσαι κατὰ διάνοιαν, ἥτις ἔχει περὶ τὰ μέσα τῶν πραγμάτων, οἷά ἐϛι τὰ διανοητά, ἥ τε ψυχὴ ἡ ἡμετέρα καὶ ἡ περὶ αὐτῆς θεωρία, ἔτι δὲ καὶ τὰ μαθηματικά." Philopon. in 1 de anima p. 1.

νοῦς οὐκ ἔνι Κενταύροισι παροιμία ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνοήτων ταττομένη. cf. v. τάδ' οὐ παρὰ Κ.

"*νοῦς οὐκ ἔνι ταῖς κόμαις ὑμῶν*, ὅτι μ' οὐ φρονεῖν νομίζετ', ἐγὼ δ' ἑκὼν ταῦτ' ἠλιθιάζω." A Eq. 1126: cf. v. ἠλιθιάζω.

νύκτα. νύκτα τὰς συμφορὰς πολλάκις ἡ γραφὴ καλεῖ, ἐπειδὴ οἱ συμφοραῖς περιπίπτοντες ἐν σκότει διάγειν νομίζουσι. Theodoret. in Ps. 3 6.

νύκτα δασείην τὴν χειμερινήν φασι.

νυκταλός ὁ νύκτα φιλῶν. περὶ Διογένους τοῦ κυνός φησιν "οὐδὲ γὰρ ἦν τις νυκταλὸς καὶ ὑπνηλός." Diog. L. 6 77.

νυκτερίδος αἶνος. αἰνιγματωδῶς δηλοῖ περὶ νυκτερίδος. ὑπερέκκειται ἐν τοῖς μετὰ ταῦτα. cf. v. αἶνος a.

νυκτερινοὶ κύνες οἱ λύκοι.

Νυκτερίωνος.

νυκτίβιος ὁ ἐν νυκτὶ ὡς ἐν ἡμέρᾳ διάγων.

νυκτὶ θοῇ ἀτάλαντος ⟨Hom. M 463⟩. Ὅμηρος τὰ φοβερὰ νυκτὶ ὁμοιοῖ. καὶ ἀλλαχοῦ ⟨A 47⟩ "ὃ δ' ἤιε νυκτὶ ἐοικώς."

νυκτικόραξ εἶδος ὀρνέου ἐρημικοῦ, ὃ τὰς οἰκυμένας φεῦγον τῶν οἰκιῶν ταῖς ἐρήμοις καὶ καταλελειμμέναις προσϛρέχει· τὰ γὰρ οἰκόπεδα ἐρείπιά φασιν. οὕτω καὶ τὸ ϛρουθίον δειλὸν ὄρνεον ὂν ὑπὸ ἀγωνίας ἐλαύνει τὸν ὕπνον. Theodoret. in Ps. 101 7.

νυκτιλόχοι λῃςαί. καὶ νυκτοπεριπλάνητος παρὰ Ἀριςοφάνει (Ach. 263).

νύκτωρ διὰ τῆς νυκτός.

νύμφα νύμφη, Ἰωνικῶς, ὡς τόλμη τόλμα.

νύμφαι σκώληκες οἱ ἐν τοῖς τῶν μελισσῶν κυττάροις, ὅταν ἤδη πτεροποιεῖν ἄρξωνται. οἱ δ' ἁπλῶς τοὺς πτερωτοὺς σκώληκας. Σάμιοι καὶ τὸ ἀνὰ μέσον τῶν γυναικείων αἰδοίων νύμφην καλοῦσι. καὶ τῶν ῥόδων αἱ κάλυκες αἱ μεμυκυῖαι νύμφαι. καὶ αἱ νεόγαμοι κόραι νύμφαι. καὶ αἱ μοῦσαι δὲ ὑπὸ Λυδῶν νύμφαι. ὅτι δὲ πάντων τῶν καρπῶν αἱ ἐκφύσεις οὕτω, δῆλον. περὶ δὲ τῶν θειῶν Διονυσίῳ πᾶσα ἱςορία συνῆκται ἐν λγ' βιβλίοις.

νυμφαῖον νυμφῶν ἱερόν.

Νύμφαιον. ἐν τῷ Πόντῳ ἐςὶ τὸ Νύμφαιον. καί φησι Κρατερὸς ἐν ἐνάτῳ τῶν ψηφισμάτων ὅτι Ἀθηναίοις ἐτέλει τάλαντον. Harp.

νύμφειος οἶκος, ἐν ᾧ αἱ νύμφαι εἰσί.

νύμφιος κόσμος κτητικῶς, ὡς Τύριος Λύδιος Φρύγιος. (AP 7 188) "ἤματι δ' ᾧ νύμφειος ἀνήπτετο λαμπάδι πευκάς, τούτῳ πυρκαϊῆς οὐ θαλάμων ἔτυχες."

νυμφεύτρια (A Ach. 1024) ἡ συμπεμπομένη ὑπὸ τῶν γονέων τῇ νύμφῃ.

νύμφη πηγή. καὶ ἡ νεόγαμος γυνή, καὶ ἡ γαμετὴ καὶ πρεσβυτέρα, Πηνελόπη καὶ ἡ Ἑλένη. παρὰ Ἀθηναίοις καὶ ἡ τοῦ Διὸς μήτηρ, καὶ ἡ θεὰ ἡ ἐπὶ τῶν ὑδάτων· Αἰλιανός "μῆνις δὲ ἐδόκει καὶ νυμφῶν δι' ἀπορίαν ναμάτων."

νυμφικὰ λουτρά τὰ εἰς γάμȣς ἐκ τῆς ἀγορᾶς ἀπὸ κρήνης λαμβανόμενα. cf. v. λουτροφόρος.

Νυμφίος ὄνομα ποταμȣ· Πισίδης "καὶ τὸν μέγιςον ἐκπεράσας Νυμφίον, ὅςις Τίγρητος ταῖς ῥοαῖς ἐπιρρέων ἀποςερεῖται τȣ καλεῖσθαι Νυμφίος." cf. v. ἀγωγόν.

νυμφίου βίον παροιμία. (A Av. 161) "ἡμεῖς μὲν ἄρα ζῆτε νυμφίου βίον·" οἱ γὰρ γαμοῦντες ἐςέφοντο σισυμβρίοις καὶ φυτοῖς τισίν. ἢ ὅτι ἡδυπαθοῦσι πρὸς τὰς τῶν γάμων ἡμέρας.

Νύμφις Νύμφιδος Ξεναγόρȣ, Ἡρακλειώτης ἐκ Πόντου, ἱςορικός, περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων βιβλία κδ', περὶ Ἡρακλείας βιβλία ιγ'. ἔχει δὲ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ μετὰ τοὺς ἐπιγόνους, καὶ μέχρι τοῦ τρίτȣ Πτολεμαίȣ.

νυμφοςολῆσαι νύμφην κοσμῆσαι.

νυμφοςόλος νυμφαγωγός.

νυμφῶνος (Matth. 9 15) τοῦ κοιτῶνος.

νῦν χρονικὸν ἐπίρρημα. (A Eq. 763) "νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ, καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους, ὅτοισι τόνδ' ὑπερβαλῇ· ποικίλος γὰρ ἀνήρ, κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνȣς πορίζων." κάλων σχοινίον. τροπικῶς δὲ ὡς ἐπὶ τοῦ ἴσου λέγει, δεῖ τὰ ἄρμενα πάντα κινεῖν ὑπὲρ τοῦ περιγενέσθαι αὐτοῦ.

νῦν δή ἀρτίως, ἢ μικρὸν ἔμπροσθεν. Πλάτων Νόμοις (3 p. 683 E) "ἦ νῦν δὴ ὀλίγον ἔμπροσθεν τȣτοις περιτυχόντες τοῖς λόγοις οὔπω ταῦτ' ἐτίθεμεν, νῦν δὲ ἐπιλελήσμεθα;" καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ (233) "νῦν δὴ μὲν ὄρος βᾶσ' ἐπὶ θήρας πόθον ἐςέλλου, νῦν δὲ ψαμάθοις ἐπ' ἀκυμάντοις." καὶ ἐν Μελεάγρῳ (fr. 16) "ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐπράυνας, τύχη." Μάγνης δὲ ἐν Τιτακίδῃ "εἰπέ μοι· νῦν δὴ μὲν ὤμνυς μὴ γεγονέναι, νῦν δὲ φῄς;" ἐν δὲ τοῖς Νόμοις (1 p. 629 D) διαλελυμένον εἴρηκε, τὸ μὲν νῦν ἐπὶ τοῦ παρόντος χρόνου, τὸ δὲ δή ἐπὶ συνδέσμȣ· "ὃς δὴ πάντων τῶν πολέμων χαλεπώτατος, ὡς φαμὲν ἡμεῖς νῦν δή."

νῦν εἰς χώραν ἦλθον, ἐπὶ τῶν πρῶτον μὲν ȣ̓κ ἀνεχομένων ἐλθεῖν ὅποι δεῖ, ὕςερον δὲ αὐτομάτως παραγενομένων.

νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα, ἐπὶ τῶν παρ' ἐλπίδα εὐτυχησάντων. Ζήνων γὰρ ὁ Κιτιεὺς καταλιπὼν τοὺς πρὶν διδασκάλȣς καὶ Κράτητος τοῦ φιλοσόφου φοιτητὴς γενόμενος τοῦτο εἴρηκε, ναυαγίῳ περιπεσὼν καὶ εἰπών "εὖγε ποιεῖ ἡ τύχη προσελαύνȣσα ἡμᾶς φιλοσοφίᾳ." οὕτω τραπῆναι πρὸς φιλοσοφίαν. Diog. L. 7 4.

νῦν ἦλθον εἰς χορόν, νῦν τ' ἔπαρδες.

νυνὶ δὲ ὡς τύπῳ πρὸς σε γράφω, ἀντὶ τοῦ ὁλοσχερῶς.

νυνμενί ἀντὶ τοῦ νυνὶ μέν. πολλαχοῦ δὲ οὕτω χρῆται Ἀριςοφάνης. sch. A Av. 448.

νῦν ὀσπρίων ἄμητος, ἐπὶ τῶν καθ' ὥραν ἕκαςα πράττειν ὀφειλόντων.

νῦν πᾶς κίνδυνος ἐνθάδ' ἀνεῖται σοφίας, ἧς πέρι τοῖς ἐμοῖς φίλοις ἐςὶν ἀγὼν μέγιςος." A Nub. 952.

νῦν σωθείην, ἵν' ᾖ μοι δίδαγμα τοῦτο

τοῦ λοιποῦ χρόνου." παρὰ τὸν μῦθον εἴρηται τοῦτο τῆς μανθανούσης χελώνης ἵπτασθαι παρὰ τοῦ ἀετοῦ καὶ πεσούσης.

νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος" (A Pac. 288) ἐπὶ τῶν χαρμοσυνῶν· ὁ γὰρ Δᾶτις σατράπης Περσῶν, ὃς εὐδοκιμήσας κατὰ τὸν πόλεμον, ἑλληνίζειν βουλόμενος εἶπεν "ἥδομαι καὶ εὐφραίνομαι καὶ χαίρομαι" καὶ ἐβαρβάρισεν.

νὺξ εὐφρόνη, καὶ ἡ σκοτία. νὺξ ἐϛι σκιὰ γῆς, ἀλλ' οὐχ ἡ τυχοῦσα ἀλλ' ἡ γινομένη παρὰ τὴν τοῦ ἡλίου αἰτίαν, τῷ εἶναι αὐτὸν ἐν τῷ ὑπὸ γῆν, ὡς πρὸς τούτους παρ' οἷς ἔϛιν ἡ νύξ, ἡμισφαιρίῳ, ὥσπερ οὐχ ὁ ὑφ' ὁποιασοῦν ἡδονῆς κρατούμενος ἀκρατής, ἀλλ' ὁ ὑπό τινος.

νὺξ ὑγρὰ χαλεπή, φησί.

νυρίζει ξύει, νύσσει.

νύρων νύττων.

Νυσήιον ὄρος Διονύσου.

νύσια ὀρχήματος εἶδος. τῶν γὰρ ὀρχήσεων ἡ μὲν Βερεκυντιακὴ λέγεται, ἡ δὲ Κρητική, ἡ δὲ Παρική. Νύσια οὖν τὰ Βερεκύντια· Νυσίας γάρ ἐϛιν ἡ Βερέκυντος· Κνωσία δὲ ἡ Κρητική. ἐν Μυσίᾳ γὰρ καὶ Κνωσῷ ἐπιμελὴς ἡ ὄρχησις. Νύσια δὲ τὰ ἐν τῇ Νύσῃ γινόμενα· ἔϛι δὲ αὕτη Διονύσου ἱερά. καὶ τὰ Κνώσια ὡσαύτως. ἄλλως. τῶν ὀρχήσεων αἳ μέν εἰσι Διονυσιακαί, αἳ δὲ Κορυβαντιακαί, αἱ ἐνόπλιοι. Νύσιαι δὲ αἱ Διονυσιακαί, Κνώσιαι δὲ αἱ Κορυβαντιακαί· Κνωσὸς γὰρ πόλις Κρήτης, ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων ἐτράφη ὁ Ζεύς. sch. S Ai. 699.

νύσσα καμπτήρ, τέρμα, βαθμίς.

νύχιος νυκτερινός.

νύχος νύξ.

νώ ἀντὶ τοῦ αὐτόν· Ἀριϛοφάνης Πλούτῳ (401) "βλέψαι ποιῆσαι νώ" ἀντὶ τοῦ αὐτόν. ἢ ἀντὶ τοῦ δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι.

νωγαλέον. Athen. p. 47.

νωδός (A Ach. 715, Plut. 266) ὁ μὴ ἔχων ὀδόντας.

νώδυνον ἀνώδυνον.

Νῶε ὄνομα κύριον.

νωθείας βραδυτῆτος.

νωθέϛερος βραδύτερος.

νωθής βραδύς, ἀκίνητος, ἄλογος.

νωθρεία. καὶ νωθρὸς ὁ ἀσθενής· "νωθρότερος ὑπάρχων τοῦ τῆς βασιλείας προσχήματος τῇ φύσει."

νωθρότης ἡ βραδυτής.

νῶι. νωίτερος.

νῶιν ἡμῖν· Ἀριϛοφάνης (Av. 124) "μείζω μὲν οὐδέν, προσφορωτέραν δὲ νῷν." (15) "ἔφασκε νῷν φράσειν τὸν Τηρέα." (Eq. 80) "κράτιϛον οὖν νῷν ἀποθανεῖν ἀνδρικώτατα. βέλτιϛον ἡμῖν αἷμα ταύρειον πιεῖν· ὁ Θεμιϛοκλέους γὰρ θάνατος αἱρετώτερος." περὶ Θεμιϛοκλέους οὖν Σοφοκλῆς φησὶν (Aegei fr. 2) "ἐμοὶ δὲ λῷϛον αἷμα ταύρειον πιεῖν."

νῶιν, τουτέϛιν ἡμῖν, δυϊκῶς. b

νωίτερον ἡμέτερον. Hom. O 39.

νώκαρ ὁ δυσκίνητος.

νωλεμέως ἀδιαλείπτως.

Νῶμα ὄνομα χώρας.

νωμῆσαι κινῆσαι, καὶ μερίσαι.

νώμησις ἡ κίνησις.

Νωμίτωρ ὄνομα κύριον.

νωμῶν κρίνων, ἐξετάζων· Σοφοκλῆς (OR 300) "ὦ πάντα νωμῶν Τειρεσία, ἄρρητά τ' οὐράνιά τε καὶ χθονοϛιβῆ."

Νωναχρίνη λέγεται ἡ Καλλιϛώ.

Νωνᾶς ὄνομα κύριον.

νώνυμος ἀνώνυμος, ἄδοξος· (AP 7 17) "οὐδέ τις ἔϛαι τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἥλιος."

νῷ πείθου παροιμία, ὁμοία τῷ θεῷ ἕπου.

Νῶρα ὄνομα χώρας.

Νώρβα ὄνομα χώρας.

Νωρβανός ὄνομα κύριον.

Νωρικία ὄνομα χωρίου.

νῶροψ ὁ λαμπρός.

νῶσαι εἰς νοῦν λαβεῖν.

νωσάμενος νοήσας, γνούς, παρὰ Καλλιμάχῳ.

νῶτα θαλάσσης (Hom. B 159) ἡ ἐπιφάνεια τῆς θαλάσσης.

νωτάρης ὁ ἐπὶ νώτου αἴρων καὶ βαϛάζων.

νωτιαία θρὶξ ἡ τῶν μεταφρένων.

νωτίζω τὰ νῶτα μεταϛρέφω, καὶ νωτίσαι ἀπελάσαι, ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς. sch. S OR 193.

νωτοπλῆγα μαϛιγίαν, τὸν εἰς τὰ νῶτα τὰς πληγὰς λαμβάνοντα· Φερεκράτης Κραπατάλοις "καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν."

νῶτος ἡ ψόα τοῦ ἀνθρώπου. "τὸ δὴ λεγόμενον, τὸ πλῆθος τῶν Ἀβάρων εἰς τὰ νῶτα περισύρεσθαι."

νωτοφόρος ὁ ἐπὶ νώτου βαϛάζων.

νωχελῆ βραδέα.

νωχελής βραδύς, ὁμαλός, ἄχρηστος.

νωχελία ἀργία. Hom. Τ 411.

ξαίνειν τὸ τύπτειν, καὶ ξαίνεσθαι τὸ πάσχειν. φησὶν οὖν, ἡ βύρσα σε τυπτομένη διαφθαρήσεται· οἱ γὰρ βυρσεῖς τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν, ἵνα ἁπαλαὶ γενόμεναι διαλάβοιεν εὐχερῶς τοῦ φαρμάκου (sch. A Eq. 368). "ἐκέλευσε δὲ τὸ σῶμα ξαίνειν μάστιξι πάνυ πολλαῖς" (Dionys. Hal. fr. Ambros. 13). καὶ ἐν ἐπιγράμματι (AP 6 223) "πολλὰ θαλασσαίῃ ξανθὲν ὑπὸ σπιλάδι." περὶ ὀξέυ σκολοπένδρης ὁ λόγος.

ξαίνω νήθω, διαλύω, σωρεύω.

ξανᾶν πονεῖν τὰς χεῖρας τὰς γυναῖκας τοὺς τῶν χειρῶν διὰ συνεχῆ τῶν ἐρίων ἐργασίαν.

ξανήσει κοπιάσει.

ξανθήν πυρροειδῆ.

ξανθίζεσθαι κοσμεῖσθαι τὰς τρίχας.

ξανθίζετε, οἷον τῷ μέλιτι χρωτίζετε, ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. ἡ γὰρ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστὶν ἵνα πυρρὰ ᾖ. sch. A Ach. 1046.

ξανθικός ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ ἀπρίλλιος.

Ξάνθιον ἐπίσκοπον.

ξάνθοισιν ὀρνέοις.

Ξάνθος Κανδαύλου, Λυδὸς ἐκ Σάρδεων, ἱστορικός, γεγονὼς ἐπὶ τῆς ἁλώσεως Σάρδεων, Λυδιακά, βιβλία δ΄. ἐν δὲ τῷ β΄ τούτων ἱστορεῖ ὡς πρῶτος Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῷτο ἀεὶ νεαζούσαις. οὗτος ἱστορεῖ ὁ Ξάνθος Ἄλκιμόν τινα βασιλεῦσαι τῆς ἐκεῖσε χώρας, εὐσεβέστατον καὶ πραότατον ἄνδρα· καὶ ἐπ' αὐτοῦ γενέσθαι εἰρήνην βαθεῖαν καὶ πλοῦτον πολύν, ἀδεῶς δὲ καὶ ἀνεπιβουλεύτως ζῆν ἕκαστον. εἶτα ἐπειδὴ ζ΄ ἔτη ἦν τῷ Ἀλκίμῳ, προελθόντας τοὺς Λυδοὺς παγγενεί τε καὶ πανδημεὶ προσεύξασθαι, καὶ αἰτῆσαι τῷ Ἀλκίμῳ τοιαῦτα ἔτη δοθῆναι ἐς τὸ Λυδῶν ἀγαθόν· ὃ καὶ γέγονε, καὶ ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ πολλῇ διῆγον. Hesych. Mil.

Ξάνθος ὁ ποταμός, ξανθὸς δὲ ὁ πυρρός.

ξανθότερος καὶ ξανθότατος.

ξάνιον κτένιον, ὃ φοροῦσιν αἱ γυναῖκες ἐν τοῖς ἀναδήμασιν. οἱ δέ, κόσμος χρυσοῦς ἐπὶ κεφαλῆς.

ξανῶ κοπιάσω. Σοφοκλῆς Ποιμέσιν· Ἕκτωρ τοῖς Ἀχαιοῖς βουλόμενος μάχεσθαί φησιν "ἡδὺ ξανῆσαι καὶ προγυμνάσαι χέρα."

ξεινήιον. καὶ ξεινήιος Ζεύς.

ξεινοδόκος.

ξεῖνοι οἱ ἀπὸ ξένης φίλοι.

ξένα θαυμαστά.

ξεναγία δύο πεντακοσιαρχίαι, ἀνδρῶν ͵ακδ΄. οἱ δὲ πλεῖστοι τοῦτο τὸ πλῆθος χιλιαρχίαν καλοῦσι, καὶ χιλίαρχον τὸν ἡγούμενον.

ξεναγοὶ παρὰ Θουκυδίδῃ (2 75) οἱ τῶν μισθοφόρων ἄρχοντες· "οἵ τε ξεναγοὶ ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον εἰς τὸ ἔργον."

ξεναγός ὁ τῶν ξένων ἡγεμών.

ξεναγῶν ξενοδοχῶν.

Ξέναρχος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶ Βουταλίων, ὡς Ἀθήναιός φησιν ἐν β΄ τῶν Δειπνοσοφιστῶν, καὶ Πορφύρα καὶ Σκύθαι, ὡς ὁ αὐτός, καὶ Δίδυμοι καὶ Πένταθλος καὶ Πρίαπος, Ὕπνος, Στρατιώτης.

ξένας θαυμαστάς· Πισίδης (Exp. Heracl. 3 61) "ὕλας χορηγῶν καὶ τοσαύτας καὶ ξένας."

Ξένετος ὄνομα κύριον.

ξενηλατεῖν. Λακεδαιμόνιοι μετὰ πληγῶν ἐξήλαυνον τοὺς ξένους. Ἀριστοφάνης (Av. 1009) "τί δ' ἐστὶ δεινόν; ὥσπερ ἐν Λακεδαίμονι ξενηλατοῦνται, καὶ κεκίνηνταί τινες πληγαὶ συχναὶ κατ' ἄστυ." ποτὲ γὰρ ἐκεῖσε σιτοδείας γενομένης ξενηλασία γέγονε.

ξενία. καὶ ξενίζω· (S El. 96) "φοίνιος Ἄρης οὐκ ἐξένισεν αὐτόν," τουτέστιν οὐκ ἀπέκτεινε· ξένια γὰρ Ἄρεος τραύματα καὶ φόνοι. καὶ Ἀρχίλοχος (fr. 105) "ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενος."

ξενίαν καταγώγιον, κατάλυμα.

Ξενίας ὄνομα κύριον.

ξενίζειν ξένῃ χρῆσθαι φωνῇ ἢ ξενικοῖς a ἐπιτηδεύμασι. δηλοῖ δὲ καὶ τὸ ξενίας χάριν τινὰ ὑποδέξασθαι.

ξενίζειν οἱ μὲν ξένῃ διαλέκτῳ χρῆσθαι, b οἱ δὲ ἐν τῇ ξένῃ διατρίβειν.

ξενίην συνεθήκατο παρὰ Ἡροδότῳ (1 27), ὡς ξένιον ἐδωρήσατο.

ξενικοῖς ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν, ὅτι ἀνοίκειον Ἑλλήνων τὸ ἐξαπατᾶσθαι. ἢ ξενικοῖς τοῖς ὑπὸ τῶν ξένων πρέσβεων λεγομένοις. Ἀριστοφάνης (Ach. 634) "παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι."

ξενικὸν ἐμπόριον, ὅπου οἱ ξένοι ἐμπορεύονται, ὥσπερ ἀςικόν, ὅπου οἱ ἀςοί.

ξενικὸν ἐν Κορίνθῳ Δημοσθένης Φιλιππικοῖς ⟨4 23⟩ καὶ Ἀριςοφάνης ⟨Plut. 173⟩. συνεςήσατο δ' αὐτὸ πρῶτος Κόνων, παρέλαβε δ' αὐτὸ Ἰφικράτης ὕςερον καὶ Χαβρίας· ᾧ χρησάμενοι τὴν Λακεδαιμονίων μόραν κατέκοψαν, ςρατηγοῦντος αὐτοῖς Ἰφικράτους καὶ Καλλικλέους. Harp.

ξενικός ὁ ξένος, ὁ ἀλλότριος. "ὡς εἶδεν ἄγαλμα ξενικὸν καὶ ἱερουργίαν οὐκ ἐπιχώριον, εἰς τὸ τιμώμενον παρῴνησεν." "οἱ ξενικοὶ μισθοφόροι τὸ παράπαν εἰώθασι χρησιμεύειν ἐν πολέμοις."

ὅτι οἱ Ἀθηναῖοι μὴ βουλόμενοι δι' ἑαυτῶν πολεμεῖν πρὸς Κορινθίους διὰ τὸν κίνδυνον, μισθούμενοι ξένους εἰς τὸν πόλεμον ἔτρεφον αὐτούς. τοῦτο δὲ ἐν πολλοῖς τῶν πολέμων διεπράττοντο· ὅπερ ξενικὸν ἐκάλουν. sch. A Plut. 173.

ξένιον δῶρον παρὰ ξένων διδόμενον.

ξένιος ὁ τῆς ξενίας ἔφορος. λέγεται καὶ ξένιος ὁ Ζεύς.

ξενιτευομένους ἀντὶ τοῦ μισθοφοροῦντας. Ἀντιφάνης Εὐθυδίκῳ "ἐγὼ ξενιτευόμενος ἐςρατευόμην." Harp.

Ξενίωνος ὄνομα κύριον.

ξενοδοχεῖον τὸ τοὺς ξένους ὑποδεχόμενον. καὶ ξενοδόχος ὁμοίως.

ξενοκοπεῖν ἐπὶ τοῦ πληγὰς λαβεῖν. οὕτω Μεταγένης.

a Ξενοκράτης Ἀγάθωνος ἢ Ἀγαθάνορος, Χαλκηδόνιος, μαθητὴς καὶ διάδοχος μετὰ Σπεύσιππον Πλάτωνος· τοῦ δὲ Πολέμων, τοῦ δὲ Κράντωρ. καὶ πέμψαντος αὐτῷ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρυσοῦ τάλαντα λ' αὐτὸς ἀπέπεμψεν, εἰπὼν βασιλέα δεῖσθαι χρημάτων, οὐ φιλόσοφον. ἔγραψε περὶ τῆς Πλάτωνος πολιτείας.

b Ξενοκράτης φιλόσοφος, ὃς ἐπὶ σωφροσύνῃ ἐτεθρύλητο. "ὃ δὲ πρὸς σωφροσύνην οὐδὲν μεῖον εἶχε τοῦ Πλατωνικοῦ Ξενοκράτους."

οὗτος ⟨immo Xenocrates Aphrodisiensis⟩ συνεγράψατο τὸ οἰκοσκοπικὸν οἰώνισμα, ὅτι οἷον εἰ ἐν τῇ ςέγῃ ἐφάνη γαλῆ ἢ ὄφις, τόδε σημαίνει. cf. v. οἰώνισμα.

ξενολόγιον. καὶ ξενολόγος ξένους συλλέγων ςρατιώτας.

a ξένος ὁ φίλος. ⟨Philostrat. V. A. 4 1⟩ "ἐφοίτων δὲ πρεσβεῖαι ἐκ τῶν πόλεων, ξένον τε αὐτὸν ἡγούμενοι καὶ βίου σύμβουλον, βωμῶν τε ἱδρύσεως καὶ ἀγαλμάτων. ὃ δὲ ἕκαςα τούτων διωρθοῦτο." καὶ αὖθις "ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται."

ξένος καὶ ὁ ξενοδόχος. ὁ ἀπόςολος ⟨Rom. 16 23⟩ "ἀσπάζεται ὑμᾶς ξένος ὁ φίλος μου."

Ξενοφάνης ἐν ἐλεγείᾳ περὶ τοῦ ἄλλοτε ἄλλον αὐτὸν γεγενῆσθαι· "καί ποτέ μιν ςυφελιζομένου σκύλακος παριόντα φασὶ γ' ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος· παῦσαι, μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐςὶ ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀίων." ἔσκωψε δ' αὐτὸν καὶ Κρατῖνος ἐν Πυθαγοριζούσι. καὶ ἐν Ταραντίνοις "ἔθος ἐςὶν αὐτοῖς, ἄν τιν' ἰδιώτην ποθὲν λάβωσιν εἰσελθόντα, διαπειρώμενον τῆς τῶν λόγων ῥώμης ταράττειν καὶ κυκᾶν τοῖς ἀντιθέτοις, τοῖς πέρασι, τοῖς παρισώμασι, τοῖς ἀποπλάνοις, τοῖς μεγέθεσιν νουςικῶς." Diog. L. 8 36.

Ξενοφῶν Γρύλλου Ἀθηναῖος, φιλόσοφος Σωκρατικός, ὃς πρῶτος ἔγραψε βίους φιλοσόφων καὶ ἀπομνημονεύματα. παῖδας ἔσχεν ἀπὸ Φιλησίας Γρύλλον καὶ Διόδωρον, οἳ καὶ Διόσκουροι ἐκαλοῦντο· αὐτὸς δὲ Ἀττικὴ μέλιττα ἐπωνομάζετο. γέγονε δὲ συμφοιτητὴς Πλάτωνος, καὶ ἤκμαζε κατὰ τὴν ςε' ὀλυμπιάδα. ἔγραψε βιβλία πλείονα τῶν μ', ἐν καὶ ταῦτα, Κύρου παιδείας βιβλία η', Κύρου ἀναβάσεως βιβλία ζ', Ἑλληνικῶν βιβλία ζ', συμπόσιον, καὶ ἄλλα πολλά.

Ξενοφῶν Σωκράτους μαθητὴς ἐςρατεύσατο ἐπὶ Πέρσας Κύρῳ συνανελθὼν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην. ὁ Κῦρος δὲ ἦν μετὰ Τισσαφέρνην ὕπαρχος ὑπὸ Δαρείου τοῦ πατρὸς τῶν ἐν τῇ Ἀσίᾳ καταςάς. μετὰ δὲ τὸν Δαρείου θάνατον Κῦρον Ἀρταξέρξης διαβληθέντα ὑπὸ Τισσαφέρνους ἀναιρεῖν μέλλων ἀφῆκε, Παρυσάτιδος τῆς μητρὸς παραιτησαμένης αὐτὸν καὶ τὴν σατραπείαν αὐτῷ φυλαξάσης. ὃ δὲ ὡς Τισσαφέρνει πολεμῶν ἤθροισε δύναμιν, καὶ ἐπὶ τὸν ἀδελφὸν ἔγνω ςρατεύειν. τετρακόσιοι δὲ κατέλιπον τὸν Κῦρον, καὶ ἔφυγον ἐκ τῶν συςρατευσάντων ὁπλῖται καὶ πελταςαὶ ,γφ'. Ξενοφῶν δὲ συναπῆλθε. δέκα οὖν βαρβάρων μυριάδας συναθροίσας ὡς ἐπὶ Πισίδας δῆθεν ἐπορεύετο. ὡς δὲ τὰ ἔθνη διῆλθεν ἐφ' ἃ ςρατεύειν προεφασίζετο, συνέντες οἱ Ἕλληνες ἐπὶ βασιλέα εἶναι τὴν ςρατείαν ὤκνουν τὴν ἀνάβασιν. Κλεάρχου δὲ εἰπόντος τὴν ὑποςροφὴν ἄπορον εἶναι Κύρου

μὴ συναιρομένε, συνῄεσαν. Κῦρος δὲ γυμνῇ τῇ κεφαλῇ πρὸς Τισσαφέρνην μαχόμενος, καίτοι Κλεάρχε ἀπαγορεύοντος αὐτῷ μὴ πολεμεῖν, ἀπέθανεν. οἱ δὲ Ἕλληνες ὑπὸ Κλεάρχῳ τεταγμένοι Ἀριαῖον προεβάλλοντο βασιλέα αὐτῶν· ὃ δὲ παρῃτήσατο. βασιλεὺς δὲ τὴν τοῦ Κύρου κεφαλὴν καὶ τὴν χεῖρα ἀποκόψας τοῖς Ἕλλησιν ἔπεμπε, ζητῶν τὰ ὅπλα ὡς παρὰ νενικημένων· οἱ δὲ οὐκ ἔδοσαν. δόλῳ δὲ Τισσαφέρνης παραβὰς τοὺς ὅρκους προδίδωσι βασιλεῖ τοὺς Ἕλληνας καὶ Κλέαρχον καὶ Μένωνα, οὓς ἀναιρεῖ. καὶ Ξενοφῶν αὐτῶν ϛρατηγεῖ καὶ πάντας νικᾷ. ἐλθόντες δὲ καὶ εἰς Θρᾴκην ἐμίσθωσαν ἑαυτὸς Σεύθῃ τῷ βασιλεῖ, μύριοι διασωθέντες.

c Ξενοφῶν Ἀντιοχεὺς ἱϛορικὸς Βαβυλωνιακά· ἔϛι δὲ ἐρωτικά.

d Ξενοφῶν Ἐφέσιος ἱϛορικὸς Ἐφεσιακά· ἔϛι δὲ ἐρωτικὰ βιβλία ί, περὶ Ἀβροκόμου καὶ Ἀνθίας. καὶ περὶ τῆς πόλεως Ἐφεσίων, καὶ ἄλλα.

e Ξενοφῶν Κύπριος ἱϛορικὸς Κυπριακά· ἔϛι δὲ καὶ αὐτὰ ἐρωτικῶν ὑποθέσεων ἱϛορία περί τε Κινύραν καὶ Μύρραν καὶ Ἄδωνιν.

ξενῶνος δόμου τοῦ ὑποδεχομένου τοὺς ξένους καὶ ἀρρωϛοῦντας.

Ξέρξης Περσῶν βασιλεύς. οὗτος τοῦ πατρὸς Δαρείου τελευτῶντος καὶ "μέμνησο Μαραθῶνος" εἰπόντος ἐπὶ τὴν Ἑλλάδα ἐϛράτευσε, καὶ πρῶτον κήρυκας ἔπεμψεν αἰτῦντας γῆν καὶ ὕδωρ. Ἀθηναῖοι μὲν οὖν τοὺς πρέσβεις ἐξεκήρυξαν ἐκ τῆς πόλεως, καὶ τὸν ὑπακούειν συμβουλεύσαντα κατέλευσαν, καὶ γυναῖκα καὶ παῖδας· Λακεδαιμόνιοι δὲ ἐς φρέαρ ἐμβαλόντες γῆν ἐπέβαλον. μηνίσαντος δὲ τοῦ θεῦ ἐνόσησαν. χρήσαντος δὲ τῦ θεῦ δίκας δῦναι Ξέρξῃ ὑπὲρ τῶν κηρύκων, Βῦλις καὶ Σπέρχις αὐθαίρετοι ἐς Πέρσας ἀνῆλθον, δώσοντες δίκας. ὃ δὲ θαυμάσας ἀφῆκε ζῶντας, καὶ ἡ νόσος ἐπαύσατο. ὃ δὲ πεζοῦ μὲν μυριάδας τῶν Αἰγυπτίων καὶ Φοινίκων καὶ Κυπρίων ἐϛρατοπέδευεν. ἐν Σάρδεσι δὲ γενομένῳ ὁ ἥλιος ἐξέλιπεν. εἶχε δὲ ἐπιλέκτυς μυρίους, οὓς ἀθανάτους ἐκάλει. διώρυξε δὲ καὶ τὸν Ἄθω, Μακεδονικὸν ὄρος. ἔζευξε καὶ τὸν Ἑλλήσποντον μεταξὺ Σηϛῦ καὶ Ἀβύδυ· διαλυθέντος δὲ ὑπὸ χειμῶνος μέρους πέδας τε εἰς τὴν θάλασσαν καθῆκε καὶ ἐμαςίγυ τὸ ὕδωρ. προσενεχθεισῶν δὲ αὐτῷ καὶ σιταγωγῶν νηῶν Ἑλληνίδων ἀφῆκε, τροφὴν εἶναι δούλων εἰπών. κατασκόπους δὲ λαβών, δείξας τὴν δύναμιν ἅπασαν ἀφῆκε.

ξεςίον μέτρον ἐπὶ ὑγρῶν.

ξεςόν ὡμαλισμένον.

ξηνός ὁ κορμός.

ξηραίνω τὸ ψύχω.

ξηραλοιφεῖν Αἰσχίνης κατὰ Τιμάρχε ⟨138⟩. ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι. μήποτε δὲ καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτρίβεσθαι οὕτως ἐλέγετο. Harp.

ξηραλοιφία καὶ ξηραλοιφεῖν τὸ ἄνευ τοῦ λούεσθαι ἀλείφεσθαι.

ξηρίον εἶδος ἰατρικόν.

Ξηρόλοφος. ὅτι τὸν Ξηρόλοφον πρώην θέρμα τινὲς ἐκάλουν· ἐν αὐτῷ γὰρ κοχλίαι ιϛ΄, καὶ Ἀρτέμιδος σύνθετος ϛήλη καὶ Σεβήρου τοῦ κτίσαντος, καὶ θεμάτιον τρίπουν ἔνθα ἐθυσίασε πολλὰς θυσίας Σεβῆρος· ἔνθα καὶ χρησμοὶ πολλοὶ τῷ τόπῳ γεγόνασι, καθ' ὃν καιρὸν καὶ κόρη παρθένος ἐτύθη. καὶ θέσις ἦν ἀϛρονομική, λε΄ χρόνους διαρκέσασα. Codin. orig. CP p. 17.

ξηρός ὁ ἰσχνός.

ξηρὸς ἱδρώς ὁ μὴ ὑπὸ λουτρῶν ἀλλ' ὑπὸ γυμνασίων καὶ πόνων γινόμενος.

ξηρὸς λίθος ὁ ἄνευ πηλοῦ κτιζόμενος· "ἦν γὰρ λίθῳ ξηρῷ διεσκευασμένον τὸ φρύριον, ἐκ μεγάλων λίθων συνηρμοσμένων."

ξίρις εἶδος φυτοῦ ἀρωματικοῦ.

ξιφήν ὁ φέρων ξίφος.

ξιφήρης ξίφος ἔχων. καὶ τὸ πληθυντικὸν ξιφήρεις.

ξιφηφορία φέρειν τὰ ξίφη. καὶ ξιφηφόρος.

ξιφίζειν τὸ χειροτονεῖν, παραπλήσιον ξίφει τὸ τῆς χειρὸς σχῆμα ποιοῦντα.

ξιφισμός σχῆμα ἐκ τῆς ἐμμελείας καλουμένης.

ξιφοκτονεῖν ξίφεσιν ἀναιρεῖν.

ξίφος καὶ ξιφίδιον.

ξιφουλκία· "οὐκ εἶναί φασι ξιφυλκίας εὐμοιρίαν."

ξόανον ἄγαλμα, εἴδωλον, ζώδιον, ἀνδριάς.

ξουθή εὐμορφοτάτη. ⟨AP 7 192⟩ "οὐδέ με κεκλιμένον σκιερὴν ὑπὸ φυλλάδα τέρψεις, ξουθῶν ἐκ πτερύγων ἠδὺ κρέκουσα μέλος."

ξουθῆς· Ἀριϛοφάνης ⟨Av. 750⟩ "δι' ἐμῆς γένυος ξουθῆς μελέων Πανὶ νόμους ἱεροὺς ἀναφαίνω."

ξουθόν λεπτόν, καπυρόν, ἀργυροῦν (an λιγυρόν), ξανθόν, καλόν, πυκνόν, ὀξύ, ταχύ. οἱ δὲ ποικίλον, εὐειδές, διαυγές. (A Pac. 1177) "ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν τοὺς λόφους σείων."

Ξοῦθος ὄνομα κύριον.

ξυγγενεῖς τοὐμοῦ τρόπȣ (A Th. 581) ἀντὶ τοῦ τὰ αὐτὰ πράττουσαι.

ξυγγενοῦ σύνελθε· (A Lys. 317) "ὦ δέσποινα νίκη, ξυγγενοῦ."

ξυγγέωργος προπαροξυτόνως· σύνθετον γάρ, ὡς πάγκαλος πάνσοφος. τὰ γὰρ εἰς ος ὀξύτονα συντιθέμενα βαρύνεται. Ἀριςοφάνης Πλούτῳ (223) "τοὺς ξυγγεώργȣς κάλεσον."

ξυγγνώμη πρωτοπείρῳ, ἐπὶ τῶν ἐν πρώτοις τινὸς διαμαρτανόντων.

ξυγγραφεῖς. "οἱ περὶ Πείσανδρον ἐλθόντες εἰς Ἀθήνας, πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες εἶπον γνώμην, ι' ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας· τούτους δὲ ξυγγράψαντας γνώμην εἰσενεγκεῖν εἰς τὸν δῆμον εἰς ἡμέραν ῥητήν, καθότι ἄριςα ἡ πόλις οἰκήσεται. ἐπεὶ δὲ ἡ ἡμέρα ἐφῆκε, ξυνέλεξαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνόν, ὃ ἦν ἱερὸν Ποσειδῶνος, καὶ ἐσήνεγκαν οἱ ξυγγραφεῖς ἄλλο μὲν οὐδέν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν Ἀθηναίων ἀνατρέπειν γνώμην ἣν ἄν τις βούληται· ἢν δέ τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων ἢ ἄλλῳ τῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. ἐνταῦθα δὲ λαμπρῶς ἐλέγετο ἤδη μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἐκ τοῦ αὐτȣ̃ κόσμȣ μήτε μισθοφορεῖν, προέδρους τε ἑλέσθαι πέντε ἄνδρας, τȣ́τȣς δ' ἑλέσθαι ἑκατὸν ἄνδρας, καὶ τῶν ἑκατὸν ἕκαςον πρὸς ἑαυτῷ τρεῖς· ἐλθόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας εἰς τὸ βȣλευτήριον ἄρχειν, ὅπῃ ἂν ἄριςα γινώσκωσιν, αὐτοκράτορας· καὶ τȣ̀ς πεντακισχιλίȣς δὲ ξυλλέγειν, ὁπότ' ἂν αὐτοῖς δοκῇ. ἦν δὲ ὁ ταύτην τὴν γνώμην εἰπὼν Πείσανδρος, καὶ τἆλλα ἐκ τȣ̃ προφανοῦς προθυμότατα ξυγκαταλύσας τὸν δῆμον" (Thuc. 8 67).

ξυγγράψαι καὶ γράψαι. τὸ μὲν γράψαι ἐφ' ἑνὸς πράγματος, τὸ δὲ ξυγγράψαι ἐπὶ πολλῶν. ἢ ξυγγράψαι τὸ μετ' ἐπιμελείας καὶ σπȣδαίως συντάξαι, γράψαι δὲ τὸ ἁπλῶς καὶ μὴ ἐπιμελῶς τὴν ἀλήθειαν εὑρεῖν. sch. Thuc. 1 1.

ξύει γράφει, ὡς παρ' Ὁμήρῳ. ἔνθεν καὶ τὰ ξύσματα γράμματα.

ξυήλην, ἣν ξυάλην λέγομεν. Ξενοφῶν Κύρȣ ἀναβάσει (4 7 15) "εἶχον δὲ θώρακας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων σπάρτα πυκνὰ ἐςραμμένα. εἶχον δὲ καὶ κράνη, καὶ παρὰ τὴν ζώνην μαχαίριον, ὅσον ξυήλη Λακωνική." ἣν Ἀττικοὶ κνῆσιν, Λάκωνες δὲ ξυήλην λέγουσιν. Ὅμηρος (Λ 638) "ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήσει χαλκείῃ." οἱ μὲν οὖν Ἀττικοὶ τὸ ῥῆμα οὕτως λέγουσι "κἀπικνῆν κἀπεσθίειν," οἱ δὲ Λάκωνες τοὔνομα ξυήλην. ὡς καὶ Ξενοφῶν φησὶν ἐν τῷ δ' τῆς Ἀναβάσεως (8 25) ὅτι Δρακόντιος ἔφυγεν ἐκ Σπάρτης παῖς ἔτι ὤν, ἀποκτείνας ξυήλῃ Λακωνικῇ παῖδα. διὰ τοῦτο δὲ καὶ τὸ κνῆν οἱ Δωριεῖς ξύειν λέγουσιν, ὡς καὶ Σώφρων "ἄν τις τὸν ξύοντα ἀντιξύῃ." καὶ πάλιν "ξύεται ὁ χοραγός."

ξύλα κλίνεια τὰ τῶν κλινῶν.

ξυλεία (Polyb. 3 42) ἡ τῶν ξύλων τῶν ναυπηγησίμων συλλογή.

ξύλινος.

ξυλλαβεῖν. διττὴ ἐςὶν ἡ χρῆσις τȣ̃ συλλαβεῖν παρὰ τοῖς ἀρχαίοις· πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίςησι τȣ̃ συλλαμβάνοντος, κακȣργίαν δὲ τοῦ συλλαμβανομένȣ, ὡς νῦν "ξυλλαβεῖν τὸν ἄνδρα." καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίȣ (116) "οὐχὶ συλληψόμεθα αὐτόν;" ἐὰν δὲ πρὸς δοτικήν, σημαίνει φιλίαν καὶ συμμαχίαν, ὡς Ἰσοκράτης ἐν ταῖς Παραινέσεσιν (3) "ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνȣσαν." ἴσον τῷ συναγωνιζομένην· ἐπάγει γοῦν "καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον." καὶ Δημοσθένης πρώτῳ Φιλιππικῶν. sch. A Ach. 205.

ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν. ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθȣ̀ς ἀπεργάσασθαι.

ξύλοχος σύνδενδρος καὶ ξυλώδης πάγος, δρυμός, ὕλη, χέρσος, ἀγρός, τόπος· οἱ δὲ κοίτην θηρίου. (AP 6 263) "οὐδ' ἵκετ' ἐκ μάνδρης αὖθις ἐπὶ ξύλοχον."

ξύλων ἐρεψίμων. ςεγάσματά ἐςι τὰ ἐρέψιμα, εἰς τὰς οἰκίας κατατεταγμένα.

ξυμβαίνοντα συμφωνοῦντα· "πρὶν τὰ ἔργα τοῖς λόγοις ξυμβαίνοντα ὀφθῆναι."

ξυμβαινούσης συμφωνȣμένης, ἀρεσκούσης. "ὅτι ἀποχρῶν ἔςαι τοῖς ἀμφ' αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινȣ́σης τι-

μῆς" (cf. v. ἀποχρᾶν)." καὶ αὖθις "ἐθέλειν σπείσασθαι, εἰ μάθοι ἐφ' οἷς τισὶ ξυμβαίνοιεν."

ξυμβάλλειν νοεῖν· "ὃ δὲ οὐ χαλεπῶς εἶχε ξυμβάλλειν τὸν ϛρατηγὸν ἐμβεβληκέναι αὐτοῖς τὸν φόβον."

ξύμβλητο (Hom. Ξ 39) συνήντησε.

ξύμβολον ὄρνιν φασίν, ἐπειδὴ συμβόλως ἐποίει τοὺς πρῶτα συναντῶντας καὶ ἐξ ἀπαντήσεως προσημαίνοντας. sch. A Av. 722.

ξυμβόλους. οὕτω τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον. ἀνετίθεντο δ' οὗτοι Δήμητρι.

ξυμμίξασα συντυχοῦσα· (A Eccl. 538) "οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σε ξυμμίξασ' οἶδα γυναικί," ἀντὶ τȣ̃ ἱκανωτάτῃ, φρονιμωτάτῃ.

ξυμπάθεια συμπάθεια. ὅλως δὲ ὁ διὰ τȣ̃ ξ σχηματισμὸς κοινός ἐϛι τῶν τε Ἰώνων καὶ τῶν Ἀττικῶν.

ξυμπονήσαντα ἀντὶ τοῦ ὑπομείναντα.

ξυμφέρω συμβαϛάζω· (A Eccl. 897) "φέρε νυν ἐγώ σοι ξυμφέρω."

ξυμφοράν φησι Θουκυδίδης τὴν ἀπὸ περιϛάσεως δυϛυχίαν, καὶ οὐκ ἐξ οἰκείας ἀβελίας κακοπραγίαν ἤτοι κακίαν· καὶ γὰρ αἱ τῆς φύσεως ἐλαττώσεις καὶ διαπτώσεις κακίαι πάντως εἰσίν. ἢ ξυμφορὰς τὰς ἀποτυχίας. (Thuc. 1 140) "ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι ἢ καὶ τὰς διανοίας τȣ̃ ἀνθρώπȣ." sch. Thuc. 1 127.

ξύν Θουκυδίδης ἀντὶ τοῦ σύν, καὶ τὰ ἄλλα τὰ ὅμοια. ȣ̃τω καὶ οἱ παλαιοὶ πάντες.

ξυνάγκεια ὁ κοῖλος τόπος. Ἀρριανός (cf. v. ὑποτεμόμενος) "ὃ δὲ ὑποτεμόμενος αὐτὸν ἐν ξυναγκείᾳ τινὶ βάλλει κατὰ νώτȣ τὸν ἄνθρωπον."

ξυναίρεται συνάπτεται, καὶ ξυναιρόμενον συναντιλαμβανόμενον· "εἰ ξυγχωρήσαιμεν τὸ παρὰ σοῦ κομισθὲν γράμμα ξυναιρόμενον τῇ κατὰ σὲ πολιτείᾳ" (Menand. p. 372 Nieb.).

ξυναλίζω τὸ συναθροίζω.

ξυναλλαγή ἀμοιβή, παραμυθία, συνάντησις· "λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγȣ" Σοφοκλῆς (Ai. 731). ἡ ξυναλλαγὴ ἡ ὁμιλία.

ξυναλλαγή· (S OR 960) "πότερα δόλοισι" τέθνηκεν "ἢ νόσου ξυναλλαγῇ; νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο, καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ."

ξυνάορον γαμετήν.

ξυναυλία αὔλησίς τις σύμφωνος, ὑπὸ δύο περαινομένη αὐλῳδία.

ξυναυλίαν κοινωνίαν.

ξυναυλίαν πενθήσωμεν, Οὐλύμπου νόμον (A Eq. 9), τȣτέϛιν ὁμοῦ ἀποδυρώμεθα. ξυναυλία δὲ καλεῖται, ὅταν δύο αὐλῆται τὸ αὐτὸ λέγωσιν, ἢ ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. νόμοι δὲ καλοῦνται οἱ εἰς θεȣ̀ς ὕμνοι. Ὄλυμπος αὐλητὴς γέγονε, Μαρσύȣ μαθητής, καὶ αὐτὸς δυϛυχήσας διὰ μȣσικήν. καθάπερ οὖν Ὄλυμπος εὗρε τὸ συναυλεῖν, καὶ ἡμεῖς ὅμοια καὶ ὥσπερ ἀπὸ μιᾶς φωνῆς ὀδυρώμεθα. μιμησώμεθα ἐν τῷ θρηνεῖν συναυλίαν Ὀλύμπȣ. οὗτος δὲ ὁ Ὄλυμπος ἐν Φρυγίᾳ τȣ̀ς αὐλητικȣ̀ς νόμȣς ἐποίει. ἔγραψε δὲ καὶ θρηνητικοὺς νόμους.

ξύναυλον· παρ' Ἀριϛοφάνει (Ran. 212) "ξύναυλον βοάν" τὴν μετ' αὐλῶν κοινήν.

ξυνδιενεγκεῖν συμπρᾶξαι, συναγωνίσασθαι· (Procop. Goth. 3 34?) "οἳ δὴ ἐδέοντο πόλεμον τὸν πρὸς Λογγιβάρδους ξυνδιενεγκεῖν σφίσιν. οἳ δὲ δισχιλίους ἔπεμψαν."

ξυνδιήνεγκαν συνέκαμον, συνεπράξαντο· "πολλὰ γὰρ δὴ πράγματα ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας," ἀντὶ τȣ̃ ὑπερήνεγκαν. οὕτως Ἀριϛοφάνης (Eq. 599).

ξὺν δίκῃ ἀντὶ τοῦ πρεπόντως, εὐλόγως· "ξὺν δίκῃ ταῦτα ἀξιοῦν ἔφη τὸν βασιλέα." a

ξὺν δίκῃ κατὰ τὸ πρέπον: "τὰ γέρα τούτοις ξὺν δίκῃ νενέμητο ἑκάϛοις." b

ξυνέβημεν ὡμονοήσαμεν· Ἀριϛοφάνης Νεφέλαις (67) "εἶτα τῷ χρόνῳ κοινῇ ξυνέβημεν."

ξυνέηκε (Hom. A 8) συνέβαλε.

ξυνεῖα.

ξυνενεχθῆναι. εὐτυχηθῆναι, αὐξηθῆναι.

ξυνεπιλαβεῖν συναγωνίσασθαι· "πιϛὴν Ῥωμαίοις εἶναι τὴν πόλιν, ὡς Λȣκούλλῳ τε ξυνεπιλαβεῖν τȣ̃ πρὸς Μιθριδάτην πολέμȣ."

ξυνέρξετε ἀποκλείσατε· Σοφοκλῆς (Ai. 593) "οὐ ξυνέρξεθ' ὡς τάχος;"

ξύνες (Hom. B 26) σύνες, ἄκουσον.

ξυνέσεως συνέσεως, φρονήσεως· "ὃ δὲ πρᾶος ἦν καὶ ξυνέσεως εὖ ἥκων," ἀντὶ τοῦ καλῶς καὶ ἐπὶ πλεῖϛον "καὶ ἀρετῆς μεταποιεῖσθαι ἐξεπιϛάμενος" (Procop. Vand. 1).

ξυνετρίβη τῆς κεφαλῆς. οὕτως ἐπὶ

γενικῆς τάττουσιν. "ἕως ξυνετρίβη τῆς κεφαλῆς ⟨A Pac. 70⟩.

ξυνευνέτης ἀρσενικῶς. θηλυκῶς δὲ διὰ τοῦ ι.

ξυνήγαγε συνήρμοσεν· Ἀριστοφάνης Ἀχαρνεῦσι ⟨83⟩ "πόσου τὸν πρωκτὸν συνήγαγεν;" περὶ Κλεωνύμου."

ξυνήδετο συνηυφραίνετο.

ξυνήια κοινὰ χρήματα. Hom. *Α* 124.

ξυνῆκα ἐνόησα.

ξυνήσθετο ἐνόησε.

ξυνθήματα ὑπομνήματα· Σοφοκλῆς ⟨OC 1593⟩ "οὗ τὰ Θησέως Πειρίθου τε κεῖται πίςʼ ἀεὶ ξυνθήματα," ἃ ἔθεντο πρὸς ἀλλήλους περὶ τῆς εἰς ᾅδου καταβάσεως. καὶ αὖθις "ὥσπερ ἀπὸ ξυνθήματος αὐτοκράτορα τοῦτον ἐπευφήμησεν ὁ ςρατός." "οὐκ ἀφʼ ἑνὸς ξυνθήματος, ἀλλὰ διεσπασμένως καὶ ἀκ εἰς ἓν ξυμβαίνουσαν τὴν βοήν."

ξυνίασι συνέρχονται.

ξυνίεις ὑπονοεῖς· Ἀριςοφάνης Πλούτῳ ⟨45⟩ "εἶτʼ οὐ ξυνίῃς τὴν ἐπίνοιαν τȣ̃ θεοῦ."

ξύνιον ἤκουον. Hom. *Α* 273.

ξυννενημένων σεσωρευμένων· Θουκυδίδης ⟨7 87⟩ "τῶν νεκρῶν ὁμοῦ ἐπʼ ἀλλήλοις ξυννενημένων ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί."

ξυννένοφεν ἐπινεφῆ καὶ συννεφῆ καὶ συννέφελά ἐςιν. Ἀριστοφάνης Ἀναγύρῳ "καὶ ξυννένοφε καὶ χειμέρια βροντᾷ μάλʼ εὖ." καὶ ἐν Νήσοις "ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα βαδίζει," ἀντὶ τοῦ σκυθρωπάζουσα.

ξυνοδόκος ξενοδόκος.

ξυνόν κοινόν.

ξυνοπαδός ὁ ἑπόμενος καὶ ἀκολȣθῶν.

ξυνουσίᾳ τῷ ἔργῳ, τῇ πείρᾳ· "ταῦτʼ ἐςὶν ὦ ξένʼ οὐ λόγοις τιμώμενʼ, ἀλλὰ τῇ ξυνουσίᾳ πλέω" Σοφοκλῆς ⟨OC 63⟩.

ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται ⟨S Ai. 383⟩ ἀντὶ τοῦ θεοῦ βȣλομένȣ καὶ τὰ κακὰ μεθίςαται εἰς τέρψιν.

ξυνωμοσία ἡ ὁρκωμοσία.

ξυνωμότης συςασιαςής· ⟨A Vesp. 527⟩ "ξυνωμότης ὢν καὶ φρονῶν τυραννικά."

ξυνωμοτῶν ξυνωμοσίαν πεποιημένων, τουτέςι πίςεις διʼ ὅρκων δόντων ἑαυτοῖς καὶ συνθήκας κατά τινῶν πεποιηκότων ἐπὶ καταλύσει τινῶν. Ἀριςοφάνης ⟨Eq. 257⟩ "βοηθεῖθʼ, ὡς ὑπʼ ἀνδρῶν τύπτομαι ξυνωμοτῶν."

a ξυνωρίς τὸ μὴ πλῆρες ἅρμα, ἀλλʼ ἐκ δύο ἵππων συνεςώς, ὃ νῦν δίφρον καλοῦσι. sch. A Nub. 15.

ξυνωρίς συζυγία. ἢ ἅρμα ἐκ δύο ἵππων b
συνεζευγμένον.

Ξυπεταιών. δῆμος τῆς Κεκροπίδος Ξυπεταίη, ἀφʼ ἧς ὁ δημότης Ξυπεταιών. Harp.

ξυρεῖ γὰρ ἐν χρῷ, ὥςε μὴ χαίρειν τινά ⟨S Ai. 786⟩, ἀντὶ τοῦ μέχρι βάθους διικνεῖται, ὥςε μὴ χαίρειν. τὸ δὲ τινά παρέλκει.

ξυρήκης ὁ ξυρήσιμος καὶ κουριῶν.

ξυρησμός.

ξυρίδες καμπάκια, ζυγάβδια, ἢ ἄλλο ὑπόδημα διάφορον.

ξυρός τὸ ἐργαλεῖον.

ξυρὸς εἰς ἀκόνην, παροιμία πρὸς τὺς ὧν βούλονται τυγχάνοντας, ὁμοία τῇ "ὄνος εἰς ἄχυρα."

ξυροῦ ἀκμῆς τοῦ ὀξυτάτου, κατὰ λεπτότητα τῶν σιδηρίων.

ξύσσιτος σύντροφος, συνδιαιτητής.

ξυςαθεύσω σὺν σοὶ ὀπτήσω τῷ ἔρωτι, ἀπὸ μεταφορᾶς τῶν κρεῶν. sch. A Lys. 844.

ξυςαρχεῖς τοῦ γυμνασίου ἄρχεις.

ξυςίδα λεπτὸν ὕφασμα, περιβόλαιον. a

ξυςίδα τὸ παχὺ ἱμάτιον. b

ξυςίς χιτὼν ποδήρης γυναικεῖος. οἱ δὲ a
τραγικὸν ἔνδυμα ἐσκευοποιημένον καὶ ἔχον ἐπιπόρπημα. οἱ δὲ τὸ λεπτόν, παρὰ τὸ ἐξῦσθαι. ἰδίως δὲ τὸ τῶν τραγῳδῶν ἔνδυμα.

ξυςὶς λέγεται τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ b
ἡνίοχοι μέχρι νῦν φορȣ̃σι πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς. ξύςιδα δὲ προπαροξυτόνως οἱ Ἀττικοί· Ἀριςοφάνης Νεφέλαις ⟨70⟩ "ὥσπερ Μεγακλέης ξύςιδʼ ἔχων." ξύςις ἐςὶ καὶ ἱππικὸν ἔνδυμα, ὡς Ἀριςοφάνης ἐν Νεφέλαις.

ξυςόν δορύλλιον, ἀκόντιον, καὶ τὸ τέλειον δόρυ· καὶ ὁ τόπος ἔνθα οἱ ἀθληταὶ γυμνάζονται. Ἀρριανός ⟨immo Dexippus p. 12 Nieb.⟩ "τὰ σημεῖα τῆς ἐπιλέκτου ςρατιᾶς ἀετοί, εἰκόνες βασίλειοι, ςέμματα, πάντα χρυσᾶ, ἀνατεταμένα ἐπὶ ξυςῶν ἠργυρωμένων."

ξυςός ὁ ἐξεσμένος.

ὄα ἀκροδρύων εἶδος μήλοις μικροῖς ἐμφερές, ὀπώρα.

ὀαρίζω τὸ γυναιξὶ λαλῶ· ὄαρος γὰρ ἡ ὁμιλία.

ὀαρισμοί διαλογισμοί.

ὀαριςύς γυναικώδης ὅμιλος.

ὀβελίας ἄρτος.

ὀβελός. καὶ ὀβελίσκος ἡ σούβλα· Ξενοφῶν (Anab. 7 8 14) "ἐπάταξεν ἔνδον βουπόρῳ τις ὀβελίσκῳ διαμπερὲς τὸν μηρὸν τοῦ ἐγγυτάτω." καὶ παροιμία "τὸ θερμὸν τοῦ ὀβελοῦ" ἐπὶ τῶν τὰ χείρονα ἀντὶ τῶν κρειττόνων αἱρουμένων.

ὀβολός ὁ τόκος. εἶδος νομίσματος. ὀβολὸς δὲ παρὰ Ἀθηναίοις ς' ἐςι χαλκῶν, ὁ δὲ χαλκοῦς λεπτῶν ζ'. τὸ δὲ τάλαντον τοῦ ἀργυρίου λιτρῶν τῶν νῦν δ', καὶ νομισμάτων η' καὶ ς'. ἡ δὲ μνᾶ ἑξηκοςόν ἐςι τοῦ ταλάντου. τὸ δὲ τάλαντον τοῦ χρυσίου ἑξαπλάσιόν ἐςι.

ὀβολοῦ κοριάννοις τὴν βουλὴν ἀναλαβὼν ἐλήλυθα" Ἀριςοφάνης (Eq. 679), ἀντὶ τοῦ συναρπάσας ἱκανοὺς καὶ κουφίσας καὶ μετεωρίσας εἰς ἐμαυτὸν τῇ εὐνοίᾳ ἔπεισα ῥέπειν. ὀβολοὶ δέ εἰσιν οὓς καλοῦμεν φόλλεις (cf. v. κέρματα). "ὁ Ἰουςινιανός, τῶν ἀργυραμοιβῶν ὑπὲρ ἑνὸς ςατῆρος χρυσοῦ προΐεσθαι τοῖς ξυμβάλλουσιν εἰωθότων ι' καὶ σ' ὀβολούς, αὐτὸς ἐπιτεχνώμενος κέρδη οἰκεῖα π' καὶ ρ' μόνους ὑπὲρ τοῦ ςατῆρος διετάξατο δίδοσθαι ὀβολούς." καὶ αὖθις Ἀριςοφάνης (Ran. 141) "φεῦ ὡς μέγα δύνασθον πανταχοῦ δύ' ὀβολώ," διὰ τὸ λεγόμενον ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ ςόματος δύο ὀβολοὺς βάλλουσι. λέγεται καὶ τριώβολον, τῶν ςρατηγῶν βλακείας χάριν προςιθέντων.

ὀβολοςατεῖ ἀντὶ τοῦ δανείζει. Λυσίας "οὐδ' ἂν εἰ πολὺ ἐλάττονα τόκον λογίσαιτό τις ἢ ὅσον οὗτοι ὀβολοςατοῦντες τοὺς ἄλλους πράττονται." ἔλεγον δὲ ὀβολοςάτας τοὺς δανειςάς, ὡς Ὑπερίδης καὶ ἡ κωμῳδία. Harp.

ὀβολοςάτης.

ὀβριμοεργός ὁ μεγάλα ἔργα ποιῶν.

ὄβριμος ἰσχυρός.

Ὄβρων ὄνομα πόλεως.

ὀγδόη ἡ μέλλουσα κατάςασις. "δὸς μερίδα τοῖς ἑπτά, καί γε τοῖς ὀκτώ" (Ecclesiast. 11 2).

ὀγδοήκοντα καὶ ὀγδώκοντα· (AP 6 226) "ἀλλ' ἐπὶ τούτοις Κλείτων ὀγδώκοντ' ἐξεπλήρωσ' ἔτεα."

ὀγδοηκοςός. ὀγδοηκονταέτης.

ὄγκιον (Hom. φ 61) ἀγγεῖον ἐν ᾧ τὰ σίδηρα.

ὄγκοι αἱ ἀκίδες.

ὄγκος τὸ βάρος· Σοφοκλῆς (El. 1142) "μικρὸς προσήκεις ὄγκος ἐν μικρῷ κύτει," περὶ τῶν Ὀρέςου λειψάνων. καὶ ἐν Τραχινίαις (819) "ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν μητρῷον;" καὶ εὔογκον τὸ εὐβάςακτον.

ὄγκος. Πισίδης "εἰς τρεῖς γὰρ ὄγκους τὸν ςρατὸν περισχίσας ὑφεῖλκε τοὺς σούς, τῷ δοκεῖν περιτρέχων." "Μαυρίκιος δὲ ὁ βασιλεὺς συνεκέρασεν ἐν ἑαυτῷ ἄμφω τὰ ἐναντίως ἔχοντα ἀλλήλοις, ὄγκον φρονήματος καὶ πραότητα" (cf. v. Μαυρίκιος). καὶ αὖθις "Κρατερὸς ὁ Μακεδὼν μέγιςός τε ὀφθῆναι καὶ οὐ πρόσω ὄγκου βασιλικοῦ" (cf. v. Κρατερός).

ὀγκύλλεσθαι ὑψαυχενεῖν καὶ ὄγκους περιβάλλεσθαι, σεμνύνεσθαι. ἐν τῷ περὶ εἰρήνης δράματί φησιν Ἀριςοφάνης (462) "ὑπότεινε δὴ πᾶς καὶ κάταγε τοῖσιν κάλοις·" εἶτα μὴ ἑλκόντων φησὶν (469) "οἷ' ὀγκύλλεσθε," ἀντὶ τοῦ οἷα ἐπερείδεσθε μὲν τῷ σχοινίῳ, προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ· ἢ τὸν ὄγκον περιβάλλεσθε καὶ ἀλαζονεύεσθε καὶ ὑπερηφανεύεσθε. ὡς φιλοπόλεμοι δὲ οὐχ εἷλκον, ἢ ὡς ἔκσπονδοι.

ὀγκυλλόμενος ὑπερήφανος.

ὄγμος ἡ κατὰ ςίχον ἔφοδος τῶν θεριςῶν. καὶ ὄγμοι ςαχύων. καὶ Σοφοκλῆς (Phil. 162) "φορβῆς χρείᾳ ςίβον ὀγμεύει τόνδε πέλας που." καὶ ἐπόγμιος Δημήτηρ ἡ ἔφορος τοῦ θέρους· ἐν ἐπιγράμμασι (AP 6 258) "τὰν ὄιν, ὦ Δάματερ ἐπόγμιε, τάν τ' ἀκέρωτον μόσχον."

ὄγχναι ἀχράδες, ἢ ἄπιοι.

ὀδαῖα τὰ ἐφόδια.

Ὀδαίναθος ἀπὸ Συρίας. οὗτος τῷ φιλοσόφῳ Πλουτάρχῳ συνὼν ἀποριῶν ἐνεπίπλα τὰς τοῦ διδασκάλου διατριβάς, καὶ οὐκ εἴα τὸν λόγον ἀνύτειν συμποδιζόμενον. ἀλλὰ πρὸς σύνεσιν τοῦ ἀληθοῦς ἐνδεέςερος ἦν ὁ Ὀδαίναθος. οὔκουν οἴεσθαι δεῖν ἐκεῖνος ἠξίου τὸν φιλόσοφον ἐρωτᾶσθαι, οὐδὲ ἀποκρίνεσθαι ἐκ τοῦ παρατυχόντος ὁτιοῦν· μάλιςα δὲ χαλεπὸν καὶ ἐγγύς τι ἀδύνατον εἶναι περὶ θεῶν τι λέγειν ἢ φρονεῖν, ἀνθρώπους ὄντας. Damascius?

ὀδάξ τοῖς ὀδοῦσιν ἐνδεδηχότες. "Διόγενες, ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος ἐς Ἅιδος; ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ." Diog. L. 6 79.

ὀδαξησμός κνησμὸς καὶ ὀδόντων τρισμός.

ὅδε ἐγώ αὐτὸς ἐγώ.

ὁ δεῖνα καλός. "ἴδιον ἐραστῶν ἦν τὸ τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις ἢ δένδροις ἢ φύλλοις δένδρων, οὕτως, ὁ δεῖνα καλός" (sch. A Ach. 144). τοῦ δεῖνος, τῷ δεῖνι, τὸν δεῖνα.

ὃ δέ τις ἀντὶ τοῦ ἄλλος δέ τις.

ὁδηγία ἡ προπομπή.

ὁδηγῶ αἰτιατικῇ.

Ὄδηθος ὄνομα κύριον.

Ὀδησσός ὄνομα πόλεως.

Ὀδίος (Hom. B 856) ὄνομα κύριον.

ὁ Διὸς Κόρινθος, παροιμία ἐπὶ τῶν πάλαι μὲν εὐπραγησάντων, ὕστερον δ' οὐ καλῶς ἀπαλλαξάντων. cf. v. Διὸς Κόρινθος.

ὁδίτης ὁδοιπόρος.

ὀδμή ἀποφορά, ὀσμή.

ὁδοιδόκος ὁ ἐν ταῖς ὁδοῖς πανοῦργος κλώψ. καὶ ὁδοιδοκῶ τὰς ὁδοὺς ἐπιτηρῶ.

ὁδοιπορία. καὶ ὁδοιπόριον (Hom. ο 506) τὴν ἐπὶ τῷ συμπλεῦσαι εὐωχίαν.

Ὀδόμαντες ἔθνος Θρακικόν· Ἀριστοφάνης (Ach. 157) "τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν;" ἀντὶ τοῦ ἔτιλεν. cf. v. ἀποτεθρίακεν.

ὀδός οὐδός. Σοφοκλῆς (OC 1590) "ἐπεὶ δ' ἀφῖκτο τὸν καταφράκτην ὀδόν," τουτέστι τὴν φλιάν, "χαλκοῖσι γῆθεν ἐρριζωμένον." περὶ τοῦ ᾅδου φησίν.

ὁδός. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους (53) "ἢ ἐν ὁδῷ καθελών" ἀντὶ τοῦ ἐν λόχῳ καὶ ἐνέδρᾳ. τοιοῦτον δὲ καὶ τὸ Ὁμηρικὸν (Α 151) "ἢ ὁδὸν ἐλθέμεναι." εἰ δὲ ψιλωθείη ἡ προτέρα συλλαβή, σημαίνει τὸν βαθμόν. Harp.

ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς," τὸ λεγόμενον. Ἀριστοφάνης Ἀναγύρῳ "ὅρμου παρόντος τὴν ἀτραπὸν κατερρύην."

ὀδύνη πόνος.

ὀδυνηρός.

ὀδυνήφατος ἡ τὰς ὀδύνας ἀφανίζουσα.

ὀδυρτή, κατ' ἐναλλαγὴν τοῦ ρ, Ὀδύρση, τουτέστι Θρᾳκική. ἢ ἀπὸ τοῦ ὀδύρεσθαι, τουτέστι θρῆνον ἐμποιοῦσα καὶ ὀδυρμόν. Ἀριστοφάνης (Ach. 1226) "λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτή."

ὀδύρωμαι ἀντὶ τοῦ ὀδυροῦμαι μέλλοντος. καὶ ὁ Λιβάνιος "νυνὶ δὲ τὴν κόνιν σιγῇ ὀδύρωμαι."

Ὀδύσσεια. καὶ Ὀδύσσειος μηχανή ἐπὶ τῶν πανούργων· "ὁ δὲ καταδὺς εἰς πᾶσαν Ὀδύσσειον καὶ πολύπλοκον μηχανὴν τὸν βίον ἤνυε" (cf. v. καταδύς). καὶ αὖθις "Ὀδύσσειόν τινα καὶ Θεμιστόκλειον παρεληλυθὼς πανουργίαν."

ὀδώδασιν.

ὄδωδεν ὄζει· (AP 7 218) "ἧς καὶ ὑπ' εὐώδει τύμβος ὄδωδε κρόκῳ." περὶ Λαΐδος ὁ λόγος τῆς ἑταίρας.

ὀδωδώς ὄζων. καὶ ὀδωδότι.

ὀδωτὴ θάλασσα.

ὁ ἐν Τεμέσῃ ἥρως. ὅταν τις ἀπαιτῶν τι μᾶλλον προσοφείλων εὑρεθῇ, τότε λέγεται ἐν Τεμέσῃ ἥρως.

ὄζαι τὰ δέρματα τῶν ὀνάγρων.

Ὀζᾶς. ὅτι Δαβὶδ μετὰ τὸ νικῆσαι τοὺς Παλαιστίνους συναθροίσας πάντας τοὺς ἐν ἀκμῇ παραγίνεται ἐπὶ τὴν κιβωτόν, ἣ ἔκειτο εἰς Καριαθαμά· ἣν βαστάσαντες ἐκ τῆς Ἀμιναδάβου οἰκίας, ἐπιθέντες ἐφ' ἅμαξαν καινήν, ἕλκειν ἀδελφοῖς τε καὶ παισὶν ἐπέτρεψαν μετὰ βοῶν. προῆγε δ' ὁ βασιλεὺς καὶ σὺν αὐτῷ τὸ πλῆθος, ὑμνοῦντες τὸν θεὸν καὶ ᾄδοντες πᾶν εἶδος ἐπιχώριον, σύν τε ὄχλῳ ποικίλῳ κρουμάτων καὶ ὀρχήσεων καὶ ψαλμῶν κατάγοντες τὴν κιβωτὸν εἰς Ἱεροσόλυμα. ὡς δὲ ἧκον ἄχρι Χειδῶνος ἅλωνος, οὕτω καλουμένου τόπου, τελευτᾷ Ὀζᾶς κατ' ὀργὴν θεοῦ· τῶν βοῶν γὰρ ἐπινευσάντων τὴν κιβωτόν, ἐκτείναντος τὴν χεῖρα καὶ κατασχεῖν θελήσαντος, ὅτι μὴ ὢν ἱερεὺς ἥψατο ταύτης, ἀποθανεῖν ἐποίησεν. ὁ δὲ βασιλεὺς καὶ ὁ λαὸς ἐδυσφόρησαν ἐπὶ τῷ θανάτῳ τοῦ Ὀζᾶ. Ioseph. A. I. 7 4.

ὄζειν· Ἀριστοφάνης (Lys. 617) "ἤδη γὰρ ὄζειν ταδὶ πλειόνων καὶ μειζόνων πραγμάτων μοι δοκεῖ· καὶ μάλιστ' ὀσφραίνομαι τῆς Ἱππίου τυραννίδος." οὗτος τύραννος ἦν, ὃς ἐποίησε τοὺς Ἀθηναίους κατωνάκας φορεῖν, ὅπως μὴ δυνηθῶσι προενεγκεῖν τὰς χεῖρας. τοῦτον δὲ κατέλυσαν Λακεδαιμόνιοι. τεσσάρων ὄντων τῶν Πεισιστρατιδῶν, ὁ δὲ Ἱππίας πρεσβύτερος ἦν τῶν ἄλλων καὶ τυραννίδι ἐπέθετο.

Ὀζίας Ἀμαθίου υἱός, ἀγαθὸς καὶ δίκαιος τὴν φύσιν, καὶ μεγαλόφρων καὶ προνοῆσαι πραγμάτων φιλοπονώτατος, καὶ πολλοὺς πολέμους νενικηκώς, καὶ πάντα μέχρι τῶν Αἰγυπτίων ὅρων χειρωσάμενος, τῶν Ἱεροσολύμων ἤρχετο ποιεῖσθαι τὸ λοιπὸν τὴν

ἐπιμέλειαν, καὶ τῶν τειχῶν ὅσα ὑπὸ χρόνου κατεβέβλητο προσῳκοδόμησε, καὶ πύργους πολλοὺς ή πήχεων καὶ ρ', καὶ φρουρὰς ἐνετείχισε τοῖς ἐρήμοις χωρίοις, καὶ πολλὰς ὀχετοὺς ὤρυξεν ὑδάτων, καὶ κτηνῶν ἄπειρόν τι πλῆθος ἐκέκτητο. γεωργὸς δ' ὢν σφόδρα τῆς γῆς ἐπεμελεῖτο. ϛρατιᾶς δὲ εἶχεν ἐπιλέκτου μυριάδας ζ' καὶ λ', ταξιάρχας β', καὶ ὅπλα παντοῖα. γενόμενος δὲ ἐν τοιαύτῃ συντάξει καὶ παρασκευῇ διεφθάρη τὴν διάνοιαν ὑπὸ τύφου, καὶ χαυνωθεὶς θνητῇ περιουσίᾳ τῆς ἀθανάτȣ καὶ πρὸς ἅπαντα διαρκȣ̃ς τὸν χρόνον ἰσχύος ὠλιγώρησεν. αὕτη δ' ἦν ἡ πρὸς τὸν θεὸν εὐσέβεια καὶ τὸ τηρεῖν τὰ νόμιμα. ὤλισθε δ' ὑπ' εὐπραξίας, καὶ κατηνέχθη πρὸς τὰ τοῦ πατρὸς ἁμαρτήματα, πρὸς ἃ κἀκεῖνον ἡ τῶν ἀγαθῶν λαμπρότης καὶ τὸ μέγεθος τῶν πραγμάτων, οὐ δυνηθέντα προσῆναι καλῶς αὐτῶν, ἤγαγεν. ἐνϛάσης δ' ἡμέρας ἐπισήμȣ καὶ πάνδημον ἑορτὴν ἐχούσης, ἐνδὺς ἱερατικὴν ϛολὴν εἰσῆλθεν εἰς τὸ τέμενος, ἐπιθυμιάσων ἐπὶ τοῦ χρυσοῦ βωμοῦ τῷ θεῷ. τοῦ δὲ ἀρχιερέως Ζαχαρίȣ καὶ τῶν ὄντων σὺν αὐτῷ ἐξ Ἀαρὼν γένȣς π' ἱερέων καταβοώντων ἐξιέναι (ȣ̓ γὰρ ἐξὸν ἐπιθύειν, εἶπον, μόνοις δ' ἐφεῖται τοῦτο ποιεῖν τοῖς ἀπὸ τȣ̃ γένους Ἀαρών) καὶ μὴ παρανομεῖν εἰς τὸν θεόν, ὀργισθεὶς ἠπείλησεν αὐτοῖς θάνατον, εἰ μὴ τὴν ἡσυχίαν ἄξȣσιν. Ioseph. A. I. 9 11.

b Ὀζίας βασιλεὺς Ἰσραήλ. οὗτος εὐσεβὴς ἦν καὶ εὐοδȣ́μενος ἐπήρθη, καὶ εἰς ἀπόνοιαν ἐλθὼν ἠθέλησε θυμιᾶσαι τῷ θεῷ αὐτὸς δι' ἑαυτοῦ, ὅπερ μόνοις ἐξῆν τοῖς ἱερεῦσι. καὶ θυμιάσας ἐν τῷ ναῷ εὐθὺς ἐλεπρώθη· ἐξανέτειλε γὰρ ἡ λέπρα ἐν τῷ μετώπῳ αὐτοῦ, ἐν οἴκῳ κυρίȣ· καὶ κατέσπασαν αὐτὸν ἐκεῖθεν.

Ὀζόλης ἐθνικόν.

ὄζος κλάδος.

ὄζουσιν εὐωδίας πλήρεις εἰσίν· (A Ach. 195) "αὗται μὲν ὄζουσ' ἀμβροσίης καὶ νέκταρος," ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. λέγει δὲ περὶ τῆς τῶν Διονυσίων ἑορτῆς.

ὄζω. Ἀριϛοφάνης Πλούτῳ (1021) "ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ μου," ἀντὶ τοῦ ὀσμὴν ἡδεῖαν ἔλεγεν εἶναι ἀπὸ τοῦ σώματός μου.

ὄζων κἀκ τῶν μασχαλῶν πατρὸς Τραγασαίου· Ἀριϛοφάνης (Ach. 816) "ȣ̔δ' ὥσπερ ὁ πονηρὸς Ἀρτέμων, ὁ ταχὺς ἄγαν τὴν μουσικήν, ὄζων κἀκ τῶν μασχαλῶν πατρὸς Τραγασαίου." οὗτος ἐπὶ δυσοσμίᾳ διεβάλλετο διὰ τὴν τράγων δυσωδίαν. ἦν δὲ μελοποιός.

Ὄζωνος ὄνομα κύριον.

ὅθεν αἱ τριήρεις αἱ καλαί, τȣτέϛιν ἐξ Ἀθηνῶν· μέγα γὰρ ἐφρόνȣν οἱ Ἀθηναῖοι ἐπὶ ναυμαχίᾳ. εἰρηκότος γὰρ (A Av. 108) "ποδαπὸν τὸ γένος," εἶπεν "ὅθεν αἱ τριήρεις αἱ καλαί."

ὄθι ὅπου.

ὀθνεία ξένη, καὶ ὀθνεῖος ἀλλογενής, ξένος, ἀλλότριος.

ὀθνεῖος οὐχ ὁ ἐκ τῆς ἀλλοδαπῆς ἀφιγμένος, ὥς τινες ἀπέδοσαν, ἀλλοεθνής, ἀλλ' ὁ ἀπὸ πόλεως τῆς αὐτῆς ὢν καὶ ἄλλως ἐπιτήδειός πως, οὐ μέντοι κατὰ γένος προσήκων. "ἐπολέμουν ἔμφυλον πόλεμον χακίονα τοῦ ὀθνείου" (Menand. p. 400 Nieb.). "ὀθνεῖον γάρ τι καὶ ἔκφυλον ψεύδεσθαι σοφῷ ἀνδρί." "πρῶτος ὀθνείων κατέϛησεν εἰς πεῖραν πολέμων Ῥωμαίους." "πόλεμον μακρὸν καὶ ὀθνεῖον ἐκφέρουσιν."

ὀθόναις λεπτοῖς ὑφάσμασι. καὶ πᾶν τὸ ἰσχνόν, κἂν μὴ λινοῦν ᾖ. "τήν τε γὰρ σχοῖνον, δι' ἧς ἡ ὀθόνη ἐπὶ τὴν τοῦ ἱϛοῦ ἀνάγεται κεραίαν, δρεπάνῳ ἐξέτεμον." τὸ ἄρμενον λέγει.

ὀθόνη πᾶν τὸ λεπτὸν ὕφασμα. "σκωπτόλαι τε καὶ ὑβρισαί, καὶ δεδιόκασι τῇ ὀθόνῃ μᾶλλον ἢ σοφίᾳ Ἀθηναῖοι." cf. v. Εὐθύδημος.

Ὀθρυάδας τῶν τριακοσίων τῶν λογάδων εἷς, τῶν ἐπὶ Θυρέᾳ μαχεσαμένων, ὃς ἐν τοῖς νεκροῖς τραυματίας λαθών, ἀναχωρησάντων Ἀλκήνορος καὶ Χρομίου οἳ τῶν Ἀργείων περιεσώθησαν, αὐτὸς σκυλεύσας τοὺς Ἀργείων νεκροὺς καὶ τρόπαιον ἀναϛήσας ἀνθρωπείῳ αἵματι ἐτελεύτησεν εὐθύς, καὶ αἴτιος ἐγένετο Λακεδαιμονίοις τοῦ πάλιν ἀμφισβητῆσαι περὶ Θυρέας καὶ ἀγωνισαμένȣς νικῆσαι.

Ὀθρυονεύς (Hom. N 772) ὄνομα κύριον. τὸν Ὀθρυονῆα (363).

Ὀθρωνός.

ὄθω τὸ ἐπιϛροφὴν ποιοῦμαι.

Ὄθων ὁ μετὰ Γάλβαν βασιλεύσας, γένους ἀσήμου καὶ ἀφανοῦς ὢν καὶ τὸν ἔμπροσθεν βίον ἐξίτηλός τις, καὶ τῷ Νέρωνι κατὰ τὸ τῆς ἐκδιαιτήσεως ὁμοιότροπον οἰκειότατος· ἔν γε μὴν τῇ βασιλείᾳ τὸν συνήθη μετελθεῖν τȣ̃ βίȣ τρόπον οὐχ ἱκανὸς γέγονε,

πολέμων αὐτῷ χαλεπῶν εὐθὺς ἐκραγέντων. Io. Autioch. exc. Peir. p. 814.

ὀί ὀδυρομένων ἐςὶν ἐπίφθεγμα καὶ δυσχεραινόντων. καὶ οἱ φοβούμενοι δὲ οὕτω λέγουσιν. sch. A Pac. 931.

οἷ τοπικὸν ἐπίρρημα, ἀντὶ τῦ ὅπυ· "ὦ δύςηνος, οἷ πεπλώκαμεν" Ἀριςοφάνης ⟨Th. 884⟩. "ἔφευγον δὲ οἷ ἐδύνατο ἕκαςος," καὶ αὖθις ⟨Philostrat. V. A. 1 18⟩ "ἐμοὶ δὲ βαδιςέα οἷ σοφία καὶ δαίμων με ἄγει." ⟨S El. 1035⟩ "ἀλλ' οὖν ἐπίςω γ' οἷ μ' ἀτιμίας ἄγεις."

οἷ ἀντὶ τῦ ὅπυ· ⟨A Vesp. 1441⟩ "ζηλῶ γε τῆς εὐτυχίας τὸν πρεσβύτην, οἷ μετέςη ξηρῶν τρόπων καὶ βιοτῆς." καὶ αὖθις "ὃ δὲ ὁρῶν οἷ κακῦ εἴη, ἐπὶ τὸν τάφον τῦ γειναμένυ καταφεύγει."

οἷ περισπωμένως ἀντὶ τῦ ἑαυτῷ, ὀξυτόνως δὲ τὸ ἦτοι. Συμπόσιον ⟨p. 174 D⟩ "οἷ μὲν γὰρ εὐθὺς παῖδά τινα τῶν ἔνδον ἀπαντήσαντα." καὶ οὗ ἀντὶ τῦ αὐτῦ· Πολιτείας ⟨10 p. 617 E⟩ "πλὴν οὗ." Ἀππιανός "ἐπεὶ δὲ ἦν οἱ τὸ κακὸν τέχνης κρεῖττον καὶ μέντοι καὶ ἐπικυρίας τῆς ἐκ θνητῶν συμμάχων δυνατώτερον."

οἷ, ἀντὶ τῦ αὐτῷ, δασύνεται· "τὴν κεφαλὴν Πομπηίυ κομισθεῖσάν οἱ."

οἷα. μακρὸν τὸ ἄλφα· ⟨S OC 370⟩ "οἷα κατέσχε τὸν τρισάθλιον δόμον." καὶ οἷαν, θηλυκῶς, ἀντὶ τοῦ δυνατήν· Ἀριστοφάνης ⟨Nub. 1106⟩ "τὴν μὲν ἑτέραν γνάθον ςομώσεις οἷαν δικιδίοις, τὴν δ' ἑτέραν οἷαν ἐς τὰ μείζω πράγματα," τυτέςι τὰ ἄδικα.

Οἴαγρος.

ὄιαι διφθέραι, μηλωταί.

οἴακες πηδάλια, αὐχένες.

οἰακίζει κυβερνᾷ.

οἰάκιον τῆς νηός.

οἰακιςής κυβερνήτης.

οἰακοςρόφος κυβερνήτης.

οἰακοςροφῶν κυβερνῶν.

οἴαξ οἴακος.

Οἰαξίς χώρα.

οἴαροι γυναῖκες.

οἰάτειον κρέας τὸ προβάτειον.

Οἰβάδης Οἰβάδυ ὄνομα κύριον.

Οἰβώνιον ὄνομα τόπυ.

οἰγνύει ἀνοίγει.

οἰδαίνει οἰδεῖν ποιεῖ.

οἰδαίνων φλεγμαίνων, ψύχων.

οἴδακες οἱ λεγόμενοι φήληκες, καὶ πάντα τὰ μὴ πέπειρα ἀκρόδρυα.

οἰδαλέον τὸ ὑγρόν.

οἰδάνει αὐξάνει.

οἶδα Σίμωνα καὶ Σίμων ἐμέ, ἐπὶ τῶν ἀλλήλυς ἐπὶ κακίᾳ γινωσκόντων. cf. v. Τελχῖνες.

οἴδε ἡμεῖς.

οἰδεῖ φλεγμαίνει, πεφύσηται.

οἴδημα ὄγκωμα, φλεγμονή, ἀπόςημα. ὡς ἐκ μεταφορᾶς τῶν σωμάτων καὶ ἐπὶ τῆς ἐπάρσεως καὶ φυσιώσεως λέγεται. "τῆς δὲ εἰς οἴδημα ἀρθείσης φρονήματος καὶ παρὰ τῶν ἐπισκόπων προσκυνυμένης" ⟨cf. v. Λεόντιος⟩. "συνέβη δὲ τὸν πόδα αὐτῦ εἰς οἴδημα ἀρθῆναι καὶ φλεγμήναντα σφακελίσαι" ⟨cf. v. σφακελισμός⟩.

οἰδήματα ἐπάρματα ἢ φυσήματα· ⟨Theophyl. Sim. 3 7⟩ "λόγοις ἐχέφροσι κατηύναζεν ὁ ςρατηγὸς τὰ τῦ ςρατιωτικῦ θράσυς οἰδήματα."

οἴδησις φλεγμονή, φύσημα.

Οἰδίπους. Λάιος ὁ Θηβῶν βασιλεὺς ἔσχε γυναῖκα Ἰοκάςην, ἐξ ἧς γέγονεν αὐτῷ παῖς Οἰδίπυς. τούτου γεννηθέντος χρησμὸν ἔλαβεν ὁ πατὴρ ὅτι τῇ ἰδίᾳ αὐτῦ μητρὶ μιγήσεται ὁ παῖς, καὶ κελεύει αὐτὸν εἰς ὄρος ῥιφῆναι καὶ ξύλῳ περικλεισθῆναι τὺς πόδας αὐτοῦ· ὃν εὑρηκὼς γεωργὸς ὀνόματι Μελίβοιος ἀνεθρέψατο, καὶ Οἰδίποδα ὠνόμασε διὰ τὸ ὠγκωμένυς ἔχειν τοὺς πόδας ὑπὸ τῦ ξύλου τοῦ καλουμένου κούσπου. γεγονὼς δὲ ἀνδρεῖος ἐλῄςευε, καθ' ὃν χρόνον καὶ ἡ λεγομένη Σφίγξ ἀνεφάνη, γυνὴ δυσειδὴς καὶ θηριώδης τὴν φύσιν· ἀποβαλοῦσα γὰρ τὸν ἄνδρα καὶ συναγαγῦσα χεῖρα καὶ τόπον καταλαβοῦσα δύσβατον τοὺς παριόντας ἐφόνευεν. ὁ οὖν Οἰδίπους δεινόν τι βυλευσάμενος δίδωσιν ἑαυτὸν μετ' αὐτῆς λῃςεύειν, καὶ ἐπιτηρήσας καιρὸν ὃν ἠβούλετο, λόγχῃ ἀναιρεῖ αὐτὴν καὶ τοὺς μετ' αὐτῆς. οἱ δὲ Θηβαῖοι θαυμάσαντες ἀναβοῶσιν αὐτὸν βασιλέα. ὁ γοῦν Λάιος ἀγανακτήσας κατ' αὐτῶν τούτοις ἐπάγει πόλεμον, καὶ λίθῳ βληθεὶς τὴν κεφαλὴν τελευτᾷ. ἡ δὲ Ἰοκάςη φοβυμένη τῆς βασιλείας ἐκπεσεῖν ἄγει τὸν Οἰδίποδα καὶ χειροτονεῖ βασιλέα, καὶ γίνεται τούτου γυνή, ἀγνοοῦσα ὅτι μήτηρ αὐτοῦ ἐςίν. ἴσχει δὲ ἀπ' αὐτοῦ υἱοὺς δύο, Ἐτεοκλέα καὶ Πολυνείκην. ὕςερον δὲ τοῦτο μαθοῦσα ὅτι υἱὸς αὐτῆς ἐςίν, εἶπεν αὐτὸ τῷ παιδί. ὃ δὲ ἀκύ-

σας ἔλαβεν ἧλος, καὶ πήξας τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐτελεύτα, ἐάσας τὴν βασιλείαν τοῖς δύο υἱέσιν, οἳ ἐβασίλευον παρ' ἐνιαυτόν, καὶ εἰς ἔχθραν ἐλθόντες ἐπολέμησαν ἀλλήλοις, καὶ ἐδιώχθη Πολυνείκης ὑπὸ Ἐτεοκλέους, καὶ ἀπελθὼν ἐς τὸ Ἄργος ἔγημε τοῦ βασιλέως Ἀδράστου τὴν θυγατέρα, καὶ στρατεύσας ἦλθεν ἐπὶ τὰς Θήβας, καὶ μονομαχήσας Ἐτεοκλεῖ ἀναιρεῖ αὐτὸν καὶ αὐτὸς ἀνῃρέθη ὑπ' αὐτοῦ. οἱ δὲ σύμμαχοι ἀνεστράφησαν οἴκοι. cf. Cedren. p. 25.

οἶδμα κῦμα, ἢ πέλαγος· "καὶ ἄγριον οἶδμα θαλάσσης."

οἶδ' οἶδα τὸν νοῦν· παῦε παῦε τοῦ λόγου. κἂν εἴ με τύπτῃς, οὐκ ἀντείποιμί σοι." A Ran. 588.

οἰδοῦσαν κομπώδη οὖσαν· ⟨A Ran. 970⟩ "τὴν τέχνην οἰδοῦσαν ὑπὸ κομπασμάτων καὶ ῥημάτων ἐπαχθῶν." καὶ Εὐνάπιος ⟨p. 104 Nieb.⟩ "τοσούτου δὲ οἰδοῦντος καὶ ὑποφυομένου κακοῦ." ⟨Herodot. 3 127⟩ "ὃ δὲ ἐκ τῆς ἰθείης οὐκ ἐδόκεε πέμπειν τὸν στρατόν, ἅτε τῶν πραγμάτων ἔτι οἰδούντων."

οἵ ἑ ⟨Hom. Δ 534⟩ οἵτινες αὐτόν.

Οἰέας.

οἴει ὑπολαμβάνεις.

οἴεσθαι ὑπονοεῖν.

ὀΐεσσι ⟨Hom. E 137⟩ προβάτοις.

οἰέτεας ὁμήλικας· Ὅμηρος ⟨B 765⟩ "ὄτριχας οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐίσας."

ὀϊζυρὴν ταλαίπωρον, χαλεπήν· ἐν ἐπιγράμματι ⟨AP 6 117⟩ "εὕρετο παισὶν ὄλβον, ὀϊζυρὴν ὠσάμενος πενίην."

ὀϊζὺς πόνος, ταλαιπωρία.

ὀϊζύω ταλαιπωρῶ.

οἰηθεὶς ὑπολαβών.

Οἰῆθεν. δῆμος Πανδιονίδος ἡ Οἴη, καὶ τὸ Οἰῆθεν τοπικὸν ἐπίρρημα. Φιλόχορος δὲ τὴν Οἴην φησὶ Κεφάλου μὲν θυγατέρα εἶναι, Χαρόπου δὲ γυναῖκα. Harp.

οἰήιον πηδάλιον.

οἰηματίας ἐπηρμένος.

οἴησις ἔπαρμα, ὑπόνοια. καὶ οἴημα ὁμοίως.

οἴκαδε εἰς τὰ οἰκεῖα.

οἰκεῖλαι ἐκβληθῆναι.

οἰκεῖος καὶ οἰκειακός.

οἰκείως ὁμοίως· Πολύβιος ⟨8 3⟩ "οἰκείως δὲ ταῦτα συνέβαινε γίνεσθαι καὶ παρὰ Καρχηδονίοις."

οἰκέται οὐ μόνον οἱ θεράποντες, ἀλλὰ καὶ πάντες οἱ κατὰ τὴν οἰκίαν· Ἀριστοφάνης Νεφέλαις ⟨5⟩ "οἱ δ' οἰκέται ῥέγκουσιν."

οἰκετία. "ἐν ταύτῃ τῇ πόλει τὰς τῶν Γετῶν ἐπιφανεστάτας οἰκετίας ἠθροῖσθαι ἔφασκον."

οἰκεὺς οἰκέτης, τοῦ αὐτοῦ οἴκου· Σοφοκλῆς ⟨OR 756⟩ "οἰκεύς τις, ὅσπερ ἵκετ' ἐκσωθεὶς μόνος."

οἰκέως ἀπ' εὐθείας τῆς οἰκεύς ἤγουν οἰκέτης.

οἰκῆας οἰκέτας. Hom. E 413.

οἴκημα ἀντὶ τοῦ δεσμωτήριον Δείναρχος, ἀντὶ δὲ τοῦ πορνεῖον Αἰσχίνης. Harp.

οἰκήματα τὰ χαμαιτυπεῖα· "καὶ ταῖς ἐπὶ τῶν οἰκημάτων ἑστώσαις ἀκωλύτως συνιέναι διεκελεύοντο."

οἰκητὴς ὁ οἰκῶν· ⟨S OR 1449⟩ "ἐμοῦ δὲ μήποτ' ἀξιωθήτω τόδε πατρῷον ἄστυ ζῶντος οἰκητοῦ τυχεῖν."

οἰκία τὸ ὁσπήτιον, καὶ οἰκίδιον τὸ οἴκημα.

οἰκίσκῳ ἀντὶ τοῦ μικρῷ τινὶ οἴκῳ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨97⟩. ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνίθων τροφεῖον οἰκίσκον. Harp.

οἰκογενὴς ὁ κάττης ὁ ἐν οἴκῳ γεννηθείς· ⟨AP 7 205⟩ "οἰκογενὴς αἴλουρος ἐμὴν a πέρδικα φαγοῦσα ζώειν ἡμετέροις ἔλπεται ἐν μεγάροις." cf. v. κάττης.

οἰκογενὴς δοῦλος· "Κανθάρου τινὸς οἰ- b κογενής, ὃς μαστιγῶσαι ἑαυτὸν κελεύσας ηὐτομόλησεν ὡς ὑβρισμένος ὑπὸ τῶν δεσποτῶν."

οἰκοδομήματα Ἀσσύρια καὶ δαπανηρὰς λειτουργίας χαίρειν ἐάσαντας χρὴ τοὺς ἄρχοντας ἄρχειν· ψεκτέος γὰρ ὁ ἄρχων ὁ χαίρων οἰκοδομήμασιν εὐπρεπέσιν" ⟨Iulian. or. 2 p. 92 A⟩.

οἰκοδομία. οἱ Ἀττικοὶ ὀξυτόνως αὐτὸ ἀναγινώσκουσιν. οἰκοδομὴ δὲ οὐκ εἴρηται. sch. Thuc. 1 93.

οἴκοθι ἐπὶ τῆς οἰκίας. καὶ "οἴκοθεν ὁ μάρτυς" ἐπὶ τῶν μετὰ τὸ ψεῦδος εἰπεῖν ὁμολογούντων τὴν ἀλήθειαν.

οἴκοι ἐν τῷ οἴκῳ. καὶ παροιμία "οἴκοι τὰ Μιλήσια," ἐπὶ τῶν ὅπου μὴ προσήκει τὴν τρυφὴν ἐπιδεικνυμένων. Ἀρισταγόρας γὰρ ὁ Μιλήσιος ἐλθών ποτε εἰς Λακεδαίμονα ἠξίου βοηθεῖν τοῖς Ἴωσι πολεμουμένοις ὑπὸ Περσῶν, ἐδημηγόρει δὲ ἐσθῆτα ἔχων πολυτελῆ

καὶ τὴν ἄλλην τρυφὴν τὴν Ἰωνικήν. εἶπεν οὖν τις πρὸς αὐτὸν τῶν ἐφόρων "οἴκοι τὰ Μιλήσια."

οἴκοι γενοίμην ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.

οἰκονομία ὁ διαμερισμὸς τινῶν πραγμάτων. καὶ οἱ ποιηταὶ χρῶνται οἰκονομίᾳ, τȣτέςι τῷ τῶν προσώπων διαμερισμῷ.

οἰκονομῶ τὰ ἐν οἴκῳ διοικῶ. Ἠλέκτρα φησίν ⟨184⟩ "ἀλλ' ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη βίοτος ἀνέλπιςος, ȣ̓δ' ἔτ' ἀρκῶ, ἥτις ἄνευ τοκέων κατατήκομαι, ἧς φίλος οὔτις ἀνὴρ ὑπερίςαται, ἀλλ' ἁπερεί τις ἔποικος ἀναξία οἰκονομῶ δόμους πατρός." τὸ πλεῖςον τȣ͂ βίȣ ἐβίωσα ἐν κακοῖς καὶ ὁ πλείων με, φησί, βίος ἀπολέλοιπε μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην, ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας τȣ͂ Ἀγαμέμνονος πέπρακται· ἧς φίλος ȣ̓δεὶς προΐςαται, ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβȣ́μενοι, κατ' ἐκεῖνο "ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι." οἰκονομῶν ἀντὶ τȣ͂ διαιτώμενος τοὺς πατρῴȣς οἴκȣς. οἷά τις ἔποικος ἀναξίως οἰκονομῶ δόμȣς πατρός.

οἰκόπεδον ἔρημον κατάπτωμα οἴκȣ.

οἰκοποιός· Σοφοκλῆς ⟨Phil. 32⟩ "οὐδ' ἔνδον οἰκοποιος ἔςι τις τροφή;"

οἰκοπορεῖα τὰ κατ' οἰκίαν σκεύη.

οἰκόσιτος ὁ ἑαυτὸν τρέφων μισθωτός.

οἰκότριψ οἰκέτης, οἰκογενὴς δοῦλος. Ἀγαθίας ⟨1 19⟩ "εἵπετο δὲ καὶ τῶν οἰκοτρίβων ὀπαδῶν ὁ πρωτοςάτης, καὶ ὅσον ἄλλο οἰκετικόν, καὶ ὅσοι ταμίαι κατευναςῆρες."

οἰκουρός οἰκονομικός, ἢ οἰκοφύλαξ· οὖρος γὰρ ὁ φύλαξ.

οἱ Κρῆτες τὴν θυσίαν παροιμία. εἴ ποτε ταραχώδης θυσία γένηται, Κρητικὴ καλεῖται, παρ' ὅσον Ἀγαμέμνων ἐκεῖσε χειμασθεὶς ἔθυεν, ἀναβὰς εἰς τὸ Πολύρρηνον, ἐν τȣ́τῳ δὲ οἱ αἰχμάλωτοι τὰς ναῦς ἐνέπρησαν. ὁ δ' ὡς ᾔκȣσε, καταλιπὼν τὰς θυσίας ἦλθεν εἰς τὸν αἰγιαλόν, καὶ μίαν εὑρὼν ναῦν ἀνήχθη ἐς αὐτήν, τȣ̀ς ἐγχωρίȣς ἐπαρασάμενος.

οἰκτείρω. οἰκτίζω δέ.

οἰκτίρμονος.

οἴκτισον ἐλεεινόν, καὶ οἰκτισάμενος ἐλεήσας.

οἶκτος ἔλεος· ⟨AP 6 203⟩ "οἶκτος δὲ νύμφας εἷλεν, αἳ πυριβρόμȣ Αἴτνης παρωρείησι Συμαίθȣ πατρὸς ἔχȣσι δινήεντος ὑγρὸν οἰκίον."

οἰκτρός ταπεινός, ἐλέȣς ἄξιος. "εἰ μὲν ὅτι βασιλεὺς ἀνθρώποις οἰκτροῖς καὶ ἀτιμοτάτοις ταῦτα ἐπικαλεῖ σκοπήσειεν ἄν τις, ἀνάγκη μηδ' ἀντιλέγοντα τοῖς εἰρημένοις ὁμολογεῖν."

οἰκτρῶς ἐλεεινῶς· ⟨S El. 145⟩ "νήπιος ὃς τῶν οἰκτρῶς οἰχομένων γονέων ἐπιλάθεται."

οἰκωφελία.

Ὀιλεύς ὄνομα κύριον.

οἶμαι οἴομαι, ὑπολαμβάνω.

οἳ μὲν γὰρ οὐκέτ' εἰσίν, οἱ δ' ὄντες κακοί, ἐπὶ τῶν διὰ σπάνιν ἐπιζητουμένων. Ἀριςοφάνης Βατράχοις ⟨72⟩ εἰσάγει τὸν Διόνυσον Εὐριπίδην εἰς Ἅιδου ἐπιζητοῦντα κατιέναι βούλεσθαι, λέγοντα "δέομαι ποιητοῦ δεξιȣ͂·" τὸν δὲ φάναι "οἳ μὲν γὰρ ȣ̓κέτ' εἰσίν, οἱ δ' ὄντες κακοί."

οἴμη ὁδός.

οἴμησε ⟨Hom. X 140⟩ ὥρμησεν, καὶ οἴματα ⟨Hom. Φ 252⟩ ὁρμήματα.

οἶμοι αἱ ῥάβδοι.

οἴμοι σχετλιαςικόν· Σοφοκλῆς ⟨Trach. 741⟩ "οἴμοι, τίν' ἐξήνεγκας ὦ τέκνον λόγον; ὃν ȣ̓χ οἷόν τε μὴ τελεσθῆναι· τὸ γὰρ φανθὲν τίς ἂν δύναιτ' ἂν ἀγένητον ποιεῖν;" καὶ Ἀριςοφάνης ⟨Ran. 33⟩ "οἴμοι κακοδαίμων· τί γὰρ ἐγὼ ȣ̓κ ἐναυμάχȣν;" ἐπὶ τῶν ἐλευθερίας τυχεῖν ἐφιεμένων. περὶ γὰρ Ἀργινȣ́σας ἐνίκων ναυμαχίᾳ οἱ Ἀθηναῖοι, συμμαχίᾳ τῶν δούλων, προκακωθέντες ἄλλαις ναυμαχίαις· οὓς τινας ἠλευθέρωσαν. πρὸς τȣ͂το ȣ̓͂ν φησὶ χαριεντιζόμενος "εἴπερ ἐνεναυμαχήκειν, κἂν ἀφείμην ἐλεύθερος." καὶ Εὐριπίδης ἐκ τοῦ Βελλεροφόντȣ "οἴμοι. τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν." ⟨S Trach. 1232⟩ "οἴμοι, τὸ μὲν νοσȣ͂ντι θυμȣ͂σθαι κακόν· τὸ δ' ὧδ' ὁρᾶν φρονȣ͂ντα τίς ποτ' ἂν φέροι;"

οἴμοι κύλικος ἴσον ἴσῳ κεκραμένης. τουτό φησιν ὁ Ἑρμῆς ⟨A Plut. 1133⟩· τȣ́τῳ γὰρ μόνῳ κεκραμένην σπονδὴν ἔθυον. διότι, ὥς φασι, καὶ ζώντων καὶ τετελευτηκότων ἄρχει, παρ' ἀμφοτέρων τὰς τιμὰς δέχεται.

οἶμος ὁδός, ἢ ςίχος, ἢ ῥάβδος κύκλου. ἔνθεν καὶ παροιμία κέκληται τὸ παροδικὸν διήγημα (cf. v. παροιμία). ⟨AP 7 246⟩ "ἔργον Ἀλεξάνδροιο Μακηδόνος, οἳ ποτ' ἄνακτι Δαρείῳ πυμάτην οἶμον ἐφεσπόμεθα."

οἰμωγή ςεναγμός, καὶ οἰμώζει ςενάζει, καὶ οἰμώξεται τιμωρηθῆναι ὀφείλει.

ὄιν πρόβατον· "τὰν ὄιν, ὦ Δάματερ ἰπόγμιε, τάν τ' ἀκέρωτον μόσχον" ἐν ἐπιγράμματι ⟨AP 6 258⟩.

οἶν Ἀττικοὶ ἀντὶ τȣ̃ ὄιν.

Οἰναῖοι τὴν χαράδραν ἐπὶ τῶν ἐπ' ὠφελείᾳ παρακαλουμένων, βλαπτόντων δέ· τῶν γὰρ Οἰναίων παροχετευόντων τὴν χαράδραν, ἐπιρραγὲν ὕδωρ πολὺ κατέκλυσε πάντα. cf. v. Οἰνόη τὴν χ.

οἰνάνθη ⟨Eur. Phoen. 238⟩ ἡ πρώτη ἔκφυσις τῆς ἀμπέλȣ.

οἴναρα τὰ τῆς ἀμπέλȣ φύλλα· ⟨Babr. 35⟩ "Δήμητρι ταῦρον ὄχλος ἀγρότης θύσας, ἅλω πλατεῖαν οἰνάροις ὑπεςρώκει."

οἶνας. ὅτω καλȣ̃σιν Ἴωνες τὰς κύβους, ἔνθεν καὶ ἡ παροιμία "ἢ τρὶς ἓξ ἢ τρεῖς οἶνας." cf. v. ἢ τρὶς ἕξ.

οἰνάς εἶδος ὄρνιθος.

Ὀινγάρδαι ὄνομα ἔθνȣς.

Οἰνειάδης. καὶ Οἰνειάδαι ὄνομα ἔθνȣς.

Οἰνειάς πόλις.

Οἰνείδης πατρωνυμικόν. καὶ Οἰνείδαο ⟨Hom. E 813⟩.

Οἰνεύς Οἰνέως ὄνομα κύριον.

Οἰνεῶνος.

οἴνη ἡ ἄμπελος.

Οἰνηὶς φυλὴ ἡ τȣ̃ Οἰνέως.

οἰνήρυσις ἡ τȣ̃ οἴνȣ κοτύλη, ᾗ ἀρύονται. Ἀριςοφάνης "φέρε τὴν οἰνήρυσιν, ἵν' οἶνον ἐγχέω."

οἰνίζω οἶνον ἀγοράζω, καὶ οἰνισάμενοι οἶνον ἀγοράσαντες.

Οἰνίς μία τῶν ι' φυλῶν παρ' Ἀθηναίοις.

οἰνοβαρές ⟨Hom. A 225⟩ μέθυσε.

Οἰνόη καὶ Οἰναῖος δῆμος τῆς Ἱπποθοωντίδος πρὸς Ἐλευθέραις· ὁ δὲ τῆς Αἰαντίδος πρὸς Μαραθῶνα. ἀφ' ἑκατέρȣ δὲ τῶν δήμων ὁ δημότης Οἰναῖος. Harp.

Οἰνόη τὴν χαράδραν, ὅταν καθ' ἑαυτοῦ τίς τι ποιῇ. ἡ γὰρ Οἰνόη δῆμός ἐςι τῆς Ἀττικῆς, οἵτινες φερομένην ὑπὲρ αὐτῶν χαράδραν παρέτρεψαν εἰς τὴν ἑαυτῶν χώραν. πολλὴ δὲ ἡ χαράδρα γενομένη ἐλυμήνατο αὐτῶν τὰ γεώργια καὶ τὰς οἰκίας καθεῖλεν. ὅμοιον δὲ τῷ "ὁ Καρπάθιος τὸν λαγωόν." φασὶ γὰρ διὰ τὸ μὴ εἶναι εἰς Κάρπαθον λαγωὺς ἐπικομίσασθαί τινα ὡς εἰς ἐπιγέννημα· ἀφ' ὧν τοσȣ́τȣς γενέσθαι ὡς καὶ τὰς καρπὰς αὐτῶν χαλεπῶς βλάπτειν. cf. v. ὁ Καρπάθιος.

Οἰνόμαος Γαδαρεύς, φιλόσοφος κυνικός, γεγονὼς ὀ πολλῷ πρεσβύτερος Πορφυρίȣ, περὶ κυνισμȣ̃, πολιτείαν, περὶ τῆς καθ' Ὅμηρον φιλοσοφίας, περὶ Κράτητος καὶ Διογένȣς καὶ τῶν λοιπῶν.

οἱ νομοφύλακες τίνες; ἔδοξέ τισι τὰς αὐτὰς εἶναι τοῖς θεσμοθέταις· ἀλλ' ȣ̓κ ἔςιν ὅτως. οἱ μὲν γὰρ θεσμοθέται κατὰ τὰ πάτρια ἐςεφανωμένοι ἐπὶ τὸν Ἄρειον ἀνέβαινον πάγον· οἱ δὲ νομοφύλακες ςροφίοις λευκοῖς ἐχρῶντο, καὶ ἐν ταῖς θέαις ἐπὶ θρόνων ἐκάθηντο καταντικρὺ τῶν θ' ἀρχόντων, καὶ τῇ Παλλάδι τὴν πομπὴν ἐκόσμȣν, ὅτε κομίζοιτο τὸ ξόανον ἐπὶ τὴν θάλασσαν. ἠνάγκαζον δὲ καὶ τὰς ἀρχὰς χρῆσθαι τοῖς νόμοις, καὶ ἐν ταῖς ἐκκλησίαις ἐκάθηντο μετὰ τῶν προέδρων, κωλύοντες ψηφίζειν, εἴ τι παράνομον αὐτοῖς δόξειεν ἢ ἀσύμφορον τῇ πόλει.

οἰνοπέπαντοι· ⟨AP 6 232⟩ "βότρυες οἰνοπέπαντοι, ἐυσχίσοιό τε ῥοιῆς θρύμματα."

οἰνοπίπας τὰς τȣ̀ς οἴνȣς περισκοπȣ́σας, ὡς Ὅμηρος παρθενοπίπας, Ἀριςοφάνης φησί ⟨Thesm. 396⟩· "πȣ̃ δ' ȣ̓χὶ διαβέβληχ', ὅποιπερ ἔμβραχυ εἰσὶν θεαταὶ καὶ τραγῳδοὶ καὶ χοροί; τὰς μοιχοτρόπȣς, τὰς ἀνδρεραςρίας καλῶν, τὰς οἰνοπίπας, τὰς προδότιδας, τὰς λάλȣς, τὰς ȣ̓δὲν ὑγιές, τὰς μέγ' ἀνδράσιν κακόν." ὁ μὲν οὖν Σύμμαχός φησι παρὰ τὸ πιπίζειν τὸν οἶνον· ἐγὼ δ' ȣ̓χ ὁρῶ τὸ πιπίζειν ἐπὶ ταύτης τῆς ἐννοίας παρὰ τοῖς Ἀττικοῖς κείμενον, ἀλλὰ κατὰ μίμησιν φωνῆς λεγόμενον. ἄμεινον ȣ̓̃ν, ὥσπερ παιδοπίπης λέγεται, ȣ̓́τω καὶ οἰνοπίπης. οἰνοπίπας ȣ̓̃ν ἀντὶ τȣ̃ μεθύσȣς, παρὰ τὸ πιπίζειν, ὅ ἐςι μύζειν ἢ μυζᾶν.

Οἰνοπίωνος.

οἰνοποσία.

οἰνοποτάζων οἰνοποτῶν, εὐωχέμενος ἐν συμποσίῳ, ὅτι παρὰ τὸν οἶνον αἱ καυχήσεις γίνονται. sch. Hom. Y 84.

οἰνοπότης διὰ τȣ̃ ο μικροῦ· ⟨AP 7 28⟩ "ὦ ξένε, τόνδε τάφον τὸν Ἀνακρείοντος ἀμείβων σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης."

οἰνοπώλια.

οἶνος ἐπὶ θεȣ̃ ἡ τιμωρία· Δαβίδ (Ps. a
74 8) "ὅτι ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτȣ πλῆρες κεράσματος."

οἶνος. ὠνομάσθη ἀπὸ Οἰνέως· "Οἰνεὺς b

δ' ἐν κοίλοισιν ἀποθλίψας δεπάεσσιν οἶνον ἔκλησε." Πλάτων δὲ οἰόνουν αὐτόν φησιν, διὰ τὸ οἰήσεως τὸν νοῦν ἡμῶν ἐμπιπλάναι. ἢ ἀπὸ τῆς ὀνήσεως· Ὅμηρος ⟨Z 260⟩ "ὀνήσεαι αἴ κε πίησθα," καὶ τὰ βρώματα ὀνείατα ἀπὸ τοῦ ὀνίσκειν ἡμᾶς. ὁ δὲ Κύπριος ποιητής φησιν "οἶνόν τοι, Μενέλαε, θεοὶ ποίησαν ἄριστον θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας." Εὐβούλου στίχοι εἰς οἶνον· "τρεῖς γὰρ μόνους κρατῆρας ἐγκεραννύω τοῖς εὖ φρονοῦσι, τὸν μὲν ὑγιείας ἕνα, ὃν πρῶτον ἐκπίνουσι, τὸν δὲ δεύτερον ἔρωτος ἡδονῆς τε, τὸν τρίτον δ' ὕπνου, ὃν ἐκπιόντες οἱ σοφοὶ κεκλημένοι οἴκαδε βαδίζουσ'. ὁ δὲ τέταρτος οὐκέτι ἡμέτερός ἐστιν ἀλλ' ὕβρεως, ὁ δὲ πέμπτος βοῆς, ἕκτος δὲ κώμων, ἕβδομος δ' ὑπωπίων, ὄγδοος κλήτορος, ὁ δ' ἔνατος χολῆς, δέκατος δὲ μανίας, ὥστ' ἐκβάλλειν ποιεῖ· πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον χυθεὶς ὑποσκελίζει ῥᾷστα τοὺς πεπωκότας." καὶ Ἐπίχαρμος "ἐκ μὲν θυσίας θοίνη, ἐκ δὲ θοίνης πόσις ἐγένετο, ἐκ πόσιος κῶμος, ἐκ κώμου θυανία, ἐκ δὲ θυανίας δίκη, ἐκ δὲ καταδίκης πέδαι τε καὶ σφάκελος καὶ ζημία." καὶ Πανύασις "οἶνος γὰρ πυρὶ ἴσον ἐπιχθονίοισιν ὄνειαρ, ἐσθλόν, ἀλεξίκακον, πάσῃ συνοπηδὸν ἀνίῃ" ⟨Athen. p. 35⟩. "ἦν δὲ καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν· ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς" ⟨X Anab. 4 5 26⟩.

οἶνος ἄνευ παίδων. δύο παροιμίαι, ἡ μὲν "οἶνος καὶ ἀλήθεια," ἡ δὲ "οἶνος καὶ παῖδες ἀληθεῖς." λαμβάνεται ἐπὶ τῶν ἁπλοϊζομένων καὶ τὴν ἀλήθειαν λεγόντων.

οἴνου πιεῖν. "οἱ προσιόντες τῶν ἰατρῶν ἐκέλευον οἴνου πιεῖν· τὸ γάρ τοι σεσῶσθαι ἢ μὴ τὸν ἄνθρωπον ἐν τούτῳ ἔφασκον ἄρα ἐκεῖνοι τῇ τέχνῃ πίσυνοι." ⟨A Eq. 91⟩ "οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;" παρὰ τὸ Ὁμηρικὸν ⟨Z 261⟩ "ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει." Ἡρόδοτος δὲ λέγει ⟨1 133⟩ Πέρσας τοῦτον κρατεῖν τὸν τύπον· εἰ μὲν ἂν εἰσηγήσαιντό τι νήφοντες, βουλεύεσθαι περὶ τούτου ἐν μέθῃ, εἰ δὲ εἰσηγήσαιντο ἐν μέθῃ, τοῦτο κυροῦν νήφοντας. ⟨Philostrat. V. A. 2 11⟩ "οἴνου, ἔφη, τοσοῦτον πίνω ὅσον τῷ ἡλίῳ σπένδω." ὁ Πῶρός φησιν, Ἰνδῶν βασιλεύς.

οἰνοῦττα ἡ ἐν οἴνῳ πεφυρμένη μᾶζα· οἱ δὲ εἶδος πλακοῦντος, μετ' οἴνου καὶ μέλιτος γινόμενον. sch. A Plut. 1122.

οἰνοχοεῖ κιρνᾷ, καὶ οἰνοχόος πιγκέρνης, καὶ οἰνοχοεία.

οἶνοψ οἴνοπος. οἴνοπι μέλανι· ἐν ἐπιγράμματι ⟨AP 6 44⟩ "ὧν ἡμεῖς σπείσαντες ὅσον θέμις οἴνοπι Βάκχῳ καὶ Σατύροις." οἰνωπός δὲ οἰνώδης, διαυγής, ἢ μέλανος· ⟨AP 7 20⟩ "οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος."

οἰνόω οἰνῶ τὸ μεθύσκω.

Οἰνωτρία ὄνομα τόπου.

οἴξας ἀνοίξας.

οἰοβώτης αὐθαίρετος, ὡς ἂν εἴποι τις, αὐτὸς ἑαυτοῦ τὴν διάνοιαν βόσκων καὶ μηδενὶ πειθόμενος, μονότροπος, μεμονωμένος, τῷ λογισμῷ μονωθείς, ἐκτὸς φρενός. "νῦν αὖ φρενὸς οἰοβώτας φίλοις μέγα πένθος εὕρηται." sch. S Ai. 620.

οἰόθεν οἶος ⟨Hom. H 39⟩ ἐκ μόνου μόνος. θέλει δὲ εἰπεῖν μόνος πρὸς μόνον.

οἶοι μόνοι ἢ δυνατοί.

οἰόμενος νομίζων.

οἷον τὸ θαυμαστικόν· ⟨S Ai. 421⟩ "οὐκέτ' ἄνδρα μὴ τόνδ' ἴδητ'· ἔπος ἐξερέω μέγ', οἷον." Ἀριστοφάνης περὶ Κλέωνος ⟨Pac. 33⟩ "οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει." διὰ τοῦ σχήματος τὴν ἀδηφαγίαν αὐτοῦ δηλοῖ· καὶ γὰρ τῶν ἀνθρώπων καὶ τῶν θρεμμάτων οἱ μάλιστα τοῖς ἐδέσμασιν ἐγκεκυφότες καὶ προσκείμενοι δοκοῦσιν ἀπλήστως καὶ περισπουδάστως ἐσθίειν.

οἷον τὸ ἀνταποδοτικὸν τοῦ τοιοῦτον, καὶ τὸ ἐπὶ παραδειγμάτων παραλαμβανόμενον, καὶ τὸ ἐπὶ θαυμασμοῦ, ὡς τὸ "οὐδὲν γὰρ οἷον τὸ ἀκούειν αὐτοῦ τοῦ νόμου" Δημοσθένης ἐν τῷ κατὰ Μειδίου ⟨46: cf. v. οὐδὲν γὰρ οἷον⟩. οὐδὲν οὕτω καλὸν οἷον τὸ ἀκούειν αὐτοῦ τοῦ νόμου. καὶ αὖθις "ἀνέμου ἐπιπνεύσαντος οἵου σφοδροτάτου, καὶ ἐξάραντος τὴν ἄμμον." καὶ αὖθις "οἱ δὲ δράκοντες τὰ οὐραῖα μέρη εἰς σπείρας ἑλίξαντες καὶ ἐπανιστάμενοι καὶ πῦρ ὁρῶντες οἷον ὀξύτατον" ⟨cf. v. ἐδειμάτουν⟩. ἐπὶ δὲ θαυμασμοῦ "ἄνθρωπος ἦν ὁ Δημόφιλος, ὁ πατριάρχης Κωνσταντίνου πόλεως, οἷος ... ἄγων." cf. v. Δημόφιλος.

Οἶον. δῆμοί εἰσιν ἐν τῇ Ἀττικῇ διττοί, οὐδετέρως λεγόμενοι. καλεῖσθαι δέ φασιν αὐτοὺς οὕτως διὰ τὸ μηδαμῶς οἰκητὸν τόπον ἔχειν ἀλλὰ μεμονῶσθαι· τὸ γὰρ μόνον οἶον ἐκάλουν οἱ ἀρχαῖοι. ἔστι δὲ τὸ μὲν Κεραμεικὸν Οἶον τῆς Λεοντίδος φυλῆς, τὸ δὲ Δεκελεικὸν Οἶον τῆς Ἱπποθοωντίδος. οἱ δὲ δη-

μόται ἑκατέρωθεν ἐλέγοντο ἐξ Οἴυ. ἄλλοι δὲ ἦσαν οἱ λεγόμενοι Οἰῆθεν, ὡς προείρηται. Harp.

οἱονεί.

οἷόν τε δυνατόν, ἀρκέντως ἔχον, κατὰ τὸ δυνατόν.

ὄιος προβάτυ. ὅτως Ἴωνες, Ἀττικοὶ δὲ οἰός. καὶ ὄιν Ἴωνες, Ἀττικοὶ δὲ οἶν. καὶ παροιμία "ὄις τὴν μάχαιραν" ἐπὶ τῶν ἀλυσιτελῶς σφίσιν αὐτοῖς χρωμένων.

a οἶος μόνος, ἢ ὁποῖος· ⟨Dio C. 75 13⟩ "ὃ δὲ ἐπολυπραγμόνησε πάντα· ἦν γὰρ οἶος μηδὲν μήτ' ἀνθρώπειον μήτε θεῖον ἀδιερεύνητον ἐᾶν."

b οἶος μόνος, παρὰ τὸ ἴος, ἐξ ὗ καὶ ἴα καὶ μία.

a οἷος ὁποῖος· ⟨S Ai. 923⟩ "ὦ δύσμορ' Αἶαν, οἷος ὢν οἵως ἔχεις, ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν."

b οἷος ἀντὶ τῦ ἕτοιμος, καὶ οἷός τε ἀντὶ τῦ ἕτοιμος, καὶ οἷος ἦν ἀντὶ τῦ ἕτοιμος ἦν. τίθεται δὲ καὶ ἀντὶ τῦ ἐσπύδαζε· Λυσίας "ἐβιάζετό τε γὰρ καὶ οἷος ἦν ἐξευρεῖν τὴν θύραν." σημαίνει δὲ καὶ τὸ ἀνταποδοτικόν· "τοιῦτος οἷος ἦν ὁ πατήρ."

c οἷος δυνατός· Ἀριςοφάνης ⟨Pac. 17⟩ "ὐ γὰρ ἔθ' οἷός τ' εἰμ' ὑπερέχειν τῆς ἀντλίας," ἀντὶ τῦ ἀντέχειν καὶ περιγίνεσθαι τῦ πράγματος, ἀπὸ μεταφορᾶς τῶν πλοίων, ἅπερ κινδυνεύει τῆς ἀντλίας πληρωθέντα. βύλεται δὲ εἰπεῖν ὅτι νικῶμαι ὑπὸ τῦ πράγματος. καὶ αὖθις ⟨Thesm. 177⟩ "σοφῦ πρὸς ἀνδρός, ὅςις ἐν βραχεῖ πολλὺς καλῶς οἷός τε συντέμνειν λόγυς."

οἷος εἶ καὶ οἷός τε εἶ. τὸ μὲν χωρὶς τῦ τέ σημαίνει τὸ βύλει καὶ προῄρησαι, τὸ δὲ σὺν τῷ τέ τὸ δύνασθαι. ἀμφοτέροις δὲ Λυσίας ἐχρήσατο.

ὄις αἴξ, ἢ πρόβατον.

οἶς οἰός τὸ πρόβατον.

οἶσε προσήγαγε, συνῆξεν· "ἑαυτῇ μὲν πλῦτον ὐκ εὐκαταφρόνητον οἶσεν, ἐκεῖνον δὲ κατὰ βαιὸν τηκόμενον τῷ ἔρωτι ἀπήλλαξε τῶν τῇδε." cf. v. ὑγρῶς.

οἴσει κομίσει, καὶ οἴσω κομίσω, ἐνέγκω.

οἴσεται λήψεται.

οἶσθα ἀντὶ τῦ οἶδας. λέγεται καὶ χωρὶς τῦ σ, μετὰ δὲ τῦ σ ποτὲ ἢ διὰ μέτρον ἢ διὰ τὸ μὴ συγκρῦσαι σύμφωνον, οἶσθας. Σοφοκλῆς ⟨OR 543⟩ "οἶσθ' ὡς ποίησον" ἀντὶ τῦ ποιήσεις, ἀττικῶς. καὶ αὖθις ⟨Synes. ep. 153 p. 291⟩ "οἶσθά τινας ἐν λογιςηρίοις ἀποδύντας, ἢ πάντως ἀπὸ μιᾶς γέ τυ συμφορᾶς ἀναπεισθέντας ἐν μεσημβρίᾳ τῦ βίυ φιλοσοφεῖν, ἀπὸ μόνυ τῦ τὸν θεὸν ὀμόσαι καὶ κατομόσαι πλατωνικῶς· ὡς φθάσειεν ἂν ἡ σκιὰ φθεγξαμένη τι τῶν δεόντων." λέγεται καὶ ἔξοισθα· Σοφοκλῆς ⟨OC 1587⟩ "καὶ σύ πυ παρὼν ἐξοισθ', ὑφηγητῆρος ὐδενὸς φίλων, ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγύμενος."

οἰσόμενος ⟨Hom. N 168⟩ κομίσων.

οἰσοφάγος ὁ λαιμός.

οἴσπη ῥυπαρῶν προβάτων ἔρια· Ἡρόδοτος ⟨4 187⟩. καὶ οἰσπώτη ὁ ῥύπος τῶν ἐρίων.

οἰςά φορητά· Θυκυδίδης ⟨7 75⟩ "ὅμως δὲ ὑπὸ μεγέθυς τῦ ἐπικρεμαμένυ ἔτι κινδύνυ οἰςὰ αὐτοῖς ἐφαίνετο." καὶ αὖθις "καῦμά τε ἐπιφλέγειν ἔλεγον ὐδαμῇ οἰςόν." καὶ αὖθις "καὶ εἰ μὲν ἐπὶ μικροῖς εἴη διάφορον κακόν, οἰςὸν δὲ ὅμως πόσῳ γίνεται."

ὀιςεύσας ⟨Hom. Δ 196⟩ τοξεύσας, σαγιττεύσας.

ὀιςός βέλος, σαγίττα.

οἰςρεῖ ἐρεθίζει, ἐκμαίνει. Ἀππιανός "τῷ ὄντι πᾶσιν οἰςρώδης ἐνέπιπτεν ὁρμὴ καὶ προθυμία κατὰ τῶν βαρβάρων." καὶ αὖθις "καὶ ταῦτα μὲν ἔδρασεν ὥσπερ οἰςρηθεὶς καὶ κάτοινος γενόμενος."

οἴςρησις ἡ θηλυμανία, καὶ οἰςρηλατύμενοι πυρύμενοι, ἐκμαινόμενοι. καὶ Αἰλιανός "καὶ καλῶς Ἡρόδοτος ⟨1 4⟩ τὰς ὑπὲρ τῶν γυναικῶν οἰςρήσεις τε καὶ μανίας παρ' ὐδὲν ἐτίθετο."

οἰςροπλῆγα τῇ μανίᾳ πεπληγότα.

οἶςρος ἐρεθισμός, ἔκκαυσις, πύρωσις ἐμμανής. οἶςρον δὲ καλῦσι πᾶσαν κίνησιν. ἔνθεν καὶ οἰςροδόνητος μυχός ὁ ὑπὸ ἀνέμυ ἐλαυνόμενος· Ἀριςοφάνης ⟨Th. 331⟩ "σύ τε πόντιε Πόσειδον, προλιπὼν μυχὸν ἰχθυόεντ' οἰςροδόνητον." καὶ Πισίδης "οἶςρος γὰρ ἐςι καὶ μάλιςα βαρβάροις πρὸς τὰς μεταβολὰς εὐμεταπτώτως ἔχειν."

οἰσύα ἡ ἰτέα.

οἰσύη εἶδος φυτῦ.

οἰσυΐναις· Θυκυδίδης ⟨4 9⟩ "ναύτας ἐξώπλισεν ἀσπίσι φαύλαις καὶ οἰσυΐναις ταῖς πολλαῖς." καὶ Εὐνάπιος ⟨p. 101 Nieb.⟩ "οἱ δὲ τῶν Πάρθων οἰσυΐνας ἀσπίδας ἔχοντες καὶ κράνη οἰσύινα, πλοκήν τινα πάτριον πεπλεγμένα." καὶ οἰσύϊνον σχοινίον ἰτέας

Οἰσύμη πόλις τῆς Θρᾴκης. Harp.

οἰσύπη ὁ ῥύπος τῶν ἐρίων.

οἰσυπηρός ῥυπαρός. "ἔρια οἰσυπηρά" ⟨A Ach. 1139⟩ ῥύπυ πεπληρωμένα, ῥυπάσματα ἀπὸ τῆς κόπρυ. οἰσύπη δέ ἐςι τὸ διαχώρημα τῶν προβάτων.

Οἴτη ὄρος ἐν Μακεδονίᾳ, καὶ *Οἰταῖος* ἀπὸ τῦ αὐτῦ ὄρυς.

οἶτος ὁ μόρος· ἐν μυθικοῖς ⟨cf. Babr. 11⟩ "ἔτι δίκης ἀπάνευθεν ἀεικέι δάμναμαι οἴτῳ."

οἶφι χοῖνιξ.

Οἰχαλιῆες ἀπὸ τόπυ.

οἴχεται πορεύεται, καὶ *οἰχήσομαι* πορεύσομαι.

οἰχνῶ περιέρχομαι. "τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ" Ἠλέκτρα φησί ⟨166⟩.

οἰχόμενος πορευόμενος.

οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι" Τέκμησσά φησι διὰ τὸν Αἴαντος θάνατον ⟨896⟩.

οἴω ὑπολαμβάνω, καὶ *ὀισθείς* ⟨Hom. *I* 453⟩ ὑπολαβών.

οἰῶ ἀντὶ τῦ οἴομαι· ⟨A Lys. 997⟩ "ἀλλ' ἄρχε μέν, οἰῶ, Λαμπιτώ," ἀντὶ τῦ, ὡς οἴομαι, ἀρχὴ τῆς μάχης ἡ Λαμπιτώ.

οἰώθη ⟨Hom. *Z* 1⟩ ἐμονώθη.

οἰωνίζοντο ἀπετρέποντο ὡς κακῷ οἰωνῷ· "τὸν δὲ ἡ μὲν νεότης ἐμίσυν τε καὶ οἰωνίζοντο, οἱ δὲ πρεσβύτεροι κατησπάζοντο καὶ ἐπῄνυν." καὶ αὖθις "ξὺν αἰσιωτέροις τοῖς οἰωνοῖς καὶ παρασκευῇ βεβαιοτέρᾳ αὖθις ἅψασθαι τῦ πολέμυ." καὶ αὖθις "ὅτε πάντας οἰωνίζεσθαι προσδοξάζοντας τὸν Αἰμίλιον ἐκπορευόμενον δοκεῖν ὁρᾶν εἰσπορευόμενον."

οἰωνισάμενος μαντευσάμενος, ὀττευσάμενος· "δαιμονίως πως οἰωνισάμενος τὸ μέλλον."

οἰώνισμα καὶ *οἰωνισμοί* αἱ διὰ τῶν πτηνῶν περιεργίαι. διαίρεσις οἰωνιςικῆς. ταύτην εὗρον πρῶτοι Φρύγες, ταύτης δὲ τὸ μέν ἐςιν ὀρνεοσκοπικόν, οἷον ὅταν πετομένυ τῦδε τῦ ὄρνιθος, ἔμπροσθεν ἢ ὄπισθεν, δεξιὰ ἢ ἀριςερὰ νεύοντος, εἴπῃ τις ὅτι τόδε σημαίνει. πρῶτος δὲ ἔγραψε περὶ τύτυ Τηλέγονος. τὸ δὲ οἰκοσκοπικόν, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα· οἷον εἰ ἐν τῇ ςέγῃ ἐφάνη γαλῆ ἢ ὄφις, ἢ ἔλαιον ἐχύθη ἢ μέλι ἢ οἶνος ἢ ὕδωρ ἢ τέφρα, ἢ τρισμὸς ἐγένετο ξύλων ἢ ἄλλο τι, τόδε προμηνύει· ὃ συνέγραψε Ξενοκράτης. τὸ δὲ ἐνόδιον, ὡς ὅταν ἐξηγήσηταί τις τὰ ἐν τῇ ὁδῷ ἀπαντῶντα, ὅτι, ἐὰν ἀπαντήσῃ σοί τις τόδε βαςάζων, τόδε συμβήσεταί σοι· ὃ συνέγραψε Πόλλης. τὸ δὲ χειροσκοπικόν, ὡς ὅταν διὰ τῆς ἐκτάσεως τῶν χειρῶν διατεινομένων καὶ τῆς παλάμης ἀπὸ τῶν ῥυτίδων εἴπωμεν παιδοποιεῖ ἤ τι τοιῦτον· ὃ συνέγραψεν Ἕλενος ⟨cf. v. Ἕλενος⟩. παλμικὸν δὲ τὸ διὰ τῆς πάλσεως τῦ σώματος γνωριζόμενον, οἷον εἰ ἐπάλθη ὁ δεξιὸς ἢ ἀριςερὸς ὀφθαλμὸς ἢ ὦμος ἢ μηρός, ἢ κνησμὸς ἐν τῷ ποδὶ ἢ πρὸς τὸ ὖς ἦχος ἐγένετο, τόδε συμβαίνει· ὃ συνέγραψε Ποσειδώνιος. Nonnus et Cosmas in Greg. Naz. stel. p. 151.

οἰωνόβρωτος ὀρνεόβρωτος.

οἰωνοί σαρκοφάγα ὄρνεα, ἢ σύμβολα. πάντα δὲ οἰωνὺς ἐκάλυν, καὶ τὰ μὴ ὄρνεα. "θεράποντ' ὄρνιν" Ἀριστοφάνης ⟨Av. 720⟩, ἐπεὶ πολλάκις εἰώθαμεν λέγειν τινὰς τῶν θεραπόντων καλόποδας καὶ καλοιωνίςυς, "ὄρνιν νομίζοντες πάνθ' ὅσαπερ περὶ μαντείας διακρίνει."

οἰωνομαντεία.

οἰωνός τὸ σημεῖον, καὶ *οἰωνοσκόπος* ὁ μάντις.

ὁ κάνης τῆς τύχης ὑπερέχει, παροιμία ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων.

ὁ Καρπάθιος τὸν λαγωόν. φασὶν ὅτι οἱ Καρπάθιοι νῆσον οἰκῦντες ἐπήγαγον τὸν λαγωόν, ὐκ ἔχοντες ἐν τῇ χώρᾳ. οἳ δὲ πολλοὶ γενόμενοι τὰ γεώργια αὐτῶν ἐλυμαίνοντο. cf. vv. λαγὼς περὶ τῶν κρεῶν et Οἰνόη.

. *ὁ κάτωθεν νόμος.* Δημοσθένης ἐν τῷ κατὰ Ἀριςοκράτυς ⟨28⟩ ἢ τὴν Ἡλιαίαν λέγει, διὰ τὸ τῶν δικαςηρίων τὰ μὲν ἄνω τὰ δὲ κάτω ὀνομάζεσθαι, ἢ διὰ τὸ σχῆμα τῆς ἐν τοῖς ἄξοσι γραφῆς βυςροφηδὸν γεγραμμένης. ἢ τὸν ἀπὸ τῶν εὐωνύμων ἀρχόμενον νόμον κάτωθεν ὀνομάζει ὁ Δημοσθένης· ὅτι γάρ, φησί, βυςροφηδὸν ἦσαν οἱ ἄξονες καὶ οἱ κύρβεις γεγραμμένοι, δεδήλωκεν Εὐφορίων ἐν τῷ Ἀπολλοδώρῳ. ἢ ἐπεί, φησί, τὺς ἄξονας καὶ τὺς κύρβεις ἄνωθεν ἐκ τῆς ἀκροπόλεως εἰς τὸ βυλευτήριον καὶ τὴν ἀγορὰν μετέςησεν Ἐφιάλτης, ὥς φησιν Ἀναξιμένης ἐν Φιλιππικῷ. Harp.

ὀκέλλει προσορμεῖ, ἐκρίπτεται. εἴρηται ἐπὶ τῶν νηῶν. καὶ *ὀκέλλοι* ⟨A Ach. 1158⟩ προσορμίζοι.

ὁ Κίς. ὄνομα κύριον.

ὀκλαδία ἡ ὄκλασις.

ὀκλαδίας ὁ συγκεκλασμένος δίφρος καὶ ποτὲ μὲν ἐκτεινόμενος ποτὲ δὲ συςελλόμενος ⟨sch. A Eq. 1381⟩. καὶ αὖθις ⟨Babr. 25 7⟩ "βαθεῖαν εἰς ἰλὺν ὀκλαςὶ πηδώντων." περὶ βατράχων ὁ λόγος.

ὀκλάζει χωλεύει, εἰς τὸ γόνυ κάμπτεται, διςάζει, ἀποκάμνει, λαγγάζει.

ὀκλὰξ καθήμενος ἀντὶ τȣ̃ ἐπὶ γόνυ.

ὀκνεῖ εὐλαβῶς ἔχει. Ξενοφῶν ⟨Anab. 2 4 22⟩ "ὀκνȣ̃ντες μὴ οἱ Ἕλληνες διαβάντες τὴν γέφυραν μείνειαν," ἀντὶ τȣ̃ εὐλαβȣ́μενοι, δεδιότες.

ὀκνεῖν· "κατάσκοπον ȣ̓δένα ἐκ τῶν πολεμίων ὀκνεῖν, ἀλλὰ καὶ πρὸ ἔργȣ ἡγεῖσθαι γινώσκειν αὐτȣ̀ς ξὺν ὅσῃ τε καὶ ὅπως ὡπλισμένῃ δυνάμει ἔρχεται."

ὀκνείω ⟨Hom. E 255⟩ ὀκνῶ, ἀναβάλλομαι.

ὄκνος χαλκȣ̃ς. βȣ́λεται τȣ̃το τοῖς Βιθυνοῖς ἐπιχωρίως δίφρȣ τινὸς γυναικείȣ εἶδος εἶναι.

ὀκνῶ φοβȣ̃μαι. καὶ πυκνῶς τȣ́τῳ κέχρηται Σοφοκλῆς ἐπὶ τȣ̃ φοβεῖσθαι· ⟨Ai. 82⟩ "φρονȣ̃ντα γάρ νιν ȣ̓κ ἂν ἐξέςην ὄκνῳ." καὶ οἱ ῥήτορες ȣ̓κ ἐπὶ δειλίας καὶ ῥαθυμίας ἐχρήσαντο τῷ ὀνόματι, ἀλλ' ἐπὶ τȣ̃ φόβȣ καὶ τȣ̃ φοβεῖσθαι. Ἀντιφῶν "κακὸς δ' ἂν εἰ ἀπȣ̃σι μὲν καὶ μέλλȣσι τοῖς κινδύνοις τῇ γλώττῃ θρασύνεται καὶ τῷ θέλειν ἐπείγειν, τὸ δὲ ἔργον ἂν παρῇ, ὀκνεῖ." καὶ Δημοσθένης ἐν Φιλιππικῶν πρώτῳ ⟨1 17⟩ "φημὶ δὴ διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σώζειν καὶ τȣ̀ς τȣ̃το ποιήσοντας ςρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνȣ χώραν κακῶς ποιεῖν καὶ τριήρεσι καὶ ςρατιώταις ἑτέροις. εἰ δὲ θατέρȣ τȣ́των ὀλιγωρήσετε, ὀκνῶ μὴ μάταιος ὑμῖν ἡ ςρατεία γένηται." καὶ Ὁμήρῳ δὲ ἐπὶ τȣ̃ φόβȣ ὁ ὄκνος τέτακται· φησὶ γὰρ Ἀγαμέμνων ⟨K 122⟩ περὶ τȣ̃ ἀδελφȣ̃ αὐτȣ̃ "ȣ̓́τ' ὄκνῳ εἴκων ȣ̓́τ' ἀφραδίῃσι νόοιο."

ὀκνῶν ἀναδυόμενος· Σοφοκλῆς ⟨El. 320⟩ "φιλεῖ γὰρ ὀκνεῖν πᾶς ἀνὴρ πράσσων μέγα."

ὁ Κρὴς τὴν θάλασσαν, ἐπὶ τῶν προσποιȣμένων φεύγειν ἐκεῖνα ἐν οἷς διαφέρȣσιν, ἐπειδὴ ναυτικώτατοι οἱ Κρῆτες ἐγένοντο.

ὀκρίβαντας ἐμβάτας.

ὀκρίβας σχῆμα ἡνιόχȣ.

ὀκρίβας σκηνὴ ἰδίως πάντων τῶν λεγόντων. τὰ πλαςικὰ πήγματα ἐφ' οἷς διατυπȣ̃σι τὰς εἰκόνας, καὶ τὰ ὑπερείσματα τῶν ξυλίνων θεάτρων. βέλτιον φάναι τὸ λογεῖον ἐφ' ὃ ἵςαντο οἱ τραγῳδοὶ ἢ οἱ ὑποκριταὶ ἐκ μετεώρȣ καὶ ἔλεγον. οἱ δὲ ὄνον φασὶν εἶναι, οἱ δὲ ἄγριον κριόν, ἄλλοι κλίμακα.

ὀκριόεις ὁ τραχύς. ἐν ἐπιγράμματι ⟨AP 6 65⟩ "καὶ λίθον ὀκριόεντα, δόναξ ὅθι δισσὸν ὀδόντα θήγεται," τὴν κίσσηριν λέγων, "ἀμβλυνθεὶς ἐκ δολιχογραφίης." καὶ ὀκριόεσσα φρικτή, φοβερά· ⟨AP 7 67⟩ "δέξαι μ', εἰ καί σοι μέγα βρίθεται ὀκριόεσσα βᾶρις, ἀποφθίμενον τὸν κύνα Διογένη."

ὀκτάβλωμον ⟨Hes. O. 440⟩ ὀκτὼ ἔχοντα δήγματα.

ὀκτάκνημον ⟨Hom. E 723⟩ ὀκτάραβδον.

ὀκτὼ ὁ ἀριθμός.

ὀκτώβριος ὄνομα μηνός.

ὀκτώπουν. Κρατῖνος Θρᾴτταις "ὀκτώπȣν ἀνεγείρεις" ἀντὶ τȣ̃ σκορπίον· παροιμία γάρ "σκορπίον ὀκτώπȣν ἀνεγείρεις." ἐν δὲ ταῖς Αἰσχύλȣ Ξαντρίαις ἡ λύσσα ἐπιθειάζȣσα ταῖς Βάκχαις φησίν "ἐκ ποδῶν δ' ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα, κέντημα γλώσσης, σκορπίȣ βέλος λέγω."

ὀκχή ςήριγμα, βάςαγμα· ⟨Callim. Hec. fr. 66⟩ "γέντο δ' ἐρείκης σκηπάνιον, ῷ δὴ πέλε γήραος ὀκχή." καὶ ὀκχήσασθαι ἐπικαθεσθῆναι.

ὀλαί αἱ μεθ' ἁλῶν μεμιγμέναι κριθαὶ καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι. sch. A Eq. 1164.

ὀλβίζειν μακαρίζειν, εὐδαίμονα ἡγεῖσθαι· Σοφοκλῆς ⟨OR extr.⟩ "μηδέν' ὀλβίζειν πρὶν ἂν τέρμα τȣ̃ βίȣ περάσῃ μηδὲν ἀλγεινὸν παθών."

ὀλβιοδαίμων εὐδαίμων, εὐτυχέςατος. ἡ κλητικὴ ὀλβιόδαιμον. Hom. Γ 182.

ὄλβιος πλȣ́σιος, εὐδαίμων, μακάριος.

ὀλβοδότης πλȣτοδότης.

ὄλβος εὐδαιμονία, πλȣ̃τος· ἐν ἐπιγράμματι ⟨AP 5 259⟩ "ὄλβῳ πάντας ὑπερπέταται ὅς σε περιπλέγδην ἔχε πήχεσι."

ὀλέθριον μέχρι θανάτȣ· Σοφοκλῆς ⟨Ai. 402⟩ "ὀλέθριον αἰκίζει."

ὀλέθρȣ πείρατ' ἐφῆπται ⟨Hom. χ 41⟩ ἐπιδέδεται καὶ ἐξῆπται τὸ τȣ̃ ὀλέθρȣ ὑμῶν πέρας. οἷον δέδεσθε τῷ ὀλέθρῳ.

ὀλέκει ⟨Iob 32 18⟩ φονεύει.

ὀλέκρανον τινὲς τὸν ἀγκῶνα, ȣ̓κέτι δὲ τὸ ἐν τῇ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπώδυνος

δὲ ὁ τόπος τοῖς τρωθεῖσιν εἰς αὐτόν. Ἀριστοτέλης δὲ οὐ τὸν ἀγκῶνα ἀλλὰ τὸ ἐν καμπῇ τῆς χειρὸς ὀξύ. Ἀριστοφάνης δὲ (Pac. 445) ὠλέκρανα λέγει τὰ τῶν ὠλενῶν κρανία, τουτέστι τῶν χειρῶν. δῆλον οὖν ὅτι τὸ ὀξὺ καὶ ἐπικαμπὲς τῶν χειρῶν λέγει, ὃν ἀγκῶνά φαμεν ἡμεῖς. "μηδέποτε παύσαιτο ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενος."

b ὀλέκρανον ἀγκών, οἷον τῆς ὠλένης κάρανον. Ἀριστοφάνης· κατάρα εἰρηνικῶν· "ὅστις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται, μηδέποτε παύσασθ' αὐτόν, ὦ Διόνυσ' ἄναξ, ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενον."

ὀλέσκει ὀλοθρεύει.

ὀλετῆρα φονέα.

ὄληαι (Hom. Γ 417) ἀπόλῃ.

ὅλην ἐξεκέχυτο τὴν ψυχὴν ἀντὶ τοῦ ἐπιμελῶς καὶ διὰ σπουδῆς εἶχεν. "ἐς δὲ αὔξησιν ἀρετῆς καὶ μείωσιν κακίας ὅλην ἐξεκέχυτο τὴν ψυχήν." cf. v. ἰδιώτης.

ὀλίγα ἄττα ὀλίγα τινά.

ὀλίγαιμος ὁ ὀλίγον αἷμα ἔχων.

ὀλιγαρκία τὸ ἐν ὀλίγοις ἀρκεῖσθαι. ὀλιγαρτία δὲ ἡ λεῖψις τοῦ ἄρτου.

ὀλιγαρχούμενοι ὑπὸ ὀλίγων ἀρχόμενοι. τρεῖς εἰσὶ πολιτεῖαι, βασιλεία ὀλιγαρχία δημοκρατία.

ὀλιγαῦλαξ ἡ μικρὰ χώρα· (AP 6 226) "ἥ τ' ὀλιγαῦλαξ σπείρεσθαι."

ὀλίγγος ὁ γόνος τῶν ἀκρίδων.

ὀλιγηπελέων ὀλιγοψυχῶν.

ὀλιγηροσίη· (AP 6 98) "πενιχρῆς ἐξ ὀλιγηροσίης μοῖραν ἀλοεῖται στάχυος."

ὀλιγογνώμων ὀλίγωρος.

ὀλιγοδεής ὀλίγων χρῄζων.

ὀλιγοδεΐα τὸ ὀλίγων δεῖσθαι. καὶ ὀλιγοδεία ὁμοίως.

ὀλιγοδρανέων καὶ ὀλιγοδρανής ὀλίγα ἰσχύων.

ὀλίγον ἀντὶ τοῦ οὐδ' ὅλως παρ' Ὁμήρῳ (E 800) "ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο." καὶ ὀλίγον ἀντὶ τοῦ ἡσυχαίτερον· "ὃ δὲ ὀλίγον φθέγγεται πρὸς τὴν κόρην, καὶ αἰτεῖ πιεῖν." καὶ ἀντὶ τοῦ μικρά· (AP 6 251) "καὶ σπονδὴν ὀλίγῃ κιρναμένην κύλικι."

ὀλιγοστός.

ὀλιγότης.

ὀλίγου δεῖν σχεδόν, παρὰ μικρόν. λέγεται δὲ καὶ χωρὶς τοῦ δεῖν. καὶ ὀλίγου δέω φάναι ὡσαύτως.

ὀλιγοχρονῶ.

ὀλιγωρήσας ἀμελήσας, ἀφροντιστήσας· "τῶν νενομισμένων τοῖς τελευτήσασιν ὀλιγωρήσας τιμῶν."

ὀλιγωρήσετε ἀντὶ τοῦ ἀμελήσετε Δημοσθένης Φιλιππικοῖς (1 17). ὀλιγωρεῖν γὰρ λέγεται τὸ ὀλίγην ὤραν ἔχειν· ἔστι δὲ τὸ μὲν ὀλίγην ἀντὶ τοῦ οὐδὲ ὀλίγην, ὡς ἐν τῷ (Hom. E 800) "ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς," ὤρα δὲ ἡ φροντίς. Harp.

ὀλιγωρῶ γενικῇ.

Ὀλιζῶνες ἔθνος Θρᾳκικόν. ὀλίζονος μικρᾶς.

ὄλισβος αἰδοῖον δερμάτινον, ᾧ ἐχρῶντο αἱ Μιλήσιαι γυναῖκες ὡς τριβάδες καὶ αἰσχρουργοί· ἐχρῶντο δὲ αὐτοῖς καὶ αἱ χῆραι γυναῖκες. Ἀριστοφάνης (Lys. 109) "οὐκ εἶδον οὐδ' ὄλισβον ὀκταδάκτυλον, ὃς ἦν ἂν ἡμῖν σκυτίνη ἐπικουρία," παρὰ τὴν παροιμίαν "συκίνη ἐπικουρία" ἐπὶ τῶν ἀσθενῶν.

ὀλισθηρός εὐόλισθος, εὐχερῶς μεταγινώσκων.

ὁλκάς παρὰ Θουκυδίδῃ (2 91) ἡ ἐμπορικὴ ναῦς. καὶ ὁλκάδες πλοῖα. "ἐν ταῖς δὴ λεγομέναις ὁλκάσι μακραῖς τὰ βαρβαρικὰ διεβίβασαν πλήθη."

ὁλκεῦσιν· "οἱ δὲ Τρῶες ὁλκεῦσι πολλοῖς καὶ ἀρτήμασιν ἐνάψαντες ὑπότροχον ὄντα εἷλκον εἰς τὴν πόλιν." cf. v. ἐξάρχοντες.

ὁλκῇ δυνάμει, ἢ βάρει, ἢ σταθμῷ. "καὶ τὸν στρεπτὸν ὃν ἐφόρει, ὁλκῆς γεννικῆς χρυσοῦ ὄντα ἀφαιρεῖται" φησὶν Αἰλιανός.

ὁλκήν ἐπαγωγήν, ῥοπήν.

ὁλκοῖς ἄγειν καὶ ἐφέλκεσθαι δυναμένοις.

ὁλκόν ἰσχυρὸν τόνον, ἢ ἑλκυστικόν, ἢ ὅρμον, ἢ ὁδόν· "ὃ δὲ τὸν ὁλκὸν τοῦ ὕδατος ἔκοψεν."

ὁλκός ὁδός, ἢ ἀγωγὸς ῥεύματος, ἢ οὐρά. ἢ ὁλκὸς κυρίως τὸ τῶν δρακόντων σύρμα, καταχρηστικῶς δὲ καὶ τὸ τῆς τρόπιδος ἔκταμα· δρακοντοειδὲς γάρ, διὰ πάσης τῆς νεὼς διῆκον.

ὁλκὸς ἄνθρωπος ὁ ἑλκυστικὸς καὶ ἐπαγωγός.

ὁλκούς ἐφελκομένας. a

ὁλκούς ναυστάθμους. b

ὅλμος τὸ μαγειρικὸν ἐργαλεῖον, καὶ ὁ τρίπους τοῦ Ἀπόλλωνος. καὶ ὁλμειός στρογγύλος λίθος, εἰς ὃν κόπτουσιν ὄσπρια καὶ ἄλλα τινά. sch. A Vesp. 238.

ὀλοή (Hom. Π 849) ὀλεθρία.

ὀλοίτροχος· "λίθος ὀλοίτροχος ἀπὸ μηχανῆς εἰς τὸν εὑρετὴν τοῦ τεχνήματος ἐμπεσὼν τοῦ τε σώματος ... ἐξήραξε καὶ τοὺς ὀφθαλμοὺς ἐξέωσεν ἄμφω." Ἡρόδοτος (8 52) "καὶ δὴ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας ὀλοιτρόχους ἀφίεσαν." καὶ αὖθις "ὀλοιτρόχους μεγάλους κατὰ τοῦ λόφου κυλίοντες," λίθους ὅλους τροχοειδεῖς.

ὀλοιτρόχους στρογγύλους, τροχοειδεῖς λίθους· Ξενοφῶν (Anab. 4 2 3) "ἐκυλίνδουν οἱ βάρβαροι ὀλοιτρόχους ἁμαξιαίους, οἱ φερόμενοι διεσφενδονῶντο."

ὁλοκαρπούμενον ὅλον προσφερόμενον.

ὁλοκαύτωμα ἡ θυσία.

ὀλολυγή ἡ βοή.

ὀλολύγιον.

ὀλολύζει ὁ γέρων (A Th. 136) εἰς τὴν θηλύτητα αὐτοῦ καὶ λαγνείαν ἀποβλέπων.

ὀλολύζειν τὸ μετὰ κναυγῆς εὔχεσθαι· Ὅμηρος (γ 450) "αἱ δ' ὀλόλυξαν."

ὀλολυζέτω θρηνείτω, κυρίως ἐπὶ γυναικῶν. Ὅμηρος (Z 301) "αἱ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον."

ὀλολυζέτω πίτυς ὅτι πέπτωκε κέδρος (Zachar. 11 2), τουτέστι, τῶν ἰσχυρῶν πιπτόντων τὰ ἀσθενέστερα παιδευέσθωσαν καὶ σωφρονιζέσθωσαν. καὶ ὁ Σολομῶν λέγει (Proverb. 29 16) "τῶν ἀσεβῶν πιπτόντων δίκαιοι κατάφοβοι γίνονται," καὶ (19 25) "λοιμοῦ μαστιζομένου ἄφρων πανουργότερος γίνεται."

ὁλοοίτροχος περιφερής, στρογγύλος. καὶ ὁλοίτροχος.

ὀλοός. δασυνομένης μὲν τῆς πρώτης συλλαβῆς δηλοῖ ὁ φρόνιμος καὶ ὑγιής, ψιλουμένης δὲ ὁ ὀλέθριος.

ὀλοόφρονος (Hom. B 723) τοῦ ὀλέθρια φρονοῦντος.

Ὄλορος Ὀλόρου ὄνομα κύριον.

ὀλός θολός.

ὅλος καὶ πᾶς· "ἦν δὲ ὅλος καὶ πᾶς πρὸς τὸ πολεμεῖν." (Polyb. 3 94) "πρὸς τὸ παραβάλλεσθαι καὶ διακινδυνεύειν ὅλος καὶ πᾶς ἦν." "ὅλος καὶ πᾶς ἦν τῇ διανοίᾳ περὶ τοὺς ἐνεστῶτας κινδύνους" ἀντὶ τοῦ πάσῃ δυνάμει.

ὁλοσχερῶς ὁλοτελῶς.

ὁλοσχοίνῳ Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας (21). Θεόφραστος δὲ (H. P. 4 13) τρία εἴδη σχοίνου φησίν, ὧν ὁ τρίτος μεγέθει καὶ εὐσαρκίᾳ διαφέρων ὁλόσχοινος καλεῖται. Harp.

Ὀλοφέρνης ἀρχιστράτηγος Καμβύσου υἱοῦ Κύρου. πόλεμον δὲ ἔχων ὁ Καμβύσης πρὸς Ἀρφαξὰδ βασιλέα Μήδων, καὶ συμμαχίαν αἰτήσας παρὰ τῶν ἐθνῶν ἁπάντων ἕως Αἰγύπτου, καὶ μὴ δεδωκότων αὐτῷ, μετὰ τὸ νικῆσαι Ἀρφαξὰδ πόλεμον ἔθετο κατὰ τῶν μὴ δεδωκότων αὐτῷ βοήθειαν, ἀποστείλας Ὀλοφέρνην μετὰ δυνάμεως πολλῆς· ὃς πάντων ἐκράτησεν. ἐλθὼν δὲ περὶ Βετυλούαν τὴν τῶν Ἰουδαίων πόλιν ἀπέστειλεν Ἀχίωρ τὸν στρατηγὸν αὐτοῦ, ἐπαπειλήσας αὐτῷ, εἰ μὴ ἕλοι τὴν πόλιν, ἀναιρήσειν αὐτόν. ὁ δὲ Ἀχίωρ κρατήσας τὰ ὕδατα, ἠνάγκασεν ἑτοίμως ἔχειν ἐκδοῦναι αὐτῷ τὴν πόλιν. ἡ δὲ Ἰουδὶθ ἐξελθοῦσα κεκοσμημένη ὡς νύμφη ἀπεκεφάλισε τὸν Ὀλοφέρνην, καὶ ἐσώθη ἡ πόλις. καὶ κλίνεται εἰς ου.

ὀλόφυλος ὁ ὁλόκληρος.

ὀλοφύρεται ἀποδύρεται, κλάει.

ὀλοφυρμός θρῆνος.

ὀλοφώιον (Hom. δ 410) ὀλέθριον.

ὀλόφωνος ὁ ἀλεκτρυών. οὕτως Κρατῖνος.

ὄλπη ἡ λήκυθος, οἱονεὶ ἐλαιόπη τις οὖσα διὰ τὸ δι' αὐτῆς ὀπιπτεύεσθαι τὸ ἔλαιον. ἐν ἐπιγράμμασι (AP 6 261) "χάλκεον ἀργυρέῳ με πανείκελον, Ἰνδικὸν ἔργον, ὄλπην ἡδίστου ξείνιον εἰς ἑτάρου, ἦμαρ ἐπεὶ τόδε σεῖο γενέθλιον, πέμπει γηθομένῃ σὺν φρενὶ Κριναγόρης."

Ὀλυμπιάνειος σοφιστής, τοῦ Ὀλυμπιανείου.

ὀλυμπιάς. οὕτω καλεῖται παρ' Ἕλλησιν ὁ κατὰ δ' ἔτη συντελούμενος ἀγών, διὰ τὴν κατὰ τετραετίαν τῶν τοῦ ἡλίου δρόμων ἐκ τῶν κατ' ἔτος ὡρῶν ϛ' συντελουμένην ἡμέραν. ἐτέθη δὲ πρώτη ὀλυμπιὰς ἐπὶ Σολομῶντος, εἰς ἑορτὴν κοσμικὴν τοῦ Διός. Cyrill. Hierosol. catech. 12 8.

ὀλυμπιάς τετραετηρικὸς ἀγών. εἰσὶ δὲ δ' ἀγῶνες, Ὀλύμπια Ἴσθμια Νέμεα καὶ Πύθια. λέγεται καὶ Ὀλυμπίασι, τουτέστιν ἐν τοῖς Ὀλυμπίοις, ἔνθα ἠγωνίζοντο.

Ὀλυμπιόδωρος φιλόσοφος Ἀλεξανδρεύς, οὗ κλέος εὐρύ. παρὰ τοῦτον φοιτᾷ Πρόκλος ὁ Λύκιος ἐπ' Ἀριστοτελικοῖς λόγοις. Ὀλυμπιοδώρου δὲ ἀκροώμενος, ἀνδρὸς δυνατοῦ λέγειν καὶ διὰ τὴν περὶ τοῦτο εὐκολίαν

καὶ ἐντρέχειαν ὀλίγοις τῶν ἀκουόντων ὄντος ἐφικτοῦ· ἠγάσθη δὲ τὸ μειράκιον, ὥστε καὶ θυγάτριον ἔχων, ἡγμένον καὶ αὐτὸ φιλοσόφως, βουληθῆναι αὐτῷ κατεγγυῆσαι. Marinus 9.

ὀλυμπιονίκης ὁ ἐν Ὀλυμπίᾳ νικῶν.

a Ὄλυμπος ἀδελφὸς Γενεριώσης, ὃς ἧκεν ἀπὸ τῆς Κιλικίας εἰς Ἀλεξάνδρειαν ἐπὶ τὴν θεραπείαν τοῦ Σαράπιδος. ἦν δὲ ἐς τὰ πάντα φύσιν ἀξιάγαστον κεκτημένος, μέγας μὲν τὸ σῶμα καὶ εὐμήκης ἰδεῖν, καλὸς δὲ καὶ ἀγαθὸς τὴν ὄψιν. τῆς δὲ ἡλικίας ἐν τῷ φρονιμωτάτῳ τότε γεγονὼς εὐόμιλός τε ἦν καὶ ἡδὺς ἱκανῶς τοῖς ἐντυγχάνουσι, καὶ ὠφέλιμος, εἴπερ τις ἕτερος, τοῖς πειθομένοις. οὐδεὶς δὲ ἦν οὕτως ἀτεράμων καὶ βάρβαρος τὴν ψυχὴν ὃς οὐκ ἐπείθετο καὶ κατεκηλεῖτο τοῖς ἀπὸ τοῦ ἱεροῦ στόματος ἐκείνου ῥέουσι λόγοις· τοιάδε τις ἐπεκάθητο πειθὼ τοῖς χείλεσι τοῦ ἀνδρός, οὐκ ἀνθρώπειόν τι χρῆμα ἀλλὰ θειότερον. ταῦτά τοι τοῖς Ἀλεξανδρεῦσι κατέστη ἱεροδιδάσκαλος ἤδη κατασυρομένης ὑπὸ τοῦ χειμάρρου τῆς πολιτείας. ὁ δὲ συναγείρων ἑκάστοτε τοὺς παρατυγχάνοντας ἐδίδασκε τὰ ἀρχαῖα νόμιμα καὶ τὴν τούτοις ἐφεπομένην εὐδαιμονίαν, ὅση τε καὶ οἷα θεόθεν ἀπήντα τοῖς ἀκριβῶς ταῦτα διαφυλάττουσιν. οὕτω δὲ ἦν ὁ Ὄλυμπος πλήρης τοῦ θεοῦ ὥστε καὶ προεῖπε τοῖς ἑταίροις ὅτι Σάραπις ἀφίησι τὸν νεών· ὃ καὶ γέγονεν. Damascius Phot. p. 338.

b Ὄλυμπος Μαίονος Μυσός, αὐλητὴς καὶ ποιητὴς μελῶν καὶ ἐλεγείων, ἡγεμών τε γενόμενος τῆς κρουματικῆς μουσικῆς τῆς διὰ τῶν αὐλῶν, μαθητὴς καὶ ἐρώμενος Μαρσύου, τὸ γένος ὄντος Σατύρου, ἀκουστοῦ δὲ καὶ παιδὸς Ὑάγνιδος. γέγονε δὲ πρὸ τῶν Τρωικῶν ὁ Ὄλυμπος, ἐξ οὗ τὸ ὄρος τὸ ἐν Μυσίᾳ ὀνομάζεται.

c Ὄλυμπος ὁ τοὺς νόμους τῆς κιθαρῳδίας ἐκθεὶς καὶ διδάξας.

d Ὄλυμπος Φρύξ, νεώτερος, αὐλητὴς γεγονὼς ἐπὶ Μίδου τοῦ Γορδίου.

e Ὄλυμπος οὐρανός, θεοῦ οἰκητήριον.

ὄλυνθος παρὰ τὸ ὅλος ἀνθεῖν, ἤγουν ἐκ πρώτης ἀνθήσεως τὸ αὐτὸ ἔχειν. ὄλυνθος οὖν ἡ ὠμὴ συκῆ.

ὄλυρα ζειά, εἶδος σπέρματος.

ὄλωλα ἀπόλωλα. καὶ ὄλοιτο εὐκτικῶς.

ὀλώλαμεν ἀπολώλαμεν.

ὅλῳ ποδί ὅλῃ δυνάμει.

ὅμαδος θόρυβος.

ὁμαίμονος ἀδελφοῦ. S Ai. 1312.

ὅμαιμος ἀδελφός· ἐν ἐπιγράμμασιν (AP 6 13) "οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι." λέγονται καὶ σύναιμοι.

ὅμαιμος καὶ ὁμαίμων ἀδελφός, ἢ συγγενής. καὶ ὁμονήδυος.

ὁμαιχμία ὁμομαχία, συμμαχία, φιλία, παρὰ τὸ ὁμοῦ τὰς αἰχμὰς τίθεσθαι· Ἡρόδοτος (Θουκυδίδης 1 18) "καὶ ὀλίγον μὲν χρόνον ἡ ὁμαιχμία ξυνέμεινεν· ἔπειτα διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι ἐπολέμησαν πρὸς ἀλλήλους." καὶ αὖθις "ἐπηγάγετο δὲ ἐς ὁμαιχμίαν τοὺς Γότθους." καὶ αὖθις "ἐπὶ Ἀννίβα τοῦ Καρχηδονίου στρατηγοῦ τῆς Ἰταλίας ἁπάσης ἐς τὴν κατὰ Ῥωμαίων συστάσης ὁμαιχμίαν."

ὁμαλές ἀπὸ τῆς ὁμαλῆς εὐθείας. Προκόπιος (Vand. 2 12) "οἱ δὲ εἰς φυγὴν ὥρμηντο, οὔτε εἰς τοῦ Βουργάωνος τὴν ὑπερβολὴν ἀναδραμεῖν ἔχοντες οὔτε εἰς τὸ ὁμαλὲς διὰ τὸ ἐπικεῖσθαι τοὺς ἐναντίους."

ὁμαρτῶν ἀκολουθῶν, ἢ ὁμοῦ πέμπων.

ὅμαυλος ὁμόθρους, ὁμόφωνος· "στονόεσσά τε γῆρυς ὅμαυλος" Σοφοκλῆς (OR 187).

ὀμβρήσας βρέξας. ὀμβρῶ ὀμβρήσω. καὶ ὀμβροβλυτῶ. καὶ ὀμβρήσαντος (Hes. O. 413) πηγάσαντος.

ὀμβρία χάλαζ' ἐπιρράξασα ἢ Διὸς κεραυνός. S OC 1502.

ὄμβριον ὕδωρ. Hom. Δ 453.

ὀμέθνιον ὁμόφυλον.

ὁμέστιον ὁμόοικον, ὁμωρόφιον, γαμετήν.

ὁμευνέτης ὁμευνέτου συγκοίτου ἀνδρός. θηλυκῶς δὲ διὰ τοῦ ι.

ὀμῇ σύ. ὀμοῦμαι ὀμῇ, δευτέρου προσώπου.

ὁμήγυριν ἄθροισμα, πλῆθος. ἡ εὐθεῖα ὁμήγυρις.

ὁμῆλιξ ὁ ὁμοῆλιξ.

ὁμηρεία ἡ ἀντιπρόσοψις.

ὁμήρειος λόγος ὁ τοῦ Ὁμήρου.

ὁμηρεύειν συμφωνεῖν· "οἱ δὲ Σάμιοι, καίπερ ἐξομηρευομένων αὐτοῖς τῶν νεανίσκων, ὅμως οὐκ ἐπέμειναν, ἀλλ' ἐπανέστησαν τοῖς φυλάσσουσι τὴν πόλιν τῶν Μακεδόνων."

ὁμηρεύοντας Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (133) ἐπὶ τῶν ἄνω πεμφθέντων Λακεδαιμονίων Ἀλεξάνδρῳ. ἦσαν δὲ ν'. Harp.

Ὁμηρίδαι οἱ τὰ Ὁμήρȣ ὑποκρινόμενοι. οἱ δὲ γένος ἐν Χίῳ ἀπὸ τοῦ ποιητȣ ὠνομασμένον. ἄλλοι δέ φασιν ἁμαρτάνειν τȣς ὕτω νομίζοντας· ὠνομάσθαι γὰρ ἀπὸ τῶν ὁμήρων, ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι εἰς μάχην ἦλθον τοῖς ἀνδράσι, καὶ δόντες ἀλλήλοις ὅμηρα νυμφίους καὶ νύμφας ἐπαύσαντο, ὧν τοὺς ἀπογόνους Ὁμηρίδας λέγουσιν. Harp.

ὁμηρίζω τοῖς Ὁμήρου χρῶμαι.

ὅμηρον παρὰ Θουκυδίδῃ (1 82) ἐνέχυρον, τὸ εἰς εἰρήνην διδόμενον ἐπὶ συνθήκαις. Αἰλιανός "ὃ δὲ ὑφαιρεῖται τὸν κώδωνα, καὶ φιλίας σύμβολον καὶ ὅμηρον πρῶτον κομίζει τῷ ἑταίρῳ αὐτοῦ."

ὅμηροι δέ εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι· ὁμηρῶσαι γὰρ τὸ συμβαλεῖν. Θεόπομπος δὲ ὁμηρεῖν φησὶ παρὰ τοῖς ἀρχαίοις λέγεσθαι τὸ ἀκολουθεῖν· τοὺς οὖν ἐπ' ἀκολουθίᾳ τῶν ὡμολογημένων διδομένους ἐντεῦθεν ὁμήρους φασὶ λέγεσθαι. Harp.

Ὅμηρος ὁ ποιητὴς Μέλητος τοῦ ἐν Σμύρνῃ ποταμοῦ καὶ Κριθηΐδος, ὡς δὲ ἄλλοι, Ἀπόλλωνος καὶ Καλλιόπης τῆς μούσης, ὡς δὲ Χάραξ ὁ ἱϛορικός, Μαίονος ἢ Μητίȣ καὶ Εὐμήτιδος μητρός, κατὰ δὲ ἄλλȣς Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Πολυκάϛης τῆς Νέϛορος. ἔϛι δὲ ἡ τοῦ γένȣς τάξις κατὰ τὸν ἱϛορικὸν Χάρακα αὕτη· Αἰθούσης Θρᾴσσης Λίνος, τοῦ δὲ Πίερος, τοῦ δὲ Οἴαγρος, τȣ δὲ Ὀρφεύς, τοῦ δὲ Δρής, τοῦ δὲ Εὐκλέης, τοῦ δὲ Ἰδμονίδης, τοῦ δὲ Φιλοτερπής, τοῦ δὲ Εὔφημος, τοῦ δ' Ἐπιφράδης, τȣ δὲ Μελάνωπος, τοῦ δὲ Ἀπελλῆς, τοῦ δὲ Μαίων, ὃς ἦλθεν ἅμα ταῖς Ἀμαζόσιν ἐν Σμύρνῃ, καὶ γήμας Εὔμητιν τὴν Εὐεποῦς τοῦ Μελησιγένους ἐποίησεν Ὅμηρον. ὁμοίως δὲ καὶ τὴν πατρίδα ἀμφίβολος διὰ τὸ ἀπιϛηθῆναι ὅλως εἶναι θνητὸν τῷ μεγέθει τῆς φύσεως· οἱ μὲν γὰρ ἔφασαν γενέσθαι Σμυρναῖον, οἱ δὲ Χῖον, οἱ δὲ Κολοφώνιον, οἱ δὲ Ἰήτην, οἱ δὲ Κυμαῖον, οἱ δὲ ἐκ Τροίας ἀπὸ χωρίου Κεγχρεῶν, οἱ δὲ Λυδόν, οἱ δὲ Ἀθηναῖον, οἱ δὲ Ἰθακήσιον, οἱ δὲ Κύπριον, οἱ δὲ Σαλαμίνιον, οἱ δὲ Κνώσσιον, οἱ δὲ Μυκηναῖον, οἱ δὲ Αἰγύπτιον, οἱ δὲ Θετταλόν, οἱ δὲ Ἰταλιώτην, οἱ δὲ Λευκανόν, οἱ δὲ Γρύνιον, οἱ δὲ Ῥωμαῖον, οἱ δὲ Ῥόδιον. καὶ προσηγορεύετο μὲν κυρίως Μελησιγενής (καὶ γὰρ ἐτέχθη παρὰ τῷ Μέλητι ποταμῷ κατὰ τοὺς Σμυρναῖον αὐτὸν γενεαλογοῦντας), ἐκλήθη δὲ Ὅμηρος διὰ τὸ πολέμου ἐνιϛαμένου Σμυρναίοις πρὸς Κολοφωνίους ὅμηρος δοθῆναι, ἢ ὅτι βουλευομένων Σμυρναίων δαιμονίᾳ τινὶ ἐνεργείᾳ φθέγξασθαι καὶ συμβουλεῦσαι ἐκκλησιάζουσι περὶ τοῦ πολέμου. καὶ γέγονε δὲ πρὸ τȣ τεθῆναι τὴν α' ὀλυμπιάδα, πρὸ ἐνιαυτῶν νζ'· Πορφύριος δὲ ἐν τῇ Φιλοσόφῳ ἱϛορίᾳ πρὸ ρλβ' φησίν. ἐτέθη δὲ αὕτη μετὰ τὴν Τροίας ἅλωσιν ἐνιαυτοῖς ὕϛερον νζ'. τινὲς δὲ μετὰ ρξ' μόνȣς ἐνιαυτȣς τῆς Ἰλίȣ ἁλώσεως τετέχθαι ἱϛοροῦσιν Ὅμηρον· ὁ δὲ ῥηθεὶς Πορφύριος μετὰ σοέ. γήμας δ' ἐν Χίῳ Ἀρησιφόνην τὴν Γνώτορος τοῦ Κυμαίȣ θυγατέρα ἔσχεν υἱεῖς δύο καὶ θυγατέρα, ἣν ἔγημε Στασῖνος ὁ Κύπριος· οἱ δὲ υἱεῖς Ἐριφῶν καὶ Θεόλαος. ποιήματα δὲ αὐτȣ ἀναμφίλεκτα Ἰλιὰς καὶ Ὀδύσσεια. ἔγραψε δὲ τὴν Ἰλιάδα οὐχ ἅμα, οὐδὲ κατὰ τὸ συνεχές, καθάπερ σύγκειται, ἀλλ' αὐτὸς μὲν ἑκάϛην ῥαψῳδίαν γράψας καὶ ἐπιδειξάμενος ἐν τῷ περινοϛεῖν τὰς πόλεις τροφῆς ἕνεκεν ἀπέλιπεν· ὕϛερον δὲ συνετέθη καὶ συνετάχθη ὑπὸ πολλῶν, καὶ μάλιϛα ὑπὸ Πεισιϛράτȣ τοῦ Ἀθηναίων τυράννου. ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα, Ἀμαζονία, Ἰλιὰς μικρά, νόϛοι, ἐπικιχλίδες, ἠθιέπακτος (ἑπτάπεκτος?) ἤτοι ἴαμβοι, μυοβατραχομαχία, ἀραχνομαχία, γερανομαχία, κεραμίς, Ἀμφιαράου ἐξέλασις, παίγνια, Οἰχαλίας ἅλωσις, ἐπιθαλάμια, κύκλος, ὕμνοι, Κύπρια. γηραιὸς δὲ τελευτήσας ἐν τῇ νήσῳ τῇ Ἴῳ τέθαπται, τυφλὸς ἐκ παίδων γεγονώς· τὸ δὲ ἀληθές, ὅτι οὐχ ἡττήθη ἐπιθυμίας, ἣ διὰ τῶν ὀφθαλμῶν ἄρχεται, καὶ παρὰ τȣτο ἱϛορήθη τυφλός. ἐπιγέγραπται δὲ ἐν τῷ τάφῳ αὐτοῦ τόδε τὸ ἐλεγεῖον, ὃ ὑπὸ τῶν Ἰητῶν ἐποιήθη χρόνῳ, (AP 7 3) "ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει, ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον." ὅτι Διοσκορίδης ἐν τοῖς παρ' Ὁμήρῳ νόμοις φησὶν ὡς ὁ ποιητὴς ὁρῶν τὴν σωφροσύνην οἰκειοτάτην ἀρετὴν οὖσαν καὶ πρώτην τοῖς νέοις, ἔτι δὲ ἁρμόττουσαν καὶ καλῶν χορηγὸν οὖσαν, βȣλόμενος πάλιν ἐμφῦσαι αὐτὴν ἀπ' ἀρχῆς καὶ ἐφεξῆς, ἵνα τὴν σχολὴν καὶ τὸν ζῆλον ἐν τοῖς καλοῖς ἔργοις ἀναλίσκωσι καὶ ὦσιν εὐεργετικοὶ καὶ κοινοὶ πρὸς ἀλλήλους, εὐτελῆ κατεσκεύασε πᾶσι τὸν βίον καὶ αὐτάρκη, λογιζόμενος τὰς ἐπιθυμίας καὶ τὰς ἡδονὰς ἰσχυροτάτας γίνεσθαι καὶ πρώτας, ἔτι τε καὶ ἐμ-

φύτους οὔσας, περὶ ἐδωδὴν καὶ πόσιν, τοὺς δὲ διαμεμενηκότας ἐν ταῖς εὐτελείαις εὐτάκτους καὶ περὶ τὸν ἄλλον βίον γινομένους ἐγκρατεῖς. ἐφ' ᾧ καὶ ἁπλῆν ἀποδέδωκε τὴν δίαιταν πᾶσι, καὶ τὴν αὐτὴν ὁμοίως βασιλεῦσί τε καὶ ἰδιώταις, λέγων "παρὰ δὲ ξεςὴν ἐτάνυσσε τράπεζαν, σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα, δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας," καὶ τούτων ὀπτῶν, καὶ ὡς ἐπὶ τὸ πολὺ βοείων. παρὰ δὲ ταῦτα οὔτε ἐν ἑορταῖς οὔτ' ἐν γάμοις οὔτ' ἐν ἄλλῃ συνόδῳ παρατίθησιν οὐδέν, καίτοι πολλάκις τὸν Ἀγαμέμνονα ποιήσας δειπνίζοντα τοὺς ἀρίςους, Μενέλαον δὲ τοὺς γάμους ποιοῦντα καὶ τοῦ υἱοῦ καὶ τῆς θυγατρός· καὶ τοῦ Τηλεμάχου πρὸς αὐτὸν παραγενομένου "νῶτα βοὸς παρέθηκεν ἀείρας ὄπτ', ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ." οὐ γὰρ θρῖα καὶ κάνδυλον καὶ ἄμητας μελίπηκτά τε τοῖς βασιλεῦσιν ἐξαίρετα παρατίθησιν Ὅμηρος, ἀλλ' ἀφ' ὧν εὖ ἕξειν ἔμελλον τὸ σῶμα καὶ τὴν ψυχήν. καὶ Αἴαντα μετὰ τὴν μονομαχίαν νώτοισι γέραιρεν ὁ Ἀγαμέμνων, καὶ Νέςορι γηραιῷ ὄντι κρέας ὀπτὸν βοὸς δίδωσι, καὶ Ἀλκίνῳ δὲ τρυφερὸν ᾑρημένῳ βίον, σπουδάζων ἡμᾶς ἀποςῆσαι τῶν ἀτάκτων ἐπιθυμιῶν. καὶ Νέςορα δὲ ποιεῖ παρὰ τῇ θαλάσσῃ τῷ Ποσειδῶνι κεχαρισμένην τινὰ θυσίαν ἐπιτελοῦντα, καὶ πολλοὺς ἔχοντα, τάδε παρακελευόμενον, "ἀλλ' ἄγ', ὃ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω" καὶ τὰ ἑξῆς. καὶ Ἀλκίνους δὲ τοὺς τρυφερωτάτους ἐςιῶν Φαίακας καὶ τὸν Ὀδυσσέα ξενίζων, ἐπιδεικνύμενος αὐτῷ τὴν τοῦ κήπου κατασκευὴν καὶ τῆς οἰκίας καὶ τὸν αὐτοῦ βίον, τοιαύτας παρατίθεται τραπέζας. καὶ τοὺς μνηςῆρας, ὑβριςὰς ὄντας καὶ πρὸς ἡδονὰς ἀνειμένους, οὔτε ἰχθύας ἐσθίοντας ποιεῖ οὔτε ὄρνιθας οὔτε μελίπηκτα, περιελὼν παντὶ σθένει τὰς μαγειρικὰς μαγγανείας. Athen. p. 8.

ὅτι Ὅμηρος πηρὸς ὢν τὰς ὄψεις περιενόσει, καὶ ἀφίκετο εἰς Γλαῦκον ποιμένα. ὃ δὲ πρὸς τὸν ἴδιον δεσπότην αὐτὸν ἤγαγεν. ὃ δὲ ἰδὼν αὐτὸν δεξιὸν καὶ πολλῶν ἔμπειρον, πείθει αὐτὸν αὐτόθι μένειν καὶ τῶν παίδων ἐπιμέλειαν ποιεῖσθαι. ὃ δὲ ἔπρασσε ταῦτα, καὶ τοὺς Κέρκωπας καὶ τὴν μυοβατραχομαχίαν καὶ ψαρομαχίαν καὶ ἑπταπάκτιον καὶ ἐπικιχλίδας, καὶ ἄλλα ὅσα παίγνιά ἐςιν Ὁμήρου, ἐποίησε παρὰ τῷ Χίῳ ἐν Βολισσῷ. εἶτα ἀφίκετο εἰς Σάμον, καὶ εὗρε γυναῖκα κουροτρόφῳ θύουσαν, καὶ λέγει τὰ ἔπη τάδε, "κλῦθί μοι εὐχομένῳ, κουροτρόφε, δὸς δὲ γυναῖκα τήνδε νέων μὲν ἀνήνασθαι φιλότητα καὶ εὐνήν· ἣ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν, ὧν οὖραι μὲν ἀπημβλυνται, θυμὸς δὲ μενοινᾷ." ἐπεὶ δὲ ἧκεν εἰς τὴν φρήτραν, ἔνθα ἐδαίνυντο, πῦρ ἀνέκαυσαν. ὁ δὲ Ὅμηρος εἶπεν "ἀνδρὸς μὲν παῖδες ςέφανος, πύργοι δὲ πόληος· ἵπποι δ' ἐν πεδίῳ κόσμος, νῆες δὲ θαλάσσης, χρήματα δ' αὔξει οἶκον· ἀτὰρ γεραροὶ βασιλῆες ἥμενοι εἰν ἀγορῇ, κόσμος τ' ἄλλοισιν ὁρᾶσθαι. αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι." ὁ αὐτὸς Ὅμηρος μέλλων πλεῖν, καὶ τῶν ναυτῶν δεξαμένων αὐτόν, ἐμβὰς εἰς τὴν ναῦν ἔφη τὰ ἔπη ταῦτα. "κλῦθι Ποσείδαον μεγαλοσθενὲς ἐννοσίγαιε, εὐρυχόρου μεδέων ἠδὲ ξανθοῦ Ἑλικῶνος, δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόςον ἀρέσθαι ναύταις, οἳ νηὸς πομποὶ ἠδ' ἀρχοὶ ἔασιν. δὸς δ' ἐς ὑπώρειαν ὑψικρήμνοιο Μίμαντος αἰδοίων μ' ἐλθόντα βροτῶν ὁσίων τε κυρῆσαι. φωτά τε τισαίμην ὃς ἐμὸν νόον ἠπεροπεύσας ὠδύσατο Ζῆνα ξένιον ξενίην τε τράπεζαν." ὁ αὐτὸς ἐπιτυχὼν τισι μέλλουσι πλεῖν εἰς Χίον ἐδεῖτο αὐτῶν ἀναλαβεῖν αὐτόν. οἱ δὲ οὐκ ἐδέξαντο αὐτόν, καὶ λέγει τὰ ἔπη τάδε. "ναῦται ποντοπόροι, ςυγερῇ ἐναλίγκιοι αἴσῃ, πτωκάσιν αἰθυίῃσιν ἴσον δύσζηλον ἔχοντες, αἰδεῖσθε ξενίου Διὸς σέβας ὑψιμέδοντος· δεινὴ γὰρ μετόπισθε ξενίου Διός, ὅς κ' ἀλίτηται." τῷ αὐτῷ ἀναπαυομένῳ τὴν νύκτα ὑπὸ πίτυν ἐπιπίπτει καρπός, ὃν μετεξέτεροι ςρόβιλον οἱ δὲ κῶνον καλοῦσι· καὶ λέγει τάδε, "ἄλλη τίς σου πεύκη ἀμείνονα καρπὸν ἀνήσει Ἴδης ἐν κορυφῇσι πολυπτύχου ἠνεμοέσσης, ἔνθα σίδηρος ἀρήϊος ἐπιχθονίοισι βροτοῖσιν ἔσσεται, εὖτ' ἂν μιν Κεβρήνιοι ἄνδρες ἔχωσιν." ὁ αὐτὸς δειπνῶν μετὰ Γλαύκου, καὶ τῶν κυνῶν ἐςώτων καὶ ὑλακτούντων, λέγει τάδε, "Γλαῦκε βροτῶν ἐπιόπτα, ἔπος τί σοι ἐν φρεσὶ θήσω. πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐλείῃσι θύρῃσι δοῦναι· τὼς γὰρ ἄμεινον. ὃ γὰρ καὶ πρόσθεν ἀκούει ἀνδρὸς ἐπερχομένου καὶ ἐς ἕρκεα θηρὸς ἰόντος." ταῦτα ἀκούσας ὁ Γλαῦκος ἐθαύμασε. τὸν αὐτὸν ἰδόντες κεραμέες κάμινον ἐγκαίοντες κεράμου λεπτοῦ προσεκαλέσαντο αὐτόν, πεπυσμένοι ὅτι σοφὸς εἴη, καὶ ἐκέλευον σφισιν ἀεῖσαι, φάμενοι δώσειν αὐτῷ τοῦ κε-

ράμιυ. ὁ δὲ Ὅμηρος ᾖδει αὐτοῖς τὰ ἔπη ταῦτα, ἃ καλεῖται Κάμινος. "εἰ μὲν δώσετε μισθὸν ἀοιδῆς, ὦ κεραμῆες, δεῦρ' ἄγ' Ἀθηναίη, καὶ ὑπέρσχεθε χεῖρα καμίνυ. εὖ δὲ μαρανθεῖεν κότυλοι καὶ πάντα κάναςρα, φρυχθῆναί τε καλῶς, καὶ τιμῆς ὄναρ ἐλέσθαι, πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα πολλὰ δ' ἀγυιαῖς, πολλὰ δὲ κερδῆναι· ἡμῖν δὲ δὴ ὥς σφιν ἀεῖσαι. ἢν δ' ἐπ' ἀναιδείην ςρεφθέντες ψεύδε' ἄρησθε, συγκαλέω δὴ ἔπειτα καμίνων δηλητῆρας, σύντριβ' ὁμῶς σμάραγόν τε καὶ ἄσβετον ἠδὲ σαβάκτην, ὠμόδαμόν θ', ὃς τῇδε τέχνῃ κακὰ πολλὰ πορίζει, ςεῖλαι πυραίθουσαν καὶ δώματα· σὺν δὲ κάμινος πᾶσα κυκηθείη, κεραμέων μέγα κωκυσάντων. ὡς γνάθος ἱππείη βρύκει, βρύκοι δὲ κάμινος, πάντ' ἔντοσθ' αὐτῆς κεραμήια λεπτὰ ποιϋσα. δεῦρο καὶ ἠελίου θύγατερ, πολυφάρμακε Κίρκη, ἄγρια φάρμακα βάλλε, κάκου δ' αὐτούς τε καὶ ἔργα. δεῦρο δὲ καὶ Χείρων ἀγέτω πολέας Κενταύρους, οἵ θ' Ἡρακλῆος χεῖρας φύγον οἵ τ' ἀπόλοντο. τύπτοιεν τάδε ἔργα κακῶς, πίπτοι δὲ κάμινος, αὐτοὶ δ' οἰμώζοντες ὁρῴατο ἔργα πονηρά· γηθήσω δ' ὁρόων αὐτῶν κακοδαίμονα τέχνην. ὃς δέ χ' ὑπερκύψῃ, πυρὶ τέτυ πᾶν τὸ πρόσωπον φλεχθείη, ὡς πάντες ἐπίςαιντ' αἴσιμα ῥέζειν." ὁ αὐτὸς παραχειμάζων ἐν τῇ Σάμῳ καὶ προσπορευόμενος πρὸς τὰς οἰκίας τῶν ἐπιφανεςάτων ἐλάμβανέ τι, ἀείδων τὰ ἔπεα ταῦτα ἃ καλεῖται Εἰρεσιώνη. ὡδήγουν δὲ αὐτὸν καὶ συμπαρῆσαν ἀεὶ τῶν παίδων τινὲς τῶν ἐγχωρίων. "δῶμα προσετραπόμεσθ' ἀνδρὸς μέγα δυναμένοιο, ὃς μέγα μὲν ἀυτεῖ μέγα δὲ βρέμει, ὄλβιος αἰεί. αὐταὶ ἀνακλίνεσθε θύραι· πλοῦτος γὰρ ἔπεισι πολλός, σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη τεθαλυῖα εἰρήνη τ' ἀγαθή. ὅσα δ' ἄγγεα, μεςὰ μὲν εἴη, κυρκαίη δ' αἰεὶ κατὰ καρδόπου ἕρποι μᾶζα· νῦν μὲν κριθαίην εὐώπιδα σησαμόεσσαν. τῦ παιδὸς δὲ γυνὴ κατὰ δίφρακα βήσεται ὑμνεῖν, ἡμίονοι δ' ἄξυσι κραταίποδες ἐς τόδε δῶμα. αὐτὴ δ' ἱςὸν ὑφαίνοι ἐπ' ἠλέκτρῳ βεβαυῖα. νεῦμαί τοι, νεῦμαι ἐνιαύσιος, ὥςε χελιδὼν ἕςηκ' ἐν προθύροις ψιλὴ πόδας. ἀλλὰ φέρ' αἶψα πέρσαι τῷ Ἀπόλλωνος γυιάτιδος.... καὶ "εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐχ ἑςήξομεν· οὐ γὰρ συνοικήσοντες ἐνθάδ' ἤλθομεν." ᾔδετο ταῦτα ἐπὶ πολὺν χρόνον παρὰ τῶν παίδων ἐν τῇ Σάμῳ. ἀπήρχετο δὲ εἰς Ἴον, καὶ κατὰ τὴν ὁδὸν ἤρξατο μαλακῶς ἔχειν. καὶ ἐξελθὼν ἐκ τοῦ πλοίου ἀνεπαύετο ἐπὶ τῆς κυματωγῆς ἐπὶ πλείους ἡμέρας. κατέπλωσαν δὲ παῖδες ἁλιεῖς, καὶ ἐκβάντες ἐκ τοῦ ἀκατίυ, προσελθόντες πρὸς αὐτὸν εἶπον "ἄγετε ὦ ξένοι, ἐπακύσατε ἡμέων, ἂν ἄρα δύνησθε ἀναγνῶναι ἅσσ' ἂν ὑμῖν εἴπωμεν." καί τις τῶν παρεόντων ἐκέλευε λέγειν. οἱ δὲ εἶπον "ἡμεῖς ἅσσ' ἂν εἵλομεν, κατελίπομεν, ἃ δὲ μὴ εἵλομεν, φέρομεν." οἱ δέ φασι μέτρῳ εἰπεῖν αὐτούς "ἅσσ' ἕλομεν, λιπόμεσθα, ἃ δ' οὐχ ἕλομεν, φερόμεσθα." οὐ δυναμένων δὲ τῶν παρόντων γνῶναι τὰ λεχθέντα, διηγήσαντο οἱ παῖδες ὅτι ἁλιεύοντες οὐδὲν ἐδύναντο ἑλεῖν, καθήμενοι δὲ ἐν τῇ γῇ ἐφθειρίζοντο, καὶ ὅσυς μὲν ἔλαβον τῶν φθειρῶν, ἀνεῖλον, ὅσους δὲ μὴ ἠδύναντο, εἰς οἶκον ἀπεφέροντο. ὁ δὲ Ὅμηρος ἀκύσας ταῦτα ἔλεγε τὰ ἔπη τάδε, "τοίων γὰρ πατέρων ἐξ αἵματος ἐκγεγάασθε, οὔτε βαθυκλήρων οὔτ' ἄσπετα μῆλα νεμόντων." ἐκ δὲ τῆς ἀσθενείας ταύτης συνέβη τὸν Ὅμηρον τελευτῆσαι ἐν τῇ Ἴῳ, οὐ παρὰ τὸ μὴ γνῶναι τὸ παρὰ τῶν παίδων λεχθέν, καθάπερ οἴονταί τινες, ἀλλὰ τῇ μαλακίᾳ. καὶ ἐτάφη ἐν τῇ Ἴῳ ἐπ' ἀκτῆς, καὶ ἐπέγραψαν οἱ Ἰῆται ἐπίγραμμα, "ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει, ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον." ἡ δὲ ποίησις ἐκπέπτωκε, καὶ ἐθαυμάζετο ὑπὸ πάντων. Herodot. V. Hom.

Ὅμηρος ἄγνωςος τοῖς ἀνθρώποις. Ἡρό- b
δοτος δὲ ὁ ἱςορικὸς ἔγραψε βίον Ὁμήρου μᾶλλον τοῦδε ἁρμοδιώτερον.

Ὅμηρος Ἀνδρομάχυ καὶ Μυρῦς Βυζαν- c
τίας, γραμματικὸς καὶ τραγῳδιῶν ποιητής, διὸ συνηριθμήθη τοῖς ἑπτὰ οἳ τὰ δευτερεῖα τῶν τραγικῶν ἔχυσι καὶ ἐκλήθησαν τῆς Πλειάδος. ἤκμαζεν ὀλυμπιάδι ρκδ', ἔγραψε δὲ τραγῳδίας μέ.

Ὅμηρος Σέλλιος χρηματίσας, γραμμα- d
τικός, ἐποίησε τάδε, ὕμνυς, παίγνια δι' ἐπῶν, εἴδη πλεῖςα, καὶ καταλογάδην περὶ τῶν κωμικῶν προσώπων, περιοχὰς τῶν Μενάνδρυ δραμάτων.

ὁμιλαδόν ⟨Hom. M 3⟩ κατ' ἀθροίσματα καὶ τάγματα.

ὁμιλεῖ ⟨Hom. E 834⟩ συναναςρέφεται, ἢ ἀπαντᾷ, ἢ ἐντυγχάνει.

ὅμιλος ἄθροισμα, ὄχλος, πλῆθος· Ὅμηρος ⟨Σ 603⟩ "ὅμιλος τερπόμενοι." πρὸς τὸ νοητὸν ἀπήντηκε τὸ ὅμιλος.

a ὁμίχλη ἀορασία, ἢ παχὺς ἀήρ.

b ὁμίχλη ὁ τεθολωμένος ἀὴρ καὶ μὴ διαυγὴς μηδὲ λαμπρός. Ὅμηρος ⟨Γ 10⟩ "εὖτ' ὄρεος κορυφῇσι νότος κατέχευεν ὁμίχλην." ἐτυμολογεῖται δὲ παρὰ τὸ τοῖς ὄμμασιν ἀχλὺν παρέχειν. Ἀριστοφάνης ⟨Eq. 810⟩ "ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης ἃ πανουργεῖς μὴ καθορᾶται," ἀντὶ τοῦ ὑπὸ τῶν περιεστώτων κακῶν καὶ τοῦ πολέμου συνεχόμενος μὴ ἐλέγχῃ τὰ σὰ κακουργήματα.

ὁμιχῶ ῥῆμα.

ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται" ⟨A Nub. 284⟩. τοῦτο ἐστιν ὁ ἥλιος, ἐπεὶ οἱ τραγικοὶ εἰώθασιν ὀφθαλμὸν αὐτὸν ὀνομάζειν.

ὄμνυμι καὶ ὀμνύναι. Ἀριστοφάνης Ὄρνισιν ⟨448⟩. οὐκ ὄμνυσι γάρ, ἀλλ' εὔχεται. ὄμνυμι μένειν ἐν τούτοις, ὡς πᾶσι τοῖς κριταῖς νικᾶν. χαριέντως δὲ εὐχόμενος ὑπὲρ τῆς νίκης· ἔκριναν γὰρ κριταὶ τοὺς κωμικούς, οἱ δὲ λαμβάνοντες τὰς πέντε ψήφους εὐδαιμόνουν.

ὁμόγνια ὁμογενῆ, γνήσια, ἢ φίλα.

ὁμόγνιος ὁ τὰ τοῦ γένους ἐφορῶν δίκαια. ἢ ὁμογενής, ἢ γνήσιος, φίλος. ⟨A Ran. 762⟩ "ὁμόγνιε Ζεῦ" τὴν ὁμοιότητα θαυμάζων λέγει, οἷον ὦ ὁμοιότατε.

ὁμογνώμονος.

ὁμοδίαιτος ὁμοτράπεζος.

ὁμόδουλος σύνδουλος.

ὁμοερκές Δείναρχος ἀντὶ τοῦ ὑφ' ἓν ἕρκος, τουτέστιν ὑπὸ τὸν αὐτὸν περίβολον. Harp.

ὁμοθυμαδὸν ὁμοφρόνως, ὁμοψύχως.

ὁμόθυμος ὁμόψυχος, ὁμόφρων, ὁμόλογος.

ὁμοίας λαβάς ⟨Plat. Phaedr. p. 236 B⟩ ἀντὶ τοῦ μεταλήψεις καὶ μεταθέσεις.

ὁμοίιος ὁ ὁμοίως πᾶσι χαλεπός.

ὁμοιομέρεια. Ἀναξαγόρας ὁ φιλόσοφος ἔλεγε τὴν σελήνην οἰκήσεις ἔχειν καὶ λόφους καὶ φάραγγας, ἀρχὰς δὲ τὰς ὁμοιομερείας· καθάπερ γὰρ ἐκ τῶν ψηγμάτων λέγομεν τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερῶν μικρῶν σωμάτων τὸ πᾶν συγκεκρίσθαι. Diog. L. 2 8.

ὅμοιον εἰ καὶ Φιλέας Ἀνδοκίδην ἱεροσυλίας ἐγράψατο, ὥσπερ οὐκ αὐτὸς ὢν ὁ τῆς θεοῦ τὸ Γοργόνειον ἐξ ἀκροπόλεως ὑφελόμενος. Synes. p. 83.

ὁμοιόστομος ἐν πορείᾳ διφαλαγγία ἐστίν, ἥτις τοὺς ἡγεμόνας ἑκατέρας τῆς φάλαγγος ἐκ τῶν αὐτῶν μερῶν τεταγμένους, οἷον ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων ἑκατέρας φάλαγγος, ἔχει. Aelian. Tact. 42.

ὁμοίωσις ὁμοιότης. a

ὁμοίωσις διττή, ἣ μέν τις ταὐτόν, ἣ δὲ b ἕτερον. ὅτε δὲ λέγει Πλωτῖνος ⟨1 p. 25⟩ ὁμοίωσις τῷ θεῷ, ἄλλον τρόπον ληπτέον.

ὁμοκλήσας ⟨Hom. E 439⟩ ἀπειλήσας.

ὁμολογία. ὅτι Ἀριστοτέλης ἐν τοῖς Τό- a ποις, ὅπερ ἐν τοῖς Ἀναλυτικοῖς 'ἐξ ὑποθέσεως' κοινότερον εἶπε, τοῦτο ἐν τοῖς Τόποις προσεχέστερον 'ἐξ ὁμολογίας' εἶπεν. ἐπεὶ γὰρ μὴ αὔταρκες τὸ ἐφ' ἑνός τινος δεικνύναι τῶν ὑπό τι κοινὸν πρὸς τὴν τοῦ κοινοῦ τε καὶ καθόλου κατασκευήν (οὐ γάρ ἐστι τὸ ἐν μέρει τοῦ καθόλου δεικτικόν), δεῖν φησὶ προδιομολογεῖσθαι καὶ συντίθεσθαι ὅτι ὡς ἐφ' ἑνός, οὕτως καὶ ἐπὶ τῶν ἄλλων ... ὡς ἐπὶ μιᾶς αἰσθήσεως, οὕτω καὶ ἐπὶ πασῶν, δείξαντες ἐπὶ μιᾶς, οἷον τῆς ἁφῆς, ὅτι διὰ πάθους τὴν ἀντίληψιν ποιεῖται, ἔχοιμεν ἂν ὅτι καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἀντικειμένων. δειχθέντος ἐπὶ τῶν πρός τι ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη ἢ ὅτι τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου γίνεται, εἴη ἂν κείμενον καὶ ἐπὶ τῶν ἄλλων ἀντικειμένων οὕτως ἔχειν. Alex. Aphrod. in Top. p. 81.

ὁμολογία καὶ ἡ συμφωνία. Αἰλιανός b "οἱ δὲ ὁμολογίας ἐμμελεῖς ποιησάμενοι πρὸς τοὺς Ἀρκάδας, τοὺς αἰχμαλώτους ἐκομίσαντο."

ὁμολογῶ ἀντὶ τοῦ συναινῶ. Ἀριστοφάνης Πλούτῳ ⟨94⟩. περὶ τοῦ Διὸς γὰρ εἰπόντος Καρίωνος ὅτι διὰ τοὺς χρηστοὺς γε τιμᾶται μόνους, ἔφη "ὁμολογῶ σοι." καὶ Αἰλιανός "ὁ δὲ ὅσα ἤκουσε τοῖς οἰκείοις ὁμολογεῖ· καὶ ἐκεῖνοι περιχαρείας αὐτίκα ὑπεπλήσθησαν."

ὁμολώιος Ζεὺς ἐν Θήβαις καὶ ἐν ἄλλαις πόλεσι Βοιωτικαῖς, καὶ ἐν Θεσσαλίᾳ, ἀπὸ Ὁμολωίας προφήτιδος, τῆς Ἐνυέως, ἣν προφῆτιν εἰς Δελφοὺς πεμφθῆναι, ὡς Ἀριστόδημος ἐν β' Θηβαϊκῶν. Ἴστρος δὲ ἐν τῇ ιβ' τῆς συναγωγῆς, διὰ τὸ παρ' Αἰολεῦσι τὸ ὁμονοητικὸν καὶ εἰρηνικὸν ὅμολον λέγεσθαι. ἔστι δὲ καὶ Δημήτηρ ὁμολωία ἐν Θήβαις.

ὁμονήδυος ἀδελφὸς γνήσιος.

ὁμόργνυσιν ἀπομάσσει, ἀποψήχει.

ὁμόρξας ἐκμάξας, ἀποψήσας.

ὅμορος πλησιόχωρος.

ὁμοροῦσα γειτνιῶσα, πλησίον ἐλθοῦσα.

ὁμορόφιον ὁμόσκηνον.

ὁμορροθεῖ ⟨Eur. Or. 529⟩ συμφωνεῖ, καὶ ὁμορροθῶ τὸ αὐτὸ φρονῶ. ὁμορροθεῖν δὲ κυρίως τὸ ἅμα καὶ συμφώνως ἐρέσσειν, νῦν δὲ ἀντὶ τοῦ συνεργῶ· Ἀριστοφάνης Ὄρνισιν ⟨832⟩ "ὁμορροθῶ, συνθέλω."

ὁμόσε ὁμοῦ, εἰς τὸν αὐτὸν τόπον, ἢ ἐξ ἐναντίας, σφοδρῶς, θρασέως. Αἰλιανός "οἱ Ἀκαρνᾶνες συγγραφεῖς ὁμόσε ἔχουσι ⟨an χωροῦσι⟩ τοῖς ποιηταῖς." καὶ αὖθις "οὐ μὴν συνήθροισεν ἔτι τὰ ὀστᾶ, ὁμόσε τῷ δαίμονι τῷ ταῦτα πράξαντι μὴ χωρῶν." καὶ αὖθις "ὁμόσε ἰτέον τοῖς πολεμίοις."

ὁμόσε ἰέναι ἀντὶ τοῦ παραβαλέσθαι. λέγεται δὲ ἐκ μεταφορᾶς τοῦ ὁμόσε ταῖς λόγχαις ἰέναι ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ ἔρχεσθαι, καὶ μὴ στρέφεσθαι μηδὲ φεύγειν. Harp.

ὁμόσιτον ὁμοῦ τρεφόμενον.

ὁμόσπονδος φίλος.

ὁμοστιχάει ⟨Hom. O 635⟩ ὁμοῦ περιπατεῖ.

ὁμόστολος τῆς αὐτῆς ὁδοῦ. καὶ αὖθις "τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα."

ὁμόσφυρος ὁ ἐν ταὐτῷ τὴν πορείαν ποιούμενος.

ὁμοτέρμονας πλησιοχώρους, τοὺς ὁμοῦ τὰ τέλη ἔχοντας.

a ὁμοῦ· "ὁμοῦ λαβόντες τὰ ὅπλα."

b ὁμοῦ ἔγγιστα. "ὁμοῦ τι τῇ πληγῇ ἡ παῖς ἦν· καὶ ἀπέσφακτο ἄν, εἰ μὴ σκηπτὸς κατηνέχθη ἀμφοῖν μέσος."

c ὁμοῦ ἐγγύς· Ἀριστοφάνης ⟨Th. 579⟩ "πρὶν οὖν ὁμοῦ γενέσθαι, σιγᾶθ', ἵν' αὐτῆς πυθώμεθα," καὶ Μένανδρος "ἔστιν δ' ὁμοῦ τὸ χρῆμα." παρὰ δὲ Σοφοκλεῖ ⟨Ai. 767⟩ ἀντὶ τῆς σύν· "θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα κείνων πέποιθα τοῦτ' ἐπισπάσειν κλέος." καὶ Δημοσθένης τῷ ὁμοῦ ἀντὶ τοῦ ἐγγύς κέχρηται ἐν τῷ κατὰ Ἀριστογείτονος ⟨51⟩· "εἰσὶν ὁμοῦ δισμύριοι χιλιάδες Ἀθηναίων." ἔνθα γὰρ βούλεται δηλοῦν ὅτι ἐγγὺς τῶν δισμυρίων εἰσίν, ἐπεὶ ὅτι γε οὐκ ἦσαν δισμύριοι φανερόν. Ἰσαῖος δὲ τὸ ὁμοῦ ἐπὶ χρόνου ἔταξεν ἐν τῷ πρὸς Δωρόθεον· "ἐς τοσοῦτον πονηρίας ὁμοῦ καὶ τόλμης ἐλήλυθε," καὶ ἐν τῷ πρὸς Καλλικράτην "οὐ μὴν ἀλλὰ τούτου πάντα ὁμοῦ ταῦτα ἐπιτάξαντος." Λυσίας δὲ ἐπὶ τόπου τοῦτο ἔταξεν ἐν τῇ πρὸς Μετάνειραν ἐπιστολῇ· "γυναικῶν δὲ πολλῶν καὶ ἀνδρῶν ὁμοῦ κατακειμένων." καὶ Ὅμηρος ἐπὶ τόπου. Πάτροκλος γὰρ λέγει ⟨Ψ 83⟩ "μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ, ἀλλ' ὁμοῦ, ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισι." καὶ Αἰλιανός "ὁ δὲ Σύφαξ ὁμοῦ τι τῷ θανάτῳ ὢν ἀνεφθέγξατο τὰ ἐκ τῆς τραγῳδίας ἰαμβεῖα, ὡς δεδιττόμενος τὸν Μακεδόνα, ⟨S El. 580⟩ 'ὅρα, τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.' οὐ μὴν ἔσπασέ τι ἡ μήρινθος αὐτῷ." καὶ αὖθις "μὴ ἰσχύουσα τεκεῖν ὁμοῦ τι τῷ ῥαγῆναι ἦν." ἔστι δὲ τοῦτο πολὺ παρὰ Ἀττικοῖς, ὡς καὶ Μένανδρος "ἤδη γὰρ τοῦ τίκτειν ὁμοῦ."

ὁμοφυής ὁμογενής.

ὁμοχώρους πλησιοχώρους.

ὄμπνιον νέφος μέγα, πολύ, ηὐξημένον· Σοφοκλῆς Θησεῖ. καὶ ὄμπνιος χείρ ἡ πλουσία.

ὄμπνιον ὕδωρ τὸ τρόφιμον καὶ πολύ. λέγεται καὶ ὀμπνιηρὸν ὕδωρ τὸ τρόφιμον.

ὄμπνιος ἡ Δημήτηρ, αἰτία οὖσα τοῦ ἀναπνεῖν.

ὄμπνιος λειμών ὁ σῖτος καὶ οἱ Δημητριακοὶ καρποί, ἐπεὶ ὀμπνία ἡ Δημήτηρ λέγεται.

ὀμφακίαν ὠμὸν καὶ σκληρόν· Ἀριστοφάνης ⟨Ach. 333⟩ "δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι τὸν θυμὸν ἀνδρῶν, ὥστε βάλλειν καὶ βοᾶν ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον," ἀντὶ τοῦ ὠμὸν καὶ σκληρόν, μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων. οὕτως δὲ αἱ σταφυλαὶ δριμεῖαι οὖσαι καὶ οὔπω πέπειροι καλοῦνται· ἐκ γὰρ τοῦ ἐναντίου πεπανὸν τὸ ὥριμον καὶ ἡδύ. ἴσον δὲ ἴσῳ φέρον ἀντὶ τοῦ δίκαιον καὶ ἐξ ἴσου, ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου πρὸς ὕδωρ. λέγει δὲ κατ' ἴσον εἰπεῖν καὶ ἀκοῦσαι.

ὀμφαλητομία, ὅτε αἱ μαῖαι τὸν ὀμφαλὸν τοῦ βρέφους ἀποτέμνουσι. καὶ αὐταὶ δὲ ὀμφαλητόμοι λέγονται. καὶ ὀμφάλιον ὁ ὀμφαλὸς τῆς ἀσπίδος· ⟨AP 6 84⟩ "Ζηνὶ τόδ' ὀμφάλιον σάκεος τρύφος, ᾧ ἐπὶ λαιὰν ἔσχεν ἀριστεύων, ἄνθετο Νικαγόρας."

ὀμφαλόν τὸ μεσαίτατον, καὶ ὀμφάλιον ἀσπίδος τὸ μεσαίτατον αὐτῆς.

ὀμφαλός οἷόν τις ῥίζα τοῦ βρέφους ἐστί· δι' ἐκείνου γὰρ αὔξεται καὶ τρέφεται. "ὀμφαλός σου οὐ περιετμήθη" ⟨Ezech. 16 4⟩.

ὄμφαξ σταφυλὴ δριμεῖα οὖσα καὶ οὐ πέ- a

πειρος. θηλυκῶς δὲ λέγει τὰς ὄμφακας Πλάτων ὁ κωμικὸς ἐν δράματι Ἑορταῖς· "καὶ τὰς ὀφρῦς σχάσασθε καὶ τὰς ὄμφακας." sch. A Ach. 351.

b ὄμφαξ ὠμόφαξ τις ὤν, ὁ ὠμὸς εἰς τὸ φαγεῖν. καὶ παροιμία "Σικελὸς ὀμφακίζεται." cf. v. Σικελὸς ὀμφ.

ὀμφή θεία κληδὼν ἢ φήμη.

ὀμφὴν κληδόνα, φήμην θείαν, ἢ ὀνείρου φάντασμα.

ὁμῶλαξ ὁ ὁμοαῦλαξ, ὁ γείτων.

ὀμώμοκα. ὀμωμοσμένος.

ὁμώνυμα. τῶν πολλαχῶς λεγομένων τὰ μὲν ἐν ὀνόμασι τὸ διττὸν ἔχει, ἃ καλοῦμεν ὁμώνυμα, τὰ δὲ ἐν λόγῳ, ἃ καλοῦσιν οἱ φιλόσοφοι ἀμφίβολα. καὶ τὰ μὲν ὁμώνυμά ἐστι προφανῆ, τὰ δὲ ἀμφίβολα, οἷον ἡ ἐπιστήμη, ἐπεὶ πλειόνων ἐστί, πλείω σημαίνει καὶ ἔστιν ἀμφίβολος. ἢ γὰρ οὕτως πλειόνων ἡ αὐτὴ καὶ μία ἐπιστήμη ὡς τοῦ τέλους καὶ τῶν πρὸς τὸ τέλος, οἷον οἰκοδομικὴ καὶ οἰκίας ἐστὶν ἐπιστήμη ὡς τέλους, καὶ δι' ὧν οἰκία γίνεται, ἅπερ ἐστὶ πρὸς τὸ τέλος· πλειόνων οὖν ἡ αὐτή. ὁμοίως καὶ ἡ ἰατρικὴ ὑγιείας ποιητικῶν, οἷον διαίτης καὶ τομῆς καὶ καύσεως καὶ ἑτέρων πλειόνων. Alex. Aphrod. in Top. p. 81.

ὁμωρόφιος.

ὅμως ἐπίρρημα.

ὁμωχέτας Θουκυδίδης ⟨4 97⟩ τοὺς συνναόυς θεοὺς καὶ ὁμοροφίους. Βοιωτικὴ δὲ ἡ λέξις. ὁμωχέτας δαίμονας τοὺς συμμετέχοντας τῶν αὐτῶν ναῶν καὶ τῶν αὐτῶν ἱερῶν.

ὄναγροι μηχανήματα, οἱ λεγόμενοι ἅρπαγες, οἵγε ἁρπάζειν τοὺς προσιόντας ἐπιβαλλόμενοι εἶχον.

ὄναγρος εἶδος ζῴου.

ὀναίατο ἀπολαύσειαν· Σοφοκλῆς ⟨El. 211⟩ "μηδέποτ' ἀγλαΐας ὀναίατο" τουτέστιν ἡδονῆς, δόξης, "τοιάδ' ἀνύσαντες ἔργα," ἤτοι τὸν ἐμὸν πατέρα ἀνελόντες.

ὀναίμην ἐπιτύχοιμι, ἀπολαύσω· ⟨A Th. 476⟩ "καὐτὴ γὰρ ἔγωγ' οὕτως ὀναίμην τῶν τέκνων."

ὄναιντο ὠφεληθεῖεν, καὶ ὄνασθαι ὠφεληθῆναι.

ὄναρ ὄνειρος.

ὄνασθαι ἐπαπολαῦσαι, ὠφεληθῆναι· "ἐπὶ τούτοις πολλὰ καὶ ἀγαθὰ τῷ βασιλεῖ ηὔχοντο, καὶ ὄνασθαι τῶν παρόντων."

Ὀνάσιμος Κύπριος ἢ Σπαρτιάτης, ἱστορικὸς καὶ σοφιστής, τῶν ἐπὶ Κωνσταντίνου γενομένων, ἔγραψε στάσεων διαιρέσεις, τέχνην δικανικὴν πρὸς Ἀψίνην, περὶ ἀντιρρητικῆς τέχνης, προγυμνάσματα, μελέτας, ἐγκώμια καὶ ἄλλα πλεῖστα.

ὀνεία ἡ τοῦ ὄνου δορά. "τὴν σάγην τε τοῦ κτήνους καὶ τὴν ὀνείαν προσεπέθηκεν ἐκδείρας" Βάβριός φησιν ⟨7 12⟩.

ὄνειαρ ὄνειρον· ⟨AP 7 42⟩ "ἆ μέγα Βαττιάδαο σοφοῦ περίπυστον ὄνειαρ· ἦ ῥ' ἐτεὸν κεράων, οὐδ' ἐλέφαντος ἔης," ἀντὶ τοῦ ἀληθές, παρὰ τὸ Ὁμηρικὸν ⟨τ 562⟩ "δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων." ὄνειαρ δὲ παρὰ Ἡσιόδῳ ⟨O. 41⟩ ἡ ὠφέλεια.

ὀνείατα οὐ πάντως βρώματα, ὡς οἱ γλωσσογράφοι, ἀλλὰ πάντα τὰ εἰς ὄνησιν ἐπιτήδεια· Ὅμηρος ⟨Ω 367⟩ "ὀνείατ' ἄγοντα." οὐκ εἶπε δὲ φέροντα· οὐδὲ γὰρ ἐβάσταζεν.

ὀνείδειος λόγος ὁ ὀνειδιστικός.

ὀνειδίζω. "σὺ δ' ἄθλιός γε ταῦτ' ὀνειδίζων, ἃ σοι οὐδεὶς ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα" ⟨S OR 372⟩. οἷον οὐδεὶς ἔστιν ὃς οὐ ταὐτά σοι ὀνειδίσει ἅπερ μοι ὠνείδισας. τὸ δὲ τάχα ἀντὶ τοῦ ταχέως. καὶ σὲ μετ' ὀλίγον ἐροῦσι τυφλόν. πρὸς Τειρεσίαν ὁ λόγος.

ὀνειδίσας μεμψάμενος· "ὀνειδίσας εἰς ἀνανδρίαν αὐτῷ καὶ κακίαν."

ὀνειδιῶ ὀνειδίσω.

ὄνειδος μέμψις· ⟨AP 6 174⟩ "ζώειν γὰρ δίχα παντὸς ὀνείδεος ἤθελ' ἑκάστα, ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον."

ὀνεῖον ἐν ᾧ οἱ ὄνοι ἵστανται.

ὀνειρείῃσι ⟨Hom. δ 809⟩ ποιητικῶς.

ὀνειρολεσχία ἡ ὕβρις.

ὄνειρον ἐνυπνίου διαφέρει· ἕτερον γάρ ἐστι καὶ οὐ ταὐτόν. ἀλλὰ καὶ τὸ ὄνειρον καὶ ἐνύπνιον καλῶς εἴποι τις ἄν· ὅταν δὲ τεχνικῶς λέγῃ τις, κυρίως ἕκαστον χρὴ καλεῖν, καὶ τὸ μὲν ἀσήμαντον καὶ οὐδενὸς προαγορευτικόν, ἀλλ' ἐν μόνῳ τῷ ὕπνῳ τὴν δύναμιν ἔχον, γινόμενον δὲ ἐξ ἐπιθυμίας ἀλόγου ἢ ὑπερβάλλοντος φόβου ἢ πλησμονῆς ἢ ἐνδείας, ἐνύπνιον χρὴ καλεῖν, τὸ δὲ μετὰ τὸν ὕπνον ἐναργείᾳ ὂν καὶ ἀποβησόμενον ἔς τι ἀγαθὸν ἢ κακὸν ὄνειρον. πολλάκις δὲ καταχρηστέον τοῖς ὀνόμασιν, ὡς καὶ Ὅμηρος ⟨B 56⟩ "θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος." Artemid. 4 1.

ὅτι ὥς φησι Πυθαγόρας ὀνείρους καὶ τοῖς κτήνεσι γίνεσθαι, καὶ νόσους καὶ σημεῖα.

ὀνειρόπληκτον ὑπὸ ὀνείρων πληττόμενον.

ὀνειροπολεῖ φαντάζεται· "οὐ χρεὼν ἂν ταῦτα τὰς Σαρακηνὰς ὀνειροπολεῖν."

ὀνειροπολεῖν τᾶ ὀνειρώσσειν διενήνοχε. τὸ μὲν ὀνειροπολεῖν ἐπὶ τῶν ἐνύπνιον ὁρώντων, τὸ δὲ ὀνειρώσσειν ἐπὶ τῶν αὐτομάτως γονὴν ἀφιέντων, ὅπερ οἱ ἐρωτόληπτοι πάσχουσιν, ἢ ἀπὸ βρωμάτων ἢ ἀπὸ δαιμόνων ἐνεργίας τᾶτο πάσχοντες. sch. A Nub. 16.

ὀνειροπόλος ὀνειροκρίτης.

ὀνείρωξις ἡ τῶν ὀνειράτων δεῖξις. καὶ ὀνειρώσσω τὸ ἐνυπνιάζομαι.

ὀνηθῆναι ὠφεληθῆναι· Ξενοφῶν (Anab. 5 5 2) "ἐχρῆζον πρὸς τὰ χωρία προσβάλλειν καὶ τὴν ϛρατιὰν ὀνηθῆναί τι."

ὀνηλάτης ὁ ὄνες ἐλαύνων.

ὀνήσασθαι ὠφελεῖσθαι, ἀπολαύειν.

Ὀνησιδώρα ὄνομα κύριον.

ὀνήσιμος ὠφέλιμος. καὶ ὄνομα κύριον.

ὀνησιφόρος ὠφέλειαν φέρων.

ὀνητήν ἐναπόλαυσον.

Ὀνήτωρ, πρὸς ὃν Δημοσθένης ἔγραψε τὰς ἐξέλης λόγες. εἷς δὲ ἦν τῶν χορηγησάντων, οὗ καὶ Ἰσοκράτης ἐν τῷ περὶ ἀντιδόσεως (93) μέμνηται. Harp.

ὄνθος βόλβιτον, τετέϛιν ἡ τῶν βοῶν κοπρός. Ὅμηρος (Ψ 777) "ἐν δ' ὄνθε βοέε πλῆτο ϛόμα." φασὶ δὲ κάνθαρον τὸ ζωΰφιον· λέγεται δὲ εἰς ὄνθον ἀποσπερματίζειν, καὶ ὅτω περιϛρέφειν τοῖς ποσίν, ἕως ὅτου ἐγγυμνασθὲν τὸ σπέρμα ἀποδοθῇ καὶ ἐγγεννήσῃ. θῆλυς δὲ κάνθαρος ἐ γίνεται, ἀλλὰ πάντες ἄρσενες γεννῶνται. sch. A Pac. 1 et 7.

Ὀνίας ὄνομα κύριον.

ὀνίδια τᾶ ἵππε τὸ ἀφόδευμα, καὶ ὀνίδες τὰ τῶν ὄνων ἀποπατήματα· ἃ ἐπίτηδες πεπλασμένα ἐϛίν. sch. A Pac. 3.

ὀνίδιον ὑποκοριϛικῶς τὸ ὀνάριον.

ὀνίνασθαι ὄνασθαι, ὠφελεῖσθαι.

ὀνίνησιν ὠφελεῖ.

ὄνιον ὠφέλιμον.

ὄνοι κανθήλιοι.

ὀνοκίνδιος ὀνηλάτης, ἀϛραβηλάτης.

Ὀνομάδημος ὄνομα κύριον.

ὀνομάζων ἀντὶ τοῦ φράζων, ἑρμηνείᾳ χρώμενος, Δημοσθένης ὑπὲρ Κτησιφῶντος (35). Harp.

Ὀνομακλῆς ὄνομα κύριον. ἡ δοτικὴ Ὀνομακλέι Ὀνομακλεῖ.

ὀνομάκλυτος Ἄλτης (Hom. X 51). ὑφ' ἓν ἀναγνωϛέον· σημαίνει γὰρ τὸ ὅλον ὀνόματι κλυτός. ὁ γὰρ κλυτὸς ἐπὶ τοῦ διαβεβοημένου.

ὀνομαϛί ἐξ ὀνόματος.

ὀνομαϛός πολύς. καὶ οὐδ' ὀνομαϛός ὁ μὴ ῥηθῆναι δυνάμενος, ὁ πολύς· (AP 6 220) "τοῦ δὲ λέων ὤρουσε κατὰ ϛίβον, ἀνδράσι δεῖμα θαρσαλέοις, Γάλλῳ δ' ἐδ' ὀνομαϛὸν ἄχος."

ὀνόματα γνῶσις. Δαβὶδ "ὁ ἀριθμῶν πλήθη ἄϛρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν," τετέϛι διαφορὰς καὶ τὴν τέτων θέσιν τε καὶ διάταξιν καὶ τὴν πρὸς ἄλληλα σχέσιν. οὐ γὰρ ὀνόμασι κεχρημένος ὁ θεὸς τὲς ἀϛέρας καλεῖ· ἄψυχα γὰρ ταῦτα καὶ λόγε ἐϛερημένα· ἄνθρωποι δὲ ταῦτα ἔθεσαν. Theodoret. in Ps. 146 4.

ὀνομήνω ὀνομάσω (Hom. B 488).

ὄνον ὄρνιν (A Av. 721). λέγεταί τι τοιᾶτον, ὡς συμβολικὸς ἐρωτώμενος περὶ ἀρρώϛου εἶδεν ὄνον ἐκ πτώματος ἀναϛάντα, ἀκήκοε δὲ καὶ ἑτέρου λέγοντος "πῶς ὄνος ὢν ἀνέϛη;" ὃ δὲ ἔφη "ὁ νοσῶν ἀναϛήσεται." καὶ ἀνέϛη. καὶ αὖθις (719) "ὄρνιν νομίζετε πάνθ' ὅσαπερ περὶ μαντείας διακρίνει." πάντα γὰρ οἰωνὲς ἐκάλεν, καὶ τὰ μὴ ὄρνεα. "θεράποντ' ὄρνιν," ἐπεί τινας εἰώθασι τῶν θεραπόντων καλόποδας λέγειν καὶ καλοιωνίϛες.

ὄνος τὸ ζῷον, καὶ ὄργανον τὸ περὶ τὰ τῶν ὑδάτων ἀγγεῖα πολύπεν καὶ συϛρεφόμενον. gl. Herodot. 7 36.

ὅτι τὸ ἐπ' ὄνε φέρεσθαί τινα γυμνὸν τῶν ἀτιμιῶν ἡ μεγίϛη Παρθυαίοις νενόμιϛαι.

ὄνος ἄγων μυϛήρια (A Ran. 159), ἐπὶ τῶν παρ' ἀξίαν τι πραττόντων. τοῖς γὰρ μυϛηρίοις ἐξ ἄϛεος εἰς Ἐλευσῖνα διὰ τῶν ὄνων ἔφερον τὰ εἰς τὴν χρείαν· ὅθεν ἡ παροιμία. διὰ τὸ κακοπαθεῖν μάλιϛα τὲς ὄνους ἀχθοφορᾶντας. ὡς ἂν ὢν ὁμοιότατα πάσχων τῷ πιεζεῖσθαι τῷ ἐπικειμένῳ ἄχθει, τὴν παροιμίαν μίγνυσιν Ἀριϛοφάνης.

ὄνος ἄγων μυϛήρια, ἐπὶ τῶν παρ' ἀξίαν τι πραττόντων· τότε γὰρ θλίβονται μᾶλλον, τὰ πρὸς τὴν χρείαν ἀγόμενα βαϛάζοντες. Δήμων ἐπὶ τᾶ μύλε γενέσθαι φησίν, ὅτι ϛεφανᾶσιν αὐτὸν τότε.

ὄνος ἀκροᾶται σάλπιγγος Εὔπολις Ταξιάρχαις.

ὄνος εἰς ἄχυρα, παροιμία ἐπὶ τῶν παρ' ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων καὶ τέτοις ἀπολαυϛικῶς χρωμένων.

ὄνος εἰς Κυμαίους, ἐπὶ τῶν παραδόξων καὶ σπανίων, διότι παρὰ Κυμαίοις ἐδόκει φοβερὸς εἶναι ὁ ὄνος. "καὶ κατὰ τουσοὶ τοὺς καιροὺς πάντες ἦσαν Κυμαῖοι, σεισμοῦ καὶ χαλάζης φοβερώτερον εἶναι τὸν ὄνον ἡγούμενοι."

ὄνος ἐν μελίτταις Κράτης Τόλμαις. καὶ *ὄνος ἐν μύρῳ*, παροιμία.

ὄνος λύρας Μένανδρος Ψοφοδεεῖ. ἡ δ' ὅλη παροιμία "ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς." λέγεται ἐπὶ τῶν μὴ συγκατατιθεμένων μηδὲ ἐπαινούντων.

ὄνος πρὸς αὐλόν, παροιμία ἐπὶ τῶν μὴ συγκατιθεμένων μηδὲ ἐπαινούντων, διὰ τὸ παντελῶς ἀναίσθητον τοῦ ὄνου.

ὄνος σύππαξ. τὸ σύππαξ, ὅτι συππειοπώλης. cf. sch. A Eq. 129.

ὄνος τὰ ὦτα κινῶν, ἐπὶ τῶν ἀναισθήτων κατὰ ἀμφότερα. τό τε γὰρ ζῷόν ἐστι νωχελές, τό τε τὰ ὦτα κινεῖν οἱονεὶ πρὸ τοῦ λαλῆσαί τινα πάνυ τοῦτο ἀκηκοέναι προσποιεῖσθαι, ὅπερ ἐστὶν ἀναισθησίας· πῶς γὰρ ἂν γένοιτό τινι πάντα ἐγνωκέναι καὶ πρὸ τοῦ λαληθῆναι αὐτῷ, κἂν ὦτα μεγάλα ἔχῃ καθάπερ ὄνος;

ὄνος ὕεται, ἐπὶ τῶν μὴ ἐπιστρεφομένων. Κηφισόδωρος Ἀμαζόσι "σκώπτεις μ', ἐγὼ δὲ τοῖς λόγοις ὄνος ὕομαι." Κρατῖνος Δραπετίσιν "οἱ δὲ πυππάζουσι περιτρέχοντες, ὁ δ' ὄνος ὕεται."

Ὀνόσανδρος φιλόσοφος Πλατωνικὸς τακτικά, περὶ στρατηγημάτων, ὑπομνήματα εἰς τὰς Πλάτωνος πολιτείας.

ὀνόσαιτο ⟨Hom. Δ 539⟩ ἐκφαυλίσοι.

ὀνοτοί ψεκτοί, μεμπτοί.

ὄνου θανάτους, ἐπὶ τῶν ἀλλόκοτα διηγουμένων.

a *ὄνου παρακύψεως*. ἐπὶ τῶν καταγελάστως συκοφαντουμένων εἴρηται ἡ παροιμία. φασὶ γὰρ ὅτι κεραμεύς τις, οἱ δὲ κοροπλάθος, ἔπλαττε πολλὰς ὄρνις ἐν τῷ ἐργαστηρίῳ, ὄνος δὲ παριών, ἀκολουθοῦντος ἀμελῶς τοῦ ὀνηλάτου, παρακύψας διὰ τῆς θυρίδος ἀνέτρεψε τὰς ὄρνιθας καὶ τὰ ἐν τῷ ἐργαστηρίῳ συνέτριψε σκεύη. ὁ τοίνυν κύριος τοῦ ἐργαστηρίου ἐπὶ κρίσιν ἤγαγε τὸν ὀνηλάτην, ἐρωτώμενος δὲ ἐκεῖνος ὑπὸ τῶν ἀπαντώντων τίνος κρίνοιτο, ἔλεγεν ὄνου παρακύψεως.

b *ὄνου παρακύψεως*. ὄνου παρακύψαντος ὄρνιθες πτοηθεῖσαι ἴσον ἀνέρρηξαν, ὁ δὲ δεσπότης τοῦ ἴσου τῷ τοῦ ὄνου δεσπότῃ ἐνεκάλεσεν· ὅθεν ἡ παροιμία.

ὄνου πόκαι ⟨A Ran. 188⟩. ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν, ὥσπερ αἱ τοιαῦται, πλίνθον πλύνειν, ἀσκὸν τίλλειν, χύτραν ποικίλλειν, εἰς κόπρον θυμιᾶν. Ἀρίσταρχος δὲ διὰ τὸ Κρατῖνον ὑποθέσθαι ἐν Ἅιδου τινὰ σχοινίον πλέκοντα, ὄνον δὲ τὸ πλεκόμενον ἀπεσθίοντα, οἷον ἀποκείροντα. παρ' ὅσον οὖν τὰ ἐν Ἅιδου ἀνήνυτά εἰσι, τοῦτο ἐπλάσθη.

ὄνου σκιά, ἐπὶ τῆς οὐθενείας· φασὶ γὰρ ὅτι νεανίσκος Ἀθήνηθεν εἰς Δελφοὺς ὄνον ἐμισθώσατο, μεσημβρίας δὲ καταλαβούσης στήσας τὸν ὄνον ὑπέδυ τὴν σκιάν. cf. v. ὑπὲρ ὄνου σκιᾶς.

ὄνου σκιά, καὶ περὶ ὄνου σκιᾶς. Σοφοκλῆς Κηδαλίωνι "ὅ τι ἂν τι γίνηται, τὰ πάντ' ὄνου σκιά." Ἀριστοφάνης Δαιδάλῳ "περὶ τοῦ γὰρ ὑμῖν ὁ πόλεμος νῦν ἐστί; περὶ ὄνου σκιᾶς." Ἀριστοτέλης δ' ἐν Διδασκαλίαις καὶ δράματός τινος φέρει ἐπιγραφὴν Ὄνου σκιάν. οἱ δὲ πρῶτον φθέγξασθαι τοῦτο Δημοσθένην, ἀπολογούμενον ὑπέρ τινος ἐπὶ μεγάλαις αἰτίαις κρινομένου, ὡς ἑώρα θορυβοῦντας τοὺς ἀκροωμένους. παρακαλέσας γὰρ αὐτοὺς μικρὰ προσέχειν, ἤρξατο διηγεῖσθαι ὡς Μεγαράδε ἀπιὼν μισθώσαιτο ὄνον, καύματος δὲ ἐν τῇ ὁδῷ γενομένου ὑπὸ τὴν σκιὰν τοῦ ὄνου βουληθείη ἀναπαύσασθαι, οὐ παρεῖναι γὰρ οὔτε δένδρον οὔτ' ἄλλο τοιοῦτον οὐδέν· τὸν δὲ ὀνηλάτην κωλύειν, φάσκοντα ὄνον αὐτῷ μεμισθωκέναι μόνον, οὐ μὴν καὶ σκιάν, ὥστε διατριβὴν αὐτοῖς καὶ φιλονεικίαν πολλὴν περὶ τούτου γενέσθαι. ταῦτα δ' εἰπὼν ὡς εἶδε τοὺς Ἀθηναίους προσέχοντας σφόδρα καὶ ἡδομένους καὶ ποθοῦντας τὰ ἑξῆς ἀκοῦσαι, ἐπέπληξεν αὐτοῖς εἰ περὶ ὄνου μὲν σκιᾶς ἀκροᾶσθαι δέονται καὶ παρακαλοῦσιν, ὑπὲρ δὲ ἀνδρὸς περὶ τοῦ ζῆν κινδυνεύοντος οὐκ ἐθέλουσιν ἀκούειν. δῆλον δὲ ὅτι λεγομένῳ τούτῳ ἐχρήσατο Δημοσθένης· διόπερ καὶ ἐν τοῖς Φιλιππικοῖς ⟨5 25⟩ παρῳδῶν τὴν παροιμίαν φησὶ διαφέρεσθαι τοὺς Ἀθηναίους περὶ τῆς ἐν Δελφοῖς σκιᾶς.

ὄντα. τῶν ὄντων τὰ μὲν ἀγαθὰ εἶναι, τὰ δὲ κακά, τὰ δὲ οὐδέτερα. ἀγαθὰ μὲν αἱ ἀρεταί, κακὰ δὲ τὰ ἐναντία, ἀφροσύνη ἀδικία καὶ τὰ λοιπά· οὐδέτερα δὲ ὅσα μήτε ὠφελεῖ μήτε βλάπτει, οἷον ζωὴ ὑγεία ἡδονὴ κάλ-

λος ἰσχὺς πλοῦτος δόξα εὐγένεια, καὶ τὰ τούτοις ἐναντία, θάνατος νόσος πόνος αἶσχος ἀσθένεια ἀδοξία πενία δυσγένεια καὶ τὰ παραπλήσια· μὴ γὰρ εἶναι ταῦτα ἀγαθά, ἀλλ' ἀδιάφορα κατ' εἶδος προηγμένα. ὡς γὰρ ἴδιον θερμοῦ τὸ θερμαίνειν, οὕτω καὶ ἀγαθοῦ τὸ ὠφελεῖν· οὐ μᾶλλον δὲ ὠφελεῖ ἢ βλάπτει ὁ πλοῦτος καὶ ἡ ὑγίεια· οὐκ ἄρα ἀγαθόν. ᾧ τε ἔστιν εὖ καὶ κακῶς χρῆσθαι, οὐκ ἔστιν ἀγαθόν· πλούτῳ δὲ καὶ ὑγιείᾳ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι· οὐκ ἄρα ἀγαθὸν πλοῦτος καὶ ὑγίεια. ἀλλ' οὐδὲ ἡ ἡδονὴ ἀγαθόν· εἶναι γὰρ καὶ αἰσχρὰς ἡδονάς, μηδὲν δὲ αἰσχρὸν εἶναι ἀγαθόν. Diog. L. 7 102.

ὄντος ὑπάρχοντος.

ὄντως ἀληθῶς.

ὄνυξ.

ὀνυχίζεται ἀκριβολογεῖται· οὕτως Ἀριστοφάνης. ἐν δὲ τῇ συνηθείᾳ τὸ ἐπὶ βλάβῃ τινὶ ἐξαπατηθῆναι. cf. v. ἐξονυχίζειν et Artemid. 1 22.

ὀνύχιος εἶδος λίθου. καὶ ὀνυχίτης.

ὀνῶ τὸ ὠφελῶ.

Ὀνωρᾶτος ὄνομα κύριον.

Ὀνωρία ἀδελφὴ Βαλεντινιανοῦ, ἥτις καὶ αὐτὴ τῶν βασιλικῶν εἴχετο σκήπτρων. Εὐγενίῳ δέ τινι τὴν ἐπιμέλειαν τῶν αὐτῆς ἔχοντι πραγμάτων ἥλω ἐς λάθριον ἐρχομένη λέχος· καὶ ἐπὶ τῷ ἁμαρτήματι ἀνῃρέθη μὲν ἐκεῖνος, ἣ δὲ τῶν βασιλείων ἐξηλάθη.

Ὀνώριος ὄνομα κύριον.

ὄξεϊ δοτική· ἡ εὐθεῖα τὸ ὄξος. καὶ ὀξείδιον.

ὀξεῖα ἡ λόγχη. καὶ παροιμία "δι' ὀξείας δραμεῖν," ἐπὶ τῶν διακινδυνευόντων.

ὀξίνην· Ἀριστοφάνης ⟨Vesp. 1077⟩ "ἐμαχόμεθ' αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες."

ὀξίς· Ἀριστοφάνης ἐν Πλούτῳ ⟨813⟩ "ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα χαλκῆ γέγονεν." ἔστι δὲ ἀγγεῖον ὄξους δεκτικόν, ἡ λοπάδος εἶδος εἰς ὀξὺ λῆγον.

ὄξος ἑψητόν τὸ ἀπὸ φοινίκων. X Anab. 2 3 14.

ὀξὺ καὶ βαρὺ κατὰ μεταφορὰν ἐκλήθησαν ἐπὶ τῆς ἀκουστικῆς· ἐν ὄγκοις γάρ εἰσι τό τε ὀξὺ καὶ τὸ βαρύ. ὀξὺ γὰρ λέγεται ἐπὶ τῆς ἁφῆς τὸ ταχέως ἐνεργοῦν, οἷον τὸ μαχαίριον ὀξύ, ὅτι ταχέως κεντεῖ· ἀμβλὺ δὲ τὸ βραδέως ἐνεργοῦν καὶ οἷον οὐ κεντοῦν ἀλλ' ὠθοῦν, ὡς τὸ ὕπερον. ὅσα μὲν γὰρ ἐπιτήδεια εἰς τὸ κεντεῖν ποιῆσαι βουλόμεθα, ὀξυγώνια αὐτὰ ποιοῦμεν, ὅσα δὲ εἰς τὸ ὠθεῖν, ἀμβλυγώνια. οὕτως οὖν καὶ ἐπὶ τῶν ψόφων ὀξὺν μὲν λέγομεν τὸν ταχέως παραγινόμενον ἐπὶ τὴν αἴσθησιν καὶ ταχέως ἀποπαυόμενον, βαρὺν δὲ τὸν ἀνάλογον τῷ ἀμβλεῖ, τὸν βραδέως παραγινόμενον ἐπὶ τὴν αἴσθησιν καὶ μὴ ταχέως ἀποπαυόμενον, ὥσπερ αἱ τεταμέναι μᾶλλον νευραί, οἷον ἡ νεάτη, τῶν ἐπ' ἔλαττον τεταμένων, οἷον τῆς ὑπάτης, τοὺς φθόγγους ὀξυτέρους ἀποδιδοῦσιν. ἡ γὰρ νεάτη τῶν ἄλλων μᾶλλον ἐν τῷ κρούεσθαι διὰ τὴν τάσιν ταχέως πλήττουσα τὸν ἀέρα ὀξύτατον ποιεῖ τὸν φθόγγον. καὶ ἐν ὀλίγῳ μὲν χρόνῳ ἐποίησε τοῦτο, ἐπὶ πολὺ δὲ ἐφύλαξε. τὸ δὲ ὀξὺ καὶ τὸ ἀμβλὺ ἐν διαφόροις γένεσιν εἰσί, καὶ οὐχ ὑπ' ἀλλήλοις, ἐν φωνῇ, ἐν χυμῷ, ἐν μαχαίρᾳ. Philopon. in 2 de anima L. 7 a. b.

ὀξύβαφον τὸ δεχόμενον τὸ ὄξος. μεῖζον δὲ τὸ τρύβλιον τοῦ ὀξυβάφου. Ἀριστοφάνης Ὄρνισιν ⟨360⟩ "ὀξύβαφον ἐντευθενὶ πρόσθου λαβὼν ἢ τρύβλιον."

ὀξυβελής ⟨Hom. Δ 126⟩ ὀξέως βάλλων, ἢ ὀξὺ βέλος ἔχων.

ὀξυδέρκεια, ὀξυδορκία δέ.

ὀξυθύμια. ὅσα καθαίροντες τὰς οἰκίας a
Ἀθηναῖοι νύκτωρ ἔθος εἶχον ἐν ταῖς τριόδοις τιθέναι, ταῦτα ὀξυθύμια ἐλέγετο.

ὀξυθύμια. Ὑπερίδης ἐν τῷ κατὰ Δη- b
μάδου φησί "περὶ οὗ πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθυμίοις ἡ στήλη σταθείη ἢ ἐν τοῖς ἡμετέροις ἱεροῖς." ἔνιοι μέν, ὧν ἐστὶ καὶ Ἀρίσταρχος, ὀξυθύμια λέγεσθαί φασι τὰ ξύλα ἀφ' ὧν ἀπάγχονταί τινες, ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι· ταῦτα δὲ ἐκκόπτοντες ἐξορίζουσι καὶ καίουσι. Δίδυμος δέ φησιν ὀξυθύμια τὰ καθάρματα λέγεσθαι καὶ ἀπολύματα· ταῦτα γὰρ ἀποφέρεσθαι εἰς τὰς τριόδους, ὅταν τὰς οἰκίας καθαίρωσιν. Harp.

ὀξυλοβῶ τὸ ταχέως ὀκνῶ.

Ὀξύλος ὄνομα κύριον. cf. v. τριόφθαλμος.

ὀξύνω παροξύνω. καὶ ὀξυνῶ ὀξυνεῖς.

ὀξυπαθῶς λίαν περιπαθῶς· "οἱ δὲ Ῥωμαῖοι ὀξυπαθῶς εἶχον ἐπὶ τοῖς ἔναγχος ὑπὸ Χοσρόου παρεστρατηγημένοις αὐτοῖς" ⟨Theophyl. Sim. 5 10⟩.

ὀξυρεγμία· "ἣ δὲ περιπάτους ἐποιεῖτο συχνούς, ὀξυρεγμίαν προσποιουμένη" ⟨Procop. Arc. 4⟩.

ὀξύρροπον ὀξέως θέον.

Google

ὀξύς ταχύς.

ὀξυτενής ἡ ὀξεῖα τρίβος.

ὀξύτης πικρία, αὐςηρία· Ἀρριανός "κατὰ τὴν βασιλέως ὀξύτητα καὶ αὐτὸς ὠμῶς τε καὶ σὺν ὕβρει ἐξηγεῖτο."

ὀξυωπεῖν ὀξέως βλέπειν. τὸ θέμα ὀξυωπῶ.

ὀξυωπέςερος ὀξύτερον βλέπων.

ὀξώδους.

ὄξωνος.

ὀξωτά. Ἀριςοφάνης ⟨ap. Polluc. 6 69⟩ περὶ Εὐριπίδου φησὶν "ὀξωτὰ σιλφιωτά," ἅπερ, ὡς αὐτός φησιν, "καταπυγοσύνη ταῦτ' ἐςὶ πρὸς κρέας μέγα."

ὄπα φωνήν.

ὀπαδός ἀκόλουθος· "ὁ χρόνος δὲ ὁ ἄπρατός τε καὶ ἀδέκαςος, καὶ ἡ τούτου φύλαξ καὶ ὀπαδὸς καὶ ἔφορος ἀλήθεια." cf. v. Κορνοῦτος.

ὀπάζει ἢ θεωρεῖ, ἢ παρέχει, ἢ διώκει.

ὁ παῖς τὸν κρύςαλλον, ἐπὶ τῶν μήτε κατέχειν δυναμένων μήτε μεθεῖναι βουλομένων.

ὀπασάμενος ἑταίρους λαβών.

ὀπάσας ἀντὶ τοῦ παρασχών· ⟨AP 7 149⟩ "οὕτινι δ' ἔμπης ἀντιβίων ὀπάσας εὖχος ἑοῦ θανάτου."

ὁ Παφλαγὼν ουτοσὶ προσέρχεται ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν" ⟨A Eq. 698⟩ ἀντὶ τοῦ ἐκροφήσων ἢ ἐπικαλύψων με τῷ κύματι, αἰσχρῶς μέλλων με καταπιεῖν.

ὅπερ. τοῦτο τὸ ὅπερ τοῦ κυρίως ἐςὶ δηλωτικόν, καὶ ᾧ ἂν προςεθῇ, τὸ κυρίως ἐκεῖνο εἶναι σημαίνει. οἷον, ὅπερ ἄνθρωπος, ὁ κυρίως ἄνθρωπος, καὶ ὅπερ ὂν καὶ ὅπερ ἀγαθόν, τὸ κυρίως ὂν καὶ ἀγαθόν. καὶ τῶν κατηγορουμένων δὴ κατ' ἄλλου ᾧ ἂν τὸ ὅπερ προςεθῇ, κυρίως ἐκεῖνο κατηγορεῖσθαι σημαίνει, καὶ τὸ εἶναι τὸ ὑποκείμενον κυρίως, ἐν τούτῳ δὲ καὶ τοῦτο.

ὀπή νυκτερίς ⟨an ἡ νῦν θυρίς⟩, ἡ διάτρησις.

ὅπῃ ὅπου.

ὅπῃ παρείκοι ὅπου ἐνεδέχετο καὶ ἐνεχώρει.

ὁπηνίκα ὁπότε, ὅταν· Ξενοφῶν ⟨Anab. 3 5 18⟩ "οἱ δὲ ἐθύσαντο, ὅπως, ὁπηνίκα δοκοίη τῆς ὥρας, τὴν πορείαν ποιοῖντο."

ὀπήτιον τὸ σουβλίον, τὸ τὰς ὀπὰς ἐμποιοῦν.

ὄπιμα· "ὁ δὲ Κόσσος τὸν βασιλέα Γάλλων ἀποκτείνας τὰ σκῦλα τῷ Διὶ ὄπιμα ἀνέθηκε." Ῥωμαϊκὴ ἡ λέξις.

ὀπιπεύω περισκοπῶ.

ὄπις ἡ ἐπιςροφή.

ὀπισθοβάμων ὁ πάγουρος· ⟨AP 6 196⟩ "ὀπισθοβάμονα, τρίχηλον, ὀκτάπουν νηκτάν."

ὀπισθόδομος μέρος τι τῆς ἀκροπόλεως τῶν Ἀθηναίων, ἔνθα ἦν τὸ ταμιεῖον, ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς ναοῦ, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα. Δημοσθένης ἐν τῷ περὶ συντάξεως ⟨14⟩ "ἀνέῳξαν δήπου πρώην τινὲς τὸν ὀπισθόδομον." Harp.

ὀπισθόπους δίκη ἡ μεθ' ἡμέραν ἀκολουθοῦσα τοῖς ἀδικήμασιν.

ὀπίςατον ⟨Hom. Θ 342⟩ τελευταιότατον.

ὀπίσω ὄπισθεν.

Ὀπίτης ὄνομα κύριον.

ὅπλα φωτός ⟨Rom. 13 12⟩ αἱ τῶν ἀρετῶν ἐργασίαι.

ὁπλαὶ αἱ πυξίδες, τῶν ἵππων οἱ ὄνυχες.

ὁπλή ὁ κυκλοειδὴς ποὺς τῶν κτηνῶν, οἷον βοῶν προβάτων καὶ τῶν λοιπῶν τῶν ἐχόντων μικροὺς ὄνυχας ἐν τοῖς τῶν ποδῶν ὀπισθίοις, κυρίως δὲ ἐπὶ ἵππων. Ἀριςοφάνης δὲ ⟨Ach. 741⟩ ἐπὶ τῶν χοίρων ὁπλὴν εἴρηκε, καὶ Σιμωνίδης "ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν." καὶ Ἡσίοδος ⟨O. 487⟩ ἐπὶ βοῶν ὁπλάς, καὶ τὸ ἐναντίον ἐπὶ ἵππου ⟨Scut. 62⟩ "νύσσοντες χηλῇσιν."

ὁπλιςής ὁ ἐκ τῶν ὅπλων· ⟨AP 7 230⟩ "πάντα τὸν ὁπλιςὰν κόσμον ὀλωλεκότα."

ὁπλῖται πελτασαὶ ψιλοὶ τῆς πεζικῆς εἰσὶ καὶ μαχίμου δυνάμεως, ἔχουσι δὲ διαφοράς. ὁπλῖται μὲν γὰρ λέγονται οἱ βαρυτάτῃ κεχρημένοι ὁπλίσει κατὰ τὸν Μακεδονικὸν τρόπον, ἀσπίσι περιφερέσι καὶ δόρασι περιμηκεςέροις, ψιλοὶ δὲ οἱ κουφοτάτῃ κέχρηνται, τόξῳ καὶ ἀκοντίῳ καὶ λίθοις ἐκ σφενδόνης ἢ ἐκ χειρός. οἱ δὲ πελτασαὶ μέσῃ πως κέχρηνται σκευῇ· ἥ τε γὰρ πέλτη μικρά τίς ἐςιν ἀσπιδίσκη καὶ κούφη, καὶ τὰ δόρατα πολὺ τῶν ὁπλιτῶν λειπόμενα. εἰσὶ δὲ καὶ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς διαφοραί ⟨cf. v. ἱππική⟩. καὶ Ἀριςοφάνης ⟨Av. 401⟩ "τὸν θυμὸν κατάθου κύψας παρὰ τὴν ὀργὴν ὥσπερ ὁπλίτης," οἷον ὅπλα μὴ ἔχων θυμῷ πολέμει μόνον.

ὁπλιτεύειν ὁπλίζεσθαι.

ὁπλίτης ὡς μὴ ἐρέσσων παραλαμβάνεται παρὰ Θουκυδίδῃ· ὁ δὲ ναύτης ὡς κοινωνὸς τῆς εἰρεσίας λαμβάνεται. sch. Thuc. 7 26.

ὁπλότερος. κατ' ἄμφω τίθεται παρ' Ὁμήρῳ, καὶ συγκριτικῶς καὶ ἀπολελυμένως. χαρίτων δὲ ὁπλοτεράων (Hom. Ξ 267), ἐπειδὴ δύο γενέσεις χαρίτων ὑποτίθεται Ὅμηρος, πρεσβυτέραν καὶ νεωτέραν· διὸ συγκριτικῶς λέγει ὁπλοτεράων.

ὅποι ὅπου· "ἀπαγγέλλειν κελεύσας ὅποι ποτὲ γῆς Χοσρόην τὸν Καβάδου ἀπολιπὼν εἴη" (Procop. Pers. 2 5).

ὁποῖος ποδαπός.

ὅποι ποτέ ὅπου ποτέ.

ὀπός τὸ τῶν δένδρων δάκρυον, καὶ τὸ ἀποςάλαγμα τῦ γάλακτος (sch. A Pac. 1184). (AP 5 258) "πρόκριτός ἐςι Φίλιννα τεὴ ῥυτὶς ἢ ὀπὸς ἥβης πάσης."

ὁπόσην πλείςην· "ςρατιὰν ἐκπέμπειν ὁπόσην πλείςην ἐκ τῶν ὑπαρχόντων ἂν οἷός τε ᾖ."

ὁπόσον καὶ ὁποσονοῦν, ἐπίρρημα.

ὁπωσοῦν δέ.

ὁπότερος ὁποῖος. Ἀριςοφάνης Νεφέλαις (157) "ὁπότερα τὴν γνώμην ἔχοι περὶ ἐμπίδος," τουτέςι πῶς διαλογίζεται καὶ διανοεῖται περὶ τῶν ἐμπίδων. ἐμπίδες δέ, ἃς ἡμεῖς κώνωπας καλοῦμεν.

ὁποτέρωθεν ἀπὸ ποίου μέρους.

ὅπου αἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλουσι, τουτέςιν ἐν δυσβάτοις καὶ τραχέσι τόποις. φασὶ τὰς ἐλάφυς παρατριβάσας τὰ κέρατα ἀποβάλλειν πρὸς θάμνους· ὅθεν ἐπὶ τῶν ἐργώδεις τὰς διατριβὰς ποιυμένων εἰρῆσθαι τὴν παροιμίαν.

ὅπου γε δή.

Ὀπούντιος. οὗτος ἐσυκοφαντεῖτο ὡς πονηρὸς καὶ μονόφθαλμος. Ἀριςοφάνης (Av. 153) "ἀλλ' ἔγωγ' Ὀπούντιος οὐκ ἂν γενοίμην ἐπὶ ταλάντῳ χρυσίου." λέγει δὲ ὅτι οὐκ ἂν γενοίμην τυφλός. τὺς δὲ τυφλὸς ὧτω φασίν.

Ὀππιανός Κίλιξ ἀπὸ Κωρύκυ πόλεως, γραμματικὸς καὶ ἐποποιός, γεγονὼς ἐπὶ Μάρκου Ἀντωνίνου βασιλέως, ἁλιευτικὰ ἐν βιβλίοις ε', κυνηγετικὰ ἐν βιβλίοις δ', ἰξευτικὰ βιβλία β'. ἀναγνωσθέντων δὲ τῶν ποιημάτων αὐτῦ ἐπὶ τῦ αὐτοκράτορος, ἐδωρήσατο αὐτῷ πρὸς ἕνα ςίχον ἐν μέτρῳ ςατῆρα χρυσοῦν ἦγουν νόμισμα, ὡς λαβεῖν αὐτὸν ἐπὶ πᾶσι νομισμάτων μυριάδας β'.

ὀπτανεῖον τὸ μαγειρεῖον.

ὀπτασία ἡ ἀπόβλεψις.

ὀπτῆρας κατασκόπους. "καί μοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνος πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει φράζει" Σοφοκλῆς (Ai. 29).

ὀπτῶντες, ἕψοντες.

ὄπωπα ἐθεασάμην.

ὀπωπή ἡ πρόσοψις.

ὀπώρα. καὶ ὀπωρίμων· "τοὺς βασιλικοὺς παραδείσυς ἐξέτεμεν, οἳ δὴ πλεῖοι ὀπωρίμων δένδρων ἦσαν."

ὀπωρινός.

ὀπωροφυλάκιον (Iesaias 1 8) τὸ τὰς ὀπώρας φυλάττον.

ὀπωρώνης ὁ τὰς ὀπώρας πωλῶν καὶ ἀγοράζων. "μῆλόν τις ὠνῶν ἥρπασε· τὸν δὲ ὀπωρώνην τοῦ ἀργυρίου ἕνεκα ἀντιλαμβανόμενον αὐτοῦ ἔχεσθαι."

ὅπως καὶ ὁπωσοῦν. Δαβίδ (Ps. 50 6) "ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σε." τὸ ὅπως οὐκ ἔςιν αἰτίας δηλωτικόν, ἀλλ' ἐκβάσεως.

ὅρα δὴ καὶ σκόπει Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην (84), ἀντὶ τοῦ βλέπε τοῖς ὀφθαλμοῖς.

ὁραθείς θεαθείς.

ὀράμνους· ἐν ἐπιγράμματι (AP 5 292) "ἐνθάδε μὲν χλοάυσα τεθηλότι βῶλος ὀράμνῳ φυλλάδος εὐκάρπυ πᾶσαν ἔδειξε χάριν."

ὀράριον.

ὅρασις γνῶσις. καὶ ὁ εὐαγγελιςής (Io. 1 8) "θεὸν οὐδεὶς ἑώρακε πώποτε" ἀντὶ τοῦ ἔγνω τρανῶς.

ὁρᾶτε ἀντὶ τῦ ἐνθυμεῖσθε Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας.

Ὁράτιος ὄνομα κύριον· "ὁ δὲ Ὁράτιος λελωβημένος ἦν τὰ σκέλη, ὑπατείας τε οὐκ ἔτυχεν, οὔτε ἐν πολέμῳ οὔτε ἐν εἰρήνῃ, διὰ τὴν ἀχρηςίαν τῶν ποδῶν."

ὁρατὸν καὶ ἀόρατον. ὁρατὸν τό τε χρῶμα καὶ ὃ λόγῳ μὲν ἔςιν εἰπεῖν, ἀνώνυμον δὲ τυγχάνει ὄν. τοιαῦτα δέ ἐςι πυρολαμπίδες, κεφαλαὶ ἰχθύων, λεπίδες, ὀφθαλμοὶ ἐχίνων, τὰ ὄςρακα τῶν θαλαττίων, ἅπερ ἐν φωτὶ μὲν οὐχ ὁρᾶται ἐν σκότῳ δέ. οὐ γὰρ δοκεῖ χρῶμα εἶναι τὸ ἐν τούτοις φαινόμενον πυρῶδές τι ἐν τῷ σκότῳ· ἴδιον γὰρ χρώματος τὸ ἐν φωτὶ ὁρᾶσθαι, τὸ δὲ τούτων πυρῶδες οὐχ ὁρᾶται ἐν φωτί. Philopon. in 2 de anima K 2 b.

ὅτι ὁρᾶν ἔςιν ἐκ τοῦ τὸν ἀέρα ἔχειν τὸ διαφανὲς καὶ διαπορθμευτικὴν τῶν χρωμάτων δύναμιν, αὐτὸς ἀχρωμάτιςος ὤν.

ὅτι τῶν ὁρατῶν δ' εἰσὶ διαφοραί. τὰ μὲν γὰρ αὐτῶν ἐν ἡμέρᾳ μόνως ὁρᾶται, τὰ δὲ ἐν νυκτὶ μόνως, τὰ δὲ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ· τὰ δὲ ὅλως ȣ̓ συνυπάρχειν πέφυκε τῷ σκότῳ. τῶν γὰρ ὁρατῶν τὰ μέν ἐςι χρώματα τὰ δὲ ἀνώνυμα. τὰ μὲν οὖν χρώματα μόνως ἐν ἡμέρᾳ θεωρεῖται, οὐδαμῶς δὲ ἐν νυκτί. τῶν δὲ λαμπρῶν λεγομένων τὰ μὲν ἐν νυκτὶ μόνως ὁρᾶται, τὰ δὲ ἐν ἡμέρᾳ μόνως, τὰ δὲ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ. τὰ μὲν γὰρ αὐτῶν ἐςὶν ὑπέρλαμπρα, τὰ δὲ ἀμυδρά, τὰ δὲ μέσως. τὰ μὲν οὖν ἀμυδρὸν ἔχοντα τὸ λαμπρὸν μόνως ἐν νυκτὶ ὁρᾶται, οἷον πυρολαμπίδες λεπίδες καὶ τὰ ὅμοια· τούτων γὰρ ἐν ἡμέρᾳ τὸ λαμμρὸν οὐ φαίνεται, νικώμενον ὑπὸ τȣ̃ μείζονος. ἔτι δὲ καὶ ἀςέρων οἱ πλείȣς. τὰ μέσα δὲ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, οἷον σελήνη καί τινα τῶν ἄςρων, ὡς ὁ ἑωσφόρος, ὅταν πρὸς τῷ ὁρίζοντι γένηται ὁ ἥλιος καὶ αὐτὸς ὁ ἑωσφόρος περιγειότερος ᾖ. ἔτι δὲ καὶ πῦρ· τοῦτο γὰρ ὅσον δύναται ἀέρα τελειοῖ, καὶ εἰς ἐνέργειαν ἄγει τὸ διαφανὲς αὐτοῦ ὡς καὶ τὰ ἐν αὐτῷ χρώματα δείκνυσθαι, ἐν δὲ τῷ λοιπῷ ἑαυτὸ μὲν δείκνυσιν, ἐκείνȣ δὲ τὸ διαφανὲς οὐκ ἄγει εἰς ἐνέργειαν, ὅθεν αὐτὸ μὲν ὁρῶμεν πόρρωθεν ἐν σκότῳ ὄντες, οὐδὲν δὲ τῶν περὶ ἡμᾶς χρωμάτων. ἐν δὲ τῇ ἡμέρᾳ τὸ πῦρ πάλιν φαίνεται, ὡς λαμπρὸν μέν, οὐδὲν δὲ δρῶν εἰς τὸν ἀέρα διὰ τὸ ἤδη ὑπὸ τοῦ μείζονος λαμπροῦ παθεῖν. καὶ τὸ τῆς σελήνης λαμπρόν, διὰ τὸ μὴ ἄγαν ἀμυδρὸν εἶναι, φαίνεται ἐν ἡμέρᾳ. τὰ δὲ ὑπέρλαμπρα μόνως ἐν ἡμέρᾳ, οἷον ὁ ἥλιος, ἐπειδὴ καὶ αὐτὸς τοῦ τῆς ἡμέρας φωτὸς αἴτιος. Philopon. in 2 de anima L 1 a.

Ὀρβηλοῖο· ἐν ἐπιγράμματι ⟨AP 6 115⟩ "τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον."

ὀργαῖος.

ὀργᾶν ἐπιθυμεῖν, καὶ ὀργῶντες παρὰ Θουκυδίδῃ ⟨4 108⟩ ἀντὶ τοῦ ἐπιθυμοῦντες. "Ἡρόδοτος ἰδὼν Θουκυδίδην ὑπὸ ἐνθȣσιασμοῦ τινὸς δακρύοντα, ἔφη μακαρίζω --- μαθήματα." cf. v. Θουκυδίδης.

ὀργάνειας ταράξειας, εἰς ὀργὴν ἐμβάλοις· ⟨S OR 334⟩ "καὶ γὰρ ἂν πέτρȣ φύσιν σύ γ' ὀργάνειας."

a ὀργάς ἡ εὔγειος καὶ σύμφυτος καὶ λιπαρὰ καὶ ἀκμαία γῆ. "ἐνεκάλεσε δὲ ὁ Περικλῆς τοῖς Μεγαρεῦσιν ὅτι τὴν ἱερὰν γῆν τὴν ὀργάδα ἐγεώργησαν" ⟨cf. v. Ἀνθεμόκριτος⟩. "ἢ τὴν μὴ προσήκȣσαν ὀργάδα κατανέμειν, ἢ τὴν κοινὴν μόνȣς διακρατεῖν" ⟨Dionys. Hal. 1 79⟩ περὶ Ῥώμου καὶ Ῥήμου. καὶ αὖθις ⟨AP 6 41⟩ "τμήξας εὐαρότȣ ῥάχιν ὀργάδος."

ὀργάς. τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ b
οὐκ ἐπεργαζόμενα οὕτω καλεῖται· ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη, τοιαύτη τις οὖσα. Harp.

ὀργάσας ⟨Herodot. 4 64⟩ μαλάξας.

ὄργασον κυρίως τὸ πίσσωσον· ὀργὴ γὰρ παρ' Ἴωσιν ἡ πίσσα. σημαίνει δὲ καὶ τὸ σπαργᾶν καὶ ὀργιάζεσθαι. καὶ τὸ μάλαξον· Ἀριςοφάνης ⟨Av. 840⟩ "πηλὸν ἀποδὺς ὄργασον" ἀντὶ τοῦ φύρασον, μάλαξον.

ὀργέων ἀντὶ τȣ̃ ὀργεώνων Λυσίας. Harp.

ὀργεῶνας. Ἰσαίου λόγος ἔςι πρὸς ὀργεῶνας. ὀργεῶνες δέ εἰσιν οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες· ὀργιάζειν γάρ ἐςι τὸ θύειν καὶ τὰ νομιζόμενα δρᾶν, ἢ παρὰ τὸ ὀρέγειν τὼ χεῖρε, ἢ παρὰ τὰ ὄργια, ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι καὶ τοῖς ἄλσεσι τὰ ἱερὰ δρᾶν. οἱ μέντοι ποιηταὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων. μήποτε δὲ ὕςερον νενόμιςαι τὸ ἐπὶ τιμῇ τινὰς τῶν ἀποθανόντων συνιέναι καὶ ὀργεῶνας ὀνομάζεσθαι, ὡς ἔςι συνιδεῖν ἐκ τῶν Θεοφράςȣ διαθηκῶν ⟨Harp.⟩. "τῶν ἐξ Ἐλευσῖνος ὀργεώνων εἷς" φησὶν Αἰλιανὸς ἐν τῷ περὶ προνοίας.

ὀργεῶνες οἱ θύται. a

ὀργεῶνες οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις b
θεοῖς ὀργιάζοντες. ὀργιάζειν δέ ἐςι τὰ τῶν θεῶν ὄργια τελεῖν, τουτέςι μυςήρια καὶ νόμιμα. Νόμων ι' ⟨p. 910⟩ "μὴ κεκτῆσθαι ἔσω ἐν ἰδίαις οἰκίαις ἱερά. τὸν δὲ φανέντα κεκτημένον ἕτερα καὶ ὀργιάζοντα πλὴν τὰ δημόσια." Σέλευκος δ' ἐν τῷ ὑπομνήματι τῶν Σόλωνος ἀξόνων ὀργεῶνάς φησι καλεῖσθαι τοὺς συλλόγους ἔχοντας περί τινας ἥρωας ἢ θεούς. ἤδη δὲ μεταφέροντες καὶ τοὺς ἱερέας οὕτως καλοῦσιν· ὁ γοῦν Ἀντίμαχος ἐν τῇ Λυδῇ γ' "ἔνθα Καβάρνους θῆκεν ἀγακλέας ὀργειῶνας," καὶ ὁ Αἰσχύλος ἐν Μυσοῖς τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων "ποταμοῦ Καΐκȣ χαῖρε πρῶτος ὀργειών, εὐχαῖς δὲ σῴζοις δεσπότας παιωνίαις." περὶ δὲ τῶν ὀργεώνων γέγραφε καὶ Φιλόχορος· "τοὺς δὲ φράτορας ἐπάναγκες δέχεσθαι καὶ τοὺς ὀργεῶνας καὶ τȣ̀ς ὁμογάλακτας, ȣ̓̃ς γεννήτας καλȣ̃μεν."

a ὀργή ἐςι λύπη μεθ' ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι· ἡ τοίνυν διὰ τὴν τοιαύτην ὑπόληψιν γινομένη λύπη ὀργή ἐςιν.

b ὀργή. ὅτι οὐ τὸ ὁπωσοῦν παρακολȣθȣ̃ν τινὶ γένος. τῇ γοῦν ὀργῇ παρακολουθεῖ μὲν ἡ λύπη, οὐ μὴν ὡς γένος. οὐ γὰρ ἡ ὀργὴ λύπη· οὐδὲ διὰ τοῦτο ἔςιν ἡ λύπη ἡ μετὰ τῆς ὀργῆς οὖσα, διότι ἡ ὀργὴ ἔςιν, ἀλλ' ἐπὶ τῇ λύπῃ ἡ ὀργή. προτέρα γὰρ ἡ λύπη τῆς ὀργῆς· λυπηθεὶς γάρ τις ὡς ἠδικημένος ὀργίζεται. οὐ τοιȣ̃τον δὲ τὸ γένος ὡς προϋπάρχειν χρόνῳ τοῦ εἴδους. Alex. Aphrod. in Top. p. 176.

ὀργῇ παρὰ Θουκυδίδῃ ⟨1 140⟩ ἀντὶ τοῦ διανοίᾳ, τρόπῳ, σκοπῷ.

ὄργια μυςήρια, ἱερά. "εὐθὺς ἅπασι πρόχειρον λέγειν ὅτι ἄνθρωπος οὗτος τῷ Χίων θεῷ καὶ τοῖς Ἰθυφάλλοις ὠργίακεν." cf. v. βόςρυχος.

ὀργιάζων θύων, ἐπιτελῶν.

ὀργμεύοντες· "ἦσαν δὲ ὄρη παντοίων θηρίων ἀνάπλεα, ἃ κατὰ κύκλους ὀργμεύοντες οἱ ςρατιῶται πολλὰ τῶν θηρίων ᾖρȣν." cf. v. ὤγμευον.

ὀργυιά, ἐπὶ τοῦ μέτρου. καὶ τετρόργυιος· ⟨AP 6 223⟩ "τοῦτο κατ' εὐψαμάθου κείμενον ἠιόνος δισσάκι τετρόργυιον."

ὀργυιαί τὰ μετὰ τῶν ἰδίων χειρῶν μέτρα. καὶ ὀργυιαῖος ὁ μέγας.

ὀργυιωμένοις ἐκτεταμένοις, ἐπιθυμȣ̃σιν.

ὀργῶ ἀντὶ τοῦ ἐπιθυμητικῶς ἔχω. Ἀριςοφάνης ⟨Av. 465⟩ "ὀργῶ νὴ τὸν Δία καὶ προπεφύραται λόγος εἷς μοι, ὃν διαμάττειν οὐ κωλύει," ἀπὸ τῶν ἀλφίτων· ὁμοῦ γὰρ ἐφύρων, εἶτα εἰς μοίρας διένεμον. προπεφύραται οὖν ἀντὶ τοῦ προγεγύμναςαι, προκατεσκεύαςαι, ηὐτρέπιςαι. ἡ μεταφορὰ ἀπὸ τῶν τὰ ἄλευρα φυρώντων, εἶτα μάζας ποιούντων.

ὀργῶσα ἐπιθυμοῦσα, ἢ μανιῶσα.

ὀρέγει παρέχει.

ὀρέγεται ἐπιθυμεῖ.

ὀρεγνύς ⟨Hom. Α 351⟩ ἐκτείνας.

ὀρεγόμενος ἐπιθυμῶν.

1 ὀρεία ἡ ἐν ὄρεσιν ἀναςρεφομένη· ⟨AP 6 173⟩ "τάσδε θεῇ χαίτας περὶ δίκλιδι θῆκεν ὀρείᾳ" τῇ ἐν ὄρεσιν. καὶ ὄρεια μῆλα τὰ ἐν ὄρεσι γινόμενα.

2 ὀρεία τραχεῖα, σύνδενδρος· "ἡ δὲ ὁδὸς ὀρεία τις ἦν καὶ ςενή." καὶ ὄρεια ȣ̓δετέρως τὰ τοῦ ὄρους· ⟨AP 6 217: cf. v. λάτρις⟩ "ὃς τάδ' ὄρεια ἐνδυτὰ καὶ ξανθοὺς ἐκρέμασεν πλοκάμȣς." καὶ Φώτιος ὁ πατριάρχης "ὄρειά σου τὰ δῶρα, κάςανα καὶ ἀμανῖται."

ὀρείαις ταῖς ὀρειναῖς· Ἀριςοφάνης ⟨Av. 746⟩ "μεθ' ἧς ἐγὼ νάπαισί τ' ὀρείαις ἱζόμενος."

ὀρείαυλος ὁ ἐν τῷ ὄρει αὐλῶν.

Ὀρειβάσιος Σαρδιανός, γνώριμος Ἰȣλιανȣ̃ τȣ̃ Ῥωμαίων βασιλέως, καὶ κοιαίςωρ ὑπ' αὐτοῦ καταςαθεὶς Κωνςαντίνου πόλεως, ἔγραψε πρὸς τοὺς ἀποροῦντας τῶν ἰατρῶν βιβλία δ', πρὸς Ἰουλιανὸν τὸν βασιλέα βιβία οβ', ἐπιτομὴν αὐτῶν ἐν βιβλίοις θ', πρὸς Εὐςάθιον τὸν υἱόν, καὶ περὶ βασιλείας, καὶ περὶ παθῶν.

ὀρειβάτης ὁ ἐν ὄρεσι βαίνων. ἡ τραγῳδία φησίν ⟨S Phil. 955⟩ "ἀλλ' αὖ θανȣ̃μαι τῷδ' ἐν αὐλίῳ μόνος, οὐ πτηνὸν ὄρνιν, ȣ̓δὲ θῆρ' ὀρειβάτην τόξοις ἐναίρων τοισίδ', ἀλλ' αὐτὸς τάλας θανὼν παρέξω δαῖθ' ὑφ' ὧν ἐφερβόμην." καὶ ὀρειβατεῖν.

ὀρεινή ἀπὸ τοῦ ὄρους.

ὀρεινομῶ τὸ ἐν ὄρεσι διαιτῶμαι.

ὀρεινόμων τῶν ἐν ὄρεσι διαιτωμένων· ἐν ἐπιγράμματι ⟨AP 6 14⟩ "τρισσοὶ θέσαν ἄρμενα τέχνας, Δᾶμις μὲν θηρῶν ἄρκυν ὀρεινόμων."

ὄρειον πρέμνον, καὶ ὄρειος ὁμίχλη.

ὀρειπολῶ.

ὀρεῖς τȣ̀ς ἡμιόνȣς. ἡ εὐθεῖα ὀρεύς.

ὀρειφοίτης ὁ ἐν ὄρει φοιτῶν.

ὀρείχαλκος ὁ διαυγὴς χαλκός, ὁ δόκιμος· "φιτρὸν ἐλάτης κοιλάναντες ἐναρμόζȣσιν εἰς αὐτὸν κώδωνας ὀρειχάλκȣς." ἐν ἐπιγράμματι ⟨AP 6 234⟩ "ταῦτ' ὀρειχάλκȣ λάλα κύμβαλα καὶ μυρόεντα βόςρυχον θήκατο." καὶ ὀρείχαλκος ςήλη.

ὀρείων τῶν ἐν ὄρεσι διαιτωμένων. Φιλοκτήτης φησίν ⟨936⟩ "ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι."

ὀρεκτεῖν ἐπιθυμεῖν. ταὐτὸν καὶ ὀρεκτιᾶν.

ὀρέξει δώσει, ἐκτενεῖ.

ὄρεξις ἐπιθυμία.

ὀρεοκόμος ὁ τοῦ ὄρους ἐπιμελούμενος, ὀρεωκόμος δὲ ὁ ἐπιμελητὴς τῶν ἡμιόνων· ὀρεὺς γὰρ ὁ ἡμίονος, καὶ ὀρικῷ ζεύγει ἀντὶ τοῦ ἡμιόνων.

ὀρεοπολῶ περὶ τὰ ὄρη ἀναςρέφομαι.

ὀρεωπολῶ δὲ τὸ περὶ τοὺς ὄνους ἀναςρέφομαι.

ὀρεσκῷος ὁ ἐν τοῖς ὄρεσι διατρίβων. Hom. *Α* 268.

Ὀρέσειον ὄνομα κύριον.

a *Ὀρέςης ὁ ἐν ὄρεσι διαιτώμενος· Ἀριςοφάνης* ⟨Ach. 1167⟩ *"εἶτα κατάξειέ τις αὐτὸν τῆς κεφαλῆς Ὀρέςης μαινόμενος."*

b *Ὀρέςης. οὗτος προσποιούμενος μανίαν τοὺς παριόντας ἀπέδυεν· ἦν γὰρ λωποδύτης. ἢ κατὰ προσωνυμίαν, ἀντὶ τοῦ μαινόμενος ὡς ὁ Ὀρέςης. καὶ παροιμία* ⟨A Av. 713⟩ *"Ὀρέστῃ χλαῖναν ὑφαίνειν."* ⟨1477⟩ *"εἰ γὰρ ἐντύχοι τις ἥρῳ τῶν βροτῶν νύκτωρ Ὀρέςῃ, γυμνὸς ἦν πληγεὶς ὑπ᾽ αὐτοῦ πάντα τἀπιδέξια." οἱ ἥρωες δυσόργητοι καὶ χαλεποὶ τοῖς ἐμπελάζουσιν ἐγίνοντο· διὸ καὶ οἱ τὰ ἡρῷα παριόντες ἐσίγων* ⟨cf. v. *οὐκ εἰμὶ τούτων*⟩. *ἐπιδέξια δέ, τουτέςι τὰ δεξιὰ τῆς ὄψεως. ἐπλήττοντο γὰρ οἱ ἐντυγχάνοντες τῷ Ὀρέςῃ, οὐχὶ δὲ τῷ Ἀγαμέμνονος ἀλλὰ λωποδύτῃ τινί. ἢ ἐπιδέξια, ὀφθαλμοὺς καὶ κεφαλήν. ἢ ὅτι οἱ ἐντυγχάνοντες νυκτὸς ἥρωσι διέςρεφον τὰς ὄψεις.*

ὀρεχθεῖν κινεῖν, συνταράττεσθαι· Ἀριςοφάνης ⟨Nub. 1371⟩ *"κἀνταῦθα πῶς οἴεσθέ μου τὴν καρδίαν ὀρεχθεῖν; ὅμως δὲ τὸν θυμὸν δακὼν ἔφην."*

ὀρεωπώλης ὁ τοὺς ἡμιόνους πωλῶν.

ὄρηαι διεγερθείης.

ὄρη ἔρημα τὰ ἀοίκητα. τουτέςι βόρεια καὶ νότια τμήματα· ταῦτα γὰρ τὰ μὲν διὰ ψυχρότητα τὰ δὲ διὰ θερμότητα ἀοίκητα μεμένηκε παντελῶς. Theodoret. in Ps. 74 7.

ὄρθαι ⟨Hom. *Θ* 474⟩ *διεγερθῆναι.*

ὀρθαῖς ἀκοαῖς προθύμοις· "ὃ δὲ ἤκουσε τοῦ θεοῦ ὀρθαῖς ἀκοαῖς."

ὀρθή· Πολύβιος "διόπερ ὡς οὐδέποτε μᾶλλον ὀρθὴ καὶ περίφοβος ἡ τῶν Ῥωμαίων πόλις ἐγεγόνει, καραδοκοῦσα τὸ συμβησόμενον." καὶ αὖθις "τὰ ἔθνη τῆς Ἰβηρίας ὀρθῶς αὐτοῖς ἀντικαθιςάμενα" ἀντὶ τοῦ ἀνέδην, ἀποτόμως.

ὀρθὴν δ᾽ ἐντυγχάνει ἀντὶ τοῦ εὐθύς Ὑπερίδης.

ὀρθῆς δὲ τῆς πόλεως οὔσης ἐπὶ τούτοις, ἀντὶ τοῦ κεκινημένης καὶ πεφοβημένης, Ὑπερίδης φησίν. Αἰσχίνης δὲ ἀντὶ τοῦ ἀπαθοῦς καὶ ἀκεραίου. "ὀρθῆς δ᾽ ἡμῖν τῆς πατρίδος οὔσης." καὶ Πολύβιος ⟨36 4⟩ *"τούτων δὲ προσαγγελθέντων τοῖς Καρχηδονίοις ὀρθὴ καὶ περίφοβος ἦν ἡ πόλις διὰ τὴν ἀδηλότητα τῶν προσδοκωμένων."*

ὀρθῆς φρενός τῆς ἀληθοῦς· ⟨S OR 528⟩ *"ἐξ ὀμμάτων δ᾽ ὀρθῶν τε κἀξ ὀρθῆς φρενός."*

ὀρθία. ὀρθία λέγεται φάλαγξ ὅταν ἐπὶ κέρας πορεύηται, πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους. καθόλου μὲν παράμηκες λέγεται πᾶν τάγμα οὗ ἂν τὸ μῆκος ἔχῃ πλέον τοῦ βάθους, ὄρθιον δὲ οὗ ἂν τὸ βάθος τοῦ μήκους. Aelian. Tact. 29.

ὀρθιασμάτων ἀνατάσεως ῥημάτων· ἢ τῶν μετὰ βοῆς κόμπων· ἢ τῶν μελῶν, παρ᾽ ὅσον ὄρθιος νόμος κιθαρῳδικός. sch. A Ach. 1041.

ὄρθιον νόμον καὶ τροχαῖον. τοὺς δύο νόμους ἀπὸ τῶν ῥυθμῶν ὠνόμασε Τέρπανδρος· ἀνατεταμένοι δ᾽ ἦσαν καὶ εὔτονοι. Ὅμηρος ⟨*Λ* 10⟩ *"ἔνθα ςᾶσ᾽ ἤυσε θεὰ μέγα τε δεινόν τε ὄρθι᾽ Ἀχαιοῖσι."* cf. sch. A Ach. 16.

ὄρθιος νόμος. "Τιμόθεος ὁ αὐλητὴς a *ηὔλει ποτὲ τῆς Ἀθηνᾶς τὸν ὄρθιον νόμον καλούμενον, καὶ ἐς τοσόνδε ἐξέπληττεν --- αὐλήματα. ὁ δὲ --- γενόμενος."* cf. v. *Τιμόθεος* d.

ὄρθιος νόμος ὁ κιθαρῳδικὸς τῆς ἁρ- b *μονίας. ἦσαν δὲ ἑπτά.* cf. v. *νόμος* b.

ὀρθοὶ ἐκπεπληγμένοι· ⟨Polyb. 9 5⟩ *"οἱ δὲ Ῥωμαῖοι μαθόντες ὅτι Ἀννίβας πολιορκεῖ τὰς δυνάμεις, ὀρθοὶ ταῖς διανοίαις καὶ περίφοβοι πάντες ἦσαν ὡς καὶ πρὸς τὰ ὅλα διατεινούσης τῆς ἐνεςηκυίας κρίσεως."*

ὀρθόκραιρος ναῦς ἡ ὀρθὰς κεραίας ἔχουσα ⟨Hom. *Σ* 3⟩.

ὀρθοπλὴξ ἵππος ὀρθὸς ἐπαιρόμενος καὶ πλήσσων· Ἀριςοφάνης Ἀναγύρῳ "ὡς δ᾽ ὀρθοπλήξ· πέφυκε γὰρ δυςάργαλις."

ὀρθός. λέγεται καὶ ὄρθιος. Μάρκος ⟨Anton. 3 5⟩ *"ὀρθὸν δεῖ εἶναι καὶ μὴ ὀρθούμενον."*

ὀρθοςάδια. οἱ ςατοὶ χιτῶνες ὀρθοςάδιοι, οἱ δὲ συρόμενοι συρτοί. sch. A Lys. 45.

ὀρθοτίτθιος ἡ παρθένος ἡ ὀρθοὺς τοὺς τιτθοὺς ἔχουσα. ὅθεν καὶ ἐπιτίτθιον τὸ ὑπομάζιον.

ὀρθοφοιτοσυκοφαντοδικοταλαιπώρων· Ἀριςοφάνης ⟨Vesp. 525⟩ *"ὅτι ἢ βούλομαι τούτων ἀπαλλαχθέντα τῶν ὀρθοφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων, ζῆν βίον γενναῖον ὥσπερ Μόρυχος, αἰτίαν ἔχω ταῦτα δρᾶν."*

ὀρθρία ἡ τοῦ ὄρθρου κατάστασις.

ὄρθριος νόμος οὕτω καλούμενος νόμος κιθαρῳδικός. Ἀριστοφάνης ⟨Eccl. 735⟩ "πολλάκις ἀναστήσασά μ' εἰς ἐκκλησίαν ἀωρὶ νύκτωρ διὰ τὸν ὄρθριον νόμον." οἶμαι, ὄρθιον θέλει. ἢ ὄρθριον διὰ τὸν ὄρθρον.

ὀρθριοφοίτης ὁ παραγενόμενος ὄρθρου.

ὀρθρογόη ⟨Hes. O. 566⟩ χελιδών. λέγεται καὶ ὀρθρόλαλος· ⟨AP 6 247⟩ "κερκίδας ὀρθρολάλοισι χελιδόσιν εἰκελοφώνους."

ὀρθῷ νόμῳ τῷ τῆς ἀγάπης· ⟨S Ai. 350⟩ "ἐμῶν φίλων μόνοι ἐμμένοντες ὀρθῷ νόμῳ."

ὀρθωσία ἡ ὄρθωσις.

ὅρια ἐθνῶν καὶ ὅρια πατέρων.

ὀριβρεμέτης ὁ βροντῶν ἀπὸ ὄρους. ὀρειγενὴς δὲ ὁ ἐν τῷ ὄρει γεννηθείς.

ὀρίγανος ἡ βοτάνη, θηλυκῶς παρὰ Ἀριστοφάνει ⟨Eccl. 1065⟩.

ὀριγνηθῆναι ἀντὶ τοῦ ἐπιθυμῆσαι. καὶ ὀριγνώμεθα ὀρεγόμεθα. "ὃ δὲ ἐδήλωσεν ὡς ὀριγνώμενος χριστιανὸς γενέσθαι."

ὀρίδρομος ὁ ἐν ὄρει τρέχων.

ὀρίνεται ταράσσεται, ἐπιθυμεῖ· ⟨AP 7 205⟩ "ψυχὴ γὰρ σέο μᾶλλον ὀρίνεται, εἰσόκε ῥέξω ὅσσ' ἐπ' Ἀχιλλῆος Πύρρος ἔτευξε τάφῳ."

ὅριον ὁ ὁρισμός, ὄρειον δὲ τὸ ἀπὸ τοῦ ὄρους.

ὁρισμός. ὅτι τῶν ὁρισμῶν τῶν μὲν λαμβανομένων ἐκ τῆς ὕλης τῶν δὲ ἐκ τοῦ εἴδους τῶν δὲ ἐκ τοῦ συναμφοτέρου, ὃ μέν ἐστιν ἀρχὴ ἀποδείξεως, ὁ ἐκ τοῦ εἴδους, ὃ δὲ συμπέρασμα, ὁ ἐκ τῆς ὕλης, ὃ δὲ ἀπόδειξις τῇ θέσει διαφέρουσα, ὁ ἐκ τοῦ συναμφοτέρου. οἷον βουλόμενός τις ὁρίσασθαι τὸν θυμόν, κέχρηται συλλογισμῷ τοιούτῳ· ὁ θυμούμενος ὀρέγεται ἀντιλυπῆσαι τὸν ἄρξαντα τῆς λύπης· τοῦ ὀρεγομένου ἀντιλυπῆσαι ζεῖ τὸ περικάρδιον αἷμα· εἶτα τὸ συμπέρασμα, τοῦ θυμουμένου ἄρα ζεῖ τὸ περικάρδιον αἷμα. τούτου οὖν τοῦ συλλογισμοῦ καὶ τῆς ἀποδείξεως ὁ μὲν ἐκ τῆς ὕλης ὁρισμὸς τοῦ θυμοῦ συμπέρασμά ἐστιν, ὁ δὲ ἐκ τοῦ εἴδους ἀρχή. ἔστι γὰρ ἡ πρώτη πρότασις ἡ λέγουσα, ὁ θυμούμενος ὀρέγεται ἀντιλυπήσεως, ἡ δευτέρα δέ, τοῦ ὀρεγομένου ἀντιλυπήσεως ζεῖ τὸ περικάρδιον αἷμα. ἐν μέντοι τῷ ὁρισμῷ τῷ ἐκ τοῦ συναμφοτέρου ἀνάπαλιν ἀρχόμεθα· ζέσις γάρ φαμεν τοῦ περικαρδίου αἵματος· εἶτα, δι' ὄρεξιν ἀντιλυπήσεως. ὁ δὲ τέλειος ὁρισμὸς οὐ μόνον τὸ ὅτι ἀλλὰ καὶ τὴν αἰτίαν διδάσκει.

ὀρκάνας εἱρκτάς.

ὀρκάνη. Λυκοῦργος κατὰ Λυκόφρονος β΄. μήποτε ὁ φραγμός, τουτέστι τὸ περίφραγμα καὶ ἡ αἱμασιά, οὕτω καλεῖται, παρὰ τὸ ἐρύκειν, ἢ παρὰ τὸ ἕρκος εἶναι. Ὅμηρος ⟨ω 223⟩ "αἱμασιὰς λέξοντες ἀλωῆς ἔμμεναι ἕρκος." Harp.

ὀρκαπάτην χλευαστὴν δι' ὅρκων.

ὅρκιος Ζεύς. καὶ ὅρκιον σκῆπτρον, καθ' οὗ ὤμνυον οἱ βασιλεῖς, ἢ ῥάβδος.

ὅρκος τύπος· "οὕτω παισὶ χρήσαιο κληρονόμοις. οὕτω τὰ καὶ τὰ θεός σοι δοίη."

ὁρκωμοσία καὶ ὁρκωμότης καὶ ὁρκωμοτῶ.

ὁρμαθός σύνδεσμος, στίχος. "τοσοῦτον ὁρμαθὸν κακῶν συνειληφὼς ἔκρυψε τὰ τοῦ Τιβερίου μειονεκτήματα" ⟨cf. v. Γάιος⟩.

ὁρμαίνοντα ⟨Hom. K 4⟩ ἐνθυμούμενον.

ὁρμεῖν ἐπὶ ξηρᾶς, ὁρμίζω δὲ ἐπὶ θαλάσσης καὶ νηός, καὶ ἐπὶ ἀναπαύσεως. Αἰλιανός "ἀναπαυομένων καὶ ὁρμιζομένων τὴν τελευταίαν ὅρμισιν τὸ θεῖον οὐκ ἀμελεῖ τῶν καλῶν τε καὶ ἀγαθῶν ἀνδρῶν."

ὅρμενα τῶν λαχάνων πάντα τὰ ἐκκεκαυληκότα. οἱ δὲ τῆς κράμβης τὸ ἐντὸς κύημα. οἱ δὲ τὸν ἄγριον ἀσπάραγον.

Ὅρμενος ὄνομα κύριον. Hom. Θ 274.

ὁρμή. ὁρμὴ ἡ πρώτη τοῖς ζῴοις σύνεστιν ἐπὶ τὸ τηρεῖν ἑαυτά, οἰκειούσης αὐτοῖς τῆς φύσεως ἀπ' ἀρχῆς. πρῶτον γὰρ οἰκεῖον παντὶ ζῴῳ ἡ σύστασις καὶ ἡ ταύτης σύνδεσις, καὶ οἰκείως ἔχειν πρὸς ἑαυτά. διὸ τὰ βλάπτοντα διωθεῖται, τὰ δ' οἰκεῖα προσίεται. καὶ οὐ πρὸς ἡδονὴν γίνεται ἡ πρώτη ὁρμὴ τοῖς ζῴοις· ἐπιγέννημα γὰρ ἂν ἦν, εἰ ἄρα ἔστιν ἡδονὴν εἶναι, ὅταν αὐτὴν καθ' αὑτὴν ἡ φύσις ἐπιζητήσασα τὰ ἐναρμόζοντα τῇ συστάσει ἀπολάβῃ· ὃν τρόπον ἀντιλαμβάνεται τὰ ζῷα καὶ θάλλει τὰ φυτά. καὶ οὐ διήλλαξεν ἡ φύσις ἐπὶ φυτῶν καὶ ζῴων, ὅτε χωρὶς ὁρμῆς καὶ αἰσθήσεως κἀκεῖνα οἰκονομεῖ, καὶ ἐφ' ἡμῶν τινὰ φυτοειδῶς γίνονται. ἐκ περιττοῦ δὲ τῆς ὁρμῆς τοῖς ζῴοις ἐπιγενομένης, ᾗ συγχρώμενα πορεύεται, τούτοις μὲν τὸ κατὰ φύσιν τὸ κατὰ τὴν ὁρμὴν διοικεῖσθαι. τοῦ δὲ λόγου τοῖς λογικοῖς κατὰ τελειοτέραν προστασίαν δεδομένου, τὸ κατὰ λόγον ζῆν ὀρθῶς γίνεσθαι τοῖς κατὰ φύσιν· τεχνίτης γὰρ οὗτος ἐπιγίνεται τῆς ὁρμῆς. διὸ καὶ Ζήνων τέλος εἶπεν εἶναι τὸ ὁμολογουμένως τῇ φύσει ζῆν,

ὅπερ ἐςὶ κατ' ἀρετὴν ζῆν· ἄγει γὰρ καὶ πρὸς ταύτην ἡμᾶς ἡ φύσις. Diog. L. 7 85.

ὁρμητήριον· Πολύβιος "τὸ δὲ φρούριον οἱ Παννόνιοι κατ' ἀρχὰς τοῦ πολέμου λαβόντες ὁρμητήριον ἐπεποίηντο καὶ εἰς ὑποδοχὴν τῶν λαφύρων ἐξῃρήκεσαν." ἔςι δὲ ὁρμητήριον, ὅθεν τὰ πρὸς τὸν πόλεμον ἐξαρτύοντες ἐξίασι μαχεσόμενοι.

ὁρμίσκος καὶ ὅρμοι περιτραχήλιος κόσμος, ἐνώτια, χαλαςήρια.

ὅρμον λιμένα.

ὁρμώμενος προθυμούμενος. λέγεται δὲ καὶ ὁ γενεαλογούμενος· "ἐκ λόγων ὁρμώμενος καὶ παιδείας ὁ λογικὸς καὶ πεπαιδευμένος."

Ὀρνειάς πόλις. Hom. B 571.

ὀρνιθεία ἡ οἰωνομαντεία.

ὀρνιθευομένου μαντευομένου δι' ὄρνιθος.

ὀρνιθευτής ⟨A Av. 526⟩ ὁ ὀρνιθοθήρας.

ὀρνιθίας. ὀρνιθίας χειμὼν παρὰ Ἀριςοφάνει ⟨Ach. 877⟩ ὁ σφοδρὸς χειμών, ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρεται. καὶ ἄνεμος ὀρνιθίας ὁ αὐτός. ἤτοι ψυχρός, ὁ ἐπὶ τὴν γῆν τὰ ὄρνεα ςρωννὺς ὑπὸ τῆς ψυχρᾶς πνοῆς, ἢ διὰ τὸ χειμῶνος τὰ ὄρνεα ταῦτα φαίνεσθαι.

ὀρνιθοθήρας ⟨A Av. 62⟩ ὁ τοὺς ὄρνις θηρεύων.

ὀρνιθοκομεῖον τὸ τὰς ὄρνιθας ἔχον οἴκημα.

ὄρνις ἡ κληδών, τὸ μάντευμα. Ἀριςοφάνης ἐν Πλούτῳ ⟨63⟩ "δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ," τουτέςι τὸ σύμβολον. κοινῶς γὰρ πᾶν σύμβολον ἐφεκτικὸν ἢ προτρεπτικὸν ὄρνιν ἐκάλουν. ὄρνις ἐπιφώνησις, πταρμός, καὶ τὰ ὅμοια. καὶ αὖθις ⟨Av. 604⟩ "οὐδεὶς οἶδεν τὸν θησαυρὸν τὸν ἐμὸν πλὴν εἴ τις ἄρ' ὄρνις." παροιμιακὸν τοῦτο, "οὐδεὶς οἶδε τί ὡμίλησα πλὴν εἴ τις ὄρνις," ἐπὶ τῶν ἀγνώςων. καὶ αὖθις "οὐδείς με θεωρεῖ πλὴν ὁ παραπτάμενος ὄρνις." καὶ αὖθις ⟨A Av. 720⟩ "ὄρνιν νομίζετε πάνθ' ὅσα μαντείας διακρίνει· φήμη γὰρ ὑμῖν ὄρνις ἐςί, πταρμόν τ' ὄρνιθα καλεῖτε, ξύμβολον, φωνήν, θεράποντα," καὶ ὅσα περὶ μαντείας, "ὄνον ὄρνιν." καὶ τὸ πληθυντικὸν τοὺς ὄρνις.

ὄρνυται ὁρμᾷ.

Ὀροάνδης ὄνομα κύριον. Ὀροάνδου.

ὄροβος εἶδος κριθῆς.

ὀρόδαμνος ἡ παραφυάς.

ὅροι τέλη, ὁρισμοί. "ὅρους δὲ ἐτίθετο καὶ τεκμήρια ὁ Ἰσίδωρος τῶν θείων ἀφωρισμένα ςοίχων πρὸς τὴν τῶν ἀνθρωπείων διάκρισιν, τῆς μὲν φιλοπονίας τὸ ἀνύσιμον ὑπὲρ πάντα λόγον, τῆς δὲ εὐσυνέτου γνώμης τὸ ἐξιςάμενον τῆς ἐμφανοῦς καὶ συνήθους τοῖς πολλοῖς ἀκολουθίας, τοῦ δὲ ἔρωτος αὐτοῦ τὸ παρῃρεθισμένον εἰς τὴν τοῦ νοητοῦ κάλλους ἀπόλαυσιν, ἄλλῃ δὲ οὐδαμοῦ ἀποπλανώμενον" (cf. v. τεκμήριον).

Ὀροίτης ὄνομα κύριον.

ὀροιτύπος ὑλοτόμος.

ὄρον σκεῦός τι γεωργικόν, ὡς Ἰσαῖος δηλοῖ. μήποτε μέντοι τὸ ὄρον παρά τε Αἰσχύλῳ καὶ παρὰ Μενάνδρῳ ξύλον τι σημαίνει, ᾧ τὴν πεπατημένην ςαφυλὴν πιέζουσιν. Harp.

Ὀρονδάτης ὄνομα κύριον.

Ὀρόντας ὄνομα κύριον. καὶ Ὀρόντης ποταμός.

ὅρος. οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, ἃ ἐδήλου ὅτι ὑπόκεινται δανειςῇ. οὕτως Δημοσθένης καὶ Μένανδρος. Harp. a

ὅρος. ὅρος ἐςὶ λόγος κατ' ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος, ἢ ἡ ἀπόδοσις. ὑπογραφὴ δέ ἐςι λόγος τυπωδῶς εἰσάγων εἰς τὰ πράγματα, ἢ ὅρος ἁπλούςερον τὴν τοῦ ὅρου δύναμιν προσενηνεγμένος. Diog. L. 7 60. b

ὄρος. παρὰ τῇ θείᾳ γραφῇ ὄρος ἅγιον πάλαι μὲν τὸ Σιών, νῦν δὲ τὸ τῆς θεογνωσίας ὕψος. καὶ ὁ ἀπόςολος δέ. Theodoret. in Ps. 98 9. Hebr. 12 22.

ὀροφὴ καὶ ὄροφος ἡ ςέγη, καὶ θηλυκῶς καὶ ἀρσενικῶς· "οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά" Ἀριςοφάνης ⟨Lys. 229⟩, καὶ ἐν Σφηξίν ⟨1210⟩ "ὀροφὴν θέασαι." sch. Nub. 173.

ὀροφοιτῶντα εἰς ὄρη περιερχόμενον.

ὄρπηξ κλάδος, παρὰ τὸ ὀρούω· ἢ ὄρπηκές τινες οἱ εἰς ὀροφὴν ἐπιτήδειοι.

ὀρροπύγιον ὁ λεγόμενος ἀφεδρών.

ὀρρωδεῖ φοβεῖται. κυρίως μὲν ὀρρωδεῖν ἐπὶ τοῦ τῶν ἀλόγων δέους, πεποίηται δὲ παρὰ τὸ σείοντα τὴν οὐρὰν δηλοῦν τὸ δέος, ἢ παρὰ τὸ ἐγκρύπτειν τῷ μέρει τούτῳ τὰ αἰδοῖα κατὰ τὴν τοῦ δέους διάθεσιν, ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτος ἱδροῦν. ἔςι δὲ τὸ ὀρρωδεῖν ἀπὸ τοῦ ὄρρου, ὅ ἐςι μεσοπύγιον τῆς περιςερᾶς· ἔςι γὰρ τρομερὸν τὸ μέρος. sch. A Plut. 122.

ὀρρωδία φόβος, ἐκ τοῦ ὄρρου, ὅ ἐστι μέρος τῆς πυγῆς ὁ καλούμενος ταῦρος. "ἅμα μὲν ὀρρωδία ἦν, μὴ ἄρα φθάσαιεν ὀπίσω ἀναφυγόντες."

ὀρσοθύρη θύρα ἐν ὕψει τοῦ τοίχου. Hom. χ 126.

a ὀρταλίχων (A Ach. 871). ὀρνέων εἶδος οἱ ὀρτάλιχοι, ἢ ἀλεκτρυόνων.

b ὀρταλίχων ὀρνέων νεογνῶν· (AP 5 292) "ὄρνιθες δροσερῶν μητέρες ὀρταλίχων."

Ὀρτιάγων Γαλάτης, ὃς ἐπεβάλετο τῶν ἐν τῇ Ἀσίᾳ βασιλεύων τὴν ἁπάντων τῶν Γαλατῶν δυναστείαν εἰς ἑαυτὸν μεταστῆσαι, καὶ πολλὰ πρὸς τοῦτο τὸ μέρος ἐφόδια προεβάλλετο καὶ φύσει καὶ τριβῇ· καὶ γὰρ εὐεργετικὸς ἦν καὶ πολεμικὸς καὶ δυναμικὸς πρὸς πολεμικὰς χρείας. Polyb. 22 21.

Ὀρτόβριγα πόλις.

ὀρτυγοκόπος παιδιά τις, ἐν ᾗ ὄρτυγας ἱστᾶσιν ἐν γύρῳ, οὓς τύπτουσιν εἰς τὴν κεφαλήν. καὶ ὁ μὲν ἐν τῷ γύρῳ καταβαλὼν τὸν ὄρτυγα λαμβάνει ἑξῆς οὓς ἂν δύνηται, ὁ δ' ἀποτυχὼν παρέχει θατέρῳ τοὺς ὄρτυγας τύπτειν· καὶ τοῦτ' ἀνὰ μέρος ποιοῦσι. λέγει οὖν ἐν Ἀλκιβιάδῃ (1 p. 120 A) "οὐκ ἀλλὰ πρὸς Μειδίαν δεῖ σε ἀποβλέποντα τὸν ὀρτυγοκόπον καὶ τοιούτους ἄλλους," ἐμφαίνων ὅτι οὐ πρὸς τοὺς τυχόντας ὁ ἀγών ἐστι, πρὸς δὲ τοὺς ἀρίστους· διόπερ οὐ ῥαθυμητέον. "μηδὲ ὀρτυγοκοπεῖν, μηδὲ περὶ τὰ τοιαῦτα ἐπτοῆσθαι" (M. Anton. 1 6).

Ὀρτύγωνος.

ὄρυγες ζῷά τινα.

ὄρυγμα. ἰδίως οὕτως ἐκαλεῖτο ἐφ' οὗ οἱ κακοῦργοι ἐκολάζοντο. Harp.

ὀρυμαγδός θόρυβος, τάραχος, κτύπος. παρὰ τὸ θόρυβος θορυβάζω θορυβάσω τεθορύβαγα θορύβαγος, καὶ ἀφαιρέσει τοῦ θ καὶ τροπῇ τοῦ β εἰς μ καὶ πλεονασμῷ τοῦ δ ὀρυμαγδός.

ὀρφανία.

ὀρφανιστῶν. ὀρφανισταί εἰσιν οἱ τοὺς ὀρφανοὺς τρέφοντες. ἢ ὀρφανισταὶ ἀρχὴ Ἀθήνησι τὰ τῶν ὀρφανῶν κρίνουσα. ἢ ὀρφανιστῶν τῶν τῆς ὀρφανίας ἐπιτρόπων. "ὑπ' ὀρφανιστῶν μὴ φίλων, ὅσον κακόν" (S Ai. 512).

ὀρφανός. Ἰώσηπος "καὶ αὐτοὶ πατέρες δ' ἦσαν ὀρφανοί." καὶ αὖθις "οἱ δὲ χωροῦσιν οἴκοι, ὀρφανὰς τὰς πρεσβείας καταλείψαντες τῆς εἰρήνης" (Theophyl. Sim. 3 15).

Ὀρφεία λύρα τοῦ Ὀρφέως.

Ὀρφεὺς βασιλεὺς Θρᾳκῶν, ἐφ' οὗ αἱ a
Ἀμαζόνες ἐδασμολόγησαν Φρύγας.

Ὀρφεύς. ὅτι ἐπὶ τῶν παρὰ Ἰουδαίοις b
κριτῶν, καταλυθείσης τῆς βασιλείας Ἀθηναίων, Ὀρφεὺς ἐγνωρίζετο, σοφὸς ἄριστος γενόμενος καὶ πολλὰ μυστήρια διδαχθείς. φέρονται γὰρ αὐτοῦ καὶ περὶ θεογονησίας λόγοι, ἐξ ὧν εἰσι ταῦτα. εἶπε γὰρ ὅτι ἐξ ἀρχῆς ἀνεδείχθη ὁ αἰθὴρ ὑπὸ τοῦ θεοῦ δημιουργηθείς, καὶ ἐντεῦθεν κἀκεῖθεν τοῦ αἰθέρος ἦν χάος, καὶ νὺξ φοβερὰ πάντα κατεῖχε καὶ ἐκάλυπτε τὰ ὑπὸ τὸν αἰθέρα, σημαίνων τὴν νύκτα προτερεύειν, εἰρηκὼς ἀκατάληπτόν τινα καὶ πάντων ὑπέρτατον εἶναι καὶ προγενέστερον καὶ δημιουργὸν ἁπάντων, τόν γε ὑπέρτατον αἰθέρα. καὶ τὴν γῆν εἶπεν ἀόρατον. ἔφησε δὲ ὅτι τὸ φῶς ῥῆξαν τὸν αἰθέρα ἐφώτισε τὴν γῆν καὶ πᾶσαν τὴν κτίσιν, ἐκεῖνο εἰπὼν τὸ φῶς τὸ ὑπέρτατον πάντων, τὸ ἀπρόσιτον, τὸ πάντα περιέχον, ὅπερ ὠνόμασε βουλήν, φῶς, ζωήν. ταῦτα τὰ τρία ὀνόματα μίαν δύναμιν ἀπεφήνατο καὶ ἓν κράτος τοῦ δημιουργοῦ πάντων θεοῦ, τοῦ πάντα ἐκ τοῦ μὴ ὄντος παραγαγόντος εἰς τὸ εἶναι, ὁρατά τε καὶ ἀόρατα. περὶ δὲ τοῦ γένους τῶν ἀνθρώπων εἶπεν ὅτι καὶ αὐτὸ ὑπὸ τοῦ δημιουργοῦ πάντων καὶ θεοῦ ἐπλάσθη, καὶ ψυχὴν ἔλαβε λογικήν, ἀκολουθήσας τοῖς Μωσέως, καὶ ταλαίπωρον εἰρηκὼς τὸ γένος τῶν ἀνθρώπων καὶ πολλοῖς ὑποκείμενον πάθεσι ψυχικοῖς τε καὶ σωματικοῖς, δεκτικόν τε ἀγαθῶν καὶ πονηρῶν ἔργων, καὶ τὰ πρὸς τὸ ζῆν ἀθλίως διακείμενον.

Ὀρφεὺς Καμαριναῖος ἐποποιός, οὗ φα- c
σὶν εἶναι τὴν εἰς Ἅιδου κατάβασιν.

Ὀρφεὺς Κικοναῖος ἢ Ἀρκάς, ἐκ Βισαλ- d
τίας τῆς Θρᾳκικῆς, ἐποποιός. γέγονε δὲ καὶ οὗτος πρὸ Ὁμήρου, δύο γενεαῖς πρεσβύτερος τῶν Τρωικῶν. ἔγραψε δὲ μυθοποιίαν, ἐπιγράμματα, ὕμνους.

Ὀρφεὺς Κροτωνιάτης ἐποποιός, ὃν Πει- e
σιστράτῳ συνεῖναι τῷ τυράννῳ Ἀσκληπιάδης φησὶν ἐν τῷ ἕκτῳ βιβλίῳ τῶν γραμματικῶν, Δεκαετηρίδα, Ἀργοναυτικὰ καὶ ἄλλα τινά.

Ὀρφεύς, Λειβήθρων τῶν ἐν Θρᾴκῃ (πό- f
λις δέ ἐστιν ὑπὸ τῇ Πιερίᾳ), υἱὸς Οἰάγρου καὶ Καλλιόπης· ὁ δὲ Οἴαγρος πέμπτος ἦν ἀπὸ Ἄτλαντος, κατὰ Ἀλκυόνην μίαν τῶν θυγατέρων αὐτοῦ. γέγονε δὲ πρὸ ια' γενεῶν τῶν

Τρωικῶν, καί φασι μαθητὴν γενέσθαι αὐτὸν Λίνου, βιῶναι δὲ γενεὰς θ'· οἱ δὲ ια' φασίν. ἔγραψε τριασμούς· λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ· ἐν δὲ τούτοις τὰ ἱεροσολικὰ καλούμενα. κλίσεις κοσμικάς, νεοτευκτικά. ἱεροὺς λόγους ἐν ῥαψῳδίαις κδ'· λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου. χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον. τελετάς· ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου· ἐν τούτοις δ' ἔστι περὶ λίθων γλυφῆς, ἥτις ὀγδοηκοντάλιθος ἐπιγράφεται. σωτήρια· ταῦτα Τιμοκλέους τοῦ Συρακουσίου λέγεται καὶ Περσίνου τοῦ Μιλησίου. κρατῆρας· ταῦτα Ζωπύρου φασί. θρονισμοὺς μητρῴους καὶ βακχικά· ταῦτα Νικίου τοῦ Ἐλεάτου φασὶν εἶναι. εἰς Ἅιδου κατάβασιν· ταῦτα Ἡροδίκου τοῦ Περινθίου. πέπλον καὶ δίκτυον· καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου, οἱ δὲ Βροντίνου. ὀνομαστικὸν ἔπη ασ', θεογονίαν ἔπη ασ', ἀστρονομίαν, ἀμοσκοπίαν, θυηπολικόν, ᾠοθυτικὰ ἢ ᾠοσκοπικὰ ἐπικῶς, καταζωστικόν, ὕμνους, κορυβαντικόν· καὶ φυσικά, ἃ Βροντίνου φασίν.

g Ὀρφεύς Ὀδρύσης ἐποποιός. Διονύσιος δὲ τοῦτον οὐδὲ γεγονέναι λέγει· ὅμως ἀναφέρονται εἰς αὐτόν τινα ποιήματα.

ὀρφναίην σκοτεινήν. Hom. K 83.

ὀρφνή, ὀξυτόνως, σκοτία, νὺξ μέλαινα.

ὀρφώς ὁ ἰχθῦς. οἱ δὲ διὰ τοῦ ο μικροῦ. A Vesp. 491.

Ὀρχάδες νῆσοι περὶ τὸν ὠκεανόν.

ὄρχαμος ἡγεμών.

ὀρχάτοις καὶ ὄρχοις στίχοις ἀμπέλων ἢ ἑτέρων φυτῶν, παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν. sch. A Ach. 994.

ὄρχεις πληθυντικόν, καὶ ὀρχείδιον ὑποκοριστικόν.

ὀρχηδόν ὡς ἡβηδόν Ἡρόδοτος ⟨7 144⟩.

ὄρχησις. δύο ὀρχήσεις οἶδεν ὁ Ὅμηρος, τὴν τῶν κυβιστητήρων καὶ τὴν διὰ τῆς σφαίρας. τὴν δὲ σφαιριστικὴν ἔπαιξεν Ἀριστόνικος ὁ Καρύστιος, Ἀλεξάνδρου τοῦ βασιλέως σφαιριστής. Athen. p. 14 et 19.

ὄρχησις παντόμιμος. ταύτην ὁ Αὔγουστος Καῖσαρ ἐφεῦρε, Πυλάδου καὶ Βαθύλλου πρώτων αὐτὴν μετελθόντων ⟨Zosim. 1 6⟩. καὶ Ἀναγαλλὶς --- ἀνατίθησιν ⟨cf. v. Ἀναγαλλίς⟩.

ὀρχήστρα ἡ παλαίστρα. καὶ ὀρχήστριον. καὶ ὀρχηστρίς.

ὀρχομενός [ὄνομα πόλεως. καὶ] ναὸς τῶν εἰδώλων.

ὀρωρεχότες ὀρέγοντες.

ὁρῶ σε.

ὁρῷτο βλέποιτο. Hom. T 132.

ὅσα. τὸ μόριον τοῦτο ἀόριστον ὂν ἄπειρον πλῆθος δηλοῖ ἀριθμοῦ. "ὅσα δὴ δέδηγμαι τὴν καρδίαν" ⟨A Ach. 1⟩.

ὅσα ἰδεῖν· "ἰνδάλματα εἰκασμένα κυσὶν ἔκ τινος θείας ὁρμῆς τοῦτον ἐπιπηδήσαντα οἰκτρῶς, ὅσα ἰδεῖν, διέξυεν," ἀντὶ τοῦ ὅλον.

ὅσα μὲν τῷ δοκεῖν κακοπαθοῦσαι, τὸ δ' ἀληθὲς κακῶν ἀπαλλαγεῖσαι," ἀντὶ τοῦ τῷ μὲν δοκεῖν κακῶς παθοῦσαι, καὶ τὰ ἑξῆς.

ὅσα μὴ ἀπῆν τό γε ἀτρεμεῖν" ⟨Aristid. t. 2 p. 245⟩ ὅσον καὶ ἐφ' ὅσον χρόνον οὐκ ἀπῆν αὐτοῦ τὸ ἀτρεμεῖν.

ὅσα Μῦς ἐν Πίσσῃ. εἴρηται ἡ παροιμία ἐπὶ τῶν μετὰ πολλοῦ κόπου νενικηκότων. οὐκ ἀπὸ τοῦ ζῴου δέ, ἀλλὰ Μῦς ἐγένετο ἀθλητὴς Ταραντῖνος. οὗτος ἐν Πίσσῃ ἀγωνιζόμενος, καὶ πρὸς πολλοὺς ἔχων ἀγωνιστάς, πολλὰς λαβὼν πληγὰς μόλις ἐνίκησεν.

ὁσημέραι διὰ παντός, πάντοτε, καθ' ἡμέραν. ἀντὶ τοῦ ὅσαι ἡμέραι.

ὁσία ἡ ἐπὶ θανάτῳ τιμή, ἢ ἡμέρα.

ὁσίαν κηδείαν, τὴν ἐπὶ νεκροῖς τιμήν· "ἔθαψαν δὲ αὐτούς, μὴ ἀτιμάσαντες νεκροῖς ὁσίαν." καὶ αὖθις "καὶ τὸν νεκρὸν ἔθαψαν, καὶ πάντα ἐπέπρακτο σὺν τῇ ὁσίᾳ." ὅσια δὲ χρήματα τὰ ἱερά.

ὁσίη· "οὐ πολλὴ δ' ἡ χάρις, ἀλλ' ὁσίη," ἀντὶ τοῦ καθαρά, ἐκ ψυχῆς ἀνατεθεῖσα, ἐν ἐπιγράμματι ⟨AP 6 199⟩.

ὁ Σικελικὸς τὴν θάλασσαν. Σικελικός, φασίν, ἔμπορος σῦκα ἄγων ἐναυάγησεν· εἶτα ἐπὶ πέτρας καθήμενος, ὁρῶν τὴν θάλασσαν γαληνιῶσαν, ἔφη "οἶδ' ὃ θέλεις· σῦκα θέλεις." Zenob. 5 51.

ὅσιοι οἱ εὐσεβείᾳ συντεθραμμένοι, κἂν μὴ ἱερεῖς ὦσιν.

ὅσιον. Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονά φησι "καὶ τὰ χρήματα τά τε ἱερὰ καὶ τὰ ὅσια," καὶ Ἰσοκράτης ⟨Areop. 66⟩ "τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις," τὰ δημόσια ὅσια λέγοντες. καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους ⟨120⟩ σαφῶς διδάσκει τοῦτο. Δίδυμος δέ φησι διχῶς λέγεσθαι τὸ ὅσιον, τό τε ἱερὸν καὶ τὸ ἰδιωτικόν. Harp.

ὅσιον χωρίον τὸ βέβηλον καὶ μὴ ἱερόν,

εἰς ὃ ἔξεστιν εἰσιέναι· Ἀριστοφάνης Λυσιστράτῃ (743) "ὦ πότνι' Εἰλείθυι', ἐπίσχες τοῦ τόκου, ἕως ἂν εἰς ὅσιον ἀπέλθω χωρίον." καὶ ὅσια χρήματα τὰ μὴ ἱερά. λέγεται δὲ καὶ τὸ Διονύσιον. καὶ Δαμάσκιος "οὐχ ὅσιόν ἐστι τὰ μεγάλα σοφὸν γενέσθαι τὸν τὰ μικρὰ μὴ δυνάμενον." "ἐπεὶ δ' ὅσιον ἦν ἐπιζητῆσαι τὸν ἀφανῆ γεγονότα ἀδελφόν, τὴν ἐπὶ Καρίας ἐτράπετο."

ὁσιότης ἡ πρὸς θεὸν καθοσίωσις. καὶ ἐκεῖνος ὅσιος ὁ ἑαυτὸν διὰ πίστεως καὶ ἔργων ἀγαθῶν καθοσιώσας καὶ τῷ θεῷ ἀφιερώσας. ὅθεν περὶ τοῦ τὸν θεὸν καταλιμπάνοντος καὶ ἀρνουμένου τὰς πρὸς θεὸν συνθήκας ἔλεγεν ὁ Μωσῆς (Deut. 29 19) "μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, ὅσιά μοι γένοιτο ἐν τῷ ἀποστῆναι ἀπὸ κυρίου." καθάπερ οὖν ὁ τοῦ θεοῦ ἀποστάτης καὶ κακοῦργος ἀνόσιος λέγεται, οὕτως ὁ τῷ θεῷ διὰ πίστεως καὶ ἀγαθοεργίας οἰκειωθεὶς ὅσιος καὶ δίκαιος εἰκότως ὀνομάζεται.

Ὄσιρις. τοῦτον οἱ μὲν λέγουσιν εἶναι τὸν Διόνυσον, οἱ δὲ ἄλλον· ὃν ὑπὸ Τυφῶνος δαίμονος ἐσπαράχθαι, καὶ μέγα πένθος γενέσθαι τοῖς Αἰγυπτίοις, καὶ τοῦ σπαραγμοῦ μνήμην ποιεῖσθαι ἐπὶ πάντα τὸν χρόνον.

ὁσιωθῆναι ἡμέρας λέγουσιν ἐπὶ θανάτῳ τινός, οἷον μὴ ἱερὰς ἀλλὰ ὁσίας νομισθῆναι.

ὁ Σκύθης τὸν ἵππον, ἐπὶ τῶν κρύφα τινὸς ἐφιεμένων, φανερῶς δὲ ἀπωθουμένων καὶ διαπτυόντων. cf. v. ἀκκιζόμενος.

ὀσμή ἡ εὐωδία· (A Av. 1699) "ὀσμὴ ἀνωνόμαστος ἐς βάθος κύκλου χωρεῖ, καλὸν θέαμα· θυμιαμάτων δ' αὖραι διαπνέουσι πλεκτάνην καπνοῦ."

ὅσον βασιλεύτερός εἰμι Ὅμηρος (I 160). τὸ ὅσον ἐνταῦθα οὐκ ἔστι πλήθους ἐμφαντικόν, ἀλλ' ἀντὶ τοῦ καθ' ὅσον εἰμὶ βασιλικώτερος.

ὅσον βιώσιμον ὅσον ζῆσαι.

ὅσον οὐκ ἀποτετέλεστο ἀντὶ τοῦ σχεδόν. "ὅσον οὐκ ἤδη πονήρως τε καὶ ἀθλίως ἀπολουμένων." καὶ αὖθις "ἐκεῖνον γὰρ ὅσον οὐ βασιλεύειν τῆς Ἀσίας."

ὅσον οὔπω ταχύ, μετ' ὀλίγον, ἢ ἀντὶ τοῦ ἤδη. "ὁ δὲ ἅμα ἐνθυμούμενος τὴν ὅσον οὔπω ἀπορίαν τῶν ἀναγκαίων λύει τὴν πολιορκίαν." καὶ αὖθις "πεισεῖσθαι γὰρ ὅσον οὔπω τὴν οἰκίαν." καὶ αὖθις "ὅσον οὔπω προσεδόκα παρεσομένους τοὺς βαρβάρους."

ὀσπήτιον τὸ οἴκημα.

ὄσπριον εἶδος σπέρματος.

Ὀσροηνή ὄνομα πόλεως ἢ τόπου. καὶ Ὀσρόης ὄνομα κύριον.

ὄσσα θεία φήμη. ψιλοῦται. ἐπὶ πάσης φωνῆς.

ὄσσε ὄμματα, ὀφθαλμοί.

ὀσσόμενος ἀνειδωλοποιούμενος, προσδοκῶν. ἢ τοῖς ὀφθαλμοῖς ὑποβλέπων.

ὀστᾶ τροπικῶς οἱ λογισμοί, ἐπειδὴ τὰ ὀστᾶ στεγανωτέραν ἔχουσι φύσιν, καὶ αὐτὰ φέρει τὸ ζῷον (Theodoret. in Ps. 6 2). λέγεται καὶ ὀστέον ὀστοῦν.

Ὀστᾶναι. οὗτοι πρώην παρὰ Πέρσαις Μάγοι ἐλέγοντο, κατὰ διαδοχὴν Ὀστᾶναι. Diog. L. prooem.?

ὀστία παρὰ Ῥωμαίοις ἡ θύρα, καὶ ἐξ αὐτοῦ ὀστιάριος, διὰ τοῦ ο μικροῦ.

ὀστιάριος εἶδος ἀξιώματος.

ὀστίνοις τοῖς αὐλοῖς, ἐπεὶ τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. Ἀριστοφάνης (Ach. 863) "τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός."

ὄστλιγγες αἱ λαμπηδόνες.

ὀστολογεῖν ἐξετάζειν, ἐξερευνᾶν.

ὀστρακισμός. οἱ κακονούστατοι τῷ δήμῳ ἐξωστρακίζοντο καὶ κατεδικάζοντο· ἐν ὀστράκοις γὰρ ἐγράφετο τὸ ὄνομα τοῦ φευξουμένου.

ὀστρακισμὸς φυγῆς διαφέρει, ὅτι τῶν μὲν φυγῆς ἁλόντων αἱ οὐσίαι δημεύονται, τῶν δὲ ὀστρακισμῷ ἀποστάντων οὐκ ἀφαιρεῖται τὰ χρήματα ὁ δῆμος· καὶ τοῖς μὲν χρόνος ἐνδείκνυται καὶ τόπος, οἱ δὲ φεύγοντες οὐδέτερον τούτων ἔχουσιν. sch. A Eq. 851.

ὀστρακόδερμοι ἰχθύες, οἷον ὄστρεα πορφύραι κήρυκες στρόμβοι ἐχῖνοι, ἃ οὔτε θήλεα οὔτε ἀρρενά εἰσιν.

ὀστράκου περιστροφή παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη. Εὐνάπιος (p. 63 Nieb.) "ὥσπερ ὀστράκου μεταπεσόντος ἐπὶ τὸ βέλτιον ἐχώρησε Ῥωμαίοις."

ὄστρεα· "Τραϊανῷ ἐν Πάρθοις ὄντι καὶ τῆς θαλάσσης ἀπέχοντι ἡμερῶν πολλῶν ὁδὸν Ἀπίκιος ὁ ὀψοφάγος ὄστρεα νεαρὰ διεπέμψατο, ὑπὸ σοφίας τεθησαυρισμένα" (Athen. p. 7).

ὀσφραίνομαι γενικῇ.

ὀσφραντικὸν αἰσθητήριόν ἐστιν ἡ κατὰ τὰ ἐμπρόσθια τοῦ ἐγκεφάλου μαστοειδὴς ἀπόφυσις, μετὰ τὰ ἠθμοειδῆ ὀστέα ὡς ἐπὶ τὸ ἔνδον. γίνεται δὲ ἡ ἀντίληψις τῶν ὀσμῶν διὰ τῆς διόσμου τοῦ ἀέρος δυνάμεως (Philo-

pon. in 2 de anima). "κατέκειτ' ὀσφραινόμενος" (A Ran. 490)· οἱ γὰρ ὑπὸ φόβου ἐκλυόμενοι ὀσφρήσει τὸν πόνον παύουσιν· ὁ δὲ πόνος αὐτοῖς ἐκ καρδίας γίνεται.

ὀσφύς.

ὄσχεος ὁ περὶ τὰ αἰδοῖα τόπος.

ὀσχοφόροι δύο ἦσαν τῶν γένει καὶ πλέτῳ προεχόντων. ἡ δὲ ὄσχη κλῆμά ἐςι βότρυς ἐξηρτημένυς ἔχον· ταύτην δ' ἔνιοι ὀρεσχάδα καλῦσιν. Harp.

ὅσῳ καὶ ὁπόσῳ.

ὅσῳ πλέον ἥμισυ παντός. τυτέςι, τὸ ὀλίγον μετὰ δικαιοσύνης τῦ πολλῦ μετὰ ἀδικίας πλείονα ἔχει τὴν ὄνησιν. Ἡσίοδός φησιν (O. 40).

ὅταν σε καιρὸς εἰσάγῃ ὅταν σε καιρὸς καλῇ (S El. 39).

ὅταν σύ πυ ἄλλοσε χάσκῃς ἀντὶ τῦ περὶ ἄλλα τὴν διάνοιαν ἔχῃς (A Eq. 1029).

ὀτέοισιν οἷς τισίν (Hom. O 491).

ὅτι διαμαρτάνει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας (94) λέγων Πλαταιέας γεγράφθαι ἐν τῇ ποικίλῃ ςοᾷ· οὐδεὶς γὰρ τοῦτο εἴρηκεν. Harp.

ὅτι ἑξακισχίλια ἦν τάλαντα τὸ τίμημα τῆς Ἀττικῆς, Δημοσθένης δὲ ἐν τῷ περὶ Συμμοριῶν (30) φησὶν οὕτως "ἡμῖν δὲ τῆς χώρας τὸ τίμημα ὑπάρχειν ἀφορμὴν τὰ ὀκτακισχίλια τάλαντα ἀκούσεται." ἤτοι οὖν γραφικόν ἐςιν ἁμάρτημα, ἢ ἴσως ὁ ῥήτωρ συναρπάζει, ἵνα δοκῇ πλείονα τὴν ἀφορμὴν ἔχειν ἡ πόλις τοῦ πρὸς βασιλέα πολέμου. Harp.

ὅτιή τί ἀντὶ τῦ διὰ τί. τὸ δὲ τί περιττόν. Ἀριςοφάνης Νεφέλαις (782).

ὅτι μ' εἰδέναι ἀντὶ τοῦ ὅσον ἐμὲ εἰδέναι· "ἄκυν πονηρά γ' ἐςίν, ὅτι κἄμ' εἰδέναι" (A Eccl. 371).

ὅτι νόμος ἐςὶν ὑπὲρ μ' ἔτη γενόμενον χορηγεῖν παισίν. Harp.

ὅτι ξένυς τινὰς ἑαυτῦ αἰχμαλώτυς, σκάπτοντας ἐν τῷ Φιλίππυ ἀμπελυργίῳ καὶ δεδεμένους, παρὰ πότον ἐξῃτήσατο παρὰ Φιλίππυ Σάτυρος, Αἰσχίνης μὲν ἐν τῷ παραπρεσβείας (156) φησίν. ὁ δὲ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνυ (193) λέγει ὅτι τὰς Ἀπολλοφάνυς θυγατέρας ἐξῃτήσατο, καὶ ἔοικε μᾶλλον ἀληθεύειν· καὶ γὰρ Ἀριςοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον ἐπιςολῶν λέγει "Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν." Harp.

ὅτι οἱ ἁλόντες ἐπ' ἀκυσίῳ φόνῳ εἶχον ἐξυσίαν εἰς διοίκησιν τῶν ἰδίων, Δημοσθένης τε ἐν τῷ κατὰ Ἀριςοκράτυς ὑποσημαίνει καὶ Θεόφραςος ἐν τῷ ιγ' τῶν Νόμων. Harp.

ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίυς καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένυ. Harp.

ὅτι παιδὶ καὶ γυναικὶ ὐκ ἐξῆν συμβάλλειν πέρα μεδίμνυ κριθῶν. Harp.

ὅτι περ ἔςιν ὄφελος ἐν τῇ πόλει Ἀριςοφάνης (Eccl. 52), τυτέςιν εὐγενεῖς. Harp.

ὅτι πρὸς τὴν φυλὴν τῦ κτησαμένυ αἱ πρὸς τὺς δύλυς λαγχάνονται δίκαι. Harp.

ὅτι ῥα ὅτι δή.

ὅτι τὰ ἐπικηρυττόμενά τισι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο. Harp.

ὅτι χιλίας ἐζημιῦντο αἱ κατὰ τὰς ὁδὺς ἀκοσμῦσαι γυναῖκες. Harp.

ὀτλήσοντες ὑπομενῦντες, κακοπαθήσοντες. ἐν ἐπιγράμματι (AP 5 226) "ἔνδικον ὀτλήσοντες ἀεὶ πόνον· ἐξ ὑμέων γὰρ φεῦ πυρὸς ἐς τόσσην ἤλθομεν ἐργασίην."

ὄτλος ἡ κακοπάθεια, καὶ ὀτλεύω τὸ κακοπαθῶ· "τάλας, ἐφώνει, μόχθον οἷον ὀτλεύεις."

ὄτοβον ὅμαδον, ἦχον· "ὅτε γλυκὺν αὐλῶν ὄτοβον" (S Ai. 1202). καὶ αὖθις (OC 1478) "περιΐςαται διαπρύσιος ὄτοβος."

ὀτοτύζειν θρηνεῖν.

ὅτυ χάριν τίνος ἕνεκεν.

ὀτραλέως σπυδαίως.

ὁ τρέσας. ὁ Ἀριςόδημος ὕτως ἐκλήθη, ὃς σὺν Εὐρύτῳ τὺς ὀφθαλμοὺς νοσῶν οὐκ ἐκοινώνησε τῆς τῶν Περσῶν μάχης. cf. Herodot. 7 229.

Ὀτρῆος. Hom. Γ 186.

ὀτρηρός ταχύς, δραςήριος, ὀξύτατος.

ὄτριχας ὁμοιότριχας. Hom. B 765.

ὀτρυγήφατος ὁ δημητριακὸς καρπός. Archiloch. fr. 96.

ὁ τρυγίας, παρὰ τῇ γραφῇ (Ps. 74 9), τὸ ἔσχατον τῆς ὀργῆς.

ὁ τρύγοιπος ταῦτα πάντ' ἰάσεται (A Plut. 1088), ἐπὶ τῶν χρηςὰ ἐπαγγελλομένων περὶ τινῶν ὑποθέσεων.

ὀτρύνοντος κελεύοντος. καὶ ὀτρύνω αἰτιατικῇ.

ὄττα φήμη, μαντεία, θεία κληδών. καὶ ὀττεύεσθαι τὸ μαντεύεσθαι· "ὃ δὲ τὸ μελ-

λον ἐμφρόνως ὀττευσάμενος εἰς ἔννοιαν ἦλθε τὴν φρουρὰν ἀποτρίψασθαι τὴν παρὰ Πτολεμαίου."

ὀττεία ἡ μαντεία.

ὀττευομένη κληδονιζομένη, οἰωνιζομένη, μαντευομένη (A Lys. 597). "ἐξ αὐτῆς δὲ τῆς τῶν πρέσβεων ἐμφάσεως ὀττευόμενοι εἰς παντοδαπὰς οἰμωγὰς καὶ θρήνους ἐνέπιπτον." ἤτοι ὀρνεοσκοποῦντες.

ὀττευσάμενος οἰωνισάμενος, μαντευσάμενος.

ὅτῳ γὰρ φίλον ᾧ τινὶ ἀρέσκει· "ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα, κεῖνός τ' ἐκεῖνα στεργέτω κἀγὼ τάδε" (S Ai. 1038). καὶ "ὅτῳ ἂν αὐτὸν τιμωρήσαιντο" ἀντὶ τοῦ πῶς καὶ ᾧ τινί.

a οὗ τοπικὸν ἐπίρρημα, ἀντὶ τοῦ ὅπου. (S OC 19) "οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου· μακρὰν γὰρ ὡς γέροντι προυστάλης ὁδόν," ἀντὶ τοῦ προῆλθες μακροτάτην ὁδὸν ἢ ὡς ἔπρεπε γέροντι. καὶ αὖθις "δειξάτω οὗ κεῖται Ὁμήρου ῥαψῳδιῶν ὁ στίχος. ἀλλ' οὐδ' ἂν Ἴωνα δοκῶ τὸν ῥαψῳδὸν ἐξευρεῖν" (Synes. p. 82).

b οὗ. ὅτι δισσῶς τὸ οὗ ἕνεκα λέγεται, τό τε οὗ καὶ τὸ ᾧ. ἡ μὲν γὰρ ψυχή, φησί, τέλος ὡς οὗ, τὸ δὲ ζῷον ὡς ᾧ. ποιεῖ γὰρ τὸ ὀργανικὸν σῶμα ἡ φύσις τῆς μὲν ψυχῆς ἕνεκα, ἵνα χρῆται αὐτῷ ὡς τέλος ἡ ψυχὴ ὡς οὗ. τέλος δὲ ὡς ᾧ, τὸ ἔμψυχον· ὥστε γὰρ ἀνεμποδίστους εἶναι τῷ ζῴῳ τὰς ἐνεργείας, πάντα ποιεῖ ἡ φύσις. ἢ τοίνυν οὕτως τὸ οὗ καὶ τὸ ᾧ, ἢ ἄλλως. οὗ μὲν ἕνεκα, τῆς κοσμοποιίας καὶ τῆς ἀιδιότητος· τούτου γὰρ πάντα ἐφίεται. ᾧ δέ, τῇ ψυχῇ· ταύτῃ γὰρ παρασκευάζει εἰς χρῆσιν τὸ ὄργανον. ὅπερ καὶ μᾶλλόν ἐστιν ἀληθέστερον. Philopon. in 2 de anima.

a Οὐαλεντινιανὸς Ῥωμαίων βασιλεύς, χριστιανὸς ὢν καὶ τὰ τοῦ ὁμοουσίου φρονῶν, οὐδὲν τοὺς ἐναντίους ἠδίκει. ἐγένετο δὲ καὶ πρὸς τὸ νομοθετεῖν ἑτοιμότατος, φροντίζων καὶ τῆς τῶν θησαυρῶν δικαίας ὑποδοχῆς, πρὸς δὲ ταῖς τῶν ἀρχόντων αἱρέσεσιν ἀκριβὴς καὶ τιμωρὸς τῶν ἀπειθούντων ἀπαραίτητος, ἐπί τε τοῖς πολέμοις ἄριστος. ὁ δὲ Οὐάλης τῆς Ἀρείου δόξης μεταποιούμενος πολλοὺς ἐξορίαις ὑπέβαλε, καθ' ὃν χρόνον τῆς μὲν ἐν Ῥώμῃ ἐκκλησίας Λιβέριος προειστήκει, τῆς δὲ ἐν Ἀλεξανδρείᾳ Ἀθανάσιος καὶ τῆς ἐν Κωνσταντινουπόλει Εὐδόξιος, τῆς Ἀρείου θρησκείας διδάσκαλος. Io. Antioch. p. 846.

b Οὐαλεντινιανὸς βασιλεὺς Ῥωμαίων. οὗτος διὰ τῆς μητρὸς Ἰουστίνης παρετράπη τῆς ὀρθῆς πίστεως καὶ ἐξεβλήθη τῆς βασιλείας, καὶ ἐλθὼν πρὸς Θεοδόσιον ἐπαιδεύθη τὴν ὀρθὴν πίστιν. ἔλεγε γὰρ αὐτῷ ὁ Θεοδόσιος τὴν βασιλικὴν παράταξιν ἐστάναι οὐ δι' ὅπλων ἀλλ' ἐξ ἀγαθῶν προφάσεων. καὶ "οἶδα" φησίν, "Οὐαλεντινιανέ, παρὰ τῶν εὐσεβεστάτων βασιλέων ἡσυχάζοντος τοῦ στρατοπέδου τὴν νίκην κατορθωθεῖσαν, καὶ τοὺς πολεμίους ὑποταγέντας ὑποτελεῖς γεγενῆσθαι οὐ προλαβόντος κινδύνου. οὕτω καὶ Κωνσταντῖνος ὁ μέγας ἀνορθωθεὶς Λικίνιον τὸν τύραννον ἐν ναυαγίῳ διέφθειρεν· οὕτω καὶ Οὐαλεντινιανὸς ὁ σὸς πατὴρ εὐτυχέστερον τὴν βασιλείαν καὶ ἀβλαβῆ παρὰ τῶν πολεμίων ἰθύνων διετέλεσε, τοῦ θεοῦ ἐκδικοῦντος αὐτόν, καὶ μάχας ἀναριθμήτους καὶ νίκας ἀπίστους ἐδέξατο, πολλοὺς βαρβάρους διαφόρως ἀνελών. Οὐάλης δὲ ὁ θεῖος ὁ σὸς τὸν θεὸν διασπαράττων ἐμίανε τὴν ἐκκλησίαν ὁ βέβηλος διὰ τῆς σφαγῆς τῶν ἁγίων καὶ ἐξορίας τῶν ἱερέων· ὃς τῇ τοῦ θεοῦ βουλήσει ὑπὸ τῶν Γότθων πολιορκηθεὶς ἐκαύθη. ὀρθῶς τὸν Χριστὸν σέβει ὁ ἀδίκως σε ἐκβαλών. ἡ σὴ ἀπιστία Μαξίμῳ εὐχέρειαν συνήνεγκεν. εἰ τὸν Χριστὸν βλάπτομεν, τίνα παρακαλέσομεν μαχόμενοι;" ταῦτα καὶ πλείω τούτων νουθετήσας Θεοδόσιος Οὐαλεντινιανὸν εἰς τὴν ὀρθὴν πίστιν μετήγαγεν.

Οὐάλης βασιλεὺς Ῥωμαίων, ὃς κακοδοξῶν καὶ συγκροτῶν τοὺς αἱρετικοὺς εἰς τὴν ὁδὸν τῶν ἰδίων πατέρων ἐπορεύετο· καὶ γὰρ ἐπισκόπους εἰς ἐξορίαν ἔπεμπε καὶ πρεσβυτέρους καὶ διακόνους καὶ μοναχούς, Τατιανοῦ τότε ἄρχοντος Ἀλεξανδρείας, καὶ πολλοὺς τῶν χριστιανῶν ἐβασάνισε, καί τινας πυρὶ παρέδωκε. ταῦτα δὲ πάντα μετὰ τὴν τελευτὴν Ἀθανασίου. οἱ οὖν ἐν Κωνσταντινουπόλει ὀρθόδοξοι, ἐλεηθήσεσθαι νομίζοντες ὑπὸ Οὐάλεντος, πρεσβείαν ἔστειλαν πρὸς αὐτὸν ἐν Νικομηδείᾳ τυγχάνοντα, ὀγδοήκοντα ἱερατικοὺς ἄνδρας, ὧν ἡγοῦντο Θεόδωρος καὶ Κουρβασὸς καὶ Μενέδημος· οὓς ἅπαντας σὺν τῷ πλοίῳ ὑφαφθῆναι προσέταξε. καὶ πάντες σὺν τῇ νηὶ κατεφλέχθησαν, μέχρι Δακιβίζων τοῦ πλοίου διαρκέσαντος, κἀκεῖσε διαλυθέντος.

ἐπὶ τοῦ βδελυροῦ Οὐάλεντος Λούκιός τις ἐπίσκοπος, τῆς τῶν Ἀρειανῶν αἱρέσεως, παρα-

χρῆμα ὡς λύκος τῇ ἐκκλησίᾳ ἐπεπήδησεν. ὁ δὲ Πέτρος εἰς τὴν Ῥώμην ἀπέφυγεν. ὁ δὲ Δέκιος τοιαῦτα ἐνεδείξατο οἷα οὐδὲ ἐν τοῖς διωγμοῖς τῶν Ἑλλήνων ἐγένετο· τρεῖς γὰρ χιλιάδας ἀπέστειλε κατὰ τὴν ἔρημον ἀναιροῦντας καὶ πορθοῦντας τοὺς θεοσεβεῖς ἄνδρας.

οὐ̃ ἀρᾶς οὐ̃ τινὸς κατάρας.

Οὖαρος Λαοδικεὺς σοφιστής, σύγχρονος Πολέμωνος καὶ ἄλλων.

Οὐάρωνος ὄνομα κύριον.

οὐ γὰρ ἄκανθαι. λεγόμενον ἐπὶ τῶν ὠφελίμων, ἀπὸ τῆς τοῦ βίου εἰς τὸ ἡμερώτερον μεταβολῆς. cf. v. ἀληλεσμένος βίος.

οὐ γὰρ ἀλλά Ἀριστοφάνης ἐν Νεφέλαις ⟨233⟩ ἀντὶ τοῦ καὶ γάρ, ἀττικῶς· ὡς Καλλίμαχος "ἀκούσαθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἥκω" ἀντὶ τοῦ καὶ γὰρ ἥκω. καὶ ἐν Βατράχοις ⟨58⟩ ἀντὶ τοῦ ἔχω γὰρ κακῶς, ὃ δὲ εἶπεν οὐ γὰρ ἀλλ' ἔχω κακῶς. τὸ δὲ ἀλλά παρέλκει. καὶ ⟨501⟩ "οὐ γὰρ ἀλλὰ πειστέον" ἀντὶ τοῦ καὶ γὰρ πειστέον. οὐδαμῶς, φησίν, ὀφείλεις λέγειν, ἀλλὰ καὶ διδόναι, ἵνα σοι πιστεύσω ὅτι ἀληθῶς ἐπαγγέλλῃ μοι αὐτὰ διδόναι. καὶ ἐν Θεσμοφοριαζούσαις ⟨Eccl. 386⟩ "οὐ γὰρ ἀλλ' ὑπερφυῶς ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡκκλησία."

οὐ γάρ μοῦστιν ἀλλ' ἀκουστέα. τὸ τέλειον, οὐ γὰρ ἀλλά μοί ἐστιν ἀκουστέα, ἀντὶ τοῦ πάνυ γάρ. Ἀριστοφάνης Βατράχοις ⟨1211⟩. καὶ ἐν Ἱππεῦσιν ⟨1210⟩ "ἄπιθ'· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις" ἀντὶ τοῦ καὶ γὰρ τοῦ παραθέντος ἡ χάρις.

οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς ⟨A Plut. 600⟩. καθ' ὑπερβολὴν λέγει. κἂν πείσῃς, οὐκ ἕξεις ἡμᾶς πειθομένους.

οὐδαμά· "καὶ μέντοι τῆς ἀδείας Ἐπίκουρος ἠνέγκατο μισθὸν οὐδαμὰ οὐδαμῇ μεμπτόν." cf. v. Ἐπίκουρος.

οὐδαμῇ ἀντὶ τοῦ οὐδαμόθι Τηλεκλείδης Ἡσιόδῳ. Αἰλιανός "ὃ δὲ ἀποκτείνει αὐτούς, καὶ περιστυλᾷ ὅσα ἐπηγάγοντο. ἦν δὲ κόσμος καὶ σκεύη περὶ τὴν τέχνην τὴν ἑκατέρου οὐδαμῇ εὐκαταφρόνητα." καὶ αὖθις "καὶ μαρτύρια ἐπάγονται οὐδαμῇ ἄσημα."

οὐδαμινός.

οὐδαμῶς κατ' οὐδένα τρόπον.

οὐδ' ἀπὸ γείσων ὕσεν, ἐπὶ τοῦ ἐλαχίστου.

οὐδὲ γρῦ λόγων ἁψάμενος, ὅσα γε εἰκός ἐστι ταῖς ἐπιστολαῖς σου τεκμήρασθαι" Ἰουλιανός ⟨ep. 59⟩.

οὐδὲ Ἡρακλῆς πρὸς δύο. τοὺς Μολιονίδας ἔφυγε. Δίων δὲ ἐν δευτέρῳ τῆς δευτέρας συντάξεως Ἡρακλέα τὸν Ἰδαῖον Δάκτυλον, καταδείξαντα Ὀλύμπια, πρὸς δύο διαπυκτεύσαντα ἡττηθῆναι. cf. v. οὐδὲν Ἡρακλῆς.

οὐδεναιός πολυχρόνιος (immo οὐ δηναιός οὐ χρόνιος).

οὖδει ⟨Hom. E 734⟩ ἐδάφει.

οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ χρέας."

οὐδεὶς κομήτης ὅστις οὐ περαίνεται" ⟨ap. Synes. ep. 104⟩.

οὐδεὶς οἶδεν τὸν θησαυρὸν τὸν ἐμὸν πλὴν εἴ τις ἄρ' ὄρνις" ⟨A Av. 602⟩. παροιμιακόν· οὐδεὶς οἶδε τί ὡμίλησα, πλήν γε εἴ τις ὄρνις, ἐπὶ τῶν ἀγνώστων. πάλιν· οὐδείς με θεωρεῖ πλὴν ὁ παριπτάμενος ὄρνις. Ἀριστοφάνης.

οὐδὲν ἀνῆκε. περισσὸν τὸ δεν, ἀντὶ τοῦ οὐκ ἀνῆκεν. "οὐδὲν ἀνῆκεν εὔνους τε τῇ πατρίδι τῇ ἑαυτοῦ."

οὐδὲν ἀνίει· "αὐτός τε οὐδὲν ἀνίει, παράδειγμα ἑαυτὸν ἐπιδεικνὺς τῆς τε ἄλλης ἀσκήσεως καὶ παντὸς ἔργου στρατιωτικοῦ." καὶ αὖθις "οὐδέν τι πλεῖον ἀνίει ὁ νεανίας τάς τε προσβολὰς ἀνακόπτων καὶ πᾶσαν βουλὴν ἀμυντηρίων διανοούμενος."

οὐδὲν ἀπὸ τρόπου ἀντὶ τοῦ οὐκ ἀπεικός Ἀττικοί.

οὐδὲν γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου" ⟨Demosth. 21 46⟩. οὐ γὰρ τοιοῦτο ἐγὼ δύναμαι εἰπεῖν οἷον ὁ νόμος.

οὐδὲν γὰρ οἷον, ὦ φίλη Λυσιστράτη" ⟨A Lys. 135⟩ ἀντὶ τοῦ τὸ κωλῦον.

οὐδὲν δὲ οἷόν ἐστ' ἀκοῦσαι τῶν ἐπῶν ⟨A Av. 967⟩, τουτέστιν οὐδὲν κωλῦόν ἐστι καὶ νῦν ἀκοῦσαι τῶν χρησμῶν. οὕτως ἔλεγον τὸ λυσιτελοῦν, οὐδὲν οἷον, οὐδὲν κωλῦον.

οὐδ' ἐν δέρματι ἀντὶ τοῦ γυμνός, ὑπερβολικῶς.

οὐδὲν ἔλαττον. "ὃ δὲ ἐκήλει τοὺς ἀκούοντας οὐδὲν ἔλαττον, εἰ μὴ καὶ πλέον, ἢ Ὀδυσσεὺς ὁ Ὁμήρου τοὺς Φαίακας. ὁ μέν γε Ἀλκίνοος ἀπολογίας (an Ἀλκίνου ἀπόλογος μυθολογίας) μεστὸς ἐν μὲν ὑπονοίαις ἀληθευούσης, ἐν δὲ τῷ φανερῷ διαβεβλημένης εἰς τὸ ψευδέστερον."

οὐδὲν ἐξ ἀγροῦ λέγεις ἀντὶ τοῦ οὐδὲν εὐτελὲς ἢ κοινόν.

οὐδένες οἱ οὐδαμινοὶ τῶν ἀνθρώπων, καὶ οὐδένεια ἡ ἀπανθρωπία.

οὐδέν ἐς' ἄμεινον, οὐδ' ἥδιον, ἢ φῦσαι πτερά" (A Av. 786).

οὐδέν ἐςι θηρίον γυναικὸς ἀμαχώτερον, οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πάρδαλις" (A Lys. 1014).

οὐδὲν ἦλθε ῥαψαμένη σκύτινον καθειμένον" (A Nub. 534). *παρέλκει τὸ δεν· ἤθελε γὰρ εἰπεῖν "ὀκ ἦλθε," συνήθως. καὶ αὖθις* (A Vesp. 1469) *"ὀρχόμενος τῆς νυκτὸς οὐδὲν παύεται." παρέλκει τὸ δεν. καὶ "οὐδὲν ἐπαύετο ἀεὶ τοῖς βιβλίοις ἐνδιαιτώμενος." παρέλκει τὸ δεν.*

οὐδὲν ἦν παρὰ τἆλλα πλὴν ὁ χρυσός. Pythermus ap. Athen. p. 625 E.

οὐδὲν Ἡρακλῆς πρὸς δύο. φασὶν Ἡρακλέα θέντα τὸν Ὀλυμπιακὸν ἀγῶνα, πιςεύσαντά τε τῇ ἑαυτοῦ δυνάμει, τῇ προτέρᾳ πενταετηρίδι πυκτεῦσαι πρὸς δύο, Κτέατον καὶ Εὔρυτον τοὺς Ποσειδῶνος καὶ Μολιόνης παῖδας, καὶ ἀνελεῖν αὐτὸς, τῇ δευτέρᾳ δὲ πάλιν ὁμοίως πρός τινας δύο πυκτεύσαντα ἡττηθῆναι.

οὐδὲν ἧττον ἀντὶ τȣ ἴσον, ὅμοιον. (Damasc. Phot. p. 345 a 25) *"φιλοσοφȣντος ȣκ ἔςι μαντικὴν ἐπαγγέλλεσθαι καὶ προφέρειν, ȣδὲ τὴν ἄλλην ἱερατικὴν ἐπιςήμην· χωρὶς γὰρ τὰ τῶν φιλοσόφων καὶ τὰ τῶν ἱερέων ὁρίσματα, οὐδὲν ἧττον ἢ τὰ λεγόμενα Μυσῶν καὶ Φρυγῶν."*

οὐδὲν ἱερόν Ἡρακλῆς εἶπεν Ἀδώνιδος ἰδὼν ξόανον, ὡς τῶν εὐεργετησάντων τοὺς ἀνθρώπȣς μόνων ὀφειλόντων τιμᾶσθαι. ἢ ὅτι οἱ καταφυγόντες εἰς αὐτὸ δȣλοι ἄδειαν οὐκ εἶχον.

οὐδενὶ σὺν νῷ, τȣτέςιν ἀφρόνως· "ὅς γε καὶ τὴν ςρατηγίαν οὐδενὶ σὺν νῷ ποιησάμενος φαίνεται."

οὐδενί τῳ ἄλλῳ οὐδενί τινι.

οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος ἢ σκυτοτομεῖν, ἐπὶ τῶν εἰς μηδὲν λυσιτελούντων, παρ' ὅσον οἱ μέλανες τῶν λευκῶν λυσιτελέςεροι.

οὐδὲν μᾶλλον. ὅτι οἱ σκεπτικοί, τουτέςιν οἱ Πυρρώνειοι, τὰ τῶν αἱρέσεων δόγματα πάντα ἀνατρέποντες αὐτοὶ ȣδὲν ἀποφαίνονται δογματικῶς, προφέρονται δὲ ἀποφάσεις εἰς μήνυσιν τῆς ἀπροπτωσίας, ὡς εἰ καὶ νεύσαντας τοῦτο ἐνεδέχετο δηλῶσαι. διὰ τῆς "οὐδὲν ὁρίζομεν" φωνῆς τὸ τῆς ἀρρεψίας πάθος δηλȣται· ὁμοίως δὲ καὶ διὰ τῆς "ȣδὲν μᾶλλον" καὶ τῆς "παντὶ λόγῳ λόγος ἀντίκειται," καὶ ταῖς ὁμοίαις. λέγεται δὲ τὸ οὐδὲν μᾶλλον καὶ θετικῶς, ὡς ὁμοίων τινῶν ὄντων, οἷον "οὐδὲν μᾶλλον ὁ πειρατὴς κακός ἐςιν ἢ ὁ ψεύςης." ὑπὸ δὲ τῶν σκεπτικῶν οὐ θετικῶς ἀλλ' ἀναιρετικῶς λέγεται, ὡς ὑπὸ τȣ ἀνασκευάζοντος καὶ λέγοντος "οὐ μᾶλλον ἡ Σκύλλα γέγονεν ἢ Χίμαιρα." αὐτὸ δὲ τὸ μᾶλλον ποτὲ μὲν συγκριτικῶς ἐκφέρεται, ὡς ὅταν φῶμεν μᾶλλον τὸ μέλι γλυκὺ ἢ τὴν ςαφίδα, ποτὲ δὲ θετικῶς καὶ ἀναιρετικῶς, ὡς ὅταν λέγωμεν "μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ ἢ βλάπτει·" σημαίνομεν γὰρ ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ' οὔ. ἀναιροῦσι δὲ οἱ σκεπτικοὶ καὶ αὐτὴν τὴν οὐδὲν μᾶλλον φωνήν· ὡς γὰρ "οὐ μᾶλλον ἔςι πρόνοια ἢ οὐκ ἔςιν," οὕτω καὶ τὸ "οὐδὲν μᾶλλον ἔςιν ἢ ȣκ ἔςι." σημαίνει οὖν ἡ φωνὴ τὸ μηδὲν ὁρίζειν ἀλλ' ἀπροσθετεῖν. ἡ δὲ "παντὶ λόγῳ" φωνὴ καὶ αὐτὴ συνάγει τὴν ἐποχήν· τῶν μὲν γὰρ πραγμάτων διαφωνȣντων, τῶν δὲ λόγων ἰσοσθενȣντων, ἀγνωσία τῆς ἀληθείας ἐπακολȣθεῖ. εἰσὶ δὲ δέκα τρόποι καθ' οὓς τὰ ὑποκείμενα παραλλάττοντα ἀπεφαίνετο. Diog. L. 9 74.

οὐδὲν μέλον αὐτῷ· "τὸ δὲ τῶν Ῥωμαίων ἄθροισμα ἀπόμαχον ἦν, οὐδὲν μέλον αὐτῷ περὶ ἀλλοτρίου πράγματος, τῶν γινομένων τὴν φροντίδα τιθέμενον."

"ὁ δὲ οὐδὲν ὅ τι οὐχ ἑτοίμως τȣν προταθέντων ἔσχε συνθέσθαι, οὐχ ὅτι καὶ ἐμμένειν αὐτοῖς ἔμελλεν, ἀλλ' ἵνα ἐκ τῶν παρόντων ἀναπνεύσῃ."

οὐδὲν πρὸς ἔπος ἀντὶ τοῦ ὡς ἔτυχεν, ἕνεκα μηδενός· "οὐδὲν πρὸς ἔπος ȣτως ἀνοήτως ἐκβαλῶ, πρὶν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ' ὅπως ἔχει."

οὐδὲν πρὸς τὸν Διόνυσον. Ἐπιγένȣς τοῦ Σικυωνίȣ τραγῳδίαν εἰς τὸν Διόνυσον ποιήσαντος ἐπεφώνησάν τινες τοῦτο· ὅθεν ἡ παροιμία. βέλτιον δὲ οὕτως. τὸ πρόσθεν εἰς τὸν Διόνυσον γράφοντες τούτοις ἠγωνίζοντο, ἅπερ καὶ σατυρικὰ ἐλέγετο· ὕςερον δὲ μεταβάντες εἰς τὸ τραγῳδίας γράφειν, κατὰ μικρὸν εἰς μύθȣς καὶ ἱςορίας ἐτράπησαν, μηκέτι τοῦ Διονύσȣ μνημονεύοντες· ὅθεν τȣτο καὶ ἐπεφώνησαν. καὶ Χαμαιλέων ἐν τῷ περὶ Θέσπιδος τὰ παραπλήσια ἱςορεῖ. Θεαίτητος δὲ ἐν τῷ περὶ παροιμίας Παρράσιόν φησι τὸν ζωγράφον ἀγωνιζόμενον παρὰ Κορινθίοις ποιῆσαι Διόνυσον κάλλιςον· τȣς δὲ ὁρῶντας

τά τε τῶν ἀνταγωνιςῶν ἔργα, ἃ κατὰ πολὺ ἐλείπετο, καὶ τὸν τοῦ Παῤῥασίου Διόνυσον ἐπιφωνεῖν "τί πρὸς τὸν Διόνυσον;" ἐπὶ τῶν μὴ τὰ προσήκοντα τοῖς ὑποκειμένοις φλυαρούντων. καὶ αὖθις "τὸν Κόροιβον Ὀδυσσέα φήσας εἶναι τὸν πολύτροπον, καίτοι μὴ πρὸς τοῦτο παράδειγμα φέρων, τῇ φάτνῃ προσάγεις τὸν κύνα, καὶ πρὸς τὸν Διόνυσον ἄγεις οὐδέν."

οὐδὲν προτιμῶ σȣ ἀντὶ τȣ̃ ȣ̓ φροντίζω σȣ. ἡ φράσις Ἀττική. Ἀριςοφάνης Πλέτῳ (884) "φορῶ γὰρ τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμȣ δραχμῆς." Εὔδαμος δὲ φιλόσοφος ἦν.

οὐδ' ἐν σελίνοις (A Vesp. 478), ἐπὶ τῶν μηδὲ τὴν ἀρχὴν πεφθακότων, ἀπὸ τῶν εἰς τοὺς κήπȣς ἰόντων· ἐπὶ γὰρ τὰ ἄκρα, τοὺς λεγομένȣς περικήπȣς, σέλινα καὶ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν ἡ παροιμία, οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος, καθάπερ οὐδὲ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσί.

οὐδέν τι πλέον εἶχον ἀνύειν οἱ βάρβαροι. οὗ τοι ᾤοντο χρῆναι μὴ ȣ̓χὶ γενναιότατα συμπλέκεσθαι τοῖς πολεμίοις."

οὐδὲν φρονεῖ δίκαιον ἐςυκὼς ἀνήρ.

οὐ δέον οὐ πρέπον· "ἐκςῆναι τῶν χωρίων ὧν Θευδίβερτος οὐ δέον ἐπιβατεῦσαι διὰ σπουδῆς ἔσχεν" (Procop. Goth. 4 24).

οὐδέποτ' ἐγὼ τοῦτον ··· ἐςιαθήσεται ὁ τοιȣ̃τος. παροίνιος δὲ ὁ μέθυσος καὶ ὑβριςής. cf. v. πάροινος.

οὐδὲ πυρφόρος. ὅταν πολλοὺς ἀποφῆναι βουλώμεθα τοὺς τελευτήσαντας, λέγομεν ὅτι οὐδὲ πυρφόρος ὑπελείφθη, οἷον οὐδὲ ὁ τὸ πῦρ οἴσων εἰς τὴν πόλιν, καθάπερ εἰ ἐλέγομεν, οὐδὲ σκηνοφύλαξ ἤ τις τῶν παραπλησίων.

οὐδὲ πυρφόρος ἐλείφθη. ἐπὶ τῶν μεγάλων κινδύνων εἴρηται ἡ παροιμία, ἐπειδὴ πάσης πολεμικῆς παρασκευῆς ἔδει τὸν μάντιν ἡγεῖσθαι δάφνης ἔχοντα κλάδȣς καὶ σέμματα καὶ λαμπάδα, καὶ τούτȣ νόμος ἦν μόνου φείδεσθαι τοὺς πολεμίους. ἐπὶ τοίνυν τῶν πανωλεθρίᾳ διεφθαρμένων καιρὸν ἔσχεν ἡ παροιμία. Zenob. 5 34. cf. v. πυρφόρος.

οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς" (S Ai. 439) πιθανῶς τὸ μὴ εἰπεῖν πλείονα τȣ̃ πατρὸς κακοπαθῆσαι, ἀλλὰ μὴ ἐλάττονα.

οὐδὲ τἀρχαῖον ποιεῖ.

οὐδὲ τὰ τρία Στησιχόρου γινώσκεις. ἐπὶ τῶν ἀπαιδεύτων καὶ ἀμούσων εἴρηται ἡ παροιμία, ἐπειδὴ εὐδόκιμος ἦν.

οὐδὲ χαίρω βατίσιν οὐδ' ἐγχέλυσιν, ἀλλ' ἥδιον ἂν δικίδιον σμικρὸν φάγοιμ' ἂν ἐν λοπάδι πεπνιγμένον" (A Vesp. 508). λοπὰς δὲ τὸ τήγανον.

οὐ δήπου μ' ἀφελέσθαι διανοῇ ἅδωκας αὐτός; ȣ̓ τάχ', ἀλλ' ἤδη ποιῶ" (A Ran. 529) ἀντὶ τοῦ, ὄντως διανοῇ ὥςε ἀφελέσθαι τὰ ὅπλα με; ἡ γὰρ οὐ ἄρνησις συγκατάθεσιν δηλοῖ. οὐδ' ὅλως, φησί, διανοȣ̃μαι, ἀλλ' ἤδη αὐτὰ ἀφαιροῦμαι. οἷον οὐ διςάζω.

οὐ διαφρήσετε ἀντὶ τοῦ οὐ διαφορήσετε, οὐδὲ διαπέμψεσθε, Ἀριςοφάνης (Av. 193).

οὐδ' ἴκταρ βάλλει. εἴρηται δὲ κατὰ γλῶτταν, ὥσπερ τὸ διωλύγιον, ἀντὶ τȣ̃ ȣ̓δὲ μικρὸν ἐξισάζει.

οὐδ' ὅλως οὐδαμῶς.

οὐδός φλιά, βατήρ, τὸ κάτω τῆς θύρας ἢ ἔδαφος ἢ βαθμός.

οὐδ' ὑφ' ἑνων Ἀττικοὶ ἀντὶ τοῦ ὑπ' οὐδένων λέγουσιν ὑπερβιβάζοντες.

οὐδ' ὥς οὐδαμῶς δή.

οὐ ἕθεν οὐ τινὸς ἕνεκα.

Οὐεργίλιος ὄνομα κύριον.

Οὐεσπεσιανός ὄνομα κύριον.

Οὐετουρία ὄνομα κύριον.

Οὐηςῖνος Ἰούλιος χρηματίσας, σοφιςής, ἐπιτομὴν τῶν Παμφίλȣ γλωσσῶν, βίβλȣς δ', ἐκλογὴν ὀνομάτων ἐκ τῶν Δημοσθένȣς βιβλίων, ἐκλογὴν ἐκ τῶν Θȣκυδίδȣ Ἰσαίȣ Ἰσοκράτȣς καὶ Θρασυμάχȣ τȣ̃ ῥήτορος καὶ τῶν ἄλλων ῥητόρων.

οὖθαρ τὸ γονιμώτατον μέλος.

οὔθατα οἱ μαζοὶ τῶν προβάτων. Hom. ι 440.

οὐ θᾶττον ἐγκονήσεις; οὐ ταχύτερον ἐνεργήσεις; A Av. 1313.

οὐ θελήσει οὐ δυνήσεται. Ὅμηρος (Φ 366) "οὐδ' ἔθελε προρέειν," ἀντὶ τȣ̃ ȣ̓ δύναται. sch. A Av. 582.

οὔθ' ὕεται οὔτε ἡλιοῦται, ἐπὶ τῶν ἔξω πάσης φροντίδος ὄντων.

Οὐίνδικτος ὁ κατὰ ȣ̓ίνδικτον ἐλευθερȣ́μενος.

οὐκ ἀδύνατοι. ὅτι τὸ ȣ̓κ ἀδύνατοι μεσότητός ἐςι ῥῆμα, οἷον οὔτε τελείως δυνατοὶ οὔτε ἀσθενεῖς. sch. Thuc. 1 25.

οὐκ ἀθεεί οὐ χωρὶς θείας προνοίας. Hom. σ 353.

οὐ καθέςηκεν οὐ νήφει, μαίνεται.

οὐκ ἄλλως ποιεῖται ἀντὶ τοῦ οὐ μάτην.

οὐκ ἂν ἀποδοίης; οὐχ ὅσον γέ μ' εἰδέναι" (A Nub. 1253), ἀντὶ τοῦ ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμὶ καὶ οἶδά τι, τουτέςιν αἰσθάνομαι.

οὐκ ἀνασχήσομαι. τινὲς τοῦτο ὡς ἔκφυλον νομίζουσιν· ἐχρήσατο δὲ αὐτῷ καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριςοκράτους. οὐ δεῖ οὖν μόνον λέγειν ἀνέξομαι. sch. A Ach. 296.

οὐκ ἂν δύναιο γαςρὶ πενθῆσαι νέκυν. καὶ Ὅμηρος (Τ 225) "γαςέρι δ' ὅπως ἔςι νέκυν πενθῆσαι Ἀχαιούς."

οὐκ ἄνευ γε Θησέως. Θησεὺς καὶ τῷ Μελεάγρῳ συνηγωνίσατο πρὸς τὴν θήραν τοῦ κάπρου, καὶ τῷ Πειριθόῳ κατὰ τῶν Κενταύρων, καὶ τῷ Ἡρακλεῖ πρὸς τὰς Ἀμαζόνας. ὅταν οὖν θαυμαςόν τι πραχθῇ, οὐκ ἄνευ γε Θησέως λέγεται. Zenob. 5 33.

οὐκ ἄνευ τινός. τοῦτο τριχῶς λέγεται. ἢ γὰρ τὸ μήτε βλάπτον μήτε ὠφελοῦν, ὡς λέγομεν "οὐκ ἄνευ σκιᾶς τὸ ἐν φωτὶ σῶμα." ἢ τὸ ἐξ ἀνάγκης, ὡς ὄργανον ἤ τι τοιοῦτον, ὡς λέγομεν "ἠρίςευσεν Ἀχιλλεύς, ἀλλ' οὐκ ἄνευ τῆς μελίας·" οὐ γὰρ ἠδύνατο γυμνὸς ἀριςεῦσαι. ἢ τὸ πάθος ἐμποδίζον, ὡς λέγομεν "ἐν χειμῶνι πλεύσας ἐσώθη, ἀλλ' οὐκ ἄνευ κινδύνου."

οὐκ ἂν ὀρθῶς καὶ ἑξῆς. οὕτω δὴ ἀναγνωςέον (Gen. 4 7). οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες· ἡσύχασον.

οὐκ ἀξιῶ οὐχ ὑπολαμβάνω, οὐκ ἄξιον νομίζω. A Eq. 182.

οὐκ ἀπεικός οὐκ ἄτοπον, ἄξιον, ὀφειλόμενον, πρέπον, ὅμοιον. εἰκὸς δέ ἐςι παρὰ τὸ ἐοικός· εἶτα ἀπεικός τὸ ἀπρεπές, τὸ ἀνόμοιον. καὶ λοιπὸν τὸ οὐκ ἀπεικός, διὰ δύο ἀρνήσεων μία συγκατάθεσις, ὡς τὸ ἥκιςα οὐδαμῶς, οὐχ ἥκιςα δὲ τὸ μάλιςα.

οὐκ ἀπεικότως ἀντὶ τοῦ εὐλόγως καὶ εὐπροσώπως. sch. Thuc. 2 8.

οὐκ ἀποδύσῃ τῶν νυκτῶν, ἣν οἴκοι γε καθεύδῃς, οὐδ' ἤν γε θύραζ', ὥσπερ πρότερον" (A Eccl. 664).

οὐκ ἀπολιβάξεις ἀντὶ τοῦ οὐκ ἐς κόρακας καὶ Λιβύην ἀποφθερῇ, ἀπὸ τοῦ λιβάς, ὅ ἐςιν ἡ ςαγών, ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. Ἀριςοφάνης (Av. 1467) "οὐκ ἀπολιβάξεις, ὦ κάκις' ἀπολούμενος;"

οὐκ ἀπορρυήσεται οὐκ ἀποπεσεῖται. Ps. 1 3.

οὐκ ἀποςατῶ φίλων (A Av. 314) ἀντὶ τοῦ οὐ χωρίζομαι φίλων.

οὐκ ἀπὸ τρόπου οὐ πόρρω τρόπου.

οὐ κατὰ κόσμον (Hom. Β 214) οὐ κατὰ τὸ πρέπον.

οὐκ ἐᾷ οὐ συγχωρεῖ.

οὐκέθ' ὁμῶς τιμῆς ἔσεαι, Ὁμηρικόν (Ι 601), ἀντὶ τοῦ μεθέξεις τιμῆς.

οὐκ εἰμὶ τούτων τῶν ἡρώων. αὕτη τέτακται ἐπὶ τῶν βουλομένων εὖ ποιεῖν· οἱ γὰρ ἥρωες κακοῦν ἕτοιμοι μᾶλλον ἢ εὐεργετεῖν. cf. v. Ὀρέςης b.

οὐκ ἐκθανεῖν.

οὐκ ἐκομπολάκουν ἀντὶ τοῦ κενὰς οὐκ ἐποίουν ψόφους, οὐκ ἔλεγον κομπώδη ὡς Αἰσχύλος. "οὗτοι ἤλεγχον ἄν μου τὴν τέχνην, ἀλλ' οὐκ ἐκομπολάκουν" Ἀριςοφάνης (Ran. 992).

οὐκ ἐκ τοῦ ὁμοίου οὐκ ἐξ ἴσου· "ἄλλα τέ τινα οὐκ ἐκ τοῦ ὁμοίου ποιεῖν ἐκελεύοντο."

οὐκ ἔνδον, ἔνδον ἐςίν, εἰ γνώμην ἔχεις. πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; ὀρθῶς, ὦ γέρον. ὁ νοῦς μὲν ἔξω συλλέγων ἐπύλλια οὐκ ἔνδον· αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ τραγῳδίαν" (A Ach. 395). σκώπτει τὸν Εὐριπίδην ὡς συλλογιςικόν, καὶ οὐ ἂν λέγῃ τὸ ἐναντίον πάλιν κατασκευάζοντα, οἷον "ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος." καὶ πάλιν αὐτὸς μὲν ἔσω ἐςίν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται, ὁμηρικῶς· Ὅμηρος γὰρ διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα, εἰπὼν "πολλὰς δ' ἰφθίμους ψυχάς," εἶτα "αὐτοὺς δ' ἑλώρια τεῦχεν." οὕτω καὶ Ἀριςοφάνης· εἰπὼν γὰρ "ὁ νοῦς μὲν ἔξω," ἐπήνεγκεν "αὐτὸς δ' ἔνδον ποιεῖ τραγῳδίαν." ἀναβάδην, τουτέςιν ἄνω τοὺς πόδας ἔχων, ἢ ἐπὶ ὑψηλοῦ τόπου κείμενος ἢ καθήμενος.

οὐκ ἐνέλιπεν εὐεργετῶν με.

οὐκ ἐξελεύσῃ ἀντὶ τοῦ οὐ ςρατηγήσεις ἡμῶν· Δαβίδ (Ps. 59 10) "καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν."

οὐκ ἐξῄεσαν ἀντὶ τοῦ οὐκ ἐξήρχοντο. οὐκ ἐξῆεσαν δὲ ἀντὶ τοῦ οὐ συνεχώρησαν.

οὐκ ἐξήρκεσεν (A Eq. 527) οὐκ ἀντέσχε πρὸς τοὺς τρόπους ὑμῶν.

οὐκ ἐξόν οὐ προσῆκον, οὐ πρέπον· "οὐ-

παρὰ τὰ πάτρια ὠνόμασεν, ἥρωος ἐπιθεὶς ὄνομα, οὐκ ἐξόν." cf. v. Περικλῆς a extr.

οὐκ ἐπαινεθείης οὐδὲ ἐν περιδείπνῳ. ἐπὶ τῶν μηδενὸς ἀξίων ἡ παροιμία· εἰώθεσαν γὰρ ἐν τοῖς περιδείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, καὶ εἰ φαῦλος ἦν. cf. v. Διονυσίων σκωμμάτων.

οὐκ ἔπεσεν εἰς γῆν ἡ εὐχή ἀντὶ τοῦ εἰσηκούσθη. οἰκτείρει γὰρ αὐτὸν ὁ θεός, καὶ εἰς ὕπνον ἐνέβαλεν.

οὐκ ἐπιγλωττήσομαι οὐ βλασφημήσω (A Lys. 37).

οὐκ ἐπιεικῶς οὐ μετρίως. οὐκ ἐπικῶς δὲ ἀντὶ τοῦ οὐ λογίως.

οὐκ ἐπίσταμαι ἀντὶ τοῦ οὐ δύναμαι· "σκάπτειν γὰρ οὐκ ἐπίσταμαι" (A Av. 1432).

οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία ἐστὶν ἐλλιπῶς εἰρημένη, προσυπακουστέον δὲ ἔξωθεν τὸ ἀγκύρας. Harp.

οὐκ ἔσθενεν οὐκ ἐδύνατο.

οὐκ ἐς μακράν ἀντὶ τοῦ ταχέως.

οὐκ ἔστιν ἄλλος πλὴν ἐγώ, ἀττικῶς, ἀντὶ τοῦ πλὴν ἐμοῦ. Ἀριστοφάνης Πλούτῳ (106) "μὰ τὸν Δί'· οὐ γὰρ ἔστιν ἄλλος πλὴν ἐγώ."

οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ· ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον, ἢ δυσγενὴς ὢν ληκύθιον ἀπώλεσε" (A Ran. 1248). τὸ ἑξῆς πλουσίαν ἀροῖ πλάκα.

οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα ἀντὶ τοῦ οὐκ ἔστιν ἄλλως γενέσθαι ἢ καθὼς εἴρηκε. τοῦτο, φησί, πάντως δέδοκται, καὶ οὐκ ἂν ἐάσαιμί σε ἕτερόν τι ποιῆσαι. Ἀριστοφάνης (Pac. 109). οὐκ ἔστιν ἄλλως γενέσθαι ἢ ἀνελθεῖν εἰς τὸν οὐρανόν.

οὐκ ἔσχων οὐκ ἔσχισα, οὐ διεῖλον. οὕτως ἔκλινεν ἀττικῶς. "ὤπτων γαστέρα, κᾆτ' οὐκ ἔσχων ἀμελήσας, ἡ δ' ἄρ' ἐφυσᾶτ'," Ἀριστοφάνης Νεφέλαις (408).

a *οὐκ ἐτὸς* οὐκ εἰκότως, ἢ οὐ μάτην, παρὰ τὸ ἐτώσιον, ὃ ἐστι μάταιον· οὐκ ἀλόγως. Ἀριστοφάνης (Plut. 1167) "οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ σπεύδουσιν ἐπὶ πολλοῖς γεγράφθαι γράμμασιν."

b *οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσὶν αἱ τραγῳδίαι·* οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη" (A Lys. 138). παροιμία ἐπὶ τῶν ἐγκυλινδουμένων τῷ αὐτῷ πράγματι, ἄλλο δὲ μηδὲν νοεῖν ἀνεχομένων. ὁ δὲ νοῦς, οὐδέν ἐσμεν εἰ μὴ συνουσιάζειν καὶ τίκτειν· ὁ γὰρ Ποσειδῶν ἐμίγη τῇ Τυροῖ, καὶ ἐγέννησε Νηλέα καὶ Πελίαν.

οὐκ ἐφέξεις (A Eq. 922) οὐ παύσῃ.

οὐκ ἔχαδεν (Hom. Θ 461) οὐκ ἐχώρησεν.

οὐκ ἔχων ὅτι χρήσηται τοῖς παροῦσι κακοῖς ἀντὶ τοῦ ἐξαπορῶν.

οὐκ ἔχω φράσαι· ὅμως γε μέντοι σοι δι' αἰνιγμῶν ἐρῶ" (A Ran. 60) ἀντὶ τοῦ δι' ἀσαφείας.

οὐχί. τὸ οὐχί Ὅμηρος διὰ τοῦ κ γράφει, οὐ διὰ τοῦ χ· δείκνυται γὰρ ἐκ τῶν συναλοιφῶν τὰ μὲν ψιλὰ μεταπίπτοντα εἰς δασέα, ὅταν τὸ ἐπιφερόμενον δασύνηται, ψιλοῦ δὲ ὑποτασσομένου μὴ μεταπίπτοντα.

οὐκ ἱκνεομένως οὐ προσηκόντως, Ἡρόδοτος (6 65).

οὐκ οἶδ' ὃ κρώζεις. cf. v. κρώζεις.

οὐ κομῶ οὐ μέγα φρονῶ. Ἀριστοφάνης Νεφέλαις (545) "κἀγὼ μὲν τοιοῦτος ἀνὴρ ὢν ποιητὴς οὐ κομῶ," τουτέστιν οὐ μέγα φρονῶ.

οὔκουν οὐδαμῶς. οὐκοῦν δὲ συλλογιστικὸς σύνδεσμος· "οὐκοῦν οἱ ἀδελφοὶ λαβόντες ἱκετηρίαν ἐπυνθάνοντο ἆρα τοῦ θεοῦ ὅ τι καὶ χρὴ πράττειν αὐτούς."

οὖλε ὑγίαινε, ὁλοκλήρει. Hom. Ω 401.

οὐ λελήθασι φανεροί εἰσιν.

οὐλή ἐπιπόλαιον ἕλκος εἰς ὑγίειαν ἧκον.

Οὐλίθ ὄνομα κύριον. cf. v. ὑποστάς a.

οὐ λίνον λίνῳ συνάπτεις, ἐπὶ τῶν τὰ αὐτὰ μὴ διὰ τῶν αὐτῶν πραττόντων. οὕτω Στράττις ἐν Ποταμίοις. cf. v. λίνον.

οὔλιος ὁ Ἀπόλλων· ἰατρὸς γὰρ ἦν. σημαίνει δὲ καὶ ὀλέθριος.

οὐ λόγων ἀγορὰ δεῖται Ἑλλάδος ἀλλ' ἔργων, ἐπὶ τῶν κομπαζόντων.

οὐλομένη ὀλεθρία.

οὐλός ὁ συνεστραμμένας ἔχων τὰς τρίχας. Ὅμηρος περὶ Ὀδυσσέως (τ 246) "γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος."

οὐλοχυτεῖν κριθὰς ἐπιχέειν τοῖς θύμασιν· οὐλὰς γὰρ ἔλεγον τὰς κριθὰς κατ' ἀντίθεσιν τῶν ψαιστῶν, ἅπερ ἦν ἄλφιτα ὑπὸ τῆς μύλης κατεψηνισμένα (cf. v. ψαιστά). τὰς γὰρ οὐλὰς πρόσθεν ἔκοπτον ἐσθίοντες, οὐδέπω τῆς κατεργασίας αὐτῶν εὑρημένης. καὶ τὰς μὲν κριθὰς μέχρι νῦν ὅλας χέουσιν οἱ ἐπιθύοντες ταῖς σπονδαῖς, ἐπεὶ σύμβολον τῆς παλαιᾶς τροφῆς· τὰ δὲ πόπανα τῆς ἄρτι ὥρας, τουτέστι τῆς αὖθις. cf. sch. Hom. Α 449.

a *Οὐλπιανός* ἀδελφὸς Ἰσιδώρου τοῦ φιλοσόφου, ὃς εὐφυέςατος ἐγεγόνει πρὸς τὰς μαθηματικὰς ἐπιςήμας, ὥςε καὶ πολλὰς εἰσενέγκασθαι καινὰς ἀπορίας καὶ λύσεις γε τῶν ἀποριῶν πρὸς τὰς τῶν μαθημάτων ἐξηγήσεις· ὄνομά τε αὐτῷ μέγα ἦν ἐπὶ τοῖς μαθήμασιν Ἀθήνησιν. θαυμάζων δὲ αὐτȣ̃ τὴν φύσιν ὁ Συριανὸς διηγεῖτο πολλοῖς τισὶν ὡς οὐδὲν ἦν αὐτῷ προβαλέσθαι κλειδίον οὕτω πολύπλοκόν τε καὶ μηχανικῶς εἰργασμένον ὅπερ ȣ̓κ ἀνοιγνύναι ῥᾳδίως αὐτόματον· ἀλλ᾽ ὅμως πρὸς τὴν ἄλλην φιλοσοφίαν μηδὲν ἐπιδείκνυσθαι λόγου ἄξιον. ἐπιεικὴς δὲ καὶ τὰ ἤθη κεκοσμημένος ὁ Οὐλπιανὸς ἐγεγόνει, καὶ ἐδόκει ταύτῃ γε τȣ̃ ἀδελφȣ̃ διαφέρειν, ἴσως δὲ ἐπειδὴ πραγμάτων πολιτικῶν ἀπέσχετο τὸ πάμπαν ἐξ ἀρχῆς εἰς τέλος. πεφύκασι γὰρ οἱ ἄνθρωποι τῇ μισοπράγμονι ζωῇ τὴν ἀρετὴν ἐπιφημίζειν, ȣ̓χ οὕτως ἔχον κατά γε τὴν ἐμήν. ἡ γὰρ ἐν μέσῃ τῇ πολιτείᾳ διὰ τῶν πολιτικῶν ἔργων τε καὶ λόγων ἀναςρεφομένη ἀρετὴ γυμνάζει τε τὴν ψυχὴν πρὸς τὸ ἐρρωμενέςερον, καὶ βεβαιοῦται μᾶλλον ἐπὶ τῆς πείρας ὅσον αὐτῆς ὑγιές τε καὶ ὁλόκληρον· ὅσον δὲ κίβδηλον καὶ ἐπίπλαςον ἐμφωλεύει ταῖς ἀνθρωπίναις ζωαῖς, τȣ̃το πᾶν διελέγχεται καὶ ἑτοιμότερον καθίςαται πρὸς διόρθωσιν. τὸ δὲ ἀγαθοεργόν τε καὶ ὠφελητικὸν ὅσον ἐςὶν ἐν τοῖς πολιτεύμασι; τὸ δὲ θαρραλέον καὶ βέβαιον ἡλίκον; τοιγαροῦν οἱ ἐν γωνίᾳ καθήμενοι λόγιοι καὶ πολλὰ φιλοσοφȣ̃ντες μάλα σεμνῶς περὶ δικαιοσύνης καὶ σωφροσύνης, ἐκβαίνειν ἐπὶ τὰς πράξεις ἀναγκαζόμενοι ἀσχημονȣ̃σιν, ὡς ἅπας λόγος, ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι φαίνεται καὶ κενόν. τοιȣ̃τος ὁ Οὐλπιανὸς γενόμενος ἔτι νέος ὢν ἄγαμος ἐτελεύτα τὸν βίον, πολὺν ἔπαινον ἑαυτοῦ τῆς ἐπιεικείας ἀπολιπών. Damascius Phot. p. 352.

b *Οὐλπιανός* Ἀντιοχεὺς τῆς Συρίας, σοφιςής, παιδεύσας πρότερον εἰς Ἔμεσαν ἐν τοῖς κατὰ τὸν βασιλέα Κωνςαντῖνον χρόνοις, λόγȣς διαφόρȣς, μελέτας, διαλέξεις καὶ ἄλλα τινά.

c *Οὐλπιανὸς* Γαζαῖος. Marin. 9.

d *Οὐλπιανός* Ἐμεσηνὸς σοφιςὴς πάτρια Ἐμεσηνῶν Ἡλιουπόλεως Βοσποριατῶν καὶ ἄλλων πλείςων, προγυμνάσματα, τέχνην ῥητορικήν.

οὔλων ἁπαλῶν, μαλακῶν, συνεςραμμένων ταῖς θριξίν.

οὐμβρακιώτης βουμολγός, κύριον. cf. v. κάλον.

οὐ μέλον αὐτῷ οὐ φροντιςέον· Μένανδρος ⟨p. 442 Nieb.⟩ "ταύτῃ τοι καὶ τῆς Νισίβιος πολιορκίας οὐ μέλον αὐτῷ."

οὐ μὲν δή ἀντὶ τȣ̃ ὅμως δή, ἥκιςα δή, ἀλλὰ οὐ δή.

οὐ μετὸν αὐτῷ ἀντὶ τοῦ ȣ̓κ ἐξόν Ἀριςοφάνης Νεφέλαις. καὶ Μένανδρος "ὕδατος αὐτοῖς οὐ μετόν."

οὐ μὴ ληρήσῃς ⟨A Nub. 366⟩ οὐ παύσῃ ληρῶν;

οὐ μὴν ἀλλὰ μήν, οὐδαμῶς, οὐ μόνον, ἔτι μήν, ὅμως δέ. "ȣ̓ μὴν εἶχε ποιεῖν οὐδέν, ἀλλ᾽ ἔμενε κατὰ χώραν τηρούμενος ἐπιμελῶς."

οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθόν ἐσθ᾽ ὁ πλοῦς" διὰ τὸ τὰς ἑταίρας ὑπὲρ τῶν Ἑλλήνων εὔξασθαί φασιν ἐν τῷ μεγάλῳ πολέμῳ τῇ Ἀφροδίτῃ· ἢ διὰ τὸ δυσείσβολον εἶναι τὸν πλοῦν· ἢ ἐπεὶ πολλαὶ ἦσαν ἑταῖραι, καὶ τῶν πλουσίων μόνων ὁ πλοῦς.

οὖπερ ὅπου· Ἀγαθίας ⟨1 14⟩ "οἱ συναισθανόμενοι ȣ̓͂περ γεγένηντο συμφορᾶς, ἀγεννῆ καὶ αἰσχίςην ἠσπάζοντο σωτηρίαν."

οὔπω πεπλήρωνται τῶν Ἀμορραίων αἱ ἁμαρτίαι ⟨Gen. 15 16⟩, ἐπὶ τῶν μὴ ὀξὺ τέλος λαμβανόντων.

οὔπως οὐδένα τρόπον. καὶ Θουκυδίδης ἐν ε´ ⟨15?⟩, καὶ Ὅμηρος ⟨γ 226⟩ "ὦ γέρον, οὔ πως ἔγωγε τοῦτο τελέεσθαι οἴω."

οὐραγεῖ τὸ τέλος ἄγει τοῦ ςρατοῦ. καὶ *οὐραγός* ὁ τελευταῖος τοῦ λόχου.

οὐραγίαν ςρατιὰν τὴν ὄπισθεν ἀκολουθοῦσαν.

οὐραῖα τὰ τῆς οὐρᾶς· "ἐδειμάτουν αὐτοὺς οἱ δράκοντες, τὰ οὐραῖα μέρη ἐς σπείρας ἑλίξαντες καὶ ἐπανιςάμενοι." cf. v. ἐδειμάτουν.

οὐρανία αἴξ, ᾗ οἱ εὐχόμενοι πάντων ἐπετύγχανον, ἴσως διὰ τὸ τὴν σελήνην αὐτῇ ἐποχεῖσθαι. Κρατῖνος Χείρωσιν.

οὐρανία ἀςραπή ἀντὶ τοῦ ταχεῖα· ⟨S OC 1466⟩ "ἔπτηξα θυμόν· ȣ̓ρανία γὰρ ἀςραπὴ φλέγει πάλιν."

οὐρανία ἄχνη ἡ δρόσος· ⟨S OC 681⟩ "θάλλει δ᾽ οὐρανίας ὑπ᾽ ἄχνης ὁ καλλίβοτρυς κατ᾽ ἦμαρ ἀεὶ νάρκισσος."

οὐράνιόν γ᾽ ὅσον ⟨A Ran. 794⟩ ἀντὶ τȣ̃ πολὺ καὶ μέγα. "οἳ δὲ ἀνέκραγον οὐράνιον ὅσον" ⟨cf. v. ἀπήλγησαν⟩.

Οὐράνιος ὄνομα, Σύρος τὸ γένος, κατὰ τὴν βασιλέως πόλιν ἠλᾶτο τέχνην ἐπαγγελλόμενος τὴν ἰατρικὴν μετιέναι, τῶν δὲ Ἀριστοτέλους δογμάτων οὐδὲν μὲν ἐς τὸ ἀκριβὲς ἐγίνωσκεν, ἐκομψεύετο δὲ ὡς πλεῖστα εἰδέναι, βρενθυόμενος τῷ δύσερις εἶναι παρὰ τοὺς ξυλλόγους. πολλάκις γὰρ ἰὼν πρὸ τῆς βασιλείου στοᾶς, καὶ ἐν τοῖς τῶν βιβλίων ἥμενος πωλητηρίοις, διεπληκτίζετο καὶ ἐμεγαληγόρει πρὸς τοὺς αὐτόθι ἀγειρομένους καὶ ταῦτα δὴ τὰ εἰθισμένα ῥημάτια τοῦ κρείττονος πέρι ἀνακυκλοῦντας, ὁποῖον δή τι αὐτῷ ἥ τε φύσις ἐστὶ καὶ ἡ οὐσία καὶ τὸ παθητὸν καὶ τὸ ἀξύγχυτον· ὧν οἱ πλεῖστοι οὐδὲ ἐς γραμματιστοῦ οἶμαι φοιτήσαντες, οὐδὲ μὴν βίῳ ἀρίστῳ ἐνδεδιῃτημένοι. οὗτος ὁ Οὐράνιος ἧκέ ποτε παρὰ Πέρσας, ὑπὸ Ἀρεοβίνδου τοῦ πρεσβευτοῦ ἀπηγμένος. Agath. 2 28.

Οὐρανίωνες (Hom. E 898). οἱ Τιτᾶνες οὕτω λέγονται.

οὐρανοβάμονος τοῦ οὐρανοφοίτου.

οὐρανόθι πρό (Hom. Γ 3) ἐν τῷ ὑπὸ τὰ νέφη τόπῳ.

οὐρανοὶ δύο, ὁ σὺν τῇ γῇ γεγενημένος, καὶ ὁ ὕστερον μέσον τῶν ὑδάτων προσαχθεὶς γενέσθαι, ὃν καὶ στερέωμα προσηγόρευσεν. Gen. 1 6.

οὐρανόμηκες μέγιστον· (A Nub. 459) "κλέος οὐρανόμηκες ἐν βροτοῖσιν ἕξων" παρὰ τὸ (Hom. K 212) "ἐπουράνιον κλέος εἴη."

οὐρανός. οὐρανός ἐστιν ἡ ἐσχάτη περιφέρεια, ἐν ᾗ πᾶν ἵδρυται τὸ θεῖον. Diog. L. 7 138.

οὔρια θεῖτε (A Lys. 550) ὀρχεῖσθε.

οὐρίᾳ ῥιπίδι ἀνήλατο φέψαλος ἐρεθιζόμενος" (A Ach. 669), ἀντὶ τοῦ ἀνέμου φορᾷ τῷ ῥιπιδίῳ ἐξαπτόμενος. πρίνινοι δὲ ἄνθρακες οἱ στερεοί, οἱ ἰσχυροί.

a *οὐρίαχος* τὸ ἄκρον τοῦ σιδήρου, ἢ τὸ ὄπισθεν μέρος τοῦ δόρατος, ὃ καὶ σαυρωτὴρ καλεῖται· ἀπὸ τοῦ ὀρούειν καὶ τοῦ ἰάχω, τοῦτο δὲ παρὰ τὸ ἴα, ὃ σημαίνει τὴν φωνήν, ἐξ οὗ καὶ ἰαχή.

b *οὐρίαχος·* "πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ" ἐν ἐπιγράμμασι (AP 6 111). καὶ αὖθις "ὄφρα κεν ἐξ ὑάλοιο πυρικμήτοιο ταθέντας οὐριάχους δέξαιντο," τὰ οὐραῖα τῶν κανδηλῶν.

οὐριοδρομούσας ἐπιτηδείῳ ἀνέμῳ πλεούσας.

οὔριος ἐπιδέξιος, ἐπιτήδειος ἄνεμος. Πολύβιος (1 44) "λαβὼν δ' οὔριον ἄνεμον καὶ λαμπρόν, ἐκπετάσας πᾶσι τοῖς ἀρμένοις καὶ κατουρώσας ἐπ' αὐτὸ τὸ στόμα τοῦ λιμένος ἐποιεῖτο τὸν πλοῦν, ἔχων καθωπλισμένους ἄνδρας ἐπὶ τῶν καταστρωμάτων." καὶ (S Ai. 889) "οὐρίῳ πελάσαι δρόμῳ," τουτέστιν εὐθυδρομῆσαι.

οὐρίσας ἔστησας, ἔσωσας. sch. S OR 696.

οὖρον φορὸν ἄνεμον. "ἀλλὰ ταῦτα μὲν ῥείτω κατ' οὖρον· σοὶ δ' ἐγὼ φράζω κακὸν πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί" (S Trach. 467).

οὖρος ὁ τῆς γῆς ὅρος καὶ φύλαξ. παρὰ δὲ Ἡροδότῳ (1 93) οὖροι οἱ ὅροι, τὰ ὁροθέσια.

οὖρος· (AP 6 332) "καὶ βοὸς οὔρου ἀσκητὸν χρυσῷ παμφανόωντι κέρας."

οὐροτομήσαντες τὰ οὐραῖα κόψαντες· "οὐροτομήσαντες ν' ἵππους."

οὐρούς (Hom. B 153), ὀξυτόνως, τὰ νεώρια καὶ τὰ περιορίσματα τῶν νηῶν.

Οὔσβαις ὄνομα κύριον. cf. v. ἄπο.

οὓς ἐγὼ βόσκω καὶ δίκαια κἄδικα" ὁ Κλέων φησὶ (A Eq. 255) πρὸς τοὺς ἡλιαστάς, τουτέστι πρὸς τοὺς ἡλιαίους δικαστάς. τὸ βόσκω πικρῶς· ἐπὶ γὰρ τῶν ἀλόγων εἴρηται. δίκαια δὲ κἄδικα ἀντὶ τοῦ ἐκ δικαίων καὶ ἀδίκων.

οὐσία. τῆς οὐσίας τὴν κλῆσιν καὶ τὴν προσηγορίαν οὐδ' ὅλως ἐμφερομένην εὑρίσκομεν ἐν τῇ θείᾳ γραφῇ. ἡ δὲ τῶν πολλῶν συνήθεια κέχρηται τῷ προσρήματι ἐπὶ τῶν σημαινομένων κτήσεων, ὧν τις κέκτηται, οἷον οἰκημάτων βοσκημάτων καὶ τῶν λοιπῶν ὅλων· ταῦτα γὰρ οὐσίαν καλοῦσι τοῦ κεκτημένου. καθ' ἣν ἔννοιαν καὶ τὸν ταῦτα κεκτημένον πλούσιον καλοῦμεν ἀντὶ τοῦ πολυούσιον, καὶ περιούσιον λαόν (ep. Tit. 2 14) τὸν ἔγκτητον. καὶ Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ (Ps. 134 4) ἀντὶ τοῦ κτῆμα καὶ εἰς κτῆσιν. ἡ δὲ λογικὴ χρῆσις τὸ τῆς οὐσίας ὄνομα ἀπὸ τοῦ εἶναι ῥήματος οἶδε παρῆχθαι, αὐτὸ τὸ ὂν πρᾶγμα οὐσίαν καλοῦσα· τὸ γὰρ ὂν κοινὸν ὄνομά ἐστι πάντων τῶν ὄντων. τοῦτο οὖν τὸ ὂν τέμνεται εἰς οὐσίαν καὶ συμβεβηκός. ὁρίζονται δὲ τὴν οὐσίαν οὕτως· οὐσία ἐστὶν ὄνομα κοινὸν καὶ ἀόριστον, κατὰ πασῶν τῶν ἐπ' αὐτὴν ὑποστάσεων ὁμοτίμως φερόμενον καὶ συνωνύμως κατηγορούμενον· ἢ ἡ καθ' ἑκαστ

μένων ὑποςάσεων λεγομένη καὶ ἐν πάσαις αὐταῖς ὁμοτίμως θεωρημένη· ἢ πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν, ἤγουν τὸ ἐν ἑαυτῷ ὂν καὶ μὴ ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν, ὡς τὸ συμβεβηκός. οὐσία οὖν ἐςὶν ἡ ἁπλῶς τῶν ὄντων ὕπαρξις.

a οὐσίας δίκη. οὐσίας εἰσάγουσι δίκην πρὸς τὸς ἑαλωκότας ἐν προτέρᾳ δίκῃ χρέως ἢ καρποῦ, ὡς δέον ἀπολαμβάνειν αὐτοὺς ἐξ ὅλης τῆς οὐσίας ἃ κατεδίκασαν.

b οὐσίας δίκη. οἱ δικαζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τοὺς ἔχοντας ὀσίας ἐδικάζοντο τὴν δευτέραν δίκην. ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοικίου, τῶν δὲ χωρῶν καρποῦ· τρίτη δὲ ἐπὶ τούτοις ἐξούλης. καὶ ἐξῆν τοῖς ἁλοῦσι κρατεῖν τῶν κτημάτων, καὶ εἰ τὴν δίκην τοῦ καρποῦ ἢ τοῦ ἐνοικίου ἢ καὶ τὴν δευτέραν ἡττηθεῖεν τὴν τῆς οὐσίας· εἰ δὲ καὶ ἐξούλης ἁλοῖεν, οὐκέτι ἐξῆν κρατεῖν, ἀλλ' ἐξίςασθαι ἤδη τῶν κτημάτων ἔδει τοῖς καταδικασαμένοις. Harp.

οὐσία φανερὰ καὶ ἀφανής. Λυσίας ἐν τῷ ὑπὲρ Φερενίκου λέγει "εἰ μὲν γὰρ ἀγροὺς κατέλιπεν Ἀνδροκλείδης ἢ ἄλλην φανερὰν οὐσίαν, ἐξῆν ἂν εἰπεῖν τῷ βουλομένῳ ὅτι οὐδὲν μὲν ψεύδεται, αὐτῷ δὲ δέδοται, περὶ ἀργυρίου καὶ χρυσίου καὶ ἀφανοῦς οὐσίας." δῆλον ὅτι ὅςις ἔχων αὐτὰ φαίνεται, τούτῳ δέδωκεν.

οὐσιῶσαι· Πισίδης "καὶ πάντας ἡμᾶς οὐσιῶσαί σοι θέλεις καὶ τεκνοποιεῖν τῷ θεῷ καθ' ἡμέραν."

οὐτάσας πλήξας, τρώσας· "ὃ δὲ τῷ δόρατι αὐτὸν οὐτάσας κατέβαλεν."

οὔτε σὺν πανωλέθροισιν οὔτ' ἄνευ πανωλέθρων ⟨A Lys. 1039⟩, παροιμία. "καὶ τὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται, οὐκ ἔςιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ" ⟨Susarion ap. sch. Dionys. Thr. p. 748⟩.

οὔτε τευ. ὥσπερ παρὰ Αἰολεῦσι τὸ ὅτινα κοινόν ἐςι κατὰ γένος, οὕτω καὶ παρὰ τοῖς Ἀττικοῖς τὸ οὔτε του κοινῶς λέγεται. Σοφοκλῆς ⟨Ai. 290⟩ "οὔτε του κλύων σάλπιγγος."

οὐτήτειρα πληκτική· ⟨AP 7 172⟩ "καί τις οὐτήτειρα παρὰ σφυρὰ διψὰς ἔχιδνα, σαρκὶ τὸν ἐκ γενύων πικρὸν ἐνεῖσα χόλον, ἠελίου χήρωσεν."

οὐτιδανός οὐδενὸς ἄξιος.

οὔτιδες καὶ σωρῖται παραλογισμοὶ οὕτω καλούμενοι. καὶ Οὖτις παρ' Ὁμήρῳ οὐδείς· Οὖτις γὰρ ὁ Ὀδυσσεύς.

οὔτις ἔσθ' ὅς οὐ τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ ςρατοῦ ξύναιμον ἀποκαλῶντες" ⟨S Ai. 725⟩. Ἀττικόν ἐςι τὸ ἐπιφέρειν ἑνικοῖς πληθυντικά, οἷον οὔτις ἀποκαλοῦντες.

οὑτοσί οὗτος ὁ ἄνθρωπος. ἀντὶ ὀνόματος κέχρηται τῷ οὑτοσί· τὸ δὲ ι ἐπέκτασις. οὕτω δὲ ἐπιρρηματικῶς καὶ οὑτωσὶ ἀντὶ τοῦ οὕτως. ⟨A Eccl. 746⟩ οὕτως ἀνοήτως ἐκβαλῶ ἀντὶ τοῦ ὡς ἔτυχεν, ἐκ τοῦ μηδενός. "οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι" ἀντὶ τῶ πολλά μοι κακὰ ὑφ' ἕνα καιρὸν φέροντι, ἢ ποικίλῳ, Ἀριςοφάνης ⟨Plut. 854⟩.

οὐ τρέφει μία λόχμη δύο ἐριθάκους. cf. v. μία λόχμη.

οὐ φροντὶς Ἱπποκλείδῃ. παροιμία, ἧς μέμνηται Ἕρμιππος ἐν Δημόταις. Ἱπποκλείδης ὁ Τισάνδρου μέλλων γαμεῖν Ἀγαρίςην τὴν Κλεισθένους τοῦ Σικυωνίου θυγατέρα τοῦ τυράννου, ἐν αὐτῇ τῇ τῶν γάμων ἡμέρᾳ ἐπωρχήσατο περιττῶς. μεταβουλευσαμένου δὲ τοῦ Κλεισθένους καὶ Μεγακλεῖ τῷ Ἀλκμαίωνος τὴν θυγατέρα δόντος, πρὸς δὲ τὸν Ἱπποκλείδην φανερῶς εἰπόντος ὅτι ἀπώρχηται τὸν γάμον τὸν Ἀγαρίςης, ὑποτυχὼν ἔφη "οὐ φροντὶς Ἱπποκλείδῃ." cf. Herodot. 6 128.

οὐχ ἅλις οὐ ματαίως.

οὐ χεῖρον ἀντὶ τοῦ βέλτιον· ⟨A Eq. 36⟩ "βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσιν φράσω; οὐ χεῖρον."

οὐχ ἥκιςα μάλιςα, πάνυ, οὐχ ἧττον. "καὶ οὖν τῷ τὸν βασιλέα ἐςοχάσθαι εὖ τῶν μελλόντων οὐχ ἥκιςα ἀπέβη τά οἱ προβουλευθέντα." καὶ αὖθις "καὶ ἄλλον οὐχ ἥκιςα εἰς αὐτοὺς ἀναρτήσαντες ὄχλον."

οὐχὶ Γλαύκου τέχνη, ἐπὶ τῶν εὖ εἰργασμένων καὶ δυσκατανοήτων.

οὐχ οἷά τε εἶναι οὐ δυνατά· "ἀλλὰ ταῦτα --- γενόμενα." cf. v. ἄπρακτα.

οὐχ οἷον· "οὐχ οἷον προσεῖχον αὐτοῖς, ἀλλ' ἁπλῶς οὐδ' ἀκούειν ἠξίουν" Πολύβιος ⟨1 43⟩. "οὐχ οἷον οὐ προσεῖχε τοῖς λεγομένοις, ἀλλ' ὀδ' ἠνείχετο ἀποφαινομένȣ ταῦτα" ⟨id. 3 82⟩. "οὐχ οἷον ἀνέσχοντο τῶν λόγων, ἀλλὰ κατέλευσαν τὸν εἰπόντα."

οὐχ οἷόν τε οὐ δυνατόν.

οὐχ οἷός τ' εἴμ' ἀποσοβῆσαι τὸν γέλων, ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην" ⟨A Ran. 45⟩. Διονυσιακὸν φόρημα ὁ κροκωτός· ἐφό-

ρει δὲ λεοντῆν ὡς Ἡρακλῆς. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀνομοίων. καὶ αὖθις "οὐχ οἷός τ' ἦν ἐθελοντὴς συνυπακούειν."

οὐχ ὅσον· "ἐφ' ᾧ δὴ ὁ Πάρθος οὐχ ὅσον οὐ κατέπτηξεν, ἀλλὰ καὶ ἀντέγραψέν οἱ τά τε ἄλλα ὑπερφρόνως, καὶ αὐτὸν μὲν βασιλέα βασιλέων ἐκεῖνον δὲ Καίσαρα μόνον ὀνομάσας." καὶ αὖθις "οὐχ ὅσον οὐχ εὗρόν τι συμβατικόν, ἀλλὰ καὶ ἄσπονδόν σφισι τὸν πόλεμον παρεσκεύασαν" (Dio C. t. 1 p. 59).

οὐχ ὁσονοὺ ἀντὶ τοῦ οὐ βραδέως ἀλλὰ ταχύ, ὡς τὸ μονονού.

οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν· μάλιςα μὲν λέοντα μὴν πόλει τρέφειν, ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν" Ἀριςοφάνης (Ran. 1451). Αἰσχύλος δὲ λέγει περὶ Ἀλκιβιάδου· μὴ ἀνατρέφειν φρόνημα, ἐὰν δὲ ἀνατρέφῃ, μὴ ἐρεθίζειν ἀλλὰ τιθασεῦσαι. ὥςε ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέχεσθαι, ὁ δὲ Αἰσχύλος τοιαύτην τινὰ διάνοιαν, μὴ καταδέξασθαι ἢ καταδεξάμενον τροποφορεῖν. ὁ δὲ Διόνυσος πρὸς τάδε φησί "δυσκρίτως γ' ἔχω· ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς," σοφῶς μὲν ὁ Αἰσχύλος, σαφῶς δὲ ὁ Εὐριπίδης.

οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς ἁλισκόμεθα" (A Av. 809), ἀντὶ τοῦ ἑαυτοῖς ταῦτα πεποιήκαμεν. cf. vv. πάγας et ταυτὶ μὲν εἰκάσμεθα.

οὐχ ὑφίει οὐκ ἐνεδίδου.

ὀφειλέτης χρεώςης· Σοφοκλῆς "κάτοισθ' ἐγὼ θεοῖς ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι." τουτέςιν, οὐκέτι ἐν --- ζῆν. cf. v. κάτοισθα.

ὀφειλὴ τὸ χρέος. καὶ ὀφείλημα ὁμοίως.

ὀφείλω χρεωςῶ, πρὸς δοτικήν· Ἀριςοφάνης Νεφέλαις (20) "ὁπόσοις ὀφείλω."

ὄφεις παρείας τὰς ἐπηρμένας ἔχοντας τὰς παρειάς. δοκοῦσι δὲ ἤπιοι εἶναι καὶ μὴ ἀδικεῖν ἀνθρώπους, ἐσθίειν δὲ τοὺς ἔχεις, καὶ εἶναι τῶν μυςηρίων ἱεροί. καὶ ὀφείδιον ὑποκοριςικῶς.

ὄφελες καὶ ὄφελον. εἴθε, μακάρι, εὐκτικῶς. τὸ δὲ μακάρι τῶν ἀπαιδεύτων εὐκτικὸν ἐπίρρημα ἀντὶ τοῦ εἴθε καὶ αἴθε. πλὴν ὅτι ταῦτα μὲν ἀπαρέμφατα προσώπων ἐςί, τὸ δὲ ὄφελον πρόσωπον ἐμφαίνει.

ὀφέλλωσιν (Hom. Α 510) αὐξήσωσιν.

ὄφελος· Ἀριςοφάνης (Eccl. 53) "ἄλλας τε γυναῖκας, ὅ τι περ ἔς' ὄφελος ἐν τῇ πόλει," τουτέςιν εὐγενεῖς. καὶ αὖθις "τοῦ δὲ Λιβίου ἀκούειν, ὧν τι ὄφελος ἦν καὶ ἐν κάλλει ψυχῆς καὶ ἐν εὐγλωττίᾳ παιδείας" (cf. v. Κορνοῦτος).

Ὀφέλτιος (Hom. Ζ 20) ὄνομα κύριον.

ὀφθαλμία ἡ πήρωσις. Ἀριστοφάνης Πλούτῳ (115) "ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας." ἰδίως ὀφθαλμίαν τὴν πήρωσίν φησιν.

ὀφθαλμιᾶσαι φθονῆσαι, ἢ ἐπιθυμητικῶς σχεῖν, ἢ καὶ τοὺς ὀφθαλμοὺς πάσχειν. "οἱ δὲ πολλοὶ ὀφθαλμιῶντες ἐπὶ τοῖς χρήμασι παντοδαπὰς ἐπινοίας εἶχον περὶ αὐτοῦ."

ὀφθαλμὸν ἐπιβάλλειν τὸ περιέργως θεάσασθαι. οὕτως Ἄλεξις.

ὀφθαλμός. διαπορεῖ Ἀριςοτέλης, εἰ ἡ αἴσθησις τῶν αἰσθητῶν ἐςὶν ἀντιληπτική, αἰσθητὰ δὲ καὶ τὰ αἰσθητήρια δι' ὧν αἰσθανόμεθα, διὰ τί οὐχὶ ἑκάςου τούτων ἡ αἴσθησις ἀντιλαμβάνεται καὶ μηδενὸς ἔξωθεν παρόντος, οἷον διὰ τί ὁ ὀφθαλμὸς οὐχ ὁρᾷ ἑαυτόν, συγκείμενος ἐκ τούτων ἅ ἐςιν ὁρατά, λέγω δὴ τῶν ςοιχείων. τίς οὖν ἡ λύσις; διότι ἡ αἴσθησις δυνάμει μέν ἐςι τοῦτο ὅπερ ἐςί, πᾶν δὲ τὸ δυνάμει προάγεται εἰς ἐνέργειαν ὑπό τινος ἐνεργείᾳ ὄντος. οὐκοῦν καὶ ἡ αἴσθησις δυνάμει οὖσα προάγεται εἰς ἐνέργειαν ὑπὸ τοῦ αἰσθητοῦ, αἰσθητοῦ δὲ τοῦ ἔξωθεν ἐνεργείᾳ ὄντος. ἀλλ' εἰ ὑπὸ τοῦ αἰσθητοῦ προάγεται εἰς ἐνέργειαν, αἰσθητὸν δὲ καὶ τὸ αἰσθητήριον ἐν ᾧ ἡ αἴσθησις, διὰ τί μὴ καὶ ὑπὸ τούτου προάγεται εἰς ἐνέργειαν; ἄλλως τε εἰ μὴ οἵα τέ ἐςιν ἡ αἴσθησις τοῦ οἰκείου αἰσθητηρίου ἀντιλαμβάνεσθαι αἰσθητοῦ γε ὄντος, τί δή ποτε τῶν ὑπερβολῶν αὐτοῦ ἀντιλαμβάνεται; τῆς μὲν γὰρ κατὰ φύσιν θερμασίας τῆς ἐν τῷ παντὶ σώματι ἡ ἁπτικὴ αἴσθησις οὐκ ἀντιλαμβάνεται· ἐπειδὰν μέντοι εἰς ἀμετρίαν ἡ ἐν ἡμῖν θερμότης ἐκπέσῃ ὡς ἐπὶ τῶν πυρετῶν, τὸ τηνικαῦτα αἰσθάνεται ταύτης. καὶ ἡ ὄψις ὁμοίως τοῦ μὲν ὀφθαλμοῦ κατὰ φύσιν ἔχοντος οὐκ ἀντιλαμβάνεται, οἷον ποῖόν ἐςι τὸ τῶν ὑγρῶν ἢ τὸ τῶν χιτώνων χρῶμα· ἐπειδὰν μέντοι παρὰ φύσιν τι πάθῃ ὡς ἐπὶ τῶν ἰκτεριώντων, τῆς ἐπὶ τῷ ὀφθαλμῷ ὠχριάσεως αἴσθησιν ἴσχει, διὸ οἴονται πάντα ὠχρὰ εἶναι. ὁμοίως καὶ εἰ ἄλλος τις χυμὸς ἐνσκήψει ἐν τῷ κρυςαλλοειδεῖ, καὶ τοῦ χρώματος καὶ τοῦ σχήματος αὐτοῦ ἀντιλαμβάνεται. ὅθεν καὶ ἐν ταῖς ἀρχαῖς τῶν ἐπιχύσεων, πρὶν τελείως κωλυθῇ ἡ

ἐνέργεια τῆς κόρης σκεπασθείσης, δοκοῦσιν ὁρᾶν κώνωπας καί τινα τοιαῦτα. Philopon. in 2 de anima *I* 3 b.

ὀφθαλμὸς βασιλέως ἀντὶ τοῦ μέγα δυνάμενος παρὰ βασιλεῖ. οὕτω δὲ ἐκάλουν τοὺς σατράπας, δι' ὧν πάντας ὁ βασιλεὺς ἐπισκοπεῖ, ὡς βασιλέως ὦτα τὰς ὠτακεςάς, δι' ὧν ἀκούει τὰ πραττόμενα ἑκάςῳ πανταχοῦ. sch. A Ach. 92.

ὀφιόδηκτος ὁ ὑπὸ ὄφεως δηχθείς.

ὀφιομάχης εἶδος ἀκρίδος, μὴ ἔχον πτερά.

ὀφιόπους γυνὴ ἕρπουσα.

ὄφις. ἀπὸ τοῦ ἰός ὄις ἐν ὑπερβιβασμῷ, καὶ πλεονασμῷ τοῦ φ.

ὄφλειν ἀντὶ τȣ͂ ἡττᾶσθαι ἐν δικαςηρίῳ.

ὄφλημα χρεώςημα.

ὀφλῆσαι χρεωςῆσαι.

ὀφλήσειν καταδικασθῆναι· Ἀριστοφάνης Νεφέλαις (775) "μέλλων ὀφλήσειν, μὴ παρόντων μαρτύρων." τοῖς γραψαμένοις καὶ μὴ ἀποδεικνύουσιν ἐπεβάλλετο χρηματικὴ ζημία. καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν, ὑπερήμερος γενόμενος ἐξετίννυε τετραπλοῦν. οἱ δὲ μὴ ἔχοντες ἐκτῖσαι καθείργνυντο ἐν τῷ δεσμωτηρίῳ. πολλοὶ δὲ τοῦτο πεπόνθασι, καὶ ὁ τοῦ ῥήτορος Ἀριςογείτονος πατήρ.

ὄφλησις χρέος, ὀφειλή.

ὀφλίσκουσι καὶ ὄφλουσι χρεωςοῦσι. καὶ ὀφλισκάνω. καὶ ὄφλοι· "μὴ διαβάλοι αὐτὸν πρὸς τοὺς Ἀχαιοὺς καὶ κακότητα ὄφλοι."

ὄφλων χρεωςῶν· "οὗ μ' ἐχρῆν σορὸν πρίασθαι, τοῦτ' ὄφλων ἀπέρχομαι" (A Ach. 691), ἐπὶ γερόντων ἐν δίκαις ἀναςρεφομένων.

Ὀφνεὶ ὄνομα κύριον.

ὄφρα ὅπως, ἢ μέχρι, ἢ ἕως, ἢ ἵνα.

ὀφρυάζω ῥῆμα· "ὁ δὲ πέμπει τινὰ ὕςερον ὀφρυάζοντά τε καὶ ἀλαζονείᾳ τινὶ ἀμυθήτῳ ἐχόμενον" (Procop. Goth. 4 11).

Ὀφρύνιον Δημοσθένης ἐν τῷ πρὸς Ἀπατούριον (20). πόλις ἐςὶ τῆς Τρῳάδος. Harp.

ὀφρυόεντες ὑπερήφανοι.

ὀφρυόεσσα ὑψηλὴ καὶ ἀπόκρημνος. Hom. *X* 411.

ὀφρύος ὑπερηφανίας.

ὀφρῦς ἀνασπῶντες καὶ γνάθους φυσῶντες, ἐπὶ τῶν ἀλαζόνων καὶ ὑπεροπτικῶν.

ὄχα ἐξόχως. ἀπὸ τοῦ ἐξέχω ἔξοχος, τὸ ἔξοχον, τὰ ἔξοχα, ἐπίρρημα ἔξοχα, ἀποβολῇ τῆς ἐξ προθέσεως ὄχα· ἀποβάλλεται γὰρ πολλάκις ἡ πρόθεσις, ὡς ἐπὶ τοῦ καταιγίς αἰγίς.

ὄχανον τὸ κράτημα τῆς ἀσπίδος. καὶ ὀχάνοις δεσμοῖς.

ὄχεα ἅρματα.

ὀχέεσθαι ἐποχεῖσθαι. Hom. *P* 77.

ὀχεία μῖξις, συνȣσία. καὶ ὀχεύω ῥῆμα· "ἔσθιε, πῖν', ὄχευε, ὡς τά γε ἄλλα οὐδενός ἐςιν ἄξια." ἐν ἄλλοις "ὡς τά γε ἄλλα ȣ̓ τȣ́του ἐςὶν ἄξια," τοῦ τῶν δακτύλων ἀποκροτήματος. τὸ γὰρ ἐφεςὸς τῷ μνήματι ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίητο ὡς ἂν ἀποληκοῦν τοῖς δακτύλοις, ἀνεζωσμένον λυδιςί, μαρμάρεον τὴν ὕλην. cf. v. Σαρδανάπαλλος c.

ὀχεῖον ἅρμα, δίφρος, ἅμαξα. a

ὀχεῖον. ἀντὶ μὲν τοῦ ὄχημα Δείναρχος b ἐχρήσατο. ἐχρήσατο δὲ ὁ αὐτὸς ἀντὶ τȣ͂ εἰς ὀχείαν ἀποδεδειγμένον· φησὶ γὰρ "ὠνοῦνταί μου τῶν ἵππων ὀχεῖον." Λυκοῦργος δὲ ἐν τῷ περὶ διοικήσεως γείτονας τȣ͂ ὀχείȣ φησί· καὶ μήποτε ἐπὶ τόπου τινὸς ἔλαβον τὴν λέξιν ἐν ᾧ ὀχεῖαι γίνονται κτηνῶν ἢ ὀχήματα μισθοῦνται. Harp.

ὄχεσφι τοῖς ἅρμασιν.

ὀχετεύει σαλεύει, μεταφέρει.

ὀχετηγία. καὶ ὀχετηγός ὑδρηγός (Hom. *Φ* 257).

ὀχετόκρανα τὰς λεγομένας ἐκχύσεις τῶν μηχανημάτων· εἰσὶ δὲ αὗται ξύλιναι ἢ κεράτιναι. οἱ δέ φασι τοὺς ὑπονόμȣς καὶ τȣ̀ς ὑπὸ γῆν ὀχετούς.

ὀχετός σωλήν, ἀγωγός, ῥύαξ.

ὀχεύς (Hom. *Γ* 372) ὁ ἱμὰς τῆς περικεφαλαίας, ᾧ συνέχεται περὶ τὸν τράχηλον τȣ͂ φοροῦντος. καὶ ὁ συνέχων τὴν περὶ τὸν θώρακα ζώνην ἱμάς.

ὀχῆες (Hom. *Δ* 132, *M* 455) δεσμοί, μοχλοί.

ὄχημα οὐκ ἐπὶ ἅρματος μόνου· Ἀριςοφάνης (Pac. 865) "οὐκοῦν δικαίως, ὅςις εἰς ὄχημα κανθάρου ἐπιβὰς ἔσωσα τοὺς Ἕλληνας." καὶ αὖθις Ἀριςοφάνης (Ran. 21) "εἶτ' οὐχ ὕβρις ταῦτ' ἐςὶ καὶ πολλὴ τρυφή, ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος υἱὸς Σταμνίου αὐτὸς βαδίζω καὶ πονῶ, τȣ͂τον δ' ὀχῶ, ἵνα μὴ ταλαιπωροῖτο μηδ' ἄχθος φέροι;"

Ὀχήσιος ὄνομα κύριον. Hom. *E* 843.

ὄχθας τὰ χείλη τοῦ ποταμοῦ.

ὀχθεῖ στενάζει.

ὄχθη ὁ κρημνός.

ὀχθήσας στενάξας. Hom.

ὄχθοβος τὸ γυναικεῖον λῶμα.

ὄχθοι αἱ τραχεῖαι καὶ δύσβατοι πέτραι, αἱ ἐξοχαί.

ὄχθους ὕψη, ὑψηλοὺς αἰγιαλούς. "ὡς δὲ εἰς τὸν ποταμὸν ἀφίκοντο πλησίον, ὑπὲρ ὄχθου τινὸς ἀποτόμου καὶ περιρρῶγος ἐπετείχιζον αὐτοῖς φρούριον" ⟨Dionys. Hal. 9 15: cf. v. περιρρῶγος⟩.

ὀχλεῦντο ἐκινοῦντο.

ὀχληρός ταραχώδης.

ὄχλησις ἡ ταραχή.

ὀχλίζειν μοχλεύειν, κινεῖν.

ὄχλος ἡ ταραχή.

ὄχλου ἀγανακτήσεως, ταραχῆς. "καὶ τὰ μὲν ἄλλα ἐπείθετο τῷ πατρί, καὶ ἦν πρὸς τοὺς πυνθανομένους καὶ ὄχλον κινοῦντας εὖ μάλα ἐγκρατής, καὶ γλώττης ἦρχε." Πολύβιος ⟨3 80⟩ "ἦν δὲ ὀχλοκόπος ὁ Φλαμίνιος καὶ δημαγωγὸς τέλειος." καὶ αὖθις "οὔτε ἐξετάσαι τὸν ἄνθρωπον οἷόν τε ἦν ἀκριβῶς, ἀσθενείᾳ σώματος ὀχλούμενον, οὔτε ἐρωτᾶν, εὐλαβείᾳ τοῦ ὀχλώδους."

ὀχλώδης ὁ ταραχώδης.

ὀχμάζω κατέχω.

Ὀχοζίας βασιλεὺς Ἰουδαίων, ἐν Σαμαρείᾳ ἔχων τὴν δίαιταν, πονηρὸς ἦν, κατὰ πάντα ὅμοιος τοῖς γονεῦσιν ἀμφοτέροις καὶ Ἱεροβοὰμ τῷ πρώτῳ παρανομήσαντι καὶ τὸν λαὸν ἀπατᾶν ἀρξαμένῳ. Ioseph. A. I. 9 2.

ὄχοις· Σοφοκλῆς ⟨El. 727⟩ "μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις." "ὄχοις Ἀκεσαίοισιν ἐμβεβὼς πόδα."

ὄχος τὸ ἅρμα, καὶ τοῦ ὕδατος ἡ ὁρμή, ἐξ οὗ καὶ ὀχετός. ἡ δὲ δοτικὴ τῷ ὄχει.

ὀχοῦμαι γενικῇ.

ὀχυρός ὁ ἰσχυρός.

ὀχύρωμα ἡ κλεισοῦρα παρὰ Ῥωμαίοις.

ὀχυρώτερος στερεώτερος.

ὀχῶν ὀχευτικῶς ἔχων.

ὄψ ἡ φωνὴ διὰ τοῦ ο μικροῦ. καὶ κλίνεται ὀπός.

ὄψα.

ὀψάριον τὸ ἰχθύδιον.

ὀψαρτυτής μάγειρος.

ὀψαρτυτική μαγειρική.

ὀψέ βραδέως.

ὀψείοντες ⟨Hom. Ξ 37⟩ ὀπτικῶς ἔχοντες, ἰδεῖν βουλόμενοι.

ὀψ' ἦλθες· ἀλλ' ἐς τὸν Κολωνὸν ἵεσο," ἐπὶ τοῖς καθυστερίζουσι τῶν καιρῶν, καὶ ἐπὶ τῶν μισθαρνούντων.

ὀψία ἡ βραδεῖα.

ὀψιγενής βραδέως γεννηθείς.

ὀψιγόνων ⟨Hom. Γ 353⟩ τῶν ὀψὲ καὶ μετὰ πολὺν χρόνον ἐσομένων.

ὀψιμαθής· "ἦν δὲ ὁ Σουπηριανὸς ὀψιμαθὴς μὲν ἱκανῶς, τὴν δὲ φύσιν ὑπονωθέστερος, λ' ἐτῶν ἀρξάμενος ἀναγινώσκειν τὰ τῶν ῥητόρων βιβλία." cf. v. Σουπηριανός.

ὄψιμον ⟨Hom. B 325⟩ τὸ βραδέως γινόμενον.

ὀψινόν πρὸς ὀψέ.

ὄψις ὅρασις. καὶ ἡ θεωρία· "τὰ μὲν ἐν πρὸ τῆς πόλεως ἀργύρῳ καὶ χρυσῷ περιλάμπετο, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τοῖς σφετέροις ἐπιτερπέστερον οὔτε τοῖς πολεμίοις παρέστη φοβερώτερον."

ὅτι ἡ ὄψις τῶν β' χρωμάτων ἐστὶ κριτική, λευκοῦ καὶ μέλανος, καὶ τῶν μεταξύ, ξανθοῦ φαιοῦ ὠχροῦ ἐρυθροῦ κυανοῦ ἁλουργοῦ λαμπροῦ ὀρφνίου. ἡ δὲ ἀκοὴ κριτική ἐστιν ὀξέος καὶ βαρέος φθόγγου. ἡ δὲ ὄσφρησις κριτικὴ εὐωδῶν καὶ δυσωδῶν ὀσμῶν καὶ τῶν μεταξύ, σηπομένων τε καὶ βρεχομένων, ἢ τηκομένων ἢ θυμιωμένων. ἡ δὲ γεῦσις κριτικὴ γλυκέων τε καὶ πικρῶν χυμῶν καὶ τῶν μεταξὺ ἑ[illegible] γὰρ εἰσὶ χυμοί, γλυκὺς πικρὸς ὀξὺς δριμὺς σομφὸς ἁλυκὸς στρυφνός. ἡ δὲ ἁφὴ πλειόνων ἐστὶ κριτική, βαρέων κούφων καὶ τῶν μεταξύ, τραχέων καὶ λείων καὶ τῶν μεταξύ, ξηρῶν καὶ ὑγρῶν. καὶ αἱ μὲν δ' αἰσθήσεις ἐν τῇ κεφαλῇ εἰσὶ καὶ ἰδιάζουσι περικλείονται ὀργάνοις, ἡ δὲ ἁφὴ καὶ διὰ τῆς κεφαλῆς καὶ διὰ τοῦ σώματος κεχώρηκε, καὶ ἐστι κοινὴ πάσης αἰσθήσεως. Vit. Pythag. ap. Phot. p. 439

ὀψισθέντα ὀψὲ τῆς ὥρας ἐλθόντα· "ἀπέκτεινε δὲ αὐτὸν ὁ πανδοχεὺς ὁ ὑποδεξάμενος ὀψισθέντα." cf. v. τιμωροῦντος.

ὀψιτέλεστον ⟨Hom. B 325⟩ βραδέως τελειούμενον.

ὀψοδεῖα ἡ ἔνδεια τῶν ὄψων. ὀψοδεια δέ. cf. v. ὀλιγοδεῖα.

ὄψον πᾶν προσόψημα ἢ προσφάγιον. sch. Hom. Λ 630.

ὀψοποιουμένοις ὄψα ὠνουμένοις· "ἐναγχος ὢν ποιμέσι τισὶν ὀψοποιουμένοις ἰχθῦς ἀπεδόμην."

ὄψος μοχθηρός.

ὀψοφαγία. καὶ ὀψοφάγος λαίμαργος, ὄψα ἐσθίων· "Φιλόξενος ὁ Λευκαδίου ··· τεμαχίοις." cf. v. Τιμαχίδας.

ὀψώνια κέρδη, χαρίσματα· ὁ ἀπόςολος ⟨Rom. 6 23⟩ "τὰ γὰρ ὀψώνια τῆς σαρκὸς θάνατος."

ὀψώνιον παρὰ τῇ θείᾳ γραφῇ ⟨2 Cor. 11 8⟩ ἡ ἀφωρισμένη τροφή.

ὁ ὢν ὁ ἀεὶ ὢν θεὸς ἡμῶν.

παγανοὶ ἀςράτευτοι· "συνέθεον δὲ γύναιά τε καὶ οἱ ἐν ςρατείᾳ καὶ παγανοί."

πάγας δίκτυα, παγίδας. "καὶ τοῦτο δήπου τὸ τοῦ Αἰσχύλου, τοῖς ἑαυτοῦ πτεροῖς περιπεσών, καὶ ἐνσχεθεὶς ταῖς πάγαις ἃς ἄλλοις ὑφῆκε, τὰ ἐκ τοῦ νόμȣ δικαίως ἔπαθε, τεύχων ὡς ἑτέρῳ τις ἑῷ κακὸν ἥπατι τεύχει." cf. v. οὐχ ὑπ' ἄλλων.

Παγασαὶ Δημοσθένης ⟨1 9⟩ ἐν Φιλιππικοῖς. ἐπίνειόν ἐςι Φεραίων.

Παγασιτικὸς κόλπος.

Πάγγαιον ὄνομα ὄρους.

παγῆναι πηγῆναι.

παγκάλης πάνυ καλῆς.

πάγκοινος λίμνη ἡ τοῦ Ἅιδου· ⟨S El. 138⟩ "ἀλλ' οὔτοι τόν γ' ἐξ Ἀίδα παγκοίνȣ λίμνας ἀνςάσεις οὔτε γόοις οὔτε λιταῖσιν." παγκοίνου, εἰς ἣν ἅπαντας ἀφικέσθαι δεῖ. ὁ δὲ νοῦς· οὔτε ὀδυρομένη οὔτε παρακαλοῦσα τοὺς θεοὺς τοῦτον ἀναςήσεις. ὁμηρικῶς ⟨Ω 524⟩ "οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο." καὶ Αἰσχύλος "μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ." "οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος."

παγκρατιαςαῖς ἀθληταῖς, πύκταις τοῖς χερσὶ καὶ ποσὶ πυκτομαχοῦσιν.

παγκράτιον πυγμή, ἀγών, ἄθλησις.

a Παγκράτιος σοφιςὴς εἰς τὴν Μινȣκιανοῦ τέχνην ὑπόμνημα.

b Παγκράτιος. τούτου φέρονται ὀψαρτυτικὰ καθ' ἑκάςην τροπήν. ἤκμαζεν ἐπὶ τῶν χρόνων Λέοντος τοῦ πρεσβύτου, καὶ ἕως Ζήνωνος.

πάγοι αἱ ἔξοχαὶ τῶν πετρῶν καὶ τῶν ὀρῶν· ⟨AP 6 334⟩ "αὔλια καὶ νυμφῶν ἱερὸς πάγος, αἵ θ' ὑπὸ πέτρῃ πίδακες, ἥ θ' ὕδασιν γειτονέουσα πίτυς."

πάγον εὐτείχη ⟨Eur. Androm. 1010⟩ ἐν ὄρει τετειχισμένην.

Παγγενῖτις ὄνομα χώρας.

πάγχυ παντελῶς.

Πάδος ὄνομα ποταμοῦ τοῦ παρ' Ἕλλησιν Ἠριδανοῦ ὀνομαζομένου.

πάθαι αἱ συμφοραί· Οἰδίπους ⟨C 7⟩ "ςέργειν γὰρ αἱ πάθαι με χὠ χρόνος ξυνὼν μακρὸς διδάσκει, καὶ τὸ γενναῖον τρίτον." ςέργειν τὰ δυςυχήματα ὁ πολὺς ἐποίησε χρόνος καὶ τὸ τῶν συμφορῶν πλῆθος καὶ τὸ τῆς ἀνδρίας πλεονέκτημα.

πάθας πάθη, ξυμφοράς· "ὃ δὲ ἐπῆγε τήν τε ἀποςέρησιν τῶν χρημάτων καὶ τὴν καταδίκην καὶ μέντοι καὶ τὰς προτέρας αὐτοῦ τὰς ἀδίκους πάθας." πάθας θηλυκῶς· Σοφοκλῆς ⟨Ai. 295⟩ "καὶ τὰς μὲν ἔνδον οὐκ ἔχω λέγειν πάθας."

πάθη ἡ κάκωσις· "ἀκόλουθόν σφισι πάθην ἐπηρτημένην ὁρῶντα, ἣν λαθεῖν ἀδύνατον." καὶ αὖθις "καὶ ἄλλας μυρίας εἴποιμι ἂν δίκης ἀμελουμένης ἀκολουθεῖν πάθας." a

πάθη, θηλυκόν, τὸ πάθος· "οἷαι γὰρ αἱ πάθαι τῆς ψυχῆς κατὰ τὴν θέαν, τοιαύτας καὶ τὰς ἀποβάσεις εἶναι ἀνάγκη." b

πάθη δύο πόνος καὶ ἡδονή. καὶ ἡ μὲν ἡδονὴ λεία κίνησις, ὁ δὲ πόνος τραχεῖα κίνησις· καὶ ἡ μὲν ἡδονὴ εὐδοκητὴ πᾶσι ζῴοις, ὁ δὲ πόνος ἀποκρουςικός. Diog. L. 2 86.

Παθηζίτης ὄνομα κύριον.

πάθος λέξεως ὁμωνυμία, ὡς κύων, μεταφορά, ὡς τιθηνὸς ἡ γῆ, κατάχρησις. ἐντεῦθεν καὶ ἡ ἀσάφεια. a

πάθος. ὅτι τὸ τοῦ πάθους ὄνομα διχῶς λέγεται· ἢ γὰρ τὸ εἰς φθορὰν ἄγον ἢ εἰς τελείωσιν. λέγεται γὰρ πάσχειν τὸ ξύλον ὑπὸ τοῦ πυρὸς ὡς εἰς φθορὰν ἀγόμενον, λέγεται δὲ πάσχειν καὶ τὰς αἰσθήσεις ὑπὸ τῶν αἰσθητῶν, ἀντὶ τοῦ τελειοῦσθαι καὶ ἐκ δυνάμεως εἰς ἐνέργειαν ἄγεσθαι. b

ὅτι ἐκ τῶν παθῶν ··· πάσχειν. cf. v. διάθεσις.

περὶ παθῶν. ὅτι τῆς ψυχῆς μέρη τὰ ε' αἰσθητήρια καὶ τὸ φωνητικὸν μόριον καὶ τὸ διανοητικόν, ὅπερ ἐςὶν ἡ διάνοια. ἐκ δὲ τῶν ψευδῶν ἐπιγίγνεσθαι τὴν διαςροφὴν ἐπὶ τὴν διάνοιαν, ἀφ' ἧς πολλὰ πάθη βλαςάνειν καὶ ἀκαταςασίας αἴτια. ἔςι δὲ αὐτὸ τὸ πάθος ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις ἢ ὁρμὴ πλεονάζουσα. τῶν παθῶν τὰ ἀνωτάτω γένη τέσσαρα, λύπη φόβος ἐπιθυμία ἡδονή. δοκεῖ δὲ τὰ πάθη κρίσεις εἶναι· ἥ τε γὰρ φιλαργυρία ὑπόληψίς ἐςι τοῦ τὸ ἀργύριον κα-

λὸν εἶναι, καὶ ἡ μέθη δὲ καὶ ἡ ἀκολασία ὁμοίως, καὶ τὰ ἄλλα. καὶ τὴν μὲν λύπην εἶναι συστολὴν ἄλογον, εἴδη δὲ αὐτῆς ἔλεος φθόνος ζῆλος ζηλοτυπία ἄχθος ἐνόχλησις ἀνία ὀδύνη σύγχυσις. ἔλεον μὲν ὡς ἐπὶ ἀναξίως κακοπαθοῦντι, φθόνον δὲ λύπην ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, ζῆλον δὲ λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι ὧν ··· καὶ αὐτὸς ἔχει, ἄχθος λύπην βαρύνουσαν, ἐνόχλησιν λύπην στενοχωροῦσαν καὶ δυσχωρίαν παρασκευάζουσαν, ἀνίαν λύπην ἐκ διαλογισμῶν μένουσαν ἢ ἐπιτεινομένην, ὀδύνην λύπην ἐπίπονον, σύγχυσιν λύπην ἄλογον, ἀποκλείουσαν καὶ κωλύουσαν τὰ παρόντα συνορᾶν. Diog. L. 7 110.

ὅτι ἡ ἀθανασία τῆς ζωῆς πάθος ἐστὶν ἢ σύμπτωμά τι. ὅτι δὲ πάθος ἢ σύμπτωμά τι ἡ ἀθανασία τῆς ζωῆς, δειχθήσεται ἐπὶ ὑποθέσει τῇ ἐκ θνητοῦ ἀθάνατον γίγνεσθαι· οὐ γὰρ μεταλήψει ἄλλης ζωῆς ἀθάνατον ἔσται τὸ θνητόν, ἀλλ' ὡς συμπτώματί τινι καὶ πάθει. ἡ γὰρ αὐτὴ ζωὴ παθοῦσα ἀθανασία ἐστίν. εἰ δὲ πάθους αἰτία ἡ ζωὴ ἀθανασία γίνεται, εἴη ἂν πάθος ἡ ζωὴ τῆς ἀθανασίας. εἰ οὖν τοῦ πάθους τοῦ ἰδίου τὸ πεπονθὸς οὐκ ἔστι γένος (σύμπτωμά τι γὰρ καὶ συμβεβηκὸς τὸ πάθος τοῦ πεπονθότος, ἀλλ' οὐκ εἶδος), οὐδ' ἂν τῆς ἀθανασίας γένος εἴη ἡ ζωή· οὐδὲ γὰρ γλυκύτητος τὸ σῶμα γένος, οὐδὲ ἡδονῆς ἢ λύπης ἡ ψυχή. Alex. Aphrod. in Top. p. 177.

πάθωμεν αὐθυπότακτον.

παῖ· Ἀριστοφάνης ⟨Vesp. 1288⟩ "τί δ' ἐστιν ὦ παῖ; παῖδα γάρ, κἂν ᾖ γέρων, καλεῖν δίκαιον ὅστις ἂν πληγὰς λάβῃ."

παιάν εἶδος ᾠδῆς· ⟨Babr. 24 4⟩ "ὁ δ' εἶπε κλαύσας φρῦνος, οὐχὶ παιᾶνος τοῦτ' ἐστὶν ἡμῖν, φροντίδος δὲ καὶ λύπης."

a *παιᾶνας* ὕμνους· "ὁ δὲ ᾖδε τοὺς παιᾶνας οὐκ εὐτραπέλῳ τῇ γλώττῃ οὐδὲ ἐρρωμένῃ, ὥσπερ οὖν κάτοινος ἤδη καὶ οὐκ ἀρτίστομος ἔτι." cf. v. ἀρτίστομος.

b *παιᾶνας* κώμους, εὐφημίας. παιᾶνες δύο ἦσαν, ἐνυάλιος, ὅτε ἦρχον, ὃς καὶ πρὸ τῆς μάχης ἐγίνετο, καὶ ἕτερος, ὅτε ἐνίκων. sch. Thuc. 4 43.

ὅτι δύο παιᾶνας ᾖδον οἱ παλαιοί, πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει, μετὰ δὲ τὸν πόλεμον τῷ Ἀπόλλωνι. τὸ δὲ ὡς ἐπίπλουν λέγει Θουκυδίδης ἀντὶ τοῦ ὡς πρὸς τὸ ἄρξαι τὸν πόλεμον. sch. Thuc. 1 50.

Παιανίας ὄνομα κύριον.

Παιανιεῖς καὶ Παιονίδαι. δῆμοι διττοί εἰσι Παιανιέων τῆς Πανδιονίδος φυλῆς, οὓς Διόδωρος καλεῖσθαί φησι Παιανιαίαν καθύπερθεν καὶ Παιανιαίαν ὑπένερθεν, τὸν δὲ δημότην ἑκατέρου δήμου καλεῖσθαι ὁμοίως Παιανιέα. διαφέρουσι δὲ οὗτοι τῶν Παιανιδῶν· δῆμος δέ ἐστι καὶ οὗτος τῆς Λεοντίδος. Harp.

παιανίσαι τὸν Παιᾶνα ἐπικαλεῖσθαι. ἦν δὲ ἔθος καὶ ἔργου ἀρχομένου καὶ ἐπὶ τῇ νίκῃ τοῦτο λέγειν.

παιανισμός ᾠδὴ ἐπὶ ἀπαλλαγῇ κακῶν.

παιγνία ἑορτή· ⟨A Lys. 700⟩ "ὥστε τῇ Ἑκάτῃ ποιοῦσα παιγνίαν ἐγὼ τοῖσι παισὶ τὴν ἑταίραν ἐκάλεσ' ἐκ τῶν γειτόνων." καὶ Ξενοφῶν ⟨Cyr. 2 3 18⟩ "οἱ δὲ ναρθηκοφόροι ἐδίωκον σὺν πολλῷ γέλωτι καὶ παιγνίᾳ."

παιγνιημονέστατος τοῖς παιγνίοις ἐπιστήμων.

παίγνιον.

παιδαγωγηθεῖσαν πόλιν ἀντὶ τοῦ ἀχθεῖσαν. καὶ *παιδαγωγῶ* αἰτιατικῇ.

παιδάριον. οὐ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ παρθένων. Ὑπερίδης ἐν τῷ πρὸς Τιμάνδραν "καταλλαχθέντων γὰρ τούτων δυοῖν ἀδελφοῖν καὶ δυοῖν ἀδελφαῖν ὀρφαναῖν καὶ πρὸς πατρὸς καὶ πρὸς μητρός, καὶ παιδαρίων παίδων."

Παιδάριτος. τῶν ἐκ Λακεδαίμονος ἐκπεμφθέντων ἐστὶν οὗτος, ἁρμοστής, ἀνὴρ εἷς τῶν γεγονότων καλῶν. Harp.

παιδεία ἡ παίδευσις. "παιδείαν ὀρθὴν εἶναι νομίζομεν οὐ τὴν ἐν τοῖς ῥήμασι καὶ τῇ γλώττῃ πολιτευομένην εὐρυθμίαν, ἀλλὰ διάθεσιν ὑγιᾶ νοῦν ἐχούσης διανοίας, καὶ ἀληθεῖς δόξας ὑπέρ τε ἀγαθῶν καὶ κακῶν ἐσθλῶν τε καὶ αἰσχρῶν. ὅστις οὖν ἕτερα μὲν φρονεῖ, διδάσκει δὲ ἕτερα τοὺς πλησιάζοντας, αὐτὸς ἀπολελεῖφθαι τοσούτῳ δοκεῖ τῆς παιδείας ὅσῳ καὶ τοῦ χρηστὸς ἀνὴρ εἶναι" ⟨Iulian. ep. 42⟩.

παίδειος μετουσιαστικόν, ὁ τῆς παιδείας· ⟨AP 6 294⟩ "σύμβολ' ἀγωγῆς παιδείου, πολιῷ γυῖα δεθεὶς καμάτῳ."

παιδερασταὶ σφοδροὶ ὅ τε Κηδωνίδης καὶ ὁ Αὐτοκλείδης.

παῖδες οὐ μόνον οἱ νέοι ἀλλὰ καὶ οἱ δοῦλοι· Δαβίδ "αἰνεῖτε παῖδες κύριον" ἀντὶ τοῦ οἱ δοῦλοι. Theodoret. in Ps. 112 1.

παιδεύειν παιδοτροφεῖν.

a παιδιά παίγνιον· "ἐδόκει δὲ τὸν βασιλέα καὶ τὸν εὐνοῦχον κατὰ πάρεργον παιδιάν τινα θησόμενος ὁ Τιμάσιος." cf. v. Τιμάσιος extr.

b παιδιά. παιδιά τίς ἐστι τοιαύτη παρὰ Ἀθηναίοις. δραξάμενός τις καρύων καὶ ἐκτείνας τὴν χεῖρα ἐρωτᾷ πόσα ἔχω; καὶ ἐὰν ἐπιτύχῃ, λαμβάνει ὅσα ἔχει ἐν τῇ χειρί, ἐὰν δὲ ἁμάρτῃ κατὰ τὴν ἀπόκρισιν, ἀποτίνει ὅσα ἂν ὁ ἐρωτήσας εὑρεθείη ἔχων ἐν τῇ χειρί. sch. A Plut. 1057.

παιδία. οὕτως Ἀττικοὶ βραχυπαραλήκτως καὶ παροξυτόνως ἐπὶ τοῦ παιγνίου. Ἀριστοφάνης Πλούτῳ ⟨1057⟩ "αὐτοῦ λαβοῦσα κάρυα. παιδιὰν τίνα;" Εὐνάπιος ⟨p. 105 Nieb.⟩ "καὶ οἳ μὲν παιδιάν τινα ἐκ τῶν πολεμίων ἡγούμενοι, τοσοῦτον ἐδυσχέραινον ὅσον ἠναγκάζοντο βοᾶν, καθ' οὓς ἐμβάλοιεν." παιδεία δὲ ἡ παίδευσις, διὰ διφθόγγου.

a παιδικά. ἐπὶ θηλειῶν καὶ ἀρρένων ἐρωμένων τάττεται ἡ λέξις. παραδείγματα τοῦ μὲν ἐπὶ τῶν ἀρρένων τάττεσθαι πολλά. καὶ ἐν τοῖς Ἀχιλλέως δὲ ἐρασταῖς δῆλον ὡς οὕτως ἐξείληπται· ἐπιδόντων γάρ τι τῶν Σατύρων εἰς τὴν γυναικείαν ἐπιθυμίαν φησὶν ὁ Φοῖνιξ "παπαῖ, τὰ παιδίχ', ὡς ὁρᾷς, ἀπώλεσας." καὶ Κρατῖνος Πανόπταις "μισεῖς γὰρ τὰς γυναῖκας, πρὸς παιδικὰ δὲ τρέπει νῦν." ὅτι δὲ ἐκάλουν οὕτως καὶ τὰ πρὸς τὰς γυναῖκας, Εὔπολις· φησὶ γὰρ ὡς πρὸς αὐλητρίδα τις "ἐγὼ δὲ χαίρω πρός γε τοῖς σοῖς παιδικοῖς." καὶ Κρατῖνος δὲ Ὥραις, τῆς παλλακῆς ἀποδημοῦντος τοῦ Διονύσου ἐρώσης, φησὶν ἐπ' αὐτοῦ "μακάριος τῶν παιδικῶν." οὐχὶ δὲ μόνον οἱ ἐρώμενοι καλοῦνται τούτῳ τῷ ὀνόματι, ἀλλὰ καὶ πάντες οἱ σπουδαζόμενοι πάνυ κατὰ μεταφορὰν τὴν ἀπ' ἐκείνων. Πλάτων Φαίδρῳ ⟨p. 236 B⟩ "ἐσπούδακας ὦ Φαῖδρε, ὅτι σοῦ τῶν παιδικῶν ἐπελαβόμην· ἐρεσχελήσω σε." λέγεται δὲ παιδικὸν καὶ τὸ παιδαριῶδες, οἷον τὸ ἁρμόζον παιδί. ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. Phot. lex. et sch. Plat. p. 329.

b ὅτι τὸν Ἀντίνουν φασὶ παιδικὰ Ἀδριανοῦ γενέσθαι, καὶ τούτου προτελευτήσαντος πανταχοῦ ἀνδριᾶσι προστάξαι τιμηθῆναι, καὶ τέλος ἀστέρα τινὰ δοκεῖν ἐν τῷ οὐρανῷ, ὃν Ἀντίνουν ἔλεγεν εἶναι· καὶ ἐλέγετο εἰς τὸν οὐρανὸν ἀφορᾶν Ἀδριανός. cf. Dio Cass. 69 11.

c παιδικά ὀξυτόνως. ἔστι δὲ οὐδέτερον πληθυντικόν. τοῦτο δέ τινες ἐπ' ἀγαθοῦ ἔρωτος, τινὲς δὲ ἐπ' αἰσχροῦ λαμβάνουσι. τὸ δὲ παιδικά ἀντὶ τοῦ ἐρώμενος. sch. A Vesp. 1021.

παιδικῶν· "τελευτῶν ἀπεσφάγη καὶ αὐτός, καὶ ἔκειτο πλησίον τῶν παιδικῶν θέαμα ἔνδοξόν τε καὶ ὑπερήφανον" Αἰλιανός φησι.

παιδικώτερον ἱλαρώτερον.

παιδίσκη ἡ θεράπαινα.

παιδνός παῖς, νέος.

παιδοκομοῦντα παῖδα τρέφοντα.

παιδολετῆρα παιδοφόνον.

παιδομαθῆ ἐκ παιδὸς ἠσκημένον· "ὄντα νέον μέν, ὁρμῆς δὲ πλήρη καὶ παιδομαθῆ περὶ τὰ πολεμικά" ⟨Polyb. 3 71⟩.

Παιδοπολίτης· "Ὀρτιάγοντος ἐγεγόνει Παιδοπολίτης, προβαίνων δὲ κατὰ τὴν ἡλικίαν δικαστὴς ἀπεδείχθη."

παιδοτρίβας ἀλείπτας, γυμναστάς.

παιδουργία παιδοποιία. S OR 1248.

παιδοῦσσα ἐγκύμων.

παίει τύπτει. Ἀριστοφάνης ⟨Eq. 247⟩ "παῖε παῖε τὸν ἀλιτήριον καὶ πανοῦργον καὶ ταραξιππόστρατον καὶ τελώνην καὶ φάρυγγα καὶ Χάρυβδιν."

παίειν. οὕτω λέγουσι τὸ πᾶν ὅτι οὖν συντόνως ποιεῖν. Ἀριστοφάνης Ἀχαρνεῦσιν ⟨685⟩ "ὁ δὲ νεανίας ἐς τάχος παίει στρογγύλοις τοῖς ῥήμασι."

Παιήονος ἰατροῦ τῶν θεῶν.

παιόλη· "ὦ παιόλη" ⟨A Nub. 1149?⟩. θεόν τινα πεποίηκεν, οἷον ἐκτροπὴν ἤ τινα τοιαύτην. ὡς ἂν εἴποι τις ὦ ἀδικία καὶ ἀποστέρησις. πέπλακε τὸ ὄνομα δαίμονός τινος, σωματοποιήσας αὐτήν, παρὰ τὸ ἀπαιολεῖν καὶ κινεῖν καὶ ἀποστερεῖν.

παιόλημα κίνημα, ἀποπλάνημα, καὶ ἀπάτην τινά, πανούργημα· Ἀριστοφάνης Νεφέλαις ⟨726⟩ "ἐξευρετέος γὰρ νοῦς ἀποστερητικὸς καὶ παιόλημα."

Παίονες ἔθνος, καὶ Παιονία χώρα.

παιπάλη ἄλευρον ἀπὸ κριθῶν ἢ ἀπὸ κέγχρου. Ἀριστοφάνης Νεφέλαις ⟨258⟩ "λέγειν γενήσῃ κρόταλον, παιπάλη," ἀντὶ τοῦ τραχύς, δυσκατάληπτος, ἐπεὶ παίπαλα καλοῦμεν τὰ τῶν χωρίων δύσβατα.

a παιπάλημα τὸν πανοῦργον καὶ ποικίλον ἐν κακίᾳ καὶ παμπόνηρον σὺν ἀγχινοίᾳ.

παιπάλημα ὁ πολλὰς ἐκτροπὰς καὶ διό-

δους ἔχων. κυρίως δὲ τὸ λεπτὸν ἄλευρον. sch. A Av. 430.

παιπαλόεις ὁ τραχύς.

παιπαλώδεις· "τὰς δὲ παιπαλώδεις γυναῖκας Κίρκας φαμέν." cf. v. Κίρκη.

παιπανεία ἡ κενοδοξία.

παῖσαι παῖξαι, τύψαι.

παίσατε, ὅπερ ἡμεῖς παίξατε· Ὅμηρος ⟨ϑ 251⟩ "παίσατε, ὥς χ' ὁ ξεῖνος."

παισθείς τυπτηθείς.

παῖς μοι Τριτογενὴς εἴη, μὴ Τριτογένεια. cf. v. Τριτογένεια.

Παισός ⟨Hom. E 612⟩ πόλις, καὶ Παισηνός ὁ πολίτης.

παίσωμεν μετ' αὐτῆς συγχορεύσωμεν αὐτῇ ⟨A Av. 661⟩. καὶ αὖθις "καὶ ἕδνα ᾔτει, γενέσθαι βασιλίς, τὸ τοῦ Μενάνδρου, ἵνα τι καὶ παίσω, Τρικορυσία βασίλιννα, καὶ αὕτη δέσποινα εἶναι τοῦ πόντου ἐθέλουσα." cf. v. Τρικορυσία.

παιτῖτα ⟨πετῖτα⟩. Ῥωμαϊκὴ ἡ λέξις, σημαίνει δὲ γνώρισμα αἰτήσεως παρὰ Ῥωμαίοις. "Χρυσάφιος δὲ ὁ πραιπόσιτος παιτῖτα ἐπεζήτει Θεοδόσιον τὸν βασιλέα" ⟨Priscus?⟩.

παιφάσσω φανεροποιῶ, ἢ ὁρμῶ.

παιῶνας ἰατρούς, καὶ ἀλαλαγμούς. καὶ παιωνίζειν τὸ ἀλαλάζειν.

παιώνειον ῥίζης φάρμακον.

παιώνιον ἰατρεῖον, θεραπευτήριον. ἢ σωτήριον φάρμακον ⟨sch. A Ach. 1211⟩. καὶ ⟨Iulian. ep. 15⟩ "παιωνίοις τισὶ φαρμάκοις" σωτηρίοις, ἰατρικοῖς, θεραπευτικοῖς. καὶ αὖθις "πύξιν κάτ' ἐσθλὴν ὕδατος παιωνίꙋ ἦλθέν ποθ' ἑρπύζουσα."

παιωνίσας εὐξάμενος καὶ τοῖς θεοῖς χάριν ὁμολογήσας· παιὼν γὰρ ὕμνος χαριςήριος. sch. A Pac. 554.

παιῶνος τοῦ ὕμνου, Παίωνος δὲ τꙋ̃ ἰατροῦ.

Πακᾶτος ὁ Μινούκιος χρηματίσας καὶ Εἰρηναῖος, Ἀλεξανδρεὺς γραμματικός, περὶ τῆς Ἀλεξανδρέων διαλέκτου ἢ περὶ ἑλληνισμοῦ βιβλία ζ'· ἔςι δὲ κατὰ ςοιχεῖον. περὶ Ἀττικῆς συνηθείας τῆς ἐν λέξει καὶ προσῳδίᾳ βιβλία γ'· ἔςι δὲ κατὰ ςοιχεῖον. περὶ ἰδιωμάτων τῆς Ἀττικῆς καὶ τῆς Δωρίδος διαλέκτου, περὶ ἀττικισμꙋ̃, καὶ ἄλλα πολλά. cf. v. Εἰρηναῖος.

πακτοῦν κλείειν, ἀσφαλίζεσθαι· "μοχλοῖσι τὰ προπύλαια πακτοῦν" Ἀριςοφάνης Λυσιςράτῃ ⟨264⟩.

Πακτυηνή ὄνομα πόλεως.

Πακτωλός ὄνομα ποταμοῦ.

παλάθαι μᾶζαι σύκων. καὶ παλασίων τῶν πεπατημένων ἰσχάδων. παλάθαι δὲ καὶ εἶδος βοτάνης. ἢ τὰ ἐκ τρυγὸς πλάσματα. ἢ ἡ ἐπάλληλος θέσις τῶν σύκων. sch. A Pac. 573.

πάλαι ἐπίρρημα χρόνου δηλωτικόν.

παλαιγενές πρεσβῦτα· Ἀριστοφάνης ⟨Nub. 357⟩ "χαῖρ' ὦ πρεσβῦτα παλαιγενές." οὐχ ὡς σεμνόν τινα προσηγόρευσε διὰ τὸν χρόνον· τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. ἀντὶ τοῦ ἀνόητε. καὶ Εὐριπίδης "ἀρχαῖον εἴρηκας" ἀντὶ τꙋ̃ εὔηθες· "εὐεργετῆσαι γὰρ τὸ σῶμ' οὐ βούλομαι."

παλαιόν τὸ πρὸ πολλꙋ̃ χρόνꙋ, ὡς παρ' Ὁμήρῳ ⟨Z 215⟩ "ἦ ῥά νύ μοι ξεῖνος πατρώιός ἐσσι παλαιός." καὶ τὸ διερρυηκός, ὡς τὸ "πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ νέαι ἠδὲ παλαιαί" ⟨Hom. α 395⟩.

παλαιόν. οἱ ῥήτορες ἐχρήσαντο τῷ πα- b
λαιῷ ἐπὶ ἀργυρίꙋ ἐκ δανείσματος ὀφειλομένου. οὕτως Λυσίας ἐν τῷ πρὸς Ἀλκίβιον "καίτοι εἰ ἀποδεδώκει τῷ Κτησικλεῖ ν' παλαιάς, ὥσπερ οὗτός φησι."

παλαιὸς ἀφ' οὗ χρόνος ⟨S Ai. 600⟩ ἀντὶ τοῦ ἐκ πολλοῦ χρόνου.

Παλαίπολις ὄνομα τόπου.

πάλαι πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι, ἐπὶ τῶν ποτ' ἀκμασάντων, νῦν δὲ ἀσθενῶν ὄντων.

παλαίσμασιν ἀντὶ τοῦ ςρατηγήμασι. καὶ Ἀριςοφάνης ⟨Ran. 701⟩ "Φρυνίχου παλαίσμασιν·" ςρατηγοῦντος γὰρ αὐτꙋ̃ ἡττήθησαν Ἀθηναῖοι, καὶ πολλοὶ αὐτῷ προσεκρꙋ́σθησαν ὡς προδόντι τὸν πόλεμον. τινὲς δὲ τοῦτον κωμικὸν ποιητὴν λέγουσιν, ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας. ἐγένετο δὲ ςρατηγός, ἐφ' οὗ πολλοὶ ἥμαρτον τῶν τραγικῶν καὶ ἄτιμοι ἐγένοντο.

παλαιςάς σπιθαμάς, ἢ ἔμπαλιν.

Παλαιςηνός. Παλαιςῖνος δέ.

παλαιςής ἀνταγωνιςής. ⟨S Phil. 431⟩ "σοφὸς παλαιςὴς κεῖνος· ἀλλὰ χαἰ σοφαὶ γνῶμαι ἐμποδίζονται θαμά."

Παλαιςίνη ὄνομα χώρας, καὶ Παλαιςῖνος ὁ ἀπὸ Παλαιςίνης· "πολλοῖς δὲ ςαθμοῖς ἀφέςηκεν ἡ Βαβυλὼν τῆς Παλαιςίνης."

παλαίςρα τὸ γυμνάσιον· "εὑρὼν δὲ πε-

δίον ὕπτιον καὶ καλὸν εἰς χρῆσιν ἵππων καὶ φάλαγγος ἐκάθαιρε καὶ διέσκαπτε, καὶ τῷ πολέμῳ παλαίςρας ἐποίει."

παλαίτατος ὁ παλαιός.

a Παλαίφατος Ἀβυδηνὸς ἱςορικὸς Κυπριακά, Δηλιακά, Ἀττικά, Ἀραβικά. γέγονε δὲ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, παιδικὰ δὲ Ἀριςοτέλους τοῦ φιλοσόφου, ὡς Φίλων ἐν τῷ ε ςοιχείῳ τοῦ περὶ παραδόξου ἱςορίας βιβλίου α΄, καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν β΄ Τρωικῶν.

b Παλαίφατος Ἀθήνησιν ἐποποιός, υἱὸς Ἀκταίου καὶ Βοιοῦς· οἱ δὲ Ἰοκλέους φασὶ καὶ Μετανείρας, οἱ δὲ Ἑρμοῦ. γέγονε δὲ κατὰ μέν τινας μετὰ Φημονόην, κατὰ δὲ ἄλλους καὶ πρὸ αὐτῆς. ἔγραψε δὲ κοσμοποιίαν εἰς ἔπη ͵ε, Ἀπόλλωνος καὶ Ἀρτέμιδος γονάς, ἔπη ͵γ, Ἀφροδίτης καὶ Ἔρωτος φωνὰς καὶ λόγους, ἔπη ͵ε, Ἀθηνᾶς ἔριν καὶ Ποσειδῶνος, ἔπη ͵α, Λητοῦς πλόκαμον.

c Παλαίφατος Αἰγύπτιος ἢ Ἀθηναῖος γραμματικὸς Αἰγυπτιακὴν θεολογίαν, μυθικῶν βιβλίον α΄, λύσεις τῶν μυθικῶς εἰρημένων, ὑποθέσεις εἰς Σιμωνίδην, Τρωικά, ἅ τινες εἰς τὸν Ἀθηναῖον τινὲς δὲ εἰς τὸν Πάριον ἀνήνεγκαν. ἔγραψε καὶ ἱςορίαν ἰδίαν.

d Παλαίφατος Πάριος ἢ Πριηνεύς, γεγονὼς κατὰ Ἀρταξέρξην, ἀπίςων βιβλία ε΄. τινὲς δὲ ταῦτα εἰς τὸν Ἀθηναῖον ἀναφέρουσι· πλὴν καὶ οὗτος ἔγραψε.

παλαιφάτου (Hom. τ 163) παλαιᾶς καὶ ἀρχαίας, περὶ ἧς ἔφασαν ἔκπαλαι μύθους.

παλαιῷ δοτικῇ.

παλάμαι τέχναι, χεῖρες· "ὦ παλάμαι θνητῶν, ὦ δύςηνα γένη βροτῶν, οἷσι μὴ μέτριος αἰών."

παλαμᾶσθαι τεχνάζεσθαι. καὶ παλαμάσθω· (A Ach. 659) "πρὸς ταῦθ᾽ ὅ τι χρὴ καὶ παλαμάσθω, καὶ πᾶν ἐπ᾽ ἐμοὶ τεκταινέσθω· τὸ γὰρ εὖ μετ᾽ ἐμοῦ καὶ τὸ δίκαιον ξύμμαχον ἔςαι, κοὐ μήποθ᾽ ἁλῶ κακὰ πράσσων." καὶ αὖθις "ὁποῖα παλαμᾶται" ἀντὶ τοῦ τεχνάζεται. καὶ ἀπάλαμνος παρ᾽ Ὁμήρῳ (E 597) ὁ ἄτεχνος.

παλάμη τέχνη· Ἡρόδοτος (8 19) "ἔλεγέ σφιν ὡς δοκέοι ἔχειν παλάμην, τῇ ἐλπίζοι τῶν βασιλέως συμμάχων ἀποςήσειν τοὺς ἀρίςους."

παλάμῃ τῇ ἀρχῇ (an μηχανῇ).

Παλαμήδειος λόγος.

a Παλαμήδης Ἐλεατικὸς γραμματικὸς κωμικὴν καὶ τραγικὴν λέξιν, ὀνοματολόγον, ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.

Παλαμήδης Ναυπλίου καὶ Κλυμένης, b Ἀργεῖος ἐποποιός. ἦν δὲ οὗτος ἀνεψιὸς τοῦ βασιλέως Ἀγαμέμνονος πρὸς μητρός, ἔσχε δὲ εὐφυῶς πρός τε φιλοσοφίαν καὶ ποιητικήν, καὶ εὑρετὴς γέγονε τοῦ ζ ςοιχείου καὶ τοῦ θ καὶ τοῦ φ καὶ τοῦ χ, ψήφων τε καὶ πεσσῶν καὶ κύβων καὶ μέτρων καὶ ςαθμῶν. τὰ δὲ ποιήματα αὐτοῦ ἠφανίσθη ὑπὸ τῶν Ἀγαμέμνονος ἀπογόνων διὰ βασκανίαν. ὑπολαμβάνω δὲ καὶ τὸν ποιητὴν Ὅμηρον αὐτὸ τοῦτο πεπονθέναι, καὶ μηδεμίαν τοῦ ἀνδρὸς μνήμην ποιήσασθαι.

ὅτι ἠφανίσθη τὰ Παλαμήδους ποιήματα c διὰ βασκανίαν ὑπὸ Ὁμήρου. ἅπτεται δὲ καὶ τῶν μεγίςων ἀνδρῶν ὁ φθόνος, ὃς εἴθε μὴ παρεισέδυ τῷ βίῳ, ἢ παρεισδὺς μή με περιέσοιτο, ἐρρέτω δὲ καὶ ἀπέςω. ὅσα γὰρ δέδηγμαι τὴν καρδίαν (A Ach. 1), καὶ οἷα δέδορκα τῷ μακρῷ χρόνῳ. ἀλλ᾽ "εἴη μοι βίος πανεπάρκιος, ὄμμα βάλοι δὲ μήποτ᾽ ἐφ᾽ ἡμετέραις ἐλπίσι βασκανίη" φησί τις τῶν παλαιῶν (AP 5 22).

παλαμναῖος φονεύς, ἢ μιαρός· παλαμναῖοι γὰρ λέγονται οἱ διὰ χειρὸς ἀνδροφονοῦντες, παρὰ τὴν παλάμην. καὶ Ζεὺς παλαμναῖος ὁ τοὺς τοιούτους τιμωρούμενος, καὶ προςροπαῖος ὁ προςρέπων τὸ ἄγος αὐτοῖς. Βάβριος (82 6) "οὐχὶ τὸν μῦν, εἶπεν, ὦ παλαμναία, δέδοικα μή μου τὴν δορὰν δάκῃ φεύγων· χαίτην δ᾽ ἔμελλε τὴν ἐμὴν καταισχύνειν." ὁ λέων φησὶ περὶ μυός. καὶ αὖθις (Procop. Arc. 12) "οὐκ ἄνθρωποι ἔδοξαν εἶναι ἀλλὰ δαίμονες παλαμναῖοί τινες." Αἰλιανός "ὃ δὲ πρὸ τῆς ἐς τοὺς πολεμίους συμπλοκῆς, ὡς εἶδεν ἀπολλύμενόν οἱ τὸν λεών, ἐνετολμήσατο κακὸν κακῷ μείζονι ὁ παλαμναῖος ἄρα ἐκεῖνος σβέσαι. προςάττει οὖν τὴν ἄθλιον παρθένον δίχα τεμεῖν."

παλαμωμένων χερσὶν ἐργαζομένων.

παλαμῶν τεχνῶν, ἢ χειρῶν.

παλατῖνοι εἶδος ἄρτων, οὓς ἐφιλοτιμήσατο τῷ δήμῳ Κωνςαντῖνος ὁ μέγας καθ᾽ ὃν ὑπάτευε χρόνον, οὕτως ὀνομάσας αὐτοὺς οἷα ἐκ τοῦ παλατίου χορηγουμένους. προσέθηκε δὲ τούτοις καὶ κρέα καὶ οἶνον καὶ ἔλαιον, ὧν μέχρι τινὸς ἡ πόλις ἀπήλαυσε, τῶν ὑπ᾽ αὐτοῦ ῥιφέντων φέρουσα τὰ γνωρίσματα. Codinus orig. CP 15.

παλεός (A Lys. 987) ὁ σκώπτης. τίθεται καὶ ἐπὶ τοῦ ἄφρονος.

παλεῦσαι ἐξαπατῆσαι, ὑπαγαγέσθαι. καὶ παροιμία "παλεύει καλῶς τὴν ἀλώπεκα." καὶ παλεύτρια περιστερὰ πλάνος. Ἀριστοφάνης Ὄρνισι (1083) "κἀπαναγκάζει παλεύειν ἐν δικτύῳ·" εἰώθασι γὰρ ἐκτυφλοῦν τινὰ τῶν ὀρνέων καὶ ἱστᾶν ἐν δικτύῳ.

παλιγκάπηλος ὁ μεταπράτης.

παλίγκοτος ὀργίλος, στυγνός, φοβερός, ἐναντίος. Ἀριστοφάνης (Pac. 390) "μὴ γένῃ παλίγκοτος ἀντιβολοῦσιν ἡμῖν," ἤγουν μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς, καὶ πάλιν μετανοήσῃς ἐφ' οἷς ἡμᾶς εὐεργετεῖν διέγνως. καὶ ἐν ἐπιγράμματι (AP 5 280) "Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος, ἓν δέ τι καλὸν ἔλλαχεν, ἐχθαίρειν τὰς σοβαρευομένας."

παλίγκυρτος ἁλιευτικὸν ἀγγεῖον· Πολύβιος "τῶν γὰρ πολεμίων αὐτομάτως καθάπερ ἐς παλίγκυρτον αὐτοὺς καθεικότων, δυνάμενος κρατῆσαι τῶν ἐχθρῶν τούτους παρέλιπε."

παλίλλογα (Hom. Α 126) παλισύλλεκτα.

παλιλλογία ταυτολογία.

παλιμβαλής ὁ ἀνάταυρα πεσών, ὁ ὕπτιος.

παλίμβιος ὡς ἐξ ἀναβιώσεως.

παλιμβολία ἡ εὐμετάβλητος γνώμη· Ἀγαθίας (2 6) "τῶν δὲ στρατηγῶν πολλὴ μὲν ὑπῆρχε παράταξις πολλαὶ δὲ φρουραὶ καὶ ἀγρυπνίαι καὶ ἀνὰ τὰ πλήθη περινοστήσεις, ἐλπὶς καὶ δέος καὶ παλιμβολία."

παλίμβολον ἀβέβαιον, ἄπιστον· "τὸ γὰρ Σκυθικὸν εἶναι παλίμβολον" (Menand. p. 297 Nieb.).

παλίμβολος ἀδόκιμος, εὐμετάβλητος, ἀνελεύθερος. Κλήμης. δύναται καὶ ἀντὶ τῦ παλίμβουλος, ἐναντιόβουλος, ἐναντιογνώμων, ὡς καὶ παλίνδης ὄνομα.

παλιμπετής ὀπισθόρμητος.

παλίμφημα δύσφημα, κακά, ἐναντία.

παλινάγγελος ὀπίσω ἐπανελθὼν ἄγγελος.

παλινάγρετον (Hom. Α 526) πάλιν καὶ αὖθις ὑστερόληπτον.

παλιναίρετα τὰ ἐπεσκευασμένα καὶ οἷον ἐπίγναφα, οὐ καινὰ δὲ οὐδὲ ὑγιῆ.

παλιναίρετος Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτυ ἐκφυλλοφορηθέντος ἐνδείξει. μήποτε δὲ αἱρετὸν λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ συκοφαντῶν τινάς, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτο ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὤφειλεν, ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν. ἐκάλουν δὲ τοὺς τοιούτους παλιναιρέτους. ἀλλὰ καὶ τὺς ἀποχειροτονηθέντας ἀρχήν τινα ἄρχειν καὶ πάλιν χειροτονηθέντας. Πίνδαρος δὲ ἐν διθυράμβοις ἐπὶ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων ἐχρήσατο τῇ λέξει. Harp.

παλινδικεῖ ἐπισυνάπτει δίκην· "καὶ παλινδικίαν διδὺς τοῖς ἀδίκως καταδικασθεῖσι."

παλίνδρομος ὀπισθόρμητος· "πέμψας αὐτῷ μνᾶς κ' παλινδρόμους ἀπέλαβε."

παλινδρομῶν ὑποστρέφων.

παλινοδία ἐναντία ὁδός, παλινῳδία δὲ ἐναντία ᾠδή, ἢ τὸ τὰ ἐναντία εἰπεῖν τοῖς προτέροις. καὶ ῥῆμα παλινῳδῶ. καὶ παροιμία "ᾄδων παλινῳδίαν."

παλίνορσος (Hom. Γ 33) ὀπισθόρμητος.

παλινοστήσας ἐπανελθών.

παλίνσκιον Ἰσαῖος μὲν ἀντὶ τοῦ σύσκιον, Ἀρχίλοχος δὲ ἀντὶ τοῦ σκοτεινόν. καὶ Σοφοκλῆς "χειμῶνι παλινσκίῳ" ἀντὶ τῦ ζοφερῷ. Harp.

παλινσκίῳ σκοτεινῷ· τὸ γὰρ πάλιν ἐπίτασιν δηλοῖ, ὡς παλιγκάπηλος καὶ παλίμπρατος. ἡ κοινὴ συνήθεια παλίνσκια λέγει τὰ μὴ ὑπὸ τοῦ ἡλίου θερμαινόμενα πεδία.

παλιντράπελον ἀντίστροφον, ἐναντίον, ἀντεστραμμένον.

παλιντριβῆ. Σοφοκλῆς (Phil. 446) "πῶς οὐδὲν κακὸν ἀπώλετο, ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες, καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ χαίρουσ' ἀναστρέφοντες ἐξ Ἅδου, τὰ δὲ δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί."

παλίντροπος ὀπισθόρμητος· (AP 9 61) "γυμνὸν ἰδοῦσα Λάκαινα παλίντροπον ἐκ πολέμοιο παῖδ' ἐὸν ἐς πάτραν ὠκὺν ἱέντα πόδα."

παλίνωρον παλινόρμητον. διπλοῦν ἐποίησε τὸ ἀνάπαλιν ὁρμώμενον ποιεῖν. Ἀριστοφάνης (Ach. 1178) "τὸ σφυρὸν παλίνωρον ἐξεκόκκισε."

παλίουρος (Eur. Cycl. 394) εἶδος φυτῦ ἀκανθώδους.

παλιρρόθιον (Hom. ε 430, ι 485) ἐς τὸ πίσω ἐφωρμηκός.

παλίρροια.

παλίωξις (Hom. Μ 71) ἡ ἐξ ὑποστροφῆς

δίωξις, ὅταν οἱ φεύγοντες μεταβαλλόμενοι διώκωσιν. Ἀγαθίας (1 22) "οἱ δὲ Ῥωμαῖοι σφᾶς αὐτὸς ἐξελίξαντες ὑπηντίαζον τοῖς διώκουσιν ἀντιμέτωποι, καὶ παίοντες ἀφειδῶς ἀντώθουν, καὶ ἐς παλίωξιν τὰ τῆς φυγῆς μετεχώρει."

παλλάδιον. τῦτο ἦν ζῴδιον μικρὸν ξύλινον, ὃ ἔλεγον εἶναι τετελεσμένον, φυλάττον τὴν βασιλείαν τῆς Τροίας· ἐδόθη δὲ Τρωὶ τῷ βασιλεῖ κτίζοντι τὴν πόλιν ὑπὸ Ἀσίυ τινὸς φιλοσόφυ καὶ τελεσοῦ· διὸ δὴ εἰς τιμὴν Ἀσίου τὴν ὑπ' αὐτοῦ βασιλευομένην χώραν, πρότερον Ἤπειρον λεγομένην, Ἀσίαν ἐκάλεσεν. οἱ δὲ ποιητικῶς γράψαντες ἐκ τῦ ἀέρος εἶπον τὸ παλλάδιον τοῦτο κατενεχθῆναι τῷ Τρωὶ βασιλεύοντι Φρυγῶν. τοῦτο Διομήδης καὶ Ὀδυσσεύς, ὅτε τὴν πρεσβείαν ἐποιήσαντο πρὸς Πρίαμον, ἐκ τοῦ ἱεροῦ ἐσύλησαν, προδεδωκυίας αὐτὸ Θεανοῦς τῆς τῦ Ἀντήνορος γυναικός, ἱερείας τυγχανούσης καὶ φυλαττούσης αὐτό· ἦσαν γὰρ ἀπὸ χρησμοῦ καὶ Ἀντήνορος μαθόντες ὅτι, ἕως οὗ μένει τὸ παλλάδιον ἐν τῇ Τροίᾳ, ἀσάλευτος ἔϛαι ἡ βασιλεία τῶν Φρυγῶν. πολλὴ τοίνυν μεταξὺ Αἴαντος καὶ Ὀδυσσέως ἐκινήθη ἔρις, τίς τοῦτο εἰς τὴν ἰδίαν ἀπενέγκοι πατρίδα, δικαζόντων αὐτοῖς τῶν ἄλλων βασιλέων καὶ προμάχων. πολλῶν τοίνυν μεταξὺ λόγων κινηθέντων, καὶ γενομένης ὀψίας, ἔδοξεν αὐτοῖς παραθέσθαι τὸ βρέτας Διομήδει, μέχρις ἂν γένηται πρωί. καὶ τούτυ γενομένυ, διὰ τῆς νυκτὸς εὑρέθη ὁ Αἴας ἐσφαγμένος ἀδήλως. ὑπενόυν δὲ δόλῳ φονεῦσαι αὐτὸν τὸν Ὀδυσσέα, καὶ φιλονεικήσαντες πρὸς ἀλλήλους ἀπέπλευσαν. cf. Cedrenus et Malala.

Παλλάδιος Παλλαδίου Μεθωναῖος σοφιϛής (γέγονε δὲ ἐπὶ Κωνϛαντίνου τοῦ βασιλέως) περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν, διαλέξεις, λόγους διαφόρους, Ὀλυμπιακὸν πανηγυρικὸν δικανικόν.

παλλαδίων χρυσουμένων (A Ach. 546). ἐν ταῖς πρῴραις τῶν τριήρων οἱ Ἀθηναῖοι ἀγάλματά τινα ξύλινα τῇ Ἀθηνᾷ καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν.

παλλακή. παλλακίς δέ.

παλλάντιον τὸν βασιλικὸν οἶκον.

παλλάς παρθένος μεγάλη. ἔϛι δὲ ἐπίθετον Ἀθηνᾶς, ἀπὸ τοῦ πάλλειν τὸ δόρυ, ἢ ἀπὸ τοῦ ἀνῃρηκέναι Πάλλαντα, ἕνα τῶν Γιγάντων.

πάλλει κινεῖ, σείεται, ἅλλεται. "καὶ ἐπὶ τῷδε τὸν θυμὸν συνελέξατο ὁ βάρβαρος, καὶ τοῦ πάλλεσθαι ὑπὸ τῷ τρόμῳ ἔληξε."

Παλληναῖος ὁ ἀπὸ Παλλήνης χώρας.

Παλληνεύς. Παλλήνη δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ ἐκ τόπου ἐπίρρημα Παλλήνηθεν, ὁ δὲ δημότης Παλληνεύς. ὅτι δὲ ἔϛι καὶ ἐν Θράκῃ Παλλήνη γνώριμον. Harp.

Παλληνικὸν βλέπειν ἀντὶ τῦ γενναῖον. Παλλήνη δὲ δῆμος τῆς Ἀττικῆς, ἔνθα Πεισιϛράτῳ βυλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις μὴ βουλομένοις συνέϛη πόλεμος. βλέπειν δὲ Παλληνικὸν βούλεται εἰπεῖν ὁμοίως διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν ἐχθρὸν ὡς πάλαι πρὸς Πεισίϛρατον τὸν τύραννον, ἡνίκα συνεϛήσαμεν ἐν Παλλήνῃ τὴν μάχην. ἢ Βαλλήνη, κατὰ συγγένειαν τοῦ β πρὸς τὸ π, παρὰ τὸ βάλλειν λίθοις· θέλει γὰρ εἰπεῖν ὅτι δεῖ ζητεῖν τὸν ἐχθρὸν καὶ λιθολευϛεῖν αὐτόν. sch. A Ach. 233.

παλλόμενον ἁλλόμενον, κληρούμενον.

παλμικὸν οἰώνισμα, ὅπερ Ποσειδώνιος συνεγράψατο· οἷον, ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμός, τόδε σημαίνει. cf. v. οἰώνισμα.

παλμός τρόμος, σεισμός.

Παλμουλάριος ὄνομα κύριον.

πάλος κλῆρος· "ὁ δὲ Δαρεῖος τούτους κελεύει πάλλεσθαι· παλλομένων δὲ λαγχάνει ἐκ πάντων Βαγαῖος" (Herodot. 3 128).

παλτά τὰ δόρατα· (X Anab. 1 8 3) "ὁ δὲ Κῦρος ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ ἐπὶ τὰς χεῖρας ἔλαβε," καὶ Ἀρριανός "ἐξηκόντιζον εἰς τοὺς προμαχομένους τοῦ τείχους οἱ μὲν παλτὰ οἱ δὲ λίθους οἱ δὲ τοξεύματα." (X Anab. 5 4 12) "ἐν δὲ τῇ δεξιᾷ ἔχων παλτὸν ὡς ἐξάπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὐτοῦ τοῦ ξύλου σφαιροειδές."

παλτάρια σεμίδαλις.

παλυνομένης λευκαινομένης· "τῆς χώρας τῶν Σκυθῶν θαμὰ νιφετῷ παλυνομένης." cf. v. νιφετός.

πάμβαξ καὶ παμβακίς τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον· (AP 6 254) "καὶ τὴν τρυτοδόχην κοιτίδα παμβακίδων."

πάμβορον κάκοσμον· Ἰώσηπος (A. I. 5 8 6) "τὸ πάμβορον γεγεννήκει βορὰν ἡδεῖαν ἐξ αὐτῦ," τὸν λέοντα σημαίνων καὶ κηρία μέλιτος.

παμβορώτατον.

Παμβωτάδης. Παμβωτάδαι δῆμος τῆς Ἐρεχθηίδος. Harp.

παμμάχιον παγκράτιον.

παμμήστορα πάντων τεχνίτην.

πάμπαν παντελῶς. Δράκων δὲ ὁ Στρατονικεὺς συναλοιφὴν εἶναί φησιν ἐκ τοῦ παντάπασι.

παμπήδην παντελῶς.

παμπησίαν πᾶσαν τὴν κτῆσιν· (A Eccl. 895) "σὺ δ᾽ ὦ Σίκων καὶ Ξενόφαντες, αἴρεσθε τὴν παμπησίαν."

πάμπλειστος.

παμπλήγδην.

παμπληθεί. καὶ *πάμπληθες* ἀντὶ τοῦ πολύ.

παμπληθεῖς πάνυ πολλάς.

Παμπόλη ὄνομα πόλεως.

παμπόλλη ἡ πολλὴ καὶ ποικίλη.

a *Παμπρέπιος* Πανοπολίτης, ἐπῶν ποιητής, ἀκμάσας κατὰ Ζήνωνα τὸν βασιλέα, ἔγραψεν ἐτυμολογιῶν ἀπόδοσιν, Ἰσαυρικὰ καταλογάδην.

b *Παμπρέπιος.* οὗτος μέγα παρὰ Ζήνωνι ἐδυνήθη, γένος μὲν ὢν Θηβαῖος τῶν κατὰ τὴν Αἴγυπτον, φύσει δὲ πρὸς ἅπαντα δεξιᾷ χρησάμενος ἔρχεται εἰς Ἀθήνας, καὶ παρὰ τῆς πόλεως γραμματικὸς αἱρεθεὶς συχνά τε ἐπαίδευσεν ἔτη, καὶ ἐπαιδεύθη ὁμοῦ ὅσα ἦν σοφώτερα ὑπὸ τῷ μεγάλῳ Πρόκλῳ. διαβολῆς δὲ αὐτῷ πρὸς Θεαγένην τινὰ τῶν ἐκεῖ δυναμένων συστάσης ὑβρισθεὶς ὑπ᾽ ἐκείνου, καὶ μείζονος ἢ ἐχρῆν διδάσκαλον ὑπ᾽ αὐτοῦ πειραθεὶς σκευωρίας, ἦλθεν εἰς Βυζάντιον, τὰ μὲν ἄλλα ἀγαθὸς καὶ χρηστὸς φαινόμενος, ὡς δὲ ἐν χριστιανοῖς πάντας ἐχούσῃ πόλει τὸ Ἑλληνικὸν αὐτοῦ τῆς θρησκείας, οὐκ ἔχον ὑπόκρισιν ἀλλὰ μετὰ παρρησίας προδήλως δεικνύμενον, εἰς τὴν τοῦ καὶ ἕτερα τῆς ἀρρήτου σοφίας εἰδέναι ὑπόνοιαν ἦγε. συστάντα δὲ αὐτὸν ὁ Ἴλλους ἡδέως δέχεται, καί τι καὶ δημοσίᾳ ποίημα ἀναγνόντα λαμπρῶς τε ἐτίμησε καὶ σύνταξιν ἔδωκε, τὴν μὲν αὐτὸς ἰδίᾳ, τὴν δὲ ὡς διδασκάλῳ καὶ ἐκ τοῦ δημοσίου. καὶ ἀπελθόντος δὲ αὐτοῦ ἐπὶ τὴν Ἰσαυρίαν, οἱ βασκαίνοντες αὐτῷ συνθέντες διαβολήν, τήν τε ἐκ τῆς θρησκείας καὶ ὅτι μαγγανεύοι καὶ μαντεύοιτο τῷ Ἴλλῳ κατὰ τοῦ βασιλέως, πείθουσι τὸν Ζήνωνα καὶ τὴν Βηρῖναν, τότε μέγιστα δυναμένην, τῆς πόλεως ἐκπέμψαι. καὶ ὁ μὲν ἐς Πέργαμον ἔρχεται τῆς Μυσίας· Ἴλλους δὲ πυθόμενος κατὰ τὴν αὐτοῦ πρόφασιν ἐληλάσθαι τὸν ἄνδρα, πέμψας ἀναλαμβάνει αὐτὸν ἐς Ἰσαυρίαν, καὶ σύμβουλόν τε αὐτὸν καὶ σύνοικον ποιεῖται, καὶ ἦν γὰρ πολιτικῆς συνέσεως ἔμπλεως, καὶ τὰ τῆς ἀρχῆς αὐτῷ, πρὸς ἃ μὴ σχολὴν ἦγε, διοικεῖν ἐπέτρεπεν, ἐλθών τε ἐς Βυζάντιον συμπαρέλαβεν αὐτόν. καὶ ὅτε ἐγένετο ἡ Μαρκιανοῦ σύστασις, ἀποροῦντα τὸν Ἴλλουν αὐτὸς ἐπεθάρσυνε, καὶ τοσοῦτόν γε εἰπών, ὅτι τὰ τῆς προνοίας μεθ᾽ ἡμῶν ἐστί, παρέσχεν ὑποψίαν τοῖς τότε ἐπακούσασιν ὡς ἔκ τινος ἀδήλου ταῦτα θειάζοι προγνώσεως. καὶ ἐκβάντος ὥσπερ δὴ καὶ ἐξέβη τοῦ τέλους, πρὸς τὴν τύχην τὸν ἐκείνου λόγον συμβάλλοντες αὐτὸν πάντων αἴτιον, οἷα φιλεῖ ὅμιλος, μόνον ὑπελάμβανον τῶν παραδόξως αὐτοῖς ἀποβαίνειν δοκούντων. οὕτω μὲν οἱ σώφρονες περὶ αὐτοῦ εἴκαζον· εἰ δέ τι καὶ ἄλλο ἦν, ὅτε ἰσχυρῶς ἀντιλέγειν ἔχω οὔτε πείθεσθαι. ἀλλ᾽ ὁμοίως καὶ μέγα καὶ ἐλάχιστον αὐτῷ πρώτῳ ἀνεκοινοῦτο. καὶ τότε τοίνυν λαβὼν αὐτὸν εἰς Νίκαιαν ἦκε χειμάσων, εἴτε τὴν ἐκ τοῦ δήμου δυσχέρειαν ἐκκλίνων, εἴτε ἐπὶ ταῖς σφαγαῖς τὸν ἔχοντα τὴν πόλιν ἐκτρέπεσθαι δαίμονα πρὸς ὀλίγον ἐθέλων. Malchus p. 270 Nieb.

c ὅτι ὁ Ἴλλος φιλολόγος ὢν ὑπὸ παρουσίαν ἀνδρῶν λογίων διεξοδικὸν περὶ ψυχῆς ἐβούλετο ἀκοῦσαι λόγον. πολλῶν δὲ τῶν παρατυχόντων πρὸς πεῦσιν αὐτοῦ ποικίλα φιλοσοφησάντων, ἐπειδὴ ἐξ ἀσυμφωνίας ὁ λόγος ἀσύστατος ὤφθη, Μάρσος ἔφη δύνασθαι Παμπρέπιον τὸ προβληθὲν ἀδιαπτώτως ἐπιλύειν. ἦν δὲ οὗτος μέλας τὴν χροιάν, εἰδεχθὴς τὰς ὄψεις, γραμματιστὴς τὴν ἐπιστήμην, ἐκ Πανὸς ὁρμώμενος τῆς ἐν Αἰγύπτῳ, πολὺν χρόνον κατ᾽ ἐπιγαμίαν διατρίψας ἐν Ἑλλάδι. ἀχθεὶς οὖν παρὰ Μάρσου πρὸς Ἴλλον, καὶ διελθὼν λόγον περὶ ψυχῆς ἐκ χρόνου πεφροντισμένον κομψῶς, ἐπεὶ ὁ οὐκ εἰδὼς τοῦ εἰδότος ἐν οὐκ εἰδόσιν, ὥς εἶπε Πλάτων (Gorg. p. 459 D), πιθανώτερος ὑπάρχει, φενακισθεὶς Ἴλλος μεμεριμνημένῃ στωμυλίᾳ λογιώτερον αὐτὸν πάντων ἔκρινε τῶν παιδευτῶν τῆς Κωνσταντίνου. διὸ καὶ πολλὴν δοὺς αὐτῷ ἐκ τῶν δημοσίων παραμυθίαν, τοὺς φοιτῶντας ἐς μουσεῖα κατ᾽ ἐκλογὴν ἐκέλευσε παιδεύειν. ἡ μὲν οὖν εὐδαιμονία τούτου τοιαύτην ἀφορμὴν λαβοῦσα πολλῶν αἰτία ἀτυχημάτων γέγονε τῇ πολιτείᾳ. Damascius?

ἦν δὲ ὁ Παμπρέπιος Αἰγύπτιος, ποιητὴς d δὲ ὢν καὶ πρὸς ποίησιν εὐφυὴς ἀφίκετο καὶ

Ἀθήναζε, κατὰ τὴν ποιητικὴν ἐπιτήδευσιν τὰ ἀναγκαῖα τῷ βίῳ προσποριούμενος. οἱ δὲ Ἀθηναῖοι γραμματικὸν αὐτὸν ἐποιήσαντο καὶ ἐπὶ νέοις διδάσκαλον ἔςησαν. ὃ δὲ φιλότιμος ὢν καὶ οὐδενὸς ἐθέλων δεύτερος φαίνεσθαι ἁμιλλώμενος ἦν πρὸς ἅπαντας, πλὴν Πρόκλου μόνου καὶ τῶν ἄλλων φιλοσόφων, τοῦ δὲ οὐχ οἷός τε ἦν οὐδὲ ἅπτεσθαι τῆς σοφίας. περὶ δ᾽ οὖν τὴν ἄλλην προπαιδείαν οὕτω διεπονεῖτο καὶ ἐς τοσοῦτον διεγυμνάζετο ὁ Παμπρέπιος, ὥςε ἐν ὀλίγῳ χρόνῳ λογιμώτατος εἶναι ἔδοξε καὶ πολυμαθέςατος τῶν αὐτόθι παιδείας μετειληχότων, Πλουτάρχου τε τοῦ Ἱερίου (an Νεςορίυ), ἀνδρὸς Ἀθηναίου, καὶ Ἀλεξανδρέως Ἑρμείου τοῦ ῥήτορος, ὧν τὸ κλέος ὑπερβαλεῖν ἐσπουδάκει τῆς πολυμαθίας. τέως μὲν τοίνυν ἐτιμᾶτο πρὸς τῶν Ἀθηναίων οἷα διδάσκαλος ὀκ ἀγεννής· μετὰ δὲ ταῦτα ἀρχὴ ἑτέρων πραγμάτων αὐτὸν διαδέχεται μεγίςων τε καὶ κακίςων, ἵνα μάθωμεν τὰς τῆς τύχης μεταβολὰς ἐλεγχούσας ἑκάςοτε τῶν ψυχῶν τὰς παντοίας προαιρέσεις οὐδεμιᾶς ἧττον μέθης συμποτικῆς. Damasc. Phot. p. 346 b.

παμφαής ἡ πᾶσι φαίνουσα, φαιδρότης.

Παμφίλη Ἐπιδαυρία σοφή, θυγάτηρ Σωτηρίδου, οὗ λέγεται εἶναι καὶ τὰ συντάγματα, ὡς Διονύσιος ἐν τῷ λ' τῆς μυσικῆς ἱςορίας, ὡς δὲ ἕτεροι γεγράφασι, Σωκρατίδα τοῦ ἀνδρὸς αὐτῆς, ἱςορικὰ ὑπομνήματα ἐν βιβλίοις λγ', ἐπιτομὴν τῶν Κτησίου ἐν βιβλίοις γ', ἐπιτομὰς ἱςοριῶν τε καὶ ἑτέρων βιβλίων παμπλείςας, περὶ ἀμφισβητήσεων, περὶ ἀφροδισίων καὶ ἄλλων πολλῶν.

Παμφιλίδας Ῥοδίων ναύαρχος, ὃς ἐδόκει πρὸς πάντας τὺς καιρὺς εὐαρμοσύτερος εἶναι τοῦ Πανσιςράτου διὰ τὸ βαθύτερος φύσει καὶ ςασιμώτερος μᾶλλον ἢ τολμηρότερος ὑπάρχειν. ἀγαθοὶ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων οὐκ ἐκ τῶν κατὰ λόγον ἀλλ' ἐκ τῶν συμβαινόντων ποιεῖσθαι τὰς διαλήψεις. Polyb. 21 5.

a Πάμφιλος Ἀλεξανδρεύς, γραμματικὸς Ἀριςάρχειος, ἔγραψε λειμῶνα (ἔςι δὲ ποικίλων περιοχή), περὶ γλωσσῶν ἤτοι λέξεων βιβλία ςε' (ἔςι δὲ ἀπὸ τοῦ ε ςοιχείου ἕως τῦ ω· τὰ γὰρ ἀπὸ τοῦ α μέχρι τοῦ δ' Ζωπυρίων ἐπεποιήκει), εἰς τὰ Νικάνδρυ ἀνεξήγητα, καὶ τὰ καλούμενα Ὀπικά, τέχνην κριτικήν, καὶ ἄλλα πλεῖςα γραμματικά.

Πάμφιλος Ἀμφιπολίτης ἢ Σικυώνιος ἢ b Νικοπολίτης, φιλόσοφος, ὁ ἐπικληθεὶς φιλοπράγματος, εἰκόνας κατὰ ςοιχεῖον, τέχνην γραμματικήν, περὶ γραφικῆς καὶ ζωγράφων ἐνδόξων, γεωργικὰ βιβλία γ'.

Πάμφιλος. οὗτος ἀεὶ ἔμμετρα ἔλεγεν ἐν c τοῖς πότοις, "ἔγχει πιεῖν μοι, καὶ τὸ πέρδικος σκέλος," "ἀμίδα δότω τις, ἢ πλακοῦντά τις δότω." οὕτως Ἀθήναιος ἐν Δειπνοσοφιςαῖς (p. 4).

Πάμφιλος δημαγωγὸς Ἀθήνησι καὶ d ἔκλεπτε τὰ τοῦ δήμυ, καὶ φωραθεὶς ἐπ' αὐτοφώρῳ κατελύθη, ὥς φησιν Ἀριςοφάνης (Plut. 174).

πάμφορος παντοῖα φέρων.

πάμψυχος ὁ Ἀμφιάραος, ὅτι πασῶν τῶν ψυχῶν ἀνάσσει ἐν Ἅδου. ἢ ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν. ἢ ὁ διὰ παντὸς τὴν ψυχὴν σώζων, ὅ ἐςιν ἀθάνατος. sch. S El. 841.

Πὰν ὄνομα θεοῦ Ἑλληνικοῦ, τραγοσκελής, φιλέρημος, ἀπράγμων, καὶ μόνον ἔχων a νεβρίδιον καὶ καλαυρόπιον καὶ συρίγγιον. Artemid. 4 72.

Πὰν Πανός. ὅτι Αἴσωπος ὁ Μιθριδάτυ b - - - φίλτρα. cf. v. Αἴσωπος.

πᾶν. τὸ πᾶν ἐςὶν ὅ τε κόσμος, καὶ καθ' ἕτερον τρόπον τὸ ἐκ τῦ κόσμυ καὶ τοῦ ἔξωθεν κενοῦ σύςημα. ὁ μὲν οὖν κόσμος πεπερασμένος ἐςί, τὸ δὲ κενὸν ἄπειρον. τῶν δὲ ἀςέρων τὰ μὲν ἀπλανῆ συμπεριφέρεσθαι τῷ οὐρανῷ, τὰ δὲ πλανώμενα κατ' ἰδίας κινήσεις κινεῖσθαι. τὸν δὲ ἥλιον λοξὴν τὴν πορείαν ποιεῖσθαι διὰ τοῦ ζωδιακοῦ κύκλου, ὁμοίως δὲ τὴν σελήνην ἑλικοειδῆ. εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ, καὶ μείζονα τῆς γῆς καὶ σφαιροειδῆ ἀναλόγως τῷ κόσμῳ. πῦρ μὲν ὂν εἶναι, ὅτι τὰ πυρὸς πάντα ποιεῖ, μείζω δὲ τῆς γῆς τῷ πᾶσαν ὑπ' αὐτῦ φωτίζεσθαι, ἀλλὰ καὶ τὸν οὐρανόν. καὶ τὸ τὴν γῆν δὲ κωνοειδῆ σκιὰν ἐπιβάλλειν τὸ μείζονα εἶναι σημαίνει, πάντοθέν τε βλέπεσθαι διὰ τὸ μέγεθος. γεωδεςέραν δὲ τὴν σελήνην ἅτε καὶ προσγειοτέραν οὖσαν. τρέφεσθαι δὲ τὰ ἔμπυρα ταῦτα καὶ τὰ ἄλλα ἄςρα, τὸν μὲν ἥλιον ἐκ μεγάλης θαλάττης, νοερὸν ὄντα ἄναμμα, τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν καὶ πρόσγειον ὖσαν, τὰ δὲ ἄλλα ἀπὸ γῆς. δοκεῖ δὲ αὐτοῖς σφαιροειδῆ εἶναι καὶ τὰ ἄςρα καὶ τὴν γῆν ἀκί-

νητον οὖσαν. τὴν δὲ σελήνην ὀυκ ἴδιον ἔχειν φῶς, ἀλλ' ἀπὸ ἡλίου λαμβάνειν ἐπιλαμπομένην. ἐκλείπειν δὲ τὸν ἥλιον ἐπιπροσθούσης αὐτῷ τῆς σελήνης κατὰ τὸ ἐφ' ἡμᾶς μέρος· φαίνεται γὰρ ὑπερχομένη ταῖς συνόδοις, καὶ ἀποκρύπτουσα αὐτὸν καὶ πάλιν παραλλάττουσα· γνωρίζεται δὲ τȣτο διὰ λεκάνης ὕδωρ ἐχούσης. τὴν δὲ σελήνην ἐμπίπτουσαν εἰς τὸ τῆς γῆς ἀποσκίασμα. ὅθεν καὶ ταῖς πανσελήνοις ἐκλείπειν, καίπερ κατὰ διάμετρον ἱσαμένην κατὰ μῆνα τῷ ἡλίῳ, ὅτι κατὰ λοξοῦ ὡς πρὸς τὸν ἥλιον κινουμένη παραλλάττει τῷ πλάτει, ἢ βορειοτέρα ἢ νοτιωτέρα γινομένη. ὅταν μέντοι τὸ πλάτος αὐτῆς κατὰ τῶν ἡλιακῶν καὶ τῶν διὰ μέσων γένηται, εἶτα διαμετρήσῃ τὸν ἥλιον, τότε ἐκλείπει. γίνεται δὲ τὸ πλάτος αὐτῆς κατὰ τῶν ἡλιακῶν καὶ τῶν διὰ μέσων, ἐν χηλαῖς καὶ σκορπίῳ καὶ κριῷ καὶ ταύρῳ. Diog. L. 7 143.

παναγές καθαρόν· ἄγος γὰρ καὶ ἁγνεία καὶ μύσος, κατ' ἀντίφρασιν. "ἡ δὲ ἔθει, καὶ πᾶσαι μετ' αὐτῆς ἀρρηφόροι καὶ παναγεῖς γυναῖκες, καὶ πολὺν χρόνον ἔκπληξις αὐτὰς κατεῖχε καὶ σκότος." Aelianus?

a παναθήναια Ἀθήνησιν ἑορτὴ ἐπὶ τῷ ὑπὸ Θησέως γενομένῳ συνοικισμῷ, πρῶτον ὑπὸ Ἐριχθονίου τοῦ Ἡφαίςȣ καὶ τῆς Ἀθηνᾶς, ὕςερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄςυ. ἄγεται δὲ ὁ ἀγὼν διὰ ε' ἐτῶν, καὶ ἀγωνίζεται παῖς Ἴσθμια οὐ πρεσβύτερος καὶ ἀγένειος καὶ ἀνήρ. τῷ δὲ νικῶντι δίδοται ἆθλον ἔλαιον ἐν ἀμφιφορεῦσι, καὶ ὁ νικῶν ςεφανȣται ἐλαίᾳ πλεκτῇ.

b παναθήναια. διττὰ παναθήναια ἤγετο Ἀθήνησι, τὰ μὲν καθ' ἕκαςον ἐνιαυτόν, τὰ δὲ διὰ πενταετηρίδος, ἃ καὶ μεγάλα ἐκάλȣν. ἤγαγε δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος ὁ Ἡφαίςου. τὰ δὲ παναθήναια πρότερον Ἀθήναια ἐκαλοῦντο. Harp.

a Παναίτιος Ῥόδιος, ὁ πρεσβύτης, φιλόσοφος, οὗ πολὺς ἐν φιλοσόφοις λόγος. φέρεται αὐτοῦ βιβλία φιλόσοφα πλεῖςα.

b Παναίτιος ὁ νεώτερος, Νικαγόρȣ, Ῥόδιος, φιλόσοφος ςωικός, Διογένȣς γνώριμος, ὃς καθηγήσατο καὶ Σκιπίωνος τοῦ ἐπικληθέντος Ἀφρικανοῦ μετὰ Πολύβιον Μεγαλοπολίτην. ἐτελεύτησε δ' ἐν Ἀθήναις.

πανάκεια ⟨A Plut. 702⟩ θεραπεία, καὶ ὄνομα θεᾶς.

Πάνακτος πόλις μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας. Θουκυδίδης δὲ ⟨5 42⟩ καὶ οὐδετέρως καλεῖ τὸ χωρίον, Μένανδρος δὲ ἀρρενικῶς. Harp.

παναλκές ἰσχυρότατον.

πανάνυτον πάντα δυνατόν.

πανάπυςος ἀνήκοος.

Πανάρεια.

Παναριςίδης ὄνομα κύριον.

παναρκέος τοῦ μεγάλου καὶ δυνατοῦ. ἡλίου δὲ παναρκέος ⟨Callim. ap. sch. Pind. Nem. 1 3⟩ τοῦ πανταχῇ λάμποντος.

παναρμόνιον πάντοθεν ἡρμοσμένον. a

παναρμόνιον ἐξ ὅλου τεταγμένον· ἁρ- b
μονία γὰρ ἡ εὔτακτος ἀκολουθία.

παναυγές πάνυ λαμπρόν.

παναώριος· ἐν ἐπιγράμματι ⟨AP 5 264⟩ "καὶ γάρ που λαγόνεσσι ῥυτὶς παναώριος ἤδη," πρὸ τῆς ὥρας.

πανδαισία· ⟨A Pac. 563⟩ "ὦ Πόσειδον, ὡς καλὸν τὸ ςῖφος αὐτῶν, καὶ πυκνὸν καὶ γοργὸν ὥσπερ μᾶζα καὶ πανδαισία." πανδαισία ἡ δαψιλὴς καὶ κραταιὰ εὐωχία, μᾶζα δέ ἐςιν ὁ ςριφνὸς ἄρτος. ἡ πανδαισία ἐςὶν ὅταν δεῖπνον ἕκαςος αὐτῷ κομίζων κατατιθῆται καὶ πάντες πάντων μετέχωσιν. ἡ πανδαισία ἡ πάντα ἔχουσα ἄφθονα καὶ μηδὲν ἐλλείπουσα ἐν τῇ δαιτί.

πανδαισίας πολυτελοῦς τραπέζης, εὐωχίας.

πανδαίσιον πολυτελὴς τράπεζα.

πανδαμάτωρ πάντας ὑποτάσσων.

πανδέκται· "οὐκ ἐπέςειλα, ἵνα μὴ εὐθύνας ὑπόσχω τοῖς πανδέκταις τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα" ⟨Synes. ep. 100⟩.

Πανδελετείους γνώμας, τȣτέςι δυςτρόπȣς, ἐπεὶ Πανδέλετος συκοφάντης ἦν καὶ φιλόδικος καὶ γράφων ψηφίσματα· καὶ ἦν εἷς τῶν περὶ τὰ δικαςήρια διατριβόντων. μέμνηται αὐτοῦ καὶ Κρατῖνος ἐν Χείρωσι. sch. A Nub. 921.

πανδερκεῖς πάντα ὁρῶντες.

πανδημεί· "πότερον πανδημεὶ ἐξεληλύκασιν, ἢ τοὺς ἀπομάχους σφῶν οἴκοι κατέλιπον;" "πανδημεὶ δὲ καὶ παγγενεὶ ἦλθον οἱ Λυδοὶ παρακαλοῦντες" ⟨cf. v. Ξάνθος⟩.

πάνδημος Ἀφροδίτη. οὕτως ἐκάλουν τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγοράν, διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλȣν ἀγοράς. ἔςι δὲ τὸ πάνδημον πάγκοινον. Harp.

πανδήμου παντὸς τοῦ πλήθυς, ἢ παντὸς τῦ δημώδυς καὶ ἀγελαίυ ὄχλυ· "Ἑταίρα ὄνομα, οὐχ ἐκ τοῦ πανδήμου καὶ ἀσελγοῦς ἐπιτηδεύματος."

πάνδια ἑορτή τις Ἀθήνησι μετὰ τὰ διονύσια ἀγομένη. Harp.

Πανδιονίς μία τῶν ι' φυλῶν παρὰ Ἀθηναίοις, ἀπὸ Πανδίονος τοῦ Ἐριχθονίου κληθεῖσα. Harp.

πανδοκεύτρια ἡ καπηλίς, παρὰ τὸ δέχεσθαι πάντας. εἴρηται δὲ καπηλὶς παρὰ τὸ κακύνειν τὸν πηλόν· πηλὸς δὲ ὁ οἶνος. ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπελος ὖσα, ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. sch. A Plut. 426.

πάνδοκοι αἱ πάντας ὑποδεχόμεναι· "τῦτο δὲ ἴσασιν ἤδη περιφερόμενον καὶ αἱ πάνδοκοι γρᾶες." καὶ πανδοκεῖον τὸ πάντας ὑποδεχόμενον οἴκημα.

Πανδοσία πόλις μία τῶν ἐν Κασωπίᾳ. Harp.

Πάνδροσος ὄνομα γυναικός.

πάνεμος ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ Ἰούλιος παρὰ Ῥωμαίοις.

πάνθειον τόπος· "ἀνὰ τὸ πεδίον τῆς Ῥωμαίων νεὼς ἦν κοινὸς πάντων τῶν θεῶν· πάνθειον αὐτὸν ἐκάλουν οἱ ἐπιχώριοι."

πάνθηρ πάνθηρος.

Πανθοΐδης (Hom. Π 508) ὁ τῦ Πάνθυ.

πανθοινεὶ ἐπίρρημα.

πανθοίνην πανδαισίαν· Βάβριος (95 90) "λέων μὲν αὐτὸς εἶχε δαῖτα πανθοίνην, ἔγκατα λαφύσσων, μυελὸν ὀςέων πίνων καὶ σπλάγχνα δάπτων." λέγεται καὶ πανθοινία· "βέλομαι ἑςιᾶσαί σε πανθοινίαν."

πάνθ' ὅμοια, καὶ Ῥοδῶπις ἡ καλή. ἡ Ῥοδῶπις ἑταίρα ἐγένετο. τοὺς οὖν πολὺ ἀπολέσαντας ἀργύριον, τὸ ἀδιάφορον τῆς μίξεως πρὸς τὰς ἄλλας γυναῖκας συνορῶντας, ἐπιφωνεῖν τὸ λεγόμενον.

Πάνθοος (Hom. Γ 146) ὄνομα κύριον.

πάνθ' ὅσ' ἂν θεὸς θέλη χὴ τύχη κατορθοῖ, χωρεῖ κατὰ νοῦν. ἕτερον ἑτέρῳ τοῦτων κατὰ καιρὸν ἀπαντᾷ" (A Pac. 930). τυτέςιν, ὁπόσα ἂν θελήσῃ ὁ θεὸς καὶ ἡ τύχη κατορθοῖ, ταῦτα χωρεῖ κατὰ νοῦν.

πάνθους πανθέατος.

πάνθ' ὑπὸ μηνιθμὸν (Hom. Π 202) ἤτοι μετὰ πάσης μήνιδος καὶ χόλυ, ἢ κατὰ πάντα τὸν τῆς μήνιδος χρόνον.

πάνθυτα πανσέβασα· (S Ai. 712) "πάνθυτα θέσμι' ἐξήνυσε," πανσέβασα νόμιμα ἐξεπλήρωσε.

Πανικῷ δείματι. τοῦτο γίνεται ἐπὶ τῶν ςρατοπέδων, ἡνίκα αἰφνίδιον οἵ τε ἵπποι καὶ οἱ ἄνθρωποι ἐκταραχθῶσι μηδεμιᾶς αἰτίας προφανείσης. τῷ δὲ Πανὶ εἰώθεσαν ὀργιάζειν αἱ γυναῖκες μετὰ κραυγῆς· καὶ Μένανδρος ἐν Δυσκόλῳ "σιωπῇ, φασί, τούτῳ τῷ θεῷ οὐ δεῖ προσιέναι" (sch. A Lys. 2). ἢ ὅτι τὰ ἄνευ αἰτίας τῷ Πανὶ ἀνετίθεσαν· δοξάζεται γὰρ πολεμίων ἔφοδος εἶναι, καὶ ἀναλαμβάνοντες ὅπλα ὑπὸ ταραχῆς ἀνθιςάμενοι ἀλλήλοις μάχονται. τοῦτο γίνεται περὶ τοὺς πολέμους, Θεοδώρου τοῦ Ῥοδίων ςρατηγοῦ ἐν ὑπομνήμασι λέγοντος ὅτι κράτιςόν ἐςιν ἐν τοῖς τοιούτοις καιροῖς μένειν ἐπὶ τῶν ὅπλων καὶ τὴν ἡσυχίαν ἔχειν. αὐτός τε περιθέων ἐβόα, καὶ διὰ τῶν ὑπηρετῶν παρήγγειλε, μένειν ἐν ταῖς σκηναῖς καθωπλισμένυς ἅπαντας.

Πάνιον ὄνομα τόπυ· "ἔνθα καὶ χάςρον παρὰ αἰγιαλῷ, ὃ λέγεται Πάνιον, πρὸς τοῖς τῆς Ἡρακλείας μέρεσι."

Πανιώνιος κρατήρ. Philostr. V. A. 4 2.

Παννονία χώρα.

παννυχίζω.

πανοικὶ ὅλῳ οἴκῳ.

Πανόλβιος ἐπῶν ποιητὴς ἔγραψε διάφορα, καὶ πρὸς Αἰθέριον μετὰ τὴν νόσον δι' ἐπῶν, καὶ πρὸς Ἐρύθριον, καὶ πρὸς Δωρόθεον ἡγεμόνα καὶ κόμητα, καὶ εἰς Ἀφθόνιον κόμητα, καὶ ἐπιτάφιον Ὑπατίας θυγατρὸς Ἐρυθρίου. cf. v. Ἐρύθριος.

πανομφαίῳ (Hom. Θ 250), ᾧ πᾶσα φήμη καὶ μαντεία ἀναφαίνεται.

Πανοπεύς.

Πανόπη ὄνομα. καὶ Πανοπηιάδης πατρωνυμικόν.

πανόπτης πολυόφθαλμος.

πανόπτρια.

πανοσπρία ἡ ἐκ τῶν ὀσπρίων μῖξις.

πανοῦργος ὁ πάντα ἐν πονηρίᾳ ἐργαζόμενος. λέγεται δὲ καὶ ὁ πάνυ φρόνιμος καὶ ὁ πάντα ἐπιςάμενος. τὸ δὲ πανοῦργε ἡμεῖς μὲν μετριώτερον φαμέν, Ἀττικοὶ δὲ ἐπὶ σφοδραῖς βλασφημίαις. Ἀριςοφάνης (Eq. 249) "καὶ πανῦργον καὶ πανῦργον· πολλάκις γὰρ αὔτ' ἐρῶ· καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας." καὶ Πανουργιππαρχίδας. τούτυς κωμῳδεῖ ὡς πανούργυς, τὸν Τισαμενὸν καὶ τὸν Φαίνιππον καὶ τὸν Ἱπ-

Digitized by Google

παρχίδην καὶ τὸν γέροντα τὸν φαλακρὸν καὶ τὸν Θεόδωρον. διομειαλαζόνας δὲ ἀπὸ Διομείων τοῦ δήμου, ὃς ὠνόμασαι οὕτως ἀπό τινος Διόμου. sch. A Ach. 603.

πανσελήνῳ. Ἀριςοφάνης φησὶ περὶ Κλεωνύμου ⟨Ach. 84⟩ "πόσου τὸν πρωκτὸν συνήγαγε;" καί φησι "τῇ πανσελήνῳ," διότι οἱ Ἕλληνες πάντα πρὸς τὴν σελήνην ἔπραττον ἀποβλέποντες. Δάτιδος γοῦν καὶ Ἀρταφέρνους, ςρατηγῶν τοῦ Περσῶν βασιλέως, εἰς Μαραθῶνα ἐμβεβληκότων περιέμενον τὴν πανσέληνον ἐπὶ τῷ τότε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον, καὶ πρὶν τοὺς Λακεδαιμονίους παραγενέσθαι κατώρθωσαν Ἀθηναῖοι τὸν πόλεμον. παίζει οὖν Ἀριςοφάνης διὰ τὸ ἔθος.

πανσθενέςατον ἰσχυρότατον.

πανσπερμία παγκαρπία.

πανςρατὶ ὅλῳ τῷ ςρατοπέδῳ.

πανσυδί πανςρατιᾷ. καὶ πανσυδίην.

πάντα ἐν ἐλάττονι θέμενοι ἀδεῶς ἐπόρθουν. Polyb. 4 6.

πάντα κάλων σείειν, παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν τὰ ἄρμενα χαλώντων. ὁμοία τῇ "πάντα λίθον κίνει." τοῦ Μαρδονίου ἡττηθέντος ἐν Πλαταιαῖς φήμη κατεῖχεν ὡς ἐν τῷ περιβόλῳ τῆς σκηνῆς θησαυρὸν κατορύξας ἀπολελοίπει. πριάμενος οὖν Πολυκράτης ὁ Θηβαῖος τὸν τόπον πολὺν χρόνον ἐζήτει, ὡς δὲ οὐδὲν ἐπέραινε, πέμψας εἰς Δελφοὺς ἐπηρώτα πῶς ἂν εὕροι. τὸν δὲ Ἀπόλλωνα ἀποκρίνασθαί φασι "πάντα λίθον κίνει." τὸ δὲ πάντα κάλων σείειν ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα κινούντων. sch. A Eq. 753.

πάντα λίθον κινεῖν Πολυκράτει τῷ Θηβαίῳ χρησμὸς ἐξέπεσε, πριαμένῳ τόπον ἔνθα Μαρδόνιος ἐσκήνωσεν, ὅτε Πέρσαι ἔφυγον, καὶ εὗρε χρυσόν. οἱ δὲ εἰρῆσθαί φασιν ἀπὸ τῶν τοὺς καρκίνους θηρευόντων.

πάντα μὴ βούλου κρατεῖν ⟨S OR 1522⟩, ἐπὶ τῶν εἰς πάντα εὐδαιμονεῖν βουλομένων.

πάντα ὀκτώ. οἱ μὲν Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς πρὸς ταῖς ἀπ' αὐτοῦ Στησιχορείαις πύλαις λεγομέναις, καὶ τοῦ μνημείου ἔχοντος ή' κίονας καὶ ή' βαθμοὺς καὶ ή' γωνίας· οἱ δὲ ὅτι Ἀλήτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων ή' φυλὰς ἐποίησε τοὺς πολίτας καὶ ή' μέρη τὴν πόλιν.

Πανταίνετος.

πανταχῇ πάντα τρόπον. πανταχῶ ἐν παντὶ τόπῳ, καὶ πανταχόθι. πανταχοῖ δὲ καὶ πανταχόσε εἰς πάντα τόπον.

πανταχῇ τὸν τόπον περισκεψάμενοι. καὶ πανταχοῦ γῆς.

παντέλειον ὁλόκληρον.

παντευχία πανοπλία.

πάντ' ἔχεις ⟨A Av. 1460⟩ πάντ' ἔγνωκας.

Παντικάπαιον ὄνομα πόλεως.

παντὶ σθένει ὅλῃ δυνάμει.

παντί τῳ παντί τινι.

παντοδαής ὁ πάντα εἰδώς· "τίς ἔργον ἔρεξε τοσοῦτον ὅσσον ὁ παντοδαὴς μήνυσε Δημόκριτος;" ⟨Diog. L. 9 43⟩.

παντοδαπά παντοῖα.

παντοδαπή. καὶ κλίνεται παντοδαπῆς.

παντοίας ἤδη μούσης πειραθέντες καθ' ἑαυτούς" ⟨A Eq. 508⟩, τουτέςι ποικίλης καὶ παντοδαπῆς.

παντοκρατορία.

παντολιγοχρόνιος παντελῶς ὀλιγοχρόνιος· ⟨AP 7 167⟩ "ἄρτι δὲ καὶ νύμφη παντολιγοχρόνιος."

παντομιγές πολυειδές· "εἴ πού τι χωρίον παντομιγές --- κρίνοντος" ⟨cf. v. Ῥουφῖνος⟩.

παντὸς μᾶλλον ἀντὶ τοῦ πάντως.

πάντοσε πανταχοῦ.

παντουργῷ πάντα πράττοντι καὶ μηδὲν ὑποςελλομένῳ· ἢ πανούργῳ καὶ ἀναιδεῖ. Σοφοκλῆς ⟨Ai. 445⟩ "φωτὶ παντουργῷ φρένας ἔπραξαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη."

πάντως παντελῶς· "οὐδὲ μὴν ἡμᾶς σύ γε πάντως νικήσεις" ⟨A Ran. 262⟩.

πάνυ λίαν.

Πανύασις Πολυάρχου Ἁλικαρνασσεύς, τερατοσκόπος καὶ ποιητὴς ἐπῶν, ὃς σβεσθεῖσαν τὴν ποιητικὴν ἐπανήγαγε. Δοῦρις δὲ Διοκλέους τε παῖδα ἀνέγραψε καὶ Σάμιον· ὁμοίως δὲ καὶ Ἡρόδοτον Θούριον. ἱςόρηται δὲ Πανύασις Ἡροδότου τοῦ ἱςορικοῦ ἐξάδελφος· γέγονε γὰρ Πανύασις Πολυάρχου, ὁ δὲ Ἡρόδοτος Λύξου τοῦ Πολυάρχου ἀδελφοῦ. τινὲς δὲ οὐ Λύξην, ἀλλὰ Ῥοιὼ τὴν μητέρα Ἡροδότου Πανυάσιδος ἀδελφὴν ἱςόρησαν. ὁ δὲ Πανύασις γέγονε κατὰ τὴν οη' ὀλυμπιάδα, κατὰ δέ τινας πολλῷ πρεσβύτερος· καὶ γὰρ ἦν ἐπὶ τῶν Περσικῶν. ἀνῃρέθη δὲ ὑπὸ Λυγδάμιδος τοῦ τρίτου τυραννήσαντος

Ἁλικαρνασσεῦ. ἐν δὲ ποιηταῖς τάττεται μεθ' Ὅμηρον, κατὰ δέ τινας καὶ μεθ' Ἡσίοδον καὶ Ἀντίμαχον. ἔγραψε δὲ καὶ Ἡρακλειάδα ἐν βιβλίοις ιδ', εἰς ἔπη ϑ, Ἰωνικὰ ἐν πενταμέτρῳ (ἔςι δὲ τὰ περὶ Κόδρον καὶ Νηλέα καὶ τὰς Ἰωνικὰς ἀποικίας) εἰς ἔπη ζ.

b Πανύασις Ἁλικαρνασσεὺς νεώτερος, φιλόσοφος, περὶ ὀνείρων βιβλία β'.

πάνυ γὰρ ἔς' ἤδη χολὴ πολύ· τὸ δὲ πολὺ κἂν ᾖ γλυκύ, μοχϑηρόν. Ἀριςοφάνης Βατράχοις ⟨4⟩.

πανύςατον πάντων ἔσχατον.

πανωλεϑρία. καὶ πανώλης ὁ πανώλεϑρος.

παξαμᾶς ὁ δίπυρος ἄρτος. ἔςι δὲ ἡ λέξις Ῥωμαϊκή.

Πάξαμος λόγιος ὀψαρτυτικὰ κατὰ ςοιχεῖον, Βοιωτικὰ ἐν βιβλίοις β', δωδεκάτεχνον (ἔςι δὲ περὶ αἰσχρῶν σχημάτων), βαφικὰ βιβλία β', γεωργικὰ β'.

παπαῖ σχετλιαςικὸν ἐπίρρημα.

Παπίριος ὄνομα κύριον· "οὐ γὰρ ἦν ὡδὲ τῶτων ἄτριψ ὁ Παπίριος" ⟨cf. v. ἄτριψ⟩.

Πάπορος ὄνομα κύριον.

πάππα. ὅτι πάππα καὶ τέττα καὶ ἄππα οὐχ ὁ τροφεὺς ἐν ἀνθ' ἑνός ἐςιν, ἀλλὰ προσφώνησις πρὸς τροφέα, καὶ τὸ πάππα καὶ τὸ ἄππα οὐ ψιλῶς ὁ πατήρ, ἀλλὰ πρὸς πατέρα σεπτικὴ φωνή, καὶ τὸ τέττα ἑταίρου.

παππάζοιεν πάππα καλοῖεν.

παππὰξ παπαπαππὰξ ἦχος πορδῆς. Ἀριςοφάνης Νεφέλαις ⟨389⟩.

παππασμός προσφώνησις παρὰ παιδὸς εἰς πατέρα γινομένη.

παππίδιον· Ἀριστοφάνης ⟨Vesp. 675⟩ "ἀκρόασαι νῦν, ὦ παππίδιον, χαλάσας ὀλίγον τὸ μέτωπον." ὑποκοριςικῶς πάππε.

παππίζω· Ἀριςοφάνης ⟨Vesp. 629⟩ "παππίζουσ' ἡ ϑυγάτηρ με τριώβολον ἐκκαλαμᾶται."

πάππος αἱ ἐπὶ τοῦ κάτω χείλους τρίχες, μύςαξ δὲ αἱ ἐπὶ τοῦ ἄνω.

Πάππος Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς κατὰ τὸν πρεσβύτερον Θεοδόσιον τὸν βασιλέα, ὅτε καὶ Θέων ὁ φιλόσοφος ἤκμαζεν, ὁ γράψας εἰς τὸν Πτολεμαῖον κανόνα. βιβλία δὲ αὐτοῦ χωρογραφία οἰκουμενική, εἰς τὰ δ' βιβλία τῆς Πτολεμαίου μεγάλης συντάξεως ὑπόμνημα, ποταμοὺς τὺς ἐν Λιβύῃ, ὀνειροκριτικά.

παππῷον· ⟨A Lys. 654⟩ "τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν." ἐγένετο ἐπὶ τῶν Μηδικῶν ··· πολεμοῦεν ⟨cf. v. Μηδική⟩.

παπυλαιῶνος σκηνῆς ἤτοι τέντας.

πάπυρος. ϑηλυκῶς ἡ πάπυρος· ⟨AP 6 249⟩ "λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον, σχοίνῳ καὶ λεπτῇ σφιγγομένην παπύρῳ."

παρά διά.

παραβαίνω· "μή τι παραβαίνειν ἔδοξε τῶν κοινῶν;"

παραβαλεῖν ἀντὶ τοῦ παραδοῦναι. "ὃ δὲ ὁρᾷ τὴν Μιλησίαν, καὶ ἐρᾷ αὐτῆς, καὶ πέμπει πειρῶν πεντακισχιλίους καὶ μυρίους αὐτῇ χρυσοῦς, καὶ εἰ πλέον ἐδεῖτο, ἔφατο δώσειν. ἡ δὲ οὐ προσεῖτο τὴν δόσιν, ἑταιρικὸν φάσκουσα εἶναι μίσϑωμα τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι καὶ ὥσπερ ὤνιον τὸ κάλλος ἀποδόσϑαι" ⟨cf. v. ἀγνῶτας⟩.

παραβαλεῖς παραϑήσεις, ὁμοιώσεις, ἐπιφοιτήσεις.

παραβαλέσϑαι τὸ ἐξαπατῆσαι Θουκυ- a
δίδης α' ⟨133⟩. οὕτω καὶ Ὅμηρος ⟨Δ 6⟩ "παραβλήδην ἀγορεύων."

παραβαλέσϑαι τὸ παύσασϑαι καὶ b
ἀπαλλαγῆναι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων.

παραβαλέσϑαι· ⟨Ioseph. A. I. 2 8⟩ "ὁ δὲ c
Ἰούδας δραςήριος ὢν ἔκρινεν ὑπὲρ τῆς τἀδελφοῦ σωτηρίας παραβαλέσϑαι," τολμηρῶς ἐπεγχεσϑαι. καὶ παραβαλλόμενος ἀντὶ τῦ ἀδεῶς ἐρχόμενος· ⟨Polyb. 4 57⟩ "ὁ δὲ παραβαλλόμενος καὶ διαβαίνων πρὸς τὸν Δορίμαχον πλεονάκις."

παραβάλλειν τὸ ἀπέρχεσϑαι· "παραβάλλειν εἰς Σικελίαν πρὸς τὸν τύραννον." καὶ αὖϑις "αἰσχύνασαι τὴν λατρείαν τὴν περὶ τὴν ϑεόν, καὶ ἑαυτὰς ὁμιλίᾳ ἀνδρῶν παραβαλοῦσαι" ἀντὶ τοῦ μίξασαι "ἐκολάσϑησαν κατὰ τὸν νόμον."

παραβάλλεσϑαι πρὸς κίνδυνον ῥίπτειν ἑαυτόν· "λοιπὸν ἦν παραβάλλεσϑαι καὶ τολμᾶν." καὶ αὖϑις ⟨Polyb. 3 94⟩ "ὃ δὲ πρὸς τῷ παραβάλλεσϑαι καὶ διακινδυνεύειν ὅλος καὶ πᾶς ἦν." καὶ παραβαλλόμενος πλεονάκις ϑαρραλέως ὁρμῶν.

παραβαλλόμενον· "οὐ γὰρ ἦν πρὸς τὴν Θρᾳκῶν χιόνα παραβαλλόμενον χαρίζεσϑαι δάπιδας." καὶ παραβαλλόμενος

Digitized by Google

ἐξομοιούμενος· "τὰ πρῶτα παραβαλλόμενος τοῖς ἀρίστοις τῶν βασιλέων."

παραβάλοιτο ἀντὶ τοῦ παραπέμψαιτο Αἰσχίνης κατὰ Κτησιφῶντος. Harp.

παραβαλὼν πλησίον συστήσας, συνοδεύσας· "ὁ δὲ παραβαλὼν τὸν ἑαυτοῦ ἵππον τῷ Παρθουσίρου ἵππῳ, μηκέτι τὸ πέρα σπουδῇ ἐλαύνειν ἐκέλευεν." καὶ παραβάλλω αἰτιατικῇ.

παραβαλὼν χαλάσας· Ἀριστοφάνης ⟨Pac. 34⟩ "ὥσπερ παλαιστὴς παραβαλὼν τοὺς γομφίους," ὥσπερ καὶ τὸ χαλάσαι κώπην λέγουσι παραβαλεῖν.

παράβασις. τοῦτο λέγεται παράβασις, ἅπερ ἔλεγον ἐπιστρέφοντες οἱ χορευταὶ πρὸς τοὺς θεωμένους. ἔστι δὲ ὁ τρόπος, ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύῃ τοῖς θεωμένοις ἢ ἄλλο τι λέγῃ ἐκτὸς τῆς ὑποθέσεως. παράβασις δὲ λέγεται, ἐπειδὴ ἀπήρτηται τῆς ἄλλης ὑποθέσεως, ἢ ἐπεὶ παραβαίνει ὁ χορὸς τὸν τόπον. ἑστᾶσι μὲν γὰρ κατὰ στοῖχον οἱ πρὸς τὴν ὀρχήστραν ἀποβλέποντες, ὅταν δὲ παραβῶσιν, ἐφεξῆς ἑστῶτες καὶ πρὸς τὸ θέατρον ἀποβλέποντες τὸν λόγον ποιοῦνται· εἶτα διελθόντες τὴν καλουμένην παράβασιν ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ ποιοῦσιν αὐτὸ οἱ ποιηταί, τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. Πλάτων ὁ κωμικὸς ἐν τῷ Παιδαρίῳ "εἰ μὲν μὴ λίαν, ἄνδρες, ἠναγκαζόμην στρέψαι δεῦρ', οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ' ἐπῶν," ἄμφω σημήνας, καὶ τὸ στρέφεσθαι καὶ τὸ παραβαίνειν ⟨sch. A Pac. 733⟩. καὶ Πισίδης ⟨Heracl. 2 284⟩ "τὸν παραβάτην συμβαλὼν πλασμῷ ξένῳ, πρὸ τῆς μάχης ἀφῆκας εἰς ἀντιστάτην."

παραβεβιάσθαι τὰς σπονδάς τὸ παθητικὸν τοῦ παραβεβηκέναι πάνυ ἀκολούθως Θουκυδίδης ⟨1 123⟩.

παραβέβλησαι παραβόλως κέχρησαι· "καὶ παραβέβλησαι τῷ βίῳ διὰ τὴν πρὸς ἐμὲ εὔνοιαν, οὐδεμιᾶς ἀνάγκης σοι προκειμένης."

παραβιάζω αἰτιατικῇ.

παραβιβάζεσθαι παραβαίνεσθαι.

παραβλέπουσα θατέρῳ ⟨A Eccl. 520⟩. μὴ ἀτενίζουσα, φησίν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα.

παραβλήδην ⟨Hom. *Δ* 6⟩ ἀπατητικῶς, παραλογιστικῶς.

παραβληθησόμενος συγκριθησόμενος, ὁμοιωθησόμενος.

παραβλύσας παραβαλών, ἀποπτύσας· "εἴ ποτε ἡττηθεὶς οἴνου καὶ παραβλύσας τὸ περιττόν, εἶτα ὕπνου μέτοχος γένοιτο."

παραβλῶπες παρορῶντες, διεστραμμένας ἔχοντες τὰς ὄψεις· Ὅμηρος ⟨*I* 503⟩ "χωλαί τε ῥυσαί τε, παραβλῶπές τ' ὀφθαλμώ."

παραβολή λόγος αἰνιγματώδης καὶ κε- a
κρυμμένος, πρὸς ὠφέλειαν φέρων. Theodoret. in Ps. 77 2.

παραβολή διήγημα· ⟨Ps. 77 2⟩ "ἀνοίξω b
ἐν παραβολαῖς τὸ στόμα μου" ἀντὶ τοῦ ἐν διηγήσει ἀρχαίων λόγων. καὶ ἡ ὁμοίωσις, καὶ τὸ λάλημα, καὶ ὑπόδειγμα· ⟨Ps. 43⟩ "ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι."

παραβολή πραγμάτων ὁμοίωσις. c

παράβολος· Ἀριστοφάνης Σφηξί ⟨192⟩ "πονηρὸς εἶ πόρρω τέχνης καὶ παράβολος" ἀντὶ τοῦ οὐ γνήσιος. Ἰώσηπος ⟨A. I. 6 14 3⟩ περὶ τῆς ἐγγαστριμύθου "ταύτην αἰτοῦμαι χάριν ἀντὶ τῆς παραβόλου μαντείας."

παραβόλως· Πολύβιος ⟨2 24⟩ "μετὰ δὲ ταῦτα πρὸς ἡλίκην δυναστείαν παραβόλως ἀντοφθαλμήσας."

παραβολώτερος ἀνόητος.

παραβραβεύοντα διακρίνοντα, διορίζοντα· ⟨Theophyl. Sim. 2 8⟩ "ἀποκλίνοντα τὸ Περσικὸν διὰ τὸν παραβραβεύοντα φάραγγα." ἀρσενικὸν ὁ φάραγξ. cf. v. φάραγξ b.

παραβύουσα παρακαλύπτουσα.

παράβυστον παρακεκρυμμένον, λάθρα a
γινόμενον.

παράβυστον. οὕτως ἐκαλεῖτό τι τῶν παρ' b
Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ἕνδεκα. ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται καὶ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων. Harp.

παραγάγῃς παρηγορήσῃς· ⟨S El. 855⟩ "μηκέτι παραγάγῃς, ἵν' οὐ πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων εὐπατριδᾶν ἀρωγοί."

παραγγείλας· "ὁ δὲ ἀνεχώρησεν οὐδὲ τὸ ἀνακλητικὸν παραγγείλας," ἀντὶ τοῦ σημήνας. καὶ αὖθις "πολισμάτια ἐκτόπια τὸ παντελὲς ὑπάρχοντα τῶν γραφομένων καὶ παραγγελλομένων."

παραγγελία. ⟨Demosth. 19 1⟩ "παραγγε-

λία περὶ τυτονὶ τὸν ἀγῶνα γέγονε." καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ Κτησιφῶντος (1) "τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις αἷς κέχρηνταί τινες." Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει "καὶ τὰς ἰδίᾳ παραγγελίας γεγενημένας καὶ τὰς δεήσεις." Harp.

παράγγελμα προτροπή, προκάταρξις· "κρότος τε ἀθρόος οὐκ ἐκ παραγγέλματος ἀλλ' ἐκ τοῦ αὐτοκελεύςυ τῆς προθυμίας τῶν θεωμένων." cf. v. αὐτοκέλευςος.

παραγγέλλοντα δεχόμενον τὴν ἀρχήν· "ὁ δὲ Φάβιος λαβὼν τὴν ἀρχὴν Πόπλιον ἀποδείκνυσιν ὕπατον, οὐδ' αὐτὸν παραγγέλλοντα τὴν ἀρχήν."

παραγγέλλοντας. "οἱ δὲ ἀρειανίζοντες προφάσει τοῦ δόγματος ἀφικόμενοι ἐν Καρχηδόνι, περὶ τοὺς εἰς ἱερωσύνην παραγγέλλοντας ὅπως ὁ Γεζέριχος παρασκευῆς ἔχει καὶ γνώμης, μαθεῖν," ἀντὶ τοῦ τελοῦντας. καὶ Ξενοφῶν (Anab. 1 5 13) "ὁ δὲ καταφεύγει ἐς τὸ αὐτοῦ ςράτευμα, καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα." καὶ αὖθις "ςρατιὰν ὡς πλείςην εἰς τὸν πόλεμον παραγγέλλων" ἀντὶ τοῦ καταλέγων.

παραγγέλλων ἀντὶ τῦ συνδιερχόμενος, συνδιατρίβων, συναναςρεφόμενος· "ὁ δὲ παραγγέλλων ποτὲ μὲν τοῖς ποτὲ δὲ τοῖς, ἥρπαζε μετ' αὐτῶν καὶ διεδύετο." ἢ παραγγέλλων ἀντὶ τοῦ ἀπροόπτως ἐρχόμενος.

παράγγελσις· "αἱ γὰρ παραγγέλσεις ὐ καθ' ἓν ὡς πρότερον, ἀλλὰ διτταὶ ἐγένοντο."

παράγεσθαι μεταπείθεσθαι· Θουκυδίδης (1 91) "κελεύει αὐτὺς μὴ λόγοις μᾶλλον παράγεσθαι ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες ἀπαγγελοῦσι."

παραγκωνίσας ἀποςρέψας, ἐκ τῶν ἀγκώνων δήσας.

παραγνοὺς παρανοήσας.

παραγραμματίζων, ὅπερ παρήχημα λέγεται· "Τίμων οὑτωσὶ παραγραμματίζων αὐτόν, ὡς ἀνέπλασε Πλάτων πεπλασμένα θαύματα" (Diog. L. 3 26). οἷόν ἐςι παυσάμενος Παυσανίας (Plato Conviv. p. 185 C) καὶ Σαμία μία ναῦς (Thuc. 8 16?).

παραγραμματισμός, ὅταν γράμμα ἀντὶ γράμματος τεθῇ, οἷον ἀντὶ τῦ μυρσίνη βυρσίνη, β ἀντὶ τοῦ μ, ὡς Ἀριςοφάνης (Eq. 57) ἀντὶ τοῦ μ τῷ β ἐχρήσατο· δέον γὰρ εἰπεῖν μυρσίνη βυρσίνη εἴρηκε· ταῖς γὰρ μυρσίναις ἀποσοβοῦσι τὰς μυίας. ὃ δὲ ἔπαιξε διὰ τὸν βυρσοδέψην. καὶ μυρσίνῃ ἐςεφανῦντο οἱ ςρατηγοί. ἢ ὡς ὅταν λέγῃ (79) ἐν Κλωπιδῶν ἀντὶ τοῦ Κρωπιδῶν, λ ἀντὶ τοῦ ρ.

παραγράφεται ἐξουθενεῖ, παραιτεῖται, ἀποβάλλεται. καὶ ἐν συνθέσει **ἀπαράγραφον·** "ὡς μάρτυς ἔχεις τὸ ἀπαράγραφον" περὶ Ἰακώβου τοῦ ἀδελφοθέου.

παραγραφή, ὅταν λέγῃ τις ὅτι τὸ πρᾶγμα, περὶ οὗ τὸ ἔγκλημά ἐςιν, εἰσήχθη πρότερον εἰς δικαςήριον καὶ γεγένηται περὶ αὐτοῦ γνῶσις, καὶ διὰ τοῦτό φησι μὴ δεῖν ἔτι περὶ αὐτοῦ συνίςασθαι κρίσιν· μάλιςα δὲ τοὺς νόμους ἀναγινώσκει τοῖς δικαςαῖς, οἳ πλεονάκις δικάζεσθαι περὶ τῶν αὐτῶν οὐ συγχωροῦσι· λέγει δὲ περὶ αὐτοῦ τοῦ πράγματος ἅμα, τοῖς δικαςαῖς παραδεικνὺς ὡς οἱ πάλαι δικάσαντες καὶ δικαίως καὶ κατὰ τοὺς νόμους ἐψηφίσαντο. καὶ τοῦτό ἐςι παραγραφή, καὶ ἐπ' ἐκείνῃ τῇ δίκῃ περὶ ἧς οὐδὲν ὥρισαι παρὰ τοῖς νόμοις, οὐδὲ ἔςιν αὐτὴν ὁ εἰσάξων ὥσπερ καὶ τὰς ἄλλας δίκας· τῶν γὰρ ἄλλων δικῶν προσέτακται ἑκάςῳ τῶν ἐν ταῖς ἀρχαῖς εἰσάγειν τινά. παραγράφεσθαι οὖν ἐφεῖται καὶ τοῖς τοιοῦτόν τι ἐγκαλουμένοις, περὶ οὗ οὐ νενομοθέτηται.

παραγραφή. οὐ μόνον ἐπὶ τοῦ κοινοῦ καὶ γνωρίμου τίθεται παρὰ τοῖς ῥήτορσιν, ἀλλ' ἰδίως Ἰσοκράτης (15 59) παραγραφῆς εἶπεν ἀντὶ τοῦ ἀπὸ τῆς γραφῆς. καὶ ἔςι τὸ λεγόμενον παρ' αὐτῷ "ἀφ' οὗ παρέγραψα·" τοῦτο δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην. ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους "οὐδὲ μέχρι παραγραφῆς" φησὶν ἀντὶ τῦ οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνυ καὶ παραγεγραμμένου, ὅπερ ἐςὶ περιγεγραμμένου. Harp.

παραγράφω αἰτιατικῇ.

παραγωγαῖς ἐξαπάταις· (Procop. Goth. 3 16) "σοφίσμασι δὲ καὶ παραγωγαῖς ἀεί τε καὶ καθ' ἡμέραν ἡμᾶς ἐκκρέοντες κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται." cf. v. παράλογος.

παραγωγὴ λέγεται ὅταν ἡ φάλαγξ πορεύηται ἐκ τῶν εὐωνύμων τὺς ἡγεμόνας ἔχυσα ἢ ἐκ τῶν δεξιῶν. κἂν μὲν ἐκ τῶν εὐωνύμων ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται, ἐὰν δὲ ἐκ τῶν δεξιῶν, δεξιὰ παραγωγή. εἴτε δὲ ἡ πορεία ἐν ἐπαγωγῇ γίνεται

εἴτε ἐν παραγωγῇ, ἐν μονοπλεύρῳ ἢ διπλεύρῳ ἢ τριπλεύρῳ ἢ τετραπλεύρῳ τάγματι βαδιεῖται, μονοπλεύρῳ μὲν ὅταν μοναχόθεν φοβηθῇ, διπλεύρῳ δὲ ὅταν διχόθεν, τριπλεύρῳ δὲ ὅταν τριχόθεν, τετραπλεύρῳ δὲ ὅταν πανταχόθεν οἱ πολέμιοι ἐπιτίθεσθαι ὑφορῶνται. cf. Aelian. Tact. 37.

a παράδειγμα παράδειξις, ὁμοιότης, δήλωσις.

b παράδειγμα εἰκών, ἢ χαρακτὴρ ἔννοιαν ἔχων αἰσθητοῦ πράγματος. ἰςέον δὲ ὅτι ἄλλο παράδειγμα καὶ ἄλλο παραβολή· παράδειγμα μὲν γάρ ἐςιν ὅταν ἀντιπαραθῇ τις ὅμοιον ὁμοίῳ, οἷον λογικῷ λογικόν, παραβολὴ δὲ ὅταν ἀνόμοιον ἀνομοίῳ, οἷον ἀλόγῳ λογικὸν ἢ ἔμπαλιν. ἢ παράδειγμά ἐςι λόγος ἀπὸ τῶν καθ' ἕκαςα ἐπὶ τὰ καθόλου, ἢ δεῖξις πιςουμένη τὸ μερικὸν διὰ μερικοῦ ὁμοίου.

c παράδειγμα. τὸ παράδειγμα τῆς ἐπαγωγῆς ἄλλο· ἡ μὲν γὰρ ἐπαγωγὴ ἐκ τῶν καθ' ἕκαςά ἐςιν ἐπὶ τὰ καθόλου ὁδός, παράδειγμα δὲ γίνεται τὸ ὅμοιον καὶ γνωριμώτερον τοῦ ὁμοίου καὶ ἧττον γνωρίμου. διὸ ἐπαγωγὴ μὲν δι' ἑνὸς οὐ γίνεται, τὸ δὲ παράδειγμα ἀρκεῖ καὶ δι' ἑνὸς εἶναι. καὶ ἔςιν ἡ μὲν ἐπαγωγὴ τῷ διαλεκτικῷ οἰκειοτέρα, τὸ δὲ παράδειγμα τῷ ῥήτορι. κέχρηται μέντοι καὶ ὁ διαλεκτικὸς παραδείγμασιν ὑπὲρ σαφηνείας τοῦ λεγομένου, εἰ μὴ εἴη γνώριμον, ὡς τὸ διὰ τῆς ὁμοιότητος πυνθάνεσθαι. παραδειγματικὸν γὰρ τὸ οὕτως ἐρωτῆσαι "ἆρά γε τῶν ἐναντίων ἡ αὐτὴ ἐπιςήμη ὥσπερ καὶ ἡ αἴσθησις;" παραδείγματος δὲ καὶ παραβολῆς διαφορά, ὅτι τὸ μὲν παράδειγμα δοκεῖ γεγονός τι εἰς δεῖξίν τινος παρατίθεσθαι μηδέπω γεγονότος καὶ διὰ τοῦτο ἀδήλου, ἡ δὲ παραβολὴ εἰκών ἐςιν ὁμοιότητα πρός τι γεγονὸς σημαίνουσα. Alex. Aphrod. in Top. p. 254.

d ἰςέον ὅτι τὰ παραδείγματα οὐ κατὰ πάντα λαμβάνεται καὶ τοῖς προκειμένοις ἁρμόζεται, ἐπεὶ οὐκ ἂν εἴη ὑποδείγματα ἀλλὰ ταυτότης· ἀλλὰ χρὴ τὸ χρήσιμον ἡμᾶς καὶ εἰς ὃ παρείληπται ἐκλεξαμένους τὸ λοιπὸν ἅπαν χαίρειν ἐᾶν. οἷον ὁ πατριάρχης ὅτε λέγει περὶ τοῦ σωτῆρος "ἀναπεσὼν ὡς λέων," οὐ πάντα προσαρμόζομεν τῷ Χριςῷ, ἀλλὰ τὸ ἄμαχον καὶ φοβερὸν καὶ βασιλικὸν ἐκλαμβάνοντες, τὸ δὲ θηριῶδες καὶ εἴ τι ἄλλο πρόσεςι παριππεύομεν. καὶ ὅταν λέγῃ (Hosea 13 8) "ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκτος ἀπορουμένη," τὸ τιμωρητικὸν μόνον ἐκληψόμεθα, ἀλλ' οὐκ ἄλλο τι τῶν τῇ ἄρκτῳ προσόντων. Isidorus Pelus. 3 267.

παραδεικνῦσα καὶ παραδεικνύντος καὶ παραδεικνύναι.

παραδιαιτᾶσθαι τὸ παρ' ἑτέρῳ τινὶ τρέφεσθαι.

παρὰ δίκην παρὰ τὸ δίκαιον.

παρὰ δόξαν παρὰ προσδοκίαν, παρ' ἐλπίδα· "τὰς δυσχωρίας προκατειλήφεσαν, ἐλπίδα ἔχοντες ὡς παρὰ δόξαν ἐπιθησόμενοι."

παράδοξον ἀπροσδόκητον, θαυμαςόν.

παραδράμω.

παραδυναςεύω δοτικῇ.

παραδύομαι. παροιμία, ἐπειδὴ εἰς τοὺς πλουσίους οἱ πένητες παραδύονται. cf. v. παραλοῦμαι.

παραδῶσι πληθυντικόν· "συντρέχει λοιπὸν τὸ συνέδριον τῶν Ἰουδαίων, ἵνα τὸν δημιουργὸν καὶ κτίςην τῶν ἁπάντων Πιλάτῳ παραδῶσι."

παραζήλου παρερέθιζου, παροξύνου εἰς μίμησιν τῶν κακίᾳ συζώντων· Δαβὶδ "μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ." Theodoret. in Ps. 36 1.

παραζηλῶν παροξύνων, ζηλοτυπῶν.

παραθέουσι παρατρέχουσι.

παράθερμος παρὰ τὸ προσῆκον ἐργαζόμενος. "ὢν δὲ φύσει παράθερμος καὶ παρακεκινηκὼς πολλὰ διώκει μανίᾳ προσεμφερῶς, τοσοῦτον ἀφροσύνῃ διενεγκὼν τῶν ἄλλων ὅσον τὸ μηδ' ἐκ τῆς πείρας δύνασθαι διδαχθῆναι τοῦ πρώτως ἐπιβαλλόμενον σφαλῆναι" (Diodor. Sic. t. 2 p. 565).

παράθεσις σύγκρισις. "βουλόμενος δ' ἐκ παραθέσεως ὑπόδειγμα ποιῆσαι τῆς αὐτοῦ προαιρέσεως, ἣς ἔχει πρὸς τοὺς πεπιςευκότας αὐτῷ καὶ τοὺς ἀπειθοῦντας, ἐπολιόρκει." καὶ αὖθις "μηδ' εἶναι παράθεσιν τοῦ βελτίονος." παράθεσις καὶ ἡ παραγγελία παρὰ τοῖς πατράσι· φησὶ γὰρ (Hebr. 11 39) "ἔλαβον παράθεσιν."

παραθήγειν ἀκονᾶν, παροξύνειν. παραθήξονται παρακονήσονται. "ἦν δὲ Τύλλος Ἄττιος, ὁ τὰς ὀργὰς αὐτοῖς παραθήξας, ἔχων περὶ αὐτὸν ἑταιρείαν οὐκ ὀλίγην" (Dionys. Hal. 8 57).

παραθραύοντες ταλαιπωροῦντες, ἀδυνατοῦντες.

παραθρήσειας παρίδοις.

παραιβάτης.

a παραίνεσις ἡ ἀγαθὴ συμβουλή.

b παραίνεσις συμβουλῆς διαφέρει. παραίνεσις μὲν γάρ ἐςι λόγος παραινετικὸς ἀντίρρησιν οὐκ ἐπιδεχόμενος, οἷον ὡς εἴ τις εἴποι ὅτι δεῖ τὸ θεῖον τιμᾶν· οὐδεὶς γὰρ ἐναντιοῦται τῇ παραινέσει ταύτῃ, μὴ πρότερον μανείς. συμβουλὴ δέ ἐςι λόγος συμβουλευτικὸς ἀντίρρησιν ἐπιδεχόμενος, οἷον ὡς εἴ τις εἴποι ὅτι δεῖ πολεμεῖν, πολλὰ γάρ ἐςι τὰ ἐκ τοῦ πολέμου κέρδη, ἕτερος δέ τις ἀντείποι ὡς οὐ δεῖ πολεμεῖν, πολλὰ γάρ ἐςι τὰ ἐκ τοῦ πολέμου συμβαίνοντα, οἷον ἧττα, αἰχμαλωσία, πληγαί, πόλεων κατασκαφαί.

παραιξοροῦσιν (an παρεξόρσσον) Ἀριςοφάνης Ταγηνιςαῖς. ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι, Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι.

παραιρήσεται ἀφαιρήσεται· Θουκυδίδης (4 48) "διέφθειρον σφᾶς αὐτοὺς οἱ μὲν ἀπὸ κλινῶν σπάρτοις, οἱ δὲ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες" τουτέςιν ἀφαιρήματα "ἀπήγχοντο."

παραιροῦνται ἀφαιροῦνται. καὶ παραιρούμενος· "ὁ δὲ ἐξόπισθε πλέον παραιρούμενος φθάνει τῷ δρόμῳ" ἀντὶ τοῦ ἀφαιρούμενος. καὶ αὖθις "ὧνπερ αὐτοῖς ἡμᾶς συγγνώμονας εἶναι οὐδεμία μηχανὴ ἔςαι, τοῦ τῶν ἐγκλημάτων ὄγκου παραιρουμένου τοῖς ἠδικηκόσι τὸν ἔλεον."

παραίσια (Hom. Δ 381) ἀπαίσια, χαλεπά, παρὰ τὸ δέον, παρὰ τὸ προσῆκον.

παραιτέετο παρεκάλει, ἐλιπάρει· "ὁ δὲ ἐλθὼν παραιτέετο τὸν Πέρσην, τυγχάνων δὲ οὐδενὸς ὧν ἐδέετο, αὐτὸς ἔλυσεν" Ἡρόδοτος (5 33).

παραιτεῖσθαι παρακαλεῖν, συγγνώμην αἰτεῖν. "ὁ δὲ ἀναιρεῖν μέλλων αὐτὸν ἀφῆκε, Παρυσάτιδος παραιτησαμένης αὐτὸν καὶ τὴν σατραπείαν αὐτῷ φυλαξάσης" (cf. v. Ξενοφῶν b). καὶ αὖθις "ὁ δὲ ῥύεται Δερκεταῖον τοῦ θανάτου, παραιτησάμενος τὴν μητέρα."

παραιτηθείς παρακληθείς· "παραιτηθεὶς δὲ διὰ τῶν φίλων τοῦτον ἀπέλυσε τῆς αἰτίας."

παραιτησόμενος· "ἀπέδωκε τὸν χρυσὸν ὡς παραιτησόμενος τοῦ θεοῦ δι' αὐτοῦ τὸν χόλον, νήπιος, οὐδὲ τὸ ᾔδει, ὃ οὐ πείσεσθαι ἔμελλεν· οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων" (Dionys. Hal. ap. Vales. p. 542).

παραιτητής παρακλήτωρ, ἢ ἀπολογούμενος.

παραιτοῖτο παρακαλοῖ, ἀπαγορεύοι· "ὥσπερ ἂν εἴ τις εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀπογραψάμενος, παρελθὼν ὅτι δέοι μάχεσθαι, παραιτοῖτο τοὺς θεωμένους συγγνώμην ἔχειν εἰ μὴ ἀγωνίζοιτο" (Polyb. 40 6).

παραιτοῦμαι τὸ ἱκετεύω, αἰτιατικῇ.

παραίφασις (Hom. Λ 793) παραίνεσις, συμβουλή.

παρακαλεῖν τὸ καλεῖν, ἢ τὸ προτρέπεσθαι· ἄκυρον γὰρ τὸ δέεσθαι. sch. Thuc. 1 68.

Παρακαρησός ὄνομα ποταμοῦ.

παρακαταβολή πρόσθεσις τοῦ δεκάτου μέρους τοῦ τιμήματος. εἴρηκεν ὁ δανειςὴς πρὸς Στρεψιάδην (Nub. 1257) "καὶ τοῦτ' ἴσθ' ὅτι θήσω πρυτανεῖ', ἢ μηκέτι ζῴην ἐγώ," ἀντὶ τοῦ γραφὴν κατὰ σοῦ θήσομαι· ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν δικῶν γραφάς. λέγει ὁ Στρεψιάδης "προσαποβαλεῖς ἄρ' αὐτὰ πρὸς ταῖς δώδεκα." ἀπολεῖς, φησί, καὶ τὰ ἐπὶ τῇ γραφῇ ἀναλώματα, μάτην αὐτὰ ποιήσας, διὰ τὸ περιέσεσθαί σου τὸν υἱόν μου λέγοντα τὸν ἀδικώτερον λόγον. ὃ ἔςι τὸ δέκατον τοῦ τιμήματος τῆς δίκης, ὅπερ καλεῖται συνωνύμως παρακαταβολή.

παρακαταβολὴ καὶ παρακαταβάλλειν. οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν καὶ οἱ περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες ἀργύριόν τι κατετίθεσαν, καὶ τοῦτο ἐχρῆν αὐτοὺς ςέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐςιν ὅτι τὸ πέμπτον μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο· Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ (41) περὶ ἰδίας τινὸς δίκης φησί "καὶ μετὰ ταῦτα προσκαλεῖται μέν με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς." Harp.

παρακαταθήκη ἐνέχυρον.

παρακατεῖχον ἐχρονοτρίβουν· "οἱ δὲ δολίως τοῖς πρέσβεσι προσενεγκάμενοι παρακατεῖχον ὡς συνάξοντες τὸν δῆμον."

παρακείμενα τὰ νῦν· "ἱκανὰ κακὰ τὰ παρακείμενα" (A Lys. 1046).

παρακεκινδυνευμένον ἀντὶ τοῦ ὑψηλὸν ἢ βλάσφημον. Ἀριςοφάνης (Ran. 96) "γό-

νιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι," τουτέστι φυσικόν τινα καὶ οὐ βεβιασμένον, ἢ γεννητικόν, "ὅςις φθέγξεται τοιουτονί τι παρακεκινδυνευμένον, αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα, ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν, γλῶτταν δ' ἐπιορκήσασαν ἰδίᾳ" ἢ ἄνευ "τῆς φρενός." Εὐριπίδης (ap. A Thesm. 297) "ὄμνυμι δ' ἱερὸν αἰθέρ', οἴκησιν Διός." ἐξ Ἀλεξάνδρου δὲ "καὶ χρόνȣ πρόβαινε πούς," καὶ ἐξ Ἱππολύτου (612) "ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος."

παρακεκομμένα· "κἀμοὶ γὰρ ἔςιν ἀμπέλια παρακεκομμένα" (A Ach. 511), ἀντὶ τȣ̃ μηδὲν ἐντελὲς ἔχοντα, ἀπὸ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων, ἅπερ παράτυπα λέγεται καὶ παρακεκομμένα. καὶ νῦν δὲ εἰώθασι λέγειν παραχαράκτας τοὺς παρακόπτοντας. ὅθεν καὶ παράσημος ῥήτωρ· "ἀνδράρια μοχθηρά, παρακεκομμένα, ἄτιμα καὶ παράσημα καὶ παράξενα."

παρακεκομμένος μαινόμενος, ἐξεςηκώς, παράφρων.

παρακελεύεται προτρέπεται, διεγείρει.

παρακερδαίνω σου.

παρακεχόρδικεν, οἷον παρημάρτηκε, λέγουσιν Ἀττικοί. καὶ παράχορδον.

παρακινοῦντα ἐξιςάμενον. "οὐχ οὕτω παρακεκινηκότες καὶ διεφθαρμένοι τὴν γνώμην, ἀλλὰ διὰ τὴν ὑπεροχὴν τῶν κακῶν ἐς Ἰουλιανοῦ καιροὺς τὸν Εὐτρόπιον ἀνατιθέμενοι" Εὐνάπιός φησι (p. 91 Nieb.) περὶ Εὐτροπίου τοῦ εὐνούχου.

παράκλησις ἀντὶ τοῦ προτροπή· Ἰσοκράτης Παραινέσεσι (5) "διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες ἀλλὰ παραίνεσιν γράψαντες." Λυκοῦργος δὲ ἀντὶ τῆς δεήσεως ἐχρήσατο, λέγων "ὑμᾶς οἶμαι τοῦτο ποιήσειν καὶ χωρὶς τῆς ἐμῆς παρακλήσεως." Harp.

παρακλιδόν. Hom. δ 348.

παρακλίνασαι παρανοίξασαι. (Hom. E 751) "ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι." Ἀριςοφάνης (Pac. 971) "καὶ γὰρ ἐκεῖναι παρακλίνασαι τῆς αὐλείας παρακύπτουσιν. κἄν τις προσέχῃ τὸν νοῦν αὐταῖς, ἀναχωροῦσιν, κᾆτ' ἢν ἀπίῃ παρακύπτουσιν."

παρακοᾶν παρανοεῖν καὶ παραφρονεῖν· κοᾶν γὰρ τὸ φρονεῖν.

παρακοίτης ὁ ἀνήρ, παράκοιτις δὲ ἡ γυνή.

παρακονᾶν τὸ ἐν τῷ φιλεῖν διατρίβειν.

παρακοπὴ φρενῶν ἡ φρενιτίασις. Ioseph. B. I. 1 25 4.

παρακόψας τὸν νȣ̃ν παρατραπείς· "ἐτελεύτησε δὲ ἄκρατον πολὺν ἐμφορηθεὶς καὶ παρακόψας, ἤδη γεγονὼς ἔτος πέμπτον καὶ ἑβδομηκοςόν" (Diog. L. 4 44).

παρακροτοῦντες παραθαρσύνοντες, παρορμῶντες.

παρακρούεται ἀντὶ τοῦ ἐξαπατᾷ. μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱςῶντάς τι ἢ μετρȣ̃ντας κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν. Harp.

παρακρȣσάμενος ἐξαπατήσας, παραπείσας· "παῖδας τῶν εὐγενεςάτων οἴκων παρακρουσάμενος ἐξήγαγεν ἐκ τῆς πόλεως" (Dionys. Hal. fr. Ambros. 13 1).

παρακρούσασθαι ἀνατρέψαι· "ὃ δὲ ὅσα διημφισβητήθη οἷος ἐγένετο παρακρούσασθαι."

παράκρουσιν ἐξαπάτην, ἐμπαιγμόν (sch. A Eq. 855). "ἄπιςοί τε γὰρ δόξαντες εἶναι οἱ Σαυνῖται, καὶ πρὸς τὰς συμφορὰς ἐς παράκρȣσιν τȣ̃ ἀεὶ κρατȣ̃ντος σφῶν σπένδεσθαι, οὐχ ὅσον οὐχ εὕροντό τι συμβατικόν, ἀλλὰ καὶ ἄσπονδόν σφισι τὸν πόλεμον παρεσκεύασαν" (Dio Cass. fr. 36 8).

παρὰ κωφὸν ἀποπαρδεῖν. πρόδηλος τῆς παροιμίας ἡ αἰτία· οὐ γὰρ ἀκȣ́ει ὁ κωφός. ἐπὶ τῶν ἀναισθήτων δὲ λέγεται.

παράλλαξον πάρελθε. "ἡ γὰρ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑπερφέρειν τὰς μεταβολάς, ὡς ἐπὶ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ."

παραλλάττουσιν ἀντὶ τοῦ παρέρχονται· "παραλλάττουσι δὲ ἀλλήλους τῷ διαςήματι τῶν ὁδῶν ψευσθέντες ὅ τε Προκόπιος καὶ Οὐάλης ὁ βασιλεύς." cf. v. χαριςήρους.

παραλλήλων ὁμοίων, ἀκολȣ́θων, ἐγγὺς ἀλλήλων, ἐξ ἴσου. "καὶ παράλληλον ὀρύξαντες τῷ δοκοῦντι πεσεῖσθαι τείχει, συνῆψαν ὑπὸ γῆς τοῖς ἐναντίοις," ἀντὶ τοῦ ἐξ ἴσου.

παραλογίζομαί σε.

παραλογισμός ἀπάτη λογισμοῦ.

παραλογιςής ἀπατεών.

παράλογον λέγουσιν ἀρσενικῶς οἵ τε ἄλλοι καὶ μάλιςα Θȣκυδίδης (1 77, 2 85) τὸ παράδοξον καὶ ὃ οὐκ ἄν τις προσδοκήσειεν, οἷον "τοῦ πολέμου τὸν παράλογον," καὶ ὅτι ἐγένετο πολὺς ὁ παράλογος. Προκόπιος (Vand.

2 13⟩ "οἱ μὲν ἄλλοι τοῦ πλήθους ἐκλογιζόμενοι τὸν παράλογον, ἔδοξε μανιώδης εἶναι αὐτοῦ ἡ ἔννοια." καὶ αὖθις "τοῖς δὲ Ῥωμαίοις θάμβος καὶ ἀπιςία πρὸς τὰ γινόμενα παρέςη πλείων ἢ τοῖς τὰ παράλογα ὀνείρατα ὁρῶσι."

b παράλογον τὸ ἀνέλπιςον, τὸ παρὰ προσδοκίαν. "οὐδέ τις ἦν ὃς οὐκ ἠθέλησε τὸ μὴ οὐ θεατὴς γενέσθαι παραλόγου ὄντως εἰς μέγεθος παρασκευῆς" ἀντὶ τοῦ παραδόξου.

παράλογος· Θουκυδίδης ⟨7 55⟩ "οἱ δὲ Ἀθηναῖοι ἐν παντὶ δὴ ἀθυμίας ἦσαν, καὶ ὁ παράλογος αὐτοῖς μέγας ἦν, πολὺ δὲ μείζων ἔτι τῆς ςρατιᾶς ὁ μετάμελος." καὶ αὖθις "οἱ δὲ σοφίσμασι καὶ παραγωγαῖς ἐκκρούοντες ἡμᾶς ἀεί τε καὶ καθ' ἡμέραν κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται." cf. v. παραγωγαῖς.

Πάραλοι οἵ τε ἐν τῇ νηὶ τῇ παράλῳ πλέοντες καὶ οἱ τὴν παράλιον τῆς Ἀττικῆς κατοικοῦντες, ὥσπερ ἕτεροι Πεδιάσιοι καὶ Διάκριοι. Πάραλος δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρέτει. ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι ςρατηγὸν ἐβούλοντο, ὥσπερ Ἀλκιβιάδην ἀπὸ Σικελίας, τῇ Παράλῳ ἐχρῶντο. λέγεται δὲ ἡ αὐτὴ καὶ Σαλαμινία. ὕςερον δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς, Ἀντιγονίς τε καὶ Δημητριάς.

a Πάραλος ναῦς ἱερά, θεωρίς· ἦν δὲ καὶ ἑτέρα Σαλαμινία ναῦς. τενθὶς δὲ πάραλος ⟨A Ach. 1155⟩ ἡ παραθαλασσία, ἢ ἡ παρὰ τοὺς ἅλας κειμένη.

b Πάραλος, Δημοσθένης Φιλιππικοῖς ⟨8 29⟩, μία τῶν παρ' Ἀθηναίοις πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα. Πάραλοι δ' ἐκαλοῦντο οἱ ἐπιβεβηκότες αὐτῆς, οἳ καὶ διὰ ταύτην τὴν ὑπηρεσίαν δ' τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖςον τοῦ ἐνιαυτοῦ οἴκοι τε ἔμενον, καὶ ἄλλα τινὰ ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως. Harp.

c Πάραλος ἢ Σαλαμινία. αὗται ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι καὶ ταχυναυτοῦσαι· καὶ ἦσαν ὡς ἂν ὑπηρέτιδες ταχεῖαι οὖσαι, ἣ μὲν ὑπηρετοῦσα εἰς τὰ θεωρικά, ἣ δὲ εἰς τὰ δημόσια ⟨sch. A Av. 1204⟩. καὶ αὖθις "οἱ δὲ Ἀθηναῖοι πέμπουσι τὴν Πάραλον, καλοῦντες αὐτὸν ἐπὶ κρίσιν," τουτέςι τὸν Ἀλκιβιάδην.

παραλοῦμαι παροιμιακῶς· εἰώθεισαν γὰρ πρότερον ἐν τοῖς βαλανείοις οἱ πλούσιοι παραλούειν τοὺς πένητας. Ἀριςοφάνης Ἀναγύρῳ "ἀλλὰ πάντας χρὴ παραλοῦσθαι καὶ τοὺς σπόγγους ἐᾶν," οἷον συνεισιέναι τοῖς πλουσίοις, ὥςε μηδὲ σπόγγους φέρειν, ἀλλὰ τοῖς ἐκείνων χρῆσθαι.

παραλυπῶ αἰτιατικῇ.

παραλῦσαι ἀφελέσθαι· "βουλόμενος ἀναπαῦσαι καὶ κόπου παραλῦσαι τοὺς ἰδίους ςρατιώτας." καὶ αὖθις Σιμόκαττος "οἱ δὲ τῶν ὅπλων παραλυθέντες οὐκ εἶχον ὅ τι χρήσονται τοῖς θυμοῖς."

παραλύσας ἀντὶ τοῦ διαδεξάμενος· "παραλύσας αὐτὸν τῆς ἀρχῆς."

Παράλων. διῄρητο εἰς δ' μοίρας πάλαι ἡ Ἀττική· Πανδίων γὰρ διαδεξάμενος Κέκροπα, προσκτησάμενος δὲ καὶ τὴν Μεγαρίδα, ἔνειμε τὴν χώραν τοῖς παισὶν εἰς δ' μοίρας, Αἰγεῖ μὲν τὴν παρὰ τὸ ἄςυ μέχρι Πυθίου, Πάλλαντι δὲ τὴν παραλίαν, Λύκῳ δὲ τὴν διακρίαν, Νίσῳ δὲ τὴν Μεγαρίδα. Ἀριςοφάνης ⟨Lys. 58⟩ "ἀλλ' οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα."

παραμείψας παραλλάξας.

παραμελῶ γενικῇ.

παραμπυκίζεται ⟨A Lys. 1320⟩ παραπλέκεται τὰς τρίχας.

παραμυθῆσαι συμβουλεῦσαι. καὶ παραμυθήσασθαι ὡσαύτως.

παρανάλωμα· "ὁ Καρῖνος ··· παρανάλωμα τῆς τρυφῆς ἐποιεῖτο φόνους," τουτέςι προσθήκημα. cf. v. Καρῖνος.

παράνοια· ⟨A Nub. 844⟩ "πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω;" οἷον πρὸς τὸν πατέρα δικάσομαι, καὶ δείξας αὐτὸν μαινόμενον οὕτω τὴν μανίαν παύσω, εἰς τὸ δικαςήριον ἀγαγών.

παραπαίων παραφρονῶν, ληρῶν· "ἀγνοῶν καὶ παραπαίων ὁλοσχερῶς" ⟨Polybius⟩.

παράπαν καθόλου, παντελῶς· "καὶ μάλιςα παρορμηθῆναι φήσας πρὸς τὴν ἐπιβολὴν τῆς πραγματείας διὰ τὸ μηδέποτε τὴν Εὐρώπην ἐνηνοχέναι τοιοῦτον ἄνδρα παράπαν οἷον τὸν Ἀμύντου Φίλιππον" ⟨Polyb. 8 11⟩.

παραπεπληγμένα μανικά· ⟨A Eccl. 137⟩ "ὅσ' ἂν πράξωσιν, ὥσπερ μεθυόντων ἐςὶ παραπεπληγμένα."

παραπεπτωκώς ἀντὶ τοῦ ὑποπεπτωκώς Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου ⟨α 84⟩. Harp.

παραπέταλοι πετάλοις ἐσκεπασμέναι· "αἱ δὲ τριήρεις ἦσαν κόσμῳ διαπρεπεῖς, ἀργύρῳ τε τὰ ἔμβολα καὶ χρυσῷ τὰς πρύμνας παραπέταλοι."

παραπέτασμα παρακάλυμμα, παράπλωμα, τὸ λεγόμενον βῆλον.

παράπηγμα κανών. καὶ εἶδός τι ὀργάνου ἀςρονομικοῦ. "εἰ δὲ ἰδιωτικὸν παράπηγμα ἀψικάρδιον ἐθέλεις πρὸς τὸν θάνατον, εἴπω" (M. Anton. 9 3).

παραπικρασμός ἡ ἐν ἐρήμῳ πολλάκις γενομένη ἀντιλογία τῶν Ἰσραηλιτῶν. Theodoret. in Ps. 94 9.

παραπλαγιάσας πλασάμενος.

παραπλῆγας πέτρας (Hom. ε 418) παραλίας, πλησσομένας ὑπὸ τῆς θαλάσσης.

παραπλήκτῳ τῇ μανικῇ· Σοφοκλῆς (Ai. 229) "παραπλήκτῳ χερὶ συγκατακτάς." καὶ Αἰλιανός "ὃ δὲ οὐκ ἠνέσχετο παραληρεῖν αὐτόν, ἀλλὰ τὴν τῶν λόγων παραπλῆγα λύτταν κατεσίγασε· καὶ τῶν Διοσκούρων ἑνὸς τὸ ξίφος διῃρμένον τε καὶ ἐπανεςὸς ... καὶ πληγεὶς καιρίως ἐξέγρετο" (cf. v. Ἐπίκουρος d).

παραπλήξ μαινόμενος, παράφρων· Ἀριςοφάνης Πλούτῳ (242) "ἢν δ' εἰς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω, πόρναισι καὶ κύβοισι παραβεβλημένος." ὁ ἄφρων, ἀπὸ τῶν κρουμάτων τῶν διαπεπτωκότων τοῦ ἐναρμονίου λυρισμοῦ. ἢ ὁ μωρός· ἀληθῶς γὰρ ἡ ἀσωτία πεπληγμένη ἐςὶ διάνοια. καὶ αὖθις "παραπλῆγι ἐοικότα ἐνθένδε ἀπαλλαγῆναι" (Procop. Arc. 12).

παραπληξία μανία.

παραπόδας εὐθέως, ἢ ἐγγύς, ἢ πλησίον· (Polyb. 8 11) "μετὰ ταῦτα παραπόδας ἀκρατέςατον μὲν αὐτὸν δείκνυσι πρὸς γυναῖκας." καὶ αὖθις "παραπόδας οὐ συμμαχικῶς ἀλλὰ δεσποτικῶς χρῶνται." cf. v. καθικόμενα.

παραποδίζειν ἐμποδὼν γίνεσθαι· Πολύβιος (2 28) "βατώδεις ὄντας τοὺς τόπους ἐμπλέκεσθαι τοῖς ἐφάμμασι καὶ παραποδίζειν τὴν τῶν ὅπλων χρείαν."

a παραπολὺ παντελῶς· Θουκυδίδης ἐν α' (29) "καὶ ἐνίκησαν οἱ Κερκυραῖοι παραπολύ."

b παραπολὺ ἀντὶ τοῦ πάνυ, παντελῶς· Δέξιππος (p. 34 Nieb.) "παραπολὺ ἀπελείποντο τῶ πείθεσθαι τοῖς εἰσηγουμένοις ἡσυχίαν αἱρεῖσθαι." Ἀριςοφάνης Πλούτῳ (445) "δεινότατον ἔργον παραπολύ," ἀντὶ τοῦ πάνυ πολύ.

παραπρεσβεία τὸ ἔξω τῶν προσεταγμένων τι διαπράξασθαι· "ὁ δὲ βασιλεὺς ἐχαλέπαινεν οἷα εἰκός, καὶ παραπρεσβείας ἐκρίνετο Ἰωάννης ἅτε οὐ πρὸς τὸ συνοῖσον τῇ πολιτείᾳ διαπραξάμενος." καὶ αὖθις "οὗτος τὸν ἐμὸν ἀδελφὸν ἀπειλεῖ παραπρεσβείας αἱρήσειν καὶ διώξεσθαι." Menand. exc. leg. p. 379.

παρὰ προσδοκίαν, τουτέςι μετὰ μόχθου.

παραρρεῖ δοτικῇ.

παραρρητοῖς (Hom. Ι 526, Ν 726) παρηγορικοῖς λόγοις, παραμυθήμασιν, ὑποθήκαις. οἱ δὲ συμβουλαῖς.

παραρρύματα (Exod. 35 10) δέρεις, σκεπάσματα.

παραρρυῶμεν (Hebr. 2 1) παραπέσωμεν.

παρασάγγης εἶδος μέτρου Περσικοῦ, ὃ ἔςι λ' ςάδια. Ξενοφῶν (Cyr. 6 3 10) "ὁ δὲ Κῦρος, ὁπόσον, ἔφη, ἄπεςι τὸ ςράτευμα; οἱ δὲ ὡς β' παρασάγγας εἶπον."

παράσειρος ὁ ἀκόλουθος ἵππος.

παρασημαίνει δηλοῖ, χαράττει.

παράσημος ἀδόκιμος. καὶ παράσημον τὸ σεσημασμένον καὶ ὕποπτον· "καὶ παράσημον ἦν τὸ λεγόμενον, καὶ φυγὴν ἐδόκει δηλοῦν" (Theophyl. Sim. 2 15).

παράσημος ῥήτωρ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (242). ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινί, ὃ τὴν φαυλότητα δηλοῖ, ἢ ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται. Harp.

παράσιτος κόλαξ, τραπεζολοιχός, κοσσοτράπεζος. "βελονοπώλης. οὗτος δανειςὴς ἦν, παράσιτος Παμφίλου τοῦ δημαγωγοῦ" (sch. A Plut. 174).

παρασκευάζω αἰτιατικῇ.

παρασκευή· "ὃ δὲ ἐπεκλήθη κριτικὸς γραμματικός, οἷα γραμματικὴν ἔχων παρασκευήν." περὶ Ἑκαταίου φησί. cf. v. Ἑκαταῖος.

παρασκήνια. ἔοικε παρασκήνια καλεῖσθαι ὁ παρὰ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. ὁ δὲ Δίδυμος τὰς ἑκατέρωθεν τῆς ὀρχήςρας εἰσόδους οὕτω φησὶ καλεῖσθαι. Harp.

παρασπιςής παρεςὼς ὁπλίτης.

παρασπονδήσας παραβὰς τὰς σπονδάς.

παρασπονδοῦμαι παραβαίνομαι.

παρασαδόν ⟨Hom. Ο 22⟩ παρασατικῶς, κατὰ τρόπον, κατὰ τὸ δέον.

a **παράστασις** στάσις παρά τινα ἄτιμος. γίνεται δὲ ἐπὶ τῶν χρεωφειλετῶν.

b **παράστασις** ὁρμή, προθυμία· ⟨Diodor. t. 2 p. 629⟩ "καὶ παράστασις ψυχῆς πρὸς ἐλευθερίαν ἐνέπεσε τοῖς πλήθεσι, διὸ πρὸς ἀλλήλους ἐδεινοπάθουν." καὶ **παράστημα ψυχῆς**· ⟨Ioseph. B. I. 2 20 7⟩ "οἱ δὲ Ῥωμαῖοι δι' ἀλκὴν σώματος καὶ παράστημα ψυχῆς ὀλίγου δεῖν τῆς οἰκουμένης ἐκράτησαν."

c **παράστασις**. τοὔνομα πολὺ παρὰ τοῖς ῥήτορσιν, ἔστι δὲ δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας· Μένανδρος Μισογύνῃ "ἕλκει δὲ γραμματείδιον ἐκεῖσε δίθυρον καὶ παράστασις μία δραχμή." Ἀριστοτέλης δὲ ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων φησίν "εἰσὶ δὲ γραφαὶ πρὸς αὐτούς, ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν, καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητίας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ μοιχείας." Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς περὶ νομοθεσίας τοὺς διαιτητάς φησι λαχεῖν τὰς δραχμάς, μίαν μὲν ὑπὲρ τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν, ἑτέραν δὲ καθ' ὑπωμοσίαν ἑκάστην. Harp.

παραστάται οἱ ὁμόζυγοι τῶν λόχων πρωτοστάται καὶ ἐπιστάται, διὰ τὸ παρ' ἀλλήλοις ἵστασθαι.

παραστατεῖν τὸ συμμαχεῖν· Ἀριστοφάνης Πλούτῳ ⟨Th. 376⟩ "ὥσθ' ἡμῖν θεὸς παραστατεῖν καίπερ γυναιξὶν οὔσαις." καὶ **παραστάτης**· Ἀρριανός ⟨Ind. 24 6⟩ "πρόσταγμά σφισιν ἦν, ὅπως τις ἐκνηξάμενος σταίη, ἐν τῷ ὕδατι προσμένειν τὸν παραστάτην οἱ ἐσόμενον." καὶ Εὐνάπιος ⟨p. 102 Nieb.⟩ "πολὺ διεστῶτας ἀλλήλων χωρεῖν ἐκέλευεν, ὅπως μὴ δουποίη τὰ ὅπλα, μήτε τῷ παραστάτῃ θλιβόμενα μήτε τῷ φέροντι διὰ τὸν συνωθισμὸν περικτυπέμενα." καὶ ⟨Diodor. Sic. 20 11⟩ "παραστατικώτερον τὸν κίνδυνον ὑπέμειναν." "καὶ λαβόντες παράστασιν εἰς τοὺς οἰχομένους γενναίως ἀποθανεῖν" ἀντὶ τοῦ ὁρμήν, τόλμαν. καὶ ἐπίρρημα παραστατικῶς· "ὃ δὲ ἔγραφε πικρῶς καὶ παραστατικῶς, ἀλάστορας ἀποκαλῶν καὶ παλαμναίους διὰ τῆς ἐπιστολῆς" ⟨cf. v. ἀλάστωρ⟩. καὶ αὖθις ⟨Diodor. Sic. t. 2 p. 627⟩ "διελέχθη παραστατικῶς ἅμα καὶ παρρησιαζόμενος."

παρασταυροῦντες ὀρθὰ ξύλα πηγνύντες· "οἱ δὲ παρασταυροῦντες ξύλα τῇ ··· ὀλισθηρόν" ⟨cf. v. ἐμάλθαξαν⟩.

παραστησάμενος παραλαβών, ἑλών, καταστρεψάμενος.

παραστήσομαι ἐναντίον σου ἐνώπιόν σου στήσομαι. ⟨Ps. 5 5⟩ "τὸ πρωὶ παραστήσομαί σοι." τοῦτο δὲ ἁρμόδιον λέγειν τοῖς κατ' Ἠλίαν βεβιωκόσι καὶ παθῶν ὑπερανεστηκόσι.

παραστησώμεθα αὐτὸν εἰς κρίσιν, Πολιτείας η' ⟨p. 555 B⟩, ἀντὶ τοῦ καταστήσωμεν αὐτὸν εἰς κρίσιν. τὸ μὲν γὰρ ἔγκλημα ἀντωμοσία καλεῖται, ὁ δὲ ἐγκαλῶν γράψας εἰς πινακίδιον καὶ τὸ ὄνομα καὶ τὸ ἐπίσημον μεθ' ὑπηρέτου τῷ ἐγκαλουμένῳ ἐπιδίδωσι.

παραστιχίς. "Ἡρακλείδης ὁ Ποντικὸς εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς Σοφοκλέους, αἰσθόμενος δὲ ὁ Διονύσιος ἐμήνυσεν αὐτῷ τὸ γεγονός. τοῦ δὲ ἀρνουμένου καὶ ἀπιστοῦντος ἐπέστειλεν ἰδεῖν τὴν παραστιχίδα· καὶ εἶχε Πάγκαλος" ⟨Diog. L. 5 92⟩.

παραστορῶ ἐκτενῶ, ἀπὸ τῶν βυρσῶν· ⟨A Eq. 479⟩ "ἐγώ σε, νὴ τὸν Ἡρακλέα, παραστορῶ."

παρασύρω αἰτιατικῇ.

παρὰ σφᾶς ὅσον οὐκ ἐσπλεῖν, παρὰ Θουκυδίδῃ ⟨2 94⟩, ἀντὶ τοῦ σχεδόν, ὡς τὸ μόνον οὐχί.

παρὰ σφῇσι παρ' αὐταῖς. **παρὰ σφίσι** δέ, διὰ τοῦ ι, παρ' αὐτοῖς.

παρασχεδόν παραυτίκα.

παρασχηματίζειν· "τοὺς τοῦ βασιλέως στρατιώτας διέβαλε, φάσκων τούτους μὲν παρασχηματίζειν οὐδεμίαν ἀληθινὴν χρείαν παρεχομένους." τοῦ ἀληθοῦς παρατρέπεσθαι.

παρασχόν, ἐπίρρημα· "εἰ δέ γε παρασχὸν οὕτω κατάδηλος γένηται, δόξαι λέγειν ὡς παραγέγονε λέξων περὶ τῶν πρέσβεων."

παραταχθείς παρ' αὐτὸν ταχθείς.

παρατέθηγμαι ἠκόνημαι.

παρατεῖναι τὸ ἐπιτρῖψαι καὶ ἀπολέσαι. ὁ κωμικὸς ἐπὶ Εὐβοίας ⟨Nub. 213⟩ "οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέους."

παρατενεῖς ἀπολεῖς, ἐπὶ πλέον παρελκύσεις.

παρατέταμαι ἐξώγκωμαι· Ἀριστοφάνης ⟨Tagen.⟩ "ἅλις ἀφύης· παρατέταμαι γὰρ ἐσθίων." λέγεται καὶ ἑνικῶς ἡ ἀφύη.

Digitized by Google

παρατετολμηκότες ἑαυτῶν ἀφειδήσαντες· Πολύβιος "παρατετολμηκότες καὶ τελέως ἀπελπίσαντες τὴν σωτηρίαν."

παρὰ τὴν αὑτῶν φύσιν ἀντὶ τοῦ παραδόξως· "οἱ δὲ τύραννοι παρὰ τὴν αὑτῶν φύσιν ᾐδέσθησαν τὴν ἱέρειαν κακῷ τῳ περιβαλεῖν."

παρατηρημάτων ἐπιτηρήσεων, κληδονισμῶν καὶ ἀπαντήσεων καὶ οἰωνοσκοπιῶν καὶ μαντειῶν.

παρατηρῶ αἰτιατικῇ.

παρατίλλεται διασείεται, τὰς τρίχας τοῦ πρωκτοῦ διατίλλεται. αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς, ἀποραφανίδωσις καὶ παρατιλμοὶ τοῖς πένησιν· οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο, οἱ δὲ ἀποροῦντες, μὴ δυνάμενοι χρήμασι λυτροῦσθαι τὴν πυγήν, δημοσίᾳ ταῦτα ἔπασχον. Ἀριστοφάνης Πλούτῳ ⟨168⟩ "ὁ δ' ἁλοὺς γε μοιχὸς διὰ σέ που παρατίλλεται." καὶ αὖθις Ἀριστοφάνης ⟨Ach. 31⟩ "παρατίλλομαι." παρατίλλομαι δὲ ··· ἐπιγράφουσι ⟨cf. v. ἀπορῶ⟩.

παρὰ τὸ καθεστηκός, οἷον παρὰ τὸ νόμιμον, παρὰ τὸ πρέπον. sch. Thuc. 1 98.

παράτοπον εἰς κακὸν τόπον· "παράτοπον ὁρμίσαντες διὰ τὴν ἀπειρίαν, ἔστι δ' ὅτε καὶ διὰ τὰς ἀμπώτεις τῆς θαλάττης."

παρὰ τοσόνδε ἧκον ἀπορίας ὑπὸ τῶν κακοπραγιῶν ὥστε ἀπὸ κυνηγεσίων ἐτρέφοντο."

παρὰ τούτου ἀντὶ τοῦ ἀπὸ τούτου, καὶ παρὰ τοῦτον ἀντὶ τοῦ πρὸς τοῦτον. οὕτω πανταχοῦ Ἀρριανός.

παρατρέπω αἰτιατικῇ.

παρατρέχω αἰτιατικῇ.

παρατριβὴ λογομαχία, ἔρις· "τὴν γενομένην πρὸς αὐτὸν παρατριβὴν καὶ ζηλοτυπίαν."

παρατρύζει παραφωνεῖ. εἴληπται δὲ ἀπὸ τῶν ὀρνέων, ὅταν τοῖς οἰκείοις νεοττοῖς γοερὰ ἐπιφωνῶσι.

παρατρυφῶ δοτικῇ.

παρατυχὸν ἀντὶ τοῦ παρατυχόντος, ὡς καὶ ἐξὸν ἀντὶ τοῦ ἐξόντος. sch. Thuc. 1 76.

παραυδήσας παραμυθησάμενος. sch. Hom. ο 53.

πάραυλος ὁ ἐν ἀγροῖς. ἡ πάραυλος παρατεταμένη. ἢ ἐγγύς, παρὰ τὴν αὐλήν. ἢ θρηνητική, παρὰ τοὺς αὐλούς. Σοφοκλῆς ⟨Ai. 892⟩ "τίνος βοὴ πάραυλος ἐξέβη νάπους;"

παραυτόθεν αὐτίκα, ἀπὸ τοῦ παρόντος χρόνου. Ἀρριανός "παραυτόθεν ὡς ἔχομεν ἐπεξελθόντες, ἐν χερσὶ στήσασθαι τὸ τέλος τῆς μάχης."

παράφορος ὁ παρ' ἑαυτὸν καὶ ὑπὸ δαίμονος παραφερόμενος. "συνενθουσιῶντες αὐτοῖς καὶ τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ, τῇ κακίστῃ δαιμόνων, ἐκριπισθέντες ἀπολώλασι" ⟨cf. v. ῥιπίζεται⟩.

παραφρόνιμον παράφρονα, ἀνόητον, καὶ ἄπορον περὶ τὰ φρονήματα· ⟨S OR 691⟩ "ἴσθι δὲ παραφρόνιμον, ἄπορον ἐπὶ φρόνιμα πεφάνθαι μ' ἄν, εἴ σε νοσφίζομαι."

παραφρονῶ αἰτιατικῇ.

παραφρυκτωρεῖν τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, ὡς καὶ Δείναρχος ἐν οἰκείῳ λόγῳ ἐχρήσατο. Harp.

παραφρυκτωρευόμενος. οἱ κακουργοῦντες περὶ τὰς φυλακὰς καὶ φρυκτοὺς ἀνατείνοντες ἐναντίως τοῖς πεπιστευκόσι τὴν φυλακὴν καὶ ἐπὶ τῷ συμφέροντι τῶν ἀντικαθεζομένων παραφρυκτωρεύεσθαι λέγονται, ὥς φησι Λυσίας ⟨13 67⟩ "τούτων εἷς ὁ πρεσβύτερος ἐν Σικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις ληφθεὶς ὑπὸ Λαμάχου ἀπετυμπανίσθη."

παραφυλάσσω προσδοκῶ· Ἰώσηπος ⟨vitae suae p. 21⟩ "παραφυλάσσω γὰρ ἐν Χάλβῳ Πλάκιδον εἰς τὴν Γαλιλαίαν ἀναβῆναι δι' ἐννοίας ἔχοντα."

παραχαράκτης διαστροφεύς.

παραχορδιεῖς παράσημον ποιήσεις, μηδὲν παραφθέγξῃ, ἀλλ' ἃ δεῖ εἰπεῖν εἴπῃς· ⟨A Eccl. 300⟩ "σαυτῷ προσέχων, ὅπως μηδὲν παραχορδιεῖς ὧν δεῖ σ' ἀποδεῖξαι."

παραχορδίζειν διαφωνεῖν, ἁμαρτάνειν.

παραχρᾶται πολύ, σφοδρῶς συνουσιάζει, ἀκολάστως μίγνυται. εἴρηται δὲ καὶ περὶ ἑκάστου πράγματος ἐκ περιουσίας γενομένου. περὶ Ὠριγένους "σοὶ δὲ κακομηχανία εἰς αἰσχρότατον ἄνδρα ἐπενοήθη· Αἰθίοπα γὰρ αὐτῷ παρεσκεύασαν εἰς παράχρησιν τοῦ σώματος." cf. v. Ὠριγένης.

παραχρῆμα παραυτίκα, εὐθέως· "μηδὲν δὲ μηδὲ ἐκ τοῦ παραχρῆμα ἀποκριναμένων." ἢ ἀντὶ τοῦ ἐκ τοῦ παρατυχόντος· "καὶ ὡς ἐν τῷ παραχρῆμα ὥρμηντό τε ἐξιέναι καὶ ψηφίσματι τὴν στρατείαν ἐκύρωσαν, ὥρμηντό τε πᾶς ἐς τὴν ἐπιχείρησιν" Δέξιππός φησι ⟨p. 35 Nieb.⟩.

παρδακόν. A Pac. 1148.

παρδαλῆ παρδάλεως δορά· Ἀριστοφάνης (Av. 1250) "πέμψω πορφυρίωνας ὄρνεις ἐπ' αὐτὸν παρδαλᾶς ἐνημμένους." πάρδαλις τὸ ζῷον· Ὅμηρος (N 103) "θώων πορδαλίων τε λύκων τ' ἤια πέλονται," καὶ Ἀριςοφάνης (Lys. 1015) "οὐδέν ἐςι θηρίον γυναικὸς ἀμαχώτερον, οὐδὲ πῦρ, ἐδ' ὧδ' ἀναιδὴς ἐδεμία πόρδαλις."

παρέβαλεν ἐχθροὺς καὶ ἀλλοτρίες εἰργάσατο· "ὁ δὲ παρέβαλε τοὺς ἀνθρώπους τοῖς ὄχλοις, ὥςε μετὰ πάσης ὕβρεως συλληφθέντας ἀναχθῆναι δεδεμένες" (Polyb. 40 4).

παρεβάλετο ὥρμησεν, εἰσήλασε· "παρεβάλετο μάλα εὐκαρδίως ἐπ' αὐτὸν ὁρμήσας." ἢ ἀπροβούλως ἔκρινε.

παρεβέβλητο τροφή ἐδίδοτο· "ἄρτι γὰρ αὐτῇ παρεβέβλητο τροφή," τουτέςι τῇ καμήλῳ.

παρεγγεγραμμένος ὁ μὴ ἀςός.

παρέγγραπτον νόθον, καὶ παρεγγράπτους ξένους, νόθους.

παρεγγυᾷ παραδίδωσι, παραγγέλλει, παραινεῖ, παρακατατίθεται· Ξενοφῶν (Anab. 4 7 24) "βοώντων τῶν ςρατιωτῶν καὶ παρεγγυώντων, ἔνθα δὴ ἔθεον ἅπαντες." καὶ αὖθις (4 7 25) "ὅτεδὴ παρεγγυήσαντος οἱ ςρατιῶται φέρουσι λίθους καὶ ποιοῦσι κολωνὸν μέγαν. ἐνταῦθα ἀνετίθεσαν δερμάτων πλῆθος καὶ βακτηρίας καὶ γέρρα."

παρεγγυήσαντος παρασχόντος, καὶ παρενεγγύα παρήγγελλεν· "ὁ δὲ παρενεγγύα αὐτῷ Πέρσαις μὴ συμπλέκεσθαι."

παρεγγύησε καὶ παρεγγυηθέντος. παρεγγύησε μὲν ἀντὶ τοῦ παρέδωκεν Ἰσαῖος, παρεγγυηθέντος δὲ ἀντὶ τοῦ παραλαβόντος ὁ αὐτός. Harp.

πάρεδρος. Ἀριςοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ "λαμβάνεσι δὲ καὶ παρέδρες ὅ τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος, οὓς ἂν βούληται. καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαςηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύσωσιν." ἔςι δὲ ἡ λέξις συνήθης οὐ τοῖς ῥήτορσι μόνον ἀλλὰ καὶ τοῖς κωμικοῖς. Harp.

παρέδωκεν. ὁ ἀπόςολος λέγει (ad Rom. 1 28) "παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν," τουτέςι συνεχώρησε.

παρεθέντος ἐκλυθέντος, καὶ παρεθείς παραλυθείς. καὶ παρείθη ἐξελύθη, ἐχαυνώθη· "ὁ δὲ κινδύνοις ὁμιλήσας παρείθη τὸ σῶμα πᾶς, καὶ λυπηρῷ θανάτῳ τέλει παρεδόθη." καὶ παρείθησαν ἀντὶ τοῦ παρελύθησαν· Ἰώσηπος "οἱ δὲ πλήθει τῶν πολεμίων παρείθησαν τὰς δεξιάς." καὶ αὖθις (Diodor. t. 2 p. 624) "οἱ δὲ τῷ μὲν ὁλοσχερῶς φόβου παρείθησαν, περὶ δὲ τῶν κατὰ μέρος ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν."

πάρει ἐλήλυθας, παρεγένου· (A Av. 316) "τίνα λόγον ἄρα ποτὲ πρὸς ἐμέ, φίλ', ἔχων πάρει; κοινόν, ἀσφαλῆ, δίκαιον, ἡδύν, ὠφελήσιμον," ἀντὶ τοῦ κοινωφελῆ. ἀσφαλῆ, τετέςιν ἀληθῆ καὶ σφαλῆναι μὴ δυνάμενον.

παρειά γνάθος, καὶ μέρος τῆς νεώς.

παρεῖαι ὄφεις. ὀνομάζονταί τινες ὄφεις οὕτως παρὰ τὸ παρειὰς μείζους ἔχειν. ὁ δὲ Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου φησὶν "εἶναι δὲ τοὺς ῥήτορας ὁμοίες τοῖς ὄφεσι· τές τε γὰρ ὄφεις μισητὲς μὲν εἶναι πάντας, τῶν δὲ ὄφεων αὐτῶν τὲς μὲν ἔχεις τοὺς ἀνθρώπους ἀδικεῖν, τοὺς δὲ παρείας αὐτοὺς τοὺς ἔχεις κατεσθίειν." Harp.

παρείη· "ὁ δὲ --- ἵππον ἀνεβίβαζε." cf. v. ἀνέβαλλεν.

παρείθη παρελύθη· "εἶτα μέντοι τὰ δεξιὰ παρείθη μέρη." cf. v. λαμπαδεύεσθαι.

παρεικάθη. Plato Soph. p. 255 C.

παρείκοι ὑποχωροίη· (Dio Cass. 47 36) "πέμποντες ἱππέας ἐκδρόμους, ὅπῃ παρείκοι, τροφὰς ἐλάμβανον." ὅπου ἦν δυνατόν. καὶ αὖθις "σφοδρότατα σφᾶς ἐπιδιώκοιμεν, ὅπῃ παρείκοι." ὅπου ἐςὶ δυνατόν, ὅπου τρέποιτο ὁ πόλεμος. καὶ αὖθις (cf. v. ἀτάσθαλα) "ὁ δὲ Τραϊανὸς ἔγνω μάλιςα μέν, εἰ παρείκοι, ἐξελεῖν τὸ ἔθνος, εἰ δὲ μή, συντρίψας γε παῦσαι τῆς ἄγαν ἀτασθαλίας."

παρεικότος παραλελυμένου.

παρειμένον κεχαυνωμένον.

παρειμένος παρεωραμένος.

παρείμην συγχωρήσαιμι· Σοφοκλῆς (OC 1666) "οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν," τουτέςιν οὐκ ἂν συγχωρήσαιμι.

πάρειμι ὑπάρχω.

παρεῖναι τὸ παραγίνεσθαι καὶ ὑπάρχειν, παρῆναι δὲ κεντηθῆναι.

παρείπῃ παραπείσει.

παρειπών (Hom. Λ 792) παραινέσας.

παρείραντα παρεισβαλόντα· Πολύβιος (17 15) "οὔτ' ἐπιβαλέσθαι παρείραντα τὴν χεῖρα δυνατὸν ἅτε πυκνῶν οὐσῶν."

παρείρπυσεν εἰσῆλθεν. ὡς ἐπὶ ὄφεως δὲ εἰπεῖν, ἐπειδὴ τυφλὸς ἦν ὁ γλάμων. "πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσε" (A Eccl. 398).

a παρείς ἐάσας, ἀφείς.

b παρείς ἀμελήσας, ἐπικατακλίνας, ὀλιγωρήσας· "καὶ παρεὶς ἑαυτὸν ὑπὸ λύπης ἔκειτο." παρῆς δὲ ἀντὶ τοῦ ὑπῆρχες.

παρείσακτον ἀλλότριον.

παρεῖσαν εἴασαν, ἀφῆκαν.

παρεισελθεῖν τὸ μετ' ἄλλου ··· ὁ νόμος." cf. v. ἐλθεῖν.

παρείσθω συγχωρείσθω.

πάρεισιν αὐτῷ τέκνα.

παρεισκρίνει παρεισέρχεται, παρεισβάλλει.

παρεῖτε ·· παρῆτε δὲ παρεγίνεσθε.

παρεῖτο ἠμελεῖτο, παρῃτεῖτο· "τῶν μὲν ἐξ ἐμοῦ παίδων πόθος παρεῖτο." καὶ παρεῖτο διελύετο.

παρέκαστα ἑκάστοτε.

παρεκαττύετο ἐκ συλλογῆς ηὐτρέπιζεν, ἀπὸ τῶν καττυμάτων· καττύματα δὲ λέγονται οἱ μικροὶ ἱμάντες οἱ ἐρριμμένοι ἐπὶ τῆς κόπρου. λέγει οὖν, ἐκ μικρῶν καὶ πολλῶν τὴν στιβάδα ηὐτρεπίζομεν. Ἀριστοφάνης Πλούτῳ (663) "ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο."

παρεκβατικῶς συντόμως.

παρεκλέγω αἰτιατικῇ.

παρὲκ νόον (Hom. K 391, Y 133) ἀντὶ τοῦ παρ' ἐλπίδα· "παρὲκ νόον εἰλήλουθας."

παρεκότει ὠργίζετο.

παρεκρότουν παρώρμων, παρώτρυνον· "τούτους ἀθροίζοντες ἀλλήλους παρεκρότουν." cf. v. ἀθροίζει.

παρεκρούσατο (Gen. 31 7) ἐπλάνησε.

παρεκστῆναι παρεκτραπῆναι· "ὥστε καὶ τοὺς ἐν ··· ὑπερωδυνίᾳ." cf. v. ἀκληρόντων.

παρεκτός ἐπίρρημα.

παρέλαβε τὴν πόλιν, οὐ τὴν ἐπὶ τῶν προγόνων, ἀλλὰ γραῦν σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφῶσαν" (Demad. ap. Demetr. de eloc. 285).

παρελέξατο παρεκοιμήθη. ἐχρήσατο δὲ Ὅμηρος (Y 224) τούτῳ ἐπὶ ἵππου καταχρηστικῶς· ὁ γὰρ παρακλίνεται ἵππος, ἀλλ' ἐπαναβαίνει.

a παρελθεῖν τὸ αὐτίκα δηλοῖ παρὰ Θουκυδίδῃ. τὸ δὲ ἐπελθεῖν τὸ ἀναβαλλόμενον χρόνῳ τοῦτο διαπράξασθαι. sch. Thuc. 1 90.

παρελθεῖν ἀντὶ τοῦ νικῆσαι Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (7). Harp. b

παρελθών ἀντὶ τοῦ εἰσελθών.

παρέλκον περιττόν, ἢ παρατεῖνον.

παρέλκυσις ὑπέρθεσις.

παρελογίσασθε ἠπατήσατε.

παρέλυσαν ἀπήλλαξαν, μετέστησαν· Θουκυδίδης ζ' (16) "τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς."

παρεμβαλεῖ παρατάξεται.

παρεμβαλόντων κυκλωσάντων.

παρεμβολή παράταξις, καὶ παρεμβάλλειν παρατάσσεσθαι. a

παρεμβολή σκηνή, κάστρον, στρατόπεδον. b ἐπὶ τοῦ μεγάλου Ἀντωνίου κεῖται τὸ παρεμβολὴ ὄνομα.

παρεμβολὴ παρεντάξεως διαφέρει· c παρεμβολὴ μὲν γάρ ἐστιν ἡ τῶν ὁμοίων παρένθεσις, οἷον ὁπλιτῶν πρὸς ὁπλίτας ἢ ψιλῶν πρὸς ψιλούς, παρένταξις δὲ ἡ τῶν ἀνομοίων, οἷον ὁπλιτῶν πρὸς ψιλοὺς ἢ ψιλῶν πρὸς ὁπλίτας (Tact. ap. Montfauc. B. Coisl. p. 508). πάλιν παρεμβολὴ λέγεται ὅταν προτεταγμένων τινῶν εἰς τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶνται αὐτοῖς ἐπ' εὐθείας. Aelian. Tact. 31.

παρέμπτωσις προσθήκη φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν, οἷον ξένος ξεῖνος, ἔνατος εἴνατος.

παρεμφῆναι παραδεῖξαι, παρασημᾶναι.

παρενεγγύησε παρῄνεσε, συνεβούλευσε· "ταύτῃ τοι παρενεγγύησε δηλητηρίῳ φαρμάκῳ διαφθεῖραι αὐτούς."

παρενείρει παρεμβάλλει, ἤγουν λέγει.

παρένησαν· Θουκυδίδης (2 77) "ἐπιπαρένησαν καὶ τῆς ἄλλης ὕλης ὅσον ἐδύναντο."

παρενθέμενος παραλογισάμενος· "ὁ δὲ Ἀχάκιος παρενθέμενος τὰ τοῖς κανόσι διηγορευμένα καὶ τὸ θυσιαστήριον καταλαμβάνει καὶ τὰ ἐξ ἔθους ἱερεῦσιν ἐπιτελεῖ."

παρενθήκη προσθήκη.

παρενοχλῶ δοτικῇ.

παρέντες παραλυθέντες, ἀμελήσαντες· "τὼ χεῖρε καὶ τὰς πανοπλίας παρέντες."

παρέξ παρεκτός.

παρεξαγωγή.

παρεξειρεσίαν τὸ ἔξω τῶν ἐρεσσόντων ἐν δ' (12) Θουκυδίδης. Ἀρριανός "τῶν μὲν κωπῶν ἔστιν ἃς συνέτριψαν, καὶ τῆς παρεξειρεσίας τινὰ ἀπέθραυσαν."

παρεξειρεσίας παρὰ Θυκυδίδῃ (7 34) τὸ κατὰ πρῷραν πρὸ τῶν κωπῶν, ὡς ἂν εἴποι τις τὸ παρὲξ τῆς εἰρεσίας.

παρεξηυλημένον νοῦν, οἷον διεφθαρμένον καὶ ἀμυδρὸν ὑπὸ γήρως. μετενήνεκται δὲ ἀπὸ τῶν γλωσσίδων τῶν ἐν τοῖς αὐλοῖς· οἱ γὰρ κατατετριμμένοι ἐξηυλῆσθαι λέγονται. Ἀριστοφάνης (Ach. 681) "οὐδὲν ὄντας ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους." κωφὸς δὲ οἷον ἀφώνους. Ὅμηρος (Λ 390) "κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος."

παρεπίδημος. καὶ ὁ βίος ἡμῶν παρεπιδημία. Aeschin. Axioch. p. 365.

παρέπτη παρῆλθε.

παρέργως ὀλιγώρως. "οὐ μὴν οὐδὲ τὸ πάρεργον ἄξιον σιωπῆσαι καθάπερ ἀγαθοῦ τεχνίτου" περὶ τοῦ Σκιπίωνος λέγων ὁ Πολύβιος. καὶ αὖθις "ἔγνωσαν δὲ οἱ Λακεδαιμόνιοι μὴ πάρεργον ποιήσασθαι τὸν ἀπόστολον."

παρερπύσασα ἠρέμα εἰσελθοῦσα· "εἴσω παρερπύσασα πρὶν τὸν ἄνδρα με ἰδεῖν" (A Eccl. 533).

παρέρχεται ὑπερβάλλει.

πάρες ὑποχώρησον. A Vesp. 754.

πάρεσις νέκρωσις. Ἀππιανός (t. 1 p. 29) "οἱ δὲ Λατῖνοι ἐγκλήματα εἰς Ῥωμαίους ἐποιοῦντο τήν τε πάρεσιν αὐτῶν τὴν ἐπὶ σφᾶς ὄντας ἐνσπόνδους καὶ συγγενεῖς," τουτέστι τὴν ἀμέλειαν, τὴν καταφρόνησιν.

παρέση ἐγένετο, περιέσχε· "πανταχόθεν δὲ ὑπὸ τῶν πολεμίων περιεχόμενοι, δεινὴ παρέση πρὸς τὸ πλῆθος ἡ ἀμηχανία."

παρεστηκότες συνημμένοι, τεθαρρηκότες Ἀρριανός "οἱ δὲ ἐσκεδασμένοι καὶ οὐ παρεστηκότες ταῖς γνώμαις ἐς φυγὴν ἐτράπησαν."

παρεστηκότος προϋπάρχοντος, ἐνεστῶτος· (A Eq. 396) "ὁ δὲ πρὸς πᾶν ἀναιδεύεται, κοὐ μεθίστησι τοῦ χρώματος τοῦ παρεστηκότος."

παρεστηκὼς ἄνθρωπος τῇ διανοίᾳ, καὶ φιλοδοξῶν ἐν τῇ πρὸς αὐτὸν διαφθορᾷ."

παρεστήσαντο· "ἀμαχεὶ δὲ πλείστας τῆς Ἰταλίας παρεστήσαντο πόλεις." ἐπόρθησαν, εἷλον.

πάρεστιν ἐκ παντὸς δυνατόν ἐστιν.

παρέσφηλε (Hom. Θ 311) παρέφερε, καὶ παρεσφάλη ἀπερρύη.

παρετέον σιωπητέον, παραλειπτέον.

παρευδοκιμησάσης νικησάσης, ἤτοι εἰς δόξαν ὑπερβάσης.

παρευθύνει παραφέρει, βιάζεται.

παρευνηθείς παρακοιμηθείς.

παρευρημένως· "δικαιότατα καὶ παρευρημένως κρινόντων."

παρέχοντας· Ἡρόδοτος (9 17) "κρέσσον γὰρ ποιεῦντάς τι καὶ ἀμυνομένους τελευτῆσαι τὸν αἰῶνα ἤπερ παρέχοντας διαφθαρῆναι αἰσχίστῳ μόρῳ."

παρεωραμένος καὶ παρηωρημένος.

παρηβηκὼς γεγηρακώς.

παρηβῆσαι παρακμάσαι.

παρήγαγε παρήνεγκεν· (Dio Cass. 68 21) "ἐν τῷ δείπνῳ παῖδα αὐτοῦ ὀρχησάμενον βαρβαρικῶς παρήγαγε."

παρήγγελλον ἐτάσσοντο, συνηριθμοῦντο· Ἀππιανός (Pun. 75) "πᾶς τις αὐτῶν καὶ συμμάχων ὥρμα, καὶ ἐθελονταὶ παρήγγελλον εἰς τὸν κατάλογον."

παρηγορίας συμβουλῆς ἢ παρακλήσεως. καὶ ἐν ἐπιγράμμασι (AP 5 297) "παίγνιά τ' ἀμφιέπουσι παρήγορα, καὶ κατ' ἀγυιὰς πλάζονται."

παρήεισαν παρῆλθον.

παρηέρθη (Hom. Π 341). ἀπὸ τοῦ ἀείρω ἀερῶ ἤερκα ἤερμαι ἠέρθην, καὶ παρηέρθην.

παρήκαμεν ἐπέμψαμεν ἢ ἀφήκαμεν.

παρῆκον· "μὴ διὰ πάσης ἰέναι ἐξετάσεως, ἀλλὰ μετρίας κατὰ τὸ παρῆκον (an παρεῖκον) τῆς αὐτῶν προαιρέσεώς τε καὶ δυνάμεως."

παρήκοντα παρατείνοντα, ὡς διήκοντα ἐπεκτεινόμενα.

παρήλασεν ὑπερήλασεν, ἤτοι ἐνίκησε.

παρήλιος νεφέλη πεπυκνωμένη καθ' ὑπερβολὴν καὶ ἐναυγαζομένη ὑπὸ τοῦ ἡλίου.

παρήλλαξαν· "ἐπεὶ δὲ παρήλλαξαν τὴν ἐνέδραν, ἄφνω πάντες ἐπεφάνησαν," ἀντὶ τοῦ παρῆλθον.

παρῆν παρήμην, ἑνικῶς κατ' Ἀττικούς.

παρηνώχλουν.

παρήορος (Hom. Ψ 603) παρειμένος τὰς φρένας. καὶ παρήορος ἵππος (Π 471). καὶ παρηορίῃσι (Π 152) ταῖς ἔξω τοῦ ζυγοῦ ἡνίαις.

παρῃρηκὼς λαβών.

παρῄρηντο ἀφήρπαζον, ἀφῃροῦντο· "καὶ φρούρια δὲ αὐτῶν παρῄρηντο περὶ τοὺς αὐτοὺς καιρούς." καὶ "παρῃρεῖτο τῆς ἐξουσίας ὅσον μέρος αὐτῷ."

παρηρῆσθαι ἀφῃρῆσθαι· "ὃ δὲ ἐγεγήθει ἐπὶ τῷ παρηρῆσθαι αὐτοῖς τῇ διαλύσει τοῦ κρυςάλλου τὴν πεζὴν ἐπάνοδον."

παρήρηται παρατέτμηται.

παρήρτητο καὶ παρηρτημένος· "τῷ ξίφει, ὃ εἶχε παρηρτημένος," ἀντὶ τοῦ φορῶν, βαςάζων, "ἑαυτὸν διέφθειρε."

παρῆς ὑπῆρχες.

παρῆσαν ὑπῆρχον.

παρῆσθαι. καὶ παρῆςο παρεκαθέζετο.

παρήσω παράσχω.

παρῆτε παρεγένεσθε.

παρῃτεῖτο· "ἀποτίσειν τὰς βοῦς ὡμολόγει, καὶ κακῶς παρῃτεῖτο τὸ ἁμάρτημα." καὶ ἐπὶ τοῦ παρεκάλει· "οἳ δὲ παρῃτοῦντο τοὺς προμαχομένους μικρὸν ἀνασχεῖν."

παρητήσθω συγκεχωρήσθω.

παρθενεῖα προπερισπωμένως τὰ εἰς παρθένους ᾀδόμενα μέλη· Ἀριςοφάνης (Av. 916) "κύκλιά τε πολλὰ καὶ καλά, καὶ παρθενεῖα, καὶ κατὰ τὰ Σιμωνίδου," τυτέςι κατάτεχνα καὶ ποικίλα.

παρθένειος ὁ ἐκ παρθένου ἔτι δοκούσης εἶναι γεννηθείς. καὶ παρθένειον λέχος. παρθένιος δὲ ὁ ἐκ παρθένου γεννηθείς.

παρθενία ὁ καθαρὸς βίος. καὶ παρθένιον πέλαγος.

παρθένιοι οἱ γενόμενοι παρθένῳ πρὸ τοῦ γήμασθαι.

a Παρθένιος Ἡρακλείδου καὶ Εὐδώρας (Ἕρμιππος δὲ Τήθας φησί), Νικαεὺς ἢ Μυρλεανός, ἐλεγειοποιὸς καὶ μέτρων διαφόρων ποιητής. οὗτος ἐλήφθη ὑπὸ Κίννα λάφυρον, ὅτε Μιθριδάτην Ῥωμαῖοι κατεπολέμησαν· εἶτα ἠφείθη διὰ τὴν παίδευσιν, καὶ ἐβίω μέχρι Τιβερίου τοῦ Καίσαρος. ἔγραψε δὲ ἐλεγείας, Ἀφροδίτην, Ἀρήτης ἐπικήδειον τῆς γαμετῆς, Ἀρήτης ἐγκώμιον ἐν γʹ βιβλίοις, καὶ ἄλλα πολλά.

b Παρθένιος Χῖος ἐποποιός, υἱὸς Θέςορος· ὃς ἐπεκαλεῖτο Χάος, Ὁμήρου δὲ ἦν ἀπόγονος. ἐποίησεν εἰς Θέςορα τὸν ἑαυτοῦ πατέρα. οὗτος ἔγραψε καὶ περὶ μεταμορφώσεως. cf. v. Νέςωρ.

παρθένοι. τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτίμων· ἦσαν δὲ τὸν ἀριθμὸν ςʹ, πρεσβυτάτη μὲν Πρωτογένεια, δευτέρα δὲ Πανδώρα, τρίτη Πρόκρις, τετάρτη Κρέουσα, πέμπτη Ὠρείθυια, ἕκτη Χθονία. τούτων λέγεται Πρωτογένεια καὶ Πανδώρα δοῦναι ἑαυτὰς σφαγῆναι ὑπὲρ τῆς χώρας, ςρατιᾶς ἐλθούσης ἐκ Βοιωτίας. ἐσφαγιάσθησαν δὲ ἐν τῷ Ὑακίνθῳ καλουμένῳ πάγῳ, ὑπὲρ τῶν Σφενδονῶν· διὸ καὶ οὕτω καλῦνται παρθένοι Ὑακινθίδες, καθάπερ μαρτυρεῖ Φανόδημος ἐν τῇ εʹ Ἀτθίδι, μεμνημένος τῆς τιμῆς αὐτῶν, καὶ Φρύνιχος Μονοτρόπῳ.

··· ὑπὸ δὲ Ἀθηναίων Ἐρεχθέως θυγατέρες. παρὰ δὲ Γοργίᾳ παρθένος ἐπὶ παντὸς ἀμετόχυ τέτακται. καλοῦνται δὲ ἐκ μεταλήψεως καὶ ἄφθοροι.

παρθενοπίπας (Hom. Λ 385) ὁ τὰς παρθένους ἀπατῶν ἢ ἐπιτηρῶν.

παρθενῶνος τοῦ τῶν παρθένων χορῦ.

Πάρθη. ἐν ἐπιγράμμασιν (AP 6 54) "ἦν γὰρ ἀγὼν φόρμιγγος· ὃ δ' ἀντίος ἵςατο Πάρθης."

Πάρθοι Περσικῇ γλώσσῃ Σκύθαι, οὓς κατῴκισε Σέσωςρις ὁ τῶν Αἰγυπτίων βασιλεύς, ὑποτάξας Ἀσσυρίους.

Παρθυαῖος ἀπὸ τόπου Παφλαγονίας.

Παρθυηνὴ πόλις.

Παρία λίθος. θηλυκῶς ἡ λίθος· Αἰλιανός "καὶ μέντοι καὶ Παρίας λίθου ἅρμα ἀνακείμενον Διονύσῳ, ποίημα θαυμαςόν, ἀνείλετο θεοσυλήσας."

Παρίας λίθου· Αἰλιανός "δείκνυται καὶ νῦν ··· αὐτὴ λίθου" (cf. v. Θεόπομπος).

παριδόντες καταμελήσαντες.

παρίεμαι παραιτοῦμαι.

παριεμένους παρερχομένους.

παριέναι συγχωρεῖν, ἀφιέναι (Polyb. 5 7) "οἳ δὲ διεμαρτύροντο τὸν Φίλιππον μὴ παριέναι τὸν καιρὸν μηδὲ καταμέλλειν."

παρίεται παραλύεται.

παρίημι συγχωρῶ· "εἴ τις ἐπελθὼν ὑμῶν εἰς τὴν παρεμβολὴν τολμήσει, παρίημι λέγειν ἐς τὴν πατρίδα."

παρίλια ἑορτή.

Πάριον ὄνομα ἀγροῦ, ἀπὸ Πάριδος τῦ καὶ Ἀλεξάνδρυ κληθέν· ἐκεῖσε γὰρ ἔπεμψεν αὐτὸν Πρίαμος ὁ πατὴρ τρέφεσθαι, τὸ πρὶν δὲ ἐκαλεῖτο Ἄμανδρος ὁ τόπος. ἐκεῖ τε διατρίψας Ἀλέξανδρος τοὺς λʹ ἐνιαυτούς, φύσεώς τε δεξιᾶς τετυχηκώς, πᾶσαν ἐπαιδεύθη σοφίαν Ἑλληνικήν. ἐξέθετο δὲ καὶ λόγον εἰς ἐγκώμιον τῆς Ἀφροδίτης, λέγων μείζονα αὐτὴν εἶναι τῆς Ἀθηνᾶς καὶ τῆς Ἥρας· τὴν

γὰρ Ἀφροδίτην τὴν ἐπιθυμίαν εἶπεν, ἐξ ἧς τίκτεται πάντα τὰ κακὰ ἀνθρώποις. ἐντεῦθεν φέρεται μῦθος ὅτι ὁ Πάρις ἔκρινε μεταξὺ Παλλάδος καὶ Ἥρας καὶ Ἀφροδίτης, καὶ τῇ Ἀφροδίτῃ δέδωκε τὸ μῆλον, ὃ ἐςι τὴν νίκην. εἶπε δὲ καὶ ὕμνον εἰς αὐτὴν τὸν λεγόμενον Κεςόν. ταύτην γράφεσι τὴν αἰτίαν γενέσθαι τοῦ πολέμου· συντελεσθέντων γὰρ τῶν λ' ἐνιαυτῶν μεταςειλάμενος τἔτον ὁ πατὴρ ἔπεμψεν εἰς θυσίας, ὃς ἐλθὼν ἐν τῇ Σπάρτῃ καὶ εὑρὼν τὴν Ἑλένην ἥρπασεν αὐτήν. cf. Malalas.

παριππεύει ἀντὶ τοῦ ἀφίησιν αὐτοὺς καὶ ἄλλῃ ἀπέρχεται ἢ ὁδεύει.

παριππεύσαντες παραδραμόντες.

παρ' ἵππον καὶ κόρην τόπος Ἀθήνησιν οὕτω καλούμενος, ἐπειδή τις τοῦ γένους τῶν Κοδριδῶν, Ἱππομένης τοὔνομα, ὃς καὶ τελευταῖος ἐβασίλευσε, τὴν θυγατέρα καθεῖρξεν ἐν χωρίῳ τινὶ μεθ' ἵππου μαινομένου, διότι λαθραίᾳ μίξει τὴν παρθενίαν αὐτῆς ἐλυμήνατο. καὶ ὁ ἵππος τὴν κόρην βορὰν ἐποιήσατο. ἀφ' οὗ παρ' ἵππον καὶ κόρην ὁ τόπος, ἐν ᾧ τὸ πάθος ὑπέςη, καλεῖται. cf. v. Ἱππομένης.

παρίσθμια τὰ περὶ τὴν φάρυγγα.

παρίςασαι καταδουλοῖς καὶ ὑποχείριον ποιεῖς. ἢ ἀντὶ τοῦ μεθίςασαι. Σοφοκλῆς (OC 916) "ἄγεις θ' ἃ χρῄζεις, καὶ παρίςασαι βίᾳ· καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ ἔδοξας εἶναι." εἰώθεισαν δὲ οὕτω λέγειν. καὶ ἀντὶ τοῦ ἐφυγάδευσαν ἡμεῖς μὲν ἂν εἴποιμεν μετεςήσαντο, οἱ δὲ παρεςήσαντο.

παρίςασθαι· Ἀρριανός (Anab. 4 22) "ὁ δὲ Ἀλέξανδρος προσέταξε τὰ κατὰ τὴν ὁδὸν χωρία ἢ βίᾳ ἐξαιρεῖν ἢ ὁμολογίᾳ παρίςασθαι." καὶ Δαμάσκιος "οὐ γὰρ προΐετο τὰ χρήματα ῥᾳδίως, οὐδὲ πρόχειρος ἦν καταφρονεῖν χρημάτων δικαίως ὀφειλομένων, ἀλλὰ παρίςατο, καὶ ἐπεξῄει τοῖς ἀποςεροῦσι μέχρι καὶ δικαςῶν ἀγοραίων."

παρίτω ἐλθέτω.

πάρμαι δερμάτινοι θυρεοὶ παρὰ Καρχηδονίοις.

Παρμενίδης Πύρητος Ἐλεάτης φιλόσοφος, μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου, ὡς δὲ Θεόφραςος, Ἀναξιμάνδρου τοῦ Μιλησίου. αὐτοῦ δὲ διάδοχοι ἐγένοντο Ἐμπεδοκλῆς τε ὁ καὶ φιλόσοφος καὶ ἰατρὸς καὶ Ζήνων ὁ Ἐλεάτης. ἔγραψε δὲ φυσιολογίαν δι' ἐπῶν καὶ ἄλλα τινὰ καταλογάδην, ὧν μέμνηται Πλάτων (Parmen. p. 128 A).

Παρμενίωνος ὄνομα κύριον.

πάρμη· (Polyb. 29 6) "τῇ δυνάμει τῆς πάρμης καὶ τῶν Λιβυςικῶν θυρεῶν ἀντεῖχον ἐρρωμένως οἱ Ῥωμαῖοι."

Παρμισσός ὄνομα πόλεως.

Παρνάσσιοι ἀντὶ τοῦ μεγάλοι· Πάρνης γὰρ ὄρος τῆς Ἀττικῆς, χορηγίαν ἔχον πολλῶν ξύλων. ὡς ἀπὸ Παρνασσοῦ τὴν λέξιν παρήγαγε, δηλῶν τοὺς ἱερούς· ὁ γὰρ Παρνασσὸς ὄρος Φωκίδος ἐςὶν ἱερὸν Ἀπόλλωνος καὶ Διονύσου. τιθέασι δὲ καὶ ἐπὶ τἔ μεγάλου τὸ Παρνασσός· Ἀριςοφάνης Ἀχαρνεῦσιν (347) "ὀλίγου τ' ἀπέθανον ἄνθρακες Παρνάσσιοι."

Πάρνης ὄρος τῆς Ἀττικῆς, θηλυκῶς. a

Πάρνης Πάρνηθος ὄνομα ὄρους. καὶ b οὐδετέρως Παρνήθιον ὄρος.

Παρνησός πόλις.

πάρνοψ ἀκρίδος εἶδος, οἱ δὲ μελίσσας ἀγρίας. καὶ κλίνεται πάρνοπος. οἱ δὲ κόρνωπας. Ἀριστοφάνης (Vesp. 1351) "ὁ δ' ἀνακραγὼν ἀντείκασεν αὐτὸν πάρνοπι τὰ θρῖα τοῦ τρίβωνος ἀποβεβληκότι." καὶ αὖθις (Ach. 150) "ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται." τὸ πλῆθος σημαίνει τῆς ςρατιᾶς.

παρό διό.

παροδεία ἡ παρέλευσις.

πάροδος εἴσοδος· "ὁ δὲ δευτεραῖος ἀφίκετο, οὐ μὴν παραυτίκα γε παρόδε ἔτυχεν, ὡς καὶ αὐτῇ τῇ τριβῇ ἐνδείξαιτο Ῥωμαίοις ὁ βάρβαρος οὐχὶ ἐπιθυμοῦντι τὰ τῆς πρεσβείας γενόμενα ἄν." a

πάροδος ἡ ἄφιξις, ἡ εἴσοδος. "οἱ δὲ πεμφθέντες παρόδου ἐς τὴν πόλιν οὐκ ἔτυχον ὑςερήσαντες" Πρίσκος φησί (p. 215?). b

παροικία ἡ παροῦσα ζωή· Δαβίδ "ὅτι πάροικος ἐγὼ καὶ παρεπίδημος." Theodoret. in Ps. 54 16.

παροιμία. τί ἐςι παροιμία; λόγος ὠφέλιμος. καταχρηςικῶς δὲ πᾶν παροδικὸν διήγημα· οἶμος γὰρ ἡ ὁδός. ἢ παροιμία ἐςὶ λόγος ἀπόκρυφος δι' ἑτέρου προδήλου σημαινόμενος.

παροινίας ὕβρεις.

παροινικώτατος· (A Vesp. 1290) "καὶ γὰρ ἦν τῶν ξυνόντων πολὺ παροινικώτατος· καίτοι παρῆν Ἱππόλυτος Ἀντιφῶν Λύκων Λυσίςρατος Θούφραςος, οἱ περὶ Φρύνιχον.

τύτων ἁπάντων ἦν ὑβριςότατος μακρῷ. εὐθὺς γὰρ ὡς ἐπέπλητο πολλῶν κἀγαθῶν, ἐνήλατ' ἐσκίρτα ἐπέρδει κατεγέλα."

παροίνιος ὁ μέθυσος καὶ ὑβριςής.

πάροινος μέθυσος. Ἀριςοφάνης (Ach. 976) "οὐδέποτ' ἐγὼ τοῦτον εἰσδέξομαι· οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται, ὅτι πάροινος ἀνὴρ ἔφυ." ἐν ταῖς τῶν πότων συνόδοις ᾖδον μέλος τι Ἁρμόδιον καλούμενον, οὗ ἡ ἀρχή "φίλταθ' Ἁρμόδι', οὔτι που τέθνηκας." ᾖδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριςογείτονα ὡς καθῃρηκότας τὴν τοῦ Πεισιςράτου τυραννίδα. ἦν δὲ καὶ ἕτερα μέλη, τὸ μὲν Ἀδμήτου λεγόμενον τὸ δὲ Λάμπωνος. ὁ δὲ νοῦς· οὐδέποτε παρ' ἐμοὶ ἐςιαθήσεται, ὅτι παροίνιος, οἷον μέθυσος καὶ ὑβριςής.

παροισθέντι παρενεχθέντι.

παροιςρῶσα (Hos. 4 17) ἐξεςηκυῖα, ἐρεθίζουσα.

παροιςρῶσι παρακαθίσωσι θυμῷ.

παροίτεροι, ἀντὶ τοῦ τοπικοῦ, πρότεροι κατὰ τὸν δρόμον. sch. Ven. Ψ 459.

παροκλάζων γονατίζων.

παροκωχή παροχὴ παρὰ Θουκυδίδῃ (6 85), ὡς ἡ ἀνοκωχὴ καὶ διοκωχή.

παρολίγον τῷ βίῳ ἐκινδύνευε. σύνταξις.

παρολκή ὑπέρθεσις.

παρομαρτεῖ παρακολουθεῖ.

παρόν ἐξόν, δυνατόν, δέον· "διὸ καὶ παρὸν κωλύειν, ὑποπιμπράντες." καὶ αὖθις (Procop. Goth. 2 29) "ὁ δὲ ἤσχαλλεν, ἐν συμφορᾷ μεγάλῃ ποιούμενος εἰ μή τις αὐτὸν ἐῴη, παρὸν οὐδενὶ πόνῳ τὸ κράτος τοῦ πολέμου παντὸς φέρεσθαι."

παρ' ὁντινοῦν παρὰ πάντα.

παροξύνω αἰτιατικῇ.

παροπλίσας· "τετρακισχιλίους παροπλίσας γεωργεῖν ἐπέταξε, χώραν ἀποδοὺς αὐτοῖς," ἀντὶ τοῦ τὰ ὅπλα ἀφελόμενος. καὶ αὖθις "τοὺς Ἰσόμβρους πάλιν παροπλίσας ἀλύσει δεδεμένους εἰς Ῥωμανίαν ἀπέςειλεν."

παρορᾶσθαι· "εἰκότως ἐδόκυν οἱ Καρχηδόνιοι παρορᾶσθαι τὴν τῶν ὅπλων παράδοσιν," ὑποτοπεῖσθαι, ὑφορᾶσθαι.

παροργίζω αἰτιατικῇ.

παρόρειον τὸ πλησίον τοῦ ὄρους.

παρορχῆσαι· Ἀππιανός (t.1 p.91) "εὐθὺς ἠρέθιζον τοὺς Βρεττανοὺς παρορχῆσαι, ἔγκλημα ἔχοντας ὅτι σπονδῶν σφίσι γενομένων ἔτι παρῆν τὸ ςρατόπεδον."

παρορμᾷ διεγείρει, παροξύνει.

πάρος, χρονικῶς καὶ τοπικῶς, ἀντὶ τοῦ ἔμπροσθεν.

παρ' ὅσον ἀντὶ τοῦ ἐπὶ πολύ· "τὰ σημεῖα τοῦ κάλλους ἰδὼν λυμαινόμενα ὠλοφύρετο, καὶ κατεσκεύαζε τὴν μεταβολήν, παρ' ὅσον γένοιτο."

παρ' οὐδὲν εὔκολον, εἰς οὐδέν.

παρ' οὐδὲν θέμενος τοῦτο, ἀντὶ τοῦ καταφρονήσας, παραλογισάμενος· "τὰς σπονδὰς πατήσας καὶ τοὺς ὅρκους παρ' οὐδὲν θέμενος Ἀλέξανδρος Πελοπίδαν καθείρξας ἐφρούρει."

παρουσία ἀντὶ τοῦ περιουσία, ἤτοι ἡ αἰτία τοῦ πλούτυ οὐσία. Δημοσθένης ἐν τῷ περὶ συντάξεώς φησι. καὶ Κράτης "ἔχοντες εὐπαθῆ βίον παρυσίαν τε χρημάτων." Harp.

παρουσία. λέγεται οὕτως ἐπὶ τῆς τῶν παρόντων δαψιλείας, ὡς καὶ ἐν τῷ Πλάτωνος Φαίωνι "ὡς καὶ νῦν ἔχομεν παρουσίας." καὶ πολύ ἐςιν ἐπὶ τούτου παρ' αὐτοῖς. καὶ ἐπὶ τῦ παρεῖναι δὲ τάσσεται, ὡς καὶ ἐν τοῖς Νίπτροις Σοφοκλέους "τὴν παρουσίαν τῶν ἐγγὺς ὄντων." Θουκυδίδης ἐν τῷ α' (128) "Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρυσίᾳ" τούτῳ γὰρ τὸ ἐναντίον σημαίνει ἡ ἀπουσία.

παροχετεύει παραπλαγιάζει. ἢ ἀπὸ ἑτέρου ὑδρηγοῦ εἰς ἕτερον ἐπιβάλλει ἢ μεταφέρει τὸ ὕδωρ. καὶ παροχετεύοντες μεταφέροντες.

παροχλίζουσι μετακινοῦσι.

πάροχος ὁ ἀναβαίνων εἰς τὸ ἅρμα ἢ τὸ ζεῦγος. πάροχοι λέγονται καὶ οἱ παράνυμφοι, παρὰ τὸ παροχεῖσθαι τοῖς νυμφίοις· ἐπ' ὀχήματος γὰρ τὰς νύμφας ἦγον. Ἀριςοφάνης Ὄρνισιν (1720) "ὁ δ' ἀμφιθαλὴς Ἔρως χρυσόπτερος ἡνίας εὔθυνε παλιντόνους, Ζηνὸς πάροχος γάμων."

παροψίδας σκεύη ὑπηρετικὰ τραπέζης.

παροψίς ἐμβάφιον, ὀξυβάφιον.

παροψωνοῦσι λάθρᾳ ὀψωνοῦσι. καὶ Πισίδης (c. Sev. 620) "εἰ μὴ κακουργεῖς, καὶ παροψωνεῖν θέλεις ἐκ τῶν χεόντων τὰς δυσώδεις ἀντλίας."

παρπόδα εὐθύς, παραυτίκα· "εἰ δὲ δὴ σε παρπόδα μὴ τιμωρὸς ἐτίσατο, δὶς τόσον αὖθις ἔσσεται ἐν πλεόνεσσι παλίντροπος."

Παρράσιος. ὅτι μὲν ζωγράφος οὗτος

δῆλον, φασὶ δὲ αὐτὸν υἱὸν εἶναι καὶ μαθητὴν Εὐήνορος, Ἐφέσιον δὲ τὸ γένος.

παρρησία ἐξουσία, ἄδεια· ⟨Theophyl. Sim. 5 1⟩ "οἱ δὲ τῇ μαχαίρᾳ τὴν παρρησίαν ἐδίδοσαν." οἱ ῥήτορες τῇ παρρησίᾳ κατεχρήσαντο ἐπὶ τῶν ὀνειδίζειν μελλόντων τοὺς ἀκούοντας, ὅταν οἱ διαλεγόμενοι τῶν οὐ δεόντως ποτὲ πεπραγμένων μνημονεύωσιν, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχȣ ⟨172⟩ "Νικόδημος δὲ ὑπὸ Ἀριϛαγόρου τετελεύτηκε βιαίῳ θανάτῳ, ἐκκοπεὶς ὁ δείλαιος ἀμφοτέρους τοὺς ὀφθαλμοὺς καὶ τὴν γλῶτταν ἐκτμηθείς, ᾗ ἐπαρρησιάζετο πιϛεύων τοῖς νόμοις." καὶ ἐν τῷ περὶ παραπρεσβείας ⟨70⟩ "προῄρημαι δὲ παρρησιάσασθαι καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σώζεσθαι."

παρρησίας ἀντὶ τοῦ βλασφημίας καὶ λοιδορίας Ἰσοκράτης Βουσίριδι ⟨40⟩.

Παρσώνδης ὄνομα κύριον.

Παρύσατις εἶδος παροιμίας. καὶ ὄνομα κύριον, ἡ μήτηρ τοῦ Κύρου.

παρυφὴ ἡ ἐν ἐσθῆτι ἐργασία.

παρυφῶς.

παρῶ ἀφῶ, συγχωρῶ.

παρῳδούμενος λεγόμενος. καὶ παρῳδία. οὕτω λέγεται ὅταν ἐκ τραγῳδίας μετενεχθῇ λόγος εἰς κωμῳδίαν, οἷόν ἐϛι τὸ "ἄξιον γὰρ Ἑλλάδι" παρ' Εὐριπίδῃ καὶ παρ' Ἀριϛοφάνει ⟨Ach. 8⟩ εἰρημένον. καὶ αὖθις "κατὰ δή τινα πρόφασιν ἀσθέντα καὶ παρῳδηθέντα ἡ περὶ ταῦτα μουσομανία τοῖς ἄϛροις ἐπέψαυε" Προκόπιός φησι ⟨cf. v. μουσομανία⟩. καὶ παρῳδήκει ἄλλην ᾖσεν ᾠδήν. ἢ παρῳδήκει ἀντὶ τοῦ ὠγκώθη.

παρωθοῦντες ἐκβάλλοντες.

παρὼν ἀποδημεῖ, ἐπὶ τῶν αἴσθησιν ἑαυτοῖς μηδεμίαν παρεχόντων· Ἀριϛοφάνης ⟨Eq. 1124⟩ "ὁ νοῦς δέ σȣ παρὼν ἀποδημεῖ."

παρῶναι εἴδη πλοίων. "ὃ δὲ ἔπλει παρόπλους ποιησάμενος τοὺς Σιδητῶν παρῶνας· ἦκον γὰρ Ῥοδίοις εἰς συμμαχίαν."

Παρώνεια τόπος.

παρῳνήθη· "τοῦτο μὲν ἐπὶ τοσοῦτον παρῳνήθη," ἀντὶ τοῦ μετὰ μέθης ἐλέχθη, μετὰ μανίας. καὶ πάροινος ὁ μέθυσος καὶ ὑβριϛής.

παρῴνησεν ἀτάκτως ἐξύβρισεν· ⟨Aelianus?⟩ "Καμβύσης ὁ Κύρου παρῴνησεν εἰς τοὺς Αἰγυπτίȣς θεούς, καὶ ἐξεμάνη, καὶ τὸν ἑαυτȣ̃ μηρὸν ἔτρωσε, καὶ σφακελίσαντος ἐνόσησε καὶ πικρότατα τὸν βίον κατέϛρεψεν, ὥς φησιν Ἡρόδοτος." "καὶ ταῦτα μὲν παρῴνησαν βαρβάρως ἐνθουσιάσαντές τε ἅμα καὶ λυττήσαντες. ἔτισαν οὖν δίκας οὐ μεμπτάς· ἑάλω γὰρ αὐτοῖς ἡ πόλις." καὶ αὖθις "ὃ δὲ καὶ ἐν ταῖς τοῦ Διὸς θυγατράσι παρῴνησε τό γε αὐτοῦ."

παρώνυμον ἐκ τοῦ συμβεβηκότος λεγόμενον.

παρώπια καὶ ἀντήλια τὰ παρὰ τὰς ὄψεις τῶν ἵππων δερμάτια.

παρῶπτο παρεώρατο.

παρώρεια.

παρώσας ⟨S Trach. 358⟩ παρεκβαλών.

παρώτρυναν παρώξυναν.

παρῴχετο παρῄρχετο.

παρῳχήκει παρῆλθε.

πᾶς. περισπᾶται, διότι ἐνομίζετο εἶναι μετοχή, ὡς ϛάς βάς. ἵνα οὖν φύγῃ τὴν ὑπόνοιαν, περιεσπάσθη.

πᾶσα γῆ πατρίς παροιμιακόν.

πᾶσαι δ' ὠϊγνυντο πύλαι παρ' Ὁμήρῳ ⟨B 809⟩ ἀντὶ τȣ̃ ὅλαι· μία γὰρ ἦν.

πασάμενοι γευσάμενοι, καὶ πάσασθαι γεύσασθαι. οὐχὶ ἐπὶ τοῦ πληρωθῆναι ἀλλ' ἐπὶ τοῦ ἀπογεύσασθαι παρ' Ὁμήρῳ· οἱ δὲ νεώτεροι καὶ ἐπὶ τοῦ πληρωθῆναι. καὶ ἄπαϛος ὁ ἄγευϛος.

πάσῃ μηχανῇ ⟨A Lys. 300⟩ ἀντὶ τοῦ ἐκ παντὸς τρόπου.

Πάσης ὄνομα κύριον. καὶ παροιμία "τὸ Πάσητος ἡμιωβόλιον." ὁ δὲ Πάσης οὗτος μαλακὸς ἦν τὴν φύσιν, πάντας δὲ ἀνθρώπȣς ἐν μαγείᾳ διενήνοχεν, ὥϛε ἐκ τῶν ἐπαοιδῶν αὐτȣ̃ καὶ δεῖπνα πολυτελῆ ὁρᾶσθαι καὶ διακονουμένους τινάς, καὶ πάλιν ἀφανῆ πάντα γίνεσθαι. εἶχε δὲ καὶ ἡμιωβόλιον ἐκ μιᾶς αὐτῷ πεποιημένον, ὃ διαδιδόμενον ὑπ' αὐτȣ̃ τοῖς πιπράσκουσι παρ' ὧν ἤθελεν ὠνεῖσθαι, εἰ ἠβούλετο, πάλιν παρ' αὐτῷ ηὑρίσκετο. καὶ Ἀπίων δὲ ὁ γραμματικὸς μνημονεύει αὐτȣ̃ ἐν τῷ περὶ μάγου.

πάσῃ τέχνῃ ἐκ παντὸς τρόπου· Ἀριϛοφάνης Λυσιϛράτῃ ⟨413⟩ "σὺ δ' ἢν σχολάσῃς, πάσῃ τέχνῃ πρὸς ἑσπέραν ἐλθὼν ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον."

Πασίας· Ἀριστοφάνης Νεφέλαις [illegible] "ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασί[illegible]

Πασιθέη ὄνομα θεᾶς. [illegible] 270

Πασῖνος ὄνομα κύρι[illegible]

Πασιφάη ὄνομα θεᾶς.

Πασίωνος ὄνομα τραπεζίτου. Harp.

πασσαγίην πανοπλίαν (sch. A Ach. 573). "εἷλε δὲ πασσαγίην, τόδε δ' ἔννεπε."

πάσσαλος.

πασσυδεὶ παντελῶς· Θουκυδίδης (8 1) "εἰ μὴ οὕτως τε πασσυδεὶ διεφθάρθαι." ὅπερ ἀγνοήσαντές τινες γράφουσι πανσυδί. ἔςι καὶ ἐν Αὐτομόλοις Φερεκράτους.

πασσυδίῃ μετὰ πάσης ὁρμῆς, πανςρατιᾷ, ὁμοθυμαδόν.

παςείλη ἡ ἐσχάτη ἡμέρα τοῦ ἐνιαυτοῦ, παςίλη δὲ τὸ ξύσμα τοῦ δέρματος. cf. v. σπατίλη.

παςοφορεῖον τὸ φέρον τὸν παςόν.

πάσχειν. ὅτι ἡ ἀλλοίωσις καὶ ὅλως τὸ πάσχειν διττόν, τὸ μὲν ἐπὶ φθορὰν ἄγον, τὸ δὲ εἰς τελείωσιν. πάσχει γὰρ καὶ ὁ μαθητὴς ὑπὸ τοῦ διδασκάλȣ καὶ ἀλλοιοῦται, ἀλλ' ȣ̓κ εἰς φθορὰν ἀλλ' εἰς τελείωσιν ἀγόμενος· τὸ γὰρ ἐν αὐτῷ δυνάμει προάγεται εἰς ἐνέργειαν. οὕτω καὶ ἡ αἴσθησις ἀλλοιοῦται καὶ πάσχει, ὑπὸ τῶν αἰσθητῶν εἰς τελείωσιν ἀγομένη καὶ ἐκ δυνάμεως εἰς ἐνέργειαν προαγομένη.

πασχητιᾷ πάσχειν ἐθέλει.

πάσχω αἰτιατικῇ.

πατάγημα ἀντὶ τοῦ λάλος καὶ πανοῦργος· Μένανδρος "οἷον πατάγημ' ἥκεις."

a πάταγος ψόφος· Ἀγαθίας (1 17) "οἰμωγαὶ δὲ ἠκούοντο τῶν ἀγροίκων καὶ μυκήματα βοῶν ἀπελαυνομένων καὶ πάταγος τῆς ὕλης τεμνομένης."

b πάταγος ἦχος, κτύπος· (AP 7 147) "οὐ πῦρ, οὐ δοράτων, οὐ ξιφέων πάταγος." καὶ Αἰλιανός "ἄφνω πάταγος ἀκούεται τῶν θυρῶν."

παταγοῦσι ψοφοῦσιν· (Menand. p. 381 Nieb.) "ἐπιπαταγȣ̃ντες κώδωνί τινι καὶ τυμπάνῳ ὕπερθε τοῦ φόρτȣ οἱ βάρβαροι." καὶ αὖθις "ὃ δὲ λανθάνει τοῦ πνεύματος σφόδρα παταγοῦντος."

πατάγου χυτρείου (A Lys. 329) ἀντὶ τȣ̃ κεραμείȣ, ἐκ μέρους τὸ πᾶν. συντρίβεται δὲ τὰ κεράμια παρὰ ταῖς κρήναις· οὐ γὰρ χύτρας βάπτουσι.

a Παταικίων ὄνομα κλέπτου καὶ τοιχωρύχου. Harp.

b Παταικίων ἀνὴρ ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος, καὶ προσκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν νέων. διεβάλλετο δὲ καὶ ὡς κλέπτης καὶ τοιχωρύχος, ὥςε καὶ κωμῳδεῖσθαι ἐπὶ τούτοις.

πάταικοι θεοὶ Φοινικικοὶ ἐν ταῖς πρύμναις ἱδρυμένοι. Herodot. 3 37?

πατάξει. ὅταν δὲ λέγῃ ὁ προφήτης (Iesaias 11 4) "πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ ςόματος αὐτȣ̃," οὐ περὶ γῆς λέγει ἀλλὰ περὶ τῶν ἁμαρτιῶν, ὡς τὸ (Gen. 11 1) "καὶ ἐγένετο ἡ γῆ πᾶσα χεῖλος ἕν" περὶ ἁμαρτιῶν. καὶ ὁ Ἀβραὰμ ἑαυτὸν ἐξευτελίζων "ἐγὼ δέ εἰμι γῆ καὶ σποδός" λέγει (Gen. 18 27). καὶ αὖθις (Siracid. 10 9?) "ἐν τῇ ζωῇ αὐτȣ̃ ἐξεδένωται τὰ ἐντόσθια αὐτοῦ," τὴν γαςέρα λέγων.

πατάσσει πλήττει· "ὁ δὲ λαβὼν τὸ ξίφος πατάσσει τοῦ ςέρνου."

πατασσούσῃ ὑπὸ δειλίας κλονουμένῃ. Δέξιππος (p. 35 Nieb.) "ἦν δὲ τοῦ καθηγουμένȣ πρὸς πᾶν τὸ ἀπαγγελλόμενον ἔκπληξις· ὑπὸ γὰρ ἐμφύτου δειλίας καὶ ἀπειρίας τῶν πολεμικῶν ἀναπεπταμένοις μὲν τοῖς ὠσί, τεθορυβημένοις δὲ τοῖς ὀφθαλμοῖς, πατασσούσῃ δὲ τῇ καρδίᾳ ἀεί τι ἀκούσεσθαι ἐλπίζων, τοῖς ἀρχομένοις κατάδηλος ἦν ὡς φυγῇ χρήσεται."

πατῆσαι ἐνδιατρῖψαι, ἀφικέσθαι. Ἀριςοφάνης (Av. 471) "ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων, οὐδ' Αἴσωπον πεπάτηκας," ἐπὶ τῶν ἰδιωτῶν. cf. v. ἀμάθητος.

πατήσας καταφρονήσας. cf. v. δεξιάς.

Πατῖνος ὄνομα κύριον.

πάτος ὁδός· "πάτον ἀνθρώπων ἀλεείνων" Ὅμηρος (Z 202).

πατούμενοι ὑβριζόμενοι. A Eq. 69.

πατραλοίας πατροτύπτης. καὶ πατραλῴας ὁ αὐτός.

Πατρεύς ὁ ἀπὸ Πατρῶν. ἡ δοτικὴ Πατρεῖ, ὡς Μυρεύς ὁ ἐκ τῶν Μύρων, καὶ ἡ δοτικὴ τῷ Μυρεῖ.

πάτρη ἡ ἐκ τοῦ αὐτȣ̃ πατρὸς γέννησις, πατρίς δὲ ἡ φυλή. cf. sch. Hom. N 354.

πατριαὶ χῶραι, φυλαί, τοπαρχίαι.

πατριάρχης, καὶ πατριαρχεῖον.

Πατρίκιος. οὗτος ἤκμασεν ἐπὶ Ἰοβιανοῦ βασιλέως, ἦν δὲ ἐκ Λυδίας· ὅςις τῆς ἀπὸ τῶν φαινομένων ἢ καὶ παρατρεχόντων σημείων τεκμάρσεως ἀκριβὴς ἦν ἐξεταςής. Eunapius?

πατρίκιος πατὴρ τȣ̃ κοινοῦ· "ὁ δὲ πέμπει πρεσβευτὰς τοὺς ἐν τῷ κορυφαίῳ τῆς

συγκλήτου βουλῆς τελοῦντας ἄξια (an ἐν τῇ — ἀξίᾳ). πατρίκιοι δ' ἄρα ὄντες ἐτύγχανον." "ὁ βασιλεὺς Θεοδόσιος ὁ μικρὸς ὀργῇ τῇ πρὸς Ἀντίοχον τὸν πραιπόσιτον, διαβληθέντα εἰς καθοσίωσιν, ἐξεφώνησε διάταξιν, εὐνοῦχον ἐν τοῖς πατρικίοις μὴ τελεῖν· διὸ καὶ καθῃρέθη ὁ πραιπόσιτος τῆς τιμῆς καὶ ἐδημοσιεύθη καὶ ἐν τοῖς ἱερεῦσι κατετάγη" (Priscus p. 227 Nieb.).

πάτριος θεός.

Πατροκλῆς ὄνομα κύριον. καὶ παροιμία "ἐκ Πατροκλέους" ἐπὶ τῶν ῥυπώντων καὶ αὐχμηρῶν. Πατροκλῆς γὰρ ἐγένετο Ἀθηναῖος πλούσιος σφόδρα, ἄλλως δὲ κακόβιός τις καὶ φιλοχρήματος καὶ σκνιπός· ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα εἴα προσίεσθαι, φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου. ὁ Πλοῦτος οὖν ἐρωτώμενος πόθεν βαδίζεις; "ἐκ Πατροκλέους" ἔφη. sch. A Plut. 84.

Πάτροκλος ὄνομα κύριον. καὶ ἡ κλητικὴ ὦ Πάτροκλε καὶ ὦ Πατρόκλεις.

πατρονομούμενοι οἱ τοὺς ἀπὸ τῶν πατέρων παραδεδομένους νόμους τηροῦντες.

πατροραίστης ὁ τὸν πατέρα τύπτων.

πατρούχου παρθένου τῆς ὀρφανῆς καὶ ἐπικλήρου, ᾗ προσήκει τὰ τοῦ πατρὸς ἔχειν.

πατρῷα τὰ πατρικά.

πατρώζοντα τὰ τοῦ πατρὸς φρονοῦντα

πατρωνικὸν δίκαιον τὸ ἐκ προστάτου δίκαιον.

πάτρως πάτρων, ἀττικῶς.

πατρῴων. πατρῷα λέγουσιν οἱ ῥήτορες ὅταν αὐτοῖς ὁ λόγος ᾖ περὶ χρημάτων ἢ τόπων· Ἰσαῖος "ἀποφαίνω γὰρ ὑμῖν ὡς οὐκ ἔστι τῆς ἐπικλήρου τὸ χωρίον τοῦτο, οὐδ' ἐγένετο πώποτε, ἀλλ' ὡς ἦν πατρῷον Λυσιμένει τῷ πατρὶ Μενεκράτους· ὁ δὲ Λυσιμένης ἔσχε τὰ πατρῷα πάντα." πάτρια δὲ λέγουσι τὰ ἔθη καὶ τὰ νόμιμα καὶ τὰ μυστήρια καὶ τὰς ἑορτάς· Ἀντιφῶν "τοῦτο δὲ τοὺς νόμους εἰδὼς πατρίους καὶ παλαιοὺς ὄντας ὑμῖν." πατρικὸν δὲ ὅταν περὶ προσώπου ποιῶνται τὸν λόγον· "καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι" Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (52).

πατταλεῦσαι προσπῆξαι.

πάτταλον τὸ τυχόν· (A Eccl. 285) "ὑποτρέχειν ἔχουσι μηδὲ πάτταλον."

παῦε παῦ' ὦ δέσποθ' Ἑρμῆ (A Pac. 325)· νεκρὸν γὰρ ὄντα τὸν Κλέωνα ἐλοιδόρει, ἔθος δὲ ἦν τοῖς ἀρχαίοις τοὺς ἀποιχομένους μὴ λοιδορεῖν. cf. v. ἀποιχόμενα.

παῦλα ἀνάπαυσις. "καὶ τὸ δὴ λεγόμενον, παῦσις κακοῦ μεῖζον κακόν. διόπερ ἐν κακῶν αἱρέσει τοὐλάχιστον δεῖ ἑλέσθαι." cf. v. φυγαδεία.

Παύλη.

a Παῦλος. οὗτος ἐγένετο σύγχρονος Μάνεντι, τὸ γένος Σαμοσατεύς, Ἀντιοχείας τῆς μεγάλης πρόεδρος· ὃς ψιλὸν ἄνθρωπον εἶναι τὸν κύριον ἐβλασφήμησεν, ὥσπερ δὲ εἰς ἕκαστον τῶν προφητῶν, οὕτω καὶ ἐν αὐτῷ γεγενῆσθαι τοῦ θεοῦ λόγου τὴν οἴκησιν. ἔνθεν καὶ δύο φύσεις διῃρημένως ἐχθέσας καὶ ἀκοινωνήτους πρὸς ἑαυτὰς εἶναι παντάπασιν ἐν Χριστῷ, ὡς ἄλλου ὄντος αὐτοῦ τοῦ Χριστοῦ καὶ ἄλλου τοῦ ἐν αὐτῷ κατοικοῦντος θεοῦ λόγου. αὗται μὲν αἱ πρῶται φυαὶ τοῦ μίαν φύσιν καὶ τὰς δύο κακῶς καὶ δυσφήμως ἐπὶ Χριστοῦ λέγεσθαι, τὸ μὲν ἐπ' ἀναιρέσει τῆς θεότητος, τὸ δὲ τῆς ἀνθρωπότητος. Theodorus presb. de incarn.

b Παῦλος. οὗτος μετὰ Χρύσανθον τῆς Ναυατιανῶν ἐκκλησίας προεστηκὼς πρότερον μὲν λόγων Ῥωμαϊκῶν διδάσκαλος ἦν, τὸν δὲ γραμματικὸν πόνον καταλιπὼν ἐπὶ τὸν ἀσκητικὸν ἐτράπη βίον, καὶ συστησάμενος ἀνδρῶν σπουδαίων μοναστήρια οὐκ ἀλλοιότερον τῶν ἐν τῇ ἐρήμῳ μοναχῶν διετέλει. τοιοῦτος γὰρ γέγονεν οἵους ὁ Εὐάγριός φησι τοὺς ἐν τῇ ἐρήμῳ διατρίβειν μοναχούς. πάντα γὰρ ἐκείνους μιμούμενος διετέλει, τὴν συνεχῆ νηστείαν, τὸ ὀλίγα φθέγγεσθαι, τὴν ἀποχὴν τῶν ἐμψύχων· τὰ πολλὰ δὲ καὶ οἴνου καὶ ἐλαίου ἀπείχετο. ἀλλὰ μὴν καὶ περὶ τοὺς πτωχοὺς σπουδαῖος, εἰ καί τις ἄλλος, ἐγένετο, καὶ τοὺς ἐν φυλακαῖς ἀόκνως ἐπεσκέπτετο. ἐπὶ τούτου Ἰουδαῖός τις χριστιανίζειν ὑποκρινόμενος ἐφωράθη. Socrat. 7 17.

c Παῦλος Αἰγινήτης ἰατρὸς ἔγραψεν ἰατρικὰ βιβλία διάφορα.

d Παῦλος Αἰγύπτιος ἐκ τῆς Λύκων, σοφιστής, υἱὸς Βησαρίωνος τοῦ καὶ Διδύμου, γεγονὼς ἐπὶ τοῦ βασιλέως Κωνσταντίνου.

e Παῦλος Γερμηνὸς σοφιστὴς ὁ γράψας ὅτι γε Λυσίου ἐστὶν ὁ περὶ τῆς Ἰφικράτους δωρεᾶς, βιβλία β', ὑπομνήματα εἰς τοὺς λοιποὺς λόγους Λυσίου.

f Παῦλος Τύριος ῥήτωρ, γεγονὼς κατὰ

Φίλωνα τὸν Βύβλιον· ὃς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως πρεσβεύσας μητρόπολιν τὴν Τύρον ἐποίησεν. ἔγραψε τέχνην ῥητορικήν, προγυμνάσματα, μελέτας.

g Παῦλος φιλόσοφος εἰσαγωγὴν ἀςρολογίας καὶ ἀποτελεσματικά.

Παῦπερ. οὕτως ἐκαλεῖτο Κωνςάντιος ὁ πατὴρ Κωνςαντίνου τοῦ μεγάλου διὰ τὸ λιτῶς διαιτᾶσθαι, ὡς μηδὲ κοῖλον ἄργυρον κεκτῆσθαι εἰς πλῆθος, μηδ' ἕτερόν τι πρὸς τρυφὴν βλέπον· ἀλλὰ παρὰ τὰς ἱερὰς καὶ δημοτελεῖς εὐφροσύνας τῷ τῶν ἰδιωτῶν ἀργύρῳ καὶ ςρωμναῖς ἐκόσμει τὰ βασίλεια.

παῦρα ὀλίγα, βραχέα· Ὅμηρος (Γ 214) "παῦρα μέν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος." καὶ Ἀριςοφάνης (Pac. 765) "παῦρ' ἀνιάσας, πόλλ' εὐφράνας" ἀντὶ τοῦ ὀλίγα κωμῳδήσας.

Παυρόλας ὄνομα κύριον, υἱὸς Φαλάριδος τοῦ Ἀκραγαντίνων τυράννου, ἐξ Ἐρυθείας τῆς αὐτοῦ γυναικός.

a Παυσανίας Καισαρεὺς σοφιςής, σύγχρονος Ἀριςείδου, οὗ μέμνηται ὡς φαύλου ῥήτορος Φιλόςρατος ἐν τοῖς βίοις τῶν σοφιςῶν. ἔγραψε περὶ συντάξεως βιβλίον α', προβλημάτων βιβλίον α' καὶ ἕτερα.

b Παυσανίας Κλεομβρότȣ καὶ Ἀγχιθέας, βασιλεὺς Λακεδαιμονίων, ὃς μετὰ Πλαταιὰς τρίποδα ἀναθεὶς τῷ Ἀπόλλωνι ἐπέγραψεν "Ἑλλήνων ἀρχηγός, ἐπεὶ ςρατὸν ὤλεσε Μήδων, Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε." μηδίζειν δὲ ἀρξάμενος ὑπὸ Αἰγυπτίων καὶ Φοινίκων ἐν Βυζαντίῳ ἐδορυφορεῖτο, καὶ ἐσθῆτι καὶ τραπέζῃ ἐχρῆτο Μηδικῇ, ἐμνᾶτο δὲ τὴν Ξέρξου θυγατέρα ἐπὶ τῇ Ἑλλάδι. κληθεὶς δ' εἰς κρίσιν καὶ ἁλοὺς καταφεύγει ἐς τέμενος Ἀθηνᾶς. ἡ δὲ μήτηρ πλίνθον ἔθηκε πρώτη κατὰ τῆς εἰσόδου, εἶτα οἱ ἄλλοι· καὶ οὕτως ἔνδον ἀπέθανε. τὸ δὲ σῶμα εἰς τὸν Κεάδαν (βάραθρον δέ ἐςι τȣ̃το) ἔρριψαν, καὶ τὸ ἐπίγραμμα ἐξεκόλαψαν ἐκ τȣ̃ τρίποδος, καὶ τὰς πόλεις ἐπέγραψαν. οἱ δὲ Ἕλληνες καὶ δι' αὐτὸν πρὸς Ἀθηναίους ἀπέςησαν. νοσησάσης δὲ τῆς πόλεως εἰκόνα ἔςησαν χαλκῆν Παυσανίου, καὶ ἐσώθησαν.

c Παυσανίας Λάκων ἱςορικὸς περὶ Ἑλλησπόντου, Λακωνικά, χρονικά, περὶ Ἀμφικτυόνων, περὶ τῶν ἐν Λάκωσιν ἑορτῶν.

παυσικάπη μηχάνημα τροχοῖς ἐμφερές, δι' οὗ τὸν τράχηλον διεῖρον καὶ τῶν ὑποζυγίων, ὥςε μὴ ἐσθίειν, καὶ τῶν ἀνθρώπων, ὡς μὴ δύνασθαι τὰς χεῖρας τῷ ςόματι προσάγειν.

παυσωλή (Hom. Β 386) κατάπαυσις.

Παύσων καὶ Ἶρος ὀνόματα κύρια πενήτων. "ὁ Ἀσκληπιὸς Παύσωνα καὶ Ἶρον κἂν ἄλλον τινὰ τῶν ἀπόρων ἰάσαιτο. ὀφθαλμῶ γάρ τις ἐνόσει· εἶτα ἐπιςὰς ὅδε λέγει ὄξει λύσαντα κάπρου πιμελὴν κᾆτα ὑπαλείψασθαι. ὃ δὲ κοινοῦται τῷ συνήθει ἰατρῷ. ὃ δὲ ἐπειρᾶτο τὰς αἰτίας λέγειν· τὸ μὲν γὰρ ὑπορρεῖν τὸ οἴδημα τῇ δριμύτητι, τὸ δὲ ἐπιλιπαίνειν καὶ ἡσυχῇ ὑποτρέφειν ὁ εἴρων ἔλεγε."

Παύσωνος πτωχότερος. οὗτος ζωγράφος ἦν, καὶ ἐπὶ πενίᾳ διετεθρύλητο. sch. A Plut. 602.

Παφία ἡ Ἀφροδίτη.

Παφλαγὼν ὁ Κλέων ὁ τῶν Ἀθηναίων ςρατηγός, διὰ τὸ τῆς φωνῆς ἀπηχές, ἀπὸ τȣ̃ παφλάζειν· ξένος γὰρ ἦν καὶ βάρβαρος. sch. A Eq. 2.

παφλάζοντα (Hom. Ν 798) ἠχοῦντα, ἀναζέοντα. (A Eq. 915) "ἀνὴρ παφλάζει," βράζει, τετάρακται. πεποίηται δὲ παρὰ τὸ παφλάζειν, παφλάζειν δέ ἐςι τὸ λαλοῦντά τινα κρατεῖσθαι καὶ ἀνακόπτεσθαι· τοιοῦτος δὲ ἦν καὶ ὁ Κλέων. ἢ τὸ ταράσσεσθαι· παφλάζειν γὰρ κυρίως σημαίνει τὸ ἠχεῖν τὴν κυμαινομένην θάλατταν. sch. A Pac. 313.

Παφνούτιος μιᾶς πόλεως τῶν ἄνω Θηβῶν ἐπίσκοπος, ἀνὴρ θεοφιλὴς καὶ σημειοφόρος, ὃς ἐν τῷ καιρῷ τοῦ διωγμοῦ τὸν ὀφθαλμὸν ἐξεκόπη. τοῦτον ὁ βασιλεὺς μεταπεμψάμενος τὸν ὀφθαλμὸν κατεφίλει αὐτοῦ. ἐδόκει δὲ κατὰ σύνοδον τοῖς ἐπισκόποις νόμον νεαρὸν ἐς τὴν ἐκκλησίαν εἰσφέρειν, ὥςε τοὺς ἱερωμένους, λέγω δὴ ἐπισκόπους πρεσβυτέρȣς διακόνȣς ὑποδιακόνȣς, μὴ συγκαθεύδειν ταῖς γαμεταῖς ἃς ἔτι λαϊκοὶ ὄντες ἠγάγοντο. καὶ ἐπεὶ περὶ τούτου βουλεύεσθαι προὔκειτο, διαναςὰς ἐν μέσῳ τοῦ συλλόγου τῶν ἐπισκόπων ὁ Παφνούτιος ἐβόα μακρά, μὴ βαρὺν ζυγὸν ἐπιτιθέναι τοῖς ἱερωμένοις ἀνδράσι, τίμιον εἶναι τὸν γάμον λέγων, μὴ τῇ ὑπερβολῇ τῆς ἀκριβείας μᾶλλον τὴν ἐκκλησίαν προσβλάψωσιν· οὐ γὰρ πάντας δύνασθαι φέρειν τῆς ἀπαθείας τὴν ἄσκησιν, οὐδὲ ἴσως φυλαχθήσεσθαι τὴν σωφροσύνην τῆς ἑκάςȣ γαμετῆς. καὶ σωφροσύνην ἐκάλει τῆς νομίμου γυναικὸς τὴν συνέλευσιν. ἀρκεῖ-

σθαί τε τὸν φθάσαντα κλήρου τυχεῖν μηκέτι ἐπὶ γάμον ἔρχεσθαι κατὰ τὴν τῆς ἐκκλησίας ἀρχαίαν παράδοσιν, μὴ μὴν ἀποζεύγνυσθαι ταύτης ἣν ἅπαξ ἤδη πρότερον λαϊκὸς ὢν ἠγάγετο. καὶ ταῦτ᾽ ἔλεγεν ἄπειρος ὢν γάμου καὶ ἁπλῶς εἰπεῖν γυναικός· ἐκ παιδὸς γὰρ ἐν ἀσκηταῖς ἀνετέθραπτο, καὶ ἐπὶ σωφροσύνῃ, εἴ καί τις ἄλλος, περιβόητος ἦν. καὶ πείθεται σύμπας ὁ τῶν ἱερωμένων σύλλογος τοῖς Παφνουτίου λόγοις, καὶ τὴν περὶ τούτου ζήτησιν ἀπεσίγησαν, τῇ γνώμῃ τῶν βουλομένων ἀπέχεσθαι τῆς ὁμιλίας τῶν γυναικῶν καταλείψαντες. Socrat. 1 11.

παχεῖα. cf. v. μυσάχνη.

παχεῖς Ἀττικοὶ τοὺς πλουσίους καλοῦσι συνήθως· καὶ Ἡρόδοτος (5 30) "ἔφυγον ἄνδρες τῶν παχέων ἐκ Νάξου ὑπὸ τοῦ δήμου." διαφέρει πάχης καὶ παχύς· πάχης μὲν λέγεται ὁ λιπαρός, παχὺς δὲ ὁ ἀναίσθητος ἢ ὁ πλούσιος. καὶ παχὺς καὶ ἀρχαῖος ἐπὶ τοῦ ἠλιθίου τάττεται παρὰ τοῖς παλαιοῖς· Ἀριστοφάνης (Nub. 840) "ὡς ἀμαθὴς εἶ καὶ παχύς," ἀντὶ τοῦ ἀναίσθητος καὶ παχὺς εἰς τὸ νοεῖν.

πάχνη. ἐπειδὰν ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία ὑφ᾽ ἡλίου μὴ κατεργασθῇ, καταψυχθῇ δέ, πάχνη καλεῖται. Diog. L. 7 53.

παχνοῦται (Hom. P 112) πήσσεται, πήγνυται, λυπεῖται.

παχύνοοι παχύνοες, ἀνόητοι. "τοσαύτην δὲ ἡμεῖς παχύτητα καὶ ἀμαθίαν κατεγνώκαμεν ὥστε ἐτολμήσαμεν ἐξελέγχειν αὐτοὺς τοσοῦτον ἠγνοηκότας ὅσον οὐδεὶς ἠγνόησε."

παχύτερον ἀμβλύτερον, οὐκ ἀκριβές.

πέδαι δεσμά, παρὰ τὸ πούς καὶ τὸ δέω τὸ δεσμεύω, ἢ παρὰ τὸ πιέζειν τοὺς πόδας.

πεδαρσίου μετεώρου, πετομένου ἐκ τοῦ πέδου· Ἀριστοφάνης Ὄρνισιν (1189) "ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου δίνης πτερωτὸς φθόγγος ἐξακούεται."

πεδῆται πεπεδημένοι, συνδεδεμένοι. καὶ πεδήτης ὁ δεσμηθείς.

Πεδιεύς ἀπὸ τόπου.

πεδικά μοῖρα τῆς Ἀττικῆς. ἐκαλεῖτο δὲ οὕτως ἀπὸ τοῦ συμβεβηκότος, εἶχε δὲ καὶ προβάτων νομάς. ἔστι τὸ ὄνομα παρά τε Λυσίᾳ καὶ παρ᾽ ἄλλοις ῥήτορσι. Harp.

πέδιλα ὑποδήματα.

πεδινός ὁ ὁμαλὸς τόπος.

πεδίον ἡ γῆ. καὶ πέδον ὁμοίως γῆ, ἔδαφος.

πεδότριψ ὁ ἐκθλίβων.

πέζα τὸ ἄκρον, ἢ τὸ ἀπολῆγον τοῦ χι- a
τῶνος, ὃ ἡμεῖς ὤαν λέγομεν· πρότερον γὰρ ὑπὲρ τοῦ μὴ τρίβεσθαι δέρμα προβάτων προσέρραπτον. πέζα καὶ ὁ πούς, καὶ ἀργυρόπεζα ἡ λευκοὺς πόδας ἔχουσα· καὶ ἐν ἐπιγράμματι (AP 6 69) "ἔμπεδον εἰς κείνου πέζαν ἐρεισάμενος αὔρης οὐκ ἀλέγουσαν ἐπὶ χθονός."

πέζα ὕφασμα· (AP 6 286) "τῆς πέζης τὰ b
μὲν ἄκρα τὰ δεξιὰ Βιττίον εἰργάσατο," καὶ αὖθις (6 287) "Ἄρτεμι, σοὶ ταύταν, εὐπάρθενε πότνα γυναικῶν, τὴν μίαν αἱ τρισσαὶ πέζαν ὑφηνάμεθα."

πεζαίτεροι· "ὁ δὲ βασιλεὺς πεζαιτέρους a
ἀμφὶ τοὺς μ᾽ ἀναλαβὼν ἕπεσθαί οἱ κελεύει, θάνατον ἀπειλήσας εἰ πλείους ἕποιντο."

πεζαίτεροι Δημοσθένης ἐν Φιλιππι- b
κοῖς (2 17). Ἀναξιμένης δὲ ἐν α΄ Φιλιππικῶν περὶ Ἀλεξάνδρου λέγων φησίν "ἔπειτα τοὺς μὲν ἐνδοξοτάτους ἱππεύειν συνεθίσας ἑταίρους προσηγόρευσε, τοὺς δὲ πλείστους καὶ τοὺς πεζοὺς εἰς λόχους καὶ δεκάδας καὶ τὰς ἄλλας ἀρχὰς διελὼν πεζαιτέρους ὠνόμασεν, ὅπως ἑκάτεροι μετέχοντες τῆς βασιλικῆς ἑταιρείας προθυμότατοι διατελῶσιν ὄντες." Harp.

πεζῇ βάδην. καὶ παροιμία "πεζῇ βαδίζω· νεῖν γὰρ οὐκ ἐπίσταμαι" ἀντὶ τοῦ οὐ δύναμαι.

πεζίτης ὁ πεζός.

πεζίτια στέμματα. ἐπὶ ἀνθρώπων στεφάνη, ζώνη, ἐπὶ δὲ ξύλων τὰ κυμάτια. cf. v. ταινία.

πεζολόγος συγγραφεύς.

πεζοπορηκότες.

πειθανάγκη ἡ μετὰ βίας πειθώ· "ὑπολαμβάνων διὰ τούτων πειθανάγκην προσάξειν τοῖς Λευκαδίοις τοῦ συγχωρεῖν τοῖς ὑπ᾽ αὐτῶν ἐπιταττομένοις" (Polybius?). "πολλὰς δὲ τῶν γυναικῶν τῇ πειθανάγκῃ κατήγαγεν· οὕτω γὰρ ἦν λάγνος" (cf. v. Λογγῖνος). "καὶ εἶξα τῇ Θετταλικῇ πειθανάγκῃ, κτείνας τὸν αὐτὸς αὑτοῦ δεσπότην" (Iulian. or. 1 p. 32 A, 34 A).

πειθαρχῶ δοτικῇ.

πειθήνιος καταπειθής, πειθόμενος.

πειθοῖ· "πειθοῖ τε ὑπαχθέντες καὶ τῷ δολερῷ τῶν ῥημάτων καταστρατηγηθέντες συνεχώρησάν οἱ περαιωθῆναι τὸν ῥοῦν." "ἀλλὰ καὶ πειθοῖ τῇ Ἑλληνικῇ καὶ μούσῃ ἐγγεγυμνασμένος ὁ Ἀμβρόσιος."

πείθω τὸ καταπείθω, αἰτιατικῇ· "πείθει δῶρα καὶ θεούς" ⟨Eur. Med. 963⟩, καὶ "ἆρα πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις, ἢ ἑτέρων δεήσεσθε;" πείθομαι δὲ δοτικῇ· "ἀναγκαῖον εἶναι ἡγούμην πείθεσθαι τοῖς ἡμετέροις βουλεύμασι," καὶ "πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν."

πειθώ ἡ πεισμονή· ⟨A Ran. 1438⟩ "οὐκ ἔϛι πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος."

Πείθωνος ὄνομα κύριον. καὶ ὄνομα ζῴου.

πείκειν κτενίζειν.

πεῖνα ἡ δι' ἔνδειαν τροφῆς ἐπιθυμία διὰ διφθόγγου, **πίννα** δὲ ὁ ἰχθῦς διὰ τοῦ ι. ἔϛι δὲ πεῖνα ἐπιθυμία ξηροῦ καὶ θερμοῦ, οὐ δίχα δὲ ψυχροῦ· συνεϛῶτα γὰρ ἡμῶν ἐνθένδε τὰ σώματα τρέφεται δι' αὐτῶν, ὅταν ἰσχύῃ κατεργάζεσθαι καὶ πέττειν καὶ ἐξομοιοῦν τὰ προσαγόμενα.

πείνη ἡ πεῖνα.

πειόλης ὁ πόρνος.

a **πεῖρα** ὁ δόλος καὶ ἡ ἀπάτη καὶ ἡ τέχνη, ὅθεν καὶ πειραταὶ οἱ κατὰ θάλατταν κακοῦργοι. πεῖρα δὲ καὶ ἡ βλάβη, ὡς ἐν Δανάῃ Σοφοκλῆς "οὐκ οἶδα τὴν σὴν πεῖραν, οὐδ' ἐπίϛαμαι· τοῦ παιδὸς ὄντος τοῦδ' ἐγὼ διόλλυμαι." ⟨Ai. 1⟩ "αἰεὶ Ὀδυσσεῦ ὁρῶ σε πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον," τουτέϛιν, ἀεὶ ὁρῶ σε τὴν παρὰ τῶν ἐχθρῶν σοι βλάβην γινομένην προϋφαρπάσαι καὶ τοῖς ἐχθροῖς ταύτην ἐπιπέμψαι μηχανώμενον.

b **πεῖρα**· "ἐξιόντων τῶν ἀνδρῶν ἐπὶ τὰς προνομάς, καὶ διὰ τὸ κατορθοῦν ⟦ἐν⟧ ταῖς πείραις."

πειράζειν κατάρχεσθαι· "Σκιπίων ὁ Ῥωμαῖος συνεβούλευσεν ἢ μὴ πειράζειν, ἢ οὕτως ὥϛε ἐκ παντὸς τρόπου τέλος ἐπιθεῖναι τῇ πράξει. τὸ γὰρ δὶς πρὸς τὸν αὐτὸν πειράζειν ἅμα μὲν ἐπισφαλές, ἅμα δ' εὐκαταφρόνητον γενέσθαι ποιεῖ παντελῶς" ⟨Polybius?⟩.

Πειραιεύς ὄνομα κύριον. καὶ ὁ λιμήν. καὶ κλίνεται Πειραιέως Πειραιῶς, καὶ ἡ δοτικὴ Πειραιεῖ. Πειραιεὺς καὶ νῆσος.

πεῖραν πορείαν, ὁδόν· ⟨S Ai. 289⟩ "οὐδ' ὑπ' ἀγγέλων κληθεὶς ἀφορμᾷς πεῖραν."

πειρᾶν τὸ λόγους περὶ συνουσίας προσφέρειν, καὶ **πειραθῆναι** τὸ ἀκοῦσαι λόγους τοιούτους· Θουκυδίδης ⟨6 54⟩ "πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιϛράτου καταγορεύει τῷ Ἀριϛογείτονι." σημαίνει ἡ λέξις καὶ τὸ ἄλλως διαπειρᾶσθαι· πειρᾶν γὰρ κυρίως τὸ προσβάλλειν γυναικὶ περὶ τῆς Ἀφροδίτης.

πειρασμός.

πειρατέον δεῖ πειρᾶν.

πειρατῶν καταποντιϛῶν, κατὰ θάλασσαν λῃϛῶν.

Πειρήνη ὄνομα πηγῆς καλλιρρόου· ⟨AP 7 218⟩ "Λαΐδ' ἔχω πολιῆτιν ἐυζώνοιο Κορίνθου, Πειρήνης λευκῶν φαιδροτέραν λιβάδων."

πείρησαν δοκιμήν, ἀπόπειραν ἔλαβον. ⟨AP 7 152⟩ "τὴν δὲ χάριν δώρων πείρασαν ἐν θανάτῳ· τὸ ξίφος εἷλ' Αἴαντα μεμηνότα, καὶ πάλι ζωϛὴρ εἵλκυσε Πριαμίδαν δίφρια συρόμενον."

πείρινθα ⟨Hom. Ω 190⟩ τὸ ἐπάνω τῆς ἁμάξης, εἰς ὃ ἐντίθεται τὸ κομιζόμενον.

πειρῶ τὸ ἀπόπειραν ποιοῦμαι, **πείρω** δὲ τὸ σουβλίζω καὶ κεντῶ.

πειρῶμαι γενικῇ.

πειρῶν προσβάλλων, συνουσιάζων· τοῦτο γάρ ἐϛι τὸ πειρᾶν. Ἀριϛοφάνης Πλούτῳ ⟨149⟩ "τὰς Κορινθίας φασίν, ὅταν μέν τις αὐτὰς πένης πειρῶν τύχῃ, οὐδὲ προσέχειν τὸν νοῦν." καὶ **πειρασάντων ἀνδρῶν** διαπειρασάντων καὶ μετελθόντων ἢ ἐπιτηδευσάντων. ἐσχημάτιϛαι δὲ ἀπὸ τοῦ πειρᾶν· πειρᾶν γὰρ τὸ προσβάλλειν γυναικὶ περὶ τῆς Ἀφροδίτης. τροπῇ οὖν κέχρηται ὡς ἐπὶ γυναικός. σημαίνει οὖν σπανίως ἐπιτυχεῖν τινὰς καὶ ὀλίγους κατορθῶσαι παντάπασι. sch. A Eq. 514.

πειρῶντα πειράζοντα διὰ λόγων.

Πείρως Πείρω ὄνομα κύριον. καὶ κλίνεται ἀττικῶς. καὶ θηλυκῶς Πειρώ.

Πείσανδρος Νέϛορος τοῦ ποιητοῦ υἱός, a Λαρανδεὺς ἢ Λυκαόνιος, γεγονὼς ἐπὶ Ἀλεξάνδρου βασιλέως τοῦ Μαμαίας παιδός, ἐποποιὸς καὶ αὐτός, ἔγραψεν ἱϛορίαν ποικίλην δι' ἐπῶν, ἣν ἐπιγράφει Ἡρωϊκῶν θεογαμιῶν, ἐν βιβλίοις ς', καὶ ἄλλα καταλογάδην.

Πείσανδρος Πείσωνος καὶ Ἀριϛαίχμας, b Καμειραῖος ἀπὸ Ῥόδου· Κάμειρος γὰρ ἦν πόλις Ῥόδου. καὶ τινὲς μὲν αὐτὸν Εὐμόλπου τοῦ ποιητοῦ σύγχρονον καὶ ἐρώμενον ἱϛοροῦσι, τινὲς δὲ καὶ Ἡσιόδου πρεσβύτερον· οἱ δὲ κατὰ τὴν λγ' ὀλυμπιάδα τάττουσιν. ἔσχε δὲ καὶ ἀδελφὴν Διόκλειαν. ποιήματα δὲ αὐτοῦ Ἡράκλεια ἐν βιβλίοις β'. ἔϛι δὲ τὰ Ἡρακλέους ἔργα· ἔνθα πρῶτος Ἡρακλεῖ ῥόπαλον

περιτέθεικε. τὰ δὲ ἄλλα τῶν ποιημάτων νόθα αὐτῷ δοξάζεται, γενόμενα ὑπό τε ἄλλων καὶ Ἀριςέως τοῦ ποιητοῦ.

Πεισάνδρου δειλότερος· ⟨A Av. 1543⟩ "ἔνθα καὶ Πείσανδρος ἦλθεν δεόμενος ψυχὴν ἰδεῖν, ἣ ζῶντ' ἐκεῖνον προὔλιπεν·" δειλὸς γὰρ ἦν καθ' ὑπερβολήν. cf. v. εἴ τι.

πείσεα ⟨Hom. Υ 9⟩ οἱ κάθυδροι τόποι.

Πεισιανάκτιος ςοά. Diog. L. 7 5.

Πεισίας ὄνομα κύριον.

πεισιθάνατος ὁ Ἡγησίας ἐλέγετο. Diog. L. 2 86.

πεῖσιν τὴν πειθώ. ἡ εὐθεῖα ἡ πεῖσις.

Πεισιόνη ὄνομα κύριον.

Πεισίςρατος ὄνομα κύριον.

πείσματα τὰ ἀγκύρεια σχοινία, παρὰ τὸ πείθεσθαι δι' αὐτῶν τὴν ναῦν.

πεισόμενον παθεῖν μέλλοντα.

πείσονται πάθωσι.

πειςέον δεῖ πείθεσθαι.

πειςὴρ ὁ ὑπήκοος.

Πείσων Πείσωνος. εἷς ἦν τῶν παρ' Ἀθηναίοις λ' τυραννησάντων. Harp.

πέκειν τὸ κτενίζειν.

πέκος δέρμα, κώδιον.

πεκτεῖν ποκάζειν, κείρειν τὰ θρέμματα· Ἀριςοφάνης ⟨Av. 715⟩ "ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν."

πεκτῆρες οἱ τὸ δέρμα τίλλοντες.

πεκτούμενον τιλλόμενον, ξεόμενον· Ἀριςοφάνης ⟨Lys. 686⟩ "καὶ ποιήσω τοὺς δημότας βωςρεῖν σ' ἐγὼ πεκτούμενον."

πελαγιζούσαις εἰς πέλαγος πλεούσαις· "πελαγιζούσαις δὲ ταῖς ναυσὶ συνέβη τὰς πλείους καταδῦναι."

πελαγίζω αἰτιατικῇ.

πελάζει πλησιάζει, ἐγγίζει.

πέλανοι πέμματα ἐκ παιπάλης, τουτέςιν ἀλεύρου λεπτοτέρου, εἰς θυσίαν ἐπιτήδεια, ὡς αὐτός φησι (Plato Legg. 6 p. 875 C), καρποὶ μέλιτι δεδευμένοι. Διονύσιος Θρᾷξ· θεοῖς ἀπαρχαί τινες. λέγεται δὲ πέλανος καὶ ὁ περὶ τῷ ςόματι πεπηγὼς ἀφρός, καὶ τὸ περιπεπηγὸς καὶ ἐξηραμμένον ὀπῶδες δάκρυον, οἷον λιβανωτός, κόμμι. καὶ ὁ τῷ μάντει διδόμενος μισθὸς ὀβολός.

πέλανος. γίνεται πέμματά τινα τοῖς θεοῖς ἐκ τοῦ ἀφαιρεθέντος σίτου ἐκ τῆς ἅλω. Δίδυμος δέ φησι κυρίως εἶναι πέλανον τὸ ἐκ τῆς παιπάλης πέμμα, ἐξ ἧς ποιοῦνται πέμματα· ἢ καὶ ἀπὸ τοῦ πεπλατύνθαι, ἢ ὅτι λευκόν ἐςιν, ἢ διὰ τὸ φανὸν εἶναι, ὅ ἐςι λευκόν. Εὐριπίδης μέντοι ἐν τῷ Ὀρέςῃ ⟨219⟩ ἰδίως φησὶν "ἐκ δ' ὄμορξον ἀθλίου ςόματος ἀφρώδη πέλανον," ὅπερ τὸν ἐπὶ τοῦ ςόματος ἀφρὸν δηλοῖ. Harp.

πελαργᾶν τὸ νουθετεῖν ἐκάλει ὁ Πυθαγόρας.

πελαργιδεῖς πελαργῶν παῖδες, Αἰλιανός, ὥσπερ ἀετιδεῖς οἱ ἀετῶν παῖδες.

πελαργικοὶ νόμοι διὰ τὸ ἀντεκτρέφειν τοὺς γονεῖς. οὕτως Ἀριςοφάνης ⟨Av. 1353⟩.

πέλας πλησίον, γείτων· "πλὴν πρόνοιαν ἀεὶ ἐποιοῦντο Ῥωμαῖοι μήποτε πρότεροι τὰς χεῖρας ἐπιβάλλειν τοῖς πέλας, μηδ' ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων." cf. v. ἐμβαίνειν.

Πελασγιῶτις λίμνη.

Πελασγοὶ ἔθνος.

πελάτης ὁ ἀντὶ τροφῶν ὑπηρετῶν· "συναγανακτῶν τοῖς πελάταις κατὰ πλῆθος ἐληλυθόσιν." "ὑπηρέτην τε καὶ θεράποντα ἢ πελάτην ςρατιώτην τῶν ἐκ καταλόγου ἐκώλυσε παρεῖναί τινι." καὶ αὖθις "καὶ ἑαυτὸν πελάτην ἐκείνου λέγει τε καὶ ᾄδει."

πέλεθρα ⟨Hom. λ 577⟩ πλέθρα. ἔςι δὲ μέτρον γῆς τὸ πλέθρον, ςαδίου ἕκτον.

πέλει γίνεται, ἐςί.

πελειάδες περιςεραί, καὶ πέλειαν περιςεράν· ⟨AP 6 161⟩ "δειλαί τοι δειλοῖσιν ἐφεδρεύουσι πέλειαι, ἄμμες δ' ἀτρέςοις ἀνδράσι τερπόμεθα" φησὶν ἀετός. ⟨S Ai. 140⟩ "πτηνῆς ὡς ὄμμα πελείας πεφόβημαι," ἐπεὶ περιδεὴς ἐςι τὸ ζῷον. περιφραςικῶς, ὡς ἡ πέλεια.

πελεκᾶντι δοτική. μήποτε βαρυτόνως προενεκτέον ὡς ἀλίβας. πελεκὰν μέντοι πελεκᾶνος κοινῶς, πελεκᾶς δὲ πελεκᾶντος ἀττικῶς, καὶ πελεκᾶς πελεκᾶ δωρικῶς. sch. A Av. 883.

πέλεκυς πελέκεως τὸ τεκτονικὸν ἐργαλεῖον· ⟨AP 6 205⟩ "καὶ ἐξελεωμένος οὗτος ἐμβριθὴς τέχνας ὁ πρύτανις πέλεκυς." πέλεκυς, πελέκυος δέ.

πελεκῶ πελεκήσω ξύλα. πελεκίζω δὲ τὸ μετὰ τῆς σπάθης κόπτω.

Πελίας ὄνομα κύριον. καὶ Πελιάδης ὄνομα κύριον.

πελιδνόν μέλαν. λέγεται καὶ πελιτνόν παρὰ Θουκυδίδῃ ⟨2 49⟩. καὶ πελιδνωθεῖσα ὠχριάσασα. καὶ πελιδνουμένη ἀντὶ τοῦ μελαινομένη.

Digitized by Google

b πελιδνόν τὸ μεταξὺ ὠχρότητος καὶ μελανίας, οἱονεὶ μολιβδοειδές, παρὰ Θουκυδίδῃ ⟨2 49⟩.

πελιοί μέλανες, ὠχροί.

Πέλλη Πέλλης ὄνομα τόπου.

Πελλήνη πόλις. καὶ Πελληναῖος χιτών, ἐπὶ τῶν παλαιὰ φορούντων ἱμάτια. ἐν δὲ Πελλήνῃ διάφοροι χλαῖναι ἐγένοντο. Ἀριςοφάνης ⟨Av. 1421⟩ "εὐθὺ Πελλήνης πέτεσθαι διανοῇ;" ἐπεὶ ἐν Πελλήνῃ ἐν τοῖς Ἡραίοις ἆθλον ἐτίθετο χλαῖνα.

πελλίς, ἔνθα τυρὸν ἀμέλγουσι, σκάφη τις.

Πελοπίδης ὁ τοῦ Πέλοπος.

πέλται λόγχαι, καὶ ἀσπίδια τετράγωνα.

πελτασαί τοξόται οἱ τοὺς ξυςοὺς κατέχοντες. cf. v. τοξόται.

πέλτον Θρᾴκιον ὅπλον, καὶ εἶδος ταρίχου, ἢ ἀσπὶς ἴτυν μὴ ἔχουσα.

πέλωρ μέγα, τεράσιον.

Πελώρας ὄνομα κύριον.

πελώριος μέγας· ἐν ἐπιγράμματι ⟨AP 6 218⟩ "ὡς δὲ λέων ἤντησε πελώριος, ὡς ἐπὶ θοίναν χάσμα φέρων χαλεπόν." καὶ Πελωριάς ὄνομα τόπου· ⟨AP 6 224⟩ "δῶρον δ' ἐξ ἱερᾶς εἰμὶ Πελωριάδος."

πέλωρον μέγα. καὶ πελώρου ⟨Hom. Ε 741⟩ μεγάλου τέρατος.

πέμματα πλακέντια· Ἀρριανός ⟨Ind. 28⟩ "οἱ δὲ ξένια ἔφερον θύννους ἐν κριβάνοις ὠπτημένους καὶ πέμματα ὀλίγα καὶ βαλάνους φοινίκων." cf. v. κρίβανον.

πέμπειν τὸ πομπεύειν· Μένανδρος Ὑποβολιμαίῳ ἢ Ἀγροίκῳ "μικρὰ παναθήναι' ἐπεὶ δι' ἀγορᾶς πέμποντά σε δή, Μοσχίων, μήτηρ ἑώρα τῆς κόρης ἐφ' ἅρματος." καὶ πέμψαντες τὸ πομπεύσαντες παρὰ Θουκυδίδῃ ⟨6 56⟩.

πέμπελος γέρων καὶ γραῦς, παρὰ τὸ πέμπεσθαι εἰς τὸν ᾅδην.

πέμπτη φθίνοντος. ἐν ταύτῃ αἱ τῆς μοιχείας γραφαὶ ἐδίδοντο. Μένανδρος Χαλκίδι.

πέμψιν ἀποςολήν.

a πενέςαι οἱ παρὰ Θεσσαλοῖς μὴ γόνῳ δοῦλοι, ἀπὸ τῶν ὑπὸ Αἵμονος ἐν Ἄρνῃ νικηθέντων Βοιωτῶν, οὐ φυγόντων τὴν παρ' αὐτῷ δουλείαν ἀλλὰ μεινάντων μέχρι τῆς τρίτης γενεᾶς, φιληδούντων ἐπὶ τῇ χώρᾳ. παρέδοσαν δὲ αὐτοὺς ἐφ' ὅρκῳ, ἐπὶ τῷ μήτε παθεῖν τι ἐργαζόμενοι μήτε ἐκβῆναι ἀπὸ τῆς χώρας, καὶ ἀπὸ τοῦ μεῖναι μενέςαι καλούμενοι ὕςερον πενέςαι μετωνομάσθησαν, παραφθαρέντος τοῦ χαρακτῆρος.

οὓς ἐν Λακεδαίμονι καλοῦσιν εἵλωτας, b τούτους Θετταλοὶ πενέςας λέγουσι. χρῶνται δὲ τῷ ὀνόματι καὶ Θετταλοὶ καὶ Λακεδαιμόνιοι ἐπὶ τῶν κρατηθέντων ἐν τῷ πολέμῳ καὶ δουλευόντων τοῖς κεκρατηκόσι.

πενέςαι Δημοσθένης ἐν τῷ κατ' Ἀριςο- c κράτους ⟨199⟩. πενέςαι δὲ παρὰ Θετταλοῖς καλοῦνται οἱ παρὰ Λακεδαιμονίοις εἵλωτες. οὐ μόνον δὲ αὐτοὺς πενέςας καλεῖσθαί φησιν, ἀλλὰ καὶ Θετταλικέτας. "τοῖς πενέςαισι ξυνών·" οὕτως Ἀριστοφάνης ⟨Vesp. 1274⟩. Harp.

πενθερά τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ, καὶ πενθερός ὁ πατήρ. Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει· ὁ γοῦν Ἀλκμαίων τῷ Φηγεῖ φησὶ "σὺ δ' ὦ γεραιὲ τήνδε παῖδα δοὺς ἐμοὶ γαμβρὸς νομίζῃ καὶ πατὴρ σωτήρ τ' ἐμός," καὶ ὁ Πρωτεσίλαος τῷ Ἀλκάθῳ ⟨an Ἀκάςῳ⟩ φησὶν "ἄξιος δ' ἐμὸς γαμβρὸς κέκλησαι, παῖδά μοι ξενοικίσας." Σοφοκλῆς δὲ τὸ ἔμπαλιν· εἶπε γὰρ πενθερὸν τὸν γαμβρὸν ἐν Ἰφιγενείᾳ. Ὀδυσσεύς φησι πρὸς Κλυταιμνήςραν περὶ Ἀχιλλέως "σὺ δ' ὦ μεγίςων τυγχάνουσα πενθερῶν" ἀντὶ τοῦ γαμβρῶν.

Πενθηλός ὄνομα κύριον.

πένθος· "ὥςε πολὺν ὑπὲρ αὐτοῦ πόθον γενέσθαι καὶ πένθος ἱερόν, οἷον ἐν Λιβάνῳ τὸ ἐπ' Ἀδώνιδι καὶ Βύβλῳ." cf. v. Ἄδωνις.

πενία. "διὰ τὰς ἀδίκους πάθας τῇ πενίᾳ ἐνήθλει" ⟨cf. v. ἐνήθλει⟩, καὶ Ἀριςοφάνης Πλούτῳ ⟨549⟩ "οὐκοῦν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν; ὑμεῖς γ', ὥσπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον." ὁ μὲν γὰρ Διονύσιος ἐξώλης τύραννος, ὁ δὲ Θρασύβουλος φιλόπολις καὶ παντὸς λόγου κρείττων. ἐπὶ τῶν μὴ τὰ ὅμοια ὁμοιούντων. πενία δὲ σοφίαν ἔλαχε, παρ' ὅσον οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι.

πενία. "καὶ πένης οὐχ ὁ μηδὲν κεκτημένος ἀλλ' ὁ πολλῶν ἐφιέμενος, καὶ πλούσιος οὐχ ὁ πολλὰ περιβεβλημένος ἀλλ' ὁ μὴ πολλῶν δεόμενος."

πενιχραλέον εὐτελές, πενιχρόν· ⟨AP 6 190⟩ "καὶ ψαιςῷ ὀλίγον δρᾶμα πενιχραλέον."

πενταέτηρον ⟨Hom. Β 403⟩ πέντε ἐτῶν.

πένταθλος Δημόκριτος ὁ Ἀβδηρίτης·

ἤσκητο γὰρ τὰ φυσικά, τὰ ἠθικά, τὰ μαθηματικὰ καὶ τοὺς ἐγκυκλίους λόγους, καὶ περὶ τεχνῶν πᾶσαν εἶχεν ἐμπειρίαν. τούτου ἐςὶ καὶ τὸ "λόγος ἔργυ σκιή." Diog. L. 9 37.

πεντακοσιομέδιμνον. τέσσαρα τέλη ἐποίησεν Ἀθηναίων πάντων ὁ Σόλων, ὧν ἦν ἓν τέλος καὶ οἱ πεντακοσιομέδιμνοι. Harp.

πένταχα ⟨Hom. *M* 87⟩ εἰς πέντε μέρη.

πεντέκτενοι περιπόρφυροι, διὰ τὸ ἐνυφάνθαι περὶ τὰς ὤας πέντε κτένας πορφυροῦς.

Πεντέληθεν ἀπὸ Πεντέλης πόλεως.

πεντεσυρίγγῳ ξύλῳ ⟨A Eq. 1046⟩ τῇ ποδοκάκῃ· πέντε γὰρ ὀπὰς ἔχει, δι' ὧν οἱ πόδες καὶ αἱ χεῖρες καὶ ὁ τράχηλος ἐμβάλλονται.

πέντε τάλανθ' ἡ Χίων πόλις διὰ τὸν πρωκτὸν ὀφλήσει. τούτους ὡς ἀκρασίαν μαλακίας ἔχοντας σκώπτει Ἀριστοφάνης ⟨Pac. 170⟩, καὶ διὰ μαλακίαν τῶν πρωκτῶν εὐρυτέρων ὄντων καὶ ἑτοίμων πρὸς τὸ ἀποπατεῖν.

πεντετάλαντος δίκη διαγέγραπται ⟨A Nub. 772⟩. τὸ ε ἄτρεπτον τηρεῖται παρὰ τοῖς Ἀττικοῖς.

πεντετηρίς πενταετηρίς.

Πεντεφρῆς ⟨Gen. 39⟩ ὄνομα κύριον.

πεντηκόνταρχος ὁ τῆς πεντηκοντόρυ ἄρχων. ἐκαλεῖτο δὲ πεντηκόντορος ἡ ὑπὸ ν' ἐρεσσομένη ναῦς. Harp.

πεντηκοντούτης πεντηκονταετὴς ἀνήρ. πεντηκοντοῦτις δὲ θηλυκῶς ἡ γυνή.

πεντηκοςὴ καὶ πεντηκοστεύεσθαι καὶ πεντηκοσολόγοι. πεντηκοςὴ μὲν τὸ τέλος ὃ τελοῦσι, πεντηκοσολόγοι δὲ οἱ τοῦτο ἐκλέγοντες, πεντηκοςεύεσθαι δὲ τὸ πράττεσθαι τὴν πεντηκοςήν. ταῦτα δὲ ἔςιν εὑρεῖν ἐν τῷ κατὰ Μειδίου ⟨166⟩ καὶ ἐν τῷ πρὸς τὴν Λακρίτυ παραγραφὴν Δημοσθένυς ⟨29⟩, καὶ Ὑπερείδυ ἐν τῷ περὶ τῶν Εὐβούλυ δωρεῶν. Harp.

πεντηκοσολόγιον· "καὶ λαβόμενος ἦγεν εὐθὺ τοῦ πεντηκοσολογίου."

πεντώβολον ἠλιάσασθαι ⟨A Eq. 795⟩ νικήσαντα τοὺς Πελοποννησίους δικάσαι μέχρις Ἀρκαδίας, λαμβάνοντα μισθὸν πεντώβολον, ἀλλ' οὐ τριώβολον. καὶ πεμπώβολον ⟨Hom. γ 460⟩ ὁμοίως.

πεξάμενος κτενίσας, ξάνας.

πέος τὸ σπήλαιον. καὶ πέος δὲ τὸ αἰδοῖον· Ἀριςοφάνης Νεφέλαις ⟨733⟩ "πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ," καὶ αὖθις ⟨Ach. 1059⟩ "ὅπως ἂν οἰκυρῇ τὸ πέος τοῦ νυμφίυ," καὶ αὖθις ⟨Th. 147⟩ "πότερον ὡς ἀνὴρ τρέφῃ; ποῦ δὲ τὸ πέος;" καὶ αὖθις ⟨Ach. 157⟩ "τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακε;"

πεπαίνει πραΰνει.

Πεπαρήθιος ἀπὸ τόπου.

Πεπάρηθος νῆσος, οὐκ ἄποθεν Εὐβοίας.

πεπαρμένον ⟨Hom. *Λ* 246⟩ πεπερονημένον, καθηλωμένον, τετρυπημένον.

πεπαρῳνήκασιν ἡμαρτήκασι.

πέπατο ἐκέκτητο· πῶ γὰρ τὸ κτῶμαι, καὶ πολυπάμων ὁ πολλὰ κεκτημένος. ἐν ἐπιγράμματι ⟨AP 6 98⟩ "πέπατο γὰρ οὐ μέγα τοῦτο κληρίον ἐν λυπρῇ τῇδε γεωλοφίᾳ."

πέπειρον ἀκμαῖον. εἴρηται δὲ ἐπὶ ὀπώρας ὡρίμου. γραῦς φησὶ παρὰ Ἀριςοφάνει ⟨Eccl. 923⟩ "οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔνεςιν, ἀλλ' ἐν ταῖς πεπείροις. οὐδέ τις ςέργειν ἂν ἐθέλοι μᾶλλον ἢ ἐγὼ τὸν φίλον."

πεπελτωμένα πεπιναρωμένα.

πεπεμμένου πλακοῦντος ἀντὶ τοῦ ποιηθέντος. "τοὐν τετράδι πεπεμμένου" ⟨A Plut. 1127⟩, ἐπειδὴ τῶν ἑορτῶν ἔξω ἱεραί τινες ἡμέραι ἐνομίζοντο Ἀθήνησι θεοῖς τισίν, οἷον νυμηνία καὶ ἑβδόμη Ἀπόλλωνι, τετάρτη Ἑρμῇ, ὀγδόη Θησεῖ.

πεπιθημένος πιθήσας, θαρρήσας. καὶ πεποιθὼς θαρρῶν.

πεπίθοιμεν ⟨Hom. *Α* 100⟩ πείσοιμεν.

πεπιλημένη συνεσφιγμένη. Ἰώσηππος ⟨B. I. 6 1 6⟩ "μέλας, τὸ σῶμα ἰσχνός, τὴν σάρκα πεπιλημένος· ἀλλ' ἐνῴκει τις ἡρωικὴ ψυχὴ λεπτῷ σώματι."

πεπλαδηκὸς ὑγρανθέν, σεσηπός.

πεπλασμένῳ πανούργῳ.

πεπλεγμένη φάλαγξ ἐςὶν ἥτις τοῖς ὑποπίπτουσι τόποις ἀναγκαζομένη ἐξομοιοῦσθαι τερηδόνος λόγον ἐπέχει. καὶ ξιφοειδὴς ἡ φάλαγξ γίνεται καὶ πολυειδὴς τῇ τάξει. cf. Aelian. Tact. 48.

πεπληγὼς παρ' Ὁμήρῳ ⟨*B* 264⟩. ἀντὶ τοῦ πλήσσων τὸν παρακείμενον παρείληφε.

πέπλον περιβόλαιον, ἱμάτιον γυναικεῖον.

πέπλος. ἰδίως παρὰ τοῖς Ἀθηναίοις πέπλος τὸ ἅρμενον τῆς παναθηναϊκῆς νεώς, ἣν οἱ Ἀθηναῖοι κατεσκεύαζον τῇ θεῷ διὰ τετραετηρίδος· ἧς καὶ τὴν πομπὴν διὰ τοῦ Κεραμεικοῦ ἐποίουν μέχρι τοῦ Ἐλευσινίου.

πέπλον δὲ τοῦτο ἐκάλει διὰ τὸ ἐρεοῦν αὐτὸ εἶναι. ἐγέγραπτο δὲ ἐν αὐτῷ ὁ Ἐγκέλαδος, ὃν ἀνεῖλεν ἡ Ἀθηνᾶ· ἦν δὲ τῶν Γιγάντων εἷς. ἢ ὅτι νικήσαντες οἱ Ἀθηναῖοι πέπλον ἐποίησαν τῇ Ἀθηνᾷ, καὶ ἐνέγραψαν τοὺς ἀρίςους ἐν αὐτῷ. sch. A Eq. 563.

b πέπλος. περὶ τοῦ πέπλȣ τοῦ ἀναγομένȣ τῇ Ἀθηνᾷ τοῖς μεγάλοις παναθηναίοις οὐ μόνον παρὰ τοῖς ῥήτορσίν ἐςιν ἡ μνήμη, ἀλλὰ καὶ παρὰ τοῖς κωμικοῖς. Harp.

πεπνυμένος συνετός.

πεποδισμένοι τοὺς πόδας δεδεμένοι· ⟨X Anab. 3 4 35⟩ "τοῖς Πέρσαις ὡς ἐπὶ τὸ πολὺ οἱ ἵπποι πεποδισμένοι εἰσί, τοῦ μὴ φεύγειν ἕνεκα εἰ λυθείησαν."

πεποιωμένον ποιότητα ἔχον.

πέπομαι παθητικόν. πέπωκα δέ.

πέπον προσφιλέςατε, προσηνέςατε. sch. Hom. E 109.

πέπονες ἔκλυτοι, ἀσθενεῖς· ἐν ἐπιγράμματι ⟨AP 6 53⟩ "ὄφρα τάχιςα λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀςαχύων" ἀντὶ τȣ̃ ὡρίμων.

πέπορδα· Ἀριςοφάνης ⟨Pac. 334⟩ "ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ μᾶλλον ἢ τὸ γῆρας ἐκδύς" ἀντὶ τοῦ ἐάσας ⟨an νεάσας⟩. ἡ μεταφορὰ ἀπὸ τῶν ὄφεων τῶν ἐκδυομένων τὸ γῆρας. ἥδομαι γὰρ ἐκφυγὼν τὴν ἀσπίδα, τουτέςι τὸν πόλεμον, μᾶλλον ἢ ἐκδὺς τὸ γῆρας.

πεποροποιημένος ἐκ τοῦ πόρος.

πεπορπημένος ἱμάτιον διπλοῦν περικείμενος πόρπῃ συνεχόμενον ὡς μὴ ἀφίςασθαι τῶν ὤμων. κεῖται παρὰ Λυκούργῳ ἐν τῷ κατὰ Τιμοκράτȣς ⟨Λεωκράτȣς 40⟩ "τῶν δ' ἀνδρῶν τοὺς τοῖς σώμασιν ἀπειρηκότας καὶ ταῖς ἡλικίαις πρεσβυτέρους καὶ ὑπὸ τῶν νόμων τοῦ ςρατεύεσθαι ἀφειμένους ἰδεῖν ἦν καθ' ὅλην τὴν πόλιν τότ' ἐπὶ γήρως ὀδῷ περιφθειρομένους, διπλᾶ ἱμάτια ἐμπεπορπημένους."

πεπότηται ἀνέπτη, ἀνεκουφίσθη, καὶ μετέωρα ἤδη φρονεῖ· Ἀριςοφάνης Νεφέλαις ⟨318⟩ "ἡ ψυχή μου πεπότηται."

πεπραξικοπηκότα ἀντὶ τοῦ προδώσαντα.

πεπρᾶσθαι καὶ πωλεῖσθαι διαφέρει. τὸ μὲν γὰρ πεπρᾶσθαι πάντῃ καὶ πάντως ἀπέβη, τὸ δὲ πωλεῖσθαι ἔςιν ὅτε καὶ οὐκ ἀποβαίνει· ἐνδέχεται γὰρ τὸ ἔτι πωλούμενον μὴ πραθῆναι. Artemid. 4 16.

πέπριςαι κέκοπται.

πεπρωμένη εἱμαρμένη, τύχη, γένεσις.

πεπρωμένον εἱμαρμένον, ὡρισμένον, πεπερασμένον ἀπὸ μοίρας εἰς πέρας.

πέπταται ἥπλωται. Hom. Z 45.

πεπυκασμένον ἐσκεπασμένον, περιβεβλημένον. "εἶτα ἐν ἑτέρᾳ σκηνῇ ξυνῆλθον ἠμφιεσμένῃ τε καὶ καταπεπυκασμένῃ ἐκ ἄλλως ἐξ ἱματίων σηρικῶν" ⟨Menand. p. 383 Nieb.⟩.

πέπυςο ἠκηκόει.

πεπώρωται τετύφλωται.

πέρα, ἐπίρρημα, ἀντὶ τοῦ περισσότερον· "τὸ πέρα δὲ ἀντιτείνοντας ξυνδεῖν" ⟨cf. v. ἄνδρα⟩. καὶ αὖθις "δασμολογοῦντες αὐτοὺς τῆς δυνάμεως πέρα." καὶ αὖθις "οὐ δυναμένων δὲ τὸ πέρα φέρειν δι' ὕβριν τε καὶ ὠμότητα." καὶ αὖθις "ἀρρήτων ἀρρητότερα καὶ κακῶν πέρα" ⟨cf. v. ἀρητόν⟩. καὶ αὖθις "εἰπόντες δὲ τοῦ Ἰωτόμȣ τὸ τόλμημα ἔπαυσαν αὐτὸν τὸ πέρα ἀμφιγνοοῦντα" ⟨cf. v. ἀπαλλάξας⟩. καὶ Ἀριςοφάνης ⟨Av. 1238⟩ "ἆρ' οἶσθ' ὅτι Ζεὺς εἴ με λυπήσει πέρα, μέλαθρα μὲν αὐτοῦ καὶ δόμους Ἀμφίονος καταιθαλώσω;" καὶ αὖθις "ὁ δὲ τȣ̃ ἐπὶ Σελεύκειαν τὸ πέρα ἄγειν ἀπέσχετο" ἀντὶ τȣ̃ πλεονάκις.

περᾷ πλέει.

Περαία ὄνομα τόπου.

περαίνειν τὸ συνουσιάζειν.

περαίνοντας τελειοῦντας.

περαιτέρω πλέον, πάνυ.

περαιωθέντες περάσαντες.

περάνῃ αὐθυπόταχτον, ἀντὶ τοῦ τελειώσῃ.

περαντικός πέρας ἐπιτιθεὶς τοῖς λόγοις. sch. A Eq. 1375.

πέρασις βίου ἡ τελευτή· ⟨S OC 103⟩ "δότε βίου πέρασιν καὶ καταςροφήν τινα, εἰ μὴ δοκῶ τι μειόνως ἔχειν ἀεί." εἰ μὴ δοκῶ ἐλαττόνως ἔχειν τὰ κακὰ καὶ δεῖσθαι προσθήκης κακῶν. καὶ πέρατα τέλη.

Περγαῖος.

περγαμηναί αἱ μεμβρᾶναι, αἱ διφθέραι.

Περγάμιον δήμιον.

πέργαμον τὴν πόλιν Ἴωνες λέγουσιν· οἱ δὲ πάντα τὰ ὑψηλά.

Περγασῆθεν. δῆμος ἡ Περγασὴ τῆς Ἐρεχθηίδος. τὸν μέντοι δημότην διχῶς λέγεσθαί φασι, Περγασέα τε καὶ Περγασῆθεν. Harp.

πέρδεσθαι. ὅτι Ἀγύρριος τοσοῦτον ἐπὶ

μαλακίᾳ διεβέβλητο ὡς καὶ πέρδεσθαι αὐτόν. sch. A Plut. 176.

περδίκειος χάρα, καὶ περδίκειος πούς.

Περδίκκας ὁ Μακεδών, ὃν ἔκτειναν ἐξ ἐπιβουλῆς οἱ Μακεδόνες, ἄνδρα τά τε πολέμια κράτιςον γενόμενον καὶ μεγαλονοίᾳ χρησάμενον διαφερόντως· ἐξ ὧ δὴ καὶ τὸ ὑπέρογκον αὐτῷ τοῦ φρονήματος εὐθαρσὲς πρὸς πάντα κίνδυνον ἦν, τό τε ἄγαν μεγαλήγορον, σὺν ᾧ πάντας τοὺς Μακεδόνας ὑπερφρονεῖν ἔδοξε, τάς τε εὐπραγίας αὐτῷ φθόνου ἐπαξίας ἐποίει. ἐπὶ δὲ τῷ φθόνῳ μῖσος ἐπεγίνετο, καὶ τὸ μὴ φέρειν ὑπὲρ σφᾶς ὄντα τε καὶ ὀνομαζόμενον. ὅθεν καὶ τὴν ἐν τοῖς πταίσμασι μεταβολὴν σὺν ὀργῇ τῆς πρόσθεν ὑπεροψίας μᾶλλον ἢ κρίσεως ἀληθεςάτης δικαιώσει εἰς τὸ κατ' αὐτῦ ἐπιβούλευμα ἐποιῦντο.

Πέρδικος ἱερὸν παρὰ τῇ ἀκροπόλει. Εὐπαλάμῳ γὰρ ἐγένοντο παῖδες Δαίδαλος καὶ Πέρδιξ, ἧς υἱὸς Κάλως (an Τάλως), ᾧ φθονήσας ὁ Δαίδαλος τῆς τέχνης ἔρριψεν αὐτὸν κατὰ τῆς ἀκροπόλεως· ἐφ' ᾧ ἡ Πέρδιξ ἑαυτὴν ἀνήρτησεν, Ἀθηναῖοι δὲ αὐτὴν ἐτίμησαν. Σοφοκλῆς δὲ ἐν Καμικοῖς τὸν ὑπὸ Δαιδάλυ ἀναιρεθέντα Πέρδικα εἶναι τὔνομα.

Περεγρῖνος ὄνομα κύριον.

Περήνη πόλις.

περήτρια ἡ περιαγγέλλουσα τὴν ὥραν.

πέρι περισσῶς.

περιαγειρόμενοι· "ὥσπερ οἱ νικηφόροι περιαγειρόμενοι ἀθληταί" Πολιτείας πέμπτῳ (Plato RP 10 extr.) ἐπὶ τέλει. λέγεται γὰρ ὅτι τὸ μὲν ἐξ ἀρχῆς ἆθλα πρυτίθεσαν τοῖς ἀγωνιζομένοις, ὃν τρόπον καὶ Ὅμηρος καὶ ἄλλοι ποιηταὶ ἱςοροῦσιν· ἐπεὶ δὲ ἤρξαντο χωρὶς ἄθλων ἀγωνίζεσθαι, τοὺς νικήσαντας οἱ μὲν κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις ἀνέδουν, τῶν δ' ἄλλων οἱ μὲν σύνεγγυς καθήμενοι καὶ πλησιάζοντες πλέονος ἄξια ἐπετίθεσαν, οἱ δὲ πορρώτερον ἄνθεσι καὶ φύλλοις ἔβαλλον περιερχομένους, ὡς καὶ νῦν τοῖς ἐπιφανῶς ἀγωνισαμένοις ἐπιβάλλουσι πετάσους καὶ ζώνας, οἱ δὲ χιτῶνας. ἐκ τούτου σύνηθες ἐγένετο κύκλῳ περιπορευομένυς τοὺς ἀθλητὰς ἐπαγείρειν καὶ λαμβάνειν τὰ διδόμενα. ὅθεν Σιμωνίδης περὶ Ἀςύλυ φησὶν οὕτως "τίς δὴ τῶν νῦν τοσάσδε πετάλοισι μύρτων ἢ ςεφάνοισι ῥόδων ἀνεδήσατο νίκας ἐν ἀγῶνι περικτιόνων;" ἔνιοι δὲ τῦτο τὸ ἔθος ἀπὸ Θησέως τὴν ἀρχὴν λαβεῖν· ἐκεῖνον γὰρ ἐκ Κρήτης κομισθέντα μετὰ τὸ ἀνελεῖν τὸν Μινώταυρον οἱ ἀπὸ τῆς χώρας ἄνθεσι καὶ φύλλοις ἔβαλλον καὶ τοῖς παροῦσι καρποῖς ἐτίμων.

περιαγκώνισμα.

περιάγνυται (Hom. Π 78) περικατακλᾶται, οἱονεὶ περιίσχεται. καὶ περιαγνυμένυ περικλωμένου· "πρὸς τὴν ἑσπερίαν τοῦ κόλπου ἀκτὴν τοῦ πρὸς τῇ Αἴνῳ τῇ πόλει περιαγνυμένου."

περιάγξαι περιςρέψαι.

περιαγοραῖος λάλος.

περιαγωγάς τὰς ἐν κύκλῳ περιφοράς· "ἀετοὶ δὲ ἐξ κυκλοτερεῖς περὶ τὸ ςρατόπεδον ποιησάμενοι περιαγωγὰς ἐν δεξιᾷ διέςησαν."

περιαθρεῖν περισκοπεῖν.

περιαιρεῖν ἀφαιρεῖσθαι, ἀποκόπτειν, καθυφίεσθαι· "συγχωρηθῆναι δὲ τοῖς Κελτίβηρσιν ὑπὸ Τιβερίου πρεσβεύειν πρὸς τὴν σύγκλητον, καὶ περιαιρεῖν ἐάν τι τούτων δύνωνται παραιτεῖσθαι. οἱ δὲ παραλῦσαι ἐπρέσβευσαν τὴν σύγκλητον τῶν ςρατιωτῶν καὶ τῶν φόρων."

περιαιροῦμαι αἰτιατικῇ.

περιαλγῶν ἀχθόμενος· "κἀγὼ περιαλγῶν τοῖς γεγονόσι, διὰ γραμμάτων ἐδεόμην ἀναπεμφθῆναι ὡς τὸν πατέρα τὸν ἡμέτερον."

περίαλος τὸ ἰσχίον.

περιαλουργός· Ἀριςοφάνης περὶ Λυσιςράτου (Ach. 856) "περιαλουργὸς κακοῖς, ῥιγῶν τε καὶ πεινῶν ἀεὶ πλεῖν ἢ τριάκονθ' ἡμέρας τοῦ μηνὸς ἑκάςου," τουτέςιν ὁ κακοῖς βεβαμμένος, ἢ ὁ βαθὺς τοῖς κακοῖς. μετήνεγκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφύρας τῆς θαλασσοβαφοῦς, ὅτι ἐκ βάθους τὸ ὄςρεον εὑρίσκεται. ἁλουργὶς δὲ ἡ πορφύρα.

περιαμησάμενος θερίσας.

περιαμφί κύκλῳ.

Περίανδρος Κυψέλου Κορίνθιος, τῶν ζ σοφῶν, γεγονὼς κατὰ τὴν λη ὀλυμπιάδα, ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπειον βίον, ἔπη δισχίλια. οὗτός ἐςι Περίανδρος ὁ διὰ λύπην ἰδίαν ἀποθανών, ὡς καὶ τὸ ἐπ' αὐτῷ ἐπίγραμμα μαρτυρεῖ, οὕτως ἔχον (AP 7 620) "μήποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινός, ἀλλὰ τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός. καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη, οὕνεκεν οὐκ ἔτυχεν πρήξιος ἧς ἔθελεν."

b Περίανδρος ὁ Κυψέλου υἱός, τοῦ βασιλέως Κορίνθου, τὴν βασιλείαν παρὰ τοῦ πατρὸς κατὰ πρεσβεῖον παραλαμβάνει, καὶ ὑπὸ ὠμότητος καὶ βίας ἐξέτρεψεν αὐτὴν εἰς τυραννίδα, καὶ δορυφόρους εἶχε τ', ἐκώλυέ τε τοὺς πολίτας δούλους κτᾶσθαι καὶ σχολὴν ἄγειν, ἀεί τινα αὐτοῖς ἔργα ἐξευρίσκων. εἰ δέ τις ἐπὶ τῆς ἀγορᾶς καθέζοιτο, ἐζημίου, δεδιὼς μή τι βουλεύοιντο κατ' αὐτοῦ. λέγεται δὲ καὶ ἄλλο τοῦτον ἄνομον ἐργάσασθαι, νεκρᾷ τῇ ἑαυτῦ γυναικὶ μιγέντα ὑπ' ἔρωτος. ἐςρατεύετο δὲ συνεχῶς, καὶ ἦν πολεμικός, τριήρεις τε ναυπηγησάμενος ἀμφοτέραις ἐχρῆτο ταῖς θαλάτταις. φασὶ δέ τινες αὐτὸν καὶ τῶν ζ σοφῶν γεγονέναι· τὸ δὲ οὐκ ἦν. Nicol. Dam. exc. Peir. p. 450.

περιανθίζω ἄνθη συλλέγω.

περιαοιδός ἐγκύκλιος ᾠδή.

περιάπτω δοτικῇ.

περιαςράπτω αἰτιατικῇ.

περιαυθαδίζεται ἐν ὑπερηφανίᾳ ἀναςρέφεται, ἢ μέγα φρονεῖ περὶ ἑαυτοῦ.

περιαυτίζεται περὶ ἑαυτοῦ μέγα φρονεῖ, ἢ ἐν τῇ αὐτῇ λέξει ἐνδιατρίβει.

περιαυτολογεῖν περὶ ἑαυτῦ λέγειν, τυτέςι μετὰ ὑπερηφανίας.

περιβαλλομένους προσλαμβανομένυς· Ξενοφῶν (Cyr. 1 4 17) "τὰς ἐπιτηδείυς ἄλλυς ἄλλοσε ἀφῆκε καταθεῖν, καὶ ἐκέλευε περιβαλλομένους, ὅπως τις ἐπιτυγχάνοι, ἐλαύνειν πρὸς αὐτόν." καὶ Πολύβιος (18 24) "ὁ δὲ Ἄτταλος περιβαλλόμενος πλείω λόγον ὑπεμίμνησκεν αὐτοὺς τῆς ἀνέκαθεν τῶν προγόνων ἀρετῆς" ἀντὶ τοῦ διεξελθών.

περιβάλλω αἰτιατικῇ· (Philostrat. V. A. 4 7) "ὁ δὲ Ἀπολλώνιος τὸ Λεωνίδου σῆμα τοῦ Σπαρτιάτου οὐ περιέβαλε μόνον, ἀγασθεὶς τὸν ἄνδρα." καὶ αὖθις "καὶ πλοῦτον περιβάλλει ἀνδρὶ πένητι μὲν εὐσεβεῖ δὲ καὶ ἀεὶ θεραπεύοντί οἱ τὸν νεών." καὶ Αἰλιανός "οἳ δὲ τοὺς ὑπηρέτας αὐτῷ περιβαλόντες εἰς τὸ θέατρον ἄγουσιν."

περιβαλόμενος προσπορισάμενος· "περιβαλόμενος δὲ πολλὴν λείαν ἐπῆγεν ἐπὶ τὸ νεόκτιςον φρούριον," καὶ αὖθις "ἐν ὀλίγῳ χρόνῳ πολλὴν σοφίαν περιβαλόμενος."

περίβαρα ὑποδήματα. καὶ περιβαρίδες ὑποδήματα γυναικῶν· Θεόπομπος ἐν Σειρῆσιν "ὑποδοῦ λαβὼν τὰς περιβαρίδας." sch. A Lys. 45.

περιβὰς ἐποχησάμενος· "περιβὰς δὲ τὸν ἵππον ἤλαυνεν ὡς ἐπὶ τὸ θορυβούμενον."

περίβλεπτος ἔξοχος, μέγιςος.

περιβόλαιον περιβολή, ἔνδυμα· "ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτῆς." ἄβυσσον καλεῖ --- ὁ Δαβίδ. cf. v. ἄβυσσον.

περιβολὴ εἶδος λόγυ δεινότητος· "ἀλαζόνας φασὶν εἶναι τοὺς Ἕλληνας, τὰ οἰκεῖα αἴροντας διά τε ἐπιγραμμάτων καὶ συγγραφῆς καὶ τῆς ἄλλης τῶν λόγων πομπείας τε καὶ περιβολῆς." καὶ περιβολὴ ὁ πλοῦτος· "καλοῦνται δὲ ὑπὸ τῶν ἐν περιβολῇ Γέργηθές ἥ τε τύρβη καὶ οἱ χειρώνακτες." cf. vv. Γέργηθες et τύρβη.

περίβολος ὁ τῆς νηός.

περιγηθὴς περιχαρής.

περιγλωττὶς σκεπαςήριον τῆς γλώττης.

περίγρα ὁ διαβήτης· δι' ἧς οἱ τροχοὶ περιφερεῖς ἀποτελοῦνται. πυράγρας γὰρ οὐδεμία πρὸς ἁμάξης κατασκευὴν χρεία. ἔςι δὲ βοηθῆσαι καὶ τῇ κρατούσῃ γραφῇ, ἐπεὶ καὶ ταῖς πυράγραις ἐπὶ ταῖς σιδηροτρόχοις ἁμάξαις χρῶνται, περίγραις δὲ ἐπὶ ταῖς ξυλίναις. ὁ θεολόγος Γρηγόριός φησιν εἰς τὸν συντακτήριον (p. 521) "εἰ γὰρ ἐγὼ μὲν εἰς δόξαν θεοῦ, τῦτο δὲ δι' ἐμέ, ἡ πυράγρα διὰ τὴν ἅμαξαν ἢ ὁ πρίων διὰ τὴν θύραν, νικῶ τῇ αἰτίᾳ."

περιγράψαι οἷον ἀποκτεῖναι, ἐπεὶ οἱ ἀποθανόντες περιγράφονται καὶ περιαιροῦνται τῶν ἀρχείων.

περιγυρίδα περιφέρειαν.

περιδαρδάπτεσθαι κατεσθίεσθαι.

περιδέεια. καὶ περιδεὴς περίφοβος· "καὶ τὰ συμπεσόντα αὐτοῖς πολλὰ καὶ δεινὰ τῷ περιδεεῖ τῆς ὄψεως ἐμήνυον."

περιδεῖν περιδεσμεῖν, περιάπτειν· Ξενοφῶν (Anab. 4 5 36) "ὁ δὲ διδάσκει περὶ τὰς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων σακκία περιδεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσι, διὰ τὸ μὴ καταδύεσθαι."

περίδειπνον. καὶ περίδειπνον τὸ νεκρῶν· "καὶ τῦτο ἐδείπνυν τὸ Ἀττικὸν περίδειπνον."

περιδέξιος ὁ καὶ τῇ ἀριςερᾷ ἐργαζόμενος. παρὰ δὲ τῷ θεολόγῳ (Greg. Naz. 35 p. 566 A) λέγοντι "καὶ ὅπως ἀποφεύξῃ τὸ σὸν περιδέξιον," περιδέξιόν ἐςι πᾶν διλήμματον· ἑκατέρωθεν γὰρ βούλεται συνάγειν. περιδέξιος καὶ ὁ σοφός· "οἷος ἐκεῖνος ἀεὶ περιδέξιος ἥρως" παρὰ Καλλιμάχῳ (fr. 303).

περιδέρραια περιτραχήλια κόσμια.

περίδινον πειρατήν.

περιδινοῦνται περιοδεύονται, περιςρέφονται. "ὃ δὲ περιδινήσας ἄφνω ἐς τὸ πρόσωπον τὸν ἵππον ὑπηντίαζε τοῖς δειλαίοις."

περιδινοῦντες περιςρέφοντες· "οἱ δὲ Βαβυλώνιοι ἐντιθέντες εἰς σφενδόνας ᾠὰ καὶ περιδινοῦντες ἐν κύκλῳ, ἅτε ὀκ ἄπειροι τῶν αὐτοσχεδίων καὶ κυνηγετικῶν διαιτημάτων, ἀλλὰ μεμελετηκότες τὰ ἐν ἐρημίᾳ μηχανήματα, ἑφθὸν καὶ ὠμὸν τῇ ῥύμῃ τὸ ᾠὸν κατεσκεύαζον."

a περίδου περίθες· Ἀριςοφάνης ⟨Eccl. 121⟩ "ἴθι δὴ σὺ περίδυ, καὶ ταχέως ἀνὴρ γενȣ̃." καὶ αὖθις ⟨Eq. 798⟩ "ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι," ἀντὶ τοῦ περὶ τῆς κεφαλῆς συνθήκην θεῖναι. καὶ αὖθις ⟨Ach. 738⟩ "εἰ βάλει, περίδυ μοι περὶ θυμιτίδων ἁλῶν." εἰ βούλει, φησί, ποιησώμεθα συνθήκας περὶ θυμιτίδων ἁλῶν, οἷον μετὰ θύμου τετριμμένων. καὶ ἑτέρωθι ⟨Ach. 1067⟩ "ἅλας θυμίτας δοὺς ἐμοὶ καὶ κρόμμυα." τὸ δὲ περιδώσομαι καὶ Ὅμηρός φησι ⟨ψ 78⟩.

b περίδου, τȣτέςι συνθήκην ποιοῦ· Ἀριςοφάνης Νεφέλαις ⟨643⟩ "περίδου νῦν ἐμοί, εἰ μὴ τὸ τετράμετρόν ἐςιν ἡμιέκτεον."

περιδράττεσθαι περιέχεσθαι.

περίδρομος πάντῃ περιέρχεσθαι δυνάμενος. καὶ περίδρομοι κύνες οἱ πανταχȣ̃ δυνάμενοι περιςρέφεσθαι, Ἀριςοφάνης Βατράχοις ⟨475⟩.

περιδύεται κρύπτεται, εἰσδύεται.

περιδυθῆναι ἐκδυθῆναι.

περιδύσας ἐκδύσας, ἀφελόμενος· ⟨Ioseph. A. I. 12 5 4⟩ "περιδύσας οὖν τὸν ναόν, ὡς καὶ τὰ σκεύη τοῦ θεοῦ βαςάσαι."

περιδώμεθα συνθώμεθα· Ὅμηρος ⟨Ψ 485⟩ "δεῦρό νυν ἢ τρίποδος περιδώμεθον."

περιεβάλοντο ἐπεκτήσαντο· ⟨X Cyr. 3 3 23?⟩ "οἱ δὲ καταδραμόντες τὴν χώραν περιεβάλοντο λείας πλῆθος."

περιέδυσεν ἀφείλετο τὰ ἱμάτια· ⟨Ioseph. A. I. 12 4 9⟩ "ὁ πατὴρ αὐτοῦ τὴν Συρίαν ἅπασαν περιέδυσεν ὡς οὗτος ταῦτα τῶν σαρκῶν." περὶ ὀςέων λέγων.

περιεζώσατο ἀντὶ τοῦ περιεβάλετο· ⟨A Pac. 685⟩ "ἀπορῶν ἐπιτρόπου γυμνὸς ὢν τȣ̃τον τέως περιεζώσατο·" οἱ γὰρ γυμνοὶ ἐπιθυμοῦσι κἂν περιζώματος τυχεῖν.

περιεῖδον αἰτιατικῇ.

περιειλάμενος περιειλησάμενος.

περίειμι ζῶ, ἔτι σώζομαι. "καὶ αὐτὸς μέν, ἔφη, ἐπὶ τῆς Μυσίας ἐπολέμησα, καὶ περίειμι νῦν· καὶ λόγχην ἐπανατείνας, ἐν ταύτῃ, ἔφη, ἡμῖν ἡ πίςις ἐςί."

περιεῖναι περιγενέσθαι· "ἰδὼν ὅτι οὐκ ἄλλως τῆς πόλεως ἢ λιμῷ περιεῖναι δύναιτο."

περιεῖναι ἐν βίῳ διάγειν, ζῆν· "τότε μὲν οὕτως Ἰουςίνῳ περιεῖναι ξυνέβη." "ἐν δὲ τοῖς μάλιςα τὸν ἀδελφὸν αὐτοῦ Γάιον οὐκ ἀνέξεσθαι περιεῖναι αὐτὸν δȣ̃λον τῶν πολεμίων γεγονότα." καὶ ἀντὶ τοῦ νικᾶν· "ὀδὲ περιεῖναι τῶν πολεμίων οἷός τε ὢν τῷ μὴ τὰ δέοντα ὑπὸ σμικρολογίας ἐργάζεσθαι."

περιεῖπον περί τινα ἦσαν θεραπευτικῶς καὶ φυλακτικῶς.

περιεῖχεν ὑπερεῖχε.

περιεχέχοντο πανταχόθεν περιέρρει· "ἐπειδὴ τῷ Τιβερίῳ ἤδη τὰ τῆς πολιτείας περιεκέχυτο πράγματα" ⟨Menand.⟩.

περιεκτικὸν περιέχον.

περιελῶ σ' ἀλαζονείας, ὑποτεμȣ̃μαι τὰς ὀδοὺς σου" ⟨A Eq. 290⟩, οἷον ἀποδύσω σε, παύσω τῶν ἀλαζονειῶν. τὸ δὲ περιελάσω ἐκ μεταφορᾶς τῶν ἐρεσσόντων. παύσω σε καὶ περικόψω τῆς ἀλαζονείας. περιελάσω σε, νικήσω. ὑποτεμȣ̃μαι δὲ ὡς βυρσοδέψης· ὑποτέμνουσι γὰρ τὰ δέρματα διὰ τὸ φαίνεσθαι παχέα.

περιέπειν φυλάσσειν, ἢ ἐνεργεῖν.

περιεπτισμένοι, οἷον ξένων ἀπηλλαγμένοι καὶ καθαροὶ ἀςοί. κυρίως δὲ πτίσσειν ἐςὶ τὸ κριθὰς ἢ ἄλλο τι λεπίζειν καὶ καθαροποιεῖν, ἔνθεν καὶ πτισάνη ἡ λελεπισμένη κριθή. Ἀριςοφάνης ⟨Ach. 506⟩ "ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι."

περιεπτισμένον λελεπισμένον, περιεξεσμένον, κεκαθαρμένον.

περιέπτυξαν ἐκύκλωσαν· "οἱ δὲ Ῥωμαῖοι κυκλωθέντες ὑπὸ τῶν βαρβάρων, καὶ τὸ πλαίσιον λύσαντες ἐς λόχους, περιέβαλον τοὺς περιέχοντας. οὕτω θᾶττον ἀναπνοῆς αὐτὸς περιέπτυξαν, καὶ συγκλείσαντες ἅπαντας κατηκόντισαν, δείξαντες ἐν μιᾷ ἡμέρᾳ καὶ ὅπως χρὴ διαφεύγειν κύκλωσιν καὶ ὅπως κυκλώσασθαι δι' ὑπερβολὴν ἀνδρίας." cf. v. κύκλωσις.

περιεργάζεσθαι περιγενήσεσθαι· "ὃ δὲ περιεργασάμενος τοὺς οἴκους ἐν οἷς συντρέχοντες ἐκκλησιάζουσι, τȣτοις συνέσχηκε."

περιερέττων κωπηλατῶν.

περιερρύη ἐξεχύθη, ἐξέπεσεν· "ὀρχουμένου γὰρ αὐτοῦ ὁ ἀκινάκης περιερρύη."

περιέρχομαι ἐνεδρεύω, ἐξαπατῶ, σοφίζομαι, ὑπέρχομαι· Ἀριςοφάνης (Eq. 1146) "σκέψασθε δέ μ' εἰ σοφῶς αὐτοὺς περιέρχομαι, τοὺς οἰομένους φρονεῖν κἄμ' ἐξαπατύλλειν."

περίεσα καθαρά (an περίσια καθάρσια).

περιέσεσθαι περιγενήσεσθαι· "οὐ γὰρ ἑτέρως περιέσεσθαι ςρατηγοῦ θερμοῦ τε καὶ ἀμάχου παντάπασι."

περιεσκεμμένος ἠκριβωμένος.

περιεσόμεθα περιγενησόμεθα.

περιέσπασαν ἀτίμως περιεῖλον· Αἰλιανός "τὸν βωμὸν ἀνέτρεψαν, καὶ τὸν κόσμον, ὅσος ἦν περικείμενος, τοῦτον περιέσπασαν." cf. v. τέως extr.

περιέσσατο περιεβάλετο.

περιέσαι γενικῇ.

περιέςηκεν περιΐςαται, περιέςραπται. "καὶ περιςάντες αὐτὸν πᾶν τὸ τῆς ἀδελφότητος πλήρωμα." "καὶ τὸ περιεςηκὸς ἐκεῖνο πλῆθος τὸν πατριάρχην Ἠλίαν διατεμὼν ὁ θεῖος Σάββας."

περιέςηξαν (Act. Apost. 25 7) περιεκύκλωσαν.

περιεςήξει περιςαθήσεται.

περιέχεσθαι ἀντέχεσθαι, φροντίζειν· "μήτε αὐτοῦ πάνυ περιέχεσθαι Ῥωμαίους."

περιεχόμενον ἀντιποιούμενον.

περίζυγα· Ξενοφῶν (Cyr. 6 2 32) "ἔχειν δὲ χρὴ καὶ ἱμάντας· τέτων γὰρ τριβομένων καὶ ῥηγνυμένων ἀνάγκη ἀργεῖν, ἢν μή τις ἔχῃ περίζυγα."

περίζωμα τὸ ὑπὸ τὰ αἰδοῖα σκέπασμα· "γυμνῶν μαχομένων τῶν Ῥωμαίων ἐν τοῖς περιζώμασι."

περιηγγέλθη τὸ ἄθεον πρόςαγμα. ἀττικώτερον δὲ τὸ περιηγγέλη.

περιήγγελλεν ἐκέλευε.

περιηγεῖται ἀντὶ τοῦ διηγεῖται· Αἰλιανός "αὐτὸς δὲ διυπνισθεὶς τῷ παιδὶ περιηγεῖται ἅ τε εἶδε καὶ ὅσα ἤκουσε καὶ ἅτινα εἶπεν." cf. v. Φιλήμων Συρακούσιος.

περιηγεῖτο πανταχόσε περιήρχετο· "πῦρ δὲ αὐτοῖς ὑπέφαινεν ἡ Σινωνὶς καὶ περιηγεῖτο." cf. v. Σίνωνος.

περιημάκτεον ἐδυσφόρουν· (Herodot. 1 164) "οἱ δὲ Φωκέες περιημάκτεον τῇ δουλοσύνῃ."

περιῆν ἐνίκα, περιεγίνετο, ὑπῆρχε.

περιηχήθην περιεψιθυρίσθην.

περίθετος προσωπεῖον· Ἀριστοφάνης (Th. 264) "ἡδὶ μὲν οὖν κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ." διαβάλλεται δὲ Ἀγάθων ἐπὶ μαλακίᾳ, ἵνα λανθάνῃ νυκτὸς ὡς γυνὴ καὶ πάσχῃ.

Περιθοῖδαι δῆμος τῆς Οἰνηΐδος φυλῆς, ἀπὸ Πειρίθȣ τοῦ Ἰξίονος. νόμος δ' ἦν Ἀθήνησι ξένους εἰσδέχεσθαι τοὺς βουλομένȣς τῶν Ἑλλήνων· Θεσσαλοὺς δ' ἐξαιρέτως ὑπεδέχοντο διὰ τὴν Πειρίθου καὶ Θησέως φιλοξενίαν. τούτοις δὲ καὶ χώραν ἐμέρισαν, ἣν ἐκάλεσαν Περιθοίδας. Ἔφορος ἱςορεῖ ἐν γ'.

περίθου, ὅπερ ἡμῖν σύνηθες ἐπίθȣ λέγειν· Ἀριστοφάνης (Th. 386) "περίθου νῦν τόνδε πρότερον πρὶν λέγειν" ἀντὶ τοῦ ςέφανον· ἔθος γὰρ ἦν τοῖς λέγουσι ςεφανοῦσθαι πρῶτον.

περίθριξ ὁ ἀπὸ γενετῆς πλόκαμος, ὁ μηδέπω καρείς· "ἔτι πλοκάμοιο περίθριξ."

περιιόντα περιερχόμενον.

περιιππεύων περιτρέχων.

περιίςαμαι αἰτιατικῇ· "τοξότας αὐτῷ πάντοθεν περιίςησι," καὶ "περιίςανται πάντοθεν τὸ πανδοχεῖον."

περιιςάμενος φεύγων. Ἰώσηπος (A. I. 4 6 12) περὶ Μωυσέως "περιίςατο γὰρ μὴ πολλοὶ τῆς τῶν λόγων ἀσελγείας αὐτοῦ μιμηταὶ γένωνται."

περιίςασο ἀντιλαβοῦ, περισκέπασον.

περικαθαίρων ἀναλύων τὸν πεφαρμακευμένον ἢ τὸν γεγοητευμένον.

περικακῶ ἐκκακῶ.

περικαλλὲς λίαν καλόν. Hom. *I* 578.

περικαῶς ἐρωτικῶς· "περικαῶς τῆς γυναικὸς ἔχων."

περικεκλασμένοις· "ἐνέδραν εἶχεν ἐν τόποις περικεκλασμένοις καὶ δυσθεωρήτοις."

περικεφαλαία.

περίκηλα (Hom. ε 240).

Περικλῆς Ἀθηναῖος. ἐπὶ τούτȣ ἤρξατο ὁ Πελοποννησιακὸς πόλεμος. ἐπὶ τούτου τὸ Κυλώνειον ἄγος ἠλαύνετο παρὰ Ἀθηναίων, ᾧ ἐνείχετο Περικλῆς· Κύλωνα γὰρ ἄνδρα Ἀθηναῖον Ὀλύμπια νενικηκότα, γαμβρὸν Θεαγένους τοῦ Μεγαρέων τυράννου, ἐπιθέμενον τυραννίδι τῶν Ἀθηναίων, παραχρῆμα

φυγόντα, καταφυγόντα δὲ ἐπὶ τὰς σεμνὰς θεάς, ἀποσπάσαντες οἱ περὶ Περικλέα ἀπέκτειναν. οἳ δὲ ἀντεπέταττον, Περικλῆς δὲ ὐκ εἴα πείθεσθαι. ὃς ἦν Ξανθίππου παῖς, ςρατηγοῦ Ἀθηναίων, Ἀναξαγόρου δ' ὁμιλητής. φασὶ δὲ ὅτι μέλλουσα τὸν Περικλέα τίκτειν ἡ μήτηρ ὄναρ εἶδεν ὡς λέοντα τέκοι. οὗτος κεραυνοῦ ποτὲ γενομένου καὶ θορυβηθέντων Ἀθηναίων, ὡς ἐξῄεσαν ἐς μάχην ὑπ' αὐτῷ ςρατηγῷ, δύο λίθους συγκρύσας καὶ πῦρ ἐξ αὐτῶν ἐκκόψας "τοῦτο" εἶπεν "ἐςὶν ὁ κεραυνός." ἔγημε δὲ Ἀσπασίαν τὴν Μιλησίαν, ἐξ ἧς ἔσχε παῖδας Ξάνθιππον καὶ Πάραλον, οὓν παρὰ τὰ πάτρια ὠνόμασεν, ἥρωος ἐπιθεὶς ὄνομα, οὐκ ἐξόν.

b *Περικλῆς* Ξανθίππου καὶ Ἀγαρίστης, Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, ὅςις πρῶτος γραπτὸν λόγον ἐν δικαςηρίῳ εἶπε, τῶν πρὸ αὐτοῦ σχεδιαζόντων. ἦν δὲ μαθητὴς Ἀναξαγόρου τοῦ Κλαζομενίυ, καὶ αὐτὸς ἐρρύσατο αὐτὸν ἐκ θανάτου.

a *Περικλῆς*. οὗτος συμβουλεύεται Ἀθηναίοις ⟨A Ran. 1511⟩ "τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων εἶναι σφετέραν, τὴν δὲ σφετέραν τῶν πολεμίων, πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον." οὗτος ἐκέλευσεν Ἀθηναίοις ἐμβαλλόντων μὲν Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν μὴ ἐπεξιέναι, ἀλλ' ἔσω τείχους μένειν, αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ. τὸν οὖν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖσθαι, τὸ δὲ διὰ θαλάττης, τῦτο ἡγεῖσθαι πόρον. ἄλλως. τὴν Περικλέους λέγει γνώμην, τὴν Ἀττικὴν ὡς πολεμίαν ἡγεῖσθαι καὶ ἐᾶν τέμνεσθαι, τὴν δὲ Λακωνικὴν περιπλεῦσαι. συνεβούλευσε δὲ περιπλεῖν τὴν πολεμίαν, μὴ μάχεσθαι δὲ τεμνομένης τῆς Ἀττικῆς. ἕνα πόρον ἡγεῖσθαι χρημάτων τὸ ναῦς ὡς πλείςας ἔχειν· τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω τούτου γίνηται, τοῦτον ἄπορον νομίζειν, οἷον τὰ θεωρικὰ καὶ δικαςικὰ καὶ ἐκκλησιαςικά. συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γινομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι. πρὸς ταύτην γὰρ τὴν ἔννοιαν καὶ τὸ ἐπιφερόμενον ἀκόλυθον· φησὶ γὰρ ὁ Διόνυσος "πλήν γ' ὁ δικαςὴς αὐτὰ καταπίνει μόνος," ὡς πολλῶν δαπανωμένων εἰς τὸν δικαςικὸν μισθόν.

περικόμματ' ἐκ σοῦ κατασκευάσω ⟨A Eq. 371⟩ τὰ ἀπὸ τῶν μαγείρων περιαιρύμενα τῶν κρεῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· κόψω σου τὸ σῶμα.

περικόμψους· Ἀριςοφάνης ⟨Pac. 983⟩ "παῦσον ἡμῶν τὰς ὑπονοίας τὰς περικόμψυς, αἷς ςωμυλλόμεθ' εἰς ἀλλήλους."

περικοπή· Πολύβιος "ταύτην τὴν περι- a
κοπὴν ἐδωρήσατο τῇ μητρί," τουτέςι τὴν ὕπαρξιν ⟨cf. v. Αἰμιλία⟩. καὶ αὖθις "ἅτε μηδεμίαν ἐχούσης πραγματικὴν ἔμφασιν τῆς περικοπῆς αὐτῶν," τουτέςι τῆς ἐνεργείας.

περικοπή μέρος τι τῆς ὑποθέσεως· "ὃ b
δὲ προῆγε, ποιήσας εὔςολον τὴν ἀκολουθίαν καὶ τὴν περικοπὴν τῆς ἐκδημίας."

περικόπτω αἰτιατικῇ.

περικρεμῶ.

περικτίονος τοῦ πέριξ οἰκοῦντος.

περιλακιζομένη ἀντὶ τῦ διασχιζομένη καὶ διακοπτομένη.

περιλαλοῦσιν ἀντὶ τοῦ περιττολογῦσι, φλυαροῦσι· "τοῖς περιλαλοῦσι μὴ ταχέως συγκατατίθεσθαι" ⟨M. Anton. 1 7⟩.

περιλαμβάνω αἰτιατικῇ.

περιλάμπω αἰτιατικῇ.

Περίλαος ὄνομα κύριον.

περίλεξις περίφρασις. λεληθότως δὲ δείκνυσιν ἐκ πόσων συνέςηκε ῥητορεία· δεῖ γὰρ πρῶτον νοῆσαι, εἶτα ἑρμηνεῦσαι τὸ νοηθέν, ὅπερ ἐςὶ λοιπὸν ἔργον τοῦ τῆς ἐξηγήσεως λόγυ. καὶ κατάληψιν ἦγυν τὴν αἴσθησιν καὶ τὴν τέχνην. ὕτω γὰρ ὁριζόμεθα κἂν τῇ τέχνῃ, οἷον ῥητορική ἐςι τέχνη τοῦ εὖ λέγειν τὰ προβλήματα. διὰ τί τέχνη; σύςημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων. sch. A Nub. 317.

περιλέποντες τὸν φλοιὸν περιαιροῦντες· Ἡρόδοτος ⟨8 115⟩ "τῶν δενδρέων τὸν φλοιὸν περιλέποντες καὶ ἐσθίοντες."

περιλιχμώμενος κατασπαζόμενος· "ὁ δὲ τὴν γυναῖκα πολὺν χρόνον περιλιχμώμενος, καὶ τοὺς πόδας εἱλούμενος, συνέπεισεν ἄνδρα νομίσαι."

Περίλλος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨48⟩, ὄνομα κύριον. Harp.

περὶ λύχνων ἁφάς ὀψιαίτερον· "μικρὸν δὲ μετὰ λύχνων ἁφὰς ἄρτι ἐς θοίνην ἰόντων, ἐπιπεσόντες ἀδόκητοι τῶν πολεμίων πολλοὺς κτείνουσι."

περίνεως τοὺς περιττοὺς τῇ νηὶ ἐπιβά- a
τας, οἷον δούλους. sch. Thuc. 1 10.

περίνεως τοὺς περιττοὺς καὶ ἔξω τῶν b
ὑπηρεσιῶν, ὡς λιπόνεως τοὺς λιποτάκτας,

Θουκυδίδης. ⟨Dio Cass. 49 1⟩ "τοὺς δὲ περίνεως (πολλοὶ γὰρ φθειρομένων ἐν τῇ ναυαγίᾳ τῶν σκαφῶν ἀπεκολύμβησαν) ἐς τὸ ναυτικὸν ὀλιγανδροῦν κατέταξεν." "οἱ δὲ ναῦται καὶ ὅσοι περίνεοι οὐκ ἀνεξόμενοι δῆλοι ἦσαν" ⟨cf. v. ἐπὶ ξυροῦ⟩.

Περίνη πόλις.

περινήσαντες περισωρεύσαντες· "οἱ δὲ βάρβαροι πολὺ περινήσαντες πῦρ συνέφλεξαν ἅπαντας" ⟨Eunapius de Valente?⟩.

περινοεῖ νοεῖ περισσῶς.

περίνοια ὑπερηφανία, ἢ μηχανή, ἢ τέχνη.

περινοστοῦντας περιερχομένους. νόστος κυρίως μὲν ἡ ἀπὸ ἀλλοδαπῆς οἴκαδε ἄφιξις, καταχρηστικῶς δὲ καὶ ἡ ἀπὸ τόπου εἰς τόπον. Ἀριστοφάνης Πλούτῳ ⟨121⟩ "ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ."

πέριξ.

περιοδεία ἡ περιόδευσις.

περίοδος περιέλευσις, κύκλος· Ἡρόδοτος ⟨7 219⟩ "οἱ δὲ Σπαρτιῆται μαθόντες ἐκ τῶν αὐτομόλων τῶν Περσέων τὴν περίοδον ἐβουλεύοντο, καὶ ἐσχίζοντο αὐτῶν αἱ γνῶμαι."

b περίοδος Δημοσθένης ⟨9 19⟩ Φιλιππικοῖς. περιοδικὰ νοσήματα καλοῦσιν οἱ ἰατροὶ τὰ τεταγμένως ἀνιέμενα καὶ αὖθις ἐπιτεινόμενα, οἷον τριταίους τεταρταίους καὶ τὰ ὅμοια· καὶ γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲ νοσεῖν ἀλλ' ὑγιεῖς εἶναι. Harp.

περιοίκιον· Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην "καὶ τὸ περιοίκιον καὶ τὴν οἰκίαν." μήποτε ὃ ἡμεῖς λέγομεν ἐποίκιον. Harp.

περίοικος ὁ περὶ τὴν οἰκίαν ἢ τὴν ἔπαυλιν τόπος.

περιοίσειν τὸ περιέσεσθαι καὶ ἀνθέξειν Θουκυδίδης ζ ⟨28⟩. σημαίνει καὶ τὸ ἀνοίσειν ἐκ τῆς νόσου.

περιοιστικός φορητός.

περιόν ὑπερβάλλον. "τὰ δὲ καὶ προῖκα πολλαχῇ τοῖς αὐτοῦ τέλεσι πεπορισμένα ἔχοντες ἐκ τοῦ περιόντος καρπώσονται." cf. v. προῖκα.

περὶ ὄνου σκιᾶς. παροιμιακὸν περὶ τῶν ἐνδιατριβόντων τοῖς μηδενὸς ἀξίοις. cf. v. ὄνου σκιά.

περιόντας ζῶντας· Ἀγαθίας ⟨1 13⟩ "καὶ ἔλεγον παρέξειν αὐτῷ ἐς ὅτι βούλοιτο χρῆσθαι, εἴ γε τοὺς ὁμήρους ἴδοιεν περιόντας."

περίοπτον περιθέατον, μέγα, ὑψηλόν, περίβλεπτον.

περιορᾶσθαι καραδοκεῖν, ἀποθεωρεῖν, περισκέπτεσθαι, φροντίζειν. Θουκυδίδης ⟨4 73⟩ "καὶ τοὺς Μεγαρέας περιορωμένους τὸν πόλεμον" λέγει, καὶ ⟨4 124⟩ "ὁ Βρασίδας τῆς μάχης περιορώμενος." "οἱ δὲ πρὸς τῷ ποταμῷ κατέμειναν περιορώμενοι τὸ γενησόμενον," τουτέστι καραδοκοῦντες, προσδοκῶντες.

περιοργής ὠργισμένος· "ὁ δὲ Καῖσαρ περιοργὴς ἐπὶ τούτοις γενόμενος ἐκίνει τὸ στράτευμα."

περιορίσαι περινοῆσαι.

περιορισθῆναι γνωρισθῆναι, ἢ ὑπὸ ὅρον γενέσθαι.

περιορισμός ἐξορισμός.

περιουσία ἡ περιττὴ οὐσία, οὐσία δὲ ἡ σύμμετρος· "ἐκ περιουσίας δὲ τοῦ ··· ὄν." cf. v. ἐκ περιουσίας b.

περιουσίας πλήθους, πλούτου.

περιουσιασμός πλῆθος, ὕπαρξις φυσική. ⟨Ps. 134 4⟩ "καὶ Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ" ἀντὶ τοῦ εἰς κτῆμα καὶ εἰς κτῆσιν· οὐσίαν γὰρ τὴν ὕπαρξιν.

περιούσιος λαός ὁ ἔγκτητος.

περιοχή περιπέτεια, καὶ ὑπόθεσις, θλῖψις, συνοχή. καὶ ὁ Δαβίδ ⟨Ps. 30 22⟩ "ἐν πόλει περιοχῆς," τουτέστι περιβόλῳ.

περιόψεται περιίδῃ, καταφρονήσει.

περιπαθῶς συμπαθῶς, λυπηρῶς. Πολύβιος ⟨8 20⟩ "μήθ' ἑαυτὸν ῥίψαι κατὰ κρημνοῦ περιπαθὴς γενόμενος."

περὶ παντὸς ἐποιεῖτο, ἀντὶ τοῦ ἔσπευδεν· "ὁ δὲ Κῦρος τοὺς δικαίους περὶ παντὸς ἐποιεῖτο πλουσίους ποιεῖν" ⟨X Anab. 1 9 16⟩.

περιπαρῆναι περικεντηθῆναι· "οἱ δὲ Ῥωμαῖοι κοντοὺς ἔπηξαν ὑποβρυχίους, ὥστε τὰ σκάφη τῶν βαρβάρων ἐλθόντα περιπαρῆναι" ⟨cf. v. προτερήσαντες⟩.

περιπείρει περικεντεῖ.

περιπεταστὸν κἀπιμανδαλωτόν εἴδη φιλημάτων ἐρωτικῶν, ἐν ᾧ δεῖ τὴν γλῶτταν τῶν καταφιλούντων λείχειν. sch. A Ach. 1200.

περιπέτεια προπέτεια, ἢ σύμπτωμα, ἢ σύμβασις· ⟨Polyb. 40 3⟩ "πάντα δ' ἦν πλήρη ἀρχομένης φαρμακείας τῶν ῥιπτούντων ἑαυτοὺς εἰς τὰ φρέατα καὶ κατὰ κρημνῶν, ὥστε κατὰ τὴν παροιμίαν κἂν ἐχθρὸν ἐλεῆσαι θεασάμενον τὴν τότε περιπέτειαν τοῦ ἀνθρώπου." "τῶν καθ' αὐτὸν δυναστειῶν ··· πράξεως τῆς αὐτοῦ" ⟨cf. v. Εὐμενής⟩.

περιπετεῖς περιπίπτοντες· "ἀλλήλοις

περιπετεῖς γινόμενοι ἀπώλλυντο." καὶ αὖθις "περιπετεῖς γίνονται βοτάνῃ τινὶ θανασίμῳ" ἀντὶ τοῦ ἀκουσίως περιπίπτοντες.

περιπετές περιπεπηγὸς αὐτῷ· "πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ." ἢ ᾧ περιέπεσεν ὁ Αἴας (907).

περιπετῆ γενέσθαι περιπεπτωκέναι. Arrian. Anab. 4 8.

περιπέττουσι περικαλύπτουσιν. Ἀριστοφάνης Πλέτῳ (159) "ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν," τουτέστιν εἰώθασι τῷ τοῦ ἵππου ὀνόματι καταχρῆσθαι εἰς τὴν μοχθηρίαν. τὸ δὲ περιπέττειν ἤτοι ἀπὸ τοῦ περιπετάσματος εἴρηται, ἢ ἀπὸ τῶν ζύμῃ τὰ ἄλφιτα περιλαμβανόντων καὶ τούτοις περικαλυπτόντων τινά· εἰώθασι γὰρ τὰ καταλιμπανόμενα ἀφ' ἑκάστου ἄρτου μιγνύντες ποιεῖν ἄρτον. καὶ Μένανδρος (immo Theophyl. Sim. 2 9) "δεδιότες καὶ διανοούμενοι μηχανᾶσθαί τι Ῥωμαίους, καὶ προκαλύμματι ἀποδράσεως περιπέττειν ὅ τι ἂν εἴη αὐτοῖς τὸ πανούργημα," τουτέστι περικαλύπτειν.

περιπεφθείς· "τούτοις τοῖς ῥηματίοις περιπεφθείς, ἄρχειν αἱρεῖ σαυτοῦ" (A Vesp. 688).

περιπηχύναντες περιπλεξάμενοι, παρὰ Καλλιμάχῳ (fr. 344).

περιπλεῖν καὶ διεκπλεῖν διαφέρει παρὰ Θουκυδίδῃ (7 36). τὸ μὲν γὰρ περιπλεῖν ἐν τῇ εὐρυχωρίᾳ καθίσταται, οἷον χορευούσης καὶ ἀναστρεφομένης ἐφ' ὅπερ βούλεται τῆς νεώς· καὶ ἡ περὶ πρόθεσις αὐτὸ τοῦτο δηλοῖ, τὸ ἐν κύκλῳ περιθέειν. τὸ δὲ διεκπλεῖν τὸ τεμόντα τὴν τάξιν τῶν ἐναντίων εἰς τοὐπίσω γενέσθαι.

περιπλείονος ἐπίρρημα. καὶ περιπλείστου· "περιπλείστου τὰς τρίχας ποιούμενος, ἐναλείφειν τε αὐτὰς καὶ διατιθέναι κατὰ βοστρύχους" (Synes. p. 85).

περίπλεων πλήρη. καὶ περίπλεως.

περὶ πλήθουσαν ἀγορὰν περὶ ὥραν τετάρτην ἢ πέμπτην καὶ ἕκτην· τότε γὰρ μάλιστα πλήθει ἡ ἀγορά. "πεδίον ἦν ἀχανές, ἔνθα περὶ πλήθουσαν ἀγορὰν ἠγείροντο μέν τινες καὶ πρότερον θόρυβοι τῶν πολεμίων, ἐπιφερόμενοι ἄριστον αἱρουμένοις" (cf. v. ἀχανές).

περιπνευμονία πάθος τι.

περὶ πόδα, οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσί· Πλάτων "ὡς ἔστι μοι τὸ χρῆμα τοῦτο περὶ πόδα," καὶ ἐν Σκευαῖς "καὶ τοῖς τρόποις ἁρμόττον ὥσπερ περὶ πόδα."

περιποιήσει κτήσεται. καὶ "περιποιουμένους τῆς σωτηρίας τῶν παίδων," περιποιουμένους ἀντὶ τοῦ φροντίζοντας, κηδομένους, Διονύσιος ὁ Ἁλικαρνασσεύς (fr. 13 1).

περιποίησιν κτῆσιν.

περὶ πολλοῦ ποιοῦ τίμα, θεράπευε.

περίπολος. Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων οὕτω φησί· "τὸν δεύτερον ἐνιαυτόν, ἐκκλησίας ἐν τῷ θεάτρῳ γινομένης, λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις." παρατηρητέον δὲ ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίνεσθαι τοὺς ἐφήβους, ὁ δὲ Αἰσχίνης δύο. Harp.

περιπόλους τοὺς φύλακας ἢ ζητητάς, ἀπὸ τοῦ περιπολεῖν· Ἀριστοφάνης Ὄρνισιν (1177) "οὔκουν δῆτα περιπόλους ἐχρῆν πέμψαι;" τὸ δὲ ἑξῆς, οὐκ ἐχρῆν περιπόλους πέμψαι; Θουκυδίδης (4 67) "οἱ δὲ καὶ οἱ περίπολοι ἐνήδρευσαν."

περιπόλων φυλάκων, ζητητῶν· "τῶν δὲ περιπόλων τις περιθέων ἀποβάλλει χαλκῆν ἀσπίδα ὕπερθεν τοῦ ὀρύγματος. ἡ δὲ οὖσα μὲν πλατεῖα ἀλλὰ κυρτὴ οὐ στερεὸν ἐκτύπησεν, ἀλλὰ κοῖλον καὶ διάκενον."

περιπολῶν περιτρέχων. "ὁ δὲ σταυρὸς προηγεῖτο τοῦ βασιλέως καὶ τῆς περιπόλου δυνάμεως" φησὶ Σιμόκατος (5 16).

περίπτερα (Cantic. 8 6) ἀποσπινθηρισμοί.

περίπτερον πανταχόθεν ἐξέχον.

περιπτύσσεται, αἰτιατικῇ, περιβάλλεται· "εἶτα τὴν Θεοδοσίου πόλιν περιπτύσσεται, καὶ ἀναμίγνυται τοῖς περὶ Φιλιππικόν" (Theophyl. Sim. 2 10).

περιπτυχής περικεκυλισμένος· "κεῖται κρυφαίῳ φασγάνῳ περιπτυχής." περὶ τοῦ Αἴαντος φησί (899).

περιπτώσεις συμφοράς.

περίπυστον ἐξάκουστον, διαβόητον.

περιρραντήρια σκεύη· "κατὰ δὲ τὸ μέσον τοῦ ἐνδιαιτήματος κάλπεις τε χρυσαῖ καὶ περιρραντήρια, ἔτι τε πίθοι χρυσοῖ" (Menand. p. 383 Nieb.).

περιρραντίσαι.

περιρρηδεῖς οἱ ἐπὶ ὀχημάτων, ἢ ἐπικείμενοι ἢ ἐρριμμένοι.

περιρρῶγος· "ἐπὶ ὄχθον τινὸς ἀποτόμου καὶ περιρρῶγος ἐπετείχιζον αὐτοῖς φρούριον ἱκανὸν φυλάττεσθαι τοσαύτῃ ςρατιᾷ" (cf. v. ὄχθους).

περίσημα διαβόητα.

περισκελές σκληρόν, δυσχερές. Αἴας φησίν (646) "ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται· κοὐκ ἔς' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται χὡ δεινὸς ὅρκος καὶ περισκελεῖς φρένες. κἀγὼ γάρ, ὃς τὰ δείν' ἐκαρτέρουν τότε, βαφῇ σίδηρος ὥς, ἐθηλύνθην ςόμα πρὸς τῆσδε τῆς γυναικός."

περισκελῆ βραχία, φημινάλια.

περισκέλια ἃ ἐφόρεν οἱ Ῥωμαῖοι περὶ τὰ σκέλη. ἦσαν δὲ κροκοβαφῆ. "περικαταθέμενοι δὲ περισκέλια τοῖς αὐτῶν ποσί."

περισκεπές κεκαλυμμένον.

περίσκεπτον, ἀφ' οὗ ἔςι περισκοπῆσαι καὶ ἰδεῖν.

περισκυθίσαντες σπαράξαντες (2 Maccab. 7 4).

περισκυτίζοντος ἐκδερματίζοντος.

περισπᾶν ἐξαπατᾶν. καὶ τὸ μετὰ βίας ἀφαιρεῖσθαί τι. περισπᾷ δὲ παρὰ Σοφοκλεῖ (El. 732?) ἀντὶ τοῦ φυλαξάμενος αὐτοῖς συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν περισπᾷ, τουτέςι τοῖς ἡνιόχοις. Πολύβιος (1 26) "ἦν δὲ τοῖς Ῥωμαίοις πρόθεσις ἐς Λιβύην πλεῖν καὶ τὸν πόλεμον ἐκεῖ περισπᾶν."

περισπασμός ἐκ δυοῖν ἐπιςροφῶν τοῦ τάγματος κίνησις, ὥςε μεταλαμβάνειν τὸν ὀπίσω τόπον. ἐκπερισπασμὸς δέ ἐςιν ἐκ τριῶν ἐπιςροφῶν συνεχῶν τοῦ τάγματος κίνησις, ὥςε μεταλαμβάνειν, ἐὰν μὲν ἐπὶ δόρυ γίνηται, τὴν ἐξ ἀριςερῶν ἐπιφάνειαν, ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν. Aelian. Tact. 25.

περισπειραθείς περιπλακείς, περιελιχθείς. "ὁ δὲ εὐνοῦχος κατεκράτει τῶν βασιλείων, καὶ περισπειρασάμενος τὰς αὐλὰς συνέσφιγγεν ἅπαντα, καθάπερ τις γενναῖος ὄφις καθελίττων εἰς τὴν ἑαυτοῦ χειάν." περὶ Εὐτροπίου λέγει (Eunapius?).

περισπερχές βαρύ· "ὡς περισπερχὲς πάθος" (S Ai. 982).

περισσά τὰ ἐν τῇ ἀριθμητικῇ καλούμενα ἄζυγα, οἷον ἕν, τρία καὶ τὰ ὅμοια. ἄρτια δὲ τὰ ζυγά, οἷον δύο, τέσσαρα. "τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες, καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με, μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων ἀντλεῖ, τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην· χρόνε γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος" (S El. 288). ἀφαιρεῖται γάρ, φησί, τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι ἡ τῶν λόγων ἀδολεσχία. Ὀρέςης φησὶ πρὸς Ἠλέκτραν.

περισσεία.

περισσοεπῆσαι περισσολογῆσαι.

περισσῶς ποιοῦσιν ὑπερηφανίαν (Ps. 30 24), τουτέςιν ἀλαζονείᾳ χρωμένοις περισσότερον.

περιςαδόν περιεςῶτες. Hom. Ν 551.

περίςασιν· Δείναρχος Τυρρηνικῷ "μετὰ ταῦτα τοῦ Δάμωνος ἤδη περὶ ἀναγωγὴν ὄντος περίςασιν ποιήσουσιν· οὗ καὶ μαρτυρεῖν ἀξιοῦντος" καὶ τὰ ἑξῆς. μήποτε τοιοῦτόν ἐςι τὸ λεγόμενον, ἐν κύκλῳ περιέςη με αὐτὸς καὶ οἱ συμπαρόντες αὐτῷ, καὶ μαρτυρεῖν ἠνάγκαζον· ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ τῷ περίςατόν με ἐποίησαν. ἐν ἐνίοις δὲ παράςασιν ἀντὶ τοῦ περίςασιν γράφεται. Harp.

περίςασις· Πολύβιος (32 12) "συνέβαινε δὲ μεγαλομερῆ τὴν περίςασιν ἔχειν ἐν ταῖς γυναικείαις ἐξόδοις," καὶ αὖθις (3 98) "ὁ δὲ κατὰ μὲν τὴν δόξαν καὶ τὴν τοῦ βίου περίςασιν οὐδενὸς δεύτερος Ἰβήρων, κατὰ δὲ τὴν πρὸς Καρχηδόνα εὔνοιαν καὶ πίςιν πολύ τι διαφέρειν δοκῶν τῶν ἄλλων." ἀντὶ τοῦ ἐπίτασις. καὶ αὖθις Πολύβιος (1 32) "ταχὺ δὲ διὰ τὴν περίςασιν τῶν τοῦ Ξανθίππου λόγων διαδοθέντων εἰς τὰ πλήθη καὶ τοὺς ςρατηγούς, ἔγνωσαν οἱ ςρατηγοὶ ἀνακαλεῖσθαι καὶ πεῖραν αὐτοῦ λαμβάνειν." καὶ ἀλλαχοῦ "διὰ δὲ τὴν περίςασιν τοῦ κήρυκος φωνήσαντος ἀνέςη" ἀντὶ τοῦ ἐπίτασιν.

περίςατοι· Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως (269) "θαυματοποιίαις ταῖς οὐδὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιςάτοις γινομέναις" ἀντὶ τοῦ περὶ ἃς κύκλῳ ἵςανται οἱ θεώμενοι. Harp.

περιςεῖλαι περικαλύψαι· "ὁ δὲ τὸ σῶμα τούτου περιςείλας πέπλοις σηρικοῖς καὶ τεχνηνάμενος σῆμα ἐν αὐτῷ κατέθετο." "ὅσα ἡμαρτῆσθαι τοῖς γεινομένοις ξυμβαίνει, περιςέλλειν τε καὶ κρατύνεσθαι" ἀντὶ τοῦ περικαλύπτειν."

περιςείλας διαχειρισάμενος, περισφίγξας ἐν τῇ γῇ· Σοφοκλῆς (Ai. 832) "ἔπηξα δ' αὐτὸν εὖ περιςείλας ἐγώ."

περιςέλλω αἰτιατικῇ.

περιςένεται ⟨Hom. Π 163⟩ περιτείνεται, ςενοχωρεῖται.

περίςενος. οὕτω δράκων καλεῖται.

περιςεριδεῖς. ὥσπερ ἀπὸ τοῦ Χαίριδος Χαιριδεῖς, οὕτω καὶ ἀπὸ τῆς περιςερᾶς περιςεριδεῖς. sch. A Ach. 866.

περιστεφανωσάντων κυκλωσάντων· "περιςεφανωσάντων τοῖς ὅπλοις τὸ τεῖχος."

a περιςίαρχος ὁ περικαθαίρων τὴν ἑςίαν καὶ τὴν ἐκκλησίαν καὶ τὴν πόλιν, ἀπὸ τῆς ἑςίας, ἢ τοῦ περιςείχειν. Ἴςρος δὲ ἐν τοῖς Ἀττικοῖς "περίσια" φησί "προσαγορεύεται τὰ καθάρσια, καὶ οἱ τὰ ἱερὰ καθαίροντες περιςίαρχοι· ἔξωθεν γὰρ περιέρχονται χοιροφοροῦντες ἑκάςου τῶν ἱερῶν οἰκίαις περιειλημμένον δημοσίαις καὶ περίδρομον ἔχοντες."

b περιςίαρχος ὁ τῶν καθαρσίων προηγούμενος ἐν ταῖς ἐκκλησίαις· περίςια γὰρ τὰ καθάρσια. sch. A Eccl. 128.

περιςίξαι περικυκλῶσαι, περιελθεῖν, περιελάσαι, ἀπὸ τοῦ ςίχου.

περιςοιχίζεται. Δημοσθένης ἐν Φιλιππικοῖς ⟨4 9⟩ "μέλλοντας ἡμᾶς" φησί "καὶ καθημένους περιςοιχίζεται," ἐκ μεταφορᾶς τῶν κυνηγετῶν· κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱςᾶσιν, ἃ καλοῦσι ςοίχους ἢ ςόχους, καταπεταννύντες αὐτῶν δίκτυα, ἵνα ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ. ἔνια μέντοι τῶν ἀντιγράφων περιςοιχίζεται ἔχει, ἄλλα δὲ περισχοινίζεται. Harp.

περιςοιχίσαντος περιλαβόντος.

περιςοίχων. Δημοσθένης ἐν τῷ πρὸς Νικόςρατον ⟨15⟩ "φυτευτήρια ἐλαῶν περιςοίχων κατέκλασε." Δίδυμος δέ τι γένος ἐλαῶν περιςοίχους καλεῖ, ἃς Φιλόχορος ςοιχάδας προσηγόρευσε. μήποτε δὲ νῦν ὁ ῥήτωρ περιςοίχους κέκληκε τὰς κυκλῳ περὶ τὸ χωρίον ἐν ςοίχῳ πεφυκυίας. Harp.

περιςολή περιβολή, ἐπαγωγή.

περίςωον περίςυλον ςοὰς ἔχον.

περισυλᾷ ἀφαιρεῖται· "ὃ δὲ ἀποκτείνει αὐτοὺς καὶ περισυλᾷ ὅσα ἐπηγάγοντο" ⟨cf. v. οὐδαμῇ⟩.

περισφύριον· ⟨AP 6 172⟩ "καὶ τὸ δίθυρσον τοῦτο τὸ λογχωτὸν καὶ τὸ περισφύριον."

περισχέσθαι ἀγαπῆσαι.

περισχών κατασχών, περιβαλών.

περιτελλομένων ⟨Hom. Β 551⟩ περιερχομένων.

περιτέμνω αἰτιατικῇ.

περιτεύξεται συντύχῃ, περιπεσεῖται.

περιτεχνᾶσθαι δολιεύεσθαι, κακὰ μηχανᾶσθαι· "τὴν γὰρ διάνοιαν αὐτοῦ σαφῶς εἰδότες, καὶ περιτεχνᾶσθαί τι τοιοῦτον νομίσαντες, οὐχ οἷς ἐκεῖνος εἶπε προσεῖχον, ἀλλ' οἷς αὐτοὶ ὑπώπτευον."

περὶ τῆς ἐν Δελφοῖς σκιᾶς Δημοσθένης ⟨5 25⟩ Φιλιππικοῖς. Δίδυμός φησι τὴν περὶ ὄνου σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τοῦ ῥήτορος λέγοντος περὶ τῆς ἐν Δελφοῖς σκιᾶς, λέγεσθαι δὲ αὐτὴν ἐπὶ τοῖς περὶ τῶν μηδενὸς ἀξίων μαχομένοις. Harp.

περίτιος μὴν ὁ φεβρουάριος κατὰ Μακεδόνας.

περιτομή. ἡ περιτομὴ τοῖς Ἰουδαίοις διὰ τρεῖς αἰτίας ἐδόθη, ὥςε σημεῖον εἶναι πίςεως, καὶ τοῦ Ἀβραμιαίου γένους δηλωτικὸν καὶ σύμβολον, καὶ αἴνιγμα πολιτείας καθαρᾶς καὶ σώφρονος· ὥςε οὐχ ὡς δικαιοσύνης ποιητικὴ ἐδόθη, ἀλλὰ σφραγὶς καὶ σημεῖον τῆς ἐκ πίςεως δικαιοσύνης τȣ̃ Ἀβραάμ. Oecumenius in ep. ad Rom. 4 p. 275.

περιτράγῃ περικόψει, περιφάγῃ, ἀντὶ τȣ̃ κλέψει· Ἀριςοφάνης ⟨Ach. 245⟩ "κἂν τὤχλῳ φυλάττεσθαι σφόδρα, μή τις λαθών σε περιτράγῃ τὰ χρυσία."

περιτρέπω αἰτιατικῇ.

περιτροπῇ ἐν περιόδῳ· ⟨Procop. Goth. 3 20⟩ "τῆς νυκτὸς τὸν καιρὸν εἰς ὃν τοῖς Ἰσαύροις ἡ φυλακὴ τοῦ τείχους, ὕπνον ἐκ περιτροπῆς τῶν ἄλλων αἱρουμένων, ἐπέβαλε."

περιττός ἀντὶ τȣ̃ πολύς· "Σαλούςιος ὁ τῆς αὐλῆς ἔπαρχος ἀνὴρ ἦν διαφερόντως περιττὸς εἰς φιλανθρωπίαν" ⟨cf. v. Σαλούςιος c⟩.

περιττότερα μείζονα· "τὰ δὲ λεγόμενα χρυσᾶ μῆλα τῶν Ἑσπερίδων οὐ χρυσᾶ ἦσαν ἀλλὰ περιττότερα τῶν ἄλλων."

περιφάνεια.

περίφασις· Πολύβιος ⟨10 42 extr.⟩ "ἐκέλευσε διασαφεῖν αὐτῷ πάντα τὰ γινόμενα διὰ τῶν πυρσῶν ἐπὶ τὸ Τίσαιον. ἔςι δὲ τῆς Θετταλίας ὄρος, εὐφυῶς κείμενον πρὸς τὰς τῶν προειρημένων τόπων περιφάσεις."

περιφερές κύκλῳ, ςρογγύλον.

περιφοιτῶντα περιερχόμενον.

περιφορά κίνησις.

περιφόρητα ἀκτά, Ἡρόδοτος ⟨[illegible]

περιφρονεῖν ὑπερφρονεῖν· Ἀριςοφάνης δὲ (Nub. 739) "περιφρόνει τὰ πράγματα" ἀντὶ τοῦ ἐρεύνα, ἀναζήτει.

περίφρων περισσόφρων.

περιφύς περιπλακείς. Hom. π 21.

περιφώσαντες σκεπάσαντες, πωμάσαντες· "πλῆθος δὲ θηρίων ἀθροίσαντες ἱκανὸν ἐς χύτρας καινὰς ἐνέβαλλον, καὶ περιφώσαντες αὐτὰς εἶχον ἐν ἑτοίμῳ πρὸς τὴν χρείαν."

περιχαίνω αἰτιατικῇ· "οἷόν τι ποιοῦσιν οἱ κύνες, τοὺς λίθους οἷς βάλλονται περιχαίνοντες."

περιχάρεια ἡ χαρά.

περιχάρειαν περιττὴν χαράν.

περιχλαινίζεται περιβάλλεται.

περίψημα (1 Cor. 4 13) καταπάτημα ὑπὸ τὰ ἴχνη, ἢ ἀπολύτρωσις. οὕτως ἐπέλεγον τῷ κατ' ἐνιαυτὸν ἐμβαλλομένῳ τῇ θαλάσσῃ νεανίᾳ ἐπὶ ἀπαλλαγῇ τῶν συνεχόντων κακῶν, "περίψημα ἡμῶν γενοῦ" ἤτοι σωτηρία καὶ ἀπολύτρωσις· καὶ οὕτως ἐνέβαλλον τῇ θαλάσσῃ, ὡσανεὶ τῷ Ποσειδῶνι θυσίαν ἀποτιννύντες.

περιψῆν ἐκμάσσειν, σπογγίζειν· Ἀριςοφάνης (Eq. 905) "ἰδού, δέχου κέρκον λαγώ," ὥςε τὰς λήμας περιψῆν (cf. v. κέρκος a).

περιωδυνίαν ἀλγηδόνα καὶ περιττὴν ὀδύνην.

περιωπή ἀκρώρεια, ὑψηλὸς τόπος.

περιωπή καὶ *πίσυνοι* καὶ *πύστεις*. πάντα ταῦτα γλωττώδη παρὰ Θουκυδίδῃ. καλεῖ δὲ περιωπὴν τὴν φροντίδα καὶ τὴν περίσκεψιν, οὐ τὸν τόπον ὡς Ὅμηρος. καὶ Ἀγαθίας δὲ (1 21) τὴν περίσκεψιν λέγει· "ὁ δὲ Ναρσῆς ἵςο ἐς ὑπερῷόν τι δωμάτιον ἐν περιωπῇ τοῦ πεδίου," τουτέςιν ἐν περισκέψει. καὶ Σιμόκατος (2 5) "καὶ οὖν ἄττουσι πρὸς τὰ ὑψηλά, καὶ περισκοποῦσιν ἔκ τινος μεγίςης περιωπῆς, καὶ τὸ πολέμιον ἀφανές."

περιωρίσθαι.

περιώσας ὠθήσας.

περιώσιον. Hom. Δ 359.

περκάζει πεπαίνει, μελανίζει.

περκνός μέλας.

Περκώσιος (Hom. B 831). καὶ *Περκώτη* (835) ὄνομα τόπου.

πέρναται πιπράσκεται. ἔνθεν καὶ πόρνη ἡ πωλοῦσα τὴν μῖξιν, ἢ παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν.

Περόζης ὁ Περσῶν βασιλεύς.

περόνη πόρπη· (AP 6 282) "καὶ δίβολον a περόνην καὶ ςλεγγίδα καὶ τὸ τανυσθὲν τόξον."

περόνη κόσμος τις· "καὶ περόναις χρυ- b σαῖς διαπεπερονημένοι καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι" (Eunap. p. 113 Nieb.).

περπερεία ἡ κολακεία. "ἡ ἀγάπη οὐ περπερεύεται" ὁ ἀπόςολος Παῦλός φησι (1 Cor. 13 4), τουτέςιν οὐ προπετεῖ.

πέρπερος ὁ μετὰ βλακείας ἐπηρμένος, οἷον λάλος, προπετής, μηδὲν λογισμῷ ποιῶν.

Περραιβοί ἔθνος.

Περσαῖος Κιτιεύς, φιλόσοφος ςωικός· ἐπεκλήθη δὲ καὶ Δωρόθεος. ἦν δὲ ἐπὶ τῶν χρόνων Ἀντιγόνου τοῦ Γονατᾶ υἱοῦ Δημητρίου, μαθητὴς καὶ θρεπτὸς Ζήνωνος τοῦ φιλοσόφου. ἱςορίαν.

περσέα ῥοδακινέα.

Περσεῖδαι ἀπὸ Περσέως.

Περσεύς. "οὗτος ἀνανεωσάμενος τὴν a πρὸς Ῥωμαίους φιλίαν εὐθέως ἑλληνοκοπεῖν ἐπεβάλετο, κατακαλῶν ἐς τὴν Μακεδονίαν καὶ τοὺς τὰ χρέα φεύγοντας καὶ τοὺς πρὸς καταδίκας ἐκπεπτωκότας καὶ τοὺς ἐπὶ βασιλικοῖς ἐγκλήμασι παρακεχωρηκότας. καὶ τούτων ἐξετίθει προγραφὰς εἴς τε Δῆλον καὶ Δελφούς,, διδοὺς οὐ μόνον τὴν ἀσφάλειαν τοῖς καταπορευομένοις, ἀλλὰ καὶ τῶν ὑπαρχόντων κομιδήν, ἀφ' ὧν ἕκαςος ἔφυγε. παρέλυσε δὲ τοὺς ἐν αὐτῇ τῇ Μακεδονίᾳ τῶν βασιλικῶν ὀφειλημάτων, ἀφῆκε δὲ καὶ τοὺς ἐν ταῖς φυλακαῖς ἐγκεκλεισμένους ἐπὶ βασιλικαῖς αἰτίαις. ταῦτα δὲ ποιήσας πολλούς τε πολλάκις μετεώριζε, δοκῶν καλὰς ἐλπίδας ὑποδεικνύναι πᾶσι τοῖς Ἕλλησιν ἐν αὐτῷ· ἐπέφαινε δὲ καὶ κατὰ τὴν ἐν τῷ πολέμῳ (an λοιπῷ βίῳ) προςασίαν τὸ τῆς βασιλείας ἀξίωμα. κατά τε γὰρ τὴν ἐπιφάνειαν ἦν ἱκανός, καὶ πρὸς πᾶσαν σωματικὴν χρείαν τὴν διατείνουσαν εἰς τὸν πραγματικὸν τρόπον εὔθετος· κατά τε τὴν ἐπίφασιν εἶχεν ἐπισκύνιον καὶ τάξιν οὐκ ἀνοίκειον τῆς ἡλικίας. ἐπεφεύγει δὲ καὶ τὴν πατρικὴν ἀσέλγειαν, τήν τε περὶ τὰς γυναῖκας καὶ τὴν περὶ τοὺς πότους. καὶ τὰ μὲν προοίμια αὐτοῦ τοιαύτην ἔσχε διάθεσιν" (Polyb. 26 5).

Περσεὺς Μακεδών. ὅτι Περσεὺς ἀνα- b θαρρῶν ἤδη κατ' ὀλίγον μετὰ τὴν φυγὴν Νικίαν καὶ Ἀνδρόνικον, οὓς ἐπὶ τὸν καταποντισμὸν τῶν χρημάτων καὶ τὸν ἐμπρησμὸν

τῶν νεῶν ἐπεπόμφει, περιποιήσας αὐτῷ καὶ τὰς ναῦς καὶ τὰ χρήματα, συνίςορας ἡγούμενος αἰσχροῦ φόβου καὶ ἑτέροις ἐξαγγελεῖν, ἀπέκτεινεν ἀθεμίςως· καὶ ἀπὸ τοῦδε εὐθὺς ἐκ μεταβολῆς ὠμὸς καὶ εὐχερὴς ἐς ἅπαντας ἐγένετο, καὶ οὐδὲν ὑγιὲς οὔτε εὔβολόν οἱ ἔτι ἦν, ἀλλ' ὁ πιθανώτατος ἐς εὐβουλίαν καὶ λογίσασθαι δεξιὸς καὶ εὐτολμότατος ἐς μάχας, ὅσα γε μὴ σφάλλοιτο δι' ἀπειρίαν, ἀθρόως τότε καὶ παραλόγως ἐς δειλίαν καὶ ἀλογιςίαν ἐτρέπετο, καὶ ταχὺς καὶ εὐμετάθετος ἄφνω καὶ σκαιὸς εἰς πάντας ἐγίνετο, ἀρχομένης αὐτὸν ἐπιλείπειν τῆς τύχης. ὅπερ ἔςι πολλοὺς ἰδεῖν μεταβολῆς προϊούσης ἀλογωτέρους γενομένους ἑαυτῶν. Appian. t. 1 p. 529.

ὅτι ἡ τοῦ Περσέως ναῦς τά τε ἄλλα ἐξήσκητο μεγαλοφυῶς, καὶ τὴν εἰρεσίαν ἐπὶ ις' ςοίχων εἶχε πεποιημένην.

Περσεφόνη καταγειος δαίμων. Ἠλέκτρα φησίν (S 110) "ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης, ὦ χθόνι' Ἑρμῆ καὶ πότνι' ἀρά, σεμναί τ' ἐρινύες, αἳ τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε, τοὺς εὐνὰς ὑποκλεπτομένους, ἔλθετ', ἀρήξατε πατρὸς φόνον ἡμετέρου."

Πέρσης Ἀσκραῖος ἐποποιός, ἀδελφὸς Ἡσιόδου τοῦ ποιητοῦ.

περσικαί. ὅτι περσικαὶ εἰσὶ μὲν δένδρα, ἔςι δὲ καὶ ὑποδήματος εἶδος γυναικεῖα· Ἀριςοφάνης Νεφέλαις (152) "κᾆτα ψυγείσῃ περιέφυσαν περσικαί."

Περσικὸς ὄρνις ὁ ἀλέκτωρ, διὰ τὴν λοφιάν. ἢ ὅτι τὰ πολυτελῆ πάντα, οἷς βασιλεὺς ἐχρῆτο, ἐκαλεῖτο Περσικά. καὶ νῦν παρὰ Ἀριςοφάνει (Av. 708) οὐκ ἰδίως ὄρνις Περσικός.

Περσίς ὄνομα τόπου.

περῶ περαίω περαιῶ, ὡς μῶ μαίω μαιῶ.

πέρωνος.

πέση αὐθυπότακτον.

πέσημα πτῶμα. "πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι" περὶ Αἴαντός φησιν (1033), ὅτι ἑαυτὸν ξίφει διεχρήσατο.

πέσκος δέρμα, κώδιον.

Πεσσινοῦντος πόλεως.

πεσσόμενα παρὰ Ἡροδότῳ (2 37) ὀπτώμενα.

πεσσούς κύβους. καὶ πεσσοὶ ψῆφοι, παρὰ Ἡροδότῳ (1 94), ἐν αἷς ἔπαιζον.

πετάλοις φύλλοις. καὶ ἐν ἐπιγράμμασι (AP 6 282) πέταλον πίλημα ἐξ ἐρίου πιληθέν· "σοὶ τὸν πιληθέντα δι' εὔξαντος τριχὸς ἀμνοῦ, Ἑρμᾶ, Καλλιτέλης ἐκρέμασεν πέταλον."

πετάλῳ· "ἔχοντες γέρρα πάντες βοῶν λευκῶν δασέα, εἰκασμένα κιττοῦ πετάλῳ" (cf. v. ἀντιςοιχοῦντες).

πέτασος εἶδος ὑφάσματος· "ἐπιρριψάντων Δράκοντι τῷ νομοθέτῃ τῶν Ἀθηναίων πετάσους πλείονας καὶ χιτῶνας ἀποπνιγῆναι ἐν τῷ θεάτρῳ" (cf. v. Δράκων).

πέταυρα τίγνα· Βάβριος (124 13) "ὁ δ' ἐκ πεταύρου κλαγγὸν εἶπε φωνήσας· πόθεν μαθήσῃ πόσσον εἰς ἕω λείπει, τὸν ὡρονόμον θύσας με;"

πέταυρον (Proverb. 9 18) παγίς, βάθος, σανίς, οἷον πέτευδον, παρὰ τὸ εὕδειν ἐν αὐτῷ τὰ πετεινά.

πετεινόν καὶ πετεηνόν.

Πετεῶο (Hom. B 552) τοῦ Πετεῶ παῖς.

πέτηλον τὸ φύλλον.

Πετίλιος ὄνομα κύριον.

πετόμενος φερόμενος.

Πετόσιρις Αἰγύπτιος φιλόσοφος, καθὰ Ἕλληνες καὶ Αἰγύπτιοι τὰς περὶ θεῶν διετάξαντο, ἐπιλογὰς ἐκ τῶν ἱερῶν βιβλίων, ἀςρολογούμενα, καὶ περὶ τῶν παρ' Αἰγυπτίοις μυςηρίων.

Πετραία ὄνομα πόλεως.

πετρηδόν δίκην πετρῶν.

πετρήεσσα (Hom. δ 844) πετρώδης, βαθεῖα.

πετρόβολον. ἡ τοῦ μηχανήματος ἀλκὴ τοῦ πετροβόλου, τοῦ κατὰ τὴν πολιορκίαν τῆς Ἰουδαίας (an Ἰωταπάτης) ὑπὸ τοῦ Οὐεσπασιανοῦ, τοιάδε τις ἦν. πληγεὶς γάρ τις ὑπ' αὐτοῦ τῶν περὶ τὸν Ἰώσηπον ἑςώτων ἀνὰ τὸ τεῖχος ἀπαράσσεται τὴν κεφαλὴν ὑπὸ τῆς πέτρας, καὶ τὸ κρανίον ἀπὸ τριῶν ἐσφενδονήθη ςαδίων. γυναικός τε μεθ' ἡμέραν ἐγκύμονος πληγείσης τὴν γαςέρα (προήει δὲ νέον ἐξ οἰκίας) ἐξέσεισεν ἐφ' ἡμιςάδιον τὸ βρέφος. τοσαύτη ἦν ἡ τοῦ λίθου βία. τῶν οὖν ὀργάνων φοβερώτερος ὁ ῥοῖζος, τῶν δὲ βαλλομένων ἦν ὁ ψόφος. Ioseph. B. I. 3 7 23.

Πέτρος ὁ ῥήτωρ, ὁ καὶ μάγιςρος, ἱςο- a
ρικός, πρεσβευτὴς ὡς Χοσρόην ςαλεὶς μάλα ἐμβριθής τε ἦν καὶ ἀνάλωτος ἐν τῷ ῥητορεύειν τῷ καταμαλάξαι φρονήματα βαρβαρικὰ σκληρά τε καὶ ὀγκώδη. ἔγραψεν ἱςορίας, καὶ περὶ πολιτικῆς καταςάσεως.

Πέτρος. οὗτος ἦν ἐπὶ Ἰουςινιανοῦ, ἔφθασε b

δὲ καὶ μέχρι μαγίρου γενέσθαι· ὃς ἀεὶ καὶ καθ' ἡμέραν τοὺς βασιλεῖς κλοπαῖς ἀμυθήτοις ἀπέκναιε. πρᾶος μὲν γὰρ ἦν καὶ ὡς ἥκιστα ὑβρίζειν εἰδώς, κλεπτίστατος δὲ ἁπάντων ἀνθρώπων, καὶ ῥύπου αἰσχροῦ ἀτεχνῶς ἔμπλεως. Procop. Arc. 24.

c Πέτρος ὁ Μογγὸς Ἀλεξανδρείας μὲν ἦν ἐπίσκοπος, αἱρετικὸς δὲ διάπυρος. Εὐφήμιος δὲ ὁ πατριάρχης ζηλωτὴς ἦν τῆς ὀρθοδόξου πίστεως.

πεττεύει μεταφέρει, ἀπὸ τῶν πεττῶν, τουτέστι τῶν κύβων.

πεττεύουσι ταβλίζουσι, καὶ πεττείαις παιδιαῖς, τάβλαις.

πέττουσα ἀρτοποιοῦσα, καὶ πέττουσιν ἀρτοποιοῦσι· καὶ Ἀριστοφάνης (Plut. 1127) "τοὺν τετράδι πεπεμμένου." ἔξω τῶν ἑορτῶν ἱεραί τινες ἡμέραι τοῦ μηνὸς ἐνομίζοντο Ἀθήνησι θεοῖς τισίν, οἷον νουμηνία καὶ ἑβδόμη Ἀπόλλωνι, τετάρτη Ἑρμῇ, ὀγδόη Θησεῖ. πεττοὶ δὲ τὰ βόλια ἐν οἷς ταβλίζουσι.

πευθὴν πευθῆνος ὁ μανδάτωρ.

πεῦκαι λαμπάδες, δᾷδες· (AP 7 182) "αἱ δ' αὐταὶ καὶ φέγγος ἐδᾳδούχουν παρὰ παστῷ πεῦκαι, καὶ φθιμένῃ νέρθεν ἔφαινον ὁδόν." καὶ παροιμία "πεύκης τρόπον" ἐπὶ τῶν πανωλεθρίᾳ ἀπολλυμένων, ἐπεὶ ἡ πεύκη κοπεῖσα οὐκ ἀνίησιν ἔτι βλαστόν.

πευκαλίμη φρόνιμος.

Πευκελαῶτις πόλις. Arrian. Anab. 4 22.

πευκήεντα.

πεύσῃ ἀντὶ τοῦ ἐρωτήσεις, μαθήσῃ, ἀκούσεις. καὶ πεύσομαι ἐρωτήσω.

πεφασμένον εἰρημένον, ἢ πεφανερωμένον.

πεφασμένος ἀντὶ τοῦ γεγενημένος Λυκοῦργος. Λυσίας δὲ πεφασμένως ἀντὶ τοῦ φανερῶς λέγει. Harp.

πεφασμένου φανεροῦ γενομένου· (S OR 838) "πεφασμένου δὲ τίς ποθ' ἡ προθυμία;"

πεφεισμένοι φειδόμενοι.

πεφενάκικεν ἠπάτησεν.

πέφηνεν ἐφανερώθη.

πεφήσεται (Hom. Ο 140) ἀναιρεθήσεται, πεφιδήσεται δὲ (Ο 215) φείσεται.

πεφιλοσοφήσθω.

πεφοβήατο (Hom. Φ 206).

πεφόνευκεν ἐφόνευσε.

πεφοριῶσθαι· Λυσίας "ἢ τῶν ὀφθαλμῶν τὸν ἕτερον γλαυκότερον εἶναι ἢ πεφοριῶσθαι." ἐπὶ τοῦ ἀποκεκλιμένου Εὐφορίων κέχρηται τῷ ὀνόματι. εἰσὶ δέ τινες ὀφθαλμοὶ κεχαλασμένα τὰ βλέφαρα ἔχοντες καὶ οἱονεὶ μύοντες. ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι, ἀπὸ τῆς φορίνης· τάττουσι γὰρ ἐπὶ ἀνθρώπων τὴν φορίνην. Harp.

πεφορυγμένον κεκαλυμμένον· (AP 6 223) "δισσάκι τετρόργυιον ὑπαὶ πεφορυγμένον ἀφρῷ."

πέφρικα, ἀπὸ τοῦ φρίσσω, φοβοῦμαι, δέδοικα, δειλιῶ.

πεφρονηματισμένος οἰήσεως πληρωθείς· "ὃ δὲ κατὰ τὰς μάχας πολλάκις εὐημερῶν καὶ πεφρονηματισμένος ἐπ' ἀνδρείᾳ."

πεφρυγμένα τὰ ἐς τὴν χεῖρα λεπτυνόμενα χίδρα σίτου καὶ κριθῆς. Levit. 23 14.

πεφυζότες δειλιῶντες. Hom. Φ 6.

πέφυκε φύσει ὑπάρχει, καὶ πεφυκὼς φύσει ὑπάρχων.

πεφυρμένος μεμολυσμένος· "ὃ δὲ ἔτι φονῶν καὶ πεφυρμένος τῷ λύθρῳ ἐς τοὺς ἐχθροὺς ἔρχεται."

πεφυσιγγωμένοι πεφυσημένοι· φύσιγξ δὲ τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων, ἡ φυσίγγη. ἔπαιξεν οὖν καὶ τοῦτο εἰς Μεγαρέας, ὅτι πολλὰ σκόροδα ἔχουσιν. ἢ πεπλησμένοι, ἀπὸ μεταφορᾶς τῶν τὸν ἄνεμον δεχομένων ἀσκῶν ἢ φυσῶν. ἢ ἐκκεκαυμένοι, οἰδοῦντες· Ἀριστοφάνης (Ach. 525) "κᾆθ' οἱ Μεγαρεῖς ὀδύναις πεφυσιγγωμένοι ἀντεξέκλεψαν Ἀσπασίας."

πεφώραται πεφανέρωται, εὕρηται.

πέψει πραΰνει.

πῇ ποῦ, εἰς τίνα τόπον· "πῇ δὴ τόνδε μολοβρὸν ἄγεις;" Ὅμηρος (ρ 219).

Πηγαὶ τόπος ἐν Μεγάροις.

πηγαῖον ὕδωρ ἐκ πηγῆς.

πήγανον εἶδος βοτάνης.

πηγὰς γάλακτος πολὺ γάλα, ὡς πηγὰς δακρύων πολλὰ δάκρυα. sch. S El. 895.

πηγεσίμαλλος (Hom. Γ 197) ὁ βαθύμαλλος.

πηγίδιον ἡ μικρὰ πηγή.

πηγός (Hom. ε 388) ὁ εὐτραφής.

πηγυλίς (Hom. ξ 476) τὸ κρύος.

Πήδαιος (Hom. Ε 69) ὄνομα κύριον.

πηδάλια οἴακες, αὐχένες. Ἀριστοφάνης (Pac. 142) "ἐπίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι. τὸ δὲ πλοῖον ἔσται ναξιουργὴς κάνθαρος."

πηδαλιουχεῖν κυβερνᾶν· Ἀριςοφάνης ⟨Eq. 539⟩ "ἐρέτην χρὴ πρῶτα γενέσθαι πρὶν πηδαλίοις ἐπιχειρεῖν, κἀντεῦθεν πρῳρατεῦσαι καὶ τοὺς ἀνέμȣς διαθρῆσαι, κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ." τοῦτό φησι καὶ ὁ θεολόγος ὅλον τὸ χωρίον ⟨or. 20 p. 335⟩.

Πηδαλίωνος ὄνομα κύριον.

πηδᾶν ἀντὶ τοῦ ὑπερηφανεῖν· ⟨A Nub. 1395⟩ "οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας πηδᾶν ὅ τι λέξει."

Πήδασος ὄνομα πόλεως. Hom. Ζ 35.

πηδόν τὴν κώπην.

πηκτή· ἐν ἐπιγράμματι ⟨AP 6 55⟩ "Πειθοῖ καὶ Παφίᾳ πακτὰν καὶ κηρία σίμβλων ἀνέθηκεν ὁ βουκόλος." καὶ εἶδος ἀκολάστου σχήματος. καὶ πηκταί θηρευτικὸν ὄργανον παρ' Ἀριςοφάνει ⟨Av. 531⟩.

πηκτίς πηκτίδος πάνδουρα, μάχαιρα κρεωκόπος. παρὰ δὲ Ἀριςοφάνει ἐν Θεσμοφοριαζούσαις ⟨1223⟩ εἶδος ὀργάνου κιθαρῳδικοῦ· "τὴν γραῦν ἐρωτᾷς, ἣ ἔφερεν τὰς πηκτίδας;" ἢ εἶδος ἀκολάςȣ σχήματος. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 139⟩ "ἀδὺ μέλος, ναὶ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις."

πηκτόν τὸ κατασκευαςὸν ἄροτρον.

Πηλαγόνος ὄνομα γίγαντος.

πηλακισμός ὁ ἐμπαιγμός.

πήλαξ ῥαγάς.

Πηλείδης ὁ τοῦ Πηλέως.

Πηλείωνος ὄνομα κύριον.

Πηλέως μάχαιρα, παροιμία. ταύτην ἀναγράφει καὶ Ἀριςοφάνης ὅτως· μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ, ἣ ἐδόκει σωφροσύνης γέρας, ἡφαιςότευκτος οὖσα, ἣν εἰλήφει μάχαιραν ὁ Πηλεύς. cf. sch. A Nub. 1059.

Πηληιάδεω Ἀχιλῆος δι' ἑνὸς λ.

πήληκα περικεφαλαίαν.

Πήληξ. Αἰσχίνης κατὰ Κτησιφῶντος ⟨139⟩. δῆμος τῆς Λεοντίδος. Harp.

πηλίκον ποταπόν.

Πήλιον ὄνομα ὄρους.

πηλός.

Πηλούσιον ὄνομα τόπȣ. κλεὶς τῆς Αἰγύπτου καὶ εἰσόδου καὶ ἐξόδου. καὶ Πηλουσιώτης ὁ πολίτης.

πηλοφόροι χειροτέχναι, μισθωτοί. sch. A Eccl. 310.

πῆμα κακόν, βλάβη, δυςυχία· Σοφοκλῆς ⟨Ai. 363⟩ "μὴ κακὸν κακῷ διδȣ̀ς ἄκος πλέον τὸ πῆμα τῆς ἄτης τίθει." τὸ ἑξῆς· μὴ κακὸν κακῷ διδοὺς ἄκος μεῖζον ποιήσῃς τῆς ἄτης τὸ πῆμα. ἄτην φησὶ τὴν μανίαν, πῆμα δὲ τὸν θάνατον, ὅ ἐςι χεῖρον τῆς μανίας. καὶ αὖθις Σοφοκλῆς ⟨OR 379⟩ "Κρέων δέ σοι πῆμ' ȣ̓δέν, ἀλλ' αὐτὸς σὺ σοί·" εἰρήκει γὰρ Οἰδίπους "Κρέοντος ἢ σοῦ ταῦτα τἀξευρήματα;"

πημαίνει ⟨Hom. Ο 42⟩ κακοῖ, βλάπτει.

πημανεῖ· Ἀριςοφάνης ⟨Ach. 839⟩ "οὐδὲ Κτησίας ὁ συκοφάντης πημανεῖ." οὗτος ἐπὶ συκοφαντίᾳ ἐκωμῳδεῖτο.

πῇ μέν ὅπου μέν.

πημήνειαν ⟨Hom. Γ 299⟩ βλάψειαν. ⟨Agath. 5 23⟩ "ὃ δὲ οὐ πρότερον ἀνῆκε, πρὶν σφόδρα πημῆναι τὸ δυσμενὲς καὶ πολλοὺς ὅσους διαχειρίσασθαι."

πημονή ἡ βλάβη.

Πηνειός ὄνομα ποταμοῦ.

· Πηνέλεως ὄνομα κύριον.

Πηνελόπεια καὶ Πηνελόπη ὀνόματα κύρια.

πηνίκα πότε· "οὐκ εἰδότα πηνίκα δὲ ἐξώρμησε τῆς νυκτός."

πηνίκ' ἐςὶν ἄρα τῆς ἡμέρας" ⟨A Av. 1485⟩, ἀντὶ τȣ̃ ποίᾳ ὥρᾳ ἐςὶ τῆς ἡμέρας; ὥρας γὰρ ἐζήτουν, οὐ καιρούς. τὸ δὲ ἀνταποδοτικόν "ὁπηνίκα; σμικρόν τι μετὰ μεσημβρίαν." τὸ δὲ "πηνίκ' ἄττ' ἀπώλετο" ⟨1501⟩ οὐκ Ἀττικόν, οὐδὲ ἀρχαϊκόν, οὐδὲ ἀκριβές. ἔςι δὲ ἀντὶ τοῦ πότε δῆτα· παρέλκει γὰρ τὸ ἄττα· ἀλόγως γὰρ κεῖται· οὔτε γὰρ τὸ τινά σημαίνει οὔτε τὸ ἅτινα· ȣ̓δὲν γὰρ τούτων ἁρμόζει τῷ πηνίκα.

πηνίκη περικεφαλαία τριχωτή, καὶ περιθετὴ κόμη. ἔνθεν καὶ πηνικίζειν τὸ ἀπατᾶν. τῆς δὲ περιθετῆς κόμης τὸ μὲν ἔντριχον, τὸ δὲ προκόμιον, τὸ δὲ πηνίκην ἐκάλȣν. cf. v. φενάκη.

πηνίον ὁ ἄτρακτος, ἐν ᾧ εἱλεῖται ἡ κρόκη. ⟨AP 6 288⟩ "καὶ τὰ τροχαῖα πανία, κερκίδας τούσδε ποτιρρογέας, καὶ σπάθας εὐβριθεῖς, πολυάργυρα." καὶ Ὅμηρος ⟨Ψ 762⟩ "πηνίον ἐξέλκουσα." ὅθεν καὶ τὸ ἐκπηνιεῖται.

πηνίον ζῷον ὅμοιον κώνωπι· Ἀριςοφά- b
νης Νεφέλαις "κείσεσθον ὥσπερ πηνίω βινουμένω," ἀντὶ τοῦ ξηροί· σκώπτει γὰρ τȣ̀ς περὶ Χαιρεφῶντα εἰς ξηρότητα καὶ ἀσθένειαν. ὅτι δὲ κώνωπος εἶδός ἐςι, Σπεύσιππος ἐν τῷ ιβ' τῶν ὁμοιοτήτων φησὶν οὕτως "πηνίον ἐμπὶς κώνωψ."

πηνίσματα ὑφάσματα.

πηός ὁ κατ' ἐπιγαμίαν συγγενής, καὶ πηοσύνη ἡ συγγαμβρία, καὶ πηῶν τῶν συγγενῶν· Ὅμηρος ⟨Γ 163⟩ "πηούς τε φίλους τε."

a πήρα ἡ θήκη τῶν ἄρτων. καὶ παροιμία "πτωχȣ̃ πήρα οὐ πίμπλαται" ἐπὶ τῶν ἀπλήστων.

b πήρα μάρσιππος, θήκη· ⟨AP 6 95⟩ "καὶ πήραν, μέτρον σιτοδόχον σπορίμου." καὶ πηρίδιον· καὶ Ἀριςοφάνης ⟨Nub. 922⟩ "Τήλεφος ἐκ πηριδίου." οὗτος πένης ἦν.

πηρίν πηρῖνος τὸ αἰδοῖον.

πηρός ὁ παντάπασι μὴ ὁρῶν.

πήρωσις ἡ τύφλωσις. cf. v. δαίμων.

πήσσω τὸ πηγνύω.

πητύα ὁ ὀπὸς ὁ τυρεύων τὸ γάλα. καὶ παροιμία "αὐτὸς γὰρ εὗρες τοῦ κακοῦ τὴν πητύαν" ἤτοι τὴν πηγήν, ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.

πηχίσκους ξυλάρια πηχυαῖα· "τῶν δὲ τὸν σχοῖνον ἑλκυσάντων, ἐν ᾧ πηχίσκȣς τινὰς ἐμβαλόντες ἀνάβασιν ἀσφαλῆ ἀπειργάσαντο."

πηχυαῖος.

πῆχυς πήχεως τὸ ἀπὸ τοῦ ἀγκῶνος μέχρι τῶν δακτύλων τῆς χειρὸς ἔκταμα. ὅτι ὁ πῆχυς ἔχει πόδας ἕνα καὶ ἥμισυ, ὁ δὲ ποὺς δακτύλους ιϛ'.

πιαίνων θεραπεύων, ὑποτρέφων· Αἰλιανός "λίχνον - - - ἀτέλεςος ὤν" ⟨cf. v. λίχνον⟩.

πιανάτω πίονα ποιήσει· ⟨Ps. 19 3⟩ "τὰ ὁλοκαυτώματά σου πιανάτω."

πιάνῃ αὐθυπότακτον.

πιανθήσεται.

πιανῶ λιπαρὸν ποιήσω.

πίαρι τῷ λιπαρῷ.

πιγνύη ⟨an πιτύη⟩ κνῖκος ὁ τὸν τυρὸν πηγνύων.

a Πίγρης Κὰρ ἀπὸ Ἁλικαρνασοῦ, ἀδελφὸς Ἀρτεμισίας τῆς ἐν τοῖς πολέμοις διαφανοῦς, Μαυσώλȣ γυναικός· ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ ςίχον ἐλεγεῖον, οὕτω γράψας "μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος, μȣ̃σα, σὺ γὰρ πάσης πείρατ' ἔχεις σοφίης" ⟨cf. v. Τιμόλαος⟩. ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην καὶ Βατραχομυομαχίαν.

b Πίγρης Πίγρητος ὄνομα ποταμοῦ.

Πίδαιος ὄνομα κύριον.

πίδακες ςαγόνες, πηγαί· "καὶ αἱ μὲν κατ' αὐτὸ πίδακες ἁλμυροῦ ὕδατος ἦσαν αἱ πᾶσαι."

πιδάκιον πῖδαξ, πηγή· ἢ ςαγών. καὶ εὔπιδαξ χῶρος ὁ καλὴν πηγὴν ἔχων. "πορφυρίαν τε βότρυν, μεθυπίδακα, πυκνορρᾶγα" ἐν ἐπιγράμμασι ⟨AP 6 22⟩.

πιδηέσσης ⟨Hom. Λ 183⟩ καθύγρου.

πιδύειν ἀναδιδόναι.

Πιδύτης ὄνομα κύριον.

πίε πῖθι.

πιεζόμενος βαρούμενος, δαμαζόμενος. καὶ πιέζει ἀντὶ τοῦ λυπεῖ· Ἀριστοφάνης ⟨Pac. 1021⟩ "τὸν Στιλβίδην πιέζει." ὁ δὲ Στιλβίδης μάντις ἄριςος καὶ εὐδόκιμος.

πίειρα λιπαρή.

Πιερία ὄρος Μακεδονίας, καὶ Πιερίδες αἱ μοῦσαι αἱ ἐν Μακεδονίᾳ· ἐν ἐπιγράμμασιν ⟨AP 6 80⟩ "οὐ γὰρ Πιερίδεσσι τόσον μέλω ὅσσον Ἔρωτι, ὄργια τοσσατίων ἀμφιέπουσα πόθων."

πιεςήριον τὸ ἐκθλῖβον.

πιῇ αὐθυπότακτον.

πιήεντα λιπαρά, ἀνθηρά· ⟨AP 6 300⟩ "ψαιςά τε πιήεντα καὶ εὐθήσαυρον ἐλαιον."

πιήναντα λιπαρὸς ἐργασάμενον. "Αλυάττου πολιορκοῦντος Πριήνην τὸν Βίαντα τὸν σοφὸν πιήναντα δύο ἡμιόνους ἐξελάσαι εἰς τὸ ςρατόπεδον. τὸν δὲ συνιδόντα καταπλαγῆναι τὸ μέχρι καὶ ἀλόγων διατείνειν αὐτῶν τὴν εὐθηνίαν. καὶ ἐβȣλήθη σπείσασθαι καὶ εἰσέπεμψεν ἄγγελον" ⟨Diog. L. 1 83⟩.

Πιθακίωνος.

πιθάκνη ὑποκοριςικῶς μικρὸς πίθος, ὡς πολίχνη. παρὰ δὲ Ἀριςοφάνει πιθάκναι οἱ ἔρημοι τόποι· διὰ γὰρ τὸν πόλεμον ἐν σπηλαίοις ᾤκουν οἱ ἐκ τῶν ἀγρῶν. οἱ δὲ παλαιοὶ φιδάκνην λέγουσι. sch. A Eq. 789.

πιθανόν. πιθανὸν ἀξίωμά ἐςι τὸ ἄγον εἰς συγκατάθεσιν, οἷον "εἴ τίς τι ἔτικτεν, ἐκείνη ἐκείνου μήτηρ ἐςί." ψεῦδος δὲ τȣ̃το· οὐ γὰρ ἡ ὄρνις ᾠȣ̃ ἐςὶ μήτηρ. Diog. L. 7 75.

πιθανούς τοὺς εὐπειθεῖς Ξενοφῶν Κύρου παιδείᾳ ⟨2 2 10⟩ "πιθανοὶ δὲ οὕτως εἰσί τινες ὥςε, πρὶν εἰδέναι τὸ προςαττόμενον, πρότερον πείθεσθαι," ὥσπερ φοβεροὺς τοὺς φοβουμένους Θουκυδίδης ⟨2 3⟩. Ἀππιανός "ἕνα δ' αὐτῶν πιςὸν καὶ πιθανὸν εἰς τὸ ἔργον ἐντυχόντα τοῖς ὑπάτοις ἐν ἀπορρήτῳ συνόδον αἰτῆσαι." "καὶ πιθανότητές τινες συνεκύρησαν ἐκ τῆς περιπετείας, ἃς οἱ Ῥωμαῖοι

παρεπλάττοντο φιλοτιμότερον τοῦ δέοντος." καὶ αὖθις "διὰ ῥώμην σώματος καὶ τὸ ἐς τὰς μάχας προπετὲς εἶναι τῷ πλήθει πιθανόν" ἀντὶ τοῦ ἐξάρχοντα.

πιθανώτατος.

πιθήκειον βλέμμα τὸ τοῦ πιθήκου.

πιθηκισμοῖς περιελαύνεις ἀντὶ τοῦ ἀπάταις καὶ κολακεύμασί με νικᾷς. ἢ μιμήμασιν, ὡς καὶ αὐτοῦ ταῦτα πεποιηκότος ⟨A Eq. 883⟩.

a πίθηκος ἡ μιμώ· Βάβριος ⟨81 1⟩ "κερδὼ πιθήκῳ φησίν, ἣν ὁρᾷς ϛήλην, ἐμοὶ πατρῴη τ' ἐϛὶ κἄτι παππῴη."

b πίθηκος τὸ ζῷον, ἡ μιμώ, παρὰ τὸ πιθῶ πιθήσω· πείθει γὰρ ἡμᾶς. καὶ παροιμία "γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ. ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται," ἐπὶ τῶν ἅπαξ δυϛυχησάντων.

πίθηκος ἐν πορφύρᾳ παροιμία, ὅτι οἱ φαῦλοι, κἂν καλοῖς περιβληθῶσιν, ὅμως δ' οὖν διαφαίνονται πονηροὶ ὄντες.

πίθηξ ἡ μιμώ.

πῖθι πίε.

Πίθνης ὄνομα κύριον.

πιθοίατο πεισθεῖεν.

πιθοίγια ἡ τοῦ πίθου ἄνοιξις.

Πίθος ὄνομα κύριον, καὶ τὸ οἰνηρὸν ἀγγεῖον.

πιθοῦ περισπᾶται· ἔϛι γὰρ δεύτερος ἀόριϛος. τοῦτο Ἀττικοὶ περισπῶσι, καὶ ἡ χρῆσις ἠκολούθησε τῇ διαλέκτῳ· ἡ γὰρ ἀναλογία βαρύνει. "πιθοῦ τί μοι· πρὸς σοῦ γὰρ οὐδ' ἐμοῦ φράσω" ⟨S OR 1434⟩.

Πίθυλλος. οὗτος ἡδονικὸς ἦν, τένθης καλούμενος· ὃς καὶ περιγλωττίδα ὑμενίνην ἐφόρει, προσελυτρῶν τὴν γλῶτταν πρὸς τὰς ἀπολαύσεις. καὶ δακτυλήθρας ἔχων ἤσθιε τὸ ὄψον, ἵν' ὡς θερμότατον ἀναδιδῷ τῇ γλώττῃ. Athen. p. 6.

πιθών ὀξυτόνως, καὶ διὰ τοῦ ι· δεύτερος γὰρ ἐϛὶν ἀόριϛος. "λάθρα γὰρ ἦλθεν, οὐ πιθὼν τοὺς κυρίους" Ἀριϛοφάνης ⟨Ran. 1179⟩.

Πιθῶνος ὄνομα κύριον.

Πικεντίνη ὄνομα τόπου.

Πικῆνοι ὄνομα ἔθνους.

Πῖκος ὁ καὶ Ζεύς, παραδοὺς τὴν τῆς δύσεως ἀρχὴν τῷ ἰδίῳ υἱῷ Ἑρμῇ, τελευτᾷ ζήσας κ' καὶ ρ' ἔτη, καὶ τελευτῶν ἐκέλευσεν ἀποτεθῆναι τὸ ἑαυτοῦ σῶμα ἐν τῇ Κρήτῃ τῇ νήσῳ, ἐν ᾧ ἐπιγέγραπται "ἐνθάδε κεῖται θανὼν Πῖκος ὁ καὶ Ζεύς." μέμνηνται τοῦ τάφου τούτου πλεῖϛοι ἐν τοῖς ἰδίοις συγγράμμασι. cf. Cedren. p. 17.

Πιλᾶτος. οὗτος ἐπὶ Χριϛοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐν τῇ Ἰουδαίᾳ ὑπὸ Ῥωμαίων ϛαλεὶς ἦρχε. μετὰ δὲ τὴν Χριϛοῦ ϛαύρωσιν εἰκόνα τοῦ Καίσαρος καὶ προτομὰς νύκτωρ εἰς τὸ ἱερὸν ἀνέθηκεν· ὄρθρου δὲ γενομένου Ἰουδαῖοι θεασάμενοι τοσοῦτον ἐταράχθησαν ὥϛε Πιλᾶτον ἐκδειματῶσαι καὶ ταύτας μεταθεῖναι. καὶ δὴ καὶ τὸν κορβωνᾶν τὸν ἱερὸν θησαυρὸν διαφθείρας αἴτιος ἀναιρέσεως πολλῆς καὶ συγχύσεως τοῖς Ἰουδαίοις μίσει τῷ πρὸς αὐτοὺς ἐγένετο. τὴν γὰρ ἐπανάϛασιν αὐτῶν ὑφορώμενος πρὸ τοῦ βήματος αὐτοῦ ϛρατιώτας παρέϛησεν, ἔνδοθεν μὲν ὅπλα φοροῦντας, ἔξωθεν δὲ ἰδιωτικὴν ἐσθῆτα ἀνυπονόητον. ὡς ἂν ἐϛασίασαν, ἐπαφῆκε τοὺς ϛρατιώτας αὐτοῖς, καὶ οἱ μὲν ξύλοις οἱ δὲ λίθοις αὐτοὺς παίοντες τραυματίας ἀπέλυσαν, τινὰς δὲ καὶ ἀπέκτειναν. πολλοὶ δὲ αὐτῶν τῶν Ἰουδαίων καὶ ὑπ' ἀλλήλων ὠθούμενοι συμπατηθέντες ἀπώλοντο. ἐμίχθη δὲ τὸ αἷμα αὐτῶν μετὰ τῶν θυσιῶν.

πιληθέντα πυκνωθέντα· ⟨AP 6 282⟩ "σοὶ τὸν πιληθέντα δι' εὐξάντου τριχὸς ἀμνοῦ, Ἑρμᾶ, Καλλιτέλης ἐκρέμασεν πέταλον."

πίλημα περίτροχον ⟨Callim. fr. 124⟩ περιφερὲς σκέπασμα.

πιλήσεσι πυκνώσεσι· "τῶν ἀχθοφόρων ζῴων διὰ τὰς πιλήσεις οὐ σθενόντων τὰ πρὸς ἐδωδὴν παράγειν." καὶ αὖθις ⟨AP 6 199⟩ "εἰνοδίη, σοὶ τόνδε φίλης ἀνεθήκατο κόρσης πῖλον."

πιλία τὰ κέντουκλα.

πιλίδιον τὸ καμιλαύκιον.

πίλοις πιλητοῖς. καὶ πίλημα λέγεται· "φοροῦσι δὲ ἐπὶ ταῖς κεφαλαῖς θώρακας πιλητούς, ὧν τὰ κύτη ὑπάρχουσι ϛερρὰ διὰ τὴν χρησότητα τῶν πιλημάτων."

πῖλος τὸ κέντουκλον. a

πῖλος κόσμος περικεφάλαιος, ὃν οἱ μὲν b
κυρβασίαν οἱ δὲ τιάραν ἄλλοι δὲ κίδαριν καλοῦσιν. ἔϛι δὲ πῖλος καὶ τάγμα, πρῶτος πῖλος καλούμενος ⟨cf. v. πριμοπιλάριος⟩.

πιλῶ τὸ ὁμαλίζω. καὶ πιλωτός.

πιμελή πάχος, λιπαρότης. Ἀππιανός ⟨t. 1 a
p. 529⟩ "ὃς δὲ πρῶτος ἐξῆρχε τοῦ πόνου, ἑξηκοντούτης ὢν καὶ βαρὺς τὸ σῶμα καὶ πιμελής" ἀντὶ τοῦ λιπαροῦ.

b πιμελὴ καὶ ςέαρ διαφέρει τῷ τὴν πιμελὴν ψυχομένην ἄπηκτον διαμένειν, τὸ δὲ ςέαρ καὶ διαπήσσεσθαι, ὥςε καὶ θρύπτεσθαι. ἡ μὲν οὖν πιμελὴ ἄθραυςος· δι' ὃ καὶ οἱ ζωμοὶ τῶν μὲν πιμελωδῶν οὐ πήσσονται, καθάπερ ὑὸς καὶ ἄρκτε καὶ τῶν ἄλλων, οἱ δὲ τῶν ςεατωδῶν πήσσονται, ὡς βοὸς αἰγὸς προβάτου. cf. Aristot. H. A. 3 17.

πιμπλάνεται πληροῦται. Hom. I 679.

πίμπραται καίεται, ἐμπυρίζεται. Ἀππιανός ⟨t. 1 p. 31⟩ "ὁ Μάρκιος πιμπράμενος ἐπὶ Ῥωμαίοις, φυγὴν καταδικασθείς, καὶ μικρὸν ἐς αὐτοὺς οὐδὲν ἐπινοῶν ἐς Βολούσκυς ἐτράπετο." καὶ αὖθις "ὁ δὲ τὸν θυμὸν αὐτοῦ εἰδὼς πιμπράμενον."

πινακηδόν· ⟨A Ran. 844⟩ "πινακηδὸν ἀποσπῶν" ὥσπερ πίνακας ἀπὸ πλοίων· πίνακες δὲ αἱ μεγάλαι σανίδες τῶν πλοίων.

πινάκια τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρουμένων. ἔοικε δὲ ταῦτα εἶναι χαλκᾶ, ὡς ὑποσημαίνει Δημοσθένης ἐν τῷ περὶ τὃ ὀνόματος ⟨12⟩. ἐν δὲ τοῖς Φιλιππικοῖς ⟨8 28⟩ ὅταν λέγῃ ὁ ῥήτωρ "μικρόν, ὦ Ἀθηναῖοι, μικρὸν πινάκιον," τυχὸν πινάκιον λέγει εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα κατὰ τῶν εἰσαγγελλομένων. Harp.

πινακίδιον δέλτος, τιτλάριον, σχεδάριον.

πινακίοις. ἔθος ἦν τοὺς ταξιάρχυς διὰ κήρυκος ἀπαγγέλλειν τοῖς ἑαυτῶν ςρατιώταις τὰ δεδογμένα, οἷον ποῦ δεῖ πορεύεσθαι, καὶ πόσων ἡμερῶν δεῖ σιτία προνοεῖσθαι. Ἀριςοφάνης Ὄρνισι ⟨450⟩ "σκοπεῖν δ' ὅ τι ἂν προγράφωμεν ἐν τοῖς πινακίοις," ἀπὸ μεταφορᾶς τῶν φυλάρχων, οἵτινες προγράφουσι τοὺς ςρατιώτας ἐν πίνακι.

πινάκιον πυξίον· "οἱ δὲ ἄρχοντες περὶ μέσας νύκτας ἔφερον τὸ ἀπὸ τοῦ ςρατηγοῦ πινάκιον."

πινακοπώλης ὁ ὀρνευπώλης, ὅτι τὰ λιπαρὰ τῶν ὀρνέων ἐπὶ πινάκιον τιθέντες ἐπώλουν. ἢ πίναξ εἶδος ὀρνέου. sch. A Av. 14.

πίναξ σανὶς ἐζωγραφημένη.

πιναρά εὐτελῆ, ῥυπαρά, ταπεινά.

a Πίνδαρος Θηβῶν, Σκοπελίνου υἱός, κατὰ δέ τινας Δαϊφάντυ, ὃ καὶ μᾶλλον ἀληθές· ὁ γὰρ Σκοπελίνου ἐςὶν ἀφανέςερος καὶ προσγενὴς ⟨an προγενέςερος⟩ Πινδάρυ. τινὲς δὲ καὶ Παγώνδου ἱςόρησαν αὐτόν. μαθητὴς δὲ Μυρτίδος γυναικός, γεγονὼς κατὰ τὴν ξέ ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου ςρατείαν ὢν ἐτῶν μ'. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων καὶ υἱὸς Διόφαντος, θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη. καὶ συνέβη αὐτῷ τοῦ βίου τελευτὴ κατ' εὐχάς· αἰτήσαντι γὰρ τὸ κάλλιςον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου Θεοξένυ αὐτὃ γόνατα, ἐτῶν νε'. ἔγραψε δὲ ἐν βιβλίοις ιζ', δωρίδι διαλέκτῳ, ταῦτα, ὀλυμπιονίκας, πυθιονίκας, προσόδια, παρθένια, ἐνθρονισμούς, βακχικά, δαφνηφορικά, παιᾶνας, ὑπορχήματα, ὕμνους, διθυράμβους, σκόλια, ἐγκώμια, θρήνυς, δράματα τραγικὰ ιζ', ἐπιγράμματα ἐπικά, καὶ καταλογάδην παραινέσεις τοῖς Ἕλλησι, καὶ ἄλλα πλεῖςα.

ὅτι τὰς Θήβας τὴν πόλιν Ἀλέξανδρόν φασιν εἰς ἔδαφος κατασκάψαι, καὶ πλὴν ἱερέων τε καὶ ἱερειῶν τοὺς ἄλλυς ἀνδραποδίσαι. καὶ τὴν Πινδάρου δὲ τὃ ποιητὃ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν ὅτι ἀπαθεῖς ἐφύλαξεν αἰδοῖ τῇ Πινδάρυ, ὡς φησὶν Ἀρριανὸς ὁ ἱςορικὸς ἐν τῇ ἀναβάσει Ἀλεξάνδρου ⟨1 9⟩.

Πίνδαρος Σκοπελίνυ Θηβαῖος, καὶ αὐτὸς λυρικός, ἀνεψιὸς τοῦ προτέρου.

πίννα ὁ ἰχθύς.

πιννοτήρης ὁ τῆς πίννης φύλαξ.

πινόεσσα ῥυπῶσα, αὐχμῶσα· ⟨AP 7 146⟩ "θυμοβαρὴς ἀρετὰ μύρομαι ἑζομένα ἀπὸ κάμος πινόεσσα, διὰ κρίσιν ὅττι Πελασγῶν οὐκ ἀρετὰ νικᾶν ἔλλαχεν ἀλλὰ δόλος."

πίνος. "ὁ δὲ ἦν καὶ λέγειν ἱκανός, οὐ τοὺς νεωτέρους ἐκμιμούμενος σοφιςάς, ἀλλὰ πρὸς τὸν ἀρχαῖον πίνον τῆς λογογραφίας ἁμιλλώμενος" Δαμάσκιος φησί. cf. v. Σαλούςιος.

πινύσκω πινυτὸν ποιῶ.

πινυτός φρόνιμος, καὶ πινυτόφρονος ἐμμελοῦς, συνετῆς· ⟨AP 7 22⟩ "εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς ἤσκησεν μουσῶν ἄμμιγα καὶ χαρίτων."

πίνω αἰτιατικῇ.

πινώδης ἡ ῥυπαρά.

πίομαι, πίωμεν δέ. πιόμενον. μέλλοντα πιεῖν.

πίονα εὐδαίμονα, λιπαρὰν καὶ εὔτραφῆ.

πίονται πίωσι. τὰ παθητικὰ διὰ τοῦ ο μικροῦ, τὰ δὲ ἐνεργητικὰ διὰ τὃ ω μεγάλε.

πιότατος ἄνεμος θρεπτικός, αὐξητικός· ἐν ἐπιγράμματι ⟨AP 6 53⟩ "τόνδ' ἀνέθηκε τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ."

πιππίζουσι. κατὰ μίμησιν τῶν ὀρνέων πεποίηται ἡ λέξις. λέγεται δὲ καὶ τὸ ποτίζειν πιππίζειν. sch. A Av. 308.

πίσεα οἱ κάθυγροι τόποι· "καὶ ἀγλαὰ πίσεα γαίης βόσκεο."

Πισίας ὄνομα κύριον. ἦν δὲ προδότης. cf. v. νεόττιον.

Πισιδία χώρα.

Πισινοῦς (an Πεσσ-) πόλις. καὶ Πισινοῦντα θηλυκόν. καὶ Πισινουνταῖος ὁ πολίτης.

πισός καὶ πινσός. πεσός δὲ παρὰ Προκοπίῳ (aedif. Iust. 1 1).

Πίσσα ὄνομα πόλεως, καὶ ἡ ἄσφαλτος. καὶ Πισσαῖος ὁ πολίτης.

Πισσεύς ὄνομα κύριον.

πιςευτέον δεῖ πιςεύειν.

πιςεύω δοτικῇ.

πίςιν μόνην ὁρίζομεν εἶναι ἀληθῆ καὶ καθαρωτάτην τὴν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὴν μίαν θεότητά τε καὶ κυριότητα, πάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργὸν καὶ βασιλίδα πάσης φαινομένης καὶ νοουμένης κτίσεως· καθ' ἣν ἓν τὰ τρία νοούμενα σέβομεν, καὶ τὸ ἓν ἐν τοῖς τρισὶ θεωρούμενον προσκυνοῦμεν, ὧν τὸ μὲν τῇ οὐσίᾳ γνωρίζεται, τὸ δὲ ταῖς ὑποςάσεσι καταγγέλλεται, μηδὲν τούτων ἐλαττοῦντες μηδὲ ὑπερτιθέντες, ἀλλ' ἑνοῦντες μὲν τῇ οὐσίᾳ ὥσπερ δὴ καὶ ἀξίᾳ καὶ ὁμοτιμίᾳ καὶ δόξῃ, διαιροῦντες δὲ ταῖς ὑποςάσεσιν εἴτουν προσώποις καὶ ἰδιότησιν, ἑκάςης τούτων οὐσιωδῶς ὑφεςώσης, ἐν ὑπάρξει ἰδίᾳ ἀμερίςως νοουμένης, ὅπερ παράδοξον, καὶ εἰδότες τὸν μὲν αἴτιον καὶ γεννήτορα καὶ προβολέα, τὸν πατέρα, ἄναρχον καὶ ἀναίτιον καὶ ἄχρονον καὶ ἀίδιον, τὸ δὲ γέννημα καὶ υἱὸν τῷ πατρὶ συνάναρχον καὶ συναίτιον, ἀναλλοίωτον καὶ ἀπαθῆ καὶ ἄρρουν, ἐκ πατρὸς τὴν γέννησιν ἔχοντα, πρὸς αἴτιον δὲ καὶ ἀρχὴν τὸν πατέρα ἀναφερόμενον, τὸ δὲ ἐκπόρευμα ἤτοι ἐκπορευτὸν καὶ ἁγιαςικὴν δύναμιν, τὸ πνεῦμα τὸ ἅγιον, ἀχρόνως ἀεὶ ἐκ πατρὸς προϊόν, ȣ̓ γεννητῶς ἀλλ' ἐκπορευτῶς ἔχον τὴν πρόοδον, πατρὶ καὶ υἱῷ συνυπάρχον ἀιδίως, συμπροσκυνούμενόν τε ὡς σύνθρονον καὶ ὁμότιμον καὶ ὁμόδοξον καὶ ὁμόθεον, δι' οὗ καὶ ἀγγέλοις καὶ ἀνθρώποις καὶ πάσῃ λογικῇ φύσει τὰ θεῖα προχεῖται χαρίσματα. καὶ οὕτω τῆς τρισσοφαοῦς θεαρχίας τὸ ἀπρόσιτον ἡμῖν καὶ ἀειλαμπὲς ἐναςράπτει σέλας. ἐξ ὧν καὶ τὸ ταὐτὸν καὶ ἑνιαῖον τῆς οὐσίας πιςεύεται καὶ τὸ τρισσὸν τῶν προσώπων δοξάζεται. τῶν συγχεόντων δὲ καὶ διαιρούντων τὰ συγχύσεως καὶ διαιρέσεως ἀνεπίδεκτα ἡ ἀθεΐα καὶ ἀτοπία καταβέβληται καὶ κατήργηται.

a πίςις ἀδήλου πράγματος ἐλπίς. "ἁμαρτάνουσι δὲ οἱ λέγοντες τῆς πίςεως τὴν ὑπόληψιν γένος. ἀκολουθεῖ μὲν γὰρ τῇ πίςει ἡ ὑπόληψις· ἡ γὰρ πίςις ὑπόληψις· ἀδύνατον γὰρ χωρὶς ὑπολήψεως πίςιν γίνεσθαι. ȣ̓ μὴν γένος οἷόν τε τῆς πίςεως τὴν ὑπόληψιν εἶναι· ἐνδέχεται γὰρ τὴν αὐτὴν ὑπόληψιν ἔχοντα ποτὲ μὲν πιςεύειν ποτὲ δὲ οὔ. ὃ ἀδύνατον ἐπὶ τοῦ γένους· ἀδύνατον γὰρ τὸ αὐτὸ ζῷον ποτὲ μὲν ἄνθρωπον εἶναι ποτὲ δὲ μή, καὶ τὸ αὐτὸ χρῶμα ποτὲ μὲν λευκὸν εἶναι ποτὲ δὲ μή. μεταβάλλων γὰρ ὁ ἄνθρωπος οὐδὲ ζῷόν ἐςιν. ὥςε οὐδὲ ἡ ὑπόληψις ἡ αὐτὴ μένοι ἄν, οὐ μετὰ πίςεως οὖσα. καὶ πιςευομένη γὰρ ἔτι ἡ ὑπόληψις μένει. οὐ γὰρ κεκώλυταί τις τὴν αὐτὴν περί τινος ὑπόληψιν ἔχων ποτὲ μὲν πιςεύειν αὐτῇ ποτὲ δὲ μή, οἷον ὑπόληψιν ἔχων περὶ ψυχῆς ὅτι ἀθάνατος, οὐ κεκώλυται ὕςερον διά τινας λόγους μὴ πιςεύειν." Alex. Aphrod. in Top. p. 176.

b ὅτι ἁμάρτημά ἐςι τὸ τὴν πίςιν ἀποδοῦναι σφοδρότητα ὑπολήψεως. καὶ γὰρ οὕτως ὁριζόμενος γένος μὲν λαμβάνει τὴν σφοδρότητα, διαφορὰν δὲ τὴν ὑπόληψιν· ἔχει δὲ ἔμπαλιν. τῆς γὰρ ὑπολήψεως γένους οὔσης ἡ σφοδρότης ἐςὶ διαφορά. τῶν γὰρ ὑπολήψεων αἱ μέν εἰσι σφοδραὶ αἱ δὲ μέτριαι· αὗται γὰρ ὑπολήψεων διαφοραί· καὶ ἔςιν ἡ πίςις ὑπόληψις σφοδρά. id. p. 177.

πιςός ὁ εὐσεβής.

πιςότης· "τοσοῦτον αὐτοῖς ἐνεποίει τῆς βεβαίας ἐλπίδος ἡ τοῦ Μαρκελλίνȣ περὶ τὰ θεῖα πιςότης." καὶ πιςεύοντες ἀντὶ τοῦ θαρροῦντες (cf. v. Μαρκελλῖνος).

ὅτι λέγεται καὶ πιςότης· "πάντως δὲ ἐπιτηδεία ἐξ αὐτῆς τῆς συμβάσεως τὴν πιςότητα."

πίςρα ἡ ποτίςρα.

πιςωσάμενος πίςεις καὶ συνθήκας ποιησάμενος· "τὸν δὲ ὁ Σωσίβιος διὰ πλειόνων λόγων πιςωσάμενος καὶ παρασκευάσας εὔνȣν ἑαυτῷ" (Polyb. 8 13).

πιςώσαντες αὐτὸν τοῖς ὅρκοις, ἀντὶ τοῦ ὅρκον ἐξ αὐτοῦ λαβόντες. ὅταν γὰρ λέ-

γῶμεν πιςῶ σε ὅρκῳ, ἀντὶ τοῦ ὅρκον ἐκ σοῦ λαμβάνω· πιςοῦμαί σε δὲ ὅρκῳ, ἀντὶ τοῦ ὅρκον σοι δίδωμι (sch. Thuc. 4 88).

πίσυνος πεπιςευκώς, τεθαρρηκώς. cf. v. περιωπή.

Πιταναῖος.

Πιτάνη εἰμί. αὕτη παρ' Ἀλκαίῳ κεῖται, λέγεται δὲ κατὰ τῶν πυκναῖς συμφοραῖς χρωμένων ἅμα καὶ εὐπραξίαις, παρ' ὅσον καὶ τῇ Πιτάνῃ τοιαῦτα συνέβη πράγματα, ὧν καὶ Ἑλλάνικος μέμνηται· φησὶ γὰρ αὐτὴν ὑπὸ Πελασγῶν ἀνδραποδισθῆναι καὶ πάλιν ὑπὸ Ἐρυθραίων ἐλευθερωθῆναι.

Πιτθείδης πατρωνυμικόν. καὶ Πιτθῆος (Hom. Γ 144).

Πιτθεύς Πιτθέως. δῆμος τῆς Κεκροπίδος ἡ Πιτθίς. Harp.

πίτνα ἐξέτεινε. Hom. Φ 7.

πίττα· "τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας, καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας, ἐς τὸ ἀρχαῖόν τε καθιςαμένης πάντα. ὅθεν παλαῖςραί τε ἀνήβησαν καὶ σπουδαί, καὶ τὰ φιλίτια ἐπανῆλθε, καὶ ἐγένετο ἡ Λακεδαίμων ἑαυτῇ ὁμοία" (Philostrat. V. A. 4 27).

Πιττάκειον μετουσιαςικῶς τὸ τοῦ Πιττακοῦ. καὶ Σιμωνίδης φησίν "ἄνδρ' ἀγαθὸν ἀλαθέως γενέσθαι χαλεπόν, τὸ Πιττάκειον." εἴρηκε γὰρ ὁ Πιττακός "χαλεπὸν ἐσθλὸν ἔμμεναι."

Πιττακός Μιτυληναῖος, υἱὸς Καΐκου ἢ Ὑρραδίου Θρᾳκός, μητρὸς δὲ Λεσβίας. οὗτος γέγονε κατὰ τὴν λβ' ὀλυμπιάδα, εἷς καὶ αὐτὸς τῶν ζ' σοφῶν ὤν. ἔγραψε νόμους, καὶ τῇ μβ' ὀλυμπιάδι Μέλαγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε, καὶ Φρύνωνα ςρατηγὸν Ἀθηναίων πολεμοῦντα ὑπὲρ τοῦ Σιγείου μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. γηραιὸς δὲ ἀναγκαζόμενος ςρατηγεῖν ἔφη ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τούτου ἀπόφθεγμα "καιρὸν γνῶθι." ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη χ', καὶ ὑπὲρ νόμων καταλογάδην.

Πιττάλακος· (AP 5 278) "καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ."

πιττουμένων τὰ σκέλη ἀλειφομένων.

πιτυάνη (an πιτίνη) ἀσκὸς μικρός.

πίτυλος κτυπητής, φαντασιοκόπος. καὶ πιτυλεύσας παρ' Ἀριςοφάνει (Vesp. 676). καὶ πιτυλίζω ῥῆμα· "οἷόν ἐςιν ἰχθύων γένεσιν ἰδεῖν ἐν κολύμβοις πιτυλίζουσαν."

Πιτυοῦς πολίχνιον ἐν πέρατι μὲν θαλάττης τῆς Ποντικῆς κατὰ δεξιὰν κείμενον, τέλος δὲ καὶ τῆς Ῥωμαίων ἀρχῆς γινόμενον, βαρβάροις καὶ ὠμοῖς ἔθνεσι συνάπτον. cf. Theodoret. H. E. 5 34.

πίτυς εἶδος δένδρου κωνοφόρου, ἡ παρ' ἡμῖν ςροβίλα. Ξενοφῶν (Cyr. 4 7 4) "χωρίον δασὺ πίτυσι διαλειπούσαις μεγάλαις, ἀνθ' ὧν ἑςηκότες ἄνδρες τί ἂν πάθοιεν;" καὶ πιτύςεπτος ὁ Πάν· (AP 6 253) "Πανὸς τειχήεσσα πιτυςέπτοιο καλιή."

πίφλιξ εἶδος ὄρνιθος.

Πίωρ. οὗτος μοναχὸς ὢν περιπατῶν ἤσθιε. πυθομένου δέ τινος, διὰ τί οὕτως ἐσθίεις; "οὐ βούλομαι" ἔφη "τῷ βρώματι ὡς ἔργῳ χρήσασθαι ἀλλ' ὡς παρέργῳ." πρὸς ἄλλον δὲ ἐρωτήσαντα ἀπεκρίνατο "ἵνα μὴ ἐν τῷ ἐσθίειν" φησίν "ἡδονῆς σωματικῆς αἰσθάνοιτο ἡ ψυχή." cf. Sozomen. 6 28.

πλαγάς· Ἠλέκτρα (89) "πολλὰς δ' ἀντήρεις ᾔσθου ςέρνων πλαγὰς αἱμασσομένων·" θρηνοῦσα γὰρ ἔτυπτε τὸ ςῆθος πρὸς ἕκαςον Ἠλέκτρα.

πλαγγόνων· "τὰ μειράκια θρυπτόμενα παρὰ ταῖς τίτθαις ςωμύλλεσθαι καὶ λέγειν περὶ κρόκης καὶ ςημόνων καὶ πλαγγόνων ἐάσωμεν." cf. v. τίτθη.

πλαγία φάλαγξ, ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον.

πλαγίως δολίως.

πλαγκτή ἡ πλανωμένη.

Πλαγωνεία.

πλαδαρόν χαῦνον, ὑγρόν· πλάδας γὰρ καὶ πλαδώσεις καὶ πλαδαρώματα. καὶ πλαδῶσιν ὑγροῖς, χαύνοις, ἀσθενέσιν. "οὐ γὰρ ἔτι ὀρέγεσθαι τροφῆς, πλαδῶντος αὐτῷ τοῦ ςομάχου," τουτέςιν ὑγροῦ καὶ ἀσθενοῦς ὄντος. οὕτω φησὶ Δαμάσκιος. καὶ αὖθις Πολύβιος "τὰ μὲν ἄλλα καλῶς ἔχειν αὐτῷ πρὸς τὴν χρείαν, τὸ δὲ δόρυ πλαδαρὸν εἶναι." καὶ πλαδόωσαν.

πλαδδιεῖν παραφρονεῖν, πολεμεῖν, πλησιάζειν. sch. A Lys. 171.

πλάζοντος ἀποπλανῶντος· "πλάζοντος τοῦ δέους τὰς ὄψεις."

πλάθειν πλησιάζειν· (S El. 220) "τὰ δὲ τοῖς δυνατοῖς οὐκ ἐριςὰ πλάθειν," προσπελάζειν. τουτέςιν, οὐχ οἷόν τε σε ἐρίζειν τοῖς δυνατοῖς.

πλαίσια σύμπτυκτα τὰ τῶν ξύλων τετράγωνα, ὥσπερ πλινθία, ἐν οἷς πλινθεύ-

ουσι. σύμμικτα πρὸς ὀδὲν ἀλλ' οἷον περιττὰ καὶ σοφά. sch. A Ran. 812.

πλαίσιον τετράγωνος τάξις ςρατεύματος. ὅ τινες πλινθίον καλοῦσιν, ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἐν ἑτερομήκει σχήματι. καὶ τὸ ἐκ ξύλων τετραγώνων πῆγμα.

Πλακιάδαι ⟨an Λακιάδαι⟩ δῆμος τῆς Ἀττικῆς, ἔνθα ῥαφανῖδες μεγάλαι γίνονται. cf. v. ὦ Λακιάδαι.

Πλακίδας ὄνομα κύριον.

Πλακίλλα γαμετὴ Θεοδοσίου τοῦ μεγάλου, ἥτις εὐσεβὴς καὶ φιλόπτωχος ἦν, καὶ δι' ἑαυτῆς τοῖς νοσοῦσι καὶ τοῖς λελωβημένοις ὑπηρέτει. πρώτη δὲ τοῦ ἀνδρὸς ἐτελεύτησεν. ἔδειξε δὲ μάλιςα τὸ περὶ αὐτὴν τοῦ βασιλέως φιλόςοργον ἡ ὀργὴ τοῦ βασιλέως ἣν κατὰ Ἀντιοχέων ὠργίσθη, δι' ἣν κατέαξαν σύραντες τὴν ςήλην, ἀγανακτοῦντες δι' ὧν ἐπέθηκε τέλη δημόσια ὁ βασιλεὺς ταῖς πόλεσι προφάσει τῶν συνεχῶν πολέμων· ὅτε καὶ ὁ Χρυσόςομος τοὺς ἀνδριάντας ἔγραψε. Cedren. p. 325.

πλακόεις· ⟨AP 6 155⟩ "καὶ τὸν πλακόεντα πίονα τυροφόρον."

πλάνη ἡ τοῦ σκοποῦ ἀπότευξις.

πλάνης πλάνητος· "ὥσπερ πλάνης ἄνθρωπος κατὰ βίου πρόφασιν πορευόμενος" ἀντὶ τοῦ πλανήτης.

πλανήτης ξένος. καὶ πλανῆται οἱ τῇδε κἀκεῖσε περινοςοῦντες· ⟨Theophyl. Sim. 2 extr.⟩ "ὁ Ἡράκλειος ὁ βασιλεὺς λιποταξίου ποινὰς τοὺς πλανήτας τῆς Ῥωμαϊκῆς δυνάμεως εἰσεπράττετο· καὶ ὅσοι τῷ πόνῳ χαίρειν εἰπόντες τὴν ἄλλως δεῦρο κἀκεῖσε περιενόςουν, βασάνοις ἐπὶ σωφροσύνην μετήγοντο." πλανῆτις δὲ θηλυκῶς διὰ τοῦ ι.

πλανύττομεν πλανώμεθα. κωμικῶς παρῆκται. Ἀριςοφάνης Ὄρνισι ⟨3⟩.

πλαξίν. ὅτι ἐν ταῖς θεογράφοις πλαξὶ ταῦτα ἦν γεγραμμένα "ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. α'. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. β'. οὐ ποιήσεις σεαυτῷ εἴδωλον παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ ὀρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. οὐ προσκυνήσεις αὐτοῖς, οὐδ' οὐ μὴ λατρεύσεις αὐτοῖς. γ'. ὀ λήψῃ τὸ ὄνομα κυρίο τοῦ θεοῦ σο ἐπὶ ματαίῳ. δ'. μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν αὐτήν. ε'. τίμα τὸν πατέρα σο καὶ τὴν μητέρα σο, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. ς'. οὐ μοιχεύσεις. ζ'. οὐ κλέψεις. η'. οὐ φονεύσεις. θ'. οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σο ψευδομαρτυρίαν. ι'. ὀκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν τοῦ πλησίον σο, οὐδὲ τὸν παῖδα αὐτοῦ, ὀδὲ τὸν βοῦν αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τὸ ὑποζύγιον αὐτοῦ, οὐθ' ὅσα τῷ πλησίον σου ἐςίν."

πλάσις ἀνάμιξις, ἐκτύπωμα, μάλθαξις. καὶ παροιμία "κηρο εὐπλαςότερος," ἐπὶ τῶν εὐχερῶς τι ἀντιλαμβανομένων.

πλάσμα.

πλάςιγξ τοῦ ζυγοῦ τὸ ἀντίρροπον. καὶ a τὸ κατηρτημένον τοῦ ζυγοῦ μέρος, ᾧ ἐπεντίθεται τὰ ζυγά ⟨sch. A Ran. 1425⟩. "ἅμα τοῖς τῶν πλαςίγγων ἐπιςάταις ἀποκατέςησε τοῖς Πέρσαις τὰ χρήματα" ⟨Menand. p. 365 Nieb.⟩.

πλάςιγξ τὸ κοῖλον τοῦ κοττάβο καὶ τοῦ b ζυγοῦ. "ὅτι Ὅμηρος εἰς τὴν αὐτὴν τίθησι πλάςιγγα τῇ μανίᾳ τὴν μέθην, λέγων ⟨Υ 34⟩ Αἰνεία Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί, ἃς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων;"

πλαταγή εἶδος ὀργάνο ἦχον καὶ ψόφον ἀποτελοῦντος· "ὃ δὲ πλαταγὴν χαλκευσάμενος ἐπλατάγει." cf. sch. Apollon. Rh. 2 1056.

πλαταγώνιον τὸ μηδέν. κυρίως δὲ τὸ τῆς μήκωνος φύλλον καὶ τὸ τῆς ἀνεμώνης, ἀπὸ τοῦ πλατάσσειν, τουτέςιν ἠχεῖν. καταχρηςικῶς δὲ ᾧτινιοῦν πλάτος ἔχοντι. ὅθεν καὶ ἡ πλαταγή. ἐσημειοῦντο δὲ ἀπ' αὐτο τὴν τῶν ἐρωμένων ςοργήν, τιθέντες ἐπί τε τοῦ ἀντίχειρος καὶ τοῦ λιχανοῦ, καὶ ἀντικόπτοντες· καὶ εἰ μὲν ἤχησεν, ἐςέργοντο, εἰ δὲ μή, τὸ ἀνάπαλιν.

Πλαταιαί πόλις. καὶ Πλάταιαν ὄνομα πόλεως.

Πλαταιεύς, καὶ Πλαταιαία ναῦς. καὶ Πλαταιεῖς ἐθνικόν.

Πλαταμῶνος ὄνομα τόπου.

πλάτη κώπη. πλάτη καὶ εἶδος πλοίο. ⟨A a Th. 777⟩ "ὥσπερ Παλαμήδης τὰς πλάτας ῥίψω γράφων Ναυπλίῳ."

πλάτη πλοῖον· "πλάτην μυριοφόρον πύρ- b γοις τε καὶ περιφράγμασι παντοίοις κοσμήσας ἄνωθεν κατὰ ῥεῦμα ἀφίησι."

πλατιάζειν ἀλαζονεύεσθαι.

πλᾶτις ἡ γυνή, παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην. Ἀριςοφάνης Ἀχαρνεῦσι ⟨132⟩ "καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι."

πλάττω αἰτιατικῇ.

πλατυγίζει τοῖς πτεροῖς κρούει· ⟨A Eq. 827⟩ "πλατυγίζῃ καὶ θαλαττοκοπεῖς." ἄμφω μεγαλορρημοσύνης ῥήματα. ἀντὶ τοῦ πλατύνῃ καὶ ἀλαζονεύῃ. ἀπὸ τοῦ πλατυτέρυ μέρους τῆς κώπης, ὃ τῇ θαλάττῃ μᾶλλον προσερείδει καὶ τύπτον τὸ ὕδωρ τῇ εἰρεσίᾳ κτύπον ἀπεργάζεται, ἡ μεταφορά. κυρίως δὲ πλατυγίζειν ἐςὶ τὸ ἐπιτιθέναι τὸ πλαταγώνιον τῇ ἀριςερᾷ χειρὶ καὶ παίειν τῇ δεξιᾷ καὶ ἦχον ἀποτελεῖν.

πλατύπιλος κυνῆ Θεσσαλίς. περὶ πίλυ λέγει. sch. S OC 313.

a Πλάτων Ἀθηναῖος κωμικός, γεγονὼς τοῖς χρόνοις κατὰ Ἀριςοφάνην καὶ Φρύνιχον, Εὔπολιν καὶ Φερεκράτην. δράματα δὲ αὐτῦ κη' ταῦτα, Ἄδωνις, ἀφ' ἱερῶν, Γρῦπες, Δαίδαλος, Ἑορταί, Ἑλλὰς ἢ Νῆσοι, Εὐρώπη, Ζεὺς κακύμενος, Ἰώ, Κλεοφῶν, Λάιος, Λάκωνες ἢ ποιηταί, Μέτοικοι, Μύρμηκες, Μαμμάκυθος, Μενέλεως, Νῖκαι, Νὺξ μακρά, Ξάνται ἢ Κέρκωπες, Περιαλγής, Ποιητής, Πείσανδρος, Πρέσβεις, Παιδίον, Σοφισταί, Συμμαχία, Σκευαί, Σύρφαξ, Ὑπέρβολος, Φάων. ἔςι δὲ λαμπρὸς τὸν χαρακτῆρα, ὡς φησὶν Ἀθήναιος ἐν τοῖς Δειπνοσοφιςαῖς. ὅτι καὶ Ἀνδροφόνος ἐςὶ δρᾶμα Πλάτωνος καὶ Συνεξαπατῶν καὶ Πανηγυριςαὶ καὶ ἄλλα πλεῖςα.

b Πλάτων Ἀρίςωνος τοῦ Ἀριςοκλέυς, καὶ Περικτιόνης ἢ Ποτώνης, τὸ γένος ἑλκούσης ἀπὸ Σόλωνος· ἕκτη γὰρ ἦν ἀπ' ἐκείνυ, παῖς γενομένη Δρωπίδου τοῦ ποιητοῦ, ἀδελφοῦ Σόλωνος. ὁ δὲ Σόλων εἰς Νηλέα ἀναφέρει τὸ γένος. καὶ Ἀρίςων δὲ ὁ Πλάτωνος πατὴρ ἐκ τοῦ Κόδρου γένυς κατήγετο, τοῦ Μελάνθου υἱοῦ. ἱςόρηται δὲ ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ Πλάτωνος ἔγκυος ἐγένετο, ἐπιφανέντος αὐτῇ τῦ Ἀπόλλωνος· καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. ἐτέχθη δ' ἐν Αἰγίνῃ, ἐν τῇ πη' ὀλυμπιάδι, μετὰ τὰ προοίμια τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ ἐβίω ἔτη β' καὶ π'. τελευτᾷ δὲ ἐπὶ τῆς ρη' ὀλυμπιάδος, ὐδὲ γάμον τινὰ ὐδὲ ὁμιλίαν καθάπαξ σώματος εἰς πεῖραν δεξάμενος· εὐωχήθη δ' ἐν ἑορτῇ, καὶ ὕπνων ἀπεβίω. καὶ ἕτεροι δὲ ἐγένοντο μετ' αὐτὸν υἱοὶ τῷ Ἀρίςωνι, Ἀδείμαντος καὶ Γλαύκων, καὶ Ποτώνη θυγάτηρ. καὶ τὰ μὲν πρῶτα γράμματα διδάσκεται παρά τινι Διονυσίῳ, ἐγυμνάσθη δὲ τὰ εἰς παλαίςραν παρ' Ἀρίςωνι τῷ Ἀργείῳ· εἶτα μαθὼν ποιητικὴν γράφει διθυράμβους καὶ τραγῳδίας. ἀπογνοὺς δὲ τούτων ἐφιλοσόφησε παρὰ Σωκράτει ἐπὶ ἔτη κ'· καὶ λόγος ἰδεῖν Σωκράτην, καθ' ἣν ἡμέραν αὐτῷ παρεδόθη Πλάτων, κύκνον αὐτοῦ τοῖς γόνασιν ἐπικαθήμενον. προσηγορεύετο δὲ Ἀριςοκλῆς, διὰ δὲ τὸ πλατὺς εἶναι τὸ ςέρνον Πλάτων ἐπωνομάσθη· ἄλλοι δὲ ὡς πλατὺν ἐν λόγοις Πλάτωνα κληθῆναι. τρὶς δὲ ἐν Σικελίᾳ Πλάτων ἦλθε πρὸς τὺς τυράννους Διονυσίους, καὶ ἐπράθη ὑπὸ τοῦ τυράννου· ἐπρίατο δὲ αὐτὸν Ἀννίκερίς τις Λίβυς, καὶ ἀφῆκε. διέτριβε δὲ ἐν τῇ Ἀκαδημείᾳ παιδεύων· καὶ διεδέξαντο τὴν σχολὴν αὐτοῦ καθ' ἕνα οἵδε, Σπεύσιππος Ξενοκράτης Πολέμων Κράντωρ Κράτης Ἀρκεσίλαος Λακύδης, Εὔανδρος Φωκαεύς, Δάμων Λεοντεύς Μοσχίων, Εὔανδρος Ἀθηναῖος, Ἡγησίνους Καρνεάδης Χαρμάδας. εἰσὶ δὲ οἱ γνήσιοι αὐτοῦ διάλογοι πάντες νς', ὧν οἳ μὲν εἰσι φυσιολογικοὶ οἳ δὲ ἠθικοὶ οἳ δὲ διαλεκτικοί. καὶ ἡ μὲν πολιτεία διαιρεῖται εἰς βιβλία ι', οἱ δὲ νόμοι εἰς ιβ'. τετραλογίαι δὲ λοιπαὶ θ'.

Πλάτων ὁ φιλόσοφος πένης ἦν καὶ μό- c νον τὸν ἐν Ἀκαδημείᾳ ἐκέκτητο κῆπον, ὃς μέρος ἐλάχιςον ἦν τῶν διαδοχικῶν· ὁ μὲν γὰρ κῆπος ἐγγύς τι χρυσῶν τριῶν νομισμάτων ἀπεδίδυ, ἡ δὲ ὅλη πρόσοδος ὕςερον χιλίων ἢ καὶ πλειόνων ὀλίγον. ηὐξήθη δὲ αὕτη κατὰ τοὺς νεωτέρους χρόνυς, ἀνθρώπων ἱερῶν τε καὶ φιλολόγων ἄλλων ἀποθνησκόντων κατὰ διαθήκας ἀπολειπόντων τοῖς φιλοσοφῦσιν ἀφορμὴν τῆς ἐπὶ τῷ φιλοσόφῳ βίῳ σχολῆς καὶ γαλήνης. Damasc. Phot. p. 346 a.

ὅτι ὁ Πλάτων ἐν νόμοις ⟨1 p. 644⟩ φησὶν d ἐλευθέραν εἶναι τὴν ψυχὴν καὶ δέσποιναν τῶν παθῶν. τὸ μὲν νικᾶν αὐτὸν ἑαυτὸν πασῶν νικῶν πρώτη καὶ ἀρίςη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ αἴσχιςόν τε καὶ κάκιςον. ἴσμεν γὰρ ὅτι τὰ πάθη τὰ ἐν ἡμῖν οἷον νεῦρα ἢ μήρινθοί τινες ἐνῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλαις ἀνθέλκυσιν, ἐναντίαι γε οὖσαι, ἐπ' ἐναντίας πράξεις. οὗ δὴ διωρισμένη ἀρετὴ

καὶ κακία κεῖται· μιᾷ γάρ φησιν ὁ λόγος δεῖν τῶν ἕλξεων ἑπόμενον ἀεὶ καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης ἀνθέλκειν τοῖς ἄλλοις νεύροις ἕκαστον· ταύτην δὲ εἶναι τὴν τοῦ λογισμοῦ ἀγωγήν ⟨Euseb. praep. ev. 12 27⟩. ἀπέδειξεν οὖν ὁ σοφὸς ὡς τῇ βουλῇ τῆς ψυχῆς ἀπένειμε τὴν τῶν κρειττόνων καὶ χειρόνων αἵρεσιν.

e ὁ αὐτὸς Πλάτων φησὶ ⟨Tim. p. 27 extr.⟩ θεολογῶν "τί τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον; καὶ τί τὸ γινόμενον μὲν ἀεί, ὂν δὲ οὐδέποτε; τὸ μὲν δὴ νοήσει τοῦ λόγου περιληπτὸν ἀεὶ κατὰ τὸ αὐτὸ ὄν, τὸ δὲ αἰσθήσει ἀλόγῳ δοξαστὸν γινόμενον μὲν καὶ ἀπογινόμενον, ὄντως δὲ οὐδέποτε ὄν. ταῦτα δὲ πάντα μέρος χρόνου, τὸ ἦν καὶ ἔσται· ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀίδιον οὐσίαν οὐκ ὀρθῶς· λέγομεν γὰρ δὴ ὡς ἦν ἔστι τε καὶ ἔσται. τὸ δὲ ἔστι μόνον κατὰ τὸν ἀληθινὸν λόγον προσήκει τῷ θεῷ· τὸ δὲ ἦν καὶ ἔσται περὶ τὴν ἐν χρόνῳ γένεσιν οὖσαν πρέπει λέγεσθαι. τὸ δὲ ἀεὶ κατὰ ταὐτὸ ὂν ἀκινήτως οὔτε νεώτερον οὔτε πρεσβύτερον χρὴ λέγεσθαι. καὶ γὰρ τὸ ἀεὶ ὂν καὶ προὸν γενέσεώς ἐστιν ἁπάσης ὑπέρτερον. τὸ δὲ γινόμενον καὶ ἀλλοιώσεις πολλὰς ὑποδεχόμενον εἰκότως ἔφησεν οὐδέποτε εἶναι. καὶ πάλιν ὁ αὐτὸς Πλάτων φησίν "ἀγαθὸς μὲν ὁ θεὸς τῷ ὄντι, καί γε λεκτέον αἴτιος τῶν ἀγαθῶν· τῶν δὲ κακῶν πάντων ἀναίτιος." ὁ αὐτὸς ἐν τοῖς νόμοις ⟨4 p. 716⟩ δεικνὺς ἡμῖν τὸν τῶν ὅλων πρύτανιν, τῶν τοῦ παντὸς οἰάκων ἐπειλημμένον, φησίν "ὁ μὲν δὴ θεὸς ἀρχὴν καὶ τελευτὴν καὶ μέσα τῶν πάντων ἔχων εὐθέα περαίνει, κατὰ φύσιν περιπορευόμενος· τῷ δὲ ἀεὶ ξυνέπεται δίκη, τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός, ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς καὶ κεκοσμημένος, ὁ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς ἢ καὶ σωμάτων εὐμορφίᾳ, ἅμα νεότητι καὶ ἀνοίᾳ, φλέγεται μεθ' ὕβρεως ὡς δὴ οὔτ' ἄρχοντος οὔτ' αὖ ἡγεμόνος δεόμενος ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι. καταλείπεται ἔρημος θεοῦ, καταλειφθεὶς δὲ καὶ ἔτι τοιούτους ἄλλους λαβὼν σκιρτᾷ ταράττων πάντα ἅμα, καὶ πολλοῖς τισὶν ἔδοξεν εἶναί τις, μετὰ δὲ χρόνον ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησε." διὰ τούτων ὁ φιλόσοφος καὶ τὸν τοῦ παντὸς ἔδειξε κηδεμόνα, καὶ τὴν ἐπὶ τινῶν μακροθυμίαν, καὶ τὴν ἐντεῦθεν τοῖς ἀνοήτοις προσγινομένην λώβην, καὶ τὴν ἐς ὕστερον αὐτοῖς ἐπιφερομένην πανωλεθρίαν. ὁ αὐτὸς ἐν τῷ Γοργίᾳ ⟨p. 515⟩ καὶ τῆς τιμωρίας δηλοῖ τὰς αἰτίας, λέγων ὡδί "προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, ὑπ' ἄλλου ὀρθῶς τιμωρουμένῳ, ἢ βελτίονι γίνεσθαι καί τι τῷ ὄντι ὀνίνασθαι, ἢ παράδειγμα ἄλλοις γίνεσθαι, ἵν' ἐκεῖνοι ὁρῶντες πάσχοντα ἃ πάσχει φοβούμενοι βελτίους γίνωνται. εἰσὶ δὲ οἱ ὠφελούμενοι μὲν καὶ δίκην διδόντες ὑπὸ θεοῦ καὶ ἀνθρώπων οὗτοι οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμαρτάνωσιν. ὅμως δὲ δι' ἀλγηδόνων καὶ ὀδυνῶν γίνεται αὐτοῖς ἡ ὠφέλεια, κἀνθάδε καὶ ἐν Ἅιδου· οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι. οἳ δ' ἂν τὰ ἔσχατα ἀδικήσωσι καὶ διὰ τὰ τοιαῦτα ἀδικήματα ἀνίατοι πάμπαν γένωνται, ἐκ τούτων τὰ παραδείγματα γίνονται. καὶ οὗτοι μὲν οὐκέτι ὀνίνανται οὐδέν, ἅτε ἀνίατοι ὄντες· ἄλλοι δὲ ὀνίνανται οἱ τούτους ὁρῶντες διὰ τὰς τοιαύτας ἁμαρτίας ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας καὶ τὸν ἀεὶ χρόνον ἀτεχνῶς παραδείγματα ἀνηρτημένους." ταῦτα ἔοικε σεσυληκέναι ἐκ τῶν θείων γραφῶν, διὰ Μωσέως ὑπὸ τοῦ θεοῦ πρὸς τὸν Φαραὼ λεχθέντα· "εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ." παμπονήρῳ γὰρ γεγενημένῳ ἐκείνῳ παντοδαπὰς κολάσεις ἐπήνεγκεν ὁ θεὸς οὐχ ὥστε ἀποφῆναι βελτίονα (ᾔδει γὰρ αὐτοῦ καὶ τὸν νοῦν ἀντίτυπον καὶ τὸ πάθος ἀνήκεστον), ἀλλ' ὅπως τὰ περὶ ἐκείνου διηγήματα πᾶσιν ὠφελείας γένωνται παραδείγματα, καθάπερ αἱ πόλεις τρέφουσι τοὺς δημίους οὐκ ἐπαινοῦσαι μὲν αὐτῶν τὴν προαίρεσιν, ἀνεχόμεναι δὲ τῆς τούτων ὑπηρεσίας διὰ τὴν χρείαν· καὶ τὰ λοιπὰ δῆλα. ὁ αὐτὸς περὶ τῶν λήξεων καὶ ἀποκληρώσεων τῶν ψυχῶν ἐν τῷ Φαίδωνί φησιν ⟨p. 69 C⟩ "ὁ μὲν ἀτέλεστος καὶ ἀκάθαρτος εἰς Ἅιδου ἀφικόμενος ἐν βορβόρῳ κείσεται, ὁ δὲ τετελεσμένος καὶ κεκαθαρμένος ἐκεῖ μεταχωρήσας μετὰ θεῶν οἰκήσει." καὶ αὖθις ⟨Gorg. p. 523⟩ "τὸν μὲν δικαίως τὸν βίον διεληλυθότα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ, κακῶν ἐκτός, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ κρίσεώς τε καὶ δίκης δεσμω-

Digitized by Google

τήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι." ταῦτα ἐκ τῶν Αἰγυπτίων μεμάθηκε.

Πλάτωνος. καὶ Πλατώνειος λόγος ὁ τοῦ Πλάτωνος.

πλέα πλήρης, πεπληρωμένη. ταύτην μὲν ··· καὶ πλέα (cf. v. ἠσθείη).

πλέας πλείους.

πλέθρα μέτρα γῆς, ἤγουν ἄρουραι. ἢ τοὺς διύγρους τόπους καὶ βοτανώδεις. ἔχει δὲ τὸ πλέθρον πήχεις ξς´ δίμοιρον.

πλέθρον τὸ τοῦ ςαδίου ἕκτον μέρος, ὅπερ ἐςὶ πηχῶν ξς´· ὅλον γὰρ τὸ ςάδιόν ἐςι τετρακοσίων· ἢ πανταχόθεν ἔχον πόδας λη´. καὶ πλεθριαῖον διάςημα. ὅτι τὸ πλέθρον ἔχει πόδας ρ´. Ξενοφῶν (Cyr. 7 5 11) φησὶ πλεθριαίους φοίνικας φύεσθαι ἐν Βαβυλῶνι, ἢ καὶ μείζονας ςαδίου, πηχῶν υ´.

ὅτι ἐξέδωκεν ἡ πόλις Ἀθηναίων τὰς θυγατέρας Ἀριςείδου, καὶ Λυσιμάχῳ τῷ παιδὶ β´ δραχμὰς τῆς ἡμέρας ἐδίδου, καὶ γῆς πεφυτευμένης ἐδωρήσατο η´ πλέθρα καὶ ἀροσίμης ρ´.

πλεῖαι αἱ πεπληρωμέναι. Hom. B 226.

Πλειάς τὸ ἐξάςερον.

πλεῖν πλέον· Ἀριστοφάνης (Nub. 1042) "καὶ τοῦτο πλεῖν ἢ μυρίων ἐςʼ ἄξιον ςατήρων," καὶ αὖθις (Plut. 1185) "ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι." καὶ αὖθις (Eccl. 802) "πολὺ γὰρ ἐμμελέςερον χέσαι πλεῖν ἢ τριάκονθʼ ἡμέρας." ἀντὶ τοῦ πλέον φλυαρότερα, ὡς ἐπὶ δρόμου· Ἀριςοφάνης (Ran. 90) "ἔτʼ ἐςʼ ἐνθάδε μειρακύλλια τραγῳδίας ποιοῦντα πλεῖν ἢ μύρια," καὶ αὖθις (Ran. 91) "πλεῖν ἢ ςαδίῳ λαλίςερα Εὐριπίδου." καὶ αὖθις (Av. 1243) "πλεῖν ἑξακοσίους τὸν ἀριθμόν."

πλεῖν ἢ ἐνιαυτῷ πρεσβύτερος ἀπέρχομαι, παρὰ τὸ Ὁμηρικὸν (τ 360) "αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι" καὶ (ο 357) "ἐν ὠμῷ γήραϊ θῆκε." διὰ τὴν ἀηδίαν οὖν γηράσκω, φησὶν Ἀριστοφάνης (Ran. 17) "ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω, πλεῖν ἢ ἐνιαυτῷ πρεσβύτερος ἀπέρχομαι."

πλείονος πλειοτέρου.

πλειόνων τῶν νεκρῶν· (A Eccl. 1108) "ἢ γραῦς ἀνεςηκυῖα παρὰ τῶν πλειόνων."

Πλεισθένης.

πλειςηριάσας πλείονος πωλήσας οὗ ὠνήσατο· "ἐποίει δὲ τοῦτο, καὶ μετάμελος προσεποιεῖτο γεγονέναι, πλειςηριάζων αὐτές." καὶ πλειςηριάσαντες ἀντὶ τοῦ ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων. ἕτως Λυσίας καὶ Πλάτων ὁ κωμικός. Harp.

πλειςοβολεῖν λέγουσιν, ὡς ἡμεῖς, Ἀττικοί.

πλειςοδόκεια ἡ πλείςη δόκησις.

πλεῖςον ὅσον πολύ.

Πλειςῶναξ ὄνομα κύριον.

πλειών πλειῶνος ὁ ἐνιαυτός, ἀπὸ τᾶ ἐν αὐτῷ πληροῦσθαι τοὺς καιρούς· (AP 6 93) "ἐκ πολλοῦ πλειῶνος" ἐκ πολλοῦ χρόνου.

πλέκος τὸ πλέγμα, τὸ πεπλεγμένον σπυρίδιον. ὡς ἀπὸ τᾶ βλέπω βλέπος οὐδετέρως, καὶ ἀπὸ τοῦ ῥέω ῥέος (Αἰσχύλος (Ag. 901) "ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος"), ἕτω καὶ πλέκος. Ἀριστοφάνης (Pac. 532) "ἀπέπτυσʼ ἐχθροῦ φωτὸς ἔχθιςον πλέκος," καὶ αὖθις (Ach. 429) "τί δʼ ὦ τάλας σε τᾶδʼ ἔχει πλέκους χρέος;"

πλεκοῦν τὸ συνουσιάζειν, παρὰ τὸ πλέκεσθαι· "ςύοιντʼ ἂν ἄνδρες, κἀπιθυμοῖεν πλεκοῦν" (A Lys. 152).

πλεονεξία ἡ ὑπὲρ τῆς ἐπιθυμίας τοῦ πλείονος βλάβη παρὰ τῷ ἀποςόλῳ (Rom. 1 29). παρὰ δὲ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ πλεονεξία ἡ νίκη· "οὐθʼ ὅσα λάθρᾳ τῶν ἀντιπολεμίων χωρία εἰς πλεονεξίαν εὔθετα σφετερίσασθαι ἤθελον οἱ ςρατιῶται."

πλεονεξία παρὰ τοῖς ῥήτορσιν οὐ μόνον b ἐπὶ τῶν παρὰ τὸ δίκαιον ἀξιέντων πλέον ἔχειν, καὶ τὸ πλεονεκτεῖν· ἀλλὰ καὶ ἐπὶ τοῦ βελτίονος ἑκάτερον αὐτῶν ἔταξαν, ὅταν τοῦ ἀγαθᾶ πλέον ἔχῃ τις ἑτέρων. Σοφοκλῆς (OR 380) "ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης ὑπερφέρεσα τῷ πολυζήλῳ βίῳ, ὅσος παρʼ ὑμῖν ὁ φθόνος φυλάσσεται."

πλεῦνος ἀντὶ τοῦ πλείονος· Ἡρόδοτος "ὡς δὲ τοῦ πλεῦνός τε ἐδέετο ἡ πολιορκίη, ἀπηλλάσσοντο."

πλευρῖτις νόσος.

πλῆθος παρὰ Θουκυδίδῃ (4 10) καὶ ἐπʼ ὀλίγων λέγεται.

πλήθουσα ἀγορά ὥρα τρίτη· "ἠκροβολίζοντο περὶ πλήθουσαν ἀγοράν." λέγεται καὶ πληθυούσης ἀγορᾶς· "πληθυούσης ἀγορᾶς ἐν μέσῳ ςὰς εἶπε."

πληθύουσιν αὐξάνουσι, πλεονάζουσι· "χρόνῳ δὲ ὕςερον πληθύουσι τοῖς Μινύαις εἰς ὕβριν ἐχώρουν, βασιλείας τε ἀντεποιᾶντο." (S OC 930) "καί σʼ ὁ πληθύων χρόνος γέρονθʼ ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν."

πληθώρα ἡ πλησμονή. καὶ "πληθωρεῖται" πληθύνεται "ὁ Νεῖλος."

Πληιάς τὸ ἄςρον.

πλῆκται πολεμικοί· "εἰσὶ δὲ πλῆκται ἀγαθοὶ καὶ παρὰ Βακκαίοις."

πληκτηρίζω.

πλῆκτρον, ὅπερ περιετίθεσαν τοῖς ἀλεκτρυόσι χαλκοῦν ἐν τῷ μάχεσθαι. καὶ παροιμία "αἶρε πλῆκτρον." ἀμυντήριον. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, οἷς μάχονται. πλῆκτρα οὖν τὰ ἐμβαλλόμενα χαλκᾶ τοῖς ἀλεκτρυόσι.

πλήμη ἡ πλημύρα τῆς θαλάσσης. καὶ πλημυρίς ἡ ταραχή.

πλημμέλεια.

πλημμελεῖν τὸ ἀτακτεῖν καὶ ὑβρίζειν καὶ ῥᾳθυμεῖν. καὶ πλημμελές τὸ ἐκμελὲς καὶ ῥᾴθυμον καὶ ἀπαίδευτον· Λῦσις ⟨Plato Lys. p. 222 B⟩ "τὸ δὲ ἄχρηςον φίλον ὁμολογεῖν πλημμελές." ⟨Legg. 9 p. 859 E⟩ "πλημμελῶς ἂν δόξειε λέγειν." "ὃ δὲ διὰ τὸ οἰκεῖον πλημμέλημα ὑπ' ἐμοῦ πανθήσεται τῆς ἀρχῆς," τουτέςι πταῖσμα. "τὸν δὲ κεκτημένον τὸ νωτοφόρον ζῷον ὀπίσω τραπέσθαι ἐκέλευον, καὶ ἐπανορθοῦσθαι τοῦ πλημμελήματος."

πλῆμναι αἱ χοινικίδες τοῦ ἅρματος.

πλήν ἐπίρρημα.

πλῆντο ἐπληροῦντο.

πλήρης ὁ πεπληρωμένος. καὶ οἱ πλήρεις πληθυντικόν. καὶ πλήρης ἐπίρρημα.

πληρώματα ὁ τῶν νηῶν φόρτος· "ὃ δὲ ἀναλαβὼν τὰ πληρώματα καὶ τὰς αἰχμαλώτους ἧκεν εἰς τὴν Ῥώμην." πλήρωμα καὶ οἱ ἐπιβάται· ⟨Polyb. 1 47⟩ "τὴν δὲ ναῦν καταρτίσαντες πληρώματι ἐπιλέκτῳ," καὶ αὖθις "παρεκόμιζον χρείας τοῖς πληρώμασι." καὶ Ἀριςοφάνης ⟨Vesp. 658⟩ "τούτων πλήρωμα τάλαντ' ἐγγὺς δισχίλια."

πληρωτής Δημοσθένης κατὰ Ἀριςογείτονος ⟨α 21⟩. πληρωτὰς ἐκάλουν τοὺς ἀποδιδόντας τὸν ἔρανον τοῖς ἤτοι λαχοῦσιν ἢ ἐωνημένοις. εἶεν δ' ἂν οὗτοι οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι. Harp.

πλησιάζω δοτικῇ.

πλησιαίτερος ὁ πλησίον ὤν.

πλησίον ἐγγύς.

πλήσιος. τὰ παρὰ τὸν μέλλοντα γινόμενα προπαροξύνεται· τὸ ἀνεψιός καὶ δεξιός ὀξύνονται. τὸ δὲ πλήσιος ἀπὸ τοῦ πλῆτος πλήτιος ὡς ἄμβροτος ἀμβρόσιος, τροπῇ τοῦ τέλους. οὐ γέγονε δὲ τὸ πλήσιος παρὰ τὸν μέλλοντα. οἱ γὰρ Λάκωνες τὰ παρὰ τὸν μέλλοντα εἰς τ οὐ τρέπουσιν, ἀλλ' ἀπὸ τῶν εἰς τὸ σ, ἐνιαυτός ἐνιαύσιος ἐνιαύτιος λέγουσιν, ὑπόμνημα διδόντες τοῦ πρώτου τ, πλοῦτος πλούσιος πλούτιος· τὸ δὲ πλήσιος πλήτιος λέγουσιν, ὥςε οὐ παρὰ τὸν μέλλοντα. Etym. M. v.

πλησίςιος ὁ φορὸς ἄνεμος. καὶ πλησίςιον οὐδετέρως. ἄνεμος ὁ πλησίον τοῦ ἁρμένου, ὁ πληρῶν τὸ ἅρμενον.

πλησιφαής ἡ πληροσέληνος ἡμέρα.

πλήσσεται.

πλήσσω αἰτιατικῇ.

πλίγματα τὰ πατήματα, καὶ πλίξ τὸ βῆμα, παρὰ Ἀριςοφάνει. sch. A Ach. 217.

πλινθεία ἐκ τοῦ πλινθεύω.

πλινθεῖον ὁ τόπος ἐν ᾧ πλίνθοι πλάττονται. οὕτω Λυσίας. Harp.

πλινθεύεται ἐξαπατᾶται, ἀπὸ τῆς ἀναισθησίας τοῦ πηλοῦ.

πλινθίον παρατάξεως εἶδος· "αὐτὸς δὲ ἐν πλινθίῳ ἄγων τὴν ςρατιὰν βάδην ἐπορεύετο" ⟨cf. v. βάδην⟩.

πλίνθος. παροιμίαι "πλίνθους πλύνεις, χαμαὶ ἀντλεῖς, φακὸν κόπτεις," ἐπὶ τῶν ἀδυνάτων.

πλινθωτὸν ἢ πλινθεία λέγεται, ὅταν ἐν τετραγώνῳ σχήματι ταὐτὸ τοῦτο πράξῃ, ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλλου πλαίσιον ἰσόπλευρον καλεῖ ⟨Anab. 3 4 19⟩.

πλίξ. ἔνθεν καὶ τὸ περιβάδην ἀμφιπλίξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος ⟨ξ 318⟩ "αἳ δ' εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσιν." ἔλεγον δὲ πλίξιν καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάςημα, καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀςοῦν.

πλοῖα κατάφρακτα σεσανιδωμένα πλοῖα, ὥςε κάτω μὲν τιθέναι τὰ ὅπλα, αὐτοὺς δὲ ἄνω διάγειν.

πλοΐζει πορεύεται· πλοῦς γὰρ καὶ ἡ ὁδός.

πλοϊκὴ καὶ πλόιμος θάλασσα.

πλόιμα πλευςικά, ἢ τὰ πλῷ πεμπόμενα· "ἦρος δὲ ἀρχομένου, ἐπεὶ πλόιμα εἶναι ἐδόκει, πρῶτον μὲν ἐκπέμπουσι Μαυρουσίων τινάς."

πλοῖον ἢ κυνῆ, ἐπὶ τῶν ἀμφιβόλων πραγμάτων, Ἀριςοφάνης Ὄρνισι ⟨1203⟩, κα-

θὸ ἐπτέρωτο ἡ Ἶρις, καὶ τὰ πτερὰ διατέταται ὥσπερ κῶπαι. ὅτι εἶχε περικεφαλαίαν τὸν πέτασον (cf. v. κυνῆ).

πλοκαμίς· (AP 6 279) "ἀντὶ δέ σοι πλοκαμῖδος, Ἐχηβόλε, κάλλος ἐπείη."

πλόκαμοι.

πλόκιον Γοργάδος τὸν δοθέντα πλόκαμον τῆς Γοργόνης Ἀςερόπῃ τῇ Κηφέως, καθ' ὃν χρόνον Κηφεὺς Ἡρακλεῖ συνεςράτευσεν εἰς Λακεδαιμονίαν, ἵνα τούτου ἀποδημοῦντος ἡ πόλις ἀπόρθητος μείνῃ.

a πλόκον πλέγμα ἐκ τριχῶν· (AP 6 277) "Ἄρτεμι, σοὶ πλόκον οἰκείας τόνδ' ἀνέθηκε κόμης παρθένος, ἱμερτοῦ κειραμένη πλοκάμου."

b πλόκον πλόκαμον· (S Ai. 1179) "αὕτως ὅπως περ τόνδ' ἐγὼ τέμνω πλόκον."

πλόος ὁ πλοῦς.

πλουθυγίειαν. ἔμιξε τὰ δύο Ἀριςοφάνης δι' ὧν μάλιςα οἱ ἄνθρωποι χαίρυσι καὶ δοκοῦσι τὸν βίον ἐπανορθοῦσθαι, ἐκ τούτυ ἔμφασιν εὐδαιμονίας ἐμφαίνων. "εὐδαιμονίαν βίον εἰρήνην νεότητα γέλωτα," τουτέςι καὶ τὰς ἄλλας ἡδονὰς δι' ὧν γέλως ἔςαι καὶ χορεῖαι καὶ εὐωχίαι. sch. A Av. 732.

πλουμβάτοις μολίβδοις, κατὰ γλῶτταν.

a Πλούταρχος Νεςορίυ Ἀθηναῖος φιλόσοφος, διδάσκαλος Συριανοῦ τοῦ ἐξηγητοῦ γενομένου Πρόκλου τοῦ Λυκίυ τοῦ προςάντος τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς, οὗ Μαρῖνος διάδοχος, ἔγραψε πολλά.

b Πλούταρχος Χαιρωνεὺς τῆς Βοιωτίας, γεγονὼς ἐπὶ τῶν Τραϊανοῦ τοῦ Καίσαρος χρόνων καὶ ἔτι πρόσθεν. μεταδοὺς δὲ αὐτῷ Τραϊανὸς τῆς τῶν ὑπάτων ἀξίας προσέταξε μηδένα τῶν κατὰ τὴν Ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι. ἔγραψε δὲ πολλά.

πλουτεῖν ἢ πεινῆν βέλτιον, ἀπὸ τῆς Ἑκάτης ἔςαι μαθεῖν. cf. v. Ἑκάτην.

πλουτοδότειρα.

πλοῦτος. κτήσασθαι μέν ἐςιν αὐτὸν εὐμαρές, φυλάξασθαι δὲ χαλεπόν. ζήτει ἐν τῷ Ἄτταλος.

Πλούτων ὁ Ἅδης, Ἀριςοφάνης (Ran. 1504). ὁ Πλύτων δίδωσι σχοινίον Αἰσχύλῳ ἐπανιόντι· "δὸς τοῦτο Κλεοφῶντι φέρων, καὶ τοῦτο τοῖσι ποριςαῖς." σύμβολον θανάτου, ἴσως σχοινίον πρὸς ἀγχόνην, ἤ τι τοιοῦτον.

πλόχανον πλέγμα, ᾧ ὁ σῖτος καθαίρεται. sch. Plat. p. 428.

πλοχμός ὁ πλόκαμος.

πλύνεται λοιδορεῖται, αἰσχρῶς ὑβρίζεται· πλύνειν γὰρ καταχρηςικῶς παρὰ τοῖς παλαιοῖς ἀντὶ τοῦ ἐλέγχειν, ὥς που καὶ Μένανδρος "ἐὰν κακῶς μου τὴν γυναῖκ' οὕτω λέγῃς, τὸν πατέρα καὶ σὲ τούς τε σοὺς ἐγὼ πλυνῶ" ἀντὶ τοῦ ἐλέγξω. Artemid. 2 4.

πλυνοὶ πύελοι ἐν οἷς πλύνουσι. Hom. Χ 193, ζ 40.

πλυνός ὀξυτόνως τὸ ἀγγεῖον αὐτό, παροξυτόνως δὲ τὸ πλυνόμενον. Ἀριςοφάνης Πλούτῳ (1062) "οὐχ ὑγιαίνειν μοι δοκεῖς, πλυνόν με ποιῶν ἐν τοσύτοις ἀνδράσιν" ἀντὶ τοῦ ἐφύβρισον πλύμα.

πλυντήρια ἑορτὴ Ἀθηναίων.

πλωάς εἶδος ὄρνιθος.

Πλωθεύς. Πλωθεία δῆμος τῆς Αἰγηΐδος, καὶ ὁ δημότης Πλωθεύς. Harp.

πλωΐζω πλέω. καὶ πλῴζω ὁμοίως.

πλώϊμος ἀνήρ.

πλώοντες πλέοντες.

πλώσιμον διαβατόν· Σοφοκλῆς (OC 663) "μακρὸν τὸ δεῦρο πέλαγος, οὐδὲ πλώσιμον" ἀντὶ τοῦ ἀδιάβατον.

πλωτὴ νῆσος ἡ πλεομένη. Hom. κ 3.

πλωτῆρες.

Πλωτῖνος Λυκοπολίτης, ἀπὸ φιλοσόφων, μαθητὴς μὲν Ἀμμωνίυ τοῦ πρώην γενομένου σακκοφόρυ, διδάσκαλος δὲ Ἀμελίυ· οὗ Πορφύριος διήκουσε, τοῦ δὲ Ἰάμβλιχος, τοῦ δὲ Σώπατρος. ἐπὶ δὲ Γαλλιηνῦ γηραιὸς ὢν διέμεινεν ἄχρι χρόνων ζ, καὶ συνέταξε βιβλία νδ', ἅτινα κατὰ θ' βίβλους διήρηται καὶ λέγονται ἐννεάδες ς'. γέγονε δὲ καὶ τὸ σῶμα ἀσθενὴς ὑπὸ τῆς ἱερᾶς νόσυ. ἔγραψε καὶ ἄλλα.

πλωτόν πλεόμενον.

πλῷ χρησάμενος τριταῖος ἐκ τῶν Ἀθηνῶν ἐς Μιτυλήνην ἀφῖκται" (Thuc. 3 3).

πλώω πλέω.

πνεῦμα ἡ ψυχὴ τοῦ ἀνθρώπου.

πνεῦμα δώσω αὐτοῖς, πνεῦμα καινόν (Ezech. 11 19). οὐ τὸ πανάγιον λέγει, ἀλλὰ τοῦ λογικοῦ τὴν ὁρμήν.

πνευματικὸν σῶμα (1 Cor. 15 44). φασὶ μετὰ τὴν ἔξοδον τῆς ψυχῆς ἐκ τῦ σώματος ἐξῆφθαι ταύτης σῶμα λεπτομερές, ἀερωδέςερον καὶ αὐγοειδέςερον, ὃ πάντως αἰσθη-

σιται ἀλγηδόνος. καὶ αὕτη ἡ φλυαρία Ἑλληνική. τούτου δὲ τοῦ σώματος ἀχώριςον εἶναι λέγȣσι θυμὸν καὶ ἐπιθυμίαν. cf. v. αὐγοειδής.

ὅτι ἐν τοῖς Τόποις Ἀριςοτέλης πᾶν πνεῦμα φθαρτὸν εἶναι λέγει.

πνευμονία ἡ περὶ τὸν πνεύμονα.

πνεύμονος ⟨Plato Phileb. p. 21⟩ τȣ̃ ἰχθύος.

πνεύμων. λέγεται καὶ διὰ τοῦ λ. "ὅτι οὐ πάντα τὰ ζῷα ἔχει φωνήν, μόνα δὲ τὰ ἔχοντα πνεύμονα καὶ ἀναπνέοντα. ὕλη γάρ ἐςι τῆς φωνῆς ὁ ἀναπνεόμενος ἀήρ, οὔτε δὲ τὰ ἔντομα ἀναπνεῖ οὔτε τὰ ἄναιμα, οὔτε πάντα τὰ ἀμφίβια φωνοῦσιν, οὔτε τὰ ὀςρακόδερμα, οἷον οἱ κοχλίαι, οὔτε τὰ μαλακόςρακα, οἷον καρκίνοι σκυτάλαι. φωνοῦσι δὲ τῶν ἀμφιβίων ποτάμιος ἵππος καὶ κροκόδειλος· φωνεῖ γὰρ οὗτος κατὰ βραχύ. οἱ δὲ περὶ τὸν Ἀχελῷον ἰχθύες δοκοῦντες φωνεῖν οὐ φωνοῦσιν· οὐ γὰρ διὰ τῶν φωνητικῶν ὀργάνων φωνοῦσιν, ἀλλὰ κατά τινα τῶν βραγχίων κίνησιν. νηχόμενοι γὰρ κατὰ τὴν τοῦ ὕδατος ἐπιφάνειαν, ἐναπολαμβάνοντες πολὺ ὕδωρ ἐν τοῖς βραγχίοις, εἶτα συςέλλοντες τὰ βραγχία, ἐκπέμπουσι τὸ ὕδωρ καὶ ταράττȣσι τῇ ἐκπομπῇ· τὸ δὲ ταραττόμενον ἐναπολαμβάνει τινὰ ἀέρα, ὃς ἐκθλιβόμενος τῇ πληγῇ ἠχεῖ, καὶ ταύτῃ δοκοῦσι φωνεῖν. οἱ δὲ τέττιγες δι' ὑμένος τινὸς ὑπὸ τὸ ςῆθος, κατὰ τὴν ἐπιφάνειαν ἐμπεφυκότος ἀέρος, ὃν θλίβοντες ταῖς πτέρυξι τὸν ἐναπειλημμένον ἀέρα φωνοῦσιν· οὐ γὰρ διὰ τῶν φωνητικῶν ὀργάνων φωνοῦσιν. αἱ δὲ μυῖαι τοῖς πτεροῖς τραχέσιν οὖσι πλήττουσι τὸν ἀέρα καὶ ἠχοῦσιν· ἀμέλει ςαθεῖσαι οὐκέτι βομβοῦσι. καὶ οἱ σκάροι τῷ ςόματι τὸ ὕδωρ ἐξωθοῦντες μετὰ ῥοίζου τὸν ἦχον ἀποτελοῦσιν· ἀμέλει ἐν τῷ βάθει ὄντες οὐ φωνοῦσι" ⟨Philopon. in 2 de anima⟩.

πνεύσας σφοδρῶς ὀργισθείς. "ὃ δὲ νέος ὢν καὶ φιλόνεικος πολὺς ἐπέπνει." "ἔτι δὲ τῷ προσπνεύματι συνεληλαμένων, καὶ μαχομένων ἐκ διάρσεως ταῖς μαχαίραις" τȣτέςιν ὀργίλως, "παραςὰς ἐκ τῶν ὄπισθεν ὑπὸ τὴν μάλην παρέσφαξε."

πνευςιῶν φυσῶν, ἐμπνέων· "ὃ δὲ ἔκειτο πνευςιῶν ἡμίπνους ὑπὸ τοῦ βρόχου."

πνίγει μετρίῳ ⟨A Av. 727⟩ συμμέτρῳ καύματι, τουτέςιν ἔαρι. καὶ τὸ πληθυντικὸν τὰ πνίγη.

πνιγεύς ὁ φοῦρνος, ὁ κρίβανος. κυρίως ὅπȣ οἱ ἄνθρακες συμπνίγονται, διὸ ἐπιλέγει "ἡμεῖς δ' ἄνθρακες" ⟨A Nub. 96⟩.

πνιγηρά ἡ καυματώδης καὶ θερμή· πνιγεὺς γὰρ ἡ κάμινος. ἅμα δὲ ὅτι πνίγει τῷ χρόνῳ τὸ σχοινίον καὶ τὸ θρανίον. Ἀριςοφάνης ⟨Ran. 121⟩ "μία μὲν ἔςιν ἀπὸ κάλω καὶ θρανίȣ." καὶ Ἀρριανός ⟨Ind. p. 556⟩ "τὰ δὲ βράχη πρὸς τῷ αἰγιαλῷ ἐπῴκεον ἄνθρωποι ἐν καλύβαις πνιγηραῖς."

πνῖγος καῦμα.

Πνυκός. Ἀριςοφάνης ⟨Eq. 1105⟩ "ὁπότερος ἂν σφῷν εὖ με μᾶλλον ἂν ποῇ, τȣ́τῳ παραδώσω τῆς Πυκνὸς τὰς ἡνίας," τουτέςι τὴν ἐξουσίαν, τροπικῶς ἀπὸ τῶν ἁρμάτων· ταῖς γὰρ ἡνίαις ἡνιοχοῦνται οἱ ἵπποι, καὶ οἱ δῆμοι διὰ τῶν πολιτευομένων.

Πνύξ Πνυκός Πνυκί, καὶ καθ' ὑπερβιβασμὸν Πυκνί. a

Πνύξ. Πνυκός ἔδει· ἀλλὰ μεταθέσει ςοιχείȣ Ἀριςοφάνης ⟨Eq. 165⟩ Πυκνός λέγει τὴν γενικήν· "καὶ τῆς ἀγορᾶς καὶ τῶν λιμένων καὶ τῆς Πυκνός." b

Πνύξ ἐκκλησία, παρὰ τὴν τῶν λίθων c πυκνότητα, ἢ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ. sch. A Ach. 20.

πόα. ἑκάςη βοτάνη οὕτω λέγεται. ἡ δὲ σμήχȣσα πόα λέγεται παρὰ Δημοσθένει καὶ Λυσίᾳ ⟨sch. A Eq. 603⟩. "ὡς ἐν πόᾳ πλυνάντων·" οὕτω Μαλαχίαν ⟨3 2⟩ ἐδόξασε.

ποδάγρα· "τάφρους ὤρυξε καὶ ποδάγρας ὑφῆκεν ὡς θηρίοις τοῖς πολεμίοις."

Ποδαλείριος ὄνομα κύριον.

ποδαπός ποίου ἔθνους, ποίας χώρας. φησὶ Ξενοφῶν ⟨Anab. 4 4 17⟩ "ἐρωτώμενος δὲ ποδαπὸς εἴη, Πέρσης ἔφη εἶναι." καὶ αὖθις "ποδαπός; Ἀντιοχεύς."

ποδεῶνες εἶδος γεωργικόν. ⟨AP 6 95⟩ "καὶ τρητοὺς ποδεῶνας ὁ γατόμος ἄνθετο Δηοῖ Πάρμις, ἀνιηρῶν παυσάμενος καμάτων."

ποδηγέςερον ὁδηγητικώτερον.

ποδηγός παιδαγωγός.

ποδήνεμος ἡ ταχεῖα· ⟨AP 7 212⟩ "αἰθυίης, ξένε, τόνδε ποδηνέμȣ ἔννεπε τύμβον."

ποδήρης ἕως τῶν ποδῶν χιτών. οἱ δὲ τὸ συρραπτόμενον εἰς τὸ κατώτερον τῆς ςολῆς ἐκ πορφύρας ἢ βύσσου ῥάκιον.

ποδοῖιν ποδῶν.

ποδοκάκη ξύλον εἰς ὃ ἐν εἱρκτῇ τοὺς πόδας ἐμβάλλοντες συνέχουσιν· ὃ παρὰ Ῥω-

μαίοις κοῦσπος καλεῖται. "ἐν εἱρκτῇ τε καὶ ποδοκάκῃ ςρεβλούμενοι καὶ ταλαιπωρέμενοι ἔμενον." λέγεται καὶ ποδοςράβη· "ὡς ἐν ποδοςράβαις τισὶ τοῖς βόθροις ἐνειργόμενοι ἐκτείνοντο."

ποδοκάκκη, Δημοσθένης κατὰ Τιμοκράτους ⟨105⟩. τὸ ξύλον τὸ ἐν τῷ δεσμωτηρίῳ οὕτως ἐκαλεῖτο, ἤτοι παρεμβεβλημένου τοῦ ἑτέρου κ, ποδῶν τις κάκωσις οὖσα, ἢ κατὰ συγκοπήν, ὡς Δίδυμος, οἷον ποδοκατοχή. Harp.

Ποδορρώνη ὄνομα κύριον.

ποδοςράβη. ποδοςράβας ἔλεγον μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο. οὕτως Ὑπερίδης καὶ Ξενοφῶν.

ποδώκεια ἡ ταχεῖα.

Πόδωνος ὄνομα κύριον.

ποηφάγον θηρίον.

Πόηχος ὄνομα κύριον.

ποθέεσκεν ἐπόθει, ἐπεζήτει. Hom. Λ 492.

ποθεινός.

ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς. A Plut. 1128.

πόθεν ἀρνητικόν, ἴσον τῷ οὐδαμῶς. sch. A Ran. 1503.

πόθεν ποῖ. ἐπὶ πάσης μεταβολῆς τᾶτο ληπτέον, ὥς φησιν Ἀριςοτέλης.

ποθή ἡ ἐπιζήτησις. Hom. Λ 240.

πόθι ποῦ.

ποθῶ αἰτιατικῇ.

a ποῖ πότε· Ἀριςοφάνης ⟨Lys. 526⟩ "ποῖ γὰρ καὶ χρῆν ἀναμεῖναι;" καὶ παρὰ Σοφοκλεῖ ⟨El. 958⟩ ἀντὶ τᾶ εἰς τίνα χρόνον· "ποῖ γὰρ μενεῖς ῥᾴθυμος, εἰς τίν' ἐλπίδων βλέψασ' ἔτ' ὀρθήν;"

b ποῖ ἀντὶ τοῦ ποῦ Σοφοκλῆς ⟨Ai. 1006⟩· Τεῦκρος πρὸς τὸν νεκρὸν Αἴαντος "ποῖ γὰρ μολεῖν με δυνατόν, εἰς ποίους βροτούς, τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμᾶ; ἦ πα Τελαμών, ὁ σὸς πατὴρ ἐμός θ' ἅμα, δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἴσως χωροῦντ' ἄνευ σᾶ. πῶς γὰρ οὐχ ὅτῳ πάρα μηδ' εὐτυχᾶντι μηδὲν ἵλεων γελᾶν."

ποῖ γῆς ἀπεδήμεις; ὁ Διόνυσος λέγει ⟨A Ran. 48⟩ "ποῖ γῆς;" ὃ δέ φησιν "ἐπεβάτευον Κλεισθένει." τὸ ἐπιβατεύειν --- πασχ. κωμῳδεῖ. ἐμφαίνει ἂν ὅτι, εἰ καὶ κατὰ ςρατείαν ἀπεδήμουν, Κλεισθένει ἂν ἐςρατευσάμην. cf. v. ἐπεβάτευον.

ποιά ἡ πεποιημένη φωνή.

Ποιάντειον πεδίον.

ποιεῦμεν ποιοῦμεν.

ποίη ὁ ἐνιαυτὸς παρὰ Καλλιμάχῳ ⟨fr. 182⟩, παρὰ τὸ ἅπαξ καὶ μόνον ἐν τῷ ἐνιαυτῷ τὴν βοτάνην φύεσθαι· ⟨AP 6 252⟩ "μῆλον ἐγὼ ςρούθειον ἀπὸ προτέρης ἔτι ποίης."

ποιήεσσαν ⟨Hom. I 150⟩ σιτοφόρον, βοτανώδη.

ποίην πόαν, βοτάνην. καὶ ποιηφάγον τὴν ςαφυλολόγον, ἢ τὴν τοὺς ἀςάχυας ὄπισθεν τῶν θεριζόντων σωρεύουσαν.

ποιητέον ἀντὶ τοῦ δεῖ ποιεῖν.

ποικίλη ςοὰ ἐν Ἀθήναις, ἔνθα ἐγράφησαν οἱ ἐν Μαραθῶνι πολεμήσαντες· εἰς οὓς ἔςιν ἐπίγραμμα τόδε ⟨AP append. 167⟩ "Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι ἔκτειναν Μήδων εἴκοσι μυριάδας."

ποικιλία.

ποικιλομήτης ποικιλόβελος. ποικιλόμητις δέ.

ποικίλος λόγος ὁ πυκνός. A Thesm. 443.

ποικιλτικήν πολυμιταρικήν.

ποικιλῳδός ἡ Σφίγξ· ⟨S OR 130⟩ "ἡ ποικιλῳδὸς Σφὶγξ τὸ πρὸς ποσὶ σκοπεῖν μεθέντας ἡμᾶς τἀφανῆ προσήγετο."

ποικιλώτερος ὕδρας, ἐπὶ τῶν δεινῶν, ἤτοι θαυμαζομένων.

ποιμαίνειν αἰτιατικῇ.

ποιμένων κηδεμόνων, καὶ ποιμαίνειν τὸ φροντίζειν. sch. S Ai. 360.

ποιμνήιον.

Ποιμνίωνος.

ποιναὶ τιμωροὶ τοῖς κακῶς ποιᾶσιν ἀκολαθᾶσιν, ἐχ ὡς σκιαὶ σώμασι πλησίον, ἀλλὰ καὶ ὀψὲ τᾶ χρόνα.

ποινή λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων· ⟨Hom. I 633⟩ "ποινὴν ἧ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος. ἀλλ' ὃ μὲν ἐν δήμῳ μένει αὐτᾶ πόλλ' ἀποτίσας, τᾶ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ ποινὴν δεξαμένω." λέγεται δὲ καὶ ἡ ἀντέκτισις καὶ τιμωρία· Σοφοκλῆς ⟨El. 209⟩ "οἷς θεὸς μέγας Ὀλύμπιος ποίνιμα πάθεα παθεῖν πόροι." καὶ ἄποινα μεταποίνιος· ἐν ἐπιγράμματι ⟨AP 5 248⟩ "πόλίτομαι, δέσποινα, τοίην μὴ λάμβανε ποινήν," καὶ Αἰλιανός "ὁ Ἀπόλλων φησὶ πρὸς Λοκροὺς μὴ ἂν αὐτοῖς τὸ δεινὸν λωφῆσαι, εἰ μὴ πέμποιεν ἀνὰ πᾶν ἔτος δύο παρθένους

εἰς τὴν Ἴλιον τῇ Ἀθηνᾷ Κασάνδρας ποινήν, ἕως ἂν ἱλεώσητε τὴν θεόν." καὶ ποίνιμοι αἱ τιμωρητικαὶ ἐρινύες· Σοφοκλῆς (Ai. 843) "ἴτ' ὦ ταχεῖαι ποίνιμοί τ' ἐρινύες, γεύεσθε, μὴ φείδεσθε πανδήμου ςρατοῦ." καὶ αὖθις (Polyb. 24 8) "πάντων τῶν ἀσεβημάτων καὶ παρανομημάτων ὧν εἰργάσατο, παρέςησαν αὐτῷ τινὰς ἐρινῦς καὶ ποινὰς καὶ προςροπαίους τῶν δι' ἐκεῖνον ἠτυχηκότων."

ποινήλατον· "τοῦτον ὡς ποινήλατον ὁ φιλόσοφος ἐξετρέπετο."

a ποινὴν τιμωρίαν, ἀντέκτισιν, προςιμον.

b ποινήν· "οὓς δὲ λάβοι Σάκας αἰχμαλώτους, ἀνεσκολόπιζε καὶ ᾐκίζετο, ποινὰς τοῦ πατρὸς φόνου πράξασθαι θέλων."

ποιοίη εὐκτικῶς.

ποιπνύω τὸ ἐνεργῶ Ὅμηρος (Α 600).

ποίφυγμα.

ποιφύσσω σφοδρῶς καὶ μετὰ ἤχου τὴν πνοὴν ἐκπέμπω. "οὐδὲ πέρα σκαρθμοῖσι νεὼς περὶ χάλκεα χείλη ποιφύσσω, τὠμῷ τερπόμενος προτομῇ" ὁ δελφίς φησιν (AP 7 215). καὶ ποιφύξαι φυσᾶν.

πόκα ἀντὶ τοῦ ποτέ, δωρικῶς. ἀφ' οὗ καὶ οὐδέποκα.

ποκάδες αἱ διεκτενισμέναι τρίχες.

πόκος ποκάριον.

πολέας πολλούς.

Πολείδιον ὄνομα πόλεως.

πολεῖς πολλούς.

πολέμαρχοι ἀρχή, ἣν συνέβαινε κλείειν τὰς πύλας, καὶ τὸν μεταξὺ χρόνον κυριεύειν τῶν κλειδῶν, καὶ ποιεῖσθαι τὸ καθ' ἡμέραν τὴν δίαιταν ἐπὶ τῶν πυλώνων παρ' Αἰτωλοῖς. Polyb. 4 18.

a πολέμαρχος ἄρχων, πρὸς ὃν κατηγγυῶντο τοὺς ξένους. gl. Herodot. 6 109.

b πολέμαρχος. ἀρχή τίς ἐςι παρ' Ἀθηναίοις οὕτω καλουμένη. ἔςι δὲ οὗτος εἷς τῶν θ' ἀρχόντων. διοικεῖ δὲ οὗτος ἄλλα τε καὶ εἰσάγει δίκας τάς τε τοῦ ἀποςασίου καὶ ἀπροςασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις· καὶ τἄλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων ἐςί, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος. ἔςι δὲ καὶ κύριον ὄνομα, ὁ τοῦ Λυσίου ἀδελφός. Harp.

πολεμησείειν πολεμητικῶς ἔχειν, Θουκυδίδης ἐν τῇ α' (33). ὡς τὸ Ὁμηρικὸν (Ξ 37) "τῷ ῥ' οἵ γ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο." οὕτως καὶ γαμησείειν Ἀττικοί φασι, καὶ ἄλλας φωνὰς οὕτως σχηματίζουσι.

πολεμησείοντος πολέμου ἐπιθυμοῦντος· "Χοσρόου δὲ πολεμησείοντος ὡς ᾔσθετο Ἰουςινιανός" (Procop. Pers. 2 4).

πολεμητέα εἶναι ἐν τάχει ἀντὶ τοῦ δεῖν πολεμεῖν. ἰςέον δὲ ὅτι τὰ τοιαῦτα θετικὰ ἐπιρρήματα ἔχουσιν ἐν αὐτοῖς ἢ τὸ χρὴ ἢ τὸ δεῖ, οἷον γαμητέον ἀντὶ τοῦ χρὴ γαμῆσαι, πλευςέον ἀντὶ τοῦ δεῖ πλεῦσαι, καὶ οὐ παραδοτέα (Thuc. 1 86) ἀντὶ τοῦ οὐ χρὴ παραδοῦναι. (Procop. Pers. 2 3) "πολεμητέα σφίσιν ἅμα ἦρι ἀρχομένῳ ἐπὶ Ῥωμαίους ἔδοξεν εἶναι." "οὕτως ἔγνω διὰ ταῦτα πολεμητέον εἶναι πρὸς Ῥωμαίους."

πολεμίζει. Ἰώσηπος (B. I. 5 2 4) περὶ τῶν ςασιωτῶν ἐπὶ τῆς Τίτου πολιορκίας "καὶ τοῦ πολέμου μετ' ἀδείας ἀντιπολεμίζοντος ἑαυτόν" (cf. v. ἄδεια).

πολέμοιο τέρας (Hom. Λ 4) τὸν εἰδωλοποιούμενον πόλεμον, τὸν ποιητικὸν τοῦ ἐνεργουμένου πολέμου. ὡς καὶ ἐν ἄλλοις κυδοιμοῦ εἴδωλόν φησιν ἔχειν (Ε 593)· "ἣ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηιοτῆτος."

Πολέμων Εὐηγέτου Ἰλιεύς, κώμης Γλυ- a
κείας ὄνομα, Ἀθήνησι δὲ πολιτογραφηθείς, διὸ ἐπεγράφετο Ἑλλαδικός, ὁ κληθεὶς περιηγητής, ἱςορικός. γέγονε δὲ κατὰ Πτολεμαῖον τὸν ἐπιφανῆ· κατὰ δὲ Ἀσκληπιάδην τὸν Μυρλεανὸν συνεχρόνισεν Ἀριςοφάνει τῷ γραμματικῷ, καὶ διήκουσε καὶ τοῦ Ῥοδίου Παναιτίου. ἔγραψε περιήγησιν Ἰλίου ἐν βιβλίοις γ', κτίσεις τῶν ἐν Φωκίδι πόλεων καὶ περὶ τῆς πρὸς Ἀθηναίους συγγενείας αὐτῶν, κτίσεις τῶν ἐν Πόντῳ πόλεων, περὶ τῶν ἐν Λακεδαίμονι, καὶ ἄλλα πλεῖςα, ἐν οἷς καὶ κοσμικὴν περιήγησιν ἤτοι γεωγραφίαν.

Πολέμων Λαοδικεύς, ἤγουν ἐκ Λαοδι- b
κείας τῆς πρὸς τῷ Λύκῳ ποταμῷ, ῥήτωρ καὶ σοφιςής, σοφιςεύσας ἐν Σμύρνῃ, διδάσκαλος Ἀριςείδου τοῦ ῥήτορος. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ μετ' αὐτόν, μαθητὴς δὲ ἐγένετο Τιμοκράτους τοῦ ἐξ Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ φιλοσόφου καὶ Σκοπελιανοῦ τοῦ σοφιςοῦ. ἐτελεύτησε δὲ ς' καὶ ν' ἐνιαυτῶν, ἑαυτὸν ἐν τῷ τάφῳ ἐμβαλὼν καὶ ἀποκαρτερήσας διὰ τὸ συνέχεσθαι τῇ ἀρθρίτιδι νόσῳ. διὸ καὶ τῶν συγγενῶν καὶ φίλων θρηνούντων λέγεται εἰπεῖν πρὸς αὐτοὺς τὸν Πολέμωνα "δότε μοι ἕτερον σῶμα καὶ μετεμβήσομαι." καὶ τοῖς ἰατροῖς ἐπὶ συχνῷ τέμνουσιν αὐτὸν ἔλεγεν

"ἐκτέμνετε τὰς Πολέμωνος λατομίας ὡς τάχιςα." cf. Philostrat. V. S. 1.

c Πολέμων ὁ νεώτερος, σοφιςής, γέγονε καὶ αὐτὸς ἐπὶ Κομόδȣ.

d Πολέμων Φιλοςράτου ἢ Φιλοκράτους, Ἀθηναῖος φιλόσοφος, μαθητὴς Ξενοκράτȣς τȣ̃ Πλάτωνος διαδόχȣ, καὶ αὐτὸς ἡγησάμενος τῆς Ἀκαδημείας. ἐγεγόνει δὲ σφόδρα ἄσωτος, εἶτα ἐφιλοσόφησε. καὶ πολλὰ μὲν συνέγραψε βιβλία, ȣ̓δὲν δὲ αὐτȣ̃ φέρεται. ἔχαιρε δὲ Ὁμήρῳ τε καὶ Σοφοκλεῖ, καὶ ἴσως ἔχειν ἑκάτερον αὐτοῖν σοφίας ἔλεγεν, ὥςε καὶ φάσκειν Ὅμηρον μὲν Σοφοκλέα ἐπικόν, Σοφοκλέα δὲ Ὅμηρον τραγικόν.

Πολεμώνιος ὄνομα κύριον.

πολέμωνος εἶδος ζῴȣ.

πολεμῶσαι πολέμιον καταστῆσαι. καὶ ἐκπολεμῶσαι· "ἔςειλαν δὲ οἱ Τȣ̃ρκοι ὡς Ἰȣςινιανὸν πρεσβείαν ἐφ' ᾧ συνεκπολεμῶσαί γε αὐτὸν Πέρσαις."

πολιά τȣ̃ γήρως. καὶ πολιάς ἡ Ἀθηνᾶ.

πολίειον πόλις.

πολίζω τὸ κτίζω.

πολιήτης ἀρσενικόν, καὶ πολιῆτις θηλυκόν· ⟨AP 7 218⟩ "Λαΐδ' ἔχω πολιῆτιν ἁλιζώνοιο Κορίνθȣ."

πολιοκροτάφοιο γέροντος. · Hom. Θ 518.

πολιόν τὸ λευκόν· ⟨A Av. 349⟩ "ȣ̓́τ' ὄρος σκιερὸν ȣ̓́τε νέφος αἰθέριον ȣ̓́τε πολιὸν πέλαγος ἔςιν ὅ τι δέξεται τȣ̃τον φυγόντα."

πολιορκῆσαι τὸ μόνον τῇ πόλει προσκαθεσθῆναι πολεμίȣς· ἐκπολιορκῆσαι τὸ τελέως καταλαβεῖν τὴν πόλιν καὶ εἰσελθεῖν. sch. Thuc. 1 94.

πολιορκία φυλακή.

Πολιοῦχος καὶ Πολυάκης ὀνόματα κύρια.

πολιούχοις τοῖς τῶν πόλεων ἄρχȣσι.

πόλις εἶδος παιδιᾶς. καὶ παροιμία "πόλεις παίζομεν."

πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμȣ̃ δὲ παιάνων τε καὶ ςεναγμάτων" ⟨S OR 4⟩, παρ' ὅσον οἱ μὲν μηδὲν πεπονθότες ἐπὶ ἀποτροπῇ τȣ̃ κακȣ̃ θύȣσι καὶ παιᾶνας ᾄδȣσιν, οἱ δὲ ἑαλωκότες ἐπ' οἰκείοις κακοῖς ἀποιμώζȣσι.

πολιτεία. ἰδίως εἰώθασι τῷ ὀνόματι χρῆσθαι οἱ ῥήτορες ἐπὶ τῆς δημοκρατίας, καὶ Ἰσοκράτης ἐν Πανηγυρικῷ ⟨125⟩ καὶ Δημοσθένης ⟨1 5⟩ ἐν τοῖς Φιλιππικοῖς. Harp.

πολιτεύμασι ταῖς πολιτείαις, ἢ ταῖς ἄλλαις αἱρέσεσι.

πολίτης δῆμος ὁ τῆς πόλεως.

πολιτικός ἀστεῖος μετά τινος τέχνης. γνώμη "πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν, συγκλώθειν ἐςὶ τὰ ἀσύγκλωςα" ⟨Synes. ep. 57 p. 198⟩.

ὅτι πολιτεύεσθαι δεῖ τὸν σοφόν· καὶ γὰρ κακίαν ἐφέξειν καὶ ἐπ' ἀρετὴν παρορμῆσαι ἱκανὸς ἔςαι. Diog. L. 7 121.

πολιτισμός· "τὸν πολιτισμὸν ἐκτοπίζων ἐν Ἀκαδημείᾳ διέτριβε." cf. v. ἐκτοπίζω.

πολιτοκοπεῖν Δίφιλος.

πολλά. ἀντὶ τοῦ πάντα εἴωθεν ὁ Θουκυδίδης χρῆσθαι.

πολλά γ' ἡμᾶς λανθάνει ⟨A Pac. 619⟩, ἀντὶ τȣ̃ ȣ̓ πάντα γινώσκομεν τὰ πράγματα.

πολλὰ κενὰ τοῦ πολέμȣ· Πολύβιος ⟨29 6⟩ "ὅτι τῆς σελήνης ἐκλειπούσης ἐπὶ Περσέως τȣ̃ Μακεδόνος ἐκράτησεν ἡ φήμη παρὰ τοῖς πολλοῖς ὅτι βασιλέως ἔκλειψιν σημαίνει, καὶ τȣ̃το τȣ̀ς μὲν Ῥωμαίους εὐθαρσεςέρους ἐποίησε, τȣ̀ς δὲ Μακεδόνας ἐταπείνωσε ταῖς ψυχαῖς. ȣ̓́τως ἀληθές ἐςι τὸ περιφερόμενον, ὅτι πολλὰ κενὰ τοῦ πολέμου."

πολλά κεν εἰδείης, οἷς τὸν θεὸν ἐξαπατήσαις, παροιμία πρὸς τοὺς οἰομένȣς τὸ θεῖον κατασοφίζεσθαι.

πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

πολλά τοι σμικροὶ λόγοι ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς" ⟨S El. 415⟩, ἀντὶ τοῦ ἀπὸ τῶν τυχόντων καὶ βλάπτονται καὶ ὠφελοῦνται.

πολλὰ χαίρειν φράσας ἀποταξάμενος, ἀπογνούς. cf. v. χαίρειν φράσαντες.

πολλαὶ δ' ἀπειλαὶ πολλὰ δὴ μάτην ἔπη θυμῷ κατηπείλησαν. ἀλλ' ὁ νοῦς ὅταν αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα" ⟨S OC 658⟩. τȣτέςι, πολλοὶ ἄνθρωποι πολλὰ ἀπειλήσαντες ἐκ θυμȣ̃, πέψαντες τὸν θυμὸν καὶ καθεςηκότα νοῦν ἀναλαβόντες ἐπαύσαντο τῶν ἀπειλῶν.

πολλαῖς πληγαῖς δρῦς δαμάζεται, παροιμία πρὸς τοὺς δυσαλώτȣς καὶ δυσκατεργάςȣς.

πολλὰς ἐπιτρίβεσθαι· ⟨A Nub. 972⟩ "ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς μούσας ἀφανίζων." καὶ ὁ ἀπόςολος ⟨Luc. 12 47⟩ "δαρήσεται πολλάς."

πολλαχῶς. τοῦτο διττόν ἐςι, τὸ μὲν ἐν ὀνόμασιν, ἃ ὁμώνυμα καλεῖται, τὸ δὲ ἐν λόγῳ, ἃ εἰώθασιν ἀμφίβολα λέγειν. οἷον τὸ ἀγαθὸν ἄλλως λέγεται κατὰ δικαιοσύνης καὶ ἀνδρίας, ἄλλως δὲ καὶ κατὰ τοῦ εὐεκτικοῦ τε καὶ ὑγιεινοῦ· λέγεται γὰρ καὶ ταῦτα ἀγαθά.

a **Πόλλης** Αἰγιεὺς ἀπὸ Αἰγῶν τῆς Ἀσίας (κεῖται δὲ πλησίον Μαγνησίας καὶ Σμύρνης), φιλόσοφος, ἔγραψε κατὰ ςοιχεῖον συμβολικὰ ἐν βιβλίοις β', οἰωνοσκοπικὰ ἐν βιβλίοις η', ἀριθμητικὰ ἐν βιβλίοις β', λήμματα ἐν βιβλίοις β', περὶ τῆς καθ' Ὅμηρον οἰωνοπολίης, περὶ τῆς παρὰ Τυρρηνοῖς μαντικῆς, ἰατροσυμβολικά, περὶ δρυοκολάπτυ ἱερὸν λόγον, κατοικιδίων α', θηρευτικόν, συμπαθειῶν καὶ ἀντιπαθειῶν γ', περὶ κεραυνῶν καὶ τῆς αὐτῶν παρατηρήσεως, καὶ ἄλλα.

b **Πόλλης** ὄνομα μάντεως· καὶ κλίνεται Πόλλητος. ὃς συνέγραψε τὸ ἐνόδιον οἰώνισμα, ὅτι ἐὰν ἀπαντήσῃ τις τόδε βαςάζων, τόδε σημαίνει.

πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά. S El. 1054.

Πόλλις ὄνομα κύριον.

πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα.

πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες. θριαὶ καλοῦνται αἱ μαντικαὶ ψῆφοι, καὶ τὸ μαντεύεσθαι θριάσαι.

πολλοὶ μὲν ἐχθροί, παῦρα δ' ὠφελήσιμοι.

πολλοί σε μισήσουσιν, ἐὰν σαυτὸν φιλῇς. τοῦτό φασι τὰς νύμφας πρὸς τὸν Νάρκισσον εἰπεῖν, ἀποβλέποντα εἰς τὰς πηγὰς διὰ τὴν οἰκείαν μορφήν.

πολλοὶ ςρατηγοὶ Καρίαν ἀπώλεσαν, διὰ τὴν Ἁλικαρνασσῦ πολιορκίαν, ἐπὶ τῶν μὴ ὁμογνωμονούντων.

πολλόν ὡς ἐπὶ τὸ πλεῖςον· ἐν μύθοις "τὸ δὲ πολλὸν ἀγήνορα μέμφετο τίγριν" ⟨cf. v. ἄδεν⟩.

πολλός ἀρσενικῶς ἀντὶ τοῦ πολύς· Ἀρριανός ⟨Ind. 5 8⟩ "Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει, Ἡρακλέυς δὲ πέρι ὁ πολλός."

πολλοςημόριον τὸ ἔσχατον μέρος τῆς γῆς.

πολλοςόν ἐπὶ τάξεως καὶ μυρίϋ Δημοσθένης καὶ ἄλλοι.

πολλοςῷ ἐσχάτῳ· "ὅτε καθ' ἡλικίαν σε οὔτε εἰς τὰ ἄλλα προύχοντι, ἀλλὰ τοῖς πᾶσι πολλοςῷ ὄντι."

πολλοῦ ἀντὶ τοῦ πάνυ· ⟨A Nub. 915⟩ "θρασὺς εἶ πολλοῦ." καὶ "πολλοῦ γε δεῖ."

πολλοῦ γε καὶ δεῖ οὐδὲ ὅλως.

πολλοῦ δὴ δέω καὶ λέγειν σιωπῶ, πόρρω λίαν εἰμὶ τοῦ λέγειν, οὐ βούλομαι λέγειν.

πολλῷ γε μᾶλλον, κἂν παρῶσι χίλιοι ⟨A Nub. 1152⟩, ἐπὶ τῶν ἐκ παντὸς τρόπου νικήσειν ἐπαγγελλομένων.

πόλος οὐρανός, καὶ πόλου οὐρανοῦ ἢ κόσμυ. Ἀριςοφάνης ⟨Av. 179⟩ "ὀρνίθων πόλος." τὸ μέν τι παραφράζει τὸ προειρημένον τῶν ὀρνίθων, ὅτι τόπος αὐτῶν ἐν ᾧ διατρίβυσι, τὸ δὲ καὶ πρὸς τὸν σχηματισμὸν τοῦ ὀνόματος παίζει, τόπος καὶ πόλος. ἑξῆς δὲ ἐτυμολογεῖ αὐτὸν ἀπὸ τοῦ πολεῖσθαι· πόλον γὰρ οἱ παλαιοὶ οὐχ ὡς οἱ νεώτεροι σημεῖόν τι καὶ πέρας ἄξονος, ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ "καὶ τὸν Ἀτλάντειον φρυρῶν πόλον," ὡς αὐτοῦ τε περιπολυμένυ καὶ δι' αὐτοῦ πάντων ἐρχομένων. "ὥσπερ εἴποι τις τόπος. ὅτι δὲ πολεῖται τῦτο καὶ διέρχεται ἅπαντα, διὰ τῦτο καλεῖται νῦν πόλος."

πολύ πλεῖςον.

πολύαινος πολλῦ ἐπαίνυ ἄξιος.

Πολύαινος Μακεδὼν ῥήτωρ περὶ Θηβαίων, τακτικὰ βιβλία γ'. a

Πολύαινος Σαρδιανὸς σοφιςής, γεγονὼς ἐπὶ τῦ πρώτυ Καίσαρος Γαΐου, λόγους δικανικούς, καὶ δικῶν ἤτοι συνηγοριῶν ὑποτυπώσεις, θριάμβυ Παρθικῦ βιβλία γ', καὶ ἄλλα. b

πολυάιξ πολυόρμητος. Hom. E 811.

Πολυάκης ὄνομα κύριον.

πολυάνδριον μνῆμα, τάφον, τὸ θρυλλούμενον παρὰ πολλοῖς ξενοτάφιον· ⟨Eunap. p. 117 Nieb.⟩ "ὁ δὲ Γαϊνᾶς ἐξεχώρει τῆς πόλεως, καταλιπὼν αὐτὴν πολυάνδριον καὶ πολυτελῆ τάφον, ἅπω τεθαμμένων τῶν ἐνῳκηκότων." καὶ Αἰλιανός "θάψαντες δὲ τὺς νεκρὺς εἰργάσαντο κοινὸν πολυάνδριον."

πολυαύλακος μεγάλυ, πλατέος· ⟨AP 6 238⟩ "ὁ πεδίυ πολυαύλακος εἰμὶ ὁ γεραιός."

Πολύβιος Λύκυ υἱός, ἀπὸ Μεγάλης πόλεως τῆς Ἀρκαδίας, καθηγησάμενος Σκηπίωνος τῦ Ἀφρικανῦ, ὅτε καὶ Παναίτιος ὁ φιλόσοφος, γεγονὼς κατὰ Πτολεμαῖον τὸν ἐπικληθέντα εὐεργέτην. ὗτος ἔγραψε τὴν μακρὰν ἱςορίαν Ῥωμαϊκὴν ἐν βιβλίοις μ'. ἄρ-

χεται δὲ ἀπὸ τῆς φυγῆς Κλεομένους τοῦ Σπαρτιάτου καὶ τῆς Φιλίππου τοῦ Περσέως υἱοῦ διαδοχῆς τῶν Μακεδόνων, τὰ ἑξῆς ἐπισυνάπτων Ῥωμαίων.

Πόλυβος ὄνομα κύριον.

πουλυβότειρα πολλοὺς τρέφουσα.

Πολύβοτον ὄνομα τόπου. ἢ τὸ πολλοὺς τρέφον, λιπαρόν.

πολυγηθής πολυχαρής.

πολυγλεύκου πολυοίνου· ⟨AP 6 238⟩ "οὐδὲ πολυγλεύκου γειομόρος βότρυος."

πολύγληνον πολυόμματον· "οἷα πολύγληνον βουκόλον Ἰναχίης" ἐν ἐπιγράμμασιν ⟨AP 5 262⟩.

Πολύγνωτος. οὗτος ζωγράφος μὲν ἦν τὴν τέχνην, Θάσιος δὲ τὸ γένος, υἱὸς δὲ καὶ μαθητὴς Ἀγλαοφῶντος, τυχὼν δὲ τῆς Ἀθηναίων πολιτείας ἢ ἐπεὶ τὴν ποικίλην στοὰν ἀνέγραψε προῖκα, ἢ ὡς ἔνιοι τὰς ἐν τῷ θησαυρῷ καὶ τὰς ἐν ἀνακείῳ γραφάς. Harp.

πολυδαιδάλου ⟨Hom. Γ 358⟩ πολλὰ ποικίλματα ἔχοντος.

Πολυδάμας Σκοτουσαῖος παγκρατιαστής, ὃς ἐγένετο μέγιστος τῶν κατ' αὐτὸν πάντων ἀνθρώπων· ὃς καὶ νέος ὢν ἀπέκτεινε λέοντα ἐν τῷ Ὀλύμπῳ Μακεδονίας, οὐδενὶ ἐσκευασμένος ὅπλῳ. εἰς ἀγέλην δὲ βοῶν εἰσελθὼν ὁ αὐτὸς τὸν μέγιστον καὶ ἀγριώτατον ταῦρον λαβὼν τοῦ ἑτέρου τῶν ὀπισθίων ποδῶν τῆς χηλῆς κατεῖχεν ἄκρας καὶ οὐκ ἀνίει· ὁ δὲ ταῦρος πηδῶν ἀφῆκε τῷ Πολυδάμαντι τὴν ὁπλήν. ὁ αὐτὸς ἄνδρα ἡνίοχον ἐλαύνοντα σπουδῇ τὸ ἅρμα ἐπέσχε τοῦ πρόσω, λαβόμενος τῇ ἑτέρᾳ τῶν χειρῶν τὸ ἅρμα καὶ στήσας τοὺς ἵππους. τοῦτον Δαρεῖος ὁ νόθος Ἀρταξέρξου υἱὸς ἀκούσας τὰ ἔργα δώροις ἐλθεῖν παρ' αὐτὸν ἔπεισε· τρεῖς δὲ τῶν ἀθανάτων καλουμένων κατὰ πρόκλησιν μονομαχήσαντας ὁ Πολυδάμας ἀπέκτεινε. ταῦτα τὰ ἔργα ἐπὶ τοῦ ἀνδριάντος ἐδηλοῦντο ἐν Ὀλυμπίᾳ. ἔμελλε δ' ὑπὸ τῆς ἑαυτοῦ ῥώμης ἀπολέσθαι ὡς καὶ ἄλλοι οἱ ἐπὶ ἰσχύι μέγα φρονήσαντες, ὡς καὶ Ὅμηρος περὶ Ἕκτορος ⟨Z 407⟩ "δαιμόνιε, φθίσει σε τὸ σὸν μένος." εἰσελθὼν γὰρ εἰς σπήλαιον ὥρᾳ θέρους ἅμα τοῖς συμπόταις, καὶ τῆς κορυφῆς τοῦ σπηλαίου κατὰ τύχην διαρρηγνυμένης καὶ θάνατον ἀπειλούσης, οἱ μὲν ἄλλοι δρόμῳ φεύγουσιν, αὐτὸς δὲ ἔμεινε τὰς χεῖρας ἀνασχὼν ὡς ἀνθέξων ἐπιπίπτοντι τῷ σπηλαίῳ, καὶ αὐτόθι ἐτελεύτησε. Pausan. 6 5.

Πολυδεύκης Ναυκρατίτης· τινὲς δὲ Ἀρδουέννας σοφιστὴν γράφουσι παίζοντες· πόλις δὲ Φοινίκης ἡ Ἀρδούεννα. ἐπαίδευσε δὲ ἐν Ἀθήναις ἐπὶ Κομόδου τοῦ βασιλέως, καὶ ἐτελεύτησεν ἔτη βιοὺς η' καὶ ν', συντάξας βιβλία ταῦτα, ὀνομαστικὸν ἐν βιβλίοις ι' (ἔστι δὲ συναγωγὴ τῶν διαφόρως κατὰ τοῦ αὐτοῦ λεγομένων), διαλέξεις ἤτοι λαλιάς, μελέτας, εἰς Κόμοδον Καίσαρα ἐπιθαλάμιον, Ῥωμαϊκὸν λόγον, σαλπιγκτὴν ἢ ἀγῶνα μουσικόν, κατὰ Σωκράτους, κατὰ Σινωπέων, Πανελλήνιον, Ἀρκαδικόν, καὶ ἕτερα.

πολυδίψιον ⟨Hom. Δ 171⟩ ἢ τὸ πολλοῖς ἔτεσι διψῆσαν, ἀπὸ ἱστορίας, ἢ τὸ ἐπιπόθητον.

Πολύδωρος ὄνομα κύριον.

πολυειδής πολύμορφος, καὶ πολυειδία ἡ ποικιλία.

πολύενος ὁ πολυχρόνιος.

πολύευκτον τίμιον, πολυπόθητον.

Πολύευκτος κωμικός. τούτου δρᾶμά ἐστιν Ἡνίοχος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς (p. 396?) φησίν. cf. v. Ἡνίοχος.

Πολύζηλος κωμικός. δράματα αὐτοῦ Νίπτρα, Δημοτυνδάρεως, Μουσῶν γοναί, Διονύσου γοναί, Ἀφροδίτης γοναί.

πολυζύγῳ πολυκαθέδρῳ. Hom. B 293.

πολυήκοος· "οὐδὲ ἦν τῶν βιβλίων πολυήκοος, ἀλλὰ ῥώμῃ γενναίας φύσεως καὶ θείων ἀγχισπόρου ἐν ταῖς ἐξηγήσεσιν ἦν θαυμάσιος. εἶπεν ἄν τις τῶν φοιτητῶν ὡς εἴη ὁ ἀνὴρ οὐ φθέγγοιτο λόγους ἀλλὰ πραγμάτων οὐσίας" ⟨Damasc. Phot. p. 338 a⟩.

πολύθρονον πολυφάρμακον· θρόνα γὰρ τὰ ἄνθη· Ὅμηρος ⟨X 441⟩ "ἐν δὲ θρόνα ποικίλ' ἔπασσε." τάττεται δὲ καὶ ἐπὶ τοῦ πανούργου.

πολυθρύλητον πεφημισμένον, διαβοημένον, ὀνομαστότατον.

Πολύιδος ⟨Hom. E 149, N 663⟩ ὄνομα κύριον.

πολυκαγκής ὁ κατάξηρος τόπος.

Πολύκαρπος Ἰωάννου τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου ἀκροατής, διάδοχος δὲ Βουκόλου τοῦ πρώτου ἐπισκοπήσαντος τῆς Σμυρναίων ἐκκλησίας· ὃς καὶ μετ' αὐτὸν τῆς ἐπισκοπῆς δεύτερος ἐκράτησε, καὶ μαρτυρίῳ τῷ ὑπὲρ Χριστοῦ τετελείωται ἐπὶ Μάρκου Ἀντωνίνου. ἔγραψεν ἐπιστολὴν πρὸς Φιλιππησίους πάνυ θαυμαστήν, καὶ πρὸς τὸν μέγαν Διονύσιον τὸν Ἀρεοπαγίτην, καὶ πρὸς ἄλλας ἐκκλησίας.

οὗτος διά τινας αἰτίας τȣ̃ πάσχα, βασιλεύοντος Ἀντωνίνȣ τȣ̃ Πίου καὶ ἐπισκοπȣ̃ντος τῆς ἐκκλησίας Ῥώμης Ἀνικήτου, ἐπέϛη τῇ Ῥώμῃ, ἐν ᾗ καὶ πολλȣ̀ς τῷ δόγματι Μαρκίωνος καὶ Βαλεντίνȣ πιϛεύσαντας ἀνεκαλέσατο. ἀπαντήσαντος δὲ αὐτῷ ἐξ αὐτομάτου Μαρκίωνος, καὶ εἰρηκότος "γνώριζε ἡμᾶς Πολύκαρπε," ἀπεκρίθη "γνωρίζω σε πρωτότοκον τȣ̃ διαβόλȣ υἱόν." Sophronius.

πολυκαρπότατος τόπος εὔγειος.

πολύκεϛος πολυκέντητος. Hom. Γ 371.

πολυκηδέος πολυφροντίϛȣ.

πολύκλειτος πάνυ ἔνδοξος. πολύκλητοι δὲ ⟨Hom. Δ 438⟩ ἐκ πολλῶν κεκλημένοι τόπων.

πολυκλῆσι πολυκαθέδροις. καὶ πολυκλήισιν ⟨Hom. Β 74⟩ ὁμοίως.

πολύκμητος πολυκάματος.

a Πολυκράτης Ἀθηναῖος ῥήτωρ δεινός τε καὶ τȣ̀ς κατὰ Σωκράτȣς λόγȣς δύο Ἀνύτῳ καὶ Μελήτῳ γράψας.

b Πολυκράτης ὁ τῆς Κύπρȣ ἄρχων ἐπὶ Πτολεμαίȣ τȣ̃ παιδὸς τυγχάνων, πίϛιν εἶχε καὶ βίον ἐνάρετον, μετὰ δὲ ταῦτα προβαινȣ́σης ἤδη τῆς ἡλικίας ὁλοσχερῶς εἰς ἀσέλγειαν ἐξώκειλε καὶ βίον ἀπρεπῆ ⟨Polyb. 17 36⟩. κλίνεται δὲ Πολυκράτȣς.

πολύκρημνον ⟨πολύκνημον Hom. Β 497⟩ δύσβατον, ὀρεινόν.

Πολυκτόριος ὄνομα τόπȣ.

Πολύκτωρ ὄνομα κύριον. Hom. Ω 397.

πολυκύμονος θαλάσσης.

πολυλήιος πολλὰ κτήματα ἔχων.

πολύλιϛος πολυλιτάνευτος. Hom. ε 445.

πολυμάθεια.

πολυμήλη πολυθρέμματος γῆ.

πολύμητις πολύβȣλος.

Πολύμνηϛος καὶ Ἀριφράδης καὶ Οἰώνιχος ἀρρητοποιοί. καὶ Πολυμνήϛεια δὲ καὶ αὕτη κωμῳδεῖται ἐπὶ αἰσχρότητι· Κρατῖνος "καὶ Πολυμνήϛει' ἀείδει μȣσικήν τε μανθάνει." Ἀριϛοφάνης ⟨Eq. 1284⟩ "ὅϛις ȣ̂ν τοιȣ̃τον ἄνδρα μὴ σφόδρα βδελύττεται, οὔ ποτ' ἐκ ταὐτȣ̃ μεθ' ἡμῶν πίεται ποτηρίου."

πολυπάμονος ⟨Hom. Δ 433⟩ πλȣσίȣ.

πολυπίδακα ⟨Hom. Θ 47⟩ πολλȣ̀ς ἀναβολὰς ἔχȣσαν, τȣτέϛιν ἀναβλύσεις.

πολυπλήθεια.

πολύποδος δίκην αὐτὸς ἑαυτὸν καταφαγών.

πολύποδος ὁμοιότης πρὸς τοὺς ἐξομοιοῦντάς τισιν ἑαυτούς.

Πολυποίτης ὄνομα κύριον. Hom. Μ 182.

πολυπραγμοσύνη καὶ πολυπράγμων. ὁ σπουδαῖος οὐκ ἔϛι πολυπράγμων. τȣ̃το βȣλόμενοι δεῖξαι, τὴν πολυπραγμοσύνην μεταλαβόντες εἰς φιλοπραγμοσύνην ἀνασκευάζομεν τὸ προκείμενον. ὁ μὲν γὰρ πολυπράγμων ȣ̓δέπω φανερὰν ἁμαρτίαν σημαίνειν δοκεῖ, εἴγε πολυπράγμων μέν ἐϛιν ὁ ἐν πολλοῖς κυλιόμενος πράγμασι, δύναται δὲ τȣ̃το καὶ ἀπὸ τύχης τινὶ περιγενέσθαι· ὁ δὲ φιλοπράγμων διάθεσιν ἤδη καὶ οἰκειότητα τὴν πρὸς τὰ πράγματα δηλοῖ καὶ σπουδὴν καὶ αἵρεσιν, ὃ ἀλλότριον τοῦ σπουδαίου. Alex. Aphrod. in Top. 2.

πολυπτύχου ⟨Hom. Θ 411⟩ πολλὰς ἀποκλείσεις ἔχοντος, οἷον πτύχας.

πολύρρηνες ⟨Hom. Ι 154⟩ πολλὰ θρέμματα ἔχοντες.

πολύς σφοδρός.

πολυσμαράγοις ἠχητικοῖς.

πολυσπαθής ὁ πλειϛάκις ὑπὸ σπάθης ἐνεργηθείς· ἐν ἐπιγράμμασι ⟨AP 6 39⟩ "πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων."

Πολύϛρατος. οὗτος αἰτίαν ἔχων τοῦ Ἑρμᾶς περικόψαι ἀνῃρέθη ὑπὸ Ἀθηναίων· οὗ Λυσίας μέμνηται. ἕτερος δέ ἐϛιν ὑπὲρ ȣ̃ λόγον ἔγραψεν ὁ αὐτὸς Λυσίας. ἄλλος δ' ἂν εἴη οὗ μνημονεύει Δημοσθένης ἐν Φιλιππικοῖς ⟨4 23⟩, λέγων αὐτόν ποτε ἐν Κορίνθῳ ξενικὸν τρέφειν. μήποτε μέντοι ἐνταῦθα δεῖ γράφειν Πολύτροπον ἀντὶ τȣ̃ Πολυϛράτου· παρὰ μηδενὶ γάρ φησιν ὁ Δίδυμος εὑρηκέναι τὸν Πολύϛρατον ἡγησάμενον τȣ̃ ἐν Κορίνθῳ ξενικȣ̃, τὸν μέντοι Πολύτροπον Ἀθηναῖον εἶναι. Harp.

πολυσχιδής πολυμερής. καὶ πολυσχιδῆ ζῷα ἄνθρωπος κύων λέων, καὶ εἴ τι ἄλλο, οἷς συμβέβηκε πολυτοκεῖν.

πολυτελές δαπανηρόν· Θουκυδίδης ⟨7 27⟩ "τὸ γὰρ ἔχειν αὐτȣ̀ς πρὸς τὸν ἐκ τῆς Δεκελείας πόλεμον πολυτελὲς ἐφαίνετο." καὶ πολυτελέσι πολυδαπάνοις· τέλος γὰρ τὸ δαπάνημα. καὶ πολυτέλεια.

πολυτιμητιζόμενος θεραπευόμενος.

πολυτίμητος· "ἐψηλάφων τȣ̀ς ὑπομνηματισμούς, οὓς ὁ πολυτίμητος Ἡρακλείδης ἧκεν ἔχων," ὁ πολυτιμώρητος.

πολύτλας πολλὰ ὑπομένων

πολυφασίας πολυλογίας.

πολυφλοίσβου πολυταράχου.

πολυφόρβη γῆ (Hom. I 564) ἡ πολλοὺς τρέφουσα.

πολυφόρῳ· Ἀριστοφάνης (Plut. 854) "οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι" ἀντὶ τοῦ πολλά μοι κακὰ ὑφ' ἕνα καιρὸν φέροντι, ἢ ποικίλῳ, ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου οἴνου. τουτέστιν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν· πολυφόρον γὰρ ἔλεγον τὸν πολλὴν κρᾶσιν δεχόμενον, ὀλιγοφόρον δὲ τὸν ὀλίγην. ἢ μεταφορικῶς ἀπὸ τῶν ἀνθέων τῶν δένδρων.

πολυφραδέστερον συνετὸν ἐν λόγοις.

πολύφρονος. Hom. Φ 367.

πολύχουν πολυφόρητον, ἢ πολυειδῆ.

πολυωδυνία. καὶ πολυώδυνος ὁ ἐν μεγάλῃ θλίψει ὤν.

πολυωπόν τὸ πολύτρητον δίκτυον. Hom. X 386.

πολυωρήσεις (Ps. 137 3) πολλὴν φροντίδα ποιήσεις, φυλάξεις. καὶ πολυωρία ἡ ἐπιμέλεια· "ὁ δὲ ἐδεῖτο τοῦ θεοῦ πολυωρίας τυχεῖν τῆς ἐξ αὐτοῦ," καὶ αὖθις Αἰλιανός (cf. v. ἡμίσεια) "δεομένῳ δὲ πολυωρίας τυχεῖν καὶ ῥοπῆς τῆς ἐς τὸ κρεῖττον οὐκ ἐπένευσε."

πόμα κεκραμένον τρία καὶ δύο τρία μέρη ὕδατος ἐπιδεχόμενον, οἴνου δὲ δύο. ἀρίστη κρᾶσις οἴνου δύο μέρη καὶ ὕδατος τρία. cf. v. κεκραμένον.

πομπεία λοιδορία· καὶ οἱ δικανικοὶ χρῶνται τῷ ὀνόματι. λέγεται πομπεῖα καὶ τὰ εἰς πομπὰς κατασκευαζόμενα σκεύη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τοῖς κατὰ Ἀνδροτίωνος (48) ὑποσημαίνει. Φιλόχορος δέ φησιν ὡς πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς οὐσίας τῶν λ΄ κατασκευασθεῖσιν, ὀψὲ δὲ καὶ Ἀνδροτίων ἄλλα κατεσκεύασε. Harp.

πομπείας καὶ πομπεύειν ἀντὶ τοῦ λοιδορίας καὶ λοιδορεῖν Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (11). ἡ μεταφορὰ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις· Μένανδρος Περινθίᾳ "ἐπὶ τῶν ἁμαξῶν εἰσὶ πομπεῖαί τινες σφόδρα λοίδοροι."

πομπεύει ὡς νενικηκὼς μεγαληγορεῖ.

a Πομπήιος. ὅτι Πομπήιος ὁ μέγας ἐπικληθείς, ὕπατος καὶ στρατηγὸς Ῥωμαίων, τὸν πρὸς Μιθριδάτην καὶ Τιγράνην πόλεμον ἀνεδέξατο, καὶ τὸν μὲν Μιθριδάτην κατὰ τὴν μικρὰν Ἀρμενίαν νυκτομαχίᾳ κατηγωνίσατο, ὡς τὸ στρατόπεδον αὐτοῦ διαρπάσαι καὶ γ΄ μυριάδας ὁπλιτῶν καταβαλεῖν. ὁ οὖν Μιθριδάτης γυμνωθεὶς παντάπασι τῆς δυνάμεως διαφεύγειν ἀγαπητῶς ἅμα τῇ γαμετῇ καὶ β΄ τισὶν ἀκολούθοις ἱκανὸς γέγονεν· εἶτα καταστασιασθεὶς ὑπὸ τοῦ παιδὸς Φαρνάκου παρὰ τοῖς οἰκείοις στρατιώταις, καὶ πρὸς θάνατον ἀναγκαῖον ἐλαθείς, φάρμακον δηλητήριον ἐκπιὼν τελευτᾷ περὶ τὸν Βόσπορον. ὁ δὲ δὴ παῖς αὐτῷ Φαρνάκης γίνεται διάδοχος τῆς ἀρχῆς. ὁ δὲ Πομπήιος ἐπὶ Τιγράνην ἄγει τὴν στρατιάν. ὁ δὲ Ἀρμένιος διὰ μάχης ἐλθεῖν τοῖς Ῥωμαίοις οὐ λυσιτελὲς ἡγησάμενος ἐνδιδοὺς ἑαυτὸν ἀφίκετο πρὸς Πομπήιον, καὶ πρὸς τοῖς γόνασιν αὐτοῦ πεσὼν καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀφελὼν ἐν ταῖς ἐκείνου χερσὶ κατέθετο· οἷς δὴ καμφθεὶς τὸν θυμὸν ὁ Πομπήιος ἀνίστησί τε αὐτὸν καὶ τὸ διάδημα πάλιν ἀποδίδωσιν, αὐτὸς τῇ τοῦ Ἀρμενίου τοῦτο περιθεὶς κεφαλῇ, τά τε ἄλλα διὰ τιμῆς τὸν ἄνδρα ἦγεν. ἀφαιρέσει δὲ ὅμως μέρους τινὸς τῆς ἀρχῆς καὶ χρήμασι πολλοῖς ἐζημίωσε τὸν Ἀρμένιον· Συρίαν τε γὰρ καὶ Φοινίκην ἀπετέμετο, καὶ πεντακισχίλια τάλαντα ἀργυρίου τῷ Ῥωμαίων δήμῳ καταβαλεῖν, ἅτε χειρῶν ἀδίκων ἀρξάμενον, προσηνάγκασε. μετὰ ταῦτα Ἀλβανοὺς ὑπέταξε, καὶ τὸν βασιλέα τῶν Ἰβήρων Ἀρσάκην φεύγειν ἠνάγκασε, καὶ τὴν μικρὰν Ἀρμενίαν Δηιοτάρῳ τῷ δυνάστῃ τῆς Γαλατίας ἐδωρήσατο, Ἄτταλόν τε καὶ Πυλαιμένεα ἐπὶ τὴν οἰκείαν ἀρχὴν τῆς Παφλαγονίας κατήγαγεν ἐξεληλαμένους πρὸς τοῦ Μιθριδάτου, Κόλχοις τε ἐφίστησιν ἡγεμόνα. ἐφ' οἷς Σύρους τε καὶ Ἄραβας κατεστρέψατο, καὶ Ἰουδαίους τρίτῳ μηνὶ παρεστήσατο. ἐκ δὲ τῶν τοῦ ἱεροῦ ἀναθημάτων οὐδὲν διήρπασεν, ἀλλὰ πάντα ὑπὸ ἀναγραφὴν ποιησάμενος Ἀριστοβούλῳ παρέδωκεν· Ὑρκανὸν γὰρ εἰς τὴν Ῥωμαίων ἐξέπεμψε δέσμιον.

Πομπήιος Ῥωμαίων στρατηγός, περὶ οὗ φασὶν ὅτι μετὰ τὰς σπονδὰς δειπνεῖν τὸν Καίσαρα καὶ Ἀντώνιον παρὰ Πομπηίῳ τῷ παιδὶ Πομπηίου, ἐν τῇ στρατηγίδι νηὶ παρασκευασαμένῳ τὸ δεῖπνον· τοῦτον γὰρ ἔφη μόνον αὐτῷ καταλελεῖφθαι πατρῷον οἶκον. ἤδη δὲ ἔνδον ὄντων καὶ τῆς συνουσίας ἀκμαζούσης Μηνᾶν τὸν πειρατήν, τὰ πλεῖστου ἄξια τῷ Πομπηίῳ ὑπηρετοῦντα, καὶ τότε προσελθεῖν αὐτῷ ἡσυχῇ, καὶ "βούλει" φάναι "τὰς ἀγκύρας τῆς νηὸς ὑποτεμὼν ποιήσω σε μὴ

Σικελίας καὶ Σαρδῶνος ἀλλὰ τῆς Ῥωμαίων ἡγεμονίας κύριον;" τὸν δὲ Πομπήιον ἀποκρίνασθαι "ἔδει σε ὦ Μηνᾶ τοῦτο πεποιηκέναι, μὴ προειπόντα ἐμοὶ τὴν ἐπιχείρησιν. νῦν δὲ ὁ πρὸς ἡμῶν ἐπιορκεῖν· τὰ παρόντα στέργωμεν." Io. Antioch. exc. Peir. p. 801.

πομπήν τὴν πέμψιν, ἀποστολήν· Θουκυδίδης δ' ⟨108⟩ "ξύλων τε ναυπηγησίμων πομπῇ," καὶ Αἰλιανός ⟨V. H. 8 1⟩ "καὶ τὸν δράκοντα τὸν ἐκ τῆς θείας πομπῆς ἥκοντα." "καὶ ἅμα τῇ κόρῃ παρεσκεύασε πομπὴν ἐπιφανῆ, ἁρμάμαξάν τε λαμπρὰν καὶ ἐσθῆτα σοβαρὰν καὶ θεραπείαν συχνήν."

Πομπίλιος ὄνομα κύριον. καὶ πομπίλος ἰχθῦς.

πομπόν συνοδοιπόρον καὶ προπέμποντα.

πομποστολεῖ ἐκπέμπει τῇ νηὶ τὸν στόλον.

Πομπώνιος ὄνομα κύριον.

πομφόλυγες αἱ ἐκ τῶν ὄμβρων ἢ ἄλλως καταφερόμεναι· "ὃ δὲ δίκην πομφολύγων ἐκφύσεως διαλύει τὸ ὕπουλον" ⟨Theophyl. Sim. 4 15⟩.

πομφολυγοπαφλάσμασιν ἐν ταῖς δίναις τῶν ὑδάτων· πομφόλυγες γὰρ αἱ φλυκταινώδεις δῖναι, ἀπὸ τοῦ παφλάζειν ⟨sch. A Ran. 251⟩. "ὥσπερ πομφόλυξ ῥαγεῖσα ἀφανίζεται, οὕτω μνήμη ὑπερηφάνου ὄλλυται μετὰ θάνατον."

πομφόλυξ ἐκβρασμὸς ὕδατος.

πονεῖν ἐνεργεῖν.

πονεῖσθαι ἐνεργεῖν· "Τραϊανὸς ὁ βασιλεὺς δίκαιος ἦν, καὶ τῷ σώματι ἐρρωμένος τεσσαρακοστὸν ἄγων ἔτος ἦρξε, καὶ ἠβούλετο ἐξ ἴσου πάντα τοῖς ἄλλοις τρόπον τινὰ πονεῖσθαι" ⟨Dio Cass. 68 6⟩.

πονεύμενον ἐνεργοῦντα. Hom. Δ 374.

πονηρὰ κατὰ τρυγόνα ψάλλεις, ἐπὶ τῶν μοχθηρῶς καὶ ἐπιπόνως ζώντων· καὶ γὰρ ἡ τρυγὼν ἐπειδὰν πεινᾷ, τότε μάλιστα ψάλλει.

πονηρία ὁ ἐκ κατασκευῆς εἴς τινα παρά του πόνος γινόμενος, παρὰ τῷ ἀποστόλῳ ⟨Rom. 1 29, 1 Cor. 5 8⟩.

πονηροῖς κἀκ πονηρῶν εἰς ἅπαντα χρώμεθα, οἷσιν ἡ πόλις πρὸ τοῦ οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν" ⟨A Ran. 742⟩, τουτέστι τοῖς λεγομένοις καθάρμασι πόλεως. "οὐδὲν πονηρὸν ἀλλ' ὅπερ καὶ Καλλικῶν" ⟨A Pac. 362⟩. ὁ Καλλικῶν οὗτος προύδωκε Σάμον ··· πόλιν ἑτέραν ⟨cf. v. Καλλικῶν c⟩. μέμνηται δὲ καὶ Καλλίμαχος ⟨fr. 227⟩ "μὴ σύ γε, Θειόγενες, κύψας χέρα Καλλικόωντος." προδοὺς δὲ Μίλητον τοῖς πολεμίοις, πυνθανομένου τινὸς ὅ τι τοῦτο ἐποίησεν, ἀποκρίνασθαι, ἀγαθὰ Καλλικῶν. καὶ Ἀριστοφάνης φησὶ ⟨Plut. 863⟩ τοῦ πονηροῦ κόμματος ἀπὸ τοῦ παρακεκομμένου ἀργυρίου.

πόνηρος ἐπίπονος· ἡ πρώτη ὀξεῖα. ἐπὶ σώματος προπαροξύνεται, ⟨Iob. 2 7⟩ "ἕλκει πονήρῳ," ἐπὶ δὲ ψυχῆς ὀξυτόνως.

πόνηρος. ἔστι παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ ⟨220⟩ "πονήρους γ' εἶπας ἡμῖν ξυμμάχους," ἀντὶ τοῦ μοχθηροὺς καὶ ἐπιπόνους, ἀσθενεῖς, ἀπράκτους, ὥς φαμεν "πονήρως ἔχει ἡμῖν τὰ πράγματα" ⟨Philostrat. Her. p. 664⟩. ἢ ἀτυχής, ἄθλιος· "ἐπὶ ὄνου πονήρας ὀχούμενος." λέγεται δὲ καὶ πονηρὸν ὕδωρ τὸ νοσοποιόν. πονηροὶ λέγονται καὶ ἐπίπονοι. καὶ παροιμία "πόνῳ πονηρός," μοχθηρός, σφόδρα πονηρός, διὰ τὸν πόνον κατ' ἐνέργειαν ὁ ἐπίπονος.

πονήσαντα ἀντὶ τοῦ παλαιωθέντα· Ἀρριανός "τὰ δὲ πονήσαντα αὐταῖς οὐ χαλεπῶς ἐπεσκευάσθη." καὶ αὖθις "πονουμένῳ αὐτῷ περὶ τῆς βασιλείας τῶν Πάρθων ξυμβάλλουσι δύο τινές."

πόνον Ὅμηρος ἐπὶ τῆς ἐνεργείας τίθησι. καὶ πονεῖν τὸ ἐνεργεῖν.

πόνον ⟨an πόντον⟩ σπείρειν, παροιμία ἐπὶ τῶν μάτην πονούντων.

πόνος σπουδή, ἐπίτασις· "καὶ ἦν πόνος μυρίος ἑκάστοις ἐπειγομένοις δρᾶσαι τὸ προσταχθέν, καὶ ἀγώνισμα ἐτίθετο ἕκαστος ἑαυτοῦ τῆς Περσῶν προθυμίας τε καὶ σπουδῆς."

πόνος πόνῳ πόνον φέρει ⟨S Ai. 866⟩. λείπει ἡ πρός, ἵν' ᾖ, ὁ πόνος πρὸς τῷ πόνῳ πόνον φέρει. καὶ ἔστι τὸ μὲν πόνος πόνῳ ἀρχαϊκόν, ὡς ἔργον ἐπ' ἔργῳ, τὸ δὲ δεύτερον πόνον κοινῶς, οἷον κάματον. καὶ Ὅμηρος ⟨Π 111⟩ "πάντῃ δὲ κακὸν κακῷ ἐστήρικται." Σοφοκλῆς ἐν Τραχινίαις ⟨29⟩ "νὺξ γὰρ εἰσάγει καὶ νὺξ ἀπωθεῖται διαδεγμένον πόνον."

ποντίφιξ ὁ μέγας παρὰ Ῥωμαίοις ἱερεύς, ὃν Νομᾶς ὁ Ῥωμαίων νομοθέτης κατέστησεν, ἡνίκα βιαίῳ ῥεύματι φερόμενος ὁ Θύβρις τὸ πρεσβύτατον ζεῦγμα ἐλάμβανεν. εὐχὰς γὰρ οὗτος πρὸς τῷ ποταμῷ μειλικτηρίους ποιησάμενος μὴ διαξῆναι τὴν γέφυραν, ἔπεισε τὸν ποταμὸν ἡσυχῇ καὶ εὐτάκτως ἀνασχέσθαι τοῦ ζεύγματος, καὶ τοὺς λεγομένους ποντίφικας καὶ φλαμινίους τοῖς ἱερεῦσιν ἐπέστησε.

ποντοβρόχȣς ὑπὸ θαλάσσης βρεχομένȣς. 3 Maccab. 6 4.]

πόντος κυρίως μὲν ὁ ἔνδον τῆς Χερρονήσȣ καὶ Εὐξείνȣ καλȣ́μενος, καταχρηϛικῶς δὲ πᾶσα ἡ θάλασσα. καὶ παροιμία "πόντος ἀγαθῶν," ἐπὶ τῶν πολλῶν ἀγαθῶν καὶ μεγάλων, ὥσπερ ἀγαθῶν θάλασσα. Ἀριϛοφάνης "ὦ Ποντοπόσειδον" ἀντὶ τȣ̃ μέγιϛε Πόσειδον, ἀπὸ τȣ̃ πόντȣ μεταφορικῶς. sch. A Plut. 1051.

ποπάδες· ⟨AP 6 232⟩ "ἡ δὲ μελισσῶν ἀμβροσίη, πυκναί τ' ἰτρινέαι ποπάδες."

a πόπανα πλακάντια πλατέα καὶ λεπτὰ καὶ περιφερῆ.

b πόπανα εἰδικόν, προθύματα γενικόν ⟨A Plut. 660⟩.

Ποπλικόλας ὄνομα κύριον παρὰ Ῥωμαίοις.

a Πόπλιος. ȣ̔̃τος φιλοδοξήσας ἐν ἀριϛοκρατικῷ πολιτεύματι τηλικαύτην περιεποιήσατο παρὰ μὲν τοῖς ὄχλοις εὔνοιαν παρὰ δὲ τῷ συνεδρίῳ πίϛιν, ὥϛε ἐν τῷ δήμῳ κρίνειν τινὸς ἐπιβαλλομένȣ κατὰ τὰ Ῥωμαίων ἔθη, καὶ πολλὰ κατηγορήσαντος καὶ πικρῶς, ἄλλο μὲν ȣ̓θὲν εἶπε προελθών, ȣ̓κ ἔφη δὲ πρέπον εἶναι τῷ Ῥωμαίων δήμῳ ȣ̓θενὸς ἀκȣ́ειν κατηγορȣ̃ντος Ποπλίȣ Κορνηλίȣ Σκιπίωνος, δι' ὃν αὐτὴν τὴν τȣ̃ λέγειν ἐξȣσίαν ἔχȣσιν οἱ κατηγορȣ̃ντες. ὧν ἀκȣ́σαντες οἱ πολλοὶ παραχρῆμα διελύθησαν πάντες ἐκ τῆς ἐκκλησίας, ἀπολιπόντες τὸν κατηγορȣ̃ντα μόνον. Polyb. 24 9.

b Πόπλιος. περὶ τȣ́τȣ τȣ̃ ϛρατηγȣ̃ ζητȣ̃σί τινες τίνι τρόπῳ ἐγένετο ἐπιφανέϛατος, ἀπὸ ποίας φύσεως ἢ τριβῆς ὁρμηθείς. οἱ μὲν ȣ̓̃ν ἄλλοι πάντες ἐπιτυχῆ τινὰ καὶ τὸ πλεῖον ἀεὶ παραλόγως καὶ τῷ αὐτομάτῳ κατορθοῦντα τὰς ἐπιβολὰς παρεισάγȣσι, νομίζοντες ὡσανεὶ θειοτέρȣς εἶναι καὶ θαυμαϛοτέρȣς τȣ̀ς τοιȣ́τȣς ἄνδρας τῶν κατὰ λόγον ἐν ἑκάϛοις πραττόντων, ἀγνοȣ̃ντες ὅτι τὸ μὲν ἐπαινετὸν τὸ δὲ μακαριϛὸν εἶναι συμβαίνει τῶν προειρημένων, καὶ τὸ μὲν κοινόν ἐϛι καὶ τοῖς τυχȣ̃σι, τὸ δὲ ἐπαινετὸν μόνον ἴδιον ὑπάρχειν τῶν εὐλογίϛων καὶ φρένας ἐχόντων ἀνδρῶν, ȣ̔̃ς καὶ θειοτάτȣς εἶναι καὶ προσφιλεϛάτους θεοῖς νομιϛέον. ἐμοὶ δοκεῖ Πόπλιος, φησὶν ὁ Πολύβιος, Λυκȣ́ργῳ τῷ τῶν Λακεδαιμονίων νομοθέτῃ παραπλησίαν ἐσχηκέναι φύσιν καὶ προαίρεσιν. ȣ̓́τε γὰρ Λυκȣ̃ργον ἡγητέον δεισιδαιμονȣ̃ντα καὶ πάντα προσέχοντα τῇ Πυθίᾳ συϛήσασθαι τὸ Λακεδαιμονίων πολίτευμα, ȣ̓́τε Πόπλιον ἐξ ἐνυπνίων ὁρμώμενον καὶ κληδόνων τηλικαύτην τῇ πατρίδι περιποιῆσαι δυναϛείαν· ἀλλ' ὁρῶντες ἑκάτεροι τȣ̀ς πολλȣ̀ς τῶν ἀνθρώπων ȣ̓́τε τὰ παράδοξα προσδεχομένȣς ῥᾳδίως ȣ̓́τε τοῖς δεινοῖς τολμῶντας παραβάλλεσθαι χωρὶς τῆς τῶν θεῶν ἐλπίδος, Λυκȣ̃ργος μὲν ἀεὶ προσλαμβανόμενος ταῖς ἰδίαις ἐπιβολαῖς τὴν ἐκ τῆς Πυθίας φήμην εὐπαραδεκτοτέρας καὶ πιϛοτέρας ἐποίει τὰς ἰδίας ἐπινοίας, Πόπλιος δὲ παραπλησίως, ὡς μετὰ τῆς θείας ἐπιπνοίας ποιȣ́μενος τὰς ἐπιβολάς, εὐθαρσεϛέρους παρεσκεύαζε τοὺς ὑποταττομένȣς πρὸς τὰ δεινὰ τῶν ἔργων. καὶ μετὰ λογισμȣ̃ καὶ προνοίας ἔπραττε, καὶ πάντα κατὰ λόγον ἐξέβαινε τὰ τέλη τῶν πράξεων αὐτῷ. ἐκεῖνος γὰρ ὅτι μὲν ἦν εὐεργετικὸς καὶ μεγαλόψυχος ὁμολογεῖται· διότι δ' ἀγχίνους καὶ νήπτης τῇ διανοίᾳ καὶ περὶ τὸ προτεθὲν ἐντεταμένος, ȣ̓δεὶς ἂν συγχωρήσειε πλὴν τῶν συμβεβιωκότων καὶ τεθεαμένων ὑπ' αὐγὰς αὐτȣ̃ τὴν φύσιν· ὧν εἷς ἦν Γάιος Λαίλιος, ἀπὸ νέȣ μετεσχηκὼς αὐτῷ παντὸς ἔργȣ καὶ λόγου μέχρι τελευτῆς, ὁ ταύτην περὶ αὐτοῦ δόξαν ἐργασάμενος διὰ τὸ δοκεῖν εἰκότα λέγειν καὶ σύμφωνα τοῖς ὑπ' ἐκείνȣ πεπραγμένοις. Polyb. 10 2.

c ὅτι ποτὲ νεανίσκοι τινὲς τῶν Ῥωμαίων ἐπιτυχόντες παρθένῳ κατὰ τὴν ἀκμὴν καὶ τὸ κάλλος διαφερȣ́σῃ τῶν ἄλλων γυναικῶν, καὶ συνιδόντες φιλογύνην ὄντα τὸν Πόπλιον, ἧκον αὐτὴν ἄγοντες, καὶ παραϛήσαντες ἔφασκον αὐτῷ δωρεῖσθαι τὴν κόρην. ὃ δὲ καταπλαγεὶς καὶ θαυμάσας τὸ κάλλος, ἰδιώτης μὲν ὢν ȣ̓δεμίαν ἂν ἥδιον ἔφη δέξασθαι ταύτης τῆς δωρεᾶς, ϛρατηγὸς δ' ὑπάρχων ȣ̓δ' ὁποίαν ἧττον, τȣ̃τ' αἰνιττόμενος διὰ τῆς ἀποφάσεως, διότι κατὰ μὲν τὰς ἀναπαύσεις ἐνίοτε καὶ ῥᾳθυμίας ἐν τῷ ζῆν ἡδίϛας τοῖς νέοις ἀπολαύσεις τὰ τοιαῦτα παρέχεται καὶ διατριβάς, ἐν δὲ τοῖς τȣ̃ πράττειν καιροῖς μέγιϛα γίνεται καὶ κατὰ ψυχὴν καὶ κατὰ σῶμα ἐμπόδια τοῖς χρωμένοις. τοῖς μὲν ȣ̓̃ν νεανίσκοις ἔφη χάριν ἔχειν, τὸν δὲ τῆς παρθένου πατέρα καλέσας καὶ δȣ̀ς αὐτὴν ἐκ χειρὸς ἐκέλευε συνοικίζειν ᾧ ποτ' ἂν προαιρῆται τῶν πολιτῶν. δι' ὧν καὶ τὰ τῆς ἐγκρατείας καὶ τὰ τῆς μετριότητος ἐμφαίνων μεγάλην ἀποδοχὴν ἐνειργάζετο τοῖς ὑποταττομένοις. id. 10 19.

Πόπλιος Σκιπίων, *Λευκίε κατὰ φύσιν υἱός, Ποπλίε δὲ τῦ μεγάλε κληθέντος κατὰ θέσιν υἱωνός, κύριος γενόμενος τῆς Καρχηδόνος, ἥτις ἐδόκει πολυχρημονεςάτη τῶν κατὰ τὴν οἰκεμένην εἶναι πόλεων, ἁπλῶς τῶν ἐξ ἐκείνης ὐδὲν εἰς τὸν ἴδιον βίον μετήγαγεν, ὔτ' ὠνησάμενος ὔτ' ἄλλῳ τρόπῳ κτησάμενος ὐδέν, καίπερ ὐχ ὅλως εὐπορύμενος κατὰ τὸν βίον, ἀλλὰ μέτριος ὢν κατὰ τὴν ὕπαρξιν ὡς Ῥωμαῖος. ὐχ οἷον δὲ τῶν ἐξ αὐτῆς τῆς Καρχηδόνος ἀπέσχετο μόνον, ἀλλὰ καὶ καθόλου τῶν ἐκ τῆς Λιβύης ὐδὲν ἐπιμιχθῆναι πρὸς τὸν ἴδιον εἴασε βίον. τῦτο ἀναμφισβήτητον παρὰ Ῥωμαίοις.* id. 18 18.

Πόπλιος Σκιπίων Ἀφρικανὸς τὴν ςρατιὰν εὑρὼν διεφθαρμένην ἐπανώρθωσεν· ὃς καὶ τὴν Καρχηδόνα εἰς ἔδαφος καθεῖλε. προσημᾶναι δὲ αὐτῷ τῦ πολέμε τὸ πέρας τὴν τῦ ξίφες λαβὴν αἵματι πολλῷ ῥεομένην, καὶ πολλάκις μὲν ἀποματτομένην, πλέον δὲ ἀνιεῖσαν ἀεὶ τῦ αἵματος· τὺς γὰρ μάντεις φόνον πολὺν τῶν ἐναντίων σημαίνειν τὸ τέρας ὑποκρίνασθαι.

Πόπλιος Υ̓αλέριος ὁ συνύπατος Βρύτου ἄξιος μὲν πολλῶν καὶ ἄλλων ἐπιτηδευμάτων χάριν ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι, μάλιςα δὲ τῆς αὐταρκείας τῦ βίυ, ἣ φιλοσοφία τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτόν; ἣν ἐν πολλοῖς ἐπεδείξατο πράγμασι. Dionys. Hal. 5 12.

πόππυζε· ἐν ἐπιγράμμασι (AP 5 245) "*παῖζε μόνη τὸ φίλημα· μάτην πόππυζε σεαυτῇ*" *ἀντὶ τῦ κολάκευε, κήλει.*

ποππύσματα κολακεῖαι εἰς τὺς ἀδαμάςυς ἵππυς.

πόρδαλις τὸ ζῷον.

πορεῖα τὰ εἰς πορείαν χρήσιμα.

πορθήσειας ἕλοις, λάβοις.

πόρθησις ἐρήμωσις.

πορθμεῖον τὸ πλοῖον, πόρθμιον δὲ τὸ ναῦλον.

πορθμεῖς οἱ περᾶται· Ἀριστοφάνης (Eccl. 1078) "*χαλεπαί γ' ἂν ἦτε γενόμεναι πορθμεῖς· ἕλκοντε τὺς πλωτῆρας ἂν ἀπεκναίετε,*" *ἐπειδὴ οἱ πορθμεῖς τὺς παριόντας ἀναγκάζυσιν εἰς τὰ ἴδια πλοῖα ἐμβαίνειν.*

πορθμεύει· "*εὑρίσκει Νέσσον πορθμεύοντα μισθῦ, καὶ πείθει αὐτὸν ὡς πορθμεύσειεν Ἀλκμήνην καὶ Δηιάνειραν.*"

πορθμήιον ὁ μισθὸς τῦ ναύτυ· Καλλίμαχος (fr. 110) "*τὔνεκα καὶ νέκυες πορθμήιον ὔτι φέρονται.*" *ἐν Αἰγιαλῷ γὰρ καταβάσιόν ἐςιν εἰς Ἅδυ, ἐς ὃ ἀπελθῦσα ἡ Δημήτηρ ἔμαθε παρὰ τῶν περιοίκων περὶ τῆς κόρης, καὶ ἐδωρήσατο αὐτοῖς, ὡς λέγει, ἄφεσιν τῦ πορθμηίυ.*

πορθμίς καὶ πορθμίδιον· (AP 7 67) "*τῦτ' Ἀχέροντος ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ.*"

Πορθμός Δημοσθένης ὑπὲρ Κτησιφῶντος (71). *πόλις ἐςὶ τῆς Εὐβοίας.* Harp.

πορθμός πέραμα, ἀμφίγειος θάλασσα· ἰσθμὸς γάρ ἐςι γῆ ςενὴ ἑκατέρωθεν ἔχυσα θάλασσαν, πορθμὸς δὲ θάλασσα ὑπὸ γῆς περιεχομένη. "*πορθμὼ δύο ἐςόν, ὃ μὲν ἐφ' Ἑλλησπόντῳ ἀμφὶ Σηςόν τε καὶ Ἄβυδον, ὁ δὲ δὴ ἕτερος ἐπὶ τοῦ ςόματος τοῦ Εὐξείνου πόντυ, ὐ τὸ Ἱερὸν ὀνομάζεται. ἐν μὲν δὴ τῷ Ἑλλησπόντῳ τελωνεῖον ἥκιςα ἦν, ἄρχων δέ τις ἐκ βασιλέως ςελλόμενος ἐν Ἀβύδῳ καθῆςο, διερευνώμενος ἕκαςα· ὁ δὲ ἐπὶ πορθμοῦ τῦ ἑτέρυ ςελλόμενος μισθὸν ἀεὶ πρὸς βασιλέως κεκομισμένος ἦν, ὐδὲν πρὸς τῶν τῇδε ναυτιλλομένων κομιζόμενος*" (Procop. Arc. 25).

πόριες νέοι βόες, μόσχοι.

πορίμῳ ἄνυσιν καὶ ἐπίνοιαν ἔχοντι· (A Th. 783) "*ἐγχειρεῖν χρὴ ἔργῳ πορίμῳ.*"

ποριμώτατος· "*ταύτην ἔδοξεν εἶναι ποριμωτάτην ἐπιβολήν*" *ἀντὶ τῦ ἐπικερδῆ. καὶ πορίσονται ἀντὶ τῦ κερδήσυσι.*

πορις αί οἱ τὺς πόρυς εἰσηγύμενοι δημαγωγοὶ ἐπὶ τῷ ἑαυτῶν λυσιτελεῖ.

πόρκης (Hom. *Z* 320) *ὁ ἐπιδακτύλιος τῆς ἐπιδορατίδος, ὁ περιειργνύων αὐτὴν πρὸς τὸ ξύλον. καὶ κλίνεται πόρκυ.*

πόρκος κύρτος θαλάσσιος ὁ εἰς ἄγραν ἰχθύων.

πορνεῖα τόπος ἔνθα αἱ πόρναι διάγουσιν· "*ἐς τὰ πορνεῖα ἐσιόνθ' ἑκάςοτε*" *Ἀριςοφάνης* (Vesp. 1274).

πορνεία ἡ εἰδωλολατρεία, καὶ πόρνος ὁ εἰδωλολάτρης, παρὰ τὸ πόρρω νεύειν. "*ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σῦ· ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐςι*" (Theodoret. in Ps. 72 26). *πορνεία καὶ ἡ ἀκολασία, παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νῦν.*

πορνίδιον ἡ μικρὰ παῖς.

πόρον διέξοδον, τρίβον, καὶ περαίωσιν ποταμῦ.

πόρος πέρας, ἢ ποταμός, ἢ ὁδός, ἢ φυσήματα ὑδάτων, ἢ μηχανή, ἢ τεχνάσματα, ἢ διάβασις· Ἀριστοφάνης ⟨Pac. 124⟩ "τίς πόρος σοι τῆς ὁδȣ̃ γενήσεται;" ἀντὶ τȣ̃ διάβασις. καὶ **πόροι ἀλίρροθοι** ⟨S Ai. 412⟩ ποταμοὶ εἰς τὴν θάλασσαν ῥέοντες.

Πόρος Δημοσθένης ἐν τῇ πρὸς Εὐβȣλίδην ἐφέσει. δῆμός ἐςι τῆς Ἀκαμαντίδος ὁ Πόρος, καὶ ὁ δημότης Πόριος. Harp.

a **πόρπαξ** κατά τινας μὲν ὁ ἀναφορεὺς τῆς ἀσπίδος, ὡς δέ τινες, τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ ςρατιώτης. sch. A Pac. 661.

b **πόρπαξ**, ᾧ τὴν ἀσπίδα κατέχȣσιν, ὁ λεγόμενος ὄχανος· ἀνετίθεσαν γὰρ τὰ ἐκ τῶν πολέμων ὅπλα ἄνευ ὀχάνων, ἵνα μὴ ἑτοίμως αὐτοῖς ἔχωσι χρῆσθαι. ⟨A Eq. 855⟩ "ȣ̓ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι."

c **πόρπαξ**· Σοφοκλῆς ⟨Ai. 574⟩ "ἀλλ' αὐτό μοι σὺ παῖ λαβὼν ἐπώνυμον, Εὐρύσακες, ἴσχε διὰ πολυρράφȣ ςρέφων πόρπακος ἑπτάβοιον ἄρρηκτον σάκος." καὶ Ἀριστοφάνης ⟨Lys. 105⟩ "ἀλλ' ἐμός γα, κἂν ἐκ τῆς ταγᾶς ἔλθῃ πόκα, πορπακισάμενος." ὁ ἐμός, φησίν, ἀνὴρ οἷον περονησάμενος, ἀντὶ τȣ̃ ἀπολαβὼν τὴν ἀσπίδα, ἅμα τῷ παρεῖναι ἄπεισιν εἰς τὸν πόλεμον.

πόρπη ἡ παρὰ Ῥωμαίοις φίβλα· "ὃ δὲ τὴν πόρπην αὐτȣ̃ σπάσας, ἀεί, φησίν, ὑμεῖς οἱ παρὰ τῶν Ἀχαιῶν ἐςὲ τοιȣ̃τοι κήρυκες." καὶ **πορπȣ̃σθαι** φιβλȣ̃σθαι.

πορπηδόν.

πόρπημα εἶδος ὅπλȣ.

πόρρω. ἐπὶ χρόνου τάσσεται· "ὡς δὲ πόρρω ἦσαν τȣ̃ πίνειν, τότε δὴ μύρον μέν τις περιήνεγκεν, οἱ δὲ ἐχρίοντο."

πόρρω Διός τε καὶ κεραυνοῦ, παροιμία διὰ τȣ̀ς ἐπιβȣ́λως τοῖς συνȣ̃σι χρωμένȣς ἀδεέςερον εἶναι λέγȣσα τὴν μετ' ἀπραγμοσύνης ἀσφάλειαν τῶν ἐν ἐπιφανεῖ βίῳ κινδυνευόντων. Synes. p. 11.

πορρωτέρω.

πόρρω τῶν νυκτῶν περὶ τὸ μεσονύκτιον· ⟨Procop. Arc. 12⟩ "τινὲς δὲ τῶν αὐτῷ παρόντων πόρρω πȣ τῶν νυκτῶν, δῆλον ὅτι οἷσπερ ἐν καθαρῷ ἦν ἡ ψυχή, φάσμα θεάσασθαι δαιμόνιον."

πορσύνω ἑτοιμάζω.

πορφύρειος ἐσθής.

πορφύρεος ὁ πορφυρȣ̃ς. καὶ **πορφύρεον κῦμα** ⟨Hom. A 482⟩.

πορφύρῃ ⟨Hom. Ξ 16⟩ ταράσσηται. καὶ ἐν μυθικοῖς "καί οἱ πορφύροντι διακριδὸν ἀμφὶς ἔκαςα."

Πορφύριος ὁ κατὰ χριςιανῶν γράψας, ὃς κυρίως ἐκαλεῖτο Βασιλεύς, Τύριος φιλόσοφος, μαθητὴς Ἀμελίȣ τȣ̃ Πλωτίνȣ μαθητοῦ, διδάσκαλος δὲ Ἰαμβλίχȣ, γεγονὼς ἐπὶ τῶν χρόνων Αὐρηλιανȣ̃ καὶ παρατείνας ἕως Διοκλητιανοῦ τοῦ βασιλέως, ἔγραψε βιβλία πάμπλειςα, φιλόσοφά τε καὶ ῥητορικὰ καὶ γραμματικά. ἦν δὲ καὶ Λογγίνȣ τȣ̃ κριτικȣ̃ ἀκροασάμενος. περὶ θείων ὀνομάτων α', περὶ ἀρχῶν β', περὶ ὕλης ς', περὶ ψυχῆς πρὸς Βόηθον ε', περὶ ἀποχῆς ἐμψύχων δ', περὶ τȣ̃ γνῶθι σαυτὸν δ', περὶ ἀσωμάτων, περὶ τȣ̃ μίαν εἶναι τὴν Πλάτωνος καὶ Ἀριςοτέλȣς αἵρεσιν ζ, εἰς τὴν Ἰȣλιανȣ̃ τȣ̃ Χαλδαίȣ φιλοσόφȣ ἱςορίαν ἐν βιβλίοις δ', κατὰ χριςιανῶν λόγȣς ιε', περὶ τῆς Ὁμήρȣ φιλοσοφίας, πρὸς Ἀριςοτέλην περὶ τȣ̃ εἶναι τὴν ψυχὴν ἐντελέχειαν, φιλολόγȣ ἱςορίας βιβλία ε', περὶ γένȣς καὶ εἴδȣς καὶ διαφορᾶς καὶ ἰδίου καὶ συμβεβηκότος, περὶ τῶν κατὰ Πίνδαρον τȣ̃ Νείλȣ πηγῶν, περὶ τῆς ἐξ Ὁμήρȣ ὠφελείας τῶν βασιλέων βιβλία ι', συμμίκτων ζητημάτων ζ, εἰς τὸ Θουκυδίδου προοίμιον, πρὸς Ἀριςείδην ζ, εἰς τὴν Μινȣκιανȣ̃ τέχνην, καὶ ἄλλα πλεῖςα, καὶ μάλιςα ἀςρονομȣ́μενα, ἐν οἷς καὶ εἰσαγωγὴν ἀςρονομȣμένων ἐν βιβλίοις γ', καὶ γραμματικὰς ἀπορίας.

οὗτός ἐςιν ὁ Πορφύριος ὁ τὴν κατὰ χριςιανῶν ἐφύβριςον γλῶσσαν κινήσας.

Πορφύριος ὁ τῶν χριςιανῶν πολέμιος ἀπὸ Φοινίκης πόλεως Τύρȣ.

πορφυρίων πορφυρίωνος εἶδος ὀρνέου, παρὰ Ἀριςοφάνει ⟨Av. 556⟩.

πορφυρόπωλις ἡ τὰ πορφυρᾶ πωλȣ̃σα. Act. Apost. 16 14.

ποσαπλῶς ποσαχῶς, ἀναριθμήτως. ἢ μέρος λόγου ἐςί, καὶ ἐπίτασιν τȣ̃ πόθȣ σημαίνει· συμφωνεῖ γὰρ τῷ ἔρωτι τῆς ψυχῆς καὶ ἡ σάρξ, καὶ τοῖς ἐκείνης οὐκ ἀντιπίπτει βουλεύμασι. Theodoret. in Ps. 62 2.

ποσειδεών ἕκτος μὴν παρὰ Ἀθηναίοις ȣ̃τω καλȣ́μενος.

Ποσειδῶν. καὶ **Πόσειδον** ἡ κλητική. **Ποσείδιον** δὲ ὄνομα τόπου.

Ποσειδώνιος Ἀλεξανδρεύς, φιλόσοφος ςωικός, μαθητὴς Ζήνωνος τῦ Κιτιέως, ἔγραψεν ἱςορίαν τὴν μετὰ Πολύβιον ἐν βιβλίοις νβ´ ἕως τοῦ πολέμου τοῦ Κυρηναϊκοῦ καὶ Πτολεμαίου, καὶ μελέτας ῥητορικάς. ὑποθέσεις εἰς Δημοσθένην. καὶ οἶμαι ταῦτα μᾶλλον Ποσειδωνίου τοῦ σοφιςοῦ εἶναι τῦ Ὀλβιοπολίτου.

Ποσειδώνιος Ἀπαμεὺς ἐκ Συρίας ἢ Ῥόδιος, φιλόσοφος ςωικός, ὃς ἐπεκλήθη ἀθλητής· σχολὴν δ' ἔσχεν ἐν Ῥόδῳ, διάδοχος γεγονὼς καὶ μαθητὴς Παναιτίου. ἦλθε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Μάρκου Μαρκέλλου. ἔγραψε πολλά.

Ποσειδώνιος Ὀλβιοπολίτης σοφιστὴς καὶ ἱςορικὸς περὶ τῦ Ὠκεανῦ καὶ τῶν κατ' αὐτόν, περὶ τῆς Τυρικῆς καλουμένης χώρας, Ἀττικὰς ἱςορίας ἐν βιβλίοις δ´, Λιβυκὰ ἐν βιβλίοις ια´, καὶ ἄλλα τινά.

Ποσειδώνιος ὄνομα κύριον, ὃς συνέγραψε τὸ παλμικὸν οἰώνισμα, ὅτι ἐὰν πάλλη ὁ δεξιὸς ὀφθαλμός, τόδε σημαίνει. cf. v. οἰωνιςική.

πόσθη τὸ αἰδοῖον τῦ ἀνδρός.

πόσθιον τὸ αἰδοῖον· (A Th. 521) "λέων, λέων σοι γέγονεν ἔκμαγμα σόν, τά τ' ἄλλ' ἁπαξάπαντα καὶ τὸ πόσθιον τῷ σῷ προσόμοιον, ςρεβλὸν ὥσπερ κύτταρον." κύτταρος δὲ τὸ πῶμα τῆς βαλάνυ, ὅπυ ἐγκάθηται ἡ βάλανος. Ἀριςοφάνης (261) "νὴ τὴν Ἀφροδίτην, ἡδύ γ' ὄζει ποσθίυ."

Πόσθωνος.

Ποσίδιππος Κασανδρεύς, υἱὸς Κυνίσκυ, τρίτῳ ἔτει μετὰ τὸ τελευτῆσαι τὸν Μένανδρον διδάξας, κωμικός. ἔςι δὲ τὰ δράματα αὐτῦ ἕως τῶν λ´.

πόσις ἀνήρ.

ποσόν. τῦτο κατὰ μέγεθος θεωρεῖται, οἷον μέγα ἢ μικρόν. ποιὸν δὲ κατὰ τὴν ὕλην θεωρεῖται.

"πόσου πρίωμαί σοι τὰ χοιρίδια; λέγε. τὸ μὲν ἕτερον τύτων σκορόδων τροφαλλίδος, τὸ δ' ἅτερον χοίνικος μόνας ἁλῶν" (A Ach. 812).

Ποσόμιος ὕπατος. ὗτος μέγα φρονῶν ἐφ' ἑαυτῷ τῆς τ' ἀξιώσεως τῦ γένους ἕνεκα, καὶ ὅτι διτταῖς ὑπατείαις ἤδη κεκοσμημένος ἦν. ἐφ' οἷς ὁ συνύπατος αὐτῦ κατ' ἀρχὰς μὲν ὡς ἀπελαυνόμενος τῶν ἴσων ἠγανάκτει, καὶ πολλάκις ἐπὶ τῆς βυλῆς τὰ δίκαια πρὸς αὐτὸν ἔλεγεν· ὕςερον δὲ συγγενὴς ἑαυτῷ κατά τε προγόνων ὄγκον καὶ φίλων πλῆθος καὶ κατὰ τὰς ἄλλας δυνάμεις ἐλάττονα ἰσχὺν ἔχοντι (δημοτικὸς γὰρ ἦν, καὶ τῶν νεωστὶ παρελθόντων ἐς γνῶσιν), εἶξέ τε τῷ συνυπάτῳ καὶ παρεχώρησε τῦ πολέμυ τὴν ἡγεμονίαν. καὶ τῦτο ἤνεγκε διαβολὴν τῷ Ποσομίῳ κατὰ πολλὴν αὐθάδειαν γενόμενον. ἕτερον δὲ βαρύτερον ἢ ὡς κατὰ Ῥωμαίων ἡγεμόνα· ἐπιλεξάμενος γὰρ ἐκ τῆς ἑαυτῦ ςρατιᾶς περὶ τὺς β ἄνδρας ἐς τὺς ἰδίυς ἀγρὺς ἀπήγαγεν· οἷς ἄνευ σιδήρυ δρυμὸν ἐκέλευσε κείρειν, καὶ κατέσχε τὺς ἄνδρας ἐν τοῖς ἀγροῖς θητῶν ἔργα καὶ θεραπόντων ὑπηρετοῦντας. καὶ ἄλλα πλεῖςα ὅσα βαρύτατα διαπραξάμενος παρέσχε τῷ δήμῳ μίσυς ἀφορμὰς δικαίυ. Dionys. Hal. exc. Peir. p. 533.

πόσος ἀπὸ τῦ πόσατος, κατὰ συγκοπήν. τάττεται δὲ ἐπὶ ποσότητος, οἷον πόσον ἄγει ἔτος; καὶ πόση ὥρα τῆς ἡμέρας;

Πόσουμος Ῥωμαῖος, ἀπὸ Καπύης, τά τε Ἑλλήνων ἐπαιδεύθη, ἐρασθεὶς αὐτῶν μετὰ ἔτη λ´· τὰ δὲ πρῶτα χρυσοχόος ἦν. ἐπεὶ δὲ ἅπαξ αὐτὸν εἰσῆλθεν ὅδε ὁ φιλολόγος ἔρως, εἰς τὰς Ἀθήνας ὥρμησε, καὶ ἐξεμισώθη τὰ Ἑλλήνων ἐκεῖθι, καὶ ἐς γῆρας βαθὺ ἤλασε πολλὰ καὶ καλὰ εἰδώς. ὅθεν ἀπεικὸς ἦν καὶ τόνδε τὸν Πόσυμον λέγειν λόγον ἐκεῖνον ὅνπερ ὃν Ἡράκλειτος εἶπεν ἐφ' ἑαυτοῦ, "ἐμεωυτὸν ἐδιζησάμην."

ποταίνιον τὸ ξένον.

ποταμηδόν δίκην ποταμοῦ.

ποταμοδιάρτης ὁ περιῶν ἀεὶ τὸν ποταμόν. Artemid. 4 68.

Ποταμοί δῆμος τῆς Λεοντίδος, οὗ ὁ δημότης Ποτάμιος. ἐκωμῳδῦντο δὲ ὡς ῥᾳδίως δεχόμενοι τὺς παρεγγράφυς. Harp.

ποταμὸς θαλάττῃ ἐρίζεις, ἐπὶ τῶν διατεινομένων πρὸς κρείττονας.

ποταμῷ μεγάλῳ ὀχετὸν ἐπάγεις, ἐπὶ τῶν τοῖς ἔχυσι προσφερόντων.

Ποτάμων Ἀλεξανδρεὺς φιλόσοφος, γε- a
γονὼς πρὸ Αὐγύςυ καὶ μετ' αὐτόν, εἰς τὴν Πλάτωνος πολιτείαν ὑπόμνημα.

Ποτάμων Μιτυληναῖος, υἱὸς Λεσβώνα- b
κτος, ῥήτωρ, ἐσοφίςευσεν ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Τιβερίυ. καί ποτε αὐτῦ εἰς τὴν πατρίδα ἐπανιόντος ὁ βασιλεὺς ἐφοδιάζει τοιοῖσδε γράμμασι "Ποτάμωνα Λεσβώνακτος εἴ τις ἀδικεῖν τολμήσει, σκεψάσθω εἴ μοι

δυνήσεται πολεμεῖν." ἔγραψε περὶ Ἀλεξάνδρȣ τȣ Μακεδόνος, ὅρȣς Σαμίων, Βρούτου ἐγκώμιον, Καίσαρος ἐγκώμιον, περὶ τελείου ῥήτορος.

Ποτάμωνος.

πότε. λέγεται πρὸς τὸ νῦν κατ' ἄμφω, καὶ κατὰ τὸ παρεληλυθὸς καὶ κατὰ τὸ μέλλον, κατὰ μὲν τὸ παρεληλυθός, πότε ἐγένετο; κατὰ δὲ τὸ μέλλον, πότε ἔςαι;

πότερον ἄρα, ποῖον, ποταπόν.

ποτή ἡ πτῆσις.

πότης λύχνος παρὰ Ἀττικοῖς ὁ πολὺ ἔλαιον ἀναλίσκων· Ἀριστοφάνης Νεφέλαις ⟨57⟩ "τί γάρ μοι τὸν πότην ἧπτες λύχνον;"

Ποτίδαια ὄνομα πόλεως. καὶ Ποτιδαιάτης.

ποτινίσσεται ⟨Hom. *I* 381⟩ ἐπέρχεται.

πότμον μόρον, θάνατον. καὶ εὔποτμος ὁ καλῶς τὸν βίον καταςρέφων· "ὃς οἰκτρῶς καὶ ἐλεεινῶς ἐς γῆρας ἦλθεν οὐδαμῇ εὔποτμον."

πότνα δέσποινα.

πότνια σεμνή, ἔντιμος.

ποτνιᾶσθαι παρακαλεῖν, καὶ ποτνιᾶται παρακαλεῖ, ἐπικαλεῖται θεȣ́ς. καὶ ποτνιώμενος δυσφορῶν, μετ' οἰμωγῆς παρακαλῶν.

ποτός τὸ πινόμενον, πότος δὲ τὸ συμπόσιον· "σφοδρȣ̃ δὲ πότȣ γενομένȣ ἐνεδρεύων ὁ ἐςιάτωρ αὐτὸς μὲν ὀλίγον ἔπινεν, ἐκείνοις δὲ πολὺ ἐγχεῖν τοῖς θεράπȣσιν ἐκέλευε" ⟨cf. v. σφοδροῦ⟩.

ποτώμεναι ⟨A Pac. 815⟩ διατρίβουσαι. ποτῶνται δὲ ⟨Hom. *B* 462⟩ πέτονται.

ποῦ γῆς· "ποῦ γῆς πέφευγεν;" ἀντὶ τȣ̃ εἰς ποίαν γῆν, ἀττικῶς.

Πουλχερία Ἀρκαδίȣ θυγάτηρ, βασιλίς, ιε' ἐτῶν ȣ̈πω τυγχάνȣσα ἄριςα τὴν βασιλείαν διῴκει, ἐπαίδευσε δὲ καὶ τὸν ἀδελφὸν Θεοδόσιον· σοφωτάτη γὰρ ȣ̈σα καὶ θεῖον νοῦν κεκτημένη τήν τε ἰδίαν παρθενίαν θεῷ προσανέθηκε καὶ τὰς ἀδελφὰς τὸ ὅμοιον πρᾶξαι ἐδίδαξεν, εἰς πάντα δὲ τὸν ἀδελφὸν ἐκανόνιζεν, ἦθός τε καὶ λόγον καὶ βάδισμα καὶ γέλωτα καὶ ἐνδυμάτων περιβολὴν καὶ σχῆμα καθέδρας καὶ ςάσεως βασιλικῆς ἐξεπαίδευσε· πρὸ δέ γε ἁπάντων τὴν εἰς τὸ θεῖον εὐσέβειαν αὐτὸν ἐπιμελῶς ἐδίδασκεν. ὡσαύτως δὲ καὶ περὶ τὰς ἀδελφὰς διεγένετο. πολλὰς δὲ ἐκκλησίας καὶ πτωχεῖα καὶ ξενῶνας καὶ μοναςήρια αὐτὴ κτίσασα πᾶσι προσόδους ἀφώρισεν· καὶ πρὸς ἄλλοις μυρίοις κατορθώμασι πολλάκις αὐτῇ καὶ τὸ θεῖον ἐφαίνετο ⟨Cramer. An. Par. 2 p. 99⟩. αἱ δὲ ἀδελφαὶ Ἀρκαδία καὶ Μαρῖνα. ὁ δὲ φύσει νωθρὸς τε καὶ ἀπερίσκεπτος ἐς πάντα μὲν ὑπῆρχε, μάλιςα δὲ ἐς τȣ̀ς ὑποβάλλοντας αὐτῷ χάρτας, ȣ̃ς ἀπαραναγνώςως ὑπέγραφεν. ὅπερ ἡ σοφωτάτη γνοῦσά ποτε Πουλχερία σοφῶς ὑπῆλθεν αὐτόν, δωρεὰν ὑποβαλȣ̃σα δῆθεν πρὸς δȣλείαν τὴν ἑαυτȣ̃ γαμετὴν Εὐδοκίαν· ἣν καὶ καθυπογράψας μὴ πρότερον ἀναγνȣ́ς, ὕςερον δεινῶς ὠνειδίζετο παρὰ τῆς Πουλχερίας. cf. Sozom. 9 1, Cedren. p. 342.

ὅτι Πουλχερία τοσȣ̃τον ἐμίσει τὸν Νεςόριον ὡς τȣ̀ς φιλȣ̃ντας ἐκεῖνον διαθρυλεῖν ὅτι πορνείαν πρὸς τὸν ἀδελφὸν αὐτῆς Θεοδόσιον τὸν βασιλέα διέβαλε Πουλχερίας Νεςόριος, καὶ διὰ τȣ̃το ȣ̈τως ὑπ' αὐτῆς ἐμισεῖτο. ἐξωρίσθη [illegible] δόρει γὰρ αὐτὴν εἰς τὸν τότε μάγιςρον Παυλῖνον λεγόμενον ⟨Cramer. p. 100⟩.

Πουλχερία. Πουλχερίας τῆς ἀοιδίμου ςήλη ἵςατο ἐν τῇ Χαλκῇ, πλησίον τȣ̃ παλατίȣ, ὡς πρὸς τὸν περίπατον.

ποῦ μήν; ποῦ δὴ οὖν;

ποῦ σχήσειν δοκεῖς; ⟨A Ran. 190⟩ ἀντὶ τοῦ ποῦ ἀπάξαι τὴν ναῦν.

πούς. ὁ ποὺς ἔχει δακτύλους ις'. [illegible] ςάδιον.

πράγματα. ἐπὶ κακοῦ χρῶνται τῇ λέξει οἱ παλαιοί. καὶ Μένανδρος "ἐν πράγμασιν, ἐν μάχαις." καὶ Ἀριςοφάνης ἐν Πλȣ́τῳ ⟨651⟩ "ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ," καὶ αὖθις ⟨Av. 1243⟩ "καὶ δή ποτε εἷς Πορφυρίων αὐτῷ παρέσχε πράγματα." καὶ αὖθις ⟨Plut. 20⟩ "ἀλλά σοι παρέξω πράγματα" ἀντὶ τοῦ ἐνοχλήσω. καὶ παροιμία "ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ὁ δὲ ἐξελθὼν ἐπρίατο." sch. A Plut. 653.

πράγματα κακοπάθειαι· "ὀρεία τε ἦν καὶ ςενὴ ἡ ὁδός, καὶ πολλὰ πράγματα εἶχον ἀμφὶ τοῖς ζεύγεσιν οἱ ςρατιῶται" ἀντὶ τοῦ κόπους.

πράγματ' ἐξ ἀπραξίας, ἐπὶ τῶν παραδόξων καὶ παρ' ἐλπίδα συμβαινόντων.

πραγματεία πολυπραγμοσύνη, κακοπάθεια· "πόλιν πολυάνθρωπον καὶ ςρατῷ μεγάλῳ πεφραγμένην εἷλεν ἄνευ πραγματείας ὁ βασιλεύς."

b πραγματεία. οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τῆς πραγματείας, οὕτω καὶ ὑπὸ τῶν ῥητόρων τέτακται ἐπὶ τῶν ἐργασίας τινὰς μεταχειριζομένων, ἀλλ' ἐπὶ τῶν πράγματα συνίςασθαι ἐπιχειρούντων, ὡς Δείναρχος ἐν τῷ κατὰ Μεναίχμου "αἱ γὰρ ἀπὸ τῶν κοινῶν ἔχθραι καὶ πραγματεῖαι αἰτίαι τῶν ἰδίων διαφορῶν καθεςήκασι."

πραγματικώτατον ἐνεργητικώτατον· "ὃ δὴ καὶ πραγματικώτατον γεγονέναι τὸ διαβούλιον." καὶ αὖθις "τοῦτο δὲ ἐποίει νουνεχῶς ἅμα καὶ πραγματικῶς."

πραγματοδίφης ὁ δικολόγος· ⟨A Av. 1410⟩ "καὶ πραγματοδίφης. ὦ μακάριε τῆς τέχνης."

πραγματομαθής· "ὃ δὲ ὢν ἀγχίνους καὶ τριβῇ κινδύνων πραγματομαθής." καὶ πραγματομαθεῖς οἱ τῶν πραγμάτων εἰδήμονες· "διὸ καὶ οἱ Ῥωμαῖοι πραγματομαθεῖς ὑπάρχοντες ὑφεωρῶντο τὰ τῆς τύχης ἄδηλα."

πραγματωδεςέρα τάξις ἡ δυσχερεςτέρα.

πραγμάτων· ⟨A Ach. 268⟩ "πραγμάτων τε καὶ μαχῶν καὶ Λαμάχων ἀπαλλαγείς." Λάμαχος ςρατηγὸς Ἀθηναίων ῥιψοκίνδυνος.

πρᾶγος ἡ πρᾶξις· ⟨S OC 1153⟩ "πρᾶγος δ' ἀτίζειν οὐδὲν ἀνθρώπων χρεών." ἄνθρωπον ὄντα, φησίν, οὐ δεῖ πρᾶγμα κακίζειν.

πραεῖα.

πραέων γῇ. Ps. 36 11.

πραΐδα.

Πραινεςός ὄνομα τόπου.

πραιπόσιτος ἀξίωμα.

πραιτοῦρα.

πραίτωρ· "μετὰ τοὺς χιλιάρχους αὖθις ἐπὶ τοὺς ὑπάτους ἐπανῆλθον οἱ Ῥωμαῖοι, καὶ πρῶτος ςρατηγὸς ἀπεδείχθη Φάριος Κάμιλλος, παῖς Καμίλλου τοῦ πολλάκις μοναρχήσαντος· ὃν πραίτωρα τῇ ἰδίᾳ γλώττῃ οἱ Ῥωμαῖοι ὠνόμασαν, ἤγουν ςρατηγόν."

πραιτώριον.

πραίφεκτοι ιβ' ἄρχοντες, προβεβλημένοι ὑπὸ τῶν ὑπάτων, οἳ τοῖς ὑπάτοις τοὺς ἐπιτηδειοτάτους πρὸς τὴν ἀληθινὴν χρείαν ἐκ τῶν παραγεγονότων συμμάχων ἱππεῖς τε καὶ πεζοὺς ἐξέλεγον, τοὺς καλουμένους ἐκτραορδιναρίους, ὃ μεθερμηνευόμενον ἐπιλέκτους δηλοῖ.

πραίφεκτος ναύαρχος.

πρακτέα· "καὶ τὰ πρακτέα ὀρθῶς διατάττων."

πρακτέον δεῖ πράττειν.

πρακτικαί. ὅτι οὔτε αἱ πρακτικαὶ νοήσεις ἄπειροι οὔτε αἱ θεωρητικαί, ἐπεὶ μηδὲ οἱ λόγοι τούτων ἄπειροι. ἄγγελοι δέ εἰσι τῶν νοημάτων οἱ λόγοι, οἵτινες κἂν ὕςεροί εἰσι τῶν πρακτικῶν νοήσεων καὶ θεωρητικῶν, ἀλλ' ἡμῖν γε ἐμφανέςεροι καὶ γνωριμώτεροι εἰσίν.

πρακτικόν ἀνυςικόν.

πράκτορα ἔκδικον· ⟨S El. 953⟩ "φόνου πότ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός."

πράκτωρ ὁ τὸν ἐπικείμενον εἰσπραττόμενος φόρον.

Πράμνιος οἶνος. Ἀρίςαρχος ἐπιμελῶς τὸν ἡδὺν οἶνον πράμνιον ἔλεγε, τινὲς τὸν ὤνιον ἢ παραμόνιμον, τινὲς ἀπὸ ἀμπέλου Πραμνίας ὀνομαζομένης, οἱ δὲ ἰδίως τὸν μέλανα· ἔνιοι τὸν πραΰνοντα τὸ μένος, ὃν καὶ φαρμακίτην φασί. Σῆμος ὁ Δήλιος ἐν τρίτῃ ἐν Ἰκάρῳ Πράμνον πέτραν εἶναι, ἀφ' ἧς τὸν οἶνον εἶναι. Athen. p. 30.

πρανές κάταντες.

πρανὴς ὁδός κατωφερής· "ἐν δέ τινι πρανεῖ ςενῷ καὶ ἐπιμήκει καὶ ὀλισθηρῷ γέμοντι πολλοὶ παρεφέροντο" ⟨cf. v. ἐπάλθαξαν⟩.

πραξάμενος ἀπαιτήσας, λαβών· "Μάλλιος ὁ ἀνθύπατος τριακόσια τάλαντα πραξάμενος παρὰ Ἀριαράθου φίλον αὐτὸν ἐποιήσατο Ῥωμαίων" ⟨Polybius?⟩.

πράξαντες· Θουκυδίδης ⟨4 68⟩ "οἱ δὲ μετ' Ἀθηναίων πράξαντες" τουτέςι βουλευθέντες "ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας. ἔμελλον δὲ ἀνοιχθεισῶν εἰσπίπτειν τοὺς Ἀθηναίους."

Πραξιδίκη θεός, ἧς κεφαλὴν μόνον ἱδρύοντο. Μνασέας δὲ ἐν τῷ περὶ Εὐρώπης, Σωτῆρος καὶ τῆς ἀδελφῆς Πραξιδίκης γενέσθαι Κτήσιον υἱὸν καὶ θυγατέρας Ὁμόνοιαν καὶ Ἀρετήν, ἃς ἀπὸ τῆς μητρὸς Πραξιδίκας κληθῆναι. Διονύσιος δὲ ἐν Κτίσεσιν Ὠγύγου θυγατέρας Ἀλαλκομένειαν Θελξίνοιαν Αὐλίδα, ἃς ὕςερον Πραξιδίκας ὀνομασθῆναι.

πραξικοπήσας ἐξ ἐπιβουλῆς βουλευσάμενος, δολιευσάμενος· Πολύβιος ⟨1 [illegible] δὲ ςρατηγὸς πρῶτον μὲν πραξικοπ[illegible] τέσχε τὴν τῶν Ἐρβησσέων πόλιν κ[illegible] λετο τὰς ἀγοράς."

πραξικοπήσας δωροδοκηθεὶς [illegible]

Οὔρβιος πραξικοπήσας νυκτὸς κατέλαβε τὸ μέρος τῆς ἀκροπόλεως καὶ τοὺς Ῥωμαίους εἰσήγαγε." ⟨Polyb. 8 11⟩ "πολλὰς πόλεις ἠνδραποδίσατο, πραξικοπήσας μετὰ δόλου καὶ βίας."

Πραξίλλης ὄνομα κύριον.

a *πρᾶξις* κοινότερον μὲν πᾶσα λογικὴ ἐνέργεια, ἰδίως δὲ καὶ κυριώτερον ἡ κατὰ προαίρεσιν, τουτέστιν ἡ κατ' ἀρετὴν ἢ κακίαν ἐνέργεια γινομένη. ὧν οὖν αἱ πράξεις αἱρετώτεραι, ταῦτα αἱρετώτερα, οἷον, εἰ τὸ τὰ δίκαια πράσσειν τοῦ τὰ ἀνδρεῖα πράσσειν αἱρετώτερον, καὶ ἡ δικαιοσύνη τῆς ἀνδρείας αἱρετωτέρα. ἔστι δὲ πρᾶξις μὲν ἡ πρὸς τὸ τέλος τείνουσα ἐνέργεια, ἔργον δὲ τὸ τέλος. Alex. Aphrod. in Top. p. 137.

b *πρᾶξις* ἡ προδοσία· Πολύβιος "μετὰ τῶν ἐν τῇ πατρίδι φίλων τρίτον πρᾶξιν κατασκευασαμένου, καὶ προσενεγκόντος τῷ Φαβίῳ τὸν λόγον." καὶ αὖθις Πολύβιος ⟨5 96⟩ "ὃ δὲ συνεστήσατο πρᾶξιν ἐπὶ τοὺς Αἰτωλοὺς διά τινος Ἰάσονος, ὃς διαπεμψάμενος πρὸς Ἀγήταν τὸν τῶν Αἰτωλῶν στρατηγὸν ὡμολόγησε τὴν ἄκραν αὐτοῖς παραδώσειν τὴν ἐν τοῖς Φανοτεῦσι."

Πραξιτέλης Πραξιτέλους ὄνομα κύριον.

πραόνως· Ἀριστοφάνης ⟨Ran. 864⟩ "σὺ δὲ μὴ πρὸς ὀργήν, Αἰσχύλ', ἀλλὰ πραόνως ἔλεγχ' ἐλέγχου. λοιδορεῖσθαι δ' οὐ πρέπει ἄνδρας ποιητὰς ὥσπερ ἀρτοπώλιδας."

a *πραότης* ἀοργησία. "ἂν δέ τις τῆς πραότητος γένος ἀποδῷ τὴν ἐγκράτειαν, καὶ ὁρίσηται αὐτὴν ἐγκράτειαν ὀργῆς, οὐκ ὀρθῶς ἀποδίδωσιν· οὐ γὰρ τὸ ἐξ ὑποθέσεώς τινι ἀκολουθοῦν εἴη ἂν καὶ γένος. τὸ γὰρ γένος ἀχώριστον" ⟨Alex. Aphrod. in Top. p. 176⟩.

b *πραότης* ἐπὶ θεοῦ ἡ μικρὰ τιμωρία· Δαβίδ "ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα." Theodoret. in Ps. 89 10.

πραπίς ἡ φρήν· Ὅμηρος ⟨Λ 608⟩ "εἰδυίῃσι πραπίδεσσι."

Πρασιαί πόλις Λακωνική· Ἀριστοφάνης ⟨Pac. 243⟩ "ἰὼ Πρασιαὶ τρὶς ἄθλιαι καὶ πεντάκις καὶ πολλῷ δεκάκις· ἀπολεῖσθε σήμερον."

πρασιαί αἱ τοῦ κήπου λαχανίαι. καὶ *πράσιον* τὸ λάχανον.

πρασιανός. ὅτι πρασιανὸς λέγεται καὶ βενετιανὸς καὶ παλμουλάριος καὶ σκουτάριος παρὰ Μάρκῳ Ἀντωνίνῳ ⟨1 5⟩.

πράσινον χρῶμα· ⟨Procop. Arc. 19⟩ "ἄλλοις στάσεως ἀφορμὴν ἢ μέρους πρασίνου στοργὴν Ἰουστινιανὸς ἐπενεγκὼν ἀνῄρει."

πράσου φύλλῳ τὸ τῶν ἐρώντων δέδεται βαλάντιον, ἐπὶ τῶν δι' ἔρωτα πολλὰ ἀναλισκόντων καὶ ἀσωτευομένων.

Πρατίνας Πυρρωνίδου ἢ Ἐγκωμίου, Φλιάσιος, ποιητὴς τραγῳδίας. ἀντηγωνίζετο δὲ Αἰσχύλῳ τε καὶ Χοιρίλῳ, ἐπὶ τῆς ο' ὀλυμπιάδος, καὶ πρῶτος ἔγραψε σατύρους. ἐπιδεικνυμένου δὲ τούτου συνέβη τὰ ἰκρία, ἐφ' ὧν ἑστήκεσαν οἱ θεαταί, πεσεῖν, καὶ ἐκ τούτου θέατρον ᾠκοδομήθη Ἀθηναίοις. καὶ δράματα μὲν ἐπεδείξατο ν', ὧν σατυρικὰ λβ', ἐνίκησε δὲ ἅπαξ.

πράττεσθαι ἀπαιτεῖσθαι· "τῶν δὲ Ἰταλικῶν μηδένα πράττεσθαι τέλος."

πραττομένους ἀπαιτουμένους· Ἰσοκράτης ⟨13 7⟩ "καὶ τοὺς μαθητὰς μικρὸν πραττομένους." "πραττόμενος δὲ τοὺς τῶν πλοίων κυρίους, τέλους δὲ οὐδενὶ αἴσθησιν παρεχόμενος."

πράττω τὸ ἐνεργῶ· "ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία αὐτοῦ ἐνόσει" ⟨cf. v. ἐνόσει⟩.

πρέμνον στέλεχος δένδρου· Ἀριστοφάνης ⟨Av. 322⟩ "ἥκεις ἔχων πρέμνον πράγματος πελωρίου," ὃ ἐστι χρήσιμόν τι εἰσηγούμενος. ⟨Polyb. 18 1⟩ "οἱ Ἕλληνες τοῦτον ἡγοῦνται χάρακα ἄριστον, ὃς ἂν ἔχῃ πλείστας ἐκφύσεις καὶ μεγάλους περὶξ τοῦ πρέμνου." καὶ ζήτει ἐν τῷ χάραξ.

πρέσβα ἐντιμοτάτη.

πρεσβεῖα τιμάς, γέρα· "καὶ χρυσᾶ πρεσβεῖα τούτῳ τῆς μνήμης νῦν τε καὶ ἀεὶ νέμει."

πρεσβεῖον· "ὁ δὲ Περίανδρος ὁ Κυψέλου υἱὸς τοῦ βασιλέως Κορίνθου τὴν βασιλείαν κατὰ πρεσβεῖον λαμβάνει" ⟨cf. v. Περίανδρος⟩.

πρέσβειρα ἔντιμος.

πρέσβεις. ὅτι οὗτοι ἦσαν οἱ φιλόσοφοι οἱ ἐς Περσίδα διαπρεσβευσάμενοι σὺν Ἀρεοβίνδῳ, Δαμάσκιος ὁ Σύρος, Σιμπλίκιος ὁ Κίλιξ, Εὐλάλιος ὁ Φρύξ, Πρισκιανὸς ὁ Λυδός, Ἑρμείας τε καὶ Διογένης οἱ ἐκ Φοινίκης, Ἰσίδωρος ὁ Γαζαῖος. οὗτοι πάντες οἴκαδε ἀπενόστησαν, χαίρειν εἰπόντες τῇ τοῦ βαρβάρου φιλοξενίᾳ· καὶ ἀπώναντο δὲ ὅμως τῆς ἐκδημίας, οὐκ ἐν βραχεῖ τινὶ καὶ ἠμελημένῳ, ἀλλ' ὅθεν αὐτοῖς ὁ ἐφεξῆς βίος ἐς τὸ θυμη-

ρές τε καὶ ἥδιστον ἀπετελεύτησεν. ὡς γὰρ οἱ Ῥωμαῖοι καὶ Πέρσαι σπονδὰς ἔθεντο καὶ συνθήκας, μέρος ὑπῆρχε τῶν κατ' αὐτὰς ἀναγεγραμμένων τὸ δεῖν ἐκείνους τοὺς ἄνδρας εἰς τὰ σφέτερα ἤθη κατιόντας βιοτεύειν ἀδεῶς τὸ λοιπὸν ἐφ' ἑαυτοῖς, οὐδὲν ὁτιοῦν πέρα τῶν δοκούντων φρονεῖν ἢ μεταβάλλειν τὴν πατρῴαν δόξαν ἀναγκαζομένους. Agath. 2 30.

πρεσβεύεσθε ⟨A Ach. 133⟩ πρέσβεις πέμπετε. καὶ πρεσβεύω παρὰ Σοφοκλεῖ ⟨Trach. 1066⟩· "ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγώς, καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον" ὁ Ἡρακλῆς φησὶ ψυχορραγῶν.

πρέσβις πρέσβεως, προπαροξυτόνως. οὐχὶ δὲ ὑπὸ τῆς πρεσβεύς εὐθείας· οἱ γὰρ λέγοντες ἁμαρτάνουσι. λέγεται δὲ καὶ πρέσβεων καὶ πρεσβευτῶν ἑκατέρως παρὰ τοῖς ῥήτορσιν· ἔστι δὲ τὸ μὲν καθωμιλημένον καὶ ἑλληνικὴν ἀναλογίαν σῶζον, ὅταν εἴπωσι πρέσβεις, εὑρίσκομεν δὲ καὶ πρεσβευτάς.

πρεσβυγένεια παλαιοτέρα γένεσις. καὶ συγκριτικῶς.

πρεσβυγενής.

πρεσβυτάτην ⟨Hom. Δ 59⟩ ἐντιμοτάτην.

πρεσβύτερος τιμιώτερος, μείζων· "ὁ δὲ τὴν κατασκευὴν τοῦ νεὼ πρεσβυτέραν τῆς ἑαυτοῦ ῥαστωνεύσεως ποιησάμενος," ἀντὶ τοῦ μείζονα, τιμιωτέραν. "καὶ τοὺς βωμοὺς κατέστρεψεν, ἐφ' ὧν ὤμοσαν ἡ στρατιὰ τὰ αὐτοῦ πρεσβύτερα ποιήσασθαι."

πρεσβύτερος Κόδρου ἀντὶ τοῦ παλαιότερος. παροιμία ἐπὶ τῶν πάνυ παλαιῶν, ἀπὸ τοῦ βασιλεύσαντος Ἀθήνησι Κόδρου.

πρευμενής πρᾶος.

πρεών πρεόνος, ὡς πρών πρωνός· ⟨AP 6 253⟩ "αἱ τόσον ὕδωρ εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος."

πρηγορεῶνος τοῦ λαιμοῦ.

πρήθω τὸ καίω.

πρημαινούσας τε θυέλλας Ἀριστοφάνης Νεφέλαις ⟨335⟩. θύελλα συστροφὴ τοῦ ἀνέμου. πρημαινούσας δὲ μαινομένας καὶ λάβρως φυσώσας· πρῆσαι γὰρ τὸ φυσῆσαι. Ὅμηρος ⟨A 481⟩ "ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον."

πρηνές ἐπὶ πρόσωπον. καὶ πρηνής.

Πρηξῖνος ὄνομα κύριον. καὶ Πρήξωνος.

πρῆσαι ⟨Hom. B 415⟩ καῦσαι, πρῆσε δὲ ⟨β 427⟩ ἐφύσησε.

πρήσσουσα διαπερῶσα.

πρηστήρ ἀστραπή, κεραυνός· ⟨AP 7 174⟩ a "ὤλεσε γὰρ πρηστήρ σε κεραύνιος, αἱ δ' ἐπὶ μάνδραν ὀψὲ βόες νιφετῷ σπερχόμεναι κατέβαν."

πρηστήρ πῦρ ἀπ' οὐρανοῦ, ἢ νέφος περι- b σχεθὲν πυρὶ μετὰ πνεύματος βιαιοτάτου ⟨Diog. L. 7 154⟩. "πνεύματος μετὰ βροντῶν καὶ πρηστήρων ἐξαναστάντος Λιβυκοῦ καὶ ταραχὴν τοῦ κλύδωνος εἰργασμένου, κακωθῆναι τὰς ναῦς." καὶ αὖθις "πολλὰ δὲ φυσήματα ἀπροόρατα ἐμπίπτει, πολλοὶ δὲ πρηστῆρες βιαιότατοι καὶ μεγέθη κυμάτων."

πρῆστις εἶδος κήτους θαλασσίου, ἡ λεγομένη μάλθη· ὃ καὶ δυσανταγώνιστόν ἐστι.

πρηῶνες οἱ προνενευκότες τόποι τῶν ὀρέων. ⟨AP 7 214⟩ "ἣ γὰρ ἴσον πρηῶνι Μαλείης, ᾧ ἐκυκήθη, κῦμα πολυψάμμους ὦσεν ἐπὶ ψαμάθους."

πρίαμαι αἰτιατικῇ.

πριάμενος ἀγοράσας· Σοφοκλῆς ⟨Ai. 477⟩ "οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται."

Πρίαμος ὄνομα κύριον.

πριαμωθῆναι ξυρηθῆναι· τὸ γὰρ τοῦ Πριάμου πρόσωπον ξυρίας ἐστί.

Πρίαπος ὁ αὐτός ἐστι τῷ Διονύσῳ· ἐν a ἐπιγράμμασι ⟨AP 6 22⟩ "ἀγροιώτᾳ τῷδε μονοστόρθυγγι Πριήπῳ θῆκεν ὁ καρποφύλαξ δενδριακὴν θυσίαν." καὶ αὖθις ⟨6 33⟩ "αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν δῶρα."

Πρίαπος. τὸ ἄγαλμα τοῦ Πριάπου τοῦ b Ὤρου παρ' Αἰγυπτίοις κεκλημένου ἀνθρωποειδὲς ποιοῦσιν, ἐν τῇ δεξιᾷ σκῆπτρον κατέχον ὡσανεὶ παρ' αὐτοῦ φανεῖσαν τὴν ξηρὰν καὶ τὴν θάλασσαν, ἐν δὲ τῇ εὐωνύμῳ κρατοῦν τὸ αἰδοῖον αὐτοῦ ἐντεταμένον, διότι τὰ κεκρυμμένα ἐν τῇ γῇ σπέρματα φανερὰ καθίστησι. τὰ δὲ πτερὰ τὴν ταχυτῆτα τῆς κινήσεως, τὸν δὲ κύκλον τοῦ δίσκου τὴν περιφέρειαν· ταὐτὸν γὰρ τῷ ἡλίῳ δοξάζουσι. Codin. orig. CP p. 15.

Πρίαπος ἐκ τοῦ Διὸς καὶ τῆς Ἀφροδί- c της συνελήφθη. ἡ δὲ Ἥρα ζηλοτυπήσασα μαγγανείᾳ τινὶ ἥψατο τῆς κοιλίας τῆς Ἀφροδίτης, καὶ παρεσκεύασεν ἄμορφον καὶ αἰσχρὸν τεχθῆναι τὸ βρέφος καὶ περισσόσαρκον· ἡ δὲ μήτηρ ἔρριψεν αὐτὸ εἰς ὄρος, ποιμὴν δὲ αὐτὸ ἀνεθρέψατο. εἶχε δὲ τὸ αἰδοῖον ἐπάνω εἰς τὴν πυγήν. ἐκλήθη δὲ Πρίαπος

κατὰ τὴν Ἰταλῶν γλῶσσαν, καὶ τιμᾶται παρὰ ποιμέσι. τὸ δὲ ἀφίδρυμα αὐτοῦ ἐςὶ παιδίον μόριον ἔχον μέγα καὶ ἐντεταμένον.

πρίβατον. Ῥωμαία ἡ λέξις.

πρίγκιπες. οὕτω καλοῦσι Ῥωμαῖοι τοὺς ἀκμαιοτάτες ταῖς ἡλικίαις. τοὺς γὰρ νεωτέρες καὶ πενιχροτέρες γροσφομάχες καλοῦσι, εἶτα τὲς πρίγκιπας· τὲς δὲ πρεσβύτας τριαρίες· καὶ τοὺς ἐςάτους καλουμένες, οἵ εἰσι πρότεροι τῶν πριγκίπων. καὶ αὗται μὲν αἱ ὀνομασίαι· ἡ δὲ ἐξόπλισις, τοὺς μὲν τριαρίες εἶναι χ΄, τοὺς δὲ πρίγκιπας ασ΄, ἴσους δὲ τούτοις τοὺς ἐςάτες, τοὺς δὲ γροσφομάχες πλείες τῶν ͵δ, φορεῖν δὲ μάχαιραν καὶ γρόσφον. Polyb. 6 21.

πρίγκιψ ὁ ἔξαρχος τῆς τάξεως παρὰ Ῥωμαίοις.

πρίεται σχίζεται.

πρίημι ἀγοράζω.

Πριηνεύς. καὶ Πριήνη ὄνομα πόλεως.

Πρίηπος ὁ Πρίαπος, κατὰ τροπὴν τοῦ α εἰς η.

πριμιγγιλίων τιμῶν, ἤτοι βασιλικῶν δωρεῶν, ἢ προνομίων.

πριμικήριος ὁ πρῶτος τάξεως τῆς τυχούσης.

πριμολοκάριος ὁ τὸν ἀκρότατον βαθμὸν τῆς ςρατιᾶς ἔχων, ὕςατος δὲ τῇ τιμῇ.

πριμοπιλάριος ὁ τὸ μεῖζον ἀξίωμα τῶν ςρατιωτῶν ἔχων παρὰ Ῥωμαίοις.

πρὶν ἢ πτίσαι τὰ ἄλευρα παροιμία. καὶ "πρὶν τοὺς ἰχθῦς ἑλεῖν σὺ τὴν ἅλμην κυκᾷς," ἐπὶ τῶν τοὺς καιρὲς προλαμβανόντων. καὶ "πρὶν ἐσφάχθαι δέρεις."

πρίνινοι ἄνθρακες ςερεοὶ καὶ σκληροί· ἰσχυρὸν γὰρ τὸ τῆς πρίνε ξύλον. Ἡσίοδος ⟨O. 434⟩ "πρίνε δὲ γύην," καὶ πάλιν ⟨427⟩ "πρίνινον· ὃς γὰρ βεσὶν ὀχυρώτατός ἐστι." sch. A Ach. 179.

πρὶν καὶ λύκος ὄιν ποιμαινεύσει, ἐπὶ τοῦ ἀδυνάτου. cf. A Pac. 1103.

πρὶν λαχεῖν τὰ κοινὰ κατεσθίεις, τυτέςι πρὶν κληρωθῆναι, πρὸ διανομῆς ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς. sch. A Eq. 258.

πρῖνος ξύλον πυκνότατον. Ἀριςοφάνης ⟨Ran. 833⟩ "σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς·" καιομένη γὰρ ἡ πρῖνος ψόφον ποιεῖ.

πριόνωτοι ὄφεις οὕτω λεγόμενοι. Philostrat. V. A. 3 2.

πρίου ἐλευθέρωσον.

πρισθείς ἐξαφθείς, δεσμευθείς· ⟨S Ai. 1030⟩ "ζωςῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων ἐκνάπτετ' αἰέν, ἔς' ἀπέψυξεν βίον."

Πρίσκιλλα ὄνομα κύριον.

Πρίσκος Ἐμεσηνός, ὅσπερ ἀλλότρια γράμματα μιμεῖσθαι ὑπερφυῶς ἐξηπίςατο, τεχνίτης τε ἦν περὶ τὸ κακὸν τοῦτο δεξιὸς ἄγαν. ἐτύγχανε δὲ ἡ τῶν Ἐμεσηνῶν ἐκκλησία τῶν τινὸς ἐπιφανῶν κληρονόμος γεγενημένη χρόνοις τισὶ πολλοῖς ἔμπροσθεν· ἦν δὲ οὗτος ὁ ἀνὴρ πατρίκιος μὲν τὸ ἀξίωμα, Μαμιανὸς δὲ τὸ ὄνομα, γένει λαμπρὸς καὶ περιεσίᾳ χρημάτων. ἐπὶ δὲ Ἰεςινιανοῦ ὁ Πρίσκος διαριθμησάμενος πόλεως τῆς εἰρημένης τὰς οὐσίας πάσας, εἴ τινας εὗρε πλέτῳ περιακμάζοντας καὶ πρὸς ζημίαν χρημάτων μεγάλην διαρκῶς ἔχοντας, τούτων διερευνησάμενος εἰς τὸ ἀκριβὲς τὲς προπάτορας, γράμμασιν αὐτῶν παλαιοῖς ἐντυχὼν βιβλίδια πολλὰ ὡς παρ' ἐκείνων γεγραμμένα πεποίηται, ὁμολογέντων πολλὰ χρήματα τῷ Μαμιανῷ ἀποδώσειν, ἅτε παραθήκης λόγῳ ταῦτα παρ' ἐκείνε κεκομισμένων. τό τε ὡμολογημένον ἐν τούτοις δὴ τοῖς καταπλάσοις γραμματείοις ξυνῄει οὐχ ἧσσον ἢ ἐς ρ΄ κεντηνάρια. καὶ ἀνδρὸς δέ τινος, ὅσπερ ἐπὶ τῆς ἀγορᾶς τηνικάδε χρόνου καθήμενος ἡνίκα ὁ Μαμιανὸς περιῆν, δόξαν τε πολλὴν ἐπί τε ἀληθείᾳ καὶ ἀρετῇ ἔχων ἅπαντα ἐπετέλει τὰ τῶν πολιτῶν γραμματεῖα, ἕκαςον αὐτῶν οἰκείοις ἐπισφραγίζων αὐτὸς γράμμασιν, ὅνπερ ταβελλίωνα καλοῦσι Ῥωμαῖοι, τὰ γράμματα δαιμονίως μιμησάμενος τοῖς διοικεμένοις τὰ πράγματα τῆς τῶν Ἐμεσηνῶν ἐκκλησίας παρέδωκεν, ὡμολογηκόσι μοῖραν αὐτῷ τινὰ κεῖσθαι τῶν ἐνθένδε πορισθησομένων χρημάτων. ἐπεὶ δὲ ὁ νόμος ἐμποδὼν ἵςατο, τὰς μὲν ἄλλας δίκας ἁπάσας ἐς τριακοντοῦτιν παραγραφὴν ἄγων, ὀλίγας δὲ ἄττας καὶ τὰς ὑποθηκαρίας πάσας μ΄ ἐνιαυτῶν μήκει ἐκκρούων, ἐς Βυζάντιον ἀφικόμενοι, καὶ χρήματα τῷ βασιλεῖ Ἰεςινιανῷ προέμενοι, μελλήσει οὐδεμιᾷ ἔπεισαν γράψαι νόμον οὐ χρόνοις τὰς ἐκκλησίας τοῖς καθήκεσιν, ἀλλ' ἐνιαυτῶν ρ΄ πλήθει δικῶν τῶν αὐταῖς προσηκουσῶν ἀποκλεῖσθαι. Procop. Arc. 28.

κεφάλαιον Ἰουςινιανοῦ ρ΄ ἐτῶν πλήθει κρατυνόμενον.

b Πρίσκος υἱὸς τοῦ μεγάλȣ Κωνςαντίνȣ.

c Πρίσκος Πανίτης σοφιςής, γεγονὼς ἐπὶ τῶν χρόνων Θεοδοσίȣ τοῦ μικροῦ, ἔγραψεν ἱςορίαν Βυζαντιακὴν καὶ τὰ κατ' Ἀττίλαν. ἐν βιβλίοις η', μελέτας τε ῥητορικάς, καὶ ἐπιςολάς.

πριςηροειδὴς αἰχμή ἐκ τοῦ πρίζω.

πρίω ἀγόρασον.

πρίων τὸ τεκτονικὸν ἐργαλεῖον· ἐν ἐπιγράμμασιν ⟨AP 6 103⟩ "ἰθύδρομόν τε πρίονα, μιλτείῳ βάμματι πειθόμενον," καὶ αὖθις ⟨6 204⟩ "καὶ τετανὸν νώτῳ καμπτόμενον πρίονα." καὶ Βάβριος ⟨96 3⟩ "κἀκεῖνος εἶπε τὰς σιαγόνας πρίων" ἀντὶ τοῦ βρύκων. "ὁ πρίων ἀπῆν, ȣ̓δ' ᾔδειν πρίω" Ἀριςοφάνης ⟨Ach. 35⟩, ἀντὶ τοῦ ȣ̓δὲ ἐγίνωσκον τὸ πρίω ῥῆμα. ȣ̓δὲ γὰρ ἐδεῖτο ἀγοράσαι, οἴκοι ἔχων. ταῦτα οὖν φησί· τοῦ ἀγροῦ φέροντος, οὐδὲν ἔδει μοι τοῦ πρίασθαι.

πρό ἀντὶ τοῦ ἀντί· Φιλήμων Παγκρατιαςῇ "δοῦλος πρὸ δούλȣ, δεσπότης πρὸ δεσπότου." Ὅμηρος ⟨Ω 734⟩ "ἀθλεύων πρὸ ἄνακτος."

προαγωγεία.

προάγωνος.

προαιρεῖσθαι αἰτιατικῇ.

Προαιρέσιος Παγκρατίȣ Καππαδόκης ἀπὸ Καισαρείας, σοφιςὴς μαθητεύσας ἐν Ἀντιοχείᾳ παρὰ Οὐλπιανῷ. γέγονε δὲ πρὸ Λιβανίȣ κατὰ τὰς Ἀθήνας σοφιςεύων, καὶ τιμῶν ἔτυχε τῶν μεγίςων τοῦ αὐτοκράτορος Κωνςαντίνȣ. μελέτας ῥητορικάς. ȣ̔̃τος ἤκμασεν ἐπὶ Ἰουλιανοῦ, σύγχρονος Λιβανίῳ τῷ σοφιςῇ· καὶ ὅπως λυποίη τοῦτον ὁ Ἰουλιανός, τὸν Λιβάνιον μεγάλως ἐθαύμαζε.

a προαίρεσις. Ἀριςοτέλης ἐν τοῖς Τόποις λέγει "δεῖξαι θέλοντες ὅτι μή ἐςιν ἐν ἀλόγῳ προαίρεσις, λημψόμεθα τὸν λόγον τῆς προαιρέσεως. ἔςι δὲ οὗτος πρὸ ἑτέρȣ αἵρεσις. ἀλλὰ μὴν τὸ ἄλλο πρὸ ἄλλȣ αἱρεῖσθαι ἐν τȣ́τοις ἐςὶν ἐν οἷς καὶ τὸ βȣλεύεσθαι· τὸ γὰρ ἄλλο ἄλλȣ προκρῖναι μετὰ λόγȣ γίνεται. οὐδὲν δὲ τῶν ἀλόγων βȣλεύεται, ὥςε οὐδὲ προαιρεῖται." Alex. Aphrod. in Top. 2 p. 94.

b προαίρεσίς ἐςιν ὄρεξις βȣλευτικὴ τῶν ἐφ' ἡμῖν, ἢ βȣ́λευσις ὀρεκτικὴ τῶν ἐφ' ἡμῖν· τȣ̃ γὰρ προκριθέντος ἐκ τῆς βȣλεύσεως ἐφιέμενος προαιρεῖται. βούλησις δέ ἐςιν ὄρεξις ζητητικὴ περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν γινομένη. βȣλεύεται γάρ τις εἰ ὤφειλε μετελθεῖν τὸ πρᾶγμα ἢ ȣ̓̃, εἶτα κρίνει τὸ κρεῖττον, καὶ γίνεται κρίσις. εἶτα διατίθεται, καὶ ἀγαπᾷ τὸ ἐκ τῆς βȣλῆς κριθέν, καὶ λέγεται γνώμη· ἐὰν δὲ κρίνῃ καὶ μὴ διατεθῇ πρὸς τὸ κριθὲν ἢ ἀγαπήσῃ αὐτό, ȣ̔̓ λέγεται γνώμη. εἶτα μετὰ τὴν διάθεσιν γίνεται προαίρεσις ἤγȣν ἐκλογή· προαίρεσις γάρ ἐςι δύο προκειμένων τὸ αἱρεῖσθαι καὶ ἐκλέγεσθαι τοῦτο πρὸ τοῦ ἑτέρȣ. καὶ τούτῳ φανερὸν ὅτι βȣλή ἐςι μετ' ἐπικρίσεως ἡ προαίρεσις, καὶ ἐξ αὐτῆς τῆς ἐτυμολογίας· προαιρετὸν γάρ ἐςι τὸ ἕτερον πρὸ τοῦ ἑτέρȣ αἱρετόν, οὐδεὶς δὲ προκρίνει τι μὴ βουλευσάμενος, οὐδὲ προαιρεῖται μὴ προκρίνας.

προαλάμενος προπηδήσας· "καὶ προαλάμενος τῆς πληθύος μετεχώρησεν ὡς Ναρσῆν. ὁ δὲ ἐνηγκαλίσατο αὐτόν" ⟨Menander?⟩.

προαλέσατον προπετέςατον.

προαλίσαντας προαθροίσαντας· Ἰώσηπος ⟨B. I. 3 18⟩ "τὸν ἐπὶ ταῖς μελλούσαις συμφοραῖς θυμὸν προαλίσαντας ἐναφεῖναι τοῖς δράσȣσιν αὐτάς."

προαναθρώσκειν προπηδᾶν.

προανάσχοι προανατείλοι.

προανατάξωμαι· Δαβίδ ⟨Ps. 136 8⟩ "ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερȣσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μȣ."

προάςειον προαςείου. ὁ δὲ Σοφοκλῆς ⟨El. 1431⟩ προάςιον, διὰ τοῦ ι· "τὸν ἄνδρ' ἐφ' ἡμῖν; οὗτος ἐκ προαςίȣ."

προαύλιον τὸ ἔμπροσθεν τῆς αὐλείȣ.

πρόβαινε. τοῦτο ὡς ἐπὶ ὄχλȣ πομπευόντων τινά. sch. A Ach. 256.

Προβάλινθος ὄνομα κύριον.

Προβαλίσιος ὄνομα κύριον.

προβάλλεσθαι ἀντὶ τοῦ προτείνεσθαι· Θουκυδίδης ⟨1 73⟩ "τὰ δὲ Μηδικὰ καὶ ὅσα αὐτοὶ ξύνιςε, καὶ δι' ὄχλȣ μᾶλλον ἔςαι ἀεὶ προβαλλομένοις." καὶ ὁ ῥήτωρ ⟨Demosth. 19 2?⟩ "τὴν ἀειλογίαν ὁρῶ ἀεὶ προβαλλομένȣς."

προβαλλομένους ἀντὶ τοῦ ὑποτιθεμένȣς, οἷον πρὸ τῆς πράξεως εἰς τὸν νοῦν ἐμβαλλομένȣς, ὁ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨97⟩. καὶ ἐν τῷ κατ' Αἰσχίνȣ ⟨27⟩ "τὴν προαίρεσιν" φησί "τῆς πολιτείας προβεβλημένην καὶ ἄπιςον εἰπεῖν," ἀντὶ τȣ̃ ἐλαφρῶς ἔχουσαν. ἐν δὲ τῷ κατὰ Μειδίου ⟨1⟩ "καὶ προὐβαλόμην" φησίν "ἀδικεῖν τȣ̃τον περὶ τὴν ἑορτήν," ἀντὶ τοῦ προβολῇ ἐχρησάμην τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ

τὴν ἑορτὴν ἀδικούντων. ἐν δὲ τοῖς Φιλιππικοῖς ⟨4 40⟩ φησὶ "προβάλλεσθαι δ' ἢ βλέπειν ἐναντίον οὔτε οἶδεν οὔτε ἐθέλει," ἀντὶ τοῦ προτείνειν τὰς χεῖρας ὡς εἰς μάχην. Harp.

προβαλόντες κυσὶν ἄρνας, ἐπὶ τῶν τοὺς ἀπράγμονας τοῖς συκοφάνταις παραδιδόντων.

πρόβασις ἡ τῶν βοσκημάτων κτῆσις· Ὅμηρος ⟨β 75⟩ "κειμήλιά τε πρόβασίν τε."

πρόβατα πάντα τὰ τετράποδα. καὶ παροιμία "προβάτων οὐδὲν ὄφελος, ἐὰν ὁ ποιμὴν ἀπῇ," ἐπὶ τοῦ ἀναγκαίου.

προβατεύς ὁ τῶν προβάτων ποιμήν. καὶ προβατέων χωρικῶν ἀνθρώπων.

προβατίου βίον ζῆν, ἐπὶ τῶν μωρῶν καὶ ἀνοήτων· τὰ γὰρ πρόβατα οὐδὲν ἐργάζεται καὶ ζῇ. ἢ διὰ τὸ ἀδρανές. sch. A Plut. 923.

προβατοπώλης ὁ Καλλίας καὶ ἡ ἐπ' αὐτοῦ πολιτεία, ἢ Λυσικλῆς υἱὸς Ἀσπασίας. συππειοπώλης δὲ ὁ Εὐκράτης, ὃς καὶ Στύππαξ ἐκαλεῖτο. βυρσοπώλης δὲ ὁ Κλέων. οὐκ ἐπὶ τοῦ πωλεῖν τὰς βύρσας παρείληπται, ἀλλ' ἐπὶ τοῦ τῆς πόλεως ἀποδίδοσθαι τὰ πράγματα. sch. A Eq. 129 et 132.

προβεβηκόσι παλαιοτέροις· "προσήκειν τὸ φιλόθεον τοῖς --- φιλοσοφίας" ⟨cf. v. σπουδή⟩.

προβέβουλα ⟨Hom. Α 113⟩ προέκρινα.

προβιβάζεις ⟨an προσβ-⟩ παραινεῖς, πείθεις· ⟨A Eq. 35⟩ "εὖ προβιβάζεις."

προβιβάσαντες προάξαντες.

a πρόβλημα θεώρημα συντεῖνον πρὸς θεωρίαν καὶ γνῶσιν. ⟨Ps. 77 2⟩ "φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς." πρόβλημα καὶ ὁ παροιμιακὸς λόγος. πρόβλημα δὲ καὶ ἡ ἀσφάλεια· "πρόβλημα δὲ οὐδὲν ἦν πρὸ τῆς στρατοπεδείας."

b πρόβλημα. ὅτι ἐπὶ παντὸς πράγματος τέσσαρά ἐστιν, εἰ ἔστιν, τί ἐστιν, ὁποῖόν τί ἐστιν, καὶ διὰ τί ἐστι, τὸ μὲν ὅτι ἔστι τάδε τὰ συμβεβηκότα, λαμβάνομεν ἐκ τῆς ἐναργείας, καὶ τὸ τί ἐστι τοῦ ὁρισμοῦ ἐξ αὐτῶν τεκμαιρόμεθα· ἐκ δὲ τοῦ ὁρισμοῦ οὐχ ὅτι ἔστι τὰ συμβεβηκότα γινώσκομεν, ἀλλὰ τὸ τί ἐστι καὶ ὁποῖον καὶ διὰ τί. ὥστε διὰ μὲν τοῦ ὅτι ἔστι τὰ συμβεβηκότα τὸ τί ἐστι τοῦ ὁρισμοῦ γινώσκομεν, διὰ δὲ τοῦ τί ἐστι τοῦ ὁρισμοῦ τὰ λοιπὰ προβλήματα τῶν συμβεβηκότων.

προβλῆτας ⟨Hom. Μ 259⟩ ἔξω προβεβλημένας ὑπὲρ ἀσφαλείας. οἱ δὲ τὰς πρώτας προβεβλημένας· ὃ καὶ μᾶλλον.

προβλῆτες. Φιλοκτήτης φησίν ⟨936⟩ "ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσία θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι, οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασε."

προβολάς ἀντὶ τοῦ ἀσφαλείας ἐκ πόλεων ἢ τειχῶν ἢ τινῶν ἄλλων δυνάμεων ἐπὶ σωτηρίᾳ καὶ κράτει γινομένων. οὕτω Δημοσθένης ⟨17 25⟩. παρὰ δὲ Αἰσχίνῃ ⟨2 145⟩ ἡ προβολὴ τοὔνομα γέγονεν ἀπὸ τοῦ προβάλλεσθαί τινα ἀδικεῖν. Harp.

προβολή γραφὴ κατὰ τῶν συκοφαντούντων· "φέρε νῦν ὁρισώμεθα τὴν προβολὴν αὐτοῦ τῆς αἱρέσεως, ἐφ' ᾗ τὸν παρόντα τοῦτον ἐποιήσατο βίον."

προβόλιον εἶδός τι δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν. Harp.

πρόβολοι αἱ εἰς θάλασσαν προκείμεναι πέτραι καὶ οἷον ἀκταί τινες. Δημοσθένης ⟨8 61⟩ ἐν Φιλιππικοῖς. Harp.

πρόβολον πρόμολον, πρόμαχον. καὶ πρόβολος ἐμός προβαλλόμενος, προστάτης, τεῖχος, ἀσφάλεια· Ἀριστοφάνης Νεφέλαις ⟨1164⟩ "πρόβολος ἐμός, σωτὴρ δόμοις." Εὐνάπιος ⟨p. 101 Nieb.⟩ "ὁ δὲ βασιλεὺς τούτους δεξάμενος κτήματά τε αὐτοῖς καὶ χώραν ἀπένειμε, καὶ προβόλους τε ὑπελάμβανε γενναίους καὶ ἀδαμαντίνους ἔχειν πρὸς τὰς ἐκείνῃ τῶν Οὔννων ἐμβολάς."

πρόβολος ⟨an πρόλοβος⟩ τὸ τῶν σιτίων δοχεῖον.

πρόβολος ἔξαρχος τοῦ βουλευτηρίου. b

προβόλῳ ⟨Hom. μ 251⟩ προβεβλημένῃ εἰς θάλασσαν πέτρᾳ.

προβοσκίς ἡ τοῦ ἐλέφαντος προνομαία.

προβούλευμα τὸ ὑπὸ τῆς βουλῆς ψηφισθὲν πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου ⟨9⟩. Harp.

πρόβουλοι πρὸς τοῖς οὖσι ι ἡρέθησαν ἄλλοι κ' εἰσηγησόμενοι τὰ δοκοῦντα τῇ πολιτείᾳ μετὰ τὴν ἐν Σικελίᾳ συμφοράν. sch. A Lys. 422.

πρὸ βραχέος.

πρὸ γῆς· "ἐγὼ δὲ φεύγω γῆν πρὸ γῆς φοβούμενος τὸν ἄγριον δεσπότην, ᾧ μᾶλλον ἵππων ἢ ἀνθρώπων μέλει." "ὁ δὲ οὐκ ἀφῆκε διαξαίνειν αὐτόν, ἀλλ' εἴασε γῆν πρὸ γῆς ἀπιέναι, ἵνα μή, φησίν, ὢν ἐνθάδε τολμήσῃ παραπλήσια πάλιν" ⟨cf. v. διαξαίνειν⟩.

προγινώσκω αἰτιατικῇ.

προγράμματα· "οἷς καὶ δῶρα συνέθηκε καὶ προγράμματα, δι' ὧν παρεκάλει ἑτοιμάζειν τὰς δυνάμεις."

προγραφαί· "αἱ προγραφαὶ ἐκεῖναι αἱ κεκηρυγμέναι λέγονται βουλήσει Ἀντωνίου γενέσθαι." καὶ Αἰλιανὸς λέγει "ἐπανελθόντες οὖν προγραφὰς καὶ τῶν ἐκ βουλῆς καὶ τῶν εἰς τὴν ἱππάδα τελούντων εἰργάσαντο, τούτους ἀποκτιννύντες," ἀντὶ τοῦ κατηγορίας.

προδείκτης· ⟨Diod. Sic. t. 2 p. 606⟩ "ἔχαιρε γὰρ μίμοις καὶ προδείκταις καὶ καθόλου πᾶσι τοῖς θαυματοποιοῖς."

προδήλως φανερῶς, ἀνδρείως· Σοφοκλῆς ⟨Ai. 1311⟩ "καλόν μοι τοῦδ' ὑπερπονουμένῳ θανεῖν προδήλως μᾶλλον."

προδικασία. οἱ τὰς ἐπὶ φόνῳ δίκας ἐγκαλούμενοι ἐν πρυτανείῳ πρὸ τῆς δίκης διατελοῦσιν ἐπὶ τρεῖς μῆνας, ἐν οἷς ἐξ ἑκατέρου μέρους λόγοι προάγονται. τοῦτό φασι προδικασίαν.

πρόδικον δικαστὴν ἐπὶ φίλων καὶ διαιτητήν· Ἀριστοφάνης Κενταύρῳ "ἐγὼ γὰρ εἴ τί σ' ἠδίκηκ', ἐθέλω δίκην δοῦναι πρόδικον ἐν τῶν φίλων τῶν σῶν ἑνί."

Πρόδικος Κεῖος ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος, φιλόσοφος φυσικὸς καὶ σοφιστής, σύγχρονος Δημοκρίτου τοῦ Ἀβδηρίτου καὶ Γοργίου, μαθητὴς Πρωταγόρου τοῦ Ἀβδηρίτου, ἐν Ἀθήναις κώνειον πιὼν ἀπέθανεν ὡς διαφθείρων τοὺς νέους.

καὶ παροιμία "Προδίκου σοφώτερος." Ἀριστοφάνης Νεφέλαις ⟨359⟩ "οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν πλὴν ἢ Προδίκῳ, τῷ μὲν σοφίας καὶ γνώμης οὕνεκα." σοφιστὴς δὲ ὁ Πρόδικος, Κεῖος τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντάδραχμον ἐπίδειξιν ἐποιήσατο. μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πρωταγόρᾳ καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν. οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς οὕτω· "τὸν ἄνδρα τοῦτον ἢ βιβλίον διέφθορεν ἢ Πρόδικος ἢ τῶν ἀδολέσχων εἷς γέ τις." διαβάλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισι ⟨697⟩· "παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τὸ λοιπόν." διδάσκαλος δὲ ἦν οὗτος καὶ Θηραμένους τοῦ ἐπικαλουμένου κοθόρνου, ὃς τῆς τῶν λ' τυραννίδος μετέσχε· κόθορνος δὲ ἐκαλεῖτο, ἐπεὶ καὶ τοῖς λ' συνέσπευδε καὶ τῷ πλήθει. φέρεται δὲ καὶ βιβλίον Προδίκου ἐπιγραφόμενον Ὧραι, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλούσης ἑκατέρας ἐπὶ τὰ ἤθη αὐτῆς προσκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα, καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν.

πρόδομος ὁ νάρθηξ· "ἐτύγχανε δὲ ἐν τῷ προδόμῳ τοῦ ἱεροῦ."

προδόμῳ ⟨Hom. *I* 473⟩ τῇ πρὸ τοῦ οἴκου παστάδι.

προδότας. Πολύβιος ⟨17 13⟩ "δυσθεώρητόν τι ὁ τόπος ἔχει καὶ δυσπαράγραφον. τίνα γὰρ ὡς ἀληθῶς χρὴ προδότην νομίζειν, οὐ ῥᾴδιον ἀποφήνασθαι. δῆλον γὰρ ὡς οὔτε τοὺς ἐξ ἀκεραίου συμπειθομένους τῶν ἀνδρῶν πρός τινας βασιλεῖς ἢ δυνάστας κοινωνίαν πραγμάτων εὐθέως προδότας νομιστέον, οὔτε τοὺς κατὰ περιστάσεις μετατιθέντας τὰς αὑτῶν πατρίδας ἀπὸ τινῶν ὑποκειμένων πρὸς ἑτέρας φιλίας καὶ συμμαχίας, οὐδὲ τούτους, πολλοῦ γε δεῖ, ἐπεί τοί γε πολλάκις οἱ τοιοῦτοι τῶν μεγίστων ἀγαθῶν γεγόνασιν αἴτιοι ταῖς πατρίσιν. ἀλλ' ὅσοι τῶν ἀνδρῶν κατὰ τὰς δυσχερεῖς περιστάσεις ἢ τῆς ἰδίας ἀσφαλείας καὶ λυσιτελείας χάριν ἢ τῆς πρὸς τοὺς ἀντιπολιτευομένους διαφορᾶς ἐγχειρίζουσι τοῖς ἐχθροῖς τὰς πόλεις, ἢ ὅσοι φρουρὰς εἰσδεχόμενοι, καὶ συγχρώμενοι ταῖς ἔξωθεν ἐπικουρίαις πρὸς τὰς ἰδίας ὁρμὰς καὶ προθέσεις, ὑποβάλλουσι τὰς πατρίδας ὑπὸ τὴν τῶν πλεῖον δυναμένων ἐξουσίαν, τοὺς τοιούτους ὑπὸ τὸ τῆς προδοσίας ὄνομα μετρίως ἄν τις ὑποτάττοι πάντας, οἷς λυσιτελὲς μὲν ἀληθῶς ἢ καλὸν οὐδὲν οὐδέποτε συνεξηκολούθησεν, τὰ δ' ἐναντία πᾶσιν ὁμολογουμένως."

προδότης. τὸ θηλυκὸν δὲ διὰ τοῦ ι· "ὦ προδότι καὶ παράγωγε καὶ μύραινα σύ."

πρὸ δουλείας. "ὁ δὲ κατεκρήμνισεν ἑαυτόν, θάνατον πρὸ δουλείας ὑπομένων."

πρόδρομος ὁ προτρέχων.

προδωσίκομπος ὁ ὑποσχετικός, ὁ τὰς ἑαυτοῦ ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενος ἀλλὰ προδιδούς.

προεγκεῖσθαι ἐπικεῖσθαι.

πρόεγμα στήριγμα.

προεδρία διὰ τοῦ ι· "ἄλλοις περισπούδαστον ἡ προεδρία." **προσεδρεία** δὲ διὰ διφθόγγου ἀπὸ τοῦ προσεδρεύω. a

προεδρία. τιμῆς οὗτος ὁ τρόπος. ἐξῆν b δὲ τῆς τιμῆς ταύτης τυχοῦσι καὶ ἐν βουλευτηρίῳ καὶ ἐν ἐκκλησίᾳ καὶ ἐν ἄλλῳ παντὶ

συλλόγῳ τὸς προλαμβάνοντας οἵτινες ἦσαν ἐξεγείραντας αὐτὸς εἰς τὸν ἐκείνων καθίσαι τόπον. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τοῦ τὴν πρώτην αὐτὸς ἕδραν ἔχειν. Ἀριςοφάνης ⟨Eq. 572⟩ "νῦν δ' ἂν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία," ἀντὶ τὸ λάβωσιν, ἀποφέρωσι. σιτία δὲ ἀντὶ τὸ τὴν ἐν πρυτανείῳ σίτησιν.

πρόεδροι ἐκληρῶντο τῶν πρυτάνεων καθ' ἑκάςην πρυτανείαν, εἷς ἐξ ἑκάςης φυλῆς πλὴν τῆς πρυτανευόσης· οἵτινες τὰ περὶ τὴν ἐκκλησίαν διῴκον. ἐκαλῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. ὅτι δὲ ὁ καλόμενος ἐπιςάτης κληροῖ αὐτὸς, εἴρηκεν Ἀριςοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Harp.

πρόεδρος ὁ τῆς πολιτείας ἀρχηγὸς καὶ ἡγεμών.

προέηκε ⟨Hom. Δ 398⟩ προέπεμψε.

προειδόμενοι προγνῶσαι.

προειλόμεθα προήκαμεν.

προείλοντο ἠθέλησαν.

προείμεθα προδίδομεν.

πρόεισι προπέμπει.

προεκαλινδῦντο τὸ Καίσαρος καὶ ἱκέτευον."

προέμβολα τὰ πρὸς τῇ πρῴρᾳ τῆς νηός· ⟨Agath. 5 21⟩ "ὥσπερ ἀκροςόλια καὶ προέμβολα ἐκμιμησάμενοι."

προέμεν ⟨Hom. κ 155⟩ πέμπειν.

προέμενος ἐκδιδὸς, προδὸς, περιφρονήσας, προαφείς. "ὁ δὲ τῶν φίλων ἐχρῆτο τοῖς βελεύμασι, τὰ οἰκεῖα προέμενος· περὶ γὰρ ὐδεμίαν τῶν πολλῶν ἀρετῶν ὅτως ἐσπόδακεν ὡς περὶ τὴν μητέρα αὐτῶν, κατὰ τὸν Πυθαγόραν εἰπεῖν, αὐτὴν τὴν φιλίαν." cf. v. φιλία.

προεμπίπτειν· "τὸν βασιλέα πάντων θεραπευόντων αὐτὸς ἡσύχαζε, μὴ βυλόμενος προεμπίπτειν εἰς γνῶσιν" ⟨Diog. L. 4 39⟩.

προέντες προδόντες.

προεξειρεσία τοῦ πλοίου τόπος ἐν ᾧ ἐρέττουσι· ⟨Agath. 5 21⟩ "κωπητῆρας δὲ ἐφ' ἑκατέραις πλευραῖς καὶ οἷον προεξειρεσίας ἐμηχανήσαντο."

πρὸ ἔργου ἐτίθετο προτιμότερον ἐτίθει· "καὶ ἅμα φίλια τὰ κατὰ νώτε ἑαυτῷ τε καὶ τῇ ςρατιᾷ καταλείπειν πρὸ ἔργε ἐτίθετο." καὶ αὖθις "τὴν Σποράκε χώραν κατασχεῖν τοῖς ὅπλοις πρὸ ἔργε εἶναι ἔλεγε." cf. v. ςόλος.

προερρέθη προελαλήθη.

πρόες ⟨Hom. Α 127⟩ πρόπεμψον.

προέσθαι προδῦναι· "λαβὼν δὲ τὸ ξίφος Πόρκιος Μάρκος καὶ καταληφθεὶς ὑπὸ τῶν πολεμίων ἐφονεύετο, κρίνων τὴν ψυχὴν προέσθαι μᾶλλον ἢ τὴν μάχαιραν, καὶ πολλὰ λαβὼν τραύματα παραδόξως ἐσώθη."

προέσθαι προτιμήσασθαι, αἰτιατικῇ· "ὅτε γὰρ πρὸς ἐμὲ ὅτε πρὸς ἄλλου ἀνδρὸς ἀγαθοῦ οὐδενός ἐςι προέσθαι τι τῶν κοινῇ συμφερόντων" ⟨Dio Cass. fr. 19⟩.

προεςέρνισα περιεπτυξάμην. καὶ προςερνισάμενος.

προετικός χαριςικός.

προέτω προπεμψάτω.

προεφήτευσεν.

προεχειρίσατο αἰτιατικῇ.

προέχω γενικῇ.

προεχώμεθα ⟨Rom. 3 9⟩ ὑποβαλλώμεθα ἢ προβαλλώμεθα.

προηγγελκέναι προμεμηνυκέναι.

προηγόρει προηγόρευε, προέλεγε· Ξενοφῶν ⟨Anab. 5 5 7⟩ "ἧκον πρέσβεις ἐκ Σινώπης διὰ τὸς Κοτυωρίτας εἰς τὸς Ἕλληνας. προηγόρει δὲ Ἑκατώνυμος, δεινὸς νομιζόμενος εἶναι λέγειν."

προηγορεών ὁ λεγόμενος γαργαρεών, ὁ λαιμός. προηγορεὼν δὲ κυρίως ὁ ἐχῖνος τῶν ὀρνίθων, ὅπε προαγείρεται ἡ τροφή. cf. sch. A Eq. 373.

προηγορεῶνας τὸς βρόγχους τῶν ὀρνέων. κυρίως τὸς λεγομένες προλόβους, ὅτι συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δὲ καὶ ἐπὶ ἀνθρώπων προηγορεὼν πάλιν ὁ βρόγχος. ἑκάτερον δὲ ἀπὸ τὸ ἀθροίζειν ἐκεῖ τὴν τροφήν. ἢ φάρυγγας ὀρνέων. sch. A Av. 1113.

προήκατο προέδωκε.

προήκεσιν ἀντὶ τὸ αὐξηθεῖσι, προελθῦσιν· Αἰλιανός ⟨cf. v. τιμησαίμην⟩ "καὶ πᾶσι τυράννοις καὶ τοῖς ἐπὶ μέγα πλύτε προήκεσιν" ἀντὶ τὸ πλουσίοις ὖσι. καὶ προήκων προελθών.

προηρόσια ὄνομα θυσίας.

προηροσίαι αἱ πρὸ τοῦ ἀρότε γινόμεναι θυσίαι περὶ τῶν μελλόντων ἔσεσθαι καρπῶν, ὥςε τελεσφορεῖσθαι· ἐγένετο δὲ ὑπὸ Ἀθηναίων ὑπὲρ πάντων Ἑλλήνων ε' ὀλυμπιάδι. Λυκῦργός φησιν ἐν τῷ κατὰ Μενεσαίχμου "καὶ γὰρ νῦν πολλὰς καὶ μεγάλας ὑμῖν τιμὰς ὀφείλω, καὶ ζηλῶ παρὰ πᾶσιν Ἕλλησι μαντευομένοις τὸν Δία προηροσίαν ποιήσασθαι."

πρόησθε προπέμψητε.

προήσομαι προπέμψω, προδώσω.

πρόηται· "λαβὼν εἰς τὰς χεῖρας πρόηται αὐτόν," τουτέστιν ἀφήσει, καταλείψει.

προήχθην προετράπην, ὡς καὶ ἐξήχθην ἐξετράπην.

προθανόντα. ἡ πρό ἀντὶ τῆς ὑπέρ. ⟨AP 7 226⟩ "Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα."

προθεῖναι προεργάσασθαι· "διὰ τὸ προθεῖναι καὶ ἄλλους τὴν ἑρμηνείαν τῶν ψαλμῶν."

a προθέλυμνα συνεχῆ, ἄλλα ἐπ' ἄλλοις. παρὰ τὸ τέλος τέλυμνος καὶ θέλυμνος, ὁ πρόρριζος.

b προθέλυμνα τὰ ἐπαλλήλους κλάδους ἔχοντα δένδρα, ἀπὸ τοῦ θηλυμανεῖν. sch. Hom. N 130.

προθελύμνους ⟨Hom. K 15⟩ ἄλλας ἐπ' ἄλλαις.

προθέματα προγραφάς· "καὶ ἔθηκεν ὁ Οὐαλεντινιανὸς ὁ βασιλεὺς προθέματα, ἵνα, εἴ τίς τι ἠδίκηται παρὰ Σαλουστίου τοῦ ἐπάρχου, προσέλθῃ τῷ βασιλεῖ. οὗτος ὁ βασιλεὺς καὶ τὸν πραιπόσιτον ἔκαυσε Χρυσάφιον." cf. v. Σαλούστιος d.

a πρόθεσις προαίρεσις· "ἀλλ' οὐδὲ ἐλύπησέ τινα κατὰ πρόθεσιν, οὔτε προσποιηθείς, οὔτε πολυπραγμονήσας ἁπλῶς οὐδὲν περὶ τῶν προγεγονότων."

b πρόθεσις βουλή, γνώμη· Πολύβιος "ἦν δὲ τοῖς Ῥωμαίοις πρόθεσις ναυμαχῆσαι."

προθεσμία ἀπὸ τοῦ προθεῖναι τὴν ἡμέραν ἐν ᾗ τόδε γενέσθαι δεῖ, οὐκ ἀπὸ τοῦ προθεσπίζειν, ἐὰν ἡμεῖς προτιθῶμεν προθεσμίαν τινά· εἰ δὲ ὁ θεὸς ὁ προτιθείς, ἀπὸ τοῦ προθεσπίζειν εἴρηται τὸ ὄνομα, προθεσπίζοντος τοῦ θεοῦ καὶ προτάττοντος καὶ προνομοθετοῦντος περὶ τῆς ἡμέρας ἐν ᾗ τυχὸν τόνδε δεῖ τῆς ζωῆς ταύτης ὑπεξελθεῖν ἢ τόνδε καταλυθῆναι τὸν σύμπαντα κόσμον. καὶ θεσπίζειν μὲν ἐπὶ θεοῦ κυρίως, καταχρηστικῶς δὲ καὶ ἐπὶ βασιλέως.

προθεσμίας νόμος. Δημοσθένης ὑπὲρ Φορμίωνος ⟨26⟩ τὴν τῶν ε' ἐτῶν ἂν λέγοι προθεσμίαν. Harp.

Προθοήνωρ ⟨Hom. B 495⟩ ὄνομα κύριον. καὶ συστέλλει.

προθύματα αἱ ὀλῦραι, παρὰ τὸ προθύεσθαι τῶν ἱερείων, ἢ αἱ κριθαί, ἢ ὁ λιβανωτός. sch. A Plut. 660.

πρόθυμος ἐπιθυμῶν, ὀρεγόμενος· ⟨S El. 3⟩ "παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί."

προθυμοῦμαι αἰτιατικῇ.

προθύομαι γενικῇ.

προϊαίτατος πάνυ πρότερος.

προΐαψε ⟨Hom. A 3⟩ προέπεμψε.

προΐει ⟨Hom. A 326⟩ ἀντὶ τοῦ προέπεμπε.

προϊέμενος προδιδούς, καὶ προΐενται ἀντὶ τοῦ ἀπορριπτοῦσι, μεταδιδοῦσιν· "ὅσα ὁ στρατιώτης ὅμιλος ἐν ταῖς πορείαις προΐενται."

προϊέναι ῥῖψαι, ἀπολέσαι· ⟨A Nub. 1215⟩ "εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι." οὐδὲ γὰρ χαρίσασθαι ἔφη ἢ δανεῖσαι, ἀλλὰ προϊέναι, ἀσχάλλων ὁ δανειστὴς ἐπὶ τῷ μὴ κεκομίσθαι ἅπερ ἐδάνεισε χρήματα. φησὶν οὖν ὅτι οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα.

προΐεσθαι προδιδόναι· "ὁ δὲ βασιλεὺς οὔτε προΐεσθαι ἠξίου τὰ παρὰ τῶν πόλεων δῶρα."

προΐζω τὸ καταγινώσκω.

προῖκα δωρεάν, ἄνευ μισθοῦ. καὶ τοπικὸν ἐπίρρημα. "τὰ δὲ καὶ προῖκα πολλαχῇ τοῖς ἑαυτοῦ τέλεσι πεπορισμένα" ⟨cf. v. περιών⟩ ἀντὶ τοῦ ἄνευ κόπου.

Προικίας ὄνομα κύριον.

προίκιος ἄνευ μισθοῦ· "προίκιος ἀνθρώποισι κελευθήτῃσιν ἀοιδός" ὁ τέττιξ φησὶν ἐν ἐπιγράμματι ⟨AP 6 120⟩.

Προικόννησος.

προικὸς δόσεως, ἀντὶ τοῦ δωρεᾶς· πᾶν γὰρ δῶρον οὕτως καλεῖ ὁ ποιητής. ἡ εὐθεῖα προΐξ. sch. Hom. ν 15, ρ 413.

προΐκτης ⟨Hom. ρ 352⟩ ὁ πένης, μεταί- a
της, οἰκτρὸς οἱ αὐτοί εἰσι.

προΐκτης ὁ ἐπαίτης· "προΐκτας καὶ γό- b
ητας καὶ βωμολόχους ἀποκαλοῦσι" ⟨Artemid. praef.⟩.

προΐσαμαι γενικῇ.

προΐστορες οἱ μάρτυρες.

προΐσχεται προβάλλεται.

προϊσχομένου προτείνοντος.

πρόκα εὐθύς, παραχρῆμα· Ἡρόδοτος ⟨6 134⟩ "καὶ πρόκα τε φρίκης αὐτὸν ἐπελθούσης ὀπίσω τὴν αὐτὴν ὁδὸν ἵεσθαι."

προκαθέζομαι γενικῇ.

προκαθείς προπέμψας· "προκαθεὶς δέ τινας τῶν στρατιωτῶν ἐς ἐλπίδας τῶν σπονδῶν ὑπηγάγετο."

προκάθημαι γενικῇ.

προκαθήμενον ἐξάρχοντα· "Μενεκλέα τὸν προκαθήμενον τῶν τόπων," τȣτέςι τὸν φυλάττοντα τȣ̀ς τόπȣς.

προκαλεῖσθαι οὐ τὸ εἰς ἀγῶνα καὶ μάχην, ἀλλὰ τὸ εἰς συμβάσεις καὶ συνθήκας Θȣκυδίδης (4 19). οἱ δὲ δικανικοὶ ἐπὶ πάσης προκλήσεως. "Ἀρχέλαος παρεκάλει τὸν Σύλλαν διαλλαγῆναι πρὸς τὸν Μιθριδάτην. δεξαμένου δὲ τούτου τὴν πρόκλησιν ἐγένοντο συνθῆκαι" (Dio Cass. fr. 105).

προκαλίζετο (Hom. Γ 19) προεκαλεῖτο.

προκάρηνος ἐπὶ κεφαλήν· ἐν μύθοις "ἠχήεις ἐτάνυσσε βαλὼν προκάρηνον ἀήτης."

προκαταβολὴ καὶ προσκατάβλημα. τῶν τελῶν πιπρασκομένων δύο προθέσεις ἐδίδοντο τοῖς ὠνημένοις, ἐν αἷς ἐχρῆν εἰσενεχθῆναι τὸ ἀργύριον. ὅπερ οὖν μέρος χρημάτων, πρὶν ἄρξασθαι τοῦ ἔργȣ, εἰσφέρουσιν εἰς τὸ δημόσιον, τοῦτο προκαταβολὴ καλεῖται, τὸ δὲ τῇ δευτέρᾳ προθεσμίᾳ διδόμενον προσκατάβλημα.

προκατεύχομαί σου.

προκείμενον τὸ ἐνεςηκός· "ὁ δὲ τοιούτοις χρώμενος λογισμοῖς μένειν ἠξίȣ τὸν Τιβέριον ἐπὶ τῶν προκειμένων." καὶ αὖθις "ἐμοὶ δὲ τὸ προκείμενον ἤνυςο."

πρόκενσον.

προκέφαλος. προκέφαλος ἦν ὁ Φιλοκλῆς ὡς ἔποψ, ἦν δὲ κωμῳδίας ποιητής. εἴρηται ἐπὶ τῶν ὀξυκεφάλων. sch. A Av. 282.

προκεχωρηκότος προεληλυθότος Θȣκυδίδης.

προκληδί.

πρόκλησις. εἰώθεσαν, ὁπότε δικάζοιντό τινες, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας ἢ θεράποντας εἰς βάσανον ἢ εἰς μαρτυρίαν τȣ̃ πράγματος· καὶ τȣ̃το ἐκαλεῖτο προκαλεῖσθαι. τὸ δὲ γραμματεῖον τὸ περὶ τούτου γραφόμενον ὠνομάζετο πρόκλησις. Harp.

a Πρόκλος τȣ̃ βασιλέως Ἰȣςίνȣ κοιαίςωρ, ἀνὴρ δίκαιος καὶ χρημάτων διαφανῶς ἀδωρότατος· διὸ δὴ οὔτε νόμον τινὰ εὐπετῶς ἔγραψεν ȣ̃τε τι τῶν καθεςώτων κινεῖν ἤθελε. Procop. Pers. 1 11.

b Πρόκλος ὁ Λύκιος, μαθητὴς Συριανȣ̃, ἀκȣςὴς δὲ καὶ Πλȣτάρχȣ τȣ̃ Νεςορίου τοῦ φιλοσόφου, καὶ αὐτὸς φιλόσοφος Πλατωνικός. ȣ̃τος προέςη τῆς ἐν Ἀθήναις φιλοσόφȣ σχολῆς, καὶ αὐτȣ̃ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης. ἔγραψε πάνυ πολλά, φιλόσοφά τε καὶ γραμματικά, ὑπόμνημα εἰς ὅλον τὸν Ὅμηρον, ὑπόμνημα εἰς τὰ Ἡσιόδȣ ἔργα καὶ ἡμέρας, περὶ χρησομαθείας βιβλία γ', περὶ ἀγωγῆς β', εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δ', εἰς τὴν Ὀρφέως θεολογίαν, συμφωνίαν Ὀρφέως Πυθαγόρου καὶ Πλάτωνος, περὶ τὰ λόγια βιβλία ι', περὶ τῶν παρ' Ὁμήρῳ θεῶν, ἐπιχειρήματα κατὰ χριςιανῶν ιη'. ȣ̃τός ἐςι Πρόκλος ὁ δεύτερος μετὰ Πορφύριον κατὰ χριςιανῶν τὴν μιαρὰν καὶ ἐφύβριςον αὐτȣ̃ γλῶσσαν κινήσας· πρὸς ὃν ἔγραψεν Ἰωάννης ὁ ἐπικληθεὶς Φιλόπονος, πάνυ θαυμασίως ὑπαντήσας κατὰ τῶν ιη' ἐπιχειρημάτων αὐτȣ̃, καὶ δείξας αὐτὸν κἀν τοῖς Ἑλληνικοῖς, ἐφ' οἷς μέγα ἐφρόνει, ἀμαθῆ καὶ ἀνόητον.

ἔγραψε Πρόκλος μητρῳακὴν βίβλον, ἣν εἴ τις μετὰ χεῖρας λάβοι, ὄψεται ὡς οὐκ ἄνευ θείας κατακωχῆς τὴν θεολογίαν τὴν περὶ τὴν θεὸν ἐξέφηνεν ἅπασαν, ὥςε μηκέτι θράττεσθαι τὴν ἀκοὴν ἐκ τῶν ἀπεμφαινόντων θρήνων. Marin. 33.

Πρόκλος Μαλλώτης ἐκ Κιλικίας, φιλό- c
σοφος ςωικός, ἔγραψεν ὑπόμνημα τῶν Διογένης σοφισμάτων, καὶ πρὸς Ἐπίκȣρον.

Πρόκλος δεύτερος Μαλλώτης, φιλόσο- d
φος καὶ αὐτὸς ςωικός.

Πρόκλος ὁ Προκλήιος χρηματίσας, Θε- e
μισίωνος, Λαοδικείας τῆς Συρίας ἱεροφάντης, ἔγραψε θεολογίαν, εἰς τὸν παρ' Ἡσιόδῳ τῆς Πανδώρας μῦθον, εἰς τὰ χρυσᾶ ἔπη, εἰς τὴν Νικομάχȣ εἰσαγωγὴν τὴν ἀριθμητικήν, καὶ ἄλλα τινὰ γεωμετρικά.

Πρόκνη ὄνομα κύριον.

πρόκοιτος ὁ προφύλαξ, καὶ προκοιτία ἡ προφυλακή. ἢ πρόκοιτος ὁ ἔμπροσθεν κοιμώμενός τινος.

προκόλπιον πρὸ τȣ̃ κόλπου. λαμβάνεται δὲ καὶ ἐπὶ δωροδόκων.

προκόμιον κόμην.

προκομισσάριος ὁ ἐκ συναινέσεως δύο μερῶν μεταξὺ ληφθεὶς διαιτητής.

Προκόννησος ὄνομα νήσȣ.

Προκόπιος Ἰλλούςριος, Καισαρεὺς ἐκ Παλαιςίνης, ῥήτωρ καὶ σοφιςής, ἔγραψεν ἱςορίαν Ῥωμαϊκὴν ἤγȣν τȣ̀ς πολέμȣς Βελισαρίου πατρικίου, τὰ κατὰ Ῥώμην καὶ Λιβύην πραχθέντα. γέγονεν ἐπὶ τῶν χρόνων Ἰȣςινιανȣ̃ τȣ̃ βασιλέως, ὑπογραφεὺς χρημα-

τίσας Βελισαρίȣ καὶ ἀκόλȣθος κατὰ πάντας τὰς συμβάντας πολέμȣς τε καὶ πράξεις τὰς ἐπ' αὐτῷ συγγραφείσας. ἔγραψε καὶ ἕτερον βιβλίον, τὰ καλȣ́μενα Ἀνέκδοτα, τῶν αὐτῶν πράξεων, ὡς εἶναι ἀμφότερα βιβλία Θ'.

ὅτι τὸ βιβλίον Προκοπίȣ τὸ καλούμενον Ἀνέκδοτα ψόγȣς καὶ κωμῳδίαν Ἰȣςινιανοῦ βασιλέως περιέχει καὶ τῆς αὐτοῦ γυναικὸς Θεοδώρας, ἀλλὰ μὴν καὶ αὐτȣ̃ Βελισαρίου καὶ τῆς γαμετῆς αὐτȣ̃.

b **Προκόπιος.** ὅτι ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου, ἐν τῇ Χελώνῃ, ἵςαται εὐνȣ́χȣ τινὸς ςήλη, ἧς ἐν τῷ ςήθει ἔγραψεν "ὁ μετατιθεὶς θεμάτια τῷ βρόχῳ παραδοθήτω." ἦν δὲ ἡ ςήλη Πλάτωνος κȣβικȣλαρίȣ, ὃς ἐν ταῖς ἡμέραις τȣ̃ Βασιλίσκȣ περίκαυσος γέγονε. τῶν δὲ γονέων αὐτȣ̃ αἰτησάντων τὸν βασιλέα εἰς μνημόσυνον τοῖς ἀνταίρȣσι τῷ βασιλεῖ ςηλωθῆναι τὸν εὐνȣ̃χον Πλάτωνα, οὐκ ἐκώλυσεν. ἐν δὲ τῷ ἀνακαινίζεσθαι τὸν τȣ̃ μεγαλομάρτυρος νεὼν μετετέθη εἰς τὸ ἱπποδρόμιον. οἱ δὲ οἶκοι τοῦ εὐνούχου σῴζονται ἐν τῇ Χελώνῃ. Codin. orig. CP p. 18.

προκόπτοντα διερχόμενον· "ὀχήματι κεχρημένον καὶ διὰ τῆς λεωφόρȣ προκόπτοντα καταλαμβάνειν τὸ Ἕβδομον."

Πρόκριδος ἄκοντα, ἐπὶ τῶν πάντων τυγχανόντων· τοιȣ̃τον γὰρ ἔχȣσα ἡ Πρόκρις πάντα ἐθήρα. cf. v. Θρύψις.

πρόκριμα ἡ προτίμησις· "ὁ δὲ Μακεδόνιος ȣ̓δὲ τῶν ἑτέρων μνήμην ἐποίησε, λογισάμενος μηδαμῶς πρόκριμα γίνεσθαι τῇ ἐν Χαλκηδόνι συνόδῳ, ὡς καὶ τῆς ἐν Ἐφέσῳ σὺν αὐτῇ παρασιωπηθείσης."

πρόκριμα· "ὡς μὴ πρόκριμα εἴη κατ' αὐτοῦ, καὶ αἰσχύνην ἐκώλυσαν γενέσθαι."

πρόκριναι.

Πρόκρις ὄνομα κύριον θηλυκοῦ γένȣς.

πρόκριτον ἐκλεκτόν, ἢ πονηρόν.

πρόκροσσαι ἄλλη ἐπ' ἄλλῃ· Ἡρόδοτος ⟨7 188⟩ "αἱ δὲ νῆες πρόκροσσαι ὡρμαίνοντο ἐς πόντον, ἐπὶ ή νέας."

προκυλινδεῖσθαι τὸ ἐπὶ γόνυ πεσόντα προσκυνεῖν τῷ βασιλεῖ· ἴδιον γὰρ τοῦ βασιλέως τὸ γονυπετεῖσθαι ἐξ ἀνθρώπων. καὶ προκυλινδεῖσθαι ἰκτίνοις. ἔαρος ἴκτινοι φαίνονται· ἐφ' ᾧ ἡδόμενοι ἐκυλινδοῦντο ὡς ἐπὶ γόνυ πίπτοντες. sch. A Av. 501.

προκώνια Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμȣ. Δίδυμος δὲ "προκώνια" φησί "πυροὶ μέλιτι κεχρισμένοι." Ἀριςοφάνης δὲ ὁ γραμματικὸς καὶ Κράτης τὰ ἐξ ἀφρύκτων κριθῶν οὕτως φασὶν ὀνομάζεσθαι. ἔοικε δὲ καὶ ἐκ πυρῶν καὶ ἐκ κριθῶν γίνεσθαι. Δήμων δέ φησιν ἐν τῷ περὶ θυσιῶν "καὶ προκώνιά ἐςι κάχρυς κατηρειγμέναι μετὰ ἀρωμάτων." Harp.

πρόκωπον· "ὁ δὲ ὀργισθεὶς κατὰ τοῦ βασιλέως, πρόκωπον ἔχων τὸ ξίφος," ἀντὶ τοῦ γυμνόν. καὶ αὖθις "ἀλλὰ γεννικὸν ὁρῶν εἶχε πρόκωπον τὸ ξίφος."

πρόλαλος ὁ προαλὴς ἐν τῷ λέγειν· "καὶ τοῦτον κατεσίγασαν τὴν ἄλλως πρόλαλόν τε καὶ ἰταμὸν ὄντα." cf. v. Γοργόνη.

πρόληψις γνῶσις· "ἀχανεῖς ἔμειναν τῷ πρόληψιν ἐσχηκέναι τȣ̃ μέλλοντος λέγεσθαι."

διαφορά ἐςιν ἀληθείας καὶ συνηθείας· ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητȣμένη πάντως εὑρίσκεται, τὸ δὲ ἔθος, ὁποῖον ἂν παραληφθείη, εἴτε ἀληθὲς εἴτε ψευδές, ἀκρίτως ὑφ' ἑαυτȣ̃ κρατύνεται, καὶ ὅτε ἀληθεῖ ὄντι αὐτῷ ἥδεται ὁ παραλαβὼν οὔτε ψευδεῖ ἄχθεται. οὐ γὰρ κρίσει ἀλλὰ προλήψει ὁ τοιȣ̃τος πεπίςευκε, γνώμῃ τῶν πρὸ αὐτοῦ ἐπ' ἀδήλῳ τύχῃ τὴν ἰδίαν ἐπιδεδωκὼς ἐλπίδα. καὶ οὐκ ἔςι ῥᾳδίως ἀποδύσασθαι τὴν πάτριον περιβολήν, κἂν πάνυ αὐτῷ δείκνυται λυπρὰ καὶ καταγέλαςος οὖσα. ὁ δὲ Χρύσιππος ἐν τῷ ιβ' τῶν φυσικῶν λόγων δύο φησὶν εἶναι κριτήρια, αἴσθησιν καὶ πρόληψιν· ἔςι δὲ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου ⟨Diog. L. 7 54⟩. Ἐπίκουρος δὲ ὁ φιλόσοφος πρόληψιν λέγει οἱονεὶ κατάληψιν, ἢ δόξαν ὀρθὴν ἢ ἔννοιαν ἢ καθολικὴν νόησιν ἐναποκειμένην, τȣτέςι μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος. οἷον τὸ τοιοῦτόν ἐςιν ἄνθρωπος· ἅμα γὰρ τῷ ῥηθῆναι ἄνθρωπος εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται, προηγουμένων τῶν αἰσθήσεων. παντὶ οὖν ὀνόματι τὸ πρώτως ὑποτεταγμένον ἐναργές ἐςι· καὶ οὐκ ἂν ἐζητήσαμεν τὸ ζητȣ́μενον, εἰ μὴ πρότερον ἐγνώκειμεν αὐτό. οἷον, τὸ πόρρω ἑςὸς βοῦς ἐςιν ἢ ἵππος; δεῖ γὰρ κατὰ πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. ȣ̓δ' ἂν ὠνομάσαμέν τι μὴ πρότερον αὐτȣ̃ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. ἐναργεῖς οὖν εἰσὶν αἱ προλήψεις, καὶ τὸ δοξαςὸν ἀπὸ προτέρου τινὸς ἐναργοῦς ἤρτηται, ἐφ' ὃ ἀναφέροντες λέγομεν, οἷον πόθεν ἴσμεν εἰ τοῦτό

ἐςιν ἄνθρωπος. τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσι. id. 10 33.

πρὸ λιμοῦ καὶ δίψης τὸν ἐν τῷ πολέμῳ θάνατον ἡροῦντο οἱ Ἰουδαῖοι." Ioseph. B. I. 3 7 14.

πρόλοβος. ἐπὶ τῶν πτητικῶν ὀρνέων λέγεται πρόλοβος ὁ μετὰ τὸν ςόμαχον κόλπος νευρώδης, ὅμοιος σκύτει, εἰς ὃν ἡ τροφὴ ἀκατέργαςος μένει· ὃ καὶ τοῖς ἀλεκτρυόσι πᾶσιν ἔνεςιν· ὃ καὶ ὑπ' ἐνίων καλεῖται φῦσα.

προλογίζω πρότερος λέγω. προλοχίζω δὲ τὸ ἐνεδρεύω.

προμάχιζε ⟨Hom. Γ 16⟩ πρωταγωνιςὴς ἦν.

προμαχῶνος τȣ̃ τείχȣς, τῆς ἐπάλξεως.

Προμέρου κύνες. τοῦτόν φασι βασιλικὸν δοῦλον ὄντα μισῆσαι Εὐριπίδην καθ' ὑπερβολήν, ὥςε καὶ κύνας ἀγρίȣς ἐπαφεῖναι αὐτῷ, οἵτινες αὐτὸν κατεθοινήσαντο. cf. v. Εὐριπίδης.

προμετρητής. ὁ τοὺς πιπρασκομένους πυροὺς ἐν τῇ ἀγορᾷ καὶ τῶν ἄλλων σπερμάτων ἕκαςον διαμετρῶν, καὶ ὁ τούτου τοῦ ἔργου μισθὸν λαμβάνων, προμετρητὴς ἐκαλεῖτο. Δείναρχος "ὁ Σκύθȣ τοῦ προμετρητȣ̃ υἱὸς ἐν δημόταις γέγονε, καὶ ὁ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκε, καὶ ὑμεῖς ἐκλαβόμενοι παρ' αὐτοῦ τοὺς πυρȣ̀ς διατελεῖτε." Harp.

προμετωπίδιον τὸ ἔμπροσθεν.

προμήθεια πρόνοια.

προμηθεῖσθαι προβȣλεύεσθαι, προνοεῖσθαι.

Προμηθεύς. ὅτι ἐπὶ τῶν κριτῶν τῶν Ἰουδαίων παρ' Ἕλλησιν ἐγνωρίζετο ὁ Προμηθεύς, ὃς εὗρε πρῶτος τὴν γραμματικὴν φιλοσοφίαν· περὶ οὗ λέγȣσιν ὅτι ἀνθρώπȣς ἔπλασε, καθό τινας ἰδιώτας ὄντας ἐποίησεν ἐπιγινώσκειν σοφίαν. καὶ Ἐπιμηθεύς, ὃς ἐξεῦρε τὴν μȣσικήν, καὶ Ἄτλας, ὃς τὴν ἀςρονομίαν ἡρμήνευσε, διὸ λέγȣσιν ὅτι τὸν οὐρανὸν βαςάζει. καὶ ὁ πολυόμματος Ἄργος, διὸ περίβλεπτος ἦν, καθότι τὴν τεχνικὴν ἐπιςήμην αὐτὸς ἐπενόησε πρῶτος. ἦν δὲ τότε καὶ μάντις Σίβυλλα, βασιλεύοντος παρ' Αἰγυπτίοις Φαραὼ τοῦ καὶ Παραχώ· παρ' Ἕλλησι δὲ ἐν Ἀθήναις ἐβασίλευσε Κέκροψ, ὃς ἐκλήθη διφυὴς διὰ τὸ τοῦ σώματος μέγεθος, ἢ ὅτι νόμον ἐξέθετο ὥςε τὰς γυναῖκας παρθένȣς ἔτι οὔσας ἑνὶ ἐκδίδοσθαι ἀνδρί, καλέσας αὐτὰς νύμφας. πρότερον γὰρ αἱ τῆς χώρας ἐκείνης γυναῖκες θηριώδη μῖξιν ἐμίγνυντο· οὐδενὸς γὰρ ἦν γυνή, ἀλλὰ ἐδίδȣ ἑαυτὴν εἰς πορνείαν ἑκάςῳ· οὐδεὶς ἂν ᾔδει τίνος ἦν υἱὸς ἢ θυγάτηρ, ἀλλ' ὡς ἂν ἔδοξε τῇ μητρί ἔλεγε, καὶ ἐδίδου τὸ τεχθὲν ᾧ ἐβούλετο ἀνδρί. τοῦτο δὲ ἐποίησεν ὁ Κέκροψ ὡς ἐξ Αἰγύπτȣ καταγόμενος καὶ τὴν νομοθεσίαν Ἡφαίςȣ τοῦ βασιλεύσαντος ἐκεῖ οὐκ ἀγνοήσας· ἔλεγε γὰρ ὅτι διὰ τὴν τοιαύτην τῆς ἀσελγείας συνήθειαν κατεκλύσθη ἡ Ἀττική. ἀπὸ τότε οὖν ἐσωφρονίσθησαν οἱ κατοικοῦντες τὴν τῶν Ἑλλήνων χώραν. ἐβασίλευσε δὲ Κέκροψ ἔτη ν'. ἐλέγετο δὲ διφυὴς καὶ διὰ τὸ ἀπὸ Αἰγύπτȣ γενέσθαι καὶ εἰς Ἑλλάδα ἐλθεῖν καὶ βασιλεῦσαι. Cedren. p. 81.

προμηθεύσασθαι προνοήσασθαι.

προμνηςῖνοι ⟨Hom. λ 232⟩ κατὰ τάξιν, ἐφεξῆς.

προμνήςρια ἡ προνοήσασα γάμον, ἣν νῦν προξενήτριαν φασί.

προμνῶμαι προξενῶ, προμνηςεύομαι.

προμοίροις πρὸ τῆς μοίρας, ἀώροις· "προμοίροις δὲ θανάτοις ἐφθείρετο ἡ νεολαία." cf. v. νεολαία.

πρόμολε ⟨Hom. Σ 392⟩ πρόελθε.

προμολῆσιν ἀκρωρείαις, ἐξοχαῖς· ⟨AP 7 9⟩ "Ὀρφέα Θρηικίῃσι παρὰ προμολῇσιν Ὀλύμπȣ τύμβος ἔχει."

πρόμος ⟨Hom. Η 75⟩ πρόμαχος.

προμυλαία θεὸς προμύλιος, ἣν ἐφιδρύοντο ἐν τοῖς μυλῶσιν, ὡς εὔνοςον.

προμώτης προκόπτων παρὰ Ῥωμαίοις.

πρόνοια πρόγνωσις· Σοφοκλῆς ⟨El. 1015⟩ "πείθȣ. προνοίας δ' οὐδὲν ἔςι βροτοῖς κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νȣ̃ σοφȣ̃."

πρόνοια. ὠνομάζετό τις παρὰ Δελφοῖς Ἀθηνᾶ πρόνοια διὰ τὸ πρὸ τοῦ ναοῦ ἱδρῦσθαι. ταύτην δὲ Ἡρόδοτος ἐν τῇ η' Προνηίην ὀνομάζει.

πρόνοια Ἀθηνᾶ. οἱ μὲν διὰ τὸ πρὸ τοῦ ναοῦ τοῦ ἐν Δελφοῖς ἑςάναι αὐτήν, οἱ δὲ ὅτι πρȣνόησεν ὅπως τέκῃ ἡ Λητώ.

προνομαία ἡ τȣ̃ ἐλέφαντος προβοσκίς.

προνομεύω τὸ ληίζω καὶ αἰχμαλωτίζω.

καὶ προνομεία ἡ σκύλευσις. προνομία δὲ τιμῆς πλείονος.

προνομή διαρπαγή.

προνόμιον. καὶ προνομίων προλημμάτων. "προπετῶς σαυτῷ τὰ προνόμια τῶν ἀλλοτρίων ἐπαρχιῶν διεκδικῶν."

Πρόνομος ὄνομα κύριον, αὐλητής, ὃς μέγαν πώγωνα εἶχεν. ἔνθεν καὶ τὸ (A Eccl. 102) "Ἀγύρριος Προνόμου πώγων' ἔχων ἐλάνθανε."

προνόμων θεσμῶν, δικαιωμάτων· "τί δέ μοι φύσεως μέλει καὶ προνόμων;"

προνούστερος προμηθέστερος, προνοητικώτερος· Σοφοκλῆς (Ai. 119) "ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση. τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;" τουτέστι τοῦ Αἴαντος.

προνώπιον προεκκείμενον.

πρόξ ἐλάφου γέννημα.

προξένει λέγε· (S OC 465) "ὦ φίλταθ', ὡς νῦν πᾶν τελοῦντι προξένει." ἢ ὅτι, ὡς φής, προξένει μοι καὶ πάρεχε τὰ χρήσιμα.

προξενία ἡ τῶν ξένων ὑποδοχή· "καὶ αὐτῷ προξενίαν ἔδοσαν οἱ Λακεδαιμόνιοι" (Diog. L. 2 51).

πρόξενος ὁ νέηλυς πόλεως ξένος· "ὃ δὲ Εὐθυκράτη ἀτιμωθέντα παρὰ Ἀθηναίοις ἐψηφίσατο ἐπίτιμον εἶναι καὶ πρόξενον Ἀθηναίων."

πρόξενος ὁ προστάτης· (A Th. 607) "καὶ σὺ ξυνέξευρ' αὐτόν, ὡς ἂν τὴν χάριν αὐτήν τε κἀκείνην ἔχῃς, ὦ πρόξενε." καὶ **πρόξενοι** οἱ προστάται τῶν πόλεων καὶ φροντισταὶ καὶ ξενίαις ὑποδεχόμενοι. gl. Herodot. 6 57.

προξένους ἐκάλουν τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας. sch. A Av. 1022.

προξενῶ ἀντὶ τοῦ ἐπιτάττω, γενικῇ.

προξενῶ θ' ὑμᾶς ἀεὶ ἀντὶ τοῦ προΐσταμαι Ἀριστοφάνης (Th. 582).

προοδοποιῶ γενικῇ.

πρόοπτος προφανής, πρόδηλος· Ἡρόδοτος (9 17) "ἡμέας οὗτοι οἱ ἄνθρωποι προόπτῳ θανάτῳ μέλλουσι παραδώσειν."

προορῶ αἰτιατικῇ.

προπαιδεία τὰ πρῶτα μαθήματα.

προπαιδεύματα· "ὁ δὲ Ὠριγένης οὐκ ἐπαύετο παραδιδοὺς γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ τἄλλα προπαιδεύματα" (cf. v. Ὠριγένης Λεωνίδην).

προπαρεγγυηθέν προπαραγγελθέν· "προπαρεγγυηθὲν οἱ τοῦτο ἐκ βασιλέως."

προπάροιθεν ἔμπροσθεν.

πρόπας στόλος πᾶσα ἡ δύναμις· (S OR 169) "νοσεῖ δέ μοι πρόπας στόλος."

πρόπεμπτα. Δίδυμός φησι, μήποτε ἄλλα τινά εἰσιν ἐπιτίμια τὰ πρὸ τῆς καταβολῆς· εἰσὶ γάρ οἳ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαί φασιν. εἰ μὴ ἄρα πρόπεμπτα, ὡς Δημοσθένης (43 75), πρὸς ἡμέρας ε'· ταῖς γὰρ μεγάλαις δίκαις οὐκ ἤρκει μία ἡμέρα πρὸς τὴν κρίσιν. Harp.

προπεπωκότες ἀντὶ τοῦ προδεδωκότες· ἐκ μεταφορᾶς δὲ λέγεται (Harp.). "προπεπωκέναι δὲ παρὰ τὴν συνουσίαν πολλὰ μὲν ἀργυρώματα τὸν προειρημένον, πολλὰ δὲ χρυσώματα τῷ Προυσίᾳ."

προπέρυσι καὶ **πέρυσι**.

προπέτεια ἡ ἀχαλίνωτος γλῶσσα.

προπετής εἰς τοὔμπροσθεν νενευκώς· "προπετὴς τῷ βάρει γενόμενος πίπτει." προπετὴς δὲ καὶ ὁ πρόγλωσσος.

προπηλακίζων ἀδικῶν, ὑβρίζων, διασύρων, ἐξουθενῶν. καὶ **προπηλακισμός** ὕβρις. εἴρηται δὲ ἀπὸ τοῦ πηλὸν ἐπιχρίεσθαι τὰ πρόσωπα τῶν ἀτιμίαν καὶ ὕβριν καταψηφιζομένων, οὓς ἀρτίως ἀσβόλῳ χρίουσι.

προπίνει διὰ τοῦ οἴνου τιμᾷ καὶ προδίδωσι. καὶ Δημοσθένης δὲ (18 296) τοὺς προδόντας τὰς πατρίδας τοῖς ἐχθροῖς προπίνειν ἔφη τοῖς ἐχθροῖς. καὶ Ἀριστοφάνης (Th. 636) "φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; ἐπίνομεν. τί δὲ μετὰ τοῦτο δεύτερον; προυπίνομεν," ἀντὶ τοῦ ἀλλήλους ἐδεξιούμεθα. καὶ αὖθις "ταῖς θυγατράσι φάρμακον ὤρεξε καὶ αὐτὸς ἔπιε, δυστυχοῦς κοινωνήσας προπόσεως καὶ φιλοτησίας."

προπίνειν. οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον, ἐν φιάλαις χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοί, ἀπέπινον δὲ μικρὸν τῆς κύλικος ὡς συμβόλου ὄντος τούτου φιλίας πολλῆς, καὶ τότε παρεῖχον ᾧ ἂν ἐβούλοντο καὶ τὴν κύλικα· καὶ ἐκαλεῖτο προπίνειν, ἡ δὲ ἡμέρα φιλοτησία.

πρόπιον μάντευμα, καὶ **θεοπρόπιον** τὸ τῶν θεῶν μάντευμα.

πρόποδες μεγάλους πόδας ἔχοντες.

πρὸ ποδῶν ἔμπροσθεν τῶν ποδῶν. a

πρὸ ποδῶν τὸ παρατυχὸν οἱονδήποτε. b

προπόλεος· "τὸν προπόλεον κόσμον τοῦ ἄστεως ἀποκείραντες."

πρόπολος δούλη προπολεύουσα, ἢ θεράπων καὶ θεράπαινα, πρόσφυξ· Ἀριστοφάνης Νεφέλαις (435) "ἀλλὰ σεαυτὸν θαρρῶν παράδος τοῖς ἡμετέροις προπόλοισι." παρὰ δὲ Ἡροδότῳ (2 64) πρόπολος ὁ νεωκόρος.

προπόλῳ θεράποντι.

προπόλων θείων ἑρμηνέων· "πρόπολοί τε καὶ θεραπευταί." (Diog. L. 5 8) "μέλλων Εὐρυμέδων πότ' Ἀριςοτέλην γράψασθαι, Δηοῦς μύςιδος ὢν πρόπολος."

πρόπομα ἐκ τοῦ προπίνω.

προπομπία ἐν συνθέσει διὰ τȣ̃ ι, πομπεία δὲ ἁπλοῦν διὰ διφθόγγȣ.

Προποντίς.

προπύλαια ταῦτα Δημοσθένης (13 28) Φιλιππικοῖς. δύναται μὲν δεικτικῶς λέγεσθαι ἅτε ὁρωμένων τῶν προπυλαίων ἀπὸ τῆς Πυκνός, βέλτιον δὲ ἀναφορικῶς ἀκούειν· ἐπὶ γὰρ τῶν πάνυ γνωρίμων ἄτω λέγειν εἰώθασιν. ἐν γοῦν τῷ κατ' Αἰσχίνȣ αὐτὸς Δημοσθένης (163) φησίν "ἤρετο Σάτυρον τȣτονὶ τὸν κωμικὸν ὑποκριτήν." Ἡλιόδωρος δὲ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεώς φησιν "ἐν ἔτεσι μὲν γὰρ ε' παντελῶς ἐξεποιήθη, τάλαντα δὲ ἀνηλώθη ˏβιβ', ε' δὲ πύλας ἐποίησαν, δι' ὧν εἰς τὴν ἀκρόπολιν εἰσίασι." Harp.

πρόρριζον ἐκ ῥιζῶν. καὶ πρόρριζος ἀντὶ τοῦ παντάπασι· Σοφοκλῆς (El. 512) "Μυρτίλος πρόρριζος ἐκριφείς." πρὸ ῥιζῶν δὲ ἐξ αὐτῆς τῆς ῥίζης.

πρός· "εἰς μῆκος δὲ ὅσον πόδας ξ' καὶ πρός" ἀντὶ τοῦ πλεῖον, περισσότερον. καὶ ὁ θεολόγος "καὶ μικρόν τι πρός."

προσαγγελία· Πολύβιος (5 110) "ἧκον ὑπὸ νύκτα πρὸς τὸν Φίλιππον, φάσκοντες συνεωρακέναι τινὰς αὐτοῖς, τȣ́τȣς δ' ἀπαγγέλλειν ὅτι καταλίποιεν ἐν Ῥηγίῳ πεντήρεις Ῥωμαϊκάς. ὁ δὲ διαταραχθεὶς ἐκ τῆς προσαγγελίας ἔφυγε." καὶ αὖθις (33 3) "τῷ δὲ Πτολεμαίῳ γενομένης προσαγγελίας παρεῖναι τὸν Ἀρχίαν."

προσαγγέλλει· "ὁ δὲ ἑαυτὸν προσαγγέλλει" ἀντὶ τȣ̃ μηνύει ἑαυτὸν ἄξιον θανάτȣ.

προσάγειν καὶ παράγειν διαφέρει· προσάγȣσι μὲν γὰρ πάντες οἱ παραταξάμενοι ᾗ ἂν ἄριςοι εἶεν μάχεσθαι, παράγουσι δὲ οἱ σώφρονες ᾗ ἂν ἀσφαλέςατα, οὐχ ᾗ ἂν τάχιςα ἀπέλθοιεν. παριέναι δὲ ἀνάγκη ἐκτεταμέναις μὲν ταῖς ἁμάξαις, ἀνειργμένοις δὲ καὶ τοῖς ἄλλοις σκευοφόροις ἐπὶ πολύ. οὕτω φησὶ Ξενοφῶν (Cyr. 5 4 44). καὶ προσάγειν ἀντὶ τοῦ οἰκειοῦσθαι, ἰδιοποιεῖσθαι· "ὁ δὲ ἐμήνυε διὰ τῶν πρέσβεων ὡς προσάγοιτο μὲν τὰ ἔθνη χρήμασι καὶ δώροις, καταγγέλλοι δὲ κοινὰ τὰ κερδαλέα τὰ ἀπὸ τȣ̃ πολέμȣ."

προσάγομαι δοτικῇ.

προσαγορεύω αἰτιατικῇ.

προσαγώγιον τὸ τῶν τεκτόνων ὄργανον, ὃ προσάγοντες εὐθύνȣσι τὰ ςρεβλὰ ξύλα.

πρὸς αἵματος τοὺς συγγενεῖς· Σοφοκλῆς (Ai. 1304) "ἆρ' ὧδ' ἄριςος ἐξ ἀριςέοιν δυοῖν βλαςὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος;"

προσαίτης ὁ ἐπαίτης. προσαῖτις δὲ θηλυκὸν διὰ τοῦ ι.

προσαιτῶν πολλὰ αἰτῶν.

πρὸς ἀκτῖνα ἀνατολήν.

προσαλισκόμεθα ἀντὶ τοῦ πρὸς τούτοις καταδικαζόμεθα καὶ ζημιȣ́μεθα· "κᾆτα προσαλισκόμεθα" (A Ach. 701).

προσαμφιῶ πρὸς οἷς ἔχει ἐνδύσω. sch. A Eq. 887.

προσανανεωσάμενος ἀνακαινίσας καὶ ἀνεγείρας· "ὁ δὲ Μάρκος προσανανεωσάμενος τὴν τοῦ τείχȣς ταπεινότητα ἐπεβάλλετο καταπειράζειν τῆς ἐλπίδος" (cf. v. ἀνανεωσάμενος).

προσανατεθείς ὀργισθείς, ἐπαρθείς· (Polybius?) "ὁ δὲ βραχέα προσανατεθεὶς κατένευσε ποιήσειν" ἀντὶ τοῦ κατεπαρθείς.

προσανατεινόμενος ἀπειλῶν· "τὰ μὲν παρακαλῶν, τὰ δὲ προσανατεινόμενος."

προσανέχων προσέχων, προσκεκολλημένος· Πολύβιος "ὁ δὲ πᾶν ὑπομένειν ἐδόκει, προσανέχων ταῖς τῶν Αἰγυπτίων ἐπαρχίαις," καὶ αὖθις (Polyb. 31 23) "ὁ δὲ Δημήτριος προσανέχων τῇ παρουσίᾳ τοῦ διαποσαλησομένȣ πρὸς αὐτόν." καὶ προσανέχοντι ἐξέχοντι.

πρόσαντες δυσχερὲς καὶ ἐναντίον.

προσάντης, καὶ ἡ δοτικὴ προσάντει.

προσάντως ἐπίρρημα· "μήτε ἀκαίρως παρακαλεῖν μήτε προσάντως" (Nicol. Dam. exc. Peir. p. 481).

πρὸς ἀπαλέξησιν πρὸς βοήθειαν.

προσαρασσόμενα προσρηγνύμενα, προσκρȣόμενα.

προσαςεισάμενος ἀςεῖόν τι προσειπών· "ὁ δὲ παρακαλέσας αὐτὸν καί τι προσαςεισάμενος τοιοῦτον, αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται" (Polybius?).

πρὸς αὐτοῦ ἀντὶ τοῦ ὑπὲρ αὐτȣ̃· (Polyb. 3 104) "ὁ δὲ οὐ κατ' αὐτοῦ ἀλλὰ πρὸς αὐτοῦ εἶναι νομίσας τὰ συμβαίνοντα περὶ τȣ̀ς ἐναντίȣς ἐγίνετο περὶ τὸν Μάρκον, σπεύ-

δάζων τὴν τόλμαν ἀφελέσθαι καὶ προκαταλαβεῖν αὐτοῦ τὴν ὁρμήν."

προς βίαν βιαίως, ἀναγκαςῶς· "ὃ δὲ ἐκ ἐφείσατο αὐτῆς ὁ ἐραςὴς ὁ ἐναγής, ἀλλ' ἐξαγαγὼν αὐτὴν τῷ νεὼ πρὸς βίαν διέφθειρε μάλα ἀνοίκτως" ⟨Aelianus?⟩.

προσβολή ζημία, δαίμονος ὀργή, παρὰ Ἀριςοφάνει ⟨Pac. 39⟩· ἀντὶ γὰρ τοῦ εἰπεῖν ζῷον, ζημίαν εἶπε, καταρώμενος αὐτῷ. "χὤτου πότ' ἐςὶ δαιμόνων ἡ προσβολή, ἐκ οἶδα" περὶ τοῦ κανθάρε.

προσγεγόνει συνεμίχθη, συνηριθμήθη· "ὁ δὲ τοῦ βασιλέως Ἀρμενίας παῖς προσγεγόνει αὐτῷ ξὺν δυνάμει ἱππικῇ ἐκ ὀλίγῃ."

πρόσγειον τὸ πρὸς γῆν.

προσγράφει προσκρίνει.

προσδεῖσθαι καὶ ἐνδεῖσθαι διαφέρει· τὸ μὲν γὰρ δηλοῖ ὀλίγων τινῶν κτῆσιν, τὸ δὲ παντελῶς ἀπορίαν τοῦ ὅλε δηλοῖ.

προσδέξασθαι· ⟨Polybius?⟩ "προσδέξασθαι δέ, τὸ δὴ λεγόμενον, εἰς τὰς πλευρὰς τοὺς πολεμίες" ἀντὶ τοῦ σύνεγγυς.

προσδεχόμενοι προσδοκῶντες.

προσεδρεία, προεδρία δέ.

πρόσεδρος· ⟨S Trach. 796⟩ "τότ' ἐκ προσέδρου λιγνύος διάςροφον ὀφθαλμὸν ἄρας, εἶδέ μ' ἐν πολλῷ ςρατῷ."

πρόσει ⟨A Ach. 165⟩ προσέρχῃ.

προσειλήφεσαν ὑπέλαβον, ἐνενόησαν· Ἰώσηπος ⟨B. I. 2 21 3⟩ "προσειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος μηδὲν αὐτὸν ἀρνήσασθαι τῶν ὑπονοηθέντων, ἀλλ' ἐπὶ συγγνώμης πορισμῷ πάντα πεποιηκέναι."

πρόσειλος πρὸς τὴν εἵλην ἤτοι θερμασίαν.

προσείλου προσελάβε, συνηρίθμησας· Αἰλιανός "εἶτα, ἀσελγέςατε, τοσῦτοι ἐχθροὶ γεγενημένοι οὐκ ἤρκεσαν, ἀλλ' ἄρα καὶ ἐμὲ εἰς τὴν τῶν ἐχθρῶν προσείλε τάξιν;"

προσείρων προσάπτων.

προσεῖχε.

προσέκειτο ἀντὶ τοῦ προσεῖχε Θουκυδίδης ἐν α' ⟨93⟩.

προσέκοψεν ἀντὶ τοῦ προσέπταισεν Ἄλεξις.

προσέκοψε τῷ ἀνθρώπῳ ἀντὶ τῦ ἠλλοτριώσατο. οὕτως Ποσείδιππος.

προσεκτικώτατα· "ἐδόκει γὰρ Ῥωμαίων ἐπιμελέςατα καὶ προσεκτικώτατα κατὰ τοὺς πατρίους θεσμοὺς τελεῖν τὰς θυσίας" ἀντὶ τοῦ πολυτελῶς, νενεχῶς.

προσέληνοι. Ἡρόδοτος τοὺς Ἀρκάδας οὕτω λέγει, τετέςιν ἀρχαίες, πρὸ τῆς σελήνης. cf. sch. A Nub. 397.

προσελοῦμεν ⟨A Ran. 742⟩ ἀντὶ τῦ προπηλακίζομεν, ἐλαύνομεν, εἰσβάλλομεν.

προσέμαξε προσπαρέθηκε, προσεκόλλησε· μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι καὶ φυρᾶν καὶ εἰς ἓν συνάγειν τὰ ἄλευρα. Ἀριστοφάνης ⟨Eq. 812⟩ "τὸν Πειραιᾶ προσέμαξε."

πρὸς ἐμοῦ εἶ οἰκεῖός με, ἐγγύς με, φίλος με, παρ' ἐμοί.

προσέξονται ἀντὶ τῦ προσκολλῶνται· "προσέξονται ταῖς κοτύλαις αἱ πέτραι."

προσέπαισε προσέπαιξε Πλάτων. τῷ σ ἀντὶ τοῦ ξ κέχρηται.

προσεπιμετρῶν πλείω τῦ μεμετρημένου διδές· "προσεπιμετρῶν ἀεὶ τῷ δεομένῳ πρὸς τὸ παρὰ πάντων ὁμολογουμένως γίνεσθαι τὴν ἐπὶ τούτοις χάριν."

προσεπιτραγῳδήσασι δεινολογήσασι· "δεδιὼς μὴ πολλαπλασιάσαντες τὸ προτέρημα καὶ προσεπιτραγῳδήσαντες καταπλήξωνται τοὺς ἐν τοῖς Τυάνοις."

προσεποιήθη· "ὃ δὲ ὠργίζετο μὲν ἀθετηθείς, οὐ μὴν προσεποιήθη κατὰ τὸ παρόν" ἀντὶ τοῦ ἐφανέρωσεν, ἐνεδείξατο. Δαμάσκιος "ᾐσθάνετο μὲν οὖν ἡμῶν ταύτῃ πῃ διακειμένων, ἐ μέντοι προσεποιήθη τὸν νῦν προσέχειν." καὶ αὖθις "ὃ δὲ καὶ πολλάκις ἀκέων οὐ προσεποιεῖτο."

προσεποιήσαντο Ἰσαῖος ἀντὶ τῦ ἀντεποιήσαντο. Harp.

προσεποίσω προσεπάξω.

προσερήσομαι ἐπερωτήσω.

προσερρύη προσεφοίτησε, προσῆλθεν· ἐ προσέρρευσεν.

πρὸς ἐρρωγυῖαν ᾄδεις, ἐπὶ τοῦ μάτην πονοῦντος. cf. v. πρὸς κενήν.

προσέσθαι· Ἀριστοφάνης ⟨Vesp. 739⟩ "ἀλλ' ὅτι σιγᾷ κοὐδὲν γρύζει, τοῦτ' οὐ δύναταί με προσέσθαι," ἐφελκύσασθαι. καὶ αὖθις Αἰλιανός ⟨cf. v. παραβαλεῖν⟩ "ἣ δὲ οὐ προσεῖτο ··· ἀποδόσθαι." καὶ αὖθις "ὥςε μηκέτι αὐτὸν προσέσθαι εἰς ὁμιλίαν."

προσέσχε κατῆρεν, ἐπλησίασεν· Αἰλιανός "εἶτα τῆς ὑςεραίας προσέσχε τῇ Χίῳ, καὶ ἀποβάντες ἐντυγχάνεσι τῇ κόρῃ πιπρασκομένῃ." a

b προσέσχεν ἐξώκειλε· Σοφοκλῆς ⟨Phi 236⟩ "τίς σ' ὦ τέκνον προσέσχε, τίς προσήγαγε χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ φίλτατος;" καὶ αὖθις ⟨243⟩ "τίνι σόλῳ προσέσχες τήνδε γῆν, πόθεν πλέων;" λέγεται καὶ κατέσχεν· ὁ αὐτὸς Σοφοκλῆς ⟨269⟩ "ἡνίκ' ἐκ τῆς ποντίας Χρύσης κατέσχον δεῦρο ναυβάτῃ σόλῳ."

προσεταιρισάμενος ἑταίρους προσλαβόμενος.

προσετρίψατο ἐπέβαλε, κατέχεε· "τῷ βίῳ τῶν ἀνθρώπων κηλῖδα προσετρίψατο" ⟨cf. v. κηλίς⟩.

προσεύξῃ τὸν θεόν. οὕτως Ἀριστοφάνης ἐν Πλούτῳ ⟨959⟩.

προσευσχολεῖν ἐπιμελῶς βλέπειν· "ἀφιέναι δὲ τὸ σπουδαζόμενον, καὶ τῇ θεωρίᾳ προσευσχολεῖν αὐτοῦ."

προσέχεια ἡ προσοχή.

προσεχές ἐγγύς· "ἐπὶ τάδε τῆς πόλεως ὁρμεῖν οὐκ ἠδύναντο διὰ τὸ προσεχεῖς εἶναι τὰς ἀκτὰς τοῖς ἐτησίαις." "ἀλίμενος γάρ ἐστι καὶ προσεχὴς ὁ τῇδε αἰγιαλός."

προσέχοιεν ἐπιμελῶς τηροῖεν· "ὅπως οἱ πολέμιοι ταύτῃ προσέχοιεν τὸν νοῦν." καὶ αὖθις "οὐδὲ πάνυ τι προσεῖχε τοῖς βιβλίοις."

πρὸς ζόφον ⟨Hom. ι 26⟩ πρὸς δυσμάς.

προσηγάγου ἀντὶ τοῦ περιεπλέξω, παρὰ σεαυτὸν ἔλαβες· Ἀριστοφάνης Ὄρνισιν ⟨141⟩ "οὐκ ἔκυσας, οὐ προσεῖπας, οὐ προσηγάγου," ἀντὶ τοῦ πρὸς σεαυτὸν ἔλαβες εἰς συνουσίαν.

προσηγάσθησαν ὑπερεθαύμασαν· "τοῦτον ἀπεδέξαντο τὸν λόγον τοῦ νεανίσκου, καὶ προσηγάσθησαν, πῶς οἴει; σφόδρα τὸν Πρόκλον" ⟨Damasc. Phot. p. 352 b⟩.

προσηγγελμένοις τοῖς ἤδη ἀγγελθεῖσι· "τοῖς προσηγγελμένοις ἐπαρκέσας οὐδὲν προυργιαίτερον ποιήσεται μετὰ ταῦτα τοῦ βοηθεῖν σφίσι κατὰ δύναμιν" ⟨Polyb. 4 66⟩.

προσηγλάιστο ἐλαμπρύνετο.

προσηγορία προσφώνησις.

προσήγορος· ⟨S OR 1437⟩ "ὅπου θνητῶν φανοῦμαι μηδενὸς προσήγορος."

προσήκαντο κατεδέξαντο, ἠθέλησαν· "οἱ πλεῖστοι μὲν οὖν προσήκαντο τὴν πρεσβείαν, ὀλίγοι δέ τινες διεχρήσαντο τοὺς ἐλθόντας." καὶ αὖθις ⟨Ioseph. A. I. 3 4 2⟩ "Μωυσῆς μὲν προσήκατο τὴν συμβουλίαν."

προσήκει πρέπει· "προσήκει γε μὴν Ῥωμαίοις μετ' ἀσφαλείας τὸ νικᾶν, ὡς ἂν οὐκ ἐξ ἀνάγκης πολεμοῦσιν ἀλλὰ προσκτωμένοις."

προσήκων κατὰ γένος ἀγχιστεύων· "ἦν δὲ ὁ παῖς προσήκων κατὰ γένος." καὶ αὖθις "καὶ οἱ τούτοις προσήκοντες τοὺς οἰνοχόους τούσδε ἡγησάμενοι φαρμακεῖς ἀπέκτειναν" ⟨cf. v. φαρμακεῖς⟩.

προσήλιος.

προσήλυτοι οἱ ἐξ ἐθνῶν προσεληλυθότες καὶ κατὰ νόμον ποθήσαντες πολιτεύεσθαι. Δαβίδ "καὶ προσήλυτον ἐφόνευσαν." Theodoret. in Ps. 93 6.

πρὸς σῆμα μητρυιᾶς κλαίεις, ἐπὶ τοῦ ἀφροντίστου ἢ προσποιουμένου.

προσημπόλησα προσέλαβον.

προσηρεικότος προσαρμόσαντος· "ὁ δὲ κατεσκεύασε στοάς, καὶ διὰ τούτων προσηρεικότος τῷ τείχει τὰς κριοφόρους μηχανάς."

προσηρτημένος προσκεκολλημένος.

προσηρτῆσθαι ἀπῃωρῆσθαι.

προσήσεσθαι ἀρεσθῆναι, δέξασθαι· Ἀππιανός ⟨t. 1 p. 28⟩ "οἱ ὕπατοι τὰ ὅρκια προύτεινον, καὶ ἐς πάντας ἔφασαν ἐνδώσειν μᾶλλον ἢ Ταρκύνιον προσήσεσθαι."

προσηταιρίσατο φιλικὰ ἐποίησεν· "οὐκ ὀλίγους τε ἀπὸ τούτων προσηταιρίσατο."

προσῆχεν ἀντὶ τοῦ προσῆγεν.

πρὸς ἠῶ ⟨Hom. ι 26⟩ πρὸς ἀνατολήν.

προσθεῖναι τὰς θύρας ἀντὶ τοῦ ἐπικλεῖσαι· Ἡρόδοτος ἐν γ' ⟨78⟩.

πρόσθεμα ἡ προσθήκη. Levit. 19 25.

προσθέσθαι συμπολεμῆσαι· "καὶ Πομπηίῳ τῷ μεγάλῳ προσθέσθαι οὐ κατὰ δέος τὸ Ῥωμαίων, ἀλλὰ κατ' εὔνοιαν τὴν ἐς βασιλέα τε καὶ αὐτοὺς Ῥωμαίους."

πρὸς θυμοῦ ἐπιμελέστερον· "εἶναι δὲ Ῥωμαίοις ἐκ παλαιοῦ πάτριον, καὶ μάλιστα δὴ πρὸς θυμοῦ Ἀντωνίῳ" ἀντὶ τοῦ ἠγαπᾶτο.

πρὸς θυμοῦ αὐτοῖς ἐγίνετο ἀντὶ τοῦ ἀρεστὸν καὶ θυμῆρες. καὶ αὖθις "τοῖς δὲ οὐ πρὸς θυμοῦ ὁ πόλεμος ἐγίνετο."

προσίασι προσέρχονται.

προσίενται προσάγονται.

προσίεται ἀρέσκεται, προσδέχεται· Ἀριστοφάνης ⟨Eq. 358⟩ "τὰ μὲν ἄλλα μ' ἤρεσε τῶν πραγμάτων, ἓν δ' οὐ προσίεταί με," ἀντὶ τοῦ οὐ πείθει με, "ὅτι ὡς μόνος τὸν ζωμὸν ἐκροφήσεις."

προσιζήσαντες προσκαθίσαντες.

πρόσιμεν προσερχόμεθα.

προσίςατο ἐνεπόδιζε.

πρόσισχε τὸ πρόσεχε· Κρατῖνος "καὶ μὴ πρόσισχε βαρβάροισι βυκόλοις," καὶ Εὔπολις "πρόσισχε τὸν νοῦν τῇδε," καὶ Θουκυδίδης ἐν γ' ⟨22⟩ "παρανῖσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως." οὕτω δὲ καὶ *ὑπίσχομαι* τὸ ὑπισχνοῦμαι οἵ τε τραγικοὶ καὶ Ἀριςοφάνης· "τὸ πρᾶγμα τῦτο συλλαβεῖν ὑπίσχομαι."

προσιτόν προσδεχόμενον.

προσιών προσερχόμενος.

προσκαθῆσθαι ἐνυπάρχειν· "τῷ γὰρ μηδεμίαν ἔννοιαν μηδενὶ προσκαθῆσθαι τοῦ μέλλοντος, πάντας εἰς ἔκπληξιν ἤγαγε τοὺς φονικούς."

προσκαθίσῃ· "ὅπῃ ὕποπτοι ἦσαν ἐπελεύσεσθαι οἱ πολέμιοι, προσκαθίσῃ" ἀντὶ τῦ ἐπολυπλασίαζε.

πρὸς καιρὸν ποιῶ ἀντὶ τῦ ἀληθῶς.

προσκαλέσαι ἀντὶ τῦ προσκαλέσασθαι.

πρὸς καλοῦ ἐγένετο αὐτῷ.

πρὸς Κᾶρα καρίζεις, ἐπὶ τῦ ὁμοίου, ὡς καὶ τὸ πρὸς Κρῆτα κρητίζεις.

προσκαταθείην ἀντὶ τοῦ ζημιωθείην· Ἀριςοφάνης ⟨Nub. 1236⟩ "κἂν προσκαταθείην γ' ὥςˈ ὀμόσαι τριώβολον," τυτέςι ζημιωθείην ἂν τρεῖς ὀβολὺς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονῶ τῶν ὅρκων.

προσκαύσασα, ἐπὶ τῆς χύτρας· ⟨A Vesp. 824⟩ "προσκαύσασα ἡ Θρᾷττα πρώην τὴν χύτραν."

προσκείμενοι, οἷον κολλώμενοι, προσεγγίζοντες. καὶ "προσκειμένων τῶν θυρῶν," τυτέςιν ἠσφαλισμένων. "ὁ δὲ ἐντυχὼν προσκειμέναις ταῖς θύραις," ἀντὶ τῦ κεκλεισμέναις, "καὶ τῶν ἐπισπαςήρων λαβόμενος ἀπρὶξ εἴχετο," καρτερικῶς καὶ μάλα ἐγκρατῶς. "ἐπεὶ δὲ ἀποσπώντων βίᾳ ἀπέκοψαν τὸ πᾶν σῶμα τῶν χειρῶν." cf. Herodot. 6 91.

προσκεκλήσεσθαι, τυτέςιν εἰς δικαςήριον κληθήσεσθαι· "σὺ δὲ νὴ τὸν Ἑρμῆν προσκεκλήσεσθαί γέ μοι, εἰ μὴ ἀποδώσεις τἀργύριον" Ἀριςοφάνης Νεφέλαις ⟨1279⟩.

προσκεκρουκώς ἐχθρὸς γεγονώς· "ὁ δὲ Σεβαςιανὸς προσκεκρουκὼς --- ςρατηγίας" ⟨cf. v. Σεβαςιανός extr.⟩.

πρὸς κενὴν ᾄδεις πρὸς ἐρρωγυῖαν ᾄδεις, ἐπὶ τοῦ μάτην πονοῦντος.

πρὸς κέντρα λακτίζεις.

προσκεφάλαιον. οὕτω φησὶν Ἀριστοφάνης ⟨Plut. 542⟩.

προσκέψομαι ⟨A Eq. 154⟩ περισκοπήσω, περιεργάσομαι εἰσελθὼν καὶ κατανοήσας.

προσκήνιον τὸ πρὸ τῆς σκηνῆς παραπέτασμα· "ἡ δὲ τύχη παρελκομένη τὴν πρόφασιν καθάπερ ἐπὶ προσκήνιον παρεγύμνωσε τὰς ἀληθεῖς ἐπινοίας."

προσκινήσομαι· Ἀριστοφάνης ⟨Lys. 228⟩ "κακῶς παρέξω, κοὐχὶ προσκινήσομαι," συνυσιάσαι αὐτῷ δηλονότι.

προσκληδονιζόμενος ἐπ' ἀγαθῷ ὀττευόμενος· Ἰώσηπος ⟨B. I. 3 1⟩ "ταῦτά τε δὴ προσκληδονιζόμενος, καὶ ςαθερὰν μετ' ἐμπειρίας τὴν ἡλικίαν ὁρῶν."

προσκλήσεις, ἃς καλεῖ τις εἰς δικαςήριον ἢ βυλήν, κλητῆρας ἔχων. *πρόκλησις* δὲ χωρὶς τοῦ σ καὶ προκαλεῖσθαι ἐπὶ διαιτητήν, καὶ οἷον ἐπὶ βάσανόν τινος ἀνδραπόδου, ἢ μαρτυρίαν τοῦδέ τινος ἐμβαλέσθαι.

πρόσκλησις ἡ εἰς δικαςήριον κλῆσις, καὶ *προσκαλέσαι* τὸ παραγγέλλειν εἰς δίκην. Δημοσθένης ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρυ. Harp.

πρόσκλισις ἑτερομέρεια· "μὴ διαπράξασθαί τι κατ' ἔχθραν ἢ κατὰ πρόσκλισιν."

προσκλιτόν ἐν ᾧ ἀκυμβίζομεν.

προσκομιςέον προσενεκτέον.

πρόσκομμα ζημία, βλάβη, σκάνδαλον.

προσκοπήν πρόσκρυσιν· "ὁ δὲ τῶν τῦ βασιλέως φίλων ἐπὶ τοσοῦτον ἐς διαφορὰν ἥκοι καὶ προσκοπήν, ὥςε σπεύδειν αὐτοὺς περιβαλεῖν αὐτὸν ἀνηκέςῳ τινὶ κακῷ."

προσκόπων προφυλάκων· "ὁ δὲ Τραϊανός τινας ἀγγελίας ψευδεῖς διὰ τῶν προσκόπων ἀεὶ καθιεὶς εἴθιζεν ἅμα μὲν ἐν κόσμῳ πορεύεσθαι, ἅμα δὲ πρὸς τὰ φοβερὰ μὴ ταράττεσθαι" ⟨Dio Cass. 68 23⟩.

προσκόψῃς πρὸς λίθον τὸν πόδα συ ⟨Ps. 90 12⟩ ἀντὶ τῦ προσπταίσεις. τὸ σμικρότατον δὲ διὰ τοῦ προσκόψαι τῷ λίθῳ δεδήλωκε.

πρὸς Κρῆτα κρητίζων παροιμία, ἐπὶ τῶν μάτην πονέντων· Πολύβιος ⟨8 16⟩ "ὁ δὲ ἠγνόει, τὸ δὴ λεγόμενον, πρὸς Κρῆτα κρητίζων."

προσκρούειν, δοτικῇ, ἐναντιοῦσθαι, ἐκμηχανᾶσθαι· "οἱ Σικελιῶται τὸν ςόλον ἰδόντες οὐκ ἐν τοῖς ὀχυρώμασι καθεῖρξαν αὐτούς, οὐκ ἄλλο προσκρύειν τοῖς ἐναντίοις ὑδὲν ἔγνωσαν."

προσκυνεῖ δοτικῇ. καὶ αἰτιατικῇ δέ·

"καὶ σὲ προσκυνεῖν τὸν ἥλιον τῆς δικαιοσύνης."

προσκυρεῖ προσεγγίζει.

πρόσκυσον (S Phil. 776) προσκύνησον.

προσκώπες τὲς πρὸς ταῖς κώπαις ναύτας, τὲς κωπηλάτας. sch. Thuc. 1 10.

πρὸς κώρυκον γυμνάζεσθαι, ἐπὶ τῶν διὰ κενῆς μοχθέντων.

πρὸς λέοντα δορκάδες ἅπτεσι μάχην, ἐπὶ τῶν πρὸς κρείττονας ἐριζόντων.

πρὸς λύραν ᾄδειν· "τὰ κατὰ τὸν ἑταῖρον ἡμῶν μετρίως ἐπράχθη, καὶ ἐχ ὡς ἂν κινῆσαι θεῦ τε καὶ ἀνθρώπων νέμεσιν. αὕτη μέντοι σαφῶς ἐςὶ περὶ ἧς πρὸς λύραν ᾄδομεν" (Synes. ep. 94).

πρὸς νῦν σε μητρὸς πρός τε πατρός, ὦ τέκνον, πρός τ' εἴ τί σοι κατ' οἶκόν ἐςι προσφιλές, ἱκέτης ἱκνεῦμαι, μὴ λίπῃς μ' ἕτω μόνον, ἔρημον ἐν κακοῖσι τοῖσδε γ' οἷς ὁρᾷς ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με" (S Phil. 468).

προσόδια ἀπὸ τῶν προσόδων· ἕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς πομπάς. καὶ προσόδια τὰ εἰς πανηγύρεις θεῶν ποιήματα παρὰ τῶν λυρικῶν λεγόμενα. sch. A Av. 854.

προσόδια ὕμνοι. ἀρχὴ προσοδίε (A Eq. 1269) "τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν;"

πρόσοδος εἰσφορά, εἴσοδος. ἢ παρεσία, ὡς Θεκυδίδης (4 110) καὶ ἕτεροι· "ὁ δὲ Καῖσαρ ἐκ τῆς προσόδε μόνης τέτες κατέπληξε," τετέςι παρεσίας.

προσοδώδασι. προσώζεσαν.

πρόσοικος. οἰκειότερον μᾶλλον τοῦ ὅμορος· ἐπὶ γὰρ ὅρων τῦτο λαμβάνεται.

πρόσοιτο προσδέξοιτο, ἐπισπάσοιτο. "ἐδὲ γὰρ πρόσοιτο ἀναβάτην ἡ κάμηλος οὐδένα ὑπ' αὐθαδείας καὶ ἀσυνηθείας." καὶ αὖθις Δαμάσκιος (Phot. p. 338 a) "ἦν δὲ ἱκανὸς ἰδεῖν ὅπῃ τε σαθρὸν φθέγγεται ὁ λόγος καὶ ὅπῃ ὑγιές, ἵνα τὸ μὲν πρόσοιτο τὸ δὲ ἐξελέγξειε." καὶ αὖθις "εἰ μετάνοιαν ἁμαρτωλῦ πρόσοιτο."

πρὸς οἰωνῦ δεξιῦ τιθέμενος ἐν πολεμίῳ χάρακι ςαθμεῦσαι."

προσοκέλλω τῷ αἰγιαλῷ προσεγγίζω, καὶ προσοκείλαντες προσορμίσαντες.

πρὸς ὄνομα κατὰ τὸ ὄνομα δηλονότι.

προσουδίζει τῷ ἐδάφει προσκρούει· (Procop. Goth. 4 8) "ἐκ τῦ ἵππυ ῥίψας προσεδίζει χαμαί."

προσουδίζει πρὸς τὸ ἔδαφος ῥιπτεῖ· "ὃ δὲ ἄρας μετέωρον προσεδίζει τε καὶ ἀποκτείνει."

προσερίη ἐπιτηδείε.

προσοχή ἀκριβὴς ἐπιμέλεια διαίτης. "τῦ ἰδίε σώματος ἐπιμελητικῶς δεῖ ἔχειν ἐμμέτρως, ἔτε ὡς ἄν τις φιλόζωος ἔτε πρὸς καλλωπισμόν, ἔτε μὴν ὀλιγώρως, ἀλλ' ὥςε διὰ τὴν ἰδίαν προσοχὴν εἰς ὀλίγιςα ἰατρικῆς χρήζειν φαρμάκων καὶ ἐπιθεμάτων ἐντὸς καὶ ἐκτός" (M. Anton. 1 16).

προσοχθίσματα ἡ γραφὴ καλεῖ τὰ εἴδωλα. καὶ προσώχθισα (Ps. 94 11) διωρεςήθην, ἐβδελυξάμην.

πρὸς ὄψιν πρὸς θεωρίαν. Σοφοκλῆς (OC 1600) "τὼ δ' εὐχλόε Δήμητρος εἰς προσόψιον πάγον μολέσα, τάσδ' ἐπιςολὰς πατρὶ ταχεῖ πόρευσαν ξὺν χρόνῳ."

Προσπάλτιοι. Πρόσπαλτα δῆμος τῆς Ἀκαμαντίδος.

προσπατταλεύσω προσπήξω· Ἀριςοφάνης Πλούτῳ (944) "ὥσπερ κοτίνῳ προσπατταλεύσω." εἰώθασι γὰρ κοτίνῳ καὶ ἄλλοις δένδροις προσπατταλεύειν τὰ ἀναθήματα καὶ κωλᾶς καὶ κρανία πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοί, πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά.

προσπελάζει προσεγγίζει.

προσπέσῃ συμβῇ, αὐθυπότακτον.

προσπεσόντων ἀγγελθέντων· Πολύβιος "προσπεσόντων δὲ τούτων εἰς Τάραντα καὶ τὲς Θερίες ἠγανάκτει τὰ πλήθη."

προσπίπτουσαι συναντῶσαι· (A Eccl. 689) "κατὰ τὰς διόδες προσπίπτουσαι ταῖς ἀπὸ τῦ δείπνε."

προσπιπτούσης ἀντὶ τῦ ἀγγελλομένης.

προσποιεῖται οἰκειοποιεῖται, ἢ πλάττεται καὶ ὑποκρίνεται. "γνόντες οἱ Φράγγοι ὡς Βελισάριος εὐτυχεῖ, καὶ προσποιήσασθαι τὴν Ἰταλίαν ἐθέλοντες, περὶ συμμαχίας βουλεύονται." καὶ προσποιέμενος· (cf. v. ἀφέλεια) "καὶ οὐδ' ὁτιοῦν ἐν ἑαυτῷ ἔχειν προσποιέμενος." "οἱ δὲ οὐ προσποιοῦνται κακεμένες Ῥωμαίες, καίπερ αὐτῶν φίλοι ἐκ παλαιῦ καὶ τὰ μάλιςα ὄντες."

προσπορευομένων προσερχομένων μεθ' ἱκετηρίας· (Polyb. 4 3) "προσπορευομένων δ' αὐτῷ τῶν ἠδικημένων τοὺς μὲν δι-

συρε χλευάζων, τῶν δὲ κατανίζατο, τοὺς δὲ ἐξέπληττε λοιδορῶν."

προσπορισθὲν ἐπινοηθέν, προσοδευθέν.

προσπτύξομαι (Hom. ρ 509) προσκυνήσω.

προσρῆξαν προσαράξαν.

προσρήσεσι προσηγορίαις, καὶ πρόσρησις προσηγορία, λόγος κατ' ἐπαγγελίαν λεγόμενος. "ἐσήμηνε Σιλζίβουλος ὁ Τούρκων ἡγεμὼν ὡς ὁ Ῥωμαίων φίλος οὐχ ἧττον καὶ αὐτῷ ἐπιτήδειος καὶ ὁ δυσμενὴς ὁμοίως. ἐπειδὴ οὖν τηνικαῦτα Ῥωμαῖοι Πέρσαις ἐπολέμουν, ἐπὶ τῇ προσρήσει δέον εἶναι ἐν καιρῷ καὶ αὐτὸν ἐπιθέσθαι Πέρσαις" (Menand. p. 442 Nieb.).

πρόσριζα σὺν ταῖς ῥίζαις· Ἀππιανός "τὰ δένδρα ἔκοπτον πρόσριζα τοῦ μὴ πάλιν φῦναι."

πρόσταξις. πρόσταξίς ἐστιν ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως, ἢ ἐκ θατέρου, κατὰ τὸ κέρας αὐτὸ προστεθῇ τι στῖφος τῇ πάσῃ φάλαγγι, κατευθὺ τοῦ μετώπου τῆς τάξεως.

a προστασία βοήθεια· "ὁ δὲ ἐξέπεμπε τὸν Πόπλιον μετὰ μεγάλης προστασίας," δυνάμεως, ἐξουσίας. καὶ αὖθις (Polyb. 8 11) "καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ προστασίαν" (cf. v. ἐσφαλκέναι).

b προστασία. Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος (α 30) "ταῦτα οὐχ ὁμολογουμένη προστασία;" ἀντὶ τοῦ βοήθεια προϊσταμένου τινὸς καὶ ἐπικουροῦντος τῷ ἀδικουμένῳ. Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας (105) "ὡς δεῖ τὰ τῆς τῶν Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας." Δίδυμος τὴν προστασίαν φησὶ κεῖσθαι ἀντὶ τῆς προστάσεως, τουτέστι τῆς ὑπ' ἐνίων προστάδος καλουμένης. Harp.

προστατεῖ, αἰτιατικῇ, προηγεῖται, προέστηκε, παρακολουθεῖ.

προστατεία. προστασία δέ.

a προστάτης ἱκέτης, ὁ προεστηκὼς τῶν βωμῶν· (S OC 1171) "ἔξοιδ' ἀκούων τῶνδ' ὅς ἐσθ' ὁ προστάτης."

b προστάτης. οἱ τῶν μετοίκων Ἀθήνησι προεστηκότες προστάται ἐκαλοῦντο· ἀναγκαῖον γὰρ ἦν ἑκάστῳ τῶν μετοίκων πολίτην τινὰ Ἀθηναῖον νέμειν προστάτην (Harp.). "ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα ὅσονπερ ὑμῖν, ἄχθομαι δὲ καὶ φέρω βαρέως τὰ τῆς πόλεως πράγματα. ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην ἀεὶ πονηροῖς· κἄν τις ἡμέραν μίαν χρηστὸς γένηται, δέκα πονηρὸς γίγνεται" (A Eccl. 175). προστάτις δὲ θηλυκῶς διὰ τοῦ ι. προστάτιδος ἡ γενική.

προστατῶν ὁ ἐπιγινόμενος· (S El. 781) "ἀλλ' ὁ προστατῶν χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην. νῦν δ' ἡμέρᾳ γὰρ τῇδ' ἀπηλλάγην φόβου."

προστεθέντος συνευδοκήσαντος· "τοῦ δὲ Εὐφημίου προστεθέντος τῷ ἀνδρί, καὶ δεδωκότος αὐτῷ τὴν τῶν ὑπηρετῶν ὑπουργίαν."

προστέτηκεν προσκεκόλληται.

προστηθιδίων· (Polyb. 22 20) "ἐξελθόντες δὲ Γάλλοι δύο μετὰ τύπων καὶ προστηθιδίων ἐδέοντο μηδὲν ἀνήκεστον βουλεύεσθαι περὶ τῆς πόλεως." τουτέστιν εἰκόνες μέχρι στήθους.

πρὸς τῇ πυλίδι Ἑρμῆς· Δημοσθένης ἐν τῷ κατ' Εὐέργου (26). Φιλόχορός φησι περὶ τοῦ πρὸς τῇ πυλίδι Ἑρμοῦ, ὡς ἀρξάμενοι τειχίζειν τὸν Πειραιᾶ οἱ θ' ἄρχοντες τοῦτον ἀναθέντες ὑπέγραψαν οὕτως· "ἀρξάμενοι πρῶτοι τειχίζειν οἵδ' ἀνέθηκαν, βουλῆς καὶ δήμου δόγμασι πειθόμενοι." Harp.

προστήσας προαγαγών.

πρόστητ' ἀναγκαίας τύχης (S Ai. 803) ἐπίκουροι γένεσθε τῆς κατεπειγούσης συντυχίας.

προστιβάδες· (Diod. Sic. 17 85) "ὃ δὲ κατῴκει ἐν σπηλαίῳ προστιβάδας (immo τρεῖς στ.) ἐντετμημένας ἔχοντι κατὰ τὴν πέτραν."

πρόστιμα ἐπίχειρα· "τοιάδε μὲν τοῖς κακῶς βουλευομένοις δίδωσι τὰ πρόστιμα ἡ δίκη." καὶ πρόστιμον ζημία, ἐπιτίμιον, παραγραφή· Πολύβιος (1 17) "παρὰ Ῥωμαίοις θάνατος ἦν πρόστιμον τῆς ἐφεδρείας λιπόντι τὴν τάξιν," καὶ αὖθις "οἱ δὲ ἔδωκαν τῷ βασιλεῖ ν' τάλαντα πρόστιμον τῆς ἁμαρτίας."

προστιμήματα. ἔστι μέν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικούντων, ὥσπερ ἡ ἐπωβελία· ἔστι δὲ καὶ ἄλλα ἃ προστιμᾶται τὸ δικαστήριον, ὡς δείκνυσι Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (1). Harp.

πρὸς τιμῆς· "ἦν δὲ ὁ φιλόσοφος πρὸς τιμῆς τῷ βασιλεῖ."

πρὸς τὸν σωρὸν ἀμᾶσθαι, πρὸς τοὺς μεγάλοις ἔργοις ἐπιτιθεμένους, ἢ ἐπὶ τῶν παρεγγυώντων.

προστρέπεσθαι ἀποπέμπεσθαι, τρέπεσθαι ἐφ' ἑαυτοῦ.

προστρέπω παρὰ Σοφοκλεῖ (OC 50) ἀντὶ τοῦ ἱκετεύω· "μή μ' ἀτιμάσῃς, τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι."

προστρέχω δοτικῇ.

προστρίβεται· Ἀριστοφάνης (Eq. 5) "πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις," τουτέστιν ὕβρεις καὶ κακὰ πράγματα κατασκευάζει καὶ μηχανᾶται καὶ περιποιεῖται.

a προστρόπαιον· "ἣ δὲ ζῶσα βίον τὸν προστρόπαιον γυναικί" ἀντὶ τοῦ ἱκετικόν.

b προστρόπαιον τὸ ἄγος, τὸ μίασμα· οὕτως Αἰσχίνης (2 158). καὶ προστροπὴ δὲ λέγεται· ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος (110) ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ.

προστρόπαιος προστετραμμένος, ἱκέτης, παρακαλῶν· Σοφοκλῆς (Ai. 1173) "θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου, ἱκτήριον θησαυρόν," ἱκέσιον κτῆμα, ὅ ἐστι τὰς τρίχας. καὶ αὖθις (Polyb. 20 8) "καὶ προστροπαίους τῶν δι' ἐκεῖνον ἠτυχηκότων."

πρόστροποι προσπεπτωκότες, προστετραμμένοι· Σοφοκλῆς (OR 41) "ἱκετεύομέν σε πάντες ὧδε πρόστροποι ἀλκήν τιν' εὑρεῖν ἡμίν."

πρὸς τρόπον αὐτῷ· Πολύβιος (8 19) "ὁ δ' Ἀντίοχος πρὸς τρόπον αὐτῷ καὶ παραδόξου γενομένης τῆς ἐπαγγελίας ὑπερχαρὴς ὢν πάνθ' ὑπισχνεῖτο."

προστυχής ὁ κατὰ τύχην ἐντυχών.

πρόστωον τὸ ἔμπροσθεν τῆς στοᾶς.

προσύμβολα· "ἀλλὰ ταῦτα μὲν εἰρήσθω προσύμβολα, ὥς φασί."

προσφερεῖς (Eur. Or. 408) ὁμοίας. "ὃ δὲ ἀπαντήσας τοῖς βαρβάροις πυρὶ προσφερῆς ἔργα ἐπεδείκνυτο χεῖράς τε ἀνθρώπου καὶ τόλμαν παρατρέχοντα."

προσφέρωνται ἀντὶ τοῦ προστιθῶσι.

a προσφορά προσθήκη, πρόσδοσις· (S OC 581) "ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;"

b προσφορά πρόσοδος, Ἀντιφῶν. Harp.

πρόσφορα χρήσιμα· (S OC 1773) "δράσω καὶ τάδε, καὶ πάνθ' ὅσα πρόσφορ' ὑμῖν πρὸς χάριν."

πρόσφορον οἰκεῖον, ἁρμόδιον, ἐπιτήδειον· "οὐ γὰρ διὰ τὴν τύχην τῶν συμβεβηκότων ἀθετήσεις τῆς ἀξίας ἢ τῆς προσηγορίας τὸ πρόσφορον." Χοσρόης φησὶ πρὸς Μαυρίκιον (Theophyl. Sim. p. 62).

προσφυές προσοικειώμενον.

πρόσφυξ ὁ αὐτόμολος.

προσφύς προσπλακείς.

προσφυῶς οἰκείως, ἀκολούθως.

προσχαιρητήρια ἑορτὴ παρ' Ἀθηναίοις γραφομένη, ὅτε δοκεῖ ἀπιέναι ἡ κόρη. Harp.

πρόσχημα παρακάλυμμα τοῦ ἤθους, ἡ πρόφασις· (S El. 525) "πατὴρ γάρ, οὐδὲν ἄλλο σοι πρόσχημ' ἀεί, ὡς ἐξ ἐμοῦ τέθνηκεν." "αὐτὸν γὰρ ἐν προσχήματος μοίρᾳ ἐξιόντα μήτε Οὔννοις μήτε τοῖς ἐκείνων συμμάχοις ἐς χεῖρας ἰέναι."

πρόσχημα παρακάλυμμα· Σοφοκλῆς (El. 682) "πρόσχημ' ἀγῶνος, Δελφικῶν ἄθλων χάριν," ὡς ἤπιου ὄντος τοῦ γυμνικοῦ ἀγῶνος. (Diog. L. 7 16) "προσχήματι οἰκονομίας βαρβαρικῆς ἐχόμενοι σμικρολογίας."

πρόσχορδα (Plat. Legg. 7 p. 812) σύμφωνα.

πρόσχωροι περίοικοι.

πρόσω ἔμπροσθεν· "Ἰωτόμην δὲ καίπερ οὐ πρόσω τοῦ τεθνάναι ὄντα ἀποτμηθῆναι τὴν κεφαλὴν κελεύει, ὡς μὴ ἐκφύγοι τὸν τῶν κακούργων θάνατον" (cf. vv. ἀπαλλάξας et πέρα).

πρόσω ἀντὶ τοῦ ἀπωτέρω· "εὐθεῖαν ἐδόκει ἐλαύνειν ὡς ἐπὶ Σελεύκειαν· εἶναι γὰρ οὐ πρόσω σφῶν τὴν Σελεύκειαν, ἅτε κ' τῶν πλείστων ἡμερῶν ὁδὸν ἀπέχουσαν." καὶ αὖθις "εἶχε δὲ καὶ πεζοὺς οὐ πρόσω τῶν δισμυρίων" ἀντὶ τοῦ οὐ πλείους.

προσῳδία. καὶ προσῴδιον ὁ ὕμνος.

προσώκειλαν προσώρμισαν.

προσωπεῖον πρόσχημα.

πρόσωπον ἐπὶ θεοῦ ἡ ἐπιφάνεια αὐτοῦ· Δαβίδ (Ps. 33 16) "πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά." καὶ ἡ λύσις τῶν πονηρῶν καὶ τῶν ἀγαθῶν ἡ χορηγία. Theodoret. in Ps. 30 21 et 118 135.

προσωτέρω περαιτέρω.

προσώχθικε (Ps. 94 10) προσκέκρουκε, προσκέκοφεν, ἀπὸ τοῦ τὰ ἐπινηχόμενα ταῖς ὄχθαις προσκρούεσθαι.

προσώχθισα ἐβδελυξάμην, δυσηρεστήθην· καὶ Πισίδης "εἰ δ' αὖ σχολάζει, καὶ προσοχθεῖ τῇ μέθῃ."

πραταμών (Hom. I 489) κόψας.

πρόταξις ψιλῶν ὅταν τῶν ἄλλων ἐν πολέμῳ οὗτοι προτάττωνται, ὑπόταξις δὲ ὅταν ὑποτάττωνται, προσένταξις δὲ ὅταν

καὶ ἐμπλεκόμενοι τῇ φάλαγγι παρ' ἄνδρα τάττωνται. λέγεται δὲ καὶ παρένταξις τοῦτο.

a πρότασις. ὅτι πρότασίς ἐστι λόγος ἐξ ὅρων δύο, τῷ σημαινομένῳ τι περί τινος δηλῶν, ἢ ὡς ὑπάρχον ἢ ὡς οὐχ ὑπάρχον. τρόπος δὲ ἁπλῶς δύο προτάσεων ἁπλῇ κοινωνίᾳ τρεῖς ὅρους ἐχουσῶν, ἐξ ὧν ἀνάγκη τὸν ἕνα δίς τε εἰλῆφθαι καὶ ἐν ἀμφοτέραις ὑπάρχειν. σχῆμα δὲ τρόπος ὡδὶ τὸ μέσον ἔχων. cf. vv. σχῆμα et τρόπος.

b πρότασις ἡ προτεινομένη ἐρώτησις, πρόβλημα τὸ προβληθὲν ἐρώτημα. διαφέρει δὲ τῷ τρόπῳ μόνον· συνίστανται δὲ ἐξ ἀντιφάσεων.

ὅτι πρόβλημα καὶ πρότασις τῶν αὐτῶν εἰσὶ δηλωτικὰ καὶ ἐν τοῖς αὐτοῖς, τῷ δὲ τρόπῳ τῆς ἐκφορᾶς τῆς κατὰ τὴν λέξιν μόνον αὐτοῖς ἡ διαφορά· τὸ γὰρ αὐτὸ ἐρώτημα μετὰ μὲν τοῦ πότερον λεγόμενον πρόβλημά ἐστι, μετὰ δὲ τοῦ ἆρά γε πρότασις. καὶ εἰσὶν αὐτὰ διαλεκτικὰ προβλήματα καὶ διαλεκτικαὶ προτάσεις, πρόβλημα μὲν οἷον πότερον ὁ κόσμος σφαιροειδὴς ἢ οὔ; πρότασις δέ, ἆρά γε ὁ κόσμος σφαιροειδής ἐστι; τοῦ ἢ οὔ οὐ προστιθεμένου.

προτέγειον.

προτείνειν δωρεῖσθαι, χαρίζεσθαι· "προτείνειν αὐτῷ φ' τάλαντα παραχωρήσαντι τῆς Κύπρου, καὶ τἆλλα συνακολουθήσοντα λυσιτελῆ καὶ τίμια παρ' αὐτῷ συνεπιδεικνύειν, προσενεγκαμένῳ τὴν χρείαν ταύτην."

a προτέλεια. πρωτόλειον δέ.

b προτέλεια. ἡμέραν οὕτως ὀνομάζουσιν, ἐν ᾗ εἰς τὴν ἀκρόπολιν τὴν γαμουμένην παρθένον ἄγουσιν οἱ γονεῖς εἰς τὴν θεόν, καὶ θυσίας ἐπιτελοῦσι.

c προτέλεια Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας τὰ πρὸ τοῦ τελεσθῆναί τι τῶν εἰς τὸ θεῖον ἀναφερομένων γιγνόμενα ἢ διδόμενα. Harp.

προτέλειον ἡ προπαιδεία· "καὶ ὅστις δὲ οὐ προτέλειον ἡγεῖται τὰς μούσας, ἀλλὰ τὸ κράτος αὐτὸ τῆς σοφίας ἐν ταύταις ἐστί, καὶ οὐδ' εἴ τι περιττὸν αἰνίττονταί ποτε, συνιέναι βούλεται καὶ ὑπὸ τούτου κατέχεται, πολλὰ καὶ ἀγαθὰ αὐτῷ γένοιτο" ⟨Synes. p. 53⟩. τέλος λέγεται καὶ ὁ γάμος, καὶ προτέλεια τὰ ὑπὲρ τοῦ γάμου θύματα· "ἀλλὰ καὶ τῶν Σινωνίδος γάμων προθυσάσθω, καὶ προτέλεια τοῦ μοιχοῦ ὁ ἀνὴρ γενέσθω."

προτεμενίσματα προπύλαια ἢ προάστεια.

προτένθαι οἱ πρὸ καιροῦ τῶν προσφαγίων ἀπογευόμενοι· ἢ οἱ προαρπάζοντες καὶ μεταπιπράσκοντες πλείονος, οἱ νῦν μετάβολοι καλούμενοι, οἱ προλαμβάνοντες τὰ ὄψα πρὶν εἰς τὴν ἀγορὰν κομισθῆναι. προυτένθευσαν δὲ προελιχνεύσαντο, προέλαβον τὴν προθεσμίαν, ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν ἢ ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι. sch. A Nub. 1200.

προτένθης ὁ λίχνος· Αἰλιανός "προτένθης καὶ ὀψοφάγος" ⟨cf. v. Ἐπίκουρος⟩.

πρό τε παίδων καὶ πρὸ γυναικῶν" ⟨Hom. Θ 57⟩ ὑπὲρ παίδων καὶ ὑπὲρ γυναικῶν.

προτεραία ἡ πρώτη. καὶ προτεραῖος.

προτεραίτερος ⟨A Eq. 1170⟩ ἀντὶ τοῦ πρότερος.

προτερήσαντες ἀντὶ τοῦ πρότεροι γενόντες· "οἱ δὲ Ῥωμαῖοι προτερήσαντες τοῖν δυοῖν ποταμοῖν, κοντοὺς ἔπηξαν ὑποβρυχίους" ⟨cf. v. περιπαρῆναι⟩. καὶ αὖθις "παρὸν ἡμῖν ἢ ἄρδην ἀπολωλέναι ἢ προτερήσασι δόξαν μέν τινα προπετείας ἀπενέγκασθαι, βιοτεύειν δὲ ὅμως ἔτι κατ' ἐξουσίαν."

πρότερον χελώνη παραδραμεῖται τὸν δασύπουν, ἐπὶ τῶν ἀδυνάτων.

προτέρωσε μακροτέρω.

πρὸ τῆς δίκης προτιμότερον τῆς δίκης· "οἱ θεοσῦλαι κολάζονται, τὸ κέρδος πρὸ τῆς δίκης τιθέμενοι."

πρὸ τῆς νίκης τὸ ἐγκώμιον ᾄδεις, ἐπὶ τῶν τὰ πράγματα προλαμβανόντων.

πρὸ τῆς πόλεως ἔμπροσθεν τῆς πόλεως· "οἱ δὲ βάρβαροι παρετάξαντο οὐ πρὸ τῆς πόλεως ἀλλὰ παρὰ τὴν πόλιν, ἐπὶ μίαν εὐθεῖαν, βλέποντες μὲν πρὸς ἀνατολὰς καὶ τὴν ἡμετέραν παρουσίαν, ἔχοντες δὲ τὸ μὲν δεξιὸν κέρας παρὰ τὴν πόλιν πρὸς αὐτῷ τῷ τείχει, τὸ δὲ λαιὸν ἀνῆκον πρὸς τὰς ἄρκτους."

προτιάπτω προσάπτω. Hom. Ω 110.

προτιειλεῖν συστρέφειν. Hom. Κ 347.

προτίκτωρ εἶδος ἀξιώματος Ῥωμαϊκοῦ.

προτιμᾶν τὸ φροντίζειν. καὶ Δημοσθένης ἐν Φιλιππικοῖς ⟨7 16⟩, καὶ Ἀριστοφάνης "οὐδὲν προτιμῶ σου· φορῶ γὰρ πριάμενος τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμου δραχμῆς."

προτιόσσομαι προβλέπω. ἀπὸ τῶν ὄσσων ἡ μεταφορά.

πρότμησιν ⟨Hom. Λ 424⟩ ὀμφαλόν, τὸ

παρ' ἡμῖν ἦτρον, διὰ τὸ πρῶτον τέμνεσθαι ἐν τοῖς βρέφεσι.

προτολμίζεσθαι προέρχεσθαι.

προτομαὶ βασιλικαί εἰκόνες βασιλικαί. καὶ προτομαὶ λεόντων, καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων. κυρίως δὲ ἐπὶ τῶν ἀλόγων ζῴων ἡ προτομὴ λέγεται· "τοῖς δὲ τῶν πλοίων ἄκροις τετραπόδων προτομὰς ἀποτυπώσας χαλκῷ περιέλαβε διὰ τὸ τῶν ἐμβόλων χρειῶδες."

προτομή. ἐπὶ ζῴων ἀλόγων οὕτω λέγεται ὡς ἐπὶ ἀνθρώπου πρόσωπον. καὶ ἐπὶ κριοῦ μηχανικοῦ προτομὴ λέγεται τὸ πρόσθεν μέρος. cf. v. κριός.

προτόνιον ἱματίδιον ὃ ἱέρεια ἀμφιέννυνται. ἐπιτίθεται δὲ ἀπὸ τῆς ἱερείας τῷ σφάττοντι. προτόνιον δὲ ἐκλήθη, ὅτι πρώτη Πανδώρα μετὰ τῶν ἀδελφῶν κατεσκεύασε τοῖς ἀνθρώποις τὴν ἐκ τῶν ἐρίων ἐσθῆτα.

πρότονος ὁ προτεταμένος κάλως.

προτρέπω εὐκτικῶς παρακαλῶ· προτρόπαιοι γὰρ οἱ ἱκέται. Σοφοκλῆς ⟨Ai. 831⟩ "τοσαῦτά σ' ὦ Ζεῦ προτρέπω· καλῶ δ' ἅμα πομπαῖον Ἑρμῆν."

πρότριτα τῇ τρίτῃ ἐπάνω ἡμέρᾳ. Θουκυδίδης ἐν β′ ⟨34⟩ τὴν τρίτην πρὸ τῆς ἐκφορᾶς.

προτροπάδην προθύμως, ἀμεταστρεπτί· ἢ εἰς τοὔμπροσθεν. Ἀγαθίας ⟨1 14⟩ "παραδόντες δὲ τὰ νῶτα τοῖς πολεμίοις ἔφευγον προτροπάδην, ἀλκῆς ἁπάσης ἐπιλελησμένοι."

προτρυγαῖος.

πρὸ τῶν ὅλων πρότερος τῶν ὅλων· ⟨Pisid. Pers. 3 85⟩ "καὶ πάντα πράττων ἀνθ' ὅλων πρὸ τῶν ὅλων."

προοίμιον πρόλογος.

προυγράφη κατηγορήθη· "Μάρκος τῶν εὖ γεγονότων, τὴν ἀξίωσιν ἀγορανόμος, προυγράφη. εἶτα μέντοι λαθεῖν βουλόμενος ξυρεῖται τὴν κεφαλὴν καὶ τὸ γένειον, στολὴν Αἰγυπτίαν ἀναλαβών" ⟨cf. v. ἀγείρει⟩.

προύκειτο καὶ προύθεντο. ἐπὶ τῶν τετελευτηκότων χρῶνται τῇ λέξει οἱ ῥήτορες, τῶν πρὸ τοῦ τεθάφθαι κειμένων ἐπὶ τῆς οἰκίας, παρόντων τῶν οἰκείων. Λυσίας ἐν τῷ πρὸς Γλαύκωνα ⟨fr. 11⟩ "καὶ μὲν δὴ οὐδὲ τοῦτο ἂν ἔχοι Γλαύκων εἰπεῖν ἢ ἄλλος τις τῶν Δικαιογένους συγγενῶν, ὡς ὅτε μὲν προύκειτο ὤκνουν καὶ ᾐσχύνοντο λόγους περὶ αὐτοῦ ποιεῖσθαι, ἐξενεχθέντος δὲ ἢ περὶ τῶν χρημάτων τινὰ μνείαν ἔχετε ἢ τὰς θυγατέρας ἀξιοῦτε διαιτᾶσθαι."

προυκινδύνευεν ὑπεραπέθνησκεν· ⟨Agath. 5 23⟩ "ὃ δὲ προυκινδύνευε τοῦ πλήθους οὐ στρατηγικῶς ἀλλὰ στρατιωτικῶς" ἀντὶ τοῦ εὐτελῶς.

προύνεικος δρομαῖος, γοργός· "φασὶ δὲ Ξενοκράτη, εἴ ποτε μέλλοι ἐς ἄστυ ἀπιέναι, τοὺς θορυβώδεις πάντας καὶ προυνείκους ὑποστέλλειν αὐτοῦ τῇ παρόδῳ" ⟨Diog. L. 4 6⟩.

προύπινεν αὐτῷ· αὐτὸς δὲ πάλιν ἐκουφίζετο, καὶ τὸν Δάμιαν ἐπῄνει." "καὶ προύπινεν αὐτῷ, καὶ μεστὸς ἦν ἐλπίδων ἐρωτικῶν."

προῦπτον φανερόν.

προυργιαίτατον καὶ προυργιαίτερον ἀναγκαιότατον, προτιμότατον· "θέσθαι προυργιαίτερον τοῦ πρὸς Ῥωμαίους πολέμου τὴν ἐξ αὐτῶν παλαμήσασθαι σωτηρίαν." "ὅπερ ἕπεται φύσει ἀνθρώπων ἐν τοῖς τελευταίοις κινδύνοις τὰ σφέτερα προυργιαίτερα τιθεμένων, ἀνεχώρησαν."

προυργιαίτερον πρὸ παντὸς ἄλλου ἔργου γινόμενον.

προυργιαίτερον ἀναγκαιότερον· τὸ γὰρ πρὸ τοῦ ἔργου αἱρετώτερον ἀναγκαιότερον. τὸ γὰρ προῦργόν ἐστιν οἷον πρόεργον. Πολύβιος ⟨8 27⟩ "οὐδὲν προυργιαίτερον ποιουμένου κατὰ τὸν βίον τοῦ κυνηγετεῖν." λέγεται δὲ καὶ πρὸ ἔργου· Ἀρριανός "μάλιστα δὲ φῦλα τὰ κατὰ νώτου ἑαυτῷ τε καὶ τῇ στρατιᾷ καταλιπεῖν πρὸ ἔργου ἐτίθετο ὁ στρατηγός." "ὁ δὲ αὐτοκέλευστος ἐτόλμα ἰέναι, τῶν πρὸς αὐτοκράτορος ἐπηγγελμένων προυργιαιτέραν τὴν ἀπὸ τῆς τύχης στενοχωρίαν πεποιημένος."

προύργου πρὸ ἔργου, συμφέρον, πλέον. Ἰσοκράτης φησίν ⟨4 19⟩ "ἵνα προύργου τι γένηται" ἀντὶ τοῦ πλέον. "προύργου νενόμικα, καὶ τούτων κἀκείνων τὴν ἀμετρίαν φυγών, ὅσα προσῆκε ταῖς παλαιαῖς ἱστορίαις, ταῦτα προσαρμόσαι."

Προυσίας ὁ βασιλεὺς εἰδεχθὴς ὢν κατὰ τὴν ἔμφασιν, καίπερ ἐκ συλλογισμοῦ βελτίων ὑπάρχων, ἥμισυς ἀνὴρ κατὰ τὴν ἐπιφάνειαν, καὶ πρὸς τὰς πολεμικὰς χρείας ἀγεννὴς καὶ γυναικώδης· οὐ γὰρ μόνον δειλὸς ἦν, ἀλλὰ καὶ πρὸς τὰς κακοπαθείας ἀλλότριος, καὶ συλλήβδην ἐκτεθηλυμμένος καὶ τῇ ψυχῇ καὶ τῷ σώματι παρ' ὅλον τὸν βίον· ὅπερ ἥκιστα βούλονται περὶ τοὺς βασιλεῖς ὑπάρχειν ἀκαι-

τες μέν, μάλιστα δὲ τὸ τῶν Βιθυνῶν γένος. πολλὴ δέ τις ἀσέλγεια καὶ περὶ τὰς σωματικὰς ἐπιθυμίας αὐτῷ συνεξηκολούθει. παιδείας δὲ καὶ φιλοσοφίας καὶ τῶν ἐν τούτοις θεωρημάτων ἄπειρος εἰς τέλος ἦν, καὶ τοῦ καλοῦ, ὅ τι ποτέ ἐστιν, οὐδ' ἔννοιαν εἶχε, Σαρδαναπάλλου δὲ βάρβαρον βίον ἔζη καὶ μεθ' ἡμέραν καὶ νύκτωρ. καὶ γὰρ οὖν ἅμα τῷ βραχείας ἐλπίδος τὸ τῶν βασιλευομένων πλῆθος λαβέσθαι ἀμετάκλητον ὁρμὴν ἔσχεν εἰς τὸ μὴ μόνον ἀλλότρια φρονεῖν τοῦ βασιλέως, ἀλλὰ καὶ τιμωρίαν βούλεσθαι παρ' αὐτοῦ λαμβάνειν. Polyb. 37 2.

b **Προυσίας** ὁ βασιλεύς. οὗτος μετὰ τὸ νικῆσαι τὸν Ἄτταλον, μετὰ τὸ παρελθεῖν πρὸς τὸ Πέργαμον, παρασκευασάμενος θυσίαν πολυτελῆ προσήγαγε πρὸς τὸ τέμενος τοῦ Ἀσκληπιοῦ, καὶ βουθυτήσας καὶ καλλιερήσας τότε μὲν ἐπανῆλθεν εἰς τὴν παρεμβολήν, κατὰ δὲ τὴν ἐπιοῦσαν καταστήσας τὴν δύναμιν ἐπὶ τὸ Νικηφόριον τούς τε νεὼς ἅπαντας διέφθειρε καὶ τὰ τεμένη τῶν θεῶν ἐσύλησε καὶ τοὺς ἀνδριάντας καὶ τὰ λίθινα τῶν ἀγαλμάτων. τὸ δὲ τελευταῖον καὶ τὸ τοῦ Ἀσκληπιοῦ βαστάσας ἄγαλμα, περιττῶς ὑπὸ Φυλομάχου κατεσκευασμένον, ἀπήνεγκεν ὡς αὑτόν, ᾧ τῇ πρότερον ἡμέρᾳ κατασπένδων ἐβουθύτει καὶ κατηύχετο, δεόμενος ὅπερ εἰκός, ἵλεων αὐτῷ γενέσθαι καὶ εὐμενῆ κατὰ πάντα τρόπον. αἱ δὲ τοιαῦται διαθέσεις μανικαί· τὸ γὰρ ἅμα μὲν θύειν καὶ ἐξιλάσκεσθαι τὸ θεῖον, προσκυνοῦντα καὶ λιπαροῦντα τοὺς βωμοὺς ἐξάλλως, ὅπερ εἰώθει Προυσίας ποιεῖν γονυπετῶν καὶ γυναικιζόμενος, ἅμα δὲ ταῦτα καὶ λυμαίνεσθαι καὶ διὰ τῆς τούτων καταφθορᾶς τὴν εἰς τὸ θεῖον ὕβριν διατίθεσθαι, πῶς οὐκ ἂν εἴποι τις θυμοῦ λυττῶντος ἔργα καὶ ψυχῆς ἐξεστηκυίας τῶν λογισμῶν; Polyb. 32 25.

προύτυψαν ⟨Hom. N 136⟩ προήρξαντο.

προύχειν προέχειν· ⟨S Phil. 135⟩ "τί λέγειν ἢ τί πράττειν χρή, φράζε μοι. τέχνα γὰρ τέχνας ἑτέρας προύχει."

προύχοντο προέβαλλον. οὕτως καὶ Θουκυδίδης ἐχρήσατο ἐν πρώτῃ ἱστοριῶν ⟨1 140⟩, λέγων "εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοιμεν, ὅπερ μάλιστα προύχονται" ἀντὶ τοῦ προβάλλουσι, προτείνουσι.

πρόφερε ὀνείδιζε, ὑπομίμνησκε. Ὅμηρος ⟨Γ 64⟩ "μή μοι δῶρ' ἐρατὰ πρόφερε χρυσῆς Ἀφροδίτης," καὶ Αἰλιανός "καὶ τὸ ἐλλειφθὲν κατὰ τὰς παρθένους προφέρει αὐτοῖς." καὶ αὖθις Ἡσίοδος ⟨O. 577⟩ "ἠώς, ἥ προφέρει μὲν ὁδοῦ προφέρει δὲ καὶ ἔργου" ἀντὶ τοῦ εἰς τὸ πρόσω ἄγει.

προφερεῖς οἱ νέοι μὲν ὄντες πρεσβύτεροι δὲ φαινόμενοι. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου ⟨49⟩. Harp.

προφερέστερον βέλτιον.

προφητεία. ἡ μέν ἐστι πνευματική, ἡ δὲ διαβολική· λέγονται γὰρ καὶ παρ' ἐκείνοις ὁμωνύμως προφητεῖαι. ἡ δὲ μέση τούτων φυσική τις ἢ τεχνική, ἡ δὲ κοινὴ καὶ δημώδης. τῆς μὲν οὖν πνευματικῆς προηγουμένως μὲν τοῖς ἁγίοις μέτεστι, δι' οἰκονομίαν δὲ καὶ τοῖς μὴ τοιούτοις, ὡς τῷ Φαραῷ καὶ τῷ Βαλαὰμ καὶ τῷ Καϊάφᾳ, τῆς δὲ διαβολικῆς τοῖς τούτου μόνον θεραπευταῖς· αὐτοῦ γὰρ οἱ ἀλευρομάντεις καὶ κριθομάντεις, καὶ ἡ διὰ δρυὸς Πυθία καὶ ἡ Δωδώνης ἱέρεια, καὶ ἡ διὰ σπλάγχνων καὶ πτήσεων ὀρνέων καὶ κλαγγῶν, συμβόλων τε καὶ πταρμῶν καὶ κληδόνων καὶ βροντῶν, μυῶν τε καὶ γαλῆς, καὶ τρισμῶν ξύλων, καὶ ὤτων ἤχων καὶ παλμῶν σώματος, καὶ δι' ὀνομάτων, νεκρῶν τε καὶ ἄστρων καὶ ὑδάτων καὶ ἄλλων μυρίων. ἡ γὰρ δι' ὀνείρων καὶ παρ' ἡμῖν, διὰ κατοχῆς μὲν καὶ αὕτη· ἡ δὲ πρόγνωσις αὐτοῖς οὐ δι' ἀρετῆς ὡς ἡμῖν, ἀλλὰ διά τινος κακοτεχνίας. καὶ ὁ μὲν θεὸς προλέγων καὶ τὴν λύσιν ὑποτίθεται, καὶ τὸ πέρας μετὰ πάσης ἀκριβείας γίνεται· ἐκεῖνοι δὲ κατὰ συμβεβηκὸς ἔν τισιν ἀληθεύουσιν, ἐν τοῖς πλείστοις διαμαρτάνοντες. φυσικὴ δὲ ἡ τῶν ἀλόγων· χελιδόνες γὰρ καὶ γέρανοι καὶ μύρμηκες ἐπιόντος χειμῶνος αἰσθάνονται, ἐχῖνοί τε καὶ ἀλκυόνες, φύσει τοῦτο κτησάμενοι. ἡ δὲ τεχνικὴ προφητεία παρὰ ἰατροῖς καὶ συμβούλοις καὶ κυβερνήταις· οἱ μὲν γὰρ ἀρρωστίας καὶ τὰς λύσεις τούτων προλέγουσιν, οἱ δὲ πνευμάτων μεταβολάς, οἱ δὲ τοῦ μέλλοντος συνέσει καταστοχάζονται. ἡ δὲ κοινὴ καὶ δημώδης τοῦ μέλλοντος γνῶσις, οἷον μετὰ μῆνας τρεῖς ὁ χειμὼν γίνεται· πάντες γὰρ ἔχουσι τὰς ἐκ περιόδων προρρήσεις. οὐδὲν οὖν μέγα καὶ δαίμονας πρόγνωσιν ἔχειν, ὅπου γε καὶ μύρμηκες ἔχουσι καὶ δεινοὶ ἄνθρωποι τοῦ μέλλοντος καταστοχασταί εἰσιν, ἀλλ' οὐχ ὡς πάντως ἢ πάντα εἰδέναι. ἐπεὶ καὶ ὁ διάβολος προεφήτευσε τοῦ γινώσκειν καλὸν καὶ πονη-

ρόν, καὶ ἐγένετο· καὶ ὁ Βαλαὰμ προεῖπεν ὅτι πόρνας στῆσον, καὶ προδοθήσεται δι' αὐτὰς ὁ Ἰσραήλ, καὶ γέγονεν οὕτως. ὅπερ στοχασμός ἐστι μᾶλλον ἢ πρόρρησις· οὐδὲν γὰρ παράδοξον αἱ τοιαῦται προφητεῖαι ἔχουσι. προφητείας δὲ ἴδιον τὸ τὴν γλῶτταν παρέχειν ὑπουργὸν τῇ τοῦ πνεύματος χάριτι. cf. Cedren. p. 35.

προφορουμένῳ δεῦρο κἀκεῖσε πορευόμενοι εἰς τἀναντία· προφορεῖσθαι γὰρ λέγεται τὸ παραφέρειν τὸν στήμονα τοῖς διαζομένοις. Ἀριστοφάνης Ὄρνισι ⟨4⟩.

πρόφρων πρόθυμος, φρόνιμος.

προφυλακὴ τῷ κυρίῳ ⟨Exod. 12 42⟩. εἰς δ' φυλακὰς διαιρεῖται ἡ νύξ, ἑκάστη γ' ὥρας ἔχουσα.

προχαριστήρια ἡμέρα ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες, ἀρχομένων καρπῶν φύεσθαι, λήγοντος ἤδη τοῦ χειμῶνος, ἔθυον τῇ Ἀθηνᾷ. τῇ δὲ θυσίᾳ ὄνομα προχαριστήρια. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερωσύνης "τὴν τοίνυν ἀρχαιοτάτην θυσίαν διὰ τὴν ἄνοδον τῆς θεοῦ, ὀνομασθεῖσαν δὲ προχαριστήρια διὰ τὴν βλάστησιν τῶν καρπῶν τῶν φυομένων."

προχειρίζω.

πρόχειρον τὸ κατημαξευμένον, τὸ πᾶσι γνώριμον· "αἰνίττεται κατὰ τὸ πρόχειρον."

a πρόχειρος ἀκρατής· "ὁ δὲ πρόχειρος ὢν τὴν γνώμην διὰ τὴν ἐμπειρίαν οὐ μέλλειν ἔφη δεῖν, ἀλλ' ἀπαντᾶν καὶ ναυμαχεῖν τοῖς πολεμίοις." καὶ ὁ ἕτοιμος λέγεται πρόχειρος.

b πρόχειρος ὁ ἁπλοῦς καὶ ἀφύλακτος· Πολύβιος ⟨17 30⟩ "ἀλλ' ἔστιν αἴτιον τὸ μὴ πρόχειρον ὑπάρχειν τὸ παρ' Ἐπιχάρμῳ καλῶς εἰρημένον, νῆφε καὶ μέμνησ' ἀπιστεῖν· ἄρθρα ταῦτα τῶν φρενῶν."

προχειροτονία. ἔοικεν Ἀθήνησι τοιοῦτόν τι γίγνεσθαι, ὁπόταν τῆς βουλῆς προβουλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη· πρότερον γίγνεται χειροτονία ἐν τῇ ἐκκλησίᾳ, πότερον δοκεῖ περὶ τῶν προβουλευθέντων σκέψασθαι τὸν δῆμον, ἢ ἀρκεῖ τὸ προβούλευμα. Harp.

πρόχνυ ἐπὶ γόνυ. Hom. I 566.

προχοαὶ αἱ τῶν ποταμῶν ἐξοδευτικαὶ ἀφέσεις εἰς τὴν θάλασσαν, καὶ ἡ παντὸς ὕδατος ἐκροή.

πρόχους ξέστης, τὸ μέτρον· "καὶ ἐμβαλὼν ἐς πρόχουν ἀργυρᾶν τὰ ὀστᾶ ἐξέπεμψε τῷ παιδὶ τοῦ πατρὸς κειμήλιον ἔχειν."

προχόῳ τῇ ἐπιχύσει, καὶ ἀγγείῳ τινὶ εἰς τοῦτο ἐπιτηδείῳ κωθωνοειδεῖ. ἐν ἐπιγράμμασι ⟨AP 6 292⟩ "Πριάπῳ νεβρίδα καὶ χρυσέην τήνδε θέτο προχόην."

πρόχυσις παρὰ Ἡροδότῳ ⟨1 160⟩ τὸ ἀποσπεῖσαι.

προώλης ὁ πανώλης.

πρόωμαι ⟨Iob. 27 6⟩ παραχωρήσω.

πρώωνες οἱ προνενευκότες τόποι τῶν ὀρῶν.

πρόωνται, αὐθυπόταχτον, προδώσουσιν, ἀμελήσουσιν· "ὁ δὲ τοὺς περιχώρους παρεκάλει, λέγων ὅτι ἐὰν αὐτὸν πρόωνται, καὶ αὐτοὶ κινδυνεύσουσι."

πρόωρος πρὸ τῆς ὥρας.

πρόωσις ὤθησις.

πρύλις ὁ πεζός.

πρύμναν ἐκρούοντο. πρύμναν ἀνακρούεσθαί ἐστι τὸ κατ' ὀλίγον ὑπαναχωρεῖν, μὴ στρέψαντας τὸ πλοῖον· ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κωπηλατεῖ. τοῦτο δὲ ποιοῦσιν ἵνα δόξωσι μὴ φανερῶς φεύγειν, κατ' ὀλίγον ὑπαπιόντες, ἢ ἵνα μὴ τὰ νῶτα τοῖς πολεμίοις δόντες τιτρώσκωνται. sch. Thuc. 1 50.

πρυμνὴν κάτωθεν, ἐκ ῥιζῶν.

πρυμνήσιον τὸ ἀπόγειον σχοινίον.

πρυμνήτης κάλως.

πρυμνόν τὸ ἔσχατον.

πρυμνώρειαν τὸ κάτω μέρος τοῦ ὄρους.

πρυτανεία ἐκτεταμένως μὲν καὶ θηλυκῶς ἀριθμός τις ἡμερῶν, οὐδετέρως δὲ σαφῶς μὲν οὐδεὶς εἶπε τί δηλοῖ, τινὲς δὲ ἀργύριόν τι ἔφασαν εἶναι ὃ κατετίθεσαν οἱ δικαζόμενοι, ἐξ ὧν τὸ δικαστικὸν ἐδίδοτο τοῖς ἑξακισχιλίοις. πρυτανεῖαι δέ, ὁ τῶν ἡμερῶν ἀριθμός, ι' ἐγίνοντο κατ' ἐνιαυτόν, ὅτι καὶ ι' αἱ φυλαί. ἐνιαυτὸν δὲ οἱ Ἀθηναῖοι τὸν σεληνιακὸν ἦγον· ἐπέβαλλε δὲ ἑκάστῃ φυλῇ τῶν ι' λέ ἡμέρας, καὶ ἐπερίττευον ἐκ τοῦ σεληνιακοῦ ἐνιαυτοῦ ἡμέραι δ', ἃς ἐπεμέριζον ταῖς πρώταις λαχούσαις πρυτανεύειν δ' φυλαῖς. καὶ τῶν μὲν δ' πρώτων ἑκάστη εἶχε τὴν πρυτανείαν ἀπαρτιζομένην εἰς λϛ' ἡμέρας, αἱ δὲ λοιπαὶ ϛ' ἀνὰ λε'. πρυτανείας οὖν ἐστιν ἀριθμὸς ἡμερῶν ἤτοι λϛ' ἢ λε', καὶ ἑκάστη φυλὴ πρυτανεύει. παρὰ δὲ τοῖς ἄλλοις Ἀττικοῖς πρυτανεῖα ἀργύριον ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων.

a **πρυτανεῖα** τὰ διδόμενα ὑπὸ τῶν δικαζομένων ἐν τῷ δημοσίῳ ἀργύρια· (A Vesp. 679) "πρυτανεῖα, μέταλλ', ἀγοράς, λιμένας, μισθοὺς καὶ δημιόπρατα, τούτων πλήρωμα τάλαντ' ἐγγὺς δισχίλια."

b **πρυτανεῖα** πρόσοδος εἰς τὰ δημόσια κατατασσομένη, ἣν οἱ δικασάμενοί τισι καὶ ἡττηθέντες κατέβαλλον, ὡρισμένην ζημίαν κατατιθέντες ἕκαστος.

πρυτανεῖον θεσμοθέτιον, θόλος. παρὰ δὲ τοῖς Ἀθηναίοις οἰκίσκος δημόσιος, ἔνθα ἐσιτοῦντο δημοσίᾳ οἱ τῆς τοιαύτης τιμῆς παρ' αὐτοῖς τυχόντες. περισπούδαστον δὲ ἦν τῆς τοιαύτης δωρεᾶς τυχεῖν· ἐπὶ γὰρ μεγάλοις κατορθώμασι τὴν τοιαύτην ἀπεδίδοσαν χάριν. ἢ πυρὸς ταμεῖον, ἔνθα ἦν ἄσβεστον πῦρ καὶ ηὔχοντο. Ἀριστοφάνης Νεφέλαις (1139) "πᾶς γάρ τις ὀμνύς, οἷς ὀφείλων τυγχάνω, θείς μοι πρυτανεῖ' ἀπολεῖν μέ φησι κἀξολεῖν." τὰ παρὰ Ῥωμαίοις καλούμενα σπόρτουλα· τὰς γὰρ δεκάτας τοῦ χρέους καταβάλλοντες τοῖς πρυτάνεσιν εἰσῆγον τοὺς χρεώστας.

πρυτάνεις τὸ δέκατον μέρος τῆς βουλῆς τῶν φ', ν' ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλαις αἱ ι' φυλαὶ κλήρῳ λαχοῦσαι, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (4). (Harp.). "διαπιστοῦντες δὲ οἱ πρυτάνεις ἤδη τῷ Φιλίππῳ διὰ τὴν περὶ τὰ Κρητικὰ κακοπραγμοσύνην, καὶ τὸν Ἡρακλείδην ὑπώπτευον ἐγκάθετον εἶναι" (Polyb. 13 5).

πρυτανεύεται διοικεῖται· (Procop. Goth. p. 338) "τῇ τοῦ θεοῦ ῥοπῇ πρυτανεύεται τὰ ἀνθρώπεια."

πρυτανεύοντα κυρίως μὲν ἀντὶ τοῦ πρυτανεία ὄντα· ἀντὶ δὲ τοῦ διοικοῦντα Δημοσθένης ἐν Φιλιππικοῖς (9 60). Harp.

πρυτανευούσης· (Procop. Goth. 4 11) "τῆς τοῦ χωρίου φύσεως οὐκ ἐφιείσης σφίσι περαιτέρω ἰέναι, ἀλλὰ τὸ τῆς διώρυχος μῆκος συμμετρούσης αὐτοῖς καὶ πρυτανευούσης εἰκότως." καὶ αὖθις "οἱ δὲ πρέσβεις ἧκον τοῦ πρυτανεύσειν Πάρθοις τε καὶ Ῥωμαίοις τὰς διαλλαγάς."

πρυτανεύσητε (A Ach. 60) σκέψησθε, πράξητε, χρηματίσητε· πάντα γὰρ ὑπὸ τῶν πρυτάνεων διεπράττετο. ἐχρήσατο δὲ τῇ λέξει καὶ Δημοσθένης.

πρύτανις διοικητής, προστάτης, φύλαξ, βασιλεύς, ἄρχων, ταμίας, ἔξαρχος.

πρῴ, οὕτω μονοσυλλάβως, ἔτι ὄρθρου a
βαθέος. ἴσον τῷ ἐν ὥρᾳ. τοῦ πρωὶ συναίρεσίς ἐστι τὸ πρῴ, διὸ ὀξύνεται. τὸ δὲ πρῷν περισπᾶται· "οὐ πρῷν μὲν ἡμᾶς ὁ τραγῳδὸς ἤγειρε" Καλλίμαχος (fr. 84).

πρῴ μονοσυλλάβως. σημαίνει δὲ τὸ πρὸ b
καιροῦ καὶ τὸ ἕωθεν. Ἀριστοφάνης (Av. 132) "λουσάμενος πρῴ· μέλλω γὰρ ἑστιᾶν γάμους." (Eccl. 290) "ὃς ἂν μὴ πρῴ πάνυ τοῦ κνέφους ἥκῃ κεκονιμένος."

πρῴ μονοσυλλάβως. καὶ **πρῴων**· Ἀρι- c
στοφάνης (Pac. 991) "σικύων πρῴων·" οἱ γὰρ πρώιμοι σίκυοι καλοὶ καὶ ἀβλαβεῖς. ὅτι δὲ καλοὶ οἱ πρώιμοι σίκυοι, δηλοῖ καὶ ἡ παροιμία· "ἀρχομένων σικύων καὶ ληγουσῶν κολοκυνθῶν."

πρωθήβας (Hom. Θ 518). Ἀππιανός (Hisp. 65) "ὃ δὲ φειδοῖ τῶν ἀνδρῶν τῶν ἐκ τοῦ πολέμου ἐληλυθότων κατέλεγε πρωθήβας, οὐ πρὶν πολέμου πεπειραμένους, ἐς δύο τέλη."

πρωθήβης ἄρτι ἀκμάζων, νέος.

πρωὶ παρὰ τῇ θείᾳ γραφῇ αἱ τῶν συμφορῶν μεταβολαί· Δαβίδ (Ps. 89 14) "ἐνεπλήσθημεν τὸ πρωὶ τοῦ ἐλέους σου, κύριε." πρωὶ δὲ ἐστι πᾶν τὸ διάστημα τὸ μετὰ τὴν ἀλεκτοροφωνίαν. ὅτε δὲ λέγει (Marc. 16 9) "ἀναστὰς πρωί," ὡς ἂν μὴ ἐναντία δόξῃ λέγειν ἀδήλου τῆς ἀναστάσεως καὶ ἀγνώστου οὔσης, στικτέον "ἀναστὰς δέ," καὶ οὕτως ἐπαγαγεῖν "πρωὶ πρώτῃ σαββάτων ἐφάνη Μαρίᾳ." Theodoretus.

πρωὶ πρωί. οὕτως ὁ Δαβὶδ (Ps. 45 5) τὸ ταχὺ καὶ ὀξὺ προσηγόρευσε. "βοηθήσει αὐτῇ ὁ θεὸς τὸ πρὸς πρωὶ πρωί."

πρωία ἡ πρωινὴ κατάστασις.

πρωιαίτερον θᾶττον. ἢ ἀντὶ τοῦ πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον.

πρωιζὸν πρὸ ὀλίγου.

πρώιμος, πρωινόν, πρώιον.

πρωκτὸς ὁ κόλος, παρὰ τὸ προωθεῖν τὰ τῆς γαστρός. καὶ παροιμία "εἰς πρωκτὸν κυνὸς βλέπε." τοῦτο ἐπέλεγον τοῖς ὀφθαλμιῶσιν. Ἀριστοφάνης Ἀχαρνεῦσι (863) "τοῖς ὀστίνοις φυσᾶτε τὸν πρωκτὸν κυνός." καὶ αὖθις Ἀριστοφάνης (Eccl. 387) "Ἀντισθένη τις καλεσάτω πάσῃ τέχνῃ· οὗτος γὰρ ἁνὴρ ἕνεκά γε στεναγμάτων οἶδεν τί πρωκτὸς βούλεται

χεζητιῶν. ὦ πότνι' Εἰλείθυια, μή με περιίδῃς διαρραγέντα, μηδὲ βεβαλανωμένον" ἀντὶ τῦ κατεχόμενον ὑπὸ τῆς κόπρου. ὁ δὲ Ἀντισθένης ἰατρὸς Θηλυδρίας. περὶ Κλέωνός φησιν Ἀριστοφάνης (Vesp. 1030) "πρωκτὸν δ' εἶχε καμήλου." ὁ κόλος, παρὰ τὸ προϊέναι.

πρωκτὸς λουτροῦ περιγίνῃ (A Vesp. 602) παροιμία, ὅταν τις μὴ δύνηται κἂν ἀπονίψασθαι, ἀλλὰ ἡ κοιλία ἐπιφέρηται. ἐπὶ τῶν ἀνωφελῶν οὖν καὶ εἰκῇ πραττομένων ἐλέγετο. καὶ Ἀριςοφάνης (Eq. 716) "δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ ςενὸν ὑπὸ δεξιότητος τῆς ἐμῆς. χὠ πρωκτὸς οὑμὸς τουτί γε σοφίζεται."

πρωκτοτηρεῖν (A Eq. 874) τοὺς πρωκτοὺς τῶν πορνευόντων τηρεῖν. ἀπείρητο δὲ τοῖς τοιούτοις δημηγορεῖν.

πρωλαίτης.

πρῶνες ὀρῶν ἐξοχαί, βουνοί· ἐν ἐπιγράμματι (AP 6 3) "ὅς τε καὶ Οἴτην καὶ βαθὺν εὐδένδρου πρῶνα πατεῖς Φολόης," καὶ αὖθις (6 32) "λάσιον παρὰ πρῶνα Χαρικλῆς ἄνθετο τράγον," καὶ αὖθις (6 218) "εὐδένδρου πρῶνας ἐβουνοβάτει." λέγεται δὲ καὶ πρεὼν πρεόνος· (6 253) "αἱ τόσον ὕδωρ εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος."

πρῷρα τὸ ἔμπροσθεν τῆς νεώς. καὶ πρῴραθεν. καὶ πρῳράτας τῆς νηός. καὶ πρῳρεύς.

Πρωταγόρας Ἀβδηρίτης, υἱὸς Ἀρτέμωνος ἢ καὶ Μαιανδρίδου· τινὲς δὲ αὐτὸν καὶ Τήιον ἔγραψαν. οὗτος πρότερον ἦν φορτοβασάκτης, ἐντυχὼν δὲ Δημοκρίτῳ ἠράσθη λόγων, καὶ φιλοσοφήσας ἐπὶ ῥητορείαν ἐτράπη. καὶ ἐπεκλήθη πρῶτος οὗτος σοφιστής. πρῶτος δὲ οὗτος τοὺς ἐριςικοὺς λόγυς εὗρε, καὶ ἀγῶνα λόγων ἐποιήσατο, καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ρ΄· διὸ καὶ ἐπεκλήθη λόγος ἔμμισθος. διδάσκαλος δὲ γέγονε καὶ τοῦ ῥήτορος Ἰσοκράτης. διεῖλέ τε πάντα λόγον πρῶτος οὗτος εἰς δ', εὐχωλὴν ἐρώτησιν ἀπόκρισιν ἐντολήν· μετὰ δὲ τοῦτον ἕτεροι εἰς ζ΄ διεῖλον ταῦτα, διήγησιν ἐρώτησιν ἀπόκρισιν ἐντολὴν εἰσαγγελίαν εὐχωλὴν κλῆσιν. Ἀλκιδάμας δὲ δ' εἶναί φησιν ἰδέας λόγων, φάσιν ἀπόφασιν ἐρώτησιν προσαγόρευσιν. τῦ δὲ Πρωταγόρυ τὰ βιβλία ὑπὸ Ἀθηναίων ἐκαύθη, διότι λόγον ποτὲ εἶπεν οὕτως ἀρξάμενος "περὶ θεῶν οὐκ ἔχω εἰδέναι οὔτε ὡς εἰσὶν οὔτε ὡς ὀκ εἰσί." καὶ πρεσβύτερός ἐςι Πλάτωνος τοῦ φιλοσόφυ, διδάσκαλος δὲ Προδίκου τοῦ Κείου καὶ ἄλλων πολλῶν. cf. Diog. L. 9 8 et v. πυθμήν.

πρῶτα ςοιχεῖα ὁ ἀλφάβητος· (A Eq. 188) "καὶ ταῦτα μέντοι κακὰ κακῶς." περὶ γραμμάτων φησὶν ὅτι οὐδὲ αὐτὰ καλῶς διὰ δυσγένειαν.

πρῶτα φύσει αἱ ἀρχαί, ἔσχατα δὲ φύσει τὰ πολὺ τῶν ἀρχῶν ἀφεςῶτα. ἔςι δὲ ταῦτα προβλήματα τοῖς μὲν ἐπιχειροῦσι χαλεπὰ δειχθῆναι, τοῖς δὲ ἀποκρινομένοις ῥᾴδια. τὰ μὲν γὰρ πρῶτα τὸ χαλεπὸν ἔχει, ὅτι μὴ οἷόν τε αὐτὰ δι' ἄλλων δεικνύναι, τῷ τὰ μὲν δεικνύμενα δείκνυσθαι διὰ πρώτων, τῶν δὲ πρώτων μὴ εἶναί τι πρῶτον. γίνεται γὰρ ἡ τῶν ἀρχῶν γνῶσις οὐ δι' ἀποδείξεως ἀλλὰ δι' ὁρισμοῦ· ὡρίσθαι γὰρ δεῖ πρῶτον τὴν ἀρχήν, τί ποτέ ἐςι, καὶ τοῦτο αὐτὴν ὑποθέμενον εἶναι, χρῆσθαι αὐτῇ εἰς τὴν δεῖξιν τὴν μετ' αὐτήν. διὰ τοῦτο δυσεπιχείρητοι αἱ ἀρχαὶ καὶ οὐ ῥᾴδιαι δειχθῆναι. τὰ δὲ ἔσχατα ὅτι διὰ πολλῶν μέσων δείκνυται.

πρῶτον δὲ λέγεται σχῆμα ἐπὶ τῶν συλλογισμῶν οὐχ ὡς αἴτιον οὐδὲ ὡς γεννητικὸν ἐκείνων, ἀλλὰ τῇ τάξει, καὶ τελειότερον ὂν οὐ τῷ γεννᾶν ἐκεῖνα καὶ προάγειν, ἀλλὰ τῷ πλέον δύνασθαι καὶ ταῖς ἀποδεικτικαῖς οἰκειότατον ἐφόδοις εἶναι.

πρωτείων.

Πρωτεσίλαος ὄνομα κύριον. καὶ Πρωτεσίλεως.

Πρωτογένης ζωγράφος, Ξάνθιος ἐκ Λυκίας, ὁ κατὰ τὴν γραφικὴν διαβόητος ἐπιςήμην, ὁ τὸ ἐν Ῥόδῳ Διονύσιον ἱςορήσας, τὸ ξένον καὶ θαυμαςὸν ἔργον, ὃ καὶ Δημήτριος ὁ πολιορκητὴς μεγάλως ἐθαύμασεν, ὅτε τὴν Ῥόδον ἐπολιόρκησεν ὅλοις ἐν δυσὶν ἔτεσι, χιλίας ναῦς ἐπαγόμενος καὶ ςρατὸν ὁπλίτην μυριάδας ὑπὲρ τὰς ε΄ καὶ πεντακισχιλίους. περὶ γραφικῆς καὶ σχημάτων βιβλία β΄.

πρωτοκλισία ἡ πρώτη καθέδρα.

πρωτόλεια ἡ πρώτη λεία.

πρωτόλειον ἀπαρχήν.

πρωτολογία· "πάσης κατηγορίας πέρι ἀποφαίνει πρωτολογίαν."

πρῶτον ἀποςόλους, δεύτερον προφήτας (1 Cor. 12 28). ἐρώτησις· πῶς τίθησι πρώτους τοὺς ἀποςόλυς ὁ Παῦλος; πρώτως κατ' ἀναλογίαν τῶν ἀγώνων καὶ τὴν παρ

τοῦ θεοῦ δόξαν· ἔσχατοι δὲ ⟨1 Cor. 4 9⟩ διὰ τὸ εἰς τὰ τέλη τῶν αἰώνων καταντῆσαι. ὥστε εἶναι αὐτοὺς καὶ πρώτους καὶ ἐσχάτους, ἵνα καὶ ἐν τούτῳ τὸν διδάσκαλον μιμήσωνται λέγοντα "ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος."

πρωτόνεῳ οἱ πρῶτον πλέοντες ἢ πρῶτον εἴς τινα τόπον καταπεπλευκότες.

πρωτόνεως καὶ ἀρχένεως καὶ ἄλλα πολλὰ ὁμοίως. καὶ περίνεως Θουκυδίδης α′ ⟨10⟩.

πρώτονος ⟨an πρωτόγονος⟩ πρῶτος νέος.

πρωτοπαγῆ ⟨Hom. Ω 267⟩ πρώτως πεπηγότα.

πρωτοπείρονος.

πρωτόπειρος· "ὃ δὲ νέος ὢν κομιδῇ καὶ πρωτόπειρος τῶν κατὰ πόλεμον ἔργων, καὶ νεωστὶ γενόμενος τῆς ἐπὶ πλεῖον προαγωγῆς, φιλόνεικος καὶ φιλότιμος καὶ φιλόπρωτος ἦν."

πρωτοπορεία.

πρωτοπραξία τὸ πρῶτον ἀπαιτούμενον, τὸ πρῶτον εἰσπραττόμενον.

πρώτους ἀκμάζοντας, νέους.

πρώτῳ ποδί, ὃ οἰωνιζόμενοι λέγειν εἰώθασι.

πταίειν προσκρούειν. καὶ παροιμία "μὴ πολλάκις πρὸς τὸν αὐτὸν λίθον πταίειν, ἔχοντα καιρὸν ὁμολογούμενον" ⟨Polyb. 31 19⟩.

πτάμενος διελθών.

πταρμός. Ἀριστοφάνης ⟨Ran. 660⟩ "κᾆτα πῶς οὐκ ἔπταρον;" ἀντὶ τοῦ οὐκ ᾐσθόμην· ὁ πταρμὸς γὰρ κεφαλῆς αἴσθησις. ἐπεὶ οἱ θιγόντες τοῦ μυκτῆρος λεπτῷ κάρφει πτάρνυνται, ἢ ὀσφραίνονται προσενεγκόντες, οὕτω φησὶν ἥψατό μου πληγὴ ὃν τρόπον ἅπτεται κάρφος μυκτῆρος.

πτείρω.

πτελέα εἶδος δένδρου.

πτερίνη. καὶ πτερίναν ῥιπίδα ⟨AP 6 306⟩. "πρὸς τὸ λαθεῖν καὶ μηδὲν παθεῖν τοὺς ἐνεδρεύσαντας εὐφυέστεροι τυγχάνουσιν ὄντες οἱ ψιλοὶ καὶ ἐπίπεδοι τόποι τῶν ὑλωδῶν, διὰ τὸ δύνασθαι ἐκ πολλοῦ προορᾶν πάντας τοὺς ἐνεδρεύοντας, εἶναι δ' ἐπιπροσθήσεις ἱκανὰς ἐν τοῖς πλείστοις τόποις. τὸ γὰρ τυχὸν ῥεῖθρον μετὰ βραχείας ὀφρύος, ποτὲ δὲ κάλαμοι καὶ πτέρεις καί τι γένος ἀκανθῶν, οὐ μόνον πεζοὺς ἀλλὰ καὶ ἱππεῖς δύναται κρύπτειν, ἐὰν βραχέα τις προνοηθῇ τοῦ τὰ μὲν ἐπίσημα τῶν ὅπλων ὕπτια τιθέναι πρὸς τὴν γῆν, τὰς δὲ περικεφαλαίας ὑποτιθέναι τοῖς ὅπλοις" ⟨Polyb. 3 71⟩.

πτερίνῳ πτερωτῷ· Πολύβιος ⟨6 23⟩ "ἐπικοσμοῦνται οἱ Ῥωμαῖοι πτερίνῳ στεφάνῳ, πτεροῖς φοινικίοις ἢ μέλασιν ὀρθοῖς τρισίν, ὡς πηχυαίοις τὸ μέγεθος, ὧν προστεθέντων κατὰ κορυφὴν ἅμα τοῖς ἄλλοις ὅπλοις ὁ μὲν ἀνὴρ φαίνεται διπλάσιος ἑαυτοῦ κατὰ τὸ μέγεθος, ἡ δὲ ὄψις καλὴ καὶ καταπληκτικὴ τοῖς ἐναντίοις."

πτέρνα ὁ δόλος, καὶ πτερνίζω τὸ καταβάλλω, ἐκ μεταφορᾶς τῶν περὶ τάχους ἀγωνιζομένων καὶ τῇ πτέρνῃ τοὺς συνθέοντας προσπταίειν ὁμοῦ καὶ πίπτειν μηχανωμένων. ⟨Gen. 27 36⟩ "ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο." Theodoret. in Ps. 40 10.

πτερνίζει ἀπατᾷ, ἢ λακτίζει.

πτεροδόνητος ⟨A Av. 1402⟩ πτεροῖς πληχθείς.

πτερόεντα ταχέα, κοῦφα.

πτερόεντι ταχεῖ, ταῖς τοῦ ἀνέμου ὠκείαις συστροφαῖς ἐοικότι. ἡ δὲ ὅλη σύστασις, ὅτι ἐκ τοῦ πτεροῦ τοῦ ἔρωτος τὰ ὀρνεά ἐστιν. ἄτοπος δὲ καὶ ἀπίθανος ἡ γενεαλογία. Ἀριστοφάνης Ὄρνισι ⟨698⟩. καὶ πτερόεις ὁ ἐπτερωμένος.

πτεροφύτωρ· "τάχους ὡς ἔχει τις πτεροφύτορος ἀτεχνῶς ἐς τὸν ὑπερουράνιον ἱέμενος τόπον, ὅπου τὸ τῶν ἐπτερωμένων νέμεται γένος" ⟨Damasc. Phot. p. 337 b et 338 a⟩.

πτέρυγες περιστερᾶς αἱ τοῦ πνεύματος δωρεαί. ταύτης δὲ τὰς μὲν πτέρυγας περιηργυρῶσθαι χρυσίῳ. τὰ μὲν γὰρ ἁπλούστερα καὶ λευκότερα τοῖς ἁπλουστέροις, τὰ δὲ βαθύτερα τοῖς ἐντελεστέροις. τὰ γὰρ μυστήριά μου ἐμοὶ καὶ τοῖς ἐμοῖς. Theodoret. in Ps. 67 14.

πτερυγίζειν ἀντὶ τοῦ μηδὲν ἀνύειν, ἀπὸ τῶν ἐπιβαλλομένων πέτεσθαι νεοσσῶν. Ἀριστοφάνης Πλούτῳ ⟨575⟩ "ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις" ἀντὶ τοῦ θορυβεῖς· τὸ γὰρ πτερὸν ἠχῶδες καὶ θορυβητικόν. ἢ κοῦφα λαλεῖς. ἢ ματαιοπονεῖς, ἀπὸ μεταφορᾶς τῶν νεοσσῶν τῶν μὴ δυναμένων πέτεσθαι διὰ τὸ βραχὺ τῆς ἡλικίας. ἢ μάταια διαλέγῃ, ἀπὸ τῶν νεοττῶν, οἳ πειράζουσι μὲν τὰς πτέρυγας, ἵπτασθαι δὲ οὐ δύνανται. οὕτω καὶ σὺ θέλεις μὲν ἀντειπεῖν καὶ πειράζεις, ἀνύεις δὲ οὐδέν.

πτερυγίζων πετόμενος· Ἀριστοφάνης ⟨Eq. 519⟩ περὶ Μάγνητος, ὅτι Ὄρνιθας ἐποίησε δρᾶμα καὶ Ψῆνας καὶ Λυδούς.

πτερύγιον ἀκρωτήριον.

πτερυλλίδων (immo τετραπτερ-) τῶν ἀκρίδων, παρὰ τὸ δ' ἔχειν πτερά. ὀρταλίχων δὲ τινὲς τῶν ἀλεκτρυόνων, κατὰ τὴν Βοιωτῶν διάλεκτον. A Ach. 871.

πτερωτὰ ζῷα ἀετὸς ἀλεκτρυὼν καὶ τὰ ἄλλα τὰ γινωσκόμενα πᾶσι.

πτῆμα πτῆσις οἰωνῶν· "περιφερὲς δὲ ἦν τὸ πτῆμα τῶν οἰωνῶν."

πτηνόν τὸ ὄρνεον.

πτῆσις τῶν ὀρνίθων.

πτήσσει πτοεῖται, καὶ πτήξωμεν κρυβῶμεν. κυρίως δὲ πτήσσειν ἐςὶ τὸ φεύγειν καὶ φοβεῖσθαι· "ἀλλ' ἐκποδὼν πτήξωμεν" Ἀριςοφάνης (Th. 36). πτίσσω δὲ τὸ τύπτω.

πτῆται πέτεται, καὶ πτητικὰ ζῷα τὰ πετόμενα.

πτίλον πτερὸν ἁπαλώτερον, καὶ ἄπτιλα τὰ ἀπτέρωτα. εἰώθασι δὲ οἱ δυσεμεῖς πτερῷ χρῆσθαι πρὸς τὸ ἐξεμέσαι. sch. A Ach. 584.

τῶν πτερῶν τὰ μὲν καλεῖται πτίλα, τὰ δὲ πτερά, τὰ δὲ ὠκύπτερα. Ἀριςοφάνης Ὄρνισιν (805) "ἐγὼ μὲν πρᾶγμά πω γελοιότερον οὐκ εἶδον οὐδὲ πώποτε. ἐπὶ τῷ γελᾷς; ἐπὶ τοῖσι σοῖς ὠκυπτέροις. οἶσθ' ᾧ μάλις' ἔοικας ἐπτερωμένος; εἰς εὐτέλειαν χηνὶ συγγεγραμμένῳ" ἀντὶ τοῦ εὐτελῶς γεγραμμένῳ χηνί.

πτιλός ὁ μαδαρὸς τοῖς βλεφάροις. Levit. 21 20.

πτισάνη ἡ κεκομμένη κριθὴ καθαρά· Ἀριςοφάνης (Ran. 974) "ἴσχνανα ἐπυλλίοις" οὐκ ἀπὸ πτισάνης ἀλλ' ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων.

πτίσσεσθαι τὸ δίκην πτισάνης τύπτεσθαι, καὶ πτίσσω τὸ τύπτω.

πτοία πτόησις, φόβος· "οἱ δὲ Σκύθαι ἐς τοῦτο δείματος καὶ πτοίας ἅπαντα περιέςησαν ὥςε εἷς καὶ μυρίους ἐδίωκεν, εἰ καὶ ἦν ἄνοπλος, ὅπλα ἔχοντας καὶ χεῖρας οὐκ ἀνταιρομένους."

πτοίαν πτόησιν, θόρυβον, τάραχον, συναθροισμόν, πτυρμόν· "καὶ πτοία μέν τις διὰ τὸ ἀδόκητον ἐπέσχε τὸ ςρατόπεδον οἷα μὴ συντεταγμένους."

Πτοιόδωρος ὄνομα κύριον. Demosth. 18 295.

Πτολεμαῖος Ἀλεξανδρεὺς γραμματικός, ὁ τοῦ Ἡφαιςίωνος, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν αὐτοκρατόρων, προσαγορευθεὶς δὲ Χέννος, περὶ παραδόξου ἱςορίας, Σφίγγα (δρᾶμα δέ ἐςιν ἱςορικόν), Ἀνθόμηρον (ἔςι δὲ ποίησις ῥαψῳδιῶν κδ') καὶ ἄλλα τινά.

Πτολεμαῖος Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐπεκαλεῖτο Πινδαρίων, υἱὸς δὲ ἦν Ὀροάνδου, μαθητὴς Ἀριςάρχου. ἔγραψεν Ὁμηρικῶν ὑποδειγμάτων βιβλία γ', περὶ τοῦ Ὁμηρικοῦ χαρακτῆρος, πρὸς Νεοθαλίδην περὶ λέξεως, περὶ τοῦ παρ' Ὁμήρῳ Οὔτιδος, περὶ Ἀςεροπαίου τοῦ παρ' Ὁμήρῳ μνημονευομένου, καὶ ἕτερα.

Πτολεμαῖος ὁ Ἀριςονίκου τοῦ γραμματικοῦ πατήρ, καὶ αὐτὸς γραμματικός· ἅπερ δὲ ἐπεδείκνυντο ἐν Ῥώμῃ. τὰ ὁμοίως εἰρημένα τοῖς τραγικοῖς, εἰς Ὅμηρον βιβλία γ', τὰ παρὰ τῷ ποιητῇ ξένως ἱςορημένα, τὰ περὶ μουσῶν καὶ Νηρηίδων.

Πτολεμαῖος ὁ Ἀσκαλωνίτης, γραμματικός, ὃς ἐπαίδευσεν ἐν Ῥώμῃ, ἔγραψε προσῳδίαν Ὁμηρικήν, περὶ ἑλληνισμοῦ ἤτοι ὀρθοεπείας βιβλία ιε', περὶ μέτρων, περὶ τῆς ἐν Ὀδυσσείᾳ Ἀριςάρχου διορθώσεως, περὶ διαφορᾶς λέξεων, καὶ ἕτερα γραμματικά.

Πτολεμαῖος ὁ βασιλεὺς Αἰγύπτου. ὅτι Ὑρκανοῦ συνδειπνοῦντος Πτολεμαίῳ τῷ βασιλεῖ, καὶ πάντων τῶν συνανακειμένων τὰς σάρκας ἐσθιόντων καὶ τὰ ὀςᾶ ἔμπροσθεν τοῦ Ὑρκανοῦ σωρευόντων, Τρύφων ὁ γελωτοποιὸς τοῦ βασιλέως "ὁρᾷς" εἶπεν, "ὦ δέσποτα, παρακείμενα Ὑρκανῷ ὀςᾶ; ἐκ τούτου ςόχασαι ὅτι καὶ ὁ πατὴρ αὐτοῦ τὴν Συρίαν ἅπασαν περιέδυσεν, ὡς οὗτος ταῦτα σαρκῶν ἐγύμνωσε." γελάσαντος δὲ πρὸς τὸν τοῦ Τρύφωνος λόγον τοῦ βασιλέως, καὶ ἐρομένου τὸν Ὑρκανὸν πῶς τοσαῦτα αὐτῷ παράκειται ὀςᾶ, "εἰκότως" εἶπεν, "ὦ δέσποτα· τοὺς μὲν γὰρ κύνας τὰ ὀςᾶ σὺν τοῖς κρέασι κατεσθίειν ὥσπερ οὗτοι," πρὸς τοὺς συνανακειμένους εἰπών, ὅτι μηδὲν ἔμπροσθεν αὐτῶν ἔκειτο· "οἱ δὲ ἄνθρωποι τὸ κρέας ἐσθίουσι, τὰ δὲ ὀςᾶ ῥίπτουσιν· ὅπερ ἄνθρωπος ὢν κἀγὼ πεποίηκα." θαυμάζει τὴν ἀπόκρισιν αὐτοῦ σοφὴν οὕτω γενομένην, καὶ πάντας ἐκέλευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχόμενος αὐτόν. Ioseph. A. I. 12 9.

Πτολεμαῖος γραμματικός, ὁ ἐπιθέτης κληθείς, διότι ἐπέθετο τῷ Ἀριςάρχῳ. διήκουσε δὲ Ἑλλανίκου τοῦ γραμματικοῦ, ὃ δὲ Ἀγαθοκλέους, ὃ δὲ Ζηνοδότου τοῦ Ἐφεσίου.

ἔγραψε περὶ τῶν παρ' Ὁμήρῳ πληγῶν, ὑπόμνημα εἰς τὴν Ὀδύσσειαν.

g Πτολεμαῖος ὁ Κλαύδιος χρηματίσας, Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου τοῦ βασιλέως. οὗτος ἔγραψε μηχανικὰ βιβλία γ', περὶ φάσεων καὶ ἐπισημασιῶν ἀστέρων ἀπλανῶν βιβλία β', ἅπλωσιν ἐπιφανείας σφαίρας, κανόνα πρόχειρον, τὸν μέγαν ἀστρονόμον ἤτοι σύνταξιν, καὶ ἄλλα.

h Πτολεμαῖος Κυθήριος ἐποποιός. οὗτος ἔγραψε περὶ ψαλακάνθης. ἐν τούτῳ δέ φησιν ὅτι βοτάνη ἐστὶ θαυμαστήν τινα δύναμιν ἔχουσα.

i Πτολεμαῖος στρατηγὸς κατὰ Κύπρον, ὃς οὐδαμῶς Αἰγυπτιακὸς γέγονεν, ἀλλὰ νουνεχὴς καὶ πρακτικός. παραλαβὼν γὰρ τὴν νῆσον ἔτι νηπίου τοῦ βασιλέως ὄντος ἐγίνετο μὲν ἐπιμελῶς περὶ συναγωγὴν χρημάτων, ἐδίδου δ' ἁπλῶς οὐδὲν οὐδενί, καίπερ αἰτούμενος πολλάκις ὑπὸ τῶν βασιλικῶν διοικητῶν καὶ καταλαλούμενος πικρῶς ἐν τῷ μηδὲν προΐεσθαι. τοῦ δὲ βασιλέως εἰς ἡλικίαν παραγεγονότος συνθεὶς πλῆθος ἱκανὸν χρημάτων ἐξαπέστειλεν, ὥστε καὶ τὸν Πτολεμαῖον καὶ τοὺς περὶ τὴν αὐλὴν εὐδοκῆσαι τῇ πρότερον αὐτοῦ συστολῇ καὶ τῷ μηδὲν προΐεσθαι. Polyb. 27 12.

k Πτολεμαῖος ὁ φιλοπάτωρ. οὗτος ἕκαστα τῶν πραγμάτων ὀλιγώρως χειρίζων διὰ τοὺς ἀπρεπεῖς ἔρωτας καὶ τὰς ἀλόγους καὶ συνεχεῖς μέθας, εἰκότως ἐν πάνυ βραχεῖ χρόνῳ καὶ τῆς ἀρχῆς ἅμα καὶ τῆς ψυχῆς ἐπιβούλους εὗρε καὶ πλείους, ὧν ἐγένετο Κλεομένης καὶ Θεόδοτος καὶ ἄλλοι πολλοί. Polyb. 5 34.

Πτολεμαῒς δίκη. πρεσβῦτις ἦν ἡ Πτολεμαῒς ἀρχαία, ἄχρις οὗ ἀποθάνοι δίκας λέγουσα διὰ τὸ ἀεὶ ὑπερτίθεσθαι καὶ μήποτε βούλεσθαι ἀπαλλαγῆναι τοῦ δικάζεσθαι.

πτολίπορθος ἀνδρεῖος, πόλεις πορθῶν.

πτόλισμα πόλις.

πτόρθους καὶ κλῶνας τὰς ἐκφύσεις τῶν δένδρων. οἱ δ' Ἀττικοὶ πρέμνα καὶ κλάδους καλοῦσι.

πτύγμα δίπλωμα· ἐν ἐπιγράμματι (AP 6 271) "καὶ πέπλων ὀλίγον πτύγμα Θεμισοδίκη."

πτυκτίον βιβλίον.

πτυκτῷ (Hom. Z 169) πτυσσομένῳ.

πτύξωμαι· Ἀριστοφάνης Νεφέλαις (266) "πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ," ἀντὶ τοῦ καλύψωμαι, σκεπάσομαι. καὶ Σοφοκλῆς (OC 1610) "ὃ δ' ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρόν, πτύξας ἐπ' αὐταῖς χεῖρας εἶπεν, ὦ τέκνα."

Πτυόδωρος ὄνομα κύριον.

πτύον πτυάριον.

πτύσσω τὸ ἀσφαλίζω.

πτυχαὶ αἱ τῶν ὀρῶν ἀποκλίσεις, καὶ τὰ διάφορα τῆς ἀσπίδος ἐπ' ἀλλήλοις ἐλάσματα.

πτῶκα δειλόν. καὶ πτῶκας δορκάδας, ἢ ἐλάφου νεβρούς, ἢ λαγωούς.

πτῶμα σῶμα ἄνευ τῆς κεφαλῆς.

πτώματα ἐλαιῶν Λυσίας ἐν τῷ κατὰ Νικίδου. λέγοι ἂν ἤτοι τὸν καρπὸν τὸν ἀποπεπτωκότα τῶν φυτῶν, ἢ αὐτὰ τὰ δένδρα κατά τινα τύχην πεπτωκότα. Harp.

πτώξ λαγωός· ἐν ἐπιγράμματι (AP 6 72) "εἶδον ἐγὼ τὸν πτῶκα καθήμενον ἐγγὺς ὀπώρης Βακχιάδος, πολὺν βότρυν ἀμελγόμενον."

πτώσεις. οὕτω λέγουσι κοινότερον οἱ φιλόσοφοι καὶ τὰς ὁπωσοῦν ἐγκλίσεις τε καὶ ἐκφοράς. οὐ μὴν καὶ νῦν οὕτως, ἀλλ' ἔστι σύστοιχα καὶ πτώσεις καὶ παρώνυμα, παρακεῖσθαι μὲν ἀλλήλοις δοκοῦντα, διαφέροντα δέ. καὶ πτώσεις λέγουσι τὰ ἰδίως παρά τινα ἐσχηματισμένα, ὡς τὸ γραμματικῶς· πτῶσις γὰρ τοῦτο τοῦ γραμματικός, ὁμοίως τῷ δικαίως καὶ μουσικῶς καὶ φρονίμως καὶ ἀνδρείως· πτώσεις γὰρ ταῦτα τοῦ δίκαιος καὶ μουσικὸς καὶ φρόνιμος καὶ ἀνδρεῖος. ἔστι δὴ ὁ παραδιδόμενος τόπος τοιοῦτος. ἂν ᾖ πτῶσίς τινος ἢ ὁπωσοῦν λεγομένη πλεοναχῶς, καὶ αὐτὸ πλεοναχῶς· καὶ εἰ αὐτό, καὶ ἡ πτῶσις. οἷον, ἐπεὶ τοῦ δικαίου τὸ δικαίως πτῶσις, πλεοναχῶς δὲ τὸ δικαίως, πλεοναχῶς καὶ τὸ δίκαιον· καὶ ἔμπαλιν. λέγεται δὲ τὸ δικαίως πλεοναχῶς· ὅ τε γὰρ κατὰ τὴν ἑαυτοῦ γνώμην κρίνας καὶ τὸ δόξαν αὐτῷ δίκαιον εἶναι ἀποφηνάμενος δικαίως λέγεται κεκρικέναι, κἂν μὴ οὕτω δίκαιον ᾖ τοῦτο· λέγεται δὲ δικαίως κεκρικέναι καὶ ὁ ὡς δεῖ κρίνας· ἀλλὰ καὶ ὁ τῷ νόμῳ πεισθείς, κἂν μὴ τὸ ταῖς ἀληθείαις δίκαιον οὕτως ἔχῃ. καὶ τὸ δίκαιον οὖν τῶν πλεοναχῶς λεγομένων καὶ τοσαυταχῶς. καθ' ἕκαστον γὰρ τῶν δικαίως· τό τε γὰρ κατὰ τὴν ἑαυτοῦ γνώμην καὶ τὸ ὡς δεῖ δίκαιον. τοιοῦτον καὶ τὸ νόμιμον. καὶ δῆλον ὅτι ἀντιστρέφει ὁ τόπος· καὶ γὰρ εἰ αὐτὸ πάλιν πλεοναχῶς τὸ δίκαιον, καὶ ἡ πτῶσις ἡ ἀπ' αὐτοῦ τὸ δικαίως πλεοναχῶς. κατὰ δὲ

Digitized by Google

γραμματικοὺς πτῶσίς ἐστιν ὀνόματος ἢ ὀνοματικοῦ τινὸς κατὰ τὸ τέλος κίνησις γινομένη. Alex. Aphrod. in Top. p. 105.

πτωσκαζέμεν (Hom. Δ 372) δειλιᾶν.

πτώσσοντες δειλιῶντες, καὶ πτώσσουσαν δειλιῶσαν, κρυπτομένην· (AP 7 193) "τάνδε κατ' εὔδενδρον στείβων δρίος εἴρυσα χειρὶ πτώσσουσαν βρομίας οἰνάδος ἐν πετάλοις."

πτωχεία πενίας διενήνοχεν. ἡ μὲν γὰρ πενία μεμετρημένη ἐστὶν ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα, ἡ δὲ πτωχεία παντελῶς τῆς κτήσεως ἔκπτωσις. καὶ ὁ μὲν πένης παρὰ τὸ πένεσθαι, ὅ ἐστιν ἐνεργεῖν καὶ ἐκ τούτου πορίζειν τὰ χρειώδη, εἴρηται, ὁ δὲ πτωχὸς παρὰ τὸ πτώσσειν πάντας ἀνθρώπους. Ἀριστοφάνης (Plut. 549) "οὐκοῦν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν; ὑμεῖς γ', οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον." ὃ μὲν γὰρ τύραννος, ὃ δὲ τυραννοκτόνος. cf. v. πενία.

πτωχίστερος ὡς λαλίστερος. A Ach. 424.

πτωχός ἐπαίτης, παρὰ τὸ πτώσσειν, ὅ ἐστι ταπεινοῦσθαι.

πτωχοτροφεῖον.

πτωχοῦ πήρα οὐ πίμπλαται, ἐπὶ τῶν ἀπλήστων εἴρηται. καὶ "πτωχῶν οὐλαὶ ἀεὶ κεναί." καὶ "πτωχότερος λεβηρίδος καὶ κιγκάλου."

πυανεψιῶνος ὄνομα μηνός. καὶ πυανοψία· Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμου "καὶ ἡμεῖς πυανοψίαν ταύτην τὴν ἑορτὴν καλοῦμεν, οἱ δὲ ἄλλοι Ἕλληνες πανοψίαν, ὅτι πάντας εἶδον τοὺς καρποὺς τῇ ὄψει." πυανεψιῶνος δὲ ὅτι ἑβδόμῃ τὰ πυανέψια Ἀπόλλωνι ἄγεσθαί φασι. δεῖν δέ φασι λέγειν πυανέψια, καὶ τὸν μῆνα πυανεψιῶνα· πύανα γὰρ ἕψουσιν ἐν αὐτοῖς, καὶ ἡ εἰρεσιώνη ἄγεται. Harp.

Πύανθος ὄνομα κύριον.

πυγαῖα τὰς σπείρας τῶν κιόνων, καὶ τοῦ σώματος ἡμῶν τὰ κατὰ τὸ ἱερὸν ὀστοῦν. καὶ πυγαῖος ὁ ἀκόλασος.

πύγαργος εἶδος ἀετοῦ, παρὰ τὸ πυγὴν ἔχειν ἀργὴν καὶ λευκήν.

Πύγελα. πόλις ἐν τῇ Ἰωνίᾳ τὰ Πύγελα. λαβεῖν δὲ τὸ ὄνομα, ἐπειδὴ τῶν μετὰ Ἀγαμέμνονός τινες νοσήσαντες τὰς πυγὰς ἐνταῦθα κατέμειναν. Harp.

Πύγελλα τόπος ὁ παρ' ἡμῖν λεγόμενος Φύγελλα, ὅθεν ἔστι περαιώσασθαι τὸν πρὸς Κρήτην κατάγοντα πορθμόν.

πυγή τὸ περὶ τὸν πρωκτὸν μέρος. Ἀριστοφάνης (Lys. 82) "γυμνάζομαί γε καὶ ποτὶ πυγὴν ἅλλομαι·" ἐν γὰρ τῷ γυμνάζεσθαι πηδᾶν εἰώθασι, καὶ οἱ πόδες τοῦ πηδῶντος ἅπτεσθαι τῆς πυγῆς. καὶ παροιμία "εἰς κυνὸς πυγὴν ὁρᾷ." ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμοὺς ἤτοι ὀφθαλμιώντων ἔλεγον "ἐς κυνὸς πυγὴν ὁρᾶν καὶ τριῶν ἀλωπέκων" (A Eccl. 255).

πυγιδίων ὀνύχων· Ἀριστοφάνης (Ach. 637) "εἰ γάρ τις εἴποι ἰοστεφάνους, εὐθὺς ἐπ' ἄκρων πυγιδίων κάθησθε," ἀντὶ τοῦ ἐπ' ἄκρων τῶν ὀνύχων· οἱ γὰρ ἡδέως τι ἀκούοντες δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι.

Πυγμαλῖνος ὄνομα κύριον. καὶ Πυγμαλίωνος.

πυγμή πάλη, σύγκλεισις δακτύλων, γρόνθος.

πυγοστόλος προαγωγός, μαυλίστρια· Ἡσίοδος (O. 371) "μηδὲ γυνή σε πυγοστόλος ἐξαπατάτω."

πυδαλίζω πηδῶ. sch. A Eq. 694.

Πυδναίους ὄνομα ἔθνους.

πυελίδα τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον. οὕτως Λυσίας καὶ Ἀριστοφάνης. Harp.

πύελος ὄρυγμα, ἐμβατή, ἔνθα ἀπολούονται.

πύελος θήκη· "ἐπιστολὴν πέμπει ἐν Βυζαντίῳ, τῇ πυέλῳ τῶν ἱερῶν λειψάνων τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου τὸν τοιοῦτον χάρτην ἐπιτεθεικώς, κἀκεῖθεν τοῦτον ταῖς χερσὶ τοῦ ἀποσταλέντος ἀρθῆναι ποιήσας." (Diog. L. 10 16) "θερμὴν εἰς πύελον γὰρ ἐσήλυθε, καὶ τὸν ἄκρητον ἔσπασεν· εἶτ' Ἀίδην ψυχρὸν ἐπεσπάσατο."

Πυθαγόρας Ἐφέσιος, καταλύσας δι' ἐπιβουλῆς τὴν τῶν Βασιλιδῶν καλουμένην ἀρχήν, ἀνεφάνη τε τύραννος πικρότατος, καὶ τῷ μὲν δήμῳ καὶ τῇ πληθύι ἦν τε καὶ ἐδόκει κεχαρισμένος, ἅμα τὰ μὲν αὐτοὺς ἐπελπίζων ὑποσχέσεσιν, τὰ δὲ ὑποσπείρων αὐτοῖς ὀλίγα κέρδη, τούς γε μὴν ἐν ἀξιώσει τε καὶ δυνάμει περισυλῶν καὶ δημεύων φορητὸς οὐδαμὰ οὐδαμῇ ἦν. καὶ κολάσαι δὲ πικρότατα οὐκ ἂν ὤκνησε καὶ ἀφειδέστατα ἀποκτεῖναι οὐδὲν ἀδικοῦντας· ἐξελύττησε γὰρ εἰς ταῦτα ἔρως τε χρημάτων ἄμετρος, καὶ

διαβολαῖς ταῖς εἰς τοὺς πλουσίους ἐκριπισθῆναι κουφότατος ἦν. ἀπέχρησε μὲν οὖν καὶ ταῦτα ἂν κάκιστα ἀνθρώπων ἀπολέσαι αὐτόν· ἤδη δὲ καὶ τοῦ θείου κατεφρόνει. τῶν γοῦν προειρημένων, οἷς ἐπέθετο, παμπόλλους ἐν τοῖς ναοῖς ἀπέκτεινεν· ἑνὸς δὲ τὴν θυγατέρα καταφυγοῦσαν εἰς τὸ ἱερὸν ἀναστῆσαι μὲν αὐτὴν βιαίως οὐκ ἐτόλμησε, συνεχῆ δὲ φυλακὴν ἐπιστήσας ἐξετρύχωσεν ἄρα ἐς τοσοῦτον ὡς βρόχῳ τὴν κόρην τὸν λιμὸν ἀποδρᾶναι. οὐκοῦν ἠκολούθησε δημοσίᾳ νόσος καὶ τροφῶν ἀπορία, καὶ σαλεύων ὁ Πυθαγόρας ὑπὲρ ἑαυτοῦ εἰς Δελφοὺς ἀπέστειλε, καὶ ᾔτει λύσιν τῶν κακῶν· ἡ δὲ ἔφη νεὼν ἀναστῆσαι καὶ κηδεῦσαι τοὺς νεκρούς. ἦν δὲ πρὸ Κύρου τοῦ Πέρσου, ὡς φησὶ Βύτων. Aelianus?

b **Πυθαγόρας** Σάμιος, φύσει δὲ Τυρρηνός, Μνησάρχου υἱὸς δακτυλιογλύφου. νέος δὲ ὢν σὺν τῷ πατρὶ ἐκ Τυρρηνίας ᾤκησεν εἰς Σάμον. οὗτος ἤκουσε πρῶτον Φερεκύδου τοῦ Συρίου ἐν Σάμῳ, εἶτα Ἑρμοδάμαντος ἐν τῇ αὐτῇ Σάμῳ, ὃς ἦν ἀπόγονος Κρεωφύλου, εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρητος τοῦ μάγου. παιδευθεὶς δὲ καὶ παρ' Αἰγυπτίοις καὶ Χαλδαίοις ἦλθεν εἰς Σάμον, καὶ εὑρὼν αὐτὴν τυραννουμένην ὑπὸ Πολυκράτους ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας, καὶ σχολὴν συστησάμενος πλεῖον ἢ ἑξακοσίους ἔσχε γνωρίμους. ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ δύο, πρεσβύτερος μὲν Εὔνομος, μέσος δὲ Τυρρηνός. δοῦλος δὲ ἦν αὐτῷ Ζάμολξις, ᾧ Γέται ὡς Κρόνῳ θύουσι. γαμετὴν δ' ἐποιήσατο Θεανὼ τὴν Βροντίνου τοῦ Κροτωνιάτου θυγατέρα· ἐξ ἧς καὶ παῖδες αὐτῷ ἐγένοντο δύο, Τηλαύγης καὶ Δάμων ἢ ὥς τινες Μνήσαρχος, κατὰ δέ τινας καὶ θυγάτηρ Μυῖα ὄνομα, κατὰ δὲ ἄλλους καὶ Ἀριγνώτη. συνέγραψε δὲ ὁ Πυθαγόρας μόνα τρία βιβλία, παιδευτικόν, πολιτικόν· τὸ δὲ φερόμενον τρίτον ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ γενομένου καὶ φυγόντος εἰς Θήβας καὶ καθηγησαμένου Ἐπαμεινώνδα. τινὲς δὲ ἀνατιθέασιν αὐτῷ καὶ τὰ χρυσᾶ ἔπη. πρῶτος δὲ ὁ Πυθαγόρας ἐμψύχων ἀπέχεσθαι τροφῆς παρέδωκε καὶ κυάμων. ἐτελεύτα δὲ ὁ Πυθαγόρας τοῦτον τὸν τρόπον. συνεδρεύοντος μετὰ τῶν συνήθων ἐν τῇ Μίλωνος οἰκίᾳ, τούτου ὑπό τινος τῶν μὴ παραδοχῆς ἀξιωθέντων διὰ φθόνον ὑποπρησθῆναι τὴν οἰκίαν συνέβη. τινὲς δὲ αὐτοὺς τοὺς Κροτωνιάτας τοῦτο πρᾶξαι, τυραννίδος ἐπίθεσιν εὐλαβουμένους. τὸν δὴ Πυθαγόραν καταληφθῆναι διεξιόντα, καὶ πρός τινι χωρίῳ γενόμενος πλήρει κυάμων, ἵνα διήρχετο, αὐτόθι ἔστη, εἰπὼν ἁλῶναι μᾶλλον ἢ πατῆσαι, ἀναιρεθῆναι δὲ κρεῖττον ἢ λαλῆσαι· καὶ ὧδε πρὸς τῶν διωκόντων ἀποσφαγῆναι. οὕτω δὲ καὶ τοὺς πλείστους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τοὺς μ'. Diog. L. 8 39.

περὶ τούτου φησὶ Φιλόστρατος (V. A. 1 1) c οἱ τὸν Σάμιον Πυθαγόραν ἐπαινοῦντες τάδε ἐπ' αὐτῷ φασίν, ὡς Ἴων μὲν οὔπω εἴη, γένοιτο δὲ ἐν Τροίᾳ ποτὲ Εὔφορβος, ἀναβιῴη τε ἀποθανών, ἀποθάνοι δ' ὡς ᾠδαὶ Ὁμήρου, ἐσθῆτά τε τὴν ἀπὸ θνησειδίων παραιτοῖτο, καὶ καθαρεύοι βρώσεως ὁπόση ἐμψύχων, καὶ τοῦ θῦσαι· μὴ γὰρ αἱμάττειν τοὺς βωμούς, ἀλλ' ἡ μελιττοῦττα καὶ ὁ λιβανωτὸς καὶ τὸ ἐφυμνῆσαι, φοιτᾶν ταῦτα τοῖς θεοῖς παρὰ τοῦ ἀνδρὸς τούτου· γινώσκειν τε ὡς ἀσπάζοιντο τὰ τοιαῦτα οἱ θεοὶ μᾶλλον ἢ τὰς ἑκατόμβας καὶ τὴν μάχαιραν ἐπὶ τοῦ κανοῦ· ξυνεῖναι γὰρ δὴ τοῖς θεοῖς, καὶ μανθάνειν παρ' αὐτῶν ὅπῃ τοῖς ἀνθρώποις χαίρουσι καὶ ὅπῃ συνάχθονται. περί τε φύσεως ἐκεῖθεν λέγειν. τοὺς μὲν γὰρ ἄλλους τεκμαίρεσθαι τοῦ θείου, καὶ δόξας ἀνομοίας ἀλλήλαις περὶ αὐτοῦ δοξάζειν· ἑαυτῷ δὲ τόν τε Ἀπόλλω ἥκειν ὁμολογοῦντα ὡς αὐτὸς εἴη, ξυνεῖναι δ' αὖ καὶ μὴ ὁμολογοῦντας τήν Ἀθηνᾶν καὶ τὰς μούσας καὶ θεοὺς ἑτέρους, ὧν τὰ εἴδη καὶ τὰ ὀνόματα οὔπω τοὺς ἀνθρώπους γινώσκειν. καὶ ὅ τι ἀποφήναιτο ὁ Πυθαγόρας, νόμον τοῦτο οἱ ὁμιληταὶ ἡγοῦντο, καὶ ἐτίμων αὐτὸν ὡς ἐκ Διὸς ἥκοντα. καὶ ἡ σιωπὴ δὲ ὑπὲρ τοῦ θείου σφίσιν ἐπήσκητο· πολλὰ γὰρ θεῖά τε καὶ ἀπόρρητα ἤκουον, ὧν κρατεῖν χαλεπὸν ἦν μὴ πρῶτον μαθοῦσιν ὅτι καὶ τὸ σιωπᾶν λόγος. καὶ μὴν τὸν Ἀκραγαντῖνον Ἐμπεδοκλέα βαδίσαι φασὶ τὴν σοφίαν ταύτην· τὸ γὰρ "χαίρετ', ἐγὼ δ' ὕμμιν θεὸς ἄμβροτος, οὐκέτι θνητός" καὶ "ἤδη γάρ ποτ' ἐγὼ γενόμην κούρη τε κόρος τε," καὶ ὁ ἐν Ὀλυμπίᾳ βοῦς, ὃν λέγεται πέμμα ποιησάμενος θῦσαι, τὰ Πυθαγόρου ἐπαινοῦντος εἴη ἄν.

Πυθαγόρας ὁ Σάμιος φιλόσοφος, διότι d τὴν ἀλήθειαν ἠγόρευεν οὐχ ἧττον τοῦ Πυθίου. ὃς παρηγγύα τοῖς μαθηταῖς ἑκάστοτε

Google

ταῦτα λέγειν εἰς τὸν οἶκον εἰσιοῦσι "πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;" Diog. L. 8 21.

e *Πυθαγόρας ὄνομα κύριον. καὶ Πυθαγόρειος λόγος, καὶ Πυθαγόρειοι ἄνδρες.*

ὅτι Πυθαγόρα τὰ σύμβολα ἦν τάδε, πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, ζυγὸν μὴ ὑπερβαίνειν, ἐπὶ χοίνικος μὴ καθίζειν, καρδίαν μὴ ἐσθίειν, φορτίον συγκαθαιρεῖν μηδὲ συνεπιτιθέναι, τὰ ςρώματ' ἀεὶ συνδεδεμένα ἔχειν, ἐν δακτυλίῳ θεοῦ εἰκόνα μὴ περιφέρειν, χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ, δᾳδίῳ θᾶκον μὴ ὀμόργνυσθαι, πρὸς ἥλιον τετραμμένον μὴ ὀμιχεῖν, ἐκτὸς λεωφόρε μὴ βαδίζειν, μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν, ὁμωροφίας χελιδόνας μὴ ἔχειν, γαμψώνυχα μὴ τρέφειν, ἀπονυχίσμασι καὶ κουραῖς μὴ ἐπουρεῖν μηδὲ ἐφίςασθαι, ὀξεῖαν μάχαιραν ἀποςρέφειν, ἀποδημοῦντα ἐν τοῖς ὅροις ἀνεπιςρεπτεῖν. ἤθελε δὲ αὐτῷ τὸ μὲν πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, ὅτι δυναςῶν ὀργὴν καὶ οἰδούντων θυμὸν μὴ κινεῖν· τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν, τουτέςι τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν· ἐπί τε χοίνικος μὴ καθίζειν ἐν ἴσῳ τῷ φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ὁ γὰρ χοῖνιξ ἡμερήσιος τροφή. διὰ δὲ τοῦ καρδίαν μὴ ἐσθίειν ἐδήλε μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν· διὰ δὲ τοῦ εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιςρέφεσθαι παρῄνει τὸ ἀπαλλαττομένοις τοῦ βίε μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν, μηδ' ὑπὸ τῶν ἐνθάδε ἡδονῶν ὑπάγεσθαι. καὶ τἆλλα πρὸς ταῦτα λοιπὸν ἔςιν ἐκλαμβάνειν, ἵνα μὴ παρέλκωμεν. παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτε ἐρυθρῖνον ἐσθίειν μήτε μελάνουρον, καρδίας τε ἀπέχεσθαι καὶ κυάμων καὶ μήτρας καὶ τρίγλης. ἐνίοτε δ' αὐτὸν ἀρκεῖσθαι μέλιτι μόνῳ ἢ τυρῷ ἢ ἄρτῳ· οἴνου δὲ μεθ' ἡμέραν μὴ γεύεσθαι, ὄψου τε τὰ πολλὰ λαχάνοις ἑφθοῖς καὶ ὠμοῖς, τοῖς δὲ θαλαττίοις σπανίως. ςολὴ δὲ αὐτῷ λευκὴ καὶ καθαρά, καὶ ςρώματα λευκὰ ἐξ ἐρίων· τὰ γὰρ λινᾶ οὔπω εἰς ἐκείνους ἀφίκετο τοὺς τόπους. οὐδὲ πώποτε δὲ ἐγνώσθη οὔτε διαχωρῶν οὔτε ἀφροδισιάζων οὔτε μεθυσθείς. ἀπείχετο δὲ καταγέλωτος καὶ πάσης ἀρεσκείας, οἷον σκωμμάτων καὶ διηγημάτων φορτικῶν. ὀργιζόμενός τε οὔτε οἰκέτην ἐκόλαζεν οὔτε ἐλεύθερον οὐδένα. ἐκάλει δὲ τὸ νουθετεῖν πελαργᾶν. μαντικῇ τε ἐχρῆτο τῇ διὰ τῶν κληδόνων τε καὶ οἰωνῶν, ἥκιςα δὲ διὰ τῶν ἐμπύρων, ἔξω τῆς διὰ λιβάνε. θυσίαις τε ἐχρῆτο ἀψύχοις· οἱ δὲ ἀλεκτορίσι μόνον καὶ ἐρίφοις καὶ γαλαθηνοῖς. φασὶ δὲ αὐτὸν συγχωρεῖν πάντα τὰ ἔμψυχα ἐσθίειν, μόνε δ' ἀπέχεσθαι βοὸς ἀροτῆρος καὶ κριε. τὰ δὲ δόγματα ἔλαβε παρὰ τῆς ἀδελφῆς Θεοκλείας. φασὶ δ' αὐτὸν κατελθόντα εἰς Ἅιδου τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην καὶ τρίζουσαν, τὴν δὲ Ὁμήρε κρεμαμένην ἀπὸ δένδρε καὶ ὄφεις περὶ αὐτήν, ἀνθ' ὧν εἶπον περὶ θεῶν· κολαζομένους δὲ καὶ τοὺς μὴ θέλοντας συνεῖναι ταῖς ἑαυτῶν γυναιξί. σφάγια δὲ θεοῖς προσφέρειν ἐκώλυε, βωμὸν δὲ προσκυνεῖν τὸν ἀναίμακτον. μηδὲ ὀμνύναι θεούς, ἀσκεῖν δὲ ἑαυτὸν δεῖν ἀξιόπιςον παρέχειν. τοὺς πρεσβυτέρους τιμᾶν δεῖν, τὸ προηγούμενον τῷ χρόνῳ τιμιώτερον ἡγουμένους ὡς ἐν κόσμῳ ἀνατολὴν δύσεως, ἐν βίῳ τὴν ἀρχὴν τελευτῆς, ἐν ζωῇ γένεσιν φθορᾶς. καὶ θεὸν μὲν δαιμόνων προτιμᾶν, ἥρωας δὲ ἀνθρώπων, ἀνθρώπων δὲ μάλιςα γονέας. ἀλλήλοις τε ὁμιλεῖν ὡς τοὺς μὲν φίλες ἐχθρὲς μὴ ποιῆσαι, τοὺς δὲ ἐχθροὺς φίλους ἐργάσασθαι. ἴδιόν τε μηδὲν ἡγεῖσθαι. νόμῳ βοηθεῖν, ἀνομίᾳ πολεμεῖν. φυτὸν ἥμερον μήτε φθίνειν μήτε σίνεσθαι, ἀλλὰ μηδὲ ζῷον, ὃ μὴ βλάπτει ἀνθρώπους. αἰδῶ καὶ εὐλάβειαν εἶναι· μήτε καταγέλωτι κατέχεσθαι μήτε σκυθρωπάζειν. φεύγειν σαρκῶν πλεονασμόν. ὁδοιπορίας ἄνεσιν καὶ ἐπίτασιν ποιεῖσθαι. μνήμην ἀσκεῖν. ἐν ὀργῇ μήτε τι λέγειν μήτε πράσσειν. μαντικὴν πᾶσαν τιμᾶν. ᾠδαῖς χρῆσθαι πρὸς λύραν, ὕμνῳ τε θεῶν καὶ ἀνδρῶν ἀγαθῶν εὔλογον ἔχειν χάριν. τῶν δὲ κυάμων ἀπέχεσθαι διὰ τὸ πνευματώδεις ὄντας μάλιςα μετέχειν τοῦ ψυχικοῦ, καὶ ἄλλως κοσμιωτέρας ἀπεργάζεσθαι μὴ παραληφθέντας τὰς γαςέρας, καὶ διὰ τοῦτο καὶ τὰς καθ' ὕπνους φαντασίας λείας τε καὶ ἀταράχους ἀποτελεῖν.

ἐν ὑπομνήμασι δὲ Πυθαγορικοῖς καὶ ταῦτα εὕρηται. ἀρχὴν μὲν τῶν ἁπάντων μονάδα, ἐκ δὲ τῆς μονάδος ἀόριςον δυάδα ὡς ἂν ὕλην τῇ μονάδι αἰτίῳ ὄντι ὑποςῆναι, ἐκ δὲ τῆς μονάδος καὶ τῆς ἀορίςου δυάδος τοὺς ἀριθμούς, ἐκ δὲ τῶν ἀριθμῶν τὰ σημεῖα, ἐκ δὲ τούτων τὰς γραμμάς, ἐξ ὧν τὰ ἐπίπεδα σχήματα, ἐκ δὲ τῶν ἐπιπέδων τὰ ςε-

ρεὰ σχήματα, ἐκ δὲ τέτων τὰ αἰσθητὰ σώματα, ὧν καὶ τὰ ϛοιχεῖα εἶναι δ', πῦρ ὕδωρ γῆν ἀέρα· ἃ μεταβάλλειν καὶ τρέπεσθαι δι' ὅλων, καὶ γίνεσθαι ἐξ αὐτῶν κόσμον ἔμψυχον νοερὸν σφαιροειδῆ, μέσην περιέχοντα τὴν γῆν καὶ αὐτὴν σφαιροειδῆ καὶ οἰκουμένην. εἶναι δὲ καὶ ἀντίποδας, καὶ τὰ ἡμῖν κάτω ἐκείνοις ἄνω. ἰσόμοιρά τε εἶναι ἐν τῷ κόσμῳ φῶς καὶ σκότος, θερμὸν καὶ ψυχρόν, ξηρὸν καὶ ὑγρόν· ὧν κατ' ἐπικράτειαν θερμοῦ μὲν θέρος γίνεσθαι, ψυχροῦ δὲ χειμῶνα, ἐὰν δὲ ἰσομοιρῇ, τὰ κάλλιϛα εἶναι τοῦ ἔτευς, οὗ τὸ μὲν θάλλον ἔαρ ὑγιεινόν, τὸ δὲ φθῖνον φθινόπωρον νοσερόν. ἀλλὰ καὶ τῆς ἡμέρας θάλλειν μὲν τὴν ἕω, φθίνειν δὲ τὴν ἑσπέραν· ὅθεν καὶ νοσερωτέραν εἶναι. τόν τε περὶ τὴν γῆν ἀέρα ἄσειϛον καὶ νοσερόν, καὶ τὰ ἐν αὐτῷ πάντα θνητά, τὸν δὲ ἀνωτάτω ἀεικίνητον εἶναι καὶ καθαρὸν καὶ ὑγιᾶ, καὶ πάντα τὰ ἐν αὐτῷ ἀθάνατα καὶ διὰ τοῦτο θεῖα· ἐπικρατεῖ γὰρ τὸ θερμὸν ἐν αὐτοῖς, ὅπερ ἐϛὶ ζωῆς αἴτιον. τήν τε σελήνην λάμπεσθαι ὑφ' ἡλίου. καὶ ἀνθρώπων εἶναι πρὸς θεοὺς συγγένειαν κατὰ τὸ μετέχειν ἄνθρωπον θερμȣ. εἱμαρμένην τε τῶν ὅλων καὶ κατὰ μέρος αἰτίαν εἶναι τῆς διοικήσεως. διήκειν τε ἀπὸ τοῦ ἡλίου ἀκτῖνα διὰ τοῦ αἰθέρος τοῦ τε ψυχροῦ καὶ παχέος· ταύτην δὲ τὴν ἀκτῖνα καὶ εἰς τὰ βένθη δύεσθαι, καὶ διὰ τοῦτο ζωοποιεῖν πάντα. τὰ λοιπὰ παρῆκα, ἵνα μὴ παρέλκωμεν. Diog. L. 8 17 — 38.

g ὅτι τὰ πίπτοντα ἀπὸ τῆς τραπέζης μὴ ἀναιρεῖσθαι παρεκελεύετο Πυθαγόρας, ἢ διὰ τὸ μὴ ἐθίζεσθαι ἀκολάϛως ἐσθίειν, ἢ ὅτι ἐπὶ τελευτῇ τινός· Ἀριστοφάνης γὰρ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα. μήτε δὲ τὰ ἐντὸς τῆς τραπέζης πίπτοντα ἀναιρεῖσθαι, μήτε λευκὸν ἀλεκτρυόνα ἐσθίειν ὡς ἱερὸν τȣ ἡλίου καὶ τὰς ὥρας μηνύοντα. τοὺς κυάμȣς δὲ ἀποτρέπεσθαι, ὅτι αἰδοίοις ἐοίκασι, καὶ τȣς ἅλας παρατίθεσθαι πρὸς ὑπόμνησιν τȣ δικαίου· οἱ γὰρ ἅλες πᾶν σώζουσιν ὅ τι καὶ παραλάβωσι, καὶ γεγόνασιν ἐκ τῶν καθαρωτάτων, ὕδατος καὶ θαλάσσης. ἄρτον δὲ μὴ καταγνύειν, ὅτι ἐπὶ ἕνα οἱ παλαιοὶ ἐφοίτων, καὶ μὴ διαιρεῖν ὃς συνάγει ἐφ' ἑαυτόν, ἢ ὅτι εἰς πόλεμον δειλίαν ἐμποιεῖ. id. 8 34.

h Ἀριϛοφῶν λέγει περὶ τῶν Πυθαγοριϛῶν "καταβὰς εἰς τὴν δίαιταν τῶν κάτω ἰδεῖν ἑκάϛους, διαφέρειν δὲ πάμπολυ τοὺς Πυθαγοριϛὰς τῶν νεκρῶν· μόνοισι γὰρ τούτοισι τὸν Πλούτωνα συσσιτεῖν ἔφη δι' εὐσέβειαν. εὔχερῆ θεὸν λέγεις, εἰ τοῖς ῥύπου μεϛοῖσιν ἥδεται ξυνών. ἐσθίουσι δὲ λάχανά τε καὶ πίνȣσιν ἐπὶ τούτοις ὕδωρ. φθεῖρας δὲ καὶ τρίβωνα τήν τ' ἀλουσίαν οὐδεὶς ἂν ὑπομείνειε τῶν νεωτέρων." καὶ παροιμία "σιωπηλότερος ἔσομαι καὶ τῶν Πυθαγόρᾳ τελεσθέντων·" πενταετῆ γὰρ χρόνον ἤσκȣν σιωπήν. id. 38? cf. v. σιωπή.

τῶν δὲ Πυθαγορείων οἱ μὲν περὶ θεω- i
ρίαν καταγινόμενοι ἐκαλοῦντο σεβαϛικοί, οἱ δὲ περὶ τὰ μαθήματα γεωμετρικοὶ καὶ μαθηματικοί. καὶ οἱ μὲν τῷ Πυθαγόρᾳ συγγενόμενοι ἐκαλοῦντο Πυθαγορικοί, οἱ δὲ τούτων μαθηταὶ Πυθαγόρειοι, οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ Πυθαγοριϛαί. ἐμψύχων δὲ ἀπείχοντο. Vit. Pythag. ap. Phot. p. 438 b.

ὅτι ἀπὸ τῶν Αἰγυπτίων ὁ Πυθαγόρας ἐξήνεγκε τὰ τῆς αὐτοῦ δόξης εἰς Ἕλληνας.

Πυθέας Ἀθηναῖος ῥήτωρ, υἱὸς δὲ ἦν μυλωθροῦ καὶ θρασὺς σφόδρα· φυγών τε Ἀθήνηθεν ἐκ τοῦ δεσμωτηρίου διὰ ὄφλημα εἰς Μακεδονίαν ἦλθεν, εἶτα ἐπανῆκε πάλιν. ἔγραψε λόγους δημηγορικοὺς καὶ δικανικοὺς καὶ ἄλλα τινά. ἀλλ' οὐκ ἐνεκρίθη μετὰ τῶν λοιπῶν ῥητόρων ὡς θρασὺς καὶ διεσπασμένος.

πυθέσθαι τὸ ἐρωτῆσαι. μέσος ἀόριϛος, ἀπὸ τοῦ πεύθω. *πεύθεσθαι* δὲ τὸ ἀκȣ́ειν.

Πυθία ἡ μαντεία.

Πύθια καὶ Δήλια. φασὶ Πολυκράτη τὸν Σάμου τύραννον Πύθια καὶ Δήλια ποιήσαντα ἅμα ἐν Δήλῳ πέμψαι εἰς θεȣ̃ χρησόμενον εἰ τὰ τῆς θυσίας ἄγει κατὰ τὸ ὡρισμένον· τὴν δὲ Πυθίαν ἀνελεῖν "ταῦτά σοι καὶ Πύθια καὶ Δήλια," βουλομένην δηλοῦν ὅτι ἔσχατα· μετ' ὀλίγον γὰρ χρόνον αὐτὸν ἀπολέσθαι συνέβη. Ἐπίκȣρος δὲ ἔν τινι τῶν πρὸς Ἰδομενέα ἐπιϛολῶν ταῦτα ⟨cf. v. ταῦτά σοι καὶ Π.⟩. λέγεται δὲ καὶ Πυθοῖ, τȣτέϛιν ἐν τοῖς Πυθίοις· Ἀριϛοφάνης ⟨Lys. 1133⟩ "Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ."

Πυθιὰς βοή ἡ μετ' αὐλȣ̃ γινομένη βοή, τὸ Πύθιον μέλος· ἔνθεν καὶ πυθαύλης λέγεται. οὕτω δὲ ἔλεγον τὸν παιᾶνα. sch. A Av. 858.

πύθιοι δ' ἄνδρες αἱρετοὶ παρὰ Λάκωσι, β' καθ' ἕκαϛον βασιλέα σύσσιτοι ⟨Herodot. 6 57⟩.

Digitized by Google

Πύθιον ἱερὸν Ἀπόλλωνος Ἀθήνησιν ὑπὸ Πεισιστράτου γεγονός, εἰς ὃ τοὺς τρίποδας ἐτίθεσαν οἱ τῷ κυκλίῳ χορῷ νικήσαντες τὰ Θαργήλια. καὶ Πύθιος ὁ Ἀπόλλων.

Πυθιονίκης ὄνομα κύριον.

πυθμὴν τὸ ἔσχατον μέρος καὶ τελευταῖον παντὸς οὑτινοσοῦν σκεύους. καὶ πυθμένας λόγων ἐκάλει Πρωταγόρας ὁ φιλόσοφος τὰς τῶν λόγων διαιρέσεις· οὗτος γὰρ διεῖλε πρῶτος τὸν λόγον ἐς δ', ··· προσαγόρευσιν ⟨cf. v. Πρωταγόρας⟩.

πυθοίατο ⟨Hom. Α 257⟩ μάθοιεν.

πυθόληπτος ὑπὸ τοῦ Πυθίου ληφθείς.

πυθόμενος ἐρωτήσας.

πύθοντο ἠρώτων καὶ ἤκουον.

πύθου Χελιδόνος, παροιμία ἀπό τινος Χελιδόνος θεολόγου καὶ τερατοσκόπου καὶ περὶ τελετῶν διειλεγμένου, ὡς Μνασέας ὁ Πατρεὺς ἐν τῷ Περίπλῳ. οἱ δὲ ὅτι τὸ ἔαρ προσημαίνει.

Πυθώ. Φωκὶς χώρα ἐστὶ τῆς Ἑλλάδος, περὶ ἣν πόλις ἡ καλουμένη Δελφοί· περὶ ἣν πόλιν ἦν ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ ἐκαλεῖτο Πυθώ, ἐν ᾧ χαλκοῦς τρίπους ἵδρυτο, καὶ ὕπερθεν φιάλη ἣ τὰς μαντικὰς εἶχε ψήφους, αἵτινες ἐρομένων τῶν μαντευομένων ἥλλοντο, καὶ ἡ Πυθία ἐμφορουμένη ἤτοι ἐνθουσιῶσα ἔλεγεν ἃ ἐξέφερεν ὁ Ἀπόλλων.

πύθω σήπω, καὶ πυθόμενος σηπόμενος. ἔνθεν καὶ ἡ Πυθία, διὰ τὸ ἐν ἐκείνῳ τῷ τόπῳ σαπῆναι τὸ τοῦ δράκοντος σῶμα. Λύκος δὲ ὁ Νεαπολίτης καὶ τὸ πῦον ἐντεῦθεν ὀνομασθῆναί φησιν· ἔστι γὰρ σεσηπὸς αἷμα.

Πύθωνος δαιμονίου μαντικοῦ. "τάς τε πνεύματι Πύθωνος ἐνθουσιώσας καὶ φαντασίαν κυήσεως παρεχομένας τῇ τοῦ δαιμονίου περιφορᾷ ἠξίου τὸ ἐσόμενον προαγορεῦσαι· αἱ δὲ τῷ δαιμονίῳ κάτοχοι ἔφασκον τὴν νίκην Μήδοις παρέσεσθαι."

πύκα συχνῶς, ἐπιμελῶς.

πύκαζε· Σοφοκλῆς ⟨Ai. 581⟩ "πύκαζε θᾶσσον· οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι."

πυκάζει καλύπτει, σκεπάζει. καὶ πυκάζουσι σκιάζουσι, στεφανοῦσι. καὶ ἐν ἐπιγράμμασι ⟨AP 5 12⟩ "λουσάμενοι, Προδόκη, πυκασώμεθα, καὶ τὸν ἄκρατον ἕλκωμεν."

πυκάζεται σκεπάζεται, κοσμεῖται.

πυκάζουσι, τουτέστι πεπυκνωμένοις, στενοχωρουμένοις· Δαβίδ ⟨Ps. 117 27⟩ "ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου."

πύκασεν ⟨Hom. Κ 271⟩ ἐκόσμησε.

πυκασμὸς δασύτης.

πυκινή πυκνή. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ δυνατή· "ταῦτα διαιτῆσαι πυκινή."

πυκνάζεις συχνάζεις.

Πύκνη. ἡ τῶν Ἀθηναίων ἐκκλησία οὕτως ἐκαλεῖτο. Κλείδημος δέ φησιν οὕτως ὀνομασθῆναι διὰ τὸ τὴν συνοίκησιν πυκνουμένην εἶναι.

Πυκνί, ὡς ἐν τῷ ⟨A Eq. 746⟩ "πλὴν μὴν τῇ Πυκνί." καὶ Πυκνίτης· ⟨Eq. 42⟩ "δῆμος Πυκνίτης." Πνὺξ τόπος Ἀθήνησιν ἔνθα ἐκκλησίαζον οἱ Ἀθηναῖοι. ὥσπερ δὲ πολίτην τῆς Πυκνὸς Πυκνίτην εἶπε. Πνὺξ δὲ λέγεται παρὰ τὸ πυκνοῦσθαι. καὶ τὸ ἐν Ἀθήναις δὲ δικαστήριον Πνὺξ ἐκαλεῖτο.

πυκνὸς ὁ δυνατός.

πυκνότης σύνεσις, φρόνησις· ⟨A Eq. 1136⟩ "χοὔτω μὲν ἂν εὖ ποιοῖς, εἴ σοι πυκνότης ἔνεστι."

πύκνωσις κατὰ προστάτην καὶ ἐπιστάτην, τουτέστι πύκνωσις κατὰ μῆκος καὶ βάθος. κατέχει δὲ ὁ πεπυκνωμένος ἀνὴρ πήχεις β', ὁ δὲ ἁπλῶς ταττόμενος πήχεις δ'.

πυκτεύειν εἶδος γυμνασίου καὶ παλαίστρας.

πύκτης παγκρατιαστής, ἀθλητής. καὶ πυκτεῖον ἐν ᾧ οἱ πύκται ἀγωνίζονται. πυκτίον δὲ τὸ πινακίδιον. καὶ πυκτίζω.

πυλαγόραι οἱ πεμπόμενοι εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων τὴν Πυλαίαν. καὶ κατὰ πόλιν δὲ ἔπεμπον τοὺς θύσοντας καὶ συνεδρεύσοντας. ἦσαν δὲ οἱ πεμπόμενοι πυλαγόραι καὶ ἱερομνήμονες. λέγουσι δὲ ὅτι Πυλάδης πρῶτος ἐκρίθη ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ, καὶ ἐξ αὐτοῦ τὸ ὄνομα εἶναι. ἀπῄεσαν δὲ καὶ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις.

Πυλάδης Κίλιξ ἀπὸ κώμης Μησαρνῶν, ἔγραψε περὶ ὀρχήσεως τῆς Ἰταλικῆς, ἥτις καὶ ὑπ' αὐτοῦ εὑρέθη ἀπὸ τῆς κωμικῆς καλουμένης ὀρχήσεως, ἣ ἐκαλεῖτο κόρδαξ, καὶ τῆς σατυρικῆς, ἥτις ἐμμέλεια. Athen. p. 20.

Πύλαι καὶ Πυλαία καὶ πυλαγόρας. Πύλαι μὲν καλοῦνται αἱ Θερμοπύλαι, ἐκλήθησαν δὲ οὕτω διὰ τὸ στενὴν εἶναι ταύτην εἴσοδον ἀπὸ Θετταλίας εἰς τὴν Φωκίδα πο-

ῥευομένοις· Πυλαία δὲ ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμφικτυόνων. ἐπέμποντο δὲ ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς Ἀμφικτυονίας τινές, οἵπερ ἐκαλοῦντο πυλαγόραι. Harp.

πύλαι δικαιοσύνης αἱ διάφοροι τῆς ἀρετῆς ἰδέαι· δι' ἐκείνων γὰρ δυνατὸν ἀξίως ὑμνῆσαι τὸν τῶν ὅλων θεόν. καὶ Δαβίδ "ἀνοίξατέ μοι πύλας δικαιοσύνης." Theodoret. in Ps. 117 19.

πυλαιασάς τοὺς μηδὲν ὑγιὲς μήτε λέγοντας μήτε πράσσοντας, διὰ τὸ παραγενέσθαι τοιούτους τινὰς ἀνθρώπους εἰς τὸν προειρημένον τόπον.

Πυλαιμένης ὄνομα κύριον. Hom. B 851.

Πυλαῖος ὄνομα κύριον.

πυλάρτου τοῦ τὰς πύλας ἰσχυρῶς ἐπαρτῶντος. καὶ πυλάρταο ⟨Hom. Θ 367⟩ ὁμοίως.

πύλας οὐρανοῦ Ὅμηρος τὰ νέφη λέγει ⟨E. 749⟩.

πυλεῶνος τοῦ πυλῶνος.

πύλη ἐπὶ τείχους παρὰ Θουκυδίδῃ ⟨2 4⟩, θύρα δὲ ἐπὶ οἴκου.

πύλη ἱππήλατος, δι' ἧς εἰσεληλύθεισαν.

Πύλιος.

πύλῳ παρ' Ὁμήρῳ ⟨E 397⟩ ἀντὶ τοῦ ἐν πύλῃ· "ἐν πύλῳ, ἐν νεκύεσσιν," ὡς δείελον τὴν δείλην καὶ ἕσπερον τὴν ἑσπέραν.

πυλωρεῖ φυλάσσει· πυλωρὸς γὰρ ὁ φύλαξ.

πύματος ἔσχατος.

πυνθάνεσθαι ἀκούειν, μανθάνειν, διδάσκεσθαι, ἱστορεῖν, ἐρωτᾶν. ἢ ἕτερόν τι σημαίνει, παραπλήσιον μὲν τοῦ ἐρωτᾶν, οὐ μὴν αὐτὸ τὸ ἐρωτᾶν· ἔστι γάρ τις, ὡς δῆλον, διαφορὰ μάλιστα παρὰ τοῖς διαλεκτικοῖς μεταξὺ πύσματος καὶ ἐρωτήματος.

τὸ πυνθάνεσθαι παρὰ τοῖς ῥήτορσι καὶ παρ' Ὁμήρῳ ἐπὶ τοῦ ἀκούειν καὶ μανθάνειν· ⟨ν 256⟩ "πυνθανόμην Ἰθάκης γε," καὶ πάλιν ⟨B 119⟩ "αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι," καὶ ⟨Λ 21⟩ "πεύθετο γὰρ Κύπρονδε μέγα κλέος," καὶ ⟨γ 87⟩ "πευθόμεθ' ἧχι ἕκαστος ἀπώλετο," καὶ ⟨γ 88⟩ "κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων·" ἐν γὰρ τούτοις ἅπασιν ἐπὶ τοῦ ἀκούειν κεῖται τὸ πυνθάνεσθαι. καὶ Αἰσχίνης δὲ ἐν τῷ τῆς παραπρεσβείας "τούτῳ συμβαλεῖν πυνθανόμενος." καὶ Δείναρχος ἐν τῷ κατὰ Φιλοκλέους "εὐτυχεῖτε ὅτι οὐκ ἐν μείζονι καιρῷ ἐπύθεσθε τὴν αὐτοῦ αἰσχροκέρδειαν." καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας ⟨76⟩ "οὗτος ἀπήγγειλε τὰ ψευδῆ, ὑμεῖς ἐπιστεύσατε, οἱ Φωκεῖς ἐπύθοντο."

πυνθανόμενος ἀντὶ τοῦ ἀκούων.

πὺξ πυγμήν, γρόνθον. "ὁ δὲ πὺξ παίει αὐτὸν κατὰ τῶν προσώπων." "οἱ δὲ Φράγκοι ἵνα ἐσκηνημένοι ἐτύγχανον, πύξ τε καὶ ἐπὶ πολὺ βόθρους ὀρύξαντες, ταύτῃ ἀσφαλέστατα ἔμενον."

πυξίς τὸ πινακίδιον.

πῦον τὸ ἕλκος.

πυός τὸ πρὸ τοῦ γάλακτος ἀμελχθέν, τὸ μεταβεβληκὸς αἷμα. αὐτὸ τὸ γάλα. τὸ γαλακτῶδες ὑγρόν. γάλα νέον μετὰ χθεσινοῦ γάλακτος ἑψηθὲν ἔνιοι. Ἀριστοφάνης ⟨Pac. 1142⟩ "ἔστι δὲ καὶ πυός τις ἔνδον καὶ λαγῷα τέτταρα."

πῦρ. ὅτι τὰ φύσει τρεφόμενα καὶ διὰ τοῦτο αὐξόμενα ὅρον ἔχει τῆς αὐξήσεως, καὶ ὥρισται αὐτῶν ἐπὶ τὸ μέτρον ἡ αὔξησις. τοῦ δὲ πυρὸς οὐχ ὥρισται οὔτε ἡ τροφὴ οὔτε ἡ αὔξησις. οὐκ ἄρα τὸ πῦρ ὁμοίως τοῖς ἐμψύχοις τρέφεται καὶ αὔξεται. εἰ δὲ μὴ ὁμοίως, οὐκ ἄρα οὐδὲ τοῖς ἐμψύχοις αἴτιον εἴη τῆς τροφῆς ἢ τῆς αὐξήσεως. ἡ δὲ τοιαύτη τοῦ πυρὸς κίνησις γένεσις ἂν μᾶλλον εἴη ἢ αὔξησις ἢ τροφή. ὑπενοήθη δὲ τοῦτο μόνον τῶν στοιχείων τρέφεσθαί τε καὶ αὔξεσθαι, διότι ἐπὶ μὲν τῶν ἄλλων ἐναργῶς ὁ πλεονασμὸς πρόσθεσίς ἐστι (προστιθεμένου γὰρ ὕδατος ὕδατι καὶ γῆς γῇ, οὕτως γίνεται ὁ πλεονασμός), τὸ δὲ πῦρ πλεονάζει οὐ πυρὸς προστιθεμένου ἀλλ' ἀνομοιοειδοῦς ὕλης, οἷον ξύλων ἢ τῶν τοιούτων. καὶ τούτων ὑπὸ τῆς τοῦ πυρὸς δυνάμεως μεταβληθέντων εἰς τὴν αὐτὴν οὐσίαν, οὕτως ὁ πλεονασμὸς τοῦ πυρὸς γίνεται. Philopon. in 2 de anima H 8 b.

πυρά καύματα.

πυράγρα ἐργαλεῖον χαλκευτικόν.

πυράγραν καρκίνον, πάγουρον, παρὰ τὸ ἐκ τοῦ πυρὸς ἄγειν καὶ ἀγρεύειν, ὅ ἐστι λαμβάνειν.

πυραί πυρκαϊαί. Hom. A 52.

πυραίχμης ⟨Hom. B 848⟩.

πυρακτῶν ἐμπυρσεύων, σφοδρῶς καίων.

πυραμειδής πυροειδής.

πυραμίς οἰκία τις.

Πύραμος ὄνομα τόπου. καὶ ποταμὸς Κιλικίας, οὗ τὸ εὖρος στάδιον.

πυραμοῦς εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυροῦ πεφρυγμένου, ὡς σησαμοῦς ὁ διὰ σησαμῆς. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς ἐν τοῖς συμποσίοις· καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω ταῦτα ἐλάμβανεν ἔπαθλον ⟨sch. A Eq. 277⟩. "ἡμέτερος ὁ πυραμοῦς" ⟨A Th. 100⟩. cf. vv. τεγνάζειν et τήνελλα.

Πυράνδρου μηχανήματα ⟨A Eq. 897⟩. οὗτος ἐγένετο πονηρὸς καὶ συκοφάντης.

πυραύστου μόρον. πτηνόν ἐστι ζωύφιον, ὃ προσιπτάμενον τοῖς λύχνοις καίεται. καὶ Αἰσχύλος ⟨fr. 298⟩ "δέδοικα μωρὸν κάρτα πυραύστου μόρον." εἴρηται ἐπὶ τῶν ὀλιγοχρονίων.

Πυργαῖος.

πυργηδόν στοιχηδόν, κατὰ τάξιν. Hom. M 43.

πυργηρούμενοι τὰ τείχη φυλάττοντες. Eur. Or. 760.

πυργίσκοι καὶ θησαυροφυλάκια σκεύη κατ' οἶκον ⟨Artemid. 1 74⟩. καὶ ἀποπυργίζω. Διαγόρας ἔγραψε τοὺς ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης· ἄθεος γὰρ ἦν τὸ πρότερον.

Πυργιώτης ἀπὸ τόπου.

πυργοβάρεις προμαχῶνες, οἱ ὀχυρώτεροι τῶν πύργων.

πύργοι τάξεις.

πυργοῦται ὑψοῦται. Δαμάσκιος "τοῖς ἐπὶ μήκιστον εὖ μάλα πυργώσασι τὴν φιλοσοφίαν, τοῖς περὶ Πυθαγόραν Πλάτωνα, τοῖς δὲ νεωστὶ Πορφυρίῳ Ἰαμβλίχῳ Συριανῷ."

πυργοφόρος ἡ Ῥέα· ἐν ἐπιγράμματι ⟨AP 5 260⟩ "Ῥείης πυργοφόρου δείκελον εἰσορόων."

πυργώσας ὑψώσας, αὐξήσας, μεγαλύνας, ἐπὶ τὸ σεμνότερον ἀγαγὼν τὰ ποιήματα· ἐν ἐπιγράμματι ⟨AP 7 39⟩ "ὁ τραγικὸν φώνημα καὶ ὀφρυόεσσαν ἀοιδὴν πυργώσας στιβαρῇ πρῶτος ἐν εὐεπίῃ, Αἰσχύλος."

Πυργώτης ὄνομα κύριον.

πυρεῖον θυμιατήριον· "οἱ δὲ Ἕλληνες κατέλιπον, πυρεῖα καὶ δᾶδα δόντες, Σίνωνα σκοπὸν ἐσόμενον· ὃ δὲ τὸν πυρσὸν ἀνίσχει τοῖς πολεμίοις." ⟨Nicephor. brev. hist. p. 12⟩ "ὁ δὲ Ἡράκλειος τάς τε πόλεις καθῄρει καὶ τὰ πυρεῖα διέστρεφε τῶν Περσῶν." καὶ Σοφοκλῆς ⟨Phil. 36⟩. "πυρεῖ' ὁμοῦ τάδε. κείνου τὸ θησαύρισμα σημαίνεις τόδε."

πῦρ ἐπὶ πυρί, παροιμία, ἧς μέμνηται καὶ Πλάτων ⟨Legg. 2 p. 666⟩. κακὸν ἐπὶ κακῷ.

Πυρήνη ὄρος παρῆκον εἰς ἑσπερίαν Ἰβηρίαν, ὅπερ ἐστὶν ἀσφάλεια τοῦ τόπου. καὶ Πυρηναῖα ὄρη.

πυρηφόρον καὶ πυρφόρον.

πυρίβια τὰ εἰς τὸ πῦρ πίπτοντα ζωύφια. "τῶν γὰρ ζῴων τὰ μὲν χωρὶς μίξεως γίνονται, ὡς τὰ πυρίβια καὶ ὁ φοῖνιξ τὸ ὄρνεον καὶ αἱ εὐλαί" ⟨Diog. L. 9 79.⟩

Πυριλάμπης ὄνομα κύριον.

πυριλαμπίς πτηνόν τι μικρόν, ὃ ἐν τῷ σκότει λάμπει. καλεῖται δὲ ὑπ' ἐνίων λαμπυρίς.

πύρινος πόλεμος ὁ Ῥωμαίων πρὸς τοὺς Κελτίβηρας συσταθείς· θαυμαστὴν γὰρ ἔσχε τὴν ἰδιότητα τήν τε συνέχειαν τῶν ἀγώνων. τοὺς γὰρ κατὰ τὴν Ἑλλάδα πολέμους καὶ τοὺς κατὰ τὴν Ἀσίαν ὡς ἐπίπαν μία μάχη κρίνει, σπανίως δὲ δευτέρα, καὶ τὰς μάχας αὐτὰς εἷς καιρὸς ὁ κατὰ τὴν πρώτην ἔφοδον καὶ σύμπτωσιν τῆς δυνάμεως. κατὰ δὲ τοῦτον τὸν πόλεμον τἀναντία συνέβαινε τοῖς προειρημένοις. τοὺς μὲν γὰρ κινδύνους ὡς ἐπίπαν ἡ νὺξ διέλυε, τῶν ἀνδρῶν οὔτ' εἴκειν ταῖς ψυχαῖς οὔτε παρακαθιέναι τοῖς σώμασι βουλομένων διὰ τὸν κόπον, ἀλλ' ἐξ ὑποστροφῆς καὶ μεταμελείας αὖθις ἄλλας ἀρχὰς ποιουμένων· τόν γε μὴν ὅλον πόλεμον καὶ τὴν συνέχειαν τῶν ἐκ παρατάξεως διακρίσεων ὁ χειμὼν ἐπὶ ποσὸν διεῖργε. καθόλου γὰρ εἴ τις διανοηθείη πύρινον πόλεμον, οὐκ ἂν ἕτερον ἢ τοῦτον νοήσειεν. Polyb. 35 1.

πυρίνῳ σίτῳ· "γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώρην ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ" ⟨Babr. 26 1⟩. πυρὸς γὰρ ὁ σῖτος. Ὅμηρος ⟨δ 604⟩ "πυροί τε ζειαί τε ἰδ' εὐρυφυὲς κρῖ λευκόν." ⟨A Vesp. 729⟩ "ἔπειτ' ἐν πᾶσι λαγῴοις καὶ πυρῷ καὶ πυριάτῃ, ἄξια τῆς γῆς ἀπολαύοντες καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου."

πυρίτης ἄρτος ὁ τοῦ σίτου. καὶ θηλυκῶς πυρῖτις λίθος.

πυρκαϊά ἡ φλόξ.

πύρνος τὸ ἀπόκλασμα τοῦ ἄρτου. Hom. ο 311.

πυρύεσσαν ἐπίπνουν, πῦρ πνέουσαν.

πυροπίπας (A Eq. 405) ὁ Κλέων· διεβάλλετο γὰρ ὡς παιδεραστής. ἢ διὰ τὴν ἐν τῷ πρυτανείῳ σίτησιν· πυρὸς γὰρ ὁ σῖτος.

πυρορραγής (A Ach. 923) σαθρός, ἄχρηστος, ἀπὸ τοῦ ἐν ταῖς καμίνοις διαρρησσομένου κεράμου. πυρορραγῆ κεράμια καλεῖται ὅσα ἐν τῷ πυρὶ ῥήγνυται ἐν τῷ ὀπτᾶσθαι. Κρατῖνος ἐν Ὥραις "ἴσως πυρορραγὲς καὶ κακῶς ὠπτημένον." ὁ δὲ κέραμος πυρορραγὴς γενόμενος σαθρὸν ἠχεῖ.

πυρός ὁ σῖτος· Ὅμηρος (δ 604) "πυροί τε ζειαί τε." οἱ δὲ ἑφθοὶ πυροὶ πρὸς συνουσίαν εἰσὶν ἐγερτικοί. sch. A Av. 566.

πυρὸς μένος πῦρ περιφραστικῶς. Hom. Z 182.

πυροφόρον σιτοφόρον.

πῦρ παλάμῃ ὁ ταχέως τι ἐπινοῶν καὶ παλαμώμενος ἴσα πυρί.

πυρπολεῖται καίεται, ἐμπυρίζεται.

Πύῤῥα μία πόλις τῶν ἐν Λέσβῳ.

πυῤῥαῖς γένυσι ξανθαῖς θριξί.

πυῤῥάκης (Gen. 25 25) ξανθός, καὶ **πυῤῥάκων** ὁμοίως.

Πυῤῥίας. **Πυῤῥίαις** δούλοις· ὄνομα γὰρ δούλου ὁ Πυῤῥίας. sch. A Ran. 742.

πυῤῥίχαις ταῖς ἐνοπλίοις ὀρχήσεσι.

πυῤῥίχη εἶδος ὀρχήσεως. τρία δέ εἰσιν εἴδη ὀρχήσεως, πυῤῥίχη σίκιννις καὶ κορδακισμός. Βάβριος (80 2) "ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν μὴ καταγέλαστον, μήτε πυῤῥίχην παίζειν" ἡ κάμηλος. (A Ran. 153) "πυῤῥίχην ἔμαθε τὴν Κινησίου." οὗτος ὁ Κινησίας διθυραμβοποιὸς ἦν, ἐποίησε δὲ πυῤῥίχην. ἢ ὅτι ἐν τοῖς χοροῖς κινήσει πολλῇ ἐχρῆτο. καὶ ἐπραγματεύσατο κατὰ τῶν κωμικῶν ὡς εἶεν ἀχορήγητοι. ἦν δὲ καὶ περὶ τὸ σῶμα ὀκνηρὸς ἅμα καὶ κατεσκελετευκώς. δοκεῖ δὲ καὶ κατησχημονηκέναι τοῦ τῆς Ἑκάτης ἀγάλματος ἤγουν καταλιῆσαι. ἦν δὲ Θηβαῖος. Ἀγαθίας (2 1) "ὁ δὲ Ναρσῆς συνεκρότει τὰς δυνάμεις, καὶ ἐπεῤῥώννυε τὸν θυμὸν ταῖς καθ' ἡμέραν μελέταις, τροχάζειν ἀναγκάζων καὶ ὑπὲρ τῶν ἵππων ἐν κόσμῳ ἀναπάλλεσθαι, ἔς τε πυῤῥίχην τινὰ ἐνόπλιον περιδινεῖσθαι, καὶ θαμὰ τῇ σάλπιγγι καταβομβεῖσθαι τὸ ἐνυάλιον ἠχούσῃ." καὶ **πυῤῥιχίζειν** μεθ' ὅπλων ὀρχεῖσθαι. καὶ **πυῤῥίχιος ὄρχησις.**

πυῤῥός ὁ ξανθός. καὶ παροιμία "ἅπαξ πυῤῥὸς καὶ μὴ δέκατον χλωρός," ἐπὶ τῶν δανειζόντων.

Πύῤῥος. οὗτος διέβη τὸ δεύτερον εἰς Ἰταλίαν, οὐ χωρούντων αὐτῷ τῶν ἐν Σικελίᾳ πραγμάτων κατὰ νοῦν διὰ τὸ μὴ βασιλικὴν φανῆναι τὴν ἡγεμονίαν ἀλλὰ δεσποτικὴν ταῖς πόλεσιν. εἰσαχθεὶς γὰρ εἰς Συρακούσας ὑπό τε Σωσιστράτου κρατοῦντος τῆς πόλεως τότε καὶ Θοίνωνος τοῦ φρουράρχου, παραλαβὼν παρ' ἐκείνων χρήματα καὶ ναῦς χαλκεμβόλους ὁμοῦ τι διακοσίας, καὶ πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος Σικελίαν πλὴν Λιλυβαίου πόλεως, ἣν ἔτι μόνην Καρχηδόνιοι κατεῖχον, εἰς αὐθάδειαν τυραννικὴν ἐτρέπετο. ἀμηχανοῦντα δὲ αὐτὸν καὶ πόρους παντοδαποὺς ἐπιζητοῦντα ὁρῶντες αὐτὸν οἱ κάκιστοι καὶ ἀνοσιώτατοι τῶν φίλων, Εὐήγορος Θεοδώρου καὶ Βάλακρος Νικάνδρου καὶ Δείναρχος Νικίου, τῶν ἀθέων καὶ ἐξαγίστων δογμάτων ζηλωταί, πόρον ὑποτίθενταί χρημάτων ἀνόσιον, τοὺς ἱεροὺς ἀνοῖξαι τῆς Περσεφόνης θησαυρούς· ἦν γὰρ ἱερὸν πολὺν χρυσὸν ἐκ παντὸς τοῦ χρόνου πεφυλαγμένον ἄθικτον ἔχον, ἐν ᾧ χρυσός τις ἄβυσσος, ἀόρατος τοῖς πολλοῖς κατὰ γῆς κείμενος. ὑπὸ τούτων ἐξαπατηθεὶς τῶν κολάκων, καὶ τὴν ἀνάγκην κρείττονα παντὸς ἡγησάμενος,... τὴν γνώμην ἀνδράσι διακόνοις τῆς ἱεροσυλίας ἐχρήσατο, καὶ τὸν χρυσὸν ναυσὶν ἐνθέμενος ἀπέστειλεν εἰς Τάραντα. ἡ δὲ δικαία πρόνοια τὴν αὐτῆς δύναμιν ἀπεδείξατο· ἐναυάγησαν γὰρ αἱ νῆες, καὶ ὁ χρυσὸς ἀπεδόθη εἰς τὸ ἱερόν. Dionys. Hal. exc. Peir. p. 541.

Πύῤῥων Πλειστάρχου Ἠλεῖος φιλόσοφος, ὃς ἦν ἐπὶ Φιλίππου τοῦ Μακεδόνος κατὰ τὴν ρια' ὀλυμπιάδα καὶ ἐπέκεινα, καὶ πρότερον μὲν ἦν ζωγράφος, ὕστερον δὲ ὥρμησεν ἐπὶ φιλοσοφίαν, καὶ διήκουσε Βρύσωνος τοῦ Κλεινομάχου μαθητοῦ, εἶτα Ἀναξάρχου τοῦ Μητροδώρου μαθητοῦ τοῦ Χίου, οὗ διδάσκαλος ἦν Δημόκριτος ὁ Ἀβδηρίτης. ἐδόξασε δὲ μηδὲν φύσει αἰσχρὸν ἢ καλόν, ἀλλ' ἔθει καὶ νόμῳ.

Πύῤῥων Φλιάσιος, Τιμάρχου παῖς, μαθητὴς Τίμωνος φιλοσόφου. cf. v. Τίμων.

Πυῤῥώνειοι. οἱ τὰ τοῦ Πύῤῥωνος φρονοῦντες αἱρετικοὶ οὕτως ἐκαλοῦντο ἀπὸ τοῦ

διδασκάλου. ἀπορητικοὶ δὲ καὶ σκεπτικοὶ ἐφεκτικοί τε καὶ ζητητικοί, ζητητικοὶ μὲν ἀπὸ τοῦ πάντοτε ζητεῖν τὴν ἀλήθειαν, σκεπτικοὶ δὲ ἀπὸ τοῦ σκέπτεσθαι ἀεὶ καὶ μηδέποτε εὑρίσκειν, ἐφεκτικοὶ δὲ ἀπὸ τοῦ μετὰ τὴν ζήτησιν πάθους, λέγω δὴ τὴν ἐποχήν, ἀπορητικοὶ δὲ ἀπὸ τοῦ τοὺς δογματικοὺς ἀπορεῖν ⟨ποιεῖν⟩ καὶ αὐτούς. Θεοδόσιος δὲ ἐν τοῖς σκεπτικοῖς οὔ φησι δεῖν Πυρρώνειον καλεῖσθαι τὸν σκεπτικόν· εἰ γὰρ τὸ καθ' ἕτερον κίνημα τῆς διανοίας ἄληπτόν ἐστιν, οὐκ εἰσόμεθα τὴν Πύρρωνος διάθεσιν, μὴ εἰδότες δὲ οὐδὲ Πυρρώνειοι καλοίμεθ' ἄν, πρὸς τῷ μηδὲ πρῶτον εὑρηκέναι τὴν σκεπτικὴν Πύρρωνα, μηδὲ ἔχειν τι δόγμα. λέγοιτο δ' ἂν Πυρρώνειος ὁμότροπος ταύτης τῆς αἱρέσεως. κατῆρξεν οὖν πρῶτος τῆς σκεπτικῆς Ὅμηρος· οὐ γὰρ ὁριστικῶς δογματίζει περὶ τὴν ἀπόφασιν. καὶ οἱ ζ' δὲ σοφοὶ σκεπτικοί εἰσιν, οἷον τὸ μηδὲν ἄγαν, καὶ τὰ λοιπά. ἀλλὰ καὶ Ἀρχίλοχος καὶ Εὐριπίδης, ἐν οἷς Ἀρχίλοχός φησι ⟨fr. 11⟩ "τοῖος ἀνθρώποις νοῦς γίνεται θνητοῖς, ὁκοίην Ζεὺς ἡμέρην ἄγει," καὶ Εὐριπίδης ⟨Suppl. 734⟩ "τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς φρονεῖν λέγουσι; σοῦ γὰρ ἐξηρτήμεθα, δρῶμέν τε τοιαῦθ' ἃ δὴ τυγχάνεις θέλων." Diog. L. 9 69.

Πυρρώνιος δὲ ὄνομα κύριον.

πυρσεύει πῦρ ἐξάπτει. καὶ "πυρσεύω σοι τὴν σωτηρίαν" ἀντὶ τοῦ ἐμφαίνω καὶ ἀνάπτω καὶ ἄνωθεν δεικνύω τὸ κάλλιστον, οἷά τις πυρσὸς καὶ φρυκτωρία ἄνωθεν ἐπιδεικνύουσα τὸ σῶζον τοῖς εἰς λιμένα καὶ ὅρμον ἐπειγομένοις. καὶ φρυκτωρία μέν ἐστιν αὐτὴ ἡ τοῦ δεικνύειν ἐνέργεια, πυρσὸς δὲ καὶ φρυκτὸς καὶ φρυκτωρούμενον αὐτὸ τὸ δεικνύμενον, ὁ δὲ δεικνὺς καὶ ἐνεργῶν φρυκτωρός, τὸ δὲ ῥῆμα φρυκτωρεῖ, ἐξ οὗ ἡ μετοχὴ φρυκτωρῶν.

πυρσεύσασιν φλέξασιν.

πυρσοί ⟨Hom. Z 211⟩ λαμπάδες, πυρκαϊαί, λαμπτῆρες, φρυκτωρίαι.

πυρσουρίδας. ὅτι Περσεὺς ὁ Μακεδὼν κατὰ πᾶσαν Μακεδονίαν κατασκευασάμενος πυρσουρίδας διὰ τούτων ὀξέως ἐμάνθανε τὰ πανταχῇ γινόμενα.

a πυρφόρος πῦρ φέρων. πυρφόρους δὲ ἔλεγον τοὺς ἱερέας τοὺς ἐπιβώμιον πῦρ ἀνάπτοντας. ἐν τοῖς οὖν πολέμοις εἰώθασι τῶν ἱερέων οἱ νενικηκότες φείδεσθαι. ἐπὶ δὲ τῶν παντελῶς ἡττηθέντων καὶ συμπατηθέντων ἐν τῷ πολέμῳ εἰώθασιν ὑπερβολῇ χρώμενοι οὕτω λέγειν, ὅτι οὕτως ἀπώλοντο ὥστε οὐδὲ πυρφόρος (ταὐτὸν δὲ εἰπεῖν ἱερεύς) ἐπιλείφθη τῷ στρατῷ. cf. v. οὐδὲ πυρφόρος ἐλ.

πυρφόρος, ᾧ ἐχρήσατο Πausίστρατος ὁ τῶν Ῥοδίων ναύαρχος. ἦν δὲ κημός, ἐξ ἑκατέρου δὲ τοῦ μέρους τῆς πρῴρας ἀγκῶλαι δύο παρέκειντο παρὰ τὴν ἐντὸς ἐπιφάνειαν τῶν τοίχων, εἰς ἃς ἐνηρμόζοντο κοντοὶ προτείνοντες τοῖς κύμασιν εἰς θάλατταν· ἐπὶ δὲ τὸ τούτων ἄκρον ὁ κημὸς ἁλύσει σιδηρᾷ προσήρτητο πλήρης πυρός, ὥστε κατὰ τὰς ἐμβολὰς καὶ παρεμβολὰς εἰς μὲν τὴν πολεμίαν ναῦν ἐκταράττεσθαι πῦρ, ἀπὸ δὲ τῆς οἰκείας πολὺν ἀφιστάναι τόπον διὰ τὴν ἔγκλισιν. Polyb. 21 5.

πυρῶν φλέγων ἢ καίων.

πύσει σήψει· Ὅμηρος ⟨Δ 174⟩ "σέο δ' ὀστέα πύσει ἄρουρα κειμένου ἐν Τροίῃ." σημειωτέον ὅτι τῶν ἐπὶ ξένης τελευτώντων οὐκ ἀπεκομίζετο τὰ ὀστᾶ εἰς τὰς πατρίδας.

πύσμα ἐρώτημα.

πύσματα. ὅτι τὰς ἐρωτήσεις τὰς τί ἐστι τὸ προκείμενον ἐξεταζούσας πύσματα ἔθος λέγειν τοῖς νεωτέροις, οἷον "τί ἐστιν ἄνθρωπος." διαλεκτικὴ δὲ πρότασίς ἐστι πρὸς ἣν ὁ ἐρωτώμενος δύναται ἀποκρίνασθαι ναί ἢ οὔ.

πύστεις ἐρωτήσεις· "πάσης πύστεως ὁ χρησμὸς ἀνέστελλεν αὐτούς." πύστις καὶ ἡ φήμη· "πύστιν κατ' ἐσθλὴν ὕδατος παιωνίου ἦλθέν ποθ' ἑρπύζουσα σὺν δρυὸς ξύλῳ." "μαθὼν τὸν ἀδελφὸν αὐτοῦ κατὰ τὴν τῆς ἐπιστρατείας αὐτοῦ πύστιν προσιόντα," κατὰ φήμην ἢ ἐρώτησιν.

Πυτακίδης.

πυτίζω πτύω.

πυτιναῖα ⟨A Av. 779⟩ "ὡς Διιτρέφης γε πυτιναῖα μόνον ἔχων πτερὰ ᾑρέθη φύλαρχος." καὶ αὖθις "Διιτρέφης ἀνεπτέρωκεν," ἐπὶ τῶν ἀναπειθόντων ἐπί τι πρᾶγμα· ⟨1429⟩ "δεινῶς τέ μου τὸ μειράκιον ὁ Διιτρέφης λέγων ἀνεπτέρωκεν, ὥσθ' ἱππελατεῖν." ὁ Διιτρέφης οὗτος πλούσιος ἦν, καὶ δυνάμενος ἱπποτροφεῖν, πρότερον πυτινοπλοκῶν, γέγονε φύλαρχος. ὃς εὐτυχήσας συνεβούλευε καὶ ἄλλοις ἱπποτροφεῖν.

πυτίνη πλέγμα ἀπὸ θαλλῶν, ἅπερ Διιτρέφης ὁ νεόπλουτος ἔπλεκε. καὶ ἀλλαχοῦ

φησὶ ⟨A Av. 799⟩ "Διιτρέφης πυτιναῖα ἔχων πτερά." πυτίνη οὖν ὅπερ λέγεται παρ' ἡμῖν φλασκίον.

Πώγων Πώγωνος, Τροιζήνιος λιμὴν οὕτω καλούμενος· ὅθεν καὶ παροιμία ἐπὶ τῶν κακογενείων "ἐς Τροιζῆνα δεῖ βαδίζειν." καὶ Ἀριστοφάνης ⟨Eccl. 71⟩ "κἄγωγ' Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα πώγων' ἔχω" ⟨cf. v. Ἐπικράτης⟩.

πωγωνίας ὁ μέγας πώγων.

πωγωνιήτης ὁ Ζεύς. καὶ πωγωνίτης.

πῶεα ποίμνια.

πωλάς ἀντὶ τοῦ πράσεις Ὑπερίδης. ἔστι τὸ ὄνομα καὶ ἐν τοῖς Σώφρονος Ἀνδρείοις.

πωλεία χαίτη.

πωλέσκετο ⟨Hom. Α 490⟩ ἀνεστρέφετο. καὶ Ὅμηρος ⟨δ 384⟩ "πωλεῖταί τις γέρων."

πωλευτικός.

πώλης. ὁ Ἀριστοφάνης ⟨Eq. 129⟩ τὸ τέλος τοῦ ὀνόματος παίζων λέγει, παρὰ τὸ ἀποδίδοσθαι καὶ πωλεῖν τοὺς πολιτευομένους τὰ τῆς πόλεως πράγματα, οἷον προβατοπώλης στυππειοπώλης ἀλλαντοπώλης.

πωληταί καὶ πωλητήριον. οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης. διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τὰ τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα. πωλητήριον δὲ καλεῖται ὁ τόπος ἔνθα συνεδρεύουσιν οἱ πωληταί. Harp.

πωλητήριον τὸ πρατήριον. οὕτως Ὑπερίδης.

πωλητής ὁ πιπράσκων· "ἦν γὰρ ἐνταφίων πωλητής." καὶ πωληταί. οὗτοι τῶν ὀφειλόντων τῷ δημοσίῳ κατὰ προθεσμίαν καὶ μὴ ἀποδιδόντων ἐπίπρασκον τὰς οὐσίας. ὑπέκειντο δὲ τοῖς πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον· ἔτι καὶ οἱ ξενίας ἁλόντες, καὶ ὁ μέτοικος ὁ προστάτην οὐκ ἔχων, καὶ ὁ ἀποστασίου γραφείς. τούτων γὰρ τὰς οὐσίας πωλοῦντες παρακατέβαλλον εἰς τὸ δημόσιον.

πωλικῆς ἀπήνης ὑπὸ πώλων ἐζευγμένης· ⟨S OR 802⟩ "κἀπὶ πωλικῆς ἀνὴρ ἀπήνης ἐμβεβὼς ξυνηντίαζε." καὶ πωλικόν τὸν τοῦ πώλου· ἐν ἐπιγράμματι ⟨AP 6 156⟩ "παῖς δ' ἴσον ἀστέρι λάμπει, πωλικὸν ὡς ἵππος χνοῦν ἀποσεισάμενος."

πωλικός ὁ γενναῖος. καὶ πωλικὸν δῆγμα, καὶ τὸ φρύαγμα.

πωλίον. πῶλοι κυρίως τὰ γεννήματα τῶν ἵππων καὶ τῶν ἄλλων κτηνῶν, ἅπερ ἔθος ἔχομεν καταψᾶν καὶ κολακεύειν. sch. A Pac. 74.

Πωλίων ὁ Ἀσίνιος χρηματίσας, Τραλ- a
λιανὸς σοφιστὴς καὶ φιλόσοφος, σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ Πομπηίου τοῦ μεγάλου καὶ διαδεξάμενος τὴν σχολὴν Τιμαγένους, ἔγραψεν ἐπιτομὴν τῆς Φιλοχόρου Ἀτθίδος, ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσόφου, ἐπιτομὴν τῶν Διοφάνους γεωργικῶν ἐν βιβλίοις β', πρὸς Ἀριστοτέλην περὶ ζῴων βιβλία ι', περὶ τοῦ ἐμφυλίου τῆς Ῥώμης πολέμου, ὃν ἐπολέμησαν Καῖσάρ τε καὶ Πομπήιος.

Πωλίων Ἀλεξανδρεὺς ὁ Οὐαλέριος χρη- b
ματίσας, φιλόσοφος γεγονὼς ἐπὶ Ἀδριανοῦ, οὗ παῖς Διόδωρος φιλόσοφος ὁ γράψας ἐξήγησιν τῶν ζητουμένων παρὰ τοῖς ι' ῥήτορσιν, ἔγραψε συναγωγὴν Ἀττικῶν λέξεων κατὰ στοιχεῖον, καὶ ἄλλα τινὰ φιλόσοφα.

Πωλίων ἢ Πολίων γραμματικὸς περὶ c
τῶν παρὰ γράμμα ἁμαρτανομένων.

πωλοδάμνης πωλοδαμαστής, γυμναστής.

πωλοδαμνῶ ⟨S Ai. 549⟩ τοὺς πώλους δαμάζω.

Πῶλος Ἀκραγαντῖνος ῥήτωρ, μᾶλλον δὲ σοφιστὴς τῶν πάλαι, διδάσκαλος Λικυμνίου, ἔγραψε γενεαλογίαν τῶν ἐπὶ Ἴλιον στρατευσάντων Ἑλλήνων καὶ βαρβάρων, καὶ πῶς ἕκαστος ἀπήλλαξε. τινὲς δὲ αὐτὸ Δαμάστου ἐπιγράφουσι. νεῶν κατάλογον. περὶ λέξεως. cf. v. Δαμάστης.

πῶλος τὸ ζῷον.

πωλῶ τὸ πιπράσκω.

πωλῶσι. Δίδυμός φησιν ἀντὶ τοῦ πορνεύωσι φανερῶς· πωλεῖν γὰρ τὸ παρέχειν ἑαυτὴν τοῖς βουλομένοις. ὅθεν καὶ τὸ πορνεύειν, ὅπερ ἐστὶ περνᾶν. ἐγὼ δέ φημι ὅτι κυρίως ἔταξε νῦν ὁ ῥήτωρ τὸ πωλεῖν· φησὶ γὰρ τὸν νόμον οὐκ ἐᾶν ἐπὶ ταύταις μοιχὸν λαβεῖν, ὁπόσαι ἂν ἐπ' ἐργαστηρίου κάθωνται ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας ⟨67⟩. Harp.

πῶμα σκέπασμα.

πώμαλα ἀντὶ τοῦ πόθεν, οἷον οὐδαμῶς. a
ἔστι δὲ τὸ μὲν πῶ Δώριον, τιθέμενον ἀντὶ

τοῦ πόθεν· τὸ δὲ μάλα ἢ παρέλκει, ἢ ἐν συνηθείᾳ λεγόμενον ἐν τῷ πώμαλα, οἷον οὐ μάλα, ἀντὶ τοῦ οὔ, ἢ ἀντὶ τοῦ οὐδόλως. ἔστι δὲ Ἀττικόν. Harp. Λυσίας ἐν τῇ πρὸς Ἀσύβαρον ἐπιστολῇ "γενναίως γὰρ αἱ γυναῖκες πώμαλα ἔφασαν ὠρχῆσθαι αὐτάς, δέον οὐδὲ πιούσας ἀπηλλάχθαι τοῦ συμποσίου."

b πώμαλα. κεῖται καὶ παρὰ Δημοσθένει ⟨19 51⟩ ἡ λέξις· "οὐχ ἵνα ἐξέλθητε, πώμαλα." καὶ παρ' Ἀριστοφάνει ἐν Κωκάλῳ. δεῖ δὲ ἀναγινώσκειν ὑφ' ἓν πώμαλα.

πωμήριον τὸ τοῦ τείχους εἰκόνισμα.

πώποτε.

πωρητύς.

Πῶρος βασιλεὺς Ἰνδῶν, ὃς ἐγένετο κάλλιστος Ἰνδῶν, καὶ μῆκος ὅσον οὔπω τις ἀνθρώπων τῶν μετὰ τοὺς Τρωικοὺς ἄνδρας. ἦν δὲ κομιδῇ πάνυ νέος, ὅτε συνῆν Ἀλεξάνδρῳ, καὶ τούτῳ ἐπολέμει ⟨Philostrat. VA 2 10⟩. τοῦτον ἤρετο περὶ διαίτης ὁ Ἀπολλώνιος. ὁ δὲ "οἴνου μέν" ἔφη "πίνω τοσοῦτον ὅσον τῷ ἡλίῳ σπένδω· ἃ δ' ἂν ἐν θήρᾳ λάβω, ταῦτα σιτοῦνται ἕτεροι, ἐμοὶ δὲ ἀπόχρη τὸ γεγυμνάσθαι. τὰ δὲ ἐμὰ σιτία λάχανα καὶ φοινίκων ἐγκέφαλοι καὶ καρπὸς τῶν φοινίκων, καὶ ὁπόσα μοι ὁ ποταμὸς κηπεύει. πολλὰ δέ μοι καὶ ἀπὸ δένδρων φύεται, ὧν γεωργοὶ αἵδε αἱ χεῖρες." ταῦτα ἀκούων ὁ Ἀπολλώνιος ὑπερήδετό τε καὶ ἐς τὸν Δάμιν θαμὰ ἑώρα. id. c. 27.

πῶρος ἀπολίθωσις ὑγροῦ. καὶ πωρῶ ῥῆμα, τὸ σκληρύνω καὶ λιθοποιῶ· Πισίδης "καὶ τὰς ἰκμάδας πωροῦντα καὶ σφίγγοντα λιθώδει τρόπῳ." καὶ πώρινος λίθος.

πωρός ὁ τυφλός, καὶ πώρωσις ἡ τύφλωσις.

πῶς δοκεῖς; θαυμαστικῶς τοῦτο λέλεκται παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις ⟨880⟩ "κἀκ τῶν σιδίων βατράχους ἐποίει, πῶς δοκεῖς;"

πῶυ τὸ ποίμνιον. καὶ πώεα.

πῶυγξ πώυγγος.

ῥά ἀντὶ τοῦ δή. οὕτως Πλάτων.

ῥαββί ⟨Matth. 23 7⟩ ὄνομα Ἑβραϊκόν. καὶ ῥαβουνί ⟨Io. 20 16⟩ ὁμοίως.

ῥαβδίζω αἰτιατικῇ.

ῥαβδοῦχοι. ἦσαν ἐπὶ τῆς θυμέλης ῥαβδοφόροι τινὲς πρὸς εὐταξίαν τῶν θεατῶν. ἢ ῥαβδοῦχοι οἱ κριταὶ τοῦ ἀγῶνος, οὓς αἰσυμνήτας λέγουσιν. Ἀριστοφάνης ⟨Pac. 733⟩ "χρῆν μὲν τύπτειν τοὺς ῥαβδούχους, εἴ τις κωμῳδοποιητὴς αὑτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβάς." Πολύβιος "παρῆν ῥαβδοῦχος παρὰ τοῦ στρατηγοῦ, καλῶν τὸν βασιλέα."

Ῥάβεννα ὄνομα πόλεως.

ῥαβώσας ἐπικάμψας.

ῥαγδαῖος ταχὺς ἢ σφοδρός.

ῥαγδαίους, κατὰ μεταφορὰν ἀπὸ τῶν ὄμβρων, τοὺς κεκινημένους καὶ σφοδρούς καὶ βιαίους. Ἀντιφάνης Ἀγροίκοις "ῥαγδαῖος, ἄμαχος, πρᾶγμα μεῖζον ἢ δοκεῖς." Δίφιλος Πολυπράγμονι "τί ποτ' ἔστιν; ὡς ῥαγδαῖος ἐξελήλυθεν." ἔστι καὶ ἐν Πρυτάνεσι Τιμοκλείδου τὸ ὄνομα, καὶ ἐν Δαιταλεῦσιν Ἀριστοφάνους.

ῥαγέντος κοπέντος· "ῥαγέντος δὲ τοῦ κάλου ἔμεινε τὸ λείψανον ἐκεῖσε τὸ τῆς Δίρκης."

ῥαγολόγος ὁ ἐχῖνος· ἐν ἐπιγράμμασι ⟨AP 6 45⟩ "ῥαγολόγον, γλυκεριῶν σίντορα θειλοπέδων."

ῥαγῶσαι τεμεῖν. καὶ "ῥαγήσεται πρώιμον τὸ φῶς σου" ⟨Jesai. 58 8.⟩.

Ῥαδαμάνθυος κρίσις, ἐπὶ τῶν ἐπὶ δικαιοσύνῃ μαρτυρουμένων.

Ῥαδαμάνθυος ὅρκος ὁ κατὰ χηνὸς ἢ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου. "οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν, θεοὺς δ' ἐσίγων" Κρατῖνος Χείρωσι. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. σημείωσαι τοῦτο περὶ ὅρκου, ὃ καὶ νῦν ἐπιχωριάζει· πολλοὶ γὰρ πρὸς λάχανα ὀμνύουσιν, εὐορκίαν ἐπιδεικνύμενοι.

ῥάδαμνος βλαστὸς τρυφερός, ἢ κλάδος. ῥάδαμνός ἐστιν ὁ τοῖς φύλλοις κομῶν ἀκρεμὼν τοῦ δένδρου καὶ σκιὰν ἐκτελῶν, παρὰ τὸ ῥᾳδίως δαμάζεσθαι ὑπὸ καύσωνος ἤ τινος ἄλλου αἰτίου ὡς ἁπαλὸς καὶ προέχων.

Ῥαδηνός ἀπὸ τόπου τινός.

ῥᾳδιέστερον· Πολύβιος ⟨11 1⟩ "ἀλλὰ πολὺ ῥᾳδιεστέραν καὶ συντομωτέραν συνέβη γενέσθαι τὴν Ἀσδρούβου παρουσίαν ἐς Ἰταλίαν."

ῥαδινή ἀσθενής, λεπτή· "κεφαλὴ ἀνθρώπου καρτερὰ μὲν ἡ ἡλιουμένη, ῥαδινὴ δὲ ἡ ἐσκιατραφημένη" ⟨cf. Herodot. 3 12⟩. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 132⟩ "ὢ ποδός, ὢ κνήμης, ὢ τοῦ ῥαδινοῖο τραχήλου." καὶ αὖθις ⟨5 282⟩ "ἡ ῥαδινὴ Μελίτη τanaοῦ ἐπὶ γήραος

οὐδῷ τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν." καὶ αὖθις (7 200) "οὐκέτι δὴ τανύφυλλον ὑπὸ πλάκα κλωνὸς ἑλιχθεὶς φθέγξομ', ἀπὸ ῥαδινῶν φθόγγον ἱεὶς στομάτων."

ῥάδιον εὐχερές, καὶ ῥαδίως εὐχερῶς, ταχέως· "οὐ γὰρ ῥαδίως τῇ γυναικὶ προσεῖχον."

ῥαδιουργεῖν ἀπατᾶν.

ῥαδιουργός πλαστογράφος, καὶ ὁ κακοῦργος ἁπλῶς. καὶ ῥαδιουργία ἡ περὶ πᾶν ὀλιγωρία καὶ εὐχέρεια καὶ θρασύτης. Ξενοφῶν δὲ καὶ ἐπὶ εὐκολίας ἐχρήσατο τῇ λέξει. Πολύβιος δέ φησι (17 30) περὶ οἰκογενοῦς προδότου "τί δή ποτ' ἐστὶν ὅτι τοῖς αὐτοῖς καὶ διὰ τῶν αὐτῶν ἀπατώμενοι πάντες οὐ δυνάμεθα λῆξαι ἀνοίας; τοῦτο γὰρ τὸ γένος τῆς ῥαδιουργίας πολλάκις ὑπὸ πολλῶν ἤδη γέγονε. καὶ τὸ μὲν παρὰ τοῖς ἄλλοις διαχωρεῖν ἴσως οὐ θαυμάσιον, τὸ δὲ παρ' οἷς ἡ πηγὴ τῆς τοιαύτης ὑπάρχει κακοπραγμοσύνης, θαυμαστόν." καὶ αὖθις (4 29) "οὐδὲν διαφέρει τὸ κατ' ἰδίαν ἀδίκημα τῶν κοινῶν ἢ πλήθει καὶ μεγέθει τῶν συμβαινόντων. καὶ γὰρ κατ' ἰδίαν τὸ τῶν ῥαδιουργῶν καὶ κλεπτῶν φῦλον τούτῳ μάλιστα τῷ τρόπῳ σφάλλεται, τῷ μὴ ποιεῖν ἀλλήλοις τὰ δίκαια, καὶ συλλήβδην ταῖς εἰς αὑτοὺς ἀθεσίαις."

ῥαζεῖν καὶ ῥυζεῖν τὸ ὑλακτεῖν· Ἕρμιππος Εὐρώπῃ "ῥύζων ἅπαντας ἀπέδομαι τοὺς δακτύλους." ἀπὸ τούτου δ' ἐπὶ τοὺς πικραινομένους καὶ σκαιολογοῦντας μετηνέχθη. Κρατῖνος Δηλιάσιν "ἵνα σιωπῇ τῆς τέχνης ῥαζῶσι τὸν λοιπὸν χρόνον." καὶ ἑξῆς "ἔρραζε πρὸς τὴν γῆν· ὃ δ' ἐσκάριζε κάπεπόρδει."

Ῥαηθώ ὄνομα τόπου ἢ ὄρους· "ἐν Σινᾷ καὶ Ῥαηθοῖ."

ῥαθάμιγγες (Hom. Λ 536) ῥανίδες, ἢ ὁ ἀπὸ τῶν ἵππων κονιορτός. οἱ δὲ σταγόνας.

ῥαθυμεῖν οὐχ ὡς ἡμεῖς φαμὲν τὸ τοῖς ἀφροδισίοις σχολάζειν, ἀλλ' ἁπλῶς τὸ ἀργεῖν καὶ τρυφᾶν, παρὰ τὸ τὰ ῥᾷστα τῷ θυμῷ διδόναι. Πολύβιος "πάντων εὐδαιμονιζόντων τὸν Πόπλιον, καὶ παρακαλούντων ἀναπαύεσθαι καὶ ῥαθυμεῖν ἐπεὶ πέρας ἐπιτέθεικε τῷ πολέμῳ, μακαρίζειν αὐτοὺς ἔφη ὅτι τοιαύτας ἔχουσι τὰς διαλήψεις."

ῥαθυμία ἀμέλεια.

ῥαιβός διεστραμμένος. καὶ ῥαιβόκρανος κορύνη· ἐν ἐπιγράμματι (AP 6 35) "καὶ τὰν ῥαιβόκρανον ἐυστόρθυγγα κορύναν." καὶ ῥαιβοσκελής (AP 6 196) ὁ πάγουρος.

Ῥαιδεστός πόλις.

ῥαίδιον τὸ φορεῖον, ἢ τὸ ἅρμα.

ῥαικάνη ἡ μάστιξ.

Ῥαῖκος ὁ Ῥωμαῖος. ῥέκος δὲ διὰ τοῦ ε ψιλοῦ σημαίνει τὴν ζώνην.

ῥαϊκός ὁ ὁρμώμενος.

ῥαίκτωρος εἶδος ἀξιώματος.

ῥαίνω ῥανῶ.

ῥαΐσας (Demosth. 1 13) ὑγιάνας, ῥᾷον ἔχων ἐκ τῆς νόσου· ῥαΐζω γὰρ τὸ καταπαύω.

ῥαιστήρ ἡ σφῦρα, παρὰ τὸ ῥαίω τὸ φθείρω, ἢ φθείρουσα τὰ ἐντιθέμενα. ἐν ἐπιγράμματι (AP 6 117) "ἐκ πυρὸς ὁ ῥαιστὴρ καὶ ὁ καρκίνος ἥ τε πυράγρη ἄγκειντ' Ἡφαίστῳ," καὶ αὖθις (7 5) "οὐδ' εἴ με χρύσειον ἀπὸ ῥαιστῆρος Ὅμηρον στήσητε φλογέαις ἐν Διὸς ἀστεροπαῖς."

ῥαιφερενδάριος ἀξίωμα Ῥωμαϊκόν. ἤγουν ὁ ἀναφορεύς.

ῥαίω φθείρω.

Ῥαίωος ὄνομα κύριον.

ῥακιοσυρραπτάδη (A Ran. 866) τὰ ῥάκη συλλέγων· ῥάκια γὰρ τὰ διερρωγότα ἱμάτια.

ῥάκος τὸ τριβώνιον. καὶ τὸ προσωπεῖον, ὅτι ῥάκεσι κατεκολλᾶτο· Ἀριστοφάνης (Ran. 408) "σὺ γὰρ τὸ ῥάκος ἐξεῦρες." ἡ δοτικὴ ῥάκει, καὶ πληθυντικῶς τὰ ῥάκη.

Ῥακώκης ὄνομα κύριον. Aelian. V. H. 1 34.

ῥάμνος ἀκανθῶδες φυτὸν μέγιστον. πᾶσαν δὲ ἁμαρτίαν ἄκανθαν καλεῖ ἡ γραφή. Theodoret. in Ps. 57 9.

Ῥαμνουσία Νέμεσις. αὕτη πρῶτον ἀφίδρυτο ἐν Ἀφροδίτης σχήματι· διὸ καὶ κλάδον εἶχε μηλέας· ἱδρύσατο δὲ αὐτὴν Ἐρεχθεὺς μητέρα ἑαυτοῦ οὖσαν, ὀνομαζομένην δὲ Νέμεσιν καὶ βασιλεύσασαν ἐν τῷ τόπῳ. τὸ δὲ ἄγαλμα Φειδίας ἐποίησεν· οὗ τὴν ἐπιγραφὴν ἐχαρίσατο Ἀγορακρίτῳ τῷ Παρίῳ ἐρωμένῳ. ὃς καὶ Ὀλυμπίασι τῷ δακτύλῳ τοῦ Διὸς ἐπέγραψε "Παντάρκης καλός·" ἦν δὲ οὗτος Ἀργεῖος ἐρώμενος αὐτοῦ. λέγεται δὲ καὶ παροιμία Ῥαμνούσιος, ἐπὶ τῶν σοφῶν καὶ ἐλλογίμων.

Ῥαμνούσιος ἐπὶ τῶν σοφῶν καὶ ἐλλογίμων· Ῥαμνοῦς γὰρ δῆμος Ἀττικῆς, ἐν ᾧ καὶ Ἀντιφῶν ἤκμασε κατὰ ῥητορικήν, ὃν πολλοὶ μιμήσασθαι θέλοντες παροιμίαν ἔλιπον τῷ βίῳ, ὥστε τοὺς καλοὺς Ῥαμνουσίους καλεῖν.

ῥάμφος ῥύγχος, ὀρνίθων πρόσωπον. ῥάμφος ἐπὶ ὀρνέου, ῥύγχος ἐπὶ χοίρου. sch. A Av. 347.

ῥανίσιν. ῥανὶς ῥανίδος.

ῥαντὸν ποικίλον.

ῥάξ ῥαγός ἐπὶ σταφυλῆς, ῥώξ δὲ ῥωγός ἐπὶ φαλαγγίου. καὶ ῥαγολόγος ὁ ἐχῖνος.

ῥάξαι ἀντὶ τοῦ καταβαλεῖν. οὕτως Ἀπολλόδωρος.

ῥᾷον εὐχερές, εὔκολον. καὶ παροιμία "ῥᾷον ἢ τὸ Ὄνειον ὑπερέβησαν οἱ Βοιωτοί," ἐπὶ τῶν τοὺς ὅρους καὶ τὸ μέτρον ὑπερβαινόντων· Ὄνειον γάρ ἐστιν ὄρος, πρὸς ὃ οἱ ὅροι τῶν Βοιωτῶν ὡρίζοντο.

ῥᾷόν τις τοὺς ὀδόντας ἠρίθμησεν ἢ τοὺς δακτύλους," ἐπὶ γερόντων. Lysias ap. Athen. p. 612 E.

ῥαόνως εὐκόλως. καὶ ῥᾴως ὁμοίως.

ῥαπίς ῥάβδος.

ῥαπίσαι πατάξαι τὴν γνάθον ἁπλῇ τῇ χειρί. ὃ λέγουσι καὶ ἐπὶ κόρρης.

Ῥαριάς ἡ Δημήτηρ. Ῥᾶρος γὰρ ἔσχεν υἱὸν Κελεόν, Κελεὸς δὲ Τριπτόλεμον. ὁ δὲ Ῥᾶρος πλανωμένην τὴν Δήμητραν καὶ ζητοῦσαν τὴν κόρην ὑπεδέξατο ἐν τῷ οἴκῳ. ὑπὲρ τῆς τοιαύτης οὖν χάριτος ἡ Δημήτηρ τὸν ἀπόγονον Ῥάρου Τριπτόλεμον ἐδίδαξε τὴν τοῦ σίτου γεωργίαν, παρέσχε δὲ αὐτῷ καὶ ἅρμα πτηνῶν δρακόντων, εἰς ὃ ἐποχούμενος ὁ Τριπτόλεμος περιῄει πᾶσαν τὴν γῆν διδάσκων τὴν τοῦ σίτου γεωργίαν.

ῥάρον ἰσχυρόν.

ῥάρος ἡ γαστήρ, καὶ ῥάριον τὸ βρέφος.

ῥᾷστα ῥᾳδίως, εὐχερῶς· "Πολυνείκην ἐᾶν ἄταφον, ὅτι ῥᾷστος ὢν ἐπὶ τὴν πατρίδα ἐστράτευσε."

ῥαστώνευσις· "ὁ δὲ τὴν κατασκευὴν τοῦ νεὼ πρεσβυτέραν τῆς ἑαυτοῦ ῥαστωνεύσεως ποιησάμενος, στέφανον ἐψηφίσατο ἡ βουλὴ δάφνης αὐτῷ."

ῥαστώνη ἀνάπαυσις, τέρψις, τρυφή, εὐκολία, ῥᾳθυμία, ἡδυπάθεια, χαυνότης, ἀργία. εἴρηται καὶ ῥαστωνεύειν ἐν τῷ λή (39) **Δίωνος Ῥωμαϊκῶν.** "ῥαστώνῃ συζῶντας καὶ ἀνειμένον βίον ἀσπαζομένους."

ῥαφανίς. ῥαφανῖδά φασιν Ἀττικοὶ ἣν ἡμεῖς ῥάφανον καλοῦμεν, πάλιν δὲ ῥάφανον ἣν ἡμεῖς κράμβην. εἴρηται δὲ ῥαφανὶς παρὰ τὸ ῥᾳδίως φαίνεσθαι· λόγος γὰρ ὡς σπειρόμεναι θᾶττον ἀνίασι (sch. A Plut. 544). καὶ ῥαφανιδωθῆναι καὶ τέφρᾳ τιλθῆναι παρὰ Ἀριστοφάνει (Nub. 1079) ἐπὶ τῶν ἀσελγῶν· οὕτω γὰρ τοὺς ἁλόντας μοιχοὺς ᾐκίζοντο· ῥαφανῖδας λαμβάνοντες καθίεσαν εἰς τοὺς πρωκτοὺς τούτων, καὶ παρατίλλοντες αὐτοὺς θερμὴν τέφραν ἐπέπαττον, βασάνους ἱκανὰς ἐργαζόμενοι. καὶ αὖθις (Nub. 981) "οὐδ' ἂν ἑλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος, οὐδ' ἂν ἄνηθον τῶν πρεσβυτέρων ἁρπάζειν, οὐδὲ σέλινον, οὐδ' ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν, οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ." κεφάλαιον δὲ ῥαφανῖδος τὴν κεφαλήν φησι, τὸ πρὸς τὰ φύλλα καυλῶδες. οὐκ ἔτεμνον δὲ κατὰ μῆκος ὡς νῦν ἀλλὰ κατὰ κύκλον τὴν ῥαφανῖδα. κιχλίζειν δὲ τὸ κίχλας ἐσθίειν· οἱ δὲ τὸ ἀτάκτως γελᾶν.

Ῥάφεια ὄνομα πόλεως. Ioseph. B. I. 4 extr.

ῥαφίς εἶδος ἰχθύος.

ῥαχθέντος ῥαγέντος.

ῥαχίαν οἱ Ἀττικοὶ τὴν ἀκτήν, καὶ τὸν τόπον αὐτὸν ᾧ προσαράττει τὸ κῦμα. καὶ Θουκυδίδης (4 10) οὕτως. οἱ δὲ Ἴωνες τὴν ἄμπωτιν καὶ τὴν ἀναχώρησιν τῆς θαλάττης.

ῥαχίας λαλίστερος, ἐπὶ τῶν ἀδολέσχων, παρ' ὅσον τῇ ῥαχίᾳ συνεχῶς ἐπιβάλλονται τὰ κύματα καὶ ψόφον ἀποτελεῖ.

ῥαχίζειν τὸ διαιρεῖν τὰ μέρη τῆς ῥάχεως, ἤτοι διακόπτειν, ὥς φησιν Εὐριπίδης (Troad. 117).

ῥαχίζειν τὸ ἀλαζονεύεσθαι, καὶ ῥαχιστής ὁ ἀλαζών· Θεόπομπος Παμφίλῃ "τούτων ἁπάντων ὁ ῥαχιστὴς Δημοφῶν."

ῥαχίζων σφάζων, διακόπτων· Σοφοκλῆς (Ai. 56) "κύκλῳ ῥαχίζων" ἀντὶ τοῦ κατὰ πάντα τόπον τῆς ἐπαύλεως σφάζων, διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ τὴν ῥάχιν γίνεσθαι. ἐκ μεταφορᾶς δὲ καὶ τοὺς μεγάλα κακουργοῦντας ῥαχιστάς φαμεν.

ῥαχίης φραγμοῦ, ἢ δέσμης τῶν φραγμάτων, Ἡρόδοτος (7 37).

ῥάχιν ὀσφῦν, ἢ τὸ νωτιαῖον μέρος, ἢ ἄκανθα τοῦ νώτου. ἡ εὐθεῖα ῥάχις, ῥάχεως ῥάχει.

ῥάψαι συνθεῖναι.
ῥαψῳδεῖν ᾄδειν· Ἀριστοφάνης (Eccl. 678) "ῥαψῳδεῖν ἔσται τοῖς παιδαρίοισι τοὺς ἀνδρείους ἐν τῷ πολέμῳ, κεἴ τις δειλὸς γένηται, ἵνα μὴ δειπνῶσ' αἰσχυνόμενοι."
ῥαψῴδημα ψεῦσμα.
ῥαψῳδία φλυαρία, λόγων συναφή, ἀδολεσχία. καὶ ῥαψῳδὸς ἡ Σφὶγξ ἡ ῥάπτουσα τὰς ᾠδάς. τὸ δὲ ὄνομα τοῦ ῥαψῳδοῦ καθ' Ὅμηρον ἢ μεθ' Ὅμηρον ἦν ἄν. Σοφοκλῆς (OR 391) "πῶς οὐχ, ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων, ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;" περὶ τῆς Σφιγγός φησι.
ῥαψῳδοί οἱ τὰ Ὁμήρου ἔπη ἐν τοῖς θεάτροις ἀπαγγέλλοντες· οἳ ἐκλήθησαν οὕτως ἐπεὶ ῥάβδους ἔχοντες ἀπήγγελλον. ῥαψῳδῆσαι δέ ἐστι τὸ φλυαρῆσαι, ἢ τὸ ἁπλῶς λαλεῖν καὶ ἀπαγγεῖλαι χωρὶς ἔργου τινός.
ῥάων εὐθυμότερος. καὶ ἀπήμων.
Ῥέα ὄνομα θεᾶς.
Ῥεβέκκα ὄνομα κύριον, ἡ μήτηρ τοῦ Ἰακώβ.
ῥεγεῶνος.
ῥέγκουσι (A Nub. 5). τοῦτο ποιοῦσιν οἱ βαθέως καθεύδοντες. οἱ δὲ μηδὲν φροντίζοντες κοιμῶνται.
ῥεδίων ἁρμάτων.
ῥέεθρον ῥεῖθρον.
ῥέζει θυσιάζει, ποιεῖ, ἱερατεύει, παρασκευάζει.
ῥέζεσκον (Hom. Θ 250) ἔπραττον.
ῥέθος πρόσωπον, ἐρύθημα, μέλος, σπλάγχνον· (AP 7 222) "ἐνθάδε τῆς Τρυφέρας μαλακὸν ῥέθος, ἐνθάδε κεῖται τρυγόνιον." Ὅμηρος (X 362) "ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄιδόσδε βεβήκει." καὶ ῥεθομαλίδαι οἱ τρυφεροὶ τὴν σάρκα. λέγεται γὰρ καὶ ὅλον τὸ σῶμα ῥέθος, καὶ κλίνεται ῥέθους.
ῥεῖ ῥέει.
ῥεῖα ῥᾳδίως, εὐκόλως, εὐμαρῶς, ἰσχυρῶς. καὶ ῥεῖον εὐχερές, εὔκολον.
ῥεῖα ζώοντες (Hom. Z 138) ἀπόνως καὶ ἀμόχθως.
ῥειαμενῇ ἐν καθύδρῳ τόπῳ. cf. v. εἰαμενῇ.
ῥεῖθρον τὸ κῦμα.
ῥείτης ὁ ῥέων.
Ῥειτύς ὄνομα ποταμῦ καὶ ἔθνυς.
Ῥειώνην τὴν Ἥραν.
ῥέκαυτον παρὰ Ῥωμαίοις ἀποχῆς εἶδος.
ῥέκος ζῶμα, ζώνη.
ῥέκτῃ ἀνδρί τῷ πράκτῃ.
ῥελατορία ἀναφορά.
ῥεμβώδους ἠμελημένης· (Polyb. 16 39) "τῆς δὲ πολιορκίας ῥεμβώδους γενομένης ὁ μὲν Σκόπας ἠδόξει καὶ διεβέβλητο νεανικῶς." καὶ αὖθις "εὑρὼν δὲ αὐτὺς διαρεμβομένους κατὰ τὸ τέμενος ἀόπλυς, τύτυς ἀπέκτεινε."
ῥέμει πειρᾷ, ὀδυνᾷ, σήπει.
Ῥέμος ὄνομα κύριον.
Ῥέμφις ὄνομα κύριον.
ῥέξαι ποιῆσαι, πρᾶξαι· Ἀθηναῖοι δὲ θῦσαι. παρὰ Ἐπιχάρμῳ τὸ βάψαι.
ῥέπει κλίνει.
ῥερυθμῶσθαι ἐσχηματίσθαι, συγκεκρίσθαι.
ῥερυπωμένα (ποιητικῶς) κεῖται (Hom. ζ 59).
ῥεῦμον βρέφος νεογνόν.
ῥευξωρία παρὰ Ῥωμαίοις ἡ μετὰ ἀνδρὸς καὶ γυναικὸς ἀλληλοκληρονομία.
ῥεχθὲν δέ τε νήπιος ἔγνω. εἴρηται παρ' Ὁμήρῳ (P 32), ὅτι ὁ μωρὸς μετὰ τὸ γενέσθαι τὸ πρᾶγμα ἐπιγινώσκει.
Ῥήβας ὄνομα ποταμοῦ.
ῥηγεῖς οἱ βαφεῖς, καὶ ῥῆγος τὸ βαπτὸν ἱμάτιον. sch. Hom. I 661.
Ῥηγίλαος ὄνομα κύριον.
Ῥηγῖνος γραμματικὸς ἔγραψε τὸν λεγόμενον Πολυμνήμονα.
Ῥηγῖνος ὁ ἀπὸ τοῦ Ῥηγίυ.
Ῥηγίνους τὺς δειλύς· Ξέναρχος γὰρ ὁ Σώφρονος τῦ μιμογράφυ υἱὸς ἐκωμῴδει τὺς Ῥηγίνυς ὡς δειλύς, ὑπὸ Διονυσίυ τῦ τυράννου πεισθείς. καὶ παροιμία "Ῥηγίνυ δειλότερος" ἐπὶ τῶν καθ' ὑπερβολὴν δειλῶν. καὶ "δειλότερος τῦ παρακύπτοντος."
Ῥήγιον τόπος.
ῥηγμῖνι αἰγιαλῷ. Hom. Δ 437.
ῥήγνυται διαιρεῖται καὶ διακόπτεται. καὶ ῥήγνυσιν ἀντὶ τῦ προΐησιν, ἐκπέμπει· Αἰλιανός "καὶ ῥήγνυσι φωνὴν ἱκέτιν ἐξ αὐτῆς ἐκβιασθεὶς τῆς ὀδύνης·" καὶ ῥηγνύμενον (Hom. Δ 425) διαρρησσόμενον, καὶ ῥήγνυσκε (H 141) διέρρησσε.
ῥῆγος τὸ βεβαμμένον ἱμάτιον.
Ῥήγουλος ὄνομα κύριον. ὅτι οἱ Καρχηδόνιοι πολλοῖς ἀτυχήμασι δουλωθέντες τὸ φρόνημα Ῥήγυλον τὸν στρατηγὸν Ῥωμαίων, ὃν μικρῷ πρόσθεν ὑπὸ χεῖρα πεσόντα σφίσι

πικρῶς τε καὶ βαρβαρικῶς ἐκόλαζον, τότε τῶν δεσμῶν ἀνέντες τά τε ἄλλα θεραπεύσαντες πρὸς τȣ̀ς οἰκείȣς ἐξέπεμπον, εὕρασθαί τινα μετρίαν τȣ̃ πολέμȣ κατάθεσιν καὶ τῶν αἰχμαλώτων ἀντίδοσιν τῇ συμπράξει τοῦ ἀνδρὸς οἰόμενοι. ὃ δὲ πρὸς τὴν Ῥώμην ἅμα πρεσβείαις Καρχηδονίων ἀφικόμενος ἔς τε τὸ συνέδριον παρελθὼν τὰς μὲν συνήθεις τοῖς ὑπατικοῖς τιμὰς διωθήσατο, οὐ μετεῖναι τῆς πολιτείας αὐτῷ λέγων ἀφ' οὗπερ ἡ τύχη δεσπότας αὐτῷ Καρχηδονίȣς ἐπέστησε, παρῄνει γε μὴν τοῖς ἐν τέλει τῆς βουλῆς ἀπείπασθαι παντελῶς τὰς διαλλαγὰς καὶ μὴ ἀνεῖναι τȣ̀ς ἐναντίȣς ἐς τὸ ἀνέλπιστον ἤδη ἀφιγμένȣς· οὐ γὰρ εἶναί πως ἄξιον ἀνδρὸς ἑνὸς μόνȣ καὶ ἤδη γηραιοῦ ὀλίγων τε ἄλλων ὑπολελειμμένων ἐς τὴν Καρχηδονίων πολλὰς χιλιάδας ἀλλαξαμένȣς αὐξῆσαι τὴν τῶν ἐναντίων δύναμιν. ἐφ' οἷς ἀγασθέντες αὐτὸν οἱ Ῥωμαῖοι τὴν μὲν πρεσβείαν ἄπρακτον τῶν Καρχηδονίων ἀποπέμπȣσιν, αὐτὸν δὲ πρὸς βίαν ἀφαιρεῖσθαι τῶν ἀγόντων ἐπεχείρουν. ὃ δὲ οὐ μενετέον αὐτῷ φήσας ἐν πόλει ἐν ᾗ τῆς ἴσης οὐ μεθέξει κατὰ τȣ̀ς πατρίȣς θεσμοὺς πολιτείας, πολέμȣ νόμῳ δȣλεύειν ἑτέροις ἠναγκασμένος, εἵπετο τοῖς Καρχηδονίοις ἑκούσιος, τά τε δάκρυα τῶν οἰκείων καὶ τȣ̀ς ὀλοφυρμȣ̀ς ἀκλινῶς διωθησάμενος. ἐπανελθὼν δὴ οὖν πρὸς τὴν Καρχηδόνα παντὶ κολάσεων εἴδει καταναλίσκεται· πρὸς γὰρ δὴ τοῖς πολλοῖς αἰκισμοῖς οἴκȣ φασὶ περιτεθέντος αὐτῷ στενοῦ καὶ ἰσομέτρου τῷ σώματι, αἰχμαῖς σιδηραῖς κατὰ τὸ ἐντὸς πεπυκνωμένου, διαφθαρῆναι αὐτόν, ἀπαγορεύοντα μὲν πρὸς τὴν ἀκλινῆ στάσιν, περιπίπτοντα δὲ ταῖς αἰχμαῖς ἔν τε ταῖς ἐπὶ τῶν τοίχων ἀναπαύσεσι καὶ ὅλως ἐν ταῖς ἐξαλλαγαῖς τȣ̃ σχήματος. καὶ ὃ μὲν οὕτως ἐπεπράγει. Dio Cass. fr. 43 28.

ῥηίδιον εὔκολον. καὶ **ῥηιδίως**.

ῥηινός ὁ ῥυπαρός.

ῥηίστη ἀρεστή. sch. Hom. δ 565.

Ῥήλαιμος ὄνομα τόπου.

ῥῆμα λέγεται ἡ ἁπλῶς ῥηματικὴ φωνή, οἷον τύπτω γράφω, ἁπλῶς μόνον λεγόμενον· τὸ δ' ἐκ τῆς ἁπλῶς ῥηματικῆς φωνῆς σημαινόμενον κατηγορία καλεῖται.

ῥήματα ἀντ' ἀλφίτων, ἐπὶ τῶν μὴ ὧν τις δεῖται διδόντων, ἀλλὰ φωνὰς μόνας προϊεμένων.

Ῥήνεια νῆσος πλησίον Δήλȣ. καὶ Ῥηνία.

ῥῆνες πρόβατα. ἡ εὐθεῖα ὁ ῥήν.

ῥήξ ῥηγός ὁ τῶν Φράγκων ἀρχηγός.

ῥήξας κόψας· ⟨Ioseph. A. I. 5 8 11⟩ "ὁ δὲ ῥήξας τὰ κλήματα ἐβοήθει." καὶ ῥῆξαι ὁμοίως.

ῥηξήνορες ἀνδρεῖοι· ⟨AP 7 142⟩ "τύμβος Ἀχιλλῆος ῥηξήνορος, ὅν ποτ' Ἀχαιοὶ δώμησαν Τρώων δεῖμα καὶ ἐσσομένων."

ῥηξίφλοια ῥήξαντα τὸν φλοῦν, ὡς κάρυα.

ῥῆξον φωνήν διάτορον εἰπέ· ⟨A Nub. 960⟩ "ἀλλ' ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας, ῥῆξον φωνὴν ᾗ τινι χαίρεις, καὶ τὴν σαυτȣ̃ φύσιν εἰπέ."

ῥησείδιον λεξείδιον.

ῥήσεις λόγοι.

ῥησίαρχος, ὃς ἐρέει τὰ θέσφατα, παρ' Ἐπιχάρμῳ. ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηκεν, ἢ ὡς Ἀσκληπιάδης ἐν ς' Τραγῳδȣμένων, ἄριστον αὐτὸν γεγονέναι ἀλήθειαν εἰπεῖν. ἐγένετο δὲ καὶ ἕτερος.

ῥησικοπεῖν δημηγορεῖν. Polybius.

ῥῆσις μακρά διεξοδικὸς λόγος μακρός.

Ῥῆσος ὄνομα κύριον. στρατηγὸς τῶν Βυζαντίων, τὰς οἰκήσεις ἔχων πρὸ τῆς πόλεως, ἐν τόπῳ ἐπιλεγομένῳ Ῥησείῳ, ἔνθα νῦν ὁ οἶκος τȣ̃ μεγάλȣ μάρτυρος Θεοδώρου γνωρίζεται. ἦλθεν εἰς συμμαχίαν τῶν Τρώων, καὶ καταλύσας ἐν τῷ πεδίῳ τῷ πρὸ τῆς πόλεως κειμένῳ ἀτυχῶς ἀπήλλαξε· διὰ νυκτὸς γὰρ Διομήδης καὶ Ὀδυσσεὺς τȣ̃τον κατασφάζȣσι.

ῥήσσω αἰτιατικῇ.

ῥητίνη.

ῥητόν ὡρισμένον, φανερόν· Θουκυδίδης ⟨4 69⟩ "ξυνέβησαν τοῖς Ἀθηναίοις ῥητȣ̃ μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι, ὅπλα παραδόντας." καὶ αὖθις "ἐν οὐδενὶ χρόνῳ πώποτε ῥητόν τι χρυσίον ἐκομίσαντο ἐκ Ῥωμαίων οἱ καθ' ὑμᾶς Σαρακηνοί."

ῥητορεία.

ῥητορεύω.

ῥητορική ἐστιν ἐπιστήμη δικαίων. ἴδιον δὲ ῥητορικῆς τόλμης τὸ μὴ ἀρνεῖσθαι μέν, πιθανὴν δὲ τῶν πραγμάτων ἐπεισφέρειν αἰτίαν. Δαμάσκιός φησι περὶ Ἰσιδώρȣ "ὃ δὲ τῇ ῥητορικῇ προσέσχε τὸν νȣ̃ν ὅ τι καὶ ἴσχυε ἄξιον, τὸ σοβαρὸν αὐτῆς καὶ ἀλαζονικὸν εὐλαβηθεὶς καὶ μισήσας."

a ῥητορικὴ γραφή, ἣν ἠγωνίζοντο οἱ ῥήτορες· οὐ γὰρ πάσας ἠγωνίζοντο τὰς δίκας τῶν παλαιῶν οἱ ῥήτορες, ἀλλ' ἐνίας. ἄλλοι δὲ ῥητορικὴν γραφὴν εἶναι λέγουσι τὴν κατὰ ῥήτορος γινομένην γράψαντός τι ἢ εἰπόντος ἢ πράξαντος παράνομον, ὥσπερ λέγεται πρυτανικὴ γραφὴ ἡ κατὰ πρυτάνεως καὶ ἐπιστατικὴ ἡ κατὰ ἐπιστάτου.

b ῥητορικὴ γραφὴ ἔοικε καλεῖσθαι ἡ κατὰ ῥήτορος γράψαντος ἢ εἰπόντος ἢ πράξαντος παράνομον. ἴσως δὲ καὶ κατὰ τοῦτο ῥητορικαί τινες γραφαὶ καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ τῶν ῥητόρων γραφαὶ εἰσάγονται.

ῥῆτραι συνθῆκαι, λόγοι, ὁμολογίαι. Ταραντῖνοι δὲ νόμους καὶ οἷον ψηφίσματα. παρὰ Λακεδαιμονίοις ῥήτρα Λυκούργου νόμος, ὡς ἐκ χρησμοῦ τιθέμενος. οἱ δὲ ῥήτρας ὁμολογίας, οἱ δὲ συγγράμματα, καὶ ῥητροφύλακας τοὺς συγγραμματοφύλακας. "οἱ δὲ στρατιῶται, δι' οὓς προείρητο ἡ ῥήτρα, ὅστις αὐτῶν τὰ νῶτα στρέψας ἐπὶ τὸ στρατόπεδον ἴοι, ὡς πολέμιος βαλλόμενος ὑπὸ τῶν φίλων ἀλγεινῶς ἀποθάνοι." "ὁ δὲ χρησμὸς λέγει ῥήτραν σαφοῦς τε καὶ ἐναργοῦς χρησμοῦ."

a ῥήτωρ τὸ παλαιὸν ἐκαλεῖτο ὁ δήμῳ συμβουλεύων καὶ ὁ ἐν δήμῳ ἀγορεύων, εἴτε ἱκανὸς εἴη λέγειν εἴτε καὶ ἀδύνατος, εἴτε καὶ ἀπὸ τοῦ βελτίστου καὶ δικαιοτάτου συμβουλεύων εἴτ' ἐπ' οἰκείοις λήμμασι. καὶ ὁ Δημοσθένης τοῦτον καλεῖ ῥήτορα, ἐπειδὰν λέγῃ ⟨13 20⟩ "ῥήτωρ ἡγεμών, καὶ στρατηγὸς ὑπὸ τούτῳ." καὶ ἑτέρωθι ⟨21 189⟩ "ἐγὼ δ', εἰ μὲν ὁ συμβουλεύων ὑμῖν ὅ τι ἂν συμφέρειν ἡγῆται ῥήτωρ ἐστίν, οὔτ' ἀρνοῦμαι οὔτε φύγοιμι ἂν τοὔνομα τοῦτο· εἰ δὲ οὓς ἐγὼ καὶ ὑμεῖς δὲ ὁρᾶτε, ἀπαιδεύτους καὶ ἀφ' ὑμῶν πεπλουτηκότας, οὐκ ἂν εἴην οὗτος ἐγώ." καὶ πολλοῖς ψηφίσμασι παραγέγραπται ῥητορικὴ ἐκ βουλῆς, εἰ εἰσφέρει τις γνώμην, ἀλλὰ μὴ αὐτὸς ἰδίαν τύχην ἡγούμενος.

b ῥήτωρ συνήγορος, δικολόγος. καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτής, παρὰ Σοφοκλεῖ.

ῥηχιάδαι ἢ ῥηχάδαι οἱ τοὺς καταδίκους εἰς τὰς ῥαχίας βάλλοντες.

ῥῆχος φραγμός. Ἡρόδοτος ⟨7 37 et 142⟩.

ῥία ἀκρωτήρια ὄρθια, καὶ τὰ εἰς θάλασσαν ἐκκείμενα, παρὰ τὸ ῥαίζειν, ὅ ἐστιν εἰς ὀξὺ λήγειν. καὶ Θουκυδίδης ⟨2 86⟩ "οἱ μὲν μὴ ἐκπλεῖν ἔξω τῶν ῥίων ἐς τὴν εὐρυχωρίαν φοβούμενοι."

Ῥιανὸς ὁ καὶ Κρής, ὢν Βηναῖος· Βήνη δὲ πόλις Κρήτης. τινὲς δὲ Κεραΐτην, ἄλλοι δὲ Ἰθώμης τῆς Μεσσήνης αὐτὸν ἱστόρησαν. οὗτος δὲ ἦν τῆς παλαίστρας πρότερον φύλαξ καὶ δοῦλος, ὕστερον δὲ παιδευθεὶς ἐγένετο γραμματικός, σύγχρονος Ἐρατοσθένους. ἔγραψεν ἐμμέτρως ποιήματα Ἡρακλειάδα ἐν βιβλίοις δ'.

ῥιγεδανὸς ὁ φρικώδης.

ῥιγηλὴ ἡ ταχέως ῥιγῶσα· "οὐ γὰρ ἔγωγ' ὧδε ῥιγηλή."

ῥίγιον νόσος.

ῥιγοῖ ψύχει συνέχεται ἀπὸ κρύους. γ' συζυγίας τῶν περισπωμένων. "πάντως δέ μοι ῥιγῶν δοκεῖς" ἀντὶ τοῦ ῥιγοῦν, δωρικῶς, Ἀριστοφάνης Ὄρνισι ⟨932⟩.

ῥίζα καὶ ῥίζωμα.

Ῥίζωνος.

ῥικνὰ ἐρρυτιδωμένα, ἀσθενῆ, σεσυρμένα. "πάσης δὲ ἐδωδῆς ἠπορημένοι ῥικνοὶ καὶ κατεσκελετευμένοι ἔκειντο."

ῥικνοῦσθαι τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι κατ' εἶδος. λέγεται δὲ ῥικνοῦσθαι καὶ τὸ καμπύλον γίνεσθαι ἀσχημόνως κατὰ συνουσίαν καὶ ὄρχησιν, κάμπτοντα τὴν ὀσφῦν. Σοφοκλῆς Ἰχνευταῖς.

ῥίμφα ῥᾳδίως, εὐχερῶς· "ἦ γάρ σ' ὑπνώοντα σίνις λαθρηδὸν ἐπελθὼν ἔκτεινεν, λαιμῷ ῥίμφα καθεὶς ὄνυχα" ⟨AP 7 202⟩.

ῥὶν ῥινός. καὶ ῥῖνες οἱ μυκτῆρες. καὶ ἐξ αὐτοῦ ῥινηλατούμενος ἐλαυνόμενος, ἀπὸ μεταφορᾶς τῶν ἰχνευτῶν κυνῶν.

ῥινὴ τὸ χρυσοχοϊκὸν ἐργαλεῖον· ἐν ἐπιγράμμασι ⟨AP 6 92⟩ "ῥινήν τε κνησίχρυσον ὠκυδήκτορα," καὶ αὖθις ⟨6 205⟩ "αἵ τε χαρακταὶ ῥιναί." ῥίνη δὲ ὄνομα ἰχθύος. καὶ ῥίνημα.

ῥινηλασία ἡ ὄσφρησις.

ῥινηλατῶ.

Ῥίνθων Ταραντῖνος κωμικός, ἀρχηγὸς τῆς καλουμένης ἱλαροτραγῳδίας, ὅ ἐστι φλυακογραφία. υἱὸς δὲ ἦν κεραμέως, καὶ γέγονεν ἐπὶ τοῦ πρώτου Πτολεμαίου. δράματα δὲ αὐτοῦ κωμικὰ τραγικὰ λή.

ῥινολαβίς.

ῥινὸν βύρσαν, δέρμα· ⟨AP 7 172⟩ "ῥινοῦ χερμαστῆρος ἐΰστροφα κῶλα τιταίνων Ἀλ-

κιμένης πτανῶν εἶργον ἄπωθε νέφος." καὶ ῥινοτόμος ὁ τὰ δέρματα τέμνων· ῥινὸς γὰρ τὸ δέρμα.

ῥινῶ ῥινήσω. καὶ ῥινώμενος μυκτηριζόμενος.

Ῥίνων ὄνομα κύριον. Isocrat. 18 6.

ῥίον τὸ ἀκρωτήριον.

Ῥίπαια ὄρη.

ῥιπάς ἀνέμου συστροφή. περὶ Ἀγαμέμνονός φησιν Ἠλέκτρα (103) "ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων στυγερῶν τε γόων, ἔστ' ἂν λεύσσω παμφεγγεῖς ἄστρων ῥιπάς, λεύσσω δὲ τόδ' ἦμαρ, μὴ οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν ἐπὶ κωκυτῷ τῶνδε πατρῴων πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν." ὁ δὲ νοῦς, ἀλλ' οὐ λήξω θρήνων οὔτε ἡμέρας οὔτε νυκτός, ὀδυρομένη ἕως ἂν νύκτα καὶ φῶς βλέπω, ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχώ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν.

ῥιπῆς ὁρμῆς, φορᾶς, βολῆς. ῥιπὶς δὲ πλέγμα παρ' Ἡροδότῳ (2 96 ?). ἐν ἐπιγράμματι (AP 6 290) "ῥιπίδα τὴν μαλακοῖσιν ἀεὶ πρηεῖαν ἀήταις."

ῥιπίζεται ὀπτᾶται· τὸ γὰρ πῦρ οἱ ἄνθρωποι ταῖς ῥιπίσιν ἐρρίπιζον. Ἀριστοφάνης (Eccl. 870) "τὰ τεμάχη ῥιπίζεται." καὶ ἐκριπισθέντες ἀντὶ τοῦ ἐξαφθέντες· "οἱ δὲ συνενθουσιῶντες αὐτοῖς, τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ ἐκριπισθέντες, ἀπολώλασιν." οὕτω φησὶν Αἰλιανός (cf. v. παράφορος). καὶ ἐν ἐπιγράμματι (AP 6 101) "πυριτρόφας τε ῥιπίδας πυρηνέμους."

ῥιπίζω αἰτιατικῇ.

ῥιπὶς ῥιπίδος. καὶ ῥιπίδιον.

ῥιπός φρυγάνου, ψιάθου· (A Pac. 698) "κέρδους δ' ἕκητι κἂν ἐπὶ ῥιπὸς πλέοι." καὶ ῥίπεσι (Hom. ε 256) τοῖς τῆς ἰτέας κλάδοις.

ῥίπτω αἰτιατικῇ.

Ῥισμός ὄνομα κύριον (an Ῥίγμος Hom. Υ 485).

ῥιψαδαγείρων.

ῥίψασπις δειλός, καὶ φέρασπις ὁ πολεμικός.

ῥιψοκινδύνου ἑκουσίως πρὸς κίνδυνον ἐρχομένου· "ὃ δὲ ἔρρωτο βοηθεῖν τοῖς κινδυνεύουσι καὶ χρῄζουσι συμμαχίας ῥιψοκινδύνου τινός· ἑαυτῷ γὰρ ἴδιον ἐνόμιζε τὸν τοιοῦτον καιρόν."

ῥοάς ῥεύματα. καὶ ῥοά εἶδος δένδρου.

ῥόγα ἡ τῶν βασιλέων εὐσέβεια καὶ φιλοτιμία.

ῥοδακινέα τὸ δένδρον.

Ῥοδανός ποταμός.

Ῥόδια μύρα. καὶ Ῥόδος ἡ νῆσος, καὶ Ῥόδιος ὁ ἀπὸ τῆς Ῥόδου, καὶ Ῥόδιον φυτόν. ῥόδειος δὲ στέφανος.

Ῥοδίων Ῥοδίωνος ὄνομα κύριον.

Ῥοδίων χρησμός. Ῥόδιοι τῇ Λινδίᾳ Ἀθηνᾷ θύοντες καθ' ἑκάστην ἡμέραν ἐνδιτέλουν τῷ ναῷ εὐωχούμενοι· οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἁμίδα εἰσφέρειν...συγκαταινέσαντος δὲ πάλιν ἀνεπυνθάνοντο χαλκῆν ἢ ὀστρακίνην; ὃ δὲ ὀργισθεὶς ἀπεφήνατο μηδετέραν. διὸ τὴν παροιμίαν τάσσεσθαι ἐπὶ τῶν περιεργότερον πυνθανομένων.

Ῥοδογούνη γυνὴ μὲν Ὑστάσπου, Ξέρξου δὲ καὶ Δαρείου μήτηρ. Harp.

ῥοδοδάκτυλος ῥοδόχρους.

ῥοδοειδής ὁ χαροποιός.

ῥόδον ἀνεμώνῃ συγκρίνεις, ἐπὶ τῶν ἀνόμοια συμβαλλόντων. καὶ ἑτέρα παροιμία "ῥόδα μ' εἴρηκας" ἀντὶ τοῦ ἐμοὶ τὰ παρὰ σοῦ εἰρημένα ῥόδα ἐστίν, ἐπὶ τῶν κυδαινόντων τινάς· Ἀρισοφάνης (Nub. 907). καὶ ἑτέρα παροιμία "ῥόδον παρελθὼν μηκέτι ζήτει πάλιν."

Ῥοδόπη ὄνομα κύριον. καὶ ὄνομα ὄρους ἐν Θρᾴκῃ, ὅθεν ἔχει τὰ ῥεύματα Ἕβρος ὁ ποταμὸς Θρᾴκης.

Ῥόδος ἡ νῆσος, ἥτις καὶ Λίνδος καλεῖται. καὶ Κολοσσαεῖς οἱ οἰκήτορες διὰ τὸν κολοσσόν.

Ῥοδοχάρης ὄνομα κύριον. καὶ κλίνεται Ῥοδοχάρους.

ῥοδωνιά ἡ τῶν ῥόδων φυτεία, ὥσπερ ἰωνιὰ ἡ τῶν ἴων. Harp.

ῥοδωνιά ἔστι μὲν ὁ τῶν ῥόδων λειμών, ἄλλοι δὲ καὶ τὴν ῥοδοδάφνην οὕτω φασὶ καλεῖσθαι, ἕτεροι δὲ εἶδος ἀμπέλου φερούσης σταφυλὴν παραπλησίαν τῷ ῥόδῳ κατὰ τὸ χρῶμα.

Ῥόδωνος ὄνομα κύριον.

Ῥοδώπιδος ἀνάθημα ὀβελίσκοι ἐν Δελφοῖς πολλοί. Ἀπελλᾶς δὲ ὁ Ποντικὸς οἴεται καὶ ἐν Αἰγύπτῳ πυραμίδα, Ἡροδότου (2 134) ἐλέγχοντος τὴν δόξαν. ἦν δὲ Θρᾷσσα τὸ γένος, ἐδούλευσε δὲ σὺν Αἰσώπῳ Ἰάδμονι Μιτυληναίῳ, ἐλυτρώσατο δὲ αὐτὴν Χάραξος

ὁ Σαπφοῦς ἀδελφός. ἡ δὲ Σαπφὼ Δωρίχαν αὐτὴν καλεῖ.

Ῥοδῶπις ὄνομα κύριον, καὶ Ῥοδώπειος τάφος.

ῥόζειν ῥέγχειν, ὑλακτεῖν, κυρίως μὲν ἐπὶ τῶν κυνῶν, μεταφορικῶς δὲ καὶ ἐπὶ ἀνθρώπων.

ῥοή φορά, ῥεῦσις.

ῥοθεῖ ὁρμᾷ.

ῥοθιάζουσιν ἀθρόως καὶ μετὰ κτύπου φωνῆς ὁρμῶσι καὶ ἐσθίουσιν· Ἀριστοφάνης ⟨Ach. 773⟩ "οἷον ῥοθιάζουσιν, ὦ πολυτίμηθ' Ἡράκλεις, ὡς τραγασαῖα τὰ χοιρία," ἀπὸ τοῦ τρώγειν, ἢ ἀπὸ πόλεως. ῥοθιάζειν δὲ τὸ ἐρέσσειν εὐτόνως· Ἀριστοφάνης Βαβυλωνίοις "κατάγου ῥοθιάζων" φησί. καὶ πάλιν "ναῦς ὅταν ἐκ πιτύλων ῥοθιάζῃ σώφρονι κόσμῳ."

a ῥόθιον τὸ μετὰ ψόφου κῦμα ἢ ῥεῦμα, παρὰ τὸ ταχέως ῥεῖν. σημαίνει καὶ τὴν εἰρεσίαν, καὶ ῥοθιάζειν τὸ ἐρέσσειν εὐτόνως. "οἱ δὲ εἰς τὴν θάλατταν ἐμπίπτοντες τοῦ ῥοθίου ἐνεφοροῦντο," καὶ αὖθις ⟨A Eq. 549⟩ "αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον." Ὑπερίδης τῷ ῥοθίῳ ἐπ' εἰρεσίας κέχρηται συντονωτάτης· φησὶ γοῦν "τὸ μὲν οὖν τῶν ἐλαυνόντων πλῆθος καὶ τὸν τοῦ ῥοθίου ψόφον καὶ τὸ μέγεθος τοῦ σκάφους ἐκπεπληγμένοι δεινῶς ἦσαν." "κτύπος τε ῥοθίου καὶ χρεμετισμὸς ἵππων ἀλλήλοις ἀντεπατάγει" φησὶν Ἀρριανός. καὶ αὖθις ὁ αὐτός "στοῖχον ἕνα ὁπλιτῶν προβεβλημένων τὰς ἀσπίδας, πολλῷ τῷ ῥοθίῳ καὶ ἅμα ἐγκελευσμῷ παντοίῳ ἐν χρῷ τοῦ ἀεὶ ἐμπεποιημένου ζεύγματος παραπλέουσι." καὶ αὖθις "τῆς εἰρεσίας τὸ ῥόθιον."

b ῥόθιον σὺν ὁρμῇ τινὶ καὶ ῥύμῃ· Ἰώσηπος ⟨B. I. 6 2 8⟩ "ῥόθιον ἐκ πλαγίου παρελαύνων ἵππον ἁρπάζει τινὰ φεύγοντα τῶν πολεμίων." καὶ αὖθις "ἐνσείει αὐτοῖς τὴν ἵππον ἀθρόαν· οἱ δὲ διεσοβήθησαν ὑπ' αὐτῆς, οὐκ ἐνεγκόντες τὸ ῥόθιον," τουτέστι τὸ ὁρμητικὸν καὶ ὀξύρροπον μετὰ ἤχου.

c ῥόθιον καλεῖται παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσι. Harp.

ῥοθοπυγίζων λάθρᾳ τύπτων κατὰ τῆς πυγῆς πλατείᾳ τῇ χειρὶ ἢ πλατεῖ τῷ ποδί. τῇ πυγῇ ῥόθον ποιῶν. sch. A Eq. 793.

ῥόθῳ ὁρμῇ.

ῥοιά τὸ ῥοΐδιον.

ῥοίακες· "δίδωμι δὲ τῷ Καλλινίκου παιδίῳ ῥοιάκων ζεῦγος, ψιλοτάπιδα, ἀμφίταπον περίστρωμα, προσκεφάλαια δύο τῶν καλλίστων" ⟨Diog. L. 5 72⟩.

ῥοιβδεῖν ἀναρροφεῖν. λέγεται καὶ ῥοῖβδος παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις ⟨406⟩.

ῥοιζηδόν σφοδρῶς, μετ' ἤχου, ἀπειλητικῶς.

ῥοῖζος ῥύμη, ἦχος· Ἰώσηπος ⟨B. I. 3 7 21⟩ "οὕτω δὲ ῥοίζῳ καὶ βίᾳ τοῖς Ῥωμαίοις ἐνέπεσον ὡς διαρρῆξαι τὰς τάξεις." καὶ ῥοίζημα ⟨A Av. 1182⟩ ὁ ἦχος. καὶ ῥοίζησεν ⟨Hom. K 502⟩ ἐφώνησεν, ἤχησε.

ῥοΐσκοι κόμποι χρυσοῦφαντοι, ὅμοιοι ῥοιαῖς, εἰς κόσμον δὲ ὄντες τῆς τοῦ ἱερέως στολῆς. Exod. 28 et 39.

Ῥοιτειεύς ἀπὸ τόπου. καὶ Ῥοίτειον ἀκρωτήριον.

Ῥοίτης ὄνομα κύριον.

ῥομβεῖν σφενδονᾶν, καὶ ῥόμβος ἡ κίνησις. "πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ" ⟨AP 6 111⟩.

ῥόμβον κίνησιν, ἢ κύλινδρον· ἐν ἐπιγράμμασι ⟨AP 6 33⟩ "θύννων εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον φράξαντες γλαυκαῖς ἐν παρόδοις πελάγευς."

ῥόμβος· ⟨AP 6 165⟩ "στρεπτὸν Βασσαρικοῦ ῥόμβον θιάσοιο μύωπα," κύλινδρον.

ῥομβοστωμυλήθρα. Εὐβουλίδης φησίν ⟨ap. Diogen. L. 2 108⟩ "ἐριστικὸς κερατίνας ἐρωτῶν, καὶ ψευδαλαζόσιν λόγοις τοὺς ῥήτορας κυλίων, ἀπῆλθ' ἔχων Δημοσθένους τὴν ῥομβοστωμυλήθραν."

Ῥομελίας ὄνομα κύριον. 4 Regg. 15 25.

ῥομφαία τὸ μακρὸν ἀκόντιον, ἢ μάχαιρα.

ῥόπαλα τὰ ξύλα, παρὰ τὸ ῥαπίζειν ἢ τῇ ῥοπῇ ἀλοιᾶν· ⟨A Ran. 47⟩ "τίς νοῦς; κόθορνος καὶ ῥόπαλον." τουτέστιν εἰς ταὐτὸ ξυνῆλθον, ἐπὶ τῶν ἀξυμφώνων πραγμάτων. τοῦτο δέ φησιν Ἡρακλῆς πρὸς τὸν Διόνυσον· ὁ γὰρ κόθορνος γυναιξὶν ἁρμόζει.

ῥοπαλίζει κινεῖ καὶ στρέφει ὡς ῥόπαλον. καὶ ῥοπαλισμός ἡ τάσις τοῦ αἰδοίου, ὁ τέτανος.

ῥοπή. ψυχῆς μὲν ἴδιον ὁρμή, σώματος a
δὲ ῥοπή. εἴη ἂν οὖν ὁρμὴ ῥοπῆς βελτίων, ἐπεὶ καὶ ψυχὴ σώματος. τὸ γὰρ βέλτιον καὶ χεῖρον συγκρινόμενα κατὰ τὰ ἴδια αὐτῶν ἔχει τὴν διαφοράν, καὶ κατὰ τοῦτο τὸ βέλ-

Google

τιον ὑπερέχει τοῦ χείρονος. οἷον, εἰ ζῷα ὁ θεὸς καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος, κατὰ μὲν τὸ γένος τὸ κοινὸν οὐδὲν ἀλλήλων διαφέρει, ἐπεὶ δὲ βελτίων ὁ μὲν θεὸς τοῦ ἀνθρώπου ὁ δὲ ἄνθρωπος τοῦ ἵππου, λείπεται τὴν διαφορὰν αὐτοῦ εἶναι κατὰ τὰ ἴδια. εἰ οὖν θεῷ μὲν ἴδιον ἀθανασία, ἀνθρώπῳ δὲ τὸ ἐπιστήμης δεκτικόν, ἵππου δὲ τὸ χρεμετιστικόν, ἡ ἀθανασία βελτίων τοῦ ἐπιστήμης δεκτικοῦ, τὸ δὲ ἐπιστήμης δεκτικὸν τοῦ χρεμετιστικοῦ. οὕτως ἡ ῥοπὴ καὶ ἡ ὁρμή. δοκεῖ δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον ἐν τοῖς ὁμογενέσιν εἶναι, ἐπειδὴ καὶ ἡ σύγκρισις ἐν τοῖς κοινωνίαν ἔχουσι πρὸς ἄλληλα. "καὶ ὑπὸ μίαν ῥοπὴν ἥ τε διάνοια τοῦ στρατηγοῦ καὶ τὰ διατεταγμένα προηγόρευον ταῖς τάξεσι."

b ῥοπὴ κλίσις· "ὃ δὲ νομίσας ἐπὶ ῥοπῆς κεῖσθαι τὴν τῆς πατρίδος ἡγεμονίαν ἐπετελέσατο πρᾶξιν μνήμης ἀξίαν."

a ῥόπτρον ῥόπαλον, ἢ παγίς, ἢ τιμωρία. ἐν ἐπιγράμμασι (AP 6 74) "θῆκά σοι τάδε ῥόπτρα, παραρρίψασα δὲ κισσὸν χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ."

b ῥόπτρον. Λυσίας κατὰ Ἀνδοκίδου ἀσεβείας· "ἔδησε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ." νῦν τὸν τῆς θύρας κρίκον λέγει. Harp.

ῥουβαΐουβος (an συβάδιουβος subadjuva) παρὰ Ῥωμαίοις ὁ τοῦ βοηθοῦ βοηθός.

Ῥουβίμ ὄνομα κύριον.

Ῥουτίλιος Ῥοῦφος ἐπὶ Σκιπίωνος ἦν, καὶ αὐτῷ συνεστράτευεν, συγγράψας τὰ τότε φθάσαντα γενέσθαι· ὃς τηνικαῦτα χιλίαρχος ἐγεγόνει, ὥς φησιν Ἀππιανὸς ἐν τῇ Ῥωμαϊκῇ ἱστορίᾳ (Hisp. 88).

Ῥουφῖνος. οὗτος ἐπὶ Θεοδοσίου ἦν, βαθυγνώμων ἄνθρωπος καὶ κρυψίνους. ἦσαν δὲ οὗτός τε καὶ Στελίχων ἐπίτροποι τῶν Θεοδοσίου παίδων. ἄμφω τὰ πάντα συνήρπαζον, ἐν τῷ πλούτῳ τὸ κράτος τιθέμενοι, καὶ οὐδεὶς εἶχεν ἴδιον οὐδέν, εἰ μὴ τούτοις ἔδοξε. δίκαι τε ἅπασαι πρὸς τούτων ἐδικάζοντο· καὶ πολὺς ἦν ὄχλος τῶν περιθεόντων, εἴ πού τινι χωρίον ὑπάρχοι παντομιγές τε καὶ εὔκαρπον· καὶ ὁ δεσπότης εὐθὺς συνήρπαστο κατηγορίας πεπλασμένης εὐλόγου, διά τινων ὑφειμένων ἐνηδρευμένος, καὶ ὁ ἀδικούμενος ἠδικεῖτο τοῦ ἀδικοῦντος κρίνοντος. ἐς τοῦτο δὲ ὁ Ῥουφῖνος ἐχώρησεν ἀμετροκάκου πλεονεξίας ὥστε καὶ ἀνδράποδα δημόσια ἀπημπόλει, καὶ ὅσα δημόσια δικαστήρια Ῥουφίνῳ πάντες ἐδίκαζον. καὶ ὁ τῶν κολάκων περὶ αὐτὸν ὄχλος ἦν πολύς, οἱ δὲ κόλακες χθὲς μὲν καὶ πρώην δεδρακότες τοῦ καπηλείου καὶ τοῦ τὰ βάθρα καλλύνειν καὶ τοὔδαφος κορεῖν, ἄρτι δὲ χλαμύδας τάς τε εὐπαρύφους ἐνδεδυκότες καὶ περόναις χρυσαῖς διαπεπερονημένοι καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι. τὰ δὲ πολλὰ κατὰ Ῥουφῖνον εὕροις ἐν τῇ τοῦ Σαρδιανοῦ Εὐναπίου χρονογραφίᾳ (p. 112 Nieb.).

ὅτι ἐπὶ Ἀρκαδίου καὶ Ὀνωρίου, τούτων ἄχρι ὀνομάτων ἐχόντων τὸ κράτος, ἡ πᾶσα ἀρχὴ καὶ δύναμις ἦν κατὰ μὲν τὴν ἑῴαν παρὰ Ῥουφίνῳ, κατὰ δὲ τὴν ἑσπέραν ἐπὶ Στελίχωνος γνώμῃ. δίκαι τε πᾶσαι παρ' αὐτοῖς κατ' ἐξουσίαν ἐκρίνοντο, καὶ ἀπῄει κεκρατηκὼς ὁ χρημάτων τὴν ψῆφον ὠνούμενος πολλῶν ἢ οἰκειότητι τὴν τοῦ δικάζοντος ἐπισπώμενος εὔνοιαν. κτήματα δὲ ὅσα τὰς κυρίας ἐν τοῖς ἁπάντων ἐποίει στόμασιν εὐδαίμονας ὀνομάζεσθαι, μετῄει πρὸς τούτους, τῶν μὲν δωρεαῖς θεραπευόντων καὶ τούτῳ τὸ συκοφαντεῖσθαι διαφευγόντων, ἑτέρων δὲ τὰ οἰκεῖα προϊεμένων ὑπὲρ τοῦ τυχεῖν ἀρχῆς ἢ ἄλλον τινὰ πρίασθαι τῶν πόλεων ὄλεθρον. παντὸς δὲ εἴδους πονηρίας ταῖς πόλεσιν ἐπιπολάζοντος, ὁ μὲν ἁπανταχόθεν πλοῦτος ἐς τὴν Ῥουφίνου καὶ Στελίχωνος οἰκίαν ἐσέρρει, ἡ δὲ πενία κατὰ πάντα τόπον ἐπενέμετο τὰς τῶν πάλαι πλουτούντων οἰκίας. ᾐσθάνοντο δὲ τῶν γινομένων οἱ βασιλεῖς οὐδενός, ἀλλ' ἔγραφον μόνον ὅσα Ῥουφῖνος ἐπέταττε καὶ Στελίχων. ἐπεὶ δὲ ἄσπετος ἦν αὐτοῖς πλοῦτος συνειλεγμένος, ἤδη καὶ τὴν βασιλείαν ἑαυτῷ μνᾶσθαι ὁ Ῥουφῖνος ὠνειροπόλει. Zosim. 5 1.

Ῥοῦφος Ἐφέσιος ἰατρός, γεγονὼς ἐπὶ Τραϊανοῦ σὺν Κρίτωνι. φέρεται αὐτοῦ βιβλία πλεῖστα, ἐξ ὧν καὶ ταῦτα, περὶ διαίτης έ, περὶ διαίτης πλεόντων ά, περὶ τραυματικῶν φαρμάκων ά, περὶ τραυματισμοῦ ἄρθρων ά, περὶ σύκων ά, περὶ τῆς ἀρχαίας ἰατρικῆς βιβλίον ά, περὶ γάλακτος βιβλίον ά, περὶ οἴνου βιβλίον ά, περὶ μέλιτος.

ῥόχθαι. καὶ ῥόχθεον ἐστέναζον.

ῥόχθει ἦχον ἀπετέλει. Hom. ε 402.

ῥοώδης ῥεύματα ἔχων.

ῥύβδην (Aristot. H A p. 624 24) ὡς ἐπὶ ῥεύματος, σφοδρῶς, φοβερῶς, δαψιλῶς.

a ῥύγχος· Ἀριστοφάνης (Av. 363) "ἐλελεῦ, χώρει, καθὲς τὸ ῥύγχος· οὐ μένειν ἐχρῆν."

b ῥύγχος τὸ πρόσωπον καὶ Κρατῖνος καὶ ἕτεροι.

ῥύδην σφοδρῶς καὶ ἀθρόως· οὕτω Κρατῖνος. λέγεται καὶ ῥυδόν· "ῥυδὸν ἀφνειόνται" (Hom. ο 425) ἀντὶ τοῦ ῥύδην καὶ ῥευστικῶς πλουτοῦσιν. ἢ κεχυμένως, ἀντὶ τοῦ πάνυ.

ῥυήτω φθαρήτω.

ῥυηφενής ὁ πλούσιος.

ῥυθμίζει, αἰτιατικῇ, διατυποῖ, κανονίζει, εὐθύνει. Δαμάσκιος (Phot. p. 339 b) "ἀλλ' ὅσα ἔγραψε, τὸ μὲν ὑψηλόνουν τε καὶ τελεσιουργὸν εἶχεν, τοῖς δὲ ἔπεσιν οὐ πάνυ ἦν συνηρμοσμένα. ἀλλὰ τούτων ὅσον ἄμετρον ἀπέβαινε καὶ ἄλλως οὐ κατὰ τὸν πρεπώδη ῥυθμόν, ἐμοὶ ἐπανορθοῦσθαι ἐπέτρεπε."

ῥυθμός τάξις ἐμμελὴς ἀκολούθου ἁρμονίας, μέλος εὔφωνον, σύγκρισις.

πατὴρ μέτρου ῥυθμός· καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία (sch. A Nub. 636). "ὁ δὲ τὰς αὐλητρίδας κελεύει ῥυθμόν τινα βαρβαρικὸν ἐπαυλῆσαί οἱ."

ὅτι διαφέρει ῥυθμὸς μέτρου τῷ τὸν μὲν γενικώτερον εἶναι, τὸ δὲ μέτρον ὑπάρχειν εἶδος τοῦ ῥυθμοῦ. θεωρεῖται γὰρ ὁ ῥυθμὸς καὶ ἐπὶ τῶν κροτούντων ταῖς χερσὶ καὶ τοῖς ποσίν· ὅταν γὰρ ἡ ταχεῖα καὶ βραδεῖα τῶν ποδῶν ἄρσις καὶ θέσις λόγον ἔχωσι πρὸς ἄλληλα, ῥυθμὸς γίνεται. καὶ ἐντεῦθεν ἀπὸ μεταφορᾶς τούτων ἡ τοιάδε τῶν συλλαβῶν συμπλοκή, ἣν παραλαμβάνομεν πρὸς τὴν τῶν μέτρων γένεσιν, πόδες ἐκλήθησαν. καὶ ἐπὶ τῶν αὐλῶν καὶ τῶν ἄλλων τῶν τοιούτων ὁ ῥυθμὸς λέγεται, συμμετρία ὢν τοῦ χρόνου ἐν ᾧ ἡ κίνησις γίνεται. καὶ γὰρ τῶν τρημάτων τῶν αὐλῶν τὰ μὲν ἐπὶ πλείονα χρόνον τοῖς δακτύλοις ἐπιπωμάζουσι τὰ δὲ ἐπ' ἐλάττονα, καὶ οὕτω τῶν ἀπηχήσεων τὴν μὲν μακροτέραν ποιοῦσι τὴν δὲ βραχυτέραν. καὶ ἔτι τῶν τρημάτων τὰ μὲν μείζονά εἰσι τὰ δὲ ἐλάττονα, καὶ τὰ μὲν ἐγγυτέρω τῆς ἐπιγλωττίδος τὰ δὲ πορρωτέρω. καὶ τὰ μὲν στενώτερα ὀξύτερά ἐστι τῶν εὐρυτέρων (διὸ καὶ αἱ τῶν παίδων φωναὶ καὶ αἱ τῶν γυναικῶν ὀξύτεραι), τὰ δὲ εὐρύτερα βαρύτερα. ὁμοίως καὶ τὰ ἐγγυτέρω τῶν πορρωτέρω ὀξύτερα. ὧν τῇ συμμετρίᾳ ἡ ἁρμονία καὶ τὸ μέλος γίνεται. ῥυθμὸς δὲ τῇ τοῦ τάχεος καὶ βραδέος. ὁ μὲν οὖν ἐπὶ τῶν ἄλλων ῥυθμὸς κατὰ τὸ βραχὺ καὶ βραδὺ χαρακτηρίζεται, ὁ δὲ ἐπὶ τοῦ προφορικοῦ λόγου κατὰ τὸ μακρὸν καὶ βραχύ· ὅσπερ καὶ μέτρον μόνος λέγεται. οὐκ ἐπὶ τῶν ποιητικῶν δὲ λόγων ταῦτα μόνον θεωρεῖται, ἀλλὰ καὶ ἐπὶ τῶν ῥητορικῶν. Philopon. in 2 de anima L 8 a.

ῥυκάνα τεκτονικὸν ἐργαλεῖον· (AP 6 204) "καὶ πέλεκυν ῥυκάναν τ' εὐαγέα καὶ περιαγὲς τρύπανον." θηλυκῶς ἡ ῥυκάνα.

Ῥύκου κριθοπομπία. Ἐρατοσθένης ἐν τῷ θ' φησὶ βασιλέα τοῦτον αἰχμάλωτον γενόμενον, εἶτα ὑποστρέψαντα εἰς ἑαυτὸν τῇ πόλει Ἀθηναίων κριθὴν ἐκπέμψαι.

ῥῦμα φυλακή· (S Ai. 159) "χαλεπὸν πύργου ῥῦμα πέλονται," ἀντὶ τοῦ εὐτελὴς πόλεως φυλακή. "ἐς τόξου ῥῦμα περιέπλεον τοῖς Ῥωμαίοις οἱ βάρβαροι, πόλλ' ἅμα βέλη ἀφιέντες." Εὐνάπιος (p. 104 Nieb.) "πέτρα δέ τις ἀπεσπασμένη ἐς τόξου ῥῦμα," τουτέστιν ἕλκυσμα. καὶ αὖθις "κραταιῶς ἐκ τούτων ἀνῆπτον τὰ ῥύματα, λαμβάνοντες ἐκ τῶν κατ' ἄλληλα πλοίων, καὶ κατείχετο τὸ ζεῦγμα τοῖς ῥύμασι." καὶ αὖθις (Polyb. 3 46) "ῥύματα δὲ καὶ πλείω ταῖς σχεδίαις ἐνῆψαν, οἷς ἔμελλον οἱ λέμβοι ῥυμουλκοῦντες οὐκ ἐάσειν φέρεσθαι κατὰ τοῦ ποταμοῦ, βίᾳ δὲ πρὸς τὸν ῥοῦν κατέχοντες παρακομιεῖσθαι τὸ ὅλον ἔργον." καὶ αὖθις Πολύβιος (1 26) "ἐπὶ τούτοις ἐπέστησαν τὰς ἱππηγούς, ῥύματα δόντες ἐξ αὐτῶν ταῖς τοῦ τρίτου στόλου ναυσίν." (1 27) "ἐρυμούλκουν τὰς ἱππηγοὺς ναῦς."

ῥυμβεῖν ῥομβεῖν· τοῦτο δὲ ἀπὸ τῆς κινήσεως τοῦ ῥόμβου. Αἰλιανός "καὶ ἐρρυμβόνα τὰ τιμιώτατα εἰς ἀσωτίαν ἀφειδεστάτην," ἀπὸ τοῦ ῥυμβονῶ ῥήματος.

ῥύμη ὁρμὴ βιαία· Ἀριστοφάνης (Eccl. 4) "κεραμικῆς ῥύμης ἄπο." καὶ αὖθις Εὐνάπιος (p. 102 Nieb.) "τοσαύτη τις ἦν ἡ πρὸς τὸ ἀσελγέστερον ῥύμη τε καὶ φορὰ ὥστε οἱ ἄρχοντες τῶν πολεμίων ἦσαν πολεμιώτεροι."

ῥύμματα τρίμματα, σμήγματα, καθάρματα.

ῥυμὸς τοῦ ἅρματος τὸ ἐκτεταμένον ξύλον παρὰ τοὺς ἵππους ἕως τοῦ ζυγοῦ. καὶ σταθμίον τι παρὰ Ῥοδίοις, καὶ τῆς ἄρκτου οἱ κατὰ τὴν οὐρὰν τρεῖς ἀστέρες ὑπὸ Ἡρακλείτου.

ῥυμοτομεῖται εἰς ὀρθὸν διακόπτεται.

ῥυμοτομίαις εὐθύτησι.

ῥυμουλκῶ ῥῆμα, τὸ τὰς ναῦς ἑλκύω.

ῥυπαίνω ἀντὶ τοῦ ὑβρίζω Φερεκράτης.

ῥυπόωντας. καὶ ῥύπος.

ῥυππαπαῖ ἐπίφθεγμα ναυτικόν, παρακελευστικὸν κωπηλασίας· Ἀριστοφάνης (Ran. 1184) "οὐκ ἠπίσταντ' εἰ μὴ μᾶζαν καλέσαι καὶ ῥυππαπαῖ."

ῥύπτει ἀποκλύζει, σμήχει. καὶ ῥύπτομαι ἀντὶ τοῦ σμήχομαι· Ἀριστοφάνης (Ach. 17) "ἀλλ' οὐδεπώποτ', ἐξ ὅτου 'γὼ ῥύπτομαι, οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς ὡς νῦν." ῥύπτομαι ἀντὶ τοῦ σμήχομαι. τουτέστι ζῶ, μεταφορικῶς· τῷ γὰρ ζῶντι ἕπεται τὸ ῥύπτεσθαι, ὅ ἐστι σμήχεσθαι· ῥύμματα γὰρ τὰ σμήγματα. ἢ οὕτως. ῥύπτεσθαι τὸ σμᾶσθαι, παρεμπτώσει τοῦ τ, τὸ τὸν ῥύπον ἀφαιρεῖσθαι· ὁ δὲ ῥύπος κατ' ἀφαίρεσιν τοῦ χ ὁ τῷ χρωτὶ ὑπὼν σπίλος. ὑπὸ κονίας δὲ εἶπε τὰς ὀφρῦς παρ' ὑπόνοιαν· δέον γὰρ εἰπεῖν ὑπὸ λύπης τὴν καρδίαν, ὑπὸ κονίας δὲ εἶπε, διότι οἱ κονίαν σμώμενοι δάκνονται τὰς ὀφρῦς.

ῥυσά ἡ μάρανσις, ἡ γήρασις. λέγεται καὶ ῥυσή.

ῥυσαί (Hom. I 503) ῥυτίδας ἔχουσαι.

ῥῦσαι λυτρῶσαι.

ῥυσήματα τὰ ἐπὶ τῶν ὄψεων τῶν γεγηρακότων σπιλώματα.

ῥυσθήσομαι λυτρωθήσομαι. Ps. 17 32.

ῥύσια ἐνέχυρα· "Τίσιδος ὠδίνων ῥύσια δεξαμένη" (AP 6 274). καὶ ῥυσιάζω· (Diodor. exc. p. 548) "φασὶ δὲ τὸν νεανίσκον ἀνελεῖν καὶ τὴν πόλιν ῥυσιάζειν" ἀντὶ τοῦ ἐνέχυρα λαμβάνειν. Ἰώσηπος (B. I. 1 19 2) "πρῶτον μὲν γὰρ ῥύσιον τῶν πολεμίων ἄγων καὶ πολὺ συγκροτήσας ἱππικὸν ἐπαφίησιν αὐτοῖς περὶ Διόσπολιν." "ὅπως ἔχοι τὸ ξόανον ῥύσιον ἐν Ἰθάκῃ Ὀδυσσεύς." καὶ ἡ τραγῳδία (S Phil. 959) "φόνου δὲ ῥύσιον τίσω τάλας."

ῥύσιον λυτήριον, ῥυπτήριον καθαρτήριον.

ῥύσις ὕδατος ῥεῦσις· "ἐδεδίεσαν τὴν τοῦ ὕδατος σπάνιν διὰ τὸ μηδαμῇ φαίνεσθαι ὕδατος ῥύσιν ἁπλῶς."

ῥυσμὸς κατὰ Ἀβδηριτικὴν διάλεκτον σημαίνει τὸ σχῆμα. καὶ ἑτέραις δὲ λέξεσιν οὐχ Ἑλληνικαῖς οἱ περὶ τὸν Ἀβδηρίτην Δημόκριτον χρῶνται· φασὶ γὰρ τροπὴν καὶ διαθιγήν, καὶ σημαίνει τούτοις ἡ μὲν τροπὴ τὴν θέσιν, ἡ δὲ διαθιγὴ τὴν τάξιν.

ῥυστάζειν ἕλκειν.

ῥυτά συνεσταλμένως εἶδός ἐστι ποτηρίου. Δημοσθένης κατὰ Μειδίου (158). ἐκτεταμένως παρ' ἡμῖν λεγόμενα. Harp.

ῥύτειρα ἡ σώζουσα.

ῥυτῆρα ἑλκτικόν, παρὰ τὸ ἐρύειν. καὶ φύλακα. "καὶ πλείους ἵππους παραλαβὼν ἀπὸ ῥυτῆρος ἑλκομένους ἐπορεύετο." λέγεται καὶ ῥύτωρ· (AP 6 37) "Πανὶ ὡραίων ῥύτορι βουκολίων."

ῥυτῆρες χαλινοί, ἡνίαι, ἱμάντες· ἐν ἐπιγράμμασι (AP 5 217) "χρυσὸς ὅλους ῥυτῆρας, ὅλας κληῖδας ἐλέγχει."

Ῥύτιον ὄνομα πόλεως.

ῥυτίς ἀσθένεια, γῆρας. ἐν ἐπιγράμμασι (AP 6 22) "καὶ ῥυτιδόφλοιον σῦκον ἐπομφάλιον." καὶ αὖθις (7 217) "Ἀρχεάνασσαν ἔχω τὴν ἑταίρην, ἧς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ' ἔρως."

ῥύτορα φύλακα· ἐν ἐπιγράμμασι (AP 6 207) "πορφύρεον χαίτας ῥύτορα κεκρύφαλον."

ῥυτός ἑλκυστικός. καὶ ῥυτῆρσι.

ῥυχάχετον θόρυβον, συρφετόν· Ἀριστοφάνης (Lys. 170) "τὸν τῶν Ἀθηναίων γε μὴν ῥυχάχετον τίς ἂν πείσειε μὴ πλαδδεῖν."

ῥύψαι σμῆξαι.

ῥωγαλέον διερρωγός, διεσχισμένον. καὶ ῥωγάς ἡ διερρωγυῖα· (Babr. 86 2) "ἐν τῇ δ' ἔκειτο ῥωγὰς αἰπόλων πήρα, ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης." κανών· τὰ διὰ τοῦ αλεος ἀπὸ τριῶν παράγονται μερῶν, ἀπὸ ὀνόματος, δεῖμα δειμαλέος, ἀπὸ ῥήματος, οἰδῶ οἰδαλέος, ἀπὸ ἐπιρρήματος, ῥίμφα ῥιμφαλέος, καὶ παροξύνονται. σεσημείωται τὸ παιδάλεος ὁ ποικίλος, καὶ κονισάλεος.

ῥωγμός ῥῆξις γῆς.

Ῥώθωνος.

Ῥωμαίων ἀρχή. αὕτη τῆς Ἀσσυρίων καὶ Περσῶν καὶ Μακεδόνων τῶν πρὶν μακρῷ ὑπερῆρεν, ὁρισαμένη πέρατα ἑαυτῆς πρὸς μὲν ἕω Ἰνδοὺς καὶ ἐρυθρὰν θάλατταν καὶ Νεῖλον καὶ καταρράκτας καὶ λίμνην Μαιῶτιν, ὅσα δὲ πρὸς δυσμάς, ὠκεανόν τε αὐτόν, ὃν μὴ μῦθον εἶναι τοῖς ἔργοις ἐδηλώθη, μηδὲ ἄλλως πρὸς ψυχαγωγίαν τοὔνομα αὐτοῦ παρὰ τοῖς ποιηταῖς ᾄδεσθαι, εἴγε καὶ ἡ Βρεττανῶν χώρα, ἣν περιρρέων νῆσον ἐργάζεται, νῦν εὑρεθεῖσα ἐν πέρασι τῆς Ῥωμαίων ἀρχῆς ἀριθμεῖται. λεγέτω μὲν οὖν,

οτῳ δοκεῖ, ὡς ἀναμφίλογοι τῶνδε πρὸς τὰ **παλαιὰ** αἱ ὑπερβολαί, πλήθει τε χειρὸς τῶν **ἐπελθόντων** εἰκάζοντι καὶ τόλμαις ἑκατέρων **καὶ** στρατηγήσεσι καὶ μηχανήσεων ἐπινοίαις **καὶ** τῶν ἀντιπολεμησάντων ἀρετῇ. *Δέξιππος* ⟨p. 3 Nieb.⟩.

ὅτι τὴν Ῥωμαίων ἀρχὴν αἴτιον αὐξηθῆναι **τὸ** φιλόμαχον τῶν ἐθνῶν καὶ τὸ εὐσύντακτον **τῆς** δυνάμεως. πάντες γὰρ οἱ πρὸς ἑσπέραν **θυμικώτεροί** εἰσι τῶν ἐπὶ θάτερα κατοικούντων, περιττεύει δὲ Ῥωμαίοις τὸ τεταγμένον **ἐν** τῷ ἔργῳ καὶ τεχνικόν, ᾧ καὶ Γαλατῶν **ἐκράτουν**, καὶ ἐν τοῖς πρὸς τοὺς ὁμόρους πολέμοις τριβέντες, καὶ περιόντες τῶν βαρβάρων τῇ συντάξει, τῶν δὲ Ἑλλήνων φύσει καὶ ἀνδρίᾳ.

Ῥωμαίων πόλις. ὅτι ἡ Ῥωμαίων πόλις ἀπείρατος ὑπερορίων ἐκστρατειῶν τυγχάνουσα, ἐξέτασιν τοῦ πλήθους ποιησαμένη κατέμαθε τὸν ἀριθμὸν τῶν πολιτῶν οὐ πολὺ λ' μυριάδων ἀπολειπόμενον, καὶ ταῦτα συνεχέσι τριβομένη πολέμοις, οὐδεπώποτε δὲ μακρᾶς καὶ βεβαίας εἰρήνης ἀπολελαυκυῖα.

ῥωμαλέος ὁ ἰσχυρός, καὶ ῥωμαλέως ἰσχυρῶς, ἐπιρρηματικῶς.

ῥώμη ἰσχύς. καὶ Ῥώμη ἡ πόλις, ἥτις ἀπὸ τοῦ πρώτου συνοικισμοῦ διαγεγονότων ζ' καὶ ο' καὶ υ' ἐτῶν ἀπείρατοι ἦσαν ὑπερορίων πολέμων, τὸν δὲ πρὸς Καρχηδονίους ὅσον οὔπω παρέσεσθαι πόλεμον προσδεχομένη ἐξέτασιν ἐποιεῖτο τοῦ πλήθους, καὶ εὗρεν ἀριθμὸν τῶν πολιτῶν οὐ πολὺ ἀπολειπόμενον λ' μυριάδων.

ὅτι τὴν Ῥώμην ἐπιτομὴν τῆς οἰκουμένης εἶπεν Ἀθήναιος ⟨p. 20 *B*⟩.

Ῥῶμις ὄνομα κύριον.

Ῥῶμος καὶ Ῥωμύλος ὀνόματα κύρια.

ῥωννύω δύναμιν παρέχω.

a ῥώξ ῥωγός εἶδος φαλαγγίου. cf. v. ῥάξ.

b ῥώξ κόκκος. καὶ εἶδος πέτρας.

Ῥωξάνη ὄνομα κύριον.

ῥῶπαξ ῥώπακος τὰ ῥωπάκια παρ' ἡμῖν.

ῥῶπες δασεῖα ὕλη, ἢ κατάκομος καὶ σύμφυτος τόπος. καὶ ῥωπεύειν ξυλεύεσθαι· ⟨AP 6 226⟩ "τοῦτό τοι ῥωπεύειν ὀλιγόξυλον."

ῥωπήια τοὺς συνδένδρους τόπους. Hom. *N* 199.

ῥωπικά· "ἁ μάτηρ ζωὸν τὸν Μίκυθον, οἷα πενιχρά, Βάκχῳ δωρεῖται, ῥωπικὰ γραψαμένα" ⟨AP 6 355⟩.

ῥωπικός· ⟨Polyb. 24 5⟩ "τὸν δὲ πρακτικὸν τρόπον ὑπέφαινε τέλειον, ἦν δὲ ψευδεπίγραφος καὶ ῥωπικός," ἀντὶ τοῦ κεχρωσμένος. καὶ ῥωπικὸν ὤνιον τὸ εὐτελές, πολλοῦ δὲ πιπρασκόμενον.

ῥῶπος μῖγμα χρώματος, ὅσα βαφεῦσι ζωγράφοις μυρεψοῖς χρησιμεύει· ὅθεν ῥωποπώλης. τινὲς δὲ καὶ τὸν παντοδαπὸν φόρτον ῥῶπον εἰρήκασι.

Ῥωσάκης ὄνομα κύριον. Arrian. Anab. 1 15.

ῥώσαντες δυναμώσαντες· "οἱ δὲ βάρβαροι ῥώσαντες ἑαυτοὺς ἐπὶ τὸ στεγανώτερον, ὡς οὐκέτι Ῥωμαϊκοῖς καὶ διαπεπλασμένοις ὑποπεσούμενοι στρατηγήμασι."

Ῥωσαφῶν φρούριόν τι.

ῥῶσθαι σπουδάζειν.

ῥωσθείς δυναμωθείς.

ῥῶσις ὑγεία.

ῥωστήριον παρορμητήριον.

ῥωτακίζειν τῷ ρ στοιχείῳ συνεχῶς χρῆσθαι.

ῥωχμός ῥῆγμα γῆς· Προκόπιος ⟨Vand. 2 19⟩ "Ἀβίγας δὲ ὁ ποταμὸς ἐκ τοῦ Αὐρασίου κατιὼν ἐν τῷ πεδίῳ, ἐν ᾧ ἀπορρῶγες συχναὶ τυγχάνουσιν οὖσαι, ἐς ἃς δὴ ὁ Ἀβίγας σχιζόμενος ὑπὸ γῆν φέρεται καὶ αὖθις ὑπὲρ γῆν φαίνεται. τοῦτο ἐπὶ πλεῖστον τοῦ πεδίου ξυμβαῖνον ἐν ἐξουσίᾳ τοῖς ταύτῃ ᾠκημένοις τίθεται εἶναι, ἐπιβύσασι χώματι τοὺς ῥωχμοὺς ἢ αὖθις αὐτοὺς ἀποκαλύψασι, τοῖς ὕδασι τοῦ ποταμοῦ τοῦδε ὅ τι βούλοιντο χρῆσθαι."

ῥώψ τὸ φυτόν, καὶ ῥῶψα βοτάνη ἁπαλή. Aquila Es. 27 4.

σᾶ τὰ σῶα λέγουσι μονοσυλλάβως, ἀπὸ τοῦ σῶα συναιροῦντες, καὶ τὸν σῶον σῶν, καὶ σῶοι σοῖ. παρὰ δὲ Θουκυδίδῃ δισυλλάβως σῶοι.

Σαβά τόπος.

Σαβάζιος ὁ αὐτός ἐστι τῷ Διονύσῳ, ἔτυχε δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν· τὸ γὰρ εὐάζειν οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων τινὲς ἀκολουθοῦντες τὸν εὐασμὸν σαβασμὸν λέγουσιν· ἔνθεν Σαβάζιος ὁ Διόνυσος. σάβους ἔλεγον καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους καὶ τοὺς Βάκχους αὐτοῦ. sch. A Av. 874.

Σαβακῶν Διονυσιακῶν· ⟨AP 7 222⟩ "τρυγόνιον Σαβακῶν ἄνθεμα Σαλμακίδων,"

Google

τυτέστιν ἑταιρῶν.

a σάββατον ἑβδόμη ἡμέρα ἐτύγχανε τῦ κυκλικῦ διαστήματος τῆς ἑβδομάδος, τῦ Ῥωμαϊκῦ ⟨an Ἰουδαϊκῦ⟩ τὴν ἡμέραν γεραίροντος πόνων ἀνάπαυλαν, αἰδοῖ τῦ σεβάσματος. ἀργίαν δὲ εἶχε τὸ σάββατον· ἀλλὰ τὴν πνευματικὴν ἐργασίαν πολλαπλασίονα ἐπετέλυν.

b σάββατον ἀργία, κατάπαυσις. σάββατον δὲ δευτερόπρωτον ⟨Lucae 6 1⟩, ἐπειδὴ δεύτερον μὲν ἦν τῦ πάσχα, πρῶτον δὲ τῶν ἀζύμων. εἰ οὖν σάββατον εἴρηται, μὴ θαυμάσῃς· σάββατον γὰρ πᾶσαν ἑορτὴν ἐκάλουν ⟨Isidor. Pel. 3 110⟩. καὶ διὰ τῦτο εἴρηται σάββατα σαββάτων. ὀψὲ δὲ σαββάτων καὶ οὐ σαββάτῳ λέγει ὁ εὐαγγελιστὴς διότι σάββατα πᾶσαν τὴν ἑβδομάδα ἔλεγον, ἵνα τὴν ἑσπέραν τῆς ἡμέρας ἐκείνης δηλώσῃ· καὶ γὰρ ἔθος ἐστὶν ἡμῖν λέγειν "ὀψὲ τῆς ὥρας ἦλθες, ὀψὲ τῦ καιρῦ". ἐκ τύτου δηλοῦται τὸ πόρρω καὶ βραδὺ τῆς περαιωθείσης ἑβδομάδος. πληρῦται δὲ ἡ ἑβδομὰς ἑκάστη ταῖς μετὰ τὸ σάββατον ἡλίου δυσμαῖς.

σαββάτου ἔχον ὁδόν ⟨Act. Ap. 1 12⟩. δισχιλίων πήχεων ἦν· τοσοῦτον γὰρ ἡ κιβωτὸς διάστημα προελάμβανε τὴν παρεμβολήν, καὶ ἀπὸ τοσούτου διαστήματος ἐσκήνυν οἷς ἐξῆν προσκυνεῖν τὴν σκηνὴν ἐν σαββάτῳ βαδίζειν.

Σάβειροι ὄνομα ἔθνους. "νεμεσᾷ τε καὶ ἀγανακτεῖ ὁ Καῖσαρ ὅτι μὴ ἀνέστησαν ἁπαξάπαντας Σαβείρους τε καὶ Ἀλβανούς" ⟨Menand. p. 393 Nieb.⟩.

σαβέκ ἄφεσις, ἀπὸ τῆς Σύρας γλώττης.

Σαβέλλιος ὄνομα κύριον, ὁ αἱρεσιάρχης.

Σαβῖνος σοφιστής, γεγονὼς ἐπὶ Ἀδριανῦ Καίσαρος, ἔγραψεν εἰσαγωγὴν καὶ ὑποθέσεις μελετητικῆς ὕλης βιβλία δ', εἰς Θουκυδίδην καὶ Ἀκουσίλαον καὶ ἄλλους ὑπομνήματα, καὶ ἕτερά τινα ἐξηγητικά.

Σάβοι Δημοσθένης ὑπὲρ Κτησιφῶντος ⟨260⟩. οἱ μὲν Σάβους λέγεσθαι τοὺς τελουμένους τῷ Σαβαζίῳ, τουτέστι τῷ Διονύσῳ, καθάπερ τοὺς τῷ Βάκχῳ Βάκχους. τὸν αὐτὸν δὲ εἶναι Σαβάζιον καὶ Διόνυσόν φασιν. οὕτω δέ φασι καὶ τῶν Ἑλλήνων τινὰς τοὺς Βάκχους Σάβους καλεῖν. Μνασέας δὲ ὁ Πατρεὺς υἱὸν εἶναί φησι τοῦ Διονύσου Σαβάζιον. Harp.

Σαγαλασσός πόλις Πισιδίας.

σάγαρις κοπὶς ἢ πέλεκυς. λέγεται καὶ σάγαρι χωρὶς τοῦ σ. Ξενοφῶν ⟨Anab. 4 4 16⟩ "ὃ δὲ ἄνδρα συλλαβὼν ἧκεν ἄγων ἔχοντα τόξον Περσικὸν καὶ φαρέτραν καὶ σάγαριν, οἵανπερ αἱ Ἀμαζόνες ἔχουσι." "λυσιφλεβῆ τε σάγαριν θῆκεν" ⟨AP 6 94⟩ ἢ τὰ ἐκ χειρὸς ὅπλα.

Σαγγάριος ποταμὸς Λυδίας καὶ Φρυγίας.

σάγη τὸ τοῦ ὄνυ ἐπίθεμα· ⟨Babrius 7 12⟩ "ἐπ' αὐτὸν ἐτίθει τὸν γόμον τὴν σάγην τε τοῦ κτήνυς." Ἰώσηπος ⟨A. I. 1 19 10⟩ "Ραχήλα δὲ κατατίθησι τὺς τύπυς εἰς τὴν σάγην τῆς φερύσης αὐτὴν καμήλυ."

σαγηνεία ἡ ἁλεία.

Σαγηνεύς ὄνομα κύριον.

σαγηνέων ἁλιέων.

σαγήνη. καὶ σαγηνευτήρ ὁ ἁλιεύς. "αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν δῶρα" ⟨AP 6 33⟩.

σάγμα ἡ θήκη τῦ ὅπλυ, σάγη δὲ τὸ ὅπλον καὶ πανσαγία ἡ πανοπλία. Ἀριστοφάνης Ἀχαρνεῦσι ⟨573⟩ "τίς Γοργόν' ἐξήγειρεν ἐκ τῦ σάγματος"; ἐν γὰρ τῇ ἀσπίδι ἐτετύπωτο ἡ Γοργώ. λέγει ὖν, τίς ἐξήγαγε ἐκ τῆς θήκης τὸ ὅπλον; καὶ Σοφοκλῆς ⟨Eur. Androm. 618⟩ "κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασι." "καὶ δῶρα βασιλεῖ Νομάδι, σάγων πορφυρῶν πλῆθος καὶ πόρπας χρυσείας."

σαγμάρια τὸ παρ' ἡμῖν λεγόμενον τοῦλδον, τὰ βαστάζοντα τὴν ἀποσκευὴν καὶ τὴν μετακομιδὴν τῶν ἐπιτηδείων.

Σαγχωνιάθων Τύριος φιλόσοφος, ὃς γέγονε κατὰ τὰ Τρωικά, περὶ τῆς Ἑρμοῦ φυσιολογίας, ἥτις μετεφράσθη, πάτρια Τυρίων τῇ Φοινίκων διαλέκτῳ, Αἰγυπτιακὴν θεολογίαν, καὶ ἄλλα τινά.

Σαδδουκαῖος ἀπὸ τόπυ.

Σαδόκ ὄνομα κύριον.

σαθροί παλαιοί, φθαρέντες.

σαθρός ἀπὸ τῦ σείεσθαι ῥᾳδίως, ἢ ἀπὸ τῦ σείεσθαι τὰ ἄρθρα.

σαθρωθῆναι σαλευθῆναι. "τὰς μὲν ἐπάλξεις καταρραχθῆναι ταῖς βολαῖς, καὶ τὸν τοῖχον ἅπαντα τῦ πύργυ σαθρωθῆναι τῇ βίᾳ" Μένανδρός φησι.

σαίνεσθαι κολακεύειν. τὸ ῥῆμα σαίνω ⟨AP 7 66⟩ "ἀλλὰ κύον σαίνοις Κέρβερε τόν με κύνα." καὶ αὖθις "σαίνεις δάκνυσα, καὶ κύων λαίθαργος εἶ," ἐπὶ τῶν ὑποκρινομένων δῆθεν εὐνοεῖν, ἐπιβυλευόντων δὲ λάθρᾳ. sch. A Eq. 1040.

σαίνουροι τὰς ὀρὰς σείοντες.

σαίρει κοσμεῖ, ἢ χαίρει.

σάκανδρος τὸ γυναικεῖον αἰδοῖον. A Lys. 824.

Σάκας ὄνομα κύριον, τραγῳδίας ποιητής. καὶ Σάκαι ἔθνος Θρᾳκικόν· Ἀριστοφάνης ⟨Av. 31⟩ "νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ." οὕτως ἐκαλεῖτο ὁ Ἀκέστωρ διὰ τὸ ξένος εἶναι. ὁ αὐτὸς Ἀριστοφάνης "ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς εἰσβιάζεται, ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι, ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος."

σακέλλιον βαλλάντιον, μαρσίπιον. ἐξ οὗ καὶ σακελλάριος.

σακέρδως σακέρδωτος ὁ ἱερεύς.

σακέσπαλος ὁ πολεμικός. Hom. E 126.

σακεσφόροι ὁπλοφόροι, ἀσπιδηφόροι.

σακεύουσι τὸ ὑλίζουσι παρ' Ἡροδότῳ ⟨4 23⟩.

σάκκος. καὶ σακκίον· "ὁ δὲ Ἰακὼβ σακκίον ἐξαψάμενος καὶ τῇ λύπῃ βαρὺς ἐκαθέζετο" ⟨Ioseph. A. I. 2 3⟩.

σάκος ὅπλον, ἀσπίδα. καὶ σάκος, ἀρσενικῶς, δι' ἑνὸς κ· "σάκους ἔχων καὶ κωρύκους" ⟨A Lys. 1213⟩ ἀντὶ τοῦ θυλάκους. κώρυκος δὲ πλέγμα δεκτικὸν ἄρτων.

σάλα ἡ φροντίς.

σαλάγγωνος.

σαλαΐζειν θρηνεῖν.

Σαλάκων προσποιούμενος πλούσιος εἶναι, πένης ὤν. καὶ σαλακωνία ἀλαζονεία ὑπὲρ τὸ δέον, καὶ σαλακωνίσαι ἀλαζονεύεσθαι. ἀλαζόνας δὲ ἔλεγον τοὺς ψεύστας καὶ μεγαλαύχους.

σαλαμάνδρα ζῷον ὡς σαῦρα τὸ μέγεθος, ψυχρότατον τὴν φύσιν, ὡς καὶ τὸ πῦρ εἰσδυόμενον τὴν φλόγα σβεννύναι καὶ αὐτὸ μὴ πίμπρασθαι.

Σαλαμινία ναῦς. δύο ἦσαν νῆες παρὰ τοῖς Ἀθηναίοις ὑπηρέτιδες ταχυδρόμοι, ἡ Πάραλος καὶ ἡ Σαλαμινία, ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐγκαλουμένους εἰς κρίσιν ἦγεν· ἣν καὶ ἐπ' Ἀλκιβιάδην φησὶ πεμφθῆναι Θουκυδίδης· ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγε, τουτέστι τὰ εἰς θυσίαν πεμπόμενα. sch. A Av. 147.

Σαλαμίνιος ⟨A Eccl. 38⟩ ὡς ναυτικῶν ὄντων τῶν Σαλαμινίων καὶ κατωφερῶν. δύναται δὲ καὶ ἀπὸ τῆς Σαλαμινίας νεὼς νοεῖσθαι τὸ Σαλαμίνιος, ὡς ἀπὸ τῆς Παράλου Παράλιος.

Σαλαμῖνος. μετὰ Μαραθῶνα Σαλαμῖνος μέμνηται, ὅπου ναυμαχία Περσῶν ἐγένετο, ἐν Μαραθῶνι δὲ πεζομαχία. κεῖται δὲ ἡ Σαλαμὶς ὀλίγον πρὸ τῆς Ἐλευσῖνος πόλεως ἱερᾶς Δήμητρος καὶ κόρης, πλήρης κατορθωμάτων Ἑλληνικῶν· καὶ γὰρ ἐν ταύτῃ πολλὰς τῶν Περσῶν Ἀθηναῖοι κατεναυμάχησαν τριήρεις ὀλίγῳ ἀριθμῷ Θεμιστοκλέους στρατηγοῦντος. ἔνθα καὶ πέτρα ἐστὶν Εἰρεσία οὕτω καλουμένη, ὥσπερ διὰ τοῦ ὀνόματος τρόπαιον οὖσα. ἔστι δὲ καὶ Ἀγέλαστος πέτρα καλουμένη παρὰ τοῖς Ἀθηναίοις, ὅπου καθίσαι φασὶ Θησέα μέλλοντα καταβαίνειν εἰς Ἅδου· ὅθεν καὶ τοὔνομα. ἢ ὅτι ἐκεῖ ἐκαθέσθη ἡ Δήμητρα κλαίουσα, ὅτε ἐζήτει τὴν κόρην. Ἀριστοφάνης ⟨Eq. 790⟩ "ἐπὶ ταῖς πέτραις οὐ φροντίζει σκληρῶς καθήμενον, οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου, κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι."

Σαλανίωνος.

σαλεύει ζῇ, διάγει· "τὸν τῆς οἰκουμένης δεσπότην, ἐν ᾧ σαλεύει τὰ πάντα." καὶ αὖθις "ὥσπερ οὖν οὐχ ὑπὲρ τῶν ἐσχάτων σαλεύουσα, ἀλλ' ἐφειμένη δρᾶν ὅ τι καὶ θέλει." καὶ αὖθις "σαλευόντων ἐπὶ λεπταῖς ταῖς ἐλπίσι πολλῶν."

σαλεύσας βουλευσάμενος· "πολλὰ δὴ καθ' ἑαυτὸν σαλεύσας ἀνέρριψεν ἐκ τῶν παρόντων εὐτυχῆ κύβον." καὶ αὖθις "τοὺς δὲ ἄλλους ἐπ' ὀψίας τῆς ἀκμῆς σαλεύσας, καὶ μέντοι τῷ ἀπολέσθαι ὁμοῦ εἶναι." καὶ αὖθις "ἡνίκα ἑώρα σαλεύουσαν αὐτῇ τὴν τύχην πᾶσαν" ἀντὶ τοῦ μεταπίπτουσαν.

Σαλὴμ ὄνομα πόλεως. ἡ Ἱερουσαλήμ.

Σάληξ ὄνομα ποταμοῦ.

Σαλμωνεύς. οὗτος Αἰόλου μὲν υἱός, βασιλεὺς δὲ Θετταλῶν, ὃς ἀσεβὴς γεγονὼς διὰ μηχανῆς ἤστραπτεν ἐβρόντα, συνεχύκα τὰς τῶν ὑπηκόων ψυχάς ⟨A Ach. 506⟩. ὅθεν καὶ δίκην ἔδωκε τῆς ἀσεβείας, θεόθεν κεραυνόβλητος γεγονώς.

Σαλομὼν ἀπὸ τοῦ Σαλήμ, ὅ ἐστιν εἰρήνη· ἐν γὰρ τοῖς χρόνοις αὐτοῦ εἰρήνη ἦν.

σάλος σαλευμός, τάραχος. καὶ ἡ φροντίς. ⟨Polyb. 1 53⟩ "κατέλαβον πολισμάτιον ἀλίμενον μὲν σάλους δὲ ἔχον καὶ προβολὰς περικλειούσας ἐκ τῆς γῆς εὐφυεῖς." καὶ αὖθις "καὶ τῷ σάλῳ συνιζάνον ἐποίουν αὐτὸ στρι-

φώτερον."

σάλουσα φροντίζουσα· σάλα γὰρ ἡ φροντίς.

a Σαλούστιος σοφιστὴς ἔγραψεν εἰς Δημοσθένην καὶ Ἡρόδοτον ὑπόμνημα, καὶ ἄλλα.

b Σαλούστιος. οὗτος εἰς Ἀλεξάνδρειαν ἧκεν Ἀθήνηθεν σὺν Ἰσιδώρῳ τῷ φιλοσόφῳ. παράδοξος δὲ ὁ τρόπος Σαλουστίου πᾶσιν ἀνθρώποις, τὰ μὲν φιλοσοφοῦντος ἐπὶ τὸ καρτερώτερον τὰ δὲ παίζοντος ἐπὶ τὸ γελοιότερον, ἑκάτερον, οἶμαι, πέρα τοῦ μετρίου. καὶ δεῖ κρίσεως, εἴπερ τινὶ ἄλλῳ, καὶ τῷδε τῷ βίῳ. καὶ δὴ Σαλούστιος τὰ μὲν πατρόθεν ὥρμητο ἀπὸ Συρίας, τὰ δὲ πρὸς μητρὸς Ἐμισηνὸς ἐγεγόνει· ὁ πατὴρ δὲ αὐτῷ Βασιλίδης ὠνομάζετο, Θεόκλεια δὲ ἡ μήτηρ. εὐφυὴς δὲ ἐπὶ πολλὰ γεγονὼς καὶ τὸ ἦθος αὐστηρὸς καὶ φιλότιμος τὰ μὲν πρῶτα ἀπέβλεπεν εἰς τὴν πολυάρατον δικανικήν, καὶ ἐπαιδεύετο λόγοις ῥητορικοῖς ὑπὸ Εὐνοΐῳ σοφιστῇ τότε ὄντι κατὰ Ἔμισαν. ὕστερον δὲ οὐκέτι τῷ δικανικῷ ἀλλ' ἤδη τῷ σοφιστικῷ βίῳ προσεῖχε τὸν νοῦν, καὶ ἐπὶ τούτῳ διεμελέτα τοὺς λόγους, οὐδὲν ἧττον τῆς φύσεως ἐπὶ τοῖς πόνοις θαυμαζόμενος· τοὺς μὲν γὰρ δημοσίους τοῦ Δημοσθένους λόγους ὁμοῦ πάντας ἐξέμαθεν. ἀλλὰ πρὸς τούτῳ καὶ λέγειν ἦν ἱκανός, οὐ τοὺς νεωτέρους ἐκμιμούμενος σοφιστάς, ἀλλὰ πρὸς τὸν ἀρχαῖον πίνον τῆς λογογραφίας ἁμιλλώμενος. ἀμέλει καὶ ἔγραψε λόγους οὐ πολύ τι ἐκείνων λειπομένους. τὸν δὲ ἡμέτερον πολίτην Μάρκελλον, ἑταῖρον τοῦ Εὐνοΐου καὶ τοῦτον, ἐκμαθόντα μὲν ἀπεμνημόνευε τὰ ἡ βιβλία τῆς Θουκυδίδου ἱστορίας, οὐ μήν τι καὶ λέγοντα ἄξιον ἀκοῆς. καὶ Νόννον δέ φασιν ἐκμαθόντα ἑξάκις ὅλον τὸν Δημοσθένην μηδὲ διᾶραι τὸ στόμα δύνασθαι πρός γε λόγων ἐπιεικῶν σύνθεσιν· οὐ γάρ ἐστι ταὐτὸν ἐς πλῆθος ἀποστηθίζειν καὶ γράφειν ἐς κάλλος. ὁ δὲ Σαλούστιος ἁδρότερον ἤδη ἁπτόμενος τῆς τέχνης, ἐλάττω ἢ καθ' ἑαυτὸν ὑπολαβὼν τὸν Εὐνόιον ἀπῆρεν εἰς Ἀλεξάνδρειαν, καὶ ἀπεπειρᾶτο τῶν ῥητορικῶν διδασκαλιῶν. Damascius Phot. p. 342 b.

c Σαλούστιος φιλόσοφος, ὃς ἔφη ἀνθρώποις οὐ ῥᾴδιον εἶναι φιλοσοφεῖν, ἀλλὰ καὶ ἀδύνατον. τοῦτον ἀκούσας ἀπέστυξα δὴ τότε τὸν λόγον ὡς οὔτε ἀληθῆ λεγόμενον οὔτε λέγεσθαι ἄξιον. ἀλλὰ γὰρ ὁ Σαλούστιος ᾔδει τὸ ἐνὸν εἰπεῖν· οὐ γὰρ διεβέβλητο πρὸς τοὺς φιλοσόφους ἁπλῶς, ἀλλὰ φύσει μισοπόνηρος ἦν καὶ κατὰ τὸν Ἡράκλειτον ὀχλολοίδορος, καὶ πᾶσιν ἐπιτιθέμενος τοῖς ἁμαρτάνουσι, καὶ ὁπωσοῦν ἐκ πάσης προφάσεως ἐλέγχων, ἑκάστους καὶ διακωμῳδῶν, ἐνίοτε μὲν σπουδάζων, τὰ δὲ πολλὰ τῷ γελοίῳ χαίρων ἤθει καὶ φιλοσκώμμονι. καὶ γὰρ ἦν ὁ Σαλούστιος εὐτράπελος ἱκανῶς καὶ σκώπτειν εὐφυέστατός τε καὶ προχειρότατος, ἐξαιρέτους μὲν ἐγὼ αὐτός, ἐκ γένους δὲ ὅμως τὰς τοιαύτας χάριτας· ὁ γάρ τοι πέμπτην ἀρετὴν ὀνομάσας τὴν περὶ θεῶν δόξαν ἀληθῆ, δοκοῦσαν ἐνεῖναί ποτε τοῖς πονηροτάτοις, Σαλούστιός ἐστιν. ἔτι δὲ πρὸς ἐνίους τῶν ἀλλοφύλων, τὰ μὲν ἄλλα αὐτοῦ ἐπαινοῦντας, ἓν δὲ αὐτῷ λείπειν εἰρηκότας τὸ μὴ δοξάζειν περὶ θεῶν τὰ αὐτὰ τοῖς πολλοῖς, "ἐᾶτε" ἔφη "τοῦτό γε διὰ τὴν νέμεσιν προσεῖναί μοι." τῷ δὲ Παμπρεπίῳ μέγιστον ἤδη δυναμένῳ ἐντυχών, ἐπειδὴ ἐκεῖνος ὡραϊζόμενος "τί θεοὶ πρὸς ἀνθρώπους" ἔφη, "τίς δὲ" ἔφη "οὐκ οἶδεν ὡς οὔτε ἐγὼ πώποτε θεὸς ἐγενόμην οὔτε σὺ ἄνθρωπος;" ταῦτα περὶ Σαλουστίου. κυνικώτερον δὲ ἐφιλοσόφει. Damascius.

ὅτι Σαλούστιος ὁ τῆς αὐλῆς ἔπαρχος ἐπὶ Ἰουλιανοῦ ἀνὴρ ἦν διαφερόντως περιττὸς εἰς φιλανθρωπίαν· ᾧ γε τοσοῦτον ἡμερότητος καὶ πραότητος ὑπῆρχεν εἰς ἅπαντας, ὥστε καὶ τὸν Μάρκελλον ἐκεῖνον, τὸν ἡνίκα ἦν Καῖσαρ ὑβριστικῶς αὐτῷ χρησάμενον, πάνυ περιδεᾶ ὄντα διὰ τὰ προγεγενημένα, καίτοι τοῦ παιδὸς ἐλεγχθέντος ἐπανίστασθαι διὰ τὴν πρὸς Κωνστάντιον φιλίαν, τῷ νεανίσκῳ τὴν δίκην ἐπέθηκε, τὸν δὲ Μάρκελλον καὶ διαφερόντως ἐτίμησε. cf. vv. ἐξιστάμενος et περιττός.

Σαλούστιος ἔπαρχος πραιτωρίων, ὃς προεβάλετο βασιλέα Βαλεντινιανόν. ὁ δὲ βασιλεύσας διεδέξατο αὐτόν, καὶ ἔθηκε προστάγματα ἵνα, εἴ τίς τι ἠδίκηται παρ' αὐτοῦ, προσέλθῃ τῷ βασιλεῖ. οὐδεὶς δὲ προσῆλθεν· ἦν γὰρ ἁγνότατος ὁ Σαλούστιος. οὗτος δὲ ὁ Βαλεντινιανὸς τὸν πραιπόσιτον Ῥοδανόν, ἀδικήσαντα Βερονίκην τινὰ χήραν, ἧς προσελθούσης τῷ βασιλεῖ ἔδωκε δικαστὴν Σαλούσιον. ὃ δὲ κατεδίκασε τὸν πραιπόσιτον. καὶ τούτου καταφρονήσαντος τὸν πραιπόσιτον ἐν τῷ ἱππικῷ πυρὶ παραδίδωσι, καὶ τὴν κτῆσιν πᾶσαν τοῦ ἀρχιευνούχου τῇ χήρᾳ δι-

δωσι. καὶ φοβηθέντες πάσης ἀδικίας ἀπέσχοντο. cf. Cedren. p. 310.

f Σαλούστιος Μοψεάτης ἰατρός, ἐπὶ Τιβερίου Καίσαρος, ἔγραψεν ἰατρικά.

σαλπιγγολογχυπηνάδαι (A Ran 997) σάλπιγγας καὶ λόγχας καὶ ὑπήνας ἔχοντες. τοῦτο δὲ εἰς τὸν Φορμίσιον ἀνατείνει ὡς μέγαν ἔχοντα πώγωνα. εἶπε δὲ συνθέτως τὸ μὲν ἀπὸ τοῦ πολέμου, τὸ δὲ ἀπὸ τοῦ πώγωνος Ἀριστοφάνης.

a σάλπιγξ. ἱερατικὸν τοῦτο τὸ ὄργανον· ἱερεῖς γὰρ ἐχρῶντο τῇ σάλπιγγι.

b σάλπιγξ· "σάλπιγξιν Ἰνδοὶ οὐ χρῶνται, ἀλλ' ἀντὶ σάλπιγγός εἰσιν αὐτοῖς αἱ μάστιγες, ἃς ἀποκτυποῦσιν εἰς τὸν ἀέρα, καὶ τύμπανά τινα φρικώδη ἐξ ἑαυτῶν ἀνιέντα βόμβον." cf. v. τύμπανα.

Σαλώμη ὄνομα κύριον.

Σαμαρείτης ἀρσενικῶς, Σαμαρῖτις δὲ ἡ γυνή.

Σαμαρεύς ὁ πολίτης. "ἐντεῦθεν ἐχωρίσθησαν ἀπὸ τῶν Ἰουδαίων οἱ Σαμαρεῖται." πολλαῖς δὲ ἐχρήσατο τύχαις ἡ Σαμάρεια.

σάμβαλα ὑποδήματα.

Σαμβάρης ὄνομα κύριον.

σαμβῦκαι ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον. οἱ δὲ ἰαμβῦκαι. ταύτην τὴν σαμβύκην πρῶτος Ἴβυκος ἐφεῦρεν. ἔστι δὲ εἶδος κιθάρας τριγώνου.

σάμβυκες γένος μηχανήματος πολιορκητικοῦ, ὥς φησι Πολύβιος. περὶ δὲ τῆς κατασκευῆς αὐτοῦ γέγραπται ἐν τῷ περὶ ἐκφράσεως. "οἱ δὲ προσεβοήθουν ἐπὶ τὸ διατείχισμα, καὶ πρὸς τοὺς ἀπὸ τοῦ λιμένος ἀπὸ τῶν ὑπερειδόντων ἐπὶ τὸ τεῖχος τοὺς σαμβύκας."

σάμη εἶδος πάθους Σαμιακοῦ· περιέστιξαν γὰρ οἱ Ἀθηναῖοι τοὺς ἁλόντας Σαμίων, μετὰ δὲ ταῦτα οἱ Σάμιοι τοὺς Ἀθηναίους. cf. v. τὰ Σαμίων.

Σαμίων ἄνθη, ἐπὶ τῶν ἐσχάταις ἡδοναῖς χρωμένων.

Σαμίων ὁ δῆμός ἐστιν ὡς πολυγράμματος Ἀριστοφάνης Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους· οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων, σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ ἑ στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ. ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ κδ' γράμματα ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν Τρίποδι· τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν Ἀρχῖνος ἐπὶ ἄρχοντος Εὐκλείδου. τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Ἀριστοφάνης ἔτεσι πρὸ τοῦ Εὐκλείδου κδ' ἐπὶ Εὐκλέους. περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος. οἱ δὲ ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔστιζον γλαυκί, Σάμιοι δὲ σαμαίνῃ, ὃ ἔστι πλοῖον δίκροτον, ὑπὸ Πολυκράτους πρῶτον κατασκευασθὲν τοῦ Σαμίων τυράννου, ὡς Λυσίμαχος ἐν β' Νόστων. τὸ δὲ πλάσμα Δούριδος. οἱ δὲ τὴν σάμαιναν νόμισμα εἶναι. τάττεται δὲ ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους κακῶν συμφοράς, παρ' ὅσον Ἀθηναῖοι τοὺς Σαμίους ἔστιξαν.

Σαμνῖται ὄνομα ἔθνους.

Σαμοθρᾴκη νῆσος· κεῖται δὲ καταντικρὺ τῆς Θρᾴκης. φασὶ δὲ Σαμίους οἰκίσαντας αὐτὴν τὸ ὄνομα θέσθαι τοῦτο· καὶ ἔστι παρὰ Ἀντιφῶντι ἐν τῷ Σαμοθρᾳκικῷ λόγῳ οὕτως εἰρημένον "καὶ γὰρ οἱ τὴν ἀρχὴν οἰκίσαντες τὴν νῆσον ἦσαν Σάμιοι· ἐξ ὧν ἡμεῖς ἐγενόμεθα. κατῳκίσθησαν δὲ ἀνάγκῃ, οὐκ ἐπιθυμίᾳ τῆς νήσου· ἐξέπεσον γὰρ ὑπὸ τυράννων ἐκ Σάμου, καὶ τύχῃ ἐχρήσαντο ταύτῃ. λείαν λαβόντες ἀπὸ τῆς Θρᾴκης ἀφικνοῦνται εἰς τὴν νῆσον." (A Pac. 276) "ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ μεμυημένος, νῦν ἐστὶν εὔξασθαι καλὸν ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε." ἐν Σαμοθρᾴκῃ ἦσαν τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακα κινδύνων τινῶν. ἦν δὲ ἐκεῖσε καὶ τὰ τῶν Κορυβάντων μυστήρια καὶ τὰ τῆς Ἑκάτης, καὶ τὸ Ζήρινθον ἄντρον, ἡ κύνας ἔθυον. ἐν κινδύνοις οὖν γενόμενοι ἐπεκαλοῦντο τοὺς δαίμονας ἐπιφανῆναι καὶ ἀλέξῆσαι. ἐδόκουν δὲ οἱ μεμυημένοι ταῦτα ἐκ τῶν δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων. ἀποστραφῆναι δὲ ἀντὶ τοῦ διακλασθῆναι τοῦ μετιόντος τὸν δοίδυκα· ἢ ἐναντίαν αὐτῷ τὴν εἰς τὸ δεύτερον γενέσθαι ὁδόν, ὥστε μηκέτι αὐτὸν ὑποστρέψαι.

Σαμουήλ ὁ προφήτης. τοῦτον ἐγέννησεν Ἄννα εὐξαμένη πρὸς κύριον· ὃν Σαμουὴλ ἐκάλεσε, Θεαίτητον ὡς ἄν τις εἴποι. καὶ ἀναμνησθεῖσα ἡ μήτηρ αὐτοῦ τῆς εὐχῆς ἣν ηὔξατο πρὸς Ἡλεὶ τὸν ἀρχιερέα, παρεδίδου Ἡλεί, ἀνατιθεῖσα τῷ θεῷ προφήτην

γενησόμενον. κόμη τε οὖν αὐτῷ ἀνεῖτο, καὶ ποτὸν ὕδωρ ἦν, καὶ διῆγεν ἐν τῷ ἱερῷ τρεφόμενος. Ἑλκάνῃ δ' ἐκ τῆς Ἄννης υἱεῖς γίνονται γ' καὶ θυγάτηρ. Σαμουὴλ δὲ πεπληρωκὼς ἔτος ιβ' προεφήτευσε. καί ποτε κοιμώμενον ὀνομαστὶ ἐκάλεσεν ὁ θεός· ὃ δὲ νομίσας ὑπὸ τοῦ ἀρχιερέως πεφωνῆσθαι παραγίνεται πρὸς αὐτόν. οὐ φαμένου δὲ καλέσαι τοῦ ἀρχιερέως, ὁ θεὸς εἰς τρὶς τοῦτο ποιεῖ. καὶ Ἡλεὶ διαυγασθείς φησι πρὸς αὐτόν "ἀλλ' ἐγὼ μὲν Σαμουὴλ σιγὴν ὡς καὶ τὸ πρὶν ἦγον, θεὸς δ' ἐστὶν ὁ καλῶν. ἀλλὰ σήμαινε πρὸς αὐτὸν ὅτι παρατυγχάνω." καὶ τοῦ θεοῦ φθεγξαμένου πάλιν ἀκούσας ἠξίου λαλεῖν ἐπὶ τοῖς χρωμένοις· οὐ γὰρ ὑστερήσειν αὐτὸν ἐφ' αἷς ἂν θελήσειε διακονίαις. καὶ ὁ θεός "ἐπεὶ παρατυγχάνεις, μάνθανε συμφορὰν Ἰσραηλίταις ἐσομένην καὶ τοὺς Ἡλεὶ παῖδας μιᾷ ἡμέρᾳ τεθνηξομένους." Ioseph. A. I. 5 10 3.

Σάμου ὑληέσσης ⟨Hom. N 12⟩. οὐδέποτε κατὰ τὴν συνήθειαν λέγει Σαμαθράκην, ἀλλὰ διαλελυμένως, ὥσπερ ἐν πόλει ἄκρῃ, τῇ ἀκροπόλει.

σαμφόρας εἶδος ἵππου ἐγκεχαραγμένου τὸ σ σημεῖον. οἱ δὲ Δωριεῖς τὸ σ σὰν λέγουσι.

σαμψῆραι σπάθαι βαρβαρικαί. "δῶρα φέρει Τραϊανῷ ὑφάσματα σηρικὰ καὶ σαμψήρας· αἳ δέ εἰσι σπάθαι βαρβαρικαί." cf. Ioseph. A. I. 20 2 3.

a Σαμψὼν παῖς Μανωέ, κριτὴς Ἑβραίων, ἀνὴρ ἰσχυρός. ἄχρι μὲν οὖν οὗτος ἐκράτει τῶν τοῦ σώματος ἡδονῶν, τῶν πολεμίων κατεδυνάστευεν· ἐπειδὴ δὲ ὑπὸ Δαλιλᾶς τῆς πόρνης ὑπεκλάπη τὸν νοῦν, ἅμα καὶ τῆς σωφροσύνης καὶ τῆς ἰσχύος ἐξέπεσεν, ὑπό τε τῶν ἐναντίων ἁλοὺς δέσμιος ἐς Γάζαν ἀπήχθη, καὶ τῶν ὄψεων στερηθεὶς ἐδόθη ἀλήθειν ἐν μύλωνι. διὸ δὴ συμπεσὼν τοῖς τοῦ ἱεροῦ κίοσι συναπώλετο τοῖς ἐναντίοις, εἰπών "ἀπελθέτω δὴ Σαμψὼν μετὰ τῶν ἀλλοφύλων." καὶ ὃ μὲν οὕτω διεφθάρη, κρίνας τὸν λαὸν ἔτη κ'. Io. Antioch. exc. Peir. p. 781.

b Σαμψών. ὅτι ἐπὶ Σαμψὼν ἀνήρ τις πορευόμενος ἐν πόλει φυλῆς Βενιαμὶν ὑπὸ τῶν ἐμφυλίων ἁρπαγεῖσαν τὴν ἑαυτοῦ γυναῖκα ἐθεάσατο, καὶ καταισχυνθεῖσαν ὑπὸ πλήθους ἀπέλαβε νεκράν, αὐτὸς δὲ κατατεμὼν αὐτὴν ἐπὶ τὰς ιβ' ἐξαπέστειλε φυλὰς εἰς μαρτύριον τῆς ἀνομίας Βενιαμίν. καὶ οἱ μὲν παραχρῆμα λαβόντες αὐτὴν ἀναβάντες ἐπὶ τὰς πόλεις, ἐξεῖλον τὴν φυλὴν Βενιαμίν, π' καὶ ζ' καταναλώσαντες χιλιάδας.

Σαμωνᾶς ὄνομα κύριον.

Σανατρούκης Ἀρμενίων βασιλεύς, ὃς τὸ μὲν σῶμα ξύμμετρον εἶχε, τὴν γνώμην δὲ μέγας ἐτύγχανεν εἰς ἅπαντα, οὐχ ἥκιστα δὲ εἰς τὰ ἔργα τὰ πολέμια. ἐδόκει δὲ καὶ τοῦ δικαίου φύλαξ ἀκριβὴς γενέσθαι, καὶ τὰ εἰς τὴν δίαιταν ἴσα καὶ τοῖς κρατίστοις Ἑλλήνων τε καὶ Ῥωμαίων κεκολασμένως. Dio Cass 65 9 ?.

σάνδυξ χρῶμα κόκκινον.

Σάνδων Ἑλλανίκου φιλόσοφος ἔγραψεν ὑποθέσεις εἰς Ὀρφέα, βιβλίον α'.

σανίς σανίδος.

Σαννυρίων Ἀθηναῖος κωμικός. δράματα αὐτοῦ ἐστὶ ταῦτα, Γέλως Δανάη Ἰω Ψυχασταί, ὡς Ἀθήναιος ἐν Δειποσοφισταῖς.

σάου σῶζε, φύλαττε· ἐν ἐπιγράμματι ⟨AP 6 157⟩ "Ἄρτεμι, τόξῳ μὲν κλῶπας βάλλε, σάου δὲ φίλους." καὶ αὖθις ⟨7 109⟩ "τὸν μὲν ἵνα ψυχήν, τὸν δ' ἵνα σῶμα σάου."

Σαούλ βασιλεὺς τῶν Ἰουδαίων, ὃς ὑπὸ δαίμονος κατείχετο καὶ οὔτε ἐκάθευδεν οὔτε ἐκοιμᾶτο· ὅντινα ὁ Δαβὶδ ταῖς μελῳδίαις κατέθελγε. Io. Antioch. exc. Peir. p. 781.

Σαοὺλ ἐν προφήταις. οὗτος ἐχρίσθη ὑπὸ Σαμουὴλ εἰς βασιλέα καὶ προφήτην· καὶ ἰδών αὐτόν τις ἔφη "καὶ Σαοὺλ ἐν προφήταις;" καὶ ἐγένετο ὁ λόγος οὗτος εἰς παραβολήν· τὰς γὰρ ὄνους τὰς ἀπολωλυίας ζητῶν βασιλείαν εὗρε.

Σαοῦλος. ὅτι Σαούλῳ τῷ Ἰουδαίων βασιλεῖ ἀρχὴ τῆς παρὰ πάντων τιμῆς πρὸς Νaασῆν τὸν Ἀμμανιτῶν βασιλέα γίνεται· οὗτος γὰρ πολλὰ κακὰ τοὺς Ἰουδαίους διετίθησι, καὶ πρὸς τοῖς ἄλλοις κακοῖς ὅσοις ἐχειροῦτο πολέμου νόμῳ, τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐξέκοπτεν, ὅπως τῆς ἀριστερᾶς αὐτοῖς ὄψεως ὑπὸ τῶν θυρεῶν σκεπομένης ἄχρηστοι παντελῶς εἶεν. τοῦτον οὖν ὁ Σαοῦλος κατηγωνίσατο. Ioseph. A. I. 6 5 1.

Σάπειρ. ὅτι κατὰ τὴν πολιορκίαν τῆς πόλεως τῶν Περσῶν Βειουδαές, ἣν ἐπολιόρκει Ἡράκλειος ὁ Ἡρακλείου τοῦ βασιλέως πατήρ, Σάπειρ ἦν τις ἀνήρ, τὸ μὲν σῶμα

ὡς ὁ παρὰ τῷ Ὁμήρῳ Τυδεὺς ἀνυμνούμενος, τὴν δὲ γνώμην καὶ περαιτέρω Τυδέως· Ἡρακλῆς γὰρ ἦν τὴν ψυχήν, καὶ εἴ τις τούτου ἐγεγόνει ποτὲ ἀλκιμώτερος· οὐ γὰρ ἀποκνέω τῷ μεγέθει τῆς ἀρετῆς τὸν Ἡρακλέα ἐν δευτέροις τιθείς, εἰ καὶ τῷ παραλλήλῳ λειπόμεθα. σκόλοπας ὀξεῖς ἐπιφερόμενος ἐνάλλεται τῷ ἐχυρώματι καὶ μετεωροπορεῖ. τὸν μὲν ἕνα σκόλοπα ἐνείρας τῷ πύργῳ ἀνὰ τὰς ἁρμογὰς τοῦ οἰκοδομήματος (ἦν γὰρ λίθῳ ξηρῷ διεσκευασμένον τὸ φρούριον) ἐπιβαίνει ἐπὶ τοῦ σκόλοπος τῷ ποδί· εἶτα τὸν ἕτερον αὖθις ὥσπερ ἐγκεντρίσας σκόλοπα, τὸν λειπόμενον τοῖν ποδοῖν ἐπερείδει, καὶ τῶν ἐξηρτημένων λίθων ἐπειλημμένος ἀπρὶξ εἴχετο ταῖς χερσίν, οὕτω τε τὴν ἄνοδον ἐσοφίζετο. τῶν δὲ πολιορκουμένων τὴν βίαν τῶν βελῶν μὴ ὑπομένειν οἵων τε ὄντων, ἰσχυρῶς εἴχετο τῆς ἐπάλξεως ὁ Σάπειρ ἐκεῖνος ἀνήρ. καὶ ἂν ἥλω κατὰ τὴν πρώτην ἐκείνην ἐπιβολὴν τὸ ἐχύρωμα, εἰ μή τις τῶν τῆς Περσικῆς συμμορίας ἀθρόον ἐπιφανεὶς ἐνὶ τῶν θυρεῶν τῶν προβεβλημένων τοῦ ἐχυρώματος ἐκεῖνον αὐτὸν τὸν ἀριστέα ἐξώθησεν. ὁ δὲ κατολισθήσας εἰς τὸ κάτω ἐφέρετο μετὰ τοῦ θυρεοῦ, "κύμβαχος ἐν κονίῃσιν, ἐπὶ βρεχμόν τε καὶ ὤμους," Ὁμηρικῷ τῷ συμπτώματι. ὅμως οὐ διόλωλεν· ὑποδέχονται γὰρ αὐτὸν ταῖς ἀσπίσιν οἱ συμπονοῦντες, καὶ τραυματίαν διεσώζοντο· προσνύττουσι γὰρ αὐτὸν τὰ τῶν ἀκοντίων σιδήρια μικρὸν κομιδῇ. ὁ δὲ καρτερικὸς αὖθις ἐπ' ἐκεῖνο τὸ ἔργον ἐχώρει, καὶ αὖ πάλιν ἀνέθορε, τῇ ἐπάλξει τὰς χεῖρας περιβαλὼν οἷα πολύπους ἀφύκτης πλεκτάνας τινάς, καὶ εἴχετο καρτερᾷ τινὶ λαβῇ τῆς ἐπάλξεως. ὁ δ' ἀντίπαλος Πέρσης ἀδελφὴν τῆς ἑτέρας ἐπιβολῆς ἐξειργάσατο, καὶ σαθρωθείσης ἔναγχος τῆς ἐπάλξεως ταῖς Ῥωμαϊκαῖς προσβολαῖς μετ' ἐκείνης τὸν ἀριστέα ἀνατρέψας παρείλε εἰς τὸ κάτω χωρεῖν· καὶ τοίνυν κατήγετο ὁ στρατιώτης ὁ φιλοκίνδυνος μετὰ τῆς ἐρωμένης ἐπάλξεως. τὸ δὲ συμμαχικὸν τὴν προτέραν σωτηρίαν ὀρέγουσι μετὰ φοβεροῦ τοῦ θεάματος τῷ πάντα τολμηρῷ. ἀτὰρ ἐξάντης τοῦ πτώματος ὁ τραυματίας γενόμενος καὶ τρίτον ἆθλον ἀσπάζεται, ὥσπερ ἀμάχου τινὸς καὶ θείας δυνάμεως ἐς τὸν πόνον παροτρυνούσης αὐτόν. ἐπεὶ δ' ἀνείρπυσε, τῆς στεφάνης τοῦ ἕρκους λοιπὸν ἐπιβάς, τὸν ἀκινάκην σπασάμενος τὸν κηφῆνα τῆς ἑαυτοῦ ἀρετῆς ἐκεῖνον αὐτὸν τὸν Πέρσην ἀπέκτεινε, καὶ οὖν τὴν κεφαλὴν ἀπὸ τῆς δέρης ἀφελόμενος τοῖς πολιορκοῦσιν ἀπέπεμπεν. οἱ δὲ Ῥωμαῖοι τὸ γεγονὸς θεασάμενοι ἀνεθάρρησαν καὶ τῶν κινδύνων ὠρέγοντο. ἀδελφὸς δέ τις τοῦ Σάπειρος ἐκείνου (πρεσβύτης δ' οὗτος τὴν ἡλικίαν) ἐπεὶ γέγονε τῆς ἀρετῆς θεατής, καὶ ζηλωτὴς παραχρῆμα τοῦ ἐγχειρήματος γίνεται, καὶ ἄνεισι καὶ αὐτός, ἀδελφὰ τῷ ἀδελφῷ μηχανώμενος, εἶτα μετ' ἐκεῖνον ἕτερος, καὶ μετὰ τοῦτον πολλοί. κάλοις γὰρ λοιπὸν ἀνεδύοντο οἱ προκατειληφότες τὸ ἐχύρωμα, καὶ ταῖς πύλαις ἀράττουσι, καὶ εἰσαγώγιμον λοιπὸν ἦν τὸ τῶν Ῥωμαίων στρατόπεδον. καὶ οὕτω κρείττους τῶν πολεμίων γενόμενοι τὸ φρούριον παρεστήσαντο. Theophyl. Sim. 2 18.

σαπρᾶς παλαιᾶς· Ἀριστοφάνης ⟨Pac. 553⟩ "εἰρήνης σαπρᾶς" ἢ ἀρχαίας.

σαπρόν οὐ τὸ μοχθηρὸν καὶ φαῦλον, ἀλλὰ τὸ παλαιὸν Εὔπολις.

σαπρός καὶ ἐπὶ τοῦ παλαιοῦ· ⟨A Pac. 699⟩ "Σιμωνίδης γέρων ὢν καὶ σαπρὸς κέρδους ἕκητι κἂν ἐπὶ ῥιπὸς πλέοι," τουτέστι φρυγάνου.

Σάπφειρα ὄνομα κύριον. καὶ σάπφειρος εἶδος λίθου πολυτίμου.

Σαπφώ Σίμωνος (οἱ δὲ Εὐνομίνου ⟨al. a
Εὐμήνου⟩, οἱ δὲ Ἠεριγύου, οἱ δὲ Ἐκρύτου, οἱ δὲ Σήμου, οἱ δὲ Κάμωνος, οἱ δὲ Ἐτάρχου, οἱ δὲ Σκαμανδρωνύμου), μητρὸς δὲ Κλειδός, Λεσβία ἐξ Ἐρεσσοῦ, λυρική, γεγονυῖα κατὰ τὴν μβ' ὀλυμπιάδα, ὅτε καὶ Ἀλκαῖος ἦν καὶ Στησίχορος καὶ Πιττακός. ἦσαν δὲ αὐτῇ καὶ ἀδελφοὶ γ', Λάριχος Χάραξος Εὐρύγιος. ἐγαμήθη δὲ ἀνδρὶ Κερκύλᾳ πλουσιωτάτῳ, ὁρμωμένῳ ἀπὸ Ἄνδρου, καὶ θυγατέρα ἐποιήσατο ἐξ αὐτοῦ, ἣ Κλεὶς ὠνομάσθη. ἑταῖραι δὲ αὐτῆς καὶ φίλαι γεγόνασι γ', Ἀτθὶς Τελεσίππα Μεγάρα, πρὸς ἃς καὶ διαβολὴν ἔσχεν αἰσχρᾶς φιλίας. μαθήτριαι δὲ αὐτῆς Ἀναγόρα ⟨al. Ἀνακτορία⟩ Μιλησία, Γογγύλα Κολοφωνία, Εὐνείκα Σαλαμινία. ἔγραψε δὲ μελῶν λυρικῶν βιβλία θ', καὶ πρώτη πλῆκτρον εὗρεν. ἔγραψε δὲ καὶ ἐπιγράμματα καὶ ἐλεγεῖα καὶ ἰάμβους καὶ μονῳδίας.

Σαπφώ Λεσβία ἐκ Μιτυλήνης, ψάλ- b
τρια. αὕτη δι' ἔρωτα Φάωνος τοῦ Μιτυλη-

ναίου ἐκ τοῦ Λευκάτου κατεπόντωσεν ἑαυτήν. τινὲς δὲ καὶ ταύτης εἶναι λυρικὴν ἀνέγραψαν ποίησιν.

Σάπων Σάπωνος ὄνομα κύριον.

Σάπωρις ὁ τῶν Περσῶν βασιλεύς.

σαράβαρα ἐσθὴς Περσική. ἔνιοι δὲ λέγουσι βρακία.

σάραβον τὸ γυναικεῖον αἰδοῖον οἱ κωμικοὶ καλοῦσι, καὶ σάκταν καὶ σάβυττον καὶ σέλινον καὶ ταῦρον καὶ ἕτερα πολλά.

Σαράγουροι ὄνομα ἔθνους· "ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες κατὰ ζήτησιν πρὸς τοῖς Ἀκατίροις Οὔννοις ἐγίνοντο." cf. v. Ἄβαρις.

Σαρακηνός ἔθνος.

Σάραμβος (Plat. Gorg. p. 518). οὕτως ἐκάλουν Ἀθηναῖοι κάπηλόν τινα.

Σάραπις. τούτου ἐν Ἀλεξανδρείᾳ καθεῖλε Θεόφιλος ὁ ἀρχιεπίσκοπος τὸ ξόανον ἐπὶ Θεοδοσίου τοῦ μεγάλου. τοῦτο δὲ οἱ μὲν Δία ἔφασαν εἶναι, οἱ δὲ τὸν Νεῖλον διὰ τὸ μόδιον ἔχειν ἐν τῇ κεφαλῇ καὶ τὸν πῆχυν ἤγουν τὸ τοῦ ὕδατος μέτρον, ἄλλοι δὲ τὸν Ἰωσήφ· ἕτεροι δὲ Ἆπίν τινα γεγονέναι ἄνθρωπον εὔπορον καὶ βασιλέα ἐν Μέμφιδι πόλει τῆς Αἰγύπτου, λιμοῦ δὲ γενομένου τοῖς Ἀλεξανδρεῦσιν ἐκ τῶν ἰδίων τροφὴν παρέσχε. τετελευτηκότι δὲ αὐτῷ ναὸν ἀνέστησαν, ἐν ᾧ βοῦς ἐτρέφετο σύμβολον φέρων τοῦ γεωργοῦ, καί τινα δὲ ἔχων ἐν τῇ χροιᾷ ἐπίσημα· ὅστις ἐκ τῆς προσηγορίας αὐτοῦ καὶ αὐτὸς Ἆπις ἐκαλεῖτο. τὴν δὲ σορὸν τούτου τοῦ Ἄπιδος, ἐν ᾗ τὸ σῶμα ἔκειτο αὐτοῦ, ἐν Ἀλεξανδρείᾳ μετήνεγκαν, καὶ ἀπὸ τῆς σοροῦ καὶ τοῦ Ἄπιδος σύνθετον ὄνομα πεποιηκότες ἐκάλουν αὐτὸν Σόραπιν· οἱ δὲ μετὰ ταῦτα Σάραπιν. τούτου ναὸς ὑπὸ Ἀλεξάνδρου ἐκτίσθη παμμεγέθης καὶ πάνυ λαμπρός.

a Σαραπίων ὁ Αἴλιος χρηματίσας, ῥήτωρ Ἀλεξανδρεύς, ἔγραψε περὶ τῶν ἐν ταῖς μελέταις ἁμαρτανομένων, ἀκροάσεων βιβλία ζ, πανηγυρικὸν ἐπὶ Ἀδριανῷ τῷ βασιλεῖ, βουλευτικὸν Ἀλεξανδρεῦσιν, εἰ δικαίως Πλάτων Ὅμηρον ἀπέπεμψε τῆς πολιτείας, καὶ ἄλλα συχνά, καὶ τέχνην ῥητορικήν.

b Σαραπίων. τοῦτον ἐποιήσατο φίλον ὁ Ἰσίδωρος, τὸν λαθόντα πάντας ἀνθρώπους ἐπὶ εὐσεβείᾳ τε καὶ ὅλῃ βίου φιλοσοφίᾳ πλὴν αὐτοῦ τοῦ Ἰσιδώρου. τοσοῦτον δὲ τῷ ἀνδρὶ περιῆν ἀληθοῦς τρόπου τε καὶ λόγου, τοῦ τε ἐν παροιμίᾳ λέγεσθαι εἰωθότος, ἔργῳ δὲ βεβαιωθέντος ὑπ' ἐκείνου, τοῦ λάθε βιώσας, ὥστε οὐδένα τῶν τότε ζώντων ἀνθρώπων, οὔτε τῶν νεωτέρων οὔτε τῶν πρεσβυτέρων, ἐλπίσαιμι ἂν εἰδέναι οἷον λέγω· οὐδὲ ἔγνω τις ἄλλος οἷος ἦν ὁ Σαραπίων ἐκεῖνος, οὐδὲ ἂν ἔγωγε νῦν ἠπιστάμην, εἰ μή μοι αὐτὸς ὁ φιλόσοφος ὑπέδειξε τῷ λόγῳ τὸν Σαραπίωνα. οὐ γὰρ ἔργῳ ποτὲ ἔφη πείσεσθαι αὐτὸν ἐντυχεῖν ἑτέρῳ ἀνδρί, ἄλλως τε καὶ ὅτε ἐγήρα, μηκέτι καταβαίνειν θαμὰ ἀπὸ τῆς σφετέρας οἰκίας· οἰκεῖν δὲ μόνον ἐν οἰκίσκῳ μικρῷ τῷ ὄντι, μονάδα βίον ἀναδεδεγμένον, πρὸς μόνον τὰ ἀναγκαιότατα χρώμενον τῶν γειτόνων ἐνίοις. εὐκτικὸν μὲν οὖν εἶναι τὸν Σαραπίωνα διαφερόντως ἔλεγε, καὶ ἐν ἰδιώτου σχήματι πανταχοῦ περιφοιτᾶν τῶν ἱερῶν χωρίων, ὅπου ἦγεν ὁ τῆς ἑορτῆς νόμος· τὰ πολλὰ δὲ ἐπ' οἴκου διημερεύοντα ζῆν, οὔ τινα ἀνθρωπίνην ζωὴν ἀλλ' ἀτεχνῶς εἰπεῖν θείαν, εὐχάς τε ἀεὶ καὶ ἀρετὰς πρὸς ἑαυτὸν ἢ πρὸς τὸ θεῖον φθεγγόμενον, μᾶλλον δὲ σιγῇ διανοούμενον. ζητητικὸς δὲ ὢν τῆς ἀληθείας καὶ φύσει θεωρητικὸς οὐ περὶ τὰ τεχνικώτερα τῆς φιλοσοφίας ἠξίου διατρίβειν, ἀλλὰ τοῖς ἁδροτέροις καὶ ἐνθουσιαστικωτέροις νοήμασιν ἐνεφύετο. διὸ μόνον σχεδὸν τὸν Ὀρφέα ἐκέκτητο καὶ ἀνεγίνωσκεν, ἐρωτῶν ἐφ' ἑκάστοις ἀεὶ τοῖς παραπίπτουσι ζητήμασι τὸν Ἰσίδωρον, ἄκραν ὡς εἰπεῖν ἐπιστήμην ἐν θεολογίᾳ προβεβλημένον· ὃν μόνον οἰκεῖον ἐγνώριζεν ὄντα καὶ προσιεδέχετο, καὶ δὴ ἐν αὐτῷ θεάσασθαι ἐδόκει τὸν μυθευόμενον κρόνιον βίον. οὐδὲ γὰρ ἄλλο τι διετέλει πράττων καὶ λέγων ἢ συνάγων ἑαυτὸν ἀεὶ καὶ συναιρῶν ὡς οἷόν τε πρὸς τὸ εἴσω καὶ τὸ ἀμερέστερον. ὃς οὕτω μὲν κατεφρόνει χρημάτων ὥστε κεκτῆσθαι μηδ' ὁτιοῦν ἢ μόνα δύο ἢ τρία βιβλία, ὧν ἦν καὶ ἡ Ὀρφέως ποίησις, οὕτω δὲ ἡδονῶν τῶν περὶ τὸ σῶμα ὥστε ἐξ ἀρχῆς εὐθὺς τὰ ἀναγκαῖα καὶ μόνα προσφέρειν τῷ σώματι, ἀφροδισίων δὲ ἄχραντον εἶναι διὰ βίου παντός. οὕτω δὲ ἠμέλει τιμῆς τῆς παρ' ἀνθρώπων ὥστε οὐδὲ ὄνομα αὐτοῦ ἦν ἐν τῇ πόλει, οὐδ' ἂν ἐγνώσθη μετὰ ταῦτα, εἰ μὴ θεός τις ἠβουλήθη παράδειγμα τοῖς ἀνθρώποις χαρίσασθαι τοῦ χρονίου βίου, ἵνα μὴ ἀνιστόρητος μῦθος εἶναι ὁ λόγος, μὴ ἔχων ἐπιμαρτυρ-

σαν τὴν ἱστορίαν. ὁ μὲν γὰρ Χείρων λεγό-
μενος ἐν μεθορίῳ μᾶλλον εἱστήκει τῆς Κρό-
νου καὶ Διὸς ἀρχῆς, ὅθεν διφυής· Σαρα-
πίων δὲ ὄντος ὑπὸ τοῦ φιλοσόφου γνωσθεὶς
ἀναγεγράφθω τοιοῦτος. ὃς κληρονόμῳ τῷ
Ἰσιδώρῳ ἐχρήσατο, μηδένα πρὸς γένους ἔχων
μηδὲ ἄξιον ἄλλον ὑπολαμβάνων εἶναι τῆς
ἑαυτοῦ οὐσίας, δυεῖν λέγω ἢ τριῶν βιβλίων.
ἐν δὲ τούτῳ τῷ χρόνῳ ἕτερος ἀνὴρ ἀφίκετο
εἰς Ἀλεξάνδρειαν, κατὰ διάμετρον ὅλην τοῦ
Σαραπίωνος ἀφεστώς, μᾶλλον δὲ ἔτι καὶ τῆς
διαμέτρου μειζόνως, εἰ οἷόν τε φάναι. ὁ μὲν
γὰρ ἦν τὴν ζωὴν κρόνιός τις καὶ δῖος, ὁ
δὲ τυφώνειος καὶ Τυφῶνος ἔτι πολυπλοκώ-
τερον θηρίον καὶ μᾶλλον ἐπιτεθυμμένον.
οὔπω γάρ τις ἀγνοεῖ τῶν νῦν ζώντων ἀν-
θρώπων οἷος ὁ Παμπρέπιος ἐγεγόνει τήν τε
ψυχὴν καὶ τὴν τύχην. Damascius.

σαράπους. οὕτως ἐκάλει Ἀλκαῖος Πιτ-
τακὸν τὸν φιλόσοφον διὰ τὸ πλατύπουν εἶναι
καὶ σύρειν τὼ πόδε, χειροπόδην δὲ διὰ τὰς
ἐν τοῖς ποσὶ ῥαγάδας, ἃς χειράδας ἐκάλουν,
γαύρηκά τε ὡς εἰκῇ γαυριῶντα, φύσκωνα
δὲ καὶ γάστρωνα διότι παχὺς ἦν. ἀλλὰ
μὴν καὶ ζοφοδορπίδαν ὡς ἄλυχνον, ἀγασύ-
ρτον δὲ ὡς ἐπισεσυρμένον καὶ ῥυπαρόν.
Diog. L. 1 81.

Σαραωνίς πέτρας ὄνομα.

σαρδάζων μετὰ πικρίας γελῶν.

Σαρδαῖος ἀπὸ πόλεως Σάρδεων. καὶ
Σάρδεις πόλις.

Σαρδανάπαλλος Ἀσσυρίων βασιλεύς,
ἀπὸ Νίνου καὶ Σεμιράμεως, οἴκησιν ἔχων
ἐν Νίνῳ, ἔνδον τὸ σύμπαν ἐν τοῖς βασιλείοις
διατρίβων, ὅπλων μὲν οὐχ ἁπτόμενος, οὐδ'
ἐπὶ θήραν ἐξιὼν ὥσπερ οἱ πάλαι βασιλεῖς,
ἐγχριόμενος δὲ τὸ πρόσωπον καὶ τοὺς ὀφθαλ-
μοὺς ὑπογραφόμενος, πρός τε τὰς παλλακί-
δας ἁμιλλώμενος περὶ κάλλους καὶ ἐμπλο-
κῆς, τό τε σύμπαν γυναικείῳ ἤθει χρώμενος.
κατὰ δὲ τὰ πρότερον συντεταγμένα ἐπὶ τὰς
θύρας αὐτῷ παρῆσαν οἵ τε ἐκ τῶν ἄλλων
ἐθνῶν σατράπαι, ἄγοντες τὰς δυνάμεις.
Nicol. Dam. Exc. Peir. p. 425.

b οὗτος ἐσφάγη ὑπὸ Περσέως. οἱ δὲ κό-
λακες καὶ μιμηταὶ τῆς ἐκείνου φιλοσαρκίας
καὶ γαστριμαργίας καὶ οἰστρηλασίας ἐπέγρα-
ψαν ὡς ἐξ αὐτοῦ δῆθεν τῷ τάφῳ αὐτοῦ τὸ
"τόσσ' ἔχω" καὶ τὰ ἑξῆς ⟨AP 7 325, Malala
p. 21⟩. ψευδῶς δὲ οἱ γεγραφότες ἐπέγραψαν.
οὐ γὰρ ἔχει ὁ τελευτήσας ἅπερ ἔφαγε καὶ
ἔπιεν, ἀλλ' εἰς τὴν δυσώδη φθορὰν ἐκεῖνα
πάντα κεχώρηκεν· ἔχει δὲ μόνην τοῦ παρα-
νόμου βίου τὴν δυσοδμίαν, ἥτις διηνεκῶς
τὴν ἀθλίαν αὐτοῦ ψυχὴν ἀλγύνει καὶ ἀνιᾷ,
συνειδυῖαν ἑαυτῇ τὰ κάκιστα, καὶ μεμνημέ-
νην ὧν παρανόμως καὶ ἀκολάστως ὁ τάλας
εἰργάσατο. Theodoret. Therap. 12.

Σαρδαναπάλλους ἐν β' Περσικῶν δύο φησὶ
γεγονέναι Καλλισθένης, ἕνα μὲν δραστήριον
καὶ γενναῖον, ἄλλον δὲ μαλακόν. ἐν Νίνῳ
δ' ἐπὶ τοῦ μνήματος αὐτοῦ τοῦτ' ἐπιγέγραπται
"Σαρδανάπαλλος Ἀνακυνδαράξου παῖς Ταρ-
σόν τε καὶ Ἀγχιάλην ἔδειμεν ἡμέρῃ μιῇ.
ἔσθιε, πῖνε, ὄχευε, ὡς τά γε ἄλλα οὐδὲ τού-
του ἐστὶν ἄξια," τουτέστι τοῦ τῶν δακτύλων
ἀποκροτήματος· τὸ γὰρ ἐφεστὸς τῷ μνήματι
ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας
πεποίηται, ὡς ἂν ἀποληκοῦν τοῖς δακτύλοις.
ταὐτὸ καὶ ἐν Ἀγχιάλῳ τῇ πρὸς Ταρσῷ ἐπι-
γέγραπται, ἥτις νῦν καλεῖται Ζεφύριον. cf.
v. ὀχεία.

ὁ δὲ Σαρδανάπαλλος οὗτος υἱὸς ἦν Ἀνα- d
κυνδαράξου βασιλέως Νίνου, Περσικῆς χώρας·
ὃς ἐν μιᾷ ἡμέρᾳ Ταρσὸν καὶ Ἀγχιάλην
ἔκτισε. φασὶ δὲ αὐτὸν αἰσχρῶς καλλωπί-
ζεσθαι, τοῖς τε οἰκείοις μὴ ὁρᾶσθαι εἰ μὴ
εὐνούχοις καὶ κόραις. πεπυρπολημένου δὲ τοῦ
οἴκου ἔνδον εὑρεθεὶς ἀπέθανεν. γράφει δὲ
ἐπὶ τῷ τάφῳ αὐτοῦ Ἀσσυρίοις γράμμασι τὸ
"Σαρδανάπαλλος Ἀνακυνδαράξου παῖς" καὶ
τὰ ἑξῆς. sch. A Av. 1022. cf. v. καταγηράσαις.

σαρδάνιος γέλως ὁ προσποίητος. κα- a
λεῖσθαι δὲ αὐτὸν ἀπὸ τοῦ σεσηρέναι τοῖς
ὀδοῦσι φασίν.

σαρδάνιος γέλως, παροιμία ἐπὶ τῶν b
ἐπ' ὀλέθρῳ τῷ σφῶν αὐτῶν γελώντων, ἣν
Δήμων μὲν διαδοθῆναι, ὅτι οἱ Σαρδῶνα
κατοικοῦντες αἰχμαλώτων τε τοὺς καλλίστους
καὶ τοὺς πρεσβυτέρους ὑπὲρ ο' ἔτη τῷ Κρόνῳ
ἔθυον, γελῶντας ἕνεκα τοῦ τὸ εὔανδρον ἐμ-
φῆναι, τουτέστιν ἀνδρεῖον. Τίμαιος δὲ τοὺς
ἱκανὸν βεβιωκότας χρόνον ἐν Σαρδοῖ συνω-
θουμένους σχίζαις ὑπὸ τῶν υἱῶν εἰς ὃν ἔμελ-
λον θάπτεσθαι βόθρον, γελᾶν. οἱ δὲ ἀπὸ
τοῦ σεσηρέναι μετ' ἀνίας. καί φασιν ἄλλοι
τε καὶ Κλείταρχος ἐν Καρχηδόνι ἐν ταῖς
μεγάλαις εὐχαῖς παῖδα ταῖς χερσὶ τοῦ Κρόνου
ἐπιτιθέντας (ἵδρυται δὲ χαλκοῦς, προβεβλη-
μένας ἔχων τὰς χεῖρας, ὑφ' ᾧ κρίβανος)

ἔπειτα ὑποκαίειν· τὸν δὲ συνελκόμενον ὑπὸ τοῦ πυρὸς δοκεῖν γελᾶν. Σιμωνίδης δὲ Τάλων τὸν ἡφαιστότευκτον Σαρδονίȣς οὐ βȣλομένους περαιῶσαι πρὸς Μίνωα, εἰς πῦρ καθαλλόμενον ὡς ἂν χαλκȣ̃ν, προστερνιζόμενον ἀναιρεῖν ἐπιχάσκοντας. Σιληνὸς δὲ ἐν δ' τῶν περὶ Συρακούσας λάχανον εἶναι παρὰ Σαρδονίοις ἡδύ, σελίνῳ ἐμφερές, οὗ τοὺς γευσαμένους τάς τε σιαγόνας καὶ τὰς σάρκας ἑαυτῶν ἀποδάκνειν. ἔνιοι δὲ τȣ̀ς ἐπὶ κακῷ γελῶντας, ὡς καὶ Ὀδυσσέα φησὶν Ὅμηρος ⟨υ 302⟩· "μείδησε δὲ δῖος Ὀδυσσεὺς σαρδάνιον." καὶ ἐν ἄλλοις ⟨ο 101⟩ "ἡδὺ γέλασσε χείλεσιν, ȣ̓δὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν ἰάνθη."

Σαρδιανός ἀπὸ τόπου.

σάρδιοι λίθοι ἐναργῶς διαφανεῖς, λευκοὶ ὄντες κατὰ τὸ βάθος· οἵτινες δοκοῦσι μέχρι βάθȣς τῷ αὐτῷ χρώματι κεχρῶσθαι, ἅτε δὴ μὴ ἀντιλαμβανομένης τῆς ὄψεως τȣ̃ βάθȣς. Philopon. in 2 de anima K 2 b.

Σαρδόθεν ἀπὸ πόλεως Σάρδεων.

Σαρδόνιον πέλαγος καὶ Σαρδονικὸν πέλαγος, Σαρωνικὸν δέ.

Σαρδώ. νῆσός ἐστι μεγίστη ἡ Σαρδὼ ... ὀξύτεται. καὶ παροιμία "βάμμα Σαρδιανικόν," ἀντὶ τοῦ ἐρυθρόν, φοινικοῦν. cf. v. βάμμα Κυζικηνικόν.

Σαρδῶον.

σάρισσα εἶδος ἀκοντίȣ Ἑλληνικȣ̃.

σαρκάζων μετὰ πικρίας καὶ θυμοῦ γελῶν. καὶ σαρκάζοντες ὑποσεσηρότες καὶ ἀνοίγοντες, ὥσπερ κυνίδια, ὅταν προσλιπαρῇ τινὰ καὶ ἀφέλκῃ τοῖς ὀδοῦσιν. ἢ σαρκάζοντες ἀντὶ τοῦ ἐξισχνούμενοι καὶ ἠτονηκότες καὶ διὰ τὸν λιμὸν ἕλκοντες μόλις. ἢ ἕλκοντες κατὰ τὸν τῶν κυνιδίων τρόπον, οἳ τὰ ὀστέα περιτρώγουσι, καὶ οὐκ ἔχοντες ἐμφορηθῆναι ὑπ' αὐτῶν τῷ δοκεῖν ἐσθίȣσι. σαρκάζειν δὲ κυρίως τὸ τὸν κύνα πεινῶντα τὰ λεπτὰ τῶν σαρκῶν τȣ̃ ὀσέȣ ἀπογλύφειν. sch. A Pac. 481.

σαρκασμοπιτυοκάμπται Ἀριστοφάνης ⟨Ran. 997⟩ φησὶν ἀντὶ τοῦ μεγάλοι, ὡς σαρκάζοντας καὶ προσποιουμένους τὰ πολεμικά, οὐκ ἀληθῶς δὲ τοιούτους, ἰσχύος δὲ ἐπιμελουμένους. διὸ καὶ τὸν Μεγαινέτον Μάνην εἶπεν, οὐ πάντως βάρβαρον ἀλλ' ἀναίσθητον. ἐπίτηδες δὲ ἐχρήσατο τοῖς συνθέτοις διὰ τὸ Αἰσχύλου ἦθος.

σαρκασμός εἶδος εἰρωνείας.

Σαρκίδης ὄνομα κύριον.

σάρκινος προπαροξυτόνως, ὡς κρίθινος.

σαρκίον ἡ σάρξ.

σαρκοφαγία ἡ κρεωφαγία· "ἐδεῖτο μὲν γὰρ οἱ τὸ σῶμα σαρκοφαγίας, ἀθύτου δὲ οὐκ ἠνέσχετο μεταλαβεῖν, τὸ παλαιὸν παράγγελμα τὸ θνησειδίων ἀπέχεσθαι τȣ̃το σημαίνειν ὑπολαμβάνων." cf. v. ἀθύτους.

Σαρμυδησσός τόπος Θρᾴκης.

σάρξ. ὅτι Ἀριστοτέλης αἰσθητήριον λέγει τὴν σάρκα, καὶ λέγει ὅτι ἡ ἁπτικὴ αἴσθησις μία καὶ μεταξύ. Philopon. in 2 de anima N 1 a.

σάροι μέτρον καὶ ἀριθμὸς παρὰ Χαλδαίοις· οἱ γὰρ ρκ' σάροι ποιοῦσιν ἐνιαυτοὺς βσκ' κατὰ τὴν τῶν Χαλδαίων ψῆφον, εἴπερ ὁ σάρος ποιεῖ μῆνας σεληνιακοὺς σκβ', οἵ γίνονται ιη' ἐνιαυτοὶ καὶ μῆνες ς'.

Σάρος ποταμός. X Anab. 1 4.

Σαρπηδονία ἀκτή ἄκρα τῆς Θρᾴκης, Κράτης τὴν μεγάλην. καὶ νῆσον πρὸς τῷ ὠκεανῷ, ἐν ᾗ αἱ Γοργόνες.

Σαρπηδών Σαρπηδόνος ὄνομα κύριον. καὶ ἡ κλητικὴ ὦ Σαρπῆδον. καὶ Σαρπήδοντος.

σαρώματα φιλοκαλήματα. καὶ σάρωσις ὁμοίως.

σαρῶν κορῶν.

σάτα μέτρον Ἑβραϊκόν. δηλοῖ δὲ μόδιον ὑπερπεπληρωμένον, ὡς εἶναι μόδιον ἕνα καὶ ἥμισυν. ὑγρȣ̃ δὲ ξεστῶν κέ ἤτοι λιτρῶν κ.

Σατανᾶς. ὅτι Σατανᾶς κατὰ τὴν Ἑβραίων γλῶτταν ὁ ἀποστάτης λέγεται. ὁ αὐτὸς δὲ καὶ διάβολος ὡς τὸν θεὸν πρὸς τοὺς ἀνθρώπους συκοφαντῶν, καὶ αὐτοῖς τοῖς ἀνθρώποις ἔριν πρὸς ἀλλήλους ἐμβάλλων καὶ μάχην. οὐ πονηροὶ δὲ ἀπ' ἀρχῆς οἱ δαίμονες παρὰ τοῦ θεοῦ τῶν ὅλων ἐδημιουργήθησαν, ἀλλὰ τῇ παρατροπῇ τῆς γνώμης ἀπὸ τῶν ἀμεινόνων ἐπὶ τὰ χείρω ἔπεσον αὐτεξουσίως καὶ αὐθαιρέτως, ὥστε τοῖς παρὰ θεοῦ παρασχεθεῖσιν οὐκ ἀρκεσθέντες ἀλλὰ μειζόνων ὀρεχθέντες εἰσδέξασθαι μὲν τοῦ τύφου τὸ πάθος, ἐκπεσεῖν δὲ τῆς ἄρχηθεν δοθείσης τιμῆς, καὶ τὸν κατὰ τῶν ἀνθρώπων ἀναδέξασθαι πόλεμον, καὶ κατ' αὐτῶν ὡς εἰκόνι θείᾳ τετιμημένων λυττῆσαι, ἐπιστασίᾳ δὲ τῶν ἀγγέλων φρουρεῖσθαι. τὴν δὲ ἀγωνιστικὴν ὁ θεὸς οὐκ ἐκώλυσε διαμά-

χην, ἵνα δείξῃ τοὺς ἀρίστους ἡ πάλη. Theodoret. Therap. 3.

σατραπεία ἐπαρχία. σατράπης δὲ σατράπου, εἶδος ἀξιώματος.

Σάτυρος χορευτής.

σάτωρ σάτωρος.

σαυλοπρωκτιᾶν· (A Vesp. 1168) "καὶ μὴν προθυμοῦμαί γε σαυλοπρωκτιᾶν."

σαυνίων εἶδος σημαίας ἢ φλαμούλα.

σαῦρα καὶ σαῦρος ἑρπυστικὸν ζῷον. "σαύρῳ δὲ λοιπὸν ἐμφερὴς ἐγίγνετο. ἑρπυστικὸν δὲ τοῦτο τὸ ζῷον γένος· ὃν εἰ τέμοι τις καὶ διασπάσαι μέσον, ἕλκει μὲν αὐτοῦ σὺν κλόνῳ τὰ τμήματα, συνέρχεται δὲ καὶ πάλιν τὰ λείψανα."

σαυρίς εἶδος ἰχθυδίου· καὶ κλίνεται σαυρίδος. σαῦρος δὲ ὁ ἰχθῦς.

Σαυρομάται ἔθνος.

σαυρωτῆρσι τοῖς στύραξι τοῖς ὄπισθεν τῶν δοράτων· (AP 6 110) "ἔκτανε θηκτῷ σαυρωτῆρι." καὶ ταχὺ περιστρέψας τὸν ἵππον εἰς τὸν πεσόντα παίει τῷ σαυρωτῆρι διὰ τοῦ τραχήλου." ἢ ξυστὸν δόρυ. ἢ σύραξ, ὃν ἔνιοι καλοῦσιν οὐρίαχον. gl. Herodot. 7 41.

σαυτὴν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας ποτέ. Ἀστυδάμᾳ τῷ Μορσίμου εὐημερήσαντι ἐπὶ τραγῳδίας διδασκαλίᾳ Παρθενοπαίου δοθῆναι ὑπ' Ἀθηναίων εἰκόνος ἀνάθεσιν ἐν θεάτρῳ· τὸν δὲ εἰς αὐτὸν ἐπίγραμμα ποιῆσαι ἀλαζονικὸν τοῦτο· (AP append. 17) "εἴθ' ἐγὼ ἐν κείνοις γενόμην, ἢ κεῖνοι ἅμ' ἡμῖν, οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν, ὡς ἐπ' ἀληθείας ἐκρίθην ἀφεθεὶς παράμιλλος. νῦν δὲ χρόνῳ προέχουσ' ᾧ φθόνος οὐχ ἕπεται." διὰ γοῦν τὴν ὑπερβάλλουσαν ἀλαζονείαν παραιτήσασθαι τὴν ἐπιγραφήν. καὶ παροιμία παρὰ τοῖς κωμικοῖς ἐγένετο, ὡς παρὰ Φιλήμονι. λέγεται δὲ καὶ κατ' ἀποκοπὴν τὸ σαυτὴν ἐπαινεῖς.

σάφα σαφῶς, φανερῶς. καὶ Ὅμηρος (Δ 404) "ἐπιστάμενος σάφα εἰπεῖν."

σαφέστερον εἰπὲ κἀμαθέστερον (A Ran. 1464). εἶπε γὰρ "ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα, τὰ δ' ὄντα πίστ' ἄπιστα. πῶς; οὐ μανθάνω. ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον." παρὰ τὴν παροιμίαν "σαφέστερόν μοι κἀμαθέστερον φράσον." ὃ δὲ εἶπεν "εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν, τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα, τούτοισι χρησαίμεσθα, σωθείημεν ἄν. εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς τἀναντία πράξαντες οὐ σωθεῖμεν ἄν; εὖ γ' ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις. ταυτὶ πότερ' αὐτὸς εὗρες ἢ Κηφισοφῶν;"

σαφήνεια. καὶ σαφηνίζω ἑρμηνεύω. σαφῶ δὲ σαφήσω.

σαφής ἀληθής. καὶ Ὅμηρος (Δ 404) "ἐπιστάμενος σάφα εἰπεῖν" ἀντὶ τοῦ ἀληθῶς. καὶ Σοφοκλῆς (OC 623) "εἰ Ζεὺς ἔτι Ζεὺς χὠ Διὸς Φοῖβος σαφής."

Σάχωνος ὄνομα κύριον.

σαώτερος (Hom. Α 32) σῶος.

σβέσαι παῦσαι.

σέβας τιμή, ἔκπληξις. παρὰ δὲ Καλλιμάχῳ τὸ θαῦμα (fr. 299)· "τόδ' ἔχω σέβας."

Σεβάστεια πόλις, καὶ Σεβαστηνός ὁ πολίτης.

Σεβαστιανός. οὗτος ἐπὶ Οὐάλεντος ἦν. ἐγένετο δὲ ἐπὶ τούτου ἀνδρῶν πολεμικῶν ζήτησις, εὑρέθη δὲ οὗτος ὁ ἀνὴρ πάσης ἐλπίδος κρείττων, οὐδεμιᾶς ἀρετῆς ἀποδέων· οὐδενὸς γὰρ μὴ ὅτι τῶν καθ' αὐτὸν ἀνθρώπων, ἀλλὰ καὶ τοῖς παλαιοῖς δίκαιος ἦν παραβάλλεσθαι, καὶ τούτων τοῖς ἄγαν εὐδοκιμοῦσιν εἰς ἅπαντα. ὅς γε φιλοπόλεμος μὲν ὢν ἥκιστα φιλοκίνδυνος ἦν, οὐ δι' ἑαυτόν, τῶν ἀρχομένων δὲ ἕνεκεν. χρημάτων αὐτῷ πλῆθος ἔμελεν, ὅσα τὸ σῶμα διὰ τῶν ὅπλων κοσμήσειν ἔμελλε. τροφὴν δὲ προῄρητο σκληρὰν καὶ τραχεῖαν, καὶ ὅση καμόντι ἤρκει καὶ ὁρμωμένῳ πρὸς κάματον οὐκ ἦν κώλυμα. φιλοστρατιώτης δὲ ὢν διαφερόντως στρατιώταις οὐκ ἐχαρίζετο, ἀλλὰ πᾶσάν τε ἀφῄρει πλεονεξίαν τὴν ἀπὸ τῶν οἰκείων, καὶ τὸ ἁρπακτικὸν ἐπὶ τοὺς πολεμίους ἔτρεπεν. ἐκόλαζε δὲ ἰσχυρῶς τοὺς παραβαίνοντας ταῦτα, καὶ τοῖς πειθομένοις εἰς τὸ εἶναι συνηγωνίζετο. ἁπλῶς δὲ εἰπεῖν, ὑπόδειγμα καὶ χαρακτῆρα παρεῖχεν ἑαυτὸν ἀρετῆς. γεγονὼς δὲ ἐπὶ μεγάλαις καὶ λαμπραῖς στρατηγίαις, ὥσπερ ὁ Ῥοδίων κολοσσὸς διὰ μέγεθος καταπληκτικὸς ὢν οὐκ ἔστιν ἐράσμιος, κἀκεῖνος διὰ τὸ ἀφιλοχρήματον θαυμαστὸς ὢν οὐκ ἔσχε χάριν. προσκεκρουκὼς δὲ διὰ γνώμης ὀρθότητα τοῖς κατακοιμισταῖς εὐνούχοις τῶν βασιλέων, εὔκολος ὢν διὰ πενίαν καὶ κοῦφος εἰς μετανάστασιν διεδέχθη τῆς στρατηγίας. Eunap. p. 110 Nieb.

σεβαστός προσκυνητός, καὶ σεβίζει

σέβεται.

Σεβηριανὸς ἀπὸ Δαμασκοῦ, τῶν εἰς τὰ πρῶτα γένους ἀνηκόντων, Αὐξεντίου τοῦ Καλλινίκου υἱός, εἰς Ῥωμαίους ἀναγόμενος προγόνους ἐπῳκηκότας πατρίδα τὴν Ἀλεξάνδρειαν, παιδείας τε τυχὼν πρὸς τῇ ὀξύτητι τῆς φύσεως ποιητικῆς τε καὶ ῥητορικῆς, ἔτι δὲ καὶ τῆς περὶ νόμους τοὺς Ῥωμαίων διατριβούσης, διαφέρων ἔδοξεν εἶναι τῶν ἡλικιωτῶν. στερρὸς δὲ τὸ ἦθος ὤν, καὶ ἅπερ ἂν διανοηθείη ταῦτα πράττειν ἐσπουδακώς, ἔφθανε τῷ πρακτικῷ τὸ βουλευτικόν· καὶ διὰ τοῦτο ὁ βίος αὐτῷ πολλαχῇ διεσφάλη. προυθυμήθη μὲν γὰρ ἐξ ἀρχῆς ἐπὶ φιλοσοφίαν τραπῆναι καὶ τῷ Πρόκλῳ φέρων ἑαυτὸν ἐπιδοῦναι (ἤκμαζε δὲ τότε καὶ ἤνθει ὁ Πρόκλος Ἀθήνησιν), ἐγένετο δὲ αὐτῷ ὁ πατὴρ ἐμποδών· ἠβούλετο γὰρ αὐτὸν δίκας λέγειν καὶ χρηματίζεσθαι τὸν ἐπιμίσθιον τοῦτον χρηματισμόν. ὁ μὲν δὴ πατὴρ αὐτῷ ὡς τάχιστα τελευτᾷ τὸν βίον, αὐτὸς δὲ ἐπὶ τὰς Ἀθήνας ὁρμήσας ὄνειρον ἐθεάσατο τοιόνδε· ἐδόκει ἐπὶ ῥάχει τινὸς ὄρους ἐπικαθῆσθαι ὥσπερ ὀχήματι, καὶ οἷον ἐλαύνειν τὸ ὄρος. ἐξῆγε δὲ αὐτὸν ἄρα ἡ εἱμαρμένη καὶ τὸ χρεών, ἔτι δὲ τὸ αὐθαίρετον ὅ τι ἐστὶ κακόν, εἰς βίον ἄλλον, ὑψηλὸν μὲν εἶναι δοκοῦντα καὶ μεγαλοφυῆ, τραχὺν δέ τινα καὶ ἀνήνυτον· ὃ καὶ αὐτὸς ἐπέκρινε καὶ ἡ πεῖρα τῆς ἐκβάσεως ἀποδέδειχεν. ἀντὶ γὰρ φιλοσοφίας καὶ ἀπραγμοσύνης εὐδαίμονος εἰς τὴν πολιτείαν ἑαυτὸν καὶ εἰς ἀρχὰς ἐξέωσε φέρων. φύσει δὲ ὢν φιλόνεικος καὶ ἀήττητος ἐφ' ὅ τι ἂν ὁρμήσειε, καὶ φιλόδοξος ὡς οὐκ οἶδ' εἴ τις ἕτερος, ἀλλ' ἐπὶ τιμίοις ἔργοις τε καὶ λόγοις καὶ τὴν ἀρετὴν εἰς τὸ ἔξω προάγουσι τῆς ψυχῆς, περὶ μὲν χρηματισμὸν οὐ διέτριβεν οὐδὲ ὁπωστιοῦν, οὐδὲ πρὸς ἀδικίαν αὐτόθεν καὶ πλεονεξίαν ἐπίφορος ἦν, προσκρουστικὸς δὲ καὶ ἁμιλλητικὸς ἀεὶ πρὸς τοὺς ὑπερέχοντας, καὶ οὐδενὶ τῶν μειζόνων ἀρχόντων ἀξιῶν παρὰ τὰ νομιζόμενα δίκαια εἶναι ἐξίστασθαι. δικάζων δὲ πικρότατος ἦν, καὶ δή ποτε ἐξαγόμενος ὑπὸ τοῦ θυμοῦ καὶ τὸ ἀκαταφρόνητος εἶναι σπουδάζων φόνους τε εἰργάσατό τινας οὐκ εὐαγεῖς οὐδὲ εὐτυχεῖς, καὶ ἐς τούτους ἀνέφερε τὴν αἰτίαν τῆς ὕστερον ἐπιγενομένης αὐτῷ τοῦ βίου κακοπραγίας. ἐπεὶ καὶ Ἀρδαβουρίῳ προσκρούσας, ὄντι μὲν υἱεῖ τοῦ πάνυ Ἄσπερος, βαρβάρου μὲν ἀνθρώπου τὰ μέγιστα δὲ παρὰ βασιλεῖ δυναμένου, στρατηγοῦντι δὲ τῶν ἑῴων ταγμάτων, πολλὰ μὲν ἐκείνῳ παρέσχετο πράγματα καὶ πατρὶ τῷ ἐκείνου, πλείω δὲ καὶ ἀτοπώτερα πεπονθὼς καὶ ὑβρισθεὶς οὐδὲν ἀπώνατο τῆς πολλῆς ταύτης ἐνστάσεως. ἱερώτατος δὲ εἰς ὑπερβολὴν καὶ Ἕλλην, καὶ πολλῶν ἀπειλῶν καὶ φόβων οὐκ ἐνέδωκεν ὁ ἀλιτήριος. ἐμοὶ δὲ καὶ ἐξηγεῖτο λόγους Ἰσοκρατείους τοὺς μείζους καὶ πολιτικωτέρους, οὐ τὸν τεχνικόν τε καὶ σοφιστικὸν ἀλλὰ τὸν ἔμφρονα καὶ φιλόσοφον τρόπον· ὅτε καὶ εἶδον ἄνθρωπον εὐφυᾶ ἅμα καὶ ἀμφιλαφῆ τὴν διάνοιαν πρὸς τὰς πολιτικὰς ἐξηγήσεις, ἔτι δὲ κριτὴν ἄριστον ὄντα τῶν λεγομένων. τὸν δὲ ἐμοῦ νεώτερον ἀδελφὸν Ἰουλιανὸν οὕτω παρώξυνεν εἰς φιλολογίαν ὥστε καὶ ἐκμαθόντος ἠνείχετο τά τε ποιητικὰ τῶν τε ῥητόρων τοὺς εὐδοκιμοῦντας· μισθόν τε ἐδίδου τῆς προθυμίας φιλοτιμίαν, προσήκουσαν ἑταίρῳ ἑστίασιν. τὰ μὲν οὖν τῶν ἄλλων ποιητῶν ἀπεδέχετο μετρίως, τὸν δὲ Καλλίμαχον εἰς χεῖρας λαβὼν οὐκ ἔστιν ὅτε οὐ κατέσκωπτε τὸν Λίβυν ποιητήν· ἀνιώμενος δὲ ἐπὶ μᾶλλον ἤδη πολλαχοῦ καὶ τῷ βιβλίῳ προσέπτυε. τότε κατεπηγγείλατο Ζήνων βασιλεύς, εἰ γένοιτο τῶν κρατούντων, τὴν μετὰ βασιλέα μεγίστην ἀρχήν. ἀλλ' οὐδὲ ὡς ἔπειθεν, οὐδὲ ἔμελλε πείσειν. καὶ ἡμῖν δὲ ὑπανέγνω τὴν ἐπαγγελλομένην ἐπιστολὴν καὶ μὴ πείθουσαν. καὶ Ἀρκαδίῳ δὲ τῷ ἀπὸ Λαρίσσης δι' ἐπιστολῆς ἐπετίμησε. καὶ γὰρ ἐπιστέλλειν δεινὸς ἦν ὁ Σεβηριανὸς καὶ ἔμφρων, ὡς ἔστι μαθεῖν ἐντυχόντα ταῖς τοῦ ἀνδρὸς ἐπιστολαῖς. Damascius Phot. p. 346 b.

Σεβῆρος. ὅτι Σεβῆρος ὁ τῶν Ῥωμαίων βασιλεὺς ἔπεμψε τοὺς πολιορκήσοντας τὸ Βυζάντιον· ἦσαν γὰρ ἔτι ἐκεῖ οἱ στρατηγοὶ τοῦ Νίγρου καταφυγόντες· ὅπερ ἑάλω ὕστερον λιμῷ, πᾶσά τε ἡ πόλις κατεσκάφη, καὶ θεάτρων τε καὶ λουτρῶν παντός τε κόσμου καὶ τιμῆς ἀφαιρεθὲν τὸ Βυζάντιον κώμη δουλεύειν Περινθίοις δῶρον ἐδόθη, ὥσπερ καὶ Ἀντιόχεια Λαοδικεῦσιν. Herodian. 3 6.

ὅτι ἀπείρητο τοῖς στρατιώταις γυναιξὶ μίγνυσθαι. Σεβῆρος δὲ τοῦτο ἐπέτρεψε, καὶ χρυσοῖς δακτυλίοις αὐτοὺς ἐφιλοτιμήσατο. id. 3 8.

ὅτι Σεβῆρος ἧκεν εἰς τὸ Βυζάντιον, ἀπ

δὲ εἶδε τȣ̀ς πολίτας μετὰ ἐλαιοκλάδων εὐφημοῦντας καὶ δεομένȣς σωτηρίας καὶ ἀπολογίας προσφέροντας, ἐφείσατο μὲν τȣ͂ φονεύειν, Περινθίοις δὲ καὶ αὖθις ὑπέταξε, καὶ παρέσχεν αὐτοῖς θεάτρȣ καὶ κυνηγίου στοάς, καὶ τὸ ἱπποδρόμιον ᾠκοδόμησεν ἰκρίοις καὶ ἐμβόλοις διακοσμήσας, ἀγοράσας οἰκήματα καὶ κήπȣς ἀπὸ τινῶν ἀδελφῶν ὀρφανῶν, καὶ τὰ παρακείμενα τῷ ἱπποδρομίῳ διακόψας δένδρη εἰς τὸ νῦν ὁρώμενον διεκόσμησε σχῆμα, συζεύξας αὐτῷ καὶ λȣτρὸν ἐν τῷ ἱερῷ τȣ͂ Διός, ὅπερ ἐκαλεῖτο Ζεύξιππον· ἀνενέωσε δὲ καὶ τὸ καλȣ́μενον στρατήγιον. ἀλλὰ τȣ́των μὲν ἁπάντων Σεβῆρος προκατήρξατο, ὁ δὲ τȣ́του υἱὸς Ἀντωνῖνος ἐτελεσιούργησεν.

d ὅτι Σεβῆρος ἐλθὼν ἐπὶ τὴν Ἀλεξάνδρειαν εὗρεν ἐπιγραφὴν ἐν τῇ πόρτῃ "τȣ͂ κυρίȣ Νίγρȣ ἡ πόλις." καὶ ἀγανακτȣ͂ντος αὐτȣ͂ πρὸς τȣ͂το ὑπήντησεν ὁ τῶν Ἀλεξανδρέων δῆμος κράζων "οἴδαμεν, εἰρήκαμεν τȣ͂ κυρίȣ Νίγρȣ ἡ πόλις· σὺ γὰρ εἶ ὁ κύριος τȣ͂ Νίγρȣ." καὶ δεξάμενος τὸ ἕτοιμον τῆς ἀπολογίας συνεχώρησεν αὐτοῖς.

e ȣ͂τος εἰς Ἀραβίαν ἐκ τῆς Συρίας καὶ εἰς τὴν Παλαιστίνην ἦλθε, καὶ εἰς τὴν Αἴγυπτον τὴν ἄνω διὰ τȣ͂ Νείλȣ ἀνέπλευσε, καὶ εἶδε πᾶσαν αὐτὴν πλὴν βραχέων· οὐ γὰρ ἠδυνήθη πρὸς τὰ τῆς Αἰθιοπίας μεθόρια διὰ λοιμώδη νόσον ἐσβαλεῖν. καὶ ἐπολυπραγμόνησε πάντα καὶ τὰ πάνυ κεκρυμμένα· ἦν γὰρ οἷος μηδὲν μήτ' ἀνθρώπειον μήτε θεῖον ἀδιερεύνητον ἐᾶν. κἀκ τȣ́τȣ τά τε βιβλία πάντα τὰ ἀπόρρητόν τι ἔχοντα, ὅσα γε καὶ εὑρεῖν ἠδυνήθη, ἐκ πάντων τῶν ἀδύτων ἀνεῖλε καὶ τῷ τȣ͂ Ἀλεξάνδρȣ μνημείῳ συνέκλεισεν, ἵνα μηδεὶς ἔτι μήτε τὸ τούτου σῶμα ἴδῃ μήτε τὰ ἐν ἐκείνοις γεγραμμένα ἀναλέξηται. Dio C. 75 13.

f οὗτος τὸ γένος ἦν Λίβυς, ἐς πραγμάτων διοίκησιν γενναῖος ἅμα καὶ θυμοειδής, σκληρῷ τε βίῳ καὶ τραχεῖ ἐνειθισμένος, πόνους τε ἀνέχων ῥᾷστα, νοῆσαί τε ταχὺς καὶ τὸ νοηθὲν ἐπιτελέσαι ὀξύς. οὗτος μετὰ τὸ εἰσελθεῖν εἰς τὰ βασίλεια τῶν Ἀλβίνου φίλων ἐπὶ τῆς συγκλήτου κατηγόρει, γράμματά τε αὐτῶν καὶ ἐλέγχους προσέφερεν, ἄλλας τε ἄλλοις ἐπιφέρων αἰτίας πάντας τȣ̀ς ἐξέχοντας τότε τῆς συγκλήτȣ καὶ τȣ̀ς κατὰ ἔθνη πλȣ́τῳ τε καὶ γένει ὑπερέχοντας διέφθειρε. πάνυ δὲ ἐνῆν αὐτῷ καὶ τὸ φιλόχρυσον, ὡς ὑπερβάλλειν τὰ πλεονεκτήματα τῆς ἀνδρείας. Io. Antioch. exc. Peir. p. 825.

Σεβῆρος σοφιστὴς Ῥωμαῖος. ὁ Σεβῆρος g
οὗτος ἐπὶ Ἀνθεμίȣ βασιλέως ἦν, ἐν Ἀλεξανδρείᾳ δὲ ἀφικόμενος τὸν ἀπράγμονα βίον ἔζη, φιλοσοφῶν ἐν βιβλίοις ἀφθόνοις οὖσιν αὐτῷ καὶ παντοδαποῖς. εἴπερ δέ τις ἕτερος, ἱκανὸς ἦν ἐπαγαγέσθαι τοὺς ἐπὶ παιδείᾳ διενεγκόντας ὡς αὐτὸν ἰέναι πολλάκις, ἐπιεικής τε...

Σεβῆρος. οὗτος ἐφάνη μετὰ τὸν δυ- h
στυχῆ Εὐτυχῆ· ὃς ἁρπάσας τὸν θρόνον Ἀντιοχείας τὴν κατὰ Μάνεντα αὖθις Ἀπολινάριόν τε καὶ Εὐτυχέα διεκδικεῖν αἵρεσιν ἐπειρᾶτο, κυκῶν ὅση δύναμις αὐτῷ τὴν τῆς ἐκκλησίας εἰρήνην. ἐξελαθεὶς δὲ τῆς Ἀντιοχείας ὡς ταραχώδης καὶ ταραξίας, τῇ Ἀλεξανδρέων κουφότητι λαίλαπος δίκην ἢ θυέλλης ἐνέσκηψεν, ἔνθα καὶ ἑτέρας καταιγίδος ἀντιπνευσάσης αὐτῷ τε καὶ τῷ λαῷ συνέχεε πάντα καὶ ἐθορύβησε· διεσκέδασε γὰρ αὐτοὺς Ἰουλιανός τις καλούμενος, Ἁλικαρνασσεύς, τῆς Ἀσίας ἐπίσκοπος. Theodor. presb. de incarn. p. 245.

σεβίσαι ἀντὶ τοῦ εὐλογῆσαι· Ἀριστοφάνης (Th. 112) "εὐπίστως δὲ τοὐμὸν δαίμονας ἔχει σεβίσαι," τουτέστιν εὐπίστως ἔχω πρὸς τὸ τὸν θεὸν ὑμνῆσαι καὶ εὐλογῆσαι.

σέδας καθέδρας.

Σεδεκίας. ὅτι Σεδεκίας ἀσεβῶν κατὰ πάντα καὶ τȣ͂ βασιλέως ἀπέστη Ναβουχοδονόσορ, τὸν ὅρκον παραβὰς ὃν ὤμοσε κατὰ τȣ͂ θεȣ͂, μὴ ἀποστήσεσθαι. ὁ δὲ ἐπελθὼν ἐπολιόρκει τὴν Ἱερȣσαλὴμ ἔτη β'.

σὲ δὲ ταῦτ' ἀρέσκει; μάλλα πλεῖν ἢ μαίνομαι" (A Ran. 103). ἀλλὰ πλέον ἢ μαίνομαι ἐπ' αὐτῷ. τουτέστιν ὑπερβαλλόντως μοι ἀρέσκει, ἀττικῶς. μᾶλλον ἢ μαίνομαι.

σέδετον τὸ φωσσάτον.

Σειληνός ὁ Διόνυσος, παρὰ τὸ σείεσθαι ἐν τῷ ληνῷ. σειλινός δὲ ὁ γέρων, διὰ τοῦ ι, παρὰ τὸ σείεσθαι ἅλις.

σειρά ἡ ἅλυσις· "ὁ δὲ βασιλεὺς δῶρα a
ἔστελλε τοῖς Ἀβάροις σειρὰς χρυσῷ διαπεποικιλμένας ἐσθῆτάς τε σηρικάς" (Menand. p. 283 Nieb.).

σειρά καὶ ἡ γενεαλογία· "τοῖς γὰρ τοῦ b
φιλοσόφȣ μαντεύμασι περὶ τῆς οἰκείας σειρᾶς ἑπόμενος." "ȣ̓κ οἶδ' ὅπως ἡ τȣ͂ λόγου

ῥύμη, κατ᾽ ἴχνος ἐπιζητῦσα τὴν ἐν τῇ σειρᾷ τάξιν, τῆς αὐτοῦ ψυχῆς οὐκ ἐν τῷ ἀκηράτῳ χορῷ, μετὰ δὲ τῦτον, ὡς δέδεικται, τεταγμένης ἀφανοῦς, ἀπέςειλεν ὡς ἐμέ, τὰ σαφέςατα ἀπαγγεῖλαι προστάξας."

σειραίνω ξηραίνω. "μεθ᾽ ὧν ἐστέφοντο πρὸς τὰς τῶν γάμων ἡμέρας."

σειραῖος ἵππος ὁ ἔξω τῦ ζυγῦ, ὁ δεξιός. "δεξιὸν ἀνεὶς σειραῖον ἵππον, εἶργε τὸν προσκείμενον," τουτέστι τῷ καμπτῆρι, τὸν ἀριστερόν. sch. S El. 722.

σειραῖς πλεκτοῖς ἱμᾶσι. καὶ γένος Πάρθων οἱ σειροφόροι καλούμενοι. μάχονται δὲ ἀπὸ ἵππων, σειρὰς ἱμάντων ἑλίσσοντες· πελάσαντες δὲ τοῖς πολεμίοις ἐφιᾶσι τοὺς ἀπὸ τῶν ἱμάντων βρόχους, ἀποστρέψαντές τε τοὺς ἵππους ὀπίσω βιαίως ἐλαύνυσι, τὺς δὲ ἁλόντας τοῖς βρόχοις τῇ ῥύμῃ τῦ ἵππου ἀποθανόντας ἢ ζῶντας ἕλκουσι.

σειρὴν μὲν φίλον ἀγγέλλει, ξεῖνον δὲ μέλισσα. σειρὴν ζῷόν ἐστι κηροποιόν, μελίσσῃ παραπλήσιον.

σειρῆνας. γυναῖκάς τινας εὐφώνους γεγενῆσθαι μῦθος πρὶν Ἑλληνικός, αἵτινες ἐν νησίῳ καθεζόμεναι οὕτως ἔτερπον τοὺς παραπλέοντας διὰ τῆς εὐφωνίας ὥστε κατέχειν ἐκεῖ μέχρι θανάτυ. εἶχον δὲ ἀπὸ μὲν τοῦ θώρακος καὶ ἄνω εἶδος γυναικῶν, τὰ δὲ κάτω στρυθῶν. οἱ μυθολόγοι σειρῆνάς φασι θηλυπρόσωπά τινα ὀρνίθια εἶναι, ἀπατῶντα τοὺς παραπλέοντας, ᾄσμασί τισι πορνικοῖς κηλοῦντα τὰς ἀκοὰς τῶν ἀκροωμένων. καὶ τέλος ἔχει τῆς ἡδονῆς ἡ ᾠδὴ ἕτερον μὲν οὐδὲν χρηστόν, θάνατον δὲ μόνον. ὁ δὲ ἀληθὴς λόγος τοῦτο βούλεται, εἶναι τόπους τινὰς θαλαττίους ὄρεσί τισι ἐστενωμένους, ἐν οἷς θλιβόμενον τὸ ῥεῖθρον λιγυράν τινα φωνὴν ἀποδίδωσιν, ἧς ἐπακούοντες οἱ παραπλέοντες ἐμπιστεύουσι τὰς ἑαυτῶν ψυχὰς τῷ ῥεύματι καὶ αὔτανδροι σὺν ταῖς ναυσὶν ἀπόλλυνται. αἱ δὲ παρὰ τῷ Ἡσαΐᾳ ⟨13⟩ εἰρημέναι σειρῆνες καὶ ὀνοκένταυροι δαίμονές τινές εἰσιν οὕτω χρηματιζόμενοι ἐπ᾽ ἐρημίᾳ πόλεως, ἥτις χόλῳ θεοῦ γίνεται. οἱ δὲ Σύροι τοὺς κύκνους φασὶν εἶναι· καὶ γὰρ οὗτοι λυσάμενοι καὶ ἀναπτάντες ἐκ τῦ ὕδατος καὶ τῦ ἀέρος ἡδύ τι μέλος ᾄδυσιν. ὁ οὖν Ἰὼβ λέγει ⟨30 29⟩ "ἀδελφὸς γέγονα σειρήνων, ἑταῖρος δὲ στρυθῶν," τυτέστιν ᾄδω τὰς ἐμαυτοῦ συμφορὰς ὥσπερ σειρῆνες. στρουθοὺς δὲ λέγει, ὃν ἡμεῖς στρουθοκάμηλον λέγομεν, ὄρνεον μὲν ὄντα, πόδας δὲ καὶ τράχηλον ὄνου κεκτημένον. καὶ ἐν ἐπιγράμμασι ⟨AP 5 241⟩ "καὶ τὸ λάλημα κεῖνο τὸ σειρήνων γλυκύτερον."

σειρήνειον μέλος.

σειρῆνες αἱ τῆς ψυχῆς ἐναρμόνιοι καὶ μουσικαὶ δυνάμεις.

σείρινον ἐκάλουν λεπτὸν ἱμάτιον ἀσπάθητον, οἷον θέριστρον, καθά φασιν οἱ γλωσσογράφοι. καὶ σειρὴν δὲ ὁ λεπτὸς καὶ διαφανὴς χιτών, εὔθετος τότε ὅτε ἐστὶν ὁ σείριος. ἔστι δὲ καὶ Σεῖρις πόλις Ἰταλική, καὶ τάχα τὰ ἔνθεν ὑφάσματα, εἴ τινα ἄλλα Λυκοῦργος εἶπεν ἐν τῷ περὶ τῆς διοικήσεως. ἐν ἐνίοις μέντοι χωρὶς τοῦ ι γράφεται σέρινα. Harp.

Σείριον τὸν κύνα, ὁτὲ δὲ καὶ τὸν ἥλιον. Ἴβυκος δὲ πάντα τὰ ἄστρα σείρια λέγει.

Σείριος ὁ ἀστρῷος κύων· Αἰλιανός ⟨cf. v. ἰαχήν⟩ "λοιμῶν δὲ ἐπιδημίαν ἔσβεσεν ὅδε ἀνήρ, καὶ τὴν ἀμφὶ τὸν κύνα σείριον πρωτίστην ἐπιτολὴν καὶ τὴν ὁρμὴν τὴν ἔμπυρον ἡμέρωσε τῦ ἄστρου." καὶ σείρ σειρός ὁ ἥλιος.

σειροί αἱ ἐπαύλεις. ἢ ὀρύγματα εἰς ἀπόθεσιν σίτου. cf. v. σιρός.

σειρομάστης εἶδος ἀκοντίου, λόγχη. cf. v. σιρομάστης.

σειροφόρος καὶ ἄζυξ ὁ λεγόμενος κέλης ἵππος.

σεῖσαι τὸ συκοφαντῆσαι, ἀπὸ τῶν τὰ ἀκρόδρυα σειόντων. Τηλεκλείδης Ἀμφικτύοσιν "ἀλλ᾽ ὦ πάντων ἀστῶν λῷστοι σεῖσαι καὶ προσκαλέσασθαι, παύσασθε δικῶν ἀλληλοφάγων." Ἀριςοφάνης Δαιταλεῦσιν "ἔσειον, ᾔτουν χρήματ᾽, ἠπείλουν, ἐσυκοφάντουν πάλιν."

σεισάχθεια χρεωκοπία δημοσίων καὶ ἰδιωτικῶν, ἣν εἰσηγήσατο Σόλων. εἴρηται δὲ παρ᾽ ὅσον ἔθος ἦν Ἀθήνησι τοὺς ὀφείλοντας τῶν πενήτων σώματι ἐργάζεσθαι τοῖς χρήσταις, ἀποδόντας δὲ οἱονεὶ τὸ ἄχθος ἀποσείσασθαι, ὡς Φιλοχόρῳ δὲ δοκεῖ, ἀποψηφισθῆναι τὸ ἄχθος.

σεισμός πνεύματος εἰς τὰ κοιλώματα τῆς γῆς ἐγκαθειρχθέντος. εἶναι δ᾽ αὐτῶν τοὺς μὲν χασματίας τοὺς δὲ βρασματίας ⟨Diog. L. 7 154⟩. Αἰλιανός "σεισμοί τε ἐπεπόλασαν καὶ πολλὰ ἀνέτρεπον." σισμὸς δὲ ὁ ποιὸς ἦχος σιδήρου πεπυρακτωμένου

εἰς ὕδωρ βληθέντος, ἐκ τοῦ σίζω τὸ ποιὸν ἦχον ἀποτελῶ.

σεῖστρον· "ὃ δὲ ξυρεῖ τὴν κεφαλὴν καὶ τὸ γένειον, λαθεῖν θέλων, καὶ σκευὴν Αἰγυπτίαν ἀναλαβών, ἥνπερ οἱ τῆς Ἴσιδος θεραπευτῆρες ἤσθηνται, καὶ σεῖστρον ἐπισείων ἠλᾶτο." cf. vv. ἀγείρει et προυγράφη.

σείω ῥῆμα, σεῖο δὲ ἀντὶ τοῦ σοῦ.

Σεκοῦνδος Ἀθηναῖος σοφιστής, ὃς ἐχρημάτισε Πλήνιος, ἐπωνομάζετο δὲ καὶ ἐπίουρος ὡς υἱὸς τέκτονος. καθηγητὴς δὲ γέγονε καὶ Ἡρώδου τοῦ σοφιστοῦ. ἔγραψε μελέτας ῥητορικάς.

σέκρετον.

σελαγεῖται ⟨A Nub. 285⟩ ἀντὶ τοῦ λάμπεται, ἐκπυροῦται παρὰ τὸ σέλας.

σελαγίζω.

σέλας πῦρ, ἢ τὸν κεραυνόν· καὶ τὸ φῶς τῆς σελήνης. ἢ λαμπηδών.

σελάχια ὅσα λεπίδα οὐκ ἔχει, οἷον σμύραινα βοῦς νάρκη τρυγών, οὐδὲ ᾠοτοκεῖ.

σελάχιον ἰχθύδιον, ὃ μόνον ζῳοτοκεῖ, πρῶτον ᾠοτοκῆσαν ἐν αὑτῷ, πλὴν βατράχου. εἴρηται δὲ ἀπὸ τοῦ ἔσω λεχώζειν. Καλλίστρατος δὲ τὸ τοῦ ἰχθύος κόπαιον. λέγεται δὲ καὶ μαλάχειον.

Σελεύκεια πόλις, Σελευκία δὲ ὄνομα κύριον.

σελευκίς ὀρνεόν ἐστιν εὔπεπτον καὶ ἀκόρεστον καὶ πανοῦργον.

a Σέλευκος Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐπεκλήθη Ὁμηρικός, ἐσοφίστευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ἐξηγητικὰ εἰς πάντα ὡς εἰπεῖν ποιητήν, περὶ τῆς ἐν συνωνύμοις διαφορᾶς, περὶ τῶν ψευδῶς πεπιστευμένων, περὶ τῶν παρ' Ἀλεξανδρεῦσι παροιμιῶν, περὶ θεῶν βιβλία ρ', καὶ ἄλλα σύμμικτα.

b Σέλευκος Ἐμισηνὸς γραμματικὸς Ἀσπαλιευτικὰ δι' ἐπῶν βιβλία δ', εἰς τοὺς λυρικοὺς ὑπόμνημα, Παρθικὰ δύο. καὶ ἄλλον δέ τινα Σέλευκον εὗρον ἐν παραθήκῃ, βιβλία δὲ οὐκ εἶχε.

c Σέλευκος. οὗτος ἐπεκέκλητο Νικάνωρ. ὃς τῷ ἰδίῳ υἱῷ Ἀντιόχῳ δίδωσι τὴν ἑαυτοῦ γυναῖκα Στρατονίκην, ἐρασθέντι αὐτῆς καὶ διὰ τὸν πρὸς αὐτὴν ἔρωτα ἀσθενήσαντι καὶ ἐπικρυπτομένῳ, γνωσθέντι δὲ ὑπὸ Ἐρασιστράτου τοῦ ἰατροῦ. φασὶ δὲ Σέλευκον συνόντα Ἀλεξάνδρῳ τῷ Μακεδόνι, ταῦρον θυομένῳ ἀποδράντα, μόνον Σέλευκον περιγενέσθαι αὐτοῦ τῶν κεράτων κρατήσαντα. καὶ διὰ τοῦτο τῷ ἀγάλματι αὐτοῦ ἐν τῇ κεφαλῇ περιτιθέασι κέρατα. Codin. orig. CP p. 16.

σελῆναι πέμματα πλατέα κυκλοτερῆ. cf. v. ἀνάστατοι.

σελήνη τὸ ἄστρον. φασὶ τὴν σελήνην μὴ μόνον ὑγρὰν εἶναι, ἀλλὰ καὶ θερμαίνειν ὁμοίως τῷ ἡλίῳ τὰ σώματα. Δαβίδ ⟨Ps. 120 6⟩ "ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα." καὶ σεληναία. καὶ σεληναῖος ὁ τῆς σελήνης.

σεληνίτης.

σελίδιον τὸ ἀπὸ τῶν ἄνωθεν ἀναγινωσκόμενον ἐπὶ τὰ κάτω.

σέλινον εἶδος λαχάνου.

σελίνου δεῖται ὁ νοσῶν, ἐπὶ τῶν ἐν ἐσχάταις πνοαῖς ὄντων, ἐπειδὴ τοὺς τάφους, ὅτε ἔμελλον τοὺς νεκροὺς τιθέναι, σελίνοις ἐστρώννυον. cf. v. τοῦ σελίνου δεῖται.

σελίνου στέφανος πένθιμος· τὸ γὰρ σέλινον πένθεσι προσήκει, ὡς ἔφη καὶ Δοῦρις ἐν τῷ περὶ ἀγώνων.

σελίς τὸ μέσον τῶν δύο καταβατῶν ἄγραφον τυγχάνον. καὶ τὸ βιβλίον· ἐν ἐπιγράμματι ⟨AP 6 295⟩ "καὶ σελίδων κανόνισμα φιλόρθιον."

Σελλήεις ποταμός. Hom. *B* 659.

σελλίζειν τὸ ἀλαζονεύεσθαι, ἀπὸ Σέλλου τινὸς πένητος καὶ προσποιουμένου τὸ πλουτεῖν. cf. vv. Θεαγένους et σεσέλλισαι.

Σέλλιος ἢ Σίλλιος, ὁ καὶ Ὅμηρος, γραμματικὸς περιοχὰς Μενάνδρου. cf. v. Ὅμηρος Σέλλιος.

Σελλοί ἔθνος. Hom. *Π* 234.

σελμῶν σανίδων. καὶ ὄνομα τόπου· σημαίνει δὲ ἀνταπόδοσιν.

Σεμεΐ ὄνομα κύριον.

σεμίδαλις σεμιδάλεως. καὶ σεμιδαλίτης ἄρτος ὁ καθαρός.

Σεμιράμεια τείχη.

Σεμίραμις. αὕτη βασιλεύσασα τῶν a
Ἀσσυρίων πρώτη καὶ καταδυναστεύσασα καὶ πολλοὺς ἀνθρώπους ἀνελοῦσα πρῶτα μὲν ἐξεῦρε τὰ μέταλλα, τοῖς δὲ αἰχμαλώτοις τὴν τούτων ἐργασίαν ἐπέτρεψε, περιέθηκε δὲ καὶ τείχη πρώτη τῇ Νινευί, μετονομάσασα ταύτην Βαβυλῶνα. καὶ τοῖς ποταμοῖς περιεβάλετο στόμια, καὶ τὰς πυραμίδας ἀνήγειρε, καὶ πρὸς τὸν ὠκεανὸν διαπλεύσασα τοὺς

Digitized by Google

πρὸς αὐτὸν οἰκοῦντας ἱστόρησεν· εἰσὶ δὲ οἱ Αἰθίοπες. καὶ Ὅμηρος δέ φησι ⟨*Α* 423⟩ "*Ζεὺς γὰρ ἐς ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας χθιζὸς ἔβη.*" *καὶ τοὺς μὲν εἶπεν ἄτριχας εἶναι ὑπὸ τῆς τοῦ ἡλίου θέρμης κεκαυμένους, ἀλογώδη βοσκομένους δίαιταν, τοὺς δὲ τὴν παραλίαν οἰκοῦντας ἀγνοεῖν καὶ τὰς ἐν γῇ φυομένας βοτάνας, τῇ δὲ τῶν ἰχθύων ἀρκεῖσθαι βρώσει. ἐκεῖ δὲ εἶναι καὶ τὸν παράδεισον· πάντα γὰρ ὅσα εὐώδη καὶ ἀναγκαῖα ἐν τοῖς τόποις ἐκείνοις εὑρίσκεται. τὴν δὲ Σεμίραμιν καὶ Ῥέαν ἐκάλουν.*

b *Σεμίραμις λέγει Δερκεταίῳ* "*ἄπιθι καὶ διευτρέπιζε τρίτον ἔτος στρατείαν, ἀρξάμενος ἔκ τε Ἑλλησπόντου καὶ Λιβύης ἄχρι Βάκτρων, πεζοῦ μὲν μυριάδας τ', ἱππικοῦ δὲ ρ', δρεπανηφόρων δὲ ἁρμάτων μυριάδας ι', ἀνδρῶν ἐπὶ καμήλων μαχομένων τὸ ἴσον πλῆθος, ἄλλων δὲ καμήλων, ἐς ὅ τι ἂν ἐγὼ δέωμαι, μυριάδας κ', βύρσας δὲ βοῶν ὠμοδεψητῶν εἰς λ' μυριάδας,*" *ναῦς δὲ ἐν Βάκτροις ναυπηγεῖσθαι τρισχιλίας μακρὰς χαλκεμβόλους, πληρώματα δὲ αὐταῖς ὁμοίως ἔκ τε Συρίας καὶ Φοινίκης καὶ Αἰγύπτου καὶ Κύπρου καὶ Κιλικίας τῶν τε παραλίων μερῶν ἄχρι Ἑλλησπόντου.*

c *ὅτι ἡ αὐτὴ ὁρμῶσα ἐπ' Ἰνδοὺς εἴδωλα ἐλεφάντων ξύλινα συμπήγνυται εἰς μυριάδας κ', ἃ ἔμελλον οἴσειν αἱ κάμηλοι, τὰ ἐντὸς ἐμπεπλησμένα φρυγάνου καὶ φορυτοῦ, ὡς εὐβάστακτα εἴη· τὰ δ' ἔξωθεν αὐτῶν περιεβύρσωσεν. ἐπιβάτας δὲ ἐφ' ἑκάστην κάμηλον β' ἔταξεν Αἰθίοπας τοξεύειν καὶ ἀκοντίζειν. καὶ ἐπέρασε τὸν Ἰνδὸν ποταμόν, ὅστις ἐστὶν ὑπὲρ ρ' σταδίους τὸ πλάτος, καὶ ζεύγνυσι γέφυραν, ᾗ στενώτατος εἶναι ἐδόκει· ἦν δὲ μῆκος μὲν ξ' σταδίων πλάτος δὲ τ'. τὰ δὲ εἴδωλα ἦσαν κ' μυριάδες.*

d *ἡ αὐτὴ ἐκνεύσασα τὸν ποταμὸν καὶ ἐντὸς τῆς κοίτης τούτου κτίσασα παλάτια ἐπὶ ὑψωμάτων ἐγχορήγων ἠσφαλτωμένων, αὖθις ἀπέλυσεν εἰς τὴν κοίτην.*

σεμνά τὰ τίμια καὶ σεβάσμια· "*κατά τι πυθόχρηστον ἧκε θεῶν κομίζων ἱερὰ εἰς τὴν μετοίκησιν σεμνὰ ἐφόδια*" *Αἰλιανὸς ἐν τῷ περὶ προνοίας.*

σεμναὶ θεαί. οὕτω καλοῦσιν Ἀθηναῖοι τὰς ἐριννύας. cf. v. *Θησεῖον.*

σεμνεῖον τὸ μοναστήριον, ἐν ᾧ μονούμενοι οἱ ἀσκηταὶ τὰ --- τελειοῦνται ⟨cf. v. *θεραπευταί*⟩. *τὸ δ' ἐξ ἑωθινοῦ μέχρις ἑσπέρας διάστημα σύμπαν ἐστὶν αὐτοῖς ἄσκησις· σιτίον γὰρ ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν προσενέγκοιτο πρὸ ἡλίου δύσεως.*

σεμνήν οὐ τὴν σώφρονα, οὐ γὰρ ἐπαινεῖ αὐτήν, ἀλλὰ τὴν ἀλαζόνα καὶ ὑπέρογκον καὶ ἐφ' αὐτῇ μέγα φρονοῦσαν Ἀριστοφάνης Νεφέλαις ⟨48⟩.

σεμνομυθοῦσιν ὑπερηφανεύονται ἐν λόγοις. "*ὁ δὲ σεμνὸς Ἀσδρούβας συνέπεσε τῷ στρατηγῷ πρὸς τὰ γόνατα, ἐπιλελησμένος τῆς μεγαλορρημοσύνης*" ⟨Polyb. 39 3⟩.

σεμνόν. ἐπὶ τοῦ ἀξιωματικοῦ λέγουσιν, ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τοῦ ὑπερηφάνου τιθέασιν· Εὐριπίδης Μηδείᾳ ⟨215⟩ "*οἶδα γὰρ πολλοὺς βροτῶν σεμνοὺς γεγονότας*" *καὶ ἐν Ἱππολύτῳ* ⟨93⟩ "*μισεῖν τὸ σεμνὸν καὶ τὸ μὴ πᾶσιν φίλον.*" *καὶ ἔνδοξον· Εὐριπίδης Ἱππολύτῳ* ⟨99⟩ "*πῶς οὖν σὺ σεμνὴν δαίμον' οὐ προσεννέπεις;*" *καὶ τὸ μέγα. καὶ τοὺς τιμίους·* "*τοῖς δ' αὖ σεμνοῖσι τῶν ὀρνίθων*" *Ἀριστοφάνης* ⟨Av. 617⟩ *ἀντὶ τοῦ τιμίοις.* "*ὁ αὐτὸς σεμνότατος ὢν καὶ σπουδαστικώτατος ὅμως ἐπίχαρις ἦν ἐν ταῖς ὁμιλίαις, οὐδενὸς ἥττων τῶν ἐπὶ χάρισι θαυμαζομένων.*" *Δέξιππος* "*σεμνὸν γὰρ αὐτὸν ἀπέφαινε τά τε ἄλλα, καὶ ὅτι οἱ ὁ πατὴρ εὖ στρατηγήσειε.*"

σεμνοπροσωπεῖς ⟨A Nub. 362⟩, *ἐπεὶ σεμνὴν τὴν ὄψιν ἔχεις· εἰσὶ γὰρ ἄνθρωποι σεμνοὶ μὲν φανῆναι, οὐ κατὰ τὴν πρόσοψιν δὲ ἔχοντες καὶ τὰ ἐπιτηδεύματα.*

σεμνυνόμενος κομπάζων· "*σεμνυνόμενος ὁ Διονυσόδωρος ἐπὶ τῷ μηδένα τῶν κρουμάτων αὐτοῦ μήτ' ἐπὶ τριήρους μήτ' ἐπὶ κρήνης ἀκηκοέναι, καθάπερ Ἰσμηνίου*" ⟨Diog. L. 4 22⟩.

Σεμπρώνιος ὄνομα κύριον, πρῶτος Ῥωμαίων.

σενάτορες. ὁ Ῥωμύλος μετὰ τὴν τοῦ ἀδελφοῦ Ῥώμου ἀναίρεσιν ἐκ τῶν περιοίκων πόλεων ἀριθμὸν ἀνδρῶν ἐφειλκύσατο, καὶ τούτων τοὺς πρεσβυτέρους καὶ ἐχέφρονας ἐπιλεξάμενος προβούλους τε αὐτοὺς καὶ προέδρους τῶν κοινῶν ἀπέφηνε πραγμάτων, σενάτοράς τε καὶ βουλευτὰς διὰ τὴν ἡλικίαν τοὺς ἄνδρας ὀνομάσας. ἐκ δὲ τούτων τοὺς ἀρίστους ἐπιλεξάμενος πατρικίους τε αὐτοὺς ἐκάλεσεν ἐκ μεταφορᾶς τῶν πατέρων, καὶ πρὸς τὴν τοῦ δήμου προσκατέστησεν

διοίκησιν. τριακοσίους τε ἱππεῖς καὶ τρισχιλίους πεζοὺς πρὸς τὴν τῆς πόλεως φρουρὰν ἀπεγράψατο ςρατιώτας· εἰς φυλὰς δὲ δ' τὸ τοῦ δήμου διένειμε πλῆθος, ἐποίησε δὲ καὶ σενάτον τὸ βουλευτήριον. Cedren. p. 146.

Σεναχηρείμ ὄνομα κύριον.

Σενύου βασιλέως Αἰγύπτου.

Σεξτίλιος ὄνομα μηνὸς παρὰ Ῥωμαίοις.

Σέξτος Λίβυς φιλόσοφος σκεπτικὰ ἐν βιβλίοις ί, Πυρρώνεια.

Σέξτος Χαιρωνεύς, ἀδελφιδοῦς Πλουτάρχου, γεγονὼς κατὰ Μάρκον Ἀντωνῖνον τὸν Καίσαρα, φιλόσοφος, μαθητὴς Ἡροδότου τοῦ Φιλαδελφαίου. ἦν δὲ τῆς Πυρρωνείου ἀγωγῆς, καὶ τοσοῦτον πρὸς τιμῆς τῷ βασιλεῖ ἦν ὥστε καὶ συνδικάζειν αὐτῷ. ἔγραψεν ἠθικά, ἐπισκεπτικά, βιβλία ί.

ὅτι μετὰ θάνατον Κομόδου ἐτόλμησέ τις Σέξτος τε ⟨Κονδιανὸς⟩ εἶναι φῆσαι καὶ πρὸς ἀνάληψιν τοῦ τε πλούτου καὶ ἀξιώματος ὁρμῆσαι, καὶ πολλά γε ὑπὸ πολλῶν ἀνακριθεὶς ἐκομψεύσατο· ὡς μέντοι καὶ τῶν Ἑλληνικῶν τι αὐτὸν ὁ Περτίναξ, ὧν ἐκεῖνος διεπεφύκει, ἀνήρετο, πλεῖςον ἐσφάλη, μηδὲ συνεῖναι τὸ λεγόμενον δυνηθείς. οὕτω που τὸ μὲν εἶδος ἐκ φύσεως καὶ τἆλλα ἐξ ἐπιτηδεύσεως αὐτῷ ἐῴκει, τῆς δὲ δὴ παιδείας αὐτῷ οὐ μετεσχήκει. Dio C. 72 6.

Σεπφώρα ἡ τοῦ Μωσέως γυνή.

Σεπφωραῖος ὄνομα κύριον.

Σέπφωρις Σεπφώρεως ὄνομα κύριον θηλυκόν· σημαίνει δὲ πόλιν. καὶ Σεπφωρία. καὶ Σεπφωρεῖται ἔθνος.

a σεραφίμ πληθυντικῶς διὰ τοῦ ι· ἐπὶ δὲ ἑνικοῦ σεραφείμ διὰ διφθόγγου. cf. v. χερουβείμ.

b σεραφίμ ἐμπρησάς, ἔμπυρα στόματα, ἢ θερμαίνοντας. γνώσεως πληθυσμός, ἢ σοφίας χύσις.

Σερβιλία. καὶ Σερβίλιος ὄνομα κύριον, ὁ ὕπατος Ῥωμαίων, Κόϊντος.

Σέρβιος ὄνομα κύριον, οἱονεὶ δῆλος.

Σερβωνῖτις λίμνη.

Σέργιος Ζευγματεύς, Ἀφθονίου υἱός, ἀπὸ διηγόρων τῶν ὑπάρχων, καὶ αὐτὸς ὕπαρχος πραιτωρίων γεγονὼς καὶ ἀπὸ ὑπάτων καὶ πατρίκιος, ἐπιτάφιον εἰς τὸν σοφιστὴν καὶ ἀδελφὸν αὐτοῦ Σαβῖνον. ἔγραψε καὶ ἑτέραν βίβλον ὑπὲρ τῶν δικολόγων πρὸς Ἀριςείδην.

Σερδική πόλις Δακίας.

Σερῆνος ὁ καὶ Αἴλιος χρηματίσας, Ἀθηναῖος γραμματικός, ἐπιτομὴν τῆς Φίλωνος πραγματείας περὶ πόλεων, καὶ τίνες ἐφ' ἑκάςης ἔνδοξοι, βιβλία γ'. ἐπιτομὴν τῶν Φιλοξένου εἰς Ὅμηρον, ά.

σέριφος γραῦς ἢ ··· μάντιν. cf. v. γραῦς σέριφος.

Σερούχ. οὗτος κατάγεται ἐκ τῆς φυλῆς a τοῦ Ἰάφεθ, καὶ ἀπὸ τούτου ἤρξατο ἡ εἰδωλολατρία· ἐδογμάτισε γὰρ εἰκόσι καὶ ἀνδριᾶσι τιμᾶσθαι τοὺς πάλαι ἀριστεύσαντας καὶ τιμᾶσθαι ὡς εὐεργέτας, καὶ τοῦτο ἐπεκράτησε μέχρι τῶν χρόνων Θάρρα τοῦ πατρὸς Ἀβραάμ. Ἀβραὰμ δὲ δίκαιος γενόμενος καὶ ἐς θεογνωσίαν ἐλθὼν καὶ λογισάμενος ὅτι ὁ πατὴρ αὐτοῦ τοὺς ἀνθρώπους πλανᾷ, παρασκευάζων αὐτοὺς εἰδώλοις καὶ ἀγάλμασι προσκυνεῖν καὶ ποιητὴν ἁπάντων μὴ γνωρίζειν θεόν, συντρίψας τὰ τοῦ πατρὸς ἔργα ἀνεχώρησεν ἀπὸ Καρρῶν ὅρων Χαλδαίων τῆς μέσης τῶν ποταμῶν χώρας, καὶ ᾤκησεν εἰς τὰ μέρη τῆς νυνὶ καλουμένης Παλαιστίνης, πέραν τοῦ Ἰορδάνου ποταμοῦ, αὐτὸς καὶ οἱ αὐτοῦ συγγενεῖς καὶ Λὼτ ὁ υἱὸς τοῦ ἀδελφοῦ αὐτοῦ, έ καὶ ό ἔτει τῆς ἑαυτοῦ ζωῆς. εἰσὶν οὖν ἀπὸ τοῦ κατακλυσμοῦ ἕως Ἀβραὰμ ἔτη ͵αγ', ἀπὸ δὲ τοῦ Ἀδὰμ ἕως τοῦ Ἀβραὰμ ἔτη ͵γψμέ. ἐγένετο δὲ Ἀβραὰμ πλούσιος σφόδρα ἐν κτήνεσι πολλοῖς, καὶ οὐκ ἐχώρει αὐτοὺς ἡ συνοικία αὐτῶν, καὶ ἔδωκε Λὼτ οἰκεῖν τὰ πέραν τοῦ Ἰορδάνου· καθ' ὃν δὴ χρόνον ἀπώλοντο β' πόλεις, Σόδομά τε καὶ Γόμορρα, θείου πυρὸς καταρραγέντος ἐπ' αὐτάς, διότι τοὺς παριόντας ἐνύβριζον ξένους. Io. Antioch. exc. Peir. p. 778.

Σερούχ. οὗτος ἐκ τῆς τοῦ Ἰάφεθ φυ- b λῆς καταγόμενος δόγμα παραδέδωκε τιμᾶσθαι τοὺς πάλαι τελευτήσαντας καὶ ἀριστεύσαντας ἄνδρας ἢ διὰ εἰκόνων ἢ διὰ ἀνδριάντων, καὶ τούτους προσκυνεῖσθαι κατ' ἔτος ὡς ἔτι ζῶντας, καὶ μνήμας αὐτῶν ἐκτελεῖν, καὶ ἐν ταῖς ἱερατικαῖς ἀναγράφεσθαι βίβλοις, καὶ θεοὺς αὐτοὺς νομίζειν ὡς εὐεργέτας. ἐντεῦθεν εἰσήχθη ἡ πολυθεΐα καὶ ἡ εἰδωλολατρία. τοῦτο δὲ διέμεινε παρ' αὐτοῖς μέχρι τῶν χρόνων Θάρρα τοῦ πατρὸς Ἀβραάμ· ἦν γὰρ ἀγαλματοποιός, ἀπὸ δια-

Digitized by Google

φόρων ὑλῶν εἰκόνας ἐργαζόμενος, καὶ λέγων τούτους εἶναι θεοὺς καὶ ὀφείλειν προσκυνεῖσθαι ὡς αἰτίους τῶν ἀγαθῶν. ἐντεῦθεν διέδραμεν ἡ τοιαύτη δόξα εἰς τὰ πλεῖστα τῶν ἐθνῶν γένη, μάλιστα δὲ ἐν Ἑλλάδι· ἤδη γὰρ ἦσαν οὗτοι τὴν τοιαύτην πλάνην ἀναδεξάμενοι, καὶ τιμήσαντες Ἕλληνα τὸν γίγαντα τὸν ἀπὸ τῆς φυλῆς τοῦ Ἰάφεθ καταγόμενον καὶ τῆς πυργοποιίας κοινωνὸν γενόμενον, δι' ἣν ἐμερίσθησαν αἱ γλῶσσαι τῶν ἀνθρώπων καὶ ἐκλήθησαν μέροπες. Malela p. 64.

σέρρεις εἶδος λαχάνων, τὰ παρ' ἡμῖν σείρικα λεγόμενα.

Σέρριος ὄνομα κύριον. καὶ Σέρριον τεῖχος καὶ Σέρρειον, ὄνομα χωρίου.

Σερτώριος ὄνομα κύριον.

σέρφος ζῷον μυρμηκῶδες· ⟨A Av. 570⟩ "σέρφον ἔνορχιν σφαγιάζειν." καὶ παροιμία "ἔνεστι κἂν μύρμηκι κἂν σέρφῳ χολή." ἀρσενικῶς δὲ λέγεται ὁ σέρφος. ταῦτα δὲ νέμονται τὰ ὄρνεα· Νικοφῶν ἐν Ἀφροδίτης γοναῖς "ἅπερ ἐσθίει ταῦτα τὰ πονήρ' ὀρνίθια, σέρφους ἴσως, σκώληκας ἀκρίδας πάρνοπας." sch. A Av. 82.

σεσαγμένην πεπληρωμένην, πεφορτωμένην· Ἀγαθίας ⟨2 6⟩ "μίαν δὲ τῶν ἁμαξῶν χόρτῳ σεσαγμένην ἀγρίῳ τε καὶ γεγηρακότι παρεισάγει τῷ πύργῳ ξυλίνῳ ὄντι, καὶ πῦρ ἐνίησι· καὶ ῥᾳδίως ἅπασα ἡ τύρσις ἐπίμπρατο." καὶ σεσαγμένοι πεπληρωμένοι· "οἱ δὲ καὶ ὡς σεσαγμένοι τῇ λείᾳ εὐκλεῆ καὶ ἀγέρωχον ἀνεδήσαντο νίκην," καὶ αὖθις ⟨Agath. 2 10⟩ "οὕτω δὴ τῇ λείᾳ σεσαγμένοι ἐπορεύοντο."

σέσεικα ἐνέβαλον.

σέσελις εἶδος λαχάνου.

σεσέλλισαι μάτην ἐπῆρσαι, ἀπὸ Αἰσχίνου τοῦ Σέλλου, ὃς ἦν κομπαστὴς καὶ ἀλαζὼν ἔν τε τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν. Λυκόφρων δ' ἀπέδωκε τὸ σελλίζεσθαι ἀντὶ τοῦ ψελλίζεσθαι.

ὁ γὰρ Αἰσχίνης πένης ὢν ἐθρύπτετο ἐπὶ πλούτῳ, λέγων ἑαυτὸν πλούσιον. ἦν δὲ Αἰσχίνης Σέλλου. ἐκ μεταφορᾶς δὲ ἔλεγον τοὺς τοιούτους σέλλους καὶ τὸ ἀλαζονεύεσθαι σελλίζειν. sch. A Av. 823.

σεσημασμένων ἀντὶ τοῦ ἐσφραγισμένων Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος ⟨17⟩. Harp.

σέσηρε κέχηνε, διήνοιγε.

σεσηρυῖα γραῦς κεχηνυῖα.

σεσηρώς σεσηρότος κεχηνώς.

σεσοβημένος ἄτακτος τὴν κίνησιν, τε-θορυβημένος, τεταραγμένος. "ὁ δὲ θᾶσσον βάδην τήν τε κεφαλὴν ἐπισείων καὶ βαρβαρικῶς τινὰ ἐπιφθεγγόμενος, ὅσα τῆς τε φωνῆς τῷ ἐντόνῳ καὶ τοῦ βαδίσματος τῷ σεσοβημένῳ εἰκάσαι, ἐπαπειλῶν." καὶ αὖθις ⟨AP 6 219⟩ "ἔκ ποτέ τις φρικτοῖο θεᾶς σεσοβημένος οἴστρῳ."

Σεσόωσις ὄνομα κύριον.

σεσωρευμένον βεβαρημένον.

Σέσωστρις βασιλεὺς Αἰγύπτου, ὅς τε τῶν Αἰγυπτίων ἔθη μετέβαλε, θέλων αὐτοὺς ταπεινῶσαι, καὶ τὰ μὲν τῶν ἀνδρῶν ἔργα ταῖς γυναιξὶ τὰ δὲ τῶν γυναικῶν τοῖς ἀνδράσιν ἐνομοθέτησεν ἐργάζεσθαι.

σέσωται καὶ σεσωμένος οἱ παλαιοὶ ἄνευ τοῦ σ. καὶ διεζωμένοι φησὶ Θουκυδίδης ⟨1 6⟩. οἱ δὲ νεώτεροι σέσωσμαι. ἐν ἐνίων δ' ἁπλῶς παραλείπουσι τὸ σ, κεκλειμένον, πεπρημένον.

Σεύθης εἷς τῶν ἐν Θρᾴκῃ βασιλέων.

Σεώκη ὄνομα πόλεως.

Σηγώρ πόλις, ἐν ᾗ διεσώθη Λὼτ φεύγων τὸν τῶν Σοδομιτῶν ἐμπρησμόν.

Σήθ υἱὸς Ἀδάμ. περὶ τούτου εἴρηται ⟨Gen. 6 4⟩ "καὶ εἰσῆλθον οἱ υἱοὶ τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων," ἤτοι τὰς ἀπὸ τοῦ Κάιν. θεὸν γὰρ τὸν Σὴθ οἱ τότε ἄνθρωποι προσηγόρευον διὰ τὸ εὑρηκέναι τά τε Ἑβραϊκὰ γράμματα τάς τε τῶν ἀστέρων ὀνομασίας, καὶ πρὸς τούτοις τὴν πολλὴν εὐσέβειαν αὐτοῦ θαυμάσαντες, ὥςε καὶ πρῶτος ἐπικαλεῖσθαι θεὸς καὶ ὀνομάζεσθαι, καθὰ καὶ τῷ Μωυσεῖ λέγει κύριος "θεὸν δέδωκά σε τῷ Φαραώ." καὶ περὶ τῶν ἐναρέτων καὶ πνευματικῶν καὶ τῶν κριτῶν ἔφη ⟨Exod. 22 23⟩ "θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς." εἰκότως οὖν οἱ τοῦ Σὴθ καὶ Ἐνὼς καὶ Ἐνὼχ παῖδες υἱοὶ θεοῦ καὶ υἱοὶ τῶν θεῶν κατὰ Σύμμαχον νοείσθωσαν· οὗτοι ἁλόντες ἀκολασίᾳ πρὸς τὰς θυγατέρας Κάιν εἰσῆλθον. ἐξ ὧν οἱ τῆς ἀκαταλλήλου μιξογαμίας γίνονται γίγαντες, διὰ μὲν τὸν δίκαιον ἰσχυροὶ καὶ μέγιςοι, διὰ δὲ τὸν ἄδικον καὶ βέβηλον πονηροὶ καὶ κάκιςοι. cf. Theodoret. in Gen. 9 47 et Cedren. p. 9.

σήθοντες κοσκινίζοντες.

Σήθων ὄνομα κύριον.

Σήινος ὄνομα κύριον.

σήκασθεν (Hom. Θ 131) εἰς σηκὸν κατεκλείσθησαν, τουτέςι μάνδραν. καὶ σηκασθέντας ὡς ἐν σηκῷ περικλεισθέντας· "καὶ γὰρ ἐν κύκλῳ μὲν ὥσπερ σηκασθέντας ἐδεδίει, μὴ διὰ πλῆθος βιάσαιντο σφᾶς, ἐς ἓν τὸ ἀσθενέςατον τῆς κυκλώσεως ἐντείναντες."

σηκίδες τὰ οἰκογενῆ παιδισκάρια. κυρίως δὲ σηκύλη καὶ σηκίς ἡ ἐν ἀγρῷ ταμιεῖον φυλάττουσα.

σηκοί αἱ τῶν βοσκημάτων ἐπαύλεις, παρὰ τὸ σώζειν, ἢ ςηκοί τινες ὄντες, παρὰ τὸ ἐκεῖσε ςήκειν.

σηκοκόρος ὁ τοῦ σηκοῦ ἐπιμελούμενος. Hom. ρ 224.

σηκός ὁ ἐνδότερος οἶκος τοῦ ἱεροῦ, ναός, οἶκος, τάφος. "παραγενόμενοι δὲ εἰς τὸν σηκὸν τῶν αἰχμαλώτων ἐκέλευον κηρύττειν," ἀντὶ τοῦ εἰς τὸν οἶκον. τάττουσι τὸ ὄνομα καὶ ἐπὶ ἐλαίας· λέγει γὰρ Λυσίας (7 10) "ὃς β' ἔτη ἐγεώργησεν οὔτε ἰδίαν ἐλαίαν οὔτε μορίαν οὔτε σηκόν." μήποτε οὖν τὰς μὲν ἰδιωτικὰς ἐλαίας καλοῦσι, τὰς δὲ δημοσίας μορίας· σηκὸν δέ, ὡς ἔοικε, καὶ μορίαν ὀνομάζουσι τὴν αὐτήν. Harp.

σήκρητον καὶ πρωτασηκρῆτις.

σήλεκτος χαμαιδικαστής.

Σηλυβρία πόλις Θρακική.

Σηλώμ ὄνομα πόλεως.

σῆμα ὁ τάφος.

σημαία τάξις πολεμική, δι' ἧς τὸ Ἡράκλειον ἧλω ἰδίαν τινὰ ἅλωσιν. ἐχούσης τῆς πόλεως ἐφ' ἑνὸς μέρους ἐπ' ὀλίγον τόπον ταπεινὸν τεῖχος, οἱ Ῥωμαῖοι τρεῖς σημαίας προεχειρίσαντο. καὶ τῇ μὲν πρώτῃ τοὺς θυρεοὺς ὑπὲρ τῆς κεφαλῆς ποιήσαντες συνέφραξαν, ὥστε τῇ τῶν ὅπλων πυκνότητι κεραμωτῷ καταρρύτῳ γίνεσθαι παραπλήσιον. ἐφεξῆς δὲ ἕτεραι δύο. Polyb. 28 12.

σημαία σπεῖρα τάγμα ταὐτόν ἐςιν, οἱ δὲ ἡγεμόνες τούτων κεντυρίωνες καὶ ταξίαρχοι. καὶ σημαιοφόρος ὁ ἡγεμών. Polyb. 6 22.

a σημαῖαι σίγνα, προτομαί. "Πιλᾶτος εἰς τὴν Ἰουδαίαν τὰς Τιβερίου εἰκόνας, αἳ σημαῖαι καλοῦνται, κεκαλυμμένας εἰσήνεγκεν· οἱ δὲ ἐξεπλάγησαν ὡς πεπατημένων αὐτοῖς τῶν νομίμων· οὐδὲν γὰρ ἠξίουν δείκηλον ἐν τῇ πόλει εἰσιέναι" (Ioseph. B. I. 2 9 2).

σημαῖαι τὰ παρὰ Ῥωμαίοις λεγόμενα b
σίγνα. "πάντων γε μὴν τῶν Ῥωμαίων ἐπὶ τῶν σημαιῶν εἴδωλα φερόντων, ὁ Κωνςαντῖνος ςαυροῦ τύπον ἔφερεν." "αἱ δὲ σημαῖαι τῶν Ῥωμαίων συνεπεφεύγεσαν εἰς βουνόν. καὶ πάντων δόντων γνώμας ὁ Σκιπίων ἔφη, ὅταν ἐξ ἀκεραίου βουλεύωνται, καὶ πλείω ποιεῖσθαι πρόνοιαν τοῦ μηδὲν παθεῖν ἢ τοῦ δρᾶσαι κακῶς τοὺς ἐχθρούς" (Polybius?).

σημαίνει εἰς γνῶσιν ἐφέλκεται· (S OC a
320) "σημαίνει δ' ὅτι μόνης τόδ' ἐςὶν Ἰσμήνης φίλον κάρα."

σημαίνει ἐπιτάττει. Hom. K 58. b

σημαίνομαι σηματίζομαι, διὰ σημείων γινώσκω· Σοφοκλῆς (Ai. 32) "καὶ τὰ μὲν σημαίνομαι, τὰ δ' ἐκπέπληγμαι κοὐκ ἔχω μαθεῖν ὅτου." ἢ σημαίνομαι ἀντὶ τοῦ σημεῖα ἐμαυτῷ τινὰ συντίθημι ἀπὸ τȣ̃ ἴχνȣς, τὰ δὲ ἀπορῶ, ἐπεὶ τοιοῦτον συμβαίνει περὶ τοὺς ἰχνευτὰς ἐπιταραττομένων τῶν ἰχνῶν. διὰ δὲ τὴν μανίαν δυσίχνευτος καὶ ἐπιτεταραγμένη ἡ βάσις γέγονε τοῦ Αἴαντος.

σημάντορες ἐπιτάκτορες, ἡγεμόνες. Hom. τ 314.

σήμαντρα σφραγῖδες.

σημασία (Num. 10 5, 31 6) φανέρωσις διὰ σάλπιγγος.

σήματα σημεῖα, τέρατα. Ἀττικοὶ δὲ καὶ τὰ μνήματα.

σημεῖα μίλια. a

σημεῖα. οὕτω λέγουσι τὰς σφραγῖδας b
Δημοσθένης καὶ ἄλλοι. Harp.

σημεῖα ἀρθῆναι ἑκατέροις παρὰ Θουκυδίδῃ (1 49). σύμβολά τινα εἶχον κατὰ τὸν καιρὸν τῆς μάχης δεικνύμενα· καὶ ὅτε μὲν ἀνετείνετο τὰ σύμβολα, ἤρχοντο τῆς μάχης, ὅτε δὲ κατεσπῶντο, ἐπαύοντο.

σημεῖα Σκυθικά, ἃ φέρουσιν ἐν τῷ πολέμῳ, ὑφάσματά εἰσι βαφῇ πεποικιλμένα, ἃ εἰς ἰδέαν μάλιστα ὄφεων εἴκασται, καὶ ἀπῃώρηνται κοντῶν συμμέτρων. τὰ δὲ σοφίσματα ταῦτα θεόντων ἢ καὶ ἵππους ἐπιβεβηκότων τῶν φερόντων αὐτὰ ἐξογκοῦνται, ὡς μάλιςα δοκεῖν τοῖς θηρίοις ἐοικέναι· καί τι καὶ ἠχεῖ πρὸς τὴν συγκίνησιν ὑπὸ τῇ πνοῇ διερχομένῃ βίᾳ. cf. v. Ἰνδοί.

σημεῖον, δι' οὗ τὰ ἄδηλα καταλαμβάνεται παρὰ τοῖς σκεπτικοῖς, ὃ ἀναιροῦσι διὰ

συλλογισμῶν (Diog. L. 9 96). καὶ ὅτε δὲ ἔμελλε γίνεσθαι ἐκκλησία, σημεῖον ἐτίθετο. οὕτως οὖν καὶ τῶν γυναικῶν μελλουσῶν ἐν τοῖς θεσμοφορίοις ἐκκλησιάζειν σημεῖον ἐτέθη· Ἀριστοφάνης (Th. 285) "ὡς τὸ τῆς ἐκκλησίας σημεῖον ἐν τῷ θεσμοφορίῳ φαίνεται."

Σῆμος Ἠλεῖος γραμματικὸς ἔγραψε Δηλιακῶν βιβλία ή, περιόδους β΄, περὶ Πάρου ά, περὶ Περγάμου ά, περὶ παιάνων. ἐν τούτῳ δὲ μνημονεύει μουσικῶν τινῶν ἰδεῶν τούτων, αὐτοκαβδάλων ἰθυφάλλων φαλλοφόρων. καὶ οἱ μέν, φησί, κιττοῦ στέφανον ἐφόρουν, ὠνομάσθησαν δὲ ὕστερον ἴαμβοι· οἱ δὲ ἰθύφαλλοι προσωπεῖα μεθυόντων εἶχον καὶ χειρίδας ἀνθινὰς καὶ χιτῶνα μέχρι τῶν σφυρῶν. οἱ δὲ φαλλοφόροι οὐ χωρὶς ἐξ ἑρπύλλου καὶ παιδέρωτος ἔσκεπον τὰς ὄψεις, κιττῷ καὶ ἴοις στεφανούμενοι. cf. Athen. p. 622.

Σήνωνες οἱ Κελτοὶ οἱ λεγόμενοι Γερμανοί.

σηπεδόνος.

σῆπες οἱ σκώληκες.

σηπία ὁ ἰχθύς· Ἀριστοφάνης (Eccl. 550) "κάθησο τοίνυν σηπίας μασώμενος," οἱονεὶ τρυφῶν διὰ τὴν ἐξουσίαν.

σήραγγες αἱ ὑπὸ γῆν ἐπιμήκεις ἐκρήξεις, οἱονεὶ φλέβες τινὲς οὖσαι τῆς γῆς, ἃς ὑποτρέχον τὸ ὕδωρ ζητεῖ διέξοδον. ἐντεῦθεν καὶ σηραγγώδης τόπος εἴρηται ὁ διατετρημένος.

Σηράγγιον χωρίον τοῦ Πειραιῶς.

σήραγξ χάσμα, κοιλάς. καὶ ὕφαλος πέτρα ῥήγματα ἔχουσα.

Σῆρες ἔθνος, ἔνθα ἡ μέταξα γίνεται. ἐξ οὗ καὶ σηρικὰ τὰ ἐκ μετάξης ὑφασμένα λέγεται. καὶ σὴρ σηρός ἡ εὐθεῖα.

Σηρική. ὅτι ἡ μέταξά ἐστιν ἐξ ἧς εἰώθεσαν τὴν ἐσθῆτα ἐργάζεσθαι, ἣν πάλαι μὲν Ἕλληνες Μηδικὴν ἐκάλουν, τὰ δὲ νῦν Σηρικὴν ὀνομάζουσιν. ἐπὶ δὲ Ἰουστινιανοῦ πρὸς Αἰθίοπας πρεσβεύονται Ῥωμαῖοι, ὅπως Αἰθίοπες ὠνούμενοι τὴν μέταξαν ἐξ Ἰνδῶν ἀποδόμενοι δὲ αὐτὴν ἐς Ῥωμαίους αὐτοὶ μὲν κύριοι γένωνται μεγάλων χρημάτων, Ῥωμαίους δὲ τοῦτο ποιήσωσι κερδαίνειν μόνον, ὅτι δὴ οὐκέτι ἀναγκασθήσονται τὰ σφέτερα αὐτῶν χρήματα ἐς τοὺς πολεμίους μετενεγκεῖν (Procop. Pers. 1 20). καὶ Σηρικὸν νῆμα καὶ Σηρικὰ ἱμάτια.

σής σητός ὁ σκώληξ.

σήσαμα καὶ μήκωνα καὶ σισύμβρια (sch. A Pac. 869) φύλλα τινά, οἷς στεφανοῦνται οἱ νυμφίοι.

σήσαμος, καὶ σησαμοῦντια πόπανα.

σησαμοῦς καὶ σησαμῆ διαφέρει· σησαμοῦς μὲν εἶδος πλακοῦντος, σησαμῆ δὲ ἣν ἡμεῖς φαμὲν σησαμίδα. καὶ σησάμινον ἔλαιον καὶ σύειον (X Anab. 4 4 13), ᾧ ἐχρίοντο οἱ τῷ Κύρῳ συστρατευθέντες.

σησαμοῦσι πλακοῦσι.

Σησάν ὄνομα τόπου.

σῆσις ἡ τοῦ κοσκίνου.

Σηστός πόλις ἐν Ἀβύδῳ.

Σηταῖον χωρίον.

σητάνειος ἄρτος ἐκ τοῦ σήθω τὸ κοσκινίζω.

σητόβρωτος σκωληκόβρωτος.

σητώμενα βιβρωσκόμενα. σητῶ σητῶ ῥῆμα.

σῆψαι ἐκ τοῦ σήπω.

Σηών ὁ βασιλεὺς τῶν Ἀμορραίων.

σθεναρός ἰσχυρός.

Σθενέβοια Προίτου γυνή. αὕτη φιλήσασα τὸν Βελλεροφόντην καὶ μὴ ἐπιτυχοῦσα διὰ τὴν τούτου σωφροσύνην, τοὐναντίον διέβαλεν αὐτὸν τῷ Προίτῳ ὡς βουλόμενον αὐτὴν μοιχεῦσαι. καὶ ἀγανακτήσας ὁ Προῖτος ἔπεμψεν αὐτὸν τῷ Ἰοβάτῃ τῷ πατρὶ τῆς Σθενεβοίας, ἵνα ἐκεῖνος αὐτὸν φονεύσῃ· ὁ γὰρ Προῖτος ἀνελεῖν αὐτὸν οὐκ ἠβουλήθη, ἐπειδὴ ἐν τάξει τέκνου ἀνεθρέψατο αὐτόν. αἰσθόμενος δὲ ὁ Ἰοβάτης ὅτι ψευδής ἐστιν ἡ κατ' αὐτοῦ κατηγορία, ἐφείσατο τοῦ Βελλεροφόντου. μετὰ δὲ τὴν βασιλείαν τοῦ Προίτου Ἀκρίσιος ἐβασίλευσε. Io. Antioch. p. 782.

σθένει δύναται. σθένει δὲ δοτική.

σθένης ἰσχυρός, καρτερός. Σθένις δὲ Σθένιδος ὄνομα κύριον.

σθένος δύναμις. καὶ ἡ δοτικὴ τῷ σθένει.

σιαγόνος παρειᾶς.

σιαίνεται αἰτιατικῇ.

σίαλος ὁ εὔτραφὴς χοῖρος, παρὰ τὸ ἅλις σεσιτεῦσθαι. σιαλὸς δὲ ὀξυτόνως τὸ ἀκουσίως ἐκφερόμενον περίττωμα ἐκ τοῦ στόματος· "κοχλίας αὐτομάτως βαδίζων προηγεῖτο τῆς πομπῆς αὐτῷ σιαλὸν ἀποπτύων" (Polyb. 12 13).

σιάλωμα ⟨Polyb. 6 23⟩ σιδηρᾶ περιφέρεια τȣ̃ Ῥωμαϊκȣ̃ θυρεȣ̃.

Σίβυλλα Ἀπόλλωνος καὶ Λαμίας, κατὰ δέ τινας Ἀριςοκράτȣς καὶ Ὑδάλης, ὡς δὲ ἄλλοι Κριναγόρου, ὡς δὲ Ἕρμιππος Θεοδώρου, Ἐρυθραία παρὰ τὸ τεχθῆναι ἐν χωρίῳ τῶν Ἐρυθρῶν, ὃ προσηγορεύετο Βάττοι, νῦν δὲ αὐτὸ τὸ χωρίον πολισθὲν προσαγορεύονται Ἐρυθραί. τινὲς δὲ αὐτὴν Σικελήν, ἄλλοι Σαρδιανήν, ἄλλοι Γεργιθίαν, ἄλλοι δὲ Ῥοδίαν, ἄλλοι δὲ Λίβυσσαν, ἄλλοι Λευκανήν, ἄλλοι Σαμίαν ἐδόξασαν. γέγονε δὲ τοῖς χρόνοις τῆς Τρωικῆς ἁλώσεως μετὰ υπγ' ἔτη, καὶ συνετάξατο βιβλία ταῦτα, περὶ παλμιῶν, μέλη, χρησμούς. λέγεται δὲ καὶ τρίγωνον εἶδος λύρας αὐτὴν πρώτην εὑρεῖν.

b Σίβυλλα Δελφίς, ἣν καὶ Ἄρτεμιν προσηγόρευσαν. γέγονε δὲ αὕτη πρὸ τῶν Τρωικῶν, καὶ ἔγραψε χρησμοὺς δι' ἐπῶν.

c Σίβυλλα Ἔλισσα ⟨an Λίβυσσα⟩ ἔγραψε μαντείας καὶ χρησμοὺς δι' ἐπῶν.

d Σίβυλλα Θετταλὴ ἡ κληθεῖσα καὶ Μαντώ, ἀπόγονος Τειρεσίȣ.

e Σίβυλλα Κολοφωνία, ἥτις ἐκλήθη καὶ Λάμπουσα, ἀπόγονος Κάλχαντος, καὶ αὐτὴ μαντείας καὶ χρησμοὺς δι' ἐπῶν καὶ ἄλλα.

f Σίβυλλα Κυμαία καὶ Σίβυλλα Θεσπρωτὶς ὁμοίως χρησμούς.

g Σίβυλλα Φρυγία ἡ κληθεῖσα ὑπὸ τινῶν Σάρυσις, ὑπὸ δὲ τινῶν Κασάνδρα, ἄλλων δὲ Ταραξάνδρα, καὶ αὐτὴ χρησμούς.

h Σίβυλλα Χαλδαία ἡ καὶ πρὸς τινῶν Ἑβραία ὀνομαζομένη, ἡ καὶ Περσίς, ἡ κυρίῳ ὀνόματι καλȣμένη Σαμβήθη, ἐκ τȣ̃ γένȣς τȣ̃ μακαριωτάτȣ Νῶε, ἡ τὰ κατ' Ἀλέξανδρον τὸν Μακεδόνα λεγομένη προειρηκέναι, ἧς μνημονεύει Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἱςορήσας· ἡ περὶ τοῦ δεσπότου Χριςȣ̃ μυρία προθεσπίσασα καὶ τῆς αὐτȣ̃ παρȣσίας. ἀλλὰ καὶ αἱ λοιπαὶ συνᾴδȣσιν αὐτῇ, πλὴν ὅτι ταύτης εἰσὶ βιβλία κδ' περὶ παντὸς ἔθνȣς καὶ χώρας περιέχοντα. ὅτι δὲ οἱ ςίχοι αὐτῆς ἀτελεῖς εὑρίσκονται καὶ ἄμετροι, οὐ τῆς προφήτιδός ἐςιν ἡ αἰτία, ἀλλὰ τῶν ταχυγράφων οὐ συμφθασάντων τῇ ῥύμῃ τȣ̃ λόγȣ, ἢ καὶ ἀπαιδεύτων γενομένων καὶ ἀπείρων γραμματικῆς. ἅμα γὰρ τῇ ἐπιπνοίᾳ ἐπέπαυτο ἡ τῶν λεχθέντων μνήμη· καὶ διὰ τȣ̃το εὑρίσκονται καὶ οἱ ςίχοι ἀτελεῖς καὶ διάνοια σκάζȣσα. εἴτε καὶ κατ' οἰκονομίαν θεοῦ τοῦτο γέγονεν, ὡς μὴ γινώσκοιντο ὑπὸ τῶν πολλῶν καὶ ἀναξίων οἱ χρησμοὶ αὐτῆς.

ὅτι ὁ πατὴρ Σιβύλλης τῆς Χαλδαίας Βη- i
ρωσσὸς ἐκαλεῖτο, ἡ δὲ μήτηρ αὐτῆς Ἐρυμάνθη.

ὅτι Σίβυλλαι γεγόνασιν ἐν διαφόροις τό- k
ποις καὶ χρόνοις τὸν ἀριθμὸν ι'. πρώτη ȣ̓̃ν ἡ Χαλδαία ἡ καὶ Περσίς, ἡ κυρίῳ ὀνόματι καλουμένη Σαμβήθη, δευτέρα Λίβυσσα, τρίτη Δελφὶς ἡ ἐν Δελφοῖς τεχθεῖσα, τετάρτη Ἰταλικὴ ἐν Κιμμερίᾳ τῆς Ἰταλίας, πέμπτη Ἐρυθραία ἡ τὰ περὶ τοῦ Τρωικοῦ προειρηκυῖα πολέμου, ἕκτη Σαμία ἡ κυρίῳ ὀνόματι καλουμένη Φυτώ, περὶ ἧς ἔγραψεν Ἐρατοσθένης. ἑβδόμη Κυμαία ἡ καὶ Ἀμαλθαία καὶ Ἱεροφίλη. ὀγδόη Ἑλλησποντία, τεχθεῖσα ἐν κώμῃ Μαρπησσῷ περὶ τὴν πολίχνην Γεργίθιον, αἳ τῆς ἐνορίας ποτὲ Τρῳάδος ἐτύγχανον, ἐν καιροῖς Σόλωνος καὶ Κύρου. ἐνάτη Φρυγία, δεκάτη ἡ Τιβȣρτία, ὀνόματι Ἀβουναία. φασὶ δὲ ὡς ἡ Κυμαία θ' βιβλία χρησμῶν ἰδίων προσεκόμισε Ταρκυνίῳ Πρίσκῳ τῷ τηνικαῦτα βασιλεύοντι τῶν Ῥωμαίων, καὶ τούτου μὴ προσηκαμένȣ ἔκαυσε βιβλία β'.

ὅτι Σίβυλλα Ῥωμαϊκὴ λέξις ἐςὶν ἑρμη- l
νευομένη προφῆτις ἤγȣν μάντις· ὅθεν ἑνὶ ὀνόματι αἱ θήλειαι μάντιδες ὠνομάσθησαν.

σιβυλλιᾷ ἀντὶ τοῦ χρησμῶν ἐρᾷ καὶ ἐπιθυμεῖ. ἢ ἀπατᾶται καὶ μαντικῶς ἔχει. χρησμοὺς φαντάζεται· χρησμολόγος γὰρ ἡ Σίβυλλα. ἢ μέγα φρονεῖ καὶ ἐπαίρεται. Ἀριςοφάνης ⟨Eq. 61⟩ "ᾄδει δὲ χρησμούς· ὁ δὲ γέρων σιβυλλιᾷ." ἢ ȣ̃τως· χρησμῳδεῖ, φησίν, ἐπειδήπερ τὴν προθεσμίαν τῆς ἐπαγγελίας οὐκ ἐψεύσατο, ἀλλ' ἐν ταῖς κ' ἡμέραις, ἃς ἐπηγγείλατο, τοὺς Λακεδαιμονίȣς αἰχμαλώτους ἤγαγεν, ὥσπερ μαντευσάμενος τὴν ὑπόσχεσιν. καὶ Σιβύλλειον λόγιον τῆς Σιβύλλης.

σιβύνη ἀκόντιον Ῥωμαϊκόν.

Σιβύρτιος Θεοδέκτου τοῦ Φασηλίτου ἀναγνώςης καὶ οἰκέτης, ὃς ἐρρητόρευσεν οἰκετῶν πρῶτος. ἔγραψε τέχνας ῥητορικάς.

σιγαλόεν τὸ λαμπρόν. καὶ σιγαλόεις.

Σιγγάροις ἔθνος.

Σιγειεύς ἀπὸ τόπου, καὶ Σίγειον τὸ ἀκρωτήριον.

Σίγειον πόλις ἐςὶ τῆς Τρῳάδος οὐκ

ἄπωθεν τῆς Ἰλίου.

σιγηλός ἄφωνος, σιγηρός. "σιγὴ δὲ ἦν βαθυτέρα πάσης ἐρημίας."

σίγμα τὸ γράμμα ἢ ςοιχεῖον.

σιγύνη. καὶ σιγύννους τὰ δόρατα παρὰ Μακεδόσιν· ἐν ἐπιγράμματι ⟨AP 6 93⟩ "τόνδε παρ' Ἡρακλεῖ θῆκέ με τὸν σιγύνην ἐκ πολλοῦ πλειῶνος," καὶ ἀλλαχοῦ ⟨6 176⟩ "τὸν κύνα τὰν πήραν τε καὶ ἀγκυλόδοντα σίγυνον."

σιγῶ τὸ καταπαύω. καὶ σιωπῶ· "σιγᾷ μέν, ἐχθαίρει δέ, βούλεται δ' ἔχειν," ἐκ τῶν Ἴωνος Φρουρῶν. φησὶ δὲ καὶ Ἀριςοφάνης "ποθεῖ μέν, ἐχθαίρει δέ, βούλεται δ' ἔχειν." τȣτέςιν, ἡ πόλις τῶν Ἀθηναίων ποθεῖ μὲν ὡς δραςήριον τὸν Ἀλκιβιάδην, μισεῖ δὲ ὡς τυραννικόν. ἐπιφέρει γάρ "μισῶ πολίτην ὅςις ὠφελεῖν πάτραν βραδὺς φανεῖται, μεγάλα δὲ βλάπτειν ταχύς, καὶ πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον." καὶ τοῦτο περὶ Ἀλκιβιάδου βραδέως μὲν ὠφελοῦντος τὴν πατρίδα, ταχέως δὲ βλάπτοντος. sch. A Ran. 1472.

σίδειος καρπός.

Σίδη πόλις.

σιδηραῖ πύλαι.

σιδηρέαν ψυχὴν τὴν ἀμείλικτον. "καὶ σιδηρέȣς Ἄτλαντος ὤμους" ⟨AP 6 256⟩. cf. vv. γλαὺξ ἵπταται et ἐθηλύνθη.

σιδήρειος ἧλος. σιδήριον δὲ τὸ μικρόν, ὑποκοριςικῶς, διὰ τοῦ ι.

σιδηρίτης εἶδος βοτάνης. σιδηρῖτις δὲ θηλυκῶς λίθος.

σιδηροῦς ἄνθρωπος καὶ πολλὰ ὑπομένων κακά. Artemid. 1 52.

σίδια τὰ λέπυρα τῶν ῥοιῶν. τὰ δὲ παιδία ἐκ μὲν τῶν δερμάτων περιέτεμνον τροχοὺς καὶ ἁμάξας, ἐκ δὲ τῶν ῥοιῶν, ὅταν καταφάγωσι τὰ ἐντός, ἐκ τῶν λεπύρων βατράχια γλύφȣσιν. ἢ σιδίων τῶν ῥοιῶν. Ἀριςοφάνης ⟨Nub. 879⟩ "κἀκ τῶν σιδίων βατράχȣς ἐποίει, πῶς δοκεῖς;" λέγεται δὲ ἐπὶ τῶν βουλομένων δεῖξαι εὐφυΐαν ἔχειν.

σιδίῳ κόκκῳ ῥοιᾶς.

Σιδόνιαι ςολαί καὶ τάπητες. καὶ Σιδόνιος Φοῖνιξ.

Σιδών Σιδῶνος πόλις.

σίελος ὁ ἐκ τȣ̃ ςόματος ἀφρός.

σίζον ποιὸν ἦχον ἀποτελȣ̃ν· ⟨A Eq. 925⟩ "τάγηνον τευθίδων ἐφεςάναι σίζον."

σίζȣσα ἀντὶ τȣ̃ ζέȣσα, ὡς ἐπὶ τῆς ταγηνιζομένης, οἷον ποιὸν ἦχον ἀποτελοῦσα. Ὅμηρος ⟨I 394⟩ "ὣς τȣ̃ σίζ' ὀφθαλμὸς ἐλαι-νέῳ περὶ μοχλῷ." Ἀριςοφάνης ⟨Ach. 115 "ἡ δ' ὀπτωμένη σίζȣσα πάραλος."

σικάριοι λῃςῶν γένος. σίκας δὲ τὰ ἐπικαμπῆ ξίφη Ῥωμαῖοι καλȣ̃σιν, οἷς οἱ χρώμενοι ἐλέγοντο σικάριοι. οὗτοι τοὺς παρατυγχάνοντας ἔκτεινον ἐπὶ Κλαυδίȣ τȣ̃ βασιλέως· οὓς Αἰγύπτιος λῃστὴς ἐπὶ τὴν ἔρημον ἐξήγαγεν· οὓς ἐτιμωρήσατο Φῆλιξ ⟨Ioseph. A. I. 20 7, B. I. 2 13⟩.

σικάριοι δὲ λέγονται οἱ Φαρισαῖοι ὡς ζηλωταί.

φασὶν Ἀγησιλάȣ Ἀρχιδάμῳ γενέσθαι πυθόχρηςον Σικελίαν φυλάττεσθαι, καὶ τὸν μὲν τὴν νῆσον ἔχειν δι' εὐλαβείας· καὶ ἐς τὸν τρισκελῆ λόφον κατὰ τὴν Ἀττικήν, ἡ κεῖται τοῦτο τὸ ὄνομα Σικελία, κατέλυσε τὸν βίον μαχόμενος.

σικελίζειν τὸ αὐςηρεύεσθαι παρὰ Ἐπιχάρμῳ· οἱ δὲ πονηρεύεσθαι.

Σικελικὴ τράπεζα, ἐπὶ τῶν πάνυ πολυτελῶν καὶ τρυφηλῶν.

Σικελιώτης.

Σικελὸς ὀμφακίζεται, ἐπὶ τῶν διὰ μικρὰ ὑποπτευόμενα κέρδη μεγάλως βλαπτομένων. δύναται δὲ καὶ ἐπὶ τῶν τὰ ὡραιότερα ἐκλεγομένων τάσσεσθαι.

σίκερα σκευαςὸν πόμα. καὶ παρ' Ἑβραίοις οὕτω λεγόμενον μέθυσμα, οἶνος συμμιγὴς ἡδύσμασιν. ἐκ τȣ̃ συγκεκρᾶσθαι.

Σίκιμα ⟨Gen. 48 22⟩ ἡ τῷ Ἰωσὴφ ὑπὸ τȣ̃ Ἰακὼβ καταλειφθεῖσα πόλις.

Σίκιννις ὄνομα κύριον. καὶ εἶδος ὀρχήσεως. τὸ οὐδέτερον Σίκιννον.

Σίκκον ὄνομα κύριον.

σικύα τὰ τετράγγουρα. ἡ ἰατρικὸν ἐργαλεῖον. καὶ σικυήλατον ὁ κῆπος. Es. 1 8.

σίκυον ἀπὸ σίκυος· ἐν ἐπιγράμμασι ⟨AP 6 102⟩ "καὶ σίκυον χνοάοντα, τὸν ἐν φύλλοις πεδοκοίτην." καὶ σίκυος ἀρσενικόν· Ἀριςοφάνης ⟨Ach. 519⟩ "κεἴ πȣ σίκυον ἴδοιεν ἢ λαγώδιον," καὶ αὖθις ⟨Procop. 2 18⟩ "σικύας ἐνταῦθά πη φυομένους οὐδενὶ κόσμῳ περιόντες κατήσθιον."

σίκυς εἶδος ὀπώρας.

Σικυών ἡ νῦν Ἑλλὰς καλȣμένη, ἧς πρῶτος ἐβασίλευσεν Αἰγιαλεύς. καὶ διήρκεσεν ἡ βασιλεία αὐτοῦ ἔτη ἐνακόσια πα΄.

Σικυώνιος. καὶ Σικυώνιον πεδίον

οὕτω καλοῦσι. καὶ παροιμία "Σικυώνιος ἐπαπέδν."

σικχαντὸν ἀηδές.

a σικχός σκώπτης. ἢ ὁ ἀνόρεκτος καὶ ἀσθενής. Πλούταρχος (v. 2 p. 87 B) "τὰ ῥωμαλεώτερα τῶν ζῴων τοὺς στομάχους σκορπίους καὶ ὄφεις ἐσθίοντα καταπέττει, οἱ δὲ σικχοὶ καὶ νοσώδεις ἄρτον καὶ ὕδωρ προσφερόμενοι ναυτιῶσι."

b σικχός ὁ μικρόσιτος.

Σίλας ὄνομα κύριον. Σίλα θηλυκῶς.

Σιλβανός φιλόσοφος, ὃς ἐπιεικὴς μὲν ἦν τὰ ἄλλα καὶ ἱερός, ἁπλούστερος δὲ τὰ ἤθη καὶ ἐπιπόλαιος.

σιληνός ὁ σαλὸς καὶ φλύαρος, ἐκ τοῦ σιλλαίνω τὸ φλυαρῶ.

σιλλαίνει μυλλαίνει, διὰ τῶν ὀφθαλμῶν σκώπτει καὶ μυλλίζει· σίλλος γὰρ ὁ μῖμος ἢ ὁ μῶμος καὶ ἡ κακολογία καὶ ὁ χλευασμός, καὶ ὁ ταῦτα γράφων σιλλογράφος. τοιοῦτος ἦν Τίμων Φλιάσιος, φιλόσοφος τῆς Πύρρωνος ἀγωγῆς.

σιλλαίνω τὸ τοὺς ἴλλους κινῶ.

Σιλλεύς Σιλλέως ὄνομα κύριον.

Σιλξίβουλος ὁ Τούρκων ἡγεμών. "ἐσήμηνε Σιλξίβ - - - Πέρσαις." cf. v. προσρήσεσι.

σίλλος χλευασμός.

Σιλουανός ὄνομα κύριον.

σίλουρος ἰχθῦς.

Σιλφαῖος ἄρτος.

σίλφη εἶδος ζωυφίου. καὶ σίλφας λέγουσιν εἴδη ἀκατίων.

a σίλφιον βοτάνη πολυτίμητος. ἡ δὲ αἰτία αὕτη. Βάττος ὁ καὶ Ἀριστοτέλης πόλιν ἐν Λιβύῃ Κυρήνην λεγομένην ἔκτισεν· οἱ δὲ Κυρηναῖοι βουλόμενοι ἀνταπόδοσιν τῆς εὐεργεσίας χαρίσασθαι τῷ βασιλεῖ ἐποίησαν δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ ὁ ὀπὸς πολλῆς τιμῆς ἐστὶν ἄξιον. καὶ οἱ Ἀμπελιῶται, ἔθνος Λιβύης, εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου. sch. A Plut. 926.

b σίλφιον ῥίζα ἡδύοσμος ἐν Λιβύῃ γινομένη, ἀρτυτικὴ καὶ θεραπευτική. καλλίστη δὲ ἡ Κυρηναϊκή. ὅτι τῷ ὀπῷ καὶ τῇ ῥίζῃ καὶ τῷ καυλῷ τοῦ σιλφίου ἐχρῶντο. ἔστι δὲ φυτάριον. Ἀρισταῖος δὲ πρῶτος εὗρε τὴν τοῦ σιλφίου ἐργασίαν, ὥσπερ καὶ τοῦ μέλιτος. sch. A Eq. 890.

Σιλωάμ.

Σίλων Σίλωνος.

Σιμαίθα ὄνομα πόρνης Μεγαρικῆς, ἧς ἠράσθη καὶ Ἀλκιβιάδης. sch. A Ach. 523.

Σίμβλιος.

σίμβλοι τὰ τῶν μελισσῶν ἀγγεῖα. καὶ a
σιμβλήια (Apollon. Rh. 3 1036).

σίμβλοι θῆκαι τῶν μελισσῶν· ἐν ἐπι- b
γράμματι (AP 6 55) "Πειθοῖ καὶ Παφίᾳ πακτὰν καὶ κηρία σίμβλων Ἑρμοφίλας ἀνέθηκεν ὁ βουκόλος." καὶ σιμβλεύω· (6 236) "ἠνὶ δὲ σιμβλεύει κηροτρόφα δῶρα μελισσῶν ἑσμῷ βομβητῇ κυκλόσε βριθόμενα."

σιμικίνθιον φακιόλιον, ἢ σουδάριον.

Σιμμίας Θηβαῖος φιλόσοφος, μαθητὴς a
Σωκράτους, ἔγραψε περὶ σοφίας, περὶ φιλίας, περὶ ἀληθείας, περὶ μουσικῆς, περὶ αἱρετοῦ καὶ φευκτοῦ, περὶ ἐπιμελείας ψυχῆς, καὶ ἄλλα φιλόσοφα. Diog. L. 2 124.

Σιμμίας Ῥόδιος γραμματικὸς ἔγραψε b
γλώσσας βιβλία γ', ποιήματα διάφορα βιβλία δ'.

Σιμμίχη.

Σιμόεις ὄνομα ποταμοῦ. καὶ ἐξ αὐτοῦ Σιμοείσιον πεδίον.

Σιμοκάττης ἐπώνυμον Θεοφυλάκτου τοῦ σοφιστοῦ.

σιμός ὁ προσάντης τόπος. καὶ σιμόν a
οὐδετέρως· Ἀριστοφάνης ἐν Βαβυλωνίοις "μέσην ἔρειδε πρὸς τὸ σιμόν," καὶ Πλάτων ἐν Νίκαις "τουτὶ προσαναβῆναι τὸ σιμὸν δεῖ." καὶ Φιλόστρατος (VA 2 11) "ἀναπηδῶντι τῷ ἵππῳ πρὸς τὸ σιμὸν ἐφεῖναι τὸν χαλινόν."

σιμός ὁ ἐναντίος τῷ γρυπῷ, σιμὸς τὴν b
ῥῖνα.

Σῖμος Δημοσθένης ὑπὲρ Κτησιφῶντος (48). εἷς τῶν Ἀλευαδῶν οὗτός ἐστι, τῶν δοκούντων συμπρᾶξαι τῷ Μακεδόνι. Harp.

Σιμπλίκιος ὄνομα κύριον.

Σιμύλος ὄνομα κύριον. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντός (262) φησιν "ἀλλὰ μισθώσας ἑαυτὸν τοῖς βαρυστόνοις ὑποκριταῖς Σιμύλῳ καὶ Σωκράτει." Harp.

Σίμων Σίμωνος, ὄνομα κύριον. καὶ παροιμία "Σίμωνος ἁρπακτικώτερος." Ἀριστοφάνης (Nub. 351) "ὅταν ἴδωσι Σίμωνα, λύκοι ἐξαίφνης ἐγένοντο." σοφιστὴς δὲ ἦν, ὃς τῶν δημοσίων ἐνοσφίζετο. Σίμων καὶ Θέωρος καὶ Κλεώνυμος, οὗτοι ἐπίορκοι· Ἀριστοφάνης (Nub. 398) "εἴπερ βάλλει τοὺς ἐπιόρ-

κους" ὁ κεραυνός, "πῶς δῆτ' οὐχὶ Σίμων' ἐνέπρησεν, οὐδὲ Κλεώνυμον, οὐδὲ Θέωρον; καίτοι σφόδρα γ' εἴσ' ἐπίορκοι."

a Σιμωνίδης Λεωπρεποῦς, Ἰουλιήτης τῆς ἐν Κέῳ τῇ νήσῳ πόλεως, λυρικός, μετὰ Στησίχορον τοῖς χρόνοις· ὃς ἐπεκλήθη Μελικέρτης διὰ τὸ ἡδύ. καὶ τὴν μνημονικὴν δὲ τέχνην εὗρεν οὗτος. προσεξεῦρε δὲ καὶ τὰ μακρὰ τῶν στοιχείων καὶ διπλᾶ, καὶ τῇ λύρᾳ τὸν τρίτον φθόγγον. γέγονε δ' ἐπὶ τῆς νϛ' ὀλυμπιάδος (οἱ δὲ ἐπὶ τῆς ξβ' γεγράφασι), καὶ παρέτεινε μέχρι τῆς οη', βιοὺς ἔτη πθ'. καὶ γέγραπται αὐτῷ δωρίδι διαλέκτῳ ἡ Καμβύσου καὶ Δαρείου βασιλεία, καὶ Ξέρξου ναυμαχία, καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία δι' ἐλεγείας, ἡ δ' ἐν Σαλαμῖνι μελικῶς, θρῆνοι, ἐγκώμια, ἐπιγράμματα, παιᾶνες καὶ τραγῳδίαι καὶ ἄλλα.

οὗτος ὁ Σιμωνίδης μνημονικὸς ἦν εἴπερ τις ἄλλος. τούτῳ δ' ἦν ἐοικὼς Ἀπολλώνιος ὁ Τυανεύς, ὃς τὴν · · · μνημοσύνης εἶναι. cf. v. Ἀπολλώνιος Τυανεύς. sch. A Pac. 696.

b Σιμωνίδης λυρικός. οὗτος πρῶτος δοκεῖ μικρολογίαν εἰσενεγκεῖν εἰς τὸ ᾆσμα καὶ γράψαι ᾆσμα μισθοῦ. εἶχε δὲ β' κιβώτια, τὴν μὲν τῶν χαρίτων κενήν, τὴν δὲ ἑτέραν πλέαν. Ἀριστοφάνης (Av. 916) "κατὰ τὰ Σιμωνίδου μέλη," τουτέστι κατάτεχνα καὶ ποικίλα. "Σιμωνίδης υἱὸς Λεωπρεποῦς εἶπεν· ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται." "ὅπως ἐτίμησάν τε καὶ ἐφίλησαν οἱ Διόσκουροι τὸν μελοποιὸν Σιμωνίδην, καὶ πῶς ἐρρύσαντο καλέσαντες ἔξω τοῦ ἀνδρῶνος ἔνθα κατώλισθεν, ἑρῶ ἀλλαχόθι· ἄξιον δὲ μηδὲ ταῦτα παραλιπεῖν. Ἀκραγαντίνων στρατηγὸς ἦν ὄνομα Φοῖνιξ· Συρακουσίοις δὲ ἐπολέμουν οὗτοι. οὐκοῦν ὅδε ὁ Φοῖνιξ διαλύει τὸν τάφον τοῦ Σιμωνίδου μάλα ἀκηδῶς τε καὶ ἀνοίκτως, καὶ ἐκ τῶν λίθων τῶνδε ἀνίστησι πύργον· καὶ κατὰ τοῦτον ἑάλω ἡ πόλις. ἔοικε δὲ καὶ Καλλίμαχος τούτοις ὁμολογεῖν (fr. 71)· οἰκτίζεται γοῦν τὸ ἄθεσμον ἔργον, καὶ λέγοντά γε αὐτὸν ὁ Κυρηναῖος πεποίηκε τὸν γλυκὺν ποιητὴν 'οὐδὲ τὸ γράμμα ᾐδέσθη τὸ λέγον μ' υἷα Λεωπρεπέος κεῖσθαι Κήιον ἄνδρα.' κᾆτ' εἰπὼν ἄττα ἐπιλέγει 'οὐδ' ὑμέας, Πολύδευκες, ὑπέτρεσεν, οἵ με μελάθρου μέλλοντος πίπτειν ἐκτὸς ἔθεσθέ ποτε δαιτυμόνων ἄπο μοῦνον, ὅτε Κραννώνιον αἰαῖ ὤλισθεν μεγάλους οἶκος ἐπὶ Σκοπάδας.' τιμωροὶ μὲν δὴ θεοὶ τοῖς ἀξίοις, καὶ τιμῶσιν οἵ τε Ὀλύμπιοι οἵ τε ἐπὶ τῆς τρίτης ἀρχῆς· οὔ μοι δοκεῖ πολυπραγμονεῖν. ἔχουσαν δὴ καὶ ταῦτα ὑπόμνησις τοῦ βιῶναι ὀρθῶς, ἵνα τε αὐτοὺς ἔχωμεν καὶ ἐνταῦθα κηδεμόνας καὶ ἐκεῖθι, ὅταν τὴν εἱμαρμένην τε καὶ ἀναγκαίαν πορείαν ἔλθωμεν." Adamus: cf. v. ἠπηνημένων.

Σιμωνίδης Κεῖος, θυγατριδοῦς κατά τινας τοῦ προτέρου, ὃς ἐπεκλήθη Μελικέρτης. γέγονε δὲ πρὸ τῶν Πελοποννησιακῶν, καὶ γέγραφε γενεαλογίαν ἐν βιβλίοις γ', εὑρήματα ἐν βιβλίοις γ'.

Σιμωνίδης Καρύστιος ἢ Ἐρετριεύς, ἐποποιός, τὴν εἰς Αὐλίδα σύνοδον τῶν Ἀχαιῶν. τριμέτρων βιβλία β', περὶ Ἰφιγενείας ἕν.

Σιμωνίδης Κρίνεω Ἀμοργῖνος ἰαμβογράφος ἔγραψεν ἐλεγείαν ἐν βιβλίοις β', ἰάμβους. ἦν δὲ τὸ ἐξ ἀρχῆς Σάμιος, ἐν δὲ τῷ ἀποικισμῷ τῆς Ἀμοργοῦ ἐστάλη καὶ αὐτὸς ἡγεμὼν ὑπὸ Σαμίων, ἔκτισε δὲ Ἀμοργοῦ εἰς γ' πόλεις, Μίνωαν Αἰγιαλὸν Ἀρκεσίνην. γέγονε δὲ καὶ αὐτὸς μετὰ υ' καὶ ν' ἔτη τῶν Τρωικῶν. ἔγραψεν ἰάμβους πρῶτος αὐτὸς κατά τινας, καὶ ἄλλα διάφορα, ἀρχαιολογίαν τε τῶν Σαμίων.

Σιμωνίδης Μάγνης Σιπύλου, ἐποποιός, γέγονεν ἐπὶ Ἀντιόχου τοῦ μεγάλου κληθέντος, καὶ γέγραφε τὰς Ἀντιόχου τοῦ σωτῆρος πράξεις καὶ τὴν πρὸς Γαλάτας μάχην, ὅτε μετὰ τῶν ἐλεφάντων τὴν ἵππον αὐτῶν ἔφθειρε.

Σιμωνίδης. οὗτος ἦν ἐπὶ Ἰοβιανοῦ τοῦ βασιλέως, διὰ φιλοσοφίαν πᾶσιν ἐπισημότατος. Eunapius p. 109 Nieb.

Σινᾶ ὄρος, ἔνθα καὶ τὸ παράδοξον τῆς βάτου θαῦμα κατεῖδεν ὁ Μωυσῆς. καὶ Σιναῖον λέγεται τὸ αὐτὸ ὄρος.

Σιναῖθος ὄνομα κύριον.

σινάμωρον πορνικόν. καὶ σινάμωρος ὁ κακόσχολος· Ἡρόδοτος ἔφη (5 92) καὶ σιναμωρουμένη συνεχῶς ἀνδρὶ συνουσιάζουσα πρὸς μῖξιν, ἀντὶ τοῦ γαμουμένη, οὕτως Ἀριστοφάνης.

σινάτωρ σινάτωρος εἶδος ἀξιώματος.

σινδαρωνεύεσθαι (an σιναμωρεύεσθαι) ἀπὸ τοῦ τοὺς ἄνδρας σίνεσθαι, ὅ ἐστι βλάπτειν.

σινδὼν σινδόνος.

σίνεσθαι βλάπτεσθαι ἢ βλάπτειν.

σίνηπι. καὶ σινήπεως ἡ γενική.

σινιάσαι σεῖσαι, κοσκινίσαι, θορυβῆσαι, ταράξαι, πειρᾶσαι. ὁ Χριστὸς πρὸς τὸν Πέτρον ⟨Luc. 22 31⟩ "ἐξήτησε δὲ ὁ Σατανᾶς τοῦ σινιάσαι σε ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περί σου, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου." οὐ περὶ τοῦ Πέτρου μόνου δεδέηται ὁ Ἰησοῦς, ἀλλὰ περὶ πάντων τῶν τὴν πίστιν Πέτρου ἐχόντων, οὐδὲν ἕτερον αἰνισσομένου τοῦ κοσκίνου ἢ τὸν περίγειον κόσμον ἡδονῶν καὶ ὀδυνῶν πεπληρωμένον, δι' ὧν ὡς δι' ὀπῶν ἐκπίπτουσιν οἱ γεώδεις ἀπὸ τοῦ τροφίμου σίτου ἐπὶ τὸν ᾅδην, ὡς ἀπὸ τρυπημάτων διαχωριζομένων, τῶν μὲν διαρρεόντων ὡς δι' ὀπῆς τῆς γαστριμαργίας, ὧν ὁ θεὸς ἡ κοιλία, τῶν δὲ διὰ φιληδονίας, περὶ ὧν ὁ προφήτης ⟨Hosea 4 12⟩ φησί "πνεύματι πορνείας ἐπλανήθησαν," τῶν δὲ διὰ φιλαργυρίας, τῶν δὲ δι' ὀργῆς, τῶν δὲ δι' ἄλλων παθῶν.

σινίζω.

a Σίνις ὄνομα λῃστοῦ βλαπτικοῦ· "ἢ γάρ σ' ὑπνώοντα Σίνις λαθρηδὸν ἐπελθὼν ἔκτεινεν, λαιμῷ ῥίμφα καθεὶς ὄνυχα" ⟨AP 7 202⟩.

b Σίνις ὄνομα πόλεως.

σίνος βλάβη, καὶ σινοῦται βλάπτεται.

σίντης βλαπτικός, καὶ σίντωρ ὁ βλαπτικός. ἐν ἐπιγράμματι ⟨AP 6 45⟩ "ἐχῖνον ῥαγολόγον, γλυκερῶν σίντορα θειλοπέδων." καὶ αὖθις ⟨6 73⟩ "ἀλλὰ λύκοις σίντῃσιν ἀν' ἄρεα μή τις ἐμοῖο αἰπόλος ἀγγείλῃ γήραος ἀδρανίην."

Σιντιάδα.

Σίνωνος καὶ Σινωνίς ὀνόματα κύρια· "ἄρτι δὲ ἀπηρκότος τοῦ Σοραίχου ἡ Σινωνὶς ἐφίσταται" ⟨Iamblichus Bab.⟩.

Σινωπεύς.

Σινώπη πόλις. καὶ ἑταίρα Σινώπη, ἥτις καὶ Ἄβυδος ἐλέγετο διὰ τὸ γραῦς εἶναι. καὶ παροιμία σινωπίσαι. τοῦτο πεποίηται παρὰ τὴν ἑταίραν Σινώπην· ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ κατασχημονῆσαι, καθάπερ Ἄλεξις ἔφη. καὶ Σινωπίτης.

σίπαλος ὁ ἄμορφος.

σιπύη ἡ ἀρτοθήκη, οἱονεὶ σιτοβύη τις οὖσα, παρὰ τὸ ἐν αὐτῇ τὰ σιτία ἐμβάλλεσθαι ⟨sch. A Eq. 1290⟩. Ἀριστοφάνης Πλάτωνι ⟨807⟩ "ἡ μὲν σιπύη μεστή 'στι λευκῶν ἀλφίτων." προύχει δὲ τὰ λευκὰ τῶν ἀλφίτων. "θείης εὐσιπύης ἐξ ὀλιγησιπύων" ⟨AP 6 288⟩.

Σιπυλήνη πόλις.

Σίπυλος τόπος ἢ ποταμός.

σιραίου· Ἀριστοφάνης ⟨Vesp. 873⟩ "ἀντὶ σιραίου μέλιτος μικρὸν τῷ θυμιδίῳ παραμίξας."

Σιρίκιος Νεαπολίτης ἐκ Παλαιστίνης, σοφιστής, μαθητὴς Ἀνδρομάχου, σοφιστεύσας χρόνον τινὰ κατὰ τὰς Ἀθήνας, προγυμνάσματα καὶ μελέτας.

Σῖρις ὄνομα ποταμοῦ

Σίρμιον μεγάλη πόλις καὶ πολυάνθρωπος καὶ πρωτεύουσα τοῦ Ἰλλυριῶν ἔθνους.

σιρομάστης σκεῦός τι σιδηροῦν, λαβὴν ξυλίνην ἔχον, παρὰ τοῖς τελώναις εἰς ἔρευναν. Εὐνάπιος ⟨p. 102 Nieb.⟩ "ὥστε ὁ σιρομάστης μᾶλλον εὐδοκίμει τοῦ δόρατος." cf. v. σειρομάστης.

σιρός ὁ λάκκος, καὶ σιροῖς ὀρύγμασιν ἐν οἷς κατατίθεται τὰ σπέρματα.

Σισάν ὄνομα πόλεως.

Σισίννιος Ναυατιανῶν ἐπίσκοπος, ἀνὴρ a ἐλλόγιμος καὶ ἄκρος φιλόσοφος. διαλεκτικῆς δὲ σφόδρα ἐπεμελεῖτο, ὡς καὶ τὸν Εὐνόμιον τὸν αἱρετικὸν πολλάκις αὐτοῦ φυγεῖν τὴν διάλεξιν. τὴν δὲ δίαιταν ἦν οὐ λιτός, ἀλλ' ἐν ἄκρᾳ σωφροσύνῃ πολυτελεῖ ταύτῃ ἐκέχρητο, τρυφῶν τε ἐν ἐσθῆτι λευκῇ καὶ δὶς τῆς ἡμέρας ἐν λουτροῖς δημοσίοις λουόμενος διετέλει. καί ποτε ἐρομένου αὐτόν τινος τοῦ χάριν ἐπίσκοπος ὢν δὶς λούοιτο τῆς ἡμέρας "ἐπειδὴ τὸ τρίτον οὐ φθάνει" ἀπεκρίνατο. ἄλλοτε δὲ Ἀρσάκιον τὸν ἐπίσκοπον κατὰ τιμὴν ὁρῶν ἠρωτήθη ὑπό τινος τῶν περὶ Ἀρσάκιον, διὰ τί ἀνοίκειον ἐπισκόπῳ ἐσθῆτα φοροίη, καὶ ποῦ γέγραπται λευκὰ τὸν ἱερωμένον ἀμφιέννυσθαι. ὁ δὲ "σὺ πρότερον" ἔφη "εἰπέ, ποῦ γέγραπται μέλαιναν ἐσθῆτα φορεῖν τὸν ἐπίσκοπον." τοῦ δὲ ἐρωτήσαντος ἐν ἀπόρῳ γενομένου πρὸς τὴν ἀντερώτησιν, ἐπήγαγεν ὁ Σισίννιος "ἀλλὰ σὺ μὲν οὐκ ἄν" ἔφη "δεῖξαι δυνήσῃ ὡς δεῖ τὸν ἱερωμένον μέλαιναν ἀμφιέννυσθαι· ἐμοὶ δὲ καὶ ὁ Σολομὼν παρῄνεσε, λέγων 'ἔστωσάν σοι ἱμάτια λευκά,' καὶ ὁ σωτὴρ ἐν τοῖς εὐαγγελίοις φαίνεται λευκῇ ἐσθῆτι χρησάμενος. οὐ μὴν ἀλλὰ καὶ Μωσῆν καὶ Ἡλίαν λευκοφοροῦντας τοῖς ἀποστόλοις ἔδειξε." ταῦτα καὶ ἄλλα πολλὰ εἰπὼν ἐθαυμάσθη. Λεοντίου δὲ τοῦ Ἀγκύρας τῆς Γαλατίας ἐπισκόπου Ναυατιανῶν ἐκκλησίαν ἀφαιρουμένου, καὶ τῇ Κωνσταντίνου πόλει ἐπιδημοῦντος, ὁ Σισίννιος ἐλ-

Digitized by Google

θῶν παρ' αὐτὸν παρεκάλει ἀποδοῦναι τὴν ἐκκλησίαν. ὁ δὲ θερμῶς ἀπήντησε, καί φησιν "ὑμεῖς οἱ Ναυατιανοὶ οὐκ ὀφείλετε ἐκκλησίαν ἔχειν, τὴν μετάνοιαν ἀναιροῦντες καὶ τὴν φιλανθρωπίαν τοῦ θεοῦ ἀποκλείοντες." ὁ δὲ Σισίννιος ἔφη "καὶ μὴν οὐδεὶς οὕτω μετανοεῖ ὡς ἐγώ." τοῦ δὲ πάλιν ἐπάγοντος "πῶς μετανοεῖς;" ἔφη ὁ Σισίννιος "ὅτι σὲ εἶδον." Ἰωάννου δὲ τοῦ ἐπισκόπου λέγοντος ὅτι οὐ δύναται πόλις δύο ἐπισκόπους ἔχειν, ὁ Σισίννιος ἔφη "οὐδὲ γὰρ ἔχει." τοῦ δὲ Ἰωάννου χαλεπήναντος καὶ φήσαντος "ὁρᾷς ὅτι μόνος εἶναι βούλει ἐπίσκοπος;" καὶ ὁ Σισίννιος "οὐ τοῦτο" ἔφη "λέγω, ἀλλ' ὅτι ἐγὼ παρὰ σοὶ μόνῳ οὐκ εἰμὶ ἐπίσκοπος, ὃς τοῖς ἄλλοις εἰμί." ὁ δὲ Ἰωάννης "ἀλλ' ἐγώ σε" ἔφη "παύσω προσομιλεῖν· αἱρετικὸς γὰρ ὑπάρχεις." ὁ δὲ Σισίννιος χαριέντως "ἀλλ' ἐγώ" ἔφη "καὶ μισθοὺς παρέξω, εἴ γε τηλικούτου καμάτου ἀπαλλάξειας." ὁ δὲ Ἰωάννης διαμαλαχθείς "ἀλλ' οὐκ ἄν σε" ἔφη "παύσω τοῦ προσομιλεῖν ἐγώ, εἴ γε ὅλως τὸ λέγειν λυπεῖ σε." οὕτως ἦν χαρίεις ὁ Σισίννιος. πολλὰ δὲ αὐτῷ γέγραπται, λεξιθηρεῖ δὲ ἐν αὐτοῖς. λέγων δὲ μᾶλλον ἢ ἀναγινωσκόμενος ἐθαυμάζετο· προσῆν γὰρ αὐτῷ χάρις τῷ τε προσώπῳ καὶ τῇ φωνῇ καὶ τῷ βλέμματι καὶ τῇ ὅλῃ κινήσει τοῦ σώματος. Socrat. 6 22.

b Σισίννιος. οὗτος ἐπίσκοπος ἐγένετο Ναυατιανῶν, ἀνὴρ ἐλλόγιμος ὅτι μάλιστα, καὶ τῶν φιλοσόφων δογμάτων καὶ τῶν ἱερῶν βίβλων ἐπιστήμων, καὶ πρὸς διαλέξεις ἕτοιμος, ὡς καὶ Εὐνόμιον ἐπὶ ταύταις εὐδοκιμοῦντα, καὶ τοῦτο ἔργον ποιούμενον, πολλάκις παραιτήσασθαι τοὺς πρὸς αὐτὸν διαλόγους. ἐγένετο δὲ σώφρων τὸν βίον ὡς κρείττων εἶναι διαβολῆς, περὶ δὲ τὴν δίαιταν ἁβρὸς καὶ ποικίλος, ὡς τοὺς ἀγνοοῦντας ἀπιστεῖν εἰ σωφρονεῖν δύναιτο τοσοῦτον τρυφῶν. τὸ δὲ ἦθος ἦν χαρίεις καὶ ἡδὺς ἐν ταῖς συνουσίαις, καὶ διὰ ταῦτα τοῖς ἐπισκόποις τῆς καθόλου ἐκκλησίας καὶ τοῖς ἐν ἀρχῇ καὶ λόγῳ καταθύμιος ἦν. σκώπτειν δὲ σὺν χάριτι καὶ σκωμμάτων ἀνέχεσθαι καὶ ἀπεχθείας ἐκτὸς ὑπομένειν, κομψῶς τε σὺν τάχει πρὸς τὰς ἐρωτήσεις ἀπαντᾶν εὖ μάλα ἐπιτηδείως εἶχεν. ἐρωτηθεὶς οὖν ποτὲ ὅτου ἕνεκα δεύτερον λούοιτο ἐπίσκοπος ὤν, "ὅτι μὴ τρίτον" ἔφη "φθάνω." ἐπεὶ δὲ λευκῇ ἐσθῆτι διετέλει χρώμενος, ἐπέσκωψέ τις αὐτῷ τῶν ἀπὸ τῆς καθόλου ἐκκλησίας. ὁ δὲ πρὸς αὐτὸν "οὐκοῦν εἰπέ, πῶ εἴρηται ἐσθῆτα μέλαιναν χρῆναι ἀμφιέννυσθαι;" τοῦ δὲ ἀπορήσαντος ὑπολαβὼν ἔφη "σὺ μὲν οὐκ ἂν τοῦτο ἐπιδεῖξαι δυνήσῃ, ἐμοὶ δὲ καὶ Σολομῶν ὁ σοφώτατος 'ἔστωσαν τὰ ἱμάτιά σου λευκά' παραινεῖ λέγων, καὶ αὐτὸς ὁ Χριστὸς λευχείμων ἐν τοῖς εὐαγγελίοις φαινόμενος, Μωσῆν τε καὶ Ἠλίαν τοιούτους τοῖς ἀποστόλοις δεικνύς." οὐ μὴν ἀλλὰ κἀκεῖνο τῶν εἰρημένων Σισιννίῳ χάριεν οἶμαι. ἐπιδημῶν μὲν γὰρ τῇ Κωνσταντίνου πόλει Λεόντιος ὁ παρὰ Γαλάταις Ἀγκύρας ἐπίσκοπος, ἐκκλησίας δὲ τῶν ἐκεῖσε Ναυατιανῶν ἀφῃρημένος, ἧκε πρὸς αὐτὸν ἀπολαβεῖν ταύτην δεόμενος. ἐπεὶ δὲ οὐκ ἀπεδίδου, ἐλοιδορεῖτο δὲ τοῖς Ναυατιανοῖς ὡς οὐκ ἀξίοις ἐκκλησιάζειν, μετάνοιαν καὶ τὴν παρὰ θεοῦ φιλανθρωπίαν ἀναιρεῖν αὐτοὺς λέγων, "ἀλλὰ μὴν" ἔφη Σισίννιος "οὐδεὶς οὕτως ὡς ἐγὼ μετανοεῖ." ἐρομένου δὲ Λεοντίου τίνα τρόπον, "ὅτι σε τεθέαμαι" ἀπεκρίνατο. καὶ ἕτερα δὲ πολλὰ αὐτοῦ εὐστόχως εἰρημένα ἀπομνημονεύουσιν, οὐκ ἀκόμψως τε πολλοὺς λόγους αὐτοῦ φέρεσθαί φασιν. ἐπῃνεῖτο δὲ μᾶλλον λέγων ἢ ἄριστα ὑποκρινόμενος, φωνῇ τε καὶ βλέμματι καὶ χαριεστάτῳ προσώπῳ τὸν ἀκροατὴν ἕλκειν ἱκανός. τοιαύτης ἔλαχε φύσεως ἀγωγῆς τε καὶ βίου Σισίννιος. Sozom. 8 1.

σισόης τὸ πλεξείδιον. "ὁ θεὸς τῷ Μωσεῖ ἐνετείλατο λαλῆσαι παντὶ τῷ λαῷ, μὴ τίλλειν τοὺς πώγωνας τῆς γενειάδος, ὅπως μὴ ποιήσωσιν ἑαυτοῖς σισόην" (Levit. 19 27).

σισύμβροις. cf. v. νυμφίου βίον.

σισύρα ἱμάτιον τραχὺ καὶ παχύ, περιβόλαιον ἀγροικικὸν δουλικὸν παλαιόν. ἢ ἐκ τῶν δερμάτινος. (Babr. 18 1) "Βορέῃ λέγουσιν ἡλίῳ τε τοιαύτην ἔριν γενέσθαι, ὁπότερος ἀνδρὸς ἀγροίκου ὁδοιποροῦντος τὴν σισύραν ἐκδύσει."

σισύρα (cf. v. δίπυρος). "οἱ δὲ ἐς Βυζάντιον ᾔεσαν σισύρας ἐπὶ τῶν ὤμων αἰεὶ φέροντες." καὶ Ἀριστοφάνης (Eccl. 421) "χειμῶνος ὄντος τρεῖς σισύρας ἀφείλετο." καὶ αὖθις Ἀριστοφάνης (Ran. 1507) "πῶς οὖν τις ἂν σώσειε τοιαύτην πόλιν ᾗ μήτε χλαῖνα μήτε σισύρα;" ἢ μήτε χρηστὸς μήτε ὀχληρὸς πολίτης συμφέρει. σισύρα χλαίνης εἶδος εὐτελοῦς, οἷον ἐξωμὶς ἢ διπλοῒς ἤ τι τοιοῦτον.

ὁ δὲ νοῦς, μήτε χρηςὸς μήτε φαῦλος.

Σισύφειον τὸ τῶ Σισύφου. καὶ Σισύφειος λίθος.

Σίσυφος ὄνομα κύριον· Ἀριςοφάνης (Ach. 390) "ἀλλ' ἐξάνοιγε μηχανὰς τὰς Σισύφου, ὡς σκῆψιν ἀγὼν οὗτος οὐ προσδέξεται. ὥρα 'ςὶν ἤδη καρτερὰν ψυχὴν λαβεῖν." δριμύν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ Σίσυφον, διὰ μιᾶς λέξεως παρ' Ὁμήρῳ (Z 153) δεδιδαγμένοι· "ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιςος γένετ' ἀνδρῶν." καὶ (S Ai. 190) "Σισυφιδᾶν γενεᾶς" τῆς τῶ Ὀδυσσέως. εἴρηται δὲ ἐπὶ τῶν πανούργων καὶ κακοήθων· ἐκ γὰρ Σισύφου κατάγει τὸ γένος ὁ Ὀδυσσεύς, ὁ δὲ Σίσυφος Κορίνθου βασιλεύς, πανοῦργος ἀνήρ, περὶ οὗ φησιν Ὅμηρος "ὃ κέρδιςος γένετ' ἀνδρῶν." ὅςις ὑπὸ τοὺς ὄνυχας καὶ τὰς ὁπλὰς τῶν ζῴων ἑαυτοῦ μονογράμματα ἔγραψεν ὀνόματα. Αὐτόλυκος δὲ κατ' ἐκεῖνο καιροῦ ἐκέκαςο κλεπτοσύνῃ θ' ὅρκῳ τε, καὶ τὰ κλεπτόμενα παρ' αὐτοῦ τὴν μορφὴν ἤλλασσε. κλέψας οὖν καὶ Σισύφου θρέμματα καὶ μεταβαλὼν ὅμως οὐκ ἔλαθε τὸν Σίσυφον· ἐπέγνω γὰρ αὐτὰ διὰ τῶν μονογραμμάτων. ἐπὶ τούτοις δ' ἐξευμενιζόμενος τὸν Σίσυφον ἐξένισεν αὐτόν, καὶ τὴν θυγατέρα αὐτοῦ Ἀντίκλειαν συγκατέκλινεν αὐτῷ, καὶ ἔγκυον ἐξ αὐτοῦ γενομένην τὴν παῖδα συνῴκισε Λαέρτῃ· διὸ Σισύφου ὁ Ὀδυσσεύς. sch. S.

σῖτα· "ὅτι Φιλοποίμην μετὰ δευτέραν ἡμέραν ἀπὸ τῆς πρὸς πόλεμον ἐξόδου παρήγγειλε τὰ δύο σῖτα τρία ποιεῖν, ὅτε βούλοιτο μίαν ἡμέραν προσλαβεῖν, ποτὲ δὲ τὰ δύο τέτταρα" (Polybius?).

Σίταλκος ὁ τῶν Θρᾳκῶν βασιλεύς.

σιτηρέσιον τὸ διδόμενόν τισιν εἰς τροφήν (Harp.). καὶ σιτηρὸν ὁ σῖτος.

σιτήσεων τροφῶν, δαπανῶν.

σιτίζω αἰτιατικῇ.

σιτοβολίοις ἀποθήκαις· (Polyb. 3 100) "τὰς δὲ οἰκίας τῆς πόλεως ἀκεραίους διεφύλαξε καὶ τὰ τείχη, βουλόμενος σιτοβολίοις χρήσασθαι πρὸς παραχειμασίαν." καὶ σιτοβολῶνες (Gen. 41 56).

σιτοδεία λιμός, ἔνδεια.

Σιτολία ὄνομα πόλεως.

σιτομετρεῖν τὸ σῖτον παρέχειν, καὶ σιτομέτριον ἡ σιτοδοσία. Πολύβιος "ὁ δὲ Φίλιππος διαδοὺς ὅτι μέλλει σιτομετρεῖν, ἐκήρυξεν, ὅσοι μὴ πλεῖον ἔχουσι λ' ἡμερῶν σῖτον, ἀπογράφεσθαι πρὸς αὐτόν." καὶ σιτοποιεῖσθαι παρὰ Ξενοφῶντι (Cyr. 1 6 36) τὸ τροφὴν λαμβάνειν· "σιτοποιεῖσθαί τε ἀνάγκη καὶ κοιμᾶσθαι." καὶ σιτοπομπία.

σῖτος πᾶς ὁ σιτικὸς καρπός, οὐχ ὁ πυρὸς μόνον. καὶ αὐτὰ τὰ σιτία· Θουκυδίδης δ' (26) "καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾑροῦντο, αἱ δὲ μετέωροι ὥρμουν." σῖτος καλεῖται καὶ ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἔςι μαθεῖν καὶ ἐκ τῶν τοῦ Σόλωνος πρώτου ἄξονος καὶ ἐκ τῆς Ἀριςοτέλους Ἀθηναίων πολιτείας. Τιμαχίδας δὲ ἡγεῖται παρὰ τοῖς Ἀττικοῖς σῖτον λέγεσθαι τὸν τόκον, οὐκ ὀρθῶς ἡγούμενος. Harp.

σίτου τροφῆς. καὶ σίτου δίκη. ὅταν γυνὴ ἀπόλειψιν ποιησαμένη πρὸς τὸν ἄνδρα διὰ τοῦ ἄρχοντος, ἢ καὶ ὑπὸ τοῦ ἀνδρὸς ἐκπεμφθεῖσα, μὴ ἀπολαμβάνῃ τὴν προῖκα καὶ διαγένηται χρόνος, καὶ δίκην εἰσάγῃ πρὸς αὐτὸν καὶ ἀπαιτῇ προῖκα καὶ τροφὰς ἀφ' ἧς ἀπηλλάγη ἡμέρας, αὕτη καλεῖται δίκη σίτου. καὶ σίτου ἐκβολή Θουκυδίδης (4 1), ὅταν ὁ ςάχυς τῆς κάλυκος ἐκφύηται, οὐχ ὅταν ἐκ τῆς γῆς ἀναδιδῶται τὰ σπέρματα.

σιτούμενος ἐσθίων.

σιτοφύλακες. ἀρχή τις ἦν Ἀθήνησιν, ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν ιέ μὲν ἐν ἄςει, έ δὲ ἐν Πειραιεῖ. καὶ σιτοφυλακεῖον. Harp.

Σίττα πόλις. καὶ Σίττας ὄνομα κύριον.

Σιττάκη πόλις.

σιτώνης ὁ προεςὼς τοῦ δημοσίου σίτου.

σίφλος μῶμος, ψόγος, μέμψις.

σιφλώσειεν (Hom. Ξ 142) μέμψειεν, ἐκφαυλίσειεν.

Σιφνεύς ὄνομα κύριον.

σιφνιάζειν ἐπὶ τῶν τὰς χεῖρας προσαγόντων τοῖς ἰσχίοις, ὥσπερ λεσβιάζειν ἐπὶ τῶν παρανομούντων ἐν τοῖς ἀφροδισίοις.

σιφνιάζειν καὶ λεσβιάζειν, ἀπὸ τῆς νήσου Σίφνου, ὡς καὶ τὸ κρητίζειν. καὶ τὸ Σίφνιος δὲ ἀρραβών ὁμοίως. σιφνιάζειν γὰρ τὸ ἅπτεσθαι τῆς πυγῆς δακτύλῳ, λεσβιάζειν δὲ τὸ τῷ ςόματι παρανομεῖν.

Digitized by Google

Σίφνιοι. οὗτοι πλουσιώτατοι ἐγένοντο οὐ μόνον τῶν νησιωτῶν ἀλλὰ καὶ ἠπειρωτῶν εὖ μάλα συχνῶν. ἕως μὲν οὖν τὴν δεκάτην ἐς Δελφοὺς ἀπέςελλον εὐτάκτως καὶ ἐπείθοντο τῷ χρησμῷ τῷ τοῦτο προςάξαντι, τὰ τοῦ πλούτου αὐτοῖς ἐπίδοσιν εἶχε, φανέντων ἀργυρείων μετάλλων· ἐπεὶ δὲ τὴν φορὰν τὴν τῆς ἀπαρχῆς ἐξέλιπον, θάλασσα ἐπιρρεύσασα καὶ ἐπικλύσασα ἠφάνισεν αὐτοῖς τὴν τοῦ πλούτου χορηγίαν, περιῆλθόν τε εἰς πενίαν νησιωτικὴν καὶ ἀπορίαν δεινήν. Aelianus?

σιφωνίζειν κυρίως ἐπὶ τῶν ὑγρῶν τὸ ἀποσπᾶν. Ἀριςοφάνης δὲ κατεχρήσατο εἰπών (Th. 563) "σιφωνίζομεν τὸν σῖτον."

Σιών ὄνομα πόλεως.

Σιὼν ἐπουράνιος καὶ Ἱερουσαλὴμ χοροῖς ἁγίων κεκοσμημένη, ἧς πύλαι αἱ κάτω ἐκκλησίαι. Σιὼν καὶ ἡ εὐσεβὴς πολιτεία. καὶ Σιωνῖται οἱ ἀπὸ τῆς Σιὼν πόλεως. Theodoret. in Ps. 9 14.

σιωπή. "καὶ σιωπηλότερος ἔσομαι καὶ τῶν Πυθαγόρᾳ τελεσθέντων," ἐπὶ τῶν πάνυ σιγώντων, παρ᾽ ὅσον οἱ Πυθαγόρου φοιτηταὶ παράγγελμα εἶχον σιγὴν ἀσκεῖν πενταετῆ χρόνον.

σκάζει χωλεύει.

σκαιᾷ τῇ ἀριςερᾷ.

σκαιεμβατεῖν τὸ σκαιῶς καὶ ἀρρύθμως ἐμβαίνειν ὀρχούμενον, τὸ ἐν τῇ συνηθείᾳ κενεμβατεῖν.

σκαιός ἀριςερός, ἄφωνος, ἀπαίδευτος, κακός. οὕτως ἐκάλουν τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους καὶ τοὺς μωρούς, ἀπὸ τῆς σκαιᾶς. Ἀριςοφάνης Νεφέλαις (628) "οὐκ εἶδον οὕτως ἄνδρ᾽ ἄγροικον οὐδένα, οὐδ᾽ ἄπορον, οὐδὲ σκαιόν, οὐδ᾽ ἐπιλήσμονα." καὶ αὖθις Ἀριςοφάνης (Plut. 1024) "οὐ σκαιὸς ἦν ἄνθρωπος, ἀλλ᾽ ἠπίςατο γραὸς καπριώσης τἀφόδια κατεσθίειν," ἀντὶ τοῦ κολακεύειν καὶ ἐσθίειν τὰ ἀναλώματα. καὶ αὖθις "ὁ δὲ ἐν μὲν ταῖς ἐντεύξεσι σκαιὸς ἦν, ἐν δὲ ταῖς πράξεσι καὶ μάλα ἐς τοὐναντίον ἤπιος καὶ τὸ ἀγχίνουν ἀποχρώντως ἔχων." καὶ σκαιόθεν ἐπίρρημα. λέγεται καὶ σκαιοσύνη παρὰ Ἀριςοφάνει.

σκαιότατον ἀπαίδευτον· Ἀριςοφάνης Νεφέλαις (789) "σκαιότατον γερόντιον."

σκαιότης μωρία, ἀπαιδευσία, ἀγριότης, ἀπάτη.

σκαίροντες (Hom. Σ 572) χορεύοντες, σκαρίζοντες.

σκαιωρία ἡ κακὴ βουλή.

σκάλα ῥωμαϊςὶ ὁ ἀναβολεύς.

σκαλαθῦραι συνουσιάσαι· Ἀριςοφάνης (Eccl. 607) "ἢν μείρακ᾽ ἰδὼν ἐπιθυμήσῃ καὶ βούληται σκαλαθῦραι."

σκαλαθυρμάτια σκιάς τινας καὶ σκαλεύματα. ἔγκειται δὲ τὸ ἄθυρμα, οἷον παίγνιον καὶ οὐδὲν ἀξιόπιςον. τουτέςι λεπτὰ καὶ παντάπασι μικρὰ νοήματα καὶ μαθήματα, σκαριφεύματα. sch. A Nub. 630.

σκαλεύειν ἀνακινεῖν, διαξαίνειν· Ἀριςοφάνης (Pac. 438) "ἐν εἰρήνῃ διάγειν ἔχονθ᾽ ἑταίραν καὶ σκαλεύοντ᾽ ἄνθρακας," ἀντὶ τοῦ ζωπυροῦντα τοὺς ἄνθρακας. ἢ ἐνθάδε τὸ γυναικεῖον αἰδοῖον ἄνθρακας εἶπεν. ἢ ἀντὶ τοῦ ἐν ἀγρῷ διατρίβοντα, ἐπεὶ οὗτοι ὀπτῶσι βαλάνους καὶ σκαλεύουσι τοὺς ἄνθρακας ἐν τῷ ὀπτᾶν.

σκαληνός ἄνισος, καὶ σκαληνόν σχῆμα γεωμετρικὸν δίκην σκάλας.

σκάλλοντες σκάπτοντες.

σκάλοπας μύας τινάς, οὓς φαμεν ἀσπάλακας. sch. A Ach. 879.

Σκάμανδρος ποταμός, καὶ Σκαμανδριαίους ποταμιαίους. καὶ Σκαμάνδριον ῥεῦμα.

σκαμβή (Ps. 100 5) διεςραμμένη.

Σκαμβωνίδαι δῆμος τῆς Λεοντίδος. Harp.

Σκάμων ὄνομα κύριον.

σκαμωνία εἶδος βοτάνης.

σκανδάληθρα τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξύλα, ἀπὸ τοῦ σκάζοντα συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. τὰ πέταυρα τῶν παγίδων, ἃ Ἀρχίλοχος ῥόπτρα ἐκάλεσεν. Ἀριςοφάνης (Ach. 687) "κᾆτ᾽ ἀνελκύσας ἐρωτᾷ, σκανδάληθρ᾽ ἱςὰς ἐπῶν," ἀντὶ τοῦ ἐρωτήματα λόγων καὶ βάρη.

Σκάνδεια πόλις.

σκάνδιξ θηλυκῶς λάχανον ἄγριον· παρ᾽ ὃ καὶ σκανδικοπώλην τὸν Εὐριπίδην λέγουσιν, ἐπεὶ λαχανοπωλητρίας υἱὸν αὐτὸν εἶναί φασι. "σκάνδικά μοι δὸς μητρόθεν δεδεγμένος" (A Ach. 477). "καὶ μή μοι τὰ τοῦ σκανδικοπώλου παρατραγῴδει, σεμνὸν τὸ τῆς Πειρήνης ὕδωρ ἀποκαλοῦντος." σκάνδικα οὖν λάχανα, οὐ τὰ ἐκ τῶν κηπίων ἀλλὰ τὰ αὐτομάτως φυόμενα, ὥς φησιν Ἀr-

δοκίδης "μὴ γὰρ ἴδοιμέν ποτε πάλιν ἐκ τῶν ὀρέων τοὺς ἀνθρακευτὰς ἥκοντας καὶ πρόβατα καὶ βῦς καὶ τὰς ἁμάξας εἰς τὸ ἄςυ, καὶ γύναια καὶ πρεσβυτέρους ἄνδρας καὶ ἐργάτας ἐξοπλιζομένους· μηδὲ ἄγρια λάχανα καὶ σκάνδικας ἔτι φάγοιμεν."

σκαπάνη σκαφίον, ὀρύγιον, δικέλλιον.

σκαρδαμύττει πυκνὰ τοὺς ὀφθαλμοὺς κλείει καὶ ἀνοίγει.

σκαριφισμοῖς οἷον σκαρισμοῖς καὶ λεπτολογίαις, εὐτελείαις, σκιαγραφίαις· σκαριφεύειν γὰρ τὸ τοὺς ζωγράφους ὑποτυπῶσαι πρῶτον τοὺς γραφομένους. sch. A Ran. 1545·

σκαφεία ἡ σκάφευσις, καὶ σκαφείδιον τὸ λισγάριον, καὶ σκαφεῖον ὁμοίως.

Σκάφη πόλις. σκάφη δὲ τὰ κοιλώματα τῶν νηῶν, ἃ ἡμεῖς γάςρας καλοῦμεν ἀντὶ τῦ γαςέρας. sch. Thuc. I 50.

σκαφηφόροι· Δείναρχος ἐν τῷ κατὰ Ἀγησικλέους "οἳ ἀντὶ σκαφηφόρων ἔφηβοι εἰς τὴν ἀκρόπολιν ἀναβήσονται, οὐχ ὑμῖν ἔχοντες χάριν τῆς πολιτείας ἀλλὰ τῷ ἀργυρίῳ." οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι· Δημήτριος γοῦν ἐν γ' Νομοθεσίας φησὶν ὅτι προσέταττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς αὐτοὺς μὲν σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδεια. Harp.

σκάφιον εἶδος κουρᾶς. cf. v. κόψιχος.

σκεδάζει σκορπίζει.

σκειρωθέντος ἥπατος· σκείρωμα γὰρ πάθος περὶ τὸ ἧπαρ ἀνίατον.

Σκείρωνος ὄνομα λῃστοῦ. καὶ διφορεῖται.

σκελετός ὁ ξηρός.

Σκελλίου υἱός ὁ Ἀριςοκράτης. φησὶν οὖν Ἀριςοφάνης ⟨Av. 126⟩ "καὶ τὸν Σκελλίϐ βδελύττομαι," ἤγουν τὸν Ἀριςοκράτην. διὰ τὸν Ἀριςοκράτην, οὕτω φησί, μισῶ τὴν ἀριςοκρατίαν, ὅτι καὶ τὸν Ἀριςοκράτην μισῶ, ὅτι κέκληται τῷ ὀνόματι τούτῳ.

σκεμμούς βουλάς, σκέψεις· "τούτῳ δὲ τῦ βασιλέως κατεμήνυον τὸς σκεμμός."

σκέπανον σκέπη· ⟨AP 6 298⟩ "καὶ πῖλον κεφαλᾶς οὐχ ὁσίας σκέπανον." λέγεται καὶ σκέπας· ⟨6 335⟩ "καυσίη ἡ τὸ πάροιθε Μακηδόσιν εὔκολον ὅπλον, καὶ σκέπας ἐν νιφετῷ καὶ κόρυς ἐν πολέμῳ."

σκεπεινὸς τόπος.

σκέπη παρὰ Ἡροδότῳ θήκη, δέρμα. gl. I 185.

σκέρβολλε λοιδόρει· ⟨A Eq. 818⟩ "μὴ σκέρβολλε πονηρά," τουτέςι μὴ λοιδόρει πικρά, μὴ ποίκιλλε. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ κερτομεῖν.

σκευή ὅπλισις, ἢ ςολή· ⟨cf. Phot. p. 245⟩ "ὁ δὲ ἱερεὺς σκευὴν ἐσκευάζετο τὴν τῦ δημίϐ, μεταλαβὼν ἀντὶ τῶν σεμνοτάτων τὰ αἴσχιςα." "τὰ δὲ πολλὰ τῶν θηρίων εἰς βάθος νηξάμενα, τῆς θαλάσσης αὐτοῖς εἰς τὰς σκευὰς ἐμπεσούσης, ἀπεπνίγη." "ὁ δὲ Κρατερὸς τῆς τε σκευῆς τῇ λαμπρότητι διαφέρων ἦν" ⟨cf. v. Κρατερός⟩.

σκευοποιοῦντα τὸ πρᾶγμα Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου ἀντὶ τῦ σκευωρούμενον καὶ κατασκευάζοντα καὶ πλαττόμενον. Harp.

σκεῦος χωρητικόν τινος εἴδους ἀγγεῖον· Πολύβιος "ἦν δὲ ὁ Δαμοκλῆς σκεῦος εὐφυές, πολλὰς ἔχων ἀφορμὰς εἰς πραγμάτων οἰκονομίαν."

σκευοφορεῖον καὶ σιτοφυλακεῖον, σκευοφυλάκιον δὲ καὶ χαρτοφυλάκιον.

σκευωρία κατασκευή, ἐπιβολή, βλάβη.

σκηνή. σκηνή ἐςιν ἡ μέση θύρα τοῦ θεάτρυ, παρασκήνια δὲ τὰ ἔνθεν καὶ ἔνθεν τῆς μέσης θύρας. ἵνα δὲ σαφέςερον εἴπω, μετὰ τὴν σκηνὴν εὐθὺς καὶ τὰ παρασκήνια ἡ ὀρχήςρα. αὕτη δέ ἐςιν ὁ τόπος ὁ ἐκ σανίδων ἔχων τὸ ἔδαφος, ἀφ' οὗ θεατρίζουσιν οἱ μῖμοι. εἶτα μετὰ τὴν ὀρχήςραν βωμὸς τοῦ Διονύσυ, ὃ καλεῖται θυμέλη παρὰ τὸ θύειν. μετὰ δὲ τὴν θυμέλην ἡ κονίςρα, τουτέςι τὸ κάτω ἔδαφος τῦ θεάτρου. καὶ σκηνίτης ὁ ἐπὶ τῇ σκηνῇ· ⟨AP 7 36⟩ "αἰεί τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεις, σκηνίτης μαλακοὺς κισσὸς ἄλοιτο πόδας."

σκηνημάτων τῶν οἰκήσεων· "χειμέριον ... σκηνημάτων ἐγένετο." cf. v. ἠθάδων.

σκηνὴν δὲ ἣν ἔχουσιν· οὐδὲ γὰρ ταύτην λαβόντες ἀναφέρουσιν" Δημοσθένης ἐν τῷ πρὸς Σπυδίαν ⟨11⟩. ἔοικε δὲ σκεῦός τι εἶναι, ὅπερ οἱ μὲν κόσμον τινὰ γυναικεῖον εἶναί φασιν, οἱ δὲ σκιάδειον. καὶ "σκηνὴν ἐπήξατο," τυτέςι τένδαν, κατὰ γλῶσσαν.

σκηνίτης· Ἰσοκράτης Τραπεζιτικῷ ⟨33⟩ "Πυθόδωρον γὰρ τὸν σκηνίτην καλούμενον." ἔοικε δὲ ἐπωνύμιον εἶναι. μήποτε δὲ ὡς εἰς ἀγοραῖον λεγόμενον, ἐπεὶ ἐν σκηναῖς ἐπιπρά-

σκετο πολλὰ τῶν ὠνίων. καὶ σκηνίτης βίος ὁ ἀπερινόητος. Harp.

σκηνορράφος ὁ τὰ δέρματα συρράπτων.

σκῆνος. σκήνωμα· σκήνωμα τȣ̃ θεȣ̃ (Ps. 14 1) ὁ ναὸς τȣ̃ θεȣ̃.

σκηπάνιον (Hom. Ν 59) σκῆπτρον.

σκήπιος ὁ προφασιζόμενος.

a Σκηπίων. ὅτι Σκηπίων ὁ Ῥωμαίων ϛρατηγὸς πρὸς Ἀννίβαν τὸν Καρχηδονίων ϛρατηγὸν ἐποιεῖτο συμβάσεις. ἦν δὲ δὴ συνελθόντων ἰδεῖν τὸν μὲν Σκηπίωνα ἐκπρεπῆ τε τὸ σῶμα καὶ ὑψηλόφρονα καὶ πρὸς τὸ χάριεν μᾶλλον ἢ φοβερὸν πεφυκότα· Ἀννίβᾳ δὲ κάλλος καταπληκτικὸν ἦν τῷ δεινῷ τε καὶ συνεϛραμμένῳ τοῦ προσώπου μεμιγμένον. οὐ συμβαινόντων δὲ ἐπὶ τοῖς εἰρημένοις, ἀλλὰ τάχος συμπίπτειν τοῖς Ῥωμαίοις διεκελεύοντο."

b ὅτι ἄνδρες τινὲς Καρχηδονίων ἐπὶ κατασκοπῇ τῶν ἐναντίων ϛαλέντες ὑπὸ Ἀννίβου τοῖς Ῥωμαίοις περιπίπτουσιν· οὓς ἀχθέντας ὡς αὐτὸν ὁ Πόπλιος κακὸν μὲν οὐδὲν εἰργάσατο, περινοϛῆσαι δὲ κελεύει τὸ ϛρατόπεδον καὶ δεῖπνον ἑλομένȣς ὑποχωρεῖν σώȣς, ἀπαγγελοῦντας Ἀννίβᾳ τὰ περὶ τὴν ϛρατιὰν ὡς ἔχοι Ῥωμαίοις.

σκήπτεται προφασίζεται.

σκηπτόμενος (Hom. Ξ 457) ἐπερειδόμενος, ϛηριζόμενος.

σκηπτός κεραυνὸς ἄνωθεν διάπυρος· (Theophyl. Sim. 2 7) "ὥσπερ τις λαῖλαψ ἐπιθαλάττιος ἢ ῥαγδαῖος σκηπτὸς ἐξαπιναίως ἐπεφοίτησε." καὶ αὖθις "σκηπτοὶ τοίνυν κατηνέχθησαν καὶ τὸ ϛρατόπεδον κατέπρησαν," καὶ αὖθις "νέφη συνέδραμε καὶ ὑετοὶ πολλοὶ καὶ σκηπτοὶ κατώλισθον."

σκηπτοῦχος βασιλεύς (Hom. Α 279) σκηπτροφόρος.

σκῆπτρον βασιλικὴ ῥάβδος.

σκήπων ῥόπαλον· παρ' ὃ καὶ σκηπάνιον· (A Vesp. 745) "ἦ πȣ σοφὸς ἦν ὃς ἔφασκε, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκȣ́σῃς, οὐκ ἂν δικάσαις. σὺ δ' ἤδη πολλῷ νενίκηκας, ὥϛ' ἤδη τὴν ὀργὴν χαλάσας τȣ̀ς σκήπωνας καταβάλλω."

σκηριπτόμενος (Hom. Λ 595) ἐπερειδόμενος, ϛηριζόμενος.

Σκήρων ὄνομα ἔθνȣς. καὶ Σκηρωνεύς ἐθνικόν.

Σκῆτις Σκήτεως ὄνομα τόπȣ.

σκήψας ἐπιβαλών, ἐπιφέρων· Σοφοκλῆς (OR 28) "ἐν δ' ὁ πυρφόρος θεὸς σκήψας ἐλαύνει, λοιμὸς ἔχθιϛος, πόλιν." καὶ "σκηψαμένων τινῶν προδοσίαν ὁμογλώσσων τοῖς Σκύθαις τοῖς καλȣμένοις Γρȣθίγγοις."

σκῆψις παρακάλυμμα, πρόφασις, ἢ φροντίς, ἀναβολή. καὶ σκήπτομαι· Ἀριϛοφάνης Πλάτῳ (905) "σκήπτομαί γ', ὅταν τύχω," ἀντὶ τοῦ προφασίζομαι. καὶ Σοφοκλῆς (El. 584) "ἀλλ' εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς."

Σκῆψις πόλις ἐϛὶν ἐν τῇ Τροίᾳ, ἧς μνημονεύει Δημοσθένης ἐν τῷ κατὰ Ἀριϛοκράτους (154). Harp.

σκιάδειον κατασκεύασμά τι, ὅπερ ἐφόρȣν αἱ κανηφόροι ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια ἕνεκεν τοῦ μὴ καίεσθαι ὑπὸ τοῦ ἡλίου· ἢ ὅπερ ἡμεῖς καμελαύκιον λέγομεν. sch. A Av. 1508.

σκιαδείων καρȣχίων.

σκιὰ θανάτȣ οἱ πρὸς θάνατον ἄγοντες κίνδυνοι. Theodoret. in Ps. 43 20.

Σκίαθος νῆσός ἐϛι πλησίον Εὐβοίας, ἧς μέμνηται Δημοσθένης ἐν Φιλιππικοῖς (4 32). Harp.

σκιαμαχῶ, ἐπὶ τῶν ἀδυνάτων, τῇ σκιᾷ μάχομαι.

σκιὰ ὀνείρων, ἐπὶ τῶν ἀδήλων πραγμάτων· Δαμάσκιος "ὅταν ἀντὶ πραγμάτων γεγενημένων εἴδωλα ἄττα συγγραφώμεθα, σκιὰν ὀνείρων κατὰ Πίνδαρον."

Σκιάποδες ἐν Λιβύῃ ἔθνος πλατεῖς a ἔχον τοὺς πόδας, οἳ ἐν τῷ καύματι ἐκ τῶν ποδῶν ἑαυτοῖς σκιὰν ποιȣ̃σιν, παρὰ τὸν δυτικὸν ὠκεανόν, πρὸς τῇ κεκαυμένῃ ζώνῃ.

Σκιάποδες. τούτους ἔχειν βήματά φασι b τοῦ παντὸς σώματος μείζονα, διὰ δὲ τὸ μὴ ἔχειν οἴκȣς ἀλλ' ὑπὸ τοῦ καύματος ἀναλίσκεσθαι, τετραποδηδὸν βαδίζοντας ἀνορθȣ̃ν τὸν ἕτερον τῶν ποδῶν καὶ κατασκιάζειν τὸ λοιπὸν σῶμα, τραχείας οὔσης τῆς γῆς καὶ μὴ ἐχούσης καταδύσεις· τοῦτο γὰρ αὐτοῖς ἐχαρίσατο ἡ φύσις εἰς ἀποφυγὴν τοῦ καύματος. sch. A Av. 1552.

Σκιάποδες· Ἀντιφῶν ἐν τῷ περὶ ὁμο- c
νοίας. ἔθνος ἐϛὶ Λιβυκόν. Κτησίας ἐν τῷ περίπλῳ Ἀσίας φησὶν "ὑπὲρ δὲ τούτων Σκιάποδες, οἳ τούς τε πόδας ὡς χῆνες ἔχȣσι κάρτα πλατέας, καὶ ὅταν θέρμη ᾖ, ὕπτιοι

ἀναπεσόντες, ἄραντες τὰ σκέλη, σκιάζονται τοῖς ποσί." Harp.

σκιὰς ἀναδενδράς. σημαίνει δὲ καὶ τὴν παρὰ Ἀθηναίοις λεγομένην θόλον.

σκιδνάμενος σκορπιζόμενος.

σκιερά· Ἀριςοφάνης ⟨Vesp. 754⟩ "πάρες ὦ σκιερά."

σκίλλα εἶδος βοτάνης πικρᾶς καὶ θανατηφόρου τοῖς ἐσθίουσι.

σκιμαλίσω ἐξουδενώσω, χλευάσω, τῷ μικρῷ δακτύλῳ ὡς τῶν γυναικείων πυγῶν ἅψομαι. λέγεται δὲ σκιμαλίζειν κυρίως τὸ τῷ μικρῷ δακτύλῳ ἀποπειρᾶσθαι εἰ ᾠοτοκοῦσιν αἱ ἀλεκτορίδες ⟨sch. A Ach. 443⟩. "δυοῖν ὑπερανακειμένου ἐν πότῳ τοῦ Ζήνωνος, καὶ τοῦ ὑπ' αὐτὸν τὸν ὑφ' ἑαυτὸν σκιμαλίζοντος τῷ ποδί, αὐτὸς ἐκεῖνον τῷ γόνατι. ἐπιςραφέντος δέ, τί οὖν οἴει τὸν ὑποκάτω σου πάσχειν ὑπὸ σοῦ;" ⟨Diog. L. 7 17⟩.

σκίμπους κράββατος ἢ σκάμνος. καὶ σκίμποδος. ἱερὸν σκίμποδά φησιν Ἀριςοφάνης Νεφέλαις ⟨254⟩ ἢ τὴν τῶν φιλοσόφων καθέδραν ἢ τὸν κράββατον. φασὶ δὲ σκιμπόδιον ἰδίως λέγεσθαι τὸ χωλοκράββατον· σκιμβάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς. ἢ τὸν σκαμβοὺς ἔχοντα πόδας.

σκινδάλαμοι τὰ τῶν καλάμων ἀποξύσματα, ἢ σκόλοπες. ἡ ἐπεξεργασία τῶν ἀκριβῶν σκινδάλαμοι. τοῦτο δὲ ἐπὶ μὲν εὐθείας ὀξύνεται, ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται. σκινδαλάμους οὖν λεπτολογίας· Ἀριςοφάνης Νεφέλαις ⟨130⟩ "λόγων ἀκριβῶν σκινδαλάμυς μαθήσομαι;" καὶ ⟨Ran. 835⟩ "σκινδαλμῶν παραξόνια." σκινδαλμὸς κυρίως τὸ περὶ τὸν φλοιὸν τοῦ καλάμου ξέσμα, παραξόνια δὲ οἷον κινδυνώδη καὶ παράβολα, περὶ τὸν τροχὸν ἑλκόμενα.

σκινδαψός ὄργανον μουσικόν. περὶ Ζήνωνος τοῦ Κιτιέως "ὃ δ' ἔρρει γύργαθος αὐτοῦ μικρὸς ἰών· νοῦν δ' εἶχεν ἐλάσσονα σκινδαψοῖο" ⟨Timon ap. Diog. L. 7 15⟩. σκινδαψός ἀφάνα.

σκινθίζεται λακτίζεται.

σκιόεις σκιόεντος κλίνεται. καὶ σκιόεντα ⟨Hom. *A* 157⟩ τὰ σύσκια.

σκιόθηρα εἶδος πλοίυ.

σκίπωνος τῆς ῥάβδου. καὶ σκίπτωνος.

σκιραφεῖον κυβευτήριον, ἐπειδὴ διέτριβον ἐν σκίρῳ οἱ κυβεύοντες, ὡς Θεόπομπος. Harp.

σκῖρον· ⟨A Vesp. 958⟩ "κυνῶν ἁπάντων μονοφαγίςατον, ὅςις περιπλεύσας τὴν θυΐαν ἐν κύκλῳ ἐκ τῶν πόλεων τὸ σκῖρον ἐξεδήδοκε."

Σκίρον. σκίρα ἑορτὴ παρ' Ἀθηναίοις, ἀφ' ἧς καὶ ὁ μὴν σκιροφοριών. φασὶ δὲ οἱ γράψαντες περί τε μηνῶν καὶ ἑορτῶν τῶν Ἀθήνησιν ὡς τὸ σκίρον σκιάδειόν ἐςι, μεθ' οὗ φερόμενοι ἐξ ἀκροπόλεως εἴς τινα τόπον καλούμενον Σκίρον πορεύονται ἥ τε τῆς Ἀθηνᾶς ἱέρεια καὶ ὁ τῦ Ποσειδῶνος ἱερεὺς καὶ ὁ τοῦ ἡλίυ· κομίζυσι δὲ τοῦτο Ἐτεοβυτάδαι. σύμβολον δὲ τοῦτο γίνεται τοῦ δεῖν οἰκοδομεῖν καὶ σκέπας δὲ ποιεῖν, ὡς τούτου τοῦ χρόνου ἀρίςυ ὄντος πρὸς οἰκοδομίαν. καὶ Ἀθηνᾶν δὲ σκιράδα τιμῶσιν Ἀθηναῖοι, ἣν Φιλόχορος μὲν ἐν β' Ἀτθίδος ἀπὸ Σκίρυ τινὸς Ἐλευσινίυ μάντεως κεκλῆσθαι, Πραξίων δὲ ἐν β' Μεγαρικῶν ἀπὸ Σκίρωνος. Harp.

σκίρος σκιάδειον. ἑορτή τις ἀγομένη τῇ Ἀθηνᾷ, ὅτε σκιαδείων ἐφρόντιζον ἐν ἀκμῇ τῦ καύματος. σκίρα δὲ τὰ σκιάδεια. οἱ δὲ οὐ διὰ τοῦτό φασιν, ἀλλὰ διὰ τὴν ἀπὸ σκίρων Ἀθηνᾶν, ἣν Θησεὺς ἐποίησεν ὅτε ἐπανήει ἀποκτείνας τὸν Μινώταυρον. ἡ σκίρα δὲ ἐςι γῆ λευκὴ ὥσπερ γύψος. οἱ δὲ φασιν ἀπὸ Σκίρυ τῦ Ἐλευσινίυ μάντεως γενέσθαι τὴν ἐπωνυμίαν ταύτην. ἄλλοι δὲ ἀπὸ Σκίρου τοῦ συνοικίσαντος Σαλαμῖνα.

σκιροφοριών μὴν Ἀθηναίων δωδέκατος. ὠνομάσθη δὲ ἀπὸ τῆς σκιράδος Ἀθηνᾶς. ζήτει ἐν τῷ Διὸς κῴδιον.

σκιρρόν τὸ ξηρόν.

σκίρρος ὁ γύψος.

σκίταλοι· Ἀριςοφάνης ⟨Eq. 631⟩ "ἄγε δὴ σκίταλοί τε καὶ φένακες, ἦν δ' ἐγώ, βερέσχεθοί τε καὶ κόβαλοι καὶ μόθων, ἀγορά τ' ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ, νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε φωνήν τ' ἀναιδῆ." ὠνοματοποίησεν ἀναπλάσας δαίμονάς τινας ἀναιδεῖς ἐπὶ χλεύῃ, καὶ προφέρεται αὐτὰ ὡς θεῶν, οἷον προτρεπόμενος αὐτὸν καὶ θαρσύνων εἰς εὐτολμίαν καὶ ἀναίδειαν. σκίταλοι μὲν οὖν οἱ εὐτελεῖς καὶ πονηροί· ἦν γὰρ Σκίτων κναφεύς τις καὶ εὐτελής, ἐπὶ πονηρίᾳ κωμῳδούμενος. βερέσχεθοι δὲ οἱ ἀνόητοι· πέπλασαι δὲ ἡ λέξις. κοάλεμοι δὲ οἱ ἀνόητα κοοῦντες καὶ νοοῦντες

μόθων δὲ ὁ εὐτελής· μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες τοὺς παρεπομένους τοῖς ἐλευθέροις. ἔστι καὶ γένος ὀρχήσεως. τὸ δὲ ἦν δ᾽ ἐγώ ἀντὶ τοῦ ἔφην δὲ ἐγώ, ὡς παρὰ Πλάτωνι.

σκίφη· "καί τινος ποιητοῦ τοὺς στίχους ἔφη Κράντωρ ὁ φιλόσοφος σκίφης εἶναι μεστούς" ⟨Diog. L. 4 27⟩.

σκίφος τὸ ξίφος.

σκίψ καὶ σκνίψ εἶδος ζωυφίου. καὶ αἱ σκνῖπες.

Σκιώνην· ⟨A Vesp. 210⟩ "ἦ μοι κρεῖττον ἦν τηρεῖν Σκιώνην ἀντὶ τούτου τοῦ πατρός."

σκιωρεῖται ⟨an Σκιρῖται⟩ λόχος ἀνδρῶν χ᾽ Ἀρκαδικός, ὁ ἀρχόμενός τε ἐν τοῖς πολέμοις καὶ τελευταῖος ἀναχωρῶν.

Σκλαβηνὸν ἔθνος τὸ πέραθεν τοῦ Ἴστρου.

σκληρὰ βροντή· "καὶ ἐν τούτῳ βροντάς τε σκληρὰς κτυπεῖν, καὶ ὕδωρ λάβρον ἐξ οὐρανοῦ ἐμπῖπτον χαλάσαι τοῖς βαρβάροις τὰς νευράς."

σκληρᾶς ἀοιδοῦ τῆς Σφιγγός. τουτέστι τῆς δυσκόλου, διὰ τὸ αἴνιγμα, ἢ τῆς φονικῆς. ⟨S OR 35⟩ "ὅς γ᾽ ἐξέλυσας ἄστυ Καδμείων μολὼν σκληρᾶς ἀοιδοῦ δασμόν, ὃν παρείχομεν."

σκληραύχενας ἀκαμπεῖς.

σκληροί· Αἰλιανός ⟨cf. v. ἐστόρεσεν⟩ "οἱ ἄνεμοι οἱ σκληροί τε καὶ ἐχθροὶ παραχρῆμα ἐκόπασαν, τὸ δὲ κῦμα ἐστορέσθη." καὶ παροιμία ⟨Synes. p. 92 D⟩ "σκληρότερον ὑλακτῶν Ἠπειρώτου κυνὸς συμφορὰς προσετρίβετο καὶ ἐμεμήνει."

σκληφρός ὁ σκληρὸς καὶ παρηβηκώς, ὁ τὰ σκληρὰ φέρειν δυνάμενος.

σκνίψ ζῷον κωνωπῶδες· ⟨Ps. 104 31⟩ "καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν." καὶ παροιμία "σκνὶψ ἐκ χώρας." ἐπὶ τῶν ταχὺ μετακινούντων ἡ παροιμία· ἔστι γὰρ ὁ σκνὶψ ζῷον μικρὸν ξυλοφάγον.

σκολιὰ Μελήτου, Καρικῶν αὐλημάτων ⟨A Ran. 1337⟩. ὁ Μέλητος οὗτος τραγικὸς ποιητής, ὁ Σωκράτην γραψάμενος. cf. v. Μέλητος.

a σκολιὸν ἡ παροίνιος ᾠδή, ὡς μὲν Δικαίαρχος ἐν τῷ περὶ μουσικῶν ἀγώνων, ὅτι τρία γένη ἦν ᾠδῶν, τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ᾽ ἕνα ἑξῆς, τὸ δ᾽ ὑπὸ τῶν συνετωτάτων ὡς ἔτυχε τῇ τάξει, ὃ δὴ καλεῖσθαι διὰ τὴν τάξιν σκολιόν· ὡς δ᾽ Ἀριστόξενος καὶ Φύλλις ὁ μουσικός, ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες, παρὰ μέρος ἑξῆς μυρρίνας ἔχοντες ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο διὰ τὴν θέσιν τῶν κλινῶν.

σκολιόν. ὑπόμνημα ἔγραψεν Τυραννίων περὶ τοῦ σκολιοῦ μέτρου, ὃ προσετάθη αὐτῷ ὑπὸ Γαΐου Καίσαρος.

σκολιὸν τὸ ῥᾴδιον, κατ᾽ ἀντίφρασιν, μέλος τι ὀλιγόστιχον· "τῶν ἀγαθῶν ⋯ σκολιὸν ᾄδει," οἷον πλοῦτος καὶ ὑγίεια. cf. v. Ἀρχίας extr.

σκολιόν. Τιμοκρέων ὁ Ῥόδιος ἐποποιὸς τοιοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ πλούτου, οὗ ἡ ἀρχή "ὤφελες, ὦ τυφλὲ πλοῦτε, μήτε ἐν γῇ μήτ᾽ ἐν θαλάττῃ μήτ᾽ ἐν ἠπείρῳ φανήμεναι, ἀλλὰ Τάρταρόν τε ναίειν κἈχέροντα· διὰ σὲ γὰρ πάντ᾽ ἐν ἀνθρώποις κακά." τούτοις ἔοικε τὰ ὑπὸ Περικλέους εἰσηγηθέντα. ἔγραψε γὰρ ψήφισμα τοιοῦτον ὁ Περικλῆς "Μεγαρέας μήτ᾽ ἀγορᾶς μήτε θαλάττης μήτ᾽ ἠπείρου μετέχειν," ὅμοια τιθεὶς σκολιὰ τοῖς τοῦ Τιμοκρέοντος. καὶ αὖθις "νόμους ἐτίθει ὥσπερ σκολιὰ γεγραμμένους," περὶ Περικλέους ⟨sch. A Ach. 531⟩. καὶ σκολιός ὁ πανοῦργος.

σκολόπενδρα ἑρπετόν,

σκόλοψ ξύλον ὀξύ. καὶ οἱ τῶν φοινίκων.

σκόλοψ αὐτοῖς καὶ σχοῖνος ἀντεμπαγῶ ⟨A Ach. 229⟩ παροιμία. σχοῖνος εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος. λέγει οὖν ὅτι τρώσω αὐτοὺς ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρῶς, ἐπειδὴ εἰώθασι σκόλοπας ἐγκρύπτειν ἐν ταῖς ἀμπέλοις, ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ εὐχερῶς κακουργῇ. σκόλοψ αὐτοῖς καὶ σχοῖνος ἀντεμπαγῶ, ἵνα μηκέτι πατῶσι τὰς ἀμπέλους τὰς ἐμάς. "καὶ τοὺς σκόλοπας, οὓς ἀνεῖχον ἀπὸ τῆς ὑλοτομίας, προσεκκόπτειν, καὶ τὰ ἐδάφη ὁμαλίζειν."

σκολύθρια ὑποπόδια.

σκόλυθρον σκνιπὸν καὶ ἀνελεύθερον.

σκομβρίζει γογγύζει.

σκομβρίσαι παρὰ Ἰόβᾳ, ἐν β΄ φθορᾶς λέξεως, παιδιᾶς ἀσελγοῦς εἶδος ἀποδίδοται καὶ κατὰ τὸ ἦτρον πλατεῖ τῷ ποδὶ πλήσσοντος, ὡς ψόφον ἐργάσασθαι.

Σκόπας Αἰτωλῶν στρατηγός, ὃς ἀποτυχὼν τῆς ἀρχῆς, ἧς χάριν ἐτόλμα γράφειν τοὺς νόμους, μετέωρος ἦν εἰς τὴν Ἀλεξάνδρειαν, ταῖς ἐκεῖθεν ἐλπίσι πεπεισμένος ἀνα-

πληρώσειν τὰ λείποντα τȣ̃ βίȣ καὶ τὴν τῆς ψυχῆς πρὸς τὸ πλεῖον ἐπιθυμίαν. ἀλλ' ἀκόρεσος ἦν. ἀφικομένῳ γὰρ εἰς Ἀλεξάνδρειαν, πρὸς ταῖς ὠφελείαις ὧν ἦν αὐτὸς κύριος διὰ τὸ πιστεύεσθαι περὶ τῶν ὅλων, καὶ τῆς ἡμέρας ἑκάστης ὀψώνιον ἐξέθηκεν ὁ βασιλεὺς αὐτῷ δεκαμναιαῖον, τοῖς δὲ ἐπί τινος ἡγεμονίας μετὰ ταῦτα τεταγμένοις μναιαῖον. ἀλλ' ὅμως ȣ̓κ ἤρκεῖτο τȣ́τοις, ἀλλ' ὡς τὸ πρότερον προσκαρτερῶν τῷ πλείονι διετέλεσε, μέχρι διὰ τὴν ἀπληστίαν καὶ παρ' αὐτοῖς τοῖς διδȣ̃σι φθονηθεὶς τὸ πνεῦμα προσέθηκε τῷ χρυσίῳ. Polyb. 13 2.

b **Σκόπας** ὄνομα κύριον. cf. v. ῥεμβώδȣς.

Σκοπελιανός Κλαζομένιος σοφιστής, γεγονὼς ἐπὶ Νέρβα, σοφιστεύσας ἐν Σμύρνῃ. ἀκροατὴς δὲ ἐγένετο Νικήτȣ, συγχρονῶν Ἀπολλωνίῳ τῷ Τυανεῖ· πρὸς ὃν καὶ ἐπιστολὰς ἔγραψεν Ἀπολλώνιος.

σκοπέλῳ ὑψηλῷ τόπῳ.

σκοπιά ὑψηλὸς τόπος· "καὶ ἕτεροι τὰς ὑπερδεξίȣς τῶν πεδίων καταλαμβάνȣσι σκοπιάς." Αἰλιανός "ȣ̓κ ἐπαινεῖ θεὸς οὐδὲ τȣ̀ς τὰ μέτρα πατȣ̃ντας, γλιχομένȣς γε μὴν τῶν ὑπὲρ ἑαυτȣ́ς τε καὶ ὑψηλὰς σκοπιάς."

σκοπιάζων ⟨Hom. Ξ 58⟩ σκοπῶν, ἀποβλέπων. καὶ **σκοπιαζέμεν** ⟨K 40⟩.

σκοπιήτης κατάσκοπος· ἐν ἐπιγράμματι ⟨AP 6 16⟩ "σοὶ τάδε, Πὰν σκοπιῆτα, παναίολα δῶρα σύναιμοι τρίζυγες ἐκ τρισσῆς θέντο λινοστασίης."

σκοπιωρȣ̃νται ⟨A Vesp. 361⟩ φυλακτικῶς σκοπȣ̃σιν ἀπὸ μετεώρȣ.

σκοπόν τύπον ᾧ στοιχȣ̃σι καὶ ἀκολουθȣ̃σι. καὶ **ἄσκοπος** οὗ μὴ ἔστι σκοπός· ⟨AP 1 34⟩ "ἄσκοπον ἀγγελίαρχον ἀσώματον εἴδεϊ μορφῆς ἆ μέγα τολμήεις κηρὸς ἀπεπλάσατο."

σκοπός κατάσκοπός τις καὶ ἔφορος, καὶ ἀποσκοπῶν τὰ πόρρω.

σκοπῶν ἀντὶ τȣ̃ ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων, περὶ ȣ̓̃ ἂν τὴν σκέψιν ποιῇ.

σκορακίζειν οἷον ἐς κόρακας ἀποπέμπειν· ἀπὸ τούτου γὰρ εἴρηται, ὡς καὶ τὸ οἰμώζειν ἀπὸ τȣ̃ οἴμοι. καὶ **σκορακισμός**.

σκορδινᾶσθαι τὸ παρὰ φύσιν ἀποτείνειν τὰ μέλη μετὰ τȣ̃ χασμᾶσθαι διακλώμενον· Ἀριστοφάνης Ἀχαρνεῦσι ⟨30⟩ "στένω, κέχηνα, σκορδινῶμαι, πέρδομαι." γίνεται δὲ περὶ τȣ̀ς ἐγειρομένȣς ἐξ ὕπνȣ, ὅταν χασμώδεις ὄντες ἐκτείνωσι τὰ μέλη· ὅπερ συμβαίνει καὶ περὶ τȣ̀ς ἄλλως πως βασανιζομένȣς καὶ διαστρεφομένȣς τὰ μέλη.

σκορδινῶμαι ἀντὶ τȣ̃ κλῶμαι, σπασμῷ συνέχομαι· οἱ γὰρ ἀπὸ πληθωρίας σκορόδων ἐμȣ̃ντες διὰ τὴν δριμύτητα μᾶλλον σπῶνται. τὸ δὲ ἐμεῖν καὶ τὸ ὁπωσȣ̃ν κενȣ̃σθαι σκορδινᾶσθαί ἐστιν. οἱ δὲ κυρίως τὸ σκορδινᾶσθαί φασιν ἐπὶ τῶν κυνῶν τῶν ἐξ ὕπνȣ ἀνισταμένων, ὅταν τὰ μέλη καὶ ὅλȣς αὐτȣ̀ς διατείνωσιν. ἔστιν οὖν σκορδινᾶσθαι τὸ ἀνακλᾶσθαι μετὰ χάσμης. γίνεται δὲ ἀπὸ ἀλογίας τὸ τοιοῦτον.

σκοροδίοις τοῖς τῶν σκορόδων φύλλοις· Ἀριστοφάνης Πλȣ́τῳ ⟨819⟩ "ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι, ἀλλὰ σκοροδίοις," γελοίως ἀντὶ τȣ̃ σαβάνοις. ἐπειδὴ δὲ ἤσθιον ἑκάστοτε σκόραδα, τȣ̃τό φησιν ὅτι ὡς πλȣτήσαντες κατεφρόνησαν τῆς παλαιᾶς διαίτης. εἴρηται δὲ σκόροδον, ἴσως σκαιὸν ῥόδον τι ὄν, παρὰ τὸ σκαιὸν ὄζειν. τινὲς δὲ σκοροδίοις τοῖς τῶν σκορόδων καυλοῖς· λιμῷ δὲ περιπεσόντες οἱ Ἀθηναῖοι τȣ́τοις ἐχρήσαντο. ȣ̓χ ἁπλῶς δὲ τȣ̃το, ἀλλ' ἵνα δείξῃ ὅτι τοσαύτῃ μεταβολῇ κεχρήμεθα ὥστε, ἃ πρότερον ἠσθίομεν ἀγαπητῶς, τȣ́τοις νῦν ἀφοδεύοντες ἀποματτόμεθα. μήποτε δὲ τȣ̃ σκορόδου λέγει τὸν καυλόν· ἔστι γὰρ ἀσφοδέλῳ ὅμοιος, κἀκεῖνος ἐπιτήδειος εἰς τȣ̃το. εἰ δ' ἄρα δηκτικόν τι ἔχει, τάχα ἂν εἴη παρὰ τὴν ὑπόνοιαν εἰρηκώς ⟨sch. A Plut. 819⟩. καὶ αὖθις ⟨A Ach. 162⟩ "ἀπόλλυμαι τὰ σκόροδα πορθȣ́μενος." ἐκ τῶν ἀγρῶν ἔρχεται ἔχων φορτίον σκόροδα, καὶ ἐπηρεάζεται ὑπὸ τῶν ξένων λιμωττόντων καὶ διαρπαζόντων αὐτά, παρ' ὅσον οἱ πορθούμενοι ἀπόλλυνται. ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες ȣ̓κ ἀπεικότως· θερμὰ γάρ εἰσιν, οἱ δὲ Θρᾷκες ψυχρὰν χώραν νέμονται. καὶ παροιμία "σκόροδον ἐν δικτύοις" ⟨A Ach. 594⟩. οἱ Ἀθηναῖοι μέλλοντες πλεῖν καὶ ἐξιέναι ταῦτα ὠνȣ̃ντο καὶ ἐν λίνοις ἔβαλλον.

σκορπιαίνεσθαι ἀποθηριȣ̃σθαι, τραχύνεσθαι, ἀπαυθαδίζεσθαι· "ἐς μέντοι τὰς συνθεατρίας εἰώθει ἐσαεὶ σκορπιαίνεσθαι· βασκανίᾳ γὰρ πολλῇ εἴχετο" Προκόπιος ⟨Arc. 9⟩. "ἦν δὲ ἄρα ἡ Θεοδώρα σκορπιώδης" τουτέστι πληκτική "καὶ ὀργὴν σκοτεινή" ⟨id. 1⟩.

σκορπίδια μηχανικὸν ἀλέξημα. "ὁ δὲ Ἀρχιμήδης πάλιν ἑτέραν ἡτοιμάκει παρα-

σκευὴν πρὸς τοὺς ἀπομαχομένους ἐκ τῶν πλοίων. ὡς ἀνδρομήκεις ὕψους κατεπύκνωσε τρήμασι τὸ τεῖχος ὡς παλαιστιαίοις τὸ μέγεθος κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν· οἷς τοξότας καὶ σκορπίδια παραστήσας ἐντὸς τοῦ τείχους διὰ τούτων ἀχρήστους ἐποίει τοὺς ἐπιβάτας" (Polyb. 8 7).

σκορπίζω αἰτιατικῇ.

σκορπίος.

σκοταῖος ἔτι σκοτίας οὔσης ἐλθών· "οἱ δὲ στρατιῶται ἐλθόντες σκοταῖοι εἶδον τὰ σώματα, καὶ νόμῳ τῶν Βαβυλωνίων ἐπέρριψαν αὐτοῖς ὃ μὲν κάνδυν ὃ δὲ χλαμύδα ὃ δὲ ψωμοὺς ὃ δὲ ἀκρόδρυα, καὶ μέγα κεφάλαιον ἠθροίσθη μικρῶν κερματίων" (Iamblich. Bab. ?). "οἱ δὲ ὕστεροι σκοταῖοι προσιόντες ηὐλίζοντο" (X Anab. 2 2 17).

σκοτεινόν ἀφεγγές.

σκοτίζω αἰτιατικῇ.

σκότιος· "ἦν δὲ Ἰουστινιανὸς δολερός, κατάπλαστος, σκότιος ὀργήν" (Procop. Arc. 8). καὶ σκότιος ὁ τοῦ σκότους· "φεύγεθ' ὑπ' ἐκ καλύβης σκότιοι μύες. οὔτι πενιχρὴ μῦς σιπύη βόσκειν οἶδε Λεωνίδεω" (AP 6 302). "σκότιον δέ ἑ γείνατο μήτηρ" (Hom. Z 24), τουτέστιν ἐκ λαθραίας μίξεως.

σκοτοδινιᾷ σκοτοῦται, μετὰ σκότους ὀφθαλμῶν συστρέφεται, ὅ ἐστιν ἰλιγγιᾷ.

σκοτόμαινα σκότωσις, σκοτομήνη δὲ νὺξ ἀσέληνος. καὶ σκοταῖος ὁ ἔτι σκότους ὄντος παραγενόμενος.

a σκότος ἀρσενικόν· Αἰλιανός "καὶ διὰ πάσης ἡμέρας σκότος ἦν βαθύτατος· καίτοι τὰ τῆς ὥρας οὐδαμῇ χειμέρια ἦν." cf. v. ἀνεχύθη.

b σκότος αἱ θλίψεις, φῶς δὲ ἡ τούτων ἀπαλλαγή· Δαβίδ "φωτιεῖς τὸ σκότος μου." Theodoret. in Ps. 17 29.

c σκότος παρὰ τῇ θείᾳ γραφῇ ποτὲ μὲν ἡ ἄγνοια, ποτὲ δὲ καὶ αἱ συμφοραί. καὶ φῶς ὡσαύτως ἡ γνῶσις καὶ ἡ τῶν κακῶν ἀπαλλαγή. Theodoret. in Ps. 111 4.

σκρίβας. σκρίβων κατὰ Λατίνους ὁ τῶν σωματοφυλάκων ὑπερφερόμενος. Theophyl. Sim. 1 4, 7 3.

σκρινιάριος ὁ χαρτουλάριος τοῦ ἐπάρχου, .ὁ αἴρων τὸ σκρινίον ἤτοι τὸ κιβώτιον.

σκυβαλίζεται ἀποδοκιμάζεται, ἀτιμάζεται ὡς σκύβαλον. κυρίως δὲ σκύβαλον, κυσίβαλόν τι ὄν, τὸ τοῖς κυσὶ βαλλόμενον. ἐν ἐπιγράμματι (AP 6 302) "οὐδ' ἀποδειπνίδιου γενόμενος σκυβάλου; σπεύδων εἰς ἄλλους οἴκους ἴθι."

σκυδμαίνω ὀργίζομαι.

σκυζᾶν ἐπὶ συνουσίαν ὁρμᾶν· "ἡ κάμηλος κύει μῆνας δέκα, τῷ δὲ ἑνδεκάτῳ τίκτει καὶ πάλιν διαλιποῦσα ἐνιαυτὸν σκυζᾷ."

σκύζομαι ὀργίζομαι.

Σκύθαι. ὅτι ἐπὶ Κλαυδίου βασιλέως Ῥωμαίων Σκυθῶν οἱ περιλειφθέντες, ἐκ τῶν προλαβουσῶν ἐπαρθέντες ἐφόδων ἐπὶ Γαλλιηνοῦ τοῦ μικροῦ, Ἐρούλους καὶ Πευκίστας καὶ Γότθους παραλαβόντες καὶ περὶ τὸν Τύραν ποταμὸν ἀθροισθέντες εἰσέβαλον εἰς τὸν Πόντον. ναυπηγησάμενοι δὲ πλοῖα ἑξακόσια καὶ τούτοις ἐμβιβάσαντες β' καὶ λ' μυριάδας, ἄραντες διὰ τοῦ Πόντου, πόλει Τόμει προσβαλόντες ἀπεκρούσθησαν. ὡσαύτως καὶ Μαρκιανουπόλει. ἐπεὶ δὲ τὰ στενὰ τῆς Προποντίδος κατέλαβον, ἐκ τοῦ ῥεύματος τὰ πλοῖα ἀλλήλοις προσήραττε καὶ ἐφέρετο τὰ σκάφη σὺν οὐδενὶ κόσμῳ, τῶν κυβερνητῶν μεθιέντων τοὺς οἴακας, ὥστε τὰς μὲν καταδῦναι αὐτάνδρους, τινὰς δὲ καὶ ἀνδρῶν ἐρήμους ὀκεῖλαι· καὶ πλεῖσοι ἀπώλοντο. οἱ δὲ περιλειφθέντες τὴν ἐπὶ Κύζικον ἔπλεον, καὶ ἄχρι τοῦ Ἄθω παρενεχθέντες καὶ τῶν πλοίων ἐπιμέλειαν ποιησάμενοι Κασάνδρειαν καὶ Θεσσαλονίκην ἐπολιόρκουν. ἀποκρουσθέντες δὲ ἐς τὴν μεσόγειον ἀναβάντες πᾶσαν χώραν ἐληΐζοντο, καὶ κατὰ διαφόρους χώρας διεφθείροντο. ὅσοι δὲ διεσώθησαν, Ῥωμαίοις συνηριθμήθησαν καὶ πρὸς γεωργίαν ἐτράποντο. Zosim. 1 42.

Σκύθαινα ἡ ὑπηρέτις· Ἀριστοφάνης (Lys. 184) "ποῦ 'σθ' ἡ Σκύθαινα."

Σκύθης ὁ Ῥῶς. καὶ παροιμία "Σκύθης τὸν ὄνον" ἐπὶ τῶν ἀκκιζομένων τῷ λόγῳ ... μὲν πρῶτα, αὖθις δὲ πολυπραγμονήσας περὶ αὐτὸν ἐπονεῖτο. cf. v. ἀκκιζόμενος.

σκυθικαί εἶδός τι ὑποδήματός ἐστιν, ὡς Ἀλκαῖος ἐν η' "σκυθικὰς ὑποδησάμενος." Harp.

σκυθρωπάζω τὸ στυγνάζω. μεταφορικὴ ἡ λέξις ἀπὸ τῶν Σκυθῶν... καὶ τὸ ὤψ ὠπός, ὃ σημαίνει τὸ πρόσωπον· ὄψ γὰρ ἡ φωνὴ διὰ τοῦ ο μικροῦ. (Amphis ap. Diog. L. 3 28) "ὦ Πλάτων, ὡς οὐδὲν ᾔσθα πλὴν σκυθρωπάζειν μόνον, ὥσπερ κοχλίας σεμνῶς

ηρκὼς τὰς ὀφρῦς·"

σκῦλα τὰ ἀπὸ τῶν πολεμίων ἀνῃρημένα, ἱ ἐκ τῶν νεκρῶν, λάφυρα δὲ τὰ ἐκ τῶν ὄντων. καὶ ἐν ἐπιγράμματι (AP 6 161) υλοφόρος· "ἑσπερίᾳ Μάρκελλος ἀνερμενος πολέμοιο σκυλοφόρος κραναῆς τέρμα ῳ' Ἰταλίης." καὶ σκυλοδεψῶν· Ἀριστοάνης (Eccl. 439) "ὅσοις δὲ κλίνη μή 'στι μηστρώματα, ἰέναι καθευδήσοντας ἐς τῶν κυλοδεψῶν," ἐπὶ τῶν λαθεῖν μὴ δυναμέν.

Σκύλαξ Καρυανδεύς (πόλις δέ ἐςι τῆς ρίας πλησίον Ἁλικαρνασσȣ̃ τὰ Καρύανδα), θηματικὸς καὶ μουσικός, περίπλουν τῶν ρακλέως ςηλῶν, τὰ κατὰ τὸν Ἡρακλείδην Μυλασσῶν βασιλέα, γῆς περίοδον, ἀντιφὴν πρὸς τὴν Πολυβίȣ ἱςορίαν.

Σκύλλα ἐν τῷ Τυρρηνικῷ πελάγει θην ἐμυθεύετο εἶναι μέχρι μὲν ὀμφαλῶν αικὸς περικαλλȣ̃ς σχῆμα ἔχον, ἑκατέρω δὲ κυνῶν κεφαλὰς ς', τὸ δὲ ἄλλο σῶμα ῶδες. Nonn. in Greg. Naz. stelit. p. 144.

σκυμνεία γονὴ ἡ τῶν σκύμνων.

σκύμνος σκύλαξ λέοντος. cf. v. ȣ̓ χρή.

Σκυρίαν δίκην. οἱ σκηπτόμενοι ἐν ταῖς αις ἔφασκον εἰς Σκῦρον ἀποδημεῖν. Σκῦ δὲ νῆσός ἐςι.

σκυρίττω κερατίζω.

σκυτάλαι στρογγύλα καὶ λεῖα ξύλα. ρὰ δὲ Ἡροδότῳ (3 136) ῥάβδος.

σκυτάλη βακτηρία ἀκροπαχής. ἢ φραλιον.

σκυτάλη ἐπιςολὴ Λακωνική. ἦν δὲ ἡ τάλη ξύλον ἐξεσμένον ἐπίμηκες. δύο δὲ ὰ Λακεδαιμονίοις ὑπῆρχον σκυτάλαι, καὶ μὲν μίαν κατεῖχον οἱ ἔφοροι τῶν Λααιμονίων, τὴν δὲ ἑτέραν τῷ ἐκπεμπομένῳ ' αὐτῶν ςρατηγῷ παρεῖχον. καὶ ὁπότε λοντό τι ἐπιςεῖλαι αὐτῷ, φέροντες ἱμάντα κὸν περιεῖλȣν τὴν σκυτάλην, καὶ ἐπὶ τȣ̃ ντος ἔγραφον, καὶ ἀνελίττοντες παρεῖχον ἱμάντα τῷ ἀποφέροντι. τȣ̃το δὲ ἐποίȣν μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηενον ἐν αὐτῷ. ὁ δὲ ςρατηγὸς δεχόμενος ἱμάντα τῇ ἑαυτȣ̃ σκυτάλῃ περιείλιττε, ἀνεγίνωσκεν ȣ̃τω τὰ γεγραμμένα. λέγεἦν καὶ ἡ ἐπιςολὴ καὶ αὐτὸ τὸ ξύλον, ȣ̃ καὶ ἡ ἐπιςολή. Διοσκορίδης δ' ἐν τοῖς ἱ νομίμων τȣ̀ς δανείζοντας ἐν Σπάρτῃ ρεῖν σκυτάλην δύο παρόντων μαρτύρων, καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι, καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι, τὸ δὲ δι' ἑαυτȣ̃ ἔχειν. ἐχρῶντο δ' αὐτῷ καὶ ἀλλοίως, ὡς Ἀριςοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ μβ'. cf. sch. Thuc. 1 131.

σκυταλίδες πυροβόλα ἐργαλεῖα. ἦσαν δὲ τοιαῦτα σκυτάλια ξύλινα, τὰ μὲν ποδιαῖα τὰ δὲ πηχυαῖα· πάντα δὲ ταῖς κατασκευαῖς ἦσαν ἀκροθιγῆ. ταῦτα κέντροις σιδηροῖς διείληπτο τὰς κεφαλάς, διὰ δὲ τῶν κέντρων διεπέπλεκτο ςυππεῖον καὶ δᾷδες, κατὰ δὲ τῶν αὐτῶν πίττα κατεκέχυτο. καὶ οἱ μὲν ἀνεδίδοσαν ἐνάπτοντες, οἱ δὲ ἔβαλλον ἀπὸ τόνȣ ταῦτα πρὸς τὰς πρώτας οἰκίας· ὧν προσπιπτόντων μετὰ βίας, καὶ τῶν κέντρων ταῖς σανίσι πηγνυμένων, προσέμενε τὸ πῦρ καὶ ταχέως ἦθε.

σκυτάλι' ἐφόρȣν (A Av. 1272) ἀντὶ τȣ̃ ἐλακώνιζον.

σκύταλον τὸ ῥόπαλον· "ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην." Ἡρόδοτος (3 137) "καὶ τοῖς σκυτάλοισι ἔπαιον τȣ̀ς Πέρσας," ὅ ἐστι βακτηρία ἀκροπαχής. Ἀριστοφάνης (Eccl. 76) "τὸ σκύταλον ἐξήνεγκα τὸ τȣ̃ Λαμίȣ." ἦν δὲ πένης, ἀπὸ ξυλοφορίας ζῶν· διὸ καὶ βακτηρίαν ἐξενέγκασα αὐτȣ̃ φησὶν εἶναι. κωμῳδεῖται γὰρ ὡς δεσμοφύλαξ. "τȣ̃τ' ἐςὶν ἐκείνων τῶν σκυτάλων ὧν πέρδεται," ἀντὶ τȣ̃ ὧν φέρει. ἢ ἴσως ὑπὸ τȣ̃ βάρȣς ἐπέρδετο.

σκύτινος κοίτη ἢ δέρμα· Ἀριςοφάνης Νεφέλαις (879) "ἁμαξίδας τε σκυτίνας εἰργάζετο," τȣτέςι δερματίνας ἁμάξας ἐποίει. "ἐπὶ τῇ κεφαλῇ κράνη σκύτινα, οἷάπερ τὰ Παφλαγονικά, κρωβύλον ἔχοντα κατὰ μέσον, ἐγγυτάτω τιαροειδῆ" (X Anab. 5 4 13).

σκυτίς σκυτίδος.

σκυτοδέψης δερματομαλάκτης, καὶ βυρσοδέψης. ὅτι Κλέων ὁ Ἀθηναῖος ὁ Κλεαινέτȣ, ςρατηγός, μανιώδης ἀνήρ, βυρσοδέψȣ παῖς.

σκῦτος πᾶν δέρμα. ἀφ' ȣ̃ καὶ σκυτεύς. "ἣ δὲ εἰς τὸ κράνος φέρει τὸ δόρυ, ȣ̓ μέντοι διεῖλέ γε περιολισθήσης τῆς αἰχμῆς περὶ τὸ σκῦτος."

σκυτοτόμος σκυτεύς, λωροτόμος· Ἀριςοφάνης (Eccl. 385) "καὶ δῆτα πάντας σκυτοτόμοις εἰκάζομεν. ἀλλ' ὑπερφυῶς ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ ἐκκλησία." περὶ τῶν γυναικῶν λέγει, ὅτι ἦσαν λευκαί. ἐπειδὴ οἱ

σκυτοτόμοι ἐν σκιᾷ καθεζόμενοι ἐργάζονται καὶ εἰσὶν ἐσκιατραφημένοι, τῦτο εἴρηκε.

σκύφος ποτήριον· "καὶ σκύφον Ἡρακλέυς προπιόντος, ἀπνευςὶ πιὼν ἔσχε κακῶς." προπιόντος ἀντὶ τῦ προτιμῶντος.

σκώληξ εἶδος ζωυφίυ.

σκῶλος εἶδος ἀκάνθης, ἢ σκάνδαλον. "τῦ μὲν ἐγὼ ζώοντος ἀναιδέσιν ἐμπήξαιμι σκώλυς ὀφθαλμοῖσι, καὶ εἰ θέμις, ὠμὰ πασαίμην." καὶ αὖθις "ἔκ μοι σκῶλον ἔρυσσον, ὅ μοι κακὸν ἔμπεσεν ὁπλῇ" ὁ ὄνος φησὶ πρὸς τὸν λύκον.

σκωμμάτιον σκατόν· Ἀριστοφάνης ⟨Vesp. 1280⟩ "ὐδὲν ἄρ' ἐμῦ μέλον, οἷον δὲ μόνον εἰδέναι, σκωμμάτιον εἴ ποτέ τι θλιβόμενος ἐκβαλῶ. ταῦτα κατιδὼν ὑπό τι μικρὸν ἐπιθήκισα."

σκώπτης ὁ λοίδορος. καὶ σκωπτόλης ὁ Λυσίςρατος ⟨A Vesp. 784⟩.

σκῶρ ἀείνων. τινές φασι τῷ σκῶρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν Ἀταλάντης δράματι, ψεῦδος δέ· πολλῷ γὰρ ὕςερον τῶν Βατράχων. σκῶρ δὲ ἀείνων τὸ ἀεὶ ῥέον· νάον νῶν. σκῶρ δὲ ἀποπάτημα, κόπρος. καὶ ἔςιν ἑτερόκλιτον· ἡ γὰρ γενικὴ σκατός. Ἀριςοφάνης Βατράχοις ⟨146⟩ "εἶτα βόρβορον πολὺν καὶ σκῶρ ἀείνων."

σκωραμίς. ἀμὶς μὲν ἐν ᾧ ὐρῦσι, σκωραμὶς δὲ ἐν ᾧ ἀποπατῦσιν· ⟨A Eccl. 371⟩ "ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική." καὶ σκωροποιῶ ἐξ αὐτῦ.

σκωρεία. ὕτως ἡ παράδοσις.

σκώψ εἶδος ὀρνέυ νυκτερινῦ.

σμάραγδος. θηλυκῶς λέγει. ἔστι δὲ εἶδος λίθυ πολυτίμυ· "ἔλεγχος δὲ βεβαιότατος τῆς θεοσεβείας Πολυκράτυς τῦ Σαμίυ ἡ τῆς σμαράγδυ τῆς ἐμβληθείσης εἰς τὸ πέλαγος εὕρεσις, καὶ θηραθεὶς ὁ ἰχθῦς ὁ ταύτην καταπιών." καὶ σμαράγδειον μέταλλον γῆς.

σμερδαλέον ⟨Hom. B 334⟩ καταπληκτικόν.

Σμέρδις ὄνομα κύριον.

σμῆγμα καθαρτικόν, τὸ ἀποσμῆχον.

Σμηκύθης ⟨A Eq. 965⟩ ὄνομα κύριον. διεβέβλητο δὲ ὡς γυναικώδης τὸν τρόπον. τὸ δὲ πλῆρες Σμηκύθης κύριος, ὥσπερ ἐν ταῖς εἰσαγωγαῖς τῶν ἐγκλημάτων κηρύττειν εἰώθασιν, ἐπειδὰν γυναικὶ ἐπιφέρηται ἔγκλημα. ὕτω γὰρ προσκαλεῖσθαι εἰώθασιν ἐν τῷ δικαςηρίῳ "ἡ δεῖνα καὶ ὁ κύριος," τυτέςιν ὁ ἀνήρ. ἅμα ὖν ὡς γυναικώδη τὸν Σμήκυθον κωμῳδεῖ καὶ ἔχοντα κύριον ὡς αἱ θήλειαι. εἴρηται ὖν ἐπὶ τῶν γυναικωδῶν. ἦν δὲ Θρᾳκῶν βασιλεὺς κίναιδος. κύριον δέ, ὡς εἴρηται, τὸν ἄνδρα λέγει· ὕτω γὰρ ἀπεγράφοντο ἐν τοῖς δικαςηρίοις, "Ἀσπασία καὶ κύριος."

σμήνη τὰ τῶν μελισσιῶν πλήθη. ⟨X Anab. 4 8 20⟩ "ἐς Κόλχυς ἐμβαλόντες ὐδὲν ὅ τι καὶ ἐθαύμασαν. τὰ δὲ σμήνη πολλὰ ἦν αὐτόθι, καὶ τῶν κηρίων ὅσοι ἔφαγον τῶν ςρατιωτῶν, πάντες ἄφρονές τε ἐγένοντο καὶ ἤμυν, καὶ ἔκειντο πολλοί, καὶ τῇ ὑστεραίᾳ ἀνίσταντο ὥσπερ ἐκ φαρμακοποσίας." ⟨AP 6 239⟩ "σμήνεος ἔκ με ταμὼν γλυκερὸν θέρος ἀντιχειμαίων γηραιὸς Κλείτων σπεῖσε μελισσοπόνος."

σμῆνος πλῆθος μελισσῶν, οἱονεὶ ἐσμός. ἰδίως δὲ σμῆνος καλεῖται τὸ σύςημα τῶν μελισσῶν. ὁμηρικῶς ὖν κέχρηται τῇ τροπῇ· φησὶ γὰρ περὶ τῦ Νέςορος ⟨A 249⟩ "τῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή." καὶ ἡ δοτικὴ τῷ σμήνει. καὶ σμηνυργεῖν ῥῆμα.

σμῆξις τρῖψις, ἐκ τῦ σμήχω. καὶ σμῆξαι καθᾶραι.

σμήρινθοι σπάρτα, σχοινία λεπτά.

σμικρολόγος ὁ φειδωλός. "ποῖ..., κατ' οἶκον ἐςιῶντα ἡμᾶς ἀπολύειν ἔτι ...νῶντας." cf. v. τραγήματα.

Σμικυθίων ὄνομα κύριον.

σμῖλαξ βοτάνη.

σμιλεύματα τὰ ἐκβαλλόμενα ὑπὸ σμίλης, ἀντὶ τῦ διαγλύμματα, ἐρεθίσματα· ⟨A Ran. 835⟩ "σμιλεύματά τ' ἔργων φωτὸς ...νομένυ."

σμίλη ἐργαλεῖον· ἐν ἐπιγράμματι ⟨AP 6 62⟩ "καὶ σμίλαν δονάκων ἀκροβελῶν γλυφίδα." μακρὸν τὸ ι. καὶ σμίλης ὁλκοί ἀντὶ τῦ γραφείυ, τὰ σημεῖα τῶν γραμμάτων· ⟨A Th. 785⟩ "ἄγε δὴ πινάκων ξεστῶν δέλτοι, δέξασθε σμίλης ὁλκούς." καὶ σμιλίον.

σμινύην σκαφεῖον, ἢ δίκελλαν, ἢ ἀξίνην. "ὁ δὲ ὀρύττειν ἐκέλευε σμινύαις" δικέλλαις. "ὑπὸ λαμπρᾷ τῇ σελήνῃ." καὶ αὖθις ⟨A Nub. 1501⟩ "τῦτ' αὐτὸ καὶ βύλομαι, ἦν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας," ἀντὶ τῦ μὴ ...κλασθῇ.

Σμοιός ὄνομα κύριον, αἰσχροποιὸς εἰς γυναῖκας· ⟨A Eccl. 841⟩ "Σμοιὸς δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων τὰ τῶν γυναικῶν διακαθαίρει τρύβλια."

σμυγεράν.

σμῦξαι ⟨Hom. I 649⟩ καῦσαι.

σμύραινα. ἰχθῦς.

σμύρνα ὁ τάφος τȣ̃ Χριςȣ̃, ἡ ἐνταφίασις· νεκροῖς γὰρ αὕτη διαφερόντως προσφέρεται. Theodoret. in Ps. 44 10.

σμυχόμενος καιόμενος, ἀναλισκόμενος.

σμώδιγγες μώλωπες, καὶ σμῶδιξ ⟨Hom. B 267⟩ μώλωψ, τὸ ἐκ πληγῶν οἴδημα.

σμώχειν τὸ λοιδορεῖν, ἀπὸ τȣ̃ καθάπτεσθαι τῶν σμωμένων.

σμώχετε ἀντὶ τȣ̃ μασᾶσθε· Ἀριστοφάνης ⟨Pac. 1306⟩ "ἀνδρικῶς ἐμβάλλετον, καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν. ȣ̓δὲν γὰρ ὦ πόνηροι λευκῶν ὀδόντων ἔργον ἔστ', ἢν μή τι καὶ μασῶνται."

Σόαιμος ὄνομα κύριον.

σοβάδες διώκȣσαι, πόρναι.

σοβαρὰ αὔρα σεσοβημένη, εὔκρατος· ⟨A Pac. 934⟩ "ἐν ὅσῳ θεόθεν σοβαρὰ κατέχει πολέμȣ μετάτροπος αὔρα." καὶ σοβαρὸν ἄγαλμα, τῇ πλάσει καὶ τῇ τέχνῃ σοβαρόν.

a σοβαρός λαμπρός, ἐπαιρόμενος, τολμηρός, αὐθάδης, ἔξω τȣ̃ δέοντος φερόμενος. Αἰλιανός ⟨cf. v. ἐπισήματα⟩ "ἔθαψάν τε αὐτὸς σεμνῶς τε καὶ σοβαρῶς." καὶ αὖθις "καὶ ἐτιμᾶτο τιμαῖς τῆς ἐς ἀνθρώπȣς αἰδȣ̃ς τε σοβαρωτέραις."

b σοβαρός ὁ ὑπερήφανος. τȣ̀ς γὰρ Συβαρίτας φασὶ πλȣ́τῳ καὶ τρυφῇ ὑπερέχειν· ἐκ τȣ̃ Συβαρίτȣ ȣ̃ν ὁ σοβαρός.

c σοβαρός. ἀπὸ τῆς τῶν Συβαριτῶν ἀρχῆς μετήχθη τὸ ὄνομα· οἱ δέ φασι παρὰ τὸ σέβας, ἄλλοι δὲ ἀπὸ τȣ̃ σοβεῖν, ὅπερ ἐςὶ μετὰ σεμνότητος προϊέναι. Αἰλιανός "ἀναθήμασι σοβαροῖς ἐκόσμησε τὸν νεών."

d σοβαρός. "τοιȣ̃τον ἀναζωγραφῶ, ὡς εἰκὸς κȣ̓κ ἀπὸ τρόπȣ, τὸν παραβλῶπα καὶ φιλοκερδῆ καὶ κερδαλέον, βραδύτατον πρὸς τὰ κρείττονα, λιχνωδέςατον δὲ πρὸς πανωλεθρίαν τῶν ἐντυγχανόντων, ἐκβεβακχευμένον ὅτι μάλιςα. ἀλλ' ἐξώλης καὶ προώλης προπηλακισθεὶς ἐς κόρακας ᾤχετο, κατάλληλα τἀπίχειρα τῆς βδελυρίας ὁ ἀποτρόπαιος καὶ οἷον ἀποφρὰς ἀποισάμενος, ὃς ἀνάρσια δικάζων ἀδίκως πολλȣ̀ς κατεδίκαζεν, ὄπιν ȣ̓ δεδοικώς, ȣ̓κ ἀλέγων Ἀδράςειαν, ȣ̓δὲ Νέμεσιν ἐμπαζόμενος. ἀλλὰ ταῦτα τεκμήρια ἐναργῆ τῆς ταρταρώδȣς καὶ τανταλείȣ αὐτȣ̃ τιμωρίας· ὃς κακὰ πόλλ' ἔρδεσκεν ⟨Hom. I 540⟩, ὃς κακὰ πόλλ' ἀποτίσεται" ⟨Aelianus?⟩.

σοβαρῶς ἐκθύμως, σπȣδαίως. sch. A Pac. 82.

σοβεῖ διώκει, κομπάζει· ἐν ἐπιγράμματι ⟨AP 5 251⟩ "καὶ πολὺ κιχλίζȣσα σοβεῖς ἐς βόςρυχον αἴγλην."

σοβεῖν μετὰ σεμνότητος προϊέναι.

Σόβη ὄνομα θηλυκόν. καὶ ἡ ἐξ ἱππείων τριχῶν περικεφαλαία.

Σόδομα καὶ Γόμορρα ὀνόματα πόλεων αἰσχρῶν καὶ βεβήλων. καὶ Σοδομηνός ὁ πολίτης. καὶ Σοδομίτης ὁμοίως.

Σοκέλλιος ὄνομα ἀνδρὸς Ῥωμαίȣ.

σολέμνιον ἡ παρὰ βασιλέως ἀναφαίρετος δωρεὰ διδομένη ταῖς ἐκκλησίαις.

Σολεύς ὄνομα κύριον. τὸν Σολέα αἰτιατικῇ.

Σολήν Σολῆνος ποταμός.

Σολία ὄνομα πόλεως.

Σολόεις ποταμός.

Σόλοι πόλις Κιλικίας καὶ Κύπρȣ, ἀφ' ὧν ὁ σολοικισμός, βαρβαρίζοντες κατὰ τὴν ἰδίαν γλῶσσαν. Σόλων δὲ ταύτην κτίζει· ἀφ' ȣ̃ τὴν ἐπωνυμίαν ἴσχει. ἢ σολοικισμὸς ὁ τȣ̃ σόȣ λόγȣ αἰκισμός. σόος διὰ τȣ̃ ο μικρȣ̃· ἔνθεν καὶ λαοσσόος ἡ τὸν λαὸν σώζȣσα.

Σόλοικος ὄνομα κύριον.

Σολομῶν υἱὸς Δαβίδ, βασιλεὺς Ἰȣδαίων, a
φρονήσει καὶ δυνάμει καὶ πλȣ́τῳ δυνατὸς καὶ περιφανής, δικάζων τε τὸν λαὸν ἐν φρονήσει καὶ σοφίᾳ τȣ̃ κρείττονος ȣ̓ διέλειπεν, ἤσκει τε πᾶσαν σοφίαν θείας χάριτος γέμȣσαν, καὶ τῆς διδασκαλίας ἀκροατὰς πλείςȣς ἐποιεῖτο. ταῦτά τε καὶ τὰ τοιαῦτα διαπραττόμενος, τῷ τῆς φύσεως εὐαλώτῳ περὶ τὰς τȣ̃ σώματος ἡδονὰς ὑπαγόμενος ἄγεται μὲν γυναῖκας χιλίας τὸν ἀριθμόν, πείθεται δὲ ὑπ' αὐτῶν εἰδωλολάτρης γενέσθαι. διὸ προσέταξεν ὁ θεὸς μερισθῆναι τὴν αὐτȣ̃ βασιλείαν, ȣ̓κ ἐπὶ τῶν χρόνων αὐτȣ̃ διὰ μνήμην Δαβὶδ τȣ̃ πατρὸς αὐτȣ̃, ἀλλὰ μετὰ τὴν αὐτοῦ τελευτήν. Io. Antioch. p. 781.

ὅτι τοῖς κραταιοῖς, ὥς φησι Σολομῶν b
⟨Sapient. 6 8⟩, ἰσχυρὰ ἐφίςαται ἔρευνα. του-

τέσι, τοὺς ἐν ἀρετῇ τελείους τὴν ἀκρίβειαν ἀπαιτεῖ, καὶ τοῖς ἄλλοις ἀνθρώποις μεγάλα παρανομοῦσι μακροθυμεῖ, τοῖς δὲ ἁγίοις ταύτης οὐ μεταδίδωσι τῆς συγγνώμης. καὶ αὖθις ὁ Σολομῶν (6 6) "ὁ μὲν ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται."

c Σολομῶν βασιλεὺς Ἱερουσαλήμ, υἱὸς Δαβὶδ ἐκ τῆς Οὐρίου γυναικὸς Βηρσαβέε, ὅστις γυναῖκας ἐξ ἐθνῶν ἠγάγετο παρὰ τὴν ἐντολὴν τοῦ θεοῦ. αἳ δὲ ἦσαν αὐτῷ αἱ σύμπασαι γαμεταὶ μὲν ἅμα ταῖς Ἰσραηλίτισιν ψʹ, παλλακαὶ δὲ τʹ. ἤδη δὲ προβεβηκὼς τὴν ἡλικίαν ὑπὸ τῶν ἐθνικῶν γυναικῶν διεστρέφετο τὸν νοῦν πρὸς εἰδωλολατρίαν· ἐλάτρευσε γὰρ τῇ Ἀστάρτῃ θεῷ Σιδωνίων καὶ τῷ Χαμὼς θεῷ Ἀμμανιτῶν. καὶ ἐκ τῶν χιλίων αὐτῷ γυναικῶν μόνος ἄρσην ἐγένετο Ῥοβοὰμ υἱὸς καὶ αὐτὸς ἐξ ἀλλοφύλου Νααμμᾶς τῆς Ἀμμανίτιδος, ἀνάξιος τῆς ἀρχῆς· οὐ γὰρ ἡ πολυγαμία τὴν εὐτεκνίαν ποιεῖ.

d Σολομῶν Σολομῶντος καὶ Σολομῶνος· καὶ προπαροξυτόνως Σολόμωνος παρ' ἡμῖν. ἡ δὲ παλαιὰ Σαλομῶντα καλεῖ ὡς ἀπὸ τῆς Σαλὴμ πόλεως, ὃ ἐστιν εἰρήνη· ἐν γὰρ τοῖς χρόνοις αὐτοῦ εἰρήνη ἦν.

Σολομώντειος λόγος.

σόλον (Hom. Ψ 826) δίσκον.

Σόλος ὄνομα βουνοῦ.

Σολπίκιος ὕπατος, Ῥοῦφος ἐπίκλησιν, ἀνὴρ ἦν ἔν τε ταῖς πολεμικαῖς πράξεσιν ἐπιφανὴς καὶ πολιτείας προαίρεσιν ἐζηλωκὼς τὴν διὰ μέσου.

Σόλυμα πόλις.

Σολυμᾶς ὄνομα κύριον.

Σόλυμοι ὄνομα ἔθνους.

a Σόλων Ἐξηκεστίδου, Ἀθηναῖος φιλόσοφος, νομοθέτης καὶ δημαγωγός. γέγονε δὲ ἐπὶ τῆς μζʹ ὀλυμπιάδος, οἱ δὲ νςʹ. ἐπιβουλευθεὶς δ' ὑπὸ Πεισιστράτου τοῦ τυράννου ἀπεδήμησεν ἐν Κιλικίᾳ, καὶ ἔκτισε πόλιν, ἣν Σόλους ἐκάλεσεν ἐξ αὐτοῦ. οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασί, καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ. ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες ἄξονες ὠνομάσθησαν διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι, ποίημα δι' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται, ὑποθήκας δι' ἐλεγείων, καὶ ἄλλα. ἔστι δὲ καὶ οὗτος εἷς τῶν ζʹ ὀνομαζομένων σοφῶν, καὶ φέρεται αὐτοῦ ἀπόφθεγμα τόδε, "μηδὲν ἄγαν," ἢ τὸ γνῶθι σαυτόν.

Σόλων. τοῦτον εἵλοντο οἱ Κιρραίοις πολεμεῖν ᾑρημένοι σύμβουλον. χρωμένοις δὲ σφισι περὶ νίκης ἀνεῖπεν ἡ Πυθώ "οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες, πρίν κεν ἐμῷ τεμένει κυανώπιδος Ἀμφιτρίτης κῦμα ποτικλύζοι, κελαδοῦν ἐπὶ οἴνοπα πόντον." ἔπεισεν οὖν ὁ Σόλων καθιερῶσαι τῷ θεῷ τὴν Κιρραίαν, ἵνα δὴ τῷ τεμένει τοῦ Ἀπόλλωνος γένηται γείτων ἡ θάλασσα. εὑρέθη δὲ καὶ ἕτερον τῷ Σόλωνι σόφισμα εἰς τοὺς Κιρραίους· τοῦ γὰρ ποταμοῦ τὸ ὕδωρ ῥέον δι' ὀχετοῦ ἐς τὴν πόλιν ἀπέστρεψεν ἀλλαχόσε. καὶ οἱ μὲν πρὸς τοὺς πολιορκοῦντας ἔτι ἀντεῖχον, ἐκ τε φρεάτων καὶ τὸ ὕδωρ τὸ ἐκ θεοῦ πίνοντες· ὁ δὲ τοῦ ἐλλεβόρου τὰς ῥίζας ἐμβαλὼν ἐς τὸν ποταμόν, ἐπειδὴ ἱκανῶς τοῦ φαρμάκου τὸ ὕδωρ ᾔσθετο ἔχον, ἀντέστρεψεν αὖθις ἐς τὸν ὀχετόν, καὶ ἐνεφορήσαντο ἀνέδην οἱ Κιρραῖοι τοῦ ὕδατος. καὶ οἱ μὲν ὑπὸ τῆς διαρροίας ἐξέλιπον, οἱ δὲ ἐπὶ τοῦ τείχους τῆς φρουρᾶς Ἀμφικτύονες εἷλον τὴν φρουρὰν καὶ τὴν πόλιν. Pausan. 10 37.

Σόλων. ὅτι Σόλων ὁ νομοθέτης Ἀθηναίων, φίλων ἡττώμενος ὀφειλόντων, χρεῶν εἰσηγήσατο ἀποκοπάς.

Σόραιχος· "ἄρτι δὲ ἀπηρκότος τοῦ Σοραίχου ἡ Σιννωνὶς ἐφίσταται." cf. v. Σιννωνος.

σορός μνῆμα, θήκη· (A Vesp. 1404) "οὗτος, τυφεδανὲ καὶ χοιρόθλιψ, πυθεῖς ἐμοῦ τ' ἔοικας ὡραίας σοροῦ." καὶ σοροπηγός Ἀριστοφάνης (Nub. 844) "ἢ τοῖς σοροπηγοῖς τὴν μανίαν αὐτοῦ φράσω;" τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσι. τοῦτ' ἔστιν, ἄλλην ἴασιν οὐκ ἔξει ἢ τὸν θάνατον, καὶ δέον αὐτῷ πρὸς τὴν ταφὴν τὰ ἐπιτήδεια κατασκευάζειν.

Σοσσιανός καὶ Σόσσιος ὀνόματα κύρια.

σοῦ· Ἀριστοφάνης Σφηξί (208) "σοῦ, σοῦ, ...στί με τὸ δίκτυον; σοῦ, σοῦ, πάλιν σοῦ," ἐπὶ ὀρνέων. καὶ αὖθις Ἀριστοφάνης (Th. 184) "σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντεμεῖν λόγους. ἐγὼ δὲ καινῇ ξυμφορᾷ πεπληγμένος ἱκέτης ἀφῖγμαι πρὸς σέ."

Σουβαρμάχιος. οὗτος τῶν δορυφόρων ἦν ἡγεμών, πιστότατος τῷ εὐνούχῳ Εὐτροπίῳ εἴπερ τις ἄλλος. ἔπινε δὲ πλείονα οἶνον ἢ

ὅσον ἠδύνατο χωρεῖν· ἀλλ' ὅμως τὰ περὶ
γαςέρα διὰ συνήθειαν ὅτω καὶ γυμνασίαν
ἰσχυρὰν καὶ νεανικὴν πάντα φέρειν ἐπὶ τὴν
φυσικὴν τῶν ὑγρῶν ἔκκρισιν. ἀεὶ γὂν ἦν,
πεπωκώς τε καὶ ὂ πεπωκώς, μεθύων· τὴν
δὲ μέθην παρεκάλυπτε σφαλερὸν διαβαίνων
τοῖς ποσὶ καὶ πρὸς τὴν πτῶσιν πολεμῶν
ὑφ' ἡλικίας διὰ νεότητα καὶ συνιςάμενος.
ἦν δὲ βασιλικὂ μὲν γένὂς, Κόλχος δὲ ἀκρι-
βὴς τῶν ὑπὲρ Φᾶσιν καὶ Θερμώδοντα, το-
ξότης ἄριςος, εἴ γε μὴ κατετόξευεν αὐτὸν τὸ
περιττὸν τῆς τρυφῆς. Eunap. p. 114 Nieb.

σοῦ γ' εἵνεκα. τὂτο λέγειν εἰώθασιν οἱ
ναῦται τῷ ἐπιβάτῃ. Ἀριςοφάνης Βατρά-
χοις ⟨189⟩.

Σουναμῖτις γυνή.

σούπερβος παρὰ Ῥωμαίοις ὁ ὑπερήφα-
νος. ὅτως ἐκλήθη Ταρκύνιος σούπερβος, ἕβ-
δομος καὶ ἔσχατος Ῥωμαίων βασιλεύς, ὃς
πᾶσαν μετεκίνησε τὴν ἀρχὴν ··· αἰκιζόμενος,
δεσμά τε καὶ μάςιγας, κλοιὂς ξυλίνὂς καὶ
σιδηρὂς, πέδας ἁλύσεις μέταλλα ἐξορίας
ἐφευρών, ὑπερόπτης τε καὶ ἀλαζών. ὅθεν
καὶ τὴν ἐπωνυμίαν ἔσχε· λέγεται γὂν ὁ ἀλα-
ζὼν καὶ σὂπερ εἶναι τῶν ἄλλων θέλων· σὂ-
περ γὰρ τὸ ἐπάνω δηλοῖ. cf. v. Ταρκύνιος.

Σουπηριανός σοφιςὴς τὸ γένος Ἴσαυ-
ρος, τῆς Λαχάρὂ διατριβῆς. ἐγένετο δὲ
ὅτος ὁ Σὂπηριανὸς ὀψιμαθὴς μὲν ἱκανῶς
καὶ τὴν φύσιν ὑπονωθέςερος, ὅτω δὲ ἐπί-
πονος καὶ σπὂδαῖος ὥςε πλειόνων ἢ λ' ἐτῶν
ἀρξάμενον ἀναγινώσκειν τὰ τῶν ῥητόρων
βιβλία καὶ (ἁπλῶς φάναι) λόγοις ἐλευθέροις
προσέχειν τὴν διάνοιαν, ἑαυτὸν ἀπαιτεῖν
πρὸς ἀνάγκης ὂδὲ ἐπιτιμήσεων ὂδὲ μαςίγων
φειδόμενον, ἐκμανθάνειν ἐν τῷ τηλικούτῳ
τῆς ἡλικίας ἅπερ οἱ ἄλλοι πάντες ἐν τῇ νε-
ότητι ἀπαιτὂνται παῖδες ἔτι ὄντες ὑπὸ παι-
δαγωγῶν τε καὶ διδασκάλων. ἀλλ' ὅ γε Σὂ-
πηριανὸς αὐτὸς ὑφ' ἑαυτὂ μεμαστιγωμένος
ἑωρᾶτο πολλάκις ἐν τοῖς βαλανείοις. ὂκὂν
ὂδὲ διήμαρτε τῆς ἐλπίδος, ἀλλὰ μικρὸν ὕςε-
ρον ἐν ταῖς λιπαραῖς καὶ ἀοιδίμοις Ἀθήναις
ἀνηγορεύετο σοφιςής, ὂ πάνυ τῆς Λαχάρὂ
δόξης ἀπολειπόμενος. οἶδα γὰρ καὶ Λαχά-
ρην γεγονότα σοφιςὴν ἐξ ἐπιμελείας τὸ πλέον
ἢ φύσεως· ἐνέτυχον γὰρ αὐτὂ λόγοις, καί
μοι ἔδοξεν ἀπὸ τὂ λόγὂ εἰκάζοντι τὴν πρώ-
την ἐπιμελὴς μὲν εἶναι σφόδρα, τὴν δὲ φύ-
σιν ἀγεννέστερος. εἶδον δὲ καὶ εἰκόνα τοῦ
ἀνδρὸς ἄντικρυς ἀπαγγέλλὂσαν οἷος ἦν Λα-
χάρης τὴν φύσιν, ὅτι βραδύτερος μὲν πρὸς
τὂς λόγὂς, καλὸς δὲ καὶ ἀγαθὸς τὴν ὄψιν
πρὸς ἀρετήν, φιλόσοφος ἄξιος καλεῖσθαι
μᾶλλον ἢ σοφιςής. ἐπεὶ καὶ ἄλλως θεοφι-
λὴς ἀνὴρ ἦν ὁ Λαχάρης, ὅς γε τὰς ὄψεις
ἀποβαλὼν πάλιν ἀνεκτήσατο. Damasc. Phot.
p. 341 b.

Σουρήνας.

Σουσιανή τόπος, καὶ Σὂσινον τὸ μύ-
ρον. ἢ τὸ κρίνον.

Σούσιοι ὄνομα ἔθνὂς· "τὸν νεκρὸν
καύσαντες οἱ Σὂσιοι τὰ ὀςᾶ κομίζὂσι τῷ
πατρὶ Τιθωνῷ."

Σουφείρ χώρα ἐν Ἰνδίᾳ.

Σοφάκας ὄνομα κύριον.

σοφία. καὶ σοφὸς ὁ ταύτην ἐπαγγελλό- a
μενος, ὃς ἂν εἴη κατὰ ἀκρότητα ψυχῆς ἀπη-
κριβωμένος· φιλόσοφος δὲ ὁ σοφίαν ἀσπα-
ζόμενος. Diog. L. prooem. 12.

σοφία καὶ ἡ εὐγλωττία καὶ ἡ τῶν θείων b
ἐπίγνωσις.

σοφία. ὅτι ἀπὸ τὂ πλευρὂ τῆς ἁγίας c
Σοφίας ςῆλαι ἀφῃρέθησαν Ἑλληνικαὶ υκζ
θεῶν Ἑλληνικῶν καὶ Κάρὂ πατρῴου Διο-
κλητιανὂ, καὶ τῶν ιβ' ζωδίων, βασιλέων
δὲ χριςιανῶν ςῆλαι π', ἃς Ἰὂςινιανὸς μερί-
σας τῇ πόλει τὸν μέγαν ναὸν ᾠκοδόμησε.
cf. Codin. orig. Cp. 15.

σοφία μωροῦ ἀδιεξόδευτοι λόγοι.

σοφίαν κοινῶς ἁπάντων μάθησιν, καὶ a
τὴν τέχνην, καὶ τὴν φρόνησιν καὶ ἐπιςήμην,
τὸν νὂν. ἅπαξ ἐχρήσατο Ὅμηρος ⟨O 412⟩
σοφίᾳ, ὂ καθάπερ νῦν τὴν διὰ λόγὂ καὶ
πραγμάτων ἐπισκευὴν λέγων τὂ ἤθὂς, ἀλλὰ
τὴν τεκτονικὴν τέχνην· "εὖ εἰδῇ σοφίης."

σοφίαν Πλάτων ἡγεῖται ἰδιαίτατα μὲν b
τὴν τῶν νοητῶν καὶ ὄντως ὄντων ἐπιςήμην,
ἣν περὶ θεόν φησι καὶ ψυχὴν σώματος κε-
χωρισμένην· ἰδίᾳ δὲ σοφίαν καὶ τὴν φιλο-
σοφίαν καλεῖ, ὄρεξιν ὂσαν τῆς θείας φιλο-
σοφίας. κοινῶς δὲ λέγεται παρ' αὐτῷ σοφία
καὶ ἡ πᾶσα ἐμπειρία, οἷον ὅταν σοφὸν λέγῃ
τὸν δημιὂργόν. Diog. L. 3 63.

σοφιςεία.

σοφιστής πᾶς τεχνίτης. καὶ ὁ τὸ λεκ- a
τικὸν ἠσκηκώς, καὶ ὁ ἐπηρεάζων ἑκὼν ἐν
τοῖς λόγοις.

σοφιστής ἀπατεών, παρὰ τὸ σοφίζε- b
σθαι, ὃ ἔςι λόγοις ἀπατᾶν. λέγεται δὲ σο-

φιςὴς καὶ ὁ διδάσκαλος ὡς σοφίζων. τὸ δὲ παλαιὸν σοφιςὴς ὁ σοφὸς ἐκαλεῖτο· ⟨cf. v. ἰαχήν⟩ "ὀδύναις τε καὶ νόσοις γενέσθαι σοφιστὴν ἄκρον." καὶ Ἀριστοφάνης λέγει σοφίζῃ ἀντὶ τȣ̃ τεχνάζῃ ⟨Eq. 299⟩· σοφίας γὰρ καὶ σοφίσματα τὰς τέχνας ἔλεγον.

c σοφιστής· ⟨A Nub. 1109⟩ "κομιεῖ τοῦτον σοφιστὴν δεξιόν." ȣ̔́τως ἔλεγον πάντας τȣ̀ς πεπαιδευμένȣς. οἱ δὲ παλαιοὶ σοφίαν ἔλεγον καὶ σοφιστὰς τȣ̀ς περὶ μȣσικήν. καὶ Φιλόστρατος ὁ Λήμνιος "σοφοὶ μὲν ἡμεῖς, ἀλλ' ȣ̓ πάντα σοφισταί." Ἀριστοφάνης Νεφέλαις ⟨330⟩ "πλείστȣς ὁτιὴ βόσκȣσι σοφιστάς." τȣ̀ς μετεωρολέσχας νῦν λέγει, καταχρηστικῶς δὲ καὶ πάντας τȣ̀ς ἀπὸ τῶν μαθημάτων ὁρμωμένȣς. καὶ θαυμαστὸν ȣ̓δέν, ὅπȣ μηδὲ τȣ̀ς αὐλητὰς προσαγορεύειν ὤκνησαν ȣ̔́τω· Πλάτων γȣ̃ν ὁ κωμῳδιοποιὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν Ὀπȣ́ντιον ποιητὴν Βακχυλίδην εἰς τȣ̃νομα κατέταξε τῶν σοφιστῶν. σοφισταὶ δὲ πάντες ὅσοι πεπαιδευμένοι. καταχρηστικῶς δὲ Ἀριστοφάνης ἐπὶ πάσης τέχνης ἔλαβε τὸ τῶν σοφιστῶν ὄνομα.

σοφοὶ τύραννοι τῶν σοφῶν συνȣσίᾳ. S Ai. Locro.

a Σοφοκλῆς Σοφίλȣ, Κολωνῆθεν Ἀθηναῖος, τραγικός, τεχθεὶς κατὰ τὴν ογʹ ὀλυμπιάδα, ὡς πρεσβύτερος εἶναι Σωκράτȣς ἔτη ιζʹ. ȣ̔̃τος πρῶτος τρισὶν ἐχρήσατο ὑποκριταῖς καὶ τῷ καλȣμένῳ τριταγωνιστῇ, καὶ πρῶτος τὸν χορὸν ἐκ ιεʹ εἰσήγαγε νέων, πρότερον ιβʹ εἰσιόντων. προσηγορεύθη δὲ μέλιττα διὰ τὸ γλυκύ. καὶ αὐτὸς ἦρξε τοῦ δρᾶμα πρὸς δρᾶμα ἀγωνίζεσθαι, ἀλλὰ μὴ τετραλογίαν. καὶ ἔγραψεν ἐλεγείαν τε καὶ παιᾶνας, καὶ λόγον καταλογάδην περὶ τοῦ χορȣ̃, πρὸς Θέσπιν καὶ Χοιρίλον ἀγωνιζόμενος. παῖδας δὲ ȣ̔̃ς ἔσχεν, ȣ̔̃τοι, Ἰοφῶν Λεωσθένης Ἀρίστων Στέφανος Μενεκλείδης. τελευτᾷ δὲ μετὰ Εὐριπίδην ἐτῶν ϙ. ἐδίδαξε δὲ δράματα ρκγʹ, ὡς δέ τινες, καὶ πολλῷ πλείω· νίκας δὲ ἔλαβε κδʹ.

b ὅτι Ἀπολλώνιος ἐς σωφροσύνην ὑπερέβαλε τὸ τȣ̃ Σοφοκλέȣς. ὃ μὲν γὰρ λυττῶντα ἔφη καὶ ἄγριον δεσπότην ἀποφυγεῖν ἐλθὼν ἐς γῆρας· ὁ δὲ Ἀπολλώνιος ὁ Τυανεὺς ὑπ' ἀρετῆς τε καὶ σωφροσύνης ȣ̓δ' ἐν μειρακίῳ ἡττήθη τȣ́των, ἀλλὰ καὶ νέος ὢν καὶ τὸ σῶμα ἐρρωμένος ἐκράτει τε καὶ λυττῶντος ἐδέσποζεν. ἀλλ' ὅμως συκοφαντȣ̃σί τινες ἐπ' ἀφροδισίοις αὐτὸν ὡς διαμαρτίᾳ ἐρωτικῇ χρησάμενον καὶ διὰ τȣ̃το ἀπενιαυτίσαντα ἐς τὸ Σκυθῶν ἔθνος. ȣ̓́κȣν ȣ̓δὲ Εὐφράτης ποτὲ ἐσυκοφάντησεν ἐπ' ἀφροδισίοις τὸν ἄνδρα, καίτοι ψευδῆ γράμματα κατ' αὐτȣ̃ ξυνθείς· διεφέρετο γὰρ πρὸς τὸν Ἀπολλώνιον, ἐπειδὴ πάνθ' ὑπὲρ χρημάτων αὐτὸν πράττοντα ἔσκωπτεν ȣ̔̃τος καὶ ἀπῆγε τȣ̃ χρηματίζεσθαι καὶ τὴν σοφίαν καπηλεύειν. Philostrat. V. A. 1 10.

Σοφοκλῆς Ἀρίστωνος, υἱωνὸς δὲ Σοφοκλέȣς τȣ̃ πρεσβυτέρȣ, Ἀθηναῖος τραγικός. ἐδίδαξε δὲ δράματα μʹ, οἱ δέ φασιν ιαʹ· νίκας δὲ εἷλεν ζʹ. ἔγραψε καὶ ἐλεγείας.

Σοφοκλῆς Ἀθηναῖος τραγικὸς καὶ λυρικός, ἀπόγονος τȣ̃ παλαιȣ̃. γέγονε δὲ μετὰ τὴν Πλειάδα. δράματα αὐτȣ̃ ιεʹ.

Σοφονίας ὄνομα κύριον.

σοφὸς ὁ θηρεπῳδός· Δαβίδ ⟨Ps. 57 5⟩ "φαρμακȣ̃ται φαρμακευομένη παρὰ σοφȣ̃," ὡς τὸ ⟨Ierem. 4 22⟩ σοφοί εἰσι τȣ̃ κακοποιῆσαι, καὶ ⟨1 Cor. 1 20⟩ "πȣ̃ σοφός; πȣ̃ γραμματεύς;" ȣ̓ γὰρ τȣ̀ς ὡς ἀληθεῖς σοφȣ̀ς ὀνομάζει, ἀλλὰ τούς τισιν εἶναι δοκοῦντας. "σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης, ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος." sch. A Nub. 144.

σοφώτατε ἀντὶ τȣ̃ κλεπτίστατε· καὶ τȣ̀ς κλέπτας γὰρ σοφȣ̀ς ἔλεγον.

σπαδών ὀξυτόνως τὸ σπάσμα, βαρυτόνως δὲ ὁ ἐκτομίας. καὶ νεοσπάδα τὴν νεωστὶ ἀποσπασθεῖσαν. καὶ σπαδονίσματα· ⟨AP 5 204⟩ "ἱστία δ' αἰωρητὰ χαλᾷ σπαδονίσματα μαστῶν."

σπάδων εὐνȣ̃χος. ταύτην τὴν ἀκόλαστον καὶ ἀκάθαρτον γνώμην καὶ πρᾶξιν τῶν αὐθαιρέτως πασχόντων θριαμβεύων εὖ μάλα καὶ στηλιτεύων ὁ μέγας Κύριλλος ȣ̔́τω φάσκει "ἀκολασίας γὰρ ἕνεκεν οἱ τάλανες τȣ̃το δρῶσι, τὰ τῶν γυναικῶν πάσχειν ἄνδρες ὄντες βȣλόμενοι. ȣ̓δενὸς γὰρ χρησίμȣ χάριν τὴν φύσιν μετατιθέντες ἢ ἀσελγείας ἕνεκεν τὴν θεόπλαστον καὶ ἀνδροπρεπῆ μορφὴν διαφθείρȣσιν ἑκȣσίως πολλάκις, ἢ ὑπ' ἄλλων ὑπομένειν ἀναγκαζόμενοι τȣ̃το, ὡς λοιμοὶ τῆς φύσεως καὶ τȣ̃ γένȣς πολέμιοι καὶ σπίλοι πολιτείας καὶ ζωῆς, ἐφύβριστοι γίνονται, καὶ δίκην μαινάδων πορνευθέντες ἀμέτρως ἐν τοῖς αἰσχίστοις ὀρχȣ̃νται πάθεσι, μιαρῷ

πολιτείᾳ καὶ πεφυρμένῃ τὴν ἀθλίαν ζωὴν συγκεράσαντες, ἀμφίβολα καὶ μεμισημένα πρόσωπα περιφέροντες καὶ πρᾶγμα νενοθευμένον. ἱερῶν περιβόλων μακρὰν ἀποιχέσθωσαν, ἐπειδὴ αἰσχίστῃ καὶ κακίστῃ γνώμῃ τὸ καλὸν καὶ θεῖον ἔργον εἰς τὸ κακὸν καὶ διαβεβλημένον δόγμα παραλλάξαντες καὶ μεταποιήσαντες, καὶ τὴν πνευματικὴν εὐνεχίαν ἀπηγορευμένῃ πράξει λειτεργεῖν ἀναγκάσαντες, ἐ μόνον ἄξιοι νομικῆς ψήφε λαμβάνειν τιμωρίαν, ἀλλὰ καὶ ἐξ ἀγγελικῆς καὶ ἀποστολικῆς ἀποφάσεως εἰς τὸ λεγόμενον ἐξώτερον σκότος ἄρδην ἀπελαύνεσθαι. περὶ γὰρ τῶν τοιέτων ἔφη Μωυσῆς 'θλαδίας καὶ ἀπόκοπος ἐκ εἰσελεύσονται εἰς οἶκον κυρίε.' ἔςι γῦν ἰδεῖν πεπληρωμένας οἰκίας τῶν μεγιςάνων τοιέτων τερατομόρφων προσώπων, χρυσῆς μηνίσκες ἐπὶ τραχήλε φορῦντας, φύσιν μὲν ἄρρενος θηλείας δὲ ὄψιν ἔχοντας, καὶ κεκλασμένως βαδίζοντας καὶ τεθρυμμένως φθεγγομένες ὥσπερ ἑταιρίδες. ἀπρεπῶς ὧδε κἀκεῖσε τὴν κεφαλὴν περισείεσι, καὶ γελῶσιν ἀκρατῶς καὶ ἀναιδῶς, οἰστρηλασίαν πρόδηλον ὑπεμφαίνοντες. ὅθεν μετ' ἀνδρῶν μὲν ὡς γυναῖκες μαλακῶς εὐναζόμενοι καὶ μαλακιζόμενοι φθείρονται, μετὰ γυναικῶν δὲ ὡς φύλακες ἅμα καὶ σωφροσύνης δῆθεν ἰνδάλματα καθεύδοντες ἀναισχύντως καὶ ἀπηρυθριασμένως αἰσχροπραγῦσι. καὶ ἔτοι μὲν ἕτως ὑπ' ἀνδρῶν ἀνοσίων καὶ βεβήλων φθειρόμενοι καὶ μαλακιζόμενοι καταμιαίνεσι καὶ καταμιαίνονται διὰ τῆς παρὰ φύσιν ἀνοσιεργίας καὶ βδελυρίας· αὐτοὶ δὲ γυναικάρια ταλαίπωρα καὶ σεσοβημένα κατὰ τὸ εἰρημένον ἁμαρτίαις καταμολύνεσι καὶ καταβλάπτεσιν, οἷα λυσσώδεις κύνες. καὶ τὸ δὴ χαλεπώτερον, ἐντεῦθεν αἴτιοι γίνονται καὶ πρόξενοί τε καὶ μέτοχοι τῆς ἀπεράντε κολάσεως οἵ τε φθείροντες καὶ οἱ φθειρόμενοι. ἀλλ' ὢ τῆς ἀφροσύνης, ὢ τῆς ἀπάτης καὶ τῆς παραπληξίας· τέτες γὰρ ἄνθρωποι καὶ μάλιστα πρέχοντες ὡς σώφρονας παραδεχόμενοι πιστεύεσι καὶ εἰσοικίζεσιν, οἵ γε εἰσοικιζόμενοι καὶ παρρησίας τυγχάνοντες τὲς ὄντως δικαίως ἀρετῆς ἐπιμελομένες καὶ σώφρονας ἄνδρας κατὰ μικρὸν δελεάσαντες εἰς τὸ τῶν Σοδόμων αἰσχρὸν βάραθρον κατηκόντισαν ἐλεεινῶς καὶ τῷ αἰωνίῳ πυρὶ παρέπεμψαν. διὸ δὴ λοιπὸν ἀραρότως πάνυ γε τέτες καὶ νόμος καὶ λόγος εὐαγγελικὸς καὶ ἄριστος βίος καὶ εὐσεβὴς πολιτεία βδελύττεται λίαν ὡς θεομισεῖς καὶ ἀκαθάρτες. ἔτοι γὰρ οἱ τὴν τοιαύτην ἐξάγισον ζωὴν προτιμήσαντες καὶ ἀγαπήσαντες, ὅσον ἐπ' αὐτοῖς ἧκεν, πόλεις μὲν ἠφάνισαν, τὸν σπερματικὸν τῆς φύσεως λόγον παραφθείροντες καὶ φθειρόμενοι, ἐυανδρῦσαν δὲ ῥώμην ἀνδρὸς καὶ ἡλικίαν καὶ τὴν ἀρρενωπὸν καὶ γενναίαν ἰσχὺν δεινῶς ἐξανάλωσαν, καὶ ἁπλῶς τὴν σύντονον καὶ σφριγῶσαν ἀκμὴν τῆς νεότητος λυμηνάμενοι φανερῶς ἀθλίες καὶ καταγελάστες ἐποίησαν τὲς ἁλόντας. ἕς γε φευκτέον προτροπάδην καὶ βδελυκτέον ἐνδίκως ὡς ψυχοκτόνες καὶ σωματοφθόρες καὶ ἐναγεῖς καὶ τῆς φύσεως παραχαράκτας. ἐδὲν γὰρ ἀληθῶς μυσαρώτερον ἢ ἀκαθαρτότερον τῶν ἕτω πορνευομένων καὶ πορνευόντων. εἰώθασι γάρ, ὡς ἀκριβῶς μεμαθήκαμεν, ἐ μόνον οἱ σπάδωνες καὶ τὰ μόρια τῆς αἰσχρεργίας ποσῶς ἔχοντες ἀσελγαίνειν ἀμέτρως καὶ ἀκολασταίνειν ἀναιδῶς καὶ ἀκορέστως, ἀλλά γε καὶ οἱ τέλεον ἀπόκοποι καὶ ἐκτετμημένοι ταῦτα, καθάπερ ἐν καὶ οἱ ἐκ γενετῆς ἐστερημένοι ταῦτα, φεῦ τῆς ἐσχάτης ἀτοπίας καὶ φρενοβλαβείας, διὰ χειρὸς καὶ δακτύλε φθείρειν τὰς ἀθλίας γυναῖκας καὶ τὴν ἀνοσιεργίαν ἕτως ἐμμανῶς οἱ ἀνόσιοι κατεργάζεσθαι. καὶ τῦτο δηλῶν ὁ σοφὸς ἔφη (Sapient. 3 13) 'μακάριος εὐνῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα, καὶ παρθένος ἥτις ἐκ ἔγνω κοίτην ἐν παραπτώματι.' εἰκότως ἐν ἄθηλοι ἄνανδροι ἀνδρόγυναι σιδηροκατάδικοι καὶ γυναικομανεῖς προσηγορεύθησαν. ἀκυέτωσαν τοίνυν οἱ καθαρὲς καὶ σώφρονας τέτες ὑποτοπάζοντες μάτην, καὶ μὴ πιστευέτωσαν τῷ ψεύδει καὶ τῇ κατεσχηματισμένῃ καθαρότητι καὶ σωφροσύνῃ· ἀπὸ γὰρ ἀκαθάρτε τί καθαρισθήσεται, καὶ ἀπὸ ψεύδες τί ἀληθεύσει; καὶ εἴθε ὁ χειροτονηθεὶς εὐνῦχος διὰ βίε σεμνοῦ ἦν ἠγμένος, καὶ ἡμίκακον ἦν τὸ κακόν. νῦν δὲ γῆς ἔντερον, γαςρίδελον, θηλυμανές, ἰταμόν, μέθυσον, πορνοκόπον, ἀργυρώνητον, ἀνελεύθερον, ἀργυρόδελον, πρὸς αὐτῇ τῇ γενέσει σιδηροκατάδικον, ἄνανδρον, ἄθηλον, ἐπιμανές, πολλάκις τὰ θεατρικὰ κοράσια ἐπ' ὤμων βαστάσαν ἐν σατυρικοῖς συμποσίοις, κισσῷ τὴν κεφαλὴν ἐστεμμένον καὶ κρατῆρα τῇ χειρὶ ἐνημμένον, ᾠνοχοηκέναι ἐν προσχήματι τῦ μυθικῦ Διονύσε. ἕτω σωφρονεῖ

μὲν ἄμισθα διὰ σιδήρου, μαίνεται δὲ ἄκαρπα δι' οἰκείαν αἰσχρότητα.

b ὅτι ἐπὶ Εὐτροπίῳ τῷ εὐνούχῳ, τῷ ἐπιτρόπου Θεοδοσίου τοῦ βασιλέως, τὸ τῶν εὐνούχων ἔθνος διὰ τὴν ἐκείνου βαρύτητα καὶ δυναστείαν ἐς τοσοῦτον ἐπέδωκε καὶ παρετάθη πλήθους, ὥστε τινὰς ἤδη καὶ τῶν γενειάδας ἐχόντων, εὐνοῦχοι βεληθέντες καὶ Εὐτρόπιοι γενέσθαι προσελπίζοντες, τὰς ψυχὰς ἀφῃρέθησαν σὺν τοῖς ὄρχεσι τὸν Εὐτρόπιον ἀπολέσαντες. χρυσοῖ τε ἀνδριάντες ἀνίσταντο πανταχοῦ, καὶ οἰκοδομήματα διηγείρετο καὶ κατελαμπρύνετο παρ' αὐτοῦ σεμνότερα τῆς ὅλης πόλεως.

σπαθᾶν εἰκῇ λέγειν, ἢ ἀναλίσκειν ἀσώτως, ἢ ἐργάζεσθαι· Ἀριστοφάνης Νεφέλαις ⟨55⟩ "ἔφασκον, ὦ γύναι, λίαν σπαθᾷς," ἀντὶ τοῦ ἐργάζῃ. τουτέστι σπαταλᾷς.

σπάθημα φρενῶν τὸν ἄγαν φρόνιμον.

σπαθῶσι κατασπαταλῶσι, σκορπίζουσι. καὶ σπάθησις σπατάλη.

σπαίρει ἅλλεται, σκαρίζει, ἐκπνεῖ τὴν ψυχήν. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 30⟩ "θρέψον ἔτι σπαῖρον τὸ γερόντιον· ἀλλ' ἀπὸ γαίης, ὡς ἐθέλεις."

σπαλίωνος πλέγμα μηχανικόν. Ἀγαθίας ⟨3 5⟩ "οἱ δὲ Ῥωμαῖοι τοὺς σπαλίωνας ἐσκεύαζον καὶ τὰ τῶν μεγάλων λίθων ἀκοντιστήρια. ἔστι δὲ ὁ σπαλίων πλέγμα ἐκ λύγων, εἰς ὀροφῆς τύπον ἐξειργασμένον, στεγανόν τε τῇ πυκνώσει καὶ ἀμφηρεφὲς τῷ ἑκατέρωθεν τὰ πλευρὰ καὶ ἐς τὰ κάτω παρατετάσθαι καὶ περιβάλλειν τὸ ὑπερχόμενον. δέρρεις δὲ ὕπερθε καὶ διφθέρας ἐπιβάλλοντες πάντοθεν περικαλύπτουσι τὸ μηχάνημα, τοῦ μᾶλλον ἔρυμα εἶναι καὶ ἀποκρούειν τὰ βέλη. ἄνδρες δὲ ἔνδον ἐν τῷ ἀσφαλεῖ ὑποκρυπτόμενοι αἴρουσί τε αὐτὸ ἀφανῶς καὶ ᾗ βούλονται διακομίζουσιν. ἐπειδὰν δὲ προσενεχθείη πύργῳ τυχὸν ἢ περιβόλῳ, τότε δὴ νέρθεν ἐκεῖνοι τὴν προσκειμένην γῆν ἀνορύττοντες καὶ τὸν χοῦν ἀνιμώμενοι ἀπογυμνοῦσι τὰ θεμέλια, καὶ εἶτα μοχλοῖς τε καὶ σφύραις ἐνδελεχέστατα πλήττοντες κατασείουσι τὴν οἰκοδομίαν." παρὰ δὲ Μενάνδρῳ ⟨p. 443 Nieb.⟩ σπαλίωνές εἰσι μηχανήματα, καλύπτραι τινὲς βοείοις δέρμασιν ἐκτάδην ξυντεθειμέναι ξύλοις τε ἀνδρομήκεσιν αἰωρούμεναι, ὧν ἔνερθεν ὑπεισδύντες ὁπλῖται ἐν χρῷ τε τείχει προσπελάζοντες, ὄργανά τε λαοτόμα καὶ τοιχωρύχα μεταχειριζόμενοι, ὑπὸ γῆν αὐλῶνας ἐργάζονται, ἐγκείμενοί τε καὶ διορύττοντες, εἴ που τοῦ τείχους μέρος τι καταρρίψαιεν, ἢ ἄλλῳ τινὶ τρόπῳ ἐντὸς κενωμάτων γενόμενοι δυοῖν ἀνύσουσί γε τὸ ἕτερον, ἢ τὴν γῆν ἀναρρήξαντες τοῦ περιβόλου γενήσοιντο εἴσω, ἢ τοῦ κατὰ τὸ ἔνδον φρέατος τοὺς σήραγγας ἀγαγόντες ἐπ' εὐθείας ἐκκενώσαιεν, ἐφελκύσαντες τὸ ὕδωρ εἰς τὰ γλαφυρά τε καὶ κοῖλα τοῦ ὀρύγματος.

σπάνις ἔνδεια· "εἰς τοῦτο γὰρ ἦλθον ἀνάγκης τῶν ἐπιτηδείων σπάνει, ὥστε τοὺς ὀρόφους βρέχοντας διδόναι εἰς τροφὴν τοῖς ὑποζυγίοις." ⟨AP 6 252⟩ "ὥρης χειμερίης σπάνιον γέρας." περὶ μήλου ὁ λόγος. καὶ σπανιώτατον ὀλίγον.

σπανιστοῖς τοῖς εὐτελέσι· Σοφοκλῆς ⟨OC 4⟩ "σπανιστοῖς δέξεται δωρήμασι" τοῖς κατὰ σπάνιν τοῦ αἰτοῦντος διδομένοις "σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ' ἔτι μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί," βραχύτερον ἀποφερόμενον τοῦ αἰτηθέντος· οὐ γὰρ ὅσον αἰτεῖ τις λαμβάνει.

σπάργανα τὰ ἱμάτια, κυρίως δὲ τὰ ῥάκη. sch. A Ach. 430.

σπαργῶσα ἀνθοῦσα, ἢ σπαραττομένη ὑπὸ θλίψεως καὶ δεομένη ἐκκρίσεώς τινος. "πάλαι βουλομένους καὶ σπαργῶντας βοηθεῖν τοῖς οἰκείοις," καὶ αὖθις "οἷα πάλαι σπαργῶντες ἐπὶ τοὺς πολεμίους."

σπάρτα σχοινία. Hom. *B* 135.

Σπαρτιάτης ἀπὸ Σπάρτης.

Σπαρτωλός. πόλις ἐστὶ τῆς Βοττικῆς ἡ Σπαρτωλός. Harp.

σπασάμενος ἀκράτου οἴνου ἐκπιών.

σπατάλη ἡ τρυφή· "οἱ δὲ μύες νῦν ὀρχοῦνται, τῆς σῆς δραξάμενοι σπατάλης" ⟨AP 7 206⟩. κάττου φησὶν ἤτοι αἰλούρου κατοικιδίου.

σπατίλη ⟨A Pac. 48⟩ ἡ τῶν ἀνδρῶν κόπρος. καὶ τὰ μικρὰ δέρματα τὰ ἐκβαλλόμενα ὑπὸ τῶν σκυτέων· σπατίλη γὰρ τὸ δέρμα, παρὰ τὸ σπᾶσθαι. σκατοφάγος δὲ ὁ Κλέων, ἐπεὶ βυρσοδέψης ἦν, ἐπεὶ μετὰ κόπρου τὰς βύρσας εἰργάζοντο.

Σπατῖνος ὄνομα κύριον.

σπεῖος σπέος, σπήλαιον ⟨Hom. ε 194⟩.

σπεῖραι πλήθη στρατευμάτων, φάλαγγες, νούμερα, λεγεῶν. σπεῖραι καὶ αἱ συστροφαὶ τοῦ σχοινίου· καὶ παροιμία "ἐπὶ σπείρᾳ

σχοινίον," τὸ ἀναγκαιότατον (cf. v. ἐπὶ σπείρᾳ). σπεῖραι καὶ οἱ ὁλκοὶ τȣ ὄφεως. καὶ Αἰλιανός "ὁ δὲ δράκων ταῖς σπείραις τοὺς νεκρȣ̀ς συναγαγὼν ἐφύλαττεν ἀπαθεῖς, ὡς ἂν μήτε τι τῶν χερσαίων μήτε μὴν τῶν πτηνῶν ἐπὶ λύμῃ προσέλθοι," ἀντὶ τȣ τοῖς ὁλκοῖς. καὶ σπειρηδόν περιπεπλεγμένως. καὶ σπείρημα τὸ τȣ ὄφεως εἴλιγμα.

σπειράω σπειρῶ. ἐξ ȣ̓ καὶ συνεσπειραμένος, καὶ "σπειρώμενος τοῖς ῥακίοις."

σπείρȣ (Hom. β 102) ἱματίȣ, ῥάκȣς. ἡ εὐθεῖα τὸ σπεῖρον.

Σπείρωνος.

σπείσασθαι φιλίαν καὶ εἰρήνην θέσθαι· "ἐθέλειν Πάρθοις καὶ ὑπὲρ εἰρήνης σπείσασθαι."

Σπειώ (Hom. Σ 40) ὄνομα κύριον.

σπέκλον τὸ ὕελιον, τὸ σπέτλον.

σπεκουλάτωρος τοῦ δορυφόρου.

σπέλεθος· Ἀριςοφάνης (Ach. 1129) "κατεάξαι βελόμενος ἐν σκότῳ λάβοι τῇ χειρὶ σπέλεθον ἀρτίως κεχεσμένον."

σπέληξ γυναικεῖον ἱμάτιον, ἡμιδιπλοΐδιον.

σπένδεται θύεται, ἢ θυμιᾶ, ἢ φιλιȣ̃ται.

σπένδομαι θύομαι, ἢ θεῷ ἀνατίθεμαι. καὶ σπένδοντας θύοντας, προσφέροντας, παρὰ τὴν σπονδὴν καὶ τὸ φιλιοῦσθαι· ȣ̔́τως γὰρ ἐκάλουν τὰς ἐπὶ τῶν πολεμίων συμβάσεις καὶ σπονδὰς ἐνόρκους.

σπερμαίνειν γεννᾶν. Hes. O. 734.

a σπερμολόγος εὑρεσιλόγος, ἀκριτόμυθος. καὶ ὁ τὰ σπέρματα συλλέγων.

b σπερμολόγος λέγεται μικρὸν ὀρνιθάριον κολοιῶδες, ὠνομασμένον, ὡς ἔοικεν, ἀπὸ τοῦ τὰ σπέρματα ἀναλέγειν. λέγεται ȣ̓̂ν ἀπὸ τούτου ὁ εὐτελὴς καὶ εὐκαταφρόνητος ἄνθρωπος καὶ ἴσως ἀπὸ τῶν ἀλλοτρίων διαζῶν σπερμολόγος. Harp.

Σπερχειός.

σπερχθείς παρ' Ἡροδότῳ (1 32) ἀντὶ τοῦ ταραχθείς, θυμωθείς.

Σπέρχις καὶ Βοῦλις ἄνδρες Ἀθηναῖοι αὐθαίρετοι ἐς Πέρσας ἦλθον, δίκην δώσοντες Ξέρξῃ τῷ Περσῶν βασιλεῖ ὑπὲρ τῶν κηρύκων τῶν ὑπ' αὐτοῦ πεμφθέντων καὶ καταχωσθέντων παρὰ τῶν Ἀθηναίων. cf. Herodot. 7 134.

σπερχόμενος ἐπειγόμενος. Hom. Λ 110.

σπεύδειν παρ' Ὁμήρῳ οὐχ ἐπὶ τȣ ταχύνειν, ἀλλ' ἐπὶ τοῦ ἐνεργεῖν καὶ κακοπαθεῖν (sch. Ven. N 236). καὶ παροιμία "σπεύδειν ἀπὸ ῥυτῆρος," ἀπὸ ὑποδήματος. ἀντὶ τοῦ ὡς ἔχει σχήματος, ἀπὸ τῆς βλαύτης. Σοφοκλῆς (OC 900) "οὐκοῦν τις ὡς τάχιςα προσπόλων μολὼν --- πάντα δ' ἀναγκάσει λεὼν ἄνιππον ἱππότην τε θυμάτων ἄπο σπεύδειν ἀπὸ ῥυτῆρος."

Σπεύσιππος Εὐρυμέδοντος, ἀδελφιδȣ̃ς Πλάτωνος τοῦ φιλοσόφου ἀπὸ Ποτώνης τῆς αὐτοῦ ἀδελφῆς, ἀκουστὴς αὐτοῦ Πλάτωνος, καὶ διάδοχος γενόμενος τῆς Ἀκαδημείας ἐπὶ τῆς ρή ὀλυμπιάδος, συνέγραψε πλεῖστα, καὶ μάλιστα φιλόσοφα. αὐστηρὸς τὴν γνώμην καὶ εἰς ἄκρον ὀξύθυμος.

σπήλυγγες σπήλαια, κοιλώματα· ἐν ἐπιγράμματι (AP 6 253) "σπήλυγγες νυμφῶν εὐπίδακες, αἱ τόσον ὕδωρ εἴβουσαι."

σπῆλυγξ σπήλαιον· Βάβριος (103 3) a "κοίλης ἔσω σπήλυγγος οἷά τις νόσῳ κάμνων ἐβέβλητ', ȣ̓κ ἀληθὲς ἀσθμαίνων."

σπῆλυγξ σπήλυγγος ῥαγάς. b

σπιθαμή. τροπικῶς ἐπὶ τȣ θεȣ ὁ προφητικὸς λόγος (Ies. 40 12) ὠνόμασεν, ὅτι συνέχει τὴν κτίσιν, καὶ περιδεδραγμένος αὐτῆς εἰς τάξιν ἅπαντα καὶ διακόσμησιν ἄγει, καὶ ὄρεσιν ἰσορροπίαν καὶ ὕδασι μέτρα καὶ πᾶσι τοῖς ἐν τῷ κόσμῳ τὴν οἰκείαν τάξιν ἀποκληρώσας. ὁ τὸν ȣ̓ρανὸν ὅλον μικρῷ μέρει τῆς ὅλης αὐτȣ δυνάμεως περιέχων, ἣν σπιθαμὴν τροπικῶς ὁ λόγος ὠνόμασε. Basil. de Spir. 8. p. 249.

σπιθαμὴ τȣ βίȣ τὸ ἐλάχιςον.

σπιλάδες αἱ ἐν ὕδατι κοῖλαι πέτραι, ὡς Ἀπίων. Ἡλιόδωρος δὲ τὰς παραθαλασσίȣς πέτρας καὶ ἐπειλημμένας ὑπὸ τῶν κυμάτων. καὶ σπιλάζων. "ἐπὶ ταύτην τὴν πόλιν οἷα διάττοντες οἱ βάρβαροι κατεσπίλαζον" (Theophyl. Sim. 7 3).

σπίλος μιασμός, ῥύπος.

Σπίνθαρος Ἡρακλεώτης. ἦν δὲ τρα- a γῳδίας ποιητής. δράματα δὲ αὐτȣ ἐςὶ ταῦτα, Περικαιόμενος Ἡρακλῆς, Σεμέλη κεραυνουμένη.

Σπίνθαρος. ȣ̓̂τος κωμῳδεῖται ὡς βάρ- b βαρος καὶ Φρύξ. sch. A Av. 763.

σπινθήρ.

σπίνος εἶδος στρȣθȣ. A Av. 1079, Pac. 1149.

Σπίτταλος ἰατρὸς παρ' Ἀθηναίοις δόκιμος· Ἀριςοφάνης (Ach. 1000) "ἄπελθε πρὸς

τȣ Σπιττάλȣ. σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἔνσταξόν τȣτονί," τȣτέσι χαλκȣ̃ν ἢ ἀργυρȣ̃ν, οἵȣς ἔχȣσιν οἱ ἰατροί.

Σπληδόνος ὄνομα πόλεως.

σπλὴν σπληνός κλίνεται.

σπογγιά ὀξυτόνως Ἀττικοί· Ἀρισοφάνης Βατράχοις ⟨485⟩ "ἀλλ' οἶσε πρὸς τὴν καρδίαν μȣ σπογγιάν." καὶ αὖθις Ἀριστοφάνης ⟨Ach. 438⟩ "σπογγίῳ βεβυσμένον." ἢ ὅτι χύτραν ἔφερον, ἐν ᾗ ἦν σπόγγος μέλιτος πεπληρωμένος.

σπόγγος· ⟨AP 6 295⟩ "σπόγγον ἔχειν καλάμων ψαίσορ' ἀπὸ Κνιδίων."

σποδεῖν τύπτειν· "ὁμοθυμαδὸν σποδεῖν ἅπαντας τȣ̀ς ἀλαζόνας δοκεῖ" Ἀριστοφάνης Ὄρνισι ⟨1013⟩.

σποδός· "Βακχυλὶς ἡ Βάκχȣ κυλίκων σποδὸς ἔκ ποτε νόσȣ κεκλιμένη" ⟨AP 6 291⟩.

σπολὰς διφθέρα· Σοφοκλῆς Αἴαντι Λοκρῷ "κατασ τίκτου κυνὸς σπολὰς Λίβυσσα, παρδαληφόρον δέρος." οἱ δὲ ἐφαπτὸν δερμάτινον. παρήχθη δὲ ἴσως ἐκ τȣ̃ ἐπιφέρεσθαι. Ἀρισοφάνης ⟨Av. 934⟩ "ȣ̃τος, σὺ μέντοι σπολάδα καὶ χιτῶν' ἔχεις, ἀπόδυθι καὶ δὸς τῷ ποιητῇ," καὶ αὖθις ⟨940⟩ "ὃς ὑφαντοδόνητον ἔσθος ȣ̓ πέπαται· ἀκλεὴς δ' ἔβα σπολὰς ἄνευ χιτῶνος."

σπονδεῖα ἀγγεῖα ἐν οἷς σπένδȣσι.

σπονδή οἴνȣ ἔκχυσις ἐπὶ τιμῇ δαιμόνων. ἢ φιλία. καὶ σπονδῖτις· ἐν ἐπιγράμματι ⟨AP 6 190⟩ "καὶ σταγόνα σπονδῖτιν, ἀεὶ θυέεσσιν ὀπηδόν."

σπορά ἡ διανομή.

σποράδα γῆς κονιορτόν, ἢ χȣ̃ν γῆς.

σποράδες νῆσοι, ἃς ἔνιοι κυκλάδας λέγȣσιν, αἱ ἐν τῷ Αἰγαίῳ. εἰσὶ δὲ ιβʹ.

σποράδην διεσπαρμένως ὧδε κἀκεῖσε.

Σποργίλος, ὃς ἦν κȣρεύς. καὶ ὁ Πλάτων φησὶ "τὸ Σποργίλȣ κȣρεῖον, ἔχθιστον τέγος." sch. A Av. 300.

Σπόρος ὁ Νέρωνος ἐρώμενος, ὃς καὶ Σαβῖνα ἐκαλεῖτο, ȣ̓ μόνον διὰ τὴν ὁμοιότητα τῆς γυναικός, ὅτι ἐξετέτμητο, ἀλλ' ὅτι καὶ ἐγήματο αὐτῷ ὥσπερ κἀκείνη. Dio Cass. 63 13.

σπόρτȣλα δῶρα ἐπὶ πάντων διδόμενα παρρησίᾳ· "οἶδας δὲ ὅτι καὶ σπόρτȣλα ἡμῖν χρεωστεῖς· ἀλλ' ὅμως τῶν πτωχῶν ἕνεκεν εἰς τȣ̃τό σοι διαλυόμεθα".

σπουδάζω περὶ τὸν ἄνδρα Δημοσθένης κατὰ Μειδίȣ. ἐπὶ δὲ τȣ̃ κατεπείγομαι Θεόπομπος ἐπιτομῇ τῶν Ἡροδότȣ, ἐπὶ δὲ τȣ̃ βȣ́λομαι ὁ αὐτὸς ἐν τῇ αὐτῇ ἐπιτομῇ, ἐπὶ δὲ τȣ̃ μὴ παιγνιωδῶς ἀλλ' ἐσπȣδασμένως Πλάτων Πολιτείας γʹ, ἐπὶ δὲ τȣ̃ λίαν θέλω Ἀπολλόδωρος Καρύστιος Ἀποκαρτεροῦσιν. ἐπὶ δὲ τοῦ σεμνολογεῖν τὸ σπȣδαιολογῆσαι Ξενοφῶν Συμποσίῳ ⟨8 41⟩ "τίνι σπεύδεις;" ἀντὶ τοῦ τίνι σπȣδάζεις; οὕτω καὶ Ἀλεξις. "καί τινα τῶν μακρῶν πλοίων ἐξαπέστειλε, σπȣδάζων τῷ στρατοπέδῳ τὰ πρὸς τὴν χρείαν" Πολύβιος ⟨1 52⟩. "ὡς δὲ ἔμαθεν ἱερὸν εἶναι τὸν χῶρον ἐκ τοῦ ἐν αὐτῷ σπȣδαζομένȣ δαίμονος," τȣτέστι τιμωμένȣ.

σπουδαιολογῶ· "ὁ δὲ Κῦρος ἐσπȣδαιολογεῖτο, προσκαλῶν τȣ̀ς φίλȣς" ⟨X Anab. 1 9 28⟩.

σπουδαῖος σοφός, ἐνάρετος, εὐδόκιμος, ὁ ἀντιδιαστελλόμενος τῷ φαύλῳ· "πλȣ́σιον μὲν ἀκούω, σπȣδαῖον δὲ οὐδὲν ὄντα" ⟨cf. s. Κορνοῦτος⟩.

σπουδαρχιάσας ἐπιθυμήσας ἄρξαι, σπȣδάσας, ἐπιμεληθεὶς τυχεῖν τῆς ἀρχῆς. καὶ σπȣδαρχίδης σπȣδάζων περὶ ἀρχῆς· Αἰολέων δὲ ἴδιον τὰ ἐπίθετα πατρωνυμικῷ τύπῳ φράζειν, οἷον στρατωνίδης, μισθαρχίδης. sch. A Ach. 595.

σπουδή ἡ περὶ τὰ καλὰ σύντονος ἀγωνία. "Ἰσίδωρος ἔφη τὴν μὲν ἐν φιλοσοφίᾳ σπȣδὴν ἀνδρὶ νεωτέρῳ καὶ ἄρτι λόγων ἀπτομένῳ φιλοσόφων εἶναι πρεπωδεστέραν, τὴν δὲ εὐσεβῆ προθυμίαν καὶ φιλόθεον προσήκειν μάλιστα τοῖς ἤδη προβεβηκόσι καὶ πόρρω ἐλαύνȣσι τοῦτο μὲν ἡλικίας τȣ̃το δὲ φιλοσοφίας" ⟨Damascius⟩.

σπουδῇ παρ' Ὁμήρῳ ⟨B 99⟩ ἀντὶ τοῦ μόλις, καὶ ὁμοίως ἡμῖν.

σπυρίδιον· ⟨A Ach. 452⟩ "σπυρίδιον διακεκαυμένον λύχνῳ." οἱ γὰρ πρεσβύτεροι διὰ τὸ μόλις βαδίζειν ἐν σπυρίδι ἔκρυπτον τὸν λύχνον, ὥστε σώζειν τὸ πῦρ.

Σπυρίδων Σπυρίδωνος, μιᾶς τῶν ἐν Κύπρῳ πόλεων Τρεμιθοῦντος ἐπίσκοπος, ὃς δι' ἀτυφίαν πολλὴν ἐχόμενος τῆς ἐπισκοπῆς ἐποίμαινε καὶ τὰ πρόβατα. καὶ μέσης τῆς νυκτὸς κλέπται ταῖς ἐπαύλεσι τῶν θρεμμάτων ἐπελθόντες λαθραίως ἀφαιρεῖσθαι τῶν θρεμμάτων ἐσπούδαζον· οἱ δὲ ἀοράτῳ δυνάμει παρὰ ταῖς ἐπαύλεσιν ἐδέδεντο. ὄρθρȣ

τε ἦν καὶ παρῆκεν ἐπὶ τὰ ποίμνια. ὡς δὲ εἶδε συνδεδεμένους καὶ ἔγνω τὸ γεγονός, λύει τοὺς κλέπτας, πολλά τε παραινέσας ἐκ δικαίων πόνων, μὴ μὴν ἐξ ἀδίκων λαμβάνειν, κριόν τε αὐτοῖς χαρισάμενος, ἀπέλυσε χαριέντως ἐπιφθεγξάμενος "ἵνα μή" φησί "μάτην ἠγρυπνηκότες φανῆτε." καὶ ἄλλα δὲ πάμπολλα θαύματα εἰργάσατο. ὃς καὶ παρῆν ἐν τῇ συνόδῳ τῇ ἐν Νικαίᾳ. Socrat. 1 12.

σπώμενος συντριβόμενος.

σπῶντες ῥοφοῦντες· "εἶτα ὑπέβρεχον θαμινὰ πίνοντες καὶ ἀκράτου σπῶντες." καὶ σπῶσι κατακόρως ἐμφοροῦνται· "οἱ δὲ ἄδην καὶ ἀπείρως σπῶσι τοῦ οἴνου, καὶ ἀνατραπέντες ἔκειντο ὡς ἔτυχον ἕκαστοι."

Στάγειρα ὄνομα τόπου.

Σταγείριος ὄνομα κύριον.

Σταγειρίτης ὁ Ἀριστοτέλης, ἀπὸ τόπου κληθείς. Πισίδης (Heracl. 1 159) "ποίους στρατηγοὺς ἢ Σταγειρίτας ἔχων ἐπῆλθες εἰς γῆν εὐτυχέντων βαρβάρων;" (Agath. 2) "διόπου τὸν Σταγειρίτην καταπιὼν εἴη μᾶλλον ὁ ῥήτωρ ὁ Παιανιεὺς τὸν Ὀλόρου," τουτέστιν ὁ Δημοσθένης τὸν Θουκυδίδην.

σαγόνος ῥανίδος ὕδατος.

σάδιον ὁ τόπος τοῦ ἀγῶνος· ἐν ἐπιγράμματι (AP 6 259) "ἐν σταδίοις Ἰσθμόθι κὴν Νεμέᾳ." καὶ μέρος τι τοῦ λεγομένου μιλίου· ζ γὰρ ἥμισυ σάδια ποιοῦσι μίλιον.

λέγεται στάδιον καὶ ἁπλῶς τὸ ἵστασθαι καὶ ἀκινητίζειν· Δίων ἐν λθ' τῶν Ῥωμαϊκῶν "τῷ δὲ δὴ σταδίῳ τῶν σκαφῶν προδιδόμενοι δεινῶς ἤσχαλλον," ἀντὶ τοῦ τῇ σάσει καὶ ἀνικησίᾳ τῶν σκαφῶν προδιδόμενοι σφόδρα ἠνιῶντο. καὶ σάδιος χιτὼν ὁ ποδήρης, ὁ τέλειος παρὰ Καλλιμάχῳ ἐν Ἑκάλῃ (fr. 59). καὶ σταδία μάχη· "οὐδενὸς δὲ αὐτὸν ἐν σταδίᾳ μάχῃ ὑφισταμένου."

ὅτι τὰ ζ ἥμισυ στάδια ποιοῦσι μίλιον ἕν, τὰ δὲ ί μίλια ἔχουσι στάδια π'.

ὅτι τὸ στάδιον ἔχει πόδας χ', τὸ δὲ μίλιον πόδας ͵δφ', τὸ δὲ πλέθρον πόδας ρ', ἡ ἄρουρα πόδας ν', ὁ ποὺς δακτύλους ις', ὁ πῆχυς πόδα ἕνα καὶ ἥμισυν. καὶ Ἀρισοφάνης (Nub. 428) "δέομαι ὑμῶν τουτὶ πάνυ μικρόν, εἶναί με τῶν Ἑλλήνων ἑκατὸν σαδίοισιν ἄρισον."

σταθερόν ὀξύ, ἰσχυρόν, θερμόν, σάσιμον, τὸ διὰ τὴν ὀξύτητα τῆς κινήσεως ἑσάναι δοκοῦν. Πλάτων ἐν Φαίδρῳ (p. 242 A) "μήπως ὦ Σώκρατες, πρὶν ἂν τὸ καῦμα παρέλθῃ. οὐχ ὁρᾷς ὡς σχεδὸν ἤδη μεσημβρία ἵσταται ἡ δὴ καλουμένη σταθερά;" δύναται μέντοι καὶ θερμοτάτη εἶναι ἡ σαθερά, ὀξεῖα οὖσα· καὶ γὰρ τὸν ἥλιον, ὅταν μᾶλλον ἐκκάῃ, ὀξὺν εἰώθασι λέγειν. σημαίνοι δ' ἂν καὶ τὸ στάσιμον τῷ μέσον τι εἶναι τῆς ἡμέρας καὶ μηδ' ἐφ' ἕτερον κλίνειν. καὶ Κρατῖνος δ' ἐν Σεριφίοις ἐπὶ τοῦ ὀξέος ἢ ἰσχυροῦ "οὕτω σταθερὸς τοῖς λωποδύταις ὁ πόρος πεινῶσι παφλάζει." Ἀντίμαχος (fr. 76) "θέρεος σταθεροῖο." τινὲς καὶ ἐπὶ τοῦ στασίμου, ὡς Αἰσχύλος ἐν Ψυχαγωγοῖς "σταθεροῦ χεύματος" καὶ Ἀριστοφάνης ἐν Προαγῶνι "σταθερὰ δὲ κάλυξ νεαρᾶς ἥβης." σημαίνει καὶ τὸ μόνιμον· Ἰώσηπος (B. I. 3 1) "καὶ σταθερὰν τὴν ἡλικίαν μετ' ἐμπειρίας ὁρῶν προβάλλεται στρατηγόν." καὶ Εὐνάπιος "ὁ δὲ πόλεμος τῇ τοῦ βασιλέως ὀξύτητι καὶ προνοίᾳ κατηνέχθη ἐπὶ τὸ σταθερὸν καὶ ἀσφαλέστερον," τουτέστιν ἰσχυρόν, βέβαιον.

ὅτι σταθερὸς ἀπὸ τοῦ σταθῆναι. ἀπὸ δὲ τούτου καὶ σαθρὸς κατ' ἀντίφρασιν· ἢ ἀπὸ τοῦ σείεσθαι ῥᾳδίως, ἢ ἀπὸ τοῦ σείεσθαι τὰ ἄρθρα.

σάθευε ὄπτα· Ἀρισοφάνης (Ach. 1040) "τὰς σηπίας στάθευε."

σαθμά· "οἱ δὲ ὡμολόγησαν ἀργυρίου σταθμὰ δισχίλια δώσειν." cf. v. ἀδήωτον.

σαθμᾶσθαι δοκιμάζειν· "οὐ ῥήμασιν ἀλλ' ἔργοις ἀεὶ εἰώθασι τὴν ἐς ἀλλήλους σαθμᾶσθαι στοργὴν οἱ ἄνθρωποι" (Procop. Arc. 2).

σαθμεύσας ἐπὶ τοῦ ῥεύματος βραχὺ φρούριον ἐκ διαστήματος ἐς ἐφεδρείαν δύο χιλιαρχίας ἔταξεν," ἀντὶ τοῦ σρατοπεδεύσας.

σάθμη τὸ σπαρτίον· (AP 6 103) "σάθμην ἰθυτενῆ μολιβαχθέα." "ὡς οὐκ ἂν εὑρόντες ἄνδρα φιλίας ἐν τῇ τῶν Φαλίσκων στάθμῃ δοκιμώτατον."

σαθμησάμενος δοκιμάσας· Ἡρόδοτος (9 37 4) "σαθμησάμενος γὰρ ὅκως ἐξελεύσεταί οἱ τὸ λοιπὸν τοῦ ποδός, ἀπέταμε τὸν ταρσὸν ἑωυτοῦ."

σαθμητόν μετρητόν· Ἀρριανός "ἦν δὲ καὶ καμήλων οὐ σαθμητόν τι πλῆθος." καὶ αὖθις "πέτραι τε οὐ σταθμηταὶ τὸ μέγεθος ἀπὸ κεραιῶν μετέωροι αἰωρούμεναι πρὸς τοὺς ὑπιέναι ὁρμῶντας τὸ τεῖχος ἐβάλλοντο."

σάθμια καὶ σαθμά διχῶς λέγονται,

εἰσὶ δὲ τὰ ἐμβαλλόμενα ταῖς πλάστιγξι τοῦ ζυγοῦ.

ςαθμίζω ἐπὶ ἐνεςῶτος μόνου. ἐστάθμησα δέ.

a ςαθμός τὸ πανδοχεῖον, καὶ ςαθμοῦχος ὁ πανδοχεύς. "Ναζιανζὸς δὲ ςαθμὸς Καππαδοκίας."

b ςαθμός ςρατιωτικὴ κατάλυσις.

c ςαθμός καὶ αἱ καταλύσεις καὶ τὰ καταγώγια τῶν ἀγγελιαφόρων ἀπὸ πόλεως εἰς πόλιν.

ςαθμώμενον δοκιμάζοντα.

ςαθμῶν τῶν παραστάδων τῆς θύρας.

ςαῖς ἡ ζύμη. τρία εἰσὶν εἰς αις, παῖς ἀρσενικόν, δαίς θηλυκόν, ςαῖς οὐδέτερον.

ςαιτίτης εἶδος ἄρτου.

ςακτή εἶδος ἀρώματος. Πολύβιος (13 9) "κυρωθείσης δὲ τῆς ἐλευθερίας τοῖς Γερραίοις, ἐστεφάνωσαν παραχρῆμα τὸν Ἀντίοχον τὸν βασιλέα πεντακοσίοις ἀργυρίου ταλάντοις, χιλίοις δὲ λιβανωτοῦ καὶ διακοσίοις τῆς λεγομένης ςακτῆς. καὶ ἐποίει τὸν πλοῦν ἐπὶ Τύλον τὴν νῆσον, καὶ ἐποίει τὸν ἀπόπλουν ἐπὶ Σελευκείας. ἦσαν δὲ τὰ ἀρώματα ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ."

ςακτὴ καὶ κασσία ἡ ἀπὸ τοῦ πάθους εὐωδία. Theodoret. in Ps. 44 9.

ςακτοῖς τοῖς ὑγροῖς καὶ δοκίμοις, πρὸς ἀντιδιαςολὴν τῶν ξηρῶν. Ἀριςοφάνης Πλούτῳ (529) "οὔτε μύροισιν μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον."

ςαλάζω αἰτιατικῇ.

ςαλέντος παυσαμένου· "σταλέντος δὲ τοῦ αἵματος τὰ οἰκεῖα αὖθις διαπράττεσθαι τῶν βοῶν."

ςάλικας πασσάλους· "ἔμπαλιν ἰθυτόνων Δᾶμις ἀπὸ σταλίκων" ἐν ἐπιγράμματι (AP 6 187). ἡ εὐθεῖα ἡ στάλιξ.

ςαμίνεσσι (Hom. ε 252) τοῖς ἐπιμήκεσι ξύλοις.

ςάσεις τὰ ἀναχώματα τῶν ποταμῶν· (A Eq. 530) "καὶ τῆς στάσεως παρασύρων ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους προθελύμνους."

ςάσιμον εἶδος μέλους, ὅπερ ἱστάμενοι ᾖδον οἱ χορευταί. ἢ στάσιμον τὸ ταραχῶδες (sch. A Ran. 1314). καὶ Στάσιμος ὄνομα κύριον.

a ςάσις ἐπὶ πνοῆς βιαίου ἀνέμου· "γίνεταί τις ἀνέμου στάσις, ἔχουσα τηλικαύτην φορὰν ὥστε τὰς στοὰς σαλεύειν" (Polyb. 1 48).

ςάσις ἡ ἐμφύλιος, πόλεμος δὲ τῶν ἀλλοτρίων. καὶ ςασιώτης.

ςασιώτης. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως "περὶ τοίνυν ὧν Ἀπόληξις κατηγόρηκεν, ὁ στασιώτης ἦν ἐγὼ καὶ ὁ πάππος ὁ ἐμός." ἔοικεν ἰδίως νῦν ὁ ῥήτωρ ἐπὶ τοῦ δορυφόρου κεχρῆσθαι τῷ ὀνόματι· ἐν γοῦν τοῖς ἑξῆς φησὶν ὅτι οὐκ ἂν τοὺς μὲν τυραννοῦντας ἠδυνήθησαν οἱ πρόγονοι κολάσαι, τοὺς δὲ δορυφόρους ἠδυνάτησαν. Harp.

ςατήρ τὸ ἐκ χρυσοῦ νόμισμα· "τῶν βαλαντίων ἡ συνωρὶς τὸ μὲν εἶχεν ὀβολοὺς ἐκ χαλκοῦ, τὸ δὲ στατῆρας χρυσοῦς, τῶν Εὐμήλου ἵππων πολὺ μᾶλλον ἀλλήλοις ἐοικότα" (Synes. ep. 127).

ςατήρ τετράγραμμον νόμισμα· καὶ τὸ ἐξάγιον, καὶ τὸ ζύγιον· ἢ εἶδος νομίσματος. Ἀριστοφάνης Πλούτῳ (817) "στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν," τουτέστι νομίσμασι παίζομεν ἄρτια ἢ περιττά. "ὁρᾶτε μὲν με δεόμενον σωτηρίας τετραστατήρου" Ἀριςοφάνης (Eccl. 412).

ςαυροί τὰ ὀρθὰ πεπηγότα ξύλα. ὅτι ἐπὶ Θεοδοσίου τοῦ μεγάλου βασιλέως, καθαιρουμένων τῶν Ἑλληνικῶν ἱερῶν, εὑρέθησαν ἐν τῷ τοῦ Σαράπιδος νεῷ ἱερογλυφικὰ γράμματα σταυρῶν ἔχοντα τύπους, ἅπερ θεασάμενοι οἱ ἐξ Ἑλλήνων χριστιανίσαντες ἔφασαν σημαίνειν τὸν σταυρὸν παρὰ τοῖς τὰ ἱερογλυφικὰ γινώσκουσι γράμματα ζωὴν ἐπερχομένην.

ςαυρός· "ἐπὶ τὸ βόρειον τοῦ φόρου μέρος σταυρὸς ἵστατο, ὡς εἶδεν αὐτὸν ἐν τῷ οὐρανῷ Κωνσταντῖνος, χρυσέμπλαστος, ἐν τοῖς ἀκρωτηριακοῖς στρογγύλοις μήλοις· ἔνθα καὶ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ καθεωρῶντο χρυσέμβαφοι" (Codin. orig. Cp. 33).

ςαφυλή παρὰ τὸ σήπω σαπυλὴ καὶ ςαφυλή· πεπανθείσης γὰρ τῆς ἀμπέλου τότε καὶ ἡ σταφυλὴ γίνεται. καὶ σταφυλοβολεῖον τὸ καλούμενον πατητήριον.

ςαχάνη ἡ τρυτάνη, παρὰ τὴν στάσιν. καὶ παροιμία "δικαιότερον σταχάνης."

ςέαρ παρὰ τῷ Δαβὶδ εὔνοια καὶ φιλαδελφία· "τὸ στέαρ αὐτῶν συνέκλεισαν· τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν." καὶ στέαρ παρὰ τῇ θείᾳ γραφῇ ἡ εὐπάθεια καὶ ἡ εὐκληρία λέγεται (Ps. 72 7) "ἐξελεύ-

σεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν," ἀντὶ τῦ μετὰ πάσης ἀδείας τὴν ἀδικίαν τολμῶσι.

ςέαρ πυροῦ (Ps. 147 14) ὁ κάλλιςος σῖτος καὶ ἄρτος.

ςέατα ἄλευρα. καὶ Εὐνάπιος (p. 102 Nieb.) "ὃ δὲ φέρων γράμματα ἐν χαλκῷ, στέατι περιπεπλασμένα, καθεὶς ἐν πήρᾳ, ἐπιθείς τε καὶ ἄλλους ἄρτυς ὁμοίως, ὡς μή τινα γνῶναι τὸ ἀπόρρητον." cf. v. καθείς.

ςεγανὰ πλοῖα στερεά.

ςεγανὸν πυκνόν, σφιγκτόν. καὶ Διόδωρος "οἱ δὲ Ῥωμαῖοι στεγανὰ ποιήσαντες παρεχείμαζον." καὶ παροιμία "Βάκχης τρόπον" ἐπὶ τῶν στεγανῶν καὶ σιωπηλῶν· αἱ γὰρ Βάκχαι ἐσίγων.

ςεγανόποδα ζῷα λέγεται καὶ πλατυώνυχα κύκνος χὴν πελεκὰν καὶ τὸ τῶν νηττῶν πᾶν γένος, οἷς συμβέβηκε φιλύδροις εἶναι.

ςεγανώτερον στερεώτερον, πεπυκνωμένον, συνεχέστερον· ἐν ἐπιγράμματι (AP 5 216) "ἀλλά τι καὶ φρονέοις στεγανώτερον." "οἱ δὲ τοὺς ἀσκοὺς κεντήσαντες ὁμίχλῃ στεγανωτάτῃ συνεσκίασαν τὸν ἀέρα," τῇ αἰθάλῃ (cf. v. κονιορτόν). καὶ Αἰλιανός "ὃ δὲ ἔλεγε στεγανωτάτους εἶναι τοὺς βουλευτάς, καὶ φυλάττειν τὰ τῆς σκέψεως ἀπόρρητα."

ςέγγις.

ςέγει καρτερεῖ, ὑπομένει· (Pisides Pers. 3 100) "τὸν καυστικὸν δὲ τοῦτον ἥλιον στέγει, ἱδρῶτι θερμῷ πανταχοῦ βεβρεγμένος." καὶ στεγόμενα κρυπτόμενα. καὶ στεγόντων ἀνεχόντων, βασταζόντων· Ἰώσηπος "οἶκος ἦν, δύο κιόνων στεγόντων αὐτοῦ τὸν ὄροφον." Ἀριστοφάνης (Vesp. 1285) "ὡς εὖ κατηρέψασθε καὶ νουβυστικῶς κεράμῳ τὸ νῶτον, ὥστε τὰς πλευρὰς στέγειν," καὶ αὖθις (S OC 14) "πάτερ Οἰδίπους, πύργοι μὲν οἳ πόλιν στέγουσιν, ὡς ἀπ' ὀμμάτων πρόσω," τουτέστιν ὡς ἄν τις τὰ ὄμματα πρόσω ἔχων.

ςεγναί στερεαί.

ςέγω αἰτιατικῇ.

ςείβοντες πατοῦντες.

ςειλάμενοι στείλαντες. καὶ στείλασθαι ἀντὶ τοῦ κρύψαι· "ὀλίγοι δέ τινες δεδιότες μήποτ' οὐ δυνάμενοι στείλασθαι καταφανεῖς γένωνται, ἀνέφερον τὸ χρυσίον" (Polybius?). καὶ αὖθις "ὁ δὲ Περσεὺς ἐβουλεύετο μὲν στέλλεσθαι, οὐ μὴν ἐδύνατό γε κρύπτειν τὸ γεγονός" (idem?).

ςειλάμενος εὐσταλῶς ἐπελθών.

ςείλασθαι ὁδεῦσαι, πλεῦσαι.

ςειλειὸν τὸ τῆς ἀξίνης ξύλον· "τί γὰρ σθένος ἔσκε σιδήρῳ ὑμείων, εἰ μή οἱ ἐνὶ στειλειὸν ἀρήρει;" cf. v. στελεός.

ςεῖρα ἡ ἄτεκνος. καὶ ἡ τρόπις τοῦ πλοίου· Ὅμηρος (Α 481) "ἀμφὶ δὲ κῦμα στείρῃ πορφύρεον μεγάλ' ἴαχε." καὶ Στείριον ὄνομα πόλεως. καὶ Στειριεύς δῆμος τῆς Πανδιονίδος.

ςείχειν πορεύεσθαι, καὶ στείχοντες πορευόμενοι (S OC 1150) "λόγος δ' ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ στείχοντι δεῦρο, συμβαλοῦ γνώμην, ἐπεὶ σμικρὸς μὲν εἰπεῖν ἄξιος δὲ θαυμάσαι."

ςελγίδες καὶ καταμάγια τὰ εἰς τὸ λούεσθαι χρειώδη. καὶ ξύστραι καὶ λήκυθος καὶ ξυστροφύλαξ εἴδη λουτροῖς ἐπιτήδεια. Artemid. 1 64.

ςελεὸν καὶ στελεός τὸ τοῦ πελέκεως ξύλον. "εἰ μὴ γὰρ ὑμεῖς στελεὰ πάντα τίκτητε, οὐκ ἂν γεωργὸς πέλεκυν ἐν δόμοις εἶχε" Βάβριός φησιν ὁ μυθογράφος (139). cf. v. στειλειός.

ςέλεχος. εἰ μὲν ὁ κορμὸς ἤγουν ἡ ῥίζα, παρὰ τὸ τέλος ἔχειν, ἢ παρὰ τὸ στερεόν· εἰ δὲ οἱ ἄνω τῆς κορυφῆς κλάδοι, παρὰ τὸ εἰς τέλος ἔχεσθαι.

ςέμμα στεφάνη, πλήρωμα.

ςέμφυλον τὸ ἔκδυμα τῆς σταφυλῆς ἢ τῶν ἐλαιῶν, οἷς ἀντὶ ὄψων ἐχρῶντο.

ςένει στενάζει.

ςενοκωκύτους τρίχας, ἐφ' αἷς στενάζει τιλλομένη· Ἀριστοφάνης (Lys. 449) "ἐκκοκκιῶ σου τὰς στενοκωκύτους τρίχας," ἤγουν ἐκτιλῶ, ἀνασπάσω.

ςενολεσχεῖν περὶ καπνοῦ (A Nub. 319) τὸ λεπτολογεῖν· στενὸς γὰρ καὶ ἀμενηνὸς ὁ καπνός. παρὰ δὲ τὸ στενὸν εἴληπται τὸ στενολεσχεῖν.

ςενολέσχης λεπτολόγος. καὶ στενολεσχία τὸ αὐτό.

ςενόχωρος ὁ ἐστενωμένος τόπος.

Στεντόρειος φωνή ἡ τῦ Στέντορος.

ςενωπός στενορύμη διόδων. καὶ στενωπεῖον.

ςέργηθρον ὁ πόθος.

ςέργω δοτικῇ "ἐκεῖνος, οἶμαι, δυνάμει στέργειν ἠναγκάζετο τούτοις." αἰτιατικῇ δέ

"ὃ μὲν στέργει τὴν κάτω χώραν." καὶ "στέργειν μὲν ἡμᾶς ὡς ἀκίνδυνον φόβῳ."

ϛερέμνιον στερεόν, ἰσχυρόν.

ϛερεομετρία.

ϛερέωμα.

ϛερίφη ⟨A Th. 648⟩ στεῖρα, μὴ τεκοῦσα.

ϛερίφοις στερεοῖς, ἢ πυκνοῖς· "εἰ δέ τι ὑπεράγαν ἦν τελματῶδες, τοῦτο βαθείαις τάφροις στέριφον πάντῃ ἀπεδείκνυντο." καὶ στεριφοποιῶ τὸ ἰσχυροποιῶ. καὶ στεριφόπεπλος ὁ μικρὸς πέπλος.

ϛέριφος στεῖρος καὶ ἄγονος, παρὰ τὸ στερεὰν ἔχειν τὴν ὑστέραν. "αὐτὸς δὲ διὰ τοῦ ἕλους, ᾗ ϛεριφώτατόν τε ἦν καὶ ἥκιϛα ὑπὸ τῶν ἐναντίων ἑωρᾶτο, ὑπερέβη." καὶ Θουκυδίδης ⟨7 36⟩ "τὰς πρῴρας τῶν νεῶν ξυντεμόντες ἐς ἔλασσον στεριφωτέρας ἐποίησαν" ἀντὶ τοῦ στερεωτέρας.

ϛέρνα χθονός καὶ νῶτα χθονός τὰ πεδιώδη καὶ εὐρέα, καθάπερ αὖ πάλιν αὐχένας τὰ στενά. Σοφοκλῆς ⟨OC 691⟩ "ϛερνούχου χθονός" ἀντὶ τοῦ γῆς ἐπιπέδου.

ϛέρνοις στήθεσι· "τόν τε περὶ στέρνοις κόσμον ὀδοντοφόρον" ⟨AP 6 246⟩.

ϛερνοτύπτης ὁ τὸ στῆθος τύπτων. καὶ στερνοτυπτούμενος.

ϛέρξω ὑπομενῶ· Σοφοκλῆς ⟨Phil. 458⟩ "τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ, ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι ἔϛαι τὸ λοιπόν, ὥστε τέρπεσθαι μόνῳ." Πολύβιος ⟨cf. v. Πομπήιος⟩ "νῦν δέ (οὐ πρὸς ἡμῶν γὰρ ἐπιορκεῖν) τὰ παρόντα στέργωμεν."

Στερόπη ὄνομα κύριον.

ϛεροπή ἀστραπή, λαμπηδών· ⟨S Ai. 257⟩ "λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς ᾄξας ὀξὺς νότος ὣς λήγει, καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει," ἀντὶ τοῦ οὐ κατέχει αὐτὸν ἡ μανία, ἀλλὰ λήγει ὡς ὀξὺς νότος ταχέως λήγει. ὡς γινομένων τινῶν σημείων ἐπὶ τοῖς πνεύμασιν ὥστε παρατείνειν αὐτὰ ἢ ταχέως πεπαῦσθαι, ὡς ἐν τῇ κωμῳδίᾳ "ἀλλ' ἔπεσε ταχέως· δειλινὸς γὰρ ἤρξατο."

ϛερρά καὶ στερεά ἡ ἰσχυρά.

ϛερρὸν ἀντικνήμιον φησὶν Ἀριϛοφάνης ⟨Ach. 218⟩ περὶ Λακρατίδȣ, τὸ σκληρὸν καὶ γεγηρακὸς καὶ αὖον, ὥσπερ κατ' ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων τὸ χλωρόν. Θεόκριτος ⟨14 70⟩ "γόνυ χλωρόν" ἀντὶ τοῦ ἀκμαῖον καὶ νέον, ἀπὸ μεταφορᾶς τῶν καλάμων, οἳ ὄντες μὲν χλωροὶ ἁπαλοί εἰσι, ξηραινόμενοι δὲ ἰσχυροὶ γίνονται. εὐφήμως οὖν εἶπε στερρὸν ἀντὶ τοῦ ξηρόν.

ϛερρός στερεός, ἰσχυρός.

ϛέρφος δέρμα, σκέπασμα. καὶ στερφόπεπλος ὁ Ἡρακλῆς. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 298⟩ "πήρην κἀδέψητον ἀπεσκληρυμένον αἰγὸς στέρφος."

Στεφαναῖος.

ϛεφάνη ὁ στέφανος. καὶ ὄρȣς ἐξοχή.

Στεφάνη πόλις.

ϛεφανηφόρος Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. στεφανηφόρου ἡρῷον, ὡς ἔοικεν, ἐν ταῖς Ἀθήναις. εἴη δ' ἂν ὁ στεφανηφόρος ἤτοι τῶν Ἡρακλέȣς υἱέων εἷς, τῶν γενομένων ἐκ τῶν Θεστίȣ θυγατέρων, ἢ μήποτε τοῦ ἀστικοῦ στεφανηφόρȣ τὸ ἡρῷον ἦν, ὥς φησιν Ἑλλάνικος ἐν β' Ἀτθίδος. Harp.

ϛεφανικὸν τέλεσμα παρὰ Ῥοδίοις οὕτως ἐκαλεῖτο, ἐπειδὴ αὐτόνομοι ἦσαν οἱ Ῥόδιοι, βραχὺ δέ τι μέρος Ῥωμαίοις ἐπὶ τιμῇ πέμποντες ἐτήσιον, ὡς οὐ φόρον ἡγεμόσι μᾶλλον ἢ στέφανον φίλοις διδόντες. τοῦτο καὶ Ἑλληνογαλάταις τοῖς Ἀγκυρανοῖς ἐπιχωριάζει τὸ λόγιον· στεφανικὸν γὰρ λέγουσι πᾶν τὸ ἐν χάριτος λόγῳ διδόμενον.

ϛεφανίτης.

ϛεφανοπώλης ὁ τοὺς στεφάνους πωλῶν.

ϛέφανος· Ἀριστοφάνης ⟨Av. 463⟩ "φέρε παῖ στέφανον· κατὰ χειρῶν ὕδωρ φερέτω τις." τὸ γὰρ παλαιὸν - - - θέρμης ⟨cf. v. κατὰ χειρὸς ὕδωρ⟩.

ϛεφανῶν τοὺς νενικηκότας ἀντὶ τοῦ τιμῶν, ὡς Δημοσθένης ⟨19 193⟩. καὶ γὰρ Λυκοῦργός φησιν "ἀλλὰ μὴν καὶ Καλλισθένην ρ' μναῖς ἐστεφανώσατε." Harp.

ϛεφανωσάμενος καλάμῳ. λιτὸς καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ. sch. A Nub. 1002.

ϛεφάνωσις ἐπὶ οἰκοδομῆς οἴκȣ.

ϛῆθος. καὶ στηθίδιον καὶ στηθύνιον τὸ μικρὸν στῆθος.

ϛήλας ⟨Hom. M 259⟩ θεμελίȣς.

ϛήλη καὶ ὁ λίθος, ὁ καμπτήρ· Σοφοκλῆς ⟨El. 720⟩ "κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων." στήλη δὲ οὐ τάφοις ἐπιτίθεται μόνοις, ἀλλὰ καὶ νικῶσιν ἀνίσταται καὶ ἐπιγράμματα δέχεται.

ϛήλη σταυροῦ. ὀπίσω ἐν τῷ σταυρῷ.

ςήλην ἐν τῷ Βηρίνῃ.

ςήλην ἐν τῷ χελώνῃ. ἐν τῷ Προκόπιος.

ςήλην τῆς μητρὸς τοῦ μεγάλου Κωνσταντίνου, ἐν τῷ Αὐγουστείῳ.

ςήλην Ἡρακλείου ἐν τῷ βασιλικῇ, καὶ ἑτέρας στήλας διαφόρους.

ἔστι περὶ στηλῶν Ἡρακλείων ἐν τῷ Γάδειρα.

ςήλην Πουλχερίας ἐν τῷ Πουλχερία.

ςηλίς στηλίδος ἡ μικρὰ στήλη.

ςηλιτευθῆναι φανερῶς δημοσιευθῆναι, ἀπὸ τῶν στηλῶν τῶν δημοσίᾳ προτιθεμένων μεταφορικῶς.

ςηλιτευτικὸς λόγος ἐστὶν ὁ παρά τινι τῶν πεπλασμένων προερχόμενος διὰ μόνων τῶν πράξεων, εἰ τύχοι δὲ καὶ συγκρίσεως. τούτου δὲ διαφέρει ὁ ψόγος, ὅτι διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων προσάγεται, οἷον γένους ἀνατροφῆς πράξεων συγκρίσεως. ςηλιτευτικὸς δὲ κέκληται ἐκ μεταφορᾶς τῆς στήλης, ἥ ἐστι λίθος ἢ χαλκὸς ἐπιμήκης ἐν τετραγώνῳ σχήματι ἱδρυμένος, ἐν ᾗ γέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις. πολλάκις δὲ καὶ εὐεργετῶν εὐεργεσίαι ἀναγράφονται. Nonn. in Greg. Naz. steliteut. 1.

ςηλιτεύω αἰτιατικῇ.

ςηλοῦμαι δοτικῇ.

ςήνια καὶ σκίρα ἑορταὶ γυναικῶν ⟨A Th. 841⟩.

ςήριγμα ἄρτου οὐ μόνον σῖτος καὶ κριθή, ἀλλὰ πᾶν τὸ τρέφειν δυνάμενον. Theodoret. in Ps. 104 16.

ςηριγμός ὁ ἑδρασμός.

ςησάμενος ποιήσας· "περί τε Καλλίνικον καὶ Κάρρας τὸν ἀγῶνα στησάμενος."

Στησίχορος Εὐφόρβου ἢ Εὐφήμου, ὡς δὲ ἄλλοι, Εὐκλείδου ἢ Ὑέτους ἢ Ἡσιόδου, πόλεως Ἱμέρας τῆς Σικελίας· καλεῖται γοῦν Ἱμεραῖος. οἱ δὲ ἀπὸ Ματαυρίας τῆς ἐν Ἰταλίᾳ. οἱ δὲ ἀπὸ Παλαντίου τῆς Ἀρκαδίας φυγόντα αὐτὸν ἐλθεῖν φασὶν εἰς Κατάνην, κἀκεῖ τελευτῆσαι, καὶ ταφῆναι πρὸ τῆς πύλης ἥτις ἐξ αὐτοῦ Στησιχόρειος προσηγόρευται ⟨cf. v. πάντα ὀκτώ⟩. τοῖς δὲ χρόνοις ἦν νεώτερος Ἀλκμᾶνος τοῦ λυρικοῦ, ἐπὶ τῆς λζ΄ ὀλυμπιάδος γεγονώς. ἐτελεύτησε δὲ ἐπὶ τῆς νς΄. εἶχε δὲ ἀδελφὸν γεωμετρίας ἔμπειρον Μαμερτῖνον, καὶ ἕτερον Ἡλιάνακτα νομοθέτην. γέγονε δὲ λυρικός, καὶ ἔστιν αὐτοῦ τὰ ποιήματα Δωρίδι διαλέκτῳ ἐν βιβλίοις κς΄. φασὶ δὲ αὐτὸν γράψαντα ψόγον Ἑλένης τυφλωθῆναι, πάλιν δὲ γράψαντα Ἑλένης ἐγκώμιον ἐξ ὀνείρου τὴν παλινῳδίαν ἀναβλέψαι. ἐκλήθη δὲ Στησίχορος ὅτι πρῶτος κιθαρῳδίας χορὸν ἔστησεν, ἐπεί τοι πρότερον Τισίας ἐκαλεῖτο.

ςήωσι στῶσι.

ςιβάδες τράπεζαι, ἢ στρωμναί.

ςιβάδες Φορμίωνος ⟨A Pac. 347⟩, ἐπὶ τῶν εὐτελῶν. στρατηγὸς δὲ ἦν καὶ πολεμικὸς ὁ Φορμίων. στιβάδες δέ, ἐπεὶ οἱ στρατιῶται χαμευνοῦσι· λιτὸς δὲ ἦν. καὶ στιβάς χαμαικοίτιον, ἀκούβιτον ἀπὸ ῥάβδων· καὶ οἱ τῶν δένδρων ἀκρεμόνες. "ὡς δὲ παρῆλθον ἐπὶ τὸ δεῖπνον, κατεκλίνοντο μὲν ἐπὶ στιβάσιν, ἐπὶ ταπίδων βαρβαρικῶν."

ςιβαρόν ἰσχυρόν· Ἰώσηπος ⟨cf. v. ῥόθιον b⟩ "ὃ δὲ ἐλάσας τὸν ἵππον ἁρπάζει τινὰ νεανίαν στιβαρὸν τὸ σῶμα."

ςίβη πηγυλίς, ἢ πάχνη· Ὅμηρος ⟨ρ 25⟩ "στίβη ὑπηοίη," τουτέστιν ὀρθρινή. καὶ στιβήεις. ἡ ὑπὸ τὴν ἕω γινομένη ψυχρότης τοῦ ἀέρος.

ςιβία καὶ στίβος ἡ ὁδός· "αὐτὸν προπέμψας τὸν ἐκείνου στίβον ᾔει." ἀρσενικὸν ὁ ςίβος. καὶ Ἡρόδοτος ⟨4 140⟩ "οἱ δὲ δὴ Πέρσαι τὸν πρότερον ἑωυτῶν γενόμενον στίβον, τοῦτον φυλάσσοντες ᾖσαν," καὶ Πολύβιος ⟨2 25⟩ "κατὰ τὸν αὐτὸν στίβον."

Στιβότης ὄνομα ποταμοῦ.

Στίβωνος ὄνομα κύριον.

ςιγεύς τὸ κεντητήριον.

ςίγματα πληγαί, τραύματα ⟨Galat. 6 17⟩, ἢ ποικίλματα. Αἰλιανός ⟨cf. v. ἀναδεύειν⟩ "τὰ βιβλία καταφλέξας τῶν ··· ὑγρῷ καὶ ἐπιπλάσαιτο."

ςιγμή ἐστι γραμμῆς πέρας, ἥτις ἐστὶ σημεῖον ἐλάχιστον. Diog. L. 7 135.

ςιγμὴ δέ ἐστιν ἀρχὴ γραμμῆς, μονὰς δὲ ἐστιν ἀρχὴ ἀριθμοῦ· ἑκάτερον γὰρ ἀρχή, προσθετέον δὲ τὸ οὗ ἐστὶν ἀρχή.

Στιδαῖος.

ςιζόμενος τυπτόμενος· Ἀριστοφάνης ⟨Vesp. 1287⟩ "ἐγὼ δ᾽ ἀπόλωλα στιζόμενος βακτηρίᾳ."

ςιλβηδόν ἐπίρρημα, ἐκ τοῦ στίλβω τὸ λάμπω.

ςιλβηδόνος λαμπηδόνος.

Στιλβίδης μάντις ἄριςος τῶν τὰς πα-

λαιὸς χρησμοὺς ἐξηγουμένων, εὐδόκιμος καὶ περιβόητος. sch. A Pac. 1031.

ϛιλβωνίδης ὁ λαμπρὸς ἀπὸ βαλανείε καὶ κεκαλλωπισμένος· ἢ ὄνομα κύριον. Ἀριστοφάνης Ὄρνισιν (139) "ὦ Στιλβωνίδη."

ϛίλη· (A Vesp. 213) "τί ἐκ ἀπεκοιμήθημεν ὅσον ὅσον στίλην."

ϛιλπνόν λαμπρόν, στίλβον.

Στίλπων Μεγαρεὺς φιλόσοφος, γεγονὼς παρὰ τῷ πρώτῳ Πτολεμαίῳ, μαθητὴς Πασικλέυς τοῦ Θηβαίου· ὃς ἠκροάσατο Κράτητος τοῦ ἀδελφοῦ καὶ Διοκλείδου τοῦ Μεγαρέως, ὃ δὲ Εὐκλείδου τοῦ Πλάτωνος γνωρίμου. προέστη δὲ καὶ τῆς Μεγαρικῆς σχολῆς, καὶ ἔγραψε διαλόγους οὐκ ἐλάττους τῶν κ΄.

ϛίξ ϛιχός ἡ τάξις.

ϛίππυον τὸ ἄχλωρον λίνον. καὶ στυππεῖον.

ϛιπτοί ἀντὶ τοῦ πυκνοί. εἴρηται δὲ ἀπὸ τῶν ἐσθήτων, αἵτινες ὑφανθεῖσαι ἐς πυκνότητα συνάπτονται. ἢ στερεοὶ καὶ πεπιλημένοι, ἀπὸ τοῦ στείβειν, ὅ ἐστι πατεῖν (sch. A Ach. 179). καὶ Σοφοκλῆς (Phil. 33) "στιπτή γε φυλλὰς ὡς ἐναυλίζοντί τῳ, τὰ δ᾽ ἄλλ᾽ ἔρημα."

Στιριεύς. δῆμος φυλῆς τῆς Πανδιονίδος ἡ Στιρία. cf. v. Στεῖρα.

ϛῖφος τάξις πολεμική, ἢ φάλαγξ, συστροφή, πλῆθος συστασιωτῶν.

ϛιχάει περιπατεῖ.

ϛιχάριον, ϛιχίδιον ὁ μικρὸς ϛίχος.

a ϛίχος τάξις.

b ϛίχος ὁ κατὰ τὸ κοινὸν ἔθος ὀνομαζόμενος, ὁ ἀπὸ ἀριστερῶν ἐπὶ δεξιὰ ἀναγινωσκόμενος.

ϛλεγγίς ἡ ξύστρα, καὶ στλεγγιζόμενος ἀποξυόμενος. Ἀριστοφάνης Γήραι "εἰ παιδαρίοις ἀκολεθεῖν δεῖ σφαῖραν καὶ ϛλεγγίδ᾽ ἔχοντα," Δαιταλεῦσιν "οὐδ᾽ ἔστιν αὐτῇ στλεγγὶς οὐδὲ λήκυθος." καλεῖται στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν (sch. A Eq. 577).

b ἡ δὲ στλεγγὶς τῶν πρός τί ἐστι καὶ τῶν οὐ πρός τι. τὰ μὲν πρὸς ἕν τι μόνον ἐστί, καὶ οὐκ ἄν τις αὐτοῖς πρὸς ἄλλο τι χρήσαιτο, ὥσπερ τῇ ὄψει πρὸς μόνον τὸ ὁρᾶν· τὰ δὲ καὶ πρὸς ἄλλο τι, πρὸς ὃ οὐ πέφυκε, χρήσαιτο ἄν τις. τῇ γοῦν στλεγγίδι χρήσαιτο ἄν τις οὐ μόνον πρὸς τὸ περιξύεσθαι ἀλλὰ καὶ πρὸς τὸ ὕδωρ ἀρύσασθαι.

ϛοά τὸ ταμιεῖον, διὰ τὸ παράμιγμα εἶναι "στοάς τε καρποῦ βακχίου τε νάματος," ἐν αἷς ὁ σῖτος καὶ ὁ οἶνος, Ἀριστοφάνης (Eccl. 14).

ϛοά ἡ ἐν Ἀθήναις διατριβή, διὰ τοῦ ... μικροῦ, στωικοὶ δὲ οἱ ἀπ᾽ αὐτῆς, διὰ τοῦ ... μεγάλου· ἥτις ὠνομάζετο Πεισιανάκτιος, ὕστερον δὲ ζωγραφηθεῖσα ποικίλη ἐκλήθη.

Στόβηρα πόλις.

ϛοιβάζω συνάγω.

ϛοιβήν σωρόν. Ἀριστοφάνης (Ran. 1184) "κἂν πε δὶς εἴπω ταὐτὸν ἢ στοιβὴν ἴδῃς ἐνοῦσαν ἔξω τοῦ λόγε, κατάπτυσον," ὡς τοῦ κἂν τι ἐλάχιστον ῥῆμα περισσὸν εὕρῃς καὶ παρέλκον ἐν τῷ λόγῳ. ἀπὸ τῆς στοιβῆς τῶν φορτίων ἡ μεταφορά.

ϛοιχεῖα ἀρχαί· Δαμάσκιος "στοιχεῖα πρῶτα καὶ μέγιστα τῆς τῶν ὄντων πολυθρύλλητου ἱστορίας ἔρως φιλοπονία ἀγχίνοια." cf. v. ἔρως b.

ϛοιχεῖα αἱ εἰκόνες καὶ διαπλάσεις τῶν ὀνείρων αἱ δι᾽ ὀλίγου ἢ πολλοῦ χρόνου τὴν ἔκβασιν ἔχεσαι. cf. Artemid. 1 2.

ϛοιχεῖον. στοιχεῖόν ἐστιν ἐξ οὗ πρώτου γίνεται τὰ γινόμενα καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. τὰ δὴ δ΄ στοιχεῖα εἶναι ὁμοῦ τὴν ἄποιον οὐσίαν, τὴν ὕλην. εἶναι δὲ τὸ μὲν πῦρ θερμόν, τὸ δὲ ὕδωρ ὑγρόν, τὸν ἀέρα ψυχρόν, τὴν γῆν ξηράν. οὐ μὴν ἀλλὰ καὶ ἔτι ἐν τῷ ἀέρι εἶναι τὸ αὐτὸ μέρος. ἀνωτάτω μὲν οὖν εἶναι τὸ πῦρ, ὃ δὴ αἰθέρα καλεῖσθαι, ἐν ᾧ πρώτην τὴν τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι, εἶτα τὴν τῶν πλανωμένων, μεθ᾽ ἣν τὸν ἀέρα, εἶτα τὸ ὕδωρ· ὑποστάθμην δὲ πάντων τὴν γῆν, μέσην ἁπάντων οὖσαν. Diog. L. 7 137.

ϛοιχειοῦσι διατυποῦσι.

ϛοιχειώδη τὰ εἰσαγωγικά, τὰ πρῶτα καὶ τὰ τῆς ἀρχῆς.

ϛοιχείωσις ἀκριβεστάτη ἐπιτομή, ἡ πρώτη μάθησις ἤτοι διάταξις.

ϛοιχηδόν κατὰ τάξιν.

ϛοίχημα βούλημα, κοινὴ κρίσις.

ϛοιχίζω τὸ περικυκλῶ τὴν πόλιν, ϛοιχῶ δὲ τὸ συμφωνῶ.

ϛοιχομυθεῖν ἐφεξῆς λέγειν.

ϛοῖχος ἡ τάξις.

ϛοιχῶμεν πειθώμεθα, ἀρεσκώμεθα "μὴ στοιχῶμεν ἑαυτοῖς, φασὶν οἱ πατέρες."

ςολάς· Ξενοφῶν ⟨Anab. 4 1 18⟩ "τοξευθεὶς διὰ τῆς ἀσπίδος καὶ τῆς στολάδος εἰς τὰς πλευράς."

ςόλιον ἡ στολή, καὶ ςολίς στολίδος· "ἄκρητον θλίβων νέκταρ ἀπὸ στολίδων" ⟨AP 7 27⟩ καὶ αὖθις ⟨M. Anton. 1 7⟩ "μὴ ἐν στολίῳ κατ' οἶκον περιπατεῖν."

ςόλος καὶ τὸ πεζικὸν στράτευμα· Ἀρριανός "Σποράκις μαθὼν τὸν στόλον βασιλέως ἐπὶ τὴν αὐτοῦ ἐπικράτειαν γενόμενον ἔφυγεν." "οὕτω πεπραγότων αὐτῷ τῶν ἐκπεμφθέντων τῷ πρώτῳ στόλῳ, τὸν παῖδα τῆς στρατηγίας κατεμέμφετο." καὶ αὖθις ⟨S Phil. 498⟩ "τοὐμὸν ἐν σμικρῷ μέρος ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον." κυρίως δὲ ὁ ναυτικός.

Στόλων ὄνομα κύριον.

a ςόμα τὸ ἔμπροσθεν μέρος τοῦ στρατȣ̃· Ξενοφῶν ⟨Anab. 3 4 42⟩ "κελεύει ἀπὸ τȣ̃ στόματος συμπέμψαι ἄνδρας· μακρὰν γὰρ ἦν ἀπὸ τῆς οὐρᾶς λαβεῖν."

b ςόμα ἡ φωνὴ παρὰ τοῖς παλαιοῖς· Ὅμηρος ⟨Κ 8⟩ "πολέμȣ στόμα." καὶ αὖθις "ὁ δὲ ἀνθίσταται, καὶ κατὰ στόμα παίων βιαζομένȣς ἀνῄρει," τουτέστι κατὰ πρόσωπον.

c ςόμα παρὰ τῇ θείᾳ γραφῇ τῆς διανοίας ἡ προθυμία. Theodoret. in Ps. 113 131.

ςόμαργος φλύαρος· Ἠλέκτρα φησί ⟨S 606⟩ "κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρὴ κακὴν εἴτε στόμαργον εἴτ' ἀναιδείας πλέαν.

ςόμαχος λαιμός. ὅτι οἱ παλαιοὶ ἰατροὶ τὸν στόμαχον καρδίαν ἐκάλȣν, ἔνθεν καὶ καρδιωγμός. sch. Thuc. 2 49.

ςομίας ἵππος ἀπειθὴς καὶ βίαιος· ὅν τινες ἄστομόν φασι. cf. v. ἄστομοι.

ςόμφακα ⟨A Nub. 1370⟩ τραχὺν ἢ κομπαστήν, καὶ στομφάσαι τὸ ἀλαζονεύσασθαι. σύνθετος ἡ λέξις ἀπὸ τοῦ στόματος καὶ τȣ̃ ὄμφακος, ἵνα ᾖ λέγων, ὄμφακας ἔχων ἐν τῷ στόματι τοὺς μύθους. λέγει δὲ περὶ Αἰσχύλου τοῦ ποιητοῦ.

ςομώσῃς παροξύνῃς· Ἀριςοφάνης ⟨Nub. 1111⟩ "δίδασκε καὶ κόλαζε, καὶ μέμνησ' ὅπως εὖ μοι στομώσεις αὐτόν, ἐπὶ μὲν θάτερα οἵαν δικιδίοις, τὴν δ' ἑτέραν αὐτοῦ γνάθον στόμωσον οἵαν ἐς τὰ μείζω πράγματα," ἀντὶ τοῦ ὀξυνεῖς, ὡς ἐπὶ σιδήρου, μεταφορικῶς, ἀντὶ τοῦ ἀκονήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. οἵαν δέ, τουτέστι δυνατὴν καὶ ἔμπειρον εἰς τὸ λέγειν δίκας. μείζω δὲ πράγματα τὰ ἄδικα, τὰ ἐμφιλόσοφα. ὑποκοριστικῶς δὲ εἶπε δικιδίοις.

ςόμωσις δείνωσις, πανουργία· ⟨S OC 794⟩ "τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα, πολλὴν ἔχον στόμωσιν." καὶ στόμωσον ἀντὶ τοῦ ὄξυνον.

ςόναχος στεναγμός.

ςονόεσσα στεναγμὸν ἔχουσα, καὶ στόνος στεναγμός,

ςορέσαι ⟨Hom. Ι 621⟩ στρῶσαι.

ςόρθυγξ τὸ ἄκρον τοῦ δόρατος, ἢ τὸ τοῦ βέλους σιδήριον.

ςόρνησι ζώναις· "αἱ δὲ γυναῖκες στόρνησιν ἀνέστεφον," περὶ Θησέως.

ςορνύντες.

Στούδιος δυνάστης, ὃς καὶ τὴν περιβόητον μονὴν ἔκτισεν. ὁ αὐτὸς Στούδιος δυνάστης κτίζει τὸν ναὸν τοῦ ἀρχιστρατήγȣ Ναχωλείας, ἐν ᾧ φέρονται καὶ στίχοι ἡρωικοί· "Στούδιος ἀγλαὸν οἶκον ἐδείματο· καρπαλίμως δὲ ὧν κάμεν εὕρατο μισθόν, ἑλὼν ὑπατηίδα ῥάβδον."

ςοχασμός συλλογισμός.

Στράβαξ ὄνομα κύριον.

Στράβων Ἀμασεὺς φιλόσοφος γέγονεν ἐπὶ Τιβερίου Καίσαρος. ἔγραψε γεωγραφίαν ἐν βιβλίοις ιζ΄.

ςραγγαλίδες τὰ δύσλυτα ἅμματα· Φερεκράτης Αὐτομόλοις "ὑμεῖς γὰρ ἀεὶ ςραγγαλίδας ἐσφίγγετε."

ςραγγαλιῶδες διεστραμμένον. "ὁ δὲ ἐκέλευσεν αὐτὸν μαστιγοῦσθαι τῇ μάστιγι τῇ στραγγαλωτῇ ⟨an ἀστραγαλωτῇ⟩. ὁ δὲ ἔξαρνος ἦν μηδὲν εἰρηκέναι."

ςραγγεύεται διαμέλλει, οὐκ εὐθὺς πορεύεται, ὥσπερ νεάζει καὶ χρονίζει καὶ ῥαθυμεῖ. ⟨A Nub. 505⟩ "κυπτάζεις ἔχων περὶ τὴν θύραν;" ἀττικῶς περιττεύει τὸ ἔχων· τὸ δὲ κυπτάζεις ἀντὶ τοῦ στραγγεύῃ καὶ διατρίβεις. καὶ ςραγγεύομαι ἀναβάλλομαι, διατρίβω. ἅπαξ οὖν φησὶ δόξαν τί παρέλκω καὶ μέλλω καὶ διατρίβω καὶ ἀναδύομαι.

ςραγγουρία ἡ δυσουρία· ⟨A Vesp. 805⟩ "σοφόν γε τουτὶ καὶ γέροντι πρόσφορον ἐξεῦρ' ἀτεχνῶς φάρμακον στραγγουρίας."

ςραγγουριῶ· Ἀριστοφάνης ⟨Th. 622⟩ "στραγγουριῶ γάρ· ἐχθὲς ἔφαγον κάρδαμα." ἐπισχετικὰ γάρ ἐςιν οὔρων τὰ κάρδαμα καὶ πτύσματος, καὶ διὰ τοῦτό φασι τοὺς Πέρσας χρῆσθαι αὐτοῖς· φυλάττονται γὰρ πολλὰ

πτύειν καὶ οὐρεῖν καὶ ἀπομύττεσθαι.

ϛραγός ἀναιδής, σκολιός, στρεβλός, δύσκολος.

ϛραγότερος ἀναιδέστερος· ὁ ἅγιος Βασίλειος ἐν τῷ κατὰ μεθυόντων "μή πως ὁ μὲν ἀνυπότακτος στραγότερος γένηται, ὁ δὲ κατανενυγμένος τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ."

a ϛρατεία τὸ ἀξίωμα.

b ϛρατεία ἡ ἐνέργεια καὶ ὥσπερ πάλη.

c ϛρατεία ἐν τοῖς ἐπωνύμοις. Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. Ἀριστοτέλης τοίνυν δεδήλωκεν ἐν Ἀθηναίων πολιτείᾳ, τίς ἦν ἡ ἐν τοῖς ἐπωνύμοις στρατεία· "εἰσὶ" γάρ φησιν "ἐπώνυμοι ί μὲν οἱ τῶν φυλῶν, β' δὲ καὶ μ' οἱ τῶν ἡλικιῶν. οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι πρότερον μὲν εἰς λελευκασμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τε ἄρχων ἐφ' οὗ ἐνεγράφησαν, καὶ ἐπώνυμος ὁ τῷ προτέρῳ ἐπιδεδημηκώς. νῦν δὲ εἰς τὴν βουλὴν ἀναγράφονται." καὶ μετ' ὀλίγα "χρῶνται δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας· καὶ ὅταν ἡλικίαν ἐκπέμπωσιν, προσγράφουσιν ἀπὸ τίνος ἄρχοντος ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι." Harp.

ϛρατήγημα σόφισμα, ἡ τοῦ στρατοῦ ἡγεμονία, ἡ κατόρθωσις.

ϛρατηγία τὸ ἀξίωμα. τρεῖς τρόποι εἰσὶ καθ' οὓς ἐφίεταί τις στρατηγίας, κατὰ λόγον αὐτῇ προσιών, εἷς μὲν ὁ διὰ τῶν ὑπομνημάτων καὶ τῆς ἐκ τούτων κατασκευῆς, ἕτερος δὲ ὁ μεθοδικὸς καὶ ἡ παρὰ τῶν ἐμπείρων ἀνδρῶν παράδοσις, τρίτος δὲ ὁ διὰ τῆς ἐπ' αὐτῶν τῶν πραγμάτων ἕξεως καὶ τριβῆς. οὕτω φησὶ Πολύβιος (11 8) ὅτι τριῶν ὄντων τρόπων καθ' οὓς ἐφίενται πάντες στρατηγίας οἱ κατὰ λόγον αὐτῇ προσιόντες, πρώτου μὲν διὰ τῶν ὑπομνημάτων καὶ τῆς ἐκ τούτων κατασκευῆς, ἑτέρου δὲ τοῦ μεθοδικοῦ καὶ τῆς παρὰ τῶν ἐμπείρων ἀνδρῶν παραδόσεως, τρίτου δὲ τοῦ διὰ τῆς ἐπ' αὐτῶν τῶν πραγμάτων ἕξεως καὶ τριβῆς, πάντων ἦσαν τούτων ἀνεννόητοι οἱ τῶν Ἀχαιῶν στρατηγοὶ ἁπλῶς.

ϛρατηγιᾶν ἐπιθυμεῖν τῆς στρατηγίας, καὶ ϛρατηγιῶντα στρατηγίας ὀρεγόμενον· Ἰώσηπος (B. I. 2 21 2) "ἤδη δ' αὐτὸν στρατηγιῶντα καὶ μειζόνων ἐφιέμενον ἔνδεια χρημάτων κατεῖχε."

a ϛρατήγιον τὸ στρατόπεδον ἀττικῶς· Σοφοκλῆς (Ai. 721) "μέσον δὲ προσμολὼν στρατήγιον." καὶ αὖθις "συνηθροισμένοι περὶ τὸ στρατήγιον."

ϛρατήγιον ὁ τόπος τοῦ στρατηγοῦ· "οἱ μὲν ἡγεμόνες πρὸς τὸ στρατήγιον, οἱ δὲ πληθὺς ἐπὶ τὰς ἰδίας σκηνὰς ἔθεον."

ϛρατηγὶς ναῦς.

ϛρατηγοί. οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ ἦσαν· Δημοσθένης ἐν Φιλιππικοῖς. "στρατηγὸν εἶχον τῷ μὲν ὄκνῳ τε καὶ θρασεῖ ἐς τοὺς κινδύνους λαμπρόν, τἆλλα δὲ ἀφανῆ καὶ ἐκ ταπεινοῦ ηὐξημένον καὶ τοῖς δοκιμωτάτοις ὕποπτα καὶ τῷ παρ' ἀξίαν εὐδοκιμεῖν ἐπίφθονον."

ϛρατηγῷ γενικῇ.

ϛρατιά τὸ τῶν στρατιωτῶν ὑπὸ ἕνα ἔπαρχον τάγμα, στρατεία δὲ τὸ ἀξίωμα. ὅτε δὲ λέγει ἡ γραφὴ (2 Paral. 33 3) περὶ Μανασσῆ ὅτι ἐλάτρευσε τῇ στρατιᾷ τοῦ οὐρανοῦ, τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας λέγει.

ϛρατιώτης ἀρσενικόν. θηλυκὸν δὲ διὰ τοῦ ι.

ϛρατοπεδεία.

ϛρατοπεδευσάμενοι.

ϛρατόπεδον ἐποιήσαντο ἀντὶ τοῦ σκηνάς. δύο γὰρ σημαίνει ἡ λέξις, καὶ τὸ στράτευμα καὶ τὸν τόπον τοῦ ϛρατεύματος. ἐτυμώτερον δέ ἐστιν ἐπὶ τοῦ τόπου λέγεσθαι, οἷον τοῦ στρατοῦ τὸ πέδον.

ϛρατός τὸ πλῆθος τῶν πολεμούντων, ὁ δὲ τόπος στρατόπεδον· λέγεται γὰρ τοῦ στρατοῦ τὸ πέδον.

Στράττις Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶ ταῦτα, Ἀνθρωπορραίστης, Ἀταλάντη, Ἀγαθοὶ ἤτοι ἀργυρίου ἀφανισμός, Ἰφιγέρων, Καλλιππίδης, Κινησίας, Λημνομέδων, Μακεδόνες, Μήδεια, Τρωίλος, Φοίνισσαι, Φιλοκτήτης, Χρύσιππος, Παυσανίας, Ψυχασταί, ὥς φησιν Ἀθήναιος ἐν τῷ ζ' βιβλίῳ τῶν Δειπνοσοφιστῶν.

Στράττις Ὀλύνθιος ἱστορικὸς περὶ τῶν Ἀλεξάνδρου ἐφημερίδων, περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν, περὶ τῆς Ἀλεξάνδρου τελευτῆς βιβλία ε'.

Στράτων κωμικὸς τῆς μέσης κωμῳδίας· τῶν δραμάτων αὐτοῦ ἦν Φοῖνιξ.

b Στράτων Λαμψακηνὸς φιλόσοφος, Θεοφράστου γνώριμος καὶ διάδοχος, υἱὸς δὲ Ἀρκεσιλάου ἢ Ἀρκεσίου, ὃς ἐπεκλήθη φυ-

κὸς διὰ τὸ παρ' ὁντιναοῦν ἐπιμεληθῆναι ς φυσικῆς θεωρίας. καθηγήσατο δὲ καὶ τολεμαίου τοῦ ἐπικληθέντος φιλαδέλφου, ὶ ἔγραψε βιβλία πολλά.

Στράτων ἀεὶ ἐξυρᾶτο καὶ Κλεισθένης ι τῷ φαίνεσθαι ἀεὶ νέοι. Ἀριστοφάνης :h. 119) "ὦ Θερμόβουλον πρωκτὸν ἐξυρη- ι, τοιόνδε δ' ὦ πίθηκε τὸν πώγων' ἔχων ῦχος ἡμῖν ἦλθες ἐξυρημένος; ὁδὶ δὲ τίς ' ἐστίν; οὐ δήπου Στράτων."

ςράτωρ στράτωρος εἶδος ἀξιώματος.

ςρεβλός δύσκολος, καμπύλος· (A Ran.) "στρεβλοῖσι παλαίσμασι" τοῖς μετὰ ψεως εὑρισκομένοις καὶ ἀφανέσι.

ςρεβλούμενος δεσμούμενος, μαστιζό- ος. Αἰλιανός "καὶ τοὺς ὑπηρέτας αὐτῷ ιβαλόντες εἰς τὸ θέατρον καλοῦσι τὸ πλῆ- , καὶ ἐκεῖνον παράγουσι καὶ στρεβλοῦσι· κατατεινόμενος ἀληθῆ λέγει, καὶ πυρὶ αδίδοται." "ὃ δὲ οὐκ ἔστι τῶν δεινῶν αρέλειπε, τοὺς μὲν στρεβλούμενος χάριτι ὑπαρχόντων." cf. v. κατατείνας.

;ρεπταίγλαν· Ἀριστοφάνης (Nub. 334) τ' ἄρ' ἐποίουν ὑγρᾶν νεφελᾶν ςρεπταί- ' δάιον ὁρμάν." τοῦτο Φιλόξενος ὁ δι- αμβοποιὸς εἶπεν. ἐπεὶ οὖν συνθέτοις καὶ πλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέ- , κατὰ τὸν ἐκείνων ζῆλον καὶ αὐτὸς ύταις χρῆται. δηλοῖ οὖν ἄντικρυς τὸ τραμμένον διὰ τὴν ἀηδίαν τούτων ἐν συνθέτοις. στρεπταίγλαν δὲ τὴν στρέ- ταν τὴν αἴγλην καὶ ἀφανίζουσαν.

ρεπτός περιδέραιος κόσμος· "ὃ δὲ λα- νος τῇ λαιᾷ τοῦ στρεπτοῦ, ὃν δὴ χρυ- ἔφερεν ἀμφὶ τῇ δέρῃ." καὶ αὖθις (AP) "στρεπτὸν Βασσαρικοῦ ῥόμβον θιά- μύωπα."

ρεπτούς πλακούντων εἶδος, ὡς Δη- θένης ὑπὲρ Κτησιφῶντος (260). Harp.

ρεφεδίνηθεν. Hom. Π 792.

ρεφοδικοπανουργία. συντέθειται ἡ παρὰ τὸ στρεβλὸν ἦθος καὶ συκοφαν- . Ἀριστοφάνης Ὄρνισι (1468) "πικρὰν ὄψει στρεφοδικοπανουργίαν."

Στρέψα πόλις τῆς Θρᾴκης. καὶ οἱ πο- ι Στρεψαῖοι.

ρεψίμαλλος ἄνθρωπος ὁ μὴ ἁπλῶς, τῶν ἐρίων τῶν συνεστραμμένους τοὺς ιοὺς ἐχόντων.

ρεψοδικῆσαι ἀντὶ τοῦ στρέψαι τὰς δίκας· Ἀριστοφάνης Νεφέλαις (433) "ἀλλ' ὅσ' ἐμαυτῷ στρεψοδικῆσαι καὶ τοὺς χρή- στας διολισθεῖν," τουτέστι τοὺς δανειστὰς ἐκφυγεῖν.

ςρῆνος. εἰς τὴν παλαιὰν τοῦτο κεῖται (4 Regg. 19 28). "τὸ στρῆνός σου ἀνέβη ἐν τοῖς ὠσί μου," τουτέστι -- καὶ στρηνιῶ ἀτακτῶ.

ςρικτόν. οὕτω καλεῖται παρὰ Ῥωμαίοις τὸ ἐστενωμένον καὶ ἀπλατὲς ἐπὶ παντὸς εἴ- δους, κυρίως δὲ ἐπὶ ὑποδήματος.

ςριφνός σφιγκτός, στερεός.

ςρίφνος τὸ νευρῶδες κρέας τῶν βοῶν· ἔστι δὲ καὶ βοτάνη ἄβρωτος· Ἰώβ (20 18) "στρίφνος ἀμάσητος ἀκατάποτος."

ςροβεῖ ταράττει, κινεῖ, περιφοβεῖ, κα- ταπονεῖ.

ςρόβει, τουτέστιν ἀνάκρινε, δοκίμαζε, περίφερε τῇδε κἀκεῖσε, πυκνόν τι καὶ συνε- τὸν ποιήσας φρόνημα καὶ σκεψάμενος. Ἀρι- στοφάνης Νεφέλαις (702) "φρόντιζε δὴ καὶ διάθρει, πάντα τρόπον τε σαυτὸν στρόβει πυκνώσας," καὶ αὖθις (Eq. 385) "ἀλλ' ἔπιθι καὶ στρόβει· νῦν γὰρ ἔχεται μέσος." ἡ με- ταφορὰ ἀπὸ τῶν παλαιστῶν τῶν τὰ μέσα λαμβανόντων καὶ ἐκ τοῦ κρείττονος γινομέ- νων.

ςρόβιλοι Καρκίνου τοῦ ποιητοῦ υἱοί, ὡς Ἀριστοφάνης (Pac. 864), οὓς καὶ γυλιο- τραχήλους εἴρηκε. καὶ παροιμία "εὐδαιμο- νέστερος τῶν Καρκίνου στροβίλων," ἀντὶ τοῦ κακοδαιμονέστερος, ἐν εἰρωνείᾳ. στρόβι- λοι καὶ οἱ κοχλίαι καὶ οἱ θαλάσσιοι κήρυκες.

Στρόβιλος ἡ νῆσος. καὶ εἶδος ὀρχή- σεως, καὶ ὁ τοῦ δένδρου καρπὸς τῆς πίτυος· ἐν ἐπιγράμματι (AP 6 232) "καὶ ξανθοὶ μυε- λοὶ ἐκ στροβίλων." καὶ εἶδος ἀνέμου· "τό τε πνεῦμα κατελθὸν εἰς τὸ πεδίον πολὺ θύελ- λάν τε καὶ στροβίλους ἤγειρεν, ὥστε τὸ κα- θεστηκὸς νυκτὸς διαφέρειν οὐδέν."

ςρογγύλοις ῥήμασι πιθανοῖς ἢ πα- νούργοις· Ἀριστοφάνης (Ach. 686) "ἐς τάχος παίει ξυνάπτων στρογγύλοις τοῖς ῥήμασι."

Στρομβιχίδης ὄνομα κύριον.

ςρόμβος ῥόμβος, ἀπὸ τοῦ περιστρέφε- σθαι (Hom. Ξ 413).

Στρομφίδες νῆσοι μεταξὺ Ζακύνθου καὶ Ἤλιδος κείμεναι. Harp.

Στρούθης σατράπης τις βασιλικὸς ἦν. Harp.

ςρουθίζων τρίζων.

ςρουθός. οὕτως Ἀττικοί. ⟨A Pac. 530⟩ "Σοφοκλέους μελῶν, κιχλῶν" στρουθῶν. δοκοῦσι πρὸς τρυφὴν ἐκ τῶν ἄλλων πετεινῶν περισπούδαστοι εἶναι μᾶλλον. ἀεὶ δὲ τὸν Σοφοκλέα Ἀριστοφάνης σεμνολογεῖ· τὸ γὰρ κάλλιστον τῶν ἐδεσμάτων μετὰ τὴν αὐτοῦ μνήμην εὐθὺς ἐπήγαγεν, ἐνδεικνύμενος ὡς πάντων τῶν ποιημάτων ἀναγκαιότερά εἰσι τὰ αὐτοῦ ποιήματα, τῇ χρήσει τῶν κιχλῶν παραβαλλόμενα.

ςροῦθος ὁ λελωβημένος.

ςροφαῖον. οὕτως ἐκάλουν τὸν παρὰ τῇ θύρᾳ ἱδρυμένον δαίμονα, ἅμα δὲ παρὰ τὸ στρέφειν τὰ πράγματα· οἱ δὲ τοῦτο ποιοῦντες πανοῦργοι λέγονται. Ἀριστοφάνης Πλούτῳ ⟨1154⟩ "παρὰ τὴν θύραν ςροφαῖον ἱδρύσασθέ με." ἐπωνυμία δέ ἐστιν Ἑρμοῦ παρὰ τὸ ταῖς θύραις ἱδρῦσθαι ἐπὶ φυλακῇ τῶν ἄλλων κλεπτῶν· οὗτοι γὰρ ὀπίσω τῶν θυρῶν εἰώθασι καὶ ἀναδύεσθαι καὶ ὅλως πανουργεύεσθαι.

στροφάλιγξ ἡ συστροφή, καὶ ςροφάλιγγι ⟨Hom. Π 775⟩ τῇ συστροφῇ.

ςροφάς ἀντιλογίας.

ςροφή. ἐκ τῶν Ἀριστοφάνους Ὀρνίθων ⟨743⟩ ᾠδὴ ἤτοι στροφή "μοῦσα λοχμαία ποικίλη, μεθ' ἧς ἐγὼ νάπαισι κορυφαῖς τ' ἐν ὀρείαις ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου" καὶ τὰ ἑξῆς.

ςρόφιγξ στροφή, κίνησις. ἢ ἀπὸ τοῦ συστρέφειν καὶ πανουργεύεσθαι ⟨A Ran. 919⟩.

a ςρόφιον τὸ στρογγύλον ζωνάριον· Ἀριστοφάνης ⟨Lys. 930⟩ "τὸ στρόφιον ἤδη λυόμενον." "ἁλουργῆ ἀμπεχόμενος, καὶ κόμην τρέφων χρυσῷ στροφίῳ κεκοσμημένην" (cf. v. Μάγνης). "ἢ οὐκ ἐξείργασται ὡς στρόφιον διαδήματι καὶ λαγὼς ἐλάφῳ καὶ κάμηλος ἐλέφαντι καὶ κρόκος μύροις καὶ ὅσα ἄλλα ἐστὶν εὐώδη, καὶ χοῖρος καὶ ὄρνιθες ταῖς ἑαυτῶν σαρξὶ τὸν αὐτὸν οὐκ ἔχουσι λόγον" ⟨Artemid. 4 p. 308⟩. λέγεται καὶ στρόφος τὸ περὶ τὴν κεφαλὴν ςρόφιον, ὅ ἐστιν ἐρεοῦν· Ἡρόδοτος ⟨4 60⟩.

b ςρόφιον ὃ οἱ ἱερεῖς φοροῦσι.

ςρόφις ὁ εὔστροφος ἐν τοῖς πράγμασιν· ἀπὸ τοῦ ςροφέως ἡ μεταφορά· καὶ ὁ εὐκίνητος. sch. A Nub. 450.

Στρυγγαῖος ὄνομα κύριον.

Στρύμη νῆσος ἄποικος Θασίων. ἔστι δὲ ἐμπόριον Θασίων. Harp.

Στρυμόνος ποταμός.

ςρυφνόν σκληρόν· ⟨A Vesp. 872⟩ "παῦσον αὐτοῦ τὸ στρυφνὸν καὶ πρίνινον ἦθος."

ςρωμνή ἡ κλίνη.

ςρωννύω.

Στρῶτες ἔθνος.

ςρωτήρ. τὰ μικρὰ δοκίδια τὰ ἐπάνω τῶν δοροδόκων τιθέμενα στρωτῆρας ἔλεγον.

ςρωφᾶσθαι ⟨Hom. Ι 463⟩ στρέφεσθαι.

ςυγεῖ μισεῖ, ἢ φοβεῖται, ἀπὸ τῆς Στυγός, ἥτις ἐστὶ πηγὴ ἐν Ἅδου.

ςυγερῆς. καὶ ςυγερός ὁ μισητός.

ςυγερῷ μισητῷ, ἢ φοβουμένῳ.

ςυγερωπός ὁ μισητός.

ςυγητός μισητός.

Στυγὸς μελανοκάρδιος πέτρα. διὰ τὸ τῆς λέξεως σφοδρὸν εἶπε μελανοκάρδιον· οὐ γὰρ ἔχει καρδίαν ἡ πέτρα. Ἀριστοφάνης Βατράχοις ⟨473⟩. Στὺξ γὰρ κρήνη ἐν Ἅδου, ὅρκος θεῶν, ἀπὸ τῆς στυγνότητος.

ςυλίτης ὁ ἐπὶ κίονος ἱστάμενος.

ςύπη· "πηγνύντες εἰς τὴν γῆν ὀρθὰ τὰ ςύπη, ψαύοντα ἀλλήλων, ἐν ἡμικυκλίῳ σχήματι." στύππη δὲ τὸ στυππεῖον· Ἰώσηπος "πληρώσαντες τὴν στοὰν στύππης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης." στυπεῖον δέ.

ςύππαξ, στρατηγὸς Ἀθηναίων Εἰτεαίης, δωροδόκος καὶ προδότης, ὃς καὶ ἀνείλετο ὑπὸ τῶν λ΄. οἱ δὲ ὡς πιὼν κώνειον.

ςύραξ ὁ σαυρωτὴρ καλούμενος, ἡ τοῦ δόρατος ἀρχή, ἐφ' ᾗ στηρίζεται.

ςύραξ τὸ κάτω τοῦ δόρατος τραχήλιον, ὃ καταπηγνύειν εἰς τὴν γῆν εἰώθασι. καὶ Θουκυδίδης φησί ⟨2 4⟩ "στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος εἰς τὸν μοχλόν" ⟨Harp.⟩. καὶ στυρακίζω ἕλκω.

ςυφεδανός· ⟨A Vesp. 1355⟩ "ὦ οὗτος στυφεδανὲ καὶ χοιρόθλιψ, ποθεῖς, ἐρᾷς τ' ἔοικας ὡραίας σοροῦ."

ςυφελίξαι σεῖσαι, κακῶσαι, διῶξαι· ⟨Λ 7 120⟩ "καί ποτέ μιν στυφελιζομένοιο σκύλακος παριόντα φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος· παῦσαι, μηδὲ ῥάπιζ', ἐπεὶ ἦ φίλου ἀνέρος ἐστί."

ςυφελισμούς ὀργάς, ὕβρεις, μέμψεις, λοιδορίας· "οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελισμούς, ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν." Ἀριστοφάνης Ἱππεῦσι ⟨534⟩. καὶ ἐν μυθικοῖς

ἴθι στυφελῶν ἀπὸ πετρῶν ὀστρακόεντά τε
ῆτα καὶ ἀγκύλα γυῖα κεάσθη."

συφοκόμπος ὁ μάχιμος ὄρτυξ, παρὰ
στιρεῶς κόπτειν· (A Av. 1299) "ὑπὸ στυ-
ικόμπου τὴν κεφαλὴν πεπληγμένος."

ςωβύσσω ῥῆμα.

ςωικοί. Ζήνων ὁ Κιτιεὺς ἀνακάμπτων
τῇ ποικίλῃ στοᾷ καὶ Πεισιανακτείῳ, ὕςε-
ν δὲ ἀπὸ τῆς γραφῆς τοῦ ζωγράφου Πο-
γνώτου ποικίλη κληθείσῃ, διετίθετο τοὺς
ίους. ἐπὶ τῶν λ' πολιτῶν πρὸς τοῖς χιλίοις
ρακόσιοι ἀνῄρηντο ἐν αὐτῷ. προσήεσαν
λοιπὸν ἀκούοντες αὐτοῦ, καὶ διὰ τοῦτο
ωικοὶ ἐκλήθησαν οἱ ἀπ' αὐτοῦ, πρότερον
νώνειοι καλούμενοι. Diog. L. 7 5.

ςωμύλεθρος.

ςωμυλία ἡ κατὰ ἀστειότητα ἀπάτη
ερχομένη.

ςωμυλιοσυλλεκτάδη, τουτέστι στω-
λα ῥήματα συλλέγων, Ἀριστοφάνης Βα-
ίχοις (865).

ςωμύλος λάλος, πολύκομπος, πιθανο-
ος, εὐτράπελος, ἔφεδρος τῶν λόγων, ἀπα-
ὼν, κόλαξ, φλύαρος. Ἀριστοφάνης (Ran.
"ἐπιφυλλίδες ταῦτ' ἐστὶ καὶ στωμύλμα-
." ἀντὶ τοῦ λάλοι καὶ πιθανολόγοι. καὶ
ωμυλλόμεθα (A Pac. 984) ἀντὶ τοῦ φλυα-
ῦμεν, καὶ στωμύλλεσθαι ἀντὶ τοῦ φλυα-
ν. "τὰ μειράκια ταῖς τίτθαις ἀποπέμψατε,
θρυπτ. - - - στημόνων καὶ πλαγγόνων
ῶμεν" (cf. v. τίτθη). καὶ αὖθις Ἀριστο-
νης (Pac. 993) "παῦσον δ' ἡμῶν τὰς ὑπο-
ας τὰς περικόμψους, αἷς στωμυλλόμεθ'
ἀλλήλους, καὶ συγγνώμῃ τινὶ πραοτέρᾳ
ασον τὸν νοῦν." καὶ στωμυλώτατος
αρώτατος.

συάκιον ἰχθῦς.

Συβάρεως.

Συβαρίτης ἀρσενικῶς, θηλυκῶς δὲ διὰ
ι (A Vesp. 1418 et 1429). Συβαρῖται δὲ
τριες ἦσαν καὶ τρυφηταί. τοσοῦτος δὲ
ζῆλος παρ' αὐτοῖς τρυφῆς ὥστε καὶ τῶν
ωθεν ἐθνῶν μάλιστα ἠγάπων Ἴωνας καὶ
ρρηνούς, διότι συνέβαινεν αὐτοῖς τοὺς μὲν
ν Ἑλλήνων τοὺς δὲ τῶν βαρβάρων προ-
ιν τῇ κατὰ τὸ ζῆν πολυτελείᾳ. παρὰ
ίτοις δὲ Μινδυρίδης λέγεται περιουσιάσαι
ρφῇ. οὗτος γὰρ Κλεισθένους τοῦ Σικυω-
ν τυράννου νικήσαντος ἅρματι, καὶ κη-
ξαντος παραγενέσθαι τοὺς προαιρουμένους
γαμεῖν αὐτοῦ τὴν θυγατέρα κάλλει δοκοῦσαν
διαφέρειν, ἀναχθῆναι λέγεται ἐκ Συβάρεως
ἐν πεντηκοντόρῳ τοὺς ἐρέτας ἔχων ἰδίους
οἰκέτας, τοὺς μὲν ἁλιεῖς τοὺς δὲ ὀρνιθοθή-
ρας, παραγενόμενος δὲ εἰς Σικυῶνα ταῖς
κατὰ τὴν οὐσίαν παρασκευαῖς οὐ μόνον τοὺς
ἀντιμνηστεύοντας ἀλλὰ καὶ τὸν τύραννον
αὐτὸν ὑπερᾶραι, καίπερ τῆς πόλεως αὐτῷ
πάσης συμφιλοτιμουμένης, ἐν δὲ τῷ μετὰ
τὴν ἄφιξιν δείπνῳ προσιόντος τινὸς ὅπως
κατακλιθῇ πρὸς αὐτόν, εἰπεῖν ὅτι κατὰ τὸ
κήρυγμα πάρεστιν ἢ μετὰ γυναικὸς ἢ μόνος
κατακλιθησόμενος. Diodor. Sic. t. 2 p. 549.

Συβαριτικαῖς καὶ Συβαρικαῖς τρυ-
φηλαῖς, λαμπραῖς, πολυτελέσι· τρυφηταὶ γὰρ
οἱ Συβαρῖται. οὗτοι γὰρ οὕτω διῆγον τρυ-
φηλῶς ὡς καὶ τοὺς ἵππους διδάσκειν πρὸς
αὐλὸν ὀρχεῖσθαι. καὶ συβαρίζειν (A Pac.
343) τὸ τρυφᾶν, ἢ τὸ θορυβεῖν. καὶ Συ-
βάρεια ἐπιφθέγματα παρ' Ἐπιχάρμῳ,
καὶ Συβαριτικοὶ λόγοι οἱ Αἰσώπειοι.
καὶ συβαρίσαι τὰ τῶν Συβαριτῶν ποιῆ-
σαι. καὶ παροιμία "Συβαρίτης διὰ πλα-
τείας," ἐπὶ τῶν σοβαρῶς διαπορευομένων.

συβήνη ἡ δερματίνη αὐλοθήκη, ἢ ἡ
φαρέτρα· Θεσμοφοριαζούσαις Ἀριστοφάνης
(1203) "ἀλλ' οὐκ ἔχω οὐδέν. ἀλλὰ συβήνην
λάβε."

συβόσιον τὸ χοιροφορβεῖον.

συβώτης χοιροβοσκός.

συγγένεσθε συμμαχήσατε, συνεργήσα-
τε, συμπράξατε· Σοφοκλῆς (El. 411) "ὦ
θεοὶ πατρῷοι, συγγένεσθ' ἀλλὰ νῦν," ἀντὶ
τοῦ συμμαχήσατε ἡμῖν κἂν νῦν.

συγγενής. καὶ ἐπὶ ἀνδρὸς καὶ γυναι-
κὸς ἡ αὐτὴ γραφὴ φυλάττεται.

συγγίνομαι δοτικῇ.

συγγινώσκω δοτικῇ.

συγγνώμη συγχώρησις. ὅτι οὐ δεῖ τὸν
σπουδαῖον ἔν τινι συγγνώμην ἔχειν, μηδὲ
παριέναι τὰς ἐπιβαλλούσας ἐκ τοῦ νόμου κο-
λάσεις, ἐπεὶ τό γε εἴκειν καὶ ὁ ἔλεος αὐτή
τε ἡ ἐπιείκεια οὐδεμιᾶς ἐστὶ ψυχῆς πρὸς κο-
λάσεις προσποιουμένης χρηστότητα, μηδ' οἴε-
σθαι σκληροτέρας αὐτὰς εἶναι. Diog. L. 7 123.

λαμβάνεται δὲ τὸ ὄνομα καὶ ἐπὶ τῆς
ἀφέσεως καὶ συγχωρήσεως.

ὅτι ἐπειδὴ ὁ γνοὺς ἑαυτόν, τουτέστιν ὁ b
μὴ ἐπὶ τοῖς πταίσμασιν ἀγνοῶν ὅτι ἔπται-
σεν, ἀλλὰ φυλάττων τὸ γνῶθι σαυτόν, μὴ

τοῖς κατορθώμασιν, εἰ καί ποτε ὀλίγον ἐπινυστάξας, εἰς ἀλαζονείαν ἤρθη μέγα φρονῶν, ἀλλὰ τὴν οἰκείαν φύσιν καὶ ἀσθένειαν καταμανθάνων γνωσιμαχεῖ, ὁ συγγνούς, τουτέςιν ὁ συννοήσας ὅτι ἐκεῖνος ἔργῳ παλινῳδίαν ᾄδει, συγχωρεῖ τῷ γνόντι ἑαυτόν, ὁ δὲ μὴ συγγνοὺς τῷ γνόντι ἑαυτὸν οὐ συγχωρεῖ.

συγγνώμονα συμπαθῆ, οἰκτίρμονα. "ὃ χρὴ πικρὸν εἶναι καὶ ἀπαραίτητον καὶ συγγνώμονά τε ἥκιςα, ἄνθρωπον ὄντα καὶ τοῖς αὐτοῖς περιπεσεῖν δυνάμενον ἐξ ὧν κωλύει πικρῶς ἄλλον. ὀρθῶς γὰρ εἴρηται τὸ μὲν μηδὲν ἁμαρτεῖν θεοῦ ἐστί, καὶ πάντα κατορθοῦν, ἄνθρωπος δὲ οὐκ ἂν εἴποι ἐπ' οὐδενὶ ὅτι μὴ πείσεται τόδε τι. μυρίαι γὰρ κῆρες ἡμῖν ἐφεστᾶσιν, οὐ μόνον θανάτου ἀλλὰ καὶ κακῶν ἄλλων."

συγγραφεῖς. εἰθισμένον ἦν παρ' Ἀθηναίοις, ὁπότε δέοι πλῆθός τι αἱρεῖσθαι, εἰς ῥητὴν ἡμέραν εἰσέφερε γνώμας εἰς τὸν δῆμον, ὡς Ἰσοκράτης φησί ⟨7 58⟩. τοῦτο δὲ καὶ πρὸ τῆς καταστάσεως τῶν υ' ἐγίνετο, καθὰ Θουκυδίδης ἐν τῇ η' ⟨67⟩ "ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ περὶ τὸν Πείσανδρον ἐλθόντες εὐθὺς τῶν λοιπῶν εἴχοντο, καὶ πρῶτον μὲν ··· οἰκήσεται." ἦσαν δὲ οἱ μὲν πάντες συγγραφεῖς λ' οἱ τότε αἱρεθέντες, ὥς φησιν Ἀνδροτίων καὶ Φιλόχορος· ὁ δὲ Θουκυδίδης τῶν ι' ἐμνημόνευσε μόνων τῶν προβούλων. Harp. cf. v. ξυγγραφεῖς.

συγγραφεύς. φησὶν ὁ μέγας Μάξιμος ὅτι ὁ λόγους συγγραφόμενος ἢ πρὸς τὴν ἑαυτοῦ ὑπόμνησιν συγγράφεται ἢ πρὸς ὠφέλειαν ἑτέρων, ἢ καὶ ἄμφω, ἢ πρὸς βλάβην τινῶν, ἢ πρὸς ἐπίδειξιν, ἢ ἐξ ἀνάγκης.

σύγκαιρον ἐπιτήδειον· "χειμῶνος ὥρα ἦν, καὶ πῦρ ἐξέκαυσε τῇ ὥρᾳ σύγκαιρον."

συγκαλεῖς συνήγαγες.

συγκατάβασις, ὅταν μὴ ὡς ἔστιν ὁ θεὸς φαίνηται, ἀλλ' ὡς ὁ δυνάμενος αὐτὸν θεωρεῖν οἷός τέ ἐστιν οὕτως ἑαυτὸν δεικνύῃ, ἐπιμετρῶν τῇ τῶν ὁρώντων ἀσθενείᾳ τῆς ὄψεως τὴν ἐπίδειξιν. Io. Chrysost. t. 6 p. 404.

συγκάταινον συγκατατιθέμενον, συνευδοκοῦντα.

σύγκεισθε ὁμονοεῖτε.

συγκεκυφός συνελθόν· Ἀριστοφάνης ⟨Eq. 859⟩ "τοῦτο δ' εἰς ἕν ἐστι συγκεκυφός." οἷον ὁμονοοῦσιν ἑαυτοῖς καὶ συμπνέουσιν. "ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν νεανιῶν· τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι καὶ τυροπῶλαι."

συγκλείω αἰτιατικῇ.

σύγκλητος ἐκκλησία. τῶν ἐκκλησιῶν αἱ μὲν ἐξ ἔθους καὶ κατὰ μῆνα ἐγίνοντο· εἰ δέ τι ἐξαίφνης κατεπείξειεν ὥστε γενέσθαι ἐκκλησίαν, αὕτη ἐκαλεῖτο σύγκλητος ἐκκλησία. Δημοσθένης κατ' Αἰσχίνου ⟨73⟩. Harp.

συγκλύδων ἀνθρώπων συμμίκτων, ἐπηλύδων, παρεισάκτων. "τοῦ δὲ ἄσημα καὶ σύγκλυδος ὄχλου ταχέως πρὸς αὐτὸν συνεσταμένου, δισμυρίων οὐ πολὺ ἀποδέοντας ἔσχε."

συγκομιδή ὡς ἐπὶ καρπῶν, Θουκυδίδης ἐν γ' ⟨15⟩ "καὶ ἐν συγκομιδῇ καρποῦ ἦσαν." καὶ Λυσίας ἐν τῷ πρὸς Ξενοφῶντα "συγκομίσας δὲ δῶρα ⟨an ὀπώραν⟩ καὶ ἀποδόμενος τὸ ἀργύριον ⟨τὸν ὑγρόν⟩."

συγκορυβαντιῶμεν ἀντὶ τοῦ συμμαινόμεθα, συνορχούμεθα, συνενθουσιῶμεν.

συγκόψαι ἐπὶ τοῦ πληγαῖς αἰκίσασθαι. οὕτω Μεταγένης.

συγκρητίσαι τὰ τῶν Κρητῶν φρονῆσαι.

σύγκριμα ἡ ἐκ πολλῶν εἰς ἄλληλα συμφωνία, οἷα ἡ τῶν δ' στοιχείων κοινωνία.

σύγκρισις ἡ ἑνὸς πρὸς ἕνα ἢ πλείονας· ἑνὶ γὰρ οὐ γίνεται σύγκρισις, εἰ μὴ κατὰ χρόνον, ὅταν ζητῶμεν πότε λευκότερον τόδε τι, νῦν ἢ πρότερον. Alex. Aphrod. in Top. p. 11.

ὅτι ἡ σύγκρισις κατὰ πολλοὺς τρόπους γίνεται· ἢ γὰρ ποτέρῳ μᾶλλον τῶν ὑποκειμένων τὸ κατηγορούμενον, ὡς ἐπὶ τοῦ πότερον ὁ πλοῦτος ἢ ἡ ὑγεία αἱρετώτερον· ἢ πότερον μᾶλλον τῷ ὑποκειμένῳ ὑπάρχει, οἷον τῇ ὑγείᾳ τὸ ἡδὺ ἢ τὸ χρήσιμον· ἢ πότερον τῷδε τόδε ἢ τόδε τῷδε, οἷον πότερον τῇ ὑγείᾳ μᾶλλον ὑπάρχει τὸ ἀγαθὸν ἢ τῇ νόσῳ τὸ κακόν. ὅπως γὰρ ἂν αἱ συγκρίσεις γίνωνται, ἀπὸ τοῦ συμβεβηκότος λέγονται. καὶ κατὰ τὸ μᾶλλον δὲ γίνεται καὶ κατὰ τὸ ἧττον καὶ κατὰ τὸ ὁμοίως ἡ σύγκρισις. συγκριτικὰ γὰρ καὶ τὰ τοιαῦτα. ὑγεία μᾶλλον πλούτου οὖσα αἱρετὴ μὴ οὖσα δι' αὐτὴν αἱρετή, οὐδὲ ὁ πλοῦτος. καὶ ἡ ἡδονὴ μᾶλλον οὖσα ἀγαθὸν ἢ τέλος μὴ οὖσα ἀγαθόν, οὐδ' ἂν τέλος εἴη. καὶ πάλιν, εἰ πλοῦτος ἧττον ὑγείας ὢν ἀγαθὸς ἀγαθόν ἐστι, καὶ ἡ ὑγεία. καὶ εἰ ὑγεία ἧττον οὖσα ἀγαθὸν τοῖς ἐν εἰρήνῃ οὖσιν ἢ τοῖς πολε-

ἔσιν ἀγαθόν ἐστι τούτοις, κἀκείνοις.

συγκριτικῶς ὁμοίως.

συγκροτεῖ συνάγει, αὔξει, συνιστᾷ. καὶ νδεῖ, πρὸς ἁρμονίαν ἄγει, συνέχει, συμράττει, οὐδένα καιρὸν παραλείπει. Ἀγαίας ⟨2 1⟩ "συνεκροτȣ̃ντο αἱ δυνάμεις ὑπὸ ἀρσοῦ, καὶ ἅπαντα ἤθροιστο τὰ στρατεύματα."

συγκρȣ́ειν συναθροίζειν. καὶ σύγκρȣις παραλογισμός. κροῦσαι τὸ ἀπατῆσαι ν ἀκȣ́οντα, οἷον παρακρούσασθαι καὶ συρπάσαι.

συγκυκῶν συνταράσσων.

συγκυρȣ̃ντα διαφέροντα, συνεγγίζοντα.

συγχαίρω γενικῇ συντάσσεται· "ὃ μὲν νέχαιρε τῆς νίκης, ὃ δὲ ἀνθυπεκρίνετο."

συγχεῖ ἀφανίζει, συμμιγνύει.

συγχέω αἰτιατικῇ.

συγχίδα· ἐν ἐπιγράμματι ⟨AP 6 294⟩ αὶ μονόπελμον συγχίδα, καὶ στεγανὰν κρας ἐρημοκόμȣ." ὡς ἔοικε, κτένα λέγει.

συγχρῶμαι δοτικῇ.

συγχρωτίζεσθαι πλησιάζειν. Ζήνωνι ρ τῷ Κιτιεῖ ἐχρήσθη, πυνθανομένῳ περὶ ȣ, πῶς ἂν εὐδαίμων γένοιτο, εἰ συγχρωτίτο τοῖς νεκροῖς, ὅ ἐστι τοῖς βιβλίοις τοῖς ν ἀρχαίων. [τȣτέστι μελέτην ἀσκεῖν καὶ γοις τρέφειν ψυχὴν τὴν βασίλειαν.]

συγχυθείς συνταραχθείς.

συγχωρῶ δοτικῇ.

σὺ δὲ μὴ πρὸς ὀργὴν ἀλλὰ πρᾳόνως γχ᾽ ἐλέγχȣ. λοιδορεῖσθαι δ᾽ οὐ πρέπει ἄνας ποιητὰς ὥσπερ ἀρτοπώλιδας. σὺ δ᾽ θὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς" ⟨A n. 864⟩· καὶ γὰρ ἡ πρῖνος καιομένη ψόφον ιεῖ.

Συηναῖος. καὶ συήνη.

συηνία καὶ ὑηνία ἀμαθία, σκαιότης, ρὰ Φερεκράτει. καὶ συηνεῖν Πλάτων φιλόσοφος τὸ ἀμαθῶς ἀναστρέφεσθαι καὶ ῳδές τι ποιεῖν. καὶ Συήνη πόλις, συίνη ἡ συκέα.

συκάζειν. οὕτω τὸ ἐπηρεάζειν ἔλεγον παλαιοί. Artemid. 1 73.

συκάμινον εἶδος δένδρου.

συκέα τὸ δένδρον, σῦκον δὲ ὁ καρς.

σύκινον ἀσθενές. καὶ παροιμία "συκίνη ίκȣρα" ἀντὶ τοῦ συκοφάντις. καὶ ἑτέρα ροιμία "συκίνη ἐπικȣρία" ἐπὶ τῶν ἀνωφελῶν· "ἡμεῖς δὲ οἱ καθήμενοι τὴν συκίνην ἐπικȣρίαν, τȣ̀ς στρατιώτας προσδεχόμενοι."

συκομορέα. ὅτι τῆς συκομόρȣ ὁ καρπὸς οὐ πεπαίνεται, εἰ μή τινα βραχεῖαν τομὴν δέξηται.

σῦκον, στῦκόν τι ὄν, τὸ ἑστηκὸς καὶ μὴ ῥιπτόμενον ὡς ὁ ὄλυνθος. ὄλυνθος δὲ παρὰ τὸ ὅλος ἀνθεῖν, ἤγȣν ἐκ πρώτης ἀνθήσεως τὸ αὐτὸ ἔχειν.

ὅτι τὸ σῦκον ἀλεξιφάρμακόν ἐστι καὶ μόνον, ἰσχάδες δὲ σὺν πηγάνῳ ὀπτώμεναι καὶ νήσταις διδόμεναι ὁμοίως γλήχωνι. καὶ ⟨AP 6 299⟩ "σῦκόν τε μελαντραγές."

σῦκον αἰτεῖν κολακεύειν· νεωστὶ γὰρ τῶν σύκων φαινομένων, ὡς ἂν εἰς ὥρας ἥκοντες, ἐλιπάρȣν τȣ̀ς συκωρȣ̀ς δȣ̃ναι.

σῦκον αἰτεῖς ⟨A Vesp. 301⟩ ἐπὶ τῶν κολακευόντων· οἱ γὰρ Ἀθηναῖοι ἐκολάκευον τοὺς γεωργούς, βȣλόμενοι παρ᾽ αὐτῶν λαβεῖν πρώιμα σῦκα· οἰωνίζοντο γὰρ αὐτοῖς καὶ πάλιν ἐλθεῖν εἰς νέωτα. καὶ πάλιν ἑτέρα παροιμία "σῦκον ἐφ᾽ Ἑρμῇ," ἐπὶ τῶν προκειμένων ἐπ᾽ ὠφελείᾳ τοῖς βȣλομένοις· ὁπότε γὰρ φανείη σῦκον, τῷ Ἑρμῇ τοῦτο ἀνετίθεσαν καὶ ὁ βȣλόμενος ἐλάμβανε. καὶ ἑτέρα παροιμία ⟨A Ran. 1278⟩ "ὥσπερ τὰ σῦκ᾽ ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ," ἐπὶ τῶν προσφυῶς τινὸς πράγματος ἐχομένων. σῦκα λέγων τὰ σαρκώματα, ἢ ἕλκος γινόμενον ἐπὶ τοῖς ὀφθαλμοῖς· Ἀριστοφάνης "ὥσπερ τὰ σῦκ᾽ ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ."

συκοφαντεῖν κνίζειν ἐρωτικῶς. οὕτω a
Πλάτων καὶ Μένανδρος.

συκοφαντεῖν τὸ ψευδῶς τινὸς κατη- b
γορεῖν. κεκλῆσθαι δέ φασι τȣ̃το παρ᾽ Ἀθηναίοις πρῶτον εὑρεθέντος τοῦ φυτοῦ τῆς συκῆς, καὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν τὰ σῦκα. τῶν δὲ φαινόντων τοὺς ἐξάγοντας συκοφαντῶν κληθέντων, συνέβη καὶ τȣ̀ς ὁπωσοῦν κατηγορȣ̃ντας τινῶν φιλαπεχθημόνως οὕτω προσαγορευθῆναι. Ἀριστοφάνης ⟨Ach. 522⟩ "καὶ ταῦτα μὲν δὴ σμικρὰ κἀπιχώρια" ἴδιον γὰρ Ἀθηναίων τὸ συκοφαντεῖν. Αἰλιανός ⟨cf. v. Ἱμεραία⟩ "ὃ δὲ ἐσυκοφάντει τὸν θεὸν ὀλιγωρίας. ἐκ δὴ τούτων νόσοι καὶ τροφῶν ἀπορίαι τὴν Ἱμεραίων κατέσχον."

συκοφάντης. λιμοῦ γενομένȣ ἐν τῇ a
Ἀττικῇ τινὲς λάθρᾳ τὰς συκᾶς τὰς ἀφιερωμένας τοῖς θεοῖς ἐκαρπȣ̃ντο· μετὰ δὲ

ταῦτα εὐθηνίας γενομένης κατηγόρουν τούτων τινές. ἐκεῖθεν οὖν συκοφάντης λέγεται. sch. A Plut. 31.

b συκοφάντης ὁ διάβολος· τὸν γὰρ θεὸν ἐσυκοφάντησε, φήσας κεκωλυκέναι τῦ ξύλου τὴν μετάληψιν." καὶ κατὰ τοῦ Ἰὼβ ⟨1 9⟩ "μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν θεόν" ⟨Theodoret. in Ps. 71 4⟩. καὶ συκοφαντία ἡ ψευδὴς κατηγορία. καὶ ῥῆμα συκοφαντῶ.

συκοφάσους συκοφάντας· "ἦν ἄρα νικῆσαι συκοφάσυς ἀδίκους" ⟨AP 7 107⟩.

Σύλαιον πόλις.

σύλας τὰς συλήσεις. Δημοσθένης ⟨51 13⟩ ἐν τῷ περὶ στεφάνυ "ὁπόταν μὴ σῦλαι ὦσιν Ἀθηναίοις." ἐν δὲ τοῖς ἑξῆς ὥσπερ ἐξηγούμενος αὐτό φησι "σεσυλήμεθα δὲ τὰ ἡμέτερα αὐτῶν ὑπὸ Φασηλιτῶν, ὥσπερ δεδομένων συλῶν Φασηλίταις κατὰ Ἀθηναίων. ἐπειδὰν γὰρ μὴ θέλωσιν ἀποδοῦναι ἃ ἔλαβον, τί ἄν τις ἔχοι ἄλλο ὄνομα θέσθαι τῷ τοιούτῳ ἢ ὅτι ἀναιροῦνται τὰ ἀλλότρια;" ἀντὶ τοῦ τὰς συλήσεις σύλας ἔλεγον. Harp.

συλλαβιὼν εἰς νῦν λαβιών· "ὁ δὲ Πεισίστρατος συλλαβὼν τὸ χρηστήριον καὶ φὰς δέχεσθαι τὸ χρησθέν" ⟨Herodot. 1 63⟩.

Σύλλας ὄνομα κύριον. ὅτι ἐπὶ Σύλλα τοῦ ὑπάτου ὁ ἐμφύλιος Ῥωμαίων ἀνήφθη πόλεμος. ἐπισημῆναι δὲ τὴν τῶν μελλόντων κακῶν φορὰν Λίβιός φησι καὶ Διόδωρος· ἐξ ἀνεφέλου τοῦ ἀέρος καὶ αἰθρίας πολλῆς ἦχον ἀκουσθῆναι σάλπιγγος ὀξὺν ἀποτεινούσης καὶ θρηνώδη φθόγγον. καὶ τοὺς μὲν ἀκούσαντας ἅπαντας ἔκφρονας ὑπὸ δέους γενέσθαι, τοὺς δὲ Τυρρηνῶν μάντεις μεταβολὴν τοῦ γένους καὶ μετακόσμησιν ἀποφήνασθαι σημαίνειν τὸ τέρας. εἶναι μὲν γὰρ ἀνθρώπων η' γένη, διαφέροντα τοῖς βίοις καὶ τοῖς ἤθεσιν ἀλλήλων· ἑκάστῳ δὲ ἀφωρίσθαι χρόνον ὑπὸ τοῦ θεοῦ, συμπεραινόμενον ἐνιαυτοῦ μεγάλυ περιόδῳ. τῆς γοῦν προτέρας περιόδου τελευτώσης καὶ ἑτέρας ἐνισταμένης κινεῖσθαί τι σημεῖον ἐκ γῆς ἢ οὐρανῦ θαυμάσιον, ᾧ δῆλον εὐθὺς τοῖς τὰ τοιαῦτα σοφοῖς γίνεσθαι ὅτι καὶ τρόποις ἄλλοις καὶ βίοις ἄνθρωποι χρώμενοι γεγόνασι, καὶ θεοῖς ἧττον τῶν προτέρων μέλονται. ταῦτα μὲν οὖν εἴτε οὕτως εἴτε ἄλλως πως ἔχει, σκοπεῖν παρίημι. Dio Cass. fr. 102.

b ὅτι Σύλλας ὁ ὕπατος ἀπάρας ἐξ Ἐφέσυ, προσσχών τε ταῖς Ἀθήναις, ἐνδιέτριψε τῇ πόλει χρόνυ τινός, καὶ τὴν Ἀπελλικῶντος τῦ Τηΐυ καταλαβὼν ἐνταῦθα βιβλιοθήκην ἀνείλετο, ἐν ᾗ πλεῖστα τῶν Ἀριστοτέλυς καὶ Θεοφράστυ βιβλίων ἦν, ὄπω τότε τοῖς πολλοῖς, ᾗ φησὶ Πλύταρχος, γνωριζόμενα, ἀλλ' ἐντεῦθεν εἰς τὴν τῶν ἀνθρώπων ἐκφοιτήσαντα γνῶσιν.

ὅτι Σύλλας ὁ ὕπατος ἐπιλογισμὸν τῶν ἑαυτῦ πράξεων ποιήσας εὐτυχῆ ἑαυτὸν ἐκάλει καὶ ἔγραψε. καί ποτε Λαβερία, Ῥωμαία γυνὴ οὐκ ἀφανής, ἐξόπισθεν τοῦ Σύλλυ πορευομένη ἐπιβάλλει τὴν χεῖρα καὶ κροκίδα τῦ ἱματίυ σπᾷ. τῦ δὲ ἐπιστραφέντος "οὐδὲν δεινόν" εἰπεῖν, "αὐτόκρατορ, ἀλλὰ βούλομαι τῆς σῆς κἀγὼ μικρὸν εὐτυχίας μεταλαβεῖν." τὸν δὲ ὑπερησθῆναί τε τῷ ῥηθέντι καὶ μετὰ μικρὸν ἀγαγέσθαι ταύτην γυναῖκα, τῆς Μετέλλης ἤδη τεθνηκυίας.

συλλέγω αἰτιατικῇ.

συλλήβδην συλλαβὼν ἀθρόως· ⟨A Plut. 646⟩ "ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω," ἐπὶ τῶν εὐδαιμονίαν ἐπαγγελλομένων.

συλλήπτορα βοηθόν.

Σύλλιον πόλις πλησίον Σίδης.

συλλογῆς ὄνομα ἀρχῆς. Harp.

συλλογιμαῖα.

συλλογισμός. ἀπ' αὐτοῦ τοῦ ὀνόματος ὁ συλλογισμὸς σύνθεσίν τινα λόγων ἔοικε σημαίνειν, ὥσπερ καὶ ὁ συμψηφισμὸς ψήφων. ὄργανον δέ ἐστιν ὁ συλλογισμὸς πρὸς τὸ φανερόν τι ποιῆσαι μὴ δοκοῦν εἶναι γνώριμον, διὰ τινῶν γνωρίμων τε καὶ φανερῶν. ἐπεὶ δὲ πᾶν ὄργανον χρήσιμον, καὶ ὁ συλλογισμὸς ἄρα χρήσιμος. πᾶν δὲ ὄργανον ἐὰν μὴ τὴν χρείαν αὐτοῦ παρέχεται, ἀναιρεῖται. ἔστι δὲ συλλογισμὸς πρότασις μετὰ συμπεράσματος. Alex. Aphrod. in Top. p. 7.

σύλλογος ἄθροισις· "ἐνδημῶν δὲ σύλλογος ἀμήχανος γίνεται."

συλλοχισμός, ὅταν τῷ πρώτῳ λόχῳ ἕτερος λόχος ἐπιτεθῇ, ὥστε λοχαγὸν λοχαγῷ καὶ οὐραγὸν οὐραγῷ καὶ τοὺς μεταξὺ τοῖς ὁμοζύγοις παρίστασθαι.

Συλοσῶντος ὄνομα κύριον.

συλῶ. τὸ συ μακρόν· "ἀμφοτέρους ᾔσχυνε· σεσύληται μὲν ὁ Βάκχος" ἐν ἐπιγράμματι ⟨AP 6 257⟩.

συμβαίνει ἔοικεν, ἐξωμοίωται, συμφωνεῖ· "τοῦτο δὲ σκοπεῖν, εἰ συμβαίνει τοῖς

..όγοις τὰ πράγματα."

συμβαίνοντα συμφωνοῦντα· "τὸ συμβαίνειν λέγομεν, ὡς τὸς τετραγώνυς λίθους ν τοῖς τείχεσι καὶ ἐν ταῖς πυραμίσι συμβαίνειν οἱ τεχνῖται λέγουσι, συναρμόζοντας ἀλλήλοις τῇ ποιᾷ θέσει" (M. Anton. 5 8).

συμβαίνουσι συμπράττουσι, συμφωνοῦσι· (A Eq. 220) "χρησμοί τε συμβαίνυσι αἱ τὸ Πυθικόν." "ἄλλα τε γάρ τινα οὐ υμβαίνοντα τῷ τῆς ἀρχῆς ὄγκῳ διεπράττο," ἀντὶ τοῦ ἁρμόζοντα.

συμβαλεῖν διακρῖναι, νοῆσαι, συγκρῖναι.

συμβάλλειν μεταδιδόναι, κιχρᾶν· (A Eccl. 467) "ἔπειτα συμβάλλειν πρὸς ἀλλήλας τη ἱμάτια χρυσίον ἀργύριον ἐκπώματα μόνας μόναις, οὐ μαρτύρων γ' ἐναντίον." "συμβαλεῖν οὐδεὶς εἶχε τὸ γενόμενον," ἀντὶ τοῦ οῆσαι.

συμβαλόντα, τυτέστι τὸν δανεισάμενον· (Procop. Arc. 15) "ὃ δὲ ἦλθε παρὰ ἡν βασίλισσαν, τὸν συμβαλόντα αἰτιασόμενος, καὶ δεηθῆναι αὐτῷ βοηθῆσαι τὰ δίκαια." Ἀρριανός (Ind. 28) "συνέκειτο γὰρ ὸν μὲν σημῆναι, τὸν δὲ συμβαλόντα ποιέν τὸ τεταγμένον."

σύμβαμα κατὰ γραμματικοὺς πρότασις ξ ὀνόματος καὶ ῥήματος, αὐτοτελῆ διάνοιαν παρτίζουσα, οἷον Ἰωάννης περιπατεῖ. παασύμβαμα δὲ πρότασις ἐξ ὀνόματος καὶ ήματος, οὐκ αὐτοτελῆ διάνοιαν ἀπαρτιζουα, οἷον Ἰωάννῃ μέλει. φήσας γὰρ "Ἰωάνης περιπατεῖ" οὐδενὸς ἑτέρυ ἔχρῃζε, εἰπὼν ὲ "Ἰωάννῃ μέλει" περὶ τίνος παρέλειψεν πεῖν.

συμβάς συμφωνήσας, πεισθείς· "Τραϊαὸς δὲ μὴ συμβὰς ἐπὶ ταῖς ὁμολογίαις ἐν αρασκευῇ ἦν."

σύμβασις φιλία, συντυχία, καταλλαγή. νώμη· "σύμβασις δὲ φίλων κατὰ τὸν αὐτὸν ινομένη τρόπον τῶν ὑπ' ἀνάγκης συγχωρηέντων βεβαιοτέρα."

συμβατήριοι εἰρηνικοί, φιλικοί· "βούομαι διαλεχθῆναι αὐτοῖς συμβατηρίοις."

συμβεβηκός ὃ γίνεται καὶ ἀπογίνεται ωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. Porphyr. sag. 5.

πῶς ὁ ἑκτικὸς πυρετὸς κατὰ συμβεβηκὸς ναμφιβόλως ὢν φθείρει τὸ σῶμα; ἐκ τῶν ροσεχῶς εἰρημένων λύεσθαί φασιν. ἔστι ὰρ εἰπεῖν ὅτι οὐκ ἔστι συμβεβηκὸς ὁ πυρετός, ἀλλ' οὐδ' ἀλλοίωσις τοῦ ὑποκειμένυ, ἀλλὰ παρὰ φύσιν θερμότης διαλυτικὴ τῆς ἁρμονίας τοῦ ζῴου.

συμβῆναι συμφωνῆσαι· "οἳ δὲ ἠξίουν τὸν βασιλέα συμβῆναι Γαβίοις ἐφ' οἷς ἂν δικαιῶσι Γάβιοι."

συμβιβάζων συλλαλῶν, διδάσκων.

συμβιβάσαι εἰς σύμβασιν καὶ ὁμολογίαν ἐλθεῖν περί τινος.

συμβιβῶ (Ps. 32 8) διδάξω, ἐπιστήσω, νοῆσαι ποιήσω.

συμβιωτής καὶ συμβιοτεύω.

συμβλητά τὰ σύγκρισιν ἐπιδεχόμενα.

συμβλητῇ δυναμένῃ ἐπιγνωσθῆναι· "βαλῇ κρείττονι καὶ ἀνθρωπίνῃ γνώμῃ ὐδαμῶς συμβλητῇ τρόπον τινὰ τοῦ Ἀλφειοῦ ἀποθανόντος."

σύμβολα σημεῖα, μέτρα, οἷον "σημεῖον a τοῦ φθαρτὸν γενέσθαι τὸν ἄνθρωπον πρὸ θανάτου οἱ δερμάτινοι χιτῶνες." εἰ γένοιτό τι σύμβολον, οὐκ ἐπετέλουν τὰ δόξαντα, "σεισμὸς εἰ γένοιτο ἢ πῦρ ἀπότροπον, ἢ διάξειεν γαλῆ," ἤ τι τοιοῦτον. sch. A Eccl. 819.

σύμβολα τὰς συνθήκας ἃς ἂν ἀλλήλαις b αἱ πόλεις θέμεναι τάττωσι τοῖς πολίταις, ὥστε διδόναι καὶ λαμβάνειν τὰ δίκαια. πολλάκις ἐν τῷ ζ Φιλιππικῶν Δημοσθένης. Harp.

συμβόλαιον τὸ γραμματεῖον.

σύμβολον ὃ ἐλάμβανον οἱ δικασταὶ εἰς a τὸ δικαστήριον εἰσιόντες· εἶτα τοῦτο δόντες τὸ δικαστικὸν ἐκομίζοντο. ἦσαν δὲ τὸν ἀριθμὸν ἀπὸ τοῦ ά ἕως τοῦ κ'. "τὸ σύμβολον λαβόντες, ἔπειτα πλησίοι καθευδούμενοι" (A Eccl. 303: cf. sch. Plut. 277).

σύμβολον οἰώνισμα, σημεῖον, μάντευμα. b λέγεται δὲ καὶ ἀρσενικῶς ὁ σύμβολος· "ὁ σύμβολος δὲ Μελάμποδος ἢ Πόλλητος ἐδέετο· οὗτοι γὰρ ἦσαν μαντικῶν εἰδήμονες." cf. v. Μελάμπους.

σύμβολον. περὶ τοῦ Βίωνος πατρός c "ἔχων οὐ πρόσωπον ἀλλὰ συγγραφὴν ἐπὶ τοῦ προσώπου, τῆς τοῦ δεσπότου πικρίας σύμβολον. μήτηρ δὲ οἵαν ἂν ὁ τοιοῦτος γήμαι, ἀπ' οἰκήματος" (Diog. L. 4 46).

συμβουλεύω δοτικῇ.

συμβραβεύσω συνδιοικήσω.

Συμεὼν ὁ θαυμαστός, περὶ οὗ οἱ ἐν Αἰγύπτῳ μοναχοὶ μαθόντες ὅτι ἐπὶ κίονος

ἵσταται, μεμψάμενοι τῷ ξένῳ (πρῶτος γὰρ αὐτὸς τοῦτο ἐπενόησεν) ἀκοινωνησίαν αὐτῷ ἔπεμψαν. εἶτα ἐγνωκότες τὸν βίον τοῦ ἀνδρὸς καὶ τὸ ἄτυφον πάλιν αὐτῷ ἐκοινώνησαν. ὁ δὲ Μαρκιανὸς ὁ βασιλεὺς ἐν σχήματι ἰδιώτου πρὸς αὐτὸν ἀφανῶς παρεγένετο.

συμμαθεῖν· Σοφοκλῆς (Ai. 860) "κοὐδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος." οἷον, μεμαθηκότα τὸ γεγονὸς οὐδείς με οἶδε τόπος, ἀλλὰ μάτην περιῆλθον. ἢ ἀντὶ τοῦ διδάξαι, εἰς μάθησιν ἀγαγεῖν τοῦ ζητουμένȣ. καὶ συμμαθόντι συνεθισθέντι· (X Anab. 4 5 27) "καὶ πάνυ ἡδὺ ἦν συμμαθόντι τὸ πόμα τὸ ἐκ κριθῶν."

συμμαχία ἐπιμαχίας διαφέρει, καὶ ἔςι μὲν συμμαχία ὅταν τις τὸν αὐτὸν ἔχῃ τῷ συμμαχουμένῳ ἐχθρὸν καὶ φίλον, ἐπιμαχία δὲ ὅταν τις μόνῳ τῷ συμμαχουμένῳ ἀδικȣμένῳ βοηθῇ, οὐ μέντοι καὶ ἀδικȣ̃ντι συμπράττῃ. sch. Thuc. 1 44.

συμμετρία ὁμώνυμον, ὥσπερ καὶ τὸ σύμμετρον. σύμμετρα γὰρ τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα, καὶ τὰ οἰκεῖα ἑκάστῳ καὶ ἀρκοῦντα, ἢ κατὰ τὸ πλῆθος ἢ κατὰ τὸ μέγεθος ἢ κατὰ ποιότητα καὶ κατὰ τὰς δυνάμεις ἀνάλογον ἔχοντα.

a συμμορία σύνταγμα, ἢ φρατρία· "ἀνδρῶν τε ἀρίστων συμμορίαι πολλαὶ χρόνου τε μῆκος τοσȣ̃τον ἤγειραν ἔργον."

b συμμορία. Δημοσθένης κατὰ Ἀφόβου (α 7). οὐχ ἅπαν τὸ πλῆθος, ὥσπερ παρ' ἡμῖν, διῄρητο εἰς τὰς συμμορίας Ἀθήνησιν, ἀλλὰ μόνοι οἱ πλούσιοι καὶ εἰσφέρειν τῇ πόλει δυνάμενοι. ὁ γȣ̃ν Δημοσθένης ἐν τῷ περὶ τῶν συμμοριῶν (17) φησὶ περὶ τῶν χιλίων καὶ διακοσίων ἀνδρῶν τῶν πλουσιωτάτων "ἐκ τούτων τούτων οἶμαι δεῖν ποιῆσαι συμμορίας κʹ, ὥσπερ νῦν εἰσίν, ξʹ σώματα ἑκάστην ἔχȣσαν." Ὑπερίδης δὲ ἐν τῷ πρὸς Πολύευκτόν φησιν "εἰσὶ γὰρ ἐν τῇ συμμορίᾳ ἑκάστῃ ιεʹ ἄνδρες." οὐ δεῖ δὲ θαυμάζειν πῶς ὁ μὲν Δημοσθένης φησὶν ξʹ ἄνδρας ἔχειν τὴν συμμορίαν, ὁ δὲ Ὑπερίδης ιεʹ· ἐν γὰρ τῷ κατὰ Πασικλέȣς λέγει τὴν αἰτίαν, γράφων ταυτί "ἕως μὲν οἱ πλȣσιώτατοι παρακρȣόμενοι τὴν πόλιν, σὺν εʹ καὶ ςʹ τριηραρχȣ̃ντες μέτρια ἀνήλισκον, ἡσυχίαν ἦγον οὗτοι· ἐπειδὴ δὲ ταῦτα κατεῖδε Δημοσθένης, νόμȣς ἔθηκε τοὺς τʹ τριηραρχεῖν, καὶ βαρεῖαι γεγόνασιν αἱ τριηραρχίαι." ὅτι δὲ καὶ οἱ δημοποίητοι ἐνεγράφοντο εἰς τὰς συμμορίας, δεδήλωκεν Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου. συμμορῖται δ' εἰσὶν οἱ τῆς αὐτῆς αὐτοῖς μετέχοντες συμμορίας. διῃρέθησαν δὲ πρῶτον Ἀθηναῖοι κατὰ συμμορίας ἐπὶ Ναυσινίκου ἄρχοντος, ὡς Φιλόχορος. Harp.

συμπαίστορα συμπαίζοντα· (AP 6 154) "Πανὶ μὲν ἀρτίτοκον χίμαρον, συμπαίστορα ματρός."

σύμπαν· "ὃ λέγομεν κόσμον, τὸ σύμπαν τόδε."

συμπαραινέσας ἔχω ἀντὶ τοῦ παρῄνεσα (A Av. 853).

συμπαρομαρτῶν συνακολȣθῶν.

συμπάσχω δοτικῇ.

συμπίνω δοτικῇ.

συμπίπτειν μάχην συνάπτειν· "οἱ δὲ ὥπλιζον αὐτοὺς καὶ ἐκέλευον ἐς μάχην συμπίπτειν."

συμπλάττεται ψεύδεται.

συμποδίζω αἰτιατικῇ.

συμποδίσας συνδήσας τοὺς πόδας. Ἀριστοφάνης (Ran. 1532) "στίξας αὐτοὺς καὶ συμποδίσας μετ' Ἀδειμάντȣ τȣ̃ Λευκολόφου κατὰ γῆς ταχέως ἀποπέμψω."

συμπράκτωρ ὁδοῦ ἀκόλουθος· (S OR 116) "οὐδ' ἄγγελός τις οὐδὲ συμπράκτωρ ὁδοῦ."

σύμπτωμα συμβεβηκός.

σύμπτωσις συμβολή, σύμμιξις ἐκ διαμερῶν γινομένη. "οἱ δὲ ἐκ παραπλησίας προθέσεως ὁμοίαν ἐποιήσαντο τὴν ἔφοδον. γινομένης δὲ τῆς συμπτώσεως ἐξ ἀμφοῖν βιαίως αὐτῶν μὲν ἥμαρτον ἀμφότεροι, τȣ̀ς δὲ ἵππȣς ἔτρωσαν τοῖς δόρασι τοῖς ἀλλήλων."

συμφανές δῆλον, φανερόν· "καὶ συμφανὲς ἦν αὐτοῖς καὶ ὡμολογημένον τὸ νικᾶν."

συμφέρεται συναρμόττει, συμφωνεῖ, ὁμονοεῖ. καὶ ἐπὶ τοῦ συνάπτειν μάχην· "Σεμπρώνιος δὲ Ἀννίβᾳ συμφέρεται, ἐλαττωθεὶς δὲ κατὰ τὴν μάχην πολλȣ̀ς τῶν οἰκείων ἀπέβαλε."

συμφέρον ἀγαθόν. λέγεται δὲ συμφέρον, ὅτι φέρει τοιαῦτα ὧν συμβαινόντων ὠφελούμεθα.

σύμφημι συναινῶ.

συμφορά ἀτυχία, κακῶν συντυχία.

συμφορά τῶν μέσων ἐστί, διὸ λέγεται

Σιμωνίδης (ap. A Eq. 404) "πῖνε πῖν' ἐπὶ συμφορᾷ." οἱ δὲ λέγουσι "πῖνε πῖν' ἐπ' ἐσθλοῖς." ηλοῖ δὲ ἡ συμφορὰ καὶ τὸ καλὸν καὶ τὸ ακόν, διὸ λέγει (652) "ἐπὶ συμφοραῖσιν γαθαῖς," καὶ τοῦτο εἰπὼν οὐκ εἴασεν ἐπὶ τοῦ ακοῦ νοεῖσθαι. Σοφοκλῆς δέ φησιν (OR 33) ἔν τε συμφοραῖς βίου πρῶτον κρίνοντες" ντὶ τοῦ ἐν ταῖς βιωτικαῖς συντυχίαις. καὶ ὖθις (A Ach. 1202) "ὢ συμφορὰ τάλαινα ῶν ἐμῶν κακῶν· ἰὼ ἰὼ τραυμάτων ἐπωδύνων." συμφορὰ καὶ ἡ ὁμοῦ ἐπιφορά· Πισίης "ἐκ τῆς ἀμέτρου συμφορᾶς τῶν συρμάων" περὶ χιόνος.

συμφράδμονες (Hom. B 372) σύμιλοι.

συμφυλετῶν (1 Thess. 2 14) ὁμοεθνῶν, υγγενῶν.

συμφυοῦς συγγενοῦς.

συμφύρεται, δοτικῇ, συμμίγνυται, συνακρᾶται, συμμιαίνεται.

συμψῆσαι συντρῖψαι· Ἀριστοφάνης Νεφέλαις (971) "εἶτ' αὖθις ἀνισταμένους" τοὺς αῖδας "συμψῆσαι, καὶ προνοῆσαι εἴδωλον ῖσιν ἐρασταῖς τῆς ἥβης μὴ καταλείπειν." ντρίψων τὸν τόπον ὅπου ἐκάθηντο, ἵνα μὴ μεῖον τῆς ἥβης ἑαυτῶν καταλείψωσι τοῖς ασταῖς.

συμψήσας συντρίψας· Ἡρόδοτος (1 189) ῶν τις ἱερῶν ἵππων τῶν λευκῶν ὑπὸ ὕβριος βὰς ἐς τὸν ποταμὸν διαβαίνειν ἐπειρᾶτο· δέ μιν συμψήσας ὑποβρύχιον οἰχώκεε φέ-ων." καὶ Ἰάμβλιχος "βιαζομένους δὲ τοὺς λυμβητὰς συμψήσας ὁ ποταμὸς ἔφερε κά-, καὶ οὐκέτι ἀπενόστησαν."

σύμψηρα σύμφωνα.

συμψησθείς (Ierem. 22 19) βλαβείς, ωθείς.

συναγείρων συνάπτων, συνάγων.

συναγηγερμένοι συνηγμένοι,

συνάγκεια ὁ σύνδενδρος τόπος.

συναγομένων στενοχωρουμένων (Polyb. 18) "συναγομένων δὲ λιμῷ τῶν Καρχηδοων διὰ τὸ πλῆθος τῶν συγκεκλεισμένων δρῶν ἐν τῇ πόλει," τουτέστι συγκλειομένων. ι συνήγοντο (id. ib.) "ἐς γὰρ τοῦτο συγοντο σιτοδείᾳ καὶ σπάνει τῶν ἀναγκαίων τε βουλεύεσθαι περὶ τοῦ λύειν τὴν πολιορ-αν," τουτέστι συνεκλείοντο.

συναγορεύειν συνηγορεῖν, ὑπὲρ αὐτοῦ γειν.

συναγυρμός "οὐδένα ἠξίου ἀτιμάζειν πρὸς συναγυρμὸν τῆς ἀληθοῦς ἐπιστήμης."

συναγωνίζομαι δοτικῇ.

συναδικῶ δοτικῇ.

συνάδων ἁρμόττων, συντρέχων, συμφωνῶν. καὶ Σύναδα μητρόπολις.

σὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει, παροιμία ἐπὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένους ἀργεῖν. τίθεται δὲ ἐπὶ γυναικῶν καὶ μάλιστα ὀφειλουσῶν ἐργάζεσθαι.

συναΐγδην ὁρμητικῶς, ἢ ὁμοῦ. Hes. Scut. 189.

συναίμονος ἀδελφοῦ.

συναιρόμενος συμβαλλόμενος, συνερχόμενος, συμβοηθῶν.

σύναιχμος ὁ σύμμαχος.

συναλγῶ δοτικῇ.

συναλίσας συνάξας, συναθροίσας.

συναλισθείσης συναχθείσης. "συναλισθέντες οὖν οἱ σύμμαχοι, βλασφημοῦντες αὐτόν, ἠπείλουν προσθήσεσθαι τῇ μοίρᾳ τῶν ὑπεναντίων."

συναλλαγαῖς κοινωνίαις, φιλίαις· Σοφοκλῆς (OR 35) "ἔν τε δαιμόνων συναλλαγαῖς," τουτέστι ταῖς πρὸς τὸ θεῖον κοινωνίαις καὶ ὁμιλίαις στοχάζεσθαι τῆς τῶν θεῶν διανοίας. καὶ αὖθις (960) "πότερα δόλοισι τέθνηκεν ἢ νόσου συναλλαγῇ."

συναλωνιάζειν. καθ' ἕκαστον ἔτος ἐν ἀκμῇ τοῦ θέρους ἑορτὴν ἦγον καὶ θυσίας ἐποιοῦντο.

συναναστρέφομαι δοτικῇ.

συνανέσχον συνανέτειλαν.

συναντῶ δοτικῇ.

συνάορος τῆς γαμετῆς.

συναπηρτισμένον πεπληρωμένον.

συνάπτω αἰτιατικῇ.

συναραμένου συνεργήσαντος.

συναράσσω δοτικῇ.

συναρπάζω αἰτιατικῇ.

συναρτήσαντες συνάψαντες.

συνασπισμός. ὅταν ἕκαστος ἀνὴρ ἐν τῇ φάλαγγι κατέχῃ πῆχυν ἕνα, τότε τοῦτο καλεῖται συνασπισμός.

συναυλίαν συμφωνίαν.

συνάφεια σύζευξις.

συνάχθομαι δοτικῇ.

συνδάιξον σφάξον σὺν τοῖς θρέμμασι. sch. S Ai. 361.

σὺν δὲ θεοὶ μάκαρες. τοῦτο ἐπέλεγον

οἱ ῥαψῳδοί, ὡς οἱ κιθαρῳδοὶ "ἀλλ' ἄναξ χαῖρε·" εἰσὶ γὰρ ἐπιφωνήματα παρὰ τοῖς παλαιοῖς ποιηταῖς.

συνδέτας συνδεδεμένας· "κακὰς γὰρ εἶχον τὰς λογισμὰς συνδέτας, μορφῶν τὸ κάλλος τῶ σοφῶ Γεωργίω."

συνδιέφερε συνεκρότει, συνηγωνίζετο· "τὰ μὲν πρῶτα συνδιέφερεν αὐτῷ τὸν πόλεμον, ἔπειτα παλλακῆς ἐρασθεὶς συνέθετο προδοσίαν ἐπὶ χρήμασι."

συνδικάζω δοτικῇ.

σὺν δίκῃ ἀντὶ τῶ δικαίως· "ἐπειδὴ ἔμαθεν ὁ βασιλεὺς τὰ συμβάντα τῷ προδότῃ Καπίτωνι σὺν δίκῃ."

σύνδικος καὶ συνήγορος. ὅταν πλείονες βοηθοὶ καὶ συνήγοροι τῷ πράγματι παρῶσι, σύνδικοι καλῶνται.

συνδιοίσεις συνδιάξεις, συμβιώσεις· (Synes. ep. 118) "καὶ συνδιοίσεις τὰ παρόντα αὐτῷ."

σὺν δορὶ σὺν ἀσπίδι (A Pac. 356, Vesp. 119) ἐπὶ τῶν παντὶ τρόπῳ πρᾶξαί τι πειρωμένων.

σύνδουλος. ὢ μόνον ὁμοδώλως ἔλεγον ἀλλὰ καὶ συνδώλως· Ἀριστοφάνης (Pac. 746) "ἵν' ὁ σύνδωλος σκώψας αὐτῶ τὰς πληγὰς ἐπανέροιτο, ὦ κακόδαιμον, τί τὸ δέρμ' ἔπαθες; μῶν ὑστριχὶς εἰσέβαλέν σοι;"

συνδώμενος συνδεδεμένος.

σύνδρομος σύμφωνος.

συνδυασμός.

συνδυάσω (Ps. 140 4) συζευχθῶ, κοινωνήσω, συμπράξω. ἐνδοιάζω δέ.

συνέβαινεν ὢκ ἤρεσκεν, ὡς φαύλων περὶ τὰς ἀποκρίσεις ὄντων. Ἀριστοφάνης Βατράχοις (819) "ὢ γὰρ Ἀθηναίοισι συνέβαινεν Αἰσχύλος," ἀντὶ τῶ ὢκ ἐστοίχησε.

συνεβάλλοντο παρεῖχον· "ὥστε καὶ συνεβάλλοντο αὐτῷ εἰς τὴν τροφὴν τῶν στρατιωτῶν αἱ Ἑλλησποντιακαὶ πόλεις" (X Anab. 1 1 9).

συνέβη συνεφωνήθη· "ὃ δὲ λιθουργῷ χειρουργίας τεχνίτῃ δίδωσι χρυσίον, ὅσον συνέβη."

συνέβησαν ἐστοίχησαν, ὡμολόγησαν· "συνέβησαν ὢν ὥστε ἀπαθῆ μετὰ τῶν ἐπιτηδείων ὑπεξελθόντας ἑτέραν μεταδιῶξαι χώραν."

συνεγγίζω δοτικῇ.

συνεγείρω αἰτιατικῇ.

συνεδεῖσθαι συγκαθῆσθαι.

συνεδρία ἡ καθέδρα.

συνέθει συνέτρεχεν.

συνέθηκεν ὑπέλαβεν, ὑπενόησε· "τῶτο συνέθηκεν ὁ βασιλεύς, καὶ ἐκ λογισμῶν εἴκασε τὸ γινόμενον."

συνεθίζω δοτικῇ.

συνείδησις.

συνείχοντος ὑποκλινομένω· "μείζονας εἶχον σαρίσσας, ἵνα συνείχοντος τοῦ ξύλου πρὸς τὴν πληγὴν καὶ μὴ κλωμένα ῥαδίως."

συνειλεγμένα συνηγμένα.

συνειλόχασι συνήθροισαν. καὶ συνειλοχότες.

σύνειμι δοτικῇ.

συνεῖναι γενικῇ, νοῆσαι· "ὁ δὲ Ἡραΐσκος ὁ Αἰγύπτιος ἦν μὲν συνεῖναι δεινότατος ... εὐμοιρίαν" (cf. v. Ἡραΐσκος). καὶ συνεῖναι αἰσθανθῆναι. καὶ συνῆκα δέ.

συνείπετο συνηκολώθει.

συνειπόντος.

συνείρει συνάπτει, καὶ συνειρόμεθα ἀντὶ τῶ συνηπτόμεθα· "ἴστε ὅτι πολὺ πλείω ἂν ὑμῖν ἐν ταῖς εὐτυχίαις συνειρόμεθα τῶν τότε τὰ ἐναντία φρονέντων." καὶ αὖθις "ἐγκώμια τοῦ ἐρημικοῦ βίου πολλὰ συνείροντο."

συνεῖρκτο συνεφυλάττετο, συνεδέδετο.

συνειρμένον συμπεπλεγμένον.

συνεισάκτους.

συνεισέφρησε συνεισήνεγκε.

συνεῖχεν ἐξήσκει, ἐγύμναζε· Διόδωρος "ὃ δὲ συνεῖχεν αὐτὰς εἶναι στρατιώτας, παράδειγμα ὑποθεὶς ἑαυτόν."

συνεκδοχικῶς συλληπτικῶς.

συνεκόμισαν συνήγαγον.

συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα (A Plut. 1086) ἐπὶ τῶ ἀρξαμένω τινὸς πράγματος, εἶτα ὀλιγωρήσαντος. πολλάκις δὲ τρύγα καὶ τὸν νέον οἶνον ἐκάλων, νῦν δὲ τὴν ὑποστάθμην.

συνεκτικώτατα κεφαλαιωδέστατα, συνέχοντα, διακρατῶντα.

συνεκύρησε συνέτυχε.

συνελέξατο ἀνεκτήσατο· "ὥςε ἐπὶ τῶν τὸν θυμὸν συνελέξατο ὁ βάρβαρος, καὶ ἐκπάλλεσθαι ὑπὸ τῶ τρόμω ἔληξε."

συνελόντι φράσαι συντόμως εἰπεῖν.

συνελόχισε συνήθροισε.

συνέμπορος συνοδοιπόρος.

συνενηνεγμένοι συνελθόντες.

συνεορτάζω δοτικῇ.

συνέπαινοι συγκατατιθέμενοι· Ἡρόδοτος ⟨5 20⟩ "συνέπαινοι γὰρ ἦσαν οἱ Πέρσαι," τουτέστιν ὁμόφρονες. καὶ αὖθις ⟨5 31⟩ "δεῖ δὲ καὶ αὐτὸν βασιλέα συνέπαινον γίνεσθαι."

συνέπεσε γενέσθαι ἀντὶ τοῦ συνέβη. οὕτως Ἰσοκράτης. "καὶ ἐξ ἀμφοτέρων τῶν μερῶν φόνος συνέπιπτε πολύς, φύρδην ἐπ' ἀλλήλοις μαχομένων." καὶ "συνέπεσε τῷ στρατηγῷ πρὸς τὰ γόνατα," ἀντὶ τοῦ προσέπεσε, καὶ αὖθις ⟨Diodorus p. 631⟩ "τοῖς μὲν πρὸς τὰ γόνατα πίπτων."

συνεπισπεῦσαι συνεπιταχῦναι· "ὁ δὲ ἐκέλευε τοὺς κρατίστους συνεπισπεῦσαι τὰς ἁμάξας" ⟨X Anab. 1 5 8⟩.

συνεπίσταμαι δοτικῇ.

συνεπισχύσας συναγωνισάμενος, δύναμιν παρασχών· "κωλύειν δὲ τὸν Ἀντίοχον παραπλεῖν οὐκ ἀπεχθείας χάριν, ἀλλ' ὑφορώμενος μὴ Φιλίππῳ συνεπισχύσας ἐμπόδιον γένηται τῇ τῶν Ἑλλήνων ἐλευθερίᾳ."

συνεπλήθυσεν ἐπλημμύρησε· "χειμὼν ἐξαίσιος νυκτὸς γενόμενος τὸ ῥεῦμα συνεπλήθυσε."

συνεπνευσάτην ὁμόφρονες ἐγένοντο· "Χαρίτων καὶ Μελάνιππος εἰς ἔρωτα ἀλλήλοιν συνεπνευσάτην, ὁ μὲν ἐραστὴς ὁ δὲ ἐρώμενος." cf. v. ἀντέρως.

συνερανίζεται συνεισφέρεται.

συνεργῶ δοτικῇ.

συνέρεσθαι συνερωτᾶν.

συνέριθος συνεργός, συνυφαίνουσα. λέγεται δὲ καὶ ἐπὶ ἄρρενος· "ὁ δὲ Χαγάνος παράδοξόν τι ἕρμαιον τὴν σωτηρίαν εὐτύχησε, καὶ φυγῇ συνέριθος ἦν· ἐλάνθανε γὰρ νῆσος ἐν τῇ λίμνῃ τὸν βάρβαρον διασώζουσα" ⟨Theophyl. Sim. 2 10⟩.

συνερκτικός συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος εὐκόλως. sch. A Eq. 1375.

συνερράγη· "ἐπὶ τῶν Φαβίων πόλεμος συνερράγη Ῥωμαίοις πρὸς Τυρρηνοὺς μέγιστος τῶν πρὸ αὐτοῦ."

συνερρώγει εἰς χεῖρας ἦλθε. "πόλεμον συνῆψαν τὰ στρατόπεδα, ὅσον ἔπω συνερρώγει, περὶ πλήθουσαν ἀγοράν· καὶ ἀκροβολισμοί τινες τῶν ψιλῶν ἐγίνοντο, βέλη τε ἐξικνεῖτο καὶ ἀσπὶς ἐψόφει."

συνέρχομαι δοτικῇ.

Συνέσιος Πενταπόλεως τῆς ἐν Λιβύῃ Θηβαΐδος, φιλόσοφος, ἐπίσκοπος Πτολεμαΐδος, ἱερατικῶν γενόμενος, ἔγραψε βιβλία διάφορα γραμματικά τε καὶ φιλόσοφα, καὶ λόγους βασιλικούς, πανηγυρικοὺς ἢ ἐπιδεικτικούς, ἐγκώμιόν τε φαλάκρας, καὶ περὶ προνοίας λόγον θαυμάσιον, Ἑλληνικῷ χαρακτῆρι· καὶ ἄλλα πλεῖστα καὶ διάφορα βιβλία συνέταξε, καὶ τὰς θαυμαζομένας ἐπιστολάς.

συνεσκευάσθαι συνεπιφέρεσθαι· "ὄψα δὲ χρὴ συνεσκευάσθαι, ὅσα ἐστὶν ὀξέα καὶ δριμέα καὶ ἁλμυρά· ταῦτα γὰρ ἐπὶ σῖτόν τε ἄγει καὶ ἐπὶ πλεῖστον ἀρκεῖ" ⟨X Cyr. 6 2 33⟩.

συνεσπειραμένοι συγκεκλεισμένοι· ⟨Agath. 5 19⟩ "εἰς στενότητα συνεσπειραμένοι ἀμύνεσθαι οὐκ ἠδύναντο, οὔτε τοξεύειν αὐτοῖς εὐπετὲς ὑπῆρχε τῷ μηδὲ χώραν εἶναι τοῖς βέλεσι." καὶ αὖθις "εἰσὶ δὲ οἳ καὶ συσπειραθέντες ἀναχωρῆσαι σῶοι πάλιν ἐς τὸ στρατόπεδον ἠδυνήθησαν," ἀντὶ τοῦ συστραφέντες, συνελιχθέντες. καὶ αὖθις "τό τε πυκνὸν καὶ συνεσπειραμένον ἐπὶ ταῖς ἀνελίξεσιν οὐκ ἔξω τινὸς ἀπονοίας καὶ τόλμης κατεφαίνετο, ταραχή τε ἐπεῖχε καὶ παρακελευσμὸς τοῖς κατ' οὐρὰν τεταγμένοις, αἵ τε ἀναστροφαὶ τῶν κοντοφόρων ἄλλοτε ἀλλαχοῦ τὰς ἐμβολὰς ποιούμεναι πολυσχιδῆ καὶ ποικίλον ἀπειργάζοντο τὸν πόλεμον."

συνεστιᾶται συναριστᾷ.

συνετάττετο· "πᾶσι συνετάττετο ποιήσασθαι τοὺς χρηματισμούς," ἀντὶ τοῦ καθυπέσχετο. cf. v. χρηματισμός.

συνετιμήθη πολλῆς τιμῆς ἐγένετο τὰ ὤνια. καὶ **συντιμηθῆναι**. Δημοσθένης ἐν τῷ πρὸς Διονυσόδωρόν ⟨8⟩ φησιν "οἳ μὲν γὰρ αὐτῶν ἀπέστελλον ἐς τὴν Αἴγυπτον τὰ χρήματα, οἳ δ' ἔπλεον τοῖς ἐμπόροις, οἳ δ' ἐνθάδε μένοντες συνετίμων τὰ ἀποστελλόμενα."

συνετρίβησαν ⟨Ierem. 22 20⟩ ταῖς ψυχαῖς, ἀντὶ τοῦ ἐθορυβήθησαν, συνεχύθησαν.

συνευνέτης σύγκοιτος.

σύνευνον σύγκοιτον.

συνεφόρει ἐσώρευεν· "ὁ δὲ συνεφόρει χοῦν αὐτόθεν ἀπὸ τῶν ἐρριμμένων οἰκοδομημάτων ἐν τῷ κόλπῳ φέρων."

συνέχεια ἡ πυκνότης.

συνεχές. τὸ συνεχὲς ποσὸν ἐπὶ πλειόνων κατηγορεῖται, γραμμῆς ἐπιφανείας σώματος

χρόνου τόπου, τὸ δὲ μὴ ἐξ ἐχόντων θέσιν κατὰ τριῶν, ἀριθμοῦ χρόνου λόγου.

συνεχῆ ἀκατάπαυστον· "συνεχεῖς δὲ φύλακας ἐπιστήσας ἐξετρύχωσεν ἄρα ἐς τοσοῦτον ὡς βρόχῳ τὰς κόρας τὸν λιμὸν ἀποδρᾶναι." cf. v. Πυθαγόρας a.

συνεχόμενος ἀρρωστῶν, ἢ κρατούμενος.

συνέχον· "τὸ δὲ συνέχον ἡγεμόνα καὶ προστάτην ἀξιόχρεων," ἀντὶ τοῦ κατεπεῖγον, τὸ ἀναγκαιότερον. καὶ αὖθις "ἦν δὲ τὸ συνέχον τῆς ὑποθέσεως αὐτῶν, ὡς οὔτε φρουρὰν οὔτε ὕπαρχον εἰσδέξαιντο καὶ τῆς κατὰ τὰς νόμους πολιτείας ἐκ ἂν ἐκχωρήσειαν."

συνεψήσθη συνελεπτύνθη. Ies. 31 33.

συνεψιάουσα συμπαίζουσα· ἐν ἐπιγράμματι ⟨AP 5 288⟩ "ἐξότε μοι πίνοντι συνεψιάουσα Χαρικλὼ."

συνεωσμένες συγκεκλεισμένους· "ἠπορῆντο τί χρὴ πράττειν εἰς ὀξὺν ὅτω καιρὸν συνεωσμένες."

συνηβολία. Apollon. Rhod. 2 1157.

συνήγορος προστάτης ὑπέρ τινων λέγων. ἐοίκασι παρ' Ἀθηναίοις τινὲς χειροτονεῖσθαι συνήγοροι ἐπὶ τῷ συναγορεύειν, ὡς Ἀντιφῶν φησί. Harp.

συνηγορῶ δοτικῇ.

συνήδεσαν ἠπίσταντο.

συνήδομαι συγχαίρω· Ἀππιανός ⟨Maced. 15⟩ "οἱ δὲ πρέσβεις ἔπεμψαν, συνηδόμενοι τῷ γεγονότι."

συνήεσαν συνῆλθον.

συνῆκεν ἐνόησε.

συνήκμαζε συνηύξανε.

συνήλασε συνεχώρησε, συνεδίωξε.

συνηλίζοντο ⟨Herodot. 1 62⟩ συνηθροίζοντο.

συνηλλάγην σοι καὶ συνηλλάχθης ἐμοί ⟨S Ai. 493⟩ ἀντὶ τοῦ συναλλαγὰς ἔχεις, γάμῳ συνεζεύχθης.

συνηλωκότες.

συνήμονας συνήθεις καὶ ἑταίρες καὶ ὁμοήθεις. ἤτοι παρὰ τὸ ἧσθαι, ἵν' ᾖ συνέδρες, ἢ παρὰ τὴν ἕσιν, ἵν' ᾖ συναγωνιστάς, ὃ καὶ βέλτιον.

συνημοσύνη συμβελία.

συνήνεγκε λυσιτελέστερον γέγονε· "συνήνεγκε δὲ τοῦτο Ῥωμαίοις ἐς ὅτι μάλιςα."

συνήορος ⟨Hom. ϑ 99⟩ συνηρμοσμένη, συνήθης.

συνηρεφές τὸ ἐστεγασμένον.

συνηρημένον συνεστραμμένον.

συνήρης.

συνήρτυες συνήρμοττες.

συνησθέντες συγχαρέντες.

συνησθῶσι συγχαρῶσι.

σύνθακος σύνθρονος ⟨S OC 1276⟩.

σύνθεμα· "πρὸς τοῖς ἄλλοις τὸ μὴ εὐδιάλλακτον μήτ' ἄλλο μηδὲν εἶναι σύνθεμα φιλανθρωπίας."

σύνθεο ⟨Hom. A 76⟩ ἄκουσον.

συνθεσία συνθήκη, ἀσφάλεια· ἐν ἐπιθικοῖς "μετὰ δὲ σφίσι πιστώσαντο συνθεσίην."

συνθῆκαι αἱ πίστεις, αἳ διὰ τριῶν ἐτελοῦντο, λόγων ἔργων χειρῶν, λόγων μὲν ὡς δι' ὅρκων, ἔργων δὲ οἷον τῶν ἐν τοῖς βωμοῖς θυσιῶν, χειρῶν δὲ ἐπεὶ αἱ πίστεις διὰ χειρῶν ἐγίνοντο. καὶ Ὅμηρος ⟨B 341⟩ "καὶ δεξιαί, ᾗς ἐπέπιθμεν." καὶ τρία ἐγκλήματα παραβασίας, βωμὸς πίστις ὅρκος. sch. A Ach. 307.

συνθήκη ὁμολογία· Ξενοφῶν ⟨Anab. 2 2 8⟩ "οἱ δὲ σὺν Κύρῳ ἀναβάντες Ἕλληνες πρὸς Πέρσας συνθήκας ἔθεντο, σφάξαντες ταῦρον καὶ λύκον καὶ κάπρον καὶ κριόν, εἰς ἀσπίδα βάπτοντες οἱ μὲν Ἕλληνες ξίφος, οἱ δὲ βάρβαροι λόγχην, ὀμόσαντες μὴ προδώσειν ἀλλήλες, σύμμαχοί τε ἔσεσθαι. οἱ δὲ βάρβαροι προσώμοσαν καὶ ἡγήσεσθαι ἀδόλως."

συνθήκη συγκατάθεσις· "ὥστε εἰρήνην κρατύνασθαι, ἢ τὰ εἰς τὸν πόλεμον ἐκ συνθήκης ἐξαρτύεσθαι."

σύνθημα συνθήκη, σύσσημον, λόγος ἐν πολέμῳ ἐπὶ γνωρισμῷ τῶν οἰκείων διδόμενος· "σύνθημα φιλίας ... μηδέν" (cf. v. κηρύκειον). "αἳ δὲ ἀθρόαι ὑφ' ἑνὶ συνθήματι ἐπὶ τὸν Βάττον ἦξαν, ἵνα αὐτὸν ἀφέλωνται τὸ ἔτι εἶναι ἄνδρα" (cf. v. σφάκτρια). "οἱ δὲ δι' ἀλλήλων ἐποιεῦντο, καὶ τὸ σύνθημα μετὰ σπεδῆς ἕκαστος τὸν πλησίον ἠρώτα." καὶ αὖθις "τὸν Αὔγεστον ἐπευφημοῦ πολλάκις, καὶ τοῖς ἄλλοις τἒτο διδὲς σύνθημα."

συνθηματιαίες ὃς ἡμεῖς λέγομεν ἐκδοτικές· Ἀριστοφάνης ⟨Th. 464⟩ "δεῖ με ἀνδράσι πλέξαι στεφάνους συνθηματιαίους εἴκοσι."

συνθηματικῶς συμβολικῶς· "ἐπιστ-

λὰς ἔγραψε συνθηματικῶς, καθάπερ ἔθος ἦν αὐτοῖς, ὥστε τὸν κυριεύσαντα τῆς ἐπιστολῆς μὴ δύνασθαι γνῶναι μηδὲν τῶν ἐν αὐταῖς γεγραμμένων" ⟨Polyb. 8 19⟩.

σ υ ν θ υ μ ε ῖ ν συνοργίζεσθαι, ἢ συμψυχεῖν.

σ υ ν ι δ ώ ν.

σ υ ν ί ε ι σ α ν ἐγίνωσκον· συνίημι γὰρ τὸ συνιῶ νοῶ· "ἐπεὶ δ' ἔμπαλιν τῆς ἀληθείας συνίει τὰ λεγόμενα, καὶ τὸ ἑαυτῷ φίλον τε καὶ κεχαρισμένον ἑώρα μόνον, ἐπέθετο καταλῦσαι τὴν Περσῶν βασιλείαν." καὶ αὖθις ἐπὶ τοῦ σκόπει, βλέπε· "συνίει δὴ ὁποῖά σοι τῶν πραχθέντων ἕψεται τὰ ἐπίχειρα."

σ υ ν ι έ ν τ ε ς γενικῇ.

σ υ ν ί ζ η σ ι ς.

σ υ ν ι ό ν τ ε ς συνερχόμενοι.

σ υ ν ι σ τ α μ έ ν ο υ ς, τουτέστι συνηγόρους, ἢ τοὺς συμπεπλεγμένους καὶ πιλοῦντας, ἀπὸ μεταφορᾶς τῶν ἐρίων· ὥσπερ γὰρ πολλάκις τὸ ἕτερον τῷ ἑτέρῳ κολλᾶται ἐρίῳ, καὶ διαχωρίζουσιν αὐτὰ ἀπ' ἀλλήλων, οὕτως ἐπὶ τῶν κεκολλημένων ταῖς ἀρχαῖς ὀφείλετε ἀποχωρίζειν καὶ εὔνοιαν πρὸς ἀλλήλους ἔχειν ἅμα. sch. A Lys. 577.

σ υ ν ι σ τ ο ρ ε ῖ σύνοιδε.

σ υ ν ί σ τ ω ρ συνόμιλος, γνωστός, μάρτυς, συνειδὼς ἐπὶ πράγματι· Ἀππιανός ⟨cf. v. Περσεύς b⟩ "ὁ δὲ συνίστορας ἡγούμενος αἰσχροῦ φόβου καὶ ἑτέροις ἐπεξαγγελεῖν ἀπέκτεινεν ἀθεμίστως."

σ υ ν ν έ φ ε ι α ἡ ταραχή.

σ υ ν ν ή σ α ς συσσωρεύσας· Ἡρόδοτος ⟨7 107⟩ "συννήσας πυρὴν μεγάλην ἐσέβαλεν ἐς τὸ πῦρ," καὶ Δαμάσκιος "καὶ ἄλλους ἐν μέσῳ τοῦ χρόνου πολὺν θησαυρὸν συννήσαντας."

σ ύ ν ν ο μ ε ὡς μετέχουσα τοῦ αὐτοῦ βίου καὶ τῆς αὐτῆς νομῆς. τοῦτο δὲ ὡς ἐπὶ ὀρνέων. λέγει δὲ τοῦτο ὁ ἔποψ πρὸς τὴν ἀηδόνα. sch. A Av. 209.

σ ύ ν ν ο μ ο ι ἀδελφαὶ ἢ γυναῖκες· "αἱ σύννομοι τᾶξω βίου τροφεῖα πορσύνουσ' ἀεί" ⟨S OC 340⟩.

σ υ ν ν ό μ ω ν μεγάλων, ὁμοίων· "ἐξηριθμήσατο τοὺς δόμους· ἦν γὰρ ἐκ συννόμων λίθων ᾠκοδομημένος, ὥστε καὶ λίαν εὐσυλλόγιστον εἶναι τὴν ἀπὸ γῆς τῶν ἐπάλξεων ἀπόστασιν."

σ υ ν ο δ ε ί α τὸ μετά τινος συμπεριπατεῖν. σ υ ν ῳ δ ί α δὲ ἡ ψαλμῳδία.

σ υ ν ό δ ο ν τ α ζῷα βοῦς πρόβατον αἴξ καὶ εἴ τι συμβέβηκεν ἄλλο στέαρ ἔχειν, ἀλλ' οὐ πιμελήν.

σ υ ν ο ί μ ι ο ν τὸ προοίμιον.

σ υ ν ο ί σ ε ι ν συνεισενεγκεῖν.

σ υ ν ο ῖ σ ο ν συμφέρον· ⟨Menand. p. 307 Nieb.⟩ "ἐν ὑμῖν τε κείσθω προτιμῆσαι τὸ συνοῖσον, καὶ τὰ εἰρηναῖα πρὸ τοῦ πολέμου ἑλέσθαι." καὶ αὖθις "αὐτός τε γὰρ τῷ ἐπηβόλῳ τῆς φύσεως ἐγίνωσκε τὸ συνοῖσον εὐστοχώτατα" ⟨Agath. 5 21⟩.

σ υ ν ο ι χ ή σ ε τ α ι συναναιρεθήσεται.

σ υ ν ό μ ο σ ι ς, σ υ ν ω μ ο σ ί α δέ.

σ υ ν ο ρ ί α ἡ πλησιότης.

σ υ ν ο ρ ι γ ν ώ μ ε ν ο ι ἐπιθυμοῦντες, ἐπεκτεινόμενοι· "οἳ δὲ τοῦ πλείονος καὶ πρόσω συνοριγνώμενοι προῆγον ἐπὶ Παμφυλίας."

σ υ ν ο υ σ ί α τὸ συνεῖναι μετ' ἀλλήλων· Πολύβιος ⟨8 29⟩ "ὡς ἂν ὑποκρινόμενοι τοὺς ἐκ συνουσίας ἐπαναγαγόντας, ἔτι δὲ μᾶλλον ἠλλοιωμένους ὑπὸ τῆς μέθης."

σ υ ν ο υ σ ι α σ μ ό ς συμμιξία.

σ υ ν ο χ ή. εἶδος τῆς συνάψεως ἡ συνοχή, ὥστε ἁμαρτάνει ὁ τῆς συνάψεως γένος τὴν συνοχὴν ἀποδιδούς. οὐ γὰρ πᾶν τὸ συναπτόμενον συνέχεται· συνάπτεται γὰρ καὶ τὰ ἁπτόμενα μόνον, οὐ μὴν καὶ συνέχεται. πᾶν μέντοι τὸ συνεχόμενον συνάπτεται, ὥστε ἐπὶ πλέον τὸ συνάπτεσθαι τοῦ συνέχεσθαι. Alex. Aphrod. in Top. p. 162.

σ υ ν ο χ ω κ ό τ ε παρ' Ὁμήρῳ ⟨B 218⟩ διὰ τὸ μέτρον.

σ ύ ν ο ψ ι ς ἡ κατὰ πρόσωπον ὁμιλία· "ὃ δὲ ἐβουλεύσατο καταστρατοπεδεῦσαι τοῖς Καρχηδονίοις ἐν συνόψει· μάλιστα γὰρ οὕτως ἐκφοβήσειν αὐτοὺς ὑπελάμβανε" ⟨Polyb. 1 41 0⟩.

σ ύ ν τ α γ μ α, ὃ ἔνιοι παράταξιν, αἱ β' τάξεις, ἄνδρες σνϛ', καὶ ὁ ἡγούμενος σ υ ν τ α γ μ α τ ά ρ χ η ς. τοῦτο δὲ ἔνιοι καὶ ξεναγίαν καλοῦσι, καὶ ξεναγὸν τὸν ἡγούμενον.

σ υ ν τ α κ τ ή ρ ι ο ς.

σ υ ν τ α κ τ ι κ ὸ ς ὁ Ὠριγένης διὰ τὸ πεποιηκέναι πολλὰ βιβλία.

σ υ ν τ ά ξ α ς ὁρίσας· "συντάξας τοῖς κυ- a
βερνήταις ἀνακομίζειν τὰς ναῦς κατὰ δύναμιν εἰς τὴν Ἐλαίαν."

σ υ ν τ ά ξ α ς ἐντειλάμενος· Πολύβιος "συν- b
τάξας ἐλαύνειν κατὰ σπουδὴν ὅσον ἔχει δυνάμεως."

σ ύ ν τ α ξ ι ς δύο πραγμάτων ἕνωσις. καὶ a

Google

τὸ λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα τὺς ϛρατευομένυς. "ἀποστερῶν τὰς συντάξεις ἁπάσας ὐκ ᾐσχύνετο." καὶ Μάλχος ⟨p. 272 Nieb.⟩ "τῶν συντάξεων στερηθέντες πολλάκις οἱ στρατιῶται καὶ παρακοπτόμενοι τῆς τροφῆς τῆς συνήθυς ἐς ἀπόνοιαν ἦλθον," καὶ αὖθις Μάλχος ⟨cf. v. Παμπρέπιος⟩ "ὃ δὲ τὸν Παμπρέπιον λαμπρῶς τε ἐτίμησε καὶ σύνταξιν ἔδωκε." Προκόπιος ⟨Pers. 7.⟩ "ἅμα δὲ καὶ μεμφόμενοι ὅτι δή σφισι χρόνου τὰς συντάξεις πολλῦ τὸ δημόσιον ὤφλε," τουτέστι τὰ διδόμενα.

b σύνταξις ἡ συγγραφή, ἡ ἱστορία· Πολύβιος "ταῦτα ἐν ταῖς πρὸ τῦ συντάξεσι δεδηλώκαμεν."

c σύνταξις ἀντὶ τοῦ συντεταγμένη οἴκησις· Δημοσθένης Φιλιππικοῖς "καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τῦ τε λαμβάνειν καὶ τῦ ποιεῖν τὰ δέοντα." ἔλεγε δὲ καὶ τὺς φόρυς συντάξεις, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα, Καλλιστράτυ ὕτως καλέσαντος. καὶ Ὑπερίδης δέ φησι "σύνταξιν ἐν τῷ παρόντι οὐδενὶ διδόντες· ἡμεῖς δέ ποτε ἠξιώσαμεν λαβεῖν." Harp.

συντάσσομαι δοτικῇ.

συντεθεῖσθαι. καὶ συντέθεικα συνεθέμην.

συντεκμηράμενος συμβαλών, καταστοχασάμενος· Εὐνάπιος ⟨p. 105 Nieb.⟩ "τὸν πάντα βίον αὐτῦ συντεκμηράμενος ἐκ τῶν ἐναργῶν περὶ αὐτὸν συμβόλων τε καὶ σημείων."

συντέλεια πᾶν τὸ πρὸς ζωήν· Ἰώβ ⟨30 2⟩ "ἐπ' αὐτὺς ἀπώλετο συντέλεια," ἀντὶ τῦ ὐδέποτέ τι χρηστὸν συνετέλεσαν.

συντέλειαι αἱ παντοδαπαὶ τιμωρίαι· Δαβίδ "καὶ ἐξ ἀρᾶς καὶ ψεύδυς διαγγελήσονται συντέλειαι." Theodoret. in Ps. 58 13.

συντελεῖς. ὅτε οἱ τριηραρχοῦντες νεὼς μιᾶς ἅμα ἐπεμελοῦντο, συντελεῖς ἐλέγοντο. συντελεῖς ὖν οἱ συνδαπανῶντες καὶ συνεισφέροντες. τὸ δὲ πρᾶγμα συντέλεια καλεῖται. Harp.

συντελής χρήσιμος.

συντέμνω αἰτιατικῇ.

συντέρμων πλησιόχωρος.

συντεταγμένως Ἀριστοφάνης Πλύτῳ ⟨325⟩ ἀντὶ τῦ γοργῶς καὶ μετὰ συγκροτήματός τινος· "ἀσπάζομαι δ' ὑμῆ προθύμως ἥκετε καὶ συντεταγμένως."

συντετάσθαι διατετάσθαι.

συντέτηκεν ἀντὶ τοῦ συγκεκόλληται, συμπέπηγε· "ψευδὴς ἀντ' ἀληθοῦς συντέτηκε δόξα." καὶ σύντηξις ἡ τοῦ σώματος φθορὰ καὶ ἰσχνότης· "τοσαύτη δὲ ἄρα ἡ σύντηξις τῦ σώματος ἦν αὐτῷ ὡς ἀδύνατον καὶ τὴν τῶν ἱματίων φέρειν ἐπιβολήν." cf. v. Ἐπίκυρος.

σύντευξις συντυχία.

συντεύξομαι συντύχω.

συντιμηθῆναι. τὸ πολλῆς τιμῆς γίνεσθαι τὰ ὤνια συντιμηθῆναι. οὕτω Δημοσθένης ⟨56 8⟩.

Συντομάχη· "οἱ δὲ ἐκυρίευσαν τῆς Συντομάχης."

συντόμισον συνάγαγε συντόμως.

συντρέχω δοτικῇ.

σύντρητος.

συντροχάσαι καταντλῆσαι, πληρωθῆναι, ἐκ μεταφορᾶς τῶν τροχῶν.

συντυγχάνω δοτικῇ.

συντυρούμενα συμπηγνύμενα ⟨Δ Eq. 479⟩.

συντυχία ἡ αἰφνίδιος τῶν πραγμάτων μεταβολή· "ὑπολαβὼν ὖν ὐ κατὰ συντυχίαν ἀλλ' ὑπό τινος ἕξεως τοιαύτην εἶναι περὶ αὐτὸν διάθεσιν."

σὺν τῷ κυνὶ καὶ τὸν ἱμάντα.

συνῳδά σύμφωνα, καὶ συνῳδόν· Αἰλιανός "ὁ δὲ ἀλεκτρυὼν συνᾴδειν ἐπιχαίρει τῷ ὀρνιθείῳ μέλει, συνῳδόν τε καὶ σύμμελές ἀναμέλπων." cf. v. ἀσκωλιάζοντες.

συνῳδηκώς συντραγῳδῶν.

συνωθούμενος συνερχόμενος.

συνῴκησε τὸ σύνοικον μετ' αὐτῦ ἔλαβε. συνῳκίσατο δὲ μεθ' ἑαυτῦ ἦξε.

συνωμοσάμην.

συνωμοσία ἡ μεθ' ὅρκυ φιλία. παρὰ δὲ Ἀττικοῖς ⟨an τακτικοῖς⟩ συνωμοσία τάξις ⟨gl. Herodot. 1 65⟩.

συνωμότης.

συνωνή. ὅτι ἐπὶ Ἰυστινιανῦ ἡ τῦ σίτυ φορὰ ἐσπάνιζε, καὶ ἐνδεεστέρως ἡ κατὰ τὴν χρείαν ὁ σιταγωγὸς στόλος ἀφίκετο. ἀπορούμενος δὲ τοῖς παρῦσιν ἔν τε Βιθυνίᾳ καὶ Φρυγίᾳ καὶ Θρᾴκῃ χωρίων πειρᾶσθαι μέγα τι χρῆμα σίτυ ἠξίυ. ἦν τε ἀναγκαῖον τοῖς ταύτῃ οἰκῦσι μέχρι μὲν εἰς τὴν θάλασσαν πόνῳ πολλῷ τὰ φορτία φέρειν, ἐς Βυζάντιον δὲ ξὺν κινδύνῳ ταῦτα ἐσκομίζεσθαι, καὶ

ιχία μὲν τιμήματα δῆθεν τῷ λόγῳ πρὸς ῦ φέρεσθαι, τὴν ζημίαν δὲ αὐτοῖς ἐς τοδε μεγέθυς καθίστασθαι ὥστε ἀγαπᾶν, τις αὐτὺς ἐῴη τόν τε σῖτον οἴκῳ δημοχαρίζεσθαι καὶ τίμημα ἕτερον ὑπὲρ αὐκατατιθέναι. τοῦτό ἐστι τὸ ἄχθος ὅπερ ωνὴν καλεῖν νενομίκασι. Procop. Arc. 22.

συνώνυμος κατηγορία ἐστὶν ὅτε τὸ ια καὶ τὸν ὅρον δέχεται τὸν αὐτὸν τοῦ ιατος. οἷον τὸ ζῷον κατηγορεῖται τοῦ ρώπυ, καὶ δέχεται ὁ ἄνθρωπος καὶ τὸ ια καὶ τὸν ὅρον τοῦ ζῴου. ζῷον γάρ ν οὐσία ἔμψυχος αἰσθητική, καὶ ὁ ἄνπος ἐπιδέχεται τὸν ὅρον τοῦτον· καὶ α γάρ ἐστιν ὁ ἄνθρωπος καὶ ἔμψυχος αἰσθητική. ὁμώνυμος δὲ κατηγορία τὸν μὲν ὅρον οὐ δέχεται ἀλλὰ μόνον τὸ α, ὡς ἐπὶ τῆς εἰκόνος τοῦ ἀνθρώπυ.

συνωρίς συζυγία, δυάς. κυρίως δὲ β' ι συνεζευγμένοι. κέλης δὲ ὁ μόνος ἵππος.

συνώσαντες συνεισφρήσαντες· "ἐξ αὐδὲ συνώσαντες ἐπὶ τὴν πυλίδα ἐσῆλθον."

Σύρα παρὰ Ῥωμαίοις ἡ θεία ἐπιστολή.

Συράκουσα πόλις Σικελῶν.

Συρακουσία τράπεζα ἡ πολυτελής· ɛν γὰρ οἱ Σικελιῶται ἁβροδίαιτοι εἶναι ον πάντων. καὶ Συρακυσίων δεκάτη.

σύρβη τάραχος.

συρβηνεύς ὁ ταραχώδης, ἀπὸ τῶν αὐτων μετὰ θορύβυ· ἢ πένης, διὰ τὸ τὰς θήκας καὶ φαρέτρας κενὰς ἔχειν. καὶ ηνέων χορός ὁ τεταραγμένος καὶ συιώ· ἀπὸ τοῦ τοῖς ὑσὶν ἐπιφωνυμένυ. διὸ ιται ἡ παροιμία συρβήνης χορός ἐπὶ ἀτάκτων χορῶν.

Συριανός Ἀλεξανδρεὺς φιλόσοφος, ἡγηνος τῆς ἐν Ἀθήναις σχολῆς τε καὶ διαῆς, διδάσκαλος γενόμενος Πρόκλου, ὃς διάδοχος αὐτοῦ ἐγένετο, ἔγραψεν εἰς ρον ὅλον ὑπόμνημα ἐν βιβλίοις ζ, εἰς πολιτείαν Πλάτωνος βιβλία δ', εἰς τὴν ἑως θεολογίαν βιβλία β', εἰς τὰ Πρόπερὶ τῶν παρ' Ὁμήρῳ θεῶν, συμφω-Ὀρφέως Πυθαγόρου καὶ Πλάτωνος περὶ ὄγια, βιβλία ί, καὶ ἄλλα τινὰ ἐξηγητικά. τι Ἰσίδωρος ὁ φιλόσοφος, ὥς φησι Δαιος, πάντα τῶν παλαιῶν ἐξετάζων οὐχ πρὸς τὸ ἀκριβέστατον, προσεῖχε δὲ τὸν ἐς τὰ μάλιστα μετὰ Πλάτωνα τῷ Ἰαμο καὶ τοῖς Ἰαμβλίχου φίλοις δὴ καὶ ὀπαδοῖς, ὧν ἄριστον εἶναι διισχυρίζετο τὸν ἑαυτοῦ πολίτην Συριανὸν τὸν Πρόκλου διδάσκαλον. ἀτιμάζειν δὲ οὐδένα ἠξίου πρὸς συναγυρμὸν ἀληθοῦς ἐπιστήμης.

συριγμός φωνὴ ἄσημος· ⟨Polyb. 30 20⟩ "τοὺς δὲ συριγμοὺς τοὺς ἐν ταῖς κοιναῖς πανηγύρεσι καὶ τοὺς χλευασμοὺς τίς ἐξηγήσαιτο ῥᾳδίως;" καὶ αὖθις "οἱ δὲ Ῥωμαῖοι κατεχειροτόνυν συρίττοντες, καὶ ταραχὴν ταῖς βοαῖς ἐνεποίουν."

σύριγξ τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος. καὶ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτω καλεῖται· Σοφοκλῆς ⟨El. 720⟩ "κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων ἔχριμπτ' ἀεὶ σύριγγα." σύριγξ καὶ ἡ ἐπιμήκης διῶρυξ· "καὶ τότε κελεύει σύριγγα βαθεῖαν ὑπὸ τὸν λόφον τρήσασθαι." καὶ σύριγγος αὐλοῦ ἢ δορατοθήκης· Πισίδης ⟨Hexaem. 1137⟩ "τίς τὴν μέλιτταν τὴν σοφήν, τὴν ἐργάτιν, γεωμετρεῖν ἔπεισεν, ποιεῖν δὲ τὰς σύριγγας οὐκ ἐπ' εὐθείας;"

συρίξας ἀπὸ τοῦ συρίζω ἐνεστῶτος ⟨A Plut. 689⟩.

συρμαία τὸ καθαρτικὸν δι' ἐμέτων καὶ κοιλίας, καὶ συρμαΐζειν τὸ κενῦσθαι ἐκ ζειῶν καὶ ὕδατος. οὕτως Ἡρόδοτος. ἢ λάχανον σελίνῳ ἐοικός. ἢ βρῶμα διὰ στέατος καὶ μέλιτος.

συρμαΐζειν ⟨Herodot. 2 77⟩ καθαίρειν πόματι ἐκ ζειῶν καὶ ὕδατος. καὶ συρμαίη παρὰ τῷ αὐτῷ ⟨2 125⟩ λάχανον σελίνῳ ἐοικός.

συρμός τοῦ νιφετοῦ ἡ φορά· ⟨AP 7 8⟩ "οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν, οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα." περὶ Ὀρφέως ὁ λόγος.

Σύροι πρὸς Φοίνικας. ἑκάτερα τὰ ἔθνη διαβέβληται ὡς πανοῦργα. ἢ ὅτι ἑκάστοτε ἀλλήλοις δι' ἔχθρας ὄντα οὐδέποτε πιστῶς διαλλάττεται.

σύρφαξ συρφετώδης, ὀχλώδης· "ἐξῆρε δὲ αὐτὸν πλείω πρὸς ··· ὡς Πάρις." cf. v. Ἁρμᾶτος.

συρφετός ἀγυρτώδης ὄχλος ἢ λόγος, ἡ ἐξ ἀνέμυ συλλεγομένη κόπρος καὶ φρυγανώδης, ἤτοι κονιορτὸς μετὰ κοπρίων. τινὲς δὲ χειμὼν καὶ συρμός. "ταῦτα δὲ ἄγνωστα τῷ συρφετῷ."

σύρω τρέχω· Πισίδης "σύρει πρὸς ἡμᾶς ὁ στρατὸς μετὰ δρόμου."

σῦς ὁ χοῖρος. cf. v. ὗς.

συσκευάζει λόγῳ ἐπιβουλεύει, καὶ συσκευὴ ἡ ἐπιβουλή. συσκευάζεσθαι δὲ τὸ πρὸς τὴν ὁδὸν εὐτρεπίζεσθαι· "ὄναρ ἐφίσταται θεία τις ὄψις, καὶ λέγει δεῖν συσκευάζεσθαι· καλεῖν γὰρ τὸ χρεὼν αὐτόν." cf. X Cyr. 8 7 1.

συσκευάζεσθαι ἐπιφέρεσθαι· Ξενοφῶν ⟨Cyr. 6 2 26⟩ "ὁ Κῦρος ἔφη τοῖς στρατιώταις συσκευάζεσθαι σῖτα ἡμερῶν κʹ, οἶνον δὲ τοσοῦτον ἕκαστον χρὴ ὅσος ἱκανός ἐστιν ἐθίσαι ἡμᾶς αὐτὲς ὑδροποτεῖν."

συσκηνία συνοικία. Ξενοφῶν ⟨Cyr. 2 1 25⟩ "ὅτι ἐν τῷ ὁμοῦ σκηνεῖν τὲς στρατιώτας ἐδόκεν ὠφελεῖσθαι πρὸς τὸν μέλλοντα ἀγῶνα. ἑώρων γὰρ ἀλλήλες ὁμοίως τρεφομένες, καὶ ἐκ ἦν πρόφασις μειονεξίας, ὥστε ὑφίεσθαί τινα κακίω τε ἕτερον ἑτέρε εἶναι πρὸς τὲς πολέμες. καὶ ὅτι ἐγίνωσκον ἀλλήλες, καὶ τὸ αἰσχύνεσθαι πᾶσιν ἐδόκει ἐγγίνεσθαι· οἱ δὲ ἀγνοεντες ῥᾳδιεργεσιν ὥσπερ ἐν σκότει ὄντες."

σύσκια τὰ δασέα· "πρῶτα μὲν τὰ σύσκια τῶν χωρίων ἀνεκάθαιρεν, ἔπειτα τοὺς βασιλικοὺς παραδείσες ἐξέτεμεν."

συσπειραθέντες συστραφέντες· "οἱ δὲ πρὸς τὴν φήμην συσπειραθέντες καὶ διελιχθέντες παρά τε ἀλλήλες ἔτρεχον καὶ συνίσταντο."

συσσεισμός λαῖλαψ, συστροφὴ ἀνέμου.

συσσημαίνεσθαι. ὃ καλοῦσι κατασφραγίσασθαι, τετο οἱ ῥήτορες συσσημαίνεσθαι λέγεσι· Λυκεργος ἐν τῷ περὶ ἱερείας "ὥστε προστεταγμένον ἐπὶ ψηφίσματος καὶ τὴν ἱέρειαν συσσημαίνεσθαι τὰ γραμματεῖα." καὶ σύσσημον τὸ σημεῖον.

συσσιτία. καὶ συσσίτιον εὐωχία, ἄριστον. "τοῦ δὲ κεκληκότος ἐφ' ἑστίασιν τοὺς ὁμοτίμες, ἔτυχε κἀμὲ προτραπῆναι ἐν τῷ συσσιτίῳ, ἀμφὶ τὸ μέσον τε δείπνου τῶν δαιτυμόνων τὸν ἑστιάτορα ἐκθειαζόντων."

σύσσιτος σύντροφος, συνδιαιτητής.

σύστασις ἀγάπη, ὁμόνοια, ἀπὸ μεταφορᾶς τῶν ἵππων τῶν ὁμε ἱσταμένων, τῶν συντρόφων· Πολύβιος ⟨1 78⟩ "ὃ δὲ οἰκείως διέκειτο πρὸς τὲς Καρχηδονίους, πατρικὴν ἔχων σύστασιν." καὶ συσταθῆναι ὁμοδίαιτον καὶ φίλον γενέσθαι· ⟨Diog. L. 2 61⟩ "ἐλθόντα δι' ἀπορίαν ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δ' Ἀριστίππε συσταθῆναι."

συστέλλω αἰτιατικῇ.

συστήσας παραδές, προσμίξας· Πολύβιος "τετον ἐξαπέστειλε, συστήσας ἱππεῖς πεντακοσίες δυναμένες ἔτι πονεῖν."

σύστοιχα καὶ παρώνυμα καὶ πτώσεις παρακεῖσθαι μὲν ἀλλήλοις δοκεντα, διαφέροντα δέ. σύστοιχα λέγεται ἀλλήλοις καὶ τὰ ὁμοίως ἔχοντα πρός τινα, ἃ καὶ κατ' ἀναλογίαν εἴη ἄν, ὡς ἐπιστήμη καὶ αἴσθησις· ἑκάτερον γὰρ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ ὑφ' αὐτά. ὁμοίως καὶ τὸ αἰσθητὸν καὶ τὸ ἐπιστητόν· ἑκάτερον γὰρ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ ὧν ἐστί. σύστοιχα λέγεσι καὶ πτώσεις τὰ ὁμοίως παρωνομασμένα ἀλλήλοις τε καὶ ἐκείνῳ ἀφ' οὗ παρωνόμασται, οἷον ἀπὸ τῆς δικαιοσύνης παρωνόμασται ὁ δίκαιος καὶ τὸ δίκαιον καὶ τὸ δικαίως· ταῦτα δὴ καὶ ἀλλήλοις ἐστὶ σύστοιχα καὶ αὐτῇ δικαιοσύνῃ. παρώνυμα δὲ μόνα τὰ ἀπό τινος παρωνομασμένα ἐκείνῳ λέγεσιν ᾧ παρωνόμασται, ἀλλ' οὐκ ἀλλήλοις, οὐδὲ ἐκεῖνα τέτοις· ἡ γραμματικῇ ὁ γραμματικός, οὐκέτι δὲ ἡ γραμματικὴ τῷ γραμματικῷ.

συστοιχία· "ὃ δὲ ἐν τῇ στάσει ἐγένετο τῆς χείρονος συστοιχίας, ἀποστὰς μὲν τῶν πρώτων μαθημάτων, προσρυεὶς δὲ τοῖς ἄλλοις."

συςομώτερον σκάφης. τάσσεται ἐπὶ τῶν διὰ τὸ ἀγεννὲς σιωπώντων. Θεόφραστος γὰρ ἐν τῷ περὶ νόμων εἰρῆσθαι ἀπό τε τῶν μετοίκες Ἀθήνησιν ἐν ταῖς δημοτελέσι πομπαῖς σκάφας φέροντας πομπεύειν· καὶ ὅτε δὲ ἐβέλοντο μέτοικον δηλῶσαι, ἢ σκάφην ἔλεγον ἢ σκαφηφόρον· διὰ δὲ τὸ ἀπαρρησίαστον εἶναι, συστομώτερον ποιήσειν ἀπειλεῖ σκάφης.

συςρέμματα ςασιαςῶν πλῆθος.

συςροφή ἡ ὁμόνοια, καὶ ἡ ἐπὶ κακῷ συμφωνία· Δαβίδ ⟨Ps. 63 3⟩ "σκέπασόν με ἀπὸ συςροφῆς πονηρευομένων."

σύτο ὡρμᾶτο, ἔτρεχε· "σύτο δέμας ἀκέντητον ἐν δρόμοις" ⟨Pindar. Ol. 1 32⟩.

σῦφαρ τὸ δέρμα, ἡ ἀνθρωπίνη· "καὶ τὸ ῥικνὸν σῦφαρ ἐμόν, καὶ τετο τὸ δένδρειον αὖον ἐὸν περ." cf. v. γυμνότερος λεβηρίδος.

συφεός τόπος ὅπε αἱ σύες τρέφονται. λέγεται καὶ συφεών· Ἀγαθίας ⟨5 13⟩ "εἰ μὴ καταγέλαςον εἰπεῖν, ὥσπερ ἐν συφεῷ ..."

μάνδραις τὰ τῶν Ῥωμαίων μεμενήκει ϛρατεύματα."

συφόλης συφόλȣ.

συφορβία ἀγέλη χοίρων.

Συχὲμ πόλις.

συχνάζεις πυκνάζεις.

συχναῖς συνεχέσι. καὶ συχνὴν ȣ̓σίαν ⟨A Plut. 754⟩ τὴν πολλήν, καὶ συχνὸς χρυσός ὁ πολύς· "καὶ τῆς οἰκίας ȣ̓κ ȣ̓́σης μονήρȣς ἀλλὰ συχνῆς ἀμηχέπη" ⟨cf. v. ἐλευθεριότης⟩. καὶ Ἰάμβλιχος "παρεσκεύασε πομπὴν ἐπιφανῆ καὶ λαμπράν, ἐσθῆτα σοβαρὰν καὶ θεραπείαν συχνὴν εὐνȣ́χων τε καὶ θεραπαινίδων."

συχνόν πολύ, πυκνόν· Ξενοφῶν ⟨Anab. 1 8 10⟩ "ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων" ἀντὶ τȣ͂ πολύ. "ὃ δὲ συχνȣ̀ς τῶν ἐπισήμων τῆς βȣλῆς ἐφόνευσεν" ἀντὶ τȣ͂ πολλȣ́ς. ⟨AP 6 303⟩ "πίονα τυρὸν δρέψεσθε, αὔην ἰσχάδα καὶ δεῖπνον συχνὸν ἀπὸ σκυβάλων."

σφαγάς τὰς κατακλεῖδας· Θȣκυδίδης ⟨4 48⟩ "καὶ οἰϛȣ̀ς καθίεσαν ἐς τὰς σφαγάς."

σφαγεῖον τὸ τȣ͂ αἵματος δεκτικὸν ἀγγεῖον, ὃ εἶπεν ὁ ποιητὴς ⟨γ 444⟩ ἀμνίον. sch. A Th. 756.

σφαγιάζειν τὸ θυσίας ἐπιτελεῖν· Ἡρόδοτος ⟨9 72⟩ "ὅς, ἐπεὶ ἐσφαγιάζετο Παυσανίης καθήμενος, ἐν τῇ τάξει ἐτραυματίσθη τοξεύματι τὰ πλευρά."

σφαγιαζόμενος διὰ σφαγίων θυσίαν ἐπιτελῶν· "ὃ δὲ εἴτε διοσημίαν οἰηθεὶς εἶναι εἴτε σφαγιαζόμενος, ȣ̓κ ἀγαθὴν τὴν ἀπόβασιν σημαίνειν λογιζόμενος τὰ θύματα, συμφέρειν ἐλογίζετο φυλάξασθαι τὸν καιρόν."

σφαγίδιον τὸ τῶν μαγείρων μαχαίριον. καὶ σφαγίς σφαγίδος τὸ αὐτό.

σφαδάζειν θράσσειν, δυσθανατεῖν, ματαίως σπᾶσθαι, χαλεπαίνειν, μετ' ὀργῆς ϛενάζειν. σφαδάζειν καὶ τὸ πηδᾶν, ἀπὸ τοῦ σπᾶσθαι, καὶ σφακελίζειν.

σφαδάζοντες σπώμενοι, ἢ δυσφορȣ͂ντες· "καίπερ σφαδάζων ἔνδοθεν πολλοῖς λόγοις, ὥσπερ τις ἀσκὸς δέσμιος γλεύκȣς ζέων."

σφαδάζουσα πανȣργεύȣσα.

σφαῖρα τὰ περιφερῆ καὶ ϛρογγύλα· ⟨AP 6 282⟩ "καὶ σχίζας καὶ σφαῖραν ἀείβολον" τὴν ἀεὶ βαλλομένην. καὶ σφαιρηδόν διὰ σφαίρας. καὶ σφαιροπαικτεῖν τὸ διὰ σφαίρας παίζειν.

σφαιρίζω τὸ τῇ σφαίρᾳ παίζω· "φιλονείκως γὰρ οἱ σφαιρίζοντες παίζȣσι" ⟨Artemid. 4 71⟩.

σφαιρωτήρ σανδαλίȣ ζινίχιον, οἷον τὸ λωρίον τȣ͂ ὑποδήματος.

σφακελίζοντες διασπῶντες, πηδῶντες, ὑποτρέμοντες.

σφακελισμός παραπληξία. καὶ σφάκελος τὸ βέλος τὸ σφάζον. a

σφακελισμός. ἡ σῆψις τȣ͂ μυελȣ͂ σφακελισμὸς καλεῖται. γίνεται δὲ ἐκ τȣ͂ σφακελισμȣ͂ καὶ σπασμός. λέγεται δὲ καὶ ὁ σφυγμὸς καὶ ὁ παλμός. σφάκελον δ' ἔνιοι τὴν σῆψιν λέγȣσι τῶν ὀϛέων· Αἰλιανός "καὶ ἀκȣ́ω τὸν πόδα ἐκεῖνον ἐς οἴδημα ἀρθῆναι καὶ φλεγμήναντα σφακελίσαι καὶ ἀποκτεῖναι τὸν ἄνδρα." λέγεται δὲ σφάκελος καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. καὶ παροιμία "καὶ σφάκελοι ποιȣ͂σιν ἀτέλειαν." Πεισίστρατος γὰρ ὁ τύραννος δεκάτην τῶν γεωργȣμένων ἀπῄτει τȣ̀ς Ἀθηναίȣς, παριὼν δέ ποτε καὶ ἰδὼν πρεσβύτην πέτρας ἐργαζόμενον καὶ τόπȣς λιθώδεις ἤρετο τὸν πρεσβύτην τίνας ἐκ τῶν τόπων κομίζοιτο τȣ̀ς καρπȣ́ς· ὃ δὲ ἀπεκρίνατο ὀδύνας καὶ σφακέλȣς, καὶ τȣ́των δεκάτην Πεισίϛρατος φέρει. θαυμάσας δὲ ὁ Πεισίϛρατος τὴν παρρησίαν αὐτȣ͂ τῆς δεκάτης ἀτέλειαν ἔδωκε. καὶ ἐκ τȣ́τȣ οἱ Ἀθηναῖοι τῇ παροιμίᾳ ἐχρήσαντο. b

σφάκον ἀντὶ τȣ͂ ἐλελίσφακον· Ἀριϛοφάνης ⟨Th. 492⟩ "κᾆθ' ὃ μὲν ἔτριβε κεδρίδας ἄνηθον σφάκον" ὡς ἐπιτήδεια παῦσαι ϛρόφον.

Σφακτηρία τόπος ϛενὸς τῆς Λακωνικῆς, διείργων καὶ ἀποχωρίζων καὶ ἀποφράττων τὰς ἀπὸ τῆς Θεσσαλίας καὶ Λακεδαιμονίας εἰσβολάς. ἔνθα καὶ Λεωνίδης πρότερον Λακεδαιμονίων βασιλεύς.

σφάκτριαι ἱέρειαι· "μετὰ τῆς ἱερᾶς ϛολῆς ὅλαι τελȣ́μεναι μυϛικῶς σφάκτριαι καταλειφθεῖσαι, καὶ αἴρȣσαι τὰ ξίφη γυμνὰ καὶ αὗται καταπλέας ἔχȣσαι τȣ͂ αἵματος τὰς χεῖρας καὶ τὰ πρόσωπα μέντοι (ἦσαν δὲ ἐκ τῶν ἱερείων χρισάμεναι), ἀθρόαι ὑφ' ἑνὶ συνθήματι ἐπὶ τὸν Βάττον ᾖξαν, ἵνα αὐτὸν ἀφέλωνται τȣ͂ ἔτι εἶναι ἄνδρα."

σφαλεὶς ἀποτυχών. καὶ σφαλεῖεν.

σφάλλω αἰτιατικῇ.

σφάραγον ὁ Ἀπίων φάρυγγα, ἀπὸ τȣ͂ περὶ αὐτὸν γινομένȣ ψόφȣ.

Digitized by Google

σφᾶς ἑαυτάς, ἢ τὰς ἑαυτῶν.

σφεδανῶν στερρῶν, ἰσχυρῶν· "ὄμμα δ' ἑλίξας βρυχᾶτο σφεδανῶν ὄβριμον ἐκ γενύων" ⟨AP 6 219⟩.

σφενδάμνινοι ἰσχυροί· τοιοῦτο γὰρ τὸ τῆς σφενδάμνου ξύλον. ἀντὶ τοῦ σφενδονῆται. τὸ δὲ σφενδάμνινοι ταὐτόν ἐστι τῷ πρίνινοι· σφένδαμνος γὰρ εἶδος ξύλου σκληροῦ. ἔστι δὲ καὶ εἶδος καννάβεως ἡ σφένδαμνος· ἡ γὰρ σφενδόνη ἀπὸ καννάβεως γίνεται. sch. A Ach. 180.

σφενδονᾶσθαι ἀπορρίπτεσθαι.

σφενδόνη τοῦ δακτυλίου ἡ περιφέρεια, καὶ ἡ εἰς λίθου βολὴν ἐπιτηδεία χρῆσις. "ὅτι Κῦρος τοὺς πολλοὺς τῶν Λυδῶν σφενδονᾶν ἐκέλευσεν, ὡς τὸ ὅπλον τοῦτο δουλικώτατον εἶναι νομίζων. σὺν μὲν γὰρ ἄλλῃ δυνάμει μάλα ἔστιν ἔνθα ἰσχυρῶς ὠφελοῦσιν σφενδονῆται παρόντες· αὐτοὶ δὲ καθ' ἑαυτοὺς οὐδ' ἂν οἱ πάντες σφενδονῆται μείνειαν πάνυ ὀλίγους ὁμόσε ἰόντας ὅπλοις ἀγχεμάχοις" ⟨X Cyr. 7 4 15⟩.

σφέτερα τὰ ἑαυτῶν.

σφετερίζεται λαμβάνει, ἰδιοποιεῖται.

σφέτερον τὸ ἑαυτῶν, ἢ τὸ ἴδιον. καὶ σφετέρῳ τῷ ἑαυτῶν.

σφηκιά εἶδος ζῴου. καὶ παροιμία "ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ" Ἀριστοφάνης ⟨Lys. 476⟩. ἀπὸ τῶν μελιττῶν μετενήνοχε· βλίττειν γὰρ τὸ ἐκπιέζειν τὸ μέλι.

σφηκώδεις σκληροί, κάτισχνοι τοῖς σώμασι· καὶ γὰρ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνηγμένην ἔχουσιν. Ἀριστοφάνης Πλούτῳ ⟨561⟩ "μέγαν λαβόντες ἠμμένον σφηκίσκον," ξύλον ὠξυμμένον, ἐπεὶ καὶ ὁ σφὴξ ὀξὺς ἐκ τῶν ὄπισθεν. ἐπιτετήδευται ἡ λέξις παρὰ τὸν σφῆκα· τὰ γὰρ μικρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ συνηγμένα σφηκίσκους καλοῦσιν, ἐπεὶ καὶ τοὺς λαγαροὺς τοῖς σώμασιν ἀνθρώπους καὶ μὴ προκοιλίους σφηκώδεις φασί.

σφήκωμα τὸ λεπτὸν σχοινίον.

σφηκῶντες.

σφῆλαι πλανῆσαι, βλάψαι, ἀπατῆσαι.

σφήλας καταβαλών, προσουδίσας· "ὁ δὲ σφήλας ἐπὶ τὴν γῆν τὸν ἄνθρωπον, ἐπιβοηθησάντων ἐκείνῳ τῶν οἰκείων, οὕτως αὐτὸς πάλιν ἐπανῆλθε πρὸς τοὺς Ῥωμαίους."

Σφῆλος ὄνομα κύριον.

σφήν σφηνός τὸ σφηνάριον.

σφηνωθείς· "Τιμαγένης οὗτος κληθεὶς ἐπὶ δεῖπνον καὶ σφηνωθεὶς ἀπέθανεν." ...

σφηνώμενος στρεβλώμενος, βασανιζόμενος.

σφήξ εἶδος μελισσῶν.

σφῆσι θηλυκόν, ἀντὶ τοῦ αὐταῖς.

Σφήττιος ὄνομα κύριον.

Σφηττοί. δῆμος τῆς Ἀκαμαντίδος ... Σφηττός.

σφιγανόν πολεμικόν.

Σφιγγὸς πράγματα παρέχων πολλά ... πολλαῖς ταῖς ζητήσεσι τῶν ἀτόπων τούτων αἰνιγμάτων, οὐ τῆς Καδμείας Σφιγγός, ἀλλὰ Σφιγγὸς μέν τινος ἀτεχνῶς, ἔτι δὲ θηριώδους καὶ πολὺ σοφωτέρας."

σφίγγω αἰτιατικῇ.

σφίν αὐτοῖς. καὶ ἀντὶ τῆς οἷ ἀντωνυμίας παρὰ Σοφοκλεῖ ⟨OC 1490⟩· ἔδει γὰρ "τελεσφόρον χάριν δοῦναι σφίσιν". οἷ αὐτῷ.

σφίσιν αὐτοῖς, ἢ τοῖς ἑαυτῶν.

Σφοδρίας στρατηγὸς Λακεδαιμονίων ... φασὶ δὲ αὐτὸν εὐήθη τε εἶναι λίαν καὶ κοῦφον πρὸς τὰς ἐλπίδας. Harp.

σφοδροῦ λαμπροῦ, πολυδαπάνου· "σφοδροῦ τε πότου γενομένου ἐνεδρεύων ὁ Ποσειδώνδης αὐτὸς μὲν ὀλίγον ἔπινεν, ἐκείνοις δὲ πολὺν ἐγχεῖν τῷ θεράποντι ἐκέλευε" ⟨Nic. Dam. p. 65⟩.

σφραγίς σφραγῖδος τὸ ἐπισημαῖνον ... χαρακτήρων τὰ φυλαττόμενα· "ὁρῶσα ... Ταρπηία σφραγῖδας ἀπὸ χρυσοῦ καὶ ψέλια ... ταῖς χερσίν, ἐπεθύμησε τοῦ χρυσοῦ." ...

σφραγιδονυχαργοκομήτας τοὺς κομῶντας καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι τοὺς δακτύλους. ἢ ... τοὺς τῶν ὀνύχων ἐπιμελουμένους καὶ ὅσπερ ... ραι ξέοντας αὐτοὺς τοῦ ἐκλάμπειν ἄργους, ... πάσχουσιν οἱ τῷ καλλωπίζειν σχολάζοντες μόνον. Ἀριστοφάνης Νεφέλαις ⟨331⟩.

σφριγῶν νεάζων, αὔξων, σφύζων, βρύζων, εὐσωματῶν, ἀκμάζων, ἀνθῶν· ⟨A Lys. 80⟩ "ὡς δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου. κἂν ταῦρον ἄγχοις" ἀντὶ τοῦ εὐσωματεῖς. "νεάζοντός τε καὶ τῇ ἀκμῇ τῆς ἡλικίας σφριγῶντος τὸ σῶμα." καὶ αὖθις ⟨Theophyl. Sim. 3 4⟩ "οὕτω μὲν ἐσφρίγα ὁ πόλεμος." Ἀριστοφάνης Νεφέλαις ⟨797⟩ περὶ τοῦ ... αὐτοῦ "εὐσωματεῖ γὰρ καὶ σφριγᾷ," ... σιν ἰσχυρότερός μού ἐστι. καὶ σφριγῶντες ἀκμάζοντες.

σφυγμός φλεγμονή, παλμός, ζέσις ...

βὸς ἢ ἀρτηρίας.

σφύζει ἐπείγει· ἢ αἱ φλέβες ἅλλονται. "ἐπὶ ταῦτα δὲ αὐτοῖς σφύζουσι καὶ ἀνεστηκόσι συνάπτουσι μάχην." καὶ Πισίδης "σφύζεις, Ἀχιλλεῦ, καὶ μεθύσκῃ τὰς φρένας."

σφυρά τὰ περὶ τὰς ἀςραγάλες, σφῦρα δὲ τὸ τεκτονικὸν ἐργαλεῖον· ⟨AP 6 103⟩ "δυριτυπῆ τε σφῦραν."

σφυράδες τῶν αἰγῶν καὶ προβάτων τὰ ἀποπατήματα· Ἀριςοφάνης ⟨Pac. 785⟩ "ὄρτυγας οἰκογενεῖς, γυλιαύχενας ὀρχηςὰς ναννοφυεῖς, σφυράδων ἀποκνίσματα, μηχανοδίφας." cf. v. Καρκίνος ποιητής.

σφυρήλατος σφύραις ἐληλαμένος.

Σφυρόμαχος. οὗτος ψήφισμα εἰσηγήσατο ὥςε τὰς γυναῖκας καὶ τὰς ἄνδρας χωρὶς καθέζεσθαι. sch. A Eccl. 22.

σφῶε καὶ σφῶϊν.

σφῶν αὐτῶν, ἢ ὑμᾶς. ἰδίους, ἰδίας.

Σφωράκιος.

σχάδονας τὰ τῶν κηφήνων κηρία· καὶ ζῷον ἄπτερον ἄπουν.

σχαλίσαι θηλάσαι. καὶ ἀνίσχαλον τὴν ἄτοκον καὶ ἀθήλαςον. cf. v. ἀνίσχαδον.

σχάσαντα τεμόντα· "ἔλεγον σχάσαντα ἐκ τῶν βραχιόνων τὰς φλέβας, λειποψυχήσαντα ἀποθανεῖν." οὕτως Ἀρριανός.

σχάσον κατάπαυσον, μετάβαλε. Ἀριςοφάνης Νεφέλαις ⟨107⟩ "σχασάμενος τὴν ἱππικήν" ἀντὶ τοῦ παυσάμενος τῆς ἱππικῆς. ἢ ἀποχωρήσας καὶ ἀποςὰς τοῦ παρόντος ἐπιτηδεύματος, ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων· σχάσαι γὰρ δεῖ καὶ ὥσπερ διαςεῖλαι καὶ διασχίσαι τὸ ὕδωρ τὴν κώπην ἐρέσσουσαν. καὶ Πίνδαρος ⟨Pyth. 10 79⟩ "κώπαν ἤδη μοι σχάσαις." καὶ ⟨A Nub. 738⟩ "σχάσας τὴν φροντίδα," τουτέςι παύσας, ςήσας, ἀτρεμήσας. καὶ αὖθις "κώπην σχάσας" ἀντὶ τοῦ τὴν εἰρεσίαν καταπαύσας. ἔνιοι δὲ σχάσας ἀντὶ τοῦ ἁπλώσας.

σχέδην ἀντὶ τοῦ σύνεγγυς· "ἐκ τοξευμάτων ἐβλάπτοντο, καὶ ὅτε σχέδην συμφέροιντο." "σχέδην καὶ ἐγγὺς μαχομένῳ μεθεῖναι μὲν αὐτὸν οὐκ ἠξίωσεν, ὡς μὴ τὸ κτῆμα ἢ φόρημα τοῦ πολεμίου γένοιτο."

σχεδία ἡ ἐκ τῶν παρατυχόντων ἢ εἰκαίως πεποιημένη ναῦς καὶ γέφυρα καὶ ζεῦγμα.

σχεδιάζει ἐκ τοῦ παρατυχόντος λέγει.

σχεδιάζειν ἐγγίζειν, πλησιάζειν, τὸ εἰκῇ ἀποφαίνεσθαι· "ἀπ' ἀρχῆς ἄχρι τέλυς ἐσχεδιάσθαι καὶ διημαρτῆσθαι." cf. v. ἐσχεδίαζον.

σχεδιασθείς παραχρῆμα ῥηθείς.

σχέδιοι εὐτελεῖς.

σχέδιον ἐκ τοῦ ἑτοίμου. καὶ Ἀριςοφάνης "ταῦτα δὲ σχεδίοις ἔοικε," τουτέςιν ἐκ τοῦ παρατυχόντος εἴρηται. sch. Nub. 967.

σχεδίως ἐκτράφηθι.

σχεδόν πλησίον, πέλας, ἢ ἐκ χειρός.

σχελίδες βοὸς πλευρά, ἢ ἁπλῶς τὰ πλευριμαῖα τῶν κρεῶν· Ἀριςοφάνης ⟨Eq. 361⟩ "ἀλλὰ σχελίδας ἐδηδοκὼς ὠνήσομαι μέταλλα."

σχέσις ὁρμή, συνάφεια. a

σχέσις ἐπὶ τῶν πρός τι λέγεται, οἷον b πατρὸς πρὸς υἱόν, φίλου πρὸς φίλον· ταῦτα γὰρ καὶ ἔχει καὶ ἔχεται ὑπ' ἀλλήλων, διὸ καὶ σχέσεις προσείρηνται. πρός τι δέ εἰσι καὶ τὰ κατὰ σύγκρισιν λεγόμενα, οἷον μικρὸν μεῖζον διπλάσιον, καὶ ἐπιςήμη καὶ αἴσθησις. καὶ ὁ θεολόγος "ὡς μόνον τὰς σχέσεις λείπεσθαι ὀρφανὰς τῶν πραγμάτων. ἀφίεμεν γὰρ τὴν μητέρα, καὶ ἀφιέμεθα ὑπ' αὐτῆς, ὥςε μερίζεσθαι εἰς υἱοὺς καὶ πατέρας. τὸ δὲ θεῖον ἀμέριςον."

σχετικῶς οἰκειωτικῶς.

σχετλιάζει δυσχεραίνει, ἢ βλασφημεῖ.

σχέτλιος ὀδυνηρός, χαλεπός, ἀγνώμων, ἀτυχής, δεινοπαθής, ἄδικος, ἄπορος, θλιβόμενος, τλήμων, ἐπαχθής.

σχῆμα ἡ τοιάδε τῶν προτάσεων κοινωνία οἷά εἰσι τὰ παρ' Ἀριςοτέλει τρία καλύμενα σχήματα. μέρος γὰρ ἡ πρότασις τῆς συμπλοκῆς, αὕτη δὲ οἷον ὕλη παρὰ τῦ σχήματος εἰδοποιεῖται, καὶ καθάπερ τινὰ μορφὴν ἀπολαμβάνυσα τὴν πρὸς τὸ μέσον ποιὰν συνάρτησιν.

σχηματιζόμενος προσποιούμενος, ἢ συνταττόμενος. λέγεται καὶ παρασχηματίζειν τὸ διεςραμμένα λέγειν.

σχήσειν ⟨Hom. *M* 4⟩ ἀνθέξειν.

σχήσεσθαι ⟨Hom. *I* 235⟩ ἐπισχεθήσεσθαι.

σχήσουσι σχῶσι, κρατήσυσιν, ὑφέξυσι.

σχίδακας σχίζας. 1 Regg. 18 38.

σχίζας κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς θυσίαις τιθέμενα ξύλα, ὡς καὶ Ὅμηρος ⟨*A* 462⟩ "καῖε δ' ἐπὶ σχίζαις ὁ γέρων."

σχίζουσα ἡ ὁδός, ἡ τρίοδος.

σχῖνον διατρώγειν, ἐπὶ τῶν καλλωπιζομένων καὶ λευκαινόντων τοὺς ὀδόντας· ὅθεν καὶ σχινοτρὼξ λέγεται ὁ τοιῦτος. καὶ *σχινέλαιον*.

Σχίσις ἡ Τρίκκη, ὄνομα κύριον.

σχοίητε νομίσοιτε ἢ ὑπολάβοιτε.

σχοινία αἱ ἐπιβουλαὶ παρὰ τῷ Δαβίδ. Theodoret. in Ps. 118 61.

σχοινίον μεμιλτωμένον. εἰ βραδύνοιεν ἐπὶ τὴν ἐκκλησίαν, οἱ δημόται σχοινίον μιλτοῦντες συνήλαυνον καὶ τὰ πρατήρια διέκλειον. καὶ παροιμία "τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον" (A Ach. 22). ὑπὲρ τοῦ ἐξ ἀνάγκης αὐτοὺς εἰς τὰς ἐκκλησίας ἰέναι τοῦτ' ἐμηχανῶντο καὶ πολλὰ ἄλλα. ἀνεπετάννυσαν γὰρ τὰ γέρρα, καὶ ἀπέκλειον τὰς ὁδοὺς τὰς μὴ φερούσας εἰς τὴν ἐκκλησίαν, καὶ τὰ ὤνια ἀνῄρουν ἐν ταῖς ἀγοραῖς, ὅπως μὴ περὶ ταῦτα διατρίβοιεν· ἔτι μὴν καὶ μεμιλτωμένῳ σχοινίῳ περιβάλλοντες αὐτοὺς συνήλαυνον εἰς τὴν ἐκκλησίαν. τοῦτο δὲ ἐποίουν ὑπὲρ τοῦ μὴ βραδύνειν· ὅσοι γὰρ ἐχρίοντο, ζημίαν ἐξέτινον. cf. v. μεμιλτωμένον.

σχοίνισμα μέτρου μέρος, κληρουχία, ἡ τῆς γῆς δεσποτεία· ἴδιον γὰρ τῶν κεκτημένων μέτρῳ τὴν γῆν ὑποβάλλειν. Theodoret. in Ps. 105 11.

a *σχοῖνος* μέτρον γεωργικόν, ὥς φησιν Ἡρόδοτος ἐν τῇ β' (6) τῶν ἱστοριῶν.

b *σχοῖνος* εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος, ἐοικότος βελόνῃ. λέγεται δὲ ἀρσενικῶς. Ἀριστοφάνης Ἀχαρνεῦσι (228) "πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ," τουτέστι πρὶν αὐτοὺς τρώσω ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός.

σχοινοτενές παρὰ Ἡροδότῳ (1 189) ἀντὶ τοῦ μακρόν, ὀρθόν.

σχοίνου συμβολεῖς (Herodot. 4 190) οἱ ψιαθοπλόκοι, καὶ σχοῖνος ἡ ψίαθος.

σχολάζειν καὶ σχολὴν ἄγειν, οὐκ εὐκαιρεῖν λέγουσιν Ἀττικοί.

σχολάζω δοτικῇ.

σχολαῖον ἀργόν, διατριβὴν ποιούμενον. καὶ *σχολαίτερον* ἢ σχολαιότερον τὸ ἠρεμαιότερον. ὁμοίως καὶ *σχολαιότης*· "καὶ ὁ Μακεδονικὸς ἄρχων οὐ διὰ σχολαιότητος ἀφικνεῖται," ἀντὶ τοῦ οὐ δι' ἀργίας. καὶ *σχολαῖος* ὁ ἀργός.

σχολαιότης λέγεται ἡ μέλλησις καὶ ἡ ἐπιμονή· Θουκυδίδης (2 18) "ἡ δὲ ἐν τῷ Ἰσθμῷ γενομένη ἐπιμονὴ καὶ κατὰ τὴν ἄλλην πορείαν ἡ σχολαιότης διέβαλεν αὐτόν."

σχολαίτερον ἀργότερον· (Thuc. 4 47) "μαστιγοφόροι τε παριόντες ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προσιόντας." "ὁ δὲ ἀπεφθέγγετο παροιμιῶδές τι καὶ βαρβαρικόν τε καὶ ἀφελές ··· αἱρεῖσθαι" (cf. v. ἀφελές).

σχολάριοι τρισχίλιοι πεντακόσιοι ἐπὶ φυλακῇ τῦ Παλατίυ ἦσαν τεταγμένοι, ἀριστίνδην ἀπολεχθέντες ἐξ Ἀρμενίων, οἷς συντάξεις ἀνέκαθεν πλείυς ἢ τοῖς ἄλλοις ἅπασ τὸ δημόσιον ἐχορήγει. Procop. Arc. 24.

σχολαρχήσας σχολῆς ἄρξας, τουτέστι διατριβῆς. περὶ Ἐπικούρου φησί.

σχολεῖον τὸ διδασκαλεῖον. *σχόλιον* δέ.

σχολὴ οὐχὶ ὁ τόπος ἐν ᾧ σχολάζυσι καὶ διατρίβυσι περὶ παιδείαν, οὐδὲ αὐτὴ ἡ ἐν λόγοις συνουσία καὶ διατριβή, ἀλλ' ἣν οἱ πολλοὶ ἀκύρως καλοῦσιν εὐκαιρίαν. τὸ δὲ εὐκαιρεῖν βάρβαρον· ἀλλ' ἀντὶ μὲν τοῦ εὐκαιρεῖν σχολὴν ἄγειν λέγουσιν, ἡ δὲ εὐκαιρία βάρβαρον μὲν οὐκ ἔστιν ὄνομα, τάττεται δὲ οὐκ ἐπὶ σχολῆς ἀλλ' ἐπὶ καιρῦ τινὸς εὐφυΐας καὶ ἀρετῆς. σχολὴ οὖν τὸ μηδὲν δρᾶν, ἢ τὸ περί τι σχολάζειν. καὶ ἀντὶ τοῦ σχολάζειν λέγουσι τὸ εὐκαιρεῖν. καὶ Αἰλιανός "ἐγὼ δὲ ταῦτα περιῆλθον οὔτι που σχολὴν ἄγων τὰ τῶν προστυχόντων κατὰ τοῖς ἐμαυτοῦ λόγοις τιμᾶν, ἀλλ' ὑπὲρ τῦ μὴ πράττειν ἄλλοις παραπλήσια."

σχολῇ γ' ἂν ἀντὶ τοῦ οὐδ' ὅλως, βραδέως, οὐδαμῶς· Σοφοκλῆς (OR 484) "ἐπεὶ σχολῇ σ' ἂν οἴκυς τὰς ἐμὰς ἐστειλάμην."

σχόλια σεμνολογήματα, ἢ ὑπομνήματα καὶ ἑρμηνεῖαι.

σχόμενος κατασχών, ἢ κατασχεθείς. Hom. M 298.

σχόντες ὀκείλαντες, προσορμισθέντες· Θουκυδίδης (7 26) "καὶ σχόντες εἰς τὰ καταντικρὺ Κυθήρων τῆς Λακωνικῆς τῆς γῆς ἔστιν ἃ ἐδῄωσαν, καὶ ἐτείχισαν ἰσθμῶδές τι χωρίον."

σχών κατασχών.

σῷ μονοσυλλάβως οἱ σῶοι καὶ παρὰ Θουκυδίδῃ· οἱ δὲ συνηθέστερον γράφουσι σῶοι. καὶ σῶν μονοσυλλάβως ἀντὶ τοῦ σωζόμενον, ὁλόκληρον· "ὁλόκληρόν τε καὶ σῶν καὶ ἀρτεμῆ ἐργασάμενος." cf. v. Θεόπομπος.

Σωβάλ.

Σωγάνη ὄνομα πόλεως.

σώζω αἰτιατικῇ.

Σωκλῆς ὄνομα κύριον.

σῶκος (Hom. Υ 72) ὁ Ἑρμῆς.

Σωκράτης Σωφρονίσκου λιθοξόου καὶ
ρὸς Φαιναρέτης μαίας, πρότερον γενό-
ς λιθοξόος, ὥστε καί φασιν αὐτοῦ ἔρ-
ιναι τὰς Ἀθήνησιν ἐνδεδυμένας χάρι-
εἶτα φιλοσοφήσας διὰ τὸ ἀκοῦσαι Ἀνα-
ρου τοῦ Κλαζομενίου, εἶτα Δάμωνος,
Ἀρχελάου. Ἀριστόξενος δὲ Ἀρχελάου
τον αὐτὸν διακοῦσαι λέγει, γεγονέναι δὲ
ῦ καὶ παιδικά, σφοδρότατόν τε περὶ τὰ
οδίσια, ἀλλ' ἀδικήματος χωρίς, ὡς Πορ-
ιος ἐν τῇ φιλοσόφῳ ἱστορίᾳ φησίν. ἐς
νδρας ἐλθὼν ἐστρατεύσατο εἴς τε Ἀμ-
ιλιν καὶ Ποτίδαιαν καὶ ἐπὶ Δηλίῳ. καὶ
ταῖς δὲ συνῴκησε δύο, Ξανθίππῃ, ἀφ'
ἔσχεν υἱὸν Λαμπροκλέα, καὶ δευτέρᾳ
ποῖ τῇ Ἀριστείδου τοῦ δικαίου θυγα-
ἐξ ἧς ἐγένετο Σωφρονίσκος καὶ Μενέ-
ς, ἢ Μενέξενος, ὥς τισι δοκεῖ. καὶ ἐπὶ
τῶν Πελοποννησιακῶν γέγονεν, ὡς τύπῳ
ν, ὀλυμπιάδι οζ', ἐβίω δὲ ἔτη π'· εἶτα
ίᾳ, μᾶλλον δὲ ἀπονοίᾳ τῶν Ἀθηναίων
θεὶς πιεῖν κώνειον ἀπέθανεν, ἔγγραφον
ν καταλιπών, ἢ ὥς τινες βούλονται
ν εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν καὶ μῦθον
ύπειον δι' ἐπῶν. φιλοσόφους δὲ εἰργά-
Πλάτωνα, ὃς καταλιπὼν τὸ Λύκειον
υς δὲ οὗτος Ἀθηνῶν) μετήγαγε τὴν σχο-
ἐν προαστείῳ, τῇ Ἀκαδημείᾳ προσαγο-
μένῃ, καὶ οἱ ἀπ' αὐτοῦ Ἀκαδημαϊκοὶ
γορεύθησαν μέχρι Ἀριστοτέλους (αὐτὸς
ἀκροατὴς τοῦ Πλάτωνος γενόμενος, εἰς
ν τινα πρὸ τῆς πόλεως τὰς διατριβὰς
σάμενος, ἐκ τοῦ κατ' αὐτὸν περιπάτου πε-
τητικοὺς ὠνόμασε τοὺς ἀπ' αὐτοῦ), καὶ
ιππον Κυρηναῖον, ὃς ἰδίαν αἵρεσιν εἰσή-
καὶ σχολὴν συνεστήσατο τὴν Κυρηναϊ-
κληθεῖσαν· Φαίδωνα Ἠλεῖον καὶ αὐτὸν
συστήσαντα σχολήν, τὴν Ἠλειακὴν ἀπ'
κληθεῖσαν (ὕστερον δὲ αὕτη Ἐρετριακὴ
θη, Μενεδήμου εἰς Ἐρέτριαν διδάξαντος·
του δὲ τοῦ διδασκάλου καὶ ὁ Πύρρων γέ-
)· Ἀντισθένην, ὃς τὴν κυνικὴν εἰσήγα-
αἵρεσιν· Εὐκλείδην Μεγαρέα καὶ αὐτὸν
συστησάμενον σχολήν, ἥτις ἀπ' αὐτοῦ
θη Μεγαρική, ἀπὸ δὲ Κλεινομάχου τοῦ

μαθητοῦ Εὐκλείδου ἐκλήθη διαλεκτική· Ξενοφῶντα Γρύλλου, Αἰσχίνην Λυσανίου Σφήττιον, Κέβητα Θηβαῖον, Γλαύκωνα Ἀθηναῖον, Βρύσωνα Ἡρακλεώτην, ὃς τὴν ἐριστικὴν διαλεκτικὴν εἰσήγαγε μετὰ Εὐκλείδου (ηὔξησε δὲ Κλεινόμαχος, καὶ πολλῶν δι' αὐτῆς ἐλθόντων ἔληξεν εἰς Ζήνωνα τὸν Κιτιέα· οὗτος γὰρ ἀπ' αὐτοῦ στωικὴν ἐκ τοῦ τόπου τὴν σχολὴν ὠνόμασε, γεγονὼς ἐπὶ τῆς ρκέ ὀλυμπιάδος. τινὲς δὲ Βρύσωνα οὐ Σωκράτους ἀλλ' Εὐκλείδου ἀκροατὴν γράφουσι· τούτου δὲ καὶ Πύρρων ἠκροάσατο, ἀφ' οὗπερ οἱ Πυρρώνειοι προσαγορευόμενοι)· Ἀλκιβιάδην Κριτόβουλον Ξενομήδην Ἀπολλόδωρον Ἀθηναίους, ἔτι δὲ Κρίτωνα καὶ Σίμωνα, Εὐμαρῆ Φλιάσιον, Σιμμίαν Θηβαῖον, Τερψίωνα Μεγαρικόν, Χαιρεφῶντα. καὶ Θεόδωρος δὲ ὁ ἐπικληθεὶς ἄθεος αὐτοῦ διήκουσεν, ἀδιαφορίαν δὲ δοξάζων καὶ παραδιδοὺς αἵρεσιν ἰδίαν εὗρεν, ἥτις Θεοδώρειος ἐκλήθη. ταῦτα περὶ Σωκράτους.

ὅτι Σωκράτης φιλοσοφήσας ὕστερον Ἀρχε- b
λάου τοῦ φυσικοῦ μαθητὴς ἐγένετο, τὴν ἠθικὴν δὲ ἐπρέσβευσε φιλοσοφίαν. ἔσχε δὲ γνωρίμους πολίτας μὲν Πλάτωνα Ξενοφῶντα Ἀλκιβιάδην Κριτίαν Ἀντισθένην, Θηβαίους δὲ Σιμμίαν καὶ Κέβητα, Κυρηναῖον δὲ Ἀρίστιππον, Φαίδωνα, Εὐκλείδην Μεγαρέα, δαιμόνιον δ' αὐτῷ προσομιλεῖν ἔλεγεν. ἐμάνθανε δὲ καὶ κιθαρίζειν παρὰ Κόννῳ, γέρων ἤδη ὤν· σκωφθεὶς δὲ τὸ Σόλωνος "ὀψιμαθής" εἶπε "μᾶλλον ἢ ἀμαθής." ἐκ Ξανθίππης δὲ ἔσχε Σωφρονίσκον καὶ Λαμπροκλέα. τῶν νέων δὲ τῶν πλείστων ἐρωτικῶς περὶ αὐτὸν σχόντων ἐφθονήθη. ὃν πρῶτος Ἀριστοφάνης ἐκωμῴδησεν ἐν Νεφέλαις ὡς φθορέα τῶν νέων καὶ ἄθεον, διότι τὸν κύνα καὶ τὴν πλάτανον δι' ὑπερβολὴν δεισιδαιμονίας ὤμνυεν· ὕστερον δὲ Ἄνυτος καὶ Μέλητος ἐπὶ τούτοις αὐτὸν ἐγράψαντο καὶ εἷλον. ἐν τῷ τιμήματι δὲ αὐτὸν τῆς ἐν τῷ πρυτανείῳ σιτήσεως ἐτιμήσατο, οἱ δὲ θανάτου ἐτίμησαν. ἐδέδετο οὖν ἐπὶ πολύ, μέχρις ἂν ἡ ἀπὸ Δήλου θεωρὶς ἀφίκηται· καὶ οὐκ ἐξῆν ἀναχθείσης, πρὶν ἐπανελθεῖν, ἀναιρεῖσθαί τινα κατὰ δίκην. Κρίτωνος δὲ αὐτῷ φυγὴν συμβουλεύσαντος οὐκ ἠθελήθη, τοὺς νόμους εἰπὼν δεῖν μὴ παραβαίνειν. πιὼν δὲ τὸ κώνειον, εὐχῆς ἐπιμνησθείς, "θύσατε" ἔφη "τῷ Ἀσκληπιῷ." Κύρσας δέ τις ὄνομα, Χῖος τὸ γένος, ὡς

συνεσόμενος ἦλθε Σωκράτει· ᾧ καθευδήσαντι παρὰ τὸν τάφον ὄναρ ὀφθεὶς ὡμίλησεν. καὶ εὐθὺς ἐκεῖνος ἀπέπλευσε, τοῦτο μόνον ἀπολαύσας τοῦ φιλοσόφου.

c Σωκράτης ὁ Μήλιος καὶ Χαιρεφῶν, ὃς οἶδε τὰ ψυλλῶν ἴχνη" (A Nub. 829), ἐπὶ τῶν ἀπόρρητά τινα λεγόντων. ἔστι δὲ παρ' ἱστορίαν· Ἀθηναῖος γὰρ ὁ Σωκράτης· ἀλλ' ἐπειδὴ Διαγόρας Μήλιος ὢν διεβάλλετο ὡς θεομάχος, καὶ τὸν Σωκράτην ὡς ἄθεον διαβάλλει. διὰ δὲ τὴν ζήτησιν, ὁπόσους ἅλλοιτο ἡ ψύλλα πόδας ἔχουσα. ἡ Μήλιος, ὥς τινες ἐξεδέξαντο, ὁ τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνων, πρὶν εἰσελθεῖν ἠγριωμένας, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων· μῆλα γὰρ τὰ θρέμματα. οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό· οἱ δὲ παρέλαβον αὐτό. Διαγόρας ὁ Μήλιος, ὃς τὸ μὲν πρότερον ἦν θεοσεβής, παρακαταθήκην δὲ ὑπό τινος ἀποστερηθεὶς ἐπὶ τὸ ἄθεος εἶναι ἔδραμεν· ἐφ' ᾧ καὶ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες τὴν Μῆλον ἐκάκωσαν. ἐγένετο δὲ καὶ Ἀρισταγόρας Μήλιος διθυραμβοποιός, ὃς τὰ Ἐλευσίνια μυστήρια ἐξορχησάμενος καὶ ἐξειπὼν ἀσεβέστατος ἐκρίθη· καὶ ἀπ' ἐκείνου τοὺς Μηλίους ἐπ' ἀσεβείᾳ κωμῳδοῦσι. τάττεται δὲ καὶ ἐπὶ τῶν βλασφήμων.

σωκῶ ἰσχύω, δύναμαι· οἱ δὲ ἀντὶ τοῦ σώζω. Σοφοκλῆς (El. 119) "μόνη γὰρ οὐκέτι σωκῶ λύπης ἀντίρροπον ἄχθος," οἷον καταβαροῦν με καὶ καταφερόμενον.

σωλήν σωλῆνος τὸ παρ' ἡμῖν σωληνάριον.

Σωλῖνος ὄνομα ποταμοῦ.

σῶμα πᾶν τὸ τεθνηκός· τὸ δὲ τοῦ ζῶντος δέμας λέγεται, διὰ τὸ συνδεδέσθαι τῇ ψυχῇ, ὡς εἶπεν Ὅμηρος. (Diog. L. 7 55) "ὅτι πᾶν τὸ ποιοῦν σῶμα ἐστί· ποιεῖ δ' ἡ φωνὴ προσιοῦσα τοῖς ἀκούουσιν ἀπὸ τῶν φωνούντων, ὥστε σῶμα ἐστί."

Σωμανῖτις γυνή.

σωμασκεῖν συγκροτεῖν, εὐτρεπίζειν, ὠδίνειν, ἑτοιμάζειν.

σωμασκία· "ὁ δὲ ἤσχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέου τριχῶν μόνον καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας." cf. v. Ἁρμάτος.

a σωματοποιεῖν σωμασκεῖν· "οὐκ ἠβούλετο ἀληθινῶς σωματοποιεῖν τὸν Φίλιππον." καὶ αὖθις "ἐσωματοποίησε δὲ τοὺς ἵππους, ἀνεκτήσατο δὲ τὰ σώματα καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων" (Polyb. 3 87).

σωματοποιεῖν τὸ παρέχειν τὰς τοῦ σώματος χρείας· (Polyb. 16 1) "ὁ δὲ Ζεῦξις ὑπεκρίνετο μὲν ποιεῖν τὰ κατὰ τὰς συνθήκας, οὐκ ἐβούλετο δὲ σωματοποιεῖν ἀληθινῶς τὸν Φίλιππον." "οἱ δὲ ἠναγκάζοντο παντὶ τῷ λεγομένῳ προσέχειν καὶ πᾶσαν ἐλπίδα σωματοποιεῖν καὶ προσδέχεσθαι."

σωματοποιῆσαι. "ὁ δὲ ἔφασκε δεῖν μὴ προΐεσθαι τοὺς ἐχθροὺς ἐκ τῶν χειρῶν, μηδὲ σωματοποιεῖν τὴν τόλμαν αὐτῶν φυγομαχοῦντας." "ὁ δὲ βραχείας ἐπιλαβόμενος ἐλπίδος ἐκ τῶν πολιορκουμένων ἐσωματοποίει ταύτην." καὶ αὖθις Πολύβιος "ὁ δὲ ὡς κηδεμονικὸς φίλος πᾶν ἐμηχανᾶτο δι' οὗ τὰ τῶν ἐχθρῶν σωματοποιήσει, τοῖς δὲ σφετέροις πράγμασι περιστήσει τοὺς μεγίστους κινδύνους."

σωματοποιήσαντες κυρώσαντες, βεβαιώσαντες· "ἐμοῦ δὲ ταχέως συγκατατιθεμένου καὶ σωματοποιήσαντος τὴν ἐπιβολήν, τοῦ βλέπειν διότι ὀρέγεται τῆς τοιαύτης ὑποθέσεως."

Σωναράτης ὄνομα κύριον.

σῶος ὁ ὑγιής.

Σώπατρος Ἀπαμεὺς σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἰαμβλίχου, ὃν ὁ Καῖσαρ Κωνσταντῖνος ἀνεῖλεν εἰς πίστιν τοῦ μὴ ἑλληνίζειν ἔτι τὰ κατὰ θρησκείαν· ἦν γὰρ αὐτῇ συνήθης πρότερον. ἔγραψε περὶ προνοίας καὶ τῶν παρὰ τὴν ἀξίαν εὐπραγούντων ἢ δυσπραγούντων.

Σώπατρος Ἀπαμεὺς σοφιστής, ἢ μᾶλλον Ἀλεξανδρεύς, ἐπιτομὰς πλείστων. τινὲς δὲ καὶ τὴν ἐκλογὴν τῶν ἱστοριῶν τούτου εἶναι φασί.

ὅτι τὸν Σώπατρον Κωνσταντῖνος ἀνεῖλεν οὐ καλῶς ποιῶν· ὁ γὰρ χριστιανὸς οὐκ ἐξ ἀνάγκης ἀλλ' ἐξ ἀγάπης.

Σώπατρος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἱππόλυτος, Φυσιολόγος, Σαπφὼ ἢ Κνιδία, Νέκυια, Πύλαι, Ὀρέστης, Φάων, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

Σώπατρος παρῳδός. τούτου ἐστὶ δράματα Βακχίς, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

Σώπιθος ὄνομα κύριον.

σωράκους· Βάβριος (108 17) "πολλοῦ δ' ὀσπρίων ἦν σωρὸς ἢ πίθος σύκων, στάμνοι τε μέλιτος σώρακοί τε φοινίκων."

a Σωρανός Μενάνδρυ καὶ Φοίβης Ἐφέσιος ἰατρὸς διατρίψας ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν τῇ Ῥώμῃ δὲ ἰατρεύσας ἐπὶ Τραϊανῦ καὶ Ἀδριανῦ τῶν βασιλέων, βιβλία τε συντάξας πλεῖστα καὶ κάλλιστα.

b Σωρανός Ἐφέσιος ἰατρὸς νεώτερος γυναικεῖα βιβλία δ', βίυς ἰατρῶν καὶ αἱρέσεις καὶ συντάγματα βιβλία ι', καὶ ἄλλα διάφορα.

c ὅτι Ἀσκληπιόδοτος ὁ φιλόσοφος καὶ τὴν ἰατρικὴν ἐκμαθὼν τῶν μὲν νεωτέρων ὐδένα ἀπεδέχετο πλὴν Ἰακώβυ, τῶν δὲ πρεσβυτέρων μετὰ τὸν Ἱπποκράτην Σωρανὸν τὸν Κίλικα τὸν Μαλλώτην ἐπίκλην. Damasc. Phot. p. 344 b.

σωρεία πλῆθος, καὶ σωρεός ὁ σωρός.

σωρὸν χρημάτων ἀγγέλλεις. κυρίως σωρὸς τὸ ἐκ μικρῶν σπερμάτων συναγόμενον πλῆθος, παρὰ τὸ σῶ, ὅ ἐστι σώζω, συνάγω. καλῶς ὖν ἀπὸ τῶν καρπῶν εἰρήκασιν· οἱ γὰρ εὐθηνῦντες καὶ πλέσιοί εἰσιν. Ἀριστοφάνης (Plut. 268) "ὦ χρυσὸν ἀγγείλας ἐπῶν, πῶς φῄς; πάλιν φράσον μοι. δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα."

σῶς ἀντὶ τῦ σῶος· Ἀριστοφάνης (Eq. 614) "ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε, ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα. καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν, ἄγγειλον ἡμῖν, πῶς τὸ πρᾶγμ' ἠγωνίσω;"

Σωσίβιος Λάκων γραμματικὸς τῶν ἐπιλυτικῶν καλυμένων. ἐν τύτοις δὲ ἱστορεῖ καὶ τῦτο, ὅτι εἰδός τι κωμῳδίας ἐστὶ καλύμενον δικηλιστῶν καὶ μιμηλῶν. περὶ τῶν μιμηλῶν ἐν Λακωνικῇ ἱστορυμένων παλαιῶν, καὶ ἄλλα.

b καὶ ἕτερος Σωσίβιος, ψευδεπίτροπος Πτολεμαίυ, σκεῦος ἀγχίνυν καὶ πολυχρόνιον, ἔτι δὲ κακοποιὸν ἐν βασιλείᾳ. καὶ πρῶτον μὲν - - - προϋπάρχον μῖσος. cf. v. ἀνεθυμιᾶτο.

Σωσίθεος Συρακέσιος ἢ Ἀθηναῖος, μᾶλλον δὲ Ἀλεξανδρεὺς τῆς Τρωικῆς Ἀλεξανδρείας, τῶν τῆς Πλειάδος εἷς, ἀνταγωνιστὴς Ὁμήρυ τῦ τραγικῦ τῦ υἱῦ Μυρῦς τῆς Βυζαντίας, ἀκμάσας κατὰ τὴν ρκδ' ὀλυμπιάδα, γράψας δὲ καὶ ποιήματα καὶ καταλογάδην.

Σωσίπατρος ὄνομα κύριον.

Σῶσις ὄνομα κύριον.

Σωσιφάνης Σωσικλέους Συρακούσιος τραγικὸς ἐδίδαξε δράματα ογ', ἐνίκησε δὲ ζ'. ἔστι δὲ καὶ αὐτὸς ἐκ τῶν ζ' τραγικῶν οἵτινες ὠνομάσθησαν Πλειάς. ἐγένετο δὲ ἐπὶ τῶν τελευταίων χρόνων Φιλίππυ, οἱ δὲ Ἀλεξάνδρυ τῦ Μακεδόνος· τελευτᾷ δὲ ρια' ὀλυμπιάδι, οἱ δὲ ριδ'. οἱ δὲ ἀκμάσαι αὐτὸν γράφυσι.

σῶστρα σωτήρια, μήνυτρα, λύτρα. gl. Herodot. 4 9.

Σώστρατος Σικυώνιος, ἐπίκλην Ἀκροχειρισής· ἐπιλαμβανόμενος γὰρ ἄκρων χειρῶν τῦ ἀνταγωνιστῦ ἔκλα, καὶ ὐ πρότερον ἠφίει πρὶν αἴσθοιτο ἀπαγορεύσαντος. ἦν δὲ καὶ Λεοντίσκος Μεσσήνιος ἐκ Σικελίας παραπλησίως ἀγωνιζόμενος Σωστράτῳ· ὃ γὰρ ἐκεῖνος ἐποίει παγκρατιάζων, τῦτο ὁ Λεοντίσκος παλαίων. διδαχθῆναι δὲ αὐτὸν παρὰ Κλεάρχῳ μαθητῇ Εὐχείρυ τῦ Κορινθίυ καὶ Χίλωνος Πατρέως. Pausan. 6 4.

Σῶστρις βασιλεὺς τῶν Αἰγυπτίων, ἐκ τῆς φυλῆς τῦ Χάμ, ὅστις ὑπέταξε τὺς Ἀσσυρίυς καὶ πᾶσαν τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην, καὶ κατῴκισεν ἐν τῇ Ἀσσυρίων χώρᾳ Σκυθῶν ἄνδρας μυριάδας ε', οἵτινες ἐκλήθησαν Πάρθοι, ὅ ἐστι Περσικῇ γλώσσῃ Σκύθαι. καὶ μέχρι σήμερον ἔχυσι καὶ τὴν στολὴν καὶ τὴν λαλιὰν καὶ τὺς νόμυς τῶν Σκυθῶν.

Σωτάδας Βυζάντιος φιλόσοφος, ὡς ἐν τῷ ς' περὶ φιλοσοφίας Ἀριστοκλῆς.

σωτάδεια Σωτάδυ ποιήματα.

Σωτάδης Ἀθηναῖος κωμικὸς τῆς μέσης a κωμῳδίας.

Σωτάδης Ἀθηναῖος φιλόσοφος ὁ γράψας περὶ μυστηρίων βιβλίον α'. b

Σωτάδης Κρὴς Μαρωνείτης, δαιμονισθείς, ἰαμβογράφος, ἔγραψε φλύακας ἤτοι κιναίδυς διαλέκτῳ Ἰωνικῇ· καὶ γὰρ Ἰωνικοὶ λόγοι ἐκαλῦντο ὗτοι. ἐχρήσατο δὲ τῷ εἴδει τύτῳ καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Πύρρος ὁ Μιλήσιος καὶ Θεοδωρίδας καὶ Τιμοχαρίδας καὶ Ξέναρχος. εἰσὶ δὲ αὐτῦ εἴδη πλεῖστα, οἷον εἰς Ἅδυ κατάβασις, Πρίηπος, εἰς Βελεστίχην, Ἀμαζών, καὶ ἕτερα. καὶ Ἐγκλειόμεναι καὶ Παραλυτρύμενος, ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς. c

σωτέος σωθῆναι ἄξιος.

σωτήρ ὁ θεὸς ἡμῶν. καὶ σώτειρα· "φωσφόρος ὦ σώτειρ', ἐπὶ Παλλάδος ἔξαθι κλήρων, Ἄρτεμι, καὶ χάριεν φῶς ἐὸν ἀνδρὶ

δίδε" ⟨AP 6 267⟩.

a *Σωτηρίδας* γραμματικός, ἀνὴρ Παμφίλης, ἣ καὶ τὰς ἱστορίας περιῆψεν, ἔγραψεν ὀρθογραφίαν, ζητήσεις Ὁμηρικάς, ὑπόμνημα εἰς Μένανδρον, περὶ μέτρων, περὶ κωμῳδίας, εἰς Εὐριπίδην. cf. v. Παμφίλη.

b *Σωτηρίδας* Ἐπιδαύριος, πατὴρ Παμφίλης, ἧς τὰ ὑπομνήματα ἐπέγραψεν, ὡς ὁ Διονύσιος ἐν λ' τῆς μουσικῆς ἱστορίας, βιβλία γ'.

Σωτήριχος Ὀασίτης ἐποποιός, γεγονὼς ἐπὶ Διοκλητιανοῦ, ἐγκώμιον εἰς Διοκλητιανόν, Βασσαρικὰ ἤτοι Διονυσιακὰ βιβλία δ', τὰ κατὰ Πάνθειαν τὴν Βαβυλωνίαν, τὰ κατὰ Ἀριάδνην, βίον Ἀπολλωνίου τοῦ Τυανέως, Πύθωνα ἢ Ἀλεξανδριακόν (ἔστι δὲ ἱστορία Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅτε Θήβας παρέλαβε) καὶ ἄλλα.

Σωφανηνή.

Σωφάνης. Herodot. 6 92, 9 72.

Σώφαξ ὄνομα κύριον.

Σώφιλος ὄνομα κύριον, Σικυώνιος ἢ Θηβαῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. δράματα αὐτοῦ Κιθαρῳδός, Φύλαρχος, Τυνδάρεως ἢ Λήδα, καὶ Δηλία, ὥς φησιν Ἀθήναιος, καὶ Ἐγχειρίδιον καὶ Παραθήκη.

σωφρονεῖν· Σοφοκλῆς ⟨Ai. 586⟩ "μὴ κρῖνε, μὴ 'ξέταζε· σωφρονεῖν καλόν." νῦν τὸ μὴ περιεργεῖν· ἐν τούτοις γὰρ μάλιστα ἡ σωφροσύνη ταῖς γυναιξὶ διασώζεται, εἰ μὴ περιεργάζονται ὅ τι πράττει ὁ ἀνήρ.

σωφρονεῖς ἀντὶ τοῦ μόλις ἐστράφης, ἢ καλῶς λέγεις, Ἀριστοφάνης Πλούτῳ ⟨1120⟩.

σωφρονικῶς ἀντὶ τοῦ μετὰ λογισμοῦ καὶ σκέψεως, οὐκ ἀνοήτως, οὐδὲ ἐκ τοῦ προχείρου. sch. A Eq. 542.

σωφρονισθέντας ἀντὶ τοῦ ταπεινωθέντας· "τοὺς δὲ ἀπειρηκότας καὶ ταῖς ἔναγχος ἥτταις σωφρονισθέντας."

σωφρονιστῆρες.

σωφρονῶ ἐγώ, *σωφρονίζω* δὲ ἕτερον.

a *σωφροσύνη* ἡ ἰδιωτεία παρὰ Θουκυδίδῃ καὶ ἡ ἀπραγμοσύνη. sch. 1 32.

b *σωφροσύνη* ἄλλη παρὰ τὴν πολιτικὴν ἀρετὴν καὶ μείζων· τῷ δὲ αὐτῷ ὀνόματι χρώμεθα ἐν ὁμολογίᾳ τινὶ καὶ συμφωνίᾳ ἐπιθυμητικοῦ πρὸς λογισμόν. ⟨Synes. p. 63 D⟩ "τὰ γὰρ ἐς Ἀφροδίτην ἐγὼ δικαιότατος· κἂν τῷ Βελλεροφόντῃ σωφροσύνης ἀμφισβητήσαιμι." φησὶν Ἀριστοτέλης "ἃ γὰρ ποιοῦντες μανθάνομεν, ταῦτα μανθάνοντες ποιοῦμεν," ἤγουν τὸ κρατεῖν ἡδονῶν μανθάνοντες σώφρονες γινόμεθα, καὶ γενόμενοι σώφρονες κρατοῦμεν τῶν ἡδονῶν.

σωφροσύνη. ταύτην μεταφορικῶς τινες ὁρίζονται συμφωνίαν. ἔστι δὲ ἡ σωφροσύνη ποιότης καὶ ἕξις, ἡ δὲ συμφωνία κρᾶσις ἐπὶ μέλους, καὶ ἔστι τῶν πρός τι. καὶ ἐπὶ φθόγγων δὲ τάττεται ἡ συμφωνία.

σωφροσύνη δὲ λέγεται ἡ ἀντιδιαστελλομένη τῇ μανίᾳ, παρὰ τὸ σώας ἔχειν τὰς φρένας. καὶ ὁ ἀπόστολος παρὰ τοῦ ἡγεμόνος ἀκούσας "μαίνῃ Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιάγει" ⟨Act. Apost. 26 24⟩ "οὐ μαίνομαι" φησίν, "ἀλλὰ σωφροσύνης καὶ ἀληθείας ῥήματα φθέγγομαι," τῇ μανίᾳ τὴν σωφροσύνην ἀντιδιαστείλας. σωφροσύνη μὲν οὖν πᾶν τὸ ἀναμάρτητον, νέμουσι δ' αὐτῆς τὴν προσηγορίαν κατ' ἐξοχὴν οἱ ποιοῦντές τινες τῷ τῆς ἁγνείας πράγματι, ἐξοχωτάτῳ τῶν ἄλλων ὑπάρχοντι. εἰ μὲν οὖν τῇ μανίᾳ ἀντιδιασταλείη, τὸ καθεστάναι μηνύει, εἰ δὲ τῇ λαγνείᾳ, τὴν ἐγκράτειαν καὶ τὴν ἁγνείαν δηλοῖ. Isidor. Pelus. 3 2..

Σώφρων κωμικός. τούτου ἐστὶ δράματα καὶ κωμῳδίαι, Πενθερά, ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς ⟨p. 110⟩.

Σώφρων Συρακούσιος, Ἀγαθοκλέους καὶ Δαμνασυλλίδος. τοῖς δὲ χρόνοις ἦν κατὰ Ξέρξην καὶ Εὐριπίδην, καὶ ἔγραψε μίμους ἀνδρείους καὶ μίμους γυναικείους. εἰσὶ δὲ καταλογάδην, διαλέκτῳ Δωρίδι. καί φασι Πλάτωνα τὸν φιλόσοφον ἀεὶ αὐτοῖς ἐντυγχάνειν, ὡς καὶ καθεύδειν ἐπ' αὐτῶν ἔσθ' ὅτε.

σώχουσι τρίβουσιν Ἡρόδοτος ⟨4 75⟩.

τά ταῦτα.

τὰ ἀπὸ Ναννάκου, ἐπὶ τῶν ἐπὶ παλαιότητι θαυμαζομένων· Νάννακος γὰρ Φρυγῶν βασιλεὺς πρὸ τῶν τοῦ Δευκαλίωνος γενομένων. cf. v. Νάννακος.

Τάβεια ὄνομα τόπου.

ταβελλίων ὁ τὰ τῆς πόλεως γράφων συμβόλαια, ὁ παρὰ τοῖς πολλοῖς νομικὸς λεγόμενος, ἅπαντα ἐπιτελῶν τὰ τῶν πολιτῶν γραμματεῖα, ἕκαστον αὐτῶν οἰκείοις ἐπισφραγίζων γράμμασι. cf. v. Πρίσκος Ἐμισηνός.

ταβερνεῖα καπηλεῖα, πανδοχεῖα.

Ταβηθά ὄνομα κύριον. Act. 9 36.

τάβλα ὄνομα παιδιᾶς. ταύτην ἐφεύ..

[Πα]λαμήδης εἰς διαγωγὴν τοῦ Ἑλληνικοῦ στρα[τοῦ] σὺν φιλοσοφίᾳ πολλῇ. τάβλα γάρ ἐστιν [ὁ περίγε]ιος κόσμος, ιβ΄ δὲ κάσοι ὁ ζωδιακὸς [ἀρι]θμός, τὸ δὲ ψηφοβόλον καὶ τὰ ἐν αὐτῷ [ἑπτὰ] κοκκία τὰ ζ΄ ἄστρα τῶν πλανητῶν, ὁ δὲ [πύ]ργος τὸ ὕψος τοῦ οὐρανοῦ, ἐξ οὗ ἀνταποδί[δοντ]αι πᾶσι καλὰ καὶ κακά. ἄλλοι δὲ λέγουσι... Cedren. p. 125.

τὰ γὰρ περιττὰ κἀνόνητα σώματα πί[πτει] βαρείαις πρὸς θεῶν δυσπραξίαις" (S [Ai.] 758), οἷος ὁ Αἴας.

ταγήν ὄνομα ὀρνέου.

ταγηνοκνισοθήρας ὁ Ἰούνιος ἦν. cf. [v.] Ἰούνιος.

τάγηνον τὸ τηγάνιον.

ταγὸς ἡγεμών· (A Eq. 159) "ὦ τῶν Ἀθη[ναί]ων ταγὲ τῶν εὐδαιμόνων," ἀντὶ τοῦ ἀρ[χ]έ. Ὅμηρος (Ψ 160) "παρὰ δ' οἱ ταγοὶ [ἄμμ]ι μενόντων." καὶ αὖθις (AP 7 243) "ἦν [ἐσ]ορῇς ἐπ' ἐμεῖο βόστρυχον εἰκόνα θή[ρης], ἔννεπε τοῦ ταγοῦ μνῆμα Λεωνίδεω."

τάγυρι τὸ βραχύτατον καὶ ἐλάχιστον, [ὃ] νῦν ψίχα) λέγουσιν. Εὔπολις Αἰξί "καὶ [μη]θὲν μαθόντι μηδὲ τάγυρι μουσικῆς."

τάδ' ἐκ τοῦ τρίποδος. τίθεται ἐπὶ τῶν [πάν]υ ἀληθῶν. Ἀριστοκλείᾳ γὰρ τῇ Πυθίᾳ [λεγο]μένῃ μιχθῆναι τὸν Δελφόν, καὶ τῶν ὑπ' [αὐτ]ῆς μαντευμάτων παρασημειοῦσθαι ὅσα [ἂ]ν ἔνθεος γενομένη, καὶ ταῦτα ὡς ἀληθῆ [παρ]ασημειοῦσθαι ὡς ἐκ τοῦ τρίποδος. περὶ [Ἀπο]λλωνίου τοῦ Τυανέως (cf. v. κατεγλωττισ[μένο]ν) "οὐδὲ διῆγε --- δοκεῖ μοι." cf. v. τὰ ἐκ [τρίπ]οδος.

τάδε Μῆδος οὐ φυλάξει. κατὰ τὴν [τοῦ] Ξέρξου ἔφοδον τοὺς Ἕλληνας ἀπειρηκότας [τὰ] ἑαυτῶν ἀναλίσκειν καὶ δαπανᾶν, ἐπιλέ[γοντ]ας "τάδε Μῆδος οὐ φυλάξει."

τὰ δὲ πρὶν ἔργα χερσὶ μέγιστ' ἀρετᾶς, [ἄφιλ]α παρ' ἀφίλοις," τουτέστι τὰ πρότερον [ὄν]τα τῆς ἀρετῆς τῶν χειρῶν αὐτοῦ ἔργα, [τοῦ]ν τοῦ Αἴαντος, ἐν ὀλιγωρίᾳ εἰσὶ τοῖς [Ἀτρε]ίδαις. φησὶ Σοφοκλῆς (Ai. 618).

τάδ' οὐ παρὰ Κενταύροισι λεγό[μενα ...]ν τι ἦν. Τηλεκλείδης τισὶ (an φησὶ) "τῶν [...]ιτῶν τι κέλευ'· οὐ γὰρ παρὰ Κενταύ[ροισ]ι." cf. v. νοῦς οὐκ ἔνι Κ.

τὰ ἐκ τρίποδος. τρίποδι χρῆται ὁ [Ἀπό]λλων μαντευόμενος διὰ τοὺς τρεῖς και[ροὺς] τῶν πραγμάτων· Ὅμηρος (Α 70) "ὃς [ᾔδη] τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα." φασὶ δὲ οὕτω κτήσασθαι τὸν Ἀπόλλωνα τὸν τρίποδα. ἁλιεῖς μισθῷ βόλον ἐρρίπτουν, ἵνα τὸ ἀναφερόμενον ᾖ τοῦ ἀγοράσαντος τὸν βόλον. ἠγόρασαν οὖν τινές, εἶτα ἀνηνέχθη τρίπους χρυσοῦς. ἐφιλονείκουν οὖν περὶ αὐτοῦ, καὶ ἔλεγον οἱ ἁλιεῖς ὡς ἰχθῦς πεπράκαμεν, οἱ δὲ ἀγοράσαντες ἔλεγον ὡς πᾶν τὸ ἀνιὸν ἠγοράσαμεν τῇ ἑαυτῶν τύχῃ. οὕτως οὖν αὐτῶν φιλονεικούντων ἔδοξεν ἐρωτῆσαι τὸν Ἀπόλλωνα. ὃ δὲ ἔχρησε δοθῆναι αὐτὸν τῷ σοφῷ. προσήγαγον οὖν αὐτὸν τοῖς ζ΄ σοφοῖς. ἕκαστος δὲ τούτων παρῃτεῖτο, σοφὸς εἶναι μὴ λέγων, ἔχειν δὲ σοφώτερον ἑαυτοῦ. ἔδοξεν οὖν ἀναθεῖναι αὐτὸν τῷ Ἀπόλλωνι ὡς σοφωτάτῳ πάντων. sch. A Plut. 9.

τὰ ἐκ τῶν ἁμαξῶν σκώμματα, ἐπὶ τῶν ἀπαρακαλύπτως σκωπτόντων· Ἀθήνησι γὰρ ἐν τῇ τῶν χοῶν ἑορτῇ οἱ κωμάζοντες ἐπὶ τῶν ἁμαξῶν τοὺς ἀπαντῶντας ἔσκωπτόν τε καὶ ἐλοιδόρουν. τὸ δ' αὐτὸ καὶ τοῖς ληναίοις ὕστερον ἐποίουν.

ὅτι ἐπὶ τῆς ἁμάξης ὀχούμεναι αἱ γυναῖ- b κες αἱ τῶν Ἀθηναίων, ἐπὰν εἰς Ἐλευσῖνα ἐβάδιζον εἰς τὰ μεγάλα μυστήρια, ἐλοιδόρουν ἀλλήλας ἐν τῇ ὁδῷ· τοῦτο γὰρ ἦν ἔθος αὐταῖς. sch. A Plut. 1015.

ὅτι οἱ Ἀλεξανδρεῖς τὸ παλαιὸν καθαρ- c μὸν ἐποιοῦντο ψυχῶν. ἐν γὰρ ταῖς ὡρισμέναις ἡμέραις ἐφ' ἁμαξῶν φερομένους ἀνθρώπους αὐτὸ τοῦτο προστεταγμένους ἐπιπαριέναι τὴν πόλιν ἅπασαν, καὶ στάντας ὅπου ἂν ἐθέλωσι, καὶ οἴκῳ παραστάντας ὅτου δὴ βουληθῶσιν, ᾄδειν τῷ ὄντι τὰ ἐξ ἁμάξης, οὐ τὰ ψευδῆ λοιδοροῦντας ἀλλὰ τἀληθῆ ὀνειδίζοντας· ἐπιμελὲς γὰρ εἶναί σφισιν ἀκριβῶς ἐξετάζειν τὰ ὀνείδη τῶν πολιτῶν, καὶ ταῦτα ἀδεκάστως προφέρειν μετὰ ἀληθείας, ὥστε διὰ τοῦτο πάντας ἀποδιδράσκειν τὴν πονηρίαν.

τὰ ἐν ποσί (S OR 130) τὰ παρόντα ἐν μέσῳ.

τὰ ἐπὶ κοσκίνου, ἐπὶ τῶν διὰ κοσκίνου καὶ τρίποδος ἢ δάφνης μαντευομένων. cf. v. τἀπὶ κοσκίνῳ.

τὰ ἐπίχειρα ὁ μισθός, ἡ ἀμοιβή. τὰ ἐπιχειρήματα.

Ταινάριον κακόν τὸ μέγα καὶ παρανομούμενον εἰς ἱκέτας· οἱ γὰρ Λακεδαιμόνιοι καταφυγόντας τοὺς Εἵλωτας εἰς Ταίνα-

ρον ἀπέκτειναν. καὶ Ταιναρίτης ὁ πολίτης.

Ταίναρον ἀκρωτήριον τῆς Λακωνικῆς, ἐν ᾧ στόμιον ἦν κατάγον εἰς Ἅδου, ἔνθα καὶ Ποσειδῶνος ἱερὸν ἀσφαλείου. ἐκεῖσε δὲ τοὺς Εἵλωτας ἱκέτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος οὐδὲν δείσαντες ἀνεῖλον οἱ Λακεδαιμόνιοι, καὶ διὰ τοῦτο ἐδόκουν ἐναγεῖς εἶναι. Ἀριστοφάνης (Ach. 509) "αὐτοῖς ὁ Ποσειδῶν οὑπὶ Ταινάρῳ θεὸς σείσας ἅπασιν ἐμβάλοι τὰς οἰκίας."

a ταινίαι ζῶναι.

b ταινίαι ἐπὶ μὲν ἀνθρώπων τὰ πεζίτια, στέμματα, στεφάνη, ζώνη, ἐπὶ δὲ ξύλων τὰ κυμάτια. καὶ ταινίδιον τὸ στέμμα· Αἰλιανός "ὃ δὲ ἐκρυέντος τοῦ αἵματος περιτραπεὶς ἐντάφιον ἑαυτῷ τρόπον τινὰ τὸ δυστυχὲς ταινίδιον ἐπήγετο." περὶ Μαξίμου λέγει τοῦ Ῥωμαίων στρατηγοῦ, τοῦ ἀποσπάσαντος ἀπὸ τῆς κεφαλῆς Ἀννίβου τὸ στέμμα.

c ταινίαι λίνα εἰς λεπτὰ διακεκομμένα· Αἰλιανός (cf. v. ἀναδεύειν) "τὴν νηδὺν καὶ τὸν θώρακα πάντα καταδήσει ταινίαις." ἢ διάδημα ἱματίου.

ταινιοῦντος στεφανοῦντος. "προσιόντες δὲ αὐτῷ ἐταινίαζον οἱ στρατιῶται καὶ ἀνέδουν." cf. v. ἀνέδουν.

Ταίφαλοι ἔθνος. Zosimus.

ταχερά κατεψυγμένη.

τὰκ κόκκου τὰ ἐκ κόκκου, κατὰ κρᾶσιν· "τὰκ κόκκου βαφέντα καὶ ὑσγίνοιο θέριστρα" (AP 6 254).

τακτικῶς στρατιωτικῶς.

ταλαίπωρος ὁ ἄθλιος, παρὰ τὸ τλῆναι καὶ τὸν πῶρον, ὅ ἐστι πάθος. ὅτι δὲ πῶρος πάθος τί ἐστιν Ἀντίμαχός φησι· "πῶρόν τιν' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἔθεντο." καὶ πωρεῖν Ἠλεῖοι τὸ πενθεῖν φασί. καὶ Ἀντίμαχος αὖθις "πωρητὺν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος." παρὰ τοῦτο οὖν τὸ ταλαίπωρος ἐτυμολογεῖται.

ταλανίζει θρηνεῖ, ἄθλιον ἀποκαλεῖ.

τάλαντα τὰ ζυγά, καὶ τὰ ἱστάμενα.

ταλαντεύει σταθμίζει. "τὰ δὲ τῆς τύχης νίκαις καὶ ἥτταις τῇδε καὶ τῇδε ταλαντευόμενα διέμεινε" (Dionys. Hal. 9 13). "καὶ τῷ μέτρῳ τῶν κινδύνων τὴν ἀμοιβὴν ἐταλάντευεν· οἷς μὲν γὰρ ἀξία ἆθλον εὐτολμίας ἐγίνετο, ἄλλῳ ἵππος" (Theophyl. Sim. 2 6).

τάλαντον. πολλὰ μὲν σημαίνει. ἢ γὰρ τὸ μέγιστον χρυσίου καὶ ἀργυρίου μέρος, καθ' ὃ σημαινόμενον Δημοσθένης φησὶ "ν' τάλαντα·" ἢ σταθμοῦ τι ὄνομα, ὥσπερ Ἀριστοφάνης (Ran. 805) "ἀλλ' ἢ ταλάντῳ μουσικὴ κριθήσεται," καὶ Ὅμηρος (Θ 69) "χρύσεια πατὴρ ἐτίταινε τάλαντα." τρίτον σημαινόμενον ἡ ῥοπή. τέταρτον ἀριθμοῦ τι ὄνομα, ὡς καὶ πολυτάλαντος ὁ πλούσιος καὶ τὸ Ὁμηρικὸν (Σ 507) "κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα." καὶ διτάλαντον δὲ καὶ τριτάλαντον καὶ ἡμιτάλαντον λέγεται.

ἀρχαία δὲ ἡ χρῆσις καὶ ἡ τοῦ τρίτον ἡμιτάλαντον καὶ πέμπτον ἡμιτάλαντον καὶ ἕβδομον ἡμιτάλαντον. ἔστι δὲ τὸ μὲν τρίτον ἡμιτάλαντον δύο ἥμισυ τάλαντα, τὸ δὲ πέμπτον ἡμιτάλαντον τέσσαρα ἥμισυ, καὶ τὸ ἕβδομον ἡμιτάλαντον ἓξ ἥμισυ. καὶ ὅλως οὗ τινὸς ἀριθμοῦ παρωνύμῳ μέρει ἐπονομάσει τις τὸ ἡμιτάλαντον, τούτου ὁ προηγούμενος ἀριθμὸς ἐφαρμόσει τοῖς ταλάντοις, οἷον ἂν μὲν ὄγδοον, ζ, ἂν δὲ ἔνατον, ή, συναριθμουμένου δηλονότι καὶ τοῦ ἥμισυ. φίλον δὲ τοῖς ἀρχαίοις καὶ τὸ ἓν ἥμισυ τάλαντον τρία ἡμιτάλαντα λέγειν, ὡς καὶ τρία ἡμίμναια τὴν μίαν ἥμισυ μνᾶν. Pollux 9 54.

τάλαντον, ὥς φησι Διόδωρος ἐν τῷ περὶ σταθμῶν, μνῶν ἐστὶν ξ', ἡ δὲ μνᾶ δραχμῶν ρ', ἡ δὲ δραχμὴ ὀβολῶν ς', ὁ δὲ ὀβολὸς χαλκῶν ς', ὁ δὲ χαλκοῦς λεπτῶν ζ'. τὸ τάλαντον δὲ τὸ νῦν λεγόμενον Ἀττικόν· παρὰ δὲ Σικελιώταις τὸ μὲν ἀρχαῖον ἦν νουμμων κδ', νυνὶ δὲ ιβ'. ὁ δὲ Ὅμηρος λέγει (Σ 507) "δύο χρυσοῖο τάλαντα," ὡς μὴ εἶναι ἴσον τὸ καθ' ἡμᾶς τάλαντον τῷ παρὰ τοῖς ἀρχαίοις· ὡς γὰρ ἴσον τοῦ τρίποδος καὶ τοῦ λέβητος καὶ τοῦ ἵππου τίθεται. τάλαντον δὲ παρὰ τῇ θείᾳ γραφῇ (Matth. 25 15) ἡ ἄνωθεν πεμπομένη ἑκάστῳ θεία χάρις. σύνταξις. Ἀριστοφάνης (Nub. 875) "καίτοι ταλάντου τοῦτ' ἔμαθεν Ὑπέρβολος," τουτέστι χαύνωσιν ἀναπειστηρίαν.

ὅτι τὸ τάλαντον παρά τισιν ἔχει λίτρας ρκέ. καὶ ταλαντιαῖοι λίθοι· "ταλαντιαῖοι γε μὴν ἦσαν οἱ βαλλόμενοι πέτροι, δύο δὲ καὶ πλέον ἀπῄεσαν σταδίους. ἡ πληγὴ δ' οὐ τοῖς προστυχοῦσι μόνον, ἐπὶ πολὺ δὲ καὶ τοῖς μετ' ἐκείνους ἦν ἀνυπόστατος" (Joseph. B. I. 5 6 3). "αἰτιώμενοι δὲ τὸν Περικλέα ν' ταλάντοις ἐζημίωσαν."

ταλαντουμένην· Πλάτων ἐν Τιμαίῳ ⟨p. 52 E⟩ "τὴν δὲ γῆν ταλαντουμένην ἀνωμάλως σείεσθαι μὲν ὑπ' ἐκείνων, κινουμένην δ' αὖ πάλιν ἐκεῖνα σείειν," μεταφορικῶς ἀπὸ τῶν ζυγῶν, ἐπεὶ τὸ ζυγὸν τάλαντον λέγεται, καὶ ὑπερταλαντᾶν τὸ ὑπερβαρεῖν.

ταλάντωσις στῆσις, στάθμησις.

ταλαοί τληπαθεῖς. οἱ δὲ διαιροῦσιν, ὥστε εἶναι τ' ἀλαοί. Ἀριστοφάνης Ὄρνισι ⟨688⟩.

ταλαπαθές ταλαίπωρε.

ταλαπείριος ὁ ταλαίπωρος ⟨Hom. ζ 193⟩.

a **τάλαρος** καλαθίσκος, κόφινος μικρός· ἐν ἐπιγράμμασι ⟨AP 6 39⟩ "ἁ τριτάτα δ' εἰροχαρῆ τάλαρον." καὶ **ταλαρίσκος·** "Δημὼ μὲν ταλαρίσκον εὔπλοκον" ⟨AP 6 174⟩.

b **τάλαρος** καλαθίσκος· "καὶ τάλαρον σχοίνοισιν ὑφασμένον, ὃν ποτ' ὀδόντι ἐπλήρου τολύπη πᾶσα καθαιρομένη" ⟨AP 6 247⟩.

τάλας ἄθλιος.

ταλασήιον ἔργον ἡ ἐριουργία. cf. Apollon. Rh. 3 292.

ταλασίαν ἐριουργίαν, καὶ **ταλάσιον** ἐριουργόν.

ταλασιουργία ἡ τῶν ἐρίων ἐργασία. "ὃ δὲ τὰς θυγατέρας ἐπειρᾶτο ποιεῖν ταλασιουργοὺς καὶ χερνήτιδας." καὶ αὖθις "οὐκ ὄντος ἀπρεποῦς τοῖς ἐπιχωρίοις ὥστε τοὺς ἄνδρας ταλασιουργεῖν παρ' αὐτοῖς."

ταλασίφρονα ὑπομονητικόν ⟨Hom. Δ 421⟩.

ταλάσσῃς ὑπομείνῃς ⟨Hom. N 829⟩.

ταλαύρινος ὑπομονητικός, καρτερικὸς ἐν τῇ μάχῃ ⟨sch. A Ach. 962⟩. "μέλαν δέ οἱ αἷμα ταλαυρίνου διὰ χρωτὸς ζέσσ', ἐπὶ δ' ἀργαλέαν βῶλον ἔδευσε φόνῳ" ⟨AP 7 208⟩.

τάλεσιν ⟨an τέλεσιν⟩ ἀναλώμασιν.

τἀληθὲς γὰρ ἰσχῦον τρέφω ἀντὶ τοῦ ἔχω ⟨S OR 356⟩.

τάλιγγις. cf. v. ἀλογεῖν.

τἆλλα καὶ φιλώμεθα λεγόμενόν τι, οἷον τἆλλα καὶ φίλοι ὦμεν.

τὰ Μαγνήτων κακά, ἐπὶ τῶν μεγίστων καὶ ἀλγεινοτάτων κακῶν, παρ' ὅσον οὗτοι ἀσεβήσαντες εἰς θεὸν πολλῶν κακῶν ἐπειράθησαν.

ταμεῖον θησαυρός. καὶ **ταμιεῖον.**

ταμεσίχροα ⟨Hom. Δ 511⟩ τέμνοντα τὸ σῶμα.

τάμῃ αὐθυπόστακτον.

a **ταμίαι** ἄρχοντές εἰσιν Ἀθήνησι κληρωτοὶ ἀπὸ τῶν πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια φυλάττουσιν, ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς. εἰσὶ δὲ καὶ ἄλλοι ταμίαι ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς ἱερὰς καὶ δημοσίας τριήρεις, ὃ μὲν ἐπὶ τὴν Πάραλον ὃ δὲ ἐπὶ τὴν τοῦ Ἄμμωνος.

ταμίαι. ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ b
ταμίαι, ι' τὸν ἀριθμόν. παραλαμβάνουσι δὲ οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὡς Ἀριστοτέλης. εἰσὶ δέ τινες καὶ τῶν τριήρων ταμίαι, ὡς ὁ αὐτός. ὅτι δὲ καὶ τοῖς τριηράρχοις παρείποντο ταμίαι, δεδήλωκεν Εὔπολις. Harp.

ταμίαι ἔφοροι, φύλακες, ταμιοῦχοι, διοικηταί.

ταμίας ἀρσενικόν, **ταμία** δὲ θηλυκόν.

ταμιεῖον κοιτῶνα. καὶ **ταμιείδιον** ὑποκοριστικῶς.

ταμιεύεται διοικεῖται, ἀποκρύπτει, φυλάττει· "καὶ ὅτι σωφρόνων ἐστὶν ἀνθρώπων, ὅταν μὲν εὖ πράττειν δοκῶσι, ταμιεύεσθαι τὰς τύχας, ὅταν δ' εἰς ταπεινὰς καὶ φαύλας ἔλθωσι, μηθὲν ὑπομένειν ἀγεννές" ⟨Dionys. Hal. 8 48⟩.

ταμιευόμενον φυλάττοντα.

ταμίης δεσποίνης.

Τάμυναι πόλις ἐν Εὐβοίᾳ, ἐν τῇ χώρᾳ τῇ Ἐρετριέων, ἔνθα καὶ ἱερὸν Ἀπόλλωνος, ὡς Αἰσχίνης φησὶ ⟨3 86⟩ καὶ οἱ τὰ Εὐβοϊκὰ γράψαντες. Harp.

τάν ἑταῖρε· ἢ σύ. καὶ ὦ **τάν** μετὰ τοῦ ἄρθρου.

Ταναγραία πόλις.

Ταναγραῖοι ἀλεκτορίσκοι οἱ μαχηταὶ καὶ θυμικοὶ ὡς ἄνθρωποι· Βάβριος ⟨5 1⟩ "ἀλεκτορίσκων ἦν μάχη Ταναγραίων, οἷς φασὶν εἶναι θυμὸν ὥσπερ ἀνθρώποις."

ταναή μακρά· ἐν ἐπιγράμμασιν ⟨AP 6 52⟩ "οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρὸν ἧσο."

τὰ Ναννάκου κλαύσομαι. cf. v. Νάννακος.

ταναυφῆ λεπτοϋφῆ.

τὰν ἐτνοδόνον τορύναν ⟨AP 6 306⟩.

τανηλεγές σκληρόν.

Τάνις ὄνομα τόπου ἔνθα ἦσαν τοῦ Φαραὼ τὰ βασίλεια· Δαβὶδ "ἐν πεδίῳ Τάνεως" ⟨Ps. 77 43⟩.

Ταντάλεια ψυχή τῆ Ταντάλου.

Ταντάλειοι τρομικοί. καὶ παροιμία "Ταντάλειοι τιμωρίαι," ἐπὶ τῶν ἀγαθὰ μὲν ἐχόντων, μὴ συγχωρουμένων δὲ ἀπολαύειν αὐτῶν, ὡς οἱ Βυζάντιοι μὴ τολμῶντες ἔξω τῦ ἄστεος διάγειν. Polyb. 4 45.

Τάνταλος τῦ Διὸς ἦν υἱός, ἀξιωθεὶς δὲ τραπέζης τῶν θεῶν ἐδημοσίευσεν αὐτῶν τὰ μυστήρια, καὶ διὰ τῦτο κολάζεται ἐν τοῖς ὑπὸ γῆν δικαιωτηρίοις, πέτρον ἔχων ἐφύπερθεν αὐτῦ ἠρτημένον καὶ κάτω ὕδωρ πολὺ καὶ βλαστήματα καρποφόρα. ἐὰν οὖν ἠθέλησε πιεῖν τῦ ὕδατος, ἔπιπτεν ὁ λίθος ἐπ' αὐτόν. δίψει δ' ἐτήκετο, ὁρῶν μὲν ἀφ' ὧν ἔδει φαγεῖν καὶ πιεῖν, μὴ δυνάμενος δέ. ἐπὶ γενείοις δὲ ὅτε ἥψατο τῆς λίμνης τὸ γένειον ἐξηραίνετο. Nonn. in Greg. Naz. stelit. p. 171.

Ταντάλου κήπους τρυγᾶν. Ἰσαίε··· (cf. v. Ἰσαῖος b). καὶ αὖθις "τὸν Ταντάλε λίθον οἴεσθαι ὑπὲρ κεφαλῆς λεπτοῖς καλωδίοις ἠρτῆσθαι" ἐπὶ τῶν ἀμηχάνων.

Ταντάλου τάλαντα ταντλίζεται. διεβεβόητο ὁ Τάνταλος ἐπὶ πλέτῳ, ὡς καὶ εἰς παροιμίαν διαδοθῆναι.

τανυγλώχιν μακρὰς ἀκίδας ἔχων.

τανυήκεας ⟨Hom. Π 768⟩. καὶ *τανυήκες* ⟨Ξ 385⟩ τεταμένην ἔχον τὴν ἀκμὴν ἢ αἰχμὴν ἠκονημένην.

τανυμήκεες αἱ μῆκος ἄπειρον ἔχεσαι· ἐν ἐπιγράμματι ⟨AP 6 170⟩ "καὶ αἱ τανυμήκεες αὗται ἰτέαι."

τανύπεπλος ἐπιμήκη πέπλον ἔχουσα· ἐξ ἓ καὶ τὴν φορῦσαν εὐμήκη εἶναι δηλοῖ.

τανύποδας ταχείας· τὰς ἐρινῦς φησί. τὸ γὰρ τεῖναι τὰς πόδας ἐστὶ τὸ βαδίσαι. τουτέστι τὰς πανταχῦ τεινέσας τὰς πόδας. sch. S Ai. 837.

τανύπτερος παρατεταμένα πτερὰ ἔχεσα.

τανύφλοιον μακρὸν φλοιὸν ἔχον. Hom. Π 767.

τάξεων ψιλῶν ὀνομασίαι καὶ ποσότης αὐτῶν. λόχος ἄνδρες ιϛ. σύστασις δ' λόχοι, ἄνδρες λβ'. πεντηκονταρχία β' συστάσεις, ἄνδρες ξδ'. ἑκατονταρχία β' πεντηκονταρχίαι, ἄνδρες ρκη'· ἑκάστη ἑκατονταρχία ἐκτάκτες ἔχει ε', σημειοφόρον οὐραγὸν σαλπιστὴν ὑπηρέτην στρατοκήρυκα. ψιλαγία β' ἑκατονταρχίαι, ἄνδρες σνϛ'. ξεναγία β' ψιλαγίαι, ἄνδρες φιβ'. σύστρεμμα β' ξεναγίαι, ἄνδρες ͵ακδ'. ἐπιξεναγία β' συστρέμματα, ἄνδρες ͵βμη. στῖφος β' ἐπιξεναγίαι, ἄνδρες ͵δ... ἐπίταγμα β' στίφη, ἄνδρες ͵ηρϙβ. τούτων ἔκτακτοι ἄνδρες η, ἐπιξεναγοὶ μὲν δ', ... στρεμματάρχαι δὲ οἱ λοιποί.

ταξιαρχῆσαι.

ταξίαρχος ἡγεμών, στρατοπεδάρχης.

Ταξίλης ὄνομα κύριον.

τάξις. ἡ τάξις διττή ἐστιν, ἡ μὲν ... τῷ στρατηγῷ, ἡ δὲ ἐν τοῖς στρατιώταις, ... ἐκ τῆς ἐν τῷ στρατηγῷ τάξεως γίνεται ἐν τοῖς στρατιώταις.

τάξις αἱ δύο τετραρχίαι, ἄνδρες ... καὶ ὁ ἡγούμενος πάλαι μὲν ταξίαρχος, νῦν δὲ ἑκατοντάρχης.

ταξιώτης.

ταονθαρύζειν ⟨an τονθορύζειν⟩ ... μειν.

ταπεινός. καὶ *ταπεινῶ* αἰτιατική.

τάπητες ἐπιβόλαια, ἢ στρώματα. ... Ἀριστοφάνης ⟨Plut. 528⟩.

τἀπὶ κοσκίνῳ, λεγόμενόν τι, οἷον ... ληθῇ πάντα.

τἀπιτίμια τὰς μισθές· Σοφοκλῆς ⟨... 1382⟩ "δεῖξον ἀνθρώποισι, τἀπιτίμια ... δυσσεβείας οἷα δωρῦνται θεοί."

τἀπίχειρα τὸν μισθόν, τὰς ἀμοιβάς. "ἀμείνονα σχὼν τἀπίχειρα τῆς ἥττης" ... μυθικοῖς ⟨Babr. 5 9⟩.

τὰ πλείστου ἄξια τῷ Πομπηΐῳ ... ρετῦντα Μηνᾶν τὸν πειρατήν." cf. v. ... πήιος.

τὰ πολλά ἀντὶ τῦ ὡς ἐπὶ τὸ πολύ ... ἐπὶ τὸ πλεῖστον.

τὰ πρῶτ' ἀρίστους παῖδας ... ἐκτρέφει, παροιμία ἐπὶ τῶν ἐν ἀρχῇ ... μίων, μετὰ δὲ ταῦτα ἀσελγαινόντων. ... ἀρχῇ γάρ, φασί, μεταβάλλεσιν ἐπὶ τὸ ... ρον οἱ Αἰγινῆται ἀπὸ Ἀχιλλέως Πατρόκλου Αἴαντος Νεοπτολέμου.

ταραντινίδιον λεπτὸν καὶ διαφανὲς ἱμάτιον, ἓ πάντως πορφυρῦν, ὡς τινες ὑπέλαβον. οὕτω Νικόστρατος. "ἡ δὲ τὸ διάδημα, ὅπερ ἦν ἐπὶ τῆς κεφαλῆς εἶχε σύμβολον δὴ καὶ μαρτύριον ἀρχῆς, περισπάσασα, ... μέντοι τῷ τραχήλῳ περιβάλλει. τὸ δὲ ... ταραντινίδιον λεπτόν τε καὶ ἀσθενές, ... μόνον ἐτάθη, κατ' ἀπορρήγνυται. ἡ δὲ ... ριαλγεῖ" (cf. vv. *κατάπτυστον.* παραβαίνειν ὡς ἐκ τῶν παρόντων).

ραντῖνοι ὄνομα κύριον.
ραντῖνοι τάξις τις ἱππέων οὕτω κα-
.
ραξίας· "ὃ δὲ ὡς ταραχώδης καὶ
ας ἐπέσκηψε τῇ Ἀλεξανδρέων ἐκκλη-
ίλαπος δίκην ἢ θυέλλης" (cf. v. Σε-
.
ραξικάρδιον τὸ δάκνον τὴν καρ-
(A Ach. 314) "τοῦτο τοὖπος δεινὸν ἤδη
ραξικάρδιον." αὐξήσει κέχρηται ἐπει-
ραξικάρδιον. ἔστι γάρ τι δεινόν, ὃ
υς ἐστὶ δεινὸν ὡς δάκνειν καὶ ταράτ-
ρδίαν· ὅπερ δὲ τῇ καρδίᾳ ταραχὴν
σειεν ἄν, τοῦτο ἀναμφιλόγως δεινὸν
το ἄν.
ράσσω αἰτιατικῇ.
ρβεῖ φοβεῖται. καὶ παρὰ Σοφοκλεῖ
ν ἀντὶ τοῦ τιμᾶν· "ταρβεῖν μὲν ὦ γη-
ἀνθυμήματα πολλή 'στ' ἀνάγκη τἀπὸ
(OC 292). "καὶ μὴν ἔνεστι τοῖσιν εὖ
ιένοις ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ
ποτέ" (Trach. 297).
ρβη καὶ τάρβος εὐλάβεια, φόβος·
ἔστι δρῶντι τάρβος, οὐδ' ἔπος φο-
(OR 296), τουτέστιν ὁ μὴ τὸ ἔργον δε-
ὐδὲ τὸν λόγον.
ριχα.
ριχαῖοι ὄνομα ἔθνους.
ριχεία.
ριχεύει τήκει, ξηραίνει.
ριχεύειν· (Plat. Conv. p. 190 E)
οἱ τὰ ᾠὰ τέμνοντες καὶ μέλλοντες
ειν." σημαίνει δὲ καὶ τὸ ξηραίνειν.
ον εἰς γάρος ἐξιχωρίζεσθαι· γάριχός
. λέγεται καὶ ταριχηρά· Ἀρριανός
4 21) "ὃ δὲ ἔδωκε σῖτόν τε καὶ οἶνον
ία ταριχηρὰ κατὰ σκηνήν."
ριχος. τὸ τάριχος οὐδετέρως· Ἀριστο-
Βατράχοις (565) "τὸ πολὺ τάριχος
κά πω." ἔστι δὲ κρέας ἁλσὶ πεπασ-

ρκύνιος Σούπερβος. οὗτος τῆς ἀρ-
ιλαβόμενος τῶν Ῥωμαίων μετεκαίνι-
ὶ τὸ αὐθαδέστερον, καὶ βαρυτέραν
λιτείαν ἀπέφηνεν, οἷα δὴ ἐκ τοιούτων
ιῶν εἰς τὴν ἡγεμονίαν δραμάτων, τοὺς
ους μετατιθείς, καὶ ἄρχοντας παρὰ τὸ
ς προβαλλόμενος, καὶ δι' αὐτῶν τὸν
αἰκιζόμενος, φιλοπόλεμός τε εἰ καί
λος γεγονὼς ὑπερόπτης τε καὶ ἀλαζών.
ὅθεν καὶ τὴν ἐπωνυμίαν ταύτην ἀπηνέγκατο· σουπέρβους γὰρ τοὺς ὑπερηφάνους ὠνόμαζον Ῥωμαῖοι. Io. Antioch. p. 786.

Τάρπεια ὄνομα.

τάρπημεν (Hom. Λ 779) ἐκορέσθημεν.

Ταρρακών πόλις. καὶ κλίνεται Ταρρακῶνος.

ταρροί τάλαροι καὶ ταρσοί. καὶ τὰ πλατύσματα τῶν κωπῶν, καὶ αὐτὸ τὸ πτέρωμα. καὶ Θουκυδίδης οὕτω.

ταρροί ἀττικῶς τὰ ἐκ σχοίνων πλέγματα· τοὺς γοῦν καλάθους τοὺς γεωργικοὺς ταλάρους καλοῦσι. τὴν δὲ κρεμάθραν Ἀριστοφάνης (Nub. 226) οὕτως ἐκάλεσεν, ἐφ' ἧς ὁ Σωκράτης ἐκρέματο· "ἔπειτ' ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς;" ἢ ταρρὸς μετέωρόν τι ἰκρίον, ἐφ' οὗ αἱ ἀλεκτορίδες κοιμῶνται. τοιαύτην δή τινα ὑποληπτέον τὴν κρεμάθραν ἐσκευάσθαι. a

ταρσοί τὰ ἀγγεῖα τῶν τυρῶν, καὶ τὰ ἔξω τῶν κωπῶν· "ὃ δὲ τὴν παράταξιν αὐτῶν διέλυσεν, οὓς μὲν τιτρώσκων, ὧν δὲ τοὺς ταρσοὺς παρασύρων." καὶ ταρσοῖς πτεροῖς ἄκροις. b

ταρσοί καλάμων. "οἱ δὲ Λαζοὶ βόθρους ὀρύξαντες καὶ δόρατα τοῖς βόθροις ἐγκαταπήξαντες, ταρσοῖς καλάμων καὶ ὕλῃ μὴ βεβαίαν ἐχούσῃ βάσιν ἀλλὰ πρὸς τὸ ἐπιφερόμενον ἄχθος ὀλισθαινούσῃ τὰ στόματα τῶν ὀρυγμάτων ἐκάλυψαν· καὶ χοῦν ἐπιβαλόντες, τά τε παρ' ἑκάτερα χωρία γεωργήσαντες καὶ πυροὺς σπείραντες, ἐτροπώσαντο τοὺς Ῥωμαίους." Priscus? a

ταρσοὶ καλάμων παρ' Ἡροδότῳ (1 179) ἡ τρασιά, οὗ ἐξήραινον τὴν πλίνθον. b

ταρσός ὁ τάλαρος, τὸ καλάθιον παρ' ἡμῖν. a

ταρσός ἐκ μέρους ἢ τὸ πλάτος τοῦ ποδὸς ἢ τὸ ἄκρον τῆς χειρός. καὶ πλέγμα· Θουκυδίδης (2 76) "οἱ δὲ Πελοποννήσιοι ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐσέβαλλον ἐς τὸ διῃρημένον τοῦ τείχους." b

ταρσός κυρίως τῶν ὀρνίθων ἡ πτέρωσις· ἀφ' οὗ καὶ ὁ τῶν κωπῶν ὅμοιος σχηματισμός. οὕτως Ἡρόδοτος (8 12). c

Τάρταρος ὁ κατώτερος τοῦ Ἅδου τόπος. καὶ Τάρταρον τὸν περὶ τὰ νέφη τόπον οὕτω λέγουσι. περὶ ψυχῆς (Plat. p. 112 A?). καὶ Ταρτάρειος βόθρος.

Ταρτησία μύραινα (A Ran. 477) ὡς

ἐκεῖ γινομένων μεγίστων.

Ταρτησσός Ἰβηρικὴ πόλις πρὸς τῷ ὠκεανῷ, ἐκτετοπισμένη παρὰ τὴν Ἄορνον λίμνην. τῆς δὲ Ταρτησσοῦ Ἀγαθώνιος ἐβασίλευσεν. Ἀριστοφάνης Ταρτησίαν μύραιναν λέγει. καὶ οὐδετέρως Ταρτήσιον.

ταρφειαί ⟨Hom. *Τ* 357⟩ πυκναί.

ταρχύσωσι ⟨Hom. *Η* 85⟩ θάψωσι.

τὰ Σαμίων ὑποπτεύεις, παροιμία. αὕτη λέγεται ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους κακῶν ἀποδόσεις, παρῆλθε δὲ ἀπὸ τῶν γενομένων ὑπὸ Ἀθηναίων εἰς Σαμίους αἰκισμῶν. ἑλόντες γὰρ αὐτοὺς οἱ Ἀθηναῖοι τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἔστιξαν τῇ καλουμένῃ σαμαίνῃ, ἥ ἐστιν εἶδος σκάφους Σαμιακοῦ· ἀνθ' ὧν καὶ οἱ Σάμιοι τὰς ἁλόντας μετὰ ταῦτα Ἀθηναίων ἔστιξαν.

τὰς ἐν Ἅιδου τριακάδας, ἐπὶ τῶν περιέργων καὶ τὰ ἀποκεκρυμμένα γινώσκειν ζητούντων.

τάσις ἔκτασις καὶ δρόμος.

τὰς ὁδοὺς οἶδεν, ὥσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων." ἔνθα αἱ κάχρυς ἀλήθονται· κυρήβια γὰρ αἱ ἀληλεσμέναι κριθαί. διαβάλλει γὰρ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα· ὃς καὶ στύππαξ ἐκαλεῖτο. Ἀριστοφάνης ⟨Eq. 253⟩ "εὐλαβοῦ δὲ μὴ 'κφύγῃ σε· καὶ γὰρ οἶδε τὰς ὁδούς, ὥσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων." εἴρηται ἐπὶ τῶν φευγόντων.

τὰς ὀφρῦς ἀνεσπακώς, ὥσπερ τι δεινὸν ἀγγελῶν ἐπείγεται ⟨A Ach. 1037⟩, ἀντὶ τοῦ ἐσκυθρωπακώς.

τὰ Ταντάλου τάλαντα ταντα λίζεται. αὕτη οὖν ἡ παροιμία παρὰ τὴν ὁμοιότητα τῶν ὀνομάτων εἴρηται, ἐπείπερ παίζοντες πολλὰ καὶ ἄλλα τοιαῦτα πεποιήκασιν, οἷον ἀγαθῶν ἀγαθῖδες, καὶ σοφώτερος σοφοῦ παρ' Ἐπιχάρμῳ.

τὰ Ταντάλου ταλαντίζεται. διεβεβόητο ὁ Τάνταλος ἐπὶ πλούτῳ, ὡς καὶ εἰς παροιμίαν διαδοθῆναι. οὗτος γὰρ πλούσιος Φρὺξ ἐπὶ ταλάντοις διαβεβόητο, Πλουτοῦς καὶ Διός λεγόμενος. κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν τρίτῳ. γέγονε δὲ παρὰ τὸ ὄνομα τάλαντα, ὡς καὶ παρὰ τῷ κωμικῷ εἴρηται.

Τατίκιος ὄνομα κύριον.

Τάτιος ὄνομα κύριον· "ἣ δὲ τὸν πατέρα φυλάξασα ἀποδημοῦντα ὑπισχνεῖται Τατίῳ προδώσειν τὸ φρούριον."

τὰ τρία τὰ εἰς τὸν θάνατον. οἱ δὲ τὰ τρία τὰ παρὰ τῇ αὐλῇ. τοῖς ἐπὶ θάνατον ἀγομένοις μετῆν παρρησίας, ὥστε τροφῆς καὶ οἴνου πληρωθεῖσι τρία λέγειν ἃ βούλονται· μεθ' ἃ ἐφιμοῦντο. τὸ δὲ νῦν ἀρχεῖον καλούμενον αὐλὴ ἐλέγετο, καὶ οἱ ὑπηρεταὶ αὐλικοί. ἄλλως. τὰ τρία τὰ εἰς τὸν θάνατον. μέμνηται Ἄλεξις ἐν Αἰπόλοις. ὅτι ὁ μαντευόμενος ἐν Δελφοῖς σεσημασμένους ἐλάμβανε τοὺς χρησμούς, καὶ προείρητο αὐτῷ, εἰ ἐσφαλ..., ζημία μία τῶν τριῶν· ἢ γὰρ τῶν ὀφθαλμῶν αὐτὸν ἔδει στερηθῆναι ἢ τῆς χειρὸς ἢ τῆς γλώττης.

τὰ τρία τῶν εἰς θάνατον. ὅτι τοῖς εἰς θάνατον κατακριθεῖσι τρία παρετίθει, ξίφος βρόχον κώνειον.

τάττουσα ἐν τάξει τιθεῖσα· Δαμάσκιος "ἡ δέ, ὅσα πάθη τῆς ψυχῆς, τάττουσα ταῦτα καὶ διακοσμοῦσα." περὶ κοσμιότητος καὶ σωφροσύνης ὁ λόγος.

τὰ τῷ αὐτῷ τὰ αὐτὰ καὶ ἀλλήλοις εἶναι δεῖ τὰ αὐτά. γεωμετρικός ἐστιν ὁ λόγος τοῦτο ἀξιῶν. ἐμοὶ δὴ σὲ μὲν ὁ τρόπος ἐποίησε φίλον, τὸν δὲ ὁ δεῖνα καὶ ἡ φύσις, ἐμοῦ δὲ ἑνός ἐστε φίλοι. δεῖ δὴ καὶ ἀλλήλων ὑμᾶς ἐξηρτῆσθαι καθάπερ ἐμοῦ τοῦ μέσου. στέργετε τοιγαροῦν ὑμᾶς ἀλλήλοις.

τὰ τῶν φώρων κρείττω, παροιμία ἐστὶ λεγομένη κατὰ τῶν πλείω φερόντων ὧν ἠδίκησαν. Harp.

Ταυρέας ὄνομα κύριον.

ταυρείη φωνή τοῦ ταύρου. καὶ ταύρειον αἷμα ⟨A Eq. 83⟩.

ταυρηδόν ὡς ταῦρος· Ἀριστοφάνης περὶ Αἰσχύλου ⟨Ran. 816⟩ "ἔβλεψε γὰρ ταυρηδὸν ἐγκύψας κάτω·" τοιοῦτος γὰρ τῷ σχήματι ὀργιζόμενος ὁ Αἰσχύλος.

ταυρίδιον ὁ μικρὸς ταῦρος. καὶ ταύριος Ποσειδῶν.

Ταυρική τόπος.

Ταυρίωνος.

ταυροβόλος ἡ Ἀθηνᾶ.

ταυροκέρκουροι ποτάμια πλοῖα.

Ταυρομένιον πολίχνιον. καὶ Ταυρομενίτης.

ταυροπόλα ἡ Ἄρτεμις ἡ ἐν τοῖς Ταύροις τῆς Σκυθίας τιμωμένη, ἢ ἀπὸ μέρους τῶν ποιμνίων ἐπιστάτις, ἢ ὅτι ἡ αὐτή ἐστι τῇ σελήνῃ καὶ ἐποχεῖται ταύροις· ἢ ...

αυρωπὸν ὀνομάζουσιν. "ἦ ῥά σε ταυροόλα ὥρμησεν ἐπὶ βοῦς ἀγελαίους" ⟨S Ai. 172⟩. ὲς πολλοὺς γὰρ τῶν μαινομένων ἐκ σελήνης οσεῖν ὑποτίθενται διὰ τὸ τῶν νυκτερινῶν εσπόζειν φαντασμάτων.

ταυροπόλον τὴν Ἄρτεμιν, ὅτι ὡς ταῦος περίεισι πάντα, ὡς Ἀπολλόδωρος. Ἴστρος ὃ ἐν γ' Ἀτάκτων, ὅτι τὸν ὑπὸ Ποσειδῶνος πιπεμφθέντα Ἱππολύτῳ ταῦρον ἐξοίστρησεν πὶ πᾶσαν γῆν. οἱ δ' ὅτι ἔβαλε, διὸ καὶ ταυροβόλον. καὶ Ἀθηνᾶ δὲ ταυροβόλος ἐν Ἄνδρῳ· ὁ γὰρ Ἄνιος δοὺς ταῦρον τοῖς Ἀτρείδαις ἐκέλευσεν, ὅπου ἂν ἐκ τῆς νεὼς ἅληται, ἱδρύσασθαι Ἀθηνᾶν, καὶ οὕτως εὐπλοήσειν. ὁ δὲ ἐν Ἄνδρῳ ἐξήλατο.

ταῦρος τὸ αἰδοῖον τοῦ ἀνδρός. καὶ ἀταυρώτη ἡ ἄμικτος, ἁγνή· "οἴκαδ' ἀταυρώτη διάξω τὸν βίον" ⟨A Lys. 217⟩.

Ταῦρος Βηρύτιος φιλόσοφος Πλατωνικός, γεγονὼς ἐπὶ Ἀντωνίνου τοῦ εὐσεβοῦς, ἔγραψε περὶ τῆς τῶν δογμάτων διαφορᾶς Πλάτωνος καὶ Ἀριστοτέλους, περὶ σωμάτων καὶ ἀσωμάτων, καὶ ἄλλα πλεῖστα.

Ταῦρος ὄνομα ὄρους· "ταύρῳ γάρ ἐστι συμφυῶς εἰκασμένον σκιρτῶντι καὶ ῥιπτοῦντι τοὺς ὀπισθίους πόδας πρὸς ὕψος, εἶτα δὴ τὸν αὐχένα κυρτῶς ὑπεξαίροντι."

ταυροφάγον τὸν Διόνυσον Σοφοκλῆς ἐν Τυροῖ, ἀντὶ τοῦ - - - ὅτι τοῖς τὸν διθύραμβον νικήσασι βοῦς ἐδίδοτο. ἢ τὸν ὠμηστήν, ἀφ' οὗ καὶ ἐπὶ τὸν Κρατῖνον μετήνεγκε τοὔνομα Ἀριστοφάνης ⟨Ran. 358⟩ "ὅστις ἢ γενναίων ὄργια μουσῶν μήτ' εἶδεν μήτ' ἐχόρευσε μήτε Κρατίνου τοῦ ταυροφάγου γλώττης βακχεῖ' ἐτελέσθη." τοὺς περὶ Ἀρίσταρχον, οἰομένους ὅτι ταῦρος ἦν αὐτοῖς ἔπαθλον, ψευδῶς. εἴρηται δὲ παρὰ τὸ Σοφοκλέους ἐκ Τυροῦς "Διονύσου τοῦ ταυροφάγου." καὶ ὅτι φίλοινος ἦν· καὶ διὰ τοῦτο ἐπίθετον τοῦ Διονύσου αὐτῷ περιτιθέασιν. οἱ δὲ ἔτι περιεργότερον τὸν λόγον ἀποδιδόασιν, μητέρα Κρατίνου, ἥτις Βακχεῖα ἐτελέσθη, ἅ εἰσι τοῦ μοσχοφάγου Διονύσου. ἢ τολμηρόν, ἀπὸ τῶν Βακχῶν.

ταυρωπόν τὴν Ἄρτεμιν λέγουσι.

ταυταγί. παρ' Ἀριστοφάνει ἐν Ὄρνισιν ⟨446⟩ "ἔσται ταυταγί."

ταῦτα ληρεῖς ὥσπερ ἀπὸ τύμβου πεσών; νὴ τὸν Δί', αὕτη πού 'στι σοί γ' ἡ Δαρδανίς" ⟨A Vesp. 1370⟩.

ταῦτα πράσσω φάσκ' ἀνὴρ οὐδὲν ποιῶν" Κρατῖνος Ὥραις. ἡ παροιμία ἐπὶ τῶν μηδὲν ποιούντων.

ταῦτα πρὸς ἀνδρός ἐστι νοῦν ἔχοντος καὶ φρένας, καὶ πολλὰ περιπεπλευκότος, μετακυλινδεῖν αὑτὸν αἰεὶ πρὸς τὸν εὖ πράττοντα τοῖχον μᾶλλον ἢ γεγραμμένην εἰκόν' ἑστάναι, λαβόνθ' ἓν σχῆμα" ⟨A Ran. 536⟩ ἀντὶ τοῦ μηδὲν ἀνύοντα, διότι ἀκίνητον τὸ ἐπιγεγραμμένον τῇ εἰκόνι. περιπεπλευκότος δὲ ἀντὶ τοῦ εἰς πάντα τετριμμένου. ὅμοιον τῷ ἐν Ἀλκμήνῃ Εὐριπίδου "οὐ γάρ ποτ' εἴων Σθένελον εἰς τὸν εὐτυχῆ χωροῦντα τοῖχον τῆς δίκης ἀποστερεῖν."

ταῦτά σοι καὶ Πύθια καὶ Δήλια, ἐπὶ τῶν τὰ τελευταῖα ποιούντων. Πολυκράτης γὰρ ὁ Σάμου τύραννος Ῥήνειαν ἑλὼν καὶ ἀναθεὶς αὐτὴν τῷ Ἀπόλλωνι, καὶ ἐν Δήλῳ θεὶς ἀγῶνα κάλλιστον, ἠρώτα πέμψας εἰς Δελφοὺς πῶς δεῖ καλεῖν τὸν ἀγῶνα, Δήλια ἢ Πύθια. ὁ δὲ χρησμὸς εἶπε "ταῦτά σοι καὶ Δήλια καὶ Πύθια," σημαίνων ὅτι εὐθέως ἀποθανεῖται. cf. v. Πύθια καὶ Δήλια.

ταῦτά τοι καὶ θαρρῶν αὐτὸς κατά τι ἔθος ἀρχαῖον ἐκέλευσε δι' ἡμέρας τὴν ἱερουργίαν τὴν τεταγμένην δρᾶσαι τῷ θεῷ," ἀντὶ τοῦ ἕνεκεν τούτου. καὶ αὖθις "ταῦτά τοι καὶ τεθνεῶτα ἔθαψεν αὐτὸν ὁ βασιλεὺς ταφῇ θαυμαστῇ," ἀντὶ τοῦ διὰ τοῦτο.

ταύτῃ τούτου ἕνεκεν, ἢ οὕτως· "ταύτῃ τοι οὐ πολὺ ὕστερον παρελύθη τῆς ἀρχῆς." καὶ αὖθις "ταύτῃ τοι καὶ οὔ τι εὐλαβούμενος εἴποιμι." καὶ αὖθις "καὶ ἐδόκει ταύτῃ γε τοῦ ἀδελφοῦ διαφέρειν." καὶ αὖθις "ὁ δὲ Βροῦτος ταύτῃ οὐδὲ ἐπείρασε διαβῆναι· ἑτέραν δέ τινα μακροτέραν περιελθόντες."

ταυτηί ταύτῃ.

ταυτηνί ταύτην.

ταυτί ταῦτα.

ταυτίζω ἰδιοποιοῦμαι.

ταυτὶ λέγουσα μορμολύττεσθαι δοκεῖς" Ἀριστοφάνης ⟨Av. 1245⟩, ἐπὶ τῶν δοκούντων ἐκφοβεῖν.

ταυτὶ μὲν εἰκάσμεσθα, κατὰ τὸν Αἰσχύλον, τάδ' οὐχ ὑπ' ἄλλων ἀλλὰ τοῖς αὑτῶν πτεροῖς" ⟨A Av. 808⟩. ὁ γὰρ Αἰσχύλος Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν· "ὧδ' ἔστι μύθων τῶν Λιβυστικῶν λόγος, πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν εἰπεῖν, ἰδόντα μηχανὴν πτερώματος, τάδ' οὐχ ὑπ' ἄλλων

ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεσθα." καὶ ἡμεῖς ἂν, φησίν, ὐχ ὑπ' ἄλλων πάσχομεν ταῦτα, ἀλλὰ τῇ αὐτῶν γνώμῃ. τοῖς αὐτῶν πτεροῖς, ἀντὶ τοῦ ἑαυτοῖς ταῦτα πεποιήκαμεν.

ταυτοέπεια. *καὶ* **ταυτοεπεῖν** *ταυτολογεῖν.*

ταυτόν. *τῦτο τριχῶς διαιρεῖ Ἀριστοτέλης ἐν τοῖς Τοπικοῖς. πρὸς δὲ τύτοις τοῖς τρισὶ καὶ τέταρτόν τινα προστίθεται κατ' ἀναλογίαν, πορρώτερον ὄντα τῶν τριῶν. οἱ δὲ τρεῖς εἰσὶν ὗτοι. ταυτὸν γὰρ τὸ μὲν κατ' ἀριθμὸν λέγεται, τὸ δὲ κατ' εἶδος, τὸ δὲ τῷ γένει. ἀριθμῷ ταυτά ἐστιν ἀλλήλοις ὧν ὀνόματα πλείω, τὸ δὲ πρᾶγμα τὸ ὑπ' αὐτῶν σημαινόμενον ἕν, οἷά ἐστι τὰ πολυώνυμα. ἀριθμῷ γὰρ ἓν τὸ λώπιον καὶ ἱμάτιον, ὅτι τῦ αὐτῦ καὶ ἑνὸς κατ' ἀριθμόν ἐστι δηλωτικά. κἂν λόγος δὲ κἂν ὄνομα ταυτὸν σημαίνῃ, ἓν κατ' ἀριθμὸν καὶ τῦτο· κἂν λόγοι πλείυς σημαίνωσι ταυτό, καὶ ταῦτα ἀριθμῷ ταυτά. τῷ γὰρ ἀριθμῷ τοῖς αὐτοῖς εἶναί ἐστιν, οὐ τοῖς ὀνόμασι σημαντικοῖς. συνελόντι φάναι, κατ' ἀριθμὸν ὡς τὰ πολυώνυμα, λῶπος ἱμάτιον, κατ' εἶδος ὡς Σωκράτης καὶ Πλάτων, κατὰ γένος οἷον ἄνθρωπος ἵππος (ζῷα γὰρ ἄμφω), κατ' ἀναλογίαν ὡς καρδία καὶ πηγὴ καὶ μονάς· ὡς γὰρ ἔχει ἡ πηγὴ πρὸς ποταμόν, ὗτω καὶ μονὰς ἐν ἀριθμῷ, καρδία ἐν ζῴῳ, ὄψις ἐν ὀφθαλμοῖς, νῦς ἐν ψυχῇ. νηνεμία καὶ γαλήνη ἡ αὐτή· ὃ γὰρ γαλήνη ἐν θαλάσσῃ, τῦτο νηνεμία ἐν ἀέρι· ἡσυχία γὰρ ἄμφω.* Alex. Aphrod. in Top. p. 32.

ταυτὸν ἐποίησε *τοῖς θηρῶσι τὰς ἐγχέλυς, οἳ τῷ θρίῳ τῆς κράδης προσχρώμενοι καὶ τὸν βόρβορον ἀναταράξαντες τῆς θήρας τυγχάνυσι. κἀκεῖνος συγχεῖ τὰ δημόσια καὶ ἀναφυρᾷ, βυλόμενος τύς τε ἀδελφὺς καὶ τὺς προεστηκότας εἰς ταυτὸ συμβαλεῖν.* cf. v. *ἐγχέλεις.*

ταυτὸν πέπονθα *τῷ τῆς παροιμίας, τὸ σὸν ὄναρ σοι διηγύμενος. "ὅτι μὲν οὐχ ἑκόντες, ὀκνῶ γὰρ εἰπεῖν ὡς ἄκοντες, τὸν καλόν τε καὶ ἀγαθὸν πρὸς ὀλίγον ἡμῶν ἐπετρέψαμεν χωρισθῆναι, τεκμαίρῃ δήπουθεν. ἴσως δ' ἂν μοι καὶ σοὶ γένοιτο καὶ αὐτῷ δὲ πρὸς παραμυθίαν μικρόν, εἰ σῦ μὲν ἐκεῖνος, ἡμεῖς δὲ δι' ἐκείνυ σῦ τύχωμεν. ὅτι δέ μοι τύτων ὐδὲν ὑπὲρ αὐτῦ πλέον πρὸς σὲ καθήκει λέγειν, οἶσθα δήπουθεν· εἰ γὰρ ἐγώ σοι νῦν αὐτὸν γνωρίζω, πέπονθα τὸ τῆς παροιμίας, τὸ σὸν ὄναρ σοι διηγύμενος."*

ταυτότης *ἡ ὁμοιότης· Πισίδης* ⟨exp. Pers. 3 133⟩ *"τῇ ταυτότητι συγχυθεὶς τῶν δακρύων· καὶ τὴν χαρὰν γὰρ πολλάκις χαρὰ τρέφει, καὶ δάκρυσίν τις ἐξεγείρει δάκρυα."*

ταφήιον *ἐντάφιον* ⟨Hom. *β* 99⟩.

Τάφιος *ἐθνικόν. ὁ λῃστής* ⟨Hom. *ο* 427⟩.

τάφος *καὶ τὸ παρὰ τοῖς θύταις σημεῖον, καὶ τὸ περίδειπνον· Ὅμηρος* ⟨*Ω* 804⟩ *"τάφον Ἕκτορος ἱπποδάμοιο," οὐ τὸν τύμβον.*

Ταφόσιρις *ὄνομα κύριον.*

ταφρεῦσαι *διορύξαι, περισκάψαι.*

τάφρος *τὸ περὶ τὸ τεῖχος ὄρυγμα. καὶ* **τάφρη** *θηλυκὸν παρ' Ἡροδότῳ* ⟨4 201⟩ *"ὀρύξαντες τάφρην εὐρέην, ἐπέτειναν ξύλα ἀσθενέα ἐπ' αὐτῆς."*

τάχα *ἴσως, ἢ ταχέως, ἢ τυχόν.*

ταχεῖα.

ταχινός *ὁ ταχύς.*

τάχιον *ταχύ.*

ταχύ *ἀντὶ τοῦ ταχέως· ἔστι παρὰ πολλοῖς τῶν παλαιῶν. παρ' Ὁμήρῳ δὲ τάχα ἀντὶ τοῦ ταχέως, καὶ* ⟨*T* 276⟩ *"λῦσαν δ' ἀγορὴν αἰψηρήν" ἀντὶ τῦ αἰψηρῶς, ταχέως.*

ταχυβάμονας ὅρκυς *Ἀρίσαρχος κατ' ἀντίφρασιν ἀκούει, ἀντὶ τοῦ βραδεῖς. βέλτιον δὲ τοὺς ἐν ἔρωτι γινομένους τοιούτ ἀβλαβεῖς γὰρ οἱ ἐπιορκήσαντες. ὅθεν ἡ παροιμία "ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος."*

ταχυβούλοις ⟨A Ach. 630⟩ *ἀντὶ τῦ ταχέως μεταβαλλομένοις, προπετέσιν, ἀπερισκέπτοις. κωμῳδοῦνται δὲ οἱ Ἀθηναῖοι ὡς τοιοῦτοι, καὶ ὅτι ταχέως μετανοοῦσιν ἐν οἷς βουλεύονται.*

ταχυναυτεῖ *ταχέως πλεῖ· "αὗται ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι, καὶ ταχυναυτοῦσαι."* cf. v. *Πάραλος.*

ταχύς· ⟨A Nub. 703⟩ *"ταχὺς δ', ὅταν εἰς ἄπορον ἐμπέσῃς, ἐπ' ἄλλο πήδα νόημα φρενός." οὗ πόρον οὐκ ἔστιν εὑρεῖν, ἄπορον λέγει. σκώπτειν - - - ὑποτίθεται.* cf. v. *μεταπήδα.*

ταῶς *ὁ Τηρεύς, παρὰ τὸ τηρεῖν τὴν Ἰώ. δασύνεται τε καὶ περισπᾶται.* sch. A Av. 102.

ταὼς εὐπήληξ (Babr. 143) ὁ Μηδικὸς καὶ χρυσόπτερος καὶ ἀλαζονικὸς ὄρνις.

τὰ ὦτα ἐπὶ τῶν ὤμων ἔχοντες (Plato RP 10 p. 613 C) ἐπισείοντες τὴν κεφαλήν, ὃ ποιοῦσιν οἱ ἐκλελυμένοι. καὶ αὖθις "τῶν τὰ ὦτα ἀπόρρητα." cf. v. ὦτα κατεαγότες.

τέγγε βρέχε· "οἴνῳ πνεύμονα τέγγε, φίλης δ' ἀπέχου Κυθερείης."

τέγγεσθαι εἴκειν, ἐνδιδόναι. καὶ τέγγει βρέχει, μαλάττει. ἐν ἐπιγράμματι (AP 6 70) "νῆά σοι, ὦ πόντου βασιλεῦ καὶ κοίρανε γαίης, ἀντίθεμαι μηκέτι τεγγομένην."

Τεγέα πόλις, καὶ Τεγεάτης ὁ πολίτης.

Τεγεσταῖοι ἔθνος, Τεγέστη πόλις.

τέγξω βρέξω.

τέγος στέγη, ἢ ὑπερῷον, δωμάτιον, οἰκία πρόσγειος.

τεήν τὴν σήν· "τεὴν διφῶσα καλιήν" (Hes. O. 374).

τεθεικότες ἀποβαλόντες· Ἰώσηπος (B. I. 5 2 4) "οἳ δὲ πρὸς τὸ ἔργον διῃρημένοι, τὰ πολλὰ τεθεικότες τῶν ὅπλων."

τεθέντων ἀντὶ τοῦ ληφθέντων, ὁμολογηθέντων, συγχωρηθέντων. φησὶ γὰρ Ἀριστοτέλης (Anal. Pr. 1 1 5) "συλλογισμός ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν."

τεθεωρημένη ζητητικὴ τῆς ἀληθοῦς γνώσεως. "ὁ μὲν οὖν Ἀρκεσίλαος ὁ φιλόσοφος νωθρὸς ἦν τὴν φύσιν καὶ χασμώδης, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένος, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι" (Diog. L. 4 32).

τεθηγμένον ἠκονημένον.

τεθηλότα θάλλοντα· "ἐστεφανωμένοι κλῶνάς τε δάφνης τεθηλότας σείοντες."

τέθηπα καταπέπληγμαι.

τεθηπότες ἐπτοημένοι, δειλιάσαντες. Hom. Δ 243.

τεθμός νόμος, καὶ τέθμια νόμιμα.

τέθνασο προστακτικόν.

τεθνειῶτος.

τεθνεῶτα. καὶ τεθνειώτων ἀποθανόντων· "τεθνεώτων δὲ πολλῶν καὶ σαλευόντων, ὑπὲρ τοῦ ζῆν ἐπὶ λεπταῖς ταῖς ἐλπίσι."

τεθνήσῃ διὰ τοῦ σ οἱ Ἀττικοί· "οἴμ' ὡς τεθνήσῃ" (A Ach. 590).

τεθολωμένος, καὶ ἐπὶ χαρᾶς· Φερεκράτης Μυρμηκανθρώποις "γελῶντα καὶ αἴροντα καὶ τεθολωμένον·" καὶ ἐπὶ λύπης "ὑπὸ τῆς ἀνίας ἀπεθολοῦθ' ἡ καρδία."

τέθριππον ἐκ τεσσάρων ἵππων ἅρμα.

τεθυκώς εὐχαριστήσας.

τεθυμμένος ὑπὸ πυρὸς ἐκκεκαυμένος ἢ κεκακωμένος.

τεθυωμένοι τεθυμιαμένοι, εὐώδεις.

τεικτούς (an τεγκτές) χρηςές.

τεΐν σοί, δωρικῶς· ἐν ἐπιγράμματι (Herodot. 5 60) "νικήσας ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα."

τεῖνον.

τείρεα (Hom. Σ 485) τὰ ἄστρα.

τείρει καταπονεῖ. "μυρία τοι, Πτολεμαῖε, πατήρ, ἐπὶ μυρία μήτηρ τειρομένη θαλερὸς ἠκίσατο πλοκάμους" (AP 7 241).

Τειρεσίας ὄνομα κύριον.

Τειριεύς ὄνομα κύριον.

Τείρωνος ὄνομα κύριον.

τειχεσιπλήτης. Hom. Ε 31.

τειχήρεις τετειχισμένους. "τειχήρης ἂν γενόμενος τοὺς πολιορκοῦντας ἀπὸ τῶν περιβόλων ἠμύνετο," ἀντὶ τοῦ εἴσω τειχῶν.

τειχίζω δοτικῇ.

τειχιόεις ὁ τετειχισμένος.

τειχῶν καὶ πόλεως διαστολὴν ἐποιήσατο Θουκυδίδης (1 89), καὶ ἔοικε κυριωτέραν τῆς πόλεως τὴν λέξιν ἐπὶ τῶν οἰκιῶν λαμβάνειν.

τέκεα τέκνα, καὶ τεκόντες οἱ γεννήτορες· (S OC 508) "τοῖς τεκοῦσι γὰρ οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν." τουτέστιν, ὅταν τις ὑπὲρ γονέων πονῇ, μὴ ἡγείσθω πόνον εἶναι τὸν κάματον.

τεκμαιρόμενος στοχαζόμενος· "ψευδῆ τεκμαιρόμενος ἀληθέσι, καὶ οὐ γενησόμενα εἰκάζων γενησομένοις" (Dionys. Hal. 8 57).

τεκμήρασθαι γενικῇ, τεκμηριῶ δὲ γενικῇ καὶ αἰτιατικῇ

τεκμήριον ἀληθινὸν σημεῖον, ἢ τὸ ἄλυτον. καὶ τεκμηριώδης ἀπόδειξις λέγεται τὸ ἐκ τοῦ καπνοῦ τὸ πῦρ ··· ἐπειδὴ τέτοκε (cf. v. ἀπόδειξις). καὶ αὖθις "ὅτι δὲ δαίμων ἦν ἀνθρωπόμορφος ἡ Θεοδώρα, τεκμηριώσαιτο ἄν τις τῷ μεγέθει σταθμώμενος ὧν ἐς τοὺς ἀνθρώπους κακῶν ἔδρασεν· ἐν γὰρ τῷ ὑπερβάλλοντι τῶν πεπραγμένων καὶ ἡ τοῦ δεδρακότος δύναμις ἔνδηλος γίνεται" (Procop. Arc. 18). καὶ αὖθίς φησι Δαμάσκιος (cf. v. ὅροι) "ὅρους δὲ ἐτίθετο ··· ἀπόλαυσιν." "ὃ δὲ κατέδεισεν, ἐπειδὴ ἔγνω τὴν

ὁρμὴν αὐτοῦ, καὶ ὅτι τοῖς ἔργοις τὰς ἀπειλὰς ἐτεκμηρίου" (Dio Cass. 68 17).

Τέκμησσα ὄνομα κύριον, ἡ τοῦ Αἴαντος γυνή.

τέκμωρ τέλος, μόρον, θάνατον.

τέκος τέκνον.

τεκταινόμενος κατασκευάζων.

τεκτήνατο κατεσκεύασε (Hom. E 62).

τέκτων κοινῶς τεχνίτης, ὁ λαοξόος καὶ ὁ τῶν ξύλων εἰδήμων.

τελαμών ὁ ἀναφορεὺς τοῦ ξίφους καὶ τῆς ἀσπίδος· Ἰάμβλιχος "περιβαλὼν δὲ περὶ τὰς χεῖρας αὐτῷ τοὺς τελαμῶνας προσέδησε τῇ κλίνῃ." καὶ ἡ εἰς λεπτὰ κατακεκομμένη ὀθόνη· Ἡρόδοτος (7 181) "οἱ δὲ Πέρσαι περὶ πλείστου ἐποιήσαντο, σμύρνῃσί τε ἰώμενοι τὰ ἕλκεα καὶ σινδόνος βυσσίνης τελαμῶσι κατειλίσσοντες."

Τελαμώνιος ὁ Αἴας.

Τελέας ἐρεῖ ταδί, Ἀριστοφάνης Ὄρνισι (169), "ἄνθρωπος ἀστάθμητος, πετόμενος, ἀτέκμαρτος, οὐδὲν οὐδέποτ' ἐν αὐτῷ μένων." διαβάλλει τὸν Τελέαν ὡς πλανήτην. ἀντὶ τοῦ περὶ τῶν πετομένων ἐὰν ἐρωτήσῃς. ἦν δὲ ὁ Τελέας σκωπτικὸς ἄνθρωπος καὶ εὐμετάβλητος τοὺς τρόπους· πρὸς γὰρ τῇ κιναιδίᾳ καὶ ἐπὶ δειλίᾳ καὶ ὀψοφαγίᾳ καὶ νοσφισμῷ καὶ πονηρίᾳ διεβάλλετο. καὶ Πλάτων ἐν Σύρφακι περὶ τοῦ Τελέου φησὶ "νοεῖ μὲν ἕτερ', ἕτερα δὲ τῇ γλώττῃ φθέγγεται." ἢ ὅτι τελέας ὄρνεον. τοὺς πετομένους ὄρνεις οὗτος ὁ Τελέας (Ἀριστοφάνης φησίν) ἐρεῖ.

τελέθει γίνεται (Hom. H 282).

τελέθουσι γίνονται, θάλλουσι.

τελεία. Ἥρα τελεία καὶ Ζεὺς τέλειος ἐτιμῶντο ἐν τοῖς γάμοις ὡς πρυτάνεις ὄντες τῶν γάμων. τέλος δὲ ὁ γάμος· διὸ καὶ προτέλεια ἐκαλεῖτο ἡ θυσία ἡ πρὸ τῶν γάμων γινομένη (sch. A Th. 982).

ὅτι διττὴ ἡ κατὰ φύσιν ἐπιβάλλουσα τῷ ἀνθρώπῳ τελειότης, ἣ μὲν γνωστική, ἣν ἐπιστήμην καλοῦμεν, ἣ δὲ ὀρεκτική, ἣν ἀρετὴν ἐπονομάζομεν.

τελεῖν ἐπιτελεῖν, πονεῖν. ἢ τὸ δαπανᾶν· ἔνθεν καὶ τελετή.

τελενικῆσαι ἐν Σεριφίοις τὸ κενῶσαι, ἀπὸ Τελενίκου τινός, ὡς τὸ εἰκός, πένητος παντελῶς. καὶ λέγεταί τις Τελενίκιος ἠχώ, ἐκ μεταφορᾶς ἀπὸ τῶν κενῶν ἀγγείων.

τελεσθῆναι τὸ ἀναλωθῆναι. οὕτως Ἀντιφῶν.

Τελέσιλλα ποιήτρια. ἐπὶ στήλης τὰ μὲν βιβλία ἀπέρριπται, κράνος δὲ τῇ κεφαλῇ περιέθηκε· καὶ γὰρ ὅτε Λακεδαιμόνιοι τοὺς ἐν τῷ ἱερῷ τοῦ Ἄργου καταφυγόντας διέφθειρον καὶ πρὸς τὴν πόλιν ᾔεσαν ὡς αἱρήσοντες, τότε Τελέσιλλα τὰς ἐν ἡλικίᾳ γυναῖκας ὁπλίσασα ὑπήντησεν οἷ προσῄεσαν, ὅπερ ἰδόντες οἱ Λακεδαιμόνιοι εἰς τοὐπίσω ὑπέστρεψαν, αἰσχρὸν νομίσαντες γυναιξὶ πολεμεῖν, ἃς καὶ τὸ νικᾶν ἄδοξον καὶ ἡττᾶσθαι μέγα ὄνειδος. ἐς τοῦτο καὶ ὁ χρησμὸς ἐπλήρωτο Ἀργείοις λέγων "ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρρενα νικήσασα ἐξελάσῃ καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται, πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει." cf. Pausan. 2 20

τελεσιουργήσας εἰς τέλος ἀγαγών, ἐργασάμενος. Πολύβιος "περὶ τὸ τῆς ταφρείας χεῖλος τελεσιουργήσας τὴν πρᾶξιν." καὶ αὖθις "ἐπ' αὐτήν που τὴν τελεσιουργὸν κατεβακχεύοντο πρᾶξιν χωρεῖν, σώφρονι μέν τινι ἐς συμπλοκὴν ἐξοιστρώμενοι" (Theoph. Sim. 5 5).

τελεσιουργόν τελέως ἀπηρτισμένον. "διὸ καὶ ὅσα ἔγραψεν, εὕροι τις ἂν τὸ μὲν ὑψηλόνουν τε καὶ τελεσιουργὸν ἔχοντα, τὰ δὲ ἔπεσιν οὐ πάνυ συνηρμοσμένα." cf. ἐνδεέστερος.

τελεσχόμενος τελειούμενος, πληρούμενος, ἐνθουσιῶν.

Τελέστης κωμικός. τούτου δράματα ἐστὶν Ἀργὼ καὶ Ἀσκληπιός, ὥς φησιν Ἀθήναιος ἐν τῷ ιδ' τῶν Δειπνοσοφιστῶν.

τελεσφόρος τέλειος, μάντις ἐγγαστρίμυθος.

Τελέσωνος.

τελετή θυσία μυστηριώδης ἡ μείζων καὶ τιμιωτέρα, ἀπὸ τῶν γινομένων εἰς αὐτὰς δαπανημάτων· τελεῖν γάρ φαμεν τὸ δαπανᾶν, καὶ πολυτελεῖς τοὺς πολλὰ ἀναλίσκοντας, καὶ εὐτελεῖς τοὺς ὀλίγα. cf. Athen. p. 40.

τελευταῖον ἔσχατον.

τελευτῆσαι τελέσαι.

τελεώτερον τὸ τέλειον.

τέλθειν ἐν ᾠδῇ τέρπειν.

Τελλίνη πόλις.

Τέλλος (Herodot. 1 30) ὄνομα κύριον.

τέλμα τόπος πηλώδης, ὕδωρ ἔχων· "μέλει μοι περὶ τῶν τοιούτων οὐδὲν ἧττον

τοῖς τέλμασι βατράχων" (cf. v. μέλει).
ισίδης ⟨exp. Pers. 2 311⟩ "χερσοῖ τὰ
, τελματοῖ δὲ τὰς λίθυς."
ματα τὰ πηλώδη καὶ τελευταῖα τῦ
. ἢ βάθρα. Ἰσαῖος δὲ εἶπε τὰ γεωργή-
;ωρία. καὶ Ἀριστοφάνης (Av. 1580)
:ον ὕδωρ ἂν εἴχετ' ἐν τοῖς τέλμασι,"
ι τοῖς φρέασι.
λμενα καὶ Τέλμισσα ὀνόματα πό-

λμισσεῖς. οὗτοι οἰκοῦσιν ἐν Καρίᾳ,
τες ξ' στάδια Ἁλικαρνασοῦ, ὡς Πο-
Τελμισσὸς δὲ πόλις ἐν Λυκίᾳ, ἀπὸ
ισοῦ τοῦ Ἀπόλλωνος καὶ μιᾶς τῶν
ιρος θυγατέρων, ᾗ ἐμίγη εἰς σκύλακα
ιλιών· διὸ καὶ τερατοσκόπον αὐτὴν
εν, ὡς Διονύσιος ἐν Κτίσεσι. Τελμι-
πολίτης.
ιος ἀρχή, τάξις. τέλος καὶ τὸ διδό-
τοῖς βασιλεῦσι. τέλος καὶ τὸ δαπάνη-
·εν πολυτελὲς τὸ πολυανάλωτον. τέλος
ι πέρας, καὶ ὁ γάμος· ὅθεν καὶ τὰ
ιεια.
τὸ οὗ ἕνεκα, τουτέστι τὸ τέλος, διτ-
:ὸ μὲν οὗ, τὸ δὲ ᾧ· οἷον, τῷ οἰκοδό-
·λος ἐστὶ τὸ οὗ ἕνεκα, ποιῆσαι σκέ-
ι κωλυτικὸν ὄμβρων καὶ καυμάτων, ᾧ
ῖν· τὸ γὰρ σκέπασμα ἡμῖν ποιεῖ. ἐσμὲν
μεῖς τοῦ οἰκοδόμου τέλος τὸ ὡς ᾧ.
ιως δὲ θεωρεῖν ἔστι καὶ ἐπὶ πάντων
ύσει συνεστώτων· οἷον, ἡ μὲν ἔφεσις
ϑείου, δι' ἣν ἕκαστον τῶν ἐμψύχων
ἄλλο οἷον αὐτό, τέλος ἐστὶ τὸ οὗ· τῦ-
ὰρ ἕνεκεν ἡ γένεσις. ἐπειδὴ δὲ τὰ σώ-
ὄργανα γίνονται ταῖς ψυχαῖς, αἱ ψυ-
ίσι τέλη ὡς ᾧ. ἀναλογεῖ οὖν τῷ μὲν
ιῃ τῷ οἰκοδόμῳ ἡ φύσις, τῷ δὲ ἀν-
ιῳ τῷ ἐπιτάττοντι γενέσθαι τὸ σκέ-
α ἡ ψυχή, τῷ σώματι δὲ ἡ οἰκία. οὐ
ν δὲ ἐπὶ τῶν ζῴων τέλος ἔστι διττόν,
ε οὗ καὶ τὸ ᾧ, ἀλλὰ καὶ ἐπὶ τῶν φυ-
καὶ γὰρ ἐν τούτοις ἡ φύσις ὀργανικὸν
τὸ σῶμα πρὸς τὴν χρείαν τῆς ἐν αὐ-
ψυχῆς ἀναφερόμενον· ὀργανικὰ γὰρ τὰ
φυτῶν μέρη, ῥίζα φλοιὸς ἐντεριώνη καὶ
ια καὶ τὰ τοιαῦτα. ἐπὶ μὲν οὖν τῶν
ύχων διττὸν τὸ τέλος, ὥσπερ εἴρηται·
δὲ τῶν λοιπῶν οὐκ ἔστιν εὑρεῖν τὸ τέ-
διττόν. μέταλλα γὰρ καὶ λίθοι καὶ ἁπλῶς
ἄψυχα, προσεχῶς ὑπὸ ψύξεως καὶ θερ-
μότητος γινόμενα, ἐξῃρημένως δὲ ὑπὸ τῆς
ὅλης δημιουργίας, ἐν τέλος ἔχει τὸ οὗ· ἕνεκα
γὰρ τῆς κοσμοποιίας. οὐκέτι μέντοι καὶ τὸ
ὡς ᾧ τέλος ἔστιν ἐν τούτοις· οὐ γάρ εἰσιν
ὄργανα τινῶν, οὐδὲ εἰς χρείαν ψυχῶν τινῶν
κατασκευάζεται. Philopon. in 2 de anima, H
6 b. cf. v. οὗ b.

σημαίνει δὲ τὸ τέλος ἕξ. c

Ἀρίστων δὲ ὁ Χῖος τέλος ἔφησεν εἶναι d
τὸ ἀδιαφόρως ἔχοντα ζῆν πρός τι μεταξὺ
ἀρετῆς καὶ κακίας, μηδὲ ἡντινοῦν ἐν αὐτοῖς
παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπ' ἴσης ἐπὶ
πάντων ἔχοντα· εἶναι γὰρ ὅμοιον τὸν σοφὸν
ἀγαθῷ ὑποκριτῇ (Diog. L. 7 160).

διαφέρει δὲ τέλος καὶ ὑποτελίς· τῆς μὲν e
γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι, τοῦ
δὲ μόνον τὸν σοφόν. τὰ δὲ μεταξὺ ἀρετῆς
καὶ κακίας ἀδιάφορα εἶναι (Diog. L. 7 165).

οἱ δὲ εἶπον τέλος εἶναι τὴν ἐπιστήμην, f
τὸ μετ' ἐπιστήμης ζῆν καὶ μὴ τῇ ἀγνοίᾳ
διαβεβλημένον.

τέλος εὐδαιμονίας διαφέρει· τέλος μὲν g
γάρ ἐστιν ἡ κατὰ μέρος ἡδονή, εὐδαιμονία
δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς
συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ
μέλλουσαι (Diog. L. 2 87).

σύνταξις· "τέλος εἶναι διαγρυπνεῖν ἡμᾶς h
ἠνάγκαζον."

ὅτι ἐντελέχειά ἐστιν ἡ ψυχὴ ὡς τελειοῦσα i
καὶ κυβερνῶσα καὶ οἰκονομοῦσα τὸ σῶμα
καὶ κινοῦσα τὰ ὄργανα τούτου πάντα· ἧς
ἄνευ ἀτελές, μᾶλλον δὲ ἄχρηστον καὶ παν-
τελῶς οὐδέν.

τέλος. "ὁ δὲ Σόλων τῆς παρούσης τῷ k
Κροίσῳ τύχης κατεφρόνησεν, ἐκέλευσέ τε τῦ
βίου παντὸς τὸ τέλος ἀναμένειν, μηδὲ προ-
πηδᾶν, μηδὲ ἐπειγόμενον τοῖς εὐδαίμοσιν
ἑαυτὸν ἐγκαταγράφειν· ἀτέκμαρτα γὰρ καὶ
ἄδηλα τὰ ἀνθρώπινα."

τελοῦντα τεταγμένα.

Τελχῖνες πονηροὶ δαίμονες, ἢ ἄνθρω-
ποι φθονεροὶ καὶ βάσκανοι. δύο ἐγένοντο
Τελχῖνες, Σίμων καὶ Νίκων, ὑπερίσχυσε δὲ
ὁ Νίκων τὴν ἐπὶ Σίμωνι φήμην ἀπαλεῖψαι.
καὶ ἡ παροιμία "οἶδα Σίμωνα, καὶ Σίμων
ἐμέ," ἐπὶ τῶν ἀλλήλους ἐπὶ κακίᾳ γινωσκόν-
των. καὶ τελχίνειος.

τελχιταίνει ἀντερίζει, σκληροτραχηλεῖ.

τελωνεῖον προπερισπωμένως, ἐν ᾧ κα-
θέζεται ὁ τελώνης. τελώνιον προπαροξυ-

τόνως διὰ τοῦ ι γραπτέον· Πισίδης "ἐβουλόμην δὲ πᾶν τὸ τοῦ λόγου πλάτος ἐν τῷ στενῷ σου προσβαλεῖν τελωνίῳ."

a τελώνης ὁ τῶν τελῶν ἐταστής. διεβέβλητο παρὰ τοῖς παλαιοῖς τὸ τοῦ τελώνου ὄνομα, καὶ τοῦ Κλέωνος ὄντος τελώνου καὶ ὑπὲρ τὸ τέλος τελωνοῦντος, ὥς φησιν Ἀριστοφάνης ⟨Eq. 248⟩.

b τελώνης ἀλλοτρίων πραγμάτων μεριςής. πεπαρρησιασμένη βία, ἀνεπιτίμητος ἁρπαγή, ἀναίσχυντος πλεονεξία, πραγματεία λόγον μὴ ἔχουσα, ἀναιδὴς ἐμπορία ⟨Chrysost. t. 8 p. 74⟩.

c τελώνης. Ἰάμβλιχος "ἔδωκε τὸν ὅρμον ὁ τελώνης τῷ ἐμπόρῳ. οὐκ ἤδη καὶ λύκοι θήσουσιν ἄρνας ἐκ τῶν στομάτων, καὶ λέοντες ἀπὸ τῶν ὀδόντων ἀπολύσουσι νεβροὺς ταῖς μητράσιν, ὁπότε καὶ τελώνης ἀφῆκεν ἄγραν τηλικαύτην;"

τεμάχη ἐπὶ κρεῶν καὶ ἰχθύων καὶ ἐπὶ πλακούντων· ἐπὶ δὲ πισῶν οὐκέτι. Ἀριστοφάνης Νεφέλαις ⟨338⟩ "κεστρῶν τεμάχη μεγάλων." ἐπὶ δὲ τῶν ἄλλων, οἷον τυροῦ, τόμος. ἡ εὐθεῖα τὸ τέμαχος. cf. v. κεστρᾶν.

τεμαχί ἐπίρρημα.

τεμένη ναοί, ἱερά, ἢ τὰ ἀφωρισμένα κατὰ τιμὴν χωρία.

τεμενίτης.

τέμνειν πείθειν, τιμᾶν, ἡγεῖσθαι.

τέμνειν καὶ ὑποτέμνειν διαφέρει. τέμνειν μὲν γάρ ἐστι τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν, ὑποτέμνειν δὲ τὸ λοξώδη, ἵνα παχέα φαίνηται· τὸ γὰρ ἀνώμαλον τῆς τομῆς παχύτητος δόξαν ἐργάζεται· ὅπερ ποιοῦσιν οἱ βυρσοδέψαι ⟨sch. A Eq. 291⟩.

τέμνουσι φάρμακον τιμῶσιν, ἡγοῦνται. οὕτως ἄλλοι τε καὶ Ἱεροκλῆς.

τέμπεα τὰ κοιλώματα.

Τέμπη τὰ μεταξὺ τῶν Θετταλίας ὀρῶν περὶ τὸν Ὄλυμπον καὶ τὴν Ὄσσαν στενά. καθόλου δὲ αἱ ἐν πᾶσι τοῖς ὄρεσι στενώταται διεκβολαί, καὶ οἱ σύνδενδροι τόποι. ἰδίως δὲ Μακεδονικὰ ὄρη οὕτω καλούμενα, καὶ οἱ στενοὶ τόποι. Ἡρόδοτος ⟨7 173⟩.

ὅτι μετα τὴν ἐν Μαραθῶνι μάχην Θετταλοὶ ἐμήδισαν, δείσαντες τὴν ἀπόφραξιν τῶν Τεμπῶν.

τέμπλα ἐπίσημα.

τενάγη διάβροχοι καὶ κάθυγροι τόποι, πηλώδη πελάγη· ἢ ἰλύς, ἐπιπολάζοντος ὕδατος οὐ πολλοῦ καὶ βοτάνης ἐπιφαινομένης τῷ ὕδατι. Πολύβιος ⟨1 75⟩ "κατὰ τὴν εἰς θάλατταν ἐκβολὴν τοῦ Βουκάρα ποταμοῦ συνθεωρήσας κατά τινας ἀνέμων στάσεις ἀποθινούμενον τὸ στόμα καὶ τεναγώδη γινομένην τὴν παρὰ τὸ στόμα πάροδον, τηρήσας τὸ προειρημένον σύμπτωμα διεβίβασε τὴν ςρατιάν." "τὰ δὲ δὴ πλείω τῶν πλοίων μετέωρα διὰ τὰ τενάγη ἀπεσάλευε."

τέναρος κακοῦργος, συκοφάντης.

Τενέδιος ἄνθρωπος, ἐπὶ τῶν φοβερὰς ὄψεις ἐχόντων· ὁ γὰρ Τέννης ἐνομοθέτησεν ἐν Τενέδῳ ἄνθρωπον πέλεκυν ἔχοντα ἵστασθαι κατὰ νῶτον τοῦ κριτοῦ, καὶ τὸν μάτην λέγοντα ἁλισκόμενον πλήττειν.

Τενέδιος ἄνθρωπος. Κύκνον τὸν Ποσειδῶνος, γενόμενον πατέρα Ἡμιθέας καὶ Τέννου, ἐπιγῆμαι τέτοις, καὶ κατηγορηθῆναι τὸν Τέννην ὑπὸ τῆς μητρυιᾶς ὡς ἐρῶντα αὐτήν. πεισθέντα δὲ Κύκνον εἰς λάρνακα βαλεῖν τὸν νεανίαν. ἑλομένης δὲ τῆς Ἡμιθέας συγκινδυνεύειν τῷ ἀδελφῷ, ἑκατέρους κατεπόντωσεν. ἡ δὲ λάρναξ ἠνέχθη ἐπὶ τὴν πρότερον καλεμένην Λεύκοφρυν, ὕστερον δὲ Τένεδον ἀπ' ἐκείνε, ὃς καὶ βασιλεύσας τῆς νήσε ἐνομοθέτησε τοῖς τὰ ψευδῆ κατηγοροῦσιν ὄπισθεν παρεστάναι τὸν δήμιον πέλεκυν ἐπηρμένον, ὡς ἐλεγχθέντας τὸ παραχρῆμα ἀναιρεῖσθαι. ἀπὸ δὲ τε φοβεροῦ θεάματος ἐκείνε λέγεσθαι Τενέδιος ἄνθρωπος. εἴρηται ἐν ἡ παροιμία ἐπὶ τῶν φοβερῶν τὰς ὄψεις. cf. sch. Hom. Δ 38.

Τενέδιος ξυνήγορος ἀντὶ τε ἀπότομος· δύο γὰρ πελέκεις ἐν ἀναθήμασι τιμῶσι Τενέδιοι, καὶ παροιμία "Τενέδιος πέλεκυς." Ἀριστοτέλης μέντοι ὅτι βασιλεὺς Τενέδιος μετὰ πελέκεως δικάζων τὸν ἀδικοῦντα εὐθέως ἀνῄρει. ἢ ὅτι Ἀσσερίνα τόπος ἐν Τενέδῳ, ἔνθα ποταμίσκος ἐν ᾧ καρκίνοι τὰ χελώνια διηρθρωμένα ἐπὶ πλεῖον ἔχοντες καὶ πελέκει ἐμφερῆ. ἢ ὅτι βασιλεύς τις νομοθεὶς πελέκει τοὺς μοιχὸς ἄμφω καρατομεῖσθαι καὶ ἐπὶ τε υἱε ἐτήρησε τετο· καθ' ὃ καὶ ἐν τῷ νομίσματι ἐφ' ε μὲν πέλεκυς, ἐφ' ε δὲ δύο πρόσωπα ἐξ ἑνὸς αὐχένος. οἱ δ' ὅτι Τέννης δι' ἃ ἔπαθεν ὑπὸ τῆς μητρυιᾶς, μετὰ πελέκεως τὰς φονικὰς ἔκρινε δίκας.

τένθαις λίχνοις· τένθειν γὰρ τὸ ἐσθίειν "ὅτ' ἀνόστεος ὃν πόδα τένθει" ⟨Hes. O. 524⟩ διὰ τε θ γραπτέον.

ενθεία σιναμωρία, λιχνότης· Ἀριστο-
ς (Av. 1675) "πολλήν γε τενθείαν λέ-
'

ένθης ὁ γαστρίμαργος.

ένοντας τραχήλους, τὰ διατεταμένα
ι· "ταύρου βαθὺν τένοντα" (AP 6 256).
ὁ ταῦρος πληγεὶς καὶ διακοπεὶς τοὺς τέ-
ς ἡσυχῇ καὶ κοσμίως κατηνέχθη." καὶ
: (AP 6 218) "ἐκ δὲ τενόντων ἔνθους
ητὴν ἐστροφάλιξε φόβην."

ἰο ἀντὶ τοῦ τίνος (Hom. *B* 225).

εόν τὸ σόν.

έραμνον ἁπαλόν, εὔψανον. καὶ ἀτέ-
νον τὸ δυσέψανον· οὕτω Πλάτων. "τέ-
α καὶ ὑπερῷα καὶ ὑπέρθυρα καὶ δρύ-
οι κατακαέντες παίδων ὄλεθρον σημαί-
' (Artemid. 2 10).

έρας παράπλασμα παρὰ φύσιν τεχθέν,
ιεῖον. ὅτι ἐπὶ τῶν τεράτων ἡ ὕλη ἐστὶν
, ἐπειδὴ δεῖ καὶ ἐπιτηδειότητος τῆς
κατά τε τὸ ποσὸν καὶ τὸ ποιόν· ὕλη
ῶν ζῴων τὸ καταμήνιον. αὕτη οὖν ἢ
άζουσα ἢ ἐνδέουσα ἢ παρὰ φύσιν πε-
ιένη τῶν τεράτων ἐστὶν αἰτία.

έρας τὸ παρὰ φύσιν γενόμενον· Ἀρι-
άνης (Pac. 760) "τοιοῦτον ἰδὼν τέρας οὐ
εισ', ἀλλ' ὑπὲρ ὑμῶν πολεμίζων ἀντεῖ-

ράστια σημεῖα, θαύματα· Αἰλιανός
γεννώμενα --- τεράστια ἐδόκει" (cf. v.
ων).

ρατεία ψευδολογία, παραδοξολογία.

ρατευόμενος ψευδόμενος καὶ μηδὲν
ὲς μηδὲ ὑγιὲς λέγων. "τερατευόμενοι
ομπάζοντες ὡς εἰς πολλὰ εἴη χρήσιμος
τόπου κατάληψις" (cf. v. ἐλογοποίουν).
ὑπὸ τῶν τερατευομένων καὶ γοήτων
ἐπῳδῶν καὶ δαιμόνων ἀποπομπῆς" (M.
ι. 1 6).

ερατολογεῖν λέγεται τὸ ἀπίθανα διη-
αι καὶ λέγειν πράγματα ἔξω τῶν ἀν-
ίνων.

ερατολογίαι ψευδολογίαι.

ερατολόγοι οἱ θαυμαστὰ καὶ παρά-
μυθεύοντες.

ερατοσκόπος μάντις.

ερατουργός θαυματοποιός.

ερατώδη παράδοξα.

εράων (Hom. *M* 229) σημείων.

Γεργέστη πόλις.

τερέβινθος εἶδος δένδρου. ἢ δρῦς. Sozom. 2 4.

τέρεν ἁπαλόν.

τερετίσματα ᾠδαὶ ἀπατηλαί, ἢ ᾄσματα ἔκλυτα, ἀπὸ μεταφορᾶς τοῦ τέττιγος ἢ τῆς χελιδόνος. καὶ τερετίζομεν τοιοῦτο μέλος ᾄδομεν.

τέρετρον τρύπανον.

τερηδών σκώληξ ξυλοτρώκτης, οἰκῶν ἐν ξύλῳ· Ἀριστοφάνης Ἱππεῦσιν (1313) "ἀλλ' ἐάν με χρῇ, ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα καταγηράσομαι." καὶ αὖθις (Th. 1186) "σὺ δ' ὦ Τερηδὼν ἐπαναφύσα Περσικόν," ἀντὶ τοῦ βαρβαρικὸν ᾆσμα καὶ Περσικὸν ὄρχημα.

Τερήνας.

Τερθεύς ὄνομα κύριον.

τερθρεία ἡ λεπτολογία. ἔστι γάρ τι σχοινίον ἐν τοῖς πλοίοις λεπτόν, ὃ καλεῖται τέρθρον. φασὶ δέ τινες τὰ ἄνω τρημάτια τοῦ ἐπὶ τῷ ἱστῷ ὀργάνου, ἀφ' οὗ ἤρτηται τοῦ ἱστοῦ ἡ κεραία. ἄλλοι δὲ τερθρείαν φασὶ τὴν φλυαρίαν καὶ τὴν ἐν τοῖς δύο μέρεσι καλουμένην μάχην. οἱ δὲ ὅτι ἔθος ἦν τοὺς ἐφήβους μετὰ τὸ γενέσθαι περιπόλους τῆς χώρας στρατεύεσθαι μέν, εἰ συμβαίη πόλεμος, μὴ μέντοι μετὰ τῶν ἄλλων, ἀλλ' ἰδίᾳ ἐν μέρεσι τοῖς ἀκινδύνοις τῆς μάχης· διὸ τὴν στρατείαν καλεῖσθαι τὴν ἐν τοῖς μέρεσι. σημαίνει καὶ ἀπάτην καὶ περιεργίαν.

Τερθρηδόνος (Hom. *B* 756).

Τέριζοι ὄνομα ἔθνους.

τέρμα τέλος, ὅρος ἢ καμπτήρ· (A Av. 706) "τέρμασιν ὥρας," μετὰ τὴν νεότητα. εἰς τρία --- πόδες (cf. v. ἀκρώρεια).

τερματίζεται τελειοῖ.

Τερμέρια κακά. περὶ Καρίαν χωρίον Τερμέριον καλεῖται, ᾧ ἐχρῶντο οἱ τύραννοι δεσμωτηρίῳ. τὸ δὲ χωρίον ἐρυμνὸν τυγχάνον κεῖται μεταξὺ Μύνδου καὶ Ἁλικαρνασσοῦ. τῶν δὲ ἀπὸ τούτου ληιζομένων δυσαλώτων τυγχανόντων λεχθῆναι τοῦτο. Τερμέρια οὖν κακὰ τὰ μεγάλα κακά. cf. sch. Vat. Eur. Rhes. 505.

Τερμησσεῖς ἔθνος Πισιδίας.

τερμία ἡμέρα (S Ant. 1331) ἐφ' ἧς μέλλει τὸ τέλος τοῦ βίου εὑρήσειν. "οἴμοι τὰ πολλὰ ἔξεχρη κακὰ ἐλθόντι χώραν τερμίαν, ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον" (S OC 87).

τέρμινθος εἶδος φυτοῦ.

τερμιόεσσα ἡ μακρὰ καὶ μεγάλη. καὶ **τερμιόεις** ⟨Hom. *Π* 803⟩.

τερμόνων.

Τέρπανδρος Ἀρναῖος, ἢ Λέσβιος ἀπὸ Ἀντίσσης, ἢ Κυμαῖος· οἱ δὲ καὶ ἀπόγονον Ἡσιόδȣ ἀνέγραψαν, ἄλλοι δὲ Ὁμήρȣ, Βοίȣ λέγοντες αὐτὸν τοῦ Φωκέως τοῦ Εὐρυφῶντος τοῦ Ὁμήρȣ· λυρικός, ὃς πρῶτος ἑπτάχορδον ἐποίησε τὴν λύραν, καὶ νόμους λυρικοὺς πρῶτος ἔγραψεν, εἰ καί τινες Φιλάμμωνα θέλȣσι γεγραφέναι.

τέρπεσθον τέρπονται, δυϊκῶς ⟨Hom. *Δ* 10⟩.

τερπικέραυνος ὁ τοῖς κεραυνοῖς τερπόμενος ⟨Hom. *Δ* 419⟩.

τέρπνιστον ἐπιτερπέστατον, προσφιλέστατον.

τερπωλήν τέρψιν ⟨Hom. *σ* 37⟩.

Τερψιχόρη μία τῶν θ' μȣσῶν.

Τερψίωνος.

τέσσαρες. καὶ τέσσαρες καὶ δέκα ἄνδρες.

τεταμένον φῶς εὐθὺ οἷον κίονα ⟨Plato RP 10 p. 616 B⟩. τὸ οὐράνιον λέγει. τὸ γὰρ συνέχον τὴν περιφοράν, τὸ ὑπόζωσμα τοῦ κόσμȣ. κατ' ἄκρα δ' αὖ διήκων ἐπινοεῖται ὁ ἄξων. εὐθὺ δὲ ἀντὶ τȣ̃ ὀρθόν. τινὲς τὸν ἄξονα τȣ̃ κόσμȣ, οἱ δὲ κύλινδρόν τινα πυρὸς αἰθερίȣ περὶ τὸν ἄξονα ὄντα.

τέτανος νόσος περὶ τȣ̀ς ἵππȣς γιγνομένη. νοσȣ̃σι γὰρ οἱ ἵπποι πλείοσι νοσήμασι, ποδάγρᾳ ἰλεῷ τετάνῳ ἐμπνήσει καὶ κριθιάσει. ἔστι δὲ ἡ κριθίασις ὠμότης μετὰ στρόφȣ, ὁ δὲ τέτανος σπασμός, ἡ δὲ ἰλεώδης νόσος κοιλιακή τις διάθεσις, ἡ δὲ ἐμπύησις ἀπόστασις ἐν ὑπογαστρίῳ, ἡ δὲ ποδάγρα ὀδύνη περὶ τὰ ἄρθρα. καὶ δυσȣρίασις.

τέτανος καὶ ῥοπαλισμός ἡ τάσις τȣ̃ αἰδοίȣ, ἐπεὶ ὡς ῥόπαλον γίνεται· Ἀριστοφάνης ⟨Lys. 553⟩ "κἀτ' ἐντέξῃ τέτανον τοῖς ἀνδράσι καὶ ῥοπαλισμȣ́ς."

τεταρπόμενος τερπόμενος. Hom. *α* 310.

τεταρταῖος τεταρταίμερος.

a **τεταρτημόριον** δίχαλκον· ὁ γὰρ χαλκȣ̃ς ὄγδοον τȣ̃ ὀβολȣ̃. καὶ τεταρτημόριόν τινα χαλȣ̃σιν, οἷον διχάλκȣ ἄξιον.

b **τεταρτημόριον** τὸ τέταρτον μέρος τȣ̃ ὀβολȣ̃, τȣτέστι χαλκοῖ β'. Harp.

τετάφατε ἐθάψατε.

τετελεσμένων μεμιασμένων ⟨Hom. ·
15⟩.

τέτευκται κατεσκεύασται.

τέτηκα ἔτηξα ἢ ἐτάκην· Πολύβιος ⟨I
24⟩ "τὸ δὲ τετηκὸς καὶ συνερρυηκὸς ἀρ·
ριον καὶ χρυσίον ἀναζητοῦντες ὑπὸ τȣ̃ π·
ρὸς πλεῖστοι Ῥωμαίων διεφθάρησαν."

τετιημένα· Θȣκυδίδης ⟨4 26 ?⟩ "ἐσ·
κελλον γὰρ τὰ πλοῖα τετιημένα χρημάτω·

τετιημένος ⟨Hom. *Λ* 555⟩ τετιμωρη·
νος, καὶ **τετίησθον** ⟨*Θ* 447⟩ τετιμώρησ·

τέτλαθι ὑπόμεινον, καὶ **τετληκώς** ὑπ·
μείνας.

τέτορε διῆλθε.

τετορήσω ἀντὶ τȣ̃ σαφηνιῶ, ὃ ἔξι δη·
λώσω· τορῶς γὰρ σαφῶς καὶ ἀκριβῶς. ·
τȣ̃ παρακολȣθȣ̃ντος, ἀντὶ τȣ̃ εἰ μὴ ·
Ἀριστοφάνης ⟨Pac. 382⟩ "ὑπὸ τȣ̃ Διὸς ἀπο·
δυνθήσομαι, εἰ μὴ τετορήσω ταῦτα καὶ ·
κήσομαι."

τετραβάμων τετράπȣς.

τετράγωνος εὐσταθής, ἑδραῖος· Δα·
μάσκιος "σεμνὸς δὲ ἦν καὶ εὐσχήμων τὰ
πάντα καὶ τετράγωνος, ἄνευ ψόγȣ τετυγμέ·
νος, ὡς φάναι κατὰ τὸν Σιμωνίδην, ὥστ·
μηδὲ τȣ̀ς ἐπαναστάντας αὐτῷ συκοφάντ·
τȣ́τȣς ἀρνεῖσθαι τὸ μὴ ȣ̓ πάντῃ ἄξιον ·
εἶναι τὸν ἄνθρωπον."

τετραδεῖον τὸ ἐκ τεσσάρων στιχ·
τετράδιον δὲ καὶ τετράδυον.

τετράδι γέγονας, ἐπὶ τῶν ἄλλοις ·
νόντων· καὶ γὰρ τὸν Ἡρακλέα τετράδι ·
νηθέντα Εὐρυσθεῖ ταλαιπωρῆσαι. Φιλόχ·
δὲ αὐτὴν καὶ ἐπὶ Ἑρμȣ̃ δύνασθαι λέ·
διατεθεῖσθαι δὲ Ἡρακλεῖ τὴν ἡμέρ· ·
ταύτῃ εἰς θεȣ̀ς μεταστάντι.

τετραδισταί οἱ ἐπίπονον βίον ·
τες, ἀπὸ τȣ̃ Ἡρακλέȣς, ὃς τετράδι γεννη·
πολλȣ̀ς πόνȣς ἔτλη.

τετραέλικτος πολυέλικτος· "κόσμ·
ὠδίνων τετραέλικτος ὄφις" ⟨AP 7 210⟩.

τετραετηρίς.

τετρακόρυμβος ὁ δ' ἄκρȣς ·
"θάλλοι τετρακόρυμβος, Ἀνάκρεον, ἀμφ· ·
κισσός" ⟨AP 7 23⟩.

τετρακόσιοι. οἱ ν' πρὸ ζ' ἐτῶν ·
στησαν τῶν λ' τυράννων παρ' Ἀθηνα·
οἵτινες δ' μῆνας ἦρξαν τῆς πόλεως. Har·

τετρακτύς οἱ τέσσαρες ἤγȣν ἡ ·
ὅτι οἱ Πυθαγόρειοι πάντα ἀριθμ· ·

όρευον. ὁ δὲ ἀριθμὸς συμπληροῦται τοῖς , ὁ δὲ ι' σύνθεσις τῶν δ'. καὶ διὰ τοῦτο ὸν ἀριθμὸν πάντα τετρακτὺν ἔλεγον ⟨Phot. 39 a 8⟩.

οἱ αὐτοὶ ἐτίμων καὶ τὰ δ' διὰ τὰς δ' ῆς σελήνης μορφάς· ἀρτίτοκος γάρ, μηνοειδής, ἀμφίκυρτος καὶ πανσέληνος.

τετραλογία. κατὰ τὴν τραγικὴν τετραλογίαν ἐξέδωκε Πλάτων τοὺς διαλόγους. ἐκεῖνοι γὰρ δ' δράμασιν ἠγωνίζοντο διονυσίοις ληναίοις παναθηναίοις χύτροις, ὧν τὸ τέταρτον ἦν σατυρικόν· τὰ δὲ δ' δράματα ἐκαλεῖτο τετραλογία. εἰσὶ τοίνυν οἱ πάντες Πλάτωνι γνήσιοι διάλογοι ς' καὶ ν'. διπλαῖς δὲ χρῆται ταῖς ἐπιγραφαῖς καθ' ἕκαστον τῶν βιβλίων, τῇ μὲν ἀπὸ τοῦ ὀνόματος, τῇ δὲ ἀπὸ τοῦ πράγματος. ταύτης τῆς τετραλογίας ἥτις ἐστὶ πρώτη, ἡγεῖται Εὐθύφρων ἢ περὶ ὁσίου· ὁ διάλογός ἐστι πειραστικός· δεύτερος ἀπολογία Σωκράτους, ἠθικός· τρίτος Κρίτων ἢ περὶ πρακτέου, ἠθικός· τέταρτος Φαίδων ἢ περὶ ψυχῆς, ἠθικός. δευτέρα τετραλογία καὶ ἐφεξῆς ἐν τῷ βιβλίῳ Λαερτίου Διογένους περὶ βίων φιλοσόφων ⟨3 56⟩.

τετραμαίνω. οὕτως Ἀριστοφάνης ἐν Νεφέλαις ⟨294⟩ "οὕτως αὐτὰς τετραμαίνω καὶ πεφόβημαι" ἀντὶ τοῦ τρέμω, παραγώγως. ἐπίτηδες δὲ ἐξέτεινε τὴν λέξιν τερατευόμενος.

τετράμονος.

τετρανθέντα τρυπηθέντα· ⟨AP 6 296⟩ "ἰοδόκην καὶ τοῦτον ἐπ' ὄρτυγι τετρανθέντα αὐλόν."

τετραποδηδόν ⟨A Pac. 896⟩. οὕτως ἐβάδιζον οἱ ἐν Λιβύῃ σκιάποδες, πλατύποδες ὄντες, καὶ ἀνορθοῦντες τὸν ἕτερον τῶν ποδῶν, καὶ κατασκιάζοντες τὸ λοιπὸν σῶμα εἰς ἀποφυγὴν τοῦ ἐν αὐτοῖς ὄντος καύματος. cf. v. σκιάποδες.

τετραποδητί ποσὶ καὶ χερσίν· "οἳ δὲ τετραποδητὶ τρόπον τινὰ προσπλεξάμενοι ἐβιάζοντο" ⟨Polyb. 5 60⟩.

τετραπτερυλλίδων τῶν ἀκρίδων, παρὰ τὸ δ' ἔχειν πτερά ⟨sch. A Ach. 871⟩.

τετραραῖα.

τετραρχία οἱ δ' λόχοι, ἄνδρες ξδ'. καὶ ὁ ἡγούμενος **τετράρχης**.

τετραρχία. τεττάρων μερῶν ὄντων τῆς Θετταλίας ἕκαστον μέρος τετρὰς ἐκαλεῖτο. ὄνομα δέ φησιν εἶναι ταῖς τετράσι Θετταλιῶτιν Πελασγιῶτιν Φθιῶτιν Ἑστιαιῶτιν. καὶ Ἀριστοτέλης δὲ ἐν τῇ κοινῇ Θετταλῶν πολιτείᾳ ἐπὶ Ἀλεύα τοῦ Πύρρου διῃρῆσθαί φησιν εἰς δ' μοίρας τὴν Θετταλίαν. εἴη ἂν οὖν λέγων ὁ Δημοσθένης ⟨9 26⟩ τὴν τετραρχίαν. Harp.

τετράς τετράδος. καὶ **τέτρασι καιροῖς.**

τετρασκάλμου· "οἱ δὲ Ῥωμαῖοι δόγμα ἔγραψαν ὅπως οἱ Κρῆτες πάντα τὰ πλοῖα ἕως τετρασκάλμου ἀποπέμψωσιν ἐς Ῥώμην" ⟨Diodor. Sic. t. 2 p. 632⟩.

τετραστατήρου. Ἀριστοφάνης ⟨Eccl. 429⟩ "Εὐαίων ὁ δεξιώτατος γυμνός. κἄπειτ' ἔλεξε δημοτικωτάτους λόγους· ὁρᾶτε μέν με δεόμενον σωτηρίας τετραστατήρου, ἀλλ' ὅμως ἐρῶ. ἢν παρέχωσι τοῖς δεομένοις οἱ κναφεῖς χλαίνας, ἐπειδὰν ἥλιος τραπῇ, πλευρῖτις ἂν ὑμῶν οὐδέν' ἂν λάβοι ποτέ." οὗτος πένης ὢν ὁ Εὐαίων. ἔστι δὲ ὄνομα κύριον. "ὅσοις δὲ κλίνη μὴ 'στὶ μηδὲ στρώματα, ἰέναι καθευδήσοντας ἀπονενιμμένους ἐς τῶν σκυλοδεψῶν. ἢν δ' ἀποκλίνῃ τῇ θύρᾳ χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω." καὶ "τοὺς ἀλφιταμοιβοὺς τρεῖς χοίνικας δεῖπνον παρέχειν."

τετραφαλαγγαρχία αἱ β' διφαλαγγίαι, ἄνδρες ͵ιϛτπδ'· τοῦτο γὰρ ἡ τελεία καὶ εὔχρηστος φάλαγξ.

τετραφάληρον δ' φάλους ἔχουσαν ⟨Hom. E 743⟩.

τέτραχα, ἐπίρρημα, ἀντὶ τοῦ τετραχῶς, ὡς "πένταχα κοσμηθέντες" ⟨Hom. M 87⟩.

τετρήνας τρυπήσας.

τετρήχει ἐτραχύνετο ⟨Hom. B 95⟩.

τετρηχυῖα τραχυνομένη ⟨Hom. H 346⟩.

τετρίγει ἔτριζεν, ἢ ποιὸν ἦχον ἀπετέλεσε ⟨Hom. Ψ 714⟩. καὶ **τετριγυῖα** τρίζουσα.

τετρυμένον καταπεπονημένον· "αὔλακι καὶ γήρᾳ τετρυμένον ἐργατίνην βοῦν Ἄλκων οὐ φονίην ἤγαγε πρὸς κοπίδα, αἰδεσθεὶς ἔργων" ⟨AP 6 228⟩.

τετρυπημένη. ψῆφοί εἰσι χαλκαῖ, αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι αἱ δὲ ἡμίσειαι πλήρεις. οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, ἐπειδὰν εἰρημένοι ὦσιν οἱ λόγοι, παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν β' ψήφους, τετρυπημένην καὶ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις, ἵνα μήτε πλήρεις μήτε πάντῃ τετρυπημένας λαμβάνωσι. Harp.

τετρῦσθαι καταπεπονῆσθαι· Ἀππιανός (t. 1 p. 518) "ὁ δὲ Φίλιππος τοὺς ἐπιπλέοντας διέφθειρεν, ἵνα μὴ Ῥωμαίοις λέγοιεν τὰ Μακεδόνων ἐκτετρῦσθαι." καὶ **τέτρυσαι** καταπεπόνησαι· "ἤδη γὰρ χαλκός τε γέρων, αὐτή τε τέτρυσαι" (AP 6 52).

τετρώβολον τουτέστι πολυτίμητον. ὅτω δὲ λέγουσι τὸ **τετρωβολιαῖον**, τουτέστι τετρωβόλου πωλούμενον. cf. v. τεττάρων ὀβολῶν.

τετρωμένον βεβλημένον.

τέτρωρον τέθριππον, ἤγουν τετράιππον.

τέττα (Hom. Δ 412) προσφώνημα νεωτέρου φίλου πρὸς πρεσβύτερον.

τεττάρων ὀβολῶν, ἐπὶ τῶν πολλῆς τιμῆς ἀξίων· "τὴν παρρησίαν τὴν σὴν οἴει τεττάρων ὀβολῶν εἶναι, τὸ τῆς παροιμίας. οὐκ ··· τὸ τοῦ λόγου" (cf. v. χελώνη μυιῶν).

τεττιγοφόροι οἱ Ἀθηναῖοι· τέττιγας γὰρ ἐφόρουν χρυσοῦς, σύμβολον τοῦ γηγενεῖς εἶναι. Θουκυδίδης α' (6) "καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν." ἢ ὅτι μουσικοί· μουσικὸς γὰρ ὁ τέττιξ. γηγενεῖς δέ, διότι καὶ Ἐρεχθεὺς ὁ οἰκιστὴς τῶν Ἀθηνῶν ἀπὸ τῆς γῆς ἐτέχθη.

τεττίγων ἀνάμεστα (A Nub. 980). τοὺς τέττιγας παρέλαβεν Ἀριστοφάνης, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι, τεκμήριον ὅτι αὐτόχθονές εἰσιν οἱ Ἀθηναῖοι ὡς καὶ οἱ τέττιγες.

τεττίγωνος.

τετύκοντο κατεσκευάζοντο.

τέτυκται κατεσκεύασται.

a **τετύφωμαι** ἐπήρθην, καὶ **τετυφωμένος**. καὶ **τετυφῶσθαι** μεμηνέναι.

b **τετύφωμαι** ἀντὶ τοῦ ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα, ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα καταφερομένων σκηπτῶν, ἢ ἀπὸ τῶν τυφωνικῶν καλουμένων πνευμάτων, ἃ δὴ καὶ αὐτὰ ἐξίησιν ἀθρόως καταρραγέντα. καὶ γὰρ Ἀλκαῖός φησι "πάμπαν δὲ τυφὼς ἔκ σ' ἕλετο φρένας." Harp.

τευθήν (an πευθήν) ὁ κατάσκοπος.

τευθίδες σηπίαι, καὶ **τευθίς** ἰχθύδιον εὐτελές. καί φησιν Ἀριστοφάνης (Ach. 1152) περὶ Ἀντιμάχου "Ἀντίμαχον τὸν ψεκάδος ὡς μὲν ἁπλῷ λόγῳ κακῶς ἀπολέσειεν ὁ Ζεύς. ὅς γ' ἐμὲ τὸν τλήμονα ἄδειπνον ἀπέλυσεν· ὃν ἔτ' ἴδοιμι τευθίδος δεόμενο[ν]· δ' ὠπτημένη σίζουσα πάραλος ἐπὶ τρα[πέζῃ] κειμένη ὀκέλλοι, κᾆτα μέλλοντος λαβεῖ[ν] ... τοῦ κύων ἁρπάσας φάγοι. τοῦτο μὲν ... κακὸν ἕν."

Τευθρανία ὄνομα τόπου.

Τεῦκρος ὁ Κυζικηνὸς ὁ γράψας ... χρυσοφόρου γῆς, περὶ τοῦ Βυζαντίου, Μιθ[ρι]δατικῶν πράξεων βιβλία ε', περὶ Τύρ[ου] ... Ἀραβικῶν ε', Ἰουδαϊκὴν ἱστορίαν ἐν βιβλ[ίοις] ς', ἐφήβων τῶν ἐν Κυζίκῳ ἄσκησιν γ', ... τὰ λοιπά.

τευκτήν χειροποίητον.

τευκτῆρι ποιητῇ, κατασκευαστῇ.

Τευμησία. περὶ τῆς Τευμησίας ἀλώ[πεκος] πεκος οἱ τὰ Θηβαϊκὰ γεγραφότες ἱκα[νῶς] ἱστορήκασι, καθάπερ Ἀριστόδημος. ἐπιπε[μ]φθῆναι μὲν γὰρ ὑπὸ θεῶν τὸ θηρίον τ[οῦ]το τοῖς Καδμείοις, διότι τῆς βασιλείας ἐξέκλε[ιον] τοὺς ἀπὸ Κάδμου γεγονότας· Κέφαλον ... φασι τὸν Δηιόνος, Ἀθηναῖον ὄντα καὶ κύ[να] κεκτημένον ὃν οὐδὲν διέφευγε τῶν θηρίων, ... ἀπέκτεινεν ἄκων τὴν ἑαυτοῦ γυναῖκα Πρ[ό]κριν, καθηράντων αὐτὸν τῶν Καδμείων δι[ώ]κειν τὴν ἀλώπεκα μετὰ τοῦ κυνός, κατα[λαμ]βανομένης δὲ περὶ τὸν Τευμησὸν λί[θους] γενέσθαι τόν τε κύνα καὶ τὴν ἀλώπεκ[α]. εἰλήφασι δ' οὗτοι τὸν μῦθον ἐκ τοῦ ἐπι[κοῦ] κύκλου.

τεύξομαι γενικῇ.

τευτάζειν πραγματεύεσθαι, ἢ σκευωρ[εῖ]σθαι, ἢ στραγγεύεσθαι καὶ πολὺ διατρίβ[ειν] ἐν τῷ αὐτῷ. Λυκόφρων οὕτω, καὶ Δίδυ[μος] προσθεὶς ὅτι ἐνίοτε σημαίνει καὶ τὸ φροντί[ζειν]. Ἡρακλέων δὲ καταμεμψάμενος Λυκό[φρονα] φησὶν εἶναι τὸ ἐπιστρεφῶς τι πράτ[τειν], καὶ Ἀρτεμίδωρος τὸ φροντίζειν. Φρύ[νι]χος Μύσταις "μάστιγα δ' ἐν χερσὶν ἔχ[ων] τευτάσθαι." Πλάτων Ξαντρίαις "ἦν δὲ θόρυβος τευταζόντων" ἀντὶ τοῦ πραγμα[τευομένων] ἢ διατριβόντων. καὶ ἐν Τιμαί[ῳ] (p. 90 B) "τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμί[ας] ἢ φιλονεικίας τετευτακότι," οἷον διατετρ[ι]φότι. γράφεται καὶ τετακότι. Τηλεκλείδ[ης] "πάντες δὲ τευτάζουσιν οἱ διάκονοι," ἀντ[ὶ] τοῦ πραγματεύονται, σκευωροῦνται. Φερε[κράτης] κράτης "ὁ δὲ παῖδα καλεῖ καὶ τευτάζει ... τῷ δεῖπνον παραθεῖναι." σημαίνει καὶ τὸ σπουδάζειν, Πολιτείας ζ' (p. 521 extr.), καὶ τὸ ἡσυχάζειν. καὶ **τευτάζων** τὸ αὐτὸ ...

λέγων καὶ φλυαρῶν.

τεύχεα ὅπλα, σκεύη· "εὑρίσκουσι δὲ ἀμφορέας καὶ ἄλλα τεύχη κεραμεᾶ κρεῶν μεστὰ τεταριχευμένων" (X Anab. 5 4 28?).

τεύχοντες κατασκευάζοντες.

τεῦχος ἀγγεῖον.

τέφρα ἡ κόνις.

τέφρα εἶδος τέττιγος. "καὶ γὰρ καὶ τέφρα καὶ μέμβραξ καὶ ἄλλος ἀχέτας, καὶ κέρκωψ ἕτερος. καὶ ἀχέταν τινὰ λέγουσι, καὶ ἀκανθίαν ἕτερον. ἀκοῇ παρεδεξάμην ταῦτα ἀκούσας· ὅτῳ δὲ καὶ πλείω τῶν προειρημένων εἰς γνῶσιν ἀφίκετο, λεγέτω ἐκεῖνος" (Aelian. H. A. 10 44).

τεφρώσας ἐμπρήσας, σποδώσας. καὶ παροιμία "μὴ τὴν τέφραν φεύγων ἐς ἀνθρακιὰν πέσῃς."

τεχνάζειν τὸ πανούργως τι διαπράττεσθαι· (A Th. 99) "τὸ πρᾶγμα κομψὸν καὶ σφόδρ' ἐκ τοῦ σοῦ τρόπου· τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς." εἶδος πλακοῦντος ὁ πυραμοῦς· οὗτος δὲ ἐτίθετο τοῖς διαπαννυχίζουσιν ἔπαθλον, καὶ ὁ ἐγρηγορὼς ἕως πρωίας ὡς νικῶν αὐτὸν ἐλάμβανε. μεταφορικῶς οὖν αὐτῷ ἐχρήσατο, ὡς νικῶντος αὐτοῦ πανουργίᾳ πάντας. cf. v. πυραμοῦς.

τεχνάσμασι δόλοις, πανουργίαις· "τὰς συμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασι φέρειν δίκαιον, ἀλλὰ τοῖς παθήμασι. καὶ μὴν σύ γ' ὦ κατάπυγον εὐρύπρωκτος εἶ οὐ τοῖς λόγοισιν ἀλλὰ τοῖς παθήμασιν" (A Th. 205).

τεχνηθέντος δημιουργηθέντος.

τέχνην πεποίηται (A Eq. 63) ἀντὶ τοῦ εἰς ἔργον καὶ τέχνην αὐτῷ προκεχώρηκε.

τεχνητὸν γύναιον δυσγενές.

τεχνιτεία.

τεχνίτης ὁ ἐπιστήμων. θηλυκῶς δὲ τεχνῖτις, διὰ τοῦ ι.

τεχνολογῶ.

τεχνύδριον. τεχνύδρια λέγεται ὑποκοριστικῶς, ὥσπερ λογύδρια.

τέως ἀντὶ τοῦ πρὸ τοῦ, πρίν, ἕως τινός, ἐπὶ τοσοῦτον ἕως. καὶ τέως τηνικαῦτα ἢ τότε. Σοφοκλῆς δὲ ἀντὶ τοῦ πρότερον ἢ πρὸ μικροῦ. καὶ Ἀριστοφάνης (Th. 456) ἀντὶ τοῦ πρότερον· "τέως μὲν οὖν ἀλλ' ἡμικάκως ἐβοσκόμην."

τέως. οἱ ῥήτορες ἐπὶ τοῦ πρότερον ἢ πάλαι μέχρι τοῦ· (sch. Plat. p. 334) Ἀντιφῶν "τέως μὲν γὰρ ὁ πολὺς χρόνος τοῦ ὀλίγου πιστότερος ἦν." "ἀποκαλύψαντες τὰ ὅπλα τέως ἐσκεπασμένα," καὶ αὖθις "καὶ διέφθειρε τοὺς τέως νενικηκότας," καὶ ἐν τῇ ἀπολογίᾳ τῆς δωροδοκίας "δέομαι ὑμῶν τὴν αὐτὴν γνώμην περὶ ἐμοῦ ἔχειν καὶ ἐν τῷ τέως," καὶ ἐν τῷ α' περὶ τοῦ Δικαιογένους κλήρου "Δικαιογένης δὲ τέως μὲν ᾤκει παρ' ἡμῖν, δοκιμασθεὶς δὲ ἔγημε." καὶ ἐπὶ τοῦ ἐν τοσούτῳ· Ἰσαῖος ἐν τῷ πρὸς Λυσίβιον "ἡγούμεθα γὰρ ἐκείνῃ μὲν τὸν ἐγγύτατα γένους συνοικεῖν δεῖν, τὸ δὲ χρῆμα τέως τῆς ἐπικλήρου εἶναι, ἐπειδὰν δὲ ἡβήσωσιν, ἐκείνους αὐτῶν κρατεῖν." καὶ ἐπὶ τοῦ ἕως, ὡς παρὰ Δημοσθένει (2 24) ἐν β' τῶν Φιλιππικῶν "ὥσπερ γὰρ ἐν τοῖς σώμασι, τέως μὲν ἂν ἐρρωμένα ᾖ, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν," καὶ ἐν τῷ κατὰ Διονυσοδώρου (14) "τοὺς δὲ εἰς Ῥόδον τόκους μὴ καθομολογεῖν, τέως ἂν διακριθῶμεν," καὶ ἐν τῷ περὶ τῆς παραπρεσβείας (326) "ἀντὶ τοῦ τὸν Ὠρωπὸν ὑμῖν παραδοθῆναι, περὶ τοῦ Δρυμοῦ καὶ τῆς πρὸς Πανάκτῳ χώρας μεθ' ὅπλων ἐξέρχεσθε, ὃ τέως ἦσαν σῶοι Φωκεῖς οὐδέποτε ἐποιήσαμεν." καὶ ἐν τῷ περὶ τῶν συμμοριῶν (35) "καὶ μὴν οὐδὲ τῶν ἄλλων οὐδένα ἂν Ἑλλήνων εἰκότως φοβηθέντα τὸν πόλεμον τοῦτον ὁρῶ. τίς γὰρ οὐκ οἶδεν αὐτῶν ὅτι, τέως μὲν κοινὸν ἐχθρὸν ἐκεῖνον ὡμονόουν ἀλλήλοις, πολλῶν ἄρα ἦσαν κύριοι;" "καὶ τὸν βωμὸν ἐφ' οὗ τέως ἱλεοῦντο τὸν δαίμονα, ἀνέτρεψαν" (cf. v. περιέσπασαν).

Τζορολλός πόλις Θρᾳκική, ἡ παρὰ πολλοῖς Τζουρουλλὸς λεγομένη.

τῇ ταύτῃ. ἢ δέξαι, λάβε· Ὅμηρος (ι 743) "Κύκλωψ, τῆ, πίε οἶνον," καὶ πάλιν (Ξ 218) "τῆ νῦν τοῦτον ἱμάντα." ἐχρήσατο δὲ καὶ τῷ πληθυντικῷ ὁ Σώφρων, εἰπὼν "τῆτέ τοι κορῶναί εἰσιν." ἔστι δὲ καὶ τοπικὸν ἐπίρρημα· "τῇ δὲ πᾶς ἔπου" (A Ach. 204), καὶ ἔστιν ἐν ἴσῳ τῷ ἐνταῦθα. καὶ Ὅμηρος (Ο 46) "τῇ ἴμεν ᾗ κεν δὴ σύ, κελαινεφές, ἡγεμονεύεις."

Τήβεννα πόλις.

τήβεννος στολὴ Ῥωμαϊκή· "Ταραντῖνοι δὲ Ποστουμίου τὴν τήβεννον λύμασιν ἀνθρώπων ἐμόλυναν" (cf. v. λύματα). τήβεννος Ῥωμαϊκὴ ἐσθὴς ἀπὸ Τημένου Ἀρκάδος, ὃς πρῶτος ταύτην τὴν χλανίδα περιεβάλετο, εἰσπλεύσας κατὰ τὸν Ἰόνιον κόλπον

καὶ ὑποδεχθεὶς ὑπὸ τῶν ταύτῃ κατοικούντων. ἀφ' οὗ μαθόντες οἱ ἐγχώριοι τὸν αὐτὸν ἐνεσκευάζοντο τρόπον, καὶ ἐκάλουν τὴν ἐσθῆτα τημένειον, ἐπώνυμον τοῦ εὑρόντος. ὕστερον δὲ παραφθαρὲν τὸ ὄνομα τήβεννος ἐκλήθη ⟨Artemid. 2 3⟩.

τήγανον.

τῇδε ταύτῃ, ἢ ἐνταῦθα, ἢ ὧδε, ἢ ἐνθάδε.

τῇ δ' ἔνι ἐν ταύτῃ δέ ἐστιν.

τηθαλλαδοῦς γυναικοτρόφους, ὑπὸ τήθῃ τεθραμμένους.

τήθεα ὄστρεα. ἰστέον ὅτι καὶ τούτοις ἐχρῶντο οἱ παλαιοί, καίτοι τῆς τούτων ἐδωδῆς οὐ πολὺ ἐχούσης τὸ ἡδὺ καὶ ὠφέλιμον ⟨sch. Hom. Π 747⟩.

τηθέλας τοὺς μαμμοθρέπτους.

τήθη μάμμη, ἡ πατρὸς ἢ μητρὸς μήτηρ. ἡ κλητικὴ τῆθα. τηθὶς δὲ θεία. Ἀριστοφάνης ⟨Lys. 549⟩ "ἀλλ' ὦ τηθῶν ἀνδρειοτάτη καὶ μητριδίων ἀκαληφῶν, χωρεῖτ' ὀργῇ καὶ μὴ τέγγεσθ'· ἔτι γὰρ νῦν οὔρια θεῖτε." τήθας ἐκάλουν τὰς μάμμας, καὶ τηθίδας τὰς θείας, τὰς πατρὸς ἀδελφὰς ἢ μητρός. τήθας δὲ καὶ τὰς τροφούς. εἰσὶ δὲ καὶ ὄστρεα θαλάσσια· Ὅμηρος ⟨Π 747⟩ "πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν." ἀκαλήφας δὲ λέγουσι μὲν καὶ τὰς θαλασσίας, λέγουσι δὲ καὶ τὰς κνίδας Ἀττικοί. καὶ κνίδη μὲν ἐς ὅσον ἂν ἁπαλή ἐστιν· ἐπὰν δὲ σχῇ τὰς μητέρας, τουτέστι τὰς τοῦ σπέρματος σφαίρας, ἀκαλήφη λέγεται. ἀκαλήφας οὖν τὰς γραίας ἐκάλεσεν, ἐπειδὴ στερραὶ ἦσαν καὶ γενναῖαι· καὶ γὰρ τὸ φυτάριον δάκνει. ἐπεὶ οὖν εἶπε τηθῶν, εἶπε μητριδίων, τουτέστι τῶν ἐχουσῶν τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης. δάκνουσι δὲ αὗται, τοιαῦται δὲ καὶ αἱ γραῖαι. μητριδίας δὲ ἐκάλεσε τὰς ἐχούσας τὸ σπέρμα.

τηθίς θεία, πατρὸς ἢ μητρὸς ἀδελφή.

a Τηθὺς ἡ θάλασσα· "οὐδὲ σύ γ', ἀφρηστά, Νηρηίδας ὡς πρὶν ἀείρων νώτοις πορθμεύσεις Τηθύος εἰς πέρατα" ⟨AP 7 214⟩.

b Τηθὺς ἡ γῆ, παρὰ τὸ τιθήνη εἶναι καὶ τροφός. Ὅμηρος ⟨Ξ 201⟩ "Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν," τουτέστιν ὑγρὰν οὐσίαν καὶ ξηράν.

τηκεδόνι τῇ φθίσει. "καὶ νοσεῖ νόσῳ μακρᾷ, καὶ τηκεδὼν αὐτὴν διεδέξατο· καὶ ὅσα ἐτόλμησε βοῶν καὶ λέγων, καὶ ὅσα ἐξ ἀνθρώπων ἀσεβεστάτων ἐκτραγῳδῶν τε εὐχόμενος, τὴν ἐπίρρητόν τε καὶ κατάρατον ψυχὴν ἀπορρῆξαι." cf. vv. ἀπορρῆξαι et ... χος ἱεροφάντης μέγαρον φρίκη.

τηκτά, οἷον κηρὸς καὶ πίττα· "τηκτά τε ὅσα καὶ χυτὰ ἐς πολεμίους σὺν πυρὶ ... ὑπερδεξίων ἐβάλλετο, τά τε ἄλλα καὶ τὴν σιδηρῖτιν γῆν πυρὶ πολλῷ διαφανῆ ἐργασάμενοι κατὰ τῶν ὑπιόντων τὸ τεῖχος ἐπιχεῖν ἔμελλον."

τήκω αἰτιατικῇ. καὶ τῆξαι.

τηλαυγές λίαν λαμπρόν.

τηλαύγημα ἀρχὴ λέπρας ἐν τῇ τοῦ σώματος ἐπιφανείᾳ ⟨Levit. 13 23⟩.

Τηλαύγης Σάμιος, Πυθαγόρου τοῦ πάνυ υἱὸς καὶ μαθητής, φιλόσοφος, διδάσκαλος Ἐμπεδοκλέους, ἔγραψε περὶ τῆς τετρακτύος βιβλία δ'.

τῆλε καὶ τηλοῦ πόρρω.

Τηλεβόας ἐθνικόν.

Τηλέγονος ὄνομα κύριον, ὃς πρῶτος ἐφεῦρε τὴν οἰωνιστικήν, ὅτι οἷον εἰ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ ἢ καὶ ὄφις, τόδε σημαίνει. cf. v. οἰωνιστική.

τηλεδαπός μακρὰν ἀφεστηκώς.

τηλεθάοντα πάνυ λάμποντα.

Τηλεκλείδης Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἀμφικτύονες ... Πρυτάνεις καὶ Στερροί, ὡς Ἀθήναιος ... ἐν τοῖς Δειπνοσοφισταῖς.

τηλεκλειτοί ἄγαν ἔνδοξοι.

τηλέπορον· Ἀριστοφάνης ⟨Nub. ...⟩ "τηλέπορόν τι βόημα," οἷον ὀρθόν τι ... ὑψηλόν. ἔστι δὲ ἀρχὴ ᾄσματος, ὥσπερ ... "περσέπολιν Ἀθάναν."

τηλεσκόπῳ ὄμματι τῷ πάντα ... ρῶντι ⟨A Nub. 289⟩.

τηλεφανεῖς ἀφ' ὧν ἔστιν ἰδεῖν ... πόρρω· τοῖς γὰρ εἰς ὕψος οὖσι καὶ τὰ μακρὰν καταφανῆ γίνεται.

Τηλεφάνης αὐλητής, τηλεφανής ... μακρόθεν φαινομένη.

Τήλεφος ἐκ πηριδίου. οὗτος πένης ... Ἀριστοφάνης ⟨Nub. 918⟩ "καίτοι πρότερόν γ' ἐπτώχευες, Τήλεφος εἶναι φάσκων, ἐκ πηριδίου." καὶ Τηλέφειον τραῦμα.

Τήλεφος Περγαμηνὸς γραμματικὸς ἔγραψε καὶ αὐτός, ἐν οἷς παρατίθεται ... χρὴ εἰδέναι τὸν γραμματικόν. περὶ τῶν παρ' Ὁμήρῳ σχημάτων ῥητορικῶν βιβλία ...

ιερὶ συντάξεως λόγου Ἀττικοῦ βιβλία ί, τῆς καθ' Ὅμηρον ῥητορικῆς, περὶ τῆς ῥου καὶ Πλάτωνος συμφωνίας, ποικίλης μαθείας βιβλία β', βίους τραγικῶν καὶ ικῶν, βιβλιακῆς ἐμπειρίας βιβλία γ', ἐν διδάσκει τὰ κτήσεως ἄξια βιβλία. ὅτι ς Ὅμηρος τῶν ἀρχαίων ἑλληνίζει. πεησιν Περγάμου, περὶ τοῦ ἐν Περγάμῳ στίου βιβλία β'. περὶ τῶν Ἀθήνησι διηρίων, περὶ τῶν Ἀθήνησι νόμων καὶ ', περὶ τῶν Περγάμου βασιλέων βιβλία ρὶ χρήσεως ἤτοι ὀνομάτων ἐσθῆτος καὶ ἄλλων οἷς χρώμεθα· ἔστι δὲ κατὰ στοι·. περὶ τῆς Ὀδυσσέως πλάνης. ὠκυτό· (ἔστι δὲ συναγωγὴ ἐπιθέτων εἰς τὸ αὐρᾶγμα ἁρμοζόντων, πρὸς ἕτοιμον εὐποφράσεως) βιβλία ί.

ηλία σανὶς ἡ λεγομένη κάρδοπος, σητις οὖσα, ὥσπερ τὸ σήμερον τήμερον. δὴ καὶ ἰδίως ἐκαλεῖτο τηλία περίφραγμα δων ἐν τῇ ἀγορᾷ, ἐν ᾧ ἄλφιτα ἐπιπράτο, καὶ οἱ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας βαλλον ἐν τέτῳ. ἄλλως. σανὶς πλατεῖα, ῆς ἀλφιτοποιοῦσι. τινὲς δὲ τηλίαν ξύλον πλατύ, εἰς ὃ τιθέασιν οἱ ἀρτοκόποι ἄρτες ἐπὶ τῷ ξηραίνεσθαι. ἄλλοι δὲ ιν τῆς καπνοδόχης τὸ πῶμα, ὅ ἐστι ρερές. φησὶν οὖν ὅτι διὰ δακτυλίου ἑλ·τίης, ἐὰν ᾖ ὁ δακτύλιος τηλία. τοῦτο ς παχείας οὔσης καὶ μὴ δυναμένης διὰ τλίου ἑλκυσθῆναι ἀλλὰ τηλίας. Ἀρισος. ἢ τηλία μέν ἐστιν ἡ ἀτρύπητος σαἐὰν δὲ τρυπηθείη, ἀψὶς γίνεται ⟨sch. A 1038⟩.

ηλία πῆγμα τετράγωνον, ἐφ' οὗ ἤτοι ἄλφιτα πιπράσκεται ἢ ἀλεκτρυόνες συμονται. καὶ περιφέρεια τοῦ κοσκίνου.

ῆλις εἶδος ὀσπρίου, ἥτις ἑφθὴ ἐπιχεόλισθον ἐμποιεῖ τοῖς ποσὶ τῶν ἀνθρώἐπισφαλῆ· ὅπερ Ἰώσηπος πρὸς τὴν ποείαν ἐμηχανήσατο ⟨B. I. 3 7 29⟩.

ηλόθι καὶ τηλόσε πόρρω, μακράν.

ηλοπέτευς ⟨AP 6 239⟩ τῆς πόρρω πενης· ἐν ἐπιγράμματι "ἀμβροσίων ἔαρος ῶν μέλι πολλὸν ἀμέλξας, δῶρον ἀποιμάντηλοπέτευς ἀγέλης."

τηλύγετος μονογενής, καὶ τηλύγετον γενῆ· Ὅμηρος ⟨I 143⟩ "ὅς μοι τηλύγετρέφεται." ὁ προήκουσι τοῖς γονεῦσι ώμενος, μεθ' ὃν οὐκέτι γεννήσεται, λέγεται τηλύγετος. καταχρᾶται δὲ ἐνίοτε καὶ ἐπὶ τῦ ἀγαπητῦ διὰ τὸ τὸς ὀψίμως γεννηθέντας ἀγαπᾶσθαι.

τηλωπὸς ἔκδημος· Σοφοκλῆς ⟨Ai. 563⟩ "κεἰ τὰ νῦν τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων."

τημελές ἐπιμελές, καὶ τημελής ἐπιμελής, σπουδαῖος.

τημελῆσαι ἐπιμελῆσαι, φροντίσαι.

τημελήσαντες θλίψαντες.

τημελόμενον ἐπιμελόμενον, φιλοκαλόμενον.

τῇ μέν ὅπου μέν. ἢ ἐν μέρει.

Τήμενος ὄνομα κύριον.

τήμερος ὁ σημερινός. καὶ ἔστι τεταγμένον ἐπὶ σώματος, τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. καὶ ἐν Εἰρήνῃ "ἰὼ Λακεδαῖμον, τί ἄρα ποιήσει τήμερα;" ἀντὶ τῦ σημερινή ⟨sch. A Nub. 699⟩.

τήνα ἐκείνῃ· Θεόκριτος ⟨1 1⟩ "ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα."

τὴν Ἀκεσαίε σελήνην παροιμία. λέγεται δὲ ἐπὶ τῶν διαμενόντων καὶ βραδυνόντων. ἦν δὲ Νείλεω κυβερνήτης ὁ Ἀκεσαῖος.

τηνάλλως μάτην. καὶ οὐ τηνάλλως μετὰ τῆς ἀποφάσεως λέγεται. ὁ δὲ Φιλήμων Νυκτὶ "τὸ κανῦν δ' ὁ παῖς περίεισι τηνάλλως ἔχων." ἔστι καὶ παρὰ τοῖς περὶ Δημοσθένην καὶ ἐν Θεαιτήτῳ Πλάτωνος ⟨p. 172 extr.⟩. "ὡς δὲ λόγους τηνάλλως ταῦτα ἦκουσαν ὄντα, χωρᾶσιν ἐς σύμβασιν πρὸς Ζήνωνα πάλιν."

τὴν αὐτὴν ταύτην ἀναχορεύσομεν ὄρχησιν" ἀντὶ τῦ ἐπὶ τὴν αὐτὴν πρᾶξιν ἐπανέλθωμεν. τῦτο εἴρηκε Μάρκος πρὸς Ζήνωνα τὸν βασιλέα· "τὴν αὐτὴν ταύτην καὶ δεύτερον ἀναχορεύσομεν ὄρχησιν."

τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων εἶναι σφετέραν, τὴν δὲ σφετέραν τῶν πολεμίων, πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον" ⟨A Ran. 1484⟩. εἴρηται τῦτο κατὰ τὴν Περικλέυς γνώμην, ὃς ἐκέλευσεν - - - ἀφορίσαι ⟨cf. v. Περικλῆς c⟩.

τὴν γλαῦκα τωθάζουσι.

τὴν δωριστὶ μόνην ἁρμονίαν ἁρμόττεσθαι τὴν λύραν, ἄλλην δ' οὐκ ἐθέλω" ⟨A Eq. 985⟩, τυτέςι τὴν δωροδοκησί.

τήνελλα μίμημα φωνῆς κρέματος αὐλῦ ποιᾶς. Ἀρχίλοχος "τήνελλα, καλλίνικε χαῖρ'

ἄναξ Ἡράκλεις, αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύω." Ἀριστοφάνης (Eq. 276) "ἀλλ' ἐὰν νικήσῃς τῇ βοῇ, τήνελλος εἶ," ἀντὶ τοῦ νικηφόρος. τήνελλα δὲ κρουμάτιον ἐπινίκιον. ἢ τήνελλος ἁρμονία λύρας. ἐὰν τοίνυν ὑπερακοντίσῃς αὐτοὺς τῇ βοῇ, μουσικώτατος εἶ. "ἢν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς." ὁ δὲ πυραμοῦς εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυρῶν πεφρυγμένων, ὡς σησαμοῦς ὁ διὰ σησαμῆς. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς· εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω νικήσας ἐλάμβανε τὸν πυραμοῦντα. ὁ δὲ νοῦς ὅτι, ἂν μὴ νικηθῇς ὑπ' αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ ταῖς περιεργίαις καὶ ἀναισχυντίαις, οὐδὲν ἧττον ἡμέτερον τὸ τερμάτιον, τουτέστιν ἡ νίκη.

τὴν ἐμὴν κάμνειν νόσον παροιμία, ὡς ἡ τοιαύτη "ταὐτὸν ἕλκομεν ζυγόν."

τὴν θύραν ἔχων τετρημένην ὥσπερ αἱ ποῖμναι," ἐπὶ τοῦ ἀπανθρώπου καὶ ἀπροσπελάστου.

τηνικαῦτα τότε.

τὴν κατὰ σαυτὸν ἔλα. ἀπὸ χρησμοῦ τινὸς ἐλέχθη. τουτέστιν, οἷος εἶ, τοιοῦτος καὶ φαίνου, καὶ μείζοσι μὴ συμπαρεκτείνου. τοῦτο οἱ μὲν Πυθικὸν εἶναί φασιν ἀπόφθεγμα, οἱ δὲ Σόλωνος· ἔνιοι δὲ αὐτὸ Χίλωνα εἰπεῖν συμβουλευομένῳ τινὶ εἰ πλούσιον ἕλοιτο γάμον.

τὴν λεοντῆν ἐνδύου. ἴσον τῷ γενναίζου.

Τῆνος μία τῶν Κυκλάδων νήσων.

τὴν ταχίστην, ἐπίρρημα, ἀντὶ τοῦ ταχέως· (Polyb. 3 70) "ὁ δὲ φιλοτίμως εἶχε πρὸς τὸ τὴν ταχίστην κρῖναι τὰ ὅλα."

τὴν τράπεζαν οἴσομαι Ἀριστοφάνης (Pac. 1032), τουτέστιν ἐμαυτῷ ὑπηρετήσω, καὶ οὐ χρεία παιδός.

τὴν χεῖρα προσφέροντα τὸν θεὸν καλεῖν." βοηλάτης ἐκ κώμης ἅμαξαν ἄγων, καὶ ταύτης ἐμπεσούσης εἰς φάραγγα κοιλώδη, δέον βοηθεῖν ἀργὸς ἵστατο τῷ Ἡρακλεῖ προσευχόμενος· ἐκεῖνον γὰρ ἐκ πάντων τῶν θεῶν ἀσπαζόμενος ἐτίμα. ὁ δὲ θεὸς ἐπιστὰς εἶπε "τῶν τροχῶν ἅπτου καὶ τοὺς βόας νύττε, καὶ τότε τὸν θεὸν εὔχου ὅταν καὐτός τι ποιῇς· μὴ μέντοι γε μάτην εὔχου." ἐκ τούτου εἰς παροιμίαν εἰσήχθη (Babr. 20).

τηξιμελεῖ φθοροποιῷ· (AP 7 234) "τηξιμελεῖ νούσῳ κεχολουμένος ἔδραμε θεῖος ἐς προτέρην ἔργων ἄρσενα μαρτυρίην."

Τήραιος ὄνομα κύριον. ὁ Μῆδος.

τηρεύς ὁ τηρῶν.

Τηρίβαζος ὄνομα κύριον.

Τηριδάτης ὄνομα κύριον.

τηρῶ αἰτιατικῇ.

τήρωνες. οἱ ἀρτιμαθεῖς τὰ πολέμια καὶ οὔπω ἐγγεγυμνασμένοι τοῖς κινδύνοις τήρωνες καλοῦνται παρὰ Ῥωμαίοις.

τῆς ἀντὶ τοῦ ταύτης· οὐκ ἔστι δὲ ἄρθρον. Ὅμηρος (I 133) "μήποτε τῆς εὐνῆς ἐπιβήμεναι," ἀντὶ τοῦ ταύτης, καὶ ἐν Ὀδυσσείᾳ (β 206) "εἵνεκα τῆς ἀρετῆς," ἀντὶ τοῦ ταύτης.

τῆς μητρὸς ὡς αἶξ καλεῖται. οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπολίοις ἀπὸ τῶν μητέρων γνωρίζονται· ἀπὸ πατέρων γὰρ ἀδύνατον.

τῆς μωρίας ὄντα τηλικουτονί (A Nub. 816), ἐπὶ τῶν παραλόγως τι λεγόντων, ἡλίκων ὄντων, οἷον τελείαν ἐχόντων τὴν ἡλικίαν καὶ πάντα εἰδέναι ὀφειλόντων.

τητᾶσθαι στερίσκεσθαι. Σοφοκλῆς (Phil. 382) "τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς καὶ πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως." καὶ αὖθις (OC 1618) "οὗ τητώμεναι τὸ λοιπὸν ἤδη τὸν βίον διάξετε."

τῆτες καὶ τῆτα τούτῳ τῷ ἔτει, ἐπ' ἐκ... "ἐγελᾶτ'· ἀνθ' ὧν λαχὼν Ὑπέρβολος τῆτες ἱερομνημονεῖν" Ἀριστοφάνης Νεφέλαις (624). τοῦτο δὲ οἱ Δωριεῖς τᾶτες λέγουσι, καὶ ἄνευ τοῦ δ τῆδες.

τητινή χθεσινή. καὶ οὐδέτερον τητινόν.

τητώμενον στερισκόμενον.

τηυσίη ματαία.

τί. οἱ ἀπὸ τῆς στοᾶς τοῦτο τὸ τὶ γένος τοῦ ὄντος τίθενται. τὸ γὰρ τὶ δῆλον ὅτι καὶ ὄν· εἰ δὲ ὄν, τὸν τοῦ ὄντος ἀναδέχοιτο ἂν λόγον. διὸ καὶ γενικώτερον αὐτό φασιν εἶναι, κατηγορούμενον οὐ κατὰ σωμάτων μόνον ἀλλὰ καὶ κατ' ἀσωμάτων.

τιάρα κόσμος ἐπικεφάλαιος· ἣν οἱ βασιλεῖς μόνοι ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις, οἱ δὲ στρατηγοὶ κεκλιμένην. καὶ Δημάρατος ὁ Λακεδαιμόνιος, ὃς δὴ μετὰ Ξέρξου ἐλθὼν ἐπὶ τὰς Ἀθήνας, ἐπί τινος εὐημερίας στεφανηφορήσαντος αὐτῷ τοῦ βασιλέως ὃ θέλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῇ τῇ τιάρᾳ εἰς Σάρδεις εἰσελάσαι, ὡς Φύλαρχος ἐν ι. τὸ δ'

ὁ φασιν εἶναι καὶ κίταριν. Θεόφραστος
ἐν τῷ περὶ βασιλείας Κυπρίων τὴν κί-
ιν ὡς διάφορον.
τιαρηφόρος.
τί βαιὸν ἀντὶ τοῦ οὐδὲ ὀλίγον· Σοφοκλῆς
90) "τί βαιὸν οὕτως ἐντρέπῃ τῆς συμ-
ου."
Τιβεριέων δῆμος. Ioseph. B. I. 2 21 3.
Τιβέριος Ὀκταβίου υἱός, βασιλεὺς Ῥω-
ων, ἐμπλήκτως καὶ ἀνοήτως τὴν ἀρχὴν
ήσατο, φοβερᾷ μὲν ὠμότητι μυσαρᾷ δὲ
ἀθέσμῳ πλεονεξίᾳ αἰσχρᾷ τε ἡδυπαθείᾳ
άμενος. στρατείαν μὲν γὰρ ἅπασαν αὐ-
ἠρνήσατο, διὰ δὲ τῶν ὑποστρατήγων
στρως καὶ ῥᾳθύμως τοῖς ἐναντίοις προσ-
μῶν. κακοήθης δὲ ὢν ἔστιν οὓς τῶν συμ-
ων βασιλεῖς τῶν οἰκείων ἀρχῶν ἀπάτῃ
λθὼν ἀφείλετο· ὧν Ἀρχέλαος ἦν ὁ Καπ-
ίκων βασιλεύς, ὃν ἠπίοις καὶ θεραπευ-
ῖς καλέσας ὡς ἑαυτὸν λόγοις οὐκέτι πρὸς
οἰκείαν ἀπονοστῆσαι συνεχώρησεν, ἀλλ'
χίαν τὴν Καππαδοκίαν ἀπέφηνε, καὶ
μεγίστην τῶν τῇδε πόλεων, Μάζακα ἔμ-
θεν ὑπὸ τῶν ἐποίκων ὀνομαζομένην,
ἑαυτοῦ φέρειν τὴν προσηγορίαν ἐπέταξεν·
δὴ καθ' ἡμᾶς Καίσαρός ἐστιν ἐπώνυ-
ἐς γῆρας δὲ ὅμως μακρὸν προελθὼν
κει. Eutropius?
Τιβέριος βασιλεὺς Ῥωμαίων. οὗτος ἰδιω-
φύσει ἐκέχρητο· οὔτε γὰρ ὧν ἐπεθύμει
εποιεῖτό τι, καὶ ὧν ἔλεγεν οὐδὲν ὡς εἰ-
ἐβούλετο, ἀλλ' ἐναντιωτάτους τῇ προαι-
τοὺς λογισμοὺς ποιούμενος, πᾶν ὃ ἐπόθει
το καὶ πᾶν ὃ ἐμίσει προσετίθετο. τοὺς
σὰ ἐπαίροντας ἄρχοντας ἐκόλαζε, λέ-
"κείρεσθαί μου τὰ πρόβατα ἀλλ' οὐ ξυ-
αι βούλομαι." οὕτω δὲ ἦν ἴσος ὥστε ὀρ-
ν τινά ποτε ἐλευθερωθῆναι βουληθέντα
ρότερον συνεπαινέσαι, πρὶν τὸν δεσπό-
αὐτοῦ πεισθῆναι καὶ τὴν τιμὴν λαβεῖν.
γὰρ ἑταίροις ἐν ἰδιωτείᾳ ἦν καὶ συνηγωνί-
φορὰν μὴ ἐπαγόμενος. καὶ παρήγγειλε
τῇ ἐσθῆτι μὴ χρῆσθαί τινα. αἰφνιδίως δὲ
ὴν χείρονα γνώμην μετετέθη, ὥστε πα-
ονεῖν νομισθῆναι. τοῦτο δὲ τὸ ἀρχαῖον
γξατο, "ἐμοῦ θανόντος γαῖα μιχθήτω
" καὶ τὸν Πρίαμον ἐμακάριζεν ὅτι με-
ῆς πατρίδος καὶ τῆς βασιλείας ἀπώλετο.
ntioch. p. 801.
ριστος δὲ ὑπάρχων ἐν νεότητι, καὶ πρὸς
γῆρας ἐλθὼν αἰφνίδιον εἰς τὴν χείρονα με-
τεβλήθη γνώμην, ὥστε καὶ παραφρονεῖν αὐ-
τὸν νομισθῆναι καὶ ὑπὸ δαίμονος ἐλαύνε-
σθαι πρὸς πᾶσαν ἀνοσιουργίαν τε καὶ μα-
νίαν καὶ οἰστρηλασίαν, οὐ μόνον ἐν τοῖς κατὰ
φύσιν ἀλλὰ καὶ ἐν τοῖς παρὰ φύσιν καὶ ἐν
πάσῃ ἀδικίᾳ καὶ τυραννίδι. οὕτω δὲ μετα-
πεσὼν εἰς κακίαν καταστρέφει τὸν βίον. id.

Τιβέριος ἐν Κωνσταντινουπόλει βασιλεὺς d
Ῥωμαίων, ὃν συνίστησιν Ἰουστῖνος, ἄνδρα
πρᾶον ὁμοῦ καὶ φιλάνθρωπον, κρείττονα
λημμάτων καὶ χρημάτων ἀφρόντιδα, τοῦτο
μόνον εὐδαιμονίαν ἡγούμενον, τὸ τεθηλέναι
τε καὶ εἰς μέγα πλοῦτον κομᾶν τὸ ὑπήκοον,
τὴν κοινὴν τῶν ἀνθρώπων μακαριότητα πάγ-
καλον καὶ ἀσύλητον θησαυρὸν λογιζόμενον.
ὃς τὸν ὄγκον τῆς τυραννίδος μισήσας καὶ
πρὸς τὸ φιλόστοργον τῶν ὁμοφύλων ἀναδρα-
μὼν εἵλετο βασιλεύειν αὐτοῦ τὸ ὑπήκοον ἢ
τοὺς ἰθυνομένους τυραννικώτερον ἀνδραποδί-
ζεσθαι, πατὴρ ἐθέλων ἢ δεσπότης ὑπὸ τῶν
ὑπηκόων ἀναγορεύεσθαι (Theophyl. Sim. 316).

Τιβέριος φιλόσοφος καὶ σοφιστὴς περὶ e
ἰδεῶν λόγου βιβλία γ', περὶ παρασκευῆς, περὶ
μεταποιήσεως, περὶ ἱστορίας, περὶ λόγου τά-
ξεως καὶ συνθέσεως, περὶ διαιρέσεως λόγου,
περὶ μεταβολῆς λόγου πολιτικοῦ, περὶ λόγων
ἐπιδεικτικῶν, περὶ προλαλιῶν καὶ προοιμίων,
περὶ ἐπιχειρημάτων, περὶ Δημοσθένους καὶ
Ξενοφῶντος, περὶ Ἡροδότου καὶ Θουκυδί-
δου.

Τιβία. ὅλη ἡ Φρυγία οὕτω καλεῖται.

τί γὰρ δὴ δελφῖνι καὶ βοΐ φασι κοι-
νὸν εἶναι, Σύλλᾳ τε καὶ φιλοσόφοις.

τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θα-
νὼν ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος; δο-
κῶ μὲν ὡς οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς λό-
γῳ μάτην θνήσκοντας, τοῖς δ' ἔργοισιν οὔ"
(S El. 59). Ἀριστοφάνης (Pac. 1017) "τί γάρ
σε πέφευγ', ὅσα χρὴ σοφὸν ἄνδρα; τί δ' οὐ
σὺ φρονεῖς, ὁπόσα χρεὼν ἐστὶ τὸν σοφῇ δό-
κιμον φρενὶ πορίμῳ τόλμῃ." τουτέστι, τί σε
πέφευγε; τί γὰρ οὐ ποιεῖς ὅσα χρὴ τοὺς ἐπι-
στήμονας; πορίμῳ δὲ ἀντὶ τοῦ εὐπόρῳ πρὸς
τὸ ἐπινοεῖν.

Τιγιλλίων ὄνομα κύριον.

τίγρις τὸ ζῷον, Τίγρης δὲ ὄνομα πο-
ταμοῦ.

τί δαί; τί δή; καὶ οὕτω μὲν λέγουσι τὸ a

τί δή. Ἀριστοφάνης Πλούτῳ ⟨172⟩ "τί δαί; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι." ἔστι δὲ σύνδεσμος ἐρωτηματικὸς διὰ τὴν ἔκτασιν διὰ διφθόγγου γραφόμενος. καὶ Ὅμηρος "τίς δαίς; τίς δαὶ ὅμιλος;" ἐν Ὀδυσσείᾳ ⟨α 225⟩.

b τί δαί; εἰπόντος τοῦ δανειστοῦ ⟨A Nub. 1276⟩ "ληρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;" τοῦ δὲ Στρεψιάδου ἀντιφήσαντος "οὐκ ἔσθ' ὅπως σύ γ' αὐτὸς ὑγιαίνεις," ἐπέφερεν ὁ δανειστής "τί δαί."

τί δ' ἄλλο Μεγαροῖ ⟨A Ach. 724⟩; λείπει τὸ ἢ τοῦτο τὸ ἀπολέσαι ἡμᾶς σπουδάζειν.

τί δῆτα θεῶν στρέφῃ ἀντὶ τοῦ ἐνδιατρίβεις; ⟨Plato Phaedr. p. 236 E ?⟩

τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις" ⟨S Ai. 377⟩ ἀντὶ τοῦ ἐπὶ τετελεσμένοις καὶ ἴασιν οὐκ ἔχουσιν. "οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν," ὅπως ταῦτα μὴ οὕτω σχοίη· κατὰ τὸ τοῦ Σιμωνίδου "τὸ γὰρ γεγενημένον οὐκέτ' ἄρεκτον ἔσται."

τί δῆτά σοι; τί σοι.

τί ἐστι τὸ ἐν τοῖς Δημοσθένους Φιλιππικοῖς ⟨2 6⟩ "καὶ τὸ θρυλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο," Θεόπομπος ἐν λά δεδήλωκε. φησὶ γάρ "καὶ πέμπει πρὸς Φίλιππον πρεσβευτὰς Ἀντιφῶντα καὶ Χαρίδημον, πράξοντας καὶ περὶ φιλίας· οἳ παραγενόμενοι συμπείθειν αὐτὸν ἐπεχείρουν ἐν ἀπορρήτῳ συμπράττειν Ἀθηναίοις ὅπως ἂν λάβωσιν Ἀμφίπολιν, ὑπισχνούμενοι Πύδναν. οἱ δὲ πρέσβεις οἱ τῶν Ἀθηναίων εἰς μὲν τὸν δῆμον οὐδὲν ἀπήγγελλον, βουλόμενοι λανθάνειν τοὺς Πυδναίους, ἐκδιδόναι μέλλοντες αὐτούς, ἐν ἀπορρήτῳ δὲ μετὰ τῆς βουλῆς ἔπραττον."

τιή; διὰ τί δή;

τιθασεύει ἡμεροῖ, πραΰνει.

τιθασόν ἥμερον. καὶ ἀτίθασον τὸ ἄγριον καὶ μὴ ἥμερον.

τιθέντες ποιοῦντες.

τίθεσθαι· "ὁ δὲ πρέσβεις ἔστειλε πρὸς τοὺς Μεγαρέας, παρακαλῶν ἔτι καὶ νῦν τίθεσθαι τὰ πράγματα καὶ μὴ κινδυνεύειν τοῖς ὅλοις," ἀντὶ τοῦ συγκατατίθεσθαι, διαπράττεσθαι.

τιθηνάς τροφούς. καὶ τιθηνήτηρ· ⟨AP 7 241⟩ "πολλὰ τιθηνήτηρ ὀλοφύρατο χερσὶν ἀμήσας ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν."

τιθηνός κυρίως ἐπὶ γυναικὸς τῆς τιθηνούσης καὶ τρεφούσης· κατὰ μεταφορὰν δὲ λέγεται καὶ ἡ γῆ τιθηνός.

τιθηνούμενος τρέφων· τιθηνὸς γὰρ ἡ τροφός.

τίθησι ποιεῖ.

Τίθρασος τόπος τῆς Λιβύης· καὶ Ἀριστοφάνης ⟨Ran. 480⟩ "Γοργόνες Τιθράσιαι" ἔνθα αἱ Γοργόνες διέτριβον. ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ· διαβάλλουσι γὰρ τὸν δῆμον τοῦτον ὡς κακοπράγμονα.

Τιθραύστης ὄνομα κύριον.

τιθύμαλλος εἶδος βοτάνης δριμυτάτης παρὰ Λάκωσιν εὑρισκομένης, ᾧ παρήλειφον τὰ βλέφαρα τῆς ἑσπέρας. καὶ Ἀριστοφάνης περὶ Νεοκλείδου τοῦ γλάμωνος ⟨Eccl. 404⟩ "σκόροδ' ὀμοῦ τρίψαντα τιθυμάλλῳ." ... θασι δὲ οἱ ἰατροὶ - - - Λακωνικός ⟨cf. v. ἰατρός extr.⟩. εἴρηται δὲ ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμοὺς Νεοκλείδης ὁ γλάμων ⟨254⟩.

Τιθωνοῦ γῆρας παροιμία. ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται. ἱστορεῖται δὲ ὅτι ὁ Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλεν. Ἀριστοφάνης ⟨Ach. 688⟩ "ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν."

τί ἱκανόν; τί ὄφελος.

τί καλὴ ἡ τάξις.

τί λέγεις σύ; τὸ παρὰ τὴν συνήθειαν κοινὰ χεῖρα· εἰώθαμεν γὰρ ἐν ταῖς δι' ... τίας διαλέξεσι λέγειν "τί λέγεις σύ;" ... ξαι αὐτοὺς βουλόμενοι. Ἀριστοφάνης Νεφέλαις ⟨1172⟩ "ὡς ἥδομαι πρῶτα τὴν χροιὰν ... νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς ... τιλογικός, καὶ τοῦτο τοὐπιχώριον ἀτεχνῶς ... θεῖ, τὸ 'τί λέγεις σύ;' καὶ δοκεῖν ... ἀδικεῖσθαι καὶ κακουργοῦντ', οἶδ' ὅτι. ἐπὶ τοῦ προσώπου τ' ἐστὶν Ἀττικὸν βλέπος."

τίλλοντες ἀνασπῶντες τοὺς στάχυας ⟨Marc. 2 23⟩.

Τιλφωσαῖον ὄρος μικρὸν ἀπέχον τῆς λίμνης τῆς Κωπαΐδος. Harp.

Τιμαγένης Βασιλικοῦ ἀργυραμοιβοῦ ... Ἀλεξανδρεύς, ῥήτωρ, ὡς δέ τινες, Αἰγύπτιος· ὃς ἐπὶ Πομπηίου τοῦ μεγάλου αἰχμάλωτος ... θεὶς ἐν Ῥώμῃ ὑπὸ τοῦ Γαβινίου ἐξωνήθη ... Φαύστου τοῦ υἱοῦ Σύλλου, καὶ ἐσοφίστευσεν ... Ῥώμῃ ἐπί τε αὐτοῦ Πομπηίου καὶ μετ' αὐτὸν ἐπί τε Καίσαρος τοῦ Αὐγούστου καὶ μετέπειτα ἅμα Καικιλίῳ. ἐκπεσὼν δὲ τῆς σχολῆς ... τὸ παρρησιαστὴς εἶναι ἐν ἀγρῷ διῆγε, Τοσκλάνῳ λεγομένῳ. ἐτελεύτησε δὲ ἐν Ἀλβ...

νῳ, ἐμέσαι βουληθεὶς καὶ σφηνωθείς. βιβλία δὲ ἔγραψε πολλά. cf. v. σφηνωθείς.

Τιμαγένης ἱστορικὸς περίπλουν πάσης θαλάσσης ἐν βιβλίοις ε.

Τιμαγένης ἢ Τιμογένης Μιλήσιος ἱστορικὸς καὶ ῥήτωρ, περὶ Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ καὶ τῶν ἐξ αὐτῆς λογίων ἀνδρῶν βιβλία γ', καὶ ἐπιστολάς.

Τιμαγόρας. οὗτος πρεσβευτὴς πεμφθεὶς πρὸς βασιλέα Ἀρταξέρξην ὑπὸ Ἀθηναίων οὐ μόνον χρυσίον ἔλαβε παρ' αὐτοῦ καὶ ἀργύριον, ἀλλὰ καὶ κλίνην πολυτελῆ καὶ στρώτας θεράποντας καὶ βοῦς π', καὶ κατέβη ἐπὶ θάλασσαν ἐν φορείῳ κομιζόμενος, καὶ τοῖς κομίσασι παρὰ βασιλέως ἐδόθη μισθὸς τάλαντα δ'. τοῦτον οὖν ἀνεῖλον Ἀθηναῖοι. οἱ δέ φασιν ὑπεσχῆσθαι αὐτὸν διαλύσειν τὴν οὖσαν Ἀθηναίοις καὶ Λακεδαιμονίοις φιλίαν. οὗτος οὖν ὁ Τιμαγόρας προσκυνήσας τὸν Περσῶν βασιλέα παρὰ τὰ Ἑλλήνων ἔθη καὶ δωροδοκηθεὶς ὑπὸ Ἀθηναίων ἀνῃρέθη.

a **Τίμαιος** Ἀνδρομάχου Ταυρομενείτης, ὃν Ἀθηναῖοι Ἐπιτίμαιον ὠνόμασαν, Φιλίσκου μαθητὴς τοῦ Μιλησίου. παρωνόμαστο δὲ τοῦτο διὰ τὸ πολλὰ ἐπιτιμᾶν, καὶ γραοσυλλέκτρια δὲ διὰ τὸ τὰ τυχόντα ἀναγράφειν. ἔγραψεν Ἰταλικὰ καὶ Σικελικὰ ἐν βιβλίοις η', Ἑλληνικὰ καὶ Σικελικά, συλλογὴν ῥητορικῶν ἀφορμῶν, βιβλία ξη', ὀλυμπιονίκας ἤτοι χρονικὰ πραξίδια.

b ὅτι οὗτος ὁ Τίμαιος τὰς ἁμαρτίας τῶν πρὸ ἑαυτοῦ συγγραφέων πικρότατα ἐλέγξας, κατὰ μὲν τἄλλα μέρη τῆς γραφῆς πλείστην πρόνοιαν εἶχε τῆς ἀληθείας, ἐν δὲ ταῖς Ἀγαθοκλέους πράξεσι τὰ πολλὰ κατέψευσται τοῦ δυνάστου διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. φυγαδευθεὶς γὰρ ὑπ' Ἀγαθοκλέους ἐκ τῆς Σικελίας ζῶντα μὲν ἀμύνασθαι τὸν δυνάστην οὐκ ἴσχυσε, τελευτήσαντα δὲ διὰ τῆς ἱστορίας ἐβλασφήμησεν εἰς τὸν αἰῶνα. καθόλου γὰρ ταῖς προϋπαρχούσαις τῷ βασιλεῖ τούτῳ κακίαις ἄλλα πολλὰ παρ' ἑαυτοῦ προσθεὶς ὁ συγγραφεύς, τὰς μὲν εὐημερίας ἀφαιρούμενος αὐτοῦ τὰς δὲ ἀποτεύξεις, οὐ τὰς δι' αὐτὸν γενομένας μόνον ἀλλὰ καὶ τὰς διὰ τύχην, μεταφέρων εἰς τὸν μηδὲν ἐξαμαρτάνοντα. γενομένου δὲ ὁμολογουμένως αὐτοῦ στρατηγικοῦ μὲν κατὰ τὴν ἐπίνοιαν, δραστικοῦ δὲ καὶ τεθαρρηκότος κατὰ τὴν ἐν τοῖς κινδύνοις εὐτολμίαν, οὐ διαλείπει παρ' ὅλην τὴν ἱστορίαν ἀποκαλῶν αὐτὸν ἄνανδρον καὶ δειλόν. καίτοι γε τίς οὐκ οἶδεν ὅτι τῶν πώποτε δυναστευσάντων οὐδεὶς ἐλάττοσιν ἀφορμαῖς χρησάμενος μείζω βασιλείαν περιεποιήσατο; χειροτέχνης γὰρ ἐκ παίδων γενόμενος δι' ἀπορίαν βίου καὶ πατέρων ἀδοξίαν, ἐξ ὑστέρου διὰ τὴν ἰδίαν ἀρετὴν οὐ μόνον Σικελίας ὅλης ἐκυρίευσεν, ἀλλὰ πολλὴν τῆς Ἰταλίας καὶ Λιβύης τοῖς ὅπλοις κατεστρέψατο. θαυμάσαι δ' ἄν τις τοῦ συγγραφέως τὴν εὐχέρειαν· παρ' ὅλην γὰρ τὴν γραφὴν ἐγκωμιάζων τὴν τῶν Συρακουσίων ἀνδρίαν, τὸν τούτων κρατήσαντα δειλίᾳ φησὶ διενηνοχέναι τοὺς ἅπαντας ἀνθρώπους. διὰ γὰρ τῶν ἐν ταῖς ἐναντιώσεσιν ἐλέγχων φανερός ἐστι τὸ φιλάληθες τῆς ἱστορικῆς παρρησίας προδεδωκὼς ἰδίας ἕνεκα ἔχθρας καὶ φιλονεικίας. διόπερ τὰς ἐσχάτας τῆς συντάξεως ε βίβλους τοῦ συγγραφέως τούτου, καθ' ἃς περιείληφε τὰς Ἀγαθοκλέους πράξεις, οὐκ ἄν τις δικαίως ἀποδέξαιτο. Diodor. Sic. 21 17.

Τίμαιος ὁ ἱστορικός. οὗτος κατὰ τοῦ c
Ἐφόρου πλείστην πεποίηται καταδρομὴν αὐτὸς ὢν δυσὶν ἁμαρτήμασιν ἔνοχος, τῷ μὲν ὅτι πικρῶς κατηγορεῖ τῶν πέλας ἐπὶ τούτοις οἷς αὐτὸς ἔνοχός ἐστι, τῷ δὲ διότι καθόλου διέφθαρται τῇ ψυχῇ, τοιαύτας ἀποφάσεις ἐκτιθέμενος ἐν τοῖς ὑπομνήμασι καὶ τοιαύτας ἐντίκτων δόξας τοῖς ἐντυγχάνουσι. πλὴν εἰ τὸν Καλλισθένην θετέον εἰκότως κολασθέντα μεταλλάξαι τὸν βίον, τί χρὴ πάσχειν Τίμαιον; πολὺ γὰρ ἂν δικαιότερον τούτῳ νεμεσῆσαι τὸ δαιμόνιον ἢ Καλλισθένει. ἐκεῖνος μὲν οὖν ἀποθεοῦν Ἀλέξανδρον ἐβουλήθη, Τίμαιος δὲ μείζω ποιεῖν Τιμολέοντα τῶν ἐπιφανεστάτων θεῶν, καὶ Καλλισθένης μὲν ἄνδρα τοιοῦτον ὃν πάντες μεγαλοφυέστερον ἢ κατ' ἄνθρωπον γεγονέναι τῇ ψυχῇ συγχωροῦσιν, οὗτος δὲ Τιμολέοντα τὸν οὐχ οἷον δόξαντά τι πεπραχέναι μεγαλεῖον ἀλλ' οὐδ' ἐπιβαλόμενον, μίαν δὲ τῷ βίῳ γραμμὴν διανύσαντα, καὶ ταύτην οὐδὲ σπουδαίαν τρόπον τινὰ πρὸς τὸ μέγεθος τῆς οἰκουμένης· λέγω δὴ τὴν ἐκ τῆς πατρίδος ἐς Συρακούσας. ἀλλά μοι δοκεῖ πεισθῆναι Τίμαιος ὡς, ἂν Τιμολέων, πεφιλοδοξηκὼς ἐν αὐτῇ Σικελίᾳ καθάπερ ἐν ὀξυβάφῳ, σύγκριτος φανῇ τοῖς ἐπιφανεστάτοις τῶν ἡρώων, κἂν αὐτὸς ὑπὲρ Ἰταλίας μόνον καὶ Σικελίας πραγματευόμενος εἰκότως παραβολῆς ἀξιωθῆναι τοῖς ὑπὲρ

τῆς οἰκουμένης τῶν καθόλȣ πράξεων πεποιημένοις τὰς συντάξεις ⟨Polyb. 12 23⟩.

d ἔγραψε περὶ Συρίας καὶ τῶν ἐν αὐτῇ πόλεων καὶ βασιλέων βιβλία γ΄.

e Τίμαιος Λοκρός, φιλόσοφος Πυθαγόρειος, μαθηματικά, περὶ φύσεως, περὶ τοῦ Πυθαγόρȣ βίȣ.

τιμαλφέςερον τιμιώτερον, λαμπρότερον· ἀλφεῖν γάρ ἐςι τὸ εὑρίσκειν, ὥςε γίνεσθαι τὸ τιμαλφέστατον τὸ τιμὴν εὑρίσκον πλείςην· ὃ δὴ συμβέβηκε τῷ χρυσῷ.

Τιμάνθης Κλεωναῖος παγκράτιον νικήσας, ὅν φασι παυσάμενον διὰ ἡλικίαν τῶν ἄθλων τόξον μέγα ἐπὶ ἑκάςης τείνειν τῆς ἡμέρας, ἀποπειρώμενον ἑαυτοῦ· ὡς δὲ ἀποδημήσας καὶ ἐπανήκων οὐχ οἷός τε ἦν ἐντεῖναι, τότε πῦρ ἀνακαύσας ἀφῆκε ζῶντα ἑαυτὸν εἰς τὴν πυράν. ὁπόσα δὲ τοιαῦτα γέγονεν ἀνθρώποις ἢ καὶ ὕςερον γενήσεται, μανία μᾶλλον καὶ ȣ̓κ ἀνδρία λογίζοιτο ⟨Pausan. 6 8⟩.

Τίμαρχος Ἀριζήλȣ ἄσωτος καὶ πόρνος, ἐν Πειραιεῖ παρ' Εὐθυδίκῳ διατρίψας τὰ πρῶτα, ὕςερον δὲ Μισγόλᾳ καὶ Ἡγησάνδρῳ τῷ Λεοδάμαντος ἐρωμένῳ μισθώσας αὐτόν, καὶ μετ' αὐτοὺς Πιτταλάκῳ συνών, τῆς πόλεως οἰκέτῃ· ἐπίτροπος δὲ αἱρεθεὶς Ἀριςογείτονος ἀντειπόντος ἐκωλύθη. τῷ θείῳ δὲ ὄντι τυφλῷ καὶ ἀξιοῦντι μετὰ τῶν ἀδυνάτων τρέφεσθαι οὐ συνεῖπεν, οὐδὲ τῇ μητρὶ χρῃζούσῃ τῶν ἀναγκαίων ἐπεκούρησεν. ἥλω δὲ ὑπὸ Αἰσχίνȣ πορνείας γέρων ὤν.

τιμᾶσθαι προτιμᾶν, ἐξέχεσθαι· "μὴ πιεῖν ἀνέχεσθαι οἴνȣ, μηδὲ τιμᾶσθαι τοσȣ́τȣ τὸν βίον τὸν λοιπὸν ἵνα τὸν φθάνοντα, φησίν, ἀφανίσῃ ἐκτρυφῇ διαίτης λιτῆς, πιȣ̃σα οἴνου· καὶ τὸν βίον ἡ γενναία κατέςρεψε."

Τιμάσιος. οὗτος ἐπὶ Θεοδοσίȣ τȣ̃ βασιλέως ἦν· ὃν ὁ Εὐτρόπιος ἐπιςῆσαι τοῖς πράγμασι βȣλόμενος ἐκ τῆς Ἀσίας μετεκαλεῖτο πρὸς τὰ βασίλεια. ὁ δὲ γαῦρός τε ἀνὴρ ὢν καὶ ἀγέρωχος καὶ ςρατείαις ὡμιληκώς, καὶ τοῦτο πρῶτον ἀγαθὸν ἡγούμενος τῶν ἐν ἀνθρώποις, τιμὴν καὶ δόξαν καὶ πλοῦτον ἐπικλύζοντα, καὶ τὸ ἔχειν ἑαυτῷ ὅ τι βούλοιτο κεχρῆσθαι καὶ ἀδεῶς, διά τε μέθην νύκτα καὶ ἡμέραν οὐκ εἰδέναι οὐδὲ ἀνατέλλοντα καὶ δυόμενον καθορᾶν ἥλιον, ἴσα καὶ οὐρανοῦ εἶναι νομίσας τὴν μετάκλησιν, ἐκ τῶν ἀλύπων καὶ διακεχυμένων πρὸς ὀλιγωρίαν διατριβῶν ἀπορρήξας ἑαυτὸν καὶ κατατείνας τὴν ψυχὴν εἰς φιλοδοξίαν, βαρὺς ἀναςὰς ἐκ Παμφυλίας ἐπὶ Λυδίαν ἀνέςρεφεν, ὡς ἂν δή τις βασιλεύσων ἢ τόν γε βασιλέα καὶ τὸν εὐνοῦχον κατὰ πάρεργόν τι παιδιὰν θησόμενος, εἰ βούλοιτο cf. Eunap. p. 113 Nieb.

Τιμασίων. οὗτος μειράκιον ἦν Αἰγύπτιον, ἐφήβȣ δὲ ἄρτι ὑπαπήει καὶ τὴν ὥραν ἄρτι ἔρρωτο. σωφρονοῦντι δὲ αὐτῷ μητρυιὰ ἐρῶσα ἐπέκειτο καὶ χαλεπὸν τὸν πατέρα ἐποίει, ξυντιθεῖσα μὲν οὐδὲν ὧνπερ ἡ Φαίδρα, διαβάλλȣσα δ' αὐτὸν ὡς θῆλυν καὶ ἐραςαῖς μᾶλλον ἢ γυναίοις χαίροντα. ὁ δὲ ἐκλιπὼν Ναύκρατιν περὶ Μέμφιν διῃτᾶτο, καὶ ναῦν δὲ ἤδη ἐκέκτητο, καὶ ἐναυκλήρει ἐν τῷ Νείλῳ. ἰδὼν οὖν ἀναπλέοντα τὸν Ἀπολλώνιον καταπλέων αὐτός, ξυνῆκέ τε ὡς ἀνδρῶν σοφῶν εἴη τὸ πλήρωμα, ξυμβαλλόμενος τοῖς τρίβωσι καὶ τοῖς βιβλίοις οἷς προσεσπούδαζον, καὶ ἱκέτευε προσδοῦναί οἱ τῆς τοῦ πλοίȣ κοινωνίας, ἐρῶντι σοφίας. ὁ δὲ Ἀπολλώνιος "σώφρων" ἔφη "ὁ νεανίσκος, ὦ ἑταῖροι, καὶ ἀξιούσθω ὧν δεῖται." καὶ διῆλθε τὸν περὶ τῆς μητρυιᾶς λόγον πρὸς τοὺς ἐγγὺς τῶν ἑταίρων ὑφειμένῳ τῷ τόνῳ, προσπλέοντος τȣ̃ μειρακίȣ ἔτι. ὡς δὲ ξυνῆσαν αἱ νῆες, μεταβὰς ὁ Τιμασίων καὶ πρὸς τὸν ἑαυτοῦ κυβερνήτην εἰπών τι περὶ τοῦ φόρτȣ προσεῖπε τοὺς ἄνδρας. κελεύσας οὖν αὐτὸν ὁ Ἀπολλώνιος κατ' ὀφθαλμοὺς αὐτοῦ ἵζεσθαι "μειράκιον" εἶπεν "Αἰγύπτιον, ἔοικας γὰρ τῶν ἐπιχωρίων εἶναί τις, τί σοι φαῦλον ἢ τί χρηστὸν εἴργασται, λέξον, ὡς τῶν μὲν λύσις παρ' ἐμοῦ γένοιτό σοι δι' ἡλικίαν, τῶν δ' αὖ ἐπαινεθεὶς ἐμοί τε ξυμφιλοσοφοίης καὶ τοῖσδε." ὁρῶν δὲ τὸν Τιμασίωνα ἐρυθριῶντα καὶ μεταβάλλοντα τὴν ὁρμὴν τοῦ ςόματος εἰς τὸ λέξαι τι ἢ μή, θαμὰ ἤρειδε τὴν ἐρώτησιν ὥσπερ οὐδεμιᾷ προσρήσει ἐς αὐτὸν κεχρημένος. ἀναθαρρήσας δὲ ὁ Τιμασίων "ὦ θεοί" ἔφη, "τίνα ἐμαυτὸν εἴπω; κακὸς μὲν γὰρ οὐκ εἰμί, ἀγαθὸν δὲ εἰ χρὴ νομίζεσθαί με οὐκ οἶδα· τὸ γὰρ μὴ ἀδικεῖν οὔπω ἔπαινος." καὶ ὁ Ἀπολλώνιος "βαβαί" ἔφη, "μειράκιον, ὡς ἀπὸ Ἰνδῶν μοι διαλέγῃ· ταυτὶ γὰρ καὶ Ἰάρχᾳ δοκεῖ τῷ θείῳ. ἀλλ' ὅπως ταῦτα δοξάζεις καὶ ὅπου; φυλαξαμένῳ γάρ τι ἁμαρτεῖν ἔοικας." καὶ

δ' ἀρξαμένȣ λέγειν ὡς ἡ μητρυιὰ μὲν ἐπ' αὐτὸν φέροιτο αὐτὸς δ' ἐρώσης ἐξαίη, βοὴ ἐγένετο ὡς δαιμονίως αὐτὰ τȣ̃ Ἀπολλωνίȣ προειπόντος, ὑπολαβὼν δὲ ὁ Τιμασίων "ὦ λῷστοι" ἔφη, "τί πεπόνθατε; τοσοῦτον γὰρ ἀπέχει τὰ εἰρημένα θαύματος ὅσον καὶ γέλωτος." καὶ ὁ Δᾶμις "ἕτερόν τι" ἔφη "ἐθαυμάσαμεν, ὅπερ οὔπω γινώσκεις. καὶ σὲ δέ, μειράκιον, ἐπαινοῦμεν, ὅτι μηδὲν οἴει λαμπρὸν εἰργάσθαι." "Ἀφροδίτῃ δὲ θύεις, ὦ μειράκιον;" ἤρετο αὐτὸν ὁ Ἀπολλώνιος. καὶ ὁ Τιμασίων "νὴ Δί'" εἶπεν, "ὁσημέραι γε· πολλὴν γὰρ ἡγοῦμαι τὴν θεὸν ἀνθρωπείοις τε καὶ θείοις πράγμασιν." ὑπερησθεὶς ȣ̓̃ν ὁ Ἀπολλώνιος "ψηφισώμεθα" ἔφη, "ὦνδρες, ἐςεφανῶσθαι αὐτὸν ἐπὶ σωφροσύνῃ καὶ πρὸ Ἱππολύτȣ τοῦ Θησέως. ὃ μὲν γὰρ εἰς τὴν Ἀφροδίτην ὕβρισε, καὶ διὰ τοῦτο ἴσως ȣ̓δὲ ἀφροδισίων ἥττητο, ȣ̓δ' ἔρως ἐπ' αὐτὸν οὐδεὶς ἐκώμαζεν, ἀλλ' ἦν τῆς ἀγροικοτέρας τε καὶ ἀτέγκτȣ μοίρας· οὑτοσὶ δὲ ἡττῆσθαι τῆς θεȣ̃ φάσκων ȣ̓δὲν πρὸς τὴν ἐρῶσαν ἔπαθεν, ἀλλ' ἀπῆλθεν αὐτὴν δείσας τὴν θεόν, εἰ τὸ κακῶς ἐρᾶσθαι μὴ φυλάξαιτο. καὶ αὐτὸ δὲ τὸ διαβεβλῆσθαι πρὸς ὁντινȣ̃ν τῶν θεῶν, ὥσπερ πρὸς τὴν Ἀφροδίτην ὁ Ἱππόλυτος, ȣ̓κ ἀξιῶ σωφροσύνης· σωφρονέςερον γὰρ τὸ περὶ πάντων θεῶν λέγειν εὖ, καὶ ταῦτα Ἀθήνησιν, οὗ καὶ ἀγνώσων δαιμόνων βωμοὶ ἵδρυνται." Ἱππόλυτον δὲ αὐτὸν ἐκάλει διὰ τοὺς ὀφθαλμοὺς οἷς τὴν μητρυιὰν εἶδε. Philostrat. V. A. 6 2.

Τιμαχίδας Ῥόδιος. οὗτος δείπνων ἀναγραφὰς πεποίηται ἐν βιβλίοις ιά δι' ἐπῶν, καὶ Νεμήνιος ὀψαρτυτικόν, καὶ Ματρέας ὁ Πιταναῖος, καὶ Ἡγήμων ὁ Θάσιος ὁ ἐπικληθεὶς φακῆ, καὶ Ἀρτεμίδωρος ὁ ψευδαριςοφάνειος ὁ ὀψαρτυτικὰς λέξεις συναγαγών, καὶ Φιλόξενος ὁ Λευκαδίȣ, ἀφ' οὗ καὶ Φιλοξένειοι πλακοῦντες. ἦν δὲ ὁ Φιλόξενος ὀψοφάγος ἐπὶ τοσοῦτον ὥςε φανερῶς ἐν τοῖς βαλανείοις τὴν χεῖρα συνεθίζειν πρὸς τὰ θερμά, καθιέντα ἐς ὕδωρ θερμὸν καὶ τὸ ςόμα ἀναγαργαριζόμενον θερμῷ ὕδατι, ὅπως ἐν τοῖς θερμοῖς δυσκίνητος ᾖ. καὶ τȣ̀ς ὀψοποιοῦντας ὑπεποιεῖτο, ἵνα θερμότατα παρατιθῶσι καὶ μόνος καταναλίσκοι. παραπλήσια δὲ ἱςοροῦσι καὶ περὶ Ἀρχύτȣ. καὶ Κρωβύλος φησὶν "ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ' ὑπερβολῇ τȣ̀ς δακτύλους δέπεθεν Ἰδαίους ἔχω," ἀντὶ τȣ̃ ψυχρȣ̃ς, "καὶ τὸν φάρυγγ' ἥδιςα πυριῶ τεμαχίοις." Athen. p. 5.

τιμή. ἔσθ' ὅτε δηλοῖ καὶ τὸ πρόςιμον· Ὅμηρος ⟨Γ 288⟩ "εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες τίνειν οὐκ ἐθέλωσι." ⟨Theodoret. in Ps. 61 5⟩ τιμὴ εὐσεβῶν τὸ δȣλεύειν θεῷ· "πλὴν τὴν τιμήν μȣ ἐβȣλεύσαντο ἀπώσασθαι."

τιμήεις τιμήεντος.

τίμημα ζημία· Ἀριςοφάνης Πλούτῳ a ⟨480⟩ "τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ, ἐὰν ἁλῷς;" ἐπέβαλλον γὰρ ζημίαν ἐνίοτε τοῖς ἁλοῦσιν, ἢ χρήματα καταθέσθαι ἤ τι τοιοῦτον. καὶ αὖθις "τίμημα τῆς εἰσαγγελίας ἐχούσης χρηματικόν." "ταῖς οὐσίαις ἑκάςτȣ τιμήματα πρὸς λόγον τῆς δυνάμεως ἐπιθεὶς δικαιότατον πολίτευμα εἰσηγήσατο."

τίμημα ἡ ζημία καὶ ἡ καταδίκη. b

τίμημα ἀντὶ τȣ̃ ἐνέχυρον καὶ οἷον ἀποτίμημα, ὡς Λυσίας φησὶν "οὗτοι δὲ φάσκοντες πλείονα μισθώσασθαι καὶ τίμημα καταςήσασθαι." τȣ̃το δ' ἐν τοῖς ἑξῆς ἀποτίμημα καλεῖ. τίθεται δὲ καὶ ἀντὶ τȣ̃ οἷον κεφάλαιον, ὡς ἐν τῷ περὶ τῶν συμμοριῶν ⟨19⟩ Δημοσθένης. λέγεται δὲ καὶ τὸ ἐκ τῆς ȣ̓σίας εἰσφερόμενον παρ' ἑκάςȣ τίμημα· "ταῖς ȣ̓σίαις δὲ ἑκάςȣ τιμήματα πρὸς λόγον τῆς δυνάμεως ἐπιθεὶς δικαιότατον πολίτευμα εἰσηγήσατο." ἐν δὲ τῷ κατὰ Μειδίȣ ⟨25⟩ ἐπὶ τῆς τιμωρίας εἴρηται. Harp. c

τί μήν; κατάφασιν δηλοῖ, ἀντὶ τȣ̃ πῶς γὰρ οὔ; διὰ τί γὰρ οὔ.

τιμησαίμην· Αἰλιανός "ὃν ἂν ἐγὼ τιμησαίμην πρὸ παντὸς συγγενέσθαι καὶ πᾶσι τυράννοις καὶ τοῖς ἐπὶ μέγα πλούτȣ προήκȣσι." καὶ αὖθις Αἰλιανός "τιμησαίμην τὸν βίον πάντα τριτημοίρȣ, εἰ μὴ ἔχοιμι τȣ̀ς ἐμȣ̀ς κηδεμόνας," ἀντὶ τοῦ ἀλλάξαιμι.

τιμησάμενος καταχρίνας· "οὐ κατηγορεῖ Ξάνθιππος, θανάτῳ τιμησάμενος αὐτῷ. ὁ δὲ κλινήρης ἀπολογούμενος ἐζημιώθη ταλάντοις ή."

τιμήσεως εὐθύνης, ζημίας· "ἡ Ῥώμη ἑαυτὴν ἐπιδέδωκεν εἰς πολυανθρωπίαν, ὡς ἐκ τῆς ἔγγιςα τιμήσεως ἐφάνη, ἐν ᾗ Ῥωμαίων τῶν ἐν ἥβῃ δ' μυριάδες ἠριθμήθησαν τριῶν ἀποδέȣσαι χιλιάδων.

Τιμησίθεος τραγικός. δράματα αὐτȣ̃ Δαναΐδες β', Ἕκτορος λύτρα, Ἡρακλῆς, Ἰξίων, Καπανεύς, Μέμνων β', Μνηςῆρες,

Ζηνὸς γοναί, Ἑλένης ἀπαίτησις, Ὀρέςης, Πυλάδης, Κάςωρ καὶ Πολυδεύκης.

τιμητεία ἡ τιμή.

τιμητής. Ἄππιος Κλαύδιος ἦν τιμητής, κήνσωρ δὲ παρὰ Ῥωμαίοις ὀνομαζόμενος, ὅ ἐςιν ἐξεταςής τις τῶν πολιτικῶν διαιτημάτων, πρὸς τὸ σῶφρον καὶ ἀρχαιότροπον ἑκάστου τῶν πολιτῶν ἐπιστρέφων τὸν βίον. ἀρχὴ μεγίςη καὶ πασῶν ἐντιμοτάτη παρὰ Ῥωμαίοις κέκριται, τοῖς διὰ πάσης γεγονόσιν ἐνδόξε πολιτείας ἀμωμήτῳ τε βίῳ χρησαμένοις κληρεμένη.

τίμιον τὸ σπάνιον παρὰ τοῖς ῥήτορσι.

τιμιελκῶν ἕλκων τὴν τιμήν, τετέςι βαρυτιμῶν καὶ μεγαλύνων. καὶ ὁ προφήτης "ὁ τιμιελκῶν τὸν σῖτον δημοκατάρατος."

τιμιώτερος ἐντιμότερος.

a Τιμόθεος Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτε ἦν Πύκτης, Παρακαταθήκη, Μεταβαλλόμενος ἢ Μεταφερόμενος. καὶ Κυνάριον Τιμοθέε δρᾶμα, ὥς φησιν Ἀθήναιος ⟨p. 243⟩ ἐν τοῖς αὐτοῖς αὐτοῦ.

b Τιμόθεος Γαζαῖος γραμματικός, γεγονὼς ἐπὶ Ἀναςασίε βασιλέως, εἰς ὃν καὶ τραγῳδίαν ἐποίησε περὶ τε δημοσίε τε καλεμένε χρυσαργύρε. ἔγραψε δὲ καὶ ἐπικῶς περὶ ζῴων τετραπόδων θηρίων τῶν παρ' Ἰνδοῖς καὶ Ἄραψι καὶ Αἰγυπτίοις καὶ ὅσα τρέφει Λιβύη, καὶ περὶ ὀρνέων ξένων τε καὶ ἀλλοκότων καὶ ὄφεων, βιβλία δ'.

c Τιμόθεος Θερσάνδρε ἢ Νεομέσε ἢ Φιλοπόλιδος, Μιλήσιος, λυρικός, ὃς τὴν δεκάτην καὶ ἑνδεκάτην χορδὴν προσέθηκε, καὶ τὴν ἀρχαίαν μεσικὴν ἐπὶ τὸ μαλακώτερον μετήγαγεν. ἦν δὲ ἐπὶ τῶν Εὐριπίδε χρόνων τε τραγικε, καθ' οὓς καὶ Φίλιππος ὁ Μακεδὼν ἐβασίλευεν, καὶ ἐτελεύτησεν ἐτῶν ϙζ', γράψας δι' ἐπῶν νόμες μεσικὲς ιθ', προοίμια λς', Ἄρτεμιν, διασκευὰς ή, ἐγκώμια, Πέρσας ἢ Ναύπλιον, Φινείδας, Λαέρτην, διθυράμβες ιή, ὕμνες κά καὶ ἄλλα τινά.

d ὅτι Ἀλέξανδρος φιλήκοος ἦν, εἴπερ τις ἄλλος, τῶν μεσικῶν. Τιμόθεος γὰρ ὁ αὐλητὴς ἔτι πρόσθεν, ὅν ποτε αὐλεντα λέγουσι τῆς Ἀθηνᾶς τὸν ὄρθιον νόμον ἐπικαλέμενον ἐς τοσόνδε ἐκπλῆξαι Ἀλέξανδρον τοῖς μέλεσιν ὥςε μεταξὺ ἀκέσαντα ἀναΐξαι ἐπὶ τὰ ὅπλα· τὸν δὲ φάναι ὅτι τοιαῦτα χρὴ εἶναι τὰ βασιλικὰ αὐλήματα· οὗτός τε δὴ ὁ Τιμόθεος ἀνεληλύθει πρὸς αὐτὸν σπεδῇ μετάπεμπτος γενόμενος.

Τιμόθεος ὄνομα κύριον· "ὁ Τιμοθέε δὲ πύργος ἐμπέσοι γέ σοι" Ἀριστοφάνης Πλούτῳ ⟨180⟩. οὗτος ὁ Τιμόθεος πλέσιος ὤν, ςρατηγὸς Ἀθηναίων, τεῖχος ᾠκοδόμησεν. ὃς εἰς τοσεῦτον ἤρθη τύχης ὡς τὸν δαίμονα φαίνεσθαι ὄψει τέτῳ. ἐποίεν τε αὐτὸν ἐν εἰκόσιν οἱ ζωγράφοι κοιμώμενον, καὶ τὰς τύχας φερούσας αὐτῷ εἰς δίκτυα πόλεις, καὶ πορθεντα αὐτάς, αἰνιττόμενοι τὴν εὐδαιμονίαν αὐτοῦ. ἀλαζονευόμενος δὲ ἐπὶ εὐτυχίᾳ ὁ Τιμόθεος ἔφη αὐτοῦ εἶναι μᾶλλον ἢ τῆς τύχης τὰ κατορθώματα· διὸ καὶ ἠτύχησεν ὕςερον νεμεσησάσης αὐτῷ τῆς τύχης. πολλοὶ δὲ Τιμόθεοι κωμῳδεντναι, τὸν δὲ τὸν ςρατηγὸν λέγει.

Τιμοκλῆς Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐςὶ Δημοσάτυροι, Κένταυρος, Καύνιοι, Ἐπιςολαί, Ἐπιχαιρέκακος, Φιλοδικαςής, Πύκτης, ὥς φησιν Ἀθήναιος ἐν Δειπνοσοφιςαῖς.

Τιμοκλῆς ἕτερος, καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐςὶ Διονυσιάζουσαι, Πολυπράγμων, Ἰκάριοι, Δῆλος, Λήθη, Διόνυσος, Κονίσαλος, Πορφύρα, ἥτις καὶ δοκεῖ Ξενάρχε εἶναι, Ἥρωες, Δρακόντιον, Νέαιρα (ἑταίρας δὲ ὄνομά ἐςιν ἡ Νέαιρα), Ὀρέςης, Μαραθώνιοι, καὶ ἄλλα.

Τιμοκρέων Ῥόδιος, κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας. διεφέρετο δὲ πρὸς Σιμωνίδην τὸν τῶν μελῶν ποιητὴν καὶ Θεμιςοκλέα τὸν Ἀθηναῖον, εἰς ὃν ἐξέθετο ψόγον δι' ἐμμελες τινὸς ποιήματος. ἔγραψε δὲ κωμῳδίαν εἴς τε τὸν αὐτὸν Θεμιςοκλέα καὶ εἰς Σιμωνίδην τὸν μελοποιόν, καὶ ἄλλα.

Τιμόλαος Λαρισαῖος ἐκ Μακεδονίας, ῥήτωρ, Ἀναξιμένους τοῦ Λαμψακηνοῦ μαθητής, ὃς καὶ ποιητικῶς ἔχων παρέβαλε τῇ Ἰλιάδι στίχον πρὸς στίχον, καὶ ἐπέγραψε τὸ σύνταγμα Τρωικός. "μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος, ἣν ἔθετο Χρύσε κεχολωμένος εἵνεκα κούρης, οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε μαρναμένοις, ὅτε Τρωσὶν ἄτερ πολέμιζον ἀνακτα. πολλὰς δ' ἰφθίμες ψυχὰς Ἄιδι προΐαψεν Ἕκτορος ἐν παλάμησι δαϊζομένων ὑπὸ δουρί." ἔγραψε καὶ ἄλλα τινά. cf. vv. Ἰδαῖος et Πίγρης.

τιμοῦχος. ὕτως καλεσι τὰς ἄρχοντας

ήνιοι· "τὰς γε μὴν τιμούχους καθῆραι ν τὴν πόλιν οἷα δὴ λυμάτων τινῶν καὶ ρμάτων ἀπηλλαγμένην" (cf. v. Ἐπίκου- xtr.).

μῶμαι· "Σωκράτης ὁ φιλόσοφος κα- ασθεὶς ἔφησεν· ἕνεκα μὲν τῶν ἐμοὶ δια- :γμένων τιμῶμαι τὴν δίκην τῆς ἐν πρυ- υ σιτήσεως.' καὶ οἱ θάνατον αὐτοῦ κα- σαν" (Diog. L. 2 42).

μώμενον ἀντὶ τοῦ ζημιούμενον· "ὄνο- νον ἐστὶν ἔργου τιμώμενον," ἀντὶ τοῦ ζη- ενον· τίμησις γὰρ καὶ ἡ ζημία. ἢ τὸ όμενον καὶ ἐπιτίμια ὑπέχον.

ίμων Φλιάσιος, καὶ αὐτὸς φιλόσοφος Ιύρρωνος ἀγωγῆς, ὁ γράψας τοὺς κα- ους σίλλους ἤτοι ψόγους τῶν φιλοσόφων, ι γ'.

ίμων ὁ μισάνθρωπος, καὶ αὐτὸς φι- ος, ἀποστρεφόμενος πᾶσαν αἵρεσιν.

ίμων ὄνομα κύριον, ὁ μισάνθρωπος μενος. ἦν δὲ καθαρός. cf. v. ἀπορρῶ-

ιμωνίδης ὄνομα κύριον.

μῶνται ζημιοῦσι, καταδικάζουσιν· "οἵγε μεραῖοι τὸν Φιλόδημον τιμῶνται πρὸς μεύσει καὶ φυγῆς ζημίᾳ."

μωρεῖν ἀντὶ τοῦ βοηθεῖν, καὶ τιμω- ἱ ἐκδικητής. "οἱ δὲ ᾤοντο αὐτὸν τιμω- ρῆσθαι τοῦ Ἀετίου φόνου."

μωροῦντος βοηθοῦντος, ἐκδικοῦντος· νός "ἐμοὶ δοκεῖν, τοῦ Διονύσου τιμω- ος παρθένῳ δυστυχεῖ καὶ παθούσῃ τρα- ς ἄξια." "ἀποθανόντων τῶν ἀγαθῶν ώπων ὁ θεὸς τίθεται πρόνοιαν καὶ καὶ τιμωρεῖ τοῖς ἀδίκως ἀνῃρημένοις. γοῦν Χρύσιππος ἐν Μεγάροις καταχθῆ- ινα χρυσίου ζώνην πεπληρωμένην ἐπα- ον. ἀπέκτεινε δὲ ἄρα αὐτὸν πανδοκεὺς οδεξάμενος ὀψισθέντα, ἐποφθαλμίσας υσίῳ· εἶτα ἔμελλεν ἐκκομίζειν ἐφ' ἁμά- γούσης κόπρον, ὑποκρύψας ἐν ταύτῃ πεφονευμένον. ἡ τοίνυν ψυχὴ τοῦ τε- τος ἐφίσταται Μεγαρεῖ τινί, καὶ λέγει τε ἔπαθε καὶ ὑφ' ὅτου, καὶ ὅπως ιζεσθαι μέλλοι καὶ κατὰ ποίας πύ- ὃ δὲ οὐκ ἤκουσε ῥαθύμως τὰ λεχθέν- νεφαῖος δὲ διαναστὰς καὶ παραφυλάξας ζεύγους ἐπελάβετο, καὶ ἀνίχνευσε τὸν νε- καὶ ὃ μὲν ἐτάφη, ὃ δὲ ἐκολάσθη." ζώνη et Cic. de divin. 1 27.

τιμωρῶ σοι βοηθῶ σοι. τιμωρῶ σε δέ.

τινάξαι διαρρῆξαι, κόψαι· ἐν ἐπιγράμ- ματι (AP 5 230) "αὐτὰρ ἐγὼ τὸ πρὶν μὲν ἐκάγχασα, δεσμὰ τινάξαι οἰόμενος."

τίνειν διδόναι, καὶ τῖνε ἀπόδιδου.

τινθαλέοισι χλιαροῖς, θερμοῖς· (? Ni- cand. Alex. 463) "τινθαλέοισι κατικμήναιντο λοετροῖς," χλιαροῖς, θερμοῖς καθυγρανθεί- ησαν.

τιννύμενος (Hom. ω 325) ἀπαιτούμενος, ἀποδιδόμενος.

τίννυνται (Hom. Τ 260) τιμωροῦνται.

τίοντες τιμῶντες.

Τίος τόπος.

τί οὐ γενήσῃ ἰὼν ἐς Ἀρβέλας;" cf. v. τίς οὐ γενήσῃ.

τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως γένῃ;" κέχρηται αὐτῇ Πλάτων ἐν Μενελάῳ, παρὰ δὲ τὴν ἱστορίαν· οἱ γὰρ ἐν Θήβαις ἑαυ- τοὺς διαχειρισάμενοι οὐδ' ἠστινοσοῦν τιμῆς ἠξιοῦντο.

τί οὖν ἔτι ζῇ τῶν κοράκων πονηρίᾳ (A Thesm. 874); τοῦτό φησιν, ὅτι πονηροὶ οἱ κόρακες, διότι μέχρι καὶ νῦν οὐκ ἐσπάρα- ξάν σε.

τίπτε τί δή.

Τίρεως. Plutarch. Alex. 30.

Τίρυνθος ὄνομα ὄρους.

τίς ἀντὶ τοῦ οὐδείς· Δαβίδ (Ps. 82 1) "ὁ θεός, τίς ὁμοιωθήσεταί σοι;" σημαίνει δὲ τὸ τίς διάφορα. "τίς ἔγνω νοῦν κυρίου;" καὶ "τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ; τίς ἔστησε τὰ ὄρη σταθμῷ;" (Iesai. 40 12 et 13). τὸ τίς ἐνταῦθα οὐ τὸ ἄπορον παν- τελῶς ἀλλὰ τὸ σπάνιον δηλοῖ, ὡς τὸ "τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις;" (Ps. 93 17) καὶ "τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν;" (Ps. 33 12). καὶ παροιμία "ἀεί τις ἐν Κύδωνος," ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους, ἀπὸ Κύδωνος Κορινθίου φιλο- ξένως διατεθέντος ὑπερβαλλόντως. cf. v. ἀεί τις ἐν Κ.

τῖσαι καὶ τίσασθαι ἀποδοῦναι· "ὁ δὲ Δαρεῖος ὁ Περσῶν βασιλεὺς ὡς ἔσχε τὴν ἀρχήν, ἐπεθύμησεν Ὀροίτεα τίσασθαι πάν- των τῶν ἀδικημάτων εἵνεκα" Ἡρόδοτος (3 127).

τισάμενος τιμωρήσας.

Τισαμενός ὄνομα κύριον.

τισαμενοφαινίππους. ὁ Τισαμενὸς ὡς ξένος καὶ μαστιγίας κωμῳδεῖται, ὁ δὲ Φαίνιππος ὡς σνώδης καὶ ἡταιρηκώς ⟨sch. A Ach. 603⟩.

τίς ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ" ⟨A Ach. 1071⟩ ἀντὶ τοῦ πολύχαλκα. τραγικώτερον λέγει διὰ τὸ μεγαλορρῆμον τοῦ Λαμάχου.

Τίσανδρος ὄνομα κύριον.

τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐςι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν" Εὐριπίδȣ. "τὸ πνεῖν δὲ δειπνεῖν, τὸ δὲ καθεύδειν κώδιον;" παρὰ τὸ ἐκ Φρίξου Εὐριπίδȣ.

τίσειαν ⟨Hom. A 42⟩ ἀποδοῖεν.

τίς εἰς ἀναπαύλας; αὗται πορθμευτικαὶ παρὰ Χάρωνος πεύσεις καὶ κηρύγματα ⟨A Ran. 186⟩· "τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων; ··· χρησιμεύȣσι ⟨cf. v. ἀναπαύλας⟩. λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀνηνύτων· ἐν ᾧ τρόπῳ φαμὲν "χύτραν ποικίλλεις." ἀνήνυτα δὲ καὶ τὰ ἐν Ἅιδου. διὰ τοῦτο οὖν ὄνου πόκας ἀνεπλάσατο ποιητικῶς.

Τισίας ὁ τιμώμενος.

τίσις τιμωρία, ἀπόδοσις.

τί σοι ὁ Ἀπόλλων κεκιθάρικεν; ἀντὶ τȣ̃ τί σοι ἐμαντεύσατο.

τίσομαι τιμωρήσομαι, ἀπαιτήσω.

τίς οὐ γενήσῃ ἰὼν ἐς Ἀρβέλας;" Ἀρβέλη πόλισμα Σικελικόν, εὐεξαπάτητοι δὲ οἱ ἐνοικȣ̃ντες ἐκεῖσε ἐδόκȣν εἶναι.

τίς πατέρ' αἰνήσει', εἰ μὴ κακοδαίμονα τέκνα;" ἴσως ἐπὶ τῶν προγονικὰ ἀνδραγαθήματα προφερόντων.

Τισσαφέρνης ὄνομα κύριον. καὶ κλίνεται εἰς ους.

τίς τῇδε; οἱ σπένδοντες ἔλεγον "τίς τῇδε;" ἀντὶ τοῦ τίς πάρεςιν; εἶτα οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον "πολλοὶ κἀγαθοί." τȣ̃το δὲ ἐποίȣν οἱ σπένδοντες ἵνα οἱ συνειδότες τι ἑαυτοῖς ἄτοπον ἐκχωροῖεν τῶν σπονδῶν ⟨sch. A Pac. 967⟩.

τίς τρόπος ἵππων; παροιμία ἐπὶ τῶν ἀλλοκότων· Μεταγένης Θουριοπέρσαις "τίς τρόπος ἵππων; ὡς δ' ὀρχοῦνται τὸν βαρβαρικὸν τρόπον οὗτοι."

τίσω ἀποδώσω.

τίσωσι τιμήσωσιν. ἢ τιμωρήσονται.

τιταίνων.

Τιταιρώνιον ἀκρωτήριον.

Τιτακίδαι δῆμός ἐςι τῆς Αἰαντίδος φυλῆς. μήποτε δὲ ἀπὸ Τιτακοῦ ὠνομάσθησαν, οὗ μνημονεύει Ἡρόδοτος ⟨9 73⟩. Ἁρπ.

Τιτᾶνας βοᾶν. ἐβοήθȣν γὰρ τοῖς ἀνθρώποις ἐπακούοντες, ὡς Νίκανδρος ἐν α' Αἰτωλικῶν. ἐνομίζοντο δὲ τῶν πρεσβυτάτων θεῶν εἶναι.

Τιτᾶνες οἱ καταχθόνιοι δαίμονες.

Τιτανίδα γῆν οἱ μὲν τὴν πᾶσαν, οἱ δὲ τὴν Ἀττικήν, ἀπὸ Τιτηνίȣ ἑνὸς τῶν Τιτάνων ἀρχαιοτέρȣ, οἰκήσαντος περὶ Μαραθῶνα, ὃς μόνος οὐκ ἐςράτευσεν ἐπὶ τοὺς θεούς, ὡς Φιλόχορος ἐν Τετραπόλει, Ἴςρος δ' ἐν α' Ἀττικῶν.

τίτανον λευκὸν ἢ γύψον, κονίαν "ἡ λίθος διακεκαυμένη, ἣν πάλαι μὲν τίτανον, νῦν δὲ ἄσβεςον καλȣ̃σι" ⟨Procop. Goth. 2 ...⟩.

Τιτανῶδες βλέπειν καταπληκτικόν, φοβερόν. καὶ Τιτανικὸν σπέρμα· Αἰλιανός "ὁ δὲ ἐν τοσούτῳ κακῷ ὢν οὐκ ἐπιλανθάνετο τῆς βδελυρᾶς ἐκείνης καὶ ἀθέȣ συγγραφῆς, ἣν ὁ Γαργήττιος, ὥσπερ οὖν τὰ ἐκ Τιτανικῶν σπερμάτων φύντα, τῷ βίῳ προσετρίψατο." cf. v. κηλίς.

Τιταρήσιον ⟨Hom. B 751⟩ ποταμός.

Τιτάρωνος.

τί ταῦτα; ἀντὶ τοῦ διὰ τί· Ἀριςοφάνης ⟨Th. 480⟩ "τί ταῦτ' ἐκείνας αἰτιώμεθα βαρέως τε φέρομεν."

τίτθαι· Ἀριςοφάνης ⟨Eq. 723⟩ "κἀθ' ὥσπερ αἱ τίτθαι γε σιτίζεις κακῶς." ὅτι καλοῦνται αἱ τοῖς τιτθίοις καὶ τῷ γάλακτι τρέφȣσαι τὰ παιδία· αἵτινες διὰ τὸ μὴ δύνασθαι τὰ παιδία ὁλοκλήρȣς τὰς τροφὰς ἐσθίειν διαμασώμεναι, οὕτω μετὰ τὸ καταγάσασθαι τὰ ἐδέσματα ἐξαιροῦσαι τȣ̃ ἰδίου στόματος ἐντιθέασι τοῖς τῶν παιδίων. εἶτα συμβαίνει τὰς ἀγνώμονας ὀλίγα μὲν διδόναι τοῖς παιδίοις, αὐτὰς δὲ κατεσθίειν τὰ πλείονα. οὕτως ὁ Κλέων ὀλίγα τῷ δήμῳ χαριζόμενος, τὰ πλείω αὐτὸς ἐκέρδαινε. "μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντιθεῖς, αὐτὸς δ' ἐκείνȣ τριπλάσιον κατέσπακας."

τίτθη τροφός, μάμμη. "ὅσα δὲ ἀρρένων μεμάρανται καὶ ῥᾳθυμίᾳ διέφθαρται μειράκια, ταῖς τίτθαις ἀπομύττειν καὶ ταῖς γυναιξὶ λούειν ἀποπέμψατε, καὶ θρυπτόμενα παρὰ ταύταις στωμύλλεσθαι καὶ λαλεῖν περὶ κρόκης καὶ στημόνων ἐάσωμεν." καὶ τιτθεία ἡ ἐπιμέλεια. cf. v. πλαγγόνων.

a τιτθοί οἱ μαζοί.

b τιτθοί μασοί, ἤτοι τῶν μαζῶν τὰ ἄκρα.

τίτλος διαφέρει κεφαλαίȣ. καὶ ὁ μὲν Ματθαῖος ἔχει τίτλȣς ξή, κεφάλαια τνέ, ὁ δὲ Μάρκος τίτλȣς μή, κεφάλαια λς', ὁ δὲ Λȣκᾶς τίτλȣς πγ', κεφάλαια τμή, ὁ δὲ Ἰωάννης τίτλȣς ιή', κεφάλαια σλβ'.

a Τίτος βασιλεὺς Ῥωμαίων, Οὐεσπασιανȣ̃ υἱός, ἀνὴρ πᾶν ἀρετῆς συνειληφὼς γένος, ὡς πρὸς ἁπάντων ἔρως τε καὶ τρυφὴ τοῦ θνητοῦ προσαγορευθῆναι γένȣς. εὐγλωττότατός τε γὰρ καὶ πολεμικώτατος καὶ μετριώτατος ἦν, καὶ τῇ μὲν Λατίνων ἐπιχωρίῳ γλώττῃ πρὸς τὰς τῶν κοινῶν ἐχρῆτο διοικήσεις, ποιήματα δὲ καὶ τραγῳδίας Ἑλλάδι φωνῇ διεπονεῖτο.

b ἐπεὶ δὲ ᾑρήκει τὰ Ἱεροσόλυμα ὁ Τίτος, Συρία τε πᾶσα καὶ Αἴγυπτος καὶ ὅσα τῇ Παλαιστίνῃ πρόσοικα γένη ἐστεφάνȣν τὸν ἄνδρα, νικητὴν ἀνακαλοῦντες. ὃ δὲ διωθεῖτο τοὺς στεφάνȣς, οὐκ αὐτὸς λέγων εἰργάσθαι ταῦτα, θεῷ δὲ φήναντι ὀργὴν ἐπιδεδωκέναι τὰς ἑαυτοῦ χεῖρας. οὕτως ἦν μέτριος καὶ σωφροσύνης μεστός. Io. Antioch. p. 817.

c ἐπὶ δὲ Τίτȣ τȣ̃τον τὴν Ἱερουσαλὴμ πολιορκοῦντος Ῥωμαῖός τις τῶν ἱππέων δοκιμώτατος τοὺς Ἰȣδαίȣς ὠθȣμένȣς κατὰ τῆς φάραγγος θεασάμενος, ἐκ πλαγίȣ παρελαύνων τὸν ἵππον ἁρπάζει τινὰ νεανίαν φεύγοντα, στιβαρὸν κατὰ τὸ σῶμα καὶ ὡπλισμένον, ἐκ τοῦ σφυροῦ δραξάμενος, ἑαυτὸν ἐπικλίνας τοῦ ἵππȣ τρέχοντος καὶ τὸν Ἰȣδαῖον ἔφιππον καταδιώκοντος. καὶ τοσοῦτον τῆς δεξιᾶς τόνον καὶ τȣ̃ λοιπȣ̃ σώματος ἐπιδειξάμενος καὶ τῆς ἱππικῆς τέχνης τὴν ἀρετὴν ἔτι, ὥσπερ τι κειμήλιον ἧκε τῷ Καίσαρι κομίζων τὸν αἰχμάλωτον. ὁ δὲ Τίτος ὑπερθαυμάσας τῆς ἰσχύος τούτου καὶ δυνάμεως τὸ ἀήττητον, δώροις αὐτὸν ἀμείψας, τὸν ληφθέντα ἀπέκτεινε. Ioseph. B. I. 6 15.

d Τίτος ςρατηγὸς Ῥωμαίων. τούτῳ δὲ ἐγεγόνει πάντα κατὰ νοῦν, καὶ ταὐτομάτου συνεργήσαντος, τὸ δὲ πολὺ διὰ τῆς αὐτοῦ προνοίας ἁπάντων κεχειρισμένων. πάνυ γὰρ ἀγχίνους, εἰ καί τις ἕτερος, ὧν οὗτος γέγονεν. οὕτως γὰρ εὐστόχως ἐχείριζε καὶ νȣνεχῶς οὐ μόνον τὰς κοινὰς ἐπιβολὰς ἀλλὰ καὶ τὰς κατ' ἰδίαν ἐντεύξεις, ὥσθ' ὑπερβολὴν μὴ καταλιπεῖν· καίτοι γε νέος ἦν κομιδῇ, πλείω γὰρ λ' ἐτῶν ȣ̓κ εἶχε, καὶ πρῶτος εἰς τὴν Ἑλλάδα διέβη μετὰ στρατοπέδων (Polyb. 17 12).

τί τοῦτό σοι τὸ πυρρόν ἐστιν; Κινησίας σε καταχετίληκεν;" (A Eccl. 329) οὗτος μαλακὸς ἦν.

τιττυβίζετε ποιὸν ἦχον ἀποτελεῖτε. καὶ Βάβριος ἐπὶ χελιδόνος (138) "ταύτης ἀκούσας μικρὰ τιττυβιζούσης."

Τιτυός. οὗτος ἐρῶν τῆς Λητοῦς κατέσχεν αὐτὴν τȣ̃ κρηδέμνȣ· ἧς παῖδες Ἀπόλλων καὶ Ἄρτεμις κατετόξευσαν αὐτὸν καὶ ἀνεῖλον. καὶ νῦν, φασίν, ἐν τῷ ᾅδῃ κολάζεται, ἔχων βέλη ἐμπεπαρμένα τῷ ἥπατι. Nonn. in Greg. Naz. stel. p. 171.

τιτυσκόμενος ςοχαζόμενος, ἀπὸ μετοχῆς εἰς ῥῆμα (sch. Hom. Γ 80). ἔςι δὲ παρὰ τὸ θεῶ θῶ τὸ τύω τύσω τιτύσκω.

τιτώ (Callimach. fr. 206) ἡ ἡμέρα.

τῖφος ὁ κάθυγρος τόπος.

Τῖφυς.

τί φῶ; τί εἴπω.

τίω τὸ τιμῶ.

τλῆ δ' Ἥρη (Hom. E 392) ὑπέμεινε.

τλῆθι ὑπόμεινον.

τλήμονος ἐλεεινοῦ.

τλήμων τολμηρά, ἀναιδής· (S El. 275) "ἣ δ' ὧδε τλήμων ὥστε τῷ μιάσορι ξύνες', ἐρινὺν οὔτιν' ἐκφοβȣμένη."

τλῆναι ὑπομεῖναι.

τληπαθής ὑπομένων ἐν τῷ πάσχειν.

Τληπόλεμος ὁ τὰ τῆς βασιλείας τῶν Αἰγυπτίων πράγματα μεταχειριζόμενος ἦν μὲν κατὰ τὴν ἡλικίαν νέος, καὶ κατὰ τὸ συνεχὲς ἐν τῷ στρατιωτικῷ βίῳ διεγεγόνει μετὰ φαντασίας, ἦν δὲ καὶ τῇ φύσει μετέωρος καὶ φιλόδοξος, καὶ καθόλȣ πολλὰ μὲν εἰς πραγμάτων λόγον ἀγαθὰ προεφέρετο, πολλὰ δὲ καὶ κακά. στρατηγεῖν μὲν γὰρ ἐν τοῖς ὑπαίθροις καὶ χειρίζειν πολεμικὰς πράξεις δυνατὸς ἦν, καὶ ἀνδρώδης ὑπῆρχε τῇ φύσει, καὶ πρὸς τὰς στρατιωτικὰς ὁμιλίας εὐφυῶς διέκειτο· πρὸς δὲ ποικίλων πραγμάτων χειρισμόν, δεόμενον ἐπιστάσεως καὶ νήψεως, καὶ πρὸς φυλακὴν χρημάτων καὶ καθόλου τὴν περὶ τὸ λυσιτελὲς οἰκονομίαν ἀφυέςατος ὑπῆρχε πάντων· ᾗ καὶ ταχέως οὐ μόνον ἔσφηλεν, ἀλλὰ καὶ τὴν βασιλείαν ἠλάττωσε. παραλαβὼν γὰρ τὴν τῶν χρημάτων ἐξȣσίαν τὸ μὲν πλεῖςον μέρος τῆς ἡμέρας κατέτριβε σφαιρομαχῶν καὶ πρὸς τὰ μειράκια διαμιλ-

λώμενος ἐν τοῖς ὅπλοις· ἀπὸ δὲ τούτων γινόμενος εὐθέως πότους συνῆγε, καὶ τὸ πλεῖον μέρος τοῦ βίου περὶ ταῦτα καὶ σὺν τούτοις εἶχε τὴν διατριβήν. ὃν δέ ποτε χρόνον τῆς ἡμέρας ἀπεμέριζε πρὸς ἐντεύξεις, ἐν τούτῳ διεδίδου, μᾶλλον δ', εἰ δεῖ τὸ φαινόμενον εἰπεῖν, διερρίπτει τὰ βασιλικὰ χρήματα τοῖς ἀπὸ τῆς Ἑλλάδος παραγεγονόσι πρεσβευταῖς καὶ τοῖς περὶ τὸν Διόνυσον τεχνίταις. καθόλου γὰρ ἀνανεύειν οὐκ ᾔδει, τῷ δὲ πρὸς χάριν ὁμιλήσαντι πᾶν ἐξ ἑτοίμου τὸ φανὲν ἐδίδου (Polyb. 16 21).

τλήσομαι ὑπομενῶ.

τλητικῶς ὑπομονητικῶς.

τμαγέν κοπέν.

τμήδην τμητικῶς.

τμηθείσης κοπείσης.

τμῆμα κόμμα.

τμῆσις ἡ τομή.

τμητικός ὁ τέμνων.

τμητοῖς ὁλκοῖς ἐγκύρσαι (S El. 863), τουτέστι τοῖς λώροις, τοῖς ἱμᾶσιν. ὁλκοὺς οὖν ἀντὶ τῶν ἱμάντων, οἷς εἱλκύσθη Ὀρέστης πεσὼν ἐκ τοῦ ἅρματος.

Τμῶλος ὄνομα ὄρους.

τμώμενος ἀποτεμνόμενος.

τὸ ἀπὸ τῆς Παλληνίδος τὸ φοβερόν, ἀπὸ τῆς ἐπὶ Παλληνίδι μάχης, ἐν ᾗ ἡττήθησαν Ἀθηναῖοι. cf. v. Παλληνικὸν βλέπειν.

τὸ ἀρνίον σοι λελάληκεν. cf. v. ἀρνίον.

τὸ βασιλικὸν βοίδιον. ἐπὶ Πτολεμαίου βοῦς ἀπέτεκεν ἓξ βοίδια, πρὸς οἰωνοῦ δὲ ἀγαθοῦ τὸ συμβησόμενον λαβὼν ὁ Πτολεμαῖος προσέταξεν ἐν τοῖς βασιλείοις τρέφεσθαι μετὰ πάσης ἐπιμελείας· διὸ βασιλικὸν ἐκλήθη.

τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη, μηδενὸς ἄλλου παραπράξαντος, μεγάλας ὀδύνας ὑποτείνει" (S Ai. 260), οἷον μηδενὸς συμπράξαντος καὶ μετασχόντος τῶν ἁμαρτημάτων· ἡ γὰρ κοινωνία τῶν ἁμαρτημάτων φέρει τὴν παραμυθίαν.

τὸ γὰρ τὴν φροντίδ' ἔξω τῶν κακῶν οἰκεῖν γλυκύ" (S OR 1389).

τό γε αὐτοῦ μέρος κατὰ τὴν αὐτοῦ προαίρεσιν· Αἰλιανός "τί γὰρ μαθὼν ἐτόλμησε τό γε δὴ αὐτοῦ μέρος δουλώσασθαι Λυδοῖς Πέρσας."

τό γε ἧκον ὅσον ἐπ' αὐτῷ, ὅσον δυνατόν.

τὸ δέ μοι τοῦτο δέ μοι.

τὸ Δίωνος γρύ. οὗτος ὁ Δίων Ἀλεξ- δρεὺς ἦν τὸ γένος, διαβόητος δὲ ἐπὶ φι- σοφίᾳ, ὃς ἔχων ἀδελφὸν παλαιστήν, Τό- καλούμενον, λοιδορούμενος ὑπό τινος τῶ- ἀνταγωνιστῶν αὐτοῦ καὶ ἀκούων ῥητὰ κ- ἄρρητα, καὶ πολλοῦ ὄχλου ἐπακολουθοῦντο- αὐτὸς μὲν οὐδὲν ἐφθέγξατο, κατεσταλμέν- τὸ τῆς σοφίας παράγγελμα τηρῶν, ἐντὸς - τοῦ ἰδίου πυλῶνος γενόμενος καὶ μηδὲν ὀργ- ὑποφήνας εἶπε πρὸς τὸν νεανίαν οὐδὲ γρ- ὃ δὲ ἀθυμήσας ἀπήγξατο. εἴρηται τὸ γρ- ἐπὶ μικροῦ καὶ τοῦ τυχόντος. καὶ ὁ ῥύπος - ὄνυχος.

τὸ ἐπίπαν τὸ σύνολον.

τὸ Ἡσιόδειον γῆρας, ἐπὶ τῶν ἐσχ- γήρων· φέρεται γὰρ καὶ ἐπίγραμμα Πινδ- ρου τοιοῦτο "χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφ- ἀντιβολήσας, Ἡσίοδ', ἀνθρώποις μέτρ- ἔχων σοφίης."

τὸ θερμὸν τοῦ ὀβελοῦ, ἐπὶ τῶν - ρημένων τὰ χείρονα ἀντὶ τῶν κρειττόν-. ἡ παροιμία ἀπὸ τῶν ἀπείρως δρασσομέν- κατὰ τὸ πεπυρωμένον τῶν ὀβελίσκων. μ- μνηται αὐτῆς Σοφοκλῆς.

τοιαίδε πράξεις. S OR 895.

τοιᾶσδε τοιαύτης.

τοία Στυγός σε μελανοκάρδιος πέτ- Ἀχερόντιός τε σκόπελος αἱματοσταγὴς φ- ρῶσι, Κωκυτοῦ τε περίδρομοι κύνες, ἔχι- θ' ἑκατοντακέφαλος, ἣ τὰ σπλάγχνα - διασπαράξει, πνευμόνων τ' ἀνθάψεται Τα- τησία μύραινα. τὼ νεφρὼ δέ σου αὐτοῖ- ἐντέροισιν ᾑματωμένω διασπάσονται Γο- γόνες Τιθράσιαι, ἐφ' ἃς ἐγὼ δρομαῖον - μήσω πόδα" (A Ran. 472).

τοιαυτί τοιαῦτα.

τοιγὰρ ἐγώ ἐγὼ μὲν γάρ.

τοιγαροῦν ἀμέλει, ὅθεν δή, οὐκοῦν, δι- τοῦτο δὴ οὖν.

τοιγάρτοι τούτου γὰρ ἕνεκεν.

τοῖιν ἀντὶ τοῦ σοί, δωρικῶς· (AP 6 19- "καὶ πολιὴν λευκῶν χεῖραι ἀπὸ κροτάφ- τοῖιν. ἀλλ' ἐπένευε."

τοίνυν διὰ γὰρ τοῦτο. ἢ οὖν.

τοῖο τοιούτου. καὶ τοῖος τοιοῦτος, κ- τοῖον τοιοῦτον.

τοιουτονὶ Θεμιστοκλῆς οὐ πώποτ' ἐπενόησεν Ἀριστοφάνης, ἢ διὰ τὸ τυχ-

τὸν Πειραιᾶ, ἢ ὅτι σοφίας δόξαν ἀπη-
ιτο Θεμιστοκλῆς, σαφηνίσας Ἀθηναίοις
λοθέντα χρησμόν, "τεῖχος τριτογενεῖ ξύ-
διδοῖ εὐρύοπα Ζεύς." ἄλλων δὲ ἄλλα
των Θεμιστοκλῆς ἔφη τὰς τριήρεις λέ-
ξύλινον τεῖχος ⟨sch. A Eq. 882⟩.
οιετῶδες τοιοῦτον· "οὐδὲν ὁτιοῦν ἐβε-
θη τοιετῶδες."
ὁ Ἱππάρχε τειχίον. Ἵππαρχος ὁ Πει-
ιάτε περὶ τὴν Ἀκαδήμειαν τεῖχος ᾠκο-
σε, πολλὰ ἀναγκάσας ἀναλῶσαι τοὺς
ναίες. ὅθεν καὶ ἐπὶ δαπανηρῶν πραγ-
ιν ἡ παροιμία εἴρηται.
οῖς Ἱπποκράτες υἱέσιν εἴξεις, καί
αλεσι βλιτομάμμαν ⟨A Nub. 997⟩.
ὑώδεις τινὲς καὶ ἀπαίδευτοι ἐκωμῳ-
ν· καὶ τάχ' ἂν εἴησαν προκέφαλοί τινες,
ἐ Γεωργοῖς φησὶ καὶ ἐν Τριφάλητι. καὶ
ιλις Δήμοις "Ἱπποκράτες τε παῖδες ἐμ-
ιοί τινες, βληχητὰ τέκνα κοὐδαμῶς τοῦ
ε." τὰ δὲ ὀνόματα αὐτῶν Τελέσιππος
οφῶν Περικλῆς.
οῖς ὀρθῶς. ὅτι τὸ τοῖς ὀρθῶς ὑπ'
γνωσθεῖσι πεισθῆναι μείζονος τῆς ἀρε-
ὁ Ζήνων ποιεῖται γνώρισμα τε γνῶναί
αὐτὸν ἐξ αὐτε τὰ δέοντα, τὴν Ἡσιόδε
ρμόττων ῥῆσιν, "ἐσθλὸς μὲν πανάριστος
εἰπόντι πίθηται" λέγων, ἀντὶ τε νοή-
πάνθ' ἑαυτῷ ⟨Iulian. or. 7 p. 244 D⟩.
οῖς πολλοῖς τεβολε ⟨A Eq. 951⟩, τε-
τοῖς εὐώνοις.
οῖς τεκεσι γὰρ ἐδ' εἰ πονεῖ τις, δεῖ
μνήμην ἔχειν" ⟨S OC 508⟩. τετέσιν, ὅταν
ὑπὲρ γονέων πονῇ, μὴ ἡγεῖσθαι πόνον
τὸν κάματον.
οῖς φθάνεσι τοῖς ἤδη γεγονόσι.
οίχαρχος ἐπὶ νεὼς ὁ ἄρχων αὐτῆς.
ἄρχε δὲ πρῳρεύς, πρῳρέως δὲ κυβερνή-
κυβερνήτε δὲ ναύκληρος ⟨Artemid. 1 35⟩.
οιχωρύχημα γαλῆς τοίχε ὀπή.
οιχωρύχος κλέπτης, λῃστής. τοιχο-
της δέ.
τὸ καλῶς ἔχον τὸ συμφέρον· Οἰδίπες
R 879⟩ "τὸ καλῶς δ' ἔχον πόλει μὴ λῦ-
θεὸν αἰτοῦμαι," τετέστι μὴ λῦσαι τῇ
ει τὸ συμφέρον αἰτεμαι.
τοκάς ἡ γεννῶσα.
τὸ κατακύλλωμα τὸ πέρας καὶ ἄνω-
ω τῶν κακῶν.
τοκήων ⟨Hom. Γ 140⟩ γονέων, ἢ τέκνων.

τόκος· Ἀριστοφάνης Νεφέλαις ⟨1288⟩ "τετο δ' ἔσθ' ὁ τόκος τί θηρίον; τί δ' ἄλλο γ' ἢ κατὰ μῆνα καὶ καθ' ἡμέραν πλέον πλέον τἀργύριον ἀεὶ γίνεται, ὑπορρέοντος τε χρόνε."

τοκοφορεῖν τόκες λαμβάνειν. τόκος δὲ εἶδος πλεονεξίας.

τολμήεντι ⟨Hom. K 205⟩ ὑπομονητικῷ.

τολμηρός· Ἀριστοφάνης ⟨Pac. 182⟩ "ὦ μιαρὲ καὶ τολμηρὲ κἀναίσχυντε σύ.

τολμῆσαι ὑπομεῖναι· Νόμων θ' ⟨p. 872 E⟩ "εἰ πατέρα ἀποκτείνει τις, αὐτὸν τετον ὑπὸ τέκνων τολμῆσαι βίᾳ πάσχοντα." καὶ ἐν β' ⟨p. 661 A⟩ τολμῷ ἀντὶ τε τολμῶν ὑπομένοι. Αἰλιανός "ὁ δὲ ἐσήλατο ἐς τὸν νεών, ἕτοιμα δὴ καταγράφων, καὶ ὅτι τολμήσει ταῦτα ἐφ' οἷς ἐνόσει ἐπ' ἐρημίᾳ τῶν ἐπικερῆσαι τῇ κόρῃ δυναμένων πεπιστευκώς."

τολμητής.

τολμητίας τολμηρός· Ἀγαθίας ⟨1 4⟩ "τολμητίας γὰρ ἦν ἐς τὰ μάλιστα καὶ ταραχώδης καὶ πέρα τε ἀναγκαίε τὸ φιλοκίνδυνον κεκτημένος," περὶ Θευδιβέρτε λέγων υἱε Θευδερίχε.

Τολύβη ὄνομα κύριον.

τολυπεύειν ἐξεργάζεσθαι· τολύπη γὰρ ἡ ἐργασία· ⟨Agath. 5 21⟩ "οἱ δὲ καλωδίοις τε καὶ τολύπαις τὰς καλάμες ξυνδήσαντες κώμυθας πολλὰς ἀπειργάσαντο."

τολύπευμα συναγωγή, τὸ κατασκευαστὸν καὶ πεφιλοκαλημένον ἔριον.

τολύπη ἀγρία κολοκύνθη.

τομεῖς οἱ ἐμπρόσθιοι ὀδόντες.

τὸ μὲν νόημα τῆς θεε, τὸ δὲ κλέμμ' ἐμόν" ⟨A Eq. 1200⟩. ὅτω γὰρ οἱ δημαγωγοὶ ἀστεϊζόμενοι ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεε· ὅτι ὁ μὲν θεὸς ὑπέβαλεν, ὁ ἐργασάμενος δ' ἐγώ.

τὸ Μηλιακὸν πλοῖον. ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων εἴρηται τετο, ἀπὸ ἱστορίας τινός. φησὶ γὰρ Ἀριστοτέλης Ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βεληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι· ἐπειδὴ γὰρ προφασιζόμενοι οἱ μὲν τὰς γυναῖκας αὐτοῖς ἀρρωστεῖν, οἱ δὲ τὰ πλοῖα ῥεῖν, κατέμενον, κατηράσατο μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί.

τομίας ὁ εὐνοῦχος· ⟨Agath. 1 16⟩ "ὁ δὲ Ναρσῆς ὁ στρατηγὸς τῶν Ῥωμαίων τομίας

ἦν, καὶ τῆς εὐγλωττίας αὐτῷ ἔτι μάλα μετῆν ἀδὲ παιδείας.” ἦν δ’ ἐπὶ Ἰουστινιανοῦ. cf. v. Ναρσῆς.

τομόν τὸ τμητικόν, ὀξυτόνως. οὕτω Πλάτων ⟨Tim. p. 61 E⟩.

τόμος ὁ χάρτης.

Τόμυρις βασίλεια Μασσαγετῶν, ἣν μνώμενος Κῦρος ὁ Περσῶν βασιλεύς, ὡς οἱ δόλῳ οὐ προεχώρεεν, ἐλάσας ἐπὶ τὸν Ἀράξεα ἐποιέετο ἐκ τῦ ἐμφανῦς τὴν στρατείαν ⟨Herodot. 1 205⟩.

Τοναῖος δρόμος.

τὸν ἀφ’ ἱερᾶς γραμμὴ ἐν τῇ τῶν πεττῶν παιδιᾷ· Μένανδρος Καταψευδομένῳ. cf. v. ἀφ’ ἱερᾶς.

τόνδε τῦτον.

τὸν ἐγκέφαλον ὥσπερ κατασεσεῖσθαί μοι δοκεῖς” ⟨A Nub. 1278⟩, τουτέστι τὰ κεκρυμμένα.

τονθορύζει ὑπόπτως λαλεῖ, ψιθυρίζει, ἠρέμα γογγύζει, ἢ λάθρᾳ φθέγγεται, ἢ ὑποτρέμει τὰ χείλη κινῶν. “ὑποτονθορύζοντος δὲ τοῦ πλήθους καὶ ἀγανακτοῦντος λόγοις ἐχέφροσιν ὁ στρατηγὸς τούτους ἐμάλασσε.” “πάλιν τε θρῦν ὑπεξαπτόντων καὶ τονθορύζειν πειρωμένων ἔφη.”

τὸν κολοφῶνα ἐπέθηκεν, ἐκ τῦ τὺς Κολοφωνίυς πρὸς ἑαυτὺς ςασιάσαντάς τινα τύτων μοῖραν ξυνοικίσαι τοῖς Σμυρναίοις, εἰς πόλεμον δέ ποτέ τινα ἀπελθόντων Σμυρναίων τὺς μὲν ὑπολειφθέντας ἐν Σμύρνῃ Κολοφωνίυς κρατῆσαι αὐτῆς, ὡς τὺς Κολοφωνίυς ἐκ τύτυ β’ πόλεις ἔχειν, τήν τε Κολοφῶνα καὶ Σμύρναν, καὶ ἐν τῷ βυλεύεσθαι περί τινος Σμυρναίυς, οἳ ὑπελείφθησαν μετὰ τῶν Κολοφωνίων ἐν Σμύρνῃ, ὅτε ἴσαι ψῆφοι τύτοις ἐγένοντο, πρὸς τὺς Κολοφωνίυς ἀναφέρειν αὐτάς, καὶ ᾗ προσεῖθεντο, ταύτην κρατεῖν. καὶ ὕτω λέγεται ἐπὶ παντὸς τῦ κυριωτάτυ τὸν κολοφῶνα ἐπιτίθεσθαι τοῖς λοιποῖς, ὡς ἐπὶ τῶν ψήφων τῶν β’ τῶν Κολοφωνίων τῇ τύτων ἑτέρᾳ.

τὸν κολοφῶνα ἐπίθες. ιβ’ πόλεις τῆς Ἰωνίας συνῄεσαν εἰς τὸ Πανιώνιον λεγόμενον, περὶ τῶν κοινῶν βυλευσόμεναι· καὶ εἴ ποτε ἴσαι αἱ ψῆφοι ἐγένοντο, οἱ Κολοφώνιοι περιττὴν ἐτίθεντο τὴν νικῶσαν· Σμυρναίυς γὰρ ἐλθόντας εἶχον συνοίκυς, ὑπὲρ ὧν καὶ τὴν ψῆφον ἐτίθεντο. ὅθεν ἐπὶ τῆς κρατούσης καὶ βεβαίας ψήφυ ἡ παροιμία εἴρηται.

τὸν ξύοντα ἀντιξύειν, ἐπὶ τῶν βλαπτόντων τινὰς ἢ καὶ θεραπευόντων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ὄνων, παρ’ ὅσον ἐκεῖνοι ὑπ’ ἀλλήλων κνήθονται καὶ ἀντικνήθουσι. cf. v. ξυήλην.

τόνον εὔτονον, ἢ δύναμιν· Πισίδης “ἕλκεις γὰρ αὐτὺς ὥσπερ ἡλίυ τόνος σπᾷ πρὸς αὐτὸν ἑλκτικῶς τὰς ἰκμάδας.” τόνος καὶ τῦ κραββάτυ τὰ σχοινία. τόνος καὶ τὸ ἑξάμετρον ἔπος· “Πυθικὸν ἦν προμάντευμα ἐν τόνοις ἑξαμέτροις, οὕτω προλέγον τὴν τελευτήν, ‘Αἰακίδη, προφύλαξο μολεῖν Ἀχερούσιον ὕδωρ Πανδοσίην θ’, ὅθι τοι θάνατος πεπρωμένος ἐστί.’ καὶ συνάψας μάχην Βρεττίοις καὶ Λευκανοῖς ἐπί τινι ποταμῷ, τῆς γεφύρας ῥαγείσης, τῶν προσχώρων ἁπάσας τὸν ποταμὸν ἀποκαλύντων Ἀχερόντιδα τε δὲ πλησίον πόλιν Πανδοσίαν, πρὸς ὃ τὸ λόγιον συμβαλὼν τὺς τόπυς, καὶ γνὺς ὅτι ἄρα τὸ χρεὼν ἐκπέπλησται, τότε δὴ τὸν εὐκλεᾶ πορεύεται θάνατον, καὶ πρὸς μέσυς τοὺς πολεμίους ὠθούμενος ἀφειδῶς, πολλὰ πρότερον δράσας, ὕτω πίπτει μαχόμενος. ἦν δὲ Ἀλέξανδρος ὁ Φιλίππου κηδεστής, Ὀλυμπιάδος ἀδελφός.”

τὸν Ὕλαν κραυγάζεις. ἐπὶ τῶν μάτην πονύντων καὶ κραυγαζόντων ἡ παροιμία, ἐπεὶ τὸν Ὕλαν ἀφανῆ γενόμενον Ἡρακλῆς ἀποβὰς τῆς νεὼς Ἀργῦς καὶ ζητήσας οὐχ εὗρε. cf. v. Ὕλαν κραυγάζων.

τοξεία.

τοξεύω.

τοξόται οἱ δημόσιοι ὑπηρέται, φύλακες τοῦ ἄστεος, τὸν ἀριθμὸν χίλιοι, οἵτινες πρότερον μὲν ᾤκυν τὴν ἀγορὰν μέσην σκηνὰς ποιησάμενοι, ὕστερον δὲ μετέβησαν εἰς Ἄρειον πάγον. ἐκαλῦντο δὲ οὗτοι καὶ Σκύθαι καὶ Σπευσίνιοι ἀπὸ Σπευσίνυ τινὸς τῶν πάλαι πολιτευομένων συντάξαντος τὰ περὶ αὐτύς ⟨sch. A Ach. 54 ?⟩.

τοξότης ὑπηρέτης· Ἀριστοφάνης ⟨sch. A Ach. 710⟩ “τοξότης συνήγορος, ὥσπερ Εὔαθλος,” ἀντὶ τῦ ὑπηρέτης. ⟨Lys. 7⟩ “μὴ σκυθρώπαζ’· οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς,” ἀντὶ τῦ σκυθρωπάζειν, ἀπὸ τῦ τοξότυ ῥακολυθῦντος· τοιῦτον γὰρ τὸ πρόσωπον τῶν ἐν μερίμνῃ ὄντων. Ὅμηρος ⟨O 102⟩ “ἀμφὶ μέτωπον ἐπ’ ὀφρύσι κυανέῃσιν ἰάνθη.” Σοφοκλῆς κατὰ τὸ ἐναντίον “ὡς ἂν Δαὸς μέτωπον ἐκταθῇ χαρᾷ.”

τοξότε δημοσίε ὑπηρέτε, ἐπόπτε καθημένε ⟨sch. A Ach. 707⟩.

τοπάζειν οἷον ςοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν. καὶ ἐτόπαζον ὁμοίως. καὶ παρὰ Σοφοκλεῖ ἐν Ἠριγόνῃ "ἃ δὲ δόξῃ τοπάζω, ταῦτ' ἰδεῖν σαφῶς θέλω." διὸ καὶ ὑποτοπεῖν τὸ ὑπονοεῖν λέγεσι.

τοπάζιος λίθος πολυτελής, κατ' ἐκείνες τὲς καιρὲς τιμώμενος. Theodoret. in Ps. 118 127⟩.

τὸ παράπαν διόλε, παντελῶς· "οἴνε μὴ πιεῖν τὸ παράπαν."

τὸ παράπαν κατὰ πάντα τρόπον, ἐξ ὁλοκλήρε.

τὸ Πάρνε σκάφιον, ἐπὶ τῶν μικρὰ πολλάκις ζητέντων· Πάρνος γὰρ ὁ κυβερνήτης σκάφος ἀπώλεσε καὶ συνεχῶς ἠνώχλει.

τὸ παρὸν εὖ ποιεῖν παροιμία· Πλάτων Γοργίᾳ ⟨p. 499 E⟩ "καὶ ὡς ἔοικεν, ἀνάγκη μοι κατὰ τὸν παλαιὸν λόγον τὸ παρὸν εὖ ποιεῖν."

τὸ παρὸν εὖ τίθεσθαι παροιμία· Κρατῖνος Πυλαίᾳ "ἄνδρας σοφὲς χρὴ τὸ παρὸν πρᾶγμα καλῶς εἰς δύναμιν τίθεσθαι."

τοπεῖν ὑπονοεῖν.

τοπεῖον. τὰ σχοινία λέγουσι τοπεῖα· Στράττις Μακεδόσι "τὸν πέπλον δὲ τῦτον ἕλκεσι δεσμεύοντες τοπείοις ἄνδρες."

τὸ πέρα ἔτι ἐπιπλέον, ἢ ἕως τέλες, ἢ ὅλως.

τόπος τῶν πολλαχῶς λεγομένων ἐστί. λέγεται γὰρ τόπος ὁ φυσικός, καὶ τὸ μόριον, καὶ ἡ ἑκάστε λόγε περίοδος· οἱ δὲ παρὰ Ἀριστοτέλει τόποι διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα τῷ φυσικῷ τόπῳ λέγονται τόποι. τόποι δέ εἰσιν ἀρχὴ καὶ ἀφορμὴ διαφόρων ἐπιχειρημάτων. Τοπικὰ δὲ ἐπιγράφεται τὰ τῦ Ἀριστοτέλες ἀπὸ τῦ τόπες τινὰς ἐν αὐτοῖς παραδίδοσθαι, ἀφ' ὧν ὁρμώμενοι δυνησόμεθα περὶ παντὸς τῦ προτεθέντος δι' ἐνδόξων συλλογίζεσθαι. ἔστι γὰρ ὁ τόπος ἀρχή τις ἢ στοιχεῖον ἀφ' ὗ λαμβάνομεν τὰς περὶ ἕκαστον ἀρχάς, ἐπιστήσαντες τὴν διάνοιαν, τῇ περιγραφῇ μὲν ὡρισμένως· ἢ γὰρ παραλαμβάνει τὰ κοινὰ καὶ καθόλε, ἅ ἐστι τὰ κύρια τῶν συλλογισμῶν, ἢ δύναταί γε ἐξ αὐτῶν τὰ τοιαῦτα δείκνυσθαί τε καὶ λαμβάνεσθαι· τοῖς δὲ καθ' ἕκαστα ἀορίστως. ἀπὸ τέτων γὰρ ἔστιν ὁρμώμενον εὐπορεῖν προτάσεως ἐνδόξε πρὸς τὸ προκείμενον· τῦτο γὰρ ἡ ἀρχή. ἐνίοτε δὲ ὅσα ἀναγκαῖα τὸ ἐξ ἐνδόξων· ὁ γὰρ οἷόν τε περὶ παντὸς τῦ προτεθέντος ἐξ ἀληθῶν συλλογίζεσθαι ⟨Alex. Aphrod. in Top. 1 p. 5⟩. ἀξιῦσι δέ τινες τὸ πρῶτον βιβλίον μὴ Τοπικόν, ἀλλὰ πρὸ τῶν Τόπων ἐπιγράφεσθαι.

τόπος παραγγέλματος διαφέρει. παράγγελμα μέν ἐστι τὸ κοινότερον καὶ καθολικώτερον καὶ ἁπλέστερον, ἀφ' ὗ τόπος εὑρίσκεται· ἀρχὴ γὰρ τόπε τὸ παράγγελμα ὥσπερ ὁ τόπος ἐπιχειρήματος. οἷον παράγγελμα μὲν τὸ ὕτως λεγόμενον, ὅτι δεῖ ἐπιχειρεῖν ἀπὸ τῶν ἐναντίων καὶ συστοίχων· τόπος δέ, εἰ τὸ ἐναντίον πολλαχῶς τῷ ἐναντίῳ ὑπάρχει τὸ ἐναντίον· καὶ πάλιν, ὡς ἐν τῶν συστοίχων, ὕτω καὶ τὰ λοιπά. ὁ γὰρ τόπος πρότασις ἤδη τις ἀπὸ τῦ παραγγέλματος γέγονε.

καὶ ἐν ἐπιγράμματι ⟨AP 7 216⟩ "ἀλλ' ἐπὶ μὲν γαίης ἐλέῳ τόπος· οἱ γὰρ ἰδόντες εὐθύ με πρὸς τύμβες ἔστεφον εὐσεβέες. νῦν δὲ τεκῦσα θάλασσα διώλεσε. τίς παρὰ πόντῳ πίστις;"

τοποτηρητής εἶδος ἀξιώματος.

τὸ προσέρπον τὸ ἀποβησόμενον ⟨S Ai. 227⟩ "ὤμοι, φοβῦμαι τὸ προσέρπον· περίφαντος ἀνὴρ θανεῖται."

τό ῥα ὅπερ δὴ ὗν, ὅπερ ὗν. cf. v. τῷ ῥα.

τόργος παρὰ Λυκόφρονι ⟨88⟩ ὁ κύκνος. λέγεται δὲ καὶ ὁ γύψ.

τορεία ἡ ῥητορεία.

τορεύει γλύφει, τιτρᾷ. καὶ "τόρευε πᾶσαν ᾠδήν," ἀντὶ τῦ τορῶς καὶ τρανῶς λέγε τὴν ᾠδήν ⟨sch. A Thesm. 992⟩.

Τορκεᾶτος ὄνομα κατ' ἐπίκλησιν. κινηθὲν γὰρ τὸ Κελτῶν ἔθνος κατὰ τῆς Ἰταλίας ἐρρύη, καὶ ἀντικαθεζομένων ἀλλήλοις τῶν στρατοπέδων Μάλλιος ἀνὴρ τῶν ἀπὸ βελῆς ἐπιφανὴς τὸν βασιλέα τῶν Κελτῶν τά τε ἄλλα μεγαληγορέμενον καὶ προσιέναι οἱ τὸν ἄριστον τῶν Ῥωμαίων ἐς ἰδιάζεσαν συμπλοκὴν προκαλέμενον ὑποστὰς ἐπικαιρίῳ καταβάλλει τραύματι. σκυλεύσας τε τὸν νεκρὸν καὶ τὸν περὶ τὸν τράχηλον στρεπτὸν ἀνελόμενος, ὃς ἐπιχώριός ἐστι Κελτοῖς κόσμος, αὐτὸς περιέθετο· καὶ ἀπὸ τῦδε Τορκεᾶτος πρὸς τῶν πολιτῶν ἐπικληθείς, ὅπερ ἂν εἴη στρεπτοφόρος, μνημεῖον τῆς ἀριστείας τὴν ἐπίκλησιν ταύτην τοῖς ἀφ' ἑαυτῦ καταλέλοιπε. Dio Cassius?

τόρμη νύσσα, καμπτήρ. cf. v. ἐκτορμεῖν.

τορνευτολυρασπιδοπηγοί οἱ ποιοῦντες τὰς λύρας καὶ τὰς ἀσπίδας ⟨sch. A Ach. 491⟩.

τόρνος ξύλον στρογγύλον. ἢ τὸ τρῆμα, καὶ τὸ ἐνιέμενον εἰς αὐτό.

τορνώσασθαι κατασκευάσασθαι.

τορόν ἰσχυρόν, καὶ τορῶς ἰσχυρῶς, τρανῶς, μεγαλοφώνως, σαφῶς, ἀκριβῶς· ⟨Dio Cass. 75 12⟩ "τορῶς τὸ ἀνακλητικὸν σημανθῆναι κελεύσας."

τορύνη τὸ κινητήριον τῆς χύτρας. πανταχοῦ δὲ ἐκτείνεται, εἰ καὶ παρ' Εὐπόλιδι "τορύνην τέως δὴ ξίφος ὑπεζωσμένος." καὶ αὖθις ⟨AP 6 305⟩ "καὶ τὰν ἐτνοδόνον τορύναν."

Τορωναῖος ὄνομα κύριον. καὶ Τορώνη πόλις ἐν Θρᾴκῃ.

Τόσιβις θεός. Euseb. Praep. ev. 5 5.

τὸ σκαμβὸν ξύλον οὐδέποτ' ὀρθόν." αὕτη ἡ παροιμία δημώδης ἐστὶ καὶ φανερά, τάττεται δὲ κατὰ τῶν διάστροφα ξύλα ἢ πράγματα πειρωμένων κατευθύνειν καὶ μηδὲν ὠφελούντων. cf. v. ξύλον ἀγκύλον.

τοσοῦτον ἀντὶ τοῦ τοῦτο· Σοφοκλῆς ⟨Ai. 441⟩ "καίτοι τοσοῦτον ἐξεπίστασθαι δοκῶ," τουτέστι τοῦτο. καὶ Σοφοκλῆς ἐν Αἴαντι ⟨748⟩ "τοσοῦτον οἶδα" ἀντὶ τοῦ μέχρι τούτου.

τοσούτῳ θεῷ ἀντὶ τοῦ μεγάλῳ· "καὶ νόμον ἔθεντο, εἰ τοιοῦτοι γένοιντο ὑπὸ τῷ τοσούτῳ θεῷ, εὐδαιμονίαν εἶναι καταγράφοντες κοινήν."

τὸ συνοῖσον τὸ συμφέρον. "ὃ δὲ αἰσθόμενος φιλυπόστροφος γίνεται, τὸ συνοῖσον τῇ προθυμίᾳ πραγματευόμενος."

τόσῳ τοσούτῳ.

τότε δὴ τότε ἀντὶ τοῦ παραυτίκα· "τότε δὴ τότε ἡ Φραγγικὴ δύναμις τοῖς Ῥωμαίοις ξυρραγεῖσα ἐξωθεῖ αὐτούς."

τὸ τηνικαῦτα.

τό τοι πολὺ καὶ μηδαμὰ λῆγον χρῄζω, ξέν', ὀρθὸν ἄκεσμ' ἀκοῦσαι" ⟨S OC 517⟩. τουτέστι, τὸ ἀνεξάλειπτον κακὸν τὸ κατὰ τὴν πήρωσιν χρῄζω ἀκοῦσαι τοῦ Οἰδίποδος.

τοῦ. καὶ ἐπὶ θηλυκοῦ τάττεται, ὥσπερ τὸ τινός· Ἀριστοφάνης Ἀμφιάρεῳ "ταυτὶ τὰ κρέ' αὐτῷ παρὰ γυναικός του φέρω." ἐπὶ οὐδετέρου δὲ Δαναΐσιν "ἀλλ' εἴσιθ', ὡς τὸ πρᾶγμ' ἐλέγξαι βούλομαι τουτί· προσόζειν γὰρ κακοῦ τέ μοι δοκεῖ." ἐπὶ δὲ ἀρσενικοῦ Κοριαννοῖ Φερεκράτης "πάντως γάρ εἰσι τῶν φίλων ἑνός γέ του."

τοῦ Βάβυος χορός. ἐπὶ τῶν ἀπαιδεύτων καὶ ἀμαθῶν εἴρηται ἡ παροιμία.

τοῦ γὰρ τοῦτο ποιήσει; ἀντὶ τοῦ ἕνεκα τίνος.

τοὔγκυκλον ⟨A Lys. 1164⟩ τὸ ἔγκυκλον τουτέστι τὴν Πύλον, διὰ τὴν τῶν τειχῶν περιβολήν, ἀπὸ μεταφορᾶς τῶν περιβολαίων τουτέστιν ἣν ἔχομεν καὶ περιβαλλόμεθα.

τοῦ δ' ἄρα ὁ Κωρυκαῖος ἠκροάσατο· φασὶν ὅτι περὶ Κώρυκον τῆς Παμφυλίας ἦσαν πειραταί, οἷς τινὲς τῶν ἐν Κωρύκῳ συμπράττοντες περιειργάζοντο τῶν πλεόντων τὰ φορτία, καὶ τὸν καιρὸν καθ' ὃν μέλλοιεν πλεῖν τοῖς πειραταῖς ἐμήνυον. ἐκράτησεν οὖν ἡ παροιμία ἐπὶ τῶν δοκούντων μὲν λανθάνειν, εἰς γνῶσιν δὲ ἐρχομένων. cf. v. Κωρυκαῖος.

τοῦ Διὸς τὸ σάνδαλον, ἐπὶ τῶν ... μέγα δή τι, Εὔπολις Χρυσῷ γένει.

τοῦθ' Ἅιδης διακρινεῖ πρότερον ἢ ... πείσομαι" ⟨A Vesp. 762⟩.

τοῦ καθήκοντος χρόνου πέρα", τουτέστι τοῦ ὁρισθέντος. λέγεται δὲ καὶ τοῦ εἰκότος πέρα ⟨S OR 75⟩.

τοὔλαιον τὸ ἔλαιον.

τοῦλδον ῥωμαϊστὶ τὰ σαγμάρια τὰ ... ἀποσκευὴν τῶν πολεμίων βαστάζοντα.

τοῦ μορύχου Διονύσου. μορύξαι τὸ μολῦναι ἐστί, παρ' ὅσον κἀκεῖνος τῷ γλεύκει τῶν σταφυλῶν καὶ τοῖς χλωροῖς σύκοις ... τῷ τρυγητῷ μολύνεται. cf. v. μόρυχος ...

τοὔμπαλιν τὸ ἔμπαλιν.

τοὔνεκα οὗ χάριν, ἢ τούτου χάριν.

τοῦ πάνυ τοῦ πανυμνήτου. καὶ "Συμμάχον τὸν πάνυ."

τοὐπιόντος τοῦ τυχόντος· Σοφοκλῆς ⟨OR 393⟩ "καίτοι τό γ' αἴνιγμ' οὐχὶ τοὐπιόντος ἦν ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει· ἣν οὔτ' ἀπ' οἰωνῶν σὺ προυφάνης ἔχων οὔτ' ἐκ θεῶν του γνωτόν· ἀλλ' ἐγὼ μολών, ὁ μηδὲν εἰδὼς Οἰδίπους, ἔπαυσά νιν γνώμῃ κυρήσας, οὐδ' ἀπ' οἰωνῶν μαθών."

τοὖπος τὸ ἔπος. "κἄστ' ἐκεῖνο τοὔπος ὀρθῶς κοὐ κακῶς εἰρημένον" παρ' Ἀριστοφάνει ⟨Lys. 1037⟩.

τοῦ σελίνου δεῖται, ἐπὶ τῶν ἐπισφαλῶς νοσούντων· καὶ γὰρ εἰώθαμεν τὰ μνήματα στεφανοῦν σελίνοις, ὥς φησι Πλ...

ταρχος (Timol. 26). cf. v. σελίνυ δεῖται.

τούς ἀντὶ τοῦ τούτυς· Ὅμηρος (Κ 322) "μὴ μὲν τοὺς ἵππυς τε." καὶ τοῖσιν ὁμοίως ἀντὶ τοῦ τούτοις.

τὰς ἑτέρυς τραγῳδοὺς ἀγωνιεῖται", παροιμία ἐπὶ τῶν ἁρμοζομένων καὶ σεμνοποιούντων ἑαυτὺς πρὸς τὰ ἐναντία, ὡς Δίδυμός φησι. Harp.

Τυσκιανός ῥήτωρ δεινότατος. cf. v. Ἀκάκιος.

τοὔστρακον τὸ ὄστρακον· Ἀριστοφάνης (Eccl. 1068) "καὶ παράθυ τοὔστρακον πρὸ τῆς θύρας," τὰ καλούμενα ἀρδάνια.

τὺς χωρὶς οἰκοῦντας· Δημοσθένης (4 36) Φιλιππικοῖς "καὶ μετὰ ταῦτα ἐμβαίνειν τὺς μετοίκυς ἔδοξε καὶ τὺς χωρὶς οἰκῦντας τῶν δεσποτῶν." ὐ μὴν ἀλλὰ καὶ χωρὶς τῦ προσκεῖσθαι φανερὸν ἂν εἴη τὸ δηλούμενον, ὅτι οἱ ἀπελεύθεροι καθ' ἑαυτὺς ᾤκυν χωρὶς τῶν ἀπελευθερωσάντων, ἐν δὲ τῷ τέως δυλεύοντες ἔτι συνῴκυν. Harp.

τυτάχι ἐν ὅσῳ δέ.

τυτί ἐπέκτασις. καὶ τυτεῖ ἐνταῦθα.

τῦτο· "ὐκέτι ἠπόρυν, ἀλλὰ τῦτο ἔλεγον ἐκεῖνο εἶναι," τυτέστι τὸ ζητύμενον.

τῦτο ποιήσας ἕν, κατὰ τὴν παροιμίαν, τῶν ἀδίκων ἔργων δικαιότατον." (A Ran. 576) "καὶ τῦτο τύτυ τὔργον. ἀλλ' ἐχρῆν τι δρᾶν." τυτέστι τὸ τρώγειν καὶ μὴ διδόναι τὸν μισθόν.

τύτῳ μὲν εἴπω ἐς πυγὴν κυνὸς ὁρᾶν (A Eccl. 255) καὶ τριῶν ἀλωπέκων. ἐπὶ τῶν λημώντων τὰς ὄψεις τῦτο ἐπιλέγεται.

τὔψον ὅπυ τὰ ὄψα πιπράσκεται, ὥσπερ τὸ "παρῆλθον εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα καὶ τὸν λιβανωτόν" (Eupol. ap. sch. A Ran. 1100).

τὔψον ὀπτόν τὸ ὄψον, ὃ ἔςι τὸ ἰχθύδιον.

τὸ φέρον ἐκ θεῦ. cf. v. φέρειν.

τόφρα ἐπὶ τοσοῦτον. καὶ τόφρα τέως.

Τόψιος ὄνομα κύριον, ὃς ἦν παλαιςής, ἀδελφὸς τῦ Δίωνος τοῦ φιλοσόφυ τῦ Ἀλεξανδρέως. cf. v. τὸ Δίωνος γρύ.

τραβέαι αἱ πολυτελεῖς χλαμύδες.

τραβίτης ὁ κύων.

τραγαλίζοντα· Ἀριστοφάνης (Vesp. 671) "ὡς ἥσθηνται τὸν σύρφακα ἐκ κηθαρίυ λαγαριζόμενον καὶ τραγαλίζοντα τὸ μηδέν."

τραγεῖν φαγεῖν.

τραγήματα. "καὶ παρατιθέναι τῶν τραγημάτων πολλοῖς ἅμα συνεστιωμένοις, ἐνίοτε καρύων μὲν τρία ἢ τέτταρα, τῶν δὲ ἰσχάδων, ἂν οὕτω τύχῃ, πέντε ἢ ἕξ. εἰ δὲ παρρησιασθέντες ἡμεῖς χαρίεσσάν τινα παρρησίαν ᾐτήσαμεν ἔτι πλείυς, προσέθηκεν ἂν ἴσως δύο ἢ τρία μάλα σεμνῷ προσώπῳ, καὶ ὐδὲν ὑφορώμενος τὸν τῶν νεωτέρων γέλωτα." cf. v. ὑφορώμενος.

τραγικὴ σκηνή πῆγμα μετέωρον, ἐφ' οὗ ἐν θεῶν σκευῇ τινὲς παριόντες ἔλεγον. λέγεται δὲ καὶ ἡ τραγικὴ τέχνη σκηνή.

τραγικῆς τραγῳδεῖν εἰδυίας.

τραγικὸν πάθος συμφορᾶς μεστόν.

τραγικὸς πίθηκος παροιμία ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων. Δημοσθένης καὶ ἄλλα πολλὰ εἰπὼν εἰς τὸν Αἰσχίνην, φάσκων ὑποκρινόμενον τοῖς ποιηταῖς τραγῳδιῶν, ἔτι καὶ πίθηκον προσηγόρευσεν (18 242), ἤτοι ὅτι βραχὺς ὢν τῷ σώματι εἰσῄει εἰς τὴν σκηνήν, ἢ ὅτι ὁ πίθηκος μιμηλὸν ζῷόν ἐστιν, εἰς τοῦτο ἐπίσκωψε τὸν Αἰσχίνην ὡς ἀνθρώπυς ὑποκρινομένυς τραγῳδίαν μιμύμενον.

τραγικώτερος ἀξιοπιστότερος, ἢ ἀτυχέστερος· Ἀριστοφάνης (Pac. 135) "οὐκοῦν ἐχρῆν σε Πηγάσυ ζεῦξαι πτερόν, ὅπως ἐφαίνυ τοῖς θεοῖς τραγικώτερος." αἰνίττεται δὲ τὰ περὶ Ἰκάρυ λεγόμενα. ἢ ἐπεὶ δοκεῖ ὁ Βελλεροφόντης τὴν τοῦ Προίτυ γυναῖκα μετὰ τὴν τῆς Χιμαίρας ἀναίρεσιν ἐπανελθὼν εἰς Κόρινθον ἐξαπατῆσαι, καὶ ὡς γυναῖκα ἐπιβιβάσας τοῦ ἵππυ τοῦ Πηγάσυ εἰς μέσην ῥῖψαι τὴν θάλασσαν.

Τράγκυλλος ὁ Συητόνιος χρηματίσας, γραμματικὸς Ῥωμαῖος, ἔγραψε περὶ τῶν παρ' Ἕλλησι παιδιῶν βιβλίον ά, περὶ τῶν παρὰ Ῥωμαίοις θεωριῶν καὶ ἀγώνων βιβλία β', περὶ τοῦ κατὰ Ῥωμαίυς ἐνιαυτοῦ βιβλίον ά, περὶ τῶν ἐν τοῖς βιβλίοις σημείων ά, περὶ τῆς Κικέρωνος πολιτείας ά· ἀντιλέγει δὲ τῷ Διδύμῳ. περὶ ὀνομάτων κυρίων καὶ ἰδέας ἐσθημάτων καὶ ὑποδημάτων καὶ τῶν ἄλλων οἷς τις ἀμφιέννυται. περὶ δυσφήμων λέξεων ἤτοι βλασφημιῶν, καὶ πόθεν ἑκάστη. περὶ Ῥώμης καὶ τῶν ἐν αὐτῇ νομίμων καὶ ἠθῶν βιβλία β'. συγγενικὸν Καισάρων· περιέχει δὲ βίυς καὶ διαδοχὰς αὐτῶν ἀπὸ Ἰυλίυ ἕως Δομετιανοῦ, βιβλία ή.

στέμμα Ῥωμαίων ἀνδρῶν ἐπισήμων.

τραγόλας ὅπλον, ᾧ χρησάμενος ὁ Κόττας οὕτω βίαιον ἀφῆκε πληγὴν ὥστε τὸν βληθέντα διά τε τοῦ θώρακος καὶ διὰ τῶν πλευρῶν διαπεῖραι καὶ τῇ γῇ προσηλῶσαι.

a τράγος, παρὰ τὸ τραχὺ δέρμα ἔχειν, τράχος τις ὤν. ἢ παρὰ τὸ τραχεῖαν ἔχειν φωνήν. ἢ ἀπὸ τοῦ τρέχειν. καὶ τραγᾶν φασὶ τὰς ἀμπέλους, ὅταν μὴ καρπὸν φέρωσιν.

b τράγος παρὰ Μεσσηνίοις ὁ ἐρινεός. ἐδέξατο δὲ Ἀριστομένης χρησμόν, ὡς ἡνίκα πίοι ὕδωρ τοῦ Νέδα ποταμοῦ τράγος, ἁλώσεται ἡ Ἱρὰ τὸ ὄρος. καὶ ἐκώλυον τοὺς τράγους πίνειν ἐκεῖθεν. ὁ δὲ ἐρινεὸς ἐπεφύκει παρὰ τὸν ποταμόν, οὗ τὰ φύλλα τῷ ὕδατι ἐπλησίαζον κεκυφότα· καὶ τούτου ἐκβάντος ἑάλω τὸ ὄρος. cf. Pausan. 4 20.

τραγῳδία δεινοπάθεια· Ἀριστοφάνης Πλούτῳ ⟨423⟩ "ἴσως ἐρινύς ἐστιν ἐκ τραγῳδίας." τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει. ἐν δὲ ταῖς τραγῳδίαις μετὰ λαμπάδων εἰσήρχοντο αἱ ἐρινύες. "τὸ δὲ ὅπως ἐγένοντο, τραγῳδίαν βουλομένου γράφειν ἐστίν, οὐχ ἱστορίαν συγγράφοντος." καὶ αὖθις "παθοῦσα τραγῳδίας ἄξια."

τραγῳδικὸν ἐμπαθές, ἐπείπερ καὶ ἡ τραγῳδία ἐμπαθῶν πραγμάτων ἀπαγγελτική, ἢ ἐπειδὴ περὶ τραγῳδίας μέλλει λέγειν ⟨sch. A Ach. 9⟩.

a Τραϊανὸς βασιλεὺς Ῥωμαίων, ὃς ἀγαθὸς καὶ μισοπόνηρος καὶ δίκαιος τοσοῦτον ὑπῆρχεν ὥστε ποτὲ γυμνώσας ῥομφαίαν ἐνώπιον τῶν μεγιστάνων αὐτοῦ ἐπέδωκε τῷ ὑπάρχῳ, λέγων "δέξαι τὸ ξίφος τοῦτο, καὶ εἰ μὲν καλὸς ὑπάρχω, ὑπὲρ ἐμοῦ, εἰ δὲ μή, κατ' ἐμοῦ χρῆσαι."

b οὗτος τοῖς χριστιανοῖς ἀνακωχήν τινα τῆς τιμωρίας παρέσχεν. οἱ γὰρ κατὰ καιρὸν ὑπὸ Ῥωμαίων τὰς ἀρχὰς ὠνούμενοι πρὸς θεραπείαν τῶν τότε βασιλέων διαφόρους ἐπῆγον τοῖς χριστιανοῖς κολάσεις. ὅθεν καὶ Τιβεριανὸς ἡγεμονεύων τοῦ πρώτου Παλαιστινῶν ἔθνους ἀνήγαγεν αὐτῷ λέγων ὡς οὐκ ἐπαρκεῖ λοιπὸν τοὺς χριστιανοὺς φονεύειν, ἐκείνων αὐτομάτως ἐπεισαγόντων ἑαυτοὺς τῇ κολάσει. ἐντεῦθεν ὁ Τραϊανὸς πᾶσιν ἅμα τοῖς ὑπ' αὐτὸν ἀπηγόρευε τοῦ τιμωρεῖσθαι τούτους ⟨Io. Antioch. p. 818⟩.

Τραϊανὸς πατρίκιος ἤκμαζεν ἐπὶ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου. ἔγραψε χρονικὸν σύντομον, πάνυ θαυμάσιον. ἦν δὲ χριστιανικώτατος καὶ ὀρθοδοξότατος.

τράμις ὁ πρωκτός· Ἀριστοφάνης ⟨Thesm. 253⟩ "αἰθὸς γεγένημαι πάντα τὰ περὶ τὸν τράμιν."

τράμπις.

τρανές σαφές· ⟨S Ai. 23⟩ "ἴσμεν γὰρ οὐδὲν τρανές, ἀλλ' ἀλώμεθα." καὶ αὖθις "ἐς τὸ τρανὲς τὴν ἔρευναν ἐποιήσαντο."

τράπεζα. καὶ τραπεζείτης κεῖται ὑποκάτω τῆς τραπέζης. τραπεζίτης δὲ διὰ τοῦ ι, ὁ καταλλάκτης. καὶ τραπεζῆες κύνες ⟨Hom. Ψ 173⟩ ποιητικῶς. cf. v. τροβίτης.

τραπεζολοιχός.

Τραπεζοῦς Τραπεζοῦντος ὄνομα πόλεως.

τραπεζοφόρος. ἱερωσύνης ὄνομα ἡ τραπεζοφόρος. ὅτι αὐτή τε καὶ ἡ κοσμὼ συνδιέπουσι πάντα τῇ τῆς Ἀθηνᾶς ἱερείᾳ, ὡς Λυκοῦργος ἐν τῷ αὐτῷ λόγῳ δεδήλωκε. Harp.

τραπείομεν ⟨Hom. ϑ 292⟩. τὸ βαρύτονον τράπω· "ποῖ δὲ τράπωμαι, καὶ τί γένωμαι;" διὰ τοῦ ω μεγάλου. καὶ τράπῃ αὐθυπότακτον.

τρασιά ὁ τόπος ἐν ᾧ ψύχεται τὰ σῦκα ἢ οἱ τυροί. ἀπὸ δὲ τοῦ καθόλου ἐπὶ τὸ μέρος ἦλθε. καθόλου γὰρ εἰπὼν ἅπαντα τὴν δαιμονίαν τὴν ἑαυτοῦ, "βρύων μελίτταις καὶ προβάτοις καὶ στεμφύλοις" ⟨A Nub. 45⟩, καταμερίζει αὐτά· ἀπὸ μὲν γὰρ τῶν προβάτων τὰ ἔρια γίνεται, ἀπὸ δὲ στεμφύλων ἡ τρύξ, ἀπὸ δὲ τῆς τρασιᾶς τὰ σῦκα. cf. v. ἐσχατιάς et ταρσοί b.

τραυματίας τετρωμένος· "τραυματίας δὲ καὶ καματηρούς, οἷς οὔτε δύναμις ἐγίνετο φυγῆς οὔτε βούλησις, φυλάττεσθαι ἐθεράπευε."

τραυματισθῆναι ἀντὶ τοῦ τρωθῆναι. Θουκυδίδης ά.

τραύξανα τὰ ἀπὸ τῆς φάτνης ἀποπίπτοντα τῶν ἵππων ἢ τῶν βοῶν ἢ τῶν ἄλλων κτηνῶν λείψανα. σημαίνει δὲ καὶ τὰ ἀκανθώδη καὶ ξηρὰ ξύλα. οὕτω Φερεκράτης.

τραφερή ἡ ξηρὰ γῆ.

τραχεινή τραχεῖα ὁδός.

τραχέως ἀνδρείως· "οἱ δὲ τραχέως

ιεδέχοντο πυκνῇ καὶ πεφρικυίᾳ τῇ
."
χηλίζων· "Κλεόστρατος Ῥόδιος πά-
ξ· ὃς τραχηλίζων ἀπελάμβανε" (Eu-
m. 1). καὶ Ἰώσηπος (B. I. 4 6 2) "πο-
λὶ διχονοίᾳ καθ' ἡμέραν τραχηλιζο-
ἰκτρότατα πάσχειν." καὶ τράχηλος
ς τοῦ σώματος.
ιχίν Τραχῖνος ὄνομα πόλεως. καὶ
νίαις.
ἰχων Τράχωνος.
ιχωνῖτις χώρα.
ῖ (Hom. Δ 553) φοβεῖται.
τας ἀντὶ τοῦ φυγών, φοβηθείς, δει-
(Hom. N 515) "τρέσαι δ' οὐκέτι ῥίμ-
ον πόδες," ἀντὶ τοῦ φυγεῖν. καὶ αὖ-
? 7 230) "ἀνίκ' ἀπὸ πτολέμου τρέσ-
τε δέξατο μάτηρ."
φεσθαι πήγνυσθαι, συνίστασθαι·
υχῆς (p. 96 B) "τότε δὴ τὰ ζῷα συν-
ι" ἀντὶ τοῦ συνίσταται, πήγνυται.
(ι 246) "ἥμισυ μὲν θρέψας λευκοῖο
ος." καὶ (Λ 307) "πολλὸν δὲ τρόφι
τεθραμμένον, συνιστάμενον.
φω αἰτιατικῇ.
φω καὶ τὸ ἔχω· (S OR 356) "τἀλη-
ρ ἰσχῦον τρέφω" ἀντὶ τοῦ ἔχω.
τρέφον μέν ἐστιν ἡ πρώτη δύναμις
υχῆς, ἥτις ἐστὶν ἡ θρεπτική, τὸ δὲ
ενον τὸ ἔμψυχον σῶμα, καθὸ ταύτην
ν δύναμιν, τὸ δὲ ᾧ τρέφεται, ἡ τρο-
τι δὲ καὶ τὸ ᾧ τρέφεται διττόν· τὸ
οῦν καὶ κινούμενον. τὸ μὲν γὰρ ἔμφυ-
ρμόν, ᾧ τινὶ τρέφεται ἡ ψυχὴ ὡς δι'
, καὶ κινεῖ καὶ κινεῖται· κινεῖται μὲν ὑπὸ
επτικῆς δυνάμεως, κινεῖ δὲ τὰ λοιπὰ
οἷον ὀδόντας φλέβας γαστέρα καὶ τὰ
ι' ὧν ἡ τροφή· ἅτινα μόνως κινεῖται,
δὲ καὶ κινεῖ. Philopon. in 2 de anima,

ἰχειν τὴν ἐσχάτην· "ἐὰν τὸ δὴ
νον τρέχωσι τὴν ἐσχάτην, ἐπὶ τοὺς
ας καταφεύξονται, καὶ τούτοις ἐγχει-
σφᾶς αὐτὰς καὶ τὴν πόλιν." τρέχειν
ερὶ ψυχῆς, οἷον δρόμον.
έψομαι νικήσω· Ἀριστοφάνης (Eq.
ἐγώ σε τῇ βοῇ ταύτῃ τρέψομαι,"
οῦ νικήσω βοῶν.
ήρωνα δειλήν. Ὅμηρος (E 778) "αἳ
ην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι,"
ἀντὶ τοῦ δειλαῖς περιστεραῖς.

τρητή τετρημένη, ὀπὰς ἔχουσα· (AP 6 66) "καὶ λίθακα τρητήν, σπόγγῳ ἐειδομένην," τὴν κίσσηριν λέγων.

τρηχματεῦ.

τρίαινα. καὶ τριαινοῦν, τουτέστι τῇ τριαίνῃ ἠρέμα σκάπτειν καὶ ἐπισύρειν τὰς βώλους ὑπὲρ τοῦ κατακρύπτειν τὰ σπέρματα. sch. A Pac. 569.

τριακάς. τοῖς τετελευτηκόσιν ἤγετο ἡ τριακοστὴ ἡμέρα διὰ θανάτου, καὶ ἐλέγετο τριακάς. Ὑπερίδης δηλοῖ, ἑνικῶς τε καὶ πληθυντικῶς τριακάδα καὶ τριακάδας τὴν ἡμέραν καλῶν. Harp.

τριακονταετής. ἐπὶ τῶν ἡλικιῶν ὀξύνεται, οἷον ἐνναετὴς ἄνθρωπος, ἐπὶ δὲ τῶν χρόνων βαρύνεται, οἷον ἐνναέτης. οὕτω καὶ ἐπὶ τῶν ὁμοίων.

τριακοντόπους βόθρος, εἰς ὃν μετέωρον ἀράμενοι τὸν σύρφακα ῥιπτοῦσι κάτω, οἱ μὲν πυγμαῖς, κορύναις δὲ ἄλλοι, λίθων γε μὴν τῶν ἐν ποσὶν ἀμυνόμενοι πολλοί, οἱ δὲ ὅ τι παρέπιπτεν αὐτοῖς ὑποχείριον ἀλοῶντες αὐτὸν ἀπορραγῆναι τὴν ἐπάρατον αὐτοῦ ψυχὴν κατηνάγκασαν." cf. vv. ἀλοῶ, μετέωρον, ὑποχείριον.

τριακοντούτης. παροξυτονεῖται, κοινὸν δέ ἐστιν ἀμφοτέρων τῶν γενῶν. καὶ τὸ πληθυντικὸν τριακοντούτεις· καὶ παρὰ Θουκυδίδῃ (1 23 et 115) τριακοντούτεις σπονδαὶ εἴρηνται. καὶ Ἀριστοφάνης (Eq. 1385).

τριάριοι· (Polyb. 1 26) "οἱ Ῥωμαῖοι στρατεύσαντες ἐπὶ Καρχηδονίους, ἐπιλέξαντες ἐκ τῶν πεζικῶν στρατοπέδων τὰς ἀρίστας χεῖρας, διεῖλον τὴν πᾶσαν δύναμιν εἰς τέσσαρα μέρη· τὸ δὲ μέρος ἕκαστον διττὰς εἶχε προσηγορίας. πρῶτον μὲν γὰρ ἐκαλεῖτο στρατόπεδον καὶ πρῶτος στόλος, καὶ τὰ λοιπὰ κατὰ λόγον· τὸ δὲ τέταρτον καὶ τρίτην ἐπωνυμίαν ἔτι προσειλήφει· τριάριοι γὰρ ὠνομάζοντο κατὰ τὴν ἐν τοῖς πεζικοῖς στρατοπέδοις συνήθειαν."

τρία Στησιχόρου στροφήν, ἀντίστροφον, ἐπῳδόν· ἐπῳδικὴ γὰρ πᾶσα ἡ τοῦ Στησιχόρου ποίησις. καὶ τὸν τελέως ἄμουσόν τε καὶ ἀπαίδευτον λοιδοροῦντες ἔφασκον ἂν οὐδὲ τρία τὰ Στησιχόρου εἰδέναι. cf. v. οὐδὲ τὰ τρία Στ.

τριαχθῆναι λέγουσιν οἱ παλαιστρικοὶ ἀντὶ τοῦ τρὶς πεσεῖν, ἢ τὸ τρὶς τροχάσαντα

νικηθῆναι, στάδιον δίαυλον δολιχόν. οὕτω Θουγενίδης ἐν Δικασταῖς.

τριβακά κατατετριμμένα· ⟨Artemid. 2 3⟩ "ὀθόνια καὶ τριβακὰ φορεῖν δοκεῖν ἀγαθόν."

τριβή ἡ τρῖψις· Ἀριστοφάνης ⟨Av. 156⟩ "οὗτος μὲν ὢν οὐκ ἄχαρις ἐς τὴν τριβήν." ἀπὸ μεταφορᾶς τῶν εὐύφων ἱματίων, τῶν ὑπουργέντων εἰς τρῖψιν καὶ φόρεσιν πολλοῦ χρόνου.

τριβὴν βραδυτῆτα, χρονίαν ὑπέρθεσιν· "εὑρὼν τοὺς στρατιώτας μηκέτι τὴν τριβὴν φέροντας, ἀλλὰ καὶ μετὰ κινδύνου διαπολεμῆσαί πως ἐπιθυμοῦντας." "ὃ δὲ καὶ πάλαι ἤδη οὐ φέρων τὴν τριβὴν τοῦ πολέμου, καὶ ἅμα τὴν ὅσον οὔπω ἀπορίαν τῶν ἀναγκαίων, λύει τὴν πολιορκίαν."

τριβολεκτράπελα. ἐκ τοῦ τριβόλου καὶ ἐκτραπέλου σύγκειται. σκληρὰ καὶ ἀπόβλητα καὶ ἀπαίδευτα. Ἀριστοφάνης Νεφέλαις ⟨999⟩ "οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ', οἷάπερ οἱ νῦν."

τρίβοντας ἀναλίσκοντας.

τριβουνάλιον. ὅτι ἐν τῷ τριβουναλίῳ τοῦ παλατίου στήλη ἦν Εὐδοξίας τῆς γυναικὸς Θεοδοσίου, καὶ αὐτοῦ Θεοδοσίου Μαρκιανοῦ τε καὶ Κωνσταντίνου, ἔνθα ὀρχήσεις τῶν β' μερῶν ἐγίνοντο ἕως Ἡρακλείου. Codin. orig. Cp. 41.

Τριβοῦνος. οὗτος ἐπὶ Χοσρόου ἦν, Παλαιστῖνος γένος, λόγιος καὶ τὰ ἐς τέχνην τὴν ἰατρικὴν οὐδενὸς ἥσσων, ἄλλως δὲ σώφρων τε καὶ θεοφιλὴς καὶ τῆς ἐπιεικείας εἰς ἄκρον ἥκων. καί ποτε Χοσρόην κακῶς τοῦ σώματος ἔχοντα ἰασάμενος ἀπηλλάγη ἐκ τῆς Περσῶν χώρας, δῶρα πολλά τε καὶ λόγου ἄξια πρὸς τοῦ ἀνθρώπου κεκομισμένος. ἡνίκα τοίνυν ἐκεχειρία ἐγένετο, Ἰουστινιανὸν βασιλέα Χοσρόης τὸν ἰατρὸν τοῦτον συνδιαιτησόμενον αὐτῷ εἰς ἐνιαυτὸν ᾔτησε δοῦναι, τῆς τε αἰτήσεως ἐπιτελεσθείσης ἐκέλευσε τὸν Τριβοῦνον ὁ Χοσρόης αἰτεῖσθαι ὅτου ἂν δέηται. ὃ δὲ ἄλλο οὐδὲν ᾔτει τῶν πάντων χρημάτων ἢ ὥστε οἱ Ῥωμαίων αἰχμαλώτων τινὰς Χοσρόην ἀφεῖναι. ὃ δέ οἱ ἄλλους τρισχιλίους ἀφῆκε, καὶ ὅσους πρὸς ὄνομα ἐξῃτήσατο ἐν τοῖς αἰχμαλώτοις λογίους ὄντας. κλέος τε μέγα ἐκ τοῦ ἔργου τούτου ἐς πάντας ἀνθρώπους ὁ Τριβοῦνος ἔσχε. Procop. Goth. 4 10.

τρίβων ἔμπειρος· Ἀριστοφάνης ⟨Vesp. 1420⟩ "ἐτύγχανεν γὰρ οὐ τρίβων ὢν ἱππικῆς." καὶ **τρίβωνος** ἐμπείρου.

τρίβωνα στολισμόν· οἱ γὰρ φιλόσοφοι ἐν τῷ τρίβωνι ἐχείμαζον, μηδὲν ἐσθίοντες. καὶ Ἀριστοφάνης ⟨Nub. 415⟩ "μήτε ῥιγῶν ἄχθῃ λίαν, μήτ' ἀριστᾶν ἐπιθυμῇς, οἴνου τ' ἀπέχῃ καὶ γυμνασίων καὶ τῶν ἄλλων ἀνοήτων."

τριβωνευόμενοι ἤτοι ἀντὶ τοῦ τριβὰς ἐμποιοῦντες, ἢ ἀντὶ τοῦ τεχνάζοντες. ἀπὸ τοῦ τρίβωνες εἶναι πραγμάτων. Harp.

Τριβωνιανὸς Μακεδονιανοῦ, ἀπὸ δικηγόρων τῶν ὑπάρχων. οὗτος ὁ Τριβωνιανὸς Ἕλλην ὑπῆρχε καὶ ἄθεος καὶ ἀλλότριος κατὰ πάντα τῆς τῶν χριστιανῶν πίστεως, κόλαξ δὲ καὶ ἀπατεὼν καὶ πείθων Ἰουστινιανὸν τὸν βασιλέα ὡς ὅτι οὐκ ἀποθανεῖται, ἀλλ' εἰς τοὺς οὐρανοὺς μετὰ σαρκὸς ἀναληφθήσεται. ἦν δὲ κοιαίστωρ Ἰουστινιανοῦ.

οὗτος φύσεως μὲν δυνάμει ἐχρῆτο, καὶ παιδείας εἰς ἄκρον ἀφίκετο τῶν κατ' αὐτὸν οὐδενὸς ἧσσον, ἐς δὲ φιλοχρηματίαν δαιμονίως ἐσπουδακὼς οἷός τε ἦν κέρδους ἀεὶ τὸ δίκαιον ἀποδίδοσθαι, τῶν τε νόμων ἡμέρα οἷον ἐκ τοῦ ἐπὶ πλεῖστον ἑκάστῃ τοὺς μὲν ἀνῄρει τοὺς δὲ ἔγραφεν, ἀπεμπολῶν τοῖς δεομένοις κατὰ τὴν χρείαν ἑκάτερον ⟨Procop. Pers. 1 24⟩. ἔτη δὲ πολλὰ ἐπιβιοὺς τῇ τιμῇ ἐτελεύτησε νόσῳ, οὐδὲν ἄχαρι πρὸς οὐδενὸς παθών· ἦν γὰρ αἱμύλος τε καὶ τἄλλα ἡδύς, καὶ τῆς φιλοχρηματίας τὸ νόσημα ἐπισκιάσαι ἱκανώτατος τῇ τῆς παιδείας περιουσίᾳ ⟨25⟩.

Τριβωνιανὸς Σιδήτης, ἀπὸ δικηγόρων τῶν ὑπάρχων καὶ αὐτός, ἀνὴρ πολυμαθής, ἔγραψεν ἐπικῶς ὑπόμνημα εἰς τὸν Πτολεμαίου κανόνα, συμφωνίαν τοῦ κοσμικοῦ καὶ ἁρμονικοῦ διαθέματος, εἰς τὸν πολεύοντα καὶ διέποντα, εἰς τοὺς τῶν πλανωμένων οἴκους, καὶ διὸ ἑκάστῳ οἶκος ὁ δεῖνα, εἰς τοὺς κδ' πόδας τοὺς μετρικοὺς καὶ τοὺς κη' τοὺς ῥυθμικούς, μετάφρασιν τοῦ Ὁμηρικοῦ τῶν νεῶν καταλόγου, διάλογον Μακεδόνιον ἢ περὶ εὐδαιμονίας, καὶ βίον Θεοδότου φιλοσόφου ἐν βιβλίοις γ', ὑπατικὸν καταλογάδην εἰς Ἰουστινιανὸν αὐτοκράτορα, βασιλικὸν εἰς τὸν αὐτόν, περὶ μηνῶν ἐναλλαγῆς ἐπικῶς.

τριβώνιον φόρημα κυνικόν, ἱμάτιον παλαιόν.

τριβωνοφόρος ὁ φορῶν στολὴν ἔχουσαν σημεῖα ὡς γαμμάτια. "ὁ δὲ Πρόκλος

ἴταξεν Ἰσίδωρον μετασχηματίσασθαι τὸν ἄριστον βίον καὶ τριβωνοφορεῖν· οὐχ ὑπέμεινε." cf. v. ὑπέμεινεν.

ριγέρων τρεῖς γενεὰς βιούς, τουτέστιν ιοντούτης· ⟨AP 7 144⟩ "Νέστωρ ἐν Πύ-ιαθέη τύμβον ἔχει τριγέρων."

ρίγληνα ⟨Hom. Ξ 183⟩. ὁ μὲν Ἡλιόδω-ρίκορα (γλήνη γὰρ ἡ τοῦ ὀφθαλμοῦ , ὁ δὲ Ἀπίων πολύγληνα, τὰ θέας

ιγλίς εἶδος ἰχθύος. καὶ κλίνεται τρι-;· τὰ γὰρ εἰς ις δισύλλαβα, ἔχοντα πρὸ ἀμετάβολον, ἐὰν κλίνωνται διὰ τοῦ δ, νται, οἷον σμαρίς τριγλίς, εἰ δὲ διὰ , βαρύνονται. ἐν ἐπιγράμματι ⟨AP 6 "τρίγλαν ἀπ' ἀνθρακιῆς καὶ φυκίδα μενῖτιν, Ἄρτεμι, δωρεῦμαι."

ιγλώχινα τόξα τρίγωνα.

ιγονία ἡ τρίτη γενεά· ⟨Procop. Arc. 15⟩ ἐξάμενος ὥσπερ ἄλλο τι τοῦ πατρὸς γονίαν παρέπεμπε τὸ ἔχθος."

ιγχός τειχίον, στεφάνη, περίφραγμα· ιος ⟨96⟩ "λύκος παρήει τριγχόν, ἔνθεν ιας ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφή-ὅτι Πλάτων ⟨RP 7 p. 534 extr.⟩ τὴν τικὴν φιλοσοφίαν ἐξυμνῶν τριγχὸν φι-ίας αὐτὴν λέγει. Alex. Aphrod. in Top.

ιγχός περιβολή, περιτείχισμα.

ίγωνον δικαστήριον ὄνομά ἐστι τηρίυ, ἴσως καὶ τῷ σχήματι τριγώνυ Harp.

ιέμβολον πολλάκις ἐμβάλλεσθαι δυ-ον· Ἀριστοφάνης ⟨Av. 1255⟩ "ὥστε ἀξειν ὅπως οὕτω γέρων ὢν στύομαι ϑολον." ἔστι δὲ καὶ πλοίυ τις κατα-· καὶ γὰρ δεκέμβολον Αἰσχύλος εἶπε τοῦ Νέστορος ναῦν ἐν Μυρμιδόσι ϑολον οὖν ἐπίφθεγμα τάχυς.

ιετηρίδες ἡμέραι παρὰ Βιθυνοῖς, ἐν γ' ἡμέρας πότοι συνεχεῖς ἐγίνοντο, καὶ τὰς συνυσίας πᾶν γένος ἀκροαμάτων το. καὶ καθόλυ πολλήν τινα εἶχε ῥα-ιν τὸ Πέργαμον.

ιηκάδας παρὰ Ἡροδότῳ ⟨1 65⟩ δεῖ-ὶ δήμυς, ἢ ἀριθμὸν λ' ἡμερῶν.

ιηκόντορος ναῦς.

ριηραρχεῖν. καὶ τριηραρχία λει-ι παρὰ Ἀθηναίοις δαπανηρά· ἔδει γὰρ ριήρη πάντα ἔχειν πρὸς πόλεμον εὐ-τρεπῆ, ἅπερ παρεσκεύαζεν ὁ εἰς τὴν λειτυρ-γίαν ταύτην προβληθείς. Ἀριστοφάνης ⟨Eq. 919⟩ "ἐγώ σε ποιήσω τριηραρχεῖν."

τριηράρχημα τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα. ἐπιτριηράρχημα δὲ τὸ ἀναλι-σκόμενον μετὰ τὸν τῆς τριηραρχίας χρόνον. Harp.

Τριηραύλης ὄνομα.

τριήρεις πλοῖα πολεμικά, ἃ καλοῦνται Λέβερνοι.

Τρικάρανον φρούριόν ἐστι τῆς Ἀργείας οὕτω καλούμενον. Harp.

τρικάρηνος ὁ τρεῖς κεφαλὰς ἔχων.

τρικέφαλος ὁ Ἑρμῆς ὥσπερ διδάσκων τὰς ὁδοὺς καὶ ἔχων ὑπογραφήν, ποῦ μὲν αὕτη φέρει ἡ ὁδὸς ποῦ δὲ ἐκείνη. ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ἔστι δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν, ὡς Φιλό-χορός φησι, Προκλείδης Ἱππάρχυ ἐραστής. Ἰσαῖος ἐν τῷ περὶ Εὐκλείδυ "μικρὸν δ' ἄνω τοῦ τρικεφάλυ, παρὰ τὴν Ἑστίαν ὁδόν." τὸ πλῆρές ἐστι τοῦ τρικεφάλυ Ἑρμοῦ. Harp.

Τρικκαῖοι ὄνομα ἔθνυς.

Τρικορυσία· Αἰλιανός "καὶ τὸ τοῦ Μενάνδρυ - - - ἐθέλυσα." cf. v. παίσωμεν.

τρικύλιστος· "ἐὰν μὴ ἀφίκησθε, βού-λομαι τρικύλιστος ὠθεῖσθαι ὅπυ ἂν ὑμεῖς παρακαλῆτε" ⟨Diog. L. 10 5⟩.

τρίλλη. γέγραπται ἐν τῷ τοῦ Ἀθηναίυ Σίμωνος ἱπποϊατρικῷ περὶ γνωρισμάτων φλε-βῶν, ὅτι καὶ ἀπὸ τῆς τρίλλης εἰσὶ φλέβες δύο.

τρῖμμα δι' ἀρωμάτων πόμα. ταῦτα λέ-γων ὁ Σωκράτης, ὥσπερ εἰς τὰ θύματα λί-θυς παρατρίβων πωρίνυς καὶ κρούων πρὸς ἀλλήλυς, συναγαγὼν τὰ τούτων θραύσματα βάλλει τὸν πρεσβύτην αὐτοῖς, καθάπερ τὰ ἱερεῖα ταῖς οὐλαῖς οἱ θύοντες. καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι, τρῖμμα μὲν αὐτὸν ἔσε-σθαι λέγων παρὰ τὸ τρίβειν καὶ θίγειν πρὸς ἀλλήλυς τοὺς λίθυς, κρόταλον δὲ παρὰ τὸ προσκρούειν τοὺς λίθυς ἑαυτοῖς, παιπάλην. δὲ διὰ τὴν ἀπὸ τούτων ἐκπίπτυσαν λατύπην καλοῦμεν δὲ τῶν ἀνθρώπων τοὺς κακεντρε-χεῖς καὶ μὴ ἁπλοῦς περιτρίμματα καὶ πο-λυκρότυς καὶ κρόταλα· ὅθεν καὶ τὸν πρῶ-τον στίχον Ὀδυσσείας οὕτως ἀξιοῦσι γρά-φειν τινές "ἄνδρα μοι ἔννεπε μοῦσα πολύ-κροτον." sch. A Nub. 259.

τρῖμμα ὁ τετριμμένος ἐν τοῖς πράγμασι. b

καὶ παρ' Ἀριστοφάνει Νεφέλαις ⟨260⟩ "λέγειν γενήσῃ τρῖμμα," τουτέστι τετριμμένος, ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου ⟨127⟩ ὡς ἰταμοῦ καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου, περίτριμμα ἀγορᾶς αὐτὸν καλεῖ.

τριμμούς τὰς τετριμμένας ὁδούς· Αἰλιανός "καὶ ἀναβλέποντες ὁρῶσι τριμμοὺς τῆς ἀνόδου καὶ προσβάσεις, δι' ὧν ἀνῆλθεν ὁ Ῥωμαῖος, καὶ συνέβαλον μὴ ἄπορον εἶναι ἀλλ' ἐπιβατόν."

τρίμνων τριῶν μνῶν ἀξίων.

Τρινακρία ὄνομα τόπου, ἡ νῦν νῆσος Σικελία.

τρίναξ γεωργικὸν ἐργαλεῖον· ἐν ἐπιγράμματι ⟨AP 6 104⟩ "καὶ τρίνακας ξυλίνας, χεῖρας ἀρουροπόνων."

τριόρχης. ἱέρακος εἶδος ὁ τριόρχης. "ὅτι ὁ τύραννος Σικελίας κοινὸς πόρνος ··· ἐμὲ σύ"; cf. v. Ἀγαθοκλῆς.

τριόφθαλμος. Βοιωτοῖς ἐδόθη χρησμός, ὅτῳ ἂν συναντήσωσι πρώτῳ τριοφθάλμῳ ὄντι, τούτῳ ἕπεσθαι. Ὄξυλος δέ τις ὀχούμενος ἐπὶ ἵππου ἑτεροφθάλμου συνήντησεν αὐτοῖς. οἱ δὲ συνέντες τὸ θεοπρόπιον ἠκολούθησαν αὐτῷ.

τρίπαλαι ἐπίρρημα χρόνου δηλωτικόν· Ἀριστοφάνης ⟨Eq. 1150⟩ "τρίπαλαι κάθημαι βουλόμενός σ' εὐεργετεῖν. ἐγὼ δὲ δεκάπαλαι ἢ χιλιόπαλαι καὶ πρόπαλαι, πάλαι πάλαι. ἐγὼ δὲ τρισμυριόπαλαι καὶ πρόπαλαι, πάλαι πάλαι."

τρίποδα λέβητα· "ἐν Δελφοῖς ἐπὶ τρίποδα κείμενον μαντικὸν Ἀπόλλωνος."

τρίπος· ⟨Hom. X 164⟩ "ἢ τρίπος ἠὲ γυνή." ὁ τρίπους.

τρίπους κατὰ τοὺς τρεῖς χρόνους μαντευόμενος, ἐνεστῶτα παρεληλυθότα μέλλοντα.

τριπτῆρα Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους. τριπτήρ ἐστι πιθάκνη ἐκπέταλος, οἷα τὰ ἐπιλήνια, ὡς Νίκανδρός φησιν. ἐπὶ τούτου δ' ἂν τάττοιτο νῦν παρὰ τῷ ῥήτορι· πολλὰ γὰρ καὶ ἄλλα σημαίνει τοὔνομα. Harp.

τρὶς ἓξ νικητήριος βόλος. παροιμία "ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι." cf. vv. ἢ τρὶς ἓξ et τρὶς ἓξ ἢ τρεῖς.

τρὶς ἓξ ἢ τρεῖς κύβοι. οἱ μὲν τρὶς ἓξ νίκην, οἱ δὲ τρεῖς κύβοι κενοί. καὶ τὸ παρ' Εὐριπίδῃ τοιοῦτον· "βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα." τριῶν γε ὄντων τῶν ἀναρριπτουμένων βόλων, δύο μὲν κενοὺς ... τόν φησι βάλλειν, ἕνα δὲ τὸν τέτταρα. ... τὸς οὖν ὁ κύβος, ὅτε ἀναρριπτόμενος, ... κενὸς εἴτε πλήρης εἴη, καὶ ἰδίως ὁ κενός. ὅτι δὲ ὁ τρὶς ἓξ βαλὼν κατώρθου, καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι ⟨31⟩ παρίστησι· "τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι, τρὶς ἓξ βαλούσης τῆς ἐμῆς φρυκτωρίας."

τριστάται οἱ παρὰ χεῖρα τοῦ βασιλέως· οἷον ἔχοντες λόγχας ἀνὰ τρεῖς κατὰ χεῖρα.

τριστοιχεί ⟨Hom. K 473⟩ κατὰ τρεῖς τάξεις.

τρίστομος ἐπίθετον αἰχμῆς· ⟨AP 6 1..⟩ "σοὶ γὰρ Καστορίδος ὑλακὰ καὶ τρίστομος αἰχμὴ εὔαδε."

τριταγωνιστής. Αἰσχίνης ἐν πολλοῖς σκώπτεται ὑπὸ Δημοσθένους ὡς ὑποκριτὴς τραγῳδιῶν, καὶ τριταγωνιστὴν αὐτόν φησι ⟨18 129⟩, ὡς ἀδοκιμώτατον τῶν ὑποκριτῶν ἐν τρίτῃ τάξει καταριθμῶν. τριταγωνιστεῖν ἀπὸ Σοφοκλέους, ὃς πρῶτος ἐχρήσατο τρισὶν ὑποκριταῖς καὶ τῷ καλουμένῳ τριταγωνιστῇ.

τριταῖος.

τριτάλαντον βάρος τριῶν ταλάντων ⟨A Lys. 335⟩ "τριτάλαντον βάρος δεισασα ἀπειλούντας ἐπῶν."

τριτάνυστον μακρόν· ⟨AP 6 192⟩ "... δόνακα τριτάνυστον."

τρίτη κεφαλή. τοῦτο εἴρηται ἀπὸ ... ἀχθοφορούντων οὐ μόνον κατὰ τὸν ὦμον ... λὰ καὶ κατὰ τῆς κεφαλῆς.

τριτημόριον. τοὺς ς' χαλκοῦς εἴρηκε Φιλήμων τοῦ ὀβολοῦ τριτημόριον. θαυμάζω ... ἐγὼ πῶς τεταρτημόριον εἰσὶ β' χαλκοῖ, ... τημόριον δὲ ς', εἰ μὴ ἄρα ἐκεῖνο μὲν ... ρίως ὠνομάσθη τέταρτον μέρος τοῦ ὀβολοῦ, τὸ δὲ τριτημόριον, ὡς ἀπὸ δ' μερῶν ὄντων ἀνὰ β' χαλκοῦς τρία ἔχον μέρη, ς' χαλκοῦς συνάγει.

τριτημορίς· Ἡρόδοτος ⟨7 121⟩ "... δὲ ἤιε τοῦ στρατοῦ τριτημορὶς τὴν μεσόγαιαν."

τριτογένεια φοβερά, καταπληκτική. ⟨Diog. L. 9 46⟩ Δημόκριτος ὁ Ἀβδηρίτης ἔγραψε περὶ τῶν ἐν Ἅδου· Τριτογένεια ... το δέ ἐστιν, ὅτι τρία γίνεται ἐξ αὐτῆς, ... πάντα τὰ ἀνθρώπινα συνέχει. καὶ παροιμία ... εἴρηται "παῖς μοι τριτογενὴς εἴη, μὴ τριτογένεια." ἢ ὅτι τὴν Ἀθηνᾶν ἀνδρώδη ...

ν εἶναι καὶ παῖδας ἄρρενας παρέχειν.

τριτογενής ἡ Ἀθηνᾶ, ἤτοι ὅτι ἐκ τῆς γδύος καὶ τῆς μήτρας καὶ τῆς κεφαλῆς τϋ ιὸς ἐξῆλθεν, ἢ ὅτι παρὰ Τρίτωνι τῷ ποαμῷ Λιβύης ἐγεννήθη, φθίνοντος, ὡς καὶ Ἀθηναῖοι ἄγϋσιν. ἢ ὅτι τρίτη μετὰ Ἄρτεμιν καὶ Ἀπόλλωνα ἐγεννήθη. ἢ ἐπεὶ τρίτωνα ὴν κεφαλὴν Ἀθαμᾶνες λέγϋσιν. ἢ ἐπεὶ παὰ Τρίτωνι ἐγένετο. ἢ τϋ τρεῖν καὶ εὐλαεῖσθαι αἰτία. ἢ γεννητική. ἢ ὅτι ἀπελύσαο ἐν τῷ Τρίτωνι τῷ Λιβύης ποταμῷ.

τριτομηνίς. τὴν τρίτην τϋ μηνὸς τριομηνίδα ἐκάλϋν, δοκεῖ δὲ γεγεννῆσθαι τότε Ἀθηνᾶ. Ἴστρος δὲ καὶ τριτογένειαν αὐτὴν ησι λέγεσθαι, τὴν αὐτὴν τῇ σελήνῃ νομιομένην. Harp.

τρίτον ἡμίδραχμον. τὰς δύο ἥμισυ ραχμὰς ὅτως εἰώθασιν ὀνομάζειν οἱ παιοί.

τριτοπάτορες. Δήμων ἐν τῇ Ἀτθίδι ρησὶν ἀνέμϋς εἶναι τϋς τριτοπάτορας, Φιλόχορος δὲ τϋς τριτοπάτρεις πάντων γεγονέναι πρώτϋς· τὴν μὲν γὰρ γῆν καὶ τὸν ἥλιον, φησίν, ὃν καὶ Ἀπόλλωνα τότε καλεῖν, γονεῖς αὐτῶν ἠπίσταντο οἱ τότε ἄνθρωποι, τϋς δὲ ἐκ τϋτων τρίτϋς πατέρας. Φανόδημος δὲ ἐν ἕκτῳ φησὶν ὅτι μόνοι Ἀθηναῖοι θύϋσί τε καὶ εὔχονται αὐτοῖς ὑπὲρ γενέσεως παίδων, ὅταν γαμεῖν μέλλωσιν. ἐν δὲ τῷ Ὀρφέως φυσικῷ ὀνομάζεσθαι τοὺς τριτοπάτορας Ἀμαλκείδην καὶ Πρωτοκλέα καὶ Πρωτοκλέοντα, θυρωρϋς καὶ φύλακας ὄντας τῶν ἀνέμων. ὁ δὲ τὸ Ἐξηγητικὸν ποιήσας Οὐρανϋ καὶ Γῆς φησὶν αὐτϋς εἶναι, ὀνόματα δὲ αὐτῶν Κόττον Βριάρεων καὶ Γύγην.

τρίτϋ κρατῆρος τϋ σωτῆρος· ὃν καὶ τέλειον ἔλεγον. τὸν μέν γε πρῶτον Ὀλυμπίων φασί, τὸν δὲ β′ ἡρώων. Πλάτων Πολιτείᾳ ⟨8 p. 583 B⟩ "τὸν δὲ γ′ ὀλυμπικῶς τῷ σωτῆρί τε καὶ Ὀλυμπίῳ."

τριττύς φυλῆς μέρος τρίτον· αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττῦς καὶ ἔθνη καὶ φατρίας, ὡς Ἀριστοτέλης φησί. Harp.

τριττύς ἡ ἐντελὴς θυσία, ἐκ συὸς κριοῦ καὶ τράγϋ.

τρίτῳ καὶ τετάρτῳ ἔτει ἀντὶ τϋ πρὸ τριῶν καὶ τεσσάρων ἐτῶν. ὅτως Ἀντιφάνης.

Τριτωνὶς λίμνη.

Τρίτωνος Ποσειδῶνος, θαλάσσης· ⟨AP 6 65⟩ "καὶ βυθίην Τρίτωνος ἁλιπλάγκτοιο χαμεύνην σπόγγον, ἀκεστορίην πλαζομένης γραφίδος."

τρίτῳ φάει τρίτῃ ἡμέρᾳ.

Τριφάλης Τριφάλητος ὄνομα κύριον παρὰ Ἀριστοφάνει.

Τριφύλλιος ἐπίσκοπος, μαθητὴς Σπυρίδωνος τϋ θαυματϋργϋ τϋ Κυπρίϋ· ὃς ἔγραψε τὰ θαύματα τϋ ὁσίϋ καὶ τερατϋργοῦ πατρὸς ἡμῶν Σπυρίδωνος, ὡς γέγραπται ἐν τῷ βίῳ αὐτϋ, δι' ἰάμβων· ἃ χρὴ ἐκζητῆσαι ὡς λίαν ὠφέλιμα.

τρίχα τριχῶς.

τρίχαπτον τὸ βαμβύκινον ὕφασμα, ἱμάτιον πολυτίμητον ⟨Ezech. 16 10⟩.

τριχῇ τριχῶς.

τριχθά τριχῇ· Ὅμηρος ⟨Ο 189⟩ "τριχθὰ δὲ πάντα δέδασται." ἔστι δὲ τὸ πάντα κατὰ παρολκήν, ὡς ⟨Η 161⟩ "οἱ δ' ἐννέα πάντες ἀνέσταν," ⟨Ο 193⟩ "γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος." συναφὴς τῇ γῇ Ὄλυμπος ὡς ὄρος. τὸ δὲ ὅμοιον καὶ ἐν Ὀδυσσείᾳ ⟨ι 21⟩ πεποίηκε· "ναιετάω δ' Ἰθάκην εὐδείελον· ἐν δ' ὄρος αὐτῇ, Νήριτον εἰνοσίφυλλον." κεχώρικε γὰρ τὸ ὄρος τῆς Ἰθάκης. εἰ δὲ ἦν ὁ Ὄλυμπος τϋ ϋρανϋ μέρος ἐπϋράνιον, ϋκ ἦν κοινὸς ἀλλὰ ἴδιος.

τριχίδες εἶδος ἰχθύος, αἱ λεγόμεναι θρίσσαι. Ἀριστοφάνης ⟨Eccl. 55⟩ "ἔβηττε τὴν νύχθ' ὅλην τριχίδων πεπλησμένος."

τριχοβρῶτες ζῷον κατεσθίον τὰς τρίχας, οἱ σῆτες, ὁ θρίψ.

τριχολογεῖν τὰς τρίχας ἀναλέγεσθαι καὶ περὶ αὐτῶν φροντίζειν.

τρίψεις ἀντὶ τϋ διατρίψεις, διατελέσεις· Ἀριστοφάνης Πλύτῳ ⟨526⟩ "ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τϋ νῦν."

τρῖψις τῶν ποταμῶν ἡ πορεία. Δαβίδ ⟨92 3⟩ "ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν."

Τριψίωνος.

τριωβολιμαῖος τριῶν ὀβολῶν, εὔωνος.

τριώβολον τὸ τρεῖς ὀβολϋς ἔχον. Ἀριστοφάνης Πλύτῳ ⟨329⟩ "δεινὸν γὰρ εἰ τριωβόλϋ μὲν ὕνεκα ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τῇ ἐκκλησίᾳ." οὐδεὶς ἐδίκαζεν εἰ μὴ ἐπέβαινε τῶν ξ′ ἐνιαυτῶν. ὅσοι δὲ τελείας ἡλικίας ἦσαν, εἰσήρχοντο μὲν εἰς τὴν ἐκκλησίαν, ϋκ ἐδίκαζον δέ. τούτϋς οὖν τοὺς ἐκκλησιαστὰς ἐποίησαν φανερόν τι λαμβάνειν ἀπὸ τῶν τῆς πόλεως προσόδων οἱ δημαγωγοί,

πείσαντες τὴν πόλιν· ὕστερον δὲ ὁ Κλέων ἐποίησεν αὐτὸ τριώβολον. ἀφῆλιξ δὲ εἰς τὴν ἐκκλησίαν οὐκ εἰσήρχετο.

τριώροφος.

Τροία πόλις.

Τροιζὴν Τροιζῆνος ὄνομα πόλεως. καὶ Τροιζήνιος ὁ πολίτης.

Τροΐην, κατὰ διάλυσιν, Τρωικήν.

τρομερόν· "ὃ δὲ ὑπὸ ἀρρωστίας λεπτόν τι καὶ τρομερὸν ἐφθέγξατο."

τρόπαια νικητήρια· Ἀριστοφάνης ἐν Πλούτῳ ⟨453⟩ "τρόπαιον ἂν στήσαιτο τῶν ταύτης τρόπων." τὰ τρόπαιον οἱ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν, οἱ δὲ νεώτεροι προπαροξύνουσιν. ἡ δὲ παλαιὰ Ἀτθίς ἐστιν ἧς ἦρχεν Εὔπολις Κρατῖνος Ἀριστοφάνης Θουκυδίδης, ἡ δὲ νέα Ἀτθίς ἐστιν ἧς ἐστὶ Μένανδρος καὶ ἄλλοι.

τροπᾶσθαι τρέπεσθαι.

τροπείδιον.

τροπή δίωξις.

τροπῆς ἀποσκίασμα ⟨ep. Iac. 1 17⟩ ἀντὶ τοῦ ἀλλοιώσεως καὶ μεταβολῆς ἴχνος, καὶ ὁμοίωμα φαντασίας.

τροπίας οἶνος ὁ τετραμμένος καὶ ἐξεστηκώς· Ἀριστοφάνης Δαιταλεῦσι "ταχύ νυν πέτου, καὶ μὴ τροπίαν οἶνον φέρε."

τρόπις τῆς νηός.

τρόπον ἦθος· καὶ Πισίδης ⟨Exp. Pers. 3 17⟩ "ὁ βάρβαρος δὲ τῷ λόγῳ καὶ τῷ τρόπῳ," ἀντὶ τοῦ τῷ ἤθει.

τρόπον τινά ἀντὶ τοῦ καλῶς ἄν.

τρόπος δὲ ἐπὶ τῶν συλλογισμῶν οἱονεὶ σχῆμα τοῦ λόγου, οἷον ὁ τοιοῦτος· εἰ τὸ πρῶτον, τὸ β'· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα β'. παρεισήχθη δὲ ὁ λογότροπος ὑπὲρ τοῦ ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν πρόσληψιν μακρὰν οὖσαν καὶ τὴν ἐπιφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν "τὸ δὲ πρῶτον, τὸ ἄρα δεύτερον" ⟨Diog. L. 7 76⟩.

τροποῦμαι αἰτιατικῇ.

τροποφορεῖν.

τροπώσομαι ⟨Ps. 88 24⟩ νικήσω, ὑποτάξω.

τροφαλίς τυρός· ⟨A Vesp. 869⟩ "ἁρπάσας ὁ κύων τροφαλίδα τυροῦ Σικελικὴν κατεδήδοκε."

τροφεῖα τὰ ὀφειλόμενα τοῖς τροφεῦσι.

τροφή. Ἀριστοτέλης. ὅτι διαπεφώνηται ὁ περὶ τῆς τροφῆς λόγος. οἱ μὲν γὰρ φασιν ὅτι ὁμοία ἐστὶν ἡ τροφὴ τῷ τρεφομένῳ· τρέφεσθαι γὰρ τὸ ὅμοιον τῷ ὁμοίῳ. εἰ γὰρ προστεθεῖσα ἡ τροφὴ τῷ τρεφομένῳ αὔξει αὐτό, αὐξητικὸν δὲ τοῦ ὁμοίου τὸ ὅμοιον, οὐ τὸ ἐναντίον (τοῦτο γὰρ καὶ φθαρτικὸν τοῦ ἐναντίου), οὐκ ἄρα ὑπὸ τοῦ ἐναντίου τρέφεται τὸ τρεφόμενον, ἀλλ' ὑπὸ τοῦ ὁμοίου. οἱ δὲ φασιν ὅτι τῷ ἐναντίῳ τρέφεται τὸ τρεφόμενον. εἰ γὰρ πάσχει ἡ τροφὴ ὑπὸ τοῦ τρεφομένου καὶ μεταβάλλει εἰς αὐτό, οὐ πάσχει δὲ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀλλ' ὑπὸ τοῦ ἐναντίου τὸ ἐναντίον πάσχει, καὶ μεταβάλλει τὸ ἐναντίον εἰς τὸ ἐναντίον, ἐναντίον ἄρα ἡ τροφὴ τῷ τρεφομένῳ. οὗτοι μὲν οἱ λόγοι δοκοῦσιν εἶναι ἐναντίοι, ἀλλ' οὐκ εἰσίν. ἡ γὰρ τροφὴ δυνάμει μέν ἐστιν ὁμοία τῷ τρεφομένῳ, ἐνεργείᾳ δὲ ἐναντία. ὁ γὰρ ἄρτος καὶ τὰ ὄψα ἀκατέργαστα μὲν ὄντα καὶ ἄπεπτα ἐναντία πώς ἐστι τῷ τρεφομένῳ, ὅταν δὲ μεταβληθῇ καὶ ἀλλοιωθῇ, τότε ὁμοία γίνεται. μεταβάλλει δὲ οὐ τὸ ὅμοιον εἰς τὸ ὅμοιον, οὐδὲ τὸ τυχὸν εἰς τὸ τυχόν, ἀλλὰ τὸ ἐναντίον εἰς τὸ ἐναντίον· οὐ γὰρ τὸ ἴσον εἰς θερμὸν μεταβάλλει, ἀλλὰ τὸ ψυχρὸν εἰς θερμόν. κἂν οὖν τὸ φαιὸν εἰς λευκὸν μεταβάλλῃ, οὐχ ᾗ μετέχει λευκοῦ ἀλλ' ᾗ μετέχει μέλανος μεταβάλλει. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. διττῆς οὖν οὔσης τῆς τροφῆς, τῆς μὲν ἀπέπτου τῆς δὲ πεπεμμένης, ἡ μὲν ἄπεπτος ἐναντία ἐστὶ τῷ πεπεμμένῳ, ἡ δὲ πεπεμμένη καὶ μεταβάλλουσα ἤδη ὁμοία. Philopon. in 2 de anima, I 1 a. b.

τροφή ἀντὶ τοῦ ἀγωγὴ καὶ παιδεία. καὶ τραφέν ἀντὶ τοῦ ἀχθέν, παιδευθέν. ἔστι δὲ καὶ ὁμοίως ἡμῖν. Πλάτων Πολιτείας ⟨4 p. 436 A⟩ "ἐπιθυμοῦμεν δ' αὖ τρίτῳ τινὶ τῶν περὶ τὴν τροφὴν καὶ γέννησιν·" τροφὴν μὲν γὰρ βρῶμα καὶ πόμα λέγει, γέννησιν δὲ τὰ ἀφροδίσια. ἐν δὲ τρίτῳ Πολιτείας ⟨p. 391 C⟩ "καὶ ὑπὸ τῷ σοφωτάτῳ Χείρωνι τεθραμμένος" ἀντὶ τοῦ πεπαιδευμένος, ἵνα μὴ ἐναντιῶται Ὁμήρῳ ⟨Λ 832⟩ τῷ παιδεῦσθαι λέγοντι τὸν Ἀχιλλέα παρὰ Χείρωνι, οὐχὶ τεθράφθαι.

τρόφι κῦμα ⟨Hom. Δ 307⟩ τεθραμμένον κῦμα.

τρόφιμος.

Τροφώνιος.

Τροφωνίου κατὰ γῆς παίγνια Græc.

ır. 39 p. 626 B⟩. ἐν Λεβαδείᾳ χρηστή-
ῄν, ὃ καταβάσιον ἐκάλει. στόμιον γὰρ
, ὡς τὰ ἄκρα δύνασθαι μόνα τῶν πο-
ωρῆσαι. οἱ οὖν τῷ θεῷ χρώμενοι, ἁγ-
ντες πρῶτον ὡρισμέναις ἡμέραις καὶ
ἰσαντες ἑαυτὸς ἱερῷ τινὶ σχήματι, ἀμ-
αις ταῖς χερσὶ μελιτούττας λαβόντες,
ι μάζας μέλιτι δεδευμένας, οὕτως ἐκά-
ἐπὶ τὸ στόμιον, καὶ αἰφνίδιον ἡρπά-
καὶ κατέδυνον ὑπὸ τῆς γῆς. τὰς δὲ
; ἐλάμβανον ὑπὲρ τοῦ μὴ ἀδικηθῆναι
ῶν συναντώντων ὄφεων, ἀλλ' ἐκείνας
ς παραβάλλειν τροφήν. πολλοὶ μὲν οὖν
ὐθημερὸν ἀνεπέμφθησαν δι' οὗ στο-
ατῆλθον, πολλοὶ δὲ καὶ διὰ πλειόνων
ῦν. ἦν δὲ ὁ Τροφώνιος Ἐργίνε παῖς,
ρὸς Ἀγαμήδες· ὅπε ὄφις ἦν ὁ μαντευ-
ς, ᾧ οἱ κατοικοῦντες πλακοῦντας ἔβαλ-
sch. A Nub. 508. cf. v. εἰς Τροφωνίε.

ροχάζειν διατρέχειν· Πολύβιος ⟨10 20⟩
μὲν πρώτην ἡμέραν ἐκέλευε τροχάζειν
' σταδίες ἐν τοῖς ὅπλοις."

ροχαῖον· "οἱ δὲ σαλπιγκταὶ οἱ σὺν
ς ὄντες τροχαῖόν τι συμβοήσαντες δό-
οῖς ἐναντίοις ὡς παρὰ τοῦ στρατηγοῦ
μένοι παρέσχον."

ροχηλατεῖν ἐλαύνειν.

ροχιάς πορείας, τρίβες, ἐργασίας.

ροχιλέας. Σωκράτης πρὸς Ἀλκιβιά-
εἰπόντα ὡς οὐκ ἀνεκτὴ ἡ Ξανθίππη
ροῦσα "ἀλλ' ἔγωγε" ἔφη "συνείθισμαι
ιπερεὶ καὶ τροχιλέας ἀκούων συνεχές."
. L. 2 36.

Γροχίλος ὄνομα τοῦ ὑπηρέτε ἔποπος,
ὶ τὸ τρέχω· ἔστι δὲ καὶ ὄρνεον τροχί-
καὶ λέγεται εἶναι δριμύ. ἀξιοῦσι δὲ τι-
ὴν μέσην ὀξύνειν ⟨sch. A Av. 79⟩.

ροχισθεῖσα βασανισθεῖσα, ἀπὸ τοῦ
οῦ, ὅπερ ἐστὶν ὄργανον βασανιστικόν,
εῖνον τὰ σώματα. καὶ Ἀριστοφάνης
. 451⟩ "ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστι-
μενος." οὕτω γὰρ οἱ δοῦλοι ἐπὶ τροχοῦ
ούμενοι ἐτύπτοντο. καὶ αὖθις ⟨876⟩ "ἐπὶ
τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον
ὶν ἃ πεπανούργηκας." καὶ ἐν ἐπιγράμ-
ι ⟨AP 5 181⟩ "οὐ τροχιεῖ τις τὸν Λαπί-
λῃστήν."

τροχός. ξύλινόν τι ἦν ὁ τροχός, ἐν ᾧ
ούμενοι οἱ οἰκέται ἐκολάζοντο. Ἀριστο-
ης ⟨Pac. 449⟩ "εἴ τις στρατηγεῖν βουλό-
μενος μὴ ξυλλάβῃ, ἢ δοῦλος αὐτομολεῖν πα-
ρεσκευασμένος, ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο
μαστιγούμενος."

τροχός· Δαβίδ ⟨Ps. 76 19⟩ "φωνὴ τῆς b
βροντῆς σε ἐν τῷ τροχῷ," περὶ τῆς ἐρυ-
θρᾶς θαλάσσης. φησὶ γὰρ ἡ ἱστορία ὅτι
νότε πνεύσαντος διῃρέθη τὸ πέλαγος· τοῦ
δὲ ἀέρος συστρεφομένε καὶ τῶν νεφῶν συ-
νισταμένων ὁ ἄνεμος τίκτεται. αἱ δὲ τιμω-
ρίαι σε, φησί, δίκην βελῶν κατὰ τῶν πολε-
μίων ἐχώρεν· τῷ δὲ κτύπῳ τῆς βροντῆς
τοὺς τῶν Αἰγυπτίων τροχοὺς συνεπόδισας.

ὅτε δὲ λέγει ⟨Ps. 82 14⟩ "ὁ θεός με, θοῦ
αὐτοὺς ὡς τροχόν," ἀντὶ τοῦ ἐν παντοδα-
παῖς συμφοραῖς κέλευσον αὐτοὺς στρέφε-
σθαι, καὶ κακοῖς ἐπαλλήλοις περίβαλε.

τρύβλιον ὀξυβάφιον, πινάκιον, ποτή-
ριον, ὀρθομίλιον. τοῦτο μεῖζον τοῦ ὀξυβά-
φε ἐστί. καὶ ἡ κωμῳδία ⟨A Ran. 1016⟩ "τὸ
τρύβλιον τὸ περυσινὸν τέθνηκέ μοι," ἀντὶ
τοῦ κέκλασται.

Τρυγαῖος Ἀθμονεύς, ἀμπελεργὸς δε-
ξιός, οὐ συκοφάντης, οὐδ' ἐραστὴς πραγμά-
των" ⟨A Pac. 190⟩, ἐπὶ τῶν ἀπραγμόνων, παρ'
ὅσον οἱ γεωργοί, μάλιστα οἱ δεξιοί, ἀπραγ-
μοσύνην ἀσπάζονται. καὶ Τρυγαῖος μὲν πα-
ρὰ τὸ τρυγᾶν, ἁρμόζει γὰρ γεωργοῖς, Ἀθμο-
νεὺς δὲ ἀπὸ δήμε Ἀττικοῦ.

τρύγητος ὁ καιρὸς ἐν ᾧ δεῖ τρυγᾶν,
καὶ ἄμητος ὁ καιρὸς ἐν ᾧ δεῖ ἀμᾶν καὶ θε-
ρίζειν, προπαροξυτόνως. τρυγητός δὲ ὁ
τρυγώμενος βότρυς, καὶ ἀμητὸς ὁ θεριζό-
μενος, οἷον ἀμητὸς στάχυς, ὀξυτόνως. καὶ
ἔμετος· καὶ ἐμετός αὐτὸ τὸ πρᾶγμα. cf. v.
ἔμετος.

τρυγίας ἐπὶ θεοῦ ἡ χαλεπωτέρα τιμω-
ρία ⟨Ps. 74 9⟩· "πίονται πάντες οἱ ἁμαρτω-
λοί."

τρυγοδαίμονες, ὥσπερ τὸ κακοδαί-
μονες, ἐπεὶ πολλῇ τῇ αἰσχροποιίᾳ ἐχρῶντο,
παρ' ὅσον ἀφέμενοι τὸ σέβεσθαι τὸ θεῖον
περὶ τὸ σκώπτειν ἐτρέποντο ⟨sch. A Nub. 296⟩.

τρύγοιπος ὁ ὑλιστὴρ ὁ σάκκινος· Ἀρι-
στοφάνης Πλούτῳ ⟨1088⟩ "ἀλλ' ἔστι τρὺξ
παλαιὰ καὶ σαπρά. οὐκοῦν τρύγοιπος ταῦτα
πάντ' ἰάσεται." προπαροξυτόνως. καὶ τρυ-
γοιπῶ ῥῆμα.

τρυγόνος εἶδος περιστερᾶς. καὶ παροι-
μία τρυγόνα ψάλλειν, ἐπὶ τῶν φαύλως
πραττόντων. ἴσως παρὰ τὸ τρύζειν· ⟨Hom.

Ι 311⟩ "ὡς μή μοι τρύζητε." καὶ ἑτέρα παροιμία "τρυγόνος λαλίστερος," ἐπειδὴ αἱ τρυγόνες οὐ μόνον τῷ στόματι ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέλεσι λαλοῦσι. cf. v. πονηρὰ κατὰ τρυγόνα.

τρυγονῶσα ἡσύχως κνῶσα· Ἀριστοφάνης ⟨Eccl. 34⟩ "τρυγονῶσα τὴν θύραν."

τρυγός τῆς τοῦ οἴνȣ ὑποστάθμης· Ἀριστοφάνης ⟨Nub. 50⟩ "ὄζων τρυγός." καὶ αὖθις "ἔοικας ὦ πρεσβῦτα νεοπλύτῳ τρυγί" Ἀριστοφάνης φησί ⟨Vesp. 1300⟩.

τρυγὸς γλυκείας ⟨A Pac. 575⟩, τȣτέςι τȣ̃ νέȣ οἴνȣ· τρύγα γὰρ καὶ τὸν νέον οἶνον ἐκάλȣν καὶ τὴν ὑποστάθμην.

τρυγῳδία κωμῳδία, ἤτοι διὰ τὸ τρύγα ἔπαθλον λαμβάνειν, τȣτέςι νέον οἶνον, ἢ διὰ τὸ μὴ ὄντων προσωπείων τὴν ἀρχὴν τρυγὶ χρίεσθαι τὰς ὄψεις ⟨sch. A Ach. 498⟩.

τρύζει ψιθυρίζει, γογγύζει, ἀσήμως λαλεῖ. παρ' ὃ καὶ ἡ τρυγών, ἐπεὶ ἀσήμως φθέγγεται καὶ γογγυστικῶς.

τρύμη ὁ τετρημένος σφόδρα καὶ πεπερονημένος ἐν τοῖς πράγμασιν· ὃν ἡμεῖς τρυπᾶν φαμέν. θέλει δὲ εἰπεῖν, εὐτόνως ὡς τρύπανον ⟨sch. A Nub. 447⟩.

τρύπανα ἐργαλεῖα τεκτονικά· ⟨AP 6 205⟩ "τρύπανά τ' εὐδίνητα καὶ ὠκήεντα τέρετρα."

τρυσιβίȣ γαςρός καταπονούσης τὸν βίον. Ἀριστοφάνης Νεφέλαις ⟨420⟩.

τρυσμός γογγυσμός.

τρυτάνη ὁ ζυγός. ταύτην οἱ Δωριεῖς σταχάνην καλοῦσιν, ἔνθεν καὶ παροιμία "δικαιότερος σταχάνης." q. v.

τρυτοδόκη ἡ θήκη τῆς τρυτάνης· ἐν ἐπιγράμματι ⟨AP 6 254⟩ "καὶ τὴν τρυτοδόκην κοιτίδα παμβακίδων," τὸν ζυγὸν τῆς παμβακίδος.

Τρύφαινα ὄνομα κύριον.

τρυφάλεια περικεφαλαία.

τρυφή ἡ σπατάλη.

τρυφηλός καὶ τρυφητής ὁ ἄπληστα τρώγων.

a Τρυφιόδωρος Αἰγύπτιος γραμματικὸς καὶ ποιητὴς ἐπῶν ἔγραψε Μαραθωνιακά, Ἰλίȣ ἅλωσιν, τὰ καθ' Ἱπποδάμειαν, Ὀδύσσειαν λιπογράμματον (ἔστι δὲ ποίημα τῶν Ὀδυσσέως καμάτων καὶ ὅσα μυθολογȣ̃σι περὶ αὐτȣ̃) καὶ ἄλλα.

b Τρυφιόδωρος διάφορα ἔγραψε δι' ἐπῶν, παράφρασιν τῶν Ὁμήρȣ παραβολῶν καὶ ἄλλα πλεῖστα.

τρύφος ἄρτȣ κλάσμα ἄρτȣ.

τρυφῶ αἰτιατικῇ.

Τρύφων Ἀμμωνίȣ Ἀλεξανδρεὺς γραμματικὸς καὶ ποιητής, γεγονὼς κατὰ τȣ̀ς Αὐγούςȣ χρόνȣς καὶ πρότερον, περὶ πλεονασμοῦ τȣ̃ ἐν τῇ Αἰολίδι διαλέκτῳ βιβλία ζ, περὶ τῶν παρ' Ὁμήρῳ διαλέκτων καὶ Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ Ἀλκμᾶνι καὶ τοῖς ἄλλοις λυρικοῖς, περὶ τῆς Ἑλλήνων διαλέκτȣ καὶ Ἀργείων καὶ Ἱμεραίων καὶ Ῥηγίνων καὶ Δωριέων καὶ Συρακȣσίων, περὶ τῆς ἐν κλίσει ἀναλογίας ά, περὶ τῆς ἐν εὐθείᾳ ἀναλογίας, περὶ ὀνομάτων συγκριτικῶν ά, περὶ τῆς ἐν μονοσυλλάβοις ἀναλογίας, περὶ ὀνομάτων χαρακτήρων ά, περὶ ῥημάτων ἀναλογίας βαρυτόνων ά, περὶ ῥημάτων ἐγκλιτικῶν καὶ ἀπαρεμφάτων καὶ προστακτικῶν καὶ εὐκτικῶν καὶ ἁπλῶς πάντων, περὶ ὀρθογραφίας καὶ τῶν ἐν αὐτῇ ζητȣμένων, περὶ πνευμάτων καὶ τρόπων καὶ ἄλλα.

τρύχεται κακοπαθεῖ, καταπονεῖται, ταλαιπωρεῖται, ἐκνενεύρισαι. καὶ ἐκτετρυχωμένος· "ὁ δὲ ὑπὸ τῆς ἀπορίας ἐκτετρυχωμένος ἦν."

τρύχη τὰ ῥάκη τραγικῶς· ⟨Dionys. Hal. 8 45⟩ "προσῆλθεν ἡ μήτηρ πένθιμα ἠμφιεσμένη τρύχη καὶ τὰς ὁράσεις ἐκτετηκυῖα ὑπὸ τῶν δακρύων."

τρυχηρά ῥακώδη.

τρύχνον τὴν πόαν. θηλυκῶς λέγȣσι τὴν τρύχνον, ȣ̓ τὸν τρύχνον· σὺν τῷ σ δὲ στρύχνον ȣ̓δαμȣ̃ εὗρον. καὶ παρὰ τὴν παροιμίαν τὴν "ἁπαλώτερος τρύχνȣ" παρῳδῶν ὁ κωμικός φησιν "ἤδη εἰμὶ μουσικώτερος τρύχνου."

τρυχόμενος. τετρυχωμένος δέ.

τρύχουσιν ⟨Hom. α 248⟩ ἐλαττȣ̃σι.

τρυχωθείς πιεσθείς, ἢ φανερωθείς. ὅτι τρυχῶ τρίτης συζυγίας ἐστὶ τῶν περισπωμένων. καὶ βαρύτονον τρύχω τρύχεις.

Τρῳαί αἱ Τρωικαί.

τρωγαλίων τῶν τραγημάτων· οὕτω γὰρ τὰ τραγήματα ἐκάλȣν οἱ παλαιοί ⟨sch. A Pac. 767⟩.

τρώγλη ἡ ὀπή· καὶ τρωγλήτης. καὶ Τρωγλοδύται ἔθνος. ⟨Babr. 31 17⟩ "ἀλλ' οἱ μὲν οὖν σωθέντες ἦσαν ἐν τρώγλαις."

τρώγω ἐσθίω.

Τρωικός ἀπὸ Τροίας. καὶ Τρώιος.

ιός.

ρωΐλος σοφιστής, παιδεύσας ἐν Κων-
ἰνε πόλει, λόγες πολιτικούς, ἐπιστο-
ιβλία ζ'.

ωκτά τὰ κατακτὰ τῶν ὀπωρῶν, οἷον
καὶ βάλανοι.

ώκτης ⟨Hom. ξ 289⟩ ὁ ἐκ παντὸς κερ-
ν, οἷον ἀποτρώγων.

ώξονται φάγωσιν· Ἀριςοφάνης ⟨Ach.
"ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων.
ρώξονται."

ύανα μητρόπολις.

γα παρὰ Ῥωμαίοις συγκλητικὴ ἐσθής.

γχανόντων ἀντὶ τε τυγχανέτωσαν,
ῦς· οἱ γὰρ Ἀττικοὶ ἀπὸ ὁριστικῶν τῶν
όντων τὸ μ κλιτικόν, τὸ γ' πρόσωπον
ιν ὁμόφωνον τῇ γενικῇ τῶν πληθυντι-
ῶν ἰδίων μετοχῶν, οἷον τύπτετε τυπ-
ν ἀντὶ τε τυπτέτωσαν, μέλετε μελόντων
τε μελέτωσαν. καὶ ἐπὶ τῶν ἐχόντων τὸ
τικὸν τὸ γ' πρόσωπον τῶν πληθυντι-
ὁμοφώνως ποιεσι τῷ γ' τῶν δυϊκῶν·
σθε τυπτέσθων ἀντὶ τοῦ τυπτέσθω-

ύγωνος.

ἰκος ἐργαλεῖόν τι, ᾧ τὰς λίθες περι-
σι καὶ ξέεσιν. ἔνθεν καὶ τὸ ἐτύκιζον
τε ἔξεον, ἔκοπτον· Ἀριστοφάνης Ὄρνι-
138⟩ "τέτες δ' ἐτύκιζον αἱ κρέκες τοῖς
σι."

κτόν ⟨Hom. E 831⟩ χειροποίητον.

λα καὶ τύλος, ἀρσενικῶς, τε ὤμε
τυλωμένον καὶ πεπιλημένον τῆς σαρ-
ὁποῖον πολλάκις ἐπὶ τε ὤμε γίνεται
ἀχθοφόροις ἐκ τε βαστάζειν τι συνε-
Ἀριστοφάνης Ἀχαρνεῦσιν ⟨860⟩ "ἴσω
ρακλῆς, ἔκαμον τὰν τύλαν κακῶς." καὶ
κλείδης "τραχήλε τύλαν" εἶπε. Πολύ-
"τῆς πέτρας αὐτοῖς δυσχρηστίαν πα-
ης διὰ τὸ δεῖν τρῆμα ποιεῖν ἐν αὐτῇ
τύλοις, κρατεσι τὴν σύριγγα τὴν προσ-
ένην."

ύλη ἡ στρωμνή, οἷον ⟨Artemid. 5 8⟩ "ἔδο-
ς ἐν τῇ τύλῃ πυρὲς ἔχειν ἀντὶ γναφάλ-
καὶ παιδάριον ἐγέννησεν ἄρρεν."

ύλις ὄνομα πόλεως.

ύλος ἡ νῆσος.

ύλος νενεκρωμένη σάρξ, ἀποσκίρωμα
γονάτων ⟨sch. A Ach. 552⟩.

υλεται τραυματίζεται, παχύνεται. "οἱ
δὲ πλεῖστοι τῶν Πάρθων κορύνας εἶχον σι-
δηρᾶς ἢ σιδήρῳ τετυλωμένας."

τύλωμα.

τυμβεία. καὶ τυμβίτης ὁ μνηματί-
της· ⟨AP 7 198⟩ "εἰ καὶ μικρὸς ἰδεῖν λᾶας ὁ
τυμβίτης ἄμμιν ἐπικρέμαται."

τυμβογέροντες πέμπτη ἡλικία γερόν-
των, ὡς καὶ Θεόφραστος· παραπλῆγες καὶ
τῇ διανοίᾳ παρηλλαγμένοι.

τυμβογέρων ὁ πέμπελος· Προκόπιος
⟨Arc. 6⟩ "ὁ δὲ Ἰουστῖνος ὁ βασιλεὺς τυμ-
βογέρων ἦν ἤδη." ἢ τυμβογέρων ὁ ἐσχατό-
γηρως.

τύμβος τάφος, παρὰ τὸ τύφεσθαι, ὃ
ἐστι καίεσθαι, τὰ σώματα τῶν τεθνεώτων·
⟨A Vesp. 1361⟩ "ταῦτα ληρεῖς ὥσπερ ἀπὸ
τύμβε πεσών."

τυμβοχοεῖ θάπτει.

τυμμαῖς πληγαῖς· "καὶ εἴ πε τις εὑρε-
θείη τῷ ὁπωσεν ὅρκῳ κεχρημένος, τυμμαῖς
ε ταῖς τυχέσαις ἐβάλλετο."

τύμπανα· "οἱ Ἰνδοὶ ἀντὶ τῆς σάλπιγ- a
γος ταῖς μάστιξιν ἀπεκτύπεν εἰς τὸν ἀέρα,
εἶχον δὲ καὶ τύμπανα φρικώδη τινὰ βόμβον
ἐξ ἑαυτῶν ἀνιέντα. ἦν δὲ ἡ κατασκευὴ τοιά-
δε. φιτρὸν ἐλάτης κοιλάναντες ἐνήρμοζον εἰς
αὐτὸν κώδωνας ὀρειχάλκε, τὸ δὲ στόμα τε
ἄγγες ταυρείῳ δέρματι περιχυτώσαντες με-
τέωρον ἔφερον ἐς τὰς μάχας τετο τὸ τύμ-
πανον. ἐπὰν δὲ θόρυβον πολὺν ἐργάσασθαι
ἤθελον ἢ σημᾶναί τι, καταστρέψαντες ἐπὶ
τὸ στόμα τὸ ξύλινον ἄγγος ἐτίνασσον, οἱ δὲ
ἐν αὐτῷ κώδωνες πολλοί τε ἅμα ὄντες καὶ
μεγάλοι ἔν τε στεγανῷ ἠχεντες ἀσαφῆ τινὰ
βόμβον ἀνέπεμπον ἔνδοθεν, ὅνπερ ε ῥᾴδιον
ἦν τοῖς εκ εἰδόσιν ἐπιγνῶναι τίνος ἦν ὀρ-
γάνε ἢ θηρίε· βρυχήματι γὰρ ἐῴκει." cf.
v. σάλπιγξ b.

τύμπανα βάκλα, παρὰ τὸ τύπτειν. ξύ- b
λα ἐν οἷς ἐτυμπάνιζον· ἐχρῶντο γὰρ ταύτῃ
τῇ τιμωρίᾳ. sch. A Plut. 476.

τυμπανίζεται ξύλῳ πλήσσεται, ἐκδέ-
ρεται καὶ κρέμαται.

τύμπανον ἐκ δερμάτων ἐστὶ γινόμενον
καὶ χρεον, ὃ κατεῖχον αἱ Βάκχαι· ἐν ἐπι-
γράμματι ⟨AP 6 94⟩ "ἀραξάχειρα ταῦτά σοι
τὰ τύμπανα, λεοντόδιφρε, σοί, Ῥείη, θῆκε."

τύμπανος ἀρσενικῶς· ⟨AP 6 220⟩ "καὶ
τινος αὔρη δαίμονος ἐς τὸν ἑὸν τύμπανον
ἦκε χέρας."

Τυμφαῖς πόλις. καὶ βοῦς Ἀρτέμιδος.

Τυνδαρίδης ὁ τοῦ Τυνδάρεω.

τύνη σύ, δωρικῶς.

τυννουτονί δεικτικῶς ἀντὶ τοῦ μικρόν· Ἀριστοφάνης ⟨Nub. 876⟩ "παιδάριον ὂν τυννουτονὶ ἔπλαττεν ἔνδον οἰκίας." καὶ "τυννουτωὶ συνάγων τοὺς δακτύλους" φησὶν ἀντὶ τοῦ μικρῷ. ⟨A Ran. 139⟩ "ἐν πλοιαρίῳ τυννουτωί σ' ἀνὴρ γέρων ναύτης διάξει," περὶ τοῦ Χάροντος λέγων τοῦ περάματος τοῦ πλοίου.

τυννουτονί μικροῦ. συναγαγὼν δὲ τοὺς δακτύλους τοῦτό φησιν. Ἀριστοφάνης Νεφέλαις ⟨391⟩ "σκέψαι τοίνυν ἀπὸ γαστριδίου τυννουτουὶ οἷα πέπορδας."

τυντλάζειν αὐτὸ καὶ αὐτὸ λέγειν· Ἀριστοφάνης ⟨Pac. 1139⟩ "οὐ γὰρ οἷόν τ' ἐστὶ πάντως οἰναρίζειν τήμερον, οὐδὲ τυντλάζειν, ἐπειδὴ παρδακὸν τὸ χωρίον." cf. v. τευτάζειν.

τυντλώδους κηλώδους.

τυπαῖς πληγαῖς. "ἔχοντας τύμπανα καὶ τύπους," τουτέστι πληγάς.

τυπείς πληγείς, τρωθείς. καὶ τυπεῖσι τρωθεῖσι.

τύπη· ⟨Polyb. 1 48⟩ "ὥστε συνέβαινεν ὑπὸ τοῦ πυρὸς τὰς βάσεις τῶν πύργων καὶ τὰ τύπη ⟨immo στύπη⟩ τῶν κριῶν ἀχρειωθῆναι."

τυπῇσι ⟨Hom. *E* 887⟩ τρώσεσι.

τύπος χαρακτήρ· ⟨Synes. ep. 101 p. 240⟩ "πρόσειπε τούτῳ πολλὰ παρ' ἐμοῦ, ὃν εἰ προλαβὼν Ἀριστείδην Ἑρμοῦ λογίου τύπον εἰς ἀνθρώπους ἔφην ἐληλυθέναι, μόλις ἔτυχον τῆς ἀξίας, ὅτι πλέον ἐστὶν ἢ τύπος." καὶ Ἀππιανός ⟨Hannib. 50⟩ "ὁ δὲ Ἀννίβας Μαρκέλλου τοῦ ὑπάτου ἀποθανόντος, τῷ σώματι αὐτοῦ ἐπιστάς, ὡς εἶδε τὰ τραύματα πάντα ἐπὶ τῶν στέρνων, ἐπῄνεσε μὲν ὡς στρατιώτην, ἐπέσκωψε δὲ ὡς στρατηγόν. καὶ τὸν δακτύλιον αὐτοῦ περιελὼν ἐτύπωσεν ἐπιστολὴν τῇ σφραγῖδι Μαρκέλλου πρὶν αἰσθέσθαι πολλοὺς περὶ τοῦ θανάτου, καὶ αὐτόμολον ἄνδρα Ῥωμαίων ἔπεμψε φέρειν, δηλοῦντα ὅτι στρατιὰ Μαρκέλλου κατόπιν ἔρχοιτο καὶ ὁ Μάρκελλος αὐτὴν ὑποδέξασθαι κελεύοι."

τυπτήσεις ⟨A Plut. 20⟩ τύψεις.

τυπῶ αἰτιατικῇ.

τύπωμα χαλκόπλευρον τὸ ἄγγος, τὴν ὑδρίαν, ἐν ᾗ δῆθεν τὰ δοκοῦντα εἶναι ὀστέα Ὀρέστου ἀπέκειτο. "τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν." sch. S El. 54.

τυραννεῖον κυρίως ἡ ἀκρόπολις, τυραννία δὲ ἡ τυραννίς. καὶ τυραννιῶ ἐπιθυμῶ τυραννῆσαι.

Τυραννίων Ἐπικρατίδου καὶ Λινδίας, Ἀλεξανδρίνης, Ἀμισηνός· ἐχρημάτιζε δὲ Κορύμβου, γεγονὼς ἐπὶ Πομπηίου τοῦ μεγάλου καὶ πρότερον, μαθητὴς ἄλλων τε καὶ Ἑστιαίου τοῦ Ἀμισηνοῦ, ὑφ' οὗ καὶ Τυραννίων ἐπωνομάσθη ὡς κατατρέχων τῶν ὁμοσχόλων, πρότερον καλούμενος Θεόφραστος. εἶτα διήκουσε καὶ Διονυσίου τοῦ Θρᾳκὸς ἐν Ῥόδῳ. ἀντεσοφίστευσε δὲ Δημητρίῳ τῷ Ἐρυθραίῳ. ἤχθη δὲ εἰς Ῥώμην ληφθεὶς αἰχμάλωτος ὑπὸ Λευκούλλου, ὅτε κατεπολέμησε Μιθριδάτην τὸν Πόντου βασιλεύσαντα. διαπρεπὴς δὲ γενόμενος ἐν Ῥώμῃ καὶ πλούσιος ἐκτήσατο καὶ βιβλίων ὑπὲρ τὰς τρεῖς μυριάδας. ἐτελεύτησε δὲ γηραιός, ὑπὸ ποδάγρας παραλυθείς, ὀλυμπιάδι ρκ', ἐν τῷ γ' ἔτει τῆς ὀλυμπιάδος.

Τυραννίων ὁ νεώτερος, Φοῖνιξ, πατρὸς Ἀρτεμιδώρου, μαθητὴς Τυραννίωνος τοῦ πρεσβυτέρου· διὸ καὶ ὠνομάσθη Τυραννίων, πρότερον καλούμενος Διοκλῆς. αἰχμάλωτος δὲ γενόμενος καὶ αὐτὸς ἐπὶ τοῦ πολέμου Ἀντωνίου καὶ Καίσαρος ὑπό τινος Δυμαντος ὠνήθη, τοῦ Καίσαρος ὄντος ἀπελευθέρου, εἶτα ἐδωρήθη Τερεντίᾳ τῇ τοῦ Κικέρωνος γυναικί. ἐλευθερωθεὶς δὲ ὑπ' αὐτῆς ἐσοφίστευσεν ἐν Ῥώμῃ, καὶ ἔγραψε βιβλία η' πρὸς τοῖς ξ', ὧν καὶ ταῦτα, περὶ τῆς Ὁμηρικῆς προσῳδίας, περὶ τῶν μερῶν τοῦ λόγου (ἐν ᾧ λέγει ἄτομα μὲν εἶναι τὰ κύρια ὀνόματα, θεματικὰ δὲ τὰ προσηγορικά, ῥήματα δὲ τὰ μετοχικά), περὶ τῆς Ῥωμαϊκῆς διαλέκτου ὅτι ἔστιν ἐκ τῆς Ἑλληνικῆς, περὶ Ἀντιγένους ἡ Ῥωμαϊκὴ διάλεκτος, ὅτι διαφωνοῦσιν οἱ νεώτεροι ποιηταὶ πρὸς Ὅμηρον, ἐξήγησιν τοῦ Τυραννίωνος μερισμοῦ, διόρθωσιν Ὁμηρικήν, ὀρθογραφίαν.

Τυραννίων Μεσσήνιος φιλόσοφος οἰωνοσκοπικὰ ἐν βιβλίοις γ'. καὶ ἄλλα δὲ βιβλία αὐτοῦ φέρεται χρήσιμα.

τύραννος. οἱ πρὸ τῶν Τρωικῶν ποιηταὶ τοὺς τυράννους βασιλεῖς προσηγόρευον. ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον βασιλέα φησὶ καὶ οὐ τύραννον. προσηγορεύθη δὲ τύραννος ἀπὸ Τυρρηνῶν· χαλεποὺς γὰρ περὶ λῃστείας τούτους γενέσθαι.

; δὲ ὐδὲ ἄλλος τῶν ποιητῶν ἐν τοῖς
μασιν αὐτῦ μέμνηται τὸ τῦ τυράννου
α. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολι-
τὰς τυράννυς φησὶ τὸ πρότερον αἰσυ-
ας καλεῖσθαι· εὐφημότερον γὰρ ἐκεῖνο
νομα. sch. S OR argum.

Τύραννος σοφιςὴς περὶ στάσεων, περὶ
έσεως λόγυ βιβλία ι'.

υρβάζῃ (ev. Luc. 10 41) ἑτοιμάζῃ.

ύρβη ἀπόλαυσις, ἢ θόρυβος, ἢ τάρα-
"Γέργηθες καλῦνται παρὰ Μιλησίοις ἤ
ὴη καὶ οἱ χειρώνακτες," τυτέστιν οἱ διὰ
ῶν ἐργαζόμενοι. cf. vv. Γέργηθες et χει-
ιξ.

υρευθέντα κινηθέντα, ταραχθέντα.

υρεύων κατασκευάζων, καὶ τυρεύ-
τες ἀντὶ τῦ κατασκευάσαντες.

Τυρμίδαι. δῆμος τῆς Οἰνηίδος οἱ Τυρ-
α. Harp.

τυρόκνηστις ἡ μάχαιρα. καὶ παροιμία
ys. 231) "ὐ στήσομαι λέαιν' ἐπὶ τυροκνή-
ος," ἀντὶ τῦ ὡς λέαινα. σχῆμα δέ ἐστιν
λαστον καὶ ἑταιρικόν. τυρόκνηστις δὲ ἡ
αιρα, ἐπὶ δὲ ταῖς λαβαῖς τῶν μαχαιρῶν
άντινοι λέοντες ἐγλύφοντο ὀκλάζοντες,
ς μὴ ἀποθραύοιντο αὐτῶν οἱ πόδες, εἰ
οἱ ἑστῶτες γλύφοιντο. λέγει ὖν ὅτι ὐκ
ἀνδρὶ στήσομαι πορνεύυσα ὡς λέαινα
τυροκνήστιδος.

τυροπωλήσω (A Ran. 1416) σταθμήσω·
ς γὰρ σταθμὸν ἐπωλεῖτο ὁ τυρός.

Τύρος πόλις, καὶ Τύριοι οἱ πολῖται.

τυροφόρον· ἐν ἐπιγράμματι (AP 6 155)
χμητὰν δ' ἐπέθυσεν ἀλέκτορα καὶ πλα-
ντα παῖς Ἡγησιδίκυ πίονα τυροφόρον."

Τυρρηνία χώρα, καὶ Τυρρηνοὶ οἱ
όμενοι Τῦσκοι. ἱστορίαν δὲ παρ' αὐτοῖς
ειρος ἀνὴρ συνεγράψατο. ἔφη γὰρ τὸν
ιυργὸν τῶν πάντων θεὸν ιβ' χιλιάδας
αυτῶν τοῖς πᾶσιν αὐτῦ φιλοτιμήσασθαι
σμασι, καὶ ταύτας διαθεῖναι τοῖς ιβ' λε-
ιένοις οἴκοις, καὶ τῇ μὲν ά χιλιάδι ποιῆ-
τὸν ὐρανὸν καὶ τὴν γῆν, τῇ δὲ β' ποιῆ-
τὸ στερέωμα τῦτο τὸ φαινόμενον, καλέ-
ς αὐτὸ ὐρανόν, τῇ γ' τὴν θάλασσαν καὶ
ὕδατα τὰ ἐν τῇ γῇ πάντα, τῇ δ' τὺς φω-
ῆρας τὺς μεγάλυς, ἥλιον καὶ σελήνην καὶ
ς ἀστέρας, τῇ ε' πᾶσαν ψυχὴν πετεινῶν
ὶ ἑρπετῶν καὶ τετράποδα ἐν τῷ ἀέρι καὶ
τῇ γῇ καὶ τοῖς ὕδασι, τῇ ς' τὸν ἄνθρω-
πον. φαίνεται ὖν τὰς μὲν πρώτας ς' χιλιά-
δας πρὸ τῆς τοῦ ἀνθρώπυ διαπλάσεως πα-
ρεληλυθέναι, τὰς δὲ λοιπὰς ς' χιλίαδας διαμέ-
νειν τὸ γένος τῶν ἀνθρώπων, ὡς εἶναι τὸν πάν-
τα χρόνον μέχρι τῆς συντελείας χιλιάδας ιβ'.

Τυρσηνία χώρα.

τύρσις ὁ περίβολος τοῦ τείχυς· Ξενο-
φῶν (Cyr. 7 5 10) "οὕτω δὴ Κῦρος κύκλῳ
διαμετρήσας περὶ τὸ τεῖχος, ἀπολιπὼν ὅσον
τύρσεσι μεγάλαις ἀπὸ τοῦ ποταμοῦ, ὤρυσ-
σεν ἐνθένδε τοῦ τείχυς τάφρον ὑπερμεγέθη
καὶ τὴν γῆν ἀνέβαλλον πρὸς ἑαυτούς."

τύρσος τὸ ἐν ὕψει ᾠκοδομημένον.

Τυρταῖος Ἀρχεμβρότυ, Λάκων ἢ Μι-
λήσιος, ἐλεγειοποιὸς καὶ αὐλητής, ὃν λόγος
τοῖς μέλεσι χρησάμενον παροτρῦναι Λακε-
δαιμονίυς πολεμῦντας Μεσσηνίοις καὶ ταύ-
τῃ ἐπικρατεστέρυς ποιῆσαι. ἔστι δὲ παλαί-
τατος, σύγχρονος τοῖς ζ' κληθεῖσι σοφοῖς,
ἢ καὶ παλαίτερος· ἤκμαζε γῦν κατὰ τὴν λέ
ὀλυμπιάδα. ἔγραψε πολιτείαν Λακεδαιμο-
νίοις, καὶ ὑποθήκας δι' ἐλεγείας, καὶ μέλη
πολεμιστήρια, βιβλία έ.

Τυρταῖος. ὅτι Λακεδαιμόνιοι ὤμοσαν
ἢ Μεσσήνην αἱρήσειν ἢ αὐτοὶ τεθνήξεσθαι.
χρήσαντος δὲ τῦ θεῦ σρατηγὸν παρὰ Ἀθη-
ναίων λαβεῖν, λαμβάνουσι Τυρταῖον τὸν
ποιητήν, χωλὸν ἄνδρα, ὃς ἐπ' ἀρετὴν αὐ-
τοὺς παρακαλῶν εἷλε τῷ κ' ἔτει τὴν Μεσ-
σήνην. καὶ ταύτην κατέσκαψαν, καὶ τοὺς
αἰχμαλώτυς ἐν τοῖς Εἵλωσι κατέταξαν.

τυτθήν ὀλίγην ἢ μικράν, καὶ τυτθός
μικρός.

Τυφαονία χώρα.

τυφεδανός· (A Vesp. 1355) "ὦ ὗτος,
τυφεδανὲ καὶ χοιρόθλιψ, ποθεῖς ἐρᾶν τ' ἔοι-
κας ὡραίας σορῦ."

Τυφεδῶνος ὄνομα κύριον. ἢ τῆς καύ-
σεως.

τύφεται καίεται.

τυφήρεα τυφωνικήν· (AP 6 249) "λαμ-
πάδα κηροχίτωνα, Κρόνυ τυφήρεα λύχνον,
σχοίνῳ καὶ λεπτῇ σφιγγομένην παπύρῳ."

τυφλὴ ὁδός· "ὁ δὲ ὁδοῖς ἐπιτυγχάνει
τυφλαῖς καὶ ἀνεξόδοις καὶ ἀτραποῖς σκο-
λιωτέραις."

τυφλοπλαστεῖται τυφλὸς ἀναπλάτ-
τεται. καὶ τυφλοπτεῖται ὁμοίως.

τυφλὸς τά τ' ὦτα τόν τε νῦν τά
τ' ὄμματ' εἶ" Οἰδίπυς (OR 371). "σὺ δ'

ἄθλιός γε ταῦτ' ὀνειδίζων ἃ σοὶ οὐδεὶς ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα." οἷον, οὐδείς ἐστιν ὃς οὐ ταῦτά σοι ὀνειδίσει ἅπερ μοι ὠνείδισας. τὸ δὲ τάχα ἀντὶ τοῦ ταχέως· καὶ σὲ μετ' ὀλίγον ἐροῦσι τυφλόν. πρὸς Τειρεσίαν ὁ λόγος.

τυφλότερος ἀσπάλακος διὰ τὸ μὴ ἔχειν τὸ ζῷον τοῦτο ὀφθαλμούς· φησὶ δ' αὐτὸ Στησίμβροτος ὑπὸ τῆς γῆς τυφλωθῆναι διὰ τὸ φθείρειν τοὺς καρπούς· ἔχει γὰρ ὀδόντας μιαρωτάτους καὶ ῥύγχος ὡς μυγαλῆς καὶ πόδας ὡς ἄρκτου.

τυφλότερος λεβηρίδος καὶ κενώτερος λεβηρίδος. ἀμφότερα λέγεται. λεβηρὶς δὲ οἷον λεπηρὶς καὶ λέπος. τάττεται καὶ ἐπὶ τεττίγων καὶ πάντων τῶν τὸ γῆρας ἀπολεπομένων.

τυφλῶν ὀνείρων ἤτοι τῶν ἀπατηλῶν· καὶ ἴσως περιέπεσε τοῦτο "δοιαὶ γάρ τε πύλαι ψευστάων εἰσὶν ὀνείρων" (Hom. τ 562)· ἢ ὅτι μύουσι προσδιαλέγονται.

τυφογέρων ἐσχατόγηρως. ἢ ὑπερήφανος, τετυφωμένος γέρων.

τυφομένης καπνιζομένης, καιομένης. καὶ "καπνῷ τύφειν δίκην σφηκῶν."

τῦφος ἀλαζονεία, μανία. "ὁ δὲ τοιοῦτος ἀγνοεῖ καὶ τετύφωται."

Τυφρηστός ὄνομα πόλεως.

Τυφωεύς ὄνομα κύριον.

a τυφὼν οὐχ ἡ φλὸξ ἡ ἐκ τοῦ ἀέρος, ἀλλ' ἡ ἐκ τῆς ἀναθυμιάσεως συστροφὴ πρὸ τοῦ ἐκπυρωθῆναι, ὡς Πλάτων ἐν Φαίδρῳ (p. 230 A).

b τυφὼν κεραυνὸς βίαιος, πολὺς καὶ πνευματώδης. ἢ πνεῦμα καπνῶδες, ἐρρωγὸς ἀπὸ νέφους (Diog. L. 7 154). λέγεται καὶ διὰ τοῦ σ τυφώς· (A Ran. 871) "ἄρν', ἄρνα μέλαιναν παῖδες ἐξενέγκατε· τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται." τοὺς γὰρ καταιγιδώδεις ἀνέμους τυφὼς καλοῦσι. τούτῳ ἐνόμιζον μέλανα ἄρνα σφαγιάζειν, ὅπως λήξῃ τὸ πνεῦμα.

Τυφῶνος πυρώδους δαίμονος.

Τυφῶνος πολυπλοκώτερον (Plat. Phaedr. p. 230). τυφὼν ὁ λεγόμενος κεραυνωθῆναι ὑπὸ Διός. τούτου ποικιλώτερον.

τυφώς· (A Eq. 508) "γενναίως πρὸς τὸν τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην." Τυφὼς γῆς μὲν ἦν υἱός, ἴσχυσε δὲ τοσοῦτον ὥστε οὐκ ἀνθρώποις δοκεῖν μόνοις φοβερὸς εἶναι ἀλλὰ καὶ τοῖς θεοῖς, οἵτινες, ὡς μῦθος, καὶ εἰς ἀλόγων ζῴων μετεβάλοντο μορφὰς διὰ τὸν ἐκείνου φόβον. ἐριώλη δὲ πνοὴ σφοδρά. ὁ δὲ τυφὼς μεῖζόν τι πνεῦμα καὶ κακοποιόν.

τυχαία ἀντὶ τοῦ κατὰ τύχην· "οὐκ αὐτομάτῳ τινὶ συντυχίᾳ κατά τινα ἄτακτον καὶ τυχαίαν φορὰν οὕτως ἀναφαινόμενα, ἀλλ' ὡς ἡ ἀναγκαία τῆς φύσεως τάξις ἐπιζητεῖ τὸ ἐν τοῖς γινομένοις ἀκόλουθον, οὕτως ἕκαστα γεγενῆσθαι φησίν." ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης ἐν τῇ κοσμογενείᾳ λέγει (t. 1 p. 8 C).

τύχαιον ὁ τῆς τύχης ναός.

τύχη συντυχία, παρὰ Σοφοκλεῖ (OC 1506). Πολύβιος "εἰ χρὴ τύχην λέγειν ἐπὶ τῶν τοιούτων. μήποτε γὰρ αὕτη μὲν κενῶς κληρονομεῖ τοιαύτην φήμην, αἴτιοι δ' εἰσὶν οἱ χειρίζοντες τὰς πράξεις τῷ ταῖς αὐταῖς ἐπιτρέχειν σεμνότητα καὶ μέγεθος, ποτὲ δὲ τοὐναντίον." καὶ Πισίδης (Heracl. 1 169) "ὦ εὐλαβήθης οὐ τὰς δι' ἡμᾶς ἀντιπραττούσας τύχας, εἰ χρὴ καλεῖν με τὰς ἁμαρτίας τύχας."

τύχη· (S Ai. 1028) "σκέψασθε πρὸς θεῶν τὴν τύχην δυοῖν βροτοῖν. Ἕκτωρ μέν, ᾧ δὴ τοῦτ' ἐδωρήθη πάρα, ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων ἐκνάπτετ' αἰέν, ἔστ' ἀπέψυξεν βίον· οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων, πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι." περὶ Ἕκτορος καὶ Αἴαντος ὁ λόγος. καὶ Σοφοκλῆς (Phil. 1316) "ἄκουσον. ἀνθρώποισι τὰς μὲν ἐκ θεοῦ τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν. ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις ὥσπερ σύ, τούτοις οὔτε συγγνώμην ἔχειν δίκαιόν ἐστιν οὔτ' ἐποικτείρειν τινά."

τύχη παρ' Ἕλλησιν ἀπρονόητος κόσμου διοίκησις, ἢ φορὰ ἐξ ἀδήλων εἰς ἄδηλον καὶ αὐτόματον· οἱ δὲ χριστιανοὶ θεὸν ὁμολογοῦμεν διοικεῖν τὰ πάντα. τύχην δὲ λέγει ὁ Θουκυδίδης (2 42 extr.) τὸν πόλεμον.

τύχη· (Procop. Arc. 4 extr.) "οὐκ ἀνθρώπων βουλαῖς ἀλλὰ τῇ ἐκ θεοῦ ῥοπῇ πρυτανεύεται τὰ ἀνθρώπεια, ὃ δὴ τύχην καλεῖν εἰώθασιν ἄνθρωποι, οὐκ εἰδότες ὅτου δὴ ἕνεκα ταύτῃ πρόεισι τὰ ξυμβαίνοντα, ᾗπερ αὐτοῖς ἔνδηλα γίνεται. τῷ γὰρ ἀλόγῳ δοκοῦντι εἶναι φιλεῖ τὸ τῆς τύχης ὄνομα προσχωρεῖν."

καὶ παροιμία "τύχη Εὔριπος," ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσαθμήτων ἀνθρώπων. τύχη λέγεται καὶ τὸ ἐπιτήδευμα

φέρε εἰπεῖν "ὁ παρεστὼς οὗτος πρῶτον εἰπάτω τοὔνομα, τὴν πατρίδα, τὴν τύχην, ἔπειτα καὶ τὸ σέβας."

τυχηρότερος εὐτυχέστερος.

Τυχιάδης πατρωνυμικόν.

Τυχικός ὄνομα κύριον.

Τυχίος ὄνομα κύριον ⟨Hom. Η 220⟩.

Τύχων Τύχωνος ὄνομα κύριον.

τώ. χωρὶς τοῦ ι ἀντὶ τοῦ διό, καὶ δυικῶς ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ καὶ οὐδετέρου.

Τωβήτ ὄνομα κύριον.

Τωβίας ὄνομα κύριον.

τῷ δὲ τοῦτο συμβαλὼν ἔχεις;" ⟨S OC 1474⟩ τίνι τεκμηρίῳ νοήσας καὶ στοχασάμενος.

τωθάζει σκώπτει, χλευάζει, λοιδορεῖ, καυχᾶται. ⟨A Vesp. 1359⟩ "οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλητρίδα τῶν συμποτῶν κλέψαντα."

τωθασμός. καὶ τωθαστικὸν γελάσας ἀντὶ τοῦ σκωπτικόν, θωπευτικόν, χλευαστικόν, λοιδορητικόν.

τῷ λόγῳ· "ὡς δῆθεν ἀποστέλλοντες ποίμνην καὶ βυκόλια καὶ φορβάδων ἀγέλας ἵππων ἐπὶ νομὴν τῷ λόγῳ."

τὼ μηρὼ μὴ συνέχειν, τυτέστι μὴ σφίγγειν ἀλλ' ἀνειμένως διάγειν, καὶ μὴ ἐκθλίβειν τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς. Ἀριστοφάνης Νεφέλαις ⟨963⟩.

Τῶμις πόλις. ἡ δοτικὴ Τώμει.

τῶν ἄλλων μοι πάντων ἧττον μέλει" ⟨A Plut. 1119⟩, ἀντὶ τῦ ὐδαμῶς.

τῶν γὰρ ὑστάτων χωρίς, παροιμία.

τῶν δ' ὄνων ὔ μοι μέλει."

τῶν δυνατῶν τι κέλευ· ὐ γὰρ παρὰ Κενταύροισι." cf. v. τάδ' ὐ παρὰ Κ.

τῶν ἐαρινῶν φύλλων πλείονές εἰσιν οἱ συκοφαντῦντες."

τῶν ἑκτικῶν τῶν περὶ ἕξιν νοσῦντων.

τῶν εἰς τὴν φαρέτραν. φασὶ τοὺς Σκύθας - - - ὅθεν καὶ παροιμιασθῆναι τὴν ἀγαθὴν ἡμέραν λευκήν. cf. v. λευκὴ ἡμέρα.

τῶν ἐπὶ σκηνῆς τῶν θεατρικῶν.

τῶν ἵππων Εὐμήλυ πολὺ μᾶλλον ἀλλήλοις ἐοικότα κατασκευάσαντες τὴν συνωρίδα τῶν βαλαντίων." cf. v. στατήρ.

τῶν τριῶν κακῶν ἕν. λεγόμενόν τί ἐστι. καὶ Μένανδρος δύο προθεὶς ὡς παροιμιῶδες ἐπιλέγει παίζων τὸ "ἓν γάρ τι τύτων τῶν τριῶν ἔχοι κακόν." ταῦτα δὲ εἶναι λέγυσιν ἃ Θηραμένης ὥρισε προστιμήματα. Πολύζηλος Δημοτυνδάρεῳ "τριῶν κακῶν γῦν ἦν ἑλέσθ' αὐτῷ τι πᾶσ' ἀνάγκη, ἢ ξύλον ἐφέλκειν, ἢ πιεῖν κώνειον, ἢ προδόντα τὴν ναῦν ὅπως τάχιστα τῶν κακῶν ἀπαλλαγῆναι. ταῦτ' ἐστὶ τρία Θηραμένους, ἅ σοι φυλακτέ' ἐστίν." Ἀριστοφάνης Τριφάλητι "ἐγὼ γὰρ ἀπὸ Θηραμένυς δέδοικα τὰ τρία ταυτί."

τῷ νῦν λόγῳ ἀντὶ τῦ ποίῳ; καὶ "τῷ τῦτο κρίνεις;" ἀντὶ τῦ ποίῳ σημείῳ; Ἀριστοφάνης Πλούτῳ ⟨48⟩. "ἡ τύχη κενῶς κεκληρονόμηκε τοιαύτην φήμην - - - τὐναντίον." cf. v. τύχη.

τῶν ὑπό οἱ τεταγμένων τῶν ὑφ' ἑαυτῷ· "ὁ δὲ Καῖσαρ τὸν γενναιότατον ἡγεμόνα κελεύει τῶν ὑπό οἱ τεταγμένων ἡγήσασθαι στρατιωτῶν."

τῶν φιλτάτων τὰ φίλτατα. φησὶν Ἀριστοτέλης ἐν τῇ Μηλιέων πολιτείᾳ τοὺς παῖδας γυμνὺς ἐκφέρειν μέχρις ἐτῶν ις', καὶ καταφιλεῖν αὐτοὺς ἐν τοῖς συμποσίοις.

τῷ ῥα διὸ δή.

τώς οὕτως· "τὼς δέ σ' ἀπεχθήρω ὡς νῦν ἔκπαγλ' ἐφίλησα" Ὅμηρος ⟨Γ 415⟩. καὶ Σοφοκλῆς ⟨Ai. 840⟩ "ὡς ἐμὲ αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς πρὸς τῶν φιλίςων ἐκγόνων ὀλοίατο."

τῷ σε διό σε· ἐν ἐπιγράμματι ⟨AP 6 54⟩ "τῷ σε, μάκαρ Λητῷε, τεῷ τέττιγι γεραίρει."

τῷ τέλει πίστιν φέρων οἷον πιςεύων ὅτι ἐπὶ τῷ τέλει τῦ δρόμυ παρελεύσεται· ἢ νομίζων ἕως τέλυς ἐλαύνειν. Σοφοκλῆς ⟨El. 735⟩.

Τωτίλας ὄνομα κύριον.

τῷ τοι ἄρα διὰ τῦτο δή· "τῷ τοι ἄρα ὐδὲ καταλύειν αὐτῷ ἐδόκει ἐν τοῖσδε τοῖς πολίσμασιν, ἀλλ' εἰς τὸ ψαμαθῶδες τῦ ποταμῦ." καὶ αὖθις "ἐπῄει ἀφειδῶς τοῖς πολεμίοις· τῷ τοι ἄρα καὶ πλήττεται βέλει τὸν μηρόν."

τῷ τρόπῳ; ⟨A Nub. 374⟩ ἀντὶ τοῦ τίνα τρόπον.

τὠφθαλμὼ παραβάλλῃ Ἀριστοφάνης Νεφέλαις ⟨361⟩, τουτέστι τοῖς ὀφθαλμοῖς ἐφορᾷς καὶ ὑποβλέπῃ. Ὅμηρος ⟨Α 148⟩ "ὑπόδρα ἰδών." ὕτω γὰρ ἐβάδιζεν ὁ Σωκράτης. καὶ Πλάτων ⟨Phaed. p. 117 B⟩ περὶ αὐτῦ "ταυρηδὸν ὑποβλέψας, ὥσπερ εἰώθει."

Ὑάδες οἱ ἐπὶ τῶν κεράτων τῦ Ταύρυ ἀστέρες.

ὕαινα θηρίον.

Ὑακινθίδες θυγατέρες Ὑακίνθυ τοῦ Λακεδαιμονίυ. cf. v. *παρθένοι.*

ὑακίνθινον ὑπομελανίζον, πορφυρίζον.

Ὑάκινθος ὄνομα κύριον.

ὑάλη ὕαλος. ὕαλος ἐστὶν ἀφ᾽ ἧς πῦρ ἅπτυσι. καί φησιν Ἀριστοφάνης (Nub. 768) *"ὁπόταν γράφοιτο ἡ δίκη, ἀπωτέρω στὰς ὧδε πρὸς τὸν ἥλιον τὰ γράμματ᾽ ἐκτήξαιμι τῆς ἐμῆς δίκης." ἔστι δὲ κατασκεύασμα ὑάλυ τροχοειδὲς ἢ ἠλέκτρυ, εἰς τῦτο τεχνασθέν· ὅπερ ἐλαίῳ χρίσαντες καὶ ἡλίῳ θερμήναντες προσάγυσι θρυαλλίδα καὶ ἅπτυσι πῦρ. τῦτο ὖν ὁ γέρων πρὸς Σωκράτην διαλεγόμενός φησιν· εἰ ὑφάψαιμι διὰ τῆς ἠλέκτρυ καὶ προσαγάγοιμι τῇ δέλτῳ τὸ πῦρ τῇ τῦ γράμματος, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης.*

ὑάλιος πολέμιος. καὶ ἐνυάλιος.

Ὑάμπολις πόλις.

Ὑβάδαι δῆμός ἐστι τῆς Λεοντίδος. Harp.

ὑβός ὁ κυρτός, καὶ ὕβωσις ἡ κύρτωσις, καὶ ὑβάζειν τὸ ἐμεῖν· οἱ γὰρ ἐμοῦντες ἀπὸ τῆς βίας κυρταίνειν ἐοίκασιν.

ὑβρίζειν ἐπὶ τοῦ αἰσχρῶς διαιτᾶσθαι· "ὑπέλαβε πονηρὺς ὄντας ὑβρίζειν καὶ ῥᾳσωνεύεσθαι." "ὃ δὲ οὐ μάτην ἔζη, ὥς γε ἐμὲ κρίνειν, οὐδὲ μὴν ὡς οἱ πολλοὶ ἐπὶ τραπέζας κεκυφέναι καὶ ἐμπίπλασθαι καὶ ὑβρίζειν σπεύδων, ἀλλὰ πλέον τι εἰδέναι μαστεύων ὑφ᾽ ἡγεμόνι θεῷ."

ὑβρίζοντες σκιρτῶντες. Ἡρόδοτος (4 129).

a *ὕβρις ὑπόβαρός τις οὖσα, ἢ παρὰ τὸ ὕειν βάρος.* (S OR 873) *"ὕβρις φυτεύει τύραννον, ὕβρις, εἰ πολλῶν ὑπερπλησθῇ μάταν, ἃ μὴ ᾽πίκαιρα μηδὲ συμφέροντα." διὰ τῆς ὕβρεως, φησίν, ἀνανεοῦται ὁ τύραννος. καὶ ὅταν, φησί, πολλὰ διαπράξηται, τότε εἰς μεγάλην ἀνάγκην ἐμπίπτει, διὰ τῆς ὕβρεως ἐπαρθείς. τῦτο γὰρ σημαίνει τὸ "ἀκροτάταν εἰσαναβᾶσ᾽ ἀπότομον ὤρυσεν εἰς ἀνάγκαν." "παίδων μὲν ··· ἁμαρτάνειν" Εὐνάπιός φησι περὶ Καρίνυ βασιλέως* (cf. v. *Καρῖνος*).

b *ὕβρις ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας, αἰκία δὲ πληγαὶ μόνον. Λυσίας ἐν τῷ περὶ αἰκίας πρὸς Ἰσοκράτην "καίτοι τίς οὐκ οἶδεν ὑμῶν ὅτι τὴν μὲν αἰκίαν χρημάτων ἔστι μόνον τιμῆσαι, τοὺς δὲ ὑβρίζειν δόξαντας ἔξεστιν ὑμῖν θανάτῳ ζημιοῦν;" καὶ σύνταξις "ὑπὸ ἀγανακτήσεως καὶ τῆς ὕβρεως τιθέμενος, ὅτι μὴ τὰ πρῶτα ἐπιστευτο τὴν στρατείαν." Ἀριστοφάνης* (Ran. 21) *"εἶτ᾽ οὐχ ὕβρις ταῦτ᾽ ἐστὶ καὶ πολλὴ τρυφή," ἀντὶ τοῦ ἀλαζονεία, "ὅτ᾽ ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίυ, αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ᾽ ὀχῶ ἵνα μὴ ταλαιπωροῖτο.*

ὑβρίσασιν ἐξαμαρτήσασιν αἰσχρῶς· "ἔνθα καὶ στρατιώταις ἔξω τοῦ προσήκοντος ὑβρίσασιν ἐπέθηκε δίκην· ἐλάττων δὲ ἦν ἡ δίκη τοῦ προσήκοντος."

ὕβρισεν οὐχ ὁ πατάξας ἀλλ᾽ ὁ ἐπιπλήξας καὶ ὀνειδίσας.

ὑβριστάς τοὺς θρασεῖς καὶ λοιδόρους.

ὕβριστις ἡ ὕβρις καὶ ἡ ἀτιμία.

ὑβριστότερος· Ξενοφῶν (Cyr. 5 5 41) *"οἱ ἀμελεῖσθαι δοκοῦντες στρατιῶται οἱ μὲν ἀγαθοὶ πολὺ ἀθυμότεροι γίνονται, οἱ δὲ πονηροὶ πολὺ ὑβριστότεροι." καὶ αὖθις "ἐδόκει ὑβριστικώτερον ὄχλυ πρὸς ὀργὴν καὶ παρανομίαν ὁρμήσαντος."*

ὑγεία. οἰωνιζόμενοι εἰώθασι λέγειν πρὸς τὸ "τίς ὁ ζητῶν" ὄνομα ἢ ὑγείαν ἤ τι τοιοῦτον. καὶ ὁ ἔποψ ἔφη "τίνες οἱ ζητοῦντες;" οἱ δὲ ἔφασαν "οἱ δώδεκα θεοὶ εὔξασθε ἐπιτρῖψαί σε." sch. A Av. 95.

ὑγεία διττή ἐστιν, ἣ μὲν ἐν τῷ ἰατρῷ ἣ δὲ ἐν τῷ ὑγιαζομένῳ σώματι. καὶ ἡ ἐν τῷ ἰατρῷ ποιητική ἐστι τῆς ἐν τῷ σώματι· οὕτω καὶ ἡ ἐν τῷ κόσμῳ τάξις ἐκ τῆς ἐν τῷ δημιυργῷ τάξεως γέγονε. τὸ δὲ ὑγιεινὸν πολλαχῶς λεγόμενόν ἐστιν· ὑγιεινὸν γὰρ τὸ μὲν ποιητικὸν ὑγείας, ὡς τὸ φάρμακον, τὸ δὲ φυλακτικόν, ὡς ἡ δίαιτα, τὸ δὲ σημαντικόν, ὡς χρῶμα σφυγμὸς εὔπνοια οὖρα.

ὑγεία Ἀθηνᾶ. ἐπώνυμόν ἐστιν Ἀθηνᾶς· καὶ γὰρ ὑγεία καλεῖται καὶ νίκη καὶ ἱππία καὶ ἐργάνη. Harp.

ὑγιαίνω.

ὑγιασθείς· "ὃ δὲ ὑγιασθεὶς τοῦ τραύματος."

ὑγίεια τῶν ἀνθρωπίνων ἀγαθῶν τὸ κάλλιστον.

ὑγίεια ἐστὶ συμμετρία τῶν πρώτων σωματικῶν δυνάμεων, ἅ ἐστι θερμότης ψυχρότης ὑγρότης ξηρότης. καὶ ὑγιεινὸς ὁ

ὑγιής. καὶ ἐπίρρημα ὑγιεινῶς.

ὑγιές λυσιτελές, ὠφέλιμον· "τῆς πόλεως ἐπ' ὀδὲν ὑγιές." Φιλοκτήτης (1006) "ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν, οἷά μ' ὑπῆλθες, ὥς μ' ἐθηράσω, λαβὼν πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί, ἀνάξιον μὲν σῦ, κατάξιον δ' ἐμῦ."

ὑγιέστερος κρότωνος. ἐπὶ τῶν πάνυ ὑγιαινόντων ἡ παροιμία, ἀπὸ τῦ ζῴυ τῦ κρότωνος· λεῖον γάρ ἐστιν ὅλον καὶ χωρὶς ἀμυχῆς καὶ μηδὲν ἔχον σίνος. cf. v. κρότωνος ὑγιέστερος.

ὑγιέςερος ὄμφακος παροιμία, ὥσπερ καὶ "ὑγιέστερος Κρότωνος·" πολλοὶ γὰρ Κροτωνιᾶται ἀσκηταί. καὶ ὑγιέστερος κολοκύντης.

ὑγιής, ὑγριής τις ὤν, ὁ δίυγρος καὶ ζῶν. ἀλίβαντες δὲ οἱ νεκροί, παρὰ τὸ μὴ ἔχειν λιβάδα ἤγυν ὑγρασίαν.

ὑγρὰ κέλευθα (Hom. *A* 312) τὴν διὰ θαλάσσης ὁδόν.

ὑγραίνω.

ὑγρός ὁ εὐκατάφορος εἰς τὰς ἡδονάς, καὶ ὁ ῥευματιζόμενος.

ὑγρότης ἀραιότης καὶ ἀφέλεια.

ὑγρῶς· "ὑγρῶς γὰρ κραδαινομένη καὶ τοῖς ποσὶ χαμαιπετής, εὔστολος γινομένη, ἐνίκα πάντας τὺς τῶν θαυματοποιῶν ἐξηγυμένυς· φωνήν τε ἔχυσα ἡδεῖαν καὶ ταύτην μετὰ τέχνης ἀφιεῖσα ὐδενὸς τῶν ··· ἄνδρα (cf. v. ἀκκιζόμενος), ἑαυτῇ μὲν πλῦτον ὐκ εὐκαταφρόνητον οἶσεν, ἐκεῖνον δὲ κατὰ βαιὸν τηκόμενον τῷ ἔρωτι ἀπήλλαξε τῶν τῆδε." καὶ αὖθις "πρὸς γὰρ τὰς δωρεὰς ἦν ὑγρὸς καὶ καταφερής, πρὸς δὲ τὰς εἰσπράξεις βαρύς τε καὶ συντεταμένος" (cf. v. αὐτοαπλότης).

Ὑδάσπης ποταμός.

ὑδατηγὸς ἀνὴρ ὁ ἀντλῶν.

ὑδατίδες σταγόνες.

ὑδάτιον νᾶμα.

ὑδέυσιν ᾄδυσι, λέγυσιν.

ὕδερος.

ὑδερῶν ὑδρωπιῶν.

Ὕδη (Hom. Υ 385) πόλις.

ὕδος τὸ ὕδωρ. ἡ δοτικὴ ὕδει.

ὕδρα ἐννεακέφαλος ὄφις.

ὕδραν τέμνειν, ἐπὶ τῶν ἀμηχάνων λέγεται· ἱστορεῖται γὰρ ὕδρᾳ τῇ ἐν Λέρνῃ ἑκατοντακεφάλῳ τυγχανύσῃ μαχόμενον Ἡρακλέα, ὡς τῶν τεμνομένων αὐτῆς κεφαλῶν ἀνεφύοντο πλείυς, κελεῦσαι Ἰολάῳ ἐπικαίειν τὰς τεμνομένας.

ὕδραν τέμνεις, ἐπὶ τῶν ἀμηχάνων εἴρηται, παρ' ὅσον Ἡρακλῆς ὕδραν τέμνων ὐδὲν μᾶλλον ἐκράτει, ἀναδιδομένων αὖθις πλειόνων κεφαλῶν.

ὑδρεία τὸ ὑδρεύεσθαι, ὑδρία δὲ τὸ ἀγγεῖον.

ὑδρεύειν ποτίζειν.

ὑδρηλόν.

ὑδροπικός, καὶ ὑδροπότης, καὶ ὑδροποτεῖν.

ὑδρορρόα τὸ μέρος τῆς στεφανίδος, δι' ὖ τὸ ἀπὸ τῦ ὄμβρυ ὕδωρ συναγόμενον κατέρχεται· ἢ ὁ στενὸς τόπος. ὑδρορρόα καὶ ἡ ὕφαλος πέτρα· "οἳ δὲ εἰς τὰς ὑδρορρόας συνωθῦντες αὐτὺς διὰ τύτων ἐσώζοντο πρὸς τὰς ναῦς." λέγεται δὲ καὶ ὑδρόρροια.

ὑδροστάσιον λίμνη μικρά· (Menand. p. 301 Nieb.) "παραμειψάμενοι τὸ μέγα τῦτο ὑδροστάσιον ἀφίκοντο ἐς τὰς λίμνας, ἐν αἷς ἐπιμιγνύμενος ἀπόλλυται ὁ Κωφὴν ποταμός."

ὕδρυ ὄφεως.

ὑδροφόρια ἑορτὴ πένθιμος Ἀθήνησιν ἐπὶ τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολομένοις, ὡς Ἀπολλώνιος.

ὑδροχοεῖα δεξαμεναί· (Menand. p. 374 Nieb.) "ὁλκὸν τῦ ὕδατος ἐπεσκεύασε καὶ ὑδροχοεῖα ἐπενόησεν."

ὑδρωπιῶντες νοσῦντες. ὑδροποτῦντες δέ.

ὕδρωψ ἡ νόσος.

ὕδω τὸ ᾄδω· "ὕδειν ἔοικεν," ὑμνεῖν. καὶ ὑδέοιμι ἀντὶ τῦ ὑμνοῖμι· (Callimach. Hec.) "αἴθρην τὴν εὔτεχνον ἐπαγρομένης ὑδέοιμι."

ὕδωρ. ὅτι τὸ ὕδωρ ἢ παντελῶς ἄχυμον, ὡς τοῖς ἰατροῖς δοκεῖ, ἢ ἐγγὺς ἄχυμον. ἔχει μέντοι δύναμιν πάντων τῶν χυμῶν δεκτικήν· διὸ καὶ ἀπολαύει παντὸς χυμῦ, ὃς ἂν πλησιάσῃ αὐτῷ.

ὕδωρ ἀντιλογίας. ἀπὸ τῦ πράγματος ὁ τόπος τὴν προσηγορίαν ἐδέξατο· εἰς Μερρὰν γὰρ ἐλθόντες καὶ πικρὸν εὑρόντες τὸ ὕδωρ κατὰ Μωσέως ἐβόησαν καὶ τῦ θεοῦ κατελάλησαν. λέγει δὲ ὅτι διήλεγξά σε παρ' ἐκεῖνο τὸ ὕδωρ τὴν ἀχάριςον γνώμην (Theodoret. in Ps. 80 8).

ὕδωρ αὐτοπαγές τὸ συνεστηκὸς ἐν

τοῖς ἱεροῖς, ἢ τὸ αὐτομάτας πηγὰς ἔχον.

ὕδωρ βορόν, καὶ ἀγρυπνίη βορόν. λέγει δὲ ὅτι τὸ ὕδωρ οὐκ ἐν τοῖς πυρέττουσι μόνον ἐστὶ τρόφιμον, ἀλλὰ κἂν τοῖς ἀγρυπνοῦσιν.

ὕδωρ δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις." τοῦτο ἐξ ἐπιγράμματος εἶναι μέρος οἱ μὲν Ἀσκληπιάδου οἱ δὲ Θεαιτήτου φασίν.

ὕδωρ διαπορευόμενον ⟨Ps. 57 8⟩ ἀντὶ τοῦ ἐσκεδασμένον καὶ παντελῶς ἄχρηστον.

ὕδωρ παραρρέει, ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει σπουδάσειν, ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων.

ὑέ ἀπειλὴ βραδυνόντων καὶ ἀνοιγνύναι κελευόντων. καὶ γὰρ ὗεν ἀντὶ τοῦ ἔβρεχεν.

ὑεικόν ὑὸς ἴδιον, χοίρου ἔργον. "λέγεται τὸν Σωκράτην ἄλλων τε πολλῶν παρόντων καὶ τοῦ Εὐθυδήμου εἰπεῖν ὅτι ὑεικὸν αὐτῷ δοκοίη πάσχειν ὁ Κριτίας, ἐπιθυμῶν Εὐθυδήμῳ προσκνήσασθαι ὥσπερ τὰ ὕδια τοῖς λίθοις." Ξενοφῶν φησίν ⟨Mem. 1 2 30⟩.

ὕειον χοίρειον, καὶ ὑείων χοιρείων κρεῶν· "ἐχορτάσθησαν ὑείων."

ὑέλιον καὶ ὕελος καὶ ὑέλινον.

ὑετός. τὸ υ μακρόν· "ἄγων μέγαν ὑετὸν ἔστη" ⟨cf. v. μάσσον⟩. Αἰλιανός "ἐμπιπτόντων ὑετῶν καὶ χάλαζα ἰσχυρὰ ἔρρευσε." καὶ ⟨Diog. L. 7 153⟩ "ὑετὸς ἐκ νέφους μεταβολὴ εἰς ὕδωρ, ἐπειδὰν ἢ ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία κατενεχθῇ."

a ὑηνεία· "ἐν πάσῃ ὑηνείᾳ καλινδούμενος" ⟨Damasc. Phot. p. 350 a 17⟩.

b ὑηνεία μωρία· Ἀριστοφάνης ⟨Pac. 927⟩. "ἵνα μὴ γένηται Θεαγένους ὑηνία." διεβέβλητο γὰρ οὗτος ὡς μωρὸς καὶ συώδης. ἦν δὲ ἐκ Πειραιῶς, ἐδόκει δὲ καὶ πένης εἶναι καὶ θρύπτεσθαι ἐπὶ πλούτῳ· ἦν δὲ καὶ τὸ σῶμα παχὺς καὶ χοιρώδης. τινὲς δὲ ὑηνείαν τὴν δυσωδίαν τὴν ἐκ τῶν χοίρων φασίν, οἵπερ διαφόροις ἐδέσμασι χρώμενοι δυσώδη ἀποπατοῦσι καὶ εἰς βόρβορον διαλύονται. ἦν δὲ καὶ ἄλλος ὁ εἰς Ὅμηρον γράψας, ὃς ἐπὶ μαλακίᾳ διεβάλλετο ⟨sch. cf. vv. Ἑκάτειον et Θεαγένους χρ.⟩. "ἡ νῦν γενεὰ ὑπὸ τρυφῆς ἀκολάστου διεφθαρμένη, ταπεινὰ ⋯ ἔτι δυνάμενον. τοιάνδε εἶναι καὶ πολλῷ χαμαιπετεστέραν ἐπεδείκνυε τὴν ζωὴν τῶν νῦν ἐν τῇ γενέσει πολιτευομένων" ⟨cf. v. ψυχή⟩.

ὑηνεῖς, ῥῆμα, ὑεικόν τι καὶ ζωῶδες ποιεῖς. "ὃς δὲ δὴ καὶ κυνοκεφάλους λέγων οὐ μόνον αὐτὸς ὑηνεῖς, ἀλλὰ καὶ τοὺς ἀκούοντας τοῦτο δρᾶν πρὸς τὰ συγγράμματά μου ἀναπείθεις, οὐ καλῶς ποιῶν" Πλάτων Θεαιτήτῳ ⟨p. 166 C⟩.

ὑηνεύς ὁ σκαιός.

ὑηνία δὲ ἡ συγγένεια ⟨an συηνία⟩.

ὑηνῶν σκαιῶν καὶ ἀμαθῶν.

ὑηνῶν θρεμμάτων· "καὶ ἔδοξέ μοι τοῦτο οὐκ ἀνθρώπινον, ἀλλ᾽ ὑηνῶν τινῶν μᾶλλον εἶναι θρεμμάτων" Πλάτων Νόμων ζ ⟨p. 819 D⟩.

Ὕης Ὕου, ἐπίθετον Διονύσου, ὡς Κλείδημος, ἐπειδή, φησίν, ἐπιτελοῦμεν τὰς θυσίας αὐτῷ καθ᾽ ὃν ὁ θεὸς ὕει χρόνον. ὁ δὲ Φερεκύδης τὴν Σεμέλην Ὕην λέγεσθαι καὶ τὰς τοῦ Διονύσου τροφοὺς Ὑάδας. Ἀριστοφάνης δὲ συγκαταλέγει ξενικοῖς θεοῖς τὸν Ὕην.

ὑθλεῖς φλυαρεῖς· ὕθλος γὰρ ἡ φλυαρία. sch. Nub. 781.

υἱδοῦς ὁ υἱοῦ υἱός, ὁ ἔγγονος. καὶ υἱδιον.

υἱειον. οἴειον δὲ κρέας προβάτειον.

υἱοὶ θεοῦ οἱ ἀπόστολοι ὡς ἀδελφοὶ τοῦ Χριστοῦ χρηματίσαντες· "εἴπατε γάρ φησι ⟨Matth. 26 32⟩ "τοῖς ἀδελφοῖς μου, προάγω ὑμᾶς εἰς τὴν Γαλιλαίαν." υἱοὺς δὲ κριῶν τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, ἅτε δὴ φύντας ἐξ ἀλόγων πατέρων· Δαβίδ "ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν." υἱοὶ δὲ τῶν ἐκτετιναγμένων οἱ σφόδρα ταλαιπωρούμενοι. Δαβίδ φησιν ⟨126 4⟩ "ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοὶ τῶν ἐκτετιναγμένων." Theodoret. in Ps. 28.

υἱωνός ὁ τοῦ υἱοῦ υἱός.

υἱῶσαι τὸν παῖδα υἱὸν ποιῆσαι θετόν, καὶ υἱώσατο ἀντὶ τοῦ υἱὸν θετὸν ἐποιήσατο. καὶ υἱώσει τῇ υἱοθεσίᾳ καὶ τὰς υἱώσεις τὰς υἱοθεσίας. ἡ χρῆσις παρὰ Αἰλιανῷ πολλή.

ὑλαῖα ἐκ τοῦ ὕλη. καὶ ὑλαῖος.

ὑλακόμωροι ⟨Hom. Ξ 29⟩ ὑλακτικοί, οἱ περὶ τὸ ὑλακτεῖν πονούμενοι.

ὑλακτεῖ ἐμμανῶς καὶ ἀναιδῶς βοᾷ ὡς κύων. ⟨S El. 299⟩ "τοιαῦθ᾽ ὑλακτεῖ· σὺν δ᾽ ἐποτρύνει πέλας ὁ πάντα κλεινὸς οὗτος, ἡ πᾶσα βλάβη."

ὑλακτούσης μαργώσης· ἐν ἐπιγράμματι ⟨AP 6 89⟩ "τῷ σὺ δίδου μὴ πολλά, δι᾽ εὐαγρου δὲ λίνοιο, δαῖμον, ὑλακτούσης νηδύος

ἡσυχίην."

Ὕλαν κραυγάζειν. ἱστοροῦσιν Ὕλαν τὸν Θειοδάμαντος, καλὸν τὴν ὥραν, ἐρώμενον Ἡρακλέυς, ὅτε συνέπλει τοῖς Ἀργοναύταις· γενομένων δὲ κατὰ Μυσίαν ἐξελθεῖν ὑδρευσόμενον, ὑπὸ νυμφῶν δὲ ἀφανισθῆναι. τὸτε δὲ ἐπὶ ζήτησιν Πολύφημον πεμφθέντα κεκραγέναι καὶ ὀνομαστὶ ἀνακαλεῖν τὸν Ὕλαν μηδὲν περαίνοντα· διὸ καὶ τὴν παροιμίαν ἐπὶ τῶν μηδὲν ἀνυόντων λέγεσθαι. καὶ νῦν δὲ Κιανοὺς ἔτι ἀπομίμημα τῆς ζητήσεως ποιουμένους ἑορτάζειν τῷ ἥρωι. cf. v. τὸν Ὕλαν κρ.

Ὕλας ὄνομα κύριον.

ὑλειώτης ὁ ἐν ὕλῃ διατρίβων· ἐν ἐπιγράμματι ⟨AP 6 106⟩ "τοῦτό σοι, ὑλειῶτα, κατ' ἀγριάδος πλατάνοιο δέρμα λυκορραίστης ἐκρέμασεν."

ὕλη ὁ σύνδενδρος τόπος. ὕλη καὶ ἡ σκῆψις, ἢ ὑπόθεσις· "ὕλας χορηγῶν καὶ τοσαύτας καὶ ξένας."

ὑλήεσσα σύνδενδρος.

ὑλῃκοίτης.

ὑληφόρον ⟨A Ach. 271⟩ ξυληφόρον.

ὑληωροί ⟨Apollon. Rhod. 1 1227⟩ οἷς τὰ διὰ τῆς ὕλης ἔργα ἐν φροντίδι ἐστί. λέγει δὲ τοὺς φύλακας τοῦ ὄρους.

Ὑλλίδης.

Ὕλλος ὄνομα κύριον.

ὑμά.

ὑμεδαπῶν τῶν ἐκ τοῦ αὐτοῦ ἐδάφους συγγενῶν ἢ τῆς αὐτῆς χώρας.

ὑμεῖς μὲν ἄρα. cf. v. νυμφίου βίον.

ὑμεῖς ὦ Μεγαρεῖς οὔτε τρίτοι οὔτε τέταρτοι." χρησμοῦ κομμάτιόν ἐστι παροιμιαζόμενον οὕτως· "ἵππον Θεσσαλικὴν Λακεδαιμονίαν τε γυναῖκα, ἄνδρας δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης. ἀλλ' ἔτι καὶ τῶν εἰσὶν ἀμείνονες οἵτε μεσηγὺ Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου, Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο. ὑμεῖς δ' Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι οὔτε δυωδέκατοι οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ." ἱστορεῖ δὲ Μνασέας ὅτι Αἰγιεῖς οἱ ἐν Ἀχαΐᾳ, καταναυμαχήσαντες Αἰτωλοὺς καὶ λαβόντες πεντηκόντορον αὐτῶν, δεκάτην Πυθοῖ ἀνατιθέντες ἠρώτων τίνες εἶεν κρείττους τῶν Ἑλλήνων· ἡ δὲ Πυθία ἔχρησεν αὐτοῖς τὰ προκείμενα. καὶ Ἴων δὲ Αἰγιεῦσι λεχθῆναι τὸν χρησμὸν ἱστορεῖ. τινὲς δὲ οἴονται Μεγαρεῦσιν εἰρῆσθαι αὐτόν, καὶ προφέρονται "ὑμεῖς δ' ὦ Μεγαρεῖς οὔτε τρίτοι οὔτε τέταρτοι," ὡς καὶ Καλλίμαχος ἐν τοῖς ἐπιγραμματίοις ⟨26⟩ "τῆς δὲ ταλαίνης νύμφης, ὡς Μεγαρέων, οὐ λόγος οὐδ' ἀριθμός."

ὑμέλην στεῖραν, ἄγονον.

ὑμεναίων γαμικῶν ὕμνων. "ὑμέναιος γὰρ ἐκείνων Λυδὸς ᾄδεται." ⟨AP 7 19⟩ "τὸν χαρίεντ' Ἀλκμᾶνα, τὸν ὑμνητῆρ' ὑμεναίων κύκνον, τὸν μουσῶν ἄξια μελψάμενον."

ὑμενῶδες λεπτότατον καὶ οἷον εἰπεῖν ἀερῶδες.

ὑμήν ὑμένος.

Ὑμήττιον μέλι τὸ εὔχρηστον πρὸς ἰατρείαν. Ὑμηττὸς δέ ἐστι τόπος τῆς Ἀττικῆς περὶ τὰς Ἀθήνας.

ὑμνεῖν ὀδύρεσθαι, μέμφεσθαι, λοιδορεῖν, κατ' εὐφημισμόν, ὡς ἐν α' πολιτείας Πλάτων ⟨p. 329 B⟩.

ὑμνείτω δοξαζέτω.

ὑμνηπολείτω ὑμνείτω, καὶ ὑμνηπόλος.

ὑμνήσεις. ἡ τραγῳδία φησί ⟨S El. 382⟩ "χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά."

Ὑμνίδι, ἀπὸ ⟨τῆς⟩ Ὑμνίς εὐθείας.

ὑμνοπόλος ὁ περὶ τοὺς ὕμνους ἀναστρεφόμενος· ⟨AP 7 18⟩ "πολλαὶ μητέρες ὑμνοπόλων," περὶ Ἀλκμᾶνος τοῦ λυρικοῦ.

ὑμνῳδία καὶ ὑμνῳδός.

ὕνιν γεωργικὸν ἐργαλεῖον καὶ ῥόπαλον· ἐν ἐπιγράμματι ⟨AP 6 104⟩ "ἱστοβόην τε σὺν γυροῖς ἀρότροις, καὶ φιλόγαιον ὕνιν." τὸ δὲ υ μακρόν.

ὑόμενος ⟨Hom. ζ 131⟩ βρεχόμενος.

ὑομουσία ἀπαιδευσία, χοιρωδία· Ἀριστοφάνης ⟨Eq. 980⟩ "θαυμάζω τῆς ὑομουσίας."

ὑοσκυαμᾶν μεμηνέναι, παραπαίειν· Φερεκράτης Κοριαννοῖ "ὑοσκυαμᾷς ἀνὴρ γέρων."

ὑοσκύαμον εἶδος βοτάνης.

ὑπάγγελτος· "ὁ δὲ κατορρωδήσας μὴ γενόμενος ὑπάγγελτος τοῖς Ῥωμαίοις κινδυνεύσῃ," ἀντὶ τοῦ καταφανής.

ὑπάγει ἐξαπατᾷ, ἢ ὑποτάσσει· "ὑπάγει τὰ προβλήματα τοῖς γενικοῖς." "ὑπάγοντος δὲ αὐτὸν τοῦ κέρδους καὶ ἐπιμᾶλλον ὑποθήγοντος."

ὑπάγειν ἐς δίκην τὸ ἄγειν καὶ Θουκυδίδης ⟨3 70⟩ καὶ ἄλλοι.

ὑπαγκάλιος παῖς· ⟨cf. v. Μάρκιος⟩ "ὁ

εἰς δέκα ἔτη γεγονώς, καὶ ὁ ἕτερος ὑπαγκάλιος."

a ὑπαγόμενος ἐξαπατῶν· "ὑπαγόμενος δὲ τοὺς παῖδας προσωτέρω τῆς πόλεως" ⟨Dionys. Hal. fr. Ambr. 13 1⟩.

b ὑπαγόμενος πειθόμενος, ἀπατώμενος· "γυναικὶ ἀκολάστου καὶ τυραννικοῦ διαβολαῖς ὑπαγόμενος."

ὑπάγουσιν ἀντὶ τοῦ προάγουσι Δημοσθένης ⟨9 65⟩ Φιλιππικοῖς.

ὑπαγωγαί ἀπάται ⟨Demosth. 19 322?⟩.

ὑπαγωγάς τὰς ἀναχωρήσεις. "διώξεις τε καὶ ὑπαγωγάς" φησὶ Θουκυδίδης ⟨3 97⟩. καὶ αὖθις ⟨Agath. 2 21⟩ "καὶ πέρα τοῦ μετρίου δειμαίνοντας ἐς ὑπαγωγὴν μετανίστασθαι" ἀντὶ τοῦ ὑποχώρησιν.

ὑπαγωγεύς ἐργαλεῖόν τι τεκτονικόν, ὥς τινες, σιδηροῦν, οἷον πτυΐδιον, ᾧ χρῶνται οἱ κονιαταί. οἱ δὲ ἐργαλεῖον οἰκοδομικόν, ᾧ ἀπευθύνουσι τὰς πλίνθους πρὸς ἀλλήλας· ὅ τινες παράξυστον καλοῦσιν. οἱ δὲ πηλόν τινα, καθὼς καὶ Ἕρμιππος "ξύνεσι γὰρ δὴ δεσμῷ μὲν οὐδενί, τοῖσι δ' ὑπαγωγεῦσι τοῖς ἑαυτοῦ τρόποις." καὶ Ἀριστοφάνης Ὄρνισι ⟨1149⟩ "καὶ νὴ Δί' αἱ νῆτταί γε περιεζωσμέναι ἐπλινθοφόρουν, ἄνω δὲ τὸν ὑπαγωγέα ἐπέτοντ' ἔχουσαι." ἐζωσμέναι δὲ αἱ νῆτται διὰ τὸ ἔχειν ζώνην λευκήν.

ὑπαγωγή ὑποχώρησις· "ὅπως μὴ ἐθελοκακοῦντες ἐς ὑπαγωγὴν ὀξύτεροι εἶεν, τῶν ἵππων ἀβεβίβασεν."

ὑπαὶ δείους ⟨Hom. K 376⟩ ὑπὸ τοῦ φόβου.

ὕπαιθα εἰς πλάγιον.

ὑπαίθριον ὑπὸ τὸν ἀέρα. καὶ ὕπαιθρον ὁμοίως. Εὐνάπιος ⟨p. 100 Nieb.⟩ "Μάξιμός τε καὶ Πρίσκος λόγου μὲν μετειχέτην, τῆς δὲ τῶν κοινῶν καὶ ὑπαίθρων πραγμάτων πείρας ἐλάχιστον." καὶ αὖθις ⟨p. 115: cf. v. νεωτερίζειν⟩ "ὡς ἂν ὕπαιθρόν τινα καὶ ἔννομον ἀγωνισάμενος μάχην," τουτέστι προφανῆ. καὶ ὕπαιθρος.

ὑπαικάλλων κολακεύων, σαίνων· "Ἄλβιος - - - φάτνην" ⟨cf. v. Ἄλβιος⟩.

ὑπαίμακε διέφθειρεν· ⟨AP 7 51⟩ "οὔ σε κυνῶν γένος εἷλ', Εὐριπίδη, ἀλλ' Ἀίδης καὶ γῆρας ὑπαίμακεν."

ὑπαινιττόμενοι παραδηλοῦντες· "ἔστι τεκμηριῶσαι ὡς ὑπαινιττόμενοι γῆν ἔχειν σιδηροφόρον τῷ τοιῷδε ἐχρήσαντο κόμπῳ."

Ὑπαλπία ὄνομα πόλεως.

ὑπαλύξας ἐκφυγών.

ὑπάλυξις ἔκκλισις.

ὑπανέντος ἐνδόντος.

ὑπανθιῶ ἀεί.

ὑπανίσχει ὑπανατέλλει.

ὑπαντιάζων ὑπαντῶν.

ὑπάξεσθαι ὑπαγαγεῖν, ὑποτάξαι· "ὑπισχνεῖται δὲ πολλὰ μὲν ὑπάξεσθαι αὐτῷ τῶν ἐπὶ τῆς ὄχθης ἐρυμάτων."

ὑπαποτρέχειν ἔχουσι μηδὲ πάτταλον ⟨A Eccl. 284⟩, ἀντὶ τοῦ ὀπίσω τρέχειν, μηδὲ τὸ τυχὸν ἔχουσιν· οἱ γὰρ ὕστερον ἐρχόμενοι εἰς τὴν Πύκνα οὐκ ἐλάμβανον τὸ ἐκκλησιαστικόν.

ὕπαρ ἀλήθεια οὐκ ἐν ὀνείρῳ, τὸ μεθ' ἡμέραν ὄναρ. οἷον φανερῶς, ἀληθὲς ἐναργῶς. ⟨Iulian. ep. 50⟩ "ἐμοὶ διηγοῦ σὺ τὸ σὸν ὄναρ, ἐγὼ δ' ἔοικα τὸ σὸν ὕπαρ ὀνειρώσσεσθαι." ὕπαρ λέγει τὸ μεθ' ἡμέραν ὄναρ, ἢ τὸ ἐναργῶς ὑπάρχον ἀληθές, κατ' ἀποκοπὴν τῆς τελευταίας συλλαβῆς τῆς χον.

ὕπαρ ἐγρηγορός, ὀπτασία ἀληθὴς βεβαίας καὶ ἀληθοῦς ἀγγελίας.

ὑπαραττομένης κινουμένης, πληττομένης· "ἵππων χρεμετιζόντων, τῆς γῆς τοῖς ποσὶν αὐτῶν ὑπαραττομένης, ὅπλων συγκρουομένων."

ὑπαρκτά μόνιμα, ὑπάρχοντα.

ὑπαρξάμενος κατάρξας. "χρόνῳ δὲ οἱ Ἕλληνες, Χίων ὑπαρξάντων, ἐπρεσβεύσαντο πρὸς Λακεδαιμονίους."

ὕπαρχος ὁ ὑφ' ἑτέρου ἀρχόμενος, ὑποτεταγμένος ἑτέρῳ, ὁ μὴ ὢν αὐτοκράτωρ. Σοφοκλῆς ⟨Ai. 1102⟩ "Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν, οὐδ' ἔσθ' ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον ἀρχῆς ἔκειτο θεσμὸς ἢ καὶ τῷδε σέ." ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων στρατηγὸς ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.

ὑπάρχων προκατάρχων· ⟨Athen. p. 61[?]⟩ "ὡς οὐχ ὑπάρχων ἀλλὰ τιμωρούμενος." τὸ ὑπάρχειν οὐχ ἁπλῶς τὸ εἶναι σημαίνει, ἀλλὰ τὸ πάλαι εἶναι καὶ προεῖναι, φθάσαι. Μένανδρος "οὐχὶ παρακληθέντας ἐμοὶ δεῖ γὰρ ἡμῖν εὐνοεῖν, ἀλλ' ὑπάρχειν τοῦτο."

ὑπασπισταί δορυφόροι· "τῷ δὲ Λεωρόῃ ὑπασπισταὶ καὶ δορυφόροι λ' εἵποντο[?]."

ὑπατεία ἡγεμονία.

ὕπατε κρειόντων ⟨Hom. Θ 31⟩ βασιλεῦ βασιλευόντων, ἐξοχώτατε, μέγιστε.

ὑπάτη χορδὴ μουσικὴ βαρὺν φθόγγον ἀποτελοῦσα. ⟨AP 7 233⟩ "νοῦσον ὅτ' εἰς ὑπάτην ὠλίσθανε, τέρμα τ' ἄφυκτον εἶδεν, ἀριστείην ἐμφανὲς εἰς ἰδίην· πῆξε δ' ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος."

Ὑπατία ἡ Θέωνος τοῦ γεωμέτρου θυγάτηρ, τοῦ Ἀλεξανδρέως φιλοσόφου, καὶ αὐτὴ φιλόσοφος καὶ πολλοῖς γνώριμος, γυνὴ Ἰσιδώρου τοῦ φιλοσόφου, ἤκμασεν ἐπὶ τῆς βασιλείας Ἀρκαδίου. ἔγραψεν ὑπόμνημα εἰς Διόφαντον, τὸν ἀστρονομικὸν κανόνα, εἰς τὰ κωνικὰ Ἀπολλωνίου ὑπόμνημα. αὕτη διεσπάσθη παρὰ τῶν Ἀλεξανδρέων, καὶ τὸ σῶμα αὐτῆς ἐνυβρισθὲν καθ' ὅλην τὴν πόλιν διεσπάρη. τοῦτο δὲ πέπονθε διὰ φθόνον καὶ τὴν ὑπερβάλλουσαν σοφίαν καὶ μάλιστα εἰς τὰ περὶ ἀστρονομίαν, ὡς μέν τινες, ὑπὸ Κυρίλλου, ὡς δέ τινες, διὰ τὸ ἔμφυτον τῶν Ἀλεξανδρέων θράσος καὶ στασιῶδες. πολλοῖς γὰρ καὶ τῶν κατ' αὐτοὺς ἐπισκόπων τοῦτο ἐποίησαν· τὸν Γεώργιον σκόπει καὶ τὸν Προτέριον.

b αὕτη ἐν Ἀλεξανδρείᾳ καὶ ἐγεννήθη καὶ ἀνετράφη καὶ ἐπαιδεύθη, τὴν δὲ φύσιν γενναιοτέρα τοῦ πατρὸς οὖσα οὐκ ἠρκέσθη τοῖς διὰ τῶν μαθημάτων παιδεύμασιν ὑπὸ τῷ πατρί, ἀλλὰ καὶ φιλοσοφίας ἥψατο τῆς ἄλλης οὐκ ἀγεννῶς, περιβαλλομένη δὲ τρίβωνα ἡ γυνὴ καὶ διὰ μέσου τοῦ ἄστεος ποιουμένη τὰς προόδους ἐξηγεῖτο δημοσίᾳ τοῖς ἀκροᾶσθαι βουλομένοις ἢ τὰ τοῦ Πλάτωνος ἢ τοῦ Ἀριστοτέλους ἢ ἄλλου ὁτουδὴ τῶν φιλοσόφων. πρὸς δὲ τῷ διδασκαλικῷ καὶ ἐπ' ἄκρον ἀναβᾶσα τῆς πρακτικῆς ἀρετῆς, δικαία τε καὶ σώφρων γενονυῖα, διετέλει παρθένος, οὕτω σφόδρα καλή τε οὖσα καὶ εὐειδὴς ὥστε καὶ ἐρασθῆναί τινα αὐτῆς τῶν προσφοιτώντων. ὁ δὲ οὐχ οἷός τε ἦν κρατεῖν τοῦ ἔρωτος, ἀλλ' αἴσθησιν ἤδη παρείχετο καὶ αὐτῇ τοῦ παθήματος. οἱ μὲν οὖν ἀπαίδευτοι λόγοι φασὶ διὰ μουσικῆς αὐτὸν ἀπαλλάξαι τῆς νόσου τὴν Ὑπατίαν· ἡ δὲ ἀλήθεια διαγγέλλει πάλαι μὲν διεφθορέναι τὰ μουσικῆς, αὐτὴν δὲ προενεγκαμένην τι τῶν γυναικείων ῥακῶν αὐτοῦ βαλλομένην, καὶ τὸ σύμβολον ἐπιδείξασαν τῆς ἀκαθάρτου γενέσεως, "τούτου μέντοι" φάναι "ἐρᾷς, ὦ νεανίσκε, καλοῦ δὲ οὐδενός." τὸν δὲ ὑπ' αἰσχύνης καὶ θάμβους τῆς ἀσχήμονος ἐπιδείξεως διατραπῆναί τε τὴν ψυχὴν καὶ διατεθῆναι σωφρονέστερον. οὕτω δὲ ἐχούσαν τὴν Ὑπατίαν, ἔν τε τοῖς λόγοις ἐντρεχῆ οὖσαν καὶ διαλεκτικὴν ἔν τε τοῖς ἔργοις ἔμφρονά τε καὶ πολιτικήν, ἥ τε ἄλλη πόλις εἰκότως ἠσπάζετό τε καὶ προσεκύνει διαφερόντως, οἵ τε ἄρχοντες ἀεὶ προχειριζόμενοι τῆς πόλεως ἐφοίτων πρῶτοι πρὸς αὐτήν, ὡς καὶ Ἀθήνησι διετέλει γινόμενον· εἰ γὰρ καὶ τὸ πρᾶγμα ἀπόλωλεν, ἀλλὰ τό γε ὄνομα φιλοσοφίας ἔτι μεγαλοπρεπές τε καὶ ἀξιάγαστον εἶναι ἐδόκει τοῖς μεταχειριζομένοις τὰ πρῶτα τῆς πολιτείας. ἤδη γοῦν ποτε συνέβη τὸν ἐπισκοποῦντα τὴν ἀντικειμένην αἵρεσιν Κύριλλον, παριόντα διὰ τοῦ οἴκου τῆς Ὑπατίας, ἰδεῖν πολὺν ὠθισμὸν ὄντα πρὸς ταῖς θύραις ἐπιμὶξ ἀνδρῶν τε καὶ ἵππων, τῶν μὲν προσιόντων τῶν δὲ ἀπιόντων τῶν δὲ καὶ προσισταμένων, ἐρωτήσαντα δὲ ὅ τι εἴη τὸ πλῆθος καὶ περὶ οὗ κατὰ τὴν οἰκίαν ὁ θόρυβος, ἀκοῦσαι παρὰ τῶν ἑπομένων ὅτι προσαγορεύοιτο νῦν ἡ φιλόσοφος Ὑπατία, καὶ ἐκείνης εἶναι τὴν οἰκίαν. μαθόντα δὲ οὕτω δηχθῆναι τὴν ψυχὴν ὥστε φόνον αὐτῇ ταχέως ἐπιβουλεῦσαι πάντων φόνων ἀνοσιώτατον· προελθοῦσῃ γὰρ κατὰ τὸ εἰωθὸς ἐπιθέμενοι πολλοὶ ἀθρόοι θηριώδεις ἄνθρωποι, ὡς ἀληθῶς σχέτλιοι, οὔτε θεῶν ὄπιν εἰδότες οὔτ' ἀνθρώπων νέμεσιν, ἀναιροῦσι τὴν φιλόσοφον, ἄγος τοῦτο μέγιστον καὶ ὄνειδος προστριψάμενοι τῇ πατρίδι. καὶ ὁ βασιλεὺς ἠγανάκτησεν ἐπὶ τούτῳ, εἰ μὴ Αἰδέσιος ἐδωροδοκήθη καὶ τῶν μὲν σφαγέων ἀφείλετο τὴν ποινήν, ἐφ' ἑαυτὸν δὲ καὶ γένος τὸ ἀφ' ἑαυτοῦ ταύτην ἐπεσπάσατο, καὶ ἐξέπλησε δίκην ὁ τούτου ἔκγονος. τούτων δὲ ἡ μνήμη ἔτι σωζομένη τοῖς Ἀλεξανδρεῦσι συνέστελλεν εἰς μικρὸν κομιδῇ τὴν περὶ τὸν Ἰσίδωρον τῶν Ἀλεξανδρέων τιμήν τε καὶ σπουδήν, ὅτε καὶ τοιούτου ἐπικρεμαμένου δέους ὅμως ἕκαστοι ἔσπευδον αὐτῷ συνεῖναι θαμὰ καὶ τῶν ἀπὸ τοῦ σωφρονοῦντος στόματος ἰόντων ἀκροᾶσθαι λόγων, ἐπεὶ καὶ ὅσοι ῥητορικῶν προΐσταντο διατριβῶν ἢ ποιητικῶν, ἠσπάζοντο τὴν τοῦ φιλοσόφου συχνὴν ὁμιλίαν. εἰ γὰρ καὶ ἀνάγωγος ἦν τὰ τοιαῦτα, ἀλλὰ τῇ γε ἄλλῃ φιλοσόφῳ ἀκριβείᾳ προσετίθει τι καὶ ἐκείνοις ἐπιμελέστερον εἰς τὰ σφέτερα αὐτῶν τεχνύδρια. τά τε γὰρ ἄλλα διηκρίβωτο, καὶ τῶν ἐπιδεικνυμένων λόγων τε καὶ ποιημάτων κρί-

σιν ἐποιεῖτο διαφέρȣσαν τῶν ἄλλων. διὸ καὶ ἐν τοῖς ἐπί τινι λογικῇ ἀκροάσει θεάτροις ὀλίγα μὲν ἐπῄνει τȣ̀ς ἐπιδεικνυμένȣς καὶ πάνυ ἡσυχάζοντι τῷ ἐπαίνῳ, καιρίως δὲ ὅμως καὶ κατὰ λόγον. ὅθεν ἅπαν τὸ θέατρον ὡς εἰπεῖν τῇ ἐκείνȣ κρίσει γνώμονι διεχρῆτο τῶν ἄμεινον ἢ χεῖρον λεγόντων. τῶν δὲ ἐπ' ἐμȣ̃ γεγονότων κριτικȣ̀ς ἄνδρας ἐπίσταμαι τρεῖς τὰ λεγόμενα κρίνειν δυναμένȣς ἄνευ τε μέτρȣ. τȣ̃ γὰρ αὐτȣ̃ ἡ μὲν κρίσις ὁμολογεῖται ὅσα ποιημάτων καὶ συγγραμμάτων· ἐγὼ δὲ καὶ δημιȣργὸν ἡγȣ̃μαι τὸν αὐτὸν ἑκατέρων, μόνον εἰ γυμνασία πρὸς ἑκάτερον ἴση γένοιτο καὶ διὰ προθυμίας τῆς ἴσης. ἕνα δὲ τȣ́των ȣ̃ φημι τὸν Ἰσίδωρον, ἀλλὰ καὶ πολλῷ ἐλαττȣ̃σθαι τῶν τριῶν. οἱ δὲ κριταὶ Ἀγάπιος Σεβηριανὸς Νόμος. ἡμέτερος δὲ ἡλικιώτης ὁ Νόμος. Damascius.

a ὕπατοι (an ἥπατοι) εἶδος ἰχθύος κητώδȣς, οἳ καλȣ̃νται καὶ πρόβατα καὶ πρέποντες. ἀριθμοῖτο δ' ἂν ἐν τȣ́τοις καὶ ὁ ὄνος. Aelian. H. A. 9 38.

b ὕπατοι οἱ τὴν τῶν Ῥωμαίων πολιτείαν διοικȣ̃ντες. ἀποσεισαμένη γὰρ τὴν δȣλείαν ἡ πολιτεία μετὰ θάνατον Ταρκυνίου δύο στρατηγοῖς, ἐνιαυσιαίαν ἔχȣσιν ἀρχήν, τὴν ἐξȣσίαν ἐπέτρεψε, τῷ μὲν ἀριθμῷ τῶν ἀνδρῶν τὸν τῆς μοναρχίας διωθȣμένη φόβον, τῷ δὲ συνεσταλμένῳ τῆς ἐξȣσίας μετρίȣς τȣ̀ς ἐν τῇ προστασίᾳ τῶν κοινῶν ἀπεργαζομένη. ὁ γὰρ νῦν ὑπὸ πελέκεσί τε καὶ ῥάβδοις δορυφορȣ́μενος καὶ στρατοπέδων ἐξηγȣ́μενος, τῆς μετ' ὀλίγον μεταβολῆς εἰς ἔννοιαν καθιστάμενος μέτριόν τε καὶ δημοτικὸν παρεῖχεν ἑαυτὸν τοῖς ἀρχομένοις. εἰ δ' ἄρα τις βαρέως τε καὶ ἀλαζονικῶς χρῷτο τῇ δυναστείᾳ, ῥᾳδίως ȣ̃τος ὑπὸ θατέρȣ τῶν ἡγεμόνων, ἰσοπαλῆ δύναμιν ἔχοντος, γυμνȣ̃ται τȣ̃ φρονήματος. τȣ́τῳ ȣ̃ν δὴ τῷ τρόπῳ τῆς πολιτείας φυγȣ́σης τυραννίδος βαρύτητα καὶ δημοκρατίας ἀκολασίαν, προχειρίζεται πρώτȣς στρατηγȣ̀ς αὐτοκράτορας ἄνδρας δύο, κονσȣ́λους αὐτοὺς ὀνομάσασα οἷα δὴ προβȣ́λȣς καὶ προηγόρȣς τινάς· ȣ̀ς Ἕλληνες μετὰ ταῦτα διὰ τὴν ὑπεροχὴν τῆς ἐξȣσίας ὑπάτȣς προσηγορεύκασι. Io. Antioch. ?

c πρῶτος δὲ ὕπατος εὐνούχων ἀπεδείχθη ἐπὶ Ὀνωρίȣ καὶ Ἀρκαδίȣ, τῶν υἱῶν Θεοδοσίȣ, Εὐτρόπιος ὁ πρόκοιτος τȣ̃ βασιλέως. ἐδιφροφορεῖτο δὲ διὰ τῆς πόλεως, ȣ̀δὲν τῶν δεινῶν ἀπολιμπάνων, τὰς μὲν ἀρχὰς ··· ἐκεῖθεν ἀφῃρέθη. cf. v. Εὐτρόπιος a.

Θεοδόσιος δὲ ὁ μικρὸς διαβληθέντα αὐτῷ Ἀντίοχον τὸν πραιπόσιτον καθεῖλε τῆς τιμῆς, καὶ δημοσιεύσας αὐτὸν ἐν τοῖς ἱερεῦσι κατέταξε, διάταξιν ἐκφωνήσας, εὐνȣ́χȣς ἐν τοῖς πατρικίοις μὴ τελεῖν. cf. v. Ἀντίοχος c.

ὕπατον μέγαν, ὑψηλόν.

ὑπ' αὐγάς ὑπὸ τὸν ὄρθρον, ἢ ὑπὸ τὸν πεφωτισμένον ἀέρα.

ὕπαυλον ἐνδόμυχον, ὑπὸ τὴν αὐλὴν τῆς σκηνῆς. sch. S Ai. 796.

ὑπαχθέντες ἀπατηθέντες.

ὑπέβρεχον οἴνῳ ἐμεθύσκοντο· "ἤτε ὑπέβρεχον θαμινὰ πίνοντες καὶ ἀκράτȣ σπῶντες."

ὑπεδέξαντο ἐνεχειρίσαντο, ἀντελάβοντο· "οἷς μὴ βȣληθέντες ὡς κατ' αὐτȣ̃ στρατευομένοις συμμαχεῖν, τὸν πόλεμον ὑπεδέξαντο."

ὑπεδέξαντο, καὶ ὑπεδέχοντο· "πολλοὶ δὲ τῶν Γετῶν μεθίσταντο, καὶ τρισχίλιοι κατεκομίσθησαν. ἐντυχόντες δὲ τοῖς στρατηγοῖς εὖνοί τε ἔσεσθαι ὑπεδέχοντο καὶ ὑπακȣ́ειν τοῖς ἐπιτάγμασιν."

ὑπέδυ (Hom. κ 398) ὑπεισῆλθεν.

ὑπέδυσαν ἐδεδοίκεσαν· "παραυτίκα ἐπιθέσθαι οἷσπερ πάλαι ὑπέδυσαν" (cf. v. Μυσοί).

ὑπεζωσμένος περιβεβλημένος, ἐπιφερόμενος.

ὑπειδόμενος ὑφορώμενος, καὶ ὑπείδετο προσεδόκησε. "τὸ δὲ μειράκιον οὐδὲν ὑπειδόμενον· τίς δ' ἂν ὑπώπτευε χρέας ἐπὶ ξένων καὶ πτωχῶν ἐπὶ κοινȣ̃ δεδομένον;"

ὑπεικάθων ὑποχωρῶν, καὶ ὑπεικάθοιμι.

ὑπειλημμένον ὑπονενοημένον.

ὑπείξομεν ὑποχύψομεν, ὑποχωρήσομεν.

ὑπείπομεν ἀντὶ τȣ̃ προείπομεν. καὶ ὑπειπεῖν ὑπαγορεύειν.

ὑπειπούσης παρ' Ἀριστοφάνει (Plut. 998) ἀντὶ τȣ̃ ἠρέμα φθεγξαμένης. "κατασκεδασταί σοι, ὦ γενναῖε, καὶ τὸ τῆς πρεσβυ... ὑπειπὼν ὄνομα, ἐν μοίρᾳ ἡμᾶς τῇ ἀτιμοτά... τῃ συντάξαι."

Ὑπείρονος. Hom. Ε 144.

Ὑπειροχίδης. Hom. Λ 673.

ὑπείροχος ὁ ὑπερέχων.

ὑπεκίνει παρέτρεπε· "πρῶτον μὲν ὑπεκίνει αὐτοῖς τὰς γνώμας, ἔπειτα ἐς λείαν

πολλὴν καὶ ἀνόητον προῆγεν."

ὑπέκκαυμα ἡ ὕλη τῆς φλογός, ἡ τροφή. καὶ τῶν παθῶν ὑπεκκαύματα αἱ τροφαὶ τῶν παθῶν, αἳ τρέφουσι τὰ πάθη.

ὑπεκρέσω ἠνίξω· Ἀριστοφάνης Πλούτῳ (548) "τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτωχῶν δ' ὑπεκρέσω." ἢ ἀντὶ τοῦ ἐφθέγξω, ἀνεκρέσω, ἀπὸ μεταφορᾶς τῶν κιθαρῶν ἤ τινος ἄλλου ὀργάνου.

ὑπελάβομεν προσδεχόμεθα, φησί, ταύτην σου τὴν ἐπικουρίαν. Δαβίδ (Ps. 47 9) "ὑπελάβομεν ὁ θεὸς τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου."

ὑπελθεῖν ὑποδραμεῖν. καὶ ὑπελθούσης ἀντὶ τοῦ ἀπατησάσης· (Ioseph. A. I. 5 1 2) "οἱ δὲ τῆς γυναικὸς αὐτοὺς οὕτως ὑπελθούσης οὐδένα ὑπονοήσαντες δόλον ἀπῆλθον."

ὑπελύθη ἐξητόνησεν, ἐξεχαυνώθη· "ἐν δὲ τούτῳ τὸ ἀκμαιότατον τῆς ὁρμῆς αὐτοῖς ὑπελύθη."

ὑπέμβρυον (Hom. ι 245) τὸ ὑπὸ τῇ θηλαζούσῃ νεογνόν.

ὑπέμειναν προσεδόκησαν· (Ps. 118 95) "ἐμὲ ὑπέμειναν ἁμαρτωλοί."

ὑπέμεινεν ἔκρινεν, ἐλογίσατο· "ὁ δὲ Τίτος διαφυγόντα μὲν ἐκ τῶν πολεμίων ἀνελεῖν οὐχ ὑπέμεινε, διεδέξατο δὲ τῆς στρατιᾶς." καὶ αὖθις "ὁ δὲ Πρόκλος ἐκέλευσεν Ἰσίδωρον τριβωνοφορεῖν· ὁ δὲ οὐχ ὑπέμεινε, καὶ ταῦτα Πρόκλον ἴσα καὶ θεῷ σεβόμενος" (cf. v. τριβωνοφόρος).

ὑπένερθεν (Hom. Β 150) ὑποκάτωθεν.

ὑπενήνεκται ὑπεσύρη.

ὑπενόθευσεν (2 Maccab. 4 7) ὑπέφθειρεν.

ὑπενόμευεν ὑπόνομον εἰργάζετο, ὑπώρυττε· "τῆς δὲ γῆς ὑπαντώσης ταύτην ὑπενόμευεν."

ὑπενοστήσαμεν ὑπεχωρήσαμεν, ἐπανήλθομεν.

ὑπεξελεύσεις τιμωρίας, βασάνους, ἐφευρέσεις· Πισίδης "ὁ δὲ Χοσρόης ὑπεξελεύσεις ποικίλας ὑφίστατ' ἐμπόνους."

ὑπεξέπεμψεν ὑπεξήγαγεν, ἀπέπεμψεν· Ἰάμβλιχος "ὄντας ὡραίους καὶ καλοὺς τοὺς παῖδας ὁ πατὴρ ὑπεξέπεμψεν εἰς τοὺς ποιμένας, φοβούμενος τύραννον ὑβριστήν" (cf. v. διακωδωνίσω).

ὑπεξέσχεν ἀφίκετο· "ὅτι Κάμιλλος ὁ τῶν Ῥωμαίων στρατηγὸς ἐπιφθονώτατος τοῖς πολίταις γενόμενος, ἐγράφη ὑπὸ τῶν δημάρχων ὡς μηδὲν ἐκ τῆς λείας τῶν πολεμίων τὸ δημόσιον ὠφελήσας, καὶ ἑκουσίως πρὸ τῆς δίκης ὑπεξέσχεν." οὕτω Δίων (Cass. fr. 24 4). καὶ Ἡρόδοτος (6 74) "ὁ δὲ δεῖμα ἔλαβε Σπαρτιητέων, καὶ ὑπεξέσχεν ἐς Θεσσαλίην. ἐντεῦθεν ἀφικόμενος ἐς τὴν Ἀρκαδίην νεώτερα ἔπρησσε πρήγματα." ὑπεξέσχεν οὖν ἀντὶ τοῦ ἔφυγεν, ἀπέδρασεν.

ὑπεξηρήσθωσαν ἐκβεβλήσθωσαν, χωρισθήτωσαν.

ὑπεξιοῦσα· "νεᾶνις γὰρ ἄρτι τῶν παρθενικῶν θαλάμων ὑπεξιοῦσα."

ὑπέπισα ἐπότισα.

ὑπέπριε τοὺς ὀδόντας.

ὑπέρ πλέον. καὶ ὁ ἀπόστολος (2 Cor. 11 23) "ὑπὲρ ἐγώ" ἀντὶ τοῦ πλέον ἐγώ.

ὑπέρα τὸ τοῦ κέρατος τοῦ ἱστοῦ σχοινίον, ᾧ ἀνίεταί τε καὶ διατείνεται. γέγονε δὲ ἀπὸ τούτου παροιμία ἐπὶ τῶν ἃ δεῖ ἔχειν ἀφιέντων, ἃ δὲ μὴ δεῖ κρατούντων.

ὑπεράγασθαι ὑπερθαυμάζειν.

ὑπεράγοντα ὑπερέχοντα· "τὸν δὲ ὑψηλὸν ἡλικίᾳ ὄντα, καὶ ὑπεράγοντα τὸν ἐπίσκοπον, τὴν βλάβην τῇ κεφαλῇ δέξασθαι."

ὑπεραίρομαι ὑψοῦμαι· "ἵνα μὴ ὑπεραίρωμαι" ὁ ἀπόστολος (2 Cor. 12 7).

ὑπεραίσιον τὸ ὑπὲρ τὴν μοῖραν.

ὑπέρακμος ὑπερδραμὼν τὴν ὥραν.

ὑπερακοντίζεις σύ γ' ἤδη Νικίαν τὸν στρατηγοῦντα μηχαναῖς καὶ τοῖς στρατηγήμασι" (A Av. 362). Σύμμαχος πρὸς τὴν Μήλου πολιορκίαν. Φρύνιχος Μονοτρόπῳ "ἀλλ' ὑπερβέβληκε πολὺ τὸν Νικίαν στρατηγίας πλήθει τε καὶ εὑρήμασιν." ἢ ὅτι φρονιμώτατα Μηλίους λιμῷ ἀνεῖλεν.

ὑπεραλγῆ χόλον (S El. 176) ἄγαν ὀδυνηρόν, λυπηρόν. καὶ αὖθις (Polyb. 3 79) "ὑπεραλγὴς ὢν διὰ τὴν βαρύτητα τῆς ἐπενεχθείσης ὀφθαλμίας αὐτῷ." καὶ αὖθις "ὁ δὲ ἵππος ὑπεραλγὴς ὢν ἐκ τῆς πληγῆς ῥύδην ἐφέρετο" (cf. v. ἀποσφαλμήσας).

ὑπεραναιδεσθήσομαι τῇ ἀναιδείᾳ νικηθήσομαι, οἷον ἀναιδέστερός μου φανήσεται. sch. A Eq. 1203.

ὑπερανάστης μετανάστης, μεταβάτης.

ὑπέραντλον πλήρη· "οἱ δὲ ὑπέραντλον ποιησάμενοι τὸ πλοῖον ἀσφαλῶς παρεκομίσθησαν εἰς τὴν νῆσον."

ὑπεράριθμος· "οὗτος ὁ ἀριθμὸς τῶν

σχολαρίων καλυμένων. τρισχιλίων πεντακοσίων ὄντων, ἑτέρυς δισχιλίυς ἐντέθεικεν Ἰυστινιανός, οὓς οὕτως ἐκάλεσεν" (cf. Procop. Arc. 24).

ὑπερασπιστής φύλαξ, βοηθός.

ὑπερβάθμιον πόδα ῥιπτῶν ἀντὶ τῦ ἀτάκτως, ἀπρεπῶς διαπραττόμενος (Damasc.) "οὐδὲ ὑπερβάθμιον πόδα ῥιπτῶν κατὰ τὸ λόγιον εἰς τὴν θεοσέβειαν, ἀλλὰ μέτρα ὁρίζων ἑαυτῷ τῆς ἡλικίας ἄξια, γνησίῳ καὶ καθαρῷ συνειδότι μεταχειρίζων τὰ περὶ τὺς θεούς."

ὑπερβαλλόντως λίαν.

ὑπερβάλοι ὑπερδράμοι.

ὑπερβασίας (Hom. χ 168) ὅρκων παραβάσεις, ἐπιορκίας.

ὑπερβερεταῖος ὄνομα μηνός, καὶ παροιμία ὑπερβερεταῖος. ἐπὶ τῶν ὑπερχρονίων εἴρηται· παρὰ γὰρ Μακεδόσιν ὁ τελευταῖος μὴν τοῦ ἐνιαυτοῦ ὑπερβερεταῖος ἀνεγράφη.

ὑπερβίη ἡ ἀδικία.

ὑπέρβιον ὑπερβίως, οἷον ἄγαν βιαίως ἢ ὑπερβαλλόντως τῇ βίᾳ. ὑπερήφανον.

ὑπερβολή ἡ ἀνόρθωσις. "πολλῦ ὠθισμοῦ γενομένυ ἐν τῇ τῶν κλιμάκων ὑπερβολῇ." καὶ αὖθις "ἐν ταῖς τῶν ὀρῶν ὑπερβολαῖς ἐκρύπτετο."

ὑπερβολιμαῖον.

ὑπέρβολον λίθον· ὅτε γὰρ κατεπόντυν τινάς, βάρος ἀπὸ τῶν τραχήλων ἀπεκρέμαζον. Ἀριστοφάνης (Eq. 1360) "ἄρας μετέωρον εἰς τὸ βάραθρον ἐμβαλῶ, ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας ὑπέρβολον." ἔστι δὲ καὶ ὄνομα κύριον, ἦν δὲ φιλόδικος· Ἀριστοφάνης (Ach. 846) "κοὐ ξυντυχὼν σ' Ὑπέρβολος δικῶν ἀναπλήσει." καὶ ἔςιν ἐν τῷ ἀναπειστηρίῳ περὶ τοῦ Ὑπερβόλου.

Ὑπέρβολος δημαγωγὸς ἦν, ὃν Θυκυδίδης ἐν τῇ ή (73) ἐξωστρακίσθαι φησίν.

Ὑπερβόρειοι ἔθνος ἀρκτικώτερον καὶ ἐνδότερον τῶν Σκυθῶν.

Ὑπερβορέων· (AP 6 240) "νοῦσον τὴν στυγερὴν αὐθημερὸν ἐκ βασιλῆος ἐσθλοτάτου πέμψαις ἄχρις Ὑπερβορέων," ἀντὶ τοῦ πόρρω αὐτοῦ.

ὑπερβριθές μέγα καὶ βαρύ· (S Ai. 951) "ὑπερβριθὲς ἄχθος ἤνυσαν."

ὑπεργαμία ἡ ὀψιγαμία.

ὑπέργηρως ἀττικῶς.

ὑπερδέα δῆμον (Hom. P 330) ὑπερβαλλόντως ἐνδεᾶ, οἷον πάνυ ἐλάσσονα πα[...] δύναμιν, τὸν ἄγαν ἐνδεᾶ.

ὑπερδέξιον χωρίον. "εἶχον δ' ὑπερδέξιον" οἷον χαλεπώτατον Ξενοφῶν φη[σι] (Anab. 4 8 2).

ὑπερεδυνάμωσαν κατεδυνάστευσαν· Δαβίδ (Ps. 64 3) "λόγοι ἀνόμων ὑπερεδυνάμωσαν."

ὑπερέθεντο ἐβυλεύσαντο· "τῦτον κ[α]ταβαλεῖν ὑπερέθεντο, καὶ πρὸς μάχην εἶδω[...]

Ὑπέρεια (Hom. Z 457) ὄνομα κρήνης.

ὑπερείδυσα ὑποστηρίζυσα, καὶ ἐπ[ε]ρείσουσιν, ἐκ τοῦ ἐρείδω τὸ ἀκυμβ[...]

ὑπερεμφορεῖσθαι ὄψων.

ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴ[ν] ἔχων λέγειν" (A Ach. 317). ἐὰν μὴ λέγω, [...] σί, δίκαια, τῆς κεφαλῆς ἀφαιρεθείην. ἐπ[ί]ξηνον δὲ μαγειρικὸς κορμός, ἐφ' ᾧ τὰ κρ[έα] συγκόπτυσιν. cf. v. ἐπίξηνος.

ὑπερεπυππάζοντό με ὑπερεπλήσσοντό με, κατεπλήσσοντό με καὶ τὴν φ[...] μίαν ὑπερεθαύμαζον τὴν ἐμήν. διασύρει [...] αὐτοὺς ὡς μικροθαυμάστυς καὶ ταχέως ἀπ[α]τωμένυς ὀλίγῳ λήμματι. πύππαξ ἐπεφώνε[ι] ὃ ἡμεῖς ποππύζειν λέγομεν. sch. A Eq. 677.

ὑπερεπυρρίασεν· Ἀριστοφάνης (Ra. 307) "ὁδὶ δὲ δείσας ὑπερεπυρρίασεν," [...] τοῦ πυρρὸς ἐγένετο.

ὑπερέσχεθε γαίης. Ὅμηρος (Λ [...]) περὶ ἡλίου φησὶν ἐξ ἡρωικοῦ προσώπυ [...] γῆς τὰς ἀνατολὰς εἶναι, ὁ δὲ αὐτὸς ἐκ [...] ἰδίυ προσώπυ ἐξ ὠκεανοῦ.

ὑπερευδοκούμενοι ὑπεραρεσκόμενοι· "οἱ δὲ Ῥωμαῖοι ὑπερευδοκούμενοι κατὰ [...]τα τρόπον τῇ τῦ Σκιπίωνος ὁμολογίᾳ [...] τῷ χειρισμῷ τῶν πραγμάτων."

ὑπερέχει ὑπερμαχεῖ, ὑπερασπίζει. [...] (A Pac. 17) "ὑπερέχειν τῆς ἀντλίας," ἀντὶ τοῦ περιγίνεσθαι τοῦ πράγματος μὴ δύνα[...]σθαι.

Ὑπερέχιος Ἀλεξανδρεὺς γραμματικὸ[ς] ἐπὶ τῶν χρόνων Μαρκιανοῦ τοῦ βασιλέω[ς] ἔγραψε τέχνην γραμματικήν, περὶ ὀνομάτω[ν] περὶ ῥήματος καὶ ὀρθογραφίας.

ὑπερέχων ὑπερνικῶν· "καί τις ἦν [...] τοὺς πλείστους καλλωπισμὸς ὑπερέχων [...] τῦ βίυ χορηγίαν" (cf. v. ἐσπούδαζον).

ὑπερηγάπησεν· (Ioseph. A. I. 12 4 6) [...] δὲ πατὴρ τῦτον ὑπερηγάπησε τοῦ φρονήμα[...]τος καὶ τῆς ὀξυτάτης διανοίας ὑπερεπαι[...]

ις."

ὑπερηγάσϑην ὑπερεϑαύμασα.

ὑπερηγορῶν ὑπὲρ αὐτοῦ λαλῶν· ⟨Damasc.⟩ "ὁ δὲ Ἰσίδωρος ὑπερηγορῶν τȣ Σωκράτȣς βαϑύτερον ἢ κατ' ἀκροατὰς διελέγετο."

ὑπερημερίας ὑπερβαλλούσης ἐκπροϑεσμίας, ὅταν μετὰ μίαν ἡμέραν τῆς μνείας λάϑῃ.

ὑπερήμεροι οἱ ἐν ταῖς καταδίκαις πρὸς ἔκτισιν ἡμέρας λαβόντες καὶ μὴ διαλυσάμενοι. οἱ δίκην ὀφείλοντες ὁποιανοῦν καὶ τὰ ἐπιτίμια τοῖς ἑλοῦσι μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προϑεσμίαις ὑπερήμεροι ἐκαλοῦντο. τὸ δὲ πρᾶγμα ὑπερημερία. Harp.

ὑπερήμερος ὑπερπρόϑεσμος ἢ ἐκπρόϑεσμος· ⟨Procop. Goth. 4 26⟩ "τοῖς δὲ δὴ ἐπὶ τῆς Ἰταλίας στρατιώταις ἐκλῦσαι τὰ πρόσϑεν ὀφλήματα πάντα, ἐφ' οἷσπερ αὐτοῖς ὑπερήμερος χρόνȣ πολλοῦ βασιλεὺς ἐγεγόνει, οὐ κομιζομένοις ἐκ τοῦ δημοσίȣ τὰς συντάξεις."

ὑπερήμερος καὶ ὑπερημερία. ὅταν μετὰ τὴν κυρίαν, ἑορτὴν τυχὸν ἢ τινος ἄλλου ἢ συλλόγου ἢ δεδειγμένου πράγματος, ἀπαντήσῃ τις, τότε ὑπερήμερος καὶ ἐξ ὑπερημερίας ἐληλυϑέναι λέγεται, καὶ κατόπιν τῆς ἑορτῆς, εἰ τύχοι, πλεῖστον τῆς ἑορτῆς ἀπολειφϑείς.

ὑπερηνορεόντων ὑπερεχόντων τῇ δυνάμει.

ὑπερήνωρ ὑπερήνορος.

ὑπερῆραν ὑπερέβησαν· Πολύβιος ⟨1 25⟩ "κάμψαντες δὲ τὸν Πάχυνον ὑπερῆραν εἰς Ἔκνομον."

ὑπερηφανημένος ἀντὶ τȣ καταπεφρονημένος παρά τινος.

ὑπερηφανία.

ὑπερήφανον πολύ· "πάντων τῶν τοίχων κεκονιαμένων εἰς ὕψος ὑπερήφανον."

ὑπερήφανος. "πάσῃ κακίᾳ ἀντίκειται ἀρετή, τῇ λαγνείᾳ ἡ σωφροσύνη, τῇ λαιμαργίᾳ ἡ ἐγκράτεια, τῇ πλεονεξίᾳ ἡ δικαιοσύνη, τῇ ὀργῇ ἡ πραότης, τῇ λύπῃ ἡ χαρά, τῇ λήϑῃ ἡ μνήμη, τῇ ἀκηδίᾳ ἡ ὑπομονή, τῇ ἀφροσύνῃ ἡ φρόνησις, τῇ δειλίᾳ ἡ ἀνδρία, τῇ κενοδοξίᾳ ἡ ταπεινοφροσύνη, καὶ ταῖς λοιπαῖς. τῷ δὲ τύφῳ μόνῳ οὐκ ἀντίκειται ἀρετη διὰ τὴν ὑπερβάλλȣσαν κακίαν, ἑαυτὸν δὲ ἀντέταξεν ὁ ϑεός· κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, καὶ ὁ προφήτης ⟨Ps. 73 4⟩ 'ἔπαρον τὰς χεῖράς σȣ ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν,' καὶ ⟨93 2⟩ 'ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.' παρὰ δὲ τῷ ἀποστόλῳ ⟨Rom. 1 30⟩ τοὺς κατὰ τῶν οὐκ ἐχόντων ἐφ' οἷς ἔχȣσι φυσωμένȣς ὑπερηφάνȣς νοητέον." καὶ Αἰλιανός "οἳ δὲ ἔκειντο ϑέαμα ἔνδοξόν τε καὶ ὑπερήφανον," ἀντὶ τȣ περίβλεπτον. ὑπερήφανος καὶ ὁ λαμπρός· Αἰλιανός "καὶ στρωμναῖς ὕφει τινὶ ὑπερηφάνῳ κεκοσμημέναις."

ὕπερϑεν ἐπάνω· ἐν ἐπιγράμματι ⟨AP 6 155⟩ "οἴκȣ καὶ κτεάνων χεῖρας ὕπερϑεν ἔχειν."

ὑπὲρ ϑέναρος παρ' Ὁμήρῳ ⟨E 339⟩ ὡς τὸ πέλαγος ἐσχημάτισται ȣδετέρως.

ὑπερϑέντι ἐξειπόντι, ἀνακοινωσαμένῳ· Ἡρόδοτος ⟨5 32⟩ "ὁ δὲ Ἀρταφέρνης, ὥς οἱ πέμψαντι ἐς Σοῦσα καὶ ὑπερϑέντι τὰ ἐκ τȣ Ἀρισταγόρεω λεγόμενα συνέπαινος καὶ αὐτὸς Δαρεῖος ἐγένετο, παρεσκευάσατο σ' τριήρεας."

ὑπὲρ ϑεόν ὑπὲρ ϑεῶν βȣ́λησιν.

ὑπερϑέοντες ὑπερτρέχοντες.

ὑπερϑήσει οἰκοδομήσει.

ὑπερϑιγῶν ἀλαζόνων· "καὶ τοῖς φρονήμασιν ὑπερϑιγῶν ὡς ἂν ἤδη κεκρατηκότων."

ὑπερϑορών ὑπερπηδῶν· ⟨Herodot. 6 134⟩ "τῆς Δήμητρος οὐ δυνάμενον ὑπερϑορεῖν τὰς ϑύρας, ϑορόντα δὲ ἰέναι ἐπὶ τὸ μέγαρον."

ὑπεριάς οἶνος, ἀπὸ Ὑπέρȣ.

Ὑπερίδης υἱὸς Γλαυκίππȣ τȣ ῥήτορος a
(οἱ δὲ Πυϑοκλέȣς), Ἀϑηναῖος ῥήτωρ, τῶν πρώτων κεκριμένων δέκα εἷς, μαϑητεύσας ἅμα Λυκούργῳ καὶ Πλάτωνι τῷ φιλοσόφῳ Ἰσοκράτει τῷ ῥήτορι. καὶ ἀπέβη μὲν δεξιὸς ῥήτωρ, γυναικῶν δὲ ἡττήϑη. ἀνῃρέϑη δὲ καὶ αὐτὸς ὑπὸ Ἀντιπάτρȣ τȣ βασιλέως, ἐξαγαγόντος αὐτὸν τȣ ἐν Ἑρμιόνῃ ναοῦ τῆς Δήμητρος δι' Ἀρχίȣ τοῦ ἐπικληϑέντος φυγαδοϑήρα. καὶ ἀποτμηϑεὶς τὴν γλῶτταν ἀπέϑανεν. ὁ δὲ υἱὸς αὐτοῦ Γλαύκιππος τὰ ὀστᾶ λαβὼν εἰς τὸ πατρῷον ἔϑαψε μνῆμα. εἰσὶ δὲ οἱ πάντες λόγοι αὐτοῦ νϛ'. cf. v. ὑπερόριον.

Ὑπερίδης δημαγωγὸς ἄριστος, ὃς καὶ b
φίλος ὢν Δημοσϑένȣς ἐγράψατο αὐτὸν ἐπὶ τοῖς Ἁρπαλείοις χρήμασιν. ἔσχε δὲ καὶ παῖ-

δα Γλαύκιππον.

ὑπέρινον τὸ λεπτόν.

Ὑπερίονα τὸν ἥλιον, ὑπὲρ ἡμᾶς ἀνατέλλοντα. καὶ Ὑπεριονίδης ὁ αὐτός.

ὑπερισθμίσας τὸν ἰσθμὸν περάσας· "ταχὺ δὲ τοὺς κέλητας καὶ τὰς ἡμιολίας ὑπερισθμίσας ἀνήχθη, σπεύδων καταλαβεῖν τὴν Ἀχαιῶν σύνοδον."

ὑπερίσταται προΐσταται, Σοφοκλῆς. Ἠλέκτρα ··· φίλοι." cf. v. οἰκονομῶ.

ὑπέρισχε ὑπερμάχει, προΐστασο· ⟨AP 6 268⟩ "σὺ δ' εὐθήρε τῶδ' ὑπέρισχε βίε."

ὑπὲρ κάρα φοιτῶντα ὑπὲρ κεφαλῆς ἐρχόμενον.

ὑπερκέρωσις. ὑπερκέρωσίς ἐστιν ὅταν ἐκ τε ἑτέρε μέρες μόνον ὑπερέχωμεν τῶν πολεμίων. ⟨Agath. 5 19⟩ "ἀλλὰ γὰρ οὔτε ἐκδρομὰς τοῖς ἵπποις καὶ ὑπερκερώσεις ποιεῖσθαι ἐδύναντο, ὡς δὴ ἀπειλημμένοι τῷ ϛρατεύματι."

ὑπερκύπτω, αἰτιατικῇ. ἰστέον δὲ ὅτι τὸ ὑπερκύπτω ἡ μὲν ἔσω γραφὴ ἔχει αἰτιατικῇ καὶ ὁ Πλούταρχος, ἡ δὲ Χαρίκλεια ⟨Heliodor. Aethiop. 1 1⟩ γενικῇ "ὑπερκύψαντες τοῦ ὄρες."

ὑπερμαζᾷ ὑπερτρυφᾷ, πλετεῖ, στρηνιᾷ. "οἱ δὲ Γαλάται καταπλαγέντες, ὡς ὑπερμαζώντων αὐτόχρημα τῶν Ῥωμαίων καὶ διὰ τὴν τρυφὴν ῥιπτούντων τοὺς ἄρτες, ἐσπείσαντο." καὶ αὖθις "ὃ δὲ ὑπερμαζῶν καὶ χρυσίῳ βάλλων καὶ τὰς κορώνας, ὁ πρότερον δοῦλος τυγχάνων."

ὑπερμᾶλλον ἐκ περισσε· "ἦν μὲν ἀπορία καὶ δέος ὑπερμᾶλλον περὶ τὰς ἀνθρώπες, οὐ δυναμένες ἐπινοῆσαι τί ποτέ ἐστι τὸ λειπόμενον."

ὑπερμαργότερος ὁ ὑπερμαινόμενος.

ὑπερμενέα ἰσχυρότερα λίαν.

ὑπερνήχεται ὑπερβαίνει.

ὑπεροιαζομένου ὑπερηφανευομένου.

ὑπεροίσων ὑπερβαλών, ὑπερενεγκών· "ὃ δὲ τὸ φρόνημα μέγα, ὡς καὶ τὸν Ἀλέξανδρον ὑπεροίσων, ἐκέκτητο."

ὕπερον ἡ τριβαία.

ὑπὲρ ὄνου σκιᾶς. λέγουσιν ὅτι Δημοσθένης ὁ ῥήτωρ ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος, οὐκ ἀνεχομένων τῶν δικαςῶν, εἶπεν "ἀκούσατε, ὦ ἄνδρες, διηγήματος τερπνοῦ. νεανίσκος ποτὲ Ἀθήνηθεν εἰς Δελφὲς ὄνον ἐμισθώσατο, μεσημβρίας δὲ καταλαβούσης καταλύσας τὸν γόμον ὑπέδυ τὴν σω... τε ὄνε. ἐκβαλλόμενος δὲ ὑπὸ τε ὀνηλάτ... καὶ τὴν σκίαν μεμισθῶσθαι λέγοντος, ... θον εἰς δικαςήριον ἀμφότεροι." εἰπὼν δὲ ... τα ὁ Δημοσθένης κατέβαινεν ἐκ τε βήματ... ἀξιέντων δὲ τῶν δικαστῶν τὸ τέλος τῆς ... κης μαθεῖν, εἶπεν ἀναβὰς πάλιν ἐπὶ τε βήματος "ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν ... ἄνδρες ἐπιθυμεῖτε, ἀνθρώπε δὲ κινδυνεύον... τος ὑπὲρ ψυχῆς ὀδὲ φωνῆς ἀνέχεσθε." ... τω καθαψάμενος τῶν κριτῶν τὸν κατη... ρούμενον περιέσωσε. τάττεται τοίνυν ἡ ... ροιμία ἐπὶ τῶν ὑπὲρ μηδενὸς χρησίμου φι... λοτιμουμένων. cf. v. ὄνου σκιά.

ὑπεροπλίῃσι ⟨Hom. Α 205⟩ ταῖς ὑπε... ηφανίαις, καὶ ὑπεροπλία ἡ ὑπερηφανία.

ὑπεροπλίσαι ὑπερνικῆσαι.

ὑπέροπλον ⟨Hom. Ο 185⟩ ὑπερήφανον.

ὑπέροπτα· ⟨S OR 883⟩ "εἰ δέ τις ὑπέρ... οπτα χερσὶν ἢ λόγῳ πορεύεται, δίκης ἀφό... βητος, οὐδὲ δαιμόνων ἕδη σέβων, κακή ... ἕλοιτο μοῖρα δυσπότμου χάριν χλιδῆς," ... τέστιν ἕνεκα τῆς ἀνοσίε τρυφῆς καὶ ὑπερ... ηφανίας ὁ τοιοῦτος ἐν κακῇ εἴη μοίρᾳ, ... μὴ ἀφέξεται τῶν ἀσέπτων ἢ ἕξεται τῶν ... κτων, τουτέστιν ὧν οὐ χρὴ ἔχεσθαι.

ὑπερόπτης ὁ παρορῶν· "ὃ δὲ ὑπερόπ... της ὢν τοῦ δικαίου καὶ ὑβριστής."

ὑπεροπτικώτερον.

ὑπέροπτον μεγάλην.

ὑπερορᾶν ὑπερβλέπειν.

ὑπερόριον· "τὸ σῶμα τοῦ Ὑπερ... ἔρριψαν Ἀθηναῖοι ὑπερόριον," τετέστι ... χρὸν ἀπὸ τῆς πόλεως. καὶ αὖθις "καὶ ... πείθει τοὺς Ἀθηναίες ὑπερόριον τὸ σῶ... τοῦ ῥήτορος Ὑπερίδου ῥῖψαι," ἀντὶ τε ... τῶν ὅρων.

ὑπερόριον τὸ παρηλλαγμένον καὶ ... τη ἀλλότριον καὶ ὑπέρογκον· "τὸ τῶν ἀη... ἄηθες καὶ ὑπερόριον λυπήσειν ἔμελλε ... στρατιάν," καὶ αὖθις "προσήκειν φήσας ... ἀνδρὶ ἀποδημεῖν τε καὶ ὑπερόρια αἱρεῖσθαι." "ἡ δὲ Ῥώμη ἀπείρατος ἦν ὑπερορίων ἐκς... τειῶν" ⟨cf. v. Ῥωμαίων πόλις⟩.

ὑπέρυ περιτροπή, ἐπὶ τῶν τὰ αὐ... ποιούντων καὶ μηδὲν περαινόντων. καὶ ... ται δ' αἱ παροιμίαι τοῦτο δηλοῦσι, ... Διὸς Κόρινθος," καὶ "αὖθις αὖ Πυθ... ὁδός," καὶ "ὁ τὴν δοκὸν φέρων," καὶ ... τυφλός, ἀλλ' ἐξώρυκται." Πλάτων Ἀθ...

"εἶτ' οὐχ ὑπέρου μοι περιτροπὴ γενήσεται."

ὑπέροφρυς ὑπερήφανος, παρὰ Ὑπερίδῃ.

ὑπεροψίαν καταφρόνησιν· ⟨Ioseph. B. I. 3 7 33⟩ "εἰδὼς τῶν Ἰȣδαίων τὸ πρὸς ἀλλήλȣς πιστὸν καὶ τὴν πρὸς τὰς κολάσεις ὑπεροψίαν."

ὑπερπαίειν ὑπερβαίνειν, πλεονάζειν· ⟨Polyb. 14 5⟩ "διὸ τὸ γεγονὸς ȣδὲ καθ' ὑπερβολὴν εἰκάσαι δυνατὸν οὐδενὶ τῶν ὄντων ἐστίν. οὕτως ὑπερπεπαίκει πάσας τῇ δεινότητι τὰς προειρημένας πράξεις."

ὑπερπετεῖς ὑπερλίαν σωζομένȣς· ⟨Diod. Sic. 14 23⟩ "Κλέαρχος ὁ Λακεδαιμόνιος τοῖς στρατιώταις παρήγγειλε τὸ μὲν πρῶτον ἡσυχῇ προάγειν, εἰ δὲ ἐντὸς βέλȣς γένοιντο, θέειν, τὸ μὲν ἵνα ἀκέραιοι τοῖς σώμασιν ἀγωνίζοιντο, τὸ δὲ ἵνα ὑπερπετεῖς ὦσιν."

ὑπερπνιγεῖς· "ἵπποι ὑπερπνιγεῖς γενόμενοι, οἱ δὲ ὑπέρπονοι ἐκ τῆς ἄγαν ἱππηλασίας" ⟨cf. v. ἐκτραχηλίζω⟩.

ὑπερπταίη ὑπερπετασθῇ.

ὑπέρροον τὸ ἀπὸ ὕψȣς ῥέον, ὑπερῷον δὲ τὸ ἀνώγεων.

ὑπὲρ τὰ ἐσκαμμένα ὑπὲρ τὰ μέτρα. ἀπὸ δὲ τῶν πεντάθλων ἡ μεταφορά. λέγεται δὲ ἀπὸ Φαΰλλȣ τοῦ πεντάθλȣ τȣ̃ Κροτωνιάτȣ εἰρῆσθαι, ὃς ν' ποδῶν ὄντων πρότερον τῶν σκαμμάτων, πρότερος αὐτὸς ὑπερέβαλε τοῖς πηδήμασι ταῦτα, ὡς τὸ ἐπίγραμμα λέγει τῆς εἰκόνος αὐτȣ̃· ⟨AP append. 297⟩ "πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος, δίσκευσεν δ' ἑκατόν, πέντ' ἀπολειπομένων." καὶ Πλάτων ἐν ᾧ ἡ ἐπιγραφὴ Κρατύλος ἢ περὶ ὀνομάτων ὀρθότητος. cf. v. αὐτόχρημα.

ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν, ἐπὶ τῶν καθ' ὑπερβολήν τι πραττόντων, διότι ὁ Φάϋλλος ὑπὲρ τοὺς ν' πόδας πηδήσας ἐπηρώθη τὸ σκέλος.

ὑπὲρ τὰ ἐσκαμμένα πηδῶν. Φάϋλλος ἐγένετο πένταθλος, ὁ Πόντιος, ὃς ἐδόκει μέγιστα δισκεῦσαι καὶ ἅλλεσθαι. ἐπεὶ οὖν ὑπὲρ τȣ̀ς ἐσκαμμένȣς ν' πόδας εἰς τὸ στερεὸν ἥλατο, τὸ συμβὰν εἰς παροιμίαν ἐξέβη.

ὑπὲρ τὰ Καλλικράτους. φησὶ Κλέαρχος ὅτι Καλλικράτης τις ἐγένετο ἐν Καρυστῷ πλȣσιώτατος. εἴ ποτε οὖν ἐθαύμαζόν τινα οἱ Καρύστιοι ἐπὶ πλούτῳ, ὑπερβολικῶς ἔλεγον ὑπὲρ τὰ Καλλικράτȣς. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων πολιτείᾳ Καλλικράτην τινὰ πρῶτον τοὺς δικαστικοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι, ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι.

ὑπερτέλλον ὑπερανατέλλον.

ὑπερτενές ὑψηλόν, ὑπερανέχον.

ὑπέρτερον κρεῖττον.

ὑπερτεροῦν δεσπόζον.

ὑπερτηρία ⟨Plat. Theaet. p. 207 A⟩ τὸ τῆς ἁμάξης πῆγμα.

ὑπερτίθεται ἀναβάλλεται.

ὑπὲρ τὸν κατάλογον, παροιμία ἐπὶ τῶν γεγηρακότων.

ὑπέρτονον· ⟨A Nub. 1157⟩ "βοήσομαι τὴν ὑπέρτονον βοήν," τȣτέστι τὴν μεγάλην καὶ ὑπερέχȣσαν.

ὑπὲρ τοῦ μηθενός ἀντὶ τοῦ ῥᾳδίως καὶ εὐχερῶς· Δαβίδ ⟨Ps. 55 7⟩ "ὑπὲρ τȣ̃ μηθενὸς ὤσεις αὐτούς."

ὑπὲρ τῶν ὅλων ἀγωνιούμενος· "καὶ στρατιὰν ἐξάγει ὑπὲρ τῶν ὅλων φέρουσαν τὸν κίνδυνον."

ὑπὲρ τῶν ὅλων ἀναρριπτεῖν.

ὑπερφαλαγγίασίς ἐστιν ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς φάλαγγος ὑπερέχωμεν τῶν πολεμίων.

ὑπερφερές μέγα, ὑπερέχον· "οὗ τὸ ὕψος ἦν γιγαντιαῖον καὶ ἡ τόλμα ὑπερφερεστέρα."

ὑπερφίαλος. ποτὲ μὲν ἐπὶ ψόγȣ· ⟨Hom. O 94⟩ "ὑπερφίαλος καὶ ἀπηνής," ἀντὶ τοῦ οὐκ ἔνσπονδος. ἐν ἄλλοις δὲ ἐπὶ ἐγκωμίου· ⟨φ 289⟩ "ὑπερφιάλοισι μεθ' ἡμῖν δαίνυσαι," ἀντὶ τȣ̃ ἀγαθοῖς.

ὑπερφρονεῖ· "ὅτι τὰ ἀνθρώπεια τὸ θεῖον ἢ ὑπερφρονεῖ ἢ ἀτιμάζει, ἢ πρόνοιαν αὐτοῖς ἔφορον οὐκ ἐφίστησι."

ὑπερφρόνως ἀλαζονικῶς, ὑπερηφάνως· "ὃ δὲ ἀντέγραψέν οἱ τά τε ἄλλα ὑπερφρόνως, καὶ αὐτὸν μὲν βασιλέα ἐκεῖνον δὲ Καίσαρα μόνον ὀνομάζεσθαι" ⟨cf. v. ȣ̓χ ὅσον⟩.

ὑπέρφρων· ⟨Philostrat. V. S. 1 25 4⟩ "ὑπέρφρων δὴ οὕτως ὁ Πολέμων ὁ σοφιστὴς ὡς πόλεσι μὲν ἀπὸ τοῦ προύχοντος, δυνάσταις δὲ ἀπὸ τοῦ μὴ ὑφειμένȣ, θεοῖς δὲ ἀπὸ τοῦ ἴσȣ διαλέγεσθαι." λέγεται δὲ καὶ τὰ αὐτῷ πεπραγμένα, φημὶ δὴ Πολέμωνι τῷ ὑπέρφρονι, ἐν τοῖς βίοις τῶν σοφιστῶν τρανότερον.

ὑπερφυᾶ τέχνην ἔχων. Ἀριστοφάνης

⟨Eq. 141⟩ τὸν ἀλλαντοπώλην διασύρων ἐξαίρει τὴν τέχνην, ἵνα μᾶλλον ὀνειδίσῃ φανείσης αὐτῆς λίαν εὐτελοῦς· ἀλλαντοπώλης γὰρ ὁ τὰ ἔντερα πωλῶν.

ὑπερφυής μεγαλοφυής, μείζων.

ὑπερφυΐα.

ὑπέρχεται ἀντὶ τοῦ ὑπάγεται τὸν δῆμον, καὶ ὑποτρέχει καὶ κολακεύει καὶ καταπραΰνει, ὑπάγων τὴν ὀργὴν ἅπασαν τὴν πρὸς αὐτόν. Ἀριστοφάνης Ἱππεῦσιν ⟨270⟩ "εἶδες οἷ' ὑπέρχεται. ὡσπερεὶ γέροντας ἡμᾶς ἐκκοβαλικεύεται," ἀντὶ τȣ̃ ληστεύει· κόβαλοι γὰρ οἱ μετὰ ξύλȣ λησταί. τοὺς αὐτοὺς δὲ καὶ κορυνηφόρȣς. οἱ δὲ κόβαλον τὴν μετ' ἀπάτης παιδιάν. ὥσπερ, φησί, γέροντας δικαστὰς ἐκπανουργεῖ, οὕτω καὶ ἡμᾶς ἐπιχειρεῖ ἀπατᾶν· κόβαλα γὰρ καλοῦσι τὰ πανȣργήματα.

ὑπέρχολος γενόμενος ἀντὶ τȣ̃ ὑπεραγανακτήσας. οὕτως Ἀντιφάνης.

ὑπερωδυνία· "οἱ δὲ συνέπασχον τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ," τȣτέστι τῇ συμφορᾷ, τῇ λύπῃ" ⟨cf. vv. ἀκληρούντων et παρεκστῆναι⟩.

ὑπερώη ὁ ȣ̓ρανίσκος· Ὅμηρος ⟨X 495⟩ "χείλεα μέν τ' ἐδίην', ὑπερώην δ' οὐκ ἐδίηνε," καὶ Σιμόκατος ⟨2 6⟩ "εἰς μὲν γὰρ τὴν ὑπερώαν χελύνην Μηδικὸς ὀιστὸς ἐς βάθος ἐσδὺς ἀνὰ τὸ κρανίον ἐρρίζωτο."

ὑπερώησαν ὑπεχώρησαν. Hom. Θ 122.

ὑπερῷον τὸ ἀνώγεων.

ὑπερώσιον τὸ ὑπὲρ τὴν μοῖραν.

ὑπέρωσις.

ὑπεσταλκότες· "ἄλλοι δὲ τούτοις ὑπεσταλκότες πῦρ προσέφερον ταῖς πύλαις," ἀντὶ τȣ̃ ὑποδύντες, ὑπεισελθόντες.

ὑπεστειλάμην παρῃτησάμην, ἀπεκρυψάμην.

ὑπέστημεν ὑπεσχόμεθα.

ὑπεστόρεσται ὑπέστρωται, καὶ ὑπεστορέσθαι.

ὑπέσχεν ὑπέκλινεν, ἔδωκεν· "οὐδὲ τὴν ἀκοὴν ὑπέσχε τοῖς διαβάλλȣσιν, οὐδὲ φόνον ἄδικον εἰργάσατο ἑκὼν γε εἶναι," ἀντὶ τοῦ αὐθαιρέτως ⟨cf. v. Ἰωάννης⟩.

ὑπέτεινεν ἐπηγγέλλετο, κατεσκεύαζεν· "ἕως μὲν οὖν ἤλπιζον τὴν στρατηγίαν τῆς ἔω παρὰ βασιλέως, καὶ τὰς ἄλλας ἐλπίδας ἃς ὑπέτεινεν οὗτος, σπουδὴν ἐδείκνυσαν."

ὑπετέμνετο ὑπεκρύπτετο· "ἀπὸ συνθήματος ἀφιεμένων τῶν βελῶν τὸ φῶς ὑπετέμνετο."

ὑπεύθυνοι οἱ μήπω λογισμοὺς παρεσχηκότες μηδὲ εὐθύνας τῆς ἀρχῆς ἧς ἐπιστεύθησαν. sch. A Eq. 259.

ὑπέχει ὑφίσταται. καὶ τὸ ἀποκρίνεσθαι ὑπέχειν παρὰ Ἀριστοτέλει ⟨Top. 8⟩· "ὑπέχειν ῥάδιον τὰς θέσεις." Ἀριστοφάνης ⟨Lys. 84⟩ "καὶ πάνθ' ὑπέχειν ὧν σύνοιδεν ἡ κτλ." λόγον ὑπέχειν τῆς στρατηγίας.

ὑπέχοντος κρατοῦντος· Ἀριστοφάνης ⟨Eccl. 847⟩ "κἄπειτ' ἐχώρȣν εἰς ἀγορὰν ἐπ' ἄλφιτα. ἔπειθ' ὑπέχοντος ἄρτι μȣ τὸν θύλακον, ἀνέκραγ' ὁ κῆρυξ μὴ δέχεσθαι μηδένα χαλκȣ̃ν τὸ λοιπόν· ἀργύρῳ γὰρ χρώμεθα."

ὑπεψηνισμένη ἀκμαία πρὸς τόκον, ἐγκύμων, ἀπὸ τοῦ ψηνός, ὃ σημαίνει τὸν ἐν τοῖς ὀλύνθοις γινόμενον σκώληκα, ὃν οἱ γεωργοὶ ἀφάπτȣσι τῶν κλάδων τῆς συκῆς, ὅπως ἂν ὁ καρπὸς αὐτῶν μὴ ἀπορρέῃ. cf. vv. ἀνερίναστος et ψῆνες.

ὑπεψιθυρίζετο ἠρέμα ὑπεκαλεῖτο· "τῇ Σκυθικῇ φωνῇ βάρβαρα ἄττα ῥήματα ὑπεψιθυρίζετο" ⟨cf. v. φορτία⟩.

ὑπῆγεν ἀντὶ τοῦ ὑπετίθετο· Ξενοφῶν ⟨Anab. 2 1 18⟩ "ὁ δὲ Κλέαρχος ταῦθ' ὑπῆγε βȣλόμενος καὶ αὐτὸν τὸν βασιλέα πρεσβεύειν συμβȣλεῦσαι μὴ παραδοῦναι τὰ ὅπλα."

ὑπῆκτο· "ἡ δὲ Λιβανία τὸ θρασὺ τοῦ καὶ γενναῖον ἀποκόψασα αἰχμάλωτος ὑπῆκτο," ἀντὶ τοῦ ὑπηγάγετο.

ὑπηνέμια τὰ ψευδῆ καὶ ἀβέβαια· ⟨Julian. or. 7 p. 206 C⟩ "γίνεται γὰρ αὐτῷ ἐντεῦθεν τὰ ὑπηνέμια καὶ τερατώδη ἀντὶ τῆς ἀληθοῦς ἐπιστήμης, οἷον εἴδωλα ἄττα καὶ σκιαί. πράττουσι γοῦν πρὸ τῆς τῶν ἀληθῶν ἐπιστήμης τὰ ψεύδη."

ὑπηνέμια καλεῖται τὰ δίχα συνουσίας καὶ μίξεως. σύνηθες δὲ λέγειν αὐτοῖς ἀνεμιαῖον· Πλάτων ἐν Θεαιτήτῳ ⟨p. 151 E⟩ "γόνιμον ἢ ἀνεμιαῖον τυγχάνει."

ὑπηνέμια ὡς ἡμεῖς λέγȣσιν· Ἀριστοφάνης Δαιδάλῳ "ἐνίοτε πολλοὶ τῶν ἀλεκτρυόνων βίᾳ ὑπηνέμια τίκτȣσιν ᾠὰ πολλάκις." Πλάτων δὲ ὁ φιλόσοφος ἐν Θεαιτήτῳ ἀνεμιαῖα, καὶ Μένανδρος Δακτυλίῳ "ἀνεμιαῖον ἐγένετο." τὰ δίχα σπέρματος ἄρρενος.

ὑπηνέμιοι ὑπὸ τὸν ἄνεμον.

ὑπήνη μύσταξ, τὸ γένειον, πώγων, ἢ

τῦ ἄνω χείλους τρίχωσις· τὸ δὲ κάτω πάππος.

ὑπήνη παρὰ τὸ ὑποκάτω εἶναι ἢ ἰέναι. τὸ δὲ πη διὰ τῦ η, παρὰ τὸν ἥσω μέλλοντα, ἀπὸ τῦ ἵημι. ἢ ὡς εἰρήνη γαλήνη.

ὑπηνήτῃ ἀκμαίῳ, ἄρτι γενειῶντι, ἔτι νέῳ· ⟨Hom. Ω 348, κ 279⟩ "πρῶτον ὑπηνήτῃ."

ὑπήντων ταῖς γυναιξίν, ἀσπασμοὺς καὶ παιᾶνας καὶ πάνθ' ὅσα ἐκ μεγάλων κινδύνων εἰς ἀδόκητον σωτηρίαν καταστάντες ἄνθρωποι λέγυσι καὶ πράττυσιν" ⟨Dionys. Hal. A. R. 8 55⟩.

ὑπ' ἠοῖ ὑπὸ τὸν ὄρθρον.

a ὑπηρέσιον τὸ παρ' ἡμῖν, ᾧ χρώμεθα εἰς ἀπόπατον.

b ὑπηρέσιον ὑπαγκώνιον τῶν ἐρετῶν ἤγυν κωπηλατῶν, ἐφ' οὗ καθίζυσιν οἱ ἐρέσσοντες διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς.

ὑπηρέτης δῦλος.

ὑπηρετικοῖς τοῖς ἐρέσσυσιν· "ἔζευξε τὰς νῆας, βραχὺ διάσημα ποιῶν, ὥστε ὑπηρετικοῖς ἐκπλεῖν δύνασθαι καὶ διαπλεῖν." καὶ αὖθις "ὃ δὲ ἦν ὑπηρετικὸν σκεῦος εὐφυὲς καὶ πολλὰς ἔχον ἀφορμὰς εἰς πραγμάτων οἰκονομίαν" ⟨cf. v. εὐφυᾶ⟩.

ὑπῆρξαν προκατήρξαντο· "οὗτοι γὰρ πρῶτοι ὑπῆρξαν ἀδικίης" Ἡρόδοτος ⟨4 1⟩. καὶ Αἰλιανός "ὃ δὲ ὑπήρξατο σωφρονεῖν."

ὑπήτρια τὰ οὔθατα, οἱ μασθοί.

ὑπιγή ἡ ἀπόκλεισις, ὑπιωγὴ δὲ ἡ σκέψις ⟨Hom. ε 404⟩.

ὑπιδέσθαι ὑποθεωρῆσαι.

ὑπίσχεται ὑπισχνεῖται, καὶ ὑποσχόμενος συντασσόμενος.

ὑπνηλός ῥάθυμος.

ὑπνομαχῶ· Ἀριςοφάνης ⟨Synes. ep. 129⟩ "ἐγὼ δ' ὑπὸ μεσοπυργίῳ τεταγμένος ὑπνομαχῶ. ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος Ἰσμαρικός, πίνω δ' ἐν δορὶ κεκλιμένος. οὐκ οἶδα δ' εἰ μᾶλλον Ἀρχιλόχῳ προσῆκον ἦν ταῦτα εἰπεῖν." cf. v. Μάρκελλος.

a ὕπνος. τὸν ὕπνον γίνεσθαι ἐκλυομένου τοῦ αἰσθητικοῦ τόνυ περὶ τὸ ἡγεμονικόν. ἡ στέρησις ἐγρηγόρσεως κατὰ φύσιν ἐστὶν ὁ ὕπνος. παρὰ φύσιν δέ ἐστι στέρησις ὡς ἐκκοπέντων τῶν ὀφθαλμῶν ⟨Diog. L. 7 158⟩.

b ὕπνος ἐπὶ Θεοῦ ἡ μακροθυμία· Δαβὶδ ⟨Ps. 43 23⟩ "ἐξεγέρθητι· ἵνα τί ὑπνοῖς, κύριε;" καὶ ⟨77 65⟩ "ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος." ⟨A Nub. 701⟩ "ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων." ἡ παροιμία ἐπὶ τῶν βυλομένων φιλοσοφεῖν.

ὕπνῳ τῇ ἀγρυπνίᾳ Ὅμηρος ⟨μ 281⟩.

ὑπὸ ὀλίγον.

ὑπόβαθμος ὑπόβαθρος.

ὑποβάθραν ὑπόβασιν, θεμέλιον· ⟨Diog. L. 1 94⟩ "χρόνῳ δὴ ὕστερον ὑποβάθρῳ λακτίσας τὴν γυναῖκα ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδος."

ὑποβαλλόμενοι πειθόμενοι, ἢ ὑποβλήτως λέγοντες, ἢ ἰδιοποιησάμενοι· Σοφοκλῆς ⟨Ai. 188⟩ "εἰ δ' ὑποβαλλόμενοι κλέπτυσι μύθυς οἱ μεγάλοι βασιλεῖς." τυτέςιν, εἰ δὲ ὐκ ἔστιν ἀληθῆ ταῦτα, ἀλλὰ πεπλασμένα ὑπὸ τῦ βασιλέως ἢ ἄλλυ τινός.

ὑποβασμόν ὑποβάθραν.

ὑποβήσονται ταπεινωθῶσιν, ὑποπέσωσιν· "ὅτι τῦ τε ··· συνοίσειν ⟨cf. v. αὔχημα⟩.

ὑποβιβάζοντες ἐλαττῦντες.

ὑποβιβάζυσιν ὑποκαταβαίνυσιν.

ὑποβλεπόμενος ⟨1 Regg. 18 19⟩ ὑπονοῶν, ἐχθραίνων, ἐπιτηρῶν. "καὶ ὐκ ἦν ῥᾴδιον μὴ γελᾶν καὶ ὑποβλέπεσθαι τὸ γινόμενον."

ὑποβλήδην ⟨Hom. Α 292⟩ ὑποβαλὼν λόγον ὑποκρυστικῶς ἔτι λέγοντος.

ὑπόβλητον ὐκ ἀληθὲς ἀλλὰ πεπλασμένον, ἀπὸ τῶν ὑποβαλλομένων εἰς τὰ γένη τὺς παῖδας· Σοφοκλῆς ⟨OC 794⟩ "τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα." καὶ αὖθις ⟨Ai. 481⟩ "ὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον Αἴας ἔλεξας, ἀλλὰ τῆς σαυτῦ φρενός," ἀντὶ τῦ γνήσια τῆς διανοίας συ τὰ εἰρημένα, ὐχ ὑπόβλητα· οἰκεῖα ὖν σαυτῷ εἴπας. ὅμως γε μὴν παῦσαι, τὸ πᾶν ἀναθεὶς ἡμῖν.

ὑπόβλητος ὁ νόθος· "ὑποβλήτους ἂν εἶπεν αὐτὺς καὶ νόθυς ἄντικρυς, ἀνέπλησαν δὲ τὴν ἑαυτῶν πατρίδα πολλῶν κακῶν."

ὑποβολή ὁμοιότης, προσθήκη· ⟨Diog. L. 1 57⟩ "Σόλων δὲ τὰ Ὁμήρου ἐξ ὑποβολῆς ἔγραψε ῥαψῳδεῖσθαι, οἷον, ὅπου ὁ πρῶτος ἔληξεν, ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον.

ὑποβολιμαῖοι ὑποβαλλόμενοι καὶ εἰσποίητοι, ἐπὶ τῶν χαμαιριφῶν παιδίων, ἅπερ ἑαυταῖς ὑποβάλλυσιν αἱ γυναῖκες.

ὑπόβολον τὸ δακτυλίδιον.

ὑποβρύχιοι ὑπὸ τὸ ὕδωρ ποντισθέντες.

ὑπόγαιοι ὑπὸ τὴν γῆν.

ὑπόγειος ὁ ὑποτεταγμένος.

ὑπογενειάζων (Aeschin. 1 61) λιτανεύων, ἀπὸ τῦ γενείϐ ἁπτόμενος.

ὑπόγεων ὀδετέρως. ὑπόγειον δὲ ὑπὸ τὴν γῆν.

ὑπὸ γῆν οἰκοῦντες. λέγοι ἂν τὸς ὑπὸ Σκύλακος ἐν τῷ περίπλῳ λεγομένους Τρωγλοδύτας, καὶ τὸς ὑπὸ Ἡσιόδϐ ἐν γ' καταλόγϐ Κατϐδαίϐς ὀνομαζομένϐς. Harp.

ὑπογράφεται δείκνυται. (Diodor. 19 46) "οἷς πᾶσιν ἡ σύγκλητος ἀγαθὰς ἐλπίδας ὑπογράφουσα ἔφησε δέκα πρεσβευτὰς ἀποστέλλειν ἐς τὴν Ἀσίαν."

ὑπογραφόμενος· "ἐγχρίων δὲ τὸ πρόσωπον --- χρώμενος." περὶ Σαρδαναπάλλϐ ὁ λόγος (cf. v. Σαρδανάπαλλος).

ὑπόγυον ἐγγύτερον, πρόσφατον, νεωστὶ γινόμενον, τὸ πρὸ ὀλίγϐ καὶ μετ' ὀλίγον, τὸ ἐχθές· "προέθηκεν ὑπόγυον ῥιψάσπιδος γενομένϐ, τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τῦ δεδρακότος." "μείζονα γὰρ τὰ ὑπόγυα πταίσματα τὴν συμφορὰν ἔχει." καὶ αὖθις (Appian. Pun. 125) "ὀλισθηρὸς δ' ἦν ὁ δρόμος ἐξ αἵματος πεπηγότος ὑπογύϐ τε καὶ πολλϐ, ὡς τῶν φευγόντων ἀπελείποντο καὶ ἄκοντες."

ὑπὸ δακρύοις σὺν δακρύοις· "καλεῖ τε Ἀπόλλωνα ὑπὸ πολλοῖς τοῖς δακρύοις."

ὑπὸ δᾳσὶν ἐναχμαζούσαις τῷ πυρὶ ἐκέλευσεν ἐκκομισθῆναι αὐτόν" (cf. v. δᾴς).

ὑποδεής ὑπόφοβος.

ὑποδεῖσθε περιδεσμεῖτε· (A Eccl. 269) "ὑποδεῖσθε τὰς λακωνικάς." ἔστι δὲ εἶδος ὑποδήματος.

ὑποδενδρυάσαι ὑποδῦναί πϐ καὶ πτῆξαι ὑπὸ σκέπην.

ὑποδεξίη (Hom. Ι 73) ὑποδοχή, ἢ τὰ πρὸς ὑποδοχὴν ἐπιτήδεια.

ὑποδέξιος ὑποδοχεύς.

ὑποδέραια περιτραχήλια.

ὑποδερίδα ὁρμίσκον, πλόκιον.

ὑπόδημα, τϐτέςι τὸ σαρκικὸν φρόνημα τῦ ἰδίϐ θελήματος. ὁ θεός φησι πρὸς Μωυσῆν (Exod. 3 5) "λῦσόν σϐ τὸ ὑπόδημα τῶν ποδῶν· ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν."

ὑποδήματα. οὕτω προσαγορεύεται ἡ ἐνανθρώπησις τῦ κυρίϐ. καὶ τέτϐ μάρτυς αὐτὸς ὁ κύριος, διὰ τῦ προφήτϐ λέγων (Ps. 59 9) "ἐπὶ τὴν Ἰδϐμαίαν ἐκτενῶ τὸ ὑπόδημά μϐ." διὰ τϐτο καὶ ὑποπόδιον ἤκϐσεν ἡ τοῦ κυρίου ἐνανθρώπησις ὡς ἐπὶ τῆς γῆς ὀφθεῖσα καὶ τοῖς ἀνθρώποις συναναστραφεῖσα καὶ τὸ τέρμα τῆς γῆς καταλαβοῦσα. καὶ ὁ προφήτης (Ps. 98 5) "προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτϐ."

ὑπόδικοι κατάκριτοι· "στρατιῶται ὑπόδικοι ἐπὶ κακϐργίᾳ, δρασμὸν βϐλεύοντες παρὰ Δεκέβαλον, θανάτῳ κολάζονται."

ὑποδμώς (Hom. δ 386) δοῦλος.

ὑποδουμένη τὰ ὑποδήματα βάλλουσα. sch. A Eccl. 46.

ὑποδοχῆς πλήθϐς· "ὑποδοχῆς Διονυσίων" ἀντὶ τῦ πλήθϐς καὶ πολλῶν Διονυσίων. Ἀριστοφάνης (Pac. 529).

ὑπόδρα δεινῶς.

ὑποδράξ· "ἡ δὲ πελιδνωθεῖσα καὶ [illegible] μασι λοξὸν ὑποδρὰξ ὀσσομένη," τουτέστιν ὠχριάσασα καὶ ὑποβλεψαμένη διὰ τὴν [illegible] γήν.

ὑποδρόμους στόμια.

ὑπόδυθι ἀντὶ τοῦ καλύπτϐ. καὶ ὑπέρεχε ἄνωθεν· Ἀριστοφάνης Ὄρνισι (1[illegible] "λαβὼν τϐτὶ τὸ σκιάδειον ὑπέρεχε ἄνωθεν

ὑποδύς ὑπεισελθών.

ὑποδύτην τὸ ἐσώτερον ἱμάτιον, ἐπενδύτην δὲ τὸ ἐπάνω.

ὑποζύγια οἱ ὑπὸ ζυγὸν βόες· "οἱ [illegible] ἐξήρκει --- δυσπόρων" (cf. v. ἐξήρκει). [illegible] γονται ὑποζύγια καὶ τἆλλα τῶν ἀχθοφόρων ζῴων.

ὑποζυγιώδης ἄνθρωπος ὁ μὴ [illegible] τῆς ἑαυτοῦ προαιρέσεως καὶ προθυμίας [illegible] πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως [illegible] περ καὶ τὰ ὑποζύγια. εἴποις δ' ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα. Ἀριστοφάνης.

ὑποζώματα ξύλα τῆς νεώς. ἀντὶ [illegible] εἰπεῖν ὑποζώματα, ὁ σκυτεὺς πρὸς μάγειρον παίζων εἶπε ζωμεύματα ὡς ἀρτύσεων ἔμπειρον καὶ ζωμευμάτων. ἀπείρητο δὲ ὑπὸ Ἀθηναίων ἐξάγειν ξύλα καὶ πίσσαν. εἶχον δὲ [illegible] Λακεδαιμόνιοι τριήρεις, ἐπειδὴ ἦρχον [illegible] νήσων τινῶν. Ἀριστοφάνης (Eq. 279) "το[illegible] τονὶ τὸν ἄνδρ' ἐγὼ δείκνυμι καὶ φήμ' ἐξάγειν ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα."

ὑποθεῖν οὐκ ἐῶ (A Eq. 1158), ἀντὶ [illegible] ὑποτρέχειν, ὑποσκελίζειν, ἐμποδὼν ἵστασθαι. --- "καὶ ταῦτα ὑπὲρ τῆς ἐνθέϐ φύσεως τος ἐμαρτύρησεν ὁ Ἀπόλλων."

ὑποθερμανθεῖσα· "ἡ δὲ βασίλισσα ὑποθερμανθεῖσα τοῖς θυμοῖς καὶ τὴν [illegible] μην φλεγμήνασα ᾐτιᾶτο αὐτόν" (cf. v. Ἀτ[illegible]

όντιος⟩.

ὑπόθεσις περιοχή, αἰτία. λέγονται δὲ καὶ αἱ ἀρχαὶ ὑποθέσεις, ὅτι μὴ δι' ἀποδείξεως τίθενται. cf. v. θέσις.

ὑποθέτης ἀρχηγός, σύμβουλος· "οὐκ ἠδύνατο γνωσθῆναι τίς ὁ τοῦ δράματος ὑποθέτης."

ὑποθήγων ἐρεθίζων, προτρεπόμενος, ἐπαλείφων· "ὑποθήγων ἐς τὰ καλὰ ἔργα αὐτούς."

ὑποθήκαις παραινέσεσι.

ὑποθημοσύνη διδασκαλία.

ὑποθήσομαι διδάξω, καὶ ὑποθέμενον ἀντὶ τοῦ διδάξαντα. "δοὺς φασὶν ἐπικρατῆσαι, ὑποθέμενον τῷ βασιλεῖ, λ' πάσας ἡμέρας φυλαχθῆναι αὐτόν."

ὑποικουροῦν λεληθός τι μῖσος. ὑποικουροῦν ἀντὶ τοῦ τρεφόμενον καὶ ἐνδομυχοῦν. "ὅμως, εἰ καὶ μηδὲν ὑποικουροῦν ἦν καὶ ὑπολανθάνον, ἐξ ὧν προεῖπεν ὁ Τύλλος, ἡσυχῇ πως ὑπεταράσσοντο."

ὑποιστόν φορητόν.

ὑποίσω ὑπενέγκω, καὶ ὑποίσων ὑπομενῶν.

ὑποκαθέζεσθαι τὸ ἐγκρύπτεσθαι· "ἀγγειλάντων τῶν διοπτήρων ἐνέδραν ὑποκαθέζεσθαι ἐπὶ τοῖς λασίοις." καὶ αὖθις "ἐν κοίλοις ὑποκαθίσαι χωρίοις."

ὑποκαθεῖναι τὰς ὀφρῦς οἷον παύσασθαι χαλεπαίνοντα καὶ πρᾳότερον γενέσθαι· τὸ γὰρ ἀνατείνειν τὰς ὀφρῦς ὀργῆς ἐστὶ σημεῖον.

ὑποκαθέσθαι συγχωρῆσαι, ἀφεῖναι· ⟨Polyb. 24 8⟩ "ὃ δὲ βουληθεὶς μηδὲν ἀλλότριον ὑποκαθέσθαι, μηδὲ δυσμενὲς μηδὲν ἀπολείπειν τῇ βασιλείᾳ."

ὑποκαθημένης ἐγκρυπτομένης, ἐναποκειμένης· ⟨Polyb. 4 29⟩ "διόπερ ὑποκαθημένης ἐκ τούτων αὐτῶν τῆς ὀργῆς, βραχέα προσαναμνήσαντος τοῦ Φιλίππου ταχέως ὑπήκουσε." καὶ ὑποκαθήμενοι ἀντὶ τοῦ ἐνεδρεύοντες· "οἱ δὲ ἄρχοντες ὑποκαθήμενοι τοὺς εἰσελθόντας πληγαῖς κατέξαινον."

ὑποκατάβασιν παραχώρησιν.

ὑποκατακλίνεται ὑποκάτω κάθηται· ⟨Ioseph. A. I. 12 4 9⟩ "κληθεὶς δὲ εἰς ἑστίασιν ὑποκατακλίνεται πάντων, καταφρονηθεὶς ὡς παῖς ἔτι τὴν ἡλικίαν."

ὑποκείσεται ὑποβληθήσεται.

ὑποκεκορισμένῃ ὑποκεκριμένῃ· "ὃ δὲ ὑποκεκορισμένῃ καὶ ἀπατηλῇ ἐχρήσατο πρεσβείᾳ."

ὑποκινήσαντα κινηθέντα, σαλευθέντα, ἐπὶ τῶν τυπτομένων· Ἀριστοφάνης ⟨Ran. 657⟩ "σκόπει νυν, ἤν μ' ὑποκινήσαντ' ἴδῃς."

ὑποκληζομένην ⟨S Ai. 225⟩ πεφημισμένην.

ὑποκνισθέντες λυπηθέντες, παροξυνθέντες· κνίζω γὰρ τὸ ἐξεπιπολῆς ξύω. "ἵνα μάτην ὑποκνισθέντες πόλεμον ἐγείρωσιν."

ὑποκορίζεται κολακεύει, ὑποκρίνεται. ⟨Damasc. Phot. p. 336 a⟩ "προχειρότερος ἦν εἰς ἐπιτίμησιν· διὸ καὶ θαμὰ πολλοῖς προσέκρουεν, οὐκ ἀνεχόμενος αὐτῶν τὴν κακίαν ὑποκορίζεσθαι."

ὑποκοριζόμενοι διασύροντες. Ξενοφῶν φησὶν ⟨Mem. 2 1 26⟩ "οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσι κακίαν." ὁ δὲ Δημοσθένης ἐχρήσατο τῇ λέξει ἐπὶ τοῦ εὐφημοῦντες καὶ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντες· λέγει γὰρ ἐν τῷ παραπρεσβείας ⟨259⟩ "αὐθαίρετον αὑτοῖς ἐπάγονται δουλείαν, Φιλίππου ξενίαν καὶ ἑταιρείαν καὶ τὰ τοιαῦτα ὑποκοριζόμενοι." "πυνθάνεσθαι εἰς τὸ πλῆθος ἀποβλέποντα, ποδαποὶ δοκοῖεν αὐτῷ εἶναι οἱ παῖδες· οὕτω γὰρ ὑποκοριζόμενος ἐκάλει τοὺς στρατευσαμένους."

ὑποκοριστικόν ἔλαττον.

ὑποκουρίζω κολακεύω.

ὑπὸ κρασίν ⟨Hom. K 152⟩ ὑπὸ ταῖς κεφαλαῖς.

ὑποκρεκόντων κρουόντων, ἐγγιζόντων.

ὑπόκρηνον ὑπὸ τὴν κεφαλήν· "θῆκε δὲ λᾶαν σκληρὸν ὑπόκρηνον."

ὑπόκριναι ἀποκρίθητι.

ὑποκρίνεσθαι τὸ ἀποκρίνεσθαι οἱ παλαιοί. καὶ ὁ ὑποκριτὴς ἐντεῦθεν ὁ ἀποκρινόμενος τῷ χορῷ. Θουκυδίδης ζ' ⟨44⟩ "εἰ δ' οὐδὲν ὑποκρίνοιντο, διεφθείροντο." καὶ οἱ Ἴωνες οὕτως· Ἡρόδοτος "οἱ μὲν ταῦτα ὑποκρινάμενοι Ἀθηναίων ἀπηλλάττοντο." Πολύβιος ⟨8 29⟩ "τινὲς δὲ τῶν νεανίσκων ἀπήντων τοῖς περὶ Γάιον, προσπαίζοντες ἀλλήλοις ὡς ἂν ὑποκρινόμενοι τοὺς ἐκ συνουσίας ἐπανάγοντας, ἔτι δὲ μᾶλλον ἠλλοιωμένοι ὑπὸ τῆς μέθης."

ὑποκρίνοντι ἀποκρίνοντι.

ὑποκρούειν ἀντιφθέγγεσθαι, ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε. τὸ δὲ ὑποκρούειν ἐπὶ τῶν θορυβούντων λέγεται, ὅπερ ἡμεῖς φαμὲν

ἐκκρέειν καὶ κωλύειν. sch. A Ach. 38.

ὑποκρούωσιν ὑποβάλλεσί σε, λαμβάνονταί σε· Ἀριστοφάνης (Eccl. 257) "τί δ', ἢν ὑποκρέωσί σε;" ἡ δέ φησι "προσκινήσομαι, ἅτ' ἐκ ἄπειρος ἔσα πολλῶν κρεμάτων."

ὑποκυδεῖς γάρ εἰσιν οἱ τόποι" Δείναρχος ἐν τῷ κατὰ Στεφάνε. ὑποκυδής ἐςιν ὁ δίυγρος τόπος. ἐν ἐνίοις μέντοι τῶν ἀντιγράφων γέγραπται ὑπόκοιλοι. Harp.

ὑπόκυκλα (Hom. Σ 375) κύκλους, τροχούς.

ὑποκυσαμένη (Hom. Z 26) ἐγκυμονήσασα.

ὑπόκωφος ὁ ἀκέων καὶ μὴ προσποιέμενος. sch. A Eq. 42.

ὑπολαβὼν ὑπονοήσας, ἢ ἀποκριθείς, ἢ ἀντειπών, ἀντικρέσας. "τὲς δὲ ἀντιστῆναί οἱ τολμήσαντας ὑπολαμβάνων ὡς ἑκάστες διέφθειρε." καὶ Μάλχος (X Anab. 1 1 7) "ὁ δὲ Κῦρος ὑπολαβὼν τὲς φεύγοντας, συλλέξας στράτευμα ἐπολιόρκει τὴν Μίλητον," ἀντὶ τὲ ὑπονοήσας.

ὑπολαμβάνοντας ἀνέχοντας, ἀναβαστάζοντας· "εἴ πῃ ἐς βαθύτερόν τι τε ποταμε ἐμπίπτοιεν, ἀνακεφίζειν ὑπολαμβάνοντας."

ὑπόληψις νόησις, ἀντίπραξις· "τῶν δὲ ἀρχόντων κατεγίνωσκε ῥαθυμίαν ὡς ἐ προνοέντων τῆς αὐτε ὑπολήψεως." Ἀριστοτέλης λέγει ἐν τοῖς Τόποις "εἰ ὑπόληψίς ἐστι ψευδὴς καὶ ἀληθής, εἴη ἂν καὶ δόξα· εἶδος γὰρ ὑπολήψεως ἡ δόξα."

ὑπολίσποις ἐστενωμένοις· (A Eq. 1365) "ὑπολίσποις πυγιδίοισι." τοιαῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν.

ὑπόλογον. Λυσίας φησίν "ἐχ ὑπόλογον ὄντα" ἀντὶ τε ἐκ ἐν λόγῳ. καὶ Δείναρχος "ἐδεὶς ὑπόλογος βελῇ γέγονεν" ἀντὶ τε ἐδεμία συγγνώμη, ἐδεμία παραίτησις. Harp.

ὑπὸ μάλης ὑπὸ μασχάλης. κεῖται δὲ τὸ ὄνομα παρὰ τοῖς ῥήτορσιν· ἀεὶ δ' ἕτως αὐτὸ παραλαμβάνεσι μετὰ τῆς προθέσεως, ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον (12) "ἀλλὰ μὴν ἐχ εἷς ἐδὲ δύο ταῦτ' ἴσασιν, ἐδ ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ μέσῃ πολλῶν παρόντων." καὶ Λυσίας ἐν τῷ πρὸς Κλεινίαν "ἐπειδὴ πάντες κατέδαρθον, ἐσκευασμένος τῶν χαλκωμάτων ὅσα οἰόσι' ἦν πλεῖστα, ὑπὸ μάλης λαβὼν ἐξήγαγε ξίφος ἔχων." καὶ τὸ μὲν ἑνικὸν ἕτω μετὰ τῆς προθέσεως, τὸ δὲ πληθυντικὸν μασχάλας καὶ ἄλλοι πλεῖστοι καὶ Λυσίας ἐν ἐπιστολῇ· "καὶ τὴν μὲν κόμην ψιλήν, τὰς δὲ μασχάλας δασείας."

ὑπομεμαγμένη ἀναπεφυρμένη· "ἡ τε τόπε θέσις ὑπομεμαγμένη ταῖς πέτραις ἀόρατον αὐτοῖς ἐποίει τὴν ὑπερκειμένην ὀρυφήν."

ὑπομνηματίζω.

ὑπόνοια. Φιλόλαός φησι (AP 7 126) "τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν· εἰ γὰρ καὶ μὴ δρᾷς ἀλλὰ δοκῇς, ἀτυχεῖς. ἕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότωνα ποτὲ πάτρη, ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν."

ὑπονομεύοντες ἀντὶ τοῦ ὑπονόμους ὀρύττοντες. Δείναρχος ἐν τῷ κατὰ Καλλισθένε. Harp.

ὑπονομηδόν· Θεκυδίδης (6 100) "τὲς ὀχετοὺς οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν ποτὲ ὕδατος ἠγμένοι ἦσαν, κατέστρεψαν."

ὑπόνομος ὀχετός, διῶρυξ.

ὑπονοστῆσαι ἐπανελθεῖν, ὑποχωρῆσαι.

ὑπὸ οἷ ὑφ' ἑαυτῷ· Ἀρριανός "τὸ δὲ ἕβδομον τέλος ὑπὸ οἷ ἔχων καὶ ἄλλες πολλούς."

ὑπὸ παντὶ λίθῳ σκορπίος. ἐλλείπει ὕπεστι. λέγεται ἐπὶ τῶν κακοήθων καὶ ἐριστικῶν.

ὑποπάρχον.

ὑποπέμψαιεν μετὰ δόλε ἐκπέμψαιεν· Ξενοφῶν (Anab. 2 4 22) "ἐγνώσθη ὅτι οἱ βάρβαροι τὸν ἄνθρωπον ὑποπέμψαιεν, ὀκνοῦντες μὴ οἱ Ἕλληνες διαβάντες τὴν γέφυραν μένειαν."

ὑποπεπτηχότες ὑποκρυπτόμενοι· (Ios. B. I. 5 7 4) "μέχρι μέν τινος ὑποπεπτηχότες τοῖς θωρακίοις ἠρέμεν."

ὑποπεπτηῶτα (Hom. B 312) ὑποπτήσσοντα.

ὑπὸ πῆχυν κρατεῖς· (Synes. ep. 94) "ἡ δὲ Νέμεσις σαφῶς ἐστί, περὶ ἧς πρὸς λύραν ᾄδομεν "λήθεσα δὲ πὰρ πόδα βαίνεις, γαυρέμενον αὐχένα κλίνεις, ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς."

ὑποπιέζω ἐκθλίβω, ὑπωπιάζω δέ.

ὑποπίνειν ἀντὶ τε μεθύσκεσθαι. οὕτω Νικοφῶν.

ὑπόπλεως μεστός.

ὑποπόδιον τοῦ θεοῦ πάλαι μὲν ὁ θεῖος ἐνενόμιστο νεώς, νῦν δὲ αἱ κατὰ πᾶσαν γῆν καὶ θάλατταν ἐκκλησίαι, ἐν αἷς τῷ θεῷ τὴν προσκύνησιν ἀπονέμουσι. Theodoret. in Ps. 98 5.

ὑποποιεῖσθαι ὑποτάσσειν.

ὑπόπτερος ταχεῖα.

ὕποπτος. καὶ ὑπόπτης· "ὃ δὲ ἐπιπλάστῳ μωρίᾳ διέδρα τοῦ τυράννου τὸν φονικόν τε καὶ ὑπόπτην ἐκεῖνον τρόπον." καὶ αὖθις "διὸ καὶ ὡς ἐπὶ χρήμασι τοῦτο ποιῶν ὕποπτος ἐγένετο." καὶ αὖθις "τοῖς μὲν ἡ πόλις ἐδόκει φιλία, Ῥωμαίοις δὲ ὕποπτος," ἀντὶ τοῦ ἐχθρά.

ὑποπυθμίδιον τὴν εἰς τὸν πυθμένα καταλειφθεῖσαν· ⟨AP 6 300⟩ "κεὐοίνου σαφυλῆς ἀποσπάδα πεντάρραγον."

ὑπόρειον τὸ ὑποκάτω τοῦ ὄρους.

ὑπόρειος ἡ ἐξοχὴ τοῦ ὄρους. καὶ ὑπόρειον τὸ ὑπὸ τοῦ ὄρους, ὑπόριον δὲ τὸ μικρὸν ἀκρωτήριον. ὑπώρεια δὲ καὶ ἀκρώρεια διὰ τοῦ ω μεγάλου.

ὑπόρρηνον ⟨Hom. K 216⟩ ὕπαρνον.

ὑποσκάλευε ἀναφύσα, ζωπύρει· Ἀριστοφάνης ⟨Ach. 1013⟩ "τὸ πῦρ ὑποσκάλευε."

ὑποσκέλισον τῆς ὁρμῆς κώλυσον· Δαβίδ ⟨Ps. 16 14⟩ "ἀνάστηθι, κύριε, πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς."

ὑπὸ σκότῳ· "ὑπὸ σκότῳ δὲ γεγονώς" σκότιος, ὅπερ ἐστὶ λαθραῖος. παρθένιος δὲ ὁ ἐκ παρθένου γεγονὼς δοκούσης.

ὑποσμύχουσα ἐνδιερεθίζουσα, ὑποκαίουσα, θλίβουσα, καταπονοῦσα.

ὑποσπαιρούσης· "καὶ τοὺς ὀφθαλμοὺς αὐτῆς μικρὸν ὑποσπαιρούσης ἔτι ἐκκόπτουσιν."

ὑποσπανίζων ἐνδεῶς ἔχων· ⟨Procop. Arc. 19⟩ "χρημάτων τε ὑποσπανίζων τοὺς ὑπηκόους ἐληίζετο."

ὑπόσπονδος ὑπὸ φιλίαν ὑποτεταγμένος.

ὑποστάθμη καὶ ὑποσταθμίς τρυγίας.

a ὑποστάς καταδεξάμενος, ἀναδεξάμενος· "ὃ δὲ ὑποστὰς τὴν μήνυσιν, πρὸς τὴν ἐκείνου παρασκευάζεται ἐπιβουλήν." σημαίνει δὲ καὶ τὸ ὑπομείνας· "πορευομένων δὲ αὐτῶν καὶ γενομένων κατά τινα στενωπὸν προῄει μὲν ὁ Οὐλίθ, ὑποστὰς δὲ ὁ Ἀναγάστης, τῷ δῆθεν ῥᾳδίως ἑκάτερον αὐτῶν διεξελθεῖν, τὸν ἀπὸ τῆς κεφαλῆς πῖλον ἀνέλαβε." καὶ αὖθις "οἱ δὲ ὑποστάντες τὸ ἐπίταγμα ἐμήνυον, ἀναζεύξαντες καθελκύσθαι αὐτῷ ἐς θάλατταν ναῦς," ἀντὶ τοῦ ἀναδεξάμενοι. καὶ αὖθις "οἱ δὲ ὑποστάντες ἀνῃρέθησαν."

ὑποστάς ὑπομείνας, θαρσήσας· Ξενο- b φῶν ⟨Anab. 4 1 26⟩ "ὅστις ὑποστὰς ἐθελοντὴς πορεύεσθαι. ὑφίστανται δὲ τῶν μὲν ὁπλιτῶν Ἀριστώνυμος."

ὑποστάς ὑπομείνας· "ὑποστὰς εἰς ὄψιν c ἐλθεῖν," ἐναντιωθῆναι. "τοῖς ὑποστᾶσι πολεμήσας τούτους ἐνίκησε."

ὑπόστασις κυρίως τὸ καθ' ἑαυτὸ ἰδιοσυστάτως ὑφιστάμενον. ἔστιν οὖν πρᾶγμα ὑφεστώς τε καὶ οὐσιῶδες, ἐν ᾧ τὸ τῶν συμβεβηκότων ἄθροισμα ὡς ἐν ἑνὶ ὑποκειμένῳ πράγματι καὶ ἐνεργείᾳ ὑφέστηκεν ⟨Theorian. Legat. Armen. p. 16⟩. ἐτυμολογεῖται δὲ ὑπόστασις παρὰ τὸ ὑφεστάναι καὶ ὑπάρχειν. παρὰ δὲ Αἰλιανῷ ὑπόστασιν τὴν ἀντίστασιν· φησὶ γὰρ "ἀπέστη τὸ ἔθνος τὸ Σύρων, καὶ Φοινίκων τοὺς γείτονας προσέλαβεν εἰς τὴν αὐτὴν ὁρμήν τε καὶ ὑπόστασιν." καὶ Διόδωρος "ἐπαγγελλόμενοι καὶ αὐτοὶ πρὸς τὴν ὑπόστασιν ταύτην συμβαλεῖσθαι."

ὑποστατικῶς ὑπομονητικῶς, καρτερικῶς· "ὃ δὲ ὑποστατικῶς κεχρημένος τοῖς ἐπικειμένοις κινδύνοις δόξαν ἀνδρείας ἀπηνέγκατο."

ὑπόστεγος ὑπὸ τὸν οἶκον· Σοφοκλῆς ⟨Phil. 34⟩ "κοὐδὲν ἔσθ' ὑπόστεγον; αὐτόξυλόν γ' ἔκπωμα."

ὑποστειλάμενος ὑποκρυψάμενος, φοβηθείς.

ὑποστέλλεται ἀναδύεται, ὑποκρίνεται, φεύγει, δολιεύεται.

ὑπόστημα πλῆθος· "τῷ δὲ ὑποστήματι τῶν ἀνδρῶν ἀντεῖχον ἐρρωμένως οἱ Ῥωμαῖοι."

ὑποστησάμενος ἀντὶ τοῦ ἐναρξάμενος· ⟨Io. Antioch. p. 821⟩ "ἐκ πρώτης γὰρ δὴ τῆς ἡλικίας εὐσταθῆ τε καὶ ἡσύχιον βίον ὑποστησάμενος, οὔτε κατὰ δέος οὔτε καθ' ἡδονὴν τραπεὶς τὸ πρόσωπον ὤφθη πώποτε."

ὑποστήσας ἀντὶ τοῦ ὑποβαλόμενος Ὑπερίδης. Harp.

ὑποστήτω ἀποχωρησάτω.

ὑποστολῆς φυγῆς.

ὑποσυγχύτως συγκεχυμένως.

ὑποσχεῖν ὑπολαβεῖν, ἀπαιτηθῆναι, ὑποθεῖναι· "τῷ δήμῳ λόγον ὑποσχεῖν ὑπὲρ τῶν ἄχρι τȣ̃δε πεπραγμένων." καὶ αὖθις "ὑποσχόντα λόγον τῆς ἀρχῆς, καὶ τὰς εὐεργεσίας ἀναδειξάμενον."

ὑποσχέσθαι ἐκτεῖναι.

ὑπόσχωμεν ὑποβάλωμεν.

ὑποτείνει. cf. v. τὸ γὰρ ἐσλεύσσειν.

ὑποτείνων ὑπισχνȣ́μενος· ⟨A Ach. 657⟩ "ȣ̓ θωπεύων ȣ̓δ' ὑποτείνων μισθȣ́ς, ȣ̓δ' ἐξαπατύλλων."

ὑποτελὶς καὶ τέλος κατὰ φιλοσόφους διαφέρει. τῆς μὲν ··· εἶναι ⟨cf. v. τέλος e⟩.

ὑποτεμέσθαι ἀφελέσθαι. Ξενοφῶν ⟨Hell. 1 6 15⟩ "ἢν ἐπ' ἐκείνȣς ἡμεῖς ἐλαύνωμεν, ὑποτεμȣ̃νται ἡμᾶς πάλιν ἐκεῖνοι· ἡμῖν δὲ ȣ̓́πω ἡ ἰσχὺς πάρεστιν."

ὑποτεμνόμενον ἐκκόπτοντα.

ὑποτεμνόμενος τὸν πλοῦν ἀντὶ τȣ̃ διὰ τῶν συντομωτάτων πλέων, ἵνα καταλάβῃ τὸν διωκόμενον. ȣ̔́τω Ξενοφῶν.

ὑποτεμόμενος προλαβών· "ὃ δὲ ὑποτεμόμενος ἐν ξυναγκείᾳ τινὶ βάλλει κατὰ νώτȣ αὐτόν" ⟨cf. v. ξυνάγκεια⟩.

ὑποτεμȣ̃μαι καὶ περικόψω τῆς ἀλαζονείας Ἀριστοφάνης ⟨Eq. 291⟩· οἱ βυρσοδέψαι γὰρ ὑποτέμνȣσι τὰ δέρματα διὰ τὸ φαίνεσθαι παχέα.

ὑποτετμημένων ἀφῃρημένων· "ὑποτετμημένων αὐτῷ τῶν ἐλπίδων κατάφοβος ἦν."

ὑποτίτθια ὑπομάζια παιδία. καὶ ὑπότιτθον ὁμοίως τὸ ὑπομάζιον.

ὑποτοπήσας ὑπονοήσας.

ὑπότριμμα ἔκ τε φοινίκων καὶ μέλιτος καὶ ἄλλων τινῶν ἀρτυμάτων· Ἀριστοφάνης ⟨Eccl. 294⟩ "βλέπων ὑπότριμμα," ἀντὶ τοῦ δριμύ, "στέργων σκοροδάλμῃ," τȣτέξιν ἡδόμενος δριμέσιν.

ὑπότροπος ἐξ ὑποστροφῆς.

ὑποτροχίζεσθαι. ȣ̓χ ὡς ἡμεῖς τὸ ὑποπεσεῖν τροχῷ καὶ τρωθῆναι τροχίζεσθαι καλȣ̃μεν, ȣ̔́τω καὶ οἱ ῥήτορες αὐτῷ ἐχρήσαντο, ἀλλὰ τὸ στρεβλȣ̃σθαι ἐπὶ τȣ̃ τροχȣ̃ τȣ̀ς ἐξεταζομένȣς, ἵνα κατείπωσιν ἃ συνίσασιν ἄλλοις ἢ περὶ ὧν αὐτοὶ ἠδίκησαν, τροχίζεσθαι λέγȣσιν.

ὑποτυπώσεων χαρακτήρων, λόγων.

ὑποτυφȣ́σης ὑποκνιζȣ́σης, ὑποκαιȣ́σης· "ἀλλὰ κατὰ βραχὺ τῆς διηγήσεως ὑποτυφȣ́σης τȣ̀ς ἀκȣ́οντας." καὶ ὑποτυφομέν[η] ⟨Menand. p. 286 Nieb.⟩ "ἐντεῦθεν ἤρξατο ἡ δυσμένεια Ῥωμαίων τε καὶ Ἀβάρων, ἤδη [..] πολλȣ̃ ὑποτυφομένη."

ὑπȣδαῖοι καταχθόνιοι.

ὕπȣλα γόνατα, καὶ ὕπȣλον πόδα, καὶ ὕπȣλον χεῖρα καὶ σῶμα, τὸ φλεγμαῖνον διά τινας πληγὰς καὶ ἐγγὺς τȣ̃ ἀφίστασθαι ὄν, Κρατῖνος.

ὕπȣλα ἕλκη τὰ κρυπτά.

ὕπȣλος δόλιος, φαινόμενος δῆθεν εἰρηνικός, ὡς ἐπὶ τῶν ἑλκῶν τῶν ἐχόντων ȣ̓λὰς ὑγιεῖς ἐπιπολαίως, ἔνδοθεν δὲ σηπεδόνας πυώδεις. ἐξ ȣ̔̃ ἐπὶ τῶν προσποιȣμένων μὲν εἶναι χρηστῶν ἀνθρώπων, ὄντων δὲ μοχθηρῶν ἐλέχθη ȣ̔̃τος ὁ λόγος.

ὑπȣ́λως· "ὃ δὲ πρός τινας τῶν γνωρίμων ὑπȣ́λως τε καὶ ȣ̓χ ὑγιῶς ἔσχεν."

ὑπ' ȣ̓́ρει ὑπὸ τῷ ὄρει.

ὑποφέρονται ὑποβάλλονται, καὶ ὑποφέρων ὑποβάλλων.

ὑποφῆται ἱερεῖς, προφῆται, χρησμολόγοι.

ὑποφθάς φθάσας, προλαβών.

ὑποφόνια. τὰ ἐπὶ τῷ φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τȣ̃ ἀναιρεθέντος ὑπὸ τȣ̃ τὴν αἰτίαν ἔχοντος ὅτι ἀνῄρηκεν, ἐπὶ τῷ μὴ ἐπεξέρχεσθαι μηδὲ γενέσθαι τὴν τȣ̃ φόνȣ δίκην, ὑποφόνια καλεῖται. ȣ̔́τω Δείναρχος καὶ Θεόφραστος. Harp.

ὑπόφορος ὑπεύθυνος, ὑπόκηνσος, ὑποτελος.

ὑποφύσεις παραφυάδες φαύλων λογισμῶν ἔξωθεν φυόμεναι.

ὑπόχαλκον δέ σȣ τὸ χρυσίον ἀντὶ τȣ̃ μίξιμον, παρακεκομμένον τὸ νόμισμα, παραχαράξιμον.

ὑπὸ χεῖρα.

ὑποχείριον τὸ ὑπὸ τὴν χεῖρα· "οἳ μὲν πυγμαῖς οἳ δὲ ῥοπάλοις, οἳ δὲ ὅ τι ποτὲ παρέπιπτεν αὐτοῖς ὑποχείριον, ἀλοῶντες αὐτόν" ⟨cf. v. τριακοντόπȣς⟩.

ὑποχειρίȣς αἰχμαλώτȣς, δȣ́λȣς· "ὑποχειρίȣς αὐτῷ ποιῆσαι τȣ̀ς παῖδας τῶν εὐγενεστάτων."

ὑποχόνδρια τὰ ἀκροσπάθια, τὰ ἐπὶ τὴν λαγόνα.

ὑποχυτῆρες τρύβλια δι' ὧν τὸ ἔλαιον εἰς λύχνȣς ἐπιχέȣσιν.

ὑπόχυτος οἶνος ὁ γλυκύς· "ἦν δὲ ὁ

Πολέμων ὁ φιλόσοφος ὃ γλυκὺς ὃδ' ὑπόχυτος ἀλλὰ Πράμνιος" (Diog. L. 4 20).

ὑποψαμμότερος· "προήροσε γὰρ τὸν τόπον ὑποψαμμότερόν πως ὄντα, ἵνα ἐν τῇ συνόδῳ σφῶν κονιορτὸς πάμπολυς ἀρθῇ."

ὑπὸ ψήφυ μιᾶς (A Lys. 270) ἀπὸ γνώμης, ἀπὸ κρίσεως μιᾶς.

ὑποψία τὸ ὑπὸ τὴν ὄψιν, τὸ ἐνεστηκός· Πισίδης (Avar. 43) "τὴν τῶν φθασάντων ἀσφαλῶς ὑποψίαν." ἢ τὸ ἐξ ἀκοῆς καὶ παραδόσεως γραφόμενον. καὶ ὑπόψια.

ὕπτια ὑψηλά.

ὑπτιάζει ὑποσρέφει.

ὕπτιος ἐπὶ νῶτον κείμενος. καὶ ὕπτια πεδία τὰ ὁμαλά. "προθυμίᾳ τῇ πάσῃ ἀναπετάσαντες τὰς πύλας ἐδέξαντο ὑπτίαις χερσὶ τὰς πολεμίας," ἀντὶ τῦ ἡπλωμέναις.

ὕπτιος λέγεται καὶ ὁ ἄπρακτος· καὶ ἐν ἐπιγράμματι (AP 5 203) "ᾧ πολὺν ὕπτιον ἵππον ἐγύμνασε." περὶ μύωπος ὁ λόγος.

ὑπωμοσία. τὸ ὑπερτίθεσθαι δίκην, προφάσει χρώμενον ἀποδημίᾳ ἢ νόσῳ ἤ τινι τῶν παραπλησίων μεθ' ὅρκυ, ὅτως ἐλέγετο. καὶ τὸ ποιεῖν τῦτο ὑπόμνυσθαι. Harp.

ὑπώπια τὰ ὑπὸ τὰς ὀφθαλμὰς πελιδνώματα, ἢ τὰ ἐξ αὐτῶν ἐξιόντα πύα.

ὑπώπια οἱ τύλοι οἱ γινόμενοι ἐν ταῖς χερσὶν ἀπὸ τῆς ἐργασίας. λέγεται δὲ ὑπώπια καὶ τὰ ἀφ' οἱασδηποτῦν πληγῆς τραύματα. sch. A Ach. 550.

ὑπώπια ἀπὸ μέρυς τὴν ὄψιν. sch. Hom. M 463.

ὑπωπιάζω τὸ ὑποτηρῶ ἐκ τῦ ὑπώπια, ὃ σημαίνει τὰς ὀφθαλμάς. φησὶν ὁ ἀπόστολος (1 Cor. 9 27) "ἀλλ' ὑπωπιάζω μυ τὸ σῶμα καὶ δυλαγωγῶ," τυτέςι πρὸς ἄσκησιν αὐτὸ μετ' ἐπιστήμης καὶ φρονήσεως γυμνάζω, καὶ πρὸς τὴν τῶν κρειττόνων συνέργειαν, ὃ πρὸς ἀσέλγειαν προνοῦμαι. ταύτῃ τοι καὶ παραινεῖ φάσκων (Rom. 13 14) "ἐνδύσασθε τὸν κύριον Ἰησῦν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας," ὃ τὴν σύμμετρον καὶ ἀναγκαίαν ἐπιμέλειαν πρὸς σύστασιν ἀπαγορεύσας, ἀλλὰ τὴν ἀκολασίας μητέρα γαστριμαργίαν· ἐπήγαγε γὰρ "εἰς ἐπιθυμίας," δηλαδὴ βλαβερὰς καὶ ἀνοήτυς. ὃ γὰρ τοσαύτην αὐτῷ προσφέρειν δεῖ θεραπείαν ὡς κατασκιρτᾶν τῆς ψυχῆς, ἀλλ' ἵνα συνεργῇ καὶ καθυπεργῇ τοῖς ἀρίστοις ἐκείνης ἐπιτηδεύμασι. τῦτο καὶ ὁ Πλάτων φησίν· "ἐπιμελεῖσθαι δεῖ σώματος καὶ ψυχῆς ἕνεκα ἁρμονίας, δι' ὃ βιῦν τε ἔστι καὶ ὀρθῶς βιῦν" (cf. v. ἀσκὸς ἐν πάχνῃ). ὑποπιέζω δέ, διὰ τοῦ ο μικροῦ, τὸ μετρίως πιέζω.

ὑπωπιασμέναι· Ἀριστοφάνης (Pac. 540) "καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι καὶ κυάθοις προσκείμεναι," ἀντὶ τῦ σφόδρα πληγεῖσαι περὶ τὰ ὑπώπια· ὑπώπια δέ ἐστι τὰ ὀγκώματα καὶ κρέματα, ἅπερ κονδύλυς φασί. τοῖς κυάθοις δὲ προσθλῶσι τὰ ὑπώπια. ἢ ἐν ὀξυβάφοις χαλκοῖς τὰ ὑπώπια ἀνατρίβοντες ἢ τοιύτοις τισὶν ἀφανῆ ποιῦσιν· Ἀπολλοφάνης "κύαθον λάβοιμι τοῖς ὑπωπίοις."

ὑπώρεια ἡ ὑπὸ τὰ ὄρος πεδιάς, οἱ πόδες τῦ ὄρυς μεταφορικῶς.

ὑπωρόφιοι οἱ ὑπὸ τὴν αὐτὴν οἰκίαν περιειλημμένοι συγγενεῖς.

ὑπώροφον ὑπόστεγον.

Ὑρίη ὄνομα πόλεως.

Ὑρκάνιος ὄνομα.

Ὑρκανός ὄνομα κύριον. (Ioseph. A. I. 12 4 8?) "τῦτον ἠρώτησεν Ἀρίων πῶς ὁ πατὴρ αὐτῦ συναγάγοι τὴν ὀσίαν, ὡς πονῶν καὶ τοῖς ἐπιθυμίαις ἀντέχων, ἐδήλυ."

Ὕρρα παῖς ὁ Πιττακός. καὶ Ὑρράδιος ὄνομα. καὶ Ὑρραδιανός ὄνομα κύριον.

Ὑρτάκης ὄνομα κύριον. καὶ Ὑρτακίδης ὄνομα.

Ὕρτιον.

ὕρχυς.

ὗς χοῖρος, ἢ σύαγρος. a

ὗς ἐπὶ θηλείας, σῦς δὲ ἐπὶ ἄρρενος. κέχρηνται δὲ ἀδιαφόρως. (A Ach. 741) "ὅπως b δὲ δόξητ' ἦμεν ἐξ ἀγαθᾶς ὑός."

ὕσας βρέξας. Αἰλιανός "εἶτα ἀδοκήτως πολλῷ πάνυ σφόδρα ὗσε, καὶ ἀστραπαὶ γεγόνασιν ἐκπλῆξαι δειναί."

ὕσγη βοτάνη. καὶ ὑσγινοβαφὴς χιτὼν βεβαμμένος, καὶ ὑσγινοβαφῆ ὁδετέρως.

ὗς διὰ ῥόδων, ἐπὶ τῶν σκαιῶν καὶ ἀναγώγων, Κράτης Γείτοσιν.

ὗς ἐκώμασε παροιμία ἐπὶ τῶν ἀναιδῶς τι ποιύντων. cf. v. κώμη.

ὑσθεῖσαι βραχεῖσαι ἀπὸ ὑετοῦ.

ὕσθης ἐβράχης.

Ὑσίαι πόλις τῆς Βοιωτίας.

ὑσμίνης μάχης.

Ὑσπελέθας ὄνομα κύριον.

ὑσπλάτιδος· "ὥσπερ ἀπὸ μιᾶς ὑσπλάτιδος," ἀντὶ τοῦ ἀφέσεως, βαλβῖδος. ἀπὸ μιᾶς ἀφετηρίας, ἤγουν ἀπὸ ἑνὸς κανόνος καὶ καμπτῆρος. Ἀριστοφάνης φησίν (Lys. 999) "αἵπερ ἀπὸ μιᾶς ὑσπλάτιδος ἀπήλαον τοὺς ἄνδρας ἀπὸ τῶν ὑσσάκων," τουτέστι τῶν γυναικείων αἰδοίων.

ὕσπληξ φραγέλλιον, ἀφετηρία, βούκεντρον, ἢ μύωψ ὁ πλήσσων τοὺς βοῦς. "ὃ δὲ καθάπερ ἀπὸ ὕσπληγος ἕτοιμος ὢν ἐξ αὐτῆς ἧκε." καὶ αὖθις (AP 6 259) "τίς τὸν ἄχνουν Ἑρμῆν σε παρ' ὑσπλήγεσσιν ἔθηκε;" καὶ Ἰώσηπος (B. I. 3 5 4) "οἳ δὲ ἑστῶσιν ὥσπερ ἐφ' ὕσπληγος ἐξορμᾶν ἕτοιμοι."

ὑσσάκων τῶν γυναικείων αἰδοίων. A Lys. 1000.

ὑσσός ἀκόντιον. "ἐξακοντίσας ὑσσὸν διήλασεν αὐτοῦ τόν τε θυρεὸν καὶ τὸν θώρακα." (Polyb. 6 23) "τῶν δὲ ὑσσῶν οἳ μὲν εἰσι παχεῖς οἳ δὲ λεπτοί."

ὕσσωπος βοτάνη ῥυπτική. Δαβὶδ "ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι." οὐδεμίαν γὰρ ἄφεσιν ἁμαρτημάτων εἰργάζετο. αἴνιγμα δέ τι σημαίνει. ὑσσώπῳ τὸ αἷμα τοῦ προβάτου ταῖς φλιαῖς ἐπιρράναντες τοῦ ὀλοθρεύοντος τὰς χεῖρας διέφευγον. τύπος δὲ ἐκεῖνα τῶν σωτηρίων παθημάτων· αἷμα γὰρ κἀνταῦθα καὶ ξύλον σωτηρία. Theodoret. in Ps. 50.

Ὑστάσπης ὄνομα κύριον.

ὕστατος τελευταῖος, ἔσχατος.

Ὑστέλλειον ὄνομα ὄρους.

ὑστεραίᾳ ἡ μετὰ τὴν αὔριον ἡμέρα· "τῇ δ' ὑστεραίᾳ ἤγοντο ἄλλος ἄλλῃ."

ὑστερίζειν μετὰ μίαν ἡμέραν ἔρχεσθαι· "τούτοις ἐτέτακτο μιᾷ ἡμέρᾳ ὑστερίζειν βασιλέως." και ὑστερῶ ὑστερήσω· (Dionys. Hal. 20 6) "οἱ δὲ βασιλικοὶ τοῦ καιροῦ τῆς βοηθείας ὑστερήσαντες."

ὕστερος λόγος. (A Av. 336) "ἀλλὰ πρὸς μὲν τούτους ὕστερος λόγος," τουτέστιν ὕστερον αὐτοῖς μαχησόμεθα, παρὰ τὸ Ὁμηρικόν (Λ 140) "ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖθις."

ὕστινος (an ὕσγινος) βάμματος εἶδος· (AP 6 254) "τάν κόκκοιο βαφέντα καὶ ὑστίνοιο θέριστρα."

ὕστριξ ἐκ δέρματος μετ' αὐτῶν τῶν τριχῶν μάστιξ. "ὑστριχίδι μαστιγῶν" Ἀριστοφάνης Βατράχοις (632). ἢ ὕστριξ ἀκανθόχοιρος, χερσαῖος ἐχῖνος.

ὑστριχίς ἡ ἐξ ὑείων τριχῶν μάστιξ. Ἀριστοφάνης (Pac. 747) "μῶν ὑστριχὶς ἐνέβαλέν σοι εἰς τὰς πλευρὰς πολλῇ στρατιᾷ κἀδενδροτόμησε τὸ νῶτον;" ἔστι δὲ καὶ ὑστριχὶς θηρίον τρίχας ἔχον ὑός, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.

ὗς ὑπὸ ῥόπαλον, παροιμία παρὰ Διονυσίῳ ἐπὶ τῶν ἑαυτὰς εἰς ὄλεθρον ἐμβαλλόντων.

ὖ ἐπίρρημα θαυμαστικόν, ὅπερ ἐν τῇ συνηθείᾳ λέγομεν, ὀσφραινόμενοί τινος π...σης. sch. A Plut. 896.

ὕφα τὸ ὕφασμα.

ὕφαιμος ὁ ᾑμαγμένος μώλωψ.

ὑφαίνω κατασκευάζω.

ὑφαιρεῖται παρεκβάλλει.

ὕφαλοι ὑποθαλάσσιοι κεκρυμμέναι πέτραι. (Theophyl. Sim. 2 10) "ὕφαλός τις ἐν τοῖς βαρβάροις ὁ θάνατος, ὥς τις ἀμαυρῶς ἐξαπιναίως καταρροφοῦσά πως τὸ πολέμιον."

ὕφυλος φάτις ἡ κρυφία. "διὰ τῶν ὑ...λώτων τροφὰς ὑφάλους εἰσέφερον· οἳ μέχρι τινὸς ἐλάνθανον τοῦτο ποιοῦντες, ὕστερον δὲ ἑάλωσαν" (cf. v. ὕφυδροι).

ὑφάντης καὶ ἀνυφάντης.

ὑφαντοδόνητον. (A Av. 937) "ἄνθρωπος ἡμῶν οὐκ ἀπαλλαχθήσεται. Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων, ὃς ὑφαντοδόνητον ἔσθος οὐ πέπαται· ἀκλεὴς δ' ἔβα σπολὰς ἄνευ χιτῶνος. ξύνες ὅ τοι λέγω. ... νίημ' ὅτι βόλει τὸν χιτωνίσκον λαβεῖν." ... τό φησιν, ἐπειδὴ - - - κρίνεται. cf. v. νομάδες.

ὕφασμα σάκκος. "ἐμβαλὼν δὲ αὐτὸν τὸν ἀπατηλὸν ἐν ὑφάσματι ἐκ τριχῶν πεπλεγμένῳ, ἐνῆκεν εἰς τοῦ ποταμοῦ τὰς δίνας."

ὑφεδρία ἡ κατωτέρω καθέδρα.

ὑφειμένοι ὑποχείριοι. ἢ ὑφειμένη ἐκλελυμένη· "ὑφειμένη ἂν καὶ διαλεκτικῇ πολλαχῇ τῇ φωνῇ ἐδεῖτο ξυγγνῶναί οἱ βασιλέα." καὶ αὖθις (S El. 335) "πλεῖν δ' ἐν κακοῖς ὑφειμένῃ δοκεῖ," ἀντὶ τοῦ πλέειν.

ὑφειμένως ἐνδεδομένως, ἢ ἐκλελυμένως.

ὑφεὶς ἐνδούς, ὑποχαλάσας· (Dio C. 68 ...) "ὃ δὲ ὑφεὶς τοῦ φρονήματος ἔπεμψεν ... τεύων μὴ πολεμηθῆναι."

ὑφεὶς ὑποβαλών· "ὑφεὶς μάγον τοῦ ..."

μηχανορράφον, δόλιον ἀγύρτην" Σοφοκλῆς ⟨OR 387⟩.

ὑφεῖσθαι ἀμελῆσαι, ὑποχωρῆσαι· "ὃ μὴν ὑφεῖσθαι τῆς χώρας, ἀλλὰ μεῖναι καὶ κατασχεῖν."

ὑφεῖται συγχωρεῖται.

ὑφελκτέον τῶν δᾴδων, ἀντὶ τῦ ὑφαιρετέον· Ἀριστοφάνης ⟨Eq. 916⟩ "ὑφελκτέον τῶν δᾴδων, καὶ ἀπαρυστέον τῶν κρεῶν." τῦτο ποιῦσιν ὅταν παφλάζῃ ὁ λέβης, ἀφαιρῦντες ἐκ τῶν κρεῶν.

ὑφέντες ἐγκαθίσαντες, ὑποβαλόντες· "οἱ δὲ ἐνέδραν ὑφέντες κτείνυσι τῦτον δόλῳ." καὶ αὖθις "ὁ δὲ Ἄκαστος λόχον ὑφείσας ἐπεβάλετο τῷ Πηλεῖ, καὶ ὃς αἰσθόμενος ἐς πόλεμον κατέστη" ⟨cf. v. Ἄκαστος⟩.

ὑφέξειν ὑπενεγκεῖν, ὑπομεῖναι· ⟨A Th. 203⟩ "μὴ νῦν ἐλπίσῃς τὸ σὸν κακὸν ἡμᾶς ὑφέξειν· καὶ γὰρ ἂν μαινοίμεθ' ἄν. ἀλλ' αὐτὸς ὅ γε σόν ἐστιν οἰκείως φέρε."

ὑφέρποντα ἐπερχόμενον, παραγινόμενον· ⟨Ioseph. B. I. 5 8 2⟩ "ἐπεσκότει γὰρ αὐτῶν ταῖς γνώμαις διὰ τὰς παρανομίας ὁ Θεός, καὶ τὸν ὑφέρποντα λιμὸν αὐτοῖς οὐκ ἔβλεπον."

ὑφέσθαι ὑποχωρῆσαι, εἶξαι. sch. A Ran. 1251.

ὕφεσις ἐλάττωσις.

ὑφέστιος ὁ ἐν τῇ οἰκίᾳ τυγχάνων· ⟨Dionys. Hal. 9 19⟩ "καὶ μηδὲ μοῖρα τῦ Φαβίων γένυς ἐν τοῖς ὑφεστίοις ὑπελείπετο."

ὑφεστὼς ἐνυπόστατος.

ὑφεωρᾶτο· "ἀλλ' ὅμως ὑφεωρᾶτο καὶ κατεκλᾶτο τὴν ψυχήν, ἀποβλέπων εἰς τὸ μέγεθος τῦ πράγματος." ὑφεωρᾶτο ὖν ἀντὶ τῦ δυσκόλως εἶχεν, ἐνενόει, ἐδυσωπεῖτο.

ὑφηγήσονται ὑποδείξουσιν. "ὁ δὲ Τραϊανὸς ἐξελαύνει ὡς ἐπὶ τὴν Ἀνθεμυσίαν γῆν· ἐπὶ ταύτην γὰρ καὶ Ἄγβαρος ὑφηγεῖτο ἰέναι," ἀντὶ τῦ συνεβύλευεν, ὑπετίθετο.

ὑφῆκεν ὑπέβαλεν, ὑπέθηκεν· "ὃ δὲ ἐνέδραν αὐτῷ τινὰ ὑφῆκεν."

ὕφηνε κατεσκεύασεν, ἐκ τῦ ὑφαίνω.

ὑφηνίοχος ⟨Hom. Z 19⟩ ἀντὶ τῦ ἡνίοχος.

ὑφῆραν ⟨an ὑφῄρυν⟩ ἔλαβον.

ὑφήφασμαι Ἀττικὸς παρακείμενος. ὑφαίνω ὑφανῶ ὕφαγκα ὕφαμμαι. ἔθος δὲ ἔχυσιν οἱ Ἀττικοὶ πολλάκις ἐν τοῖς τοιύτοις ῥήμασι τρέπειν τὸ πρὸ τῦ μ σύμφωνον εἰς σ· γίνεται ὕφασμαι. ἐπεὶ δὲ ὐδέποτε ὁ Ἀττικὸς παρακείμενος ἔχει τὰ αὐτὰ φωνήεντα ἐν τῇ α' καὶ β' συλλαβῇ, ἐτράπη τὸ υ εἰς η, καὶ γίνεται ὑφήφασμαι.

ὑφίει συνεχώρει.

ὑφιέμενον ἐνδιδόμενον. καὶ ὑφιέναι ὑπενδῦναι.

ὑφιζάνει ὑποκαθέζεται, ἐλαττῦται.

ὑφιζήσεις ὑποχαλάσεις, ἐνδόσεις· "ἐξέκλινε τὰ γεώδη καὶ μαλακὰ καὶ ψαμμώδη διὰ τὰς ἐσομένας ὑφιζήσεις ἐπὶ τοῖς βάρεσι τοῖς ἐπιτιθεμένοις" ⟨cf. v. ἐφυλάξατο⟩.

ὑφιστάμενος βεβαιῶν, ἐπαγγελλόμενος· "δηλητηρίοις φαρμάκοις ἀνελεῖν τὸν Πύρρον ὑφιστάμενος" ⟨cf. v. Φαβρίκιος⟩.

ὑφιστὰς ὑποστάς, ὑποτιθείς.

ὑφίσταται ὑπισχνεῖται, διαβεβαιῦται· Ἀππιανός ⟨t. 1 p. 80⟩ "ὃ δὲ ὑφίσταται γράμματα διοίσειν διὰ τῶν ἐχθρῶν ἐς τὸ Καπιτώλιον." καὶ αὖθις "οἱ δὲ κωλύσειν ὑφίσαντο τὰ Ῥωμαϊκὰ δύο σκάφη ὡς προεκδραμόντα τῦ παντὸς στόλυ."

ὑφορμῦν ἀπαντῶν, ἐναντιύμενον.

ὑφορώμενοι· "οἱ δὲ τὰ χρήματα ὑφορώμενοι, καὶ φιλεῖν αὐτὰ ἀποδιδράσκοντες," ἀντὶ τῦ μισῦντες, παρατηρῦντες, ἢ ὑπονοῦντες, προσδοκῶντες.

ὑφορώμενος ὑποστελλόμενος, ἢ ἐννοῶν· "καὶ ὐδὲν ὑφορώμενος τὸν τῶν νεωτέρων γέλωτα ταῦτα ἐτέλει σεμνῷ προσώπῳ" ⟨cf. v. τραγήματα⟩.

ὑφόωσιν ὑφαίνουσιν ⟨Hom. ε 105⟩.

ὕφυδροι· Θυκυδίδης ⟨4 26⟩ "ἐσένεον δὲ κολυμβηταὶ ὕφυδροι, καλωδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην καὶ λίνυ σπέρμα κεκομμένον." ὑπὸ τὸ ὕδωρ ὄντες.

ὑφωμαδὸν ὁμοθυμαδόν. ὁ δὲ τοῖς ὤμοις φέρων ἐπωμαδὸν καὶ ἐπωμάδιος λέγεται.

ὑψαγόρας ὑψίλογος· ⟨Menand. p. 306⟩ "ἐχρῆτο δὲ κομπολογίαις, καὶ ὑψηγόρας τις ἦν καὶ τραχύς. ὁ δὲ Βῶνος κατ' ὐδὲν τοῖς ῥήμασιν ὑποχαλάσας ἀνεμίμνησκε τῆς ἐν Σκυθίᾳ μάχης."

ὑψαυχεῖν ὑψηλοφρονεῖν.

ὑψηγόρε μεγαληγόρε.

ὑψηλολογύμενοι· "ἀπειλύντων τε καὶ ὑψηλολογυμένων."

ὑψηλοτέρας ἀλαζονικωτέρας, ὑπερφερεστέρας· ⟨Iulian. 3 p. 62⟩ "ὑψηλοτέρας ἔγραψε Καπανέως ἐπιστολάς, ἐπαρθεὶς ἢ χαυνωθεὶς

ἢ καὶ κεπφωθείς, ὑπὲρ ὧν τὸν θεὸν πολλάκις ὑπομιμνήσκω καὶ τὸ ⟨Eur. Phoen. 189⟩ "ἰὼ Νέμεσι καὶ βαρύβρομοι βρονταί συνεχῶς βοῶ." καὶ αὖθις ⟨S Ai. 1230⟩ "ὑψήλ' ἐφρόνεις κἀπ' ἄκρων ὡδοιπόρεις," τυτέστιν ἐπ' ἄκρων δακτύλων ἔβαινες γαυριῶν, "ὅτ' ὐδὲν ὢν τῦ μηδὲν ἀντέστης ὕπερ, κὔτε ϛρατηγοὺς οὔτε ναυάρχυς μολεῖν ἡμᾶς Ἀχαιῶν ὔτε σῦ διωμόσω."

ὑψηλότερος εὐδαιμονέστερος.

ὑψηλῶς μεγάλως.

ὑψηρεφές ὑψηλόν.

ὑψηχής ὁ ὑψαύχην. καὶ ⟨Hom. *E* 772⟩ "ὑψηχέες ἵπποι."

ὕψι εἰς ὕψος, καὶ ὑψῦ ἐφ' ὕψυς.

ὑψιβρεμέτης ἐν ὕψει βροντῶν.

Ὑψίζοντος ποταμῦ.

ὑψίζυγος ⟨Hom. *Δ* 166⟩ ἐν ὕψει θρόνον ἔχων.

ὑψικάρηναι ὑψηλαί.

ὑψικέρατα πέτραν, τυτέϛιν ὑψικέρατον, κατὰ μεταπλασμόν. "Κυνθίαν ἔχων ὑψικέρατα πέτραν" Ἀριστοφάνης Νεφέλαις ⟨593⟩.

ὑψίκερως.

ὑψικρατεῖν τὰ ἐν τῷ ὕψει κρατεῖν.

ὑψιμέδοντες ἐν ὕψει βασιλεύοντες.

ὑψιπέτηλον ἐφ' ὕψυς τὰ φύλλα ἔχον. Hom. *N* 437.

ὑψιπέτης ὁ εἰς ὕψος πετόμενος, ὑψιπετής δὲ ὁ ἀπὸ ὕψυς πεσών.

ὑψιστάριος. αἵρεσίς τις Ὑψιστάριοι, οἱ τὸν ὕψιστον καλοῦντες.

ὑψιφοίτης ὑψηλοπόρος, ἢ ὑψίφρων.

ὑψόθι ἐν ὕψει.

ὑψόροφος ὁ ὑψηλὸν ὄροφον ἔχων.

ὕψος ἔπαρμα. καὶ ὕψος ἡμερῶν ἡ εὐημερία. Δαβίδ ⟨Ps. 55 2⟩ "οἱ πολεμῦντές με ἀπὸ ὕψυς."

ὑψῦ διάττει ἐν ὕψει ὁρμᾷ καὶ τρέχει.

ὑψῦτε ἀντὶ τῦ ὑψηλὸν αὐτὸν κηρύττετε. Δαβίδ ⟨Ps. 98 5⟩ "ὑψῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτῦ."

a ὑψώθητι ἀντὶ τῦ δεῖξον πᾶσιν ἀνθρώποις τὸ ὕψος συ· Δαβίδ ⟨Ps. 56 6⟩ "ὑψώθητι ἐπὶ τὺς ὐρανὺς ὁ θεός."

b ὑψώθητι ἀντὶ τῦ ὑψηλὸς δείχθητι καὶ πάντων ὑπέρτερος. Δαβίδ φησι πρὸς τὸν θεόν. Theodoret. in Ps. 107 6.

ὕψωσιν ἐπῆρεν, καὶ ὕψωσις ἔπαυσε

ὑώδεις. οἱ Ἱπποκράτυς υἱεῖς ὑώδεις τινὲς --- Περικλῆς ⟨cf. v. τοῖς Ἱπποκράτυς⟩

ὕων βρέχων, ὑῶν δὲ χοίρων.

Φάβιος. ὅτι Φάβιος Μάξιμος ὕπατ Ῥωμαίων, νεώτερος ὢν καὶ τὸν πρὸς Σαυνίτας πόλεμον ἐγκεχειρισμένος, θρασύτερ ἢ ἀσφαλέστερον τοῦ ἔργου προσαψάμεν ἐσφάλη, τρισχιλίων νεκρῶν ἀπομάχων πλείστων τοῖς Ῥωμαίοις γεγενημένων. ἡ βυλὴ τῦτον παραλύει τῆς ἡγεμονίας. ὁ τύτυ πατὴρ ὁμώνυμος τῷ παιδί, πολλ ἐνηθληκὼς ἀνέκαθεν στρατείαις, ἐδεῖτο τ βυλῆς ἀνεῖναι τῷ Φαβίῳ τὰ ἐγκλήματ αὐτὸς ἀναμάχεσθαι τὸ τῦ παιδὸς πταῖσ κρείττοσιν ἔργοις ὑφιστάμενος. εἴξασα δ βουλὴ αἰδοῖ τῦ ἀνδρὸς ἐπιτρέπει αὖθις τ νέῳ τὴν τῦ πολέμου ἡγεμονίαν, πρεσβευτὴ αὐτῷ τὸν πατέρα δῦσα, ὡς ἂν μή τι δ ἀπειρίαν σφάλλοιτο. καὶ ὃς ἀφικόμενος ε τὴν πολεμίαν ἀριστεύει καὶ θρίαμβον κ τάγει.

Φάβιος Πίκτωρ συγγραφεὺς Ῥωμαίω ὗτος λέγει ἄρχοντι Ῥωμαίων μὴ ἐξεῖναι μ δενὶ σφετερίσασθαι ἐκ τῦ δημοσίυ ὐτιῦν.

Φαβρίκιος. ὅτι Φαβρίκιος τῆς ἐπὶ τ Πύρρον σταλείσης δυνάμεως ἀποδείκνυτ ἡγεμών, ἀνὴρ πάλαι ἐγνωσμένος τῷ βασιλ καὶ τῆς αὐτῦ μεγαλοφροσύνης ἐναργὲς ἐξε νοχῶς σύμβολον. ἀντικαθεζομένων γὰρ ἀλλήλοις τῶν στρατοπέδων νύκτα φυλάξα ἀνήρ τις, εἴτε ἰατρὸς εἴτε ἕτερος τῶν πε τὴν τράπεζαν τῦ βασιλέως τεταγμένων, τὸν Φαβρίκιον ἀφίκετο δηλητηρίοις φαρμ κοις ἀνελεῖν τὸν Πύρρον ὑφιστάμενος, ἢ οἵ τις δοθείη πρὸς αὐτῦ χρημάτων ὠφέλει ὃν ὁ Φαβρίκιος ἀποστυγήσας τῆς ἐγχειρ σεως ἀποπέμπει τῷ Πύρρῳ δέσμιον. ἀγασθεὶς δὴ ὐν τὸ πραχθὲν ὁ Πύρρος ἀναβοῆσαι λέγεται "ὗτός ἐστι καὶ ὐκ ἄλλος Φαβρίκιος, ὃν δυσχερέστερον ἄν τις παρατρέψοι τῆς οἰκείας ἀρετῆς ἢ τῆς συνήθυς πορείας τὸν ἥλιον." ὁ δὲ Πύρρος τὸν περὶ τ παντὸς ἀναρρίψας κύβον τοῖς ὅλοις ἐσφάλ Eutropius?

Φαβωρῖνος Ἀρλεάτυ τῆς ἐν Γαλλ πόλεως, ἀνὴρ πολυμαθὴς κατὰ πᾶσαν παιδείαν, γεγονὼς δὲ τὴν τῦ σώματος ἕξιν ἀνδρόγυνος, ὃν φασιν ἑρμαφρόδιτον, φιλοσοφίας μεστός, ῥητορικῇ δὲ μᾶλλον ἐπιθέμ

νος, γεγονὼς ἐπὶ Τραϊανοῦ τοῦ Καίσαρος, καὶ παρατείνας μέχρι τῶν Ἀδριανοῦ χρόνων τοῦ βασιλέως. ἀντεφιλοτιμεῖτο γοῦν καὶ ζῆλον εἶχε πρὸς Πλούταρχον τὸν Χαιρωνέα ἐς τὸ τῶν συνταττομένων βιβλίων ἄπειρον. γέγραπται γοῦν αὐτῷ φιλόσοφά τε καὶ ἱστορικά, ὧν πολὺς ἀριθμός. ἔστι δὲ καὶ τῶν βιβλίων αὐτοῦ ταῦτα, περὶ τῆς Ὁμήρου φιλοσοφίας, περὶ Σωκράτους καὶ τῆς κατ' αὐτὸν ἐρωτικῆς τέχνης, περὶ Πλάτωνος, περὶ τῆς διαίτης τῶν φιλοσόφων, καὶ ἄλλα. οὗτος ἔγραψε καὶ γνωμολογικά.

φαγανθρώπων ἀκαθάρτων.

φαγέδαινα νόσος λοιμική. καὶ φαγεδαίνη βοτάνη.

φαγεῖν ζῶν· "Ἰούνιος ὄνομα, εἰς τὴν ἱππάδα τελῶν καὶ φαγεῖν ζῶν, συνήθης ἦν τοῖς ὑπάτοις, κοιλιοδαίμων τε καὶ ταγηνοκνισοθήρας" (cf. v. Ἰούνιος).

φαγήματα βρώματα· "εἶδε φορτίον χλωριῶν ἀκανθῶν, ἃ καμήλοις ἐστὶ φαγήματα. ἣ δὲ τὴν κεφαλὴν καθῆκε."

φαγύλιον μαρσίππιον.

φᾶ δὲ σίδαρον παιδὸς ἐοῦ φύρδαν μεστὸν ἔχοισα φόνου" (AP 7 531).

φαέθοντα τόκον ἐπιφανῆ καὶ καταπληκτικὸν τὴν πρόσοψιν.

φαέθων λάμπων ἥλιος· Σοφοκλῆς (El. 823) "ποῦ ποτε κεραυνοὶ Διὸς ἢ ποῦ φαέθων ἥλιος, εἰ ταῦτ' ἐφορῶντες κρύπτουσιν ἕκηλοι;" οἷον οὐκ ἄγουσιν ἐς φῶς τὴν παρανομίαν. καὶ Ὅμηρος (Λ 734) "εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης." δείκνυσι δὲ ὁ ποιητὴς σφαιροειδῆ εἶναι τὸν κόσμον.

φαεινὸν λαμπρόν. "καὶ πλέγμασι φαεινοῖς ἐκδεχόμενοι τὰ τρωκτά, κάρυα καὶ βαλάνους."

φαείνω λάμπω.

Φαελουρία. cf. v. φελουρία.

φαεσίμβροτος (Hom. Ω 785) ὡς φέρουσα φῶς τοῖς ἀνθρώποις.

φαεσφόρους φωτοφόρους, φωτὸς παρεκτικάς, γνώσει φωτιζούσας.

φαθὶ ὀξυτόνως. "αὐτὸ φαθὶ τοῦ μόλωμεν, αὐτό," Ἀριστοφάνης Ἱππεῦσι (22).

Φαιακία ἡ χώρα τῶν Φαιάκων, ἡ νῦν λεγομένη Κέρκυρα.

φαιάν. "ὃ δὲ σχηματισάμενος ἐς τὴν φαιὰν ἐκείνην καὶ μέλαιναν στολήν, τῶν μέχρι καὶ τῶν συνειδότων ἐς πεντήκοντα συντεινόντων, πάντες συνετόλμων τὴν αὐτὴν ἐκείνῳ στολήν."

Φαίαξ ῥήτωρ. Ἀριστοφάνης φησί (Eq. 1374) "σοφός γ' ὁ Φαίαξ, δεξιῶς τ' οὐκ ἀπέθανε." δεινὸς ῥήτωρ οὕτως ὡς καὶ ἀποφυγεῖν ἐκ θανάτου ἐπ' αὐτοφώρῳ κρινόμενος· ἐκωμῳδεῖτο δὲ ὡς παρακρούων τὰ μειράκια. "συνερκτικὸς γάρ ἐστι καὶ περαντικὸς καὶ γνωμοτυπικὸς καὶ σαφὴς καὶ κρουστικός, καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ. οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ."

φαιδιμόεντες (Hom. Ν 686) λαμπροί, καὶ φαίδιμος λαμπρός, ἰσχυρός. καὶ φαιδίμων λαμπρός.

Φαίδρα ὄνομα κύριον. φαιδρά δὲ ἀντὶ τοῦ λαμπρά, ὡς καὶ φαιδρός.

φαιδρὸς καθαρός, λαμπρός. Φαῖδρος δὲ ὄνομα κύριον.

Φαίδρωνος.

φαιδρωπὸν τὸ τερπνὸν καὶ χάριεν πρόσωπον.

Φαίδων Ἠλεῖος φιλόσοφος, Σωκράτους ἀκουστής, ὃς ἦρξε τῆς Ἠλιακῆς ἀπ' αὐτοῦ κληθείσης αἱρέσεως, ἥτις ὕστερον ἀπὸ Μενεδήμου τοῦ Ἐρετριέως Ἐρετριακὴ προσηγορεύθη. τοῦτον συνέβη πρῶτον αἰχμάλωτον ὑπὸ Ἰνδῶν ληφθῆναι, εἶτα πραθεὶς πορνοβοσκῷ τινὶ προέστη ὑπ' αὐτοῦ πρὸς ἑταίρησιν ἐν Ἀθήναις. ἐντυχὼν δὲ Σωκράτει ἐξηγημένῳ ἠράσθη τῶν λόγων αὐτοῦ, καὶ αἰτεῖ λύσασθαι. ὃ δὲ πείθει Ἀλκιβιάδην πρίασθαι αὐτόν, καὶ ἦν τὸ ἐντεῦθεν φιλόσοφος. διάλογοι δὲ αὐτοῦ Ζώπυρος, Μήδιος, Σίμων, Ἀντίμαχος ἢ πρεσβύτης, Νικίας, Σιμμίας, Ἀλκιβιάδης, Κριτόλαος.

φαῖεν εἴποιεν.

φαίημεν εἴποιμεν. καὶ φαίης κε (Hom. Γ 220).

φαικά· ἐν ἐπιγράμματι (AP 6 254) "φαικὰ δ' αὐτ' εὐτάρσοισιν ἐπ' ἀστραγάλοισι γελῶσαν."

φαικοῖσιν φαιδροῖς, λαμπροῖς.

φαιλώνης εἰλητὸν τομάριον μεμβράινον ἢ γλωσσόκομον, ἢ χιτώνιον. φαιλώνης φαιλώνου. cf. v. φαινόλης.

φαίνειν δεικνύειν, φανεροποιεῖν. φαίνειν ἐπὶ λύχνων, καὶ ἐπὶ τοῦ συκοφαντεῖν.

Φαίνιδος.

φαινόλης χιτωνίσκος· οἱ δὲ παλαιοὶ ἐφεστρίδα. καὶ κλίνεται εἰς ου.

φαινόμενα. Πλάτων πολιτείας ι′ ⟨p. 596 extr.⟩ ἔφη "φαινόμενα, οὐ μέντοι ὄντα γέ που τῇ ἀληθείᾳ," ἀντὶ τοῦ φαντασίαν ἀποτελοῦντα, οὐ μέντοι γε ὄντα. καὶ Ἀριστοφάνης ⟨Ach. 440⟩ "εἶναι μὲν ὅσπερ εἰμί, φαινεσθαι δὲ μή," τουτέστι μὴ ἀλλάξαι τὴν φύσιν ἀλλὰ τὴν μορφήν.

Φαίνοπις.

φαινόπους λαμπρόπους.

φαίνω. σημαίνει καὶ τὸ κατηγορῶ, ἐξ οὗ καὶ συκοφάντης.

Φαίνωνος.

Φαίνωψ.

a *φαιὸν* χρῶμα σύνθετον ἐκ μέλανος καὶ λευκοῦ, ἤγουν μύινον.

b *φαιόν.* ὅτι τῶν χρωμάτων τὰ μὲν ἁπλᾶ ἐστί, τὰ ἐναντία, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν, τὰ δὲ σύνθετα, οἷον τὰ μεταξὺ τούτων. καὶ γὰρ ταῦτα τῇ ποιᾷ μίξει πρὸς ἄλληλα τῶν ἐναντίων ἀποτελοῦνται. καὶ ἔστιν αὐτῶν τὰ μὲν ἐγγυτέρω τοῦ λευκοῦ, ὡς τὸ ξανθόν, τὰ δὲ ἐγγυτέρω τοῦ μέλανος, ὡς τὸ κυανοῦν, τὰ δὲ λοιπὰ μεταξὺ τούτων, οἷον τὸ ἐρυθρόν, τὸ φαιόν. οὕτω καὶ ἐπὶ τῶν χυμῶν ἁπλᾶ μὲν τὰ ἐναντία οἷον τὸ γλυκὺ καὶ τὸ πικρόν, τὰ δὲ ἄλλα μικτὰ καὶ μεταξύ. ἀλλὰ τοῦ μὲν γλυκέος ἐγγυτέρω τὸ λιπαρόν, τὸ δὲ ἁλμυρὸν τοῦ πικροῦ· τὰ δὲ λοιπὰ τούτων μεταξύ. οὐ πάντως δὲ τὰ μεταξὺ καὶ μικτά. τὰ μὲν γὰρ μικτὰ καὶ μεταξύ, οὐκέτι δὲ ἀνάπαλιν, οἷον ἐπὶ χρωμάτων· τὸ μὲν γὰρ φαιὸν μικτὸν ὂν μεταξύ ἐστι, τὸ μέντοι ἐρυθρὸν ἢ πράσινον οὐ πάντως ἐκ τῆς μίξεως τῶν ἐναντίων γίγνεται, ἀλλὰ μεταξὺ λέγονται ὡς μηδετέρου τῶν ἄκρων μετέχοντα. οὕτω καὶ ἐπὶ χυμῶν μικτὸν μὲν τὸ ἁλμυρόν, ὡς οἱ ἅλες· ἐκ γὰρ πικροῦ τοῦ θαλαττίου ὕδατος καὶ γλυκέος τὴν γεῦσιν ἔχουσι· τὸ δὲ δριμὺ καὶ αὐστηρὸν καὶ ὀξύ, τῷ μηδετέρου τῶν ἄκρων μετέχειν, οὕτως εἰσὶ μεταξύ. εἴ τι δὲ ἄλλο ἐγγύς ἐστι τούτων, τοῦτο ἄχυμον εἶναι, οἷον τὸ πλαδαρὸν ἤ τι τοιοῦτον. Philopon. in 2 de anima, M 7 b.

c ὁ μὲν οὖν Ἀριστοτέλης ὀκτὼ καταλέγων εἴδη χυμῶν δύο καταλείπει ἄκρους, τὸν γλυκὺν καὶ πικρόν, καὶ ἓξ μέσους, ἐγγὺς μὲν τοῦ γλυκέος τὸν λιπαρόν, τοῦ δὲ πικροῦ τὸν ἁλμυρόν, ἐν μέσῳ δὲ στρυφνὸν αὐστηρὸν δριμὺν ὀξύν. ὁ δὲ Γαληνὸς ἐν τοῖς ἁπλοῖς ἄκρους μὲν λέγει οὐ τὸν γλυκὺν καὶ πικρὸν ἀλλὰ τὸν δριμὺν καὶ ὀξύν. καὶ οὐ διαφωνοῦσιν. ὁ μὲν γὰρ ὡς ἰατρὸς πρὸς τὰς ἁπτὰς ἀπιδὼν ποιότητας ταύτας ἐκάλεσεν ἄκρους· ἄκρον γάρ ἐστι κατὰ μὲν θερμότητα τὸ δριμὺ κατὰ δὲ ψῦξιν τὸ ὀξύ. ὁ δὲ οἷα φιλόσοφος οὐκέτι πρὸς τὰς ἁπτὰς ἀλλὰ πρὸς τὰς γευστὰς ἀφορῶν κώς, οὕτως ἐποιήσατο τὴν ἀντίθεσιν· ἄκρα γάρ ἐστιν ἐν τοῖς γευστοῖς τὸ γλυκὺ καὶ πικρόν. ὁ δὲ Πλάτων κέχρηται τοιῷδε τάξει· ἑπτὰ λέγει χυμούς· τὸ γὰρ λιπαρὸν ἅμα τῷ γλυκεῖ συνάπτει, λέγων ὅτι τὸ ὑπαλεῖφον εἰ μὲν μετὰ ἡδύτητός ἐστι, ποιεῖ τὸ γλυκύ, εἰ δὲ ἄνευ ἡδύτητος, λιπαρόν. γλυκὺ δὲ λέγομεν οἷον τὸ μέλι, λιπαρὸν δὲ τὰ ἐλαιώδη, ὀξὺ τὸ ὄξος, στρυφνὸν οἷον ἀχράδες, αὐστηρὸν τὸν οἶνον, ἁλμυρὸν τοὺς ἅλας, πικρὸν τὸ ἀψίνθιον, δριμὺ τὸ πέπερι. ἄκρα δὲ λέγει ὀξὺ καὶ δριμύ, πάρακρα δὲ ἐγγὺς μὲν τοῦ ὀξέος τὸ στρυφνόν, ἐγγὺς δὲ τοῦ δριμέος τὸ πικρόν, παράμεσα δὲ ἐγγὺς μὲν τοῦ πικροῦ τὸ ἁλμυρόν, ἐγγὺς δὲ τοῦ στρυφνοῦ τὸ αὐστηρόν. μέσον δὲ τὸ γλυκύ. ἀνατίθησι δὲ ταῦτα τοῖς ἑπτὰ πλανήταις, τὸ μὲν ὀξὺ τῷ Ἑρμῇ, τὸ δριμὺ τῷ Ἄρει, τὸ πικρὸν τῇ σελήνῃ, τὸ γλυκὺ τῷ ἡλίῳ, τὸ ἁλμυρὸν τῇ Ἀφροδίτῃ, τὸ αὐστηρὸν τῷ Διί, τὸ στρυφνὸν τῷ Κρόνῳ. τὴν δὲ αἰτίαν ὡς φλυαρίαν παρίδωμεν.

φαιός. Μένιππος ὁ κυνικὸς ἐπὶ τοσοῦτον τερατείας ἤλασεν ὡς ἐριννύος ἀναλαβὼν σχῆμα, λέγων ἐπίσκοπος ἀφῖχθαι τῶν ἁμαρτανομένων ἐξ ᾅδου, καὶ πάλιν κατιὼν ἀπαγγέλλειν ταῦτα τοῖς ἐκεῖ δαίμοσιν. ἦν δὲ ἡ ἐσθὴς αὕτη· φαιὸς χιτὼν ποδήρης, περὶ αὐτῷ ζώνη φοινικῆ, καὶ πῖλος Ἀρκαδικὸς ἐπὶ τῆς κεφαλῆς, ἔχων ἐνυφασμένα τὰ ιβ′ στοιχεῖα, ἐμβάται τραγικοί, πώγων ὑπερμεγέθης, ῥάβδος ἐν τῇ χειρὶ μελίνη ⟨Diog. L. 6 102⟩.

Φαιστιῶνος πόλις.

Φαιστὸς πόλις Κρήτης· Ὅμηρος ⟨γ 296⟩ "ἐς Φαιστόν. μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει" ⟨cf. v. Μάλεος⟩.

φακαῖ τὸ ἕψημα τοῦ φακοῦ. θηλυκῶς ἡ ἑψηθεῖσα, ἀρσενικῶς δὲ ὁ ἀνέψητος. καὶ παροιμία "ἔπειτα πλουτῶν οὐκέθ' ἥδεται φακῇ· πρὸ τοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντ' ἂν ἤσθιεν." ἐπὶ τῶν πλουσίων γεγονότων ἀπὸ πενήτων.

Φακεὲ βασιλεὺς Ἰσραήλ, ὃς ἐπολέμησε

τῷ Ἄχαζ, καὶ ἀνεῖλεν ἡμέρᾳ μιᾷ ἄνδρας δυνατοὺς ρκ΄, καὶ ᾐχμαλώτευσε γυναῖκας καὶ παῖδας ςτ΄ (4 Regg. 16).

a φάκελλον φορτίον, ἢ εὐάλωτον. Θουκυδίδης (2 77) "φοροῦντες ὕλης φακέλλους παρέβαλλον ἀπὸ τοῦ χώματος." καὶ Ἰώσηπος (A. I. 5 7 4) "φακέλλους ὕλης ξηρᾶς περιβαλὼν τῷ χωρίῳ πῦρ ἐνῆκε."

b φάκελλον φορτίον. "ὁ δὲ Ἀπόλλων κελεύει ἀποδόσθαι τῷ Νικάνορι φάκελλον βύβλου τετρακοσίων χρυσῶν, καὶ τέφραν ἐργάσασθαι, καὶ βρέξαντα τῷ τῆς Μαρείας λίμνης ὕδατι ἐπιπλάσαι τοὺς ὀφθαλμούς" (cf. v. βύβλον).

φάκελλος τὸ τῆς κεφαλῆς φόρεμα, ὃ καὶ φακιόλιον λέγεται.

φάλα κόσμος τῆς περικεφαλαίας.

φαλαγγαρχία αἱ δύο μεραρχίαι, ἀνδρῶν ͵δϙς΄. τοῦτο ἔνιοι καὶ ἀποτομὴν κέρατός φασιν, οἱ δὲ μέρος. πάλαι δὲ καὶ στρατηγία ἐκαλεῖτο, καὶ ὁ ἡγέμενος στρατηγός· νῦν δὲ φαλαγγάρχης.

a φάλαγγες στίχες, τάξεις· οἱ δὲ τὸ ἐκ πλειόνων τάξεων ὁπλιτικὸν πλῆθος. λέγεται καὶ τὰ τῶν δακτύλων ἄρθρα καὶ νεὼς ὑπερείσματα. ἔνιοι καὶ τὸ στρογγύλον ξύλον καὶ σύμμετρον φαλάγγια. λέγεται καὶ τοῦ ζυγοῦ ὁ κανὼν φάλαγξ, καὶ ἐπὶ τῆς νεὼς ἡ διαβάθρα. καὶ ὁ ἀράχνης δέ, ὃν ἔνιοι φαλάγγιον. καὶ οἱ κόρακες δὲ παρὰ Ἀττικοῖς φαλάγγια.

b φάλαγγες αἱ τάξεις, παρὰ τὸ πελάσαι ἄγχι. φάλαγγες δὲ τῶν νηῶν παρὰ τὸ σπᾶν εἰς ἅλα.

φαλαγγηδόν (Hom. Ο 360) δίκην τάξεως.

φαλάγγια. ζῷόν τι τῶν δακέτων ἐστὶ τὸ φαλάγγιον (cf. v. θηρία).

φαλαγγίτης.

a φάλαγξ θηλυκῶς ὁ ἀράχνης· Πλάτων Ἑλλάδι "ἐοίκασιν ἡμῖν οἱ νόμοι τούτοισι τοῖσι λεπτοῖς ἀραχνίοις, ἃ τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει."

b φάλαγξ ἀράχνιόν τι. λέγουσι δὲ φάλαγγας καὶ τὰ ἄκρα τῶν δακτύλων, ὅπερ λέγει Ἀριστοφάνης ἐν Βατράχοις (1349) "εἱλίσσετε δακτύλοις φάλαγγες ἱστότονα πηνίσματα." καὶ στρατιωτικὴ τάξις ἐκ μ΄ ἀνδρῶν· (Polyb. 29 6) "Λεύκιος δὲ ὁ ὕπατος οὐχ ἑωρακὼς φάλαγγα τὸ παράπαν, ἀλλὰ τότε πρῶτον ἐπὶ τοῦ Περσέως, πρός τινας πολλάκις ἀνθωμολογεῖτο τῶν ἐν τῇ Ῥώμῃ μηδὲν ἑωρακέναι φοβερώτερον Μακεδόνων φάλαγγος, καίτοι γε πολλοὺς οὐ μόνον θεασάμενος ἀλλὰ καὶ χειρισάμενος ἀγῶνας, εἰ καί τις ἄλλος."

φαλακρός. καὶ φαλακρότερος εὐδίας.

φαλακρώβατα.

φάλανθοι φαλακροί· ἄνθος γὰρ ἡ λευκὴ θρίξ.

φάλαρα τὰς προμετωπίδας, τοὺς ἀσπιδίσκους, τὴν κόσμησιν τὴν κατὰ τὸ μέτωπον τῶν ἵππων. παρὰ δὲ Ἡροδότῳ (1 215) τὰ περὶ τὰς γνάθους σκεπάσματα.

Φάλαρις Ἀκραγαντῖνος, τυραννήσας δὲ Σικελίας ὅλης κατὰ τὴν νβ΄ ὀλυμπιάδα, ἔγραψεν ἐπιστολὰς πάνυ θαυμασίας. Αἰλιανός φησι περὶ τούτου ὅτι Λοξίας δὲ καὶ ⋯ προσηνέχθη (cf. v. ἀναβολή).

Φάλεκ κατὰ τὴν προφητικὴν φωνὴν τὸ ἥμισυ λέγει τοῦ χρόνου τῆς τοῦ Χριστοῦ παρουσίας· ἀπὸ γὰρ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ ἐπὶ Νῶε ἔτη ͵βσμβ΄, ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τοῦ Φάλεκ ἔτη ψνή, ὡς γίνεσθαι ἔτη τρισχίλια. ἀπὸ γὰρ κτίσεως κόσμου μέχρι τῆς ἀναλήψεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτη ͵εφλγ΄.

Φαληρεύς πολίτης Φαλήρων.

φαληριόωσα (Hom. Ν 799) εἰς ὕψος ἐπαιρομένη.

φαληρίς ὄρνις λιμναία. ἐσχημάτισται δὲ παρὰ τὸ φαλόν. καὶ Φαληρῖται ἔθνος.

Φάληροι δῆμος τῆς Ἀντιοχίδος, ἀφ' οὗ ὁ δημότης Φαληρεύς.

Φαλῆς ὡς Ἑρμῆς. Φαλῆς Φαλῆτος. ὥσπερ Ὅμηρος (Ι 2) ἥρμοσε κατάπληξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτῆς ἔφησεν εἶναι, "θεσπεσίη ἔχε φύζα" εἰπών, "φόβου κρυόεντος ἑταίρη," οὕτω καὶ ὁ κωμικὸς ἐκεῖθεν λαβὼν τὰς ἀφορμὰς Διονύσῳ Φαλῆν ἑταῖρον εἶναί φησι· ἀκόλουθα γὰρ Διονυσιακῷ πότῳ τὰ ἀφροδίσια. sch. A Ach. 262.

Φαλκίδιος νόμος ἐστὶ παρὰ Καίσαρος τεθεὶς Γαΐου Ὀκταβίου, πλείστην καὶ νῦν ἰσχὺν ἔχων εἰς τὰς τῶν κλήρων διαδοχάς, πρὸς Φαλκιδίου τοῦ δημάρχου εὑρημένος.

Φάλκων Φάλκωνος ὄνομα. καὶ εἶδος ἱέρακος.

Φαλκωνίλλα ὄνομα κύριον.

φαλλαίκιον ποίημα αὐτοσχέδιον ἐπὶ

τῷ φαλλῷ ᾀδόμενον. καὶ Φάλαικος ⟨cf. v. φαλλικά⟩.

φαλλικά τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη.

φαλλίωνες δὲ εἰς τιμὴν τοῦ Διονύσου οὕτω καλούμενοι ἀπὸ τῶν φαλλῶν τοῦ Διονύσου. πολλίωνας δὲ ὕστερον αὐτοὺς παραφθείραντες τὸ ὄνομα ὀνομάζουσι.

a φαλλοί μόρια δερμάτινα· ἢ ξύλον ἐπίμηκες, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον. sch. A Ach. 242.

b φαλλοί αἰδοῖον σύκινον. ὕστερον δὲ ἐκ δερμάτων ἐρυθρῶν, σχῆμα αἰδοίου ἔχοντες ἀνδρείου. καὶ τοῦτο ἑαυτοῖς περιθέμενοι ἔν τε τοῖς τραχήλοις καὶ μέσοις τοῖς μηροῖς ἐξωρχοῦντο, τιμὴν τῷ Διονύσῳ ἐν τοῖς Διονυσίοις ἄγοντες ⟨Nonn. in Greg. Naz. p. 139⟩.

φαλλοφόροι ἰθύφαλλοι, αὐτοκάβδαλοι. ἰδέαι μουσικῶν. καὶ οἱ μὲν ‧ ‧ ‧ φαλλοφόροι ἐκ βύβλου δέρματος ἔσκεπον ‧ . ‧ στεφανούμενοι ⟨cf. v. Σῆμος⟩.

φαλοί τὰ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρὰ ἀσπιδίσκια, λόφοι δὲ αἱ τριχώσεις.

φάλον τὸ προμετωπίδιον.

φάλος βῶλος, ἢ λόφος, ἡ ὑπερέχουσα πέτρα ἐν θαλάσσῃ.

Φαμέας ὄνομα κύριον· "τὰς προφυλακάς δὲ βλέπων ὁ Φαμέας, ὢν οὐκ ἄψυχος, ἐξέκλινε τὰς πρὸς τὸν Σκιπίωνα συμπλοκάς" ⟨Polyb. 36 5⟩.

φαμέν λέγομεν.

φάμωσσα· ⟨Io. Antioch. p. 845 Vales.⟩ "ἀπέσκωπτον δὲ εἰς Ἰοβιανὸν ᾠδαῖς καὶ παρῳδίαις καὶ τοῖς λεγομένοις φαμώσσοις."

a φάναι ἐν αὐτῷ ὑπολαμβάνειν· τὸ δὲ λέγειν ἑτέρῳ δηλοῦν.

b φάναι εἰπεῖν.

φανάς τὰς ἐκλάμψεις.

φανερῶς ἐναργῶς, ἑτοίμως· Ἀριστοφάνης Νεφέλαις ⟨290⟩ "φανερῶς ἠκούσατέ μου καλέσαντος."

φανή λαμπρά, καθαρά· Ἀριστοφάνης ⟨Eccl. 368⟩ "ἵνα μὴ 'γχέσαιμ' εἰς τὴν σισύραν· φανὴ γὰρ ἦν."

Φάνης. ἐν τοῖς Ὀρφικοῖς εἰσηνέχθη ὁ Φάνης αἰδοῖον ἔχων περὶ τὴν πυγήν· ὃν ἔλεγον ἔφορον τῆς ζῳογόνου δυνάμεως, καὶ τὸν Ἠρικαπαῖον ἕτερον, καταπιόντα πάντας τοὺς θεούς, ὡς τὸν Κρόνον ⟨Nonn. in Greg. Naz. stel. p. 154⟩.

Φανίας ἢ Φαινίας Ἐρέσιος, φιλόσοφος περιπατητικός, Ἀριστοτέλους μαθητής. ἦν δὲ ἐπὶ τῆς ρια´ ὀλυμπιάδος καὶ μετέπειτα, ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος.

Φανίας ὄνομα κύριον. τῶν ἐστρατηγη- b κότων τις οὕτως ἐκαλεῖτο. Harp.

φάνιον τόπος εἰς ὃν τὰ καθάρματα ἐξέβαλλον.

Φανόδημος ὄνομα κύριον.

φανός φαεινός. καταγγέλλων καὶ φανερὰ ποιῶν τὰ πράγματα καὶ μηνύων, ἀπὸ τοῦ φαίνειν, ὅ ἐστι συκοφαντεῖν. ⟨A Eq. 1261⟩ "ὅπως ἔσομαί σοι Φανὸς ὑπογραφεὺς δικῶν." φανὸν δὲ πᾶν τὸ φαῖνον ἐκάλουν. ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον, διὸ λέγεται φανὸς ἀμπέλου ⟨Lys. 308⟩.

Φανοστράτη θηλυκόν. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν Ἀθήνησιν ἑταιρῶν ταύτην φησὶν ἐπονομάζεσθαι Φθειροπύλην, ἐπειδὴ ἐπὶ τῆς πύλης ἑστῶσα ἐφθειρίζετο.

φανότερον λαμπρότερον.

Φανοτεῦσιν· "ὡμολόγησε τὴν ἄκραν αὐτοῖς παραδώσειν τὴν ἐν τοῖς Φανοτεῦσι" ⟨cf. v. πρᾶξις⟩.

φαντάζομαι συκοφαντοῦμαι. οὕτως Ἀριστοφάνης ⟨Ach. 823⟩. "πλέω τοῦ φαντασθέντος ἦν ἃ διέφηνεν." οἱ παλαιοὶ τὸ φαντάζεσθαι ἐπὶ τοῦ φαίνειν ἔλεγον.

φαντασία ὑπόληψις· "εἰδὼς γὰρ ὅτι φαντασία περὶ αὐτόν ἐστιν ὡς ἔχοντα χρήματα μεθ' ἑαυτοῦ πλείω, ἡρμόσατο πρὸς τὴν ὑπόθεσιν ἐνδεχομένως." καὶ αὖθις "οἱ δὲ Ῥωμαῖοι μετὰ μεγάλης φαντασίας καὶ συμπαθείας τοῦ δήμου προῆγον ἐπὶ τὰς πράξεις."

φαντασία. γνωστικαὶ καὶ ζωτικαὶ καὶ ὀρεκτικαὶ δυνάμεις τῆς ψυχῆς φαντασία καὶ αἴσθησις. διαφέρουσι δὲ ἀλλήλων ὅτι ἡ μὲν αἴσθησις πρὸς τὸ ἐκτὸς ἀποτείνεται, ἡ δὲ φαντασία ἔνδον ἔχει τὴν γνῶσιν. καὶ ἡ μὲν αἴσθησις τὸ παρὸν μόνον καὶ οὗ ἀντιλαμβάνεται ἔξωθεν, τοῦτο οἶδεν· ἡ δὲ φαντασία παρὰ τῆς αἰσθήσεως λαβοῦσα τῶν αἰσθητῶν τοὺς τύπους ἐν ἑαυτῇ τούτους ἀναπλάττει. ὅθεν καὶ παθητικὸν νοῦν ὁ Ἀριστοτέλης αὐτὴν καλεῖ, νοῦν μὲν ὡς ἔνδον ἔχουσαν τὸ γνωστὸν καὶ ἁπλῇ προσβολῇ ὥσπερ ἐκεῖνος ἐπιβάλλουσαν, παθητικὸν δὲ διότι μετὰ τύπων καὶ οὐκ ἀσχηματίστως γινώσκει. ἐκλήθη δὲ φαντασία οἱονεὶ φανστασία τις οὖσα. φαντασία γάρ ἐστιν ἡ τῶν φανθέντων στάσις· ἵστησι

γὰρ ἐν αὐτῇ τὰ ἔξω φανθέντα. ἑκατέρα δὲ αὐτῶν περὶ μερικὰ ἀποτείνεται· τὸ γὰρ λευκὸν οἶδεν, οὐ μὴν πᾶν λευκόν. διαφέρει δέ, ὅτι ἣ μὲν τὸ ἔξω ἣ δὲ τὸ ἐντὸς οἶδε. καὶ ἡ μὲν φαντασία τῶν ε' αἰσθήσεων δέχεται τοὺς τύπους, ἑκάστη δὲ τῶν αἰσθήσεων μόνον τὸ ἴδιον αἰσθητὸν γινώσκει. Philopon. in 1 de anima, A 2 a.

c φαντασία καὶ φάντασμα διαφέρει. φάντασμα μὲν γάρ ἐστι δόκησις διανοίας, οἷα γίνεται κατὰ τοὺς ὕπνους, φαντασία δὲ τύπωσις ἐν ψυχῇ, τουτέστιν ἀλλοίωσις. οὐ γὰρ δεκτέον τὴν τύπωσιν οἱονεὶ τύπον σφραγιστῆρος, ἐπεὶ ἀνένδεκτόν ἐστι πολλοὺς τύπους κατὰ τὸ αὐτὸ περὶ τὸ αὐτὸ γίνεσθαι. νοεῖται δὲ φαντασία ἡ ἀπὸ ὑπάρχοντος κατὰ τὸ ὑπάρχον ἐναπομεμαγμένη καὶ ἐναποτετυπωμένη καὶ ἐναπεσφραγισμένη, οἵα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος. τῶν δὲ φαντασιῶν αἳ μέν εἰσιν αἰσθητικαὶ αἳ δὲ οὔ, αἰσθητικαὶ μὲν αἱ δι' αἰσθητηρίου ἢ αἰσθητηρίων λαμβανόμεναι, οὐκ αἰσθητικαὶ δὲ αἱ διὰ τῆς διανοίας, καθάπερ τῶν ἀσωμάτων καὶ τῶν ἄλλων τῶν λόγῳ λαμβανομένων ⟨Diog. L. 7 50⟩.

φαντασιοσκοπεῖς.

Φαντασίωνος.

φανῶν κατηγορήσων. Ἀριστοφάνης ⟨Ach. 908⟩ "μικρός γε μῆκος οὗτος, ἀλλ' ἅπαν κακόν." τὸν Νίκαρχόν φησι.

φάος φῶς· "ὦ φάος ἁγνὸν καὶ γῆς ἰσόμοιρος ἀήρ, ὥς μοι πολλὰς μὲν θρήνων ᾠδὰς πολλὰς δ' ἀντήρεις ᾔσθου στέρνων πλαγὰς αἱμασσομένων, ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ." ἡ Ἠλέκτρα φησί ⟨86⟩, λέγει δὲ ὅτι οὐ διαλείπω νυκτὸς καὶ ἡμέρας κλαίουσα. καὶ αὖθις ⟨A Eq. 979⟩ "ἥδιστον φάος ἡμέρας ἔσται τοῖσι παροῦσι."

a φάραγξ τὸ τῆς γῆς βάραθρον, ὅπερ ὅταν ὕδωρ δέξηται, ἀφανίζει αὐτό. sch. in A Eq. 248.

b φάραγξ ἡ κοιλότης τῆς γῆς, ἀρσενικῶς· ⟨Theophyl. Sim. 2 8⟩ "τοῦ Περσικοῦ τὴν ἐπιφορὰν ἀποκλίνοντος διὰ τὸν παραβραβεύοντα φάραγγα," τουτέστι διορίζοντα.

Φαραώ. οὕτως ἐκαλοῦντο πάντες οἱ βασιλεῖς Αἰγύπτου ἀπὸ τοῦ πρώτου Φαραώ.

Φαρές ὄνομα κύριον.

φαρέτρα βελοθήκη οἱονεὶ φάρος τῶν τιτρωσκόντων.

Φαρισαῖοι οἱ ἑρμηνευόμενοι ἀφωρισμένοι, παρὰ τὸ μερίζειν καὶ ἀφορίζειν ἑαυτοὺς τῶν ἄλλων ἁπάντων εἴς τε τὸ καθαρώτατον τοῦ βίου καὶ ἀκριβέστατον καὶ εἰς τὰ τοῦ νόμου ἐντάλματα. τὸν δὲ αὐτὸν βίον μετήρχοντο καὶ οἱ γραμματεῖς, παρ' οἷς καὶ πολιτεία ἡ αὐτὴ ἐγκράτειά τε καὶ παρθενία, νηστεία δὶς τοῦ σαββάτου, ξεστῶν καὶ πινάκων καὶ ποτηρίων καθαρισμοί, ἀποδεκατώσεις τε καὶ ἀπαρχαὶ καὶ ἐνδελεχεῖς εὐχαὶ καὶ τὰ λοιπά, ὑπεξαιρουμένων δηλονότι τῶν θαυμασίων Ἐσσαίων ὡς ὑπερτέρων σφόδρα καὶ λίαν ὑπερκειμένων. ἣν δὴ Φαρισαϊκὴν ὡς ἄριστον πολιτείαν ὁ Παῦλος ζηλώσας εὖ μάλα σεμνύνεται, φάσκων "Ἰσραηλίτης εἰμί, φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος" ⟨Cedrenus p. 201⟩.

Φαρισεύς καὶ Φαρισαῖος.

φαρμακᾶς μυρεψεῖς.

φαρμακεία λέγεται ὅταν διά τινος σκευασίας θανατηφόρου, πρὸς φίλτρον ἢ ἄλλως, δοθῇ τισὶ διὰ στόματος.

φαρμακείας γοητείας· "πάντα δ' ἦν πλήρη ἀρχομένης φαρμακείας ῥιπτούντων ἑαυτοὺς εἰς τὰ φρέατα καὶ κατὰ κρημνῶν" ⟨cf. v. περιπέτεια⟩.

φαρμακεῖς. "τοὺς οἰνοχόους τούσδε ἡγησάμενοι φαρμακεῖς, καὶ πιστεύσαντες τεθνάναι τοὺς καθεύδοντας, τοὺς Αἰτωλοὺς ἀπέκτειναν" ⟨cf. v. προσήκων⟩. "φαρμακεῦσί τε πατρῴοις πολλὰ ὡμιληκυῖα."

Φαρμακίας ὄνομα κύριον.

φαρμάκοισι παρὰ Ἡροδότῳ ⟨1 98⟩ ἀντὶ τοῦ βαφαῖς.

φάρμακον παραμυθία, ὁμιλία. εἴρηται δὲ ἀπὸ τοῦ φέρειν τὴν ἄκεσιν, ἢ ἀπὸ τῶν ἀνθέων. ⟨Procop. Gotth. 4 11⟩ "ἀγγεῖον δὲ θείου τε καὶ ἀσφάλτου ἐμπλησάμενοι καὶ φαρμάκου, ὅπερ Μῆδοι μὲν νάφθαν καλοῦσιν Ἕλληνες δὲ Μηδείας ἔλαιον." καὶ αὖθις "πίττα τε ἦν καὶ θεῖον, καὶ ὅσα φάρμακα δυνατὰ ἦν κινῆσαι φλόγα πολλήν." Ἀριστοφάνης ⟨Eccl. 730⟩ "οὐδ' ἂν εἰ τὸ φάρμακον ἔτυχες, ᾧ Λυσικράτης μελαίνεται," ὡς τοῦ Λυσικράτους φαρμάκῳ τινὶ μελαίνοντος αὐτοῦ τὰς πολιάς.

φαρμακός ὁ ἐπὶ καθαρμῷ πόλεως ἀναιρούμενος· ὃν λέγουσι κάθαρμα. καὶ φαρμακοῖσιν· Ἀριστοφάνης ⟨Ran. 743⟩ "καὶ πονηροῖς κἀκ πονηρῶν εἰς ἅπαντα χρώμε-

νος, οἷσιν ἡ πόλις πρὸ τοῦ οὐδὲ φαρμακοῖσιν εἰκῆ ῥᾳδίως χρήσαιτ' ἄν." τουτέστι τοῖς λεγομένοις καθάρμασι.

Φάρμακος ὄνομα κύριον. Λυσίας φησί. δύο ἄνδρας Ἀθήνησιν ἐξῆγον καθάρσια ἐσομένους τῆς πόλεως ἐν τοῖς Θαργηλίοις, ἕνα μὲν ὑπὲρ τῶν ἀνδρῶν ἕνα δὲ ὑπὲρ τῶν γυναικῶν. ὅτι δὲ ὄνομα κύριόν ἐστιν ὁ Φάρμακος, δῆλον· ἱερὰς γὰρ φιάλας τοῦ Ἀπόλλωνος κλέψας καὶ ἁλοὺς ὑπὸ τῶν περὶ τὸν Ἀχιλλέα κατελεύσθη, καὶ τὰ τοῖς Θαργηλίοις ἀγόμενα τούτων ἀπομιμήματά ἐστιν· Ἴστρος ἱστορεῖ. Δημοσθένους δὲ ἐν τῷ κατὰ Ἀριστογείτονος ⟨α 80⟩ λέγοντος "οὗτος οὖν αὐτὸν ἐξαιρήσεται ὁ φαρμακός" Δίδυμος προπερισπᾶν ἀξιοῖ τοὔνομα· ἀλλ' ἡμεῖς οὐχ εὕρομεν οὕτω πρὸς τὴν χρῆσιν. φαρμακῶντα δὲ Δημοσθένης κατὰ Στεφάνου ⟨β 16⟩ ἔφη· ἔστι δὲ φαρμακῶν ὁ ὑπὸ φαρμάκων βεβλαμμένος, ὡς καὶ Θεόφραστος ἐν ιέ Νόμων ὑποσημαίνει. Harp.

φαρμακοὺς τοὺς δημοσίᾳ τρεφομένους, οἳ ἐκάθαιρον τὰς πόλεις τῷ ἑαυτῶν φόνῳ. Ἀριστοφάνης ⟨Eq. 1140⟩ "ὥσπερ δημοσίους τρέφεις, κᾆθ' ὅταν μή σοι τύχοι ὄψον ὄν, τούτων ὃς ἂν ᾖ παχύς, θύσας ἐπιδειπνεῖς."

φαρμάξας ποτίσας, γοητεύσας. καὶ φαρμαχθείς ἡ μετοχή.

φαρμάττων γοητεύων· "ὁ ἄνθρωπος οὗτος ἐκδειματῶν καὶ φαρμάττων σφίσι τὸ στρατόπεδον."

φαρμουθί παρ' Αἰγυπτίοις ὁ κατὰ Ῥωμαίους ἀπρίλιος.

Φάρνουτις ποταμὸς ὁ τῇ Νικαίᾳ παραρρέων.

φάρος ἱμάτιον, περιβόλαιον, ἀπὸ τοῦ φέρεσθαι ἢ τῇ ὑφῇ ἀρηρέναι. λέγεται δὲ ἐπὶ γυναικός.

Φάρος ποταμὸς Κιλικίας, οὗ τὸ εὖρος πλέθρα γ', καὶ Πύραμος ποταμός, οὗ τὸ εὖρος στάδιον, καὶ Χάλος ποταμός, οὗ τὸ εὖρος πλέθρου, πλήρης ἰχθύων μεγάλων καὶ πραέων ⟨X Anab. 1 4 1 et 9⟩.

φάρος. ἀρσενικῶς λεγόμενος τὸν ἐν Ἀλεξανδρείᾳ φάρον σημαίνει, ὃν ἀνέστησεν ἐπὶ Πτολεμαίου βασιλέως Αἰγύπτου Σώστρατος Δεξιφάνους Κνίδιος, ἐν Φάρῳ τῇ νήσῳ Πρωτέως, ὅτε καὶ Πύρρος ὁ ἀπὸ Ἀχιλλέως τὴν δυναστείαν τῆς Ἠπείρου παρείληφε.

Φαρσαλίσι· ⟨AP 7 2⟩ "καὶ τὸν Ἀχιλλείοις Φαρσαλίσιν Ἕκτορα πώλοις ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ."

φάρσος κλάσμα, τρύφος, ῥάκος, πτερύγιον, ἀκρωτήριον· ⟨AP 6 297⟩ "καὶ φαιδόπου φάρσος ἅμα στελεοῦ χῆρον ἐλαϊνέου."

φαρυγίνδην ὡς ἀριστίνδην· σκώπτοντες γὰρ τὴν γαστριμαργίαν τῶν χορευτῶν Ἀττικοὶ οὕτω λέγουσι.

φάρυγξ φάρυγγος γράφουσιν οἱ πολλοί· οἱ δὲ γράφουσι φάρυξ φάρυγος. φάρυγξ ὅτι μὲν θηλυκῶς λέγεται, σημαίνει τὴν κυρίως φάρυγγα· ἢ δέ ἐστιν ἡ ἀχανία ἡ μετὰ τὴν τῆς γλώττης ῥίζαν. ὅτε δὲ ἀρσενικῶς, σημαίνει πολλάκις τὸν λάρυγγα· ἔστι δὲ ὁ λάρυγξ τὸ ἔσχατον τῆς τραχείας ἀρτηρίας, ὅπερ ὑπὸ τῶν τριῶν χόνδρων περιέχεται, τοῦ τε ἀρυταινοειδοῦς καλουμένου καὶ τοῦ θυροειδοῦς καὶ τοῦ ἀνωνύμου, οἵτινες συστελλόμενοι καὶ διαστελλόμενοι ὑπὸ τῶν ἐκεῖ μυῶν τὴν φωνὴν ῥυθμίζουσιν. ὑπὸ γὰρ τῆς τοιᾶσδε τούτων ἀναστολῆς καὶ διαστολῆς ἢ μᾶλλον ἢ ἧττον εἰδοποιεῖται ἡ φωνὴ κατά τε τὸ ὀξὺ καὶ τὸ βαρὺ καὶ εἴ τι ἄλλο περὶ αὐτὴν θεωρεῖται εἶδος. Philopon. in 2 de anima, M 1 a.

φάς εἰπών.

Φασάηλος ὄνομα κύριον.

φάσγανον ξίφος. ⟨AP 6 307⟩ "καὶ ψήκτρων ἄκιτιν ἀπέπτυσε καὶ λιποκόπους φασγανίδας καὶ τοὺς συλόνυχας ὄνυχας."

Φάσηλις ὄνομα νήσου, καὶ Φασηλίτης ὁ ἀπὸ τῆς αὐτῆς νήσου. καὶ παροιμία "Φασηλιτῶν θῦμα," ἐπὶ τῶν εὐτελῶν καὶ ἀναίμων τίθεται· Φασηλίτας γὰρ τάριχον τῷ Κυλάβρᾳ θύειν φησὶ Καλλίμαχος ἐν Βαρβαρικοῖς νομίμοις.

· · · ⟨A Pac. 1144⟩ "ἄφευε τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας."

φασί λέγουσι, Φᾶσις δὲ ποταμὸς Σκυθίας. καὶ λέξις, μήνυσις, ἢ δημόσιον ἔγκλημα. φήμη, λόγος· "μηδαμῇ μηδὲ φάσιν ὑπάρχειν νοτίδος." καὶ Φασιανοί οἱ οἰκήτορες τοῦ τόπου, καὶ Φασιανοὶ κατάλογοι οἱ ἀπὸ τοῦ Φάσιδος παρὰ Μενάνδρῳ.

Φασιάδης.

φασιανικός· Ἀριστοφάνης Ὄρνισιν ⟨68⟩ "ἐπικεχοδὼς ἔγωγε φασιανικός." συκοφάντης, παρὰ τὸ φαίνειν. μετὰ φασιανῶν εὑρισκόμενος· ἔστι δὲ καὶ τοῦτο ὄνομα. ἔπαιξε δὲ παρὰ τὸ φαίνεσθαι αὐτοῦ τὸ σκῶρ. φα-

σιανὸς ὢν ὁ συκοφάντης, παρὰ τὴν φάσιν ἢ παρὰ τὸ φαίνειν. ἔστι δὲ καὶ πόλις Σκυθίας Φᾶσις, ὁμώνυμος τῷ ποταμῷ.

φασιανοί ἀλεκτρυόνες, καὶ ὄρνεις τινές· Ἀριςοφάνης (Nub. 109) "εἰ δοίης γέ μοι τὺς φασιανὺς, ὓς τρέφει Λεωγόρας," ἐπὶ τῶν εἴς τι πρᾶγμα ἀπαγορευόντων. ὐκ εἰσὶ δὲ ἵπποι φασιανοί, ἀλεκτρυόνες μέντοι. ἵπποι δέ τινες εἰσὶν ἀλεκτρυόνας κεχαραγμένοι· τύτυς ὖν λέγει. Λεωγόρας δὲ ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευομένων τότε· πατὴρ δὲ ὗτος ἦν Ἀνδοκίδυ τῦ ῥήτορος. ἄδηλον δὲ εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. ἔνιοι δὲ ἀξιοῦσιν ἵππυς εἶναι τοὺς φασιανούς· καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τοῦτο τῆς τοῦ νεανίσκυ σπυδῆς. οἱ δὲ περὶ Ἀρίσταρχον ὀρνίθων τι γένος. ὁ δὲ Λεωγόρας τρυφερός τις· Πλάτων Περιαλγεῖ "ὦ θεῖε Μόρυχε, τέως γὰρ εὐδαίμων ἔφυς, καὶ Γλαυκέτης ἡ ψῆττα καὶ Λεωγόρας, οἳ ζῆτε τερπνῶς, οὐδὲν ἐνθυμούμενοι." Εὔπολις ἐν Αὐτολύκῳ ὡς καὶ διὰ Μυρρίναν ἑταίραν τὰ χρήματα ἀποβεβληκότα. φασιανοὶ δὲ οἱ ἔχοντες ἐν τῷ μηρῷ φασιανὸν ἵπποι. Φᾶσις δέ ἐστι ποταμὸς Σκυθίας, ὅπυ καλοὶ ἵπποι γίνονται. φάσις δὲ μήνυσις, ἀγγελία· καὶ κλίνεται φάσιος.

a φάσις ἐστὶν ἣν ποιεῖταί τις πρὸς τὸν δοκοῦντα ὑπορύττειν δημόσιον μέταλλον ἢ χωρίον ἢ οἰκίαν ἢ ἄλλο τι τῶν δημοσίων. ἔτι δὲ καὶ οἱ τοὺς ἐπιτρόπυς τῶν ὀρφανῶν αἰτιώμενοι παρὰ τοῖς ἄρχυσιν ὡς οὐ δεόντως μεμισθωκότας τὸν τῶν ὀρφανῶν οἶκον προφαίνειν λέγονται.

b φάσις λέγεται μὲν καὶ ἐπὶ δημοσίου ἐγκλήματος, ὅταν τις ἀποφαίνῃ τι τῶν δημοσίων ἔχοντά τινα μὴ πριάμενον, λέγεται δὲ καὶ ἐπὶ τῶν ὀρφανικῶν οἴκων. ὅτε γὰρ μὴ ἐκμισθώσαιεν οἱ ἐπίτροποι τὸν οἶκον τῶν ἐπιτροπευομένων, ἔφαινεν αὐτὸν ὁ βυλόμενος πρὸς τὸν ἄρχοντα, ἵνα μισθωθῇ· ἔφαινε δὲ καὶ εἰ ἐλάττονος ἢ κατὰ τὴν ἀξίαν μεμίσθωτο. τοῦ μὲν οὖν προτέρυ τὰ μαρτύρια ἔνεστιν εὑρεῖν παρά τε Δεινάρχῳ καὶ Δημοσθένει, τῆς δὲ περὶ τῶν ὀρφανικῶν οἴκων φάσεως παρὰ Λυσίᾳ πρὸς τὴν φάσιν τοῦ ὀρφανικοῦ οἴκυ.

φασκώλιον ἱματιοφορεῖον. φάσκωλον δέ ἐστι μαρσίππιον, ὡς Ἰσαῖος καὶ Λυσίας εἴρηκεν. ἢ δημόσιον χρῆμα τὸ συναχθὲν εἰς ἀπόθεσιν. "καὶ πρός γε μεστὸν κατὰ τὸ πλέον καὶ ἐμβριθέστερον ποιῶν τὸ φασκώλιον" Ἀγαθίας ἐν ἱστορίᾳ (4 22). "ὃ δὲ τρίποδας ρʹ ἐκπονήσας, καὶ ἐμβαλὼν εἴς τι φασκώλιον" (cf. Pausan. 4 12 9).

φάσκων λέγων.

φάσμα· "ὁ δὲ ἕτερος ταῦρος ἐμυκήσατο κακὸν φώνημα Γάρμῳ, καὶ ἔδοξε τράγος εἶναι, μὴ ταῦρος, ἐκεῖνο τὸ φάσμα" (Iamblich. Babylon.).

φατέ λέγετε. Πολύβιος (3 69) "φατέον ἡγεμόνος ἀγαθοῦ ἔργον εἶναι τὸ μὴ δεῖν μηδέποτε χωρὶς προθέσεως μηδ' ἐκ πάσης ἀφορμῆς ποιεῖσθαι τοὺς ὁλοσχερεῖς κινδύνυς, καὶ μάλιστα εἰ τυγχάνοι τις ὢν ἀπαράσκευος."

φάτις φήμη, λόγος· Σοφοκλῆς (Ai. 187) "ἀλλ' ἀπερύκοι Φοῖβος Ἀργείων φάτιν," τὴν νόσον τοῦ Αἴαντος. καὶ αὖθις (AP 7 239) "φθεῖσθαι Ἀλέξανδρον ψευδὴς φάτις, εἴπερ ἀληθὴς Φοῖβος. ἀνικήτων ἅπτεται οὐδ' Ἀίδης." καὶ αὖθις Σοφοκλῆς (Ai. 850) "τήνδ' ὅταν κλύῃ φάτιν," τὴν ῥῆσιν.

φάτνη ἡ τράπεζα. "τὴν Ἀντωνίυ θεραπεύων καὶ ὑπαικάλλων ἅμα φάτνην" (cf. v. Ἄλβιος). Αἰλιανός "καὶ οἱ Μεσσήνιοι τοὺς ἐκ τῆς αὐτῆς φάτνης οἱονεὶ ἐδηδοκότας ἐξήλασαν" (τυτέςι τοὺς Ἐπικυρείυς), "λυμεῶνας τῶν νέων εἶναι λέγοντες" (cf. v. Ἐπίκυρος).

φατνώματα σανιδώματα, στέγη διάγλυφα.

φατνωτόν σανιδωτόν.

φατρία σύνταγμα. ἡ φυλὴ διῄρηται εἰς δʹ κατὰ τὰς δʹ ὥρας τοῦ ἐνιαυτοῦ, ἑκάστη δὲ διαίρεσις εἰς γʹ, ὡς γίνεσθαι ιβʹ κατὰ τοὺς ιβʹ μῆνας τοῦ ἐνιαυτοῦ· καλεῖσθαι δὲ τριττύας καὶ φατρίας.

"Ἀναστάσιος σιλεντιάριος ὁ μετέπειτα βασιλεύσας, ἐπὶ Εὐφημίυ πατριάρχυ Κωνσταντινουπόλεως καθέδραν κατασκευάσας, μετά τινων ἐφατρίαζεν. ὁ δὲ Εὐφήμιος μετὰ ἀπειλῆς λέγει αὐτῷ ἢ ἐν τῇ ἐκκλησίᾳ θαμίζοντα τὰ ταύτης φρονεῖν, ἢ μηδ' ὅλως ἐπιβαίνειν πρὸς τὸ διαστρέφειν τὺς ἀπειροτέρυς· εἰ δὲ παρὰ ταῦτα πράξειας, ἐκτεμὼν συ τὴν κόμην τοῖς δήμοις σε θριαμβεύσω. ἔκτοτε ἡσυχίαν ἦγεν· ἀντείχετο γὰρ τῆς Εὐτυχῦς δόξης."

φαύλη κηλίς. Ἀρριανός ⟨Ind. 20⟩ "ἐδεδίει μὴ διαφθαρῇ ὁ στόλος Ἀλεξάνδρου, καὶ ἡ φαύλη κηλὶς αὕτη τοῖς ἔργοις αὐτοῦ τοῖσι μεγάλοισιν ἐπιγενομένη τὴν πᾶσαν εὐτυχίαν αὐτοῦ ἀφανίσοι. ἀλλ' ἐκνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίαν τοῦ καινόν τι ἀεὶ καὶ ἄτοπον ἐργάζεσθαι." φαύλη οὖν κηλὶς οὐχ ἡ τυχοῦσα.

φαυλία ἡ κότινος. καὶ ἁπλῶς εἶδος ἐλαίας.

φαυλίζει εὐτελίζει, χλευάζει.

Φάυλλος ὄνομα δρομέως ἀρίστου ὀλυμπιονίκου· Ἀριστοφάνης ⟨Vesp. 1201⟩ "ὅτε τὸν δρομέα Φάυλλον ὢν βούπαις ἔτι εἷλον διώκων λοιδορίας ψήφοιν δυοῖν." ἦν δὲ καὶ ὁπλιτοδρόμος περιώνυμος, ὃν ἐκάλουν ὁδόμετρον. ἦν δὲ καὶ πένταθλος, ἐφ' οὗ καὶ ἐπίγραμμα ⟨AP append. 297⟩ "πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάυλλος, δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων." ἐγένετο δὲ καὶ ἕτερος ἀθλητής, καὶ τρίτος ὁ λωποδύτης. Ἀριστοφάνης Ἀχαρνεῦσιν ⟨208⟩ "οἴμοι τάλας τῶν ἐτῶν τῶν ἐμῶν· οὐκ ἂν ἐπ' ἐμῆς γε νεότητος, ὅτ' ἐγὼ φέρων ἀνθράκων φορτίον ἠκολούθουν Φαΰλλῳ τρέχων, ὧδε φαύλως ἂν ὁ σπονδοφόρος οὗτος ὑπ' ἐμοῦ τότε διωκόμενος ἐξέφυγεν, οὐδ' ἂν ἐλαφρῶς ὧδ' ἀπεπλίξατο."

a φαῦλον φλαῦρον, ἀηδές, δύσφημον.

b φαῦλον τὸ ἁπλοῦν, εὐχερές. καὶ Εὐριπίδης ἐν τῷ Λικυμνίῳ "φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν," ἁπλοῦν καὶ ἀπόνηρον λέγων. ἔστι δ' ὅτε τίθεται καὶ ἐπὶ κακοῦ καὶ τοῦ τυχόντος· Πλάτων ἐν τῷ περὶ ψυχῆς ⟨p. 95 extr.⟩ "φαῦλον πρᾶγμα, ἔφη, Κέβης, ζητεῖς." τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ τυχόντος, οἷον φαῦλον πρᾶγμα ἔσται, τὸ τυχὸν πρᾶγμα. καὶ ἐπὶ τοῦ ἁπλῶς τεθείη ἂν πρὸς τὸ οὕτω τυχόν· Πλάτων ⟨Legg. 11 p. 918 C⟩ "πρᾶγμα δ' ἔσται, ὡς ἔοικεν, οὐ φαῦλον, οὐδὲ μικρᾶς δεόμενον ἀρετῆς." τάττοιτο δ' ἂν καὶ ἐπὶ τοῦ μοχθηροῦ, ὅταν ἀντιδιαστέλληται πρὸς τὸ σπουδαῖον, ὡς Πλάτων ⟨Legg. 6 p. 756 extr.⟩ "δοῦλοι γὰρ ἂν δεσπόταις οὐδέποτ' ἂν γένοιντο φίλοι, οὐδ' ἐν ἴσαις τιμαῖς διαγενόμενοι φαῦλοι καὶ σπουδαῖοι." τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ μεγάλου· Σοφοκλῆς Αἰχμαλώτισιν "εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω." καὶ ἐπὶ τοῦ ῥᾳδίου· Πολιτείας δ' ⟨p. 423⟩ "καὶ φαῦλόν γε, ἔφη, ἴσως αὐτοῖς προστάξομεν, καὶ τοῦτο δ' ἐγὼ ἔτι φαυλότερον." τάττεται καὶ ἐπὶ τοῦ μικροῦ καὶ εὐκαταφρονήτου, ὡς Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος ⟨13⟩ "ὅτι μὲν τοίνυν οὐ μετρίας τινὰς καὶ φαύλας λαβὼν πληγάς."

ὅτι φαῦλον εἴρηται σχεδὸν ὑπὸ πάντων τῶν ῥητόρων τὸ κακόν, ἐπί τε πράγματος καὶ ἀνδρὸς οὕτως ταττόμενον, ὡς Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους ⟨205⟩ "καὶ βλάπτειν ὑμᾶς καὶ δόξης ἀναπιμπλάναι φαύλης ἐπιχειροῦντα αὐτὸν οὐ τιμωρήσεσθε;" καὶ Ἰσοκράτης ⟨1 35⟩ "ὁ γὰρ φαύλως διανοηθεὶς περὶ τῶν ἰδίων οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων." καὶ Λυσίας ἐν ἐπιστολῇ λέγων "ὡς οὐ φιλῶ σε, φαυλότητά μου μεγίστην καταγινώσκεις. εἰ γὰρ ἦθος τοιοῦτον καὶ τρόπον καὶ ψυχὴν καὶ εὔνοιαν οὕτως ἀπροφασίστως, ἔτι δὲ συνουσίας οἰκειότητα καὶ λόγων κοινωνίαν μὴ καθ' ὑπερβολὴν ἀσπάζομαι, τίς γένοιτ' ἂν ἐμοῦ ἀθλιώτερος, ὃς ἀναισθήτως ἔχω πρὸς τὸ φρονεῖν;" τάσσεται δὲ καὶ ἐπὶ τοῦ μικροῦ καὶ εὐκαταφρονήτου· "οὐ φαύλας λαβὼν πληγάς" Δημοσθένης φησί ⟨54 13⟩.

φαῦλος εὐτελής, χαλεπός· ⟨Io. Antioch. p. 805 Val.⟩· "ἦν δὲ Κλαύδιος βασιλεὺς Ῥωμαίων οὐ φαῦλος τὴν ψυχήν, ἐν παιδείᾳ δὲ ἤσκητο ὡς καὶ γράψαι τινά." ὅτι Πλάτων κέχρηται ἐπὶ διαφερόντων σημαινομένων τοῖς αὐτοῖς ὀνόμασιν, οἷον ὁ φαῦλος ⟨Diog. L. 3 63⟩. καὶ αὖθις "ὁ δὲ ὀργὴν χαλεπὸς ὢν καὶ ἄγαν ἐπὶ τοῖς φαυλοτάτοις κολάζει," τουτέστι τοῖς εὐτελέσι.

Φάυλος. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους ⟨124⟩. Ὀνόμαρχός τις ἦν Φωκέων τύραννος· τούτῳ δὲ ζῶντι συνῆρχεν ὁ ἀδελφὸς Φάυλος. Harp.

φαύλως εὐκόλως, εὐμαρῶς· Ἀριστοφάνης ⟨Eq. 403⟩ "εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν." ἔνθεσις ὁ ψωμός. καὶ φαύλως τὸ εὐχερῶς καὶ ἄνευ καμάτου· Ἀριστοφάνης ⟨Eq. 506⟩ "οὐκ ἂν φαύλως ἔτυχε τούτου." ⟨Av. 958⟩ "ὦ δαιμόνιε, τὰ θεῖα μὴ φαύλως φέρε," τουτέστι μὴ ἀηδίζου ἐπὶ τοῖς χρησμοῖς. εἰπόντος γὰρ ὅτι χρησμολόγος εἰμί, ἔφη "οἴμωζέ νυν."

φαύλως ἐρείδει ⟨A Pac. 25⟩ ἁπλῶς καὶ ἀπεριέργως μασᾶται, ἢ συντόνως ἐσθίει. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεττόντων καὶ ἐπερειδομένων ταῖς κώπαις. ἐρείδειν δέ φασιν

οἱ Ἀττικοὶ πᾶν ὁτιῦν συντόνως γινόμενον.

φαύλως πάνυ ἀντὶ τῦ εὐχερῶς· Ἀριστοφάνης (Vesp. 676) "καὶ πρῶτα μὲν λόγισαι φαύλως, μὴ ψήφοις ἀλλ' ὑπὸ χειρός."

Φαῦνος υἱὸς Πίκυ τοῦ καὶ Διός, ὃν Ἑρμῆν ἐκάλεσαν εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος. ὃς ἦν ἀστρονόμος, καὶ μέταλλα δὲ ἐφεῦρε χρυσοῦ καὶ ἀργύρυ καὶ σιδήρυ, καὶ τὴν τούτων ἐργασίαν παρέδωκε τοῖς δυτικοῖς, ὡς καὶ πλυτοδότην αὐτὸν ὑπὸ τῶν ἐγχωρίων καλεῖσθαι. ἐπιβυλευόμενος δὲ ὑπὸ τῶν ἰδίων ἀδελφῶν φεύγει εἰς Αἴγυπτον, εἰς τὴν φυλὴν τοῦ Χὰμ τοῦ υἱοῦ τοῦ Νῶε, καὶ ὑποδεχθεὶς συνδιέτριβεν αὐτοῖς, χρυσῆν ἐνδεδυμένος στολὴν καὶ προφητεύων καὶ ὡς θεὸς τιμώμενος, μεταδιδοὺς αὐτοῖς πλούτυ (cf. Cedren. p. 17).

φαῦσις φῶς, φέγγος (Ps. 73 16).

Φάων. φασὶν ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφάνων· τοῦ γὰρ Φάωνος ἐρασθῆναί φασι σὺν πολλοῖς καὶ Σαπφώ, οὐ τὴν ποιήτριαν ἀλλὰ Λεσβίαν, καὶ ἀποτυγχάνυσαν ῥῖψαι ἑαυτὴν ἀπὸ τῆς Λευκάδος πέτρας (cf. v. Σαπφὼ Λ.).

φέβεται φεύγει.

Φεβρυάριος. οὕτω καλεῖται ὁ μὴν ἀπό τινος ὑπάτυ, γένυς ὑπάρχοντος τῶν Γάλλων. ἡνίκα γὰρ τὸν θρίαμβον τὸν ἀπὸ τῶν Τυρρηνῶν κατήγαγεν ὁ Κάμιλλος, ζηλοτυπήσας ὁ Φεβρυάριος ἐπὶ τοῦ βήματος ἐβόα μὴ γεγονέναι τὸν Κάμιλλον αἴτιον τῆς νίκης, ἀλλὰ τὴν τύχην Ῥωμαίων. συνέπλαττε δὲ καὶ γράμματα καὶ ψευδομαρτυρίας κατ' αὐτοῦ ὡς τυραννίδα μελετῶντος. ἐντεῦθεν δὲ τὸν δῆμον ἐπαναστήσας ἀπελαύνει τοῦτον τῆς πόλεως. ὡς οὖν μετὰ τὴν ἅλωσιν τῆς Ῥώμης ἐπανῆλθε καὶ τοὺς περὶ τὸν Βρῆννον βαρβάρυς ἀνεῖλεν, εἰς κρίσιν ἀγαγὼν τὴν ὑπόθεσιν ἀπέδειξε πάντων γεγονέναι τῶν πεπραγμένων αἴτιον τὸν Φεβρυάριον. καὶ διὰ τοῦτο γυμνωθέντα αὐτὸν τῆς ἐσθῆτος καὶ θρύϊνῃ περιβληθέντα ψιάθῳ, ὑπὸ τῶν ὑπηρετούντων τῷ δημάρχῳ, τῶν καλυμένων βερνάκλων, τυπτόμενον νεύροις τῆς πόλεως ἀπεδίωξε, καὶ τὸν ἐπώνυμον αὐτοῦ μῆνα παρὰ τοὺς ἄλλυς ἐκολόβωσε.

φεδεϊκόμισσα παρὰ Ῥωμαίοις τὰ ἐν πίστει καταλιμπανόμενα ὑπὸ τοῦ μέλλοντος τελευτᾶν.

Φειά πόλις.

Φείδαλος.

φειδαλφίτως ἐκ τοῦ ἄλφιτον. ὅ ἐστι πεφεισμένως τῶν ἀλφίτων.

Φείδας ὄνομα κύριον. Hom. N 693.

φειδήσεται φείσεται.

Φειδίας ἀγαλματοποιός, ὃς ἐλεφαντίνην Ἀθηνᾶς εἰκόνα ἐποίησε. Περικλῆς δὲ ἐπὶ τοῖς ἀναλώμασι ταχθεὶς ἐνοσφίσατο ν' τάλαντα, καὶ ἵνα μὴ δῷ τὰς εὐθύνας πόλεμον ἐκίνησε. καὶ παροιμία (A Pac. 615) "Φειδίας προσήκοι Εἰρήνῃ," καθὸ τεχνίτης, εὔμορφος δὲ ἐκείνη εἰσάγεται. Πολύβιος (30 14) "Λεύκιος Αἰμίλιος παρῆν εἰς τὸ τέμενος τὸ ἐν Ὀλυμπίᾳ, καὶ τὸ ἄγαλμα θεασάμενος ἐξεπλάγη, καὶ τοιῦτον εἶπεν ὅτι μόνος αὐτῷ δοκεῖ Φειδίας τὸν παρ' Ὁμήρῳ Δία μεμιμῆσθαι, διότι μεγάλην ἔχων προσδοκίαν τῆς Ὀλυμπίας, μείζω τῆς προσδοκίας εὑρηκὼς εἴη τὴν ἀλήθειαν." καὶ αὖθις "καθάπερ, οἶμαι, Μυρμηκίδην ἀντιταττόμενον τῇ Φειδίυ τέχνῃ" (cf. v. γελοῖος).

Φείδιππος.

φειδώ πρόνοια, φεισμονή εὐσπλαγχνία.

φειδωλός φειδόμενος, σκνιπός, φειδωλός τις ὤν, ὁ φεύγων τὸ δῦναι, ὁ περίψηφος. ἢ παρὰ τὸ φείδομαι καὶ τὸ δῦναι, φειδωδός τις ὤν, τροπῇ τῦ δ εἰς λ.

Φείδωνος ὄνομα κύριον.

φεισόμεσθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖς ἢ λύκων; ἢ τίνας τισαίμεθ' ἄλλους τῶνδ' ἂν ἐχθίυς ἔτι;" (A Av. 369) τουτέστι μᾶλλον λύκων φεισόμεθα ἤπερ τύτων. μήποτε δὲ καὶ παροιμιῶδες ἐγένετο, ἐπεὶ τὸ παλαιὸν τὺς λύκυς ἀπέκτεινον ἐν τῇ Ἀττικῇ, καὶ νόμος ἦν λυκοκτονεῖν, διὸ ὁ μὲν φονεύων τέκνον λύκυ τάλαντον ἐλάμβανεν, ὁ δὲ τέλειον δύο.

Φεισὼν ποταμός. Genes. 11.

φελλαγωγία πανήγυρις ἐπιτελουμένη παρὰ Ῥωμαίοις, ἐν ᾗ διέβαλλον αὐτύς.

φελλάς τὸ τῶν βιβλίων ἔξωθεν σκέπασμα.

φελλέα τὰ πετρώδη καὶ αἰγίβοτα χωρία, ὡς Ἰσαῖος. καὶ Φελλεύς σκληρὸς ποσῶς καὶ πετρώδης τόπος· Ἀριςοφάνης (Nub. 71) "ὅταν μὲν ὖν τὰς αἶγας ἐκ τῦ Φελλέως ὥσπερ ὁ πατήρ συ διφθέραν ἐνημμένος." Φελλεὺς τόπος τῆς Ἀττικῆς ὕτω καλύμενος, τραχύς· αἱ δὲ αἶγες πρὸς τὰ τραχύτερα καὶ

ὀρεινότερα διάγουσιν. ἀπὸ τούτου δὲ φελλέας λέγουσι Δωριεῖς τοὺς κισσηρώδεις λίθους. καὶ ἑορτή τις περὶ τὸν Διόνυσον Φελλὸς καλουμένη. καὶ αὖθις ⟨Ach. 261⟩ "τοῦ Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως κλέπτουσαν."

φελλεῖς. οὕτω λέγουσιν οἱ Ἀττικοὶ τοὺς πετρώδεις τόπους, οἵτινές εἰσι πετρώδεις μὲν κάτωθεν, ἐπιπολῆς δὲ ὀλίγην ἔχουσι γῆν. ἔστι δὲ καὶ ὄρος οὕτω καλούμενον. sch. A Ach. 272.

Φέλλιος ὄνομα κύριον.

φελλός· ⟨AP 6 192⟩ "ἀβάπτιστόν τε καθ' ὕδωρ φελλόν, ἀεὶ κρυφίων σῆμα λαχόντα βόλων."

φελουρέα ⟨an φιλυρέα⟩ εἶδος δένδρου.

a φενάκη ἀπάτη, δόλος· ⟨Theophyl. Sim. 2 5⟩ "ἐς τὸ τρανὲς τὴν ἔρευναν ἐποιήσαντο, καὶ φενάκη τις ἐν τῇ ἐπισκοπῇ οὐκ ἐνῆν."

b φενάκη τὸ προκόμιον, οἷον τοῦ φαινομένου κρανίου ἄκος καὶ σκέπη. κυρίως δὲ ἡ προσθετὴ καὶ ἐπιτηδευτὴ κόμη, ἀπὸ τῶν κατερρυηκυιῶν γυναικῶν καὶ οὕτως ἀπατωσῶν διὰ τῆς ἐπεισάκτου κόμης· ⟨Theophyl. Sim. 6 5⟩ "ἡ γὰρ τῆς φενάκης ἀπάτη λίαν ἐγκρατῶς ἀπεβουκόλει τὸν βάρβαρον."

φενακίζει χλευάζει.

φέναξ χλευαστής, ἀπατεών.

Φεναρέτης ⟨immo Φαιν.⟩ ὄνομα κύριον.

Φενεός ὄνομα πόλεως· ἐν ᾧ ἦν Νώνακρις πέτρα, ἐξ ἧς ἔρρει τὸ Στυγὸς ὕδωρ. Ἡρόδοτός φησιν ⟨6 74⟩.

φεννίς ⟨an φαινίνδα⟩ παιδιὰ διὰ σφαίρας, ὁπηνίκα ἑτέρῳ προδεικνύντες εἶτα ἄλλῳ ἀφιᾶσι τὴν σφαῖραν ὥσπερ φενακίζοντες.

φενόλης ⟨an φαινόλης⟩ Ῥωμαϊκὴ στολή.

φένω φονεύω.

Φεράς πόλις.

φέρασπις ὁ πολεμικός· ⟨AP 7 152⟩ "πικρὴν ἀλλήλοις Ἕκτωρ χάριν ἠδὲ φέρασπις Αἴας ἐκ πολέμου μνῆμ' ἔφερον φιλίης."

φεραυγής κατάλαμπρος.

φέρβει βόσκει, τρέφει.

φέρε, οἷον ὑπόθου, ἄγε οὖν. ἀρχαία ἡ σύνταξις. Ἀριστοφάνης ⟨Eq. 145⟩ "φέρε, ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν."

a φερέγγυος ἀσφαλής, ἀξιόπιστος ἐγγυητής· Ἡρόδοτος ⟨5 30⟩ "αὐτὸς μὲν ὑμῖν οὐ φερέγγυός εἰμι δύναμιν παρασχεῖν τοσαύτην ὥστε κατάγειν."

b φερέγγυος ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτῖσαι, οἷον ἀξιόχρεως, δυνάμενος ἀναδέξασθαι τὴν ἐγχείρησιν. "τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;" τουτέστιν ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι καὶ βεβαιωτής. sch. S El. 942.

Φερεζαῖος ἐθνικόν.

φέρεθρα. "πομπεῖά τε αὐτοῦ προηγεῖτο ἀργύρου καὶ χρυσοῦ πεποιημένα, καὶ ὁπλῖται πάμπολλοι, καὶ κόσμος βασιλικός, καὶ φέρεθρα ἔχοντα εἰκόνας βασιλέων καὶ δείκηλα ἄττα. αὐτός τε Οὐάφρης ἐπὶ πᾶσιν ἐκομίζετο φοράδην, ἐν ναῷ χρυσοῦ πεποιημένῳ· καὶ τῶν ἱερέων οἱ σεμνότατοι καὶ τελειότατοι φορεῖς ἦσαν."

φέρειν λαμβάνειν. Ἀριστοφάνης Ἀχαρνεῦσιν ⟨65⟩ "ἐπέμψαθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν, μισθὸν φέροντας δύο δραχμὰς τῆς ἡμέρας." Μένανδρος Ὀλυνθίᾳ "μετ' Ἀριστοτέλους γὰρ τέτταρας τῆς ἡμέρας ὀβολοὺς φέρων." καὶ ὁ μισθοφόρος ἀπὸ τούτου. καὶ φέρον οὐδετέρως· ⟨S OC 1694⟩ "τὸ φέρον ἐκ θεοῦ καλῶς φέρειν χρή," τουτέστι τὸ ἐκ θεοῦ πεμφθὲν γενναίως φέρειν χρή. καὶ αὖθις ⟨Thuc. 1 7?⟩ "ἔφερον ἀλλήλους οὐχ ἧττον," ἀντὶ τοῦ λίαν ἐλῄστευον, ἔβλαπτον.

φερεκάκους καρτερικούς· ⟨Polyb. 3 71⟩ "συναγαγὼν ἱππεῖς, ὄντας φερεκάκους διαφερόντως, παρεκάλεσε."

Φέρεκλος ὄνομα κύριον.

Φερεκράτης Ἀθηναῖος κωμικός, ὃς Ἀλεξάνδρῳ συνεστράτευσεν, ἐδίδαξε δράματα ιζ'.

Φερεκύδης Ἀθηναῖος, πρεσβύτερος τοῦ Συρίου, ὃν λόγος τὰ Ὀρφέως συναγαγεῖν, ἔγραψεν Αὐτόχθονας (ἔστι δὲ περὶ τῆς ἀρχαιολογίας τῆς Ἀττικῆς) ἐν βιβλίοις ι', παραινέσεις δι' ἐπῶν. Πορφύριος δὲ τοῦ προτέρου οὐδένα πρεσβύτερον δέχεται, ἀλλ' ἐκεῖνον μόνον ἡγεῖται ἀρχηγὸν συγγραφῆς.

Φερεκύδης Βάβυος Σύριος· ἔστι δὲ νῆσος μία τῶν Κυκλάδων ἡ Σύρα, πλησίον Δήλου. γέγονε δὲ κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην, ὡς συγχρονεῖν τοῖς ζ' σοφοῖς καὶ τετέχθαι περὶ τὴν με' ὀλυμπιάδα. διδαχθῆναι δὲ ὑπ' αὐτοῦ Πυθαγόραν λόγος, αὐτὸν δὲ οὐκ ἐσχηκέναι καθηγητὴν ἀλλ' ἑαυτὸν ἀσκῆσαι, κτησάμενον τὰ Φοινίκων ἀπόκρυφα βιβλία. πρῶτον δὲ συγγραφὴν ἐξενεγκεῖν πεζῷ λόγῳ τινὲς ἱστοροῦσιν, ἑτέρων τοῦτο εἰς Κάδμον τὸν Μιλήσιον φερόντων, καὶ πρῶτον τὸν περὶ τῆς μετεμψυχώσεως

λόγον εἰσηγήσασθαι. ἐζηλοτύπει δὲ τὴν Θάλητος δόξαν. καὶ τελευτᾷ ὑπὸ πλήθους φθειρῶν. ἔστι δὲ ἅπαντα ἃ συνέγραψε ταῦτα, ἑπτάμυχος ἤτοι θεοκρασία ἢ θεογονία. ἔστι δὲ θεολογία ἐν βιβλίοις ί, ἔχουσα θεῶν γένεσιν καὶ διαδοχάς.

c **Φερεκύδης** Λέριος ἱστορικός, γεγονὼς πρὸ ὀλίγου τῆς οέ ὀλυμπιάδος, περὶ Λέρου, περὶ Ἰφιγενείας, περὶ τῶν Διονύσου ἑορτῶν, καὶ ἄλλα.

φέρε νῦν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν" ⟨A Ach. 584⟩. τὸ πτερὸν ζητεῖ ἵνα ἐξεμέσῃ· εἰώθασι γὰρ οἱ δυσεμοῦντες πτερῷ χρῆσθαι πρὸς τὸ εὐχερῶς ἐμέσαι.

φερέοικος ὁ κοχλίας. ἔνιοι ζῷον λευκὸν ὅμοιον γαλῇ, ὑπὸ δρυσὶ καὶ ἐλαίαις γινόμενον· οἱ δὲ ζῷον σφηκὸς εὐμεγέθους μεῖζον.

φερεσβίους ζωοποιούς.

Φερετίμα ὄνομα κύριον. "ἡ δὲ --- πόλιν" ⟨cf. v. ἐμπεδορκεῖν⟩.

φέριστον κράτιστον, ἐξοχώτατον, ἢ ἀγαθόν.

φερνή προΐξ.

φέρνη ἀμοιβή.

φερομένου λαμβάνοντος· "τὴν αἰτίαν πᾶσαν τοῦ πολέμου τότε τοῦ ἀνδρὸς φερομένου." καὶ **φέρονται** ἀντὶ τοῦ νικῶσι· "καὶ φέρονται οἱ πλέσιοι τὸ πλέον, συλλαβόντες δὲ τῶν δημοτῶν εἰς ψ́ δήσαντες ἄγουσι." καὶ **φερόμενος**· "ἀνὴρ γένος μὲν φερόμενος Θρᾴκιον, ᾧ ὄνομα Διογένης ἦν, τὰ δὲ πολέμια παρ' ὁντινοῦν κράτιστος, τέλους ἱππικοῦ προτεταγμένος."

Φερσεφόνη ὄνομα θεᾶς καταχθονίου.

φέρτερον κρεῖττον, ἢ ταχύτερον.

φέρτρῳ ⟨Hom. Σ 236⟩ τῇ τῶν νεκρῶν κλίνῃ. φέρτρον καὶ τὸ φορεῖον. Πολύβιος ⟨8 31⟩ "τότε καὶ τὸν Φιλήμενον ἥκειν ἔχοντα τὸν ὗν ἐν φέρτρῳ καὶ Λιβύας ὡσεὶ χιλίους. ὡς δὲ ἤγγισε τῷ τείχει, ἔλεγεν ἀνοίγειν ταχέως, ὅτι βαρύνονται· φέρουσι γὰρ ὗν ἄγριον. ὁ δὲ φύλαξ ἀνοίγει θαυμάσας τὴν εὐαγρίαν." οἱ δὲ φέρετρον λέγεσθαί φασι.

Φερωνία ὄνομα κύριον. Dionys. A. R. 2 49.

φερώνυμος ἀληθὲς ἔχων τὸ ὄνομα.

Φερώρας ὄνομα κύριον. Ioseph. B. I. 1 8 9.

φεσκάσιον μάγγανον πλοϊκόν.

φεῦ σχετλιαστικὸν ἐπίρρημα, ἢ ὀδυνηρὸν οἰμώγημα. ἔστι δὲ καὶ θαυμαστικὸν τὸ φεῦ· Σοφοκλῆς ⟨OR 316⟩ "φεῦ φεῦ, φρονεῖν ὡς δεινὸν ἔνθα μὴ τέλη λύει φρονοῦντι· ταῦτα γὰρ καλῶς ἐγὼ εἰδὼς διώλεσ'· οὐ γὰρ ἂν δεῦρ' ἱκόμην." ὡς δεινόν, φησί, τὸ φρονεῖν, ὅταν τὸ φρονούμενον τῷ φρονοῦντι μὴ συντελῇ. ⟨A Ran. 141⟩ "φεῦ ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ," ἅμα διὰ τὸ λεγόμενον, ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος βάλλουσι δύο ὀβολούς, καὶ ὅτι τὸ δικαστικὸν μισθάριον δύο ὀβολοὶ ἦσαν. ἦν δὲ καὶ τριώβολον, βλακείας χάριν τοῦτο τῶν στρατηγῶν προστιθέντων. καὶ περὶ τοῦ ναύλου εἰπόντος "πῶς περαιωθήσομαι;" λέγει ⟨138⟩ "ἐν πλοιαρίῳ τυννουτωί σ' ἀνὴρ γέρων διάξει, δύ' ὀβολὼ μισθὸν λαβών."

φεύγοιεν κατηγοροῖντο, καὶ **φεύγων** κατηγορούμενος· Ἀριστοφάνης Νεφέλαις ⟨167⟩ "ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην."

φεύγοντας τοὺς εἰς δίκην ἀγομένους· ⟨A Vesp. 875⟩ "τοὺς φεύγοντας ἐλεεῖν μᾶλλον τῶν γραψαμένων, κἀπιδακρύειν ἀντιβολούντων."

φευκτέον ἐπίρρημα θετικόν ⟨Plotin. 1 2 init.⟩ "Πλάτων φησὶ φευκτέον ἐνθένδε. τίς οὖν ἡ φυγή; θεῷ ὁμοίωσις. τοῦτο δέ, εἰ δίκαιοι καὶ ὅσιοι μετὰ φρονήσεως γενοίμεθα, καὶ ὅλως ἐν ἀρετῇ, οὐ κατὰ τὰς πολιτικὰς ἀρετὰς ἀλλὰ κατὰ τὰς μείζους, τῷ αὐτῷ ὀνόματι χρωμένας."

φέψαλος καὶ **φεψάλυξ** σπινθὴρ ὁ ἀναφερόμενος ἐκ τῶν καιομένων ξύλων. Ἀριστοφάνης ⟨Lys. 107⟩ "ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ," οἷον ζωπύρημα, σπινθήρ. διαβάλλονται δὲ ὡς μοιχοὶ οἱ Μιλήσιοι.

φεψάλῳ καπηλείῳ· φέψαλοι γὰρ οἱ σπινθῆρες. Ἀριστοφάνης ⟨Ach. 278⟩ "ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται" διὰ τὸ εἰρήνην εἶναι. λέγεται δὲ καὶ φεψάλυξ παρὰ Ἀρχιλόχῳ καὶ Ἀριστοφάνει ⟨Lys. 107⟩ "ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ." καὶ αὖθις ⟨Polyb. 1 48⟩ "ἀλλ' ἀποσκοτουμένους ὑπὸ τῆς εἰς αὐτοὺς φερομένης λιγνύος καὶ τῶν φεψαλύγων, ἔτι δὲ τῆς τοῦ καπνοῦ πολυπληθείας, οὐκ ὀλίγους ἀπόλλυσθαι."

φῆ. οὐδέποτε Ὅμηρος τὸ φῆ ἀντὶ τοῦ ὡς τέταχεν. ⟨Ξ 499⟩ "ὁ δὲ φῆ κώδειαν," ἵν' ᾖ ὡς κώδειαν.

Φηγαιεῦσι. δῆμος τῆς Αἰαντίδος. Harp.

Φηγεύς.

φήγινος ⟨Hom. E 838⟩ δρύινος· ἐν ἐπιγράμμασι ⟨AP 6 33⟩ "φηγίνεον κρατῆρα."

Φήγοντος.

φηγός δρῦς ἢ πεύκη· "ἦν δὲ δένδρα ὑπερμεγέθη, φηγὸς καὶ ἐλάτη δρύες τε καὶ φίλυρα."

Φηγοῦς δῆμος τῆς Ἐρεχθηίδος. Harp.

Φηγούσιον Λυσίας ἐν τῷ περὶ Βατράχȣ φόνȣ.

φήληξ ὁ ἀπατεών, καὶ ἡ ὠμὴ συκῆ.

φῆλος ὁ ἀπατηλός.

φηλοῦν ἀπατᾶν· Μένανδρος Ἁλιεῖ "δῦ οἰκίας φηλῶν γερόντων, ὡς λέγεις, ἀβελτέρων." καὶ φηλωθεῖσα ἀντὶ τοῦ ἐξαπατηθεῖσα· ἐν Μύθοις "κέρδεσι φηλωθεῖσα θοὴ κεμάς" ⟨cf. Babr. 95 37⟩. ἔνθεν καὶ φήληκες τὰ ἄγρια σῦκα τὰ τῇ δείξει πέπειρα.

φηλώματα ἐξαπάτας. ὅτως Ἀντιφῶν.

φηλώσεις ἀπατήσεις.

φήμη· ⟨S OR 158⟩ "τέκνον ἐλπίδος ἄμβροτε φήμη," παρ' ὅσον ἐν ἐλπίδι τινὲς γινόμενοι χρησμὸς αἰτȣ̃σιν ἀπὸ τȣ̃ θεȣ̃. καὶ αὖθις "φήμη τὸν ἐσθλὸν κἂν μυχοῖς δείκνυσι γῆς" Εὐριπίδης φησί ⟨ap. Aeschin. 1 128⟩.

φημί λέγω, ὑπολαμβάνω· ⟨Diog. L. 4 36⟩ "ὅτι Ἀρκεσίλαος ὁ φιλόσοφος φυσικῶς ἐν τῷ διαλέγεσθαι ἐχρῆτο τῷ φήμ' ἐγώ, καὶ ὃ συγκαταθήσεται τούτοις ὁ δεῖνα, εἰπὼν τὔνομα." καὶ Δαβίδ ⟨Ps. 35 1⟩ "φησὶν ὁ παράνομος" ἀντὶ τȣ̃ ἡγεῖται, ὑπολαμβάνει.

φημίζω.

φημισμός ἡ φήμη.

φῆναι δεῖξαι, εἰπεῖν.

φήνας συκοφαντήσας, φενακίσας.

φήνη εἶδος ὀρνέȣ.

φῆρας τὸς Κενταύρȣς. Hom. B 743.

Φηρή πόλις, καὶ Φηρήτης ὁ πολίτης.

φής λέγεις, καὶ φησί λέγει, καὶ φήσεις λέξεις.

Φῆστος. ὅτος περὶ τὸς χρόνȣς Οὐάλεντος εἰς τὴν Ἀσίαν ἐκπέμπεται ἀνθύπατος, τὴν δὲ βασιλικὴν γλῶσσαν ⟨an γάζαν⟩ ἐπεπίστευτο. πέμπεται δὲ ὅμως τὸν ποιητικὸν καὶ μυθώδη Ἔχετον, καὶ εἰ δή τις ἄλλος ἐκ Σικελίας ἢ Θετταλίας τοιȣ̃τος, χρυσὸν ἀποδείξων καὶ πανήγυριν. ἦν δὲ ἡ μανία ὐ θύραθεν, ἀλλ' ἔνδοθεν ἐλύσσα καὶ ἐμαίνετο, ἀνὴρ φύσει πονηρὸς καὶ ἐξουσίαν ἔχων, καὶ τὴν ἐν ταῖς κολάσεσιν ἀγριότητα καταλιπὼν εὐδοκιμȣ̃σαν ἐν τοῖς βασιλείοις, ὐκ ἔστιν ὅ τι παρανομίας ἀπέλιπε καὶ ἀσελγείας, ἀλλ' ἐπὶ τοσόνδε παραφορᾶς ἐρρύη καὶ φόνου ὥστε καὶ Μάξιμον ξίφει διέφθειρε, Κοιρανον Αἰγύπτιον ἐπισφάξας αὐτῷ. καὶ ἔτι θερμὸς ὢν καὶ ζέων τῷ λύθρῳ πάντας συνανήρει καὶ κατέφλεγεν ⟨Eunap. p. 110 Nieb.⟩.

φητιαλεῖς.

φήτρη συγγένεια.

φθαίη σε προλάβοι σέ τις εἰς ἐκκλησίαν. καὶ φθαίησι.

φθάνει προλαμβάνει.

φθάνοντος ἔργον γίνεται.

Φθάς ὁ Ἥφαιστος παρὰ Μεμφίταις. καὶ παροιμία "ὁ Φθάς σοι λελάληκεν." οἱ δὲ Ἀφθάς φασιν, ὡς σταφὶς ἀσταφίς καὶ στάχυς ἄσταχυς.

φθάσειεν προλάβοι. "οἶσθα - - - φθέγξασθαί τι τῶν δεόντων. οἱ δὲ παλαιοὶ πρὸ τȣ̃ εὑρεθῆναι τὸς δημητριακὸς καρπὸς ἐβαλανοφάγȣν· ἔνθεν καὶ τὸ φαγεῖν εἴρηται ⟨cf. v. οἶσθα⟩.

φθέγμα ῥῆμα.

φθείρ ὁ τῆς πίτυος καρπός.

φθείρω. ὅτι πᾶν τὸ φθειρόμενον κατὰ δύο τρόπȣς φθείρεται, ἢ τὸν τῶν σωμάτων, τῇ εἰς τὰ στοιχεῖα ἀναλύσει, ἢ τὸν τῶν ἀσωμάτων, ἀποσβεννυμένȣ τȣ̃ εἴδȣς τῇ ἀναρμοστίᾳ τȣ̃ ὑποκειμένȣ.

φθεῖσθαι διαφθείρεσθαι.

φθήμενος προλαβών, καταλαβών.

φθῆναι προλαβεῖν. Ἰώσηπος ⟨A. I. 9 9⟩ "δυσφορȣ̃ντος δὲ τȣ̃ βασιλέως ἐπὶ τῷ φθῆναι τὸν μισθὸν ἐκδεδωκέναι τοῖς Ἰσραηλίταις, παρῄνει ποιεῖν ὁ προφήτης ὅ τι τῷ θεῷ δοκεῖ."

φθήσεται καταλήψεται.

Φθία πόλις, πατρὶς Ἀχιλλέως. καὶ Φθιάδος Θετταλικῆς.

φθιμένης νυκτός τουτέστι παρελθούσης· "ὡς καὶ τῆς νῦν φθιμένης νυκτός" ⟨S Ai. 141⟩.

φθῖναι φθαρῆναι.

φθινάς ἡ νόσος.

φθίνει φθείρεται, λήγει. καὶ φθινόμενοι.

φθινόπωρον παλινδρομία τȣ̃ ἡλίȣ ἀφ' ἡμῶν γενομένȣ τῶν καρπῶν πρὸς τὸς τό-

πυς ἀφ' ὧν ἐγένοντο. τῆς δὲ γενέσεως αὐτῶν αἴτιον γενέσθαι τὸν ἥλιον ἐξατμίζοντα τὰ νέφη (Diog. L. 7 152).

φθινύθων φθειρόμενος.

Φθῖος ὄνομα κύριον. καὶ Φθιώτης ὁ ἀπὸ τῆς Φθίας πόλεως. θηλυκῶς δὲ Φθιῶτις γυνὴ διὰ τῦ ι.

Φθιρῶ ὄρος Μαιάνδρυ.

φθισήνορος τῦ φθείροντος τὺς ἄνδρας.

φθίσθαι φθαρῆναι. Hom. Ι 246.

φθισίμβροτος διαφθείρουσα τὸν ἄνδρα.

φθίσις νόσος.

φθίσονται διαφθαρήσονται. Hom. Λ 821.

φθιτὸν γένος.

φθογγαῖς βυλαῖς.

φθόη φθίσις. ἢ ὄνομα πάθυς ἐξ αἵματος ἀναγωγῆς." Πισίδης "τὴν ἱππικὴν ὑπεῖχεν ὁ ϛρατὸς φθόην." καὶ Αἰλιανός "φθόῃ γοῦν Θεόπομπον τὸν Ἀθηναῖον ῥινώμενόν τε καὶ λειβόμενον ἰάσατο ὁ Ἀσκληπιός" (cf. v. Θεόπομπος).

φθοῖς φθοΐδος ὄνομα πλακῦντος. πέμματα ἃ τοῖς θεοῖς μετὰ τῶν σπλάγχνων ἔθυον· ἐν ἐπιγράμμασι (AP 6 258) "καὶ τροχιὰν ἐν κανέῳ φθοΐδα σοὶ ταύτας ἐφ' ἅλωος, ὦ Δάματερ," φέρω. τὺς φθοῖς μονοσυλλάβως ἔθος λέγειν τοῖς Ἀττικοῖς· "τὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας" Ἀριστοφάνης Πλούτῳ (677).

a φθόνος ἡ ἐπὶ τοῖς καλοῖς τῦ πλησίον βασκανία παρὰ τῷ ἀποστόλῳ.

b φθόνος πάθος λύπης ἐπὶ τῇ τῶν πέλας εὐπραγίᾳ τῶν ἐπιεικῶν τινός. ἐκ τύτυ δῆλον ὡς καὶ φθονερὸς ἂν εἴη ὁ λυπύμενος ἐπὶ ταῖς τῶν ἐπιεικῶν εὐπραγίαις. ὃ κειμένου, ἐπεὶ προδήλως ἀλλότριον τῦ σπυδαίυ τὸ λυπεῖσθαι ἐπὶ ταῖς τῶν ἀγαθῶν εὐπραγίαις (οἱ γὰρ ἐπιεικεῖς ἀγαθοί), ὐκ ἂν εἴη ὁ ἐπιεικὴς φθονερός. φθόνος νόσημα ψυχῆς ἀνθρωπικὸν καὶ ἐσθίον ψυχήν, ἣν ἂν καταλάβῃ, ὥσπερ ἰὸς τὸν σίδηρον. καὶ ὁ ἔρως ταὐτόν ἐστιν. οἷς ἐκεῖνος ἔχθιστον καλεῖ τὸ θεῖον, περιτρέπων τὸ συμφυὲς ἀρρώστημα εἰς αὐτὺς τὺς ἐκφύσαντας αὐτά. καὶ ἴαμβοι "τὸ δευτερεῦον τῦ φθόνυ γράμμα ξέσας εὕρῃς ἐν αὐτῷ τὸν φόνον γεγραμμένον." καὶ Σοφοκλῆς (Ai. 157) "πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει." καὶ αὖθις "πιστὰ τοῖς ἀκύυσι τὰ κατὰ τῶν μεγάλων διὰ τὸν φθόνον." καὶ Πίνδαρος (Nem. 8 36) "ὄψον δὲ λόγοι φθονεροῖς." καὶ αὖθις (Diog. L. 5 76) "σφόδρα δὲ λαμπρὸς ὢν παρὰ τοῖς Ἀθηναίοις, ὅμως ἐσκοτίσθη καὶ αὐτὸς ὑπὸ τῦ τὰ πάντα διεσθίοντος φθόνυ· δίκην γὰρ θανάτυ ὦφλε." στίχοι Δημητρίυ εἰς φθονερύς (Diog. 5 85) "ζῷον ἀτιμάσαντες ἀποφθίμενον ποθέυσι, καὶ ποθ' ὑπὲρ τύμβοιο καὶ ἀπνόυ εἰδώλοιο ἄστεα νεῖκος ἐπῆλθεν, ἔριν δ' ἐστήσατο λαός."

φθόρος ἀρσενικῶς· (Procop. Arc. 13) "ὕτως ἦν αὐτῷ κατεσπυδασμένος ὁ τῶν ἀνθρώπων ἀεὶ φθόρος." καὶ αὖθις "πολὺς δὲ φθόρος ἐγίνετο τῶν σωμάτων. εἰ γάρ τί δεῖ νοεῖν τὸν φθόρον, τότ' ἂν ἰδών τις τὸ συμβαῖνον ἔγνω σαφῶς."

φιαλεῖς Ἀριστοφάνης (Vesp. 1388) "ἀλλ' ὐκ ἀποδώσεις, ὐδὲ φιαλεῖς, οἶδ' ὅτι, ἀλλ' ἐξαπατήσεις, κἀγχανεῖ τύτῳ μέγα." φιαλῦμεν δὲ τῷ ἔργῳ ἐπιβαλῦμεν, ἐπὶ τῦτο ὁρμήσομεν. φιαλεῖν δὲ κυρίως ἐστὶ τὸ ἄρχεσθαι πράγματος· Ἀριστοφάνης (Pac. 430) "ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως ἔργῳ φιαλῦμεν, εὐξάμενοι τοῖσιν θεοῖς."

φιάλην ἀμφίθετον. Hom. Ψ 270.

Φίαλος.

φιαρὸν λαμπρόν.

φίβαλις. γένος συκῆς ἡ φίβαλις, ἐπιτήδειον εἰς ξηρασίαν ἰσχάδων. ἐπεὶ δὲ ἀπὸ τῦ ἰσχναίνεσθαι ἰσχὰς καλεῖται, καὶ τοὺς ἰσχνὺς τῶν ἀνθρώπων ἐκάλυν φιβάλεις. ὁ δὲ τόνος φιβάλεως, προπαροξυτόνως, ὡς κορώνεως πελέκεως. Ἀριστοφάνης Ἀχαρνεῦσι (768) "τί δαί; φιβάλεως ἰσχάδας; κοῒ κοΐ. ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατε."

Φιγαλεύς ὁ ἀπὸ τῦ δήμυ Ἀρκαδίας. καὶ ὁ δῆμος Φιγάλεια.

Φίγιον ἀκρωτήριον.

Φιδηναῖος ἀπὸ τόπυ.

φικιδίζειν ἐπὶ τῦ παιδεραστεῖν (cf. v. χαλκιδίζειν).

φικιῶ.

φίλα ἴσα, ὅμοια, προσφιλῆ.

Φιλάγριος Λύκιος ἀπὸ Μάκρης, ὡς εὕρηται παρὰ Εὐγενάτορι· ὡς δὲ αὐτὸς ἐν τῇ πρὸς Φιλήμονα περὶ ἥπατος ἐσκιρρωμένυ ἐπιστολῇ φησὶν ὁ Φιλάγριος, εἴη ἂν μᾶλλον Ἠπειρώτης· ἰατρός, μαθητὴς Ναυμα-

χίȣ, τοῖς χρόνοις μετὰ Γαληνόν, ἰατρεύσας τὰ πλεῖστα ἐν Θεσσαλονίκῃ, συντάξας βιβλία ἰατρικὰ μονόβιβλα μὲν ό, συντάγματα δὲ ἕτερα ȣ̓κ ὀλίγα. ὑπομνηματικὸν εἰς Ἱπποκράτην.

φίλαθλος φιλόπονος.

Φιλαινίς.

φιλαιτίων τῶν ἐπιλαμβανομένων.

φιλακροάμονος.

a Φιλάμμων πύκτης Ἀθηναῖος, ὃς πάντα ἐνίκα τȣ̀ς ἀντιπάλȣς (Demosth. 18 319).

b Φιλάμμων ἕτερος, ὃν ᾄδȣσι Θαμύρȣ τȣ̃ Θρᾳκὸς πατέρα γενέσθαι (cf. v. Τέρπανδρος.

φιλαμπελωτάτη (A Pac. 306) ἡ εἰρήνη· εἰρήνης γὰρ ȣ̓σης γεωργȣ̃μεν, πολέμȣ δὲ ὄντος τȣ̓ναντίον.

φιλανθρωπηθείς· (Polyb. 39 3) "ὁ δὲ Ἀσδρȣ́βας ἐβȣλήθη τȣ́τῳ συμμίξας καὶ φιλανθρωπηθεὶς ἀπελθεῖν εἰς τοὺς ἔξω τόπȣς." καὶ φιλανθρωπία ἡ ···

φιλαπεχθήμων φιλομίσητος, φίλεχθρος, φιλομισής.

φιλαργυρία ὑπόληψις τȣ̃ τὸ ἀργύριον καλὸν εἶναι (Diog. L. 7 111).

φιλαυτίας ὑπερηφανίας.

a Φιλέας. "εἰ καὶ Φιλέας ··· ὑφελόμενος" (cf. v. ὅμοιον).

b Φιλέας ὄνομα τόπȣ.

φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν" (S El. 972).

φιλεῖ γάρ πως τέρπεται γάρ πως, ἢ ἔθος γάρ πως· (A Nub. 811) "φιλεῖ γάρ πως τὰ πολλὰ ἑτέρως τρέπεσθαι," τȣτέστι συμβαίνει, ἔθος ἔχει ἄλλως ἀποβαίνειν ἢ ὡς προσδοκᾷ τις. εὐμετάβολοι γάρ εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγȣ ἐπί τι μάθημα ἐρχόμενοι. ἕως ȣ̓ ἐπιθυμεῖ πράξειν τὸν μισθόν.

φιλεργός φιλόπονος· (Ioseph. A. I. 12 4 6) "οἳ μὲν ὑπὸ ῥᾳθυμίας καὶ τῆς πρὸς τὸ φιλεργεῖν μαλακίας ἀνόητοι καὶ ἀμαθεῖς ἐπανῆκον αὐτῷ."

φιλέρημος.

φιλεριστῆσαι φιλονεικῆσαι· Μένανδρος "τὸ γὰρ φίλερι τῆς φιλοπρωτείας μεταξὺ αὐτῶν ξυμπεσὸν διέλυσε τὰς δυνάμεις."

Φίλερως καὶ Φιλέταιρος ὀνόματα κύρια.

Φιλέταιρος ὄνομα κύριον. Ἀθηναῖος κωμικός, υἱὸς Ἀριςοφάνȣς τȣ̃ κωμικȣ̃. δράματα δὲ αὐτȣ̃ κά, ὧν ἐςὶ καὶ ταῦτα, Ἀχιλλεύς, Κορινθιαστής, Κυνηγίας, Φίλαυλος, Κέφαλος, Τηρεύς, Οἰνοπίων, Ἀντύλλος (καὶ αὐτὸ Φιλεταίρȣ, ὡς δέ τινες Νικοστράτȣ). Ἀταλάντη, Λαμπαδηφόροι.

Φιλέψιος. ἦν δὲ φιλοπαίγμων. Δημοσθένης κατὰ Τιμοκράτȣς (134). Φιλεψίȣ μνημονεύουσιν οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ ἐπὶ τῷ μεταξὺ τῶν δημηγοριῶν μύθȣς λέγειν. κεκωμῴδηται δὲ καὶ εἰς πανȣργίαν.

Φιλέως ὄνομα κύριον.

Φίληβος.

φιληδίας φιληδονίας, ἀνοίας· "ὑμεῖς δὲ γρυλλίζοντες ὑπὸ φιληδίας ἕπεσθε μητρὶ χοῖροι" Ἀριστοφάνης Πλȣ́τῳ (307).

φιλήδονος.

φιληδῶν φιλῶν, ἀγαπῶν· (Diog. L. 2 58) "ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος. ἢ σὺ φιληδῶν οὕτως ἀρέσκῃ, κεῖθι καὶ μένειν ἔγνως."

φίλη κεφαλή προσφιλέστατε.

φιληκοΐα. καὶ φιλήκοος φιλομαθής.

φιληλιαστής ὁ φιλόδικος· παρὰ Ἀριστοφάνει (Vesp. 88) "φιληλιαστής ἐστιν ὡς ȣ̓δεὶς ἀνήρ," ἀντὶ τȣ̃ φιλόδικος· Ἡλιαία γὰρ Ἀθήνησι δικαστήριον μέγιστον.

Φιλήμων. ȣ̓τος ἄπηρος ἦν τὸ σῶμα, καὶ μέντοι καὶ τὰς αἰσθήσεις πάσας ἀσινεῖς εὐμοιρίᾳ τινὶ διεσώσατο. ὁμολογȣ̃σι δήπȣ καὶ τȣ̃το. πολεμȣ́ντων Ἀθηναίων καὶ Ἀντιγόνȣ Πειραιεῖ διαιτώμενος ὁ Φιλήμων ὄναρ ὁρᾷ κόρας ἐξιȣ́σας θ' τῆς οἰκίας αὐτȣ̃. ἐδόκει δὲ ἐρέσθαι αὐτὰς τί βȣλόμεναι καταλείπȣσιν αὐτόν· αὐτῶν δὲ ᾤετο ἀκȣ̃σαι λεγουσῶν ἔξω θυρῶν ἰέναι, μὴ γὰρ εἶναι θεμιτὸν (παραμένειν) αὐτάς. καὶ τὸν μὲν ὄνειρον ἐνταῦθα παύσασθαι, αὐτὸς δὲ διυπνισθεὶς τῷ παιδὶ περιηγεῖται ἅ τε εἶδε καὶ ὅσα ἤκȣσε καὶ ἅτινα εἶπεν. εἶτα μέντοι ἔγραψε τὰ λοιπὰ τȣ̃ δράματος ὅπερ ȣ̓ν ἔτυχε διὰ τῆς παρȣ́σης ἄγων φροντίδος, καὶ ἐπειλυσάμενος ἡσυχῇ ἔκειτο, κᾆτα ὑπερέσχε. καὶ οἵ γε ἔνδον ᾤοντο καθεύδειν αὐτόν, ἐπεὶ δὲ μακρὸν τȣ̃το ἦν, ἐκκαλύψαντες τεθνεῶτα ἐθεάσαντο. ȣ̓κȣ̃ν, ὦ Ἐπίκȣρε, παρῆσαν δὴ καὶ Φιλήμονι ἐννέα μȣ̃σαι, καὶ ὅτε ἔμελλε τὴν ἐπιτησθεῖσάν οἱ καὶ τελευταίαν ὁδὸν ἰέναι, ᾤχοντο ἀπιȣ̃σαι· θεοῖς γὰρ ȣ̓δαμῇ θεμιτὸν ὁρᾶν

ὅτι νεκρός, καὶ ἐὰν ὦσι πάνυ φίλοι, οὐδ' ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς (Eur. Hipp. 1437). σὺ δὲ λέγεις αὐτὸς μὴ ἡμῖν προσέχειν, ὦ μῶρε. οὕτω φησὶν Αἰλιανὸς ἐν τῷ περὶ προνοίας.

Φιλήμων Συρακούσιος, υἱὸς Δάμωνος, καὶ αὐτὸς κωμικὸς τῆς νέας κωμῳδίας, ἤκμαζεν ἐπὶ τῆς Ἀλεξάνδρου βασιλείας, βραχὺ Μενάνδρου πρότερος. ἔγραψε δὲ κωμῳδίας πρὸς ϙ΄ καὶ ἐβίωσεν ἔτη ϙθ΄· εἰσὶ δὲ οἳ λέγουσιν ά καὶ ρ΄. ἐτελεύτησε δὲ ὑπὸ σφοδροῦ γέλωτος.

Φιλήμων ὁ νεώτερος, καὶ αὐτὸς κωμικός, υἱὸς Φιλήμονος τοῦ κωμικοῦ. ἐδίδαξε δὲ δράματα νδ΄.

φιλήνεμος· ἐν ἐπιγράμμασιν (AP 6 92) "αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον."

Φίληξ ὄνομα κύριον.

φιληταί. οὕτω λέγονται καὶ οἱ κλέπται καὶ οἱ φιλοῦντες· (AP 5 271) "οἱ δὲ φιληταὶ οἵ ποτε τριλλίστως ἀντίον ἐρχόμενοι νῦν μέγα πεφρίκασι."

Φιλητᾶς Κῷος, υἱὸς Τηλέφου, ὢν ἐπί τε Φιλίππου καὶ Ἀλεξάνδρου, γραμματικὸς κριτικός, ὃς ἰσχνωθεὶς ἐκ τοῦ ζητεῖν τὸν καλούμενον ψευδόμενον λόγον ἀπέθανεν. ἐγένετο δὲ καὶ διδάσκαλος τοῦ δευτέρου Πτολεμαίου. ἔγραψεν ἐπιγράμματα καὶ ἐλεγείας καὶ ἄλλα.

φιλητέων ληστῶν, ἤτοι κατὰ ἀντίφρασιν, ἢ κατὰ ἀφαίρεσιν τοῦ υ πάνυ φιλητέων, κλεπτῶν.

φιλητής ὁ ἐραστής, φιλήτης δὲ ὁ κλέπτης.

φιλία ἡ οἰκεία χώρα, ὡς πολεμία ἡ ἀλλοτρία. "ὁ δὲ ὕπατος ἅτε ἐν τῇ φιλίᾳ ὢν πολὺ διέφερε."

φιλία. Δαμάσκιός φησι "περὶ γὰρ οὐδεμίαν τῶν πολλῶν ἀρετῶν οὕτως ἐσπουδάκεις ὡς περὶ τὴν μητέρα αὐτῶν, κατὰ τὸν Πυθαγόραν εἰπεῖν, αὐτὴν τὴν φιλίαν" (cf. v. προέμενος).

φιλιάζω φίλος γίνομαι. (2 Paralip. 19 2) "ὦ Ἰωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς ἢ μισουμένῳ ὑπὸ κυρίου φιλιάζεις, διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ κυρίου, εἰ μὴ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί."

Φιλικήσιμος ἄρχων ἐπὶ Αὐρηλιανοῦ βασιλέως.

Φιλῖνος.

φίλιοι προσφιλέστατοι.

φίλιος ὁ τὰ περὶ τὰς φιλίας ἐπισκοπῶν. Μένανδρος Ἀνδρογύνῳ "μαρτύρομαι τὸν φίλιον ὦ Κράτων Δία." Φερεκράτης Κραπατάλοις "τοῖς δὲ κριταῖς τοῖς νυνὶ κρίνουσι λέγω μὴ ἐπιορκεῖν μηδ' ἀδίκως κρίνειν· ἢ νὴ τὸν φίλιον μῦθον εἰς ὑμᾶς ἕτερον Φερεκράτης λέξει πολὺ τούτου κακηγορίστερον."

Φιλιππήσιοι.

Φιλιππίδης Ἀθηναῖος, κωμικὸς καὶ a
αὐτὸς τῆς νέας κωμῳδίας, υἱὸς Φιλοκλέους· ἦν δὲ ἐπὶ τῆς ρια΄ ὀλυμπιάδος. ἐδίδαξε καὶ αὐτὸς δράματα με΄.

Φιλιππίδης τῶν πολιτευομένων παρ' b
Ἀθηναίοις εἷς ἦν, ἐδόκει δὲ ἰσχνὸς εἶναι τὸ σῶμα· διὸ καὶ Ἄλεξις πεφιλιππιδῶσθαι ἔφη ἀντὶ τοῦ λελεπτύνθαι (Athen. p. 552).

Φιλιππικὸς ὁ καὶ Βαρδάνης Ἰουστινια- a
νὸν βασιλέα ἀνελὼν ἀσέμνως καὶ ῥᾳθύμως τὰ βασίλεια διέπων ἐφαίνετο, τούς τε ἐν τῇ οἰκουμενικῇ συνόδῳ πατέρας ἀναθέματι καθυπέβαλε, τὰ παρ' αὐτῶν ἐνθέως δογματισθέντα δύο τοῦ σωτῆρος θελήματα καὶ ἐνεργείας μὴ ἀποδεχόμενος, συλλήπτορας εὑρηκὼς Ἰωάννην τὸν τηνικαῦτα τῆς πόλεως ἀρχιερέα καὶ Γερμανὸν τὸν Κυζίκου μητροπολίτην καὶ ἑτέρους ἱερεῖς καὶ συγκλητικοὺς πλείστους.

Φιλιππικὸς στρατηγὸς τῶν ἑῴων στρα- b
τιωτῶν. οὗτος ἔσχεν Ἡράκλειον τὸν Ἡρακλείου τοῦ βασιλέως πατέρα ὑποστράτηγον· δυστυχήσαντος δὲ ἐν πολέμῳ τοῦ Φιλιππικοῦ καὶ ἀπομάχου γενομένου, ὁ Ἡράκλειος ἐγχειρίζεται τὸ ὁπλιτικόν. ἦν δὲ ὁ Φιλιππικὸς γαμβρὸς Μαυρικίου ἐπὶ θυγατρί.

Φιλιππίων ὄνομα κύριον.

Φίλιππος Ἀμφιπολίτης ἱστορικὸς Ῥο- a
διακά, βιβλία ιθ΄ (ἔστι δὲ τῶν πάνυ αἰσχρῶν), Κῳακά, βιβλία β΄, Θασιακά, βιβλία β΄, καὶ ἄλλα.

Φίλιππος ὁ βασιλεὺς νικήσας Ἀθη- b
ναίους τὴν ἐν Χαιρωνείᾳ μάχην οὐ τοσοῦτον ἤνυσε διὰ τῶν ὅπλων ὅσον διὰ τῆς ἐπιεικείας καὶ φιλανθρωπίας τῶν τρόπων· τῷ μὲν γὰρ πολέμῳ καὶ τοῖς ὅπλοις αὐτῶν μόνων περιεγένετο καὶ κύριος κατέστη τῶν ἀντιταξαμένων, τῇ δ' εὐγνωμοσύνῃ καὶ μετριότητι πάντας Ἀθηναίους ἅμα καὶ τὴν πόλιν αὐτῶν ἔσχεν ὑποχείριον, οὐκ ἐπιμετρῶν τῷ θυμῷ τοῖς πραττομένοις, ἀλλὰ μέχρι τούτου πολεμῶν καὶ φιλονεικῶν, ἕως τοῦ λα-

βεῖν ἀφορμὰς πρὸς ἀπόδειξιν τῆς αὐτοῦ πραότητος καὶ καλοκαγαθίας. τοιγαροῦν χωρὶς λύτρων ἀποστείλας τοὺς αἰχμαλώτους καὶ κηδεύσας τῶν Ἀθηναίων τοὺς τετελευτηκότας, ἔτι δὲ καὶ συνθεὶς Ἀντιπάτρῳ τὰ τούτων ὀστᾶ, καὶ τῶν ἀπαλλαττομένων τοὺς πλείστους ἀμφιέσας, διὰ τὴν ἀγχίνοιαν μεγίστην πρᾶξιν ἀπειργάσατο· τὸ γὰρ Ἀθηναίων φρόνημα καταπληξάμενος τῇ μεγαλοψυχίᾳ πρὸς πᾶν ἑτοίμους αὐτοὺς ἔσχε συναγωνιστὰς ἀντὶ πολεμίων ⟨Polyb. 5 10⟩.

c **Φίλιππος** κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Κωδωνιασταί, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

d **Φίλιππος** ὁ Μακεδὼν πολλοὺς τοῦ ζῆν ἐστέρησε, καὶ τοὺς υἱέας ὕστερον συμπεριέλαβεν, ἐπιφθεγξάμενος τὸν στίχον τοῦτον "νήπιος ὃς πατέρα κτείνας υἱοὺς καταλείπει" ⟨Polyb. 24 8⟩.

e **Φίλιππος** σοφιστὴς ὁ γράψας περὶ πνευμάτων, ἐκ τῶν Ἡρωδιανοῦ, κατὰ στοιχεῖον, καὶ περὶ συναλοιφῆς.

Φιλίππου ἀλεκτρυών ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασιν ἀλαζονευομένων.

a **Φιλίσκος** Αἰγινήτης ὁ διδάξας γράμματα Ἀλέξανδρον τὸν Μακεδόνα. αὐτὸς δὲ ἀκουστὴς ἦν τοῦ κυνὸς Διογένους, κατὰ δὲ Ἕρμιππον Στίλπωνος. ἔγραψε διαλόγους, ὧν ἐστι Κόδρος.

b **Φιλίσκος** Αἰγινήτης, ὃς κατὰ θέαν ἐλθὼν τῶν Ἀθηνῶν, ἀκούσας Διογένους ἐφιλοσόφησεν. ὁ δὲ τούτου πατὴρ ἀπέστειλεν ἐπ' αὐτὸν τὸν ἀδελφόν, καὶ ταὐτὸν ἔπαθε καὶ οὗτος. καὶ ὁ πατὴρ πάλιν ἐπ' ἀμφοτέρους ἐλθὼν ἐφιλοσόφησε καὶ αὐτός. ἐγένετο δὲ αὐτοῦ ὁμιλητὴς καὶ Φωκίων ὁ χρηστός. τελευτήσας δὲ ἐν Κορίνθῳ κεῖται, καὶ κύων ἐστὶν ἐπὶ τῷ μνήματι. ἐτιμήθη δὲ εἰκόνι παρὰ Σινωπέων καὶ ἐπιγράμματι ⟨AP t. 2 p. 726⟩ "γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου· ἀλλὰ σὸν οὔτι κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ, μοῦνος ἐπεὶ βιοτῆς αὐτάρκεα δόξαν ἔδειξας θνητοῖς καὶ ζωῆς οἶμον ἐλαφροτάτην."

c **Φιλίσκος** Κερκυραῖος, Φιλώτου υἱός, τραγικὸς καὶ ἱερεὺς τοῦ Διονύσου ἐπὶ τοῦ Φιλαδέλφου Πτολεμαίου γεγονώς. καὶ ἀπ' αὐτοῦ τὸ Φιλίσκειον μέτρον προσηγορεύθη, ἐπείπερ αὐτῷ ἐνεδαψιλεύετο. ἔστι δὲ τῆς δευτέρας τάξεως τῶν τραγικῶν, οἵτινές εἰσιν ζ' καὶ ἐκλήθησαν Πλειάς. αἱ δὲ τραγῳδίαι αὐτοῦ εἰσὶ μβ'.

Φιλίσκος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶν Ἄδωνις, Διὸς γοναί, Θεμιστοκλῆς, Ὄλυμπος, Πανὸς γοναί, Ἑρμοῦ καὶ Ἀφροδίτης γοναί, Ἀρτέμιδος καὶ Ἀπόλλωνος.

Φιλίσκος Μιλήσιος ῥήτωρ, Ἰσοκράτους e ἀκουστὴς τοῦ ῥήτορος. ἐγένετο δὲ πρότερον αὐλητὴς παραδοξότατος, διὸ καὶ αὐλοτρύπην Ἰσοκράτης αὐτὸν ἐκάλει. γέγραπται δὲ αὐτῷ τάδε, Μιλησιακός, Ἀμφικτυονικός, τέχνη ῥητορικὴ ἐν βιβλίοις β', Ἰσοκράτους ἀπόφασις.

Φιλίσκος, ἢ Φίλιστος, Συρακούσιος ἱστορικός. ἦν δὲ συγγενὴς Διονυσίου τοῦ τυράννου Σικελίας, καὶ ἐν τῇ πρὸς Καρχηδονίους ναυμαχίᾳ ἐτελεύτησε. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ἔγραψε Σικελικά (ἔστι δὲ τὰ πρὸς Ἕλληνας αὐτοῖς πραχθέντα διαφόρως) καὶ γενεαλογίαν, περὶ Φοινίκης, καὶ ἄλλα τινὰ περὶ τῆς νήσου Σικελίας ⟨cf. v. Φίλιστος⟩.

Φιλιστίδης ὄνομα κύριον.

Φιλιστίων Προυσαεύς, ἢ ὡς Φίλων Σαρδιανός, κωμικός. τελευτᾷ δὲ ἐπὶ Σωκράτους. ὃς ἔγραψε κωμῳδίας βιολογικάς. τελευτᾷ δὲ ὑπὸ γέλωτος ἀπείρου. δράματα δὲ αὐτοῦ Μιμοψηφισταί. οὗτός ἐστιν ὁ γράψας τὸν φιλόγελων ἤγουν τὸ βιβλίον τὸ φερόμενον εἰς τὸν Κουρέα. Νικαεὺς δὲ μᾶλλον παρὰ πᾶσιν ᾄδεται, ὡς μαρτυρεῖ τὸ ἐπίγραμμα ⟨AP 7 155⟩ "ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον γέλωτι κεράσας Νικαεὺς Φιλιστίων."

Φίλιστος Ναυκρατίτης ἢ Συρακούσιος, Ἀρχωνίδου υἱός. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ὃς πρῶτος κατὰ τὴν ῥητορικὴν τέχνην ἱστορίαν ἔγραψε. συνέταξε δὲ τέχνην ῥητορικήν, Αἰγυπτιακὰ ἐν βιβλίοις ιβ', Σικελικὰ ἐν βιβλίοις ιά, πρὸς τὸν τρικάρανον λόγον, περὶ Ναυκράτεως, περὶ Διονυσίου τοῦ τυράννου βιβλία ς', περὶ τῆς Αἰγυπτίων θεολογίας βιβλία γ', δημηγορίας καὶ ἄλλα τινά, περὶ Συρίας καὶ Λιβύης.

φιλίτια συμπόσια μεμιγμένους ἔχοντα ταῖς ἡδοναῖς τοὺς πόνους· οὐ γὰρ στρωμνή τις ὑπέκειτο εὐωχουμένοις, ἀλλ' ὑπὸ τοῖς ἀγκῶσι κοιλανθεὶς λίθος ἢ ξύλον. οἱ δὲ πατέρες φασὶ τῆς τοῦ σώματος φιλίας. ἐς τὸ ἀρχαῖον καθισταμένους πάντα, ὅθεν παλαῖστραι ἀνήβησαν καὶ τὰ φιλίτια ἐπανῆλθε ⟨cf. vv. ἔφο-

ροι et πίττα⟩.

Φιλλεῖδαι γένος ἐστὶν Ἀθήνησιν. ἐκ δὲ τούτων ἡ ἱέρεια τῆς Δήμητρος καὶ κόρης, ἡ μυοῦσα τοὺς μύστας ἐν Ἐλευσῖνι.

Φιλλίωνος ὄνομα κύριον.

Φιλογόνιος ὄνομα κύριον.

φιλόγυννις φιλογύννιδος.

φιλοδεσποτεύομαι. οὕτως Ἀναξίλας.

φιλοδωρία ἡ μετὰ προθυμίας δωρεά· "ὁ δὲ ἀπολαυσάτω τῆς τῶν ἐχθρῶν φιλοδωρίας."

φιλόζωος.

φιλοθεάμονες φιλοθεωρηταί.

φιλοθηρεῖ φιλεῖ ἀγρεύειν.

φιλοίκτιστον ὀδυρτικόν, θρηνητικόν· Σοφοκλῆς ⟨Ai. 580⟩ "κάρτα τοι φιλοίκτιστον γυνή."

Φιλοίτης ὄνομα κύριον.

Φιλοίτιος.

φιλοκάλως καθαρῶς.

φιλόκενον στόμα ματαιολόγον.

Φιλοκλῆς κωμῳδίας ποιητὴς αἰσχροπρόσωπος. ἦν δὲ προκέφαλος ὡς ἔποψ, ἤγουν ὀξυκέφαλος, Αἰσχύλου ἀδελφῆς υἱός. οἱ δὲ Ἁλμίωνα αὐτόν φασιν ἐπιθετικῶς διὰ τὸ πικρὸν εἶναι· ἅλμη γὰρ ἡ πικρία. εἴρηται οὖν ἐπὶ τῶν ὀξυκεφάλων ⟨sch. A Av. 282⟩.

Φιλοκλῆς Πολυπείθους Ἀθηναῖος τραγικός, τοῖς χρόνοις μετὰ Εὐριπίδην. ἐπεκαλεῖτο δὲ χολὴ διὰ τὸ πικρόν. ἔγραψε τραγῳδίας ρ′, ὧν ἐστι καὶ ταῦτα, Ἠριγόνη Ναύπλιος Οἰδίπους Οἰνεὺς Πρίαμος Πηνελόπη Φιλοκτήτης. Αἰσχύλου δὲ τοῦ τραγικοῦ ἦν ἀδελφιδοῦς, καὶ ἔσχεν υἱὸν Μόρσιμον τὸν τραγικόν, οὗ τινὸς γίνεται Ἀστυδάμας ὁ τραγικός, τούτου δ' ἕτερος Φιλοκλῆς τραγικός.

φιλοκομπῶν μεγαλορρημονῶν, ὁ ἑαυτὸν ὑψῶν.

Φιλοκράτης ὁ Στρούθιος ὥσπερ Μήλιος. ἦν δὲ ὀρνιθοθήρας. ⟨A Av. 1073⟩ "ἢν ἀποκτείνῃ τις ὑμῶν Φιλοκράτη τὸν Στρούθιον, λήψεται τάλαντον, ἢν δὲ ζῶντα αὐτὸν ἀγάγῃ, τέσσαρα, ὅτι συνείρων τοὺς σπίνους πωλεῖ καθ' ἑπτὰ τοῦ ὀβολοῦ, εἶτα φυσῶν τὰς κίχλας δείκνυσι πᾶσι καὶ λυμαίνεται, τοῖς τε κοψίχοισιν ἐς τὰς ῥῖνας ἐγχεῖ τὰ πτερά. τὰς περιστεράς θ' ὁμοίως ξυλλαβὼν εἵρξας ἔχει, κἀπαναγκάζει παλεύειν δεδεμένας ἐν δικτύῳ."

φιλοκτέανος φιλοχρήματος, φιλοκτήμων.

Φιλοκτήτης.

Φιλόλαος ὄνομα κύριον· ⟨AP 7 126⟩ "οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη, ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν."

φιλομαθής ὁ ἔμπειρος· Ξενοφῶν ⟨Cyr. 1 6 38⟩ "δεῖ δὴ φιλομαθῆ τούτων ἁπάντων ὄντα, οὐχ οἷς ἂν μάθοις τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ ποιητὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημάτων." καὶ φιλομάθεια.

φιλομειδής φιλόγελως. φιλομηδής δέ, ἡ Ἀφροδίτη.

Φιλομηλείδης. Hom. δ 343.

φιλόμηλος.

φίλον οὐδετέρως· "δεῦρο δή, φίλον ἐμόν" ⟨A Eccl. 983⟩.

φιλονεικία.

Φιλονείκιος.

Φιλόξενος Ἀλεξανδρεὺς γραμματικός, a ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ, περὶ μονοσυλλάβων ῥημάτων, περὶ σημείων τῶν ἐν τῇ Ἰλιάδι, περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, περὶ διπλασιασμοῦ, περὶ μέτρων, περὶ τῆς τῶν Συρακουσίων διαλέκτου, περὶ ἑλληνισμοῦ ς′, περὶ συζυγιῶν, περὶ γλωσσῶν ι′, περὶ τῶν παρ' Ὁμήρῳ γλωσσῶν, περὶ τῆς Λακώνων διαλέκτου, περὶ τῆς Ἰάδος διαλέκτου καὶ τῶν λοιπῶν.

Φιλόξενος Εὐλυτίδου Κυθήριος λυρι- b κὸς ἔγραψε διθυράμβους κδ′. τελευτᾷ δὲ ἐν Ἐφέσῳ. οὗτος ἀνδραποδισθέντων τῶν Κυθήρων ὑπὸ Λακεδαιμονίων ἠγοράσθη ὑπὸ Ἀγεσύλου τινός, καὶ ὑπ' αὐτοῦ ἐτράφη, καὶ μύρμηξ ἐκαλεῖτο· ἐπαιδεύθη δὲ μετὰ τὸν θάνατον Ἀγεσύλου, Μελανιππίδου πριαμένου αὐτὸν τοῦ λυρικοῦ. Καλλίστρατος δὲ Ἡρακλείας αὐτὸν γράφει Ποντικῆς. ἔγραψε δὲ μελικῶς γενεαλογίαν τῶν Αἰακιδῶν.

Φιλόξενος Λευκάδιος ὄνομα παρασί- c τον. τοῦτόν φασι προλουόμενον ἐν τῇ πατρίδι κἂν ἄλλαις πόλεσι περιέρχεσθαι τὰς οἰκίας, ἀκολουθούντων αὐτῷ παίδων φερόντων ἔλαιον γάρον ὄξος καὶ ἄλλα τῶν ἡδυσμάτων. εἰσιόντα δὲ εἰς τὰς ἀλλοτρίας οἰκίας τὰ ἑψόμενα τοῖς ἄλλοις ἀρτύειν, ἐμβάλλοντα ὧν ἦν χρεία, κἀθ' οὕτως εἰς ἑαυτὸν κύψαντα εὐωχεῖσθαι. οὗτος οὖν ὀψοφάγος ὢν καὶ πλεύσας εἰς Ἔφεσον εὗρε τὴν

ὀψόπωλιν κενὴν καὶ ἐπύθετο τὴν αἰτίαν· καὶ μαθὼν ὅτι πᾶν εἰς γάμους συνηγόρασαι, λουσάμενος παρῆν ἄκλητος, καὶ ᾄσας ὑμέναιον μετὰ τὸ δεῖπνον πάντας ἐψυχαγώγησε. καὶ ὁ νυμφίος εἶπε "καὶ αὔριον ὧδε δειπνήσεις." ὃ δὲ ἔφη "ἂν ὄψον μὴ πωλῇ τις." ὁ αὐτὸς ηὔξατο γεράνου τράχηλον ἔχειν, ἵν' ἐπὶ πολὺν χρόνον καταπίνων ἥδηται. ὁ αὐτὸς Φιλόξενος περιπαθὴς ὢν τοῖς ὄψοις, καὶ δειπνῶν ποτὲ παρὰ Διονυσίῳ τῷ τυράννῳ, ὡς εἶδεν ἐκείνῳ μεγάλην τρίγλαν παρατεθειμένην αὐτῷ δὲ μικράν, ἀναλαβὼν αὐτὴν πρὸς τὸ οὖς προσήνεγκεν, ὡς βούλοιτό τινα παρ' ἐκείνης τῶν κατὰ τὸν Νηρέα πυθέσθαι· τὴν δὲ ἐρομένην ἀποκεκρίσθαι ὅτι νεωτέρα οὖσα ἁλοίη, διὸ μὴ παρακολουθεῖν· τὴν δὲ παρὰ Διονυσίῳ κειμένην πρεσβυτέραν οὖσαν πάντα εἰδέναι ἃ βούλεται μαθεῖν. τὸν οὖν Διονύσιον γελάσαντα ἀποστεῖλαι αὐτῷ τὴν τρίγλαν (Athen. p. 5).

Φιλοξένου γραμμάτιον ἐπὶ τῶν μὴ πειθομένων ἐφ' οἷς παρακαλοῦνται, ἀλλ' ἀπαγορευόντων μᾶλλον. Φιλόξενος γὰρ ὁ Κυθήριος διαφυγὼν τὰς εἰς Συρακούσας λιθοτομίας, εἰς ἃς ἐνέπεσεν ὅτι τὰς τοῦ Διονυσίου τοῦ τυράννου τραγῳδίας οὐκ ἐπῄνει, διέτριβεν ἐν Τάραντι τῆς Σικελίας. μεταπεμπομένου δὲ Διονυσίου αὐτὸν καὶ ἀξιοῦντος διὰ γραμμάτων ἐλθεῖν Φιλόξενος ἀντιγράψαι μὲν οὐκ ἔγνω, λαβὼν δὲ βιβλίον τὸ οὖ στοιχεῖον ἔγραψε μόνον πολλάκις ἐν αὐτῷ, διὰ τούτου δηλώσας ὅτι τὴν παράκλησιν διωθεῖται. καὶ Φιλοξένιοι πλακοῦντες.

φιλοπαίγμονος. Hom. ψ 134.

φιλόπατρις ὁ φιλόπολις. καὶ τὸ μὲν φιλόπολις κοινόν, τὸ δὲ φιλόπατρις ἀττικόν.

φιλοπευστεῖ φιλοπραγμονεῖ.

φιλόπευστος ἡδέως μανθάνων, περίεργος.

φιλοπλάτωνος.

Φιλοποίμην Ἀχαιῶν ἱππάρχης, ὃς ἦν ἐξ ἀνδρῶν τῶν ἐπιφανεστάτων ἐν Ἀρκαδίᾳ· ὃς πρῶτα μὲν ἔφυ καλῶς, τραφεὶς καὶ παιδευθεὶς ὑπὸ Κλέανδρον τὸν Μαντινέα, πατρικὸν μὲν αὐτοῖς ξένον ὑπάρχοντα. παραγενόμενος δὲ ἐς ἡλικίαν ἐγένετο ζηλωτὴς Ἐκδήμου καὶ Δημοφάνους, οἳ ἦσαν ἐκ Μεγάλης πόλεως, φεύγοντες δὲ τοὺς τυράννους καὶ συμβιώσαντες Ἀρκεσίλᾳ τῷ φιλοσόφῳ· οἳ συνεπελάβοντο τῆς καταλύσεως Νεοκλέους τοῦ Σικυωνίων τυράννου. ἦν δὲ καὶ περὶ τὸν βίον ἐπιμελὴς καὶ λιτὸς κατὰ τὴν περικοπήν, παρειληφὼς παρὰ τῶν προειρημένων ἀνδρῶν τὰς τοιαύτας δόξας, ὡς οὐχ οἷόν τε τῶν κοινῶν προστατεῖν καλῶς τὸν ὀλιγωροῦντα τῶν κατὰ τὸν ἴδιον βίον, οὔτε μὴν ἀποσχέσθαι τῆς πατρίδος, ὅστις πολυτελέστερον ζῇ τῆς κατὰ τὴν ἰδίαν ὕπαρξιν χορηγίας. παραλαβὼν δὲ τοὺς ἱππεῖς παντὶ τρόπῳ κατεφθαρμένους καὶ τὰς ψυχὰς τῶν ἀνδρῶν ἡττημένας, οὐ μόνον αὐτοὺς ἑαυτῶν βελτίους ἀλλὰ καὶ τῶν ὑπεναντίων κρείττους ἐν ὀλίγῳ χρόνῳ κατεσκεύασε, πάντας εἰς ἀληθινὴν ἄσκησιν καὶ ζῆλον ἐπιτευκτικὸν ἐμβιβάσας. τῶν μὲν γὰρ ἄλλων οἱ πλεῖστοι τῶν καθισταμένων ἐπὶ τὴν ἀρχὴν ταύτην, οἱ μὲν διὰ τὴν οἰκείαν ἀδυναμίαν ἐν τοῖς ἱππικοῖς οὐδὲ τοῖς πλησίον τολμῶσιν οὐδὲν ὧν καθήκει προστάττειν, οἱ δὲ τῆς στρατηγίας ὀρεγόμενοι διὰ ταύτης τῆς ἀρχῆς ἐξερθεύονται τοὺς νέους καὶ παρασκευάζουσιν εὔνους συναγωνιστὰς εἰς τὸ μέλλον, οὐκ ἐπιτιμῶντες τῷ δεομένῳ, δι' οὗ τρόπου σώζεται τὰ κοινά, συμπεριστέλλοντες τὰς ἁμαρτίας καὶ μικρᾷ χάριτι μεγάλα βλάπτοντες τοὺς πιστεύοντας. εἰ δέ ποτε καὶ γένοιντο τῶν ἀρχόντων τινὲς τῇ τε κατὰ σῶμα χρείᾳ δυνατοὶ πρός τε τὸ τῶν κοινῶν ἀπέχεσθαι πρόθυμοι, πλείω κακὰ τῶν ὀλιγωρούντων διὰ τὴν κακοζηλίαν ἀπεργάζονται τοὺς πεζούς, ἔτι δὲ μᾶλλον τοὺς ἱππεῖς (Polyb. 10 25).

Φιλοποίμενος Ἀρκάδες μάλιστα ἔχουσι μνήμην γνώμης τε ἕνεκα καὶ ἔργων ὧν ἐτόλμησε. πατὴρ μὲν οὖν ἦν αὐτῷ Κραῦγις, οὐδενὸς Ἀρκάδων τῶν ἐν Μεγάλῃ πόλει τὰ ἐς γένους δόξαν λειπόμενος· οὗ τελευτήσαντος διδασκάλοις τε ἄλλοις ὡμίλησε καὶ Μεγαλοφάνει τε καὶ Ἐκδήλῳ, τοῖς Ἀρκεσιλάου τοῦ Πιταναίου μαθηταῖς. μέγεθος μὲν δὴ καὶ σώματος ῥώμην ἀπέδει Πελοποννησίων οὐδενός, τὸ δὲ εἶδος ἦν τοῦ προσώπου κακός. καὶ ἐπὶ μὲν τοὺς στεφανίτας ἀγῶνας ὑπερεφρόνησεν ἀσκῆσαι, γῆν δὲ ἣν ἐκέκτητο ἐργαζόμενος οὐδὲ τὰ θηρία ἠμέλει τὰ ἄγρια ἐξαιρεῖν. ἐπελέγετο δὲ καὶ βιβλία σοφῶν τε τῶν εὐδοκίμων παρ' Ἕλλησι, καὶ ὅσα ἐς πολέμων μνήμην, καὶ εἴ τι ᾔδει ἔχειν διδασκαλίαν στρατηγημάτων. καταστήσασθαι δὲ τὸν βίον πάντα θέλων γνώμης τῆς Ἐπαμινώνδα καὶ ἔργων εἶναι τῶν ἐκείνου μιμη-

σιν, οὐ πάντα ἦν ἐξισωθῆναι δυνατός· Ἐπαμινώνδᾳ γὰρ τά τε ἄλλα ἡ ψυχὴ καὶ μάλιστα πρᾶος ἦν τὰ ἐς ὀργήν, τῷ δὲ Ἀρκάδι μετῆν γε θυμοῦ. καταλαβόντος δὲ Κλεομένους Μεγάλην πόλιν Φιλοποίμην οὔτε τῆς ξυμφορᾶς ἐξεπλάγη τὸ ἀπροσδόκητον, καὶ τῶν ἐν ἡλικίᾳ τὰ δύο μάλιστα μέρη καὶ γυναῖκας καὶ παῖδας ἀπέσωσεν ἐς Μεσσήνην. ἐπικηρυκευομένου δὲ Κλεομένους ὡς μεταγινώσκοντος ἐπὶ τῷ τολμήματι καὶ θέλοντος κατάγεσθαι Μεγαλοπολίτας ἐς τὴν ἑαυτῶν, Φιλοποίμην ἔπεισε μεθ' ὅπλων καὶ οὐ μετὰ σπονδῶν τὴν κάθοδον ποιήσασθαι. γενομένης δὲ πρὸς Κλεομένην μάχης ὁ Φιλοποίμην ἐν τοῖς ἱππεῦσι ταττόμενος, ὁρῶν τὸ πεζὸν λειπόμενον, ὁπλίτης ἑκὼν ἐγένετο, καὶ αὐτὸν λόγου ἀξίως κινδυνεύοντα τῶν τις Λακεδαιμονίων δι' ἀμφοτέρων ἔπειρε τῶν μηρῶν. ὁ δὲ καίτοι οὕτω πεπεδημένος τά τε γόνατα ἐνέκλινε καὶ ἐς τὸ πρόσω χωρεῖν ἐβιάζετο, ὥστε καὶ ὑπὸ τῶν ποδῶν τοῦ κινήματος τὸ δόρυ ἔκλασε. μετὰ δὲ τὴν νίκην ἐς τὸ στρατόπεδον ἀχθέντος, ἐνταῦθα ἐξ ἀμφοτέρων αὐτῶν τῶν μηρῶν οἱ ἰατροὶ τῇ μὲν τὸν σαυρωτῆρα ἐξεῖλκον, τῇ δὲ τὴν αἰχμήν. Ἀντίγονος δὲ ὡς εἶδεν αὐτοῦ τὰ τολμήματα, ἔσπευδεν ἀγαγεῖν αὐτὸν ἐς Μακεδονίαν. Φιλοποίμενι δὲ τούτου μὲν οὐδὲν ἐμέλησε, περαιωθεὶς δὲ ἐς Κρήτην μισθοφόρος ἡγεμὼν αὖθις ἐπανῆκεν ἐς Μεγάλην πόλιν, καὶ ᾑρέθη ἄρχειν τῶν Ἀχαιῶν (Pausan. 8 49).

φιλοπονία· "ὁμολογούμενα στοιχεῖα καὶ πρῶτα τῆς πολυθεάμονος ἱστορίας φιλοπονία ἀγχίνοια." Δαμάσκιός φησι περὶ Ἰσιδώρου (cf. v. ἔρως b).

φιλοπόνων τῶν εἰθισμένων πονεῖν.

φιλοπότης ὁ φιλῶν τὸν οἶνον.

a φίλος ἕτερος αὐτός. τῶν δ' ἀγαθῶν τε καὶ αἱρετῶν τὰ μὲν δι' αὐτά ἐστιν αἱρετά, ὡς ἡ εὐδαιμονία καὶ ὅσα τίμια, τὰ δὲ δι' ἕτερον, οἷον τέμνεσθαι γυμνάζεσθαι χρηματίζεσθαι. δι' αὐτὰ δὲ αἱρετὰ καὶ δι' ἕτερα οἷον αἱ ἀρεταί· καὶ γὰρ δι' αὐτὰς καὶ διὰ τὴν εὐδαιμονίαν αἱρούμεθα. καὶ τὴν μὲν ὑγίειαν δι' αὐτὴν αἱρούμεθα, τὸ δὲ γυμνάζεσθαι διὰ τὴν ὑγίειαν· αἱρετώτερον ἄρα ἡ ὑγίεια τοῦ γυμνάζεσθαι. καὶ εἰ τὸν μὲν φίλον αἱρούμεθα ὡς αὐτούς, εἴγε ὁ φίλος ἕτερος αὐτός, τὰ δὲ χρήματα δι' αὐτούς, αἱρετώτερος ἄρα ὁ φίλος τῶν χρημάτων· αἱρετὸς γὰρ ἕκαστος αὐτὸς ἑαυτῷ, ὥστε καὶ φίλος. ἀλλὰ καὶ ὕπνου ἐγρήγορσις αἱρετωτέρα, εἰ ὁ ὕπνος ἐπὶ τὴν ἐγρήγορσιν ἔχει τὴν ἀναφοράν· ἵνα γὰρ δυνώμεθα ἐγρηγορέναι, ὕπνου καὶ ἀναπαύσεως δεόμεθα. οὕτως ἂν δεικνύοιτο καὶ φιλοσοφία ῥητορικῆς αἱρετωτέρα.

φίλος ἀντὶ τοῦ ὄφελος· Σοφοκλῆς ἐν b Ἠλέκτρᾳ (1146) "οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ πόνῳ γλυκεῖ παρέσχον· οὔτε γάρ ποτε μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος."

φίλος ἀντὶ τοῦ χρήσιμος· (S OC 309) c "τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;" ὁ γὰρ ἀγαθὸς αὑτῷ τε καὶ τοῖς φίλοις χρήσιμος.

φιλοσκώμμονος τὸ σκώπτειν φιλοῦντος.

φιλοσοφεῖν σπουδάζειν. a

ὅτι εἰ λέγοι τις, μὴ χρῆ φιλοσοφεῖν, ἐπεὶ b φιλοσοφεῖν λέγεται καὶ τὸ ζητεῖν αὐτὸ τοῦτο, εἰ χρὴ φιλοσοφεῖν ἢ μή, ἀλλὰ καὶ τὸ τὴν φιλόσοφον θεωρίαν μετιέναι, ἑκάτερον αὐτῶν δείξαντες οἰκεῖον πανταχόθεν τῷ ἀνθρώπῳ, πανταχόθεν ἀναιρήσομεν τὸ τιθέμενον.

φιλοσοφεῖν ἀντὶ τοῦ πονεῖσθαι· "φι- c λοσοφεῖ δὲ τοῦθ' ὅπως καταπράξεται τὸν γάμον" ἔφη Μένανδρος. οὕτω καὶ Ἰσοκράτης.

φιλοσοφία. φιλοσοφία ἐστὶν ἠθῶν κατόρθωσις μετὰ δόξης τῆς περὶ τοῦ ὄντος γνώσεως ἀληθοῦς. ταύτης δὲ ἀπεσφάλησαν Ἰουδαῖοι καὶ Ἕλληνες. διαιρεῖται δὲ ἡ φιλοσοφία εἰς ἠθικὴν θεολογικὴν φυσικήν. καὶ ἡ ἀληθεστάτη γνῶσις τῆς ψυχῆς πρὸς πᾶσαν φιλοσοφίαν συμβάλλεται. καὶ πρὸς μὲν τὴν ἠθικήν, ὅτι ἀδύνατον ἡμᾶς τὰ ἑαυτῶν κατακοσμῆσαι ἤθη, τὰς δυνάμεις τῆς ψυχῆς μὴ ἐπεσκεμμένους· πρὸς δὲ θεολογίαν, ὅτι ζητοῦμεν περὶ τοῦ νοῦ τοῦ χωριστοῦ τοῦ ἐν ἡμῖν, ὅτι καὶ αὐτὸς ἀθάνατος, ἐπειδὴ καὶ ὁ νοῦς τῶν νοητῶν ἐστί. νοῦς τῶν πρός τί ἐστι, τῶν δὲ πρός τι ὁ τὸ ἓν εἰδὼς καὶ τὸ ἕτερον εἴσεται. δῆλον δὲ ὅτι ἡ θεωρία τοῦ ἡμετέρου νοῦ καὶ εἰς θεολογίαν μεγάλα συμβάλλεται. συμβάλλεται δὲ ἡμῖν καὶ πρὸς τὴν φυσικήν, εἴγε φυσικοῦ μέν ἐστιν ἔργον τὸ περὶ τῶν σωμάτων διαλεχθῆναι καὶ τῶν εἰδῶν αὐτῶν καὶ δυνάμεων, τῶν δὲ ἐν σώ-

μασιν εἰδῶν τὸ κάλλιστον ἡ ψυχή.

φιλοσοφίας ὄφελος τὸ μηδὲν ἡγεῖσθαι δεινὸν ἀναχωρῆσαι τοῦ θυλακίου τῶν κριϋλλίων, καὶ πρὸς γυναῖκα καὶ παῖδας ἄτεγκτον ἔσεσθαι (Synes. ep. 131).

a φιλόσοφος ὃς (scil. Φίλιππος Ὀπούντιος) τοὺς Πλάτωνος Νόμους διεῖλεν εἰς βιβλία ιβ΄· τὸ γὰρ ιγ΄ αὐτὸς προσθεῖναι λέγεται. καὶ ἦν Σωκράτους καὶ αὐτοῦ Πλάτωνος ἀκουστής, σχολάσας τοῖς μετεώροις. ὧν δὲ κατὰ Φίλιππον τὸν Μακεδόνα συνεγράψατο τάδε, περὶ τῆς ἀποστάσεως ἡλίου καὶ σελήνης, περὶ θεῶν β΄, περὶ χρόνου ά, περὶ μύθων ά, περὶ ἐλευθερίας ά, περὶ ὀργῆς ά, περὶ ἀνταποδόσεως ά, περὶ Λοκρῶν τῶν Ὀπουντίων, περὶ ἡδονῆς ά, περὶ ἔρωτος ά, περὶ φίλων καὶ φιλίας ά, περὶ τοῦ γράφειν, περὶ Πλάτωνος, περὶ ἐκλείψεως σελήνης, περὶ μεγέθους ἡλίου καὶ σελήνης καὶ γῆς ά, περὶ ἀστραπῶν, περὶ πλανητῶν, ἀριθμητικά, περὶ πολυγόνων ἀριθμῶν, ὀπτικῶν β΄, ἐνοπτικῶν β΄, κυκλιακά, μεσότητας καὶ ἄλλα.

b φιλόσοφος. ὅτι μείζονα τὸν βίον εὐεργετεῖ φιλόσοφος ἀνὴρ ἤπερ ἄριστος βασιλεύς.

a Φιλόστρατος ὁ πρῶτος, Λήμνιος, υἱὸς Βήρου, πατὴρ δὲ τοῦ δευτέρου Φιλοστράτου, σοφιστὴς καὶ αὐτός, σοφιστεύσας ἐν Ἀθήναις, γεγονὼς ἐπὶ Νέρωνος, ἔγραψε λόγους πανηγυρικοὺς πλείστους, καὶ λόγους Ἐλευσινιακοὺς δ΄, μελέτας, ζητούμενα παρὰ τοῖς ῥήτορσι, ῥητορικὰς ἀφορμάς, περὶ τοῦ ὀνόματος (ἔστι δὲ πρὸς τὸν σοφιστὴν Ἀντίπατρον), περὶ τραγῳδίας βιβλία γ΄, γυμναστικόν (ἔστι δὲ περὶ τῶν ἐν Ὀλυμπίᾳ ἐπιτελουμένων), λιθογνωμικόν, Πρωτέα, κύνα ἢ σοφιστήν, Νέρωνα, θεατήν, τραγῳδίας μγ΄, κωμῳδίας ιδ΄, καὶ ἕτερα πλεῖστα καὶ λόγου ἄξια.

b Φιλόστρατος Φιλοστράτου τοῦ καὶ Βήρου, Λημνίου σοφιστοῦ, καὶ αὐτὸς δεύτερος σοφιστής, σοφιστεύσας ἐν Ἀθήναις, εἶτα ἐν Ῥώμῃ, ἐπὶ Σεβήρου τοῦ βασιλέως καὶ ἕως Φιλίππου, ἔγραψε μελέτας, ἐπιστολὰς ἐρωτικάς, εἰκόνας ἤτοι ἐκφράσεις ἐν βιβλίοις δ΄, διαλέξεις, αἶγας ἢ περὶ αὐλοῦ, Ἀπολλωνίου βίον τοῦ Τυανέως ἐν βιβλίοις ή, ἀγοράν, ἡρωικόν, βίους σοφιστῶν ἐν βιβλίοις δ΄, ἐπιγράμματα, καὶ ἄλλα τινά. πλὴν πρῶτος ὀφείλει κεῖσθαι.

Φιλόστρατος Νερβιανοῦ ἀδελφόπαιδος Φιλοστράτου τοῦ δευτέρου, Λήμνιος, καὶ αὐτὸς σοφιστὴς καὶ παιδεύσας ἐν Ἀθήναις, τελευτήσας δὲ καὶ ταφεὶς ἐν Λήμνῳ, ἀκουστής τε καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου, ἔγραψεν εἰκόνας, παναθηναϊκόν, Τρωικόν, παράφρασιν τῆς Ὁμήρου ἀσπίδος, μελέτας ί. τινὲς δὲ καὶ τοὺς τῶν σοφιστῶν βίους ἐπ' αὐτὸν ἀναφέρουσιν.

φιλοτέχνημα κατασκευή, καύχησις.

φιλότης.

φιλοτησία φιλία, δεξίωσις· Αἰλιανός· "δοκεῖ τῷ δήμῳ διαμετρεῖν φιλοτησίαν τήνδε."

φιλοτησία ἡ φιάλη ἡ διδομένη ἐν τοῖς συμποσίοις. ἐν γὰρ τῷ πότῳ φιλοφρονούμενοι ἀλλήλους ἐπεδίδοσαν οἴνου κύλικα, ἣν φιλοτησίαν ἐκάλουν, ὡς Ὑπερίδης φησὶ καὶ Ἄλεξις. καὶ Ὅμηρος (Δ 4) "δειδέχατ' ἀλλήλους." καὶ αὖθις "ἐγχείτω τις τούτῳ φιλοτησίαν." καὶ φιλοτησίας τὰς δεξιώσεις διὰ τῆς φιλίας. καὶ φιλοτησίαν προπίνειν ἐστὶν ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος τὸ λοιπὸν παράσχῃ φίλῳ, καὶ τὴν φιάλην χαρισάμενος (cf. v. προπίνειν.

φιλοτησίας τῆς φιλικῆς δεξιώσεως "οἱ Αἰτωλοὶ ἐς Ἀθήνας τὸν οἶνον ἐκόμιζον, φιλοτησίας τῆς ἐκ τοῦ θεοῦ κοινωνῆσαι καὶ τοῖς τῆς Ἀθηνᾶς τροφίμοις βουλόμενοι."

φιλότητα φιλίαν.

φιλοτιμεῖται ἐπιδαψιλεύεται, μεγαλοφρονεῖ, σπουδάζει, ἀγαπᾷ.

φιλοτιμία καλλιλεξία· Ἀριστοφάνης (Thesm. 383) "φιλοτιμίᾳ μὲν οὐδεμιᾷ, μὰ τὼ θεώ, λέξουσ' ἀνέστην, ὦ γυναῖκες."

φιλοτιμίας δωρεάς, ἢ πλεονεξίας, ἢ κενοδοξίας. καὶ φιλοτιμούμενος, τουτέστι κενοδοξῶν.

φιλοτιμότεροι Κλεοφῶντος, ἐφ' οὗ δὴ χείλεσιν ἐπιβρέμεται Θρῃκία χελιδών" (Ar. Ran. 690) ἀντὶ τοῦ ἀπαιδευσία. σκώπτει δὲ αὐτὸν ὡς Θρᾷκα, υἱὸν Θρᾴσσης, ὃς ἐκαλεῖτο λυροποιός, ἐκωμῳδεῖτο δὲ εἰς δυσγένειαν, ἀντεποιεῖτο δὲ τῶν πρωτείων τῆς πόλεως. στρατηγὸς Ἀθηναίων, εἰς ὃν δημαγωγὸν ὅλον δρᾶμα φέρεται Πλάτωνος, καὶ ἐπιγράφεται ὁμωνύμως Κλεοφῶν. διαβάλλεται δὲ ὡς ξένος καὶ ἀμαθὴς καὶ φλύαρος.

φιλοτίμως μεγαλοδώρως, ὑπερμέτρως,

ἐπιμελῶς. ὁ δὲ Θεολόγος ⟨Greg. Naz. epit. in Bas. t. 1 p. 316 D⟩ ὅτε λέγει "τὸ φιλότιμον καταλύσασι," τινές φασι τὴν φιλοσοφίαν καὶ τὴν ῥητορικήν· μὴ ὅτι γε ἡμῖν τοῖς ἀφεῖσι ταῦτα, καὶ ἑξῆς.

Φιλοῦργος. οὗτος ἄσωτος ὢν ἐφωράθη ἐν Ἀθήναις τὰ ἱερὰ συλήσας καὶ τὸ γοργόνειον ὑφελόμενος, ὡς Ἰσοκράτης ⟨18 57⟩ λέγει. μέμνηται τούτου Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

φιλοφρονέστατα φιλικώτατα.

φιλοφρονούμενα παραμυθούμενα.

φιλοφρόνως προθύμως, σπουδαίως.

φιλοφροσύνη δεξίωσις, ἡ προσήνεια.

Φιλόχορος Κύκνου Ἀθηναῖος μάντις καὶ ἱεροσκόπος· γυνὴ δὲ ἦν αὐτῷ Ἀρχεστράτη. κατὰ δὲ τοὺς χρόνους γέγονεν ὁ Φιλόχορος Ἐρατοσθένους, ὡς ἐπιβαλεῖν πρεσβύτῃ νέον ὄντα Ἐρατοσθένει. ἐτελεύτησε δὲ ἐνεδρευθεὶς ὑπὸ Ἀντιγόνου, ὅτι διεβλήθη προσκεκλικέναι τῇ Πτολεμαίου βασιλείᾳ. ἔγραψεν Ἀτθίδος βιβλία ιζ· περιέχει δὲ τὰς Ἀθηναίων πράξεις καὶ βασιλεῖς καὶ ἄρχοντας ἕως Ἀντιόχου τοῦ τελευταίου τοῦ προσαγορευθέντος θεοῦ, ἔστι δὲ πρὸς Δήμωνα. περὶ μαντικῆς δ', περὶ θυσιῶν α', περὶ τῆς τετραπόλεως. Σαλαμῖνος κτίσις. ἐπιγράμματα Ἀττικά, περὶ τῶν Ἀθήνησιν ἀγώνων βιβλία ιζ', περὶ τῶν Ἀθήνησιν ἀρξάντων ἀπὸ Σωκρατίδου καὶ μέχρι Ἀπολλοδώρου, ὀλυμπιάδας ἐν βιβλίοις β', πρὸς τὴν Δήμωνος Ἀτθίδα, ἐπιτομὴν τῆς ἰδίας Ἀτθίδος, ἐπιτομὴν τῆς Διονυσίου πραγματείας περὶ ἱερῶν, περὶ τῶν Σοφοκλέους μύθων βιβλία ε', περὶ Εὐριπίδου, περὶ Ἀλκμᾶνος, περὶ μυστηρίων τῶν Ἀθήνησι, συναγωγὴν ἡρωίδων ἤτοι Πυθαγορείων γυναικῶν, Δηλιακὰ βιβλία β', περὶ εὑρημάτων, περὶ καθαρμῶν, περὶ συμβόλων.

φιλοχρηματία.

φιλοψυχήσαντα· "Ἀντίγονον ἀγόμενον δέσμιον Ἀντωνίῳ, φιλοψυχήσαντα μέχρις ἐσχάτου διὰ ψυχρᾶς ἐλπίδος, ἄξιος τῆς ἡγεμονίας πέλεκυς διαδέχεται" ⟨Ioseph. B. I. 1 18 2⟩.

φιλτάτιον· ⟨A Ach. 474⟩ "ὦ Εὐριπίδιον γλυκύτατον, ὦ φιλτάτιον."

φίλυδρα φιλοῦντα τὸ ὕδωρ.

Φιλύλλιος Ἀθηναῖος, κωμικὸς τῆς παλαιᾶς κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἐστὶν Αἰγεύς, Αὔγη, Ἄντεια (ἑταίρας ὄνομα), Δωδεκάτη, Ἡρακλῆς, Πλύντρια ἢ Ναυσικάα, Πόλις, Φρεωρύχος, Ἀταλάντη, Ἑλένη.

φιλύρα ὄνομα δένδρου.

φιλύρινος Κινησίας. οὗτος διθυραμβοποιὸς γέγονε. φιλύρινος δὲ ἀντὶ τοῦ χλωρός· ἡ γὰρ φιλύρα χλωρόν. ἢ κοῦφος, ὡς ἂν διθυραμβοποιὸς εὐτελῆ καὶ κοῦφα ποιῶν· καὶ γὰρ τὸ ξύλον τοῦτο κοῦφον καὶ ἐλαφρόν. ἦν δὲ καὶ χωλὸς καὶ κυλλός ⟨sch. A Av. 1378⟩.

φιλῳδὸν γένος οἱ βάτραχοι, παρὰ τὸ φιλεῖν ᾄδειν ⟨A Ran. 241⟩.

φιλωθέντες φίλοι γενόμενοι, ὥσπερ πολεμωθέντες ἦσαν πολέμιοι γενόμενοι. Αἰλιανὸς Ποικίλῃ ἱστορίᾳ "ἐπ' ἐλευθερίᾳ τινὲς Ῥωμαίοις φιλωθέντες εἶτα μέντοι τὴν πίστιν, ἥπερ οὖν δεσμός ἐστι φιλίας, οὐκ ἐτήρησαν."

φιλωθῆναι φίλος γενέσθαι. "ἔλεγε τὸν νεανίαν ἐλθεῖν πρὸς αὐτὸν φιλωθῆναί οἱ." καὶ αὖθις "καὶ φιλωθεὶς ἐν τῷ τέως τῷ ἐπισκόπῳ, τῇ ἐκκλησίᾳ ἐξέπεμψε."

Φίλων Βίβλιος γραμματικός. οὗτος γέγονεν ἐπὶ τῶν χρόνων τῶν ἐγγὺς Νέρωνος, a καὶ παρέτεινεν εἰς μακρόν· ὕπατον γοῦν Σεβῆρον τὸν Ἐρέννιον χρηματίσαντα αὐτὸς εἶναί φησιν, ὅταν ἦγεν ὄγδοον καὶ ἑβδομηκοστὸν ἔτος, ὀλυμπιάδι δὲ κ' καὶ διακοσιοστῇ. γέγραπται δὲ αὐτῷ περὶ κτήσεως καὶ ἐκλογῆς βιβλίων βιβλία ιβ', περὶ πόλεων καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε βιβλία λ', περὶ τῆς βασιλείας Ἀδριανοῦ, ἐφ' οὗ καὶ ἦν ὁ Φίλων, καὶ ἄλλα.

ὅτι ὕπατος γέγονεν ὁ Φίλων Ἐρέννιος χρηματίσας, ὡς αὐτός φησι.

Φίλων Ἰουδαῖος τεχθεὶς ἐν Ἀλεξανδρείᾳ, b γένους ἱερέων, φιλοσοφήσας δὲ τὰ Ἑλλήνων εἰς μέγα πρόβη παιδείας, ὡς μετελθεῖν πᾶσαν ἑλληνικὴν παίδευσιν, τήν τε τῶν ἐγκυκλίων καλουμένων καὶ τὰς λοιπὰς ἐπιστήμας, σὺν ἀκριβεῖ καταλήψει. ἐπλούτησέ τε λόγον παρόμοιον Πλάτωνι, ὡς καὶ εἰς παροιμίαν παρ' Ἕλλησι τοῦτο χωρῆσαι "ἢ Πλάτων φιλωνίζει ἢ Φίλων πλατωνίζει"· τοσαύτη ἐστὶν ὁμοιότης τῆς τε διανοίας καὶ φράσεως τοῦ ἀνδρὸς πρὸς Πλάτωνα. καὶ τοίνυν γέγραπται αὐτῷ βιβλία ἄπειρα, ἐξ ὧν καὶ ταῦτα, περὶ συγχύσεως γλωσσῶν βιβλίον α', περὶ φύσεως καὶ εὑρήματος α', περὶ ὧν κατὰ νοῦν τις εὔχεται α', περὶ παιδεύσεως α', περὶ

κληρονόμου τῶν θείων πραγμάτων α', περὶ μερισμοῦ ἴσων καὶ ἐναντίων α', περὶ τῶν τριῶν δυνάμεων, περὶ ἐναλλαγεισῶν παρά τινων, περὶ συνθηκῶν λόγοι β', περὶ βίου φιλοσόφου, περὶ γιγάντων α', περὶ ὀνείρων ε', περὶ ζητημάτων καὶ ἑρμηνευμάτων τῆς ἐξόδου ε', περὶ τῆς σκηνῆς καὶ δεκαλόγου δ', περὶ θυσιῶν, περὶ ὑποσχέσεων ἤτοι καταρῶν, περὶ προνοίας, περὶ Ἰουδαίων α', περὶ ἀγωγῆς βίου, περὶ Ἀλεξάνδρου καὶ περὶ τοῦ ἴδιον λογισμὸν ἔχειν τὰ ἄλογα, περὶ τοῦ πᾶς ἄφρων δοῦλός ἐστι, περὶ τῆς διαγωγῆς τῶν χριστιανῶν, περὶ βίου θεωρητικοῦ, περὶ ἱκετῶν, περὶ γεωργίας λόγοι β', περὶ μέθης β', περὶ τοῦ Μωυσέως βίου, εἰς τὰ χερουβίμ, τουτέστι τὴν φλογίνην ῥομφαίαν, εἰς τὴν πεντάτευχον Μωυσέως καὶ εἰς αὐτὸν τὸν Μωυσῆν λόγοι ε'. λέγουσι τοῦτον ἐπὶ Γαΐου Καλλιγόλα ἐν τῇ Ῥώμῃ κινδυνεῦσαι, ὁπηνίκα πρεσβευτὴς τοῦ οἰκείου ἔθνους ἀπεστάλη· καὶ ὅτε τὸ δεύτερον ἦλθε πρὸς Κλαύδιον, ἐν τῇ αὐτῇ πόλει διαλεχθῆναι τῷ ἁγίῳ ἀποστόλῳ Πέτρῳ, καὶ τούτου ἐσχηκέναι φιλίαν, καὶ διὰ τοῦτο τὰς σπουδασιὰς Μάρκου τοῦ μαθητοῦ Πέτρου ἐν Ἀλεξανδρείᾳ ἔπεσι κεκοσμηκέναι. εἰσὶν οὖν, ὡς προείπομεν, περιφανῆ καὶ ἀναρίθμητα συντάγματα καὶ πᾶσαν ὠφέλειαν ἔχοντα.

c **Φίλων** Καρπάθιος ἔγραψεν ὑπόμνημα εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων.

Φιλωνίδης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος· πρότερον δὲ ἦν γναφεύς. τῶν δραμάτων αὐτοῦ ἦν Κόθορνοι Ἀπήνη Φιλέταιρος.

φιλῶ σε καὶ κήδομαι. ἐὰν εὑρεθῶσι δύο ῥήματα καθ' ἑνὸς μέρους λόγου συντασσόμενα, ὥσπερ ὧδε κατὰ ἀντωνυμίας, τῷ ἑνὶ τῷ πρώτῳ ὀφείλομεν συντάξαι τὴν ἀντωνυμίαν· τὸ δὲ ἄλλο ῥῆμα οὐδὲν βλάπτει κἂν ἀπολύτως ἐκφέρηται. οἷον φιλῶ σε καὶ κήδομαι· τὸ φιλῶ συντάσσεται αἰτιατικῇ, τὸ δὲ κήδομαι οὐδενί, ἀλλ' ἔστιν ἀπόλυτον. καὶ ὅσα ἄλλα, οἷον ἀγαπῶ καὶ φροντίζω σου.

Φιλώτας.

φιμινάλια ἀναξυρίδας, βρακία.

Φιμίος.

φιμοῖ ἄγχει, ἐπιστομίζει "τὸ στόμα τῇ χειρὶ φιμώσασα τοῦ ἐσφαγμένου, μή τινα τῇ ψυχῇ συνεκπέμψειε φωνήν." ὁ ἐνεστὼς φιμῶ.

φιμοί· Αἰσχίνης κατὰ Τιμάρχου (59) "καὶ φιμοὺς καὶ κυβευτικὰ ἕτερα ὄργανα." φιμὸς δέ ἐστιν ὁ καλούμενος κημός, εἰς ὃν ἐνεβάλλοντο. Δίφιλος δέ φησιν "ἕλκ' ἐς μέσον τὸν φιμόν, ὡς ἂν ἐμβάλῃ."

φίμωτρον.

Φινεὲς ἀνὴρ τά τε ἄλλα κρείττων τῶν νεωτέρων καὶ τῷ τοῦ πατρὸς ἀξιώματι τοὺς ἡλικιώτας ὑπερέχων· Ἐλεαζάρου γὰρ τοῦ ἀρχιερέως υἱὸς ἦν, Μωυσέως δὲ ἀδελφοῦ παιδὸς υἱός· ὃς περιαλγήσας τοῖς πεπραγμένοις ὑπὸ Ζαμβρῆ, καὶ πρὶν ἰσχυροτέραν γενέσθαι τὴν ὕβριν ὑπὸ τῆς ἀδείας, ἔργῳ τὴν δίκην αὐτῶν εἰσπράξασθαι διεγνοὺς καὶ κωλῦσαι διαβῆναι τὴν παρανομίαν εἰς πλείονας, τῶν ἀρξαμένων οὐ κολαζομένων, τόλμῃ δὲ καὶ ψυχῆς καὶ σώματος ἀνδρίᾳ τοσοῦτον προέχων ὡς μὴ πρότερον, εἴ τινι συσταίη τῶν δεινῶν, ἀπαλλάττεσθαι πρὶν ἢ καταγωνίσασθαι καὶ νίκην τὴν ἐπ' αὐτῷ λαβεῖν, ἐπὶ τὴν τοῦ Ζαμβρῆ σκηνὴν παραγενόμενος αὐτόν τε παίων τῇ ῥομφαίᾳ καὶ τὴν Χοσβίαν ἀπέκτεινεν. οἱ δὲ νέοι πάντες, οἷς ἀρετῆς ἀντιποίησις ἦν καὶ τοῦ φιλοκαλεῖν, μιμηταὶ γενόμενοι τῆς Φινεὲς τόλμης ἀνῄρουν τοὺς ἐπὶ τοῖς ὁμοίοις Ζαμβρῇ τὴν αἰτίαν εἰληφότας. ἀπόλλυνται μὲν οὖν καὶ ὑπὸ τῆς τούτων ἀνδραγαθίας πολλοὶ τῶν παρανομησάντων, ἐφθάρησαν δὲ πάντες καὶ λοιμῷ ταύτην ἐνσκήψαντος αὐτοῖς τοῦ θεοῦ τὴν νόσον· ὅσοι τε συγγενεῖς ὄντες, δέον κωλύειν, ἐξώτρυνον αὐτοὺς ἐπὶ ταῦτα, ἀδικεῖν τῷ θεῷ δοκοῦντες ἀπέθνησκον. ἀπόλλυνται μὲν οὖν ἐκ τῶν τάξεων ἄνδρες οὐκ ἐλάττους τετρακισμυρίων καὶ ἑξακοσίων· ὑπὸ δὲ ταύτης παροξυνθεὶς τῆς αἰτίας Μωυσῆς ἐπὶ τὸν Μαδιηνιτῶν ὄλεθρον τὴν στρατιὰν ἐξέπεμπε ⟨Ioseph. A. I. 4 6 12⟩.

Φίνειον ὄνομα τόπου ἢ ὄρους.

Φινεύς ὄνομα κύριον. καὶ **Φινείδης** ὁ ἀπὸ τοῦ Φινέως.

Φινίδας ὄνομα κύριον.

φίσκος δημόσιον ταμιεῖον.

φιτρῶν κορμῶν, ξύλων.

φῖτυ· Ἀριστοφάνης ⟨Pac. 1156⟩ "τὸ γὰρ φῖτυ πρῷον φύσει."

φιτῦσαι γεννῆσαι. ἐπὶ τοῦ πατρὸς τίθησιν, ἐπὶ δὲ μητρὸς οὐκέτι, ἀλλὰ γεννῆσαι. καὶ **φιτύοντος** ὁμοίως τοῦ γεννῶντος. λέγεται δὲ καὶ τὸ γέννημα **φίτυμα·** Εὔπολις

Αὐτολύκῳ "ἀτὰρ ἤγαγες καινὸν φίτυμα τῶν βοῶν."

Φλάβιος ὄνομα χρηματισμοῦ.

Φλάϊς ὄνομα κύριον.

Φλαμίνιος ὄνομα κύριον. καὶ Φλαμινίυς.

φλᾶν θλᾶν, τύπτειν· "φλᾶν τὴν ἑαυτῦ δυσμενεστάτην κάραν." Ἀριστοφάνης ⟨Plut. 782⟩ "ὡς χαλεπόν εἰσιν οἱ φίλοι οἱ φαινόμενοι παραχρῆμ' ὅταν πράττῃ τις εὖ· νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια, ἐνδεικνύμενος ἕκαστος εὔνοιάν τινα." καὶ ⟨Pac. 499⟩ "οὐκ ἐς κόρακας ἐρρήσετε."

φλαῦρον φαῦλον ἢ κοῦφον κακόν. διαφέρει γὰρ φλαῦρον καὶ φαῦλον· φλαῦρον μὲν γάρ ἐστι τὸ μικρὸν κακόν, φαῦλον δὲ τὸ μέγα. ἢ φλαῦρον φλύαρον, ἀηδές, δύσφημον, λυπηρόν, παρὰ Ἀριστοφάνει ⟨Pac. 95⟩. "γέροντα δ' ὀρθοῦν φλαῦρον, ὃς νέος πέσῃ" ⟨S OC 395⟩, τουτέστι τὸν ἅπαξ ἐν νεότητι πεσόντα ἐν γήραι ὀρθοῦσθαι ἀδύνατον. ⟨A Nub. 832⟩ "εὐστόμει, καὶ μηδὲν εἴπῃς φλαῦρον ἄνδρας δεξιοὺς καὶ νοῦν ἔχοντας, ὧν ὑπὸ τῆς φειδωλίας ἀπεκείρατ' οὐδεὶς πώποτ' οὐδ' ἠλείψατο, οὐδ' εἰς βαλανεῖον ἦλθε λυσόμενος."

φλαυρότατον· "ποιήσαντες δὲ ταῦτα, ὑπολείπεσθαι τῆς στρατιᾶς τὸ φλαυρότατον" παρὰ Ἡροδότῳ ⟨1 207⟩, τουτέστι τὸ κακόν. καὶ αὖθις ⟨A Av. 658⟩ "τὴν ἀλώπεχ' ὡς φλαύρως ἐκοινώνησεν αἰετῷ ποτέ." καὶ φλαυρουργὸς ὁ μικρὰ κακὰ ἐργασάμενος· Σοφοκλῆς ⟨Phil. 35⟩ "φλαυρουργοῦ τινὸς τεχνήματ' ἀνδρός."

φλεβάζοντες βρύοντες.

φλέγει ἀντὶ τῦ ζωπυρεῖ· Σοφοκλῆς ⟨Ai. 714⟩ "πάνθ' ὁ μέγας χρόνος μαραίνει τε καὶ φλέγει."

φλέγμα. οὐ λέγεται πρῶτον ἀπὸ τροφῆς· πρῶτον γὰρ ἀπὸ τροφῆς τὸ αἷμα· τὸ δὲ φλέγμα πρῶτον τῶν ἀπέπτων· ἔστι γὰρ καὶ ἄλλα ἄπεπτα. ἀπὸ γὰρ φλέγματος μεταβάλλεται ὀξὺς χυμὸς περὶ τὸν στόμαχον. ἔστιν οὖν οὐχ ἁπλῶς πρῶτον, ἀλλὰ τῶν ἀπέπτων.

φλεγμαίνουσαν πόλιν ⟨Plat. RP 2 p. 372 E⟩. ἡ μεταφορὰ ἀπὸ τῶν ἑλκῶν τῶν διὰ φλεγμονὴν κινδυνευόντων ἐκρήσσειν.

Φλεγραίας πεδίον Θρᾳκικόν· Ἀριστοφάνης ⟨Av. 825⟩ "ἵναπερ τὺς γηγενεῖς ἀλαζονευομένυς καθυπερηκόντισαν."

φλεγύας ὁ ἀετός.

φλεγυρά λαμπρά, φλέγυσα, λάμπυσα· ἢ θερμὴ διὰ τὺς ἄνθρακας. Ἀριστοφάνης ⟨Ach. 665⟩ "δεῦρο μοῦσ' ἐλθὲ φλεγυρὰ πυρὸς ἔχυσα μένος."

φλέγων ζωπυρῶν, ἀνεγείρων· ⟨S Ai. 196⟩ "ἄταν οὐρανίαν φλέγων."

Φλέγων Τραλλιανός, ἀπελεύθερος τοῦ Σεβαστοῦ Καίσαρος (οἱ δὲ Ἀδριανοῦ φασίν), ἱστορικός, ἔγραψεν ὀλυμπιάδας ἐν βιβλίοις ις' ⟨an ιε'⟩· ἔστι δὲ μέχρι τῆς σκθ' ὀλυμπιάδος τὰ πραχθέντα πανταχῦ. τὰ δὲ αὐτὰ ἐν βιβλίοις η'. ἔκφρασιν Σικελίας, περὶ μακροβίων καὶ θαυμασίων, περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλία γ', περὶ τῶν ἐν Ῥώμῃ τόπων καὶ ὧν ἐπικέκληνται ὀνομάτων, ἐπιτομὴν ὀλυμπιονικῶν ἐν βιβλίοις β', καὶ ἄλλα.

τύτυ τῦ Φλέγοντος, [ὥς] φησι Φιλοσόργιος, ὅσον ⟨an Ἰοῦστον⟩ τὰ κατὰ τὺς Ἰουδαίυς συμπεσόντα διὰ πλείονος ἐπεξελθεῖν τῦ πλάτυς, Φλέγοντος καὶ Δίωνος βραχέως ἐπιμνησθέντων καὶ παρενθήκην αὐτὰ τοῦ οἰκείυ λόγυ ποιησαμένων. ἐπεὶ τῶν γε εἰς εὐσέβειαν καὶ τὴν ἄλλην ἀρετὴν ἑλκόντων οὐδ' ὁτιοῦν οὐδ' οὗτος δείκνυται πεφροντικώς, ὅνπερ οὐδ' ἐκεῖνοι τρόπον. τοὐναντίον μὲν ὢν ὁ Ἰώσηπος καὶ δεδοικότι ἔοικε καὶ εὐλαβυμένῳ ὡς μὴ προσκρύσειεν Ἕλλησι.

Φλεδόνεια πόλις. καὶ Φλεδόνος.

φλεδών· "τὸν Ἀντισθένην τὸν φιλόσοφον ἐπιτιμῶν ὁ Τίμων διὰ τὸ πλῆθος παντοφυῆ φλεδόνα καλεῖ" ⟨Diog. L. 6 18⟩.

φλέω. φλέως λοχμῶδες φυτόν, ὗ μνημονεύει καὶ Θεόφραςος ⟨H. P. 4 11⟩, παραδηλῶν ὅτι ποτάμιός ἐςι βοτάνη ὡς τὸ βάτομον. καὶ ἐν Ἀμφιαράῳ "πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων;" Ἀριστοφάνης Βατράχοις ⟨243⟩ "ἡλάμεθα διὰ κυπείρυ καὶ φλέω, χαίροντες ᾠδῆς πολυκολύμβοισι μέλεσι."

φληναφᾷ φλυαρεῖ.

φλήναφος μωρολόγος. καὶ φληναφία θηλυκόν.

φλιά ὁ παραστάτης τῆς θύρας.

φλίει μιμητικῶς φωνεῖ.

φλόγεα λαμπρά.

φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον" ⟨S El. 58⟩ περὶ τοῦ Ὀρέστου σώματος. καὶ φλόγιος.

φλογμός καῦμα, ἐκπυράκτωσις.

φλοιός τὸ λέπος τῦ δένδρυ· "εἶχε δὲ ὁ Κράντωρ ἀπελέκητον φωνὴν καὶ φλοιῦ μεστὴν τραγῳδῶν" ⟨Diog. L. 4 27⟩.

φλοῖσβος. ἀπὸ τῦ φλέω τὸ ἀναβράζω φλόβος φλοῖβος καὶ φλοῖσβος.

φλοίσβυ ταραχῦ.

φλόνος.

φλόρος τὸ ὄρνεον, διὰ τοῦ ο μικροῦ. *Φλῶρος* δὲ ὄνομα κύριον.

φλύακες. Σωτάδης ἔγραψε ··· ὁ Αἰτωλὸς καὶ ἕτεροι ⟨cf. v. Σωτάδης⟩.

φλύαρος φλήναφος καὶ λῆρος καὶ μάταιος λόγος· Ἀριστοφάνης Νεφέλαις ⟨364⟩ "τὰ δ' ἄλλα πάντ' ἐστὶ φλύαρος." καὶ αὖθις "μὴ γὰρ οὔσης ἀνάγκης τί δεῖ φλυαρεῖν ὁτιῦν πρὸς ὁντιναῦν;"

φλυδώμενος· "προφήτης ἐγκάτοις φλυδούμενος" ἀντὶ τοῦ ταρασσόμενος. Λυκόφρων ⟨35⟩.

Φλυεία δῆμος τῆς Κεκροπίδος. ἐκ τούτου δὲ τοῦ δήμου ἦν Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητής. Harp.

φλύειν τὸ ἀναζεῖν.

φλύκταινα τὰ τῶν χειρῶν ἐπαναστήματα τὰ γινόμενα ἀπὸ τῦ κωπηλατεῖν· Ἀριστοφάνης Βατράχοις ⟨238⟩ "ἐγὼ δὲ φλυκταίνας ἔχω."

φλυκτίδες τὸ ἀπὸ πυρὸς φύσημα, ἢ ὁ καλούμενος ἄνθραξ.

φλωβός βοτάνη.

φλωράστιον.

Φλωρέντεια πόλις. *Φλωρέντιος* δὲ ὄνομα κύριον.

φόβας τὰς τρίχας· "τεμῦσα κρατὸς βοστρύχων ἄκρας φόβας" ⟨S El. 449⟩.

φοβερά ἡ περίφοβος· "ἐκτέταμαι φοβερὰν φρένα δείματι πάλλων" ⟨S OR 153⟩ ἀντὶ τῦ ἐκπέπληγμαι.

φοβερός ὁ φοβούμενος, παρὰ Θυκυδίδῃ ⟨2 3⟩ καὶ Φερεκράτει. καὶ παρὰ Ἀρριανῷ ⟨Exp. 5 24⟩ "οἱ δὲ φοβεροὶ γινόμενοι ἔφευγον, ἀπολιπόντες τὰς πόλεις." καὶ αὖθις Ἀρριανός "οἱ δὲ ἐμβεβληκότων τῶν πολεμίων φοβεροὶ καὶ ἀμήχανοι ἄνευ τῦ ἐς τὸ κοινὸν ὠφελίμυ ἀπώλλυντο." φοβερὸς καὶ ὁ καταπληκτικός· "Ἀννίβας δὲ λαμπρὸς ἤδη καὶ φοβερὸς ὢν ἤλαυνεν ἐπὶ τὴν Τυρρηνίαν."

φοβεσιστράτη ἡ φοβῦσα τὸν ςρατὸν ⟨sch. A Eq. 1174⟩.

φόβη κόμη, θρίξ· "ὥστε φόβῃσι ξανθοτάταις ἐκόμα."

φόβος φυγή. καὶ ἡ δειλία.

φόβος δέ ἐστι προσδοκία κακῦ. εἰς δὲ τὸν φόβον ἀνάγεται ταῦτα, δεῖμα ὄκνος αἰσχύνη ἔκπληξις θόρυβος ἀγωνία. δεῖμα μὲν οὖν ἐστὶ φόβος δέος ἐμποιῶν, ὄκνος δὲ φόβος μελλούσης ἐνεργείας, αἰσχύνη δὲ φόβος ἀδοξίας, ἔκπληξις δὲ φόβος ἐκ φαντασίας ἀσυνήθυς πράγματος, θόρυβος δὲ φόβος μετὰ κατεπείξεως φωνῆς, ἀγωνία δὲ φόβος ἀδήλου πράγματος.

ἔστι δὲ γένος ἡ θαυμασιότης τῆς ἐκπλήξεως, ἀλλ' οὐχ ὑπερβολή. γένος γὰρ ἐκπλήξεως ἡ θαυμασιότης, ἡ δὲ ὑπερβολὴ διαφορά. τῶν γὰρ θαυμαζόντων οἱ μὲν καθ' ὑπερβολὴν θαυμάζυσιν ὡς ἐκπεπληγμένοι, οἱ δὲ μετρίως· τὸ δὲ θαυμάζειν καθ' ὑπερβολήν ἐστιν ἐκπλήττεσθαι ⟨Alex. Aphrod. in Top. 4⟩.

φόβος παρ' Ὁμήρῳ ἡ φυγή. ὅτε δὲ λέγει "ἀρχὴ σοφίας φόβος κυρίυ" ⟨Proverb. Sal. 1 7⟩, διότι ὁ βυλόμενος σοφὸς εἶναι ἀπὸ εὐλαβείας ἄρχεται. εἰ δὲ τὸ ἀρχὴ ἐπὶ τῆς ἡγεμονίας παραληφθῇ, φόβος κυρίου ἐστὶν ὁ παθητικός, ὁ δέει κολάσεων προσγινόμενος· ἡ γὰρ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον ⟨1 Ioann. 4 18⟩· ἀλλ' ἡ κατὰ σεβασμὸν εὐλάβεια. οὗτος γὰρ ὁ φόβος κυρίου πάντα ὑπερέβαλεν.

Φοιβάδαιον.

Φοιβάμμωνος.

Φοιβάς ἡ θεά.

φοιβᾶσθαι καθαίρεσθαι, καὶ *φοῖβον* τὸ καθαρόν, καὶ *φοῖβαι* αἱ καθαραί.

φοίβη ⟨an φόβη⟩ ἡ ἄμπελος· ἐν ἐπιγράμματι ⟨AP 6 158⟩ "τρισσὸν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φοίβαις."

Φοῖβος ὁ Ἀπόλλων.

φοῖβος καθαρός, ἁγνός. ἢ μάντις. καὶ ἀμίαντος. καὶ ὁ Ἀπόλλων.

φοιδεράτοι. ὅτω καλῦσι Ῥωμαῖοι τὺς ὑποσπόνδυς τῶν Σκυθῶν.

φοινήεις.

φοινικᾶ. τὸ ἁπλᾶ ··· φοινικοῦν ⟨cf. v. ἁπλᾶ⟩.

φοινίκειον αἷμα, καὶ *φοινίκειος οἶνος.*

φοινικελίκτης ὁ ἀπατηλός.

Φοινίκη πόλις.

Φοινικήια γράμματα Λυδοὶ καὶ Ἴωνες τὰ γράμματα ἀπὸ Φοίνικος τῦ Ἀγήνορος τῦ εὑρόντος· τύτοις δὲ ἀντιλέγυσι Κρῆτες ὡς εὑρέθη ἀπὸ τῦ γράφειν ἐν φοινίκων πετάλοις. Σκάμων δ' ἐν τῇ δευτέρᾳ τῶν εὑρημάτων ἀπὸ Φοινίκης τῆς Ἀκταίωνος ὀνομασθῆναι. μυθεύεται δ' ὗτος ἀρσένων μὲν παίδων ἄπαις, γενέσθαι δὲ αὐτῷ θυγατέρας Ἄγλαυρον Ἕρσην Πάνδροσον, τὴν δὲ Φοινίκην ἔτι παρθένον ὖσαν τελευτῆσαι. διὸ καὶ Φοινικήια τὰ γράμματα τὸν Ἀκταίωνα καλέσαι, βουλόμενον τιμῆς ἀπονεῖμαι τῇ θυγατρί.

φοινικίδα· ⟨A Ach. 318⟩ "τί φειδόμεσθα τῶν λίθων, ὦ δημόται, μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τῦτον ἐς φοινικίδα; οἷος αὖ μέλας τις ὑμῖν θυμάλωψ ἐπέζεσεν." ἀντὶ τῦ μὴ ὀχὶ λίθοις αὐτὸν αἱμάσσειν, ὡς φοινικῦν αὐτῦ ποιῆσαι τὸ σῶμα. τὸ δὲ καταξαίνειν ὡς ἐπὶ ἐρίων ἐχρήσατο· διὸ καὶ φοινικίδα εἶπεν ὡς ἐπὶ ἱματίου. Ἀριστοτέλης δέ φησι χρῆσθαι τὺς Λακεδαιμονίυς φοινικίδι πρὸς τὺς πολέμυς, τῦτο μὲν ὅτι τὸ τῆς χρόας ἀνδρικόν, τῦτο δὲ ὅτι τὸ τῦ χρώματος αἱματῶδες τῆς τῦ αἵματος ῥεύσεως ἐθίζει καταφρονεῖν. τὸ ὖν ἐν φοινικίδι ἀντὶ τῦ ἐν τάξει πολεμίων, ἀπὸ τῦ φορήματος δηλώσειεν ἂν εἰκότως, ἐπεὶ τὸ φοινιχθῆναι αἱμαχθῆναι. καὶ "ξαίνει κατὰ νώτυ πολλάς" Δημοσθένης ⟨19 197⟩. θυμάλωψ δὲ ὁ διακεκαυμένος ⟨ἄνθραξ⟩, ἀνθρακεῖς δὲ οἱ Ἀχαρνεῖς. καὶ Ἰώσηπος ⟨A. I. 5 1⟩ "κτῆσίν τε τὴν σὴν καὶ τὺς οἰκείυς ἅπαντας εἰς τὸ καταγώγιον ἀποθεμένην ἐγκαθεῖρξαι, πρὸ τῶν θυρῶν ἀνατείνασαν φοινικίδας."

Φοινικίδης κωμικός. τῶν δραμάτων αὐτῦ ἐστὶ Φύλαρχος, Μισυμένη, ὡς Ἀθήναιός φησιν ἐν τῷ βιβλίῳ τῶν Δειπνοσοφιστῶν.

Φοινικικὸν τὸ ψεῦδος, ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τὺς Σπαρτὺς καὶ Κάδμον ψευδῶς λεγομένων.

Φοινικικῶν· ⟨A Pac. 302⟩ "τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν." ἢ ὅτι φοινικὶς χλαμὺς ἦν πολεμική, ἢ ἀντὶ τοῦ ναυτικῶν κακῶν· Φοίνικες γὰρ λέγονται κρατεῖν ἐν ταῖς ναυμαχίαις. ἢ αἱματωδῶν, ἀπὸ τῆς τοῦ αἵματος χροιᾶς· καὶ Ὅμηρος ⟨K 484?⟩ "φοινίσσετο δ' αἵματι γαῖα."

Φοινίκιον ἔρνος καὶ χρῶμα. καὶ Φοινίκιος ἄνθρωπος.

φοινικιῦς ἀντὶ τῦ πυρρός. περισπᾶται δὲ τῶν εἰς ους ἁπλῶν τῷ λόγῳ. καὶ ἔστι παρὰ τὴν φοίνικος γενικὴν φοινικόεις, φοινικίυς ἐν ὑπερθέσει, φοινικιῦς ἐν συναιρέσει ⟨sch. A Av. 272⟩.

φοινικολόφου ξανθολόφυ.

φοινικῦν ἐρυθρόν, πυρρόν.

φοινίκων ἐγκέφαλοι. Πῶρός φησιν, Ἰνδῶν βασιλεύς "τὰ δὲ ··· κηπεύει" ⟨cf. v. Πῶρος⟩.

Φοινίκων συνθῆκαι. οἱ τὴν Καρχηδόνα κτίσαντες Φοίνικες ὅτε προσέπλευσαν τῇ Λιβύῃ, ἐδεήθησαν τῶν ἐγχωρίων δέξασθαι αὐτοὺς νύκτα τε καὶ ἡμέραν, ἐπιτυχόντες δὲ τύτυ ὀκ ἐβύλοντο ἀπαλλάσσεσθαι ὡς συντιθέμενοι νύκτας καὶ ἡμέρας μένειν. διὸ λέγεσθαι τοῦτο ἐπὶ τῶν ἐνεδρευτικῶς συντιθεμένων. τὰ δ' ὅμοια Δήμων ἐπὶ Μεταποντίνων ἱστορεῖ.

φοινικῶνος.

φοῖνιξ τὸ δένδρον. καὶ τὸ ὄρνεον· ἐπὶ Κλαυδίυ Καίσαρος ἐλθεῖν φασὶ τῦτο τοῖς Αἰγυπτίοις διὰ δ' καὶ ν' καὶ χ' ἐτῶν. καὶ φοῖνιξ ἀντὶ τῦ φοινικῦς· Ὅμηρος ⟨Ψ 454⟩ "ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν" ἐπὶ ἵππου. περὶ ὖν τῦ ὀρνέυ ἱστόρηται ὅτι, ὅταν αὐτὸ τὸ μοιρίδιον ἄγῃ, ἔρχεται εἰς Αἴγυπτον ὅθεν οὐκ ἴσασιν ἄνθρωποι, καὶ αὐτὸς ἑαυτῷ ποιησάμενος ἐκ κασίας καὶ σμύρνης πυρὰν ἀποθνήσκει. καυθείσης δὲ τῆς πυρᾶς, μετὰ χρόνον ἐκ τῆς σποδῦ σκώληκα λέγυσι γίνεσθαι, ὅντινα μεταβάλλειν καὶ γίνεσθαι πάλιν φοίνικα καὶ ἀφίπτασθαι εἰς Αἴγυπτον ἐκεῖθεν ὅθεν ἦλθεν ὁ πρὸ αὐτῦ φοῖνιξ ⟨Artemid. 4 47⟩.

φοινίξω αἱμάξω, βάψω, πυρώσω, ἀπὸ τῦ φόνυ, ἢ τῦ φοίνικος, ὅτι πυρρός.

φοίνιος φόνου καὶ φθορᾶς παραιτία· ⟨AP 7 188⟩ "ἀμφὶ δ' ἐρινὺς φοίνιος ἐκ στομάτων μόρσιμον ἧκεν ὄπα."

Φοίνισσα ναῦς. καὶ φοινίσσω τὸ βάπτω. καὶ φοινίττων βάπτων αἵματι.

φοινὸς πυρρός, φόνιος.

φοιτᾷ παραγίνεται, καὶ φοιτᾶν τὸ σχολάζειν. Φιλόστρατος ⟨V A 1 26⟩ "φοιτᾶν τοῖς μάγοις μεσημβρίας τε καὶ ἀμφὶ μέσας νύκτας φασὶ τὸν Ἀπολλώνιον."

φοιτάδας τετριμμένας· "τήν τε θέσιν

τῆς χώρας ἀνεζήτει καὶ φρούρια καὶ φοιτάδας ὁδούς τε καὶ διαστήματα."

φοιτητάς μαθητάς, παραγενομένους.

φοιτία ἡ πορεία.

φοῖτος ἡ μανία.

φοιτῶντα μεθ' ὁρμῆς μεμηνότα, μαινόμενον· φοῖτος γὰρ ἡ μανία. ἢ περιερχόμενον ἐν ταῖς ποίμναις διὰ τὴν μανίαν. ἢ ἀναστρεφόμενον ἐν τῇ μανίᾳ (sch. S Ai. 59).

Φολεύς ὄνομα κύριον.

φολίδες αἱ λεπίδες, καταχρηστικῶς δὲ τὰ μικρὰ πτερά· τούτοις γὰρ ἐοίκασιν.

φολιδωτόν λεπιδωτόν. καὶ φολιδωτοὶ ἰχθύες σαῦρος καὶ σαλαμάνδρα καὶ χελώνη καὶ κροκόδειλος, καὶ τὸ τῶν ὄφεων πᾶν γένος. ταῦτα δὲ λέγεται κατά τινας καιροὺς τὸ γῆρας ἐκδύεσθαι· ὁ δὲ κροκόδειλος τὰς χειμερίους ἡμέρας μ' φωλεύει κατὰ γῆς ἐγκεκρυμμένος, τὸ δὲ γῆρας οὐκ ἐκδύεται, ὡς οὐδὲ ἡ χελώνη.

φολίς τὸ τοῦ θώρακος. φόλλις δὲ φόλλεως ὁ ὀβολός.

φολκός στραβός.

Φόλος τόπος.

Φολουία Ἀντωνίου γυνή. αὕτη Κικέρωνος τοῦ ῥήτορος ἀποτεμοῦσα τὴν κεφαλὴν καὶ ἐπὶ τοῖς γόνασι λαβοῦσα πολλὰ μὲν ἐς αὐτὴν ἐξυβρίσαι καὶ ἐμπτύσαι, τέλος δὲ τὸ ἐξ αὐτῆς διανοίξασα στόμα ἐκείνου τε τὴν γλῶτταν ἐξελκύσαι καὶ τῇ βελόνῃ τῇ κατὰ τὴν κεφαλὴν κατακεντῆσαι· πολλά τε καὶ μιαρὰ προσφθεγξαμένη ἐπὶ τὸ βῆμα τεθῆναι προσέταξεν, ἵν' ὅθεν κατ' αὐτῆς δημηγορῶν ἠκούετο, ἐκεῖθεν καὶ ὁρῷτο (Io. Antioch. exc. Peir. p. 798).

φονᾶν ἑτοίμως πρὸς τὸ φονεύειν ἔχειν· "ὁ δὲ πατὴρ πυνθάνεται ὅσα ἡ παῖς ἔδρασε, καὶ διώκει φονῶν καὶ ἀποκτεῖναι γλιχόμενος."

φονή ὁ φόνος.

φονῇσι τοῖς φόνοις. Hom. *K* 521.

φονία ὁρμή καὶ φόνιον αἷμα. καὶ φόνιος ὁ ὠμὸς ἀνήρ.

φόνος ἡ μέχρις ἀναιρέσεως κίνησις παρὰ τῷ ἀποστόλῳ (Rom. 1 29).

φόνος ἔρρευσεν αἷμα ἔρρευσεν.

φόνου πτερόν τὸν διὰ τῶν ὀιστῶν, πτερόεντα ἢ ταχύν. βέλτιον δὲ ἀκούειν περιφραστικῶς τὸν φόνον.

φονῶντας· "οἱ δὲ λεόντειον ἐβρυχῶντο φονῶντες," φονεῦσαι προῃρημένοι.

φοξῖνος εἶδος ἰχθύος.

φοξός ὀξυκέφαλος. Hom. *B* 219.

φορά ἡ καθόλου τόπου ἐναλλαγή, καὶ μάλιστα ἡ μὴ δυναμένη ἐφ' ἑαυτῆς στῆναι ὅταν ἐθέλῃ.

ὅτι ὁ τῆς κατὰ τόπον κινήσεως γένος λέγων τὴν φορὰν τὸ γένος ὑπὸ τῷ εἴδει τίθησι. ποιεῖ δὲ καὶ τοῦτο Πλάτων· ὁριζόμενος γὰρ τὴν κατὰ τόπον κίνησιν φορὰν αὐτὴν εἶπεν. ἀλλὰ φορὰ μέν ἐστι τῶν ἀψύχων τε καὶ ἀκουσίως ἀμειβομένων τόπον ἐκ τόπου. τὸ δὲ ἀκουσίως ἀντὶ τοῦ οὐχ ἑκουσίως. εἰ οὖν τινά ἐστιν ἑκουσίως μεταβάλλοντα τόπον ἐκ τόπου, ὡς τὰ βαδίζοντα, εἴη ἂν ἐπὶ πλέον ἡ κατὰ τόπον κίνησις. οὐ πᾶσα δὲ κατὰ τόπον κίνησις φορά (Alex. Aphrod. in Top. 4). καὶ αὖθις "δυσχέρεια μὲν πολλὴ τοῦδε τοῦ φορήματος, ὅμως δὲ τλῆθι. τοῖσι γενναίοισί τοι τό τ' αἰσχρὸν ἐχθρὸν καὶ τὸ χρηστὸν εὐκλεές. σοὶ δ' ἐκλιπόντι τοῦτ' ὄνειδος οὐ καλόν· δράσαντι δ' ὦ παῖ πλεῖστον εὐκλείας γέρας, ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα." Φιλοκτήτης φησί (473).

φοράδην ὁρμητικῶς φερόμενος. "ὁ δὲ ἐκ πλείστου ἄμφω τὼ πόδε πεπηρωμένος πρὸς τοὺς πόνους φοράδην ἐφοίτα, καὶ ταύτῃ τοὺς ἐναντίους κατέπληττεν" (cf. v. γηραιός).

φοράς ὁρμὰς ἢ τύχας. καὶ φοράς φοράδος ἡ ἵππος, θηλυκῶς.

φορβάδων νομάδων, βοσκομένων. καὶ φορβάς ἡ πολλοῖς προσομιλοῦσα τροφῆς χάριν, παρὰ τὸ φέρβω.

Φορβαντεῖον. Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους ὅτι τὸ Ἀθήνησι Φορβαντεῖον ὠνομάσθη ἀπὸ Φόρβαντος βασιλεύσαντος Κουρήτων καὶ ὑπ' Ἐρεχθέως ἀναιρεθέντος. ἦν δὲ Ποσειδῶνος υἱὸς ὁ Φόρβας. Harp.

φορβασία καπίστριον.

φορβειάν περιστόμιον, καπίστριον, παρὰ τὸ φέρειν βίᾳ. καὶ φορβειά ἡ τροφή, καὶ φορβή ὁμοίως. φορβειὰ δὲ διὰ διφθόγγου γράφεται καὶ ὀξύνεται.

φόρβιον τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα, ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ. Ἀριστοφάνης (Av. 864) "πολλὰ δὴ καὶ δείν' ἰδὼν οὔπω κόρακ' εἶδον ἐμπεφορβιωμένον."

φορεῖον· "πλέγμα ποιήσαντες ἐκ λύγων,

φορείων τύπῳ γυναικείων, δέρμασι βοείοις ἐπιπλάσαντες ἀκατεργάστοις."

φορεῖται περιφέρεται.

φορέεσι φέρεσι. Hom. *Α* 238.

φορῆες οἱ φέροντες. Hom. Σ 566.

φορήσω τὸ ξίφος τὸ λοιπὸν ἐν μύρτε κλαδί," ἀντὶ τῦ κλάδῳ, κατὰ μεταπλασμόν. τετέςιν ἐν μυρσίνῳ κλάδῳ τὸ ξίφος φορήσω, ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων· ἔτοι γὰρ ἀπὸ τῶν μυρσίνων κλάδων τὰ ξίφη ἀνασπάσαντες τὸν τύραννον κατέβαλον.

φορητή βαστακτή. "τὰς δὲ περισυλῶν καὶ δημεύων φορητὸς ἐδαμὰ ἐδαμῇ ἦν" ⟨cf. v. Πυθαγόρας Ἐφέσιος⟩.

φορητόν καρτερικόν· "ἥτις δεινὸν ἡγησαμένη καὶ φορητὸν ἥκιστα ξιφιδίῳ ἑαυτὴν διέφθειρε."

φορητῶς μεγάλως.

φορίαια.

φορίνη. Ἀντιφῶν φησὶν ὅτι ἐπ' ἀνθρωπίνε δέρματος ἐλέγετο ἡ φορίνη. Harp.

Φόρκυν ὄνομα. λιμὴν τῦ Φόρκυνος. Hom. *ν* 96.

Φόρκυς.

φορμαρία παρὰ Ῥωμαίοις ἀπόφασις θανάτε.

a **φορμηδόν** ψιαθηδόν· φορμὸς γὰρ ψίαθος παρὰ Θεκυδίδῃ ⟨2 75⟩, ἐναλλὰξ ἔχων τὸ πλέγμα.

b **φορμηδόν.** Θεκυδίδης "ξύλα τέμνοντες ἐκ τῦ Κιθαιρῶνος παρῳκοδόμουν ἑκατέρωθεν, φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπὶ πολὺ τὸ χῶμα." καὶ αὖθις "καὶ τὰς νεκρὰς οἱ Κερκυραῖοι φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες ἀπήγαγον ἔξω τῆς πόλεως."

φόρμιγξ κιθάρα· ἐν ἐπιγράμματι ⟨6 118⟩ "ἁ φόρμιγξ τά τε τόξα καὶ ἀγκύλα δίκτυα Φοίβῳ."

Φορμίσιος· ⟨A Eccl. 97⟩ "ἀναβαλλομένη δείξει τὸν Φορμίσιον." καὶ ἔτος δασὺς ἦν. αἰνίττεται δὲ τὸ γυναικεῖον αἰδοῖον.

Φορμίσιος καὶ Μεγαίνετος. ὁ Φορμίσιος αὐθάδης καὶ θρασὺς ςρατηγῶν. Ἀριστοφάνης ⟨Ran. 996⟩ "Φορμίσιος καὶ Μεγαίνετος ὁ Μάνης." ὀνόματα δέλων.

φορμίσκοι καλαθίσκοι.

Φορμίων. περὶ τέτε καὶ Θεόπομπος ἐν Φιλιππικοῖς. ἦν δὲ Κροτωνιάτης, καὶ ἐν τῇ ἐπὶ Σάγρᾳ μάχῃ ἐτρώθη. δυσιάτε δ' ὄντος τῦ τραύματος χρησμὸν ἔλαβεν εἰς Λακεδαίμονα ἐλθεῖν· τῦτον γὰρ αὐτῷ ἰατρὸν ἔσεσθαι ὃς ἂν αὐτὸν πρῶτος καλέσειεν ἐπὶ δεῖπνον. ὡς ἒν ἧκεν εἰς τὴν Σπάρτην, καταβάντα αὐτὸν ἀπὸ τῦ ὀχήματος ἐκάλεσεν ἐπὶ δεῖπνον νεανίσκος, δειπνήσαντος δὲ ἤρετο ἐφ' ὅ τι ἥκει· ὡς δὲ ἤκεσε περὶ τῦ χρησμῦ, ἀποξύσας τῦ δόρατος ἐπιτίθησιν. ὡς δὲ ἀνέλυσαν ἀπὸ τῦ δείπνε, δοκῶν ἀναβαίνειν ἐπὶ τὸ ἅρμα τῆς θύρας αὐτῦ τῦ οἴκε τῦ ἐν Κρότωνι ἐπιλαμβάνεται. ἀλλὰ καὶ θεοξένια αὐτῦ ἄγοντος ἐκάλεσαν αὐτὸν οἱ Διόσκοροι πρὸς Βάττον ἐς Κυρήνην, καὶ ἀνέστη τε ἔχων σιλφίε καυλόν.

καὶ παροιμία ⟨A Pac. 347⟩ Φορμίωνος ςιβάς ἐπὶ τῶν εὐτελῶν· οὗτος γὰρ ὁ Φορμίων ἀγαθὸς ἐγένετο στρατηγός. καὶ ἐν τοῖς Ταξιάρχαις δὲ φέρεται ὡς ἐπίπονος· φιλοπόλεμος γὰρ καὶ αὐστηρός. στιβάδες δέ, ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσιν. ἀναγράφεται δὲ ὁ Φορμίων δυσὶ ναυμαχίαις νικήσας Λακεδαιμονίες, λιτὸς δὲ ἦν καὶ στρατιωτικός· οἱ δὲ τὰ πολεμικὰ ἐξησκημένοι ὑπὸ γυμνασίων καὶ πόνων εἰώθασι χαμαικοιτεῖν. καὶ Διονύσιος ἐν Ταξιάρχαις "ὡς οὐκέτ' ἂν φάγοιμι στιβάδας ἐξ ὅτε' φυγον." b

φορμός προκάλυμμα· ἢ πλεκτὸν ἀγγεῖον ἐκ φλοιοῦ, ἐν ᾧ εἰώθεσαν αἱ ἰσχάδες κομίζεσθαι. καὶ **φορμοκοιτῶ** ἐν ψιαθίῳ κοιμῶμαι. φορμὸς οὖν πλέγμα ὡς κόφινος. φησὶν Ἡρόδοτος ⟨3 98⟩.

Φόρμος Συρακούσιος κωμικός, σύγχρονος Ἐπιχάρμῳ, οἰκεῖος δὲ Γέλωνι τῷ τυράννῳ Σικελίας καὶ τροφεὺς τῶν παίδων αὐτοῦ, ἔγραψε δράματα ζ', ἅ ἐστι ταῦτα, Ἄδμητος, Ἀλκίνες, Ἀλκυόνες, Ἰλίε πόρθησις, Ἵππος, Κηφεὺς ἢ Κεφάλαια, Περσεύς. ἐχρήσατο δὲ πρῶτος ἐνδύματι ποδήρει καὶ σκηνῇ δερμάτων φοινικῶν. μέμνηται δὲ καὶ ἑτέρε δράματος Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς ⟨p. 652⟩, Ἀταλάντης.

φορμοφόρος ἦν Πρωταγόρας ὁ φιλόσοφος.

φορολόγος ἀπαιτητὴς δημοσίων· φόρος a
γὰρ ἡ εἰσφορὰ τῶν χρημάτων.

φορολόγος ὁ τὰς εἰσφορὰς συλλέγων· b
ὃς πράκτορας ἔθος καλεῖν τοῖς πολλοῖς.

φόρας ὑπ' Ἀθηναίων ἡ τῶν χρημάτων a
φορά.

b φόρος ὁ τόπος, τὸ πωλητήριον.

c ὅτι κάτωθεν τοῦ φόρου κεχωσμένοι ὑπάρχουσι δύο σταυροὶ τῶν δύο λῃστῶν καὶ βικίον μύρου ὃ ἠλείψατο ὁ Χριστός, καὶ πολλὰ ἕτερα σημειοφορικά, τεθέντα μὲν παρὰ Κωνσταντίνου τοῦ μεγάλου, ἀσφαλισθέντα δὲ ὑπὸ τοῦ μεγάλου Θεοδοσίου.

d φορὸς δὲ ὀξυτόνως ὁ ἐπιτήδειος ἄνεμος. "τοῖς ἐναντίοις ὁρῶν φορὸν ἄνεμον καὶ λαμπρὸν καταπνέοντα, σφίσι δὲ δυσχερῆ πρὸς ἀντίον ἄνεμον κοίλης καὶ τραχείας οὔσης τῆς θαλάσσης, διηπόρει τί δεῖ χρῆσθαι τοῖς παροῦσι" (Polyb. 1 60).

φορτία τὰ ἀγώγιμα· "καὶ τοίνυν ἅπαντα ὅσα ἐπεφέροντο φορτία ἀράμενοι ἔθεσαν ἐν μέσῳ· εἶτα τοῖς τοῦ λιβάνου κλάδοις πῦρ ἀνάψαντες, τῇ Σκυθικῇ φωνῇ βάρβαρα ἄττα ῥήματα ὑπεψιθύριζον" (Menand. p. 381 Nieb.).

φορτικῶς ἐπαχθῶς, ἐπιπλάστως.

φορτὶς ἡ ἀγώγιμος, ἡ πεφορτισμένη.

φόρτος ἡ χλεύη. Ἀριστοφάνης Πλούτῳ (796) "ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν," τουτέστι τὴν χλεύην.

φορύνω μολύνω.

φορύξαντες πλύναντες.

φορυτός. Ἀριστοφάνης (Ach. 893) "δός μοι φορυτόν, ἵν' αὐτὸν ἐνδήσας φέρω," τουτέστι φρύγανον, σχοινίον, δέσμην χόρτου συρφετώδους. καὶ φορυτῷ (72) φρυγανώδει ἀκαθαρσίᾳ, συρφετώδει, χορτώδει. "σὺν δ' ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ' ἀείρας" (cf. v. ἴπνια) διὰ τοῦ υ μικροῦ. ἢ ψιαθῶδες πλέγμα, ἐν ᾧ τοὺς στάχυας ἐμβάλλουσιν. ἢ ἡ ἐκ φρυγάνων στρωμνή· Ἀριστοφάνης "δός μοι φορυτόν, ἵν' αὐτὸν ἐνδήσας φέρω ὥσπερ κέραμον, ἵνα μὴ καταγῇ φορούμενος." οἱ γὰρ καλῶς δεσμούμενοι κέραμοι δυσχερῶς κλῶνται.

Φορωνεὺς ὄνομα. καὶ Φόρωνος ὄνομα κύριον.

Φόσιρις ὄνομα κύριον (cf. v. Φώσωρις).

φοσσάτον τὸ στρατόπεδον.

φουάλιχλον εἶδος παιδιᾶς (cf. Athen. p. 14).

Φούριος Κάμιλλος δικτάτωρ, ἐν πολέμοις ἀριστεύσας, τῷ τοῖς ἀρίστοις παρομαρτοῦντι περιπίπτει φθόνῳ· αἰτίαν γὰρ δὴ πρός τινων ἐπὶ παρανόμῳ διανεμήσει τῆς λείας ἀναδεξάμενος φυγὰς ἐκπίπτει τῆς πόλεως, θεοὺς ἵστορας ὑπὲρ ὧν ἀδίκως ἐπεπόνθει ποιούμενος (cf. v. Φεβρουάριος).

φόωντα ψηλαφῶντα. Hom. Z 322.

φόως. Ὅμηρος (Π 188) "ἤγαγε πρὸ φόωσδε," πρὸ τῆς τελειώσεως τοῦ ὡρισμένου καιροῦ. περὶ δὲ τῶν πυλῶν λέγει (Φ 538) "αἱ δὲ πετασθεῖσαι τεῦξαν φάος," ὡς οὐ διὰ μέσης τῆς πύλης φωτίζεσθαι τὴν πόλιν, ἀλλὰ τὴν σωτηρίαν τῶν φευγόντων. ὡς τὸ (Ζ 6) "φόως δ' ἑτάροισιν ἔθηκεν, ἄνδρα βαλών."

Φράβιδος. οὗτος στρατηγὸς ἦν τῆς ἀνατολῆς, ὃς ἀκμάζων τὴν ἀρετὴν ἐνόσει τὸ σῶμα, τῆς ψυχῆς ὑγιαινούσης πλέον. καὶ τό γε σῶμα διαλυόμενον ἤδη καὶ ἀποκολλώμενον εἰς τὴν λύσιν συνεγόμφου καὶ διέπλεκεν εἰς πῆξίν τινα καὶ ἁρμονίαν, ὅπως ἂν ἀρκέσειε τῷ καλῷ. ὃς τοὺς λῃστὰς ῥᾳδίως συνεῖλεν, ὥστε μικροῦ καὶ τὸ ὄνομα τῆς λῃστείας ἐκ τῆς μνείας τῶν ἀνθρώπων ἐκπεσεῖν. ἦν δὲ Ἕλλην τὴν θρησκείαν (Eunap. p. 114 Nieb.).

φράγματα ἀσφαλίσματα· ἐν ἐπιγράμματι (AP 6 110) "τὰ δ' ὀκτάρριζα μετώπων φράγμαθ' ὑπὲρ κραναὰν ἅλος ἔπαξε πίτυν." τὰ κέρατα λέγει τῆς ἐλάφου.

φραγνύντες καθοπλίζοντες· "τῶν νέων τοὺς ἀπορωτάτους ὅπλοις φραγνύντες."

φραδέος φρονίμου. Hom. Ω 354.

φράδμων συνετός, φρόνιμος, ἢ ἔμπειρος.

φραζόμενος σκεπτόμενος, διανοούμενος.

φράζουσι σημαίνουσι, δηλοῦσι.

φράσας φρασάμενος, ἐπινοήσας. "δόλος ἦν ὁ φράσας," τουτέστι τὴν ἑστίασιν ἐν ᾗ ἀνῃρέθη ὁ Ἀγαμέμνων. "ἔρως ὁ κτείνας" ὁ Αἴγισθος δι' ἔρωτος (S El. 197).

φραστῆρας εἰδήμονας, ἐπιστήμονας. Ξενοφῶν (Cyr. 5 4 40) "εἶχε δὲ τούτους ὁ Κῦρος ὁδῶν φραστῆρας καὶ ὑδάτων καὶ χιλοῦ."

φραστῆρες οἱ γνώμονες τῶν ἡλικιῶν ὀδόντες· Ἀριστοφάνης (Ran. 420) "ἑπτέτης ὢν Ἀρχέδημος οὐκ ἔφυσε φράτορας." ἀντὶ τοῦ εἰπεῖν ὀδόντας φραστῆρας, φράτορας εἶπε, τουτέστι συγγενεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν παίδων, οἵτινες ὄντες περὶ τὰ ἑπτὰ ἔτη ἔχουσι πάντας τοὺς ὀδόντας. λέγει οὖν ὅτι χρόνους ἐν ταῖς Ἀθήναις οὐκ ἠδυνήθη ἀναγραφῆναι εἰς τοὺς πολίτας. "καὶ νῦν δημαγωγεῖ ἐν τοῖς ἄνω νεκροῖς, κἀστὶν τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας." ἀντὶ τοῦ εἰπεῖν πάν-

τείας ἢ δημαγωγίας, μοχθηρίας εἶπε χαριέντως πρὸς τὰ κακὰ αὐτῶν. οὐ λέγει δὲ διὰ τὴν κακοπραγίαν νεκροὺς τοὺς Ἀθηναίους, ἀλλὰ πιθανῶς οἱ κάτω τοὺς ζῶντας ἄνω νεκρούς φασι.

φρατέρες. φρατρία ἐστὶ τὸ τρίτον μέρος τῆς φυλῆς, φρατέρες δὲ οἱ τῆς αὐτῆς φρατρίας μετέχοντες, καὶ φρατρίζειν τὸ τῆς αὐτῆς φρατρίας μετέχειν.

φράτορες· Ἀριστοφάνης ⟨Av. 766⟩ "φυσάτω πάππους παρ' ἡμῖν, καὶ φανοῦνται φράτορες."

φράτορες καὶ φρατρίαι καὶ φρατρίαρχος. φρατρία ἐστὶ τὸ τρίτον μέρος τῆς φυλῆς· ὁ οὖν τούτου τοῦ μέρους ἡγούμενος φρατρίαρχος ἐκαλεῖτο. ἐγγράφεται δὲ πατρόθεν εἰς τοὺς φράτορας τῇ τῶν ἀπατουρίων ἑορτῇ. φασὶ δὲ τὸ αὐτὸ ἔθνος εἶναι τριττύν, ἤτοι τὴν φρατρίαν ἢ φρατορίαν. φράτορας δὲ τοὺς συγγενεῖς καλοῦσιν. εἰσὶ δὲ οἱ τῆς αὐτῆς φρατρίας μετέχοντες, οἷον πατριᾶς τινός. ὁ γοῦν Ὅμηρος τὴν αὐτὴν καὶ πάτρην λέγει ⟨N 354⟩· "ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη." μεταφορᾷ φάτρη καὶ φράτρη. μεταπέπτωκε δὲ τὰ στοιχεῖα, καθάπερ ἐπὶ τοῦ πάτριος Ζεύς καὶ φάτριος. τὸ δὲ γράφεσθαι εἰς τὰς φράτορας σύμβολον εἶχον τῆς συγγενείας.

φραχθέντες ἀσφαλισάμενοι. Hom. *P* 268.

Φραώτης ὄνομα κύριον.

φρεάντλης. οὕτως ἐκαλεῖτο Κλεάνθης ὁ φιλόσοφος· μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθοῦ, μεθ' ἡμέραν δὲ τοῖς βιβλίοις ἐσχόλαζε ⟨cf. v. Κλεάνθης⟩.

φρέαρ διαφθορᾶς ἡ διηνεκὴς τιμωρία παρὰ τῷ Δαβίδ ⟨Ps. 54 23⟩.

Φρεάρριος δῆμος τῆς Λεοντίδος· Δημοσθένης ὑπὲρ Κτησιφῶντος ⟨84⟩.

φρεάτια τὰ βαθέα ὀρύγματα. "πᾶσαν ἐδίωσε τὴν γῆν, μήτε τῶν φρεατίων ναμάτων φεισάμενος." καὶ αὖθις ⟨Polyb. 10 25⟩ "φρεατίας δὲ εἶχεν ἀγνοουμένας ὁ τόπος." καὶ φρεατία ὄρυξις.

φρείατα φρέατα.

φρενήρης φρόνιμος, ἢ παράφρων· Ἀγαθίας ⟨2 6⟩ "ἦν δέ τις Ἀρμένιος φρενήρης καὶ ἐν δέοντι φιλοκίνδυνος." καὶ αὖθις "ὁ δὲ Κόμοδος ἦν φύσιν τε οὐ φρενήρης καὶ οὐ μάλα τι ἀγαθὸς τὰ πολεμικά."

φρενῖτις νόσος.

φρενοβλάβεια.

φρενοβλαβής ὁ τὰς φρένας βεβλαμμένος, ὁ παράφρων· "ἐπὶ Λέοντος τοῦ βασιλέως Ῥωμαίων Αἰθίοπες ἐκόμισαν καμηλοπαρδάλεις καὶ δύο ἐν βραχυτάτοις σώμασιν ἄνδρας φρενοβλαβεῖς, οὓς δὴ Πυγμαίους Ὅμηρος ὠνόμασε."

φρενόθεν· Σοφοκλῆς ⟨Ai. 183⟩ "οὔποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερά, παῖ Τελαμῶνος, ἔβας τόσσον ἐν ποίμναισι πιτνῶν," ἀντὶ τοῦ οὐ γὰρ ἐπὶ τοσοῦτον ἄφρων εἶ ὡς ἄνευ αἰτίας θεῶν ἐμπεσεῖν τοῖς ποιμνίοις. ἀριστερὰ δὲ τὰ μωρὰ ἐκάλουν οἱ παλαιοί, δεξιὰ δὲ τὰ συνετά.

φρενόληπτος ὁ ἀναίσθητος.

φρενωθῆναι ἀντὶ τοῦ σωφρονισθῆναι, ἀπὸ τοῦ φρενῶ, γ' συζυγίας τῶν περισπωμένων.

φρεορύκτης, φρεωρύχος δέ. καὶ φρεατορύκτης, καὶ φρεορυκτῶ ῥῆμα, φρεωρυχῶ δέ.

φρὴν φρενὸς ἡ διάνοια. καὶ φρένα διάνοιαν.

φρήτρα ἡ συγγένεια· "⟨Babr. 31⟩ οἱ σφᾶς ἐκόσμουν καὶ διεῖλον ἐς φρήτρας λόχους τε καὶ φάλαγγας, ὥσπερ ἀνθρώπους.

φρῖκα τὴν ἐπιφάνειαν τοῦ κύματος.

φρίκη τρόμος, ἀλμός· "καὶ τολμηθὲν οἱ τὸ μέγα τόλμημα, φρίκη τις αὐτὸν περιέρχεται, καὶ νοσεῖ νόσῳ μακροτάτῃ" ⟨cf. v. τηκεδόνι⟩.

φριμάξασθαι παρὰ Ἡροδότῳ ⟨3 87⟩ τὸ φρυάξασθαι, πεφυσῆσθαι.

φριμασσομένη χρεμετίζουσα, ἀγριουμένη, ἢ ἀτάκτως πηδῶσα· "ἡ δὲ ἵππος ὀπισθόρμητα φριμασσομένη ἐχώρει, καὶ ἀδύνατα εἶχεν ἐς τὰ ἄδενδρα ἐπιβῆναι." καὶ αὖθις "κτύπου τῶν ὅπλων καὶ φριμαγμοῦ τῶν ἵππων κατακούοντες ἐξεπλήσσοντο."

φρίξ ἡ ἄνωθεν καὶ ἐξεπιπολῆς τῶν κυ- a
μάτων κίνησις. ἢ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρός, ὅτε ἄνεμος ἄρχεται πνεῖν ⟨Hom. *H* 63⟩.

φρὶξ τῶν ὑδάτων μελανία. b

φριξότριχα ὀρθοῦντα τὰς τρίχας. Βάβριος ⟨82⟩ "κοιμωμένου λέοντος ἀγρίης χαίτης διέδραμεν μῦς· ὁ δὲ λέων ἐθυμώθη, φρίξας δὲ χαίτην ἔκθορε φωλάδος κοίλης."

καὶ φρίσσω τὸ πυκνῶ.

φροίμιον προοίμιον.

a φρόνημα ἡ ἔπαρσις· "ὃ δὲ ὑπὸ φρονήματος καθίησι τὰς χεῖρας ὡς διαρρήξων τὸ ξύλον, καὶ πιεσθεὶς θνήσκει" ⟨cf. v. Μίλων⟩.

b φρόνημα καὶ ἡ ἀλαζονεία· "οἱ δὲ Ῥόδιοι φρόνημα πολὺ πρότερον ἔχοντες, ὡς καὶ αὐτοὶ τόν τε Φίλιππον καὶ τὸν Ἀντίοχον νενικηκότες τῶν τε Ῥωμαίων κρείττȣς ὄντες, ἐς τοσοῦτον δέος ἀφίκοντο ὥστε τῶν τἀναντία τοῖς Ῥωμαίοις φρονησάντων ἐπὶ τιμωρίαν πέμψαι" ⟨Dio Cass. fr. 68⟩.

c φρόνημα ἑνικῶς διὰ τοῦ η· πληθυντικῶς δὲ τὰ φρόνεμα διὰ τοῦ ι.

φρονηματίας.

φρονηματίζομαι ὅτι δοκῶ φρονεῖν.

φρονηματισθῆναι. οὕτως Ὑπερείδης, ἀντὶ τȣ̃ φρονήματος καὶ οἰήσεως πληρωθῆναι. "οἳ δὲ φρονηματισθέντες ὑπὸ τῶν δεδηλωμένων ἕτοιμοι ἦσαν."

φρονηματισμὸν ἔπαρσιν, τῦφον· "θεασάμενοι δὲ τὸν φρονηματισμὸν τῶν ἀνθρώπων ἔν τε ταῖς κατ' ἰδίαν ὁμιλίαις καὶ ταῖς κατὰ κοινὸν ἐντεύξεσιν ἐξ αὐτῆς ἐπανῆλθον ἐς τὸν ϛρατηγόν." καὶ τὸ ῥῆμα φρονηματίζω.

φρόνησις. φρόνησίς ἐστιν ἐπιστήμη κακῶν καὶ ἀγαθῶν καὶ οὐδετέρων.

φρόνιν τὴν φρόνησιν ⟨Hom. δ 258⟩ "κατὰ δὲ φρόνιν ἤγαγε πολλήν."

φροντιζόντων συνεστώτων. καὶ φροντιζόντων ἀντὶ τȣ̃ στενγαζόντων. ἢ σύνοδός τις καὶ θῶκος σοφῶν. φροντισταὶ δὲ ἐκαλοῦντο οἱ περὶ τὸν Σωκράτην διὰ τὸ φροντίζειν περὶ ἀλλήλων καὶ διὰ τὸ μηδέποτε παύεσθαι φροντίδος. μεριμνοφροντισταὶ δὲ καλοῦνται οἱ σοφοὶ οἱ Σωκρατικοί. καὶ φρόντισμα τὸ σόφισμα.

φροντίς ἀγωνία καὶ μέριμνα καὶ φόβος· "ὅσην ἀπιὼν παρέσχες ἡμῖν φροντίδα."

φροντιστήριον διατριβὴ ἢ μοναστήριον· ὅπερ Ἀττικοὶ σεμνεῖον καλȣ̃σι.

Φρόντων Ἐμισηνὸς ῥήτωρ, γεγονὼς ἐπὶ Σεβήρȣ τοῦ βασιλέως ἐν Ῥώμῃ. ἐν δὲ Ἀθήναις ἀντεπαίδευσε Φιλοστράτῳ τῷ πρώτῳ καὶ Ἀψίνῃ τῷ Γαδαρεῖ. ἐτελεύτησε δὲ ἐν Ἀθήναις, περὶ ξ' ἔτη γεγονώς, καὶ τῆς ἀδελφῆς Φροντωνίδος παῖδα ὄντα Λογγῖνον τὸν κριτικὸν κατέλιπε κληρονόμον. ἔγραψε δὲ συχνοὺς λόγȣς.

φρονῶ τὸ καυχῶμαι.

φρονῶ· ⟨S OR 369⟩ "πῶς ȣ̃ν ἔτος ὁ σοφὸς ȣ̓κ ηὔδα τάδε; ȣ̓κ οἶδ'· ἐφ' οἷς γὰρ μὴ φρονῶ, σιγᾶν φιλῶ."

φροῦδα ἀφανῆ, ἄφαντα· "φροῦδα γὰρ αὐτοῖς καὶ ἐς τοὐναντίον περιέστη τὰ τῶν ἐλπίδων." Σοφοκλῆς ⟨Ai. 263⟩ "ἀλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ· φρούδȣ γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος." καὶ φροῦδος ἀντὶ τοῦ ἐκποδών. παρὰ πολλοῖς δὲ τοὔνομα ἐστι.

φροῦδος πρὸ ὁδȣ̃, οἱονεὶ ἀπεληλυθὼς ἔκδημος. Ἀπολλόδωρος "φροῦδος μὲν ὁ πρὸ ὁδοῦ" φησίν, "φροῦρος δὲ ὁ προορῶν." ἢ ἤδη ἔξω ὤν. καὶ ἑτέρα παροιμία "φρȣρὰς ᾄδων ὀλίγȣ φροῦδος γεγένημαι" ⟨A Nub. 71⟩ ἀντὶ τοῦ διαγρυπνῶν περὶ τὴν φρȣράν. διχῶς δὲ λέγεται ἡ γραφή, φρουρὰς ᾄδων καὶ φρȣρὰς ἰδών· καὶ τὸ μὲν φρȣρὰς ᾄδων ἀντὶ τοῦ συνεχῶς ᾄδων φρȣράς, τὸ δὲ φρȣρὰς ἰδὼν ἀντὶ τοῦ φυλάττων, ἐπειδὴ φύλακες ἦσαν τῶν τοῦ φροντιστηρίȣ θυρῶν. φρȣρὰς δὲ ᾄδων ἀντὶ τοῦ ἀγρυπνῶν· οἱ γὰρ φρȣροῦντες πρὸς τὸ ἀποσοβεῖν τὸν ὕπνον καὶ τὴν ἀγρυπνίαν αὐτῶν παραμυθεῖσθαι ᾖδον.

φρȣρά φυλακή· "περὶ τῆς Σπάρτης ἐς φόβον κατέστησε Λακεδαιμονίȣς, ὡς καὶ φρȣρὰν αὐτοὺς ἐν τῇ πόλει καταστῆσαι."

φρȣρεῖ φυλάσσει.

φρȣρεῖν ἢ πλȣτεῖν ἐπὶ τῶν κερδαίνειν ἐφιεμένων· Ἀθηναῖοι γὰρ φρȣραῖς διαλαβόντες τοὺς νησιώτας μισθοὺς ἔταξαν μεγάλȣς τοῖς φυλάσσȣσιν ὑπ' αὐτῶν χορηγεῖσθαι τῶν νησιωτῶν. δι' ἀτέλειαν οὖν καὶ τὸ ἀταλαιπώρως ἐκ τῶν ἀλλοτρίων ζῆν εἰρῆσθαι, ὡς δέον ἢ πλȣτεῖν τινὰ ἢ φρȣρεῖν.

φρȣρήσεις ἐν Ναυπάκτῳ. τοῖς Ναύπακτον φρȣροῦσιν ὀλίγȣ μισθοῦ διδομένου, τῶν δ' ἐπιτηδείων πολλοῦ πιπρασκομένων, τὴν παροιμίαν γενέσθαι. ἔνιοι δὲ ὅτι Φίλιππος, ἑλὼν Ναύπακτον, Ἀχαιῶν γνώμῃ τοὺς φρȣροὺς αὐτῆς ἀπέκτεινε πάντας. ἱστορεῖ δὲ τοῦτο καὶ Θεόπομπος ἐν δευτέρῳ.

φρȣ́ριον κάϛρον. καὶ φρȣ́ριον Χλωμάρων ⟨cf. v. ἀπεπόνȣν⟩.

φρȣροὶ τάξις ἐστὶν ἐκ διαδοχῆς ἱσταμένη πρὸ τοῦ στρατοπέδȣ μετὰ τῶν ὅπλων καὶ δεινὸς ἐπ' αὐτὴν Ῥωμαίων νόμος, τὸν

ὑποχωρήσαντα καθ' ἡνδηποτοῦν αἰτίαν θνήσκειν. οἱ δὲ τοῦ μετὰ κολάσεως τὸν μετ' ἀρετῆς θάνατον προκρίναντες ἵστανται ⟨Ios. B. I. 5 11 5⟩.

φρύαγμα ἡ τῶν ἵππων καὶ ἡμιόνων διὰ μυκτήρων ἠχὴ ἀγρίῳ φυσήματι ἐκπίπτουσα. λέγεται δὲ καὶ ἐπὶ τῆς γελάσεως.

φρυαγμοσεμνάκους· Ἀριστοφάνης ⟨Vesp. 135⟩ "ἔχων τρόπους φρυαγμοσεμνάκους τινάς."

φρυάττεσθαι τὸ καταπλήττειν· οὕτω Μένανδρος. καὶ φρυαττόμενος ἐπαιρόμενος.

φρύγανον τίθεσθαι ⟨A Pac. 1026⟩· τοῦτό φησιν ἐπεὶ ὑπέβαλε φρύγανα πρὸς τὸ ἀνάψαι, ὡς οἱ μάντεις· καὶ γὰρ ἑαυτοῖς τὰ φρύγανα τιθέασι κατὰ τὴν ἐπιστήμην ἑαυτῶν. διὰ τοῦτό φησιν "εὖ σοι δοκῶ φρύγανα τίθεσθαι."

φρυγίλος ὄρνις, τοῦ Φιλήμονος γένους." φρυγίλος ὄνομα ὀρνέου, ὁ δὲ Φιλήμων κωμῳδεῖται ὡς Φρὺξ καὶ ξένος καὶ Κάρ. Ἀριστοφάνης φησί ⟨Av. 768⟩.

φρύγιον δαλὸς ξηρός.

Φρυγίων ἐρίων· ἐκεῖσε γὰρ ἁπαλὰ καὶ καλὰ ἔρια γίνεται. Ἀριστοφάνης ⟨Av. 493⟩ "χλαῖναν γὰρ ἀπώλεσ' ὁ μοχθηρὸς Φρυγίων ἐρίων διὰ τοῦτον."

φρυκτοὶ λαμπάδες τινὲς ἀπὸ ξύλων γινόμεναι, ἅς τινες βαστάζοντες ἄνωθεν τῶν τειχῶν ἐσήμαινον τοῖς πλησιοχώροις ἢ τοῖς συμμάχοις, ὅταν τινὰς ἑώρων πολεμίους ἐπιόντας, ὡς ὅτι δεῖ προφυλάξασθαι. οὐ μόνον δὲ ἐπὶ πολεμίων τοῦτο ἐποίουν, ἀλλὰ καὶ ἐπὶ φίλων, ὅταν ἑώρων βοήθειαν ἐρχομένην, ἐσήμαινον πάλιν διὰ τῶν φρυκτῶν ὡς οὐ δεῖ θορυβεῖσθαι. καὶ ὅτε μὲν φίλους ἐδήλουν, ἐβάσταζον τοὺς φρυκτοὺς ἠρεμοῦντες, ὅταν δὲ πολεμίους, ἐκίνουν ⟨sch. Thuc. 2 94⟩.

φρυκτός ἡ διὰ τῶν δᾴδων γινομένη ἐν πολέμοις λαμπάς.

φρυκτὸς καὶ παραφρυκτωρευόμενος. οἱ κακουργοῦντες ··· ἀπετυμπανίσθη ⟨cf. v. παραφρυκτωρευόμενος⟩.

φρυκτωρεῖν κυρίως τὸ διὰ πυρσῶν ἀνατείνειν σημαίνει.

φρυκτωρία ἡ διὰ τῶν πυρσῶν παραφυλακὴ νυκτερινή. ἢ λαμπάς. ἢ καῦσις. παρὰ τὸν φρυκτὸν καὶ τὸ ὠρεῖν, ὅ ἐστι φυλάττειν. φρυκτωρὸς δὲ ὁ τῆς φρυκτωρίας ἐπιμελόμενος.

Φρύνη ἔχουσα λήκυθον πρὸς ταῖς γνάθοις" ⟨A Eccl. 1093⟩. Φρύνη παλαιὰ ἑταίρα. λήκυθος δέ, τουτέστι διῳδηκυῖα τὸ πρόσωπον.

Φρῦνις κιθαρῳδὸς Μιτυληναῖος, ὃς ἐδόκει πρῶτος κιθαρίσαι παρ' Ἀθηναίοις, καὶ νικῆσαι Παναθήναια ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείδου μαθητής· ὁ δὲ Ἀριστοκλείδης τὸ γένος ἦν ἀπὸ Τερπάνδρου, ἤκμασε δὲ ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά, εὐδόκιμος κιθαριστής. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα κιθαρίζειν ἐδίδαξεν. Ἴστρος δὲ ἐν τοῖς ἐπιγραφομένοις Μελοποιοῖς τὸν Φρῦνιν Λέσβιόν φησι, Κάνωπος υἱόν· τοῦτον δὲ Ἱέρωνος τοῦ τυράννου μάγειρον ὄντα δοθῆναι σὺν ἄλλοις πολλοῖς Ἀριστοκλείδῃ. ταῦτα δὲ σχεδίοις ἔοικεν· εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἐσιώπων οἱ κωμικοί, πολλάκις αὐτοῦ μεμνημένοι ἐφ' οἷς ἐκαινούργησε, κατακλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ⟨sch. A Nub. 967⟩.

Φρύνιχος Πολυφράδμονος ἢ Μινύρου (οἱ δὲ Χοροκλέους), Ἀθηναῖος, τραγικός, μαθητὴς Θέσπιδος τοῦ πρώτου τὴν τραγικὴν εἰσενέγκαντος. ἐνίκα τοίνυν ἐπὶ τῆς ξζ' ὀλυμπιάδος. οὗτος δὲ πρῶτος ὁ Φρύνιχος γυναικεῖον πρόσωπον εἰσήγαγεν ἐν τῇ σκηνῇ, καὶ εὑρετὴς τοῦ τετραμέτρου ἐγένετο. καὶ παῖδα ἔσχε τραγικὸν Πολυφράδμονα. τραγῳδίαι δὲ αὐτοῦ εἰσὶν θ' αὗται, Πλευρωνία, Αἰγύπτιοι, Ἀκταίων, Ἄλκηστις, Ἀνταῖος ἢ Λίβυες, Δίκαιοι ἢ Πέρσαι ἢ Σύνθωκοι, Δαναΐδες.

Φρύνιχος Ἀθηναῖος, κωμικὸς τῶν ἐπι- b δευτέρων τῆς ἀρχαίας κωμῳδίας· ἐδίδαξε γοῦν τὸ πρῶτον ἐπὶ πς' ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ ἐστι ταῦτα, Ἐφιάλτης, Κόννος, Κρόνος, Κωμασταί, Σάτυροι, Τραγῳδοὶ ἢ Ἀπελεύθεροι, Μονότροπος, Μοῦσαι, Μύστης, Ποάστριαι, Σάτυροι.

Φρύνιχος Βιθυνὸς σοφιστής. Ἀττικι- c στὴς ἢ περὶ Ἀττικῶν ὀνομάτων βιβλία β', τιθεμένων συναγωγή, σοφιστικῆς παρασκευῆς βιβλία μζ', οἱ δὲ οδ'.

Φρύνιχος Μελανθοῦ Ἀθηναῖος τραγι- d κός. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ καὶ τάδε, Ἀνδρομέδα, Ἠριγόνη. ἐποίησε καὶ πυρρίχας.

ὅτι Φρύνιχον Ἀθηναῖοι χιλίαις ἐζημίωσαν ἅλωσιν Μιλησίων τραγῳδήσαντα.

e Φρύνιχος καὶ Λύκις καὶ Ἀμειψίας κωμικοὶ ὑπόψυχροι. καὶ Ἀριστοφάνης ⟨Ran. 13⟩ "ἔνθεν, ὥσπερ ἡ μέλιττα, Φρύνιχος ἀμβροσίων μελέων ἀπεγεύετο καρπόν, ἀεὶ φέρων γλυκεῖαν ᾠδάν."

Φρυνίχου πάλαισμα. αὕτη τέτακται κατὰ τῶν πανούργως καὶ συνετῶς σοφιζομένων. ἱστορεῖ δὲ Θουκυδίδης ⟨8 50⟩ ὅτι Φρύνιχος στρατηγὸς Ἀθηναίων ἐν Σάμῳ, μελλόντων τῶν στρατιωτῶν κατάγειν Ἀλκιβιάδην, ἐδήλωσε τῷ ναυάρχῳ Λακεδαιμονίων ὁ Φρύνιχος ὅτι βούλοιτο αὐτῷ προδοῦναι τὸ στράτευμα. λαβόντος δὲ τὴν ἐπιστολὴν Ἀλκιβιάδου καὶ πέμψαντος τοῖς Ἀθηναίοις, παρὰ μικρὸν ἐλθὼν ἀπολέσθαι ὁ Φρύνιχος γράφει πάλιν τῷ ναυάρχῳ τὸ γεγονὸς αἰτιώμενος καὶ φάσκων πάλιν αὐτῷ προδώσειν τὸ στράτευμα, εἰ ἐπέλθοι. σημήνας δὲ οὕτως προαγορεύσει τοῖς στρατιώταις δευτέραν ἥξειν ἐπιστολὴν κατ' αὐτοῦ παρ' Ἀλκιβιάδου, καὶ πολεμίων ἔφοδον ἐπομένων φυλάξασθαι. συμβάντων δὲ οὕτως τούτων, καὶ κομισθέντων μὲν τῶν γραμμάτων γενομένης δὲ τῆς ἐφόδου, ἐπίστευσαν οἱ στρατιῶται πάντα καὶ τὰ νῦν καὶ τὰ πρότερον κατὰ τοῦ Φρυνίχου δι' ἔχθραν ὑπ' Ἀλκιβιάδου γεγενῆσθαι. καὶ αὖθις Ἀριστοφάνης ⟨Ran. 700⟩ "Φρυνίχου παλαίσμασιν" ἀντὶ τοῦ στρατηγήμασι· στρατηγοῦντος γὰρ αὐτοῦ ἡττήθησαν οἱ Ἀθηναῖοι, καὶ πολλοὶ αὐτῷ προσεκούσθησαν ὡς προδόντος τὸν πόλεμον. κωμικὸς ποιητής, ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας. ἦν δὲ στρατηγὸς Ἀθηναίων, ἐφ' οὗ πολλοὶ τῶν τραγικῶν ἄτιμοι ἐγένοντο. γεγόνασι δὲ Φρύνιχοι τέσσαρες.

φρῦνος ὁ ἀδιάπλαστος βάτραχος. καὶ ἐπίγραμμα ⟨adesp. 394⟩ "ἀσπίδα φρῦνον ὄφιν καὶ Λαδικέας περίφευγε, καὶ κύνα λυσσητήν, καὶ πάλι Λαδικέας."

Φρύνων καὶ Φιλοκράτης ἀμφότεροι προδόται. καὶ ὃ μὲν διὰ τὴν προδοσίαν ἔφυγε καὶ ἐπὶ πορνοβοσκίᾳ διεβάλλετο, ὁ δὲ Φρύνων ἐπὶ τῇ τοῦ παιδὸς προαγωγείᾳ, ὃν ἀπήγαγε Φιλίππῳ ⟨Demosth. 19 230⟩.

Φρυνώνδας τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων, ὃς ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διέτριβεν Ἀθήνησιν· Ἀριστοφάνης Ἀμφιαρέῳ "ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρὲ σύ." ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι.

κακοήθης ὁ Φρυνώνδας οὗτος καὶ πανοῦργος, μισθοῦ τινὰς μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥᾳδίως συντιθείς, ὥς φησιν Εὔδημος. καὶ αὖθις ⟨Aeschin. 3 137⟩ "ἀλλ' οἶμαι οὔτε Φρυνώνδας οὔτ' Εὐρύβατος, οὐδ' ἄλλος πώποτε τῶν πάλαι πονηρῶν, τοιοῦτος μάγος καὶ γόης."

Φρύνωνος ὄνομα κύριον. οὗτος τῶν πρέσβεων εἷς ἦν τῶν μετ' Αἰσχίνου καὶ Δημοσθένους. Harp.

Φρὺξ ἀνὴρ πληγεὶς ἀμείνων καὶ διακονέστερος," ἐπεὶ δοκοῦσιν ἀργότεροι καὶ νωχελέστεροι εἶναι οἱ Φρύγες οἰκέται.

Φρὺξ μηδὲν ἧττον Σπινθάρου" ⟨Av. 763⟩. οὗτος ὁ Σπίνθαρος κωμῳδεῖται ὡς βάρβαρος καὶ Φρύξ.

φρωγεῖν φράττειν ἀττικῶς ⟨an φώγειν φρύττειν⟩.

φυγαδεία φυγή, ἐξορία. "δυοῖν πρόλων ὀλέθρων ὑπαρχόντων, ἠλλάξαντο φυγαδείαν ἀντὶ τούτων ἀίδιον. οὕτως ἀληθές ἐστι τὸ περιφερόμενον, ὅτι παῦσις τοῦ κακοῦ μεῖζον κακόν" ⟨cf. v. παῦλα⟩. καὶ φυγάς· "τοῦ ἰδίου ἔθνους, οὗ φυγὰς ὀλίγῳ πρότερον ἐγεγόνει, ἀπέδειξε βασίλισσαν," ἀντὶ τοῦ ἐξόριστ...

φυγγάνει· Σοφοκλῆς ⟨El. 131⟩ "ξυνίημι τάδ', οὔτι με φυγγάνει," ἀντὶ τοῦ λανθάνει. καὶ αὖθις "ἐπί τινα πύργον ὑψηλὸν καταφυγγάνει."

φυγοδέμνιος παρθένος. ἐν ἐπιγράμματι ⟨AP 6 10⟩ "σώτειρα φυγοδέμνιε κούρα."

φύζα δειλία, φυγή. καὶ φυζαλέος ὁ δειλός· ⟨AP 6 237⟩ "ὠμηστὰν δ' ἔτραπε φυζαλέον."

φυζακινός ὁ δειλός.

φυὴν βλάστησιν, αὔξησιν ἡλικίας. "κατὰ τὴ δέ σοι πέφυκε καὶ τῶν ὀρθίων εἶναι δοκούντων ἡ φυὴ τῶν δακτύλων."

φυκία θαλάσσια ζῷα. ἢ ὁ ἀφρός. ἢ βρύα.

φυκίδα· ἐν ἐπιγράμματι ⟨AP 6 105⟩ "τρίγλαν ἀπ' ἀνθρακιῆς καὶ φυκίδα σοὶ λιμενῆτιν, Ἄρτεμι, δωρεῦμαι."

φῦκος ᾧ τινὶ τὰς οἰκείας ὄψεις αἱ γυναῖκες χρίουσι. λέγεται δὲ καὶ φυκία τὰ βρύα, καὶ φυκίς· ἐν ἐπιγράμματι ⟨AP 6 24...⟩ "πολλὰ δ' ἐν αὐτῷ φυκί' ἀπ' εὐόρμων εἵλκυσεν αἰγιαλῶν."

φῦκος τὸ χορτῶδες τῆς θαλάσσης ⟨schol. Hom. I 7⟩.

φῦλα ἔθνη. διὰ δὲ δύο λλ σημαίνει τὰ τῶν δένδρων φύλλα.

Φυλαῖος ὁ ἐκ τῆς Φυλῆς.

φυλακή τὸ τέταρτον μέρος τῆς νυκτός· τετραχῆ γὰρ διῄρηται. καὶ φυλακαί τῆς νυκτὸς αἱ διαιρέσεις, καθ' ἃς οἱ φύλακες τὰς φυλακὰς ἀλλήλοις ἐγχειρίζȣσι.

φυλάκια παρὰ Ἀλεξανδρεῦσι τὰ ἐκμαγεῖα τῶν γυναικείων μολυσμῶν ⟨Damasc. ap. Phot. p. 338 b⟩. καὶ Πολύβιός φησιν "ὃ δὲ κατέσχεν ἀμφότερα τὰ κατεσκευασμένα φυλάκια, ν' πόδας διεστῶτα ἀλλήλων."

φύλακος· παρ' Ἡροδότῳ ⟨1 84⟩ "κατὰ τȣ̃το τῆς ἀκροπόλιος, τῇ οὐδεὶς ἐτέτακτο φύλακος."

φυλακτήριον τόπος ἔνθα οἱ φύλακες.

φυλάξαντες ἐπιτηρήσαντες, Ἡρόδοτος ⟨5 12⟩. καὶ φυλάξασα καιροφυλακήσασα, εὐκαίρως ἐπιτηρήσασα· Ἀρριανός "ἣ δὲ τὸν πατέρα φυλάξασα ἀποδημοῦντα ὑπισχνεῖται Τατίῳ προδώσειν τὸ φρούριον" ⟨cf. v. λιθάζω⟩.

φυλάρχης δυνάστης. "ξυμβάλλει τῷ Τραϊανῷ περὶ Αὐγάρȣ, ὃς ἦν Ὀσροηνῆς χώρας δυνάστης· ὥσπερ φυλάρχας ὀνομάζȣσιν οἱ ἐκείνῃ, ὅτι καὶ τὰ χωρία αὐτῶν φυλαὶ ὀνομάζονται."

φύλαρχος ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ. Δημοσθένης Φιλιππικοῖς. Harp.

Φύλαρχος Ἀθηναῖος ἢ Ναυκρατίτης (οἱ δὲ Σικυώνιον, ἄλλοι δὲ Αἰγύπτιον ἔγραψαν), ἱστορικός, τὴν ἐπὶ Πελοπόννησον Πύρρου τȣ̃ Ἠπειρώτȣ στρατείαν ἐν βιβλίοις κη'· κατάγει δὲ καὶ μέχρι Πτολεμαίȣ τȣ̃ εὐεργέτȣ κληθέντος καὶ τῆς Βερενίκης τελευτῆς, καὶ ἕως τȣ̃ θανάτȣ Κλεομένȣς τȣ̃ Λακεδαιμονίȣ, ἐπιστρατεύσαντος αὐτῷ Ἀντιγόνȣ. τὰ κατὰ Ἀντίοχον καὶ τὸν Περγαμηνὸν Εὐμένη. ἐπιτομὴν μυθικήν. περὶ τῆς τȣ̃ Διὸς ἐπιφανείας. περὶ εὑρημάτων. παρεμβάσεων βιβλία θ'.

Φυλάσιμος ⟨an Φυλάσιος⟩ ὁ ἐκ τοῦ δήμȣ. καὶ φυλασσόμενος προορώμενος, προσκοπούμενος· "οὐ μέντοι οὐδ' ἀπέκλινε, φυλασσόμενος μὴ δοκοίη φεύγειν." οὕτω Ξενοφῶν ⟨Anab. 2 2 16⟩. καὶ Θȣκυδίδης ⟨2 3?⟩ "φυλάξαντες τὸ συχνὸν τῆς νυκτὸς ἔφυγον."

Φυλείδης ὁ τȣ̃ Φυλέως. Hom. E 72.

φυλέτης συγγενής, ὁμόφυλος· Ἰώσηπος ⟨A. I. 5 8 8⟩ "ὁ δὲ Σαμψὼν καταβὰς ἐκ τῆς πέτρας ἐν τῇ τῶν φυλετῶν αὐτὸν τέθεικεν ἐξȣσίᾳ."

φυλή. ἡ φυλὴ καθ' αὑτήν ἐστι μύριοι στρατιῶται.

Φυλή ὄνομα δήμȣ παρ' Ἀθηναίοις. a

Φυλή ὄνομα τόπου, καὶ Φυλάσιοι οἱ b
ἐνοικοῦντες.

Φυλή. Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρή- c
νης ⟨109⟩. δῆμός ἐστι Φυλὴ τῆς Οἰνηίδος φυλῆς. ὁ δὲ Μένανδρος τόπον νομίζει εἶναι Φυλήν. ὁ δὲ Φιλόχορος φρούριον αὐτό φησιν εἶναι. Harp. καὶ Ἀριςοφάνης ⟨Plut. 1147⟩ "μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες."

Φυλιστιείμ οἱ λεγόμενοι Παλαιςῖνοι.

φυλλεῖα τὰ ἀπολεπίσματα τῶν λαχάνων· Ἀριστοφάνης ⟨Ach. 468⟩ "εἰς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός," οἷον μεμαραμμένα καὶ εὐτελῆ· τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίȣσι. φυλλεῖα δὲ τὰ τῆς θριδακίνης φύλλα.

• φυλλίς ἡ τȣ̃ δένδρȣ.

φυλοκρινεῖ διακρίνει, καταδοκιμάζει περιέργως.

φύλοπις μάχη.

φύματα ψυδράκια.

φύντα γεννηθέντα.

φύξηλις ὁ φυγάς.

φύξιν φυγήν.

φυόμενος γεννώμενος.

φύραμα· "ἁμαρτάνȣσιν οἱ λέγοντες τὸν a
πηλὸν γῆν ὑγρῷ φυραθεῖσαν· τὸ γὰρ φύραμα ȣ̓ διαφορὰ τȣ̃ πηλȣ̃ ἀλλὰ γένος" ⟨Alex. Aphrod. in Top. 4 p. 163⟩.

φύραμα στέαρ. b

φύρδην συγκεχυμένως· ⟨AP 7 531⟩ "φῦ δὲ σίδαρον παιδὸς ἐȣ̃ φύρδαν μεστὸν ἔχουσα φόνȣ."

φύρεται μολύνει, ἢ ἐκβρέχει, ἢ πλύνει.

φῦσα χαλκευτικὸν ἐργαλεῖον· Ὅμηρος ⟨Σ 470⟩ "φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων." καὶ ἡ αἰτιατικὴ τὴν φύσην.

φυσαλλίδες οἱ αὐλοί.

φύσαμος ⟨an φύσαλος⟩ εἶδος κήτȣς θαλασσίȣ.

φύσασα ἡ γεννήσασα. καὶ φύσαντι γεννήσαντι.

φύσει βλαστήσει. Ἀριστοφάνης ⟨Av. 789⟩ a
"ȣ̓δὲν ἔστ' ἄμεινον ȣ̓δ' ἥδιον ἢ φῦσαι πτερά."

b φύσει. ὅτι οἱ παλαιοὶ ἔλεγον μηδὲν τῶν φύσει μάτην εἶναι, τὰ σχήματα δὲ τὰ τῶν συλλογισμῶν μὴ εἶναι φύσει. ἐκ ἀναγκαῖον δὲ ταῦτα λέγειν χρήσιμα· τὸ δὲ χρησίμου τινὸς χάριν ἔξωθεν ἐπισυμβαίνειν αὐτὰ γινόμενα. οἱ δὲ συλλογισμοὶ ἐχ ὡς σιτία καὶ ποτὰ κατὰ φύσιν ἡμῖν. ἕτεροι γὰρ οἱ τούτων κανόνες, ἔθη νόμοι καὶ ἐπιτηδεύματα δημοσίᾳ καὶ καθ' ἕκαςον καὶ κατ' ἄνδρα ἰδίᾳ. μεταθέσθαι γῦν ἔξεςιν αὐτὰ καὶ πρὸς τὴν ἐναντιωτάτην μεταβαλεῖν, ὡς ἄν τις ἐθέλοι, δίαιταν. ὅθεν ἐνίοις ἐδὲ τὰ φύσει δοκῦντα φθαρτικὰ σιτία καὶ δηλητήρια φάρμακα προσεντεγκαμένοις ἐφάνη λυπηρά. φασὶ γῦν τὴν Ἀττικὴν γυναῖκα τῷ κωνείῳ καθάπερ λαχάνων ἐσθίειν, καὶ τὸ Ποντικὸν θηρίον, ὅςις ποτὲ ἦν ὁ Μιθριδάτης ἐκεῖνος, ἐκπιόντα γενναίαν κύλικα δηλητηρίῳ φαρμάκῳ μὴ διαφθαρῆναι, τῷ κατισχῦσθαι τὸ σῶμα, καθάπερ σίδηρον τῇ βαφῇ, παρὰ τῶν ἀντιπαθῶν, ἃ προσεφέρετο πολλάκις ὑποπτεύων ὁ βδελυρός, ἀπὸ τῶν υἱῶν ἀρξάμενος, ἅπαντας ἀνθρώπυς ὡς ἐπιβυλεύοντας αὐτῷ μόνῳ διὰ τὴν καλὴν τυραννίδα.

φύσην τὴν φῦσαν.

φύσιγγες τὰ ἐν ταῖς κνήμαις ἐκκαύματα. ἢ τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων, ἡ φυσίγγη. ἡ εὐθεῖα φύσιγξ.

φυσίζωος ἡ τὰ πρὸς τὸ ζῆν φύυσα.

φυσικὸς λόγος παρὰ φιλοσόφοις. μετὰ τὸν ἠθικὸν διεξέρχονται περὶ τῦ φυσικοῦ, τυτέςι περὶ σωμάτων, περὶ ἀρχῶν καὶ στοιχείων καὶ περάτων καὶ κόσμου καὶ τόπου καὶ κενοῦ, περὶ ἀστέρων, περὶ ἡλίου, περὶ τοῦ ἡγεμονικοῦ, πῶς ὁρῶμεν, τίς ἡ αἰτία τῆς κατοπτρικῆς φαντασίας, περὶ νεφῶν βροντῶν ἴριδος (Diog. L. 7 132).

ὅτι τρία εἰσὶν ἐν τοῖς φυσικοῖς πράγμασιν, εἶδος ὕλη καὶ ἡ αἰτία καθ' ἣν ἐςι τὸ εἶδος ἐν τῇ ὕλῃ. καὶ καταγίνονται, φησί, περὶ ταῦτα μέθοδοι έ, ἡ φυσική, ἡ κατὰ μέρος τέχνη, ἡ διαλεκτική, ἡ μαθηματική, ἡ πρώτη φιλοσοφία. ἔστι δὲ φυσικοῦ μὲν περὶ πάντων τῶν εἰρημένων τῆς ψυχῆς μερῶν διαλεχθῆναι καὶ τῆς ὕλης καὶ τῶν φυσικῶν πραγμάτων καὶ τοῦ εἴδυς τῆς αἰτίας. οἷον ὅτι τῶν οὐρανίων ὕλη οὐχὶ τὰ δ' ςοιχεῖα, ἀλλὰ ἕτερόν τι σῶμα. πάλιν τί τὸ εἶδος; ὅτι σφαιρικά. καὶ διὰ τί σφαιρικά; ὅτι πολυχωρητότατον ἐν ἐπιπέδῳ μὲν τῶν ἄλλων σχημάτων ὁ κύκλος, ἐν στερεοῖς δὲ ἡ σφαῖρα, ὡς καὶ ὁ Πλάτων ἐν Τιμαίῳ διὰ τοῦτο σφαιρικὸν γενέσθαι τὸν οὐρανὸν ἀποδέδωκε. καὶ ὁ Ἀριστοτέλης ἀποδίδωσιν αἰτίαν περὶ τοῦ σχήματος τοῦ οὐρανοῦ· τῷ γὰρ ἀιδίῳ φησὶν ἐσομένῳ. ἀποδίδωσι δὲ καὶ ὁ Πλωτῖνος αἰτίαν ἐκ τῆς σχέσεως ἣν ἔχει πρὸς τὰ πρὸ αὐτοῦ. προσεχῶς δέ εἰσιν ἐπὶ τὰ οὐράνια αἱ νοηταὶ οὐσίαι. δεῖ δὲ τὸ αἰτιατὸν ὅτι μάλιστα ὁμοιῶσθαι τῷ προσεχεῖ αἰτίῳ, καὶ τούτυ εἰκόνα καὶ μίμημα φέρειν. διὰ τῦτο ὖν, φησί, κύκλῳ κινεῖται ὁ οὐρανός, ὅτι νῦν μιμεῖται· ἴδιον γὰρ τῦ νῦ τὸ πρὸς ἑαυτὸν νεύειν. αὐτὸς γὰρ ὁ ὁρῶν, αὐτὸς ὁ ὁρώμενος· ὁρῶν γὰρ τὰ εἴδη ἑαυτὸν ὁρᾷ, καὶ ἑαυτὸν ὁρῶν τὰ εἴδη τεθέαται· πλήρωμα γάρ ἐστι τῶν εἰδῶν καὶ εἶδος εἰδῶν. ἔχει ὖν ὁ ὐρανὸς τὸ σφαιρικὸν σχῆμα διὰ τὴν κύκλῳ κίνησιν, ταύτην δὲ διὰ τὴν πρὸς τὸν νῦν ἐξομοίωσιν. καὶ ἄλλως μιμεῖται τὸν νῦν πανταχῇ ὄντα· καὶ γὰρ καὶ τὸ σῶμα πανταχῇ γίνεται. τῷ ὖν πανταχῇ γίνεσθαι τὸ πανταχῇ ὂν μιμεῖται· τελείωσις γὰρ τῶν χειρόνων ἡ πρὸς τὰ ὑπέρτερα ἐπιστροφή τε καὶ ἐξομοίωσις. ὕτω μὲν ὁ φυσικὸς τῶν φυσικῶν ἀποδώσει καὶ τὸ εἶδος καὶ τὴν ὕλην καὶ τὸ αἴτιον· ὁ δὲ κατὰ μέρος τεχνίτης καὶ αὐτὸς μὲν περὶ αὐτῶν διαλαμβάνει, διαφέρει δὲ τῦ φυσικῦ ὅτι περὶ μερικόν τι γίνεται πρᾶγμα, οἷον ὁ ἰατρὸς περὶ τὰ ἀνθρώπεια σώματα, ὁ τέκτων περὶ λίθυς καὶ ξύλα. ἀποδώσει δὲ καὶ οὗτος τὸν ὁρισμόν, περιλαμβάνων καὶ τὸ εἶδος καὶ τὴν ὕλην καὶ τὴν αἰτίαν. διαφέρει δὲ καὶ κατὰ ἄλλυς τρόπυς (Philopon. in Aristotel. de an. 1).

φύσις. φύσις ἐστὶν ἡ ἁπλῶς τῶν ὄντων κίνησις. πεντάτροπος δὲ αὕτη, νοερά, ὡς ἐπὶ ἀγγέλων, ἐξ αὐτῶν τῶν νοημάτων ἀλλήλοις συγγινομένων, λογική, ὡς ἐπὶ ἀνθρώπων, δι' ὀνομάτων καὶ ῥημάτων τὰ ἀφανῆ τῆς ψυχῆς κινήματα πρὸς τὺς ἐκτὸς δημοσιεύυσα. αἰσθητικὴ δὲ ἡ ἐν τοῖς ἀλόγοις θεωρυμένη· πρὸς γὰρ τῇ θρεπτικῇ καὶ αὐξητικῇ καὶ γεννητικῇ δυνάμει καὶ τὴν αἰσθητικὴν κέκτηται. φυτικὴ δὲ ἡ ἐν τοῖς φυτοῖς· κινοῦνται γὰρ καὶ αὐτὰ κατὰ τὴν θρεπτικὴν καὶ αὐξητικὴν καὶ γεννητικὴν δύναμιν. ἄψυχος δέ, ὡς ἐπὶ τῶν λίθων, καθότι καὶ αὐτοὶ κινῦνται κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποῦ, καὶ κατὰ τὸ ποιὸν μὲν κατὰ

τὸ θερμαίνεσθαι καὶ ψύχεσθαι, κατὰ τὸ ποῦ δὲ κατὰ τὴν ἐκ τόπου εἰς τόπον ἑτεροκίνητον μετάθεσιν.

b φύσις ἐστὶν ἥ τε συνέχουσα τὸν κόσμον καὶ ἡ φύουσα τὰ ἐπὶ τῆς γῆς. ἢ οὕτως, ἕξις ἐξ αὑτῆς κινουμένη, κατὰ σπερματικοὺς λόγους ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὐτῆς ἐν ὡρισμένοις χρόνοις, καὶ τοιαῦτα δρῶσα ἀφ' οἵων ἀπεκρίθη. ταύτην δὲ τοῦ συμφέροντος στοχάζεσθαι, ὡς δῆλον ἐκ τῆς οὐρανοῦ δημιουργίας (Diog. L. 7 148).

c ἡ φύσις ἐστὶν ἀρχὴ τῶν ὅλων, τῆς ἑκάστου τῶν ὄντων κινήσεώς τε καὶ ἠρεμίας. οἷον ἡ γῆ κινεῖται μὲν κατὰ τὸ βλαστάνειν καὶ ζωογονεῖν καὶ τὸ ὅλως ἀλλοιοῦσθαι, ἠρεμεῖ δὲ κατὰ τὴν ἐκ τόπου εἰς τόπον μετάστασιν, ἀκίνητος οὖσα παντελῶς καὶ ἀπόρρευτος. τὴν οὖν ἀρχὴν τῆς τοιαύτης κινήσεώς τε καὶ ἠρεμίας οὐσιωδῶς, ἤγουν φυσικῶς καὶ οὐ κατὰ συμβεβηκός, τῇ γῇ ἐνυπάρχουσαν φύσιν καλοῦσιν. οὐ τὴν κίνησιν δὲ αὐτὴν καὶ τὴν ἠρεμίαν τῶν πραγμάτων φύσιν εἰρήκασιν, ἀλλὰ τὴν ἀρχήν, τουτέστι τὴν αἰτίαν καθ' ἣν οὐ κατὰ συμβεβηκὸς ἀλλ' οὐσιωδῶς αἱ οὐσίαι κινοῦνται καὶ ἠρεμοῦσιν. ὅταν δὲ λέγῃ ὁ ἀπόστολος (Ephes. 2 3) "καὶ ἦμεν τέκνα φύσει ὀργῆς ὡς καὶ οἱ λοιποί," οὐ κατὰ τοῦτο τὸ σημαινόμενον τῆς φύσεως λέγει, ἐπεὶ τοῦ ποιήσαντος ἂν ἦν τὸ ἔγκλημα, ἀλλὰ τὴν ἔμμονον καὶ κακίστην διάθεσιν καὶ χρονίαν καὶ πονηρὰν συνήθειαν.

φύσκη τὸ παχὺ ἔντερον, εἰς ὃ ἐμβάλλεται ἄλευρα καὶ κρέα καὶ μάττουσιν· ἐξ οὗ γίνεται ὁ ἀλλᾶς.

φυσκητόεντα.

φυσόβαθρον τὸ τοῦ χαλκέως.

φυστὴ μᾶζα· (A Vesp. 608) "καὶ τὸ γύναιόν μ' ἐπιθωπεῦσαν φυστὴν μᾶζαν προσενέγκῃ." (AP 7 736) "φύσῃ ἐνὶ γριώνῃ μασσομένη παλάμαις."

φυσῶ τὸ πνέω, τὸ ἐκ προχείρου πλάττω. Ἀριστοφάνης (Av. 770) "φυσάτω πάππους παρ' ἡμῖν, καὶ φανοῦνται φράτορες."

φυτά τὰ δένδρα.

φυταλίζει φυτεύει, πλησιάζει.

φυταλιῆς ἀμπελοφύτου γῆς. Hom. Z 195.

Φυτάλιμος ὄνομα κύριον.

φυτάλμιος ἀπὸ φύτλης, ἀπὸ γενέσεως καὶ ἐξ ἀρχῆς· "ἀλαῶν ὀμμάτων ἆρα καὶ ἦσθα φυτάλμιος." οὕτω Σοφοκλῆς (OC 151).

φυτεία τῶν δένδρων.

Φύτειον ὄνομα πόλεως.

φυτηκόμος ὁ φυτουργός. καὶ ὁ σύνδενδρος τόπος, διὰ τὸ τοῖς φυτοῖς κομᾶν.

φυτικαὶ δυνάμεις τρεῖς τῆς ψυχῆς, θρεπτικὴ αὐξητικὴ γεννητική. φυτικαὶ δὲ καλοῦνται διότι αὗται μόναι ἐν τοῖς φυτοῖς ὁρῶνται. ἐσμὲν οὖν καὶ ἄνθρωποι καὶ ζῷα καὶ ἔμψυχα, καὶ ὡς μὲν ἄνθρωποι τὰς λογικὰς ἔχομεν δυνάμεις, ὡς δὲ ζῷα τὰς ἀλόγους, ὡς δὲ ἔμψυχα τὰς φυτικάς. ἔμψυχα γὰρ λέγομεν καὶ τὰ φυτά. ἐμψύχων γὰρ τὸ τρέφεσθαι καὶ αὔξεσθαι καὶ γεννᾶν ὅμοια ἑαυτοῖς. λέγονται δὲ αὐτὰ καὶ ζῆν καὶ τεθνάναι· ἡ δὲ ζωὴ καὶ ὁ θάνατος παρουσίᾳ καὶ ἀπουσίᾳ γίνεται ψυχῆς. ὅσα μὲν οὖν ἔχουσι τὰς κρείττους ζωάς, ἐξ ἀνάγκης καὶ τὰς καταδεεστέρας ἔχουσιν· οὐκέτι δὲ καὶ ἀνάπαλιν. οὐ γὰρ δυνατὸν τὰς λογικὰς ἔχειν δυνάμεις, μὴ πρότερον ἐσχηκότας τὰς καταδεεστέρας. ἀμέλει καὶ τῶν αἰσθήσεων οὐκ ἔστι μετασχεῖν τῆς κρείττονος τὸν μὴ μετασχόντα τῆς χείρονος. ὅσα γοῦν μετέχει ὄψεως, ταῦτα καὶ ἀκοῆς καὶ τῶν λοιπῶν, καὶ ὅσα ἀκοῆς, ταῦτα καὶ ὀσφρήσεως καὶ γεύσεως καὶ ἁφῆς. οὐχ ὅσα δὲ ὀσφρήσεως καὶ γεύσεως καὶ ἁφῆς, πάντως καὶ ὄψεως, ὥσπερ ὁ ἀσπάλαξ· οὐδ' ὅσα ἁφῆς, ταῦτα καὶ τῶν ἄλλων, οἷον οἱ σπόγγοι ἁφῆς μετέχουσιν, οὐδεμιᾶς δὲ τῶν αἰσθήσεων ἄλλης. ὥστε οὐκ ἔστι μετασχεῖν τῆς κρείττονος τὸν μὴ τῆς ἐλάττονος μετασχόντα. τοῦτο δὲ οὐχ ὅτι δέονται τῶν χειρόνων αἱ κρείττους, ἵνα ὑποστῶσιν· ἀλλὰ τοὐναντίον τὸ σῶμα οὐ δύναται μετασχεῖν τῶν κρειττόνων, μὴ πρότερον μεταλαβὸν τῶν καταδεεστέρων (Philopon. in Aristotel. de an. 1).

φύτλη γενεά, φυλή.

φύω βλαστάνω.

φῶ εἴπω.

φωγύνω τὸ φρύγω.

φῷδες αἱ ἀπὸ τῆς φλογὸς φλύκταιναι.

φῶδον τὸ ἐν χειμῶνι καῦμα, καὶ φῴδων φλυκταινῶν. ἐκ βαλανείου δὲ διὰ τὸ τοὺς πένητας ἀποροῦντας ἐνδυμάτων διὰ τὸ ψῦχος ἐν βαλανείοις καθεύδειν καὶ φλυκταίνας ποιεῖν (sch. A Plut. 535).

φώζω τὸ καίω.

Φωκαέων ἀρά. Φωκαεῖς γὰρ καταλι-

πόντες τὴν πόλιν ἐν τῇ ὑπὸ Ἁρπάγυ πολιορκίᾳ ὥρμησαν ἐπ' Ἰταλίας, μύδρους εἰς τὴν θάλασσαν βαλόντες, καὶ ἐπαρασάμενοι μὴ πρότερον ὑποστρέψειν εἰς τὴν ἑαυτῶν ἢ τούτυς ἀνενεχθῆναι.

φωκαία ἡ ἐκ τῆς φώκης. Φωκεύς δὲ ὄνομα τόπυ.

Φωκᾶς ὄνομα κύριον.

Φωκέως Φανοτέως. ὁλοσχερέστερον Φωκεῦς, ἐπὶ μέρους δὲ Φανοτεῦς (sch. S El. 45).

φώκη δύσοδμον ζῷον θαλάττιον· Ἀριστοφάνης (Vesp. 1035, Pac. 759) "φώκης δ' ὀσμὴν εἶχε."

Φωκίων δὲ ὁ Φώκυ πολλοῖς χρήματα ἔδωκε καὶ θυγατέρας συνεξέδωκε, καὶ πᾶσιν ἀνίει τὰ αὐτῦ. χρηστὸς ἂν ἐκλήθη κοινῇ ψήφῳ ἐν ἐκκλησίᾳ. δικάζων δὲ ἀεὶ τὴν σώζυσαν ἔφερεν. ὃ δὲ ἐπὶ Σατύρυ φησὶν ὁ Δημοσθένης (19 193) ἕνεκα τῶν Ἀπολλοφάνυς θυγατέρων, τῦτο εἰς Φωκίωνά τινες ἀναφέρυσι, καί φασιν ὅτι λαβὼν αὐτὰς εἰς Ἀθήνας ἤγαγε καὶ ἐξέδωκεν (cf. v. ὅτι ξένυς).

Φωκίωνος ὄνομα κύριον.

Φῶκος. καὶ παροιμία Φώκου ἔρανος, κατὰ τῶν εὐωχίας συναγόντων ἐπὶ τῷ ἑαυτῶν κακῷ. Φῶκος γάρ τις θυγατέρα ἔχων ἐπὶ γάμῳ πολλῶν αὐτὴν μνηστευομένων ἐράνυς συνῆγε, καὶ ἑστιῶν τὺς μνηστῆρας ἀνεβάλλετο τὸν γάμον. ὀργισθέντες οὖν ἐκεῖνοι ἐν τῷ συμποσίῳ ἀπέκτειναν τὸν Φῶκον.

Φωκυλίδης Μιλήσιος φιλόσοφος, σύγχρονος Θεόγνιδος (ἦν δὲ ἑκάτερος μετὰ χμζ' ἔτη τῶν Τρωικῶν, ὀλυμπιάδι γεγονότες νθ'), ἔγραψεν ἔπη καὶ ἐλεγείας, παραινέσεις ἤτοι γνώμας, ἅς τινες κεφάλαια ἐπιγράφουσιν· εἰσὶ δὲ ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα.

φωλάδι ἐμφωλευούσῃ. καὶ φωλάδος σπηλαίυ κρυπτοῦ· Βάβριος (82 3) "φρίξας δὲ χαίτην ἔκθορε φωλάδος κοίλης." καὶ φωλάς εἶδος νόσυ. σημαίνει δὲ καὶ τὴν κατοικίδιον ὄρνιν, τὴν ἐπωάζουσαν καὶ κλώσσυσαν.

φωλεά. καὶ φωλεία ἐκ τῦ φωλεύω.

φωλεὸν τὸ παιδευτήριον Ἴωνες· ὅθεν ἀποφώλιοι οἱ ἀπαίδευτοι. σημαίνει δὲ καὶ τὴν κατάδυσιν τῶν ὄφεων.

φωλεύουσι κρύπτυσι.

φωλήτοροι οἶκοι συμποσιακοί.

φῶμεν εἴπωμεν, ἐροῦμεν.

φωνασκεῖν εὐφωνίαν ἀσκεῖν. καὶ φωνασκικὸν βούκινον. "ἐπὶ Θεοδοσίυ τοῦ βασιλέως τὸ τῶν φωνασκούντων γένος ἦν πανταχόθεν ἀνιχνευόμενον."

φωνεῖν λέγειν.

φωνή. ὅτι εἶδος ἡ φωνὴ τῦ ψόφυ. ἔστι δὲ φωνὴ πλῆξις ἀέρος ἢ ἀὴρ πεπληγμένος. οὐ γὰρ πᾶς ψόφος φωνή, ὥσπερ οὐδὲ ὁ ἐκ τῶν ἀψύχων οἷον κυμάτων ἢ ἀνέμων γινόμενος, ἀλλ' ἐμψύχυ τινὸς ψόφος ἐστὶν ἡ φωνή. οὐ μὴν δὲ πᾶς ψόφος ἐμψύχυ φωνή, οὐδὲ ὁ διὰ χειρῶν κρότος, οὐδὲ τὸ χρέμψασθαι, οὐδὲ τὸ βῆξαι. φωνὴ γάρ ἐστιν ἐμψύχυ ψόφος διὰ τῶν φωνητικῶν γινόμενος μορίων, οἷον πνεύμονός τε καὶ τῶν ἀναπνευστικῶν μορίων καὶ τῆς τραχείας ἀρτηρίας καὶ τῆς φάρυγγος. καὶ ὐδὲ διὰ τύτων ὅπως οὖν τῦ ψόφυ γινομένυ· διόπερ οὐδὲ ὁ βήττων λέγεται φωνεῖν· ἀλλ' ὅταν μετὰ φαντασίας σημαντικῆς ταῦτα κινηθῇ, τότε ὁ γινόμενος ὑπὸ τύτων ψόφος φωνὴ καλεῖται. τρία δὲ ταῦτα θεωρεῖται περὶ τὴν τοῦ ἀνθρώπυ φωνήν, ῥυθμὸς ἁρμονία λέξις. ἐπεὶ δὲ ὁ μὲν ῥυθμὸς περὶ τὸν χρόνον τῆς ἐκφωνήσεως τὸν μακρὸν καὶ τὸν βραχύν, διὸ καὶ τῶν φωνηέντων τὰ μὲν ἐν πλείονι χρόνῳ ἐκφωνούμενα μακρὰ ὠνόμασαν, τὰ δὲ ἐν ἐλάττονι βραχέα· ἐκ δὲ τῆς τούτων πρὸς ἄλληλα συνθέσεως τὸ εὔρυθμον τῶν ἐπῶν γίνεται. ἡ δὲ ἁρμονία περὶ τὴν τῦ ὀξέος καὶ τῦ βαρέος συμμετρίαν ἔχει, ἡ δὲ λέξις περὶ τὴν διατύπωσιν τῶν συλλαβῶν, ἐξ ἧς ἡ τῶν λεγομένων σημαίνεται ἔννοια. ἐπεὶ ὖν ταῦτα μὲν ἔχει κυρίως ἡ τῦ ἀνθρώπου φωνή, μιμοῦνται δέ πως ταῦτα καὶ τὰ μυσικὰ ὄργανα, διὰ τοῦτο κατ' ἀναλογίαν λέγονται καὶ αὐτὰ φωνεῖν.

ὅτι διακρίνουσι τὴν φωνὴν ἀπὸ τῦ ψόφυ διχῶς, ἔκ τε τοῦ τρόπυ τῆς γενέσεως καὶ ἐκ τῦ τέλυς. ἐκ μὲν οὖν τοῦ τρόπυ τῆς γενέσεως, ὅτι ἡ φωνὴ γίνεται τῦ εἰσπνευσθέντος ἀέρος ἐκθλιβομένυ τῇ συστολῇ τῦ θώρακος κατὰ τὴν ἐνυπάρχυσαν αὐτῷ ψυχικὴν δύναμιν, καὶ προσπίπτοντος τῇ τραχείᾳ ἀρτηρίᾳ καὶ τῷ ἐναπειλημμένῳ ἐν αὐτῇ ἀέρι, ὃς τῇ ἀθρόᾳ πληγῇ ἄθρυπτος ἀποπαλλόμενος ἀεὶ τύπτει τὸν προσεχῆ ἀέρα ἕως τῆς ἀκοῆς. ἔστι γὰρ τὸ μὲν χάος τῦ στόματος τὸ μέχρι τῆς ῥίζης τῆς γλώττης φάρυγξ. ἐκεῖθεν δύο ἀγγεῖα φέρονται, τὸ μὲν ἐπὶ τὸν θώρακα, καὶ καλεῖται τραχεῖα ἀρτηρία, τὸ δὲ ἕτερον πρὸς τῷ τένοντι ἐπὶ

τὴν γαστέρα, καὶ καλεῖται οἰσοφάγος. γίνεται δὲ διὰ τῆς τραχείας ἀρτηρίας ἡ πάροδος τοῦ πνεύματος, ἥ τε κατὰ τὴν εἰσπομπὴν καὶ τὴν ἐκπομπήν· ὅπερ τῷ εἰρημένῳ τρόπῳ ἐκπνεόμενον ποιεῖ ψόφον, ὃς καλεῖται φωνή, ὅταν μετά τινος σημαντικῆς φαντασίας γίνηται. ἐκ μὲν οὖν τοῦ τρόπου τῆς γενέσεως ταύτῃ διαφέρει ἡ φωνὴ τῶν ψόφων, ἐκ δὲ τοῦ τέλους, ὅτι ἡ φωνὴ καθ' ὁρμήν τινα τοῦ ζῴου γίνεται καὶ προσσημαίνει τι. διὸ καὶ μετὰ φαντασίας. διὸ καὶ οἱ τῶν ἀλόγων ψόφοι φωναί. καὶ γὰρ ὁ κύων, ὁπηνίκα φαντασίαν ἔχει τοῦ ἀλλοτρίου, ὑλακτεῖ, ὅταν δὲ τοῦ οἰκείου, σαίνει. καὶ ἐπὶ τῶν ἄλλων ζῴων ὡσαύτως σημαντικαί εἰσιν αἱ φωναὶ τῶν ψυχικῶν δυνάμεων καὶ διαθέσεων· καὶ γὰρ τροφῆς ὀρεγόμενα ἢ ἄλλου τινὸς κέχρηται τῇ φωνῇ (Philopon. in Arist. de an. 2).

c φωνὴ καὶ κραυγὴ παρὰ τῇ γραφῇ ἡ τῆς ψυχῆς προθυμία· "φωνῇ μου πρὸς κύριον ἐκέκραξα" (Ps. 3 4). καὶ φωνήεις ὁ φωνητικός.

φώνημα τὸ φθέγμα.

φῶνος ὁ μεγαλόφωνος.

φώρ ὁ κλέπτης. ἡ δοτικὴ φωρί.

φωραθείς εὑρεθείς, γνωσθείς. Πάμφιλος δανειστὴς παρὰ Ἀριστοφάνει, ὃς φωραθεὶς ἐπ' αὐτοφώρῳ κατελύθη (cf. v. Πάμφιλος).

φωρᾶν ἐρευνᾶν, ἐκζητεῖν.

φῶρας λῃστάς, ἀπὸ τοῦ τὴν φώραν ἐρευνῆσαι.

φωράσας διερευνήσας, καταλαβών. καὶ φωράσω εὕρω, θεωρήσω, ἐρευνήσω.

φώρια λαθραῖα, λῃστήρια. ἢ κλοπιμαῖα πράγματα· "ἐπήλυσιν ὄφρ' ἀλέοιτο φώριον" (cf. v. ἐπήλυσις). καὶ ἐν ἐπιγράμματι (AP 5 219) "φώρια δ' ἀμφαδίων λέκτρα μελιχρότερα." καὶ φωρεία, ἐπὶ τῆς λῃστείας ταῦτα εἴληπται. καὶ φώριον τὸ κλέμμα.

φωριαμός κιβωτός.

φῶρος κατάσκοπος.

φωρυτός κόπρος, ἢ χῶμα (cf. v. φορυτός).

a φώς ὀξυτόνως ὁ ἄνθρωπος, φῶς δὲ περισπωμένως, ὅπερ ἐστὶν ἐνέργεια καὶ τελειότης τοῦ δυνάμει διαφανοῦς. τὸ δὲ φῶς οὐδενὶ ἄλλῳ κρίνεται ἢ τῇ ὄψει. φῶς οὖν ἡ τοῦ διαφανοῦς ἐνέργεια, καθὸ ἐστι διαφανές, τουτέστι τὸ εἶδος καὶ ἡ τελειότης αὐτοῦ· δυνάμει γὰρ ὄντος τοῦ διαφανοῦς, ἐπιγενόμενον τὸ φῶς καὶ εἰδοποιῆσαν καὶ τελειῶσαν αὐτὸ ἐποίησεν ἐνεργείᾳ διαφανές. τὸ δὲ ὅτι σῶμά ἐστιν ὅτε κατ' ἐκπομπὴν σωμάτων τινῶν γίνεται. πῶς γὰρ οἷόντε ἦν ἀναβλέψαντας ἡμᾶς ἀθρόον τοῦ οὐρανοῦ ἀντιλαβέσθαι; πῶς γὰρ οἷόντε ἐστὶν ἀχρόνως σῶμά τι τοσαύτην κινηθῆναι διάστασιν; δέδεικται γὰρ δύο ζῳδίων διάστημα εἶναι, καὶ τριπλασιεφέβδομός ἐστιν ἡ περίμετρος τῆς διαμέτρου. ἔστι δὲ τὸ ἀπὸ τοῦ κέντρου τὸ ἥμισυ τῆς διαμέτρου. δῆλον οὖν ὡς τῆς ὅλης διαμέτρου τέσσαρα ἐχούσης ζῴδια καὶ πρός, ἐπειδὴ ἡ περίμετρος δώδεκα ἔχει, τὸ ἥμισυ τῆς διαμέτρου δύο ἂν ἔχοι ζῴδια καὶ πρός. πῶς οὖν οἷόντε σῶμα ἀχρόνως τοσοῦτον κινηθῆναι διάστημα; αὐτὴ γοῦν ἡ ὀξυτάτη τῶν κινήσεων, λέγω δὴ ἡ τῆς ἀπλανοῦς, ἐν δύο ὥραις τὸ ἑκτημόριον τοῦ παντός, λέγω δὴ τὰ δύο ζῴδια, κινεῖται. πῶς οὖν οὐκ ἄλογον τὰ ἐκπεμπόμενα σώματα τὰ ἐκ τῶν ὄψεων καὶ τῆς ἀπλανοῦς ὀξυκινητότερα ὑποτίθεσθαι; (Philopon. in Aristot. de an. 2) καὶ πλεῖστα ἕτερα ἄττα περὶ φωτός, ὅτι μή ἐστι σῶμα, συλλογίζεται, ἃ παρήκαμεν δι' ἀπειρίαν· ἅ τις ζητησάτω.

φῶς καὶ ἡ θεία κηδεμονία· Δαβίδ "καὶ b τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ" (Theodoret. in Ps. 37 11).

ὅτι πᾶν σῶμα τὴν τοῦ φωτὸς δεχόμενον c ἐνάργειαν, εἰ προσπέσοι λεῖόν τι καὶ στιλπνὸν σῶμα, δρᾷ αὐτὸ οὕτως ὥστε καὶ αὐτὸ τὴν ὁμοίαν ἐνάργειαν ἀντιπέμπειν, ὥσπερ ἐν ἀργύρῳ καὶ ἐν τοῖς ἐσόπτροις καὶ ἐν ὕδατι καὶ ἐν ἄλλοις πλείστοις. διὰ τοῦτο γοῦν καὶ ἡ σελήνη δεχομένη τὸ τοῦ ἡλίου φῶς φωτίζει τὰ τῇδε. καὶ τοῦτό φαμεν φωτὸς ἀντανάκλασιν, τὴν ἀπὸ τῶν δεχομένων καὶ δυναμένων τὴν ὁμοίαν ἐνεργεῖν ἐνέργειαν.

φωσφόρος ὁ τὸ φῶς ἀνατέλλων.

φωσώνιον λινοῦν τι ἤτοι σινδόνιον. ἢ καὶ ἱστίον τῆς νεὼς πεφυσημένον. ἢ προσώπου τι ἐκμαγεῖον. λέγεται δὲ οὕτως καὶ ὃ παρὰ Ῥωμαίοις καλεῖται ὀράριον (cf. Phot. bibl. p. 349 a 21).

φώσωνος τοῦ ἀρμένου.

φώσωρις.

φῶτα ἄνδρα. "ὁ γὰρ - - - παραβαλλόμενος, ἔνθ' ἀρετὴ διαείδεται ἀνδρῶν, κατὰ τὸν ποιητήν" (cf. v. ἄναλκις).

φωταύγεια ἡ λαμπρότης.

Φωτεινός ὄνομα κύριον.

φωτίζειν εἰς φῶς ἄγειν, ἐξαγγέλλειν· "οἱ δὲ Ῥωμαῖοι νομίσαντες ἤδη τὸν καιρὸν παραδιδόναι φωτίζειν τὸ κατὰ τὴν ἐντολὴν ἀπόρρητον."

Χαβρίας ὄνομα κύριον.

Χαγάνος ὁ ἀρχηγὸς τῶν Σκυθῶν. "ὃ δὲ ··· ἤθροιζε" (cf. v. αὖρας).

χαῖα ἀντὶ τοῦ ἀγαθή, παρὰ τὸ κεχηνέναι· Ἀριστοφάνης (Lys. 90) "χαΐα μέν ἐστι, Κορινθία δέ," τουτέστι πόρνη, ἐπεὶ ἡ Κόρινθος ἐπληθύνετο πόρναις.

χαιός ἡ ῥάβδος.

χαῖρε φίλον φῶς. γυναῖκα βουλομένην ἀκολασταίνειν, σβέσασαν τὸν λύχνον, φασὶ τοῦτο εἰπεῖν. οἱ δὲ αἰσχράν, ἄλλοι γραῦν.

Χαιρέας ὄνομα κύριον.

a *χαίρειν.* τοιώδε ἦν προσαγόρευσις ἀπαλλασσομένων ἢ προσερχομένων. ἐτίθετο δὲ κατ' ἀρχὰς τῶν ἐπιστολῶν.

b *χαίρειν* πρόσρημα. ὀψὲ ταῖς ἐπιστολαῖς τοῦτο προστεθῆναί τινες νομίζουσιν, ἁπλῶς δ' οὕτως ἀλλήλοις πρότερον ἐπιστέλλειν, οἷον "Ἄμασις Πολυκράτει τάδε λέγει" (Herodot. 3 40). πρῶτον δὲ Κλέωνά φησιν Εὔβουλος ὁ κωμικὸς οὕτως ἐπιστεῖλαι τοῖς Ἀθηναίοις ἀπὸ Σφακτηρίας, ἐφ' ᾧ καὶ ὑπερησθῆναι· ἀγνοῶν ὅτι καὶ οἱ παλαιοὶ ἐχρῶντο, καὶ προσηγόρευον οὕτως ἀλλήλους, οὐ μόνον τὸ πρῶτον ἐντυγχάνοντες ὡς ἡμεῖς, ἀλλὰ καὶ διαλυόμενοι ἀπ' ἀλλήλων ἀντὶ τοῦ ὑγιαίνειν καὶ ἐρρῶσθαι χαίρειν διεκελεύοντο ἀλλήλοις. "ὥσπερ οἱ ὄρνιθες ··· γλῶσσαν" (cf. v. Εὔξενος).

c *χαίρειν.* ἀρχαῖον ἔθος τὸ ἐπιστολαῖς προστιθέναι τὸ χαίρειν. οἱ δὲ λέγοντες πρῶτον Κλέωνα χρήσασθαι τούτῳ ψεύδονται.

d *χαίρειν,* εὖ πράττειν, πολλὰ φρονεῖν, προσρήματα. οἱ δὲ χαίρειν, οἰμώζειν, στενάζειν (cf. v. χαιρέτω).

e *χαίρειν.* οὕτως ἐπέγραφε Κλέων, ὁ δὲ Πλάτων εὖ πράττειν, ὁ δὲ Ἐπίκουρος εὖ διάγειν (cf. v. εὖ διάγειν).

χαίρειν εἰπών ἀντὶ τοῦ καταλιπών· "ὃ δὲ δι' ἄλλης ὁδοῦ παρεγένετο, τῇ Μισσιανῇ χαίρειν εἰπών."

χαίρειν, ἤν τε βούλησθ' ἤν τε μή," ἀντὶ τοῦ παντὶ τρόπῳ. Ἀριστοφάνης Πλούτῳ (638) "πάρεστι χαίρειν, ἤν τε βούλησθ' ἤν τε μή." καὶ ἔτι ὁ αὐτός (322) "χαίρειν μὲν ὑμᾶς ἐστιν, ὦνδρες δημόται, ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν."

χαίρειν φράσαντες ἀποταξάμενοι, καταγνόντες.

χαιρέκακος ὁ χαίρων τοῖς κακοῖς.

χαιρέτω ληρῶν ἐρυθριάτω φλυαρῶν. καὶ *χαίρειν* οἰμώζειν, στενάζειν.

Χαιρεφῶν Ἀθηναῖος, τῶν δήμων Σφήττιος, φιλόσοφος, Σωκράτους ἀκουστής.

Χαιρεφῶν. τῶν ἄγαν γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. οὐδὲν δὲ αὐτοῦ δοκεῖ σώζεσθαι τῶν συγγραμμάτων. δοκεῖ γὰρ γενέσθαι πάνυ θερμὸς καὶ σφόδρα ἐχθρεύειν τἀδελφῷ· καί φησι Ξενοφῶν (Mem. 2 3 18) Σωκράτην συνάγοντα αὐτοὺς λέγειν ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφρονοῖεν, οὐδὲ χειρῶν, οὐδὲ ποδῶν. δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος.

Χαιρεφῶν ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν. καὶ παροιμία ··· ἐκαλεῖτο (cf. v. διοίσειν).

χαιρηδόνος χαρᾶς. τῷ τόνῳ δὲ ὡς ἀλγηδόνος· ὡς γὰρ ἀπὸ τοῦ ἀλγήσω μέλλοντος ἀλγηδών ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαιρήσω χαιρηδών χαιρηδόνος.

Χαιρήμων κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα, Τραυματίας, ὡς Ἀθηναιός φησιν, καὶ Οἰνεὺς καὶ Ἀλφεσίβοια καὶ Κένταυρος καὶ Διόνυσος καὶ Ὀδυσσεὺς καὶ Θυέστης καὶ Μινύαι. καὶ ἕτερος Χαιρήμων γράψας ἱερογλυφικά.

Χαιριδεῖς ὑπὸ τοῦ Χαίριδος πεπαιδευμένοι ἢ μελετῶντες. Χαῖρις δὲ αὐλητὴς Θηβαῖος ἄμουσος. οὕτω δὲ λέγουσιν Ἀττικοὶ ἀπὸ τοῦ Χαίριδος Χαιριδεῖς καὶ ἀπὸ τῆς περιστερᾶς περιστεριδεῖς. οὗτος δὲ ηὔλει ἐν ταῖς θυσίαις. ἦν δὲ καὶ κιθαρῳδός· Ἀριστοφάνης (Pac. 941) "ἢν Χαῖρις ὑμᾶς ἴδῃ, πρόσεισιν αὐλήσων ἄκλητος." καὶ παροιμία "Χαῖρις ᾄδων ὄρθιον." ὄρθιος δὲ αὐλητικὸς νόμος οὕτω καλούμενος, οἷον εὔτονος καὶ ἀνάτασιν ἔχων. καὶ Ὅμηρος (Λ 10) "ἔνθα στᾶσ' ἤυσε θεὰ μέγα τε δεινόν τε ὄρθι' Ἀχαιοῖσι."

Χαῖρις κιθαρῳδός. μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν Ἀγρίοις· "φέρ' ἴδω, κιθαρῳδὸς τίς κάκιστος ἐγένετο; ὁ Πεισίου Μέλης. μετὰ τὸν Μέλητα δ' ἦν–. ἔχ' ἀτρέμας, ἐγᾧδα. Χαῖρις." ἔστι καὶ ἕτερος, οὗ μνημονεύει Κρατῖνος ἐν Νεμέσει (sch. A Ach. 859).

χαίρω τὸ εὐφραίνομαι. καὶ *χαίρω* σε

ἐληλυθότα. Ὠρωπικοὶ οὕτω λέγουσιν. Εὐριπίδης Σισύφῳ "χαίρω γέ σ', ὦ βέλτιστον Ἀλκμήνης τέκος, τόν τε μιαρὸν ἐξολωλότα." καὶ χαιρούμενος.

Χαίρων Λακεδαιμόνιος, ὃς ἐπρέσβευσεν εἰς τὴν Ῥώμην, ἀνὴρ ἀγχίνους μὲν καὶ πρακτικός, νέος δὲ καὶ ταπεινὸς καὶ δημοτικῆς ἀγωγῆς τετευχώς. οὗτος ὀχλαγωγῶν καὶ κινήσας ὃ μηδεὶς ἕτερος ἐθάρρει, ταχέως περιεποιήσατο φαντασίαν παρὰ τοῖς πολλοῖς. καὶ τὸ μὲν πρῶτον ἀφελόμενος τὴν χώραν ἣν οἱ τύραννοι συνεχώρησαν ταῖς ὑπολειφθείσαις τῶν φυγάδων ἀδελφαῖς καὶ γυναιξὶ καὶ μητράσι καὶ τέκνοις, ταύτην διέδωκε τοῖς λεπτοῖς εἰκῇ καὶ ἀνίσως κατὰ τὴν ἰδίαν ἐξουσίαν· μετὰ δὲ ταῦτα τοῖς κοινοῖς ὡς ἰδίοις χρώμενος ἐξεδαπάνα τὰς προσόδους, οὐ νόμου στοχαζόμενος, οὐ κοινοῦ δόγματος, οὐκ ἄρχοντος. ἐφ' οἷς ἀγανακτήσαντες κατεστάθησαν δοκιμαστῆρες τῶν κοινῶν κατὰ τοὺς νόμους. ὁ δὲ Χαίρων θεωρῶν τὸ γιγνόμενον καὶ συνειδὼς αὑτῷ κακῶς κεχειρικότι τὰ τῆς πόλεως τὸν ἐπιφανέστατον τῶν δοκιμαστήρων Ἀπολλωνίδην ἀποπορευόμενον ἡμέρας ἐκ βαλανείου ἐξεκέντησε. τοῦ δὲ πλήθους ἀγανακτήσαντος ἐπὶ τοῖς γεγονόσιν, ὁ στρατηγὸς παραγενόμενος εἰς Λακεδαίμονα τὸν Χαίρωνα παρήγαγεν εἰς κρίσιν ὑπὲρ τοῦ φόνου τοῦ κατὰ τὸν Ἀπολλωνίδην, καὶ κατακρίνας ἐποίησε δέσμιον· τούς τε λοιποὺς δοκιμαστῆρας παρώξυνε πρὸς τὸ ποιεῖσθαι τὴν ζήτησιν τῶν δημοσίων ἀληθινήν, φροντίσαι δὲ καὶ περὶ τοῦ κομίσασθαι τὰς οὐσίας τοὺς τῶν φυγάδων ἀναγκαίους πάλιν, ἃς ὁ Χαίρων αὐτῶν ἀφείλετο βραχεῖ χρόνῳ πρότερον ⟨Polyb. 25 8⟩.

Χαιρώνεια πόλις, καὶ Χαιρωνειάτης ὁ πολίτης. καὶ Χαιρωνεὺς Χαιρωνέως.

Χαιρωνικόν.

Χαίρωνος ὄνομα κύριον.

χαῖται αἱ τρίχες, αἱ κόμαι.

χαιτήεις ἵππος ὁ χαίτην τρέφων.

χάλαζα νέφος πεπηγὸς καὶ ὑπὸ πνεύματος διαρριφθὲν καὶ κατενεχθέν. χιὼν δὲ ὑγρὸν ἐκ νέφους πεπηγός ⟨Diog. L. 7 153⟩.

χάλαζαι. τέσσαρές εἰσι πήξεις τῆς ἐν τῷ ἀέρι ὑδατώδους ὑγρότητος, ὑπὲρ γῆν μὲν ἄνω ἐπ' ἔλαττον μὲν χιών, ἐπὶ πλέον δὲ χάλαζα, ἐπὶ γῆς δὲ κάτω ἐπ' ἔλαττον μὲν πάχνη, ἐπὶ πλέον δὲ κρύσταλλος. ὁ δὲ νιφετὸς οὐκ ἔστι πῆξις, ἀλλὰ μᾶλλον περὶ ἀλλοίαν χρόαν ἡ ποιότης αὐτοῦ. Ἀριστοφάνης ⟨Ran. 876⟩ "ἀπὸ τῶν χαλαζῶν, ὦ πόνηρ' Εὐριπίδη," ἀντὶ τοῦ ἀπὸ τῶν σφοδρῶν λόγων.

χαλαζᾷ ἤτοι χαλαρός ἐστι "τὸν πρωκτὸν εἰ χαλαζᾷ." νόσημα δέ ἐστι τοῦτο τῶν θρεμμάτων, ὅπερ ζώντων μὲν λανθάνει, ἀποθανόντων δὲ καὶ τεμνομένων φανερὸν γίνεται. ταῖς σαρξὶ δὲ αὐτῶν ἀναμέμικται καὶ ἐμπέφυκεν ἡ χάλαζα. εἰώθασι δὲ οἱ μάγειροι πασσάλῳ τὰ τῶν χοίρων ἀνοίγειν στόματα μετὰ τὴν σφαγήν, καὶ κατανοεῖν εἰ χαλαζῶσι. χάλαζα δέ ἐστι πάθος τῶν χοίρων ⟨sch. A Eq. 380⟩.

χαλαρὰ χαῦνα· ⟨A Thesm. 269⟩ "χαλαρὰ γοῦν χαίρεις φορῶν ὑποδήματα." "καὶ χαλαρὸν ἦν αὐτῷ καὶ θῆλυ τὸ σπλάγχνον πρὸς τοὺς δεομένους, εἴπερ τινὶ τῶν καθ' αὑτὸν ἀνθρώπων."

χαλάσαι ἐκλυθῆναι, χαυνωθῆναι· "ὕδωρ ἐξ οὐρανοῦ ἐμπῖπτον χαλάσαι μὲν τοῖς βαρβάροις τὰς νευράς, μαλάξαι δὲ τῶν τόξων τὰ κέρατα, ἀφελέσθαι δὲ τὸ βίαιον καὶ τὸ ἐπίσκοπον τῆς τοξείας."

Χαλαστραῖον νίτρον, ἀπὸ Χαλάστρας τῆς ἐν Μακεδονίᾳ λίμνης.

χαλάσω τὴν ἱερὰν ἄγκυραν. ἄγκυρα μεταφορικῶς ἀπὸ τῶν νηῶν ἡ ἀσφάλεια, ὡς Σοφοκλῆς ἐν Φαίδρᾳ καὶ Εὐριπίδης ἐν Ἑκάβῃ ⟨79⟩, ἱερὰ δὲ ἡ μεγάλη ἢ ἀγαθή. Διόδωρος "τοῦ δὲ βασιλέως χαλῶντος καὶ παραλυομένων πρὸς τὰ λεγόμενα, ἐπιτρέπει αὐτῷ πράττειν ὃ βούλεται."

χαλβάνη ἀλοιφή τις ἐνεργητικὴ πρὸς ἵππους.

Χαλδαϊκοῖς ἐπιτηδεύμασι "διαπορουμένῳ γοῦν τῷ Πρόκλῳ περὶ τῶν Ἰσιδώρου μιμήσεων τῶν ὀρνέων καὶ τῶν φωνῶν τῶν ἀπηχημάτων ἐνίας ἐν τοῖς Χαλδαϊκοῖς ἐπιτηδεύμασιν αὐτὸς ὑπεδείκνυε τὴν ὁδὸν τῆς μιμήσεως ἄλλων τε καὶ στρουθῶν τῶν μικρῶν τούτων καὶ κατοικιδίων τῆς πτήσεως, οἷα ψοφοῦσι ταῖς πτέρυξιν ἐγειρόμενοι πρὸς τὸ πέτεσθαι" ⟨Damascius⟩.

Χαλδαῖοι ἔθνος περὶ τὴν ἀστρονομίαν ἠκριβωμένον.

Χαλδίνη ὄνομα πόλεως.

χαλεπὰ τὰ καλά. Πιττακὸν ἀποτιθέ- a
μενον τὴν ἀρχὴν πρὸς τοὺς θαυμάζοντας εἰ-

πεῖν "χαλεπὸν ἐσθλὸν ἔμμεναι," Σόλωνα δὲ μαλακίαν αὐτῷ καταγνόντα φάναι "χαλεπὰ τὰ καλά." διὸ καὶ ἑκάτερα παροιμιασθῆναι ⟨cf. v. Πιττάκειον⟩.

b *χαλεπὰ τὰ καλά.* φασὶ Περίανδρον τὸν Κορίνθιον κατ' ἀρχὰς μὲν εἶναι δημοτικόν, ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλόντα τυραννικὸν γενέσθαι· ὅθεν ἡ παροιμία. οἱ δὲ τὸ χαλεπὰ ἀντὶ τῦ ἀδύνατα τιθέασιν, ὡς μηδὲ ἐκείνε δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην.

χαλεπαίνει ἀγανακτεῖ, ὀργίζεται. "ἔπεσον πλείονες τῶν Ῥωμαίων, καὶ Τραϊανὸς ἐχαλέπαινε τοῖς πεποιημένοις." καὶ αὖθις "διὰ τὸ πολλάκις ἰδεῖν πρότερον οὐ χαλεπῶς γνωρίσας τὸν ἄνθρωπον," ἀντὶ τῦ εὐχερῶς. καὶ αὖθις "ἐπὶ τοσόνδε χαλεπήναντος τοῖς φύλαξιν ὥστε καὶ τὰς κεφαλὰς αὐτῶν ἀποτεμεῖν." καὶ αὖθις "ὡς δὲ ἐπεφοίτα ἡ τῦ ὀνείρυ ὄψις ἐς πάντας, χαλεπαίνυσιν ὁ δῆμος," οἱ Τύριοι.

χαλεπὸν χορίυ κύνα γεύειν" ⟨Theocrit. 10 11⟩. τὸ ἔλυτρον τῦ ἐμβρύυ χόριον καλεῖται· οἱ δὲ κύνες γευσάμενοι τούτου καὶ τοῖς ἐμβρύοις ἐπιβυλεύυσι διὰ τὸ λίχνον.

χαλεπώτατον. φησὶν Ἀριστοτέλης ἐν β' Τοπικῶν ⟨1 4⟩ "χαλεπώτατον τὸ ἀντιστρέφειν τὴν ἀπὸ τῦ συμβεβηκότος οἰκείαν ὀνομασίαν." χαλεπώτατον λέγοι ἂν ὅτι μὴ ἁπλῦν μηδὲ πρόχειρον, ὡς ἐπὶ τῶν ἄλλων ⟨Alex. Aphrod. p. 70⟩.

χαλεπωτάτυς λόγυς ⟨A Av. 539⟩ κλέψαι δυναμένυς. "Κάνδιδος ἐκλεξάμενος τὺς χαλεπωτέρυς καὶ σφίσι τὰ δημόσια νείμας ἔπεισεν ἐξ ἐκείνυ καὶ τοῖς τῶν ἐπαρχιῶν ἄρχυσιν ὑπείκειν."

Χαλέστρα πόλις.

χαλίκρητος ποτός ὁ χαλῶν τὰς φρένας. ἢ κατὰ στέρησιν τῦ χ, ἵν' ᾖ ἅλις ἄκρατον ἔχων, τυτέστιν οἶνον. καὶ *χαλικρήτῳ* μὴ κεκραμένῳ· ἐν ἐπιγράμματι ⟨AP 5 294⟩ "κεῖτο χαλικρήτῳ νάματι βριθομένη."

χαλίμα ἡ πόρνη, ἀπὸ τῦ χαλᾶσθαι τὸ σῶμα ἀπὸ μέθης ἢ μανίας.

χαλινός τὸ ἡνίον.

χαλινῶ αἰτιατικῇ.

χάλιξ μικρὸν λιθίδιον.

χάλις εἶδος οἴνυ. καὶ ἡ δοτικὴ τῷ χάλει.

χαλίσια.

χαλίφρονος τῦ ἀνοήτυ.

χαλκεῖα ἑορτὴ Ἀθήνησιν, ἥ τινες Ἀθηναια καλῦσιν· οἱ δὲ πάνδημον διὰ τὸ ὑπὸ πάντων ἄγεσθαι.

χαλκεῖα ἑορτὴ ἀρχαία καὶ δημοτελὴς πάλαι, ὕστερον δὲ ὑπὸ μόνων ἤγετο τῶν τεχνιτῶν, ὅτι ὁ Ἥφαιστος ἐν τῇ Ἀττικῇ χαλκὸν εἰργάσατο. ἔστι δὲ ἕνη καὶ νέα τοῦ πυανεψιῶνος· ἐν ᾗ καὶ ἱέρειαι μετὰ τῶν ὀρρηφόρων τὸν πέπλον διάζονται.

χαλκεῖα ἑορτὴ παρ' Ἀθηναίοις ἀγομένη πυανεψιῶνος ἕνῃ καὶ νέᾳ, χειρώναξι κοινῇ, μάλιστα δὲ χαλκεῦσιν, ὥς φησιν Ἀπολλώνιος. Φανόδημος δέ φησιν οὐκ Ἀθηνᾷ ἄγεσθαι τὴν ἑορτὴν ἀλλ' Ἡφαίστῳ. Harp.

χαλκεῖον ἐν ᾧ χαλκεύυσι. χαλκεῖον δὲ Δωδωναῖον διαφορεῖται.

χαλκέντερος. ὅτι Δίδυμος ὁ γραμματικὸς χαλκέντερος ἐκλήθη διὰ - - - βιβλία ⟨cf. v. Δίδυμος⟩.

χάλκεος ἰσχυρός, στερεός. καὶ χαλκέῳ κεράμῳ Ὅμηρος ⟨E 387⟩· "χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας," ἤγουν δεσμῷ ἰσχυρῷ καὶ δυσλύτῳ. ἡ πόλις καλεῖται Χαλκῦς κέραμος.

χαλκεύς πᾶς ὁ χαλκεύων τι. καὶ ὁ χρυσοχόος.

χαλκευτής· ⟨AP 7 34⟩ "Πιερικὰν σάλπιγγα, τὸν εὐαγέων βαρὺν ὕμνων χαλκευτὰν κατέχει Πίνδαρον ἅδε κόνις."

χαλκεύω αἰτιατικῇ.

χαλκεῶνα τὸ χαλκεῖον.

χαλκήβατος.

Χαλκηδόνιοι ἀπὸ Χαλκηδόνος πόλεως.

χαλκήρεα.

Χαλκιδεύς ὄνομα κύριον.

χαλκιδίζειν καὶ *χαλκιδεύεσθαι* ἐπὶ τῶν γλισχρευομένων. καὶ *φικιδίζειν* ἐπὶ τῦ παιδεραστεῖν, ἐπεὶ παρ' αὐτοῖς οἱ ἀρρένων ἔρωτες ἤσκηντο. ἄλλοι δὲ ἐπὶ τῦ ῥωτακίζειν, ἐπεὶ αὐτοί τε καὶ Ἐρετριεῖς δοκοῦσι τῷ ρ κατακορεστέρως χρῆσθαι, καὶ ἀντὶ τοῦ σ τιθέντες.

Χαλκιδικὸν δίωγμα. τοῖς Θεσμοφόροις Ἀθήνησί τι νόμιμον, ἐν πολέμῳ γυναικῶν εὐξαμένων διωχθῆναι τὺς πολεμίας, καὶ συνέβη φυγεῖν εἰς Χαλκίδα, ὡς καὶ Στρ... ⟨cf. Plutarch. quaest. Gr. 31⟩.

χαλκιδῖτις παρὰ Ἰωσήπῳ ἡ πόρνη ἀπὸ τῆς εὐτελείας τῦ διδομένυ νομίσματος.

χαλκίοικος ἡ Ἀθηνᾶ ἐν Σπάρτῃ.

ὅτε χαλκῦν εἶχεν οἶκον, ἢ διὰ τὸ στερεὸν εἶναι, ἢ διὰ τὸ τὰς Χαλκιδεῖς τὰς ἐξ Εὐβοίας φυγάδας αὐτὸν κτίσαι (sch. Thuc. 1 128).

χαλκίοισι τοῖς πονηροῖς χρώμεθα, χθές τε καὶ πρώην κοπεῖσι τῷ κακίστῳ κόμματι" (A Ran. 737). χαλκία ὡς χρυσία ἔλεγον τῷ σχήματι, τὰ χαλκᾶ σκεύη. λέγεται δὲ οὕτω καὶ τὸ κακὸν νόμισμα τὸ χρυσοῦν, λέγεται δὲ καὶ τὸ χαλκοῦν· ἐπὶ γὰρ Καλλίου νόμισμα χαλκοῦν ἐκόπη. λέγει δὲ ὅτι τὸ αὐτὸ πέπονθεν ἡ πόλις εἰς τοὺς χρηστοὺς τῶν ἀνθρώπων καὶ εἰς τὸ ἀρχαῖον νόμισμα· ὥσπερ γὰρ τῷ παλαιῷ νομίσματι οὐ χρώμεθα καλῷ ὄντι, ἀλλὰ τῷ καινῷ κακῷ ὄντι, οὕτω καὶ τοῖς ἀρχαίοις ἀνθρώποις οὐ χρώμεθα καλοῖς ὖσι, τοῖς δὲ νῦν στρατηγοῖς κακοῖς ὖσι συγχρώμεθα.

χαλκίς εἶδος ὀρνέυ, ἡ γλαῦξ.

χαλκοβάρεια τῷ χαλκῷ βαρουμένη, ἀντὶ τῦ στερεά.

χαλκοβατές στερεόν. Hom. *A* 428.

χαλκοκορυστής χαλκῷ καθωπλισμένος.

χαλκοκρότων χαλκοπόδων, τουτέστι τὰς ὁπλὰς ἰσχυρὰς ἐχόντων· συμβαίνει γὰρ ἠχεῖν τὴν γῆν καὶ κτυπεῖν ἐπικρουομένην τοῖς ποσὶ τῶν ἵππων.

χαλκόπυς ἐρινύς ἡ στερεὰ καὶ ἀκοπίατος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων (sch. S El. 491).

χαλκοτύπους (Hom. *T* 25) τὰς ἐκ σιδήρου πληγὰς γινομένας. "χαλκοτυπίαις ἁδραῖς σε τὸ σῶμα."

χαλκῷ σιδήρῳ.

Χαλκώδων.

Χαλμήδη.

Χάλος ποταμός, οὗ τὸ εὖρος πλέθρον, πλήρης ἰχθύων μεγάλων καὶ πραέων (cf. v. Φάρος).

Χάλυβες ἔθνος Σκυθίας, ἔνθεν ὁ σίδηρος τίκτεται· καὶ Λυκόφρων (1109) "Χαλυβικῷ κνώδοντι συντεθραυσμένῳ." καὶ χάλυψ ὁ σίδηρος· ἐν ἐπιγράμματι (AP 6 65) "καὶ χάλυβα σκληρὸν καλαμηφάγον."

Χαλυβώνιος οἶνος. cf. Strab. p. 1068.

Χὰμ σκηνώματα ἡ Αἴγυπτος, ἐπειδὴ τῦ Χὰμ ὁ Μεσρέμ, Μεσρὲμ δὲ ἡ Αἴγυπτος (Theodoret. in Ps. 77 51).

χαμάδις χαμαί, εἰς γῆν. καὶ χαμᾶζε χαμαί.

χαμαί ἐπὶ τῆς γῆς. καὶ παροιμία χαμαὶ ἀντλεῖν, ἐν ἴσῳ τῷ ὀδὲν ἐργάζεσθαι, οἷον καὶ τὸ πλίνθον πλύνειν ἐπὶ τῶν ἀνηνύτων λέγεται.

χαμαιευνάδες χαμαὶ κοιμώμεναι. καὶ χαμαιεύνης ὁμοίως. Hom. *Π* 235, *κ* 243, *ξ* 15.

χαμαιεύρετος· "χαμαιεύρετόν με εὗρε καὶ ἀνεθρέψατο."

χαμαίζηλοι ταπεινοί· ἢ δίφροι κοιλώδεις. "τροχῶν αὐτοῖς κάτωθεν ὑποστρεφομένων χαμαιζήλων."

χαμαιζυμήτης ἄρτος.

χαμαίλεον εἶδος βοτάνης. καὶ χαμαίμηλον εἶδος βοτάνης.

χαμαιλέων ζῷον, εἰς πάντα τὴν χροιὰν μετατρέπων πλὴν λευκοῦ.

χαμαιπέτεια. καὶ χαμαιπετής ὁ χαμαὶ ἐρριμμένος.

χαμαιρεπές χαμαὶ ῥέπον.

χαμαιτυπεῖον πορνεῖον, καὶ χαμαιτύπη ἡ πόρνη, ἀπὸ τῦ χαμαὶ κειμένη ὀχεύεσθαι. χαμεταιρίς.

χαμεύνης ὁ χαμαὶ εὐναζόμενος. καὶ θηλυκὸν χαμεύνη, ταπεινὴ κλίνη· Ἀριστοφάνης (Av. 817) "ὀδ' ἂν χαμεύνη πάνυ γε κειρίαν γ' ἔχων" (cf. v. κειρία).

χαμῖτις ὄνομα ἀμπέλυ.

χαμόθεν ἀπὸ τῆς γῆς.

Χαμώς θεὸς ἦν Τυρίων καὶ Ἀμμανιτῶν, ὥσπερ ἡ Ἀστάρτη θεὸς Σιδωνίων, οἷς ἐλάτρευσε Σολομῶν (cf. v. Σολομῶν).

Χαναάν ὄνομα κύριον. καὶ ἐξ αὐτοῦ Χαναναῖοι.

ὅτι Μωσῆς μ' ἔτη συμφιλοσοφήσας τῷ λαῷ τελευτᾷ, διάδοχον καταλιπὼν Ἰησοῦν τὸν τῦ Ναυῆ, ὅστις κατῴκισε τὸν Ἰσραὴλ ἐν τῇ γῇ ᾗ ἐπηγγείλατο κύριος τῷ Ἀβραάμ (ἔστι δὲ ἀπὸ τῦ ποταμῦ Αἰγύπτυ κυκλυμένη διὰ θαλάσσης καὶ ξηρᾶς), ἐκβαλὼν πάντας τὰς βασιλεῖς καὶ δυνάστας τῶν ἐθνῶν· οἵτινες ὑπ' αὐτῦ διωκόμενοι διὰ τῆς παραλίυ Αἰγύπτυ τε καὶ Λιβύης κατέφυγον εἰς τὴν τῶν Ἄφρων χώραν, τῶν Αἰγυπτίων μὴ προσδεξαμένων αὐτοὺς διὰ τὴν μνήμην τὴν προτέραν, ἣν ἔπαθον δι' αὐτὰς ἐν τῇ ἐρυθρᾷ καταποντισθέντες θαλάσσῃ. καὶ προσφυγόντες τοῖς Ἄφροις τὴν ἔρημον αὐτῶν ᾤκησαν χώραν, ἀναδεξάμενοι τὸ σχῆμα καὶ τὰ ἤθη, καὶ ἐν πλαξὶ λιθίναις ἀναγραψά-

μενοι τὴν αἰτίαν δι' ἣν ἀπὸ τῆς Χαναναίων γῆς ᾤκησαν τὴν Ἀφρικήν. καὶ εἰσὶ μέχρι νῦν αἱ τοιαῦται πλάκες ἐν τῇ Νυμιδίᾳ περιέχουσαι οὕτως "ἡμεῖς ἐσμὲν Χαναναῖοι, οὓς ἐδίωξεν Ἰησοῦς ὁ λῃστής." καὶ θηλυκὸν Χαναναία. καὶ Χαναντῖτις γῆ.

χανδόν ἀθρόως, ἀπλήστως, χωρητικῶς. πίνειν χανδόν. "ὁ δὲ Εὐτρόπιος καιροῦ καὶ τύχης ἀμέτρως τε καὶ χανδὸν ἀρυόμενος καὶ κατεμφορούμενος, καὶ πολυπραγμονῶν, ὥστε οὐκ ἔλαθε πατὴρ παῖδα μισῶν ἢ ἀνὴρ γυναῖκα ἢ μήτηρ τέκνον, ἀλλ' ἐξηκοντίζετο ἅπαντας πρὸς τὴν ἐκείνου γνώμην" (Eunap. p. 117 Nieb.).

χάνοι διασταίη.

Χάονες ἔθνος Ἠπειρωτικόν· Ἀριστοφάνης (Eq. 78) *"ὁ πρωκτὸς ἐστιν αὐτόχρημ' ἐν Χάοσιν," ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο ὁ Γέρης. ἐν Χάοσι δὲ παρὰ τὸ κεχηνέναι. Θρᾴκης δὲ ἔθνος οἱ Χάονες.*

a *χάος καὶ ὁ ἀὴρ παρ' Ἀριστοφάνει ἐν Ὄρνισι* (193)· *"διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χάους τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε." καὶ "χάους ἀρχαιότερος καὶ κρονίων," ἐπὶ τῶν πάνυ παλαιῶν. καὶ Ἴβυκος "πωτᾶται δ' ἐν ἀλλοτρίῳ χάει." καὶ αὖθις "ὃ δὲ φλυαρεῖ καὶ μάτην ἡμῶν λῆρον καταχεῖ τοῦ χάους ἀρχαιότερον καὶ κρονίων ἀπόζοντα."*

b *χάος. Ἀριστοφάνης* (Av. 698) *"χάος ἦν καὶ νὺξ ἔρεβός τε μέλαν πρῶτον καὶ τάρταρος εὐρύς, γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν· ἐρέβους δ' ἐν ἀπείροσι κόλποις τίκτει πρώτιστον ὑπηνέμιον νὺξ ἡ μελανόπτερος ᾠόν, ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός, στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις. οὗτος δὲ χάει πτερόεντι μιγεὶς νυχίῳ κατὰ τάρταρον εὐρὺν ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν εἰς φῶς. πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως συνέμιξεν ἅπαντα· ξυμμιγνυμένων δ' ἑτέρων ἑτέροις γένετ' οὐρανὸς ὠκεανός τε καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον."*

χαρά ἡδονὴ εὐφροσύνη τέρψις. τινές φασι κατὰ τὸ ὑποκείμενον ταὐτὸν σημαινόμενον εἶναι, Πρόδικος δὲ ἐπειρᾶτο ἑκάστῳ τῶν ὀνομάτων τούτων ἴδιόν τι σημαινόμενον ὑποτάσσειν, ὥσπερ καὶ οἱ ἀπὸ τῆς στοᾶς, χαρὰν μὲν λέγοντες εὔλογον ἔπαρσιν, ἡδονὴν δὲ ἔπαρσιν ἄλογον, τέρψιν δὲ τὴν διὰ θεωρίας ἡδονήν, εὐφροσύνην δὲ τὴν διὰ λόγων ἡδονήν. νομοθετούντων δέ ἐστι τοῦτο. τὸ μὲν γὰρ εἰπεῖν ἡδονὴν χαρὰν οὐχ ἁμάρτημα ὥσπερ οὐδὲ τὸ τὴν μονάδα ἀδιαίρετον· οὐδὲ γὰρ τὸ τὴν χαρὰν χαρὰν εἰπεῖν ἢ τὴν μονάδα μονάδα· τὸ δὲ συμβεβηκέναι θάτερον θατέρῳ λέγειν ἄτοπόν τε καὶ ψεῦδος (Alex. Aphrod. in Top. 2 p. 96).

χαράδρα διῶρυξ πηλοῦ μεστή, ὄλεθρον, οὐχ ὕδωρ ἔχουσα· Ἀριστοφάνης (Vesp. 1034) *"φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας." ἐν ἐπιγράμματι* (AP 6 255) *"ὁππόθι μιν κνημούς τε κατὰ λασίους τε χαράδρας ἐξ ὀρέων ποταμοῦ φράσσατ' ἐπ' ἠιόνων."*

χαράδραι αἱ διαιρέσεις καὶ τὰ σχίσματα καὶ χείμαρροι γῆς.

χαραδραῖος λέων ὁ παρὰ ταῖς χαράδραις. εἰ μὴ τὸν Θεσπιακὸν λέγει, ὃν πρῶτον ἀνεῖλεν Ἡρακλῆς ἐν Θεσπιαῖς. Χαράδρα δὲ καλεῖται ὁ τόπος ἐκεῖνος.

Χαραδρεῶνος.

χαραδριός ὄρνεον, εἰς ὃν ἀποβλέψαντες, ὡς λόγος, οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται. ὅθεν καὶ κρύπτουσιν αὐτοὺς οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες.

"καὶ μὴν καλύπτει. μῶν χαραδριὸν περνᾷς;" οὕτως Ἱππῶναξ. καὶ παροιμία ἐντεῦθεν "χαραδριὸν μιμούμενος," ἐπὶ τῶν ἀποκρυπτομένων. οὕτως Εὐφρόνιος. ἐπεὶ γὰρ τοὺς ἰκτεριῶντας ὠφελεῖ ὁ χαραδριὸς ὀφθείς, καὶ τοῦτον οἱ περνῶντες κρύπτουσιν, ἵνα μὴ πρὸ τοῦ ὠνήσασθαί τις λαθῇ περιέργως. ἔστι δὲ εἶδος ὀρνέου μεταβαλλόμενον εἰς τὰ προκείμενα. καὶ ἐπὶ μὲν τοῦ ὀρνέου ὀξύνεται, ἐπὶ δὲ τῆς χαράδρας βαρύνεται. ἐπεὶ καὶ αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίαν ποιοῦσι. χαραδριὸν οὖν μιμούμενος ἀντὶ τοῦ ἀποκρυπτόμενος. οἱ δέ φασιν οὐ τοὺς ἰδόντας τὸν χαραδριὸν ἀλλὰ τοὺς φαγόντας ἀπαλλάσσεσθαι τῆς νόσου.

χαραδροῦται ὀρύσσεται, κοιλαίνεται.

χάρακα τείχισμα, περίφραγμα, χαράκωμα, ὃ περιεβάλλοντό τινες ἐν στρατοπέδῳ ἐπὶ σωτηρίᾳ, ὡς Δημοσθένης. καὶ Μένανδρος "πολλοὶ γὰρ ἐκλελοιπότες τὸν χάρακα τὰς κώμας ἐπόρθουν." Harp.

χαρακτῆρες λόγων φραστικοὶ ὑψηλὸς ἰσχνὸς μέσος. ὁ δὲ Θουκυδίδης τὸν ὑψηλὸν

ἐζήλωσεν ὡς πρόσφορον τῇ οἰκείᾳ φύσει ⟨Marcellin. V. Thuc. p. 6⟩.

Χάραξ Περγαμηνὸς ἱερεὺς καὶ φιλόσοφος, ὡς εὗρον ἐν ἀρχαίῳ βιβλίῳ ἐπίγραμμα ὅυτως ἔχον ⟨AP append. 157⟩ "εἰμὶ Χάραξ ἱερεὺς γεραρῆς ἀπὸ Περγάμε ἄκρης, ἔνθα ποτὲ πτολέμιξεν Ἀχιλλῆι πτολιπόρθῳ Τήλεφος Ἡρακλῆος ἀμύμονος υἱὸς ἀμύμων." ἔστι δὲ τῶν μετ' Αὔγουστον πολλῷ νεώτερος· μέμνηται γὰρ ἐν τῷ β' τῶν βιβλίων Αὐγέσε ὡς πάλαι γενομένε Καίσαρος, καὶ ἐν τῷ ζ' Νέρωνος καὶ τῶν μετ' αὐτὸν βασιλευσάντων. ἔγραψεν Ἑλληνικῶν τε καὶ ἱστοριῶν βιβλία μ'.

χάραξ ἀρσενικῶς τὸ στρατόπεδον.

ὅτι οἱ Ἕλληνες τὂτον ἡγὂνται χάρακα ἄριστον, ὃς ἂν ἔχῃ πλείστας ἐκφύσεις καὶ μεγάλας πέριξ τὂ πρέμνε. παρὰ δὲ Ῥωμαίοις δύο κεραίας ἢ τρεῖς ἔχεσιν οἱ χάρακες ⟨cf. v. πρέμνον⟩. Δημόστρατος Δημοποίητα "οἱ μὲν προσέφερον τὸν χάρακα πρὸς τὴν ἄκραν." θηλυκῶς δὲ ὁ τῆς ἀμπέλε· ⟨A Vesp. 1282⟩ "ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον."

χάραξ τὴν ἄμπελον, ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον πάθῃ.

χάραξιν ὀξέσι ξύλοις, ἢ καλάμοις, ἢ ἀκανθώδεσι φυτοῖς.

Χάραξος ὁ Σαπφοῦς ἀδελφός ⟨cf. vv. Αἴσωπος et Ἰάδμων⟩.

Χάρεια.

Χάρητος ὑποσχέσεις. Χάρης στρατηγὸς Ἀθηναίων εὐχερής τε καὶ ἑτοιμότατος πρὸς τὰς ὑποσχέσεις λέγεται γεγονέναι, ὅθεν ἡ παροιμία τάττεται ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων.

Χαρίδημος ὄνομα κύριον.

a χάριεν. οἱ Ἀττικοὶ πρὸ δύο ἀναπέμπεσι τὸ δὲ πρὸ μιᾶς κοινόν. Ἀριστοφάνης Πλέτῳ ⟨145⟩ "εἴ τί γ' ἔνεστι λαμπρὸν καὶ καλὸν ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίνεται."

b χάριεν προπαροξυτόνως ἀντὶ τὂ χαριέντως. χαρίεν δὲ παροξυτόνως ἐπὶ τὂ ἐπιχαρῦς· Δαμάσκιος "κινδυνεύομεν εἰς αὐτὰ ἐμπεπτωκέναι τὰ τῶν χαριέντων σκώμματα."

χαριεντιζόμενοι εὐτραπελευόμενοι, σκώπτοντες, ὡς Ἀρισοφάνης "χαριεντίζει καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει."

χαριεργός ἡ κεχαριτωμένα ἐργαζομένη· ⟨AP 6 205⟩ "ἃ δὴ χαριεργῷ Ἀθάνᾳ ἐκ τέχνας θήκατο παυόμενος."

χαριεστέρες ἐνδοξοτέρες, εὐπρεπεστέρες· Εὐνάπιος ⟨p. 101 Nieb.⟩ "ὁ δὲ Προκόπιος τὲς χαριεστέρες ἀναλαβὼν ἐπὶ τὸν βασιλέα διὰ Φρυγίας συνήπτετο."

Χαριέττων ὄνομα κύριον. cf. v. ἀντεῖχε.

χαρίζεσθαι κοινῶς μὲν ὡς οἱ πολλοί, ἰδίως δὲ ἐπὶ ἀφροδισίων ἢ ἐπὶ τὂ ἐν λόγῳ ὑποκατακλίνεσθαι. "εἴ τί σοι δεῖ χαρίζεσθαι," καὶ πάλιν "ἵνα σοι χαρίσωμαι." καὶ χαριζόμενοι χάριν τιθέμενοι· "οἳ δὲ τὴν κεφαλὴν αὐτὂ ἀπέτεμον, ἀχαρίστῳ νοσήματι τῷ θυμῷ χαριζόμενοι" ⟨cf. v. ἄχαρι⟩.

Χαρίκλεια ὄνομα κύριον. καὶ Χαρικλῆς εἷς τῶν λ'.

χάριν τέρψιν.

Χαρινάδης ὄνομα κύριον. οὗτος νωθὴς ἦν· καὶ παροιμία "κρείττων ἐστί σου Χαρινάδης βαδίζειν" ἐπὶ τῶν βραδυνόντων ἐν τῇ πορείᾳ ⟨A Vesp. 232⟩.

Χαριξένη. εὐήθης καὶ μωρὰ ἡ Χαριξένη ἑταίρα· Ἀριστοφάνης ⟨Eccl. 938⟩ "οὐ γὰρ τἀπὶ Χαριξένης τάδε γ' ἐστί."

χάρις· ⟨S Ai. 522⟩ "χάρις χάριν γάρ ἐσιν ἡ τίκτεσ' ἀεί," τετέσιν ἡ φύσασα τὴν χάριν χάρις ἐστὶ προϋπάρξασα.

χαρίσασθαι ἀντὶ τὂ κατορθῶσαι· "ὀλίγοις χαρίσασθαι" παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσι ⟨514⟩.

Χάρισι καὶ Ἀφροδίτῃ ξύντροφος ἡ διαλλαγή, τετέστιν ἡ εἰρήνη, διότι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται ⟨A Ach. 957⟩.

χαρίσιον χαριστήριον· "ταῦτα ἀναγεγράφθω μοι, χαρίσια ὀλίγα ἀντὶ πολλῶν ἀποδιδόντι." καὶ χαρίσιοι πλακοῦντος εἶδος· Ἀριστοφάνης Δαιταλεῦσι "πέμψω παλλακαῖς ἑσπέρας χαρισίες" ⟨cf. v. ἀνάστατα⟩.

Χαριστίωνος ὄνομα κύριον.

Χαριταίνης ὄνομα κύριον.

χάριτας τιμάς, εὐεργεσίας· "ὂ δὲ στέλλει Θεόδωρον ὁμολογήσοντα χάριτας ἀνθ' ὧν τὸν μέγιστον Ῥωμαίων πρεσβευτὴν ἐτίμησεν ἐς τὰ μάλιστα." καὶ παροιμία "αἱ χάριτες γυμναί," ἤτοι ὅτι δεῖ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι, ἢ ὅτι αἱ χάριτες τὸν ἑαυτῶν κόσμον ἀφῄρηνται. τρεῖς δὲ αἱ χάριτες, Πειθὼ Ἀγλαΐα καὶ Εὐφροσύνη.

χάριτας γυμνὰς ἱστοροῦσι, διότι δωρεὰν b δεῖ χάριτας τίθεσθαι.

χαριτία ἡ χαρμονή.

χαρίτων θρύμμα καλλώπισμα ⟨A Eccl. 966⟩.

Χαρίτων Χαρίτωνος ὄνομα κύριον.

Χαρίωνος ὄνομα κύριον.

χάρμα χαρά, ἡδονή· Πολύβιος. "τὸν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένας" ⟨Hom. τ 471⟩.

χάρμη μάχη.

Χάρμος. ὅτι Χάρμος ὁ Συρακούσιος εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων στιχίδια καὶ παροιμίας ἔλεγε. Κλέαρχος δὲ ὁ Σολεὺς δειπνολογίαν καλεῖ τὸ ποίημα, ἄλλοι ὀψολογίαν, Χρύσιππος γαστρονομίαν, ἄλλοι ἡδυπάθειαν ⟨cf. v. Ἀθήναιος⟩.

χαροπός περιχαρής, εὐόφθαλμος.

Χάροψ. καὶ Χάροπος κλίνεται.

a Χάρων ὁ θάνατος. καὶ πορθμευτικαὶ παρὰ Χάρωνος πεύσεις καὶ κηρύγματα "τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων; τίς εἰς τὸ Λήθης πεδίον;" χωρίον - - - χρησιμεύȣσι ⟨cf. v. ἀνάπαυλαν⟩. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀνηνύτων ἡ παροιμία· ἐν ᾧ τρόπῳ φαμὲν "χύτραν ποικίλλεις." ἀνήνυτα δὲ καὶ τὰ ἐν ᾅδȣ. διὰ τȣ̃το ȣ̓̀ν ὄνȣ πόκας ἀνεπλάσατο ποιητικῶς

b Χάρων Καρχηδόνιος ἱστορικὸς ἔγραψε τυράννȣς ὅσοι ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγόνασι, βίȣς ἐνδόξων ἀνδρῶν ἐν βιβλίοις δ', βίȣς ὁμοίως γυναικῶν ἐν δ'.

c Χάρων Λαμψακηνός, υἱὸς Πυθοκλέȣς, γενόμενος κατὰ τὸν πρῶτον Δαρεῖον, οθ' ⟨an ξθ'⟩ ὀλυμπιάδι· μᾶλλον δὲ ἦν ἐπὶ τῶν Περσικῶν, κατὰ τὴν οε' ὀλυμπιάδα· ἱστορικός. ἔγραψεν Αἰθιοπικά, Περσικὰ ἐν βιβλίοις β', Ἑλληνικὰ ἐν βιβλίοις δ', περὶ Λαμψάκȣ β', Λιβυκά, ὅρȣς Λαμψακηνῶν ἐν βιβλίοις δ', πρυτάνεις ἢ ἄρχοντας τοὺς τῶν Λακεδαιμονίων· ἔστι δὲ χρονικά. κτίσεις πόλεων ἐν βιβλίοις β'. Κρητικὰ ἐν βιβλίοις γ'· λέγει δὲ καὶ τȣ̀ς ὑπὸ Μίνωος τεθέντας νόμȣς. περίπλȣν τὸν ἐκτὸς τῶν Ἡρακλείων στηλῶν.

d Χάρων Ναυκρατίτης ἱστορικὸς ἱερεῖς τȣ̀ς ἐν Ἀλεξανδρείᾳ καὶ τȣ̀ς ἐν Αἰγύπτῳ καὶ τὰ ἐπὶ ἑκάστȣ πραχθέντα, βασιλεῖς τȣ̀ς ἐκ παλαιȣ̃ γεγονότας ἐν ἑκάστῳ ἔθνει, καὶ περὶ Ναυκράτεως, καὶ ἄλλα τινὰ περὶ Αἰγύπτȣ.

Χαρώνδας ὄνομα κύριον.

Χαρώνειος θύρα μία τȣ̃ νομοφυλακίȣ θύρα, δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θάνατον ἐξάγονται. καὶ Ἀριστοφάνης ἐν Πλούτῳ ⟨278⟩ "ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν," ἀντὶ τȣ̃ μέλλεις ἀποθανεῖν.

χαρτά χαρᾶς ἄξια· "σύμβολον φρονήσεως τὸ διακριτικὸν τῶν χαρτῶν καὶ ἀνακοπῆς ρῶν."

χαρτόν· Σοφοκλῆς ⟨Trach. 227⟩ "χαίρειν δὲ τὸν κήρυκα προὐννέπω χρόνῳ πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.

χαρτοφυλάκιον. τὰ παρὰ τὸ φυλάσσειν ἅπαντα διὰ τȣ̃ ι γράφεται καὶ προπαροξύνεται, οἷον χαρτοφυλάκιον θησαυροφυλάκιον σκευοφυλάκιον καὶ τὰ τȣ́τοις ὅμοια, πλὴν τȣ̃ σιτοφυλακεῖον καὶ νομοφυλακεῖον.

Χάρυβδις ἡ ἀναπινομένη θάλασσα περὶ τὰ Γάδειρα καὶ πάλιν ῥαγδαιοτέρως ἐπαναστρέφȣσα. εἴρηται δὲ πᾶν τὸ εἰς χάος καὶ ὄλεθρον κατάγον. Πρίσκος δὲ ⟨p. 222 Nieb.⟩ λέγει περὶ Χαρύβδεως "παραπλέȣσι δὲ τὴν Σικελίαν πρὸς τῇ Μεσσήνῃ κατὰ τὸν πορθμὸν τῆς Ἰταλίας, ἐν ᾧπερ ἡ Χάρυβδις, πνευμάτων ἐπιλαβόντων δυσαῶν αὐτοῖς ἀνδράσι κατέδυσαν" ⟨cf. v. δυσαῶν⟩.

ὅτι Χάρυβδις καὶ Σκύλλα, ἐν στενῷ τόπῳ κειμένη, ὑποδέχεται τὰ τȣ̃ ὠκεανȣ̃ ῥεύματα καὶ τȣ̀ς παραπλέοντας βυθίζει. ἐκεῖσε Ὀδυσσεὺς πάντας τȣ̀ς ἑταίρȣς μετὰ τῶν πλοίων ἀποβαλὼν αὐτὸς μόνος περικαθίσας σανίδι ἐν τοῖς ῥεύμασι τῆς θαλάσσης ἐφέρετο. τȣ̃τον ἑωρακότες τινὲς Φοίνικες ἐν τοῖς ὕδασι πλέοντα ἀναλαβόντες ἤγαγον ἐν Κρήτῃ πρὸς Ἰδομενέα γυμνόν. τȣ̃τον ἐξενοδόχησε τῇ ὥρᾳ τȣ̃ χειμῶνος, καὶ ἀπέπεμψεν εἰς Φαιακίαν τὴν νῦν λεγομένην Κέρκυραν· οἳ δὲ πέμπȣσιν αὐτὸν σὺν δυσὶ ναυσὶ καὶ ἑταίροις ⟨cf. Cedrenus p. 132⟩.

χασάμενος ἀναχωρήσας· Ὅμηρος ⟨Δ 535⟩ "ὃ δὲ χασσάμενος πελεμίχθη." τὰ ἐμπησσόμενα τῇ ἀσπίδι δόρατα ἀναχωρȣ̃ντες διετίνασσον, ἵνα σκεδασθῇ.

χασμᾷ μετεωροφρονεῖς, περὶ ἄλλα τὴν διάνοιαν ἔχεις. καὶ χασκάζεις· Ἀριστοφάνης ⟨Vesp. 693⟩ "σὺ δὲ χασκάζεις τὸν κωλακρέτην." καὶ χασμήσῃ σύ.

χάσμασιν· "οἱ δὲ Πάρθοι τὰς κεφαλὰς τῶν θηρίων ἁρμόσαντες τοῖς κράνεσιν ἐχρῶντο τοῖς τῶν θηρίων χάσμασι."

χαυλιόδων κεχαλασμένȣς ἔχων τοὺς ὀδόντας καὶ ἐξέχοντας. καὶ ζῷα χαυλιόδοντα τὰ φαίνοντα ἔξω τȣ̀ς ὀδόντας, ὡς

ἀσπάλαξ ἐλέφας σῦς, καὶ εἴ τι ἄλλο.

χαῦνον ὑψηλόν. ἢ πλατὺ καὶ μέγα· τὰ γὰρ χαῦνα εἰς πλάτος ἁπλοῦται. Ἀριστοφάνης Ὄρνισιν (822) "ἐκ τῶν μετεώρων χωρίων χαῦνόν τι πάνυ."

χαυνοπολίτας κεχαυνωμένους περὶ τὴν πολιτείαν ἢ τὴν πόλιν (sch. A Ach. 635).

χαύνωσιν, τουτέστι λύσιν τῶν δικῶν· "πῶς ἂν ··· δίκην" (cf. v. ἀναπειστηρίαν).

χαυῶνας ἄρτους ἐλαίῳ ἀναφυραθέντας κριθίνους. ἢ λάχανα ὀπτά (Ierem. 44 19).

χέδροπας ὄσπρια. καὶ ἑνικῶς χέδροψ τὸ ὄσπριον. οὕτως Θουκυδίδης.

χεζητιῶν βουλόμενος χέσαι· Ἀριστοφάνης (Av. 791) "εἴτε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν, οὐκ ἂν ἐξίδισεν εἰς θοἰμάτιον, ἀλλ' ἀνέπτατο, κἀποπαρδὼν κἀναπνεύσας αὖθις αὖ κατέπτατο," ἀντὶ τοῦ ἀπεπάτησε. δοκεῖ ὁ Πατροκλείδης πολιτικὸς εἶναι καὶ λόγιος, ἄλλως δὲ κατασχημονῶν τῶν στρωμάτων, διὸ καὶ Χεσᾶς ἐλέγετο. καὶ αὖθις ··· ἠλυδρίας (cf. v. πρωκτός).

χέζομεν ζημιούμεθα. Ἀριστοφάνης (Eq. 69) "ἡμεῖς δὲ δίδομεν· εἰ δὲ μή, πατούμενοι ὑπὸ τοῦ γέροντος ὀκταπλάσιον χέζομεν," ἀντὶ τοῦ πολλαπλάσιον. τὸ δὲ νοούμενον, ὅτι μικροῖς λήμμασιν ὁ Κλέων τῆς πόλεως προδίδωσι τὰ πράγματα.

χεθέντος πλατυνθέντος.

χειᾷ τῇ τῶν δρακόντων καταδύσει, ἀπὸ τοῦ χεῖσθαι, ὅ ἐστι χωρεῖσθαι· (Hom. σ 17) "οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται." τοῦτο γὰρ μόνον μηχανῶνται οἱ ὄφεις, τὸ χωρῆσαι τὸ σῶμα ὥσπερ εἰς ἔλυτρον.

χεῖλος τὸ μέρος τοῦ σώματος.

χεῖμα ὁ χειμών.

χειμαδίῳ τόπῳ ἐφ' ὃ ἄν τις δύναιτο χειμῶνος ἐγκαθορμίσασθαι.

χείμαρρος καὶ χειμάρρους ὁ ἐν τῷ χειμῶνι ῥέων. καὶ ὄνομα κύριον.

χειμασκήσαντα· "διάληψιν εἶχε, τὰ στρατόπεδα χειμασκήσαντα βελτίω τὰ πράγματα ὑπελάμβανε γενήσεσθαι" (Polyb. 3 70).

χείμεθλον τὸ ἐν τῷ χειμῶνι γινόμενον ἐν ταῖς ῥήξεσι τῶν δακτύλων ἕλκος.

χειμερία ὥρα. καὶ χειμερίζω τὸ ἐν χειμῶνι διάγω· "ὁ δὲ ἐν Βερεκύντῃ ἐχειμέριζεν," ἀντὶ τοῦ ἐχείμαζε.

χειμερινὸς καιρός.

χειμὼν χειμῶνος. χειμὼν δέ ἐστιν ὁ ὑπὲρ γῆς ἀὴρ κατεψυγμένος διὰ τὴν τοῦ ἡλίου πρόσω ἄφοδον. Ὅμηρος (Γ 4) "χειμῶνα φύγον" περὶ γεράνων. λέγει δὲ οὐ τὴν χειμερινὴν κατάστασιν, ἀλλὰ τὸν χειμερινὸν τόπον, τὴν Θρᾴκην· οὐ γὰρ ἐνστάντος χειμῶνος φεύγουσιν, ἀλλὰ προσδοκίας οὔσης.

χειμὼν ὀρνιθίας ὁ ἐπὶ τὴν γῆν τὰ ὄρνεα στορεννὺς ὑπὸ τῆς ψυχρᾶς πνοῆς. τουτέστιν ὁ σφοδρός, ἐν ᾧ καὶ τὰ ὄρνεα φθείρεται. λέγεται δὲ καὶ ἄνεμος ὀρνιθίας. ἢ ὅτι τὰ ὄρνεα ταῦτα χειμῶνος φαίνεται, ὡς Ἄρατός φησι (cf. v. ὀρνιθίας).

χεὶρ χειρός.

χεῖρα τὸ χειρόγραφον Ὑπερίδης.

χειραγωγία.

χειραλειπτήσας· (Diodor. 26 2) "Φάβιος δικτάτωρ, καθάπερ ἀθλητὴς ἀγαθὸς πολὺν χειραλειπτήσας χρόνον, ἐπὶ τὸν ἀγῶνα κατήντα," ἀντὶ τοῦ ἀσκήσας τὴν χεῖρα.

χεῖρας θεοῦ ὁ Δαβὶδ (Ps. 30 5) τὴν τοῦ θεοῦ προμήθειάν φησιν. "εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου" (Luc. 23 46).

χειραψίαι αἱ διὰ τῶν χειρῶν πράξεις· "ἄπαυστοι καὶ συνεχεῖς ἐγίνοντο καταπειρασμοὶ καὶ χειραψίαι καὶ πεζῶν καὶ ἱππέων."

χειρίαν· Σοφοκλῆς (Ai. 495) "μή με τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν ἀφῇς τινί," τουτέστιν ὑποχειρίαν τοῖς ἐχθροῖς σὺν τῷ παιδὶ καταλείψῃς.

χειριδωτὸς ὁ χειρωτός.

χειρίζω καὶ κεχειρικότες. "Κάνδιδος ἱστοριογράφος φησὶν (p. 477 Nieb.) ὅτι ὁ Λέων ὁ Μακέλλης, ὁ μετὰ Μαρκιανὸν βασιλεύσας, περὶ τὴν ἐκστρατείαν τὴν κατὰ Βανδήλων ἄπειρα χρήματα δεδαπάνηκεν· ἦσαν γάρ, ὡς οἱ ταῦτα ἐφανέρωσαν κεχειρικότες, διὰ μὲν τῶν ὑπάρχων χρυσίου λίτραι τετρακισμύριαι πρὸς ἑπτακισχιλίαις, διὰ δὲ τοῦ κόμητος τῶν θησαυρῶν ἑπτακισχίλιαι πρὸς μυρίαις καὶ ἀργυρίου λίτραι ἑπτακόσιαι χιλιάδες, ἄτερ τῶν ἀνηλωμένων ἐκ τῶν δημοσίων ἀρχόντων καὶ ἐκ τοῦ βασιλέως Ἀνθεμίου." (S OR 383) "ὅνεχ' ἡ πόλις δωρητὸν οὐκ αἰτητὸν εἰσεχείρισε, ταύτης Κρέων ὁ πιστός, οὑξ ἀρχῆς φίλος, λάθρᾳ μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται."

χειρισμὸν ἐπιχείρησιν· Πολύβιος (10 41) "ὅταν γένηται ταῦτα κατὰ χειρισμὸν ἰσοταχῆ." καὶ αὖθις "ὥστε μὴ μόνον ἀλόγιστον ἀλλὰ καὶ μανιώδη φαίνεσθαι τὸν

χειρισμὸν τῶν πραγμάτων," ἀντὶ τοῦ τὴν ἐπιχείρησιν, τὴν πρᾶξιν.

χείριστα κάκιστα. καὶ χειριστὴν αὐτουργόν, ὑπηρέτην· "ὃ δὲ περὶ τῆς ἐπιβολῆς ἐκοινώσατο, καὶ παρεκάλει χειριστὴν γενέσθαι τῆς πράξεως," ἀντὶ τοῦ ἐπιτελεστήν, πληρωτήν.

χειρόβιοι οἱ ἐκ χειρῶν ζῶντες καὶ ταῖς τέχναις προσκαθήμενοι. λέγονται καὶ ἀποχειρόβιοι.

χειροβρῶτι ὁ δεσμὸς ὁ ἀποβιβρώσκων τὼ χεῖρε.

χειροδάικτα θύματα τὰ ὑπὸ τῶν χειρῶν δαϊχθέντα ⟨sch. S Ai. 219⟩.

χειροδίκαιος.

χειρόηθες ἥμερον, πρᾶον. καὶ χειροήθης χειροήθους.

χειρόκμητα ὑπὸ χειρῶν γεγλυμμένα ἢ περιεξεσμένα.

χειρόμακτρον, ὃ παρὰ Ῥωμαίοις καλεῖται μανδήλιον, παρὰ τὸ μάττειν τὴν ὕλην.

χειρομάστης ⟨an χειρόμαντις⟩.

χειρονομεῖν πυκτεύειν· "σκιαμαχοῦντος δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι Γλαῦκος ἦν ἐπιτηδειότατος χειρονομεῖν" ⟨cf. v. Γλαῦκος⟩.

χειροσκοπικόν.

χειροσκόποι οἱ τὰς χειροτονίας ἐπισκοποῦντες.

χειροτονεῖν τὸ αἰδοῖον, τουτέστιν αἰσχρῶς ἀνακινεῖν καὶ ἀποσπερματίζειν.

χειροτονήσαντες ἐκλεξάμενοι.

χειροτονητέον τὴν χεῖρα ἐκτατέον· Ἀριστοφάνης ⟨Eccl. 266⟩ "χαλεπὸν τὸ πρᾶγμ'· ὅμως χειροτονητέον ἐξωμισάσαις τὸν ἕτερον βραχίονα," τουτέστιν ἄχρι τῶν ὤμων γυμνωσάσαις.

χειροτονία ἐκλογή, πάντων κύρωσις· "τῆς οὖν χειροτονίας αὐτοὺς ἀνειπούσης σεβαστοὶ ἀνηγορεύθησαν."

χειρουργίας τόλμης· Ἀριστοφάνης ⟨Lys. 674⟩ "οὐδὲν ἐλλείψουσιν αὗται λιπαρᾶς χειρουργίας," ἀντὶ τοῦ προσεχοῦς, παρὰ τὸ λίαν παρεῖναι.

χειρουργοὶ ἐγένοντο ἄριστοι καὶ ἀκριβεῖς Φειδίας Λύσιππος Πολύκλειτος, ἀγαλματοποιοί.

Χείρων Κένταυρος, ὃς πρῶτος εὗρεν ἰατρικὴν διὰ βοτανῶν, ὑποθήκας δι' ἐπῶν, ἃς ποιεῖται πρὸς Ἀχιλλέα, καὶ ἱππιατρικόν· διὸ καὶ Κένταυρος ὠνομάσθη.

Χείρων Χείρωνος ὄνομα κύριον. χείρονος δὲ τὸ συγκριτικόν.

χειρῶναξ τεχνίτης χειρῶν μόνων διαζῶν, ἢ διὰ χειρῶν κτεατιζόμενος. ἢ χειρώνακτες διὰ χειρῶν ταλαιπωρούμενοι. "πλῆθος ὅσον θητικὸν καὶ ἐν χειρωναξίαις καὶ ἄλλως ἐγκατῳκισμένον τῇ πόλει συναγαγών."

Χειρώνειον ἕλκος τὸ ἀπὸ πολλῆς φύσεως ἐν τοῖς ποσὶ γενόμενον τραῦμα καὶ διηνεκῶς ἰχῶρας ἐκκρῖνον. ἡ παροιμία ἐπὶ τῶν ἀνηκέστων καὶ ἀνιάτων ἑλκῶν.

χειρῶν νόμῳ· "ὃ δὲ χειρῶν νόμῳ δέχεται τὴν ἐπιστολήν."

χειρώσασθαι ὑποτάξαι· Αἰλιανός "καὶ ἐκ τούτων χειρώσασθαι τὸν ἄνδρα, καὶ ἔχειν αὐτὸν ὡς εἰπεῖν ἰδιόξενον." χηρῶσαι ἐρημῶσαι.

χελιδόνας ἰχθῦς ποιός. λέγεται χελιδὼν καὶ τῶν γυναικῶν τὸ μόριον, καὶ τὸ κοῖλον τῶν ἵππων τῆς ὁπλῆς. ἔνιοι καὶ τῶν κυνῶν τὸ αὐτὸ μέρος, καὶ νόμισμα δὲ ἀργυροῦν Πελοποννησιακόν· καλεῖσθαι δὲ χελιδόνα καὶ τοῦ ἀνθρώπου τὸ ἄνωθεν τοῦ ἀγκῶνος τὸ κατὰ τὰς καμπάς. λέγεται δὲ Χελιδὼν καὶ ἡ ναῦς ἡ τὰς εἰς Μασσαλίαν διακομίσασα, καὶ χρησμολόγος δέ τις τῶν πάλαι καὶ ὁ Κλεοπάτρας κίναιδος.

χελιδόνιον μέλος τῆς χελιδόνος. ἔστι δὲ αὐτῆς ἡ φωνὴ οὐ θρῆνος, ἀλλ' ᾆσμα ἐνδοτικὸν καὶ κελευστικὸν πρὸς ἔργα. διὰ τοῦ χειμῶνος οὔτε ἵπταται οὔτε φθέγγεται.

χελιδόνων μουσεῖα ⟨A Ran. 93⟩ ἐπὶ τῶν βάρβαρα καὶ ἀσύνετα ποιούντων· καὶ γὰρ ἡ χελιδὼν ἐπὶ τῶν βαρβάρων. ἐπιφέρει γὰρ Θρηκίη χελιδών, καὶ ἐν τοῖς ἑξῆς ⟨692⟩ "περιβρέμεται Θρηκία χελιδών." καὶ Εὐριπίδης "πολὺς δ' ἀνεῖρπε κισσός, εὐφυὴς κλάδος, χελιδόνων μουσεῖον."

χελιδόνων φάρμακον παρὰ Ἱππώνακτι τὸ φίλτρον τὸ διαγινόμενον, ἐπειδὰν χελιδόνα πρῶτόν τις ἴδῃ.

χελύνη τὸ ἄνω χεῖλος· "εἰς τὴν ὑπερῴαν χελύνην ὀϊστὸς Μηδικὸς ἐνερρίζωτο" ⟨cf. v. ὑπερῴη⟩. καὶ αὖθις ⟨A Vesp. 1078⟩ "στὰς ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων."

χέλυς ἡ κιθάρα. καὶ ἡ χελώνη ἡ ὀστρακόνωτος.

χελώνας· ⟨A Vesp. 427⟩ "τὰς χελώνας

μακαριεῖν σε τοῦ δέρματος" διὰ τὸ κέντρον τῶν σφηκῶν.

χελώνη τὸ χερσαῖον ζῷον, ἡ ὀστρακόνωτος, καὶ τὸ θαλάσσιον. καὶ παρατάξεως ὄνομα. καὶ εἶδος πολεμιστήριον, ἐξ οὗ καὶ χελῶναι χωστρίδες, πολιορκητικὸν μηχάνημα καὶ κριοί. "ζηλοτυποῦσαι αἱ Θετταλαὶ γυναῖκες τὴν Λαΐδα τὴν ἑταιρίδα ξυλίναις χελώναις ἐφόνευσαν τύπτουσαι ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης, πανηγύρεως οὔσης. ὕστερον δὲ ἱερὸν ἐποίησαν ἀνοσίας Ἀφροδίτης, ἐπειδὴ αἱ γυναῖκες ἐν τῷ ἱερῷ ἀνόσιον τετολμήκασι φόνον" (sch. A Plut. 179).

χελώνη μυιῶν ἐπὶ τῶν ἀφροντιστούντων τινός. (Iulian. ep. 59) "τὴν παρρησίαν τὴν σὴν οἴει τεττάρων εἶναι ὀβολῶν, τὸ λεγόμενον; οὐκ οἶσθα ὅτι καὶ Θερσίτης ἐν τοῖς Ἕλλησιν ἐπαρρησιάζετο, τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παρρησίας ἔλαττον ἔμελεν ἢ χελώνῃ μυιῶν, τὸ τῆς παροιμίας;" (cf. v. τεττάρων ὀβολῶν).

χελωνίδος τοῦ οὐδοῦ τῆς θύρας.

χέμετλα ὡς χέρνιβα.

χεράδος ἡ μετὰ ὀστράκων καὶ λίθων ὕλη (Hom. Φ 319).

χερείων χείριστος.

Χερεκράτης καὶ Χερώνδας διὰ τοῦ ε ψιλοῦ.

χέρηες χείρονες.

Χέρης Χέρητος ὄνομα κύριον.

χεριφυρέα· ἐν ἐπιγράμματι (AP 6 251) "Φοῖβε, δέξαι πλωτήρων μάζης χεριφυρέα δαῖτα."

χερμαδίῳ χειροπληθεῖ λίθῳ· (AP 7 147) "οὐδέ σε χερμαδίων ὦσε κτύπος, οὐ νέφος ἰῶν." καὶ χερμάδος λίθου πληροῦντος τὴν χεῖρα· "οἱ δὲ ἀπὸ τοῦ τείχους πλῆθος χερμάδων καὶ βελῶν παντοίων κατέχεαν."

χερμαστὴρ ἡ σφενδόνη· (AP 7 172) "ῥινοῦ χερμαστῆρος ἐύστροφα κῶλα τιταίνων."

χερνῆτις χήρα, ἡ ἀπὸ χειρῶν ζῶσα, χειρόβιος. "ὁ δὲ ὑπὸ τῷ κνέφει σὺν τοῖς χερνήτισι τοῖς ἐπὶ τοὺς ἀγροὺς ἰοῦσιν ὑπεξῆλθε" (cf. v. ἀδηλώσας). καὶ χερνήτης ὁ πένης, ἀρσενικῶς· ἐν ἐπιγράμματι (AP 7 39) "οἷς ἔσχον χερνῆτα βίον δηναιόν, Ἀθάνα." "ὁ δὲ τὰς θυγατέρας ἐπειρᾶτο ποιεῖν ταλασιουργοὺς καὶ χερνήτιδας."

χερνίβα τὸ ὕδωρ. φησὶν Ἀριστοφάνης (Av. 854) "τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα." χέρνιβα προπαροξυτόνως κατὰ τὴν ἀναλογίαν· παρὰ δὲ τοῖς ποιηταῖς παροξυτόνως.

χερνίβος· (A Lys. 1131) "λοιδορεῖσθαι βούλομαι κοινῇ δικαίως, οἳ μιᾶς τε χερνίβος βωμοὺς περιρραίνοντες, ὥσπερ συγγενεῖς, Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ· πόσους εἴποιμ' ἂν ἄλλους, εἴ με μηκύνειν δέοι."

χερνίβων. Δημοσθένης φησὶ (22 78) "καὶ χερνίβων καὶ κανῶν ἁψόμενον." εἴη δ' ἂν ἀπὸ ὀρθῆς τῆς χέρνιψ. τῆς δὲ χέρνιβος μέμνηνται καὶ οἱ κωμικοὶ ὡς παραλαμβανομένης εἰς τὰς θυσίας. Harp.

χερνιπτομένους τὰς χεῖρας νιπτομένους· "χερνιπτομένους πρὸς αὐτοῖς τοῖς βωμοῖς ἀπέκτειναν."

χερνιφθέντα· (AP 6 156) "σὺν βοΐ χερνιφθέντα," ἀντὶ τοῦ τυθέντα. καὶ χερνίψαντο (Hom. Α 449).

χερουβεὶμ ἐπὶ τῶν ἑνικῶν διὰ διφθόγγου, ἐπὶ δὲ τῶν πληθυντικῶν διὰ τοῦ ι. ἑρμηνεύεται δὲ γνῶσις πεπληθυσμένη.

Χέρρεως φρούριόν τι· "ἀπὸ γὰρ τοῦ ἐρύματος Χέρρεως διὰ μιᾶς ἐφοίτα ἐς τὴν Ἀντιόχειαν τῇ ὠκύτητι τῶν ποδῶν ὁ Ἴνδακος" (cf. v. Ἴνδακος).

Χέρρη ὄνομα πόλεως.

Χερρόνησος Θρᾴκης χώρα. καὶ πόλις ὑποτελὴς τοῖς Ἀθηναίοις, εὔφορος εἰς πυρῶν γεωργίαν· ὅθεν καὶ ἐσιταγώγουν οἱ Ἀθηναῖοι. οὓς Κλέων διέσειε (sch. A Eq. 262).

χερσαῖος.

χερσία ἐρημία.

χεσείω ἐπείγομαι χέσαι, ἐπιθυμητικῶς τοῦ χέσαι ἔχω. (A Eq. 884) "ὅπερ πίνων ἀνὴρ πέπονθ', ὅταν χεσείῃ· τοῖσιν τρόποις τοῖς σοῖσιν ὥσπερ βλαυτίοις χρήσομαι," ἐπειδὴ εἰώθασιν οἱ πίνοντες τοῖς τῶν ἄλλων ὑποδήμασι χρῆσθαι, εἰ ἐπείγοιντο πρὸς λάσανον.

Χετταῖοι ὄνομα ἔθνους, οἱ Χαναναῖοι.

χεῦμα ῥεῦμα ὕδατος.

χεύμασι προχοὴ ἡ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχουσα θάλασσαν.

χέω αἰτιατικῇ.

χηλαὶ οἱ ἔμπροσθεν τοῦ πρὸς θάλασσαν τείχους προβεβλημένοι λίθοι διὰ τὴν τῶν κυμάτων βίαν, μὴ τὸ τεῖχος βλάπτοιτο, παρὰ τὸ ἐοικέναι χηλῇ βοός (sch. Thuc. 1 63).

χηλαργοῖς τοῖς λευκόποσιν, ἢ ταῖς τα-

χείαις ταῖς χηλαῖς. χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν εἶπε (sch. S El. 861).

χηλή ὁπλή, ὄνυξ βοὸς καὶ προβάτου καὶ αἰγός. λέγεται δὲ καὶ τὰ τῶν θαλαττίων στόματα χηλαὶ καρκίνων, καὶ τῶν λιμένων αἱ ἐξοχαί.

χηλὴ ὄρους· "οἱ δὲ ἀγχοῦ τῆς χηλῆς τοῦ ὄρους ηὐλίζοντο, ὡς τὴν ὕλην καὶ τὸ ἐκ ταύτης νέμος πρόβλημα εἶναι," τουτέστι τῆς ἐξοχῆς.

χηλός κιβωτός, ἀπὸ τῆς γινομένης διαστάσεως κατὰ τὴν ἄνοιξιν, ἢ ἀπὸ τοῦ χεῖσθαί τι εἰς αὐτήν, οἷον ἐντίθεσθαι, ἢ ἀπὸ τοῦ τὰ ἐντιθέμενα χωρεῖν. καὶ χηλῷ κιβωτῷ.

χημάς ὁ ἰχθῦς.

χημεία ἡ τοῦ ἀργύρου καὶ χρυσοῦ κατασκευή, ἧς τὰ βιβλία διερευνησάμενος ὁ Διοκλητιανὸς ἔκαυσεν.

ὅτι διὰ τὰ νεωτερισθέντα Αἰγυπτίοις Διοκλητιανὸς τούτοις ἀνημέρως καὶ φονικῶς ἐχρήσατο, ὅτε δὴ ··· ἀνταίρειν (cf. v. Διοκλητιανός).

χήμη εἶδος ὀστρέου.

χήν χηνός τὸ χηνάριον.

χηναλώπηξ εἶδος ὀρνέου. οὕτω δὲ ἐλέγετο καὶ Λυσίστρατος, ὃς ἐπὶ μαλακίᾳ διεβέβλητο· πένης καὶ αὐτὸς καὶ κυβευτής. ἐν ἀγορᾷ Χολαργέων· Χολαργεῖς δὲ δῆμος τῆς Ἀττικῆς (sch. A Ach. 855).

χῆνα ὀμνύναι. ὑπὲρ τοῦ μὴ τοὺς θεοὺς ἐπὶ πᾶσιν ὀνομάζειν Ῥαδάμανθυς ἐκέλευε κατὰ χηνὸς καὶ κριοῦ ὀμνύναι, οὐχ, ὥς τινες, Σωκράτης.

Χηνέας ὄνομα κύριον.

χηνίσκος μέρος τι τοῦ πλοίου.

χήρα. καὶ χηρεία ἐκ τοῦ χηρεύω.

χηράμβας.

χηραμοί οἱ φωλεοί, τῶν θηρίων αἱ καταδύσεις.

χηρεύω γενικῇ.

χῆρος ὁ μετὰ τὴν πρώτης στέρησιν δευτέρᾳ μὴ συνεζευγμένος γυναικί.

χηρώσειεν ἐρημώσειε.

χηρωσταί οἱ ἀλλότριοι τοῦ γένους κληρονόμοι. Hom. E 158.

a χήτει στερήσει· "μὴ βραδύνειν ἐν τοῖς ἐπείγουσι χήτει ξένων τε καὶ ὀθνείων ξυνεργῶν."

b χήτει ἐνδείᾳ, σπάνει, στερήσει· Ἀγαθίας (2 4) "οἱ δὲ χήτει τῶν ἄλλων ἐπιτηδείων ἔθλιβον τοὺς βότρυας καὶ ἐνεφοροῦντο τοῦ γλεύκους· ἔνθεν αὐτοῖς ἡ γαστὴρ ἐπὶ μέγα ἐφέρετο καὶ διέρρει."

χθαμαλά ταπεινά, ὁμαλά, ἴσα. "δοκιμάζων, ἢ ἅμα μὲν στερεὸν ἅμα δὲ χθαμαλὸν ἦν τοῦ ποταμοῦ." καὶ χθαμαλώτατον ταπεινότατον.

χθές. τὸ κατ' ἀρχὴν ε ἀφελὼν λέγει Πλάτων· τὸ δὲ ἐχθές παρὰ τὸ ἐχθεῖν, ὅ ἐστι παρελθεῖν. ἰστέον δὲ ὅτι ὁ μὲν Πλάτων (Rp. in.) πάρεργον εἶχε τὸ κατέβην, τὸ δὲ χθές πάρεργον· ὁ δὲ θεολόγος (or. 40) τὸ χθές εἶχε σκοπόν, τὸ δὲ τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ παρέλκον. ὃ οὖν ἕκαστος εἶχε προηγούμενον, ἐκεῖνο προέτρεψε (an προὔταξε).

χθεσιφωνῶν κακολογῶν.

χθιζοί χθεσινοί, ἀργοί, ἄχρηστοι. καὶ χθιζινός ὁ χθεσινός.

χθονία ἀντὶ τοῦ σκοτεινή. Πολιτείας δεκάτῃ (p. 619) "μὴ χθονίαν καὶ τραχεῖαν πορεύεσθαι ἀλλὰ λείαν καὶ οὐρανίαν." ἀνταποφέρει γὰρ τῇ μὲν τραχείᾳ τὴν λείαν, τῇ δὲ χθονίᾳ τὴν οὐρανίαν. ἀντὶ τοῦ λαμπράν. καὶ παρ' Ἀλκμᾶνι δέ, ὅτε φησὶ χθόνιον τέρας ἐπὶ τῆς ἔριδος, τινὲς ἀντὶ τοῦ στυγνὸν ἐδέξαντο, ἔνιοι δὲ ἀντὶ τοῦ μέγα, ἐπεὶ πρὸς αὐτὴν λέγει.

χθόνια λουτρά τὰ τοῖς νεκροῖς ἐπιφερόμενα· ἐκόμιζον γὰρ εἰς τοὺς τάφους λουτρά.

χθονίας βροντάς. (A Av. 1743) "κλήσατε χθονίας βροντάς" ἀντὶ τοῦ ὑμνήσατε. χθονίας δὲ φοβεράς· πάντα γὰρ τὰ δεινὰ γῆς γενεαλογοῦσιν. οἱ δὲ τὰς μέγαν ἦχον ἀποτελέσας. ἢ τὰς ἀπὸ τῆς γῆς γινομένας· ὅτε γὰρ ἠχεῖ ἡ γῆ, ἀναπέμπει τὸν ἦχον εἰς τὸν οὐρανόν, καὶ δοκοῦσιν οἱ ἄνθρωποι ἐξ οὐρανοῦ γίνεσθαι τὰς τοιαύτας βροντάς. ἢ τὰς μέχρι τῆς γῆς ἀκουομένας. ἢ τὰς τὴν γῆν κινούσας. καὶ χθόνιος Ζεὺς ὁ καταχθόνιος.

χθονίων ἐπιγείων.

χθονοπλάστου ἀπὸ γῆς πλασθέντος.

χθονοστιβῆ τὰ ἐν τῇ γῇ, τὰ ἐπίγεια (S OR 301) "ἄρρητά τ' οὐράνιά τε καὶ χθονοστιβῆ."

χθών γῆ.

χιάζειν. Πραξιδάμας Δημόκριτον τὸν Χῖον καὶ Θεοξενίδην τὸν Σίφνιον πρώτους ἐπὶ χρώματος τάξαι τὴν ἰδίαν ποίησιν, ὡς

Σωκράτης ἐν τοῖς πρὸς Εἰδόθεον. ὡς παρ' Ἀριστοφάνει τεταγμένου "ὑποτείνει δέ τις αὐτῶν βωμολοχεῦσαι, αὐτὸς δείξας ἐν ἁρμονίαις χιάζων ἢ σιφνιάζων."

Χιβούλδιος. οὗτος ἦν ἐκ τῆς Ἰουστινιανοῦ βασιλέως οἰκίας, ἐς ἄγαν μὲν δραστήριος τὰ πολέμια, ἐς τοσοῦτον δὲ χρημάτων κρείσσων ὥστε ἀντὶ μεγίστου κτήματος ἐν τῇ οὐσίᾳ τῇ αὐτοῦ εἶχε τὸ κεκτῆσθαι μηδέν. ὥστε τούτου στρατηγήσαντος Θρᾴκης καὶ ἐπὶ τῇ τοῦ Ἴστρου φυλακῇ καταστάντος καὶ ἐν πολέμῳ ἀναιρεθέντος συμβῆναι τὸν Ἴστρον ἐσβατὸν κατ' ἐξουσίαν τοῖς βαρβάροις γενέσθαι, καὶ τὰ Ῥωμαίων πράγματα εὐέφοδα γέγονε, καὶ ξύμπασά τε ἡ Ῥωμαίων ἀρχὴ ἀνδρὸς ἑνὸς ἀρετῇ ἀντίρροπος γενέσθαι ἐν τῷ ἔργῳ τούτῳ οὐδαμῇ ἴσχυσεν (Procop. Goth. 3 14).

a χίδρα στάχυες νεογενεῖς, ἢ κρίμνα. ἢ τὰ ἐξ ὀσπρίων ἄλευρα. ἢ τὰ ὄσπρια. ἰδίως δὲ τὰ ἀπὸ χλωρᾶς κριθῆς. χίδρα δὲ εἴρηται παρὰ τὸ χεῖσθαι.

b χίδρα τὰ εἰς τὴν χεῖρα λεπτυνόμενα ἀπὸ τῶν ἀσταχύων σίτου καὶ κριθῆς (cf. v. πεφρυγμένα).

c χίδρα. χίδρον τὸ ἀπὸ ἑλύμου γιγνόμενον ὄσπριον, ἔδεσμα περὶ Καρίαν· ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν. οἱ δὲ εἶδος βοτάνης. ἐκ δὲ τούτου δηλοῖ τὴν εὐετηρίαν.

χίδρα ἐρεικτὰ ἐκ κριθῆς νέας κρινόμενα, ὡς σεμίδαλις (Levit. 2 14).

χιλή τροφή. καὶ χιλὸς ἀρσενικῶς ἡ τροφή· Ξενοφῶν (Anab. 4 5 25) "τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφετο." "διὰ τῆς ἑτέρης χώρης, τῇ χιλός τε ἵπποις καὶ ὕδατα ἦν" Ἡρόδοτος (4 140). "ὅσος τε σῖτος καὶ χιλὸς ἐν τῇ χώρᾳ, εἴσω τειχῶν κομίζεσθαι." ἀρσενικῶς δὲ ὁ χιλός. καὶ Ἀχιλλεὺς ὁ ἥρως παρὰ τὸ μὴ μετασχεῖν χιλοῦ· μυελοῖς γὰρ ἐτρέφετο.

ὅτι ὁ χιλὸς ἐν χέρσῳ φύεται· τοῦτο δέ ἐστι χόρτος. ὅθεν τὸ ἐκκεχιλωμένην ἀντὶ τοῦ ἐψευσμένην ἢ κεχερσωμένην, οἷον ἐξηλειμμένην.

χίλια ὁ ἀριθμός.

χιλίαρχος. ιε' πρὸς τοῖς τριακοσίοις ἐτῶν ἀπὸ τοῦ πρώτου συνοικισμοῦ τοῦ ἄστεος διαγεγονότων χιλίαρχοι τὴν Ῥωμαίων ἀρχὴν παρειλήφασι.

χίλιοι διακόσιοι. Ἰσαῖός φησιν "οὐδεὶς Λυσίδης ἐστὶ τῶν διακοσίων καὶ χιλίων." οἱ πλουσιώτατοι Ἀθηναίων χίλιοι καὶ διακόσιοι ἦσαν, οἳ καὶ ἐλειτούργουν. μνημονεύουσι δὲ αὐτῶν καὶ ἕτεροι ῥήτορες. Harp.

χιλιοστύς χίλιοι ἄνδρες. σημεῖα δὲ ἦν τοῖς Ἰνδοῖς καθ' ἑκάστους καὶ ἄλλα τῶν γενῶν πάτρια· τῶν δὲ ἱππέων ··· ἀληθινοῦ (cf. v. Ἰνδοί).

χιλιωθέντα ἀντὶ τοῦ χιλίας ὀφλόντα, ὡς Λυκοῦργος. ὁ δ' αὐτὸς καὶ χιλιῶσαι ἔφη. Harp.

χιλιῶν δραχμῶν. περισπῶσιν οἱ Ἀττικοί.

Χίλων Χίλωνος Δαμαγήτου Λακεδαιμόνιος, εἷς τῶν ζ' σοφῶν· ὃς ἦν βραχυλόγος. ὅθεν Ἀρισταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χιλώνειον καλεῖ. καὶ Χιλώνειος τρόπος ἡ βραχυλογία· ὁ γὰρ Χίλων βραχυλόγος ἦν.

χίμαρος ὁ τράγος, καὶ χίμαιρα ἡ αἴξ. χείμαρρος δὲ ὁ ἐν τῷ χειμῶνι ῥέων ποταμός.

χίμετλα τὰ ἀποκαύματα λεγόμενα, ἅπερ γίνεται χειμῶνος ἐν τοῖς ποσί.

Χῖον κεράμειον. ζήτει ἐν τῷ Ἀθήναιος.

χιόνος. καὶ χιονωθήσονται ψυχρανθήσονται, ἢ λαμπρυνθήσονται· (Ps. 67 15) "χιονωθήσονται ἐν Σελμών."

Χίος ἡ νῆσος. λέγεται καὶ Αἰθάλη.

χιράς εἶδος πάθους.

χιτών ἱμάτιον ἀνδρικόν. καὶ χιτωνίσκος χειριδωτός, οἷος πρέπει δούλῳ παιδί (Procop. Arc. 9). χιτὼν οὖν ἐστι λεπτὸν ἱμάτιον, ὑποκάμισον, παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι· (A Ran. 1078) "χιτῶνά γ' ἔχων ἐρίων ὑπένερθε, κἂν ταῦτα λέγων ἐξαπατήσῃ, περὶ τοὺς ἰχθύας ἀνέκυψε," τουτέστιν ἀναφαίνεται περὶ τὰ ἰχθυοπώλια. τουτέστι γλίσχρων εὑρίσκεται.

χιτωνίσκους· Ξενοφῶν (Anab. 5 4 13) "χιτωνίσκους δὲ ἐνδεδύκεσαν ὑπὲρ γονάτων πάχος ὡς λινοῦ στρωματοδέσμου."

χιών. ὅτι ἡ λευκότης τῆς χιόνος χωριστόν ἐστι συμβεβηκός. συνίσταται γὰρ ἐκ νέφους ὕλη καὶ πήξει, δι' ὑπερβολὴν ψυχρότητος γινομένη μετὰ ἐναπολήψεως πνεύματός τινος, ᾗ ἐξ ἀνάγκης ἡ λευκότης ἕπεται. ἡ γὰρ ἀέρος τοῦ ἐντὸς ἐν τῷ νέφει ἐναπόληψίς τε καὶ πῆξις καὶ τρῖψις ἐν τῇ τοῦ νέ-

φας πήξει, ἥτις δι' ὑπερβολὴν ψυχρότητος γινομένη φθάνει τὴν ἔκκρισιν, αὕτη τοῦ τοιούτου χρώματος ἡ αἰτία. τριβόμενον γὰρ καὶ κινούμενον τὸ πνεῦμα λευκαίνεται· διὰ τοῦτο γὰρ καὶ ὁ ἀφρὸς λευκός. τρῖψις δέ τις καὶ κίνησις γίνεται ἐν τῇ πήξει τοῦ νέφους, τοῦ ἐν αὐτῷ πνεύματος συστελλομένου καὶ εἰς τὸ βάθος ἀποκλειομένου καὶ τὴν ἔκκρισιν ἐμποδιζομένου. καὶ ἔστιν ἐκεῖνα μὲν τῆς οὐσίας τῆς χιόνος, τὸ δὲ λευκὸν ἐπακολουθοῦν ἐκείνοις. καὶ ἔστι πάθος τι συμβεβηκὸς τῷ μὴ εἶναι συμπληρωτικὸν τῆς οὐσίας τῆς χιόνος· εἰ γὰρ μήτε ὕλη τῆς χιόνος τὸ λευκὸν μήτε εἶδος, οὐκ ἔστιν ἐν τῇ οὐσίᾳ τῆς χιόνος. τῷ δὲ συμπτώματι τῆς ὕλης ἐπιγιγνόμενον ἐν τῇ εἰς τοιοῦτον εἶδος μεταβολῇ, τούτῳ ἀχώριστόν ἐστιν αὐτῆς. "πολλοὶ δὲ τοὺς ὀφθαλμοὺς ὑπὸ τῆς χιόνος διεφθάρησαν, καὶ τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες ἕτεροι. ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος, εἴ τις μέλαν τι πρὸ τῶν ὀφθαλμῶν ἔχων ἐπορεύετο, τῶν δὲ ποδῶν, εἴ τις κινοῖτο καὶ μηδέποτε ἡσυχίαν ἔχοι, καὶ εἰ τὴν νύκτα ὑπολύοιτο. ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο ἐς τοὺς πόδας οἱ ἱμάντες καὶ τὰ ὑποδήματα ἐπήγνυντο." Ξενοφῶν ἐν τῇ Ἀναβάσει ⟨5 4 13⟩.

Χιωνίδης Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ὃν καὶ λέγουσι πρωταγωνιστὴν γενέσθαι [τῆς ἀρχαίας κωμῳδίας], διδάσκειν δὲ ἔτεσιν η' πρὸ τῶν Περσικῶν. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα, Ἥρως, Πτωχοί, Πέρσαι ἢ Ἀσσύριοι.

χλαῖνα τὸ παχὺ καὶ χειμερινὸν ἱμάτιον, παρὰ τὸ χλιαίνω. χιτὼν δὲ τὸ λεπτὸν ἱμάτιον, τὸ ὑποκάμισον, παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι.

χλαῖναι περιβολαί. διαστέλλει Ὅμηρος τὸν πέπλον ἀπὸ τῶν χλαινῶν· ὅς ἐστι γυναικεῖον ἔνδυμα, ἐμπερόνημα. τὸ δὲ αὐτὸ καλεῖ καὶ ἑανόν.

χλαμύς. Νουμᾶς ὁ πρῶτος Ῥωμαίων βασιλεὺς πρεσβείαν Ἰσαύρων δεξάμενος, καὶ τὸ σχῆμα τῆς φορεσίας αὐτῶν καταμαθών, ἐξ αὐτῶν λαβὼν ἐφεῦρε τῆς χλαμύδος στολήν, ἑνώσας τὴν βασίλειον τῇ συγκλήτῳ, οὐκ ἔξωθεν ἐπιθεὶς ἀλλ' ἔσωθεν ἐμβαλὼν τὴν τῆς πορφύρας βαφήν, ὥστε ἐξ ἑκατέρου τούτων ἓν ἀποτελεσθῆναι σῶμα, καὶ ἐν τοῖς τῶν βουλευτῶν ὑποδήμασιν ἀποσημαίνεσθαι τὸ Ῥωμαϊκὸν κάππα. καὶ παροιμία ἡ Συλοσῶντος χλαμύς, ἐπὶ τῶν ἀλαζονευομένων ἐπ' ἐσθῆτι· οὗτος γὰρ εἶχε πολυτελῆ ἐσθῆτα, ἣν ἐδωρήσατο Δαρείῳ ἰδιωτεύοντι ἔτι, καὶ ἔτυχε μετὰ ταῦτα καθόδου, βασιλεύσαντος Δαρείου ⟨cf. Malelas p. 38⟩.

χλανίς ἱμάτιον στρατιωτικόν.

χλευάζω αἰτιατικῇ.

χλευασία ὕβρις τις, εἶδος οὖσα τῆς ὕβρεως. καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται αὐτῆς· τῆς γὰρ ὕβρεως ἡ διὰ καταγέλωτος γινομένη χλευασία καλεῖται, ἡ δὲ διὰ πληγῶν ὕβρις ὁμωνύμως. καὶ αὖθις Αἰλιανός "περιιὼν δὲ ἐς τὸν νεών, χλευάζων γε μὴν τοὺς θεοῦ θεραπευτῆρας καὶ ἐπετώθαζε."

χλιδανόν τρυφερόν.

χλιδή τρυφή, ἔκλυσις καὶ μαλακία. εἴρηται δὲ ἀπὸ τοῦ ἐχλιάνθαι. Ξενοφῶν ⟨Cyr. 4 5 54⟩ *"οὐκ ἐν χλιδῇ τεθράμμεθα ἀλλὰ χωριτικῶς." καὶ αὖθις "συγχωρούντων ἐπαιρέσθαι τῆς χλιδῆς." καὶ αὖθις "οὕτω μὲν οὖν ἐν τῷ Τούρκων ἡγεμόνι ἔνεστι χλιδῆς." καὶ "χλιδαῖς καρατόμοις" τοῖς ἀπὸ τοῦ κρατὸς τετμημένοις βοστρύχοις. λέγοι δ' ἂν χλιδὰς ἤτοι καθόλου τοὺς πλοκάμους, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς, ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμιος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ. Σοφοκλῆς* ⟨El. 52⟩ *"ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο, λοιβαῖς τε πρῶτον καὶ καρατόμοις χλιδαῖς στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν."*

χλιδόνας κόσμους περὶ τοὺς βραχίονας. καλοῦνται δὲ βραχιόλια.

χλίδος. Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα περὶ χωρίου βλάβης ⟨55 22⟩ *"ἔπειτα δὲ τὸ χλίδος ἐκβαλὼν εἰς τὴν ὁδόν, ἐξ ὧν ὑψηλοτέραν καὶ στενοτέραν τὴν αὐτὴν πεποιῆσθαι ὁδὸν συμβέβηκε." πᾶν πλῆθος χλίδος λέγεται, καὶ ἔστιν οἷον σωρός τις, μάλιστα δὲ τὸ τῶν ἀποκαθαρμάτων τε καὶ ἀποψημάτων. καὶ ἡ τῶν ποταμῶν πρόσχωσις, καὶ πολὺ μᾶλλον τῶν χειμάρρων, ὃ καὶ χέραδος καλεῖται. νῦν δ' ἔοικεν ὁ ῥήτωρ λέγειν ὅτι χοῦν καὶ φρυγανώδη τινὰ ἐκ τοῦ χωρίου σωρὸν ὁ Καλλικλῆς εἰς τὴν ὁδὸν ἐμβέβληκεν, ὡς καὶ αὐτὸς ἐν τοῖς ἑξῆς ὑποσημαίνει.* Harp.

χλίδωνος.

χλιδῶσαι τρυφῶσαι.

χλοάω χλοῶ.

χλοερός ὁ χλωρός.

χλόη βοτάνη.

Χλομάρων. "ἀλλ' ὅτε ··· Χλομάρων" ⟨cf. v. ἀπεπόνεν⟩.

χλοῦναι λωποδύται οἱ ἐν τῇ χλόῃ εὐναζόμενοι. καὶ **χλόυνης** μονιός, πλήκτης, κακοῦργος, χαλεπός. καὶ ὁ ἀπόκοπος· "χλόυνης τε καὶ γύνανδρος ἀνήρ, εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι, διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς καὶ θῆλυς γενόμενος." "ὁ πρὸς Στρατοκλέα Ἀθήνησι δᾳδουχήσας, ὁ χλούνης τε καὶ γύννις, καταγοητευθεὶς καὶ οἷον ἐν δεσμῷ τινὶ ἀφύκτῳ πεδηθείς" ⟨Aelianus: cf. v. δᾳδουχεῖ⟩.

Χλούνειον ὄνομα τόπου.

Χλωθαῖος ὄνομα κύριον.

Χλωθάριος ὄνομα κύριον.

Χλωθόμυρος ὄνομα κύριον.

χλωρανθείς ἀντὶ τοῦ χλωρὸς γεννηθείς. οὕτω Σοφοκλῆς.

χλωρεῖον εἶδος ζῴου.

Χλωρίς ὄνομα κύριον.

χλωρόν τὸ ἀκμάζον Μένανδρος.

χλωρός. ἀπὸ τοῦ χλόη χλοερός καὶ χλωρός, ἀπὸ δὲ τούτου τὸ ὠχρός. καὶ **χλωρότης.**

χνόας τὰς σύριγγας τοῦ ἄξονος. σῦριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος· καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτω καλεῖται. εἴρηται δὲ βαρέως· τὰ γὰρ εἰς η καθαρὸν δισύλλαβα τῷ ο παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται δασύ, βαρύνεται, χνόη φθόη χλόη. τὸ δὲ πνοή οὐκ ἔχει δασύ ⟨sch. S El. 717⟩.

χνοῦς.

χνοωδεστέρα λεπτοτέρα· "ἥ τε ὑποκειμένη γῆ ψάμμου πάσης χνοωδεστέρα διὰ λεπτότητα."

χοᾶ. χοῦς μέτρον Ἀττικόν, χωροῦν κοτύλας ιβ'. Ἀριστοφάνης ⟨Ach. 1085⟩ "ἐπὶ δεῖπνον ταχὺ βάδιζε, τὴν κίστιν λαβὼν καὶ τὸν χοᾶ." οἱ γὰρ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τινὰ τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἑψήματα καὶ κίστιν καὶ χοᾶ. Ὅμηρος περὶ τῆς κίστεως φησι ⟨ζ 76, γ 480⟩ "μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέα δαῖτα, ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες." χοᾶ δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνήσωσιν ἄλλου ποτηρίου, διὰ τὴν ἐπὶ τῷ Ὀρέστῃ γενομένην αἰτίαν. καὶ παροιμία "ἓξ χοᾶς χωρήσεται" ⟨A Nub. 1240⟩ ἐπὶ τῶν παραληρούντων. τουτέστιν ὁ ἐγκέφαλος αὐτοῦ. ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ ἔμεινε μεταφορᾶς, ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. καὶ αὖθις ⟨Eccl. 44⟩ "τὴν ὑστάτην ἤκουσαν οἴνου τρεῖς χοᾶς ἡμῶν ἀποτίσειν κἀρεβίνθων χοίνικα." ὑποπίνοντες ἔκαπτον φρυκτοὺς ἐρεβίνθους.

χοάνης χωνίου. καὶ **χόανα** τὰ μέταλλα.

χοάς ἐκχύσεις, ἐναγίσματα ἐπὶ νεκροῖς, ἢ σπονδάς. "ἐκπίπτει χρησμός ··· ἄγειν" ⟨cf. v. χρησμός⟩. λέγονται καὶ θυσίαι νεκρῶν· Σοφοκλῆς ⟨OC 469⟩ "πρῶτον μὲν ἱερὰς ἐξ ἀειρύτου χοὰς κρήνης ἐνέγκου, δι' ὁσίων χειρῶν θιγών. ὅταν δὲ χεῦμα τοῦτ' ἀκήρατον λάβω; κρατῆρές εἰσίν, ἀνδρὸς εὔχειρος τέχνη, ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους."

χοᾶς. ὅτε ἐπὶ μέτρου τίθεται, περισπᾶται.

Χοάσπειον ὕδωρ. καὶ **Χοάσπης** ποταμός, καὶ κύριον ὄνομα.

Χοβάρ ὄνομα ποταμοῦ.

χοῖον παχὺ ἔντερον.

χόες. ἔστιν ἑορτὴ Ἀθήνησιν ἀγομένη a μηνὶ ἀνθεστηριῶνι. τὴν δὲ ἑορτήν φασιν οὕτως γεγονέναι. ὅτε Ὀρέστης ἀνελὼν τὴν μητέρα ἦλθεν εἰς Ἀθήνας, καὶ ἐδέξαντο αὐτὸν Ἀθηναῖοι καὶ εἱστίασαν, οὐ μὴν ἐκοινώνησαν αὐτῷ τοῦ οἴνου, ἀλλὰ χωρὶς χοᾶ παραθεὶς αὐτῷ ὁ δῆμος οὕτως εἱστιᾶτο, ἀπονείμας ὀλίγον τι χώρας τῷ Ὀρέστῃ.

καὶ ἄλλως. ἑορτὴ Ἀθήνησι χόες ἀπὸ b τοιαύτης αἰτίας. Ὀρέστης μετὰ τὴν τῆς μητρὸς ἀναίρεσιν ἦλθεν εἰς Ἀθήνας παρὰ Πανδίονα συγγενῆ καθεστηκότα, ὃς ἔτυχε βασιλεύων τῶν Ἀθηναίων. κατέλαβε δὲ αὐτὸν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα. ὁ τοίνυν Πανδίων παραπέμψασθαι μὲν τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγούμενος μὴ καθαρθέντος αὐτοῦ τὸν φόνον, ὡς ἂν μὴ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίνοι, ἕνα ἑκάστῳ τῶν κεκλημένων παρέθηκε χοᾶ ⟨sch. A Eq. 95⟩.

χόες. ἑορτή τις ἦν παρ' Ἀθηναίοις, ἀγο- c μένη ἀνθεστηριῶνος δωδεκάτῃ. φησὶ δὲ Ἀπολλόδωρος ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν τὴν Διονύσῳ ἀγομένην, κατὰ μέρος δὲ πιθοίγια χόας χύτρους. Harp.

καὶ αὖθις. ὅτι Ὀρέστης μετὰ τὸν φόνον d εἰς Ἀθήνας ἀφικόμενος (ἦν δὲ ἑορτὴ Διο-

νέσου ληναίου), ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι. χοᾶ οἴνου τῶν δαιτυμόνων ἑκάστῳ παραστήσας, ἐξ αὐτοῦ πίνειν ἐκέλευσεν μηδὲν ἐπιμιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίοι Ὀρέστῃ, μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὑτὸν πίνων μόνος· καὶ ἀπ' ἐκείνου Ἀθηναίοις ἑορτὴ ἐνομίσθη οἱ χόες.

Χοζίας ὄνομα κύριον.

χοὴ καὶ χοαὶ ἡ ἐπιχεομένη τοῖς νεκροῖς γῆ.

Χόης ποταμός.

χοΐδια· "σταμνία κατεσκεύασαν χοΐδια τὸ μέγεθος, λεπτὰ ταῖς κατασκευαῖς διαφερόντως."

χοϊκὸς ὁ πήλινος.

Χοινίκαιον ὄρος (an Φοινίκαιον).

a *χοίνικες*. οὐ μόνον τὸ μέτρον ἀλλὰ καὶ τὰς πέδας σημαίνει τὸ ὄνομα. αἱ χοίνικες πέδαι τινές εἰσι. χοῖνιξ δὲ πᾶν περιφερές, διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται. Ἀριστοφάνης Πλούτῳ (275) "αἱ κνῆμαι δέ σου βοῶσιν ἰοὺ ἰού, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι."

b *χοίνικες* οἷς τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι. "σπανιώτερον δὲ τὸ γένος τῶν θεωρητικωτάτων ψυχῶν ἢ τὸ τοῦ χοίνικος, ᾧ τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι· οἷος ἦν Ἀμοῦς καὶ Ἀντώνιος" (Synes. p. 48).

χοιράδες πέτραι λεῖαι ἐν θαλάσσῃ, ἢ ἐξοχαί· ἢ ὄχθοι πετρῶν.

Χοιρίλη ἡ Ἑκάβη (sch. Eur. Phoen. p. 252 Geel.).

a *Χοιρίλος* Ἀθηναῖος τραγικός, ξδ' ὀλυμπιάδι καθεὶς εἰς ἀγῶνας· καὶ ἐδίδαξε μὲν δράματα ξ' καὶ ρ', ἐνίκησε δὲ ιγ'. οὗτος κατά τινας τοῖς προσωπείοις καὶ τῇ σκευῇ τῶν στολῶν ἐπεχείρησε.

b *Χοιρίλος* Σάμιος· τινὲς δὲ Ἰασέα, ἄλλοι δὲ Ἁλικαρνασσέα ἱστοροῦσι. γενέσθαι δὲ κατὰ Πανύασιν τοῖς χρόνοις, ἐπὶ δὲ τῶν Περσικῶν, ὀλυμπιάδι οε', νεανίσκον ἤδη εἶναι. δοῦλόν τε Σαμίου τινὸς αὐτὸν γενέσθαι, ἐπειδὴ πάνυ τὴν ὥραν· φυγεῖν τε ἐκ Σάμου, καὶ Ἡροδότῳ τῷ ἱστορικῷ παρεδρεύσαντα λόγων ἐρασθῆναι· ὃ τινὸς αὐτὸν καὶ παιδικὰ γεγονέναι φασίν. ἐπιθέσθαι δὲ ποιητικῇ, καὶ τελευτῆσαι ἐν Μακεδονίᾳ παρὰ Ἀρχελάῳ τῷ τότε αὐτῆς βασιλεῖ. ἔγραψε δὲ ταῦτα, τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου, ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε, καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι ἐψηφίσθη. Λαμιακά. καὶ ἄλλα τινὰ ποιήματα αὐτοῦ φέρεται.

χοιρῖναι κόγχαι θαλάσσιαι, αἷς καὶ ἐν τοῖς δικαστηρίοις ἐχρῶντο Ἀθήνησι. καὶ ἡ θρὶξ τοῦ χοίρου. (A Vesp. 348) "οὕτω κατατῶμαι διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν."

χοιρίων μυστηρικῶν. ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος ἐθύετο· ἀνάκειται γὰρ τὸ ζῷον τῇ θεῷ (sch. A Ach. 747).

χοιρογρύλλιος ὕστριξ, ἀκανθόχοιρος. τουτέστιν ἐχῖνος χερσαῖος.

χοιρόθλιψ· (A Vesp. 1355) "ὦ οὗτος τυφεδανὲ καὶ χοιρόθλιψ."

χοιροκομεῖον πλεκτὸν ἀγγεῖον, ἐν ᾧ τοὺς νέους ἔτρεφον χοίρους περιδήσαντες. ἢ ὁ πάτταλος ἐν ᾧ δεσμεύοντες τοὺς χοίρους ἔτρεφον. Ἀριστοφάνης (Lys. 1075) "ἀπὸ τῆς Σπάρτης οἵδε πρέσβεις ἕλκοντες ὑπήνας χωροῦσιν, ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες," ἐπεὶ ἦλθον ἐγκεκολπωμένα τὰ ἱμάτια ἔχοντες.

χοῖρος τὸ ζῷον. παρὰ Κορινθίοις δὲ τὸ γυναικεῖον αἰδοῖον. ἔνθεν καὶ παροιμία "Ἀκροκορινθία ἔοικας χοιροπωλήσειν," ἀντὶ τοῦ ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ· πολλαὶ γὰρ ἐκεῖ ἑταῖραι.

χολάδες τὰ ἔντερα· ἐν ἐπιγράμματι (AP 6 81) "ἀντιβίων τε πολλάκις ἐγχείην γευσαμένην χολάδων."

χολαῖον ἧπαρ.

Χολαργέων. Χολαργεῖς δῆμος τῆς Ἀττικῆς. ἡ εὐθεῖα Χολαργεύς.

χολέρα. καὶ *χολεριῶ* ῥῆμα.

χοληδόχον ἀγγεῖον.

χόλικες τὰ παχέα ἔντερα τῶν ζῴων. ταῦτα δὲ οὐχ ἱεροῦντο ὡς τὸ ἄλλο σῶμα. τινὲς δὲ χόλικά φασιν εἶδος ἰχθύος (sch. A Pac. 716). θηλυκῶς δὲ ἡ χόλιξ.

Χολλεῖδαι δῆμος τῆς Λεοντίδος. Harp.

Χολοδογαμόρ ἐθνικόν.

χόλον ὀργήν, ἀλλὰ πρόσκαιρον, παρὰ τὸ χεῖσθαι.

χολῶ δοτικῇ.

χολωσέμεν εἰς ὀργὴν ἐμβαλεῖν (Hom. A 78).

χολῶσι (A Nub. 830) "ἐς τοσοῦτον ἤ

νιῶν ἐλήλυθας ὥστ' ἀνδράσιν πείθῃ χολῶσι."

Χόνας ὄνομα ἔθνους.

χονδρῖτις σεμίδαλις.

χόνδρος τοῦ στομάχου τὸ ἔντερον. καὶ χόνδροι ἁλῶν θρόμβοι, παχὺς ἅλς.

χονσά παρὰ Βουλγάροις οἱ κλέπται.

a χοός· "ἀνατετραμμένου χοός" Ἀριστοφάνης (Pac. 736) ἀντὶ τοῦ ἀνακαμφθέντος, ἢ κενωθέντος εἰς γῆν, ὥσπερ οἱ ἐν τοῖς πότοις σφαλλόμενοι ὑπὸ μέθης ἐν τῷ ὑπηρετεῖν. καὶ παίζοντες τὰ τοιαῦτά φασι.

b χοός διξέστου· χοῦς γὰρ δύο ξέσται, χοεὺς δὲ ἕξ. Ἀριστοφάνης (Thesm. 353) "εἴ τις κάπηλος ἢ καπηλὶς τοῦ χοὸς ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται."

χόρδευε τέμνε, τουτέστι σύμπλεκε ἀλλήλοις καὶ συγκύκα· τὰ γὰρ ἔντερα τῶν τετραπόδων χορδὰς καλοῦσιν. ἀπὸ τῆς τέχνης οὖν τοῦ ἀλλαντοπώλου τὸ ὄνομα εἴρηται. ὥσπερ γὰρ γεμίζεις καὶ πληροῖς τὰ ἔντερα παντὸς τοῦ φυράματος, οὕτω χόρδευε καὶ τάραττε καὶ τὰ πολιτικὰ καὶ συντάραττε καὶ συμφύρα τὰ πράγματα, "ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς," ἡδύσμασι χρώμενος καὶ ἀρτύων κακίαις (sch. A Eq. 214).

χορδή νευρά, καὶ τὸ παχὺ ἔντερον τοῦ προβάτου.

χορείαν οἱ παλαιοὶ τὴν μετὰ ᾠδῆς ὄρχησιν. δύο δὲ --- συσφαιριστής (cf. v. ὄρχησις). καὶ χορεῖον ἡ χόρευσις.

χορευτής ἐπιστήμων.

χορηγία δόσις. καὶ Πολύβιος "μὴ οἷον κατὰ θάλατταν τὰς παρασκευὰς καὶ τὰ χορήγια παρακομίζειν τοῖς στρατοπέδοις, μηδὲ ἐπὶ ὑποζυγίων, ἀλλ' ἐν ταῖς πήραις δέχ' ἡμερῶν ἔχοντας ἐφόδια." καὶ αὖθις Πολύβιος (cf. v. ἐσπούδαζον) "καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμός, ὑπερέχων τὴν ἐκ τοῦ βίου χορηγίαν," τουτέστι παροχήν.

χορηγός ὁ τοῦ χοροῦ ἡγούμενος καὶ δοτήρ.

χορηγῶ δοτικῇ.

χορίαμβος μέτρον στίχων.

χορικός ὁ τοῦ χοροῦ ἐξάρχων. τοιοῦτος ἦν Ἀγάθων, ὃς ὑποκριτικὰ μέλη ἐποίει καὶ αὐτὸς ὑπεκρίνετο· διὸ καὶ χορικὰ λέγεται (cf. v. μύρμηξ).

Χορίλη ἡ Ἑκάβη (an Χοιρίλη).

χόριον τὸ κάλυμμα τὸ συγγενόμενον ἐκ τῆς κοιλίας τοῖς βρέφεσι.

χοροβατῶ τὸ εἰς χορὸν βαίνω.

χοροδέκτης ὁ τοῦ χοροῦ προεξάρχων· "ὥσπερ οὖν παρά τινος χοροδέκτου λαβεῖν τὴν στάσιν" (cf. v. ἀσκὸς Κτησ.).

χοροῖσι τῶν τραγῳδῶν ἄχθεται," ἐπὶ τῶν πεινώντων ὡς μακρῶν ὄντων τούτων. Ἀριστοφάνης (Av. 791) "εἶτα πεινῶν τοῖς χοροῖσι τῶν τραγῳδῶν ἤχθετο, ἐκπτόμενος ἂν οὗτος ἠρίστησεν ἐλθὼν οἴκαδε."

χοροιτύπος ἐν τῷ χορῷ τύπτων.

χορὸν δίδωμι ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν· παρὰ γὰρ τοῖς Ἀθηναίοις χοροῦ ἐτύγχανον κωμῳδίας καὶ τραγῳδίας ποιηταὶ οὐ πάντες ἀλλὰ οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντες ἄξιοι.

χορός τὸ σύστημα τῶν ἐν ταῖς ἐκκλη- a
σίαις ᾀδόντων. διῃρέθησαν δὲ οἱ χοροὶ τῶν ἐκκλησιῶν εἰς δύο μέρη ἐπὶ Κωνσταντίου τοῦ υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου καὶ Φλαβιανοῦ ἐπισκόπου Ἀντιοχείας, διχῇ τοὺς ψαλμοὺς τοὺς Δαβιδικοὺς ᾄδοντες. ὅπερ ἐν Ἀντιοχείᾳ πρῶτον ἀρξάμενον εἰς πάντα περιῆλθε τῆς οἰκουμένης τὰ πέρατα.

χορός καὶ οἱ χορευταὶ καὶ ὁ τόπος, b
ἐν ᾧ τὸ σύστημα τῶν χορευτῶν. Ὅμηρος (Σ 590) "ἐν δὲ χορὸν ποίκιλλεν."

χορὸς τραγικὸς ἐκ ιε' προσώπων, χορὸς c
κωμικὸς ἐξ κδ' (sch. A Eq. 586).

χοροστατῶν χοροῦ κατάρχων.

χορτάζω γενικῇ.

χορταῖος ὁ δασὺς καὶ μαλλωτὸς χιτών.

Χορυμαῖοι ἔθνος.

Χοσβίας ὄνομα κύριον, ὁ ὑπὸ τοῦ ἀρχιερέως Φινεὲς συνδιαφθαρεὶς τῷ Ζαμβρῇ (Numer. 25 14).

Χοσρόης ὁ Περσῶν βασιλεύς. ὑμνοῦσιν αὐτὸν καὶ ἄγανται πέρα τῆς ἀξίας μὴ ὅτι οἱ Πέρσαι, ἀλλὰ καὶ ἔνιοι τῶν Ῥωμαίων ὡς λόγων ἐραστὴν καὶ φιλοσοφίας τῆς παρ' ἡμῖν ἐς ἄκρον ἐλθόντα, μεταβεβλημένων αὐτῷ ὑπό του ἐς τὴν Περσίδα φωνὴν τῶν Ἑλληνικῶν συγγραμμάτων. καὶ τοίνυν φασὶν ὅτι δὴ ὅλον τὸν Σταγειρίτην καταπιὼν εἴη μᾶλλον ἢ ὁ ῥήτωρ ὁ Παιανιεὺς τὸν Ὀλόρου, τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀναπέπλησται δογμάτων, καὶ οὔτε ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἄν, εἰ καὶ σφόδρα γραμμικῇ θεωρίᾳ πεποίκιλται καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις, οὔτε ὁ Φαίδων ὅτε ὁ Γοργίας, οὐ μὲν οὖν οὐδὲ ἄλλος τις τῶν

γλαφυρῶν καὶ ἀγκυλωτέρων διαλόγων, ὁποῖος ὁ Παρμενίδης. "ἐγὼ δέ" φησὶν Ἀγαθίας ⟨2 28⟩ οὕτως αὐτὸν ἄριστα ἔχειν παιδείας, καὶ ταῦτα τῆς ἀκροτάτης, οὐκ ἄν ποτε οἰηθείην. πῶς μὲν γὰρ οἷόν τε ἦν τὸ ἀκραιφνὲς ἐκεῖνο τῶν παλαιῶν ὀνομάτων καὶ ἐλευθέριον καὶ πρός γε τῇ τῶν πραγμάτων φύσει πρόσφορόν τε καὶ ἐπικαιρότατον ἀγρίᾳ τινὶ γλώττῃ καὶ ἀμουσοτάτῃ ἀποσωθῆναι; πῶς δὲ ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγαννυμένος, δίαιτάν τε λαχὼν ἐς ὅτι βαρυτάτην καὶ πρὸς πολέμους ἀεὶ καὶ παρατάξεις ὁρῶσαν, πῶς δὴ οὖν ὧδε βιὼς ἔμελλε μέγα τι καὶ λόγου ἄξιον ἐν τοῖσδε ἀπόνασθαι τοῖς διδάγμασι καὶ ἐνασκηθῆναι; εἰ μὲν οὖν ἐπαινοίη τις αὐτὸν ὅτι δὴ βασιλεύς γε ὢν καὶ Πέρσης, ἐθνῶν τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ, ὅ δὲ ἐφίετο γοῦν ὅμως ἀμηγέπῃ ἀπογεύεσθαι λόγων καὶ τῇ περὶ ταῦτα γάννυσθαι δόξῃ, ξυνεπαινέσαιμι ἂν καὶ ἔγωγε τὸν ἄνδρα καὶ μείζονα θείην τῶν ἄλλων βαρβάρων. ὅσοι δὲ λίαν αὐτὸν σοφὸν ἀποκαλοῦσι, καὶ μόνον οὐχὶ τοὺς ὅποι ποτὲ πεφιλοσοφηκότας ὑπερβαλλόμενον, ὡς καὶ ἁπάσης τέχνης τε καὶ ἐπιστήμης τὰς ἀρχὰς καὶ αἰτίας διαγινώσκειν, ἐκεῖνοι ἂν μάλιστα φωραθεῖεν οὐ τῶν ἀληθῶν ἐστοχασμένοι, μόνῃ δὲ τῇ τῶν πολλῶν ἑπόμενοι φήμῃ."

χοῦς θανάτου ὁ τάφος, ἅτε δὴ χωννυμένων τῶν θαπτομένων· Δαβίδ "καὶ εἰς χοῦν θανάτου κατήγαγές με" (Theodoret. in Ps. 21 16).

Χουσί ὄνομα κύριον.

χραίνειν αἰτιατικῇ μιαίνειν, μολύνειν, ῥυποῦν.

χραίσμωσιν ὠφελήσουσι. Hom. Α 566.

χρεία ὑπόθεσις, πρόνοια· ⟨Polyb. 3 70⟩ "ὃ δὲ ὑπελάμβανεν ἐγιασθεὶς ἐκ τοῦ τραύματος ἀληθινὴν παρέχεσθαι χρείαν τοῖς κοινοῖς πράγμασι." καὶ παροιμία "χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφὸν Καρχηδόνιον." τουτέστιν ἐνδεχομένην ἐκ τοῦ καιροῦ ποιησάμενοι τὴν ἐπίνοιαν.

χρείειν τύπτειν ⟨an χρίειν⟩.

χρείη δέοι.

χρειώ ἡ χρεία.

a χρείω τὸ χρησμοδοτῶ, ἐπὶ ἐνεστῶτος μόνον καὶ παρατατικοῦ· ἐπὶ δὲ τῶν λοιπῶν διὰ τοῦ η.

b χρείω τὸ μαντεύομαι, διὰ διφθόγγου· ὁ δὲ μέλλων διὰ τοῦ η, χρήσω. χρίω δὲ τὸ ἀλείφω διὰ τοῦ ι.

Χρεμέτης ὄνομα ποταμοῦ.

χρεμετίζει ἦχον τῷ στόματι ἀποτελεῖ. "πτάρνυται καὶ χρέμπτεται ὁμοίως." ⟨Iulian. or. 7 p. 205⟩ "τὴν ἀρχὴν ὁπόθεν εὑρέθη ὁ μῦθος, καὶ ὅστις πρῶτος ἐφεῦρεν, οὐ μᾶλλον εὕροι τις ἂν ἢ εἴ τις ἐπιχειρήσειε τὸν πρῶτον πταρέντα ἢ χρεμψάμενον ἀναζητεῖν."

χρεμψιθέατρον, ἢ ὅτι εἰσιόντες εἰς τὸ θέατρον χρέμπτονται, ἢ ὅτι χρεμπτόμενοι ἐκβάλλονται.

χρεοκοπεῖται ὑπὸ χρεῶν ἐνοχλεῖται· ⟨Diodor. 29 33⟩ "τῆς παρὰ τοῖς Αἰτωλοῖς χρεοκοπίας κατὰ τὴν Θεσσαλίαν ζηλωθείσης, καὶ πάσης πόλεως εἰς στάσεις καὶ ταραχὰς ἐμπιπτούσης."

χρεολυτῶ.

χρέος. παρὰ τὸ χρειῶδες λέγεται. χρέος καὶ ἡ χρειὼ παρὰ Ἀριστοφάνει ⟨Ach. 453⟩ "τί δ', ὦ τάλας, τοῦδ' ἔχει τοῦ πλέκους χρέος;" λέγει δὲ σπυρίδος.

χρέος τὸ δάνειον. καὶ χρεῖος. a

χρεών εἱμαρμένον, τέλος ζωῆς. Αἰλιανός "ἐπεὶ δὲ ἐς γῆρας ἀφίκετο, τὸ κοινὸν τῇ πεπρωμένῃ χρεὼν ἐξέτισε καὶ τῆς προσηκούσης κηδεύσεως ἔτυχε." τὸ δὲ χρεὼν μετοχή ἐστιν, ἀπὸ τοῦ χρῶ χρέω γινόμενον οὐδέτερον χρέον. παρατροπὴ δὲ παρηκολούθησε τοῦ τόνου, καὶ κατὰ Ἀττικὴν ἔκτασιν ἐτράπη τὸ ο εἰς ω, καὶ ἔστιν ἄκλιτον. τὰ δὲ εἰς ον ἐπιρρήματα διὰ τοῦ ο μικροῦ γράφεται πλὴν τοῦ χρεὼν καὶ ἐμποδών.

χρεῶν ἀποκοπαί, ὅταν τὰ ὑπὸ τῶν πενήτων ἀφαιρεθέντα ⟨an ὀφληθέντα⟩ ἄφεσιν λάβωσι.

χρεώστης ὁ δανειστής.

χρεωφειλέτης ὁ χρεωστῶν.

χρή ὀξυτόνως δεῖ. χρῇ δὲ περισπωμένως, τὸ ὑποτακτικόν, σημαίνει τὸ δέῃ· Εὔπολις Αἰξίν "ἐγὼ τελῶ τὸν μισθόν, ὅντιν' ἂν χρῇ." χρῆν δὲ σὺν τῷ ν καὶ περισπωμένως τὸ παρεληλυθὸς τὸ ἔδει. λέγουσι δέ ποτε καὶ χρῆσθαι ἀντὶ τοῦ δεῖ· Φερεκράτης Λήροις "τὸ δ' ὄνομά μοι κάτειπε, τί σε χρῆσθαι καλεῖν." Ἀριστοφάνης Λημνίαις "ἡ καρδία τι τίς; ἀλλὰ πῶς χρῆσθαι ποιεῖν;" χρῇς δὲ τὸ χρῄζεις καὶ δέῃ· Κρατῖνος Νόμοις "νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ τῶν ἡμετέρων

πάρα δ' ἄλλ' ὅ τι χρῇς." χρείη δὲ τὸ δέοι· Πλάτων Εὐθύφρονι ⟨p. 4⟩ "πευσόμενοι τοῦ ἐξηγητοῦ τί χρείη ποιεῖν."

χρήζω γενικῇ θέλω.

a χρῆμα πρᾶγμα, ἢ κτῆμα, πλοῦτος, οὐσία, λῆμμα· ⟨Menand. p. 416 Nieb.⟩ "τὸ δὲ δωμάτιον ζοφῶδες ἦν καὶ ἀδιατύπωτον, καὶ ὥρᾳ θέρες ἐς τὰ μάλιστα ἀνάρμοστον, ὡς δοκεῖν εἶναι τὸ χρῆμα εἱρκτήν." καὶ αὖθις ⟨cf. v. Εὐτρόπιος⟩ "ὃ δὲ κατέσεισεν ἅπαντα καὶ κατεβρόντησεν ἐς τοσοῦτον ὥστε ὁ τῦ μύθυ Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν." Ἰουλιανός "πρὸς τὴν Ἑρκυνίαν ὕλην ἐθεόμεν, καὶ εἶδον ἐγὼ χρῆμα ἐξαίσιον. ἰδοὺ γοῦν σοι θαρρῶν ἐγὼ ἐγγυῶμαι μή ποτε ὦφθαι τοιοῦτον μηδέν, ὅσα γε ἡμεῖς ἴσμεν, ἐν τῇ Ῥωμαίων. ἀλλ' εἴτε τὰ Θετταλικὰ Τέμπη δύσβατα νομίζει τις εἴτε τὰ ἐν Θερμοπύλαις εἴτε τὸν μέγαν καὶ διωλύγιον Ταῦρον, ἐλάχιστον ἴστω χαλεπότητος ἕνεκα πρὸς τὸ Ἑρκύνιον τοὔνομα." καὶ Εὐνάπιός φησιν ⟨p. 106 Nieb.⟩ "ὃ δὲ τὰς δυνάμεις ἤθροισε, τὸ χρῆμα τῆς διαβάσεως ἐπισπέρχων ἤδη καὶ συμβιαζόμενος, καὶ πλὴν ἀγαθῆς ψυχῆς σῶμα οὐκ ἔχων."

b χρῆμα πρᾶγμα· "μέγα τι χρῆμα καὶ θαυμάσιον ἀνὴρ καὶ ψυχὴ δεόντως ἁρμοσθεῖσα κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν, πρὸς ὅ τι ἂν ὁρμήσῃ τῶν ἐξ ἀρχῆς ἔργων." καὶ αὖθις "εἰκάζειν ἂν βοῶν ἀγέλῃ μεγίστῃ τὸ χρῆμα·" περὶ βαρβαρικῆς παρατάξεως ὁ λόγος. Ἡρόδοτος ⟨7 188⟩ "ἦν τε τῦ χειμῶνος χρῆμα ἀφόρητον." καὶ Ἀριστοφάνης ⟨Nub. 1⟩ "τὸ χρῆμα τῶν νυκτῶν ὅσον, ἀπέραντον," δηλαδὴ τὸ ἔκταμα, τὸ μέγεθος. ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον, ἵππος σπάνιόν τι χρῆμα, γυνὴ κακόν τι χρῆμα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ὧν ἂν ἐξαίρειν βέλωνται. "ὃ δὲ χρημάτων οὐκ ἦν εὔπορος, οὐδὲ ὅσα ἂν ἐξήρκεσεν ἑτέρῳ πρὸς τὴν τῦ ἀναγκαίυ βίυ διαγωγήν, ὐδὲ τοσαῦτα κεκτημένος."

c χρῆμα χρῆσις· Ἰώσηπος ⟨A. I. 18 9 2⟩ "ἦν δὲ σάββατον ἀργία παντὸς χρήματος ἡμέρα τοῖς Ἰουδαίοις τιμιωτάτη." καὶ αὖθις "κινδυνεύει ἀποσβῆναι τῆς ἀληθείας τὸ χρῆμα." καὶ χρήματα παρὰ Ἡροδότῳ ἀντὶ τῦ πράγματα· "χρήμασιν ἐδωρήσατο."

χρῆμα οἰκτρόν ταπεινοί, ἐλέυς ἄξιοι· "Λιβύων δὲ πρέσβεις, χρῆμα οἰκτρόν, κατὰ κλέος τὸ τῆς παρθένυ ἧκον, καὶ ἐδέοντο λύσιν τινὰ τῦ λοιμῦ λαβεῖν."

χρήματα χρήματ' ἀνήρ, πενιχρὸς δ' a ὐδέποτ' ἐσθλός" ἐπὶ τῶν διὰ πλοῦτον εὐημερύντων Ἀριστόδημός φησι. μέμνηται τῦ Ἀριστοδήμυ καὶ Ἀλκαῖος· "ὡς γὰρ δήποτέ φασιν Ἀριστόδημον ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν, χρήματα" καὶ τὰ ἑξῆς. καὶ αὖθις Ἀριστοφάνης ⟨Vesp. 695⟩ "ὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς. σκέψαι τοίνυν ὡς ἐξόν σοι πλυτεῖν καὶ τοῖσιν ἅπασιν, ὑπὸ τῶν ἀεὶ δημιζόντων." καὶ Σοφοκλῆς ⟨Ai. 288⟩ "τί χρῆμα δρᾷς, Αἴαν; τί τήνδ' ἄκλητος οὐδ' ὑπ' ἀγγέλων κληθεὶς ἀφορμᾷς πεῖραν, οὔτε τυ κλύων σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός. ὃ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα· γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. κἀγὼ μαθοῦσ' ἔληξ', ὃ δ' ἐσσύθη μόνος."

χρήματα χρήματ' ἀνήρ. αὕτη ἀπο- b φθεγματική ἐςιν, ὡς τὰ παραγγέλματα τῶν ζ΄ σοφῶν. μέμνηται αὐτῆς Πίνδαρος καὶ Ἀλκαῖος. ὁμοία τῇ ἀρχὴ ἄνδρα δείκνυσι, καὶ τῇ τὴν κατὰ σαυτὸν ἔλα, καὶ τῇ γνῶθι σαυτόν. λεχθῆναι δὲ αὐτὴν Ἀλκαῖος μὲν ὑπὸ Ἀριστοδήμου τοῦ Σπαρτιάτου φησί, Πίνδαρος δὲ ὑπό τινος Ἀργείυ τὸ ὄνομα, ὕτω λέγων. ὁ δὲ Ἀριστόδημος ἐγκαταριθμεῖται τοῖς ζ΄ σοφοῖς ὑπό τινων.

χρηματίζει δοτικῇ ἀποκρίνεται, πρᾶγμα διοικεῖ. ὕτως Ἀππιανὸς ὁ ἱςορικός· "τοῖς πρέσβεσιν ἐχρημάτισε."

χρηματίζειν ἐςὶ τὸ λόγυς διδόναι ἀλλήλοις. Ἀριστοφάνης δέ ⟨Th. 384⟩ "καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδυ, ὅ τι χρὴ παθεῖν."

χρηματίζεσθαι χρήματα πράττεσθαι. a ἐὰν δέ τις εἴπῃ τὴν λέξιν ἐνεργητικῶς χρηματίζειν, ὐκέτι τὸ αὐτὸ δηλοῖ, ἀλλὰ τὸ πράγμασι χρῆσθαι, οἷον φαμὲν "χρηματίζει ἡ βυλὴ καὶ ὁ δῆμος," οἷον πράγμασι σχολάζει. ἀφ' ὖ χρήματα τὰ πράγματα.

χρηματίζεσθαι πλυτεῖν. "ὐδὲ χρημα- b τίζομαι· πάλαι γάρ μοι ταῦτα ἐδόκει καὶ ἐκ μειρακίων λῆρος καὶ φλήναφος" ⟨cf. v. θρέμματα⟩.

χρηματισάμενοι πραγματευσάμενοι. καὶ χρηματίσαι μέν ἐστι τὸ πρᾶξαι, χρηματίσασθαι δὲ τὸ κερδᾶναι παρὰ Θυκυδίδῃ ⟨sch. Thuc. 1 87⟩.

χρηματισαμένων χρήματα λαβόντων· Ἀρριανός "χρηματισαμένων δὲ καὶ αὐτῶν τρίτη παρεγένετο πρεσβεία."

χρηματίσεσθαι χρήματα λαβεῖν· "Ἡροφίλου ··· βίβλους" ⟨cf. v. Ἡρόφιλος⟩.

χρημάτισις χρημάτων συναγωγή· Αἰλιανός "ὁ δὲ τῆς θεοσυλίας τε καὶ ἀθέσμου χρηματίσεως διαφθαρεὶς τὸν μισθὸν ἠνέγκατο τοῦτον πικρότατόν τε καὶ πικρωδέστατον ⟨an φρικωδέστατον⟩."

χρηματισμός· "πᾶσι δὲ συνετάττετο ποιήσασθαι τοὺς χρηματισμούς," τουτέστι τὰς διοικήσεις. καὶ αὖθις "ὁ δὲ τοὺς πρεσβευτὰς ἑτοίμως δεξάμενος ἐχρημάτιζε τούτοις," ἀντὶ τοῦ ἐκοινολογεῖτο, λόγους ἐδίδου. καὶ αὖθις "ἐν χρηματισμῷ δικαίῳ καταστάς."

b ὅτι φησὶ Δαμάσκιος τὸν χρηματισμόν, τουτέστι τὴν τῶν χρημάτων συλλογήν, μηδὲ φανεῖσθαι τοῖς ἐν ᾅδου πρὸς βοήθειαν, οὐδὲ τὴν τρυφήν, οὐδὲ τὰς πολυαράτους ταύτας τιμάς, ὧν οὐδὲν προτιμῶσιν οἱ πολιτικοὶ καὶ σφόδρα ὑπὸ τῶν πολλῶν μακαριζόμενοι ὡς εὐδαίμονες, ὄντες γε τῇ ἀληθείᾳ κακοδαίμονες.

χρηματιστής χρημάτων ποριστής. ὁ ῥᾳδίως χρήματα πορίζων οὕτω προσαγορεύεται. κεῖται τὸ ὄνομα παρὰ Λυσίᾳ.

a χρημάτων. συνήθως μὲν οἵ τε ἰδιῶται καὶ οἱ ῥήτορες τῷ ὀνόματι τῶν χρημάτων ἐπὶ νομίσμασι χρῶνται ἀργυρίου καὶ χρυσίου, καὶ ἐπὶ τῆς ὅλης οὐσίας τὴν λέξιν ταύτην ἔταξαν "τὸν ἀποκτείναντα ὅσιον εἶναι καὶ θνήσκειν, καὶ τὰ χρήματα αὐτοῦ πεπρᾶσθαι." κεῖται δὲ ἡ λέξις καὶ ἐπὶ πράγματος ἢ προσώπου ἢ λόγου, ὡς Ἀντιφῶν. τάσσουσι δὲ τὴν λέξιν καὶ ἐπὶ τῶν ἐμπορικῶν φορτίων. ὁ δὲ Λυσίας ἐπὶ τοῦ χρυσοῦ κατασκευάσματος τίθησι.

b χρημάτων χρυσοῦ, νομίσματος· "οἳ δὲ ἤγοντο χρημάτων μεγάλων ἐωνημένοι."

χρήμη χρεία καὶ σπάνις· Ἡρόδοτος εἰς τὸν βίον Ὁμήρου ⟨14⟩ "τοὺς ἐναντιωθέντας τῇ χρήμῃ αὐτοῦ." "···ὅμως ἐν δαπανήμασι μεγάλοις ἐγένετο," τουτέστι μετρίῳ πλούτῳ καὶ περιουσίᾳ.

χρῇ μοι μαντεύεται· Σοφοκλῆς ⟨El. 35⟩ "χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσῃ τάχα."

χρῆν ἔδει. καὶ ἐχρῆν ἔπρεπε· ⟨Synes. ep. 7⟩ "χρῆν δὲ μή, τὸ λεγόμενον, ἄστροις τὰ καθ' ὑμᾶς σημαίνεσθαι, μηδὲ τί λέγει φήμη πυνθάνεσθαι, ἀλλὰ μάλιστα μὲν ἔχειν συνόντας, εἰ δὲ μή, γράμμασιν ὑμετέροις ἐντυγχάνειν."

χρῆναι πρέπειν· "χρῆναι γὰρ ἤδη ἀφῖχθαι παρ' αὐτόν."

χρῇς χρῄζεις. ζήτει ἐν τῷ χρῄ.

χρήσασθαι δανείσασθαι.

ὅτι τὸ χρῆσαι τοῦ δανεῖσαι αἱρετώτερον· τὸ μὲν γὰρ χρῆσαι ἐπὶ φίλων, τὸ δὲ δανεῖσαι πρὸς τοὺς τυχόντας.

χρήσιμον τὸ ἀγαθόν, ὅ τι χρῆσιν ὠφελείας παρέχεται.

χρήσιμον ὠφέλιμον· ⟨Polyb. 1 54⟩ "οἱ δὲ οὕτω διεφθάρησαν ὡς μηδὲ τῶν ναυαγίων μηδὲν γίνεσθαι χρήσιμον, ἀλλ' ἀχρειωθῆναι αὐτούς."

χρήσιμον πρᾶγμα ὅ τι χρείαν ὠφελείας παρέχεται, εὔχρηστον δὲ ὅ τι χρείαν ἐπαινετὴν ἀπεργάζεται.

χρῆσις. χρῆσις λέγεται τῶν χρησίμων τινὸς χρεία. χρήσιμα δὲ λέγεται τῶν ἀγαθῶν ἰδίως τὰ ὀργανικά.

ὧν οὖν αἱ χρήσεις αἱρετώτεραι, καὶ αὐτὰ b αἱρετώτερα. εἰ γὰρ ἡ χρῆσις τοῦ πλούτου τῆς χρήσεως τῆς ἰσχύος αἱρετωτέρα, καὶ ὁ πλοῦτος τῆς ἰσχύος αἱρετώτερος ⟨Alex. Aphrod. in Top. 3⟩.

χρῆσθαι διοικεῖσθαι, δαπανᾶν, καταναλίσκειν· "τά τε ἐπιτήδεια παρεσκευακέναι ἄφθονα, καὶ ταῦτα προῖκα παρέξειν τῇ στρατιᾷ χρῆσθαι."

χρήσθων ἀντὶ τοῦ χρήσθωσαν. καὶ ζήτει ἐν τῷ δρώντων.

χρησμοδοτῶ καὶ χρησμοδότημα· χρησμῳδῶ δέ.

χρησμός προφητεία. "ὁ δὲ Σκιπίων ὁ στρατηγὸς τῶν Ῥωμαίων, κατὰ τὴν τῆς Καρχηδόνος καθαίρεσιν θαρσούντων Ῥωμαίων ὡς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ τὸ λοιπὸν διάξουσι τοῦ χρόνου, παρελθὼν εἰς μέσους ἔφη 'νῦν μέντοι πολέμων ἀρχαὶ τὰ παρόντα· κινδυνεύσομεν γὰρ μὴ ἔχοντες μήτε οὓς φοβηθῶμεν μήτε οὓς φοβηθῶμεν.' καὶ ἦν χρησμός, ὁ λόγος·" καὶ αὖθις "τοῖς Ἀθηναίοις ἐκπίπτει χρησμὸς λέγων δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν ἀνὰ πᾶν ἔτος καὶ ἑορτὴν χοὰς ἄγειν· καὶ ἐκ τούτου εὐθηνεῖτο τὰ τῆς Ἀττικῆς." ζήτει χρησμὸν ἐν τῷ δόρυ κηρύκειον.

b χρησμός. ζήτει ἐν τῷ Τυρταῖος, καὶ ἐν τῷ ἀνεῖλε, καὶ ἐν τῷ Θαλῆς, καὶ ἐν τῷ Αὔγουστος Καῖσαρ, καὶ τὸ τέλος τοῦ τοιούτου χρησμοῦ ἐν τῷ Σκηπίων. ζήτει χρησμὸν θαυμάσιον ἐν τῷ Δαφίδας. χρησμὸν περὶ ἔρωτος ἐν τῷ Διογένης. ζήτει χρησμὸν περὶ Αἰγιέων ἐν τῷ Αἰγιεῖς. ζήτει χρησμὸν καὶ ἐν τῷ Οἰδίπους.

χρησμῳδεῖν θεολογεῖν.

χρησμῴδημα μάντευμα.

χρηστὰ χρήσιμα, καλά.

χρῆσται δανεισταί.

χρῆσται. δύο σημαίνει τοὔνομα τἀναντία· καὶ γὰρ τοὺς δανειστάς, ὡς παρ' Ἰσαίῳ. Ἀριστοφάνης ⟨Nub. 239⟩ "ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων ἄγομαι φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι." ἐπὶ δὲ τοῦ δανειζομένου Δημοσθένης φησὶν ⟨32 12⟩ "οἱ δὲ δανεισταὶ τὸ ἐξ ἀρχῆς ἠπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλο δὲ οὐδέν." Harp.

χρήστην καὶ τὸν δανείσαντα καὶ τὸν δανεισάμενον.

χρηστήρια τολμήματα, πράξεις· Σοφοκλῆς ⟨Ai. 220⟩ "κείνου χρηστήρια τἀνδρός." ἢ τὰ διεφθαρμένα ποίμνια παρὰ τὸ διαχρήσασθαι αὐτά. χριστήρια δὲ τὰ μετ' ἐλαίου κεχρισμένα, μεθ' οὗ ἐχρίοντο οἱ ἱερεῖς, διὰ τοῦ ι.

χρηστήριον τὸ μάντευμα ἤτοι τὸν χρησμόν, τὸ χωρίον, τὸ ἱερεῖον. τὸ μαντεῖον δὲ διχῶς.

χρήστης καὶ ὁ δανείζων καὶ ὁ δανειζόμενος. ὁ δὲ Ἀριστοφάνης χρήστας τοὺς δανειστὰς λέγει. ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας καλεῖ, Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσι, τοὺς δὲ ὀφειλέτας χρεωφειλέτας. Φωκυλίδης δὲ κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων "χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς φεύγειν, μή σ' ἀνιήσειε διδοὺς παρὰ καιρὸν ἀπαιτέων."

χρηστὸν χρήσιμον· ⟨A Pac. 567⟩ "ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον."

χρηστός ὁ ἀγαθός· "καὶ χρηστὸς ἐξ ἀγάπης ἀλλ' οὐκ ἐξ ἀνάγκης." χριστὸς δὲ ὁ ἐν ἐλαίῳ κεχρισμένος, καὶ Χριστός ὁ κύριος καὶ θεὸς ἡμῶν.

χρηστουργία ἀγαθοεργία· "ἡ δὲ φεύγει, ἐπιθυμοῦσα ἀμείψασθαί ποτε ἐπὶ χρηστουργίᾳ τὸν ἄνθρωπον."

χρηστῶς ἀντὶ τοῦ φυλακτικῶς· Ἀριστοφάνης ⟨Eccl. 218⟩ "ἡ δ' Ἀθηναίων πόλις, εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσῴζετο, εἰ μή τι καινὸν ἄλλο περιειργάζετο," ἀντὶ τοῦ ἐφύλαττε τὸν ἀρχαῖον νόμον καὶ μὴ ἐπολυπραγμόνει καὶ τὰς καινὰς ἔφερε πολιτείας.

χρίμπτεται προσκνᾶται, πελάζει, ἐγγίζει· ⟨AP 7 23⟩ "εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνα."

χρίομαι αἰτιατικῇ ἀλείφομαι. χρείω δὲ τὸ μαντεύομαι διὰ διφθόγγου, ἐπὶ ἐνεστῶτος μόνον· ἐπὶ δὲ μέλλοντος διὰ τοῦ η.

χρίσασθαι ἀλείψασθαι· "καὶ ἀποδυσάμενον χρίσασθαι κελεύει ἐλαίῳ."

χρίσις. τὸ χρίσμα τοῦ τῆς βασιλείας ἐλαίου, ὅπερ οἱ προφῆται διὰ κέρατος ἐπιφερόμενοι ἔχριον τοῖς βασιλεῦσι. καὶ ὁ Δαβὶδ τῆς μὲν χρίσεως ἠξιώθη διὰ Σαμουήλ· τὰς δὲ τοῦ λαοῦ ἀναγορεύσεις ἡ ἱστορία χρίσεις ἀδιαφόρως ὠνόμασεν ⟨Theodoret. in 2 Regg. qu. 15⟩. καὶ αὖθις ⟨AP 7 1⟩ "νέκταρι δ' εἰνάλιαι Νηρηΐδες ἐχρίσαντο, καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι," ἀντὶ τοῦ ἔχρισαν.

χρίσμα τὸ τῆς βασιλείας. ὅτι ὁ Δαβὶδ εἰς βασιλείαν τρίτον ἐχρίσθη. καὶ σημαίνει καὶ τὸν ἐν ἐλαίῳ κεχρισμένον καὶ τὸν προφήτην. χριστήρια δέ, μεθ' ὧν οἱ ἱερεῖς ἐχρίοντο τὸ παλαιόν.

χριστιανοί. ἐπὶ Κλαυδίου βασιλέως Ῥωμαίων Πέτρου τοῦ ἀποστόλου χειροτονήσαντος Εὐόδιον ἐν Ἀντιοχείᾳ, μετωνομάσθησαν οἱ πάλαι λεγόμενοι Ναζαραῖοι καὶ Γαλιλαῖοι χριστιανοί.

Χριστῖνα ὄνομα κύριον. καὶ Χριστίων Χριστίωνος.

Χριστόδωρος Θηβαῖος, Ἰλλούστριος, a ἔγραψεν ἰξευτικὰ δι' ἐπῶν, καὶ θαύματα τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

Χριστόδωρος Πανίσκου, ἀπὸ Κοπτοῦ b πόλεως τῆς Αἰγύπτου, ἐποποιός, ἤκμαζεν ἐπὶ τῶν Ἀναστασίου τοῦ βασιλέως χρόνων. ἔγραψεν Ἰσαυρικὰ ἐν βιβλίοις ϛ'· ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν τὴν ὑπὸ Ἀναστασίου τοῦ βασιλέως γενομένην. πάτρια Κωνσταντινουπόλεως, ἐπικῶς, βιβλία ιβ'. πάτρια Θεσσαλονίκης, ἐπικῶς, βιβλία κε'. πάτρια Νάκλης· ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα Ἄφακα. πάτρια Μιλήτου τῆς Ἰωνίας, πάτρια Τράλλεων, πάτρια Ἀφροδισιάδος,

ἔκφρασιν τῶν ἐν τῷ Ζευξίππῳ ἀγαλμάτων, καὶ ἄλλα πολλά.

Χριστός ὁ κύριος ἡμῶν καὶ θεός.

χρόα ἡ χροιά, βαρυτόνως ὡς ψόα.

χροῒ δῆλα. ὅτι Φερεκύδην τὸν σοφόν φασι φθειριάσαντα τελευτῆσαι, ὅτε καὶ Πυθαγόρε παραγενομένε καὶ πυνθανομένε πῶς διακέοιτο, διαβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν χροῒ δῆλα. καὶ τἐντεῦθεν παρὰ τοῖς φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται. οἱ δὲ ἐπὶ τῶν βελτίστων χρώμενοι διαμαρτάνεσι (cf. v. ἐπηλυγάζονται).

χροιά. χροία δὲ παροξυτόνως οἱ Ἀττικοί (A Nub. 1173) "ὡς ἥδομαι πρῶτα τὴν χροίαν ἰδών." ἡ δὲ κοινὴ ὀξυτόνως. χρόα δὲ βαρυτόνως ὡς ψόα.

χρόμαδος.

Χρομίος ὄνομα κύριον.

Χρόμωνος.

χρόνος. οἱ φιλόσοφοι ἀσώματον αὐτὸν εἶναί φασι, διάστημα ὄντα τῆς τε κόσμου κινήσεως, τούτου δὲ τὸν μὲν παρῳχηκότα καὶ τὸν μέλλοντα ἀπείρες, τὸν δὲ ἐνεστῶτα πεπερασμένον. ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον. ἕ γὰρ τὰ μέρη φθαρτά ἐστι, καὶ τὸ ὅλον· τὰ δὲ μέρη τε κόσμε φθαρτά (εἰς ἄλληλα γὰρ μεταβάλλει), φθαρτὸς ἄρα καὶ ὁ κόσμος. καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι· καὶ ὁ κόσμος· ἐξαυχμεῦται γὰρ καὶ ἐξυδατεῦται (Diog. L. 7 141).

χρόνος γὰρ εὐμαρὴς θεός, τετέςιν ὁ χρόνος εὐμαρῶς παρέχεται. ἢ ὅτως· εὐχερής ἐστιν ὁ χρόνος ὥστε μετελθεῖν τοὺς ἀδίκες (sch. S El. 179).

χρόνε πόδα ἀπὸ τε Εὐριπίδε· Ἀριςοφάνης (Ran. 100 et 314) "αἰθέρα Διὸς δωμάτιον ἢ χρόνε πόδα." ἀντὶ Εὐριπίδε τε ταῦτα λέγοντος. καὶ αὖθις "χρόνε γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος" Σοφοκλῆς (El. 1292)· ἀφαιρεῖται γὰρ τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι ἡ τῶν λόγων ἀδολεσχία.

χροός σώματος· καὶ Ὅμηρος (N 191) "ἀλλ' ὅπη χροὸς εἴσατο." διῄρηται ὁ χρόος ἀντὶ τε ὁ χρώς, διὸ καὶ βαρύνεται. τὸ δὲ εἴσατο ἐφάνη. (AP 6 273) "λῦσαι δ' Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ' ἐς οἴκες."

χρυσᾶ. τὸ ἁπλᾶ··· φοινικοῦν (cf. v. ἁπλᾶ).

χρυσάμπυκας χρυσοχαλίνες.

Χρυσάνθιος. ἔτος ἐκ Σάρδεων ν, φιλόσοφος· ὃν διὰ γραμμάτων μεταπέμπεται Ἰελιανός. ὃ δὲ κατὰ χώραν ἔμενε, τἔτο ἐπελθὸν αὐτῷ πράττειν ἐκ τε θεία· ὅς γε οὐ πρὸς τὴν περιτρέχεσαν καὶ καινὴν δόξαν ἀνέφερε τὸν ἑαυτε βίον, ἀλλὰ πάντα εἰς τὸ θεῖον ὑπερτιθεὶς ἐκεῖθεν ἅπαντα ἔπραττε.

Χρυσαόριος ὄνομα κύριον.

χρυσάορον χρυσοφάσγανον, ἢ χρυσοκίθαρον. Hom. O 256.

χρυσαυγεῦντα ἀστράπτοντα, ςίλβοντα.

χρύσειος χεὶρ καὶ χρύσειον ἔργον.

χρύσεος ὁ χρυσᾶς.

χρυσῆ εἰκών. ὤμνυον οἱ Ἀθήνησιν ἄρχοντες, ἂν μὴ παρέλθωσιν ἐφ' οἷς ἄρχεσι, χρυσῆν εἰκόνα αὐτῶν ἀναθήσειν ἐν ἄστει, ἐν Πυθοῖ, ἐν Ὀλυμπίᾳ.

Χρυσηΐς ὄνομα κύριον.

χρυσηλάκατος ἡ καλλίτοξος, ἡ χρυσότοξος. Hom. Y 70.

χρυσήνιος κυρίως. ἢ ἀπὸ μέρες καὶ δίφρος εὐάρμοστος. Hom. Z 205.

χρυσῆν σειρήν. ὅτως ὑπὸ Ὁμήρε τὸν ἥλιον λεγόμενον ἐν Θεαιτήτῳ Πλάτων φησί (p. 153 C).

χρυσίδιον τὸ μικρὸν χρυσίον, ὑποκοριστικῶς.

χρυσίζω τὸ χρυσὸν λαμβάνω.

Χρυσίππειοι μαθηταί οἱ τοῦ Χρυσίππε.

Χρύσιππος Ἀπολλωνίδου Σολεὺς ἢ Ταρσεύς, φιλόσοφος, μαθητὴς Κλεάνθους, καθηγησάμενος τῆς στωικῆς σχολῆς μετὰ Κλεάνθην, καὶ τελευτήσας ὁ καὶ γ' ἐτῶν ὑπὸ τε πιεῖν ἄκρατον καὶ ἰλιγγιᾶσαι, κατὰ δὲ ἄλλους ὑπὸ γέλωτος ἀπείρου, ἐπὶ ρμγ' ὀλυμπιάδος. συντέταχε δὲ βιβλία πλεῖω ἢ ψ' φιλόσοφά τε καὶ ἱστορικὰ καὶ γραμματικά.

ὅτι Χρύσιππος ὁ φιλόσοφος τοιούτες τινὰς ἠρώτα λόγες. ὁ λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια ἀσεβεῖ· ὁ δέ γε ἱεροφάντης τοῖς ἀμυήτοις λέγει· ὁ ἱεροφάντης ἄρα ἀσεβεῖ. ὃ ἔστιν ἐν τῇ πόλει, τἔτο καὶ ἐν τῇ οἰκίᾳ· ἐκ ἔστι δὲ φρέαρ ἐν τῇ πόλει· οὐδ' ἄρα ἐν τῇ οἰκίᾳ. ἔστι τις κεφαλή, ἐκείνην δὲ ἐκ ἔχεις· ἔστι δέ γέ τις κεφαλή, ἣν οὐκ ἔχεις· οὐκ ἄρα ἔχεις κεφαλήν. εἴ τίς ἐστιν ἐν Μεγάροις, ἐκ ἔςιν ἐν Ἀθήναις· ἄνθρωπος δέ ἐςιν ἐν Μεγάροις· ἐκ ἄρα ἐςὶν ἄν-

θρωπος ἐν Ἀθήναις. εἴ τι λαλεῖς, τȣ̃τό σȣ διὰ ςόματος διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξα ἄρα διὰ ςόματός σȣ διέρχεται. εἴ τι ȣ̓κ ἀπέβαλες, τȣ̃το ἔχεις· κέρατα δὲ ȣ̓κ ἀπέβαλες· κέρατα ἄρα ἔχεις (Diog. L. 7 186).

χρυσίς ἡ χρυσῆ φιάλη· (A Pac. 424) "οἴμ' ὡς ἐλεήμων εἰμὶ ἀεὶ τῶν χρυσίδων," ἀντὶ τȣ̃ ἥττων.

χρυσίτης εἶδος λίθου. χρυσῖτις δὲ γῆ. πλὴν τȣ̃ ἀετίτης, λυχνίτης καὶ ἀχάτης, τὰ δὲ λοιπὰ διὰ τȣ̃ ι.

χρυσόγεων τὸ ἔχον γῆν χρυσῆν· χρυσόγειον δέ.

Χρυσόγονος ὄνομα κύριον.

ἐπιστολὴ Ἀναστασίας τῆς μάρτυρος πρὸς Χρυσόγονον. "τῷ ἁγίῳ ὁμολογητῇ Χριστοῦ Χρυσογόνῳ Ἀναστασία χαίρειν. εἰ καὶ μάλιστα ὁ ἐμὸς πατὴρ τὰ εἴδωλα προσεκύνει, ἀλλ' ȣ̓̃ν ἡ μήτηρ μȣ Φλαβία διὰ παντὸς ἐν χριςιανοῖς ȣ̓̃σα, ἐξ ὅτου με ἐγέννησε, χριστιανήν με ἐποίησε. μετὰ δὲ τὸν θάνατον αὐτῆς ἐζεύχθην ἀνδρὶ μιαρωτάτῳ, ȣ̃ τινὸς χάριτι θεȣ̃ τὴν συνάφειαν διέφυγον, δεομένη τȣ̃ κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριστȣ̃ νυκτός τε καὶ ἡμέρας ῥυσθῆναι ἀπὸ τȣ̃ μιαρȣ̃ εἰδωλολάτρȣ ἐκείνȣ, ὅστις τὴν ἐμὴν περιȣσίαν ἐξῆς διαφαίνεται μετὰ μιαρῶν καὶ εἰδωλολατρῶν ἀνδρῶν ἐξαντλήσας, ἐμὲ δὲ ὡσανεὶ φαρμακὸν καὶ ἱερόσυλον βαρυτάτῃ φυλακῇ παραδέδωκεν, ὥστε με τὴν πρόσκαιρον ἀπολέσαι ζωήν· καὶ οὐδέν μοι παρὲξ τῆς ψυχῆς περιλέλειπται. πλὴν εὔχομαι μετὰ τῆς τȣ̃ θεȣ̃ ἐλπίδος ἀποθανεῖν. ὅμως, εἰ καὶ καυχῶμαι ἐν τῇ ὁμολογίᾳ τȣ̃ Χριστȣ̃ μȣ, πάνυ λυπȣ̃μαι ὅτι τὴν ἐμὴν περιȣσίαν, ἣν ηὐχόμην περὶ τὰς δȣ́λȣς τȣ̃ θεȣ̃ δαπανῆσαι, ὁ μιαρὸς ἐκεῖνος ἄνθρωπος δαιμονολάτραις ἐπιχορηγεῖ, καὶ ἅπερ ἐγὼ ἐπιδȣ̃ναι τοῖς τȣ̃ θεȣ̃ δȣ́λοις ηὐχόμην, ταῦτα αἰσχροῖς καὶ ἀνοσίοις ἀνθρώποις ἐπιδίδωσι. καὶ διὰ τȣ̃το παρακαλῶ σε, δȣ̃λε Χριστȣ̃ τȣ̃ θεȣ̃, ἵνα σπȣδαίως ὑπὲρ ἐμȣ̃ τὸν θεὸν δυσωπήσῃς, ὥστε, εἰ μὲν προγινώσκει ὁ θεὸς πιστεῦσαι τὸν ἐμὸν ἄνδρα Πόπλιον εἰς τὸν Χριστόν, εἰ δὲ μή γε, συγχωρῆσαι αὐτὸν ταῖς οἰκείαις ἐναπολέσθαι ἀπάταις, ἐμὲ δὲ ῥύσασθαι ἀπ' αὐτȣ̃. κάλλιον γάρ μοι τὸ ἀποθανεῖν ἢ τὸν υἱὸν τοῦ θεȣ̃ ἀπαρνήσασθαι καὶ τοῖς πιστεύȣσιν εἰς αὐτὸν ἐμποδίσαι. αὐτὸς δὲ ὁ παντοδυνάςης Χριστὸς μαρτυρεῖ· ὅταν ἀπαλλαγήσωμαι τῆς πλάνης ταύτης, τοῖς ἁγίοις προσκαρτερήσω, καὶ τὰς ὑπὲρ αὐτῶν φροντίδας, καθάπερ ἠρξάμην, μέχρι παντὸς ἀναδέξομαι. ἔρρωσο δȣ̃λε τȣ̃ θεȣ̃, καὶ μέμνησό μȣ."

ὁ δὲ Χρυσόγονος δεξάμενος ἔγραψεν ȣ̔́τως. "Χρυσόγονος Ἀναστασίᾳ χαίρειν. χειμαζομένῃ σοι ταῖς θυέλλαις τοῦ βίου ὁ ἐπὶ τῶν κυμάτων βαδίσας Χριστὸς βοηθήσοι, ἵνα τὴν τȣ̃ διαβόλȣ δύναμιν τῷ λόγῳ αὐτȣ̃ καταργήσῃς. μεγαλοφρόνως τοίνυν καὶ ὡσανεὶ ἐν μέσῃ τῇ θαλάσσῃ κειμένη πίστευσον τῷ Χριστῷ ἐπισκέψασθαί σε, καὶ πρὸς ἑαυτὴν ἐπιστρέψασα ἀναβόησον μετὰ τȣ̃ προφήτȣ εἰπόντος 'ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μȣ', καὶ τὰ ἑξῆς. διπλῆ γὰρ ἡ δύναμις τῆς τοῦ θεοῦ χάριτος ἀποδείκνυται· καὶ γὰρ τὰ πρόσκαιρά σοι περιττεύσει, καὶ προστεθήσεταί σοι τὰ ἐπȣράνια. ὁ δὲ θεὸς τοὺς μὴ παρακαλȣ̃ντας αὐτὸν ὑπὲρ ἀγαθῶν ἀποστρέφεται· οὐδὲ γάρ ἐστιν εὐτελὲς τὸ χάρισμα αὐτοῦ. βλέπε μὴ ταραχθῇς ἐν τούτῳ, ὅτι εὐσεβῶς διαγινομένῃ σοι πρὸς τὸν Χριστὸν συμβαίνει τἀναντία. οὐδὲ γὰρ ἀπατᾷ σε ὁ Χριστός, ἀλλὰ δοκιμάζει σε. οὔτε ἀσφαλής ἐστι παρὰ τῶν ἀνθρώπων βοήθεια, ὡς σὺ νομίζεις, τῆς γραφῆς λεγούσης 'ἐπικατάρατος ὁ ἄνθρωπος ὁ ἐλπίζων ἐπ' ἄνθρωπον, καὶ εὐλογημένος ὁ ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ τὸν θεόν.' βλέπε γενναίως, καὶ ἀγρύπνως καὶ τρανῶς διάφυγε πᾶσαν ἁμαρτίαν. ταύτην παρὰ τοῦ θεοῦ ζήτησον παραμυθίαν, οὗ τινὸς τὰς ἐντολὰς φύλαττε. ἤδη γὰρ ὁ τῆς σωτηρίας καιρὸς ἐλεύσεται ἐπὶ σέ, καὶ καθάπερ μετὰ σκοτεινὴν νύκτα τὸ διαυγὲς φῶς τοῦ θεοῦ ἐπιλάμψει σοι, καὶ καθάπερ μετὰ χειμῶνα ἱλαρός σοι καὶ εὔδιος ἐπιγελάσει καιρός, καὶ ὡς πᾶσι τοῖς διὰ τὸν θεὸν θλιβομένοις παρασχήσει σοι τὴν πρόσκαιρον ὑπομονήν, δι' ἣν τὸν αἰώνιον ἀπολήψῃ μισθόν. ἔρρωσο ἐν κυρίῳ, καὶ εὔχȣ ὑπὲρ ἐμȣ̃."

καὶ αὖθις γράφει ἡ αὐτὴ πρὸς τὸν αὐτόν. "Χρυσογόνῳ τῷ ὁμολογητῇ τȣ̃ Χριςȣ̃ Ἀναστασία χαίρειν. ὅτι τὸ τέλος πάρεστι τῷ σώματί μȣ, εὔχȣ ὑπὲρ ἐμοῦ, ἵνα ἐκεῖνός μȣ ἀποδέξηται τὴν ψυχὴν δι' ὃν ταύτας τὰς θλίψεις ὑπομένω."

πρὸς ταῦτα Χρυσόγονος ἀντέγραψεν οὕτως. "τῇ τȣ̃ θεȣ̃ δούλῃ Ἀναστασίᾳ Χρυσόγονος. δῆλόν ἐστιν ὅτι τὸ φῶς ἀποκρύπτει τὸ σκότος· οὕτω καὶ μετ' ἀσθένειαν ἡ σω-

τηρία ἐπέρχεται, καὶ ἡ ζωὴ μετὰ θάνατον τοῖς ἀξίοις ἐπιδίδοται. τὸ γὰρ αὐτὸ ἔχει τέλος ἥ τε εὐτυχία ἥ τε δυστυχία τῶν ἀνθρωπίνων πραγμάτων, ἵνα μήτε οἱ ταπεινοὶ συγνάζωσι μήτε οἱ μεγαλοφρονοῦντες καυχήσωνται. μία γὰρ θάλασσά ἐστιν ἐν ᾗ τὰ πλοῖα τοῦ ἡμετέρου σώματος διατρέχει, καὶ ὑφ' ἑνὸς κυβερνήτου εὐθύνεται. ὧν τινῶν τοίνυν αἱ νῆες ἰσχύρωνται ταῖς τρόπισιν ὠχυρωμέναι, ἀβλαβεῖς τὸ πέλαγος διατρέχουσιν· αἱ δὲ ἀσθενεῖς καὶ δίχα κυμάτων ἐπ' αὐτῆς τῆς γαλήνης κινδυνεύουσιν· ἐγγὺς γὰρ ἀπωλείας εἰσὶν αἱ μὴ πρὸς τὸν λιμένα τῆς σωτηρίας σπουδάζουσαι ἐλθεῖν. σὺ δὲ ἀκατάγνωστος τυγχάνουσα τοῦ Χριστοῦ δούλη τὸν σταυρὸν ἐν πάσῃ σου τῇ ψυχῇ διακράτησον, καὶ σεαυτὴν πρὸς σωτηρίαν παρασκεύασον, ὥστε μετὰ τῶν μαρτύρων τοῦ Χριστοῦ ἀριθμηθῆναί σε. ἔρρωσο."

χρυσοδαίδαλτον τίμιον ⟨A Eccl. 965⟩.

χρυσοεψητεῖον ἔνθα χωνεύουσι καὶ ἕψουσι τὸν χρυσόν.

Χρυσομαλλώ ὄνομα ὀρχηστρίδος, εἶτα ἑταίρας. ἤκμαζεν ἐπὶ Ἰουστινιανοῦ καὶ Θεοδώρας ⟨Procop. Arc. 17⟩.

χρυσομανῶ δοτικῇ.

Χρυσόπολις ἐμπόριον τῆς Χαλκηδονίας, ἔνθα οἱ Ἕλληνες οἱ σὺν Κύρῳ μισθοφορήσαντες ἔμειναν ἡμέρας ζʹ λαφυροπωλοῦντες, ὥς φησι Ξενοφῶν ⟨Anab. 6 extr.⟩.

χρυσόροφος.

χρυσόρραπις χρυσῆν ῥάβδον ἔχων. Hom. κ 277.

χρυσὸς Κολοφώνιος. οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάσαντο· καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν. καὶ τάχα ἴσως οἱ ἐκπεσόντες τῆς οἰκείας Λυδῶν περὶ Θρᾴκην καὶ Στρυμόνα χρύσεια κατέσχον μέταλλα σὺν τισιν Ἰώνων, καὶ ἐσπούδασαν περὶ τὸν χρυσόν.

χρυσοτόρευτα χρυσόγλυφα ⟨Exod. 25 18⟩.

χρυσοῦν δέρας. ζήτει ἐν τῷ δέρας.

χρυσοχάλινον τὸ λαμπρόν, τὸ τερπνόν· "οὐκέτι χρυσοχάλινον ὁρᾷ φάος ἠελίοιο."

χρυσοχοεῖν. Δείναρχός φησι "πάλιν παρ' Αἰσχίνην ἀποφοιτήσας παρὰ τούτῳ δηλονότι χρυσοχοεῖν ἐμάνθανεν, ἀλλ' οὐ τὸ προκείμενον αὐτῷ πράττειν ἢ πάσχειν." κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ⟨RP 5 p. 450 B⟩· "τί δαί, ἦ δ' ὃς ὁ Θρασύμαχος, χρυσοχοεῖ;" ἄρξασθαι δέ φασι τὴν παροιμίαν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ ψῆγμα χρυσοῦ πολὺ φανείη καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἳ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐξέθεον ἐπ' αὐτούς. ἄπρακτοι δὲ ὑποστρέψαντες καὶ μάτην κεκακοπαθηκότες ἔσκωπτον ἀλλήλους λέγοντες "σὺ δὲ ᾤου χρυσοχοήσειν," ὅπερ δηλοῖ σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας καὶ χρυσοχοήσας πλουτήσειν. ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν φησιν "ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα." Harp.

χρυσοχοεῖον.

χρυσῷ καταπάττων ἡμᾶς οὐ γιγνώσκεις" ⟨A Nub. 909⟩ ἐπὶ τῶν εἰκῇ διαλοιδορουμένων· ἐπιφέρει γὰρ "νῦν δὲ κόσμος τοῦτ' ἐστί μοι," τουτέστι τὸ τοιαῦτ' ἀκούειν.

χρώζω καὶ καταχρώζω· "τὸ καλὸν τοῦ πράγματος κατέχρωζε" ⟨cf. v. κατέχρωζε⟩.

χρῶμα. τοῦτο σημαίνει τὸ ἐν τοῖς σώμασιν, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὰ τούτων μεταξύ. σημαίνει καὶ τὸ ἐν τοῖς μέλεσι· λέγεται γάρ τι καὶ κατὰ μουσικὴν χρῶμα. τρία γὰρ γένη τῆς μελῳδίας οἱ ἁρμονικοί εἶναί φασιν, ὧν ἰδίως χρόας καλοῦσι, τήν τε τοῦ μαλακοῦ χρώματος καὶ τὴν διατονικοῦ χρώματος. καὶ τῶν διαφοραὶ ἄλλαι μὲν τοῦ ἐν τοῖς σώμασι χρώματος, ὡς τὸ συγκριτικὸν καὶ διακριτικὸν ὄψεως, ἄλλαι δὲ τοῦ ἐν τοῖς μέλεσι· τὸ γὰρ ἡμιτονιαῖον καὶ διεσιαῖον καὶ τὸ μαλακὸν ὁμώνυμα ⟨Alex. Aphrod. in Top. p. 68⟩. Ἰσίδωρος "ὁ δὲ βάρβαρος μαστιζόμενος, ὅμως ἔχων ἄτρεπτον καὶ χρῶμα, καθάπερ θηρίον ἐκαρτέρει."

χρῶμα. ὅτι ὁπηνίκα τὸ κρυσταλλοειδὲς τοῦ ὀφθαλμοῦ ἀπό τινος πάθους χρωματισθῇ, δοκοῦμεν τῷ αὐτῷ χρώματι καὶ τὸν ἀέρα καὶ τἆλλα ὁρατὰ κεχρῶσθαι.

χρῶμα δέ φησιν ὁρατὸν τὸ ἐπὶ τοῦ καθ' αὑτὸ ὑπάρχον ὁρατοῦ. καθ' αὑτὸ δὲ ὁρατόν φησι τὴν ἐπιφάνειαν. καθ' αὑτὸ δὲ ὁρατὴ ἡ ἐπιφάνεια οὐχ οὕτως ὡς τῷ ὁρισμῷ καθ' αὑτό. διττὸν γὰρ τὸ καθ' αὑτό, ἢ ὅπερ ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου παραλαμβάνεται, ὡς τὸ ζῷον καὶ τὸ λογικὸν ἐν τῷ τοῦ ἀ-

θρώπυ ὁρισμῷ· ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ. ἢ ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται, ὡς ἐν τῷ ὁρισμῷ τῦ ἀρτίυ ἢ τῦ περιττῦ ὁ ἀριθμός, καὶ ἐν τῷ ὁρισμῷ τῆς σιμότητος ἡ ῥίς· ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχυσι τῷ ὁρισμῷ. οὐχ ὕτως ὖν φησὶ καθ' αὑτὸ ὁρατὸν τὴν ἐπιφάνειαν, ἀλλ' ὡς ἔχυσαν ἐν ἑαυτῇ τὸ αἴτιον τῦ ὁρατὴν εἶναι. τῦτο δέ ἐστι τὸ χρῶμα. τὸ γὰρ ἐν τῇ ἐπιφανείᾳ χρῶμα τῦτό ἐςι τὸ ὁρατόν, καὶ τότε αἱ ὄψεις ἀντιλαμβάνονται, ὐ τῦ ἐν βάθει χρώματος. τὺς γὰρ διαφανεῖς τῶν λίθων εἰ καὶ δοκῦμεν ὁρᾶν δι' ὅλυ τῦ βάθυς κεχρωσμένυς, τὰς ὄψεις ἀπατώμεθα· τῷ μὲν γὰρ διαφανεῖς εἶναι τὺς λίθυς διαβαίνυσι διὰ τῦ βάθυς αἱ ὄψεις ἢ τῶν χρωμάτων αἱ ἐνέργειαι, διὰ τῦ χρώματος δὲ τῦ ἐν τῇ ἐπιφανείᾳ τῶν λίθων ἀντιλαμβανόμεθα, καὶ διὰ τῦτο δοκῦμεν καὶ τὸ ἐν βάθει χρῶμα ἑωρακέναι ⟨Philopon. in Aristot. de an. 2⟩. καὶ Πισίδης "ὐκ ἔστι ταῦτα πρὸς χάριν κεχρωσμένα, ἁπλοῖ δὲ πάντες τῆς ἀληθείας λόγοι." ζήτει περὶ χρώματος ἐν τῷ φαιόν.

χρῶμαι δοτικῇ.

χρωμένῳ χρησμὸν αἰτῦντι, χρησμὸν ἐπερωτῶντι, ἢ μαντευομένῳ.

Χρῶμις ὄνομα κύριον.

χρωννύω. χρωννῦσα.

χρῶνται.

χρώς σῶμα, ἰδέα.

χρῶσαν τὴν χρησμῳδῦσαν· "χρῶσαν Λακεδαιμονίοις" Θυκυδίδης ⟨5 16 ?⟩.

χρωσθῆναι χρωματισθῆναι.

χρωστήρ ὁ χρωματίζων· ἐν ἐπιγράμματι ⟨AP 6 68⟩ "καὶ μολίβῳ χρωστῆρι κανόνων τύπον ὀρθὸν ὀπάζων."

χρωτί σώματι.

χρωτίζεται πλησιάζει· Ἀριστοφάνης Νεφέλαις ⟨516⟩ "νεωτέροις τὴν φύσιν αὑτῦ πράγμασιν χρωτίζεται" ἤγυν πλησιάζει. λέγεται δὲ ἐπὶ τῶν μυσικῶν· χρωματικὸν καὶ διατονικὸν μυσικῆς εἴδη.

χυδαῖος εὐτελής, παμπληθής.

χύδην κεχυμένως.

χυλῷ τῷ ῥοφήματι· Ἀριστοφάνης ⟨Pac. 985⟩ "μῖξον δ' ἡμᾶς φιλίας χυλῷ." καὶ χυλὸς πτισάνης ὁ ἀπὸ τῆς ζειᾶς.

χῦμα.

χυμός. ζήτει ἐν τῷ ὕδωρ, καὶ ἐν τῷ φαιόν, καὶ ἐν τῷ γλῶττα.

χυτή ἡ ἐπιχεομένη τοῖς νεκροῖς γῆ. Hom. Ζ 464.

χύτλα ὑδρέλαιον, καὶ χυτλάζειν τὸ μιγνύναι καὶ διαχεῖν. χύτλα δὲ λέγεται κυρίως τὸ ὑγροῦ ἔτι ἀπὸ ὕδατος ὄντος τοῦ σώματος ἀλείψασθαι. "φράσον δέ μοι, εἰς ὅ τι τεῦχος χεύωμαι ποσὶ χύτλα, καὶ ὁππόθεν." "ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς ςρώμασι γυμναςικῶς" Ἀριςοφάνης ⟨Vesp. 1251⟩· χύτλος γὰρ τὸ μεθ' ὕδατος ἔλαιον.

χυτλώσαιντο ἀλείψαιντο ⟨Hom. ζ 80?⟩.

χυτόν χῶμα. καὶ ὁ ξεστὸς λίθος· Ἡρόδοτος ⟨7 37⟩.

χύτραις ἱδρυτέον· Ἀριστοφάνης ⟨Pac. 922⟩ "τί δ' ἄλλο γ' ἢ ταύτην χύτραις ἱδρυτέον;" τυτέστι τὴν εἰρήνην. ὁπότε γὰρ μέλλοιεν βωμοὺς καθιδρύειν ἢ ἀγάλματα θεῦ, ἕψοντες ὄσπρια ἀπήρχοντο τούτων τοῖς ἀφιδρυμένοις, χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης. Ἀριστοφάνης Δαναΐσι "μαρτύρομαι δὲ Ζηνὸς ἑρκείυ χύτρας, μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ." ἔστι δ' ὅτε καὶ πολυτελεστέρῳ ἱερείῳ ἀφιδρύοντο. Ἑρμᾶς δὲ ἱδρύοντες πρὸ τῶν θυρῶν καὶ ἄλλα τινὰ ἱδρύματα, ὑπὲρ τοῦ μὴ βραδύνειν τὴν ἀνάστασιν, χύτραις ἀθάρας ἱδρύεσθαι. μεμφόμενοι δὲ ὡς πολυτίμητον οὖσαν ἄλλαις ἱερωσύναις αὐτὴν ἱδρύσαντο. ⟨Pac. 1090⟩ "ὣς οἳ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο εἰρήνην εἵλοντο καὶ ἱδρύσανθ' ἱερείῳ," ὡς τῦ Ἑρμοῦ χύτραισιν ἱδρυμένυ.

χύτραις λημᾶν καὶ κολοκύνταις, ἐπὶ τῶν ἀμβλυωττόντων ⟨A Nub. 326⟩.

χύτραν ποικίλλειν ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηνύτων.

χύτραν τρέφειν. ἐπὶ τῶν τεγῶν ἐτίθεσαν, ὅπως μὴ προσέρχωνται αἱ γλαῦκες ⟨A Av. 356⟩.

χύτρασον ὕγρανον.

χυτρέα τὸν κεραμέα καὶ δημιυργὸν τῶν τοιούτων σκευῶν. καὶ Πλάτων ἐν Πολιτείᾳ ⟨p. 421 D⟩. χυτρεύς κεραμεύς, ἀφ' ἑνὸς εἴδυς τῶν κεραμευομένων, τῆς χύτρας.

χυτρεῖον ἐν ᾧ αἱ χύτραι.

χυτρεοῦν ὀστράκινον, εὐτελῆ, χύτρας ἄξιον· Ἀριστοφάνης ⟨Nub. 1478⟩ "οἴμοι δείλαιος, ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην."

χυτρίνδα παιδιά· καθέζεται γὰρ ἐν

μέσῳ, οἱ δὲ κύκλῳ περιθέοντες παίζουσιν αὐτόν, ἕως ἂν ἐφάψηταί τινος, ὃς ἀντ' αὐτοῦ κάθηται. χυτρίνδα ὡς βασιλίνδα καὶ ἄλλα εἴδη· πρὸ μιᾶς ὁ τόνος.

χύτροι ἑορτὴ Ἀθήνησιν· ἐν μιᾷ δὲ ἡμέρᾳ ἤγοντο οἵ τε χύτροι καὶ οἱ χόες· ἐν ᾗ πᾶν σπέρμα εἰς χύτραν ἑψήσαντες ἔθυον Διονύσῳ καὶ Ἑρμῇ. Θεόπομπος δέ φησι τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἑψεῖν χύτραν πανσπερμίας, ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν, καὶ θύειν τοῖς χουσὶν Ἑρμῇ χθονίῳ, τῆς δὲ χύτρας οὐδένα γεύσασθαι. τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας ἱλασκομένους τὸν Ἑρμῆν καὶ περὶ τῶν ἀποθανόντων.

Χύτροι. πόλις ἐστὶν ἐν Κύπρῳ οὕτω καλουμένη. ἔστι δὲ καὶ Ἀττική τις ἑορτὴ χύτροι. ἤγετο δὲ ἡ ἑορτὴ ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα, ὡς Φιλόχορος. Harp.

χύτρον χῶμα. καὶ φιλήματος εἶδος. καὶ ἐν ἐπιγράμματι (AP 6 306) "χύτρον τοι, ταύτην τε κρεαγρίδα."

χυτρόπους· "εἰσιὼν καὶ ἐξιὼν ὁ Σαλούστιος πρὸς τοὺς ἑταίρους ἑώρα τοὺς χυτρόποδας ἀχρώντους ἀεὶ καὶ ἀκάπνους, ὥσπερ ἐν ἀγορᾷ πρὸς ὠνὴν ἐκκειμένους· ἐποιεῖτο δὲ μέγιστον ἀπύρῳ διαίτῃ κεχρῆσθαι πολὺν χρόνον" (Damascius).

Χωβάλ πόλις.

Χώβαρος ὄνομα κύριον.

χωλή ἀντὶ τοῦ ἀτελής· περὶ ψυχῆς Πλάτων (p. 71 E) "ἀλλ' εἰ ταύτῃ ἔσται χωλὴ ἡ φύσις."

χωλίαμβος εἶδος στίχου (cf. v. Βαβρίας).

χωλός καὶ ἐπὶ ποδὸς καὶ ἐπὶ χειρός· Εὔπολις "ὅτι χωλὸς τὴν χεῖρα σὺ σφόδρα." καὶ κυλλοὺς οἱ Ἀττικοὶ ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως. καὶ χωλοποιός· Ἀριστοφάνης (Ran. 869) "ὦ δῆτα πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς τὸν χωλοποιόν, οἷος ὢν θρασύνεται." Χῶλος δὲ ὄνομα κύριον.

χῶμα ὕψωμα γῆς, ὅπερ οἱ πολέμιοι ἐν ταῖς πολιορκίαις εἰώθασι προσχοῦν τὰ τείχη. "Τραϊανὸς δὲ εἰς Βαβυλῶνα ἀφικόμενος ἐντυγχάνει χώματι μεγίστῳ, ὅπερ χῶσαι ἐλέγετο Σεμίραμις. ἦν δὲ αὐτοῦ τὸ μὲν ὕψος ποδῶν ε΄ καὶ κ΄, τὸ δὲ εὖρος ἐς ν΄, κατὰ μῆκος ἐπεῖχε σταδίους σ΄. κατηγορεῖ δὲ τὴν δύναμιν τῆς πόλεως."

χώματα χοῦν Ἡρόδοτος ἱστοριῶν β΄ (137) ἀντὶ τοῦ γῆν ὑψοῦν.

χωμισδαίτης ὁ Ἡρακλῆς.

Χῶναι ὄνομα τόπου.

χωνεῖον τὸ χωνευτήριον. χωνίον δὲ τὸ ἐργαλεῖον, ι.

χωνεύω τὸ εἰς χῶνον ἐμβάλλω. καὶ χωνεία ἐκ τοῦ χωνεύω. καὶ χωννύω ὁμοίως.

χῶνος τὸ χωνεῖον, καὶ χῶνες οἱ χωνευταί.

Χωξύγγιος.

χῶ ξυμπότης.

χωόμενος ὀργιζόμενος. Hom. Α 244.

χώρα ὁ τόπος. παρὰ δὲ Θουκυδίδῃ (4 76) χώρα ἡ τάξις.

Χωραζίν ὄνομα τόπου. καὶ ὁ προφήτης "οὐαί σοι Χωραζίν" (Matth. 11 21).

Χωράσμιος ὄνομα κύριον.

χώραυλος ὁ ἐπὶ χώρας διατρίβων.

χωρεῖν πορεύεσθαι, ὁρμᾶν· "ἀλλὰ χωρεῖν καὶ συναποθνήσκειν ταῖς ἐπιβολαῖς τῶν πραγμάτων." "οὐ χωρέντων αὐτῷ τῶν ἐν Σικελίᾳ πραγμάτων κατὰ νοῦν" ἀντὶ τοῦ γινομένων "διὰ τὸ μὴ βασιλικὴν φανῆναι τὴν ἡγεμονίαν ἀλλὰ δεσποτικὴν ταῖς πόλεσι." καὶ χωρῶ αἰτιατικῇ.

Χωρήβ ὄνομα ὄρους.

χωρήσατε προσδέξασθε (2 Cor. 7 2).

χωρίζω τὸ διαχωρίζω. καὶ χωρίζομαι γενικῇ.

χωρὶς ἱππεῖς. Δάτιδος ἐμβαλόντος εἰς τὴν Ἀττικὴν τοὺς Ἴωνάς φασιν, ἀναχωρήσαντος αὐτοῦ, ἀνελθόντας ἐπὶ τὰ δένδρα σημαίνειν τοῖς Ἀθηναίοις ὡς εἶεν χωρὶς οἱ ἱππεῖς, καὶ Μιλτιάδην συνιέντα τὴν ἀποχώρησιν αὐτῶν συμβαλεῖν οὕτως καὶ νικῆσαι. ὅθεν καὶ τὴν παροιμίαν λεχθῆναι ἐπὶ τῶν τάξιν διαλυόντων.

χωρισμός ἡ διάστασις.

χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα." φιλοσοφοῦντος - - - Φρυγῶν (cf. v. οὐδὲν ἧττον).

χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὸ καίρια. ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις" (S OC 808), τουτέστιν, ἄλλο ἐστὶ τὸ φλυαρεῖν καὶ ἄλλο τὸ ἀναγκαῖα λέγειν. "οὐ δῆθ', ὅτῳ γε νοῦς ἴσως καὶ σοὶ πάρα," ἀντὶ τοῦ τοῖς κατὰ σὲ οὐ δοκῶ καίρια λέγειν.

χωρίτης ἀπὸ τῆς χώρας.

χωριτικός ὁ χωρίτης, ὁ ἰδιώτης.

χῶρος τόπος.

χωρῶ χωρήσω, αἰτιατικῇ. χωρίζω δὲ τὸ διαχωρίζω.

χώσασθαι λυπηθῆναι.

χωστρίς.

ψαθάλλειν τὸ ψηλαφᾶν καὶ μαλάττειν αἰσχρῶς.

ψαθαρόν ἁπαλόν. ὅτως Πλάτων καὶ Ἀριστοτέλης περὶ ζώων.

Ψαθυριανοί αἵρεσίς τις ὅτω καλȣμένη, διότι Θεόκτιστός τις ψαθυροπώλης διαπύρως τῷ λόγῳ τῷδε συνίστατο. καὶ ζήτει ἐν τῷ Ἀρειανοί.

ψαθυρόν ξηρόν· ⟨Ps. 102 3⟩ "καὶ τὰ ὀστᾶ μȣ ὡσεὶ καῦσις ἐψαθυρώθη."

ψαίκαλον τὸ ἀρνίον.

ψαίρειν τὸ ταχύνειν, ἔνθεν καὶ αἰψηρός.

ψαιστά ἄλφιτα ἐλαίῳ καὶ οἴνῳ δεδευμένα, ἅπερ ἐπεθυμίων τοῖς θεοῖς. ψαιστὰ δὲ καλεῖται ἀπὸ τῆς τȣ μύλωνος περιψήσεως. ἢ πέμμα, ἢ εἶδος πλακȣ̃ντος. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 17⟩ "σοὶ τάδε πέμπω ψαιστία καὶ λιτῆς δῶρα θυηπολίης," καὶ αὖθις ἐν ἐπιγράμματι ⟨6 190⟩ "καὶ ψαιστῶν ὀλίγων δρᾶγμα πενιχραλέον." καὶ ψαιστῶν, ἅπερ ἦν ἄλφιτα ὑπὸ μέλιτος κατεψηγμένα. καὶ αὖθις ⟨6 300⟩ "ψαιστά τε πιήεντα καὶ εὐθήσαυρον ἔλαιον." τὸ δὲ πιήεντα λιπαρά.

ψαίστορα· ⟨AP 6 295⟩ "σπόγγον ἔχειν καλάμων ψαίστορ' ἀπὸ Κνιδίων."

ψακάζει ῥαίνει· Ἀριστοφάνης ⟨Pac. 120⟩ "ἔνδον ἀργυρίȣ μὴ ψακὰς ᾖ πάνυ πάμπαν," ἀντὶ τȣ̃ ὅδὲ τὸ σμικρότατον· ὃ καὶ νιφὰς καλεῖται. ἢ μηδὲ ὀβολȣ̃ ὄντος ἡμῖν.

ψάκελον μέγα.

ψακροπόδης ὄνομα ἐπίθετον.

ψαλάσσετε ψηλαφᾶτε· Ἀριστοφάνης ⟨Lys. 84⟩ "ἧπερ ἱερεῖον τοί μ' ὑποψαλάσσετε" τὰ γὰρ ἱερεῖα μέλλοντες θύειν ἐψηλάφων, εἰ λιπαρά ἐστι. καὶ ἀψάλακτος· Ἀριστοφάνης ⟨275⟩ "πρῶτος ἀπῆλθεν ἀψάλακτος, ἀλλ' ὅμως Λακωνικὸν πνέων."

ψαλίδα, ἣν ἡμεῖς ἀψῖδα φαμέν· Νόμων ιβ' ⟨p. 947⟩ "θήκην δὲ ὑπὸ γῆν αὐτοῖς εἰργασμένην εἶναι ψαλίδα προμήκη λίθων πολυτίμων."

ψαλίοις χαλινοῖς· Ἀριστοφάνης ⟨Pac. 155⟩ "χρυσοχάλινον πάταγον ψαλίων."

ψάλλειν· ⟨Dio Cass. 49 27⟩ "ὁ δὲ Φραάτης ἐπὶ δίφρου χρυσοῦ ἐκάθητο, τὴν νευρὰν τοῦ τόξου ψάλλων," ἀντὶ τοῦ προσεγγίζων.

ψαλλομένης τιλλομένης. κυρίως δέ ἐςι ψάλλειν τὸ τῷ ἄκρῳ τῶν δακτύλων τῶν χορδῶν ἅπτεσθαι. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 103⟩ "μιλτοφυρῆ τε σχοῖνον ὑπ' ἀκρονύχῳ ψαλλομένην κανόνι."

ψαλλόμενος ὁ ἀκροώμενος ψάλτȣ, καὶ κιθαριζόμενος ὁ κιθάρας ἀκροώμενος.

ψάλλω δοτικῇ. αἰτιατικῇ δέ "τὴν νευρὰν τȣ̃ τόξȣ ψάλλων."

ψαλτήριον ὄργανον μȣσικόν, ὅπερ καὶ νάβλα καλεῖται.

ψάλτης καὶ ψαλτής. τὰ εἰς της λήγοντα, ἔχοντα τὴν παραλήγȣσαν εἰς ἀμετάβολον λήγȣσαν, ἀπρόσληπτα ὄντα τȣ̃ σ κατὰ τὴν γενικήν, βαρύνονται, εἰ μὴ εἴη μετοχικά, οἷον ὑφάντης ἀγύρτης εὐφράντης· τὸ δὲ ἑκοντής καὶ ἐθελοντής μετοχικά. παρὰ δὲ Ἀττικοῖς ὀξύνονται καθαρτής, ἀμυντής ἐπὶ τȣ̃ βοηθȣ̃, φαιδρυντής ποικιλτής ψαλτής πραϋντής.

ψάλτιγξ κιθάρα.

ψάμαθος παραθαλάσσιος ἄμμος· ἄμαθος γὰρ ἡ μεσόγειος ⟨cf. v. ἄμαθος⟩.

ψαμμακοσιογάργαρα. ἀπὸ λέξεων τὸ σύνθετον ἐγένετο δηλȣσῶν πολλά. σύγκειται γὰρ ἀπὸ τȣ̃ τῆς ψάμμȣ τὸν ἀριθμὸν εἰδέναι. ὁ γὰρ Πύθιος νεανιεύεται τῆς ψάμμȣ τὸν ἀριθμὸν εἰδέναι· "οἶδα δ' ἐγὼ ψάμμȣ τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης." καὶ Εὔπολις ἐπεσημήνατο τὴν λέξιν εἰπὼν "ἀριθμεῖν θεατὰς ψαμμακοσίȣς." δύναται δὲ ἐγκεῖσθαι τῇ λέξει τὰ κόσια, ἥτις ἐστὶ κατάληξις τῶν μετὰ τὸν δέκα ἀριθμὸν μέχρι τῶν χιλίων· ὃς πλήθȣς ἐστὶ πολλȣ̃ σημαντικός, οἷον διακόσια τριακόσια καὶ τὰ ἑξῆς. τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθȣς λαμβάνεται διὰ τὴν συγγένειαν τȣ̃ γ τὴν πρὸς τὸ κ· εἴρηται δὲ ἀντὶ τȣ̃ ἄφατα καὶ ἀναρίθμητα. τὸ δὲ κάρκαιρε παρὰ τῷ ποιητῇ ⟨Υ 157⟩· "κάρκαιρε δὲ γαῖα πόδεσσι." μέμνηται καὶ Κρατῖνος· "ἀρίστων ἀνδρῶν πᾶσα γαργαίρει πόλις," οἷον πλήθει.

ἄλλως. οἷον πολλὰ καὶ ἀναρίθμητα. τὸ γὰρ ψαμμακόσια καθ' ἑαυτὸ ἐπὶ πλήθους ἐτίθετο, παρὰ μὲν Εὐπόλιδι ἐν Χρυσῷ γένει ὅτως "ἀριθμεῖν θεατὰς ψαμμακοσίȣς," ἀπὸ τῆς ψάμμȣ ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθȣς ἐτίθετο, ὡς

ἐν Λημνίαις "ἀνδρῶν ἐπακτῶν πᾶσ' ἐγάργαιρ' ἑστία." καὶ παρὰ Ἀριστομένει ἐν Βοηθοῖς "ἔνδον γὰρ ἡμῖν γάργαρα," καὶ παρὰ Σώφρονι "ἁ δὲ οἰκία τῶν ἀργυρωμάτων γάργαιρε," καὶ ἐν τῇ τραγῳδίᾳ "χρημάτων τε γάργαρα." θέλουσι δέ τινες καὶ τὸ παρὰ τῷ ποιητῇ "κάρκαιρε δὲ γαῖα πόδεσσι" τὴν πολλὴν κίνησιν τῶν ποδῶν σημαίνειν, οἷον γάργαιρε· καὶ τὸν καρκίνον δὲ οὕτως ὀνομάζεσθαι διὰ τὸ πλῆθος τῶν ποδῶν ⟨sch. A Ach. 3⟩.

Ψαμμήτιχος. ὅτι Ψαμμήτιχος ὁ βασιλεὺς Αἰγυπτίων Ἄζωτον πόλιν ἐπολιόρκησεν, εἰς ὃ ἐξεῖλεν. αὕτη δὲ ἡ Ἄζωτος ἁπασέων πολίων ἐπὶ πλεῖστον χρόνον πολιορκουμένη ἀντέσχε, τῶν ἡμεῖς ἴσμεν ⟨Herodot. 2 157⟩.

Ψαμμίαιχος ὄνομα κύριον.

ψάμμος ἡ παραθαλάσσιος γῆ.

ψᾶν.

ψανθεοφάνιχος. οὕτως ἐκαλεῖτο Ἰωσὴφ ὑπὸ Φαραώ, τουτέστι κρυπτῶν εὑρετής ⟨Ios. A. I. 2 6⟩.

ψᾶρες καὶ κολοιοὶ εἴδη ὀρνέων. Hom. *Π* 583.

ψαρόν εἶδος χρωμάτων· ψαρὸς γὰρ ἵππος ὁ τὸ χρῶμα τοιοῦτος. ἢ ὁ ταχύς, ἀπὸ τοῦ ψαίρειν, ἔνθεν καὶ αἰψηρός.

ψατάλλειν καὶ ψαθάλλειν τὸ ψηλαφᾶν καὶ μαλάττειν αἰσχρῶς.

ψαύει ἅπτεται. "ὡς ἐμψύχῳ θεοῦ κιβωτῷ ψαυέτω μηδαμῶς." "αἱ δὲ σάρκες τοῦ ἁγίου προσψαύσασαι τῷ πυρί.

ψαφαρῇ· ⟨AP 6 231⟩ "καὶ νάρδῳ ψαφαρῇ, κεγχρίτισιν ἰσχάσιν ἀμφί," καὶ αὖθις ἐν μύθοις "ἔστασαν, οὐδὲ κόμας ψαφαρῇ μεμίαντο κονίῃ."

ψαφαρόν ἀσθενές, ἐλαφρόν, κακόν, εὔθραυστον. Ἀππιανός ⟨Ann. 4⟩ "ὅτι Ἀννίβας ὁ στρατηγὸς Καρχηδονίων διαβὰς τὰ Πυρηναῖα ὄρη εἰς τὴν Κελτικὴν τὴν νῦν Γαλατίαν, καὶ διώδευε τὴν χώραν, ἐλθὼν δὲ ἐπὶ τὰ Ἄλπεια ὄρη καὶ εὑρὼν ἀπόκρημνα ἰσχυρῶς ἐπέβαινε κἀκείνοις, ὑπὸ τόλμης κακοπαθῶν, τὴν μὲν ὕλην τέμνων τε καὶ κατακαίων, τὴν δὲ τέφραν σβεννὺς ὕδατι καὶ ὄξει, καὶ τὴν πέτραν ἐκ τοῦδε ψαφαρὰν γινομένην σφύραις σιδηραῖς θραύων καὶ ὁδοποιῶν."

ψέγω αἰτιατικῇ.

ψεδνή ἀραιά. καὶ ψεδνός ἀραιόθριξ, μαδαρός.

ψεῖσαι σιτίσαι, ψωμίσαι.

ψεκάς δρόσος. Ἀντίμαχος οὕτως ἐκαλεῖτο ψεκάς. ἐπὶ τῶν πτυελωδῶν. οὗτος δὲ μελῶν ··· ἐπείνων. περὶ τούτου τοῦ Ἀντιμάχου φησὶν ὁ Ἀριστοφάνης ⟨Ach. 1156⟩ "ὃν ἔτ' ἐπίδοιμι ··· κακὸν ἔν" ⟨cf. v. τευθίδες⟩.

ψελίῳ περιοχῇ· ὁ κύριος ἐν Ἰὼβ ⟨40 21⟩ περὶ τοῦ δράκοντος, τουτέστι τοῦ διαβόλου, "ψελίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ." τὸ ψέλιον κόσμος τῆς χειρός· καὶ Αἰλιανὸς ἐν τῷ περὶ προνοίας "παρ' οὐδὲν τιθέμενος τὴν τοῦ ἱεροῦ γράμματος συμβουλήν, ὅπερ οὖν οἷα δήπου ψέλιον τῷ βασιλεῖ τῶν Αἰγυπτίων ἐκ τοῦ νόμου προσήρτητο, ἀνασείλον τῶν ἀδικημάτων."

ψελλός ἀσήμως καὶ ἀνάρθρως λαλῶν, τραυλός.

ψενδυνοί σπόνδυλοι.

ψευδαμάμαξυς ὁ ψευδόπλουτος ⟨A Vesp. 325⟩.

ψευδατραφάξυος πλέα ἀντὶ τοῦ πλήρη ψευσμάτων. ἀτράφαξυς δὲ εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. ἐπεὶ οὖν ὁ Κλέων ψευδῆ κατὰ τῶν ἱππέων κατηγόρησε καὶ ἡ βουλὴ πείθεσθαι ἐδόκει, ψευδατραφάξυος πλέαν εἶπε τὴν βουλὴν γεγονέναι, διαβάλλων μὲν ὡς ψεύστην τὸν Κλέωνα, τῆς δὲ βουλῆς καθαπτόμενος ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένης εὐχερῶς καὶ ῥᾳδίως, ὥσπερ καὶ τὸ λάχανον αὔξεται ⟨sch. A Eq. 627⟩.

ψευδεγγραφή ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ, ὡς καταψευσαμένου αὐτῶν τοῦ ἐγγράψαντος ἐν τῇ σανίδι τῇ παρὰ τῇ θεῷ κειμένῃ, ὡς ἀδίκως ἐγγραφέντες ὀφείλειν τῷ δημοσίῳ. Harp.

ψευδέγγραφος δίκη. τῶν δημοσίᾳ ὀφειλόντων τὰ ὀνόματα ἀπογράφονται οἱ ταμίαι, καὶ ὅσα ἕκαστος ὀφείλει. ἐὰν οὖν μὴ ὀφείλοντα ἐγγράψῃ τις, ἢ ὀφείλοντα μὲν ἐγγράψῃ, πλέον δὲ τοῦ ὀφειλήματος, οὗτος ψευδεγγραφῆς κρίνεται.

ψευδενέδρα· Ξενοφῶν ⟨Anab. 5 2 28⟩ "ὡς δὲ ἐφοβοῦντο τὴν εἰς Τραπεζοῦντα κατάβασιν, πρανὴς γὰρ ἦν, ψευδενέδραν ἐποιήσαντο."

ψευδῆ ψευδῶς.

ψευδηγόρος ψευδολόγος.

ψευδὴς ἐγγραφή. τῦτο μὲν ὄνομα δίκης, ζητήσειε δ' ἄν τις τίνι διαφέρει ψευδεγγραφὴ βυλεύσεως· καὶ γὰρ διαφέροντα τίθησιν ὁ Λυκοῦργος. τάχα οὖν ψευδεγγραφῆς μὲν ἐλάγχανον οἱ μὴ ὀφείλοντες μέν, ἐγγραφέντες δὲ ψευδῶς, βυλεύσεως δὲ οἱ πάλαι μὲν ὠφληκότες, ἀποδόντες δὲ καὶ αὖθις κατ' ἐπιβυλὴν ψευδῶς ἐγγραφέντες.

ψευδοκλησία ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ, ἐπειδὰν αἰτιῶνταί τινας ψευδῶς κατεσκευάσθαι κλητῆρας καθ' ἑαυτῶν ὡς τὴν δίκην ἀφ' ἧς ὦφλον, ὡς Ἰσαῖος φησί. Harp.

ψεύδομαι αἰτιατικῇ.

ψευδόμαντις.

ψευδομυθία ψευδολογία.

ψευδόπτωμα. Ἀριστοφάνης ⟨Eq. 574⟩ "εἰ δέ πυ πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινί, τοῦτ' ἀπεψήσαντ' ἂν" διὰ τὸ μὴ φαίνεσθαι πεπτωκέναι. τὸ δὲ εἶδος τοῦ παλαίσματος ψευδόπτωμα καλοῦσιν. ὃ δὲ λέγει, τοιοῦτόν ἐςιν, ὅτι οἱ πρόγονοι εἰ καὶ ἡττήθησαν, τὴν ἧτταν ἀνεκαλοῦντο, καὶ τοῖς νενικηκόσιν, ἡττηθεῖσιν ἐκ δευτέρυ, πλέον τῆς προτέρας νίκης οὐδὲν ἦν.

ψευδόπυρα στρατήγημα, ὅπερ ποιῦσι διὰ νυκτὸς καίοντες πυρὰ πρὸς κατάπληξιν τῶν πολεμίων.

ψεῦδος ἡ ἀνθρωπίνη εὐημερία· καὶ ὁ Δαβὶδ "ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μυ, πᾶς ἄνθρωπος ψεύστης" ⟨Theodoret. in Ps. 115 2⟩.

ψευδοσέληνον ἡ ἀμαυρὰ σελήνη.

ψευδώνυμοι διεψευσμένοι τῷ ὀνόματι, ψευδολόγοι.

ψευσθέντα ἀπατηθέντα· "ψευσθέντα δὲ αὐτὸν ὑπ' ἀνδρὸς ἀπατεῶνος μὴ μένειν ἀπόμαχον. ἐκείνῳ γὰρ βυλαί τε καὶ λόγοι παντοῖοι, ὅπως τῦ πολέμυ περιέσοιτο." καὶ **ψευσθῆναι** γενικῇ.

ψεῦσον. σύνηθες τὸ σχῆμα. Μένανδρος "οἶσθ' ὃ ποίησον," καὶ ὁ Σοφοκλῆς "μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιύσης ἐλπίδος" ⟨sch. A Th. 877⟩.

ψήγματα μικρὰ κομμάτια.

ψηκεδὼν κονιορτός.

ψήκτρα ἐργαλεῖον δι' ὗ τὺς ἵππυς κνήθομεν. ἐν ἐπιγράμματι ⟨AP 6 233⟩ "καὶ πριστὸν ψήκτρης κνῆσμα σιδηρόδετον," καὶ αὖθις ⟨6 246⟩ "καὶ ψήκτραν ἵππων ἐρυσίτριχα, τήν τ' ἐπὶ νώτων μάστιγα, ῥοίζυ μητέρα θαρσαλέην." ⟨6 307⟩ "ψήκτραν ἄκιτιν ἀπέπτυσεν."

ὅτι ὁ ψηκτὴρ καὶ δεῖνος λέγεται ⟨an ψυκτὴρ καὶ δῖνος⟩.

ψῆλαι ἀντὶ τῦ ψᾶλαι, κατὰ τροπήν.

ψηλαφίζει ἀντὶ τῦ ψηλαφᾷ· ὕτως Ἀναξίλας. καὶ **ψηλαφῶ** αἰτιατικῇ.

ψήληκες τῶν ἀλεκτρυόνων οἱ νοθαγένναι.

ψῆνας τὺς ἰχθύας.

ψῆνες κωνώπια τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα· οἵτινες καὶ τῶν ὀλύνθων περιαπτομένων ταῖς συκαῖς πεπαίνυσι τὰ σῦκα. καὶ **ὑπεψηνισμένη** ἀπὸ τύτυ ἡ ἐγκύμων.

ψηνίζω. καὶ παροιμία "ὐδεὶς κομήτης ὅστις ὐ ψηνίζεται." "ὅστις ὗ. τὸ δὲ ἀκροτελεύτιον αὐτὸς σὺ πρὸς τὴν ἠχὼ τῦ τριμέτρυ συνάρμοσον· ὐ γὰρ ἔγωγε φθέγξομαι τὸ δεινὸν ἐκεῖνο καὶ πρᾶγμα καὶ ὄνομα" ⟨Synes. p. 85⟩.

ψηνίξαι ξῦσαι, σοβῆσαι.

ψηνός ὁ φαλακρός.

ψῆρας ψᾶρυς, ὄρνεα· Ὅμηρος ⟨Π 583⟩ "κολοιύς τε ψῆράς τε." καὶ αὖθις ⟨AP 7 172⟩ "ὁ πρὶν ἐγὼ καὶ ψῆρα καὶ ἁρπάκτειραν ἐρύκων σπέρματος ὑψιπετῆ Βιςονίαν γέρανον."

ψηρόν ξηρόν.

ψησία εἶδος ἰχθύων.

ψῆττα τῶν πλατέων τις ἰχθύων. ἔνιοι βύγλωσσον. δοκεῖ δέ τισιν ἐκ δύο συγκεῖσθαι δερμάτων τὴν ἰδέαν, διῄρηται δὲ κατὰ τὸ μέσον ὡς οἱ σφῆκες. ἢ ὄρνεόν ἐστι τετμημένον κατὰ τὸ μέσον ὡς οἱ σφῆκες· Ἀριστοφάνης ⟨Lys. 115⟩ "ἐγὼ δὲ κἂν ὡσπερεὶ ψῆτταν δοκῶ δῦναι ἐμαυτῆς παρταμῦσα θἤμισυ," ἀντὶ τῦ, κἂν συμβῇ τέμνεσθαί μυ τὸ ἥμισυ, βύλομαι.

ψηφῖδες ψῆφοι. Hom. Φ 260.

ψηφίσματα γνῶμαι ἀρέσκυσαι. "ξυνήρεσε δὲ τὰ τοιάδε, εἰ ὁ Ῥωμαίων βασιλεὺς τῷ δόγματι ἐπιψηφίσοιτο," ἀντὶ τοῦ ἀρεσθῇ.

ψηφολόγοι. ψηφολόγοι εἰσὶν οἱ ψηφο- a
παῖκται. ψηφολογικοὶ γῦν οἱ πλανῶντες καὶ ἀπατῶντες, ὥσπερ οἱ ψηφολόγοι τὺς ὀφθαλμοὺς τῷ τάχει τῆς μεταθέσεως τῶν ψήφων ἀπατῶντες συναρπάζυσι.

ψηφολόγοι οἱ λόγον καὶ φροντίδα ποιύ- b
μενοι τῆς διὰ τῶν ψήφων ἀπάτης.

a ψῆφος κρίσις, ἀπόφασις, διαλαλιά, λόγος. καὶ ἀψήφιστον· "ὁ κατέχων τὸ ἀψήφιστον ἐν γνώσει ἐπιτελεῖ πᾶσαν τὴν γραφήν." καὶ αὖθις (A Lys. 699) "ἃ γὰρ ἔσται δύναμις, ἃς ἣν ἑπτάκις σὺ ψηφίσῃ" οἱ γὰρ γέροντες ἀεὶ ἐψηφίζοντο τί πρακτέον καὶ τί μή.

b ψῆφος. ψῆφον καλοῦμεν λίθον τὸν ἐν τῷ δακτυλίῳ, καὶ τῶν χρημάτων τὸν ἀριθμόν (Artemid. 2 5).

ψῆφος μέλαινα ἡ καταδικάζουσα, λευκὴ δὲ ἡ δικαιοῦσα· Πισίδης "ψήφου μελαίνης ἐξεφώνησε κρίσιν."

ψηφοφορία ἡ πολλῶν ψῆφος καὶ ἀποδοχή. (A Lys. 705) "κοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων, πρὶν ἂν τοῦ σκέλους λαβὼν ὑμᾶς τις ἐκτραχηλίσῃ θέλων."

ψήχειν καταμάσσειν, τρίβειν, ξύειν· "οἱ δὲ Μαυρούσιοι παραυτίκα τοὺς ἵππους ἔψηχον, οἱ δὲ λόγχας οἱ δὲ ξίφη ἠκόνων." καὶ ἐν ἐπιγράμματι (AP 7 225) "ψήχει καὶ πέτρην ὁ πολὺς χρόνος, οὐδὲ σιδήρου φείδεται, ἀλλὰ μιῇ πάντ' ὀλέκει δρεπάνῃ."

ψήχομαι τὸν δικαστήν."

ψηχράν τὴν λεπτήν.

ψιά χαρά.

ψιάδες ῥανίδες, σταγόνες, ψεκάδες. Hom. Π 459.

ψιάθιον. καὶ ἐπίρρημα ψιαθηδόν.

ψιάθου θηλυκόν. λέγεται δὲ παρ' Ἀριστοφάνει (Ran. 575) καὶ ἀρσενικῶς τοὺς ψιάθους.

ψίδωνες διάβολοι, ψίθυροι.

ψίεντα μακάριον.

ψιζομένη κλαίουσα.

ψιῆναι ψέξαι (an ψίξαι).

ψιθυρίζει, αἰτιατικῇ, ἠρέμα εἰς τὸ οὖς διαλέγεται. καὶ Ἀφροδίτης ψιθύρου ἱερόν. πνέοντος ἀνέμου μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται· καὶ Θεόκριτος "ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα" (sch. Nub. 1003). καὶ λόγος ψίθυρος ὁ διάβολος· Σοφοκλῆς (Ai. 148) "τοιούσδε λόγους ψιθύρους πλάσσων." ψιθυρισμὸς δὲ ἡ τῶν παρόντων κακολογία παρὰ τῷ ἀποστόλῳ (2 Cor. 12 20).

ψιθυριστὴς Ἑρμῆς. ἦν τις Ἀθήνησιν Ἑρμῆς οὕτω καλούμενος. ἐτιμᾶτο δὲ Ἀθήνησι καὶ ψίθυρος Ἀφροδίτη καὶ Ἔρως ψίθυρος. Harp.

ψιθυριστοῦ Ἑρμοῦ καὶ Ἔρωτος καὶ Ἀφροδίτης, ἅπερ πρῶτος ἐποίησεν, ὥς φησι Ζώπυρος, Θησεύς, ἐπεὶ Φαίδρα, ὥς φασι, ἐψιθύριζε Θησεῖ κατὰ Ἱππολύτου, διαβάλλουσα αὐτόν. οἱ δὲ ἀνθρωπινώτερόν φασιν Ἑρμῆν ψιθυριστήν, παρὰ τὸ ἀνθρώπους ἐκεῖ συνερχομένους τὰ ἀπόρρητα συντίθεσθαι καὶ ψιθυρίζειν ἀλλήλοις περὶ ὧν βούλονται.

ψιλεὺς ἐπ' ἄκρου χοροῦ ἱστάμενος. ὅθεν καὶ φιλόψιλος παρὰ Ἀλκμᾶνι ἡ φιλοῦσα ἐπ' ἄκρου χοροῦ ἵστασθαι.

ψιλοδάπιδας τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δάπιδας λέγουσι.

ψιλοί οἱ μὴ καθωπλισμένοι μέν, ἐν καιρῷ δὲ τῆς μάχης τῷ παρατυχόντι ἢ λίθῳ ἢ ξύλῳ ἢ ἄλλῳ τινὶ ὀργάνῳ χρώμενοι. ἢ τοξόται, παρὰ τὸ σκευῇ ψιλῇ χρῆσθαι (sch. Thuc. 1 60).

ψιλοκόρρης φαλακρός.

ψιλὸν γυμνόν. καὶ ἀντὶ τοῦ ἔρημον· (Polyb. 11 1) "τὰ δὲ θηρία ὕστερον ἑάλω ψιλὰ τῶν Ἰνδῶν."

ψιλός. τάξις ἐστὶν ἀγεννεστάτη, ἥτις προβάλλεται ἔμπροσθεν τοῦ στρατοπέδου, γυμνῶν ἀόπλων· καὶ ἐὰν ταραχὴ γένηται, ἐκείνη πρώτη ἀναιρεῖται. (A Th. 239) "οἴμοι κακοδαίμων, ψιλὸς αὖ στρατεύσομαι." τοῦτο δὲ εἴρηκε διότι ἐψίλωτο. Εὐνάπιος δὲ λέγει "ψιλὸν δὲ οἷον κοῦφον. αὐξίλια δὲ οἱ Ῥωμαῖοι τὰ τέλη ταῦτα προσαγορεύουσι, τὸ τῆς βοηθείας ὀξὺ καὶ παρὰ τὰς χρείας εὐκίνητον οὕτω προσαγορεύοντες." καὶ ἡ τραγῳδία (S Phil. 953) "αὖθις αὖ πάλιν εἴσειμι πρὸς σὲ ψιλός, οὐκ ἔχων τροφήν." λέγεται καὶ ψιλὴ ἡ ἀσθενής.

ψίμαρον (an χίμαρον) εὐδιαῖον.

ψιμύθιον χρῶμα ἑταιρικόν.

ψινάδες παρὰ Θεοφράστῳ (H. P. 4 14 6) αἱ ῥοάδες αἱ ἄμπελοι. ἔνιοι τὰς δρυπέπεις ἐλαίας.

ψινάζει ἀπορρεῖ τὰ ἀσθενῆ τοῦ καρποῦ, φυλλορροεῖ.

ψινύθιον φαῦλον.

ψίξ. ψιχὸς κλίνεται.

ψίτται ἰχθύων γένος.

ψιττακίαν ὑποδήματος γυναικείου γένος.

ψιττακός ὄνομα ὀρνέου (cf. γλῶττα extr.).

ψίχες ἀρσενικῶς, οἱ ψίχες καὶ τοὺς ψίχας. ὁ δὲ θεολόγος ⟨Gregor. Naz. p. 646 B⟩ θηλυκῶς λέγει "ψὶξ παραδραμοῦσα, τὸ φαυλότατον." καὶ ψιχίον.

ψίω τὸ ἐμβρωματίζω, καὶ ψίσαι ψωμίσαι, καὶ ψισθεῖεν ψωμισθεῖεν, τραφεῖεν διὰ ψιχῶν. καὶ ψιώχω.

ψόα τὸ μέρος τοῦ σώματος. ἐν ταύταις ἔγκεινται οἱ νεφροί, δι' ὧν αἱ ὀρέξεις κινεῖσθαι πεφύκασι. καὶ ὁ Δαβὶδ "ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων" ⟨Theodoret. in Ps. 37 8⟩.

ψόγος ἡ κακολογία.

ψάθος ἀκαθαρσία· οὕτως Φρύνιχος.

ψοιά. ψύα δέ, καὶ πληθυντικῶς τὰ ψύη.

ψοίθης ἀλαζών.

ψοῖθος σποδός.

ψολόεν φλογόεν πῦρ.

ψολόεντα κεραυνόν ⟨Hom. ω 538⟩ τὸν ὀξέως φθείροντα. ὁ ψολόεις ἡ εὐθεῖα.

ψολοκομπία ἀλαζονεία· Ἀριστοφάνης Ἱππεῦσιν ⟨693⟩ "ἥσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις," μεγαλοδοξίαις καὶ μεγαληγορίαις, ἀπὸ τῶν προειρημένων ὀνομάτων, τοῦ βροντᾶν καὶ ταράττειν τὴν γῆν καὶ κρημνοὺς ἐρείδειν καὶ κεραυνοῖς χρῆσθαι· τῶν γὰρ κεραυνῶν οἳ μὲν καταιβάται, οἳ δὲ ψολόεντες, οἱ κατὰ τὴν ψαῦσιν ὀλλύντες, οἳ δὲ ἀργῆτες καλοῦνται.

ψούδια ψευδῆ Κρῆτες.

ψοφοδεής δειλός, τοὺς ψόφους φοβούμενος.

ψόφος. ὅτι ὁ ψόφος ὃ μὲν δυνάμει ὃ δὲ ἐνεργείᾳ, καὶ τὰ μὲν δύναται ψοφεῖν τὰ δὲ οὔ. τὰ μὲν οὖν δυνάμενα ψοφεῖν ἐστὶ τὰ στερεὰ καὶ λεῖα, ἐν οἷς ἐστὶν ὁ δυνάμει ψόφος, ὅταν ἐνεργῇ, καθό ἐστι ψοφητικά. ἡ γὰρ ἐπιτηδειότης τοῦ δύνασθαι ψοφεῖν, οὗτός ἐστιν ὁ δυνάμει ψόφος· ὅταν δὲ δυνάμενα ποιῇ, οὗτός ἐστιν ὁ ἐνεργείᾳ. ἔστι δὲ ψόφος πληγὴ ἀέρος τοιῶσδε γινομένη. δεῖ γὰρ εἰς τὸ γενέσθαι ψόφον δύο σκληρῶν καὶ λείων σωμάτων ἀθρόαν συνέμπτωσιν πρὸς ἄλληλα γενέσθαι· ἐν γὰρ τούτοις ὁ ἐναπολαμβανόμενος ἀὴρ ἀθρόως ἐκθλιβόμενος ποιεῖ τὸν ψόφον. οὔτε γὰρ τὰ μαλακὰ τῶν σωμάτων ψόφον ποιεῖ, οἷον σπόγγος ἔρια, οὔτε τὰ σκληρὰ μὲν ἠρέμα δὲ καὶ κατὰ μικρὸν προσκρουόμενα· φθάνει γὰρ κατὰ μέρος οἷον θρυφθῆναι ὁ ἀήρ. διὸ δεῖ τῆς σφοδρᾶς τῶν σκληρῶν σωμάτων συνεμπτώσεως, ἵνα πολὺς ὁ ἀὴρ ἐναποληφθῇ μεταξύ· ὃς ἐναπολαμβανόμενος καὶ ἀθρόως ἐξωθούμενος ποιεῖ τὸν ψόφον. φθάνουσα γὰρ ἡ πληγὴ τὴν ἔξοδον αὐτοῦ ἀποκλείει καὶ ἀθρόον ἐκπυρηνίζει. τὰ δὲ μαλακὰ οὐ ψοφεῖ, διότι οὐχ οἷά τε ἐστὶν ἐξωθῆσαι τὸν ἀέρα τὸν ἐναποκλειόμενον· διὰ γὰρ τῶν πόρων, μανὰ γάρ ἐστι τὰ μαλακά, κατακερματισθεὶς ἔξεισι. δεῖ δὲ καὶ λειότητος τοῖς πλήττουσι μάλιστα πρὸς τὸ πλείονα γενέσθαι τὸν ψόφον, διότι πλέον ἐναπολαμβανόμενος ὁ ἀὴρ ἐκθλίβεται ἀθρόως. ἐν δὲ τοῖς μὴ λείοις κατακερματίζεται ἐν τοῖς κοιλώμασι πλείοσιν οὖσι, καὶ οὐκ ἀθρόος ἔξεισι. λέγει καὶ ἕτερα περὶ ἠχῆς, ἃ παραλελοίπαμεν. ψοφητικὸν δέ ἐστι τὸ δυνάμενον ἕνα καὶ συνεχῆ τὸν ἀέρα τηρῆσαι μέχρι τῆς ἀκοῆς. συμφυὴς δέ ἐστι καὶ ἐγκατῳκοδομημένος τοῖς κοιλώμασι τῶν ὤτων πρὸς αὐτῇ τῇ μήνιγγι ⟨Philopon. in Aristot. de an. 2⟩.

ψόφου πλέως ἀντὶ τοῦ ταραχώδης. περὶ Αἰσχύλου φησί ⟨A Nub. 1370⟩· τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει, βασανιζόμενα δὲ οὐδεμίαν ἔχει πραγματείαν. ταῦτα ἂν λέγει ἀξύστατον, οἷον ἀδιάθετον, ἀπιθάνως συντιθέντα, κομπώδη. κρημνοποιὸν δέ, μεγάλας λέξεις ποιοῦντα. καὶ ⟨A Ach. 931⟩ "ψοφεῖ λάλον τι καὶ πυρορραγές." πυρορραγῆ κεράμια καλεῖται, ὅσα ἐν τῷ πυρὶ ῥήγνυται ἐν τῷ ὀπτᾶσθαι.

ψύα τὸ μέρος τοῦ σώματος. καὶ τὰ ψύη πληθυντικόν.

ψυγείσῃ Ἀριστοφάνης ⟨Nub. 151⟩ ἀντὶ τοῦ ἀποθανέσῃ.

ψύγω αἰτιατικῇ.

ψύδραξ τὸ ἐπὶ τοῦ σώματος ἐξάνθημα.

ψύθος ψευδές, ψεῦδος· "καὶ οὐ ψύθος οὔνομ' ἔχουσα," ἀντὶ τοῦ ψευδές, παρὰ Καλλιμάχῳ.

ψυκτήρ σκεῦος ἔνθα διανίζουσι τὰ ποτήρια.

ψυκτῆρα κάδδον, ἢ ποτήριον μέγα, ἀπὸ τοῦ θᾶττον ψύχεσθαι ἐν αὐτῷ τὴν κρᾶσιν.

ψύλλα καὶ ψύλλαι θηλυκῶς. παρὰ δὲ Ἡροδότῳ ⟨4 173⟩ Ψύλλοι ἔθνος Λιβύης. καὶ τὸ ἐν τῇ Μεσσηνίᾳ Μενάνδρου κύριον ὄνομα. ὅτι δὲ τὸ ζῷον τὸ μικρὸν ἀρρενικῶς Ἐπίχαρμος εἶπε καὶ ἕτεροι. Ἀριστοφάνης

⟨Nub. 144⟩ "ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης ψύλλαν, ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας." ὅτι ἱστόρηται ὡς ἡ ψύλλα ἓξ πόδας ἔχει.

ψύλλειον βοτάνη. καὶ ψυλλίζω αἰτιατικῇ.

ψύξας φυσήσας. ἢ ἀμβλύνας.

Ψύρα τὸν Διόνυσον ἄγοντες." ἡ παροιμία παρὰ Κρατίνῳ. τὰ δὲ Ψύρα εὐτελὴς νῆσός ἐστι καὶ μικρὰ πλησίον Χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν. λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων.

ψυταλίων.

ψυχαγωγεῖ αἰτιατικῇ παραμυθεῖται, τέρπει. ἢ ψυχὰς ἀνάγει· Ἀριστοφάνης Ὄρνισι ⟨1552⟩ "πρὸς δὲ τοῖς Σκιάποσι λίμνη ἐστίν, οὗ ψυχαγωγεῖ Σωκράτης." περὶ ψυχαγωγίας. γοητείας τινὰς ποιοῦσιν ἐς τοὺς νεκρούς. ἐπὰν γὰρ ἐς τὰ χωρία ἀφίκωνται ὅθεν ἄγειν ἔστι τὰς ψυχὰς ἃς ποθοῦσιν οἱ δεόμενοι, ἀφικνοῦνται ἔνθα τεθνᾶσιν οἱ ψυχαγωγούμενοι· καὶ οὐχ εὑρίσκουσι παραχρῆμα τὸν χῶρον, ἀλλὰ ἀνιχνεύουσι τὸν τρόπον τοῦτον. πρόβατον μέλαν παραλαβόντες, εἶτα τοῦ κέρατος τοῦ ἑτέρου λαβόμενοι ἢ τῶν ποδῶν τῶν προσθίων, καὶ ἐπὶ τοῖς ποσὶ τοῖς ἄλλοις στήσαντες περιάγουσι· τὸ δὲ ἕπεται τῇ ἕλξει καὶ μάλα εὐπειθῶς. ὅταν δὲ ἀφίκηται ἔνθα ἐκεῖνος ἢ ἐκείνη κατηνέχθη, ἐνταῦθα τὸ πρόβατον ἑαυτὸ ἔρριψεν· καὶ τούτου γενομένου, εἶτα τὸ πρόβατον ἐκποδὼν ποιήσαντες καὶ κατακρύψαντες, σὺν καί τισι ποικίλαις ἱερουργίαις καὶ ἐπῳδαῖς περιηγοῦνται καὶ περιέρχονται αὐτά, καὶ ἀκούουσι λεγόντων, καὶ τὰς αἰτίας δι' ἃς μηνίουσι πυνθάνονται. ἐψυχαγώγησε δὲ καὶ Ἀντωνῖνος ὁ Ῥωμαίων βασιλεὺς περὶ Κομόδου τοῦ πατρὸς αὐτοῦ.

φησὶ Πολύβιος "οὗτοι μὲν περὶ ταῦτα διέτριβον, ψυχαγωγοῦντες τὰς δυνάμεις," ἀντὶ τοῦ παραμυθούμενοι.

ψυχάζειν ἀναψύχειν ⟨Theophyl. Sim. 7 4⟩ "οἱ δὲ ἀποβάντες τῶν ἵππων ἐνεχείρουν ψυχάζειν τοῖς τε ἵπποις ἀνακωχῆς μεταδιδόναι τινός."

ψυχάζουσι πρὸς τὸ ψῦχος καὶ τὸ πνεῦμα διατρίβουσιν, ἵνα ἀναψυχήν τινα λάβωσιν. ἔστι δὲ ὅμοιον τῷ χειμάζειν. "οὐδέ τις αὐτοῖς τὴν ἀσπίδα ἢ τὸν θώρακα ἔφερε ψυχάσαι τοῖς δεομένοις."

ψύχειν καὶ ἀποψύχειν τὰ ὑγραινόμενα.

ψυχεινὸς τόπος ὁ ψυχρός.

ψύχεται ἀντὶ τοῦ ψυχραίνεται, παραινεται· ἐν ἐπιγράμματι ⟨AP 5 239⟩ "καὶ φιάλ ἐν τελεταῖς, ὅτε θύματα πάντα λαφύξαι φορβῆς ἡ μανίη ψύχεται αὐτομάτως."

ψυχὴ πνεῦμα νοερόν.

ὅτι μέρη τῆς ψυχῆς ἢ εἴδη τρία, λογιζόμενον θυμούμενον ἐπιθυμοῦν. ἀναγκαίως οὖν καὶ τριττὴ πολιτεία ἐγένετο, ἔχουσα ἑκάστη τὰς τρεῖς, ἀλλὰ τῷ κρατοῦντι ἐπί τι πᾶν μορφουμένη. καὶ τὴν μὲν προϊέναι κατὰ λόγον, ἣν ἄν τις τὴν ἐπὶ Κρόνου ὀνομάσειε ζωήν τε καὶ πολιτείαν· τὴν δὲ κατὰ θυμόν, διανισταμένην εἰς πολέμους καὶ μάχας περὶ πρωτείων καὶ δόξης, οἷα τὰ ἐν ταῖς ἱστορίαις θρυλέμενα· τὴν δὲ κατ' ἐπιθυμίαν, πανταχῇ διαρρέουσαν καὶ ὑπὸ τροφῆς ἀκολάστου διεφθαρμένην, ταπεινὰ καὶ γυναικεῖα φρονοῦσαν, δειλίᾳ σύνοικον καὶ ἐν πάσῃ ὑηνίᾳ καλινδουμένην, φιλοχρήματον, δουλοπρεπῆ, οὐδὲν τίμιον οὐδὲ ἐλεύθερον διαπραττομένην, ἀνδραποδώδη καὶ ἀσθενῆ, γαστρὶ καὶ αἰδοίοις ἀεὶ τὴν εὐδαιμονίαν μετροῦσαν, οὔτε θυμῷ γενναίῳ χρωμένην, οἷον σῶμα παρειμένον ἐν μιᾷ χώρᾳ κείμενον ἐκνενευρισμένον, οὐδὲ κινεῖσθαι ἔτι δυνάμενον. καὶ πολλῷ χαμαιπετεστέραν ἐπεδείκνυτο τὴν ζωὴν τῶν νῦν ἐν τῇ γενέσει πολιτευομένων ἀνθρώπων ⟨Damasc. Phot. p. 336 b⟩.

ὅτι Πλάτων τὴν τῶν ἀλόγων ψυχὴν ἐν τοῖς ἑαυτοῦ διαλόγοις θνητὴν ὡμολόγηκεν.

ὅτι τὰ τῆς ψυχῆς ἅπαντα παθήματα τοῦ συναμφοτέρου ἐστὶ καὶ οὐκ ἴδια τῆς ψυχῆς. ὡσαύτως καὶ ἡ νόησις.

ὅτι τοῦ ζῆν αἴτιον τοῖς ζῶσι τὸ πεζότατον καὶ ἔσχατον μόριον τῆς ψυχῆς. τὴν γὰρ φυτικὴν δύναμιν ἀποδίδωσιν Ἀριστοτέλης αἰτίαν τοῦ ζῆν. οὐδὲν γὰρ ἀμοιροῦν ταύτης ζῆν δύναται· διὸ καὶ τὰ μόνης αὐτῆς μετέχοντα ζῇ, λέγω δὴ τὰ φυτά. μίαν δὲ οὐσίαν βούλεται τῆς ψυχῆς εἶναι, ἐκ διαφόρων συγκειμένην οὐσιῶν ἡνωμένων.

ψυχίδιον ἡ ψυχή. καὶ ψυχάριον παρὰ Ἰουλιανῷ.

ψυχικὸς σαρκικός. σημαίνει δὲ καὶ τὸν ἀνδρειόθυμον· οὕτως Ἀλεξις.

ψυχικὸς ἄνθρωπος (1 Cor. 2 14). ἐκ ψυχῆς καὶ σώματος ὁ ἄνθρωπος. ὅταν μὲν ἂν πράττῃ τι τῶν τῷ θεῷ δοκούντων, πνευματικὸς λέγεται, καὶ ὐκ ἀπὸ τῆς ψυχῆς ὀνομάζεται, ἀλλ' ἀφ' ἑτέρας μείζονος τιμῆς, τῆς ἀπὸ τοῦ πνεύματος ἐνεργείας. οὐ γὰρ ἀρκεῖ ἡ ψυχὴ εἰς κατόρθωμα, εἰ μὴ ἀπολαύσοι τῆς τοῦ πνεύματος βοηθείας. ὥσπερ δὲ σαρκικὸς ἄνθρωπος λέγεται ὁ τῇ σαρκὶ δυλεύων, οὕτω ψυχικὸν καλεῖ ὁ ἀπόστολος τὸν τοῖς ἀνθρωπίνοις λογισμοῖς τὰ πράγματα ἐπιτρέποντα καὶ μὴ δεχόμενον τὴν τοῦ πνεύματος ἐνέργειαν. καὶ πάλιν, ὅταν μὲν κατορθώσωμεν ἀρετήν, πνευματικοὶ λεγόμεθα, ὅταν δὲ ὑποσκελισθῶμεν καὶ πράξωμέν τι ἐναντίον ἀπὸ τῆς εὐτελῦς φύσεως, γῆν ἡμᾶς ὀνομάζει. καὶ ὁ προφήτης (Genes. 11 4) "πατάξει" φησί "τὴν γῆν τῷ λόγῳ τῦ στόματος αὐτῦ," οὐ περὶ γῆς λέγων, ἀλλὰ περὶ τῶν ἁμαρτιῶν. καὶ πάλιν (11 1) "ἐγένετο πᾶσα ἡ γῆ χεῖλος ἕν," περὶ τῶν ἁμαρτιῶν λέγων. καὶ ὁ Ἀβραὰμ ἑαυτὸν ἐξευτελίζων λέγει (18 27) "ἐγὼ δέ εἰμι γῆ καὶ σποδός." καὶ πάλιν (Sirac. 10 9) "ἐν τῇ ζωῇ αὐτοῦ ἐξυδένωται τὰ ἐντόσθια αὐτοῦ," τὴν γαστέρα λέγων.

αἱ ψυχαὶ τῶν βιοθανατούντων οὐ κατὰ τὴν τῶν πολλῶν δόξαν γίνονται δαίμονες, ἀλλὰ τῶν ἁμαρτανόντων, οὐ τῆς ὐσίας αὐτῶν μεταβαλλομένης, ἀλλὰ τῆς προαιρέσεως τὴν ἐκείνων μιμυμένης κακίαν. τῦτο καὶ ὁ Χριςὸς ἔλεγε τοῖς Ἰυδαίοις. (ev. Ioann. 8 44) "ὑμεῖς τῦ πατρὸς ὑμῶν τῦ διαβόλυ ἐστέ."

ψυχόλεθρος.

ψυχομαχοῦντες· Πολύβιος (1 59) "οἱ δὲ Ῥωμαῖοι ψυχομαχῦντες, σχεδὸν ἤδη ε' ἔτη τῶν κατὰ θάλασσαν πραγμάτων ὁλοσχερῶς ἀφεστηκότες." (ibid.) "ἦν δὲ καὶ τῆς ὕστερον ἐπιβολῆς τὸ πλεῖον ψυχομαχία," περὶ τῆς ψυχῆς μάχη.

ψυχόμενος δρόσῳ ἐν καμίνῳ.

ψυχορροφεῖν τὴν ψυχὴν ἐκπίνειν.

ψῦχος. καὶ ψύχη τὰ ψυχρά.

ψυχυλκύμενος τὴν ψυχὴν ἑλκόμενος.

ψυχρολογία ψευδολογία, ἀκαιρολογία. καὶ ψυχρολόγος ἄνθρωπος ὁ μηδὲν ἀγαθὸν λέγων.

ψυχρός ἀσθενής. ἦν δὲ ὁ Μόρσιμος Φιλοκλέυς τῦ ποιητῦ υἱός, τραγῳδίας ποιητὴς ψυχρός. ἦν δὲ καὶ ἰατρός (sch. A Eq 400).

ψυχρὸς ἄνθρωπος ἀντὶ τῦ δυσκίνητος· Ἰώσηπος (B. I. 6 1 3) "ψυχρότεροι τῆς ἐλπίδος ὑπέστρεψαν."

ψυχρῦ βίυ καὶ δυσκόλυ ζῆσειν ἀπαλλαγέντας" ἀντὶ τοῦ ταλαιπώρυ, Ἀριστοφάνης Πλούτῳ (263). ἢ ἐπιμεμφόμενος διὰ τὸ γῆρας. καὶ αὖθις (Ach. 138) "ἡνίκα Θέογνις ἠγωνίζετο, κατένιψε τὴν Θρᾴκην χιόνι πολλῇ, καὶ τοὺς ποταμοὺς ἔπηξεν ὑπ' αὐτὸν τὸν χρόνον." οὗτος τραγῳδίας ποιητὴς ψυχρός· κωμῳδῶν οὖν αὐτὸν παρίστησι τὴν πολλὴν χιόνα τῆς τούτου περὶ τὰ ποιήματα ψυχρότητος.

ψυχωφελές. καὶ ψυχωφέλεια.

ψῶζα νόσος τις· Εὔπολις Μαρικᾷ "ὃς θυμήνας τοῖς στρατιώταις λοιμὸν καὶ ψῶζαν ἔπεμψεν." οἱ δέ φασι καὶ τὸ τῆς νόσυ εἶδος, ὅτι κνησμὸς μετὰ δυσωδίας.

ψωθία τὰ ὑποκάτω τοῦ ἄρτου.

ψωλὸν γενέσθαι δεῖ σε μέχρι τῦ μυρρίνυ." ἡ παροιμία παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσιν (960), ἐλέχθη δὲ ἐπὶ τῶν μέχρι πολλῦ διεσκυλμένων. παρὰ δὲ Διφίλῳ ἐν τοῖς Ἐναγίσμασι παραπεποίηται "ἄχρι τοῦ λάρυγγος."

ψωλός ὁ λιπόδερμος, ὀξυτόνως. καὶ ἀκρόψωλος ὁ ἐπὶ βραχὺ τοιοῦτος. ἢ ὁ ἀσχήμων κατὰ παρέκτασιν τῦ μορίυ. Ἀριστοφάνης (Av. 507) "κόκκυξ, ψωλοὶ πεδίονδε," ἀντὶ τῦ κόκκυγος κρώζοντος τὰ πεδία θερίζομεν. οἱ δὲ Αἰγύπτιοι ψωλοὶ λέγονται εἶναι, τουτέστι περιτετμημένοι. φησὶν οὖν ὅτι ὅταν ὁ κόκκυξ κοκκύσῃ, οἱ ψωλοὶ ἤρχοντο εἰς τὸ πεδίον. τουτέστιν οἱ μεγάλα αἰδοῖα ἔχοντες. Ἀριστοφάνης Ὄρνισι "τοῦτ' ἄρ' ἐκεῖν' ἦν τοὔπος ἀληθῶς, κόκκυ ψωλοὶ πεδίονδε." καὶ αὖθις "ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου," ἀντὶ τῦ μέχρι τῆς κεφαλῆς, ἐπειδὴ οἱ ἄρχοντες μυρρίνῃ ἐστεφανῦντο. ἢ ἀπεσκολύφθαι τὸ αἰδοῖον. "μολγὸν γενέσθαι δεῖ σε," τυτέστι κλέπτην τῶν δημοσίων ἐξαμέλγοντα τὰ κοινά.

ψωμίζεται ἀπατᾶται, χαίρει. τὸ δὲ ψωμίζεσθαι ἐπὶ τῶν μικρῶν παιδίων λέγεται, ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξυσίᾳ. Ἀριστοφάνης (Eq. 712) "ἐπίσταμαι γὰρ αὐτὸν οἷς ψωμίζεται," οἷς ἀπατᾶται, οἷς χαίρει. καὶ (Ps. 80 5) "ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων."

ψωμίζω καὶ ψωμιῶ αἰτιατικῇ.

ψωμοκόλακες οἱ παράσιτοι, ὡς Φιλιππίδης.

ψωμόλεθρος ὁ πολυφάγος.

ψωμός ὁ ἄρτος.

ψώρα κνησμονή.

Ψωρίς ὄνομα πόλεως.

ψῶσαν θάλψασαν, Ἡρόδοτος ⟨6 61⟩.

ψώχοντες θρύπτοντες, λεπτύνοντες.

ψῶχος γῆ ψαμμώδης.

ὤα μηλωτή, διφθέρα. καὶ τὸ λῶμα τȣ͂ ἐνδύματος περὶ τὴν πέζαν· ἢ τὸ περιστόμιον. ὤαν ἐκάλεσεν ὁ Δαβὶδ ὃ καλοῦμεν περιτραχήλιον· οἳ δὲ στόμα ἐνδύματος εἰρήκασιν, οἳ δὲ τὴν ἀνάκλασιν τȣ͂ ἱματίȣ. "ἐπὶ τὴν ὤαν τȣ͂ ἐνδύματος αὐτοῦ" ⟨Theodoret. in Ps. 132⟩.

ᾠά τὰ ἐκ τῶν κατοικιδίων ὀρνίθων γεννώμενα.

ὠατοθήσω ἀκούσομαι, Δωριεῖς.

ὠβάς παρὰ Πλουτάρχῳ ⟨Lycurg. 6⟩.

ὠβέλισται ἠθέτηται, ἠλλοτρίωται· ὁ γὰρ ὀβελὸς ἐν τοῖς βιβλίοις ἀθετήσεως σύμβολον.

Ὢγ βασιλεὺς τῆς Βασάν, καὶ Σηὼν βασιλεὺς τῶν Ἀμορραίων, οἳ ἐπὶ δυναστείᾳ ἐσεμνύνοντο. ὁ δὲ Ὢγ καὶ κλίνῃ ἐκέχρητο σιδηρᾷ, διὰ τὸ τοῦ σώματος μέγεθος θʹ μὲν πήχεις τὸ μῆκος εʹ δὲ τὸ εὖρος ἐχούσῃ. ὁ βασιλεὺς τῆς Βασὰν Ὢγ προσαγορεύεται, τουτέστι διάφραξις, ὡς τῶν ἔργων τῆς αἰσχύνης (τοῦτο γὰρ ἡ βασάν) τὴν ὁδὸν τῆς σωτηρίας ἡμῖν ἀποφρασσόντων. ὃν ἀποκτενεῖ κύριος ἐπ᾽ ἐλευθερίᾳ τῶν κρατουμένων.

ὠγαθέ ἀντὶ τȣ͂ ὦ ἀγαθέ.

ὠγενίδαι ἀρχαῖοι.

ὠγκώθη· "κἀκ τȣ́τȣ ἐπὶ πλεῖον ὠγκώθη ἢ κατὰ τὸ ὑπάρχον."

ὤγμευον Ξενοφῶν ἐν βʹ ⟨Cyr. 2 4 20⟩ ἀντὶ τοῦ ἐπορεύοντο, παρὰ τὸν ὄγμον τὸν σημαίνοντα τὴν κατὰ τάξιν ὁδὸν τῶν θεριζόντων.

ᾠγνυντο ἠνοίγοντο.

Ὠγύγια κακά, ἐπὶ τῶν ὀχληρῶν, ἐπεὶ συνέβη Κάδμον τὸν Ὠγύγȣ διὰ τὰς θυγατέρας κακοῖς περιπεσεῖν. ἄμεινον δὲ λέγειν Ὠγύγια κακὰ τὰ παλαιά· τȣ͂το γὰρ ἡ λέξις δηλοῖ.

Ὠγύγιον ἀρχαῖον, παλαιόν· ἢ ὑπερμέγεθες. ἢ διὰ τὸ Ὤγυγον πρῶτον ἄρξαι τῶν Θηβῶν.

ὧδε ȣ̓ μόνον τὸ ȣ̔́τως, ἀλλὰ καὶ τὸ ἐνθάδε, ὡς ἡμεῖς· Κρατῖνος Δραπέτισι "τοὺς ὧδε μόνον στασιάζοντας καὶ βουλομένους τινὰς εἶναι." Ἀριστοφάνης Κωκάλῳ "ἐκδότω δέ τις καὶ ψηφολόγιον ὧδε καὶ δίφρω δύο." καὶ Πλάτων που κέχρηται ἀντὶ τοῦ δεῦρο καὶ ἐνθάδε. τὸ δὲ οὕτως ἐν τοῖς πλείστοις δηλοῖ· Εὔπολις Ταξιάρχοις "οὐκ ἦν φυλάττειν γ᾽ ὧδ᾽ ἔχων τὴν ἀσπίδα."

ὧδέ πως οὕτω πως.

ᾤδει ὠγκοῦτο.

ὦ δειλακρίων σύ ⟨A Av. 143⟩ ἀντὶ τȣ͂ ὦ κακόδαιμον καὶ δειλότατε.

ᾠδεῖον Ἀθήνησιν ὥσπερ θέατρον, ὃ πεποίηκεν, ὥς φασί, Περικλῆς εἰς τὸ ἐπιδείκνυσθαι τοὺς μȣσικούς· διὰ τοῦτο γὰρ καὶ ᾠδεῖον ἐκλήθη, ἀπὸ τῆς ᾠδῆς. ἔστι δὲ ἐν αὐτῷ δικαστήριον τοῦ ἄρχοντος. διεμετρεῖτο δὲ καὶ ἄλφιτα ἐκεῖ.

ᾠδή τραγῳδία.

ᾠδηκός φλεγμαῖνον, πεφυσιωμένον "ᾠδηκός τε γὰρ ἦθος ὑπὸ πλούτου καταστέλλει, τὸ εὔδαιμον ἑτέρωθι δείξας, καὶ τὸ καταπεπτωκὸς ὑπὸ πενίας ἐγείρει καὶ ἀταπείνωτον εἶναι παρασκευάζει τῷ καταμελιτοῦντι τὰς ἁπάντων ἀκοὰς διηγήματι, ἐφ᾽ οὗ καὶ Ξέρξης ἐπείσθη, Ξέρξης ἐκεῖνος ὁ τὴν μεγάλην στρατιὰν ἐλάσας ἐπὶ τοὺς Ἕλληνας."

ᾠδηκώς οἰδήσας, φυσήσας.

ὠδίν ὠδῖνος, ταῖς ὠδῖσι.

ὠδῖνες θανάτȣ καὶ παγίδες οἱ θανατηφόροι κίνδυνοι· Δαβίδ ⟨Ps. 17 6⟩ "ὠδῖνες ᾅδȣ περιεκύκλωσάν με· προέφθασάν με παγίδες θανάτȣ." ὠδῖνες καλοῦνται αἱ ἐκ τοῦ τοκετοῦ τῆς τικτούσης ὀδύναι. τοιγαροῦν ἐκ τῆς μεταφορᾶς ταύτης ὠδῖνες ᾅδȣ προσαγορεύονται αἱ αὐτὸν προσπελάζειν τῷ θανάτῳ παρασκευάζουσαι συμφοραί ⟨Theodoretus in Ps. 114 3⟩.

ὤδινον ἐνεκύμόνησαν, ἀπέτεκον "ὁ δὲ ἦν πλούτῳ καὶ γένει διαφανής. ἐκεῖνοι οἱ πολῖται ὤδινον κατ᾽ αὐτȣ͂ φθόνον γενναῖον." "ὠδίνων τὴν καθ᾽ ἡμῶν λοιδορίαν ἀθρόως ἐξέχεας" ἀντὶ τοῦ ἀθρόως, ὁμοῦ.

ὠδί πῃ, καὶ ὠδί πως.

ὠδίς ἡ ἐκ τοῦ τοκετοῦ ὀδύνη· "ὁ δὲ ἐξειπεῖν τὴν ὠδῖνα ἣν ἐκύει οὐκ ἐτόλμα· τὴν ἐλπίδα τοῦ ἴσως ἄν ποτε τυχεῖν ἐν τῷ κρύπτειν ὑποθάλπων ἀρ᾽ ἐκεῖνος" ⟨Aelianus⟩.

ᾠδόν ᾠδικόν, ψάλτην· ἐν ἐπιγράμματι

P 6 54⟩ "χάλκεον ἱδρύσας ᾠδὸν ὑπὲρ κιάρας."

ὡδοποίησεν ἀντὶ τοῦ οὐκ ἐκώλυσε τῇ φιλανθρωπίᾳ τὴν τιμωρίαν, ἀλλ' ἔδωκε χώραν τῇ δικαίᾳ παιδείᾳ· "ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ" ⟨Theodoret. in Ps. 77 50⟩.

ὠδύσατο ⟨Hom. Σ 292, ε 340⟩ ὠργίσθη.

ὦ δύσμορ' Αἶαν, οἷος ὢν οἵως ἔχεις. ις καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν" S Ai. 923⟩.

ὠδώδει ἔπνει.

ᾤετο ὑπελάμβανεν.

ᾤζεσαν προσώζεσαν.

ὦ Ζεῦ, τί ταῦτα; πότερον εὐτυχῆ λέγω, ἢ δεινὰ μὲν κέρδη δέ; λυπηρῶς δ' ἔχει, εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς" ⟨S El. 766⟩. ὡς μὲν γυνὴ κεκίνηται ἐπὶ τῷ πάθει, πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα ἥδεται.

ᾠήθησαν ἐνόμισαν.

ὦ Ἡράκλεις, τί μαίνῃ; τοῦτο λεχθῆναι ὑπὸ τῶν Ἀργοναυτῶν φασὶν ἀνακαλέντων τὸν Ἡρακλέα ἀπολειφθέντα αὐτῶν κατὰ βούλησιν τῆς Ἥρας.

ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας ⟨A Eq. 1327⟩.

ὠθήσω ἀντὶ τοῦ ὤσω. οὕτως Ἀριστοφάνης· ὤθω γὰρ τὸ προώθω. ὠθῶ δὲ περισπωμένως.

ὠΐγνυντο ἀνεῴχθησαν. Hom. B 809.

ὤϊξεν ἤνοιξεν. Hom. Z 298.

ὦκα ταχέως.

ὠκεάνειον ῥεῦμα τὸ τοῦ ὠκεανοῦ.

ὠκεανός ἡ κύκλῳ πάσης τῆς γῆς θάλασσα, παρὰ τὸ κείω τὸ σχίζω, κεανός, καὶ μετὰ τοῦ στερητικοῦ α καὶ τροπῇ τοῦ α εἰς ω ὠκεανός· "ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα καὶ πηγαί" ⟨Hom. Φ 196⟩.

ὠκεῖα ταχεῖα.

ὤκειλε. καὶ ἐξώκειλεν, ὅ ἐστιν ἔξω τοῦ κέλλειν γέγονεν· ἀποκέλλειν γὰρ τὸ εἰς τοὔμπροσθεν ἰέναι.

ὤκιμον δένδρον.

ὠκινάκης. οὐδαμῶς Ἀττικόν· ἀλλ' Ἡρόδοτος οὕτω λέγει τὸν ὠκινάκην.

Ὠκίναρος ⟨Lycophron 729⟩ ποταμός.

ὤκλασαν τὰ γόνατα ἔκαμψαν.

ὤκνουν ηὐλαβούμην, καὶ ὤκνουν ηὐλαβοῦντο, ὠλιγώρουν. "συνέντες δὲ οἱ Ἕλληνες ἐπὶ βασιλέα εἶναι τὴν στρατείαν, ὤκνουν τὴν ἀνάβασιν. Κλεάρχου δὲ εἰπόντος τὴν ὑποστροφὴν ἄπορον εἶναι Κύρου μὴ συναιρομένου, συνῄεσαν" ⟨X Anab. 1 3?⟩.

ὠκύαλος ναῦς ἡ ταχεῖα. Hom. O 705.

ὠκύμολος ταχέως πορευόμενος.

ὠκύμορος ταχυθάνατος. "τὰ ἀνθρώπεια ὠκύμορα καὶ ἐφήμερα, ταῦτά τοι καὶ σπουδῆς ἀνάπλεα· καὶ συγγνώμην αὐτοῖς νέμειν ὑπὲρ τῆς ἄγαν σπουδῆς."

ὠκυμορώτατος. Hom. A 505.

ὠκυπέτα ⟨Hom. Θ 42⟩ τοὺς ταχεῖς.

ὠκυπλόων ταχυπόρων.

ὠκύπτερον ταχυπετῆ.

ὠκύρροος ταχέα ἔχων ῥεύματα.

ὠκύς ταχύς.

ὦ Λακιάδαι, ἐπὶ τῶν μοιχῶν λέγεται· δῆμος γὰρ τῆς Ἀττικῆς οἱ Λακιάδαι, ἐν ᾧ ῥαφανῖδες πολλαί, αἷς ἐχρῶντο κατὰ τῶν ληφθέντων μοιχῶν ἐνυβρίζοντες. καὶ στελεοῖς δὲ ἐχρῶντο μὴ παρουσῶν τούτων ἀλαβάστοις.

ὠλέκρανον ὁ ἀγκών.

ὦλεν ⟨an ὦφλεν⟩ ἑάλω, ὠφείλησεν.

ὠλέναι οἱ πήχεις τῶν χειρῶν. καὶ λευκώλενοι. "ἐποχούμενος ἐπέστη ἀκηράτοις ὠλέναις." ὠλήν δὲ ὠλένος ἀρσενικόν· τοῖς ὠλέσι πληθυντικόν.

Ὠλενία πέτρα ⟨Hom. B 617⟩. καὶ ὄνομα πόλεως.

Ὠλένιος ἀγκών. οἱ Σκύθαι.

ὤλενος εἶδος ζῴου.

ὠλεσίκαρποι ματαιόκαρποι· Ὅμηρος ⟨κ 510⟩ "καὶ ἰτέαι ὠλεσίκαρποι." καὶ ἐν ἐπιγράμματι ⟨AP 6 104⟩ ὠλεσίβωλος· "κὠλεσίβωλον σφῦραν," τὴν κλῶσαν τοὺς βώλους.

ὠλήν ὁ βραχίων.

Ὠλήν Δυμαῖος ἢ Ὑπερβόρειος ἢ Λύκιος, ἐποποιός. μᾶλλον δὲ Λύκιος ἀπὸ Ξάνθου, ὡς δηλοῖ Καλλίμαχος ⟨h. Del. 305⟩ καὶ ὁ πολυΐστωρ ἐν τοῖς περὶ Λυκίας.

ὠλιγώρηται ἐκβέβληται, ἡμάρτηται.

ὤλισθον ἀτάκτως ἐρρίφθησαν· "οὐδὲ ὤλισθον ἄλλως αἱ εὐχαὶ καὶ αἱ κατὰ τοῦ θεῷ ἐχθροῦ ἀραί" ⟨cf. v. ἄλλως⟩.

ὦλκα τὴν αὔλακα.

ὦλλοι ἀντὶ τοῦ οἱ ἄλλοι.

ὠλύγιον καὶ διωλύγιον.

ὠλώλειν ὑπερσυντελικός.

ὦ λῷστε ὦ βέλτιστε.

ᾦμαι. καὶ ἐγῷμαι ἐγὼ οἶμαι.

ὦ μακάριε τῆς τέχνης ⟨A Av. 1410⟩.

ὠμάρτησαν ἠκολούθησαν.

ὠμαχθής ἡ βάρος τοῖς ὤμοις παρεχομένη· ἐν ἐπιγράμματι ⟨AP 6 104⟩ "σπερμοφόρον πήρην ὠμαχθέα."

ὦ μέγα θαῦμα ὦ θαυμάσιε.

ὦ μέλε. παρὰ τοῖς νεωτέροις ὑπὸ τῶν γυναικῶν λέγεται μόνον, ὡς τὸ ὦ τάλαν, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν, ὡς ἐν Ἱππεῦσιν Ἀριστοφάνης ⟨676⟩ καὶ ἐν Θεαιτήτῳ Πλάτωνος ⟨p. 178⟩. καὶ Μένανδρος Συνερώσῃ "ἄφες τὸν ἄνθρωπον. τί κόπτεις, ὦ μέλε;" σημαίνει δὲ ὦ δείλαιε, ὦ πονηρέ· ἔνιοι δέ, ὦ ἐπιμελείας ἄξιε καὶ οἷον μεμελημένε. πρόσφθεγμα· τουτέστι κάκιστε, κακοδαιμονέστατε, οἰκτρότατε.

ὦ μηδαμῶς ⟨A Ach. 333⟩. τὸ τοιοῦτο σχῆμα ἀποσιώπησις λέγεται. ἔστι καὶ παρὰ Δημοσθένει ⟨18 22⟩ τὸ ὅμοιον· "ἀλλ' ὦ, τί ἄν σέ τις εἰπὼν ὀρθῶς προσείποι;" εἰρηκότος γὰρ αὐτοῦ μηδαμῶς, εἶπεν ὦ μηδαμῶς.

ᾤμην ἐνόμισα.

ὠμησάμενος εἰς τὸν ὦμον ἀγαγών.

ὠμηστῶν ὠμὰ ἐσθιόντων· ἐν ἐπιγράμματι ⟨AP 6 218⟩ "δείσας δ' ὠμηστέω θηρὸς μόρον, ὡς ἂν δόξα ⟨an ὠκὺς ἀράξας⟩ τύμπανον ἐξ ἱερᾶς ἐπλατάγησε νάπης."

ᾧ μὴ ἔστι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ" ⟨S OR 296⟩, τουτέστιν, ὁ μὴ τὸ ἔργον δεδοικὼς οὐδὲ τὸν λόγον.

ὠμή τις εἶναι "δέδοικα μὴ δόξῃς ὠμή τις εἶναι, δεινῶς οὕτω τιμωρουμένη." Νικόλαος ὁ Δαμασκηνός φησιν.

ὤμιλλα παιδιά τις, ἐν ᾗ ὁ εἰς τὸν κύκλον βαλὼν κάρυον, ὥστε ἐμμεῖναι, νικᾷ· Εὔπολις Χρυσῷ γένει "ἔπειτ' εἴσειμ' ἐνθάδε μείνας εἰς ὤμιλλαν." ἀπὸ συναιρέσεως· ἡ ἅμιλλα ὤμιλλα.

ὡμμένον λέγουσι δασέως τὸν ἑωραμένον.

ὠμοβοΐνας βύρσας.

ὠμοβόρων ὠμοφάγων.

ὠμογέρων ὁ παρ' ἡλικίαν γεγηρακὼς διὰ λύπην ἢ συμφοράν, καὶ πρεσβύτης οὗ ἡ κεφαλὴ οὐκ ἐπολιώθη.

ὤμοι φεῦ μοι. ἐπίρρημα σχετλιαστικόν.

ὠμοκρατής· ⟨S Ai. 205⟩ "ὠμοκρατὴς Αἴας θολερῷ κεῖται χειμῶνι νοσήσας," ὁ δυσπέπαντον καὶ αἰτιώνυμον ἔχων πάθος· ἢ ὁ ὠμὸς καὶ καρτερικός· ἢ ὁ ὑπὸ ὠμότητος κεκρατημένος· ἢ ὁ γενναῖος ὁ καὶ τῶν ὤμων κρατεῖν δυνάμενος. Σοφοκλῆς ⟨Ai. 548⟩ "ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς δεῖ πωλοδαμνεῖν κἀξομοιοῦσθαι φύσιν," ἀπὸ μεταφορᾶς τῶν καρπῶν, οἳ ὅτε εἰσὶν ὠμοί, καὶ σκληρότεροί εἰσι καὶ ἰταμοί.

ὦμος τὸ μέλος τοῦ σώματος.

ὠμοσμένος. ὀμωμοσμένος δέ.

ὠμοτόκησεν ἐδυστόκησεν, ἢ ἐξέτρωσεν.

ὠμωνυμηκώς. παρακείμενος.

ᾤμωξεν. Hom. Γ 364.

ὢν ἀίδιος· "ἐγώ εἰμι ὁ ὤν" ⟨Exod. 3 14⟩.

ὤνατο ⟨Hom. P 25⟩ ὠνείδισεν, ἐξεφαύλισεν. ἢ ἠγόρασεν.

ὦνερ ὦ ἄνερ, κατὰ συναίρεσιν "τὸν τέττιγ' ὄψει μ', ὦνερ, ἐφεζόμενον" ⟨AP 6 120⟩.

ὤνευον, παρὰ Θουκυδίδῃ, ἐκίνουν καὶ περιῆγον· ὄνος γὰρ τοῦ μύλωνος τὸ κινούμενον, καὶ αἱ τοιαῦται μηχαναὶ ὄνοι. Θουκυδίδης ⟨7 25⟩ "ὤνευον ἀναδούμενοι τοὺς σταυρούς," τουτέστιν ὄνοις ἐχρῶντο. ἔστι δὲ ὄνος μηχανὴ ἐπ' ἄκρων τῶν ἀκατίων πηγνυμένη, ἀφ' ἧς περιβάλλοντες βρόχοις τοὺς σταυροὺς ῥᾳδίως ἐκ τοῦ βυθοῦ ἀνέσπων. ἔστι γὰρ ἡ μηχανὴ ἐπὶ τοσοῦτον βιαιοτάτη ὥστε στήλην βαρεῖαν ὑπὸ δύο ἀνδρῶν ἀπόνως ἀνέλκεσθαι. καλοῦσι δὲ τὴν μηχανὴν οἱ τοὺς γομφ... μαι λείχοντας ἕλκοντες ἁλιεῖς ἠλακάτην. ἐρρωμενεστέρα δὲ πρὸς τὴν ἀνέλκυσιν καθίσταται, ὅταν καὶ δίκρουν ξύλον πρὸ αὐτῆς τεθείη· ἐπ' εὐθείας γὰρ ἡ ἀντίσπασις τῶν ἀνελκομένων γίνεται.

ὠνή ἀγορά, καὶ ὠνησάμενος ἀγοράσας.

ὠνηματιαῖος.

ὠνητή τιμῆς κτητή. "καὶ τὴν χώραν ἐπιτρέπειν Τραϊανῷ Αὔγαρον, καίπερ οὐ ὠνητὴν ἐκ Πακόρου ἔχει λαβὼν πολλῶν χρημάτων· καὶ τοῦτο ἀσμένῳ τῷ βασιλεῖ γίνεται" ⟨Arrianus?⟩

ὠνητιᾶν ὠνήσασθαι βούλεσθαι.

ὠνητιῶν ἀγοραστικῶς ἔχων.

ὤνητο ὠφέλητο· "ὃς εἰ ἐπείθετο, ὤνητο ἄν."

ὤνθρωπος ἀντὶ τοῦ ὁ ἄνθρωπος.

ὤνια πράσιμα, ἀγοραστά.

ὠνίους ἀγοραστάς, ἢ τιμίους. Περσιπιος ⟨Pers. 2 12⟩ "εἰ μὴ τὴν σωτηρίαν ὠνήσονται λύτρα διδόντες." Αἰλιανός "ἀπολύουσι δικασταὶ ὤνιοι αὐτόν." "στρ...

λεύει ἀσπάσασθαι τὰ Ῥωμαίων, καὶ παρ' αὐτὰς ὤνιον ἀποκομίζειν τὴν μέταξαν" (Menander).

ὢν νῦν θερμοὶ βωμοί, ἐπὶ τῶν διὰ σπουδῆς τυγχανόντων. Ἀριστοφάνης δὲ ἐν Λημνίαις "τὴν κρατίστην δαίμον', ἧς νῦν θερμός ἐσθ' ὁ βωμός." μηνύει ὅτι ἀεί τινες παρὰ τοῖς Ἀθηναίοις ξένοι θεοὶ ἐτιμῶντο.

ὠνομάδατο ὠνομάζοντο, ἰωνικῶς.

ὠνομασμένος ἐξάκουστος.

ὠνόμηνεν ὠνόμασεν.

ὦνον ὠφέλειαν, τιμήν· (Babr. 6 6) "τί σοι τὸ κέρδος; ἢ τίν' ὦνον εὑρήσεις;" καὶ ὦνος ἡ τιμή.

ὠνοῦμαι αἰτιατικῇ, ὠνεῖται δὲ γενικῇ· "τοῦτο δ' ἐστὶν ὃ τῶν εὑρισκομένων ἁπάντων χρημάτων Φίλιππος ὠνεῖται" (Demosth. 9 9).

ὠνούμενος ἀγοράζων· ὠνῶ γὰρ τὸ ῥῆμα.

ᾠνοχόει ἐκίρνα· "ᾠνοχόει δὲ οὐδὲ εἷς, οὐδὲ νομίζεται παρὰ τοῖς ἑῴοις βαρβάροις ἐμπίνειν δειπνοῦντας."

ὢ νῦν μὲν οὐδείς, αὔριον δ' ὑπέρμεγας (A Eq. 158), ἐπὶ τῶν παρ' ἐλπίδας τιμωμένων.

Ὦξος ποταμὸς ἐν τῇ Βακτρίων χώρᾳ, ὃς Ἀλεξάνδρῳ ἄπορος ἐφαίνετο. τὸ μὲν γὰρ εὖρος ἦν ἐς ἓξ μάλιστα σταδίους, βάθος δὲ οὐ πρὸς λόγον τοῦ εὔρους, ἀλλὰ πολὺ δή τι βαθύτερος καὶ ψαμμώδης, καὶ ῥεῦμα ὀξύ, ὡς τὰ καταπηγνύμενα ὑπ' αὐτοῦ τοῦ ῥοῦ ἐκστρέφεσθαι ἐκ τῆς γῆς οὐ χαλεπῶς, οἷα δὴ οὐ βεβαίως ἐπὶ τῆς ψάμμου ἱδρυμένα (Arrian. Anab. 3 29).

ὠξυθυμώθη ὠργίσθη, ὠξύνθη.

ᾠόν. καὶ ᾠοτόκον· "ὅτι ἀπὸ τῶν τετραπόδων ἡ χελώνη μόνη ᾠοτοκεῖ."

a ὠόπ κέλευσμα τῶν ἐρεσσόντων, καταπαῦον τὴν κωπηλασίαν (sch. A Av. 1395).

b ὠόπ ἐλατικὸν ἐπίφθεγμα ἐπὶ πλοίου.

ὠὸπ ὄπ (A Ran. 208) ἐλατῶν ἐπίφθεγμα.

ὠόπ, παραβαλοῦ Ἀριστοφάνης Βατράχοις (182), τουτέστιν ὅρμισον τῇ γῇ τὴν ναῦν· ἐν τῇ νηὶ γὰρ ὁ Χάρων λέγει.

Ὠοτοκάταξις ὄνομα κύριον. cf. v. ὠτοκάταξις.

ὢ οὗτος σύ· (S Ai. 89) "ὢ οὗτος, Αἴαν." δισσὴ ἡ κλῆσις.

ᾠοφόρος ἰχθύς.

ὠόψ ἐπίφθεγμα τῶν ἀφιέντων ἅμα τρέχειν ἤ τι τοιοῦτον ποιεῖν.

ὦ παῖ· Σοφοκλῆς (Ai. 550) "ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος, τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός."

ὢ πάντα σὺ τολμῶν (A Nub. 374), τουτέστιν ὦ θρασύτατε καὶ τολμηρότατε.

Ὦπας ὄνομα κύριον.

ὦ περὶ πάντ' ἐπὶ πᾶσί τε πράγμασι δωροδόκοισιν ἐπ' ἄνθεσιν ἵζων, εἴθε φαύλως ὥσπερ εὗρες ἐκβάλοις τὴν ἔνθεσιν· ᾄσαιμι γὰρ τότ' ἂν μόνον 'πῖνε πῖν' ἐπὶ συμφοραῖς.' τὸν Ἰουλίου τ' ἂν οἴομαι γέροντα πυροπίπην ἡσθέντ' ἰηπαιωνίσαι καὶ βακχέβακχον ᾆσαι" Ἀριστοφάνης (Eq. 404). πρὸς Κλέωνα ὁ λόγος. ὦ ἐπὶ πάσῃ προδοσίᾳ ἐξεταζόμενε καὶ κακίᾳ. μεταφορικῶς δὲ εἶπεν ἅπαν τὸ νόημα ἀπὸ τῶν μελισσῶν. ὥσπερ αἱ μέλισσαι, φησί, πάντων ὥσπερ ἐκ τοῦ ῥᾴστου καὶ εὐχερῶς ἔτυχες, ἐπεὶ μηδὲ ἐλπίσας εἰς τοῦτο δόξης προελθεῖν ἔδοξεν εὐδοκιμεῖν ἐκ τοῦ περὶ Πύλον κατορθώματος, οὕτως καὶ ἀποβάλοις, καὶ τότε ᾄσαιμι τὸ Σιμωνίδου "πῖνε πῖν' ἐπὶ συμφοραῖς." γέροντα δὲ πυροπίπην, ἐπεὶ ὡς παιδεραστὴς οὗτος ὁ πρεσβύτης διεβάλλετο· ἢ ἐν τῷ πρυτανείῳ φυλάσσοντος τὸν σῖτον. βακχέβακχον ᾆσαι ἀντὶ τοῦ εὐφημῆσαι τὸν Διόνυσον· Βάκχος γὰρ ὁ Διόνυσος.

ὦπες οἱ ὀφθαλμοί.

Ὦπις ὄνομα πόλεως.

ᾧ πλεῖον ἥλως αἱμύλης ἀλώπεκος, παροιμία.

ὡπόσ' (an χὡπόσ') αἴσχιστ' ἐν ἀνθρώποις ἔργα γίνεται (S OR 1407).

ὦπται ὡράθη.

ὠπτημένος καὶ ὠπτῆσθαι.

ὤπυιεν ἐγεγαμήκει. Hom. N 429.

ὥρα καιρὸς ἐπιτήδειος· "εἰ μὲν εἰρήνης ἐπιθυμοῦσιν, ὥρα αὐτοῖς παραδοῦναι τὰ ὅπλα." καὶ ὁ θεολόγος "ὥρα σοι καὶ βασιλείαν οὐρανῶν ἀτιμάζειν, ὅτι κόκκῳ σινάπεως ἀπεικάζεται." καὶ αὖθις Προκόπιος (Arc. 2) "ὥρα σοι μὴ περιιδεῖν ἐμὲ μὲν πρὸς τῇ τῆς οἰκίας διαφθορᾷ καὶ χρημάτων ἐξερημένον τοσοῦτον πλῆθος." a

ὥρα κάλλος, καιροῦ τροπή, εὐμορφία· Αἰλιανός "γυνὴ τὴν ὥραν διαπρεπής, σώφρων τὸν τρόπον." ψιλῶς δὲ φροντίς, ἔνθεν ὀλίγωρον λέγομεν τὸν ὀλίγην φροντίδα b

ἔχοντα· Πλάτων "ὀδῶν καὶ περὶ τῶνδε πλευρῶν οὐδεμίαν ὥραν ἔχεις."

c ὥρα τὸ δωδέκατον τῆς ἡμέρας, ἀπὸ τοῦ διορίζειν τὰ διαστήματα τῆς ἡμέρας.

ὥρα γάμων ἀκμή, γάμων καιρός.

ὥρα ἔτους τὸ ἔαρ καὶ τὸ θέρος. καιρὸς ἔτους.

ὥρα ἡ φροντίς· Αἰλιανός "ἀνδρὶ ἐπιόρκῳ καὶ τὰ θεῖα ἐν μηδεμιᾷ ὥρᾳ τιθεμένῳ, ἀπάταις δὲ καὶ ψευδολογίαις συμβιοῦντι καὶ οὐδὲν οὐδέποτε λέγοντι ὑγιές, καὶ ἐντεῦθεν πλουτοῦντι πλοῦτον ἐπίρρητον."

a ὧραι καιροί.

b ὧραι. Προδίκου βιβλίον ἔστιν ἐπιγραφόμενον Ὧραι ··· ἡδονῶν (cf. v. Πρόδικος b).

ὡραιοκόμος ὁ τοῦ κάλλους ἐπιμελούμενος.

ὡραιοπολῶ τὸ μετὰ τῶν νέων ἀναστρέφομαι.

ὡραῖος ὁ εὔμορφος.

ὡραϊσμένη κεκαλλωπισμένη.

Ὠραίχου.

ὡρακιάσας ἐκλυθείς, ἢ ὠχριάσας, ὡς Ἀριστοφάνης ἐν τῇ Εἰρήνῃ (701) "ὡρακιάσας Κρατῖνος" ἀντὶ τοῦ λιποψυχήσας· εἰς οἰνοφλυγίαν δὲ ὁ Κρατῖνος διαβάλλεται. ἢ ὠχριάσας, ὑπὸ ἐκλύσεως σκοτωθείς, ᾧ ἕπεται τὸ ὠχριᾶν. τοιοῦτοι δὲ οἱ λιποψυχοῦντες· τρέπεται γὰρ αὐτῶν πρῶτον ἡ χροιά. Ἀριστοφάνης "οὐ γὰρ ἐξηνέσχετο ἰδὼν πίθον καταγνύμενον οἴνου πλέων." καὶ ὡρακιᾶσαι λέγουσι τὸ ὑπὸ φόβου ὠχριᾶσαι, θλιβομένης τῆς καρδίας· τοῦτο δὲ πολλοῖς γίνεται· παρὰ τὸ τὴν ὥραν αἰκίζεσθαι, ὅ ἐστι τὴν μορφήν. ἢ ὡρακιῶ φροντίζω· ὥρα γὰρ ἡ φροντίς· Ἡσίοδος (O. 30) "ὥρη γάρ τ' ὀλίγη πέλεται νεικέων." ἐκ δὲ φροντίδος ἐκλύεταί τις. ὡρακίζω γὰρ τὸ ῥῆμα.

Ὡραπόλλων Φαινεβύθεως κώμης τοῦ Πανοπολίτου νομοῦ, γραμματικὸς διδάξας ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Αἰγύπτῳ, εἶτα ἐν Κωνσταντινουπόλει ἐπὶ Θεοδοσίου, ἔγραψε τεμενικά, ὑπόμνημα Σοφοκλέους, Ἀλκαίου, εἰς Ὅμηρον. λαμπρὸς μὲν ἐπὶ τῇ τέχνῃ ἄνθρωπος, καὶ τῶν πάλαι λογιμωτάτων γραμματικῶν οὐδέν τι μεῖον κλέος ἀπενεγκάμενος. ··· (cf. v. Ἀρποκρᾶς) Αἰγύπτιος, ἐπὶ Ζήνωνος βασιλέως. ζητῶν δὲ ὁ Νικομήδης τὸν Ἀρποκρᾶν ἦν, καὶ μὴ εὑρίσκων αὐτόν. ὁ δὲ Ἰσίδωρος ὁ φιλόσοφος τοῦτο μαθὼν πέμπει διὰ γραμμάτων δηλούντων τοὺς ἐπιόντας. ἑάλω δὲ ὁ γραμματηφόρος, καὶ ὡμολόγει τὸν πέμψαντα· καὶ τὸν Ὡραπόλλωνα καὶ τὸν Ἡραΐσκον αἱροῦσι, καὶ νεύροις ἀνακρεμάσαντες ἀπὸ τῆς χειρὸς ἑκάτερον ἀπῄτουν τὸν Ἀρποκρᾶν καὶ Ἰσίδωρον. ὁ δὲ Ὡραπόλλων οὐκ ἦν τὸ ἦθος φιλόσοφος, ἀλλά τι καὶ ἐν βυθῷ τῆς περὶ θεοῦ δόξης ὢν ἤδη ἀποκρυπτόμενος. ὁ γὰρ Ἡραΐσκος προεῖπεν ὡς αὐτομολήσει πρὸς ἑτέρους καὶ καταπροήσεται τοὺς πατρίους νόμους ὁ Ὡραπόλλων. ὃ καὶ συνέβη γενέσθαι· ἀπ' οὐδεμιᾶς γὰρ ἀναγκαίας τύχης εἶναι δοκούσης αὐθαίρετον εἵλετο τὴν μεταβολήν, ἐπὶ ἐλπίσιν ἴσως ἀπλήστου τινὸς ἐπιθυμίας. οὐ γὰρ ἄλλο τι ἔστι προχειρίσασθαι ῥᾳδίως εἰς ἀπολογίαν τῆς μεταστάσεως. [ὡς ἔοικε, χριστιανὸς ἐγεγόνει.]

Ὠράτ ὄνομα κύριον.

ὡρατίωνα.

ὠργασμένος ἀντὶ τοῦ μεμαλαγμένος, ἀναδεδευμένος· Πλάτων Θεαιτήτῳ (p. 194 C) "ὅταν μὲν ὁ κηρός του ἐν τῇ ψυχῇ βαθύς τε καὶ πολὺς καὶ λεῖος καὶ μετρίως ὠργασμένος." ὀργάζειν δὲ κυρίως τὸ ταῖς χερσὶ τὸν πηλὸν ἀναδεύειν καὶ φυρᾶν.

ὠργωμένοις ἐκτεταμένοις, ἐπιθυμοῦσιν.

ὤργων· "οἱ δὲ καὶ προσκτήσασθαι τὴν ἀλλήλων δόξαν σπουδὴν ποιούμενοι ὤργων," καὶ αὖθις (Procop. Goth. 4) "οἱ δὲ ὤργων τοῖς πολεμίοις ὁμόσε ἰέναι."

Ὠρείθυια ὄνομα Νηρηΐδος· Ὅμηρος (Σ 48) "Μαῖρα καὶ Ὠρείθυια ἐυπλόκαμός τ' Ἀμάθεια." τοῦ Βορέου ἐρωμένη.

ὡρεῖον ταμιεῖον. "ὅτι ἐν τῷ καλουμένῳ ὡρείῳ, ὅ ἐστι μόδιος, ἔνθα νῦν ἵστανται κίονες πρὸ τοῦ οἴκου τοῦ Κρατεροῦ, ὅς νῦν ἐστι τοῦ μυρεψοῦ, ἵστατο μόδιος χαλκοῦς" (Codin. orig. Cp. p. 35).

Ὠρείτης ἀπὸ τόπου τοῦ Ὠρεοῦ.

ὠρέξατο (Hom. Ψ 99) ἐξέτεινεν.

Ὠρεός πόλις.

ὦρες αἱ γυναῖκες.

Ὠρήβ ὄνομα κύριον.

ὠρημάτων φυλαγμάτων.

ὠρήσσονται φυλάσσονται.

ὥρια τὰ κατὰ καιρόν.

Ὠριγένης ὁ καὶ Ἀδαμάντιος, ἀνὴρ ἐλλογιμώτατος καὶ κατὰ πᾶσαν παιδείαν εἰς ἄκρον ἐξησκημένος, ἀκροατὴς γενόμενος Ἀμμωνίου τοῦ φιλοσόφου τοῦ ἐπίκλην Σακκᾶ, τοῦ

πλείστην ἐπίδοσιν ἐπὶ φιλοσοφίᾳ ἐσχηκότος. διά τοι τοῦτο καὶ εἰς τὴν τῶν λόγων ἐμπειρίαν πολλὴν παρὰ τοῦ διδασκάλου τὴν ὠφέλειαν ἐκληρώσατο. συνῆν τε γὰρ ἀεὶ τῷ Πλάτωνι ὁ προειρημένος ἀνήρ, τοῖς τε Νουμηνίου καὶ Κρονίου Ἀπολλοφάνους τε καὶ Λογγίνου καὶ Μοδεράτου Νικομάχου τε καὶ τῶν ἐν τοῖς Πυθαγορείοις ἐλλογίμων ἀνδρῶν ὡμίλει συγγράμμασιν. ἐχρῆτο δὲ καὶ Χαιρήμονος τοῦ στωικοῦ Κορνούτου τε βίβλοις, παρ' ὧν τὸν μεταληπτικὸν τῶν παρ' Ἕλλησι μυστηρίων ἔγνω τρόπον. καὶ ἁπαξαπλῶς πολλὴν ἔσχε τὴν ἐπιστήμην τῶν ἐν φιλοσοφίᾳ δογμάτων, οὐ μόνον τῶν Ἑλληνικῶν ἀλλὰ καὶ τῶν θείων τε καὶ ἡμετέρων, τουτέστι τῶν χριστιανῶν. καὶ τί ἄν τις λέγοι περὶ τῆς ἐκείνου μικροῦ δεῖν ἀθανάτου καὶ μακαρίας φύσεως, ὅτι περ διαλεκτικὴν γεωμετρικὴν ἀριθμητικὴν μουσικὴν γραμματικὴν καὶ ῥητορικὴν καὶ πάντων τῶν φιλοσόφων τὰ δόγματα οὕτως ἐξέμαθεν ὥστε σπουδαστὰς τῶν κοσμικῶν πραγμάτων ἀκροατὰς ἐσχηκέναι καὶ ἐξηγεῖσθαι αὐτοῖς ἑκάστοτε, συνδρομὰς δὲ πολλὰς πρὸς αὐτὸν γίνεσθαι. τοῦ δέ γε Ὠριγένους καὶ τῆς μεγαλοφυΐας αὐτοῦ καὶ Πορφύριος ὁ κατὰ χριστιανῶν λυττήσας μνημονεύει, καί φησιν "ὁ δὲ τρόπος τῆς ἀτοπίας ἐξ ἀνδρός, ᾧ κἀγὼ κομιδῇ νέος ὢν ξυντετύχηκα, σφόδρα εὐδοκιμήσαντος καὶ ἔτι εὐδοκιμοῦντος δι' ὧν καταλέλοιπε συγγραμμάτων, παρειλήφθω Ὠριγένους, οὗ κλέος παρὰ τοῖς διδασκάλοις τούτων τῶν λόγων μέγα διαδέδοται. καὶ αὗται μὲν αἱ παρὰ τῶν ἔξωθεν μαρτυρίαι τοῦ ἀνδρός, καὶ μάλιστα τῶν ἐχθρῶν." ταῦτα Πορφυρίῳ κατὰ τὸ τρίτον σύνταγμα τῶν γραφέντων αὐτῷ κατὰ χριστιανῶν εἴρηται, ἐπαληθεύσαντι μὲν περὶ τῆς τοῦ ἀνδρὸς ἀσκήσεως, ψευσαμένῳ δὲ σαφῶς περὶ τῶν λοιπῶν· τί γὰρ οὐκ ἔμελλεν ὁ κατὰ χριστιανῶν μανείς; ἐν οἷς αὐτὸν μέν φησιν ἐξ Ἑλλήνων μεταθέσθαι, τὸν δ' Ἀμμώνιον ἐκ βίου τοῦ κατὰ θεοσέβειαν ἐπὶ τὸν ἐθνικὸν ἐκπεσεῖν. ταῦτα μὲν εἰς παράστασιν τῆς Ὠριγένους καὶ περὶ τὰ Ἑλλήνων μαθήματα πολυπειρίας, περὶ ἧς πρός τινας μεμψαμένους αὐτῷ διὰ τὴν περὶ ἐκεῖνα σπουδὴν ἀπολογούμενος ἐν ἐπιστολῇ τινὶ ταῦτα γράφει· "ἐπεὶ δὲ ἀνακειμένῳ μοι τῷ λόγῳ, τῆς φήμης διατρεχούσης περὶ τῆς ἕξεως ἡμῶν, προσῄεσαν ὁτὲ μὲν αἱρετικοὶ ὁτὲ δὲ ἀπὸ τῶν Ἑλληνικῶν μαθημάτων, καὶ μάλιστα τῶν ἐν φιλοσοφίᾳ, ἔδοξεν ἐξετάσαι τά τε τῶν αἱρετικῶν δόγματα καὶ τὰ ὑπὸ τῶν φιλοσόφων περὶ ἀληθείας λέγειν ἐπαγγελλόμενα." καὶ ταῦτα μὲν τοιαῦτα περὶ ἀσκήσεως ἀπολογουμένῳ εἴρηται (Euseb. 6 19). b

κατὰ τοῦτον δὴ τὸν χρόνον καὶ ἡ Ἀλεξάνδρου τοῦ Ῥωμαίων βασιλέως μήτηρ Μαμμαία εἰς λόγους Ὠριγένει συνῆλθεν ἐν Ἀντιοχείᾳ, καὶ παρ' αὐτοῦ κατηχήθη τὸν λόγον (cf. Cedren. p. 256).

ἐξ ἐκείνου δὲ τοῦ χρόνου τῶν εἰς τὰς θείας c
γραφὰς ὑπομνημάτων ἐγένετο ἀρχή, Ἀμβροσίου εἰς τὰ μάλιστα παρορμῶντος αὐτὸν μυρίαις ὅσαις οὐ προτροπαῖς ταῖς διὰ λόγων καὶ παρακλήσεσιν αὐτοῦ μόνον, ἀλλὰ καὶ ἀφθονωτάταις τῶν ἐπιτηδείων χορηγίαις. ταχυγράφοι τε γὰρ αὐτῷ πλείους ἢ ζ' τὸν ἀριθμὸν παρῆσαν ὑπαγορεύοντος, χρόνοις τεταγμένοις ἀλλήλους ἀμείβοντες, βιβλιογράφοι τε οὐχ ἥττους, ἅμα καὶ κόραις ἐπὶ τῷ καλλιγραφεῖν ἠσκημέναις· ὧν ἁπάντων τὴν δέουσαν τῶν ἐπιτηδείων ἄφθονον χορηγίαν ὁ Ἀμβρόσιος παρεστήσατο. καὶ μὴν καὶ ἐν τῇ περὶ τὰ θεῖα λόγια ἀσκήσει τε καὶ σπουδῇ προθυμίαν ἄφατον αὐτῷ συνεισέφερεν, ᾗ καὶ μάλιστα αὐτὸν προέτρεπεν ἐπὶ τὴν τῶν ὑπομνημάτων σύνταξιν (Euseb. 6 23).

τοσαύτην δὲ ἔσχε σπουδὴν περὶ τὰς θείας d
γραφὰς ὥστε καὶ τὴν Ἑβραϊκὴν διάλεκτον, ἐναντιουμένην τῇ τε ἡλικίᾳ καὶ τῇ οἰκείᾳ φύσει, ἐκμαθεῖν, καὶ δίχα τῶν ο' ἑρμηνευτῶν ἄλλας ἐκδόσεις εἰς ἓν συναγαγεῖν, Ἀκύλα λέγω τοῦ Ποντικοῦ καὶ Θεοδοτίωνος καὶ Συμμάχου τῶν Ἐβιωναίων (αἵρεσις δέ ἐστιν αὐτῶν, ψιλὸν τὸν Χριστὸν ἄνθρωπον δοξαζόντων· οἵτινες τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ὑπεμνημάτισαν, δι' οὗ καὶ τὸ ἴδιον δόγμα βεβαιῶσαι σπεύδουσιν), ὁμοίως δὲ πέμπτην καὶ ἕκτην καὶ ἑβδόμην ἔκδοσιν (Sophronius).

ἐκ τῶν Εὐσεβίου τοῦ Παμφίλου ἱστοριῶν e
(6 16) περὶ Ὠριγένους. τοσαύτη δὲ εἰσήγετο τῷ Ὠριγένει τῶν θείων λόγων ἀπηκριβωμένη ἐξέτασις ὡς μόνας πρωτοτύπους αὐτοῖς Ἑβραίων στοιχείοις γραφὰς κτῆμα ἴδιον ποιήσασθαι, ἀνιχνεῦσαί τέ τινας τῶν ἑτέρων παρὰ τοὺς ο' τὰς ἱερὰς γραφὰς ἑρμηνευσάντων ἐκδόσεις, καί τινας ἑτέρας παρὰ τὰς κατημαξευμένας ἑρμηνείας ἐναλλαττού-

σας, τὴν Ἀκύλȣ καὶ Συμμάχȣ καὶ Θεοδοτίωνος, ἐφευρεῖν· ἃς ἐξ ἀπορρήτων ȣ̓κ οἶδ' ὁπόθεν τυχὸν τῷ πάλαι λανθανȣ́σας χρόνῳ εἰς φῶς ἀνιχνεύσας προήγαγεν. ἔν γε μὴν τοῖς ἑξαπλοῖς τῶν ψαλμῶν μετὰ τὰς ἐπισήμȣς δ' ἐκδόσεις ȣ̓ μόνον πέμπτην ἀλλὰ καὶ ἕκτην καὶ ἑβδόμην παραθεὶς ἑρμηνείαν, ἐπὶ μιᾶς αὖθις σεσημείωται ὡς ἐν Ἱεριχοῖ εὑρημένης ἐν πίθῳ. ταύτας δὲ ἁπάσας εἰς ἓν συναγαγών, διελθών τε πρὸς κῶλον καὶ ἀντιπαραθεὶς ἀλλήλαις μετὰ καὶ αὐτῆς τῆς Ἑβραίων σημειώσεως, τὰ τῶν λεγομένων ἑξαπλῶν ἡμῖν ἀντίγραφα καταλέλοιπεν, ἰδίως δὲ τὴν Ἀκύλȣ καὶ Συμμάχȣ καὶ Θεοδοτίωνος ἔκδοσιν ἅμα τῇ τῶν ό ἐν τοῖς τετραπλοῖς ἐπισκευάσας.

καὶ ἁπλῶς πᾶσαν γραφὴν ὑποσημηνάμενος ἐκκλησιαστικὴν πλεῖστα καὶ ἀναρίθμητα καταλέλοιπεν, ὡς ἐξ ἐκείνȣ πάντως τȣ̀ς μετέπειτα τῆς ἐκκλησίας διδασκάλȣς τὰς ἀφορμὰς εἰληφέναι, ὡς ὁ θεολόγος φάσκει Γρηγόριος "Ὠριγένης ἡ πάντων ἡμῶν ἀκόνη." ȣ̓ μόνον δὲ τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ, ἀλλὰ καὶ τοῖς τῶν ἔξωθεν πολλὴν παρείχετο τὴν ὠφέλειαν αἱρετικοῖς τε καὶ φιλοσόφοις. μόνον ȣ̓χὶ πρὸς τοῖς θείοις καὶ τὰ φιλόσοφα παρ' αὐτȣ̃ παιδευόμενοι. εἰσῆγέ τε γὰρ ὅσȣς εὐφυῶς ἔχοντας ἑώρα καὶ ἐπὶ τὰ φιλόσοφα μαθήματα, γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ τἆλλα παιδεύματα παραδιδȣ́ς, εἴς τε τὰς αἱρέσεις τὰς παρὰ τοῖς φιλοσόφοις προάγων, καὶ τὰ παρὰ τȣ́τοις συγγράμματα διηγȣ́μενος, ὑπομνηματιζόμενός τε καὶ θεωρῶν εἰς ἕκαστα, ὡς ἤδη μέγαν καὶ παρ' αὐτοῖς Ἕλλησι φιλόσοφον τὸν ἄνδρα κηρύττεσθαι. μάρτυρες δὲ τῆς περὶ ταῦτα αὐτȣ̃ κατορθώσεως αὐτῶν Ἑλλήνων οἱ κατ' αὐτὸν ἠκμακότες φιλόσοφοι, ὧν ἐν συγγράμμασι πολλὴν μνήμην εὕρομεν τȣ̃ ἀνδρός, τοτὲ μὲν αὐτῷ προσφωνȣ́ντων, τοτὲ δὲ οἷα διδασκάλῳ ἐς τὴν αὐτȣ̃ κρίσιν τȣ̀ς ἰδίȣς ἀναφερόντων πόνȣς.

τῷ δὲ Ὠριγένει ἐπὶ τῆς Καισαρείας τὰ συνήθη πράττοντι πολλοὶ προσῄεσαν, ȣ̓ μόνον τῶν ἐπιχωρίων ἀλλὰ καὶ τῆς ἀλλοδαπῆς μυρίοι φοιτηταί, τὰς πατρίδας ἀπολείποντες. ὧν ἐπισήμȣς μάλιστα ἔγνωμεν Θεόδωρον, ὃς ἦν αὐτὸς ȣ̔̃τος ὁ καθ' ἡμᾶς ἐπισκόπων διαβόητος Γρηγόριος ὁ θαυματȣργός, ὅ τε τȣ́τȣ ἀδελφὸς Ἀθηνόδωρος· οἷς ἀμφὶ τὰ Ἑλλήνων καὶ Ῥωμαίων μαθήματα δεινῶς ἐπτοημένοις φιλοσοφίας ἐνθεὶς ἔρωτα τῆς προτέρας σπȣδῆς τὴν θείαν ἄσκησιν ἀντικαταλλάξασθαι προετρέψατο. πέντε δὲ ὅλοις ἔτεσιν αὐτῷ συγγενόμενοι τοσαύτην ἀπηνέγκαντο περὶ τὰ θεῖα βελτίωσιν ὡς ἔτι νέȣς ἄμφω ἐπισκοπῆς τῶν κατὰ Πόντον ἐκκλησιῶν ἀξιωθῆναι ⟨Euseb. 6 30⟩.

τῷ δὲ Ὠριγένει κατὰ τȣ̃τον τὸν χρόνον τὰ εἰς τὸν Ἡσαΐαν, ἐν ταὐτῷ δὲ καὶ εἰς τὸν Ἰεζεκιὴλ συνετάττετο, ὧν εἰς μὲν τὸ τρίτον μέρος τȣ̃ Ἡσαΐȣ μέχρι τῆς ὁράσεως τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ λ' εἰσὶ τόμοι, εἰς δὲ τὸν Ἰεζεκιὴλ έ καὶ κ'· ȣ̔̃ς καὶ μόνȣς εἰς τὸν πάντα πεποίηται προφήτην. ἔτος δ' ἦν αὐτῷ ἑξηκοστὸν ἐν ᾧ ταῦτα συνέταττεν ἐν ᾧ καὶ ὁ μακάριος μάρτυς Πάμφιλος μαρτυρίῳ τὸν βίον διεξῆλθε ⟨id. 32⟩.

τὸ δὲ εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἐξηγητικὸν σημαίνει τὰ πρότερα έ ἐπ' Ἀλεξανδρείας ἔτι ὄντα αὐτὸν συντάξαι. τῆς δὲ εἰς τὸ πᾶν εὐαγγέλιον πραγματείας μόνοι β' καὶ κ' περιῆλθον τόμοι, ιβ' δὲ τῶν εἰς τὴν γένεσιν, καὶ εἰς τȣ̀ς πρώτȣς δὲ έ καὶ κ' ψαλμȣ́ς, ἔτι τε τὰ εἰς τȣ̀ς θρήνȣς, καὶ τὰ περὶ ἀναστάσεως, καὶ τὰ περὶ ἀρχῶν. γράφει δὲ καὶ τȣ̀ς ἐπιγεγραμμένȣς στρωματεῖς, ὄντας τὸν ἀριθμὸν ί· ȣ̔̃ς καὶ συνέταξε κατὰ τὴν Ἀλεξάνδρȣ βασιλείαν ⟨id. 24⟩. τὸν μέντοι πρῶτον ἐξηγȣ́μενος ψαλμὸν ἔκθεσιν πεποίηται τȣ̃ τῶν ἱερῶν γραφῶν τῆς παλαιᾶς διαθήκης καταλόγȣ, ὧδέ πως λέγων κατὰ λέξιν "οὐκ ἀγνοητέον δὲ ὡς εἶναι τὰς ἐνδιαθήκȣς βίβλȣς, ὡς Ἑβραῖοι παραδιδόασι, β' καὶ κ', ὅσος ἀριθμὸς τῶν παρ' αὐτοῖς στοιχείων ἐςίν." εἶτα ἐπιφέρει λέγων "εἰσὶ δὲ αἱ κβ' βίβλοι καθ' Ἑβραίȣς αἵδε, Γένεσις, Βαρησίθ, ὃ ἔστιν ἐν ἀρχῇ, καὶ αἱ λοιπαὶ καθεξῆς" ⟨id. 25⟩.

ἔζησε δὲ ἕως Γάλλȣ καὶ Βολȣσιανȣ̃, τȣτέστιν ἕως θ' καὶ ξ' ἐτῶν τῆς ἡλικίας αὐτȣ̃, καὶ ἐκοιμήθη ἐν Τύρῳ, ἐν ᾗ καὶ ἐτάφη. ὁ δὲ πατὴρ αὐτȣ̃ Λεωνίδης μαρτυρίῳ τῷ διὰ Χριστὸν ἐτελειώθη.

Ὠριγένης Λεωνίδην εἶχε πατέρα, ἐπίσκοπον καὶ μάρτυρα, ἐπὶ Σεβήρȣ βασιλέως ἀκμάσας. ὅστις Ὠριγένης ἐν Ἀλεξανδρείᾳ τυγχάνων μεγάλην εἰς τὸν θεῖον λόγον σπȣδὴν κατεβάλετο. ȣ̔̃ ζηλωταὶ πολλοὶ καὶ ἄλλοι καὶ μάλιστα Ἀμβρόσιος ἐγένετο, ὃς ἐς γνῶσιν

αὐτῷ ἀφικέσθαι σπȣδάσας ἀπέστη τῆς Οὐαλεντίνȣ καὶ Μαρκίωνος αἱρέσεως. πλεῖστοι δὲ καὶ τῶν ἔξωθεν φιλοσόφων πρὸς αὐτὸν φοιτῶντες μεγίστην ὠφέλειαν ἐκαρποῦντο· μέγας γὰρ καὶ παρ' αὐτοῖς ἐνομίζετο, παραδιδȣ̀ς γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ τἄλλα προπαιδεύματα. διόπερ ȣ̓κ ὀλίγοι τῶν παρ' Ἕλλησι φιλοσόφων μέμνηνται αὐτοῦ ὡς διδασκάλȣ. καὶ γὰρ εὐφυὴς παιδόθεν ὑπῆρχε σφόδρα καὶ ζητητικὸς λίαν, ὃς ἐν τῇ παιδικῇ ἡλικίᾳ τὸ τῆς θείας γραφῆς βȣ́λημα πυνθανόμενος βαθύτερον ἠρεύνα. τȣ̃τον ἐπέπληττεν ὁ πατὴρ μηδὲν ὑπὲρ ἡλικίαν περαιτέρω ζητεῖν, νύκτωρ δὲ ἐπιστὰς καὶ ἰδὼν τὰ στέρνα ὡς θείȣ πνεύματος ἔνδοθεν αὐτοῖς ἀφιερωμένȣ κατεφίλει, καὶ τῆς εὐτεκνίας ἑαυτὸν ἐμακάριζεν. ἁγνείαν δὲ καὶ ἐγκράτειαν τοσαύτην ἤσκησεν ἐκ νέȣ τȣ̃ σώματος ὡς ὀβολοῖς δ' καὶ μόνοις πρὸς διατροφὴν ἑκάστης ἡμέρας ἀρκȣ́μενος. καὶ μέντοι καὶ πολλοῖς ἔτεσι τȣ̃το ποιῶν διετέλει· καὶ ἐπ' ἐδάφȣς καὶ ψιάθȣ καθεύδων, καὶ ὀλίγον καιρὸν τῆς νυκτὸς ἀναπαυόμενος, τὸν πλείονα εἰς τὴν ἱερὰν μελέτην τῶν ἱερῶν λογίων διήνυε. καὶ ἐν τȣ́τοις ἐπεκτεινόμενος, ἐπί τε ἀγρυπνίᾳ καὶ ἀσιτίᾳ καὶ γυμνότητι ἑαυτὸν ὑπωπιάζων, τοσȣ̃τον κατεδάμασε τὴν ἀκμὴν τȣ̃ σώματος ὡς ὁρᾶσθαι παντελῶς αὐτὸν ἀπεσκληκέναι· οἴνȣ γὰρ καὶ ἐλαίȣ καὶ τῶν λοιπῶν ἀπεχόμενος ἀνατροπὴν τȣ̃ θώρακος μεγίστην ὑπέμεινεν. ἔνθεν γέ τοι διαβόητος γενόμενος ὡς διαπρέπων ἔργῳ καὶ λόγῳ, καὶ πολλȣ̀ς Ἕλληνας τὴν εἰδωλομανίαν βδελύττεσθαι πείσας, μαρτυρίȣ στέφανον ἀναδήσασθαι παρεσκεύασε. πολλῆς οὖν φήμης περὶ αὐτὸν τρεχȣ́σης, καὶ πολλῶν μακρόθεν πρὸς αὐτὸν συρρεόντων, οὐ μόνον Ἕλληνας καὶ φιλοσόφȣς καὶ αἱρετικȣ̀ς ἐλλογίμȣς πρὸς τὴν εὐσέβειαν εἵλκυσεν, ἀλλὰ καὶ τȣ̀ς ὄντας χριστιανȣ̀ς μᾶλλον στοιχειώσας ἐπεβεβαίωσεν. ὃν ὁ προλεχθεὶς Ἀμβρόσιος ἱκετεύσας πολλὰ καὶ παραβιασάμενος ἐν Καισαρείᾳ, καὶ ταχυγράφȣς αὐτῷ παραστήσας ζ, πλείȣς δὲ καλλιγράφȣς, ἑρμηνεῦσαι τὰς θείας γραφὰς αὐτὸν πεποίηκε. καὶ ὃ μὲν τὴν δέȣσαν χρείαν παρεῖχεν, ὃ δὲ ἐπὶ σχολῆς γενόμενος ὑπηγόρευε τοῖς ταχυγράφοις, καὶ οἱ βιβλιογράφοι σὺν γυναιξὶν ἔγραφον ἐπὶ τῷ καλλιγραφεῖν ἐξησκημέναις. πᾶσάν τε θείαν γραφὴν ἡρμήνευσεν ἐπὶ ἔτη ιή. λέγεται δὲ ὅτι ἑξακισχιλίας βίβλȣς συνέταξε. τοσȣ̃τον γὰρ ζῆλον ἐς τὴν ἐξήγησιν τῶν θείων λογίων ὁ Ἀμβρόσιος ἐπεδείξατο ὥστε τὴν πολλὴν αὐτȣ̃ σπȣδὴν Ὠριγένης μαρτυρῶν γράφει πρός τινα λέγων "ὁ ἱερὸς θεȣ̃ καὶ γνησίως ἀνακείμενος Ἀμβρόσιος πολλὰ προσηγόρευσεν· ὅστις νομίζων με φιλόπονον εἶναι καὶ πάνυ διψᾶν τοῦ θείου ἤλεγξε τῇ ἰδίᾳ φιλοπονίᾳ καὶ τῷ πρὸς τὰ μαθήματα ἔρωτι. ὅθεν ἐπὶ τοσȣ̃τόν με παρελήλυθεν ὥστε κινδυνεύειν ἀπαυδᾶν πρὸς τὰς αὐτοῦ προτάσεις. ȣ̓́τε γὰρ δειπνῆσαι ἔστιν ὅτι μὴ ἀντιβάλλοντα, ȣ̓́τε δειπνήσαντα ἔξεστι περιπατῆσαι καὶ διαναπαῦσαι τὸ σωμάτιον, ἀλλὰ καὶ ἐν τοῖς καιροῖς ἐκείνοις φιλολογεῖν καὶ ἀκριβȣ̃ν τὰ ἀντίγραφα ἀναγκαζόμεθα· ȣ̓́τε μὴν ὅλην ἐπὶ θεραπείᾳ τȣ̃ σώματος τὴν νύκτα ἔξεστιν ἡμῖν κοιμᾶσθαι, ἐπὶ πολὺ ταῖς φιλολογίαις παρατείνοντα. ἐῶ δὲ λέγειν καὶ τὰ ἕωθεν μέχρις ἐνάτης καὶ δεκάτης ὥρας· πάντες γὰρ οἱ θέλοντες φιλοπονεῖν τȣ̀ς καιρȣ̀ς τȣ́τȣς τῇ ἐξετάσει τῶν θείων λογίων καὶ ταῖς ἀναγνώσεσιν ἀνατιθέασι." πᾶσαν τοίνυν ἡρμήνευσε τὴν θείαν γραφήν· κατὰ γὰρ τȣ̀ς χρόνȣς ἐκείνȣς ἐν Ἱεριχοῖ ἔν τινι πίθῳ περιτυχὼν τῇ παλαιᾷ, εὐφυῶς μάλα καὶ ἐπιστημόνως ταύτην κατεσκεύασεν. ἀλλ' ȣ̓κ εἰς τέλος ἄσβεστον αὐτȣ̃ τὸ κλέος διέμεινε. συμβεβήκει γὰρ αὐτῷ τὸ τῆς πολυπειρίας δραστήριον πτῶμα ἐξαίσιον, καὶ μέντοι σκάνδαλον πολλοῖς καὶ ἀπωλείας πρόξενος γέγονε. βȣλόμενος γὰρ τῶν θείων γραφῶν μηδὲν ἐᾶσαι ἀνερμήνευτον, εἰς ἐπαγωγὴν ἑαυτὸν περιέβαλεν ἁμαρτίας καὶ θανάσιμα ἐξηγήσατο ῥήματα. ἐξ αὐτȣ̃ γὰρ καὶ Ἄρειος τὰς ἀφορμὰς εἴληφε καὶ οἱ καθεξῆς ἀνόμοιοί τε καὶ ἀνόσιοι καὶ οἱ λοιποὶ πάντες. φάσκει γὰρ οὗτος τολμήσας κατὰ τὴν ἀρχὴν ὅτι ὁ μονογενὴς υἱὸς ὁρᾶν τὸν πατέρα ȣ̓ δύναται, ȣ̓́τε τὸ πνεῦμα τὸ ἅγιον τὸν υἱόν, ȣ̓́τε οἱ ἄγγελοι τὸ πνεῦμα, ȣ̓́τε οἱ ἄνθρωποι τȣ̀ς ἀγγέλȣς, καὶ ἐκ τῆς ȣ̓σίας τȣ̃ πατρὸς ȣ̓ θέλει εἶναι τὸν υἱόν, ἀλλὰ κτίσμα, καὶ κατὰ χάριν υἱὸν λέγεσθαι, τὴν δὲ ἀνθρωπίνην ψυχὴν προϋπάρχειν, καὶ τὰ ἑξῆς τῶν βλασφημιῶν αὐτȣ̃. πολλὴν γοῦν πεποίηκε σύνταξιν εἰς ἑκάστην γραφήν· καὶ ὅσα μὲν ἐν προσομιλίαις καὶ διὰ προοιμίων ἐς ἤθη τε καὶ ἐς φύσεις ζῴων καὶ ἀλόγων εἴρηται, μέσος φερόμενος πολλάκις χαρίεντα

διηγήματα γράφει, ὅσα δὲ περὶ πίστεως ἐδογμάτισε, τῶν πάντων ἀτοπώτερος εὑρίσκεται. ἔδοξε δὲ αὐτῷ καὶ ἀσκητικὸν βίον ἐπανῃρῆσθαι τοιοῦτον ὡς καὶ τὸν θώρακα αὐτοῦ φασὶ δι' ὑπερβολὴν ἀσιτίας τε καὶ σκληραγωγίας ἀνατραπῆναι. ἐπινενόηκε δὲ καὶ κατὰ τὸ σωμάτιον, οἱ μὲν ὅτι νεῦρον ἀποτετμηκέναι διὰ τὸ μὴ ἡδονῇ παρενοχλεῖσθαι· οἱ δὲ φάρμακον ἐπιθεῖναι τοῖς μορίοις εἶπον καὶ ἀποξηρᾶναι· ἄλλοι δὲ ἄλλα εἰς αὐτὸν ἀναφέρουσιν. ὅτος πολλὰ λέγεται πεπονθέναι ὑπὲρ τοῦ Χριστοῦ, λόγιος ὢν σφόδρα καὶ ἐν τῇ ἐκκλησίᾳ ἀνατεθραμμένος· φθόνῳ δὲ διαβληθεὶς πρὸς τοὺς τῆς ἐξουσίας ἄρχοντας, κακομηχανίᾳ διαβολικῆς ἐπινοίας εἰς αἰσχρότητα ἄνδρα φασὶν ἐπινοηθῆναι παρὰ τῶν τῆς κακίας ἐργατῶν· Αἰθίοπα γὰρ αὐτῷ παρεσκεύασαν εἰς παράχρησιν τοῦ σώματος αὐτοῦ. ὁ δὲ μὴ φέρων τὴν τοσαύτην βδελυρὰν ἐπίνοιαν ἔρρηξε φωνήν, ἀμφοτέρων προτεθέντων αὐτῷ πραγμάτων, καὶ καθωμολόγησε θῦσαι. καὶ βαλόντες ἐπὶ τὰς χεῖρας αὐτοῦ λιβανωτόν, εἰς τὴν τοῦ βωμοῦ πυρὰν καθῆκε. καὶ ὅτω τοῦ μαρτυρίου ἀπὸ τῶν κρινάντων ἀπεβλήθη καὶ τῆς ἐκκλησίας ἐξεώσθη. καὶ τὴν Ἀλεξάνδρειαν καταλιπὼν διὰ τὸν ὄνειδον τὴν Ἰουδαίαν κατέλαβεν. ἀνελθὼν δὲ εἰς Ἱεροσόλυμα ὡς ἐξηγητὴς καὶ λόγιος προετρέπετο ἀπὸ τοῦ ἱερατείου ἐπὶ τῆς ἐκκλησίας εἰπεῖν· πρεσβύτερος γὰρ προϋπῆρχε. καὶ πολλὰ καταναγκασθεὶς ὑπὸ τῶν ἱερέων, ἀναστὰς καὶ τοῦτο μόνον τὸ ῥητὸν εἰπὼν "τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;" πτύξας τὸ βιβλίον ἐκάθισε μετὰ κλαυθμοῦ δακρύων, πάντων ὁμοῦ συγκλαιόντων αὐτῷ. εἰσὶ δὲ καὶ ἄλλα πολλὰ λεγόμενά τε καὶ ᾀδόμενα διὰ τὸ πλῆθος τῆς γνώσεως αὐτοῦ καὶ συντάξεως τῶν βιβλίων. ὅθεν καὶ συντακτικὸς ὠνομάσθη διὰ τὸ πεποιηκέναι πολλὰ βιβλία, μὴ ἀκούων, ὡς ἔοικε, τοῦ Σολομῶντος λέγοντος "υἱέ, φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά, καὶ μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ καρδία σου μὴ ταχυνάτω τοῦ ἐξενεγκεῖν λόγον ἀπὸ προσώπου τοῦ θεοῦ, ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ σὺ ἐπὶ τῆς γῆς κάτω. διὰ τοῦτο ἔστωσαν οἱ λόγοι σου ὀλίγοι· εἰσὶ γὰρ λόγοι πολλοὶ πληθύνοντες ματαιότητος. καὶ μὴ γίνου δίκαιος πολύ· ἔστι γὰρ δίκαιος ἀπολλύμενος ἐν δικαιώματι αὐτοῦ. καὶ μὴ σοφίζου περισσά, μή ποτε ἀσιβήσῃς." ταῦτα πάντα παρωσάμενος ἐσφάλη τοῦ πρέποντος (Cedren. p. 252).

Ὠριέων ἄποικον ὄντα.

ὡρικῶς νεωτερικῶς, εὐπρεπῶς, ἢ κατὰ καιρόν· Ἀριστοφάνης Πλούτῳ (964) "ὦ μειρακίσκη, πυνθάνῃ γὰρ ὡρικῶς." προσπαίζουσι δὲ τῇ πρεσβύτιδι οἱ γέροντες διὰ τὸ τεθρυμμένον τοῦ ὡραϊσμοῦ. καὶ ὡρικὴν ἀντὶ τοῦ ἀκμαίαν· ὥρα γὰρ καὶ ἡ ἀκμή, καὶ ὡραῖος ὁ ἀκμαῖος. κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. Ἀριστοφάνης (Ach. 271) "εὑρόνθ' ὡρικὴν ὑληφόρον, μέσην λαβόντ' ἄραντα καταβαλόντα καταγιγαρτᾶν," ἐν τοῖς γιγάρτοις σποδεῖν.

ὥριμον εὔκαιρον.

Ὡρῖνος ὄνομα κύριον.

ὥριστος ἀντὶ τοῦ ὁ ἄριστος.

Ὡρίων Ἀλεξανδρεὺς γραμματικὸς ἀνθολόγιον, Ἀττικῶν λέξεων συναγωγήν, περὶ ἐτυμολογίας, ἐγκώμιον Ἀδριανοῦ τοῦ Καίσαρος.

Ὡρίων Θηβαῖος τῆς Αἰγύπτου συναγωγὴν γνωμῶν ἤγουν ἀνθολόγιον, πρὸς Εὐδοκίαν τὴν βασιλίδα, γυναῖκα Θεοδοσίου τοῦ μικροῦ, βιβλία γ'.

ὡρίως ἐπίρρημα· "ὡρίως ἔχουσι θέσεως," κατὰ καιρόν.

ὤρχυπτεν ὑπερέκυπτεν ἐπαιρόμενος.

ὤρχυπτον ἔβλεπον μετεωριζόμενοι.

ὡρχωμότηκεν.

ὦρμα διηγείρετο.

ὤρμενος διεγερθείς.

ὥρμησαν ὁρμῇ ἐχρήσαντο, οὐχὶ ᾤχοντο.

ὡρογραφία.

ὡρολόγιον τὸ τὰς ὥρας μετροῦν.

ὡρονομεῖον.

Ὦρος Ἀλεξανδρεὺς γραμματικός, παιδεύσας ἐν Κωνσταντίνου πόλει, ἔγραψε περὶ διχρόνων, ὅπως τὰ ἐθνικὰ λεκτέον, λύσεις προτάσεων τῶν Ἡρωδιανοῦ, πίνακα τῶν ἑαυτοῦ, περὶ ἐγκλιτικῶν μορίων, ὀρθογραφίαν κατὰ στοιχεῖον, περὶ τῆς ει διφθόγγου, ὀρθογραφίαν περὶ τῆς αι διφθόγγου κατὰ Φρυνίχου κατὰ στοιχεῖον, ἀνθολόγιον περὶ γνωμῶν.

ὧρος ὁ ἐνιαυτός.

ὡροσκόπος ἀστρίτης σκοπεύων τὴν ὥραν. καὶ ὡροσκοπεῖον.

ὠρυγή βοή, ἐκ τοῦ ὠρύω.

ὠρύεται ὑλακτεῖ.

ὠρυόμην καὶ ὠρυόμενος.

ὤρυσσον, καὶ ὁ μετ' ὀλίγον μέλλων ὀρωρύξομαι.

ὤρυχα καὶ ὀρώρυχα. ὠρύχειν καὶ δὲ ὠρωρύχειν ὑπερσυντέλικος.

ὠρχιπέδησας τῶν ὄρχεων ἥψω αἰσχρῶς (A Av. 142).

Ὠρωπία χώρα.

Ὠρωπός τόπος.

ὡς λίαν· Παρμενίδῃ (p. 135 A) "θαυμασίως ὡς δυσανάπειστον." Σοφοκλῆς "θαυμαστὰ γὰρ τὸ τόξον ὡς ὀλισθάνει." λβ' δὲ σημαίνει τὸ ὥς τοῦτο.

ὡσαννά τὸ δόξα σημαίνει.

ὡς ἂν ὑπὲρ τηλικούτων ἀντὶ τοῦ ἕνεκεν τούτων· "ἀντιλαμβανομένης τῆς γυναικὸς καὶ βοώσης ὡς ἂν ὑπὲρ τηλικούτων."

ὤσατο ἑαυτόν κατέβαλεν ἀπὸ τοῦ ἵππου, Ἀππιανός, "οὐ μὴν ἔφθασε τρῶσαι, συναρπασάντων αὐτὸν τῶν ὑπασπιστῶν." ἢ παρενέβαλεν εἰς κίνδυνον ἑαυτόν.

ὡσαύτως παραπλησίως, ὁμοίως.

ὡς γ' ἐμοὶ κριτῇ ἀντὶ τοῦ ὡς ἐμοὶ χρῆσθαι κριτῇ· Σοφοκλῆς (Ai. 395) "Ἔρεβος φαεννότατον, ὡς ἐμοί." ἢ παρέλκει τὸ ὥς· ἐμοὶ κριτῇ.

ὡς δεῖ δέον γενέσθαι.

ὡς δή σφιν ὡς δὴ αὐτοῖς.

ὡς ἐκ τῶν παρόντων ἐξ ἀνάγκης. "ἡ δὲ ὡς ἐπύθετο, ὡς ἐκ τῶν παρόντων αἵρεσιν ἑκάστῃ δόντος θανάτου ὡς ἔνι μάλιστα ἀλύπου τε καὶ κούφου, τὸ διάδημα, ὅπερ οὖν ἐπὶ τῆς κεφαλῆς εἶχε σύμβολον δὴ καὶ μαρτύριον ἀρχῆς, περισπάσασα, εἶτα μέντοι τῷ τραχήλῳ περιβάλλει, πρὸς τὴν χρείαν τὴν παροῦσαν βρόχον ἀποφήνασα" (cf. v. ταραντινίδιον).

ὡς ἔνι ὡς ἐγχωρεῖ, ὡς ἔστι· "ὅπως καταγωγαὶ ὡς ἔνι ἀσφαλέσταται ἔσονται."

ὡς ἔνι μαλιστα ἀντὶ τοῦ λίαν. "οἱ δὲ τὰς μὲν ἀρχὰς ἐπτοήθησαν ὡς ἔνι μάλισα, μετὰ δὲ ταῦτα τοῦ στρατηγοῦ δόντος παράγγελμα πάντες ἐβοήθουν." καὶ αὖθις "δυσχερῶς αὐτοὺς ἐπιδιδόντων ὡς ἔνι μάλιστα εἰς τὴν χρείαν ταύτην."

ὡς ἔοικεν ὡς φαίνεται, ὡς δεῖ, ὡς γίνεται.

ὡς ἐπίπαν ὡς ἐπὶ πολύ. λέγεται δὲ τοῦτο καὶ ὡς πλήθει. Δίων ὁ συγγραφεὺς πολλαχοῦ κέχρηται τῇ λέξει. καὶ ἐν Ῥωμαϊκῶν ιζ' "πέφυκε γὰρ καὶ ἄλλως ὡς πλήθει τὸ μὲν εὐτυχοῦν θρασύνεσθαι τὸ δὲ κακοπραγοῦν μετριάζειν, κἀκ τούτου τὸ μὲν δεδιὸς σωφρονεῖν τὸ δὲ θαρσοῦν ἀκολασταίνειν. ἐπὶ πλέον δ' ἐν ἐκείνῳ τοῦτ' ἐφωράθη." καὶ ἐν ιγ' "καίτοι πέφυκεν ὡς πλήθει τὸ μὲν βέβαιον ἐκ βραδυτῆτος τὸ δ' ὀξύρροπον ἐκ τάχους διανοίας ὑπάρχειν."

ὡς ἔπος εἰπεῖν. τοῦτο σχηματίζεται παρὰ τοῖς παλαιοῖς καὶ ὡς εἰπεῖν ἔπος, καὶ ὡς ἔπος φάναι, καὶ ὡς φάναι ἔπος. ἔτι δὲ καὶ διὰ μιᾶς λέξεως ἐκφωνεῖται, οἷον ὡς φάναι καὶ ὡς εἰπεῖν. σημαίνει δὲ πάντα τὸ αὐτό.

ὡς ἔπος εἰπεῖν ὡς φαίνεται, καὶ ὡς ἐν λόγῳ εἰπεῖν.

ὡς ἐς πᾶν ἀπορίας ἀφικέσθαι παντελῶς ἀπορῆσαι.

ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην (A Vesp. 1358).

Ὡσηέ ὁ προφήτης.

ὠσθείς καὶ ὤσθην.

ὡς καλόν, ὦ Πόσειδον, τὸ στῖφος αὐτῶν καὶ πυκνὸν καὶ γοργὸν ὥσπερ μᾶζα καὶ πανδαισία" (A Pac. 563). ὅταν γὰρ εἰς κοινὸν ἑστιῶνται, ἑκάστου φέροντος ἑαυτῷ δεῖπνον, πυκνὰ πάντα φαίνεται, πῇ μὲν τὰ προσφάγια φερόντων, πῇ δὲ αὐτῶν ἑστιωμένων.

ὠσμένῳ ὠθισμένῳ, πεσόντι (Ps. 61 3).

ὡς οἷόν τε ὡς δυνατόν.

ὡς οὐκ ἀρκέσοι τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν" (S Ai. 727) περὶ τοῦ Τεύκρου. ὡς οὐκ ἐπαρκέσοι ἑαυτῷ μὴ λιθόλευστος γενέσθαι. ὡς οὐ κωλύσει ἑαυτὸν καταλιθωθῆναι.

ὡς οὐχ ὑπάρχων ἀλλὰ τιμωρούμενος, παροιμία. ὁ στίχος δέ ἐστι Χαιρήμονος ἐκ Θερσίτου.

ὥσπερ κογχύλην διελεῖν, παροιμία ἐπὶ τῶν σφόδρα εὐτελῶν.

ὦ σπερμαγοραιολεκιθολαχανοπώλιδες, ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες, οὐχ ἕλξετ'; οὐ παιήσετ'; οὐκ ἀρήξετε; οὐ λοιδορήσετ'; οὐκ ἀναισχυντήσετε; παύσασθ', ἐπαναχωρεῖτε, μὴ σκυλεύετε" (A Lys. 458). ὦ σπερμαγ. καὶ τὰ ἑξῆς· ᾠὰ γὰρ ἐπώλουν καὶ λάχανα καὶ ὄσπρια.

ὡς Πυθώδ' ἰέναι βελόμενοι Βοιωτὸς δίοδον αἰτώμεθα" (A Av. 189). φασὶ μεταξὺ τῆς Πυθοῦς καὶ τῆς Ἀττικῆς εἶναι τὴν Βοιωτίαν, καὶ ὀχ οἷόν τε εἶναι Ἀθηναίους εἰς Πυθὼ ἀπελθεῖν, εἰ μὴ παρέλθωσι Βοιωτίαν. ὅταν δὲ καὶ στράτευμα διάγῃ, δίοδον ᾔτον. τοῦτο ὂν φησὶν Ἀριστοφάνης· ὥσπερ ἡμεῖς δίοδον αἰτοῦμεν τὸς Βοιωτούς, οὕτως ὅταν θύσωσιν οἱ ἄνθρωποι τοῖς θεοῖς, ἢν μὴ φόρον φέρωσιν ἡμῖν οἱ θεοί, διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χάους τῶν μηρίων τὴν κνῖσαν ὀ διαφρήσετε, ἀντὶ τοῦ ὀ διαφορήσετε, ὀ διαπέμψεσθε.

ὡς σφόδρα οἷον θαυμαστῶς καὶ ὑπερφυῶς.

Ὤστεια πόλις.

ὡς τὴν ἐν Ἄργει ἀσπίδα καθελών, ἐπὶ τῶν μεγαλοφρόνων. οἱ μὲν ἱεράν φασιν ἐν Ἄργει εἶναι ἀσπίδα καλουμένην, ὀχυρὰν καὶ δυσκάθεκτον· οἱ δὲ λόχον φασὶν εἶναι ἐν Ἄργει τῶν πάνυ ἀκμαζόντων νεανίσκων, ὃν ἀσπίδα καλεῖσθαι.

Ὠστία. Ἄγκος Μάρκιος βασιλεύσας Ῥωμαίων πρὸς τοῖς λοιποῖς καὶ πρὸς ταῖς ἐκβολαῖς τοῦ Τιβέριδος ποταμοῦ ἐτείχισε τόπον, καὶ ἐπ' αὐτῆς τῆς ῥαχίας ἀνίστησι πόλιν, ἣν Ὠστίαν ἀπὸ τῆς θέσεως προσηγόρευσεν, ὡς ἂν εἴποιεν Ἕλληνες θύραν, ις' που σημείοις ἀφεστῶσαν τῆς Ῥώμης. οἶμαι δὲ διὰ τοῦ ω μεγάλου, καὶ ὠστιάριος, παρὰ τὸ ὠθεῖν. ὀστία δὲ ἡ θύρα παρὰ Ῥωμαίοις, καὶ ὀστιάριος τὸ ἀξίωμα, διὰ τοῦ ο μικροῦ. μὴ ἑλληνικῶς δὲ ἐτυμολογείσθω.

ὠστίας. οἱ Ῥωμαῖοι ὠστίας τὰς θύρας φασίν. κατὰ Ἑλληνικὴν δὲ ἐτυμολογίαν γράφομεν διὰ τοῦ ω μεγάλου, παρὰ τὸ ἐξωθεῖν τὸν ἐπερχόμενον· ἔνθεν καὶ ὠστιάριος ὁ κρατῶν τὰς θύρας καὶ ὠθίζων τὸς εἰσιέναι βουλομένους. Ἀριστοφάνης ἐν Πλούτῳ (329) "δεινὸν γὰρ εἰ τριωβόλου μὲν οὕνεκα ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τῇ 'κκλησίᾳ." καὶ ἐν Ἀχαρνεῦσιν (24) "οἱ δ' ὠστιοῦνται, πῶς δοκεῖς, περὶ τοῦ πρώτου ξύλου," ἀντὶ τοῦ διωσθήσονται περὶ τῆς προεδρείας, ὡς ξυλίνων οὐσῶν τῶν καθεδρῶν· ὅτι δὲ καὶ ἐκ λίθων, παντί που δῆλον. ἀπὸ ἐνεστῶτος δὲ γίνεται τοῦ ὠστίζω. ὁ δὲ λόγος ὡς πρός τινά ἐστι λεγόμενος· καὶ Ὅμηρος (Ο 697) "φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας" καὶ (Δ 223) "ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις.".

ὠστιζομένη (A Lys. 330) στενοχωρουμένη.

ὠστικῶς τὸ μετὰ βίας καὶ ὠθισμοῦ· "μηδὲ ὠστικῶς καὶ μετὰ βίας πρὸς θάνατον ἔχειν" (M. Anton. 9 3).

ὡς τὸ εἰκός· "ἥ τε παῖδα ὄντα ἱερῷ λόγῳ ἠγάπα τε, ὡς τὸ εἰκός." διάφορα δὲ σημαίνει, πρέπον, ἀκόλουθον, εὔλογον, καὶ ἀντὶ τοῦ τάχα.

ὡς τύπῳ εἰπεῖν ἀντὶ τοῦ ὡς κοινότερον καὶ καθόλου εἰπεῖν.

ὣς φάσαν ἡ πληθύς, παρ' Ὁμήρῳ (Β 278). πρὸς τὸ νοητὸν ἀπήντηκε· τῷ γὰρ ἔννοιαν ἔχοντι πλήθους ὀνόματι πληθυντικὸν ῥῆμα συνέζευξε. καὶ (Υ 166) "ἀγρόμενοι πᾶς δῆμος."

ὤσφροντο ὠσφραίνοντο. ἀντὶ τοῦ ᾔσθοντο· διὰ οἴνου γάρ εἰσιν αἱ σπονδαί, δι' ὀσφρήσεως δὲ ἡ αἴσθησις τῇ ἀναφορᾷ τοῦ οἴνου (sch. A Ach. 178).

ὠσχοφόρια σκιράδος Ἀθηνᾶς ἑορτή· ὦσκαι γὰρ καὶ ὦσχαι τὰ μετὰ τῶν βοτρύων κλήματα.

ὠσχοφόρος. δύο ··· καλοῦσιν (cf. v. ὀσχοφόροι).

ὦτα κατεαγότες· "ἤδη γὰρ ἐνίοις τῶν τὰ ὦτα κατεαγότων καὶ διεφθαρμένων τὰς διανοίας εἰς κωμῳδίαν ἐτράπη καὶ γέλωτα πολὺν τὰ τῆς φιλοσοφίας ἀπόρρητα." Δαμάσκιός φησι (Phot. p. 341 b) διὰ τὸ τινὰς ἐκφερομυθεῖν τὰ τῆς φιλοσοφίας ἀπόρρητα (cf. v. κατεαγότων).

ὠτακουστεῖν, γενικῇ, τὰ κρύφια μανθάνειν ἐθέλειν διά τινων. καὶ ὠτακουστής.

ὦ τάν ὦ οὗτος, ὦ φίλε, ὦ τάλαν, καὶ ὦ μέλε. ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ μόνων λέγεται γυναικῶν, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν. πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τάν, ὡς παρὰ Κτησιφῶντι. οἱ γὰρ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βραχύνουσι καὶ βέλτιον· ἀδύνατον γὰρ εὑρεθῆναι μίαν λέξιν δύο ἔχουσαν περισπωμένας. Δίδυμος δὲ τὸ πλῆρες εἶναί φησιν ὦ ἐτάν, ἀγνοῶν ὡς ἄρα τοῦ ἔτης ἡ κλητική ἐστιν ἔτα, καὶ δωρικῶς ἔταν. Ἀριστοφάνης (Ran. 983) "τοῦτο μὲν ἔασον, ὦ τάν· οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου." τὰ περὶ δημοκρατίας καὶ ἰσότητος φησὶν ἔασον· ἐμοὶ δέ ἐστι μᾶλλον ἐμπεριπατῆσαι περὶ τούτου.

οὐ σόν.

ὦ τάν. οὐ πρὸς ἕνα μόνον τὸ ὦ τάν, ἀλλὰ καὶ πρὸς δύο· Ἀριστοφάνης Πλούτῳ ⟨66⟩ "ὦ τάν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ," καὶ Κρατῖνος "ἆρά γε ὦ τὰν ἐθελήσετον."

ὠτειλή τραῦμα.

ὠτόεις ὁ ἔχων ὠτία. καὶ κλίνεται ὠτόεντος. καὶ ὠτίον.

ὠτοθλαδίας· "ὠτοθλαδίας τε καὶ ἐμπινὴς ὤν, ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος" ⟨Diog. L. 5 67⟩.

ᾧ τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι. Τίμαιον ἐν λή ἱστορεῖν ὡς οἱ περὶ Δημοκλείδην κατὰ Δημοχάρους εἶπον ὅτι μόνῳ αὐτῷ πάντων Ἀθηναίων οὐκ ἔξεστι τὸ ἱερὸν πῦρ φυσῆσαι, ὡς μὴ καθαρεύοντι τοῖς μέρεσιν. Δοῦρις δὲ ἐν τῇ ι Πυθέαν κατὰ Δημοσθένους τὸ ὅμοιον εἰπεῖν ⟨cf. v. Δημοχάρης⟩.

ὠτοκάταξις τὰ ὦτα τεθλασμένος ἐν παλαίστρᾳ.

ὦτος ὄρνεον, ὅπερ ἐπαινούμενον καὶ ἀντορχούμενον ὥσπερ ὁ νυκτικόραξ ἁλίσκεται· διόπερ καὶ τοὺς χαύνους καὶ κενοδόξους οὕτω καλοῦσιν ⟨cf. v. κοβαλεία⟩.

ωὑτός ὁ αὐτός.

ὤφειν ἀντὶ τοῦ εἶδον. ὄψιν. "ὤφειν ὀδωδότα."

ὠφελείας χρείας, τὴν διαρπαγὴν τῶν λαφύρων· ⟨Polyb. 10 15⟩ "ὁ δὲ Πόπλιος εἰσελθὼν εἰς τὴν πόλιν ἐκέλευσε κτείνειν ἅπαντα τὸν παρατυχόντα καὶ μηδενὸς φείδεσθαι, μηδὲ πρὸς τὰς ὠφελείας ὁρμᾶν, μέχρις ἂν ἀποδοθῇ τὸ σύνθημα." ἐν δὲ ἐπιγράμματι ⟨AP 6 187⟩ διὰ τοῦ ι "ὧδε νέμοις ἥρος ὠφελίην" διὰ τὸ μέτρον.

ὤφελεν εὐκτικόν. ἔστι δὲ καὶ ὤφελον. "ὤφελε πρότερον αἰθέρα δῦναι μέγαν ἢ τὸν πολύκοινον Ἅιδην κεῖνος ἀνήρ, ὃς στυγερῶν ἔδειξ' ὅπλων Ἕλλησι κοινὸν Ἄρη" ⟨S Ai. 1192⟩, τουτέστιν, ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνὴρ ὁ πρῶτος εἰσενεγκὼν εἰς Ἕλληνας πολεμιστήρια ὅπλα.

ὠφέλιμον πρᾶγμα ὅτι τοιοῦτον ὥστε εὐλόγως αὐτὸ αἱρεῖσθαι πρὸς αὔξησιν καὶ προσθήκην· ὀφέλλω γὰρ τὸ αὐξάνω. Ξενοφῶν ⟨Anab. 4 1 23⟩ "ἐπεὶ δὲ οὐδὲν ὠφέλιμον ἔλεγον, κατεσφάγησαν."

ὠφελιμώτερος.

Ὠφελίων κωμικός. μέμνηται αὐτοῦ καὶ Ἀθήναιος ἐν τῷ β' βιβλίῳ τῶν Δειπνοσοφιστῶν, φησὶ δὲ τῶν δραμάτων αὐτοῦ εἶναι ταῦτα, Δευκαλίωνα Κάλλαισχρον Κένταυρον Σατύρους Μούσας Μονοτρόπους.

ὦ 'φήμερε ὦ ἄνθρωπε. οὕτω παρεισάγει Ἀριστοφάνης ἐν Νεφέλαις ⟨223⟩ τὸν Σωκράτην λέγοντα. ὦ θνητέ, ὦ ἄνθρωπε, ὦ τὰ ἐφήμερα φρονῶν. τοῦτο δὲ λέγει ὡς αὐτὸς λοιπὸν τὰ τῶν θείων φρονῶν καὶ ὑπερηφανῶν τὰ τῶν ἀνθρώπων διὰ τὸ φροντίζειν περὶ μετεώρων. ἢ ὅτι ἐλέγετο ὁ Σωκράτης Σειληνῷ παρεμφερὴς εἶναι· σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ φωνὴν τὴν τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ ⟨fr. 152⟩· ὁ γάρ τοι Πίνδαρος διαλεγόμενον παράγων τὸν Σειληνὸν τῷ Ὀλύμπῳ τοιούτους αὐτῷ περιέθηκε λόγους "ὦ τάλας ἐφήμερε νήπιε, βάζεις χρήματά μοι διακομπεύων." ἅμα δὲ καὶ ὡς ὑπερηφανοῦντος λοιπὸν τοῦ Σωκράτους τὰ ἀνθρώπινα, καὶ ἐν θεοῖς ὄντος αὐτοῦ, διότι μετεωρολέσχης ἦν, οὕτω τὸ ἐφήμερον ἐποίησεν αὐτὸν λέγοντα.

ὠφθαλμισμένους. ὠφθαλμισμένους ἄνθραξι καὶ ἠλέκτροις εἶχον τοὺς πόδας αἱ κλῖναι τῶν ἀρχαίων ⟨sch. A Eq. 529⟩.

ὤφθεν ἀντὶ τοῦ ὤφθησαν.

ὦ φθόρε ὦ ὄλεθρε· ⟨A Eq. 1148⟩ "ἄπαγ' ἐς μακαρίαν ἐκποδών, ὦ φθόρε."

ὤφλησα ἐχρεώστησα.

ὦ φῶς κακοῖσι τοῖς ἐμοῖς ἧκε καὶ τὸν φίλον ἀπόδειξον δεομένῳ τῆς σῆς δεξιᾶς. γενοῦ τὴν τελευταίαν χρείαν Μιθριδάτης ἄλλος ἐμοί." ταῦτά φησι Μιθριδάτης πιὼν φάρμακον καὶ δυσθανατῶν.

ᾤχετο ἀπῄει, ἐπορεύετο· "ὁ δὲ τὴν Πελοπόννησον καταλιπὼν εἰς Αἰτωλίαν ᾤχετο ἀπιών."

ᾤχετο ἀπιών· "ἐπαγγειλάμενος δὲ πάλιν ἐπανήξειν ᾤχετο ἀπιών" ἀντὶ τοῦ ἐς τοὐπίσω ἀπεχώρησε. συνήθης ὁ πλεονασμὸς τοῖς Ἀττικοῖς.

Ὦχος φιλόσοφος παρὰ Φοίνιξι, Ζάμολξις παρὰ Θρᾳξίν, Ἄτλας παρὰ Λίβυσιν ⟨Diog. L. prooem.⟩.

Ὦχος ὄνομα κύριον.

ᾤχου καταλιποῦσ' ὡσπερεὶ προκείμενον, μόνον οὐ στεφανώσασ', οὐδ' ἐπιθεῖσα λήκυθον" ⟨A Eccl. 559⟩· εἰώθασι γὰρ ἐπὶ τῶν νεκρῶν τοῦτο ποιεῖν.

ὠχραίνεται.

ὠχριῶσα. οὐ παρὰ τὸ φοβουμένη τὸ ὠχριῶσα, ἀλλ' ἴσον τῷ ἀσθενοῦσα, ἀπὸ μεταφορᾶς τῶν νοσούντων. οὕτω γὰρ εἶπεν ⟨A Pac. 641⟩ "ἡ πόλις ὠχριῶσα καὶ φόβῳ καθημένη."

ὦχρος ὠχρίασις· ἐν ἐπιγράμματι ⟨AP 5 242⟩ "ὡς εἶδον Μελίτην, ὦχρός μ' ἕλεν."

ὤψ ὠπός τὸ πρόσωπον, διὰ τοῦ ω μεγάλου.

ὦψα ἀντὶ τοῦ εἶδον.

ὠψίκασιν ἐβράδυναν.

ὠψίσθη ὀψὲ καὶ βραδέως ἦλθε, καὶ κατεσχέθη· "ὃ δὲ ὠψίσθη ποτὲ ἄκων, καὶ κατέμεινεν ἐν τῷ Πειραιεῖ" Αἰλιανός φησιν ἐν τῷ περὶ θείων ἐναργειῶν ⟨cf. v. Γοργόνι⟩.

ὠψοπόνος ὁ περὶ τὰ ὄψα ἀσχολούμενος, ὁ μάγειρος· ⟨AP 6 306⟩ "ὠψοπόνος Σπινθὴρ Ἑρμῇ τάδε σύμβολα τέχνης θῆκατο, δουλοσύνας ἄχθος ἀπωσάμενος."

ὠψωνηκότες ὀψωνήσαντες.